

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ
ΙΕΡΟΣΟΛΥΜΙΤΟΥ ΙΕΡΕΩΣ
ΤΑ ΕΥΡΙΣΚΟΜΕΝΑ.

FLAVII IOSEPHI
HIEROSOLYMITANI
SACERDOTIS

Opera quæ extant, nempe

ANTIQVITATVM IVDAICARVM LIBRI XX. Sigiſmundo Gelenio interprete.
DE BELLO IVDAICO LIBRI VII. (interprete, vt vulgò creditum eſt, Rufino Aquileienſi) quibus Appendicis loco acceſſit De vita Ioſephi.
ADVERSVS APIONEM LIBRI II. ex interpretatione Rufini à Gelenio emendata.
DE MACHABÆIS, ſeu de imperio rationis LIBER I. cum paraphraſi Eraſmi Roterodami.

Quæ Græcolatina editio Græcorum Palatinæ Bibliothecæ manuſcript. Codicum collatione caſtigatior facta eſt.

CVM INDICE LOCVPLETISSIMO.



GENEVÆ,
Excudebat Petrus de la Rouiere.
CIϽ IϽC XI.

ILLVSTRISSIMO PRINCIPI FRIDERICO V. COMITI PALATINO AD RHENVM, ELECTORALIS DIGNITATIS ET PALATINATVS HEREDI, Bauariæ Duci, &c.

Domino meo Clementissimo.

FLAVII Iosephi Hellenistarum Iudæorum cùm eruditione, tum eloquentia facilè principis historica monumenta prælo meo excusa, Princeps illustrissime, ad T.C. humiliter adfero. Sicut enim scriptorum est quæ honesta sunt & seculis profutura literis prodere: ita & in immenso aliorum super alios aceruatorum librorum cumulo typographorum interest laudabiles & bonæ frugis scriptores in lucem mittere rediuiuos, & aduersus Zoilos potentium patronorum tutelæ committere. multiplex verò mihi causa fuit cur ad T.C. noster confugeret Iosephus: namque primùm tota operis πραγματεία de rebus est quæ à Principe cognoscantur dignissimis; ipsa nempe Mundani Systematis diuina constitutione, humani generis ortu & propagatione, Patriarcharum vita, Mosaica Legislatione, politia Hebraica, monarchiarum, quæ olim orbem rexerunt, imperio; & aliis, quæ quatuor millium annorum historiam implent autoris & eo nomine apud Principes gratiosi, quòd non ex infimis literatorum subselliis ad hæc scribenda prodierit terræ filius; sed ex regio Hasmonæorum sanguine oriundus, & primaria sacerdotum inter Iudæos familia, cùm in adolescentia ad miraculum vsque in literarum studio profecisset, iuuentutem rebus gerendis & bello, quod cum Romanis gessere Iudæi, internecino exercuit Galilææ præfectus, consilio & manu æquè promptus; ætate verò prouectiori otium Romæ nactus ea literis mandauit, quæ literarum cognitione & vsu didicerat, vir cæteroquin Imperatoribus Vespasiano, Tito, Domitiano ob præclaras animi dotes acceptissimus. Verùm accessit & alia causa cur Iosephum coram T.C. sisterem, beneficium quod tuæ C. debeo, ob manuscriptorum tuæ electoralis Bibliothecæ codicum Iosephi liberalem vsum, quem annuente primario nostræ ætatis Philologo Iano Grutero, Bibliothecæ præfecto, impetrauit singulari sua humanitate nobilissimus & eruditissimus IC[tus] Marquardus Freherus tuæ C. Consiliarius. Sed quia in hoc autore excudendo longiùs processeram cùm membranas consecutus sum, & multi assidua interpellatione vt

quàm primùm Ioſephum Græcè, publici iuris iterum facerem efflagitabant, quòd editionis Baſilienſis quæ ante LXVII. annos vnica prodiit, nullum exemplar ſupereſſet; hortantibus ceſſi, quorumdam virorum doctorum notas, & varias lectiones eius qui manuſcripta excuſſit ſtudio collectas propediem peculiari volumine editurus. Cùm itaque T. C. tuorúmque beneficio ſim adiutus C. T. patrocinio Ioſephum hiſtoricum Principe non indignum iure meritòque dedico, demiſsè rogans vt quemadmodum Titus Imperat. autorem libros ſuos περὶ ἁλώσεως offerentem benignè admiſit, probauit, & Bibliothecæ ſuæ inſeri iuſſit; ita Ioſephum noſtrum clementi vultu T. C. accipiat; & in ſua perinſigni Bibliotheca quæ nobis calamo exarata exemplaria ſuppeditauit, vt emendatior prodiret, locum obtinere patiatur. Ipſe interim Deum Opt. Max. à quo eſt omnis antiſtatus in terris, ſupplex orabo vt det T. C. vitam prolixam, Principatum ſecurum, & quæcunque boni Principis vota ſunt.

Tuæ Celſitudinis ſeruus addictiſsimus

PETRVS ROVERIANVS

Typographus.

DE IOSEPHO, ET EIVS SCRIPTIS VETERVM TESTIMONIA.

EVSEBIVS PAMPHILI ECCLESIAsticæ historiæ lib.3. cap.9.

ΙΩΣΗΠΟΣ ματθίου παῖς, ἐξ ἱεροσολύμων ἱερεύς. αὐτὸς δὲ ῥωμαίους πολεμήσας τὰ πρῶτα καὶ τοῖς ὕστερον παρατυχὼν ἐξ ἀνάγκης, μάλιστα δὴ τῶν κατ' ἐκεῖνο καιροῦ ἰουδαίων οὐ παρὰ μόνοις τοῖς ὁμοεθνέσιν, ἀλλὰ καὶ παρὰ ῥωμαίοις γέγονεν ἀνὴρ ἐπιδοξότατος, ὡς αὐτὸν μὲν ἀναθέσει ἀνδριάντος ἐπὶ τῆς ῥωμαίων τιμηθῆναι πόλεως, τοὺς δὲ σπουδασθέντας αὐτῷ λόγους βιβλιοθήκης ἀξιωθῆναι. οὗτος δὴ τὴν ἰουδαϊκὴν ἀρχαιολογίαν ἐν ὅλοις εἴκοσι κατατέθειται συγγράμμασι. τὴν δ' ἱστορίαν τοῦ κατ' αὐτὸν ῥωμαϊκοῦ πολέμου, ἐν ἑπτὰ λόγοις. ἃ καὶ οὐ μόνον τῇ ἀλλήλων, ἀλλὰ καὶ τῇ πατρίῳ φωνῇ παραδοῦναι αὐτὸς ἑαυτῷ μαρτυρεῖ· ἄξιός γε ὢν διὰ τὰ λοιπὰ πιστεύεσθαι. καὶ ἕτερα δ' αὐτοῦ φέρεται σπουδῆς ἄξια, δύο, τὰ περὶ τῆς ἰουδαίων ἀρχαιότητος. ἐν οἷς καὶ ἀντιρρήσεις πρὸς ἀπίωνα τὸν γραμματικὸν κατὰ ἰουδαίων τηνικάδε συντάξαντα λόγον πεποίηται, καὶ πρὸς ἄλλους, οἳ διαβάλλειν καὶ αὐτοὶ τὰ πάτρια τοῦ ἰουδαίων ἔθνους ἐπειράθησαν. πεπόνηται δὲ καὶ ἄλλο οὐκ ἀγεννὲς σπούδασμα τῷ ἀνδρὶ περὶ αὐτοκράτορος λογισμοῦ, ὅ τινες μακκαβαϊκὸν ἐπέγραψαν. τῷ τοὺς ἀγῶνας τῶν ἐν τοῖς οὕτω καλουμένοις μακκαβαϊκοῖς συγγράμμασιν, ὑπὲρ τῆς εἰς τὸ θεῖον εὐσεβείας ἀνδρισαμένων ἑβραίων περιέχειν. καὶ πρὸς τῷ τέλει δὲ τῆς εἰκοστῆς ἀρχαιολογίας ἐπισημαίνεται ὁ αὐτὸς, ὡς ἂν προῃρημένος ἐν τέτρασι συγγράψαι βιβλίοις κατὰ τὰς πατρίους δόξας τῶν ἰουδαίων, περὶ θεοῦ καὶ τῆς οὐσίας αὐτοῦ, καὶ περὶ τῶν νόμων, διὰ τί κατ' αὐτοὺς τὰ μὲν ἔξεστι πράττειν, τὰ δὲ κεκώλυται. καὶ ἄλλα δ' αὐτῷ σπουδασθῆναι ὁ αὐτὸς ἐν τοῖς ἰδίοις αὐτοῦ μνημονεύει λόγοις.

IOSEPHVS Mattathiæ filius, Sacerdos Hierosolymitanus, non solùm ipse Romanos in initio belli Iudaici oppugnauit, sed cæteris prælijs postea commissis necessitate coactus interfuit. Hic Iosephus nō solùm apud gentem suam, verùm etiam apud Romanos, Iudæorum illius temporis facilè præstantissimus habitus fuit, ita vt tum statuæ honore in vrbe Roma decoraretur, tum libri ab eo industria elaborati confectique in bibliothecam, tanquam monumenta, meritò reponerentur. hic verò rerum Iudaicarum antiquitatem in viginti integros libros redegit. historiam item de bello Iudaico sua ipsius ætate administrato, septem libris conscripsit. Quas res non Græco solùm sermone, sed patrio etiam se tradidisse, suo ipsius confirmat testimonio. Cui quidem propter reliquas res verissimè ab eo conscriptas, etiam in hac causa fides iure debet adhiberi. Dicuntur etiam alij duo libri de Iudeorum vetustate ab eo accuratiùs elucubrati: in quibus non solùm contra Apionem grammaticum, qui id temporis in Iudæos vehementiùs suis scriptis inuehebatur, verùm etiam contra alios qui patria & auita Iudaicæ gentis instituta cōuiciis & ignominia afficere conabantur, strenuè disserit. Est præterea aliud opus, non obscurum sanè, aut contemnendum, De ratione sola mentis rectrice, ab eo elaboratum, quod quidam Maccabęorum propterea inscribunt, quod grauia Hebræorum quorundam certamina, qui virili & magno animo pro vera in Deum religione & pietate mortem oppetierunt (de quibus in libris qui vocantur Maccabaici sermo instituitur) in se contineant. Porrò in extremo vigesimo libro de Antiquitate, ille ipse apertè indicat quo pacto patrias Iudæorum sententias & opiniones de Deo, de eius essentia, & de legibus etiam, quamobrem essent quædam ex earum præscripto libera & soluta ad agendum, alia autem vetita & interdicta, quatuor libris complecti instituisset. Itémque in suis ipsius scriptis alia opera à se studio & industria elaborata memorat.

HIERONYMVS IN LIBRO DE SCRIPTORIBVS ECCLESIASTICIS.

IOSEPHVS Mattathiæ filius, ex Hierosolymis sacerdos, à Vespasiano captus, cum Tiberio filio eius relictus est, hic Romam veniens, septem libros Iudaicæ captiuitatis imperatoribus patri filióque obtulit, qui & bibliothecæ publicæ traditi sunt, & ob ingenij gloriam statuam quoque meruit Romę. Scripsit autem & alios viginti antiquitatum libros, ab exordio mundi vsque ad decimum quartum annum Domitiani Cæsaris, & duos ἀρχαιότητος aduersus Apionem grammaticum Alexandrinum, qui sub Caligula legatus missus ex parte

gentilium, contra Philonem etiam librum, vituperationem gentis Iudaicæ continentem, scripserat. Alius quoque liber eius qui inscribitur περὶ αὐτοκράτορος λογισμοῦ, valde elegans habetur, in quo & Maccabæorum sunt digesta martyria. hic in decimooctauo antiquitatum libro, manifestissimè confitetur, propter magnitudinem signorum, Christum à Pharisæis interfectum, & Ioannem Baptistam verè prophetam fuisse, & propter interfectionem Iacobi Apostoli, dirutam Hierosolymam. Scripsit autem de Domino in hunc modum: Eodem tempore fuit Iesus vir sapiens, si tamen virum eum oportet dicere. Erat enim mirabilium patrator operum, & doctor eorum, qui libenter vera suscipiunt: plurimos quoque tam de Iudæis quàm de gentibus sui habuit sectatores, & credebatur esse Christus. Cúmque inuidia nostrorum principum, cruci eum Pilatus addixisset, nihilominus qui eum primùm dilexerant, perseuerauerunt. Apparuit enim eis tertia die viuens. Multa & hęc & alia mirabilia, carminibus prophetarum de eo vaticinantibus, & vsque hodie Christianorum gens ab hoc sortita vocabulum non defecit.

IDEM IN EPISTOLA AD MAGNVM ORATOREM ROMANVM.

IOsephus antiquitatem approbans Iudaici populi, duos libros scripsit contra Apionem Alexandrinum Grammaticum, & tanta sæcularia profert testimonia, vt mihi miraculum subeat, quomodo vir Hebræus, & ab infantia sacris literis eruditus, cunctam Græcorum bibliothecam euoluerit.

HERMIAS SOZOMENVS SALAMINIVS HISTORIÆ Ecclesiasticæ libro primo, cap. 1.

IOsephus Mattathiæ filius, vir cùm apud Iudæos, tum apud Romanos maxima nominis celebritate florens, testis est de vero Dei verbo locupletissimus.

Ἰώσηππος ὁ ματταθίου ὁ ἱερεὺς, ἀνὴρ παρά τε ἰουδαίοις, καὶ ῥωμαίοις ἐπιδοξότατος γενόμενος, ἀξιόχρεως ἂν εἴη μάρτυς τῆς περὶ θεοῦ ἀληθείας.

EVAGRIVS ECCLESIASTICÆ HISTORIÆ libro quinto, cap. 24.

LOngam Iosephus scripsit historiam, eámque refertam vtilitate cuiusque generis &c.

Πολλὴν Ἰώσηππος ἔγραψεν ἱστορίαν χρειώδη εἰς ἅπαντα τυγχάνουσαν.

PHOTIVS IN BIBLIOTHECA.

LEgi Iosephum Iudæum, De Iudaicæ gentis calamitate atque interitu. Quo in libro extremo Hierosolymorum excidium narrat, & Masadæ oppidi: & ante hæc Iotapatorum, in quo & ipse Iosephus captus: præterea Gischalorum euersionem, & aliorum Iudaicorum munimentorum desolationem. Sunt autem huius operis libri septem. Candidus illi sermo, qui rationum pondus atque momentum cum puritate ac iucunditate exprimere possit. In concionibus persuadendi vi præditus est, ac gratiosus, tum etiam quum suadet opportunitas orationem in contrariam partem flectere. Dexterè quoque & copiosè enthymematis in vtramque partem vtitur, sententiásque, si quis alius, adhibet. Orationi insuper affectum imprimendi, & concitandi motus, eosdémque mox leniendi, est peritissimus.

ΑΝΕΓΝΩΣΘΗ Ἰωσήππου ἰουδαίου τὰ κατὰ ἰουδαίοις πάθη, ἐν οἷς ἥτε τῆς Ἱερουσαλὴμ ἐπὶ τέλει τῶν λόγων ἅλωσις, καὶ ἡ τῆς μασάδας πολίχνης. πρὸ δὲ τούτων, ἡ τῶν Ἰωταπάτων, ἐν ᾗ καὶ αὐτὸς Ἰώσηππος ἥλω, ἔτι δὲ Γισχάλων ἅλωσις· καὶ ἄλλων ἰουδαϊκῶν φρουρίων ἐρημία. ἔστι δὲ αὐτὸ τὸ σύνταγμα, ἐν λόγοις ἑπτά. καθαρὸς τὴν φράσιν, καὶ ἀξίωμα λόγου μετ᾽ εὐκρινείας καὶ ἡδονῆς δεινὸς ἐκφῆναι· πιθανός τε ταῖς δημηγορίαις, καὶ ἐπίχαρις, κἂν ἐπὶ τἀναντία ὁ καιρὸς καλῇ χρήσασθαι τῷ λόγῳ δεξιὸς καὶ γόνιμος ἐνθυμημάτων ἐφ᾽ ἑκάτερα. καὶ γνωμολογικὸς δὲ, ὡς εἴ τις ἄλλος, καὶ πάθη τῷ λόγῳ παραστῆσαι ἱκανώτατος, καὶ ἐγεῖραι πάθος, καὶ πραΰναι δοκιμώτατος.

HIS ACCEDIT IOSEPHVS SCALIGER IN PROLEGOMENIS IN LIBROS DE EMENDATIONE TEMPORVM.

DIligentissimus καὶ φιλαληθέστατος omnium scriptorum Iosephus: de quo nos hoc audacter dicimus, non solùm in rebus Iudaicis, sed etiam in externis tutiùs illi credi, quàm omnibus Græcis & Latinis: Itaque desinat mirari doctus vir, cur tot eruditi, & nos quoque, qui non in illis eruditis, sed huius scriptoris lectione peregrini non sumus, tantum illi deferamus, cuius fides & eruditio in omnibus elucet.

AVTO-

AVTORES QVORVM POTISSIMVM TESTIMONIO PARTIM COMPROBATO, partim confutato Iosephus historiæ suæ fidem facit.

Acusilaus Argiuus
Agatharchides Gnidius
Alexander Polyhistor
Andreas
Apion grammaticus
Apollonius Molo
Apollodorus
Ariphanes
Aristæus
Aristoteles
Berosus Chaldæus
Cadmus Milesius
Castor Chronographus
Chæremon
Chœrilus poëta
Conon histo.
Demetrius Phalereus
Dius histo.
Ephorus
Estius
Euhemerus
Eupolemus
Hecatæus Abderita
Hellanicus
Hermippus
Hermogenes
Herodotus
Hesiodus
Hieronymus Ægyptius
Homerus
Isidorus
T. Liuius
Lysimachus
Manethon
Menander Ephesius
Mnaseas Damascenus
Mochus
Nicolaus Damascenus
Pherecydes Syrius
Philon senior
Philostratus
Polybius Megalopolitanus
Polycrates
Posidonius
Pythagoras
Strabo
Thales
Theodotus
Theophilus
Theopompus
Theophrastus
Thucydides
Timæus
Zopyrion.

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩ ΠΡΩΤΩ ΛΟΓΩ, ΤΩΝ ΙΩΣΗΠΟΥ
ἱστοριῶν τῆς ἰουδαϊκῆς ἀρχαιολογίας.

Προοίμιον τὴν αἰτίαν τῆς συγγραφῆς, καὶ τὸν σκοπὸν αὐτῆς περιέχον. Κεφ. α

Τίς ἡ τοῦ κόσμου σύστασις, καὶ ἡ διάταξις τῶν στοιχείων. Κεφ. β

Περὶ γενέσεως ἀδάμου καὶ τῶν αὐτοῦ δέκα γενεῶν τῶν μέχρι τοῦ κατακλυσμοῦ. Κεφ. γ

Ως ὁ κατακλυσμὸς ἐγένετο, καὶ ὃν τρόπον νῶχος σωθεὶς λάρνακι μετὰ τῶν συγγενῶν κατῴκησεν ἐν τῷ σενναὰρ πεδίῳ. Κεφ. δ

Περὶ τοῦ πύργου βαβυλῶνος, καὶ ἀλλοφωνίας τῶν ἀνθρώπων. Κεφ. ε

Ως οἱ νώχου ἔκγονοι πᾶσαν τὴν οἰκουμένην ἐπῴκησαν. Κεφ. ϛ

Οτι τῶν ἐθνῶν ἕκαστον ἀπὸ τῶν οἰκησάντων προσηγορεύθη. Κεφ. ζ

Ως ἀβραμος ὁ πρόγονος ἡμῶν ἐξελθὼν ἐκ τῆς χαλδαίων γῆς, κατέσχεν τὴν τότε μὲν χαναναίαν, νῦν δὲ ἰουδαίαν λεγομένην. Κεφ. η

Οτι λιμοῦ τὴν χαναναίαν καταλαβόντος, εἰς αἴγυπτον ἀπῆρεν, καὶ διατρίψας ἐν αὐτῇ τινὰ χρόνον, ὑπέστρεψεν ὀπίσω. Κεφ. θ

Η τῶν σοδομιτῶν διαφθορά, ἀσσυρίων αὐτοῖς ἐπιστρατευσάντων. Κεφ. ι

Ως ἄβραμος ἐπὶ τοὺς ἀσσυρίους ἐπιστρατεύσας ἐνίκησεν, καὶ τούς τε αἰχμαλώτους τῶν σοδομιτῶν ἔσωσεν, καὶ τὴν λείαν ἣν ἔλαβον ἀφείλετο. Κεφ. ια

Πῶς τὸ σοδομιτῶν ἔθνος ὁ θεὸς κατέστρεψατο χολωθεὶς αὐτοῖς, ἐφ' οἷς ἡμάρτανον. Κεφ. ιβ

Περὶ ἰσμαήλου τοῦ ἀβράμου παιδὸς, καὶ τῶν ἐκγόνων αὐτοῦ ἀράβων. Κεφ. ιγ

Περὶ ἰσάκου, ὃς ἦν γνήσιος ἀβράμου παῖς. Κεφ. ιδ

Περὶ σάῤῥας τῆς ἀβράμου γυναικὸς, καὶ πῶς τὸν βίον κατέστρεψεν. Κεφ. ιε

Ως ἐκ χατούρας ἀβράμῳ γαμηθείσης τὸ τρωγλοδυτῶν γένος ἐγεννήθη. Κεφ. ιϛ

Περὶ τῆς ἀβράμου τελευτῆς. Κεφ. ιζ

Περὶ τῶν ἰσάκου υἱῶν, ἠσαῦ καὶ ἰακώβου καὶ γενέσεως αὐτῶν καὶ ἀνατροφῆς. Κεφ. ιη

Ιακώβου φυγὴ εἰς τὴν μεσοποταμίαν διὰ τὸν ἀδελφοῦ φόβον. Κεφ. ιθ

Ως ἴσακος τελευτήσας, ἐτάφη ἐν ἔβρωνι. Κεφ. κ

HÆC IN PRIMO IOSEPHI ANTIQVITATVM
Iudaicarum libro continentur.

Procœmium causam scriptionis & scopum eius complectens. Cap. I.

Mundi creatio & Elementorum dispositio. Cap. II.

De posteritate Adami & decem ætatibus vsque ad diluuium. Cap. III.

De diluuio: & quomodo Noë in arca cum familia seruatus habitarit in campo Sennaar. Cap. IV.

De turri Babylonica, déque linguarum mutatione. Cap. V.

Quomodo Noë posteri per totum terrarum orbem sedes sibi occupauerint. Cap. VI.

Quòd gentes singulæ à suis autoribus nomina traxerint. Cap. VII.

Quomodo Abrahamus generis nostri autor è Chaldæorum terra profectus habitauit regionem Chananæam, quæ nunc Iudæa dicitur. Cap. VIII.

Quòd fame Chananæam premente in Ægyptum est profectus: & ibi aliquantisper commoratus, retro vnde venerat est reuersus. Cap. IX.

Sodomitarum clades ab Assyriis accepta. Cap. X.

Quomodo Abrahamus Assyrios aggressus tam captiuos quàm reliquam prædam victor reduxit. Cap. XI.

Quomodo Deus Sodomitarum gentem excidit flagitiis eorum offensus. Cap. XII.

De Ismaële Abrahami filio, eiúsque posteris Arabibus. Cap. XIII.

De Isaco legitimo Abrahami filio. Cap. XIV.

Saræ Abrahami vxoris obitus. Cap. XV.

Quomodo è Chæturâ Abrahamo nupta Troglodytarum gens prouenit. Cap. XVI.

De obitu Abrahami. Cap. XVII.

De Isaci filiis Esao & Iacobo, & natiuitate eorum. Cap. XVIII.

De Iacobo metu fratris in Mesopotamiam profugo. Cap. XIX.

Mors Isaci & sepultura in Hebrone. Cap. XX.

ΦΛΑΒΙΟΥ

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΙΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ

ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

FLAVII IOSEPHI ANTIQVITATVM IVDAICARVM

LIBER PRIMVS.

Προοίμιον τὴν αἰτίαν τῆς συγγραφῆς καὶ τὸν σκοπὸν αὐτῆς περιέχον.

Κεφάλαιον α'.

A Τοῖς τὰς ἱστορίας συγγράφειν βουλομένοις, οὐ μίαν οὐδὲ τὴν αὐτὴν ὁρῶ τῆς σπουδῆς γινομένην αἰτίαν, ἀλλὰ πολλὰς, καὶ πλεῖστον ἀλλήλων διαφερούσας. B τινὲς μὲν γὰρ ἐπιδεικνύμενοι λόγων δεινότητα, καὶ τὴν ἀπ' αὐτῆς θηρευόμενοι δόξαν, ἐπὶ τοῦτο τῆς παιδείας τὸ μέρος ὁρμῶσιν. ἄλλοι δὲ, χάριν ἐκείνοις φέροντες, περὶ ὧν τὴν ἀναγραφὴν εἶναι συμβέβηκεν, τὸν εἰς αὐτὴν πόνον καὶ παρὰ δύναμιν ὑπέστησαν. εἰσὶν δ' οἵτινες ἐβιάσθησαν ὑπ' αὐτῆς τῆς τῶν πραγμάτων ἀνάγκης, οἷς πραττομένοις παρέτυχον, ταῦτα γραφῇ δηλούσῃ C περιλαβεῖν. πολλοὺς δὲ καὶ χρησίμων μέγεθος πραγμάτων ἐν ἀγνοίᾳ κειμένων, προὔτρεψεν τὴν περὶ αὐτῶν ἱστορίαν εἰς κοινὴν ὠφέλειαν ἐξενεγκεῖν. τούτων δὴ τῶν προειρημένων αἰτιῶν, αἱ τελευταῖαι δύο κἀμοὶ συμβεβήκασιν. τὸν μὲν γὰρ πρὸς τοὺς Ῥωμαίους πόλεμον ἡμῖν τοῖς Ἰουδαίοις γενόμενον, καὶ τὰς ἐν αὐτῷ πράξεις, καὶ τὸ τέλος οἷον ἀπέβη, πείρᾳ μαθὼν ἐβιάσθην ἐκδιηγήσασθαι, διὰ τοὺς ἐν τῷ γράφειν D λυμαινομένους τὴν ἀλήθειαν. ταύτην δὲ τὴν ἐνεστῶσαν ἐνεχειρίσθην πραγματείαν, νομίζων ἅπασι φανεῖσθαι τοῖς Ἕλλησιν ἀξίαν σπουδῆς. μέλλει γὰρ περιέξειν ἅπασαν τὴν παρ' ἡμῖν ἀρχαιολογίαν, καὶ τὴν διάταξιν τοῦ πολιτεύματος, ἐκ τῶν Ἑβραϊκῶν μεθερμηνευομένην γραμμάτων. ἤδη μὲν οὖν καὶ πρότερον διενοήθην ὅτε τὸν πόλεμον συνέγραφον, δηλῶσαι,

PROOEMIVM CAVSAM SCRIptionis & scopum eius complectens.

CAPVT I.

QVI ad scribendas historias se conferunt, non vnã neque eandem sui propositi causam habere mihi videntur, sed plures, easque multum inter se differẽtes. quidã enim ostentandæ eloquentiæ causa, gloriæque ex ea captandæ, ad hoc studiorum genus se applicant. alij quo gratiam illis referrent, quorum res gestas scribendas sibi sumpserunt, nulli labori quantum in se fuit, pepercerunt. Sunt quos res ipsa compulit, vt quibus gerẽdis interfuerant, ea scripto complexa in vulgum proderẽt. nec defuerunt, qui res insignes cognitúque dignas in obscuro latere non ferrent, atque ideo narrationem earum in communem vtilitatem proferrent. Ex iam dictis causis postremæ duæ me quoque ad idem permouerunt. Bellum enim quod cum Romanis habuimus, & res vtrinque gestas, ac demum euentum, quæ omnia præsens ipse meo periculo didici, narrare coactus sum propter quosdam qui scriptis suis veritatem deprauarũt. Præsens verò opus aggressus sum, ratus Græcis omnibus cognitu nõ iniucundũ fore. Complectetur enim vniuersam nostræ gentis antiquitatem, formámque reipublicæ, ex Hebraicis literis translatam. Cogitaueram equidem & antea, iam tum cùm historiam de bello scriberem, de-

A.

cere, vnde primum oriundi Iudæi, quàm varia fortuna vsi, sub quali legislatore ad pietatem cæterásque virtutes instituti, quibus bellis per tot secula gestis, inuiti ad postremum contra Romanos bellum sint pertracti: sed quoniam prolixius erat hoc argumentum, seorsim illud propriè dicato opere exorsus vsque ad finem suum perduxi. Procedente dein tempore, sicut vsu venit his qui res arduas aggrediuntur, cunctatio quædã ac segnicies mihi incessit, tantam materiam in alienam ac peregrinam linguam traducturo: sed fuerunt qui cupiditate cognoscendi ad opus me adhortabantur, & præ cunctis Epaphroditus, vir cùm omnis generis disciplinarum, tum verò rerum gestarum peritiæ cum primis auidus, vt qui ipse in maximis negociis & variis fortunæ casibus versatus, in omnibus eximiam naturæ indolem præ se tulisset, inconcussúmque virtutis studium perpetuò retinuisset. Huic igitur morem gerens, assiduo cunctorum vtile aliquid ac honestum molientium fautori, cùm me mei iam suppuderet, si viderer ignauiam speciosissimo labori anteponere, vires animúmque resumpsi: simul hac quoque reputatione non leuiter permotus, quod & maiores olim nostri exteris sua benignè communicauerunt, & Græcorum nonnulli vehementi res nostras cognoscendi studio flagrauerunt. Itaque inuenio literis proditum, quòd Ptolemæus secundus eius nominis rex, totus disciplinis colligendísque libris deditus, magnopere contenderit legem nostram, ciúsque instituta, & viuendi formam præscriptam, in Græcum eloquium transferri. Eleazarus autem pontificum nostrorum nemini secundus, regi hanc vtilitatem non inuidit, reclamaturus omnino, nisi consuetudinem haberemus à maioribus acceptam, res bonas & honestas celare neminem. Proinde mihi quoque conuenire duxi, vt & pontificis nostri imitarer magnanimitatem: & hodie quoque regis illius multos persimiles putarem, duntaxat quod ad discendi cupiditatem attinet. neque enim totam scripturam occupauit ille, sed legem solam ei tradiderunt interpretes, qui ob hoc Alexandriam missi fuerant. Sunt autem innumera sacris literis prodita, vt quæ quinque milliũ annorum historiã in se complectantur, in qua diuersi sunt inopinati casus, varia belli fortuna, multa imperatorũ præclara facinora, multæ rerum publicarum mutationes. In vniuersum autem ex huius potissimùm historiæ lectione cognoscere licet, quòd his qui Dei voluntati obsequuntur, & leges bene latas transgredi verentur, omnia prosperè succedunt supra quàm credi possit, & felicitas illis præmium à Deo proponitur. quòd si ab illarum diligenti obseruatione discedant, neque consilia eorum exitum inueniunt, & boni ipsorũ opinione conatus in calamitates immedicabiles desinunt. Quapropter iam nunc lecturos hæc volumina adhortor, vt Deo mentem adhibeant, & legislatorem nostrum probent,

τίνες ὄντες ἐξ ἀρχῆς οἱ Ἰουδαῖοι, καὶ τίσι χρησάμενοι τύχαις, ὑφ' οἵῳ τε παιδευθέντες νομοθέτῃ τὰ πρὸς εὐσέβειαν καὶ τὴν ἄλλην ἄσκησιν ἀρετῆς, πόσους τε πολέμους ἐν μακροῖς πολεμήσαντες χρόνοις, εἰς τὸν τελευταῖον ἄκοντες πρὸς Ῥωμαίους κατέστησαν. ἀλλ' ἐπεὶ μείζων ἦν ἡ τοῦδε τοῦ λόγου περιβολή, καθ' αὑτὸν ἐκεῖνον χωρίσας ταῖς ἰδίαις αὐτοῦ ἀρχαῖς καὶ τῷ τέλει τὴν γραφὴν συνεμέτρησα. χρόνου δὲ προϊόντος, ὅπερ φιλεῖ τοῖς μεγάλων ἅπτεσθαι διανοουμένοις, ὄκνος μοι καὶ μέλλησις ἐγίνετο τηλικαύτην μετενεγκεῖν ὑπόθεσιν, εἰς ἀλλοδαπὴν ἡμῖν καὶ ξένην διαλέκτου συνήθειαν. ἦσαν δέ τινες οἳ πόθῳ τῆς ἱστορίας ἐπ' αὐτὴν με προὔτρεπον. καὶ μάλιστα δὴ πάντων Ἐπαφρόδιτος, ἀνὴρ ἅπασαν μὲν ἰδέαν παιδείας ἠγαπηκώς, διαφερόντως δὲ χαίρων ἐμπειρίαις πραγμάτων. ἅτε δὴ μεγάλοις μὲν αὐτὸς ὁμιλήσας πράγμασι καὶ τύχαις πολυτρόποις, ἐν ἅπασι δὲ θαυμαστὴν φύσεως ἐπιδεικνύμενος ἰσχὺν καὶ προαίρεσιν ἀρετῆς ἀμετακίνητον. τούτῳ δὴ πειθόμενος ὡς ἀεὶ τοῖς εἰς χρήσιμον ἢ καλόν τι ἄγειν δυναμένοις συμφιλοκαλοῦντι, καὶ ἐμαυτὸν αἰσχυνόμενος, εἰ δόξαιμι ῥαθυμίᾳ πλέον ἢ τῷ περὶ τὰ κάλλιστα χαίρειν πόνῳ, προθυμότερον ἐπερρώσθην. ἔτι κἀκεῖνα πρὸς τοῖς εἰρημένοις λογισάμενος οὐ παρέργως, περί τε τῶν ἡμετέρων προγόνων, εἰ μεταδιδόναι τῶν τοιούτων ἤθελον, καὶ περὶ τῶν Ἑλλήνων, εἴ τινες αὐτῶν γνῶναι τὰ παρ' ἡμῖν ἐσπούδασαν. εὗρον τοίνυν, ὅτι Πτολεμαῖος μὲν ὁ δεύτερος βασιλεὺς περὶ παιδείαν καὶ βιβλίων συναγωγὴν σπουδάσας, ἐξαιρέτως ἐφιλοτιμήθη τὸν ἡμέτερον νόμον, καὶ τὴν κατ' αὐτὸν διάταξιν τῆς πολιτείας εἰς τὴν Ἑλλάδα μεταβαλεῖν. ὁ δὲ τῶν παρ' ἡμῖν ἀρχιερέων οὐδενὸς ἀρετῇ δεύτερος Ἐλεάζαρος τῷ προειρημένῳ βασιλεῖ ταύτης ἀπολαῦσαι τῆς ὠφελείας οὐκ ἐφθόνησεν, πάντως ἀντειπὼν ἂν, εἰ μὴ πάτριον ἦν ἡμῖν τὸ μηδὲν ἔχειν τῶν καλῶν ἀπόρρητον. κἀμαυτῷ δὴ πρέπειν ἐνόμισα, τὸ μὲν ἀρχιερέως μιμεῖσθαι τὸ μεγαλόψυχον, τῷ δὲ βασιλεῖ πολλοὺς ὁμοίως ὑπολαβεῖν καὶ νῦν εἶναι φιλομαθεῖς. οὐδὲ γὰρ πᾶσαν ἐκεῖνος ἔφθη λαβεῖν τὴν ἀναγραφήν, ἀλλ' αὐτὰ μόνα τὰ τοῦ νόμου παρέδοσαν οἱ πεμφθέντες ἐπὶ τὴν ἐξήγησιν πρὸς τὴν Ἀλεξάνδρειαν. μυρία δ' ἐστὶ δηλούμενα διὰ τῶν ἱερῶν γραμμάτων, ἅτε δὴ πεντακισχιλίων ἐτῶν ἱστορίας ἐν αὐτοῖς ἐμπεριειλημμένης. καὶ παντοῖαι μὲν εἰσὶ παράλογοι περιπέτειαι, πολλαὶ δὲ τύχαι πολέμων, καὶ στρατηγῶν αἱ ἀνδραγαθίαι, καὶ πολιτευμάτων μεταβολαί. τὸ σύνολον δ' οὖν μάλιστά τις ἂν ἐκ ταύτης μάθοι τῆς ἱστορίας ἐθελήσας αὐτὴν διελθεῖν, ὅτι τοῖς μὲν θεοῦ γνώμῃ κατακολουθοῦσιν, καὶ τὰ καλῶς νομοθετηθέντα μὴ τολμῶσιν παραβαίνειν, πάντα κατορθοῦται πέρα καὶ πίστεως, καὶ γέρας εὐδαιμονία πρόκειται παρὰ θεοῦ. καθ' ὅσον δ' ἂν ἀποστῶσιν τῆς τούτων ἀκριβοῦς ἐπιμελείας, ἄπορα μὲν γίνεται τὰ πόριμα, τρέπεται δ' εἰς συμφορὰς ἀνηκέστους ὅ τι ποτ' ἂν ὡς ἀγαθὸν δρᾶν σπουδάσωσιν. ἤδη τοίνυν τοὺς ἐντευξομένους τοῖς βιβλίοις παρακαλῶ τὴν γνώμην θεῷ προσανέχειν, καὶ δοκιμάζειν τὸν ἡ-

ἡμέτερον νομοθέτην, εἰ τὴν φύσιν ἀξίως αὐτοῦ κατενόησεν, καὶ τῇ δυνάμει πρεπούσας ἀεὶ τὰς πράξεις ἀνατέθεικεν, πάσης καθαρὸν τὸν περὶ αὐτοῦ φυλάξας λόγον τῆς παρ' ἄλλοις ἀσχήμονος μυθολογίας, καί τοι γε ὅσον ἐπὶ μήκει χρόνου καὶ παλαιότητι πολλὴν ἔχων ἄδειαν ψευδῶν πλασμάτων. γέγονεν γὰρ πρὸ ἐτῶν δισχιλίων, ἐφ' ὅσον πλῆθος αἰῶνος οὐδ' αὐτῶν οἱ ποιηταὶ τὰς γενέσεις τῶν θεῶν, μήτιγε τὰς ἀνθρώπων πράξεις ἢ τοὺς νόμους ἀνενεγκεῖν ἐτόλμησαν. τὰ μὲν οὖν ἀκριβῆ τῶν ἐν ταῖς ἀναγραφαῖς προϊὼν ὁ λόγος κατὰ τὴν οἰκείαν τάξιν σημανεῖ, τοῦτο γὰρ διὰ ταύτης ποιήσων τῆς πραγματείας ἐπηγγελάμην, οὐδὲν προσθεὶς οὐδ' αὖ παραλιπών. ἐπειδὴ δὲ πάντα σχεδὸν ἐκ τῆς τοῦ νομοθέτου σοφίας ἡμῖν ἀνήρτηται Μωϋσέως, ἀναγκαῖοι βραχέα περὶ ἐκείνου προειπεῖν, ὅπως ἂν μή τινες τῶν ἀναγνωσομένων διαπορῶσιν, πόθεν ἡμῖν ὁ λόγος περὶ λόγων καὶ πράξεων ἔχων τὴν ἀναγραφὴν, ἐπὶ τοσοῦτον φυσιολογίας κεκοινώνηκεν. ἰστέον οὖν ὅτι πάντων ἐκεῖνος ἀναγκαιότατον ἡγήσατο, τῷ τὸν ἑαυτοῦ μέλλοντι βίον οἰκονομήσειν καλῶς, καὶ τοῖς ἄλλοις νομοθετεῖν, θεοῦ πρῶτον φύσιν κατανοῆσαι, καὶ τῶν ἔργων τῶν ἐκείνου θεατὴν τῷ νῷ γενόμενον, οὕτω παράδειγμα τὸ πάντων ἄριστον μιμεῖσθαι καθ' ὅσον οἷόν τε καὶ πειρᾶσθαι κατακολουθεῖν. οὔτε γὰρ αὐτῷ ποτ' ἂν γενέσθαι νοῦν ἀγαθὸν τῷ νομοθέτῃ ταύτης ἀπολειπομένῳ τῆς θέας, οὔτε τῶν γραφησομένων εἰς ἀρετῆς λόγον οὐδὲν ἀποβήσεσθαι τοῖς λαβοῦσιν, εἰ μὴ πρὸ παντὸς ἑτέρου διδαχθεῖεν, ὅτι πάντων πατήρ τε καὶ δεσπότης ὁ θεὸς ὢν καὶ πάντα ἐπιβλέπων, τοῖς μὲν ἑπομένοις αὐτῷ δίδωσιν εὐδαίμονα βίον, τοὺς ἔξω δὲ βαίνοντας ἀρετῆς, μεγάλαις περιβάλλει συμφοραῖς. τοῦτο δὴ παιδεῦσαι βουληθεὶς τὸ παίδευμα τοὺς ἑαυτοῦ πολίτας, τῆς τῶν νόμων θέσεως οὐκ ἀπὸ συμβολαίων καὶ τῶν πρὸς ἀλλήλους δικαίων ἤρξατο τοῖς ἄλλοις παραπλησίως. ἀλλ' ἐπὶ τὸν θεὸν καὶ τὴν τοῦ κόσμου κατασκευὴν τὰς γνώμας αὐτῶν ἀναγαγὼν, καὶ πείσας ὅτι τῶν ἐπὶ γῆς ἔργων τοῦ θεοῦ τὸ κάλλιστον ἐσμὲν ἄνθρωποι, ὅτε πρὸς τὴν εὐσέβειαν εἶχεν ὑπακούοντας ῥᾳδίως ἤδη περὶ πάντων ἔπειθεν. οἱ μὲν οὖν ἄλλοι νομοθέται τοῖς μύθοις ἐπακολουθήσαντες, τῶν ἀνθρωπίνων ἁμαρτημάτων εἰς τοὺς θεοὺς τῷ λόγῳ τὴν αἰσχύνην μετέθεσαν, καὶ πολλὴν ἐπίτασιν εἰς κακίαν τοῖς πονηροῖς ἔδωκαν. ὁ δ' ἡμέτερος νομοθέτης ἀκραιφνῆ καὶ καθαρὰν τὴν ἀρετὴν ἔχοντα τὸν θεὸν ἀποφήνας, ᾠήθη δεῖν τοὺς ἀνθρώπους ἐκείνης πειρᾶσθαι μεταλαμβάνειν. καὶ τοὺς μὴ ταῦτα φρονοῦντας, μηδὲ πιστεύοντας ἀπαραιτήτως ἐκόλασεν. πρὸς ταύτην οὖν τὴν ὑπόθεσιν ποιεῖσθαι τὴν ἐξέτασιν, τοὺς ἀναγνωσομένους παρακαλῶ. φανεῖται γὰρ σκοπουμένοις οὕτως, οὐδὲν οὔτε ἄλογον αὐτοῖς, οὔτε πρὸς τὴν μεγαλειότητα τοῦ θεοῦ καὶ τὴν φιλανθρωπίαν ἀνάρμοστον. πάντα γὰρ τῇ τῶν ὅλων φύσει, σύμφωνον ἔχει τὴν διάθεσιν. τὰ μὲν, αἰνιττομένου τοῦ νομοθέτου ἀξίως, τὰ δὲ, ἀλληγοροῦντος μετὰ σεμνότητος. ὅσα δ' ἐξ εὐθείας λέγεσθαι συνέφερεν, ταῦτα ῥητῶς ἐμφανίζοντος. τοῖς μέντοι βουλομένοις καὶ τὰς αἰτίας ἑκάστου σκοπεῖν, πολλὴ γένοιτ' ἂν ἡ θεω-

A *bent, si naturam, vt dignum est, considerauit, & virtuti eius conuenientes semper operationes assignauit, purámque suam narrationem ab omni, qualis apud alios est, fabularum vanitate conseruauit: tametsi quantum ad longitudinem tēporis, rerūq; vetustatē attinet, impunè poterat qualibet mendacia confingere. Natus enim est ante annos bis mille, cùm ad tot retro secula et poëtæ nē Deo-* B *rum quidem suorum natales, nedum mortalium leges aut res gestas referre ausi fuerint. Sed hæc omnia procedens oratio accuratè suo quæquè ordine docebit, ita vt nos facturos sumus polliciti, neque subtrahendo quicquam, nec addendo. Cæterùm quoniam fermè omnia pendent à Mosis legislatoris sapientia, necesse habeo paucis de illo præfari, ne quem fortè cogitatio subeat qui factū sit, vt quū operis inscriptio res gestas polliceatur,* C *tam multa ad naturæ cognitionem spectantia scriptis nostris inseruerimus. Scire igitur oportet, quòd vir ille ante omnia necessarium existimauit, vel vitam suam rectè dispositurо, vel aliis leges posituro, vt in primis naturæ Dei cognitionem habeat, atque ita consideratis eius operibus egregium illud exemplar imitari, quantum in suis viribus est, & sectari conetur. alioquin absque hac* D *contemplatione neque legislatorem ipsum vnquā bonam mentem sibi paraturum, neque scripta eius vllum momentum ad virtutem auditorum allatura, nisi ante omnia discerent, quòd Deus cùm sit parens omnium ac Dominus, omniáque contueatur, eis quidem qui se sectantur, felicem vitam donat: qui autem à virtutis tramite digrediūtur, illos maximis calamitatibus inuoluit. Hanc doctrinam ciues suos docere volens, nō à pactis aut* E *conuentis & mutuo circa hæc iure leges est auspicatus, quemadmodum alij solent: sed ad Deum & mundum ab eo conditum erectos mente, & persuasos, quòd in terris pulcherrimum Dei opus simus homines, cùm iam ad pietatem haberet obsequentes, facile deinceps de reliquis omnibus edocuit. Itaque alij legislatores priscas fabulas sequuti, pudenda hominum peccata in deos suos verbis* F *transtulerunt, atque hoc pacto hominibus malis magnum incitamentum ad maliciam addiderunt. at noster legislator posteaquam puram virtutem habere Deum docuisset, censuit pro se quemque adniti oportere, vt in partem eius aliquam peruenire posit: in eósque qui neq; sapiunt hæc, neque credunt, seuerè admodum animaduertit. Ad hoc igitur præscriptum volo lectorem hæc nostra examinare. namque sic considerantibus nihil* G *vel absurdum, vel Dei magnificentia indignum esse videbitur. omnia enim summa concinnitate iuxta vniuersi naturam sunt disposita, partim ita vt dignum erat à legislatore subindicata, partim decētissimis allegoriis conuestita: partim et disertè expressa, nimirum quæcunque absque ambagibus erant proferenda: quorum causas si quis singilla-*

tim considerare vellet, sublimis inde & valde philosophica speculatio exoriretur, in aliud tempus differenda. Quòd si Deus longiorem ætatem concesserit, absolutis quæ nunc tractamus, vt illa quoque perscribantur operam dabimus: nunc ad rerum seriem vertemus stylum, præmissis quæ Moyses narrat de mundo condito: ea è sacris codicibus ita vt inuenimus transsumpta, in hunc fermè modum se habent.

εἴα, καὶ λίαν φιλόσοφος. ἣν ἐγὼ νῦν ὑπερβαλοῦμαι. θεοῦ δὲ διδόντος ἡμῖν χρόνον, πειράσομαι μετὰ ταύτην γράψαι τὴν πραγματείαν. τρέψομαι δὲ ἤδη ἐπὶ τὴν ἀφήγησιν τῶν πραγμάτων, μνησθεὶς πρότερον ὧν περὶ τῆς τοῦ κόσμου κατασκευῆς, εἶπεν Μωϋσῆς. ταῦτα δὲ ἐν ταῖς ἱεραῖς βίβλοις εὗρον γεγραμμένα, ἔχει δὲ οὕτως.

MVNDI CREATIO, ET Elementorum dispositio.

CAP. II.

Genesis 1.

IN principio creauit Deus cœlum & terram. Hæc cùm in conspectum non veniret, alta caligine tecta, spiritúsque eam superne permearet, lucē Deus fieri iussit: quæ cū effulsisset, considerata tota materia, discreuit lucem à tenebris: & his nomen imposuit noctem, illam verò diem appellauit, vesperæ & mane vocabulo exordiis lucis & quietis indito. Atque hæc quidē prima dies extitit, Moyses autē vnam eam dixit. Cuius causam possem equidem & nunc reddere: sed quoniam promisi me omnium causas proprio volumine conscriptas editurum, in illud tempus hanc quoque rationem differam. Post hæc secunda die cœlum vniuersitati rerum superimposuit, discretum à cæteris, & in sublimi per se collocatum, glaciéque circumpactum, & humida ac pluuia natura ob terram irroratione iuuandam competenter temperatum. Tertia verò terram statuit, mari vndequaque circunfusam: eadémque die continuò plantæ simul & semina è terra sunt exorta. Quarta verò cœlum Sole ac Luna aliísque sideribus exornauit, mandato eis dato, vt suo motu & meatu temporum anni reuolutionem manifestè indicar[illegible]nta verò die animantia, tum natatilia, tum pe[illegible]ublime volantia, per altum pérque aërē dimisit, copulata prius & ad congressus geniturę causa cōparata, quo genus corū cresceret simul ac multiplicaretur. Sexta autem die quadrupedum genus condidit, masculo & fœmineo sexu distinctum: in hac verò hominem etiam finxit, atque ita mundum sex diebus vniuersum, & omnia quæ mundo continentur, Moyses facta esse dicit: septima autem requieuisse Deum, & ab operibus cessauisse. quamobrem etiam nos vacationem à laboribus per hanc diem celebramus, appellantes eam sabbatum: quæ vox requiem Hebræorum lingua significat. Quin etiam naturam interpretari post septimam diem Moyses incepit, de hominis fabricatione in hunc modū disserens:

Τίς ἡ τοῦ κόσμου σύστασις, καὶ ἡ διάταξις τῶν στοιχείων.

Κεφάλαιον β'.

ΕΝ ἀρχῇ ἔκτισεν ὁ θεὸς τὸν οὐρανὸν, καὶ τὴν γῆν. ταύτης ὑπ' ὄψιν οὐκ ἐρχομένης, ἀλλὰ βαθεῖ μὲν κρυπτομένης σκότει, πνεύματος δὲ αὐτὴν ἄνωθεν ἐπιθέοντος, γενέσθαι φῶς ἐκέλευσεν ὁ θεός. καὶ γενομένου τούτου, κατανοήσας τὴν ὅλην ὕλην, διεχώρισε τό τε φῶς, καὶ τὸ σκότος. καὶ τῷ μὲν ὄνομα ἔθετο νύκτα, τὸ δὲ ἡμέραν ἐκάλεσεν, ἑσπέραν τε καὶ ὄρθρον τὴν ἀρχὴν, καὶ τὴν ἀνάπαυσιν προσαγορεύσας. καὶ αὕτη μὲν ἡ πρώτη ἡμέρα, Μωϋσῆς δὲ αὐτὴν μίαν εἶπε. τὴν δὲ αἰτίαν ἱκανὸς μὲν εἰμὶ ἀποδοῦναι καὶ νῦν, ἐπεὶ δὲ ὑπέσχημαι τὴν αἰτιολογίαν ἁπάντων ἰδίᾳ συγγραψάμενος παραδώσειν, εἰς τότε καὶ τὴν περὶ αὐτοῦ ἑρμηνείαν ἀναβάλλομαι. μετὰ δὴ τοῦτο τῇ δευτέρᾳ τῶν ἡμερῶν, τὸν οὐρανὸν τοῖς ὅλοις ἐπιτίθησιν, καὶ αὐτὸν ἀπὸ τῶν ἄλλων διακρίνας, καθ' αὑτὸν ἠξίωσε τετάχθαι, κρύσταλλόν τε περιπήξας αὐτῷ, καὶ νοτερὸν αὐτὸν καὶ ὑετώδη πρὸς τὴν ἀπὸ τῶν δρόσων ὠφέλειαν ἁρμονίως τῇ γῇ μηχανησάμενος. τῇ δὲ τρίτῃ, ἵστησι τὴν γῆν, ἀναχέας περὶ αὐτὴν τὴν θάλασσαν, κατ' αὐτὴν δὲ τὴν ἡμέραν εὐθὺς φυτά τε καὶ σπέρματα γῆθεν ἀνέτειλεν. τῇ δὲ τετάρτῃ, διακοσμεῖ τὸν οὐρανὸν ἡλίῳ καὶ σελήνῃ καὶ τοῖς ἄλλοις ἄστροις, κινήσεις αὐτοῖς ἐπιστείλας καὶ δρόμους, οἷς ἂν αἱ τῶν ὡρῶν περιφοραὶ φανεραὶ σημαίνοιντο. πέμπτῃ δὲ ἡμέρᾳ, ζῶά τε κατ' αὐτὴν νηκτά τε καὶ μετάρσια, τὰ μὲν κατὰ βάθους, τὰ δὲ δι' ἀέρος ἀνῆκεν, συνδησάμενος αὐτὰ κοινωνίᾳ καὶ μίξει γονῆς ἕνεκα, καὶ τοῦ συναυξάνεσθαι, καὶ πλεονάζειν αὐτῶν τὴν φύσιν. τῇ δὲ ἕκτῃ ἡμέρᾳ, δημιουργεῖ τὸ τῶν τετραπόδων γένος, ἄρρεν τε καὶ θῆλυ ποιήσας. ἐν ταύτῃ δὲ καὶ τὸν ἄνθρωπον ἔπλασεν. καὶ τὸν κόσμον ἐν ἓξ ταῖς πάσαις ἡμέραις Μωϋσῆς καὶ πάντα τὰ ἐν αὐτῷ φησὶ γενέσθαι. τῇ δὲ ἑβδόμῃ ἀναπαύσασθαι καὶ λαβεῖν ἀπὸ τῶν ἔργων ἐκεχειρίαν. ὅθεν καὶ ἡμεῖς σχολὴν ἀπὸ τῶν πόνων κατὰ ταύτην ἄγομεν τὴν ἡμέραν, προσαγορεύοντες αὐτὴν σάββατα. δηλοῖ δὲ ἀνάπαυσιν κατὰ τὴν ἑβραίων διάλεκτον τὸ ὄνομα. καὶ δὴ καὶ φυσιολογεῖν μωϋσῆς μετὰ τὴν ἑβδόμην ἤρξατο περὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς, λέγων οὕτως,

ἔπλασ-

ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ πνεῦμα ἐνῆκεν αὐτῷ, καὶ ψυχήν. ὁ δ' ἄνθρωπος οὗτος ἄδαμος ἐκλήθη. σημαίνει δὲ τοῦτο κατὰ γλῶτταν τὴν ἑβραίων πυρρὸν, ἐπειδήπερ ἀπὸ τῆς πυρρᾶς γῆς φυραθείσης ἐγεγόνει. τοιαύτη γάρ ἐστιν ἡ παρθένος γῆ καὶ ἀληθινή. παρίστησι δὲ ὁ θεὸς τῷ ἀδάμῳ κατὰ γένη τὰ ζῷα θήλεά τε καὶ ἄρσενα ἀποδεικνύμενος. καὶ τούτοις ὀνόματα τίθησιν, οἷς ἔτι καὶ νῦν καλοῦνται. βλέπων δὲ τὸν ἄδαμον οὐκ ἔχοντα κοινωνίαν πρὸς τὸ θῆλυ καὶ συνδιαίτησιν, οὐδὲ γὰρ ἦν, ξενιζόμενον δὲ ἐπὶ τοῖς ἄλλοις ζῴοις οὕτως ἔχουσιν, μίαν αὐτοῦ κοιμωμένου πλευρὰν ἐξελὼν ἐξ αὐτῆς ἔπλασε τὴν γυναῖκα. καὶ ὁ ἄδαμος προσαχθεῖσαν αὐτὴν ἐγνώρισεν ἐξ αὐτοῦ γενομένην. ἦσσα δὲ κατὰ τὴν ἑβραίων διάλεκτον καλεῖται γυνή. τὸ δ' ἐκείνης ὄνομα εὔα ἦν, σημαίνει δὲ τοῦτο πάντων τῶν ζώντων μητέρα. φησὶ δὲ τὸν θεὸν καὶ παράδεισον πρὸς τὴν ἀνατολὴν καταφυτεῦσαι παντοίῳ τεθηλότι φυτῷ. ἐν τούτοις δ' εἶναι καὶ τῆς ζωῆς τὸ φυτὸν, καὶ ἄλλο τὸ τῆς φρονήσεως, ᾧ διαγινώσκοιτο τί τε εἴη τὸ ἀγαθὸν, καὶ τί τὸ κακόν. εἰς τοῦτον τε τὸν κῆπον εἰσαγαγὼν τόν τε ἄδαμον καὶ τὴν γυναῖκα, ἐκέλευσεν τῶν φυτῶν ἐπιμελεῖσθαι. ἄρδεται δ' οὗτος ὁ κῆπος ὑπὸ ἑνὸς ποταμοῦ, πᾶσαν ἐν κύκλῳ τὴν γῆν περιρρέοντος, ὃς εἰς τέσσαρα μέρη σχίζεται. καὶ ὁ μὲν φεισὼν ὀνομαζόμενος, σημαίνει δὲ πληθὺν τὸ ὄνομα, ἐπὶ τὴν ἰνδικὴν φερόμενος ἐκδίδωσιν εἰς τὸ πέλαγος, ὑφ' ἑλλήνων γάγγης λεγόμενος. εὐφράτης δὲ καὶ τίγρης ἐπὶ τὴν ἐρυθρὰν ἄπεισιν θάλασσαν. καλεῖται δ' ὁ μὲν εὐφράτης φορά. σημαίνει δὲ ἤτοι σκεδασμὸν ἢ ἄνθος. τίγρης δὲ, διγλάθ, ἐξ οὗ φράζεται τὸ μετὰ στενότητος ὀξύ. γηὼν δὲ δι' αἰγύπτου ῥέει. δηλοῖ δὲ τὸν ἀπὸ τῆς ἀνατολῆς ἀναδιδόμενον ἡμῖν, ὃν δὴ νεῖλον ἕλληνες προσαγορεύουσιν. ὁ δὴ θεὸς τὸν ἄδαμον καὶ τὴν γυναῖκα τῶν μὲν ἄλλων φυτῶν ἐκέλευσε γεύεσθαι, τοῦ δὲ τῆς φρονήσεως ἀπέχεσθαι, προειπὼν ἁψαμένοις αὐτοῦ, ὄλεθρον γενησόμενον. ὁμοφρονούντων δὲ κατ' ἐκεῖνο καιροῦ τῶν ζῴων ἁπάντων, ὄφις συνδιαιτώμενος τῷ τε ἀδάμῳ καὶ τῇ γυναικὶ, φθονερῶς μὲν εἶχεν, ἐφ' οἷς αὐτοὺς εὐδαιμονήσειν ᾤετο, πεπεισμένους τοῖς τοῦ θεοῦ παραγγέλμασιν. οἰόμενος δὲ συμφορᾷ περιπεσεῖσθαι παρακούσαντας, ἀναπείθει κακοήθως τὴν γυναῖκα γεύσασθαι τοῦ φυτοῦ τῆς φρονήσεως, ἐν αὐτῷ λέγων εἶναι τήν τε τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ διάγνωσιν, οὗ γενομένοις αὐτοῖς, μακάριον καὶ μηδὲν ἀπολείποντα τοῦ θείου διάξειν βίον. καὶ παρακρούεται μὲν οὕτω τὴν γυναῖκα τῆς ἐντολῆς τοῦ θεοῦ καταφρονῆσαι. γευσαμένη δὲ τοῦ φυτοῦ, καὶ ἡσθεῖσα τῷ ἐδέσματι, καὶ τὸν ἄδαμον ἀνέπεισεν αὐτῷ χρήσασθαι. καὶ συνίεσαν ἑαυτῶν ἤδη γεγυμνωμένων, καὶ σκέπην ἑαυτοῖς ἐπενόουν. τὸ γὰρ φυτὸν ὀξύτητος καὶ διανοίας ὑπῆρχεν. φύλλοις οὖν αὐτοὺς συκῆς ἐσκέπασαν. καὶ ταῦτα τῆς αἰδοῦς προβαλλόμενοι, μᾶλλον ἐδόκουν εὐδαιμονεῖν, ὡς ὧν πρότερον ἐσπάνιζον εὑρόντες. τοῦ θεοῦ δ' εἰς τὸν κῆπον ἐλθόντος, ὁ μὲν ἄδαμος πρότερον εἰς ὁμιλίαν αὐτῷ φοιτῶν, συνειδὼς αὐτῷ τὴν ἀδικίαν, ὑπεχώρει. τὸν δὲ θεὸν ἐξένιζεν τὸ πραττόμενον, καὶ τὴν αἰτίαν ἐπυνθάνετο, δι' ἣν πρότερον ἡδόμενος τῇ πρὸς αὐτὸν ὁμιλίᾳ, νῦν φυγῇ ταύτην καὶ περιίσταται. τοῦ δὲ, μηδὲν φθεγγομένου διὰ τὸ συγγινώσκειν αὐτῷ παραβάντι τὴν τοῦ θεοῦ ἐντολὴν καὶ πρόσταξιν, ἀλλ' ἐμοὶ μὲν, εἶπεν ὁ θεὸς ἔγνωστο περὶ ὑμῶν, ὅπως βίον εὐδαίμονα καὶ κακοῦ παντὸς βιώσεσθε ἀπαθῆ,

Genesis 2.

Finxit Deus hominem humo telluris sumpta, immisitq; in eum spiritum & animam: homo autẽ hic vocatus est Adamus. significat autem hoc Hebræorum lingua rufum: quandoquidem è rufa humo fermentata est factus. talis enim est intacta terra & vera. Statuit autem Deus coram Adamo diuersa animalium genera tam masculina quàm fœminina ei ostendens: qui eis nomina indidit, quibus hodie quoque nominantur. Videns autem Adamum carentem societate & conuictu fœminæ (nondum enim erat) mirantémq; quòd reliquæ animantes ita se haberent: sopito illi costa vna exempta, mulierem ex ea formauit: móxque vt est adducta, ex se productam Adamus agnouit. Issa autem Hebræorum lingua vocatur mulier. huius autem nomen erat Eua, id significat matrem omniũ viuentium. Narrat præterea Deum hortum ad Orientem plantasse omni virenti planta: & in his fuisse arborem vitæ, & aliam scientiæ, per quam dignosceretur bonum à malo. in hũc hortum cùm introduxisset Deus Adamum cum vxore, iussit eos plantarum curam habere. Rigatur autem hic hortus ab vno amne, vniuersam in circuitu terram lustrante, qui in quatuor diuersos alucos finditur. Horum qui Phison nominatur (ea vox multitudinem significat) ad terram Indiã delatus, in illud se pelagus exonerat, Græcis Ganges appellatus. Euphrates autẽ & Tigris in rubrũ mare exeunt: quorum Euphrates vocatur Phora, id significat vel dispersionem vel florem. Tigris autẽ Diglath, quod interpretatur angustus simul & velox. Geon autẽ Ægyptum mediam secat: id nobis ab Oriẽte exortum signat, quem Græci Nilum appellare solent. Porrò Deus Adamum & vxorem de cæteris plãtis gustare iussit, vna arbore scientiæ solum illis interdixit, præmonitis si attigerint, confestim exitiũ eis affuturum. Cùm autem per id tempus nullum esset inter animalia dissidium, & serpens familiariter cum Adamo ac vxore degeret, inuidebat eis felicitatem venturam, si iussis Dei parere perseuerarent: & ratus in calamitatem casuros, si mandata neglexissent, maliciosè persuadet mulieri vt de arbore scientiæ gustaret, asseuerans inesse ei vim dignoscendi boni ac mali: de qua si gustassent, beatam nihilóque deteriorem quàm Deum vitam acturos. atq; hoc pacto mulierem subuertit, vt mandatum Domini contemneret: quæ gustato arboris fructu, ciboq; hoc delectata, etiam Adamo vsum eius persuasit. iámque se nudos esse sentiebant, & de tegmento sibi despiciebant. arbori enim acuminis & cogitãdi vis inerat. Foliis igitur ficulneis sese texerunt, atque ita conuelatis pudendis, videbãtur sibi feliciores, qui inuenissent quo prius carebant. Mox cum Deus in hortum venisset. Adamus antea familiariter cum Deo colloqui solitus, conscius sibi iniustitiæ secedebat. Deus autem miratus causam scitabatur, quid ita prius delectatus sua cõsuetudine, nũc fugitaret ac latitaret. Illo verò tacente præ conscientia non seruati præcepti, Deus ita infit: Equidem prospexerã vobis, quomodo vitam felicem omnisq. mali expertẽ viueretis,

Genesis 3.

nulla noua cura in animo solicitati, omnib. quæcunq; ad vsum ac voluptatem conferunt, sua sponte vobis prouenientib⁹, mea vnius prouidentia citra omnem vestrum laborem aut solicitudinem: quib. fruentes vos neq; senectus celeriter opprimeret, & vita diuturna quàm longissimè proferretur. tu verò hanc meam sententiam ludibrio habuisti, mandato meo contempto. nō enim propter bonū aliquod taces, sed propter malam conscientiā. quare & senectus ocyor superueniat, & vita vestra minus sit diuturna. Adamus autem excusabat peccatū, & iram Dei deprecabatur, culpam in vxorē referens, & dicens, ab illa deceptum se peccauisse: at illa serpentem accusabat. Tum Deus mulctauit eū, quòd muliebri consilio cessisset: terrámque nullos posthac fructus sponte proferre iussit: laborantib⁹ autem & opere attritis alia dare, alia negare. Euam autem parturitionibus & hoc genus dolorib. castigadit, eo quòd ipsa à serpente decepta Adamū eisdem dolis illectum in calamitates cōiecisset. quin & serpenti vocem ademit, iratus ob malitiam qua erga Adamum est vsus: venenúmq; linguæ eius indidit, & hostem eorum declarauit: admonuítque, caput eius plagis impetendum esse, tū quòd in hoc pernicies hominis sita sit, tū quod ipsa bestia hoc pacto facillimè opprimatur: ad hec pedibus priuatum trahi per terram, ac volui fecit. His pœnis impositis Deus Adamum & Euam ex horto in aliam regionem transtulit.

μηδεμιᾷ ξενιζόμενοι τὴν ψυχὴν φροντίδι, πάντων δὲ ὑμῖν αὐτομάτων ὅσα πρὸς ἀπόλαυσιν καὶ ἡδονὴν συντελεῖ κατὰ τὴν ἐμὴν ἀνιόντων πρόνοιαν χωρὶς ὑμετέρου πόνου καὶ ταλαιπωρίας. ὧν παρόντων γῆράς τε θᾶττον οὐκ ἂν ἐπῆλθε, καὶ τὸ ζῆν εἰς μακρὸν ἂν ὑμῖν ἐγένετο. νῦν δὲ εἰς ταύτην μου τὴν γνώμην ἐνύβρισας παρακούσας τῶν ἐμῶν ἐντολῶν. οὐ γὰρ ἐπ' ἀρετῇ τὴν σιωπὴν ἄγεις, ἀλλ' ἐπὶ συνειδότι πονηρῷ. ἀδάμος δὲ παρῃτεῖτο τῆς ἁμαρτίας αὐτόν, καὶ παρεκάλει τὸν θεὸν μὴ χαλεπαίνειν αὐτῷ, τὴν γυναῖκα τοῦ γεγονότος αἰτιώμενος, καὶ λέγων ὑπ' αὐτῆς ἐξαπατηθεὶς ἁμαρτάνειν. ἡ δὲ αὖ κατηγόρει τοῦ ὄφεως. ὁ δὲ θεὸς ἥττονα γυναικείας συμβουλῆς αὐτὸν γενόμενον ὑπετίθει τιμωρίᾳ, τὴν γῆν οὐκ ἔτι μὲν αὐτοῖς τὰ ἑαυτῆς ἀναδώσειν αὐτομάτως εἰπών, πονοῦσι δὲ καὶ τοῖς ἔργοις τριβομένοις, τὸ μὲν παρέξειν, τὸ δὲ οὐκ ἀξιώσειν. εὔαν δὲ τοκετοῖς καὶ ταῖς ἐξ ὠδίνων ἀλγηδόσιν ἐκόλαζεν, ὅτι τὸν ἀδάμον οἷς αὐτὴν ὁ ὄφις ἐξηπάτησεν, τούτοις παρακρουσαμένη συμφοραῖς περιέλαβεν. ἀφείλετο δὲ καὶ τὸν ὄφιν τῆς φωνῆς, ὀργισθεὶς ἐπὶ κακοηθείᾳ τῇ πρὸς τὸν ἀδάμον, καὶ ἰὸν ἐνετίθησιν ὑπὸ τὴν γλῶτταν αὐτοῦ, πολέμιον ἀποδείξας αὐτοῖς, καὶ ὑποτιθέμενος κατὰ τῆς κεφαλῆς φέρειν τὰς πληγάς, ὡς ἐν ἐκείνῃ τοῦ τε κακοῦ τοῦ πρὸς ἀνθρώπους κειμένου, καὶ τῆς τελευτῆς ῥᾴστης τοῖς ἀμυνομένοις ἐσομένης. ποδῶν τε αὐτὸν ἀποστερήσας, σύρεσθαι κατὰ τῆς γῆς ἰλυσπώμενον ἐποίησε. καὶ ὁ μὲν θεὸς ταῦτα προστάξας αὐτοῖς πάσχειν, μετοικίζει τὸν ἀδάμον καὶ τὴν εὔαν ἐκ τοῦ κήπου εἰς ἕτερον τόπον.

CAP. III.

De posteritate Adami, & decem ætatibus vsque diluuium.

Genesis 4.

NAti sunt autem eis & filij mares duo, horum prior appellatus est Cain, quod interpretatur acquisitio: Abel autem secundus, ea vox luctum significat. Natæ sunt eis etiam filiæ. Hi fratres suis quisq; studiis intenti erant. Abel iustitiā colebat, & omnib. actionibus suis Deū præsentem ratus, virtuti operam dabat. pastoralis autem eius erat vita. Cain verò quum alioquin etiam pessimus esset, lucrúmque solum spectaret, terram quoq; arare primus excogitauit: ac postremo fratrem etiam interemit tali de causa. Quum visum eis esset sacrificare Deo, Cain agri & arborū fructus obtulit, Abel lac & primogenita pecorum. Huius sacrificium Deo fuit acceptius, quòd sponte naturæ genitis constaret, quàm ea quæ homo auarus & industrius per vim quandam a natura extorserat. ideo Cain ægrè ferens prælatum sibi à Deo Abelem, interfecit fratrem, & cadauere eius abdito, rem clàm fore putabat. Quo cognito Deus venit ad Cain, rogans de fratre, vbinam esset. multis enim diebus se non vidisse eum, quem reliquo omni tēpore cū ipso versari animaduertisset. Tum Cain anxius, nec habens quod responderet Deo, primum se quoque demirari ait, quî factum sit, quòd frater nusquam compareat. Instante verò Deo, & accuratius inquirente, iam commotior negauit se pædagogum fratris, aut rerū eius obseruatorem esse. Tum Deus coar-

Κεφάλαιον γ'.

Περὶ γένους ἀδάμου καὶ τῶν ἀπὸ τούτου δέκα γενεῶν τῶν μέχρι τοῦ κατακλυσμοῦ.

ΓΊνονται δὲ αὐτοῖς καὶ παῖδες ἄρρενες δύο. πρεσβύτερος δὲ αὐτῶν, ὁ μὲν πρῶτος, κάϊς. κτῆσιν δὲ τοῦτο σημαίνει μεθερμηνευόμενον τὸ ὄνομα. ἄβελος δέ, ὁ δεύτερος, σημαίνει δὲ πένθος τοῦτο. γίνονται δὲ αὐτοῖς καὶ θυγατέρες. οἱ μὲν οὖν ἀδελφοὶ ἑκάτερος ἐπιτηδεύμασιν. ἄβελος μὲν γὰρ ὁ νεώτερος δικαιοσύνης ἐπεμελεῖτο, καὶ πᾶσιν τοῖς ὑπ' αὐτοῦ πραττομένοις παρεῖναι τὸν θεὸν νομίζων, ἀρετῆς προενοεῖτο. ποιμενικὸς δ' ἦν ὁ βίος αὐτοῦ. κάϊς δέ, τά τε ἄλλα πονηρότατος ἦν, καὶ πρὸς τὸ κερδαίνειν μόνον ἀποβλέπων, γῆν τε ἀροῦν ἐπενόησε πρῶτος. καὶ κτείνει καὶ τὸν ἀδελφὸν αὐτοῦ ἐκ τοιαύτης αἰτίας. θύσαι τῷ θεῷ δόξαν αὐτοῖς, ὁ μὲν κάϊς ἀπὸ τῆς γεωργίας καὶ τῶν φυτῶν καρποὺς ἐπήνεγκεν. ἄβελος δὲ γάλα, καὶ τὰ πρωτότοκα τῶν βοσκημάτων. ὁ θεὸς δὲ ταύτῃ μᾶλλον ἥδεται τῇ θυσίᾳ, τοῖς αὐτομάτοις καὶ κατὰ φύσιν γεγονόσιν τιμώμενος, ἀλλ' οὐχὶ τοῖς κατ' ἐπίνοιαν ἀνθρώπου πλεονέκτου κατὰ βίαν πεφυκόσιν. ἔνθεν ὁ κάϊς παροξυνθεὶς ἐπὶ τῷ προτετιμῆσθαι τὸν ἄβελον ὑπὸ τοῦ θεοῦ, κτείνει τὸν ἀδελφόν, καὶ τὸν νεκρὸν αὐτοῦ ποιήσας ἀφανῆ, λήσειν ὑπελάμβανεν. ὁ δὲ θεὸς συνεὶς τὸ ἔργον ἦλθεν πρὸς τὸν κάϊν, περὶ τοῦ ἀδελφοῦ πυνθανόμενος, ποῖ ποτε εἴη. πολλῶν γὰρ ἡμερῶν οὐκ εἶδεν αὐτόν, τὸν ἄλλον χρόνον ἅπαντα μετ' αὐτοῦ βλέπων αὐτὸν ἀναστρεφόμενον. ὁ δὲ κάϊς ἀπορούμενος, καὶ οὐκ ἔχων ὅτι λέγοι πρὸς τὸν θεόν, ἀμηχανεῖν μὲν καὶ αὐτὸς ἔφασκεν τὸ πρῶτον, ἐπὶ τῷ ἀδελφῷ μὴ βλεπομένῳ. παροξυνθεὶς δὲ τοῦ θεοῦ λιπαρῶς ἐγκειμένου καὶ πολυπραγμονοῦντος, οὐκ εἶναι παιδαγωγὸς οὐδὲ φύλαξ αὐτοῦ, καὶ τῶν ὑπ' αὐτοῦ πραττομένων ἔλεγεν. ὁ δὲ θεὸς τουντεῦθεν ἤλεγχεν ἤδη τὸν

guit

κάϊν φονέα τἀδελφοῦ γενόμενον. καὶ θαυμάζω φησὶν, εἰ περὶ ἀνδρὸς ἀγνοεῖς εἰ τινὶ τί γέγονεν, ὃν αὐτὸς ἀπολώλεκας. τῆς μὲν οὖν ἐπὶ τῷ φόνῳ τιμωρίας αὐτὸν ἀφίησι, θυσίαν τε ἐπιτελέσαντα καὶ δι᾽ αὐτῆς ἱκετεύσαντα μὴ λαβεῖν ὀργὴν ἐπ᾽ αὐτῷ χαλεπωτέραν. ἐπάρατον δ᾽ αὐτὸν ἐτίθει, καὶ τοὺς ἐκγόνους αὐτοῦ τιμωρήσασθαι κατὰ τὴν ἑβδόμην ἠπείλησε γενεάν. καὶ τῆς γῆς ἐκείνης αὐτὸν ἐκβάλλει σὺν τῇ γυναικί. τοῦ δὲ μὴ θηρίοις ἁλωσόμενος περιπέσῃ δεδιότος, καὶ τοῦτον ἀπολεῖσθαι τὸν τρόπον, ἐκέλευε μηδὲν ὑφορᾶσθαι σκυθρωπὸν ἀπὸ τοιαύτης αἰτίας, ἀλλ᾽ ἕνεκα τοῦ μηδὲν αὐτῷ ἐκ θηρίων γενέσθαι δεινὸν, διὰ πάσης ἀδεῶς χωρεῖν γῆς, καὶ σημεῖον ἐπιβαλὼν ὡς γνώριμος ἂν εἴη προσέταξεν ἀπιέναι. πολλὴν δ᾽ ἐπελθὼν γῆν, ἱδρύεται μετὰ τῆς γυναικὸς κάϊς, ναίδα τόπον οὕτω καλούμενον, καὶ αὐτόθι ποιεῖται τὴν κατοίκησιν, ἔνθα αὐτῷ καὶ παῖδες ἐγένοντο. οὐκ ἐπὶ νουθεσίᾳ δὲ τὴν κόλασιν ἔλαβεν, ἀλλ᾽ ἐπ᾽ αὐξήσει τῆς κακίας, ἡδονὴν μὲν πᾶσαν ἐκπορίζων αὐτοῦ τῷ σώματι, κἂν μεθ᾽ ὕβρεως τῶν συνόντων δέῃ ταύτην ἔχειν. αὔξων δὲ τὸν οἶκον πλήθει χρημάτων ἐξ ἁρπαγῆς καὶ βίας, πρὸς ἡδονὴν καὶ λῃστείαν τοὺς ἐντυγχάνοντας παρεκάλει, διδάσκαλος αὐτοῖς πονηρῶν ὑπῆρχεν ἐπιτηδευμάτων. καὶ τὴν ἀπραγμοσύνην μὲν ἣ πρότερον συνέζων οἱ ἄνθρωποι μέτρων ἐπινοίᾳ καὶ σταθμῶν μετεστήσατο, ἀκέραιον αὐτοῖς ὄντα τὸν βίον, ἐκ τῆς τούτων ἀμαθίας, καὶ μεγαλόψυχον εἰς πανουργίαν ἀγαγών. ὅρους τε γῆς πρῶτος ἔθετο, καὶ πόλιν ἐδείματο, καὶ τείχεσιν ὠχύρωσεν εἰς ταὐτὸ συνελθεῖν τοὺς οἰκείους καταναγκάσας. καὶ τὴν πόλιν δὲ ταύτην ἀπὸ ἑνώσου τοῦ πρεσβυτάτου παιδὸς, ἑνώσαν ἐκάλεσεν. ἑνώσου δὲ ἰαρέδος υἱὸς ἦν. ἐκ δὲ τούτου μαλέηλος, οὗ γίνεται παῖς μαθουσάλας. τοῦ δὲ λάμεχος, ᾧ παῖδες ὑπῆρξαν ἑπτὰ καὶ ἑβδομήκοντα, ἐκ δύο γυναικῶν αὐτῷ φύντες, σέλλας, καὶ ἄδας. τούτων ἰώβηλος μὲν ἐξ ἄδας γεγονὼς, σκηνὰς ἐπήξατο, καὶ προβατείαν ἠγάπησεν. ἰούβαλος δὲ ὁμομήτριος ὢν αὐτῷ, μουσικὴν ἤσκησε καὶ ψαλτήριον καὶ κιθάραν ἐπενόησε. θόβελος δὲ ἐκ τῶν τῆς ἑτέρας γεγονότων ἰσχύϊ πάντας ὑπερβάλλων τὰ πολεμικὰ διαπρεπῶς μετῆλθεν, ἐκ τούτων καὶ τὰ πρὸς ἡδονὴν τοῦ σώματος ἐκπορίζων, χαλκείαν τε πρῶτος ἐπενόησε, πατήρ τε θυγατρὸς γενόμενος νααμᾶς ὀνόματι. ἐπεὶ δὲ ὁ Λάμεχος τὰ θεῖα σαφῶς ἐξεπιστάμενος, ἑώρα δίκην αὐτὸν ὑφέξοντα τῆς κάϊος ἀδελφοκτονίας, τοῦτο ταῖς ἑαυτοῦ γυναιξὶν ἐποίησε φανερόν. ἔτι δὲ ζῶντος ἀδάμου, κάϊος τοὺς ἐκγόνους πονηροτάτους συνέβη γενέσθαι κατὰ διαδοχὴν καὶ μίμησιν, ἄλλων ἄλλου χείρονα τελευτῶντα, πρός τε πολέμους εἶχον ἀκρατῶς καὶ πρὸς λῃστείαν ὡρμήκεσαν. ἄλλος δ᾽ εἴ τις ὀκνηρῶς εἶχε πρὸς τὸ φονεύειν καὶ ἄλλην ἀπόνοιαν, ἦν θρασὺς ὑβρίζων καὶ πλεονεκτῶν. ἄδαμος δὲ ὁ πρῶτος ἐκ γῆς γενόμενος, ἀπαιτεῖ γὰρ ἡ διήγησις τὸν περὶ αὐτοῦ λόγον, ἀβέλου μὲν ἐσφαγμένου, κάϊος δὲ διὰ τὸν ἐκείνου φόνον πεφευγότος, παιδοποιίας ἐφρόντιζε. καὶ δεινῶς εἶχεν αὐτὸν γενέσεως ἔρως, ἔτη τριάκοντα ἤδη καὶ διακόσια ἠνυκότα τοῦ βίου. πρὸς οἷς ἕτερα ζήσας ἑπτακόσια τελευτᾷ. γίνονται μὲν οὖν παῖδες αὐτῷ, ἄλλοι τε πλείους καὶ σῆθος. ἀλλὰ περὶ μὲν τῶν ἄλλων, μακρὸν ἂν εἴη λέγειν, πειράσομαι δὲ μόνα τὰ τῶν ἀπὸ σήθου διελθεῖν. τραφεὶς γὰρ οὗτος, καὶ παρελθὼν εἰς ἡλικίαν ἤδη τὰ καλὰ κρίνειν δυνάμενος ἀρετὴν ἐπετήδευσε. καὶ γενόμενος αὐτὸς ἄριστος μιμητὰς αὐτοῦ τοὺς ἀπογόνους κατέλιπεν. οἱ δὲ πάντες ἀγαθοὶ φύντες,

guit Cain parricidij, mirari se dicens, quòd negaret se quicquam de fratre scire, quem ipse interemisset. & supplicium quidem quod cæde commeruerat ei remittit, sacrificio placatus ne grauius in supplicem sæuiret: sed male ominatus ei & posteris ipsius, vsque septimam progeniem puniturum se est comminatus: & ex illa regione extorrem vnà cum vxore fecit. Illo autem timente, ne oberrans in feras incideret, atque ita periret, securũ esse iussit quod ad hoc periculũ attinet, & impauidè terras peragrare: & signo ei indito quo nosci posset, abire procul iussit. Cain autem multas regiones vnà cum vxore emensus tandem Naida condidit: id loci nomen est: atque illic sedem optauit, vbi etiã liberos procreauit. Cæterum tantum abfuit vt hac castigatione in melius vitam mutauerit, vt peior etiam sit factus, suis voluptatibus vel cum aliorũ injuria indulgẽs: & facultates domesticas per vim ac rapinas accumulans, accitis vndecunque latrociniorum & nequitiæ socijs, magister illis ad facinorosam vitã est effectus. Adhæc simplicem hactenus viuendi rationem, excogitatis mensuris & põderib. immutauit, pristinámque sinceritatẽ & generositatem ignaram taliũ artium in nouam quãdam versutiam deprauauit. Primus agrorum terminos fixit, vrbémque extructam & communitã coactis in vnũ domesticis & clientib. inhabitandã tradidit. Enosæ nomine imposito ab Enoso liberorũ natu maximo. Is Iaredũ genuit, ex quo Malalehel, & ex eo deinceps Mathusala est progenitus. huic Lamechus fuit filius, qui liberos habuit septuaginta & septem, ex duabus susceptos vxoribus, Sella & Ada. Ex his Iobel ex Ada natus, tabernaculis constructis pastorali cultu ac victu fuit contentus. Iubal verò germanus eius musicę operam dedit, psalteriúmque & citharam inuenit. Thobel autẽ vnus ex altera vxore prognatorum viribus excellens rẽ militarem egregiè tractauit, cuius artibus & opes ampliores, & victum lautiorem sibi comparauit. quin & ærariam primus est commẽtus, & filiæ factus est pater vnius, nomine Naamæ. Porrò Lamechus diuini iuris non imperitus, videns pœnas se exoluturum parricidij à Caino perpetrati, vxoribus suis hoc indicauit. Cæterum superstite etiam tum Adamo, Caini soboles sceleratissima euasit, dũ posterior quisq; fit deterior, nec solum imitatur priorum vitia, sed & superat, interim nec à bellis, nec à latrociniis temperando: & qui à cædibus abstinebant, alioquin auarè & superbè inter suos viuebãt. Adamus autem qui primus è terra factus, vt ad illũ oratio nostra recurrat, posteaquàm Abel esset mactatus, & Cain propter cædem solum vertisset, procreandis liberis operam dedit, quòd magno prolis desiderio teneretur, annos iam natus triginta supra ducentos: quibus cum accessissent septingenti, tandem vita defunctus est. ex huius liberis quos complures habuit, fuit etiam Sethus. sed quia de aliis longum esset narrare, de solo Setho mentionem faciam. hic à patre educatus, vbi eò ætatis venit, vt iam quod rectum est discernere valeret, virtutis studiis se totum dedidit: & cùm ipse vir optimus euasisset, etiam nepotes sui similes post se reliquit. qui quoniã erãt omnes bona indole prędití,

& patriam abſque ſeditione incolebant, in perpetua felicitate vitam exegerunt. & ſideralem ſcientiam ac cœleſtium rerum cognitionem excogitauerunt. ne autem inuenta ſua ex hominum notitia dilaberentur, & prius perirent quam pernoſcerẽtur, ſcientes Adamum vniuerſalem rerum interitum præcecinisse, vnum incẽdio, diluuio alterum, excitatis duabus columnis vtrique ſua inuenta inſcripſerunt: vt ſi lateritiam diluuio deleri contingeret, lapidea ſuperſtes hominibus diſcendi copiã faceret, & quæ inſcripta continebat, ſpectanda exhiberet. aiunt enim lapideam illam ab ipſis dedicatam, quæ & noſtris tẽporibus extat in terra Syria.

γῆν τε τὴν αὐτὴν ἀστασίαστοι κατῳκήσαντες, εὐδαιμόνησαν μηδενὸς αὐτοῖς ἄχρι τελευτῆς δυσκόλου προσαντιάσαντος. σοφίαν τε τὴν περὶ τὰ οὐράνια καὶ τὴν τούτων διακόσμησιν ἐπενόησαν. ὑπὲρ δὲ τοῦ μὴ διαφυγεῖν τοὺς ἀνθρώπους τὰ εὑρημένα, μηδὲ πρὶν εἰς γνῶσιν ἐλθεῖν φθαρῆναι, προειρηκότος ἀφανισμὸν ἀδάμου τῶν ὅλων ἔσεσθαι, τὸν μὲν κατ' ἰσχὺν πυρός, τὸν ἕτερον δὲ κατὰ βίαν καὶ πλῆθος ὕδατος, στήλας δύο ποιησάμενοι, τὴν μὲν ἐκ πλίνθου, τὴν δ' ἑτέραν ἐκ λίθων, ἀμφοτέραις ἐνέγραψαν τὰ εὑρημένα. ἵνα καὶ τῆς πλινθίνης ἀφανισθείσης ὑπὸ τῆς ἐπομβρίας ἡ λιθίνη μείνασα παράσχῃ μαθεῖν τοῖς ἀνθρώποις τὰ ἐγγεγραμμένα δηλοῦσα. καὶ πλινθίνην δ' ὑπ' αὐτῶν ἀνατεθῆναι. μένει δ' ἄχρι τοῦ δεῦρο κατὰ τὴν συριάδα.

CAP. IIII.

De diluuio. & quomodo Noe in arca cum familia ſeruatus habitarit in campo Senaar.

Geneſ. 5. 6. IN hũc modum per ſeptem generationes perſeuerauerunt vnum Deum colentes omnium rerũ Dominum, ſempérque virtutis reſpectum habentes. Procedente dein tempore à patriis inſtitutis degenerarunt, neque humana iura ſeruantes, neq; Deo conſuetos honores perſoluentes. & qui prius certatim virtutem exercuerãt, poſtea duplo maiore ſtudio malitiam conſectabantur: atque ita Deũ infenſum ſibi reddiderunt. nam multi angeli Dei cum mulieribus congreſſi progeniẽ procreauerũt inſolentem, & fiducia roboris omne ius & fas cõtemnẽtem: quorum facinora nõ abſimilia his quę de gigantib. Græci memorant, poſteritati ſunt tradita. Noë autem facta eorũ moleſtè & indignè ferens, ſuadebat vt in melius voluntates ac opera ſua transmutarent: verum cum videret illos ſibi non parere, totóſque viciorum dulcedini ſuccumbere, veritus ne & ſe & familiam ſuam interimerent, ſecedens cum ſuis in aliam regionem migrauit. tum Deus viri iuſtitia delectatus, non eius ſolum ſeculi homines extremæ malitiæ damnauit: ſed cum decreuiſſet vniuerſum humanum genus extinguere, aliúdque nouum & à viciis purum inſtaurare, primum vitam eorum breuiore ſpatio circũſcripſit, & abrogata longæuitate intra centum & viginti annos coërcuit, dein continentem terrã in pelagi faciem transmutauit, atque ita genus illud aboleuit vniuerſum. Noë autem ſolus eſt ſeruatus, diuino oraculo viam euadendi & rationem edoctus talẽ. Arcam quatuor contignationum exſtruxit longitudine cubitorum ccc. latitudine l. patẽtem in altũ cubitos xxx. in eam cum matre liberorũ ſuorũ, eorúmq; coniugib. conſcendit: impoſitis prius quę ad vitam ſuſtentandam forẽt vſui, & omne genus animantib. ad ſeminarium cõſeruandum iugatim pro ſexus ratione introductis, & quibuſdam ex his ſeptenarium vſq; numerum. erat autem arca tam tecto quàm lateribus firmis contra omnem vim tempeſtatum, & vndarum inſultum. In hunc modum ſeruatus eſt Noë cum familia, gentis ſucceſſione ab Adamo decimus. nam Lamecho eſt genitus, cui pater fuit Mathuſala. hic autẽ Enochi fuit filij Iaredi, Malahelo geniti, qui cũ pluribꝰ fratribꝰ ex Cainane prognatꝰ fuerat Enoſi filio. Enosꝰ verò Sethi filius erat, Adami nepos. contigit autem hæc vaſtitas anno ętatis Noë ſexcẽteſimo, mẽſe ſecũdo,

Κεφάλαιον δ'.

Ὡς ὁ κατακλυσμὸς ἐγένετο. καὶ ὃν τρόπον νῶχος σωθεὶς λάρνακι μετὰ τῶν συγγενῶν κατῴκησεν ἐν τῷ σενααρ πεδίῳ.

ΚΑὶ ἐπὶ ἑπτὰ μὲν γενεὰς διέμειναν θεὸν ἡγούμενοι δεσπότην εἶναι τῶν ὅλων καὶ πάντα πρὸς ἀρετὴν ἀποβλέποντες. εἶτα προϊόντος τοῦ χρόνου, μεταβάλλονται πρὸς τὸ χεῖρον ἐκ τῶν πατρῴων ἐθισμῶν, μήτε τὰς νενομισμένας τιμὰς ἔτι τῷ θεῷ παρέχοντες, μήτε τοῦ πρὸς ἀνθρώπους δικαίου ποιούμενοι λόγον. ἀλλ' ἣν πρότερον εἶχον τῆς ἀρετῆς ζήλωσιν, διπλασίονα τῆς κακίας τότ' ἐπιδεικνύμενοι δι' ὧν ἔπραττον. ἔνθεν αὐτοῖς τὸν θεὸν ἐξεπολέμωσαν. πολλοὶ γὰρ ἄγγελοι θεοῦ γυναιξὶ συμμιγέντες, ὑβριστὰς ἐγέννησαν παῖδας, καὶ παντὸς ὑπερόπτας καλοῦ, διὰ τὴν ἐπὶ τῇ δυνάμει πεποίθησιν. ὅμοια τοῖς ὑπὸ γιγάντων τετολμῆσθαι λεγομένοις ὑφ' ἑλλήνων, καὶ οὗτοι δράσαι παραδίδονται. ὁ νῶχος δὲ τοῖς ὑπ' αὐτῶν πραττομένοις δυσχεραίνων καὶ ἀηδῶς ἔχων, ἔπειθεν ἐπὶ τὸ κρεῖττον τὴν διάνοιαν καὶ τὰς πράξεις μεταφέρειν. ὁρῶν δ' οὐκ ἐνδιδόντας ἀλλ' ἰσχυρῶς ὑπὸ τῆς ἡδονῆς τῶν κακῶν κεκρατημένους, δείσας καὶ μὴ φονεύσωσιν αὐτὸν μετὰ γυναικῶν καὶ τέκνων, καὶ τῶν τούτοις συνοίκων, ἐξεχώρησε τῆς γῆς. ὁ δὲ θεὸς τοῦτον μὲν τῆς δικαιοσύνης ἠγάπησε. κατεδίκαζε δ' οὐκ ἐκείνους μόνον τῆς κακίας, ἀλλὰ καὶ πᾶν ὅσον ἦν ἀνθρώπινον τότε δόξαν αὐτῷ διαφθεῖραι, καὶ ποιῆσαι γένος ἕτερον πονηρίας καθαρὸν ἐπιτεμόμενος αὐτῶν τὸν βίον, καὶ ποιήσας ἐτῶν οὐχ ὅσα πρότερον ἔζων, ἀλλ' ἑκατὸν εἴκοσιν, εἰς θάλασσαν τὴν ἤπειρον μετέβαλε. καὶ οἱ μὲν οὕτως ἀφανίζονται πάντες. νῶχος δὲ σώζεται μόνον, ὑποθεμένου μηχανὴν αὐτῷ καὶ πόρον πρὸς σωτηρίαν τοῦ θεοῦ, τοιαύτην. λάρνακα τετράστεγον κατασκευάσας, τὸ μῆκος πηχῶν τριακοσίων, πεντήκοντα δὲ τὸ πλάτος, καὶ τριάκοντα βάθος, εἰς ταύτην σὺν τῇ μητρὶ τῶν παίδων καὶ ταῖς τούτων γυναιξὶν ἐνέβη, τά τε ἄλλα ὅσα πρὸς τὰς χρείας αὐτοῖς ἐπικουρήσειν ἔμελλεν ἐνθέμενος, ζῷά τε παντοῖα πρὸς διατήρησιν τοῦ γένους αὐτῶν, ἄρρενά τε καὶ θήλεα συνεισβαλλόμενος, ἄλλα τε τούτων ἑπταπλασίονα τὸν ἀριθμόν. ἦν δ' ἡ λάρναξ τούς τε τοίχους καρτερὰ καὶ τὸν ὄροφον, ὡς μηδαμόθεν ἐπικλύζεσθαι, μηδ' ἡττᾶσθαι τῆς τοῦ ὕδατος βίας. καὶ ὁ νῶχος μὲν οὕτω μετὰ τῶν οἰκείων διασώζεται, ἦν δ' αὐτὸς μὲν ἀπὸ ἀδάμου δέκατος. λαμέχου γάρ ἐστιν υἱός, οὗ πατὴρ ἦν μαθουσάλας. οὗτος δ' ἦν τοῦ ἀνώχου τοῦ ἰαρέδου, μαλαήλου δ' ἰάρεδος ἐγεγόνει, ὃς ἐκ καΐου τεκνοῦται τοῦ ἐνώσου σὺν ἀδελφαῖς πλείοσιν. ἔνωσος δὲ σήθου υἱὸς ἦν τοῦ ἀδάμου. συνέβη δὲ τοῦτο τὸ πάθος κατὰ τὸ ἑξακοσιοστὸν ἔτος ἤδη νώχου τῆς ἀρχῆς, ἐν μηνὶ δευτέρῳ,

qui

δίῳ μὲν ὑπὸ μακεδόνων λεγομένῳ. μαρσουάνῃ δὲ ὑπὸ ἑβραίων. οὕτω γὰρ αἰγύπτιοι τὸν ἐνιαυτὸν ἦσαν διατεταχότες. μωϋσῆς δὲ τὸν νισὰν ὅς ἐστι ξανθικὸς, μῆνα πρῶτον ἐπὶ ταῖς ἑορταῖς ὥρισεν, κατὰ τοῦτον ἐξ αἰγύπτου τοὺς ἑβραίους προαγαγών. οὗτος δ' αὐτῷ καὶ πρὸς ἁπάσας τὰς εἰς τὸ θεῖον τιμὰς ἦρχεν. ἐπὶ μέντοιγε ὠνὰς καὶ πράσεις καὶ τὴν ἄλλην διοίκησιν, τὸν πρῶτον κόσμον διεφύλαξε. Τὴν δ' ἐπομβρίαν ἄρξασθαί φησιν ἑβδόμῃ τοῦ προκειμένου μηνὸς καὶ εἰκάδι. χρόνος δ' οὗτος ἀπὸ ἀδάμου τοῦ πρώτου γενομένου ἐτῶν ὑπῆρχε δισχιλίων ἑξακοσίων πεντήκοντα ἕξ. ἀναγέγραπται δὲ ὁ χρόνος ἐν ταῖς ἱεραῖς βίβλοις, σημειουμένων μετὰ πολλῆς ἀκριβείας τῶν τότε καὶ τὰς γενέσεις τῶν ἐπιφανῶν ἀνδρῶν καὶ τὰς τελευτάς. ἀδάμῳ μὲν οὖν τριακοστῷ ἤδη καὶ διακοσιοστῷ ἔτει γεγονότι, παῖς σῆθος γίνεται. ὃς ἐνακόσια μὲν καὶ τριάκοντα ἐβίωσεν ἔτη. σῆθος δὲ, κατὰ πέμπτον καὶ διακοσιοστὸν ἔτος, ἐγέννησεν ἔνωσον. ὃς δώδεκα ζήσας ἔτη καὶ ἐνακόσια, καϊνᾷ τῷ παιδὶ τὴν τῶν πραγμάτων ἐπιμέλειαν παραδίδωσι, τεκνώσας αὐτὸν περὶ ἑκατοστὸν καὶ ἐνενηκοστὸν ἔτος. οὗτος ἐβίωσεν ἔτη πέντε πρὸς τοῖς ἐνακοσίοις. καϊνᾶς δὲ βιοὺς δέκα καὶ ἐνακόσια, μαλέηλον υἱὸν ἔσχεν ἔτει γενόμενον ἑκατοστῷ ἑβδομηκοστῷ. οὗτος ὁ μαλέηλος ζήσας πέντε πρὸς ἐνενήκοντα καὶ ὀκτακοσίοις ἐτελεύτησεν, ἰάρεδον καταλιπὼν υἱόν. ὃς ἔτος ἤδη δεύτερον καὶ ἑξηκοστὸν καὶ ἑκατοστὸν γενόμενος, ἐγέννησεν ἔνωχον εἰς δύο καὶ ἑξήκοντα πρὸς τοῖς ἐνακοσίοις βιώσαντα. ἔνωχον δ' ὁ υἱὸς διαδέχεται γεννηθεὶς περὶ ἔτη δύο καὶ ἑξήκοντα καὶ ἑκατὸν τοῦ πατρὸς αὐτῷ τυγχάνοντος, οὗτος ζήσας πέντε καὶ ἑξήκοντα πρὸς τοῖς τριακοσίοις, ἀνεχώρησε πρὸς τὸ θεῖον, ὅθεν οὐδὲ τελευτὴν αὐτοῦ ἀναγεγράφασιν. μαθουσάλας δὲ ἐνώχου παῖς κατὰ ἔτος αὐτῷ γεγονὼς ἕβδομον καὶ ὀγδοηκοστὸν καὶ ἑκατοστὸν, λάμεχον υἱὸν ἔσχε, ἔτη γεγονότα δύο καὶ ὀγδοήκοντα καὶ ἑπτακόσια. ᾧ τὴν ἀρχὴν παρέδωκεν, αὐτὸς, αὐτὴν κατασχὼν ἐννέα καὶ ἑξήκοντα ἐπὶ ἐνακοσίοις. λάμεχος δὲ ἄρξας ἑπτὰ ἐπὶ ἑπτακοσίοις ἔτεσι, νῶχον τῶν πραγμάτων ἀποδείκνυσιν προστάτην τὸν υἱὸν, ὃς λαμέχῳ γενόμενος, δεύτερον καὶ ὀγδοηκοστὸν ἔτος ἤδη ὄντι ἐνακοσίοις ἔτεσιν ἦρξατο πραγμάτων. ταῦτα συναγόμενα τὰ ἔτη, τὸν προγεγραμμένον συμπληροῖ χρόνον. ἐξεταζέτω δὲ μηδεὶς τὰς τελευτὰς τῶν ἀνδρῶν, τοῖς γὰρ αὐτῶν παισὶν καὶ τοῖς ἐκείνων ἀπογόνοις συμπαρεξέτεινον τὸν βίον, ἀλλὰ τὰς γενέσεις αὐτῶν μόνον ὁράτω. Ἐπισημήναντος δὲ τοῦ θεοῦ, καὶ ὕειν ἀρξαμένου, τὸ ὕδωρ ἡμέραις τεσσαράκοντα ὅλαις κατεφέρετο ὡς ἐπὶ πήχεις πέντε καὶ δέκα τὴν γῆν ὑπερέχειν. καὶ τοῦτο ἦν τὸ αἴτιον τοῦ μὴ διασωθῆναι πλείονας φυγῆς ἀφορμὴν οὐκ ἔχοντας. παυσαμένου δὲ τοῦ ὑετοῦ, μόλις ἤρξατο ὑποβαίνειν τὸ ὕδωρ ἐφ' ἡμέρας ἑκατὸν καὶ πεντήκοντα, ὡς μηνὶ ἑβδόμῳ, ἱσταμένου δὲ ἤδη ἑβδόμῃ. ἔπειτα τῆς λάρνακος περὶ ἄκραν τινὰ ὄρους σταθείσης κατὰ τὴν ἀρμενίαν, συνεὶς ὁ νῶχος, ἀνοίγει ταύτην. καὶ θεασάμενος γῆν βραχεῖαν περὶ αὐτὴν, ἐπεὶ χρηστοτέρας ἤδη γέγονεν ἐλπίδος, ἠρέμει. ὀλίγαις δὲ ὕστερον ἡμέραις μᾶλλον ὑποχωροῦντος τοῦ ὕδατος, μεθίησι κόρακα, βουλόμενος μαθεῖν εἰ καὶ τὸ ἄλλο τῆς γῆς ἐκλελειμμένον ὑπὸ τοῦ ὕδατος, ἀσφαλές ἐστιν ἤδη πρὸς ἔκβασιν. ὁ δὲ πᾶσαν εὑρὼν ἔτι λιμνάζομένην, πρὸς νῶχον ἐπανῆλθε. μετὰ δὲ ἡμέρας ἑπτὰ περιστερὰν ἐπὶ

qui Dius à Macedonibus vocatur, ab Hebræis Marſonane. ſic enim Ægyptij diſtinxerunt annum. Moſes autem Niſan qui eſt Xanthicus, menſem primum in ſuis faſtis ordinauit, quòd per hunc Hebræos ex Ægypto eduxiſſet. eundem etiam omnium quæ ad rem diuinam pertinerent, exordium fecit: alioqui quod ad nundinationes rerum venalium, reliquámque diſpenſationem anni attinet, nihil de priſtino ritu innouauit. Vim autem imbrium cœpiſſe ait vigeſima ſeptima iam dicti mẽſis, poſt annum ab Adamo primo homine bis milleſimum ſexcenteſimum quinquageſimum ſextũ. hoc ſpatium temporis relatum eſt in ſacros codices, diligenter annotantibus priſcis illuſtrium virorum tam natales quàm obitus. Adæ ſiquidem, qui nongentos & triginta vixit annos, cum eſſet triginta & ducẽtorum annorum, Sethus filius natus eſt. Sethus autem ducenteſimo & quinto anno genuit Enoſum. qui dum quinque & nongentis vixiſſet annis, Cainano filio ſuo rerum curam tradidit, quem genuerat anno centeſimo nonageſimo. hic vixit annis decem & nongentis. Cainan cum vixiſſet decem & nongentis annis, Malalehelem filium dereliquit, quem genuit anno ætatis centeſimo ſeptuageſimo. Iſte Malalehel cum vixiſſet quinque ac nonagintá & octingẽtis annis, defunctus eſt, Iaredum filium derelinquens, quẽ genuit quum ſexaginta duorum & centum eſſet annorum. cui nouem & ſexaginta & nõgentis annis viuenti, Enochus filius ſucceſſit, natus cum ſexaginta duorum & centum annorum pater eius exiſteret. qui exactis trecentis ſexaginta quinque annis, diſceſſit ad Deum: vnde finis eius non inuenitur eſſe conſcriptus. Matuſala autem Enochi filius, quinto ei & centeſimo natus anno, Lamechum filium habuit quum eſſet annorum octoginta ſeptẽ & centum: cui tradidit principatum, quem ipſe tenuerat annis nongentis ſexaginta & nouem. Lamechus autem cum habuiſſet principatum annis ſeptingentis & ſeptem, Noë filium ſuũ rebus præfecit: qui de Lamecho natus eſt agente annũ ætatis ſecundum & octogeſimum ſupra centeſimũ. quiq; quinquaginta & nongentis annis rerum adminiſtrationi præfuit. Hi anni in vnam ſummam contracti ſupraſcriptum tempus conficiunt. Non ſunt autem diſquirendi obitus virorum illorum: cum liberis enim ſuis agebant vitam eámque vſque ad ipſorum nepotes extendebant: ſed natales tantũ eorum in hac ratione ſunt ſpectandi. Cæterum Deus ſigno dato imbres emiſit: qui cum nonaginta continuis diebus ruerent, ad quindecim cubitos aqua ſuper terram extitit: quæ cauſa omnem ſalutẽ ademit, non habentibus quò ſe in tutum reciperent. centeſima autem & quinquageſima die poſtquàm pluere deſiit, tandem cœperunt aquę ſidere, menſe ſeptimo, viceſimoſeptimo die menſis. deſtituta deinde arca in vertice montis cuiuſdam in Armenia, ſentiens hoc Noë, aperuit eam: & vidẽs circa ipſam aliquantulum terræ, meliore ſpe concepta pauliſper quieuit. mox poſt paucos dies magis recedente aqua, emiſit coruum, cupiens cognoſcere ſi qua alia parte terrarum aquæ deceſſiſſent, vt tutò exſcendere poſſet. at ille comperto totum adhuc ſtagnare, ad Noë eſt reuerſus. is poſt ſeptem dies co-

Gene. 7.

lumbam ad explorandum terræ ſtatum emiſit. quę cum lutata & frondem oliuæ ferens rediſſet, intellecto terram à diluuio iam eſſe liberatam, poſtquàm alios ſeptem dies exſpectaſſet, animantes ex arca emiſit: & ipſe quoque cum liberis egreſſus, mactatis Deo victimis, epulabatur vnà cum familia. Apobaterion, id eſt egreſſorium, loco nomen Armeni fecerunt. Huius autem diluuij & arcæ meminerunt omnes barbaricæ hiſtoriæ ſcriptores, & in his Beroſus Chaldæus. narrans enim de hoc diluuio, ſic fermè ſcribit: Fertur autem & nauigij huius pars in Armenia apud mōtem Cordyæorum ſupereſſe, & quoſdam bitumen indè abraſum ſecum reportare: quo vice amuleti loci eius homines vti ſolent. Meminit horum & Hieronymus Ægyptius, qui antiquitates Phœnicum ſcripſit, & Mnaſeas, & alij plures. quin & Nicolaus Damaſcenus lib. xcvi. de his rebus narrat in hæc verba: Eſt ſuper regionem Minyarum magnus mōs in Armenia, nomine Baris, in quo multos profugos diluuij tempore ſeruatos ferunt, & quendam arca vectum in huius vertice hæſiſſe, ac reliquias lignorum eius longo tempore durauiſſe. qui fortaſſis is fuit, de quo etiam Moſes ſcribit Iudæorum legiſlator.

Geneſ. 8. Noë autem veritus ne Deus damnatis ad interitum hominibus, per ſingulos annos terram inundaret, victimis incenſis precabatur vt in poſterum priſtinus rerum ordo maneret, & nulla tanta incideret calamitas, per quam vniuerſum animalium genus in ſalutis periculum adduceretur: vtque affectis merito ſupplicio ſceleſtis, parceret innocentibus, quos ipſe ſuperſtites eſſe voluerit, & ſua ſententia abſoluerit. alioqui miſeriore conditione ipſos fore & grauius damnatos, ſi non in vniuerſum incolumes alteri diluuio reſeruarentur, & prioris pauorem ac ſpectaculum perpeſſi, & poſterioris exitio deſtinati. orabat igitur, acciperet ſacrificium propitius, néve vllam poſthac tantam iram contra terram conciperet: vt operibus ſuis eam excolerent, & vrbibus exſtructis feliciter vitam degerent, nullis commodis carentes quib⁹ ante cataclyſmum fruebantur, & ad extremam ſenectutem longæuitatémque, qualis maiorum ſuorum fuerat, peruenientes.

His precibus finitis, Deus iuſtitia viri delectatus, votis eius annuit, negans ſe deletis interitus autorem fuiſſe: ſed ipſos ſibi ſuapte malitia debitas pœnas accuiuiſſe. Si enim deletos cuperet, nunquam in hanc vitam eos introducturum fuiſſe. Potius enim eſſe ne dare quidem vitam, quàm eos quibus dederis perdere. ſed continuis, inquit, contumeliis quibus pietatem mihi debitam violabant, coëgerunt me vindictam de ſe ſumere. non ſum autem poſthac tam iracunde pœnas peccatorum exacturus, præſertim te deprecatore. quòd ſi quando maiores tempeſtates concitauero, cauete expaueſcatis ob vim imbrium. nunquam enim in

Geneſ. 9. poſterum aquæ terram ſunt inundaturæ. Iubeo tamē vt ab humana cæde puras manus abſtineatis, & qui cōtrà fecerit, ſeuerè puniatis. aliorū animalium vſum ad voluntatem ac libitum veſtrū permitto.

τὸ γνῶναι τὰ περὶ τὴν γῆν προύπεμψεν. ὑπανελθούσης δὲ πεπηλωμένης ἅμα, καὶ θαλλὸν ἐλαίας κομιζούσης, καὶ μαθὼν τὴν γῆν ἀπηλλαγμένην τοῦ κατακλυσμοῦ, μείνας ἄλλας ἑπτὰ ἡμέρας, τὰ ζῶα τῆς λάρνακος ἐξαφίησιν. αὐτός τε μετὰ τῆς γενεᾶς προελθὼν, καὶ θύσας τῷ θεῷ, συνευωχεῖτο τοῖς οἰκείοις. ἀποβατήριον τὸν τόπον τοῦτον Ἀρμένιοι καλοῦσι. ἐκεῖ γὰρ ἀνασωθείσης τῆς λάρνακος, ἔτι νῦν οἱ ἐπιχώριοι τὰ λείψανα ἐπιδεικνύουσι. τοῦ δὲ κατακλυσμοῦ τούτου καὶ τῆς λάρνακος μέμνηνται πάντες οἱ τὰς βαρβαρικὰς ἱστορίας ἀναγράψαντες, ὧν ἐστι καὶ Βηρωσὸς ὁ Χαλδαῖος. διηγούμενος γὰρ τὰ περὶ τὸν κατακλυσμὸν, οὕτω που διέξεισι. λέγεται δὲ καὶ τοῦ πλοίου ἐν τῇ Ἀρμενίᾳ πρὸς τῷ ὄρει τῶν Κορδυαίων ἔτι μέρος τι εἶναι, καὶ κομίζειν τινὰς τῆς ἀσφάλτου ἀφαιροῦντας. χρῶνται δὲ μάλιστα οἱ ἄνθρωποι τῷ κομιζομένῳ πρὸς τοὺς ἀποτροπιασμούς. μέμνηνται δὲ τούτων καὶ Ἱερώνυμος ὁ Αἰγύπτιος, ὁ τὴν ἀρχαιολογίαν τὴν Φοινίκην συγγραψάμενος. καὶ Μνασέας δὲ, καὶ ἄλλοι πλείους. καὶ Νικόλαος δὲ ὁ Δαμασκηνὸς ἐν τῇ ἐνενηκοστῇ καὶ ἕκτῃ βίβλῳ ἱστορεῖ περὶ αὐτῶν, λέγων οὕτως. ἔστιν ὑπὲρ τὴν Μινυάδα μέγα ὄρος κατὰ τὴν Ἀρμενίαν, Βάρις λεγόμενον, εἰς ὃ πολλοὺς συμφυγόντας ἐπὶ τοῦ κατακλυσμοῦ λόγος ἔχει περισωθῆναι. καί τινα ἐπὶ λάρνακος ὀχούμενον, ἐπὶ τὴν ἀκρώρειαν ὀκεῖλαι, καὶ τὰ λείψανα τῶν ξύλων ἐπὶ πολὺ σωθῆναι. γένοιτο δ᾽ ἂν οὗτος ὅν τινα καὶ Μωϋσῆς ἀνέγραψεν ὁ τῶν Ἰουδαίων νομοθέτης. Νῶχος δὲ φοβούμενος μὴ καθ᾽ ἕκαστον ἔτος ἐπικλύζῃ τὴν γῆν ὁ θεὸς φθορὰν ἀνθρώπων καταψηφισάμενος, ἱερὰ καύσας ἐδεῖτο τοῦ λοιποῦ τὸν θεὸν ἐπὶ τῆς προτέρας μένειν εὐταξίας, καὶ μηδὲν ἐπὶ τοσοῦτον ἐπενεγκεῖν πάθος, ὑφ᾽ οὗ κινδυνεύσει πᾶν ἀπολέσθαι τὸ τῶν ζώων γένος. ἀλλὰ τετιμωρημένον τοὺς πονηροὺς φειδὼ ποιήσασθαι τῶν διὰ χρηστότητα περιλειφθέντων, καὶ τὸ δεινὸν διαφυγεῖν κεκριμένων. κακοδαιμονεστέρους γὰρ τούτους ἔσεσθαι ἐκείνων καὶ χεῖρον καταδικασμένους, εἰ μὴ πρὸς τὸ παντελὲς εἶεν σεσωσμένοι, τηρηθεῖεν δὲ ἑτέρῳ κατακλυσμῷ, τοῦ μὲν προτέρου τὸν φόβον καὶ τὴν ἱστορίαν παθόντες, τοῦ δευτέρου δὲ τὴν ἀπώλειαν, εὐμενῶς τε οὖν αὐτὸν προσδέχεσθαι τὴν θυσίαν παρεκάλει, καὶ μηδεμίαν ὀργὴν ἐπὶ τὴν γῆν ὁμοίαν λαβεῖν, ὅπως τε τοῖς ἔργοις ταύτης προσλιπαροῦντες, καὶ πόλεις ἀναστήσαντες, εὐδαιμόνως ζῆν ἔχοιεν, καὶ μηδενὸς ἂν καὶ πρὸ τῆς ἐπομβρίας ἀπέλαβον ὑστερήσειν ἀγαθῶν, εἰς μακρόν τε τὸ γῆρας καὶ βίου μῆκος ὅμοιον τοῖς πάλαι ἐπερχόμενοι. Νώχου δὲ ταύτας ποιησαμένου τὰς ἱκετείας, ὁ θεὸς ἐπὶ δικαιοσύνῃ τὸν ἄνδρα ἀγαπῶν, ἐπένευσεν αὐτῷ τὰς εὐχὰς εἰς τέλος ἄξειν, οὔτε τοὺς διεφθαρμένους λέγων αὐτὸς ἀπολέσαι, κακίας δὲ τῆς οἰκείας ταύτην αὐτοὺς ὑποσχεῖν τὴν δίκην. οὔτ᾽ ἂν, εἰ γενομένους ἀνθρώπους ἀφανίσαι διεγνώκει, παραγαγεῖν αὐτοὺς εἰς τὸν βίον. σώφρον γὰρ εἶναι μηδὲ τὴν ἀρχὴν αὐτοῖς χαρίσασθαι τοῦ ζῆν, ἢ δόντα τούτους διαφθείρειν, ἀλλ᾽ εἰς ἐξύβριζον εἰς τὴν ἐμὴν εὐσέβειαν καὶ ἀρετὴν, τούτοις ἐξεβιάσαντό με ταύτην αὐτοῖς ἐπιθεῖναι τὴν δίκην. παύσομαι δὲ τοῦ λοιποῦ μετὰ τοσαύτης ὀργῆς τὰς τιμωρίας ἐπὶ τοῖς ἀδικήμασιν εἰσπραττόμενος, καὶ πολὺ μᾶλλον σοῦ παρακαλοῦντος. εἰ δὲ ἐπὶ πλέον ποτὲ χειμάσαιμι, μὴ δείσητε τῶν ὄμβρων τὸ μέγεθος. οὐ γὰρ ἔτι τὴν γῆν ἐπικλύσει τὸ ὕδωρ. παραινῶ μέντοι σφαγῆς ἀνθρωπίνης ἀπέχεσθαι, καὶ καθαρεύειν φόνου, καὶ δράσαντάς τι τοιοῦτον κολάζοντας.

Domi-

χρῆσθαι δὲ τοῖς ἄλλοις ζώοις ἅπασι πρὸς ἃ βούλεσθε, καὶ τὰς ὀρέξεις ἔχετε. δεσπότας γὰρ ἁπάντων, ὑμᾶς εἶναι πεποίηκα, τῶν τε χερσαίων καὶ νηκτῶν, καὶ ὅσα τὴν μετάρσιον χώραν ἔχει καὶ φορὰν, χωρὶς αἵματος. ἐν τούτῳ γὰρ ἐστὶν ἡ ψυχή. σημαίνω δὲ ὑμῖν παῦλαν ἐσομένην τοξείας τῇ ἐμῇ, τὴν ἶριν ἀποσημαίνων. τόξον γὰρ εἶναι τοῦ θεοῦ παρ' αὐτοῖς ἐκεῖνο νενόμισται. καὶ ὁ μὲν θεὸς ταῦτ' εἰπὼν δὲ ὑποσχόμενος ἀπαλλάσσεται. νῶχος δὲ βιοὺς μετὰ τὴν ἐπομβρίαν πεντήκοντα καὶ τριακόσια ἔτη, καὶ πάντα τὸν χρόνον τοῦτον εὐδαιμονῶν διαγαγὼν, τελευτᾷ, ζήσας ἐτῶν ἀριθμὸν ἐνακοσίων καὶ πεντήκοντα. μηδεὶς δὲ πρὸς τὸν νῦν βίον, καὶ τὴν βραχύτητα τῶν ἐτῶν ἃ ζῶμεν συμβαλὼν τὸν τῶν παλαιῶν, ψευδῆ νομιζέτω τὰ περὶ ἐκείνων λεγόμενα, τῷ μηδὲ νῦν τοσοῦτον ἐν τῷ βίῳ παρατείνειν χρόνον τεκμαιρόμενος, μηδ' ἐκείνους εἰς ἐκεῖνο τὸ μῆκος τῆς ζωῆς ἀφῖχθαι. οἱ μὲν γὰρ θεοφιλεῖς ὄντες καὶ ὑπ' αὐτοῦ τοῦ θεοῦ γενόμενοι, καὶ διὰ τὸ τὰς τροφὰς ἐπιτηδειοτέρας πρὸς πλείονα χρόνον εἶναι, εἰκότως ἔζων πλῆθος τοσούτων ἐτῶν. ἔπειτα καὶ δι' ἀρετὴν καὶ τὴν εὐχρηστίαν ὧν ἐπενόουν, ἀστρονομίας καὶ γεωμετρίας πλέον ζῆν τὸν θεὸν αὐτοῖς παρασχεῖν, ἅπερ οὐκ ἦν ἀσφαλῶς αὐτοῖς προειπεῖν, μὴ ζήσασιν ἑξακοσίους ἐνιαυτούς. διὰ τοσούτων γὰρ ὁ μέγας ἐνιαυτὸς πληροῦται. μαρτυροῦσι δέ μου τῷ λόγῳ πάντες οἱ παρ' Ἕλλησι καὶ παρὰ βαρβάροις συγγραψάμενοι τὰς ἀρχαιολογίας. καὶ γὰρ καὶ μανέθων ὁ τὴν αἰγυπτίων ποιησάμενος ἀναγραφὴν, καὶ βηρωσὸς ὁ τὰ χαλδαϊκὰ συναγαγὼν, καὶ μῶχος τε καὶ ἑστιαῖος, καὶ πρὸς αὐτοῖς ὁ αἰγύπτιος ἱερώνυμος, οἱ τὰ φοινικικὰ συνταξάμενοι, συμφωνοῦσι τοῖς ὑπ' ἐμοῦ λεγομένοις. ἡσίοδός τε καὶ ἑκαταῖος, καὶ ἑλλάνικος, καὶ ἀκουσίλαος, καὶ πρὸς τούτοις ἔφορος καὶ νικόλαος ἱστοροῦσι τοὺς ἀρχαίους ζήσαντας ἔτη χίλια. περὶ μὲν οὖν τούτων, ὡς ἂν ἑκάστοις ᾖ φίλον, οὕτως σκοπείτωσαν.

Κεφάλαιον ε'.

Περὶ τοῦ πύργου βαβυλῶνος, καὶ ἀλλοφωνίας τῶν ἀνθρώπων.

Οἱ δὲ νώχου παῖδες, τρεῖς ὄντες, σήμας, καὶ ἰάφθας, καὶ χάμας, ἑκατὸν ἔτεσιν ἔμπροσθεν τῆς ἐπομβρίας γεγονότες, πρῶτοι καταβάντες ἀπὸ τῶν ὀρῶν εἰς τὰ πεδία, τὴν ἐν τούτοις οἴκησιν ἐποιήσαντο. καὶ τοὺς ἄλλους σφόδρα δεδιότας διὰ τὸν κατακλυσμὸν τὰ πεδία, καὶ ὀκνηρῶς ἔχοντας πρὸς τὴν ἀπὸ τῶν ὑψηλῶν τόπων κατάβασιν, ἔπεισαν θρασύναντας μιμητὰς αὐτῶν γενέσθαι. καὶ τὸ μὲν πεδίον εἰς ὃ πρῶτον αὐτοὺς κατῴκισαν, καλεῖται σενναάρ. τοῦ δὲ θεοῦ κελεύσαντος αὐτοὺς εἰς πολυανθρωπίαν στέλλειν ἀποικίας [ἵνα μὴ στασιάζοιεν πρὸς ἀλλήλους, ἀλλὰ γῆν πολλὴν γεωργοῦντες ἀφθονίας ἀπολαύοιεν τῶν καρπῶν,] ὑπὸ ἀμαθίας παρήκουσαν τοῦ θεοῦ, καὶ διὰ τοῦτο συμφοραῖς περιπεσόντες, ᾔσθοντο τῆς ἁμαρτίας. ἐπεὶ γὰρ ἤνθουν νεότητος πλήθει, πάλιν ὁ θεὸς αὐτοῖς συνεβούλευε ποιεῖσθαι τὴν ἀποικίαν. οἱ δὲ, οὐ κατὰ τὴν εὐμένειαν τὴν ἐκείνου νομίζοντες ἔχειν τὰ ἀγαθὰ, τὴν δ' ἰσχὺν αὐτοῖς τὴν οἰκείαν αἰτίαν τῆς εὐπορίας ὑπολαμβάνοντες, οὐκ ἐπείθοντο. προσετίθεσαν δὲ τῷ παρακούειν τῆς τοῦ θεοῦ γνώμης, καὶ τὸ κατ' ἐπιβουλὴν ὑπονοεῖν εἰς ἀποικίαν αὐτοὺς παρορμᾶν, ἵνα διαιρεθέντες, εὐεπιχειρητότεροι γένωνται. ἐξῆρε δὲ αὐτοὺς πρός τε ὕβριν τοῦ θεοῦ καὶ καταφρόνησιν νεβρώδης. ὢς υἱωνὸς μὲν ὢν χάμου τοῦ νώχου, τολμηρὸς δὲ καὶ κατὰ χεῖρα γενναῖος, ἔπειθεν αὐτοὺς μὴ τῷ θεῷ διδόναι τὸ δι' ἐκεῖνον εὐδαιμονεῖν, ἀλλὰ τὴν ἰδίαν ἀρετὴν ταῦτα παρέχειν αὐτοῖς ἡγεῖσθαι. καὶ περιΐστα δὲ κατ' ὀλίγον εἰς τυραννίδα τὰ πράγματα,

A Dominos enim vos feci omnium tam terrestrium quàm natatilium & eorum quæ per sublime ferũtur, absque sanguine: nam in hoc inest anima. Arcus cœlestis signum vobis erit cessaturæ meæ iaculationis. nam iris arcus Dei apud illos habetur. His mandatis & promissis Deus abiit. Noë autem cum post diluuium superuixisset cccl. annos, totúmque hoc tempus feliciter exegisset, defunctus est expletis annis in vniuersum Dcccccl. Nec est cur aliquis præsentem vitam, annorúmque eius pauci-B tatem cum priscorum rebus conferendo fidem nobis abroget, aut quia nunc eam non peræquè prorogari videt, coniecturam hinc de illorum longæuitate faciat. Illi enim Deo chari quum essent, ipsiúsque recens etiam tum opificium, & commodiore victu ad diuturnitatem vterétur, merito per tam multos annos viuebant. Præterea tũ propter studium virtutis, tum propter vtilitatem inuentarum artium, vt Astronomiæ, ac Geometriæ, Deus illis prolixiorem largitus est vitam: quarum certi-C tudinem assequi non poterant, si minus dc. annis vixissent. ex tot enim magnus annus constat. Attestantur autem mihi omnes qui Græcas barbaricásve antiquitates literis prodiderunt. Namq; & Manetho Ægyptiarum rerum scriptor, & Berosus Chaldaicarum, adhæc Mochus, Hestiæus, Hieronymus Ægyptius, qui Phœnicum res prosequuti sunt, nobiscum consonant. Hesiodus quoque cum Hecatæo, Hellanicus & Acusilaus, Ephorus & Nicolaus, narrant priscos illos ad mille annos vitam D produxisse. De his igitur quisque vt sibi visum fuerit, accipiat.

Cap. V.

De turri Babylonica, déque linguarum mutatione.

Tres verò Noë filij, Semas, Iaphetus, & Chamas, centum annis ante diluuium nati, primi E relictis montibus planiciem habitare cœperũt & aliis recẽti etiam tum cladis memoria pauidis, nec audentibus à celsiore loco descendere, idem faciẽdi autores & exemplum fuere. Campo quem primum colere sunt aggressi, nomen est Senaar. Cæterum Deo iubente vt propagandi multiplicandique generis gratia colonias deducerent, homines rudes non paruerunt: quamobrem calamitatibus implicati, offensum illum errore suo sunt experti. Cùm enim florerent iuuentutis multitudine, F Deus rursum de colonia deducenda admonebat. Illi verò obliti se ipsius benignitate præsentibus commodis perfrui, totamque illam felicitatẽ suis viribus acceptam ferentes, dicto eius non fuerunt obedientes. Et quod peius erat, consilium de coloniis non fauorem numinis, sed insidias interpretabantur, videlicet quo facilius dispersi possent opprimi. Hanc superbiam déique contemptum excitauit in eis Nabrodes, nepos Chamæ, filij Noe, vir audax & manu prõptus, subinde iactãs, nõ deo, sed G propriæ virtuti præsentem felicitatem eos debere: atque ita paulatim rem ad tyrannidem trahebat,

Genes. 10.

ratus fore vt homines ad se deficerent à deo, si se illis ducem præberet, opem suam offerens contra nouum aliud diluuium intentantem: Turrim enim se exædificaturum, excelsiorem quàm quò aqua ascendere posset: & insuper maiorum suorum interitum vlturum. Vulgus autem facile Nabrodis placitis obtemperabat, ignauum ratus deo cedere: atque ita structuram turris occœperunt, nulli labori parcentes, nihilque sibi ad summam industriam reliquum facientes. Cúmque ingens esset operarum numerus, surgebat opus suprà quàm sperauerant. Crassitudo enim erat tanta, vt proceritatem obscuraret. Struebát autem lateribus coctis, ad firmitatem bitumine ferruminatis. Hanc eorum væsaniam videns deus, delere quidem omnes noluit, quando ne priore quidem clade ad meliorem mentem profecerunt: sed dissidium in eos immisit, linguis eorum variatis, ita vt ob diuersitatem sermonis mutuò se non intelligerent. Locus verò turris nunc Babylon vocatur, propter confusam linguam quæ prius omnibus ex æquo clara fuerat. Nam Hebræi confusionem nominant Babel. De turri autem hac, déque linguis hominum mutatis, meminit & Sibylla his verbis: Cùm vniuersi homines vno eloquio vterentur, turrim ædificauerunt excelsissimam, quasi ad cœlum per eam ascensuri. Dij verò procellis immissis turrim subuerterunt, & suam cuique linguam dederunt: quæ causa fuit vt vrbs ea Babylonis vocabulum acceperit. De loco autem qui Senaar in Babylonia nominatur, meminit Hestiæus hoc modo: Aiunt sacerdotes cladis eius superstites, Enyelij Iouis sacra ferentes, in Senaar Babyloniæ peruenisse.

Cap. VI.

Quomodo Noe posteri per totum terrarum orbem sedes sibi occupauerint.

Genes. 10. ILlo ex tempore dispersi sunt passim, propter diuersitatem linguarum coloniis nusquam non deductis, & quo quenque sors & deus tulit, eam terram cum suis occupauit, vt tam maritima quàm mediterranea cultoribus replerentur. Nec defuerunt qui conscensis nauibus ad insulas habitandas traiicerent. Porrò gentium quędam adhuc seruant deriuatam à suis conditoribus appellationem, quædam etiam mutauerunt, nonnullæ in familiarem accolis & notiorem vocem sunt versæ, Gręcis potissimum talis nomenclaturæ autoribus. Hi enim posterioribus seculis veterem locorum gloriam sibi vsurpauerunt, dum gentes nominibus sibi notis insigniunt, dúmque tanquam ad suum ius attinerent, mores quoque proprios in illas inuehunt.

Cap. VII.

Quòd gentes singulæ à suis autoribus nomina traxerint.

Genes. 10. ERant autem Noë filiorum liberi, in quorum honorem gentibus nomina imponebant, vt quisque terram aliquam occupauerat. Siquidem Iapheto Noë filio filij fuerunt septem. Horum sedes à Tauro & Amano montibus incipientes, per-

μόνως οὕτως νομίζων ἀποστήσειν τοὺς ἀνθρώπους παρὰ τοῦ θεοῦ, εἰ χρώμενοι τῇ αὐτοῦ δυνάμει διατελοῖεν, ἀμυνεῖσθαί τε τὸν θεὸν πάλιν ἠπείλει τὴν γῆν ἐπικλύσαι θελήσαντα. πύργον γὰρ οἰκοδομήσειν ὑψηλότερον ἢ τὸ ὕδωρ ἀναβῆναι δυνηθείη. μετελεύσεσθαι δὲ καὶ τῆς τῶν προγόνων ἀπωλείας. τὸ δὲ πλῆθος πρόθυμον ἦν τοῖς Ναβρώδου δόγμασιν ἕπεσθαι, δειλίαν ἡγούμενοι τὸ εἴκειν τῷ θεῷ. καὶ τὸν πύργον ᾠκοδόμουν, οὐδὲν ἀπολείποντες σπουδῆς οὐδὲ πρὸς τὸ ἔργον ὀκνηρῶς ἔχοντες. ἐλάμβανε δὲ θᾶττον ὕψος ἢ προσεδόκησεν ἄν τις ὑπὸ πολυχειρίας. τὸ μέντοι πάχος ἦν ἰσχυρὸν τοσοῦτον, ὡς ὑπ' αὐτοῦ μειοῦσθαι τοῖς ὁρῶσι τὸ μῆκος. ᾠκοδόμητο δὲ ἐκ πλίνθου ὀπτῆς ἀσφάλτῳ συνδεδεμένης, ὡς ἂν μὴ περιρρέοι. οὕτως δὲ μεμηνότας ὁρῶν αὐτοὺς ὁ θεὸς, ἀφανίσαι μὲν ἐκ παντὸς οὐκ ἔκρινεν, ὅτι μηδ' ὑπὸ τῶν πρώτων ἀπολωλότων ἐσωφρονίσθησαν. εἰς στάσιν δὲ αὐτοὺς ἐνέβαλεν, ἀλλογλώσσους ἀπεργασάμενος, καὶ ὑπὸ πολυφωνίας ποιήσας ἑαυτῶν ἀσυνέτους εἶναι. ὁ δὲ τόπος ἐν ᾧ τὸν πύργον ᾠκοδόμησαν, νῦν Βαβυλὼν καλεῖται, διὰ τὴν σύγχυσιν τοῦ περὶ τὴν διάλεκτον πρῶτον ἐναργοῦς. Ἑβραῖοι γὰρ τὴν σύγχυσιν, βαβὲλ καλοῦσι. περὶ δὲ τοῦ πύργου τούτου καὶ τῆς ἀλλοφωνίας τῶν ἀνθρώπων, μέμνηται καὶ Σίβυλλα, λέγουσα οὕτως· πάντων ὁμοφώνων ὄντων τῶν ἀνθρώπων, πύργον ᾠκοδόμησάν τινες ὑψηλότατον, ὡς ἐπὶ τὸν οὐρανὸν ἀναβησόμενοι δι' αὐτοῦ. οἱ δὲ θεοὶ ἀνέμους ἐπιπέμψαντες, ἀνέτρεψαν τὸν πύργον, καὶ ἰδίαν ἑκάστῳ φωνὴν ἔδωκαν. καὶ διὰ τοῦτο Βαβυλῶνα συνέβη κληθῆναι τὴν πόλιν. περὶ δὲ τοῦ λεγομένου Σεναὰρ, ἐν τῇ Βαβυλωνίᾳ χώρᾳ, μνημονεύει Ἑστιαῖος, λέγων οὕτως· τῶν δὲ ἱερέων τοὺς διασωθέντας, τὰ τοῦ Ἐνυαλίου Διὸς ἱερώματα λαβόντας, εἰς Σεναὰρ τῆς Βαβυλωνίας ἐλθεῖν.

Κεφάλαιον ϛ'.

Ὡς οἱ Νώχου ἔκγονοι πᾶσαν τὴν οἰκουμένην ἐπῴκησαν.

ΣΚίδνανται δὴ τὸ λοιπὸν ἐντεῦθεν, ὑπὸ τῆς ἀλλογλωσσίας τὰς ἀποικίας ποιησάμενοι, πανταχοῦ. καὶ γῆν ἕκαστος κατελάμβανον τὴν ἐντυγχάνουσαν, καὶ εἰς ἣν αὐτοὺς ἦγεν ὁ θεός. ὡς πληρωθῆναι πᾶσαν αὐτῶν ἤπειρον μεσόγαιόν τε καὶ παράλιον. εἰσὶ δὲ οἳ καὶ περαιωσάμενοι ναυσὶ τὰς νήσους κατῴκησαν. καὶ τῶν ἐθνῶν ἔνια μὲν διασώζει τὰς ὑπὸ τῶν κτισάντων κειμένας προσηγορίας. ἔνια δὲ καὶ μετέβαλον. ἃ δὲ καὶ πρὸς τὸ σαφέστερον εἶναι δοκοῦν τοῖς παροικοῦσι, τροπὴν ἔλαβον. Ἕλληνες δ' εἰσὶν οἱ τούτου καταστάντες αἴτιοι. ἰσχύσαντες γὰρ ἐν τοῖς ὕστερον ἰδίαν ἐποιήσαντο καὶ τὴν πάλαι δόξαν, καλλωπίσαντες τὰ ἔθνη τοῖς ὀνόμασι πρὸς τὸ συνετὸν αὐτοῖς, καὶ κόσμον θέμενοι πολιτείας ὡς ἂν ἀφ' αὐτῶν γεγονόσιν.

Κεφάλαιον ζ'.

Ὅτι τῶν ἐθνῶν ἕκαστον ἀπὸ τῶν οἰκησάντων προσηγορεύθη.

ΗΣαν δὲ τῶν Νώχου παίδων υἱοὶ ὧν ἐπὶ τιμῇ τοῖς ἔθνεσι τὰ ὀνόματα ἐπετίθεσαν, οἱ γῆν τινα καταλαμβάνοντες. Ἰαφθᾶ μὲν οὖν τοῦ Νώχου παιδὸς, ἦσαν ἑπτὰ υἱοί. κατοικοῦσι δὲ οὗτοι ἀπὸ Ταύρου καὶ

ἀμάνου τῶν ὀρῶν ἀρξάμενοι. καὶ προῆλθον ἐπὶ μὲν τῆς ἀσίας ἄχρι ποταμοῦ ταναΐδος. ἐπὶ δὲ τῆς εὐρώπης, ἕως γαδείρων γῆν, ἣν ἔτυχον καταλαμβανόντες, καὶ μηδενὸς προκατοικήσαντος, τὰ ἔθνη τοῖς αὐτῶν ἐκάλουν ὀνόμασι. τοὺς μὲν γὰρ νῦν ὑφ' ἑλλήνων γαλάτας καλουμένους, γομαρεῖς δὲ λεγομένους, γόμαρος ἔκτισε. μαγώγης δὲ τοὺς ὑπ' αὐτοῦ μαγώγας ὀνομασθέντας ᾤκισε, σκύθας δὲ ὑπ' αὐτῶν προσαγορευομένους. τῶν δὲ ἰαφέθου παίδων, ἰαυάνου καὶ μάδου, ἀπὸ μὲν τοῦ μάδου μαδαῖοι γίνονται, ἔθνος ὃ πρὸς ἑλλήνων μῆδοι κέκληνται. ἀπὸ δὲ ἰαυάνου ἰωνία καὶ πάντες ἕλληνες γεγόνασι. κατοικίζει δὲ καὶ θοβήλους θόβηλος. οἵτινες ἐν τοῖς νῦν ἴβηρες καλοῦνται. καὶ μεσχῖνοι δὲ ὑπὸ μέσχου κτισθέντες. καππάδοκες μὲν γὰρ ἄρτι κέκληνται. τῆς δὲ ἀρχαίας αὐτῶν προσηγορίας σημεῖον δείκνυται. πόλις γάρ ἐστι παρ' αὐτοῖς ἔτι καὶ νῦν μάζακα, δηλοῦσα τοῖς συνιέναι δυναμένοις οὕτως ποτὲ προσαγορευθὲν τὸ ἔθνος. θείρης δὲ θείρας μὲν ἐκάλεσεν ὧν ἦρξεν. ἕλληνες δὲ θρᾷκας αὐτοὺς μετωνόμασαν. καὶ τοσαῦτα μὲν ἔθνη ὑπὸ τῶν ἰαφέθου παίδων κατοικεῖται. γομάρου δὲ τριῶν υἱῶν γενομένων, ἀσχανάξης μὲν ἀσχανάξας ᾤκισεν, οἳ νῦν ῥηγῖνες ὑπὸ τῶν ἑλλήνων καλοῦνται, ῥιφάθης δὲ ῥιφαθαίους τοὺς παφλαγόνας λεγομένους. θυγράμμης δὲ θυγραμμαίους. οἳ δόξαν ἕλλησι φρύγες ὠνομάσθησαν. ἰαυάνου δὲ τοῦ ἰαφέθου, τριῶν αὐτῷ παίδων γενομένων, ἀλίσας μὲν, ἀλισαίους ἐκάλεσεν ὧν ἦρχεν. αἰολεῖς δὲ νῦν εἰσι. θάρσος δὲ, θαρσεῖς. οὕτως γὰρ ἐκαλεῖτο τὸ παλαιὸν ἡ κιλικία. σημεῖον δὲ, θαρσὸς γὰρ παρ' αὐτοῖς τῶν πόλεων ἡ ἀξιολογωτάτη καλεῖται μητρόπολις οὖσα, τὸ ταῦ πρὸς τὴν κλῆσιν, ἀντὶ τοῦ θῆτα μεταβαλλόντων. χέθιμος δὲ, χεθιμὰ τὴν νῆσον ἔσχεν, κύπρος αὕτη νῦν καλεῖται. καὶ ἀπ' αὐτῆς νῆσοί τε πᾶσαι καὶ τὰ πλείω τῶν παρὰ θάλασσαν, χεθὶμ ὑπὸ ἑβραίων ὀνομάζεται. μάρτυς δέ μου τοῦ λόγου, μία τῶν ἐν κύπρῳ πόλεων, ἰσχύσασα τὴν προσηγορίαν φυλάξαι. κίτιος γὰρ ὑπὸ τῶν ἐξελληνισάντων αὐτὴν καλεῖται, μὴ δ' οὕτω διαφυγοῦσα τοῦ χεθίμου τὸ ὄνομα. ἰαφέθου μὲν παῖδές τε καὶ υἱωνοὶ, τοσαῦτα ἔσχον ἔθνη. ὃ δ' ἴσως ὑφ' ἑλλήνων ἀγνοεῖται, τοῦτο προειπὼν τρέψομαι πρὸς τὴν ἀφήγησιν ὧν κατέλειπον. τὰ γὰρ ὀνόματα διὰ τὸ τῆς γραφῆς εὐπρεπὲς ἑλληνίσαι πρὸς ἡδονὴν τῶν ἐντευξομένων. οὐ γὰρ ἐπιχώριος ἡμῖν ὁ τοιοῦτος αὐτῶν τύπος. ἀλλ' ἕν τε αὐτῶν σχῆμα καὶ τελευτὴ μία. νῶχος γέτοι, νῶε καλεῖται. καὶ τοῦτον τὸν τύπον ἐπὶ παντὸς τηρεῖ σχήματος. οἱ δὲ χάμου παῖδες τὴν ἀπὸ συρίας καὶ ἀμάνου καὶ λιβάνου τῶν ὀρῶν γῆν κατέσχον, ὅσα πρὸς θάλασσαν αὐτῆς ἐτέτραπτο καταλαβόντες, καὶ τὰ μέχρι τοῦ ὠκεανοῦ ἐξιδιωσάμενοι. αἱ μέντοι προσηγορίαι, τῶν μὲν καὶ παντελῶς ἐξίτηλοι γεγόνασιν. ἐνίων δὲ μεταβάλλουσαι καὶ μεταρρυθμισθεῖσαι πρὸς ἑτέρας δύσγνωστοι τυγχάνουσι. τεσσάρων γὰρ χάμου παίδων γενομένων, χουσαῖον μὲν οὐδὲν ἔβλαψεν ὁ χρόνος. αἰθίοπες γὰρ ὧν ἦρξεν ἔτι καὶ νῦν ὑπὸ ἑαυτῶν τε καὶ τῶν ἐν τῇ ἀσίᾳ πάντων χουσαῖοι καλοῦνται. ἐτηρήθη δὲ καὶ μεσραίοις ἡ κατὰ τὴν προσηγορίαν μνήμη. τὴν γὰρ αἴγυπτον, μέσρην, καὶ μεσραίους τοὺς αἰγυπτίους ἅπαντες οἱ ταύτην οἰκοῦντες καλοῦμεν. ἔκτισε δὲ καὶ φούτης τὴν λιβύην, φούτους ἀπ' αὐτοῦ καλέσας τοὺς ἐπιχωρίους. ἔστι δὲ καὶ ποταμὸς ἐν τῇ μαυρῶν χώρᾳ, τοῦτο ἔχων τὸ ὄνομα.

in Asia ad amnem vſque Tanaim, in Europa vſque Gades, in terris hactenus vacuis occupatæ: quo factum eſt, vt ipſorum nomina gentibus imponerentur. Quos enim nunc Græci Galatas vocitant, Gomarenſes olim dictos, Gomor condidit. Magoges verò Magogarum à ſe denominatorum fuit autor, qui ab ipſis vocantur Scythæ. Ex aliis Iapheti filiis Iauane & Mado, ab hoc Madæi deſcendunt, Græcis Medi nominati: à Iauane verò Ionia, totúmque Græcorum genus. Quin & Thobelus Thobelis ſedem dedit, qui nunc ſunt Iberi: & Meſchini à Meſcho autore appellantur. Cappadocum enim appellatio noua eſt, veteris autem veſtigium adhuc ſupereſt. Vrbs enim eſt apud eos hodie quoque Mazaca, ſatis indicans intelligere volenti, hoc priſcum fuiſſe genti nomen. Thires autem Thiras de ſe vocauit, quorum fuit princeps, eos Græci Thracas dicere maluerunt. Et tot gentes à Iapheti filiis ſunt inſtitutæ. Gomaris autem, trium liberorum parentis, vnus filius Aſchanaxes originem Aſchanaxis dedit, qui nunc Rhegines à Græcis nominantur: Rhiphates verò Rhiphatæis, nunc Paphlagonibus: & Thygrammes Thygrammæis, quos Phrygas Græcis libuit vocare. Iauanis item trium filiorum vnus Aliſas Aliſæis vt originem ita nomen dedit, qui hodie ſunt Æoles: parique modo Tharſenſibus Tharſus. Sic enim olim appellabatur Cilicia: cuius rei ſignum eſt Tarſus vrbium eius celeberrima cæterarúmque princeps, prima nominis litera in tau mutata. Porrò Chethimus inſulam occupauit, tunc Chethimam, nũc Cyprum: quo factum eſt vt tum inſulas omnes, tũ pleraque loca maritima Hebræi gentili voce Chethim ſignificent. atteſtatur mihi vna è Cypriis vrbibus, quæ adhuc nomen retinet. Citium enim vocatur ab his qui in Græcum ſonum vocabula detorquent, ne ſic quidem abludens à Chethimi nomine. Tot gentium fuere principes Iapheti filij nepotéſque. Cæterum quod Græci fortaſſis ignorant prius dicam, deinde cœptam narrationẽ proſequar. Nomina iſta decoris cauſa in Græcam formam mutari ad auriũ voluptatem. noſtrates enim huiuſmodi forma non vtuntur: ſed eandem apud nos perpetuò ſpeciem obtinent, nec terminationẽ variant. Adamus certè nobis Adam vocatur, & Noë qui Græcis Nochos diceretur, eáque forma nullam variationem admittit.

Chamæ verò filij Syriam & regionem Amano Libanóque montibus hęrentem obtinuerunt, quicquid eius ad mare vergit occupando, & Oceanum vſque ditionis terminos proferendo. vocabula tamen partim omnino euanuerunt, partim ita deprauata ſunt in diuerſũ, vt haud facile agnoſcantur. ex quatuor enim Chamę liberis Chuſo nihil detrimẽti tẽpus attulit. Æthiopes enim quibus pręfuit, nunc quoque tam à ſeipſis, quàm ab Aſianis omnibus Chuſęi nominantur. Meſręis etiam ſua manſit appellatio. Ægyptum enim Meſren, & Meſręos Ægyptios vocamus quotquot eam regionem incolimus. Quin & Libyę colonos dedit Phutes, de ſuóque nomine Phutos dici voluit. extat & flumen in Mauritania hoc nomine:

& complures apud Græcos historici eius mentionem faciunt, sicut adiacentis etiam regionis, quæ Phute dicitur. mutauit autem præsens nomen ab vno filiorum Mesræi qui vocabatur Libys. cur autem Africa sit dicta, paulo pòst docebimus. Quartus Chamæ filius Chananæus Iudæam nunc vocatam habitauit, gentemque suam Chanaan nominauit. Hi quoque liberos genuerunt, & in his Chusus filios sex. quorum è numero Sabas Sabæorum author fuit, & Euilas Euilæorum, qui nunc Getuli appellantur. Sabathes verò Sabathenos, qui Græcis dicuntur Astabarri: Sabactas quoque Sabactenos instituit. Romus item Romæos condidit, & duos filios habuit. alter Iudas genti Iudæorum inter Occidentales Æthiopes originem dedit & nomen, Sabæus alter Sabæis. Nabrodes autem manens apud Babylonios tyrannidem arripuit, sicut iam ante diximus. Mesræi verò filij numero octo quantum terrarum à Gaza Ægyptum vsque patet possederunt, sed solius Philistini nomen ipsius regio seruauit. Palæstinam enim Græci eius portionem vocant. reliquorum, Lumæi, Enamiæ, Labimi, qui solus colonis in Libyam ductis regionem à se denominauit, tum Nethemi, Phæthrosimi, Chesslœmi, Chephthomi, tam res quàm nomina sunt in obscuro. Bello enim Æthiopico, de quo suo loco dicetur, vrbes eorum sunt euersæ. Chananæo quoque filij fuerunt hi: Sidonius, qui & vrbem sibi cognominē condidit in Phœnice, Sidonē à Græcis vocatā. Amathus verò Amathen habitauit, quæ adhuc extat, & ab accolis Amathe vocitatur: tametsi hanc Macedones Epiphaniam ab vno è Regum successoribus denominauerunt. Arudæus Aradum insulam obtinuit, Arucæus Arcen vrbem in Libano sitam. cæterorum septem, Euæi, Chettæi, Iebusæi, Eudæi, Sinæi, Samaræi, Gergesæi, præter nomina nihil in sacris codicibus superest. nam Hebræi vrbes eorum exciderunt, quæ clades causam habuit hanc.

Genes.9.

Postquàm terra finito diluuio in pristinam naturam est restituta, Noë cœpit eam colere: quam cum vitibus conseuisset, suóque tempore vindemiasset, inuento vini vsu, sacris prius operatus epulabatur: ebriúsque factus ac sopore grauatus, parum decore nudatus iacuit, id conspicatus filiorum natu minimus, per ludibrium fratribus indicauit: illi reueriti parentem operuerunt. Sensit hoc Noë: & precatus aliis filiis felicitatem, ne Chamam quidem diris deuouit, respectu sui sanguinis, sed tantùm eius posteros: quas cum cæteri euasissent, Chananæi liberos vltio diuina est consecuta. sed de his rebus dicemus postea.

Genes.11.

Semæ verò tertio Noë filio filij fuerunt quinque, qui Asiam vsque ad Indicum Oceanum incoluerunt, ab Euphrate propagādæ ditionis initio facto. Nam Elymus posteros reliquit Elymos, à quibus Persæ originem traxerunt. Assuras vrbem Ninum condidit, & subditos de se Assyrios denominauit, quorum opes præ cæteris efflorueruīt. Arphazades eos qui nunc Chaldæi sunt Arphaxadæos nominauit, imperio gentis potitus.

ὅθεν καὶ τοὺς πλείστους τῶν ἑλληνικῶν ἱστοριογράφων ἔστιν ἰδεῖν μεμνημένους τοῦ ποταμοῦ καὶ τῆς παρακειμένης αὐτῷ χώρας, φούτης λεγομένης. μετέβαλε δὲ ὃ νῦν ἐστιν αὐτῇ ὄνομα, ἀπὸ τῶν μεσραίμου υἱῶν ἑνὸς, λίβυος λεγομένου. μετ' οὐ πολὺ δὲ ἐροῦμεν τὴν αἰτίαν δι' ἣν αὐτὴν καὶ ἀφρικὴν προσαγορεύεσθαι συμβέβηκεν. χαναναῖος δὲ τέταρτος ὢν χάμου παῖς, τὴν νῦν ἰουδαίαν καλουμένην οἰκήσας ἀπ' αὐτοῦ τοὺς χαναναὶ προσηγόρευσε. γίνονται μὲν παῖδες ἐξ αὐτῶν, χούσου μὲν ἕξ, ὧν σαβας μὲν σαβαίους, εὐίλας δὲ εὐιλαίους ἔκτισεν, οἱ νῦν γετοῦλοι λέγονται. σαβάθης δὲ σαβαθηνοὺς, ὀνομάζονται δὲ, ἀσταβαῤῥοι παρ' ἕλλησιν. οἰκίζει δὲ καὶ σαβάκτας σαβακτηνούς. ῥώμος δὲ, ῥωμαίους ᾤκησε, καὶ δύο παῖδας ἔσχεν. ὧν ἰούδας μὲν ἰουδαίους αἰθιοπικὸν ἔθνος τῶν ἑσπερίων οἰκήσας ἐπώνυμον αὐτοῦ κατέλιπε, σαβαίους δὲ, σαβαῖος. ναβρώδης δὲ χούσου υἱὸς ὑπομείνας παρὰ βαβυλωνίοις ἐτυράννησεν, ὡς καὶ προειπεῖν μοι δεδήλωται. τῶν δὲ μεστραίου παίδων ὀκτὼ γενομένων, οἱ πάντες τὴν ἀπὸ γάζης ἕως αἰγύπτου γῆν κατέσχον. μόνου δὲ φυλιστίνου τὴν ἐπωνυμίαν ἡ χώρα διεφύλαξε. παλαιστίνην γὰρ οἱ ἕλληνες αὐτοῦ τὴν μοῖραν καλοῦσι. τῶν δὲ ἄλλων, λουμαίου καὶ ἐναμία καὶ λαβίμου τοῦ μόνου κατοικήσαντος ἐν λιβύῃ, καὶ τὴν χώραν ἀπ' αὐτοῦ καλέσαντος, νεθέμου τε καὶ φαιθρωσίμου καὶ χεσλοίμου καὶ χεφθώμου, περὶ τῶν ὀνομάτων, οὐδὲν ἴσμεν. ὁ γὰρ αἰθιοπικὸς πόλεμος, περὶ οὗ δηλώσομεν ὕστερον, ἀναστάτους αὐτῶν τὰς πόλεις ἐποίησεν. ἐγένοντο δὲ καὶ χαναναίου παῖδες, σιδώνιος, ὃς καὶ πόλιν ἐπώνυμον ἔκτισεν ἐν φοινίκῃ, σιδὼν δ' ὑφ' ἑλλήνων καλεῖται. ἀμάθος δὲ ἀμάθην κατῴκησεν, ἥτις ἐστὶ καὶ νῦν ὑπὸ μὲν τῶν ἐπιχωρίων ἀμάθη καλουμένη, μακεδόνες δὲ αὐτὴν ἐπιφάνειαν ἀφ' ἑνὸς τῶν ἀπογόνων ἐπωνόμασαν. ἀρουδαῖος δὲ ἄραδον τὴν νῆσον ἔσχεν. ἀρουκαῖος δὲ, ἄρκην τὴν ἐν τῷ λιβάνῳ. τῶν δὲ ἄλλων ἑπτὰ, εὐαίου, χετταίου ἰεβουσαίου, εὐδαίου, σειναίου, σαμαραίου, πλὴν τῶν ὀνομάτων ἐν ταῖς ἱεραῖς βίβλοις οὐδὲν ἔχομεν. ἑβραῖοι γὰρ αὐτῶν ἀνέστησαν τὰς πόλεις ἐκ τοιαύτης αἰτίας ἐν συμφορᾷ γενομένας. νῶχος μετὰ τὴν ἐπομβρίαν τῆς γῆς κατασταθείσης εἰς τὴν αὐτῆς φύσιν, ἐπ' ἔργα χωρεῖ, καὶ καταφυτεύσας αὐτὴν ἀμπέλοις, ἡνίκα τοῦ καρποῦ τελεσφορηθέντος καθ' ὥραν ἐτρύγησε, καὶ παρῆν εἰς χρῆσιν ὁ οἶνος, θύσας ἐν εὐωχίαις ἦν. μεθυσθεὶς δὲ, εἰς ὕπνον καταφέρεται. καὶ γεγυμνωμένος παρακόσμως ἔκειτο. θεασάμενος δ' αὐτὸν ὁ νεώτατος τῶν παίδων, τοῖς ἀδελφοῖς ἐπιγελῶν δείκνυσιν. οἱ δὲ περιστέλλουσι τὸν πατέρα. καὶ νῶχος αἰσθόμενος, τοῖς μὲν ἄλλοις παισὶν, εὐδαιμονίαν εὔχεται. τῷ δὲ χάμᾳ, διὰ τὴν συγγένειαν αὐτῷ μὲν οὐ κατηρᾶτο. τοῖς δ' ἐκγόνοις αὐτοῦ. καὶ τῶν ἄλλων διαπεφευγότων τὴν ἀρὰν, τοὺς χαναναίου παῖδας μέτεισιν ὁ θεός. καὶ περὶ μὲν τούτων, ἐν τοῖς ἑξῆς ἐροῦμεν. σήμᾳ δὲ τῷ τρίτῳ τῶν νώχου υἱῶν, πέντε γίνονται παῖδες. οἱ τὴν μέχρι τοῦ κατ' ἰνδίαν ὠκεανοῦ κατοικοῦσιν ἀσίαν ἀπ' εὐφράτου τὴν ἀρχὴν πεποιημένοι. ἔλυμος μὲν γὰρ, ἐλυμαίους περσῶν ὄντας ἀρχηγέτας κατέλειπεν. ἀσσούρας δὲ, νίνον οἰκίζει πόλιν, καὶ τοὺς ὑπηκόους, ἀσσυρίους ἐπωνόμασεν, οἳ μάλιστα εὐδαιμόνησαν. ἀρφαξάδης δὲ τοὺς νῦν χαλδαίους καλουμένους, ἀρφαξαδαίους ὠνόμασεν, ἄρξας αὐτῶν.

ἀρα-

ἀραμαίους δὲ, ἄραμος ἔσχεν, οὓς ἕλληνες σύρους προσαγορεύουσι. οὓς δὲ λύδους νῦν καλοῦσι, λούδους δὲ τότε, λούδας ἔκτισε. τῶν δὲ ἀράμου παίδων τεσσάρων ὄντων, οὔσης μὲν κτίζει τὴν τραχωνῖτιν καὶ δαμασκόν. μέση δ' ἐστὶ τῆς παλαιστίνης καὶ κοίλης συρίας. ἀρμενίαν δὲ [illegible] βακτριανούς. μήσας δὲ, μησαναίους. πασίνου χάραξ ἐν τοῖς νῦν καλεῖται. ἀρφαξάδου δὲ γίνεται παῖς σαλής. τοῦ δὲ ἕβερος, ἀφ' οὗ τοὺς ἰουδαίους ἑβραίους ἀρχῆθεν ἐκάλουν. ἕβερος δὲ, ἰουκτὰν καὶ φάλεγον ἐγέννησεν. ἐκλήθη δὲ φάλεγος, ἐπειδὴ κατὰ τὸν ἀποδασμὸν τῆς οἰκήσεως τίκτεται. φαλὲκ γὰρ τὸν μερισμὸν ἑβραῖοι καλοῦσιν. ἰούκτα δὲ τῶν ἑβέρου παίδων ἦσαν υἱοὶ, ἐλμόδαδος, σάλεφος, ἀζερμώθης, εἰρὰης, ἐδώραμος, οὔζαλις, δαήλης, ἥβαλος, ἐβιμαήλος, σάφας, ὀφίρης, εὐίλας, ἰοβηλος. οὗτοι ἀπὸ κώφηνος ποταμοῦ τῆς ἰνδικῆς καὶ τῆς πρὸς αὐτῇ συρίας τινὰ κατοικοῦσι. ταῦτα μὲν περὶ τῶν σήμα παίδων ἱστορείσθω. ποιήσομαι δὲ περὶ ἑβραίων τὸν λόγον. φαλέγου γὰρ τοῦ ἑβέρου γίνεται παῖς ῥαγαῦς. τούτου δὲ, σερούγος, ὧν ναχώρης υἱὸς τίκτεται. τούτου δὲ θάῤῥος. πατὴρ δ' οὗτος ἀβράμου γίνεται. ὃς δέκατος μέν ἐστιν ἀπὸ νώχου, δευτέρῳ δ' ἔτει καὶ ἐνενηκοστῷ πρὸς διακοσίοις μετὰ τὴν ἐπομβρίαν ἐγένετο. θάῤῥος μὲν γὰρ ἑβδομηκοστῷ ποιεῖται τὸν ἄβραμον. ναχώρης δὲ θάῤῥον, εἰκοστὸν αὐτὸς καὶ ἑκατοστὸν ἤδη γεγονὼς ἐγέννησε. σερούγῳ δὲ ναχώρης τίκτεται, περὶ ἔτος δεύτερον καὶ τριακοστὸν καὶ ἑκατοστόν. ῥαγαῦς δὲ σεροῦγον ἔσχεν, ἔτη τριάκοντα γεγονὼς πρὸς τοῖς ἑκατόν. ἐν δὲ τοῖς αὐτοῖς ἔτεσι καὶ ῥαγαῦν φάλεγος ἔσχεν. ἕβερος δὲ, τετάρτῳ καὶ τριακοστῷ πρὸς τοῖς ἑκατὸν γεννᾷ φάλεγον, γεννηθεὶς αὐτὸς ὑπὸ σέλου, τριακοστὸν ἔτος ἔχοντος καὶ ἑκατοστόν. ὃν ἀρφαξάδης ἐτέκνωσε κατὰ πέμπτον καὶ τριακοστὸν ἔτος πρὸς τοῖς ἑκατόν. σήμα δὲ υἱὸς ἀρφαξάδης ἦν, μετὰ ἔτη δώδεκα τῆς ἐπομβρίας γενόμενος. ἄβραμος δὲ εἶχεν ἀδελφοὺς, ναχώρην, καὶ ἀράνην. τούτων ἀράνης μὲν καταλειπὼν υἱὸν λῶτον, καὶ σάῤῥαν, καὶ μελχὰν θυγατέρας, ἐν χαλδαίοις ἀπέθανεν, ἐν πόλει οὔρῃ λεγομένῃ τῶν χαλδαίων. καὶ τάφος αὐτοῦ μέχρι νῦν δείκνυται. γαμοῦσι δὲ τὰς ἀδελφιδᾶς, μελχὰν μὲν, ναχώρης σάῤῥαν δὲ ἄβραμος. θάῤῥου δὲ μισήσαντος τὴν χαλδαίαν διὰ τὸ ἀράνου πένθος, μετοικίζονται πάντες εἰς χαῤῥὰν τῆς μεσοποταμίας. ὅπου δὲ θάῤῥον τελευτήσαντα θάπτουσιν, ἔτη βιώσαντα πέντε καὶ διακόσια. συνετέτμητο γὰρ ἤδη τοῖς ἀνθρώποις κατ' ὀλίγον τὸ ζῆν, καὶ βραχύτερον ἐγίνετο μέχρι τῆς μωσέως γενέσεως. μεθ' ὃν ὅρος ἦν τοῦ ζῆν ἑκατὸν ἔτη πρὸς τοῖς εἴκοσι, ταῦθ' ὁρίσαντος τοῦ θεοῦ, ὅσα καὶ μωϋσῇ συνέβη βιῶναι. ναχώρῃ μὲν οὖν ἐκ τῆς μελχᾶς, ὀκτὼ παῖδες ἐγίνοντο, οὖξος, βαοῦξος, μαουήλος, ζάχαμος, ἄζαμος, φέλδας, ἰάδελφας, βαθουήλος. οὗτοι μὲν, ναχώρου παῖδες γνήσιοι. τάβαιος γὰρ καὶ γάδαμος καὶ ταύαος καὶ μάχας, ἐκ ῥουμᾶς παλλακῆς αὐτῷ γεγόνασι. βαθουήλῳ δὲ τῶν ναχώρου γνησίων παίδων, γίνεται ῥεβέκκα θυγάτηρ, καὶ λάβανος υἱός.

Κεφάλαιον η'.

Ὡς ἄβραμος ὁ πρόγονος ἡμῶν ἐξελθὼν ἐκ τῆς χαλδαίων γῆς, κατέσχε τὴν τότε μὲν χαναναίαν, νῦν δὲ ἰουδαίαν λεγομένην.

Aramæos Aramus tenuit, quos Græci Syros appellare malunt. qui verò Lydi nunc vocantur, olim Ludi dicti, Ludam autorem generis habuerunt. Ex Arami verò quatuor liberis Vses habitator Trachonitidis fuit, Damascique conditor. ea sita est Palæstinam inter & Syriam cognomine Cœlen. Armeniam Otrus tenuit, Getheris Bactrianos: Mesas verò Mesanæos: nunc Pasini castrum vocatur. Ex Arphaxade prognatus est Sales, ex hoc Heberus, à quo Iudæi Hebræi quondam appellabantur. Porrò Heberus Iuctam & Phalegum genuit, qui natus est dum habitationes distribuerentur. nam hæc vox Phalec partitionem Hebræis sonat. Iuctæ verò Heberi filio liberi fuerunt, Elmodadus, Salephus, Azermothes, Iraes, Edoramus, Vzalis, Daeles, Ebalus, Ebemaelus, Saphas, Ophires, Euilas, Iobelus. Hi à Cophene flumine Indiæ ad Assyriam vsque habitant. Hactenus de Semæ progenie sit dictum: nunc de Hebræis erit narratio. Ex Phalego enim Heberi filio prognatus est Ragaus: ex hoc Serugus, ex quo Nachores est genitus, & ex hoc Tharrus, hic Abrahami fuit pater, qui fuit decimus à Noë, & natus est post diluuium anno secundo supra ducentesimum & nonagesimum. siquidem Tharrus septuagesimo anno genuit Abrahamum. Nachores cum esset viginti & octo annorum genuit Tharrum. de Serugo autem Nachores nascitur circa annum trigesimum secundum. Ragaus factus est Serugi pater cum esset annorum triginta duorum. totidem verò annorum Phalegus genuit Ragaum. Heberus autem quarto & tricesimo ętatis anno genuit Phalegum, ipse de Sale prognatus annum nato tricesimum: quem Arphazades genuit quinto & tricesimo ętatis anno. Semæ filius Arphaxades natus est post annos duos à diluuio. Abrahamus autem fratres habuit Nachorem & Aranen. Ex his Aranes relicto filio Loto, & filiab. Sara & Melcha, in regione Chaldæorum est mortuus, in vrbe quæ Vra Chaldæorum vocatur, & sepulchrum eius nunc vsque ostenditur. neptes verò ex fratre duxerunt cōiuges, Melchan Nachores, Saram Abrahamus. Cæterùm cùm Tharrus exosam haberet Chaldęam propter luctum Aranis, omnes simul migrauerunt Carras Mesopotamiæ, vbi etiam Tharrum defunctum sepelierunt, anno exactæ vitæ ducentesimo quinto. Iam enim paulatim subtrahebatur de vitæ spatiis, vsque ad Moysis ætatem: post quem cxx. annorum terminus Deo finitore est statutus, quātum temporis & Moyses ipse vixit. Itaque Nachores è Melcha octo filios suscepit, Vxum, Bauxum, Manhelem, Zachamum, Azamum, Pheldam, Iadelpham, Bathuelem. atque hi legitimi Nachoris filij fuere. nam Thabæum, Gadamum, Tauaum & Macham è Ruma concubina genuit. Porrò Bathueli vni è legitimis Nachoris filij nati sūt, Rebecca filia, & filius nomine Labanus.

CAP. VIII.

Quomodo Abraham generis nostri autor è Chaldæorum terra profectus habitauit regionem quondam Chananæam, quæ nunc Iudæa dicitur.

ABrahamus verò Lotum Aranis fratris sui filium, Saræ coniugis suæ fratrem, adoptauit, quòd germano careret: & cùm iam esset annorum lxxv. monitus oraculo Chaldæam

Gen. 12. 13.

ΑΒραμος δὲ, λῶτον τὸν ἀράνου τοῦ ἀδελφοῦ υἱὸν, τῆς δὲ γυναικὸς αὐτοῦ σάῤῥας ἀδελφὸν εἰσεποιήσατο γνησίου παιδὸς ἀπορῶν. καὶ καταλείπει τὴν χαλδαίαν ἑβδομήκοντα καὶ πέντε γεγονὼς ἔτη, τοῦ θεοῦ

terram mutauit Chananæa: quam & ipse habitauit,& posteris reliquit:vir sapiens ex æquo & eloquens,& in coniectando sagax. Cúmque ob virtutem eximiam sapiens esset præ cunctis habitus, ausus est vulgo receptam de Deo persuasionem conuellere,& in melius vertere. Ergo primus omnium clara voce prædicauit, vnum esse Deum rerũ vniuersitatis conditorem: de cætero si quid ad felicitatem conferat, non nostris nobis viribus, sed illius voluntate contingere. Hoc verò ex terræ ac maris obseruatione colligebat, tum eorum quæ circa solem ac lunam & reliqua sidera videbat accidere: esse nimirum potentiam quandam quæ horum curam gerat,& omnia decenter administret, qua cessante nihil nostris vtilitatibus seruiturum, cùm nihil suapte virtute polleat, sed vniuersa omnipotenti ipsius voluntati obsecundent. quapropter huic vni honorem deberi, huic gratias agi oportere. Quamobrem cùm Chaldæi Mesopotamitæque cæteri contra se insurgerent, consilium migrandi cœpit, & voluntate ac fauore Dei fretus terram Chananæam tenuit: vbi sedibus positis Deo struxit aram, & hostias mactauit. Meminit autem patris nostri Abrahami Berosus quoque, non tamen eum nominans, his verbis: Post diluuium autem decima ætate apud Chaldæos erat quidam iustitiæ cultor, vir magnus, & sideralis scientiæ peritus. Hecatæus verò non meminit tantum obiter, sed libro in hoc conscripto res eius posteritati tradidit. Nicolaus autem Damascenus in quarto historiarum sic scribit: Abrahamus regnauit apud Damascum aduena, vt qui cum exercitu venerat è regione supra Babylonem sita, quæ Chaldæorum dicitur. nec ita multò pòst hinc quoque migrans cum suo populo, sedem transtulit in terram tunc Chananæam, nunc verò Iudæam nominatam: eiúsque posteritas ibi creuit in ingentem numerum, quorum res alibi sum narraturus. Abrahami verò nomen etiam nunc est apud Damascenos celebre,& vicus ostenditur, quem vocant Abrahami domicilium.

CAP. IX.

Quòd fame Chananæam premente, Abrahamus in Ægyptum est profectus: & ibi aliquantisper commoratus, retro vnde venerat est reuersus.

Gen.12.13. FAme deinde Chananæam terram inuadente, Abrahamus audita Ægypti vbertate, proficisci illuc decreuit, tum vt copiis eorum frueretur, tum vt sententiam sacerdotum de diuinitate cognosceret: aut secuturus illorum opinionem si modo melior esset, aut ipse rectiora eis commonstraturus. Cæterùm cùm & Saram secum duceret, veritus Ægyptiorum libidinem, ne fortè ob excellentem vxoris formam à rege interimeretur, artem commentus est talem. Fratrem eius se finxit, monita prius, vt ob præsentem necessitatem simulationi suæ subseruiat. Vt autem ventum est in Ægyptum, id quod suspicatus fuerat euenit:

A κελεύσαντος εἰς τὴν χαναναίαν μετελθεῖν. ἐν ᾗ καὶ κατῴκησε, καὶ τοῖς ἀπογόνοις κατέλιπε, δεινὸς ὢν συνιέναι τε περὶ πάντων, καὶ πιθανὸς τοῖς ἀκροωμένοις περί τε ὧν εἰκάσειεν οὐ διαμαρτάνων. διὰ τοῦτο καὶ φρονεῖν ἐπ' ἀρετῇ μείζω τῶν ἄλλων ἠργμένος, καὶ τὴν περὶ τοῦ θεοῦ δόξαν ἣν ἅπασι συνέβαινεν εἶναι, καινίσαι καὶ μεταβαλεῖν ἔγνω. πρῶτος οὖν τολμᾷ θεὸν ἀποφήνασθαι δημιουργὸν τῶν ὅλων ἕνα. τῶν δὲ λοιπῶν, εἰ καί τι πρὸς εὐδαιμονίαν συντελεῖ, κατὰ προσταγὴν τὴν τούτου παρέχειν ἕκαστον καὶ οὐ κατ' οἰκείαν ἰσχύν.

B εἴκαζε δὲ ταῦτα, τοῖς γῆς καὶ θαλάττης παθήμασι, τοῖς τε περὶ τὸν ἥλιον καὶ τὴν σελήνην καὶ πᾶσι τοῖς κατ' οὐρανὸν συμβαίνουσι. δυνάμεως γὰρ αὐτοῖς παρούσης καὶ προνοῆσαι τῆς καθ' αὐτοὺς εὐταξίας. ταύτης δὲ ὑστερούντας φανερούς γίνεσθαι μηδ' ὅσα πρὸς τὸ χρησιμώτερον ἡμῖν συνεργοῦσι κατὰ τὴν αὐτῶν ἐξουσίαν, ἀλλὰ κατὰ τὴν τοῦ κελεύοντος ἰσχὺν ὑπουργεῖν, ᾧ καλῶς ἔχει μόνῳ τὴν τιμὴν καὶ τὴν εὐχαριστίαν ἀπονέμειν. δι' ἃ τῶν χαλδαίων τε καὶ τῶν ἄλλων μεσο-

C ποταμιτῶν στασιασάντων πρὸς αὐτὸν, μετοικεῖν δοκιμάσας, κατὰ βούλησιν καὶ βοήθειαν τοῦ θεοῦ, τὴν χαναναίαν ἔσχε γῆν. ἱδρυθεὶς τε αὐτόθι βωμὸν ᾠκοδόμησε, καὶ θυσίαν ἐπέλεσε τῷ θεῷ. μνημονεύει δὲ τοῦ πατρὸς ἡμῶν ἀβράμου βηρωσσὸς, οὐκ ὀνομάζων λέγων οὕτως. μετὰ δὲ τὸν κατακλυσμὸν, δεκάτῃ γενεᾷ, παρὰ χαλδαίοις τις ἦν δίκαιος ἀνὴρ μέγας καὶ τὰ οὐράνια ἔμπειρος. ἑκάταιος δὲ, καὶ τοῦ μνησθῆναι πλέον

D τι πεποίηκεν. βιβλίον γὰρ περὶ αὐτοῦ συνταξάμενος κατέλειπε. νικόλαος δὲ ὁ δαμασκηνὸς ἐν τῇ τετάρτῃ τῶν ἱστοριῶν, λέγει οὕτως. ἀβράμης ἐβασίλευσε δαμασκοῦ ἔπηλυς σὺν στρατῷ ἀφιγμένος ἐκ τῆς γῆς τῆς ὑπὲρ βαβυλῶνος χαλδαίων λεγομένης. μετ' οὐ πολὺν δὲ χρόνον μεταναστὰς καὶ ἀπὸ ταύτης τῆς χώρας σὺν τῷ σφετέρῳ λαῷ, εἰς τὴν τότε μὲν χαναναίαν λεγομένην, νῦν δὲ ἰουδαίαν μετῴκησε, καὶ οἱ ἀπ' ἐκείνου πληθύσαντες, περὶ ὧν ἐν ἑτέρῳ λόγῳ

E διέξειμι τὰ ἱστορούμενα. τοῦ δὲ ἀβράμου ἔτι καὶ νῦν ἐν τῇ δαμασκηνῇ, τὸ ὄνομα δοξάζεται, καὶ κώμη ἀπ' αὐτοῦ δείκνυται, ἀβράμου οἴκησις λεγομένη.

Κεφάλαιον θ'.

ὅτι λιμοῦ τὴν χαναναίαν καταλαβόντος, εἰς αἴγυπτον ἀπῆλθεν, καὶ διατρίψας ἐν αὐτῇ τινὰ χρόνον ὑπέστρεψεν ὀπίσω.

F ΛΙμοῦ δὲ ὕστερον τὴν χαναναίαν καταλαβόντος, ἄβραμος αἰγυπτίους εὐδαιμονεῖν πυθόμενος, διαίρειν πρὸς αὐτοὺς ἦν πρόθυμος, τῆς τε ἀφθονίας τῆς ἐκείνων μεθέξων, καὶ τῶν ἱερέων ἀκροατὴς ἐσόμενος, ὧν λέγοιεν τε περὶ θεῶν. ἢ γὰρ κρείσσοσιν εὑρεθεῖσι κατακολουθήσειν, ἢ μετακοσμήσειν αὐτοὺς ἐπὶ τὸ βέλτιον αὐτὸς ἄμεινον φρονῶν. ἐπαγόμενος δὲ καὶ τὴν σάρραν, καὶ φοβούμενος τὸ πρὸς τὰς γυναῖκας τῶν αἰγυπτίων, μὴ διὰ τὴν εὐμορφίαν τῆς γυναικὸς ὁ βασιλεὺς αὐτὸν ἀνέλῃ, τέχνην ἐπινόησε τοιαύτην. ἀδελφὸς αὐτῆς εἶναι προσεποιήσατο. κἀκείνην ταῦτα ὑποκρίνασθαι, συμφέρειν γὰρ αὐτοῖς, ἐδίδαξεν. ὡς δ' ἧκον εἰς τὴν αἴγυπτον, ἀπέβαινε τῷ ἀβράμῳ καθὼς ἐπινόησε.

τό τε γὰρ κάλλος διεβεβόητο τῆς γυναικὸς αὐτοῦ. διὸ καὶ φαραώθης ὁ βασιλεὺς τῶν αἰγυπτίων, οὐ τοῖς περὶ αὐτῆς λεγομένοις ἀρκεσθεὶς, ἀλλὰ καὶ θεάσασθαι σπουδάσας, οἷός τε ἦν ἅψασθαι τῆς σάῤῥας. ἐμποδίζει δὲ ὁ θεὸς αὐτοῦ τὴν ἀδόκιμον ἐπιθυμίαν, νόσῳ τε καὶ στάσει τῶν πραγμάτων. καὶ πυθομένῳ περὶ ἀπαλλαγῆς, κατὰ μῆνιν θεοῦ τὸ δεινὸν αὐτῷ παρεῖναι ἀπεσήμαινον οἱ ἱερεῖς, ἐφ᾽ οἷς ἠθέλησεν ἐνυβρίσαι τοῦ ξένου τὴν γυναῖκα. ὁ δὲ φοβηθεὶς, περὶ τὴν σάῤῥαν τίς εἴη καὶ τίνα τοῦτον ἐπαγάγοιτο ἠρώτα. πυθόμενος δὲ τὴν ἀλήθειαν, ἀπεδέχετο παρῃτεῖτο. νομίζων γὰρ ἀδελφὴν ἀλλ᾽ οὐ γυναῖκα αὐτοῦ σπουδάσαι περὶ αὐτὴν συγγένειαν ποιήσασθαι βουλόμενος, ἀλλ᾽ οὐχ ὑβρίσαι κατ᾽ ἐπιθυμίαν ὡρμημένος. δωρεῖταί τε αὐτὸν πολλοῖς χρήμασι, καὶ συνεῖναι αἰγυπτίων τοῖς λογιωτάτοις, τήν τε ἀρετὴν καὶ τὴν ἐπ᾽ αὐτῇ δόξαν ἐντεῦθεν ἐπιφανεστέραν συνέβη γενέσθαι. τῶν γὰρ αἰγυπτίων διαφόροις ἀρεσκομένων ἔθεσι, καὶ τὰ παρ᾽ ἀλλήλοις ἐκφαυλιζόντων νόμιμα, καὶ διὰ τοῦτο δυσμενῶς ἐχόντων πρὸς ἀλλήλους, συμβαλὼν αὐτῶν ἑκάστοις καὶ διαπτύων τοὺς λόγους, οὓς ἐποιοῦντο περὶ τῶν ἰδίων, κενοὺς καὶ μηδὲν ἔχοντας ἀληθὲς ἀπέφαινε. θαυμασθεὶς οὖν ὑπ᾽ αὐτῶν ἐν ταῖς συνουσίαις ὡς συνετώτατος καὶ δεινὸς ἀνὴρ, οὐ νοῆσαι μόνον, ἀλλὰ καὶ πεῖσαι λέγων περὶ ὧν ἂν ἐπιχειρήσειεν διδάσκειν, τήν τε ἀριθμητικὴν αὐτοῖς χαρίζεται, καὶ τὰ περὶ ἀστρονομίαν παραδίδωσι. πρὸ γὰρ τῆς ἀβράμου παρουσίας εἰς αἴγυπτον οἱ αἰγύπτιοι τούτων εἶχον ἀμαθῶς. ἐκ χαλδαίων γὰρ ταῦτ᾽ ἐπεφοίτησεν εἰς αἴγυπτον, ὅθεν ἀνῆλθεν καὶ εἰς τοὺς ἕλληνας. ὡς δ᾽ εἰς τὴν χαναναίαν ἀφίκετο, μερίζεται πρὸς λῶτον τὴν γῆν. τῶν δὲ ποιμένων αὐτοῖς στασιαζόντων περὶ τῆς χώρας ἐν ᾗ νέμοιεν, τὴν ἐκλογὴν μέντοι καὶ τὴν αἵρεσιν ἐπιτρέπει τῷ λώτῳ. λαβὼν δ᾽ αὐτὸς τὴν ὑπ᾽ ἐκείνου καταλελειμμένην ὑπώρειον ᾤκησεν ἐν τῇ ναβρῷ πόλει. παλαιοτέρα τε ἐστὶν ἔτεσιν ἑπτὰ, πρὸ τάνιδος τῆς αἰγύπτου. λῶτος δὲ τὴν πρὸς τὸ πεδίον κειμένην, καὶ ποταμὸν ἰορδάνην εἶχεν, οὐκ ἄποθεν τῆς σοδομιτῶν πόλεως. ἣ τότε μὲν ἦν ἀγαθὴ, νῦν δὲ ἠφάνισται κατὰ βούλησιν καὶ μῆνιν θεοῦ. τὴν δὲ αἰτίαν, κατὰ χώραν σημανῶ.

Κεφάλαιον ι.

Η τῶν σοδομιτῶν διαφθορὰ, ἀσσυρίων αὐτοῖς ἐπιστρατευσάντων.

Κατ᾽ ἐκεῖνον δὲ τὸν καιρὸν ἀσσυρίων κρατούντων τῆς ἀσίας σοδομίταις ἤνθει τὰ πράγματα, εἴς τε πλοῦτον ἐπιδεδωκότων αὐτῶν καὶ νεότητα πολλήν. βασιλεῖς τε αὐτοῖς διεῖπον πέντε τὴν χώραν, Βαλλὰς, βαρεὰς, σενάβαρος, καὶ συμόβορος, ὅτε βαλεῖν. βασιλικῆς μοίρας δὲ ἦρχον ἕκαστος ἰδίας. ἐπὶ τούτους στρατεύσαντες ἀσσύριοι. καὶ μέρη τέσσαρα ποιήσαντες τῆς στρατιᾶς ἐπολιόρκουν αὐτούς. στρατιᾶς δ᾽ ἑκάστης ἦν εἷς ἐπιτεταγμένος. γενομένης δὲ μάχης, νικήσαντες οἱ ἀσσύριοι φόρον ἐπιτάττουσι τοῖς σοδομιτῶν βασιλεῦσι. δώδεκα μὲν οὖν ἔτη δουλεύοντες καὶ τοὺς ἐπιταχθέντας αὐτοῖς φόρους τελοῦντες, ὑπέμειναν. τῷ δὲ τρισκαιδεκάτῳ ἀπέστασαν. καὶ διαβαίνει στρατὸς ἀσσυρίων ἐπ᾽ αὐτούς. στρατηγούντων μαρφάδου, ἀριόχου, χοδολλογομόρου, θαργάλου. οὗτοι τήν τε συρίαν ἅπασαν διηρπάσαντο, καὶ τοὺς τῶν γιγάντων ἀπογόνους κατεστρέψαντο. γενόμενοι δὲ κατὰ σόδομα,

iam enim coniugis pulchritudinem fama diuulgauerat. quamobrem Pharaotes gentis rex audita oculis suis cognoscere, ac muliere etiam potiri concupiuit. Huic malæ libidini Deus obstitit, pestilentia & seditione res regis infestans: consultíque de remedio sacerdotes, quóve modo placandum esset numen, hanc mali causam responderunt, quòd hospitis matrimonio iniuriam inferre parauisset. Rex territus primum scitatur, quænam sit quísve eius comes. cognita deinde rei veritate, Abrahamo satisfecit: sororem se putasse non vxorem, & affinitatem contrahere, non iniuriam inferre, voluisse: donatóque magna pecunia, potestatem fecit congrediendi cum præstantissimo quoque Ægyptiorum ac doctissimo: quo factum est vt virtutis nomine in maximam existimationem veniret. nam cùm ea gens in diuersos ritus & opiniones scinderetur, & per mutuum contemptum atque insectationem infensis inter se animis agerent, collisos inter se eorum de religione sermones & à seipsis confutatos vanissimos esse nihílque prorsus veritatis habere declarauit: ob has dissertationes in precio habitus, vt qui magnam tam intelligendi, quàm eloquendi docendíque facultatem præ se ferret, & numerorum scientiam & de siderum benignè illis communicauit. nam ante Abrahami ad se aduentum Ægyptij rudes erant huiusmodi disciplinarũ: quæ à Chaldæis ad Ægyptios profectæ, hinc ad Græcos tandem peruenerũt. Reuersus inde in Chananæam, agros cum Loto diuisit. orta verò inter opiliones contentione de iure ac terminis pascuorum, arbitrium & optionem Loto permisit: ipse contentus relicta sibi portione agri submontani, domicilium elegit in oppido Hebrone. id septem annis est antiquius quàm vrbs Ægypti Tanis. Loto verò campi cesserũt, & planicies Iordani fluuio contigua, non longè à Sodomorum vrbe: quæ tũc bona & magna, nunc diuina vltione ac ira, vt ne vestigium quidem supersit, est deleta: cuius rei causa mox suo loco dicetur.

Cap. X.

Sodomitarum clades ab Assyriis accepta.

Eodem tempore cum Imperium Asiæ penes Assyrios esset, & Sodomitarum res tam opibus quàm numerosa iuuentute florebant, vt à quinque regibus administrarentur. hi erant Ballas, Bareas, Senabarus, Symoborus & Balin, suo quisq. regno præpositus. Hos Assyrij bello petierunt, diuisísque quadrifariam copiis sub quatuor imperatoribus, regionem illorum oppugnabant, commisso tandẽ prælio victores Assyrij Sodomitarum regibus tributũ imperauerunt. cúmque per duodecim annos imperata fecissent, & tributa soluissent, decimotertio defecerunt: quo factum est vt noua in eos Assyriorũ expeditio fieret, ductu & auspiciis Marphedis, Ariochi, Chodollogomori, & Thargali. Hi & Syriã vniuersã rapinis vastauerũt & gigãtũ posteros perdomuerunt. cúmq. in agrũ Sodomorũ esset ventum,

Gen. 14.

castrametati sunt in valle puteorum bituminis. tūc enim putei fuerant in eo loco: mox verò Sodomis deletis, lacus ibi, quem à scatēti bitumine Asphaltitem dixere, repente extitit. eo de lacu paulo post dicemus. cæterum Sodomitæ cū Assyriis congressi, post egregiam pugnam editam, partim in acie ceciderunt, partim deditionem fecerunt, cum quibus & Lotus captiuus est abductus, qui Sodomitis in auxilium venerat.

Cap. XI.

Quomodo Abrahamus Assyrios aggressus tam captiuos quàm reliquam prædam victor reduxit.

Genes. 14.

His auditis Abrahamus, tum Loti cognati, tum Sodomitarum amicorum ac vicinorum clade commotus, nil cunctatus in succursum eorum cum suis properauit: & quinta nocte hostem assecutus circa Danum (hoc alteri Iordanis fontium est nomen) oppressum ex improuiso facile superauit. Securi enim & incauti partim in cubilib. inermes sunt cæsi, partim præ temulentia pugnæ inutiles in fugam se conuerterunt, quos Abrahamus acriter à tergo sequenti quoque luce perurgens ad Soba Damascenorum compulit. Quo facto nemini dubium reliquit, victoriam non in multitudine militum, sed in bellatorum alacritate consistere, & virtutem nulli numero succumbere, vt qui cum domestica tricenaria cohorte, & insuper decemocto vernaculis, triúmque amicorum auxiliis tantū exercitum profligauerit, quotquot autem ex hac clade euadere contigit, cum ignominia domum se receperunt. Abrahamus verò captiuis incolumibus reductis, parta pace victor ad suos rediit. redeunti rex Sodomitarum vsque in locum quem Campum regium vocant, gratulabundus occurrit: vbi à Solymæ vrbis rege Melchisedeco est exceptꝰ. id nomen interpretatur, rex iustus. erat enim reuera talis, omnium consensu sacerdotio summi Dei ob iustitiam dignus habitus. Sed Solyma posterior ætas vocauit Hierosolyma. Hic Melchisedecus milites Abrahami hospitaliter habuit, nihil eis ad victum deesse passus: simúlque ipsum adhibitum mensæ meritis laudibus extulit, & Deo cuius fauore victoria contigerat, debitos hymnos vt sua pietate dignum erat cecinit. Abrahamus contra de manubiis decimas ei dono dedit. Rex verò Sodomorum Abrahamo prædam omnem cedens solos captiuos suæ regionis reposcebat. hanc conditionem ille non accepit, negans ad se quicquam inde rediturum, exceptis alimentis militum: amicis tantum in prædæ partem admissis. hi erant Eschol, Ennerus, & Mambres. Hac viri virtute delectatus Deus: Non carebis, inquit, præmio quod pro tot reb. egregiè gestis tibi debetur. Quo respōdente, Et quā voluptatem ista præmia mihi afferre poterunt, cum hærede caream, (nondū.n. pater factus erat) tum Deus & filiū illi est pollicitus, & posteritatē ex eo tantā, quæ stellas cæli posset æquare

στρατοπεδεύουσι κατὰ τὴν κοιλάδα τὴν λεγομένην φρέατα ἀσφάλτου. κατ' ἐκεῖνον γὰρ τὸν καιρὸν φρέατα ἦν ἐν τῷ τόπῳ, νῦν μέντοι τῆς Σοδομιτῶν πόλεως ἀφανισθείσης, ἡ κοιλὰς ἐκείνη λίμνη γέγονεν, ἡ λεγομένη ἀσφαλτῖτις. περὶ μὲν οὖν τῆς λίμνης ταύτης, μετ' οὐ πολὺ δηλώσομεν. τῶν δὲ Σοδομιτῶν συμβαλόντων τοῖς ἀσσυρίοις καὶ καρτερᾶς τῆς μάχης γινομένης, πολλοὶ μὲν αὐτῶν ἀπέθανον, οἱ λοιποὶ δὲ ᾐχμαλωτίσθησαν, σὺν οἷς καὶ Λῶτος ἤγετο, τοῖς Σοδομίταις σύμμαχος ἐληλυθώς.

Κεφάλαιον ια'.

Ὡς ἅβραμος ἐπὶ τοῖς ἀσσυρίοις ἐπιστρατεύσας ἐνίκησεν, καὶ τούς τε αἰχμαλώτους τῶν Σοδομιτῶν ἔσωσεν, καὶ τὴν λείαν ἣν ἔλαβον ἀφείλετο.

Ἅβραμος δὲ ἀκούσας τὴν συμφορὰν αὐτῶν, φόβος τε ἅμα περὶ Λώτου συγγενοῦς ὄντος εἰσῆλθε, καὶ οἶκτος περὶ τῶν Σοδομιτῶν φίλων ὄντων καὶ γειτνιώντων, καὶ βοηθεῖν αὐτοῖς δοκιμάσας, οὐκ ἀνέμεινεν. ἀλλ' ἐπειχθεὶς καὶ κατὰ πέμπτην ἐπιπεσὼν νύκτα τοῖς ἀσσυρίοις περὶ Δᾶνον, οὕτως γὰρ ἡ ἑτέρα τοῦ Ἰορδάνου προσαγορεύεται πηγή, καὶ φθάσας πρὶν ἐν ὅπλοις γενέσθαι, τοὺς μὲν ἐν ταῖς κοίταις ὄντας ἀπέκτεινε, μηδ' ἐπίνοιαν τῆς συμφορᾶς ἔχοντας, οἱ δὲ μήπω πρὸς ὕπνον τετραμμένοι, μάχεσθαι δ' ὑπὸ μέθης ἀδύνατοι ἔφυγον. ἅβραμος δὲ διώκων εἵπετο, μέχρι καὶ δευτεραίους συνήλασεν αὐτοὺς εἰς Σωβὰ τῆς Δαμασκηνῶν γῆς. ἐπιδείξας, ὅτι τὸ νικᾶν οὐκ ἐν τῷ πλήθει καὶ τῇ πολυχειρίᾳ κεῖσθαι συμβέβηκεν, ἀλλὰ προθυμίᾳ τῶν μαχομένων, καὶ τὸ γενναῖον κρατεῖ παντὸς ἀριθμοῦ, τριακοσίοις καὶ δέκα καὶ ὀκτὼ οἰκέταις αὐτοῦ καὶ τρισὶ φίλοις, τοσούτου στρατοῦ περιγενόμενος. ὁπόσοι δὲ αὐτῶν καὶ διέφυγον, ἀδόξως ἀνέστρεψαν. ἅβραμος δὲ τοὺς Σοδομιτῶν σώσας αἰχμαλώτους οἳ ληφθέντες ἔτυχον ὑπὸ ἀσσυρίων, καὶ τὸν συγγενῆ Λῶτον, ἀνέζευξεν μετ' εἰρήνης. ἀπήντησε δὲ αὐτῷ ὁ τῶν Σοδομιτῶν βασιλεύς, εἰς τόπον τινὰ ὃν καλοῦσι πεδίον βασιλικόν. ἔνθα ὁ τῆς Σόλυμα πόλεως ὑποδέχεται βασιλεὺς αὐτὸν Μελχισεδέκης. σημαίνει δὲ τοῦτο βασιλεὺς δίκαιος. καὶ ἦν δὲ τοιοῦτος ὁμολογουμένως, διὰ ταύτην αὐτοῦ τὴν αἰτίαν, καὶ ἱερεὺς γενέσθαι τοῦ θεοῦ. τὴν μέντοι Σόλυμα, ὕστερον ἐκάλεσαν Ἱεροσόλυμα. ἐχορήγησε δὲ οὗτος ὁ Μελχισεδέκης τῷ ἀβράμου στρατῷ ξένια, καὶ πολλὴν ἀφθονίαν τῶν ἐπιτηδείων παρέσχε. καὶ παρὰ τὴν εὐωχίαν αὐτόν τε ἐπαινεῖν ἤρξατο, καὶ τὸν θεὸν εὐλογεῖν, ὑποχειρίους αὐτῷ ποιήσαντα τοὺς ἐχθρούς. ἀβράμου δὲ διδόντος καὶ τὴν δεκάτην τῆς λείας, αὐτῷ προσδέχεται τὴν δόσιν. ὁ δὲ τῶν Σοδομιτῶν βασιλεύς, τὴν μὲν λείαν ἔχειν ἅβραμον παρεκάλει, τοὺς δὲ ἀνθρώπους ἀπολαβεῖν ἠξίου, οὓς παρὰ τῶν ἀσσυρίων ἔσωσεν οἰκείους ὄντας. ἅβραμος δέ, οὐκ ἔφη τοῦτο ποιήσειν, οὐδ' ἂν ἄλλην ὠφέλειαν ἐκ τῆς λείας ἐκείνης εἰς αὐτὸν ἥξειν, πλὴν ὅσα τροφὴ τοῖς οἰκέταις αὐτοῦ γένοιτο. μοῖραν μέντοι τινὰ τοῖς φίλοις αὐτοῦ παρέχων τοῖς συστρατευσαμένοις. Ἔσχωλ δὲ ὁ πρῶτος ἐκαλεῖτο, καὶ Ἔννηρος, καὶ Μαβρῆς. ἐπαινέσας δὲ αὐτοῦ τὴν ἀρετὴν ὁ θεός. ἀλλ' οὐκ ἀπολεῖς φησι μισθοὺς οὓς ἄξιόν ἐστιν ἐπὶ τοιαύταις εὐπραγίαις κομίζεσθαι. τοῦ δὲ ὑπολαβόντος, καὶ τίς ἂν εἴη χάρις τούτων τῶν μισθῶν, οὐκ ὄντων οἳ διαδέξονται μετ' αὐτόν, ἔτι γὰρ ἦν ἄπαις, ὁ θεὸς καὶ παῖδα αὐτῷ γενήσεσθαι καταγγέλλει, καὶ πολλὴν ἐξ ἐκείνου γενεὰν ὡς παραπλησίαν αὐτὴν τοῖς ἄστροις ἔσεσθαι τὸν ἀριθμόν.

καὶ ὁ μὲν ταῦτα ἀκούσας, θυσίαν προσφέρει τῷ θεῷ κελευσθεὶς ὑπ' αὐτοῦ. ἦν δ' ὁ τρόπος τῆς θυσίας τοιοῦτος. δάμαλιν τριετίζουσαν, καὶ αἶγα τριετίζουσαν, καὶ κριὸν ὁμοίως τριετῆ, καὶ τρυγόνα καὶ περιστερὰν, κελεύσαντος διεῖλε τῶν ὀρνέων οὐδὲν διελών. εἶτα πρὶν στῆναι τὸν βωμὸν, οἰωνῶν ἐφιπταμένων, ἐπιθυμίᾳ τοῦ αἵματος, φωνὴ θεία παρῆν, ἀποσημαίνουσα πονηροὺς αὐτοῦ τοῖς ἐκγόνοις γείτονας ἐπὶ ἔτη τετρακόσια γενησομένους κατὰ τὴν αἴγυπτον, ἐν οἷς κακοπαθήσαντας περιέσεσθαι τῶν ἐχθρῶν, καὶ κρατήσαντας πολέμῳ χαναναίων, ἕξειν αὐτοὺς τὴν γῆν καὶ τὰς πόλεις. ἄβραμος μὲν κατῴκει περὶ τὴν ὠγύγην καλουμένην δρῦν. ἔστι δὲ τῆς χαναναίας τὸ χωρίον, οὐ πόρρω τῆς ἑβρωνίων πόλεως. δυσφορῶν δ' ἐπὶ γυναικὶ μὴ κυούσῃ, ἱκετεύει τὸν θεὸν γονὴν αὐτῷ παιδὸς ἄρρενος παρασχεῖν. τοῦ θεοῦ δὲ θαρσεῖν αὐτὸν παρακελευομένου, τοῖς τε ἄλλοις ἅπασιν ὡς ἐπ' ἀγαθοῖς αὐτὸν ἀπὸ τῆς μεσοποταμίας ἠγμένον, καὶ παίδων ἐσομένων, σάρρα τοῦ θεοῦ κελεύσαντος ἐπικλίνει μίαν τῶν θεραπαινίδων ἀγάρην ὄνομα, γένος οὖσαν αἰγυπτίαν, ὡς ἐξ αὐτῆς παιδοποιησομένῳ. καὶ γενομένη ἐγκύμων ἡ θεράπαινα, ἐξυβρίζειν εἰς τὴν σάρραν ἐτόλμησε βασιλίζουσα, ὡς τῆς ἡγεμονίας περιστησομένης εἰς τὸν ὑπ' αὐτῆς τεχθησόμενον. ἀβράμου δὲ αὐτὴν πρὸς αἰκίαν παραδιδόντος τῇ σάρρᾳ, δρασμὸν ἐπενόησεν, οὐχ ὑπομένουσα τὰς ταλαιπωρίας. καὶ τὸν θεὸν ἱκέτευεν οἶκτον αὐτῆς λαβεῖν. ὑπαντιάζει δὲ διὰ τῆς ἐρήμου προϊοῦσαν αὐτὴν ἄγγελος, κελεύων πρὸς τοὺς δεσπότας ἐπανιέναι. βίου γὰρ μείζονος τεύξεσθαι σωφρονοῦσαν. καὶ γὰρ νῦν εἰς τὴν δέσποιναν ἀγνώμονα καὶ αὐθάδη γενομένην, ἐν τούτοις εἶναι τοῖς κακοῖς. παρακούσασαν μὲν οὖν τοῦ θεοῦ, καὶ προσωτέρω χωροῦσαν, ἔλεγεν ἀπολεῖσθαι. νοστήσασαν δὲ αὐτὴν ὀπίσω, γενήσεσθαι μητέρα παιδὸς τῆς γῆς ἐκείνης βασιλεύσοντος. τούτοις πείθεται, καὶ ἐπανελθοῦσα πρὸς τοὺς δεσπότας, συγγνώμης ἔτυχε. τίκτει δὲ μετ' οὐ πολὺ ἰσμάηλον, θεόκλυτον ἄν τις εἴποι, διὰ τὸ εἰσακοῦσαι τὸν θεὸν τῆς ἱκεσίας. ἀβράμῳ μὲν οὖν ἕκτον ἤδη καὶ ὀγδοηκοστὸν ἔτος γεγονότι, ὁ προειρημένος ἐγεννήθη. εἰς ἔνατον δ' αὐτῷ, καὶ ἐνενηκοστὸν παρελθόντι ἐπιφανεὶς ὁ θεὸς, ἀπήγγελεν ὡς παῖς αὐτῷ ἐκ σάρρας ἔσοιτο. κελεύει δὲ αὐτὸν καλέσαι ἴσακον, δηλῶν ἐσόμενα ἔθνη μεγάλα ἀπ' αὐτοῦ καὶ βασιλεῖς, καὶ ὅτι πολεμήσαντες, καθέξουσι τὴν χαναναίαν ἅπασαν ἀπὸ σιδῶνος μέχρις αἰγύπτου. προσέταξε δὲ τὸ ἀπ' αὐτοῦ γένος, βουλόμενος μένειν τοῖς ἄλλοις μὴ συμφυρόμενον, περιτέμνεσθαι τὰ αἰδοῖα, καὶ τοῦτο ποιεῖν ὀγδόῃ ἡμέρᾳ μετὰ τὸ γεννηθῆναι. τὴν αἰτίαν δὲ τῆς περιτομῆς ἡμῶν ἐν ἄλλοις δηλώσω. πυθομένῳ δὲ ἀβράμῳ καὶ περὶ τοῦ ἰσμαήλου εἰ ζήσεται, πολυχρόνιον τε ἀπεσήμαινεν ὁ θεὸς, καὶ μεγάλων ἐθνῶν πατέρα. καὶ ἄβραμος μὲν ἐπὶ τούτοις εὐχαριστήσας τῷ θεῷ, περιτέμνεται παραχρῆμα, καὶ πάντες οἱ παρ' αὐτοῦ, καὶ ὁ παῖς ἰσμάηλος, οὗ κατ' ἐκείνην τὴν ἡμέραν τρισκαιδέκατον ἔτος ἔχοντος, αὐτὸς ἐνενηκοστὸν πρὸς τοῖς ἐννέα διῆγεν.

Κεφάλαιον ιβ΄.

Πῶς τὸ σοδομιτῶν ἔθνος ὁ θεὸς κατεστρέψατο, χολωθεὶς αὐτοῖς οἷς ἡμάρτανον.

ΥΠὸ δὴ τοῦτον τὸν καιρὸν οἱ σοδομῖται πλούτῳ καὶ μεγέθει χρημάτων ὑπερφρονοῦντες εἴς τε ἀνθρώπους ἦσαν ὑβρισταὶ, καὶ πρὸς τὸ θεῖον ἀσεβεῖς, ὡς μηκέτι μεμνῆσθαι τῶν παρ' αὐτοῦ γενο-

numero. His auditis lætus sacrificiū Deo iussu ipsi⁹ obtulit. Porrò sacrificij rit⁹ erat hic: mactata iuuēca trienni, capra trienni, ariete item trienni, cæteras victimas vt iussus fuerat diuisit, solis auibus exceptis. deinde priusquam erigeretur ara aduolantibus alitibus ad victimarum cruorem, oraculū redditur, prænuncians progeniem eius malos vicinos per annos cccc. in Ægypto habituram: quo tempore grauiter afflictos, victoriam tamen de inimicis reportaturos, deuictisque Chananęis regionem eorum & vrbes occupaturos. Habitabat tum Abrahamus circa quercum quæ vocabatur Ogis. id agri nomen erat non longè ab vrbe Hebrone. Cæterùm ægrè ferens coniugis sterilitatem, supplex à Deo petiit vt prolem sibi masculam largiretur. Tū Deus de cætero quoque bene sperare illum iussit, vt qui non temerè Mesopotamiam reliquisset, atque insuper liberos ei non defuturos promisit. ibi Sara Dei monitu in thalamum eius adducit vnam famularum nomine Agaren, Ægyptiā genere, quo liberos sibi ex ea quæreret. & cùm vterum se gerere sensisset famula, cœpit contemptim habere Saram, ad principatum aspirās, quasi ad prolem suam dominatio peruentura esset. quapropter cùm Abrahamus vxori eam ad pœnā dedidisset, decreuit fugere nō ferens afflictionem: Deúmq. rogabat vt sui misereretur. Itaq. per desertū abeūti occurrit angelus iubēs vt ad dominos reuerteretur, fore. n. eā meliore cōditione, modo se modestè gerat, nūc enim ingratitudinis ac arrogantiæ pœnam luere: quòd si contemptis Dei iussis vlterius pergeret, præsens exitium eam manere aiebat. sin retro rediret, matrē futuram pueri, qui tandem regno eius regionis esset potiturus. Paruit famula, & reuersa ad dominos, veniam est consecuta: nec ita multo post Ismahelem peperit, ac si dicas exoratum, eò quòd Deus preces matris exaudierit: hunc Abrahamus sextum supra octogesimum annum natus genuit: cùm autem nonagesimum nonum attigisset, apparuit ei Deus, nuncians quòd è Sara suscepturus esset filium. eum iussit vocari Isacum, addens prodituras ex eo gentes magnas & reges: easque iure belli occupaturas vniuersam Chananæam à Sidone vsque Ægyptum. Iussit etiam genus ipsius, quod nolebat cum aliis permixtum, pudenda circuncidi, idque octaua die natiuitatis. causam verò nostræ circuncisionis dicam alibi. Consulente verò Abrahamo & de Ismahele, an esset victurus, responsum est, fore longæuum simul & multarum gentium parentem. Tum Abrahamus posteaquàm Deo gratias egisset, e vestigio circuncisus est cum tota familia, similiter & Ismahel, annum tunc agens decimum tertium: ipse verò pater nonum iam agebat supra nonagesimum.

Genes. 16.

Genes. 17.

Cap. XII.

Quomodo Deus Sodomitarum gentem excidit flagitiis eorum offensus.

Gen. 18. 19.

PEr idem tempus Sodomitæ diuitiis & abundātia pecuniarum elati tā in homines contumeliosi erant, quàm erga Deum impij: quippe qui ne-

que beneficiorum eius meminerant, & hospites a- A
uersabantur: denique mutuis etiam libidinibus sese incestabant. His rebus offensus Deus decreuit superbiæ pœnas de illis sumere, & regionem eorũ adeo vastam reddere, vt posthac nec plantas nec fructum vllum produceret. His ita decretis de Sodomis, Abrahamus conspicatus tres angelos (sedebat enim ad quercum Mambræ pro foribus domicilij sui) ratus esse hospites, assurgens salutauit eos, rogauitque vt ad se diuertentes fruerentur hospitio. illis verò annuentibus iubet panes ex simila B fieri, & mactatum vitulum ac assatum sub quercu discumbentibus apposuit. at illi visi sunt ei comedere, & de vxore quærebant, vbinam esset Sara. quo referente, intus eam esse; aiunt se aliquanto post reuersuros, eámque inuenturos iam matrem. muliere autem arridente, & negante fieri posse vt liberos gigneret ipsa nonagenaria, è marito centesimum annum agente: non sustinuerunt amplius simulare: sed fassi sunt se Dei esse angelos: & quòd missi essent, vnus nunciatum de filio, duo verò ad delendos C Sodomitas. Quo audito Abrahamus indoluit propter Sodomitas, & surgens deprecatus est Deum ne promiscuè iustos cum iniustis perderet. Deo verò negante quenquam Sodomitarum esse bonum, alioqui si vel decem inter eos essent, omnibus remissurum fuisse pœnam, Abrahamus destitit, angeli verò peruenerunt Sodoma. ciues autem cùm vidissent adolescentes forma præstantes ad Lotum diuertisse, ad illudendum per vim ætati eorum sunt versi. Loto verò suadente continerent se, néve in D probrum hospitum ruerent, sed hospitio suo nonnihil honoris haberent: aut si temperare sibi non quirent, filias se pro illis eorum libidini exhibiturum: ne sic quidem parere voluerunt. Deus autem illorum audacia commotus ad iram, ipsos quidem excæcauit, ne in ædes introitum inuenire possent. cæterum Sodomitarum populum vniuersum ad supplicium adiudicauit. Lotus autem ab ipso præmonitus de futuro excidio, discessit inde, assumpta etiam vxore & duabus filiabus etiam tum innu- E ptis. sponsi enim earum monentem de exeundo cõtempserant vt delirum qui talia diceret. Tum Deus iaculatur telum in vrbem, eámque cum ipsis incolis exurit, & agrum quoque pari deuastat incendio, quemadmodum mihi iam dictum est in commentariis quos de bello Iudaico prodidi. Cæterum Loti vxor inter abeundum subinde ad vrbem respiciens, & curiosius cladem hanc contra mandatum Dei spectans, in statuam salis est versa. dictum est mihi iam & de illa: nam extat hodie quoque: ipse F verò cum filiabus in paruum quoddam rus euasit, cui soli ignis omnia circumquaque vastans pepercit. id Zoor nunc vsque vocatur, sic paruum Hebræorum lingua significãte. In hac solicitudine vitam inopẽ aliquantisper tolerauit. puellæ verò vniuersum genus humanum extinctum ratæ, astu circumuento parente, cum inscio sunt congressæ, curantes ne totum genus deficeret. ex hoc congressu nati sũt filij: maiori Moabus, quasi dicas è patre: iu-

A μένων ὠφελειῶν. εἶναί τε μισόξενοι, καὶ τὰς πρὸς ἀλλήλοις ὁμιλίας ἐκτρέπεσθαι. χαλεπήνας οὖν ἐπὶ τούτοις ὁ θεός, ἔγνω τιμωρήσασθαι τῆς ὑπερηφανίας αὐτούς, καὶ τήν τε πόλιν αὐτῶν κατασκάψασθαι, καὶ τὴν χώραν οὕτως ἀφανίσαι, ὡς μήτε φυτὸν ἔτι, μήτε καρπὸν ἕτερον ἐξ αὐτῆς ἀναδοθῆναι. ταῦτα τοῦ θεοῦ κρίναντος περὶ τῶν σοδομιτῶν, ἄβραμος θεασάμενος τρεῖς ἀγγέλους, ἐκάθητο δὲ πρὸς τῇ δρυῒ τῇ μαμβρῇ παρὰ τῇ θύρᾳ τῆς αὐτοῦ αὐλῆς, καὶ νομίσας εἶναι ξένους, ἠσπάσατό τε ἀναστάς, καὶ παρ' αὐτῷ καταχθέντας παρεκάλει ξενίων μεταλαβεῖν. B ἐπινευσάντων δέ, ἄρτους τε προσέταξεν ἐκ σεμιδάλεως γενέσθαι, καὶ μόσχον θύσας, καὶ ὀπτήσας, ἐκόμισεν αὐτοῖς πρὸς τῇ δρυῒ κατακειμένοις. οἱ δέ, δόξαν αὐτῷ παρέχον ἐσθιόντων. ἔτι καὶ περὶ τῆς γυναικὸς ἐπυνθάνοντο, ποῖ ποτ' εἴη τυγχάνουσα ἡ σάῤῥα. τοῦ δὲ εἰπόντος ἔνδον εἶναι, ἥξειν ἔφασαν εἰς τὸ μέλλον, καὶ εὑρήσειν αὐτὴν ἤδη μητέρα C γεγενημένην. τῆς δὲ γυναικὸς ἐν τούτῳ μειδιασάσης, καὶ ἀδύνατον εἶναι τὴν τεκνοποιΐαν εἰπούσης, αὐτῆς μὲν ἐνενήκοντα ἔτη ἐχούσης, τοῦ δ' ἀνδρὸς ἑκατόν, οὐκέτι κατέσχον λανθάνοντες, ἀλλ' ἐμήνυσαν ἑαυτοὺς ὄντας ἀγγέλους τοῦ θεοῦ, καὶ ὅτι πεμφθείη μὲν ὁ εἷς, σημαίνων περὶ τοῦ παιδός, δύο δέ, σοδομίτας καταστρεψόμενοι. ταῦτα ἀκούσας ἄβραμος, ἤλγησεν ἐπὶ τοῖς σοδομίταις, καὶ τὸν θεὸν ἀναστὰς ἱκέτευσε παρακαλῶν, μὴ τοὺς δικαίους καὶ ἀγαθοὺς συναπολλύναι τοῖς πονη- D ροῖς. τοῦ θεοῦ δὲ φήσαντος, μηδένα εἶναι τῶν σοδομιτῶν ἀγαθόν, εἰ γὰρ ἐν αὐτοῖς δέκα εἶεν συγχωρεῖν ἅπασι τὴν ἐπὶ τοῖς ἁμαρτήμασι τιμωρίαν, ὁ μὲν ἄβραμος ἡσύχαζεν. οἱ δὲ ἄγγελοι παρεγένοντο εἰς τὴν τῶν σοδομιτῶν πόλιν. [καὶ ὁ λῶτος αὐτοὺς ἐπὶ ξενίαν παρεκάλει. λίαν γὰρ ἦν περὶ τοὺς ξένους φιλάνθρωπος, καὶ μαθητὴς τῆς τοῦ ἀβράμου χρηστότητος.] οἱ δὲ σοδομῖται, θεασάμενοι τοὺς νεανίσκους εὐπρεπείᾳ τῆς ὄψεως διαφέροντας, καὶ E παρὰ λώτῳ καταχθέντας, ἐπὶ βίαν καὶ ὕβριν αὐτῶν τῆς ὥρας ἐξώρμησαν. τοῦ δὲ λώτου παραινοῦντος σωφρονεῖν, καὶ μὴ χωρεῖν ἐπ' αἰσχύνῃ τῶν ξένων, ἀλλ' ἔχειν αἰδῶ τῆς παρ' αὐτῷ καταγωγῆς, εἰ δὲ ἔχουσιν ἀκρατῶς, τὰς θυγατέρας αὐτοῦ ὑπὲρ ἐκείνων ταῖς ἐπιθυμίαις αὐτῶν λέγοντος παρέξειν, οὐδ' οὕτως ἐπείσθησαν. ὁ δὲ θεὸς ἀγανακτήσας αὐτῶν ἐπὶ τοῖς τολμήμασι, τοὺς μὲν ἠμαύρωσεν, ὡς μὴ δυνηθῆναι τὴν εἴσοδον τὴν εἰς τὴν οἰκίαν εὑρεῖν. σοδομιτῶν δὲ κατέκρινε πάνδη- F μον ὄλεθρον. λῶτος δὲ τοῦ θεοῦ τὴν μέλλουσαν τῶν σοδομιτῶν ἀπώλειαν αὐτῷ φράσαντος, ἀπηλλάσσετο, τήν τε γυναῖκα καὶ τὰς θυγατέρας, δύο δὲ ἦσαν ἔτι παρθένοι ἀναλαβών. οἱ γὰρ μνηστῆρες ὑπερεφρόνησαν τῆς ἐξόδου, εὐήθειαν ἐπικαλοῦντες τοῖς ὑπὸ τοῦ λώτου λεγομένοις. καὶ ὁ θεὸς ἐνσκήπτει βέλος εἰς τὴν πόλιν, καὶ σὺν τοῖς οἰκήτορσι κατεπίμπρα καὶ τὴν γῆν ὁμοίᾳ πυρώσει ἀφανίζει, ὡς μοι καὶ πρότερον λέλεκται τὸν ἰουδαϊκὸν ἀναγράφοντι πόλεμον. ἡ δὲ λώτου γυνὴ παρὰ τὴν ἀναχώρησιν εἰς τὴν πόλιν συνεχῶς ἀναστρεφομένη, καὶ πολυπραγμονοῦσα τὰ περὶ αὐτήν, ἀπηγορευκότος τοῦ θεοῦ τοῦτο ποιεῖν, εἰς στήλην ἁλῶν μετέβαλεν. ἱστόρηκα δ' αὐτήν, ἔτι γὰρ καὶ νῦν διαμένει. διαφεύγει δ' αὐτὸς μετὰ τῶν θυγατέρων εἰς βραχύ τι χωρίον καταφυγών, περιγραφὲν ὑπὸ τοῦ πυρός. ζόωρ ἔτι καὶ νῦν λέγεται. καλοῦσι γὰρ οὕτως ἑβραῖοι τὸ ὀλίγον. ἐνταῦθα ὑπό τε ἀνθρώπων ἐρημίας, καὶ τροφῆς ἀπορίας ταλαιπώρως διῆγεν. αἱ δὲ παρθένοι πᾶν ἠφανίσθαι τὸ ἀνθρώπινον ὑπολαβοῦσαι, τῷ πατρὶ πλησιάζουσι ἐπινοήσασαι λαθεῖν. ἐποίουν δὲ τοῦτο ὑπὲρ τοῦ μὴ γένος ἐκλιπεῖν. γίνονται δὲ παῖδες. ὑπὸ μὲν τῆς πρεσβυτέρας, μώαβος. εἴποι δ' ἄν τις

ἀπὸ

ἀπὸ πατρός. ἀμμανὸν δ' ἡ νεωτέρα ποιεῖται. γένους υἱὸν ἀποσημαίνει τὸ ὄνομα. κτίζει δ' αὐτῶν, ὁ μὲν μωαβίτας μέγιστον ὄντας ἔτι καὶ νῦν ἔθνος. ἀμμανίτας δ' ὁ ἕτερος. συρίας τῆς κοίλης ἐστὶν ἀμφότερα. καὶ λώτῳ μὲν, τοιαύτην συνέβη τὴν ἐκ σοδομιτῶν ἀναχώρησιν γενέσθαι. ἄβραμος δὲ μετῴκησεν εἰς γέραρα τῆς παλαιστίνης, ἐν ἀδελφῆς ἐπαγόμενος σχήματι τὴν σάρραν, ὅμοια τοῖς πρὶν ὑποκρινάμενος διὰ τὸν φόβον. ἐδεδίει γὰρ ἀβιμέλεχον τὸν βασιλέα τῶν ἐπιχωρίων, ὃς καὶ αὐτὸς ἐρασθεὶς τῆς σάρρας, φθείρειν οἷός τε ἦν. εἴργεται δὲ τῆς ἐπιθυμίας ὑπὸ νόσου χαλεπῆς αὐτῷ προσπεσούσης ἐκ θεοῦ, καὶ τῶν ἰατρῶν αὐτὸν ἀπεγνωκότων, ὑπνώσας, ὄναρ ὁρᾷ μηδὲν ὑβρίζειν τὴν τοῦ ξένου γυναῖκα. καὶ ῥᾷον διατεθεὶς, φράζει πρὸς τοὺς φίλους ὡς ὁ θεὸς αὐτῷ ταύτην ἐπαγάγοι τὴν νόσον ὑπὲρ ἐκδικίας τοῦ ξένου, φυλάσσων ἀνύβριστον αὐτοῦ τὴν γυναῖκα. μὴ γὰρ ἀδελφὴν οὖσαν ἐπάγεσθαι, νόμῳ δ' αὐτῷ συνοικοῦσαν. ἐπαγγέλλεταί τε παρέξειν αὐτὸν εὐμενῆ, τὸ λοιπὸν ἀδεοῦς ἐκείνου περὶ τὴν γυναῖκα γενομένου. ταῦτ' εἰπὼν, μεταπέμπεται τὸν ἄβραμον, συμβουλευσάντων τῶν φίλων, καὶ μηδὲν ἔτι περὶ τῆς γυναικὸς αὐτὸν ὡς πεισομένης τι τῶν αἰσχρῶν ἐκέλευσε δεδιέναι. θεὸν γὰρ αὐτοῦ κήδεσθαι, καὶ κατὰ τὴν συμμαχίαν τὴν ἐκείνου μεμενηκυῖαν ἀνύβριστον κομίζεσθαι. τοῦ δὲ θεοῦ μάρτυρος ὄντος καὶ τοῦ τῆς γυναικὸς συνειδότος, ἔλεγε μηδ' ἂν ὀρεχθῆναι τὴν ἀρχὴν εἰ γαμετὴν οὖσαν ἠπίστατο. ὡς δ' ἀδελφὴν ἀγόμενον οὐκ ἀδικεῖν. παρακαλεῖται δὲ πρᾴως ἔχειν πρὸς αὐτὸν, καὶ τὸν θεὸν εὐμενῆ ποιεῖν. παρ' αὐτῷ τε μένειν βουλομένῳ, πᾶσαν ἀφθονίαν ὑπάρξειν. ἀπιέναι τε προαιρούμενον, τεύξεσθαι πομπῆς, καὶ πάντων ὅσων καὶ χρήζων πρὸς αὐτὸν ἀφίκοιτο. τοῦτ' εἰπόντος, ἄβραμος οὔτε τὴν συγγένειαν τῆς γυναικὸς ἐψεῦσθαι ἔλεγεν. ἀδελφοῦ γὰρ αὐτὴν εἶναι παῖδα, καὶ δίχα τῆς τοιαύτης ὑποκρίσεως οὐκ ἀσφαλῆ τὴν ἐπιδημίαν ὑπολαβεῖν. ἔσται τε ἐπὶ τὸ μηδὲν αἴτιος τῆς νόσου γεγονέναι. προθυμηθῆναι δ' αὐτοῦ περὶ τὴν σωτηρίαν ἑτοίμως ἔφασκεν ἔχειν, καὶ παρ' αὐτῷ μένειν. καὶ ἀβιμέλεχος τήν τε γῆν πρὸς αὐτὸν νέμεται καὶ τὰ χρήματα, καὶ συντίθεται ἀδόλως πολιτεύεσθαι, ἐπί τινος φρέατος ποιούμενος τὸν ὅρκον, ὃ βηρσουβαὶ καλοῦσιν. ὅρκιον δὲ φρέαρ λέγοιτο ἄν. οὕτω δ' ἔτι καὶ νῦν ὑπὸ τῶν ἐπιχωρίων ὠνόμασται. γίνεται δὲ ἀβράμῳ μετ' οὐ πολὺ καὶ παῖς ἐκ σάρρας, ὡς αὐτῷ ὑπὸ τοῦ θεοῦ προείρηται. ὃν ἴσακον ὠνόμασε. τοῦτο γέλωτα σημαίνει. διὰ μέντοι τὸ τὴν σάρραν μειδιάσαι τέξεσθαι φήσαντος αὐτὴν τοῦ θεοῦ, μὴ προσδοκῶσαν ἤδη τόκον πρεσβυτέραν οὖσαν, τὸν υἱὸν οὕτως ἐκάλεσεν. αὕτη μὲν γὰρ ἐνενήκοντα εἶχεν ἔτη. ἑκατὸν δὲ ἄβραμος. τίκτεται δὲ παῖς ἑκατέρων τῷ ὑστάτῳ ἔτει. ὃν εὐθὺς μετ' ὀγδόην ἡμέραν περιτέμνουσι, κἀξ ἐκείνου μετὰ τοσαύτας ἔθος ἔχουσιν οἱ ἰουδαῖοι ποιεῖσθαι τὰς περιτομάς.

niori Ammanus, quod nomen ſignificat filium generis. Horum alter Moabitarum fuit autor, magnæ gentis etiam noſtra ætate. alter verò Ammonitarũ. vtrique Syriam Cœlen incolunt. Et in hunc modum Lotus reliquit Sodoma.

Abrahamus autem migrauit in Gerara Palæſtinæ, Saram ac ſi ſororem ſecum ducens, eadem arte qua quondam, nimirum inſidiarum metu. timebat enim Abimelechum eius loci regem: qui & ipſe amore Saræ captus, ea potiri cupiebat. eam cupidinem morbus grauis impediuit diuinitus immiſſus: atque ita medicorum ope deſtitutus, in ſomnis admonetur, abſtineret ſe ab iniuria coniugis hoſpitis. mox cum meliuſculè habere cœpiſſet, indicat amicis, quòd Deus ſibi hunc morbum immiſiſſet vindicans ius hoſpitis, & vxori eius ab iniuria cauens. non enim ſororem eſſe, ſed vxorem legitimam. Hæc locutus Abrahamum de conſilio amicorum acceſſitum, ſecurum eſſe de pudicitia coniugis iubet, Deum enim eius curam habere, cuius auxilio nihil turpe paſſam ſe illi reſtituere. idque ita eſſe Deum teſtabatur, & mulieris conſcientiam, ac ne expetiturum quidem eam fuiſſe, ſi nuptam eſſe ſciuiſſet. ad hæc rogabat, vt æquo animo in ſe eſſet, Deúmque propitium redderet. Et ſiue apud ſe maneret, nihil ei defore: ſiue abire mallet, deductores eſt pollicitus, & omnia quorum cauſa ad ipſum veniſſet. Hæc locuto Abrahamus nec omninò fictam conſanguinitatem aiebat: eſſe enim fratris filiam: & ſine hac ſimulatione parum tutam peregrinationem credidiſſe. ac ne morbi quidem cauſam ei ſe fuiſſe excuſabat. Quin & ſalutem regis ſibi curæ futuram, & manſurum quoque cum illo libenter. tum rex tam agri quàm pecuniarum partem ei ceſſit: & conditiones pacis bona fide vtrinque ſeruandas dixit, fœdere cum eo ſuper puteo quodam icto, qui Berſube vocatur. ea vox iuramenti puteum ſignificat: & id nomen & hodie locus ſeruat. Nec ita multo poſt Abrahamus filium è Sara ſuſcepit, iuxta promiſſa Dei, quem Iſacum nominauit. Sic riſus Hebræis ſignificatur. ſiquidem riſus Saræ, dum proles ei iam natu grandi præter expectationem promittitur, in cauſa fuit huius appellationis. ipſa enim erat nonagenaria, Abrahamus verò annorum centum, ipſo anno quo Iſacus eſt natus. cum octaua mox die circumcidunt, qui mos adhuc Iudæis durat, vt poſt totidem dies circunciſionem celebrent.

Geneſ. 20.

Geneſ. 21.

Cap. XXIII.

De Iſmaele Abrahami filio, eiuſque poſteris Arabibus.

ARabes verò poſt decimumtertium annum id faciunt. Iſmahel enim gentis eorum autor Abrahamo è concubina natus, poſt tantum temporis eſt circumciſus, de quo iam dicendum. Amabat Sara Iſmahelem ab initio, è famula Agare natum, non ſecus ac ſi ex ſe eſſet genitus. alebatur

Geneſ. 21.

Κεφάλαιον ιγ'.

Περὶ ἰσμαήλου τοῦ ἀβράμου, καὶ τῶν ἐκγόνων αὐτοῦ ἀράβων.

ΑΡαβες δὲ, μετὰ ἔτος τρισκαιδέκατον. ἰσμάηλος γὰρ ὁ κτίστης αὐτῶν τοῦ ἔθνους, ἀβράμου γενόμενος ἐκ τῆς παλλακῆς, ἐν τούτῳ περιτέμνεται τῷ χρόνῳ, περὶ οὗ τὸν πάντα λόγον ἐκθήσομαι μετὰ πολλῆς ἀκριβείας. σάρρα γεννηθέντα τὸν ἰσμάηλον ἐκ τῆς δούλης αὐτῆς ἀγάρης, τὸ μὲν πρῶτον ἔστεργεν, οὐδὲν ἀπολείπουσα

enim in spem successionis. verùm postquàm ipsa Isacum peperit, non amplius æquum censebat Ismahelem cum hoc educari: quippe qui natu maior, defuncto communi patre iniuriam ei facile inferre potuisset. Suasit igitur Abrahamo vt eum vnà cum matre aliquò ablegaret. Ille verò primum non aduertebat mentem ad Saræ consilium, rem atrocem ratus, puerum nondum adultum & mulierem egenam ablegare. tandem verò approbante Deo, Saræ voluntati paruit: puerúmque matri commisit, nondum per se peregrinationi aptũ: & dato eis vtre aquæ ac panibus iussit ire quò eos necessitas duceret. & cùm defecisset commeatus, in anxietate erat mater. cúmque nihil aquæ superesset, deposito sub abiete puero animam agente, ne spectatrix esset expirantis vlterius pergebat. cui occurrens angelus Dei, & fontem in propinquo indicauit, & curam educandi pueri habere iussit. sperandam enim illi eximiam felicitatem è salute Ismahelis. tum verò mulier meliori spe concepta, cùm incidisset in pastores, eorum benignitate miseriam euasit. Postquam autem ad virilem ætatem peruenit, vxorem ei coniunxit Ægyptiam genere, vnde & ipsa erat oriunda: ex qua Ismahel duodecim suscepit liberos. hi erant, Nabæothes, Cedarus, Abdeel, Edumas, Massamus, Mæmassus, Masmesus, Chodamus, Themanus, Ieturus, Naphesus, Calmasus. hi quicquid terrarum est Euphratem inter & rubrum mare habitant, Nabatææ nomine regioni indito. Sunt autem hi à quibus Arabes gentem suam eiúsque tribus denominauerunt, tum propter ipsorum virtutem, tum propter Abrahami autoritatem.

CAP. XIV.

De Isaco legitimo Abrahami filio.

Genes. 22. ISacum autem Abrahamus supramodum amabat vt vnigenitum, & quẽ in senectute Dei dono susceperat. hunc affectum & beneuolentiam parentum puer ipse magis ac magis accendebat, omni virtuti deditus, & tam parentes quàm Deum colens: quo successore omnium fortunarum relicto Abrahamus haud grauatim vita excessurus videbatur: id quod ipsi Dei benignitate contigit. Volens tamen pietatis eius periculum facere Deus, apparuit ei: enumeratísque omnibus beneficiis in eum collatis, vt victoriam illi de hostibus olim cõcesserit, vtque præsenti felicitate suo fauore frueretur, filium Isacum poposcit vt sacrificium & victimam sibi offerret. iubebat autem vt in montem Morium subductum holocaustum faceret. sic enim pietatem eius illustriorem fore, si vel filij salutem voluntati diuinæ posthaberet. Abrahamus verò nefas ducens quauis in re Deo morem non gerere, quin potius per omnia parendum ei per quem omnes viuerent, celans vxorem tam Dei mandatum, quàm suam de pueri cæde sententiam, ac ne famulorum quidem vlli rem indicans, ne fortè aliquis sibi obstaculo esset, assumpto Isaco

τῆς ὡς πρὸς ἴδιον εὐνοίας. ἐξέτρεφε γὰρ ἐπὶ τῇ τῆς ἡγεμονίας διαδοχῇ. τεκοῦσα δ' αὐτὴ τὸν ἴσακον, οὐκ ἠξίου συντρέφεσθαι τούτῳ τὸν ἰσμάηλον ὄντα πρεσβύτερον, καὶ κακουργεῖν αὐτὸν δυνάμενον τοῦ πατρὸς αὐτοῖς ἀποθανόντος. ἔπειθεν οὖν τὸν ἄβραμον εἰς ἀποικίαν ἐκπέμπειν αὐτὸν μετὰ τῆς μητρός. ὁ δὲ κατὰ μὲν ἀρχὰς οὐ προσετίθετο τῇ αὐτοῦ γνώμῃ οἷς ἡ σάρρα ἐσπουδάκει, πάντων ὠμότατον ἡγούμενος εἶναι παιδίον νήπιον καὶ γυναῖκα ἄπορον τῶν ἀναγκαίων ἐκπέμπειν. ὕστερον δὲ, καὶ γὰρ ὁ θεὸς ἠρέσκετο τοῖς ὑπὸ τῆς σάρρας προστατομένοις, πεισθεὶς παρεδίδου τὸν ἰσμάηλον τῇ μητρὶ, μήπω δι' αὐτοῦ χωρεῖν δυνάμενον, ὕδωρ τε ἐν ἀσκῷ καὶ ἄρτον φερομένην ἐκέλευσεν ἀπιέναι, ὁδηγῷ τῇ ἀνάγκῃ χρωμένην. ὡς δ' ἀπιοῦσαν ἐπιλέλοιπε τὰ ἀναγκαῖα, ἐν κακοῖς ἦν. ὕδατος δὲ σπανίζοντος, ὑπ' ἐλάτῃ τινὶ θεῖσα τὸ παιδίον ψυχορραγοῦν, ὡς μὴ παρούσης τὴν ψυχὴν ἀφῇ, προῄει πορρωτέρω. συντυχὼν δ' αὐτῇ θεῖος ἄγγελος, πηγήν τε φράζει παρακειμένην, καὶ κελεύει προνοεῖν τῆς ἀνατροφῆς τοῦ παιδός. μεγάλα γὰρ αὐτὴν ἀγαθὰ περιμένειν ἐκ τῆς ἰσμαήλου σωτηρίας. ἡ δὲ ἐθάρσησε τοῖς προκατηγγελμένοις, καὶ συμβαλοῦσα ποιμέσι, διὰ τὴν ἐξ αὐτῶν ἐπιμέλειαν, διαφεύγει τὰς ταλαιπωρίας. ἀνδρωθέντι δὲ τῷ παιδὶ γύναιον ἄγεται, τὸ γένος αἰγύπτιον, ἔνθεν δ' ἦν καὶ αὐτὴ τὸ ἀρχαῖον. ἐξ οὗ παῖδες ἰσμαήλῳ γίνονται δώδεκα πάντες, ναβαιώθης, κήδαρος, ἀβδέηλος, ἠδουμᾶς, μάσαμος, μάμασος, μάσμησος, χόδαμος, θεμανὸς, ἴετουρος, νάφαισος, κάλμασος. οὗτοι πᾶσαν τὴν ἀπ' εὐφράτου καὶ καθήκουσαν πρὸς τὴν ἐρυθρὰν θάλασσαν κατοικοῦσι, ναβατηνὴν τὴν χώραν ὀνομάσαντες. εἰσὶ δὲ οὗτοι οἱ τῶν ἀράβων ἔθνος, καὶ τὰς φυλὰς ἀπ' αὐτῶν καλοῦσι, διά τε τὴν ἀρετὴν αὐτῶν, καὶ διὰ τὸ ἀβράμου ἀξίωμα.

Κεφάλαιον ιδ'.

Περὶ ἰσάκου ὃς ἦν γνήσιος ἀβράμου παῖς.

Ἴσακον δὲ ὁ πατὴρ ἄβραμος ὑπερηγάπα μονογενῆ ὄντα, καὶ ἐπὶ γήρως κατὰ δωρεὰν αὐτῷ τοῦ θεοῦ γενόμενον. προσεκαλεῖτο δὲ εἰς εὔνοιαν, καὶ τὸ φιλεῖσθαι μᾶλλον ὑπὸ τῶν γονέων, καὶ αὐτὸς ὁ παῖς ἐπιτηδεύων πᾶσαν ἀρετὴν, καὶ τῆς τε τῶν πατέρων θεραπείας ἐχόμενος, καὶ περὶ τὴν τοῦ θεοῦ θρησκείαν ἐσπουδακώς. ἄβραμός τε τὴν ἰδίαν εὐδαιμονίαν ἐν μόνῳ τούτῳ ἦν καταλιπὼν, ἐξελθεῖν τοῦ ζῆν ἐπίθετο. τούτου μέντοι κατὰ τὴν τοῦ θεοῦ βούλησιν ἔτυχεν. ὃς διαπειρᾶσαι αὐτοῦ βουλόμενος λαβεῖν τῆς περὶ αὐτὸν θρησκείας, ἐμφανισθεὶς αὐτῷ, καὶ πάντα ὅσα εἴη παρεσχημένος καταριθμησάμενος, ὡς πολεμίων τε κρείττονα ποιήσειε, καὶ τὴν παροῦσαν εὐδαιμονίαν ἐκ τῆς αὐτοῦ σπουδῆς ἔχει, τὸν υἱὸν ἴσακον, ᾔτει τοῦτον αὐτῷ θῦμα καὶ ἱερεῖον παρασχεῖν. ἐκέλευσε δὲ εἰς τὸ μώριον ὄρος ἀναγαγόντα, ὁλοκαυτῶσαι. οὕτως μὲν ἐμφανίσειν τὴν περὶ αὐτὸν θρησκείαν, εἰ καὶ τῆς τοῦ τέκνου σωτηρίας προτιμήσειε τὸ τῷ θεῷ κεχαρισμένον. ἄβραμος δὲ, ἐπὶ μηδενὶ κρίνων παρακούειν τοῦ θεοῦ δίκαιον, ἅπαντα δ' ὑπουργεῖν ὡς ἐκ τῆς ἐκείνου προνοίας ἁπάντων ζώντων· ἐπικρυψάμενος πρὸς τὴν γυναῖκα, τήν τε τοῦ θεοῦ πρόρρησιν, καὶ ἣν εἶχεν αὐτὸς γνώμην περὶ τῆς τοῦ παιδὸς σφαγῆς, ἀλλὰ μηδὲ τῶν οἰκετῶν τινὶ δηλώσας, ἐκωλύετο γὰρ ἂν ὑπηρετῆσαι τῷ θεῷ, λαβὼν τὸν ἴσακον

μετὰ

μετὰ δύο οἰκετῶν, καὶ τὰ πρὸς ἱερουργίαν ἐπισάξας ὄνῳ, ἀπῄει πρὸς τὸ ὄρος. καὶ δύο μὲν αὐτῷ ἡμέρας συνώδευσαν οἱ οἰκέται. τῇ τρίτῃ δέ, ὡς κάτοπτον ἦν αὐτῷ τὸ ὄρος, καταλιπὼν ἐν τῷ πεδίῳ τοὺς συνόντας, μετὰ μόνου τοῦ παιδὸς παραγίνεται εἰς τὸ ὄρος, ἐφ' οὗ τὸ ἱερὸν Δαβίδης ὁ βασιλεὺς ὕστερον ἱδρύεται. ἔφερον δὲ σὺν αὐτοῖς ὅσα λοιπὰ πρὸς τὴν θυσίαν ἦν, πλὴν ἱερείου. τοῦ δὲ Ἰσάκου πέμπτον τε καὶ εἰκοστὸν ἔτος ἄγοντος, τόν τε βωμὸν κατασκευάζοντος, καὶ πυθομένου τί καὶ μέλλοι θύειν, ἱερείου μὴ παρόντος. ὁ δέ, τὸν θεὸν αὐτοῖς παρέξειν ἔλεγεν, ὄντα ἱκανὸν καὶ τῶν οὐκ ὄντων εἰς εὐπορίαν ἀνθρώποις παραγαγεῖν, καὶ τὰ ὄντα τῶν ἐπ' αὐτοῖς θαρρούντων ἀφελέσθαι. δώσειν οὖν κἀκείνῳ ἱερεῖον, εἴπερ εὐμενὴς μέλλει τῇ θυσίᾳ παρατυγχάνειν αὐτοῦ. ὡς δὲ ὁ βωμὸς παρεσκεύαστο, καὶ τὰς σχίζας ἐπενηνόχει, καὶ ἦν εὐτρεπῆ, λέγει πρὸς τὸν υἱόν, ὦ παῖ, μυρίαις εὐχαῖς αἰτησάμενός σε γενέσθαι μοι παρὰ τοῦ θεοῦ, ἐπεὶ παρῆλθες εἰς τὸν βίον, οὐκ ἔστιν ὅτι μὴ περὶ τὴν σὴν ἀνατροφὴν ἐφιλοτιμησάμην, οὐδ' ἐφ' ᾧ μᾶλλον εὐδαιμονήσειν ᾤμην, ὡς εἰ σε ἴδοιμι ἠνδρωμένον, καὶ τελευτῶν διάδοχον τῆς ἀρχῆς τῆς ἐμαυτοῦ καταλείποιμι. ἀλλ' ἐπεὶ θεοῦ τε βουλομένου σὸς πατὴρ ἐγενόμην, καὶ πάλιν, τούτῳ δοκοῦν, ἀποτίθεμαί σε, φέρε γενναίως τὴν καθιέρωσιν. τῷ θεῷ γὰρ παραχωρῶ ταύτης ἀξιώσαντι παρ' ἡμῶν τῆς τιμῆς, ἀνθ' ὧν εὐμενὴς γέγονέ μοι παραστάτης καὶ σύμμαχος, νῦν ἐπιτυχεῖν. ἐπειδὴ γεννηθεὶς, ἀποθανοίη, οὐ τὸν κοινὸν ἐκ τοῦ ζῆν τρόπον, ἀλλ' ὑπὸ πατρὸς ἰδίου θεῷ τῷ πάντων πατρὶ νόμῳ θυσίας προπεμπόμενος, ἄξιον οἶμαι σε κρίναντος αὐτοῦ, μήτε νόσῳ, μήτε πολέμῳ, μήτε ἄλλῳ τινὶ τῶν παθῶν ἃ συμπίπτειν πέφυκεν ἀνθρώποις, ἀπαλλαγῆναι τοῦ βίου, μετ' εὐχῶν δὲ καὶ ἱερουργίας ἐκείνου ψυχὴν τὴν σὴν προσδεξομένου, καὶ παρ' αὐτῷ καθέξοντος. ἔσῃ τέ μοι εἰς κηδεμόνα καὶ γηροκόμον, διὸ καὶ σὲ μάλιστα ἀνετρεφόμην, τὸν θεὸν ἀντὶ σαυτοῦ παρεσχημένος. Ἴσακος δέ, πατρὸς γὰρ ἦν οἵου τετυχηκότα γενναῖον ἔδει τὸ φρόνημα εἶναι, δέχεται πρὸς ἡδονὴν τοὺς λόγους. καὶ φήσας ὡς οὐδὲ γεγονέναι τὴν ἀρχὴν ἦν δίκαιος εἰ θεοῦ καὶ πατρὸς μέλλει κρίσιν ἀπωθεῖσθαι καὶ μὴ παρέχειν αὑτὸν τοῖς ἀμφοτέρων βουλήμασιν ἑτοίμως, ὅτε καὶ μόνου τοῦ πατρὸς ταῦτα προαιρουμένου μὴ ὑπακούειν ἄδικον ἦν, ὥρμησεν ἐπὶ τὸν βωμὸν καὶ τὴν σφαγήν. κἂν ἐπεπράχθη τὸ ἔργον μὴ στάντος ἐμποδὼν τοῦ θεοῦ. βοᾷ μὲν ὀνόμασι τὸν Ἄβραμον, εἴργων τῆς τοῦ παιδὸς σφαγῆς. οὐ γὰρ ἐπιθυμήσας αἵματος ἀνθρωπίνου, τὴν σφαγὴν αὐτῷ προστάξαι τοῦ παιδὸς ἔλεγεν, οὐδὲ οὗ πατέρα ἐποίησεν αὐτὸν ἀφελέσθαι τούτου βουλόμενος μετὰ τοιαύτης ἀσεβείας, ἀλλὰ δοκιμάσαι θέλων αὐτοῦ τὴν διάνοιαν, εἰ καὶ τοιαῦτα προστασσόμενος ὑπακούοι. μαθὼν δὲ αὐτοῦ τὸ πρόθυμον καὶ τὴν ὑπερβολὴν τῆς θρησκείας, ἥδεσθαι μὲν οἷς αὐτῷ παρέσχεν, οὐχ ὑστερήσειν δὲ αὐτὸν ἀεὶ πάσης ἐπιμελείας καὶ γένους ἀξιοῦντα, ἔσεσθαί τε τὸν υἱὸν αὐτοῦ πολυχρονιώτατον, καὶ βιώσαντα εὐδαιμόνως, παισὶν ἀγαθοῖς καὶ γνησίοις παραδώσειν μεγάλην ἡγεμονίαν. προεδήλου τε τὸ γένος τὸ αὐτῶν εἰς ἔθνη πολλὰ καὶ πλοῦτον ἐπιδώσειν καὶ μνήμην αἰώνιον αὐτῶν ἔσεσθαι τοῖς γενάρχαις, τήν τε Χαναναίαν ὅπλοις κατακτησαμένους, ζηλωτοὺς ἔσεσθαι πᾶσιν ἀνθρώποις. ταῦτα ὁ θεὸς εἰπών, κριὸν ἐξ ἀφανοῦς παρήγαγεν αὐτοῖς εἰς τὴν ἱερουργίαν. οἱ δὲ παρ' ἐλπίδας αὑτοὺς σεσωσμένοι,

cum duobus ſeruis, impoſitíſque in aſinum rebus ad ſacrificium neceſſariis, proficiſcebatur ad mõtem. ac biduum quidem comitati ſunt eum ſerui. tertia verò die cum iam in proſpectu eſſet mons, relictis aliis in campo cum ſolo puero aſcendit in montem, in quo pôſt Dauid templum conſtituit: ferebántque ſecum quicquid ad ſacrificium pertinet, abſque victima. Iſaco verò qui tum vigeſimũ quintum annum agebat, aram apparante, percontantéque quidnam mactaturus eſſet nullam habẽs hoſtiam: tum ille Deum daturum aiebat, qui potens eſſet hominibus & quæ non habeant largiri, & quæ habeant adimere, ſi in illis fiduciam collocent. daturum ergo ſibi quoque victimam, ſi quidem propitius eſſet his ſacris interuenturus. poſtquam autem ſtructa ara ligna impoſuerat, omnib. apparatis ſic infit, Fili, mille votis te expetitum, poſtquam in hanc vitam veniſti, ſumma cura ac ſollicitudine educaui, nihil beatius exiſtimans quàm ſi te virum videre daretur, & tandem hæredem meæ ditionis relinquere. Sed quoniam Deo viſum eſt vt te ſuſciperem, ac nunc rurſum vt te amittam, fer generosè hoc ſacrificium. Cedo enim Deo, qui è nobis hunc honorem repoſcit, pro perpetuo fauore quo nos belli ac pacis tempore eſt proſecutus. Nunc lege naturæ natus cum ſis vt moriaris, non vulgarem habebis vitæ exitum, ſed à proprio patre patri vniuerſorum Deo ſacrificio ritu oblatus, ipſo vt credere par eſt indignum te cenſente qui aut morbo, aut bello, aut alia quapiã humana calamitate de vita decedas: ſed inter precamina & ſacra animam tuam exceptam apud ſe collocabit: vbi memor cur te potiſſimum educauerim ſenectutem meam ſuſtentabis, non quidem per teipſum, ſed Deum mihi curatorem tuo loco relinquens. tum Iſacus haudquaquam à tanto parente degener, libenter hæc verba accepit, negans ſe dignum qui vnquam natus eſſet, ſi tam Dei quã patris decreto reluctans, non alacriter ſe præberet vtriuſque placitis: quandoquidem etiamſi pater ſolus ita vellet, nefas eſſet non obſequi. iámq; minimum aberat quin perpetraretur facinus, ni Deus obſtitiſſet. Inclamat enim nomine Abrahamum, neci pueri intercedens. non enim cupidine ſanguinis humani, pueri cædem imperaſſe, neque vt quem patrem ipſe fecerat, liberis per impietatem orbaret, ſed vt probaret eius animum, an etiam talibus iuſſis pariturus eſſet. nunc cognita eius prõptitudine ac præcellenti pietate, ratum ſe habere quicquid illi ſe hactenus conceſſerat, non defuturam autem nec in poſterum ſuam prouidentiam, tam ipſi quàm eius generi. hunc quoque filiũ longiſſimo tempore victurum, vitáque feliciter exacta filiis germanis & probis magnum principatũ relicturum. prædixit etiam fore vt genus eorũ in multas gentes creſceret, nec minus opibus quàm numero augeretur: ipſorum etiam autorum eius generis memoriam fore ſempiternã. regione quoque Chananæa bello quæſita, vſque ad inuidiam omnium exterarum gẽtium fortunatos fore. Hoc oraculo reddito, Deus illis arietem ad victimã ex improuiſo præſto eſſe voluit. At illi ex inſperato

ſibi redditi, auditáque tantæ felicitatis promiſſione, mutuo ſe complectebantur: mactata deinde victima incolumes ad Sarã ſe receperunt: vixeruntq; beati, omnes eorum conatus Deo proſperante.

CAP. XV.

Saræ obitus Abrahami coniugis.

Geneſ. 23. SAra autem non multo pòſt moritur, cùm vixiſſet annos vigintiſeptem ſupra centum. Sepulta eſt in Hebrone, Chananæis publicè ius ſepulchri offerentibus. Abrahamus tamen maluit ſepulturæ locum quadringentis ſiclis emere de Ephremo quodam Hebronenſi ciue: vbi monumenta eius & poſterorum ſunt exædificata.

CAP. XVI.

Quomodo è Chætura Abrahamo nupta Troglodytarum gens prouenit.

Gen. 24. 25 POſt hæc duxit Chæturam, ex qua nati ſunt ei filij ſex, viri prudentes & induſtrij, Zembranes, Iazares, Madanes, Madianes, Luſubacus, Suus: qui & ipſi filios habuerunt, Suo Sabacanes natus eſt & Dadanes. huic Latuſimus, Aſurus, Luures. Madanis verò fuerunt, Epha, Ophres, Anochus, Ebidas, Eldas. His omnibus filiis ac nepotibus Abrahamus deducendi colonias fuit autor, occupauerúntque Troglodyticam regionem, & Arabiæ Felicis quicquid ad rubrum mare pertinet. Fertur etiam quòd hic Ophres cum exercitu profectus occupauit Libyam, quam poſtea nepotes eius tenuerunt, Aphricam ab ipſo denominatam. Atteſtatur huic opinioni & Alexander Polyhiſtor ſic ſcribens: Cleodemus, inquit, propheta, cognomine Malchus, qui ad imitationem Moſis legiſlatoris Iudæorum hiſtoriam cõtexuit, narrat Abrahamum è Chætura aliquot filios ſuſcepiſſe, tres nominatim recenſens, Aphram, Surim, Iaphram. à Suri appellatam Aſſyriam. Ab Aphra verò & Iaphra vrbem Aphrem & regionem Aphricã nominatas. hos enim ductu Herculis in Libya militaſſe contra Antæum. Herculem etiam ex Aphræ filia genuiſſe filium Dedorum, ex hoc Sophonem prognatum, à quo Sophaces barbari habent nomen.

Iſaco autem iam fermè quadragenario Abrahamus pater coniungere volens vxorem Rebeccam Nachoris fratris ſui neptẽ, mittit maximum natu famulorũ ad ſponſalia, prius accepta fide obligatũ. modus verò deuinciendi fuit talis: Subditis alter alteri manib. ſub femora, Deũ ita teſtẽ inuocabant eorum quę deſtinauerant. Miſit etiã dona ad illos, vel rara illic vel nunquã antè viſa. Profectùs autẽ famulus diuturnum iter faciens, eo quòd difficilis eſſet tranſitus per Meſopotamiam, hyeme propter cœni altitudinem, æſtate ob aquarum inopiam, ad hæc propter latrocinia quæ vitari non poterant niſi à cautis, tandem peruenit ad vrbem Carras. & cũ veniſſet in ſuburbiũ, incidit in cõplures puellas euntes aquatum: móxque intra ſe precatur, ſi Deo gratæ forent hæ nuptiæ, vt inter illas inueniretur Rebecca, ad quam filio deſponſandã Abrahamus

A ϰαὶ τοιούτων ἀγαθῶν ἀγγελίας ἀκηκοότες, ἠσπάζοντο ἀλλήλους. καὶ θύσαντες, ἀπενόστησαν πρὸς τὴν σάῤῥαν. καὶ διῆγον εὐδαιμόνως, ἐφ᾽ ἅπασιν οἷς ἐθελήσαιεν τοῦ θεοῦ συλλαμβάνοντος αὐτοῖς.

Κεφάλαιον ιε΄.

Περὶ σάῤῥας τῆς ἀβράμου γυναικὸς, καὶ πῶς τὸν βίον κατέστρεψε.

B ΚΑὶ σάῤῥα μὲν οὐ πολὺ ὕστερον ἀποθνήσκει, βιώσασα ἔτη ἑπτὰ καὶ εἴκοσι πρὸς τοῖς ἑκατόν. θάπτουσι δὲ αὐτὴν ἐν χεβρῶνι, συγχωρούντων μὲν τῶν χαναναίων καὶ δημοσίᾳ αὐτῆς τὸν τάφον. ἀβράμου δὲ ὠνησαμένου τὸ χωρίον, σίκλων τετρακοσίων, παρ᾽ ἐφρήμου τινὸς ἐκ τῆς χεβρῶνος. καὶ τὰ μνημεῖα ἄβραμός τε καὶ οἱ ἀπόγονοι αὐτοῦ ταύτῃ κατεσκευάσαντο.

Κεφάλαιον ιϛ΄.

Ὡς ἐκ χατούρας ἀβράμῳ γαμηθείσης τὸ τῶν τρωγλοδυτῶν ὀνομαζόμενον ἔθνος ἐγεννήθη.

C ΓΑμεῖ δὲ αὖτις χατούραν ὕστερον, ἐξ ἧς αὐτῷ παῖδες ἓξ γίνονται, πρός τε πόνους καρτεροὶ καὶ δεινοὶ συνιέναι, ζεμβράνης, ἰαζάρης, μαδάνης, μαδιάνης, λουσούβακος, σοῦος. φύονται δὲ καὶ τούτοις παῖδες. καὶ σούου μὲν, σαβακάνης γίνεται καὶ δαδάνης. τούτου δὲ, λατούσιμος ἄσσουρος, λουούρης. μαδιάνου δὲ, ἐφάς, ὤφρης, ἄνωχος, ἐβίδας, ἐλδάς. τούτοις ἅπασι τοῖς παισὶ καὶ τοῖς υἱωνοῖς ἄβραμος ἀποικιῶν στόλους μηχανᾶται, καὶ τήν τε τρωγλοδῦτιν καταλαμβάνουσι, καὶ
D τῆς εὐδαίμονος ἀραβίας ὅσον ἐπὶ τὴν ἐρυθρὰν θάλασσαν καθήκει. λέγεται δὲ ὡς οὗτος ὁ ὤφρης, στρατεύσας ἐπὶ τὴν λιβύην, κατέσχεν αὐτὴν, καὶ οἱ υἱωνοὶ αὐτοῦ κατοικήσαντες ἐν αὐτῇ, τὴν γῆν ἀπὸ τοῦ ἐκείνου ὀνόματος, ἀφρικὰν προσηγόρευσαν. μαρτυρεῖ δέ μου τῷ λόγῳ καὶ ἀλέξανδρος ὁ πολυΐστωρ, λέγων οὕτως. κλεόδημός φησιν ὁ προφήτης ὁ καὶ μάλχος, ὁ ἱστορῶν τὰ περὶ ἰουδαίων, καθὼς καὶ μωϋσῆς ἱστόρησεν
E ὁ νομοθέτης αὐτῶν, ὅτι ἐκ τῆς χατούρας ἀβράμῳ ἐγένοντο παῖδες ἱκανοί. λέγει δὲ αὐτῶν καὶ τὰ ὀνόματα ὀνομάζων τρεῖς, ἀφέραν, σουρείμ, ἰαφράν. ἀπὸ σουρείμ μὲν, τὴν ἀσσυρίαν κεκλῆσθαι. ἀπὸ δὲ τῶν δύο ἀφρᾶ τε καὶ ἰαφέρου, πόλιν τε ἀφρὰν καὶ τὴν χώραν ἀφρικὰν ὀνομασθῆναι. τούτους γὰρ ἡρακλεῖ συστρατεῦσαι ἐπὶ λιβύην καὶ ἀνταῖον. γήμαντά τε τὴν ὀφρᾶν θυγατέρα ἡρακλέα γεννῆσαι υἱὸν ἐξ αὐτῆς διόδωρον. τούτου δὲ γενέσθαι σοφωνᾶ, ἀφ᾽ οὗ τοὺς βαρβάρους
F σόφακας λέγεσθαι. ἰσάκῳ δὲ περὶ τεσσαρακοστὸν ἔτος γεγονότι γυναῖκα γνοὺς ἀγαγέσθαι ὁ πατὴρ ἄβραμος ῥεβέκκαν ναχώρου παιδὸς θυγατέρα τοῦ ἀδελφοῦ, τὸν πρεσβύτατον πέμπει τῶν οἰκετῶν ἐπὶ τὴν μνηστείαν, ἐγγυησάμενος μεγάλαις πίστεσι. γίνονται δὲ αὗται τοῦτον τὸν τρόπον, ὑπὸ τοὺς μηροὺς ἀλλήλοις τὰς χεῖρας ἐπαγαγόντες, ἐπικαλοῦνται τὸν θεὸν μάρτυρα τῶν ἐσομένων. ἔπεμπε δὲ καὶ δῶρα τοῖς ἐκεῖ, διὰ
G τὸ σπάνιον ἢ μηδόλως ἐπιχωριάζειν. οὗτος ἀπερχόμενος χρόνῳ διὰ τὸ εἶναι χαλεπὴν ὁδεύεσθαι τὴν μεσοποταμίαν, χειμῶνι μὲν ὑπὸ πηλῶν βάθους, θέρους δὲ ὑπὸ ἀνυδρίας, ἔτι δὲ καὶ λῃστηρίων ὄντων ἐν αὐτῇ, ἃ διαφεύγειν οὐκ ἐνῆν μὴ προνοοῦσι τούτου τοῖς ὁδεύουσιν, εἰς πόλιν ἀφικνεῖται κάῤῥαν. καὶ γενόμενος ἐν τοῖς προαστείοις, παρθένοις ἐντυγχάνει πλείοσιν, ἐφ᾽ ὕδωρ βαδιζούσαις. εὔχεται οὖν τῷ θεῷ, ῥεβέκκαν ἣν τῷ παιδὶ ἄβραμος μνηστευ-

μνηστευσάμενος ἐξαπέσταλκεν, εἰ κατὰ νοῦν τὸν αὐτοῦ μέλλει ὁ γάμος οὗτος συντελεῖσθαι, ἐν ἐκείναις εὑρεθῆναι, γνωρισθῆναί τε αὐτῷ, τῶν μὲν ἄλλων αἰτοῦντι ποτὸν ἀρνουμένων, ἐκείνης δ' αὐτῷ παρεχούσης. καὶ ὁ μὲν ἐπὶ ταύτης ὢν διανοίας, ἐπὶ τὸ φρέαρ παραγίνεται, καὶ παρακαλεῖ τὰς παρθένους ποτὸν αὐτῷ παρασχεῖν. τῶν δ' ἀποστερουμένων καὶ χρῄζουσῶν οἴκαδε κομίζειν, ἀλλ' οὐκ ἐκείνῳ παρασχεῖν. καὶ γὰρ οὐδ' εὔληπτον εἶναι τὸ ὕδωρ, μία ἐξ ἁπασῶν ἐκείναις τε τῆς πρὸς τὸν ξένον ἐπιπλήττει δυσκολίας τινός. ἀλλ' οὐ κοινωνήσειν πρὸς ἀνθρώπους αὐτάς ποτε, αἳ μηδὲ ὕδατος μετέδωσαν λέγουσαν. καὶ παρέχει αὐτῷ φιλοφρόνως. ὁ δ' ἐν ἐλπίσι μὲν τῶν ὅλων γενόμενος, βουλόμενος δὲ τὴν ἀλήθειαν μαθεῖν, ἐπῄνει τε τῆς εὐγενείας αὐτὴν καὶ τῆς χρηστότητος, ὅτι καὶ μετ' οἰκείου πόνου τοῖς δεομένοις ἐπαρκεῖν οὐκ ἔφυγεν. ἐπυνθάνετό τε τίνων αὐτὴ εἴη γονέων. καὶ κατευχόμενος αὐτοῖς γένεσιν τοιαύτης παιδὸς, καὶ νυμφεῦσαί φησιν ὡς αὐτοῖς ἐστὶ κεχαρισμένον εἰς οἶκον ἀνδρὸς ἀγαθοῦ παῖδας αὐτῷ τεξομένην γνησίους. ἡ δὲ, οὐδὲ τούτων ἐφθόνησεν αὐτῷ βουλομένῳ μαθεῖν, ἀλλὰ καὶ τὸ γένος ἀπεσήμηνε. καὶ Ῥεβέκκα μέν φησιν καλοῦμαι. πατὴρ δ' ἐμοὶ Βαθούηλος ἦν. ἀλλ' ὁ μὲν ἤδη τέθνηκεν. Λάβανος δ' ἀδελφός ἐστιν ἡμέτερος, ὅς τε οἴκου παντὸς σὺν τῇ μητρὶ προνοούμενος, καὶ τῆς ἐμῆς παρθενίας ἐπιμελούμενος. τούτων ἀκροασάμενος, ἔχαιρέ τε τοῖς γεγονόσι καὶ τοῖς εἰρημένοις, τὸν θεὸν οὕτως ὁρῶν αὐτῷ τῆς ὁδοῦ σαφῶς συλλαμβανόμενον. καὶ προκομίσας ὁρμίσκον τε καί τινας κόσμους οὓς εὐπρεπὲς φορεῖν παρθένοις, ἀνεδίδου τῇ κόρῃ ἐπὶ τοῦ πιεῖν χάριτος ἀμοιβὴν εἶναι λέγων, καὶ γέρας δίκαιον τοῦτον αὐτὴν τυγχάνειν, ἀγαθὴν παρὰ τὰς τοσαύτας παρθένους γενομένην. ἠξίου τε παρ' αὐτοῖς καταχθῆναι, τοῦ προσωτέρω χωρεῖν τῆς νυκτὸς αὐτὸν ἀφαιρουμένης, κόσμον τε φέρων γυναικεῖον πολυτελῆ πιστεύειν αὐτὸν οὐκ ἀσφαλεστέροις ἔφασκεν, ἢ τοιούτοις οἷς αὐτῆς ἐπειράθη. τεκμαίρεσθαι δὲ καὶ τὴν τῆς μητρὸς καὶ τἀδελφοῦ φιλανθρωπίαν αὐτῆς ἔλεγεν, ὡς οὐ δυσχεραίνουσιν, ἐκ τῆς περὶ αὐτὴν ἀρετῆς. οὐδὲ γὰρ ἔσεσθαι βαρὺς, μισθόν τε τῆς ξενίας τελέσας, καὶ δαπάναις ἰδίαις χρησάμενος. ἡ δὲ περὶ μὲν τῆς τῶν γονέων φιλανθρωπίας αὐτῆς, ὀρθῶς εἰκάζειν αὐτὸν εἶπεν, ἐμέμφετο δ' ὡς μικρολόγους ὑπειληφότα, πάντων γὰρ ἀμισθὶ μεθέξειν. δηλώσασα μέντοι Λαβάνῳ πρότερον τἀδελφῷ, συγχωροῦντος ἄξειν αὐτὸν ἔλεγεν. ὡς δὲ τούτου γενομένου παρῆγε τὸν ξένον, τὰς μὲν καμήλους αὐτοῦ παραλαβόντες οἱ Λαβάνου θεράποντες, ἐπεμέλουν. αὐτὸς δὲ δειπνήσων ἠγάγετο σὺν αὐτῷ. καὶ μετὰ τὸ δεῖπνον φησὶ πρός τε αὐτὸν καὶ τὴν μητέρα τῆς κόρης. Ἀβράμος, Θάρρου μὲν ἐστιν υἱός, συγγενὴς δ' ὑμέτερος. Ναχώρης γὰρ τούτων τῶν παίδων ὦ γύναι πάππος, ἀδελφὸς ἦν Ἀβράμου, ὁμοπάτριός τε καὶ ὁμομήτριος. πέμπει τοίνυν οὗτος πρὸς ὑμᾶς, ἀξιῶν τὴν κόρην ταύτην, παιδὶ τῷ ἑαυτοῦ λαβεῖν πρὸς γάμον, ὃς γνήσιός ἐστιν αὐτῷ, καὶ μόνος ἐπὶ τοῖς πᾶσι τεθραμμένος. ᾧ τῶν μὲν ἐκεῖ γυναικῶν δυνατὸν αὐτῷ τὴν εὐδαιμονεστάτην λαβεῖν, οὐκ ἠξίωσεν ἀγέσθαι. τιμῶν δὲ τὸ γένος, τὸν γάμον πολιτεύει τοῦτον. οὗ τὴν σπουδὴν καὶ τὴν προαίρεσιν μὴ ὑπερίδητε. κατὰ θεοῦ βούλησιν, τά τε ἄλλα μοι κατὰ τὴν ὁδὸν ὑπήντησε, καὶ τὴν παῖδα καὶ τὸν ὑμέτερον οἶκον εὗρον. ἐπεὶ γὰρ πλησίον τῆς πόλεως ἐγενόμην, παρθένους ἰδὼν πολλὰς, ἐπὶ τὸ φρέαρ παρα-

eum miserat: & hoc signo dignosceretur, quòd cæteris negantibus ipsa potum roganti præberet. hæc secum volutans accidit ad puteum, poscens ab eis potum. illis verò causantibus aquam se non sine labore acquirere, quam domum deferant, non aliis præbeant: vna omniũ obiurgatis reliquis, negando eas vnquam inter homines versatas, quæ ne aquam quidem impartirent, benignè hospiti potum offert. at ille certa iam spe de euentu concepta, volens tamẽ verum cognoscere, collaudata prius virginis indole & benignitate, quæ vel cum sua fatigatione roganti subministrare non grauaretur, sciscitatur ex quibusnam esset parentibus: gratulatus eis talem filiam, & imprecatus vt eam ex animi sententia viro probo elocarent, ex quo germanos ac legitimos liberos pareret. puella in hoc quoque ei gratificatura genus suum indicat. Rebecca, inquit, mihi nomen est, pater verò fuit Bathuel. quo defuncto, Labanus frater meus & domum curat & matrem, meæ quoque virginitatis tutor. His cognitis homo gaudebat ob ea quæ sibi acciderant, quęq; audiuisset: manifestò cernens Deum hoc iter prosperare. prolato deinde monili & aliis quibusdam ornamentis, quibus ætas ea delectatur, obtulit puellę, dicens hanc esse gratiam & honorem pro communicato potu, ipsámque dignam quæ accipiat, cùm inter tot virgines bonitas eius emineat: rogabat etiam vt ad domesticos ipsius diuertere liceat, quandoquidem nocte iam appetente vlterius progredi non detur. ferre se mundum muliebrem magni precij, qui nusquam tutior esse possit quàm apud eos quorum probitatem iam esset expertus. coniecturam enim se facere ex ipsius moribus, matrem quoque & fratrem pari humanitate esse præditos, neque grauatim hospitem admissuros, præsertim ipsis nec oneri nec sumptui futurum. ad hæc illa, bene eum de parentum humanitate coniectare, sed non rectè facere quòd tam illiberales suspicetur. omnia enim sine precio habiturum, indicaturam tamen prius Labano fratri, cuius permissu ipsum adducturam. quo facto postquàm adduxit hospitem, serui Labani camelos curandos acceperunt, ipse verò ad cœnam eum secum duxit. qua peracta sic eum & matrem puellæ est allocutus: Abrahamus filius est Tharri, vester autem cognatus. Nachores enim tuorum matrona liberorum auus, Abrahami erat frater, eodem patre, eadémque matre prognatus. is nunc mittit me ad vos, postulans hanc virginem filio suo coniugem dari, quem legitimum habet vnicum, & ad omnium suarum facultatum hæreditatem educatum, cui cùm posset opulentissimam quamuis ex eius regionis fœminis deligere, non est ita visum: sed malens hunc honorem cognationis suæ habere, procurat has nuptias. cuius voluntatem nolite contemnere, diuino enim fauore præter alia quæ mihi feliciter in hoc itinere successerunt, & puellam hanc & vestras ædes inueni. propinquus enim iam oppido, conspicatus multas virgines puteum petentes, putaui vt in

hanc inciderem: quod & factum est. has igitur nuptias auspice Deo conciliatas, vos quoque vestra authoritate ratas habetote: & Abrahamum qui me tam accurate huc misit, vestro annutu honorate. illi verò tum quòd rem tam optabilem approbarent, tum quòd Dei sententiam accedere cognoscerent, mittunt eam quibus postulabatur conditionibus: duxitque illam Isacus, facultatum paternarum iam dominus.

Cap. XVII.

De obitu Abrahami.

Genes. 25. Defunctus est autem Abrahamus non ita multo pòst, vir in omni virtute eximius, & pro sua insigni pietate Deo egregiè carus. Vixit annos clxxv. sepultus est in Hebrone iuxta vxorem Saram, communi cura filiorum suorum, Isaci & Ismahelis.

Cap. XVIII.

De Isaci filiis Esao & Iacobo, & natiuitate eorum.

Genes. 25. Defuncto autem Abrahamo, vxor Isaci gerebat vterum: cuius mole crescente in dies, anxius consuluit oraculum. Responsum est, gemellos ei parituram Rebeccam, & ab vtroque descensuram gẽtem autori suo cognominem: & quæ minor videbitur, eam fore potiorem. nec multo pòst, sicut prædictum erat, nascuntur ei gemini, quorum grandior à capite ad pedes erat hispidus. minor verò exeuntis ante se calcaneum retinebat. pater autem amabat seniorem Esaum ex re cognomen habentem. nam Hebræi pilos vocant Seir. Iacobus verò iunior à matre amatur. Fame autem in ea terra grassante, Isacus volens ire in Ægyptum propter vbertatem regionis, peruenit Gerara, Deo sic iubente. rex autem Abimelechus excepit eum, quia hospitij & amicitię ius inter eum & Abrahamum intercesserat. cúmque hominem initio magna beneuolẽtia prosequeretur, motus inuidia non potuit in eo affectu permanere. videns enim Deum Isaco propitium, suúmque fauorem declarantem, expulit illum. at ille expertus mutatum prę inuidia, secessit non longè à Geraris in locum qui vocatur Fauces. ibi dum foderet puteum, pastores irruentes aggressi sunt armis opus impedire: sed illo vltro cedente, visi sunt vicisse. mox cùm alio loco fodere cœpisset, rursum vi prohibentibus aliis Abimelechi pastoribus, hunc quoque puteum imperfectum reliquit, prudenti consilio meliorem occasionem expectans. qua deinde oblata, rege sponte fodiẽdi potestatem faciente, puteo Rooboth nomen imposuit, quod significat amplum. è prioribus verò alterum vocauit Escon, hoc est pugnam: alterum Syennam, hoc est inimicitiam. Itaque Isaci potentia cum opibus in dies magis ac magis crescebat. Abimelech autem ratus contra se fortunas Isaci augeri, cum quo parum syncerè consuetudinem habuerat, & qui ob simultatis su-

A γενομένας, ηὔξάμην εἰς ταύτην ἐμπεσεῖν. ὃ δὴ γέγονε. γάμον οὖν ὑπὸ θείας μνηστευόμενον ἐπιφανείας, καὶ ὑμεῖς κυρώσατε. καὶ ἄβραμον μετὰ τοσαύτης ἀπεσταλκότα σπουδῆς, τῷ κατανεῦσαι τὴν κόρην τιμήσατε. οἱ δὲ, καλὰ γὰρ ἦν αὐτοῖς καὶ κεχαρισμένα, τήν τε γνώμην τοῦ θεοῦ συνιῆκαν, καὶ πέμπουσιν ἐφ' οἷς ἠξίου τὴν θυγατέρα. γαμεῖ τε αὐτὴν ἴσακος, τῶν πραγμάτων εἰς αὐτὸν ἀφικομένων. οἱ γὰρ ἐκ τῆς χατούρας, εἰς τὰς ἀποικίας ἐξεληλύθησαν.
B

Κεφάλαιον ιζ.

Περὶ τῆς ἀβράμου τελευτῆς.

Τελευτᾷ δὲ καὶ ὁ ἄβραμος μετ' ὀλίγον, ἀνὴρ πᾶσαν ἀρετὴν ἄκρος, καὶ τῆς περὶ αὐτὸν σπουδῆς ἀξίως ὑπὸ τοῦ θεοῦ τετιμημένος. ἐβίωσε δὲ τὸν ἅπαντα χρόνον ἐτῶν ἑβδομήκοντα καὶ πέντε, πρὸς τοῖς ἑκατόν. καὶ θάπτεται ἐν ἑβρῶνι μετὰ τῆς γυναικὸς σάῤῥας, ὑπὸ τῶν παίδων ἰσάκου καὶ ἰσμαήλου.
C

Κεφάλαιον ιη.

Περὶ τῶν ἰσάκου υἱῶν, ἠσαῦ καὶ ἰακώβου, καὶ γενέσεως αὐτῶν καὶ διατροφῆς.

Ισάκῳ δὲ μετὰ τὴν ἀβράμου τελευτὴν ἐκύει τὸ γύναιον. καὶ τῆς γαστρὸς ἐπὶ μεῖζον ὀγκουμένης, ἀγωνιάσας ἀνήρετο τὸν θεόν. φράζει δὲ αὐτῷ διδύμους τέξεσθαι τὴν ῥεβέκκαν. καὶ φερώνυμα ἔσεσθαι τοῖς παισὶν ἔθνη. τοῦ δὲ μείζονος προτερήσειν τὸ δοκοῦν ἔλασσον εἶναι. τίκτεται δὲ αὐτῷ μετ' ὀλίγον κατὰ πρόῤῥησιν τοῦ θεοῦ, δίδυμα
D παιδία. ὧν τὸ μὲν πρεσβύτερον, ἀπὸ κεφαλῆς ἐπὶ τοὺς πόδας, δασὺ περισσῶς ἦν. τὸ δὲ νεώτερον εἴχετο προϊόντος αὐτοῦ κατὰ πτέρναν. ἠγάπα δὲ ὁ πατὴρ τὸν πρεσβύτερον, ἠσαῦ λεγόμενον κατ' ἐπωνυμίαν τῆς τριχώσεως. ἑβραῖοι γὰρ τὸ σήειρον, τρίχωμα λέγουσιν. ἰάκωβος δὲ ὁ νεώτερος τῇ μητρὶ προσφιλὴς ἦν. λιμοῦ δὲ τὴν γῆν καταλαβόντος, ἴσακος δόξαν αὐτῷ χωρεῖν εἰς αἴγυπτον, τῆς χώρας ἀγαθῆς ὑπαρχούσης ἐπὶ γεράρων
E ἄπεισι τοῦ θεοῦ κελεύσαντος. ὑποδέχεται δὲ αὐτὸν ὁ βασιλεὺς ἀβιμέλεχος, κατὰ ξενίαν καὶ φιλίαν τὴν ἀβράμου. καὶ πολλῇ πάνυ πρὸς αὐτὸν εὐνοίᾳ χρησάμενος κατ' ἀρχὴν, ἐπὶ ταύτης ὑπὸ φθόνου μένειν πρὸς τὸ πᾶν ἐκωλύετο. ὁρῶν γὰρ τὸν θεὸν τῷ ἰσάκῳ συμπαρόντα, καὶ τοσαύτῃ περὶ αὐτὸν σπουδῇ χρώμενον, ἀπώσατο αὐτόν. ὁ δὲ τοιοῦτον πάλιν ἐκ μεταβολῆς τῆς ἀπὸ τοῦ βασκαίου πειραθεὶς ἀβιμελέχου, τότε μὲν ἀνεχώρησεν εἰς τὴν λεγομένην φάραγγα χωρίον οὐ
F μακρὰν γεράρων. ὀρύσσοντι δὲ αὐτῷ φρέαρ, ποιμένες ἐπιπεσόντες, εἰς μάχην ἐχώρησαν κωλύοντες τὸ ἔργον. καὶ μὴ βουληθέντος φιλονεικεῖν ἔδοξαν κεκρατηκέναι. ὑποχωρήσας δὲ, ὤρυσσεν ἕτερον. καὶ βιασαμένων ἄλλων τινῶν ἀβιμελέχου ποιμένων, καὶ τοῦτο καταλιπὼν, ἀπεχώρησεν, εὐγνώμονι λογισμῷ κτώμενος αὐτῷ τὴν ἄδειαν. εἶτα αὐτομάτου παραχόντος αὐτῷ τὴν φρεωρυχίαν ἀνεπικώλυτον, ῥοωβὼθ τὸ φρέαρ ὠνόμασεν. εὐ-
G ρύχωρον ἀποσημαίνει τὸ ὄνομα. τῶν δὲ προτέρων τὸ μὲν ἔσκον καλεῖται. μάχης ἄν τις αὐτὸ φήσειε. τὸ δὲ δεύτερον, σύεννα. ἔχθραν ἀποσημαίνει τὸ ὄνομα. ἰσάκῳ μὲν οὖν, ἀκμάζειν συνέβαινε τὴν ἰσχὺν, ὑπὸ μεγέθους πραγμάτων. ἀβιμέλεχος δὲ, κατ' αὐτοῦ φύεσθαι νομίζων τὸν ἴσακον, ὑπόπτου μὲν αὐτοῖς καὶ τῆς συνδιαιτήσεως γενομένης, ἐπ' οὐ φανερᾷ

δὲ

δὲ ἔχθρα τοῦ ἰσάκου ὑποστάντος, δείσας μὴ τῆς προτέρας αὐτῷ φιλίας οὐδὲν ὄφελος γένηται, πρὸς ἄμυναν ὧν ἔπαθεν ἰσάκου τραπέντος, φιλίαν αὖθις ποιεῖται πρὸς αὐτόν, ἕνα τῶν στρατηγῶν φίλον ἐπαγόμενος. πάντων δὲ τετυχηκὼς ὧν ἠξίου, διὰ τὴν ἰσάκου χρηστότητα, ὀργῆς προσφάτου πρεσβυτέραν χάριν εἰς αὐτόν τε καὶ τὸν πατέρα γεγενημένην προτιμῶντος, ἀπῆρεν εἰς τὴν ἑαυτοῦ. τῶν δὲ ἰσάκου παίδων, ἤσαυος, περὶ ὃν μάλιστα ὁ πατὴρ ἐσπουδάκει, τεσσαράκοντα γεγονὼς ἔτη, γαμεῖ ἄδαν τὴν ἤλωνος, καὶ ἀλιβάμην τὴν ἐσεβέωνος δυναστευόντων ἐν χαναναίοις ἀνδρῶν θυγατέρας, ἑαυτὸν ποιήσας τῆς περὶ τὸν γάμον ἐξουσίας κύριον, καὶ μηδὲ τῷ πατρὶ συμβουλευσάμενος. οὐδὲ γὰρ ἐπέτρεψεν ἴσακος ἐπ' αὐτῷ τῆς γνώμης γενομένης. οὐ γὰρ ἦν αὐτῷ δι' ἡδονῆς συνάψασθαι συγγένειαν πρὸς τοὺς ἐπιχωρίους. οὐ βουλόμενος δὲ ἀπεχθὴς εἶναι τῷ παιδὶ κελεύων ἀφίστασθαι τῶν γυναικῶν, ἔκρινε σιγᾶν. γηραιὸς δὲ ὤν, καὶ τὰς ὄψεις εἰς τὸ παντελὲς ἠφανισμένος, προσκαλεσάμενος τὸν ἠσαῦ, καὶ τὸ γῆρας εἰπών, ὡς καὶ δίχα τῆς πηρώσεως καὶ τοῦ κατὰ τὰς ὄψεις πάθους ἐμποδὼν ἦν αὐτῷ θεραπεύειν τὸν θεόν, ἐκέλευσεν ἐξελθεῖν ἐπὶ κυνηγέσιον, καὶ θηρασάμενον ὅσα ἂν αὐτῷ δυνατὸν γένηται παρασκευάσαι δεῖπνον, ἵνα μετὰ τοῦτο ἱκετεύσει τὸν θεόν, σύμμαχον αὐτῷ καὶ συνεργὸν εἰς ἅπαντα παρεῖναι τὸν βίον. ἄδηλον μὲν εἶναι λέγων ὁπότε καὶ τελευτήσει. περὶ δὲ τούτου παρασχεῖν αὐτῷ βούλεσθαι λέγων τὸν θεὸν ταῖς εὐχαῖς ταῖς ὑπὲρ αὐτοῦ παρακεκλημένον. καὶ ἤσαυς μέν, ἐπὶ τὸ κυνηγέσιον ἐξώρμησεν. ἡ δὲ ῥεβέκκα τὸν θεὸν εἰς τὴν εὔνοιαν ἀξιοῦσα τὴν ἰακώβου παρακαλεῖν, καὶ παρὰ τὴν ἰσάκου γνώμην, ἐκέλευσεν αὐτὸν ἐρίφους κατασφάξαντα, δεῖπνον παρασκευάζειν. ὁ δὲ ἰάκωβος, ὑπηρετεῖ τῇ μητρὶ πάντα παρ' αὐτῆς πεπεισμένος. ἐπεὶ δ' εὐπρεπὲς ἦν τὸ δεῖπνον, ἐρίφου δέρματι τὸν βραχίονα περιβαλὼν ἵνα πιστεύοιτο παρὰ τῷ πατρὶ διὰ τὴν δασύτητα, ἤσαυς εἶναι. τὰ γὰρ ἄλλα πάντα ὢν ὅμοιος, διὰ τὸ εἶναι δίδυμος, τούτῳ μόνῳ διέφερεν. καὶ φοβηθείς, μὴ πρὶν γενέσθαι τὰς εὐχὰς εὑρεθεὶς κακουργῶν εἰς τοὐναντίον παροξυνεῖ τὸν πατέρα ποιήσασθαι ταῦτα, προσέφερε τὸ δεῖπνον τῷ πατρί. καὶ ἴσακος ἐπαισθόμενος τῷ κατὰ τὴν φωνὴν ἰδιώματι, προσκαλεῖται τὸν υἱόν. τοῦ δέ, τὸν βραχίονα προτείναντος ᾧ τὴν αἰγέαν περιεβέβλητο, ταύτης ἐπαφώμενος, φωνῆς μὲν φησὶ ἰακώβῳ παραπλήσιος, κατὰ μέντοι τὸ τῆς τριχὸς βάθος, ἤσαυς εἶναί μοι δοκεῖς. καὶ μηδὲν ὑπολαβὼν κακοῦργον, δειπνήσας, τρέπεται εἰς εὐχὰς πρὸς παράκλησιν τοῦ θεοῦ. δέσποτα, λέγων, παντὸς αἰῶνος, καὶ δημιουργὲ τῆς ὅλης οὐσίας. σὺ γὰρ πατρὶ τῷ ἐμῷ μεγάλην ἰσχὺν προὔθηκας ἀγαθῶν, καὶ ἐμὲ τῶν παρόντων ἠξίωσας, καὶ τοῖς ἐξ ἐμοῦ γενομένοις ὑπέσχου βοηθὸς εὐμενὴς καὶ δωτὴρ ἀεὶ τῶν κρειττόνων ἔσεσθαι. τοῦτ' οὖν καὶ βεβαίωσον. καὶ μὴ περιίδῃς με διὰ τὴν παροῦσαν ἀσθένειαν, δι' ἣν καὶ μᾶλλον σου δεόμενος τυγχάνω. καί μοι παῖδα τοῦτον εὐμενὴς σῶζε, καὶ παντὸς ἀπαθῆ κακοῦ διαφύλαττε, δοὺς αὐτῷ βίον εὐδαίμονα καὶ κτῆσιν ἀγαθῶν, ὅσων σοι δύναμις παρασχεῖν. ποιήσεις δ' αὐτόν, φοβερὸν μὲν ἐχθροῖς, φίλοις δέ, τίμιον καὶ κεχαρισμένον. καὶ ὁ μέν, νομίζων εἰς ἤσαυν ποιεῖσθαι τὰς εὐχάς, παρεκάλει τὸν θεόν. ἄρτι δὲ πέπαυτο τούτων, καὶ παρῆν ἤσαυς ἀπὸ τῆς θήρας, καὶ τῆς διαμαρτίας

A spicionem aliquantisper secesserat, veritus nequando apud eum plus recens offensa quàm pristinæ amicitiæ memoria valeret, néve iniuriam acceptam vlcisceretur, profectus ad illũ amicitiam cum eo renouat, vno è suis amicis arbitrio adhibito. cúmq. Isacus pro naturæ bonitate iniurias suas paternæ amicitiæ libenter donaret, voti compos domum est reuersus. Alter autem filiorum Isaci, in quem pater erat propensior, quadraginta annos natus, duxit Adam Helonis, & Alibamen Esebeonis, dynastarum inter Chananæos filias, idque autoritate B propria, ne patre quidẽ consulto. neque enim ille permissurus erat, si filius sententiam ipsius expectasset, quippe qui non delectabatur affinitate eius regionis hominum: nolens tamen molestus esse filio, iubendo eum vt mulieres missas faceret, decreuit rem totam silentio transmittere. Sed cùm esset senex, & visu orbatus, accito filio, præfatúsque ætatem, per quam etiamsi cæcitatis calamitas non accessisset, non liceret sibi amplius Deum solito cul- C tu venerari, iussit eum venatum ire. Cura, inquit, vt quod poteris capias, & para mihi cœnam: qua sumpta precabor Deum, vt tibi dignetur esse auxiliator & adiutor per omnem vitam tuam. nam meæ finis quàm longè absit incertus sum: qui prius quàm me opprimat, æquum est vt meis precibus Deum tibi faciam propitium. Vadit Esaus venatum: interim Rebecca malens Iacobo Deum propitium, etiam præter Isaci mentem, iubet eum hœdis iugula- D tis cœnam instruere. ille obsequitur matri, iussu ipsius omnia faciens, cœna verò parata, circumuolutis hœdino exuuio brachiis, vt contactis pilis Esaus crederetur: nam cætera omnino similis vt gemellus, hoc solo differebat: solicitus ne maturè in malo dolo deprehensus pro faustis precaminibus diras imprecationes reportaret, apponebat cœnam patri. at Isacus sentiens in voce non nihil peculiare, aduocat filium. illo verò protendente bra- E chium hœdina pelle amictum: voce, inquit, propior es Iacobo, attamen ob pilositatem Esaus mihi videris. nec quidquam doli suspicans, iam cœnatus ad Deum precibus inuocandum se vertit. Domine, inquit, omnium seculorum, & conditor omnium creaturarum, tu patri meo maxima bona pollicitus, etiam mihi præsentem felicitatem es largitus, meis quoque posteris propitium te fore, & maioribus beneficiis eos cumulaturum promisisti. F hic tuus fauor perpetuus sit precor, néve me propter hanc debilitatem despicias, quæ facit vt magis etiam ope tua egeam. Serua puerum hunc propitius, & ab omni calamitate illæsum custodi. da ei vitam felicem, & possessionem bonorum quæ in tua sunt potestate. fac eum formidabilem inimicis, apud amicos gratiosum. Sic ille Deum inuocabat, putans se Esao bene precari. vix absoluerat preces, cùm Esaus à venatu reuer- G tit, & Isacus intellecto errore nihil tamen

est commotus. Esaus verò postulabat vt sibi quoque sicut fratri faceret. denegante id patre, eo quòd omnes preces in Iacobum absumpsisset, lugebat quòd voti compos non esset. quin & pater mœrore eius motus, studiis quidem venandi, & robore corporis armorúmque præstantia celebrem fore prædicit, eámq; gloriam tum ipsi tum eius posteris mansuram sempiternam: seruiturum tamen fratri.

Cæterùm cùm Iacobus timeret fratrem, ne pœnas à se exigeret ob circumuentum in votis faciendis patrem, mater eum huic periculo eximit: persuadet enim marito, Iacobo Mesopotamenam vxorem daret, propinquam genere. iam enim etiam Esaus duxerat Basemmathen Ismaelis filiam. Malè enim Chananæis volebant Isacus cum suis, priori affinitate offensi, in quorum gratiam filius Basemmathen duxit, quam postea magis quàm cæteras dilexit.

ἴσακος αἰσθανόμενος συνέχεεν ἀγ. ἰσαῦς δὲ ἠξίου τῶν ὁμοίων τὸν ἀδελφὸν παρὰ τοῦ πατρὸς τυγχάνειν. τοῦ δὲ πατρὸς ἀρνουμένου, διὰ τὸ πάσας εἰς ἰάκωβον τὰς εὐχὰς ἀνηλωκέναι, πένθος ἦγεν ἐπὶ τῇ διαμαρτίᾳ. καὶ αὐτοῦ τοῖς δάκρυσιν ἀχθόμενος ὁ πατὴρ, τὰ μὲν περὶ τὸ κυνηγέσιον, καὶ δύναμιν σώματος ἐν ὅπλοις καὶ πᾶσιν ἔργοις εὐδοκιμήσειν αὐτὸν ἔφασκε, καὶ καρπώσεσθαι τὴν ἐπ' αὐτοῖς δόξαν δι' αἰῶνος, καὶ τὸ ἀπ' αὐτοῦ γένος. δουλεύσειν δὲ τἀδελφῷ. ἰάκωβον δὲ, φοβούμενον τὸν ἀδελφὸν, τιμωρίαν βουλόμενον ἀπολαβεῖν τῆς ἐπὶ ταῖς ἀραῖς διαμαρτίας, ἡ μήτηρ ῥύεται. πείθει γὰρ τὸν ἄνδρα μεσοποταμίαν ἀγαγέσθαι τῷ ἰακώβῳ γυναῖκα συγγενῆ. ἤδη τε καὶ τοῦ ἰσμαήλου παῖδος ἠσαῦς παρειλήφει πρὸς γάμον βασεμμαθήν. οὐ γὰρ εὐνόως τοῖς χαναναίοις οἱ περὶ τὸν ἴσακον, ὡς ἐπὶ τοῖς πρότερον αὐτοῦ γάμοις δυσχερῶς διακείμενοι. οἷς εἰς τὸ ἐκείνοις κεχαρισμένον τὴν βασεμμαθὴν παρέλαβε μάλιστα περὶ αὐτὴν σπουδάσας.

Cap. XIX.

De Iacobo metu fratris in Mesopotamiam profugo.

Genes. 28. Iacobus autem in Mesopotamiam missus à matre, ducturus auunculi sui Labani filiam, consentiēte etiam patre iter faciebat per Chananæam: cúmque simultatem haberet cum ea gente, nolebat ad quenquam diuertere: sed sub dio quiescebat, lapide vice puluini capiti subiecto. cui dormienti visio talis est oblata. Videre videbatur scalam à terra ad cœlum pertingentem, & per eam species descendentes, supra humanam naturam augustas: & in summa scala Deum manifestè apparentem, & nominatim se his verbis compellātem: Iacobe, cùm sis patre bono, & auo ob suam virtutem celebri prognatus, non debes præsenti necessitati succumbere, sed meliora potius sperare. Meo præsidio magna te manet felicitas. nam & Abrahamum ego è Mesopotamia huc adduxi pulsum à cognatis, & patrem tuum beatū reddidi, nec tua conditio deterior est futura. quare bono animo hanc viam perge, fretus me ductore. eueniet ex tua sententia cōiugium ad quod properas, accedent inde & liberi. eorum numerus erit magnus, & ipsi rursus maiorem prolem post se relinquent. his ego terræ huius imperium dabo, & eorum posteris, qui repleturi sunt terram omnē & mare quam latè sol aspicit. tu ne cede vlli vel labori vel periculo, tui curam mihi committens & nunc, & magis etiam in posterum. hoc oraculum Deus Iacobo reddidit: quo lætus vngit lapidem in quo dormienti tanta spes affulsit, & votum Deo facit sacrificaturum se illic, si incolumi & facultatibus aucto reditus contingeret: quod pòst reuertens soluit, omnium bonorum suorū decimis oblatis. honorem etiam loco addidit, Bethel nominato: quod Græcis domicilium Dei significat. Genes. 29. Pergens deinde cœptum iter in Mesopotamiam, tandem peruenit Carras,

Κεφάλαιον ιθ'.

Ἰακώβου φυγὴ εἰς τὴν μεσοποταμίαν, διὰ τὸν ἐκ τἀδελφοῦ φόβον.

Ἰάκωβος δὲ εἰς τὴν μεσοποταμίαν στελλόμενος ὑπὸ τῆς μητρὸς, κατὰ γάμον τῆς λαβάνου θυγατρὸς τοῦ ἐκείνης ἀδελφοῦ, ἐπιτρέψαντος ἰσάκου τὸν γάμον διὰ τὸ πείθεσθαι τοῖς βουλήμασι τῆς γυναικὸς, διὰ τῆς χαναναίας ἐπορεύετο. καὶ διὰ τὸ πρὸς τοὺς ἐπιχωρίους μῖσος παρ' οὐδενὶ μὲν ἠξίου κατάγεσθαι. ὕπαιθρος δὲ ηὐλίζετο, τὴν κεφαλὴν λίθοις ὑπ' αὐτοῦ συμφορουμένοις ἐπιτιθείς. καὶ τοιαύτην κατὰ τοὺς ὕπνους ὄψιν ὁρᾷ παραστᾶσαν αὐτῷ. κλίμακα γῆθεν ἔδοξεν ἐφικνουμένην τοῦ οὐρανοῦ βλέπειν, καὶ δι' αὐτῆς ὄψεις κατιούσας σεμνότερον ἢ κατὰ ἀνθρώπου φύσιν ἐχούσας, καὶ τελευταῖον ὑπὲρ αὐτῆς τὸν θεὸν, ἐναργῶς αὐτῷ φαινόμενον, ὀνόματί τε καλέσαντα, καὶ ποιήσασθαι τοιούτοις λόγοις. ἰάκωβε. πατρὸς ὄντα σε ἀγαθοῦ, καὶ πάππου δόξαν ἀρετῆς μεγάλης εὑραμένου, κάμνειν ἐπὶ τοῖς παροῦσιν οὐ προσῆκεν, ἀλλ' ἐλπίζειν τὰ κρείττονα. καὶ γὰρ ἄφθονος ἐκδέξεταί σε μεγάλων ἀγαθῶν παρουσία, πρὸς τὸ πᾶν κατὰ τὴν ἐμὴν ἐπικουρίαν. ἀβραμόν τε γὰρ ἐγὼ ἐκ τῆς μεσοποταμίας δεῦρο ἤγαγον ἐλαυνόμενον ὑπὸ τῶν συγγενῶν, καὶ πατέρα τὸν σὸν εὐδαίμονα ἀπέφηνα, ὧν οὐχ ἥττω μοῖραν εἰς σὲ καταθήσομαι. θάρρων οὖν καὶ ταύτην πορεύου τὴν ὁδὸν, ἐμοὶ πομπῷ χρώμενος. ἀνυσθήσεται γάρ σοι γάμος, ἐφ' ὃν ἐσπούδακας. καὶ γενήσονταί σοι παῖδες ἀγαθοί. τὸ δὲ πλῆθος αὐτῶν, ἀριθμοῦ κρεῖττον ἔσται, μείζοσιν υἱοῖς αὐτῶν καταλιμπάνοντες. οἷς ἐγὼ τὸ ταύτης κράτος τῆς γῆς δίδωμι καὶ παισὶ τοῖς αὐτῶν, οἳ πληρώσουσι πᾶσαν ὅσην ἥλιος ὁρᾷ γῆν καὶ θάλασσαν. ἀλλὰ μήτε κίνδυνον ὑφορῶ μηδένα, μήτ' εὐλαβοῦ τὸ πλῆθος τῶν πόνων, ἐμοῦ ποιουμένου τῶν σοὶ πραχθησομένων πρόνοιαν, ἔν τε τοῖς νῦν, καὶ πολὺ πλέον ἐν τοῖς ὕστερον. ταῦτα μὲν οὖν ὁ θεὸς ἰακώβῳ προαγορεύει. ὁ δὲ, περιχαρὴς γενόμενος ἐπὶ τοῖς ἑωραμένοις καὶ κατηγγελμένοις, φαιδρύνει τε τοὺς λίθους ὡς τηλικούτων ἀγαθῶν ἐπ' αὐτοῖς προρρήσεως γεγενημένης. καὶ εὐχὴν ποιεῖται θύσειν ἐπ' αὐτῶν, εἰ κτησάμενος βίον ἀπαθὴς ἐπανίοι. τῷ θεῷ δεκάτην τῶν πεπορισμένων ποιεῖται, ὅπως αὖθις ἀφικόμενος. τίμιόν τε κρίνει τὸ χωρίον, ὄνομα αὐτῷ βηθὴλ θέμενος. σημαίνει δὲ τοῦτο θείαν ἑστίαν κατὰ τὴν τῶν ἑλλήνων γλῶτταν. προϊὼν δὲ ἐπὶ τῆς μεσοποταμίας χρόνῳ παρῆν εἰς τὴν χαρράν.

καὶ

καὶ ποιμένας ἐν τοῖς προαστείοις λαβών, καὶ παῖδας ἐφήβους, καὶ παρθένους, ὑπό τινος ἱδρυμένους φρέατος, συνδιέτριβεν αὐτοῖς χρῄζων ποτοῦ. εἴς τε λόγους αὐτοῖς ἀφικνούμενος ἀνέκρινεν αὐτούς, εἰ τυγχάνουσι λάβανόν τινα παρ' αὐτοῖς εἰδότες ἔτι περιόντα. οἱ δὲ, πάντες ἐπίστασθαι ἔφασαν. οὐ γὰρ εἶναι τοιοῦτον ὥς τε ἀγνοεῖσθαι. καὶ συμποιμαίνειν αὐτοῖς θυγατέρα αὐτοῦ, ἣν θαυμάζειν ὅτι μή πω παρείη. παρὰ γὰρ ταύτης μεμαθήκεις ἂν ἀκριβέστερον ὅσα περὶ αὐτῶν ἀκοῦσαι ποθεῖς. ταῦτα δ' αὐτῶν ἔτι λεγόντων, παρῆν ἡ παῖς σὺν τοῖς ἐπικατιοῦσι τῶν ποιμένων· καὶ δεικνύουσι τὸν ἰάκωβον αὐτῇ λέγοντες, ὡς ξένος οὗτος ἥκει τὰ περὶ τοῦ πατρὸς αὐτῆς ἀναπυνθανόμενος. ἡ δὲ ἡσθεῖσα ὑπὸ νηπιότητος τῇ παρουσίᾳ τοῦ ἰακώβου, ἀνέκρινεν αὐτόν, τίς τε ὤν, καὶ πόθεν ἥκοι πρὸς αὐτούς, καὶ ὑπό τινος χρείας ἠγμένος. ηὔχετο δὲ εἶναι δυνατὸν αὐτοῖς παρέχειν ὧν ἀφικνεῖται δεόμενος. ἰάκωβος δὲ, οὐχ ὑπὸ τῆς συγγενείας, οὐδὲ τῆς διὰ ταύτην εὐνοίας, ἀλλ' ἔρωτι τῆς παιδὸς ἡττηθείς, ἐκπέπληκτο τε τοῦ κάλλους ὁρῶν οὕτως ἔχουσαν, ὡς ὀλίγαι τῶν τότε γυναικῶν ἦσαν. καὶ φησί. ἀλλ' ἐμοί, πρός σε καὶ πατέρα τὸν σὸν εἴπερ λαβάνου παῖς τυγχάνεις οἰκειότης ἐστὶ πρεσβυτέρα τῆς τε ἐμῆς καὶ σῆς γενέσεως. ἐκ θάρρου γὰρ ἄβραμος ἀρράνης καὶ ναχώρης ἦσαν υἱοί. ὧν βαθούηλος ὁ σὸς πάππος ναχώρου γίνεται παῖς, ἀβράμου δὲ καὶ τῆς ἀρράνου σάρρας, ἴσακος ἐμὸς πατήρ. ἐγγίον δὲ καὶ νεώτερον τοῦδ' ἡμεῖς τῆς συγγενείας ὁμήρευμα πρὸς ἀλλήλους ἔχομεν. ῥεβέκκα γὰρ μήτηρ ἐμή, λαβάνου πατρὸς τοῦ σοῦ ἀδελφή, πατρός τε τοῦ αὐτοῦ καὶ μητρός. ἀνεψιοὶ δ' ἐσμὲν ἡμεῖς ἐγώ τε καὶ σύ. καὶ νῦν δεῦρο ἥκω ἀσπασόμενός τε ὑμᾶς, καὶ τὴν πρέπουσαν ἡμῖν συγγένειαν ἀνανεωσόμενος. ἡ δὲ ὑπὸ μνήμης ὁποῖα φιλεῖ συντυγχάνειν τοῖς νέοις προπεπυσμένη παρὰ τοῦ πατρὸς τὰ περὶ τῆς ῥεβέκκας, καὶ τοὺς γονεῖς εἰδυῖα ποθοῦντας αὐτῆς τὸ ὄνομα, ὑπὸ τῆς περὶ τὸν πατέρα εὐνοίας ἔνδακρυς γενομένη περιβάλλει τὸν ἰάκωβον. καὶ κατασπασαμένη, τὴν εὐκταιοτάτην καὶ μεγίστην ἡδονὴν αὐτὸν κομίσαι τῷ πατρὶ καὶ τοῖς ἐπὶ τῆς οἰκίας ἅπασιν ἔλεγεν, ἐπὶ τῇ μνήμῃ τῆς μητρὸς αὐτοῦ κειμένῳ καὶ πρὸς μόνῃ ταύτῃ τυγχάνοντι. φανεῖσθαι δ' αὐτῷ παντὸς ἀντάξιον ἀγαθοῦ. χωρεῖν τε ἐκέλευεν ἤδη πρὸς τὸν πατέρα καὶ ἕπεσθαι πρὸς αὐτὸν ἡγουμένῃ, καὶ τῆς ἡδονῆς μὴ ἀφαιρεῖσθαι τὸ πλέον αὐτὸν βραδύνοντα. ταῦτ' εἰποῦσα παρήγαγεν αὐτὸν πρὸς τὸν λάβανον. καὶ γνωρισθεὶς ὑπὸ τοῦ μητρῴου, αὐτός τε ἀδεὴς ἦν ἐν φίλοις γενόμενος, κἀκείνοις πολλὴν ἡδονὴν παρεῖχεν ἀδοκήτως ἐπιφανείς. μετὰ δὲ οὐ πολλὰς ἡμέρας ὁ λάβανος χαίρειν μὲν ἐπ' αὐτῷ παρόντι μειζόνως ἢ ὡς τῷ λόγῳ δηλώσειεν ἔλεγε. τὴν δ' αἰτίαν δι' ἣν ἀφῖκται μητέρα τε καὶ πατέρα πρεσβύτας καταλιπών, καὶ θεραπείας τῆς παρ' αὐτοῦ δεομένους, ἀνεπυνθάνετο. παρέξειν γὰρ αὐτῷ καὶ πρὸς ἅπασαν ἐπαμύνειν χρείαν. ἰάκωβος δὲ, πᾶσαν τὴν αἰτίαν αὐτῷ διηγεῖτο. λέγων ἰσάκῳ γενέσθαι παῖδας διδύμους, αὐτόν τε καὶ ἠσαῦν. ὃν ἐπεὶ τῶν τοῦ πατρὸς εὐχῶν διήμαρτε σοφίᾳ τῆς μητρὸς εἰς αὐτὸν γενομένων, ἀποκτεῖναι ζητεῖν αὐτόν, ὡς ἀφῃρημένον τῆς παρὰ τοῦ θεοῦ βασιλείας καὶ ἀγαθῶν ὧν ὁ πατὴρ ηὔξατο. ταύτην τε εἶναι τὴν αἰτίαν τῆς ἐνθάδε παρουσίας, καὶ κατὰ τὴν τῆς μητρὸς ἐντολήν. πᾶσι τε γὰρ ἡμῖν ἀδελφοὶ τυγχάνουσι, καὶ πλέον τοῦ κατ' ἐκεῖνον συγγενοῦς ἡ μήτηρ προσλαμβάνει. ἔρυμα δὲ τῆς ἐμῆς φησὶν ἀποδημίας σέ τε καὶ τὸν θεὸν ποιούμενος, θαρσῶ τοῖς παροῦσι.

A & cũ pastores offendisset in suburbio, & adolescentes ac puellas ad puteũ quendam sedẽtes, poposcit potum. hinc orto sermone percontatus est an nossent quendã Labanum suum popularem, si fortè adhuc sit superstes. aiunt omnibus sibi notũ. neq; enim talem esse vt ignotus esse possit. quin & filiam eius vnà pascere, demirarique se quòd nondum adsit. ex ea facile quæ cuperet cogniturum. vix hæc verba B finierunt, cùm puella accedit comitantibus suis pastoribus. ei Iacobum ostendunt, dicentes hospitem de ipsius patre sciscitari. quæ puellariter gauisa Iacobi aduentu, rogabat quisnam & vnde ad eos veniret, & cuius rei causa: addens optare se vt possent illi gratificari, quacunque re opus haberet. Iacobus verò non tam cognatione aut huius affectu quã insigni puellæ forma captus, obstupuit, vt qui perpaucas viderat pulchritudine huic conferendas. Mihi, inquit, C tecum & cum tuo patre, siquidem Labani es filia, antiquior intercedit necessitudo, quàm sit vel tua ætas vel mea. Tharro enim Abrahamus, Aranes, & Nachores fuere filij, ex his Bathuelus tuus auus Nachoris fuit filius: Abrahami verò & Saræ Aranis filiæ Isacus meus pater. est & propinquior ac recentior necessitudo, qua sumus mutuò deuincti. Rebecca enim mater mea, Labani patris tui soror est eodem patre ac matre genita. itaque cõsobrini sumus D ego & tu. & nũc venio salutaturus vos, cognationisque officia, ita vt par est, renouaturus. At illa memor eorum quæ de Rebecca ex patre, vt fit, audierat, sciénsque parentes desiderare aliquid de ea cognoscere, præ amore patris lachrymabunda ruit in collum eius, complexóque iuuene: optatissimam, inquit, & maximam voluptatem affers patri cũ tota familia, qui nũquam matris tuæ obliuiscitur, crebram illius mentionem faciens: cúmque nunciũ cum quãE tauis felicitate non permutaret. tum iubet vt è vestigio se ad patrẽ sequatur, néve diutius eum hac voluptate fraudet. His dictis adduxit eum ad Labanũ: & agnitus ab auunculo, tũ ipse fuit securus iam apud suos. tum illis inexpectato aduentu magnã voluptatẽ attulit. Post aliquot autem dies Labanus gaudere se quidem eius præsentia magis quam verbis exprimere posset aiebat: rogabat tamen quamobrẽ venisset relictis parentib. ętate cõfectis, & qui ipsius obseF quiis ægrè carerent. pollicebatur etiam benignitatem & operam suam in quacunque re opus haberet. Iacobus verò totam ei causam recensuit. Isaco esse filios geminos, se & Esaum. cum quia fraudatus sit patris fausta imprecatione per matris artem in se translata, cupere se interimere, quasi raptorem principatus à Deo destinati, & reliquorum votorum paternorum. hanc esse causam sui aduentus, & mandata matris, præsertim cùm omnes sint G inter se consanguinei, sed propiore gradu mater. Sperare se in rebus angustis post Deũ præsidiũ maximum in auũculo repertur ũ.

Labanus contrà omnem illi humanitatem pollicetur, tum propter communes auos, tum etiam vt affectum sorori absenti debitum erga ipsum præsentem declararet, velle se cum gregum suorum magistris præficere: & quando ad suos reuerti libuerit, nec indonatum nec inhonoratum abiturum, quemadmodum tam propinquè cognatum deceat. ad hæc Iacobus, se verò libenter accipere conditionem quantumuis laboriosam, sed æquum esse mercedis loco sibi dari Rachelis coniugium, quam & ipsius virtutis causa diligeret, & quia eius opera in tale hospitium sit introductus, amor enim puellæ cogebat eum hanc mentionem iniicere. ibi Labanus ipso vultu lætitiam præferens, eius petitioni annuit, negans sibi optatiorem generum potuisse contingere: sed opus esse vt aliquandiu secum maneat. In Chananæam enim non missurum filiam: quin & sororis in tam longinquam regionem nuptum datæ propemodum pœnitere. His assentiente Iacobo, de septem annis est conuentum. tot enim voluit seruire mercede apud socerum, vt dato virtutis specimine, magis cognosceretur quinam vir esset. cæterum elapso præstituto tempore Labanus epulum nuptiale apparat. noctu verò non sentiente Iacobo inducit in thalamum alteram filiam Rachele maiorem natu, facieque non admodum liberali. at ille vino & tenebris fallentibus, congressus est cũ ea. luce deinde cognito errore expostulauit cum Labano. ille veniam petebat necessitati, qua compulsus hoc fecerit. non malitiosè, inquit, Liam supposui, sed consuetudine regionis huius cogente. nihil tamen hoc oberit Rachelis coniugio, sed dabo eam tibi videnti ac scienti post alterum septennium. Passus est hoc sibi persuaderi Iacobus: nec enim aliter facere poterat amore puellæ deuinctus: & exacto altero septennio Rachelem duxit. Erant autem ambabus famulæ additę à patre, Zelpha Liæ, Racheli Bala, nequaquam ancillæ, subditæ tamen. sed Liam malè habebat amor mariti, quo sororem prosequebatur, expectabátque post partum se fore in pretio: ídque assiduis precibus à Deo contendebat. cúmque puer masculus natus esset, & maritus ob hoc propensior in eam factus, Rubelum nominauit, quia sibi miseratione diuina contigisset. Sic enim interpretatur hæc vox. Aliquanto pòst nascuntur ei tres alij: Simeon, quod significat exorabilem ei fuisse Deum: Leui, quod est firmator societatis: Iudas, quod est gratiarum actio. Rachel autem verita ne propter fœcunditatem sororis deteriore apud maritum conditione esset, iubet famulam suam Balam cum Iacobo cubare. ex ea nascitur puer nomine Dan, quasi dicas, Dei iudicium: & aliquanto pòst alter nomine Nephthalim, ac si dicas artificiosum: quòd mater arte certauerit cum sororis fœcunditate. Idem mox & Lia facit, sororis arte contra eam ipsam vsa. deducit suam famulam in sui mariti accubitum. ex ea quoque nascitur filius Gadas, fortuitum significante nomine: & post eum Aser, quod sonat

Genes. 30.

A λάβανος δὲ καὶ διὰ τοὺς προγόνους ὑπισχνεῖται πάσης αὐτῷ μεταδώσειν φιλανθρωπίας, καὶ διὰ τὴν μητέρα πρὸς ἣν τὴν εὔνοιαν διὰ τῆς περὶ αὐτὸν σπουδῆς ἐνδείξασθαι καὶ μὴ παρούσης. ποιμνίων τε γὰρ αὐτὸν ἐπιμελητὴν καταστήσειν ἔφασκε καὶ προνομίας τῆς τούτων ἀξιώσειν. καὶ πρὸς τοὺς ἰδίους ἀπαλλάσσεσθαι γονεῖς βουλόμενον, μετὰ δώρων ἐπανήξειν, καὶ τιμῆς ἧς εἰκός ἐστι τυχεῖν τὸν οὕτω συγγενῆ. ἰακώβου δὲ ταῦτα ἀκούσαντος, καὶ φήσαντος ἡδέως πάντα μὲν τὸν παρ' αὐτῷ πόνον εἰς ἡδονὴν ὑπομένειν τὴν ἐκείνου. μισθὸν B δ' ὑπὲρ τούτου λαβεῖν ἀξιοῦντος, τὸν ῥαχήλας γάμον διά τε τὰ ἄλλα τιμῆς ἀξίας παρ' αὐτοῦ τυγχανούσης, καὶ ὅτι διάκονος τῆς πρὸς αὐτὸν ἀφίξεως γένοιτο. ὁ γὰρ τῆς παιδὸς ἔρως αὐτὸν ἠνάγκασε ποιήσασθαι τοὺς περὶ τούτου λόγους. λάβανος δὲ ἡσθεὶς τούτοις, ἐπαινοῦει τὸν γάμον αὐτῷ τῆς παιδὸς, οὐκ ἄλλον ἀμείνω γαμβρὸν εὐξάμενος ἐλθεῖν. εἰ μέντοι παρ' αὐτῷ μένοι τινὰ χρόνον, τοῦτο ποιήσειν. εἰς γὰρ χαναναίους οὐκ ἂν πέμψειν τὴν C θυγατέρα. μεταμέλειν γὰρ αὐτῷ καὶ τοῦ τῆς ἀδελφῆς κήδους ἐκεῖ συναφθέντος. τοῦ δὲ ἰακώβου τούτοις συγχωροῦντος, ἑπταετῆ χρόνον συντίθεται. τοσοῦτον γὰρ αὐτῷ κέκριται θητεῦσαι τῷ πενθερῷ, ἵνα τῆς ἀρετῆς πεῖραν διδοὺς, ἐπιγνωσθῇ μᾶλλον τίς εἴη. καὶ προσδεξαμένου τὸν λόγον, λαβάνου χρόνου διελθόντος, προὐτίθει τὴν εὐωχίαν τῶν γάμων. νυκτὸς δ' ἐπιγενομένης, οὐδὲν προνενοημένῳ τῷ ἰακώβῳ, παρακατακλίνει τὴν ἑτέραν τῶν θυγατέρων τὴν πρεσβυτέραν τε τῆς ῥαχήλας, D καὶ τὴν ὄψιν οὐκ εὐπρεπῆ. συνελθὼν δ' ἐκεῖνος ὑπὸ μέθης καὶ σκότους, εἶτα μεθ' ἡμέραν γνοὺς, ἀδικίαν ἐπεκάλει λαβάνῳ. ὁ δὲ, συγγνώμην ᾐτεῖτο τῆς ἀνάγκης, ὑφ' ἧς ταῦτα πράξειεν. οὐ γὰρ κατὰ κακουργίαν αὐτῷ τὴν λείαν παρασχεῖν, ἀλλ' ὑφ' ἑτέρου μείζονος νενικημένον. τοῦτο μέντοι γε οὐδὲν ἐμποδίζειν πρὸς τὸν ῥαχήλας γάμον, ἀλλ' ἐρῶντι δώσειν ταύτην μετ' ἄλλην ἑπταετίαν. πείθεται δὲ ὁ ἰάκωβος. οὐδὲν γὰρ ἕτερον αὐτῷ ποιεῖν ὁ τῆς κόρης ἔρως E ἐπέτρεπε. καὶ διελθούσης ἄλλης ἑπταετίας, τὴν ῥαχήλαν παρέλαβεν. ἦσαν δ' ἑκατέραις θεραπαινίδες τοῦ πατρὸς δόντος. ζέλφαν μὲν, λείας. ῥαχήλας δὲ, βάλλαν. δοῦλαι μὲν οὐδαμῶς, ὑποτεταγμέναι δὲ αὐταῖς. καὶ τῆς λείας ἥπτετο δεινὸς ὁ πρὸς τὴν ἀδελφὴν ἔρως ἀνδρὸς, προσεδόκα τε παίδων γενομένων ἔσεσθαι τιμίαν. ὅπερ καὶ ἱκέτευε τὸν θεὸν διηνεκῶς. καὶ γενομένου παιδὸς ἄρρενος, καὶ διὰ τοῦτο πρὸς αὐτὴν ἐπεστραμμένου ἀνδρὸς, ῥούβηλον ὀνομάζει τὸν υἱόν. δι' ὅτι κατ' ἔλεον F αὐτῇ τοῦ θεοῦ γένοιτο. τοῦτο γὰρ σημαίνει τὸ ὄνομα. τεκνοῦνται δὲ αὐτῇ καὶ τρεῖς ἕτεροι μετὰ χρόνον. συμεὼν, ἀποσημαίνει δὲ τὸ ὄνομα, τὸ ἐπήκοον αὐτῇ τὸν θεὸν γεγονέναι. εἶτα λευί. κοινωνίας οἷον βεβαιωτής. μεθ' ὃν, ἰούδας, εὐχαριστίαν τοῦτο δηλοῖ. ῥαχήλα δὲ φοβουμένη μὴ διὰ τὴν εὐτεκνίαν τῆς ἀδελφῆς ἥττονος παρὰ ἀνδρὸς μοίρας τυγχάνῃ, παρακατακλίνει τῷ ἰακώβῳ τὴν ἑαυτῆς θεραπαινίδα βάλλαν. γίνεται δὲ παιδίον ἐξ αὐτῆς, G δάν. θεόκριτον ἄν τινες εἴποιεν, κατὰ τὴν ἑλλήνων γλῶτταν. καὶ μετ' αὐτὸν νεφθαλείμ, εὐμήχανον οἷον διὰ τὸ ἀντιτεχνᾶσθαι πρὸς τὴν εὐτεκνίαν τῆς ἀδελφῆς. τὸ δ' αὐτὸ καὶ λεία ποιεῖ, πρὸς τὸ τῆς ἀδελφῆς ἔργον ἀντιτεχνασαμένη. παρακατακλίνει γὰρ τὴν αὑτῆς θεράπαιναν. γίνεται δὲ καὶ ἐκ τῆς ζέλφης υἱὸς γάδας. τυχαῖον ἄν τις καλέσειεν αὐτόν,

καὶ μετ'

καὶ μετ' αὐτὸν, Ἀσήρ. μακαριστὴς λέγοιτο ἄν, ἐξ ὧν πρὸς εὔκλειαν τῇ Λείᾳ προσελάμβανε. Ῥουβήλου δὲ τοῦ πρεσβυτάτου τῶν παίδων τῶν υἱῶν Λείας, μανδραγόρου μῆλα κομίζοντος τῇ μητρὶ, Ῥαχήλα θεασαμένη παρεκάλει μεταδοῦναι, δι' ἐπιθυμίας τοῦ βρώματος γενομένη. τῆς δ' οὐ πειθομένης, ἀρκεῖσθαι δ' αὐτὴν ἀξιούσης ὅτι τῆς τιμῆς αὐτὴν ἀφέλοιτο τῆς παρὰ τἀνδρὸς, Ῥαχήλα πεπαίνουσα τὸν θυμὸν τῆς ἀδελφῆς, παραχωρήσειν αὐτῇ τἀνδρὸς ἔλεγε κοιμησομένου παρ' αὐτῇ κατ' ἐκείνην τὴν ἑσπέραν. τῆς δὲ προσιεμένης τὴν χάριν, Ἰάκωβος συγκαθεύδει τῇ Λείᾳ, Ῥαχήλᾳ χαριζόμενος. πάλιν οὖν γίνονται παῖδες αὐτῇ, Ἰσάχαρις μὲν, σημαίνων τὸν ἐκ μισθοῦ γενόμενον. Ζαβουλὼν δὲ ἐνέχυρον εὐνοίας τῆς πρὸς αὐτήν. θυγάτηρ δὲ Δεῖνα. χρόνῳ δ' ὕστερον καὶ Ῥαχήλᾳ γίνεται ὁ Ἰώσηπος υἱός. προσθήκην γενησομένου τινὸς δηλοῖ. τοῦτον ἅπαντα τὸν χρόνον, ἔτη δ' ἐστὶν εἴκοσιν, ἐποίμαινε τῷ πενθερῷ. μετὰ δὲ τοῦτον, ἠξίου τὰς γυναῖκας ἀναλαβὼν ἀπαλλάττεσθαι πρὸς αὐτόν. τοῦ δὲ πενθεροῦ μὴ συγχωροῦντος, κρύφα τοῦτο ποιεῖν ἐνενόει. τῶν γυναικῶν οὖν ἀπεπειρᾶτο, πῶς ἔχουσι πρὸς τὴν ἀποδημίαν. τῶν δ' ἐχουσῶν ἡδέως, Ῥαχήλα καὶ τοὺς τύπους τῶν θεῶν οὓς σέβειν πατρίους ὄντας νόμιμον ἦν, συνεκλαβοῦσα, συναποδιδράσκει μετὰ τῆς ἀδελφῆς, οἵ τε ἑκατέρων παῖδες καὶ θεραπαινίδες σὺν τοῖς υἱοῖς, εἴ τέ τις ἦν κτῆσις αὐταῖς. ἐπήγετο δὲ Ἰάκωβος καὶ τῶν βοσκημάτων τὴν ἡμίσειαν, λαθὼν μὴ προεγνωκότος. τοὺς δὲ τύπους ἐπεφέρετο τῶν θεῶν ἡ Ῥαχήλα, καταφρονεῖν μὲν τῆς τοιαύτης τιμῆς τῶν θεῶν διδάξαντος αὐτὴν Ἰακώβου, ἵνα δ' εἰ καταληφθεῖεν ὑπὸ τοῦ πατρὸς αὐτῆς διωχθέντες, ἔχοι τούτοις προσφυγοῦσα συγγνώμης τυγχάνειν. Λάβανος δὲ, μεθ' ἡμέραν μίαν γνοὺς τήν τε Ἰακώβου ἀναχώρησιν καὶ τῶν θυγατέρων, δεινῶς παθὼν ἤλαυνεν ἐπ' αὐτὸν μετὰ δυνάμεως ἐπειγόμενος, καὶ καθ' ἡμέραν ἑβδόμην ἐπί τινος λόφου λαμβάνει προκαθιδρυμένους. καὶ τότε μὲν ἑσπέρα γὰρ ἦν, ἡσύχαζεν. ὄναρ δὲ ὁ θεὸς αὐτῷ ἐπιστὰς, παρῄνεσε λαβόντι τὸν γαμβρὸν καὶ τὰς θυγατέρας ἠρεμεῖν, καὶ μηδὲν εἰς αὐτοὺς ὑπὸ θυμοῦ τολμᾶν. σπονδὰς δὲ ποιεῖσθαι πρὸς Ἰάκωβον, αὐτὸς λέγων ἐκείνῳ συμμαχήσειν, εἰ καταφρονήσας αὐτοῦ τῆς ὀλιγότητος χωρήσειεν αὐτῷ διὰ μάχης. Λάβανος δὲ τοιαύτης αὐτῷ ἐκ τοῦ θεοῦ προρρήσεως γεγενημένης, μεθ' ἡμέραν εἰς λόγους τὸν Ἰάκωβον προσκαλεσάμενος, καὶ δηλώσας αὐτῷ τὸ ὄναρ, ἐπεὶ πρὸς αὐτὸν ἦλθε πιστευθεὶς, ἤρξατο κατηγορεῖν αὐτοῦ, προφέρων ὅτι καὶ πένητα αὐτὸν ἐλθόντα πρὸς αὐτὸν καὶ πάντων ἄπορον ὑπεδέξατο, καὶ χορηγοίη πᾶσαν ἀφθονίαν τῆς αὐτοῦ κτήσεως. καὶ γὰρ θυγατέρας τὰς ἐμὰς συνέζευξα, τὴν εὔνοιάν σου τὴν πρὸς ἡμᾶς τούτοις αὐξηθήσεσθαι λογιζόμενος. σὺ δὲ, οὔτε τῆς μητρὸς τῆς ἑαυτοῦ καὶ κοινωνίας ἧς εἶχες πρὸς ἐμὲ συγγενείας, οὔτε γυναικῶν ἃς ἔγημας, αἰδῶ ποιησάμενος, οὔτε τέκνων ὧν εἰμὶ πάππος, ἐχρήσω μοι πολέμου νόμῳ, κτῆσιν μὲν ἄγων τὴν ἐμὴν, θυγατέρας δὲ ἀναπείσας ἀποδρᾶναι τὸν γεγεννηκότα, ἱερά τε πάτρια βαστάσας οἴχοι φερόμενος, ὑπό τε τῶν ἐμῶν προγόνων καὶ ὑπ' ἐμοῦ θρησκείας τῆς αὐτῆς ἐκείνοις ἀξιωθέντα. καὶ ταῦτα μηδὲ οἱ πολεμήσαντες τοὺς ἐχθροὺς ἔδασαν, ἃ συγγενὴς σὺ καὶ τῆς μὲν ἀδελφῆς τῆς ἐμῆς υἱὸς, θυγατέρων δὲ τῶν ἐμῶν ἀνὴρ, ξένος δὲ καὶ ἐφέστιος τῆς ἐμῆς οἰκίας γεγενημένος ἔδρασας. ταῦτα εἰπόντος Λαβάνου, Ἰάκωβος ἀπολογεῖτο,

A beatificum, quòd mactam fœcunditate se Lia duceret. Porrò cù Rubelus filiorũ Lię maxim[9] mandragoræ mala matri afferret, Rachel hoc viso concupiuit hunc cibum, partémque à sorore precario petiit. Illa verò denegante, iubentéque contentam esse quòd honoris prærogatiuam apud communem maritum haberet: Rachel mitigatura indignationem sororis, ait se illi virum cessuram in sequentem noctem. B quam gratiam altera libenter accipiente, Iacobus cum Lia cubauit in Rachelis gratiam. Rursum igitur ei filij nascuntur: Issachares, quod nomen significat ex mercede natum: & Zabulon, quod significat pignus beneuolentiæ: præterque filia Dina. Tandem etiam Rachel peperit Iosephum filium: ea vox significat additamentum. Hoc toto tempore, quod fuit annorum viginti, pascuis soceri & gregibus præfuit. quo exacto, æquum esse aiebat, vt cum vxoribus ad suos reuerteretur. *Genes. 31.* C Socero verò non permittente, clàm hoc facere cogitabat: pertentabátque animum vxorum, quomodo laturę essent peregrinationem. quibus cùm gratum hoc esset, Rachel sigillis etiam deorum patriæ religionis sublatis, vnà cum sorore fugiebat: simúlque vtriusque liberi & famulæ cum suis filiis, asportatis etiam totis quantæ erant facultatibus. Adducebat etiam Iacob dimidium pecorum, priusquam Labam rescire posset. sigilla verò deorum secum ferebat Rachel: D non quòd deos coleret, quorum contemptum à marito didicerat. sed vt si fortè pater fugientes assequeretur, haberet quò confugeret veniam impetratura. Labanus autem post vnam diem cognito Iacobi & filiarum discessu, indignatus persequebatur eum cum valida manu, & septima demum die deprehendit eos in quodam colle quiescentes: quúmque esset diei serum, ab omni vi se continuit. per noctem verò Deus in somnis illi E visus vetuit ne quid in deprehensum in fuga generum cum filiabus durius præ ira consuleret: sed potius fœdus cum eo feriret: néve paucitatem fugientium contemneret, alioqui se illis propugnatorem futurum. Sequenti verò luce Labanus Iacobum ad colloquium euocat, non dissimulans oraculum: quúmque ille fidei eius se commisisset, cœpit hominem accusare, exprobrans quòd pauperem omniúmque egenum suscepisset, & de suis facultatibus F abundè ipsi suppeditasset. Propterea filias, inquit, tibi coniunxi, putans hoc pacto beneuolentiam erga nos tuam fore firmiorem. tu verò neque matrem tuam & communem sanguinem, neque vxores apud nos ductas, neque liberos quorum ego auus sum, reueritus non aliter quàm hostem me tractasti. rapuisti mea bona, filiabus vt parentem fugerent autor G fuisti: sacra patria domum tecum portasti, & apud maiores meos, & apud me in summa veneratione habita. & quæ vix hostis hosti faceret, tu cognatus, è sorore nepos, gener, hospes ac domesticus conuictor mihi fecisti. Iacobus contrà pro se afferebat, non sibi soli,

sed omnibus esse innatum patriæ desiderium, æquúmque vt post tanti temporis moras tandem ad eam reuertatur. Quòd verò prædæ, inquit, abactæ crimen obiicis, ipse iniustitiæ sub alio iudice damnareris. Cùm enim gratiam mihi pro facultatibus tuis conseruatis & auctis debeas, an non iniquum est ægreferre, quòd partem earum modicam vsurpauimus? certè quod ad filias attinet, scito non hoc lædendi animo à me factum, sed caritatis coniugalis hoc esse officium. sequuntur igitur non tam me quàm suos liberos. Hæc pro se: retorquebat deinde accusationem in ipsum, quòd auunculus ac socer duris mandatis eum per annos XX. vexauerit. & illa quidem quæ nuptiarum spe tulerit, quamuis per se grauia, sibi tamen leuiora fuisse: quæ verò postea secuta sunt, multo grauiora, quæ nemo nisi beneuolus perferret. Etenim Labanus valde iniquè Iacobum tractauerat. videns enim eum in omnibus rebus à Deo adiuuari, pollicebatur ei daturum se futuros fœtus, modo quicquid album nasceretur, modo quicquid nigrum. cùm verò magno numero nascerentur quæ Iacobo destinata essent, non seruabat fidem in præsens, sed in proximè sequentem annum promittebat, quòd esset ad rem attentior, promittens quidem, eo quòd non speraret tantum prouentum, ac mox vbi prouenerat fallens. sacras tamen effigies permissum est inquirere. Rachel autem cognito patrem permissa potestate vti velle, deponit sigilla in sarcinam cameli qua ipsa vectabatur: sedebátque desuper dicens mēstruis laborare: & Laban destitit amplius inquirere, credens filiam sic affectam non fuisse sacris propius accessuram. Post hæc offensæ veniam pollicetur, vicissim alter amorem filiarum, idque iureiurando sanciunt. Hoc fœdus ictum est super monte quodam, vbi columnam erexerunt aræ specie: vnde Galades colli nomen factum, à quo Galadena terra est dicta. Post fœdus conuiuio celebrato, Laban ad sua rediit. Iacobo autem in Chananæam iter cœptum prosequenti visiones obueniebant, bonam spem in posterum facientes: cui loco Dei castra nomen indidit. Volens autem scire animum fratris erga se, præmisit diligenter cuncta exploraturos, timens eum propter veterem suspicionem: quos ita fratrem iussit alloqui. Vltro se patriam reliquisse, ne cum offenso fratre degeret, nunc credere tantum temporis spatium satis valere ad reconciliationem, ideóque redire cum vxoribus ac liberis & facultatibus industria quæsitis, vt se & quicquid earum haberet illi dedat, quādoquidem nihil felicius existimet, quàm ea quæ De⁹ largitus est, cum fratre habere communia. His nunciatis Esaus vehementer exhilaratus, occurrit fratri cū cccc. armatis. At Iacobus, audiens eum obuiam properare cum tot armatis, extimuit valde. Deo tamen seruatore fretus prouidebat pro tempore ne quid detrimenti acciperet, vtque suos ab iniuria defenderet.

μὴ μόνῳ πατρίδος ἔρωτα τὸν θεὸν, ἀλλὰ καὶ πᾶσιν ἐμφύσαι, καὶ μετὰ τοσοῦτον χρόνον καλῶς ἔχειν αὐτῷ κατελθεῖν εἰς ταύτην. ὑπὲρ δὲ τῆς λείας ἧς ἐγκαλεῖς φησιν, ἀδικῶν αὐτὸς ἂν εὑρεθείης ἐπ' ἄλλῳ κριτῇ. ὑπὲρ γὰρ ἧς ἐχρῆν σε χάριν ἡμῖν ἔχειν καὶ φυλαχθείσης ὑφ' ἡμῶν καὶ πλείονος γεγενημένης, ὑπὲρ ταύτης πῶς οὐ διαμαρτάνεις τῶν δικαίων χαλεπαίνων ἐμοὶ εἰ μοῖραν αὐτῆς ὀλίγην λαβόντες ἔχομεν, περὶ μέντοι γε τῶν θυγατέρων, ἴσθι μὴ κατ' ἐμὴν κακουργίαν ἀπαναστήσαντος ἀκολουθεῖν, ἀλλὰ κατ' εὔνοιαν δικαίαν ἣν γυναιξὶ γαμεταῖς πρὸς συνοικοῦντας εἶναι συμβέβηκεν. ἕπονται τοίνυν οὐχ ὡς ἐμοὶ τοσοῦτον ὅσον τοῖς παισὶν ἑαυτῶν. καὶ ταῦτα μὲν ὑπὲρ τοῦ μηδὲν ἀδικεῖν αὐτὸς ἔλεγε. προσενεκάλει δὲ καὶ κατηγορίαν ἐποιεῖτο, ὅτι μητρὸς ὢν ἀδελφὸς τῆς αὐτοῦ, καὶ συζεύξας αὐτῷ τὰς θυγατέρας, ἐπιτάγμασι χαλεποῖς ἐκτρυχώσειεν, εἴκοσιν ἐτῶν ἀριθμὸν ἐν αὐτοῖς κατασχών. καὶ τὰ μὲν προφάσει τῶν γάμων ὑπ' αὐτοῦ γενόμενα, καίπερ χαλεπὰ κουφότερα ἔφασκε. χείρω δὲ, τὰ μετὰ τοὺς γάμους, καὶ ἅπερ ἂν ἐχθρὸς ἔφυγε. καὶ γὰρ σφόδρα κακούργως ὁ Λάβανος ἐχρήσατο τῷ Ἰακώβῳ. ὁρῶν γὰρ αὐτῷ τὸν θεὸν πρὸς ὅ τι θελήσειε συλλαμβανόμενον, ὑπισχνεῖτο τῶν τεχθησομένων αὐτῷ παρέξειν ἔσθ' ὅτε μὲν ὅ τι καὶ γένοιτο λευκὸν, ποτὲ δὲ τὰ μέλανα τῶν γεννωμένων. πληθυνόντων δὲ τῶν ἐπ' ὀνόματι τοῦ Ἰακώβου τικτομένων, τὴν μὲν εἰς τὸ παρὸν οὐκ ἐφύλαττεν πίστιν, εἰς ἔτος δὲ παρέχειν ἐπηγγέλλετο τὸ ἑξῆς, διὰ τὸ ἐποφθαλμιᾶν τῷ πλήθει τῆς κτήσεως, καὶ ἐπαγγελλόμενος μὲν διὰ τὸ δυσέλπιστον γενέσθαι τοσαῦτα, ψευδόμενος δὲ ἐπιγενομένοις. περὶ μέντοι τῶν ἱερωμάτων, ἐκέλευεν ἔρευναν ποιεῖσθαι. δεξαμένου δὲ Λαβάνου τὴν ἔρευναν, Ῥαχήλα πυνθανομένη, κατατίθησι τοὺς τύπους εἰς τὴν σάγην τῆς φερούσης αὐτὴν καμήλου, ἐκαθέζετο δὲ φάσκουσα τὴν κατὰ φύσιν κάθαρσιν αὐτῆς ἐνοχλεῖν. καὶ Λάβανος μὲν, ἀφίσταται τῆς ἐπιπλεῖον ἐρεύνης, οὐκ ἂν οἰηθεὶς τὴν θυγατέρα μετὰ τοιούτου πάθους τοῖς τύποις προσελθεῖν. ποιεῖται δὲ ὅρκους πρὸς Ἰάκωβον μηδὲ ὃς αὐτῶν μνησικακήσειν τῶν γεγονότων. ἀλλὰ κἀκεῖνος ἀγαπήσειν αὐτοῦ τὰς θυγατέρας. καὶ τὰς πίστεις τὰς ἐπὶ τούτοις ἐποιήσαντο ὑπὲρ ὀρῶν τινων, ἐφ' οἷς στήλην ἀνέθεσαν κατὰ βωμοῦ σχῆμα. ὅθεν Γαλάδης λέγεται ὁ βουνός. ἀφ' οὗ νῦν Γαλαδηνὴν καλοῦσι τὴν γῆν. ἑστιαθέντων δὲ ἐπὶ τοῖς ὅρκοις, ὁ μὲν Λάβανος ἀνέζευξεν. Ἰακώβῳ δὲ εἰς τὴν Χαναναίαν προϊόντι, φαντάσματα συνετύγχανεν ἀγαθὰς ἐλπίδας ὑπαγορεύοντα περὶ τῶν ἐς ὕστερον. καὶ τὸν μὲν τόπον προσαγορεύει, θεοῦ στρατόπεδον. βουλόμενος δὲ εἰδέναι τί ὁ ἀδελφὸς αὐτοῦ φρονεῖ, τοὺς γνωσομένους ἕκαστα μετὰ ἀκριβείας προὔπεμψε, δεδιὼς αὐτὸν διὰ τὴν προτέραν ὑποψίαν. ἐνετείλατο δὲ τοῖς πεμπομένοις λέγειν πρὸς τὸν Ἠσαῦ. ὅτι νομίσας Ἰάκωβος ἄδικον συνδιαιτᾶσθαι αὐτῷ τῇ ὀργῇ τῆς χώρας ἑκὼν ὑπεξέλθοι. καὶ νῦν τὸν χρόνον ἱκανὸν ἡγούμενος εἶναι διαλλακτὴν, ἐπανίκοι, γυναῖκάς τε καὶ παῖδας ἐπαγόμενος μετὰ τοῦ πορισθέντος βίου, μετὰ τῶν τιμιωτάτων ἑαυτοῦ ἐκείνῳ παραδιδούς, ὅτι κρίνει μέγιστον ἀγαθὸν τὸ, τῷ ἀδελφῷ συμμεταλαμβάνειν τῶν ὑπὸ τοῦ θεοῦ δεδομένων. καὶ οἱ μὲν, ταῦτα ἐδήλουν. Ἠσαῦς δὲ περιχαρὴς γίνεται, καὶ τῷ ἀδελφῷ ὑπήντα σὺν ὁπλίταις τετρακοσίοις. καὶ Ἰάκωβος πυνθανόμενος ἥκειν αὐτὸν, ὑπαντησόμενον μετὰ τοσούτων ὁπλιτῶν, ἦν περίφοβος. τῷ μέντοι θεῷ τὴν ἐλπίδα τῆς σωτηρίας ἐπέτρεπε καὶ προ-

καὶ προσέτι μὲν εἶχεν ἐκ τῶν παρόντων ὅπως ἂν αὐτὸς ἀπαθὴς σώζοιτο σὺν αὐτῷ κρατήσας τῶν ἐχθρῶν, εἰ ἐθέλοιεν ἀδικεῖν. νείμας οὖν τοὺς σὺν αὐτῷ τοὺς μὲν προϋπέπεμπε, τοὺς δὲ λειπομένους, ἄγχιστα ἐκέλευεν ἀκολουθεῖν· ὅπως εἰ βιασθεῖεν οἱ προπεμφθέντες ἐπιθεμένου τοῦ ἀδελφοῦ, καταφυγὴν ἔχοιεν τοὺς ἑπομένους. καὶ τοῦτον διατάξας τοὺς σὺν αὐτῷ τὸν τρόπον, πέμπει τινὰς δῶρα κομίζοντας τἀδελφῷ. ὑποζύγια δὲ ἦν τὰ πεμπόμενα, καὶ πλῆθος τετραπόδων ποικίλον, ἃ δὴ τίμια τοῖς ληψομένοις ἔμελλεν ἔσεσθαι διὰ τὸ σπανίζειν αὐτῶν. ᾔεσαν δὲ οἱ πεμφθέντες ἐκ διαλειμμάτων, ἵνα συνεχέστερον ἐντυγχάνοντες, πολλοὶ δοκῶσιν. ἀνήσειν γὰρ ὑπὸ τῶν δώρων τῆς ὀργῆς, εἰ διαμένοι τεθυμωμένος. ἔτι μέντοι καὶ λόγοις χρηστοῖς ὁμιλεῖν πρὸς αὐτὸν εἴρητο τοῖς πεμπομένοις. ταῦτα συνθεὶς διὰ πάσης τῆς ἡμέρας, νυκτὸς ἐπιγινομένης ἐκίνει τοὺς σὺν αὐτῷ. καὶ χείμαρρόν τινα ἰάβακχον λεγόμενον διαβεβηκότων, ἰάκωβος ὑπολελειμμένος φαντάσματι συντυχὼν διεπάλαιεν, ἐκείνου προκατάρχοντος τῆς μάχης, ἐκράτει τε τοῦ φαντάσματος, ὃ δὴ καὶ φωνῇ χρῆται καὶ λόγοις πρὸς αὐτὸν, χαίρειν τε πρὸς τοῖς γεγενημένοις παραινοῦν, καὶ μὴ μικρῶν κρατεῖν ὑπολαμβάνειν, ἀλλὰ θεῖον ἄγγελον νενικηκέναι, καὶ σημεῖον ἡγεῖσθαι τοῦτο μεγάλων ἀγαθῶν ἐσομένων, καὶ τοῦ μηδέποτε τὸ γένος ἐκλείψειν αὐτοῦ, μηδ' ὑπέρτερόν τινα τῶν ἀνθρώπων τῆς ἰσχύος ἔσεσθαι τῆς ἐκείνου. ἐκέλευέ τε καλεῖν αὐτὸν ἰσράηλον. σημαίνει δὲ τοῦτο κατὰ τὴν ἑβραίων γλῶτταν, τὸν ἀντιστάντα ἀγγέλῳ θείῳ. ταῦτα μέντοι προὔλεγεν, ἰακώβου δεηθέντος. αἰσθόμενος γὰρ ἄγγελον εἶναι θεῖον, τίνα μοῖραν ἕξει σημαίνειν παρεκάλει. καὶ τὸ μὲν φάντασμα ταῦτ' εἰπὸν, ἀφανὲς γίνεται. ἡσθεὶς δὲ τούτοις ἰάκωβος, φανούηλον ὀνομάζει τὸν τόπον. σημαίνει δὲ, θεοῦ πρόσωπον. καὶ γενομένου διὰ τὴν μάχην ἀλγήματος αὐτῷ περὶ τὸ νεῦρον τὸ πλατὺ, αὐτός τε ἀπέχεται τῆς τούτου βρώσεως, καὶ δι' ἐκεῖνον οὐδ' ἡμῖν ἐστιν ἐδώδιμον. πλησίον δ' ἤδη τὸν ἀδελφὸν πυνθανόμενος, κελεύει προϊέναι τῶν γυναικῶν ἑκατέραν καθ' αὑτὴν μετὰ τῶν θεραπαινίδων, ἵνα πόρρωθεν ἀφορῷεν τὰ ἔργα τῶν ἀνδρῶν μαχομένων εἰ τοῦτο θελήσειεν ἡσαῦς. προσκυνεῖ δ' αὐτὸς τὸν ἀδελφὸν ἐγγὺς αὐτῷ γενόμενον, οὐδὲν περὶ αὐτοῦ δόλιον φρονοῦντα. καὶ ἡσαῦς ἀσπασάμενος αὐτὸν, ἀνήρετο τῶν παίδων τὸν ὄχλον καὶ τὰς γυναῖκας. ἠξίου τε τότε τὸ πᾶν μαθὼν περὶ αὐτῶν, καὶ αὐτὸς συμβαδίζειν αὐτοῖς πρὸς τὸν πατέρα. ἰακώβου δὲ προφασιζομένου τὸν κόπον τῶν ὑποζυγίων, ὑπεχώρησεν εἰς σάειραν. ἐνταῦθα γὰρ ἐποιεῖτο τὴν δίαιταν, προσαγορεύσας τὸ χωρίον ἀπὸ τῆς αὐτοῦ τριχώσεως δασείαν. ἰάκωβος δὲ ἀφίκετο εἰς τὰς ἔτι νῦν σκηνὰς λεγομένας· ὅθεν εἰς σίκιμον παρῆν· χαναναίων δ' ἐστὶν ἡ πόλις. τῶν δὲ σικιμιτῶν ἑορτὴν ἀγόντων, δεῖνα ἡ θυγάτηρ ἡ ἰακώβου μόνη, παρῆλθεν εἰς τὴν πόλιν, ὀψομένη τὸν κόσμον τῶν ἐπιχωρίων γυναικῶν. θεασάμενος δ' αὐτὴν συχέμης ἐμμώρου τοῦ βασιλέως υἱὸς, φθείρει δι' ἁρπαγῆς. καὶ διατεθεὶς ἐρωτικῶς ἱκετεύει τὸν πατέρα λαβεῖν αὐτῷ πρὸς γάμον τὴν κόρην. ὁ δὲ πεισθεὶς ἧκε πρὸς τὸν ἰάκωβον, δεόμενος τῷ παιδὶ αὐτοῦ συχέμῃ συζεῦξαι δεῖναν κατὰ νόμον. ἰάκωβος δὲ, οὔτ' ἀντιλέγειν ἔχων διὰ τὸ ἀξίωμα τοῦ παρακαλοῦντος, οὔτε νόμιμον ἡγούμενος ἀλλοφύλῳ συνοικίζειν τὴν θυγατέρα, ἠξίωσεν ἐπιτρέψαι αὐτῷ βουλὴν ἀγαγεῖν περὶ ὧν παρεκάλει. ἄπεισι μὲν οὖν ὁ βασιλεὺς, ἰάκωβον ἐλπίζων παρέξειν τὸν γάμον. ἰάκωβος δὲ δηλώσας τοῖς παισὶ, τήν τε φθορὰν τῆς ἀδελφῆς, καὶ τοῦ ἐμμώρου τὴν δέησιν,

Diſtributo igitur agmine alios procedere iuſſit, alios properè ſubſequi: vt ſi quis primos aggrederetur, ad ſequens agmen haberent refugium: & hoc modo inſtructis qui circa ſe erant, præmittit quoſdam ad fratrem cum muneribus. ea conſtabant iumentis multiſque ac variis quadrupedibus, accipiẽti placituris propter raritatem. veniebant autem alij poſt alios, vt crebriùs occurrentes plures quàm pro numero viderentur: & credibile erat donis placatum remiſſurũ iram, ſi qua adhuc eſſet reliqua. quin & illud mandatum eſt præmiſſis, vt blandè hominem alloquerentur. His ita per totam diem diſpoſitis, noctu mouit agmen. Cúmque Iobacchum torrentem tranſiſſent, Iacobus aliquãtum ab agmine relictus incidit in luctam cum ſpectro, ipſe prior laceſſitus, erátque ſuperior. exclamat igitur mactum virtute qui non quemuis aduerſarium, ſed angelũ Dei vicerit: idque illi eſſe magnę felicitatis præſagium: genúſque eius nunquam defore, nec vllis vnquã humanis viribus poſſe opprimi. iuſsítque illũ poſthac vocari Iſraelem, quod Hebræis angelo reluctantem ſignificat. Hæc ſunt prædicta Iacobo, id ipſum roganti. Cùm enim ſenſiſſet angelum eſſe Dei, precatus eſt vt ex eo fatum ſuum cognoſcere liceret. His dictis ſpectrum euanuit. Iacobus verò lætus auditis, impoſuit loco nomen Phanuel. id ſignificat Dei faciem. ſed quia latum neruum inter luctandum læſit, & ipſe pòſt eo cibo abſtinuit, & nobis illo propter eum veſci nõ licet. Cognito verò fratrem iam non longè abeſſe, iubet vxores procedere per ſe quanque cum pediſequis, vt è lõginquo ſpectarent pugnam virorum, ſi eam frater mallet. ipſe propior factus adorauit fratrem, non malè de ſe cogitantem. at Eſaus eo ſalutato, interrogabat de turba mulierum ac puerorũ: & cùm didiciſſet omnia, volebat eos deducere ad patrẽ. Iacobo verò excuſante laſſitudinem iumentorum, reuerſus eſt in Seiram. illic enim habitabat, vernacula lingua loco ab hirſutie ſua denominato. Iacobus autẽ peruenit ad Scenas quas vocant, vetus nomen adhuc retinentes. inde profectus eſt Sicima, quæ eſt vrbs Chananæorum. & cùm eſſet celebritas apud Sicimitas, Dina vnica Iacobi filia venit in vrbem ad viſendũ cultum mulierũ eius regionis. qua viſa Sychemis Emmoris regis filius, raptæ ſtuprum obtulit: & correptus amore patrem ſuum rogauit, vt puellam vxorem habere liceret. Ille morem ei gerens, venit ad Iacobũ, rogans vt filio ſuo Dinam in matrimoniũ collocaret. Iacobus verò qui neque negare poterat propter maieſtatem rogantis, neque fas putabat alienigenæ filiam nuptum tradere, deliberandi ſpatium popoſcit. Rex ſperans Iacobum aſſenſurum, abiit. Ille verò indicata filiis iniuria ſororis, & Emmoris petitione,

Geneſ. 34.

iussit eos consultare quid facto opus esset. maior pars hærebat incerti quid esset agendum. Simeon verò & Leuis vterini puellæ fratres tale consilium inter se capiunt. Obseruato festo die quo Sicimitæ voluptati & conuiuiis operam dabant, inuasis noctu custodibus sopitos contrucidant: atque ita facile vrbe potiti, mares vniuersos interimunt vnà cum rege ac filio, solis parcentes fœminis. quo facinore citra consensum patris perpetrato, sororem reducunt. Iacobum autem obstupefactum audacia tanta filiorum, indignéque ferentem, Deus per visum bono animo esse iussum, lustrare tentoria, sacrificiúmque quod olim post somnium illud in profectione Mesopotamena vouerat, persoluere imperat. itaque dum lustrat, incidit in Labani Deos: nesciuerat enim Rachelem eos furatam. his apud Sicima defossis in terram sub quadam quercu, profectus inde sacrificauit apud Bethela, vbi somnium illud diuinum viderat iter faciens in Mesopotamiã. Progressus deinde in agrum Ephratanum, Rachelem ibi ex partu mortuam sepelit, solam monumento cognatorum in Hebrone non illatam. Quam quum mirum in modum lugeret, infantulum nominauit Beniamin, eo quòd doloris causa matri fuerit. Atque hic est filiorum Iacobi numerus, mares duodecim, fœmina vna. ex his octo legitimi, è Lia sex, duo è Rachele: quatuor verò è pedisequis, è singulis duo: quorum nomina iam dixi.

Genes. 35.

Inde venit Hebronem in Chananæa sitam, vbi Isacus habitabat. Nec diuturnus fuit eorum conuictus.

CAP. XX.

Mors Isaci, & sepultura in Hebrone.

Genes. 35.

Rebecca enim iam antè defuncta: Isacus quoque eam sequitur, non multo post filij reditum: & sepultus est à filiis iuxta vxorem in Hebrone, in monumento parentum suorũ. Fuit autem Isacus vir Deo charus, & magna prouidentia dignus ab eo habitus, post Abrahamum patrem. valde longo etiam tempore vixit. Mortuus est enim exactis cum virtute annis octoginta quinque supra centum.

A ἠξίου βουλεύεσθαι τί δεῖ ποιεῖν. οἱ μὲν οὖν πλείους ἡσύχαζον γνώμης ἀποροῦντες. συμεὼν δὲ καὶ λευὶς ὁμομήτριοι τῆς κόρης ἀδελφοὶ πρὸς ἀλλήλους συντίθενται τοιαῦδέ τινα πρᾶξιν. οὔσης ἑορτῆς, καὶ τῶν σικιμητῶν εἰς ἄνεσιν καὶ εὐωχίαν τετραμμένων, νύκτωρ πρώτοις ἐπιβαλόντες τοῖς φύλαξι, κτείνουσι κοιμωμένους. καὶ παρελθόντες εἰς τὴν πόλιν, ἀναιροῦσι πᾶν ἄρρεν, καὶ τὸν βασιλέα σὺν αὐτοῖς καὶ τὸν υἱὸν αὐτοῦ. φείδονται δὲ τῶν γυναικῶν. B πράξαντες δὲ ταῦτα δίχα τῆς τοῦ πατρὸς γνώμης ἐπανάγουσι τὴν ἀδελφήν. ἰακώβῳ δὲ ἐκπλαγέντι πρὸς τὸ μέγεθος τῶν γεγονότων, καὶ χαλεπαίνοντι πρὸς τοὺς υἱούς, ὁ θεὸς παραστὰς ἐκέλευσε θαρρεῖν. ἁγνίσαντι δὲ τὰς σκηνάς, θυσίας ἐπιτελεῖν ἃς τὸ πρῶτον ἀπιὼν εἰς τὴν μεσοποταμίαν, ἐπὶ τῇ ὄψει τοῦ ὀνείρου ηὔξατο. ἁγνίζων οὖν τοὺς ἑπομένους, ἐπιτυγχάνει τοῖς λαβάνου θεοῖς. οὐ γὰρ ἠπίστατο ὑπὸ τῆς ῥαχὴλ κλαπέντας. καὶ αὐτοὺς ἔκρυψεν ἐν σικίμοις εἰς γῆν, ὑπό τινα δρῦν. ἀπάρας τε τοὐντεῦθεν, ἐν βεθήλοις ἔθυεν, ὅπου τὸ ὄνειρον C ἐθεάσατο χωρῶν πρότερον ἐπὶ τῆς μεσοποταμίας. ἐντεῦθεν δὲ προϊὼν ἐπεὶ κατὰ τὴν ἐφραθάνην γίνεται, ἐνθάδε ῥαχήλαν ἐκ τόκου τεθνοῦσαν θάπτει, μόνην τῶν συγγενῶν τῆς ἐν χεβρῶνι τιμῆς οὐ τυχοῦσαν. πενθήσας δὲ μεγάλως, τὸ ἐξ αὐτῆς παιδίον, βενιαμὶν ἐκάλεσε, διὰ τὴν ὑπ᾽ αὐτῷ γενομένην ὀδύνην τῇ μητρί. οὗτοι ἰακώβου παῖδες οἱ πάντες. ἄρρενες μὲν, δώδεκα. θήλεια δὲ, μία. τούτων ὀκτὼ γνήσιοι. ἐκ λείας μὲν ἕξ. δύο δὲ ἐκ D ῥαχήλας. τέσσαρες δὲ, ἐκ τῶν θεραπαινίδων, δύο ἐξ ἑκατέρας. ὧν καὶ τὰ ὀνόματα προεῖπον. παρῆν δὲ ἐντεῦθεν ἐπὶ χεβρῶνα πόλιν ἐν χαναναίοις κειμένην. ἐκεῖ δὲ ἴσακος τὴν δίαιταν εἶχε. καὶ βραχέα μὲν ἀλλήλοις συνδιατρίβουσι.

Κεφάλαιον κ΄.

Ὡς ἴσακος τελευτήσας, ἐτάφη ἐν χεβρῶνι.

Τὴν γὰρ ῥεβέκκαν ἰάκωβος οὐ κατέλαβε ζῶσαν. E θνήσκει δὲ ἴσακος οὐ μετὰ πολὺ τῆς ἀφίξεως τοῦ υἱοῦ. καὶ ταφῆς ἔτυχεν ὑπὸ τῶν παίδων σὺν τῇ γυναικί, ἐν χεβρῶνι. μνημείου προγονικοῦ ἐν αὐτῇ τυγχάνοντος αὐτοῖς. ἐγένετο δὲ ἴσακος, ἀνὴρ θεοφιλής, καὶ προνοίας πολλῆς ἠξιωμένος ὑπ᾽ αὐτοῦ, μετ᾽ ἄβραμον τὸν πατέρα. πολυχρονιώτατος δέ. βιώσας γὰρ ἔτη πέντε καὶ ὀγδοήκοντα πρὸς τοῖς ἑκατὸν μετ᾽ ἀρετῆς, οὕτως ἀπέθανε.

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΗ ΔΕΥΤΕΡΑ ΤΩΝ ἰωσήπου ἱστοριῶν τῆς ἰουδαϊκῆς ἀρχαιολογίας.

Πῶς ἡσαῦς καὶ ἰάκωβος ἰσάκου παῖδες ὄντες, διείλαντο τὴν οἴκησιν. καὶ ἡσαῦς μὲν τὴν ἰδουμαίαν κατέσχεν, ἰάκωβος δὲ τὴν χαναναίαν. Κεφ. α΄.

Ὡς ἰώσηπος ὁ νεώτατος τῶν ἰακώβου παίδων, ὀνειράτων αὐτῷ προδεικνυόντων τὴν μέλλουσαν εὐδαιμονίαν, ὑπὸ τῶν ἀδελφῶν ἐφθονήθη. Κεφ. β΄.

Ὡς αὐτὸς οὗτος εἰς αἴγυπτον πραθεὶς ὑπὸ τῶν ἀδελφῶν, διὰ τὸ πρὸς αὐτὸν μῖσος, καὶ γενόμενος ἐπίσημος ἐκεῖ καὶ λαμπρὸς, τοὺς ἀδελφοὺς ἔσχεν ὑποχειρίους. Κεφ. γ΄.

Ἡ τοῦ πατρὸς αὐτοῦ μετὰ τῆς γενεᾶς πάσης πρὸς αὐτὸν μετάβασις, διὰ τὸν γενόμενον λιμόν. Κεφ. δ΄.

Ὅσα τοῖς ἑβραίοις ἐν αἰγύπτῳ συνέβη κακοπαθοῦσιν, ἐπ' ἔτη τετρακόσια. Κεφ. ε΄.

Ὡς μωσέως αὐτοῖς ἡγουμένου, τὴν αἴγυπτον ἐξέλιπον. Κεφ. ς΄.

Ὡς ἡ θάλασσα τοῖς ἑβραίοις διωκομένοις ὑπὸ τῶν αἰγυπτίων ἀνακοπεῖσα, φυγεῖν δι' αὐτῆς παρέσχε Κεφ. ζ΄.

HÆC IN SECVNDO IOSEPHI ANTIQVITATVM IVDAICARVM LIBRO continentur.

Quomodo Esaus & Iacobus filij diuiserunt habitationem, & quòd Esao Idumæa, Iacobo Chananæa contigit. CAP. I.

Quomodo Iosephus Iacobi filiorum natu minimus propter somnia futuræ suæ fœlicitatis prænuntia in fratrum inuidiam incurrit. CAP. II.

Quomodo Iosephus in Ægyptum venditus à fratribus illustris ibi factus est, & fratres tandem in sua potestate habuit. CAP. III.

Quomodo Iacobus cum tota progenie ad filium migrauit. CAP. IIII.

De afflictionibus Hebræorum in Ægypto per annos cccc. CAP. V.

Quomodo Moyse duce Ægyptum reliquerunt. CAP. VI.

Quomodo mare scissum Hebræis Ægyptios fugientibus viam aperuit. CAP. VII.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΙΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

FLAVII IOSEPHI ANTIQVITATVM IVDAICARVM

LIBER SECVNVS.

Cap. I.

Quomodo Esaus & Iacobus Isaci filij diuiserunt habitationem, & quòd Esao Idumæa, Iacobo Chananæa contigit.

Defuncto autem Isaco, filij partiti sunt inter se habitationem, nec ambo paternam retinuerunt: sed Esaus Hebrone fratri concessa habitauit in Saira, & Idumææ dominatus est à seipso denominatæ. Adomus enim cognominabatur ob causam talem. *Genes. 35.* Olim adolescens etiam tum reuersus à venatu famelicus offendit fratrem coquentem sibiipsi in prandium lenticulam rubentem colore, quo magis etiam excitatus, rogauit vt expetitum sibi cibum traderet. at ille adiuuante fratris fame ius primogeniti pro cibo dare eum compulit: coactus enim inedia cessit ei suum ius, interposito iureiurando. Ob eius cibi colorem à collusoribus adolescentibus Adomus est per ludibrium cognominatus. Adoma enim Hebræis significat rubens. id nomen post in regionem ipsius ditionis est deriuatum, quod Græci in mollius deflexerunt, Idumæam dicendo. *Genes. 36.* Genuit autem filios numero quinque. ex his Iaus, Iolamus, & Coreus eadem matre Alibama nati: ex reliquis duobus Aliphazem Asa, Raguelē Mosametha ei peperit. Hos filios habuit Esaus. Aliphazę item quinque legitimi filij fuere, Themanus, Omerus, Ophus, Iothamus, Ocanasus. Nam Amalecus erat nothus, è Thamna concubina genitus. Hi habitauerunt Idumææ regionem quæ Gobolitis dicitur, & eam quæ de Amaleci nomine Amalecitis est appellata. Quondam enim latè patentem terram Idumææ nomen complectebatur, cuius partes à primis colonorum inductoribus denominatæ appellationes eas postea retinuerunt.

Κεφάλαιον α΄.

Πῶς ἠσαῦ καὶ ἰάκωβος ἰσάκου παῖδες ὄντες διείλαντο τὴν οἴκησιν, καὶ ἠσαῦς μὲν ἰδουμαίαν κατέσχεν, ἰάκωβος δὲ τὴν χαναναίαν.

ΜΕΤΑ δὲ τὴν ἰσάκου τελευτὴν, οἱ παῖδες αὐτοῦ μερισάμενοι τὴν οἴκησιν πρὸς ἀλλήλους, οὐχ ἣν ἔλαβον ταύτην κατεῖχον. ἀλλ' ἠσαῦς μὲν, τῆς χεβρωνίας πόλεως ἐκχωρήσας τῷ ἀδελφῷ, ἐν σαειρᾷ διητᾶτο, καὶ τῆς ἰδουμαίας ἦρχεν, οὕτω καλέσας τὴν χώραν ἀπ' αὐτοῦ. ἄδωμος δ' ἐπονομάζετο, κατὰ τοιαύτην αἰτίαν τυχὼν τῆς ἐπικλήσεως. ἀπὸ θήρας ποτὲ καὶ πόνου τοῦ περὶ τὸ κυνηγέσιον λιμώττων ἐπανῆλθεν, ἔτι παῖς ὢν τὴν ἡλικίαν. ἐπιτυχὼν δὲ τἀδελφῷ φακῆν ἐσκευακότι πρὸς ἄριστον αὐτῷ ξανθὴν σφόδρα τὴν χρόαν, καὶ διὰ τοῦτ' ἔτι μᾶλλον ὀρεχθεὶς, ἠξίου παρασχεῖν αὐτῷ πρὸς τροφήν. ὁ δὲ ἀποδόσθαι τὸ πρεσβεῖον αὐτῷ τοῦ φαγεῖν, συνεργῷ χρησάμενος τῇ πείνῃ τὸν ἀδελφὸν ἠνάγκασε. κἀκεῖνος ὑπὸ τοῦ λιμοῦ προαχθεὶς, παραχωρεῖ τῶν πρεσβείων αὐτῷ μεθ' ὅρκων. ἔνθεν διὰ τὴν ξανθότητα τοῦ βρώματος, ὑπὸ τῶν ἡλικιωτῶν ἄδωμος καλεῖται, κατὰ παιδιὰν ἐπικληθείς. ἄδωμα γὰρ ἑβραῖοι τὸ ἐρυθρὸν καλοῦσι. τὴν δὲ χώραν οὕτως προσηγόρευσεν. ἕλληνες γὰρ αὐτὴν ἐπὶ τὸ σεμνότερον ἰδουμαίαν ὠνόμασαν. γίνεται δὲ καὶ πατὴρ παίδων πέντε τὸν ἀριθμόν. ὧν ἰαοὺς μὲν καὶ ἰόλαμος, καὶ κόρηος, ἐκ γυναικὸς μιᾶς ἀλιβάμης τοὔνομα. τῶν δὲ λοιπῶν, ἀλιφάζης μὲν, ἐξ ἄσης. ῥαγούηλος δὲ, ἐκ μοσαμήθης ὑπήρξαντο αὐτῷ γεγονότες. καὶ ἠσαῦ μὲν οὗτοι παῖδες ἦσαν. ἀλιφάζῃ δὲ γίνονται γνήσιοι παῖδες πέντε, θήμανος, ὄμερος, ὄφους, ἰόθαμος, ὀκάναζος. ἀμάληκος γὰρ νόθος ἦν ἐκ παλλακῆς αὐτῷ γεγονὼς, θαμνάης ὄνομα. οὗτοι κατῴκησαν τῆς ἰδουμαίας τὴν γοβολίτιν λεγομένην, καὶ τὴν ἀπὸ ἀμαλήκου κληθεῖσαν ἀμαληκίτιν. πολλὴ γὰρ γενομένη ποτὲ ἡ ἰδουμαία, τότε πάσης αὐτῆς ἀπέσωζεν ὄνομα, καὶ τοῖς μέρεσι τὰς ἀπὸ τῶν οἰκητόρων προσηγορίας διεφύλαξεν.

Κεφάλαιον β'.

Ὡς Ἰώσηπος ὁ νεώτατος τῶν Ἰακώβου παίδων ὀνειράτων αὐτῷ προδεικνύντων τὴν μέλλουσαν εὐδαιμονίαν, ὑπὸ τῶν ἀδελφῶν ἐφθονήθη.

Ἰακώβῳ δὲ συνέβη παρελθεῖν εἰς εὐδαιμονίας μέγεθος, οἷον οὐκ ἄλλῳ τινὶ ῥᾳδίως. πλούτῳ τε γὰρ ὑπερέβαλλε τοὺς ἐπιχωρίους, καὶ παίδων ἀρεταῖς ζηλωτὸς καὶ περίβλεπτος ἦν. οὐδενὸς γὰρ ὑστέρουν. ἀλλὰ καὶ πρὸς ἔργα χειρῶν καὶ πόνων ὑπομονὴν ἦσαν εὔψυχοι, καὶ δεινοὶ συνιέναι. τοσαύτην δ᾽ ἄρα τὸ θεῖον αὐτοῦ πρόνοιαν ἔσχε, καὶ τῆς εὐδαιμονίας ἐπιμέλειαν, ὡς κἀκ τῶν λυπηρῶν αὐτῷ δοξάντων τὴν ὑπερβολὴν τῶν ἀγαθῶν παρασχεῖν, καὶ ποιῆσαι τῆς ἀπὸ Αἰγύπτου τῶν ἡμετέρων προγόνων ἀναχωρήσεως αἴτιον αὐτόν τε καὶ τοὺς ἐξ αὐτοῦ γεγονότας, ὑπὸ τοιαύτης αἰτίας. Ἰώσηπον ἐκ Ῥαχήλας παῖδα ποιησάμενος Ἰάκωβος διά τε τὴν τοῦ σώματος εὐγένειαν καὶ διὰ ψυχῆς ἀρετήν, φρονήσει γὰρ διέφερε, τῶν ἄλλων πλέον υἱῶν ἠγάπα. τούτῳ παρὰ ἀδελφῶν, ἥ τε τοῦ πατρὸς στοργὴ φθόνον ἐκίνησε καὶ μῖσος ἥ τε ἐκ τῶν ὀνειράτων, ἃ θεασάμενος, τῷ τε πατρὶ καὶ τούτοις ἐμήνυσεν, εὐδαιμονίαν καταγγελλόμενα, ζηλοτυπούντων ἄρα τῶν ἀνθρώπων, τὰς τῶν οἰκειοτάτων εὐπραγίας. αἱ δὲ ὄψεις, ἃς κατὰ τοὺς ὕπνους εἶδεν Ἰώσηπος, τοιαίδε ἦσαν. ἐκπεμφθεὶς μετὰ τῶν ἀδελφῶν παρὰ τοῦ πατρὸς ἐπὶ συλλογὴν τῶν καρπῶν θέρους ἀκμάζοντος, ὁρᾷ πολὺ τῶν κατὰ τὴν συνήθειαν ἐπιφοιτώντων κατὰ τοὺς ὕπνους ὀνειράτων διαφέρουσαν ὄψιν. ἥνπερ ἐγερθεὶς, τοῖς ἀδελφοῖς ὡς κρινοῦσιν αὐτῷ τὸ σημαινόμενον ἐξέθετο. λέγων ἰδεῖν ἐπὶ τῆς παρελθούσης νυκτὸς, τὸ μὲν αὐτοῦ δράγμα πυρῶν ἠρεμεῖν ἐφ᾽ οὗ κατέθηκε τόπου, τὰ δὲ ἐκείνων προστρέχοντα προσκυνεῖν αὐτῷ. καὶ μέγεθος πραγμάτων τὴν ὄψιν προλέγουσαν, καὶ κατ᾽ αὐτῶν τὴν ἐξουσίαν ἐσομένην τῷ μὲν Ἰωσήπῳ, τούτων οὐδέν, ὡς οὐ γνώριμον τὸ ὄναρ αὐτοῖς διεσάφησαν, ἀρὰς δὲ ἐποιήσαντο μηδὲν αὐτῷ παρελθεῖν εἰς τέλος ὧν ὑπενόουν, καὶ πρὸς αὐτὸν ἔτι μᾶλλον ἀπεχθῶς ἔχοντες διετέλουν. τῷ δ᾽ ἐπ᾽ αὐτῷ φθόνῳ προσφιλονεικῆσαν τὸ θεῖον, δευτέραν ὄψιν ἐπιπέμπει τῷ Ἰωσήπῳ πολὺ τῆς προτέρας θαυμασιωτέραν. τὸν γὰρ ἥλιον, ἔδοξε τὴν σελήνην παραλαβόντα, καὶ τοὺς ἀστέρας τοὺς λοιποὺς ἐπὶ τὴν γῆν κατελθεῖν, καὶ προσκυνεῖν αὐτόν. ταύτην τὴν ὄψιν τῷ πατρί, μηδὲν παρὰ τῶν ἀδελφῶν κακόηθες ὑφορώμενος, καὶ τούτων παρατυγχανόντων, διεσάφησε, καὶ τί βούλεται σημαίνειν, φράσαι παρεκάλει. ὁ δὲ ἥσθη τῷ ὀνείρατι. τὴν γὰρ πρόρρησιν αὐτοῦ τῇ διανοίᾳ συλλαβών, καὶ μετὰ σοφίας οὐκ ἀσκόπως εἰκάσας, ἔχαιρεν ἐπὶ μεγάλοις τοῖς σημαινομένοις. εὐδαιμονίαν γὰρ τῷ παιδὶ κατήγγελλον. καὶ καιρὸν ἥξειν θεοῦ ζῶντος, καθ᾽ ὃν αὐτὸν ὑπό τε τῶν γονέων καὶ τῶν ἀδελφῶν ἔσεσθαι τιμῆς καὶ προσκυνήσεως ἄξιον. τὴν μὲν σελήνην καὶ τὸν ἥλιον, μητρὶ καὶ πατρί, τῆς μὲν αὐξούσης πάντα καὶ τρεφούσης, τοῦ δ᾽ ἐντυποῦντος καὶ τὴν ἰσχὺν ἐντιθέντος, εἰκάζων. τοὺς δ᾽ ἀστέρας, τοῖς ἀδελφοῖς, τῷ τούτους ἕνδεκα εἶναι, καθάπερ τοὺς ἀστέρας, ἀπό τε ἡλίου καὶ σελήνης τὴν ἰσχὺν λαμβάνοντας. καὶ ὁ μὲν Ἰάκωβος, τοιαύτην οὐκ ἀσυνέτως τῆς ὄψεως τὴν κρίσιν ἐποιήσατο. τοὺς ἀδελφοὺς τοῦ Ἰωσήπου, σφόδρα ἐλύπησε τὰ προειρημένα. καὶ διετέθησαν ὡς ἐπ᾽ ἀλλοτρίῳ τινὶ μέλλοντι τὰ σημαινόμενα διὰ τῶν ὀνειράτων ἀγαθὰ ἥξειν ἀλλ᾽ οὐκ

Cap. II.

Quomodo Iosephus Iacobi filiorum natu minimus propter somnia futuræ suæ felicitatis prænuncia in fratrum inuidiam incurrit.

Iacobus autem ad tantam felicitatem peruenit, ad quantam vix alius quisquam. nam & opibus excellebat inter eius regionis homines, & propter filiorum virtutes beatus erat ac conspicuus. nihil enim eis deerat, sed industrij fuere omnes, & generosa quadam fortitudine simul ac prudentia præditi. Tantam autem ipsius felicitatis curam gerebat cœleste numen, vt etiam ex rebus, sicut tum videbantur, aduersis maximorum bonorum occasionem prǽberet, & per ipsum eiúsque liberos parentibus nostris viam ad exitum ex Ægypto præstrueret ac præmuniret. Iosephum è Rachele sibi natum pater tum ob corporis præstantiam, tum ob animi virtutē (erat. n. prudentissimus) præ cæteris liberis amabat. is parentis affectus odium & inuidiam fratrum in eum prouocauit. accesserunt eò somnia, quę sibi visa patri ac illis indicauit magnæ felicitatis prænuncia, quæ res etiam coniunctissimos ad æmulationem facilè concitat. Visiones autem Iosephi fuere tales. Missus cum fratribus à patre ad colligendas fruges messis tempore, visionem vidit, quæ non poterat existimari vna ex istis vulgaribus quales in somnis obuersari solent: eam experrectus fratribus interpretandam narrauit, dicens visum sibi præterita nocte suum tritici manipulum stare loco, illorum verò manipulos accurrētes adorare eum: quod videbatur & amplam fortunam ipsi prę nunciare, & fratres quoque in eius potestate futuros. At illi nihil tale Iosepho sunt interpretati, dissimulantes se intelligere: sed taciti precabantur irritum fieri præsagium, ipsúmque maiore etiam odio prosequebantur. Deus autem aduersus eorum inuidiam contendens, alteram visionem Iosepho immittit, priore magis mirabilem. Vidit enim solem cum luna & vndecim stellis descendere in terram, & adorare ipsum. Hoc somnium in præsentia fratrum, nihil mali de illis suspicatus, patri indicauit, rogans vt interpretari dignaretur: quod ei non mediocri fuit voluptati. Præsagium enim somnij colligens, & sapienter euentum coniiciens, gaudebat, eo quòd ingens filio felicitas portendi videretur: euenturum olim tempus quando tam à parentibus quàm à fratribus adoratione dignus haberetur. Intelligebat per solem ac lunam patrem & matrem, quòd altera augeret omnia & aleret, alter formam rebus & vim inderet. Porrò stellarum nomine fratres accipiebat, tum quòd numerus non discreparet, tum quia vim à sole & luna habeatur. Et Iacobus quidem talem interpretationem non imprudenter attulit. Fratres autem Iosephi valde contristauit id præsagium, haud aliter quàm si alieno cuipiam hæc felicitas portenderetur, ac non fratri, cum quo pariter omnibus fortunis frui possent, tam felicitatis quàm generis socij:

Genes. 37.

decreuerúntque adolescentem tollere: & hoc consilio comprobato, frumentis iam collectis, contulerunt se cum pecoribus in Sicima agrū pascuis percommodum, nō præmonito patre: atque ibi pastoricias curas obibant. At ille nemine à gregibus veniente, nec certi quicquam nunciante, de filiis solicitus ac mœrens, mittit Iosephum ad greges cogniturum res fratrum, & quid agant renunciaturum.

Cap. III.

Quomodo Iosephus in Ægyptum venditus à fratribus illustris ibi factus est, & fratres tandem in sua potestate habuit.

Genes. 37.

ILli autem viso fratre aduentāte gauisi sunt, non ob aduentum germani à patre missi, sed tanquam inimico in manus suas à Deo tradito: volebántque confestim eum interimere, neque præsentem occasionem elabi sinere. Rubelus autē inter hos natu maximus videns eos conspirasse, conabatur impetum eorum remorari, docens quantum facinus molirentur, & quantam inuidiam pariturum. Nefariam rem haberi tam Dei quàm hominum iudicio cædem hominis vel non cognati, sed longè sceleratius esse necis fraternæ reos deprehēdi, quo sublato etiam in patrem eam iniuriam redundaturam, & matrem quoque in luctum ac diram orbitatem coniecturos. hos respicerent, reputantésque quantam eis calamitatem allatura sit mors filij tum probi tum natu minimi, abstinerent à tam nefario scelere. Deum quinetiam vererentur spectatorem ac testem consilij contra fratrē initi. hunc si à cœpto desistant, accepturum eorum pœnitentiam atque resipiscentiam: sin pergāt, fieri non posse quin exigat ab eis parricidij pœnas, cùm nihil ipsius prouidentiam latere possit, siue in solitudine admittatur, siue in ciuitate. Vbicunque enim sint homines, existimandum ibi Deum quoq; adesse. Sed & propriam conscientiam post tantum scelus illis aduersariam fore, eam nunquam abire, siue bona sit, siue talis qualis ipsorum foret si fratrem interfecerint. Addebat, ne læso quidem fas esse germanum occidere. Satius esse dare veniam amicis, sicubi non fecisse officium videantur. Iosephum verò ne peccasse quidem in illos, cuius ætas miserationem potius mereatur, & illos ipsos tutores ac protectores. Causam etiam cædis facinus corū grauaturam, si videantur ob inuidiam futuræ felicitatis ei vitam ademisse, qua felicitate propter cognationem ipsis quoque frui licebat. Debere enim ita existimare, ipsorum esse quicquid Iosepho largitus fuerit. proinde cogitandum eo grauiorem fore indignationem Dei, si eum quem ipse omni bona fortuna dignum iudicasset interimendo, materiam diuinæ beneficentiæ subtraxerint. Hæc Rubelus & his plura commemorans conabatur eos absterrere à parricidio.

ἀδελφῷ, καὶ ὧν συναπολαύσειν αὐτῷ εἰκὸς ἦν κοινωνοὺς τῆς γενέσεως, οὕτως καὶ τῆς εὐδαιμονίας ἐσομένους. ἀνελεῖν τε ὡρμήκεσαν τὸ μειράκιον, καὶ ταύτην κυρώσαντες τὴν βουλὴν, ἐπειδὴ τῆς συγκομιδῆς αὐτοῖς πέρας εἶχεν, ἐπὶ σικιμῶσι ξαπέντες, χώρα δ᾽ ἐστὶν αὕτη βόσκειν ἀγαθὴ θρέμματα καὶ νομὰς ἐκτρέφειν, αὐτόθι τῶν ποιμνίων ἐπεμέλοντο, μὴ προδηλώσαντες τῷ πατρὶ τὴν ἐκεῖσε ἄφιξιν. ὁ δὲ, ὑπὸ τῆς ἀγνοίας, καὶ τοῦ μηδὲ ἀπὸ τῶν ποιμνίων πρὸς αὐτὸν ἀφικέσθαι τινὰ τὸν περὶ τῶν παίδων αὐτῷ τὸ ἀληθὲς σημαίνειν δυνάμενον, σκυθρωπότερον τὴν περὶ αὐτῶν διάνοιαν λαμβάνων, καὶ περιδεὴς ὢν, πέμπει τὸν Ἰώσηπον εἰς τὰ ποίμνια μαθησόμενον τὰ περὶ τῶν ἀδελφῶν, καὶ τί πράττοιεν, σημανοῦντα.

Κεφάλαιον γ′.

Ὡς Ἰώσηπος ἤτως εἰς Αἴγυπτον πραθεὶς ὑπὸ τῶν ἀδελφῶν διὰ τὸ πρὸς αὐτὸν μῖσος, καὶ γενόμενος ἐπίσημος ἐκεῖ καὶ λαμπρὸς, τοὺς ἀδελφοὺς ἔσχεν ὑποχειρίους.

ΟΙ δὲ τὸν ἀδελφὸν ὡς εἶδον πρὸς αὐτοὺς ἀφιγμένον, ἥσθησαν μὲν, ἀλλ᾽ οὐχ ὡς ἐπ᾽ οἰκείου παρουσίᾳ, καὶ παρὰ τοῦ πατρὸς ἀπεσταλκότος, ἀλλ᾽ ὡς ἐπ᾽ ἐχθροῦ, καὶ ταῖς χερσὶν αὐτῶν κατὰ θείαν βούλησιν παραδοθέντος. ἀναιρεῖν τε ἤδη καὶ μὴ τὸν ἐνεστῶτα ὑπερβάλλεσθαι καιρὸν ὡρμήκεσαν. οὕτω δ᾽ αὐτοὺς Ῥουβῆλος ὁρῶν ἔχοντας ὁ πρεσβύτατος αὐτῶν καὶ πρὸς τὴν πρᾶξιν ὁμονοηκότας, ἐπειρᾶτο κατέχειν ὑποδεικνὺς τὸ μέγεθος τοῦ τολμήματος, καὶ τὸ ἐσόμενον αὐτῷ μῖσος. ὡς πονηρὸν μὲν καὶ θεῷ καὶ ἀνθρώποις ἀνόσιον δοκοῦν, καὶ τὸ μὴ συγγενοῦς ἀνθρώπου χειρουργῆσαι φόνον. πολὺ μέντοι μιαρώτερόν τι, σφαγὴν ἀδελφοῦ δράσαντας ὀφθῆναι, ᾧ πατήρ τε ἀναμεμιγμένως συναδικεῖται, καὶ μήτηρ εἰς πένθος καὶ παιδὸς ἀποστέρησιν οὐ κατ᾽ ἀνθρώπινον γινομένην νόμον συγκαταστᾶται. τούτων οὖν αὐτῶν αἰδῶ λαβόντας, καὶ τῷ λογισμῷ τί καὶ πείσονται τεθνηκότος αὐτοῖς παιδὸς ἀγαθοῦ καὶ νεωτάτου [illegible] τοῦ τολμήματος παρεκάλει, καὶ τὸν θεὸν δείσαντας ὡς θεατὴς ἅμα καὶ μάρτυς ἤδη καὶ τῆς βουλῆς αὐτῶν τῆς ἐπὶ τὸν ἀδελφὸν γεγενημένης. ἀποστάντας μὲν τῆς πράξεως ἀγαπήσειν μετανοίᾳ καὶ τῷ σωφρονεῖν εἴξαντας. προελθόντας δ᾽ ἐπὶ τοὔργον οὐκ ἔστιν ἣν οὐκ εἰσπράξεται τῆς ἀδελφοκτονίας δίκην, μιάναντας αὐτοῦ τὴν πανταχοῦ παροῦσαν πρόνοιαν, καὶ μήτε τῶν ἐπ᾽ ἐρημίαις πραττομένων ὑστεροῦσαν, μήτε τῶν κατὰ τὰς πόλεις. ὅπου γὰρ ἄνθρωπος ἂν ᾖ, χρὴ δοκεῖν ἐνταῦθα παρεῖναι καὶ τὸν θεόν. τό τε συνειδὸς αὐτοῖς τὸ ἴδιον ἕξειν ἐχθρὸν ἐπὶ τοῖς τολμηθεῖσιν ἔλεγχον, ὃ μήτε τοῖς ἀγαθὸν αὐτὸ ἔχουσι, μήτε τοιοῦτον ὁποῖον αὐτοῖς συνοικήσει τὸν ἀδελφὸν ἀνελοῦσιν, ἔστιν ἀποδρᾶναι. προσετίθει δὲ καὶ ταῦτα τοῖς προειρημένοις, ὡς ἀδελφὸν οὐδὲ ἀδικήσαντα κτείνειν ὅσιον. καλὸν δὲ καὶ τὸ μὴ μνησικακεῖν τοῖς οὕτω φίλοις, ὑπὲρ ὧν ἁμαρτεῖν ἐδόκουν. Ἰώσηπον δὲ οὐδὲ πονηρὸν εἰς αὐτοὺς γεγενημένον, διαφθείρειν. ᾧ τὸ τῆς ἡλικίας ἀσθενὲς μᾶλλον ἔλεον καὶ τὴν παρ᾽ ὑμῶν αὐτῶν ἐρανίζεται κηδεμονίαν. ἥ τε αἰτία τῆς ἀναιρέσεως, πολὺ χείρονα τὴν πρᾶξιν αὐτῶν τίθησι, διὰ φθόνον τῶν ἐσομένων ἀγαθῶν αὐτῷ τοῦ ζῆν ἐξαγαγεῖν διεγνωκότων, ὧν τὸ ἴσον ἀπολαύσουσι κοινωνοῦντες αὐτῷ τῆς μετουσίας, οὐκ ἀλλοτρίαν ὄντων ἀλλ᾽ οἰκείων. ἴδια γὰρ ἦν αὐτοῖς ὑπολαμβάνειν ὅσα θεὸς Ἰωσήπῳ δώσει· προσήκειν οὖν τὴν ὀργὴν καὶ διὰ τὸ [illegible] χαλεπωτέραν ἔσεσθαι νομίζειν. εἰ τὸν ὑπ᾽ αὐτοῦ κρινόμενον τῶν ἐλπιζομένων ἀγαθῶν ἄξιον ἀποκτείναντες ἀφαιρήσονται τὸν θεὸν ᾧ ταῦτα χαρίσηται. καὶ ὁ μὲν Ῥουβῆλος ταῦτα λέγων καὶ προστιθεὶς ἔτι πλείω, καὶ δεόμενος, ἐπειρᾶτο τῆς ἀδελφοκτονίας αὐτοὺς ἀποτρέπειν.

ἐπεὶ

ἐπεὶ δ᾽ οὐδὲν μετριωτέροις ὑπὸ τῶν λόγων ἑώρα γεγενημένους, ἀλλὰ σπεύδοντας ἐπὶ τὴν ἀναίρεσιν, συνεβούλευε τὸ κακὸν αὐτοῖς ἐπιεικέστερον ποιῆσαι τῷ τρόπῳ τῆς ἀναιρέσεως. καὶ γὰρ ἀμυνομένοις παρῄνεσε τὸ πρῶτον, πεπεῖσθαι λέγων αὐτούς. ἐπειδὴ ἐκράτησαν ὥστε ἀνελεῖν τὸν ἀδελφόν, οὐκ ἔσεσθαι σφόδρα κακοὺς οἷς νῦν παραινεῖ πεισθέντας. ἐν γὰρ τούτοις εἶναι καὶ τὸ ἔργον ἐφ᾽ ὃ σπεύδουσιν, οὐ μέντοι τοιοῦτον, ἀλλ᾽ ὡς ἐν ἑτέροις κουφότερον. ἠξίου γὰρ αὐτούς, αὐτόχειρας μὲν μὴ γενέσθαι τἀδελφοῦ· ῥίψαντας δὲ εἰς τὸν παρακείμενον λάκκον, οὕτως ἀποθανεῖν ἐᾶσαι, καὶ τό γε μιανθῆναι τὰς χεῖρας αὐτοὺς κερδαίνειν. συναινεσάντων δὲ τούτοις τῶν νεανίσκων, παραλαβὼν ῥούβηλος τὸ μειράκιον, καὶ καλωδίου ἐκδήσας, ἠρέμα καθίησεν εἰς τὸν λάκκον, καὶ γὰρ ἱκανῶς ἄνυδρος ἦν. καὶ ὁ μὲν τοῦτο ποιήσας, ἀπαλλάσσεται κατὰ ζήτησιν χωρίων πρὸς νομὰς ἐπιτηδείων. ἰούδας δὲ καὶ αὐτὸς ὢν τῶν ἰακώβου παίδων, ἐμπόρους ἰδὼν ἄραβας τοῦ ἰσμαηλιτῶν γένους, ἀρώματα καὶ σύρια φορτία κομίζοντας εἰς αἴγυπτον ἐκ τῆς γαλαδηνῆς, μετὰ τὴν ἀναχώρησιν τοῦ ῥουβήλου τοῖς ἀδελφοῖς συνεβούλευσεν ἀνιμήσασι τὸν ἰώσηπον ἀπεμπολῆσαι τοῖς ἄραψιν. ἐκεῖνόν τε γάρ, ὅτι πορρωτάτω γενόμενον κἀν τεθνήξεσθαι τοῖς ξένοις, ἑαυτούς τε τοῦ μιάσματος οὕτως ἀπαλλαγήσεσθαι. δόξαν οὖν τοῦτο, τοῖς ἐμπόροις ἀποδίδονται τὸν ἰώσηπον ἀνελκύσαντες ἐκ τοῦ λάκκου μνῶν εἴκοσι ἑπτακαίδεκα ἐτῶν γεγονότα. ῥούβηλος δέ, νύκτωρ ἐπὶ τὸν λάκκον ἐλθὼν σῶσαι τοὺς ἀδελφοὺς λαθὼν τὸν ἰώσηπον ἐγνώκει. καὶ ὡς ἀνακαλουμένῳ οὐχ ὑπήκουσε, δείσας μὴ ἐφθάρκασιν αὐτὸν μετὰ τὴν ἀναχώρησιν αὐτοῦ, κατεμέμφετο τοὺς ἀδελφούς. τῶν δὲ τὸ πραχθὲν αὐτῷ φρασάντων, παύεται τοῦ πένθους ὁ ῥούβηλος. ὡς δὲ ταῦτα περὶ τὸν ἰώσηπον τοῖς ἀδελφοῖς ἐπέπρακτο, τί ποιήσαντες ἂν ἔξω τῆς ὑπονοίας παρὰ τῷ πατρὶ γενηθεῖεν ἐζήτουν. καὶ δὴ τὸν χιτωνίσκον, ὃν ἐνδεδυμένος ἀφίκετο μὲν πρὸς αὐτοὺς ὁ ἰώσηπος, περιῃρήκεσαν δὲ αὐτὸν ὅτε καθίεσαν εἰς τὸν λάκκον, ἔδοξεν αὐτοῖς διασπαράξασιν αἵματι τράγου μολῦναι, καὶ τῷ πατρὶ δεῖξαι φέροντας, ὡς ἂν ὑπὸ θηρίων αὐτῷ φανείη διεφθαρμένος. καὶ τοῦτο ποιήσαντες, ἧκον πρὸς τὸν πρεσβύτην, ἤδη τῶν περὶ τὸν υἱὸν εἰς γνῶσιν ἀφιγμένον. ἔλεγον δὲ τὸν μὲν ἰώσηπον οὔτ᾽ ἰδεῖν, οὔθ᾽ οἵᾳ κέχρηται συμφορᾷ μεμαθηκέναι. χιτῶνα δὲ τοῦτον εὑρεῖν ᾑμαγμένον καὶ λελακισμένον. ὅθεν αὐτοῖς ὑπόνοιαν εἶναι, περιπεσόντα θηρίοις αὐτὸν ἀπολωλέναι, εἴγε τοῦτον ἐνδεδυμένος οἴκοθεν ἐστάλη. ὁ ἰάκωβος δὲ ἐπὶ κουφοτέραις ὢν ἐλπίσιν ὡς ἠνδραποδισμένου δῆθεν αὐτῷ τοῦ παιδός, τοῦτον μὲν ἀφίησι τὸν λογισμόν. πίστιν δ᾽ αὐτοῦ τῆς τελευτῆς ἐναργῆ τὸν χιτῶνα ὑπολαβών, καὶ γὰρ ἐγνώρισεν ὡς ἐκεῖνον αὐτὸν ἐνδεδυμένον ἐκπέμποι πρὸς τοὺς ἀδελφούς, ὡς ἐπὶ νεκρῷ τὸ λοιπὸν οὕτως διέκειτο ἐπὶ τῷ μειρακίῳ, πενθῶν, καὶ ὡς ἑνὸς πατὴρ ὤν, καὶ τῆς ἐξ ἄλλων παραμυθίας ἐστερημένος, οὕτως ἦν παρὰ τῷ κακῷ, πρὶν ἢ τοῖς ἀδελφοῖς συμβαλεῖν εἰκάζων ὑπὸ θηρίων ἰώσηπον ἀφανῆ γεγονέναι. ἐκαθέζετο δὲ σακκίον ἐξαψάμενος καὶ τῇ λύπῃ βαρύς, ὡς μήθ᾽ ὑπὸ παίδων παρηγορούντων αὐτῶν ῥᾴων γενέσθαι, μήτε κάμνοντα τοῖς πόνοις ἀπαγορεύειν. ἰώσηπον δέ, πωλούμενον ὑπὸ τῶν ἐμπόρων, ὠνησάμενος πετεφρῆς ἀνὴρ αἰγύπτιος, ἐπὶ τῶν φαραώθου μαγείρων τοῦ βασιλέως, εἶχεν ἐν ἁπάσῃ τιμῇ. καὶ παιδείαν τε τὴν ἐλευθέριον ἐπαίδευε, καὶ διαίτῃ χρῆσθαι κρείττονι τῆς ἐπὶ δούλῳ τύχης ἐπέτρεπεν. ἐγχειρίζει τε τὴν τῶν κατὰ τὸν οἶκον πρόνοιαν. ὁ δέ, τούτων τε ἀπέλαβε, καὶ τὴν ἀρετὴν ἥτις ἦν περὶ αὐτόν, οὐδ᾽ ὑπὸ τῆς μεταβολῆς ἐγκατέλειπεν.

Poſtquam autem nihil ſe proficere vidit, ſed omnino ad cædem accenſos, conſulebat vt ſaltem modum necis mitiorem eligerent. Diſſuaſiſſe quidem ſe primum pro virili, ſed quãdoquidem ſemel decretum ſit fratrem tolli, minus mali futurum ſi ſuo conſilio pareant. Sic enim voluntatem eorum habiturum effectum, leuiorem tamen ac minus malum, ſi ad cædem conferatur. Satius eſſe temperare à manibus, & proiectum in proximum puteum illic extingui ſinere, vt ſaltẽ manus puras ſeruarent. In hanc ſententiam itũ eſt, abductúmque adoleſcentem Rubelus fune religatum demiſit ſenſim in puteum: erat enim ſatis ſiccus. Quo facto abiit paſcua quæſiturus. Iudas autem vnus è Iacobi filiis, conſpicatus negotiatores Arabas Iſmaelitici generis, aromata & Syriacas merces deferentes in Ægyptum è Galadena, profecto iam Rubelo conſilium dedit fratribus vt extractum Ioſephum venderent Arabibus. & illum enim hoc pacto ablegatum apud exteros moriturũ, & ſe impollutos permanſuros: quo approbato, eximunt eum, & negotiatoribus vendunt viginti minis annos ſeptemdecim natum. Rubelus autem noctu ad puteum veniens inſciis fratribus ſeruare Ioſephum voluit. quo fruſtra inclamato ſuſpicatus per ſuam abſentiam interemptum, fratres incuſabat: cognitóque quid accidiſſet, lugere deſiit. his perpetratis fratres conſultare cœperunt, quomodo patris ſuſpicionem à ſe alienarent. placuit tandem tunicam qua indutus Ioſephus ad eos venerat, quámque demittẽdo in puteum detraxerant, laceratam prius ſanguine hircino inficere, atque ita patri allatam oſtendere, vt à feris deuoratum putaret. quo facto venerunt ad ſenem, non ignarum de infortunio filij. aiebant autem Ioſephum quidem neque vidiſſe ſe, neque ſcire quid illi acciderit: tunicam tamen hanc inueniſſe laceram & cruentatam. quamobrem ſuſpicari beluarum incurſu periſſe, ſi tamen eam indutus domo exiuerit. Iacobus autem qui hactenus leuius malum ſperauerat, captiuum aliquò abductum puerum, opinionem hanc iam abiecit, euidens argumentum necis tunicam ratus: agnoſcebat enim eam eſſe qua indutum miſerat: iámque haud aliter quàm extincto ſe affligens, lugebat tanquam vnicum, aliorum conſolationem non admittens, quòd nihil dubitaret in itinere à feris deuoratũ. Sedebat ergo ſacco amictus, & neque filij conſolando quicquam proficiebant, nec ipſe luctum ſatietate remittebat. Ioſephum autem de negotiatoribus emptũ Petephres vir Ægypti[9], qui Pharaothis coquis præerat, habuit liberaliter, quem & diſciplinis ingenuorum erudiendum curauit, & victu commodiore quàm pro ſeruili conditione vti præcepit: denique totius domus curæ præpoſuit. ille verò fruebatur conceſſis, nec tamen innatam virtutem propter hanc ſui ſtatus mutationem amiſit:

docuítque prudentiam aduersanti fortunæ nō succumbere, si quis ea legitimè, & non secundis tantùm in rebus vtatur. Herilis enim vxor tum dexteritate eius tum forma in amorem illecta, ratáque si rem aperiret se faciliùs eo potituram, & in parte felicitatis habiturum si contigeret ab hera se rogari, æstimans eū magis ex præsenti conditione quàm ex immutabili morum generositate, concupiscentia detecta mentionem de concubitu facit. at ille preces eius repulit, nefas ducens talem ei gratiam referre, quæ cùm tam benigni Domini contumelia & iniuria coniuncta esset, quin & ipsam hortabatur vt morbo suo repugnaret, negans vnquam se in hac re illi obsequuturum. Desineret sperare, quo potiri non liceat: sic enim fore vt mala cupiditas facilè sedetur. se quiduis potius perpessurum, quàm vt huic eius voluntati pareat. quamuis enim aduersari heræ seruum non deceat, ipsam tamen rei fœditatem reclamare ne quid tale admittatur. Illam verò repulsa magis etiam accendebat, quòd non putaret Iosephum pernegaturum: & non cessante morbo, secundas illi machinas admouere cogitat. Ergo publico festo instante, cuius celebritatem fœminas quoque frequentare mos erat, fingit morbum apud maritum, captans solitudinem, & ad Iosephum sollicitandum opportunitatem. quam nacta supplex blanditiis talibus eum adoritur. Satius quidem erat primis precibus non repugnantem cedere, idque vel dignitati precantis deferre, vel amoris vehementiæ, qua cogente oblita me dominam ad tam abiecta verba descendi: sapies tamen si vel nunc cedes, & prius erratum corriges. siue enim iterum rogari expectabas, iam facio accuratiùs etiam quàm antè. nam & ægritudinem ad hoc finxi, & festi lætitiam tuæ consuedini posthabui. siue priùs diffidebas, non tentari te malitiosè certo argumento colligere potes, quia in eadem voluntate persto. quare aut præsentem voluptatem elige, & amanti obsequere, maiora etiam commoda expectās: aut odium meum & vindictam, si meæ gratiæ castitatis opinionem præferes. Nihil ea te iuuabit, mihi crede si ad maritum te deferam, & de stupro me appellatam dicam. quantumlibet tua veriora fuerint, meis verbis maiorem fidem habiturus est Petephres, quàm tuis. ad hæc verba lacrymásque verborum testes, nec miseratione induci, nec terrore cogi potuit, quo minus perstaret in suo pudicitiæ proposito: constantérque restitit intentanti iniustam afflictionem, malens acerbissima quæque sufferre, quàm oblatis perfrui: non ignarus iusto se dignum supplicio, si quicquam tale in mulieris gratiam admitteret. Ipsam quoque officij sui monuit, iurísque coniugalis ac consuetudinis, iubens huius maiorem habere rationem, quàm momentaneæ libidinis: huic enim præstò esse pœnitentiam, quæ factum quidem doleat, infectum tamen reddere non possit: adesse & timorem continuum, qui pro magno habeat non prodi suum dedecus:

ἀλλὰ διέδειξε τὸ φρόνημα κρατεῖν τῶν ἐν τῷ βίῳ δυσκόλων δυνάμενον, οἷς ἂν παρῇ γνησίως, καὶ μὴ πρὸς τὰς εὐπραγίας, τὰς κατὰ καιρὸν μόνον ἡρμοσμένον. τῆς γὰρ τοῦ δεσπότου γυναικὸς, διά τε τὴν εὐμορφίαν, καὶ τὴν περὶ τὰς πράξεις αὐτοῦ δεξιότητα ἐρωτικῶς διατεθείσης, καὶ νομιζούσης εἰ ποιήσειεν αὐτῷ τὸ φανερὸν ῥᾳδίως πείσειν αὐτὸν εἰς ὁμιλίαν ἐλθεῖν, εὐτύχημα ἡγησόμενον τὸ τὴν δέσποιναν αὐτοῦ δεηθῆναι, καὶ πρὸς τὸ σχῆμα τὸ τότε δουλείας, ἀλλ' οὐ πρὸς τὸν τρόπον ἀφορώσης τὸν καὶ παρὰ τὴν μεταβολὴν παραμένοντα, τήν τε ἐπιθυμίαν αὐτῷ ποιησάσης καταφανῆ καὶ λόγους προσφερούσης περὶ μίξεως, παρέπεμπε τὴν ἀξίωσιν, οὐ κρίνας ὅσιον εἶναι τοιαύτην αὐτῇ διδόναι χάριν, ἐν ᾗ τοῦ πριαμένου καὶ τοσαύτης ἠξιωκότος τιμῆς, ἀδικίαν συνέβαινεν εἶναι καὶ ὕβριν. ἀλλὰ κρατεῖν τὰ τοῦ πάθους κἀκείνην παρακαλεῖ, τὴν ἀπόγνωσιν τοῦ τεύξεσθαι τῆς ἐπιθυμίας προβαλλόμενος. σταλήσεσθαι γάρ τε αὐτὴν τῷ μὴ παρούσης ἐλπίδος, αὐτὸς τε πάντα μᾶλλον ὑπομένειν ἔλεγεν, ἢ πρὸς τοῦτο καταπειθὴς ἔσεσθαι. καὶ γὰρ εἰ τῇ δεσποίνῃ δοῦλον ὄντα δεῖ ποιεῖν ἐναντίον μηδὲν, ἡ πρὸς τὰ τοιαῦτα τῶν πραγμάτων ἀντιλογία πολλὴν ἂν ἔχοι παραίτησιν. τὴν δ' ἔτι μᾶλλον ἐπέτεινε τὸν ἔρωτα μὴ προσδοκώσῃ τὸν Ἰώσηπον ἀντιλέγειν. καὶ δεινῶς ὑπὸ τοῦ κακοῦ πολιορκουμένη, δευτέρᾳ πάλιν πείρᾳ προσεπεθύμει κατεργάσασθαι. δημοτελοῦς οὖν ἑορτῆς ἐπιστάσης, καθ' ἣν εἰς τὴν πανήγυριν καὶ γυναιξὶ φοιτᾶν νόμιμον ἦν, σκήπτεται νόσον πρὸς τὸν ἄνδρα, θηρωμένη μόνωσιν καὶ σχολὴν εἰς τὸ δεηθῆναι τοῦ Ἰωσήπου. καὶ γενομένης αὐτῇ ταύτης, λιπαρωτέρους ἔτι τῶν προτέρων αὐτῷ προσηνέγκατο λόγους. ὡς καλῶς μὲν εἶχεν αὐτῷ μετὰ τὴν ἐξ ἀρχῆς δέησιν εἶξαι καὶ μηδὲν ἀντειρηκέναι, κατά τε τὴν τῆς παρακαλούσης ἐντροπὴν καὶ τὴν τοῦ πάθους ὑπερβολὴν, ὑφ' οὗ βιασθεῖν δέσποινα οὖσα τοῦ κατ' αὐτὴν ἀξιώματος ταπεινωτέραν γενέσθαι. φρονήσει τε καὶ νῦν ἄμεινον ἐνδοὺς, καὶ τὸ ἐπὶ τοῖς παρελθοῦσιν ἀγνώμον διορθώσεται. εἴ τε γὰρ δευτέραν δέησιν ἐξεδέχετο, ταύτην γεγονέναι καὶ μετὰ πλείονος σπουδῆς, νόσον τε γὰρ προφασίσασθαι καὶ τῆς ἑορτῆς, καὶ τῆς πανηγύρεως τὴν πρὸς αὐτὸν ὁμιλίαν προτιμῆσαι. εἴ τε τοῖς προτέροις ὑπὸ ἀπιστίας ἀντέκρουσε λογισμοῖς, τοῦ μηδὲ μίαν κακουργίαν εἶναι κρίνειν σύμβολον τὸ τοῖς αὐτοῖς ἐπιμένειν. προσδοκᾶν τε τῶν παρόντων ἀγαθῶν ὄνησιν, ὧν ἤδη μετέχειν προστιθέμενον αὐτῷ τῷ ἔρωτι, καὶ μειζόνων ἀπολαύειν, ὑπήκοον γενόμενον. ἄμυναν δὲ καὶ μῖσος παρ' αὐτῆς ἀποστραφέντα τὴν ἀξίωσιν, καὶ τοῦ χαρίζεσθαι τῇ δεσποίνῃ τὴν τῆς σωφροσύνης δόκησιν προθέμενον. οὐ γὰρ αὐτὸν τοῦτο ὠφελήσειν, τραπείσης εἰς κατηγορίαν αὐτοῦ, καὶ καταψευσαμένης πεῖραν ἐπὶ τἀνδρί. προσέξειν δὲ μᾶλλον τοῖς αὐτῆς λόγοις Πετεφρὴν, ἢ τοῖς ἐκείνου, κἂν ὅτι μάλιστα ἀπὸ τῆς ἀληθείας φέρονται. ταῦτα λεγούσης τῆς γυναικὸς καὶ δακρυούσης, οὔτε οἶκτος αὐτὸν μὴ σωφρονεῖν ἔπεισεν, οὔτ' ἠνάγκασε φόβος, ἀλλὰ ταῖς δεήσεσιν ἀντεῖχεν καὶ ταῖς ἀπειλαῖς οὐκ ἐνεδίδου, δείσας παθεῖν ἀδίκως, καὶ ὑπομένειν τι τῶν χαλεπωτέρων εἵλετο μᾶλλον, ἢ τῶν παρόντων ἀπολαύειν, χαρισάμενος ἐφ' οἷς ἂν αὐτῷ συνοίδει, δικαίως ἀπολουμένῳ. γάμου τε αὐτὴν ὑπεμίμνησκε, καὶ τῆς πρὸς τὸν ἄνδρα συμβιώσεως. καὶ τούτοις τὸ πλέον νέμειν, ἢ τῇ προσκαίρῳ τῆς ἐπιθυμίας ἡδονῇ παρεκάλει. τῆς δὲ μὲν καὶ μετάνοιαν ἑξούσης αὖθις ἐπ' ὀδύνῃ γενησομένην, οὐκ ἐπὶ διορθώσει τῶν ἡμαρτημένων, καὶ φόβον τοῦ καταφωρον γενέσθαι, καὶ χάριν τοῦ λαθεῖν, ἀγνοουμένου τοῦ κακοῦ. τῆς δὲ πρὸς τὸν ἄνδρα κοινωνίας ἀπόλαυσιν ἐχούσης ἀκίνδυνον,

καὶ πρὸς ἔτι πολλῷ τῶν ἀπὸ τοῦ συνειδότος καὶ πρὸς τὸν θεὸν παῤῥησίαν καὶ πρὸς ἀνθρώπους. καὶ ὡς αὐτῇ μᾶλλον διαφόρως μείνασα καθαρὰ, καὶ διαφοίνης ἐξουσία χρήσηται πρὸς αὐτὸν ἀλλ᾽ οὐ συνεξαμαρτάνοντος αἰδοῖ. πολὺ δὲ κρεῖττον εἶναι θαρσεῖν ἐπιγινομένοις τοῖς εὖ βεβιωμένοις, ἢ ἐπὶ λανθανούσῃ κακοπραγίᾳ. ταῦτα λέγων καὶ ἔτι πλείω τούτοις ὅμοια, τὴν τῆς γυναικὸς ὁρμὴν ἐπισχεῖν ἐπειρᾶτο, καὶ τὸ πάθος αὐτῆς εἰς λογισμὸν ἐπιστρέφειν. ἡ δὲ βιαιότερον ἐχρῆτο τῇ σπουδῇ, καὶ ἐπιβαλοῦσα τὰς χεῖρας, ἀναγκάζειν ἀπογνοῦσα τὸ πείθειν ἤθελεν. ὡς δ᾽ ἐξέφυγεν ὑπ᾽ ὀργῆς Ἰώσηπος, καὶ προσκαταλιπὼν τὸ ἱμάτιον, κατεχούσης αὐτὴν ἐκ τούτου, ἐξεπήδησε τοῦ δωματίου, περιδεὴς γενομένη μὴ κατείπῃ πρὸς τὸν ἄνδρα αὐτῆς ὕβρεως, περιαλγῶς ἔχουσα φθάσαι καταψεύσασθαι πρὸς τὸν Πετεφρῆν ἔγνω τοῦ Ἰωσήπου, καὶ τούτῳ τῷ τρόπῳ τιμωρήσασθαι μὲν αὐτὸν δεινῶς ὑπερηφανημένη, προλαβεῖν δὲ τὴν διαβολὴν, σοφὸν ἅμα καὶ γυναικεῖον ἡγήσατο. καὶ ἐκάθητο μὲν κατηφὴς καὶ συγκεχυμένη, τὴν ἐπὶ τῷ διαμαρτεῖν τῆς ἐπιθυμίας λύπην ὡς ἐπὶ πείρᾳ διαφθορᾶς πλαττομένη μετ᾽ ὀργῆς. ἐλθόντι δὲ τἀνδρὶ καὶ πρὸς τὴν ὄψιν ταραχθέντι καὶ πυνθανομένῳ τὴν αἰτίαν, τῆς κατηγορίας Ἰωσήπου κατήρξατο, καὶ τεθναίης εἶπεν ἄνερ, ἢ πονηρὸν δοῦλον κοίτην μιᾶναι τὴν σὴν ἐθελήσαντα κόλασον. ὃς, οὔθ᾽ οἷος ὢν εἰς τὸν ἡμέτερον οἶκον ἀφῖκται μνησθεὶς ἐσωφρόνησεν, οὔθ᾽ ὧν ἐκ τῆς σῆς χρηστότητος ἔτυχεν. ἀλλ᾽ ἀχάριστος ὢν εἰ μὴ πάντα παρεῖχεν αὐτὸν ἀγαθὸν εἰς ἡμᾶς, ἐπεβούλευσεν ὑβρίσαι γάμον τὸν σὸν, καὶ ταῦτα ἐν ἑορτῇ τὴν σὴν ἀπουσίαν παραφυλάξας, ὡς ὅσα καὶ μέτριος ἐδόκει πρότερον διὰ τὸν ἐκ σοῦ φόβον ἦν, ἀλλ᾽ οὐ φύσει χρηστὸς ὤν. τοιοῦτον δ᾽ ἄρα τὸ παρ᾽ ἀξίαν αὐτὸν καὶ παρ᾽ ἐλπίδας εἰς τιμὴν παρελθεῖν ἐποίησεν. ὡς δέον, ᾧ τὴν τῆς κτήσεως τῆς σῆς πίστιν καὶ τὴν οἰκονομίαν λαβεῖν ἐγένετο, καὶ τῶν πρεσβυτέρων οἰκετῶν προτιμηθῆναι, τούτῳ καὶ τῆς σῆς ψαύειν γυναικός. παυσαμένη δὲ τῶν λόγων, ἐπιδείκνυσιν αὐτῷ τὸ ἱμάτιον, ὡς ὅτ᾽ ἐπεχείρει βιάσασθαι καταλιπόντος αὐτό. Πετεφρῆς δὲ μήτε δακρυούσῃ τῇ γυναικὶ, μήθ᾽ οἷς ἔλεγε καὶ εἶδεν ἀπιστεῖν ἔχων, τῷ τε πρὸς αὐτὴν ἔρωτι πλέον νέμων, ἐπὶ μὲν τὴν τῆς ἀληθείας ἐξέτασιν οὐκ ἐτρέπετο. δοὺς δὲ σωφρονεῖν τῇ γυναικὶ, πονηρὸν δ᾽ εἶναι κατακρίνας τὸν Ἰώσηπον, τὸν μὲν εἰς τὴν τῶν κακούργων εἱρκτὴν ἐνέβαλεν. ἐπὶ δὲ τῇ γυναικὶ καὶ μᾶλλον ἐφρόνει, κοσμιότητα καὶ σωφροσύνην αὐτῇ μαρτυρῶν. Ἰώσηπος μὲν οὖν πάντα ἐπὶ τῷ θεῷ ποιησάμενος τὰ περὶ αὐτὸν, οὐδ᾽ εἰς ἀπολογίαν οὐδ᾽ εἰς ἀκριβῆ τῶν γεγονότων δήλωσιν ἐξάπτη. τὰ δεσμὰ δὲ καὶ τὴν ἀνάγκην σιγῶν ὑπῆλθεν, ἀμείνονα ἔσεσθαι τῶν δεδωκότων θαῤῥῶν, τὸν τὴν αἰτίαν τῆς συμφορᾶς καὶ τὴν ἀλήθειαν εἰδότα θεόν, οὗ πεῖραν τῆς προνοίας εὐθὺς ἐλάμβανεν. ὁ γὰρ δεσμοφύλαξ τὴν ἐπιμέλειαν καὶ τὴν πίστιν αὐτοῦ κατανοήσας ἐν οἷς τάξειεν αὐτὸν, καὶ τὸ ἀξίωμα τῆς μορφῆς, ὑπανίεισι τῶν δεσμῶν, καὶ τὸ δεινὸν ἐλαφρότερον ἐποίει. δίαιτῃ δὲ χρῆσθαι κρείττονι δεσμωτῶν ἐπιτρέπει. τῶν δὲ ἐν τοῖς αὐτοῖς ὄντων, ὁπότε παύσαιντο τῆς περὶ τὰ ἔργα ταλαιπωρίας, εἰς ὁμιλίαν οἷα φιλεῖ κατὰ κοινωνίαν τῆς ὁμοίας συμφορᾶς τρεπομένων, καὶ παρ᾽ ἀλλήλων τὰς αἰτίας ἐφ᾽ αἷς κατακριθεῖεν ἀναπυνθανομένων, οἰνοχόος τοῦ βασιλέως καὶ σφόδρα δ᾽ αὐτῷ τιμώμενος, κατ᾽ ὀργὴν δεδεμένος καὶ συνδιαφέρων τῷ Ἰωσήπῳ τὰς πέδας.

A at coniugalem consuetudinem & voluptatem habere securam, & conscientiæ fiduciam tam apud Deum quàm apud homines. quin & conducibilius esse, si impollutα manens habeat se herili iure subditũ, potius quàm flagitij communis conscium. satius enim esse conscientia rectè factorũ, quàm peccati latebris fidere. his & aliis similib. verbis mulieris impetũ retundere conabatur, eámq. à praua affectione ad rationis arbitriũ reuocare. at illa vehemẽtius in- B stabat, & cum verbis nihil proficeret, iniectis manib. hominem ad obsequiũ cogere nitebatur. Ibi verò Iosephus intemperias mulieris vlterius non ferens, relicta etiã interula ex qua retinebatur, prosilit è cubiculo. Illa partim repulsæ dolore, partim metu ne suam petulantiã maritus cognosceret, decreuit prior Iosephum falsò deferre, & hoc pacto vindictam de eo sumere, dignũ muliebri astutia rata, si accusatio- C nem præoccuparet. itaque sedebat mœrens & perturbata, qui erat dolor ob frustratam libidinem, esse indignationem tentatæ pudicitiæ simulans. Marito autem reuerso, & ad hunc aspectum turbato, causámq; scitante, Ne viuas, inquit, marite, ni scelestum seruum, cubile tuũ violare conatum, digna pœna mulctaueris, oblitũ & qualis in ædes nostras venerit, & quanta beneuolentia sit à te cõplexus: qui ingratissimus habendus ni omnib. modis frugi se approbaret, ne à coniugio quidem tuo iniuriam D abstinuit: idq; die festo obseruata absentia tua, vt facile apparet, modestiam quam prius prę se ferebat, ab herili metu, nõ ab indole recta profectam. Quod vt auderet, à te præter spem ac meritum indulgente corruptus est. vidés enim omnia tua bona fidei ac dispensationi suæ credita, grandioribúsq; conseruis se præpositum, æquũ putauit vxorem quoque tuã attrectare. & vt verbis fidem astrueret, protulit tunicam, quasi in colluctatione relictã. Petephres autẽ E victus oratione ac lacrymis mulieris, & cõiugis amori plus æquo tribuẽs, omissa ampliore veritatis inquisitione, collaudata priùs vxoris fide, audacis facinoris Iosephũ damnatũ in maleficorum carcerẽ coniecit: ob vxorísq. pudicitiã magis sibi placebat, testis iã compertæ ipsi⁹ honestatis. Iosephus autem innocẽtiam suam Deo committens, neq. se defendere curauit, neque rem ita vt gesta erat indicare: sed vinculorũ necessitatẽ tacitus ferens, vna spe cõsolaba- F tur, nimirũ potẽtiorẽ esse Deum his qui se vinxerant, cuius prouidentiã confestim est expertus. Custos enim carceris tũ fidem eius ac diligentiã in absoluendis operũ pensis considerãs, tũ formæ dignitatẽ, soluit cũ à vinculis, eámq; miseriã aliquantò leuiorem reddidit: victu etiã cõmodiore quàm reliquos vinctos vti permisit. Cæterum his qui in eodem erant ergastulo, quoties labor intermitteretur, confabulantib⁹ ita vt solẽt miseriarum socij, & inter se causam G damnationis percontantibus, pincerna quidã regi charus, per iram ab illo ad compedes dãnatus: familiaritatem cum Iosepho contraxit:

IIII. *Genes. 40.*

& quia prudentem existimauit, visum somnium ei exposuit, orans indicaret si quod subesset præsagium, deplorans suum infortunium, cui non satis erat regis indignatio, nisi per quietem etiam somniis diuinitus turbaretur. Aiebat enim se in somnis vidisse trium palmitum vitis vuas è singulis enatas pendere grandes iam & vindemiæ tempestiuas: easque se exprimere, subdente rege phialam. Colatum deinde mustum se obtulisse regi, illúmque libenter bibisse. Narrato hoc somnio rogabat vt si quid scientiæ datum à Deo haberet, interpres visionis esse dignaretur. Ille verò bono animo hominem esse iubet, & expectare intra triduum solutionem à vinculis, rege ipsius ministerium requirente, ad quod ei denuo sit redeundum. Interpretabatur enim vitem fructum mortalibus in bonum vsum afferre, quandoquidem eo conciliante fides ac amicitia inter ipsos sanciatur, & inimicitiæ dissoluantur, adhæc molestiæ mœrorésque vsu eius discutiantur, pro quibus lætitia succedat. Hunc ais, inquit, manibus tuis expressum accepisse regem. Scito igitur bonum tibi somnium oblatum, & significare miseriæ huius remissionem intra tot dies, ex quot palmitibus fructum vindemiasti in somniis. Tu verò memento mei postquam euentus hanc faustam prædictionem non falsam approbauerit: & iam liber ne despexeris nos in hac miseria, in qua relinquimur te ad prænuntiatam hanc felicitatem discedente. neque enim sontes in hęc vincula sumus compulsi, sed ob virtutem ac modestiam quasi malefici punimur, quòd potiorem habuerimus honorem domus in qua versabamur, & eius qui nos huc contrusit, quã propriam voluptatem. Atque ita pincerna, vt par erat, lætus hoc interpretamento euentum expectabat. Alius verò quidam seruus pistoribus regiis præpositus, in eisdem vinculis degens cum pincerna, ex tam fausta Iosephi interpretatione spe concepta, quia & ipse somnium viderat, rogat eum quidnam sibi quoque præteritæ noctis visio portenderet: erat autem huiusmodi. Tria canistra, inquit, supra caput baiulare mihi videbar. ex his duo panibus erant plena, tertium carnibus & variis eduliis, qualia regibus apparari solent. Deuolantes autem alites absumpsisse omnia. ipso licet arcente nihil deterritas. His dictis simile priori pręsagium expectabat. Tum Iosephus coniectura somnij facta, præfatúsque quòd mallet ei lætiora prænuntiare, quàm quæ somnium portenderet, dicit duos omnino dies vitæ ipsi superesse. Hoc enim significare canistra. tertia verò cruci suffixum ab alitibus deuorandum, quas à se arcere non posset. Nec aliter euenit vtrisque, quàm vt Iosephus prædixerat. Ad præscriptam enim in somniis diem rex natalitium epulum celebrans, præpositum pistorum in crucem egit: pincernam vinculis exẽptum ministerio pristino restituit. Iosephum autem post biennij tempus in miseria carceris exactũ, nihil interim ab ingrato pincerna adiutum, Deus eripuit tali via ad libertatem præ-

συνηθέστερος αὐτῷ μᾶλλον ἐγένετο. καὶ συνέσει γὰρ αὐτὸν ἐδόκει διαφέρειν, ὄναρ ἰδὼν, ἐξέθετο παρακαλῶν δηλοῦν, εἴ τι σημαίνει, μεμφόμενος ὅτι τοῖς ἐκ τοῦ βασιλέως κακοῖς ἔτι τὸ θεῖον αὐτῷ καὶ τὰς ἐκ τῶν ὀνειράτων φροντίδας προστίθησιν. ἔλεγε δ' οὖν ἰδεῖν κατὰ τοὺς ὕπνους, τριῶν κλημάτων πεφυκυίας ἀμπέλου βότρυς ἐξ ἑκάστου ἀποκρεμᾶσθαι μεγάλους ἤδη καὶ πρὸς τρυγητὸν ὡραίους, καὶ τούτους αὐτὸς ἀποθλίβειν εἰς φιάλην ὑπέχοντος τοῦ βασιλέως. διηθήσας τε τὸ γλεῦκος δοῦναι τῷ βασιλεῖ πιεῖν, κἀκεῖνον δέξασθαι κεχαρισμένως. τὸ μὲν οὖν ἑωραμένον ἐδήλου τοιοῦτον ὄν. ἠξίου δ' εἴ τι μεμοίραται συνέσεως, φράζειν αὐτῷ τὴν πρόῤῥησιν τῆς ὄψεως. ὁ δὲ, θαῤῥεῖν τε παρεκάλει, καὶ προσδοκᾶν ἐν τρισὶν ἡμέραις ἀπολυθήσεσθαι τῶν δεσμῶν, τοῦ βασιλέως ποθήσαντος αὐτοῦ τὴν διακονίαν, καὶ πάλιν εἰς ταύτην αὐτὸν ἐπανήξειν. καρπὸν γὰρ ἐσήμαινεν ἄμπελον ἐπ' ἀγαθὸν ἀνθρώποις παρέχειν, ὅσα αὐτῷ τε ἐκείνῳ σπένδεται, καὶ πίστιν ἀνθρώποις καὶ φιλίαν ὁμηρεύει, διαλύων μὲν ἔχθρας, τὰ πάθη δὲ καὶ τὰς λύπας ἐξαιρῶν τοῖς προσφερομένοις αὐτὸν, καὶ πρὸς ἡδονὴν ὑποφέρων. τοῦτον οὖν φῂς ἐκ τριῶν ἀποθλιβέντα βοτρύων, χερσὶ ταῖς σαῖς προσέσθαι τὸν βασιλέα. καλὴν τοίνυν ἴσθι σοι τὴν ὄψιν γεγενημένην, καὶ προμηνύουσαν ἄφεσιν τῆς παρούσης ἀνάγκης, ἐν τοσαύταις ἡμέραις, ἐξ ὅσων κλημάτων τὸν καρπὸν ἐτρύγησας κατὰ τοὺς ὕπνους. μέμνησο μέντοι τούτων πειραθεὶς τοῦ προκαταγγείλαντός σοι τὰ ἀγαθά. καὶ γενόμενον ἐν ἐξουσίᾳ, μὴ περιίδῃς ἡμᾶς ἐν οἷς καταλείψεις, πρὸς ἃ δεδηλώκαμεν ἀπερχόμενος. οὐδὲ γὰρ ἐξαμαρτάνοντες ἐν δεσμοῖς γεγόναμεν, ἀλλ' ἀρετῆς ἕνεκα καὶ σωφροσύνης τὰ τῶν κακούργων ὑπομένειν κατεκρίθημεν, οὐδὲ μετ' οἰκείας ἡδονῆς τὸν ταῦθ' ἡμᾶς ἐργασάμενον ὑβρίσαι θελήσαντες. τῷ μὲν οὖν οἰνοχόῳ χαίρειν κατὰ τὸ εἰκὸς ἀκούσαντι τοιαύτης τῆς τοῦ ὀνείρατος ἐξηγήσεως ὑπῆρχε, καὶ περιμένειν τὴν τῶν δεδηλωμένων τελευτήν. δοῦλος δέ τις ἐπὶ τῶν σιτοποιῶν τεταγμένος τοῦ βασιλέως, συνδεδεμένος τῷ οἰνοχόῳ, τοιαύτην ποιησαμένου τοῦ Ἰωσήπου περὶ τῆς ὄψεως ἐκείνου τὴν ἀπόφασιν εὔελπις ὢν, καὶ γὰρ αὐτὸς ὄναρ ἦν τεθεαμένος, ἠξίωσε τὸν Ἰώσηπον, φράσαι τί κἀκείνῳ δηλοῦν βούλεται τὰ διὰ τῆς παρελθούσης νυκτὸς ὀφθέντα. ἦν δὲ τοιαῦτα. τρία φησὶ κανᾶ φέρειν ἐπὶ τῆς κεφαλῆς ἔδοξα. δύο μὲν ἄρτων πλέα, τὸ δὲ τρίτον ὄψου τε καὶ ποικίλων βρωμάτων οἷα βασιλεῦσι σκευάζεται. καταπταμένους δ' οἰωνοὺς ἅπαντα δαπανῆσαι, μηδένα λόγον αὐτοῦ ποιουμένους ἀποσοβοῦντος. καὶ ὁ μὲν ὁμοίαν τὴν πρόῤῥησιν ἔσεσθαι τῇ τοῦ οἰνοχόου προσεδόκα. ὁ δὲ Ἰώσηπος, συμβαλὼν τῷ λογισμῷ τὸ ὄναρ, καὶ πρὸς αὐτὸν εἰπὼν, ὡς ἐβούλετ' ἂν ἀγαθῶν ἑρμηνευτὴς αὐτῷ γεγονέναι, καὶ οὐχ οἵων τὸ ὄναρ αὐτῷ δηλοῖ, λέγει, δύο τὰς πάσας ἔτι τοῦ ζῆν αὐτὸν ἔχειν ἡμέρας. τὰ γὰρ κανᾶ τοῦτο σημαίνειν. τῇ τρίτῃ δ' αὐτὸν ἀνασταυρωθέντα, βορὰν ἔσεσθαι τοῖς πετεινοῖς οὐδὲν ἀμύνειν ἑαυτῷ δυνάμενον. καὶ δὴ ταῦτα τέλος ὅμοιον οἷς ὁ Ἰώσηπος εἶπεν, ἀμφοτέροις ἔλαβε. τῇ γὰρ ἡμέρᾳ τῇ προειρημένῃ, γενέθλιον τεθυκὼς ὁ βασιλεὺς, τὸν μὲν ἐπὶ τῶν σιτοποιῶν ἀνεσταύρωσεν. τὸν δὲ οἰνοχόον τῶν δεσμῶν ἀπολύσας, ἐπὶ τῆς αὐτῆς ὑπηρεσίας κατέστησεν. Ἰώσηπον δὲ διετῆ χρόνον τοῖς δεσμοῖς κακοπαθοῦντα, καὶ μηδὲν ὑπὸ τοῦ οἰνοχόου κατὰ μνήμην τῶν προειρημένων ὠφελούμενον, ὁ θεὸς ἀπέλυσε τῆς εἱρκτῆς, τοιαύτην αὐτῷ τὴν ἀπαλλαγὴν μηχανησά-

νησάμενος. Φαραώθης ὁ βασιλεὺς, ὑπὸ τὴν αὐτὴν ἑσπέραν ὄψεις ἐνυπνίων θεασάμενος δύο, καὶ μετ᾽ αὐτῶν τὴν ἑκατέρας ἐξήγησιν, ταύτης μὲν ἠμνημόνευσε, τῶν δὲ ὀνειράτων κατεῖχεν, ἀχθόμενος ἐπὶ τοῖς ἑωραμένοις. καὶ γὰρ ἐδόκει σκυθρωπὰ ταῦτα αὐτῷ. καὶ συνεκάλει μεθ᾽ ἡμέραν αἰγυπτίων τοὺς λογιωτάτους, χρῄζων μαθεῖν τὴν ὀνειράτων τὴν κρίσιν. ἀπορούντων δὲ ἐκείνων, ἔτι μᾶλλον ὁ βασιλεὺς ἐταράττετο. τὸν δὲ οἰνοχόον ὁρῶντα τὴν Φαραώθου τὴν σύγχυσιν, ὑπέρχεται μνήμη περὶ τοῦ Ἰωσήπου, καὶ τῆς περὶ τῶν ὀνειράτων συνέσεως. καὶ προσελθὼν ἐμήνυσεν αὐτῷ τὸν Ἰώσηπον, τήν τε ὄψιν ἣν αὐτὸς εἶδεν ἐν τῇ εἱρκτῇ, καὶ τὸ ἀποβὰν ἐκείνου φράσαντος, ὅτι τε σταυρωθείη κατὰ τὴν αὐτὴν ἡμέραν ὁ ἐπὶ τῶν σιτοποιῶν, κἀκείνῳ τοῦτο συμβαίη κατὰ ἐξήγησιν ὀνείρατος Ἰωσήπου προειπόντος. δεδέσθαι δὲ τοῦτον μὲν ὑπὸ Πετεφροῦ τοῦ ἐπὶ τῶν μαγείρων, ὡς δοῦλον. λέγει δὲ αὐτὸν Ἑβραίων ἐν ὀλίγοις εἶναι γένους ἅμα καὶ τοῦ πατρὸς δόξης. τοῦτον οὖν μεταπεμψάμενος, καὶ μὴ διὰ τὴν ἄρτι κακοπραγίαν αὐτοῦ καταγνοὺς, μαθήσῃ τὰ ὑπὸ τῶν ὀνειράτων σοι δηλούμενα. κελεύσαντος οὖν τοῦ βασιλέως εἰς ὄψιν αὐτοῦ τὸν Ἰώσηπον παραγαγεῖν, οἱ μὲν ἧκουσιν ἄγοντες, τὸ κεκελευσμένον ποιῆσαι μὴ μελλήσαντες, κατὰ τὸ πρόσταγμα τοῦ βασιλέως. ὁ δὲ, τῆς δεξιᾶς αὐτοῦ λαβόμενος, ὦ νεανία φησίν. σὺ γάρ μοι νῦν ἄριστος, καὶ σύνεσιν ἱκανώτατος, ὑπὸ οἰκέτου τοῦ ἐμοῦ μεμαρτύρησαι. τῶν αὐτῶν ἀγαθῶν ὧν καὶ τούτῳ μεταδέδωκας, ἀξίωσον φράσαι ὅσα μοι κατὰ τοὺς ὕπνους ὀνειράτων ὄψεις προδηλοῦσι. βούλομαι δέ σε μηδὲν ὑποστελλόμενον φόβῳ, κολακεῦσαι ψευδῆ λόγῳ, καὶ τὸ πρὸς ἡδονὴν, ἂν τἀληθὲς σκυθρωπότερον ᾖ. ἔδοξα γὰρ παρὰ ποταμὸν βαδίζων βόας ἰδεῖν εὐτραφεῖς ἅμα καὶ μεγέθει διαφερούσας ἑπτὰ τὸν ἀριθμὸν, ἀπὸ τοῦ νάματος χωρεῖν ἐπὶ τὸ ἕλος. ἄλλας δὲ ταύταις τὸν ἀριθμὸν παραπλησίας ἐκ τοῦ ἕλους ὑπαντῆσαι, λίαν κατισχνωμένας καὶ δεινὰς ὁρᾶσθαι. αἳ κατεσθίουσαι τὰς εὐτραφεῖς καὶ μεγάλας, οὐδὲν ὠφελοῦντο χαλεπῶς ὑπὸ τοῦ λιμοῦ τετρυχωμέναι. μετὰ δὲ ταύτην τὴν ὄψιν διεγερθεὶς ἐκ τοῦ ὕπνου, καὶ τεταραγμένος, καὶ τί ποτε εἴη τὸ φάντασμα παρ᾽ ἐμαυτῷ σκοπῶν καταφέρομαι καὶ πάλιν εἰς ὕπνον, καὶ δεύτερον ὄναρ ὁρῶ, πολὺ τοῦ προτέρου θαυμασιώτερον, ὅ με καὶ μᾶλλον ἐκφοβεῖ καὶ ταράττει. στάχυας ἑπτὰ ἑώρων ἀπὸ μιᾶς ῥίζης ἐκφυέντας, καρποβαροῦντας ἤδη καὶ κεκλιμένους ὑπὸ τοῦ καρποῦ, καὶ τῆς πρὸς ἄμητον ὥρας. καὶ τούτοις ἑτέρους ἑπτὰ στάχυας πλησίον λιφερνοῦντας καὶ ἀσθενεῖς ὑπὸ ἀδροσίας, οἳ δαπανᾶν καὶ κατεσθίειν τοὺς ὡραίους τραπέντες, ἔκπληξίν μοι παρεῖχον. Ἰώσηπος δὲ ὑπολαβών. ὄνειρος μὲν ἐστὶν εἶπεν ὦ βασιλεῦ, καίπερ ἐν δυσὶ μορφαῖς ὀφθεὶς, μίαν καὶ τὴν αὐτὴν ἀποσημαίνει τελευτὴν τῶν ἐσομένων. τό τε γὰρ τὰς βοῦς ἰδεῖν, ζῷον ἐπ᾽ ἀρότρῳ πονεῖν γεγενημένον, ὑπὸ τῶν χειρόνων κατεσθιομένας, καὶ οἱ στάχυες ὑπὸ τῶν ἐλαττόνων δαπανώμενοι, λιμὸν αἰγύπτῳ καὶ ἀκαρπίαν ἐπὶ τοσαῦτα προκαταγγέλλει ἔτη, τοῖς ἴσοις πρότερον εὐδαιμονήσασιν, ὡς τὴν τούτων εὐφορίαν τῶν ἐτῶν ὑπὸ τῆς μετὰ τοσοῦτον ἀριθμὸν ἴσων ἀφορίας ἀναλωθῆναι. γενήσεται δὲ ἡ σπάνις τῶν ἀναγκαίων, σφόδρα δυσκατόρθωτος. σημεῖον δὲ, αἱ γὰρ κατισχνωμέναι βόες δαπανήσασαι τὰς κρείττονας, οὐκ ἴσχυσαν κορεσθῆναι. ὁ μέν τοι θεὸς, οὐκ ἐπὶ τῷ λυπεῖν, τὰ μέλλοντα τοῖς ἀνθρώποις προδείκνυσιν. ἀλλ᾽ ὅπως προυγνωκότες, κουφοτέρας συνέσει ποιῶνται τὰς πείρας

A structa. Pharaothes rex cùm eadem nocte in somniis duas visiones vidisset, pariterque interpretationem earum: hanc oblitus, sola somnia retinuit, nihil lætum vt coniicere poterat significantia: cōuocatísque prima luce doctissimis Ægyptiorum, interpretationem requirebat. Illis verò nihil explicantibus tanto magis rex turbabatur. Quo viso pincernam subit recordatio Iosephi, eiúsque in hoc genus coniecturis prudentiæ: & adito rege, indicauit ei de B Iosepho, & de visione in carcere agenti sibi oblata, eiúsque euentu iuxta illius interpretationem: quódque eadem die pistorum præpositus cruci suffixus tanto magis fidem prædictionibus eius astruxerit. vinctum autem à Petephre coquorum præfecto, cuius esset seruus. ipsum autem dicere, apud Hebræos se genere ac parentibus cum primis claris natum. Hunc, inquit, euocari iubeto, néve contempseris hominem propter præsentem miseriam: clarè enim C significata somniorum ex eo discere poteris. Confestim igitur accersitum rex, manúque apprehensum comiter his verbis alloquitur: Bone iuuenis, quandoquidem te prudentem indicio famuli mei cognoui, enarra somniorum meorum præsagia, quemadmodum & illi enarrasti, rem gratissimam mihi facturus, caue autem vel metu quicquam supprimas, vel ad gratiam ac voluptatem loquaris, sed vera omnia, etiamsi fortasse non admodum læta. Visus sum mihi secundum flumen inambulare, D videréque boues bene pastas & bene magnas numero septem à fluentis ad paludes progredi: & alias totidem à paludibus obuiam eis factas, vehementer extenuatas macie ac visu fœdas, quæ cùm deuorassent septem illas saginatas & magnas, nihil tamen profecerunt, miserè à fame vexatæ. Post hanc visionem experrectus è somno turbatúsque dum mecum agito quidnam sibi velint species per E somnum obuersatæ, obrepente sensim sopore grauatus iterum obdormiui: iterúmque somnium vidi priore prodigiosius, quod me magis etiam turbat ac terret. Spicas septem videbam ab vna radice enatas, fruge grauatas & vertice pronas, messique iam maturas: iuxta quas totidem alias spicas languidas & præ roris inopia deficientibus similes: quæ cùm illas alteras ingentes ac pulchras absumpsissent, attonitum miraculo me reddiderunt. F Ad hæc Iosephus, Somnium hoc Rex, dupli ci licet specie visum, vnum tamen & eundem euentum significat. Namque & boues animal aratro & labori natum, visæ ab exilioribus deuorari, & spicæ à deterioribus absumptæ, famem Ægypto & sterilitatem ad totidem prænunciant annos, ad quot priores vbertatis felicitatem: horúmque fertilitatem à totidem sequentium sterilitate absumendam. huic inopiæ non facile videtur prospicere & occur- G rere: id quod inde coniicio, quia macræ boues deuoratis pinguibus, satiari non potuerunt. Sed ista Deus, non vt terreat & contristet, prænunciat hominibus: sed vt præmoniti sibi prouideant, quo leuius imminenti malo

premantur. tu ergo si vbertioris temporis prouentus reposueris ac dispensaueris, insequentem penuriam Ægyptus non sentiet. Cúmque rex admiratus Iosephi prudentiam & sapientiam percontaretur quonam modo esset in futurum prospiciendum vbertatis tempore, quo tolerabilior fieret ventura sterilitas: monuit & consuluit Ægyptiis vtendum parsimonia, & quod præsenti vsui superesset ad futuram necessitatem reseruandum. suasit etiam vt indicta professione frumenti, aratores iuberet id in horrea condere, & quantum sat esset, & non amplius, populo distribueret. ibi rex tam consilio quàm interpretatione Iosephi collaudatis, ipsum huic dispensationi præficit, iubétque prouidere quæcunque putaret in rem esse vel ipsius regis vel populi: præfatus neminem sibi videri magis idoneum ad hoc consilium exequendum, quàm ipsum eius authorem. qua potestate à rege auctus, accepto etiam anulo regis signatorio, & iure purpuræ gestandæ, in sella curuli sublimis per Ægyptum circumuectabatur, frumentúmque comportabat, tantum inde aratoribus demetiens, quantum in alimenta & sementem sufficeret, nemine sciente causam cur hoc faceret. Trigesimum iam ætatis annum exegerat, in summo apud regem honore habitus, & ob incredibilem prudentiam Psonthomphanechus ab eo cognominatus, quòd occultorum inuentorem significat: sed & coniugium nactus est honoratissimum. Duxit enim rege connubium hoc procurante virginem Petephræ Heliopolitani sacerdotis filiam, cui nomen erat Asanethe: ex qua & liberos genuit ante agrorum sterilitatem. ex his maior dictus est Manasses, quo nomine significatur obliuio, quia meliorem fortunam nactus venit in prioris obliuionem: iunior verò Ephræmes, quod redditum significat, eo quòd maiorum suorum libertati restitutus esset. Ægyptum autem iuxta Iosephi interpretamentum septennio per diuitem affluentiam exacto, octauus annus fame infestabat, & quia malum improuisum erat, promiscua multitudo grauiter laborans ad fores regiæ confluebat. Rex Iosephum accersit, qui mox frumenta diuidendo seruator populi citra controuersiam extitit. nec solùm eius regionis hominibus forum aperuit, sed etiam exteris, existimans vniuersum genus hominum inter se cognatum, & in rebus angustis fortunatiorum ope subleuari dignum. Et quoniam eadem calamitas & Chananæam & reliquas orbis regiones premebat, Iacobus quoque omnes filios in Ægyptum frumentatum mittit, cùm cognouisset quòd & exteris eo foro vti liceret, solo Beniamine retento, quem è Rachele susceperat, vterinum Iosephi fratrem. Qui postquam in Ægyptum peruenere, Iosephum accedunt, mercatum sibi permitti rogantes. nihil enim nisi ex ipsius sententia gerebatur. nam tum demum regem coluisse proderat, si ne Iosephi quidem gratia negligeretur. Ille agnitis fratribus nihil tum minus quàm de se cogitantibus, quòd adolescens ab

τὴν κατηγγελμένην. οὐ γίνεσθαι ταμιευσαμένους τἀγαθὰ τὰ κατὰ τὸν πρῶτον χρόνον γινόμενα, πειρᾶσθαι ἀνεπαίσθητον αἰγυπτίοις τὴν ἐπελευσομένην συμφοράν. θαυμάσαντος δὲ τοῦ βασιλέως τὴν φρόνησιν, καὶ τὴν σοφίαν τοῦ ἰωσήπου, καὶ πυθομένου τίνα καὶ τρόπον ἂν προοικονομήσειεν ἐν τοῖς τῆς εὐετηρίας καιροῖς τὰ περὶ τῶν μετὰ ταύτην, ὡς ἂν ἐλαφρότερα γένοιτο τὰ τῆς ἀφορίας, ὑπετίθετο. καὶ συνεβούλευεν φειδὼ ποιεῖσθαι τῶν ἀγαθῶν καὶ μὴ κατὰ περιουσίαν αὐτοῖς χρῆσθαι τοῖς αἰγυπτίοις ἐπιτρέπειν. ἀλλ᾽ ὅσον ἂν ἀναλώσουσιν ἐκ περισσοῦ, ταῦτα τηρεῖν εἰς τὸν τῆς ἐνδείας καιρόν. ἀποτίθεσθαί τε παρῄνει λαμβάνοντα τὸν σῖτον παρὰ τῶν γεωργῶν, τὰ διαρκῆ μόνον εἰς διατροφὴν χορηγοῦντα. φαραώθης δ᾽ ἀμφοτέρων θαυμάσας ἰώσηπον, τῆς τε κρίσεως τοῦ ὀνείρατος, καὶ τῆς συμβουλίας, αὐτῷ τὴν οἰκονομίαν παραδίδωσιν ὥς τε πράττειν ἃ καὶ τῷ πλήθει τῶν αἰγυπτίων καὶ τῷ βασιλεῖ συμφέροντα ὑπολαμβάνοι, τὸν ἐξευρόντα τὴν τοῦ πράγματος ὁδὸν, καὶ προστάτην ἄριστον αὐτῆς ὑπολαβὼν γενήσεσθαι. ὁ δὲ, ταύτης αὐτῷ τῆς ἐξουσίας ὑπὸ τοῦ βασιλέως δοθείσης, σφραγῖδί τε χρῆσθαι τῇ αὐτοῦ, καὶ πορφύραν ἐνδύεσθαι, διὰ τῆς γῆς ἁπάσης ἐλαύνων ἐφ᾽ ἅρματος, ἦγε τὸν σῖτον παρὰ τῶν γεωργῶν, τὸν ἀρκοῦντα πρός τε σπόρον καὶ διατροφὴν ἑκάστοις ἀπομετρῶν, μηδενὶ σημαίνων τὴν αἰτίαν ὑφ᾽ ἧς ταῦτα ἔπραττε. τριακοστὸν δὲ ἔτος ἤδη τῆς ἡλικίας αὐτῷ διεληλύθει, καὶ τιμῆς ἁπάσης ἀπέλαβε παρὰ τοῦ βασιλέως. καὶ προσηγόρευσεν αὐτὸν, ψονθομφάνηχον, ἀπιδὼν αὐτοῦ πρὸς τὸ παράδοξον τῆς συνέσεως. σημαίνει γὰρ τὸ ὄνομα, κρυπτῶν εὑρετήν. γαμεῖ τε καὶ γάμον ἀξιολογώτατον. ἄγεται γὰρ πετεφροῦ θυγατέρα τῶν ἐν ἡλιοπόλει ἱερέων, συμπράξαντος αὐτῷ τοῦ βασιλέως, ἔτι παρθένον ἀσανέθην ὀνόματι. ἐκ ταύτης δὲ καὶ παῖδες αὐτῷ γίνονται πρὸ τῆς ἀκαρπίας. μανασσῆς μὲν πρεσβύτερος. σημαίνει δ᾽ ἐπίληθον, διὰ τὸ εὐδαιμονήσαντα λήθην εὑρέσθαι τῶν ἀποτυχημάτων. ὁ δὲ νεώτερος, ἐφραμίης. ἀποδιδοὺς δὲ τοῦτο σημαίνει, διὰ τὸ ἀποδοθῆναι αὐτὸν τῇ ἐλευθερίᾳ τῶν προγόνων. τῆς δὲ αἰγύπτου κατὰ τὴν ἰωσήπου τῶν ὀνειράτων ἐξήγησιν, μακαριστῶς ἔτη ἑπτὰ διαγούσης, λιμὸς ἥπτετο τῷ ὀγδόῳ ἔτει. καὶ διὰ τὸ μὴ προαισθομένοις ἐπιπεσεῖν τὸ κακὸν, πονούμενοι χαλεπῶς ὑπ᾽ αὐτοῦ πάντες εἰς τὰς τοῦ βασιλέως θύρας συνέρρεον. ὁ δὲ, ἰώσηπον ἐκάλει, κἀκεῖνος τὸν σῖτον αὐτοῖς ἀπεδίδοτο, γενόμενος σωτὴρ ὁμολογουμένως τοῦ πλήθους. καὶ τὴν ἀγορὰν οὐ τοῖς ἐγχωρίοις προὔθηκε μόνον, ἀλλὰ καὶ τοῖς ξένοις ὠνεῖσθαι παρῆν, πάντας ἀνθρώπους κατὰ συγγένειαν ἀξιοῦντος ἐπικουρίας τυγχάνειν ἰωσήπου παρὰ τῶν εὐδαιμονίᾳ χρωμένων. πέμπει δὲ καὶ ἰάκωβος τῆς χαναναίας δεινῶς ἐκπιεζουμένης, πάσης γὰρ ἥψατο τῆς ἠπείρου τὸ δεινὸν, τοὺς υἱοὺς ἅπαντας εἰς τὴν αἴγυπτον ὠνησομένους σῖτον, πεπυσμένος ἐφεῖσθαι τὴν ἀγορὰν καὶ ξένοις. μόνον δὲ κατέσχε βενιαμὶν, ἐκ ῥαχήλας αὐτῷ γεγονότα, ὁμομήτριον δὲ τῷ ἰωσήπῳ. οἱ μὲν οὖν εἰς τὴν αἴγυπτον ἐλθόντες, ἐνετύγχανον τῷ ἰωσήπῳ χρῄζοντες ἀγορᾶς. οὐδὲν γὰρ ἦν ὃ μὴ μετὰ γνώμης ἐπράττετο τῆς ἐκείνου. καὶ γὰρ τὸ θεραπεῦσαι τὸν βασιλέα τότε χρήσιμον ἐγίνετο τοῖς ἀνθρώποις, ὅτε καὶ τῆς ἰωσήπου τιμῆς ἐπιμεληθεῖεν. ὁ δὲ, γνωρίσας τοὺς ἀδελφοὺς οὐδὲν ἐνθυμουμένους περὶ αὐτοῦ, διὰ τὸ μειράκιον μὲν

αὐτὸν

αὐτὸν ἀπαλλαγῆναι, εἰς τοῦτο δὲ προελθεῖν τῆς ἡλικίας καὶ τὸν χαρακτῆρα ἐνηλλαγμένων ἀγνώριστος αὐτοῖς εἶναι, τῷ δὲ μεγέθει τοῦ ἀξιώματος οὐδ' εἰς ἐπίνοιαν ἐλθεῖν αὐτοῖς δυναμένοις, διεπείραζεν ὡς ἔχοιεν γνώμης περὶ τῶν ὅλων. τόν τε γὰρ σῖτον αὐτοῖς οὐκ ἀπεδίδοτο, κατασκόπους τε τῶν βασιλέως πραγμάτων ἔλεγεν ἥκειν. καὶ πολλαχόθεν μὲν αὐτοὺς συνεληλυθέναι, προφασίζεσθαι δὲ συγγένειαν. οὐ γὰρ εἶναι δυνατὸν ἀνδρὶ ἰδιώτῃ τοιούτους παῖδας κατὰ μορφὰς οὕτως ἐπιφανεῖς ἐκθρέψαι, δυσκόλου καὶ βασιλεῦσιν οὔσης τῆς τοιαύτης παιδοτροφίας. ὑπὲρ δὲ τοῦ γνῶναι τὰ κατὰ τὸν πατέρα, καὶ τὰ συμβεβηκότα αὐτῷ μετὰ τὴν ἰδίαν ἀπαλλαγήν, ταῦτ' ἔπραττεν, μαθεῖν τε βουλόμενος καὶ τὰ περὶ Βενιαμὶν τὸν ἀδελφόν. ἐδεδίει γὰρ μὴ κἀκεῖνον ὁμοίως οἷς εἰς αὐτὸν ἐτόλμησαν εἶεν ἀποσκευασμένοι τοῦ γένους. οἱ δ' ἦσαν ἐν ταραχῇ καὶ φόβῳ, καὶ κίνδυνον τὸν μέγιστον αὐτοῖς ἐπηρτῆσθαι νομίζοντες, καὶ μηδὲν περὶ τἀδελφοῦ κατὰ νοῦν λαμβάνοντες: καταστάντες τε πρὸς τὰς αἰτίας ἀπελογοῦντο, Ῥουβήλου προηγορεύοντος, ὃς ἦν πρεσβύτατος αὐτῶν. ἡμεῖς γὰρ εἶπεν, οὐ κατ' ἀδικίαν δεῦρ' ἤλθομεν, οὐδὲ κακουργήσοντες τὰ βασιλέως πράγματα. σωθῆναι δὲ χρῄζοντες, καὶ καταφυγὴν τῶν συνεχόντων τὴν χώραν ἡμῶν κακῶν, τὴν ὑμετέραν φιλανθρωπίαν ὑπολαβόντες, ὡς οὐχὶ πολίταις μόνον τοῖς αὐτῶν, ἀλλὰ καὶ ξένοις ἠκούομεν τὴν ἀγορὰν τοῦ σίτου προτεθεικέναι, πᾶσι τὸ σώζεσθαι τοῖς δεομένοις παρέχειν διεγνωκότας. ὅτι δ' ἐσμὲν ἀδελφοὶ καὶ κοινὸν ἡμῖν αἷμα, φανερὸν καὶ τῆς μορφῆς τὸ οἰκεῖον καὶ μὴ πολὺ παρηλλαγμένον ποιεῖ. πατὴρ δ' ἐστὶν ἡμῖν, Ἰάκωβος ἀνὴρ Ἑβραῖος. ᾧ γενόμεθα δώδεκα παῖδες ἐκ γυναικῶν τεσσάρων, ὧν πάντων παρόντων, ἦμεν εὐδαίμονες. ἀποθανόντος δὲ ἑνὸς τῶν ἀδελφῶν Ἰωσήπου, τὰ πράγματα ἡμῖν ἐπὶ τὸ χεῖρον μετέβαλεν. ὅτε γὰρ πατὴρ μακρὸν ἐπ' αὐτῷ πένθος εἴρηται. καὶ ἡμεῖς ὑπὸ τῆς ἐπὶ τῷ τεθνηκότι συμφορᾶς, καὶ τῆς τοῦ πρεσβύτου ταλαιπωρίας, κακοπαθοῦμεν. ἥκομέν τε νῦν ἐπ' ἀγορὰν σίτου, τήν τε τοῦ πατρὸς ἐπιμέλειαν καὶ τὴν κατὰ τὸν οἶκον πρόνοιαν, Βενιαμὶ τῷ νεωτάτῳ τῶν ἀδελφῶν πεπιστευκότες. δύνασαι δὲ πέμψας εἰς τὸν ἡμέτερον οἶκον μαθεῖν, εἴ τι ψευδές ἐστιν τῶν λεγομένων. καὶ Ῥούβηλος μὲν τοιούτοις ἐπειρᾶτο πείθειν τὸν Ἰώσηπον περὶ αὐτῶν τὰ ἀμείνω φρονῆσαι. ὁ δὲ τὸν Ἰακὼβ ζῶντα μαθὼν, καὶ τὸν ἀδελφὸν οὐκ ἀπολωλότα, τότε μὲν εἰς τὴν εἱρκτὴν αὐτοὺς ὡς ἐπὶ σχολῆς βασανίσων ἐνέβαλεν. τῇ δὲ τρίτῃ τῶν ἡμερῶν προαγαγὼν αὐτούς, ἐπεὶ φησὶ διισχυρίζεσθε, μήτ' ἐπὶ κακουργίᾳ τῶν βασιλέως ἥκειν πραγμάτων, εἶναί τε ἀδελφοί, καὶ πατρὸς οὗ λέγετε, πείσετέ με ταῦθ' οὕτως ἔχειν, εἰ καταλείποιτε μὲν ἐξ αὐτῶν ἕνα παρ' ἐμοὶ μηδὲν ὑβριστικὸν πεισόμενον, ἀποκομίσαντες δὲ τὸν σῖτον πρὸς τὸν πατέρα, πάλιν ἔλθοιτε πρός με, τὸν ἀδελφὸν ὃν καταλιπεῖν ἐκεῖ φατὲ μεθ' ἑαυτῶν ἄγοντες. τοῦτο γάρ ἐσται πίστωμα τῆς ἀληθείας. οἱ δ' ἐν μείζοσι κακοῖς ἦσαν, ἔκλαιόν τε καὶ συνεχῶς πρὸς ἀλλήλους ἀνωλοφύροντο τὴν Ἰωσήπου συμφοράν, ὡς ἄρα τὰ κατ' ἐκεῖνον βουληθέντα τιμωροῦντος αὐτοὺς τοῦ θεοῦ τοῖς τοιούτοις περιπέσοιεν. Ῥούβηλος δὲ πολὺς ἦν ἐπιπλήττων αὐτοῖς τῆς μετανοίας, ἐξ ἧς ὄφελος οὐδὲν Ἰωσήπου γίνεται. φέρειν δ' αὐτοὺς πᾶν ὅτι ἂν πάθοιεν, κατ' ἐκδικίαν ἐκείνου δρῶντος αὐτὰ τοῦ θεοῦ, καρτερῶς ἠξίου. ταῦτα δ' ἔλεγον πρὸς ἀλλήλους, οὐχ ἡγούμενοι τὸν Ἰώσηπον γλώττης τῆς αὐτῶν συνιέναι. κατήφεια δὲ πάντας εἶχε πρὸς τοὺς Ῥουβήλου λόγους, καὶ τῶν πραγμάτων

eis distractus iam per ætatem faciei lineamenta mutauerat, ac de tanta dignitate ne suspicari quidem poterant, tentare eos decreuit quali mente essent præditi. nam & frumenti emendi potestatem eis negauit, & pro speculatoribus comprehendi voluit, dicens conuenisse è diuersis regionibus, & cognationem simulare. quî enim fieri posse vt vir priuatus tot tam insignes filios educauerit, quæ felicitas vel regibus rarò contingeret. Id faciebat vt de patre cognosceret, quóve in statu per suam absentiam res eius interim fuerint, quídve de Beniamine sit factum. solicitus enim erat ne & eum quemadmodum se de medio sustulerint. at illos magnus pauor occupat, imminens periculum reputantes, & frustra se tantum iter emensos existimantes: cúmque crimen amoliendum viderent, Rubelus natu maximus sic communem causam agere cœpit. Nos neque speculatum huc venimus, neque regi damnum aliquod allaturi: sed dira fames cuius effugium quærimus, venire huc compulit fretos vestra humanitate, quos non ciuibus solis, sed exteris quoque salutem vobis debituris frumentum venale proposuisse audiuimus. Quòd autem fratres simus & ex eodem sanguine, vel facies nostræ argumento sunt, non admodum inter se variantes. Pater nobis est Iacobus vir Hebræus, qui nos duodecim è quatuor mulieribus suscepit, qui donec omnes essent incolumes, res nostræ satis prosperę fuerunt. Cæterùm vno, cui Iosepho fuit nomen, absumpto, domesticæ fortunæ in peius labi cœperunt. Pater in perpetuo luctu est, cuius lamentatio non minus nos afficit, quàm olim suauissimi fratris immaturus interitus. nunc frumentatum venimus, patris cura Beniamini natu minimo commissa. Hæc ita esse, potes aliquo ad nostram domum misso cognoscere. Hæc Rubelus pro se ac fratribus, quò falsam Iosepho suspicionem eximeret, qui cognito patrem ac fratrem esse incolumes, iubet eos includi in carcerem, quasi per otium quæstioni admoturus. Post triduum deinde productis, quoniam, inquit, asseueratis vos in detrimentum regis ac regni non venisse, fratrésque esse ex patre quem nominastis, facietis mihi fidem hæc ita se habere, si relicto interim vno ex vobis apud me nihil durius passuro, cum frumẽto ad patrem profecti, rursum ad me reuertamini, adducentes vobiscum fratrẽ quem aiebatis illic relictum esse. hoc enim erit argumentũ vos nihil fingere. His verbis perculsi, ratiq iam extremam calamitatem instare, lamentabantur fortunã suam, crebro iactantes, adesse diras vltrices fratris per summã immanitatem oppressi. Rubelus insuper increpabat seram & inutilem eorum pœnitentiam, fortiter ferenda mala dictitans quæ Deus innocentiæ vindex in impios fratres immitteret. Talibus se inuicem alloquebantur, credentes linguæ Hebrææ gnarum interesse neminem: mœrebántque omnes tacti verbis Rubeli, & scelus perpetratũ dam-

nabant, ac si non ipsi essent autores facinoris, cui tum iustissimam pœnam à Deo iudicabant infligendam. In hac anxietate constitutos videns Iosephus, dissimulare fratrem vlterius non valens, quòd lacrymæ iam prorumperent, quas etiam tum celari volebat, subduxit se de medio. Nec multo pòst reuersus, retento Simeone qui interim obses esset dum fratres ad se redirent, frumentum emere permissos abire iussit, quum priùs vni è suis mandasset, vt pecunia quam pro frumento attulerant, clàm in sarcinas indita, potestatem abeundi eis faceret. peregit mandata famulus. Iacobi verò filij reuersi in Chananæam, renuntiauerunt patri quicquid eis in Ægypto acciderat, & quòd pro speculatoribus regni fuerint comprehensi: quúmque dicerent fratres se esse, & vndecimum domi relictum apud patrem, noluisse illos credere. relictum etiam Simeonem apud præsidem, donec Beniamin illuc profectus, verbis eorum fidem astrueret: postulabántque vt pater nihil solicitus iuuenem cum eis mitteret. Iacobo verò filiorum factum displicuit, & cùm ne Simeonem quidem illic relictum probaret, morte duriùs putabat etiam Beniamine priuari. ac ne Rubelo quidem rogante, filiósque suos dedente, vt si quid Beniamini accidisset in itinere, in illos auus sæuiret, Iacobo vt assentiret persuaderi potuit. at illos quid agendum incertos magis etiam terruit pecunia reperta in saccis frumentariis. Cæterùm deficiente iam tritico, vrgente fame compulsus Iacobus deliberauit Beniaminem vnà cum reliquis mittere. non enim licebat eis in Ægyptum reuerti, nisi seruato pacto. Cúmque indies maior necessitas incumberet, & filij rogare non desinerent, adhuc tamen hæsitabat. Tandem Iudas vir natura vehemens cœpit liberiùs arguere patrem, quòd nimis de fratre solicitus esset. cui nihil præter voluntatem Dei posset accidere siue foris siue domi. se verò in certam perniciem tradi, dum ob inanem de puero curam vnicum à Pharaothe præsidium adimitur. habendam etiam rationem Simeonis incolumitatis, ne dum Beniaminem peregrinationi committere cunctantur, interim ille ab Ægyptiis occidatur. crederet Deo salutem filij: se certè aut eum saluum reducturum, aut illic vnà periturum. ac tum demum Iacobus cedens tradit eis puerum, & duplex frumenti pretium: addit & dona ferenda Iosepho ex prouentu Chananææ, balaninum vnguentum, stacten, terebinthum & mel: atque ita multis vtrinque fusis lacrymis à patre digrediuntur, sene miserè timente saluti filiorum, illis contrà solicitis ne per suam absentiam mœrori pater succumberet. in hoc dolore integrum diem exegerunt. mox pater afflictans se domi subsistit, illi in Ægyptum tendentes præsentem tristitiam spe melioris fortunæ leniebant. quò postquam est peruentum, apud Iosephum diuertunt, non parum soliciti, ne calumnia sibi intenderetur, quasi dolo malo prioris frumenti pretium secum ab-

Genes. 43.

A μετάμελος, ὥσπερ οὐκ αὐτῶν ταῦτα ψηφισαμένων, ἐφ' οἷς δίκαιον ἐκεῖνον τὸν θεὸν κολαζόμενοι. βλέπων δὲ οὕτως ἀμηχανοῦντας αὐτοὺς ἰώσηπος, ὑπὸ τοῦ πάθους εἰς δάκρυα περιέπιπτε, καὶ μὴ βουλόμενος τοῖς ἀδελφοῖς γενέσθαι καταφανὴς, ὑπεχώρει, καὶ διαλιπὼν, πάλιν ἧκε πρὸς αὐτούς. καὶ σεμεῶνα κατασχὼν ὅμηρον τῆς ἐπανόδου τῶν ἀδελφῶν γενησόμενον, ἐκείνοις μεταλαβόντας τῆς ἀγορασίας τοῦ σίτου, προσέταξεν ἀπιέναι, κελεύσας τὸν ὑπηρέτην, ἀργύριον ὃ πρὸς τὴν ὠνὴν
B εἶεν τοῦ σίτου κεκομικότες, κρύφα τοῖς φορτίοις ἐνθέντα, ἀπολύειν κἀκεῖνο κομίζοντας. καὶ ὁ μὲν τὰ ἐντεταλμένα ἔπραττεν. οἱ δὲ ἰακώβου παῖδες, ἐλθόντες εἰς τὴν χαναναίαν, ἀπήγγελλον τῷ πατρὶ τὰ κατὰ τὴν αἴγυπτον αὐτοῖς συμπεσόντα. καὶ ὅτι κατάσκοποι δόξειεν ἀφῖχθαι τοῦ βασιλέως. καὶ λέγοντες ἀδελφοί τε εἶναι καὶ τὸν ἑνδέκατον οἴκοι καταλιπεῖν, παρὰ τῷ πατρὶ ἀπιστηθεῖεν. ὡς καταλείποιέν τε σεμεῶνα παρὰ τῷ στρατηγῷ μέχρι βενιαμὶν ὡς αὐτὸν ἀπιὼν πίστις αὐτῷ τῶν εἰρημένων παρ' αὐτῶν
C γένηται. ἠξίουν τε τὸν πατέρα μηδὲν φοβηθέντα, πέμπειν σὺν αὐτοῖς τὸν νεανίσκον. ἰακώβῳ δὲ οὐδὲν ἤρεσκε τῶν τοῖς υἱοῖς πεπραγμένων. καὶ πρὸς τὴν σεμεῶνος δὲ κατοχὴν, λυπηρῶς εἶχε. καὶ λυπηρὸς φέρων, θάνατον ἡγεῖτο, προστεθῆναι καὶ τὸν βενιαμίν. καὶ ὁ μὲν πατὴρ οὐδὲ ῥουβήλου δεομένου καὶ τοὺς αὐτοῦ παῖδας ἀντιδιδόντος, ἵν' εἴ τι πάθοι ὁ βενιαμὶς κατὰ τὴν ἀποδημίαν ἀποκτείνειεν αὐτοὺς ὁ πάππος, πείθεται τοῖς λόγοις. οἱ δὲ ἠπόρουν
D ἐπὶ τοῖς κακοῖς. καὶ μᾶλλον αὐτοὺς ἐτάραττε τἀργύριον, σακκίοις τοῦ σίτου κατακεκρυμμένον εὑρεθέν. τοῦ δὲ σίτου κομισθέντος ὑπ' αὐτῶν ἐπιλείποντος, καὶ τοῦ λιμοῦ μᾶλλον ἀκμάζοντος, βιαζομένης αὐτὸν τῆς ἀνάγκης, ὁ ἰάκωβος ἐκπέμπειν ἔγνωσκε τὸν βενιαμὶν, μετὰ τῶν ἀδελφῶν. οὐ γὰρ ἦν αὐτοῖς εἰς αἴγυπτον ἐλθεῖν, μὴ μετὰ τῶν ἐπηγγελμένων ἀπερχομένοις. καὶ τοῦ πάθους οὖν χείρονος καθ' ἑκάστην ἡμέραν γινομένου, καὶ τῶν υἱῶν δεομένων, οὐκ εἶχεν ὅτι χρήσαιτο τοῖς παροῦσιν. ἰούδα δὲ, τολμηροῦ
E τἄλλα τὴν φύσιν ἀνδρὸς χρησαμένου πρὸς αὐτὸν παρρησίᾳ περὶ τἀδελφοῦ δεδοικέναι, οὐδὲ τὰ τυχὸν δι' ὑποψίας λαμβάνειν. πραχθήσεσθαι γὰρ οὐδὲν τῶν περὶ τὸν ἀδελφὸν ᾧ μὴ πάρεστιν ὁ θεὸς, τοῦτο δὲ συμβήσεσθαι πάντως καὶ παρ' αὐτῷ μένοντι. φανερὰν δὲ οὕτως ἀπώλειαν αὐτῶν μὴ καταδικάζειν, μηδὲ τὴν ἐκ φαραώθου τῆς τροφῆς εὐπορίαν αὐτοὺς ἀφαιρεῖσθαι ἀλόγως περὶ τοῦ παιδὸς φροντίζοντα. φροντίζειν δὲ καὶ τῆς σεμεῶνος σωτηρίας, μὴ φειδοῖ τῆς βενιαμὶν ἀποδημίας ἐκεῖνος ἀπόληται. πιστεῦ-
F σαι δὲ περὶ αὐτοῦ τῷ θεῷ παραινοῦντος, καὶ αὐτῷ, ὡς ἢ σῶον ἐπανάξοντος τὸν υἱὸν αὐτῷ, ἢ συγκαταστρέψοντος ἅμα ἐκείνῳ τὸν βίον. πεισθεὶς ἰάκωβος παρεδίδου τὸν βενιαμὶν, καὶ τὴν τιμὴν τοῦ σίτου διπλασίονα, τῶν τε παρὰ τοῖς χαναναίοις γινομένων τό τε τῆς βαλάνου μύρον καὶ στάκτης τερέβινθόν τε καὶ μέλι δωρεὰς ἰωσήπῳ κομίζειν. πολλὰ δὲ ἦν παρὰ τοῦ πατρὸς ἐπὶ τῇ τῶν παίδων ἐξόδῳ δάκρυα, κἀκείνων αὐτῶν. ὁ μὲν γὰρ τοὺς υἱοὺς εἰ κο-
G μιεῖται σώους ἐκ τῆς ἀποδημίας ἐφρόντιζεν. οἱ δὲ, εἰ τὸν πατέρα καταλήψοιεν ἐρρωμένον καὶ μηδὲν ὑπὸ τῆς ἐπ' αὐτοῖς λύπης κακωθέντα. ἡμερήσιον δὲ αὐτοῖς ἦν ὑπὸ θηὶ τὸ πένθος. καὶ ὁ μὲν πρεσβύτης κοπωθεὶς, ὑπέμεινεν. οἱ δὲ, ἐχώρουν τὴν ἐπ' αἴγυπτον, μετὰ κρείττονος ἐλπίδος τὴν ἐπὶ τοῖς παροῦσιν λύπην ἰώμενοι. ὡς δὲ ἦλθον εἰς τὴν αἴγυπτον, κατάγονται μὲν παρὰ τὸν ἰώσηπον. φόβος δὲ αὐτοὺς οὐχ ὁ τυχὼν διετάραττε μὴ περὶ τῆς τοῦ

σίτου

σίτου τιμῆς ἐγκλήματα λάβωσιν ὡς αὐτοί τι κακουργηκότες. καὶ πρὸς τὸν ταμίαν τοῦ Ἰωσήπου πολλὴν ἀπολογίαν ἐποιοῦντο. κατ' οἶκον τε φάσκοντες εὑρεῖν ἐν τοῖς σακκίοις τὸ ἀργύριον, καὶ νῦν ἥκειν ἐπανάγοντας αὐτῷ τοῦτο. τοῦ δὲ μηδὲ ποιοῦν εἰδέναι φήσαντος, ἀνήθησαν τοῦ δέους. λύσας τε τὸν Συμεῶνα ἀπέλυσεν συνεσόμενον τοῖς ἀδελφοῖς. ἐλθόντος δὲ ἐν τούτῳ καὶ Ἰωσήπου ἀπὸ τῆς θεραπείας τοῦ βασιλέως, τά τε δῶρα παρήγαγον αὐτῷ, καὶ πυνθανομένῳ περὶ τοῦ πατρὸς, ἔλεγον ὅτι καταλάβοιεν αὐτὸν ἐρρωμένον. ὁ δὲ μαθὼν περιόντα τὸν Βενιαμὶν, εἰ οὗτος ὁ νεώτερος ἀδελφὸς εἴη, καὶ γὰρ ἦν ἑωρακὼς αὐτὸν ἀνέκρινεν. τῶν δὲ φησάντων, τὸν θεὸν ἐπὶ πᾶσιν εἰπὼν εἶναι προστάτην, ὑπὸ δὲ πάθους προαγόμενος εἰς δάκρυα, μεθίστατο μὴ βουλόμενος καταφανὴς εἶναι τοῖς ἀδελφοῖς. ἐπὶ δεῖπνον τε αὐτοὺς παραλαμβάνει, καὶ κατεκλίνοντο οὕτως ὡς καὶ παρὰ τῷ πατρί. πάντας δὲ αὐτοὺς ὁ Ἰώσηπος δεξιούμενος, διπλασίοσι μοίραις τῶν αὐτῷ παρακειμένων τὸν Βενιαμὶν ἐτίμα. ἐπεὶ δὲ μετὰ τὸ δεῖπνον εἰς ὕπνον ἐτράπησαν, κελεύει τὸν ταμίαν τόν τε σῖτον αὐτοῖς δοῦναι μεμετρημένον, καὶ τὴν τιμὴν πάλιν ἐγκρύψαι τοῖς σάκκοις. εἰς δὲ τὸ Βενιαμὶν φορτίον, καὶ σκύφον ἀργυροῦν ᾧ πίνων ἔχαιρε, βαλόντα καταλιπεῖν. ἐποίει δὲ ταῦτα, ἐξετάσαι βουλόμενος τῶν ἀδελφῶν γνώμην, πότερόν ποτε βοηθοῦσι τῷ Βενιαμὶν κλοπῆς ἀγομένῳ καὶ δοκοῦντι κινδυνεύειν, ἢ καταλιπόντες ὡς οὐδὲν αὐτοὶ κεκακουργηκότες, ἄπιασι πρὸς τὸν πατέρα. ποιήσαντος δὲ τοῦ οἰκέτου τὰ ἐπεσταλμένα, μεθ' ἡμέραν οὐδὲν τούτων εἰδότες οἱ τοῦ Ἰακώβου παῖδες, ἀπῄεσαν ἀπειληφότες τὸν Συμεῶνα, καὶ διπλῇ χαρᾷ χαίροντες, ἐπί τε τούτῳ, κἀπὶ τῷ Βενιαμὶν ἀποκομίζειν τῷ πατρὶ καθὼς ὑπέσχετο. περιελαύνουσι δ' αὐτοὺς ἱππεῖς ἄγοντες τὸν οἰκέτην ὃς ἐναπέθετο τῷ τοῦ Βενιαμὶν φορτίῳ τὸν σκύφον. ταραχθέντες δὲ ὑπὸ τῆς ἀδοκήτου τῶν ἱππέων ἐφόδου, καὶ τὴν αἰτίαν πυθόμενοι δι' ἣν ἐπ' ἄνδρας ἐληλύθασιν οἳ μικρὸν ἔμπροσθεν τιμῆς καὶ ξενίας τετυχήκασιν αὐτῶν παρὰ τοῦ δεσπότου, κακίστους ἀπεκάλουν. οἳ μηδ' αὐτὸ τοῦτο καὶ τὴν ξενίαν καὶ τὴν φιλοφροσύνην τοῦ Ἰωσήπου διὰ μνήμης λαβόντες οὐκ ὤκνησαν εἰς αὐτὸν ἄδικοι γενέσθαι, σκύφον δὲ ᾧ φιλοτησίας αὐτοῖς προὔπιεν ἀράμενοι φέροιεν, κέρδους ἀδίκου τήν τε πρὸς Ἰώσηπον φιλίαν, τόν τε ἑαυτῶν εἰ φωραθεῖεν κίνδυνον ἐν δευτέρῳ θέμενοι. τιμωρίαν τε οὖν αὐτοῖς ὑφέξειν ἠπείλουν οὐ λαθόντας τὸν θεὸν, οὐδ' ἀποδράντας μετὰ τῆς κλοπῆς, κἂν τὸν διακονούμενον οἰκέτην διέλαθον. πυνθάνεσθαί τε νῦν τί παρανοοῦντες εἶεν, ὡς οὐκ εἰδότες, γνώσεσθαι μέντοι κολαζομένοις αὐτίκα. καὶ ταῦτα καὶ πέρα τούτων εἰς αὐτοὺς λέγων ὁ οἰκέτης, ἐνύβριζεν. οἱ δὲ, ὑπὸ ἀγνοίας τῶν περὶ αὐτοὺς ἐχλεύαζον ἐπὶ τοῖς λεγομένοις, καὶ τῆς κουφολογίας τὸν οἰκέτην ἐθαύμαζον, τολμῶντα αἰτίαν ἐπιφέρειν ἀνδράσιν, οἳ μηδὲ τὴν τοῦ σίτου τιμὴν ἐν τοῖς σακκοῖς αὐτῶν εὑρεθεῖσαν κατέσχον. ἀλλὰ ἐκόμισαν μηδ' ἑνὸς εἰδότος τὸ πραχθὲν, τοσοῦτον ἀποδέειν τοῦ γνώμῃ κακουργῆσαι. τῆς μέντοι γε ἀρνήσεως ἀξιοπιστοτέραν ὑπολαβόντες τὴν ἔρευναν, ἐκέλευον ταύτῃ χρῆσθαι. κἂν εὑρεθῇ τις ὑφῃρημένος, ἅπαντας κολάζειν. οὐδὲν γὰρ αὐτοῖς συνειδότες, ἦγον παρρησίαν ὡς ἐδόκουν ἀκίνδυνον. οἱ δὲ, τὴν ἔρευναν μὲν ἠξίωσαν ποιήσασθαι. τὴν μέντοι τιμωρίαν ἑνὸς ἔφασκον εἶναι τοῦ τὴν κλοπὴν εὑρεθέντος πεποιῆσθαι. τὴν δὲ ζήτησιν ποιούμενοι, καὶ πάντας τοὺς ἄλλους ἐπεξελθόντες μετὰ τὸν

stulerint: quod mox apud Iosephi dispensatorem diligenter excusauerunt, dicentes pecuniam domi repertam in frumento dum saccos exinaniunt, quam nunc bona fide reportarent. illo verò negante se vnquam eam pecuniam desiderasse, liberati hoc metu securiores esse cœperũt. móxque Simeon iam liber inter fratres versari est permissus. Interea Iosepho ab officio reuerso, dona ei offerunt, & scitanti de patre, bene valere aiunt. tum ille cognito Beniaminem superesse quem inter eos videbat, percontatur an is esset frater natu minimus: & audito quòd is esset, hoc tantùm effatus, Deũ vniuersis rebus prouidere, secessit nolens ab eis aduerti lachrymas, quas vlteriùs continere non poterat. Acceptos deinde conuiuio iussit ordine, quo apud patrem solebant discumbere: cúmque omnes comiter haberet, duplicibus partibus Beniaminem honorabat.

Post cœnam autem illis iam cubantibus iubet dispensatorem frumentum admetiri quod asportaturi erant, & precium rursus in saccis abscondere: in Beniaminis verò sarcinam cyphum argenteum, quo ipse præcipuè delectabatur, immittere. id faciebat volens experiri fratrum animum, essentne adfuturi Beniamini reo furti, an illo relicto, ac si maleficium hoc nihil ad se attineret, ad patrem reuerterentur. quæ vbi facta sunt vt imperatum erat, prima luce omnium ignari filij Iacobi proficiscuntur assumpto Simeone, læti tam huius restitutione, quàm Beniaminis reditu, quem patri se reducturos fidem dederant. & ecce agmen equitum repentè illos circumuenit, inter quos erat famulus qui cyphum in sarcinam indiderat. illis verò turbatis inopinato incursu, & rogantibus cur irruerent in viros quos paulò antè honore hospitij dignati fuerint: Ægyptij contrà sceleratos inclamabant, qui huius ipsius beneficij, Iosephíque comitatis immemores, ausi sint pro talibus meritis iniuriam reponere. daturósque furti pœnas, minitabantur. non fefellisse enim eos Deum, licet ad tempus ministrum mensæ fefellerint. & nunc rogitare satis ne sani essent, quasi verò nesciant statim se ad pœnam rapiendos. his & similibus verbis famulus præ cæteris insultabat. at illi vt qui nihil de dolo composito sciebant, conuiciabantur ei, demirari se hominis intemperias temerè obiicientis furti crimen eis viris, qui ne frumenti quidem pretium in saccis inuentum retinuerint, sed secum reportauerint, cùm nullus de ea pecunia præter ipsos sciret: tantum abesse vt data opera damnum inferre vellet: certiorem tamen rati inquisitionem quàm negationem, iubent eos scrutari sarcinas: nec recusabant vniuersi pœnas dare, si vnus aliquis ex ipsis in furto deprehenderetur. tanta erat securitas & innocentiæ fiducia. acceperunt illi conditionem inquisitionis, supplicium tamen solius fore penes quem furtum inuentũ fuerit. Inquisitionem deinde aggressi, omniúmque ordine sarcinas scrutati, postremo ad Beniaminẽ veniũt,

V I.
Genes. 44.

non quòd neſcirent in eius ſacco latere cyphum, ſed vt accuratè officium facere viderentur. itaque cæteri iam ſecuri de ſe, de vno Beniamine adhuc nonnihil erant ſoliciti. ſperabant tamen ne ipſum quidem in maleficio deprehendendum, adeò vt iam liberiùs indignarentur perſecutoribus, per quorum importunitatem ſteriſſet ne bonam partem itineris iam confectam haberent: vt verò Beniaminis ſarcinam ſcrutati cyphum protulerunt, ad lamenta & ploratus continuò verſi, tum fratrem deflebant mox furti ſupplicium daturum, tum ſuam ipſorum vicem, qui fidem de Beniaminis ſalute parenti datam præſenti caſu fallere cogerentur. augebat etiam dolorem eorum, quòd cùm maximè euaſiſſe omnia pericula videbantur, fortunæ inuidia peruenerint in tantam calamitatem. atque huius tam fratris quàm parentis infortunij ſe autores fatebantur, qui inuitum ac reluctantem ad puerum ſimul mittendum precibus importunis compuliſſent. Et equites quidem comprehenſum Beniaminem ducebant ſecum ad Ioſephum, ſequentibus & reliquis fratribus. Tum ille videns fratre in carcerem contruſo cæteros lugubri habitu adſtare, Itáne, inquit, ſceleſtiſſimi omnium vel meam humanitatem vel Dei prouidentiam contempſiſtis, vt tam nefarium facinus contra hoſpitem ac benefactorem veſtrum auderetis? at illi vicarios ſe pro Beniamine ad ſupplicium offerebant: rurſúmque Ioſephi crebra mentio, felicem eum qui morte à vitæ calamitatibus ſit exemptus, ſi tamen eſſet mortuus: quòd ſi viuat, qui dignus ſit habitus ob cuius iniuriam Deus tam ſeuerè in ipſos vindicaret. patris quoque ſe peſtem eſſe & infortunium maximum, cui ad veterem luctum recentem hunc afferrent. nec deſinebat Rubelus denuò illis ſcelus eorum exprobrare. Ioſephus verò negabat ſe alios morari, quorum innocentiam compertam haberet, contentus vnius pueri ſupplicio. nam neque hunc dimitti in gratiam inſontium æquum eſſe, neque illos alieni peccati pœnas perſoluere. abirent quò vellent, ſe curaturum vt tutum iter facere liceat. his verbis grauiter ictos, cæteros præ dolore vox defecit: Iudas verò qui patri adoleſcentem mittere perſuaſerat, vir alioquin etiam ſtrenuus, decreuit ſe pro fratris ſalute periculo obiicere. Fatemur, inquit, Præſes, grauiter à nobis peccatum, ſuppliciúmque commeritos, quod parati ſumus omnes luere, licèt non omnium ſit culpa, ſed vnius natu minimi. ſed quamuis ſalutem eius penè pro deplorata habeamus, vnica tamen effugij ſpes in clementia tua bonitatéque ſupereſt. quamobrem oramus vt non tam noſtri commiſſi rationem habeas, quàm tuæ naturæ, & in hac cauſa non indignationem iuſtam, ſed natiuam tuam bonitatem in conſilium adhibeas: irámque magno animo comprimas, cui vulgares homines in magnis iuxta ac paruis rebus ſuccumbere ſolent. diſpice quæſo num ex tua dignitate ſit eos occidere, qui ipſi ſe dedunt ad pœnam, & ſalutem nonniſi precario tibi debere cupiunt, quam non nunc primùm tuæ benignitati ſunt

ἔρευναν, ἐπὶ τὸν τελευταῖον Βενιαμὶν ἧκον. οὐκ ἀγνοοῦντες, ὅτι εἰς τὸ ἐκείνου σακκίον τὸν σκύφον ἐναποκεκρυφότες, ἀλλ᾽ ἀκριβῆ τὴν ζήτησιν ποιεῖσθαι βουλόμενοι δοκεῖν. οἱ μὲν οὖν ἄλλοι τοῦ καθ᾽ αὑτοὺς ἀπηλλαγμένοι δέους ἐν τῇ περὶ τὸν Βενιαμὶν φροντίδι τὸ λοιπὸν ἦσαν. ἐθάῤῥουν δ᾽ ὡς οὐδ᾽ ἐν ἐκείνῳ τῆς κακουργίας εὑρεθησομένης, ἐκάκιζόν τε τοὺς ἐπιδιώξαντας, ὡς ἐμποδίζοντας αὐτοῖς τὴν ὁδὸν δυναμένοις ἤδη προκεκοφέναι. ὡς δὲ τὸ τοῦ Βενιαμὶν φορτίον ἐρευνῶντες λαμβάνουσι τὸν σκύφον, εἰς οἰμωγὰς καὶ θρήνους εὐθὺς ἐτράπησαν. καὶ τὰς στολὰς ἀποκαταῤῥήξαντες, ἔκλαιόν τε τὸν ἀδελφὸν ἐπὶ τῇ μελλούσῃ κολάσει τῆς κλοπῆς, αὑτούς τε διαψευσαμένους τὸν πατέρα περὶ τῆς Βενιαμὶν σωτηρίας. ἐπέτεινε δὲ τὸ δεινὸν αὐτοῖς καὶ τὸ, δόξαντας ἤδη διαφυγεῖν τὰ σκυθρωπὰ διαφθονηθῆναι. τῶν δὲ περὶ τὸν ἀδελφὸν κακῶν, καὶ τῆς τοῦ πατρὸς ἐπ᾽ αὐτῷ λύπης ἐσομένης αὑτοὺς αἰτίους ἔλεγον βιασαμένους ἄκοντα τὸν πατέρα συναποστεῖλαι. οἱ μὲν οὖν ἱππεῖς, παραλαβόντες τὸν Βενιαμὶν, ἦγον πρὸς Ἰώσηπον καὶ τῶν ἀδελφῶν ἑπομένων. ὁ δὲ, τὸν μὲν ἰδὼν ἐν φυλακῇ, τοὺς δὲ πενθίμοις σχήμασι, τί δή φησιν ὦ κάκιστοι φρονήσαντες ἢ περὶ τῆς ἐμῆς φιλανθρωπίας, ἢ περὶ τοῦ θεοῦ τῆς προνοίας, τοιαῦτα πράττειν εἰς εὐεργέτην καὶ ξένον ἐτολμήσατε; τῶν δὲ παραδιδόντων αὑτοὺς εἰς κόλασιν ἐπὶ τὸ σώζεσθαι Βενιαμὶν, καὶ πάλιν Ἰωσήπου ἀναμιμνησκομένων, κἀκεῖνον ἀποκαλούντων μακαριώτερον, εἰ μὲν τέθνηκεν ὅτι τῶν κατὰ τὸν βίον ἀπήλλακται σκυθρωπῶν, εἰ δὲ περίεστιν, ὅτι τῆς παρὰ τοῦ θεοῦ κατ᾽ αὐτῶν ἐκδικίας τυγχάνει. λεγόντων δὲ αὑτοὺς ἀλιτηρίους τοῦ πατρὸς ὅτι τῇ λύπῃ ἣν ἐπ᾽ ἐκείνῳ μέχρι νῦν ἔχει καὶ τὴν ἐπὶ Βενιαμὶν προσθήσουσι. πολὺς δ᾽ ἦν κἀνταῦθα ὁ Ῥούβηλος, αὐτῶν καθαπτόμενος. Ἰωσήπου δὲ τοὺς μὲν ἀπολύοντος, οὐδὲν γὰρ αὐτοὺς ἀδικεῖν, ἀρκεῖσθαι δὲ μόνῃ τῇ τοῦ παιδὸς τιμωρίᾳ λέγοντος. οὔτε γὰρ τὸ τοῦτον ἀπολύειν διὰ τοὺς οὐδὲν ἐξαμαρτόντας σῶφρον ἔλεγεν, οὔτε συγκολάζειν ἐκείνους τῷ τὴν κλοπὴν εἰργασμένῳ. βαδίζουσι δὲ παρέξειν ἀσφάλειαν ἐπαγγελλομένου. τοὺς μὲν ἄλλους, ἔκπληξις ἔλαβε καὶ πρὸς τὸ πάθος ἀφωνία. Ἰούδας δὲ ὁ καὶ τὸν πατέρα πείσας ἐκπέμψαι τὸ μειράκιον, καὶ τἄλλα δραστήριος ὢν ἀνὴρ, ὑπὲρ τῆς τἀδελφοῦ σωτηρίας ἔκρινε παραβαλέσθαι. καὶ δεινὰ μὲν εἶπεν ὦ στρατηγὲ τετολμήκαμεν εἰς σὲ, καὶ τιμωρίας ἄξια, καὶ τὴν κόλασιν ὑπέχειν ἅπαντας ἡμᾶς δικαίως, εἰ καὶ τὸ ἀδίκημα μὴ πάντων ἡμῶν ἀλλ᾽ ἑνὸς τοῦ νεωτάτου γέγονεν. ὅμως δὲ ἀπεγνωκόσιν ἡμῖν τὴν δι᾽ αὐτοῦ σωτηρίαν, ἐλπὶς ὑπολέλειπται παρὰ τῆς σῆς χρηστότητος ἐγγυωμένη τὴν τοῦ κινδύνου φυγήν. καὶ νῦν μὴ πρὸς τὸ ἡμέτερον ἀφορῶν, μηδὲ τὸ κακούργημα σκοπῶν, ἀλλὰ πρὸς τὴν σαυτοῦ φύσιν, καὶ τὴν ἀρετὴν σύμβουλον ποιησάμενος ἀντὶ τῆς ὀργῆς, ἣν οἱ τἄλλα μικροὶ πρὸς ἰσχύος λαμβάνουσι οὐκ ἐπὶ τοῖς μεγάλοις μόνον, ἀλλὰ καὶ ἐπὶ τοῖς τυχοῦσιν αὐτῇ χρώμενοι, γενοῦ πρὸς αὐτὴν μεγαλόφρων. καὶ μὴ νικηθῇς ὑπ᾽ αὐτῆς ὥστε ἀποκτεῖναι τοὺς οὐδ᾽ αὐτοὺς ὡς ἰδίας ἔτι τῆς σωτηρίας ἀντιποιουμένους, ἀλλὰ παρὰ σοῦ λαβεῖν αὐτὴν ἀξιοῦντας. καὶ γὰρ οὐδὲ νῦν πρῶτον αὐτὴν ἡμῖν παρέξεις. ἀλλὰ τάχιον ἐλθοῦσιν ἐπὶ τὴν ἀγορὰν τοῦ σίτου, καὶ

τὴν

τὴν εὐπορίαν τῆς τροφῆς ἐχαρίσω, δοὺς ἀποκομίζειν καὶ τοῖς οἰκείοις ὅσα κινδυνεύοντας αὐτοὺς ὑπὸ λιμοῦ διαφθαρῆναι περιέσωσε. διαφέρει δ' οὐδὲν ἢ μὴ περιϊδεῖν ἀπολλυμένους ὑπ' ἐνδείας τῶν ἀναγκαίων, ἢ μὴ κολάσαι δόξαντας ἁμαρτεῖν καὶ περὶ τὴν εὐεργεσίαν τὴν ἀπὸ σοῦ λαμπρὰν γενομένην φθονηθέντας. ἡ δ' αὐτὴ χάρις, ἄλλῳ μέν τοι τρόπῳ διδομένη. σώσεις γὰρ οὓς εἰς τοῦτο καὶ ἔτρεφες, καὶ ψυχὰς ἃς ὑπὸ λιμοῦ καμεῖν οὐκ εἴασας τηρήσεις ταῖς ἑαυτοῦ δωρεαῖς, ὡς θαυμαστὸν ἅμα καὶ μέγα δοῦναί τε ψυχὰς ἡμῖν καὶ παρασχεῖν δι' ὧν αὗται μένουσιν ἀπορουμένοις. οἶμαί τε τὸν θεόν, αἰτίαν παρασκευάσαι βουλόμενον, εἰς ἐπίδειξιν τοῦ κατὰ τὴν ἀρετὴν περιόντος, ἡμᾶς εἰς τοῦτο περιστῆσαι συμφορᾶς. ἵνα καὶ τῶν εἰς αὐτὸν ἀδικημάτων συγγινώσκων φανῇς τοῖς ἐπταικόσιν, ἀλλὰ μὴ πρὸς μόνους τοὺς κατ' ἄλλην περίστασιν δεομένους ἐπικουρίας φιλάνθρωπος δοκῇς. ὡς μέγα μὲν καὶ τὸ ποιῆσαι τινὰς εὖ καταστάντας εἰς χρείαν, ἡγεμονικώτερον δὲ σῶσαι τοὺς ὑπὲρ τῶν εἰς ἑαυτὸν τετολμημένων δίκην ὀφείλοντας. εἰ γὰρ τὸ περὶ μικρῶν ζημιωμάτων, ἀφεῖναι τοὺς πλημμελήσαντας ἔπαινον ἤνεγκε τοῖς παριδοῦσι, τό γε περὶ τούτων ἀόργητον, ὑπὲρ ὧν τὸ ζῆν ὑπεύθυνον τῇ κολάσει γίνεται τῶν ἠδικηκότων, θεοῦ φύσει προσετέθη. καὶ ἔγωγε εἰ μὴ πατὴρ ἡμῖν ἦν πῶς ἐπὶ παίδων ἀποβολῆς ταλαιπωρεῖ διὰ τῆς ἐπὶ Ἰωσήπου τελευτῆς ἐπιδεδειγμένος, οὐκ ἂν τοῦ γε καθ' ἡμᾶς ἕνεκα περὶ τῆς σωτηρίας λόγους ἐποιησάμην, εἰ μὴ ὅσον τῷ σῷ χαριζόμενος ἤθει σώζειν, αὐτῷ καλῶς ἔχοντι. καὶ τούτοις οἳ λυπήσονται τεθνηκότων οὐκ ἔχοντες, παρείχομεν ἂν αὑτοὺς πεισομένους ὅτι καὶ θελήσειας. νῦν δέ, οὐ γὰρ ἑαυτοὺς ἐλεοῦντες, εἰ καὶ νέοι καὶ μὴ πω τῶν κατὰ τὸν βίον ἀπολελαυκότες τεθνηξόμεθα, τὸ δὲ τοῦ πατρὸς λογιζόμενοι καὶ τὸ γῆρας οἰκτείραντες τὸ ἐκείνου, ταύτας σοι τὰς δεήσεις προσφερόμενον, καὶ παραιτούμεθα ψυχὰς ἑαυτῶν ἃς σοι τὸ ἡμέτερον κακούργημα πρὸς τιμωρίαν παρέδωκεν. ὃς οὔτε πονηρὸς αὐτός, οὔτε τοιούτους ἐσομένους ἐγέννησεν, ἀλλὰ χρηστὸς ὤν, καὶ πειραθῆναι τοιούτων οὐχὶ δίκαιος. καὶ νῦν μὲν ἀποδημούντων, ταῖς ὑπὲρ ἡμῶν φροντίσι κακοπαθεῖ. πυθόμενος δὲ ἀπολωλότας, καὶ τὴν αἰτίαν, ὑπομένει διὰ ταύτην πολὺ μᾶλλον τὸν βίον καταλιπεῖν, καὶ τὸ ἄδοξον αὐτὸν τῆς ἡμετέρας καταστροφῆς ὀφθήσεται διαχρησάμενον, καὶ κακὴν αὐτῷ ποιήσει τὴν ἐκ τοῦ ζῆν ἀπαλλαγήν, πρὶν εἰς ἄλλους φοιτῆσαι τὰ καθ' ἡμᾶς προδύσαντος αὐτὸν εἰς ἀναισθησίαν μεταγαγεῖν. γενόμενος οὖν ἐν τούτῳ τῶν λογισμῶν, εἰ καὶ ἡ κακία σε παροξύνει νῦν ἡ ἡμετέρα, τὸ κατ' αὐτῆς δίκαιον χάρισαι τῷ πατρί. καὶ δυνηθήτω πλέον ὁ πρὸς ἐκεῖνον ἔλεος, τῆς ἡμετέρας πονηρίας. καὶ γῆρας ἐν ἐρημίᾳ βιωσόμενον, καὶ τεθνηξόμενον ἡμῶν ἀπολουμένων αἴδεσαι, τῷ πατέρων ὀνόματι ταύτην χαριζόμενος τὴν δωρεάν. ἐν γὰρ τούτῳ καὶ τὸν σὲ φύσαντα τιμᾷς καὶ αὐτῷ δίδως, ἀπολαύων μὲν ἤδη τῆς προσηγορίας, ἀπαθὴς δ' ἐπ' αὐτῇ φυλαχθησόμενος ὑπὸ τοῦ θεοῦ τοῦ πάντων πατρός, εἰς ὃν κατὰ κοινωνίαν καὶ αὐτὸν τοῦ ὀνόματος εὐσεβεῖν δόξεις τοῦ ἡμετέρου πατρὸς οἶκτον λαβών, ἐφ' οἷς πείσεται τῶν παίδων στερούμενος. σὸν οὖν ἃ παρέσχεν ἡμῖν ὁ θεὸς ταῦτ' ἔχοντα ἐξουσίαν ἀφ-

A acceptam laturi, ne committas vt illud beneficium tibi pereat, dum fami ereptis, & frumento liberaliter adiutis, etiam ad familiam eodem periculo laborantem domum alimenta perferendi potestatem fecisti. Eiusdem enim bonitatis est, seruare fame de vita periclitantes, & mortem meritis culpam condonare, quibus fortuna tuam beneficentiam inuidisse visa est. eadem planè gratia est, diuerso modo collata. Seruabis enim quos pauisti, & vitam quam B præ fame deficere non es passus, denuo donabis, quo commendabilior sit tua clementia, dum & vitam donas, & per quæ vita retinetur. Quin etiam Deum ipsum existimo tibi hanc virtutis exerendæ materiam suppeditare: vt appareat te proprias quoque offensas benefaciendi voluntati posthabere, & non in solos innoxios egenos liberalem esse. Quantumuis enim magna laus est opem ferre in rebus angustis, non minus tamen principem ornat cle- C mentia, præsertim in causa quæ ad ipsius iniuriam priuatim attinet. Si enim parua peccata remittentes merita laus sequitur, quid in capitali crimine iram cohibuisse, an non diuinæ clementiæ proximum videri debet? Quod nisi Iosephi interitu compertum haberem quàm molestè ferat pater orbari filiis, non adeò pro salute nostra laborarem, nisi quatenus tibi clementiæ laudem conciliatura videtur: & si non haberemus quibus mors nostra luctũ ac mœ- D rorem sit allatura, æquo animo suppliciũ perferremus. Nunc verò quando non tam nostri nos miseret, tametsi iuuenes adhuc non multum fructum aut voluptatem vitæ percepimus: quàm parentis miseri, ætate curísq. confecti, has tibi preces illius quoque nomine offerimus, & vitam nobis donari oramus, supplicia per hodiernum malefactum obnoxiam. ille certè vir bonus est, nósque vt similes essemus genuit, dignus qui nunquam talem cala- E mitatem experiatur, qui nunc ob nostram absentiam curis ac mœrore discruciatur. quòd si talem nostri interitus nunciũ acceperit, simúlque eius causam, non sustinebit amplius viuere: nostræ mortis infamia illius mortẽ approperabit, hoc ipso infeliciorem, quia ne nostri dedecoris rumorẽ sentiret, è viuis excessisse videbitur. His igitur perpensis tametsi ad iustam indignationem hoc scelere permotus, patri tamen vindictę gratiã facito: & plus illius mise- F ratio apud te valeat, quã nostra iniquitas. Defer hoc honoris senectuti eius, quę si nobis orbetur, superstes durare nec volet nec poterit, defer tui parentis memoriæ, defer ipsi patris vocabulo quod tibi iam contigit, ita tibi Deus omnium pater hoc felix faxit ac perpetuum. quem & ipsum honorabis hac pietate propter commune nomen, si te calamitatis senis patris miseret, quam orbatum G manere est credibile. Nunc tuum est, quæ nobis Deus dedit, cùm iure possis non auferendo iterum dare, & hoc pacto Dei benignitatem imitari, & hac parte similem ei fieri.

Cùm enim tantundem ad vtrumlibet valeas, A præſtat bene facere quàm malè, & poteſtate contentum ſui iuris non meminiſſe, ſed tantùm ad ſeruandos homines potentiam tibi datam exiſtimare, & quo pluribus ſalutem dederis, hoc teipſum illuſtriorem fore, potes autẽ fratri erroris venia data nos omnes ſeruare. neque incolumes eſſe poſſumus niſi hoc incolumi, neque domum abſque hoc ad patrem redire licet, ſed hîc ferendum eſt quicquid frater B tulerit. neque enim aliam gratiam à te Præſes petimus, ſi hanc non impetramus, quàm vt nos eodem afficias ſupplicio, non ſecus ac ſceleris ſocios. hoc enim ſatius fuerit, quàm ſi pre mœrore nobis ipſi manus inferamus. Non addam iuuenem eſſe, & per ætatẽ nondũ ſatis ſapere, & talibus nõ grauatim veniã dari ſolere: ſed hîc finem dicendi faciam, vt ſiue damnemur, mihi imputetur non ſatis diligẽter huic cauſæ patrocinato: ſiue abſoluamur, in ſolidũ C hanc gratiam tuæ clementiæ ac bonitati debeamus, cuius laudi hoc quoque accedet, quòd non ſolum nos ſeruaueris, ſed plura etiam quã nos ipſi in cauſa noſtra quæ pro nobis faciant videris. Siue igitur plectere vis hunc, me vicario ad ſupplicium accepto, patri cum remittito. Siue ad ſeruitium addicere mauis, ego tuis miniſteriis magis ſum idoneus, & ad vtrumuis vt vides magis paratus. His dictis Iudas D promptus ad quiduis pro fratris ſalute libenter ſubeundum, accidens Ioſepho ad pedes, quantum in ſe erat mollire ac placare irã conatur. parique modo & cæteri proſternuntur, pro Beniamine ſeſe offerentes. Ioſephus autem pietate victus & iam ægrè perſonam irati ſuſtinens, ablegat alios qui tum aderant, vt ſine arbitris à fratribus agnoſceretur, cúmque ſoli eſſent, aperit ſeipſum & infit: Pietatem veſtram (*Geneſ. 45.*) & amorem quo fratrem proſequimini nõ laudare non poſſum, quem maiorem comperio, E quàm expectaram, coniecturam faciens ex his quæ mihi olim acciderunt: in hoc enim hæc omnia feci vt fraternæ beneuolentiæ caperem experimentum. cuius quoniam egregium ſpecimen edidiſtis, ne illud quidem in me commiſſum veſtræ naturæ imputare libet, ſed Dei potius voluntati totum aſcribo, qui vobis in præſentia commoda procurauit, & maiora eſt largiturus, ſi nobis propitius fauorem ſuum non ſubtraxerit, quando igitur & patris inco- F lumitatem optatam magis quàm ſperatam cognoui, & vos tales quales cupiebam erga fratrem comperi, libenter iniuriæ olim mihi factæ obliuiſcor, malens vobis vt miniſtris diuinæ prouidentiæ in hoc tempus communi noſtræ vtilitati proſpicientis gratiam habere, quàm veſtræ, vt tum videri poterat, malitiæ meminiſſe. Vos quoque temporis illius immemores iubeo bono animo eſſe, & mali G conſilij bonum euentum libenter ferre, neque pudore præteriti errati quicquam contriſtari. quid eſt enim cur vos malè habeat iniquæ quondam veſtræ ſententiæ pœnitentia, quam fruſtratam eſſe iam videris? Læti igitur hac diuina diſpenſatione ite feli-

A λέσθαι δοῦναι, καὶ μηδὲν ἐκείνου διενεγκεῖν τῇ χάριτι. τὸν γὰρ ἐπ' ἀμφότερα δυνάμεως τετυχηκότα, καλὸν ταύτην ἐν τοῖς ἀγαθοῖς ἐπιδείκνυσθαι. καὶ παρὸν καὶ ἀπολαύειν τῆς μὲν κατὰ τοῦτο ἐξουσίας ὡς μὴ δὴ ὑπαρχούσης, ἐπιλανθάνεσθαι, μόνον δὲ ἐπιτετάχθαι τὸ σώζειν ὑπολαμβάνειν, καὶ ὅσῳ τις πλείοσι τοῦτο παρέξει μᾶλλον αὐτὰ φαίνεσθαι διδόντα. σὺ δὲ πάντας ἡμᾶς σώσεις τἀδελφῷ συγγνούς, ὑπὲρ ὧν ἠτύχηκεν. οὐδὲ γὰρ B ἡμῖν βιώσιμα, τούτου κολασθέντος, οἷς γε πρὸς τὸν πατέρα μὴ ἔξεστιν ἀνασωθῆναι μόνοις, ἀλλ' ἐνθάδε δὴ κοινωνῆσαι τῆς αὐτῆς καταστροφῆς τοῦ βίου. καὶ τοσοῦτον δεησόμεθα στρατηγὲ, κατακρίναντος τὸν ἀδελφὸν ἡμῶν ἀποθανεῖν, συγκολάσαι καὶ ἡμᾶς ὡς τοῦ ἀδικήματος κεκοινωνηκότας. οὐ γὰρ ἀξιώσομεν ἡμεῖς ὡς ἐπὶ λύπῃ τεθνηκότος ἑαυτοὺς ἀνελεῖν ἀλλοίως, ἀλλ' ὁμοίως αὐτῷ πονηροὶ γεγονότες ἀποθανεῖν οὕτως. καὶ ὅτι μὲν καὶ νέος ὢν C ἥμαρτε καὶ μήπω τὸ φρονεῖν ἐνηρεισμένος, καὶ ὡς ἀνθρώπινον τοῖς τοιούτοις συγγνώμην νέμειν σοι, καταλιπὼν παύομαι περαιτέρω λέγειν. ἵν' εἰ μὲν κατακρίνειας ἡμῶν, τὰ μὴ λεχθέντα δόξῃ βεβλαφέναι πρὸς τὸ σκυθρωπότερον ἡμᾶς. εἰ δὲ ἀπολύσειας κἀκεῖνα τῇ σαυτοῦ χρηστότητι συνιδὼν ἀπεψηφίσθαι νομισθῇς, οὐ σώσας μόνον ἡμᾶς, ἀλλὰ καὶ ὧν δικαιότεροι μᾶλλον φανούμεθα τυχεῖν χαριζόμενος, καὶ πλέον ἡμῶν αὐτῶν ὑπὲρ τῆς ἡμετέρας νοήσας σωτηρίας. εἴτ' οὖν κτείνειν αὐτὸν θέ- D λεις, ἐμὲ τιμωρισάμενος ἀντὶ τούτου, τῷ πατρὶ τοῦτον ἀπόπεμψον. εἴτε καὶ κατέχειν σοι δοκεῖ δοῦλον, ἐγὼ πρὸς τὰς χρείας σοι ὑπηρετικώτερος, ἀμείνων, ὡς ὁρᾷς, πρὸς ἑκάτερον τῶν παθῶν ὑπάρχων. ἰούδας μὲν οὖν πάνθ' ὑπομένειν ὑπὲρ τῆς τἀδελφοῦ σωτηρίας ἡδέως ἔχων, ῥίπτει περὶ τῶν ἰωσήπου ποδῶν ἑαυτὸν, εἴπως ἐκμαλάξειε τὴν ὀργὴν αὐτοῦ, καὶ καταπραΰνειν ἀγωνιζόμενος. προὔπεσον δὲ καὶ οἱ ἀδελφοὶ πάντες καὶ παραδιδόντες ἑαυτοὺς E ὑπὲρ τῆς βενιαμὶν ψυχῆς ἀπολουμένοις. ὁ δὲ ἰώσηπος ἐλεγχόμενος ὑπὸ τοῦ πάθους, καὶ μηκέτι δυνάμενος τὴν τῆς ὀργῆς φέρειν ὑπόκρισιν, κελεύει μὲν ἀπελθεῖν τοὺς παρόντας ἵνα μόνοις ἑαυτὸν τοῖς ἀδελφοῖς ποιήσῃ φανερόν. ἀναχωρησάντων δὲ, ποιεῖ γνώριμον ἑαυτὸν τοῖς ἀδελφοῖς, καὶ φησίν. τῆς μὲν ἀρετῆς ὑμᾶς καὶ εὐνοίας τῆς περὶ τὸν ἀδελφὸν ὑμῶν, ἐπαινῶ καὶ κρείττονας ἢ προσεδόκων ἐκ τῶν περὶ ἐμοῦ βεβουλευμένων εὑρίσκω, πάντα ταῦτα ποιήσας ἐπὶ πείρᾳ τῆς ὑμετέρας φιλαδελφίας. φύσει δὲ, F οὐδὲ περὶ ἐμὲ νομίζω πονηροὺς γεγονέναι, θεοῦ δὲ βουλήσει τήν τε νῦν πραγματευομένου τῶν ἀγαθῶν ἀπόλαυσιν, καὶ τὴν ἐς ὕστερον ἂν εὐμενὴς ἡμῖν παραμείνῃ. πατρός τε οὖν σωτηρίαν ἐγνωκὼς οὐδ' ἐλπισθεῖσαν, καὶ τοιούτους ὑμᾶς ὁρῶν περὶ τὸν ἀδελφὸν, οὐδ' ὧν εἰς ἐμὲ δοκεῖτε ἁμαρτεῖν ἔτι μνημονεύω. παύσομαι δὲ τῆς ἐπ' αὐτοῖς μισοπονηρίας, καὶ ὡς συναιτίοις τῶν τῷ θεῷ βεβουλευμένων εἰς τὰ παρόντα χάριν ἔχειν ὁμολογῶ. ὑμᾶς G τε βούλομαι καὶ αὐτοὺς λήθην ἐκείνων λαβόντας ἥδεσθαι μᾶλλον, τῆς τε ἀβουλείας εἰς τοιοῦτον ἐλθούσης τέλος μὴ δυσφορεῖν αἰσχυνομένοις ἐπὶ τοῖς ἡμαρτημένοις. μὴ οὖν δόξῃ λυπεῖν ὑμᾶς τὸ κατ' ἐμοῦ ψῆφον ἐνεγκεῖν πονηρὰν, καὶ ἡ ἐπ' αὐτῇ μετάνοια τῷ γε μὴ προχωρῆσαι τὰ βεβουλευμένα. χαίροντες οὖν ἐπὶ τοῖς ἐκ θεοῦ γεγενημένοις, ἄπιτε ταῦτα δηλώσοντες τῷ πατρὶ, μὴ καὶ ταῖς ὑπὲρ ὑμῶν φρον-

φροντίσιν ἀναλωθεὶς ζημιώσῃ με τὸ κάλλιστον τῆς εὐδαιμονίας πρὶν εἰς ὄψιν ἐλθεῖν τὴν ἐμὴν καὶ μεταλαβεῖν τῶν παρόντων ἀγαθῶν ἀποθανών. αὐτὸν δὲ τοῦτον, καὶ γυναῖκας ὑμετέρας καὶ τέκνα, καὶ πᾶσαν τὴν συγγένειαν ὑμῶν ἀναλαβόντες ἐνθάδε μετοικίζεσθε. οὐ γὰρ ἀποδήμους εἶναι τῶν ἀγαθῶν δεῖ τῶν ἡμετέρων τοὺς ἐμοὶ φιλτάτους, ἄλλως τε καὶ τοῦ λιμοῦ λοιπὴν ἔτι πενταετίαν ὑπομένοντος. ταῦτ᾽ εἰπὼν Ἰώσηπος, περιβάλλει τοὺς ἀδελφούς. οἱ δ᾽ ἐν δάκρυσιν ἦσαν καὶ λύπῃ, τῶν δ᾽ ἐπ᾽ αὐτῷ βεβουλευμένων τιμωρίαν ἐν αὐτοῖς ἀπολείπειν ἐδόκει τὸ εὔγνωμον τἀδελφοῦ. καὶ τότε μὲν ἦσαν ἐν εὐωχίᾳ. βασιλεὺς δ᾽ ἀκούσας ἥκοντας πρὸς Ἰώσηπον τοὺς ἀδελφούς, ἥσθη τε μεγάλως, καὶ ὡς ἐπ᾽ οἰκείων διατεθεὶς ἀγαθῶν, παρεῖχεν αὐτοῖς ἁμάξας σίτου πλήρεις, καὶ ἄργυρον καὶ χρυσὸν ἀποκομίζειν τῷ πατρί. λαβόντας δὲ πλείω παρὰ τἀδελφοῦ, τὰ μὲν τῷ πατρὶ φέρειν, τὰ δ᾽ αὐτοὶ δωρεὰς ἔχειν ἕκαστος ἰδίας πλειόνων ἠξιωμένου Βενιαμὶν παρ᾽ αὐτοὺς ἀπῄεσαν. ὡς δὲ ἀφικομένων τῶν παίδων Ἰάκωβος τὰ περὶ τὸν Ἰώσηπον ἔμαθεν, ὅτι μὴ μόνον εἴη τὸν θάνατον διαπεφευγὼς ἐφ᾽ ᾧ πενθῶν διῆγεν, ἀλλὰ καὶ ζῇ μετὰ λαμπρᾶς εὐδαιμονίας βασιλεῖ συνδιέπων τὴν Αἴγυπτον, καὶ τὴν ἅπασαν σχεδὸν ἐγκεχειρισμένος αὐτῆς ἐπιμέλειαν, ἄπιστον μὲν οὐδὲν ἐδόκει τῶν ἐπηγγελμένων, λογιζόμενος τοῦ θεοῦ τὴν μεγαλουργίαν καὶ τὴν πρὸς αὐτὸν εὔνοιαν, εἰ καὶ τῷ μεταξὺ χρόνῳ διέλειπεν. ὥρμητο δ᾽ εὐθὺς πρὸς τὸν Ἰώσηπον.

Κεφάλαιον δ΄.

Ἡ τοῦ πατρὸς αὐτοῦ μετὰ τῆς γενεᾶς πάσης, πρὸς αὐτὸν μετάβασις, διὰ τὸν γενόμενον λιμόν.

Ὡς δὲ κατέσχεν ἐπὶ τὸ ὅρκιον φρέαρ, θύσας αὐτόθι τῷ θεῷ, καὶ φοβούμενος διὰ τὴν εὐδαιμονίαν τὴν ἐν Αἰγύπτῳ, τῶν παίδων ἐμφιλοχωρησάντων τῇ οἰκήσει τῇ ἐν αὐτῇ, μὴ οὐκ ἔτι εἰς τὴν Χαναναίαν οἱ ἔκγονοι μετελθόντες κατάσχωσιν αὐτὴν ὡς ὁ θεὸς ἦν ὑπεσχημένος, ἅμα τε μὴ δίχα βουλήσεως θεοῦ γενομένης τῆς εἰς Αἴγυπτον ἀφόδου διαφθαρῇ τὸ γένος αὐτοῦ, πρὸς δὲ τούτοις δεδιὼς μὴ προεξέλθῃ τοῦ βίου πρὶν εἰς ὄψιν Ἰωσήπου παραγενέσθαι, καταφέρεται στρέφων ἑαυτῷ τοῦτον τὸν λογισμὸν εἰς ὕπνον. ἐπιστὰς δὲ ὁ θεὸς αὐτῷ, καὶ δὶς ὀνομαστὶ καλέσας, πυνθανομένῳ τίς ἐστιν, ἀλλ᾽ οὐ δίκαιον εἶπεν Ἰακώβῳ θεὸν ἀγνοεῖσθαι τὸν ἀεὶ παραστάτην καὶ βοηθὸν προγόνοις τε τοῖς σοῖς, καὶ μετ᾽ αὐτοὺς σοὶ γενόμενον. στερουμένῳ τε γάρ σοι τῆς ἀρχῆς ὑπὸ τοῦ πατρός, ἐγὼ παρεῖχον. καὶ κατ᾽ ἐμὴν εὔνοιαν, εἰς τὴν Μεσοποταμίαν μόνος σταλείς, γάμων τε ἀγαθῶν ἔτυχες, καὶ παίδων ἐπαγόμενος πλῆθος, καὶ χρημάτων ἐνόστησας. παρέμεινέ τε σε γενεὰ πᾶσα τῇ ἐμῇ προνοίᾳ, καὶ ὃν ἀπολωλέναι τῶν υἱῶν ἐδόκεις Ἰώσηπον, τοῦτον εἰς ἀπόλαυσιν μειζόνων ἀγαθῶν ἤγαγον, καὶ τῆς Αἰγύπτου κύριον ὡς ὀλίγῳ διαφέρειν τοῦ βασιλέως ἐποίησα. ἥκω τε νῦν ὁδοῦ τε ταύτης ἡγεμὼν ἐσόμενος, καὶ βίου σοι τελευτὴν ἐν ταῖς Ἰωσήπου χερσὶ γενησομένην προδηλῶν, καὶ μακρὸν αἰῶνα τῶν σῶν ἐκγόνων ἐν ἡγεμονίᾳ καὶ δόξῃ καταγγέλλων, καταστήσων τε αὐτοὺς εἰς τὴν γῆν ἣν ὑπέσχημαι. τούτῳ θαρσήσας τῷ ὀνείρατι, προθυμότερον εἰς τὴν Αἴγυπτον σὺν τοῖς υἱοῖς καὶ παισὶ τοῖς τούτων ἀπηλλάττετο.

ces patri hæc renuntiaturi, ne forte illo consumpto immodica de vobis solicitudine, præcipuus felicitatis meæ fructus intercidat, priusquam ille in conspectum meum veniat, & horum bonorum fiat particeps. quamobrem & ipsum & vxores ac liberos vestros totámque cognationem assumentes migrare vos huc volo. Non enim decet mihi charissimos ab hac mea felicitate abesse, præsertim fame quinque adhuc annis duratura. Hæc locutus complectitur fratres. illi verò in lachrymis erant ac mœrore, tanto maiore pœnitẽtia quòd in tã bonũ fratrẽ peccauissent. mox conuiuium est secutum. Rex autem cognito fratrum Iosephi aduentu, quasi sibiipsi aliquid boni accidisset, lætatus est, donauítque eis currus onustos frumento & aurum ac argentum, munera ad patrem deferenda. qui pluribus etiam à fratre acceptis, partim patri, partim in singulos donatis, sed præcipuis Beniamini, reuersi sunt ad suos.

VII. Iacobus autem postquam ex filiis statum Iosephi cognouit, quòd non solum mortem effugit, quam tandiu luxerat, sed etiam in splendida fortuna viuit cum rege administrans Ægyptum, & penè totam illius regionis gubernationem commissam habens, facilè ista credidit, cogitans tum magnificentiam Dei, tum erga se fauorem, tametsi aliquantisper vt videbatur intermissum: nec diu moratus iter aggressus est ad Iosephum properans.

Cap. IV.

Quomodo Iacobus cum tota progenie ad filium migrauit.

Genes. 46.

Vt verò ventum est ad puteum iuramenti, oblato Deo sacrificio, cùm timeret ne filiis propter vbertatem Ægypti cupiditate habitandæ regionis captis, posteritas sua non rediret in Chananæã occupatura eam iuxta promissa Dei: néve inconsulto Deo migratione præsenti facta genus ipsius clade aliqua feriretur: ad hæc ne fortè ipse antequam Iosephum aspicere contingat, ex hac vita eximatur: talia volutanti in animo & somno grauato Deus per visionem astitit, cúmque bis nominatim inclamauit. Quo rogante quisnam esset, an nõ agnoscis, inquit, Iacobe, Deum perpetuum tam tuum quàm tuorum maiorum protectorem simul & auxiliatorẽ? qui contra patris tui propositum principem familiæ te constitui, & cũ solus in Mesopotamiam profectus esses, effeci vt coniugium nactus fortunatum redires & liberis multis & facultatibus auctus: incolumem etiam progeniem tuam seruaui, & quem amisisse videbaris Iosephum, ad tam sublime dignitatis fastigium euexi, vt non multum à rege Ægypti differat. Nunc quoque in hoc veni vt me ducem huius itineris habeas, vtque tibi prænunciem inter manus Iosephi te è vita exiturum, & posteritatem tuam per multa secula potentem fore simul & illustrem, occupaturámque terram cuius ditionem ei sum pollicitus. Hoc somnio fretus eo libentiùs in Ægyptum cum filiis ac nepotibus properabat, qui erant in vniuersum LXX.

Eorum nomina cùm sint duriora, non eram adscripturus, nisi propter quosdam qui nos Ægyptios contendunt esse non Mesopotamenos. Ergo Iacobi filij fuere duodecim, ex quibus Iosephus iam antea venerat. recensendi sunt nunc reliqui, cum sua quisque progenie. Rubeli fuerunt quatuor filij, Anoches, Phalles, Essaron, Charmisus. Simeonis sex, Iumilus, Iaminus, Puthodus, Iachenus, Zoar, Saar. Leuis quoque tres fuerunt, Gelsemis, Caathus, Mararis. Iudæ item tres, Sala, Phares, Zara, & duo filij Pharæ Esron & Amyrus. Issacharæ quatuor, Thulas, Phruras, Iobus, Samaron. Zabulonis tres, Saradus, Elon, Ianel. & hoc quidem genus è Lia, quæ secum ducebat filiam Dinam, quorum numerus trigintatres. Rachelis autem filij fuerunt duo, quorum alter Iosephus filios habuit Manassem & Ephræmen. alteri verò Beniamini fuerunt decem, Bolossus, Baccharis, Asabel, Gela, Nemanes, Ises, Aros, Nomphthis, Optais, Sarodus. isti quatuordecim superioribus additi, fiunt numero quadraginta septem. & legitimum quidem Iacobi genus hoc fuit. è Bala verò famula Rachelis fuerunt Danus & Nephthalim, quem quatuor sequebantur filij, Eleinus, Gunes, Sares, Hellimus: Dano verò vnicus erat filius nomine Vsis. his ad iam dictos additis, quinquaginta quatuor numerus expletur. Gades autem & Asserus nati fuerunt è Zelpha Liæ famula. ex his Gadem sequebantur filij septem, Zophonias, Vgis, Sunis, Zabros, Erines, Erodes, Ariel. Asserum verò vna filia, & mares numero sex, quorum nomina Iomnes, Essus, Iubes, Baris, Abarus, Melmiel. his quindecim adiectis ad prædictos quinquaginta quatuor supradictus numerus completur, annumerato etiam Iacobo. Iosephus autem cognito patrem aduentare (etenim Iudas præcurrens id significauerat) profectus obuiam ad Heroum oppidum illi occurrit: qui præ nimia lætitia minimum abfuit quin expiraret. sed Iosephus eum refouit, quamuis & ipse præ gaudio periclitaretur, non tamen æquè ac pater. deinde iusso eo paulatim progredi, ipse assumptis quinque fratribus properauit ad regem, nunciaturus adesse cum familia Iacobum. quo audito lætus ille percontatus est Iosephum quibusnam studiis potissimum delectarentur. ait, pastoralem artem callere, & nihil aliud exercere: idque eo consilio respondit, ne fortè distraherentur, sed vt vnà degentes curam patris haberent: tum ne qua æmulatio cum Ægyptiis interueniret si circa eadem cum illis studia versarentur. Nam ei genti non erat licitum greges aut pascua curare. Iacobo autem salutatum ad regem perducto, post faustas ominationes acceptas, rogauit eum Pharao quantum temporis vixisset. & cùm audisset triginta supra centum annos natum, admiratus est hominem tam longæuum.

Genes. 47.

ἦσαν δὲ οἱ πάντες ἑβδομήκοντα. τὰ μὲν οὖν ὀνόματα δηλῶσαι τούτων, οὐκ ἐδοκίμαζον, καὶ μάλιστα διὰ τὴν δυσκολίαν αὐτῶν· ἵνα μέντοι παραστήσω τοῖς ἐκ ὑπολαμβάνουσιν ἡμᾶς οὐκ ἐκ Μεσοποταμίας ἀλλ' Αἰγυπτίους εἶναι, ἀναγκαῖον ἡγησάμην μνησθῆναι τῶν ὀνομάτων. Ἰακώβου μὲν οὖν παῖδες ἦσαν δώδεκα. τούτων Ἰώσηπος ἤδη προαφίκετο. τοὺς οὖν μετ' αὐτὸν καὶ τοὺς ἐκ τούτου γεγονότας δηλώσομεν. Ῥουβήλου μὲν ἦσαν παῖδες τέσσαρες, Ἀνώχης, Φάλλης, Ἐσσαρών, Χάρμισος. Συμεῶνος δὲ ἕξ, Ἰάμιλος, Ἰάμινος, Πούθοδος, Ἰάχηνος, Σόαρος, Σάαρος. τρεῖς δὲ Λευὶ γεγόνασιν υἱοὶ, Γολσέμης, Κάαθος, Μαραΐρος. Ἰούδα δὲ παῖδες ἦσαν τρεῖς, Σαλᾶς, Φαρὲς, Ζάρας. οἱ δὲ δύο γεγονότες ἐκ Φαρέσου, Ἔσρων καὶ Ἄμυρος. Ἰσσαχάρου δὲ τέσσαρες, Θουλᾶς, Φρουρᾶς, Ἰῶβος, Σαμαρών. τρεῖς δὲ Ζαβουλὼν ἦγεν υἱοὺς, Σάραδον, Ἤλωνα, Ἰάνηλον. τοῦτο μὲν τὸ ἐκ Λείας γένος, ᾧ αὐτῇ συνανῄει καὶ θυγάτηρ αὐτῆς Δείνα. τρεῖς οὗτοι καὶ τριάκοντα. Ῥαχήλας παῖδες ἦσαν δύο· τούτων Ἰωσήπῳ μὲν γεγόνεισαν υἱοὶ, Μανασσῆς καὶ Ἐφραΐνης. Βενιαμὶν δὲ τῷ ἑτέρῳ δέκα, Βόλοσσος, Βάκχαρις, Ἀσάβηλος, Γήλας, Νεεμάνης, Ἴσης, Ἄρωσος, Νομφθῆς, Ὀπταῖς, Σάροδος. οὗτοι τέσσαρες καὶ δέκα προστεθέντες τοῖς πρότερον κατειλεγμένοις, εἰς ἑπτὰ καὶ τεσσαράκοντα γίνονται τὸν ἀριθμόν. καὶ τὸ μὲν γνήσιον Ἰακώβου γένος τοῦτο ἦν. ἐκ Βάλλας δὲ αὐτῷ γίνονται τῆς Ῥαχήλας θεραπαινίδος, Δάνος καὶ Νεφθαλής· ᾧ τέσσαρες εἵποντο παῖδες, Ἐλίηνος, Γουνίης, Σάρης τε καὶ Ἕλλιμος. Δάνῳ μὲν μονογενὴς ἦν παῖς Οὔσις. τούτων προσγινομένων τοῖς προειρημένοις, πεντήκοντα καὶ τεσσάρων πληροῦσιν ἀριθμόν. Γάδης δὲ καὶ Ἄσηρος, ἐκ Ζελφᾶς μὲν ἦσαν. ἡ Λείας δὲ αὕτη θεραπαινίς. παῖδες δὲ ἐπήγοντο. Γάδης μὲν, ἑπτὰ, Ζοφωνίαν, Οὔγιν, Σουνίν, Ζάβερον, Ἀρείνην, Ἐρώδην, Ἀρίηλον. Ἀσήρου τε ἦν θυγάτηρ, καὶ ἄρσενες ἀριθμὸν ἕξ οἷς ὀνόματα, Ἰώμνης, Ἤσσους, Ἰούβης, Βάρις, Ἄβαρος τε καὶ Μελμείηλος. τούτων ἕνδεκα ὄντων καὶ προστιθεμένων τοῖς προειρημένοις πεντήκοντα καὶ ἓξ εἰσὶν ὁ προειρημένος ἀριθμὸς πληροῦται, μὴ συγκαταλεγέντος αὐτοῖς Ἰακώβου. μαθὼν δὲ Ἰώσηπος παραγινόμενον τὸν πατέρα, καὶ γὰρ προλαβὼν Ἰούδας ὁ ἀδελφὸς ἐδήλωσεν αὐτῷ τὴν ἄφιξιν, ὑπαντησόμενος ἔξεισι καὶ καθ' Ἡρώων πόλιν αὐτῷ συνέβαλεν. ὁ δὲ ὑπὸ τῆς χαρᾶς ἀπροσδοκήτου τε καὶ μεγάλης γενομένης, μικροῦ δεῖν ἐξέλειπεν. ἀλλ' ἀνεζωπύρησεν αὐτὸν Ἰώσηπος. οὐδ' αὐτὸς μὲν κρατῆσαι δυνηθεὶς, ὡς μὴ ταὐτὸ παθεῖν ὑφ' ἡδονῆς. οὐ μέντοι τὸν αὐτὸν τρόπον τῷ πατρὶ γενόμενος ἥττων τοῦ πάθους. ἔπειτα τὸν μὲν ἠρέμα κελεύσας ὁδεύειν, αὐτὸς δὲ παραλαβὼν πέντε τῶν ἀδελφῶν, ἐπείγεται πρὸς τὸν βασιλέα, φράσων αὐτῷ παραγινόμενον μετὰ τοῦ γένους τὸν Ἰάκωβον. ὁ δὲ τοῦτο χαίρων ἤκουσε, καὶ τὸν Ἰώσηπον ἐκέλευεν αὐτῷ λέγειν, τίνι βίῳ διατερπόμενοι, ὡς αὐτοῖς διατελοῦσι τὴν ἐπιτρέψειε διαγωγήν. ὁ δὲ, ποιμένας αὐτοὺς ἀγαθοὺς ἔλεγε, καὶ μηδενὶ τῶν ἄλλων ἢ τούτῳ μόνῳ προσανέχειν, τοῦτε μὴ διαζευγμένους, ἀλλ' ἐν ταὐτῷ τυγχάνοντας ἐπιμελεῖσθαι τοῦ πατρὸς προνοούμενος, τοῦτε τοῖς Αἰγυπτίοις εἶναι προσφιλεῖς, μηδὲν πράττοντας τῶν αὐτῶν ἐκείνοις. Αἰγυπτίοις γὰρ ἀπειρημένον ἦν περὶ νομὰς ἀναστρέφεσθαι. τοῦ δὲ Ἰακώβου παραγινομένου πρὸς τὸν βασιλέα, καὶ ἀσπαζομένου τε, καὶ κατευχομένου περὶ τῆς βασιλείας αὐτῷ, ὁ Φαραὼ ἐπυνθάνετο πόσον ἤδη βεβιωκὼς εἴη χρόνον. τοῦ δὲ ἑκατὸν ἔτη καὶ τριάκοντα γεγονέναι φήσαντος, ἐθαύμασε τοῦ μήκους τῆς ζωῆς τὸν Ἰάκωβον.

εἰπόν-

εἰπόντος δ' ὡς ἥττονα τῶν προγόνων εἴη βεβιωκὼς ἔτη, συνεχώρησεν αὐτῷ ζῆν μετὰ τῶν τέκνων ἐν Ἡλιουπόλει. ἐν ἐκείνῃ γὰρ καὶ οἱ ποιμένες αὐτοῦ τὰς νομὰς εἶχον. ὁ δὲ λιμὸς τοῖς Αἰγυπτίοις ἐπετείνετο, καὶ τὸ δεινὸν ἀπορώτερον ἔτι καὶ μᾶλλον αὐτοῖς ἐγίνετο, μήτε τοῦ ποταμοῦ τὴν γῆν ἐπάρδοντος, οὐ γὰρ ἀνέβαινε, μήτε ὕοντος τοῦ θεοῦ. προνοίας τε μηδὲ μιᾶς ἑαυτῶν ὑπ' ἀγνοίας πεποιημένων, καὶ τοῦ Ἰωσήπου τὸν σῖτον ἐπὶ χρήμασιν αὐτοῖς διδόντος. ὡς δὲ ταῦτα αὐτοῖς ἀπέλειπε, τῶν βοσκημάτων ἐωνοῦντο τὸν σῖτον καὶ τῶν ἀνδραπόδων, οἷς δὲ καὶ γῆ τις ἦν, μοῖραν ταύτην παρεχώρουν ἐπὶ τιμῇ τροφῆς. οὕτως τε τοῦ βασιλέως πάσης αὐτῶν τῆς περιουσίας κυρίου γεγενημένου μετοικίσθησαν ἄλλος ἀλλαχόθι, ὅπως βεβαία γένηται τῷ βασιλεῖ τῆς χώρας τούτων ἡ κτῆσις, πλὴν τῶν ἱερέων. τούτοις γὰρ ἔμενεν ἡ χώρα αὐτῶν. ἐδούλου τ' αὐτῶν οὐ τὰ σώματα μόνον τὸ δεινόν, ἀλλὰ καὶ τὰς διανοίας, καὶ τὸ λοιπὸν εἰς ἀσχήμονα τῆς τροφῆς εὐπορίαν αὐτοὺς κατηνάγκαζε. λωφήσαντος δὲ τοῦ κακοῦ, καὶ τοῦ ποταμοῦ τὴν γῆν ἐπιβαίνοντος, καὶ ταύτης τοὺς καρποὺς ἀφθόνως ἐκφερούσης, ὁ Ἰώσηπος εἰς ἑκάστην παραγενόμενος πόλιν, καὶ συλλέγων ἐν αὐταῖς τὸ πλῆθος, τήν τε γῆν αὐτοῖς ἣν ἐκείνων παραχωρούντων βασιλεὺς ἔχειν ἐδύνατο, καὶ καρποῦσθαι μόνον εἰς ἅπαν ἐχαρίζετο, καὶ κτῆμα ἴδιον ἡγουμένους φιλεργεῖν παρεκάλει, τὴν πέμπτην τῶν καρπῶν τῷ βασιλεῖ τελοῦντας ὑπὲρ τῆς χώρας ἧς δίδωσιν αὐτοῖς οὔσαν αὐτοῦ. τοὺς δὲ παρ' ἐλπίδα κυρίους τῆς γῆς καθισταμένους χαρά τε ἐλάμβανε, καὶ ὑφίσταντο τὰ πράγματα. καὶ τούτῳ τῷ τρόπῳ τό τε ἀξίωμα τὸ παρὰ τοῖς Αἰγυπτίοις αὐτῷ μεῖζον ὁ Ἰώσηπος ἀπεργάζεται, καὶ πλείω τὴν εὔνοιαν τῷ βασιλεῖ παρ' αὐτῶν. ὅ τε τοῦ τελεῖν τὴν πέμπτην τῶν καρπῶν νόμος ἔμεινε καὶ μέχρι τῶν ὕστερον βασιλέων. Ἰάκωβος δὲ, ἑπτὰ καὶ δέκατον ἔτος ἐν Αἰγύπτῳ διατρίψας, καὶ νόσῳ χρησάμενος, παρόντων αὐτῷ τῶν υἱῶν ἀπέθανεν, ἐπευξάμενος τοῖς μὲν κτῆσιν ἀγαθῶν, καὶ προειπὼν αὐτοῖς κατὰ προφητείαν πῶς μέλλει τῶν ἐκ τῆς γενεᾶς αὐτῶν ἕκαστος κατοικεῖν τὴν Χαναναίαν. τοῦτο δὴ καὶ πολλοῖς ὕστερον χρόνοις ἐγένετο. Ἰωσήπου δὲ ἐγκώμιον διεξελθών, ὅτι μὴ μνησικακήσειε τοῖς ἀδελφοῖς, ἀλλὰ καὶ πλέον χρηστὸς εἰς αὐτοὺς ἐγένετο δωρησάμενος αὐτοὺς ἀγαθοῖς οἷς οὐδὲ εὐεργέτας τινὲς ἠμείψαντο, προσέταξε τοῖς ἰδίοις παισὶν ἵνα τοὺς Ἰωσήπου παῖδας Ἐφραΐμην καὶ Μανασσῆν εἰς τὸν αὐτῶν ἀριθμὸν προσδέξωνται, διαιρούμενοι μετ' αὐτῶν τὴν Χαναναίαν, περὶ ὧν ὕστερον ἐροῦμεν. ἠξίου μέντοι καὶ ταφῆς ἐν Χεβρῶνι τυγχάνειν. τελευτᾷ δὲ βιοὺς ἔτη τὰ πάντα τριῶν δέοντα πεντήκοντα καὶ ἑκατόν, μηδενὸς μὲν τῶν προγόνων ἀπολειφθεὶς ἐπ' εὐσεβείᾳ τοῦ θεοῦ, τυχὼν δὲ ἀμοιβῆς ἧς δίκαιον ἦν τοσούτοις ἀγαθὸν γεγονότα. Ἰώσηπος δὲ συγχωρήσαντος αὐτῷ τοῦ βασιλέως, τὸν τοῦ πατρὸς νεκρὸν εἰς Χεβρῶνα κομίσας, ἐκεῖ θάπτει πολυτελῶς. τῶν δὲ ἀδελφῶν οὐ βουλομένων αὐτῷ συνυποστρέφειν, δέος γὰρ αὐτοὺς εἶχε μὴ τεθνηκότος αὐτοῖς τοῦ πατρὸς τιμωρήσαιτο τῆς εἰς αὐτὸν ἐπιβουλῆς, οὐκ ἔτι ὄντος ᾧ χαρίζοιτο τὴν πρὸς αὐτοὺς μετριότητα, μηδὲν ὑφορᾶσθαι πείθει μηδὲ ἔχειν αὐτὴν δι' ὑποψίας. ἀγαγὼν δὲ μεθ' ἑαυτοῦ, κτῆσιν πολλὴν ἐχαρίσατο, καὶ πάσῃ περὶ αὐτοὺς σπουδῇ χρώμενος οὐκ ἀπέλειπε. τελευτᾷ δὲ καὶ αὐτός, ἔτη βιώσας ἑκατὸν καὶ δέκα, θαυμάσιος τὴν ἀρετὴν γενόμενος,

cúmque ille adiecisset maiores suos longioris ætatis fuisse, iussit eum cum filiis degere in Heliopoli, vbi etiam regij pastores habebant pascua. Fames autem crescebat in Ægypto, nec aderat remedium, neque flumine agris rigante, non enim ascendebat, neque vllis de cœlo pluuiis: ad hæc grauius erat malum, quia vulgo improuisum, qui nihil parati habebat, neque Iosephus frumentum dabat nisi numerata pecunia: quæ postquam defecit, pecudes ac mancipia pro frumento permutabant. quibus verò agri fuere, partem aliquam in precium alimentorum regi decidebant. cúmque ad hunc modum omnes eorum possessiones in ius regis deuenissent, alius aliò migrabant, quo certius esset regium dominium. soli sacerdotes immunitatem & agros retinuerunt. postremò hæc necessitas adeò non corpora solum, sed & animos gentis in seruitutem redegit, vt nihil turpe putarent quo victus vtcunque parari posset. postquam autem cessauit fames, & rigante flumine terra ad pristinam fertilitatem rediit, Iosephus regionis vrbes obeundo, conuocata per singulas multitudine, agrorum, quos regi cesserant, vsumfructum illis restituit, & adhortatus vt non secus quàm proprios colerent, iussit quintam partem fructuum regi pẽdere, quæ ei iure dominij deberetur. qui læti insperata restitutione agrorum culturam strenuè aggrediebantur. atque hoc pacto tum Iosephi autoritas, tum gentis erga regem beneuolentia non mediocriter creuit: & ius quintę partis frugum etiam penes regum posteros ac successores permansit.

VIII. *Genes. 48. 49. 50.*

Iacobus autem cùm decimum septimum annum in Ægypto exegisset, inter manus filiorum vitam finiuit, precatus eis priùs prosperitatem & abundantiam, & vaticinatus quòd singulorum posteri in partem possessionis Chananææ terræ essent peruenturi, id quod factum est aliquanto pòst tempore. præterea collaudato Iosepho quòd oblitus iniuriarum plura fratribus bona contulerit, quàm vel benefactoribus deberentur, mandauit suis filiis vt Iosephi filios Ephræmen & Manassen in suum numerum admitterent diuisuri sorte Chananæam, quemadmodum postea dicetur. postremò rogauit vt in Hebrone sepeliretur. Mortuus est autem cùm vixisset annos centumquinquaginta minus tribus, ex maioribus suis nulli pietate secundus, cuius digna præmia Dei benignitate est consecutus. Iosephus verò permittente rege deportatum patris corpus in Hebronem magnificè sepeliuit. cæterum fratribus recusantibus cum eo reuerti, quòd timerent ne defuncto patre in se vindicaret, cùm non amplius esset in cuius gratiam daturum veniam sperarent, iussit eos posito metu nihil mali suspicari: & reductis secum magnas possessiones largitus est, nec vnquam eos summa beneuolẽtia prosequi destitit. Moritur autem & ipse centesimo & decimo vitæ anno exacto, vir admirabili virtute pręditus, in omnibus negotiis prudens, & potestate bene vsus: quibus artibus factum est vt neque externum genus, neque calamitas de qua diximus,

quicquam offecerit quo minus ad summam dignitatem eueheretur. Reliqui etiam fratres vita feliciter exacta in Ægypto sunt mortui, quorum corpora filij & nepotes in Hebronem relata sepeliuerunt. Iosephi autem ossa postea translata sunt in Chananæam per Hebræos, dum ex Ægypto populariter migrarent. hoc enim ipse adiuratis prius mandauerat. Sed & hoc & alia huius populi gesta narraturi, dicemus prius causam propter quam ex Ægypto exiuerunt.

Cap. V.

De afflictionibus Hebræorum in Ægypto per annos CCCC.

IX. *Exod.1*

Ægyptij gens delicata & ad laborem segnis, voluptatibus solùm & captandis vndecunque lucris dedita, malè volebat Hebræis, quòd per inuidiam ferre æquo animo illorum felicitatem non poterat. videntes enim genus Israelitarum florere, & opibus labore atque industria quæsitis abundare, non satis tuta sibi eorum incrementa existimauerunt: & cùm iam Iosephi beneficiorum memoriam tempus obliterasset, regnúmque Ægypti in aliam familiam demigrasset, inhumane tractabant Israelitas & variis laboribus atterebant. nam & flumen in multas fossas diducere sunt iussi & mœnia exædificare, & aggeres exstruere, quibus inundationes fluminis arcerentur. pyramidum etiam insanis substructionibus vexabant gentem nostram, cogendo varias artes ediscere, & laboribus ferendis assuescere. atque in hunc modum per CCCC. annos fuit laboratum, Ægyptiis id agentibus vt Israelitas nimio labore perderent, nostris contrà omnes difficultates eluctari conantibus. Exortum est deinde aliud quiddam, cur genus nostrum magis etiam cuperent extinctum. Quidam ex eo genere hominum quos gens illa vocat sacrorum scribas, quorúmque prædictionibus multum tribuit, prænunciat regi nasciturum per id tempus apud Israelitas quendam res Ægyptiorum olim grauiter afflicturum, Israelitas contrà euecturum, si modò ad ætatem adultam peruenerit. nam & virtute fore præcellentissimum, & gloria per omne æuum celebrem. Quo terrore percitus rex, edicit ex ipsius monitoris sententia, quicquid masculini sexus inter Israelitas nasceretur, in flumen proiectum necari: obstetrices etiam Ægyptias diligenter obseruare partus Hebræarum ac parturitiones. Sic enim cautum putabat ne obstetrices ob cognationem edictum regium contemnerent. proposuit etiam pœnam si quis clàm seruare fœtus auderet, vt cum tota familia tolleretur. Grauis fuit hæc calamitas non eo solùm quia liberis orbabantur, & quia parentes ipsi ministri eorum interitus esse cogebantur: sed futurum quoque tempus prospicientes inconsolabiliter tristabantur, certum generis exitium expectantes, quandoquidem & proles necabantur,

A καὶ λογισμῷ πάντα διοικῶν, καὶ τὴν ἐξουσίαν ταμιευόμενος. ὃ δὴ καὶ τῆς τοιαύτης εὐδαιμονίας αἴτιον αὐτῷ παρὰ τοῖς αἰγυπτίοις, ἀλλαχόθεν ἥκοντι καὶ μετὰ τοιαύτης κακοπραγίας, μεθ' ἧς προειρήκαμεν ὑπῆρχεν. τελευτῶσι δ' αὐτοῦ καὶ οἱ ἀδελφοὶ ζήσαντες εὐδαιμόνως ἐπὶ τῆς αἰγύπτου. καὶ τούτων μὲν τὰ σώματα κομίσαντες μετὰ χρόνον αὐτῶν οἱ ἀπόγονοι καὶ οἱ παῖδες, ἔθαψαν ἐν χεβρῶνι. τὰ δὲ ἰωσήπου ὀστᾶ ὕστερον ὅτε μετανέστησαν ἐκ τῆς αἰγύπτου οἱ ἑβραῖοι εἰς τὴν χαναναίαν ἐκόμισαν. οὕτως γὰρ B αὐτοὺς ὁ ἰώσηπος ἐξώρκισε. τούτων οὖν ἕκαστος ὡς ἔσχε, καὶ τίσι πόνοις ἐκράτησαν τῆς χαναναίας, σημανῶ προδιηγησάμενος τὴν αἰτίαν δι' ἣν τὴν αἴγυπτον ἐξέλειπον.

Κεφάλαιον ε.

Ὅσα τοῖς ἑβραίοις ἐν αἰγύπτῳ συνέβη κακοπαθοῦσιν ἐπ' ἔτη τετρακόσια.

Αἰγυπτίοις τρυφεροῖς καὶ ῥαθύμοις οὖσι πρὸς πόνους C καὶ τῶν τε ἄλλων ἡδονῶν ἥττοσι, καὶ δὴ καὶ τῆς κατὰ φιλοκέρδειαν, συνέβη δεινῶς πρὸς τοὺς ἑβραίους διατεθῆναι κατὰ φθόνον τῆς εὐδαιμονίας. ὁρῶντες γὰρ τὸ τῶν ἰσραηλιτῶν γένος ἀκμάζον, καὶ δι' ἀρετὴν καὶ πρὸς τὸ πονεῖν εὐφυΐαν πλήθει χρημάτων ἤδη λαμπρούς, καθ' αὑτῶν αὔξεσθαι τούτους ὑπελάμβανον. ὧν τ' ἦσαν εὖ ὑπὸ ἰωσήπου τετυχηκότες, διὰ χρόνου μῆκος λήθην λαβόντες, καὶ τῆς βασιλείας εἰς ἄλλον οἶκον μετεληλυθυίας, δεινῶς ἐνύβριζον τοὺς ἰσραηλίτας, καὶ ταλαι- D πωρίας αὐτοῖς ποικίλας ἐπενόουν. τόν τε γὰρ ποταμὸν εἰς διώρυχας πολλὰς αὐτοῖς προσέταξαν διατεμεῖν, τείχη τε οἰκοδομῆσαι ταῖς πόλεσι, καὶ χώματα, ὅπως ἂν εἴργοι τὸν ποταμὸν μὴ λιμνάζειν ἔξω ἐκείνων ἐπεκβαίνοντα. πυραμίδας τε ἀνοικοδομοῦντες ἐξέτρυχον ἡμῶν τὸ γένος, ὡς τέχνας τε παντοίας ἀναδιδάσκεσθαι, καὶ τοῖς πόνοις γενέσθαι συνήθεις. καὶ τετρακοσίων μὲν ἐτῶν χρόνον ἐπ' αὐταῖς διήνυσαν ταῖς ταλαιπωρίαις E ἀντεφιλονείκουν γάρ, οἱ μὲν αἰγύπτιοι τοῖς πόνοις ἐξαπολέσαι τοὺς ἰσραηλίτας ἐθέλοντες. οἱ δέ, ἀεὶ κρείττους φαίνεσθαι τῶν ἐπιταγμάτων. ἐν τούτοις δὲ ὄντων αὐτῶν τοῖς πράγμασιν, αἰτία μᾶλλον σπουδάσαι περὶ τὸν ἀφανισμὸν τοῦ γένους ἡμῶν τοὺς αἰγυπτίους προσεγένετο τοιαύτη. τῶν ἱερογραμματέων τις, καὶ γὰρ ἦσαν οἱ περὶ τὴν ἀλήθειαν εἰπεῖν, ἀγγέλλει τῷ βασιλεῖ τεχθήσεσθαί τινα τοῖς ἰσραηλίταις κατ' ἐκεῖνον τὸν καιρόν, ὃς ταπεινώσει μὲν τὴν αἰγυπτίων ἡγεμονίαν. αὐ- F ξήσει δὲ τοὺς ἰσραηλίτας, τραφείς. ἀρετῇ τε πάντας ὑπερβαλεῖ καὶ δόξαν ἀείμνηστον κτήσεται. δείσας δὲ ὁ βασιλεύς, κατὰ γνώμην τὴν ἐκείνου κελεύει πᾶν τὸ γεννηθὲν ἄρσεν ὑπὸ τῶν ἰσραηλιτῶν εἰς τὸν ποταμὸν ῥιπτοῦντας διαφθείρειν. παραφυλάσσειν τε τὰς ὠδῖνας τῶν ἑβραίων γυναικῶν, καὶ τοὺς τοκετοὺς αὐτῶν παρατηρεῖν τὰς αἰγυπτίων μαίας· ὑπὸ γὰρ τούτων ἐκέλευον αὐτὰς μαιοῦσθαι, αἳ διὰ συγγένειαν ἔμελλον μὴ παραβήσεσθαι τὸ τοῦ βασι- G λέως βούλημα. τοὺς μέντοι καταφρονήσαντας τοῦ προστάγματος, καὶ σώζειν λάθρα τολμήσαντας τὸ τεχθέν, τούτους ἀναιρεῖσθαι σὺν τῇ γενεᾷ προσέταξε. δεινὸν οὖν τοῖς ὑπομένουσι τὸ πάθος, οὐ καθὸ παίδων ἐστεροῦντο, καὶ γονεῖς ὄντες αὐτοὶ πρὸς τὴν ἀπώλειαν ὑπούργουν τῶν γενομένων. ἀλλὰ καὶ ἡ ἐπίνοια τῆς τοῦ γένους αὐτῶν ἐπιλείψεως, τῶν θ' ἑαυτῶν μὲν τῶν τικτομένων, αὐτῶν δὲ διαλυ-

λυθησομένων, χαλεπὴν αὐτοῖς καὶ δυσπαραμύθητον A ἐποίει τὴν συμφοράν. καὶ οἱ μὲν ἦσαν ἐν τούτῳ τῷ κακῷ. κρατήσειε δ' ἂν οὐδεὶς τῆς τοῦ θεοῦ γνώμης, οὐδὲ μυρίας τέχνας ἐπὶ τούτῳ μηχανησάμενος. ὅτε γὰρ παῖς ὃν προεῖπεν ὁ ἱερογραμματεὺς, τρέφεται λαθὼν τὴν τοῦ βασιλέως φυλακὴν, καὶ ἀληθὴς ἐπὶ τοῖς ἐξ αὐτοῦ γενησομένοις ὁ προειπὼν εὑρέθη. ἀμαράμης, τῶν εὖ γεγονότων παρὰ τοῖς ἑβραίοις, δεδιὼς ὑπὲρ τοῦ παντὸς ἔθνους μὴ σπάνει τῆς ἐπιτραφησομένης νεότητος ἐπιλείπῃ, καὶ B χαλεπῶς ἐφ' ἑαυτοῦ φέρων, ἐκύει γὰρ αὐτῷ τὸ γύναιον, ἐν ἀμηχάνοις ἦν. καὶ πρὸς ἱκετείαν τοῦ θεοῦ τρέπεται, παρακαλῶν οἶκτον ἤδη τινὰ λαβεῖν αὐτὸν ἀνθρώπων μηδὲν τῆς εἰς αὐτὸν θρησκείας παραβεβηκότων. δοῦναί τε ἀπαλλαγὴν αὐτοῖς ὧν παρ' ἐκεῖνον ἐκακοπάθουν τὸν καιρὸν, καὶ τῆς ἐπ' ἀπωλείᾳ τοῦ γένους αὐτῶν ἐλπίδος. ὁ δὲ θεὸς ἐλεήσας αὐτὸν, καὶ πρὸς τὴν ἱκετείαν ἐπικλασθεὶς, ἐφίσταται κατὰ τοὺς ὕπνους αὐτῷ καὶ μήτε ἀπογινώσκειν αὐτὸν περὶ τῶν μελλόντων παρεκάλει. τήν τε εὐ- C σέβειαν αὐτῶν ἔλεγε διὰ μνήμης ἔχειν. καὶ τὴν ὑπὲρ ταύτης ἀμοιβὴν ἀεὶ παρέξειν, ἤδη μὲν καὶ τοῖς προγόνοις αὐτῶν δωρησάμενος τὸ γενέσθαι τοσοῦτον πλῆθος αὐτοὺς ἐξ ὀλίγων. καὶ ἄβραμον μὲν μόνον ἐκ τῆς μεσοποταμίας εἰς τὴν χαναναίαν παραγενόμενον εὐδαιμονῆσαι, τά τε ἄλλα καὶ τῆς γυναικὸς αὐτῷ πρὸς γονὴν ἀκάρπως ἐχούσης πρότερον, ἔπειτα κατὰ τὴν αὐτοῦ βούλησιν ἀγαθῆς πρὸς τοῦτο γενομένης τεκνῶσαι παῖδας. καὶ καταλιπεῖν μὲν, ἰσμαήλῳ καὶ τοῖς ἐξ αὐτοῦ D τὴν ἀράβων χώραν, τοῖς δ' ἐκ χατούρας τὴν τρωγλοδύτιν, ἰσάκῳ δὲ τὴν χαναναίαν. ὅσα τε πολέμων κατὰ τὴν ἐμὴν φησὶν συμμαχίαν ἀνδραγάθησε, κἂν ἀσεβεῖς εἶναι δόξητε καὶ διὰ μνήμης ἔχοντες. ἰάκωβον δὲ, καὶ τοῖς οὐχ ὁμοφύλοις γνώριμον εἶναι συμβέβηκεν, ἐπί τε μεγέθει τῆς εὐδαιμονίας μεθ' ἧς ἐβίωσε, καὶ πᾶσι τοῖς αὐτοῦ κατέλειπεν. οὗ μετὰ ἑβδομήκοντα τῶν πάντων εἰς αἴγυπτον ἀφικομένου, ὑπὲρ ἑξήκοντά που μυριάδες ἤδη E γεγόνασιν. νῦν δέ με τοῦ κοινῇ συμφέροντος ὑμῶν ἴσθι προνοούμενον, καὶ τῆς σῆς εὐκλείας. ὁ παῖς γὰρ οὗτος, οὗ τὴν γένεσιν αἰγύπτιοι δεδιότες κατέκριναν ἀπολλύναι τὰ ἐξ ἰσραηλιτῶν τικτόμενα, σὸς ἔσται. καὶ λήσεται μὲν τοὺς ἐπ' ὀλέθρῳ παραφυλάσσοντας. τραφεὶς δὲ παραδόξως, τὸ μὲν ἑβραίων γένος τῆς παρ' αἰγυπτίοις ἀνάγκης ἀπολύσει. μνήμης δὲ ἐφ' ὅσον μένει χρόνον τὰ σύμπαντα τεύξεται παρὰ ἀνθρώποις, οὐχ ἑβραίοις μόνον, ἀλλὰ καὶ παρὰ τοῖς ἀλλοφύλοις, ἐμοῦ τοῦτο χαριζομένου F σοί τε καὶ τοῖς ἐκ σοῦ γενησομένοις. ἔσται δὲ αὐτῷ καὶ ὁ ἀδελφὸς τοιοῦτος, ὥστε τὴν ἐμὴν ἕξειν ἱερωσύνην, αὐτόν τε καὶ τοὺς ἐκγόνους αὐτοῦ διὰ παντὸς τοῦ χρόνου. ταῦτα τῆς ὄψεως αὐτῷ δηλωσάσης, περιεγερθεὶς ὁ ἀμαράμης, ἐδήλου τῇ ἰωχαβέλῃ. γυνὴ δ' ἦν αὐτοῦ. καὶ τὸ δέος ἔτι μεῖζον διὰ τὴν τοῦ ὀνείρου πρόρρησιν αὐτοῖς συνίστατο. οὐ γὰρ ὡς περὶ παιδὸς μόνον εὐλαβεῖς ἦσαν, G ἀλλὰ καὶ ὡς ἐπὶ μεγέθει τοσαύτης εὐδαιμονίας ἐσομένης. τοῖς μέν τοι προκατηγγελμένοις ὑπὸ τοῦ θεοῦ, πίστιν ὁ τοκετὸς παρέσχε λαθούσης τοὺς φύλακας διὰ τὴν τῶν ὠδίνων ἐπιείκειαν, καὶ τὸ μὴ βιαίας αὐτῇ προσπεσεῖν τὰς ἀλγηδόνας. καὶ τρεῖς μὲν μῆνας παρ' αὐτοῖς τρέφουσι, λανθάνοντες. ἔπειτα δείσας ἀμαράμης μὴ κατάφωρος γένηται καὶ πεσὼν ἐπὶ τὴν τοῦ βασιλέως ὀργὴν αὐτός τε ἀπολεῖται μετὰ τοῦ παιδίου, καὶ τοῦ θεοῦ τὴν ἐπαγγελίαν ἀφανίσειεν.

& ipsis parentibus non multo post erat moriendum: atque ita in extremo infortunio constituti sibi videbantur. Sed nemo potest Dei voluntati resistere etiamsi infinitas artes in hoc comminiscatur. nam & puer de quo sacrorum scriba prædixerat, clusis regiis obseruatoribus clàm fuit educatus, & vatem non fuisse vanum euentus rei comprobauit. Amarames Hebræus vir inter suos nobilis, solicitus tum publico periculo ne gens defectu iuuentutis ad nihilum redigeretur, tum priuatim quòd domi prægnantem vxorem haberet, inopia consilij laborabat: & ad implorandum diuinum præsidium conuersus, orabat vt tandem misereretur hominum à quibus vnis perpetuò cultus fuerit: darétque finem præsentis afflictionis quæ toti generi perniciem minaretur. Deus autem precibus supplicis ad misericordiam flexus, astitit ei per somnum, iussitque in futurum bene sperare. Memorem se esse pietatis eorum à maioribus acceptæ, nec ipsis defutura præmia, sicut nec progenitoribus defuisse. Se enim illorum progeniem ad tam numerosam multitudinem auxisse: suo fauore Abrahamum solum è Mesopotamia in Chananæam profectum præter reliquas felicitates ex vxore antea sterili liberos suscepisse, & successoribus amplas regiones reliquisse, Ismaheli Arabiam, Chæturæ filiis Troglodytidem, Isaco Chananæam. Res etiam bello meis auspiciis feliciter ab eo gestas nunquam sine impietatis & ingratitudinis nota non meminisse potestis. Iacobi verò nomen etiam apud exteras gentes celebre est, tum ob eam felicitatem in qua ipse vixit, tum ob eam quæ posteris eius quasi hæreditario iure obtigit: qui à septuaginta viris patrem in Ægyptum comitatis oriundi iam ad sexcentorum millium numerum creuerunt. nunc quoque scito mihi cordi esse & publicam vestram incolumitatem, & priuatim tuam gloriam. puer enim iste cuius natiuitatis metu Ægyptij fœtus vestros ad necem damnauerunt, tibi nascetur. hic neque deprehendetur ab obseruatoribus, & postquam euaserit præter opinionem educatores nactus, suo tempore Hebræos ex Ægyptia seruitute liberabit, memoriámque sempiternam hoc præclaro facinore consequetur non apud suos tantum, sed & apud exteros, me istud beneficium in te tuósque posteros conferente. fratrem quoque talem habebit, qui dignus sit meo sacerdotio ipse & posteri eius in omne æuum. His per visionem cognitis Amarames experrectus narrauit hoc Iochabeli vxori, quæ res vtrisque solicitudinem auxit. iam enim non puero tantum timebant, sed ne quo pacto promissa felicitas intercideret. sed mox oraculo fidem fecit mulieris partus, quæ tam facile est enixa vt obseruatores fefellerit, nihil sentientes eorum quæ in vulgaribus puerperiis sentiri solent. hunc infantulum per tres menses clàm nutrierunt. deinde Amarames veritus ne re deprehensa iram regis incurreret, ac mox & ipse vnà cum puero sublatus è medio promissionem Dei faceret irritam,

Exod. 2.

maluit salutem filij totam ipsius prouidentiæ committere: ratus etiamsi puer lateret, quod tamen perdifficile erat, molestum tamen in continuo periculo viuere, non eius tantùm, sed & suo. De Deo verò certam spem habebat, prouisurum vt oraculi veritatem euentus indicaret. Hoc consilium postquam satis placuit, excogitauerunt tale quiddam: lectulo è papyro contexto, quantus infantulum commodè capere poterat, bitumineque illito, ne aqua penetrare posset, indiderunt puerum: atque ita in flumen proiecti salutem diuinæ prouidentiæ commiserunt. in hunc modum cùm à flumine deferretur, Mariame infantuli soror iussu matris ex aduerso per ripam descendebat, obseruatura quò tandem papyraceum illud vas deportaretur à flumine. Hic verò manifestissimè Deus declarauit, nihil humana sapientia, sed omnia bonitate illius omnipotenti confici: eósque qui propter vtilitatem suam aut securitatem aliis perniciem moliuntur, quantalibet vtantur diligentia, sæpe tamen voti compotes non fieri: rursum qui suam salutem Deo committunt, præter opinionem è mediis periculis emergere: quod & in hoc puero videre licet. Erat filia regi nomine Thermuthis. hæc dum ludit ad ripas fluminis conspicata vas fluitans, missis natatorib. iubet lectulum ad se in ripam extrahi. quo vt iussum erat allato, mirè placuit puer, quòd esset magnus ac pulcher. Tanto enim fauore Deus Moysen prosecutus est, vt eum fecerit ab illis ipsis nutriri & educari, qui propter eius natiuitatem reliquos quoque Hebræos perdendos decreuerant. Itaque iubet Thermuthis mulierem alicunde adduci, quæ puero mammam præbeat. quo non admittente mammam, sed aduersante, idque cùm alia post aliam adduceretur: Mariame quasi non data opera, sed fortuito ad spectandum interuenisset, Nihil agis, inquit, regina dum nutrices infanti adhibes alieni generis mulieres. quòd si Hebræam aliquam accersceres, tum fortè popularis mammam admitteret. cúmque rectè monere videretur puella, iussa est ipsa hoc negotium exequi & lactantem quampiam adducere: ac mox vsa permissa potestate, rediit adducens communem matrem, ignotam omnibus qui tum aderant. tum infans perquam libenter inhærere mamillæ visus est: & rogante regina mulier commissi infantis curam suscepit. & quia proiectus fuerat in profluentem, ab hoc casu nomen est sortitus. aquam Ægyptij vocant Mo, yses verò seruatos. quare composita voce ex vtrisque nomen infanti fuit inditum, qui deinde citra controuersiam prudentissimus Hebræorum euasit, ita vt Deus iam antè prædixerat. erat enim ab Abrahamo septimus. nam ipse Amaramæ filius fuit, sicut pater eius Cathi, hic verò Leuis, & Leuis Iacobi, qui ex Isaco erat prognatus. hic autem Abrahami erat filius. puer autem non pro ætate proficiebat intellectu, sed inter ludendum præ cæteris æqualibus sapere videbatur. & quicquid ageret, noua quadam indole

A ἔγνω μᾶλλον ἐπὶ τούτῳ πιστεῦσαι τὴν τοῦ παιδὸς σωτηρίαν καὶ πρόνοιαν. τῷ τε λήσεσθαι πεπιστευκὼς, τοῦτο δὲ ἦν ἄδηλον, ἐναποκινδυνεύειν, οὐ τῷ παιδὶ μόνον κρυφαίως τρεφομένῳ, ἀλλὰ καὶ αὑτῷ. τὸν δὲ θεὸν ἡγεῖτο πᾶσαν ἐκ περιουσίας ἀσφάλειαν ὑπὲρ τοῦ μηδὲν ψεῦδος γενέσθαι τῶν εἰρημένων. ταῦτα κρίναντες, μηχανῶνται πλέγμα βίβλινον ἐμφερὲς τῇ κατασκευῇ κοιτίδι, μέγεθος αὐτῇ ποιήσαντες αὔταρκες εἰς τὸ μετ' εὐρυ- B χωρίας ἐναποκεῖσθαι τὸ βρέφος. ἔπειτα χρίσαντες ἀσφάλτῳ, τῷ γὰρ ὕδατι τὴν διὰ τῶν πλεγμάτων ἀποφράττειν εἴσοδον ἡ ἄσφαλτος πέφυκεν, ἐντιθέασι τὸ παιδίον. καὶ κατὰ τοῦ ποταμοῦ βαλόντες, εἴασαν ἐπὶ τῷ θεῷ τὴν σωτηρίαν αὐτοῦ. καὶ τὸ μὲν ὁ ποταμὸς παραλαβὼν ἔφερε. μαριάμη δὲ τοῦ παιδὸς ἀδελφὴ κελευσθεῖσα ὑπὸ τῆς μητρὸς, ἀντιπαρῄει, ὅποι φερόμενον χωρήσει ὀψομένη τὸ πλέγμα. ἔνθα καὶ διέδειξεν ὁ θεὸς μη- C δὲν μὲν τὴν ἀνθρωπίνην σύνεσιν, πᾶν δ' ὅτι καὶ βουληθείη πράττειν αὐτοτελοῦς ἀγαθοῦ τυγχάνον. καὶ διαμαρτάνοντας μὲν τοὺς ὑπὲρ ἰδίας ὠφελείας καὶ ἀσφαλείας ἄλλων κατακρίνοντας ὄλεθρον καὶ πολλῇ περὶ τούτου χρησαμένους σπουδῇ. σωζομένους δὲ ἐκ παραδόξου καὶ σχεδὸν ἐκ μέσου τῶν κακῶν εὑρισκομένους τὴν εὐπραγίαν τοὺς κινδυνεύοντας τῇ τοῦ θεοῦ γνώμῃ. τοιοῦτον γάρ τι καὶ περὶ τὸν παῖδα τοῦτον γενόμενον ἐμφανίζει τὴν ἰσχὺν τοῦ θεοῦ. θερμουθὶς ἦν θυγάτηρ τοῦ βασιλέως. αὕτη παί- D ζουσα παρὰ τὰς ἠϊόνας τοῦ ποταμοῦ, καὶ φερόμενον ὑπὸ τοῦ ῥεύματος θεασαμένη τὸ πλέγμα, κολυμβητὰς ἐκπέμπει, κελεύσασα τὴν κοιτίδα πρὸς αὐτὴν ἐκκομίσαι. παραγενομένων δὲ τῶν ἐπὶ τούτῳ σταλέντων μετὰ τῆς κοιτίδος ἰδοῦσα τὸ παιδίον, ὑπερηγάπησε, μεγέθους τε εἵνεκα καὶ κάλλους. τοσαύτῃ γὰρ ὁ θεὸς περὶ μωυσῆν ἐχρήσατο σπουδῇ, ὡς ὑπὸ πάντων τῶν καταψηφισαμένων διὰ τὴν αὐτοῦ γένεσιν καὶ τῶν ἄλλων ἐκ τοῦ ἑβραίων γένους ἀπώλειαν ποιῆσαι τροφῆς καὶ ἐπιμελείας ἀξιω- E θῆναι. κελεύει τε γύναιον ἡ θερμουθὶς ἀχθῆναι, παρέξον θηλὴν τῷ παιδίῳ. μὴ προσεμένου δὲ αὐτοῦ τὴν θηλὴν, ἀλλ' ἀποστραφέντος, καὶ τοῦτ' ἐπὶ πολλῶν ποιήσαντος, ἡ μαριάμη παρατυγχάνουσα τοῖς γινομένοις, οὐχ ὥς τε ἐκ παρασκευῆς δοκεῖν, ἀλλὰ κατὰ θεωρίαν, εἶπε, μάτην, ὦ βασίλισσα, ταύτας ἐπὶ τροφῇ τοῦ παιδὸς μετακαλῇ τὰς γυναῖκας, αἳ μηδὲν πρὸς αὐτὸν συγγενὲς ἔχουσιν. εἰ μέντοι τινὰ τῶν ἑβραΐδων γυναικῶν ἀχθῆναι F ποιήσειας τάχα ἂν προσοῖτο θηλὴν ὁμοφύλου. δόξασαν δὲ καλῶς λέγειν ἐκέλευσεν τοῦτ' αὐτὴν ἐκπορίσαι, καὶ τῶν γαλουχουσῶν τινὰ μετελθεῖν. ἡ δὲ τοιαύτης ἐξουσίας λαβομένη, παρῆν ἄγουσα τὴν μητέρα μηδενὶ γινωσκομένην. καὶ τὸ παιδίον ἀσμενίσαν πως προσφύεται τῇ θηλῇ. καὶ δεηθείσης τε τῆς βασιλίδος, πιστεύεται τὴν τροφὴν τοῦ παιδίου πρὸς τὸ πᾶν. καὶ αὐτῷ τὴν ἐπίκλησιν ταύτην κατὰ τὸ συμβεβηκὸς ἔθετο εἰς τὸν ποταμὸν ἐμπε- G σόντι. τὸ γὰρ ὕδωρ, μῶ οἱ αἰγύπτιοι καλοῦσι. ὑσῆς δὲ, τοὺς ἐξ ὕδατος σωθέντας. συνθέντες οὖν ἐξ ἀμφοτέρων τὴν προσηγορίαν αὐτῷ ταύτην τίθενται. καὶ ἦν ὁμολογουμένως κατὰ τὴν τοῦ θεοῦ πρόρρησιν φρονήσει ἑβραίων ἄριστος. ἄβραμος γὰρ αὐτῷ πατὴρ ἕβδομος. ἀμαράμου μὲν γὰρ αὐτὸς ἦν παῖς. καάθου δὲ ὁ πατήρ. ὁ δὲ λευΐ. καὶ λευΐ τοῦ ἰακώβου, ὃς ἦν ἰσάκῳ γενόμενος. ἀβράμου δὲ οὗτος ἦν. σύνεσις δὲ οὐ κατὰ τὴν ἡλικίαν ἐφύετο αὐτῷ, τοῦ δὲ ταύτης μέτρου πολὺ κρείττω καὶ πρεσβυτέραν διεδείκνυε ταύτης τὴν περιουσίαν ἐν ταῖς παιδιαῖς.

καὶ

καὶ μειζόνων τῶν ὑπ' ἀνδρὸς γινομένων ἐπαγγελίαν εἶχε τὰ τότε πραττόμενα. καὶ τριετῆ μὲν αὐτὸν γεγενημένον, θαυμαστὸν ὁ θεὸς τὸ τῆς ἡλικίας ἐξῆρε ἀνάστημα. πρὸς δὲ κάλλος οὐδεὶς ἀφιλοτίμητος ἦν οὕτως, ὡς μωυσῆν θεασάμενος μὴ ἐκπλαγῆναι τῆς εὐμορφίας. πολλοῖς τε συνέβαινε καθ' ὁδὸν φερομένῳ συντυγχάνουσιν, ἐπιστρέφεσθαι μὲν ὑπὸ τῆς ὄψεως τοῦ παιδός. ἀφιέναι δὲ τὰ σπουδαζόμενα καὶ τῇ θεωρίᾳ προσσχολεῖν αὐτοῦ. καὶ γὰρ ἡ χάρις ἡ παιδικὴ πολλὴ καὶ ἄκρατος περὶ αὐτὸν οὖσα, κατεῖχε τοὺς ὁρῶντας. ὄντα δὲ αὐτὸν τοιοῦτον, ἡ θερμουθὶς παιδοποιεῖται, γονῆς γνησίας οὐ μεμοιραμένη. καί ποτε κομίσασα τὸν μωυσῆν πρὸς τὸν πατέρα, ἐπεδείκνυέ τε τοῦτον, καὶ ὡς φροντίσειε διαδοχῆς εἰ καὶ βουλήσει θεοῦ μὴ τύχοι παιδὸς γνησίου. πρὸς αὐτόν τε ἔλεγεν. ἀναθρεψαμένη παῖδα μορφῇ τε θεῖον καὶ φρονήματι γενναῖον, θαυμασίως δὲ αὐτὸν καὶ παρ' αὐτῆς τοῦ ποταμοῦ λαβοῦσα χάριτος, ἐμαυτῆς μὲν ἠγησάμην παῖδα ποιήσασθαι, τῆς δὲ σῆς βασιλείας διάδοχον. ταῦτα λέγουσα ταῖς τοῦ πατρὸς χερσὶν ἐντίθησι τὸ βρέφος. ὁ δὲ καὶ λαβὼν καὶ προστερνισάμενος, κατὰ φιλοφρόνησιν χάριν τῆς θυγατρὸς ἐπιτίθησιν αὐτῷ τὸ διάδημα. καταφέρει δὲ ὁ μωυσῆς εἰς τὴν γῆν, περιελόμενος αὐτὸ κατὰ νηπιότητα δῆθεν, ἐπέβαινέ τε αὐτῷ τοῖς ποσί. καὶ τοῦτο ἔδοξεν οἰωνὸν ἐπὶ τῇ βασιλείᾳ φέρειν. θεασάμενος δὲ ὁ ἱερογραμματεὺς ὁ καὶ τὴν γένεσιν αὐτοῦ προειπὼν ἐπὶ ταπεινώσει τῆς αἰγυπτίων ἀρχῆς ἐσομένην, ὥρμησεν ἀποκτεῖναι. καὶ δεινὸν ἀνακραγὼς εἶπε, βασιλεῦ, παῖς ἐκεῖνος ὃν κτείνασιν ἡμῖν ἐδήλωσεν ὁ θεὸς ἀφόβοις εἶναι μαρτυρεῖ τῇ προαγορεύσει τοῦ γεγονότος, ἐπιβεβηκὼς ἡγεμονίᾳ τῇ σῇ καὶ πατῶν τὸ διάδημα. τοῦτον ἀνελών, αἰγυπτίοις μὲν τὸ ἀπ' αὐτοῦ δέος ἄρες. ἑβραίοις δὲ, τὴν ἐλπίδα τῆς δι' αὐτοῦ θαρσοῦς ἀφελοῦ. φθάνει δὲ αὐτὸν ἡ θερμουθὶς ἐξαρπάσασα, καὶ πρὸς τὸν φόνον ὀκνηρὸς ἦν ὁ βασιλεύς, τοιοῦτον αὐτὸν τοῦ θεοῦ παρασκευάσαντος, ᾧ πρόνοια τῆς μωυσέως τῆς σωτηρίας ἦν. ἐτρέφετο οὖν, πολλῆς ἐπιμελείας τυγχάνων. καὶ τοῖς μὲν ἑβραίοις ἐπ' αὐτῷ πᾶσιν εὔελπιν εἶναι περὶ τῶν ὅλων. δι' ὑποψίας δὲ εἶχον αἰγύπτιοι τὴν ἀνατροφὴν αὐτοῦ. μηδ' ἑνὸς δὲ ὄντος φανεροῦ, κἂν ἀπέκτεινεν αὐτὸν ὁ βασιλεύς, ἢ συγγενοὺς διὰ τῆς εἰσποιήσεως, ἢ τῶν ἄλλων τινός, ᾧ πλέον ὑπὲρ ὠφελείας τῶν αἰγυπτίων ἐκ τοῦ προειδέναι θαρρεῖν παρῆν, ἀπείχοντο τῆς ἀναιρέσεως αὐτοῦ. μωϋσῆς μὲν οὖν τῷ προειρημένῳ τρόπῳ γεννηθεὶς καὶ τραφείς, καὶ παρελθὼν εἰς ἡλικίαν, φανερὰν τοῖς αἰγυπτίοις τὴν ἀρετὴν ἐποίησε, καὶ τὸ ἐπὶ ταπεινώσει μὲν τῇ ἐκείνων, ἐπ' αὐξήσει δὲ τῶν ἑβραίων γεγονέναι, τοιαύτης ἀφορμῆς λαβόμενος. αἰθίοπες, πρόσοικοι δὲ εἰσὶ τοῖς αἰγυπτίοις, ἐμβαλόντες εἰς τὴν χώραν αὐτῶν, ἔφερον καὶ ἦγον τὰ τῶν αἰγυπτίων. οἱ δὲ ὀργῇ στρατεύουσιν ἐπ' αὐτούς, ἀμυνόμενοι τῆς καταφρονήσεως. καὶ τῇ μάχῃ κρατηθέντες, οἱ μὲν αὐτῶν ἔπεσον, οἱ δὲ αἰσχρῶς εἰς τὴν οἰκείαν διεσώθησαν φυγόντες. ἐπηκολούθησαν δὲ διώκοντες αἰθίοπες, καὶ μαλακίας ὑπολαβόντες τὸ μὴ κρατεῖν ἁπάσης τῆς αἰγύπτου, τῆς χώρας ἐπιπλεῖον ἥπτοντο, καὶ γευσάμενοι τῶν ἀγαθῶν, οὐκέτι αὐτῶν ἀπείχοντο. ὡς δὲ τὰ γειτνιάζοντα μέρη πρῶτον αὐτῆς ἐπερχομένων οὐκ ἐτόλμων ἀντιστρατεύειν, προὔβησαν ἄχρι μέμφεως, καὶ τῆς θαλάσσης, οὐδὲ μιᾶς τῶν πόλεων ἀντισχεῖν δυνηθείσης. τῷ δὲ κακῷ πιεζόμενοι, πρὸς χρη-

res magnas olim gerendas præ se ferebat. post tertium verò annum ætatis admirandam gratiam ei Deus addidit. nemo enim erat adeò tetricus, vt visa Moysis pulchritudine non obstupesceret: & persæpe accidebat vt dum gestatur ac circumfertur, obuios quosque in se cõuerteret, ita vt relictis seriis negotiis mallent præcellenti eius forma oculos pascere. Tanta erat puerilis gratia, vt inuiti homines ab hoc spectaculo discederent. quo factum est vt Thermuthis hunc sibi filium adoptauerit, cùm alioquin germanis liberis careret: allatúmque patri ostentabat, dicens de successore se cogitare, etiam si Deus illi nullum filium gignere dederit. Hunc puerum, inquit, ego educaui non minùs indole quàm pulchritudine diuina excellentem, quem Nilus ipse in sinum meum tradidisse videri potest, quem decreui adoptare mihi filiũ, tibi verò in principatu ac imperio successorem. & cum dicto patri infantem in manus imposuit. at ille postquam acceptum ad pectus appressisset, filiæ gratificaturus comiter diadema suum eius capiti imposuit. Moyses verò capiti pueriliter detractum prolabi in humum passus, pedibus etiam calcauit, id quod mox ominosum est visum, & regno nihil boni portendere. móxque ille sacrorum scriba qui natiuitatem eius Ægypto cladem allaturam prædixerat, occidere puerũ volebat, vociferans: Rex, puer iste per cuius necem nobis securitatem Deus pollicetur, vaticinium iam confirmauit, insultando tuo regno & diadema calcãdo. Hoc interempto tam Ægyptiis metum quàm Hebræis spem & fiduciam adime. Thermuthis verò confestim eum eripit, rege quoque non inuito, cui Deus talem animum indiderat, Moysis saluti prouidens. itaque educabatur quàm accuratissimè. Quamobrem Hebræi quidem felicitatem suo generi sperabant, Ægyptiis verò suspecta erat hæc educatio. sed cùm nemo extaret vel è cognatis regiis vel ex aliis optimatibus, qui etiamsi Moyses sublatus esset, magnopere videretur procuraturus Ægyptiorum commoda, abstinuerunt ab eius cæde.

X. Itaque sic natus, & sic educatus, postquàm adoleuit, breui suæ virtutis specimen edidit, & quantum momenti vel suis vel Ægyptiis esset allaturus, occasionem nactus talem. Æthiopes qui supra Ægyptum incolunt, agebant & ferebant facultates Ægyptiorum. illi moti indignatione ducunt in eos exercitum, contumeliam cum iniuria coniunctam vlturi: mox prælio commisso, partim in acie ceciderunt, partim in fugam turpiter compulsi retro ad suos se receperunt. quo successu elati Æthiopes fugientibus instabant, & ignauum rati si fortuna non vterentur, concepta spe subiugandæ Ægypti, latè eam populabantur: degustatáque prædæ dulcedine, non temperantes sibi ad maiora audenda accendebantur. cúmque vicinas regiones peruagantibus nemo cum armis obuiam iret, pergebant vlterius Memphim vsque & mare, nulla ciuitate resistere valente. Quibus calamitatibus Ægyptij pressi,

mittunt qui remedium ab oraculis petant. cúmque responsum esset, Hebræum in auxilium aduocandum, rex à filia postulat Moysen qui vniuersis copiis cum imperio præsit. paruit illa, sed priùs rege iureiurando obstricto, nihil in perniciem iuuenis machinaturum, pro magno hoc auxilium imputans, & sacerdotibus probro dans quòd non puderet nunc eius opem implorare, quem prius vt hostem occidendum esse monuerint ac iusserint. Moyses verò Thermutidis simul ac regis rogatu libenter hoc negotium suscipit: quod factum gentis vtriusque vatibus lætitiam attulit. Ægyptij post partam eius virtute de Aethiopibus victoriam, occasionem sibi per dolum tollendi non defore sperabant: contrà Hebræi, Moyse copiis præposito, adfore sibi facultatem euadendi ex Ægyptia seruitute. Ille verò volens hostem opprimere priusquam de aduentu suo cognosceret, non per fluminis ripam, sed per interiora terræ expeditionem fecit. qua in re satis declarauit quantum ingenio polleret ac prudentia. cùm enim hoc iter difficile esset præ multitudine serpentum (nam hic tractus plurimos gignit, aliquot etiam genera quæ nusquam alibi reperiuntur, noxios omnes & ipso aspectu horrendos, & in his quosdam volucres, vt non solùm humi latentes insidientur, sed & sublimes ex improuiso noceant) cómentus est ad securum iter exercitus stratagema dignum admiratione. vasa enim plexilia non pauca è papyro in arcæ formam fieri curauit, quæ completa ibibus secum deferebat. est autem hoc animal infestissimum serpētum generi. quapropter fugitant earum insectationem, & inter fugiendum sicut à ceruis retracti deuorantur, sunt autem mansuetæ alites, & contra solos serpentes feroces. de quibus nunc desino plura, vtpote apud Græcos non incognitis. postquam igitur ventum est in terram venenosis bestiolis scatentem, ibes illis immisit, quarum bona opera vsus, itinere impunè peracto nec opinos Æthiopes inuasit: commissóque prælio fusos ac fugatos, & spe occupandæ Ægypti frustratos retro in suam regionem compulit. nec hoc contentus oppida illorum euertebat, & vbique magna cædes hostium patrabatur. quo factum est vt post hæc auspiciis Moysis feliciter gesta tantam alacritatem exercitus præ se ferret, vt nihil non laboris toleraturus videretur, iámque aut excidium aut captiuitas Æthiopibus immineret. ad vltimum compulsi in Saba regiam eius gētis, quam postea Cambyses Persarum rex de sororis suæ nomine Meroen appellauit, obsidione sunt cincti. erat autem penè inexpugnabilis, vtpote Nilo circumquaque cincta, accedentibus ad eius munitionem & aliis fluuiis Astapo & Astoborra, qui obiectu suo difficiliorem traiectum facerent. itaque sita in insula, & muro valido inclusa, non fluminibus tātùm arcebat hostem, sed aggeribus, qui mœnia inter & flumina ad eorum inundationes prohibendas, instructi, ad hoc quoque tú proderant quòd hosti etiam post superata flumina aditum ad vrbem oppugnandum negabant.

σμοῖς Αἰγύπτιοι καὶ μαντείας τρέπονται. συμβουλευσάντων δ' αὐτοῖς τοῦ θεοῦ συμμάχῳ χρήσασθαι τῷ Ἑβραίῳ, κελεύει ὁ βασιλεὺς τὴν θυγατέρα παρασχεῖν τὸν Μωυσῆν, στρατηγὸν αὐτῷ γενησόμενον. ἡ δὲ ὅρκοις πιστωσαμένῳ ὥστε μηδὲν διαθεῖναι κακὸν, παραδίδωσιν· ἀντὶ μεγάλης μὲν εὐεργεσίας κρίνουσα τὴν συμμαχίαν. κακίζουσα δὲ τοὺς ἱερέας εἰ κτεῖναι προαγορεύσαντες αὐτὸν ὡς πολέμιον, οὐκ ᾐδοῦντο νῦν χρῄζοντες αὐτοῦ τῆς ἐπικουρίας. Μωυσῆς δὲ, ὑπό τε τῆς Θερμούθιδος παρακληθεὶς, καὶ ὑπὸ τοῦ βασιλέως, ἡδέως προσδέχεται τὸ ἔργον. ἔχαιρον δ' οἱ ἱερογραμματεῖς ἀμφοτέρων τῶν ἐθνῶν. Αἰγυπτίων μὲν, ὡς τούς τε πολεμίους τῇ ἐκείνου κρατήσοντες ἀρετῇ, καὶ τὸν Μωυσῆν τῷ αὐτῷ δόλῳ κατεργασάμενοι. οἱ δὲ τῶν Ἑβραίων, ὡς φυγεῖν αὐτοῖς ἐσομένου τοὺς Αἰγυπτίους διὰ τὸ Μωυσῆν αὐτῶν στρατηγεῖν. ὁ δὲ φθάσας πρὶν ἢ πυθέσθαι τοὺς πολεμίους τὴν ἔφοδον αὐτοῦ, τὸν στρατὸν ἀναλαβὼν ἦγεν, οὐ διὰ τοῦ ποταμοῦ ποιησάμενος τὴν ἐλασίαν, ἀλλὰ διὰ γῆς. ἔνθα τῆς αὐτοῦ συνέσεως θαυμαστὴν ἐπίδειξιν ἐποιήσατο. τῆς γὰρ γῆς χαλεπῆς οὔσης ὁδευθῆναι διὰ πλῆθος ἑρπετῶν (παμφορωτάτη γάρ ἐστιν, ὡς καὶ τὰ παρ' ἄλλοις τούτων οὐκ ὄντα μόνη φέρειν, δυνάμει τε καὶ κακίᾳ τῶν τῆς ὄψεως ἀσυνήθει διαφέροντα, τινὰ δ' αὐτῶν ἐστι καὶ πετεινὰ, ὡς λαθόντα μὲν ἀπὸ γῆς κακουργεῖν, καὶ μὴ προειδομένους ἀδικεῖν ὑπόπτερα γινόμενα) νοεῖ πρὸς ἀσφάλειαν καὶ ἀβλαβῆ πορείαν τοῦ στρατεύματος στρατήγημα θαυμαστόν. πλέγματα γὰρ ἐμφερῆ κιβωτοῖς ἐκ βίβλου κατασκευάσας, καὶ πληρώσας ἴβεων, ἐκόμιζε. πολεμιώτατον δ' ἐστιν ὄφεσι τοῦτο τὸ ζῷον. φεύγουσί τε γὰρ ἐπερχομένας, καὶ ἀφιστάμενοι καθάπερ ὑπ' ἐλάφων ἁρπαζόμενοι καταπίνονται. χειροήθεις δ' εἰσὶν αἱ ἴβεις, καὶ πρὸς μόνον τὸ τῶν ὄφεων γένος ἄγριοι. καὶ περὶ μὲν τούτων, παρίημι νῦν γράφειν, οὐκ ἀγνοούντων τῶν Ἑλλήνων τῆς ἴβιδος τὸ εἶδος. ὡς οὖν εἰς τὴν γῆν ἐνέβαλε τὴν θηριοτρόφον, ταύταις ἀπεμάχετο, τὴν τῶν ἑρπετῶν φύσιν ἐπαφεὶς αὐτοῖς, καὶ προπολεμούσαις χρώμενος. τοῦτον οὖν ὁδεύσας τὸν τρόπον, οὐδὲ προμαθοῦσι παρῆν τοῖς Αἰθίοψι. καὶ συμβαλὼν αὐτοῖς, κρατεῖ τῇ μάχῃ, καὶ τῶν ἐλπίδων ἃς εἶχον ἐπὶ τοὺς Αἰγυπτίους, ἀφαιρεῖται. τάς τε πόλεις αὐτῶν ἐπῄει καταστρεφόμενος, καὶ φόνος πολὺς τῶν Αἰθιόπων ἐπράττετο. καὶ τῆς διὰ Μωυσῆν εὐπραγίας γευσάμενον τὸ τῶν Αἰγυπτίων στράτευμα πονεῖν οὐκ ἔκαμνεν, ὡς περὶ ἀνδραποδισμοῦ καὶ παντελοῦς ἀναστάσεως τὸν κίνδυνον εἶναι τοῖς Αἰθίοψι. καὶ τέλος, συνελασθέντες εἰς Σαβὰ πόλιν βασίλειον οὖσαν τῆς Αἰθιοπίας, ἣν ὕστερον Καμβύσης Μερόην ὠνόμασεν, ἀδελφῆς ἰδίας τοῦτο καλουμένης, ἐπολιορκοῦντο. ἦν δὲ δυσπολιόρκητον σφόδρα τὸ χωρίον, τοῦ τε Νείλου περιέχοντος αὐτὴν καὶ κυκλουμένου, ποταμῶν τε ἄλλων Ἀστάπου καὶ Ἀστοβόρρα δυσμάχητον τοῖς πειρωμένοις διαβαίνειν τὸ ῥεῦμα ποιούντων. ἡ γὰρ πόλις ἐντὸς οὖσα νῆσος οἰκεῖται, τείχους τε αὐτῇ καρτεροῦ περιηγμένου, καὶ πρὸς μὲν τοὺς πολεμίους πρόβλημα τοὺς ποταμοὺς ἔχουσα, χώματά τε μεγάλα μεταξὺ τοῦ τείχους, ὥστε ἀνεπίκλυστος εἶναι βιαιότερον ὑπὸ πλημμύρας φερομένων, ἅπερ καὶ τοῖς περαιωσαμένοις τοὺς ποταμοὺς ἄπορον ἐποίει τῆς πόλεως τὴν ἅλωσιν.

φέρον

[illegible] ἐν ἀηδίᾳ τὴν μωυσῆ τὴν τοῦ στρατεύματος ἀργίαν, εἰς χεῖρας γὰρ οὐκ ἐτόλμων ἀπαντᾶν οἱ πολέμιοι, συνέτυχέ τι τοιοῦτον. θάρβις θυγάτηρ ἦν τοῦ αἰθιόπων βασιλέως. αὕτη τὸν μωυσῆν πλησίον τοῖς τείχεσι προσάγοντα τὴν στρατιὰν καὶ μαχόμενον γενναίως ἀποσκοποῦσα, καὶ τῆς ἐπινοίας τῶν ἐγχειρήσεων θαυμάζουσα, καὶ τοῖς τε αἰγυπτίοις αἴτιον ἀπεγνωκόσιν ἤδη τὴν ἐλευθερίαν, τῆς εὐπραγίας ὑπολαμβάνουσα, καὶ τοῖς αἰθίοψιν αὐχοῦσιν ἐπὶ τοῖς ὑπ' αὐτῶν κατορθωμένοις τὸν περὶ τῶν ὅλων κίνδυνον, εἰς ἔρωτα δεινὸν ὤλισθεν αὐτοῦ. καὶ αὔξοντος τοῦ πάθους, πέμπει πρὸς αὐτὸν τῶν οἰκετῶν τοὺς πιστοτάτους διαλεγομένη περὶ γάμου. προσδεξαμένου δὲ τὸν λόγον ἐπὶ τῷ παραδοῦναι τὴν πόλιν, καὶ ποιησαμένου πίστεις ἐνόρκους ἢ μὴν ἄξεσθαι γυναῖκα, καὶ κρατήσαντα τῆς πόλεως μὴ παραβήσεσθαι τὰς συνθήκας, φθάνει τὸ ἔργον τοὺς λόγους. καὶ μετὰ τὴν ἀναίρεσιν τῶν αἰθιόπων εὐχαριστήσας τῷ θεῷ, συνετέλει τὸν γάμον μωυσῆς, καὶ τοὺς αἰγυπτίους ἀπήγαγεν εἰς τὴν ἑαυτῶν. οἱ δὲ ἐξ ὧν ἐσώζοντο ὑπὸ μωυσέως, μῖσος ἐκ τούτων πρὸς αὐτὸν ἀνελάμβανον, καὶ θερμότερον ἅπτεσθαι τῶν κατ' αὐτοῦ βουλευμάτων ἠξίουν. ὑπονοοῦντες μὲν μὴ διὰ τὴν εὐπραγίαν νεωτερίσειεν κατὰ τὴν αἴγυπτον, διδάσκοντες δὲ τὸν βασιλέα περὶ τῆς σφαγῆς. ὁ δὲ καὶ καθ' αὐτὸν μὲν εἶχε τὴν τοῦ πράγματος ἐπίνοιαν, ὑπό τε φθόνου τῆς μωυσέως στρατηγίας, καὶ ὑπὸ δέους ταπεινώσεως, ἐπειχθεὶς ὑπὸ τῶν ἱερογραμματέων, οἷός τε ἦν ἐγχειρεῖν τῇ μωυσέως ἀναιρέσει. φθάσας δὲ τὴν ἐπιβουλὴν λαθὼν ὑπέξεισιν. καὶ τῶν ὁδῶν φυλαττομένων, ποιεῖται διὰ τῆς ἐρήμου τὸν δρασμόν, καὶ ὅθεν ἦν ὑπόνοιαν μὴ λαβεῖν τοὺς ἐχθρούς. ἄπορός τε ὢν τροφῆς, ἀπηλλάττετο τῇ καρτερίᾳ καταφρονῶν. εἴς τε πόλιν μαδιηνὴν ἀφικόμενος πρὸς τῇ μὲν ἐρυθρᾷ θαλάσσῃ κειμένην, ἐπώνυμον δὲ ἑνὸς τῶν ἀβράμῳ γενομένων ἐκ κατούρας υἱῶν, καθεσθεὶς ἐπί τινος φρέατος, ἐκ τοῦ κόπου καὶ τῆς ταλαιπωρίας ἠρέμει μεσημβρίας οὔσης οὐ πόρρω τῆς πόλεως. ἐνταῦθα αὐτῷ συνέβη καὶ πρᾶξις ἐκ διαίτης τῶν αὐτόθι συστήσασα τὴν ἀρετὴν αὐτοῦ, καὶ πρὸς τὸ κρεῖττον ἀφορμὴν παρασχοῦσα. τῶν γὰρ χωρίων δυσύδρων ὄντων, προκατελάμβανον οἱ ποιμένες τὰ φρέατα, ὅπως μὴ διαναλωμένου τοῦ ὕδατος ὑπὸ τῶν ἄλλων, σπανίζοι ποτοῦ τὰ θρέμματα. παραγίνονται οὖν ἐπὶ τὸ φρέαρ ἑπτὰ παρθένοι ἀδελφαί, ραγουήλου θυγατέρες ἱερέως, καὶ πολλῆς ἠξιωμένου τιμῆς παρὰ τοῖς ἐπιχωρίοις. αἳ τῶν τοῦ πατρὸς ποιμνίων ἐπιμελούμεναι διὰ τὸ ταύτην ὑπουργίαν εἶναι καὶ γυναιξὶν ἐπιχώριον παρὰ τοῖς τρωγλοδύταις, φθάσασαι τὸ αὔταρκες ἐκ τοῦ φρέατος ἀνέσπασαν ὕδωρ τοῖς ποιμνίοις ταῖς δεξαμεναῖς, αἳ πρὸς ὑποδοχὴν τοῦ ὕδατος ἐγεγόνεισαν. ἐπιστάντων δὲ ποιμένων, καὶ ἀπελαυνόντων τὰς παρθένους ὡς αὐτοὶ τοῦ ὕδατος κρατεῖεν, μωυσῆς δεινὸν ἡγησάμενος εἶναι περιιδεῖν ἀδικουμένας τὰς κόρας, καὶ τὴν βίαν τὴν τῶν ἀνδρῶν ἐᾶσαι κρείττονα γενέσθαι τοῦ τῶν παρθένων δικαίου, τοὺς μὲν εἶρξεν πλεονεκτεῖν ἐθέλοντας, ταῖς δὲ παρέσχεν τὴν δέουσαν βοήθειαν. αἱ δὲ εὐεργετηθεῖσαι παρῆσαν πρὸς τὸν πατέρα, τήν τε ὕβριν τῶν ποιμένων αὐτῷ διηγούμεναι, καὶ τὴν ἐπικουρίαν τοῦ ξένου. παρεκάλουν τε μὴ ματαίαν αὐτῷ γενέσθαι τὴν εὐποιίαν μηδ' ἀμοιβῆς ὑστεροῦσαν. ὁ δέ, τάς τε παῖδας ἀπ-

A Hic cùm Moyses desidere exercitum ociosum ægrè ferret, hoste non audente manus conserere, interim tale quiddam accidit. erat Aethiopum regi filia nomine Tharbis. hæc Moysen mœnibus exercitum admouentem & egregiè dimicantem conspicata, virtutémque viri admirata, qui & Aegyptiorum fortunam labantem in integrum restituisset, & Aethiopas modo victores in extremum periculum adduxisset, B vehementi eius amore est correpta: quo in dies crescente, mittit ad eum è seruis fidissimos coniugium suum offerens. assensit ille hac conditione iureiurando firmata, post vrbem sibi traditam ducturum se eam vxorem: ac mox dicta factum sequitur. Sæuitum est nihilominus in hostem, & actis Deo gratiis nuptiísque celebratis, Aegyptiorum exercitus victor domũ est reductus. illi verò accepta salute odium pro gratia Moysi reposuerunt, & maioribus studiis insidias contra eum machinabantur: suspi- C catíque ne rebus feliciter gestis elatus res nouas in Aegypto moliretur, apud regem eum cædis accusauerunt. iam enim & ipse suspectũ hominem habere cœperat, partim inuidia motus ob bellum fortiter ac prudenter administratum, partim etiam metu alicuius cladis, sollicitantibus huc & irritantibus indesinenter scribis ac sacrificis. Vt iam Moyses minimo minus abesset à pernicie, opprimendus dubio procul, nisi rem olfaciens in ipso temporis ar- D ticulo se clàm subduxisset. & cùm vias obseruari intelligeret, per solitudines fugam arripuit, quà euasurum inimici minimè suspicabantur: & quamuis alimenta nusquam inueniret, inediam patientia superabat. cúmque ad vrbem Madienam peruenisset, in rubri maris litore sitam, denominatam ab vno ex Abrahami & Chæturæ filiis, sedens ad quendam puteum lassitudinem ex laborioso itinere contractam recreabat. Erat enim tempus meridianũ, E & vrbem iam in prospectu habebat. Hoc loco ei negotium incidit natum ex incolarum viuendi ratione, per quod & virtutem suam declarauit, & melioris fortunæ occasionem inuenit. cùm enim ea regio laboret aquarum inopia, pastores operam dabant vt primi puteos occuparent, ne forte exhausta aqua ab aliis, ipsorum pecora potu carere cogerentur. Veniunt igitur ad puteum septem virgines sorores, Raguelis sacerdotis filiæ, qui in magno F honore ab eius loci habitatoribus habebatur: quæ patris gregum curam gerentes, id quod etiam per fœminas apud Troglodytas ex more fit, hausta aqua quantum satis videbatur, gregibus eam potandam in lacunas ad hunc vsum factas diffundunt. cúmque pastores superuenissent, & repellendo puellas aquam sibi vsurparent, Moyses iniquum ratus non ferre opem iniuriam patientibus virginibus, & se inspectante vim virorum plus pollere quàm G ius puellarum, abactis vsurpatoribus auxilium eis ita vt decebat præbuit. at illę accepto beneficio postquam ad patrem venerunt, & pastorum iniuriam, & quomodo ab hospite adiutæ fuerint, ei retulerunt: rogabántque ne illi hoc

XI.

beneficium periret. tum ille collaudata puellarum erga benefactorem gratitudine, iuſſit vt Moyſen adducerent meritam gratiam recepturum. Qui vbi venit, indicauit ei quomodo ex filiabus cognouiſſet de auxilio quod eis tulerat, & virtutem eius admiratus, in non ingratos hoc beneficium collocatum aiebat. relaturum enim ſe gratiam, non modo parem, ſed aliquanto maiorem. deinde adoptato in filium vnam ex filiabus nuptum tradit: ad hæc pecorum, ex quibus olim vniuerſa barbarorũ poſſeſſio conſtabat, curatorem eum ac dominum conſtituit. Hanc fortunam Moyſes nactus apud Ietheglæum, quod Raguelis cognomen erat, degebat apud ſocerum paſcens pecora. aliquanto verò poſt, egit paſtum greges in montem, qui dicitur Sina, omnium in ea regione celſiſſimum, & paſcuis valde commodum. abundabat enim herba, eo quòd vulgato rumore numen illic habitare, paſtoribus hactenus inacceſſus ob religionem loci fuerat. in eo monte mirabile vidit prodigium. ignis enim rubi fruticem depaſcere viſus, nec frondes, nec flores, nec ramos quicquam læſit, cùm tamen inde maxima & flagrantiſſima flamma emicuiſſet. ille tam inopinato ſpectaculo non mediocriter attonitus magis etiam obſtupuit, poſtquam vocem ex igne emiſſam & nominatim ſibi vocato verba facientem audiuit: quibus & audaciam eius taxauit, qui non ſit veritus locum hactenus ob religionem hominibus inacceſſum calcare, & conſuluit inſuper vt quàm longiſſimè à flammis abſcederet: & contentus quidem ſit hac viſione, non indignus ea propter ſuam ac maiorum ſuorum virtutem habitus, cæterùm vlterius nihil curioſè inquirat. prædixit etiam quantum honorem ac gloriam conſecuturus eſſet apud homines diuino fauore aſſiſtente: iuſsítque confidenter in Ægyptum proficiſci, futurum illic ducem ac ductorem Hebræorum multitudinis, & liberaturum cognatum populum ab iniqua eius gentis dominatione. Etenim habitaturi ſunt, inquit, terram illam quam Abrahamus generis veſtri princeps tenuit, & omnia bona eius percepturi, tua prudentia ad hanc felicitatem illos perducente. Sed fac memineris, vt eductis Hebræis ex Ægypto in hoc loco ſacrificium gratiarum actionis ob felicem ſucceſſum offeras. & oraculum quidem tale ex igne prodiit. Moyſes verò tam viſis quàm auditis territus infit, Potentiæ quidem tuæ Domine, quem & ego veneror & maiores mei coluerunt, non ſum tam inſanus vt parere dubitem: attamen non intelligo quomodo vir priuatus & nullis viribus præditus, vel meis perſuadere potero vt relicta terra quam nunc habitãt me ducem ſequantur: vel etiamſi perſuaſero, quomodo Pharaothes ſit cogendus vt illos exire permittat, quorum opera & labore conſtat Ægyptiorum felicitas. Deus autem iuſſit illum ſecurum eſſe de toto hoc negotio, ſe illi nunquam non adfuturum pollicitus, & ſiue verbis opus fuerit, vim perſuadendi largiturum, ſiue operibus, virium ſatis additurum. mox iuſſit

XII. *Exod. 3*

δέξατο τῆς περὶ τὸν εὐεργετηκότα σπουδῆς, καὶ τὸν μωϋσῆν εἰς ὄψιν ἐκέλευεν ἀγαγεῖν αὐτῷ τευξόμενον χάριτος δικαίας. ὡς δ' ἧκεν, τὴν περὶ τῶν θυγατέρων ἀπεσήμαινεν αὐτῷ μαρτυρίαν ἐπὶ τῇ βοηθείᾳ, καὶ τῆς ἀρετῆς αὐτὸν θαυμάζων, οὐκ εἰς ἀναισθήτους εὐεργεσιῶν καταθέσθαι τὴν ἐπικουρίαν ἔλεγεν, ἀλλ' ἱκανοὺς ἐκτῖσαι χάριν, καὶ τῷ μεγέθει τῆς ἀμοιβῆς ὑπερβάλλειν τὸ μέτρον τῆς εὐποιΐας. ποιεῖται δ' αὐτὸν υἱόν, καὶ μίαν τῶν θυγατέρων πρὸς γάμον δίδωσιν. τῶν τε θρεμμάτων, ἐν τούτοις γὰρ ἡ πᾶσα κτῆσις τὸ παλαιὸν ἦν τοῖς βαρβάροις, ἀποδείκνυσιν ἐπιμελητὴν καὶ δεσπότην. καὶ μωυσῆς μὲν τοιούτων τυχὼν παρὰ τοῦ ἰεθεγλαίου, τοῦτο γὰρ ἦν ἐπίκλημα τῷ ῥαγουήλῳ, διῆγεν αὐτόθι ποιμαίνων τὰ βοσκήματα. χρόνῳ δ' ὕστερον νέμων, ἐπὶ τὸ σιναῖον καλούμενον ὄρος ἄγει τὰ ποίμνια. τοῦτο δ' ἐστὶν ὑψηλότατον τῶν ταύτῃ ὀρῶν, πρὸς νομὰς ἄριστον ἀγαθῆς φυομένης πόας, καὶ διὰ τὸ δόξαν ἔχειν ἐνδιατρίβειν αὐτῷ τὸν θεὸν οὐ κατανεμηθείσης πρότερον, οὐ τολμώντων ἐμβατεύειν εἰς αὐτὸ τῶν ποιμένων. ἔνθα δὴ καὶ τέρας αὐτῷ συντυγχάνει θαυμάσιον. πῦρ γὰρ θάμνου βάτον νεμόμενον, τὴν περὶ αὐτὸν χλόην τό τε ἄνθος αὐτοῦ παρῆλθεν ἀβλαβές, καὶ τῶν ἐγκάρπων κλάδων οὐδὲν ἠφάνισεν, καὶ ταῦτα τῆς φλογὸς πολλῆς καὶ ὀξυτάτης ὑπαρχούσης. ὁ δὲ καὶ αὐτὴν μὲν ἔδεισε τὴν ὄψιν παράδοξον γενομένην. κατεπλάγη δ' ἔτι μᾶλλον, φωνὴν τοῦ πυρὸς ἀφιέντος, καὶ ὀνομαστὶ καλέσαντος αὐτὸν καὶ ποιησαμένου λόγους, οἷς τότε θάρσος αὐτοῦ τολμήσαντος παρελθεῖν εἰς χωρίον, εἰς ὃ μηδεὶς ἀνθρώπων πρότερον ἀφίκτο διὰ τὸ εἶναι θεῖον, ἐσήμαινεν, καὶ συνεβούλευεν τῆς φλογὸς πορρωτάτω χωρεῖν. καὶ ἀρκεῖσθαι μὲν οἷς ἑώρακεν, ἀγαθὸν ὄντα καὶ μεγάλων ἀνδρῶν ἔκγονον, πολυπραγμονεῖν δὲ μηδὲν τούτοις περιεσσότερον. προηγόρευεν δὲ τὴν ἐσομένην αὐτῷ δόξαν, καὶ τιμὴν παρὰ ἀνθρώπων τοῦ θεοῦ συμπαρόντος. καὶ θαρροῦντα ἐκέλευεν εἰς τὴν αἴγυπτον ἀπιέναι, στρατηγὸν καὶ ἡγεμόνα τῆς ἑβραίων πληθύος ἐσόμενον, καὶ τῆς ὕβρεως τῆς ἐκεῖ τοὺς συγγενεῖς ἀπαλλάξοντα. καὶ γὰρ γῆν οἰκήσουσι φησὶ ταύτην εὐδαίμονα, ἣν ἅβραμος ᾤκησεν ὁ ὑμέτερος πρόγονος. καὶ τῶν πάντων ἀπολαύσουσιν ἀγαθῶν, εἰς ταῦτα σοῦ καὶ τῆς σῆς συνέσεως αὐτοῖς ἡγουμένης. ἐξαγαγόντα μέντοι τοὺς ἑβραίους ἐκ τῆς γῆς αἰγύπτου, θυσίας ἐκέλευεν εὐχαριστηρίους ἀφικομένων εἰς ἐκεῖνον ἐκτελέσαι τὸν τόπον. τοσαῦτα μὲν ἐκ τοῦ πυρὸς θεοκλυτεῖται. μωϋσῆς δὲ ἐκπεπληγμένος οἷς εἶδε καὶ πολὺ μᾶλλον οἷς ἤκουσεν, δυνάμει μὲν ἀπιστεῖν, ἔφη, τῇ σῇ δέσποτα, ἣν αὐτός τε θρησκεύω καὶ προγόνοις οἶδα φανερὰν γενομένην, μανιωδέστερον ἢ κατὰ τὴν ἐμαυτοῦ φρόνησιν ἡγοῦμαι. πλὴν ἀπορῶ, πῶς ἂν ἰδιώτης ἀνὴρ καὶ μηδεμιᾶς ἰσχύος εὐπορῶν, ἢ πείσω λόγοις τοὺς οἰκείους ἀφέντας ἣν ἄρτι κατοικοῦσι γῆν ἕπεσθαί μοι, πρὸς ἣν αὐτοὺς ἡγοῦμαι. κἂν ἐκεῖνοι πεισθῶσιν, πῶς ἂν βιασαίμην φαραώθην ἐπιτρέψαι τὴν ἔξοδον τούτοις, ὧν τοῖς πόνοις καὶ τοῖς ἔργοις τὴν οἰκείαν αὔξουσιν εὐδαιμονίαν. ὁ δὲ θεὸς αὐτῷ περὶ πάντων συνεβούλευε θαρρεῖν ὑπισχνούμενος αὐτὸς παρέσεσθαι. καὶ ἐὰν δέῃ μὲν λόγων πειθὼ παρέξειν, ἐὰν δ' ἔργων, ἰσχὺν χορηγήσειν. ἐκέλευεν δὲ τὴν βακτηρίαν ἐπὶ τὴν

γῆν

γῆν ἀφέντα πίστιν ὧν ὑπισχνεῖται λαμβάνειν. καὶ ποιήσαντος, δράκων εἷρπεν, καὶ συνειλούμενος σπειρηδὸν, ὡς διώκουσιν ἐπ' ἀμύνῃ τὴν κεφαλὴν ἐπανέτεινεν. εἶτα πάλιν βάκτρον ἦν. μετὰ τοῦτο δὲ καθεῖναι τὴν δεξιὰν εἰς τὸν κόλπον προσέταξεν. ὑπακούσας δὲ λευκὴν καὶ τιτάνῳ τὴν χρόαν ὁμοίαν προεκόμισεν. εἶτ' εἰς τὸ συνῆθες κατέστη. κελευσθεὶς δὲ καὶ τοῦ πλησίον ὕδατος λαβὼν ἐπὶ τὴν γῆν ἐκχέαι, ὁρᾷ τὴν χρόαν αἱματώδη γενομένην. θαυμάζοντα δ' ἐπὶ τούτοις, θαῤῥεῖν παρεκελεύετο, καὶ βοηθὸν εἰδέναι μέγιστον αὐτῷ συνεσόμενον, καὶ σημείοις πρὸς τὸ πιστεύεσθαι παρὰ πᾶσι χρῆσθαι, ὅτι πεμφθεὶς ὑπ' ἐμοῦ πάντα κατὰ τὰς ἐμὰς ἐντολὰς ποιεῖς. κελεύω δὲ μηδὲν ἔτι μελλήσαντα σπεύδειν εἰς τὴν αἴγυπτον, καὶ νυκτὸς καὶ ἡμέρας ἐπειγόμενον, καὶ μὴ τρίβοντα τὸν χρόνον, πλείω ποιεῖν τοῦτον ἑβραίοις ἐν δουλείᾳ κακοπαθοῦσιν. μωϋσῆς δ' οὐκ ἔχων ἀπιστεῖν οἷς ἐπηγγέλλετο τὸ θεῖον, θεατής τε τοιούτων βεβαιωμάτων καὶ ἀκροατὴς γενόμενος, εὐξάμενος αὐτῷ, καὶ πειραθῆναι ταύτης τῆς δυνάμεως ἐν αἰγύπτῳ δεηθεὶς, ἀντιβόλει μηδὲ ὀνόματος αὐτῷ γνῶσιν τοῦ ἰδίου φθονῆσαι, φωνῆς δ' αὐτῷ μετεσχηκότι καὶ ὄψεως ἔτι, καὶ τὴν προσηγορίαν εἰπεῖν, ἵνα θύων ἐξ ὀνόματος αὐτὸν παρεῖναι τοῖς ἱεροῖς παρακαλῇ. καὶ ὁ θεὸς αὐτῷ σημαίνει τὴν ἑαυτοῦ προσηγορίαν, οὐ πρότερον εἰς ἀνθρώπους παρελθοῦσαν, περὶ ἧς οὔ μοι θέμις εἰπεῖν. μωϋσῆς μὲν τὰ σημεῖα ταῦτα, οὐ τότε μόνον, διαπαντὸς δ' ὁπότε δεηθείη συνετύγχανεν. ἐξ ὧν ἁπάντων πλέον περὶ τῆς ἀληθείας τῷ πυρὶ νέμων, καὶ τὸν θεὸν εὐμενῆ παραστάτην ἕξειν πιστεύων, τούς τε οἰκείους σώζειν ἤλπιζεν, καὶ τοὺς αἰγυπτίους κακοῖς περιβαλεῖν. καὶ πυθόμενος τὸν τῶν αἰγυπτίων τεθνάναι βασιλέα φαραώθην, ἐφ' οὗ περ αὐτὸς ἔφυγεν, δεῖται ῥαγουήλου συγχωρῆσαι κατ' ὠφέλειαν αὐτῷ τῶν συγγενῶν εἰς αἴγυπτον ἀπελθεῖν, καὶ παραλαβὼν τὴν σεπφώραν, ἣν γεγαμήκει τοῦ ῥαγουήλου θυγατέρα, καὶ τοὺς ἐξ αὐτῆς παῖδας γήρσον καὶ ἐλεάζαρον, ὥρμησεν εἰς τὴν αἴγυπτον. τῶν δὲ ὀνομάτων τούτων γήρσος μὲν σημαίνει κατὰ ἑβραίων διάλεκτον, ὅτι εἰς ξένην γῆν, ἐλεάζαρος δὲ, συμμάχῳ τῷ πατρῴῳ θεῷ χρησάμενον αὐτὸν αἰγυπτίους διαφυγεῖν. γενομένων δ' αὐτῶν πλησίον τῶν ὅρων ὁ ἀδελφὸς ἀαρὼν ὑπήντησεν τοῦ θεοῦ κελεύσαντος, πρὸς ὃν ἀποσημαίνει τὰ ἐν τῷ ὄρει συντυχόντα καὶ τοῦ θεοῦ τὰς ἐντολάς. προσιοῦσι δ' αὐτοῖς ὑπηντίαζον ἑβραίων οἱ ἀξιολογώτατοι τὴν παρουσίαν αὐτοῦ μεμαθηκότες, οἷς μωϋσῆς τῶν σημείων, ἐπεὶ πιθανὸς οὐκ ἦν, παρέσχεν τὴν ὄψιν. οἱ δ' ἐπ' ἐκπλήξεως τῶν παρὰ δόξαν αὐτοῖς γενομένων ἀνεθάρσουν, καὶ περὶ τῶν ὅλων ἦσαν εὐέλπιδες ὡς θεοῦ προνοουμένου τῆς ἀσφαλείας αὐτῶν. ἐπεὶ δὲ καταπειθεῖς εἶχεν ἤδη τοὺς ἑβραίους ὁ μωϋσῆς, καὶ οἷς ἂν κελεύσῃ τούτοις ἀκολουθήσειν ὁμολογοῦντας, καὶ τῆς ἐλευθερίας ἐρῶντας, παραγίνεται πρὸς τὸν βασιλέα τὴν ἡγεμονίαν νεωστὶ παρειληφότα. καὶ ὅσα τε ὠφελήσειεν αἰγυπτίους ὑπὸ αἰθιόπων καταφρονουμένους, καὶ διαρπαζομένης αὐτῶν τῆς χώρας ἐδήλου, στρατηγίᾳ καὶ πόνοις χρησάμενος ὡς περὶ οἰκείων. τὰς δὲ κινδύνων ἐπὶ τούτοις ὑπ' αὐτῶν ἀμοιβὰς οὐ δικαίας κομιζόμενος ἀνεδίδασκεν.

A vt virga in terram proiecta fidem promissorũ acciperet. quo facto, draco humi repebat, & in spiras se conuoluẽs caput erigebat quasi repugnaturus si quis insequeretur: ac mox denuò in virgam est mutatus. post hoc manũ in sinũ mittere iussus cùm paruisset, albam & colore calci similem exemit, quæ mox in pristinũ colorẽ rediit. iussus deinde aquam è propinquo haustam humi effundere, vidit in colorẽ sanguineum versam. Ad hæc stupentem vt confidat hortatur, cùm sciat maximum sibi adiutorẽ affore, vtque apud omnes his prodigiis vtẽdo fidem illis faciat à Deo se missum, eiúsq; iussu omnia facere. iret sine cunctatione, & festinus in Ægyptum properaret, neq; die neq; nocte iter intermittendo, néve diu tẽpus terendo longiorem Hebræis seruitutem & afflictionẽ redderet. Moyses autem nihil amplius dubitãs de promissionibus, quarum certitudinem tot argumẽtis auditis & visis satis colligebat, precatus vt eandem potentiam in Ægypto, cùm exerta opus fuerit, experiretur: supplex illud etiã rogabat vt quem conspectu ac colloquio suo dignatus fuerat, ei nomen quoque suum volens ac libens indicaret, vt rem diuinam illi aliquãdo facturus nominatim eũ ad sacrificiũ inuocare posset. tũ Deus aperit ei suum nomẽ, nunquam antea hominum vlli auditũ aut cognitũ, quod mihi eloqui nec ius nec fas esse arbitror. Moysi verò non tunc tantùm, sed quotiescunq; opus esset talium prodigiorũ facultas aderat, atq; ita nihil dubitãs de oraculi ex igne redditi veritate, déq; Dei adiutoris fauore, magnam spẽ concepit fore vt tandem & sui liberarentur, & Ægyptij insigni aliqua clade afficerentur. Cúmque cognouisset Pharaothẽ Ægyptiorũ regem sub quo ipse fugerat, esse defunctum, à Raguele commeatum rogat, vt salua eius pace ac gratia liceat sibi in Ægyptũ ob publicam cognatorum ac tribulium suorũ vtilitatem proficisci, quo impetrato & assumpta quam ibi duxerat Raguelis filia, liberísq; communibus, Gerso & Eleazaro, iter in Ægyptum arripuit: quorũ nominũ prius peregrinũ significat, posteriꝰ, Dei auxiliũ, q̃ diuina ope insidias Ægyptiorũ euasisset. cũq; iã nõ longè à limitib. abessent, Aarõ frater venit obuiã Deo sic iubẽte: cui mox indicauit quicquid in monte viderat, & omnia mãdata quæ diuinitus illic acceperat. mox vlterius progressus obuios inuenit præstantissimos quosq; Hebręorum, qui aduẽtum eius præsenserant: & mox ne quid ampliꝰ de fide Moysis dubitarent, prodigia diuinę voluntati attestantia sunt eis ob oculos exhibita: quibus præter omnem opinionem visis attoniti, sperare iam cœperunt prouidentiam Dei securitati illorum & incolumitati non defuturam. Atque ita obsequentiores nactus Hebræos, & in potestate ipsius se futuros pollicentes, accensos nimirum libertatis amore, ad nouum regem se confert. Ibi posteaquam commemorasset operam suam pro Ægyptiis contra Æthiopas contemptim agros eorum vastantes nauatam, laborésque exhaustos dum non aliter quàm pro suis popularibus bellum administraret, adiicit malam gratiam pro tot beneficiis sibi redditam. oraculum deinde in Sina monte acceptum re-

XIII.

Exod. 5. 7.

gi aperit nec non prodigia quibus de voluntate Dei confirmatus omnem hæsitationem posuerit, singillatim enumerat. addit deinde preces ne per incredulitatem Dei decretis obstaculo esse velit, cæterùm cùm à rege contemptim audiri se animaduerteret, exhibet illi specimen prodigiorum quæ in Sina viderat. Rex verò iratus sceleratū eum appellat, qui Ægyptiorum olim fugitiuus, nunc magicis præstigiis instructus ad reliquos decipiendos venerit. Habere se quoque sacerdotes qui eadem ostenta repræsentare nossent, non minùs peritos huiusmodi artium: nec esse cur se Moyses iactare debeat, quasi solus diuina præ cæteris virtute polleat, atque ita apud rudem multitudinem quasi supra mortalem conditionem positus se venditet: confestímque cùm & ipsi suas virgas proiecissent, in dracones sunt versæ. Tum Moyses nihil his motus, ne ipse quidem, inquit, ignoro aut contemno artes Ægyptiorum, attamen quæ ego operor, tanto præstantiora esse aio, quàm istorum magiam, quanto interuallo res diuinæ humanas post se relinquunt. iámque manifestè declarabo non esse hæc præstigias veritatis specie parū cautis imponentes, sed ipsissimam Dei virtutem, argumentum omnipotentis illius voluntatis apud incredulos futuram: & cum dicto virgam in terram mittit, iubens vt fiat draco, quæ mox dicto parens Ægyptiorum virgas quæ draconum specie reptabant, vnam post aliam aggressa omnes ad vnam deuorauit. ac mox in pristinam speciem reuersam Moyses rursum sustulit. Rex autem ad indignationem magis quàm admirationem hoc facto commotus, cum nihil acturum respondisset, neque quicquam Ægyptiacis artibus profecturum, mandat operarum exactori qui Hebræis erat præpositus, vt de labore nihil eis remittat, sed grauioribus etiam quàm antea operum difficultatibus premat. at ille prius paleas eis ad lateres fingendos præbere solitus, posthac id facere desiit: sed interdiu detentos in opere noctu ad comportandas paleas dimittebat, pristini laboris onus cōduplicaturus. Moyses autem neque minis regis à proposito deterrebatur, neque assiduis suorū querelis vt à capto desisteret vel minimum flectebatur: sed obfirmato contra vtrunque animo, in hoc totus erat, vt suos in optatissimam libertatem restitueret. Itaque denuo regem accedit, suadens vt dimittat Hebræos in Sina montem, illic Deo sacrificaturos. hoc enim ipsum iussisse, nec posse quenquam eius voluntati resistere. quapropter dandam operam ne fauorem eius contemnere videatur, vtque populo potestatem exeundi faciat, ne fortè contrà moliendo posthac culpam in se transferat, si quid ipsi tale acciderit, qualia Dei voluntati resistentibus euenire solent. Nam necessariò calamitates eos comprehendere, qui diuinam iram in se prouocauerint: & tum terram tum aërem illis infestum existere, tum procreationem filiorum parum feliciter procedere, elementis etiam ad vindicandum in eos concitatis. atque hæc mala non posse euitare Ægyptios, etiamsi Hebræos regionem, eorum exire contingat, nisi hanc profectionem bona pace ipsorum impetrauerint.

Exod.6.

A τά τε κατὰ τὸ Σιναῖον ὄρος αὐτῷ συντυχόντα, καὶ τὰς τοῦ θεοῦ φωνὰς καὶ τὰ πρὸς πίστιν ὧν ἐδεῖ αὐτῷ προστάξειν ὑπ' αὐτοῦ δειχθέντα σημεῖα καθ' ἕκαστον ἐξετίθετο. παρεκάλει τε μὴ ἀπιστοῦντα τούτοις ἐμποδὼν ἵστασθαι τῇ τοῦ θεοῦ γνώμῃ. χλευάσαντος δὲ τοῦ βασιλέως Μωϋσῆς ἔργῳ παρεῖχεν αὐτῷ βλέπειν τὰ σημεῖα τὰ κατὰ τὸ Σιναῖον ὄρος γενόμενα. ὁ δὲ, ἀγανακτήσας πονηρὸν μὲν αὐτὸν ἀπεκάλει, καὶ πρότερον φυγόντα τὴν παρ' Αἰγυπτίοις δουλείαν, καὶ νῦν B ἐξ ἀπάτης αὐτοῦ τὴν ἄφιξιν πεποιημένον, καὶ τερατουργίαις καὶ μαγείαις καταπλήξειν ἐπικεχειρηκότα. καὶ ταῦθ' ἅμα λέγων, τοὺς ἱερεῖς τὰς αὐτὰς ὄψεις αὐτῷ παρέχειν ὁρᾶν, ὡς Αἰγυπτίων σοφῶν ὄντων καὶ τὴν περὶ τούτων ἐπιστήμην, καὶ ὅτι μὴ μόνος ἔμπειρος ὢν αὐτὸς εἰς θεὸν δύναται. τὸ γὰρ ἐπ' αὐτῷ παράδοξον διαφέρειν, πιθανὸς ὡς παρ' ἀπαιδεύτοις ὑπάρχειν. καὶ θεμένων βακτηρίας δράκοντες ἦσαν. Μωϋσῆς δ' οὐ καταπλαγεὶς, οὐδ' αὐ- C τὸς μὲν, εἶπεν, ὦ βασιλεῦ, τῆς Αἰγυπτίων σοφίας καταφρονῶ. τοσῷ μέντοι κρείττονα τὰ ὑπ' ἐμοῦ πραττόμενα τῆς τούτων μαγείας καὶ τέχνης φημὶ, ὅσῳ τὰ θεῖα τῶν ἀνθρωπίνων διαφέρει. δείξω δὲ, οὐ κατὰ γοητείαν καὶ πλάνην τῆς ἀληθοῦς δόξης τὰ ἐμὰ, κατὰ δὲ θεοῦ πρόνοιαν καὶ δύναμιν φαινόμενα. καὶ ταῦτ' εἰπὼν μεθίησιν ἐπὶ τῆς γῆς τὴν βακτηρίαν, κελεύσας αὐτὴν εἰς ὄφιν μεταβαλεῖν. ἡ δ' ἐπείθετο καὶ τὰς τῶν D Αἰγυπτίων βακτηρίας αἳ δράκοντες ἐδόκουν περιιοῦσα κατήσθιεν, μέχρι πάσας ἀνήλωσεν. εἶτ' εἰς τὸ αὐτῆς σχῆμα μεταπεσοῦσαν κομίζεται Μωϋσῆς. ὁ δὲ βασιλεὺς οὐδέν τι μᾶλλον τούτῳ πραχθέντι καταπλήττεται. προσοργισθεὶς δὲ καὶ μηδὲν αὐτῷ προχωρήσειν εἰπὼν ἐκ τῆς κατ' Αἰγυπτίων σοφίας καὶ δεινότητος, κελεύει τὸν ἐπὶ τῶν Ἑβραίων τεταγμένον μηδὲ μίαν αὐτοῖς ἄνεσιν παρέχειν τοῦ πονεῖν, ἀλλὰ πλείοσι τῶν προτέρων κακοῖς αὐτοὺς καταναγκάζειν. ὁ δὲ, ἄχυρον E αὐτοῖς παρέχων εἰς τὴν πλινθείαν πρότερον οὐκ ἔτι παρεῖχεν. ἀλλ' ἡμέρας μὲν ἐπὶ τοῖς ἔργοις ταλαιπωρεῖν ἐποίει, νυκτὸς δὲ συνάγειν τὸ ἄχυρον, καὶ τοῦ δεινοῦ διπλασίου αὐτοῖς καὶ τῆς ταλαιπωρίας δι' ἐκείνων χαλεπωτέρας γεγενημένης. ὁ δ' οὔτε πρὸς τὰς τοῦ βασιλέως ἀπειλὰς ἔκαμνεν, οὔτε πρὸς τὰς τῶν Ἑβραίων μέμψεις ἐνεδίδου. τὴν τε ψυχὴν παρασκευασάμενος πρὸς ἑκάτερον ἐπὶ τὸ πονεῖν καὶ τοῖς οἰ- F κείοις ἐκπορίζειν τὴν ἐλευθερίαν ἐπεῖχεν. καὶ παραγενόμενος πρὸς τὸν βασιλέα ἔπειθεν αὐτὸν ἀπολύειν τοὺς Ἑβραίους ἐπὶ τὸ Σιναῖον ὄρος, ἐκεῖ θύσοντας τῷ θεῷ, τοῦτο γὰρ αὐτὸν κεκελευκέναι, καὶ μηδὲν ἀντιπράττειν οἷς ἐκεῖνος βούλεται. τὴν δ' εὐμένειαν αὐτοῦ περὶ παντὸς ποιουμένου συγχωρεῖν αὐτοῖς τὴν ἔξοδον, μὴ καὶ λάθῃ τοῦτον κωλυτὴς γενόμενος αὐτὸν αἰτιάσασθαι πάσχων ὅσα παθεῖν εἰκὸς τὸν ἀντιπράττοντα θεοῦ προστάγμασιν. τοῖς G γὰρ χόλον ἐφ' αὑτοῖς κινήσασι θεῖον ἐξ ἁπάντων φύεσθαι τὰ δεινά. καὶ οὔτε γῆ τούτοις, οὔτε ἀὴρ φίλος, οὔτε γοναὶ τέκνων κατὰ φύσιν, ἀλλ' ἐχθρὰ πάντα καὶ πολέμια. πειραθήσεσθαί τε τούτων Αἰγυπτίους ἔφασκεν, μετὰ τοῦ καὶ τὸν Ἑβραίων λαὸν ἀπελθεῖν ἐκ τῆς χώρας αὐτῶν, ἀκόντων ἐκείνων.

τῶ

Τοῦ δὲ βασιλέως ἐκφαυλίζοντος τοὺς μωϋσέως λόγους, καὶ μηδεμίαν ἐπιστροφὴν ἔτι ποιουμένου, πάθη δεινὰ τοὺς αἰγυπτίους κατελάμβανεν. ὧν ἕκαστον ἐκθήσομαι, διά τε τὸ μὴ πρότερον τισὶ συμβάντα τὰ τοῖς αἰγυπτίοις εἰς πεῖραν ἐλθεῖν, καὶ διὰ τὸ βούλεσθαι μωϋσῆν μηδὲν ὧν προεῖπεν αὐτοῖς ψευσάμενον ἐπιδεῖξαι. καὶ ὅτι συμφέρει τοῖς ἀνθρώποις, μαθοῦσιν φυλάττεσθαι ταῦτα ποιεῖν ἐφ' οἷς μὴ δυσαρεστήσῃ τὸ θεῖον, μηδ' εἰς ὀργὴν τραπὲν ἀμύνηται τῆς ἀδικίας αὐτούς. ὁ γὰρ ποταμὸς αὐτοῖς αἱματώδης θεοῦ κελεύσαντος ἐρρύη, πίνεσθαί τε μὴ δυναμένοις, καὶ πηγὴν ἑτέραν ὑδάτων οὐκ ἔχουσιν. οὐχὶ δὲ τὴν χρόαν μόνον ἦν τοιοῦτος, ἀλλὰ καὶ τοῖς πειρωμένοις ἀλγήματα καὶ πικρὰν ὀδύνην προσέφερεν. ἦν δὲ τοιοῦτος μὲν αἰγυπτίοις, ἑβραίοις δὲ γλυκὺς καὶ πότιμος, καὶ μηδὲν τοῦ κατὰ φύσιν παρηλλαγμένος. πρὸς οὖν τὸ παράδοξον ἀμηχανήσας ὁ βασιλεύς, καὶ δείσας περὶ τῶν αἰγυπτίων, συνεχώρει τοῖς ἑβραίοις ἀπιέναι. καὶ τοῦ κακοῦ λωφήσαντος, πάλιν τὴν γνώμην μετέβαλεν, οὐκ ἐπιτρέπων τὴν ἔξοδον αὐτοῖς. ὁ δὲ θεὸς ἀγνωμονοῦντος, καὶ μετὰ τὴν ἀπαλλαγὴν τῆς συμφορᾶς οὐκ ἔτι σωφρονεῖν ἐθέλοντος, ἄλλην τοῖς αἰγυπτίοις ἐπιφέρει πληγήν. βατράχων πλῆθος ἄπειρον τὴν γῆν αὐτῶν ἐπεβόσκετο. μεστὸς δὲ τούτων καὶ ὁ ποταμὸς ἦν, ὡς διανεμομένους τὸ ποτὸν τῶν ζώων ἰχῶρι κεκακωμένον λαμβάνειν, ἐναποθνησκόντων καὶ συνδιαφθειρομένων τῷ ὕδατι. ἥ τε χώρα μεστὴ κακῆς ἦν ἰλύος, γεννωμένων τε καὶ ἀποθνησκόντων, τάς τε κατ' οἶκον αὐτῶν διαίτας ἠφάνιζον ἐν βρωτοῖς εὑρισκόμενοι καὶ ποτοῖς, καὶ ταῖς εὐναῖς αὐτῶν ἐπιπολάζοντες. ὥς τε χαλεπὴ ἦν καὶ δυσώδης ἀποθνησκόντων τῶν βατράχων καὶ ἐν αὐτῇ διεφθαρμένων. ὑπὸ δὲ τούτων τῶν κακῶν ἐλαυνομένων τῶν αἰγυπτίων, τὸν μωϋσῆν ἐκέλευσεν ὁ βασιλεὺς οἴχεσθαι τοὺς ἑβραίους λαβόντα. καὶ παραχρῆμα τοῦτ' εἰπόντος ἠφανίσθη τῶν βατράχων τὸ πλῆθος, καὶ ἥ τε γῆ καὶ ὁ ποταμὸς εἰς τὴν ἰδίαν φύσιν κατέστησαν. φαραώθης δὲ ἅμα τοῦ πάθους ἀπήλλακτο ἡ γῆ, καὶ τῆς αἰτίας ἐπελέληστο, καὶ τοὺς ἑβραίους κατεῖχεν. καὶ ὥσπερ πλειόνων παθημάτων φύσεις βουλόμενος μαθεῖν, οὐκ ἔτι ἐφίει τοῖς περὶ τὸν μωϋσῆν τὴν ἔξοδον, φόβῳ μᾶλλον ἢ φρονήσει ταύτην αὐτοῖς ἐπιτρέπων. πάλιν οὖν ἄλλου κακοῦ προσβολῇ μετῄει τὸ θεῖον αὐτοῦ τὴν ἀπάτην. φθειρῶν γὰρ τοῖς αἰγυπτίοις ἐξήνθησεν ἄπειρόν τι πλῆθος ἔνδοθεν ἀναδιδομένων, ὑφ' ὧν κακοὶ κακῶς ἀπώλλυντο, μήτε λουτροῖς μήτε χρίσεσι φαρμάκων διαφθεῖραι τὸ γένος αὐτῶν δυνάμενοι. καὶ πρὸς τοῦτο τὸ δεινὸν ὁ τῶν αἰγυπτίων βασιλεὺς ταραχθείς, καὶ δείσας ὁμοῦ τὸν ὄλεθρον τοῦ λαοῦ, καὶ τὴν αἰσχύνην δὲ τῆς ἀπωλείας λογισάμενος, ἐξ ἡμίσους ὑπὸ φαυλότητος ἠναγκάζετο σωφρονεῖν. τοῖς μὲν γὰρ ἑβραίοις αὐτοῖς ἐδίδου τὴν ἔξοδον. καὶ πρὸς τοῦτο τοῦ πάθους λωφήσαντος, τέκνα καὶ γυναῖκας ὁμήρους τῆς ὑποστροφῆς αὐτῶν καταλιπεῖν αὐτοὺς ἠξίου. προσεξαγριαίνει δὴ τὸν θεὸν νομίσας ἀπατήσειν αὐτοῦ τὴν πρόνοιαν, ὥσπερ μωϋσέως, ἀλλ' οὐκ ἐκείνου τιμωροῦντος τὴν αἴγυπτον ὑπὲρ τῶν ἑβραίων. θηρίων γὰρ παντοίων καὶ πολυτρόπων ὧν εἰς ὄψιν οὐδεὶς ἀπηντήκει πρότερον τὴν χώραν αὐτῶν ἐγέμισεν. ὑφ' ὧν αὐτοί τε ἀπώλλυντο,

A Rege verò nihili faciente verba Moysis, neque vel tantillum ad eius preces aduertente, grauissima mala in Ægyptios incubuerunt: quæ singulatim recensebo tum propter eorum nouitatem, tum vt eo magis appareat non vanas fuisse vatis nostri prædictiones: postremò quia hominum interest talia cognoscere, quo magis ea caueant, quibus irritatus Deus ad infligendas pœnas commoueri solet. Primùm amnis sanguineis fluentis prolabens, ad potus B inopiam eos redegit, cùm præterea nullum fontem habeant. nec coloris tantùm id erat vitium, sed si quis siti coactus gustaret, confestim acri dolore corripiebatur: erátque talis Ægyptiis solis, Hebræis verò dulcis ac potabilis, & omnino pristinam naturam retinens. quo miraculo rex inops consilij, timens incolumitati gentis, permisit Hebræos abire. cúmque malum cessasset, rursum ad pristinam mentem rediit, sententiam suam reuocans. C Deus autem motus hominis ingratitudine, qui nec à periculo liberatus vellet sapere, aliam plagam Ægypto infligit. Ranarum vis immensa terram eorum populabatur, refertus erat & fluuius, vt aqua inde non nisi sanie harum viciata hauriri posset, immorientibus earum plerisque & imputrescentibus. plena erat & terra turpi limo ex quo enascebantur, rursúsque in eundem resoluebantur: quin & domesticum victum fœdabant in esculentis at- D que poculentis nusquam non repertæ: & in cubilibus quoque passim oberrantes: ita vt omnia fœterent putore è ranis mortuis exhalante infecta. His malis cùm exagitarentur Ægyptij, rex iubet Moysen cum Hebræis abire quò velit: & quamprimum hoc dixit, euanuerunt ranæ, terráque simul & flumen in pristinam naturam sunt restituta. vix dum hoc malum cessauerat, cùm Pharaothes denuò mutatus, priorum oblitus retinere populum cœpit: E & quasi aliarum etiam afflictionum naturas experiri vellet, negabat exitum quem prius cōcesserat timore magis compulsus quàm ex animi sui sententia. Rursum igitur Deus alia clade in hominem fraudulentum vindicat. pedunculorum enim magna vis è corporibus Aegyptiorum scatebat, à quibus mali malè perdebantur, neque lauacris neque medicamentorum inunctionibus extinguere eos valentes. Qua noua peste turbatus rex, & F non magis ipso periculo quàm eius fœditate ac turpitudine territus, nequam cùm esset, ægrè dimidiata ex parte resipuit. Hebræis enim exire permissis, ac mox malo cessante, liberos & vxores reditus obsides ab eis exigebat. quo facto magis etiam Deum exasperat, putans se prouidentiam eius circumuenire posse, quasi Moyses & non potiùs Deus pœnas de Aegyptiis Hebræo- G rum oppressoribus sumeret. Varias ergo & multiformes bestiolarum species immittit, quales nemo ante eā diem vnquam viderat, tā-

Exod. 7.

Exod. 8. 9.

ta copia, vt tota regio malo hoc repleretur: prę quarum frequentia & homines plurimi extinguebantur, & terra nullo pacto coli poterat: & qui præsentaneum exitium euadebant, infecti tamen earum veneno à morbis corripiebãtur. Rege verò ne tum quidem resipiscente vt voluntati diuinę cederet, sed mulieres quidem cũ viris dimittente, pueros verò retinere volente, non defuerunt Deo varię prioribus etiam grauiores pœnæ, quibus ob regis malitiam in vniuersam gentem seuerè animaduerteret: sed exulceratis intus in cute corporibus miserabilem in modum non mediocris numerus absumebatur. Et cùm ne sic quidem rex respiceret, grando nunquam antè in Ægyptio cœlo visa, tunc verò maior quàm apud alios hiberno tẽpore, aut in septentrionali regione, vere iam adulto supernè ruens omnes eorum fructus cõtriuit: & si quid intactum grando reliquit, nubes locustarum superuenientes ita absumpserunt, vt fructuum colligẽdorum spes Ægyptiis omnibus omnino sit adempta. Quod si rex stultus tantùm, & non etiam malus fuisset, poterat vel iam dictis cladibus admonitus resipiscere, vt tandem de aliquo tot malorum remedio cogitare inciperet. at Pharaothes tametsi non ita insaniebat vt causam non intelligeret, tamen tanta malitia pectus eius obsederat, vt adduci nullo modo posset quin Deo quasi per contentionem repugnare, & in publica cõmoda sciens volénsque peccare pergeret. itaque tandem Hebræis pueros etiam vnà cum mulieribus concedit, sed iussis vt bona sua Ægyptiis tanquam prædam relinquerent, eo quòd ex ipsorum bonis nihil post tot calamitates superesse conquerebantur. Moyse verò negante æquum postulari, alioqui non habituros vnde sacrificarent, atque hac controuersia diutius durante, tam densæ tenebræ omnísque luminis expertes Ægyptiis sunt circunfusæ, vt prospectu in vniuersum priuati alij alio casu absumerentur, illo quoque metu imminente, ne fortè penitus ab ea caligine absorberentur. deinde his discussis, post tres dies ac totidem noctes, cùm nondum flecteretur Pharaothes vt liberum exitũ permitteret, his verbis eum Moyses aggreditur, Quousque repugnabis Dei voluntati, qui omnino vult ac iubet Hebræos dimitti, nec est aliud præter hoc remediũ aduersus mala quibus affligimini. Rex verò iratè ferens hanc dicendi libertatẽ, minatus est cũ capite plectendum, si posthac de hac re molestus esse pergeret. Respondit Moyses, se non amplius hac de causa verba facturum, sed ipsum cum optimatibus Aegyptiis vltrò Hebræos rogaturum, vt quamprimum inde proficiscantur. atq; his dictis abiit. Deus autem cũ decreuisset adhuc vna plaga ictos Aegyptios cogere ad dimittendos Hebræos, iussit Moysen edicere populo vt paratum habeant sacrificium, præparatum tertiadecima Xanthici mensis in quartamdecimam, qui apud Aegyptios Pharmuthi vocatur, idem Hebræis Nisan, & Macedonibus Xanthicus: vtque ipse Hebræos educat omnia sua secum portantes. ille verò instructos prius ad profectionem, & per sodalitia distributos in vno loco continebat.

Exod. 10. 11. 12.

καὶ ἡ γῆ τῆς ἐπιμελείας τῆς παρὰ τῶν γεωργῶν ἀπεστέρητο. εἰ δέ τι καὶ διέφυγε τὴν ὑπ' ἐκείνοις ἀπώλειαν, νόσῳ τοῦτο καὶ τῶν ἀνθρώπων ὑπομενόντων ἐδαπανᾶτο. τοῦ δὲ φαραώθου μηδ' οὕτως εἴκοντος τοῖς τοῦ θεοῦ βουλήμασιν, ἀλλὰ τὰς μὲν γυναῖκας συναπαίρειν τοῖς ἀνδράσιν ἀξιοῦντος, καταλείπεσθαι δὲ τοὺς παῖδας, οὐκ ἠπόρει τὸ θεῖον τὴν πονηρίαν αὐτοῦ ποικίλοις κακοῖς καὶ μείζοσιν ἐνδεδημηκόσι μετερχόμενον βασανίσαι. ἀλλὰ γὰρ δεινῶς αὐτοῖς ἐξηλκοῦντο τὰ σώματα τῶν ἐντὸς διαφθειρομένων, καὶ τὸ πολὺ τῶν αἰγυπτίων οὕτως ἀπώλλυτο. μηδ' ὑπὸ ταύτης δὲ τῆς πληγῆς σωφρονιζομένου τοῦ βασιλέως, χάλαζα μήτε πρότερον τοῦ κατ' αἴγυπτον ἀέρος τοῦτο πεπονθότος, μήτε ὁμοία τῇ παρ' ἄλλοις ὥρᾳ χειμῶνος κατιούσῃ, μείζων δὲ τῆς παρὰ τοῖς τὰ βόρεια καὶ τὴν ἄρκτον νεμομένοις ἔαρος ἀκμάζοντος κατενεχθεῖσα, τοὺς καρποὺς αὐτῶν κατέκλασεν. ἔπειτα φῦλον ἀκρίδων ἐπινέμεται τὴν ὑπὸ τῆς χαλάζης μὴ καταβλαβεῖσαν σποράν, ὥστε πρὸς ἀκριβὲς πάσας τοῖς αἰγυπτίοις τὰς ἀπὸ τῆς γῆς τῶν καρπῶν ἐλπίδας διολέσαι. ἤρκει μὲν οὖν τὸν δίχα πονηρίας ἀνόητον καὶ τὰ προειρημένα τῶν κακῶν εἰς σύνεσιν καὶ τοῦ συμφέροντος τὴν ἐπίνοιαν ὠφελῆσαι. φαραώθης δὲ οὐ τοσοῦτον ὑπὸ ἀφροσύνης, ὅσον ὑπὸ κακίας, αἰσθόμενος τῆς αἰτίας, ὅμως ἀντεφιλονείκει τῷ θεῷ, καὶ τοῦ κρείττονος ἑκὼν προδότης ἐγένετο. καὶ κελεύει μὲν τὸν μωϋσῆν, μετά τε γυναικῶν ἀπαγαγεῖν τοὺς ἑβραίους. τὴν δὲ λείαν αὐτοῖς καταλιπεῖν ἐφθαρμένης αὐτοῖς τῆς οἰκείας. τοῦ δὲ μωϋσέως οὐχὶ δίκαια φήσαντος αὐτὸν ἀξιοῦν. δεῖν γὰρ αὐτοὺς τῷ θεῷ τὰς θυσίας ἐκ τῆς λείας ἐπενεγκεῖν. καὶ τριβομένου διὰ ταύτην τὴν αἰτίαν τοῦ χρόνου, σκότος βαθὺ καὶ φέγγους ἄμοιρον περιχεῖται τοῖς αἰγυπτίοις, ὑφ' οὗ τάς τε ὄψεις ἀποκλειομένοις ὑπὸ παχύτητος οἰκτρῶς τε ἀποθνήσκειν συνέβαινεν καὶ δεδιέναι μὴ καταποθῶσιν ὑπὸ τοῦ νέφους. εἶτα τούτου διασκεδασθέντος, μετὰ τρεῖς ἡμέρας καὶ τοσαύτας νύκτας, ὡς οὐ μετενόει πρὸς τὴν ἔξοδον τῶν ἑβραίων ὁ φαραώθης, προσελθὼν ὁ μωϋσῆς φησίν. ἄχρι πότε ἀπειθεῖς τῇ τοῦ θεοῦ γνώμῃ; κελεύει γὰρ οὗτος ἀπολύειν τοὺς ἑβραίους, καὶ οὐκ ἔστιν ἑτέρως ἀπαλλαγῆναι τῶν κακῶν ὑμᾶς μὴ ταῦτα ποιήσαντας. ὁ δὲ βασιλεὺς ὀργισθεὶς ἐπὶ τοῖς προειρημένοις ἠπείλησεν αὐτοῦ τὴν κεφαλὴν ἀποτεμεῖν, εἰ πάλιν περὶ τούτων ἐνοχλῶν αὐτῷ προσέλθοι. μωϋσῆς δὲ αὐτὸς οὐκ ἔτι ποιήσεσθαι περὶ τούτων λόγους, ἔφησεν. αὐτὸν δὲ ἐκεῖνον σὺν καὶ τοῖς πρώτοις τῶν αἰγυπτίων παρακαλέσειν τοὺς ἑβραίους ἀπελθεῖν. καὶ ὁ μὲν ταῦτ' εἰπὼν ἀπαλλάσσεται. ὁ δὲ θεὸς δηλώσας ἔτι μιᾷ πληγῇ τοὺς αἰγυπτίους καταναγκάσειν ἀπολῦσαι τοὺς ἑβραίους, ἐκέλευσε μωϋσῆν παραγγεῖλαι τῷ λαῷ θυσίαν ἑτοίμην ἔχειν, παρασκευασαμένους τῇ τρισκαιδεκάτῃ τοῦ ξανθικοῦ μηνὸς εἰς τὴν τεσσαρεσκαιδεκάτην. ὃς παρὰ μὲν αἰγυπτίοις φαρμουθὶ καλεῖται, νεισὰν δὲ παρ' ἑβραίοις. μακεδόνες δ' αὐτὸν ξανθικὸν προσαγορεύουσιν. ἀπάγειν τε τοὺς ἑβραίους πάντα ἐπικομιζομένους. καὶ ὁ μὲν ἑτοίμους ἔχων ἤδη τοὺς ἑβραίους πρὸς τὴν ἔξοδον, καὶ διατάξας εἰς φρατρίας, ἐν ταὐτῷ συνεῖχεν. ἐνστάσης δὲ τῆς τεσσαρεσκαιδεκάτης, πάντες πρὸς ἔξοδον ἔχοντες, ἔθυον.

καὶ

καὶ τῷ αἵματι τὰς οἰκίας ἥγνιζον, ὑσσώπου κόμας ἀναλαβόντες. καὶ δειπνήσαντες, τὰ λοιπὰ τῶν κρεῶν ἔκαυσαν, ὡς ἐξελευσόμενοι. ὅθεν νῦν ἔτι κατὰ τὸ ἔθος οὕτως θύομεν, τὴν ἑορτὴν πάσχα καλοῦντες. σημαίνει δὲ ὑπερβάσια, διότι κατ' ἐκείνην τὴν ἡμέραν ὁ θεὸς αὐτοὺς ὑπερβὰς Αἰγυπτίοις ἐναπέσκηψεν τὴν νόσον. ἡ γὰρ φθορὰ τῶν πρωτοτόκων κατ' ἐκείνην ἔπεισι τὴν νύκτα τοῖς Αἰγυπτίοις, ὡς συνελθόντας πολλοὺς τῶν περὶ τὸ βασίλειον διαιτωμένων τῷ Φαραώθῃ συμβουλεύειν ἀπολύειν τοὺς Ἑβραίους. καὶ Μωϋσῆν καλέσας ἐκεῖνος ἀπιέναι προσέταξεν, εἰ τῆς χώρας ἐξέλθοιεν παύσασθαι τὴν Αἴγυπτον κακοπαθοῦσαν ὑπολαβών. δώροις τε τοὺς Ἑβραίους ἐτίμων, οἱ μὲν ὑπὲρ τοῦ τάχιον ἐξελθεῖν, οἱ δὲ καὶ κατὰ γειτνιακὴν πρὸς αὐτοὺς συνήθειαν. καὶ οἱ μὲν ἐξῄεσαν κλαιόντων καὶ μετανοούντων, ὅτι χρήσαιντο χαλεπῶς αὐτοῖς, τῶν Αἰγυπτίων. τὴν δὲ πορείαν ἐποιοῦντο κατὰ Λητοῦς πόλιν ἔρημον οὖσαν ἐν τοῖς τότε. Βαβυλὼν γὰρ ὕστερον κτίζεται ἐκεῖ, Καμβύσου καταστρεφομένου τὴν Αἴγυπτον. συντόμως δὲ ποιούμενοι τὴν ἄφοδον εἰς Βεελσεφῶντα χωρίον τριταῖοι παραγίνονται τῆς Ἐρυθρᾶς θαλάσσης. μηδενὸς δὲ τῶν ἀπὸ τῆς γῆς εὐποροῦντες διὰ τὴν ἐρημίαν, πεφυραμένοις τοῖς ἀλεύροις καὶ πεπηγόσι μόνον ὑπὸ βραχείας θερμότητος τοῖς ἀπ' αὐτῶν ἄρτοις διεξέφεροντο. καὶ τούτοις ἐπὶ τριάκοντα ἡμέρας ἐχρήσαντο. πρὸς πλείονα γὰρ οὐκ ἐξήρκεσε χρόνον αὐτοῖς, ὅσα ἐκ τῆς Αἰγύπτου ἐπεφέροντο, καὶ ταύτην τὴν τροφὴν ταμιευομένοις, καὶ πρὸς ἀνάγκην ἀλλὰ μὴ πρὸς κόρον αὐτῇ χρωμένοις. ὅθεν εἰς μνήμην τῆς τότε ἐνδείας ἑορτὴν ἄγομεν ἐφ' ἡμέρας ὀκτώ, τὴν τῶν ἀζύμων λεγομένην. τὸ μὲν οὖν πᾶν πλῆθος τῶν μετανισταμένων γυναιξὶν ἅμα καὶ τέκνοις σκοποῦσιν οὐκ εὐαρίθμητον ἦν. οἱ δὲ στρατεύσιμον ἔχοντες ἡλικίαν ἑξήκοντα μυριάδες ἦσαν.

A illucescente verò quartadecima omnes ad exitum animati sacrificabant, & sanguine domos lustrabant, aspersas hyssopo: & peracta cœna reliquias carnium exusserunt, tanquam exituri. vnde nunc quoque solemne manet nobis idem sacrificium, qui festiuitatem vocamus pascha. id transitum significat, eo quòd Deus illa die præteritis illæsis Hebræis, Ægyptios morbo percussit. nam pestis illa nocte absumpsit B primogenita Ægyptiorum, vt agminatim ad regiam cōcurreretur à proximis, vociferantib᷒ non amplius detinendos Hebræos. tū rex accito Moyse mādat vt abeant, ratus post eorū exitū regionē cessantib. calamitatib. subleuandā. donis etiam Hebræos honorabant, alij quò celeriùs discederent, alij propter vicinitatis consuetudinem. atque hoc pacto exitum est, flentibus Ægyptiis & pœnitentibus ob præteritam malam tractationem. Iter autem faciebant per C Latopolim tunc desertam: Babylon enim post eo loco est condita, Cambyse Ægyptū vastāte. cúmque abeuntes iter strenue continuarent, tertia die peruenerunt Beelsephōtem ad rubrū mare sitam. cúmque nihil per viam inuenirent propter solitudinem, macerata farina & modico calore in panis speciem solidata se sustētabant: quo victu per triginta dies sunt vsi. neq; enim plus commeatus Ægypto extulerant, atq; eum ipsum parcè dispensabant ad necessitatem D magis quàm ad satietatem. quapropter in memoriam eius inopiæ festa per octo dies celebramus, quos vocamus azymorū. cæterū multitudo migrantium vnà cum liberis & vxoribus vix erat numerabilis, qui verò militarē ætatem habebant, sexcentorum millium numerum explebant.

Κεφάλαιον ς΄.

Ὡς Μωϋσέως αὐτοῖς ἡγουμένου τὴν Αἴγυπτον ἐξέλιπον.

Κατέλιπον δὲ τὴν Αἴγυπτον, μηνὶ Ξανθικῷ, πέμπτῃ καὶ δεκάτῃ κατὰ σελήνην, μετὰ ἔτη τριάκοντα καὶ τετρακόσια ἢ τὸν πρόγονον ἡμῶν Ἅβραμον εἰς τὴν Χαναναίαν ἐλθεῖν. τῆς δὲ Ἰακώβου μεταναστάσεως εἰς τὴν Αἴγυπτον γενομένης, διακοσίοις πρὸς τοῖς δεκαπέντε ἐνιαυτοῖς ὕστερον. Μωϋσῇ δὲ γεγόνει μὲν ἔτος ὀγδοηκοστὸν ἤδη. ὁ δὲ ἀδελφὸς αὐτοῦ Ἀαρὼν τρισὶ πλείοσιν. ἐπεκόμιζον δὲ καὶ τὰ τοῦ Ἰωσήπου ὀστᾶ, ταῦτ' ἐκείνου τοῖς υἱοῖς αὐτοῦ κελεύσαντος. Αἰγύπτιοι δὲ ἐπὶ τοῖς Ἑβραίοις ἐξελθοῦσι μετενόουν. καὶ τοῦ βασιλέως δεινῶς φέροντος, ὡς κατὰ γοητείαν τοῦ Μωϋσέως τούτων γενομένων, ἐπ' αὐτοὺς ἐγνώκεσαν ἀπιέναι. καὶ λαβόντες ὅπλα καὶ παρασκευήν, ἐδίωκον ὡς ἐπανάξοντες αὐτούς, εἰ καταλάβοιεν. καὶ γὰρ οὐκ ἔτ' αὐτοὺς ἐντεύξεσθαι τῷ θεῷ. τὴν γὰρ ἔξοδον αὐτοῖς γεγονέναι. κρατήσειν δὲ ῥᾳδίως αὐτῶν ὑπέλαβον, ἀνόπλων τε ὄντων καὶ ὑπὸ τῆς ὁδοιπορίας κεκοπωμένων. παρ' ἕκαστον δὲ ἀναπυνθανόμενοι ᾗ χωρήσαιεν ἐπέσπευδον τὴν δίωξιν, καίτοι χαλεπῆς οὔσης ὁδευθῆναι τῆς γῆς, οὐ στρατοπέδοις μόνον, ἀλλὰ καὶ καθ' ἕνα. Μωϋσῆς δὲ ταύτῃ τοὺς Ἑβραίους ἀπήγαγεν, ἵν' εἰ μετανοήσαντες οἱ Αἰγύπτιοι διώκειν ἐθέλοιεν, τιμωρίαν τῆς πονηρίας καὶ παραβάσεως τῶν ὁμολογημένων ὑπόσχοιεν.

CAP. VI.

E *Quomodo Moyse duce Ægyptum reliquerunt.*

Reliquerunt autem Ægyptum mense Xanthico, luna quintadecima, anno quadringentesimo trigesimo postquam Abrahā pater noster in Chananæā venit: & post Iacobi migrationem in Ægyptum anno ducētesimo decimoquinto. Moyses verò annum tunc agebat octuagesimum, & frater eius Aaron triennio erat maior. deferebant etiam secum ossa Iosephi, ita vt filiis suis mandauerat. Ægyptios autē F pœnituit quòd Hebræos dimisissent: cúmq. rex præ cæteris hanc rem ægrè ferret, totum præstigiis Moysis imputans, decretum est vt in eos irruerent. & correptis armis reliquóque apparatu, persequebantur, retracturi si possent assequi. non enim timendum ne Deus offendatur, cum iam semel exitus illis sit cōcessus. sperabant etiam facilè se in potestatem redacturos inermes & de via lassos. itaque obuium quemque rogantes quà tenderent, raptim insequeG bantur, tametsi per viam difficilem non solùm exercitibus, sed expeditis quoque viatoribus. Moyses autem hac Hebræos ideo duxit, vt si Ægyptij mutata sententia persequi eos vellent, pœnas malitiæ violatíque pacti persoluerent:

Exod. 12.

XIIII.

neve Palæſtini, quos ob veterem ſimultatē infenſos habebat, de hac profectione certiores fieri poſſent. eſt enim illorum regio Ægypto contermina. quapropter omiſſa via quæ in Palæſtinam ducit, per deſertum via diſpendioſa ac difficili voluit Chananæam inuadere: obiterq; iuxta Dei mandata in montem Sina populum ſacrificaturum adducere. ſed vbi ad rubrū mare peruentum eſt, ecce Ægyptiorū multitudo circunfuſa in arctum eos compellit. aderant enim ſeptingenti currus cum equitū quinquaginta millibus, & ducenta millia ſcutatorū peditum, hi vias omnes obſederant, quib. effugium Hebræis patere poterat, inter rupes & mare concluſis, quo loco mōs præ aſpretis inuius ad littus vſque procurrit. atque ita ne fugæ quidem ſpe relicta Hebreos mare inter & montem obſidione premebant, oppoſitis armatis quà exitus in campos aperiebatur. In hac locorum iniquitate concluſi, cùm nec obſidionem pre inopia tolerare, nec exitū ad fugam inuenire poſſent, nec arma adeſſent etiamſi maximè pugnare cuperent, nihil ſupereſſe videbāt niſi vt turpi deditione ſaluti conſulerent: quo factum eſt vt Moyſen incuſarent, obliti prodigiorum quib⁹ libertatem eis Deus ſignificauerat: minimúmque aberat quin propheta lapidato, conteptiſque per incredulitatem pollicitationibus, deditione in priſtinam ſeruitutem redirent. nam & lamentis mulierum ac puerorum exaſperabantur, nihil niſi perniciem expectantium, cū eſſent rupibus & mari & armatis circuncirca cincti, nec vlla ſpes effugij relinqueretur. Moyſes autem efferata licet cōtra ſe turba nulli ſuccumbens difficultati non ceſſabat eis proſpicere, Deo fretus, quem poſt tot libertatis præſagia probabile non erat permiſſurum vt aut delerentur, aut in poteſtatē inimicorū relaberentur. cúmque medius in concione conſtitiſſet, ſic ad eos verba fecit. Si homo aliquis res veſtras bene ac prudenter hactenus adminiſtraſſet, oportebat & in poſterum ſimilem eius curam & diligentiam expectare: nunc poſtquā Deus ipſe gubernandos vos ſuſcepit, quantæ inſaniæ fuerit eius opem non ſperare, qui per me vltro vobis præſtitit quicquid ad veſtram ſalutem ac libertatem conferre videbatur, imò hæc ipſa difficultas & anguſtia magis vos ad ſperandum accendere debuerat. ipſe enim vos in arctum hunc locum concludi voluit, vt ex tanta neceſſitate præter veſtram ęquè ac hoſtium opinionem ſeruaret, atque in hunc modum declararet, non ſolùm potentiam ſuā, ſed fauorem etiam quo vos perpetuò proſequitur. non enim in paruis rebus Deus propitius auxilium afferre ſolet, ſed tum potiſſimùm quando ſpei ſupereſt minimum. ergo huius ope freti, qui poteſt & ex paruis magna facere, & horum potentiam debilem reddere, ne terreamini Ægyptiorum apparatu, neque propter fugam mari & montibus impeditam animum deſpondete. poteſt enim Deus & hos in planiciem & mare in terram vertere.

Exod.14.

A καὶ διὰ παλαιστίνοις δυσμενῶς ἔχοντας κατὰ παλαιὰν ἀπέχθειαν οὖσαν ὅπως σοι ἐβούλετο λανθάνειν ἀπερχόμενος. ὅμορος γάρ ἐστιν τῇ τῶν αἰγυπτίων χώρᾳ. καὶ διὰ τοῦτο, τὴν μὲν ἄγουσαν εἰς τὴν παλαιστίνην οὐκ ἀπήγαγε τὸν λαόν. ἀλλὰ διὰ τῆς ἐρήμου πολλὴν ἀνύσας ὁδὸν καὶ κακοπαθήσας ἠθέλησεν ἐμβαλεῖν εἰς τὴν χαναναίαν, ἔτι δὲ καὶ διὰ τὰς ἐντολὰς τοῦ θεοῦ κελεύσαντος ἀγαγεῖν τὸν λαὸν εἰς τὸ σιναῖον ὄρος ἐκεῖ ποιήσοντας θυσίας. καταλαβόντες δὲ τοὺς ἑβραίους αἰγύπτιοι εἰς μά-
B χην παρεσκευάζοντο, καὶ συνελαύνουσιν αὐτοὺς ὑπὸ πολυχειρίας εἰς ὀλίγον χωρίον. ἑξακόσια γὰρ αὐτοῖς ἅρματα εἵπετο σὺν ἱππεῦσι πεντακισμυρίοις, καὶ ὁπλιτῶν μυριάδες ἦσαν εἴκοσι. τάς τε ὁδοὺς ἀπεφράγνυσαν αἷς φεύξεσθαι τοὺς ἑβραίους ὑπελάμβανον, μεταξὺ κρημνῶν αὐτοὺς ἀπροσβάτων καὶ τῆς θαλάττης ἀπολαμβάνοντες. τελευτᾷ γὰρ εἰς αὐτὴν ὄρος ὑπὸ τραχύτητος ὁδοῦ ἄπορον. καὶ φυγῆς ἀπολαμβανόμενοι τοιγαροῦν ἐν τῇ προσβολῇ τῇ πρὸς θάλατταν τοῦ ὄρους τοὺς ἑβραίους ἀπέ-
C φραττον τῷ στρατοπέδῳ κατὰ στόμα τοῦτο ἱδρυσάμενοι, ὅπως τὴν εἰς τὸ πεδίον ἔξοδον ὦσιν αὐτοὺς ἀφῃρημένοι. μήτ᾽ οὖν ὑπομένειν πολιορκουμένων τρόπῳ διὰ τὴν ἔνδειαν τῶν ἐπιτηδείων δυνάμενοι, μήτε φυγῆς εὐπορίαν ὁρῶντες, ὅπλων τε σπανίζοντες εἰ καὶ μάχεσθαι δόξειεν αὐτοῖς, ἐν ἐλπίδι τοῦ πάντα ἀπολέσθαι καθειστήκεσαν εἰ μὴ παραδώσουσιν ἑαυτοὺς τοῖς αἰγυπτίοις ἐθελουσίως. καὶ τὸν μωϋσῆν ᾐτιῶντο, πάντων ἐπιλελησμένοι τῶν ἐκ
D θεοῦ πρὸς τὴν ἐλευθερίαν αὐτοῖς σημείων γεγονότων, ὡς καὶ τὸν προφήτην παρορμῶντα καὶ τὴν σωτηρίαν αὐτοῖς ἐπαγγελλόμενον, ὑπὸ ἀπιστίας λίθοις ἐθελῆσαι βαλεῖν, παραδιδόναι τε σφᾶς τοῖς αἰγυπτίοις διεγνωκέναι. πένθος τε ἦν καὶ ὀδυρμὸς γυναικῶν καὶ παίδων πρὸ ὀφθαλμῶν ἐχόντων τὸν ὄλεθρον, ὄρεσι καὶ θαλάττῃ περικεκλεισμένων καὶ πολεμίοις, καὶ φυγὴν οὐδαμόθεν ἐκ τούτων ἐπινοούντων. μωϋσῆς δὲ καίπερ ἀγριαίνοντος πρὸς αὐτὸν τοῦ πλήθους, οὐκ αὐτὸς ἐνέκαμνε τῇ περὶ αὐτοὺς
E προνοίᾳ, καὶ τῷ θεῷ κατεφρόνει. τά τε ἄλλα πρὸς τὴν ἐλευθερίαν αὐτοῖς ὅσα προείπεν παρεσχηκότος, καὶ μηδὲ τότ᾽ αὐτοὺς ἐάσοντος ὑπὸ τοῖς ἐχθροῖς γενομένους ἢ δουλεύειν ἢ ἀπολέσθαι. καὶ στὰς ἐν μέσοις, οὐδὲ ἀνθρώποις εἶπεν καλῶς τὰ παρόντα πεπολιτευμένοις πρὸς ἡμᾶς δίκαιον ἦν ἀπιστεῖν, ὡς οὐχ ὁμοίοις ἐσομένοις πρὸς τὰ μέλλοντα. τῆς δὲ τοῦ θεοῦ νῦν ἀπογινώσκειν ὑμᾶς προνοίας, μανίας ἔργον ἂν εἴη, παρ᾽ οὗ πάνθ᾽ ὑμῖν ἀπήντηκεν, ὅσα δι᾽ ἐμοῦ πρὸς σωτηρίαν καὶ τὴν ἀπαλλαγὴν τῆς δουλείας,
F οὐδὲ προσδοκῶσιν ὑπέσχετο. μᾶλλον δὲ χρὴν ἐν ἀπόροις γεγενημένοις βοηθὸν ἐλπίζειν τὸν θεόν. οὗ καὶ τὸ νῦν εἰς ταύτην ἡμᾶς περικεκλεῖσθαι τὴν δυσχωρίαν ἔργον, ἵν᾽ ἐξ ἀμηχάνων ὅτε οὔτ᾽ αὐτοὶ νομίζετε σωτηρίαν ἕξειν οὔθ᾽ οἱ πολέμιοι, ὁ ἐκ τούτων ῥυσάμενος τήν τε ἰσχὺν ἐπιδείξηται τὴν ἑαυτοῦ καὶ τὴν περὶ ἡμᾶς πρόνοιαν. οὐ γὰρ ἐπὶ μικροῖς τὸ θεῖον τὴν ἑαυτοῦ συμμαχίαν οὖσαν δύνουν δίδωσιν, ἀλλ᾽ ἐφ᾽ οἷς ἀνθρωπίνην ἐλπίδα μὴ βλέποι
G πρὸς τὸ κρεῖττον παροῦσαν. ὅθεν τοιούτῳ βοηθῷ πεπιστευκότες, ᾧ δύναμις καὶ τὰ μικρὰ ποιῆσαι μεγάλα, καὶ τῶν τηλικούτων ἀσθένειαν καταψηφίσασθαι, μὴ καταπεπλῆχθαι τὴν αἰγυπτίων παρασκευήν. μηδ᾽ ὅτι θάλασσα κάθοπιν ὑμῖν, ὄρη τε φυγῆς ὁδὸν οὐ παρέχοντα, διὰ τοῦτ᾽ ἀπογινώσκετε τῆς σωτηρίας. γένοιτο γὰρ ἂν καὶ ταῦθ᾽ ὑμῖν πεδία τοῦ θεοῦ θελήσαντος καὶ γῆ τὸ πέλαγος.

Κεφάλαιον ζ΄.

Ὡς ἡ θάλασσα τοῖς Ἑβραίοις διωκομένοις ὑπὸ τῶν Αἰγυπτίων ἀνακοπεῖσα, φυγὴν δι' αὐτῆς παρέσχεν.

Τοσαῦτα εἰπὼν ἦγεν αὐτοὺς ἐπὶ τὴν θάλατταν τῶν Αἰγυπτίων ὁρώντων. ἐν ὄψει γὰρ ὄντων, καὶ τῷ πόνῳ τεταλαιπωρημένοι τῆς διώξεως, εἰς τὴν ὑστεραίαν τὴν μάχην ὑπερβάλλεσθαι, καλῶς ἔχειν ὑπελάμβανον. ἐπεὶ δὲ πρὸς τῷ αἰγιαλῷ Μωϋσῆς ἐγεγόνει, λαβὼν τὴν βακτηρίαν θεὸν ἱκέτευε, καὶ σύμμαχον καὶ βοηθὸν ἐκάλει λέγων. οὐδὲ σὺ μὲν ἀγνοεῖς ὅτι φυγεῖν ἡμῖν ἐκ τῶν παρόντων, οὔτε κατὰ ῥώμην οὔτε κατ' ἐπίνοιαν ἔστιν ἀνθρωπίνην. ἀλλ' εἴ τι πάντως σωτήριον στρατῷ τῷ κατὰ τὴν σὴν βούλησιν ἀφέντι τὴν Αἴγυπτον, σὸν ἐστὶν ἐκπορίζειν. ἡμεῖς τε ἄλλην ἀπεγνωκότες ἐλπίδα καὶ μηχανὴν, εἰς τὴν ἀπὸ σοῦ μόνου καταφεύγομεν. καὶ εἴ τι παρὰ τῆς σῆς προνοίας ἔλθοι ἐξαρπάσαι τῆς Αἰγυπτίων ὀργῆς ἡμᾶς δυνάμενον, ἀποβλέπομεν. ἀφίκοιτο δὲ τοῦτο ταχέως τὴν σὴν ἐμφανίζον ἡμῖν δύναμιν. καὶ τὸν λαὸν ὑπὸ ἀνελπιστίας καταπεπτωκότα πρὸς τὸ χεῖρον, ἀνάστησον εἰς εὐθυμίαν, καὶ τὸ περὶ τῆς σωτηρίας θάρσος. ἐν οὐκ ἀλλοτρίοις δ' ἐσμὲν τοῖς ἀπόροις. ἀλλὰ σὴ μὲν ἡ θάλασσα, σὸν δὲ τὸ περικλεῖον ἡμᾶς ὄρος. ὡς ἀνοιγῆναι μὲν τοῦτο σοῦ κελεύσαντος, ἠπειρωθῆναι δὲ καὶ τὸ πέλαγος. ἔστι δὲ ἡμῖν ἀποδρᾶναι καὶ δι' ἀέρος, δόξαν ἰσχύι τῇ σῇ τοῦτον ἡμᾶς σώζεσθαι τὸν τρόπον. τοσαῦτα ἐπιθειάσας τύπτει τῇ βακτηρίᾳ τὴν θάλασσαν. ἡ δ' ὑπὸ τῆς πληγῆς ἀνεκόπη, καὶ εἰς ἑαυτὴν ὑποχωρήσασα, γυμνὴν ἀφίησι τὴν γῆν, ὁδὸν Ἑβραίοις εἶναι καὶ φυγήν. Μωϋσῆς δὲ ὁρῶν τὴν ἐπιφάνειαν τοῦ θεοῦ, καὶ τὸ πέλαγος ἐκκεχωρηκὸς αὐτοῖς τῆς ἰδίας ἠπείρου, πρῶτος ἐνέβαινεν αὐτῇ, καὶ τοὺς Ἑβραίους ἐκέλευεν ἕπεσθαι διὰ θείας ὁδοῦ ποιουμένους τὴν πορείαν, καὶ τῷ κινδύνῳ τῶν παρόντων πολεμίων ἡδομένους καὶ χάριν ἔχοντας διὰ τὴν παράλογον οὕτως ἐξ αὐτοῦ σωτηρίαν ἀναφανεῖσαν. τῶν δ' οὐκ ὀκνούντων ἀλλ' ἱεμένων μετὰ σπουδῆς, ὡς συμπαρόντος αὐτοῖς τοῦ θεοῦ, μαίνεσθαι μὲν αὐτοὺς Αἰγύπτιοι τὸ πρῶτον ἐδόκουν, ὡς ἐπὶ πρόδηλον ὄλεθρον ὁρμωμένους. ἐπεὶ δ' ἑώρων ἀβλαβεῖς ἐπὶ τὸ πολὺ προκεκοφότας, καὶ μηδὲν αὐτοῖς ἐμπόδιον μηδὲ δυσχερὲς ἀπαντήσαν, διώκειν ὡρμήκεσαν αὐτούς, ὡς κἀκείνοις ἠρεμήσοντος τοῦ πελάγους. καὶ προτάξαντες τὴν ἵππον κατέβαινον. Ἑβραῖοι δὲ καθοπλιζομένους, καὶ τὸν χρόνον εἰς ταὐτὸ τρίβοντας ἔφθασαν εἰς τὴν ἀντιπέραν γῆν ἀπαθεῖς ἐκφυγόντες. ὅθεν καὶ θάρσος τοῖς ἑτέροις συνέβαλεν πρὸς τὴν δίωξιν, ὡς οὐδὲν οὐδ' αὐτῶν πεισομένων εἶναι. Αἰγύπτιοι δ' ἐλάνθανον ἰδίαν ὁδὸν Ἑβραίοις γεγενημένην, ἀλλ' οὐχὶ κοινὴν ἐμβαίνοντες, καὶ μέχρι σωτηρίας τῶν κεκινδυνευκότων πεποιημένην, ἀλλ' οὐχὶ καὶ τοῖς ἐπ' ἀπωλείᾳ τῇ τούτων ὡρμημένοις χρῆσθαι θέλουσιν. ὡς οὖν ὁ τῶν Αἰγυπτίων στρατὸς ἅπας ἐντὸς ἦν, ἐπιχεῖται πάλιν ἡ θάλασσα, καὶ περικαταλαμβάνει ῥοώδης ὑπὸ πνευμάτων κατιοῦσα τοὺς Αἰγυπτίους. ὄμβροι τε ἀπ' οὐρανοῦ κατέβαινον, καὶ βρονταὶ σκληραὶ προσεξαπτομένης ἀστραπῆς, καὶ κεραυνοὶ δὲ κατηνέχθησαν. ὅλως δ' οὐδὲν ἦν τῶν ἐπ' ἀπωλείᾳ κατὰ μῆνιν θεοῦ συμπιπτόντων ἀνθρώποις, ὃ μὴ τότε συνῆλθεν. καὶ γὰρ νὺξ αὐτοὺς ζοφώδης καὶ σκοτεινὴ κατέλαβεν. καὶ οἱ μὲν οὕτως ἀπώλοντο πάντες, ὡς μηδ' ἄγγελον τῆς συμφορᾶς τοῖς ὑπολελειμμένοις ὑποστρέ-

CAP. VII.

Quomodo mare scissum Hebræis Ægyptios fugiensibus viam aperuit.

HÆc effatus ad mare eos Ægyptiis spectantibus ducebat. Habentes enim eos sub oculis, quòd essent persequendo defatigati, pugnam in sequentem diem differre consultius putabant. vt verò ad extremum littus ventum est, tum Moyses sumpta virga Deum in auxilium supplex inuocat, dicens, Tu domine scis ipse quòd nec viribus nec artibus humanis vllum hinc nobis patet effugium: superest vt ipse salutem huic populo expedias, qui Ægypto relicta huc est delatus, tuam voluntatem tuámque fidem secutus. ad te solum omni alia spe, omni consilio, destituti confugimus: ad tuam tantùm prouidentiam respicimus, quę sola nos iratis Ægyptiis eripere potest. succurre igitur properè, & potentiam tuam exere, & populum iam conclamatæ salutis ad fiduciam & spem excita, in difficultatibus constituti sumus, sed nostris non tuis. tuum est Domine hoc mare, tuus & mons qui nos claudit: & hic potest te iubente aperiri, & illud in terram verti. possumus & per aërem sublimes effugere, si ita nos seruari tibi placeat. hæc precatus, mare virga percutit: quo ictu repentè scissum, & retrorsum se recipiens, nudum solum Hebræis ad fugam capessendam relinquit. Moyses autem videns adesse Deum, & mare de suo solo cessisse, primus progreditur, hortatur Hebræos vt alacriter sequantur per viam diuinitus datam, & læti præterito periculo gratias agant ob tam incredibilem salutis rationem tam subito exortam. illis verò impigrè subsequentibus nimirum diuina ope fretis, Ægyptij primum insanire eos putabant in manifestam perniciem ruentes. postquam verò viderunt eos longè processisse, & impunè absque omni impedimento iter facere, impetu facto persequi eos cœperunt, quasi & ipsi tutum per mare iter habituri: & præmissis equitibus à littore descendebant: iámque in aduersum littus euaserant Hebræi, hostibus à tergo relictis, quos armis graues ipsa etiam miraculi nouitas nonnihil est remorata: sed cùm incolumes illos terram tenere viderent, sibi quoque eundem euentum pollicebantur. Verùm fefellit eos hæc opinio, nescientes non quorumuis talem viam esse, sed Hebræorum tantùm, & fugientibus tantùm ad salutem patere, non hostibus qui eos perdendi animo insectarentur. ergo cùm iam vniuersus exercitus introgressus esset, refunditur iterum mare, & Ægyptios fluctibus inuoluit, ventis etiam eodem impellentibus: accesserunt & imbres de cœlo, & aspera tonitrua fulguribus simul intermicantibus: fulmina quoque deferebantur, & nihil omnino deerat eorum quæ ab irato Deo hominibus ad perniciem immitti solent: nam & nox eos caliginosa nimis ac tenebrosa comprehendit. atque ita totus ille exercitus est deletus, vt ne nuncius quidem cladis domum reuertere-

tur. Hebræi verò vix sui compotes erant præ A gaudio ex tam inopinata salute concepto, accedente huc etiam hostium interitu, quo maior esset libertatis securitas, nemine superstite qui eos in seruitutẽ vindicare cuperet, & Deo ex professo illis auxilium submittente. quapropter tum sua salute, tum inimicorum supplicio læti magis quàm vlli antehac homines in hymnis & hilaritate totam noctem exegerunt: & Moyses carmen laudes Dei & ob præsentem fauorem gratiarum actiones continens hexametro versu composuit. Hæc ego vt in sacris B codicibus inueni, ita sigillatim conscripsi. Nemo autem mirari debet tanquam incredibilia, si priscis hominibus & ad malitiam etiam tum rudibus, de salute periclitantibus via per mare patuit, siue Dei voluntate, siue naturæ sponte: quandoquidem heri & nudiustertius Alexandri ductu Macedonibus Pamphyliũ mare cessit, & aliam viam non habentibus illac iter aperuit, cùm Deus eius opera ad destruendum Persarum imperium vti decreuisset: id quod omnes testantur qui res gestas illius regis scripto prodiderunt. Sed de his vt cuique libet ita C sentiat. Postera verò die cùm æstus & ventus arma Ægyptiorum in littus expulisset, in quo tum Hebræi castra posuerant, Moses id quoque diuina prouidentia factum interpretatus, ne posthac inermes essent, collecta viritim distribuit: atque ita iam probè munitos ad Sina montem duxit, sacrificaturus ibi Deo, & munera pro salute populi oblaturus, quemadmodum iustum esse iam antè dictum est.

Exod. 8.9.

σθαι. τοῖς δ' ἑβραίοις οὐδὲ κατασχεῖν ἦν ἐπὶ τῇ χαρᾷ τῆς παραδόξου σωτηρίας καὶ τῇ τῶν πολεμίων ἀπωλείᾳ, βεβαίως νομίζοντας ἠλευθερῶσθαι, τῶν ἀναγκαζόντων δουλεύειν διεφθαρμένων, καὶ τὸν θεὸν οὕτως ἐναργῶς ἔχοντας βοηθοῦντα. καὶ οἱ μὲν αὐτοί τε τὸν κίνδυνον οὕτως ἐκφυγόντες, καὶ προσέτι τοὺς ἐχθροὺς ἐπιδόντες κεκολασμένους, ὡς οὐκ ἄλλοι τινὲς μνημονεύονται τῶν πρόσθεν ἀνθρώπων, ἐν ὕμνοις ἦσαν καὶ παιδιαῖς ὅλην τὴν νύκτα. καὶ μωϋσῆς ᾠδὴν εἰς τὸν θεὸν ἐγκώμιόν τε καὶ τῆς εὐθυμίας εὐχαριστίαν περιέχουσαν, ἐν ἑξαμέτρῳ τόνῳ συντίθησιν. ἐγὼ μὲν οὖν ὡς εὗρον ἐν ταῖς ἱεραῖς βίβλοις, οὕτως ἕκαστον τούτων παρέδωκα. θαυμάσει δὲ μηδεὶς τοῦ λόγου τὸ παράδοξον, εἰ ἀρχαίοις ἀνθρώποις καὶ πονηρίας ἀπείροις εὑρέθη σωτηρίας ὁδὸς καὶ διὰ θαλάσσης, εἴτε κατὰ βούλησιν θεοῦ, εἴτε κατ' αὐτόματον, ὁπότε καὶ περὶ τὸν ἀλέξανδρον τὸν βασιλέα τῆς μακεδονίας χθὲς καὶ πρῴην γεγονόσιν ὑπεχώρησεν τὸ παμφύλιον πέλαγος, καὶ ὁδὸν ἄλλην οὐκ ἔχουσιν, παρέσχεν τὴν δι' αὐτοῦ καταλῦσαι τὴν περσῶν ἡγεμονίαν τοῦ θεοῦ θελήσαντος. καὶ τοῦτο πάντες ὁμολογοῦσιν οἱ τὰς ἀλεξάνδρου πράξεις συγγραψάμενοι. περὶ μὲν οὖν τούτων ὡς ἑκάστῳ δοκεῖ διαλαμβανέτω. τῇ δ' ὑστεραίᾳ τὰ ὅπλα τῶν αἰγυπτίων προσενεχθέντα τῷ στρατοπέδῳ τῶν ἑβραίων ὑπὸ τοῦ ῥοῦ καὶ τῆς βίας τοῦ πνεύματος ἐπ' ἐκεῖνο ἐκδιδούσης, ὁ μωϋσῆς καὶ τοῦτο εἰκάσας τῇ τοῦ θεοῦ προνοίᾳ γεγονέναι, ὅπως μηδὲ ὅπλων ὦσιν ἄποροι, συναγαγὼν καὶ τούτοις σκεπάσας τοὺς ἑβραίους, ἦγεν ἐπὶ τὸ σιναῖον ὄρος θύσων ἐκεῖ τῷ θεῷ, καὶ τὰ σῶστρα τῆς πληθύος ἀποδώσων καθὼς αὐτῷ καὶ προείρηται.

ΦΛΑ-

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩ ΤΡΙΤΩ ΛΟΓΩ ΤΩΝ Ἰωσήπου ἱστοριῶν τῆς ἰουδαϊκῆς ἀρχαιολογίας.

Πῶς μωϋσῆς τὸν λαὸν ἐξ αἰγύπτου πρὸς τὸ σιναῖον ὄρος ἐξήγαγεν. Κεφ. α.

Περὶ τῆς τῶν ἀμαλεκιτῶν καὶ συμμάχων ἥττης, καὶ ὅσην ἐκ τῶν πολεμίων λείαν ἰσραηλῖται ἐκτήσαντο. Κεφ. β.

Ποίας συμβουλὰς ῥαγουῆλος τῷ γαμβρῷ μωϋσῇ ἔδωκεν. Κεφ. γ.

Πῶς μωϋσῆς ἀναβὰς εἰς τὸ σιναῖον ὄρος, καὶ λαβὼν παρὰ θεοῦ τὰς τῶν δέκα λόγων πλάκας, τῷ λαῷ αὐτὰς παρέδωκεν. Κεφ. δ.

Περὶ τῆς σκηνῆς ἣν μωϋσῆς ἐποίησεν ἐν τῇ ἐρήμῳ, ἣ μεταφερομένη ναοῦ οὐδὲν διέφερεν. Κεφ. ε.

Περὶ τῆς κιβωτοῦ, ἐν ᾗ μωϋσῆς τὰς νομικὰς πλάκας ἐναπέθηκεν. Κεφ. ς.

Περὶ τραπέζης καὶ λυχνίας χρυσῆς καὶ βωμῶν τῶν ἐν τῇ σκηνῇ. Κεφ. ζ.

Περὶ τοῦ τῶν τε ἱερέων καὶ τοῦ ἀρχιερέως στολισμοῦ. Κεφ. η.

Περὶ τῆς τοῦ ἀαρὼν ἱερωσύνης, καὶ ἅ τινα περὶ ἑορτῶν καὶ ἱερουργιῶν νενόμισται. Κεφ. θ.

Νόμοι περὶ θυσιῶν καὶ περὶ καθαρμῶν. Κεφ. ι.

Νόμοι καὶ ἤθη περὶ τὰ πολεμικά. Κεφ. ια.

Στάσις κατὰ μωϋσέως δι' ἀπορίαν, καὶ τῶν στασιασάντων κόλασις. Κεφ. ιβ.

Περὶ κατασκόπων οἳ ἐξιστορήσαντες τὴν χαναναίων γῆν, καὶ ἐπανελθόντες τοὺς ἰσραηλίτας ἐξεφόβησαν. Κεφ. ιγ.

Quomodo Moyses populum ex Ægypto in Sina montem eduxit. Cap. I.

De Amalecitarum & sociorum clade, & præda quæ Israëlitis inde obtigit. Cap. II.

Raguelis consilium quod genero suo Moysi dedit. Cap. III.

Moyses conscenso Sina monte acceptas à Deo decem præceptorum tabulas ad populum reportat. Cap. IV.

De tabernaculo per Moysem in terra deserta facto, quod similitudinem templi portalis referebat. Cap. V.

De arca in qua tabulas legis Moyses collocauit. Cap. VI.

De mensa & candelabro aureis, déque altaribus tabernaculi. Cap. VII.

De pontificali ac sacerdotali ornatu. Cap. VIII.

De Aaronis sacerdotio, & quæ leges ad festa ac sacrificia spectent. Cap. IX.

Leges de sacrificiis & purificationibus. Cap. X.

Leges belli & consuetudines. Cap. XI.

Seditio contra Moysem propter egestatem, & seditiosorum pœna. Cap. XII.

De speculatoribus, qui explorata Chananæorum regione reuersi Israëlitis terrorem hostium incussêrunt. Cap. XIII.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΙΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ

ΛΟΓΟΣ ΤΡΙΤΟΣ.

FLAVII IOSEPHI ANTIQVITATVM IVDAICARVM

LIBER TERTIVS.

Cap. I.

Quomodo Moyses populum ex Ægypto in Sina montem eduxit.

RECENTEM hanc lætitiam ex insperato acceptę salutis offuscauit nonnihil itineris molestia, quo per deserta in Sina montem ducebantur: quòd emetienda esset regio difficilis propter ciborum & aquarum extremam inopiam, & ne brutis quidem alendis, nedum hominibus idonea. erat enim tota squalida, & nihil omnino humoris habens, vnde fructus prouenire solent. talẽ autem viam necessariò sunt ingressi, cùm aliam non possent: deferebántque secum aquam priusquam desertum intrarent haustam, duce ita præmonente. qua absumpta puteos magno labore propter duritiem terræ fodientes aquabantur: ac ne sic quidem vel satis bonam, vel quantum sufficeret inueniebant. in hunc modum iter facientes perueniunt prima vespera in locum quendam, cui propter aquas vitiosas nomen fecerunt Mar, amarorem vocabulo significante: ibíque lassis de via & commeatu quoque iam absumpto inopiam sentire incipientibus, diuertere placuit. inuitabat ad manendum puteus fortè repertus, qui tametsi tantis copiis non posset sufficere, nonnihil tamen solatij propter naturam regionis præbebat. audiebant enim nihil aquæ in progressu se inuenturos, hæc ipsa quoque amara fuit & nulli potabilis, non homini solùm, sed ne iumento quidem. Moyses autem videns eis animum cecidisse, nec habens quod diceret, non enim erat res cum hoste quem virtute repellere posset, sed & viri & imbellis mulierum ac puerorum multitudo ex ęquo periclitabantur, ægrè expediebat consilium populi miseriam ad proprium infortunium referens. ad hunc vnum enim concurrebant, mulierculæ infan-

Exod. 15.

Κεφάλαιον α΄.

Πῶς μωϋσῆς τὸν λαὸν ἐξ αἰγύπτου πρὸς τὸ σιναῖον ὄρος ἐξήγαγεν.

ΠΑΡΑΔΟΞΟΥ δὲ τοῖς ἑβραίοις τῆς σωτηρίας οὕτω γενομένης, δεινῶς ἐλύπει πάλιν αὐτοὺς ἀγομένους ἐπὶ τὸ σιναῖον ὄρος ἡ χώρα τελέως οὖσα ἔρημος, καὶ τῶν τε πρὸς τροφὴν αὐτοῖς ἄπορος, σπανίζουσα δὲ καὶ ὕδατος εἰς τὸ ἔσχατον. καὶ μὴ μόνον ἀνθρώποις τι παρασχεῖν ἐνδεὴς, ἀλλὰ μηδ᾽ ἄλλο τι τῶν ζώων ἱκανὴ βόσκειν. ψαφαρὰ γάρ ἐστιν καὶ νοτερὸν ἐξ αὐτῆς οὐδὲν, ὅτι καὶ φῦσαι καρπὸν δύναιτο. τοιαύτην δὲ οὖσαν τὴν χώραν ἐξ ἀνάγκης ὥδευον, ἑτέραν ἀπελθεῖν οὐκ ἔχοντες. ἐπεφέροντο δ᾽ ἐκ τῆς προωδοιπορημένης ὕδωρ τοῦ στρατηγοῦ κεκελευκότος. καὶ τούτου δαπανηθέντος, ἐκ φρεάτων ἐποιοῦντο τὴν ὑδρείαν, ἐπιπόνως διὰ σκληρότητα τῆς γῆς. καὶ τὸ εὑρισκόμενον δὲ πικρὸν ἀλλ᾽ οὐ πότιμον ἦν, καὶ οὗτο δὲ σπάνιον. ἀφικνοῦνται δὲ τοῦτον ὁδεύοντες τὸν τρόπον περὶ δείλην ὀψίαν εἰς μὰρ τόπον, οὕτως διὰ τὴν τοῦ ὕδατος κακίαν ὀνομάσαντες. μὰρ γὰρ ἡ πικρία λέγεται. καὶ αὐτόθι τεταλαιπωρημένοι τῷ συνεχεῖ τῆς ὁδοιπορίας καὶ τῇ τῆς τροφῆς ἀπορίᾳ, καὶ γὰρ τότ᾽ αὐτοὺς τελέως ἐπιλελείπει, κατάγονται. φρέαρ γὰρ ἦν, διὸ καὶ μᾶλλον ἔμειναν, οὐδ᾽ αὐτὸ μὲν ἐξαρκεῖν δυνάμενον τοσούτῳ στρατῷ, βραχεῖαν μέντοι παρέχον αὐτοῖς εὐθυμίαν, ἐν ἐκείνοις εὑρεθὲν τοῖς χωρίοις. καὶ γὰρ ἤκουον παρὰ τῶν ἐξερευνώντων μηδὲν ἔμπροσθεν βαδίζουσιν εἶναι, πικρὸν δὲ ἐκεῖνο τὸ ὕδωρ καὶ ἄποτον εἶναι, οὐκ ἀνθρώποις μόνον, ἀλλὰ καὶ τοῖς ὑποζυγίοις ἀφόρητον. ὁρῶν δὲ ὁ μωϋσῆς ἀθύμως διακειμένους, καὶ τοῦ πράγματος τὸ ἀναντίλεκτον, οὐ γὰρ ἐχθρὸς ἦν στρατὸς, ὥστε τῷ βιαζομένῳ τῆς ἀνάγκης ἀντιτάξαι τὸ ἀνδρεῖον, ἀλλὰ διεφθείρετο τότε γενναῖον παῖδές τε καὶ γυναικῶν ὄχλος ἀσθενέστερος, τοὺς ἐκείνων διδασκαλίας ἐν χαλεπωτέροις ἦν, τὴν συμφορὰν τὴν ἁπάντων ἰδίαν αὐτοῦ ποιούμενος. καὶ γὰρ οὐδ᾽ ἐπ᾽ ἄλλον τινὰ συνέτρεχον, ἀλλ᾽ ἐπ᾽ αὐτὸν, ἀντιβολοῦντες γύναια

γυναῖκα μὲν ὑπὲρ νηπίων, οἱ δ' ἄνδρες ὑπὲρ ἐκείνων, μὴ περιορᾶν, ἀλλ' ἐκπορίζειν αὐτοῖς ἀφορμήν τινα σωτηρίας. ἱκετεύειν οὖν ἔπεται τὸν θεόν, μεταβαλεῖν τὸ ὕδωρ ἐκ τῆς παρούσης κακίας καὶ πότιμον αὐτοῖς παρασχεῖν. καὶ κατανεύσαντος τοῦ θεοῦ τὴν χάριν, λαβὼν ἀπὸ τομάδος τὸ ἄκρον ἐν ποσὶν ἐρριμμένης, διαιρεῖ μέσην, καὶ κατὰ μῆκος τὴν τομὴν ποιησάμενος, ἔπειτα μεθεὶς εἰς τὸ φρέαρ, ἔπειθε τοὺς Ἑβραίους τὸν θεὸν ἐπήκοον ἀπὸ τῆς εὐχῆς γεγονέναι, καὶ ὑπεσχῆσθαι τὸ ὕδωρ αὐτοῖς παρέξειν οἷον ἐπιθυμοῦσιν, πρὸς τὰ ὑπ' αὐτοῦ κελευόμενα μὴ σκνηρῶς ἀλλὰ προθύμως ὑπουργοῦσιν. ἐρομένων δὲ αὐτῶν τί καὶ ποιησάντων ἂν μεταβάλλοι τὸ ὕδωρ, κελεύει τοὺς ἐν ἀκμῇ περιστάντας ἐξαντλεῖν, λέγων τὸ ὑπολειπόμενον ἔσεσθαι πότιμον αὐτοῖς προεκκενωθέντος τοῦ πλείονος. καὶ οἱ μὲν ἐπόνουν. τὸ δὲ ὑπὸ τῶν συνεχῶν πληγῶν γεγυμνασμένον καὶ κεκαθαρμένον ἤδη πότιμον ἦν. ἄραντες δὲ ἐκεῖθεν εἰς Ἠλὶμ ἀφικνοῦνται, πόρρωθεν μὲν ἀγαθὴν ὀφθῆναι· καὶ γὰρ φοινικόφυτος ἦν. πλησιάζουσα δὲ ἀπηλέγχετο πονηρά· καὶ γὰρ οἱ φοίνικες ὄντες οὐ πλείους ἑβδομήκοντα δυσαυξεῖς τε ἦσαν καὶ χαμαίζηλοι δι' ὕδατος ἀπορίαν ψαφαροῦ τοῦ παντὸς ὄντος χωρίου. οὔτε γὰρ ἐκ τῶν πηγῶν δώδεκα οὐσῶν τὸν ἀριθμὸν νοτερόν τι καὶ πρὸς ἀρδεύειν αὐτοῖς δι' ἐλπίδα χρήσιμον. ἀλλὰ μὴ δυναμένων ἀναβλύζειν μηδ' ἀναχεῖν, ἰκμάδες ἦσαν ὀλίγαι. καὶ διαμωμένοις τὴν ψάμμον οὐδὲν ἀπήντα. κἄν τι δὲ στάζον ἔλαβον εἰς χεῖρας, ἄχρηστον εὑρίσκον ὑπὸ τοῦ θολεροῦ εἶναι. καρπόν τε φέρειν ἦν ἀσθενῆ τὰ δένδρα διὰ σπάνιν τῆς ἐξ ὕδατος εἰς τοῦτο ἀφορμῆς καὶ παρακλήσεως. εἶχον οὖν ἐν αἰτίᾳ τὸν στρατηγόν, καὶ κατεβόων αὐτοῦ, τὴν ταλαιπωρίαν καὶ τὴν πεῖραν τῶν κακῶν δι' αὐτὸν πάσχειν λέγοντες. τριακοστὴν γὰρ ὁδεύοντες ἡμέραν, ὅσα μὲν ἐπεφέροντο πάντα ἦσαν ἀνηλωκότες. μηδενὶ δὲ περιτυγχάνοντες δυσέλπιδες ἦσαν περὶ τῶν ὅλων. πρὸς δὲ τῷ παρόντι κακῷ τὴν διάνοιαν ὄντες, καὶ ἐν μνήμῃ εἶναι τῶν ὑπηργμένων αὐτοῖς ἔκ τε τοῦ θεοῦ καὶ τῆς Μωϋσέως ἀρετῆς καὶ συνέσεως κωλυόμενοι, δι' ὀργῆς τὸν στρατηγὸν εἶχον, καὶ λίθοις βαλεῖν αὐτὸν ὡρμήκεσαν ὡς αἰτιώτατον τῆς ἐν ποσὶν συμφορᾶς. ὁ δὲ οὕτως ἀνηρεθισμένου τοῦ πλήθους καὶ πικρῶς ἐπ' αὐτὸν κεκινημένου τῷ θεῷ θαρρῶν, καὶ τῷ συνειδότι τῆς περὶ τοὺς ὁμοφύλους προνοίας, πάρεισιν εἰς μέσους καὶ καταβοώντων καὶ τὰς χεῖρας ἐπὶ τοῖς λίθοις ἐχόντων. ὀφθῆναί τε κεχαρισμένος ὤν, καὶ πλήθεσιν ὁμιλεῖν πιθανώτατος, καταπαύειν ἤρξατο τῆς ὀργῆς, καὶ τῶν παρόντων αὐτοῖς δυσκόλων μεμνημένους λήθην ἔχειν τῶν ἔμπροσθεν εὐεργεσιῶν παρακαλῶν. μηδ' ὅτι νῦν πονοῦσι, τῆς διανοίας ἐκβαλεῖν τὰς τοῦ θεοῦ χάριτας καὶ δωρεάς, ὧν μεγάλων καὶ ἐκ παραδόξου ἔτυχον γενομένων. προσδοκᾶν δὲ καὶ τῆς παρούσης ἀπαλλαγήσεσθαι ἀμηχανίας ἐκ τῆς τοῦ θεοῦ κηδεμονίας. ὃν εἰκὸς δοκιμάζοντα τὴν ἀρετὴν αὐτῶν, πῶς τε καρτερίας ἔχουσιν καὶ μνήμης τῶν προϋπηργμένων, εἰ μὴ πρὸς ἐκεῖνα γένοιντο διὰ τὰ ἐν ποσὶν κακά, γυμνάζειν αὐτοὺς τοῖς ἄρα χαλεποῖς. ἐλέγχεσθαι δὲ αὐτοὺς οὐκ ἀγαθούς, οὔτε περὶ τὴν ὑπομονὴν οὔτε περὶ τὴν μνήμην τῶν εὖ γεγονότων, οὕτως μὲν τοῦ θεοῦ καὶ τῆς ἐκείνου γνώμης καθ' ἣν ἐκλελοίπασι τὴν Αἴγυπτον καταφρονοῦντας, οὕτως δὲ πρὸς αὐτὸν τὸν ὑπηρέτην αὐτοῦ διατεθέντας, καὶ ταῦτα μηδὲν αὐτοὺς διαψευσάμενον περὶ ὧν εἴποι τε καὶ πράττειν κατ' ἐντο-

tibus opem implorantes, viri verò mulieribus; ne se despiceret, vtque salutis remediū aliquod quæreret, ad preces igitur versus orat vt Deus mutata aqua ex vitiosa potabilē reddat: quò annuēte hanc gratiam, arripit frustū ligni fortè ibi iacens; & medium per longitudinem scissum in aquam mittens, docet Hebræos Deum exauditis precibus pollicitum daturum se aquam desiderantibus, si gnauiter iussa peragerent. quibus rogantibus quid facto opus sit vt aqua mutetur, iubet robustissimum quemque certatim puteum exhaurire, dicens, maiore parte euacuata reliquum potabile fore: quo facto aqua agitatione continua purior reddita; potum iam non aspernandum multitudini exhibuit. Hinc castris motis peruenerunt Ilym, agrum, vt primo aspectu è longinquo videbatur, non malum, ferebat enim palmas. vt verò propius est ventum, fefellit omnium expectationem: palmæ enim non plures erant quàm septuaginta, eæque non admodum proceræ propter loci ariditatem. nam ne à fontibus quidem rigabantur, qui duodecim eo loco erant, sed non ita largi vt emissis riuulis humiditatem terræ subministrarent. quare ad egerendam harenam versi in nullas venas incidere poterant, & si quid modicum distillaret, fossione turbatum inutile ad potum reddebatur. arbores quoque non multum fructum ferebant propter eandem aquarum inopiam. quamobrem exortum est murmur multitudinis contra ductorem, omnem miseriæ suæ causam in vnum illum conferentis. triginta enim dierum itinere confecto, commeatum omnem quem secum extulerant iam absumptum desiderabant, & cū nihil alimentorum in terra deserta inuenirent, minimū à desperatione aberant: atque ita præsente egestate præteritorum tam Dei quàm Moysis beneficiorum memoriam excutiente, in iram concitati videbantur iamiam correptis saxis in imperatorem suum inuasuri, autorem interitus sibi clamitantes. at ille irritatam multitudinem & tam acriter in se concitatam animaduertens, fretus Deo & conscientia rei bona fide administratæ, prodit in medios vociferantes & saxa intentantes. cúmque singularē quandam gratiam in vultu præferret, popularíque facundia cum primis polleret, exorsus est iram eorum mitigare, obsecrans ne in præsentem necessitatem intenti omnium præteritorū beneficiorum memoriam abiicerent: vtque à difficultate tunc premente animum ad Dei gratiam ac dona verterent, quibus toties præter opinionem cumulati fuissent, nunc quoque expectarent eum bonum exitum procuraturū, quem verisimile sit ad probandam eorum fortitudinem, patientiam & gratitudinem, vtque appareat præteritáne an præsentia plus apud eos possint, hanc rerum angustiam immisisse. cauendum igitur ne ob intolerantiam atque ingratitudinē diuino fauore indigni deprehendantur, qui & voluntatem ipsius quam secuti Ægyptum reliquissent, contemnant, & se ministrū eius iniquis odiis persequantur, præsertim cū hactenus in nullo eorum quæ Dei iussu gerenda susceperat deceptos se queri possint.

Exod. 16.

Enumerat deinde singillatim, quomodo afflicti fuerint Ægyptij dum eos contra Dei voluntatem detinere conarentur: quomodo idem flumen illis quidem cruentum & ad potum inutile, ipsis verò dulce fuerit ac potabile. quomodo ita refluo mari locum eis & viam ad effugium cedente, ipsi quidem per eam euadentes salutem sint consecuti, inimicos verò internecione deletos inspectauerint: & quomodo in eam vsque diem inermes, Deo præbente armorum quoque copiam sibi cōparauerint: tum quoties ex ipsis interitus faucibus eos præter omnium opinionem incolumes Deus eripuerit, qui cùm semper sit omnipotens, ne tum quidem de ipsius prouidentia desperandum. quamobrem æquo animo ferenda omnia, cogitandúmque non esse serum auxilium quantumuis differatur, quod rebus adhuc integris accipitur. & sic existimandum, non contemni à Deo sua pericula, sed fortitudinem explorari ac libertatis amorem, vt videat vtrum eius cupidine & ciborum & aquarum inopiam sustinere valeant, an potiùs more pecudum dominis in suum vsum pascentibus seruire malint. Se quidem non tam sibi priuatim timere, cui cæso iniustè nihil mali accidere possit: quàm ipsorum incolumitati, si per istam lapidationem facta & consilia Dei damnare videantur. His verbis furentes ad saniorem mentem reduxit, & iam ad facinus armatis saxa de manibus excussit. sed quoniam intelligebat non de nihilo concitatos, ad preces & supplicationes confugit: & conscensa quadam specula, opem Dei rebus per inopiam afflictis deposcebat, in cuius solius manibus salus populi reposita esset: vtque propitius veniam daret populo duris rebus exasperato, & propter hoc more humano ab officio decedēti. Deus verò curæ sibi populum fore pollicetur, & opem quam peterent iamiam affuturam. His impetratis Moyses descendit ad multitudinem: illi verò animaduertentes promissionibus diuinis lætum, & ipsi posito mœrore vultus hilares sumpserunt. tum ille stans in medio concionis, ait se præsenti necessitati à Deo remedium afferre, nec ita multo post magna vis coturnicum, quod genus auium præ cæteris Arabicus sinus alit, superato interiacente mari longo volatu fessarum, qui alioquin etiam non est sublimis, in Hebræos defertur. illi verò cibos diuinitùs oblatos certatim comprehendentes, remedium inopiæ quærebant: & Moyses rursum ad supplicationes vertitur, ob auxilium à Deo promissum simul atque exhibitum: qui ad hunc modum pastis, alia mox alimenta demisit. nam interim dum Moyses precabundus palmas attollit, ros de cœlo delabitur: qui cùm manibus eius hærens concreuisset, suspicatus ille hanc quoque alimoniam à Deo demitti, degustat: lætúsque re comperta, turbam ignaram & putantem hiberna tempestate ningere, monet opinione falli, nec vulgarem rorem de cœlo descendere, sed alimoniam, quæ ope alia destitutos periculo famis eximeret: ac mox prægustatum offert, vt experto crederent. illi verò ad eius exemplum nouo cibo læti fruebantur, qui suauitate ad mellis dulcedinē accedebat, aspe-

λὴν τοῦ θεοῦ κελεύσιν. καταριθμεῖται ἓν πάντα, πῶς τε φθαρεῖεν Αἰγύπτιοι κατέχειν αὐτοὺς παρὰ τὴν τοῦ θεοῦ γνώμην βιαζόμενοι. καὶ τίνα τρόπον ὁ αὐτὸς ποταμὸς, ἐκείνοις μὲν αἷμα ἦν καὶ ἄποτος, αὐτοῖς δὲ πότιμος καὶ γλυκύς. πῶς τε διὰ τῆς θαλάσσης ἀναφυγούσης αὐτοῖς πορρωτάτω, καὶ τὴν ὁδὸν ἀπελθόντες αὐτῇ ταύτῃ, σωθεῖεν μὲν αὐτοὶ, τοὺς δὲ ἐχθροὺς ἐπίδοιεν ἀπολωλότας. ὅτι τε σπανίζοντας ὅπλων εὐπορίαν ὁ θεὸς καὶ τούτων κατασκευάσειεν. τά τε ἄλλα ὅσα πρὸς αὐτῶν τοῦ διαφθαρήσεσθαι δόξαν γεγονέναι καὶ σώσειν ὁ θεὸς ἐκ παραλόγου, καὶ ὡς δύναμις αὐτῷ μὴ ἀπογινώσκειν μηδὲ νῦν αὐτοῦ τὴν πρόνοιαν. ἀλλ' ἀοργήτως περιμένειν, λογιζομένοις μὲν τὴν ἐπικουρίαν μηδὲ βραδεῖαν γίνεσθαι, εἰ μὴ παραυτίκα, ἢ μὴ πρίν τινος πειραθῆναι δυσκόλου πάρεστιν. ἡγουμένους δὲ οὐ κατ' ὀλιγωρίαν μέλλειν τὸν θεὸν, ἀλλ' ἐπὶ πείρᾳ τῆς ἀνδρείας αὐτῶν καὶ τῆς περὶ τὴν ἐλευθερίαν ἡδονῆς. ἵνα μάθοι πότερόν ποτε καὶ τροφῆς ἀπορίαν καὶ σπάνιν ὕδατος ὑπὲρ αὐτῆς ἐστὲ ἐνεγκεῖν γενναῖοι. ἢ δουλεύειν μᾶλλον ἀγαπᾶτε καθάπερ τὰ βοσκήματα τοῖς κρατοῦσιν καὶ τοῖς πρὸς τὰς ἐκείνων ὑπηρεσίας ἀφθόνως τρεφομένοις. δεδιέναι δὲ λοιπὸν οὐχ οὕτως ὑπὲρ τῆς ἑαυτοῦ σωτηρίας. πείσεσθαι γὰρ οὐδὲν κακὸν ἀδίκως ἀποθανών. ἀλλ' ὑπὲρ αὐτῶν μὴ δι' ὧν ἐπ' αὐτὸν βάλλουσι λίθων τοῦ θεοῦ κατακρίνειν νομισθῶσιν. οὕτως οὖν ἐπράϋνεν αὐτοὺς, καὶ τῆς μὲν τοῦ βαλεῖν ὁρμῆς ἐπέσχεν, καὶ εἰς μετάνοιαν ὧν ἔμελλον δρᾷν ἔτρεψεν. παθεῖν δ' οὐκ ἀλόγως αὐτοὺς διὰ τὴν ἀνάγκην τοῦτο νομίσας, ἔγνω δεῖν ἐφ' ἱκετείαν τοῦ θεοῦ καὶ παράκλησιν ἐλθεῖν. καὶ ἀναβὰς ἐπί τινα σκοπὴν ᾔτει πόρον τινὰ τῷ λαῷ καὶ τῆς ἐνδείας ἀπαλλαγήν. ἐν αὐτῷ γὰρ εἶναι τὴν σωτηρίαν αὐτοῦ, καὶ οὐκ ἐν ἄλλῳ. συγγινώσκειν δὲ τοῖς νῦν ὑπὸ τῆς ἀνάγκης ὑπὸ τοῦ λαοῦ πραττομένοις φύσει δυσαρέστου καὶ φιλαιτίου τοῦ τῶν ἀνθρώπων ἐν οἷς ἂν ἀτυχῇ γένους ὄντος. ὁ δὲ θεὸς προνοήσειν τε ἐπαγγέλλεται καὶ παρέξειν ἀφορμὴν ἣν ζητοῦσιν. Μωϋσῆς δὲ τοῦ θεοῦ ταῦτ' ἀκούσας, καταβαίνει πρὸς τὸ πλῆθος. οἱ δὲ, ὡς ἑώρων καὶ ταῖς ἐπαγγελίαις ταῖς παρὰ τοῦ θεοῦ γεγηθότα, μετέβαλλον ἐκ τῆς κατηφείας ἐπὶ τὸ ἱλαρώτερον. καὶ στὰς ἐκεῖνος ἐν μέσοις, ἥκειν ἔλεγε φέρων αὐτοῖς παρὰ τοῦ θεοῦ τῶν περὶ τῶν ἐνεστηκότων ἀπόρων ἀπαλλαγήν. καὶ μετ' ὀλίγον ὀρτύγων πλῆθος, τρέφει δὲ τοῦτο τὸ ὄρνεον ὡς οὐδὲν ἕτερον ὁ Ἀράβιος κόλπος, ἐφίπταται τὴν μεταξὺ θάλασσαν ὑπερελθὸν, καὶ ὑπὸ κόπου τε ἅμα τῆς πτήσεως καὶ προσγαιότερον μᾶλλον τῶν ἄλλων ὂν, καταφέρεται εἰς τοὺς Ἑβραίους. οἱ δὲ συλλαμβάνοντες ὡς τροφὴν αὐτοῖς τοῦ θεοῦ, ταύτην μηχανησαμένου τὴν ἔνδειαν ἰῶντο. καὶ Μωϋσῆς ἐπ' εὐχὰς τρέπεται τοῦ θεοῦ ταχεῖαν καὶ παρὰ τὴν ὑπόσχεσιν ποιησαμένου τὴν ἐπικουρίαν. εὐθὺς δὲ μετὰ τὴν πρώτην ἀφορμὴν τῆς τροφῆς καὶ δευτέραν αὐτοῖς κατέπεμπεν ὁ θεός. ἀνέχοντος γὰρ τοῦ Μωϋσέως τὰς χεῖρας ἐπὶ ταῖς εὐχαῖς, δρόσος κατηνέχθη. καὶ περιπηγνυμένης ταῖς χερσὶν Μωϋσῆς ὑπονοήσας καὶ ταύτην εἰς τροφὴν ἥκειν αὐτοῖς παρὰ τοῦ θεοῦ, γεύεταί τε, καὶ ἡσθεὶς τοῦ πλήθους ἀγνοοῦντος καὶ νομίζοντος νίφεσθαι, καὶ τῆς ὥρας εἶναι τοῦ ἔτους τὸ γινόμενον, ἀνεδίδασκεν οὐ κατὰ τὴν ἐκείνων ὑπόληψιν ἀπ' οὐρανοῦ καταφέρεσθαι τὴν δρόσον, ἀλλ' ἐπὶ σωτηρίᾳ τῇ αὐτῶν καὶ διατροφῇ. καὶ γευόμενος τοῦτ' αὐτοῖς παρεῖχε πιστεύειν. οἱ δὲ μιμούμενοι τὸν στρατηγὸν ἥδοντο τῷ βρώματι. μέλιτι γὰρ ἦν τὴν γλυ-

κυτητα

κύτητι καὶ τὴν ἡδονὴν ἐμφερές. ὅμοιον δὲ τῇ τῶν ἀρωμάτων βδέλλῃ. τὸ δὲ μέγεθος τοῦ κοριάνδρου σπέρματι. καὶ περὶ συλλογὴν λίαν αὐτοῦ ἐσπούδαζεσαν. παραγγέλλεται δ᾽ ἐξ ἴσου ἀσαρῶνα, τοῦτο δ᾽ ἐστὶ μέτρον, εἰς ἑκάστην ἡμέραν συλλέγειν. ὡς οὐκ ἐπιλείψοντος αὐτοῖς τοῦ βρώματος, ἵνα μὴ τοῖς ἀδυνάτοις ἀπογένηται τὸ λαμβάνειν, δι᾽ ἀλκὴν τῶν δυνατωτέρων πλεονεκτούντων περὶ τὴν ἀναίρεσιν. οἱ μέν τοι πλέον τοῦ προστεταγμένου μέτρου συναγαγόντες οὐδὲν περισσότερον εἶχον τοῦ κακοπαθῆσαι. ἀσαρῶνος γὰρ οὐδὲν πλέον εὕρισκεν. τοῦ δ᾽ ὑπολειφθέντος εἰς τὴν ἐπιοῦσαν, ὄνησις οὐδεμία ἦν διεφθαρμένου ὑπό τε σκωλήκων καὶ πικρίας. οὕτω θεῖον ἦν τὸ βρῶμα καὶ παράδοξον. ἀμύνει δὲ τοῖς ταύτην νεμομένοις τὴν ἐκ τῶν ἄλλων ἀπορίαν. ἔτι δὲ καὶ νῦν ὕεται πᾶς ἐκεῖνος ὁ τόπος, καθάπερ καὶ τότε Μωυσῇ χαριζόμενον τὸ θεῖον κατέπεμψε τὴν διατροφήν. καλοῦσι δὲ Ἑβραῖοι τὸ βρῶμα τοῦτο μάννα. τὸ γὰρ μὰν, ἐπερώτησις κατὰ τὴν ἡμετέραν διάλεκτον, τί τοῦτ᾽ ἐστὶν ἀνακρίνουσα. καὶ οἱ μὲν χαίροντες ἐπὶ τοῖς ἀπ᾽ οὐρανοῦ πεμφθεῖσιν αὐτοῖς διετέλουν. τῇ δὲ τροφῇ ταύτῃ τεσσαράκοντα ἔτεσιν ἐχρήσαντο, ἐφ᾽ ὅσον χρόνον ἦσαν ἐν τῇ ἐρήμῳ. ὡς δ᾽ ἐκεῖθεν ἄραντες εἰς Ῥαφιδεὶν ἧκον ταλαιπωρηθέντες ὑπὸ δίψους εἰς ἔσχατον, ἔν τε ταῖς πρότερον ἡμέραις πιδάξιν ὀλίγαις ἐντυγχάνοντες, καὶ τότε παντάπασιν ἄνυδρον εὑρόντες τὴν γῆν ἐν κακοῖς ἦσαν, καὶ πάλιν δι᾽ ὀργῆς τὸν Μωυσῆν ἐποιοῦντο. ὁ δὲ, τὴν ὁρμὴν τοῦ πλήθους πρὸς μικρὸν ἐκκλίνας, ἐπὶ λιτὰς τρέπεται τοῦ θεοῦ, παρακαλῶν ὡς τροφὴν αὐτοῖς ἔδωκεν ἀπορουμένοις, οὕτως καὶ ποτὸν παρασχεῖν διαφθειρομένοις, ὡς ἐπὶ τροφῇ χάριτος ποτοῦ μὴ παρόντος οὐδέν. ὁ δ᾽ εἰς μακρὰν τὴν δωρεὰν ἀνεβάλλετο, τῷ δὲ Μωυσῇ παρέξειν ὑπισχνεῖται πηγὴν, καὶ πλῆθος ὕδατος, ὅθεν οὐ προσδοκήσειεν. καὶ κελεύει τῇ βακτηρίᾳ πλήξαντα τὴν πέτραν, ἣν ἑώρων αὐτόθι παρακειμένην, παρ᾽ αὐτῆς λαμβάνειν τὴν εὐπορίαν ὧν δέονται. φροντίζειν γὰρ καὶ τοῦ μὴ σὺν πόνῳ μηδ᾽ ἐργασίᾳ τὸ ποτὸν αὐτοῖς φανῆναι. καὶ Μωυσῆς ταῦτα λαβὼν παρὰ τοῦ θεοῦ παραγίνεται πρὸς τὸν λαὸν, περιμένοντα καὶ εἰς αὐτὸν ἀφορῶντα. καὶ γὰρ ἤδη καὶ ἐθεώρων αὐτὸν ἀπὸ τῆς σκοπῆς ὁρμώμενον. ὡς δ᾽ ἧκεν, ἀπολύειν αὐτοὺς καὶ ταύτης τῆς ἀνάγκης τὸν θεὸν ἔλεγε, καὶ κεχαρίσθαι σωτηρίαν οὐδ᾽ ἐλπισθεῖσαν, ἐκ τῆς πέτρας ποταμὸν αὐτοῖς ῥυήσεσθαι λέγων. τῶν δὲ πρὸς τὴν ἀκοὴν καταπλαγέντων, εἰ ὑπό τε τοῦ δίψους καὶ τῆς ὁδοιπορίας τεταλαιπωρημένοις ἀνάγκη γένοιτο κόπτειν τὴν πέτραν, ὁ Μωυσῆς πλήττει τε τῇ βακτηρίᾳ, καὶ χανούσης ἐξέβλυσεν ὕδωρ πολὺ καὶ διαυγέστατον. οἱ δὲ τῷ παραδόξῳ τοῦ γενομένου κατεπλάγησαν καὶ πρὸς τὴν ὄψιν ἤδη τὸ δίψος αὐτῶν ἔληγε. καὶ πίνουσιν ἡδὺ καὶ γλυκύτατον ἅμα, καὶ οἷον ἂν εἴη θεοῦ τὸ δῶρον δόντος. τόν τε οὖν Μωυσῆν ἐθαύμαζον οὕτως ὑπὸ τοῦ θεοῦ τετιμημένον, καὶ θυσίαις ἠμείβοντο τὴν τοῦ θεοῦ περὶ αὐτοὺς πρόνοιαν. δηλοῖ δὲ ἐν τῷ ἱερῷ ἀνακειμένη γραφὴ, τὸν θεὸν Μωυσῇ προειπεῖν οὕτως ἐκ τῆς πέτρας ἀναδοθήσεσθαι ὕδωρ.

ctu verò ad aromatis similitudinem quod bdellium dicitur, magnitudine coriandri semine similis: cúmque pro se quisque certatim colligebant, sed mox edicto admonentur, vt ex æquo assaronis mensuram quotidie colligerent: non enim defore hoc cibi genus. quod eò factum est ne infirmioribus deesset, dum robustiores per auaritiam plus satis colligunt. quod si quis contempto edicto vltra præscriptũ modum collegisset, plus defatigatus nihilo plus habebat quàm cęteri. quicquid enim vltra assaronem sequenti die superetat, inutile reddebatur, amaritudine ac vermibus corruptum: adeò diuinus & incredibilis erat hic cibus: cuius hæc natura est, vt qui hunc habet, alium non desideret. Quin & nostris temporibus tota ea regio genere hoc compluitur, quemadmodum olim in Moysis gratiam Deus id alimentum demisit. hoc Hebræi manna vocant. nam hæc vox man in nostra vernacula est percontatiua, quid hoc est interrogans. atque ita perpetuum gaudium ac securitatem per hunc cibum sunt adepti, quo per annos xl. deinceps sunt sustentati: tantum enim temporis in deserto hæserunt. *Exod.17.* Sed ex loco in quo hæc primùm contigerunt castris motis, postquam in Raphidim peruenerunt extrema iam siti laborabatur eo quòd & præcedentibus diebus raros fontes inuenire datum est, & tunc in regionem omnino aquis carentem inciderunt. Rursum igitur Moysi irascebantur. ille verò declinato aliquãtisper turbæ furore, ad deprecandum vertitur, rogans vt qui cibum in egestate dederat, nunc potum quoque in extrema necessitate largiretur tantùm non siti deficientibus, quandoquidem solus cibus in hoc rerum statu nihil proderat. Deus verò nihil cunctatus promittit Moysi daturum se fontem & aquarum abundantiam vnde minimè sperarent: iubétque vt virga feriens petram in conspectu sitam, inde peteret ea quæ desiderabant. velle se vt per otium & absque labore potum adipiscantur. His acceptis à Deo Moyses reuertitur ad populum præstolantem & intentis oculis se spectantem. iam enim videbant à specula descendentem. qui postquam reuersus est, ait Deum eos ex hac etiam necessitate liberaturum, & insperato modo salutem largiturum, fluuio de petra illa prorumpente. quo audito territis, si lassitudine ac siti enectis petra esset excidenda, Moyses ferit eam virga, quæ euestigio dehiscens aquam euomuit copiosissimam simul ac limpidissimam. illi verò inopinato spectaculo attoniti, vel aspectu ipso recreabantur: móxque magna cum voluptate bibebant, quòd esset dulcis & qualem diuinitus datam esse conueniebat. quapropter & Moysen plurimi faciebãt quem Deo tam carum viderent, & Deo pro accepto beneficio quas poterant per sacrificia gratias referebant. Testantur autem sacræ literæ in templo dedicatæ, quòd Deus Moysi prædixerit petram ex se aquam profluentem esse edituram.

Cap. II.

De Amalecitarum & ſociorum clade, & præda quæ Iſraelitis inde obtigit.

II. Exod. 17. HEbræorum autem fama longè latéque diuulgata, rumoribúſque de his per omnes gentes circunquaque ſparſis, non mediocris metus accolas eius regionis occupauit. & miſſis vltro citróque legationibus adhortabantur ſe inuicem, vt aut arcerent, aut delerent etiam ſi modo poſſent, aduentantem multitudinem. præcipui verò huius expeditionis inſtigatores erant qui Gobolitidem regionem & vrbem Petram incolunt, vocantúrque Amalecitæ, inter eas gentes pugnaciſſimi. horum reges & ſe inuicem & finitimos ad Hebraicum bellum cócitabant, externum exercitum Ægyptiorum fugitiuos perniciem ſibi ſtruere dictitantes: quos non oportere contemni, ſed priuſquam vires eorum augeantur vberem aliquam regionem adeptæ, & fiducia ex ipſorum ceſſatione concepta priores bellum aggrediantur, tutò poſſe opprimi, conſultiúſque eſſe in deſerto eorum conatus vlciſci, quàm expectare dum vrbibus bonis ac opulentis potiantur. Hoc enim eſſe prudentium, initiis aduerſariorum potentiæ quàm primum obſtare, nec expectare dú quotidianis ſucceſſibus in maius augeatur, & potius curare ne in diſcrimen veniant, quàm vt periculo eximantur. Poſt huiuſmodi legationes decretum eſt communi cóſilio, vt Hebręos adorti prælio repellere conentur. Nihil tum minus expectabat Moyſes quàm motum aliquem indigenarum: ergo cùm videret trepidare ac tumultuari populum, cui de improuiſo & imparato cum inſtructiſſimo hoſte confligendum erat: hortatur vt Dei ſententia freti, cuius auſpiciis libertatem ſeruituti prætuliſſent, nihil aliud quàm victoriam cogitarent: néve reputarent quòd armis, pecuniis, cómeatu & aliis huiuſmodi præſidiis ſint inferiores: ſed cùm Deum pro ſe contra hoſtes ſtantem habeant, tales animos conciperét ac ſi humanis etiam opibus eſſent longè ſuperiores. nec ignorare illos quantus ſit adiutor, toties in grauioribus malis expertos. hunc & hoſtibus eſſe infenſum, & Hebræis propitium: eúmque fauorem ſatis declaratum dum famem ac ſitim prodigioſè ab eis depellit, dum mari & monte incluſis inſperatum effugium expedit. adhæc tanto magis ad victoriam aſpirandum, quòd poſt hanc nihil ſint deſideraturi eorum quæ ad humaniorem victum pertinere videntur. Talibus dictis animato populo, conuocatíſque tribunis & optimatibus, vniuerſos & ſingulos hortatur, iuniores quidem vt grandiorum dicto audiant, hos verò vt omnes imperatoris ſui nutus obſeruent. at illi periculum contemnentes & conflictus cupidi, ſperabant hanc pugnam miſeriæ finem allaturam, & vltrò Moyſen rogabant vt ſe confeſtim in hoſtem duceret, néve intempeſtiua cunctatione alacritatem militum hebetaret.

Κεφάλαιον β'.

Περὶ τῆς τῶν ἀμαληκιτῶν καὶ συμμάχων ἥττης, καὶ ἔστιν ἐκ τῶν πολεμίων λείαν ἰσραηλῖται ἐκτήσαντο.

ΤΟῦ δὲ τῶν ἑβραίων ὀνόματος, ἤδη πολλοῦ κατὰ πάντας διαβοωμένου, καὶ τοῦ περὶ αὐτῶν λόγου φοιτῶντος, ἐν φόβῳ συνέβαινεν οὐ μικρῷ τοὺς ἐπιχωρίους εἶναι. καὶ πρεσβευόμενοι πρὸς ἀλλήλους παρεκάλουν ἀμύνειν καὶ πειρᾶσθαι τοὺς ἄνδρας διαφθείρειν. ἐτύγχανον δὲ οἱ πρὸς τοῦτο ἐνάγοντες, οἵ τε τὴν γοβολῖτιν, καὶ τὴν πέτραν κατοικοῦντες, οἳ καλοῦνται μὲν ἀμαληκῖται, μαχιμώτατοι δὲ τῶν ἐκεῖσε ἐθνῶν ὑπῆρχον. ὧν πέμποντες οἱ βασιλεῖς, ἀλλήλους τε καὶ τοὺς περιοίκους ἐπὶ τὸν πρὸς ἑβραίους πόλεμον παρεκάλουν, στρατὸν ἀλλόφυλον καὶ τῆς αἰγυπτίων ἀποδράντα δουλείας ἐφεδρεύειν αὐτοῖς λέγοντες, ὃν οὐ καλῶς ἔχει περιορᾶν, ἀλλὰ πρὶν ἢ λαβεῖν ἰσχὺν καὶ παρελθεῖν εἰς εὐπορίαν, καὶ αὐτοὺς τῆς πρὸς ἡμᾶς κατάρξαι μάχης θαρσήσαντας τῷ μηδὲν αὐτοῖς παρ' ἡμῶν ἀπαντᾶν, καταλύειν ἀσφαλὲς καὶ σῶφρον, δίκην αὐτοὺς καὶ περὶ τῆς ἐρήμου, καὶ τῶν ἐν αὐτῇ πραχθέντων ἀπαιτοῦντας. ἀλλ' οὐχ οὕτως ὅταν ταῖς πόλεσιν ἡμῶν καὶ τοῖς ἀγαθοῖς ἐπιβάλλωσι τὰς χεῖρας. οἱ δὲ ἀρχομένην δύναμιν ἐχθρῶν πειρώμενοι καταλύειν ἀγαθοὶ συνεῖναι μᾶλλον, ἢ οἱ προκόψασαν μείζω κωλύοντες γίνεσθαι. οἱ μὲν γὰρ τὸ περισσὸν δοκοῦσι νεμεσᾶν. οἱ δὲ οὐδεμίαν αὐτοῖς ἀφορμὴν κατ' αὐτῶν ἐῶσι γενέσθαι. τοιαῦτα τοῖς πλησιοχώροις καὶ πρὸς ἀλλήλους πρεσβευόμενοι χωρεῖν τοῖς ἑβραίοις ἐγνώκεσαν εἰς μάχην. μωυσῇ δὲ οὐδὲν προσδοκῶντι πολέμιον, ἀπορίαν καὶ ταραχὴν ἐνεποίει τὰ τῶν ἐπιχωρίων. καὶ παρόντων ἐπὶ τὴν μάχην ἤδη καὶ κινδυνεύειν δέον, ἐθορύβει χαλεπῶς τὸ τῶν ἑβραίων πλῆθος, ἐν ἀπορίᾳ μὲν ὂν ἁπάντων, μέλλον δὲ πολεμεῖν πρὸς ἀνθρώπους τοῖς πᾶσι καλῶς ἐξηρτισμένους. παραμυθίας οὖν ὁ μωυσῆς ἤρχετο, καὶ θαῤῥεῖν παρεκάλει τῇ τοῦ θεοῦ ψήφῳ πεπιστευκότας, ὑφ' ἧς εἰς τὴν ἐλευθερίαν ἠργμένοι, κατανικήσειαν τοὺς περὶ αὐτῆς εἰς μάχην αὐτοῖς καθισταμένους. ὑπολαμβάνειν δὲ τὸ μὲν αὐτῶν στράτευμα πολὺ, καὶ πάντων ἀπροσδεὲς, ὅπλων, χρημάτων, τροφῆς, τῶν ἄλλων ὧν παρόντων ἐκ πεποιθήσεως πολεμοῦσιν ἄνθρωποι, κρίνοντας ἐν τῇ παρὰ τοῦ θεοῦ συμμαχίᾳ ταῦτα αὐτοῖς παρεῖναι. τὸ δὲ τῶν ἐναντίων ὀλίγον ἄνοπλον ἀσθενὲς, οἷον καὶ μὴ ὑπὸ τοιούτων οἵοις αὐτοῖς συνοίδεν οὐ[illegible] ἆσθαι βουλομένου τοῦ θεοῦ. εἰδέναι δὲ οἷος ἐστὶν ὁ [illegible] ἐκ πολλῶν πεπειραμένους καὶ δεινοτέρων τοῦ πολέμου. τοῦτον μὲν γὰρ εἶναι πρὸς ἀνθρώπους, ἃ δὲ ἦν αὐτοῖς πρὸς λιμὸν καὶ δίψος ἄπορα, καὶ πρὸς ὄρη καὶ θάλασσαν ὁδὸν οὐκ ἔχουσι φυγῆς, ταῦτ' αὐτοῖς διὰ τὴν εὐμένειαν τὴν παρὰ τοῦ θεοῦ νενικῆσθαι. νῦν δὲ γίνεσθαι παρεκάλει προθυμοτάτους, ὡς τῆς ἁπάντων εὐπορίας αὐτοῖς ἐν τῷ κρατῆσαι τῶν ἐχθρῶν κειμένης. καὶ μωυσῆς μὲν τοιούτοις παρεθάρσυνε τὸ πλῆθος λόγοις, συγκαλῶν τούς τε φυλάρχους καὶ τῶν ἐν τέλει καθ' ἑκάστους τε καὶ σὺν ἀλλήλοις. τοὺς μὲν νεωτέρους παρεκάλει πείθεσθαι τοῖς πρεσβυτέροις. τοὺς δὲ, ἀκροᾶσθαι τοῦ στρατηγοῦ. οἱ δὲ ἦσαν ἐπὶ τὸν κίνδυνον τὰς ψυχὰς ἠρμένοι. καὶ πρὸς τὸ δεινὸν ἑτοίμως ἔχοντες ἤλπιζον ἀπαλλαγήσεσθαί ποτε τῶν κακῶν, καὶ τὸν μωυσῆν ἐκέλευον ἄγειν αὐτοὺς ἐπὶ τοὺς πολεμίους ἤδη, καὶ μὴ μέλλειν, ὡς τῆς ἀναβολῆς ἐμποδιζούσης τὴν προθυμίαν αὐτῶν.

τὸ δὲ

ὁ δὲ τῆς πληθύος ἀποκρίνας πᾶν τὸ μάχιμον, Ἰησοῦν ἐφίστησιν αὐτῷ, Ναυήκου μὲν υἱὸν φυλῆς τῆς Ἐφραιμίτιδος, ἀνδρειότατον δὲ καὶ πόνοις ὑποστῆναι γενναῖον, καὶ νοῆσαί τε καὶ εἰπεῖν ἱκανώτατον, καὶ θρησκεύοντα τὸν θεὸν ἐκπρεπῶς, καὶ Μωυσῆ διδάσκαλον τῆς πρὸς θεὸν εὐσεβείας πεποιημένον παρὰ τοῖς Ἑβραίοις. βραχὺ δέ τι περὶ τὸ ὕδωρ ἔταξε, τῶν πλείστων ἐπὶ φυλακῇ παίδων καὶ γυναικῶν τοῦ τε πρὸς [illegible] στρατοπέδου. καὶ νύκτα μὲν πᾶσαν ἐν παρασκευῇ ἦσαν, τῶν τε ὅπλων εἴ τι πεπονηκὸς ἦν ἀναλαμβάνοντες καὶ τοῖς στρατηγοῖς προσέχοντες, ὡς ὁρμήσοντες ἐπὶ τὴν μάχην, ὁπότε κελεύσειεν αὐτοῖς Μωυσῆς. διηγρύπνει δὲ καὶ Μωυσῆς ἀναδιδάσκων τὸν Ἰησοῦν ὃν τρόπον ἐκτάξειεν τὸ στρατόπεδον. ἠργμένης δὲ ὑποφαίνειν τῆς ἡμέρας, εὐθύς τόν τε Ἰησοῦν παρακαλεῖ μηδὲν χείρονα φανῆναι κατὰ τὸ ἔργον τῆς οὔσης περὶ αὐτὸν ἐλπίδος, δόξαν τε διὰ τῆς παρούσης κτήσασθαι στρατηγίας παρὰ τοῖς ἀρχομένοις ἐπὶ τοῖς γεγενημένοις. τῶν τε Ἑβραίων τοὺς ἀξιολογωτάτους ἰδίᾳ παρεκάλει, καὶ σύμπαν ἤδη τὸ πλῆθος ὡπλισμένον παρορμᾷ. καὶ ὁ μὲν οὕτως παραστησάμενος τὸν στρατὸν τοῖς τε λόγοις καὶ τῇ διὰ τῶν ἔργων παρασκευῇ ἀνεχώρει πρὸς τὸ ὄρος θεῷ τε καὶ Ἰησοῦ παραδιδοὺς τὸ στράτευμα. προσέμισγον δὲ οἱ πολέμιοι κἀν χερσὶν ἦν ἡ μάχη, προθυμίᾳ τε καὶ διακελευσμῷ τῷ πρὸς ἀλλήλους χρωμένων. μέχρι μὲν οὖν Μωυσῆς αὖθις ἀνίσχει τὰς χεῖρας, καὶ τοὺς Ἀμαληκίτας κατεπόνουν οἱ Ἑβραῖοι. τὸν οὖν πόνον τῆς ἀνατάσεως τῶν χειρῶν ὁ Μωυσῆς οὐχ ὑπομένων (ὁσάκις γὰρ ἂν αὐτὰς καθίη, τοσαυτάκις ἐλαττοῦσθαι τοὺς οἰκείους αὐτοῦ συνέβαινε) κελεύει τόν τε ἀδελφὸν Ἀαρῶνα, καὶ τῆς ἀδελφῆς Μαριάμμης τὸν ἄνδρα Οὔρονα ὄνομα, στάντας ἑκατέρωθεν αὐτοῦ διακρατεῖν τὰς χεῖρας, καὶ μὴ ἐπιτρέπειν κάμνειν βοηθοῦντας. καὶ τούτου γενομένου κατακράτος ἐνίκων τοὺς Ἀμαληκίτας οἱ Ἑβραῖοι. καὶ πάντες ἀπολώλεισαν ἄν, εἰ μὴ νυκτὸς ἐπιγενομένης ἀπέσχοντο τοῦ κτείνειν. νίκην δὲ καλλίστην καὶ καιριωτάτην νικῶσιν ἡμῶν οἱ πρόγονοι. τῶν γὰρ ἐπιστρατευσάντων ἐκράτησαν, καὶ τοὺς περιοίκους ἐφόβησαν εὐπορήσαντες μεγάλων καὶ λαμπρῶν, ὧν ἐκ τοῦ πονεῖν ἐπέτυχον ἀγαθῶν. ἑλόντες δὲ καὶ τὸ στρατόπεδον τῶν πολεμίων πλούτοις τε μεγάλοις δημοσίᾳ καὶ κατ᾽ ἰδίαν ἔσχον, οὐδὲ τῆς ἀναγκαίας τροφῆς πρότερον εὐποροῦντες. ὑπῆρξε δὲ αὐτοῖς οὐκ εἰς τὸ παρὸν μόνον, ἀλλὰ καὶ εἰς τὸν αὖθις αἰῶνα τῶν ἀγαθῶν αἰτία κατορθωθεῖσα ἡ προειρημένη μάχη. οὐ γὰρ τὰ σώματα μόνον τῶν ἐπιστρατευσάντων ἐδουλώσαντο, ἀλλὰ καὶ τὰ φρονήματα, καὶ τοῖς περιοίκοις ἅπασιν μετὰ τὴν ἐκείνων ἧτταν ἐγένοντο φοβεροί. αὐτοί τε πλούτου μεγάλου δύναμιν προσέλα[illegible]ν. πολὺς μὲν γὰρ ὅ ἄργυρός τε καὶ ὁ χρυσὸς ἐγκατελεί[illegible]ι ἐν τῷ στρατοπέδῳ, καὶ σκεύη χαλκᾶ οἷς ἐχρῶντο περὶ τὴν δίαιταν. πολὺ δὲ ἐπίσημον πλῆθος ἑκα[illegible]φων, ὅσα τε ὑφαντὰ καὶ κόσμοι παρὰ τὰς ὁπλίσεις. ἥ τε ἄλλη θεραπεία καὶ κατασκευὴ ἐκείνων, λεία τε παντοία κτηνῶν, καὶ ὅσα φιλεῖ στρατοπέδοις ἐξοδευκόσιν ἕπεσθαι. φρονήματός τε ὑπεπλήσθησαν ἐπ᾽ ἀνδρείᾳ Ἑβραῖοι. καὶ πολλὴ μεταποίησις ἦν ἀρετῆς αὐτοῖς, πρός τε τὸ πονεῖν ἦσαν, ἐν τούτῳ πάντα ληπτὰ νομίζοντες εἶναι. καὶ ταύτης μὲν τῆς μάχης τοῦτο τὸ πέρας. τῇ δὲ ὑστεραίᾳ Μωυσῆς νεκρούς τε ἐσκύλευε τῶν πολεμίων, καὶ τὰς παντευχίας φυγόντων συνέλεγεν.

A tum ille selectis è reliqua multitudine ad pugnam idoneis Iesum præficit Naueci filium è tribu Ephræmitide, virum manu ac consilio iuxta promptum, & pietate insignem & à Moyse præceptore hac parte non degenerantem. aliquot etiam cohortes ita disponit ne ab aquatione intercludi possit, plures etiam ad presidium castrorum & imbellis multitudinis relinquit. Per noctem deinde ad prælium se expediunt, & armis simul ac corporibus curatis, intenti signum classico per Moysen dari B expectant: qui & ipse pernox cum Iesu consultabat, cúmque de instruendis ordinibus admonebat, appetente verò iam die, hortatur ducem vt spei de se conceptæ respondere studeat, & re feliciter gesta existimationem sibi apud milites comparare. similiter Hebræorum optimum quenque priuatim, ac mox omnes armatos verbis ad fortitudinem accendit. atque ita instructos & animatos Iesu & Deo committit, ipse montem ascendit. iámque ad manus C ventum erat. pugnabatúrque strenuè, nec adhortationes mutuæ deerant: & quandiu Moyses erectas manus tendebat, Amalecitæ deteriore conditione præliabātur. Moyses verò extensione manuum lassatus, cùm obseruasset quotiescunque manus demitteret, toties suos non ferentes hostis impressionem cedere, iubet fratrem Aaronem, & sororis Mariames maritum Vronem, vtrinque astantes, manus sibi indesinenter sustinere, neque per- D mittere vt per lassitudinem deferrentur. quo facto egregiè vicerunt Hebræi, fuissentque internecione deleti Amalecitæ, nisi interueniente nocte fuga & latebris quidam eorum salutem sibi quęsissent. qua victoria non alia vel magnificentior vel magis opportuna maiorib. nostris contigit. nam & occurrentem exercitum fuderunt ac fugauerunt, & omnibus circumquaque degentibus magnum terrorem incusserunt, & laboris præmium prædam opi- E mam reportauerunt. nanque castris etiam hostilibus expugnatis publicè & priuatim sunt ditati, qui ad eam diem vix quotidianum victum sibi parare poterant. nec in pręsens tantùm ea victoria profuit, sed in futurum etiam. non solùm enim corpora aduersariorum, sed animi quoque eo prælio sunt fracti: & omnibus circumquaque gentibus ex illo tempore facti sunt formidolosi. ipsis verò opulentiæ non mediocris accessio est facta. multum F enim auri & argenti in castris fuit repertum, multa ęramenta vel escaria vel coquinaria, magnus etiam pecunię signatæ numerus: ad hęc textilia & armorum ornatus, aliáque supellex castrensis & varia preda iumentorū & impedimentorū quę exercitū sequi solent. quin & audaciores multo successus hic Hebręos reddidit & fortitudinis ac industriæ magis studiosos, nihil nō sibi pollicētes si virtutē strenuè colerēt. Et hoc quidē pręliū talē exitū est sortitū. Sequēti verò die Moyses cęsorū cadauera spoliauit, arma quę fugiētes abiecerāt collegit, & illis quorū opera insignior fuerat pręmia distribuit, Iesúmq; ducē pro cōcione collaudauit, milite per acclamationes laudem viri comprobante.

adeóque incruenta fuit hęc victoria vt ne vnus quidem ex Hebręis desideraretur, cùm hostilium cadauerum numerus prę multitudine incompertus manserit. Mactatis deinde pro gratiarum actione victimis, aram DEO VICTORI posuit: prædixitque internecione delendos Amalecitas, vt ne vnus quidem eius generis relinquatur, quòd Hebræos vltro armis aggressi essent, idque in deserto & inopia laborantes. postremò ducem exercitus victoriali epulo excepit. hoc fuit primum prælium post exitum de Ægypto, quo hostem lacessentem fortiter reiectum magna clade affecerunt: post quod per dies aliquot festis epiniciis celebratis, & quiete viribus reparatis, instructo agmine iter continuabant. iam enim creuerat armatorum numerus, & ad hunc modum paulatim procedentes, tertio mense postquàm ex Ægypto mouerant, ad montem Sina peruenerunt, in quo Moyses visionem ardentis rubi viderat, vt iam antè commemorauimus.

CAP. III.

Raguelis consilium quod genero suo Moysi dedit.

III. Exod. 18.

CVM autem rei feliciter gestæ fama ad Raguelem quoque peruenisset, gratulabundus occurrit Moysen & Sepphoram & eorum liberos salutaturus. Is lætus soceri aduentu sacrificium instaurat, & populo epulum præbet prope rubum qui flagrationem illæsus euaserat. dum verò multitudo per suas quisque cognationes epulatur, Aaron cum suis assumpto & Raguele laudes diuinas concinebant, autorem salutis ac libertatis celebrantes: ducem quoque suum faustis carminibus prosequebātur, cuius virtute omnia sibi ex sententia successissent. Raguel quoque priuatim multa in populi laudem, multa in Moysis eius seruatoris cecinit, cuius auspiciis tot viri boni ac fortes regerentur.

IIII. Sequenti autem die Raguel videns Moysen multitudine negociorum obrui (finiebat enim lites quorum opus erat, omnibus ad ipsum deferentibus. & alio arbitro ius suū tenere se posse non existimantibus, & his etiam qui causam sub tali iudice perdebant æquo animo sententiam ferentibus) tunc quidem siluit, neminem volens impedire quo minus iustitia viri fruerentur. vbi verò tandem à negociorū tumultu absolutum vidit, seductum seorsum quid facto opus esset docuit: consuluítque vt minores causas aliis cognoscendas cederet, ipse verò tantū reipublicæ negotia tractaret, non deesse enim Hebræis & alios diiudicandis litibus idoneos: curam verò tot milium salutis sustinere posse neminem, nisi Moysi similem. itaque cùm non ignores, inquit, tuas dotes, quæ toties populo periclitanti fuerunt vsui, tibi ipse parcens, permitte aliis vt ipsi inter se lites ex iure dirimant, tu verò diuino tantùm cultui deditus esto, quo faciliùs populum è præsenti necessitate eximas. Quin & illud pro virili cōsuluerim, vt lustratis ac recensitis copiis eas in dena milia distribuas singulis huiusmodi legionib. suos duces præficiēdo: eásq. rursū in cohortes millenarias quīgenarias, centenarias & quinquagenarias partiaris

ἀριστεῦσι τε τιμὰς ἐδίδου, καὶ τὸν στρατηγὸν Ἰησοῦν ἐγκωμίαζεν, μαρτυρούμενον ἐφ' οἷς ἔπραξεν ὑπὸ παντὸς τοῦ στρατοῦ. ἀπέθανεν δὲ Ἑβραίων μὲν οὐδείς. τῶν δὲ πολεμίων ὅσοις οὐδ' ἀριθμῷ γνῶναι δυνατὸν ἦν. θύσας δὲ χαριστήρια βωμὸν ἱδρύεται νικαῖον ὀνομάσας τὸν θεόν, προεφήτευέ τε πανωλεθρίᾳ τοὺς Ἀμαληκίτας ἀπολουμένους, καὶ μηδένα αὐτῶν ὑπολειφθησόμενον εἰς αὖθις, διὰ τὸ Ἑβραίοις ἐπιστρατεύσασθαι, καὶ ταῦτα ἐν ἐρήμῳ τε γῇ, καὶ ταλαιπωρουμένοις. τόν τε στρατηγὸν εὐωχίαις ἀνελάμβανεν. καὶ ταύτην μὲν τὴν μάχην πρώτην μαχεσάμενοι πρὸς τοὺς κατατολμήσαντας αὐτῶν μετὰ τὴν Αἰγύπτου γενομένην ἔξοδον, οὕτως ἐπολέμησαν. ἐπεὶ δὲ τὴν τῶν ἐπινικίων ἑορτὴν ὁ Μαυσῆς ἤγαγεν, ἀναπαύσας ἐπ' ὀλίγας ἡμέρας τοὺς Ἑβραίους, μετὰ τὴν μάχην προῆγε συντεταγμένους. πολὺ δ' ἦν ἤδη τὸ ὁπλιτικὸν αὐτοῖς. καὶ προϊὼν κατ' ὀλίγον ἐν τρίτῳ μηνὶ μετὰ τὴν ἐξ Αἰγύπτου κίνησιν παρῆν ἐπὶ τὸ Σιναῖον ὄρος, ἐν ᾧ τά τε περὶ τὴν θάμνον αὐτῷ καὶ τὰ λοιπὰ φαντάσματα συντυχεῖν προειρήκαμεν.

Κεφάλαιον γ'.

Ποίας συμβουλὰς Ῥαγουῆλος τῷ γαμβρῷ Μαυσῇ ἔδωκεν.

ΚΑὶ Ῥαγουῆλος ὁ πενθερὸς τὴν αὐτοῦ πυνθανόμενος εὐπραξίαν, ἀσμένως ἀπήντα, τόν τε Μαυσῆν καὶ τὴν Σεπφώραν δεχόμενος καὶ τοὺς παῖδας αὐτ. ἥδετο δὲ Μωυσῆς ἐπὶ τῇ τοῦ πενθεροῦ ἀφίξει. καὶ θύσας εὐώχει τὸ πλῆθος τοῦ θάμνου πλησίον, ὃς διαπεφεύγει τοῦ πυρὸς τὴν φλόγωσιν. καὶ τὸ μὲν πλῆθος κατὰ συγγενείας ὡς ἕκαστοι τῆς εὐωχίας μετελάμβανον. Ἀαρὼν δὲ σὺν τοῖς παροῦσι Ῥαγουῆλον προσλαβόμενος ὕμνους τε ᾖδον εἰς τὸν θεόν, ὡς τῆς σωτηρίας αὐτοῖς καὶ τῆς ἐλευθερίας αἴτιον, καὶ περὶ σὴν γεγενημένον, καὶ τὸν στρατηγὸν εὐφήμουν ὡς κατ' ἀρετὴν ἐκείνου πάντων αὐτοῖς κατὰ νοῦν ἀπηντηκότων. καὶ Ῥαγουῆλος πολλὰ μὲν ἐγκώμια τοῦ πλήθους ἐποιεῖτο, ἔπειτα πρὸς τὸν Μαυσῆν τῆς ἐπὶ τῇ σωτηρίᾳ τῶν φίλων ἀνδραγαθίας. τῇ δ' ὑστεραίᾳ θεασάμενος ὁ Ῥαγουῆλος τὸν Μωυσῆν ἐν ὄχλῳ πραγμάτων ὄντα (διέλυε γὰρ τὰς δίκας τοῖς δεομένοις πάντων ἐπ' αὐτὸν βαδιζόντων, καὶ μόνον ἂν τοῦ δικαίου τυχεῖν ἡγουμένων, εἰ διαιτητὴς αὐτοῖς ἐκεῖνος γένοιτο, καὶ παρὰ τοῖς ἡττωμένοις κοῦφον ἐδόκει τὸ λείπεσθαι, κατὰ δικαιοσύνην οὐ πλεονεξίαν αὐτὸ πάσχειν νομίζουσιν) τότε μὲν ἡσυχίαν ἦγε μὴ βουλόμενος ἐμποδίζειν οἷς ἀρετῇ χρῆσθαι τοῦ στρατηγοῦ θέλουσιν. παυσάμενον δὲ τοῦ θορύβου παραλαβών, καὶ συμμονωθεὶς ἀνεδίδασκεν ἃ χρὴ ποιεῖν. καὶ συνεβούλευεν τῆς μὲν ἐπὶ τοῖς ἥττοσι ταλαιπωρίας ἑτέροις ἐκστῆναι. περὶ δὲ τῶν μειζόνων καὶ τῆς σωτηρίας τοῦ πλήθους ἔχειν τὴν πρόνοιαν αὐτόν. δικάσαι μὲν γὰρ ἀγαθοὺς κἂν ἄλλους Ἑβραίων εὑρεθῆναι. φροντίσαι δὲ τοσούτων μυριάδων σωτηρίας, οὐκ ἄλλον τινὰ δύνασθαι, μὴ Μαυσῆν γενόμενον. αἰσθανόμενος οὖν τῆς ἀρετῆς φησὶν αὐτοῦ καὶ οἷος γέγονας ἐπὶ τὸν λαὸν, ὑπουργῶν τῷ θεῷ σώζειν, τὴν μὲν τῶν ἐγκλημάτων δίαιταν ἐπίτρεψον αὐτοῖς ποιεῖσθαι καὶ ἐπ' ἀλλήλων. σὺ δὲ πρὸς μόνῃ τῇ τοῦ θεοῦ θεραπείᾳ κατέχων σεαυτὸν διατέλει ζητῶν οἷς ἂν τὸ πλῆθος ἀπαλλάξειας τῆς νῦν ἀπορίας. ὑποθήκαις δὲ ταῖς ἐμαῖς τῶν ἀνθρωπίνων χρησάμενος, τὸν στρατὸν ἐξετάσεις ἀκριβῶς καὶ κατὰ μυρίους τούτων κεκριμένους ἄρχοντας ἀποδείξεις. εἶτα κατὰ χιλίους. διαιρήσεις δὲ μετ' αὐτοὺς εἰς πεντακοσίους, καὶ πάλιν εἰς ἑκατόν. εἶτ'

εἶτ' εἰς πεντήκοντα, ἄρχοντάς τε ἐπὶ τούτοις τάξεις οἳ κατὰ τριάκοντα μερισθέντας διακοσμήσουσι, καὶ κατὰ εἴκοσι καὶ δέκα συναριθμουμένοις. ἔστω δέ τις ἐπὶ τούτοις εἰς τὴν προσηγορίαν ἀπὸ τοῦ τῶν ἀρχομένων ἀριθμοῦ λαμβάνων. οἱ δὲ δοκιμασθέντες ὑπὸ τοῦ πλήθους πάντων εἶναι ἀγαθοὶ καὶ δίκαιοι, περί τε τῶν διαφορῶν αὐτοῖς κρινοῦσι, κἂν ᾖ τι μεῖζον ἐπὶ τοὺς ἐν ἀξιώματι τὸ περὶ τοῦ πράγματος δύσκολον ἐπὶ σὲ τοῦτο ἀναπέμψουσιν. ἔσται γὰρ οὕτως ἀμφότερα, καὶ τῶν δικαίων Ἑβραῖοι τεύξονται, καὶ σὺ τῷ θεῷ προσεδρεύων εὐμενέστερον ἂν αὐτὸν ποιήσειας τῷ στρατῷ. ταῦτα Ῥαγουήλου παραινέσαντος, Μωυσῆς ἀσμένως προσήκατο τὴν συμβουλίαν. καὶ ποιεῖ κατὰ τὴν ὑποθήκην τὴν ἐκείνου, τοῦ τρόπου τὴν ἐπίνοιαν οὐκ ἐπικρυψάμενος, οὐδὲ σφετερισάμενος αὐτὴν, ἀλλὰ ποιήσας φανερὸν τὸν ἐξευρηκότα τῷ πλήθει. καὶ ἐν τοῖς βιβλίοις δὲ Ῥαγουῆλον ἔγραψεν, ὡς εὑρηκότα τὴν διάταξιν τὴν προειρημένην, καλῶς ἔχειν ἡγούμενος τἀληθῆ μαρτυρεῖν τοῖς ἀξίοις, εἰ καὶ δόξαν ἔμελλε φέρειν ἐπιγραφόμενος τὰ ὑπ' ἄλλων εὑρημένα, ὥς τε τὴν Μωυσέως ἀρετὴν κἀκ τούτου καταμαθεῖν. ἀλλὰ περὶ μὲν ταύτης εὐκαίρως ἐν ἄλλοις τῆς γραφῆς δηλώσομεν. Μωυσῆς δὲ συγκαλέσας τὸ πλῆθος, αὐτὸς μὲν εἰς τὸ ὄρος ἀπέρχεσθαι τὸ Σιναῖον ἔλεγεν, ὡς συνεσόμενος τῷ θεῷ καί τι λαβὼν ἀπ' αὐτοῦ χρήσιμον ἐπανήξων πρὸς αὐτούς. ἐκείνοις δὲ ἐκέλευσεν πλησίον μετασκηνῶσαι τῷ ὄρει τὴν γειτνίασιν τοῦ θεοῦ προτιμήσαντας.

Κεφάλαιον δ'.

Πῶς Μωυσῆς ἀναβὰς εἰς τὸ Σιναῖον ὄρος, καὶ λαβὼν παρὰ θεοῦ τὰς τῶν δέκα λόγων πλάκας, τῷ λαῷ αὐτὰς παρέδωκεν.

Ταῦτα εἰπὼν, ἀνῄει πρὸς τὸ Σιναῖον ὑψηλότατον τῶν ἐκεῖ ὀρῶν τυγχάνον, καὶ διὰ τὴν ὑπερβολὴν τε μεγέθους καὶ τῶν κρημνῶν τὸ ἀπότομον ἀνθρώποις οὐ μόνον οὐκ ἀνάβατον, ἀλλ' οὐδὲ ὁραθῆναι μὴ διαπόνου τῆς ὄψεως δυνάμενον, ἄλλως τε διὰ τὸ λόγον εἶναι περὶ τοῦτον θεὸν ἐν αὐτῷ διατρίβειν φοβερὸν καὶ ἀπρόσιτον. Ἑβραῖοι δὲ κατὰ τὰς Μωυσέως ἐντολὰς μετεσκήνουν καὶ τὰς ὑπωρείας τοῦ ὄρους κατελάμβανον, ἠρμένοι ταῖς διανοίαις ὡς μετὰ τῆς ἐπαγγελίας τῶν ἀγαθῶν ἣν προύτεινεν αὐτοῖς ἐπανήξοντος Μωυσέως παρὰ τοῦ θεοῦ. ἑορτάζοντες δὲ τὸν στρατηγὸν ἀνέμενον, ἁγνεύοντες τήν τε ἄλλην ἁγνείαν καὶ ἀπὸ συνουσίας τῆς γυναικῶν ἡμέρας τρεῖς, καθὼς ἐκεῖνος αὐτοῖς προεῖπεν, καὶ παρακαλοῦντες τὸν θεὸν εὐμενῆ συμβαλόντα Μωυσῇ δοῦναι δωρεὰν ὑφ' ἧς εὖ βιώσονται. ταῖς τ' οὖν διαίταις ἐχρῶντο πολυτελεστέραις, καὶ τῷ κόσμῳ γυναιξὶν ὁμοῦ τε καὶ τέκνοις ἐκπρεπῶς ἤσκηντο. ἐπὶ δύο μὲν οὖν ἡμέρας εὐωχούμενοι διῆγον. τῇ τρίτῃ δὲ πρινὴ τὸν ἥλιον ἀνασχεῖν νεφέλη τε ὑπερίζανε τοῦ παντὸς στρατοπέδου τῶν Ἑβραίων οὐ πρότερον τοῦτο ἰδόντων χυθέμενον, καὶ τὸ χωρίον οὗ τὰς σκηνὰς ἦσαν πεποιημένοι περιέγραφεν. καὶ τοῦ λοιποῦ παντὸς ἐν αἰθρίᾳ τυγχάνοντος, ἄνεμοί τε σφοδροὶ λάβρον κινοῦντες ὑετὸν κατῄγιζον, ἀστραπαί τε ἦσαν φοβεραὶ τοῖς ὁρῶσιν. καὶ κεραυνοὶ κατενεχθέντες ἐδήλουν τὴν παρουσίαν τοῦ θεοῦ οἷς Μωυσῆς ἤθελεν εὐμενοῦς παρατυχόντος. καὶ περὶ μὲν τούτων ὡς βούλεται φρονείτω ἕκαστος τῶν ἐντευξομένων. ἐμοὶ δὲ ἀνάγκη ταῦτα ἱστορεῖν καθάπερ ἐν ταῖς ἱεραῖς βίβλοις ἀναγέγραπται.

itémq. in manipulos triginta & viginti & decem commilitonum: tum deinde ita distinctis præfectos imponas, singulis appellatione à numero subditorum militum indita. Iudices autem viros virtute ac iustitia præstantes populi suffragiis creabis, qui de controuersiis eorum decernant, & si fortè quid grauius inciderit, eius cognitionem ad te relegent. atque hoc pacto neque Hebræorum quisquam suo iure fraudabitur, & tu sine interpellatione Deum colens fauorem eius propensiorem exercitui conciliabis. Hoc Raguelis consilium Moyses libenter admisit, fecítque quicquid ille monuerat, non sibi hoc commentum vsurpans, neque autorem eius celans, sed pro concione populo indicans cuius hoc inuentum fuerit. Quin & in libris suis Rague1i ascribit inuentionem ordinum militarium ac iudiciorum, malens dignos sua laude non fraudare, quàm sibi alienum decus vsurpare, vt hinc quoque virtutem ipsius coniicere liceat: de qua suis locis sæpe nobis dicendum erit. Interea dum his locis populus hæret, Moyses pro concione ait se ire in montem Sina collocuturum cum Deo, & aliquid vtile eis inde reportaturum: iubétq; vt ipsi interim in propinquo castra metentur, viciniores Deo futuri.

CAP. IV.

Moyses conscenso Sina monte acceptas à Deo decem præceptorum tabulas ad populum reportat.

VI. His dictis ascendit Sina montem omnium regionis eius celsissimum, & ob nimiam altitudinem cautésque præruptas non ascensus tantùm hominum, sed aspectus quoque ipsos defatigantem, vt non immerito propter numen incolens religiosus haberetur. Hebræi verò iuxta mandatum prophetæ motis castris radices montis occupant, suspensi animisquidnam boni ita vt promiserat, esset è Deo reportaturus: atque interim dum ductorem suum expectant, festos dies agebant, castitatem seruantes tum in cæteris, tum abstinendo à congressu mulierum per triduum, sicut iussi fuerant, & assiduis precibus Deum solicitantes, vt propitius Moysem excipiens, donum sibi per eum aliquod mitteret, quod ad vitam bene ac feliciter degendam conducibile foret. interim & victu sumptuosiore vtebantur, & ornatu splendidiore vnà cum vxoribus ac liberis excolebantur: atque in hunc modum duabus diebus inter epulas exactis, appetente iam tertia nubes primum præter solitum supra tota castra Hebræorum sublimis pependit, tentoria quàm latè patebant contegens, reliquum cælum circunquaque clara serenitate obtinente: procellæ deinde cum imbre vehementi ruebant, & fulgura simul crebrò micantia terrebant, fulmináque elisa significabant Moysen ex sententia cũ Deo propitio conuenisse. Hęc lecturi vt cuique placuerit accipiant, mihi certè fas non fuit discedere ab illis quæ in sacra historia cõscripta habẽtur.

Cæterùm Hebræi visa insolita tempestate, ciusque horrendo strepitu aures feriente, supra modum turbabantur. nam & rei nouitas terrebat, & rumor vulgatus de monte, quòd crebrò Deus eum inuiseret. quamobrem continebant se intra tabernacula mœsti, putantes actum de salute Moysis, & illo per iram Dei sublato, se quoque simile exitium manere. In tali rerum statu ecce tibi Moyses exultans lætitia, vultúque ipso animum gaudio gestientem præferens. quo conspecto repente metus omnis abiit, inque locum eius spes magni alicuius boni successit: nam & aër ad eius aduentum pristinam serenitatem recepit. Mox igitur concionem aduocat, audituram quæ mandata à Deo referat. quam vbi conuenisse animaduertit, è superiore loco, vt ab vniuersis audiretur, in hunc modum est affatus: Viri Hebræi, Deus optimus maximus, quemadmodum numquam antea vota nostra est aspernatus, ita hoc quoque tempore me legatum vestrum benignissimè excepit, & iam in castra vestra præsens ac propitius adest, præscripturus vobis viuendi rationem, qua nulla beatior ne cogitari quidem potest. quare per ipsum pérque eius magnifica opera vos obsecro, ne contemnatis quę vobis dicturus sum, meam mediocritatem intuentes, quódque humanam linguam audituri estis: sed expēdentes mandatorum bonitatem ac vtilitatem, agnoscite eius maiestatem, qui vt vestra commoda prouehat, me internuncio ad vos vti non est dedignatus. Non enim Moyses Amaramæ & Iochabelis filius, sed is qui pro vestra salute Nilum sanguineis fluentis labefecit, & Ægyptiorum contumaciam tam variis calamitatibus fregit, qui per mare viam vobis muniuit, qui omnium egenis cibos cælitus excogitauit, qui potum desiderantibus è petra scatere iussit, à quo Adamus terræ ac maris vsum fructum accepit, per quem Noë diluuium effugit, per quem Abrahamus nostri generis autor ex errone possessor Chananææ terræ est factus, per quem Isacus confectis senio parentibus est natus, per quem Iacobus duodecim honestissimis filiis est ornatus, per quem Iosephus in Ægyptiorum præsidem euasit: is inquam vobis hæc præcepta largitur, ego nihil aliud sum quàm tanti numinis interpres. ea vobis sacrosancta erunt, & coniugibus ac liberis antiquiora. illis enim parendo beatam vitam agetis, fruētes terra fertili, mari tranquillo, progenie iuxta naturæ leges felici, eritísque hostibus vestris semper formidolosi. ego enim cum Deo coràm collocutus, immortalem eius vocem audiui: adeò illi cordi estis vos & generis vestri incolumitas. His dictis adducit populum cum liberis & coniugibus vt Deum loquentē eis audiant, & quid agendum docentem, ne dicta minus auctoritatis haberent, si per humanam linguam in animos eorum illaberentur. itaque omnes audiebant vocem è sublimi descēdentem, vt nemo non intelligeret. Pręcepta autem quæ Moyses duabus tabulis inscripta reliquit, non est fas totidem verbis euulgare, sentētias tantū corū indicabimus. Docet enim nos,

Exod. 20.

Primùm præceptum, Deum esse vnum, & hunc solum colendum.

Secūdū, Nullius animalis simulacrū adorandū

τοῖς γε μὴν ἑβραίοις τά τε ὁρώμενα, καὶ ὁ ταῖς ἀκοαῖς προσβάλλων ψόφος δεινῶς ἐτάραττεν. ἀήθεις τε γὰρ ἦσαν αὐτῶν. καὶ ὁ περὶ τοῦ ὄρους διαπεφοιτηκὼς λόγος, ὡς εἰς αὐτὸ τοῦτο φοιτῶντος τοῦ θεοῦ, σφόδρα τὴν διάνοιαν αὐτῶν ἐξέπληττεν. κατεῖχον δὲ αὑτοὺς πρὸς ταῖς σκηναῖς ἀχθόμενοι, καὶ τόν τε μωυσῆν ἀπολωλέναι νομίζοντες ὑπ' ὀργῆς τοῦ θεοῦ, καὶ περὶ αὑτῶν ὅμοια προσδοκῶντες. ἔπειτα δ' αὐτῶν διακειμένων ἐπιφαίνεται μωυσῆς γαῦρός τε καὶ μέγα φρονῶν. ὀφθεὶς τε οὖν αὐτοὺς ἀπαλλάσσει τοῦ δέους αὐτοῖς, καὶ περὶ τῶν μελλόντων κρείττονας ὑπετίθετο τὰς ἐλπίδας, αἴθριός τε καὶ καθαρὸς ἀὴρ τῶν πρὸ ὀλίγου παθῶν τὴν μωυσέως παραγενομένου. ἐπὶ τούτοις οὖν συγκαλεῖ τὸ πλῆθος εἰς ἐκκλησίαν, ἀκουσόμενον ὧν ὁ θεὸς εἴποι πρὸς αὐτόν. καὶ συναθροισθέντων στὰς ἐπὶ ὑψηλοῦ τινὸς ὅθεν ἔμελλον ἅπαντες ἀκούσεσθαι, ὁ μὲν θεὸς εἶπεν ὦ ἑβραῖοι καθάπερ καὶ πρότερον, εὐμενὴς προσεδέξατό με. καὶ βίον τε ὑμῖν εὐδαίμονα καὶ πολιτείας κόσμον ὑπαγορεύσας πάρεστι καὶ αὐτὸς εἰς τὸ στρατόπεδον. πρὸς οὖν αὐτοῦ καὶ τῶν ἔργων, ἃ δι' ἐκεῖνον ἡμῖν ἤδη πέπρακται, μὴ καταφρονήσητε τῶν λεγομένων, εἰς ἐμὲ τὸν λέγοντα ἀφορῶντες, μηδ' ὅτι γλῶττα ταῦτα ἀνθρωπίνη πρὸς ὑμᾶς λέγει. τὴν δ' ἀρετὴν αὐτῶν κατανοήσαντες ἐπιγνώσεσθε καὶ τὸ μέγεθος τοῦ νενοηκότος, καὶ ἐπὶ συμφέροντι τῷ ἡμετέρῳ πρὸς ἐμὲ μὴ φθονήσαντος εἰπεῖν. οὐ γὰρ μωυσῆς ὁ ἀμαράμου καὶ ἰωχαβέλης υἱὸς, ἀλλ' ὁ τὸν νεῖλον ἀναγκάσας ἡματωμένον ὑπὲρ ὑμῶν ῥυῆναι καὶ ποικίλοις δαμάσας κακοῖς τὸ τῶν αἰγυπτίων φρόνημα, ὁ διὰ θαλάσσης ὁδὸν ἡμῖν παρασχών, ὁ καὶ τὴν τροφὴν ἐξ οὐρανοῦ μηχανησάμενος ἐλθεῖν ἀπορουμένοις, ὁ ποτὸν ἐκ πέτρας αὐτοῖς ἀναβλύσας ἀναΐζουσιν, δι' ὃν ἄδαμος τῶν ἀπὸ γῆς τε καρπῶν καὶ θαλάσσης μεταλαμβάνει, δι' ὃν νῶχος ἐκ τῆς ἐπομβρίας διέφυγε, δι' ὃν ἄβραμος ὁ ἡμέτερος πρόγονος ἐξ ἀλήτου τὴν χαναναίων κατέσχε γῆν, δι' ὃν ἴσακος γηραιοῖς ἐτέχθη γονεῦσιν, δι' ὃν ἰάκωβος δώδεκα παίδων ἀρεταῖς ἐκοσμήθη, δι' ὃν ἰώσηπος ἐδεσπότευσεν τῆς αἰγυπτίων δυνάμεως, οὗτος ὑμῖν τούτους χαρίζεται τοὺς λόγους δι' ἑρμηνέως ἐμοῦ. σεβάσμιοι δ' ὑμῖν γενέσθωσαν καὶ τέκνων περιμαχητότεροι καὶ γυναικῶν. εὐδαίμονα γὰρ διάξετε βίον τούτοις ἑπόμενοι, καὶ γῆς ἀπολαύοντες καρπίμου, καὶ θαλάσσης ἀχειμάστου, καὶ τέκνων γονῆς κατὰ φύσιν τικτομένων. καὶ πολεμίοις ἔσεσθαι φοβεροί. τῷ θεῷ γὰρ εἰς ὄψιν ἐλθὼν, ἀκροατὴς ἀφθάρτου φωνῆς ἐγενόμην. οὕτως ἐκείνῳ τοῦ γένους ὑμῶν καὶ τῆς τούτου μέλει διαμονῆς. ταῦτ' εἰπὼν, προσάγει τὸν λαὸν γυναιξὶν ὁμοῦ καὶ τέκνοις ὡς ἀκουσόμενον τοῦ θεοῦ διαλεγομένου πρὸς αὐτοὺς περὶ τῶν πρακτέων, ἵνα μὴ βλαβείη τῶν λεγομένων ἡ ἀρετὴ ὑπὸ ἀνθρωπίνης γλώττης, ἀσθενῶς εἰς γνῶσιν αὐτοῖς παραδιδομένη. πάντες τε ἤκουον φωνῆς ὑψόθεν παραγινομένης εἰς ἅπαντας, ὡς διαφυγεῖν μηδένα. καὶ λόγων οὓς μωυσῆς ἐν ταῖς δύο πλαξὶν γεγραμμένους κατέλιπεν. οὓς οὐ θεμιτόν ἐστιν ἡμῖν λέγειν φανερῶς πρὸς λέξιν, τὰς δυνάμεις αὐτῶν δηλώσομεν.

Διδάσκει μὲν οὖν ἡμᾶς ὁ πρῶτος λόγος, ὅτι θεός ἐστιν εἷς, καὶ τοῦτον σέβεσθαι μόνον.

Ὁ δὲ δεύτερος κελεύει, μηδενὸς εἰκόνα ζώου ποιήσαντας προσκυνεῖν.

Ὁ τρί-

Ὁ τρίτος δὲ ἐπὶ μηδενὶ φαύλῳ τὸν θεὸν ὀμνύναι.
Ὁ δὲ τέταρτος παρατηρεῖν τὰς ἑβδομάδας ἀναπαυομένους ἀπὸ παντὸς ἔργου.
Ὁ δὲ πέμπτος, γονεῖς τιμᾶν.
Ὁ δὲ ἕκτος ἀπέχεσθαι φόνου.
Ὁ δὲ ἕβδομος, μὴ μοιχεύειν.
Ὁ δὲ ὄγδοος, μὴ κλοπὴν δρᾶν.
Ὁ δὲ ἔνατος, μὴ ψευδομαρτυρεῖν.
Ὁ δὲ δέκατος μηδενὸς ἀλλοτρίου ἐπιθυμίαν λαμβάνειν.

καὶ τὸ μὲν πλῆθος ἀκροασάμενον αὐτοῦ θεοῦ περὶ ὧν μωυσῆς διελέχθη χαῖρον ἐπὶ τοῖς προειρημένοις τοῦ συλλόγου διελύθη. ταῖς δ᾽ ἑξῆς φοιτῶντες ἐπὶ τὴν σκηνὴν ἠξίουν αὐτὸν καὶ νόμους αὐτοῖς παρὰ τοῦ θεοῦ κομίζειν. ὁ δὲ τούτοις τε τίθεται, καὶ περὶ τῶν ὅλων, ὃν ἂν πραχθείη τρόπον ἐν τοῖς αὖθις ἀπεσήμαινεν χρόνοις, ὧν μνησθήσομαι κατὰ καιρὸν οἰκεῖον. τοὺς δὲ πλείονας τῶν νόμων εἰς ἑτέραν ἀνατίθεμαι γραφὴν, ἰδίαν περὶ αὐτῶν ποιησόμενος ἀφήγησιν. οὕτω δὲ τῶν πραγμάτων αὐτοῖς ἐχόντων ὁ μωυσῆς πάλιν εἰς τὸ σιναῖον ὄρος ἄνεισι προειπὼν τοῖς ἑβραίοις. βλεπόντων δὲ αὐτῶν ἐποιεῖτο τὴν ἄνοδον. καὶ χρόνου τριβομένου, τεσσαράκοντα γὰρ ἡμέρας διήγαγεν ἀπ᾽ αὐτῶν, δέος εἶχεν τοὺς ἑβραίους, μή τι μωυσῆς πάθοι. καὶ τῶν συντυχόντων δεινῶν οὐκ ἔστιν ὃ οὕτως ἐλύπησεν αὐτοὺς, ὡς τὸ νομίζειν μωυσῆν ἀπολωλέναι. ἦν γὰρ τοῖς ἀνθρώποις ἔρις. τῶν μὲν, ἀπολωλέναι λεγόντων θηρίοις περιπεσόντα. καὶ μάλιστα ὅσοι πρὸς αὐτὸν ἀπεχθῶς ἦσαν διακείμενοι ταύτην τὴν ψῆφον ἔφερον. τῶν δὲ, πρὸς τὸ θεῖον ἀνακεχωρηκέναι. τοὺς δὲ σώφρονας καὶ μηδὲν ἑτέρων τῶν λεγομένων εἰς ἡδονὴν λαμβάνοντας ἰδίαν, καὶ τὸ θηρίοις περιπεσόντα ἀποθανεῖν ἀνθρώπινον ἡγουμένους, καὶ τὸ ὑπὸ τοῦ θεοῦ πρὸς αὐτὸν μεταστῆναι διὰ τὴν προσοῦσαν ἀρετὴν εἰκὸς νομίζοντας, πράως ἔχειν οὕτως ὁ λογισμὸς ἐποίει. προστάτου δὲ ἠρημῶσθαι καὶ κηδεμόνος ὑπολαμβάνοντες οἵου τυχεῖν οὐκ ἂν ἄλλου δύναιντο σφόδρα λυπούμενοι διετέλουν. καὶ οὔτε τὸ ὑπονοεῖν α[...]ς εἴατο προσδοκᾶν τι χρηστὸν περὶ τἀνδρὸς, οὔτε μὴ λυπεῖσθαι καὶ κατηφεῖν ἐδύναντο. τὸ δὲ στρατόπεδον οὐκ ἐθάρρουν μετάγειν μωυσέως αὐτοὺς ἐκεῖ παραμένειν προειρηκότος. ἤδη δὲ τεσσαράκοντα ἡμερῶν διεληλυθυιῶν, καὶ τοσούτων νυκτῶν, παρῆν οὐδενὸς τῶν ἀνθρώποις νενομισμένων γεγευμένος. χαρᾶς δ᾽ ἐνέπλησεν τὴν στρατιὰν ἐπιφανεὶς, καὶ τὴν τοῦ θεοῦ πρόνοιαν, ἣν εἶχε περὶ αὐτῶν ἀπεδήλου. τόν τε τρόπον καθ᾽ ὃν εὐδαιμονήσουσιν πολιτευόμενος, λέγων αὐτὸν κατὰ ταύτας ὑποθέσθαι τὰς ἡμέρας καὶ σκηνὴν ὅτι βούλεται γενέσθαι αὐτῷ, εἰς ἣν κάτεισι πρὸς αὐτοὺς παραγινόμενος, ὅπως καὶ μεταβαίνοντες ἀλλαχοῦ ταύτην ἐπαγώμεθα, καὶ μηκέτι δεώμεθα τῆς ἐπὶ τὸ σιναῖον ἀνόδου, ἀλλ᾽ αὐτὸς ἐπιφοιτῶν τῇ σκηνῇ παρατυγχάνων ταῖς ὑμετέραις εὐχαῖς. γενήσεται δὲ ἡ σκηνὴ μέτροις τε καὶ κατασκευῇ, οἷς αὐτὸς ὑπέδειξεν, ὑμῶν ἀόκνως ἐχόντων πρὸς τὸ ἔργον. ταῦτ᾽ εἰπὼν δύο πλάκας αὐτοῖς ἐπιδείκνυσιν, ἐγγεγραμμένους ἐχούσας τοὺς δέκα λόγους, ἐν ἑκατέρᾳ πέντε. καὶ χεὶρ ἦν ἐπὶ τῇ γραφῇ τοῦ θεοῦ. οἱ δὲ χαίροντες οἷς τε ἑώρων καὶ οἷς ἤκουον τοῦ στρατηγοῦ, τῆς κατὰ δύναμιν αὐτῶν σπουδῆς οὐ κατελείποντο. ἀλλ᾽ εἰσέφερον ἄργυρόν τε καὶ χρυσίον, καὶ χαλκὸν ξύλα τε τῆς καλλίστης ὕλης, καὶ μηδὲν ὑπὸ σήψεως παθεῖν δυνάμενα. αἰγείους τε τρίχας καὶ δορὰς προβάτων, τὰς μὲν ὑακίνθῳ βεβαμμένας,

Tertium, Non temere iurandum.
Quartum, Septimi diei ferias nullo opere profanandas.
Quintum, Parentes honorandos.
Sextum, A cæde abstinendum.
Septimum, Non adulterandum.
Octauum, Non committendum furtum.
Nonum, Non deponendum falsum testimonium.
Decimum, Nihil alienum concupiscendum.

Hęc vbi multitudo læta ex ipso Deo sicut Moyses prædixerat audiuit, dimissa est concio. Sequentibus autem diebus sæpius ad ducis tentorium ventitantes postulabant vt etiam leges eis à Deo deportaret. ille & in hoc eis gratificatus leges tulit, & quid quóve modo agendum esset per idem tempus præscripsit, sicut suo loco dicetur, sed maiorem legum partem in aliud tempus differo, priuatim de his commentaturus. Eodem ferè tempore Moyses rursum in Sina montem ascendit, præmonito antè populo: nam & spectare eos ascensionem suam voluit. cúmque diutius moraretur, per XL. enim dies abfuit, cœperūt soliciti esse, ne quid grauius illi accidisset. neque in tot ærumnis aliud quicquā eos sic contristauit, vt interitus Moysis opinio. variabant enim rumores, dum alij deuoratum à bestiis iactant, maxime qui minus eum amabant. alij raptum à Deo videri malunt. qui verò prudentiores erant, inter vtranque sententiam ancipites, quòd alterum ab humanis casibus non alienum, alterum viri illius virtuti cōuenientius videbant, ipsius sortem satis æquo animo ferebant: suam autem vicem dolebant, quòd tali præside ac patrono essent orbati, qualem alium inueniri credebant impossibile: & neque solicitudo sperare eos sinebat, neque spe adempta non dolere poterant. ac ne castra mouere quidem audebant, reditum expectare iussi. tandem XL. diebus totidémque noctibus elapsis reuertitur, nullo interim humano alimento degustato: aduentúque suo tota castra ingenti gaudio repleuit, diuinam prouidentiam illis adesse significans, & rationem bene ac beatè viuendi se per eos dies didicisse. postularéque Deum vt tabernaculum ei faciant, quo descenderet quoties placeret, quod etiam migrantes secum circunferre possent, vt non sit opus amplius in Sina ascendere, sed interuisitans crebrò & tantùm non cohabitans præstò sit votis eorum ac deprecationibus. mensuram quoque & formam tabernaculi sibi præmonstratam, nihílque superesse nisi vt ad eius fabricam quā primùm se accingerent. His dictis profert duas tabulas continentes decem præcepta inscripta, in singulis quina. erat autem Dei manus ea scriptura. Illi verò præsentia sermonéque Moysis læti pro se quisq. certatim ad structuram tabernaculi conferebant, aurum, argētum, cuprū, materiam ligneā elegantē & cōtra cariem firmam, pilos caprarum, & ouium pelles partim hyacinthina partī punicea tinctura,

Exod. 21. Exod. 24. Exod. 36. Exod. 35.

A quasdam etiam candidas colore, & alias purpuræ flore infectas. adhæc lanas eisdem coloribus tinctas, & linum byssinum, lapillos quoque pretiosos, qui ad ornatum auro includi solent, atque insuper vim magnam odoramentorum. nam huiusmodi erat materia tabernaculi, quod nihil ab ambulatorio téplo & portatili differebat. ergo postéaquam istæ species ambitiosè sunt collatæ, viritim contribuentibus, nonnullis etiam plura quàm pro domesticis facultatibus, architectos operi propheta præficit ex mandato Dei, sed tales vt non alij deligendi fuerint, etiamsi populi suffragiis res cómissa fuisset. Eorum nomina etiam nunc in sacris codicibus extant: Beselel ex tribu Iudæ, Vronis filius & Mariammes, quæ erat ducis sororis: & Eliabus Isamachi, tribus Danidis. plebs autem tanta alacritate operam & impensam offerebat, vt edicto coercendi fuerint, & præconis voce admonendi non esse opus pluribus: ita enim fabricatoribus est visú, atque ita structuram tabernaculi aggrediuntur, Moyse & mensuram & magnitudinem designante, sicut in monte ex Dei colloquio didicerat, tum quátum instrumentum capere deberet ad vsum sacrificiorum & sacrorum ministerium, ritè ac ordinatè præscribente. nec minor fuit largitio mulierú circa vestes sacerdotales, & cętera quæ vel ad tabernaculi ornamentú, vel ad diuinum cultum attinere videbantur.

Exod. 36.

CAP. V.

De tabernaculo per Moysen in terra deserta facto, quod similitudinem templi portatilis referebat.

Exod. 36. VII.

OMNIBVS autem paratis, & vasis aureis, æramentis ac textilibus, Moyses indicto festo & sacrificio pro cuiusque opibus, tabernaculum erigit hoc modo. Atrium primo dimé sus latitudine L. cubitorum longitudine C. vallos æreos statuit altos quinque cubita per longiora latera vicenos, & in postico latere X. In vno quoque inerant anuli, & capitella argentea, bases verò auratæ mucronatæ, imæ hastę similes, ex ęre factę & in terram defixæ. anulis innectebantur funes, qui ab altero capite clauis æreis cubitalibus humi confixi singulos vallos firmabant, & contra ventorum vim tabernaculum muniebát. Linteum deinde byssinum mollissimum circumtendebatur à capitellis ad bases dependens, totúmque eum locum sepiens, vt nihil à pariete differre videretur. atque hoc modo se habebant septi tria latera. quartú verò latus L. item cubitorum totius operis erat frons, cuius ianua viginti cubita patebat, vtrinque habens geminatos vallos instar postium. ex argéto hi quoque constabant præter bases, quæ erant æneæ. ab vtroque autem latere stabát tres valli bene firmati. erát auté & illi linteo è bysso contexto circúducti. ad ianuá vero pendebat velum viginti cubita lógum, & quinque altum ex purpura byssóque & hyacintho contextum

τὰς δὲ φοινικᾶς, αἱ δὲ πορφύρας ἄνθος, ἕτεραι δὲ λευκὴν παρεῖχον τὴν χρόαν. ἔριά τε τοῖς προειρημένοις ἄνθεσι μεμολυσμένα, καὶ λίνον βύσσινον. λίθους τε οἷς ἐνδεδεμένοις χρυσῷ καθειργνῦντες, αὐθ' ἕτεροι κόσμῳ χρῶνται πολυτελεῖ. θυμιαμάτων τε πλῆθος συνέφερον. ἐκ γὰρ τοιαύτης ὕλης κατεσκεύαζεν τὴν σκηνήν. ἡ δ' οὐδὲν μεταφερομένου καὶ συμπεριοστοῦντος ναοῦ διέφερεν. τούτων οὖν κατὰ σπουδὴν συγκομισθέντων ἑ-B κάστου καὶ παρὰ δύναμιν φιλοτιμησαμένου, τοὺς ἀρχιτέκτονας τοῖς ἔργοις ἐφίστησιν κατ' ἐντολὴν θεοῦ, οὓς κἂν τὸ πλῆθος αὐτὸ ἐπελέξατο τῆς ἐξουσίας ἐπ' αὐτῷ γινομένης. τὰ δὲ ὀνόματα αὐτῶν, καὶ γὰρ ἐν ταῖς ἱεραῖς βίβλοις ἀναγέγραπται, ταῦτα ἦν· Βασάηλος μὲν Οὐρὶ παῖς τῆς Ἰούδα φυλῆς, υἱὸς δὲ Μαριάμμης τῆς ἀδελφῆς τοῦ στρατηγοῦ. Ἐλιβάζος δὲ Ἰσαμάχου Δανίδος φυλῆς. τὸ δὲ πλῆθος οὕτως ὑπὸ προθυμίας τοῖς ἐγχειρουμένοις ὑπῆλθεν, ὥστε Μωυσῆν ἀνεῖρξεν αὐτούς, ὑποκηρυξάμενος ἀρκεῖν τοὺς ὄντας. τοῦτο γὰρ οἱ δημιουργοὶ προειρήκασι. C ἐχώρουν οὖν ἐπὶ τὴν τῆς σκηνῆς κατασκευήν, καὶ Μωυσῆς αὐτοὺς ἕκαστα περὶ τῶν μέτρων κατὰ τὴν ὑποθήκην τοῦ θεοῦ καὶ τοῦ μεγέθους ὅσα τε δεῖ σκεύη χωρεῖν αὐτὴν ἀνεδίδασκεν πρὸς τὰς θυσίας ὑπηρετήσοντα. ἐφιλοτιμοῦντο δὲ καὶ αἱ γυναῖκες περί τε στολὰς ἱερατικάς, καὶ περὶ τὰ ἄλλα ὅσων ἔχρῃζεν τὸ ἔργον, κόσμου τε καὶ λειτουργίας ἕνεκα τοῦ θεοῦ.

D

Κεφάλαιον ε΄.

Περὶ τῆς σκηνῆς, ἣν Μωυσῆς ἐποίησεν ἐν τῇ ἐρήμῳ, ἣ οὐδὲν ναοῦ μεταφερομένου διέφερεν.

ΠΑντων δὲ ἑτοίμων γεγενημένων χρυσίου τε καὶ χαλκοῦ, καὶ τῶν ὑφαντῶν, προειπὼν ἑορτὴν Μωυσῆς καὶ θυσίας, κατὰ τὴν ἑκάστου δύναμιν, ἵστη τὴν σκηνήν. πρῶτον μὲν αἴθριον διαμετρησάμενος, τὸ μὲν εὖρος πεντήκοντα πηχῶν, ἑκατὸν δὲ τὸ μῆκος, κάμακας ἔστησε E χαλκέας πενταπήχεις τὸ ὕψος, καθ' ἑτέραν πλευρὰν εἴκοσι τὴν ἐπιμηκεστέραν, δέκα δὲ τὴν ἐν πλάτει κειμένων, τῆς κατόπιν. κρίκοι δὲ τῶν καμάκων ἑκάστῃ προσῆσαν. κιονόκρανα μὲν ἀργύρεα, βάσεις δὲ χρυσαῖ, σαυρωτῆρσιν ἐμφερεῖς. χαλκαῖ δὲ ἦσαν ἐπὶ τῆς γῆς ἑστημέναι. ἐξῆπτο δὲ τῶν κρίκων καλώδια τὴν ἀρχὴν ἐξ ἥλων χαλκέων πηχυαίων τὸ μέγεθος ἐκδεδεμένα. οἳ καθ' ἑκάστην κάμακα παρέντες κατὰ τῶν ἐδάφεις ἀκίνητον ὑπὸ βίας ἀνέμων τὴν σκηνὴν ἔμελλον παρέξειν. σινδὼν δ' F ἐκ βύσσου μαλακωτάτη διὰ πασῶν ἐπῄει ἀπὸ τοῦ κιονοκράνου καθεῖσα μέχρι τῆς βάσεως πολλὴ κεχυμένη, περιφράττουσα ἅπαν ἐν κύκλῳ τὸ χωρίον, ὡς ἂν μηδὲν δοκεῖν τείχους διαφέρειν. καὶ οὕτως μὲν εἶχον αἱ τρεῖς πλευραὶ τοῦ περιβόλου. τῆς δὲ τετάρτης πλευρᾶς, πεντήκοντα γὰρ οὖσα πηχῶν ἡ ἑτέρα μέτωπον τοῦ παντὸς ἦν, εἴκοσι μὲν πήχεις ἀνεῴγεσαν κατὰ πύλας, ἐν αἷς ἀνὰ δύο κάμακες εἱστήκεισαν κατὰ μίμησιν πυλώνων. ὕλη δ' αὐτῆς ἀργυρέα ἦν ἐπικεχαλκωμένος πάρεξ τῶν βάσεων. χαλ-G καῖ γὰρ ἦσαν. ἑκατέρωθεν δὲ τοῦ πυλῶνος τρεῖς κάμακες ἦσαν ἑστῶσαι, οἷς πυλοῦχοι ἐμβεβήκεισαν ἐρηρεισμέναι. καὶ κατ' αὐτῶν δὲ βύσσινον ὕφος σινδόνος ἦν περιηγμένον. τὸ δὲ κατὰ τὰς πύλας μήκους μὲν ὄντος πηχῶν εἴκοσι, πέντε δὲ βάθους, ὕφος ἦν πορφύρας φοίνικος σὺν ὑακίνθῳ καὶ βύσσῳ πεποικιλμένον, πολ-

πολλῶν αὐτῷ συνυφανθέντων καὶ ποικίλων ὅποσα μὴ ζώων ἐξετύπωσε μορφάς. ἐντὸς δὲ τῶν πυλῶν περιρραντήριον ἦν χαλκοῦν, ὁμοίαν αὐτῷ καὶ τὴν κρηπῖδα παρεχόμενον. ἐξ οὗ τοῖς ἱερεῦσι τὰς χεῖρας ἀποπλύνειν, καὶ τοὺς πόδας ἐγκαταχεῖν παρῆν. καὶ ὁ μὲν τῆς αἰθρίας περίβολος τὸν τρόπον τοῦτον ἦν διακεκοσμημένος. τὴν δὲ σκηνὴν ἵστησιν αὐτοῦ κατὰ μέσον, τετραμμένην πρὸς τὰς ἀνατολάς, ἵνα πρῶτον ὁ ἥλιος ἐπ᾽ αὐτὴν ἀνιὼν, ἀφίῃ τὰς ἀκτῖνας. καὶ τὸ μὲν μῆκος αὐτῆς, ἐπὶ πήχεις ἐγήγερτο τριάκοντα. τὸ δὲ εὖρος ἐπὶ δέκα δύο διῄκει. καὶ ὁ μὲν ἕτερος τῶν τοίχων πρὸς νότον ἦν, ὁ δὲ ἕτερος κατὰ βορέαν ἐτέτακτο. κατόπιν δὲ αὐτῆς ἡ δύσις κατελείπετο. ἀνίστασθαι δὲ αὐτὴν ἐχρῆν ἐφ᾽ ὅσον προσβαίνοι τὸ εὖρος. κίονες δὲ ἦσαν ξύλου πεποιημένοι κατὰ πλευρὰν ἑκατέραν εἴκοσι. τετράγωνοι μὲν τὸ σχῆμα εἰργασμένοι. εἰς δὲ πλάτος διεστῶτες πηχέως τε καὶ ἡμίσους. τὸ δὲ βάθος δακτύλων τεσσάρων. λεπίδες δὲ αὐτοῖς ἦσαν ἐπικεχαλκευμέναι πανταχόθεν χρυσαῖ, διά τε τῶν ἔνδοθεν καὶ τῶν ἐκτὸς μερῶν. δύο δὲ αὐτῶν ἑκάστῳ προσεῖχον στρόφιγγες, ἐλαυνόμενοι κατὰ δύο βάσεων. αὗται δὲ ἀργυραῖ μὲν ἦσαν. πύλην δὲ ἑκατέρα τούτων προσῆν, δεχομένη τὸν στρόφιγγα. τῷ δὲ κατὰ δύσιν τοίχου κίονες μὲν ἓξ ἦσαν. συνήεσαν δὲ ἀλλήλοις ἀκριβῶς ἅπαντες, ὥς τε μεμυκότων τῶν ἁρμῶν ὡς ἕνα δοκεῖν εἶναι τοῖχον αὐτῶν τὴν συνέλευσιν χρυσέαν πάντη ἔνδοθεν καὶ τὰ ἐκτός. ἀνελόγει γὰρ ὁ τῶν κιόνων ἀριθμὸς, εἴκοσι γὰρ ἦσαν, καὶ παρεῖχεν πλάτος τρίτον σπιθαμῆς ἕκαστος αὐτῶν, ὥς τε συμπληροῦσθαι τοὺς τριάκοντα πήχεις ὑπ᾽ αὐτῶν. κατὰ δὲ τὸν ὄπισθεν τοῖχον ἐννέα γὰρ πήχεις οἱ ἓξ κίονες παρέχονται συνεισελθόντες, δύο ἑτέρους ποιοῦνται κίονας ἐκ πηχέως τετμημένους, οὓς ἐγγωνίους ἔθεσαν, ἐπίσης τοῖς μείζοσι ἠσκημένους. ἕκαστος δὲ τῶν κιόνων κρίκον εἶχε χρυσοῦν κατὰ τὸ ἔξω μέτωπον προσφυῆ, ὥσπερ ῥίζαις τισὶν ἐμπεπλεγμένον, κατὰ στίχον πρὸς ἀλλήλοις τετραμμένοι τὴν περιφέρειαν. καὶ δι᾽ αὐτῶν ἐπίχρυσοι σκυτάλιδες ἐλαυνόμεναι πέντε πηχέων ἑκάστης τὸ μέγεθος, σύνδεσμος ἦσαν τῶν κιόνων, ἐνθεμένης κατὰ κεφαλὴν σκυταλίδος ἑκάστης τῇ ἑτέρᾳ, τέχνῃ τοῦ στρόφιγγι κοχλιοῦ τρόπον δεδημιουργημένῳ. κατὰ δὲ τὸν ὄπισθεν μία φάλαγξ ἦν διὰ πάντων ἰοῦσα τῶν κιόνων, εἰς ἣν ἐνέβαινον πλαγίαι αἱ τελευταῖαι τῶν σκυταλίδων ἐξ ἑκατέρου τοίχου τῶν ἐπιμηκεστέρων, κρατεῖσθαι σὺν ἑαυταῖς γιγλυσμοῖς τοῦ θήλεος τῷ ἄρρενος συνελθόντος. τοῦτο μέν τοι πρὸς τὸ μὴ ὑπ᾽ ἀνέμων κραδαίνεσθαι, μήτ᾽ ἄλλης αἰτίας, τὴν σκηνὴν συνεῖχεν. ἀλλ᾽ ἀκίνητον αὐτὴν ἐν ἠρεμίᾳ πολλῇ διαφυλάξειν ἔμελλεν. ἐντὸς δὲ διελὼν τὸ μῆκος αὐτῆς εἰς τρία μέρη, κατὰ δέκα πήχεις ἡρμοσμένους ἐκ τοῦ μυχοῦ τέσσαρας ἵστησι κίονας, ὁμοίως τοῖς ἄλλοις εἰργασμένους καὶ βάσεσιν ὁμοίαις ἐπικειμένους, διαλείποντας ἀλλήλων κατ᾽ ὀλίγον. τὸ δὲ ἐνδοτέρω τῶν αὐτῶν ἄδυτον ἦν, τὸ δὲ λοιπὸν ἡ σκηνὴ τοῖς ἱερεῦσιν ἀνεῖτο. τὴν μέν τοι διαμέτρησιν τὴν τοιαύτην τῆς σκηνῆς πρὸς μίμησιν τῆς τῶν ὅλων φύσεως συνέβαινεν εἶναι. τὸ μὲν γὰρ τρίτον αὐτῆς μέρος τὸ ἐντὸς τῶν τεσσάρων κιόνων, ὃ τοῖς ἱερεῦσιν ἦν ἄβατον ὡς οὐρανὸς ἂν εἴη τῷ θεῷ. οἱ δὲ εἴκοσι πήχεις ὥσπερ γῆ καὶ θάλασσα βάσιμος ἀνθρώποις, οὕτως τοῖς ἱερεῦσιν μόνοις ἐπιτέτραπτο. κατὰ μέτωπον δὲ ἐξ οὗ τὴν εἴσοδον ἦσαν πεποιημένοι, κίονας ἔστησαν χρυσέοις χαλκείαις βάσεσιν ἐφεστῶτας πέντε τὸν ἀριθμόν. καταπετάννυσι δὲ τὴν σκηνὴν ὕφεσι βύσσου καὶ πορφύρας καὶ ὑακίνθου καὶ φοίνικος

A varie picturatum exceptis animantium formis. intra ianuas autem erat aspersorium æneum, basi ex eadem materia superpositum, vnde sacerdotes manus abluerent, & pedes perfunderent. Hunc in modum septum atrij se habuit. Tabernaculum autem statuit in eius medio versum ad Orientem, vt sol surgens radios in illud mitteret: erátque longum cubita triginta, & latum duodecim. alter parietum erat australis, alter ad septemtriones obuersus: B tergum ad occidentem spectabat, attollebatúrque tantum, quantum in latitudinem patebat. Erántque tabulæ ligneæ vicenæ ex vtroque latere, quadrangulæ, crassitudine quatuor digitorum, latitudine vnius & dimidij cubiti, intus & extra laminis aureis contectæ: & singulis tabulis inerant cardines bini immissi per duas bases quæ erant argenteæ, & in suis foraminibus tabularum cardines suscipiebant. Parietis C verò Occidentalis tabulæ sex erant, intus & extra deauratæ, inter se omnes ita compaginatæ, vt vnus paries esse videretur. Ex lateribus autem tabulæ erant vicinæ, quarum latitudo habebat mensuram vnius & dimidij cubiti, crassitudo tertiam partem palmæ, & ita triginta cubita adimplebant. posterioris verò parietis nouem cubitos sex tabulæ faciebant: quibus coniunctæ sunt aliæ duæ tabulæ, ex medio cu- D bito sectæ, quas angulares posuerunt ad instar maiorum tabularum. Singulæ verò tabulæ anulos habebant aureos, per exteriores frontes eminentes, velut quibusdam radicibus confixos per ordinem, ad inuicem per circuitum respicientes: & per eos deaurati vectes immissi, singuli cubitorum quinque, tabulas coniungebant: intrabátque caput vectis vniuscuiusque in alio capite, in modum pyxidis: & post E tergum parietum in longitudine positorum, vnus erat ordo, per tabulas omnes vadens, quo per vncinos vtriusque parietis latera continebantur, in castrationibus factis & immissis ad inuicem. atque ita cautum est tabernaculo contra ventorum vim aliósve impetus, vt securum & immobile consisteret. Intus autem diuisa in tres partes longitudine, post decem cubita intima, statutæ sunt columnæ quatuor eodem opere & ex eadem materia factæ, similibus basibus impositæ, paribus interuallis F per transuersum distitæ: vltra has fuit adytum, reliquum verò tabernaculi sacerdotibus patebat. atque hæc tabernaculi trifariam diuisio, vniuersitatis naturam referebat. nam tertia pars quæ intra quatuor columnas continebatur, sacerdotibus inaccessa cælum Dei quodammodo repræsentabat: viginti verò cubitorum spatium, tanquam mare & terra hominibus in- G accessibilis, solis sacerdotibus concedebatur. à fronte verò quà aditus patebat, columnas statuerunt quinque æreis basibus innixas. post hæc vela sunt per tabernaculum expasa, è bysso contexta, & purpureo, hyacinthino, puniceo coloribus distincta. horum primum

cubita decem quaqua versum patebat: quod per columnas est distentum, quæ aditum à reliquo spatio disparabant, & à conspectu hominum excludebant. totúmque hoc fanum vocabatur sanctum, aditum verò vltra IIII. columnas situm dicebatur sanctum sanctorum. fuitque hoc linteum omnis generis floribus quæ terra fert aliísque ornamentis picturatum, exceptis tantùm animantium figuris. alterum autem velum magnitudine, colore, textura, priori par, circa ingressum sitas quinque columnas tegebat: quod à summo ad dimidium columnarum pendens ibi anulis sustinebatur, & accessum sacerdotibus subintrantibus præbebat. huic penè contiguum erat aliud velum magnitudine par, sed è lino contextum, anulis à funiculo per transuersum pendens, quod aliquando adducebatur, aliquando festis præcipuè diebus reductum populi prospectum admittebat. reliquis diebus, & maximè parum serenis obiectu suo picturatum illud velum à tempestatibus protegabat. vnde mos mansit etiam post templum exædificatum, vt velum huic simile in aditu prætenderetur. erant præterea decem aulæa quaternorum cubitorum latitudinis, longitudinis vicenûm octonûm cum vncinis aureis qui cōtiguorū anulis ita inserebantur, vt coaptata vnum viderentur: quæ extensa fanum superne obtegebant, & parietes à lateribus & à tergo, minus vno pede ad terram pertingentia. erant & alia peripetasmata vndecim æquè lata, sed longiora, videlicet triginta cubitorum singula, è pilis eadem subtilitate qua illa è lana contexta: quæ tegmine suo vsque terram fusa instar thalami exhibebant, vno à fronte prominente, quod in hunc vsum supra denarium numerum erat adnexum. hæc rursus ab aliis è pellibus consutis contra æstus ac pluuiarum iniuriam protegebantur. quapropter è longinquo spectantibus res erat miraculo dignissima: colores enim tabernaculi non aliter micabant, quàm si cælum qui contueretur. cæterùm cilicia & pellicea vela ita pendebant, sicut illud circa fani introitum, ad arcendas tempestates obiecta.

Exod. 36.

Cap. VI.

De arca in qua tabulas legis Moyses collocauit.

VI. Exod. 37.

TAbernaculo autem hunc in modum constituto, etiam arcam Deo sacram inferunt è materie natura valida & ab omni carie inuiolabili. hęc vernacula nostra lingua dicitur Heoron, figura tali. lōgitudo eius erat quinque palmorum, altitudo verò & latitudo trinū palmorum, erátque intus & extra tota laminis aureis incrustata: & habebat tegmen aureis cardinibus coaptatum, nulla ex parte prominens, ex vtroque autem longiore latere inerant anuli aurei duo, totum lignum penetrantes, & per eos vectes aurati vtrinque traiecti, vt quoties opus esset quocunque transportari posset.

βαφῆς συγκεκραμμένοις. καὶ περίπτεν μὲν ἦν πηχῶν δέκα πανταχόθεν, ὡ κατεπετάννυσαν τοὺς κίονας, οἱ διαιροῦντες τὸν νεὼν, τὸ ἄδυτον ἔνδον αὐτῶν ἀπελάμβανον. καὶ τοῦτον ἦν τὸ ποιοῦν αὐτὸ μηδενὶ κάτοπτον. καὶ ὁ μὲν πᾶς νεὼς ἅγιον ἐκαλεῖτο. τὸ δ' ἄβατον τὸ ἐντὸς τῶν τεσσάρων κιόνων τοῦ ἁγίου τὸ ἅγιον. ὡραῖον δὲ τὸ φάρσος ἄνθεσι παντοίοις ὅσα γῆθεν ἀνέρχεται διαπεποικιλμένον, τοῖς τε ἄλλοις ἅπασι ἐνυφασμένον, ἃ κόσμος εἶναι ἔμελλον, πλὴν ζώων μορφῆς. ἕτερον δὲ τούτῳ καὶ τῷ μεγέθει καὶ τῇ ὑφῇ καὶ τῇ χροιᾷ παραπλήσιον τοὺς ἐπὶ ταῖς εἰσόδοις πέντε κίονας περιέβαλλεν κατὰ γωνίαν ἑκάστου κίονος, κρίκου κατέχοντος αὐτὸ ἀπὸ κορυφῆς ἄχρι ἡμίσεος τοῦ κίονος. τὸ δὲ λοιπὸν εἴσοδος ἀνεῖτο τοῖς ἱερεῦσιν ὑποδυομένοις. ὑπὲρ δὲ τοῦτον λίνεον ἦν ἰσομέγεθες φάρος, ἐφελκόμενον ἀπὸ κάλων ἐπὶ θάτερα τῶν κρίκων τῷ τε ὕφει καὶ τῷ κάλῳ διακονούντων, πρός τε τὸ ἐκπετάννυσθαι καὶ συνελκόμενον ἵστασθαι κατὰ γωνίαν ἐμποδὸν οὐκ ἐσόμενον πρὸς τὸ καθορᾶσθαι, καὶ μάλιστα ἐν ταῖς ἐπισήμοις ἡμέραις. κατὰ δὲ τὰς λοιπὰς καὶ μάλιστα ὅταν ᾖ νιφετώδης, προπεταννύμενον, σκεπανὸν ἐποίει τὸ ἐκ τῶν βαμμάτων ὕφος. ὅθεν δὴ παρέμεινεν τὸ ἔθος καὶ τὸν ναὸν οἰκοδομησαμένων ἡμῶν, ὥς τε τὴν σινδόνα τοιούτῳ τρόπῳ περικεῖσθαι ταῖς εἰσόδοις. δώδεκα δ' ἄλλα φάρση πηχῶν τὸ πλάτος τεσσάρων, τὸ δὲ μῆκος ὀκτὼ καὶ εἴκοσι χρυσέους ἔχοντα γιγλυσμοὺς ἐπὶ συναφῇ θήλυός τε καὶ ἄρρενος συνείλεκτο, ὡς ἓν εἶναι δοκεῖν. εἶθ' ὑπερτεινόμενα τοῦ ναοῦ, τότ' ἐφύπερθεν ἐσκίαζεν, καὶ τῶν τοίχων τοὺς κατὰ πλευρὰν καὶ κατόπιν ἐσῶτας, ἀπὸ τῆς γῆς ὅσον πῆχυν ἀνέχοντα. ἴσαι δὲ τῷ πλάτει καὶ ἄλλαι σινδόνες, μιᾷ πλείους τὸν ἀριθμὸν, τὸ δὲ μῆκος ὑπερβάλλουσαι. τριάκοντα πήχεις γὰρ ἦσαν, ὑφασμέναι δ' ἐκ τριχῶν ὁμοίως κατὰ λεπτουργίαν ταῖς ἐκ τῶν ἐρίων πεποιημέναις, ἐτέταντο μέχρι τῆς γῆς κεχυμέναι, κατὰ θύρας ἀετώματι παραπλήσιον, καὶ παστάδα παρεῖχεν, τοῦ ἑνδεκάτου φάρσους εἰς τοῦτο παρειλημμένου. ἄλλαι δ' ἐπάνω τούτων ἐκ διφθερῶν κατεσκευασμέναι ὑπερῄεσαν, σκέπη καὶ βοήθεια τοῖς ὑφανταῖς ἐν τοῖς καύμασιν, καὶ ὁπότε ὑετὸς εἴη γεγενημέναι. πολλὴ δ' ἔκπληξις ἐλάμβανεν τοὺς πόρρωθεν θεωμένους. τὴν γὰρ χροιὰν τοῖς κατὰ τὸν οὐρανὸν συμβαίνουσιν οὐδὲν ἐδόκουν διαφέρειν. αἱ δὲ ἐκ τῶν τριχὸς καὶ τῶν διφθερῶν πεποιημέναι κατῄεσαν ὁμοίως τῷ περὶ τὰς πύλας ὑφάσματι, τό τε καῦμα καὶ τὴν ἀπὸ τῶν ὄμβρων ὕβριν ἀπομαχόμεναι. καὶ ἡ μὲν σκηνὴ τοῦτον πήγνυται τὸν τρόπον.

Κεφάλαιον ς'.

Περὶ τῆς κιβωτοῦ ἐν ᾗ Μωυσῆς τὰς νομικὰς πλάκας ἐγκατέθετο.

ΓΙνεται δὲ καὶ κιβωτὸς τῷ θεῷ ξύλων ἰσχυρῶν τὴν φύσιν, καὶ σήπεσθαι παθεῖν οὐ δυναμένων. ἡ δὲ ἐρὼν μὲν καλεῖται κατὰ τὴν ἡμετέραν γλῶτταν. ἡ δὲ κατασκευὴ, τοιαύτη τίς ἦν. μῆκος μὲν ἦν αὐτῇ πέντε σπιθαμῶν. τὸ δ' εὖρος καὶ τὸ βάθος τριῶν σπιθαμῶν εἰς ἑκάτερον. χρυσῷ δὲ τά τ' ἐντὸς καὶ τὰ ἔξωθεν περιελήλατο πᾶσα ὡς ἀποκεκρύφθαι τὴν ξύλωσιν. στρόφιγξιν τε χρυσοῖς τὸ ἐπίθεμα προσηνωμένον εἶχεν θαυμαστῶς, ὃ πανταχόθεν ἴσον ἦν, κατ' οὐδέτερον μέρος ἐξοχαῖς τὴν ἐφαρμογὴν λυμαινόμενον. καὶ καθ' ἑκάτερον δὲ τοῖχον τῶν ἐπιμηκεστέρων κρίκοι προσῄεσαν χρυσοῖ δύο τοῦ παντὸς διήκοντες ξύλου. καὶ δι' αὐτῶν σκυταλίδες ἐπίχρυσοι καθ' ἑκάτερον τοῖχον, ὡς ἂν ὑπ' αὐτῶν ὁπότε δέοι σφίσιν αἴροιτο.

κινουμένη

κινουμένη. οὐ γὰρ ἐπὶ ζεύγοις ἐκομίζετο, ἀλλ᾽ ὑπὸ τῶν ἱερέων ἐφέρετο. τῷ δ᾽ ἐπιθέματι αὐτῆς ἦσαν πρόσωποι δύο. χερουβεῖς μὲν αὐτοὺς ἑβραῖοι καλοῦσιν. ζῶα δ᾽ ἐστὶ πετεινὰ, μορφὴν δ᾽ οὐδενὶ τῶν ὑπ᾽ ἀνθρώπων ἑωραμένων παραπλήσια. Μωυσῆς δὲ φησὶν τῷ θρόνῳ τοῦ θεοῦ προστυπεῖς ἑωρακέναι. ταύτῃ τὰς δύο πλάκας ἐν αἷς τοὺς δέκα λόγους συγγεγράφθαι συμβεβήκει, ἀνὰ πέντε μὲν εἰς ἑκατέραν, ἀνὰ δύο δὲ καὶ ἥμισυ κατὰ μέτωπον, ἐγκατέθετο, καὶ ταύτην ἐν τῷ ἀδύτῳ κατατίθησιν.

A neque enim à iumentis vehebatur, sed sacerdotum humeris transferebatur. operculo autem eius impositæ erant effigies duæ, quas Hebræi Cherubes appellant, ea sunt animantia volucria noua specie nec vnquam cuiquam hominum visa: quæ Moyses in Dei solio viderat figurata: in hanc arcam reposuit tabulas decem præcepta continentes, in vtraque quina, & in singulis paginis duo cum dimidio, ipsámque arcam B intra aditum recondidit.

Κεφάλαιον ζ′.

Περὶ τραπέζης καὶ λυχνίας χρυσῆς καὶ βωμῶν τῶν ἐν τῇ σκηνῇ.

ΕΝ δὲ τῷ ναῷ τράπεζαν ἱδρύεται δελφικαῖς παραπλησίαν. τὸ μῆκος μὲν δύο πηχῶν, τὸ δὲ πλάτος, ἑνὸς πήχεος, καὶ σπιθαμῶν τριῶν τὸ ὕψος. ἦσαν δ᾽ αὐτῇ πόδες, τὰ μὲν ἐξ ἡμίσους ἕως τῶν κάτω τελέως ἀπηρτισμένοι, οἷς δωριεῖς προστίθησι ταῖς κλίναις ἐμφερεῖς. τὸ δὲ πρὸς αὐτὴν ἀνατεῖνον τετράγωνοι τῇ ἐργασίᾳ. κοιλαίνεται δὲ καθ᾽ ἕκαστον πλευρὰν, κοιλαινούσα πως κατὰ παλαιστὴν τὸ ἔδαφος, ἕλικος περιθεούσης τό τε ἄνω καὶ τὸ κάτω μέρος τοῦ σώματος. καθ᾽ ἕκαστον δὲ τῶν ποδῶν καὶ ταύτῃ ἐλήλατο κρίκος, οὐκ ἄπωθεν τοῦ ἐπιθέματος, δι᾽ ὧν ἴεσαν στελεοὶ χρύσεοι ξύλου τὰ νέρθεν ὄντες ἐξαίρετοι. κοῖλον γὰρ εἶχεν ἐπ᾽ αὐτοῖς τὸ κατὰ τοὺς κρίκους κοινωθέντας. οὐδὲ γάρ εἰσιν διηνεκεῖς, ἀλλὰ πρὶν συνελθεῖν εἰς τὸ ἄπειρον, εἰς περονίδας τὴν ἀρχὴν τελευτῶντες. ὧν ἡ μὲν εἰς τὸ προύχον ἐμβαίνει τῆς τραπέζης, ἡ δὲ εἰς τὸν πόδα, τούτοις κατὰ τὰς ὁδοὺς ἐκομίζετο. ἐπὶ ταύτης ἐτίθετο γὰρ ἐν τῷ ναῷ τετραμμένη πρὸς ἄρκτον οὐ πόρρω τοῦ μυχοῦ, διετίθεσαν ἄρτων τε δώδεκα ἀζύμους κατὰ ἓξ ἐπ᾽ ἀλλήλοις κειμένους καθαροὺς πάνυ, τοῦ ἀλεύρου ἐκ δύο ἀσσαρών. ὃ μέτρον ἑβραίων ἑπτὰ κοτύλας ἀττικὰς ἔχει. ὑπὸ δὲ τῶν ἄρτων ἐπιθέντο φιάλαι δύο, χρυσέαι λιβάνου πλήρεις. μετὰ δὲ ἡμέρας ἑπτὰ, πάλιν οἱ ἄλλοι ἐκομίζοντο ἄρτοι, ἐν τῷ καλουμένῳ ὑφ᾽ ἡμῶν σαββάτῳ. τὴν γὰρ ἑβδόμην ἡμέραν σάββατα καλοῦμεν. τὴν δ᾽ αἰτίαν ἐξ ἧς ταῦτ᾽ ἐπενοήθησαν, ἐν ἑτέροις ἐροῦμεν. κατὰ πρόσωπον δὲ τῆς τραπέζης τῷ πρὸς μεσημβρίαν τετραμμένῳ τοίχῳ πλησίον ἵσταται λυχνία ἐκ χρυσοῦ κεχωνευμένη, διάκενος, σταθμὸν ἔχουσα μνᾶς ἑκατόν. ἑβραῖοι μὲν καλοῦσιν κίγχαρες. εἰς δὲ τὴν ἑλληνικὴν μεταβαλλόμενον γλῶσσαν σημαίνει τάλαντον. πεποίηται δὲ σφαιρία, καὶ κρίνα σὺν ῥοΐσκοις καὶ κρατηριδίοις, ἑβδομήκοντα δὴ τὰ πάντα, ἐξ ὧν ἀπὸ μιᾶς βάσεως συνετέθη, πρὸς ὕψος, ποιήσαντος αὐτὴν συγκειμένην εἰς μοίρας εἰς ὅσας τοὺς πλανήτας καὶ τὸν ἥλιον κατανέμουσιν. ἀπαρτίζεται δὲ εἰς ἑπτὰ κεφαλὰς, κατ᾽ ἀλλήλας ἐν στίχῳ διακειμένας. λύχνοι δ᾽ ἐπιφέρονται αὐταῖς ἑπτὰ κατὰ μίαν, τῶν πλανήτων τὸν ἀριθμὸν μιμούμενοι. ὁρῶσι δὲ εἴς τε τὴν ἀνατολὴν καὶ τὴν μεσημβρίαν λοξῶς αὐτῆς κειμένης. μεταξὺ δὲ αὐτῆς καὶ τῆς τραπέζης ἔνδον ὡς προεῖπον θυμιατήριον, ξύλινον μὲν ἐξ οὗ καὶ τὰ πρότερα ἦν σκεύη μὴ σηπόμενα. στερεὰ δὲ περιελήλατο αὐτῷ λεπὶς, πηχυαῖον μὲν κατὰ πλευρὰν ἑκάστην τὸ πλάτος. ὕψος δὲ διπλάσιον. ἐπῆν δὲ ἐσχάρα χρύσεα ὑπὲρ ἀνεστῶσα, ἔχουσα κατὰ γωνίαν ἑκάστην στέφανον, καὶ τοῦτον δ᾽ ἐκ περιοδεύοντα χρύσεον, ᾧ καὶ κρίκοι καὶ σκυταλίδες προσῆσαν αἷς κατὰ τὰς ὁδοὺς ὑπὸ τῶν ἱερέων ἐφέρετο. ἵδρυτο δὲ καὶ πρὸ τῆς σκηνῆς βωμὸς χάλκεος ὑπόξυλος καὶ αὐτὸς, ἑκάστην πλευρὰν πέντε πήχεσιν ἐκμεμετρημένος,

CAP. VII.

De mensa & candelabro aureis, déque altaribus tabernaculi.

IN fano autem mensam collocauit Delphicis non absimilem, longitudine duûm cubitorum, latitudine vnius, altitudine palmorum C trium. eam sustinebant pedes dimidia sui parte inferiore per omnia pedibus similes, quales lectis Dorienses addere solent: sed superne quadrangulares erant. habebátque circumquaque labrum quatuor digitis tam inferne quàm superne prominens. & per singulos pedes inerant anuli ferè circa summum pedem: adhibebantúrque vtrinque duo ceu manubria è ligno firmissimo deaurata, quę non per circulum vtrunque vt vectes traiiciebantur, sed fibulato D morsu mensæ labrum superne, inferne pedis anulum comprehendendo, facultatem transferendi quocunque opus esset præbebant. hæc solebat deponi in fano versus Septentrionalem parietem non longè ab adito, & in ea disponebantur duodecim panes non fermentati, seni è regione sibi duobus ordinibus oppositi, mundissimi confecti è farina duorum assaronum, quæ mensura Hebræorum septem cotylas Atticas continet. super panes autem ponebantur E duæ phialæ aureæ thure plenæ. post septem verò dies alij panes inferebantur, festo quod nos vocamus sabbatum: cuius ritus causa aliàs est à nobis indicáda. Ex aduerso mēsæ propius meridianum parietem situm erat candelabrum ex auro fusile sed non solido, pondo minarum cētum. hoc pondus Hebræi cinchares, Græci talētum sua lingua nominant: erátque distinctum globulis, liliis, malis punicis, craterculis ab vna basi in altum assurgētibus, in septem ramos F diffissis iuxta numerum solis & reliquorū planetarum. exibat autem in septem capita ordine inter sese respondentia: quibus imponebantur septem lucernę secundùm totidem planetarū numerum: respiciúntque ad Orientem & Meridiem, cādelabro obliquè posito. inter hoc & mensam, vt dixi, sita erat arula suffumigatoria, & ipsa è ligno imputribili, sed solida lamina circūquaq; cōtecta, cubitali in quadrū latitudine, altitudine verò dupla. super qua stabat foculus G corona aurea circūquaq; cinctus. cui anuli inerant cū suis vectibus quo per viam à sacerdotibus deportari posset. Sed & pro foribus tabernaculi erat ara alia hæc quoque lignea, laminis æreis intecta, in quadrum quinque cubita patens, altitudine trium cubitorum, inaurata,

IX.

X.

cratem pro foculo ſuperpoſitam habens. excipiebat enim terra quicquid ignitum ſupernè decidebat, quòd baſis nulla ſubeſſet, ad arã verò præſto erant infundibula & phialæ, thuribuláque & crateres cum inſtrumento alio rei diuinæ peragendæ accommodo, nihil non ex auro puriſſimo.

Exod. 38.

Cap. VIII.

De pontificali ac ſacerdotali ornatu.

XI. *Exod. 39.*

Et tabernaculum quidem cum paratu ſuo ſic ſe habebat. nunc reſtat dicendum de veſtitu tam reliquorum ſacerdotũ quos illi chaneas vocant, quàm pontificis, quem anabarchẽ nominant, ſic ſummum ſacerdotem ſignificantes: ac primum de vulgo ſacerdotum. Sacerdos ſacris operaturus purus iuxta legem & caſtus accedens ante omnia manachaſen quem vocãt induitur: quaſi dicas conſtrictorium. eſt autem ſubligar circa verenda, conſutum è byſſo retorto: in quod pedibus inſertis ſubducunt velut dimidiatas bracas, atque ita circum ilia conſtringuunt. ſuper hoc induit linteam interulã byſſinam è duplicata tela cõfectam, chetomene noſtris vocatur, ſignificátque ea vox lineam. linum enim vocamus cheton. id indumẽtum eſt tunica talaris corpori aſtricta, habens manicas circa brachia & ipſas ſtrictas, quæ accingitur circa pectus paulò axillis inferius zona lata digitos quatuor intus inani, ita contexta vt ſerpẽtis exuuium videri poſſit. floribus etiam picturatur punicis, purpureis, hyacinthinis & byſſinis: ſtamen verò è ſola byſſo conſtat: quæ ſemel atque iterum circa pectus reuoluta adtalos vſque defluit, tantiſper dum ſacerdotes à ſacris feriantur: idque ad ornatum conferre videtur: cùm verò ſacris eſt miniſtrandum, ne ventilata ſit impedimento, ſuper humerum læuum reiicitur: hanc zonam Moyſes nominauit abaneth, nos vocabulo à Babylonis mutuato emiã dicimus. ſic enim illi nominant. ſed tunica nuſquam ſinuatur, habétque circa collum amplam aperturam, cuius oræ vncinis à pectore & à tergo committuntur: maſſabazanem vocant. ſuper caput autem geſtat pileum non faſtigiatum, neque totum caput comprehendentem, ſed paulò plus quàm medium. hic vocatur maſnaemphthes. eſt autem tali paratu, vt videatur vitta linea ſæpe in orbem replicata & conſuta, quam ſuperne alia tela integit vſque ad frontem deſcendens, & per ſuperficiem verticis ſuturarum deformitatem occultans. hic adaptatur accuratè, ne inter ſacrificandum delabatur. Et ſacerdotum quidem ornatus in genere eſt talis. Pontifex verò vtitur quidem etiam hoc, nihil eorum quæ enumerauimus omittens, ſed ſuperinduitur hyacinthinam tunicam talarem, quam noſtrates methir nominant: aſtringítque eam zona coloribus ſupradictæ ſimili, niſi quòd auro intertexta.

τὸ δὲ ὕψος ξισὶ, ὁμοίως τῷ χρυσῷ κεκοσμημένος, χαλκείαις λέπισιν ἐξησκημένος, δικτύῳ τὴν ἐσχάραν ἐμφερής. ἐξεδέχετο γὰρ ἡ γῆ τὸ ἀπὸ τῆς ἐσχάρας πῦρ καταφερόμενον, τῆς βάσεως διαπαντὸς οὐχ ὑποκειμένης. ἀντικρὺ δὲ ἐτίθεντο τοῦ βωμοῦ οἰνοχόαι τε καὶ φιάλαι σὺν θυΐσκοις καὶ κρατῆρσιν ἦσαν. ὅσα τε ἄλλα σκεύη πρὸς τὰς ἱερουργίας πεποίητο, χρύσεα πάντα ὑπῆρχεν. καὶ ἡ μὲν σκηνὴ τοιαύτη τε ἦν καὶ τὰ περὶ αὐτὴν σκεύη.

Κεφάλαιον η'.

Περὶ τῆς τῶν τε ἱερέων καὶ τοῦ ἀρχιερέως στολισμοῦ.

Γίνονται δὲ καὶ τοῖς ἱερεῦσιν στολαὶ, πᾶσι τε τοῖς ἄλλοις, οὓς χαναίας καλοῦσι, καὶ δὴ καὶ τῷ ἀρχιερεῖ, ὃν ἀναραβάχην προσαγορεύουσι. σημαίνει δὲ ἀρχιερέα. τῆς μὲν οὖν τῶν ἄλλων στολὴν τοιαύτην εἶναι συμβέβηκεν. ὅταν δὲ προσίῃ ταῖς ἱερουργίαις ὁ ἱερεὺς ἡγνευκὼς ἣν ὁ νόμος ἁγνείαν προσαγορεύει, πρῶτον μὲν περιτίθεται τὸ μαναχασὴ λεγόμενον. βούλεται δὲ συνακτῆρα μὲν δηλοῦν. διάζωμα δέ ἐστι περὶ τὰ αἰδοῖα ῥαπτὸν ἐκ βύσσου κλωστῆς εἰργνύμενον, ἐμβαινόντων εἰς αὐτὸ τῶν ποδῶν ὥσπερ ἀναξυρίδας. ἀποτέμνεται δὲ ὑπὲρ ἥμισυ, καὶ τελευτῆσαν ἄχρι τῆς λαγόνος περὶ αὐτὴν ἀποσφίγγεται. ἐπὶ δὲ τούτῳ λιναῖον ἔνδυμα διπλῆς φορεῖ σινδόνος βυσσίνης. χεθομένη καλεῖται. λίνεον τοῦτο σημαίνει. χεθὸν γὰρ τὸ λινὸν ἡμεῖς καλοῦμεν. ἔστι δὲ τοῦτο τὸ ἔνδυμα ποδήρης χιτὼν περιεσφιγμένος τῷ σώματι, καὶ τὰς χειρίδας περὶ τοῖς βραχίοσιν κατεσφιγμένος, ὃν ἐπιζώννυνται κατὰ στῆθος ὀλίγον τῆς μασχάλης ὑπὲρ ἄνω τὴν ζώνην περιάγοντες πλατεῖαν ὡς εἰς τέσσαρας δακτύλους. διακένως δὲ ὑφασμένην ὥς τε λεβηρίδα δοκεῖν ὄφεως. ἄνθη δὲ εἰς αὐτὴν ἐνύφαινεται φοίνικι καὶ πορφύρᾳ μετὰ ὑακίνθου καὶ βύσσου πεποικιλμένα. στήμων δέ ἐστι μόνη βύσσος. καὶ λαβοῦσα τὴν ἀρχὴν τῆς ἑλίξεως κατὰ στέρνον, καὶ περιελθοῦσα πάλιν δεῖται. καὶ κέχυται μὲν πολλὴ μέχρι καὶ τῶν σφυρῶν, ἕως οὗ μηδὲν ὁ ἱερεὺς ἐνεργεῖ. πρὸς γὰρ εὐπρέπειαν οὕτως ἔχει τοῖς ὁρῶσι καλῶς. ὅταν δὲ σπουδάζειν περὶ τὰς θυσίας δέῃ καὶ διακονεῖν, ὅπως μὴ κινουμένης ἐμποδίζηται πρὸς τὸ ἔργον, ἀναβαλλόμενος ἐπὶ τὸν λαιὸν ὠμοφορεῖ. Μωυσῆς μὲν οὖν ἀβανὴθ αὐτὴν ἐκάλεσεν. ἡμεῖς δὲ παρὰ Βαβυλωνίων μεμαθηκότες, ἐμίαν αὐτὴν καλοῦμεν, οὕτως γὰρ προσαγορεύεται παρ' αὐτοῖς. οὗτος ὁ χιτὼν κολποῦται μὲν οὐδαμόθεν. λαγαρὸν δὲ παρέχων τὸν βρογχωτῆρα τοῦ αὐχένος, ἀρτεδόσιν, ἐκ τῆς ὤας, καὶ τὸ κατὰ στέρνον καὶ μετάφρενον, ἠρτημέναις, ἀναδεῖται ὑπὲρ ἑκατέραν κατακλεῖδα. μασσαβαζάνης καλεῖται. ὑπὲρ δὲ τῆς κεφαλῆς, φορεῖ πῖλον ἄκωνον, οὐ διικνούμενον εἰς πᾶσαν αὐτὴν, ἀλλ' ἐπ' ὀλίγον ὑπερβεβηκότα μέσης. καλεῖται μὲν μασναεμφθής. τῇ δὲ κατασκευῇ τοιοῦτός ἐστιν ὡς στεφάνη δοκεῖν, ἐξ ὑφάσματος λιναίου ταινία πεποιημένη παχεῖα. καὶ γὰρ ἐπιπτυσσόμενον ῥάπτεται πολλάκις. ἔπειτα σινδὼν ἄνωθεν αὐτὴν ἐκπεριέρχεται διήκουσα μέχρι μετώπου, τήν τε ῥαφὴν τῆς ταινίας καὶ τὸ ἀπ' αὐτῆς ἀπρεπὲς καλύπτουσα, καὶ ὅλῳ δὲ τῷ κρανίῳ γιγνομένη ἐπίπεδον. ἥρμοσται δὲ ἀκριβῶς ὡς ἂν μὴ περιρρυῇ πονοῦντος περὶ τὴν ἱερουργίαν. καὶ ποία μὲν ἐστὶν ἡ τῶν πολλῶν ἱερέων στολὴ, δεδηλώκαμεν. ὁ δὲ ἀρχιερεὺς, κοσμεῖται μὲν καὶ ταύτῃ παραλιπὼν οὐδὲν τῶν προειρημένων. ἐπενδυσάμενος δὲ ἐξ ὑακίνθου πεποιημένον χιτῶνα, ποδήρης δ' ἐστὶ καὶ οὗτος, μεθὴρ καλεῖται κατὰ τὴν ἡμετέραν γλῶσσαν, ζώνῃ περισφίγγεται βάμμασιν οἷς ἡ πρότερον ἤνθει διαπεποικιλμένη χρυσοῦ συνυφασμένου.

κατὰ πέζαν δ' αὐτῷ προσερραμμένοι θύσανοι ῥοῶν τρόπον ἐκ βαφῆς μεμιμημένοι ἀπήρτηντο, καὶ κώδωνες χρύσεοι κατὰ πολλὴν ἐπιτήδευσιν τῆς εὐπρεπείας, ὥστε μέσον ἀπολαμβάνεσθαι δυοῖν τε κωδώνοιν ῥοΐσκον καὶ ῥοαῖν κωδώνιον. ἔστι δ' ὁ χιτὼν οὗτος οὐκ ἐκ δυοῖν περιτμημάτων ὥστε ῥαπτὸς ἐπὶ τῶν ὤμων εἶναι καὶ τῶν παρὰ πλευράν. φᾶρος δ' ἓν ἐπίμηκες, ὑφασμένον σχιστὸν ἔχει βρόχον οὐ πλάγιον, ἀλλὰ κατὰ μῆκος ἐρρωγότα πρός τε τὸ στέρνον καὶ μέσον τὸ μετάφρενον. πέζα δ' αὐτῷ προσερράπται, ὑπὲρ τοῦ μὴ διελέγχεσθαι τῆς τομῆς τὴν δυσπρέπειαν. ὁμοίως δὲ καὶ ὅθεν αἱ χεῖρες διείργονται σχιστόν ἐστιν. ἐπὶ δὲ τούτοις τρίτον ἐνδύεται τὸν λεγόμενον ἐφώδην, ἑλληνικῇ δ' ἐπωμίδι προσεοικότα. γίνεται γὰρ τοῦτον τὸν τρόπον. ὑφανθεὶς ἐπὶ βάθος πηχυαῖος ἔκ τε χρωμάτων παντοίων καὶ χρυσοῦ συμπεποικιλμένου διάπτυκτον τοῦ στέρνου τὸ μέσον καταλιμπάνει, χειρῖσί τε ἠσκημένος καὶ τῷ παντὶ σχήματι χιτὼν εἶναι πεποιημένος. τῷ δὲ διακένῳ τοῦ ἐνδύματος σύνεισι περίτμημα σπιθαμῆς τὸ μέγεθος, χρυσῷ τε καὶ τοῖς αὐτοῖς τῷ ἐφώδει βάμμασι διηνθισμένον. ἐσσὴν μὲν καλεῖται. σημαίνει δὲ τοῦτο κατὰ τὴν ἑλλήνων γλῶτταν λόγιον. πληροῖ δὲ ἀκριβῶς τοῦ ἐφώδου ὅπερ ὑφαίνοντες κατὰ στῆθος ἐξέλιπον. ἑνοῦται δ' ὑπὸ κρίκων χρυσέων αὐτῷ τε κατὰ γωνίαν ἑκάστην, κἀκείνῳ τῶν ἴσων προσκεκοινωμένων ῥάμματος ὑακίνθου, παραληφθέντος εἰς τὴν πρὸς ἀλλήλοις κατάδεσιν τοῖς κρίκοις. πρὸς δὲ τὸ μὴ χαλαρὸν εἶναι τὸ ἐν μέσῳ τῶν κρίκων καταλιμπανόμενον, ῥαφὴν αὐτῷ νήμασιν ὑακινθίνοις ἐπενόησαν. πορποῦσι δὲ τὴν ἐπωμίδα σαρδόνυχες δύο κατὰ τῶν ὤμων ἑκάτερον τέλος εἰς αὐτοὺς ἐπιθέον χρύσεον ἔχοντες, πρὸς τὸ ταῖς περόναις ἐπιτήδειον εἶναι. ἐγγεγράφαται δὲ τούτοις, τῶν ἰακώβου παίδων τὰ ὀνόματα γράμμασιν ἐπιχωρίοις γλώσσῃ τῇ ἡμετέρᾳ, κατὰ ἓξ τῶν λίθων ἑκατέρωθεν. οἱ πρεσβύτεροι δ' εἰσὶ κατὰ ὦμον τὸν δεξιόν. ἐπίασιν δὲ καὶ τὸν ἐσσῆνα λίθοι δώδεκα, μεγέθει καὶ κάλλει διαφέροντες, οὐ κτητὸς ἀνθρώποις κόσμος διὰ τιμῆς ὑπερβολὴν ὄντες. οὗτοι μέντοι κατὰ στίχον τρεῖς, ἐπὶ τεσσάρων διακείμενοι γραμμῶν ἐνύφανται τῷ ὕφει. χρυσὸς δ' αὐτοὺς ἐκπεριέρχεται ταῖς ἕλιξιν ἐντεθεὶς τῷ ὕφει πρὸς τὸ μὴ διαρρεῖν οὕτως πεποιημένος. καὶ ἡ μὲν πρώτη τριάς ἐστι, σαρδόνυξ, τόπαζος, σμάραγδος. ἡ δευτέρα δὲ ἄνθρακα παρέχεται καὶ ἴασπιν καὶ σάπφειρον. τῆς δὲ τρίτης λιγύριος μὲν ἄρχει, εἶτα δ' ἀμέθυσος, ἀχάτης δὲ τρίτος, ἔνατος ὢν τοῖς πᾶσι. τετάρτου δὲ στοίχου χρυσόλιθος μὲν προηγεῖται, μετὰ δὲ αὐτὸν ὄνυξ, εἶτα βήρυλλος, τελευταῖος οὗτος. γράμματα δ' ἐπιτέτμηνται πᾶσι τῶν ἰακώβου υἱῶν, οὓς καὶ φυλάρχους νομίζομεν, ἑκάστου τῶν λίθων ὀνόματι τετιμημένου κατὰ τάξιν, ᾗ ἕκαστον αὐτῶν γενέσθαι συμβέβηκεν. τῶν οὖν κρίκων ἀσθενῶν ὄντων καθ' αὑτοὺς ἐνεγκεῖν τὸ βάρος τῶν λίθων, ἑτέρους δύο κρίκους μείζονας τῇ πέζῃ τοῦ ἐσσῆνος, ἥπερ ἀνήκει πρὸς τὸν τράχηλον, ἐμβεβηκότας τῷ ὑφάσματι ποιοῦσι, δεξομένοις ἁλύσεις εἰργασμένας, αἳ συνῆπτον κατ' ἄκρον τῶν ὤμων σειραῖς ἐκ χρυσοῦ πεπλεγμένας συνάπτουσαι. ὧν τὸ ἄκρον ἀνεστραμμένον, ἀνέβαινεν κρίκῳ προέχοντι τῆς νωτιαίας πέζης τοῦ ἐφώδου, καὶ τοῦτο ἦν ἀσφάλεια τῷ ἐσσῆνι, πρὸς τὸ μὴ περιρρεῖν. ζώνη δὲ τῷ ἐσσῆνι προσερέρραπτο βάμμασιν οἷς προεῖπον μετὰ χρυσίου περισφερής,

cæterùm ima vestis ornabatur limbo effigie malorum punicorum distincto, à quo tintinabula aurea sic dependebant, vt medium esset quodque malum punicum inter duo tintinabula situm, & tintinabulum inter duo mala punica. hæc tunica non constat è duobus segmentis, vt suturas habeat in humeris ac lateribus: sed vnica tela in longum contexta aperturam in summo habet non transuersam, sed in longum descendentem à tergo & ante vsque ad medium pectus: cui decoris causa assuta est fimbria ne scissura appareat. eodem modo quà manus exeruntur est scissa. Super hanc tertiam etiamnum induit vocatam ephoden, græcanicæ epomidi similem, ea fit hoc modo: ex variis coloribus auro intermixto ita contexitur, vt circa medium pectus lacuna quædam relinquatur, maniculis quoque ita extantibus vt planè tunica appareat. lacunæ verò inseritur frustum amplitudine palmi auro eisdémque coloribus quibus ephodes variegatum. id vocatur essen, ac si dicas rationale: quod ita quadrat, vt adamussim spatium illud circa pectus à texente relictum expleat. id committitur cum tunica anulis aureis per singulos angulos ex oris tunicæ ac essenis extantibus, intercurrente tænia hyacinthina: & nequid inter circulos hiet filo hyacinthino suturam explente. in vtroque autem humero singuli sardonyches auro inclusi fibularum vice epomidem adnectunt: his insculpta sunt Iacobi filiorum nomina literis vernaculis linguæ nostratis, in vtroque lapide sena, ita vt seniores dextrum humerum obtineant. quin & essenem ipsum duodecim gemmæ distinguunt, eximia vel magnitudine vel pulchritudine, ornatus hominibus propter enorme precium incomparabilis: cui ternæ per ordines quatuor inerant, consertæ coronulis aureis ita vt excidere non possent: in primo ordine, sardonyx, topazus, smaragdus: in secundo carbunculus, iaspis, sapphirus: in tertio lyncurius, amethystus, achates: in quarto chrysolithus, onyx, beryllus. his erant insculpta filiorum Iacobi nomina, quos tribuum autores habemus, ordine quo olim singuli nati fuerant. cùm autem per se illi quos diximus anuli sint infirmi, nec possint pondus gemmarum sustinere: alios duos maiores in extremitate rationalis quæ respicit ad collum, eminentes à textura fecerunt: qui suscipiant catenas aureas, opere plexili, venientes per fistulas quasdam ad extremitates humerorum: quarum catenarum summitas ascendens reducitur post tergum, & circulo qui est à tergo in epomidis fimbria connectitur: id quod præcipuè sustinet ephodem ne quo pacto defluere possit. esseni autem assuta erat zona iam dictis coloribus & auro distincta,

quæ totum complexa rursúmque supra suturam nodata, deorsum propendere sinebatur. omnes autem fimbriæ quibusdam oris fistulosis vtrinque includebantur. Porrò pileo quali cæteri sacerdotes vtebatur: super quem extabat alius consutilis ex hyacintho variatus. hunc aurea corona triplici ordine circumdabat, in qua spectabantur calyculi aurei, quales videmus in herba quæ apud nos vocatur daccharus, apud Græcorum herbarios hyoscyamus. quòd si quis aut visam aliquando non satis animaduerrit, aut nomine tenus auditam de facie non nouit, huic etiam describere eam non grauabor. herba est tres palmos sæpe in alitudinem excedens, napo similem radicem habens: vix enim hac parte est alia similior: folia verò apio. hæc è ramis emittit calyculum ipsis inhærentem. vestitúrque tunica quadam, quam exuit fructu ad maturitatem tendente. calyculus autem est quantus articulus minimi digiti, circunferentiam habens crateri similem. quod ipsum clariùs faciam propter ignorantes. ima sui parte circa fundum dimidiato globo est rotunditate similis, mox in processu paulatim coarctatur, donec in extremitate rursum dilatatus in labrum exeat mali punici vmbilico incisuris simile, cui operculum orbiculare inhæret, quasi de industria tornatum, eminentes habens incisuras quas dixi, vt in malo punico, aculeatas & in acutos mucrones desinentes. continet autem sub operculo fructum per totum calyculum, herbæ sideritidis semini similem. florem verò fert qui papaueris videri possit. eiusmodi corona ab occipitio circum tempora vtraque procedebat: nam frontem isti calyculi non ambiebant: sed ceu lorum quoddam latum aureum, quod sacris characteribus Dei nomen incisum habebat. atque hic erat pontificis ornatus. Proinde mirari succurrit, quomodo homines odio nos prosequantur propter perpetuam opinionem de nobis conceptam, quasi per impietatem numen contemnamus quod ipsi assiduo cultu venerentur. Nam si quis tabernaculi fabricam contempletur, & sacerdotis ornatum, & vasa quibus inter sacrificandum vtimur, comperiet legislatorem nostrum diuinum quendam virum fuisse & falso nobis impietatis calumniam impingi. in his enim omnibus repræsentatam quodammodo vniuersitatis rerum naturam inuenire licet, si quis non ociosè sed prudenter singula consideret. Nam & tabernaculum longitudine xxx. cubitorum trifariam partitus, & duabus partibus sacerdotibus permissis, quasi profano loco, terram & mare significat. hæc enim ab omnibus promiscuè calcantur, tertiam verò partem soli Deo adsignauit, eo quòd cælum hominibus sit inaccessibile. itidem per duodecim panes in mensa dispositos, annum significauit in duodecim mêses diuisum.

A ἡ περιοδεύσασα, δεῖται πάλιν ἐπὶ τῇ ῥαφῇ, καὶ κατακρημνᾶται. τοὺς δὲ θυσάνους χρυσέαι σύριγγες καθ᾽ ἑκατέραν ἄκραν ἐκλαβοῦσαι πάντας ἐμπεριέχουσιν αὗται. πῖλος δὲ ἦν μὲν ὁ καὶ πρότερον αὐτῷ, παραπλησίως εἰργασμένος τοῖς πᾶσιν ἱερεῦσιν. ὑπὲρ αὐτὸν δὲ συνερραμμένος ἕτερος ἐξ ὑακίνθου πεποικιλμένος. περιέρχεται δὲ στέφανος χρύσεος, ἐπὶ τρισιχίαν κεχαλκευμένος. θάλλει δ᾽ ἐπ᾽ αὐτῷ, κάλυξ χρύσεος, τῇ σακχάρῳ βοτάνῃ παρ᾽ ἡμῖν λεγο-
B μένῃ ἀπομεμιμημένος. ὑὸς δὲ κύαμον ἑλλήνων οἱ περὶ τομὰς ῥιζῶν ἐμπείρως ἔχοντες προσαγορεύουσιν. εἰ δέ τις ἢ θεασάμενος τὴν βοτάνην ἀμαθίᾳ τούτου ἀγνοεῖ τὴν φύσιν αὐτῆς, ἢ τὴν κλῆσιν ἐπιστάμενος οὐκ ἰδὼν ἀναγνωρίσειε, τοῖς οὕτω δὴ ἔχουσι σημανῶ τὸν τρόπον τοῦτον. βοτάνη μέν ἐστιν ὑπὲρ τρεῖς σπιθαμὰς πολλάκις αὐξανομένη τὸ ὕψος, τὴν δὲ ῥίζαν ἐμφερὴς βουνιάδι. ταύτῃ γὰρ οὐκ ἂν ἁμάρτοι τὶς
C εἰκάζων αὐτήν. τὰ δὲ φύλλα τοῖς σελίνοις. ἐκ μέντοι τῶν κλάδων ἀνίησι κάλυκα προσεχῆ τῷ κλωνί. περίκειται δ᾽ αὐτὴν ἔλυτρον, ὅπερ ἀποκρίνεται καθ᾽ αὑτὸ πρὸς τὸν καρπὸν μεταβάλλειν ἠργμένης. ὁ δὲ κάλυξ μεγέθους ἐστὶ σκυταλίδος τοῦ μικροῦ δακτύλου, κρατῆρι δ᾽ ἐμφερὴς τὴν περιγραφήν. σημανῶ δὲ καὶ τοῦτο τοῖς οὐ μεμαθηκόσι. σφαίρης εἰς δύο μέρη τετμημένης περὶ τῷ πυθμένι, τὴν ἑτέραν τομὴν
D ἔχει φυόμενος, ἀπὸ ῥίζης περιφερῆ. εἶτα συνιὼν κατ᾽ ὀλίγον ὑποκοιλαινούσης εὐπρεπῶς τῆς ὑποχωρήσεως, ἀνευρύνεται πάλιν ἠρέμα κατὰ χεῖλος ὁμοίως ὀμφαλῷ ῥοιᾶς τετμημένας. ἐπίθεμα δ᾽ αὐτῷ ἡμισφαίριον προσαπέφυκε. κἀκεῖνο ὡς ἂν εἴποι τὶς τετορνευμένον, ὑπερανεστώσας ἔχον τὰς ἐντομάς ἃς εἶπον τῇ ῥοιᾷ παραπλησίως βλαστάνειν, ἀκανθώδεις καὶ εἰς ὀξὺ παντελῶς ἀπολη ούσας τὸ ἄκρον.
E φυλάττει δ᾽ ἐπὶ τῷ ἐπιθέματι τὸν καρπὸν διὰ παντὸς τοῦ κάλυκος, ὄντα βοτάνης σπέρματι τῆς σιδηρίτιδος ὅμοιον. ἀφίησιν δ᾽ ἄνθος τῷ τοῦ μήκωνος πλαταγῶνι δυνάμενον δοκεῖν ἐμφερὲς εἶναι. ἐκ τούτου μὲν στέφανος ἐκκεχάλκευται ὅσον ἀπὸ τοῦ ἰνίου πρὸς ἑκάτερον τῶν κροτάφων. τὸ δὲ μέτωπον, ἡ μὲν ἐφιελὶς οὐκ ἔπεισι, λεγέσθω γὰρ οὕτως ὁ κάλυξ. τελαμὼν δ᾽ ἐστὶ χρύσεος, ὃς ἱεροῖς γράμμασι τοῦ
F θεοῦ τὴν προσηγορίαν ἐπιτετμημένος ἐστί. καὶ τοιοῦτος μὲν τοῦ ἀρχιερέως ἐστὶ κόσμος. θαυμάσειε δ᾽ ἄν τις τῶν ἀνθρώπων τὴν πρὸς ἡμᾶς ἀπέχθειαν, ἣν ὡς ἐκφαυλιζόντων ἡμῶν τὸ θεῖον ὅπερ αὐτοὶ σέβειν προῄρηνται διατετελέκασιν ἐσχηκότες. εἰ γάρ τις τῆς σκηνῆς κατανοήσειε τὴν πῆξιν, καὶ τοῦ ἱερέως ἴδοι τὴν στολήν, τά τε σκεύη οἷς περὶ τὴν ἱερουργίαν χρώμεθα, τόν τε νομοθέτην εὑρήσει θεῖον ἄνδρα, καὶ ματαίως ἡμᾶς ὑπὸ τῶν ἄλλων τὰς βλασφημίας ἀκούοντας. ἕκαστα γὰρ τούτων, εἰς ἀπομίμησιν καὶ διατύπωσιν τῶν ὅλων, εἴτις ἀφθόνως ἐθέλοι καὶ μετὰ συνέσεως σκοπεῖν, εὑρήσει γεγονότα. τήν τε γὰρ σκηνὴν τριάκοντα πηχῶν οὖσαν, νείμας εἰς τρία, καὶ δύο μέρη πᾶσιν ἀνεὶς τοῖς ἱερεῦσιν, ὥσπερ βέβηλον τινὰ καὶ κοινὸν τόπον, τὴν γῆν καὶ τὴν θάλασσαν ἀποσημαίνει. καὶ γὰρ ταῦτα πᾶσιν ἐστὶν ἐπίβατα. τὴν δὲ τρίτην μοῖραν, μόνῳ περιέγραψε τῷ θεῷ, διὰ τὸ καὶ τὸν οὐρανὸν ἀνεπίβατον εἶναι ἀνθρώποις. ἐπί τε τῇ τραπέζῃ τοὺς δώδεκα θεὶς ἄρτους, ἀποσημαίνει τὸν ἐνιαυτὸν εἰς τοσούτους μῆνας διῃρημένον.

τὴν δ᾽

τὴν δὲ λυχνίαν ἐξ ἑβδομήκοντα μοιρῶν ποιήσας συγκειμένην, τὰς τῶν πλανητῶν δωδεκαμοιρίας ἠνίξατο. καὶ λύχνους ἐπ' αὐτῆς ἑπτὰ τῶν πλανητῶν τὴν φοράν, τοσοῦτοι γὰρ εἰσὶ τὸν ἀριθμόν. τά τε γὰρ φάρση ἐκ τεσσάρων ὑφανθέντα τὴν τῶν στοιχείων φύσιν δηλοῖ. ἥ τε γὰρ βύσσος τὴν γῆν ἀποσημαίνειν ἔοικε, διὰ τὸ ἐξ αὐτῆς ἀνίεσθαι τὸ λίνον. ἥ τε πορφύρα τὴν θάλασσαν, τῷ πεφοινίχθαι τῆς κόχλου τῷ αἵματι. τὸν δὲ ἀέρα βούλεται δηλοῦν ὁ ὑάκινθος. καὶ ὁ φοῖνιξ δ' ἂν εἴη τεκμήριον τοῦ πυρός. ἀποσημαίνει δὲ καὶ ὁ τοῦ ἀρχιερέως χιτὼν τὴν γῆν, λίνεος ὤν. ὁ δὲ ὑάκινθος τὸν πόλον, ἀστραπαῖς μὲν κατὰ τοὺς ῥοΐσκους ἀπεικασμένος, βρονταῖς δὲ κατὰ τὸν τῶν κωδώνων ψόφον. καὶ τὴν ἐφαπτίδα τοῦ παντὸς τὴν φύσιν ἐκ τεσσάρων γενέσθαι, διειχθεῖσαν τῷ θεῷ χρυσῷ συνυφασμένην, κατ' ἐπίνοιαν οἶμαι τῆς προσούσης ἅπασιν αὐγῆς. καὶ τὸν ἐσσῆνα ἀναμέσον ὄντα τῆς ἐφαπτίδος ἐν τρόπῳ γῆς ἔταξε. καὶ γὰρ αὕτη, τὸν μεσαίτατον τόπον ἔχει. ζώνη τε περιοδεύουσα τὸν ὠκεανὸν ἀποσημαίνει, καὶ γὰρ οὗτος ἐμπεριείληφε τὰ πάντα. δηλοῖ δὲ καὶ τὸν ἥλιον καὶ τὴν σελήνην τῶν σαρδονύχων ἑκάτερος, οἷς ἐνεπόρπωσε τὸν ἀρχιερέα. τὴν δὲ δωδεκάδα τῶν λίθων, εἴτε τοὺς μῆνας ἐθελήσοι τις νοεῖν, εἴτε τὸν τοσοῦτον ἀριθμὸν τῶν οἴκων ὃν ζωδιακὸν κύκλον ἕλληνες καλοῦσι, τῆς κατ' ἐκεῖνο γνώμης οὐκ ἂν ἁμάρτοι. καὶ ὁ πῖλος δέ μοι δοκεῖ τοῦ οὐρανοῦ τεκμήριον, ὑακίνθινος πεποιημένος, οὐ γὰρ ἂν ἄλλως ὑπερανετίθετο αὐτῷ τὸ ὄνομα τοῦ θεοῦ, τῇ τε στεφάνῃ ἠγλαϊσμένος, καὶ ταύτῃ χρυσέᾳ διὰ τὴν αὐγήν, ᾗ μάλιστα χαίρει τὸ θεῖον. καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτόν μοι δεδηλώσθω, πολλάκις καὶ ἐν πολλοῖς τὴν ἀρετὴν τοῦ νομοθέτου παρεξόντων ἡμῖν διελθεῖν τῶν πραγμάτων.

Κεφάλαιον ι'.

Περὶ τῆς τοῦ ἀαρὼν ἱερωσύνης, καὶ ἅτινα περὶ ἑορτῶν καὶ ἱερουργιῶν νενόμισται.

Ὡς δὲ τὸ προειρημένον πέρας εἶχε, τῶν ἀναθημάτων μήπω καθιερωμένων, ἐπιστὰς ὁ θεὸς μωυσῇ τὴν ἱερωσύνην ἀαρῶνι τἀδελφῷ προσέταξε δοῦναι, ὡς ἁπάντων δι' ἀρετὴν τῆς τιμῆς δικαιοτέρῳ τυχεῖν. καὶ συναγαγὼν εἰς ἐκκλησίαν τὸ πλῆθος, τήν τε ἀρετὴν αὐτοῦ καὶ τὴν εὔνοιαν διεξίει, καὶ τοὺς κινδύνους οὓς ὑπομείνειεν ὑπὲρ αὐτῶν. μαρτυρούντων δ' ἐφ' ἅπασιν αὐτῷ, καὶ τὸ περὶ αὐτὸν πρόθυμον ἐνδεικνυμένων, ἄνδρες εἶπεν ἰσραηλῖται, τὸ μὲν ἔργον ἤδη τέλος ἔχει, οἷον αὐτῷ τε τῷ θεῷ ἥδιστον ἦν, καὶ δυνατὸν ἡμῖν. ἐπεὶ δ' εἴδετε τοῦτον τῇ σκηνῇ καταδέχεσθαι, δεῖ πρῶτον ἡμῖν τοῦ ἱερατευσαμένου καὶ ὑπηρετήσοντος ταῖς θυσίαις καὶ ταῖς ὑπὲρ ἡμῶν εὐχαῖς. καὶ ἔγωγε ταύτης ἐμοὶ τῆς σκέψεως ἐπιτραπείσης, ἐμαυτὸν ἂν τῆς τιμῆς ἄξιον ἔκρινα, διά τε τὸ φύσει πάντας εἶναι φιλαύτους, καὶ ὅτι πολλὰ ἐμαυτῷ κάμνοντι περὶ σωτηρίας τῆς ὑμετέρας σύνοιδα. νῦν δ' αὐτὸς ὁ θεὸς ἀαρῶνα τῆς τιμῆς ταύτης ἄξιον ἔκρινε, καὶ τοῦτον ᾕρηται ἱερέα, τὸν δικαιότερον μᾶλλον ὑμῶν. εἰδὼς ὡς οὗτος ἐνδύσεται στολὴν τῷ θεῷ καθωσιωμένην καὶ βωμῶν ἐπιμέλειαν ἕξει καὶ πρόνοιαν ἱερείων. καὶ τὰς ὑπὲρ ὑμῶν εὐχὰς ποιήσεται πρὸς τὸν θεόν,

& cùm candelabrum è septuaginta partibus composuit, duodecim signa per quæ planetæ feruntur subindicauit: & per septem lucernas impositas totidem planetarum cursum. vela quoque è quatuor coloribus contexta elementorum naturam designant. nam byssus terram referre videtur, ex qua lini hoc genus prouenit: purpura verò mare, eo quòd conchylij cruore sit fucata. aërem verò hyacinthus repręsentare videtur: sicut puniceus color ignem. quin & pontificis tunica cùm sit lintea, terram similiter significat: hyacinthus verò polum, per mala punica fulgetra referens, sicut tonitrua per tintinabulorum strepitum: è pomis etiam vniuersi huius naturam indicat è quatuor coloribus contexta, quibus aurum accessit, sicut ego interpretor, propter adiunctam rebus omnibus lucem. essen quoque in eius medio est insertus, non aliter quàm terra medium mundi locum obtinet. Zona item qua cingitur, Oceani similitudinem habet, qui vniuersa circumplectitur. duo prætereà sardonyches in vestitu pontificis pro fibulis additi, solis & lunæ significationem habēt. gemmarum etiam duodenarium siue ad menses retuleris, siue ad parem partium numerum eius circuli quem Gręci zodiacum vocant, nequaquam à vera coniectura aberraueris. pileus item cæli significatio videtur esse, cùm sit ex hyacintho confectus: alioqui non sustineret Dei nomen: & corona illustratur aurea propter splendorem quo maximè Deus delectatur. atque hæc in hunc modum interpretati sumus per occasionem, ne latentem in his legislatoris sapientiam vltro dissimulare videremur.

Cap. IX.

De Aaronis sacerdotio, & leges quæ ad festa ac sacrificia spectant.

XII. *Exod. 28. 29. 30. 40.*

His ita peractis, priusquam dedicarentur apparuit Deus Moysi, iussitque vt sacerdotium Aaroni fratri suo conferret, ea virtute prædito vt merito præ cæteris eius ratio habenda videretur. qui aduocata concione, recensuit virtutes illius, & quàm studiosus esset publicorum commodorum, pro quibus toties in salutis etiam discrimen venire non dubitasset. Cúmque omnes dicta eius comprobarent, & fauorem Aaronis vultibus ipsis præ se ferrent, Viri, inquit, Israëlitæ, opera iam sunt absoluta, qualia vel Deus poposcit, vel nostræ facultates præstare valuerunt: & quoniam scitis eum in hoc tabernaculo excipiendum, ante omnia prospiciendum est quis sit idoneus sacerdotio, qui sacra curet, & pro vobis vota faciat. quòd si res arbitrij mei fuisset, mihi ipsi honorem hunc adiudicassem, tum quòd ita natura comparatum sit vt quisque sibi optime velit, tum quòd mihi conscius sim laborum pro republica susceptorum, quibus tale præmium iure meo reposcere possem. Nunc Deus ipse cuius est sacerdotium, Aaroni hunc honorem deferendum decreuit, eique sui calculi prærogatiuam contulit, vt qui iustitia in toto populo præmineat: cui iam ante vestem sacratam & curam sacrorum altarísq; sui destinauit. is pro vobis vota faciet apud Deum,

eo libentius exauditurum, quod & iam ante in vos est propensus, & propitiatorem habituri estis quem ipse in hoc elegit. Grata fuit hæc oratio populo, & suo quoque suffragio Dei comprobauit electionem. Erat enim Aaron propter genus & prophetiam & virtutem fratris honore hoc longè dignissimus, cui fuerunt eo tempore filij IIII. Nabadus, Abius, Eleazarus, Ithamarus. Quicquid autem ex collatis ad fabricam tabernaculi superfuit, totum iussi sunt in vela tectoria tabernaculi & candelabri, & aræ in qua suffitus fieret, aliorúmque vasorum impendere, vt hæc dum in itinere transportantur, neque puluere neque pluuia aut alia quacunque iniuria lædi possent. Post hæc conuocato populo imperauit vt rursum contribuerent viritim dimidium siclum. siclus autem nummi genus est apud Hebræos, quales sunt tetradrachmi Attici. at illi sine mora paruerunt. quorum numerus fuit sexies centena millia, & insuper quinque millia quingenti quinquaginta: conferebántque id argentum soli ingenui ætatis annorum viginti & supra vsque ad annum quinquagesimum: quod mox in vsus tabernaculi est insumptum. deinde & tabernaculum & sacerdotes lustrauit in hunc modum. myrræ electæ siclos quingentos, ireos tantundem, cinnamomi & calami (est & hæc odoramenti species) dimidium dicti ponderis concisa ac contusa iussit macerari in olei oliuarum hin: mensuræ nomen est quæ capit duos choas atticos: quibus permixtis, & arte vnguentariorum decoctis factum est vnguentum suauissimum: quo & sacerdotes, & totum tabernaculum vngens purificauit. Offerebantur deinde multa & varia super altare aureum adolenda preciosa valde, quorum naturam, ne sim prolixitate lectori molestus, recensere supersedeo. oportebat autem bis in die suffitum facere ante ortum & circa occasum solis: & oleum purificatum ad lucernas seruare, quarum tres in sacro candelabro per totam diem Deo lucebant, reliquæ sub vesperam accendebantur. Porrò omnibus iam absolutis, palmam artis fabrilis tulerunt Beselel & Eliabus. nam & aliorum inuenta excoluerunt, & ipsi multa de nouo inuenerunt: ex his tamen duobus præcellebat Beselel. insumptúmque est huic fabricæ tempus mensium septem: quo transacto primus annus ab exitu ex Ægypto est expletus. Initio verò sequentis anni mense Xanthico Macedonum, Hebræorum Nisan, nouilunio tabernaculum dedicatum est, & quicquid vasorum in eo fuerat. Statímque Deus indicauit gratum sibi esse & non superuacaneum laborem Hebræorum præsentem se fano suo hunc in modum declarans. cùm cælum esset aliàs serenum, super solum tabernaculum caligo descendit, non quidem tanta quantæ solent esse hibernæ nebulæ, nec tamen tam tenuis vt aspectum humanum transmitteret:

Exod.37. *Exod.45.*

ἡδέως ἀκουσόμενον, ὅτι κήδεται γένους τοῦ ὑμετέρου, καὶ παρὰ αἱρέσεως ὃν αὐτὸν ἐπελέξατο γ' ὁμοίνας προσδέξεται ταύτας. ἑβραῖοι δὲ ἠρέσκοντο τοῖς λεγομένοις, καὶ συνῄνουν τῇ τοῦ θεοῦ χειροτονίᾳ. ἦν γὰρ ἀαρὼν διά τε τὸ γένος καὶ τὴν προφητείαν, καὶ τὴν ἀρετὴν τἀδελφοῦ, πρὸς τὴν τιμὴν ἁπάντων ἀξιολογώτερος. ἦσαν δ' αὐτῷ παῖδες κατ' ἐκεῖνον τὸν χρόνον τέσσαρες, νάβαδος, ἀβιοῦς, ἐλεάζαρος, ἰθάμαρος. ὅσα δὲ τῶν πρὸς τὴν τῆς σκηνῆς κατασκευὴν παρεσκευασμένων ἦν περιττὰ, ταῦτ' ἐκέλευσεν εἰς φάρση σκεπαστήρια τῆς τε σκηνῆς αὐτῆς καὶ τῆς λυχνίας καὶ θυμιατηρίου καὶ τῶν ἄλλων σκευῶν ἀναλῶσαι, ὅπως κατὰ τὴν ὁδοιπορίαν ταῦτα μήτ' ἐξ ὑετοῦ μηδὲν μήτε κονιορτοῦ βλάπτηται. τότε πλῆθος ἀθροίσας πάλιν εἰσφορὰν αὐτοὺς προσέταξεν εἰσφέρειν, σίκλου τὸ ἥμισυ καθ' ἕκαστον. ὁ δὲ σίκλος νόμισμα ἑβραίων ὢν ἀττικὰς δέχεται δραχμὰς τέσσαρας. οἱ δ' ἑτοίμως ὑπήκουσαν οἷς ἐκέλευε μωυσῆς. καὶ τὸ πλῆθος τῶν εἰσφερόντων ἦν, ἑξήκοντα μυριάδες καὶ πεντακισχίλιοι καὶ πεντακόσιοι καὶ πεντήκοντα. ἔφερον δὲ τὸ ἀργύριον τῶν ἐλευθέρων οἱ ἀπὸ εἴκοσιν ἐτῶν ἄχρι πεντήκοντα γεγονότες. τὸ δὲ συγκομισθὲν εἰς τὰς περὶ τὴν σκηνὴν χρείας ἀνηλοῦτο. ἥγνιζε δὲ καὶ τὴν σκηνὴν καὶ τοὺς ἱερέας τρόπῳ τοιούτῳ ποιούμενος αὐτῶν τὴν κάθαρσιν. σμύρνης ἐπιλέκτου σίκλους πεντακοσίους, καὶ ἴρεως ἴσους. κινναμώμου δὲ καὶ καλάμου, ἔστι δὲ καὶ τοῦτο εἶδος θυμιάματος, ἡμίσειαν τῶν προειρημένων ὁλκὴν κεκομμένα δεύειν ἐκέλευσεν. ἐλαίου δὲ ἐλαΐνου εἶν, μέτρον δ' ἐστὶ τοῦτο ἐπιχώριον, δύο χόας ἀττικοὺς δεχόμενον, ἀναμίξαντας καὶ καθεψήσαντας σκευάσαι τέχνῃ μυρεψῶν χρῖσμα εὐωδέστατον. κἄπειτα τοῦτο λαβὼν αὐτούς τε τοὺς ἱερέας, καὶ πᾶσαν τὴν σκηνὴν χρίων ἐκάθηρε. τά τε θυόμενα, πολλὰ δ' ἐστὶ ταῦτα καὶ ποικίλα κατὰ τὴν σκηνὴν ἐπὶ τοῦ χρυσοῦ θυμιατηρίου, μεγάλης παρὰ τιμῆς ὄντα συνεφέρετο. ὧν παραλείπω τὴν φύσιν ἐκδιηγεῖσθαι, μὴ δι' ὄχλου γένηται τοῖς ἐντυγχάνουσι. δὶς δὲ τῆς ἡμέρας πρίν τε ἀνασχεῖν τὸν ἥλιον, καὶ πρὸς δυσμαῖς θυμιᾶν ἐχρῆν. ἔλαιόν τε ἁγνίσαντας φυλάσσειν εἰς τοὺς λύχνους. ὧν τοὺς μὲν τρεῖς ἐπὶ τῇ ἱερᾷ λυχνίᾳ φέγγειν ἔδει τῷ θεῷ κατὰ πᾶσαν ἡμέραν. τοὺς δὲ λοιποὺς περὶ τὴν ἑσπέραν ἅπτοντας. ἁπάντων δ' ἤδη πέρας εἰληφότων, ἔδοξαν ἄριστοι τῶν δημιουργῶν βεσελεῆλος καὶ ἐλίαβος. τῶν γὰρ ἐξευρημένων τοῖς προτέροις, αὐτοὶ προεθυμήθησαν ἀμείνονα προσεξεργάσασθαι, λαβεῖν τε ἐπίνοιαν ὧν πρότερον ἠγνόουν τὴν κατασκευὴν ἱκανώτατοι. τούτων μὲν τοι βεσελεῆλον συνέβη κριθῆναι τὸν κράτιστον. ὁ δὲ πᾶς χρόνος εἰς τὸ ἔργον διῆλθε μηνῶν ἑπτά. καὶ μετὰ τοῦτο ἀφ' οὗ τὴν αἴγυπτον ἐξέλιπον, ἐνιαυτὸς αὐτοῖς πρῶτος ἐτελειοῦτο. ἀρχομένου δὲ τοῦ δευτέρου ἔτους, μηνὶ ξανθικῷ κατὰ μακεδόνας, νισὰν δὲ κατὰ ἑβραίους, νουμηνίᾳ τὴν σκηνὴν ἀφιεροῦσι, καὶ πάντ' ὅσα περὶ αὐτὴν σκεύη μοι δεδήλωται. ἐπέδειξε δὲ αὐτὸν ὁ θεὸς ἡσθέντα τῷ ἔργῳ τῶν ἑβραίων, καὶ μὴ μάτην αὐτοὺς πονήσαντας ὑπερηφανείᾳ τῆς χρήσεως, ἀλλ' ἐπεξενώθη καὶ κατεσκήνωσε τῷ ναῷ τούτῳ, τὴν δὲ παρουσίαν οὕτως ἐποίησεν. ὁ μὲν οὐρανὸς καθαρὸς ἦν, ὑπὲρ δὲ τὴν σκηνὴν μόνην ἤχλυσεν, οὔτε βαθεῖ πάνυ νέφει καὶ πυκνῷ περιλαβὼν αὐτὴν, ὥστε εἶναι δόξει χειμέριον, οὔτε μὴν λεπτῷ οὕτως, ὥς τε τὴν ὄψιν ἰσχύσαι τι δι' αὐτοῦ κατανοῆσαι.

ἡδεῖα

ἡδεῖα δ' ἀπ' αὐτοῦ δρόσος ἔρρει καὶ θεοῦ δηλοῦσα παρουσίαν τοῖς τοῦτο καὶ βουλομένοις καὶ πεπιστευκόσι. μωυσῆς δὲ τοὺς τέκτονας οἵαις εἰκὸς ἦν δωρεαῖς τοὺς τοιαῦτα ἐργασαμένους τιμήσας, ἔθυεν ἐν τῷ τῆς σκηνῆς αἰθρίῳ κατὰ προσταγὴν τοῦ θεοῦ, ταῦρον καὶ κριὸν καὶ ἔριφον ὑπὲρ ἁμαρτάδων. καὶ δὴ λέγειν ἐν τοῖς περὶ θυσιῶν μέλλω, τὰ πρασσόμενα περὶ τὰς ἱερουργίας ἐν ἐκείνοις δηλώσων, περί τε ὧν ὁλοκαυτεῖν κελεύει, καὶ ὧν μεταλαμβάνειν τῆς βρώσεως ἐφίησιν ὁ νόμος. κἀκ τοῦ αἵματος τῶν τεθυμένων, τήν τε στολὴν τοῦ ἀαρῶνος καὶ αὐτὸν σὺν τοῖς παισὶν ἔρραινεν ἁγνίσας, πηγαίοις τε ὕδασι καὶ μύρῳ, ἵνα τοῦ θεοῦ γίγνοιντο. ἐπὶ μὲν οὖν ἡμέρας ἑπτά, τοῦτον τὸν τρόπον αὐτούς τε καὶ τὰς στολὰς ἐθεράπευε, τήν τε σκηνήν, καὶ τὰ περὶ αὐτὴν σκεύη ἐλαίῳ τε προθυμιωμένῳ καθὼς εἶπον, καὶ τῷ αἵματι τῶν ταύρων καὶ κριῶν σφαζομένων, καθ' ἑκάστην ἡμέραν ἑνὸς κατὰ γένος. τῇ δ' ὀγδόῃ κατήγγελεν ἑορτὴν τῷ λαῷ, καὶ θύειν προσέταξε κατὰ δύναμιν. οἱ δ' ἀλλήλοις ἁμιλλώμενοι καὶ ὑπερβαλεῖν φιλοτιμούμενοι, τὰς θυσίας ἕκαστος ἐπιφέρει τοῖς λεγομένοις ὑπακούων. ἐπικειμένων δὲ τῶν ἱερῶν τῷ βωμῷ αἰφνίδιον ἐξ αὐτῶν πῦρ ἀνήφθη αὐτόματον, καὶ ὅμοιον ἀστραπῆς λαμπηδόνι ὁρώμενον τῇ φλογί, πάντα ἐδαπάνα τὰ ἐπὶ τοῦ βωμοῦ. συνέβη δὲ καὶ ἀαρῶνι συμφορά τις ἐκ τούτου, λογιζομένῳ ὡς ἐπ' ἀνθρώπῳ καὶ πατρί, γενναίως δ' ὑπ' αὐτοῦ καρτερηθεῖσα. ὅτι καὶ τὴν ψυχὴν πρὸς τὰ συμπίπτοντα στερρὸς ἦν, καὶ κατὰ βούλησιν τοῦ θεοῦ ἡγεῖτο τὸ πάθος γεγονέναι. τῶν γὰρ υἱῶν αὐτοῦ τεσσάρων ὄντων ὡς προεῖπον, δύο οἱ πρεσβύτεροι, νάβαδος καὶ ἀβιοῦς, κομίσαντες ἐπὶ τὸν βωμόν, οὐχ ὧν προεῖπε μωυσῆς θυμιαμάτων, ἀλλ' οἷς ἐχρῶντο πρότερον, κατεκαύθησαν τοῦ πυρὸς ἐπ' αὐτοὺς τὴν ὁρμὴν βαλόντος καὶ τὰ στέρνα καὶ τὰ πρόσωπα φλέγειν αὐτῶν ἀρξαμένου, καὶ σβέσαι μηδενὸς δυναμένου. καὶ οἱ μὲν οὕτως ἀπέθανον. μωυσῆς δὲ κελεύει τὸν πατέρα αὐτῶν καὶ τοὺς ἀδελφοὺς βαστάξαντας τὰ σώματα, καὶ κομίσαντας τῆς παρεμβολῆς ἔξω θάψαι μεγαλοπρεπῶς. πενθεῖ δ' αὐτοὺς τὸ πλῆθος χαλεπῶς ἐπὶ τῷ θανάτῳ παρὰ δόξαν οὕτω γεγενημένῳ διατεθέν. μόνους δὲ μωυσῆς τοὺς ἀδελφοὺς αὐτῶν καὶ τὸν πατέρα μὴ φροντίζειν τῆς ἐπ' αὐτοῖς λύπης ἠξίωσε, προκρίναντας τὴν εἰς τὸν θεὸν τιμὴν τοῦ περὶ αὐτοὺς σκυθρωποῦ. ἤδη γὰρ ἀαρὼν καὶ τὴν στολὴν τὴν ἱερὰν ἠμφίετο. μωυσῆς δὲ πᾶσαν τιμὴν παραιτησάμενος, ἣν ἑώρα τὸ πλῆθος αὐτῷ παρέχειν ἕτοιμον, πρὸς μόνῃ τῇ τοῦ θεοῦ θεραπείᾳ διετέλει. καὶ τῶν μὲν εἰς τὸ σιναῖον ἀνόδων ἀπείχετο. εἰς δὲ τὴν σκηνὴν εἰσιὼν ἐχρημάτιζε περὶ ὧν ἐδεῖτο παρὰ τοῦ θεοῦ, ἰδιωτεύων καὶ τῇ στολῇ καὶ πᾶσι τοῖς ἄλλοις ἄγων ἑαυτὸν δημοτικώτερον, καὶ μηδὲν βουλόμενος τῶν πολλῶν διαφέρειν δοκεῖν, ἢ μόνῳ τῷ προνοούμενος αὐτῶν βλέπεσθαι. ἔτι δὲ τὴν πολιτείαν καὶ νόμους ἔγραφε, καθ' οὓς κεχαρισμένως τῷ θεῷ βιώσονται, μηδὲν ἀλλήλοις ἐγκαλεῖν ἔχοντες. ταῦτα μέντοι κατὰ τὴν ὑπαγόρευσιν τοῦ θεοῦ συνετάττετο. διέξειμι μὲν οὖν περὶ τῆς πολιτείας καὶ τῶν νόμων. ὃ μέντοι περὶ τῆς ἀρχιερέως στολῆς παρέλιπον διελθεῖν βούλομαι. οὐδαμόθεν γὰρ προφητῶν κακουργίαις κατέλιπεν ἀφορμήν. εἰ δέ τινες τοιοῦτοι γένοιντο παρεγχειρεῖν τῷ τοῦ θεοῦ ἀξιώματι, αὐτοκράτορα δ' εἶναι τὸν θεὸν παρατυγχάνειν τοὺς ἱερεῖς κατέλιπεν, ὁπότε θελήσειεν, καὶ μὴ παρεῖναι, καὶ τοῦτ' οὐχ ἑβραίοις δῆλον εἶναι μόνον ἠθέλησεν, ἀλλὰ καὶ τῶν ξένων τοῖς παρατυγχάνουσιν.

iucundúsq; ros distillabat ab ea, præsentiæ Dei fidem populo astruens. Moyses autem distributis priùs in fabricatores tanti operis pro cuiusque merito premiis, victimas mactabat in atrio tabernaculi iuxta præscriptum, taurum & arietem, hædúmque pro peccatis. Sed quo ritu hæc fieri soleant, dicam dum de sacrificiis tractabo, & quæ victimæ solidę tradantur conflagrationi, & quæ iuxta legem in epulas cedāt. Deinde *Leuit.8.* sanguine victimarum ornatum Aaronis & filiorum eius aspersit, purificans eos fontanis aquis ac vnguento, vt Dei fierent sacerdotes. atque hoc modo per septem dies ipsos & vestes eorum curabat: tabernaculum item & eius vasa vnguento sicut iam dixi confecto, & sanguine taurorum & arietum alternis diebus iuxta genus suum mactatorum. octaua autem die festum indixit, & sacrificare vnumquenque *Leuit.9.* pro facultatibus imperauit. at illi dicto parentes certatim & ambitiosè victimas offerebant, quibus super aram impositis subitò sponte sua ex illis ignis fulguris in morem emicuit, & inspectante populo omnia flamma absumpsit. Per idem tempus accidit Aaroni *Leuit.10.* quædam calamitas, paterno animo grauis, quam tamen generosè pertulit. erat enim vir fortis, & intelligebat hoc non sine Dei voluntate factum. Ex quatuor filiis quos dixi, seniores duo Nabadus & Abius, cùm in aram intulissent victimas non iuxta præscriptum Moysi, sed quales antea solebant, combusti sunt flamma in eos conuersa, & vultus ac pectora eorum depascente: nec succurri potuit quin ita occumberent. Moyses autem iussit patrem eorum ac fratres sublata cadauera extra castra deferre, atque ibi honorificè sepelire: totúsque populus inopinatam hanc eorum mortem luxit: solos fratres ac patrem Moyses voluit à mœrore abstinere, & potiorem Dei honorem quàm suam tristitiam habere. iam enim sacrum amictum Aaron gestabat. Cæterùm Moyses recusatis omnibus honoribus à populo sibi oblatis, totus cultui diuino erat deditus: & in Sina quidem non amplius ascendebat, sed in tabernaculum ventitans oracula quoties opus erat à Deo referebat, cultu & habitu priuati hominis vti perseuerans, neque quicquam præter reip. curam præ aliis sibi vindicans. Leges præterea scribebat & viuendi rationem, quam seruantes & Deo placere possent, & ipsi inter se socialiter pacatéque viuere: atque hæc omnia Dei monitu faciebat. Dicam autem & de illis legibus suo loco, nunc illud succurrit, quòd in mentione sacerdotalis ornatus omissum non oportuit. nam ea vestis omnem sub prophetię prętextu imposturarum occasionem ademit his qui illa vtebantur: liberúmque Deo vel adesse sacerdotibus vel non, omnibus & popularibus demonstrauit, & exteris, si qui fortè huic spectaculo interuenirent.

Ex lapillis enim quos pontifex in humeris gestabat (sardonyches erant, quorum naturam nulli non notam narrare superuacuum puto) micabat alter quoties litatum esset, is qui dextrum humerum occupabat: tantúmque fulgorem emittebat vt procul etiam intuentibus conspiceretur. idque præter naturam suam & consuetudinem: quod certè admirationem meretur apud omnes, nisi si qui ex contemptu religionis sapientiæ opinionem aucupantur. Sed mirabilius est quod nunc dicturus sum. per duodecim gemmas, quas in pectore pontifex insutas esseni gestat, in bello victoriam prænunciare Deus solebat. nam prius quàm exercitus se moueret, tantus fulgor ex eis emicabat, vt toti populo facilè innotesceret, adesse Deum, opémque & auxilium suum inuocantibus esse allaturum. quapropter Græci quotquot à nostra religione non abhorrent cùm hoc miraculum pro compertissimo habeant, ita vt negari non possit, essena vocant *λόγιον*, hoc est oraculum. Desiit tam essen quàm sardonyx fulgorem emittere annis ducentis ante quàm hæc commentaremur, irato Deo propter legum suarum præuaricationem: de quo aliàs opportuniùs dicetur. nunc cœptam narrationem deinceps prosequar. Tabernaculo dedicato, & omnibus quæcunque ad sacerdotalem ordinem pertinebant ritè peractis, populus Deo in castrorum contubernium recepto lætus ad hymnos & sacrificia se conuertit, non aliter quàm omnibus iam malis aueruncatis, & omnia prospera in posterum sperantes. donáque Deo tam priuatim quàm publicè per singulas tribus offerebant. *Num.7.* Principes enim tribuum bini de suo conferentes plaustrum cum duobus bubus contribuebant, vt sex plaustra tabernaculo per viam deuehendo inseruirent: & præter hoc vnusquisque eorum obtulit phialam & trulleum & acerram. hæc decem daricos valebat, erátque odoramentis referta. trulleum verò & phiala, vtraque simul ducentos siclos pendebant, sed phiala seorsim tantùm septuaginta. hæc farina erant plena, oleo subacta, quali ad altare in sacrificiis vtebantur. præterea vitulum & arietem cum agno anniculo in holocaustum, & hircum pro peccatis. adhæc obtulit vnusquisque principum alias victimas quæ salutares vocabantur, per singulos dies boues duos & quinque arietes cum agnis anniculis & hædis. atque ita per duodecim continuos dies sacrificauerunt, qualibet die vnus. Moyses autem non amplius in Sina monte, sed tabernaculum introgressus, consulebat Deum de rebus agendis, & de ferendis legibus: quas meliores quàm vt ad hominem autorem referri debeant, posteritas multis seculis seruauit, diuinitus datas credens: adeò vt eas nec in pace ob voluptatem, nec in bello ob necessitatem violare fas putarent. sed de his nunc desino, proprium volumen aliquando huic tractationi dicaturus.

τῶν γὰρ λίθων οὓς ἐπὶ τῶν ὤμων φέρειν τὸν ἀρχιερέα προεῖπον, (σαρδόνυχες δὲ ἦσαν, καὶ σημαίνειν αὐτῶν τὴν φύσιν ἡγοῦμαι περισσὸν πᾶσιν εἰς γνῶσιν ἀφιγμένων) συνέβαινε λάμπειν, ὁπότε ταῖς ἱερουργίαις ὁ θεὸς παρείη τὸν ἕτερον τὸν ἐπὶ τοῦ δεξιοῦ τῶν ὤμων πεπορπημένον, αὐγῆς ἀποπηδώσης καὶ τοῖς πορρωτάτω φαινομένης, οὐ πρότερον ταύτης ὑπαρχούσης τῷ λίθῳ. θαυμαστὸν μὲν οὖν καὶ τοῦτο τοῖς μὴ τὴν σοφίαν ἐπ' ἐκφαυλισμῷ τῶν θείων ἠσκηκόσιν. ὃ δ' ἐστὶ τούτου θαυμασιώτερον ἐρῶ. διὰ γὰρ τῶν δώδεκα λίθων οὓς κατὰ στέρνον ὁ ἀρχιερεὺς ἐνερραμμένους τῷ ἐσσῆνι φορεῖ, νίκην μέλλουσι πολεμεῖν προεμήνυεν ὁ θεός. τοσαύτη γὰρ ἀπήστραπτεν ἀπ' αὐτῶν αὐγὴ, μήπω τῆς στρατιᾶς κεκινημένης, ὡς τῷ πλήθει παντὶ γνώριμον εἶναι τὸ παρεῖναι τὸν θεὸν εἰς τὴν ἐπικουρίαν. ὅθεν Ἕλληνες οἱ τὰ ἡμέτερα τιμῶντες ἔθη διὰ τὸ μηδὲν ἀντιλέγειν δύνασθαι τούτοις, τὸν ἐσσῆνα λόγιον καλοῦσιν. ἐπαύσατο μὲν οὖν ὅ τε ἐσσὴν καὶ ὁ σαρδόνυξ τοῦ λάμπειν ἔτεσι διακοσίοις πρότερον ἢ ταύτην ἐμὲ συνθεῖναι τὴν γραφὴν, τοῦ θεοῦ δυσχεράναντος ἐπὶ τῇ παραβάσει τῶν νόμων, περὶ ὧν ἐροῦμεν εὐκαιρότερον. τρέψομαι δὲ νῦν ἐπὶ τὸν ἑξῆς λόγον. καθιερωμένης γὰρ ἤδη τῆς σκηνῆς, καὶ διακεκοσμημένων τῶν περὶ τοὺς ἱερέας, τότε πλῆθος ὁμόσκηνον αὐτῷ τὸν θεὸν ἔχειν εἶναι, καὶ τρέπεται πρὸς θυσίας τε καὶ αἰνέσεις, ὡς ἅπασαν ἤδη κακοῦ προσδοκίαν ἀπωσμένοι, καὶ περὶ τῶν μελλόντων ὡς ἀμεινόνων ἐπιθυμοῦντες. δωρεάς τε τῷ θεῷ τὰς μὲν κοινῇ, τὰς δὲ καὶ κατ' ἰδίαν ἀνετίθεσαν κατὰ φυλάς. οἵ τε γὰρ φύλαρχοι κατὰ δύο συνελθόντες, ἅμαξαν καὶ δύο βόας προσκομίζουσιν, ἓξ μὲν οὖν ἦσαν αὗται κατὰ τὴν σκηνὴν ἐν ταῖς ὁδοιπορίαις. πρὸς τούτοις ἕκαστος φιάλην τε κομίζει, καὶ τρυβλίον, καὶ θυΐσκην. τὴν μὲν δαρεικοὺς δέκα δυναμένην, πλήρη θυμιαμάτων. τὸ δὲ τρυβλίον καὶ ἡ φιάλη, ἀργυρᾶ δ' ἦν, σίκλους μὲν αἱ δύο διακοσίους εἷλκον. εἰς δὲ τὴν φιάλην ἑβδομήκοντα μόνοι δεδαπάνηντο. πλήρεις δ' ἦσαν ἀλεύρων ἐλαίῳ πεφυραμένων οἷς ἐπὶ τοῦ βωμοῦ χρῶνται πρὸς τὰς ἱερουργίας. μόσχον καὶ κριὸν σὺν ἀρνίων ἐτησίων ὁλομελῆ καυθησόμενα, καὶ σὺν αὐτοῖς χίμαρρον τὸν ἐπὶ παραιτήσει ἁμαρτημάτων. προσῆγε δὲ τῶν ἀρχόντων ἕκαστος καὶ ἑτέρας θυσίας σωτηρίους λεγομένας, καθ' ἑκάστην ἡμέραν δύο τε βόας, καὶ πέντε κριοὺς σὺν ἀρνάσιν ἐτησίοις καὶ ἐρίφοις. οὗτοι μὲν δὴ θύουσιν ἐπὶ ἡμέρας δώδεκα κατὰ πᾶσαν ἡμέραν εἷς. Μωυσῆς δ' οὐκ ἔτ' ἀναβαίνων ἐπὶ τὸ Σιναῖον ἀλλ' εἰς τὴν σκηνὴν εἰσιὼν, ἀνεμάνθανε τὰ περὶ τοῦ θεοῦ περί τε τῶν πρακτέων καὶ τῶν νόμων τῆς συντάξεως. οὓς κρείττονας ἢ κατὰ σύνεσιν ἀνθρωπίνην ὄντας, εἰς τὸν ἅπαντα βεβαίως αἰῶνα συνέβη φυλαχθῆναι, δωρεὰν εἶναι δόξαντας τοῦ θεοῦ. ὡς μήτ' ἐν εἰρήνῃ ὑπὸ τρυφῆς, μήτ' ἐν πολέμῳ κατ' ἀνάγκην Ἑβραίους παραβῆναι τινὰ τῶν νόμων. ἀλλὰ περὶ μὲν τούτων, παύομαι λέγων, γραφὴν ἑτέραν ἠξιωκὼς συνθεῖναι περὶ τῶν νόμων.

Κεφάλαιον ί.

Νόμοι περὶ θυσιῶν καὶ περὶ καθαρμῶν.

Νυνὶ δ' ὀλίγων τινῶν ἐπιμνησθήσομαι, τῶν ἐφ' ἁγνείαις καὶ ἱερουργίαις κειμένων. καὶ γὰρ τὸν λόγον μοι περὶ θυσιῶν ἐστὶν συμβέβηκε. δύο μὲν γάρ εἰσιν ἱερουργίαι. τούτων δ' ἡ μὲν ὑπὸ τῶν ἰδιωτῶν, ἑτέρα δ' ὑπὸ τοῦ δήμου συντελούμεναι, κατὰ δύο γίνονται τρόπους. τῆς μὲν ὁλοκαυτοῦται πᾶν τὸ θυόμενον. καὶ διὰ τοῦτο καὶ τὴν προσηγορίαν τοιαύτην ἔλαβεν. ἡ δὲ, χαριστήριός τι ἐστὶ καὶ κατ' εὐωχίαν δρᾶται τῶν τεθυκότων. ἐρῶ δὲ περὶ τῆς προτέρας. ἀνὴρ ἰδιώτης ὁλοκαυτῶν, θύει μὲν βοῦν καὶ ἀρνίον καὶ ἔριφον. ταῦτα μὲν ἐπέτεια. τοὺς δὲ βοῦς ἐφεῖται θύειν καὶ προήκοντας. ἄρρενα δὲ ὁλοκαυτοῦται τὰ πάντα. σφαγέντων δὲ τούτων, τὸν κύκλον τῷ αἵματι δεύουσι τοῦ βωμοῦ οἱ ἱερεῖς, εἶτα καθαροποιήσαντες, διαμελίζουσι, καὶ πάσαντες ἁλσὶν ἐπὶ τὸν βωμὸν ἀνατιθέασι ξύλων ἤδη πεπληρωμένον, καὶ πυρὸς φλεγομένου. τοὺς δὲ πόδας τῶν ἱερείων, καὶ τὰ κατὰ νηδὺν ἐκκαθάραντες ἀκριβῶς, τοῖς ἄλλοις καθαγιασθησόμενα προσεπιφέρουσι, τὰς δορὰς τῶν ἱερέων λαμβανόντων. καὶ ὁ μὲν τῆς ὁλοκαυτώσεως τρόπος ἐστὶν οὗτος. τὰς δὲ χαριστηρίους θυσίας ἐπιτελοῦντες, τὰ αὐτὰ μὲν ζῷα θύουσιν, ὁλόκληρα δὲ ταῦτα καὶ τῶν ἐπετείων πρεσβύτερα, ἄρρενα μέντοι θηλέσι συνδυαζόμενα. θύσαντες δὲ ταῦτα, φοινίσσουσι μὲν αἵματι τὸν βωμόν. τοὺς δὲ νεφροὺς καὶ τὸν ἐπίπλουν καὶ πάντα τὰ πιμελῆ, σὺν τῷ λοβῷ τοῦ ἥπατος, καὶ σὺν αὐτοῖς τὴν οὐρὰν τοῦ ἀρνὸς ἐπιφέρουσι τῷ βωμῷ. τὸ δὲ στῆθος καὶ τὴν κνήμην τὴν δεξιὰν τοῖς ἱερεῦσι παρασχόντες, ἐπὶ δύο ἡμέρας εὐωχοῦνται τοῖς καταλειπομένοις τῶν κρεῶν. ἃ δ' ἂν περισσεύσῃ, κατακαίουσι. θύουσι δὲ καὶ ὑπὲρ ἁμαρτάδων ὁμοίως τῷ προειρημένῳ τρόπῳ τῶν χαριστηρίων τῆς ἱερουργίας. οἱ δ' ἀδύνατοι πορίζειν τὰ τέλεια θύματα, περιστερὰς ἢ τρυγόνας δύο. ὧν τὸ μὲν, ὁλοκαυτοῦται τῷ θεῷ. τὸ δὲ, τοῖς ἱερεῦσιν εἰς βρῶμα διδόασιν. ἀκριβέστερον δὲ περὶ τῆς θυσίας τῶνδε τῶν ζώων, ἐν τοῖς περὶ θυσιῶν ἐροῦμεν. ὁ μὲν γὰρ κατὰ ἄγνοιαν εἰς τοῦτο περιπεσὼν, ἄρνα καὶ ἔριφον θήλειαν τῶν αὐτῶν ἐτῶν προσφέρει. καὶ τῷ μὲν αἵματι δεύει τὸν βωμὸν ὁ ἱερεύς, οὐχ ὡς τὸ πρῶτον, ἀλλὰ τῶν γωνιῶν τὰς ἐξοχάς. καὶ τούς τε νεφροὺς καὶ τὴν ἄλλην πιμελὴν σὺν τῷ λοβῷ τοῦ ἥπατος, ἐπιφέρουσι τῷ βωμῷ. οἱ δὲ ἱερεῖς, τάς τε δορὰς ἀποφέρονται καὶ τὰ κρέα ἔσω ἐκείνης δαπανήσαντες τῆς ἡμέρας ἐν τῷ ἱερῷ. ὁ γὰρ νόμος εἰς τὴν αὔριον ἀπολιπεῖν οὐκ ἐᾷ. ὁ δὲ ἁμαρτὼν μέν, ἑαυτῷ δὲ συνειδώς, καὶ μηδένα ἔχων τὸν ἐλέγχοντα, κριὸν θύει, τοῦ νόμου τοῦτο κελεύοντος, οὗ τὰ κρέα κατὰ τὸ ἱερὸν ὁμοίως οἱ ἱερεῖς αὐθημερὸν σιτοῦνται. οἱ δὲ ἄρχοντες ἐφ' οἷς ἡμάρτανον ἐκθυόμενοι ταὐτὰ μὲν κομίζουσι τοῖς ἰδιώταις. διαλλάσσουσι δὲ τῷ προσάγειν θύματα, ταῦρον, ἔριφον, ἄρρενας. νόμος δὲ ταῖς ἰδιωτικαῖς καὶ ταῖς δημοσίαις θυσίαις, καὶ ἄλευρον ἐπιφέρεσθαι καθαρώτατον, ἀρνίῳ μὲν ἀσσαρῶνος μέτρον, κριῷ δὲ δυοῖν, ταύρῳ δὲ τριῶν. τοῦτο καθαγιάζουσιν ἐπὶ τῷ βωμῷ μεμαγμένον ἐλαίῳ. κομίζεται γὰρ δὴ καὶ ἔλαιον ὑπὸ τῶν τεθυκότων, ἐπὶ μὲν βοῒ εἶνος ἥμισυ. ἐπὶ δὲ κριῷ, μέρος τούτου τρίτον τοῦ μέτρου, καὶ τετάρτη μοῖρα ἐπ' ἀρνίῳ. ὁ δὲ εἶν μέτρον ἀρχαῖον ἑβραίων.

Cap. X.

Leges de sacrificiis & purificationibus.

NVnc paucas tantùm commemorabo, quæ ad purificationes & sacrificia pertinent: quandoquidem in sacrificiorum mentionem incidimus. Duo sunt sacrificiorum genera, priuatum & publicum. horum vtrunque duobus fit modis. Aut enim tota victima igni absumitur, quòd ideo vocatur holocautoma, aut pro gratiarum actione persoluitur, & in epulum sacrum facientium vertitur. De priore prius iam dicturus. Vir priuatus holocautoma facturus, mactat bouem, agnum & hædum: & hos quidem anniculos, bouem verò licet mactare etiam grandiorem. Sed opus est vt sint omnia mascula quæ solida concremantur. his iugulatis sacerdotes aram circunquaque sanguine horum tingunt: deinde mundata membratim dissecant, & sale conspersa in aram imponunt, strue lignorum iam ardente, deinde pedes & intestina omnia diligenter primùm repurgata ad reliquum aceruum adiiciunt: tergora vero sacerdotibus cedunt. & holocautomata quidem ad hunc modum fiunt. Quum verò pro gratiarum actione sacrificant, eorundem generum animalia mactant, sed quæ vitio careant, & anniculis sint maiora, & mascula fœminis copulata. his iugulatis primum sanguine aram imbuunt, deinde renes & omentum & omnem pinguedinem cum fibra iecoris, & insuper caudam agni aræ inferunt. pectore verò ac dextro crure sacerdotibus concesso, reliquis carnibus per biduum epulum instruunt, & quæ superfuerint igni comburunt. idem ritus seruatur & in sacrificio pro peccatis. Sed qui victimas maiores non habent, par columbarum aut turturum offerunt, quarum altera fit holocautoma, altera sacerdotibus in cibum datur. Accuratiùs autem de his in libro de sacrificiis disseremus. Nam qui per ignorantiam peccauit, agnum & hædum fœminam eiusdem ætatis offert: sacerdósque sanguine non vt ante aram, sed cornua eius sola imbuit: renésque & reliquam pinguedinem cum fibra iecoris in aram inferunt. Sacerdotes verò tollunt sibi & pelles & carnes eadem die absumendas in fano. nam lex vetat quicquam in posteram diem reliquum facere. Qui autem sciens peccauit, nemine conscio, arietem offert lege ita iubente: cuius carnes in fano similiter sacerdotes eadem die consumunt. Principes quoque cum pro peccato sacrificant, eadem quæ plebeij offerunt, hac tantùm differentia, quòd victimas adducunt taurum & hædum masculum. Iubet etiam lex vt tam in priuatis quàm in publicis sacrificiis farina afferatur purissima, cum agno assaronis mensura, cum ariete duorum, cum tauro trium. hanc consecrant in altari oleo subactam. nam & oleum sacrificantes afferunt, cum boue hinis dimidium, cum ariete tertiam partem, cum agno quartam,

Leuit. 1. Leuit. 3. Leuit. 4. 5. Leuit. 4. 5. Leuit. 2.

ea est mensura prisca Hebræorum, duos choas Atticos continens, qua oleum ac vinum metiuntur. nam vinum circa altare libant. Si quis autem non sacrificans ex voto similam offert, eius primitias pugillum vnum in aram conijcit. reliquum eius sacerdotes in cibum sumũt, aut coctum: nam oleo subigitur, aut panibus inde confectis. quantumcunque autem sacerdos offert, totum comburi oportet. Vetat etiam lex offerri eadem die natum animal vnà cum genitrice, & aliàs quoque non nisi octauo à partu die admittit. Fiunt & alia sacrificia pro recuperanda valetudine, aut alia de causa, in quibus liba cum victimis insumuntur, ex quibus nihil in posteram diem relinqui fas est, sacerdotibus quoque partem suam inde sumentibus. Publicis verò impensis lex iubet quotidie agnum anniculum mactari mane ac vespere. septima autem quaque die duos iugulant, eodem modo sacrificantes: & nouilunio præter quotidianas victimas duos boues cum agnis anniculis septem, & arietem: hædum verò pro peccato, si quid fortè per obliuionem omissum fuerit. Septimo item mense, quem Macedones hyperberetæum vocant, præter iam dicta taurum & arietem & septem agnos mactãt, & hædum pro peccatis. decima deinde luna eiusdem mensis ieiunant vsque ad vesperam: sacrificántque eadem die taurum & arietes duos & agnos septem: & pro peccato hædum. adducunt autem duos præter hunc hædos: quorum alter viuus extra fines in desertum emittitur, in quem si quid mali propter peccata populo immineat auertatur. alterum verò in suburbanum in locum purissimum eductum cum ipsa pelle exurunt nihil omnino purgantes. & cum eo simul exuritur taurus, non à populo adductus, sed sumptu pontificis. quo mactato, & sanguine eius simul & hædi in fanum illato, aspergit digito tectum septies, totiésque pauimentum, rursúsque toties interiora fani circum altare: reliquum deinde circum altare maius, quod est sub diuo in atrio. deinde extremitates & renes & adipes cum fibra iecoris inferunt altari: pontiféxque adijcit arietem de suo, solidum Deo conflagratum. Eiusdem mensis decimaquinta tempore iam in hibernum vergente tabernacula compingere iubentur per singulas familias contra ventura frigora quæ annus senescens afferre solet. quin & in patria tandem constituti, accedere in eam vrbem quam propter templum caput regionis sint habituri, & octo dies festos ducere, victimásque Deo solidas incendere, & simul pro gratiarum actione sacrificare, manibus interim gestantes ramos myrti, salicis & palmæ, ex quibus mala perseæ dependeant. prima die sacrificium debet esse holocautoma ex tredecim bubus, & agnis vno pluribus, & arietibus duobus, addito hædo pro peccato. Sequentibus diebus idem numerus agnorum & arietum vnà cum hædo mactatur, sed per singulos dies vnum de numero boum detrahunt, donec ad septenarium perueniatur.

Num. 28. 29.

Exod. 23. Leuit. 23. Deut. 31.

A δύναται δὲ δύο χόας ἀττικοὺς πιῦσαι. τὸ δ' αὐτὸ μέτρον τῷ ἐλαίῳ καὶ οἴνου παρῆγον. σπένδουσι δὲ περὶ τὸν βωμὸν τὸν οἶνον. εἰ δέ τις θυσίαν οὐκ ἐπιτελῶν ἐπενέγκοι κατ' εὐχὴν σεμίδαλιν, ταύτης ἀπαρχὴν μίαν ἐπιβάλλει τῷ βωμῷ δράκα, τὴν δὲ λοιπὴν οἱ ἱερεῖς πρὸς τροφὴν λαμβάνουσιν, ἢ ἑψηθεῖσαν, ἐλαίῳ γὰρ συμπέφυραται, ἢ γενομένων ἄρτων. ἱερέως δὲ κομίσαντος καὶ ὁποσονοῦν, ὁλοκαυτεῖν ἀναγκαῖον. B κωλύει δὲ ὁ νόμος θύειν ζῷον αὐθημερινὸν μετὰ τοῦ γεγεννηκότος ἐπὶ ταυτό. οὐδ' ἄλλως δὲ πρὶν ὀγδόην ἡμέραν γεννηθέντι διελθεῖν. γίνονται δὲ ἄλλαι θυσίαι ὑπὲρ τοῦ τὰς νόσους διαφυγεῖν, ἢ κατ' ἄλλας αἰτίας, εἰς ἃς πέμματα σὺν ἱερείοις ἀναλίσκεται. ὧν εἰς τὴν ὑστέραν οὐδὲν ὑπολιπεῖν ἐστι νόμιμον, τῶν ἱερέων ἴδιον λαβόντων. ἐκ δὲ τοῦ δημοσίου ἀναλώματος νόμος ἐστὶν ἄρνα καθ' ἑκάστην ἡμέραν σφάττεσθαι τῶν αὐτετῶν, ἀρχομένης C τε ἡμέρας καὶ ληγούσης. κατὰ δὲ ἑβδόμην ἡμέραν ἥτις σάββατα καλεῖται, δύο σφάττουσι, τὸν αὐτὸν τρόπον ἱερουργοῦντες. τῇ δὲ νουμηνίᾳ τάς τε καθημερινὰς θυσίας ἐπιτελοῦσιν. καὶ δύο βόας σὺν ἀρνάσιν ἐνιαυσίοις ἑπτὰ, καὶ κριόν. ἔριφον δὲ ἐπὶ παραιτήσει ἁμαρτάδων, εἴ τι κατὰ λήθην γένοιτο. τῷ δ' ἑβδόμῳ μηνὶ ὃν Μακεδόνες ὑπερβερεταῖον καλοῦσι, προστιθέντες τοῖς εἰρημένοις ταῦρον D καὶ κριὸν καὶ ἄρνας ἑπτὰ, θύουσι. καὶ ἔριφον ὑπὲρ ἁμαρτάδων. δεκάτῃ δὲ τοῦ αὐτοῦ μηνὸς κατὰ σελήνην διανηστεύονται ἕως ἑσπέρας, θύουσι δ' ἐν ταύτῃ τῇ ἡμέρᾳ ταῦρον τε καὶ κριοὺς δύο καὶ ἄρνας ἑπτά. καὶ ὑπὲρ ἁμαρτάδων ἔριφον. προσάγουσι δὲ δύο πρὸς τούτοις ἐρίφους. ὧν ὁ μὲν ζῶν εἰς τὴν ὑπερόριον ἐρημίαν πέμπεται, ἀποτροπιασμὸς καὶ παραίτησις τοῦ πλήθους παντὸς ὑπὲρ ἁμαρτημάτων E ἐσόμενος. τὸν δ' ἐν τοῖς προαστείοις εἰς καθαρώτατον ἄγοντες χωρίον, αὐτόθι σὺν αὐτῇ καίουσι τῇ δορᾷ μηδὲν ὅλως καθάραντες. συγκατακαίεται δὲ ταῦρος, οὐχ ὑπὸ τοῦ δήμου προσαχθεὶς, ἀλλ' ἐκ τῶν ἰδίων ἀναλωμάτων τοῦ ἀρχιερέως παρασχεθέντος. οὗ δὴ σφαγέντος, εἰσκομίσας εἰς τὸν ναὸν τοῦ αἵματος ἅμα καὶ τοῦ ἐρίφου, ῥαίνει τῷ δακτύλῳ τὸν ὄροφον ἑπτάκις, τοῦ δὲ αὐτοῦ καὶ τὸ ἔδαφος, καὶ τοσαυτά- F κις εἰς τὸν ναὸν καὶ περὶ τὸν χρύσεον βωμὸν, καὶ τὸ λοιπὸν, περὶ τῷ μείζονι κομίσας εἰς τὸ αἴθριον. πρὸς τούτοις τὰς ἐξοχὰς καὶ τοὺς νεφροὺς, καὶ τὴν πιμελὴν σὺν τῷ λοβῷ τοῦ ἥπατος, ἐπιφέρουσι τῷ βωμῷ. παρέχεται δὲ καὶ κριὸν ὁ ἀρχιερεὺς, ὁλοκαύτωσιν τῷ θεῷ. τῇ δὲ πέμπτῃ τοῦ αὐτοῦ μηνὸς καὶ δεκάτῃ, τρεπομένου τὸ λοιπὸν τοῦ καιροῦ πρὸς τὴν χειμέριον ὥραν, σκηνὰς πήγνυσθαι κελεύει κατ' οἰκίαν G ἕκαστον, τὸ κρύος ὑφορωμένους ἐπὶ φυλακῇ τοῦ ἔτους. ὅταν τε πατρίδων ἐπιτύχοιεν, παραγινομένους εἰς ἐκείνην τὴν πόλιν ἣν διὰ τὸν ναὸν μητρόπολιν ἕξουσιν, ἐφ' ἡμέρας ὀκτὼ ἑορτὴν ἄγοντας, ὁλοκαυτοῦν τε καὶ θύειν τῷ θεῷ τότε χαριστήρια φέροντας ἐν ταῖς χερσὶν εἰρεσιώνην μυρσίνης καὶ ἰτέας σὺν κράδῃ φοίνικος πεποιημένην, τοῦ μήλου τοῦ τῆς περσέας προσόντος. ἔστι δὲ τῇ πρώτῃ τῶν ἡμερῶν τῆς ὁλοκαυτώσεως θυσία, ἐκ τριῶν καὶ δέκα βοῶν, καὶ ἀρνῶν ἑνὶ πλειόνων, καὶ κριῶν δύο, κατὰ παραίτησιν ἁμαρτιῶν ἐρίφου προστιθεμένου. ταῖς δ' ἑξῆς ἡμέραις ὁ μὲν αὐτὸς ἀριθμὸς τῶν ἀρνῶν καὶ τῶν κριῶν σὺν καὶ τῷ ἐρίφῳ, θύεται.

ὑφαι-

σφαγιάζουσι δὲ ἑκάστης ἡμέρας ἕνα τῶν βοῶν, εἰς ἑπτὰ καταντῶσιν. ἀνίενται δ' ἀπὸ παντὸς ἔργου κατὰ τὴν ὀγδόην ἡμέραν, καὶ τότε καθάπερ εἰρήκαμεν, μόσχον τε θύουσι καὶ κριὸν καὶ ἄρνας ἑπτά. καὶ ὑπὲρ ἁμαρτημάτων παραιτήσεως, ἔριφον. καὶ ταῦτα μὲν Ἑβραίοις τὰς σκηνὰς πηγνῦσιν ἐπιτελεῖν ἐστὶ πάτριον. τῷ δὲ μηνὶ τῷ Ξανθικῷ ὃς Νισὰν παρ' ἡμῖν καλεῖται, καὶ τοῦ ἔτους ἐστὶν ἀρχὴ, τεσσαρεσκαιδεκάτῃ κατὰ σελήνην ἐν κριῷ τοῦ ἡλίου καθεστῶτος, τούτῳ γὰρ τῷ μηνὶ τῆς ὑπ' Αἰγυπτίοις δουλείας ἠλευθερώθημεν, καὶ τὴν θυσίαν ἣν τότε ἐξιόντας Αἰγύπτου θῦσαι προεῖπον ἡμᾶς πάσχα λεγομένην, δι' ἔτους ἑκάστου θύειν ἐνόμισε. καὶ δὴ τελοῦμεν αὐτὴν κατὰ φρατρίας, μηδενὸς τῶν τεθυμένων εἰς τὴν ἐπιοῦσαν τηρουμένου. πέμπτῃ δὲ καὶ δεκάτῃ διαδέχεται τὴν τοῦ πάσχα, ἡ τῶν ἀζύμων ἑορτὴ, ἑπτὰ ἡμέρας οὖσα, καθ' ἣν ἀζύμοις τρέφονται. καὶ καθ' ἑκάστην ἡμέραν ταῦροι σφάττονται δύο. καὶ κριὸς μὲν εἷς, ἑπτὰ δὲ ἄρνες. καὶ ταῦτα μὲν ὁλοκαυτοῦται προστιθεμένου τοῖς πᾶσι καὶ ἐρίφου ὑπὲρ ἁμαρτάδων, εἰς εὐωχίαν κατὰ ἡμέραν ἑκάστην τοῖς ἱερεῦσι. τῇ δὲ δευτέρᾳ τῶν ἀζύμων ἡμέρᾳ, ἕκτη δ' ἐστὶν αὕτη καὶ δεκάτη, τῶν καρπῶν οὓς ἐθέρισαν, οὐ γὰρ ἥψαντο πρότερον αὐτῶν, μεταλαμβάνουσι. καὶ τὸν θεὸν ἡγούμενοι τιμᾶν δίκαιον εἶναι πρῶτον, παρ' οὗ τῆς εὐπορίας τούτων ἔτυχον, τὰς ἀπαρχὰς αὐτῷ τῆς κριθῆς ἐπιφέρουσι τρόπον τοῦτον. φρύξαντες τῶν σταχύων τὸ δράγμα καὶ πτίσαντες, καὶ καθαρὰς πρὸς ἄλεσιν τὰς κριθὰς ποιήσαντες, τῷ βωμῷ ἀσσάρωνα προσάγουσι τῷ θεῷ. καὶ μίαν ἐξ αὐτοῦ δράκα ἐπιβάλλοντες τὸ λοιπὸν ἀφιᾶσιν εἰς χρῆσιν τοῖς ἱερεῦσι. καὶ τότε λοιπὸν δημοσίᾳ ἔξεστι πᾶσι καὶ ἰδίᾳ θερίζειν. θύουσι δὲ ἐπὶ ταῖς ἀπαρχαῖς τῶν καρπῶν, ἀρνίον εἰς ὁλοκαύτωσιν τῷ θεῷ. ἑβδόμης ἑβδομάδος διαγεγενημένης μετὰ ταύτην τὴν θυσίαν, αὗται δ' εἰσὶν αἱ τῶν ἑβδομάδων ἡμέραι τεσσαράκοντα ἐννέα, τῇ πεντηκοστῇ ἣν Ἑβραῖοι ἀσαρθὰ καλοῦσι, σημαίνει δὲ τοῦτο πεντηκοστὴν, προσάγουσι τῷ θεῷ ἄρτον ἀλφίτων μὲν πυρίνων, ἀσσάρωνας δύο, μετὰ ζύμης γεγονότων. θυμάτων δὲ, ἄρνας δύο. ταῦτα μὲν γὰρ τῷ θεῷ προσάγειν μόνον, εἰς δεῖπνον τοῖς ἱερεῦσι σκευάζεται, καὶ καταλιπεῖν οὐδὲν ἐστὶν ἐξ αὐτῶν εἰς τὴν ἐπιοῦσαν συγκεχωρημένον. ὁλοκαυτωθησομένους μόσχους τε θύουσι τρεῖς, καὶ κριοὺς δύο, καὶ ἄρνας τεσσαρεσκαίδεκα, ἐρίφους δὲ δύο ὑπὲρ ἁμαρτημάτων. ἐστὶ δὲ οὐδεμία τῶν ἑορτῶν, καθ' ἣν οὐχ ὁλοκαυτοῦσιν, οὐδὲ τῶν πόνων τῶν ἐπὶ τοῖς ἔργοις ἄνεσιν οὐ διδόασιν. ἀλλ' ἐν πάσαις νόμιμον τό τε τῆς θυσίας εἶδος καὶ τὸ τῆς ἀργίας ἀταλαίπωρον, καὶ πρὸς εὐωχίας εἰσὶ τεθυκότες. ἐκ μέντοι τοῦ κοινοῦ σῖτος ὀπτὸς ζύμης ἄμοιρος, ἀσσάρωνες δ' εἴκοσι καὶ τέσσαρες εἰς τοῦτο ἀναλοῦνται, ὀπτῶνται ἀνὰ δύο αἱρεθέντες μὲν τῇ πρὸ τοῦ σαββάτου. τῷ δὲ σαββάτῳ πρωῒ, κομισθέντες ἐπὶ τῆς ἱερᾶς τραπέζης τίθενται κατὰ ἓξ εἰς ἀλλήλους τετραμμένοι. δύο δὲ χρυσέων ὑπερκειμένων πινάκων λιβανωτοῦ γεμόντων διαμένουσιν ἕως τοῦ ἑτέρου σαββάτου. καὶ τότε μὲν ἀντ' ἐκείνων ἄλλοι κομίζονται. οἱ δὲ, τοῖς ἱερεῦσι πρὸς τροφὴν δίδονται, καὶ τοῦ λιβανωτοῦ θυμιωμένου ἐπὶ τῷ ἱερῷ πυρὶ, ἐφ' ᾧ καὶ ὁλοκαυτοῦσι τὰ πάντα. λιβανωτὸς δὲ ὑπὲρ ἐκείνου ἄλλος ὑπὲρ τῶν ἄρτων προτίθεται. θύει δ' ὁ ἱερεὺς ἐκ τῶν ἰδίων ἀναλωμάτων, καὶ δὶς ἑκάστης ἡμέρας τοῦτο ποιεῖ, ἄλευρον ἐλαίῳ μεμιγμένον, καὶ πεπηγὸς ὀπτήσει βραχείᾳ.

A Octauo die feriantur ab omni opere, mactántque ſicut diximus vitulum & arietem & agnos ſeptem, & pro peccatis hædum. Atque hæ ſunt Hebræis cærimoniæ tabernaculorum, à maioribus acceptæ. Menſe autem Xanthico, qui noſtris Niſan vocatur, & annum exorditur, luna quartadecima, ſole arietem obtinente, quandoquidem hoc menſe ab Ægyptiaca ſeruitute liberati ſumus, ſacrificium quod tunc B exeuntes feciſſe diximus paſcha nominatum, quotannis inſtaurare lege iubemur: celebramúſque id per ſodalicia, nihil è victimis in ſequentem diem relinquentes, quæ eſt quintadecima & azymorum feſtiuitatis prima. nam hoc feſtum priori continenter ſuccedit, duratque dies ſeptem, per quos panibus non fermentatis veſcuntur: & per ſingulos dies tauri iugulantur duo, aries vnus, agni ſeptem. hæc holocautoma fiunt, additúrque hædus pro pec- C catis in quotidianum epulum ſacerdotibus. Secunda azymorum die, quæ eſt menſis huius decimaſexta, frugibus demeſſis & hactenus intactis incipiunt frui: æquúmque rati Deum huius vbertatis autorem per gratitudinem honorari, hordei primitias offerunt in hunc modum. Spicarum manipulum igni torrent, hordeum deinde pinſunt, atque ita in alicæ modum fracti aſſaronem ad aram efferunt: inde pugillo vno in eam iniecto reliquum ſacer- D dotum vſui cedit: & ex eo licitum fit publicas ac priuatas meſſes metere. primitiarum tempore agnus in holocauſtum Deo mactatur. Poſt paſchale ſacrum elapſis ſeptem ſeptimanis, hoc eſt, quadraginta nouem diebus, quinquageſima quam à numero aſartha Hebræi vocant, offerunt Deo panem è farinæ triticeæ duobus aſſaronibus cum fermento confectum, mactántque agnos duos: hæc oblata mox in cœnam ſacerdotibus apponun- E tur, & eadem die ſic vt nihil ſuperſit abſumuntur. cæterùm holocautoma faciunt è tribus vitulis, arietibus duobus, agnis quatuordecim, hædíſque pro peccato duobus. Nullum autem feſtum ducitur abſque holocautomate & laborum vacatione, ſed in omnibus omnino hæc duo lex obſeruari iubet: & poſt ſacrificium in epulis degunt. ex publico præbetur panis non fermentatus ex farinæ aſſaronibus F vigintiquatuor. coquuntur autem bini pridie ſabbati: & ſabbato mane proponuntur in ſacra menſa duobus ordinibus ſeni ex aduerſo ſeſe reſpicientes: atque ita cum duabus lancibus thure plenis permanent vſque in proximè ſequens ſabbatum. tunc demum alij pro illis recentes ſupponuntur, & hi priores ſacerdotibus in cibum dantur: thus item igne adoletur, quo ad holocautomata vti ſolet, & pro eo quo- G que aliud cum panibus proponitur. Sacerdos autem de ſuo quotidie bis offert Deo farinam oleo maceratam, & modica coctura duratam:

Exod.12. 13.23. Leuit.23. Num.9. Deut.16. Leuit.2.

eſtque demenſum eius farinæ aſſaron vnus, huius dimidium mane, tantundem veſpere, in ignem infert. Sed de his hactenus, quorum rationem aliàs diligentius explicabimus. Cæterùm Moyſes tribum Leuiticam à cætero populo exemptam, vt Deo ſacrandam, fontanis aquis perennibus & ſolenni ſacrificio purgauit; eique tabernaculum cum ſacris vaſis ſartum tectum curandum commiſit, iubens vt ad præſcripta ſacerdotum ſacrum miniſterium capeſſerent: atque eo tempore ſacri & Deo dicati ſunt habiti. Poſt hæc animalia diſcreuit, quæ ad cibum eſſent pura, & quibus veſci non liceret: de quibus aliquando per occaſionem diſſereremus, quam ob cauſam aliorum eſum permiſerit, aliorum interdixerit. Sanguinis certè ideo vetuit, quòd hunc animam & ſpiritum putaret: neque animalis non occiſi carnem ad cibum conceſſit. ad hæc reticuli & adipis caprini, ouilli & bubuli abſtinentiam indixit. Eiecit etiam è cœtu & conſuetudine hominum leproſos, & ſeminis profluuio laborantes: mulieres etiam quæ naturaliter purgantur verſari inter homines vetuit, nec niſi poſt ſeptimam diem puras haberi voluit. cum quoque qui cadauer curaſſet, per totidem dies à cœtu arcuit. ſi quis autem vltra hunc dierum numerum diuturniore pollutione teneatur, ſacrificare iubetur agnas duas: quarum alteram ſanctificare oportet, alteram ſacerdotes accipiunt, eodem modo & pro gonoroico ſacrificari mos eſt. qui verò per ſomnum genituram emiſit, ſi ſe mergat in aquam frigidam, vt ſolet fieri poſt legitimæ vxoris congreſſum, pro puro habetur. Leproſos autem in perpetuum relegauit, tãquam nihil à cadauere differentes. quòd ſi quis priſtinam valetudinem à Deo precibus impetrauerit, & in cutem ſanitatis color redierit, hic variis ſacrificiis Deo gratitudinem ſuam atteſtatur, de quibus aliàs dicemus. Quò magis ridenda eſt illorum fabula, qui dicunt, Moyſem propter lepram ex Ægypto profugum, turbam eodem morbo laborantium in Chananæam duxiſſe. Niſi enim vanus ille rumor eſſet, nunquam Moyſes in ſuam ignominiam talem legem tuliſſet, qualem etiam alio ferente, probabile erat ipſum reclamaturum: præſertim quum inter multas gentes leproſi verſentur, & in pretió ſint: & adeò nec relegentur, nec contemptim habeantur, vt & in expeditionibus militares dignitates, & in adminiſtratione reipublicæ ciuiles illis committantus, ac ne à templis quidem & fanis arceantur. Quid igitur vetabat, ſi tali vitio fuit infectus, quo minus apud multitudinem ſibi parentem eas leges ſtatueret, quæ ipſi honorem potius quàm detrimentum afferrent? Qua re manifeſtum fit quòd hæc per inuidiam de nobis fingantur. Moyſes enim purus ipſe & inter puros degens, ad honorem Dei talium legum autor eſſe voluit. Sed hæc quiſque ita vt libitum fuerit accipiat.

Leuit. 8. Num. 3.

Leui. 7. 17.

Leui. 12. 13. 14. 15.

καὶ εἷς μέν ἐστιν ἀσσαρῶν τῶν ἀλεύρου. τούτου δὲ τὸ μὲν ἥμισυ τὸ πρωῒ, τὸ δ᾽ ἕτερον δείλης ἐπιφέρει τῷ πυρί. τὸν μὲν οὖν περὶ τούτων λόγον, ἀκριβέστερον αὖθις δηλώσομεν. ἱκανὰ δέ μοι δοκεῖ καὶ νῦν περὶ αὐτῶν προειρῆσθαι. μωυσῆς δὲ τὴν λευιτικὴν φυλὴν τῆς πρὸς τὸν λαὸν κοινωνίας ὑφεξελόμενος ἱερὰν ἐσομένην, ἥγνιζε πηγαίοις ὕδασι καὶ ἀενάοις, καὶ θυσίαις ἃς ἐπὶ τοῖς τοιούτοις νομίμους παρέχονται τῷ θεῷ. τήν τε σκηνὴν αὐτοῖς καὶ τὰ σκεύη τὰ ἱερὰ, καὶ τ᾽ ἄλλα ὅσα πρὸς σκέπην τῆς σκηνῆς ἐπεποίητο, παρέδωκεν, ὅπως ὑφηγουμένων τῶν ἱερέων ὑπηρετήσωσιν. ἤδη γὰρ τῷ θεῷ καθιέρωντο. καὶ περὶ τῶν ζώων δὲ διέκρινεν ἕκαστον ὅτι τρέφοιντο, καὶ οὗ πάλιν ἀπεχόμενοι διατελεῖεν. περὶ ὧν ἐν οἷς ἂν ἡμῖν ἀφορμὴ τῆς γραφῆς γένηται, διελευσόμεθα, τὰς αἰτίας προστιθέντες, ἀφ᾽ ὧν κινηθεὶς, τὰ μὲν αὐτῶν βρώματα ἡμῖν ἐκέλευσεν εἶναι, τῶν δὲ προσέταξεν ἀπέχεσθαι. αἵματος μέν τοι παντὸς εἰς τροφὴν ἀπηγόρευσε τὴν χρῆσιν, ψυχὴν αὐτὸ καὶ πνεῦμα νομίζων, καὶ κρεῶν τοῦ τεθνηκότος αὐτομάτως ζώου τὴν βρῶσιν διεκώλυσεν. ἐπίπλου τε καὶ στέατος αἰγείου καὶ προβατείου, καὶ τε τῶν βοῶν, ἀπέχεσθαι προεῖπεν. ἀπήλασε δὲ τῆς πόλεως, καὶ τοὺς λέπρᾳ τὰ σώματα κακωθέντας. καὶ τοὺς περὶ τὴν γονὴν ῥεομένους. καὶ τὰς γυναῖκας δὲ αἷς ἡ τῶν κατὰ φύσιν ἔκκρισις ἐπίοι, μετέστησεν πρὸς ἡμέραν ἑβδόμην. μεθ᾽ ἣν ὡς ἤδη καθαραῖς, ἐνδημεῖν ἐφίησιν. ὁμοίως δὲ καὶ τοῖς κηδεύσασι νεκρὸν, μετὰ τοσαύτας ἡμέρας νόμιμον τὸ ἐνδημεῖν. τὸν δὲ ὑπὲρ τὸν ἀριθμὸν τοῦτον τῶν ἡμερῶν ἐνεχόμενον ἐν τῷ μιάσματι, θύειν νόμιμον ἀμνάδας δύο· ὧν τὴν μὲν ἑτέραν, καθαγίζειν δεῖ. τὴν δ᾽ ἑτέραν οἱ ἱερεῖς λαμβάνουσιν. ὁμοίως δὲ θύουσι καὶ περὶ τοῦ τὴν γονὴν ῥεομένου. ὃς δ᾽ ἂν κατὰ τοὺς ὕπνους ἀποκρίνοι γονὴν, καθεὶς ἑαυτὸν εἰς ὕδωρ ψυχρὸν ὁμοίως τοῖς κατὰ νόμον γυναικὶ πλησιάζουσιν ἐξουσίαν ἔχει. τοὺς δὲ λεπροὺς, εἰς τὸ παντελὲς ἐξήλασε τῆς πόλεως, μηδὲν συνδιαιτωμένους, καὶ νεκροῦ μηδὲν διαφέροντας. ἂν δέ τις ἐξικετεύσας τὸν θεὸν ἀπολυθῇ τῆς νόσου, καὶ τὴν ἐρρωμένην κομίσηται χρόαν, ὁ δὴ τοιοῦτος ποικίλαις ἀμείβεται θυσίαις τὸν θεὸν, περὶ ὧν ὕστερον ἐροῦμεν. ὅθεν καὶ καταγελάσειεν τις τῶν λεγόντων μωυσῆν λέπρᾳ κεκακωμένον, αὐτόν τε ἀπ᾽ αἰγύπτου φυγεῖν, καὶ τῶν ἐκπεσόντων διὰ ταύτην τὴν αἰτίαν ἡγησάμενον εἰς τὴν χαναναίαν ἀγαγεῖν αὐτούς. εἰ γὰρ τοῦτο ἦν ἀληθὲς, οὐκ ἂν μωυσῆς ἐπὶ τῇ αὐτοῦ ἀτιμίᾳ τοιαῦτα ἐνομοθέτησεν, οἷς εἰκὸς ἦν αὐτὸν καὶ ἑτέρων εἰσηγουμένων ἀντειρηκέναι. καὶ ταῦτα παρὰ πολλοῖς ἔθνεσιν ὄντων λεπρῶν, καὶ τιμῆς ἀπολαυόντων, καὶ οὐ μόνον ὕβρεως καὶ φυγῆς ἀπηλλαγμένων, ἀλλὰ καὶ τὰς ἐπισημοτάτας στρατείας στρατευομένων, καὶ τὰς πολιτικὰς ἀρχὰς πιστευομένων, καὶ εἰς ἱερὰ καὶ ναοὺς ἐξουσίαν ἐχόντων εἰσιέναι. ὥστ᾽ οὐδὲν ἐκώλυε καὶ μωυσῆν, εἰ τοιούτῳ τινὶ συμπτώματι περὶ τὴν χρόαν ἦν, τῷ σὺν αὐτῷ πλήθει ἕπετο ἂν, νομοθετῆσαι περὶ αὐτῶν τὰ κάλλιστα, καὶ μηδὲ μίαν τοιαύτην ὁρίσαι ζημίαν. ἀλλὰ δῆλον ὡς ταῦτα μὲν περὶ ἡμῶν λέγουσιν ὑπὸ βασκανίας προαγόμενοι. μωυσῆς δὲ τούτων καθαρὸς ὢν ἐν καθαροῖς τοῖς ὁμοφύλοις, περὶ τῶν νενοσηκότων ἐνομοθέτει, κατὰ τιμὴν τοῦ θεοῦ τοῦτο ποιῶν. ἀλλὰ περὶ μὲν τούτων ἕκαστος ὡς αὐτῷ δοκεῖ σκοπείτω.

τὰς δὲ

τὰς δὲ γυναῖκας ἐπειδὰν τέκωσιν, εἰς τὸ ἱερὸν εἰσιέναι κεκώλυκε, καὶ θυσιῶν ἅπτεσθαι μέχρι τεσσαράκοντα ἡμερῶν, ἂν ἄρρεν τὸ τεχθὲν ᾖ. διπλασίονας γὰρ εἶναι τὰς ἡμέρας ἐπὶ θηλυτοκίαις νενόμισται. εἰσιοῦσαι μέντοι μετὰ τὴν προειρημένην προθεσμίαν, θυσίας ἐπιτελοῦσιν ἃς οἱ ἱερεῖς πρὸς τὸν θεὸν διανέμονται. ἂν δ' ὑπονοήσῃ μεμοιχεῦσθαί τις αὐτῷ τὴν γυναῖκα, κομίζει κριθῆς ἀληλεσμένης ἀσσάρωνα. καὶ μίαν αὐτῆς δράκα ἐπιβάλλοντες τῷ θεῷ, τὸ λοιπὸν τοῖς ἱερεῦσι δίδοασιν εἰς τροφήν. τὴν δὲ γυναῖκα στήσας τις τῶν ἱερέων κατὰ τὰς πύλας, αἳ δ' εἰσὶ τετραμμέναι πρὸς τὸν νεών, καὶ τῆς κεφαλῆς τὸ ἱμάτιον ἀφελὼν, ἐπιγράφει μὲν τοῦ θεοῦ τὴν προσηγορίαν διφθέρᾳ, κελεύει δὲ ὀμνύειν μηδὲν ἠδικηκέναι τὸν ἄνδρα. παραβᾶσαν δὲ τὸ σῶφρον, τοῦ δεξιοῦ σκέλους ἐξάρθρον γενέσθαι, καὶ τὴν γαστέρα πρησθεῖσαν οὕτως ἀποθανεῖν. ἂν δ' ὑπὸ πολλοῦ τοῦ ἔρωτος καὶ τῆς διὰ τοῦτο ζηλοτυπίας προπετῶς ὁ ἀνὴρ διὰ τὴν ὑπόνοιαν εἴη κεκινημένος, μηνὶ δεκάτῳ γενέσθαι παιδίον ἄρρεν αὐτῇ. τῶν δ' ὅρκων τελειωθέντων τῆς διφθέρας ἀπαλείψας τοὔνομα, εἰς φιάλην ἐκπιέζει. προκομίσας τε ἐκ τοῦ ἱεροῦ γῆς εἴ τι προστύχοι, καὶ καταπάσας, ἐκπιεῖν δίδωσιν. ἡ δ' εἰ μὲν ἀδίκως ἐνεκλήθη, ἐγκύμων τε γίνεται καὶ τελεσφορεῖται κατὰ τὴν γαστέρα. ψευσαμένη δὲ τὸν ἄνδρα ἐπὶ τοῖς γάμοις καὶ τὸν θεὸν ἐπὶ τοῖς ὅρκοις, μετ' αἰσχύνης καταστρέφει τὸν βίον, τοῦ τε σκέλους ἐκπεσόντος αὐτῇ καὶ τὴν κοιλίαν ὕδερου καταλαβόντος. καὶ περὶ μὲν τῶν θυσιῶν καὶ τῆς ἁγνείας τῆς ἐπ' αὐτῆς, ταῦτα Μωυσῆς τοῖς ὁμοφύλοις προενόησε. νόμους δὲ αὐτοῖς τοιούτους ἔθετο. μοιχείαν μὲν εἰς τὸ παντελὲς ἀπεῖπε, νομίσας εὔδαιμον τὸ περὶ τοὺς γάμους ὑγιαίνειν τοὺς ἄνδρας, καὶ ταῖς τε πόλεσι καὶ τοῖς οἴκοις συμφέρειν τὸ τοὺς παῖδας εἶναι γνησίους. καὶ τὸ μίσγεσθαι δὲ μητράσιν, ὡς κακὸν μέγιστον ὁ νόμος ἀπεῖπεν. ὁμοίως δὲ καὶ πατρὸς συνεῖναι γαμετῇ, καὶ τήθαις καὶ ἀδελφαῖς, καὶ παίδων γυναιξὶν, ὡς ἔκφαυλον ἔχον τὴν ἀδικίαν, μεμίσηκεν. ἐκώλυσε δὲ καὶ γυναικὶ μεμιασμένῃ τοῖς κατὰ φύσιν πλησιάζειν. μηδὲ κτήνεσιν εἰς συνουσίαν φοιτᾶν. μηδὲ τὴν πρὸς τὰ ἄρρενα μῖξιν τιμᾶν, διὰ τὴν ἐπ' αὐτοῖς ὥραν ἡδονὴν θηρωμένους παράνομον. κατὰ δὲ τῶν εἰς ταῦτ' ἐξυβρισάντων, θάνατον ὥρισε τὴν τιμωρίαν. τῶν δ' ἱερέων καὶ διπλασίονα τὴν ἁγνείαν ἐποίησε. τούτων γὰρ αὐτοὺς ὁμοίως τοῖς ἄλλοις εἴργει, καὶ προσέτι γαμεῖν τὰς ἑταιρευκυίας ἐκώλυσε, μήτε δούλην μήτ' αἰχμάλωτον γαμεῖν αὐτοὺς κεκώλυκε, καὶ τὰς ἐκ καπηλείας, καὶ τοῦ πανδοκεύειν πεπορισμένας τὸν βίον, μήτε τὰς τῶν προτέρων ἀνδρῶν, ἐφ' αἷς δήποτοῦν αἰτίαις ἀπηλλαγμένας. τὸν δ' ἀρχιερέα μέντοι, οὐδὲ τεθνηκότος ἀνδρὸς ἠξίωσε γαμεῖν γυναῖκα, τοῦτο τοῖς ἄλλοις ἱερεῦσι συγχωρῶν. μόνην δὲ αὐτῷ δέδωκε γαμεῖν παρθένον, καὶ ταύτην φυλάττειν. ὅθεν οὐδὲ νεκρῷ πρόσεισιν ὁ ἀρχιερεύς, τῶν λοιπῶν οὐ κεκωλυμένων ἀδελφοῖς καὶ γονεῦσι καὶ παισὶ τοῖς ἑαυτῶν προσιέναι μεταστᾶσιν. ἀφελεῖς δὲ εἶναι πᾶσαν ἀφέλειαν. τὸν δὲ μὴ ὁλόκληρον τῶν ἱερέων, νέμεσθαι πρὸς τοὺς ἱερεῖς ἐκέλευσε τὰ γέρα. ἀναβαίνειν δὲ ἐπὶ τὸν βωμὸν, καὶ εἰσιέναι εἰς τὸν ναὸν ἐκώλυσε. μὴ μόνον δὲ περὶ τὰς ἱερουργίας καθαροὺς εἶναι, σπουδάζειν δὲ καὶ περὶ τὴν αὐτῶν δίαιταν ὡς ταύτην ἄμεμπτον εἶναι.

XIIII.

A Cæterùm puerperas fanum introgredi vetuit, aut sacris interesse vsque in quadragesimum diem si fœtus sit masculus: quòd si fœmina sit, duplum eius temporis præscribitur. Ac ne post præstitutum quidem terminum intrant absque victimis, quæ partim Deo, partim sacerdotibus cedunt. Quòd si quis adulterij suspicionem de vxore habuerit, offert hordeaceæ farinæ assaronem, & immisso ex ea pugillo super altare, quod reliquum est, sacerdotibus vescendum datur. *Num.5.* B Deinde aliquis sacerdotum statuit mulierem ad portam, quæ est obuersa ad fanum: & inscripto primum Dei nomine in membrana, defert ei iusiurandum cum inprecatione, vt si pudicitiam læsisset, luxato crure dextro & ventre disrupto miserè moriatur: sin autem præ amore nimio, & præ zelotypia maritus ad iniquam suspicionem sit commotus, decimo mense infantem masculum pariat. C peracto iuramento de membrana deletum nomen in phialam exprimit, & sumpto è fano puluere humi collecto, atque in poculum asperso, ebibendum porrigit. mulier verò si iniustè est delata, prægnans facta maturè & feliciter enititur. quòd si & coniugalem fidem & Deum iurisiurandi testem fefellit, turpiter moritur, crure luxato, & ventrem aqua intercute inuadente. Hæc sunt quæ Moyses genti suæ de sacrificiis ac purificationibus præscripsit. D Leges autem tulit tales. Adulterium in vniuersum prohibuit, ratus coniugum summam felicitatem, si fides ac pudicitia seruetur, & reipub. quoque interesse, vt liberi legitimi proueniant. Item incestum cum matre, aut nouerca, cum amita aut matertera, cum sorore nurúve, omnésque tales coitus vt nefarios damnauit. vetuit & cum muliere menstruum fluxum patiente congredi & cum brutis: *Exod.22. Deut.17. Leuit.18. 20.21.29. Leuit.21.* E damnauit etiam eos qui ex formosis maribus turpem voluptatem captarent: & qui contrà fecisset, capitalem pœnam inflixit. Sacerdotes autem duplo castiores esse voluit. hos enim non solùm prædictis legibus sicut reliquos teneri iussit, sed etiam non quamuis fœminam in coniugalem thorum admittere, non quæ corpore quæstum fecisset, non seruam aut captiuam, neque cauponariam aut stabulariam, neque à priore marito quacunque de causa repudiatam. F Pontifici verò ne viduam quidem permisit, quod tamen cæteris sacerdotibus liberum reliquit: sed solum virginem ducere concessit, eámque seruare. Idem nec ad mortuum sinitur accedere, quod tamen cæteris est licitum, ad fratres & parentes ac liberos mortuos accedere. Iidem iubentur simplices esse, omníque fuco carere. Quicunque è sacerdotibus integer corpore non esset, partem quidem suam cum cæteris accipere sinitur, sed ad altare ascendere, & fanum intrare prohibetur. Nec solum in sacris obeundis puros esse oportet, sed vitam etiam irreprehensibilem præstare.

quapropter qui sacrum amictum gestant, tantisper dum eo vtuntur, præter aliam castitatem, puritatem & sobrietatem à vino quoque interim arcentur. Victimæ etiam integri corporis mactantur, omníque vitio carentes. Hæc sunt quæ Moyses iam tunc vitæ suæ tempore obseruanda tradidit: quædam etiam in futurum, ipse licèt in deserto degens, Chananæam terram tandem adeptis prospexit. Septimo quoque anno remissionem agris dedit, intactósque aratro & plantatione esse iussit, quemadmodum iam antè populo septima quaque die remissionem à laboribus dederat. quæ verò per hunc annum sponte sua terra protulerit, publica esse, & promiscui vsus iussit, & neque indigenam neque aduenam ab eis fructibus colligendis arceri: idémque obseruari post septimam annorum septimanam, qui numerus quinquaginta conficit: vocatúrque Hebræis quinquagesimus quisque annus Iobelus: in quo & debitoribus fœnus remittitur, & serui manumittuntur, qui contribules cùm essent, legem aliquam violauerint, & supplicij vice in seruitutem vindicati fuerint. Agri quoque ad pristinos dominos ex hac lege redeunt hunc in modum. Instante Iobelo, quæ vox libertatem significat, conueniunt venditor agri & emptor, computatísque fructibus ac expensis in agrum factis, si fructus maiores fuisse comperiantur, recipit agrum venditor. quòd si expensæ maiores fuerint, hoc quod deest recipiens emptor possessionem alteri cedit. sin vtraque paria fuerint, possessio ad veteres dominos reuertitur. idem ius est in domos quæ in vicis non munitis venduntur: diuersum verò de illis quæ intra oppidorum mœnia venduntur. Licet enim ante annum elapsum reddita pecunia domum recipere: quòd si integer annus interim abiuerit, emptori possessionis ius confirmatur. Has leges Moyses in castris in Sina populo tradendas accepit à Deo, móxque literis mandatas ad posteros etiam obseruandas transmisit.

Leuit. 25.

Cap. XI.

Leges belli, & consuetudines.

XV. *Num. 1.*

Legibus ad hunc modum digestis, ad rei militaris curam animum aduertit, de bellis futuris iam tum cogitans. indicit igitur censum tribuum excepta Leuitica: eiúsque cura principibus demandata, numerum eorum qui militari ætate essent, ad se referri iubet. Leuitæ enim sacri erant & immunes à militia. Censa sunt capita sexcéta millia eorum qui arma ferre valerent, ætatis ab anno vigesimo vsq; quinquagesimum, & super hunc numerum MMMDCL. Pro Leui autem allegit inter autores tribuum Manassen Iosephi filiū, & Ephræmen pro Iosepho. Hos enim Iacobus in adoptionē à Iosepho impetrauerat, sicut suprà diximus. Cōpacto igitur tabernaculo in mediū castrorum illud receperunt, tribus tribubus per latera singula tendentibus, inter quas viæ intercedebāt.

Nu. 2. 34.

A καὶ διὰ ταύτην τὴν αἰτίαν οἱ τὴν ἱερατικὴν στολὴν φορεοῦντες, ἄμωμοί τε εἰσὶ καὶ περὶ πάντα καθαροὶ καὶ νηφάλιοι, πίνειν οἶνον ἕως οὗ τὴν στολὴν ἔχωσι κεκωλυμένοι. ἔτι δὲ καὶ τὰ ἱερεῖα θύουσιν ὁλόκληρα, καὶ κατὰ μηδὲν λελωβημένα. ταῦτα μὲν οὖν ἤδη καὶ κατὰ τὸν ζωῆς χρόνον τῆς αὐτοῦ γινόμενα μωυσῆς παρέδωκε. τῶν δ' αὖθις καὶ περ ἐπὶ τῆς ἐρημίας διαιτώμενος, προενόησεν, ὡς ὅπως ἐπειδὰν τὴν χαναναίαν λάβωσι τάδε ποιῶσι. B δι' ἑβδόμου ἔτους ἄνεσιν δίδωσι τῇ γῇ, ἀπό τε ἀρότρου καὶ φυτείας, ὥσπερ καὶ αὐτοῖς δι' ἑβδόμης ἡμέρας τὴν ἀπὸ τῶν ἔργων προεῖπεν ἀνάπαυσιν. ἐπὶ τῶν αὐτομάτως ἀναδοθέντων ἀπὸ τῆς γῆς, κοινὴν εἶναι τοῖς θέλουσι τὴν χρῆσιν, τῶν τε ὁμοφύλων καὶ τῶν ἀλλοτριοχώρων, μηδὲν ἐξ αὐτῶν φυλάττοντας. ποιεῖν δὲ καὶ τοῦτο μετ' ἑβδόμην ἑτῶν ἑβδομάδα. ταῦτα πεντήκοντα μέν ἐστιν ἔτη τὰ πάντα. C καλεῖται δ' ὑπὸ ἑβραίων ὁ πεντηκοστὸς ἐνιαυτὸς, ἰώβηλος. ἐν ᾧ οἵ τε χρεῶσται τῶν δανείων ἀπολύονται, καὶ οἱ δουλεύοντες ἐλεύθεροι ἀφίενται. οὓς ὄντας ὁμοφύλους καὶ παραβάντας τι τῶν νομίμων, τῷ σχήματι τῆς δουλείας ἐκόλασε θάνατον οὐκ ἐκδεχομένους. ἀποδίδωσι δὲ καὶ τοὺς ἀγροὺς τοῖς ἀρχῆθεν αὐτῶν δεσπόταις τοῦτον τὸν τρόπον. ἐνστάντος τοῦ ἰωβήλου ἐλευθερίαν δὲ σημαίνει τοὔνομα, συνέρχονται ὅτε ἀποδόμενος τὸ χωρίον καὶ ὁ πριάμενος. D καὶ λογισάμενοι τοὺς καρποὺς, καὶ τὰς εἰς τὸ χωρίον δαπάνας γεγενημένας, τῶν μὲν καρπῶν πλεονάζειν εὑρεθέντων, προσδέχεται τὸν ἀγρὸν ὁ ἀποδόμενος. τοῦ δὲ ἀναλώματος ὑπερβάλλοντος, ὑπὲρ τοῦ λείποντος καταβάλλων τὸ ἱκνούμενον, ἐξίσταται τῆς κτήσεως. ἴσων δὲ συναριθμουμένων τῶν τε καρπῶν καὶ τῶν ἀναλωμάτων, ἀποδίδωσι τοῖς καὶ πρότερον νεμηθεῖσι. E τὸ αὐτὸ δὲ καὶ ἐπὶ τὰς οἰκίας νόμιμον ἰσχύειν ἠθέλησε τὰς κατὰ κώμας πεπραμένας. περὶ γὰρ τῶν ἐν τῇ πόλει πεπραμένων, ἔγνωκεν ἑτέρως. εἰ μὲν γὰρ πρὸ τοῦ τελειωθῆναι τὸν ἐνιαυτὸν, καταβάλοι τὸ ἀργύριον ἀναγκάζει τὸν πριάμενον ἀποδοῦναι. εἰ δὲ πλῆρες γένοιτο τὸ ἔτος, βεβαιοῖ τὴν κτῆσιν τῷ πριαμένῳ. ταύτην μωυσῆς τὴν διάταξιν τῶν νόμων, ἔθ' ὑπὸ τὸ σίναιον καθιδρύνει τὴν στρατιὰν, ἐξέμαθε παρὰ τοῦ θεοῦ, καὶ τοῖς ἑβραίοις γεγραμμένην παραδίδωσιν. F

Κεφάλαιον ιά.

Νόμοι καὶ ἤθη περὶ τὰ πολεμικά.

Ἐπειδὴ δὲ καλῶς αὐτῷ τὰ περὶ τὴν νομοθεσίαν ἔχειν ἐδόκει, πρὸς ἐξέτασιν τοῦ στρατοῦ τὸ λοιπὸν ἐτράπη, τῶν πολεμικῶν ἤδη κατὰ νοῦν ἔχων ἅπτεσθαι. G προστάσσει δὲ τοῖς φυλάρχοις πλὴν τῆς λευίτιδος φυλῆς, ἀκριβῶς τὸν ἀριθμὸν ἐκμαθεῖν τῶν στρατεύεσθαι δυναμένων. ἱεροὶ γὰρ ἦσαν οἱ λευῖται καὶ πάντων ἀτελεῖς. γενομένης δὲ τῆς ἐξετάσεως εὑρέθησαν μυριάδες ἑξήκοντα τῶν ὁπλιτεύειν δυναμένων, ὄντων ἀπὸ εἴκοσι ἐτῶν ἕως πεντήκοντα, καὶ τρισχίλιοι πρὸς ἑξακοσίοις καὶ πεντήκοντα. ἀντὶ δὲ λευΐ, κατέλεξεν εἰς τοὺς φυλάρχους, μανασσῆν τὸν ἰωσήπου παῖδα, καὶ ἐφραΐμην ἀντὶ τοῦ ἰωσήπου. δέησις γὰρ ἦν αὕτη ἰακώβου πρὸς ἰώσηπον, ποιητοὺς αὐτῷ παρασχεῖν τοὺς παῖδας ὡς καὶ προεῖπον. πηγνύντες δὲ τὴν σκηνὴν, μέσην ἀπελάμβανον τριῶν φυλῶν κατὰ πλευρὰν ἑκάστην παρασκηνουμένων, ὁδοὶ διὰ μέσων ἐτέτμηντο. καὶ κό-

καὶ κόσμος ἦν ἀγορᾶς, καὶ τῶν πωλουμένων ἕκαστον ἐν τάξει διέκειτο. καὶ δημιουργοὶ τέχνης ἁπάσης ἐν τοῖς ἐργαστηρίοις ἦσαν. οὐδενί τε ἄλλῳ, ἢ πόλει μετανισταμένῃ καὶ καθιδρυμένῃ ἐῴκει. τὰ δὲ περὶ τὴν σκηνὴν, πρῶτοι μὲν οἱ ἱερεῖς κατεῖχον. ἔπειτα δὲ οἱ λευῖται πάντες ὄντες τὸ πλῆθος, ἐξητάσθησαν γὰρ καὶ αὐτοὶ, τοῦ μὲν ἄρσενος ὅσον τριακοστὴν εἶχεν ἡμέραν γενόμενον, δισμύριοι καὶ τρισχίλιοι πρὸς τοῖς ὀκτακοσίοις ὀγδοήκοντα. καὶ ἐφ' ὅσῳ μὲν ὑπὲρ τὴν σκηνὴν συνέβαινεν ἑστάναι τὴν νεφέλην, μένειν αὐτοῖς ὡς ἐπιδημοῦντος ἐδόκει τοῦ θεοῦ. τρεπομένης δὲ ταύτης, μετανίστασθαι. εὗρε δὲ καὶ βυκάνης τρόπον ἐξ ἀργυρίου ποιησάμενος. ἔστι δὲ τοιαύτη. μῆκος μὲν ἔχει πηχυαῖον ὀλίγῳ λεῖπον. στενὴ δ' ἐστὶ σῦριγξ αὐλοῦ βραχὺ παχυτέρα. παρέχουσα δὲ εὖρος ἀρκοῦν ἐπὶ τῷ στόματι, πρὸς ὑποδοχὴν πνεύματος, εἰς κώδωνα ταῖς σάλπιγξι παραπλησίως τελευτᾷ. ἀσώσρα καλεῖται κατὰ τὴν ἑβραίων γλῶσσαν. γίνονται δὲ δύο. καὶ τῇ μὲν ἑτέρᾳ, πρὸς παρακέλευσιν καὶ συλλογὴν ἐχρῶντο τοῦ πλήθους πρὸς τὰς ἐκκλησίας. καὶ μίαν μὲν ἀποσημάναντος ἔδει τὰς ἀρχὰς συνελθεῖν, σκεψομένας περὶ τῶν οἰκείων. ἀμφοτέραις δὲ συνῆγε τὸ πλῆθος. τῆς δὲ σκηνῆς μετακινουμένης ταῦτα ἐγίνετο. ἀποσημάναντος γὰρ τὸ πρῶτον, οἱ παρὰ ταῖς ἀνατολαῖς ἐσκηνωκότες ἀνίσταντο. καὶ πρὸς τὴν δευτέραν, οἱ πρὸς τὸν νῶτον αὐτῆς καθεστῶτες, εἶθ' ἡ σκηνὴ λυομένη, μέση τῶν προϊουσῶν ἓξ φυλῶν ἐκομίζετο, καὶ τῶν ἑπομένων ἕξ. λευῖται δὲ περὶ τὴν σκηνὴν πάντες ἦσαν. τρίτον δὲ σημάναντος, τὸ κατὰ λίβα τετραμμένον τῶν ἐσκηνωκότων μέρος ἐκινεῖτο, καὶ τέταρτον τὸ κατὰ βορρᾶν. ταῖς δὲ βυκάναις ἐχρῶντο καὶ ἐπὶ ταῖς ἱερουργίαις, πρὸς αἷς προσάγοντες ἦσαν τὰς θυσίας καὶ τοῖς σαββάτοις καὶ ταῖς λοιπαῖς ἡμέραις. θύουσι δὲ τότε πρῶτον μετὰ τὴν ἀναχώρησιν τὴν ἐξ αἰγύπτου, τὴν πάσχα λεγομένην ἐπὶ τῆς ἐρήμου.

Forum quoque rerum venalium est propositum,& merces suo quæque loco dispositæ: aderàntque opifices omnium artium in suis officinis,vt planè ciuitas videretur,huc atque illuc commeans.Loca autem tabernaculo proxima sacerdotes occupabant, ac deinceps Leuitæ.Eorum (nam & hi seorsum sunt recensiti) numerus erat viginti tria millia, octingenti octoginta,maribus tantùm, & qui trigesimum à natiuitate diem excederent,in hunc censum venientibus. Et quandiu nubes super tabernaculum perseuerabat, tantisper velut præsente Deo castra eodem loco manebant: quoties verò se aliò mouebat, tum etiam ipsi migrabant.Inuenit autem & buccinæ speciem ex argento factæ talem. Canna erat tibia paulò crassior,longitudine paulò minus cubitali, cuius os tantum patebat,quantum ad inflandum sufficeret,desinebàtque in extremitatem campanulæ similem, quemadmodum tuba. Asosra vocatur hoc genus apud Hebræos. Duas tales fecit,quarum vna plebs ad concionem vocabatur,altera principes ad consultandum de republica exciebantur: vtrisque verò clangentibus vniuersus populus conuocabatur. Quoties verò tabernaculum moueretur,hic modus seruabatur.Primo signo canente qui in Orientali parte castrorum tendebant, excitabantur: secundo verò,qui à tergo tabernaculi tentoria sua fixerant:deinde tabernaculum dissolutum medium portabatur inter sex tribus præcedētes,& alias sex ponè sequentes. Leuitę verò tabernaculum circundabant. Ad tertium autem signum pars castrorum meridionalis mouebatur,& ad quartum septentrionalis. His buccinis vtebantur etiam in sacrificiis,in quibus victimas cædi mos est,tam sabbatis quàm cæteris diebus.Tunc etiam primum pascha solennibus victimis est celebratum ex eo tempore quo in libertatem vindicati,Ægyptiorum dominationem effugerant.

Num.9. Num.10.

Κεφάλαιον ιβ'.

Στάσις κατὰ μωυσέως δι' ἀπορίαν, καὶ τῶν στασιασάντων κόλασις.

ΚΑὶ βραχὺ διαλιπὼν, ἀπανίσταται τοῦ σιναίου ὄρους. καὶ τόπους τινὰς ἀμείψας περὶ ὧν δηλώσομεν, εἴς τε χωρίον εἰσερημωθ λεγόμενον παρῆν. κἀκεῖ τὸ πλῆθος πάλιν στασιάζειν ἄρχεται, καὶ τὸν μωυσῆν αἰτιᾶσθαι τῶν τε κατὰ τὴν ἀποδημίαν αὐτῷ πεπειραμένων, καὶ ὅτι γῆς αὐτοὺς ἀγαθῆς πείσαντος ἀπαναστῆναι, τὴν μὲν ἀπολέσειαν. ἀντὶ δὲ ἧς ὑπέσχετο παρέξειν εὐδαιμονίας, ἐν ταύταις ἀλῶνται ταλαιπωρίαις, ὕδατος μὲν σπανίζοντες. εἰ δὲ καὶ τὴν μάνναν ἐπιλιπεῖν συμβαίη, τέλεον ἀπολούμενοι. πολλὰ μὲν εἰς τὸν ἄνδρα καὶ δεινὰ λεγόντων, εἷς δέ τις αὐτοῖς παρῄνει, μήτε μωυσέως καὶ τῶν πεποιημένων αὐτῷ περὶ τῆς κοινῆς σωτηρίας ἀμνημονεῖν, μήτ' ἀπογινώσκειν τῆς ἐκ τοῦ θεοῦ βοηθείας. τὸ δὲ πλῆθος πρὸς τοῦτο μᾶλλον ἐκεκίνητο, καὶ θορυβήσαν ἔτι μᾶλλον πρὸς τὸν μωυσῆν ἐπετείνετο. μωυσῆς δὲ παραθαρσύνων αὐτοὺς οὕτως ἀπεγνωκότας, ὑπέσχετο, καίπερ αἰσχρῶς ὑπ' αὐτῶν οὕτως περιυβρισμένος, πλῆθος αὐτοῖς παρέξειν κρεῶν, οὐκ εἰς μίαν ἡμέραν ἀλλ' εἰς πλείονας. ἀπιστούντων δ' ἐπὶ τούτῳ, καί τινος ἐρομένου πόθεν ἂν τοσαύταις εὐπορήσειε μυριάσι τῶν προειρημένων.

CAP. XII.

Seditio contra Moysem propter egestatem, & seditiosorum pœna.

NOn multò pòst à Sina monte castra mouentur:& post aliquot mansiones, de quibus dicemus,ventum est ad locum qui dicitur Iseremoth:vbi denuò populus seditionib. agitari cœpit,& laboriosę peregrinationis culpam in Moysem cōferre.Illius suasu se reliquisse regionem fertilissimam,& nunc non solùm eius vbertate carere,verumetiam pro sperata felicitate in extremis miseriis huc & illuc oberrare, aquarum inopia laborantes:& si manna quoq; aliquo casu deficiat,proculdubio fame interituros.His addebant multa conuitia,quæ in virū optimè meritum passim iactabatur.exortus est interim vnus è populo,qui admonitos prętéritorū Moysi beneficiorum,bonam spem habere hortabatur,ne tum quidem opem diuinā frustra requisituros. Vulgus autem his verbis vehementiùs concitatum,magis ac magis cōtra prophetam tumultuabatur.Qui videns ita desperatos,iubet æquo animo esse,pollicendo se quāuis grauibus contumeliis immeritò petitum, copias tamen carnium eis exhibiturum,non in vnum tantùm diem,sed in plures etiā.Illis verò credere nolentibus, quodam etiam rogante, vnde tot hominum millibus prouidere possit:

XVI. Num.11.

Deus,inquit,& ego,quãtumuis malè apud vos audientes, nunquam tamen desinemus vestri curam gerere:idque breui estis visuri. Vix hæc dixerat,cùm tota castra coturnicibus complentur quas aceruatim venabantur. Deus tamen non multo pòst in Hebræorum insolentiam ac maledicta animaduertit,non paucis è populo desideratis. Nam & hodie locus ille nomen ex eo casu inditum retinet,vocatúrque Cabrothaba,quasi dicas concupiscentiæ monumenta.

Cap. XIII.

De speculatoribus, qui explorata Chananæorum regione reuersi Israelitis terrorem hostium incusserunt.

XVII. Nu.13.14.

MOyses autem posteaquam abductos inde adduxisset in locum humanæ habitationi parum aptum, non longè à finibus Chananæorum situm, qui dicitur Fauces,in concionem populum aduocat. Cúmque in mediis constitisset,Duo bona, inquit, Deus nobis dare decreuit,libertatem & felicis terræ possessionem:quorum alterum ex ipsius munificentia iam habetis,alterum quoque mox habituri. Sumus enim in Chananæorum finibus, à quibus adeò nulla ciuitas, nullúsve rex nos arcebit,vt ne vniuersa quidem gens collatis in vnum viribus efficere hoc valeat. Ergo parati simus ad rem fortiter gerendam. neque enim sine prælio regione sua nobis sunt cessuri, sed post magna certamina victoriæ præmium erit. ante omnia mittendi sunt speculatores, qui & terræ vbertatem,& habitatorum potentiam explorent. Nos verò in primis concordiæ studere oportet, & Deum adiutorem ac auxiliatorem nostrum debito cultu prosequi. Hæc vbi locutus est,populus collaudato Moysis consilio,exploratores eligit,duodecim nobilissimos,ex vnaquaque tribu vnum:qui exorsi à partibus ad Ægyptum vergentibus,totam Chananæorum regionem perlustrauerant,donec ad Amathen vrbem & Libanum montem peruenirent: exploratáque terræ simul & incolarum natura, reuersi sunt ad suos,quadraginta diebus in hoc negotium insumptis. Et fructuum quidē pulchritudo quorum specimen erat allatum,vbertásque regionis quam audiebant,animos multitudinis ad bellum suscipiendum erigebat. contra deterrebantur narrãtibus difficilem fore eius acquisitionem,quòd flumina superanda essent magna ac profunda,& montes ardui trãscendendi, & vrbes mœnibus firmissimis cingantur. Apud Hebronem verò etiam gigantum progeniem se reperisse aiebant,atque ita exploratores cùm omnia maiora apud Chananæos inuenissét,quàm quę hactenus post exitum ex Ægypto viderant,suo timore reliquam etiam multitudinem data opera impleuerunt. Qui ex eorum narratione impossibile rati talem terrã acquirere,soluta cõcione domum reuersi cum vxoribus & liberis lamentabantur, dicentes Deum verbis tantum multa polliceri,re autem omnino nihil auxilij præstare. rursúmque Moysem incusantes,in eum simul & fratrem eius Aaronem pontificem vociferabantur: atque ita totam noctem inquieti exegerunt, in vtrunq; conuicia iactando. mane verò ad concionem concurrunt hoc animo, vt lapidatis Moyse ac fratre, in Ægyptum retro vnde venerant reuerterentur.

ὁ θεός, εἶπε, κἀγὼ, καί τοι κακῶν ἀκούοντες πρὸς ὑμῶν, οὐκ ἂν ἀποσταίημεν κάμνοντες ὑπὲρ ὑμῶν, καὶ τοῦτ᾽ οὐκ εἰς μακρὰν ἔσται. ἅμα ταῦτ᾽ ἔλεγε, καὶ πίμπλαται τὸ στρατόπεδον ὀρτύγων ἅπαν, καὶ ἐθέριζον αὐτοὺς περιστάντες. ὁ μέν τοι θεὸς οὐκ εἰς μακρὰν μετέρχεται τοὺς ἑβραίους τῆς εἰς αὐτὸν θρασύτητος καὶ λοιδορίας. ἀπέθανε γὰρ οὐκ ὀλίγον πλῆθος αὐτῶν. καὶ νῦν ἔτι κατ᾽ ἐπωνυμίαν ὁ χῶρος ὀνομάζεται καβρωθαβά, ὅ ἐστιν ἐπιθυμίας μνημεῖα.

Κεφάλαιον ιγ'.

Περὶ τῶν κατασκόπων, οἳ ἐξιστορήσαντες τὴν χαναναίων γῆν, καὶ ἐπανελθόντες τοὺς ἰσραηλίτας ἐξεφόβησαν.

ΑΝαγαγὼν δ᾽ αὐτοὺς ἐκεῖθεν ὁ μωυσῆς εἰς τὴν καλουμένην φάραγγα πλησίον οὖσαν τοῖς χαναναίων ὁρίοις καὶ χαλεπὴν ἐνδιαιτᾶσθαι, εἰς ἐκκλησίαν ἀθροίζει τὸ πλῆθος. καὶ καταστὰς, δύο φησὶ κρίναντος ἡμῖν τοῦ θεοῦ παρασχεῖν ἀγαθὰ, ἐλευθερίαν καὶ γῆς κτῆσιν εὐδαίμονος, τὴν μὲν ἤδη δόντος ἔχετε, τὴν δὲ ἤδη λήψεσθε. χαναναίων γὰρ ἐπὶ τοῖς ὅροις καθήμεθα. καὶ κωλύσει τὸ λοιπὸν ἐπιόντας οὐ μόνον οὐ βασιλεὺς ἢ πόλις ἡμᾶς, ἀλλ᾽ οὐδὲ τὸ πᾶν ἀθροισθὲν αὐτῶν ἔθνος. παρασκευαζώμεθα οὖν πρὸς τὸ ἔργον. οὐ γὰρ ἀμαχητὶ παραχωρήσουσιν ἡμῖν τῆς γῆς, ἀλλὰ μεγάλοις αὐτὴν ἀγῶσιν ἀφαιρεθέντες. πέμψωμεν δὲ κατασκόπους, οἳ τῆς τε γῆς τὴν ἀρετὴν κατανοήσουσι, καὶ πόση δύναμις αὐτῆς. πρὸ δὲ πάντων ὁμονοῶμεν, καὶ τὸν θεὸν ὃς ἐστὶν ἐπὶ πᾶσιν ἡμῖν βοηθὸς καὶ σύμμαχος, διὰ τιμῆς ἔχωμεν. μωυσέως δὲ ταῦτ᾽ εἰπόντος, τὸ πλῆθος αὐτὸν τιμαῖς ἀμείβεται. καὶ κατασκόπους αἱρεῖται δώδεκα τῶν γνωριμωτάτων, ἐξ ἑκάστης φυλῆς ἕνα. οἳ διεξελθόντες ἀπὸ τῶν πρὸς αἰγύπτῳ τὴν χαναναίαν ἅπασαν, ἐπί τε ἀμαθὴν πόλιν καὶ λίβανον ἀφικνοῦνται τὸ ὄρος· καὶ τήν τε τῆς γῆς φύσιν, καὶ τὴν τῶν ἐνοικούντων ἀνθρώπων ἐξιστορήσαντες παρῆσαν, τεσσαράκοντα ἡμέραις εἰς πᾶν καταχρησάμενοι τὸ ἔργον. ἔτι δὲ καὶ καρποὺς ὧν ἔφερεν ἡ γῆ κομίζοντες τῇ τε τούτων εὐπρεπείᾳ καὶ τῷ πλήθει τῶν ἀγαθῶν ἃ τὴν γῆν ἔχειν διηγοῦντο, πολεμεῖν ἐπαίροντες τὸ πλῆθος. φοβοῦντες δὲ πάλιν αὐτὸ, τῷ τῆς κτήσεως ἀπόρῳ, ποταμούς τε διαβῆναι λέγοντες ἀδυνάτους ὑπὸ μεγέθους ἅμα καὶ βάθους, καὶ ὄρη ἀμήχανα τοῖς ὁδεύουσι, καὶ πόλεις καρτερὰς τείχεσι καὶ περιβόλων ὀχυρότητι. ἐν δὲ χεβρῶνι καὶ τῶν γιγάντων ἔφασκον τοὺς ἀπογόνους καταλαβεῖν. καὶ οἱ μὲν κατάσκοποι τεθεαμένοι πάντων οἷς μετὰ τὴν ἔξοδον τὴν ἀπ᾽ αἰγύπτου ἐνέτυχον, μείζω τὰ κατὰ τὴν χαναναίαν, αὐτοί τε καταπεπλήγεσαν, καὶ τὸ πλῆθος οὕτως ἔχειν ἐπειρῶντο. οἱ δὲ ἄπορον ἐξ ὧν ἠκροάσαντο τὴν κτῆσιν τῆς γῆς ὑπελάμβανον, καὶ διαλυθέντες ἐκ τῆς ἐκκλησίας, σὺν γυναιξὶ καὶ παισὶν ὀλοφυρόμενοι διῆγον, ὡς οὐδὲν ἔργῳ τοῦ θεοῦ βοηθοῦντος, λόγῳ δὲ μόνῳ ὑπισχνουμένου. καὶ τὸν μωυσῆν πάλιν ᾐτιῶντο, καὶ κατεβόων αὐτοῦ, καὶ τοῦ ἀδελφοῦ ἀαρῶνος τοῦ ἀρχιερέως. καὶ πονηρὰν μὲν καὶ μετὰ τῶν εἰς τοὺς ἄνδρας βλασφημιῶν, διάγουσι τὴν νύκτα. πρωῒ δὲ εἰς τὴν ἐκκλησίαν συντρέχουσι, δι᾽ ἐννοίας ἔχοντες καταλεύσαντες τόν τε μωυσῆν καὶ τὸν ἀαρὼν, ἐπὶ τὴν αἴγυπτον ὑποστρέφειν.

τῶν δὲ κατασκόπων Ἰησοῦς ὅ τε Ναυήκου παῖς φυλῆς Ἐφραιμίτιδος, καὶ Χάλεβος ὁ τῆς Ἰούδα φυλῆς, φοβηθέντες, χωροῦσιν εἰς μέσους. καὶ τὸ πλῆθος κατεῖχον θαρσεῖν δεόμενοι. καὶ μήτε ψευδολογίαν καταγινώσκειν τοῦ θεοῦ, μήτε πιστεύειν τοῖς ἐκ τοῦ μὴ τἀληθῆ περὶ τῶν Χαναναίων εἰρηκέναι καταπληξαμένοις, ἀλλὰ τοῖς ἐπὶ τὴν εὐδαιμονίαν καὶ τὴν κτῆσιν αὐτοῖς τῶν ἀγαθῶν παρορμῶσιν. οὔτε γὰρ τῶν ὀρῶν τὸ μέγεθος, οὔτε τῶν ποταμῶν τὸ βάθος, τοῖς ἀρετὴν ἠσκηκόσιν ἐμποδὼν στήσεσθαι πρὸς τὰ ἔργα. καὶ ταῦτα τοῦ θεοῦ συμπροθυμουμένου καὶ ὑπερμαχοῦντος αὐτῶν. ἴωμεν οὖν ἔφασαν ἐπὶ τοὺς πολεμίους, μηδὲν ἔχοντες δι' ὑποψίας, ἡγεμόνι τῷ θεῷ πεπιστευκότες καὶ ὁδηγοῦσιν ἡμῖν ἑπόμενοι. καὶ οἱ μὲν ταῦτα λέγοντες ἐπεχείρουν τὴν ὀργὴν καταπραΰνειν τοῦ πλήθους. Μωυσῆς δὲ καὶ Ἀαρὼν, πεσόντες ἐπὶ τὴν γῆν, τὸν θεὸν ἱκέτευον, οὐχ ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας, ἀλλ' ὅπως τῆς ἀμαθίας παύσῃ τὸ πλῆθος, καὶ καταστήσῃ τὴν διάνοιαν αὐτῶν, ὑπὸ τῆς ἀμηχανίας τοῦ παρεστῶτος αὐτοῖς πάθους τεταραγμένην. παρῆν δὲ ἡ νεφέλη, καὶ στᾶσα ὑπὲρ τῆς σκηνῆς, ἐσήμαινε τὴν ἐπιφάνειαν τοῦ θεοῦ. Μωυσῆς δὲ θαρσήσας, πάρεισιν ἐπὶ τὸ πλῆθος. καὶ τὸν θεὸν ἐδήλου κινηθέντα ὑπὸ τῆς ὕβρεως αὐτῶν λήψεσθαι τιμωρίαν, οὐκ ἀξίαν μὲν τῶν ἐξημαρτημένων, οἵαν δὲ οἱ πατέρες ἐπὶ νουθεσίᾳ τοῖς τέκνοις ἐπιφέρουσι. παρελθόντι γὰρ εἰς τὴν σκηνὴν αὐτῷ, καὶ περὶ τῆς μελλούσης ὑπ' αὐτῶν ἀπωλείας ἀποκλαιομένῳ, τὸν θεὸν ὑπομνῆσαι μὲν ὅσα παθόντες ἐξ αὐτοῦ, καὶ πηλίκων εὐεργεσιῶν μεταλαβόντες, ἀχάριστοι πρὸς αὐτὸν γένοιντο. ὅτι τε νῦν τῇ τῶν κατασκόπων ὑπαχθέντες δειλίᾳ, τοὺς ἐκείνων λόγους ἀληθεστέρους τῆς ὑποσχέσεως ἡγήσαντο τῆς αὐτοῦ. καὶ διὰ ταύτην τὴν αἰτίαν, οὐκ ἀπολεῖ μὲν ἅπαντας, οὐδ' ἐξαφανίσει τὸ γένος αὐτῶν, ὃ πάντων μᾶλλον ἀνθρώπων ἔχει διὰ τιμῆς. τὴν μέντοι Χαναναίαν οὐ παρέξει γῆν αὐτοῖς λαβεῖν, οὐδὲ τὴν ἀπ' αὐτῆς εὐδαιμονίαν. ἀνεστίους δὲ ποιήσειν καὶ ἀπόλιδας ἐπὶ τῆς ἐρημίας ἐπ' ἔτη τεσσαράκοντα καταβιῶναι, τῆς παρανομίας ποινὴν ταύτην ἐκτίνοντας. παισὶ μέντοι τοῖς ἡμετέροις παραδώσειν τὴν γῆν ὑπέσχετο, κἀκείνους τῶν ἀγαθῶν, ὧν ἑαυτοῖς ὑπὸ ἀκρασίας ἐφθονήσατε μεταλαχεῖν, ποιήσειν δεσπότας. ταῦτα δὲ Μωυσέως κατὰ τὴν τοῦ θεοῦ γνώμην διαλεχθέντος, ἐν λύπῃ καὶ συμφορᾷ τὸ πλῆθος ἐγένετο. καὶ τὸν Μωυσῆν παρεκάλει καταλλάκτην αὐτῶν γενέσθαι πρὸς τὸν θεόν, καὶ τῆς ἁμαρτίας τῆς κατὰ τὴν ἐρημίαν ἀπαλλάξαντα, πόλεις αὐτοῖς παρασχεῖν. ὁ δὲ οὐκ ἔφασκεν τὸν θεὸν τοιαύτην πεῖραν προσοίσεσθαι. μὴ γὰρ κατὰ κουφότητα προαχθῆναι τὸν θεὸν ἀνθρωπίνην εἰς τὴν ὀργὴν τὴν πρὸς αὐτούς, ἀλλὰ γνώμῃ καταψηφισάμενον αὐτῶν. οὐ δεῖ δὲ ἀπιστεῖν εἰ Μωυσῆς εἷς ἀνὴρ ὢν, τοσαύτας μυριάδας ὀργιζομένας ἐπράϋνε, καὶ μετήγαγεν εἰς τὸ ἡμερώτερον. ὁ γὰρ θεὸς αὐτῷ συμπαρὼν, πείθεσθαι τοῖς λόγοις αὐτοῦ τὸ πλῆθος παρεσκεύαζε. καὶ πολλάκις παρακούσαντες, ἀσύμφορον αὐτοῖς τὴν ἀπείθειαν ἐπέγνωσαν ἀπὸ τοῦ συμφορᾷ περιπεσεῖν. θαυμαστὸς δὲ τῆς ἀρετῆς ὁ ἀνήρ, καὶ τῆς ἰσχύος τῆς ἐκ τοῦ πιστεύεσθαι περὶ ὧν ἂν εἴποιεν, οὐ παρ' ὃν ἔζη χρόνον ὑπῆρξε μόνον. ἀλλὰ καὶ νῦν ἐστιν οὐδεὶς Ἑβραίων ὃς οὐχὶ καθάπερ παρόντος αὐτοῦ καὶ κολάσοντος ἂν ἀκοσμῇ, πειθαρχεῖ τοῖς ὑπ' αὐτοῦ νομοθετηθεῖσι κἂν λαθεῖν δύνωνται. καὶ πολλὰ μὲν καὶ ἄλλα τεκμήρια, τῆς ὑπὲρ ἄνθρωπον αὐτοῦ δυνάμεως ἐστιν,

Quem euentum metuentes duo è speculatoribus, Iesus Nauechi filius ex tribu Ephræmitide & Chaleb ex tribu Iudæ, procedunt in medium, & populum compescunt, orantes vt bona spe sint, néve Deum insimulent mendacij, temere fidem habentes quibusdam, qui vanis sermonibus de rebus Chananæorum vulgatis multitudinem credulam territarent: quin potiùs eos sequerentur, qui illis regionem tam felicem acquirendi autores ac duces se præberent. neque enim montium magnitudinem, neque amnium profunditatem obstaturam viris fortiter rem gerere paratis, præsertim auspice Deo, & pro illis in acie præliaturo. Ite, inquiunt, posito omni timore alacres, Deóque freti, quà vos ducemus sequimini. Talibus verbis conabantur sedare tumultuantem populum: Moyses interim & Aaron procidentes in faciem supplicabant. Deo, non pro sua salute, sed vt insanientem multitudinem ad sanam mentem reduceret, tot præsentibus & instantibus necessitatibus turbatam: cùm subitò nubes super tabernaculum exorta, adesse præsentem Deum significat.

XVIII. Quo viso Moyses animatus infert se in turbam, & vltro pœnam eis à Deo tanta insolentia prouocato minatur, non tamen quantam peccati enormitas merebatur, sed qualis esse solet paterna castigatio. Sibi enim tabernaculum ingresso, & internecionem populi cum lachrymis deprecanti, commemorasse Deum, quot & quantis beneficiis affecti ingrati esse pergerent & quòd nunc speculatorum ignauia seducti, eorum verbis plus veritatis inesse putarent, quàm suis promissionibus. quamobrem non deleturum quidem totum illud quod cæteris mortalibus omnibus prætulisset: attamen terram Chananæam eiúsque vbertatem illis non concessurum, sed sine lare & sine vrbe in deserto quadraginta annis erraturos, quo peccati pœnas exsoluant. Liberis tamen eorum terram illam daturum, eósque commodorum quibus patres se per intemperantiam indignos redderent, dominos esse constituturum. His denunciationibus vulgus attonitum, totum se mœstitiæ dedidit, Moysémque obsecrabant, vt deprecaretur Deum, quo reconciliatus peccatísque condonatis, vrbes hostiles eis traderet. Ille verò negabat Deum laturum talibus se tentari precibus. Non enim temerè aut humano more ad hanc indignationem esse commotum, sed iustam hanc sententiam protulisse. Nõ est autem incredibile, Moysem vnicum virum innumera penè hominum millia concitata sedauisse, quandoquidem Deus illi præsens placabiliorem faciebat multitudinem, sæpe iam suo malo expertam, conducibilius esse non repugnare diuinæ voluntati: & alioquin etiam vir ille dignissimus est admiratione, tum ob singularem virtutem, tum ob fidem non tãtùm à seculi sui hominibus, sed à posteris etiam impetratam: quandoquidem hodie quoque nemo est Hebræorum, quin etiamsi latere possit, quasi præsentem reuereatur, & quasi pœnas exacturum, si quid præter decorum ab ipso pręscriptũ gesserit. Autoritatis eius plusquam humanę argumẽta sunt plurima, & in his illud non minimum,

quòd quidam ex regionibus vltra Euphratem sitis ad honorem nostri templi quatuor mensium iter magno sumptu, nec sine periculo emensi, sacrificióque peracto, non potuerunt tamen partem aliquam de victima consequi, existente aliqua causa, cur per leges nostras id minùs liceret. Et quidam ne sacro quidem facto, alij semiperfecto sacrificio relicto, nonnulli ne templum quidem adire permissi, re infecta rediuerunt, malentes Moysis legibus quàm suo proposito obsequi: ídque nemine redarguente, nisi propria conscientia. Tantum valet semel concepta de hoc viro opinio, vt maior homine habeatur qui leges à Deo acceptas hominibus tradidisse creditur. Nuper etiam non longè ante Iudaicum bellum principatu Claudij, pontificatum apud nos Ismaele obtinente, cùm tam valida fames regionem nostram premeret, vt assaron quatuor drachmis veniret, & in festiuitate azymorum allati essent cori septuaginta, hoc est medimni Siculi triginta & vnus, Attici verò quadraginta & vnus: nemo tamen sacerdotum ausus est micam vnam inde comedere, tanta egestate premente, legem tantum & iram diuinam veritus, quæ in occulta etiam peccata grauiter animaduertere solet. Quare non est cur aliquis miretur quæ illo tempore sunt gesta: quandoquidem etiam scripta posteris ab illo relicta tantam vim & autoritatem obtinent, vt vel inimici nostri fateantur quòd talem viuendi rationem Deus per Moysem instituerit. Sed de his quisque vt videbitur sentiat.

ἤδη δέ τινες καὶ τῶν ὑπὲρ εὐφράτην, μηνῶν ὁδὸν τεσσάρων ἐλθόντες κατὰ τιμὴν τοῦ παρ' ἡμῖν ἱεροῦ μετὰ πολλῶν κινδύνων καὶ ἀναλωμάτων, καὶ θύσαντες, οὐκ ἴσχυσαν τῶν ἱερείων μεταλαβεῖν μωυσέως ἀπηγορευκότος, ἐπί τινι τῶν οὐ νομιζομένων, οὐδ' ἐκ τῶν πατρίων ἡμῖν αὐτοῖς συντυχόντος. καὶ οἱ μὲν, μηδὲ θύσαντες, οἱ δὲ ἡμιέργους τὰς θυσίας καταλιπόντες, πολλοὶ δ' οὐδ' ἀρχὴν εἰσελθεῖν εἰς τὸ ἱερὸν δυνηθέντες, ἀπίασιν ὑπακούειν τοῖς μωυσέως προστάγμασι μᾶλλον, ἢ ποιεῖν τὰ κατὰ βούλησιν τὴν ἑαυτῶν προτιμῶντες, καὶ τὸν ἐλέγξοντα περὶ τούτων αὐτοὺς, οὐ δεδιότες, ἀλλὰ μόνον τὸ συνειδὸς ὑφορώμενοι. οὕτως ἡ νομοθεσία τοῦ θεοῦ δοκοῦσα τὸν ἄνδρα πεποίηκε τῆς αὐτοῦ φύσεως κρείττονα νομίζεσθαι. οὐ μὴν, ἀλλὰ καὶ τοῦ δὲ τοῦ πολέμου μικρὸν ἔμπροσθεν κλαυδίου ῥωμαίων ἄρχοντος, ἰσμαήλου δὲ παρ' ἡμῖν ἀρχιερέως ὄντος, καὶ λιμοῦ τὴν χώραν ἡμῶν καταλαβόντος ὡς τεσσάρων δραχμῶν πωλεῖσθαι τὸν ἀσσάρωνα, κομισθέντος ἀλεύρου κατὰ τὴν ἑορτὴν τῶν ἀζύμων εἰς κόρους ἑβδομήκοντα (μέδιμνοι δὲ οὗτοι σικελοὶ μέν εἰσιν εἷς καὶ τριάκοντα, ἀττικοὶ δὲ τεσσαράκοντα εἷς) οὐδεὶς ἐτόλμησε τῶν ἱερέων κρίμνον ἓν φαγεῖν, τοσαύτης ἀπορίας τὴν γῆν κατεχούσης, δεδιὼς τὸν νόμον καὶ τὴν ὀργὴν, ἣν καὶ ἐπὶ ἀνεξελέγκτοις ἀεὶ τὸ θεῖον τοῖς ἀδικήμασιν ἔχει. ὥς τ' οὐ δεῖ θαυμάζειν περὶ τῶν τότε πεπραγμένων, ὁπότε μέχρι καὶ νῦν τὰ καταλειφθέντα ὑπὸ μωυσέως γράμματα τηλικαύτην ἰσχὺν ἔχει, ὥστε καὶ τοὺς μισοῦντας ἡμᾶς ὁμολογεῖν ὅτι τὴν πολιτείαν ἡμῖν ὁ καταστησάμενος ἐστὶ θεὸς, διὰ μωυσέως καὶ τῆς ἀρετῆς τῆς ἐκείνου. ἀλλὰ περὶ μὲν τούτων ὡς αὐτῷ τινὶ δοκεῖ διαλήψεται.

ΤΑΔΕ

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΗ ΤΕΤΑΡΤΗ ΤΩΝ ΙΩΣΗΠΟΥ Ἱστοριῶν τῆς ἰουδαϊκῆς ἀρχαιολογίας.

Ἑβραίων δίχα τῆς μωυσέως γνώμης, μάχη πρὸς χαναναίους καὶ ἧττα. Κεφ. α.

Στάσις κορέου καὶ τοῦ πλήθους πρὸς μωυσῆν καὶ τὸν ἀδελφὸν αὐτοῦ περὶ τῆς ἱερωσύνης. Κεφ. β.

Ὡς οἱ μὲν τῆς στάσεως κατάρξαντες διεφθάρησαν κατὰ βούλησιν τοῦ θεοῦ, τὴν δὲ ἱερωσύνην ἀαρὼν ὁ μωυσέως ἀδελφὸς κατέσχε καὶ οἱ ἔγγονοι αὐτοῦ. Κεφ. γ.

Τὰ συμβάντα τοῖς ἑβραίοις ἐν τῇ ἐρήμῳ ἔτεσι ὀκτὼ καὶ τριάκοντα. Κεφ. δ.

Ὡς σηχῶνα καὶ ὤγην τοὺς ἀμορραίων βασιλεῖς νικήσας μωυσῆς, καὶ τὴν στρατιὰν ἅπασαν αὐτῶν διαφθείρας, κατεκληρώσεν αὐτῶν τὴν χώραν δυσὶ φυλαῖς καὶ ἡμισείᾳ τῶν ἑβραίων. Κεφ. ε.

Περὶ βαλάμου τοῦ μάντεως. Κεφ. ς.

Ὡς ἐπὶ μαδιανίτας ἑβραῖοι στρατεύσαντες, ἐκράτησαν αὐτῶν. Κεφ. ζ.

Ἡ μωυσέως πολιτεία, καὶ πῶς ἐξ ἀνθρώπων ἠφανίσθη. Κεφ. η.

HÆC IN QVARTO IOSEPHI HISTORIARVM DE Antiquitate Iudaica libro continentur.

Hebræorum inſcio Moyſe cum Chananæis pugna & cædes. Cap. I.

Seditio per Corem aduerſus Moyſem & fratrem propter ſacerdotium excitata. Cap. II.

Quomodo ſeditionis concitatoribus diuina vltione extinctis ſacerdotium Aaroni & filiis eſt confirmatum. Cap. III.

Quæ Hebræis in deſerto per annos xxxviii. obuenerunt. Cap. IV.

Quomodo Moyſes deuicit Sechonem & Ogem Amoræorum reges, deleuitque eorum copias, & in ſortem dedit eorum regionem duabus Hebræorum tribubus & dimidiæ. Cap. V.

De Balamo vate. Cap. VI.

De victoria Hebræorum aduerſus Madianitas. Cap. VII.

Moyſis leges, & quomodo ex hominibus eſt ſublatus. Cap. VIII.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΙΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

FLAVII IOSEPHI ANTIQVITATVM IVDAICARVM

LIBER QVARTVS.

Cap. I.

Hebræorum inscio Moyse cum Chananæis pugna & clades.

I. *Num. 14.* HEbræos autem duram vitam in deserto agentes, & multis miseriis afflictos, nihil peius habuit, quàm quod Deus non sinebat eos armis cum Chananæis experiri: nec iá amplius Moysen audire volebant quiescere iubentem, rati etiam sine illius auspiciis victoriam de hoste se posse obtinere: accusabántque eú, quasi hoc tantum agentem, vt in magna inopia constituti, semper ab illius consiliis penderent: & omnino pugnare decreuerút, auxilium Dei sibi pollicentes, non tam Moysis respectu, quàm quòd in eius tutela iam inde à maioribus essent: & quos prius ob pietatem dignos libertate duxisset, eis nunc quoque si rem strenuè gerant, victoriam non negaturum. Satis sibi virium aduersus eas gentes, etiam si Moyses Deum ab ipsis alienare conetur: omninóque expedire sibi vt arbitratu suo potiùs rem gerant, quàm pro excussa Ægyptiorum seruitute Moysis tyrannidem suscipiant, eiusque libidini seducti pareant, iactantis diuina colloquia, quibus vt Deo præ cæteris carus de rebus gerendis præmoneatur: quasi verò non omnes ex æquo Abrahæ essent posteri, vt vnus singulari gratia præscientiam futurorum diuinitus habere debeat. Prudentium esse, vt contempta vnius hominis arrogantia, Deo potiùs promissori credentes, ad acquirendam eam regionem se expediant, neque diutius sub Dei prætextu verba sibi dari sinant. Cogitandum de præsenti inopia quam loca deserta grauiorem in dies reddát, & ductore Deo manus cú Chananæis quamprimú conserendas, nec amplius assensum legislatoris exspectandum. Comprobata deinde omnium calculis hac sententia, populariter in hostes vadunt: qui neque feroci eorum impetu,

A

Κεφάλαιον α΄.

Ἑβραίων δίχα τῆς Μωυσέως γνώμης, μάχη πρὸς χαναναίους καὶ ἧττα.

ΕΒΡΑΙΟΥΣ δὲ ὁ κατὰ τὴν ἐρημίαν βίος ἀηδὴς καὶ χαλεπὸς ὢν, ἐπείγε, καὶ κωλύοντος τοῦ θεοῦ τὴν χαναναίων πεῖραν λαμβάνειν. οὐ γὰρ ἠξίουν τοῖς Μωυσέως πειθαρχοῦντες λόγοις ἠρεμεῖν· ἀλλὰ καὶ δίχα τῆς παρ' ἐκείνου προθυμίας κρατήσειν αὐ- B τοὶ τῶν πολεμίων νομίσαντες, κατηγόρουν μὲν αὐτοῦ, καὶ πραγματεύεσθαι μένειν αὐτοὺς ἀπόρους ὑπενόουν, ἵν' ἀεὶ τῆς ἐξ αὐτοῦ βοηθείας δέωνται. πολεμεῖν δὲ τοῖς χαναναίοις ὡρμήκεσαν, λέγοντες τὸν θεὸν οὐχὶ Μωυσῇ χαριζόμενον ἐπικουρεῖν αὐτοῖς, ἀλλὰ καὶ κοινῇ κηδόμενον αὐτῶν τοῦ ἔθνους διὰ τοὺς προγόνους ὧν ἐπετρόπευσε. καὶ διὰ τὴν αὐτῶν ἀρετὴν, πρότερόν τε παρασχεῖν τὴν ἐλευθερίαν, καὶ νῦν βουλομένοις πονεῖν, ἀεὶ παρέσεσθαι C σύμμαχον, εἶναί τε καὶ κατ' αὐτοὺς ἱκανοὶ κρατεῖν τῶν ἐθνῶν ἔφασκον, κἂν ἀπαλλοτριοῦν αὐτῶν Μωυσῆς ἐθελήσῃ τὸν θεόν, ὅλως τε συμφέρειν αὐτοῖς τὸ αὐτοκράτορσιν εἶναι, καὶ μὴ χαίροντας ἐπὶ τῷ τῆς παρ' αἰγυπτίων ἐξελθεῖν ὕβρεως, Μωυσῆν τύραννον ἀνέχεσθαι, καὶ ζῆν πρὸς τὴν τούτου βούλησιν ἐξαπατωμένους, ὅτι μόνῳ τὸ θεῖον αὐτῷ προδηλοῖ περὶ τῶν ἡμετέρων κατὰ τὴν πρὸς αὐτὸν εὔνοιαν, ὡς οὐχ ἁπάντων ἐκ τῆς ἀβράμου γενεᾶς ὄντων, ἀλλ' αὐτὸν ἕνα τῶν τοῦ θεοῦ παρεσχηκότος, εἰς τὸ D πάντ' αὐτὸν εἰδέναι τὰ μέλλοντα, παρ' αὐτοῦ μανθάνοντα. δόξειν τε συνετοὺς εἶναι εἰ τῆς ἀλαζονείας αὐτοῦ καταγνόντες, καὶ τῷ θεῷ πιστεύσαντες κτήσασθαι γῆν ἣν αὐτοῖς ὑπέσχηται θελήσωσιν, ἀλλὰ μὴ τῷ διὰ τὴν αἰτίαν ταύτην ἐπ' ὀνόματι τοῦ θεοῦ κωλύοντι προσέχοιεν. τὴν ἀπορίαν οὖν λογιζόμενοι, καὶ τὴν ἐρημίαν, ὑφ' ἧς ἔτι ταύτην αὐτοῖς χείρω συνέβαινεν εἶναι δοκεῖν, ἐπὶ τὴν πρὸς E τοὺς χαναναίους μάχην ἦσαν ὡρμημένοι, τὸν θεὸν προστησάμενοι στρατηγὸν, ἀλλ' οὐχὶ τὴν παρὰ τοῦ νομοθέτου συνεργίαν περιμένοντες. ὡς οὖν ταῦτ' ἄμεινον αὐτοῖς ἕξειν ἔκριναν, καὶ τοῖς πολεμίοις ἐπῆλθον. οἱ μὲν οὐ καταπλα-

καταπλαγέντες αὐτῶν τὴν ἔφοδον, οὐδὲ τὴν πληθὺν, γενναίως αὐτοὺς ἐδέξαντο. τῶν δὲ ἑβραίων ἀποθνήσκουσί τε πολλοὶ, καὶ τὸ λοιπὸν στράτευμα τῆς φάλαγγος αὐτῶν διαλυθείσης ἀκόσμως διωκόμενον, εἰς τὴν παρεμβολὴν συνέφυγε. καὶ τῷ παρ' ἐλπίδας δυστυχῆσαι παντάπασιν ἀθυμοῦν, οὐδὲν ἔτι χρηστὸν προσεδόκα, λογιζόμενον ὅτι καὶ ταῦτα κατὰ μῆνιν θεοῦ πάθοιεν, προεξορμησάντων ἐπὶ τὸν πόλεμον τῆς ἐκείνου δίχα βουλήσεως. μωυσῆς δὲ τοὺς μὲν οἰκείους ὁρῶν ὑπὸ τῆς ἥττης καταπεπληγότας, φοβούμενος δὲ μὴ θαρσήσαντες ἐπὶ τῇ νίκῃ οἱ πολέμιοι, καὶ μειζόνων ὀρεχθέντες ἐπ' αὐτοὺς ἔλθοιεν, ἔγνω δεῖν τὴν στρατιὰν ἀπαγαγεῖν πορρωτέρω τῶν χαναναίων εἰς τὴν ἔρημον. καὶ τοῦ πλήθους ἐπιτρέψαντος αὐτὸν πάλιν ἐκείνῳ, συνῆκε γὰρ δίχα τῆς αὐτοῦ προνοίας οὐ δυνησόμενον ἐρρῶσθαι τοῖς πράγμασιν, ἀναστήσας τὸ στράτευμα, προῆλθεν εἰς τὴν ἔρημον, ἐνταῦθα νομίζων ἡσυχάσειν αὐτοὺς, καὶ μὴ πρότερον τοῖς χαναναίοις εἰς χεῖρας ἥξειν πρὶν ἢ παρὰ τοῦ θεοῦ τὸν εἰς τοῦτο καιρὸν λάβωσιν. ὅπερ δὲ τοῖς μεγάλοις συμβαίνει στρατοπέδοις, καὶ μάλιστα παρὰ τὰς κακοπραγίας δυσαρέστοις εἶναι καὶ δυσπειθέσι, τοῦτο καὶ τοῖς ἰουδαίοις συνέπεσεν. ἑξήκοντα γὰρ ὄντες μυριάδες, καὶ διὰ τὸ πλῆθος ἴσως οὐδὲ ἐν ἀγαθοῖς ὑποταγέντες τοῖς κρείττοσι, τότε μᾶλλον ὑπὸ τῆς ἀπορίας καὶ τῆς συμφορᾶς ἐξηγανάκτουν καὶ πρὸς ἀλλήλους καὶ πρὸς τὸν ἡγεμόνα. στάσις οὖν αὐτοὺς οἵαν οὐκ ἴσμεν, οὔτε παρ' ἕλλησιν οὔτε παρὰ βαρβάροις γενομένην, κατέλαβεν. ὑφ' ἧς ἅπαντας ἀπολέσθαι κινδυνεύσαντας, ἔσωσε μωυσῆς, οὐ μνησικακῶν, ὅτι παρ' ὀλίγον ἦλθε καταλευσθεὶς ὑπ' αὐτῶν ἀποθανεῖν. οὐδὲ ὁ θεὸς δὲ ἠμέλησε τοῦ μηδὲν αὐτοὺς παθεῖν τῶν δεινῶν. ἀλλὰ καίπερ εἰς τὸν νομοθέτην αὐτῶν ἐξυβρισάντων, καὶ τὰς ἐντολὰς ἃς αὐτὸς διὰ μωυσέως αὐτοῖς ἐπέστειλεν, ἐρρύσατο τῶν ἐκ τοῦ στασιάζειν αὐτοῖς ἀναγενομένων δεινῶν εἰ μὴ προενόησε. τήν τε οὖν στάσιν καὶ ὅσα μετὰ ταύτην μωυσῆς ἐπολιτεύσατο, διηγήσομαι, προδιελθὼν τὴν αἰτίαν ἀφ' ἧς ἐγένετο.

Κεφάλαιον β'.

Στάσις κορέου καὶ τοῦ πλήθους πρὸς μωυσῆν καὶ τὸν ἀδελφὸν αὐτοῦ περὶ τῆς ἱερωσύνης.

ΚΟρῆς ἑβραίων ἐν τοῖς μάλιστα καὶ γένει καὶ πλούτῳ διαφέρων, ἱκανὸς δὲ εἰπεῖν καὶ δήμοις ὁμιλεῖν πιθανώτατος, ὁρῶν ἐν ὑπερβαλλούσῃ τιμῇ τὸν μωυσῆν καθεστῶτα, χαλεπῶς εἶχεν ὑπὸ φθόνου. καὶ γὰρ φυλέτης ὢν ἐτύγχανεν αὐτοῦ καὶ συγγενής. ἀχθόμενος ὅτι ταύτης τῆς δ[illegible] δικαιότερον αὐτῷ πλουτεῖν ἐκείνου μᾶλλον, μὴ χεῖρον ὢν κατὰ γένος αὐτὸς ὑπέλαβε. παρά τε τοῖς λευίταις, φυλέται δὲ ἦσαν, καὶ μάλιστα παρὰ τοῖς συγγενέσι, κατεβόα. δεινὸν εἶναι λέγων μωυσῆν δόξαν αὐτῷ θηρώμενον κατασκευάσαι, καὶ κακουργοῦντα κτήσασθαι ταύτην ἐπὶ προφάσει τοῦ θεοῦ παρορᾶν, παρὰ τοὺς νόμους μὲν τἀδελφῷ τὴν ἱερωσύνην ἀαρῶνι δόντα, μὴ τῷ κοινῷ δόγματι τοῦ πλήθους ἀλλ' αὐτοῦ ψηφισαμένου. τυραννεῖ δὲ τρόπῳ καταχαριζόμενον τὰς τιμὰς οἷς ἂν θελήσῃ, χαλεπώτερον ἤδη τυγχάνειν τοῦ βιάζεσθαι τότε λεληθότως ἐξυβρίζειν,

neque immensa multitudine perterriti. irruentes in se excipiunt fortiter: & bona parte Hebræorum cæsa, reliquos turpiter vertere terga coactos insequendo, trepidos in castra compellunt. Ea clades præter omnium opinionem oblata vehementer animos multitudinis deiecit, peiora metuentis, cogitantisque ab irato numine immissam esse, eo quòd non expectato oraculo ad pugnam prorupissent. Moyses autem videns tum suos accepta clade consternatos, tum hostem victoria recenti elatum, veritus ne præsenti successu non contentus maiora moliretur, decreuit copias retro in desertum reducere. Cúmque populus posthac in ducis potestate se fore polliceretur, malo admonitus nihil absque ipsius consilio prosperè cessurum motis castris itum est in desertum hoc animo, vt non prius contra Chananæos pugnam capesserent, quàm signo diuinitus accepto. Sed quemadmodum in exercitu ingenti vsu venit maximè rebus aduersis, vt difficiles se moderatoribus præbeant, ita Iudæis etiã idem accedit. Quum enim essent numero sexcenta millia, & vel in secunda fortuna parum tractabiles prefectis viderentur, tanto magis inegestate ac infortunio tam in se inuicem quàm in imperatorem suum exasperabantur. Quapropter tanta seditione est laboratum, quantam nec apud Græcos nec apud Barbaros vnquam fuisse accepimus. quæ res dubio procul in extremum iam periculum delatos perdidisset, ni Moyses oblitus acceptæ iniuriæ, quòd minimum abfuit quin lapidaretur, rebus labantibus opem attulisset. Ac ne Deus quidem curam eorum prorsus abiecit, sed tametsi contumeliosos non solùm erga legis latorem, verùm etiam in mãdata diuina per Moysem accepta, liberauit tamen è perniciosissima seditione, cuius absque sua prouidentia non nisi tristissimus exitus expectari poterat. Hanc seditionem, & quemadmodum ea sedata Moyses rem administrauerit nunc dicemus, causa eius primùm exposita.

CAP. II.

Seditio per Corem aduersus Moysem & fratrem propter sacerdotium excitata.

II. *Num. 16.*

COres vir genere & opibus inter Hebreos claros, & populari quadam facundia præditus, videns Moysem in celso dignitatis constitutum, molestè ac inuidenter id ferebat. Cùm enim esset ex eadem tribu & cognatione, iniquum censebat se illi posthaberi, & diuitiis pollentiorem & genere nihilo inferiorem: multáque in illum apud contribules Leuitas & inter cognatos concionabundus vociferabatur, rem indignam dictitans, nec diutius ferẽdam, Moysem ambitiosis artibus sub prætextu cuiusdam diuinitatis cum aliorum iniuria suę tãtum gloriȩ studere: & nuper præter ius & fas sacerdotiũ absq. populi suffragio fratri Aaroni dedisse, & alias dignitates quasi tyrannide arrepta pro libidine distribuere. Grauem hác esse iniuriam, quòd ita latẽter se in dominationẽ insinuet, vt priusquã sẽtiri possit, populi libertas opprima-

tur. Qui enim principatu ſe dignum ſibi ſit conſcius, cum volente ac perſuaſo populo ſine vi ad tale faſtigium aſpirare. Qui verò bonis artibus eò peruenire deſperét, à vi quidem abſtinere ne bonitatis ac honeſtatis opinionem amittát, ſed technis malicioſis ad id conſequédum niti. Talium conatus in medium protractos puniri è republica eſſe, priuſquam è clancularijs inſidiatoribus aperti hoſtes euadant. Quam enim rationem Moyſem afferre poſſe, cur Aaroni potiſſimum & filiis ſacerdotium dederit. Si enim ex Leuitica tribu alicui honor is ex diuina voluntate deberetur, ſe merito fuiſſe præferendum, genere Moyſi parem, ætate atque opibus potiorem. quòd ſi antiquiſſimę tribus ratio haberetur, optimo iure viris Rubelitidis tribus dignitatem eam deferendam, Dathamo, Abironi, & Phalao, diuitiis iuxta ac ætate inter contribules præminentibus. Hæc Cores, videri volens reipublicæ curam habere, reuera hoc tantùm agens, vt concitato populo pontificatum inuaderet. Nec diu ſe intra vnam tribum hæ criminationes cótinuerunt, verùm ſparſus paulatim rumor, dum quiſque auditis de ſuo aliquid addit, totis iam caſtris peruagabatur: breuíque eo res deuenit, vt ducéti quinquaginta è primatibus factionem Coræ ſequerentur, qui omnes operam dabant, vt ſacerdotium fratri Moyſis ademptum in illum transferretur. populus præterea tam concitatus erat vt ad lapides conclamaretur: concurrebátque incondita multitudo in concionem, vbi ſtans ante Dei tabernaculum vociferabatur, tollendum tyrannum, & populum è ſeruitute eximendum, cui ſub religionis prætextu dura imperata imponerentur. Deum enim ſi ipſe eſſet ſacerdotis elector, aliquem dignum fuiſſe ad hunc honorem prouecturum, non eum qui multis eſſet merito poſthabendus: vel ſi Aaroni eum dare decreuiſſet, populi ſuffragio potius quàm fratris beneficio fuiſſe daturum. Moyſes autem qui Coræ calumnias non ignorabat, videns populum irritatum nequaquam expauit: ſed fretus conſcientia rei bene adminiſtratæ, & ſciens fratrem electione Dei perueniſſe ad ſacerdotium, non ſua gratia, prodiit in concionem: & quoniam non erat imperitus artium quibus vulgus tractandum eſt, ad Corem verſus elata voce: Mihi, inquit, Cores, vel tu, vel vnus quiuis ex iſtis, intenta in ducentos & quinquaginta viros manu, honore digni videmini: imò ne reliquam quidem concionem contemno, etiam ſi vobis diuitiis & cæteris dotibus non ſint conferendi. Nam nec Aaron ideo ſacerdotio potitur, quia ditior. Tu enim ampliores quàm vterque noſtrûm, facultates poſſides. neque quia nobilior. Commune enim vniuerſis genus nobis Deus voluit, cuius eundem cunctis autorem dedit. neque fraterno affectu motus quod aliis debebatur, fratri contuli. Niſi enim ius & fas præ oculis habuiſſem, nequaquam oblitus mei, dediſſem alteri: cùm nemo ſit mihi me ipſo propinquior, & mihi non minus quã illi bene velim.

ὅτι μὴ μόνον ἄκοντας μὴ δὲ συνιέντας τῆς ἐπιβουλῆς τὴν ἰσχὺν ἀφαιρεῖται. ὅς τις γὰρ αὑτῷ σύνοιδεν ὄντι λαβεῖν ἀξίῳ, πείθει τυγχάνειν αὐτὸν καὶ ταῦτα βιάσασθαι μὴ θρασυνόμενον. οἷς δὲ ἄπορον ἐκ τοῦ δικαίου τιμᾶσθαι, βίαν μὲν ἀγαθοὶ βουλόμενοι δοκεῖν οὐ προσφέρουσι, τέχνῃ δὲ εἶναι κακουργοῦσι δυνατοί. συμφέρειν δὲ τῷ πλήθει τοὺς τοιούτους ἔτι λανθάνειν οἰομένους κολάζειν, καὶ μὴ παρελθεῖν εἰς δύναμιν ἐάσαντας, φανεροὺς ἔχειν πολεμίους. τίνα γὰρ καὶ λόγον ἀποδοῦναι δυνάμενος μωυσῆς, ἀαρῶνι καὶ τοῖς υἱοῖς αὐτοῦ τὴν ἱερωσύνην παρέδωκεν; εἰ μὲν γὰρ τῆς λευίτιδος φυλῆς τὴν τιμὴν ὁ θεὸς τινὶ παρασχεῖν ἔκρινεν, ἐγὼ ταύτης δικαιότερος τυγχάνειν· γένει μὲν ὁ αὐτὸς ὢν μωυσεῖ, πλούτῳ δὲ καὶ ἡλικίᾳ διαφέρων. εἰ δὲ τῇ πρεσβυτάτῃ τῶν φυλῶν, εἰκότως ἂν ἡ ῥουβήλου τὴν τιμὴν ἔχοι, λαμβανόντων αὐτὴν δαθάμου καὶ ἀβιράμου καὶ φαλαοῦ. πρεσβύτατοι γὰρ οὗτοι τῶν ταύτην τὴν φυλὴν νεμομένων, καὶ δυνατοὶ χρημάτων περιουσίᾳ. ἐβούλετο μὲν οὖν ταῦτα λέγων ὁ κορῆς, τοῦ κοινοῦ προνοεῖσθαι δοκεῖν. ἔργῳ δὲ εἰς ἑαυτὸν ἐπραγματεύετο τὴν παρὰ τοῦ πλήθους τιμὴν μεταστῆσαι. καὶ ὁ μὲν ταῦτα κακοήθως, μετ' εὐπρεπείας πρὸς τοὺς φυλέτας ἔλεγε. προϊόντος δὲ εἰς τοὺς πλείονας κατ' ὀλίγον τοῦ λόγου, καὶ τῶν ἀκροωμένων προστιθεμένων ταῖς κατ' ἀαρῶνος διαβολαῖς, ἀναπίμπλαται τούτων ἅπας ὁ στρατός. ἦσαν δὲ οἱ συντεταγμένοι τῷ κορῇ πεντήκοντα καὶ διακόσιοι τῶν πρώτων ἄνδρες, σπεύδοντες ἀφελέσθαι τὴν ἱερωσύνην τὸν μωυσέως ἀδελφόν, καὶ τοῦτον αὐτὸν ἀτιμοῦν. ἠρέθιστο δὲ καὶ τὸ πλῆθος, καὶ βάλλειν τὸν μωυσῆν ὡρμήκεσαν, εἴς τε ἐκκλησίαν ἀκόσμως μετὰ θορύβου καὶ ταραχῆς συνελέγοντο. καὶ περὶ τῆς σκηνῆς τοῦ θεοῦ πάντες ἐβόων διώκειν τὸν τύραννον, καὶ τῆς ἀπ' αὐτοῦ δουλείας ἀπηλλάχθαι τὸ πλῆθος, τῇ τοῦ θεοῦ προφάσει βίαια προστάγματα κελεύοντος. τὸν γὰρ θεὸν εἴπερ αὐτὸς ἦν ὁ τὸν ἱερασόμενον ἐκλεγόμενος, τὸν ἄξιον ἂν εἰς τιμὴν παραγαγεῖν, οὐχὶ τοῖς πολλῶν ὑποδεεστέροις ταύτην φέροντα προνεῖμαι. κρίνοντά τε παρασχεῖν ἀαρῶνι ταύτην, ἐπὶ τῷ πλήθει ποιήσασθαι τὴν δόσιν ἀλλ' οὐκ ἐπὶ τἀδελφῷ καταλιπεῖν. μωυσῆς δὲ τὴν κορέου διαβολὴν ἐκ πολλοῦ προειδὼν, καὶ τὸν λαὸν παρωξυμμένον ἰδὼν, οὐκ ἔδεισεν. ἀλλὰ θαρρῶν οἷς περὶ τῶν πραγμάτων καλῶς ἐβουλεύετο, καὶ τὸν ἀδελφὸν εἰδὼς κατὰ τὴν τοῦ θεοῦ προαίρεσιν τῆς ἱερωσύνης τυχεῖν, ἀλλ' οὐ κατὰ τὴν αὐτοῦ χάριν, ἧκεν εἰς τὴν ἐκκλησίαν. καὶ πρὸς μὲν τὸ πλῆθος οὐδένα ἐποιήσατο λόγον. πρὸς δὲ τὸν κορῆ βοῶν ἐφ' ὅσον ἠδύνατο, δεξιὸς ὢν καὶ κατὰ τἆλλα καὶ πλήθεσιν ὁμιλεῖν εὐφυὴς, ἐμοί φησιν ὦ κορῆ, καὶ σὺ καὶ τούτων ἕκαστος, ἀπεδήλου δὲ τοὺς πεντήκοντα καὶ διακοσίους ἄνδρας, τιμῆς ἄξιοι δοκεῖτε. καὶ τὸν ὅμιλον δὲ πάντα τῆς ὁμοίας οὐκ ἀποστερῶ τιμῆς, κἂν ὑστερῶσιν ὧν ὑμεῖς ἐκ πλ[illegible] τῆς ἄλλης ἀξιώσεως ὑπάρχετε. καὶ νῦν ἀαρῶνι τ[illegible]ύνην οὐκ ἐπειδὴ πλούτῳ προεῖχε. σὺ γὰρ καὶ ἀμφοτέρους ἡμᾶς μεγέθει χρημάτων ὑπερβάλλεις. οὐ μὴν οὐδὲ εὐγενείᾳ. κοινὸν γὰρ ἡμῖν τοῦτ' ἐποίησεν ὁ θεὸς, τὸν αὐτὸν δοὺς προπάτορα. οὐδὲ διὰ φιλαδελφίαν, ὃ δικαίως ἂν ἕτερος εἶχε τοῦτο γέρας ἔδωκα τἀδελφῷ. καὶ γὰρ εἰ μὴ φροντίζων τοῦ θεοῦ καὶ τῶν νόμων τὴν τιμὴν ἐχαριζόμην, οὐκ ἂν ἐμαυτὸν παρεὶς δοῦναι παρέχον ἑτέρῳ συγγενέστερος ὢν ἐμαυτῷ τἀδελφοῦ, καὶ πρὸς ἐμαυτὸν οἰκειότερον ἢ πρὸς ἐκεῖνον διακείμενος.

καὶ

καὶ γὰρ οὔτε συνετὸν ἦν τοῖς κινδύνοις ἐμαυτὸν ὑποτεθέντα τοῖς ἐκ τοῦ παρανομεῖν, ἄλλῳ τὴν διὰ ταῦτα εὐδαιμονίαν χαρίζεσθαι. ἀλλ' ἐγώ τε κρείττων ἢ κακουργεῖν, ὅτε θεὸς οὐκ ἂν περιεῖδεν ἑαυτὸν καταφρονούμενον, οὐδ' ὑμᾶς ἀγνοοῦντας, ὅτι καὶ ποιοῦντες αὐτῷ χαρίζεσθαι. ἀλλ' αὐτὸς ἐπιλεξάμενος τὸν ἱερασόμενον αὐτῷ, τῆς κατὰ τοῦτο αἰτίας ἡμᾶς ἠλευθέρωσεν. οὐ μὴν ὡς ἐμῆς χάριτος λαβὼν, ἀλλὰ κατὰ κρίσιν θεοῦ, κατατίθησιν αὐτὴν εἰς μέσον ἐπιδικάσιμον τοῖς βουλομένοις, ἐκ τοῦ προκεκρίσθαι ἤδη τυχὼν αὐτῆς ἀξιῶν ἐπιψηφίσασθαι, καὶ τοῦ νῦν αὐτῷ συγ[χωρηθῆν]αι περὶ αὐτῆς σπουδάσαι, προτιμῶν τοῦ τὸ γέρας ἔχειν, τὸ μὴ στασιάζοντας ὑμᾶς ὁρᾶν, καίτοι κατὰ τὴν ὑμετέραν γνώμην αὐτοῦ τυγχάνων. ὁ γὰρ ἔδωκεν ὁ θεὸς, οὐχ ἡμαρτάνομεν τοῦτο καὶ βουλομένων ὑμῶν λαβεῖν νομίζοντες. ἦν δὲ καὶ τὸ μὴ προσέσθαι παρέχοντος ἐκείνου τὴν τιμὴν ἀσεβές. καὶ πάλιν ἀξιοῦντος ἔχειν εἰς ἅπαντα χρόνον, καὶ τὴν ἀσφάλειαν τὴν ἐπ' αὐτῇ βεβαιοῦντος ἡμῖν τοῦ θεοῦ, παντάπασιν ἄλογον. κρινεῖ τοίνυν πάλιν αὐτὸς, τίνας βούλεται τὰς ὑπὲρ ὑμῶν αὐτῷ θυσίας ἐπιτελεῖν, καὶ προεστάναι τῆς εὐσεβείας. ἄτοπον γὰρ κορὴν ἐφιέμενον τῆς τιμῆς, τὴν ἐξουσίαν τοῦ τίνι παρασχεῖν ταύτην ἀφελέσθαι τὸν θεόν. τῆς οὖν στάσεως καὶ τῆς διὰ τοῦτο ταραχῆς παύ[σασθε] [illegible]. περὶ δὲ ὅσοι τῆς ἱερωσύνης ἀντιποιεῖσθε, κομίζων ἕκαστος θυμιατήριον οἴκοθεν σὺν θυμιάμασι καὶ πῦρ παρέστω. καὶ σὺ δὲ κορῆ, παραχωρήσας τὴν κρίσιν τῷ θεῷ, τὴν ἐπὶ τούτοις αὐτοῦ μένε ψηφοφορίαν, ἀλλὰ καὶ μὴ σαυτὸν ποίει τοῦ θεοῦ κρείττονα. παραγίνου δὲ κριθησόμενος οὕτως περὶ τοῦ γέρως. ἀνεμέσητον δ' οἶμαι καὶ ἀαρῶνα προσδέξασθαι συγκριθησόμενον, γένους μὲν ὄντα τοῦ αὐτοῦ. μηδὲν δὲ μεμφθῆναι τοῖς παρὰ τὴν ἱερωσύνην πεπραγμένοις δυνάμενον. καὶ θυμιάσατε συνελθόντες ἐν φανερῷ παντὶ τῷ λαῷ. καὶ θυμιωμένων ὑμῶν, οὗ περ ἂν τὴν θυσίαν ἥδιον κρινεῖεν ὁ θεὸς, οὗτος ὑμῖν ἱερεὺς κεχειροτονήσεται, τῆς ἐπὶ τἀδελφῷ διαβολῆς κεχαρισμένης τὴν τιμὴν αὐτῷ ῥυόμενος. ταῦτα μωυσέως εἰπόντος, παύεται καὶ τῆς ταραχῆς τὸ πλῆθος, καὶ τῆς εἰς μωυσῆν ὑποψίας. ἐπῄνεσαν δὲ τοῖς εἰρημένοις, καὶ γὰρ ἦν καὶ ἐδόκει χρηστὰ τῷ λαῷ. τότε μὲν οὖν διαλύουσι τὸν σύλλογον.

Κεφάλαιον γ'.

Ὡς οἱ μὲν τῆς στάσεως κατάρξαντες, διεφθάρησαν κατὰ βούλησιν τοῦ θεοῦ, τὴν δ' ἱερωσύνην ἀαρὼν ὁ μωυσέως ἀδελφὸς κατέσχε καὶ οἱ ἔγγονοι αὐτοῦ.

ΤΗ δ' ἐπιούσῃ συνῆλθον εἰς τὴν ἐκκλησίαν, παρατευξόμενοι τῇ θυσίᾳ, καὶ τῇ δι' αὐτῆς κρίσει τῶν περὶ τῆς ἱερωσύνης ἀγωνιζομένων. συνέβαινε δ' εἶναι θορυβώδη τὴν ἐκκλησίαν, μετεώρου τοῦ πλήθους ὄντος ἐπ' ἐλπίσι τῶν ἐσομένων. καὶ τῶν μὲν εἰς ἡδονὴν λαμβανόντων, εἰ μωυσῆς ἐλεγχθείη κακουργῶν. τῶν δὲ φρονίμων, εἰ πραγμάτων ἀπαλλαγείησαν καὶ ταραχῆς. ἐδεδίεισαν γὰρ, μὴ τῆς στάσεως προϊούσης ἀφανισθῇ μᾶλλον αὐτοῖς ὁ κόσμος τῆς καταστάσεως. ὁ δὲ πᾶς ὅμιλος φύσει χαίροντι τῷ καταβοᾶν τῶν ἐν τέλει, καὶ πρὸς ὅ τις εἴποιεν, πρὸς τοῦτο τὴν γνώμην τρέπων ἐθορύβει. πέμψας δὲ καὶ μωυσῆς πρὸς ἀβίραμον καὶ διθάμνην ὑπηρέτας, ἐκέλευσεν ἥκειν κατὰ τὰ συγκείμενα,

A & alioqui qualis erat prudentiæ, me violati iuris reum facere, & huius facinoris premium alteri cedere? Verùm & à mea probitate absit tale scelus, neque Deus sustinuisset aut se contemni aut vos ignorare quid illi gratissimum facturi essetis. Ipse sacerdotem sibi elegit, ipse ab hoc crimine immunem me reddidit. Attamen licèt non meo beneficio, sed diuina electione hunc honorem adeptus, non dubitat in medium depositum
B vestris suffragiis committere, nullam prærogatiuam postulans ex eo quòd hactenus eo sit legitimè functus, vt qui omni ambitione posita, malit vos sine seditione videre, tametsi vestris etiam calculis antè iam comprobatus. neque enim Dei voluntatem in hoc læsimus, quòd vestrum etiam assensum accedere voluimus. sed quod ille vltro detulit, salua pietate recusare non licuit: quemadmodum & illud æquum est, vt qui semel dedit, suum donum ratum
C ac perpetuum efficiat. Quamobrem iudicabit denuò quem velit pro vobis sacra facere, & pietatis vestræ antistitem esse. Iniquissimum enim fuerit: Corem per ambitionem obstare, quo minus liberam electionem sui sacerdotis habeat. Nihil est igitur quòd seditionibus turbemini, quantum ad hanc causam attinet. Cras mane cum sua quisque acerra & igne ac odoramentis adesto. Tu verò Cores, cede Deo, & calculum eius expecta, neque maiorem quàm
D Deus habeat, autoritatem tibi arroga: sed tu quoque inter cæteros huius honoris competitores iudicandus adesto, nec video cur vel Aaron à petitione debeat excludi, eodem genere natus, & qui iam in hac functione irreprehensibile sui specimen dedit. vbi verò conueneritis, coram toto populo suffitum facitote, & cuius sacrificium acceptius Deo fuerit, cum mea quoque autoritate confirmabo, méque ab hac calumnia collatæ per priuatam gratiam in fra-
E trem summæ dignitatis exoluam. His auditis turba & tumultuari simul, & malè suspicari de Moyse destitit: & insuper consilium eius collaudauit tanquam è republica futurum: atque ita concio dimittitur.

CAP. III.

Quomodo seditionis concitatoribus diuinâ vltione extinctis sacerdotium Aaroni & filiis est confir-
F *matum.*

POstera verò die reditur in cōcionem vt sacro facto interessent diuino iudicio, per quod competitorum certamen erat dirimendum: erátque nonnihil tumultus, multitudine suspensa ad euentus expectationem, quibusdam Moysen in ordinem redigi cupientibus: qui verò prudentiores erant, seditionum finem exoptantibus, timebant enim ne actum esse de re-
G publica si vlteriꝰ seditio procederet. multitudo quoque natura nouarum rerum cupida, & ad obloquendum magistratibus prona, omnibus rumoribus circūferebatur. Moyses autem missis ad Dathamum & Abironem viatoribus,

Num. 16.

iuſſit vt ad condictum venirent ſacris interfuturi. poſtquam autem negauerunt ſe obtemperaturos, neque diutius paſſuros Moyſi potentiam artibus malis quæſitam in populo augeri: his renunciatis aſſumptiſque aliquot præſtantioribus non eſt dedignatus ad contumacem Dathami factionem venire, ſequentibus ſe libenter quos iuſſerat. Tum Dathamus cum ſuis audito Moyſen cum primatibus ad ſe aduentare, progreſſi cum liberis & vxoribus ante tabernacula, expectabant quidnam acturus eſſet. aderant etiam ſatellites qui arcerent eum ſi quid vi agere vellet. ille verò iam propior ſublatis in cælum manibus, & elata voce vt à tota multitudine exaudiri poſſet, Domine, inquit cæli & terræ ac maris, vt qui mihi teſtis es fide digniſſimus, quòd quicquid hactenus feci, ex tua ſententia feci, qui miſeratus res Hebræorum perpetuus adiutor mihi fuiſti, exaudi hanc orationem. tu enim ſcis omnia, ipſas etiam cogitationes hominum: quapropter non dedignaberis rei veritatem atque iſtorum ingratitudinem in medium proferre. Noſti ſanè exactè & illa quæ natiuitatem meam præceſſerunt, viſa nimirum non audita: nunc in illis rebus teſtimonio tuo me ſubleua, quas iſti cùm non ignorent, malè ſuſpicari tamen non verentur. Ego cùm vitam agerem quietam, id quod mea virtute & tua voluntate Raguelíſque ſoceri beneficio conſecutus eram, tamen relictis eius voluptatibus & commodis meipſum totũ dedidi ærumnis pro iſto populo perferendis: & primùm pro libertate eorum, nunc verò pro ſalute promptiſſimè magnos labores ſuſcepi. Nunc ergo quoniã in ſuſpicionem veni hominibus, qui mea cura ac prouidentia tot mala incolumes euaſerunt, tu qui in igne illo ad montem Sina mihi apparuiſti, & tua voce ſpectaculóque illorum prodigiorum me dignatus eſt, qui in Ægypto legatione tuo nomine fungi voluiſti, qui Ægyptiorum opibus afflictis ſeruitutem eorum effugere conceſſiſti, & Pharaotis potentiam ſuccumbere mihi feciſti, qui ignaris viæ per mare medium iter aperuiſti, cuius poſtea fluctibus Ægyptios inuoluiſti, qui inermes armis muniuiſti, qui ex vitioſis fontibus potabiles reddidiſti, & potum nobis inopia laborantibus è petra produxiſti, cibúmque in terra non inuenientibus à mari attuliſti, è cælo denique nunquam antè auditum es largitus, qui legibus ac inſtitutis rem noſtram ornaſti, adeſto mihi Domine iudex omnium ac teſtis incorruptiſſimus, quòd neque munera à quoquam Hebræorum fauorem meum contra iuſtitiam captante admiſi, neque pauperem bonã cauſam habentem propter aduerſarium diuitẽ perdere litem ſum paſſus, & nũc republica ſinceriſſimè adminiſtrata in ſuſpicionem culpæ, à qua ſum alieniſſimus, venio, quaſi fratri ob priuatum affectum & non tua voluntate ſacerdotium tuum contulerim: oſtende quòd omnia tua prouidentia diſpenſantur, & nihil fortuitis caſibus, ſed tua voluntate ad effectum peruenit:

A καὶ περιμένειν τὴν ἱερουργίαν. ὡς δ' οὔτε ὑπακούεσθαι τοῖς ἀγγέλοις ἔφασαν, καὶ μωυσῆν οὐ περιόψεσθαι κατὰ τοῦ λαοῦ παντὸς ἐκ κακουργίας αὐξανόμενον, ἀκούσας τὰ παρ' αὐτῶν ὁ μωυσῆς, ἀκολουθεῖν αὐτῷ τοὺς προβούλοις ἀξιώσας, ἀπῄει πρὸς τοὺς περὶ δαθάμην, οὐχ ἡγούμενος εἶναι δεινὸν βαδίζειν πρὸς τοὺς ὑπερηφανήσαντας. οἱ δ' οὐδὲν ἀντειπόντες ἠκολούθουν. οἱ δὲ περὶ δαθάμην πυθόμενοι τὸν μωυσῆν μετὰ τῶν ἀξιολόγων τοῦ B πλήθους πρὸς αὐτοὺς παραγινόμενον, προελθόντες γυναιξὶν ἅμα καὶ τέκνοις πρὸ τῶν σκηνῶν, ἀπέβλεπον τί καὶ μέλλει ποιεῖν ὁ μωυσῆς. οἵ τε θεράποντες ἦσαν περὶ αὐτοὺς ὡς εἰ βίαν τινὰ προσφέρει μωυσῆς ἀμυνόμενοι. ὁ δὲ πλησίον γενόμενος, τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνασχών, γεγωνὸς ἐκβοήσας ὡς ἀκουστὸν πάσῃ τῇ πληθύϊ γενέσθαι. δέσποτα, φησί, τῶν ἐπ' οὐρανοῦ τε καὶ γῆς καὶ θαλάσσης. σὺ γὰρ ἐμοὶ τῶν ὑπ' ἐμοῦ πεπραγμένων μάρτυς ἀξιολογώτατος, ὡς γνώμῃ τῇ σῇ C γίνεται τὰ πάντα, καὶ δρωμένοις μηχανὴν ἐξεπόρισας, οἶκτον ἐν πᾶσι δεινοῖς ἑβραίων ποιησάμενος. ἐλθέ μοι τούτων ἀκροατὴς τῶν λόγων, σὲ γὰρ οὔτε πραττόμενον, οὔτε νοηθὲν λανθάνει. ὥστ' οὐδὲ φθονήσεις μοι τῆς ἀληθείας, τὴν τούτων ἀχαριστίαν ἐπίπροσθεν θέμενος. τὰ μὲν οὖν πρεσβύτερα τῆς ἐμῆς γενέσεως, αὐτὸς οἶδ' ἀκριβέστερον, οὐκ ἀκοῇ μαθών, ὄψει δὲ αὐτοῖς παρὼν γινομένοις. ἃ δὲ ἐπὶ τούτου καίπερ ἐπιστάμενοι σαφῶς, ἀδίκως ὑπονοοῦσι, τούτων μοι γενοῦ μάρτυς. ἐ- D γὼ βίον ἀπράγμονα κατασκησάμενος, ἀνδραγαθίᾳ μὲν ἐμῇ, σῇ δὲ βουλῇ, καὶ τοῦτο ῥαγουήλου μοι τοῦ πενθεροῦ καταλιπόντος, ἀφεὶς τὴν ἐκείνων ἀπόλαυσιν τῶν ἀγαθῶν, ἐμαυτὸν ἐπέδωκα ταῖς ὑπὲρ τούτων ταλαιπωρίαις. καὶ πρότερον μὲν ὑπὲρ τῆς ἐλευθερίας αὐτῶν, νῦν δ' ὑπὲρ τῆς σωτηρίας μεγάλους ὑπέστην πόνους καὶ παντὶ δεινῷ τοὐμὸν ἀντιτάξας πρόθυμον. νῦν οὖν ἐπεὶ κακουργεῖν ὑποπτεύομαι παρ' ἀνδράσιν, οἷς ἐκ τῶν E ἐμῶν καμάτων ὑπάρχει τὸ περιεῖναι, εἰκότως ἂν αὐτὸς ὁ τὸ πῦρ ἐκεῖνό μοι φήνας κατὰ τὸ σιναῖον, καὶ τῆς αὐτοῦ φωνῆς ἀκροατὴν τότε στήσας, καὶ θεατὴν τεράτων ὅσα μοι παρέσχεν ἰδεῖν ἐκεῖνος ὁ τόπος ποιήσας, ὁ κελεύσας ἐπ' αἴγυπτον σταλῆναι, καὶ τὴν σὴν γνώμην τούτοις ἐμφανίσαι, ὁ τὴν αἰγυπτίων εὐδαιμονίαν σείσας, καὶ τῆς ὑπ' αὐτῶν δουλείας δρασμὸν ἡμῖν παρασχών, καὶ μικροτέραν ἐμοῦ τὴν φαραώθου ποιήσας ἡγεμονίαν, ὁ γῆν ἡμῖν ἀμαθῶς ἔχουσι τῶν ὁδῶν ποιήσας τὸ F πέλαγος καὶ τὴν ἀνακινουμένην θάλασσαν τοῖς αἰγυπτίων ἐπικυμήνας ὀλέθροις, ὁ γυμνοῖς οὖσι, τὴν ἐξ ὅπλων ἀσφάλειαν χαρισάμενος, ὁ ποτίμους ἡμῖν διεφθαρμένας πηγὰς ῥεῦσαι παρασκευάσας, καὶ τελέως ἀπορεῖσιν ἡμῖν ἐκ πετρῶν ἐλθεῖν ποτὸν μηχανησάμενος, ὁ τῶν γῆθεν ἀπορουμένους εἰς τροφὴν διασώσας τοῖς ἀπὸ θαλάσσης, ὁ καὶ ἀπ' οὐρανοῦ τροφὴν καταπέμψας οὐ πρότερον ἰσορηθεῖσαν, ὁ νόμων ἐπίνοιαν ἡμῖν ὑποθέμενος, καὶ διάταξιν πολιτείας, ἐλθὲ δέσποτα τῶν G ὅλων δικαστής μου καὶ μάρτυς ἀδωροδόκητος. ὡς οὔτε δωρεὰν ἐγὼ παρ' ἑβραίων τινὸς κατὰ τοῦ δικαίου προσηκάμην, οὔτε πλούτῳ κατέκρινα πενίαν νικᾶν δυναμένην, οὔτ' ἐπὶ βλάβῃ τοῦ κοινοῦ πολιτευσάμενος, εἰς ἀλλοτριωτάτας τῶν ἐμῶν ἐπιτηδευμάτων ὑποψίας πάρειμι, ὡς οὐχὶ σοῦ κελεύσαντος ἀαρῶνι δοὺς τὴν ἱερωσύνην, ἀλλὰ κατ' ἐμὴν χάριν. παράστησον δὲ καὶ νῦν ὅτι πάντα σῇ προνοίᾳ διοικεῖται, καὶ μηδὲν αὐτομάτως, ἀλλὰ κατὰ βούλησιν βραβευόμενον τὴν σήν, εἰς τέλος ἔρχεται.

ὅτι

ὅτι δὲ φροντίζεις τῶν ἑβραίοις ὀνησόντων μετελθὼν ἀβειρὼν καὶ δαθάμην, οἵ σου καταδικάζουσιν ἀναισθησίαν, ὡς ὑπ' ἐμῆς τέχνης νικωμένου. ποιήσεις δὲ φανερὰν τὴν ἐπ' αὐτοῖς δίκην, οὕτω μεμηνότων κατὰ τῆς σῆς δόξης, μὴ κοινῶς ἐκ τοῦ ζῆν αὐτοὺς μεταστήσας, μηδ' ὡς ἀποθανόντας κατ' ἀνθρώπινον ἐξεληλυθότας τοῦ βίου φανέντας νόμον. ἀλλὰ χάνοι περὶ αὐτοῖς ἅμα τῇ γενεᾷ καὶ τοῖς ὑπάρχουσιν, ἣν πατοῦσι γῆν. τοῦτο γὰρ σῆς ἐπίδειξις ἂν ἰσχύος ἅπασι γένοιτο καὶ διδασκαλία, σωφροσύνης δὲ εἰς τοὺς ταῦτα πείσεσθαι περὶ σοῦ δοξάζοντας οὐχ ὅσια. εὑρεθείην γὰρ ἂν οὕτως ἀγαθὸς ὑπηρέτης ὢν σοῦ προστάσεσιν. εἰ δ' ἀληθεῖς πεποίηνται τὰς κατ' ἐμοῦ διαβολάς, τούτους μὲν ἀπαθεῖς ἀπὸ παντὸς φυλάξειας κακοῦ. ὃν δ' ἐπηρασάμην ὄλεθρον αὐτοῖς, τοῦτον ποιήσαις ἐμόν. καὶ δίκην εἰσπραξάμενος παρὰ τῶν τὸν σὸν ἀδικῆσαι θελησάντων λαὸν, τοῦ λοιποῦ βραβεύων ὁμόνοιαν καὶ εἰρήνην σῶζε τὸ πλῆθος ἑπόμενον τοῖς σοῖς προστάγμασιν, ἀπαθὲς τηρῶν αὐτὸν καὶ ἀκοινώνητον τῆς τῶν ἡμαρτηκότων κολάσεως. σὺ γὰρ αὐτὸς οἶδας ὡς οὐ δίκαιον ὑπὲρ τῆς ἐκείνων κακίας κοινῇ πάντας ἰσραηλίτας τιμωρίαν ἐκτίνειν. ταῦτα εἰπόντος καὶ δακρύοντος, σείεται μὲν αἰφνίδιον ἡ γῆ. σάλου δ' ἀπ' αὐτῆς κινηθέντος ὥσπερ ἐξ ἀνέμου βίας σαλευομένου κύματος, πτύρας μὲν ἔδεισεν ὁ λαός. πατάγου δὲ καὶ σκληροῦ ῥαγέντος ἤχου κατὰ τὰς ἐκείνων σκηνάς, συνίζησεν ἡ γῆ, καὶ πάνθ' ὅσα φίλα τούτοις ἦν, ὑπήνεγκεν εἰς αὐτήν. ἠφανισμένων δ' οὕτως ὡς μηδ' ὀφθῆναι τινὰς γνῶναι, συνῄει πάλιν τῆς γῆς τὸ περὶ ἐκείνοις κεχηνὸς καὶ καθίστατο, ὡς μηδ' εἰ πάθοι τι τῶν προειρημένων φανερὸν εἶναι τοῖς ὁρῶσι. καὶ οἱ μὲν οὕτως ἀπώλοντο, ἐπίδειξις τῆς ἰσχύος τοῦ θεοῦ γενόμενοι. ὠδύρετο δ' αὐτοὺς οὐ μόνον τῆς συμφορᾶς αὐτοῖς, καίτοι καθ' αὐτὴν οὔσης ἀξίας οἴκτου, ἀλλ' ὅτι καὶ τοιαῦτα παθόντων ἐφήσθησαν οἱ συγγενεῖς. τῶν γὰρ συντεταγμένων ἐπ[...]θόμενοι, περὶ τὸ ὄψιν τοῦ συμβεβηκότος, ἐβεβαίουν τὴν κρίσιν. καὶ νομίζοντες ὡς ἀλιτηρίους ἀπολωλέναι τοὺς περὶ δαθάμην, οὐδ' ἐλυποῦντο. μωυσῆς δὲ καλεῖ τοὺς περὶ τῆς ἱερωσύνης ἁμιλλωμένους, διὰ τὴν τῶν ἱερέων δοκιμασίαν, ἵν' οὗ προσδέξηται τὴν θυσίαν ὁ θεὸς ἥδιον, ἐκεῖνος ᾖ κεχειροτονημένος. συνελθόντων δὲ πεντήκοντα καὶ διακοσίων ἀνδρῶν, οἳ καὶ διὰ πατέρων ἀρετὴν ἐτιμῶντο παρὰ τῷ λαῷ, καὶ διὰ τὴν αὐτῶν ἢ κἀκείνους ὑπερεβάλλοντο, προῆλθον καὶ ἀαρὼν καὶ κορῆς. καὶ πρὸ τῆς σκηνῆς πάντες καθήγιαζον ἐπὶ τοῖς θυμιατηρίοις, ὅσα κομίζοντες ἔτυχον. ἐξέλαμψε δὲ πῦρ τοσοῦτον ὅσον οὐδὲ χειροποίητον ἱστόρησέ τις οὐδὲ γῆθεν ἀναδοθὲν κατὰ ὑποδρομὴν κύματος, οὔτε κατὰ βίαν πνευμάτων, ὕλης πρὸς αὐτὸ παραξιβείσης αὐτομάτως ἐξεκαύθη. ἀλλ' ὁποῖον θεοῦ κελεύσαντος ἀφθείη λαμπρὸν καὶ φλογωδέστατον. ἀφ' οὗ πάντες, οἵ τε διακόσιοι καὶ οἱ πεντήκοντα καὶ κορῆς ἅμα[...] ἐπ' αὐτοῖς, ἐφθάρησαν ὡς καὶ τὰ σώματα αὐτῶν ἀφανῆ γεγενῆσθαι. περισώζεται δὲ μόνος ἀαρὼν, μηδὲν ὑπὸ τοῦ πυρὸς βλαβείς, τῷ τὸν θεὸν εἶναι τὸν οὗ ἔδει καίειν ἀπεσταλκότα. μωυσῆς δὲ τούτων ἀπολωλότων, βουλόμενος τὴν τιμωρίαν αὐτῶν μνήμῃ παραδοθῆναι, καὶ τοὺς αὖθις ἐσομένους αὐτὴν μαθεῖν, ἐκέλευσεν ἐλεάζαρον τὸν ἀαρῶνος υἱὸν τὰ θυμιατήρια αὐτῶν παρὰ τὸν χάλκεον καταθέσθαι βωμὸν, ὡς ἂν ὑπόμνησις εἴη τοῖς αὖθις ὧν ἔπαθον, καὶ

& quòd res Hebræorum cordi tibi sint, iusta in Dathamum & Abironem animaduersione declara, qui te stupidum faciunt meis imposturis circumueniri iactantes: facies autem manifestam aduersus insanos gloriæ tuæ detractores vindictam, si non communi more intercant, ne quis nihil nisi humanum passos existimet, sed terra quam indigni calcant dehiscens cum familiis & facultatibus eos absorbeat hoc modo & tua potentia omnibus apparebit, & exemplum posteris statuetur, ne quis secus quàm pium est de tua maiestate sentire audeat: & meum ministerium ex tua sententia esse comprobabitur. Quòd si vera sunt crimina quæ in me congerunt, tum in meum caput diræ vertant, illis quos execratus sum incolumibus. Atque ita exacta pœna à populi tui turbatoribus, reliquam multitudinem in pace, concordia, & mandatorum tuorum custodia serua intactam & expertam supplicij sceleratis hominibus debiti: quandoquidem alienum est à tua iustitia, illorum pœnas immeritam Israelitarũ turbam dependere. Hæc cum lachrymis effato, terra horrendum repente contremuit, & vndáte superficie, non secus quàm pelagus vento fluctuans, vniuersum populum terruit: immani mox sonitu eliso, quà seditiosi tendebant solum subsidit, & eodem momento omnes ad vnum absorbet: sublatisque in hũc modum profanis, hiatus ille ita rursum clauditur, vt ne vestigium quidem eius superesset. Hic finis seditiosæ factionis, illustre argumentum, diuinæ prouidentiæ simul & potentiæ, fuitque hic casus eò miserabilior, quòd adeò nemo ne propinquorum quidem aut cognatorum eos est miseratus, vt totus quantus erat populus, antea actorum oblitus, lætis acclamationibus Dei sententiam comprobaret, ac ne luctu quidem dignos, vt pestem ac perniciem popularium existimaret. Post Dathamum cum suis extinctũ Moyses pontificatus æmulos conuocat, Deo denuo commissurus electionem, vt ei sit ratum sacerdotium, cuius sacrificium Deo gratissimũ apparuerit. Itaque conueniunt ducenti quinquaginta viri summo in precio semper apud populares habiti, tum quòd à maioribus omni virtute præclaris oriundi essent, tum quòd ipsi nequaquam degenerarent: cúmque his procedunt & Aaron & Cores: deinde stante ante Dei tabernaculum adolebant acerris odoramenta quæ secum attulerant: cùm subito tantus ignis effulsit, quantum nec homines ipsi vnquam excitauerunt, nec in terris sponte ardentibus, nec in syluis per æstum austri flatu collisis & attritis excitatum viderunt, sed qualis diuinitus accendi poterat fulgentissimus simul ac flagrantissimus: cuius vi ac impetu ducenti illi & quinquaginta vnà cum Core ita sunt absumpti, vt ne cadauerum quidem reliquiæ comparerent: solus Aaron superfuit illæsus, vt manifestum esset diuinitus coortum hoc incendium. His ita absumptis, Moyses volens perpetuam eius supplicij memoriam ad posteros tradi, vt & illis non ignoraretur, iussit Eleazarum Aaronis filium acerras eorum affixas altari æreo consecrare, vt hoc monumento omnes terrerentur, qui cæleste

numen humanis dolis putant circumueniri posse.

Cap. IV.

Quæ Hebræis in deserto per annos xxxviij. obuenerunt.

Num. 17.

POst tam euidens argumentum cùm iam satis constaret, non ambitu, aut fratris gratia, sed diuino iudicio sacerdotium ad Aaronem peruenisse, sine vlla controuersia posthac illud tenuit: nec tamen ob hoc diu cessatum est à seditione, imò penè grauior priore est insecuta. nam ex talibus causis ortum habuit, vt facile appareret longo tempore duraturam. Cùm enim semel animos hominum occupasset hæc persuasio, nihil sine Dei voluntate geri, arbitrabantur Deum in gratiam Moysis ista facere. huic igitur imputabant omnia, tanquam non peccatorum odio Deus sæuiret, sed à Moyse sollicitatus: ægréque ferebant quòd non solùm impunè tot optimatum morte populum mulctasset, sed præmium etiam auferret confirmatum iam fratris pontificatum: quandoquidem nemo posthac eum affectaturus erat, cùm aliis id malè cessisse videret. adhæc cognati extinctorum agebant apud populum, rogantes vt superbæ & nimiæ Moysis potestati modum aliquem statueret. facile enim hoc illi esse. Tum ille maturè sentiens excitari turbas, veritus ne qui rursum res nouas molirentur, vnde magnum aliquod malum accidere posset, concionem aduocari iubet. & auditis postulatis nihil respondens ne magis irritarentur, hoc tantùm principibus tribuum mandauit, vt virgas afferrent tribuum nominibus inscriptas. eius enim fore sacerdotium, in cuius virga Deus signum ostenderit. quod vbi placuit, inscriptas attulerunt, cùm alij, tum Aaron, inscriptam habens in sua Leuiticam. eas Moyses acceptas in Dei tabernaculum deposuit. sequenti verò die omnes protulit, quæ facilè agnoscebantur, quòd essent & à principibus qui attulerant, & à cætero populo notatæ: videbántque alias eadem specie manere, qua erant pridie, cùm eas Moyses acciperet, ex Aaronis verò ramos & germina esse exorta, & quod magis mirum amygdala matura, quòd virga ex hoc genus ligno constaret. hac nouitate spectaculi vulgus attonitum, omissis odiis quibus tam Moysem quàm Aaronem prosequebatur, totum in admirationem diuini iudicij versum, ampliùs Deo repugnare desiit, ratúmque Aaroni sacerdotium esse voluit: atque ita tertio Dei calculo confirmatus nemine posthac contradicente fuit pontifex, & Hebræorum populus longis seditionibus agitatus hoc modo ad quietem tandem peruenit. Moyses autem postea quam Leuiticam tribum diuino cultui dicatam, immunem à militia fecisset, ne fortè in parandis ad vitam necessariis occupati, negligentiùs sacra tractarent, mandauit vt post armis ac Dei fauore quæsitam Chananæam ex oppidis eius quadragintaocto bona & pulchra Leuitis distribuerentur, cum agro mœnibus eorum contiguo duûm millium cubitorum, & insuper à toto populo de-

III. Nu. 18.35. Leu. 14.18. & 26.

A ἐπὶ τὴν ἰσχὺν τοῦ θεοῦ νομίσειαν ἀπατᾶσθαι δύνασθαι.

Κεφάλαιον δ'.

Τὰ συμβάντα τοῖς ἑβραίοις ἐν τῇ ἐρήμῳ ἔτεσι ὀκτὼ καὶ τριάκοντα.

ΚΑὶ ἀαρὼν μὲν, οὐκ ἔτι τῇ μωυσέως χάριτι τὴν ἀρχιερωσύνην ἔχειν δοκῶν, ἀλλὰ τῇ τοῦ θεοῦ κρίσει φανερᾷ γενομένῃ, μετὰ τῶν υἱῶν ἤδη βεβαίως ἀπήλαυε τῆς τιμῆς. τὴν μέντοι στάσιν οὐδ' οὕτως συνέβη παύσασθαι. πολλῷ δὲ μᾶλλον αὔξειν καὶ φύεσθαι χαλεπωτέραν. ἐ- B λάμβανε δὲ τῆς ἐπὶ τὸ χεῖρον προκοπῆς αἰτίαν, ὑφ' ἧς οὐδέποτε λήξειν τὸ δεινὸν εἰκὸς ἦν, ἀλλ' εἰς χρόνον παραμενεῖν. οἱ γὰρ ἄνθρωποι πεπιστευκότες ἤδη μηδὲν γίνεσθαι δίχα τῆς τοῦ θεοῦ προνοίας, οὐκ ἐβούλοντο ταῦτα χωρὶς τῆς εἰς μωυσῆν χάριτος τοῦ θεοῦ πεπρᾶχθαι. κατηγόρουν δ' αὐτοῦ τὴν ὀργὴν τοῦ θεοῦ γίνεσθαι τοσαύτην, οὐχ οὕτως διὰ τὴν τῶν κολασθέντων ἀδικίαν, ὡς μωυσέως πραγματευσαμένου. καὶ τοὺς μὲν διεφθάρθαι μηδὲν ἐξαμαρτάνοντας, ἢ ὅτι περὶ τὴν τοῦ θεοῦ θρησκείαν C ἐσπουδάκεισαν. τὸν δὲ τοσούτων ἀνδρῶν ὀλέθρῳ καὶ πάντων ἀρίστων ἐζημιωκότα τὸν λαὸν πρὸς τὸ μηδεμίαν ὑποσχεῖν δίκην ἔτι καὶ τὴν ἱερωσύνην ἀναμφίλεκτον τἀδελφῷ παρασχεῖν. οὐθ' ἕνα γὰρ ἔτ' αὐτῆς ἄλλον ἀντιποιήσασθαι, καὶ τοὺς προτέρους ὁρῶντα κακῶς ἀπολωλότας. ἔτι γε μὴν καὶ παρὰ τῶν οἰκείων τοῖς διεφθαρμένοις δέησις ἐγένετο πολλὴ τοῦ πλήθους μειῶσαί τι τῆς μωυσέως μεγαλαυχίας. ἀσφαλὲς γὰρ αὐτοῖς τοῦτ' εἶναι. μωυσῆς δὲ, καὶ γὰρ D ἐκ πολλοῦ συνιστάμενον ἠκροᾶτο τὸν θόρυβον, δείσας μή τι νεωτερίσωσι πάλιν, καὶ γένηταί τι μέγα καὶ χαλεπὸν, συνήγαγε τὸ πλῆθος εἰς ἐκκλησίαν. καὶ περιμένων ἠκροᾶτο εἰς ἀπολογίαν οὐ καθιστάμενος, ἵνα μὴ παροξύνῃ τὸ πλῆθος. αὐτὸ δὲ μόνον τοῖς φυλάρχοις προειπὼν, κομίζειν τὰ τῶν φυλῶν ὀνόματα βακτηρίαις ἐπιγεγραμμένα. λήψεσθαι γὰρ ἐκεῖνον τὴν ἱερωσύνην, οὗπερ ἂν ὁ θεὸς ἐπισημήνῃ τῇ βακτηρίᾳ. δέξαν οὖν, κομίζουσιν, οἵ τε ἄλλοι καὶ ἀαρὼν, ἐπιγράψας λευίτην ἐν τῇ βακτη- E ρίᾳ. καὶ ταύτας μωυσῆς ἐν τῇ σκηνῇ τοῦ θεοῦ κατατίθησι. τῇ δὲ ἐπιούσῃ προεκόμισε τὰς βακτηρίας. γνώριμοι δ' ἦσαν τῶν τότε ἀνδρῶν κατασημηναμένων αὐτὰς, οἵ περ ἐκόμιζον, καὶ τοῦ πλήθους. καὶ τὰς μὲν ἄλλας, ἐφ' οὗπερ αὐτὰς σχήματος μωυσῆς παρέλαβεν, ἐπὶ τούτου μεμενηκυίας ἔβλεπον. ἐκ δὲ τῆς ἀαρῶνος, βλαστούς τε καὶ κλάδους ἀναφυέντας ἑώρων. καὶ καρπὸν ὡραῖον, ἀμύγδαλα δ' ἦν, ἐκ τούτου τοῦ ξύλου τῆς βακτηρίας κατεσκευασμέ- F νης. ἐκπλαγέντες δ' ἐπὶ τῷ παραδόξῳ τῆς θέας, εἰ καί τι διὰ μίσους ἦν ὁ μωυσῆς καὶ ἀαρὼν, ἀφέντες τοῦτο θαυμάζειν ἤρξαντο τὴν τοῦ θεοῦ περὶ αὐτῶν κρίσιν, καὶ τὸ λοιπὸν ἐπευφημοῦντες τοῖς δεδογμένοις τῷ θεῷ συνεχώρουν ἀαρῶνι καλῶς ἔχειν τὴν ἀρχιερωσύνην. καὶ ὁ μὲν, τρὶς αὐτὸν τοῦ θεοῦ χειροτονήσαντος, βεβαίως εἶχε τὴν τιμήν. ἡ δὲ τῶν ἑβραίων στάσις πολὺν ἀκμάσασα χρόνον, τοῦτον ἐπαύσθη τὸν τρόπον. μωυσῆς δ' ἐπεὶ πολέμου καὶ στρατείας ἡ G τῶν λευιτῶν ἀφεῖτο φυλὴ, θεραπεύουσα τὸν θεὸν, ἵνα μὴ δι' ἀπορίαν μηδὲ ζήτησιν τῶν εἰς τὸν βίον ἀναγκαίων ἀμελοῖεν τοῦ ἱεροῦ, κατὰ βούλησιν τοῦ θεοῦ τὴν χαναναίαν κτησαμένοις τοῖς ἑβραίοις, ἐκέλευε κατανεῖμαι τοῖς λευίταις ὀκτὼ καὶ τεσσαράκοντα πόλεις ἀγαθὰς καὶ καλάς. τήν τε περὶ αὐτῶν γῆν ἐπιγράψαντας εἰς δισχιλίους πήχεις ἀπὸ τῶν τειχῶν αὐτοῖς ἀνεῖναι. καὶ πρὸς τούτοις δὲ καὶ τὸν λαὸν ἐξέταξε

τάξε τῶν ἐπετείων καρπῶν δεκάτην αὐτοῖς τε τοῖς Λευίταις, καὶ ἱερεῦσι τελεῖν. καὶ ἃ μὲν ἡ φυλὴ παρὰ τοῦ πλήθους λαμβάνει, ταῦτ' ἐστίν. ἀναγκαῖον δ' ἡγησάμην ἃ τοῖς ἱερεῦσιν ἴδια παρὰ πάντων γίνεται, δηλῶσαι. τῶν μὲν τεσσαράκοντα καὶ ὀκτὼ πόλεων, τρισκαίδεκα παραχωρῆσαι τοὺς Λευίτας αὐτοῖς προσέταξε. καὶ τῆς δεκάτης ἧς παρὰ τοῦ λαοῦ κατ' ἔτος λαμβάνουσι, δεκάτην αὐτοῖς ἀπομερίζειν. ἔτι δὲ ἀπαρχὰς τὸν λαὸν δίκαιον τῷ θεῷ πάντων τῶν ἐκ τῆς γῆς φυομένων καρπῶν ἐπιφέρειν. καὶ τῶν τετραπόδων δὲ τῶν εἰς τὰς θυσίας νενομισμένων τὸ γεννηθὲν πρῶτον ἂν ἄρσεν ᾖ καταθῦσαι παρασχεῖν τοῖς ἱερεῦσιν, ὥς τε αὐτοὺς πανοικὶ σιτεῖσθαι ἐν τῇ ἱερᾷ πόλει. τῶν δὲ οὐ νενομισμένων ἐσθίειν παρ' αὐτοῖς κατὰ τοὺς πατρίους νόμους, τοὺς δεσπότας τῶν τικτομένων σίκλον καὶ ἥμισυ αὐτοῖς ἀντιφέρειν, ἀνθρώπου δὲ πρωτοτόκου πέντε σίκλους. εἶναι δὲ ἀπαρχὰς αὐτοῖς καὶ τῆς τῶν προβάτων κουρᾶς. τούς τε πέττοντας τὸν σῖτον καὶ ἀρτοποιουμένους, τῶν πεμμάτων αὐτοῖς τινὰ χορηγεῖν. ὅσοι δ' ἂν αὑτοὺς καθιερῶσιν εὐχὴν πεποιημένοι, ναζαραῖοι δὲ καλοῦνται, κομῶντες καὶ οἶνον οὐ προσφερόμενοι, τούτων ὅταν τὰς τρίχας ἀφιερῶσιν ἐπὶ θυσίᾳ τε δρῶσι τὰς κουρὰς νέμεσθαι πρὸς τοὺς ἱερέας. καὶ οἱ κορβὰν αὑτοὺς ὀνομάσαντες τῷ θεῷ, δῶρον δὲ τοῦτο σημαίνει κατὰ Ἑλλήνων γλῶτταν, βουλομένοις ἀφίεσθαι τῆς λειτουργίας τοῖς ἱερεῦσι καταβάλλειν ἀργύριον, γυναῖκα μὲν τριάκοντα σίκλους, ἄνδρα δὲ πεντήκοντα. ὅσοι δ' ἂν ἐνδεέστερα τῶν ὡρισμένων ἔχωσι χρημάτων, τοῖς ἱερεῦσιν ἐξεῖναι περὶ τούτων ὡς βούλονται δοκιμάσαι. εἶναι δὲ καὶ τοῖς κατ' οἶκον θύουσιν εὐωχίας ἕνεκα τῆς αὐτῶν ἀλλὰ μὴ θρησκείας ἀνάγκην κομίζειν τοῖς ἱερεῦσιν ἔνυστρόν τε καὶ χελώνιον καὶ τὸν δεξιὸν βραχίονα τοῦ θύματος. καὶ τοῖς μὲν ἱερεῦσι Μωυσῆς τοσαύτην παρέξων, ἣν ὑπὲρ ἁμαρτημάτων θύων ὁ λαὸς δίδωσιν αὐτοῖς ὡς ἐν τῇ περὶ ταύτης βίβλῳ δεδηλώκαμεν, εὐπορίαν ἐπενόησε. πάντων δὲ τοῖς ἱερεῦσι τελουμένων, κοινωνεῖν διέταξε καὶ τοὺς οἰκέτας καὶ θυγατέρας καὶ γυναῖκας, ἔξω τῶν ὑπὲρ ἁμαρτημάτων ἐπιφερομένων θυσιῶν. ταύτας γὰρ ἐν τῷ ἱερῷ μόνοι δαπανῶσιν οἱ ἄρρενες τῶν ἱερέων αὐθημερόν. ὡς δὲ ταῦτα μετὰ τὴν στάσιν Μωυσῆς διέταξεν, ἄρας μετὰ πάσης τῆς στρατιᾶς, ἐπὶ τοὺς τῆς Ἰδουμαίας ὅρους ἦλθε, καὶ πρέσβεις πρὸς τὸν βασιλέα τῶν Ἰδουμαίων πέμψας, ἠξίου δὲ ὁδὸν αὐτῷ παρασχεῖν ἢ ἐγγύας ἃς αὐτὸς ἐθέλοι λαβεῖν, ὑπὲρ τοῦ μηδὲν ἀδικηθήσεσθαι, δώσειν ὁμολογῶν, ἀγοράν τε τῷ στρατῷ χορηγῆσαι, κἂν τιμὴν τοῦ ὕδατος αὐτοῖς κελεύσειε καταβαλεῖν. ὁ δ' οἷς ἐπρεσβεύσατο Μωυσῆς οὐκ ἀρεσκόμενος, οὐδὲ συγχωρῶν τὴν δίοδον, ἔνοπλον τὴν στρατιὰν ἀγαγὼν, ὑπήντα τῷ Μωυσῇ κωλύσων αὐτοὺς εἰ τολμήσειαν βίᾳ περαιοῦσθαι. καὶ Μωυσῆς ἄρχειν γὰρ μάχης οὐ συνεβούλευσεν ὁ θεὸς χρωμένῳ, τὴν δύναμιν ὑπανῆγε διὰ τῆς ἐρήμου ἐκπεραίνων. τότε δὴ καὶ τὴν ἀδελφὴν αὐτοῦ Μαριάμμην τελευτὴ τοῦ βίου καταλαμβάνει, τεσσαρακοστὸν ἔτος πεπληρωκυῖαν, ἀφ' οὗ τὴν Αἴγυπτον κατέλιπε. μηνὸς δὲ Ξανθικοῦ νουμηνίᾳ κατὰ σελήνην. θάπτουσι δ' αὐτὴν δημοσίᾳ πολυτελῶς, ὑπό τινος ὄρους, ὃ καλοῦσι, Σείν. καὶ πενθήσαντα ἐπὶ τριάκοντα ἡμέρας τὸν λαὸν, ἐκάθηρε Μωυσῆς τούτῳ τῷ τρόπῳ. μόσχον θήλειαν, ἀρότου μὲν καὶ γεωργίας ἄπειρον, ὁλόκληρον δὲ ξανθὴν πᾶσαν, μικρὸν ἄποθεν τοῦ στρατοπέδου προαγαγὼν εἰς χωρίον καθαρώτατον,

A cimas annui fructus exegit Leuitis simul ac sacerdotibus conferendas: atque hi posthac eius tribus solennes reditus fuêre. Nunc dicendum quæ sint sacerdotum propria. ex quadraginta octo oppidis iussit vt Leuitæ concederent eis tredecim, & decimarum à populo quotannis acceptarum decimas penderent: præterea vt populus Deo primitias omnium fructuum è terra prouenientium offerret, & ex quadrupe- B dibus quæ mactare fas est, primogenitum si masculum fuerit, sacrificandum sacerdotibus adducat, vt eo cum familia vescantur in vrbe sacra. pro eis verò quibus patria lex vesci vetat, dominus fœtus siclum cum dimidio dependat, pro homine verò primo genito quinque siclos deberi eis etiam primitias tonsuræ ouium. & qui panes coquant liba aliquot eis præbere. Qui verò ex voto se consecrant, Nazaræi dicti capillum alentes, & vinum non gustantes, cùm capillum consecrant victimas eorum sacerdo- C tibus cedere. Item qui Corban seipsos nominant, hoc est Dei donum, si velint à ministerio ad quod se vltro obligauerunt dimitti, sacerdotibus pecuniam numerare, mulierem triginta siclos, virum quinquaginta. qui verò tantum pecuniæ non habuerint, hos sacerdotum arbitrio relinquendos. quin & si quis domi mactet ad priuatum epulum, non ob cultum diuinum offerendum tamen sacerdotibus pecoris pectus & brachium dextrum. Tantum est quod sacer- D dotibus Moyses attribuit, prætérque quicquid pro peccatis populus offert, vt in proximè præcedente volumine diximus. Quicquid autem à populo sacerdotum ordini contribuitur, ex eo tam vxores quàm filias & famulos etiam participes esse voluit, exceptis quæ pro peccatis offeruntur. hæc enim in fano soli sacerdotio fungentes mares eodem die absumunt. His ita post seditionem dispositis castra mouit, & cum omnibus copiis ad Idumeæ fi- E nes peruenit, legatis primùm ad regem præmissis. petebat ab eo tantùm liberum transitum, paratus ipsius arbitrio fidem dare, sine cuiusquam iniuria iter se facturum: præterea forum rerum venalium suis exhiberi poscebat, persoluturus etiam aquæ precium, si rex ita iuberet. ille verò legatis re infecta dimissis, negatóque transitu, armatus cum exercitu est obuiam profectus, prohibiturus Moysem si vi viam aperire conaretur, at propheta consulto F prius oraculo, & Deo non permittente vt ipse pugnæ principium faceret, retrorsum abduxit exercitum, per desertum iter facturus. Eodem tempore sorori eius Mariammæ vltimus vitæ dies aduenit, quadragesimo anno ex quo Ægyptum reliquerat, mensis Xantici luna prima: sepultáque est publico sumptu magnificè, super quodam monte qui appellatur Sein: & post menstruum luctum lustrauit G Moyses populũ hunc in modum: Iuuecã laboris & aratri expertẽ, colore toto corpore rufam,

Num. 6. *Num. 20.* *Num. 19.*

K

paulum ante castra productam pontifex in loco purissimo mactauit, & sanguinem septies digito aspersit versus Dei tabernaculum. deinde solida iuuenca itavt procubuit cum pelle ac intestinis ardente, lignum cedrinum in medium ignem iniiciunt, simúlque hyssopum & lanam cocco tinctam. huius cinerem vniuersum vir purus ac castus collectum reponit in locum purissimum: & quotquot posthac funesti purificatione opus habebant, paulum huius cineris in fontanam immittentes, & hyssopi ramulum intengentes, aspergebãt se die tertia & septima: quo facto pro puris posthac habebantur. & hunc lustrandi morem etiam in terra belli sorte quæsita seruari præcepit. Cæterùm funesto exercitu ita vt dixi lustrato, per desertum cum eo pergens Arabiam petiit. Cúmque venisset in agrum vrbis Arabum primariæ, quæ olim Arce, nunc Petra nominatur, hoc loco montem excelsum, quo ager clauditur, Aaron conscendit, præmonitus à Moyse, quòd esset moriturus: & in conspectu totius exercitus, stans in loco accliui, exutam pontificiam stolam Eleazaro filio tradidit, ad quem iure ętatis successio pertinebat. atq; ita spectãte populo moritur, eodẽ ipso anno quo sororem amisit, anno ætatis centesimo vigesimo tertio. dies mortis eius incidit in primam lunam mẽsis qui Atheniensibus hecatombæon dicitur, Macedonibus lous, Hebræis sabba. Luxit eum populus diebus triginta, & luctu finito, Moysis ductu peruenit ad fluuium qui nominatur Arnon. is ex Arabiæ montibus exortus, desertum medium pererrans, in Asphaltitem lacum influit, Moabitas ab Amoræis disterminans. éstque hæc regio frugifera, & fructus quantum satis est incolis suppeditat. ad eius regem Sehonem misit legatos Moyses, qui transitum per regnum peterent, fidẽ daturus, quòd sine detrimento vel agrorum vel colonorum militem traduceret: sed persoluturum precium rerum venalium ex æquo & bono, etiamsi potum aquæ sine precio dare grauarentur. Sehon verò negato transitu, & armato suorum exercitu, vada Arnonis occupat, prohibiturus si Hebræi fluuium transire conarentur.

Num. 20.

IIII.

Num. 21.

Cap. V.

Quomodo Moyses deuicit Sehonem & Ogem Amoræorum reges, deleuítque eorum copias.

Num. 22.

MOyses autem postquã intellexit Amoræos hostilem in se animũ gerere, haud ferendum contẽptum ratus, & videns Hebræos genus hominum intractabile, ocio simul & egestate facile adduci posse vt pristinos tumultus ac seditiones renouarent, occasionem eis adimere volens, consuluit Deum, an bello viam aperire permitteret. Deo verò annuente, & victoriam insuper pollicente, magnoperehac spe animatus, militem quoq; fiducia complet, clamitas adesse tempus quo pugnandi cupiditatem exsatiarent, auspice Deo & quò sponte iam propenderent autoritate sua compellente. at illi permissa potestate læti, arma corripiũt & e uestigio instructa acie ad hostẽ properant.

A ὁ ἀρχιερεὺς ἔθυσέ τε καὶ τοῦ αἵματος ἑπτάκις ἔρραινε τῷ δακτύλῳ ἄντικρυς τῆς σκηνῆς τοῦ θεοῦ. ἔπειτα καιομένης ὡς εἶχεν ὅλης τῆς δαμάλιδος σὺν τῇ δορᾷ καὶ τοῖς ἐντὸς, ξύλον κέδρινον εἰς μέσον ἐμβάλλουσι τὸ πῦρ, καὶ ὕσωπον, καὶ φοινικὴν ἔριον. συναγαγὼν δὲ αὐτῆς ἅπασαν τὴν τέφραν ἁγνὸς ἀνὴρ κατατίθησιν εἰς χωρίον καθαρώτατον. τοὺς οὖν ἀπὸ νεκροῦ μεμιασμένους, τῆς τέφρας ὀλίγον εἰς πηγὴν ἐνιέντες καὶ ὕσωπον, βαπτίσαντές τε καὶ τῆς τέφρας ταύτης εἰς πηγὴν ἔρραινον B τρίτῃ τε καὶ ἑβδόμῃ τῶν ἡμερῶν, καὶ καθαροὶ τὸ λοιπὸν ἦσαν. τοῦτο δὲ καὶ κατελθοῦσιν εἰς τὰς κληρουχίας προσέταξε ποιεῖν. μετὰ δὲ τὴν ἐπὶ τῷ πένθει τῆς ἀδελφῆς τοῦ στρατηγοῦ κάθαρσιν τοιαύτην γενομένην, ἀπῆγε τὴν δύναμιν διὰ τῆς ἐρήμου καὶ τῆς ἀραβίας. ἐλθὼν δὲ εἰς χωρίον, ὃ μητρόπολιν αὐτῶν ἄραβες νενομίκασι, πρότερον μὲν ἀρκὴν λεγομένην, πέτραν δὲ νῦν ὀνομαζομένην, ἐνταῦθα ὑψηλοῦ περιέχοντος ὄρους αὐτὸ, ἀναβὰς ἀαρὼν ἐπ' αὐτὸ, μωυσέως αὐτῷ δεδηλωκότος ὅτι μέλλει τελευτᾶν, ἅπαντος τοῦ στρατεύματος ὁρῶντος, κά- C , γὰρ ἦν τὸ χωρίον, ἀποδύεται τὴν ἀρχιερατικὴν στολὴν, καὶ παραδοὺς αὐτὴν ἐλεαζάρῳ τῷ παιδὶ, πρὸς ὃν διὰ τὴν ἡλικίαν ἡ ἀρχιερωσύνη παρεγίνετο, θνήσκει, τοῦ πλήθους εἰς αὐτὸν ἀφορῶντος. τῷ μὲν αὐτῷ τελευτήσας ἔτει, ᾧ καὶ τὴν ἀδελφὴν ἀπέβαλε. βιοὺς δὲ ἔτη τὰ πάντα, τρία πρὸς τοῖς εἴκοσι καὶ ἑκατόν. ἀποθνήσκει δὲ κατὰ σελήνην νουμηνίᾳ, μηνὸς ὄντος παρὰ μὲν ἀθηναίοις ἑκατομβαιῶνος καλουμένου, λώου δὲ παρὰ μακεδόσι, σαββὰ δὲ παρ' ἑβραίοις. πένθος δὲ ἐπ' αὐτῷ τοῦ λαοῦ D τριακονθήμερον ἄγοντες, ἐπὶ τοῦτ' ἐλώφησεν, ἀναλαβὼν ἐκεῖθεν μωυσῆς τὸν στρατὸν, παρῆν ἐπὶ ποταμὸν ἀρνῶν. ὃς ἐκ τῶν τῆς ἀρραβίας ὀρῶν ὁρμώμενος, καὶ διὰ πάσης ἐρήμου ῥέων, εἰς τὴν ἀσφαλτῖτιν λίμνην ἐκδίδωσιν, ὁρίζων τήν τε μωαβῖτιν καὶ ἀμορῖτιν. γῆ δὲ αὕτη καρποφόρος καὶ πλῆθος ἀνθρώπων ἴσον τοῖς παρ' αὐτοῖς ἀγαθοῖς ἱκανὴ τρέφειν. πρὸς οὖν σίχωνα τὸν βασιλεύοντα τῆς χώρας ταύτης, ἀπέστειλε μωυσῆς τῷ στρατῷ διδόναι ὁδὸν ἐφ' αἷς ἂν θελήσειε πίστεσιν, ὥς τε μηδὲν ἀδι- E κηθῆναι, μήτε τὴν γῆν μήτε τοὺς ἐνοικοῦντας ὧν σίχων ἐκράτει. τοῖς τε κατὰ τὴν ἀγορὰν χρῆσθαι πρὸς τὸ ἐκείνου λυσιτελὲς, εἰ καὶ τὸ ὕδωρ αὐτοῖς πιπράσκειν σίχων ἐθέλοιεν. σίχων δὲ ἀρνούμενος, ὁπλίζει τὸν οἰκεῖον στρατὸν, καὶ τοὺς ἑβραίους διαβαίνειν τὸν ἀρνῶνα κωλύειν ἑτοιμότατος ἦν.

Κεφάλαιον ε'.

Ὡς σηχῶνα καὶ ὤγην τοὺς ἀμορραίων βασιλεῖς νικήσας μωυσῆς καὶ τὴν στρατιὰν ἅπασαν αὐτῶν διαφθείρας, κατεκλήρωσεν αὐτῶν τὴν χώραν δυσὶ φυλαῖς ἡμισείᾳ τῶν ἑβραίων.

F

ΜΩυσῆς δὲ ὁρῶν πολεμίως αὐτοῖς τὸν ἀμορραῖον διακείμενον, οὔτε περιφρονούμενος ἀνέχεσθαι δεῖν ἔγνω, καὶ τοὺς ἑβραίους τῆς ἀπραξίας, καὶ τῆς δι' αὐτὴν ἀπορίας, ὑφ' ἧς στασιάσαι τὸ πρότερον αὐτοῖς συνέπεσε, καὶ τότε δυσκόλως εἶχον ἀπαλλάξαι διαγνοὺς, ἤρετο τὸν θεὸν εἰ πολεμεῖν αὐτῷ δίδωσι. τοῦ δὲ θεοῦ, καὶ νίκην G ἀποσημάναντος, αὐτὸς θαρσαλέως εἶχε πρὸς τὸν ἀγῶνα. καὶ τοὺς στρατιώτας παρώρμα νῦν αὐτοὺς ἀξιοῦν τῆς τοῦ πολεμεῖν ἡδονῆς ἀπολαύειν, ὅτ' αὐτὴ συγχωρεῖ χρῆσθαι τὸ θεῖον. οἱ δὲ ἧς ἐπόθουν ἐξουσίας λαβόμενοι, καὶ τὰς πανοπλίας ἀναλαβόντες, εὐθέως ἐχώρουν εἰς τὸ ἔργον.

ὁ δὲ

ὁ δὲ ἀμορραῖος οὐκ ἔτ' ἦν ἐπιόντων ὅμοιος αὐτῷ, ἀλλ' αὐτός τε κατεπλάγη τοὺς ἑβραίους, καὶ ἡ δύναμις αὐτοῦ παρέχουσα θαῤῥεῖν τὸ πρὶν αὐτὴν εὔψυχον εἶναι δοκεῖν, τότ' ἀπηλέγχθη πεφοβημένη. τὴν πρώτην οὖν σύνοδον οὐχ ὑπομείναντες αὐτῆς ἰσῶσαι καὶ δέξασθαι τοὺς ἑβραίους, τρέπονται, τοῦτο ἑαυτοῖς σωτηρίαν ὑπολαβόντες, ἢ τὸ μάχεσθαι παρέξειν. ἐθάῤῥουν γὰρ ταῖς πόλεσιν οὔσαις ὀχυραῖς, παρ' ὧν οὐδὲν αὐτοῖς ὄφελος ἦν εἰς ταύτας συνδιωχθεῖσιν. ἑβραῖοι γὰρ, ὡς εἶδον τραπέντας αὐτοὺς εὐθὺς ἐπέκειντο, καὶ παραλύσαντες αὐτῶν τὸν κόσμον εἰς φόβον κατέστησαν. καὶ οἱ μὲν ἀποῤῥαγέντες ἔφευγον ἐπὶ τῶν πόλεων. οἱ δὲ, πρὸς τὴν δίωξιν οὐκ ἔκαμνον. ἀλλ' οἷς προπεπονήκεσαν προσεπιταλαιπωρῆσαι προθυμούμενοι, καὶ σφενδονᾶν τε ἄριστοι τυγχάνοντες καὶ πᾶσι τοῖς ἑκηβόλοις δεξιοὶ χρῆσθαι διὰ τὴν ὅπλισιν οὖσαν εὐσταλῆ, κοῦφοι πρὸς τὸ διώκειν ὄντες μετέθεον τοὺς πολεμίους. καὶ τοὺς πορρωτάτω τοῦ συλληφθῆναι γενομένους ταῖς σφενδόναις καὶ τοῖς τοξεύμασι κατελάμβανον. φόνος τε οὖν γίνεται πολὺς, καὶ τραύμασιν ἐπόνουν οἱ διαφυγόντες. ἐκάκουν δὲ ἐπὶ δίψει μᾶλλον, ἤ τινι τῶν πολεμικῶν. καὶ γὰρ ὥρα θέρους ἦν. καὶ ἐπιθυμίᾳ τοῦ πιεῖν ἐπὶ ποταμὸν τοὺς πλείους συῤῥαγέντας, καὶ ὅσον συνεσταλμένον ἔφυγε περισχόντες ἔβαλλον. καὶ πάντας αὐτοὺς ἀκοντίζοντες ἅμα καὶ τοξεύοντες διέφθειραν. ἀποθνήσκει δ' αὐτῶν καὶ σιχῶν ὁ βασιλεύς. ἑβραῖοι δὲ νεκροὺς ἐσκύλευον καὶ λείαν ἔλαβον, καὶ πολλὴν ἀφθονίαν τῶν ἐκ γῆς εἶχον μεστῆς ἔτι τῶν καρπῶν ὑπαρχούσης. καὶ διεξῄει πᾶσι ἀδεῶς τὸ στράτευμα, προνομῇ χρώμενον, ἁλισκομένων καὶ τῶν πολεμίων. οὐδὲν γὰρ παρὰ τούτων ἦν ἐμπόδιον, τοῦ μαχίμου παντὸς ἀπολωλότος. ἀμοῤῥαίους μὲν οὖν τοιοῦτο πάθος κατέλαβεν, οὔτε φρονῆσαι δεινοὺς, οὔτε ἀγαθοὺς κατὰ τὸ ἔργον γενομένους. ἑβραῖοι δὲ τὴν ἐκείνων γῆν παρελάμβανον. ἔστι δὲ χωρίον τριῶν μεταξὺ ποταμῶν κείμενον, ὅμοιον τῇ νήσῳ τὴν φύσιν ὑπάρχον, τοῦ μὲν ἀρνῶνος ἀπὸ μεσημβρίας ὁρίζοντος αὐτὴν, ἰοβάκχου δὲ τὴν ἀρκτῴαν αὐτοῦ πλευρὰν περιγράφοντος, ὃς εἰς τὸν ἰορδάνην ποταμὸν ἐκβάλλων ἐκείνῳ καὶ τοῦ ὀνόματος μεταδίδωσι. τὰ μέντοι γε πρὸς τῇ δύσει τῆς χώρας περιίησιν αὐτὸς ἰορδάνης. οὕτως οὖν ἐχόντων τῶν πραγμάτων, ἐπιτίθεται τοῖς ἰσραηλίταις ὤγης ὁ τῆς γαλαδηνῆς καὶ γαυλανίτιδος βασιλεὺς στρατιὰν ἄγων, καὶ σπεύδων μὲν ὡς ἐπὶ συμμαχίαν τὴν σιχῶνος φίλου τυγχάνοντος, εὑρὼν δὲ ἐκεῖνον ἤδη προαπολωλότα, καὶ ὅπως ἔγνω τοῖς ἑβραίοις εἰς μάχην ἐλθεῖν, περιέσεσθαί τε νομίζων, καὶ τῆς ἀρετῆς διάπειραν βουλόμενος λαβεῖν. διαμαρτὼν δὲ τῆς ἐλπίδος, αὐτός τε ἀποθνήσκει κατὰ τὴν μάχην, καὶ σύμπας ὁ στρατὸς αὐτοῦ διαφθείρεται. μωυσῆς δὲ τὸν ποταμὸν ἰάβινον περαιωσάμενος, διεξῄει τῆς ὤγου βασιλείας τάς τε πόλεις καταστρεφόμενος, καὶ κτείνων πάντας τοὺς ἐνοικοῦντας. οἳ καὶ πλούτῳ διέφερον πάντων τῶν ἐν ἐκείνῃ ἠπείρῳ δι' ἀρετὴν γῆς καὶ πλῆθος χρημάτων. ὤγης δὲ, μέγεθός τε καὶ κάλλος ἦν, οἷον ὀλίγοις σφόδρα. ἦν δὲ κατὰ χεῖρα γενναῖος ἀνὴρ, ὡς ἴσα τὰ τῶν ἔργων εἶναι τοῖς τοῦ μεγέθους καὶ τῆς εὐπρεπείας πλεονεκτήμασι. τὴν δ' ἰσχὺν αὐτοῦ καὶ τὸ μέγεθος ἐτεκμηριώσαντο κλίνην αὐτοῦ λαβόντες ἐν ῥαβαθᾷ πόλει τῶν βασιλείων τῆς ἀμμανίτιδος, τὴν μὲν κατασκευὴν σιδηρέαν, τεσσάρων δὲ πηχῶν τὸ εὖρος, μήκει δὲ, τοῦ διπλασίονος ἑνὶ πήχει μείζονα. τούτου τοίνυν πταίσαντος, οὐκ εἰς τὸ παρὸν μόνον τοῖς ἑβραίοις ἐπέδωκε τὰ πράγματα, ἀλλὰ καὶ πρὸς τὸ μέλλον ἀγαθῶν αὐτοῖς αἴτιος ἀποθανὼν ὑπῆρξε. καὶ γὰρ πόλεις ἑξήκοντα, λαμπρὰς πάνυ τετειχισμένας ὑποτελεῖς ἐκείνῳ παρέλαβον.

A Amoræus contrà vt vidit aduentantes oblitus pristinæ ferociæ, tum ipse est territus, tum milites animos quos ante visum hostem præ se ferebant, præ timore demiserunt. Itaque vix primo conflictu excepto terga vertunt, in sola fuga spem salutis reponentes. confidebant enim munitis vrbibus, quæ tamen nihil prorsus eis profuerunt. Nam Hebræi vt primum animaduerterunt hostes cedere, acriter institerunt, turbatisque B eorum ordinibus, in extremam formidinem illos coniecerunt. Iámque totis campis sparsi effuso cursu alij alias vrbes petebant. nec alteri persequendo fatigantur, imperfectam victoriam relinquere nolentes, sed cùm essent funditores optimi, & eius pugnæ generis, quod omni telorũ genere eminus geritur in primis periti, & expeditiores quàm vt armis grauarentur, aut pedibus fugatos assequebantur, aut gládibus & iaculis, si quos celeriores timor fece- C rat. Itaque magna strages editur: & si qui effugerant, cum vulneribus & siti conflictabantur. erat enim æstas. Cúmque desiderio potus ad fluuium agmine magno ferrentur, ab insequentibus circumuenti eminus sagittis ac iaculis sũt confixi: & inter cæteros Sehon rex cecidit. Hebræi verò cæsos spoliabant, prædas agebant, magna rerum copia fruebantur, quòd fructus nondum ex agris collecti essent. & milites totam regionem percurrebant impunè diripien- D do, captiuósque abducendo. nemo enim resistebat. robore eius regionis in pugna absumpto. Talis clades Amoræis accidit, qui nec consilio prudenter, nec armis fortiter sunt vsi. Hebræi verò terram eam occupauerunt, inter tres amnes insulæ modo sitam. Nam Arnonis ripæ meridionale eius latus terminant, Iobacchus verò septentrionale, qui in Iordanem influens nomen amittit: Occidentalis tractus Iordane amne alluitur. In hoc rerum statu E exoritur Israelitis nouus hostis Oges Galadinæ & Gaulanitidis regionum rex, in auxilium Sehonis amici & socij veniens: cuius res quum iam perditas videret, nihilominus victoriam sperans, virtutis suorum ac hostium periculum facere decreuit. Qua spe frustratus & ipse in prælio periit, & exercitus ad vnum est deletus. Moyses verò Iobaccho fluuio superato, regnum Ogis ingressus vrbem vnam post aliam subuertebat, habitatores internecione vastans, qui F omnes eius terræ homines diuitiis & agrorum fertilitate superabant. Oges etiam vir heroica specie corporis, ne viribus quidem ac virtute fuit inferior: cuius roboris & staturæ argumẽtum exstabat in expugnata regia vrbe Ammanitidis regionis, dicta Rabatha: lectus erat ferreus quatuor cubitorum latitudine, nouem longitudine. Huius viri casum non solũ præsẽs Hebræorum felicitas est insecuta, sed in futurũ etiã maiorũ successuũ illis causa est facta.

Sexaginta enim oppida egregiè munita de eius ditione ceperunt,& ex præda tam priuatim quã publicè sunt locupletati. Post hæc Moyses castra Iordanem versus mouet, & campum magnum è regione Hierichũtis.ea est vrbs copiosa,palmis abundans,& balsamum ferens. Iámque in tantum creuerant Israelitarum animi, vt nihil magis quàm pugnas ac prælia cuperẽt: & Moyses vtendum hac promptitudine suorũ ratus victimis Deo pro gratiarum actione mactatis,epulóque exercitui dato,partem eius armatam ad Madianitarum regionem vastandam misit,vrbésque gentis eius expugnandas, cuius belli origo talem causam habuit.

Cap. IV.

De Balamo vate.

Nu.22.23.24.

BAlacus Moabitarum rex, habens veterem amicitiam & societatem cum Madianitis, cùm res Israelitarum in tantum crescere videret,cœpit etiam de suo regno esse solicitus.Nesciebat enim Deum vetare,ne Hebræi quicquã vlterius præter Chananæam vsurpare appetãt: atque ita non satis consultè de rebus nouis cogitauit.& bello quidem aggredi elatos tot victoriarum successu non est ausus,obstare tamẽ volens ne vlterius procederẽt,legatos de communibus commodis ad Madianitas mittit. Illi ad Balamum quendam vltra Euphratem,nobilem in eis locis vatem,& sibi amicum,cum Balaci legatis mittunt etiam de suis honoratissimum quenque,rogantes vt veniret ad se,& diris imprecationibus Israelitas deuoueret.Vates legatis comiter exceptis,&hospitali mensę adhibitis,consuluit Deum,quæ sit eius de Madianitarum postulatis sententia. qui cùm vetaret illis obsequi,reuersus ad eos,ait,sibi non deesse voluntatem illis gratificãdi,sed obstare Deum, cuius beneficio debeat gloriam ex veris hactenus prædictionibus comparatam.nam exercitum illum quem ipsi execratum velint , esse Deo longè carissimum. dedítque consilium vt ob hanc causam ad Israelitas profecti,pacem cum illis quibuscunque conditionibus facerent.his dictis legationem dimisit.at Madianitæ Balaco maximis precibus vrgente, eadem de re denuò legatos mittunt ad Balamum : qui cupiens hominibus obsequi, Deum consulit. Deus verò offensus iubet vt legatis assentiatur. is ratus Deum hæc seriò iubere , cum legatis proficiscitur.inter eũdum autem cùm ventum esset in viam quandam angustam inter duas macerias sitam,occurrit ei Angelus : quo animaduerso asina qua vehebatur declinans appressit eum ad alterum septum,nihílque mouebatur verberibus sessoris pressuram molestè ferentis : cúmque nec angelus de via cederet, nec vates verberandi finem faceret , tandem procumbens Deo sic volente humana voce Balamum incusat,quòd nunquam antehac læsus sæuiret in se, non intelligens Deum prohibere quo minus quibus cuperet obsequatur.

καὶ λείαν πολλὴν ἰδίᾳ τε καὶ δημοσίᾳ πάντες εὐπόρησαν. μωυσῆς μὲν οὖν στρατοπεδεύει, ἀγαγὼν τὴν δύναμιν ἐπὶ τὸν ἰορδάνην κατὰ τὸ μέγα πεδίον ἱεριχοῦντος ἀντικρύς. πόλις δ' ἐστὶν εὐδαίμων αὕτη, φοίνικάς τε φέρειν ἀγαθὴ καὶ βάλσαμον νεμομένη. ἤρχοντο δὲ φρονεῖν ἐφ' ἑαυτοῖς μέγα οἱ ἰσραηλῖται, καὶ τὴν πρὸς τοὺς πολέμους ἐπιθυμίαν ὑπερέτεινον. καὶ μωυσῆς, ὀλίγων ἡμερῶν θύσας χαριστήρια πρῶτον τῷ θεῷ, καὶ τὸν λαὸν εὐωχήσας, μέρος τι τῶν ὁπλιτῶν ἐξέπεμψε, δῃώσοντας τὴν μαδιανιτῶν γῆν, καὶ τὰς πατρίδας αὐτῶν ἐκπολιορκήσοντας. τοῦ δ' ἐκπολεμηθῆναι πρὸς αὐτοὺς, αἰτίαν ἔλαβε τοιαύτην.

Κεφάλαιον ς'.

Περὶ βαλαάμου τοῦ μάντεως, καὶ ποταπὸς ἦν τὸ εἶδος.

ΒΑλακος ὁ τῶν μωαβιτῶν βασιλεὺς, φιλίας αὐτῷ πατρῴας οὔσης καὶ συμμαχίας πρὸς μαδιανίτας, ἐπεὶ τοὺς ἰσραηλίτας τοσοῦτον φυομένους ἑώρα, καὶ περὶ τῶν αὐτοῦ πραγμάτων λίαν εὐλαβὴς ἦν. καὶ γὰρ οὐδὲ πέπειστο γῆν ἄλλην πολυπραγμονεῖν τοὺς ἑβραίους ἀπηγορευκότος τοῦ θεοῦ κτησαμένους τὴν χαναναίων, καὶ θᾶττον ἢ φρονιμώτερον ἐγχειρεῖν ἔγνω τοῖς λόγοις. καὶ πολεμεῖν μὲν ἐπὶ ταῖς εὐπραγίαις, θρασέσι τε ὑπὸ τῆς κακοπραγίας κατειλημμένοις οὐκ ἔκρινε, κωλῦσαι δὲ εἰ δύναιτο γίνεσθαι μεγάλους λογιζόμενος, πρεσβεύσας πρὸς μαδιανίτας ὑπὲρ αὐτῶν. οἱ δὲ, ἦν γάρ τις ἀπὸ εὐφράτου βάλαμος, μάντις ἄριστος τῶν τότε, καὶ πρὸς αὐτοὺς ἐπιτηδείως ἔχων, πέμπουσι μετὰ τῶν βαλάκου πρέσβεων ἄνδρας παρ' αὐτοῖς ἀξιολόγων, παρακαλέσοντας τὸν μάντιν ἐλθεῖν, ὅπως ἂν ἐπ' ἐξωλείᾳ τῶν ἰσραηλιτῶν ἀρὰς ποιήσηται. παραγενομένους δὲ τοὺς πρέσβεις, δέχεται ξενίᾳ φιλοφρόνως. καὶ δειπνήσας, ἀνέκρινε τὴν τοῦ θεοῦ διάνοιαν τίς ἐστιν αὐτῇ ἐφ' οἷς μαδιανῖται παρακαλοῦσι. τοῦ δ' ἐμποδὼν στάντος, ἀφικνεῖται πρὸς τοὺς πρέσβεις, προθυμίαν μὲν καὶ σπουδὴν τὴν ἰδίαν ἐμφανίζων αὐτοῖς εἰς ἃ δέονται τυχεῖν. τὸν δὲ θεὸν ἀντιλέγειν αὐτοῦ τῇ προαιρέσει δηλῶν. ὃς αὐτὸν ἐπὶ τοσοῦτο κλέος δι' ἀλήθειαν καὶ τὴν ταύτης πρόρρησιν ἀγάγοι. τὸν γὰρ στρατὸν ᾧ καταρασόμενον αὐτὸν ἐλθεῖν παρακαλοῦσι, δι' εὐνοίας εἶναι τῷ θεῷ. συνεβούλευέ τε, διὰ ταύτην τὴν αἰτίαν παρ' αὐτοὺς χωρεῖν, τὴν ἔχθραν τὴν πρὸς τοὺς ἰσραηλίτας καταλυσαμένους. καὶ τοὺς μὲν πρέσβεις ταῦτα εἰπὼν ἀπέλυσε, μαδιανιτῶν δὲ βαλάκου σφόδρα ἐγκειμένου, καὶ δέησιν λιπαρὰν προσφέροντος, πάλιν πέμπουσι πρὸς τὸν βάλαμον. κἀκεῖνος βουλόμενος χαρίζεσθαι τοῖς ἀνδράσιν, ἀνήρετο τὸν θεόν. ὁ δὲ καὶ τῆς πείρας δυσχεράνας, κελεύει μηδὲν ἀντιλέγειν τοῖς πρέσβεσι. ὁ δ' ὑπολαβὼν ἀπάτῃ ταῦτα τὸν θεὸν κεκελευκέναι συναπῄει τοῖς πρέσβεσι. κατὰ δὲ τὴν ὁδὸν, ἀγγέλου θείου προσβαλόντος αὐτῷ, κατά τι τὸν στενὸν χωρίον περιειλημμένον αἱμασιαῖς διπλαῖς, ἡ ὄνος ἐφ' ἧς ὁ βάλαμος ὠχεῖτο συνεῖσα τοῦ θείου πνεύματος ὑπαντῶντος ἀπέκλινε τὸν βάλαμον πρὸς τὸ ἕτερον τῶν θριγκῶν ἀναισθήτως ἔχουσα τῶν πληγῶν, ἃς ὁ βάλαμος ἐπέφερεν αὐτῇ κακοπαθῶν τῇ θλίψει τῇ πρὸς τὸ θριγκόν. ὡς δ' ἐγκειμένου τοῦ ἀγγέλου ἡ ὄνος τυπτομένη ὤκλασε, κατὰ βούλησιν θεοῦ φωνὴν ἀνθρωπίνην λαβοῦσα, κατεμέμφετο τὸν βάλαμον, ὡς ἄδικον ἐπὶ ταῖς πρότερον διακονίαις μηδὲν ἔχοντα ἐγκαλεῖν αὐτῇ, νῦν δὲ πληγὰς ἐπιφέρει, μὴ συνεὶς ὅτι νῦν κατὰ θεοῦ προαίρεσιν οἷς αὐτὸς ἐσπούδασεν ὑπηρετεῖν εἴργεται.

ταραττομένου δ' αὐτοῦ διὰ τὴν τῆς ὄνου φωνὴν ἀνθρωπίνην οὖσαν, ἐπιφανεὶς καὶ ὁ ἄγγελος ἐναργὴς ἐνεκάλει τῶν πληγῶν, ὡς οὐχὶ τοῦ κτήνους ὄντος αἰτίου, τὴν δὲ ὁδὸν αὐτοῦ διακωλύοντος παρὰ γνώμην τοῦ θεοῦ γινομένην. καταδείσας δὲ ὁ Βάλαμος, οἷός τε ἦν ἀναστρέφειν, ἀλλὰ θεὸς αὐτὸν χωρεῖν τὴν προκειμένην παρώρμησεν, προστάξας ὅπερ ἂν αὐτὸς κατὰ νοῦν αὐτοῦ ποιήσῃ, τοῦτο σημαίνειν. καὶ ὁ μὲν ταῦτα τοῦ θεοῦ κελεύσαντος, ἧκει πρὸς Βάλακον. δεξαμένου δ' αὐτὸν τοῦ βασιλέως εὐπρεπῶς ἠξίου προαχθεὶς ἐπί τι τῶν ὀρῶν σκέψασθαι πῶς τὸ τῶν Ἑβραίων ἔχει στρατόπεδον. Βάλακος δ' αὐτὸς ἀφικνεῖται τὸν μάντιν σὺν βασιλικῇ θεραπείᾳ φιλοτίμως ἀγόμενος εἰς ὄρος ὅπερ ὑπὲρ κεφαλῆς αὐτῶν ἔκειτο τοῦ στρατοπέδου σταδίους ἀπέχον ἑξήκοντα. κατιδὼν δ' αὐτοὺς ἐκεῖνος, βωμούς τε καὶ ἐκέλευσεν ἑπτὰ δείμασθαι τὸν βασιλέα, καὶ τοσούτους ταύρους καὶ κριοὺς παραστῆσαι. ὑπουργήσαντος δὲ διὰ τάχους τοῦ βασιλέως, ὁλοκαυτεῖ θυθέντας, ὡς τροπὴν ἰδεῖν σημαινομένην. ὁ δὲ ὡς φησιν· ἐστὶ ὁ εὐδαίμων ᾧ ὁ θεός τε δίδωσι μυρίων κτῆσιν ἀγαθῶν, καὶ σύμμαχον εἰς ἅπαν καὶ ἡγεμόνα τὴν ἑαυτοῦ πρόνοιαν ἐπένευσεν, ὡς οὐδὲν ἐστιν ἀνθρώπειον γένος, οὗ μὴ κατ' ἀρετὴν καὶ ζήλωσιν ἐπιτηδευμάτων ἀρίστων καὶ καθαρῶν πονηρίας ὑμεῖς ἀμείνους κριθήσεσθαι, καὶ παισὶ βελτίοσιν αὐτῶν ταῦτα καταλείψειν, θεοῦ μόνοις ὑμᾶς ἀνθρώποις ἐφορῶντος, καὶ ὅθεν ἂν γένοισθε πάντων εὐδαιμονέστεροι τῶν ὑπὸ τὸν ἥλιον ἐκποριζοντος. γῆν τε οὖν ἐφ' ἣν ὑμᾶς αὐτὸς ἔστειλε καθέξετε, δουλεύσουσαν ἀεὶ παισὶν ὑμετέροις. καὶ τῆς περὶ αὐτῶν κλέος ἐμπλησθήσεται πᾶσα ἡ γῆ καὶ θάλασσα. ἀρκέσετε δὲ τῷ κόσμῳ παρασχεῖν ἑκάστῃ γῇ τῶν ἐφ' ὑμῶν ἑτέρου γένους οἰκήτορας. θαυμάζετε τοίνυν ὁ μακάριος στρατὸς ὅτι τοσοῦτος ἐξ ἑνὸς πατρὸς γεγόνατε. ἀλλὰ τῶν νῦν ὑμῶν ὀλίγων ἡ Χαναναία χωρήσει γῆ. τὴν δ' οἰκουμένην οἰκητήριον δι' αἰῶνος ἴστε προκειμένην ὑμῖν, καὶ τὸ πλῆθος ὑμεῖς ἔν τε νήσοις καὶ κατ' ἤπειρον βιοτεύσετε, ὅσον ἐστὶν οὐδ' ἀστέρων ἀριθμὸς ἐν οὐρανῷ. τοσούτοις δὲ οὖσιν, οὐκ ἀπαγορεύσει τὸ θεῖον ἀφθονίαν μὲν πάντων ἀγαθῶν ἐν εἰρήνῃ χορηγῶν, νίκην δὲ καὶ κράτος ἐν πολέμῳ. παῖδας ἐχθρῶν ἔρως τοῦ πρὸς ὑμᾶς πολέμου λάβοι, καὶ θαρσυνθεῖεν ὥστε εἰς ὅπλα καὶ τὰς ὑμετέρας χεῖρας ἐλθεῖν. οὐ γὰρ ἂν ὑποστρέψει ἔτι ὁ νικηφόρος, οὐδ' ὥστε παῖδας εὐφρᾶναι καὶ γυναῖκας. τοσοῦτον ὑμῖν ἀνδρείας τὸ περιὸν ἐκ θεοῦ προνοίας ἀνήρτηται, ᾧ καὶ τὰ περιττὰ μειοῦν ἰσχὺς, καὶ τὰ λείποντα διδόναι. καὶ ὁ μὲν τοιαῦτα ἐπεθείαζεν οὐκ ὢν ἐν ἑαυτῷ, τῷ δὲ θείῳ πνεύματι πρὸς αὐτὰ κεκινημένος. τοῦ δὲ Βαλάκου δυσχεραίνοντος, καὶ παραβαίνειν αὐτὸν τὰς συνθήκας ἐφ' αἷς αὐτὸν ἀντὶ μεγάλων λάβοι δωρεῶν παρὰ τῶν συμμάχων ἐπικαλοῦντος. ἐλθόντος γὰρ ἐπὶ κατάρᾳ τῶν πολεμίων, ὑμνεῖν αὐτοὺς ἐκείνους καὶ μακαριωτάτους ἀποφαίνειν ἀνθρώπων. ὦ Βαλάκ φησί, περὶ τῶν ὅλων λογίζῃ καὶ δοκεῖς ἐφ' ἡμῖν εἶναί τι περὶ τῶν τοιούτων σιγᾶν ἢ λέγειν ὅταν ἡμᾶς τὸ τοῦ θεοῦ λάβῃ πνεῦμα; φωνὰς γὰρ ἃς βούλεται τοῦτο καὶ λόγους οὐδὲν ἡμῶν εἰδότων ἀφίησιν. ἐγὼ δὲ μέμνημαι μὲν ὧν τε σὺ καὶ Μαδιανῖται δεηθέντες ἐνταυθοῖ με προθύμως ἠγάγετε, καὶ διὰ τοῦτο τὴν ἄφιξιν ἐποιησάμην, ἦν τέ μοι δι' εὐχῆς μηδὲν ἀδικῆσαί σου τὴν ἐπιθυμίαν. κρείττων δὲ ὁ θεὸς ὧν ἐγὼ χαρίζεσθαι διεγνώκειν, περὶ τῶν ἀνθρωπίνων παρ' ἑαυτοῦ λαμβάνων, ὡς μὴ ταῦθ' ἅπερ ὑπαγορεύει

A Hoc prodigioso asinæ sermone dum ille turbaretur, apparuit ei angelus, obiurgãs verberatorem, quòd iumentum non esset in culpa, sed ipse obstaret iter contra Dei voluntatem faciẽti. Tum vates territus volebat retro abire: sed Deus iussit eum pergere quò instituerat, modò ne quid aliter agat quàm diuinitus admoneretur. His mandatis perceptis ad Balacum peruẽnit: exceptúsque à rege honorificentissimè, voluit ad quẽdam montem deduci, vnde Hebræorum castra contemplari posset. B Balacus verò ipse cum regio comitatu deducit vatem in mõtem proximè imminentem, qui à castris stadia sexaginta aberat. quibus consideratis iubet regem septem aras extruere, & totidem tauros ac arietes exhibere. Id vbi celeriter iussu regis est factum, mactat victimas, vt victoriam præsagire posset. deinde sic fatur: Felices vos quibus Deus largam bonorum præbet copiam, & prouidentiam suam perpetuam ducem & auxiliatricem annuit. C quoniam nullum est hominum genus, cui non innocentia morum, virtutísque ac probitatis studio sitis anteferendi, liberos præstantiores etiam successores habituri, quãdoquidem Deus vos solos hominum complectitur, & vt omnium sub sole felicissimi sitis prospicit. quamobrem obtinebitis terram ad quam vos misit, & posteris vestris in perpetuũ possidendam relinquetis: & gloria vestri nominis implebitur vniuersa terra simul & mare, D adeóque multiplicabitur gens vestra, vt nulla non orbis regio vestri sanguinis homines admixtos sit habitura. Beatus vos exercitus & admiratione dignissimus, ex vno parente in tantum auctus. nunc vobis parum amplum pro dignitate ac numero domicilium Chananęa cõtinget, sed totum olim terrarum orbem habitationi vestræ destinatum scitote, vt tam in insulis quàm in continente sit vobis degendum præ multitudine ipsis cæli stellis numero æ- E quiparanda. Cúmque tam innumeri futuri sitis, nihilominus nihil vobis ad summam rerum copiam deesse patietur in pace, & in bello virtutem viris addet. inimicis nostris in mentem veniat, vt hostes vestri esse, & in vos arma sumere velint. non enim reuertetur è tali prælio victor, qui lætitiam coniugibus ac liberis afferat. Tanta vobis fortitudo diuino fauore contigit, qui solus potest & quod superest detrahere, & quod deest addere. F Talia vates fatidica voce canebat, extra se raptus, & numine totus correptus, rege indignè ferente, & pacta non seruare clamitante, licèt magnis muneribus ab amicis conductum: venisse eum ad execrãdum hostes, quos nunc mactos virtute ac pietate caneret. Ad quem vates: Putas, inquit, quoties fata sunt aperienda, in nobis situm esse quid dicamus aut taceamus afflati diuino spiritu? ipse voces quales vult profert & oracula, nobis G nec scientibus nec cogitantibus. Equidem satis memini ad quid precibus Madianitarum sim adductus, eáque causa veni vt voluntati tuę morem gererem. Sed potentior est Deus quàm mea voluntas, qui contra Dei voluntatem

ad gratiam hominum loqui proposueram. quamprimum enim nostrum pectus subintrat, nihil amplius nostrum ibi remanet. ego certè nihil in horum laudem dicere in animo habui, nec quæ Deus eorum generi dare decreuit, commemoranda putaui: sed numen illis propicium, quod gentis felicitati studet ac gloriæ, pro destinatis hæc verba mihi subdidit. Nunc age, quando animus est tibi atque Madianitis rem gratam facere, quorum preces me non decet non admittere, alias aras erigamus & sacra instauremus, si fortè Deum flectere possim, vt execrationibus hoc genus hominum deuouere liceat. Cúmque Balacus id fieri permisisset, ac ne iterato quidem sacro potestatem deuouendi impetrauisset, collapsus in faciem pronus prędicebat quicquid euenturum esset regibus & ciuitatibus clarissimis, quarum quædam nondum conditæ videntur: quæ verò extant earum res terra marique gestę ita prædictionibus responderunt vsque ad nostram memoriam, vt facilis sit coniectura, reliquum etiam eius oraculi non vanum fuisse euentum aliquando comprobaturum. Balacus autem ægrè ferens expectationem frustratam, sine honore vatem ablegat. ille domum repetens, cùm iam Euphratem attigisset, accito Balaco & principibus Madianitarum, Balace, inquit, vósque Madianitæ, quandoquidem necesse est vt vel præter Dei voluntatem vobis obsequar, Hebræorum quidem genus nunquam est interiturum, nec bello, aut pestilentia faméque, aut alio casu delebitur. Deus enim curam habet eius gentis à malis seruādæ, ne quādo talis clades incidat qua vniuersi de medio tollātur. interdum tamen quædam vitari non poterunt, quibus ad tempus afflicti, mox magis quàm antè florebunt, castigatione tali ad sanitatem reuocati. quapropter si breuem victoriam de illis consequi quæritis, hoc consilio voti compotes efficiam. Filiarum formosissimas, quæ pulchritudine sua mentes eorum expugnare possint, quantum fieri potest cultas ac ornatas mittite, vt circum castra obuersentur, & iuuenibus complexus expetentibus faciles se præbeant: vbi verò cupidine captos viderint, subitò se proripiant. cúmque rogatæ fuerint vt maneant, non annuant nisi persuasis, vt relictis patriis legibus & cultu Dei à quo illas acceperunt, Madianitarum & Moabitarum deos venerentur. sic enim Deum iratum sibi reddent. Post hæc monita abiit. Madianitis autem ita vt moniti fuerant filias mittentibus, Hebræorum iuuenes pulchritudine puellarum capiuntur: & in colloquium venientes rogant ne sibi voluptatē ex earum pulchritudine capere inuideāt, néve consuetudinem eorum auersentur. Illę libenter & verba iuuenum & complexus admittunt: iámque blanditiis illectos, & cupidine feruentes relinquere parant. tum illi tristes mulierum discessu, precibus instant ne se relinquant sed futuræ coniuges & omnium facultatū Dominæ apud illos maneant. hæc promissa iure-

Num. 25.

A τὸ θεῖον λέγειν, βιάζεσθαι δὲ τὴν ἐκείνου βούλησιν. οὐδὲν γὰρ ἐν ἡμῖν ἔτι φθάσαντος εἰσελθεῖν ἐκείνου ἡμέτερον. ἐγὼ γοῦν τὸν στρατὸν τοῦτον, οὔτ' ἐπαινέσαι προεθέμην, οὔτ' ἐφ' οἷς τὸ γένος αὐτῶν ὁ θεὸς ἀγαθοῖς ἐμηχανήσατο διελθεῖν. ἀλλ' εὐμενὴς αὐτοῖς ὢν, καὶ σπουδὴν αὐτοῖς εὐδαίμονα βίον καὶ κλέος αἰώνιον παρασχεῖν, ἐμοὶ τοιούτων ἀπαγγελίαν λόγων ὑπέθετο. νῦν δὲ, χαρίζεσθαι γὰρ αὐτῷ σοὶ διὰ σπουδῆς ἐστι μοι καὶ Μαδιανίταις, ὧν ἀπώσασθαί μοι τὴν ἀξίωσιν οὐκ εὐπρεπὲς,
B φέρε βωμούς τε ἑτέρους αὖθις ἐγείρωμεν, καὶ θυσίας ταῖς πρὶν παραπλησίας ἐπιτελέσωμεν, εἰ πεῖσαι τὸν θεὸν δυνηθείην ἐπιτρέψαι μοι τοὺς ἀνθρώπους ἀραῖς ἐνδῆσαι. συγχωρήσαντος δὲ τοῦ Βαλάκου, δὶς μὲν τεθυκότι τὸ θεῖον οὐκ ἐπένευσε, τὰς κατὰ τῶν Ἰσραηλιτῶν ἀράς. πεσὼν δὲ ἐπὶ στόμα πάθη προύλεγεν ὅσα τε βασιλεῦσιν ἔσται καὶ ὅσα πόλεσι ταῖς ἀξιολογωτάταις, ὧν
C ἐνίαις οὐδὲ οἰκεῖσθαί πως συνέβαινε τὴν ἀρχὴν, εἴ τε καὶ προύπαρξεν, ἐν τοῖς ἔμπροσθεν χρόνοις γενόμενα τοῖς ἀνθρώποις διὰ γῆς ἢ θαλάσσης εἰς μνήμην τὴν ἐμήν. ἐξ ὧν ἁπάντων τέλος λαβόντων ὁποῖον ἐκεῖνος προεῖπε, τεκμαίρετ' ἄν τις ὅτι καὶ ἔσοιτο πρὸς τὸ μέλλον. Βάλακος δὲ ἀγανακτήσας ἐπὶ τῷ μὴ καταράτους γενέσθαι τοὺς Ἰσραηλίτας, ἀποπέμπει τὸν Βάλαμον μηδεμιᾶς τιμῆς ἀξιώσας. ὁ δὲ ἀπιὼν ἤδη κατὰ τὸ περαιοῦν τὸν Εὐφράτην γενόμενος, τόν τε Βάλακον μεταπεμψάμενος καὶ
D τοὺς ἄρχοντας τῶν Μαδιανιτῶν, Βάλακε φησὶ, καὶ τῶν Μαδιανιτῶν οἱ παρόντες. χρὴ γάρ με καὶ παρὰ βούλησιν τοῦ θεοῦ χαρίσασθαι ὑμῖν. τὸ μὲν Ἑβραίων γένος οὐκ ἂν ὄλεθρος παντελὴς καταλάβοι, οὔτ' ἐν πολέμῳ, οὔτ' ἐν λοιμῷ, καὶ σπάνει τῶν ἀπὸ γῆς καρπῶν, οὔτ' ἄλλη τις αἰτία παράλογος διαφθείρειε. πρόνοια γάρ ἐστιν αὐτοῦ τῷ θεῷ σώζειν ἀπὸ παντὸς κακοῦ, καὶ μηδὲν ἐπ' αὐτοῖς ἐᾶσαι τοιοῦτον πάθος ἐλθεῖν, ὑφ' οὗ καὶ ἀπόλοιντο πάντες,
E συμπέσοι δὲ αὐτοῖς ὀλίγα τε καὶ πρὸς ὀλίγον, ὑφ' ὧν ταπεινοῦσθαι δοκοῦντες μᾶλλον αὐθήσουσιν ἐπὶ φόβῳ τῶν ἐπαγαγόντων αὐτοῖς τὰς βλάβας. ὑμεῖς δὲ εἰ νίκην τινὰ πρὸς βραχὺν καιρὸν κατ' αὐτῶν κερδᾶναι ποθεῖτε, τύχοιτ' ἂν αὐτῆς ταῦτα ποιήσαντες. τῶν θυγατέρων τὰς μάλιστα εὐπρεπεῖς, καὶ βιάσασθαι καὶ νικῆσαι τὴν τῶν ὁρώντων σωφροσύνην ἱκανὰς διὰ τὸ κάλλος, ἀσκήσαντες τὴν εὐμορφίαν αὐτῶν ἐπὶ τὸ μᾶλλον εὐπρεπὲς, πέμψατε πλησίον ἐσομένας τοῦ ἐ-
F κείνων στρατοπέδου, καὶ δεομένοις συνεῖναι τοῖς νεανίαις αὐτῶν προστάξατε. ἐπειδὰν δὲ κεκρατημένους ὁρῶσι ταῖς ἐπιθυμίαις, καταλιπέτωσαν. καὶ παρακαλούντων μένειν μὴ πρότερον ἐπινευέτωσαν, πρὶν ἂν πείσωσιν αὐτοὺς ἀφέντας τοὺς πατρίους νόμους, καὶ τὸν τούτους αὐτοῖς θέμενον τιμᾶν θεὸν, τοὺς Μαδιανιτῶν καὶ Μωαβιτῶν σέβωσιν. οὕτως γὰρ αὐτοῖς τὸν θεὸν ὀργισθήσεσθαι. καὶ ὁ μὲν ταῦθ' ὑποθέμενος αὐτοῖς ᾤχετο. τῶν δὲ Μαδιανιτῶν πεμψάντων τὰς θυγατέρας κατὰ τὴν ἐκείνου παραίνεσιν, οἱ τῶν
G Ἑβραίων ἁλίσκονται νέοι τῆς εὐπρεπείας αὐτῶν. καὶ παραγινόμενοι εἰς λόγους αὐταῖς, παρεκάλουν μὴ φθονεῖν αὐτοῖς τῆς τοῦ κάλλους αὐτῶν ἀπολαύσεως, μηδὲ ἐκ τῆς τοῦ πλησιάζειν συνηθείας. αἱ δὲ ἀσμένως δεξάμεναι τοὺς λόγους, συνῆσαν αὐτοῖς. ἐνδιατρίψασαι δὲ αὐτοὺς τῷ πρὸς αὐτὰς ἔρωτι, καὶ τῆς ἐπιθυμίας ἀκμαζούσης, περὶ ἀπαλλαγὴν ἐγίνοντο. τοὺς δ' ἀθυμία δεινὴ πρὸς τὴν ἀναχώρησιν τῶν γυναικῶν κατέλαβε. καὶ λιπαροῦντες ἐνέκειντο μὴ σφᾶς καταλιπεῖν, ἀλλὰ γαμετὰς αὐτῶν ἐσομένας αὐτόθι μένειν καὶ δεσποίνας ἀποδειχθησομένας πάντων ὧν ὑπῆρχεν αὐτοῖς. ταῦτα δὲ ὀμνύοντες ἔλεγον καὶ

θεὸν

θεὸν μάρτυρα ὧν ὑπισχνοῦντο ποιούμενοι, δακρύοντές τε καὶ πανταχόθεν εἰς τὸ ἐλεεινὸν ταῖς γυναιξὶ κατασκευάζοντες εἶναι. αἱ δ' ὡς δεδουλωμένους αὐτοὺς κατενόησαν, καὶ τελέως ὑπὸ τῆς συνηθείας ἐχομένους, ἤρξαντο πρὸς αὐτοὺς λέγειν, ἡμῖν ὦ κράτιστοι νέων, οἶκοί τε εἰσὶ παρ' αὑτοῖς, καὶ κτῆσις ἀγαθῶν ἄφθονος, καὶ ἡ παρὰ τῶν γονέων καὶ τῶν οἰκείων εὔνοια καὶ σπουδή. κατ' οὐδὲν δ' ἐνδεεῖς τούτων ποθοῦν ἐνθάδε ἀφίκουσαι ἡμεῖς εἰς ὁμιλίαν ἥκομεν, οὐδ' ἐμπορευσόμεναι τὴν ὥραν τὴν τοῦ σώματος προσηκάμεθα τὴν ὑμετέραν ἀξίωσιν. ἀλλ' ἄνδρας ἀγαθοὺς καὶ δικαίους ὑπολαβοῦσαι, τούτοις ὑμᾶς τιμῆσαι ξενίαις δεομένους ἐπείσθημεν καὶ νῦν, ἐπεὶ φατὲ πρὸς ἡμᾶς φιλοστόργως ἔχειν καὶ λυπεῖσθαι μελλουσῶν ἀναχωρεῖν, οὐδ' αὐταὶ τὴν δέησιν ὑμῶν ἀποστρεφόμεθα. πίστιν δ' εὐνοίας λαβοῦσαι τὴν μόνην ἡμῖν ἀξιόλογον νομισθεῖσαν, ἀγαπήσομεν τὸν μεθ' ὑμῶν βίον ὡς γαμεταὶ διάξουσαι. δέδιμεν γὰρ, μὴ καὶ κόρον τῆς ἡμετέρας ὁμιλίας λαβόντες, ἔπειθ' ὑβρίσητε καὶ ἀτίμως ἀποπέμψητε πρὸς τοὺς γονεῖς. συγγινώσκειν τε ταῦτα φυλαττομέναις ἠξίουν. τῶν δὲ ἣν βούλονται πίστιν δώσειν ὁμολογούντων, καὶ πρὸς μηδὲν ἀντιλεγόντων ὑπὸ τοῦ πρὸς αὐτὰς πάθους. ἐπεὶ ταῦτα ὑμῖν ἔξεστιν δέδοκται, τοῖς δ' ἔθεσι καὶ τῷ βίῳ πρὸς ἅπαντας ἀλλοτριωτάτῳ χρῆσθαι, ὥστε καὶ τὰς βορὰς ὑμῖν ἰδιοτρόπους εἶναι καὶ τὰ ποτὰ μὴ κοινὰ τοῖς ἄλλοις, ἀνάγκη βουλομένους ἡμῖν συνοικεῖν, καὶ θεοὺς τοὺς ἡμετέρους σέβειν, καὶ οὐκ ἂν ἄλλο γένοιτο τεκμήριον ἧς ἔχειν τε νῦν εὐνοίας φατὲ πρὸς ἡμᾶς καὶ ἐσομένης, ἢ τὸ τοὺς αὐτοὺς θεοὺς προσκυνεῖν. μέμψαιτο δ' οὐδεὶς εἰ γῆς εἰς ἣν ἀφῖχθαι τοὺς ἰδίους αὐτῆς θεοὺς προσέπεσθε. καὶ ταῦτα τῶν μὲν ἡμετέρων κοινῶν ὄντων πρὸς ἅπαντας, τοῦ δ' ὑμετέρου πρὸς μηδένα τοιούτου τυγχάνοντος. δεῖν οὖν αὐτοὺς ἔλεγον ἢ ταῦτα πᾶσιν ἡγητέον ἢ ζητεῖν ἄλλην οἰκουμένην ἐν ᾗ βιώσονται μόνοι κατὰ τοὺς ἰδίους νόμους. οἱ δ' ὑπὸ τοῦ πρὸς αὐτὰς ἔρωτος κάλλιστα λέγεσθαι ταῦτα ὑπολαβόντες, καὶ παραδόντες αὑτοὺς εἰς ἃ προσεκαλοῦντο, παρέβησαν τὰ πάτρια, θεούς τε πλείονας εἶναι νομίσαντες, καὶ θύειν αὐτοῖς κατὰ νόμον τὸν ἐπιχώριον τοῖς καθιδρυσαμένοις προσθέμενοι, ξενικοῖς τε βρώμασιν ἔχαιρεν, καὶ πάντες εἰς ἡδονὴν τῶν γυναικῶν ἐπὶ τοὐναντίον οἷς ὁ νόμος αὐτῶν ἐκέλευσε ποιοῦντες διετέλουν. ὥστε διὰ παντὸς ἤδη τοῦ στρατοῦ τὴν παρανομίαν χωρεῖν τῶν νέων, καὶ στάσιν αὐτοῖς πολὺ χείρω τῆς προτέρας ἐμπεσεῖν, καὶ κίνδυνον παντελοῦς τῶν ἰδίων ἐθισμῶν ἀπωλείας. ἅπαξ γὰρ τὸ νέον γευσάμενον ξενικῶν ἐθισμῶν ἀπλήστως ἐνεφορεῖτο. καὶ εἴ τινες τῶν πρώτων ἀνδρῶν διὰ πατέρων ἀρετὰς ἐπιφανεῖς ἦσαν, συνδιεφθείροντο. καὶ Ζαμβρίας ὁ τῆς Συμεωνίδος ἡγούμενος φυλῆς, Χοσβίᾳ συνὼν Μαδιανίτιδι, Σούρου θυγατρὶ τῶν ἐκείνῃ δυναστεύοντος ἀνδρὸς, κελευσθεὶς ὑπὸ τῆς γυναικὸς πρὸ τῶν Μωυσεῖ δοχθέντων τὸ πρὸς ἡδονὴν αὐτῇ γενησόμενον, ἐθεράπευεν αὐτὴν οὐ θύων τὰ πάτρια καὶ γάμον ἡγμένος ἀλλόφυλον. ἐν τούτοις δ' ὄντων τῶν πραγμάτων, δείσας Μωυσῆς μὴ γένηταί τι χεῖρον, συναγαγὼν εἰς ἐκκλησίαν τὸν λαὸν, οὐδενὸς μὲν κατηγόρει πρὸς ὄνομα, μὴ βουλόμενος εἰς ἀπόνοιαν προστῆσαι τοὺς ἐκ τοῦ λανθάνειν μετανοῆσαι δυναμένους. ἔλεγε δὲ, ὡς οὐκ ἄξια δρῷεν οὔτ' αὐτῶν οὔτε πατέρων, τὴν ἡδονὴν προτιμήσαντες τοῦ θεοῦ, καὶ τοῦ κατὰ τὸν βίου. προσήκειν δ' ὡς ἔτι καὶ καλῶς ἂν αὐτοῖς ἔχοι μεταβαλέσθαι,

iurando confirmabant. Deum testem inuocando, & lachrymas fundendo, quo magis eas ad miserationem flecterent. tum illæ postquam omnino captos & consuetudine sua deuinctos animaduerterunt, sic respondent: Optimi iuuenes, non desunt nobis domi nec amplæ facultates, nec parentum ac domesticorum affectus: neque inopia talium rerum huc ad vos venimus, aut formam corporis nundinaturæ preces vestras admisimus: sed persuasæ viros esse bonos hac hospitali gratia non dedignatæ qua vos opus habere videbamus, faciles nos vobis præbuimus. Nunc quandoquidem amare vos & abitionem nostram molestè ferre asseueratis ne has quidem preces auersabimur. quare si beneuolentiæ coniugalis fidem dederitis, quæ sola nobis satisfacere potest, libenter vobiscum vt legitimæ nuptæ conuicturæ sumus. veremur enim ne libidine exsatiata, cum iniuria & contumelia nos retro ad parentes nostros ablegetis: cui nostræ solicitudini veniam vos dare æquum postulamus. Illis verò quolibet modò fidem daturos se pollicentibus, & nihil præ amore nimio recusantibus: quandoquidem, inquiunt, ita vobis videtur, & mores habetis ab omnibus aliis diuersissimos, vt cibis etiam propriis vestro more vtamini, nec potum cum aliis communem sustineatis, necesse est si vultis nobiscum vitam degere, deos nostros colatis: neque enim alio argumento persuadebitis amorem istum vos non fingere, nisi eosdem nobiscum deos adoretis. Nec absurdum fuerit aut vitio vertendum, si terræ in quam venistis peculiares deos colere malitis: præsertim cùm nostri per omnes regiones honorêtur, vestrûm nemo præter vos cultu dignetur aut ceremoniis. Aut igitur cæterorum more vobis est viuendum, aut alius orbis quærendus, vbi soli iuxta vestra instituta vitam agatis. At illi cupidine cæci dicta earum comprobant, & quo trahebantur sequentes à religione patrum desciscunt: & plures deos credere inducti, sacra illis eius gentis ritu faciunt: cibis quoque indifferenter vtebantur, & in mulierum gratiam nihil non contra legem faciebant: vt iam tota castra iuuenum impietas inuaderet, & seditio priore peior glisceret, & auita religio in extremum periculum deduceretur. iuuentus enim gustatis semel peregrinis moribus inexplebiliter in eos ferebatur: & si qui nobilitate à maioribus accepta præcellebant, vnà cum reliqua turba corrumpebantur. Zambrias etiã Simeonidis tribus princeps ducta Chosbi Madianitide, Vri filia gentis eius dynastę, iussus ab vxore, & contemptis in eius gratiam Moysis placitis, alieno ritu sacrificabat, & alienigena coniuge non dissimulanter se oblectabat. In hoc rerum statu Moyses veritus ne grauius aliquid sequeretur, aduocata concione, neminem quidem nominatim accusauit, nolens in desperationem adducere eos qui tantisper dum latere se putant, ad sanitatem reduci poterant: sed dicebat rem indignam, nec ipsis nec maioribus eorum decoram, quòd voluptatem pluris, quã Deum & religionem facerent. Expedire illis vt dum tempus est resipiscant, & non legum con-

temptu, sed compescendis prauis cupiditatibus fortes viros declarent. absurdum præterea dicebat, quòd cũ in deserto modestè vixissent, nunc in bona regione ita baccharentur: & quæ per inopiam quæsiuerant, nunc per affluentiã perditum irent. Talibus dictis conabatur iuuentutem corrigere, & ad saniorem mentem reducere. Tum Zambrias insurgens: Tu, inquit, Moyses, tuis legibus vtere, quibus iam longo vsu robur addidisti: quod ni fecisses, sæpe iam pœnas dedisses, & tuo malo non esse Hebræis imponendum didicisses. me certè nunquam ad tua tyrannica iussa obstrictum habebis, neque enim aliud hactenus, quàm sub legis ac religionis prætextu nobis seruitutem, tibi principatum malitiosis artibus adstruis, voluptatem nobis ac vitæ licentiam adimens, quæ liberorum sunt, & sub nullius imperio degentium. hoc enim vel Ægyptiaca seruitute fuerit grauius, in quemuis tuis legibus pro tuo libitu animaduertere, cùm ipse multo dignior sis qui puniaris, quandoquidem abrogatis quæ omnium consensus approbat, plus tua quàm cęterorum mortalium placita valere postulas. ego quę nunc facio, quia benefacta iudico, ne fateri quidem in hoc cœtu grauabor, mulierculam alienigenam me duxisse. audis à meipso mea facta, vt ab ingenuo. neque enim latere cupio. Sacra etiam diis facio præter consuetum, quia id æquum censeo, ex multis mihi veritatem quærere, & non sicut sub tyrannide viuere, de vnius tantùm fiducia pendentem. nemo mihi rem gratam fecerit, qui in rebus meis meipso plus arbitrij habere voluerit. Hæc Zambria pro se & quibusdam sui similibus afferente, populus quietus expectabat quònam audacia hæc esset euasura, maximè quòd videret legislatorem amplius nolle contendere, ne hominem insolentem irritatiorem redderet. verebatur enim ne plures talis in loquendo impudentiæ imitatores facti, turbas in populo excitarent. Atque ita tum concio dissoluitur. ac fortasse vlterius malum hoc serpsisset, ni Zambrias maturè sublatus esset talem ob causam. Phinees tum aliis rebus, tum patris dignitate, iuuentutis facilis princeps, Eleazari pontificis filius, & Moysem magnum patruum habens, ægerrimè tulit Zambriæ contumaciam: cuius impunitate ne legum contemptus cresceret, vindicare in flagitiosos decreuit, non ignarus quòd exempla primatum in vtramuis partem plurimũ valeant. Cúmque tanto esset animi & corporis robore, vt non temerè aliquid arduum aggrederetur, quod non etiam perficeret, ad Zambriæ tentorium vadit, & eodem ictu ipsum vnà cum Chosbi transfigit. quo exẽplo iuuentus ad pulcherrimam virtutis æmulationem accẽsa, certatim in eiusdem criminis reos facit impetũ, & bonã illorũ partẽ ferro cõficiũt, reliquos insecuta pestis sustulit, per irã numinis inflicta & ne illis quidem pepercit, qui cùm iure cognationis talem suorum petulantiam cohibere deberent aut dissimulare aut accendere etiam maluerũt:

A τὴν ἀνδρίαν ὑπολαμβάνουσιν οὐκ ἐν τῷ βιάζεσθαι τοὺς νόμους, ἀλλ' ἐν τῷ μὴ εἴκειν ταῖς ἐπιθυμίαις εἶναι. πρὸς τούτοις δὲ οὐδ' εὔλογον ἔφασκε σωφρονήσαντας αὐτοὺς ἐπὶ τῆς ἐρήμου, νῦν ἐν τοῖς ἀγαθοῖς ὄντας παροινεῖν, μηδὲ τὰ κτηθέντα ὑπὸ τῆς ἐνδείας δι' εὐπορίαν αὐτῶν ἀπολέσθαι. καὶ ὁ μὲν ταῦτα λέγων, ἐπειρᾶτο τοὺς νέους ἐπανορθοῦν, καὶ εἰς μετάνοιαν ἄγειν ὧν ἔπραττον. ἀναστὰς δὲ μετ' αὐτὸν ζαμβρείας, ἀλλὰ σὺ μὲν, εἶπεν, ὦ μωυσῆ, χρῶ νόμοις, οἷς αὐτὸς ἐσπούδακας ἐκ τῆς συνηθείας B τούτων τὸ βέβαιον αὐτοῖς παρεσχημένος. ἐπεὶ μὴ τοῦτον αὐτῶν ἐχόντων τὸν τρόπον, πολλάκις ἂν ἤδη κεκολασμένος ἔγνως ἂν οὐκ εὐπαραλογίστοις ἑβραίοις. ἐμὲ δ' οὐκ ἂν ἀκόλουθον οἷς σὺ προστάττεις τυραννικῶς λάβοις. οὐ γὰρ ἄλλό τι μέχρι νῦν ἢ προσχήματι νόμων καὶ τοῦ θεοῦ δουλείαν μὲν ἡμῖν ἀρχὴν δὲ σαυτῷ κακουργεῖς, ἀφαιρούμενος ἡμᾶς τὸ ἡδὺ καὶ τὸ κατὰ τὸν βίον αὐτεξούσιον, ὃ τῶν ἐλευθέρων ἐστὶ καὶ δεσπότην οὐκ ἐχόντων. χαλεπώτερος δ' ἂν οὗτος αἰγυπτίων ἑβραίοις γένοιτο τιμωρεῖν C ἀξιῶν κατὰ τοὺς νόμους τὸ ἑκάστου πρὸς τὸ κεχαρισμένον αὐτῷ ποιεῖν. πολὺ δ' ἂν δικαιότερον αὐτὸς τιμωρίαν ὑπομένοις, τὰ παρ' ἑκάστοις ὁμολογούμενα καλῶς ἔχειν ἀφανίσαι προῃρημένος, καὶ κατὰ τῆς ἁπάντων δόξης ἰσχυρὰν τὴν ἑαυτοῦ κατασκευακώς. ἃ δὲ πράττω νῦν κρίνας ἀγαθὰ, ταῦτ' ἔπειτα περὶ αὐτῶν ὁμολογεῖν ἐν τούτοις οὐκ ὀκνήσαιμι. γυναῖκά τε ξενικὴν ὡς φῂς ἦγμαι. παρ' ἐμαυτοῦ γὰρ ἀκούεις τὰς ἐμὰς πράξεις ὡς παρ' ἐλευ- D θέρου. καὶ γὰρ οὐδὲ λαθεῖν προεθέμην. θύω τε θεοῖς οἷς θύειν μὴ νομίζεται, δίκαιον ἡγούμενος παρὰ πολλῶν ἐμαυτῷ πραγματεύεσθαι τὴν ἀλήθειαν, καὶ οὐχ ὥσπερ ἐν τυραννίδι ζῆν τὴν ὅλην ἐξ ἑνὸς ἐλπίδα τοῦ βίου παντὸς ἀνηρτηκότα. χαίροιτο ἂν οὐδεὶς κυριώτερον αὐτοῦ περὶ ὧν πράξωμι γνώμης τῆς ἐμῆς ἀποφαινόμενος. τοῦ δὲ ζαμβρίου ταῦτα περὶ ὧν αὐτός τε ἠδίκει καὶ τῶν ἄλλων τινὲς εἰπόντος, ὁ μὲν λαὸς ἡσύχαζε, φόβῳ τε τοῦ μέλλον- E τος, καὶ τὸν νομοθέτην δὲ ὁρῶν μὴ παραιτέρω τὴν ἀπόνοιαν αὐτοῦ προαγαγεῖν ἐκ τοῦ ἄντικρυς διαμάχης θελήσαντα. περιΐσατο γὰρ μὴ πολλοὶ τῆς τῶν λόγων ἀσελγείας αὐτοῦ μιμηταὶ γενόμενοι ταράξωσι τὸ πλῆθος. καὶ διελύετο μὲν ἐπὶ τούτοις ὁ σύλλογος. προεληλύθει δ' ἂν ἐπὶ πλεῖον ἡ τοῦ κακοῦ πεῖρα μὴ φθάσαντος ζαμβρίου τελευτῆσαι ἐκ τοιαύτης αἰτίας. φινεὲς ἀνὴρ τά τε ἄλλα τῶν νεωτέρων κρείττων, καὶ τῷ τοῦ πατρὸς ἀξιώματι τοὺς ἡλικιώτας ὑπερέχων, ἐλεαζάρου γὰρ τοῦ ἀρχιερέως υἱὸς ἦν, F μωυσέως δὲ ἀδελφοῦ υἱὸς, περιαλγήσας τοῖς πεπραγμένοις ὑπὸ τοῦ ζαμβρίου, καὶ πρὶν ἰσχυροτέραν γενέσθαι τὴν ὕβριν ὑπὸ τῆς ἀδικίας, ἔργῳ τὴν δίκην αὐτῶν εἰσπράξασθαι διαγνοὺς, καὶ κωλῦσαι διαβῆναι τὴν παρανομίαν εἰς πλείονας τῶν ἀρξαμένων οὐ κολαζομένων. τόλμῃ δὲ καὶ ψυχῆς καὶ σώματος ἀνδρείᾳ τοσοῦτον προὔχων, ὡς μὴ πρότερον εἴ τινι συσταίη τῶν δεινῶν ἀπαλλάττεσθαι πρὶν ἢ καταγωνίσασθαι καὶ νίκην τὴν ἐπ' αὐτῷ λαβεῖν, ἐπὶ τὴν τοῦ ζαμβρίου σκηνὴν παραγενόμενος αὐτόν τε παί- G ων τῇ ῥομφαίᾳ καὶ τὴν χοσβίαν ἀπέκτεινεν. οἱ δὲ νέοι πάντες, οἷς ἀρετῆς ἀντιποίησις ἦν καὶ τοῦ φιλοκαλεῖν, μιμηταὶ γενόμενοι τῆς φινεέσου τόλμης, ἀνῄρουν τοὺς ἐπὶ τοῖς ὁμοίοις ζαμβρεῖ τὴν αἰτίαν εἰληφότας. ἀπόλλυνται μὲν οὖν καὶ ὑπὸ τῆς τούτων ἀνδραγαθίας πολλοὶ τῶν παρανομησάντων. ἐφθάρησαν δὲ πάντες καὶ λοιμῷ ταύτην ἐνσκήψαντος αὐτοῖς τοῦ θεοῦ τὴν νόσον. ὅσοι τε συγγενεῖς ὄντες κωλύειν δέον ἐξώρμων αὐτοὺς ἐπὶ ταῦτα,

ἀδι-

ἀληθῆ τῷ θεῷ δοκοῦντες ἀπέθνησκον. ἀπόλλυνται μὲν οὖν ἐκ τῶν τάξεων ἄνδρες οὐκ ἐλάττους τετρακισχιλίων καὶ μυρίων. ὑπὸ δὲ ταύτης παροξυνθεὶς τῆς αἰτίας Μωυσῆς, ἐπὶ τὸν Μαδιανιτῶν ὄλεθρον τὴν στρατιὰν ἐξέπεμπε. περὶ ὧν τῆς ἐπ' αὐτοὺς ἐξόδου μετὰ μικρὸν ἐροῦμεν, προδιηγησάμενοι πρότερον, ὃ παρελείπομεν. δίκαιον γὰρ ἐπὶ τούτῳ τὴν τοῦ νομοθέτου γνώμην μὴ παρελθεῖν ἀνεγκωμίαστον. τὸν γὰρ Βάλαμον, παραληφθέντα ὑπὸ τῶν Μαδιανιτῶν ὅπως ἐπαράσηται τοῖς Ἑβραίοις, καὶ τοῦτο μὲν οὐ δυνηθέντα θείᾳ προνοίᾳ, γνώμην δὲ ὑποθέμενον ᾗ χρησαμένων τῶν πολεμίων, ὀλίγου τὸ τῶν Ἑβραίων πλῆθος διεφθάρη τοῖς ἐπιτηδεύμασι, νοσησάντων δή τινων περὶ ταῦτα, μεγάλως ἐτίμησεν ἀναγράψας αὐτοῦ τὰς μαντείας, καὶ παρὸν αὐτῷ σφετερίσασθαι τὴν ἐπ' αὐτοῖς δόξαν, καὶ ἐξιδιώσασθαι μηδενὸς ἂν γενομένου μάρτυρος τοῦ διελέγξοντος, ἐκείνῳ τὴν μαρτυρίαν ἀπέδωκε, καὶ τῆς ἐπ' αὐτῷ μνήμης ἠξίωσε. καὶ ταῦτα μὲν ὡς ἂν αὐτοῖς τισὶ δοκεῖ, οὕτω σκοπείτωσαν. Μωυσῆς δὲ ὑπὲρ ὧν καὶ προεῖπον, ἐπὶ τὴν Μαδιανῖτιν γῆν ἔπεμψε στρατιάν, τοὺς πάντας δισχιλίους καὶ μυρίους, ἐξ ἑκάστης φυλῆς τὸν ἴσον ἀριθμὸν ἐπιλεξάμενος, καὶ στρατηγὸν αὐτοῖς ἀπέδειξε Φινεές, οὗ μικρὸν πρότερον ἐμνήσθημεν φυλάξαντος τοῖς Ἑβραίοις τοὺς νόμους, καὶ τὸν παρανομοῦντα τούτοις Ζαμβρίαν τιμωρησαμένου.

Κεφάλαιον ζ.

Ὡς ἐπὶ Μαδιανίτας Ἑβραῖοι στρατεύσαντες ἐκράτησαν αὐτῶν.

Μαδιανῖται δὲ προαισθόμενοι τὸν στρατηγὸν ἐπὶ σφᾶς ἐλαύνοντα, καὶ ὅσον οὐδέπω παρεσόμενον, ἠθροίζοντό τε καὶ τὰς εἰσβολὰς τῆς χώρας ᾗ προσεδέχοντο τοὺς πολεμίους ἀσφαλισάμενοι, περιέμενον αὐτούς. ἐλθόντων δὲ καὶ συμβολῆς γενομένης, πίπτει τῶν Μαδιανιτῶν πλῆθος ἀσυλλόγιστον, καὶ ἀριθμοῦ κρεῖττον, οἵ τε βασιλεῖς αὐτῶν ἅπαντες. πέντε δὲ ἦσαν, Ὦχος τε καὶ Σούρης, ἔτι δὲ Ῥοβέης τε καὶ Οὔβης. πέμπτος δὲ Ῥέκεμος, οὗ πόλις ἐπώνυμος τὸ παρὰ ἀξίωμα τῆς Ἀράβων ἔχουσα γῆς. καὶ μέχρι νῦν ὑπὸ παντὸς τοῦ Ἀραβίου τοῦ κτίσαντος βασιλέως τὸ ὄνομα Ἀρκέμη καλεῖται, Πέτρα παρ' Ἕλλησι λεγομένη. τραπέντων δὲ τῶν πολεμίων, οἱ Ἑβραῖοι διήρπασαν αὐτῶν τὴν χώραν. καὶ πολλὴν λείαν λαβόντες καὶ τοὺς οἰκήτορας γυναιξὶν ἅμα διαφθείραντες, μόνας τὰς παρθένους κατέλιπον, τοῦτο Μωυσέως Φινεεῖ κελεύσαντος. ὃς ἧκεν ἄγων τὸν στρατὸν ἀπαθῆ καὶ λείαν ἄφθονον. βόας μὲν γὰρ δισχιλίους καὶ πεντακισμυρίους ἑπτὰ καὶ ἑξήκοντα. ὄνους δὲ ἑξακισμυρίους, χρυσοῦ δὲ καὶ ἀργύρου ἄπειρόν τι πλῆθος κατασκευῆς ἧς κατ' οἶκον ἐχρῶντο. ὑπὸ γὰρ εὐδαιμονίας, καὶ ἁβροδίαιτοι σφόδρα ἐτύγχανον. ἤχθησαν δὲ καὶ παρθένοι, περὶ δισχιλίας καὶ τρισμυρίας. Μωυσῆς δὲ μερίσας τὴν λείαν, τὸ πεντηκοστὸν Ἐλεαζάρῳ δίδωσι, καὶ τοῖς ἱερεῦσι. Λευΐταις δὲ τῆς ἑτέρας τὸ πεντηκοστὸν μέρος. τὴν δὲ λοιπὴν, νέμει τῷ λαῷ. καὶ διῆγον τὸ λοιπὸν εὐδαιμόνως ἀφθονίας μὲν ἀγαθῶν αὐτοῖς ὑπ' ἀρετῆς γεγενημένης, ὑπὸ μηδενὸς δὲ σκυθρωποῦ ταύτης ἀπολαύειν ἐμποδιζομένοις. Μωυσῆς δὲ γηραιὸς ἤδη τυγχάνων, διάδοχον ἑαυτοῦ Ἰησοῦν καθίστησιν ἐπί τε ταῖς προφητείαις, καὶ στρατηγὸν εἴ που δεήσειε γενησόμενον, κελεύσαντος καὶ τοῦ θεοῦ τούτῳ τὴν προστασίαν ἐπιτρέψαι τῶν πραγμάτων.

A nec priùs destitit, quàm quatuordecim millia virorum desiderarentur. Hanc ob rem Moyses in Madianitas concitus, ad gentem internecione delendam exercitum misit, de qua expeditione mox narrabimus, postquam quod omissum antè non oportuit, dixerimus. Balamum illum, qui à Madianitis accitus ad execrandos Hebræos, quo minus hoc facere à Deo est prohibitus, nihilo secius tamen tale hostibus consilium dedit, quo effectum est, vt quibusdã infe-B ctis praua opinione, penè totius populi religio sit corrupta: hunc inquam Balamum tanto honore dignatus est Propheta, vt oracula eius suis literis inseruerit: cúmque nihil vetaret quin ea pro suis ederet, nec vllo teste id factũ eius coargui posset, maluit eum debita apud posteros memoria non fraudare. Sed hæc quisque vt libuerit ita consideret. Moyses autem, vt dicere cœperam, in Madianitas misit exercitum duo-C decim millium, singulis tribubus mille militibus imperatis: eisque copiis Phineem præfecit, cuius opera leges vindicatas, & de Zambria violatore earum pœnas exactas paulò antè memorauimus.

Nu. 31.

Cap. VII.

D *Hebræorum de Madianitis victoria, & Amoritis regio quomodo à Moyse duabus cum dimidiata tribubus concessa.*

Madianitæ verò intellecto hostium aduentu, & quòd iam non longè abessent, & ipsi copias in vnum contrahũt, & quà in regionem suam irrupturos putabant, munito pro E tempore aditu, præsto erant, impetus eorũ pro viribus propulsaturi. Sed mox primo congressu tanta multitudo Madianitarum est cæsa, vt numerus cadauerum iniri non posset, ne regibus quidẽ seruatis. Hi fuêre Ochus, Sures, Robeas, Vbes, & quintus Recemus, à quo deductum nomen primaria vrbs Arabum & hodie retinet, Receme dicta, quam Græci Petram vocare malunt. Fusis hostibus, Hebræi regionem sunt populati, prædas abigendo, & incolas vnà cum F mulieribus interimendo, solis parcentes virginibus: hoc enim Phinees à Moyse mandatum acceperat. qui reducto incolumi ac illæso exercitu, prædam quoque memorabilẽ retulit, boũ quinquaginta duo millia, & insuper sexaginta septem, asinorum sexaginta millia, vasorum aureorum & argenteorum magnum numerum, quibus in domestica supellectile vtebantur. Etenim pro opibus lautiore victu delectaban-G tur. Abductæ sunt etiam virgines circiter triginta duo millia. Moyses autem partitus prædam, quinquagesimam eius partem Eleazaro dedit & sacerdotibus, & Leuitis alterius quinquagesimam: reliquum verò populo distribuit. quo factum est vt deinde suauiter viuerent, opibus virtute quæsitis, otium quoque ad fruendũ nacti. Moyses autem iam admodum senex Iesum designauit, qui sibi in Prophetæ & ducis (si opus foret) muniis succederet, Deo ita iubente vt hunc principatus successorem faceret.

Num. 27. Deut. 3.

Erat enim totius diuini atque humani iuris peritissimus, Moyse præceptore doctus. Per idem tempus duæ tribus, Gadæ & Rubeli, & dimidia Manassitis numero pecudum & aliis rebus abundantes, de communi consilio rogant Moysem, vt sibi extra sortem traderet Amoritidem terram, quę non multò antè bello capta fuerat, esse enim pascuis vberem. Ille verò suspicatus eos prælia contra Chananæos metu detrectare, & curam pecudum ignauiæ prætexere, conuitio viros excipit, meticulosos simulatores dictitans: Velle eos in otio luxúque terram communi marte quæsitam possidere, & nolle arma cum cætero exercitu ferentes, terram vltra Iordanem à Deo promissam capere, deuictis gentibus quas ille pro hostibus haberi iusserat. Qui videntes eum iratum, ne meritò irasci videretur, respondent se neque per ignauiam pericula, neque per desidiam labores fugere, sed hoc tantùm agere, vt præda in locis commodis relicta, expeditiores ad certamina fierent: paratósque se aiebant, si oppida ad tutelam liberorum & coniugum ac facultatum ipso dante acciperent, reliquum exercitum armatos quocunque ducerentur sequi, & communibus militare auspiciis. Tum Moyses comprobata eorum voluntate, aduocatóque Eleazaro pontifice & Iesu, cæterísque magistratibus, concedit illis Amoritidem hac conditione, vt simul cum cognato populo aduersus communem hostem bellum gerant, donec omnia ex sententia confecta fuerint, atque hoc pacto accepto quod petierunt, & extructis munitis oppidis, liberos & vxores atque impedimenta in illis deponunt. Moyses quoque in eadem regione decem vrbes condidit, in illum quadraginta octo numerum computandas, in quarum tribus asyla sanciuit, illis tantùm profutura, qui cæde non sponte commissa eò confugissent. statuítque talibus exilij tempus, tantisper dum pontifex viueret sub quo cedes accidit. post cuius obitum redire in patriam permisit. Exilij verò tempore licere cuiuis è cognatis interempti homicidam impunè occidere, duntaxat extra vrbem refugij deprehensum: ídque ius solis cognatis esse voluit, aliis non item. Cæterùm oppida refugij fuerunt hæc: ad fines Arabiæ Bosora, in Galadena regione Arimanum, in Bataneade Gauludeman. & post captam Chananæam totidem ex Leuiticis oppidis iussu Moysis destinata sunt, vt hoc genus exulibus refugium & habitationem præberent. Eodem tempore cùm defunctus esset quidam è primatibus Manassitidis tribus nomine Salpades, liberis deterioris tantùm sexus relictis, tribules eius viri insignes Moysem consulunt, an filiarum eius in diuisione & sortitione agrorum ratio haberi debeat. Is respondit, si in domum tribulis nuptum darentur, sortem dotalem fore: sin mallent in aliam tribum elocari, sortem in sua tribu relinquerent. atque hac occasione instituit, vt cuique tribui suæ sortes perpetuò manerent. Quúmque iam de quadragesimo migrationis anno triginta tantùm dies superessent, aduocata concione ad Iordanem eo loco vbi nunc oppidum Abila visitur, agrum

Num.23. Num.35. Deut.4. 19. Iosu.20. Nu.27.36. VI. Deut.4.

A ὁ δ᾽ Ἰησοῦς, πᾶσαν ἐπεπαίδευτο τὴν περὶ τοὺς νόμους παιδείαν, καὶ τὸ θεῖον Μωυσέως ἐκδιδάξαντος. κἀν τούτῳ δύο φυλαὶ Γάδου τε καὶ Ῥουβήλου καὶ τῆς Μανασσίτιδος ἡμισεία, πλήθει τετραπόδων εὐδαιμονοῦντες, καὶ τοῖς ἄλλοις ἅπασι, κοινολογησάμενοι παρεκάλουν τὸν Μωυσῆν ἐξαίρετον αὐτοῖς τὴν Ἀμορῖτιν παρασχεῖν, δορίκτητον οὖσαν. ἀγαθὴν γὰρ εἶναι βοσκήματα τρέφειν. ὁ δ᾽ ὑπολαβὼν αὐτοὺς δείσαντας τὴν πρὸς Χαναναίους μάχην, πρόφασιν εὐπρεπῆ τὴν τῶν βοσκημάτων ἐπιB μέλειαν εὑρῆσθαι, κακίστους τε ἀπεκάλει, καὶ δειλίας εὐσχήμονα πρόφασιν ἐπινοήσαντας. αὐτοὺς μὲν βούλεσθαι τρυφᾶν ἀπόνως διάγοντας πάντων τεταλαιπωρηκότων ὑπὲρ τοῦ κτήσασθαι τὴν αἰτουμένην ὑπ᾽ αὐτῶν γῆν. μὴ θέλειν δὲ συναραμένοις τῶν ἐπιλοίπων ἀγώνων, γῆν ἣν διαβᾶσιν αὐτοῖς τὸν Ἰορδάνην ὁ θεὸς παραδώσειν ὑπέσχηται ταύτην λαβεῖν καταστρεψαμένοις οὓς ἐκεῖνος ἀπέδειξεν ἡμῖν πολεμίους. οἱ δ᾽ ὁρῶντες ὀργιζόμενον αὐτὸν καὶ δικαίως ἠρεθίσθαι πρὸς C τὴν ἀξίωσιν αὐτῶν ὑπολαβόντες, ἀπελογοῦντο, μὴ διὰ φόβον κινδύνων, μηδὲ διὰ τὴν πρὸς τὸ πονεῖν μαλακίαν πεποιεῖσθαι τὴν αἴτησιν. ἀλλ᾽ ὅπως τὴν λείαν ἐν ἐπιτηδείοις καταλιπόντες, εὔζωνοι πρὸς τοὺς ἀγῶνας χωρεῖν δύναιντο. ἑτοίμους τε ἔλεγον αὑτοὺς κτίσαντας πόλεις εἰς φυλακὴν τέκνων καὶ γυναικῶν καὶ κτήσεως αὐτοῦ διδόντος συναπιέναι τῷ στρατῷ. καὶ Μωυσῆς ἀρεσθεὶς τῷ λόγῳ, καλέσας Ἐλεάζαρον τὸν ἀρχιερέα, καὶ D Ἰησοῦν, καὶ τοὺς ἐν τέλει πάντας, συνεχώρει τὴν Ἀμορῖτιν αὐτοῖς ἐπὶ τῷ συμμαχῆσαι τοῖς συγγενέσιν ἕως καταστήσωνται τὰ πάντα. λαβόντες οὖν ἐπὶ τούτοις τὴν χώραν, καὶ κτίσαντες πόλεις καρτερὰς, τέκνα καὶ γυναῖκας καὶ τἆλλα ὅσα συμπεριάγειν μέλλουσιν αὐτοῖς ἦν ἂν ἐμπόδια τοῦ πονεῖν ἀπέθεντο εἰς αὐτάς. οἰκοδομεῖ δὲ καὶ Μωυσῆς τὰς δέκα πόλεις τὰς εἰς τὸν ἀριθμὸν τῶν ὀκτὼ καὶ τεσσαράκοντα γενησομένας. ὧν τρεῖς ἀπέδειξε τοῖς ἐπ᾽ ἀκουσίῳ φόνῳ φευξομέE νοις. καὶ χρόνον ἔταξεν εἶναι τῆς φυγῆς τὸν αὐτὸν τῷ ἀρχιερεῖ, ἐφ᾽ ᾧ δράσας τις τὸν φόνον ἔφυγε. μεθ᾽ ὃν συγχωρεῖ τελευτήσαντα κάθοδον, ἐχόντων ἐξουσίαν τῶν τοῦ πεφονευμένου συγγενῶν κτείνειν, εἰ λάβοιεν ἔξω τῶν ὅρων τῆς πόλεως, εἰς ἣν ἔφυγε, τὸν πεφονευκότα, ἑτέρῳ δ᾽ οὐκ ἐπετέτραπτο. αἱ δὲ πόλεις αἱ πρὸς τὰς φυγὰς ἀποδεδειγμέναι ἦσαν αἵδε. Βόσορα μὲν, ἐπὶ τοῖς ὅροις τῆς Ἀραβίας. Ἀρίμανον δὲ τῆς Γαλαδηνῆς γῆς, καὶ F Γαυλαδημὰν δ᾽ ἐν τῇ Βατανειάδι. κτησαμένων δ᾽ αὐτῶν καὶ τὴν Χαναναίων γῆν, τρεῖς ἕτεραι πόλεις ἔμελλον ἀνατεθήσεσθαι τῶν Λευιτίδων πόλεων, τοῖς φυγάσιν εἰς κατοικισμὸν Μωυσέως ἐπιστείλαντος. Μωυσῆς δὲ, προσελθόντων αὐτῷ τῶν πρώτων τῆς Μανασσίτιδος φυλῆς καὶ δηλούντων ὡς τεθνήκοι τις τῶν φυλετῶν ἐπίσημος ἀνὴρ Σαλπαάδης ὄνομα, παῖδας μὲν οὐ καταλιπὼν ἄρσενας, θυγατέρας μέντοι, καὶ πυθομένων εἰ τούτων ὁ κλῆρος ἔσοιτο, φησὶ, εἰ μὲν μέλλουσί τινι συνοικεῖν τῶν φυλετῶν, μετὰ τοῦ κλήρου πρὸς αὐτοὺς ἀπιέναι. εἰ δ᾽ ἐξ ἀλG λης γαμοῖντο τινὶ φυλῆς, τὸν κλῆρον ἐν τῇ πατρῴᾳ φυλῇ καταλιπεῖν. καὶ τότε μένειν ἑκάστου τὸν κλῆρον ἐν τῇ φυλῇ διετάξατο. τῶν δὲ τεσσαράκοντα ἐτῶν παρὰ τριάκονθ᾽ ἡμέρας συμπεπληρωμένων, Μωυσῆς ἐκκλησίαν, ἐπὶ τῷ Ἰορδάνῃ συναγαγὼν, ὅπου νῦν πόλις ἐστὶν Ἀβιλὴ,

φοι

φοινικόφυτον δ' ἐστὶ τὸ χωρίον, συνελθόντος τοῦ λαοῦ πάντος, λέγει τοιάδε. A

habens palmetis consitum, vbi populum omnem præsto vidit, in hunc modum verba fecit. *Deut.4.*

Κεφάλαιον η'.

Η μωυσέως πολιτεία, καὶ πῶς ἐξ ἀνθρώπων ἠφανίσθη.

Ἄνδρες συστρατιῶται, καὶ τῆς μακρᾶς κοινωνοὶ ταλαιπωρίας. ἐπεὶ τῷ θεῷ δοκοῦν ἤδη καὶ τὸ γῆρας χρόνον τῶν εἴκοσι καὶ ἑκατὸν λύσιμον δεῖ με τοῦ ζῆν ἀπελθεῖν, καὶ τῶν πέραν τοῦ Ἰορδάνου πραχθησομένων οὐ μέλλω βοηθὸς ὑμῖν ἔσεσθαι καὶ σύμμαχος κωλυόμενος ὑπὸ τοῦ θεοῦ, δίκαιον ἡγησάμην μηδὲ νῦν ἐγκαταλιπεῖν τὸ μέχρι ὑπὲρ τῆς ὑμετέρας εὐδαιμονίας πρόθυμον. ἀλλ' αἴτιόν τε ὑμῖν πραγματεύσασθαι τὴν τῶν ἀγαθῶν ἀπόλαυσιν, καὶ μνήμην ἐμαυτῷ, γινομένων ὑμῶν ἐν ἀφθονίᾳ τῶν κρειττόνων. φέρε οὖν ὑποθέμενος ὃν τρόπον ὑμεῖς ἂν εὐδαιμονήσητε, καὶ παισὶ τοῖς αὑτῶν καταλείποιτε κτῆσιν ἀγαθῶν ἀΐδιον παραθέμενος, οὕτως ἀπέλθω τοῦ βίου. πιστεύεσθαι δὲ ἄξιός εἰμι, διά τε τὰς πρότερον ὑπὲρ ὑμῶν φιλοτιμίας, καὶ διὰ τὸ τὰς ψυχὰς ἐπὶ τελευτῇ γινομένας μετ' ἀρετῆς πάσης ὁμιλεῖν. ὦ παῖδες Ἰσραήλου, μία πᾶσιν ἀνθρώποις ἀγαθῶν κτήσεως αἰτία, θεὸς εὐμενής. μόνος γὰρ οὗτος δοῦναί τε τοῖς ἀξίοις καὶ ἀφελέσθαι τῶν ἁμαρτανόντων εἰς αὐτὸν ἱκανός. ᾧ παρέχοντες ἑαυτοὺς οἵους αὐτός τε βούλεται κἀγὼ τὴν διάνοιαν αὐτοῦ σαφῶς ἐξεπιστάμενος παραινῶ, οὐκ ἂν ὄντες μακαριστοὶ καὶ ζηλωτοὶ πᾶσι ἀτυχήσαιτέ ποτε ἢ παύσησθε. ἀλλ' ὧν τε νῦν ὑμῖν ἐστιν ἀγαθῶν ἡ κτῆσις βεβαία μένει, τῶν τε ἀπόντων ταχεῖαν ἕξετε τὴν παρουσίαν. μόνον οἷς ὑμᾶς ὁ θεὸς βούλεται ἕπεσθαι, τούτοις πειθαρχεῖτε. καὶ μήτε νομίμων τῶν παρόντων ἄλλην προτιμήσητε διάταξιν, μήτ' εὐσεβείας ἧς νῦν περὶ τὸν θεὸν ἔχετε, καταφρονήσαντες, εἰς ἄλλον μεταστήσησθε τρόπον. ταῦτα δὲ πράττοντες, ἀλκιμώτατοι μάχας διενεγκεῖν ἁπάντων ἔσεσθαι, καὶ μηδενὶ τῶν ἐχθρῶν εὐάλωτοι. θεοῦ γὰρ παρόντος ὑμῖν βοηθοῦ, πάντων περιφρονεῖν εὔλογον. τῆς δ' ἀρετῆς ἔπαθλα ὑμῖν μεγάλα κεῖται πρὸς ἅπαντα τὸν βίον, κτησαμένοις. αὐτή γε πρώτων ἀγαθῶν τὸ πρέσβιστον ἐστίν. ἔπειτα καὶ τὴν τῶν ἄλλων χαρίζεται περιουσίαν. ὥς καὶ πρὸς ἀλλήλους ὑμῖν χρωμένοις αὐτὴ μακάριον ποιεῖται τὸν βίον, καὶ τῶν ἀλλοφύλων πλέον δοξαζομένοις, καὶ παρὰ τοῖς αὖθις τὴν εὔκλειαν ὑμῖν ὑπάρξαι. τούτων δ' ἂν ἐφικέσθαι δυνηθείητε, εἰ τῶν νόμων, οὓς ὑπαγορεύσαντός μοι τοῦ θεοῦ συνεταξάμην, κατήκοοι καὶ φύλακες γένησθε, καὶ μελετῶντες τὴν σύνεσιν αὐτῶν. ἄπειμι δ' αὐτὸς χαίρων ἐπὶ τοῖς ὑμετέροις ἀγαθοῖς, παρατιθέμενος ὑμᾶς νόμοις τε σωφροσύνης καὶ κόσμῳ τῆς πολιτείας καὶ ταῖς τῶν στρατηγῶν ἀρεταῖς, οἳ πρόνοιαν ἕξουσιν ὑμῶν τοῦ συμφέροντος. θεὸς τε ὁ μέχρι νῦν ἡγεμονεύσας ὑμῶν, καθ' οὗ βούλησιν κἀγὼ χρήσιμος ὑμῖν ἐγενόμην, οὐ μέχρι τοῦ δεῦρο ὑμῖν στήσει τὴν αὑτοῦ πρόνοιαν. ἀλλ' ἐφ' ὅσον αὐτοὶ βούλεσθε χρόνον τοῦτον ἔχειν προστάτην ἐν τοῖς τῆς ἀρετῆς ἐπιτηδεύμασι μένοντες, ἐπὶ τοσοῦτον αὐτοῦ χρήσεσθαι τῇ προμηθείᾳ. γνώμας τε ὑμῖν εἰσηγήσονται ἀρίστας, αἷς ἑπόμενοι, τὴν εὐδαιμονίαν ἕξετε, ὅ τ' ἀρχιερεὺς Ἐλεάζαρος, καὶ Ἰησοῦς, ἥ τε γερουσία καὶ τὰ τέλη τῶν φυλῶν, ὧν ἀκροᾶσθε μὴ χαλεπῶς, γινώσκοντες ὅτι πάντες οἱ ἄρχεσθαι καλῶς εἰδότες καὶ ἄρχειν ἴσονται παρελθόντες εἰς ἐξουσίαν αὐτοί.

CAP. VIII.

Moysis leges, & quomodo ex hominibus est sublatus.

Viri commilitones, & longi laboris socij, quoniam Deus ita vult, & ætas cxx. annorum exacta postulat, vt ex hac vita discedã, & rebus vltra Iordanem gerendis interesse me Deo non est visum, æquum duxi, vt quantum ad vestram felicitatem attinet, ne nunc quidem officio desim: sed pro gratia mihi data prouideam, vt pro commonstrata ad eam via, sempiterna apud vos memoria dignus habear. Age igitur, vbi prius in quo tam vestra quàm posterorum beatitudo consistat indicauerimus, & hoc pietatis erga vos nostræ perpetuum monumentum reliquerimus, libentes ex hac vita decedamus. Fidem enim, sat scio, mereor, vel quòd antehac vestris commodis indesinenter seruiens nunquam vos fefelli, vel quòd anima prope exitum constituta in omni virtute ac veritate seipsa melior redditur. Filij Israelis, vna omnibus hominibus felicitatis est causa Deus propitius: quam solus dignis dare, & peccantibus in se auferre potis est. cui si vos tales præstiteritis, quales ipse postulat, qualésve ego ex ipsi⁹ sententia instituo, nunquam non macti virtute, æmulandíque omnibus eritis: sed & quæ iam contigerunt bona erunt perpetua, & quod deest breui consequemini. Tantùm voluntati diuinæ obsequimini, & mandatis eius parete: & neque legibus per me latis alias præponite, neque in religione per contemptum quicquam nouate. Quod si feceritis, bello præstantissimi inter omnes gentes, & omnibus hostibus insuperabiles eritis, nam auxiliante Deo minæ omnes facilè contemnuntur. Cæterum virtutis præmia magna per omnem vitam sunt proposita, & ipsa sibi primum est ac potissimũ præmium: deinde per hanc cætera bona facilè parantur: qua inter vos inuicem vtentes & vitam beatam ducetis, & gloriam tum apud exteros tum apud posteros immortalem consequemini. Hęc vobis sunt speranda, si leges monitu Dei me perferente scriptas nec ipsi violetis, nec alios violare patiamini, & harum intellectum ac vsum nunquam non meditemini. Ego verò commodis vestris lætus discedo, vósq. pietatis ac prudentiæ legibus, & virtuti ducum ac magistratuum commendo, qui incolumitatis ac felicitatis vestræ posthac curam sunt habituri. Deus autẽ sub cuius ductu hactenus egistis, & cuius fauori debetis quicquid vtilitatis ex me percepistis, non desinet vobis prospicere, sed quàm diu ipsum & pietatem colueritis, tã diu sub eius præsidio tuti permanebitis. Nec deerunt qui vobis optima monita suggerant, quibus parentes beati eritis, nimirũ pontifex Eleazarus & Iesus, & senatus ac primates tribuũ, quibus cauete vos difficiles præbeatis, scientes quòd qui bene parere nouit, etiam bene imperaturus est vbi ad potestatem peruenerit:

néve in hoc libertatem sitam existimetis, si mádatis principum ob murmuraueritis. nam hactenus in contumacia contra benefactores libertatem reponebatis: à quo vitio si vos in posterum seruaueritis, res vestras in meliore statu videbitis. Absit autem vt ita in hos exasperemini, quemadmodum aliquoties in me incanduistis. meministis enim quòd sæpius à vobis de salute periclitatus sum quàm ab hostibus. quod non exprobrandi causa dico: nolim enim vos hac commemoratione in exitu vitæ contristatos relinquere. qui etiam tunc æquo animo vos tuli: sed vt admoniti in posterum sapiatis, id quod in vestram etiam rem futurú est. & ne in præpositos contumeliosi sitis elati opum affluentia, quibus traiecto Iordane & occupata Chananæa potiemini. alioqui si per has insolentiores facti in contumaciam & virtutis contemptum prolabamini, Deum fautorem nequaquam estis habituri, quem si vestro merito inimicum vobis reddideritis, & terram virtute partam oppressi ab hostibus per summam ignominiam amittetis, & per totum quàm latè patet orbem dispersi seruitute vestra terras ac maria replebitis. quò si ventum fuerit, iam frustra pœnitebit patrias leges non seruasse. quare quo minus periculi sit, ne illas violetis, post victoriam neminem hostium superesse patimini: ídque rebus vestris conducibilius existimate, ne cum illis viuentes ad similia studia prolapsi patriam institutionem corrumpatis. Præterea lucos & aras & templa quotquot habent ad vnum tolli iubeo, ferróque & flammis ita deleri, vt etiam memoria eorum omnis aboleatur. Sic enim bona vestra tutiùs conseruabitis. Verùm ne per ignorantiam meliorum natura vestra in deterius deprauetur, Deo iubente & leges conscripsi, & formam administrationis rerum tam publicarum quàm priuatarum, à quibus si nusquam discedatis, mortalium omnium felicissimi eritis. Hæc loquutus tradit eis codicem, leges scriptas & instituta bene viuendi continentem. Illi verò soluebantur in lacrymas, & iam tum desiderio ducis mœrebant: memorésque quanta pericula pertulisset, quámque alacriter salutem ipsorum procurauisset: & de futuro soliciti, quòd non essent talem principem habituri, ac ne Deum quidem æquè propitium. Moyse non amplius deprecatore: tum pœnitentes eorum quæ in deserto per furorem cõtra illum commiserant, grauissimè dolebant: ita vt totus populus lacrymans nullam consolationem admitteret. Moyses verò solabatur eos, & iubens à lacrymis desistere, ad leges accipiendas hortabatur. atq. ita tú cócio est dissoluta. Núc priusquá ad reliqua tráситú faciá, operæpreciú duxi, leges talis latoris maiestate ac virtute dignas hîc inserere, quo lector cognoscat, qualia sint nostra iá inde à priscis seculis instituta. Extát auté omnia quę ille vir scripsit, vt nihil ornatus causa liceat affingere: serié tantú nouauimus, & leges quas ille sparsim vt quáq; à Deo retulerat,

Deut.7.11.

τήν τε ἐλευθερίαν ἡγεῖσθε μὴ τὸ προσαγανακτεῖν οἷς ἂν ὑμᾶς οἱ ἡγεμόνες πράττειν ἀξιώσουσιν. νῦν μὲν γὰρ ἐν τῷ τοὺς εὐεργέτας ὑβρίζειν ἐν τούτῳ τὴν παρρησίαν τίθεσθε. ὃ δὴ τοῦ λοιποῦ φυλαττομένοις ὑμῖν, ἄμεινον ἕξει τὰ πράγματα. μηδὲ τὴν ἴσην ἐπὶ τούτοις ὀργὴν ποτὲ λαμβάνετε, ἣ κατ' ἐμοῦ πολλάκις ἐτολμήσατε χρῆσθαι. γινώσκετε γὰρ ὡς πλεονάκις ἐκινδύνευσα ἐφ' ὑμῶν ἀποθανεῖν ἢ ὑπὸ τῶν πολεμίων. ταῦτα δ' οὐκ ὀνειδίζειν ὑμᾶς προεθέμην. οὐ γὰρ ἐπ' ἐξόδου τοῦ ζῆν δυσχεραίνοντας καταλιπεῖν ἠξίουν εἰς ἀνάμνησιν φέρων, μηδὲ παρ' ὃν ἔπασχον αὐτὰ καιρὸν ἐν ὀργῇ γενόμενος. ἀλλ' ὥς τε τοῦ σωφρονήσειν ὑμᾶς εἰς τὸ μέλλον, κατ' αὐτό γε τοῦτ' ἀσφαλὲς εἶναι, καὶ μηδὲν εἰς τοὺς προεστηκότας ἐξυβρίσαι διὰ πλοῦτον, ὃς ὑμῖν πολὺς διαβᾶσι τὸν Ἰορδάνην, καὶ τὴν Χαναναίαν κτησαμένοις, περιστήσεται. ἐπεὶ προαχθέντες εἰς καταφρόνησιν ὑπ' αὐτοῦ καὶ τῆς ἀρετῆς ὀλιγωρίαν, ἀπολεῖτε καὶ τὴν εὔνοιαν τὴν παρὰ τοῦ θεοῦ. ποιήσαντες δὲ τοῦτον ἐχθρὸν, τήν τε γῆν ἣν κτᾶσθε κρατηθέντες ὅπλοις, ὑπὸ τῶν πολεμίων αὖθις ἀφαιρεθήσεσθε μετὰ μεγίστων ὀνειδῶν. καὶ σκεδασθέντες διὰ τῆς οἰκουμένης πᾶσαν ἐμπλήσετε τὴν γῆν καὶ θάλασσαν τῆς αὐτῶν δουλείας. ἔσται δὲ ὑμῖν τούτων πεῖραν λαμβάνουσιν ἀνωφελὴς ἡ μετάνοια, καὶ ἡ τῶν οὐ φυλαχθέντων νόμων ἀνάμνησις. ὅθεν εἰ βούλεσθε τούτους ὑμῖν μένειν, τῶν πολεμίων μηδένας ὑπολείπεσθε κρατήσαντες αὐτῶν. ἀλλὰ πάντας ἀπόλλυσθαι κρίνατε συμφέρειν, ἵνα μὴ ζώντων παραγευσάμενοι τῆς ἐκείνων ἐπιτηδεύσεως, διαφθείρητε τὴν πατρῴαν πολιτείαν. ἔτι δὲ καὶ βωμοὺς καὶ ἄλση καὶ νεὼς ὁπόσους ἂν ἔχοιεν, καταρρίπτειν παραινῶ καὶ δαπανᾶν πυρὶ τὸ γένος αὐτῶν καὶ τὴν μνήμην. βεβαία γὰρ ἂν οὕτως ὑμῖν μόνον ὑπάρξειεν ἡ τῶν οἰκείων ἀγαθῶν ἀσφάλεια. ἵνα δὲ μὴ δι' ἀμαθίαν τοῦ κρείττονος ἡ φύσις ὑμῶν πρὸς τὸ χεῖρον ἀπονεύσῃ, συνέθηκα ὑμῖν καὶ νόμους, ὑπαγορεύσαντός μοι τοῦ θεοῦ, καὶ πολιτείαν, ἧς τὸν κόσμον φυλάξαντες, πάντων εὐδαιμονέστατοι κριθείητε. ταῦτα εἰπὼν, δίδωσιν αὐτοῖς ἐν βιβλίῳ τοὺς νόμους, καὶ τὴν διάταξιν τῆς πολιτείας ἀναγεγραμμένην. οἱ δὲ ἐδάκρυόν τε καὶ πολλὴν ἐπιζήτησιν ἐποιοῦντο τοῦ στρατηγοῦ. μεμνημένοι τε ὧν κινδυνεύσειε καὶ προθυμηθείη τῆς περὶ αὐτῶν σωτηρίας, καὶ δυσελπιστοῦντες περὶ τῶν μελλόντων ὡς οὐκ ἐσομένης ἄλλης ἀρχῆς τοιαύτης, ἧττόν τε τοῦ θεοῦ προνοησομένου, διὰ τὸ Μωυσῆν εἶναι τὸν παρακαλοῦντα, ὧν τε ἐπὶ τῆς ἐρήμου μετ' ὀργῆς ὁμιλήσειαν αὐτῷ μετανοοῦντες, ἤλγουν. ὡς ἅπαντα τὸν λαὸν εἰς δάκρυα προπεσόντα, κρεῖττον καὶ τῆς ἐκ λόγου παρηγορίας τὸ ὑπ' αὐτῶν ποιῆσαι πάθος. Μωυσῆς δ' αὐτοὺς παρηγόρει, καὶ τοῦ δακρύων αὐτὸν ἄξιον ὑπολαμβάνειν ἀπάγων, αὐτοὺς χρῆσθαι τῇ πολιτείᾳ παρεκάλει. καὶ τότε μὲν οὕτω διελύθησαν. βούλομαι δὲ τὴν πολιτείαν πρότερον εἰπὼν, τῷ τε Μωυσέως ἀξιώματι καὶ τῇ ἀρετῇ ἀναλογοῦσαν, καὶ μαθεῖν παρέξων δι' αὐτῆς τοῖς ἐντευξομένοις, οἷα τὰ καθ' ἡμᾶς ἀρχῆθεν ἦν, οὕτως ἐπὶ τὴν τῶν ἄλλων τρέπεσθαι διήγησιν. γέγραπται δὲ πάνθ' ὡς ἐκεῖνος κατέλιπεν, οὐδὲν ἡμῶν ἐπὶ καλλωπισμῷ προσθέντων, οὐδ' ὅτι μὴ καταλέλοιπε Μωυσῆς. νενεωτέρισται δ' ἡμῖν τὸ κατὰ γένος ἕκαστα τάξαι. σποράδην γὰρ ὑπ' ἐκείνου κατελείφθη γραφέντα, καὶ ὡς ἕκαστόν τι παρὰ τοῦ θεοῦ πύθοιτο.

τούτου χάριν, ἀναγκαῖον ἡγησάμην προδιαστείλασθαι, μή καί τις ἡμῖν παρὰ τῶν ὁμοφύλων ἐντυγχανόντων τῇ γραφῇ μέμψεις ὡς διημαρτηκόσι γένηται. ἔχει δὲ οὕτως ἡ διάταξις ἡμῖν τῶν νόμων τῶν ἀνηκόντων εἰς τὴν πολιτείαν. οὓς δὲ κοινοὺς καὶ πρὸς ἀλλήλους ἡμῖν κατέλιπε, τούτους ὑπερθέμην εἰς τὴν περὶ ἐθῶν καὶ αἰτιῶν ἀπόδοσιν, ἣν συλλαμβανομένου τοῦ θεοῦ μετὰ ταύτην ἡμῖν τὴν πραγματείαν συντάξασθαι πρόκειται. ἐπεὶ δ' ἂν τὴν χαναναίων γῆν κτησάμενοι, καὶ σχολὴν ἐπὶ χρήσει τῶν ἀγαθῶν ἔχοντες, πόλεις τὸ τὸ λοιπὸν ἤδη κτίζειν προαιρεῖσθε, ταῦτα ποιοῦντες τῷ θεῷ φίλα πράξετε, καὶ τὴν εὐδαιμονίαν βεβαίαν ἕξετε. Ἱερὰ πόλις ἔστω μία τῆς χαναναίων γῆς ἐν τῷ καλλίστῳ, καὶ δι' ἀρετὴν ἐπιφανεῖ, ἣν ἂν ὁ θεὸς αὑτῷ διὰ προφητείας ἐκλέξηται. καὶ νεὼς εἷς ἐν ταύτῃ ἔστω, καὶ βωμὸς εἷς ἐκ λίθων μὴ κατειργασμένων, ἀλλὰ λογάδην συγκειμένων. οἳ κονιάματι χρισθέντες εὐπρεπεῖς τε εἶεν καὶ καθάριοι πρὸς τὴν θέαν. ἡ δ' ἐπὶ τοῦτον πρόσβασις ἔστω μὴ διὰ βαθμίδων, ἀλλὰ προχώσεως αὐτῷ κατὰ πρανοῦς γενομένης. ἐν ἑτέρᾳ δὲ πόλει, μήτε βωμός, μήτε νεὼς ἔστω. θεὸς γὰρ εἷς, καὶ τὸ ἑβραίων γένος ἕν. Ὁ δὲ βλασφημήσας θεόν, καταλευσθεὶς κρεμάσθω δι' ἡμέρας, καὶ ἀτίμως καὶ ἀφανῶς θαπτέσθω. Συνερχέσθωσαν δὲ εἰς ἣν ἀποφήνωσι πόλιν τὸν ἱερὸν τρὶς τοῦ ἔτους οἱ ἐκ τῶν περάτων τῆς γῆς ἧς ἂν ἑβραῖοι κρατῶσιν, ὅπως τῷ θεῷ τῶν μὲν ὑπηργμένων εὐχαριστῶσι, καὶ περὶ τῶν εἰς τὸ μέλλον παρακαλῶσι, καὶ συνιόντες ἀλλήλοις καὶ συνευωχούμενοι προσφιλεῖς ὦσι. καλὸν γὰρ εἶναι μὴ ἀγνοεῖν ἀλλήλους, ὁμοφύλους τε ὄντας καὶ τῶν αὐτῶν κοινωνοῦντας ἐπιτηδευμάτων. τοῦτο δὲ ἐκ μὲν τῆς αὐτῆς ἐπιμιξίας αὐτοῖς ὑπάρξειν, τῇ τε ὄψει καὶ τῇ ὁμιλίᾳ μνήμην αὐτῶν ἐντιθέντας. ἀνεπιμίκτους γὰρ ἀλλήλοις μένοντας, ἀλλοτριωτάτους αὐτοὺς νομισθήσεσθαι. Ἔστω δὲ καὶ δεκάτη τῶν καρπῶν ἐξαίρεσις ἡμῖν, χωρὶς ἧς διετάξατε τοῖς ἱερεῦσι καὶ λευίταις δίδοσθαι. ἡ πιπρασκέσθω μὲν ἐπὶ τῶν πατρίδων, εἰς δὲ τὰς εὐωχίας ὑπηρετείτω καὶ τὰς θυσίας αὐτῶν τὰς ἐν τῇ ἱερᾷ πόλει. δίκαιον γὰρ εἶναι, τῶν ἐκ τῆς γῆς ἀναδιδομένων, ἣν ὁ θεὸς αὐτοῖς κτήσασθαι παρέσχειεν, ἐπὶ τιμῇ τοῦ δεδωκότος ἀπολαύειν. Ἐκ μισθοῦ γυναικὸς ἡταιρημένης θυσίας μὴ τελεῖν. ἥδεσθαι γὰρ μηδενὶ τῶν ἀφ' ὕβρεως τὸ θεῖον. χεῖρον δ' οὐκ ἂν εἴη τῆς ἐπὶ τοῖς σώμασιν αἰσχύνης. Ὁμοίως μηδ' ἄν, ἐπ' ὀχεύσει κυνὸς ἤτοι θηρευτικοῦ, ἢ ποιμνίων φύλακος, λάβοι τις μισθόν, ἐκ τούτου θύειν τῷ θεῷ. Βλασφημείτω δὲ μηδεὶς θεούς, οὓς πόλεις ἄλλαι νομίζουσι. Μὴ συλᾶν ἱερὰ ξενικά, μηδ' ἂν ἐπωνομασμένον ᾖ τινι τῷ θεῷ, κειμήλιον λαμβάνειν. μηδεὶς ἐξ ὑμῶν καλῶς τὴν ἐξ ἐρίου καὶ λινοῦ στολὴν φορείτω. τοῖς γὰρ ἱερεῦσι μόνοις ταύτην ἀποδεδεῖχθαι. Συνελθόντος δὲ τοῦ πλήθους εἰς τὴν ἱερὰν πόλιν ἐπὶ τὰς θυσίας δι' ἐτῶν ἑπτά, τῆς σκηνοπηγίας ἑορτῆς ἐνστάσης ὁ ἀρχιερεὺς ἐπὶ βήματος ὑψηλοῦ σταθείς, ἀφ' οὗ γένοιτο ἐξάκουστος, ἀναγινωσκέτω τοὺς νόμους πᾶσι· καὶ μήτε γυνή, μήτε παῖδες εἰργέσθωσαν τοῦ ἀκούειν. ἀλλὰ μήτε οἱ δοῦλοι. καλὸν γὰρ ταῖς ψυχαῖς ἐγγραφέντας αὐτοὺς καὶ τῇ μνήμῃ φυλαχθῆναι, μηδέ ποτε ἐξαλειφθῆναι δυναμένους.

scripsit, nos generatim in suos ordines digessimus: qua de re lector admonendus erat, ne si quis fortè ex contribulibus in hæc nostra inciderit, calumniam temere struat, quasi parum sincere scripta Mosaica tractantibus. Enumerabo autem eas potissimum leges quæ ad publicam institutionem, ritúsque gentiles pertinent: quæ verò ad priuatam consuetudinem aut contractus vel cum exteris vel cum nostratibus spectant, in eum commentarium distulimus, quem de moribus & sacrorum caussis Deo fauente scribere est animus. Postquam acquisita Chananæa terra, vrbibúsque conditis, victoriæ fructus securi carpere cœperitis, hæc mandata obseruando rem Deo gratam facietis, & partam felicitatem constabilietis. Vrbs sacra sit vna in regione Chananæa, in loco illustri & fertili, quam Deus per oraculum elegerit: & templum in ea sit vnum, & altare vnum ex lapidibus non politis, sed collectitiis constructum, qui inducti tectorio, decoram & mundam speciem præ se ferant: ascensúsque sit ad illud non per gradus, sed terra leniter per accliue aggesta: in alia verò vrbe nec altare sit vllum, neque templum. Deus enim vnus est, & Hebræorum genus vnum. Qui conuitium Deo fecerit, lapidatus per diem pendeat, deinde ignominiosè & obscurè sepeliatur. In sacram vrbem & templum ter in anno conuentus fiat Hebræorum ex vniuersa eorum ditione, vt Deo pro acceptis beneficiis gratias agant, & in futurum precibus eum demereantur, & per conuersationes ac conuiuia mutuam beneuolentiam alant. Expedit enim vt inter se noscantur, quibus idem est genus, quique eisdem studiis delectantur. Id verò ex huiusmodi congressibus facilè contingit, dum aspectus & colloquia pertinaciter in animis hærent: sicut contrà qui nunquam conueniunt, eos alienissimos à se inuicem esse oportet. Sint præterea decimæ fructuum seorsum ab illis quæ sacerdotibus ac Leuitis debentur, quibus in patria venditis, pecunia inde redacta in sacra vrbe insumatur in sacrificia & conuiuia. Æquum enim est ex prouentu terræ à Deo datæ in ipsius honorem hilariter agere. Ex mercede meretricis non est sacrificandum. neque enim quicquam Deum delectat cum iniuria coniunctum: neque maior est turpitudo, quàm quæ corporibus infertur. Similiter si quis mercedem pro admissura canis venatici aut pastoralis acceperit, nec inde quidem Deo sacrificare est licitum. Diis alienis nemo malè loquatur. Fana externa non sunt spolianda, neque sacra donaria tollenda. Nemo veste è lino & lana contexta vtatur. est enim solorum sacerdotum. Septimo quoque anno, quando per Scenopegiæ festa apud Sanctam vrbem sacrorum caussa conuenitur, pontifex è sublimi suggesto, vnde à tota multitudine exaudiri possit, legem pro concione legat: & neque mulieres neque pueri ab auscultando arceantur, imò ne mancipium quidem. Nam bonum est vt inscriptam in animis nunquam delendam memoria retineant.

Leuit.4. Deut.16. Deut.18. Exod.21. Deut.5.

sic enim minus peccabunt, non ignari quid sit in lege decretum. Leges etiam vim maiorem obtinebunt in delinquentium conscientiis, dum sua placita minis interpositis in auditorum animas infigunt: ita vt nunquam non legis voluntas intus obuersetur, & quantas pœnas contemptus eius incurrat. Pueri etiam ante omnia leges ediscant, qua disciplina nec honestior est alia, nec ad felicitatem conducibilior. Bis quotidie, ineunte die, & cùm itur cubitum, commemoranda summi Dei beneficia, quæ liberatis ex Ægypto præstitit. æquum enim est gratias agere quæ pro acceptis rependuntur, & in futurum tempus fauorem conciliant. Inscribenda sunt etiam foribus præcipua, & in brachiis ostentanda, & quæ potentiam eius ac beneficentiam indicant, circumferenda sunt inscripta in capite & brachio, vt vndiquaque conspicua sit Dei erga populum suum benignitas. Oppidatim præsint septem viri probatæ virtutis, & iustitiæ cultores. Singulis magistratibus attribuantur duo ministri de tribu Leuitica. Quibus iudicandi sors obtigit in suis ciuitatibus summo in honore habeantur, vt præsentibus illis nec conuiciari liceat, nec asperius agere. Sic enim futurum est, vt assueti homines reuereri, ad pietatem quoque assuefiant, & tanto longius à contemptu numinis absint. Iudicibus quicquid visum fuerit, illorum sententia valere debet, nisi constet pecuniis esse corruptos, aut manifestè coargui possint non rectè decreuisse. Oportet enim sine lucri & dignitatis respectu iudicare, & iustitiam omnibus aliis rebus anteponere. Hæc enim iniuria in Dei contumeliam recidit, quasi verò is infirmior sit habendus, quàm illi quorum potentiæ metu præter ius fertur calculus. nam Dei potentia est iustitia. Ergo qui in magnatum gratiam præuaricatur, potentiores illos quàm Deum facit. Quòd si iudices nesciant de negotio ad se delato pronunciare, sicut interdum accidit, in sanctam vrbem integram causam relegent: tum verò pontifex & propheta vnà cum senatu quod visum fuerit decernant. Vni testi fides non habeatur, sed tribus, aut vt minimum duobus, quorum testimonium vita antè acta faciat verisimile. Mulieribus autem testimonium deponere non liceat, propter leuitatem ac temeritatem eius generis. Neque seruum hominem testem esse liceat, propter animos degeneres: probabile enim est aut lucri causa aut præ metu non verum testimonium deposituros. Quòd si cui falso testi creditum fuerit, isque postea falsi coarguatur, ei pœnæ sit obnoxius, quam reus daturus erat, si grauante hoc testimonio condemnatus fuisset. Homicidio in aliquo agro commisso, si autor nusquam compareat, neque suspicio sit à quopiam per odium occisum hominem, inquisitio fiat summa cura propositis indici præmiis.

Deut. 6. Deut. 19. Deut. 21.

A οὕτως γὰρ καὶ οὐδὲ ἁμαρτήσονται, μὴ δυνάμενοι λέγειν ἄγνοιαν τῶν ἐν τοῖς νόμοις διωρισμένων. οἵ τε νόμοι πολλὴν πρὸς ἁμαρτάνοντας ἄξουσι παρρησίαν, ὡς προλεγόντων αὐτοῖς ἃ πείσονται, καὶ ταῖς ψυχαῖς ἐγγραψάντων διὰ τῆς ἀκοῆς, ἃ κελεύουσιν. ὥς τε εἶναι διὰ παντὸς ἔνδον παρ' αὐτοῖς τὴν προαίρεσιν αὐτῶν, ἧς ὀλιγωρήσαντες ἠδίκησαν, καὶ τῆς ζημίας αὐτοῖς αἴτιοι γεγόνασι. Μανθανέτωσαν δὲ καὶ οἱ παῖδες πρώτους τοὺς νόμους, μάθημα B κάλλιστον καὶ τῆς εὐδαιμονίας αἴτιον. Δὶς δ' ἑκάστης ἡμέρας, ἀρχομένης τε τῆς αὐτῆς, καὶ ὁπότε πρὸς ὕπνον ὥρα τρέπεσθαι, μαρτυρεῖν τῷ θεῷ τὰς δωρεὰς ἃς ἀπαλλαγεῖσιν αὐτοῖς ἐκ τῆς Αἰγυπτίων γῆς παρέσχε, δικαίας οὔσης φύσει τῆς εὐχαριστίας, καὶ γενομένης ἐπ' ἀμοιβῇ μὲν τῶν ἤδη γεγονότων, ἐπὶ δὲ προτροπῇ τῶν ἐσομένων. ἐπιγράφειν δὲ καὶ τοῖς θυρώμασιν αὐτῶν τὰ μέγιστα ὧν εὐηργέτησεν αὐτοὺς ὁ θεός, ἔν τε C βραχίοσιν ἕκαστον διαφαίνειν, ὅσα τε τὴν ἰσχὺν ἀποσημαίνειν δύναται τοῦ θεοῦ καὶ τὴν πρὸς αὐτοὺς εὔνοιαν, φέρειν ἐγγεγραμμένα ἐπὶ τῆς κεφαλῆς καὶ τοῦ βραχίονος, ὡς περίβλεπτον πανταχόθεν τὸ περὶ αὐτοὺς πρόθυμον τοῦ θεοῦ. Ἀρχέτωσαν δὲ καθ' ἑκάστην πόλιν ἄνδρες ἑπτά, οἱ καὶ τὴν ἀρετὴν καὶ τὴν περὶ τὸ δίκαιον σπουδὴν προησκηκότες. Ἑκάστῃ δὲ ἀρχῇ δύο ἄνδρες ὑπηρέται διδόσθωσαν ἐκ τῆς τῶν D Λευιτῶν φυλῆς. Ἔστωσαν δὲ καὶ οἱ δικάζειν λαχόντες ταῖς πόλεσιν ἐν ἁπάσῃ τιμῇ, ὡς μήτε βλασφημεῖν ἐκείνων παρόντων, μήτε θρασύνεσθαί τισιν ἐξεῖναι, τῆς πρὸς τοὺς ἐν ἀξιώματι τῶν ἀνθρώπων αἰδοῦς αὐτοὺς εὐλαβεστέρους, ὥς τε τοῦ θεοῦ μὴ καταφρονεῖν, ἀπεργαζομένης. Οἱ δὲ δικασταὶ ἀποφαίνεσθαι κύριοι περὶ τοῦ δόξαντος αὐτοῖς ἔστωσαν, πλὴν εἰ μήτε χρήματα λαβόντας τις αὐτοὺς ἐπὶ διαφθορᾷ τοῦ δικαίου ἐνδείξηται, ἢ ἄλλην τινὰ αἰτίαν προφέροι E καθ' ἣν οὐ καλῶς ἐλέγχει αὐτοὺς ἀποφηναμένους. οὔτε γὰρ κέρδει χαριζομένους οὔτ' ἀξιώματι προσήκει φανερὰς ποιεῖσθαι τὰς κρίσεις, ἀλλὰ τὸ δίκαιον ἐπάνω πάντων τιθεμένους. ὁ γὰρ θεὸς ἂν οὕτως δόξειε καταφρονεῖσθαι, καὶ ἀσθενέστερος ἐκείνων οἷς ἄν τις κατὰ φόβον ἰσχύος προσνείμῃ τὴν ψῆφον κεκρίσθαι. τοῦ γὰρ θεοῦ ἰσχὺς ἐστὶ τὸ δίκαιον. ὁ τοίνυν ἐν ἀξιώμασι τυγχάνουσι καταχαριζόμενός τις, ἐκείνους τοῦ θεοῦ δυνατωτέρους ποιεῖ. Ἂν δ' οἱ δικασταὶ F μὴ νοῶσι περὶ τῶν ἐπ' αὐτοῖς προτεταγμένων ἀποφήνασθαι, συμβαίνει δὲ πολλὰ τοιαῦτα τοῖς ἀνθρώποις, ἀκέραιον ἀναπεμπέτωσαν τὴν δίκην εἰς τὴν ἱερὰν πόλιν. καὶ συνελθόντες ὅ, τε ἀρχιερεὺς καὶ ὁ προφήτης, καὶ ἡ γερουσία, καὶ τὸ δοκοῦν ἀποφαινέσθωσαν. Εἷς δὲ μὴ πιστευέσθω μάρτυς, ἀλλὰ τρεῖς, ἢ τὸ τελευταῖον, δύο. ὧν τὴν μαρτυρίαν ἀληθῆ ποιήσει τὰ προβεβιωμένα. γυναικῶν δὲ μὴ ἔστω μαρτυρία διὰ κουφότητα καὶ θράσος τοῦ γένους αὐτῶν. Μαρτυρείτωσαν δὲ μή τε δοῦλοι διὰ τὴν τῆς ψυχῆς ἀγένειαν. οὓς ἢ διὰ κέρδος εἰκός, ἢ διὰ φόβον μὴ τἀληθῆ μαρτυρῆσαι. Ἂν δέ τις ψευδῆ μαρτυρήσας πιστευθῇ, παρασχέτω ταῦτα ἐλεγχθείς, ὅσα ὁ καταμαρτυρηθεὶς πάσχειν ἔμελλεν. Ἂν δὲ πραχθέντος φόνου ἔν τινι χώρᾳ μὴ εὑρίσκηται ὁ δράσας, μηδ' ὑπονοεῖταί τις ὡς διὰ μῖσος ἀπεκτονηκώς, ζητείτωσαν μὲν αὐτὸν μετὰ πολλῆς σπουδῆς μήνυτρα προθέμενοι.

μηδενὸς

μηδενὸς δὲ τῶν τοιούτων μηνύοντος, αἱ ἀρχαὶ τῶν πόλεων τῶν πλησίον τῇ χώρᾳ ἐν ᾗ ὁ φόνος ἐπράχθη, καὶ ἡ γερουσία συνελθόντες, μετρείτωσαν ἀπὸ τοῦ τόπου ὅπου κεῖται ὁ νεκρὸς τὴν χώραν. ἡ δ' ἂν ᾖ πλησιεστάτη πόλις, οἱ ἐν αὐτῇ δημόσιοι, πριάμενοι δάμαλιν, καὶ κομίσαντες εἰς φάραγγα καὶ ἀνεπιτήδειον ἀρότρῳ καὶ φυτοῖς χωρίον, τοὺς τένοντας κοψάτωσαν τῆς βοός, καὶ χέρνιβας ἑλόμενοι ὑπὲρ κεφαλῆς τῆς βοὸς οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ ἡ γερουσία τῆς πόλεως ἐκείνης, καθαρὰς ἀναβοησάτωσαν τὰς χεῖρας ἔχειν ἀπὸ τοῦ φόνου. καὶ μήτε δρᾶσαι, μήτε δρωμένων παρατυχεῖν. ἐπικαλεῖσθαι δὲ ἵλεω τὸν θεόν, καὶ μηκέτι τοιοῦτον δεινὸν συμβῆναι τῇ γῇ πάθος. Ἀριστοκρατία μὲν οὖν κράτιστον καὶ ὁ κατ' αὐτὴν βίος, καὶ μὴ λάβοι πόθος ὑμᾶς ἄλλης πολιτείας, ἀλλὰ ταύτην στέργοιτε, τοὺς νόμους ἔχοντες δεσπότας, κατ' αὐτοὺς ἕκαστα πράττοντες. ἀρκεῖ γὰρ ὁ θεὸς ἡγεμὼν εἶναι. Βασιλέως δ' εἰ γένοιτο ἔρως ὑμῖν, ἔστω μὲν οὗτος ὁμόφυλος, πρόνοια δ' αὐτῷ δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς, διαπαντὸς ἔστω. παραχωρείτω δ' οὗτος τοῖς μὲν νόμοις καὶ τῷ θεῷ τὰ πλείονα τοῦ φρονεῖν, πρασσέτω δὲ μηδὲν δίχα τοῦ ἀρχιερέως, καὶ τῆς τῶν γερουσιαστῶν γνώμης· γάμοις τε μὴ πολλοῖς χρώμενος, μηδὲ πλῆθος διώκων χρημάτων, μηδ' ἵππων. ὧν αὐτῷ παραγενομένων, ὑπερήφανος ἂν τῶν νόμων ἔσοιτο. κωλυέσθω δ', εἰ τούτων τι διὰ σπουδῆς ἔχει, γίνεσθαι τοῦ συμφέροντος ὑμῖν δυνατώτερος. Ὅρους γῆς μὴ ἐξέστω κινεῖν, μήτε οἰκείας, μὴ τἀλλοτρίας πρὸς οὓς ἐστιν ὑμῖν εἰρήνη. φυλαττέσθω δ', ὥσπερ θεοῦ ψῆφον, βέβαιον εἰς ἀεὶ κειμένην αἱρεῖν, ὡς πολέμων ἐντεῦθεν καὶ στάσεως γινομένων ἐκ τοῦ πλεονεκτοῦντας προσωτέρω χωρεῖν βούλεσθαι τῶν ὅρων. μὴ γὰρ μακρὰν εἶναι τοῦ καὶ τοὺς νόμους ὑπερβαίνειν τοὺς τὸν ὅρον μετακινοῦντας. Τὴν ὁ φυτεύσας πρὸ ἐτῶν τεσσάρων ἂν καρπὸν βάλῃ τὰ φυτά, μήτε τῷ θεῷ ἀπαρχὰς ἐντεῦθεν ἀποφερέτω, μήτ' αὐτὸς χρήσθω, οὐ γὰρ κατὰ καιρὸν τοῦτον ὑπ' αὐτῶν ἐνεχθῆναι· βιασαμένης δὲ τῆς φύσεως ἀώρως μήτε τῷ θεῷ ἁρμόζειν, μήτ' αὐτῷ τῷ δεσπότῃ χρῆσθαι. τῷ δὲ τετάρτῳ τρυγέτω πᾶν τὸ γινόμενον, τότε γὰρ ὥριον εἶναι, καὶ συναγαγὼν εἰς τὴν ἱερὰν πόλιν κομιζέτω, καὶ σὺν τῇ δεκάτῃ τοῦ ἄλλου καρποῦ μετὰ τῶν φίλων εὐωχούμενος ἀναλισκέτω, καὶ μετ' ὀρφανῶν καὶ χηρευουσῶν γυναικῶν. πέμπτου δὲ ἔτους, κύριος ἔστω τὰ φυτὰ καρποῦσθαι. Τὴν ἀμπέλοις κατάφυτον γῆν μὴ σπείρειν. ἀρκεῖ γὰρ αὐτὴν τρέφειν τοῦτο τὸ φυτόν, καὶ τῶν ἐξ ἀρότρου πόνων ἀπηλλάχθαι. Βουσὶν ἀροῦν τὴν γῆν, καὶ μηδὲν τῶν ἑτέρων ζώων σὺν αὐτοῖς ὑπὸ ζεύγλην ἄγοντας, ἀλλὰ κατ' οἰκεῖα γένη, κἀκείνοις ποιεῖσθαι τὸν ἄροτον. εἶναι δὲ καθαρώτατα σπέρματα καὶ ἀνεπίμικτα, καὶ μὴ συνδύο καὶ τρία σπείρειν. οὐ γὰρ τῇ τῶν ἀνομοίων κοινωνίᾳ χαίρειν τὴν φύσιν. Μὴ δὲ κτήνεσιν ἐπάγειν ὅσα μὴ συγγενῆ. δέος γὰρ ἐκ τούτου, μὴ διαβῇ καὶ μέχρι τῶν ἀνθρώπων ἡ πρὸς τὸ ὁμόφυλον ἀτιμία, τὴν ἀρχὴν ἀπὸ τῶν περὶ τὰ μικρὰ καὶ τὰ φαῦλα πρότερον λαβοῦσα. Δεῖ δὲ μηδὲν εἶναι τοιοῦτον συγκεχωρημένον, ἐξ οὗ κατὰ μίμησιν παρατροπῆς τῶν κατὰ τὴν πολιτείαν ἔσοιτο. ἀλλ' ὡς οὐ περὶ τῶν τυχόντων μέλει τοῖς νόμοις εἰδέσι προνοεῖσθαι τοῦ κατ' αὐτοὺς ἀμέμπτου.

A quòd si nullus existat index, magistratus oppidorum vicinorum agro in quo cædes est facta, & senatus conuenientes, metiantur à loco in quo iacet cadauer: & quod fuerit proximum oppidum, eius oppidani emptam iuuencam & adductam in tesqua nec sementi nec plantationi idonea neruis ceruicis abscissis cædant, & ablutis manibus supra caput iuuencæ sacerdotes & Leuitæ ac senatus illius oppidi, puras se manus ab ea cæde habere proclament, eámque B nec fecisse se, nec, dum fieret interfuisse. inuocéntque Deum vt propitius factus nunquam posthac in ea regione tale malum accidere permittat. Optimum quidem est optimatum regimen, & in sic administrata republica viuere, nec est cur aliam eius speciem concupiscatis: sed præstat vt hac contenti in legum & vestra ipsorum potestate sitis. Satis enim est, Deum habere præsidem. Attamen si regis *Deut.17.* C vos cupido cœperit, nemo sit nisi vestri generis & sanguinis, & cui iustitia sit cordi cum cæteris virtutibus. Is quisquis fuerit, plus legibus & Deo quàm suæ sapientiæ tribuat, nihílque præter pontificis ac senatus sententiam faciat: nec multas alat vxores, aut pecuniis equísve plurimis gaudeat: quarum rerum copia facilè contemptor legum posset euadere. & si talibus studiis plus æquo fuerit deditus, obstandum est ne potentior fiat quàm rebus vestris expedit. Terminos terræ mouere non est *Deut.19.* D fas, nec propriæ, nec alienæ, dummodo pacatæ: sed religiosè cauendum, vt tanquam Dei calculus in æternum fixus maneat: quòd hæc præcipua causa sit bellorum & seditionum, si auaritia certis terminis non circumscribatur. Facilè enim legum præscripta transilit, qui terminis cupiditatem suam cohiberi non patitur. Qui terram plantauerit, si plantæ ante *Leuit.25.* quartum annum fructum protulerint, nec Deo primitias inde offerre oportet, nec in pro- E prium vsum conuertere, intempestiuus enim est talis fructus: quicquid autem præmaturè à natura extorquetur, eius vsus nec Deo conuenit, nec domino. quarto verò anno colligat quicquid iam tempestiuum, & in sanctam vrbem deferat, & cum reliqui prouentus decimis in conuiuiis cum amicis consumat, & cum pupillis ac viduis. quinto demum anno arbitratu suo fructus colligat. Agrum vitibus consitum ne semines. sufficit e- F nim quòd hanc plantam nutriat, nec opus est vt & aratro vexetur. Bubus aranda est terra, nec aliud animal cum eis subiugandum, sed eiusdem semper generis sub idem iugum agenda. Semina quoque debent esse pura & impermixta, nec duûm simul aut trium generum sunt seminanda. abhorret enim natura communionem dissimilium. Neque diuersi generis iumentorum coitus sunt admitten- G di. verendum enim ne hoc exemplo & ad homines contemptus generis sui perueniat, vt solent à minimis principiis res in peius proficere. Cauendum est autem magnopere, ne quid eiusmodi permittatur, ex cuius imitatione mores publici deprauari possint. quapropter ne leuia quidem leges dissimulant, dum officio suo nusquam deesse cupiunt.

Deut.24. Metentes & demessa colligentes ne spicilegium faciant, quin & de manipulis nonnihil egenis relinquant, vt hæc tanquam à fortuna obiecta in vsum suum conuertant & alimoniam. De vindemia quoque racemuli relinquantur pauperibus: similiter de oliuetorum fructu nonnihil, vt sit egenis quod colligant, quandoquidem de suo non possunt. non enim tantùm ex negligentiori collectione decedit, quantum accedit è pauperum gratia. Deus etiam ad enutriendos fructus terram alacriorem faciet, si non quisque suis tantùm commodis prouideat, sed inopum quoque rationem habeat. Deut.25. Nec bubus in area triturantibus os obligandum est. non enim æquum est vetare laboris socios quo minus & fructuum sint participes. Nec à pomis maturis viatores sunt arcendi, sed sinendi vt tanquam propriis se satient: & siue indigenæ sint, siue exteri, libenter illis ad esum exhibenda sunt, auferre verò secum non liceat. Neque vindemiantes vetent obuios degustare ex his quæ ad torcular deferunt: iniquum enim fuerit de bonis à Deo concessis inuidere tantillum concupiscentibus, præsertim quum id anni tempus sit fertilissimum, & iuxta Dei ordinationem non diu duraturum. & si quis præ pudore cunctetur attingere, vt sumant hortentur, Israelitas quidem vt socios, & quibus propter cognationem liceat hoc facere: aduenas verò hospitalibus his munusculis dignentur, quæ ipsis Deus pro tempore præbuit. Non enim debet existimari detrimentum, quod liberali animo sumendum hominibus permittitur: quia non in hoc Deus abundantiam bonarum rerum largitur, vt his soli fruamur, sed vt de nostro alios etiam honoremus: volens hoc modo singularem erga Israelitas fauorem ac liberalitatem suam gentibus innotescere, dum id quod ipsis superest, benignè cum illis communicant. Qui verò contrà fecerit, plagas vna minus quadraginta publica scutica accipiens illiberalem hanc pœnam sustineat, eo quòd cùm esset ingenuus, lucro seruiens ipse suam dignitatem læserit. Rectum enim est vt cùm ipsi multa in Ægypto & deserto sitis perpessi, aliorum miserias non negligatis: & Dei benignitate amplas facultates consecuti, ex his nonnihil per compassionem egenis decidatis. Vltra duas decimas quas quotannis pendere iam iussi, alteram Leuitis, alteram in sacras epulas, tertia tertio quoque anno est conferenda, quæ Deut.26. in egenas viduas & pupillos distribuatur. E fructibus primos prouentus in templum deferant, & pro accepta terra quæ eos tulit Deo gratis actis, & sacrificiis iuxta legem ritè peractis, primitias sacerdotibus offerant. Hæc omnia vbi quis perfecerit, & vtrasque decimas tum quæ Leuitis debentur, tum quæ epulis attulerit, iter ingressurus consistat è regione templi, ante omnia Deo gratias agat, quòd ab Ægyptiorum graui seruitute liberatis terram vberem & amplam fruendam dederit:

A Ἀμῶντας δὲ καὶ συναγείροντας τὰ θέρη, μὴ καλαμᾶσθαι, καταλιπεῖν δέ τινα καὶ τῶν δραγμάτων τοῖς βίου σπανίζουσιν ἕρμαιον εἶναι καὶ εὕρημα πρὸς διατροφήν. ὁμοίως δὲ καὶ τῆς τρύγης ἀπολιπεῖν τὰς ἐπιφυλλίδας τοῖς πένησι. καὶ ἐλαιώνων παρεῖναί τι τοῦ καρποῦ πρὸς συλλογὴν τοῖς ἐξ ἰδίων οὐκ ἔχουσι μεταλαβεῖν. οὐ τοσαύτη γὰρ ἐκ τῆς ὑπ᾽ ἀκριβὲς αὐτῶν συλλογῆς εὐπορία τοῖς δεσπόταις γένοιτο, ὅση χάρις ἐκ τῶν δεο- B μένων ἔλθοι. τό τε θεῖον τὴν γῆν προθυμοτέραν εἰς τὴν ἐκτροφὴν τῶν καρπῶν ἀπεργάσηται, μὴ τοῦ καθ᾽ αὐτοὺς προνοουμένων λυσιτελοῦς, ἀλλὰ καὶ τῶν ἄλλων διατροφῆς λόγον ἐχόντων. Μὴ δὲ βοῶν ὁπότε τρίβοιεν τοὺς στάχυας, ἀποδεῖν τὰ στόματα ἐπὶ τῆς ἅλωος. οὐ γὰρ εἶναι δίκαιον εἴργειν τοὺς συνειργασμένους τοῦ καρποῦ, καὶ περὶ τὴν γένεσιν αὐτοῦ πονήσαντας. Μὴ δὲ ὀπώρας ἀκμαζούσης κωλύειν ἅπτεσθαι τοὺς ὁδῷ βαδίζοντας, C ἀλλ᾽ ὡς ἐξ οἰκείων αὐτοῖς ἐπιτρέπειν ἐμπίπλασθαι, κἂν ἐγχώριοι τυγχάνωσι κἂν ξένοι, χαίροντας ἐπὶ τῷ παρέχειν αὐτοῖς τῶν ὡραίων μεταλαμβάνειν, ἐπιφέρεσθαι δ᾽ αὐτοῖς μηδὲν ἐξέστω. μηδὲ τρυγῶντες ὧν εἰς τὰς ληνοὺς κομίζουσιν εἰργέτωσαν τοὺς ὑπαντιάζοντας ἐπεσθίειν. ἄδικον γὰρ ἀγαθῶν ἃ κατὰ βούλησιν θεοῦ παρῆλθον εἰς τὸν βίον, φθονεῖν τοῖς ἐπιθυμοῦσιν αὐτῶν μεταλαμβάνειν, τῆς ὥρας ἐν ἀκμῇ τε οὔσης καὶ ἀποδιδούσης ἀπελθεῖν, ὡς τῷ θεῷ κεχαρι- D σμένον ἂν εἴη. κἂν ὑπ᾽ αἰσχύνης τινὰς ὀκνοῦντας ἅψασθαι λαβεῖν παρακαλείτωσαν, ὄντας μὲν Ἰσραηλίτας ὡς κοινωνοὺς καὶ δεσπότας διὰ τὴν συγγένειαν, ἀφιγμένους δὲ ἀλλαχόθεν αἰθεράποις ξενίων τυχεῖν ἀξιοῦντες ὧν ὁ θεὸς καθ᾽ ὥραν αὐτοῖς παρέχει. ἀναλώματα γὰρ οὐχ ἡγητέον ὅσα τις κατὰ χρηστότητα παρίησιν ἀνθρώπῳ λαμβάνειν, τοῦ θεοῦ τὴν ἀφθονίαν τῶν ἀγαθῶν χορηγοῦντος, οὐκ ἐπὶ τὸ καρποῦσθαι μόνον, ἀλλὰ καὶ τὸ διδόναι φιλοτίμως, καὶ βουλομένου τῷ E τρόπῳ τούτῳ τὴν ἰδίαν περὶ τὸν τῶν Ἰσραηλιτῶν λαὸν εὔνοιαν, καὶ τὴν χορηγίαν τῆς εὐδαιμονίας καὶ τοῖς ἄλλοις ἐμφανίζεσθαι, ἐκ πολλοῦ τοῦ περιόντος αὐτοῖς κἀκείνοις μεταδιδόντων. Ὁ δὲ παρὰ ταῦτα ποιήσας, πληγὰς μιᾶς λειπούσας τεσσαράκοντα τῷ δημοσίῳ σκύτει λαβὼν τιμωρίαν ταύτην αἰσχίστην ἐλεύθερος ὑπομενέτω. ὅτι τῷ κέρδει δουλεύσας, ὕβρισε τὸ ἀξίωμα. καλῶς γὰρ ὑμῖν ἔχει πεπειραμένοις ἐν Αἰγύπτῳ συμφορῶν, καὶ κατὰ τὴν ἐρημίαν, πρόνοιαν τῶν ἐν τοῖς ὁμοί- F οις ὑπαρχόντων ποιεῖσθαι. καὶ τυχόντας εὐπορίας ἐξ ἐλέου προνοίας τοῦ θεοῦ, τὴν αὐτὴν ταύτην ἐξ ὁμοίου πάθους ἀπομερίζειν τοῖς δεομένοις. Ταῖς δεκάταις ταῖς δυσὶν, ἃς ἔτους ἑκάστου προεῖπον τελεῖν, τὴν μὲν τοῖς Λευίταις, τὴν δ᾽ ἑτέραν πρὸς τὰς εὐωχίας, τρίτην πρὸς αὐταῖς κατὰ τὸ ἔτος τρίτον συμφέρειν εἰς διανέμησιν τῶν σπανιζόντων, γυναιξί τε χήραις καὶ παισὶν ὀρφανοῖς. Τῶν δ᾽ ὡραίων ὅτι καὶ πρῶτον ἑκάστῳ τύχῃ γινόμενον, εἰς τὸ ἱερὸν κομιζέτωσαν. καὶ τὸν θεὸν ὑπὲρ τῆς ἐνεγκαμένης αὐτὰ γῆς ἣν αὐτοῖς κτήσασθαι παρέσχεν εὐλογήσαντες, θυσίας ἃς ὁ νόμος αὐτοῖς ἐπιφέρειν κελεύει ἐπιτελέσαντες, τούτων τὰ προτέλεια τοῖς ἱερεῦσι διδότωσαν. ἐπειδὰν δὲ ταῦτα ποιήσας τις, καὶ πάντων τὰς δεκάτας ἅμα ταῖς εἰς τοὺς Λευίτας, καὶ τὰς εὐωχίας ταῖς ἀπαρχαῖς ἀποσημηνάμενος ἀπιέναι μέλλῃ πρὸς αὐτὸν οἴκαδε, στὰς ἄντικρυς τοῦ τεμένισματος, εὐχαριστησάτω μὲν τῷ θεῷ, ὅτι τε ἀπ᾽ Αἰγυπτίων αὐτοὺς ὕβρεως ἀπαλλάξας, γῆν αὐτοὺς ἀγαθὴν καὶ πολλὴν ἔδωκε καρποῦσθαι.

μέτα-

μαρτυράμενος δὲ ὡς τάς τε δεκάτας, καὶ τοῖς Μωυσέως τελέσειε νόμοις, αἰτησάσθω τὸν θεὸν εὐμενῆ καὶ ἵλεων αὐτῷ διὰ παντὸς εἶναι, καὶ κοινῇ πᾶσιν Ἑβραίοις διαμένειν, φυλάττοντα μὲν ἃ ἔδωκεν αὐτοῖς ἀγαθὰ, προσκτήσασθαι δὲ ὅσα δύναται χαρίζεσθαι. γαμείτωσαν δὲ ἐν ὥρᾳ γάμου γενόμενοι, παρθένους ἐλευθέρας γονέων ἀγαθῶν. ὁ δὲ μὴ μέλλων ἄγεσθαι παρθένον, μὴ ζευγνύσθω συνοικοῦσαν ἄλλῳ, μηδὲ λυπῶν τὸν πρότερον αὐτῆς ἄνδρα. Δούλας δὲ, μὴ γαμεῖσθαι τοῖς ἐλευθέροις, μηδ' ἂν ὑπ' ἔρωτος πρὸς τοῦτό τινες ἐκβιάζωνται. κρατεῖν δὲ τῆς ἐπιθυμίας τὸ εὐπρεπὲς, καὶ τοῖς ἀξιώμασι προσφορον. Ἔτι μηδὲ ἡταιρημένης εἶναι γάμον, ἧς διὰ τὴν ὕβριν τοῦ σώματος τὰς ἐπὶ τῷ γάμῳ θυσίας ὁ θεὸς οὐκ ἂν προσοῖτο. γένοιτο γὰρ ἂν οὕτω τῶν παίδων τὰ φρονήματα ἐλευθέρια, καὶ πρὸς ἀρετὴν ὄρθια, εἰ μὴ τύχοιεν ἐκ γάμων φύντες αἰσχρῶν, μηδ' ἐξ ἐπιθυμίας οὐκ ἐλευθέρας συνελθόντων. Εἴ τις ὡς παρθένον μνηστευσάμενος, ἔπειτα μὴ τοιαύτην εὕροι, δίκην λαχὼν αὐτὸς μὲν κατηγορείτω χρώμενος εἰς ἀπόδειξιν οἷς ἂν ἔχοι τεκμηρίοις. ἀπολογείσθω δὲ ὁ τῆς κόρης πατὴρ, ἢ ἀδελφὸς, ἢ ὃς ἂν μετὰ τούτους ἐγγυτέρω δοκεῖ τοῦ γένους. καὶ κριθεῖσα μὲν ἡ κόρη μὴ ἀδικεῖν, συνοικείτω τῷ κατηγορήσαντι, μηδὲ μίαν ἐξουσίαν ἔχοντος ἐκείνου ἀποπέμπεσθαι αὐτὴν, πλὴν εἰ μὴ μεγάλας αἰτίας αὐτῷ παράσχοι, καὶ πρὸς ἃς οὐδ' ἀντειπεῖν δυνηθείη. τῷ δὲ τολμηρῶς καὶ προπετῶς ἐπενεγκεῖν αἰτίαν καὶ διαβολὴν, πρόστιμον ἐκτινέτω πληγὰς τεσσαράκοντα μιᾶς λειπούσης λαμβάνων, καὶ πεντήκοντα σίκλους ἀποτινέτω τῷ πατρί. ἂν δ' ἐλέγξῃ τὴν παιδίσκην ἐφθαρμένην, δημότις μὲν οὖσα, τοῦ μὴ σωφρόνως προστῆναι τῆς παρθενίας ἄχρι νομίμων γάμων, καταλευέσθω. ἂν δ' ἐκ ἱερέων ἦ γεγεννημένη, καιέσθω ζῶσα. δύο γυναικῶν οὐσῶν τινὶ, καὶ τῆς μὲν ἑτέρας ἐπὶ τιμῇ σφόδρα καὶ εὐνοίᾳ κειμένης ἢ δι' ἔρωτα καὶ κάλλος ἢ κατ' ἄλλην αἰτίαν, τῆς δ' ἑτέρας ἐν ἐλάττονι μοίρᾳ τυγχανούσης, ἂν ὁ ἐκ τῆς ἀγαπωμένης παῖς γενόμενος, νεώτερος ὢν τοῦ ἐκ τῆς ἑτέρας φύντος, ἀξιοῖ διὰ τὴν πρὸς τὴν μητέρα τοῦ πατρὸς εὔνοιαν τῶν πρεσβείων τυγχάνειν, ὥς τε διπλοῦν τὸ μέρος τῆς πατρῴας οὐσίας λαμβάνειν, τοῦτο γὰρ ἐν τοῖς νόμοις διεταξάμην, μὴ συγκεχωρήσθω. ἄδικον γὰρ τὸν τῇ γενέσει πρεσβύτερον, ὅτι τὰ τῆς μητρὸς αὐτῷ ἥττονα παρὰ τῇ διαθέσει τοῦ πατρὸς, τῶν ὀφειλομένων αὐτῷ στέρεσθαι. ὁ κόρην ἄλλῳ κατηγγυημένην φθείρας, εἰ μὲν πείσας καὶ πρὸς τὴν φθορὰν συγκατάθετον λαβὼν, ἀποθνησκέτω σὺν αὐτῇ. πονηροὶ γὰρ ὁμοίως ἑκάτεροι, ὁ μὲν τὸ αἴσχιστον πείσας ἑκουσίως ὑπομεῖναι καὶ προτιμῆσαι τοῦτο τοῦ ἐλευθέρου γάμου τὴν κόρην, ἡ δὲ παρασχεῖν αὐτὴν πεισθεῖσα δι' ἡδονὴν ἢ διὰ κέρδος πρὸς τὴν ὕβριν. ἐὰν δέ που μόνῃ περιτυχὼν βιάσηται, μηδενὸς βοηθοῦ παρόντος, μόνος ἀποθνησκέτω. ὁ φθείρας παρθένον μήπω κατηγγυημένην, αὐτὸς γαμείτω. ἣν δὲ τῷ πατρὶ τῆς κόρης μὴ δόξῃ συνοικίζειν αὐτῷ, πεντήκοντα σίκλους τὴν τιμὴν τῆς ὕβρεως καταβαλλέτω. γυναικὸς δὲ τῆς συνοικούσης βουλόμενος διαζευχθῆναι καθ' ἃς δηποτοῦν αἰτίας, πολλαὶ δ' ἂν τοῖς ἀνθρώποις τοιαῦται γίνοιντο, γράμμασι μὲν περὶ τοῦ μηδέποτε συνελθεῖν ἰσχυριζέσθω. λάβοι γὰρ ἂν οὕτως ἐξουσίαν συνοικεῖν ἑτέρῳ. πρότερον γὰρ οὐκ ἐφετέον. εἰ δὲ καὶ πρὸς ἐκεῖνον κακωθείη,

A testatúsque decimas se iuxta Moysis legem soluisse, precetur Deum, vt tum sibi priuatim, tum Hebræis publicè propitius & quæ bona hactenus dedit, conseruet, & pro sua potentia ac benignitate augere etiam dignetur. Vbi ætas maturuerit, vxores ducant virgines ingenuas ex honestis parentibus prognatas. qui autem non ducit virginem, ne sibi coniungat alteri maritatam, néve priorem eius virum contristet. Ancillas ne ducant ingenui, ne adamatas quidem, B decet enim cupiditatibus imperare, & ad retinendam dignitatem id magnopere conducit. Neque meretrici sit ius nuptiarum, cuius propter iniuriam suo corpori factam, nuptiale sacrum Deus non admittit. atque hæc ita obseruari valde interest, ad hoc vt proles nascatur ingenua, & ad studium virtutis erecta, si non è turpi aut illiberali matrimonio sint prognati. Si quis aliquam pro virgine desponsatam, *Deut.22.* postea talem non inuenerit, in ius vocatam C accuset, afferátque argumenta quæ habet: puellæ verò causam agat pater, aut frater, aut qui post hos genere videtur proximus. Et si IV quidem puella fuerit absoluta, degat in accusatoris coniugio, ísque nullum posthac dimittendi eam ius habeat, nisi talem ipsi causam præbuerit, quæ contradictionem non recipiat. cæterùm temeritatis & petulantiæ qua insontem detulit, pœnas luat quadraginta vna minùs plagis acceptis, & quinquaginta siclos D puellæ patri multæ nomine numerare cogatur. Quòd si vitiata fuisse coarguatur, si quidem plebeia fuerit, eo quòd parum solicitè pudicitiam vsque ad nuptiarum tempus seruauerit, lapidibus obruatur. quòd si ex sacerdotibus prognata fuerit, viuens exuratur. Si *Deut.21.* quis duarum vxorum maritus propter amorem, aut formam, aut aliam quamuis causam, alteri plus beneuolentiæ honorísque detulerit, alteri verò minus: si filius dilectæ iu- E nior quàm ille ex altera natus, propterea quòd sua mater in maiore gratia patris fuisset, postulet ius primogenituræ, vt duplicem facultatum paternarum partem iuxta meas leges auferat, non permittatur. iniquum enim est eum qui sit natu grandior propter matrem negligentiùs à patre habitam suo priuilegio fraudari. Qui virgini alteri desponsatæ stuprum ob- *Deut.22.* tulerit, si quidem persuasæ vt se præberet, simul cum ea capitalis esto. sontes enim sunt F ambo: hic quia puellæ persuasit vt liberali coniugio rem turpissimam anteponeret: hæc verò quia lucro aut voluptati succubuit. quòd si solitariam alicubi nactus, vi oppresserit, solus det supplicium. Qui virginem nondum desponsatam constuprauerit, ipse ducat. quòd si pater puellæ nolit hanc ei nuptum tradere, quinquaginta siclos iniuriæ precium numeret. Qui à coniuge quacunque de causa, vt sæpe G hominibus vsu venit, disiungi postulat, scripto ei securitatem faciat, quòd eam nolit amplius repetere. sic enim habebit potestatem alterius coniugis quærendi: alioqui diuortium non permittitur. Quòd si & alterum offenderit,

aut post eius mortem prior reducere eam voluerit, non licet vt ad eum redeat. Si cuius maritus nondum susceptis liberis defunctus fuerit, frater mariti eam ducito: & filium ex ea natum defuncti nomine vocatum, sortis hæredem nutrito. nam hoc è republica erit, dum nec familiæ deficiunt, & possessiones apud cognatos remanent, mulieri quoque leuior fit calamitas, cùm prioris mariti coniunctissimo victuræ. quòd si frater nolit eam ducere, mulier senatum accedens testetur, quòd volentem eam in familia manere, & ex ipso liberos gignere, cum iniuria defuncti repulerit. Rogante verò senatu causam, siue magnam siue paruam afferat, huc tandem res euadet: vxor fratris soluto viri illius calceo, & consputa eius facie, merito hæc illum pati dicet, qui fratris defuncti memoriæ iniuriam fecerit. atque ita ille quidem è curia discedet, in omnem vitam notatus ignominia: mulier verò cui vult nubito. Si quis vel virginem vel maritatam captiuam abduxerit, eíque legitime coniungi voluerit, non antè ius esto cubile eius tangere, quàm raso capite sumptóque lugubri habitu cognatos & amicos in bello amissos deplorauerit, vt ita mœrore satiata tum demum ad nuptiale conuiuium veniat. Bonum enim & iustum est, vt qui mulierem ex qua liberos gignat accipit, morem gerat eius affectibus, & non suæ tantùm voluptati indulgens, illius desideria negligat. Elapsis autem luctus triginta diebus, tot enim sapienti ad deplorandos caros sufficiunt, tunc nuptiis dare operam liceat. Quòd si satiata concupiscentia pro coniuge eam habere dedignatus fuerit, nec pro serua quidem eam tractare ius habeat: sed quocunque mulier abire maluerit, liberam hoc faciendi potestatem habeat. Quicunque è iunioribus parentes suos contempserint, & debitum honorem præ pudore aut contumacia reddere eis neglexerint, & insuper contumaces ac proterui in eos fuerint, hos primùm verbis parentes moneant. nam hos natura fecit idoneos iudices. dicántque non voluptatis causa in matrimonium se conuenisse, neque vt collatis in commune facultatibus opulentiores fierent: sed vt liberos acquirerent, qui se in senectute nutriant, & necessaria sibi suppeditent. Acceptos autem à Deo cum gratiarum actione ac gaudio, summa cura educauisse, nulli rei parcentes quæ ad eorum salutem & institutionem pertinere visa sit. nunc quoque quando iuuentutis erratis ignoscendum est, satis sit quòd officij hactenus oblitus es. proinde resipisce & cogita, quòd etiam Deus læsis parentibus offenditur, qui & ipse humani parens est generis, & ad se pertinere iniuriam existimat, quæ infertur hominibus cum quibus illi communis est appellatio. quin & lex talibus pœnam inclementer infligit, cuius absit vt tu facias periculum. His verbis si arrogantia iuuenum emendata fuerit, per inscitiam commissis debetur venia.

Deut. 25. Deut. 21. Deut. 21.

ἢ πλουτήσαντος αὐτοῦ θελήσειε γαμεῖν ἐκ προτέρας, μὴ ἐξεῖναι αὐτῇ ἐπανιέναι. τὴν ἄτεκνον ἀνδρὸς αὐτῇ τετελευτηκότος, ὁ ἀδελφὸς ἐκείνου γαμείτω, καὶ τὸν παῖδα τὸν γενόμενον τοῦ τεθνεῶτος καλέσας ὀνόματι, ἐκτρεφέτω τοῦ κλήρου διάδοχον. τοῦτο γὰρ καὶ τοῖς δημοσίοις λυσιτελήσει γινόμενον, τῶν οἴκων οὐκ ἐλλειπόντων, καὶ τῶν χρημάτων τοῖς συγγενέσι μενόντων. καὶ ταῖς γυναιξὶ κουφισμὸν οἴσει τῆς συμφορᾶς, τοῖς ἔγγιστα τῶν προτέρων ἀνδρῶν συνοικούσαις. ἐὰν δὲ μὴ βούληται γαμεῖν ὁ ἀδελφὸς, ἐπὶ τὴν γερουσίαν ἐλθοῦσα ἡ γυνὴ μαρτυρέσθω τοῦθ' ὅτι βουλομένην αὐτὴν ἐπὶ τοῦ οἴκου μένειν καὶ τεκνοῦν ἐξ αὐτοῦ μὴ προσδέχοιτο ὑβρίζων τὴν τοῦ τεθνηκότος ἀδελφοῦ μνήμην. ἐρομένης δὲ τῆς γερουσίας διὰ ποίαν αἰτίαν ἀλλοτρίως ἔχει πρὸς τὸν γάμον, ἄν τε μικρὰν ἄν τε μείζω λέγῃ, πρὸς ταῦτα ῥεπέτω. ὑπολύσασα δὲ αὐτὸν ἡ γυνὴ τἀδελφοῦ τὰ σάνδαλα καὶ πτύουσα αὐτοῦ εἰς τὸ πρόσωπον, ἄξιον εἶναι παρ' αὐτῆς λεγέτω τυγχάνειν, ὑβρίσαντα τὴν τοῦ κατοιχομένου μνήμην. καὶ ὁ μὲν ἐκ τῆς γερουσίας ἀπίτω τοῦτ' ἔχων ὄνειδος πρὸς ἅπαντα τὸν βίον. ἡ δὲ ᾧ περ ἂν βουληθῇ τινὶ τῶν δεομένων, γαμείσθω. ἂν δὲ αἰχμάλωτον τις λάβῃ παρθένον, ἄν τε καὶ γεγαμημένην, βουλόμενος συνοικεῖν μὴ πρότερον ἐξέστω εὐνῆς ἅπτεσθαι καὶ κοινωνίας, πρὶν ἢ ξυρησαμένην αὐτὴν καὶ πένθιμον σχῆμα ἀναλαβοῦσαν, ἀποθρηνῆσαι συγγενεῖς καὶ φίλους τοὺς ἀπολωλότας ἐν τῇ μάχῃ, ὅπως τὸ ἐπ' αὐτοῖς κορέσασα λυπηρὸν, ἔπειθ' οὕτως ἐπ' εὐωχίας τραπῇ καὶ γάμους. καλὸν γὰρ εἶναι καὶ δίκαιον παιδοποιὸν παραλαμβάνοντα, θεραπεύειν αὐτῆς τὸ βουλητὸν, ἀλλὰ μὴ τὴν ἰδίαν ἡδονὴν διώκοντα μόνον τοῦ κατ' αὐτὴν ἀμελεῖν κεχαρισμένου. τριάκοντα δ' ἡμερῶν ἐπὶ τῷ πένθει διελθουσῶν, αὐτάρκεις γὰρ ἐπὶ τοῖς δακρύοις αὗται τῶν φιλτάτων τοῖς φρονίμοις, τότε χωρεῖν ἐπὶ τὸν γάμον. εἰ δ' ἐμπλησθεὶς τῆς ἐπιθυμίας ὑπερηφανεύσειεν αὐτὴν γαμετὴν ἔχειν, μὴ κατ' ἐξουσίαν ἐχέτω καταδουλοῦν αὐτήν. ἀλλ' ὅποι βούλεται χωρεῖν ἀπίτω τοῦτο ἐλεύθερον ἔχουσα. Ὅσοι δὲ αὖ τῶν νεωτέρων καταφρονοῖεν τοὺς γονεῖς, καὶ τιμὴν αὐτοῖς μὴ νέμωσιν ἢ δι' αἰσχύνην ἢ δι' ἀσύνεσιν, ἐξυβρίζοντες εἰς αὐτοὺς, πρῶτον μὲν λόγοις αὐτοὺς νουθετησάτωσαν οἱ πατέρες. αὐτάρκεις γὰρ ἐπιπεφύκασιν οὗτοι δικασταί. συνελθεῖν μὲν ἀλλήλοις, οὐχ ἡδονῆς ἕνεκα λέγοντες, οὐδὲ τῆς τῶν χρημάτων αὐξήσεως κοινῶν τῶν ἑκατέροις ὑπαρχόντων γενομένων, ἀλλ' ὅπως παίδων τύχωσιν, οἳ γηροκομήσουσιν αὐτοὺς, καὶ ὧν ἂν δέωνται παρ' αὐτῶν ἕξουσι. γενόμενον δέ γε μετὰ χαρᾶς καὶ τῆς τῷ θεῷ χάριν εἰδέναι τὴν μεγίστην ἀράμενοι διὰ σπουδῆς ἀναθρέψαμεν, μηδενὸς φειδὼ ποιούμενοι τοῦ ἐκ δόξαντος εἰς σωτηρίαν τὴν σὴν καὶ παιδείαν τῶν ἀρίστων εἶναι χρησίμου. νῦν δὲ, συγγνώμην γὰρ δεῖ τι νέμειν ἐφ' ἁμαρτήμασι νέων, ἀποχρήσει ὅσα τῆς εἰς ἡμᾶς τιμῆς ὀλιγώρησας. καὶ μεταβαλοῦ πρὸς σωφρονέστερον, λογισάμενος καὶ τὸν θεὸν ἐπὶ τοῖς εἰς πατέρας τολμωμένοις χαλεπῶς ἔχειν, ὅτι καὶ αὐτὸς ὁ πατὴρ τοῦ παντὸς ἀνθρώπων γένους ἐστὶ, καὶ συναπτιμοῦσθαι δοκεῖ τοῖς τὴν αὐτὴν αὐτῷ προσηγορίαν ἔχουσιν, οὐχ ὧν προσῆκον αὐτοῖς παρὰ τῶν παίδων τυγχανόντων. καὶ νόμος κολαστὴς γίνεται τῶν τοιούτων ἀπαραίτητος, οὗ σὺ μὴ πειραθείης. κἂν μὲν τούτοις θεραπεύσηται τὸ τῶν νέων αὔθαδες, ἀπαλλαττέσθωσαν τῶν ἐπὶ τοῖς ἡγνοημένοις ὀνειδῶν

οὕτω

οὕτως γὰρ ὅτι νομοθέτης ἀγαθὸς ἂν εἴη, καὶ οἱ πατέρες εὐτυχεῖς, οὐκ ἐπιδόντες, οὔτε υἱὸν κολαζόμενον, οὔτε θυγατέρα. εἰ δὲ οἱ λόγοι καὶ ἡ παρ' αὐτῶν διδασκαλία τοῦ σωφρονεῖν τὸ μηδὲν εἶναι φαίνοιτο, ἐχθροὺς δ' ἀσπόνδους ποιεῖ τοὺς νόμους ταῖς συνεχέσι κατὰ τῶν γονέων τολμήμασι, προαχθεὶς ὑπ' αὐτῶν τούτων ἔξω τῆς πόλεως τοῦ πλήθους ἑπομένου, καταλευέσθω. καὶ μείνας δι' ὅλης τῆς ἡμέρας εἰς θέαν τὴν ἁπάντων, θαπτέσθω νυκτός. Οὕτως δὲ καὶ οἱ ὁπωσοῦν ὑπὸ τῶν νόμων ἀναιρεθῆναι κατακριθέντες. θαπτέσθωσαν δὲ καὶ οἱ πολέμιοι. καὶ νεκρὸς μηδὲ εἷς γῆς ἄμοιρος κείσθω, περαιτέρω τοῦ δικαίου τιμωρίαν τιννύων. Δανείζειν δὲ Ἑβραίων ἐπὶ τόκοις ἐξέστω μηδενί, μήτε βρωτόν, μήτε ποτόν. οὐ γὰρ δίκαιον προσοδεύεσθαι τοῖς ὁμοφύλοις τὰς τύχας, ἀλλὰ βοηθήσαντα ταῖς χρείαις αὐτῶν, κέρδος εἶναι νομίζειν, τήν τ' ἐκείνων εὐχαριστίαν, καὶ τὴν ἀμοιβὴν τὴν παρὰ τοῦ θεοῦ γενησομένην ἐπὶ τῇ χρηστότητι. Οἱ δὲ λαβόντες εἴτε ἀργύρια εἴτε τινὰ τῶν καρπῶν ὑγρὸν ἢ ξηρόν, κατὰ νοῦν αὐτοῖς τῶν παρὰ τοῦ θεοῦ χορηγησάντων κομίζοντες, μεθ' ἡδονῆς ἀποδιδότωσαν τοῖς δοῦσιν ὥσπερ ἀποθέμενοι εἰς τὰ αὐτῶν, καὶ πάλιν εἰ δεηθεῖεν ἕξοντες. Ἂν δὲ ἀναισχυντῶσι περὶ τὴν ἀπόδοσιν, μὴ πρὸς τὴν οἰκίαν βαδίσαντες ἐνεχυριάζειν πρὶν ἢ δίκην περὶ τούτου γένηται. τὸ δὲ ἐνέχυρον αἰτεῖν ἔξω. καὶ τὸν ὀφείλοντα κομίζειν δι' αὐτοῦ μηδὲν ἀντιλέγοντα τῷ μετὰ νόμου βοηθείας ἐπ' αὐτὸν ἥκοντι. κἂν μὲν εὔπορος ᾖ ὁ ἐνεχυριασμένος, κατεχέτω τοῦτο μέχρι τῆς ἀποδόσεως ὁ δανείσας. ἂν δὲ πένης, ἀποδιδότω πρὶν ἡλίου δυσμῶν, καὶ μάλιστα ἂν ἱμάτιον ᾖ τὸ ἐνέχυρον, ὅπως εἰς ὕπνον ἔχῃ τοῦτο, φύσει τοῦ θεοῦ τοῖς πενομένοις ἔλεον νέμοντος. Μύλην δὲ καὶ τὰ περὶ ταύτην σκεύη, μὴ ἐξεῖναι λαμβάνειν ἐνέχυρον. ὅπως μὴ στέρωνται καὶ τῶν πρὸς τὰ σιτία ὀργάνων, μηδ' ὑπ' ἐνδείας πάθωσί τι τῶν χειρόνων. Ἐπ' ἀνθρώπου μὲν κλοπῇ, θάνατος ἔστω ζημία. ὁ δὲ χρυσὸν ἢ ἄργυρον ὑφελόμενος, τὸ διπλοῦν ἀποτιννύτω. Κτείνας δὲ ἐπὶ τοῖς κατ' οἶκον κλεπτομένοις τις, ἀθῷος ἔστω, κἂν εἰ πρὸς διορύγματι τειχίου. Βόσκημα δὲ ὁ κλέψας, τετραπλῆν τὴν ζημίαν ἀποτιννύτω, πλὴν βοός. πενταπλῆν δὲ ὑπὲρ τούτου καταβαλέτω. ὁ δὲ τὸ ἐπιτίμιον ἄπορος διαλύσασθαι, δοῦλος ἔσται τοῖς καταδικασαμένοις. Πραθεὶς δὲ ὁμοφύλῳ τις ἓξ ἔτη δουλευέτω, τῷ δὲ ἑβδόμῳ ἐλεύθερος ἀφιέσθω. Ἐὰν δὲ τέκνον αὐτῷ γενομένου ἐκ δούλης παρὰ τῷ πριαμένῳ, διὰ τὴν εὔνοιαν, καὶ τὴν πρὸς τὰ οἰκεῖα φιλοστοργίαν βούληται δουλεύειν, ἐνιαυτοῦ ἰωβήλου, πεντηκοστὸς δὲ ἐνιαυτὸς ἐστίν, ἐλευθερούσθω, καὶ τὰ τέκνα καὶ τὴν γυναῖκα ἐλευθέραν ἐπαγόμενος. Ἐὰν δέ τις, ἢ χρυσίον ἢ ἀργύριον εὕρῃ καθ' ὁδόν, ἐπιζητήσας τὸν ἀπολωλεκότα καὶ κηρύξας τὸν τόπον ἐν ᾧ εὗρεν, ἀποδότω, τὴν ἐκ τῆς ἑτέρου ζημίας ὠφέλειαν οὐκ ἀγαθὴν ὑπολαμβάνων. Ὁμοίως καὶ περὶ βοσκημάτων οἷς ἂν ἐντύχοι τις, κατ' ἐρημίαν πλανωμένοις, μὴ εὑρεθέντος τοῦ κυρίου παρακατάθημα παρ' αὐτῷ φυλαττέτω, μαρτυράμενος τὸν θεὸν μὴ νοσφίζεσθαι ἀλλότρια. Μὴ ἐξεῖναι δὲ παριέναι κτηνῶν τινὶ κακοπαθούντων ὑπὸ χειμῶνος πεπτωκότων ἐν πηλῷ. συνδιασῴζειν δέ, καὶ τὸν πόνον οἰκεῖον ἡγησάμενον βοηθεῖν. Μηνύειν δὲ καὶ τὰς ὁδοὺς τοῖς ἀγνοοῦσι, καὶ μὴ, γέλωτα θηρωμένους αὐτοῖς, ἐμποδίζειν πλάνῃ τὴν ἑτέρου χρείαν.

hoc enim & ad legiſlatoris clementiæ laudẽ,& ad parentum felicitatem pertinet, ſi nec filium nec filiã legibus dare pœnas videant. quòd ſi hi ſermones & præcepta nihil profecerint, ſed cõtumacibus in parẽtes auſis pergat leges ſibi infeſtas reddere, ab ipſis extra vrbem ſequẽte turba productus obruatur lapidibus,& per totum diem omnibus ad ſpectandum propoſitus, nocte demum ſepeliatur. Similiter & qui quomodocunque legibus damnati dant ſupplicium. Quin & hoſtes ſepeliantur, nec mortuus quiſquam expers terræ iaceat, vltrà quàm iuſtum eſt, pœnas exſoluens. Mutuum dare ad vſuram *Deut. 23.* Hebræorum nemini liceat, neque cibum neq; potum. non enim iuſtum eſt reditus captare ex fortunis tribulium, ſed præſtat opem ferre illorum neceſſitatibus,& ad lucrum imputare eorum gratiarum actionem,& Dei retributionẽ, quæ huiuſmodi beneficentiam ſolet conſequi. Qui verò acceperint mutuò ſiue pecuniam, ſiue fructum aliquem aridum aut liquidum, vbi Deo fauente ex ſententia fruges ipſorum prouenerint, alacres reſtituant eis qui mutuauerunt, quaſi ſua reponentes, & vſuri denuò ſi opus fuerit. Quòd ſi non pudeat eos non reddere, *Deut. 24.* non ſunt è domibus auferenda pignora, niſi iuſſu iudicum.& pignus foris eſt expectãdum. is verò qui afferre debet, nihil cõtradicat ei qui cum legum auxilio ad ſe venit:& ſi quidem nõ inops fuerit, qui oppignerauerit, retineatur pignus, donec reddatur mutuum. ſin autem pauper, reſtituat id creditor priuſquam ſol occidat, maximè ſi veſtimentum pignus fuerit: vt habeat iturus cubitum. quandoquidem Deus à natura erga pauperes eſt miſericors. Molam & inſtrumentum quod ad hanc pertinet non eſto ius pignus capere: ne carentibus his ſi deſit cibum parandi facultas, ob inopiam grauius aliquid accidat. Plagium qui commiſerit, mulctator capite: qui verò aurum aut argentum ſubtraxerit, duplum reſtituito. Qui in furto deprehenſum, aut parietem perfodientem occiderit, impune eſto. Pecudem qui furatus fuerit, quadruplo mulctator, excepto boue. pro hoc enim quincuplum numerandum eſt. Qui verò mulctam ſoluere non valet, in ſeruitutem vindicetur. Qui tribuli in ſeruitutem eſt venditus, ſexennio ſeruiat, ſeptimo anno manumittatur. Quòd ſi in herili domo prolem è conſerua ſuſceperit, & propter ſuos affectus ſeruire maluerit, anno iubileo, is eſt quinquageſimus, liber eſto, vnà cum filiis & vxore. Si quis aurum aut argentum in via inuenerit, quærat eum qui perdidit, per præconem indicato loco in quo inuenit: reddátque ſciens non eſſe bonum ex alieno damno lucrum facere. Sic & de pecudibus, in quas errantes in deſerto *Deut. 22.* inciderit, ſi ignoretur Dominus, ſtatim apud ſe reſeruet, Deum teſtatus quòd aliena vſurpare nõ cupiat. Iumentum per tempeſtatem in luto hærens præterire non licet, ſed ſubleuandum eſt non ſecus quàm proprium. Viam ignoranti commonſtrare oportet, non per ludibrium riſum captando alienas vtilitates impedire.

Absenti & surdo nemo malè loquitor. Percussus in rixa absque ferro, confestim vindicetur: idem patiente eo qui percussit, quod fecit. quòd si domum relatus complures dies ægrotauerit, deinde moriatur, qui percussit à cæde insons esto. sin autem reualuerit, & multa in ægritudine insumpserit, percusso quicquid interim dum decubuit impensum est dissoluat, præterque mercedem medici. Qui mulierem vterum gerentem calce percusserit, si quidem mulier abortiat, pecunia mulctetur à iudicibus, quòd corrupto fœtu populum vno ciue diminuerit: & aliam præterea pecuniam det marito mulieris. quòd si illa moriatur, & ipse det pœnas capite: quando quidem vitam pro vita reponi iustum est. Venenum neque letale, neque alias noxium quisquam Israëlitarum penes se habeat: quòd si habere deprehensus sit, morte mulctetur, & patiatur id quod facturus erat illis aduersus quos venenum parauerat. Qui excæcauerit quenquam, similia patiatur, priuatus quo priuauit alium, nisi is malit pecuniam accipere. nam ipsi lex permittit arbitrium æstimandi suum casum, si nolit haberi sæuerior. Bouem cornupetam Dominus iugulet. quòd si in area quenquam percussum interfecerit, ipse quidem obruatur saxis, indignus qui vel in cibũ veniat. quòd si & dominus coarguatur nouisse ingenium eius, nec tamen cauisse, & ipse morte mulctetur, vt qui à boue necato mortis causa fuerit. Quòd si seruum aut ancillam bos interfecerit, ipse quidẽ lapidetur, dominus autem eius triginta siclos necati hero persoluat. Quòd si bos à boue alio ita percussus mortuus fuerit, vendantur tam mortuus quàm qui percussit, & precium vtriusque inter se domini partiantur. Qui puteum aut lacum fodiunt, diligenter curent, vt iniectis tabulis operiantur, non vt aquatio non sit libera, sed vt absit periculum ne quid incidat. quòd si in talem fossam non clausam pecus alicuius illapsum moriatur, pretium eius domino restitui debet. tecta quoque circumsepienda sunt obicibus, qui non facilè prolabi sinant ac decidere. Depositum tanquam rem sacram qui accepit, diligenter custodiat, & nemo eius commissorem fraudare sustineat, neque vir, neque mulier, etiam si nemine coarguente ingentem auri vim lucrifacturus sit. in vniuersum enim danda est opera vt sua cuique conscientia sana sit, & huic testi approbari satis est quicquid laudem meretur apud homines. Præcipuus autem Dei respectus habendus est, quem nemo malus vnquam potest fallere, quòd si absque dolo malo cui commissum est id perdiderit, accedens ad septẽ illos iudices, iureiurando Deum testem faciat, quòd nihil sua voluntate aut malitia sit perditum, nec vsum se parte depositi, atq; ita absolutus abeat. quòd si vel minima commissorũ parte vsus pòst perdiderit, ad redibẽdum quod accepit, in solidum condemnetur. Idem ius esto de mercedibus quæ parantur labore corporis.

Deut. 24.

Ibidem.

A Ὁμοίως μηδὲ βλασφημείτω τις τὸν ἀπόντα καὶ τὸν ἐνεόν. Ἐν μάχῃ τις, ὅπου μὴ σίδηρος, πληγεὶς, παραχρῆμα μὲν ἐκδικείσθω, ταυτὸν παθόντος τοῦ πεπληγότος. ἂν δὲ κομισθεὶς παρ' ἑαυτὸν καὶ νοσήσας ἐπὶ πλείονας ἡμέρας, ἔπειτα ἀποθάνῃ, ἀθῷος ἔστω ὁ πλήξας. σωθέντος δὲ καὶ πολλὰ δαπανήσαντος εἰς τὴν νοσηλείαν, ἀποτινύτω πάνθ' ὅσα παρὰ τὸν χρόνον τὸν τῆς κατακλίσεως ἀνάλωσεν, καὶ ὅσα τοῖς ἰατροῖς ἔδωκεν. Ὁ γυναῖκα λακτίσας ἔγκυον, ἂν μὲν ἐξαμ-B βλώσῃ ἡ γυνὴ, ζημιούσθω χρήμασιν ὑπὸ τῶν δικαστῶν, ὡς παρὰ τὸ διαφθαρὲν ἐν τῇ γαστρὶ μειώσας τὸ πλῆθος. διδόσθω δὲ καὶ τῷ ἀνδρὶ τῆς γυναικὸς παρ' αὐτοῦ χρήματα. θνησκούσης δ' ἐκ τῆς πληγῆς, καὶ αὐτὸς ἀποθνησκέτω, ψυχὴν ἀντὶ ψυχῆς καταθέσθαι δικαιοῦντος τοῦ νόμου. Φάρμακον μήτε θανάσιμον μήτε τῶν εἰς ἄλλας βλάβας πεποιημένων Ἰσραηλιτῶν ἐχέτω μηδὲ εἷς. ἐὰν δὲ κεκτημένος φωραθῇ, τεθνάC τω, τοῦτο πάσχων ὃ διέθηκεν ἂν ἐκείνους, καθ' οὓς τὸ φάρμακον ἦν παρεσκευασμένον. Ὁ πηρώσας, πασχέτω τὰ ὅμοια, στερόμενος οὗπερ ἄλλον ἐστέρησε, πλὴν εἰ μή τι χρήματα λαβεῖν ἐθελήσειεν ὁ πεπηρωμένος, αὐτὸν τὸν πεπονθότα κύριον τοῦ νόμου ποιοῦντος τιμήσασθαι τὸ συμβεβηκὸς αὐτῷ πάθος, καὶ συγχωροῦντος εἰ μὴ βούλεται γίνεσθαι πικρότερος. Βοῦν τοῖς κέρασι πλήττοντα ὁ δεσπότης ἀποσφαττέτω. εἰ δ' ἐφ' ἅλω κτείνειεν τινὰ πλήξας, αὐτὸς μὲν καD ταλευσθεὶς ἀποθνησκέτω, μὴ δ' εἰς τροφὴν εὔχρηστος εἶναι κατηξιωμένος. ἐὰν δὲ καὶ ὁ δεσπότης ἐλέγχηται, προειδὼς αὐτοῦ τὴν φύσιν, καὶ μὴ φυλαξάμενος, καὶ αὐτὸς θνησκέτω, ὡς αἴτιος τῷ ὑπὸ τοῦ βοὸς ἀνῃρημένῳ γεγενημένος. Ἐὰν δὲ δοῦλον ἢ θεράπαιναν ἀποκτείνῃ βοῦς, αὐτὸς μὲν καταλιθούσθω. τριάκοντα δὲ σίκλους ὁ κύριος τοῦ βοὸς ἀποτινύτω τῷ δεσπότῃ τοῦ ἀνῃρημένου. Βοῦς δὲ ἐὰν οὕτως πληγεὶς ἀποE θάνῃ, πωλείσθωσαν καὶ ὁ τεθνεὼς καὶ ὁ πλήξας, καὶ τὴν τιμὴν τὴν ἀμφοτέρων, οἱ δεσπόται αὐτῶν διαιρείσθωσαν. Οἱ φρέαρ ἢ λάκκον ὀρύξαντες, ἐπιμελὲς ποιείσθωσαν ὥστε σανίδων ἐπιβολαῖς ἔχειν κεκλεισμένα, οὐχ ὅπως τινὲς εἴργοιντο ὑδρείας, ἀλλ' ἵνα μηδεὶς κίνδυνος, ὡς ἐμπεσουμένοις, ᾖ. εἰ δ' ἂν εἰς ὄρυγμα τοιοῦτον μὴ κλειστὸν ἐμπεσὸν βόσκημά τινος διαφθαρῇ, τὴν τιμὴν αὐτοῦ τῷ δεσπότῃ καταβαλλέτω. περιβαλλέσθω δὲ καὶ τοῖς στέγεσιν ἅπερ ὡς ἀντὶ τείχους F ὄντα, οὐκ ἐάσει τινὰς ἀποκυλισθέντας ἀποβάλλεσθαι. Παρακαταθήκην δὲ ὥσπερ ἱερόν τι καὶ θεῖον χρῆμα ὁ παραλαβὼν, φυλακῆς ἀξιούτω. καὶ μηδεὶς ἀποστερῆσαι συνθείη τὸν πεπιστευκότα, μήτε ἀνὴρ, μήτε γυνή. μηδ' εἰ χρυσὸν ἄπειρον μέλλοι κερδαίνειν, καταφρονῶν τῷ μηδένα εἶναι τὸν ἐξελέγχοντα. καθ' ὅλου μὲν γὰρ τὸ συνειδὸς ἐπιστάμενον τὸ αὐτοῦ προσῆκεν ἕκαστον εὖ πράττειν. καὶ μάρτυς ἀρκούμενος αὐτῷ πάντα ποιείτω ἃ παρ' ἄλλων ἔπαινον αὐτῷ παρέξει. μάλιστα δὲ τὸν θεὸν ὃν οὐδεὶς πονηρὸς ὢν λανθάνει. εἰ δὲ μηδὲν ἐπίβουλον δρᾶν ὁ πιστευθεὶς ἀπολέσειεν, ἀφικόμενος ἐπὶ τοὺς ἑπτὰ κριτὰς, ὀμνύτω τὸν θεὸν, ὅτι μηδὲν παρὰ τὴν αὐτοῦ βούλησιν ἀπώλοιτο καὶ κακίαν, οὐδὲ χρησάμενος τινὶ μέρει αὐτῆς, καὶ οὕτως ἀνεπαιτίατος ἀπίτω. χρησάμενος δὲ κἂν ἐλαχίστῳ μέρει τῶν πεπιστευμένων ἀπολέσας τύχῃ, τὰ λοιπὰ πάντ' οὖν ἃ ἔλαβεν ἀποδοῦναι κατεγνώσθω. Ὁμοίως δὲ τῷ περὶ παρακαταθηκῶν, κἂν μισθόν τις ἀποστερήσῃ τῶν ἐπὶ σώματι τοῖς αὐτῶν ἐργαζομένων, μεμνή-

A μεμνήσθω ὅτι οὐκ ἀποστερητέον ἀνδρὸς πένητος μισθόν, εἰδότας ὡς ἀντὶ γῆς καὶ τῶν ἄλλων κτημάτων ὁ θεὸς αὐτῷ τοῦτον εἴη παρεσχηκώς. ἀλλὰ μηδὲν ἀναβαλλέσθω τὴν ἀπόδοσιν, ἀλλ᾽ αὐθημερὸν ἐκτίνειν, ὡς οὐ βουλομένου τοῦ θεοῦ τῆς ἐξ ὧν πεπόνηκε χρήσεως ὑστερεῖν τὸν εἰργασμένον. παῖδας ὑπὲρ ἀδικίας πατέρων μὴ κολάζειν, ἀλλὰ διὰ τὴν ἐκείνων αὐτῶν ἀρετὴν, οἴκτου μᾶλλον ἀξιοῦν, ὅτι μοχθηρῶν ἐγένοντο πατέρων, ἢ μίσους, φύντας ἐκ φαύλων. Οὐδὲ μὴν παισὶν ἡ τῶν ἁμαρτίαν λογιστέον, τῶν νέων πολλὰ B παρὰ τὴν ἡμετέραν διδασκαλίαν αὐτοῖς ἐπιτρεπόντων ὑπερηφανίᾳ τοῦ διδάσκεσθαι. Γάλλους ἐκτρέπεσθαι, καὶ συνόδον φεύγειν τὴν μετ᾽ αὐτῶν, ἀφελομένους αὐτοὺς τὸ ἄρρεν καὶ τὸν τῆς παιδοποιΐας καρπὸν, ὃν ἀνθρώποις ἐπ᾽ αὐξήσει τοῦ γένους ἡμῶν ὁ θεὸς παρέσχεν. ἐλαύνειν δὲ οὕτως, ὡς ἐπὶ τέκνων σφαγῇ, καὶ πρὸ τούτων ἀπολλύντας τὸ ἐκείνων αἴτιον. δῆλον γὰρ ὡς τῆς ψυχῆς αὐτοῖς τεθηλυσμένης, C μετεκομίσαντο πρὸς τοῦτο καὶ τὸ σῶμα. ὁμοίως δὲ καὶ πᾶν τὸ νομιζόμενον τέρας τοῖς ὁρῶσι. Μὴ ἐξεῖναι δὲ ποιεῖν ἐκτομίας, μήτε ἀνθρώποις, μήτε τῶν ἄλλων ζώων. Αὕτη μὲν οὖν ὑμῖν εἰρηνικὴ τῶν νόμων κατὰ τὴν πολιτείαν διάταξις ἔστω. καὶ ὁ θεὸς εὐμενὴς ἀστασίαστον αὐτῆς τὸν κόσμον παρέξεται. γένοιτο δὲ χρόνος μηδὲ εἷς ὃς καινίσοι τι τούτων καὶ πρὸς τὸ ἐναντίον μεταβάλλοι. ἐπεὶ δὲ ἀνάγκη τὸ ἀνθρώπινον καὶ εἰς ἀ- D βουλήτους ἢ κατὰ προαίρεσιν ταραχὰς καὶ κινδύνους ἐμπεσεῖν, φέρε καὶ περὶ τούτων βραχέα προσδιατάξωμεν, ὡς ἂν προειδότες ἃ χρὴ ποιεῖν, ἐν τῇ χρείᾳ τῶν σωτηρίων εὐπορεῖτε, καὶ μὴ τότε ἃ δεῖ ποιεῖν ἐπιζητοῦντες ἀπαρασκεύαστοι τοῖς καιροῖς περιπέσητε. γῆν, ἣν ὑμῖν ὁ θεὸς ἔδωκε, πόνων καταφρονοῦσιν καὶ ψυχὰς πρὸς ἀρετὴν ἠσκημένοις, ἀπόλεμον νέμοισθε, κεκτημένοι αὐτὴν, μήτε ἀλλοτρίων εἰς αὐτὴν ἐ- E πὶ κακώσει στρατευσάντων, μήτε στάσεως ἐμφυλίου καταχούσης ὑμᾶς, ὑφ᾽ ἧς τἀναντία πατράσι τοῖς ἑαυτῶν πράττοντες, ἀπολεῖτε τὰ ἐκείνοις νομισθέντα. χρώμενοί τε νόμοις, οὓς ἀγαθοὺς δοκιμάσας ὁ θεὸς παραδίδωσι, διατελοίητε. ἔργον δ᾽ ὅτι ἂν πολεμικὸν, ἢ νῦν ὑφ᾽ ὑμῶν ἢ ὕστερον ἐπὶ παίδων ὑμετέρων γένηται, παρὰ τοῦ θεοῦ ὑπερόριον πραχθείη. μέλλοντας δὲ πολεμεῖν πρὸς βίαν καὶ κήρυκας πέμπειν παρὰ F τοὺς ἑκουσίους πολεμίους. πρὸ γὰρ τῶν ὅπλων, καλὸν εἶναι χρῆσθαι λόγοις πρὸς αὐτοὺς, δηλοῦντας ὅτι καὶ στρατιὰν πολλὴν ἔχοντες καὶ ἵππους καὶ ὅπλα, καὶ πρὸ τούτων εὐμενῆ τὸν θεὸν καὶ σύμμαχον, ὅμως ἀξιοῦτε μὴ ἀναγκάζεσθαι πολεμεῖν αὐτοῖς, μηδὲ τὰ ἐκείνων ἀφαιρουμένους ἀβούλητον αὐτοῖς κέρδος προσλαμβάνειν. καὶ πειθομένων μὲν καλῶς ὑμᾶς ἔχειν, τὴν εἰρήνην φυλάττεσθε φρονοῦντας ἐφ᾽ ἑαυτοῖς ὡς G ἰσχύϊ διαφέρουσιν. εἰ δ᾽ ἀδικεῖν ἐθέλοιεν, στρατὸν ἐπ᾽ αὐτοὺς ἀγάγετε, στρατηγῷ μὲν αὐτοκράτορι χρώμενοι τῷ θεῷ, ὑποστρατηγὸν δὲ χειροτονήσαντες ἕνα τὸν ἀρετῇ προύχοντα. πολυαρχία γὰρ πρὸς τοῖς ὀξέως τι πράττειν ἀνάγκην ἔχουσιν ἐμπόδιον εἶναι, καὶ βλάπτειν πέφυκε τοὺς χρωμένους. στρατὸν δ᾽ ἄγειν καθαρὸν ἐκ πάντων τῶν ῥώμῃ σωμάτων, καὶ ψυχῆς εὐτολμίᾳ διαφερόντων. τὸ δὲ δειλὸν ἀποκρίνεσθαι, μὴ τοὺς πολεμίους παρὰ τὸ ἔργον τραπὲν εἰς φυγὴν ὠφελήσῃ. τούς τε νεωστὶ δειμαμένους οἰκίας,

Cauendum ne quis virum pauperem mercede ſua defraudet, memor quòd is vice agri & facultatum hoc à Deo ſortitus ſit. proinde non procraſtinanda ſolutio, ſed eadem die reddenda, cùm conſtet Deum nolle vt operarius laboris ſui fructu careat. Liberi ob parentum iniquitatem puniendi non ſunt, nimirum propter ſuam virtutem digniores miſeratione, quòd è talibus nati ſint, quàm odio propter illorum vicia. Neque patribus peccata filiorum ſunt imputanda, qui contempta parentum diſciplina multa ſibi permittunt facere. Spadones abominare & auerſare, qui virilitate & genitura ſe ipſi priuauerunt, quam nobis Deus ad incrementum & multiplicationem addidit. Procul arcendum eſt hoc genus, quod non modò poſteritatem quantum in ſe eſt, ſed multò antè propriam innocentiam ac puritatem perdidit. Satis enim conſtat, quòd effœminato primum animo etiam corpora habent muliebria. ſimiliter abhorrere oportet quicquid inter portenta ducitur. Caſtrare nec hominem licet, nec vllum aliud animal. Hæ pacis leges & inſtituta ſunto, & Deus propitius inconcuſſam eam & imperturbatam conſeruabit. abſit autem vt vllum tempus veniat quod hæc innouet & in contrariam formam transferat. Quoniam autem neceſſe eſt homines vel ſponte vel inuitos in turbas ac pericula incidere, age etiam de his pauca præcipiamus, vt ſcientes quid opus facto ſit, cum vſus erit in promptu habeatis ſalutaria conſilia, nec ſitis hac parte imparati in ipſo temporis articulo. Faxitque Deus vt terram quam vobis pro labore veſtro ac virtute dedit, in pace & tranquillitate colentes poſſideatis, nec hoſtibus incurſantibus, nec domeſtica ſeditione turbante, quæ abrogatis patrum legibus & inſtitutis, in contrariam diſciplinam vos inducat: vtque in perpetua legum à Deo comprobaturum obſeruatione permaneatis. Bella verò vel vobis vel veſtris poſteris gerenda, extra fines Deus auertat. Cæterùm cùm bellum inſtabit, caduceatores primùm ad deſtinatos hoſtes ſunt mittendi. decet enim ante arma verbis ad eos vti, docendo quòd quamuis & copiæ vobis adſint numeroſæ, & equi, & arma, & ſuper omnia Deus auxiliator propitius, mauultis tamen non cogi ad bellum, neque ex rebus illorũ direptis ingrata lucra quærere. Et ſi quidem quod æquum eſt perſuaderi ſibi patiantur, præſtat pacem inuiolatam ſeruare: quòd ſi plus ſuis viribus tribuentes ius in armis reponant, exercitum contra eos educite, imperium Deo committentes, creato vno aliquo forti viro qui vicarius illi ſit, & quaſi proimperator. multorum enim imperium non modò moram affert rebus ſtrenuè gerendis, ſed non rarò plus nocet quàm prodeſt. Delectus autem habendus eſt virorũ tantùm robore tam animi quàm corporis præſtantium: ignaui verò minimè admiſcendi, ne dum res armis geritur, in fugam auerſi hoſtium conditionem potiorem faciant. Immunes autem ſint à militia,

Ibidem.

Deut.20.

qui ædificata noua domo nondum integrum annum illa ſunt vſi : tum qui plantata vinea nondum ex ea fructus perceperunt : & præter hos qui deſponſata vxore nondum eam domum duxerunt : ne harum rerum deſiderio ſibi parcentes, & ſeruantes ſe relictis voluptatibus, in gratiam vxorum parum fortiter rem gerant. Caſtris autem poſitis cauete ne quid aſperè ac crudeliter faciatis : & oppugnaturi vrbem ſi deſit materies ad machinarum fabricam, ne deglabretis terram frugiferas arbores excidendo : ſed parcite, non ignorantes in vſum hominum iſta creata, & ſi vox eis daretur expoſtulatura vobiſcum, quod cùm ipſa belli cauſa non fuerint, iniuſtè affligantur, mutatura domicilium ſi liceat, & aliò migratura. Victores in prælio facti eos qui in aduerſa acie ſteterunt cædite, cæteros tributarios futuros ſeruate, excepta Chananæorum gente. Hi enim cum totis familiis ſunt delendi. Cauete autem, maximè in bello, vt neque mulier habitu virili vtatur, neque vir ſtola muliebri. Hæc ſunt inſtituta quæ Moyſes reliquit. Leges verò antè quadrageſimo anno conſcriptas tradidit, de quibus in aliis commentariis dicemus. Sequentibus deinceps diebus, nam continenter conciones aduocabat, fauſtis eos precationibus Deo commendauit, ſicut contrà diris imprecationibus eos deuouit, qui neglectis legibus aduerſus earum præſcriptum agerent. deinde carmen hexametrum eis recitauit, quod ſcriptum reliquit in ſacro volumine, continens prædictionem futurorum, iuxta quam omnia facta ſunt, atque fiunt, euentis nuſquam non congruentibus. Hæc volumina & arcam ſacerdotibus tradidit, in qua decem illa præcepta in duabus tabulis ſcripta repoſuerat, & præter ea tabernaculum. populo etiam mandauit, vt occupata terra & fixis ſedibus, non obliuiſceretur iniuriæ ab Amalecitis acceptæ: ſed expeditione in eos ſuſcepta pœnas repoſceret pro damnis in deſerto ſibi illatis. Capta autem Chananæa, & plebe eius vt par eſt deleta, aram erigere iuſſit ad ſolem Orientem obuerſam, non procul à Sicimis vrbe inter duos montes, dextrum Garizeum, ſiniſtrum Gibalem : diuiſáſque copias in ſenas tribus ſuper duobus montibus conſiſtere, & vnà cum illis Leuitas ac ſacerdotes. & primùm illos in Garizeo precari omnia fauſta leges Dei & religionem ſeruantibus, & Moyſis conſtitutiones non violantibus, alteros verò acclamationibus hoc approbare : & rurſum his precantibus illos acclamare. deinde pari modo tranſgreſſoribus execrationes inferre, ſuccinentes ſibi inuicem, ab alteris dicta comprobantes. & tam fauſtas ominationes quàm deuotiones in literas retulit, vt in perpetuum cuiuis eas diſcere liceat : quæ tandem huic aræ inſcriptæ ſunt ex vtroque latere, quà populus iuſſus eſt ſtare, & holocautomata offerre, & poſt eam diem nunquam alias victimas imponere : neque enim fas eſſe. Hæc ſunt quæ Moyſes præcepit, & quæ Hebræorum gens indeſinenter obſeruat.

Deut.22. *Deu.30.31.32.33.34.* *Deut.27.28.*

οἷς οὔπω χρόνος ἀπολαύσεως αὐτῶν ἐνιαύσιος, καὶ φυτεύσαντας, οὔπω δὲ καρπῶν μετεσχηκότας, ἐᾶν κατὰ χώραν. καὶ τοὺς μνηστευσαμένους δὲ, καὶ νεωστὶ γεγαμηκότας, μὴ πόθῳ τούτων φειδόμενοι τοῦ ζῆν καὶ τηροῦντες ἑαυτοὺς εἰς τὴν τούτων ἀπόλαυσιν ἐθελοκακήσωσι περὶ τὰς γυναῖκας. στρατοπεδευσάμενοι δὲ, προνοεῖτε μήτι τῶν δυσχερεστέρων ἐργάσησθε. πολιορκοῦντας δὲ καὶ ξύλων ἀπορουμένους, εἰς ποίησιν μηχανημάτων, μὴ κείρειν τὴν γῆν, ἥμερα δένδρα ἐκκόπτοντας· ἀλλὰ φείδεσθαι λογιζομένους ἐπ' ὠφελείᾳ ταῦτα τῶν ἀνθρώπων γεγονέναι, καὶ φωνῆς ἂν εὐπορήσαντα δικαιολογήσασθαι πρὸς ὑμᾶς ὡς οὐδὲν αἴτια γεγονότα τοῦ πολέμου πάσχοι κακῶς παρὰ δίκην, εἰ δύναμις αὐτοῖς ἦν καὶ μετοικήσαντα ἂν καὶ πρὸς ἄλλην μεταβαῖνα γῆν. κρατήσαντες δὲ τῇ μάχῃ τοὺς ἀντιταξαμένους κτείνατε, τοὺς δ' ἄλλους, ἐς τὸ τελεῖν ὑμῖν φόρους σώζετε, πλὴν τοῦ χαναναίου ἔθνους, τούτους γὰρ πανοικὶ χρὴ ἀφανίσαι. φυλάσσετε δὲ μάλιστα ἐν ταῖς μάχαις, ὥστε μήτε γυναῖκα ἀνδρικῇ σκευῇ χρῆσθαι, μήτε ἄνδρα στολῇ γυναικείᾳ. πολιτείαν μὲν οὖν τοιάνδε μωυσῆς κατέλιπε. νόμους δ' ἔτι πρότερον τεσσαρακοστῷ ἔτει γεγραμμένους παραδίδωσι, περὶ ὧν ἐν ἑτέρᾳ γραφῇ λέξομεν. ταῖς δ' ἑξῆς ἡμέραις, συνεχῶς γὰρ ἐξεκλησίασεν, εὐλογίας αὐτοῖς δίδωσι καὶ κατάρας ἐπὶ τοὺς μὴ κατὰ τοὺς νόμους ζησομένους, ἀλλὰ παραβησομένους τὰ ἐπ' αὐτοῖς διωρισμένα. ἔπειτα ποίησιν ἑξάμετρον αὐτοῖς ἀνέγνω, ἣν καταλέλοιπεν ἐν τῷ βιβλίῳ τῷ ἱερῷ, πρόρρησιν ἔχουσαν τῶν ἐσομένων, καθ' ἣν γέγονε πάντα καὶ γίνεται, μηδὲν ἐκείνου διημαρτηκότος τῆς ἀληθείας. ταῦτ' οὖν τὰ βιβλία παραδίδωσι τοῖς ἱερεῦσι καὶ τὴν κιβωτὸν, εἰς ἣν καὶ τοὺς δέκα λόγους γεγραμμένους ἐν δυσὶ πλαξὶ κατέθετο καὶ τὴν σκηνήν. τῷ τε λαῷ παρῄνεσε κρατήσαντι τῆς γῆς, καὶ ἱδρυθέντι, μὴ λήθην λαβεῖν τῆς ἀμαληκιτῶν ὕβρεως· ἀλλὰ στρατεύσαντας ἐπ' αὐτοὺς, τιμωρίαν ἀπολαβεῖν, ὧν ἐπὶ τῆς ἐρήμου τυγχάνοντας ἐποίησαν κακῶς. ἐξελόντας δὲ τὴν χαναναίαν γῆν, καὶ πᾶσαν διαφθείραντας τὴν ἐν αὐτῇ πληθὺν καθὰ πρέπει, τὸν βωμόν τε ἀναστῆσαι πρὸς ἥλιον ἀνίσχοντα τετραμμένον, οὐ πόρρω τῆς σικίμων πόλεως μεταξὺ δυοῖν ὀρῶν, γαριζέου μὲν τοῦ ἐκ δεξιῶν κειμένου, τοῦ δ' ἐκ λαιῶν γιβάλου προσαγορευομένου. μερισθεῖσαν δὲ τὴν στρατιὰν καθ' ἓξ φυλὰς ἐπὶ τοῖν δυοῖν ὄροιν ἀναστῆναι, καὶ σὺν αὐτοῖς λευίτας τε καὶ τοὺς ἱερέας. καὶ πρῶτα μὲν τοὺς ἐπὶ τῷ γαριζεῖ γενομένους εὔχεσθαι τὰ κάλλιστα τοῖς περὶ τὴν θρησκείαν τοῦ θεοῦ καὶ τὴν τῶν νόμων φυλακὴν σπουδάζουσιν, ὧν τε μωυσῆς εἶπε μὴ παρακρουσαμένοις, εὐφημεῖν δὲ τὰς ἑτέρας, καὶ τούτων πάλιν εὐχομένων, τὰς προηγμένας ἐπαινεῖν. ἔπειτα κατὰ ταῦτα τοῖς παραβησομένοις κατάρας τίθεσθαι, ὑποφωνούσας ἀλλήλαις ἐπὶ κυρώσει τῶν λεγομένων. ἀνέγραψε δὲ τὰς εὐλογίας καὶ τὰς κατάρας αὐτῶν, ὡς μηδέποτε ἐκλίπειν τὴν μάθησιν αὐτῶν ὑπὸ τοῦ χρόνου· ἃς δὴ καὶ τῷ βωμῷ τελευτῶν ἐνέγραψε κατὰ πλευρὰν ἑκατέραν, ᾗ καὶ στάντα φησὶ τὸν λαὸν θῦσαι τε καὶ ὁλοκαυτῶσαι, καὶ μετ' ἐκείνην τὴν ἡμέραν οὐκ ἐπενεγκεῖν ἱερείων ἕτερον· οὐ γὰρ εἶναι νόμιμον. ταῦτ' οὖν μωυσῆς τε διέταξε, καὶ τὸ ἑβραίων ἔθνος, ἀκόλουθα τούτοις ποιοῦν διατελεῖ.

τῇ δ' ὑ-

τῇ δ' ὑστεραίᾳ, τὸν λαὸν σὺν γυναιξὶν ἅμα καὶ τέκνοις εἰς ἐκκλησίαν συναγαγὼν, ὡς παρεῖναι καὶ τὰ ἀνδράποδα, ὅρκου τῶν νόμων αὐτοὺς φυλακὴν ποιήσασθαι. καὶ τῆς τοῦ θεοῦ διανοίας ἀκριβεῖς λογιστὰς γινομένους, μηδὲν εἰς αὐτοὺς μήτε συγγενείᾳ χαριζομένους, μήτε εἴκοντας φόβῳ, μήτε ἄλλην καθάπαξ αἰτίαν κυριωτέραν τῆς τῶν νόμων φυλακῆς ὑπολαμβάνοντας παραβῆναι τούτους. ἀλλ' ἄν τις τῶν ἐξ αἵματος συγχεῖν καὶ καταλύειν ἐπιχειρῇ τὴν κατ' αὐτοὺς πολιτείαν, ἄν τε πόλις, ἀμύνειν αὐτοῖς καὶ κοινῇ καὶ κατ' ἰδίαν, καὶ κρατήσαντας μὲν ἐξ αὐτῶν ἀνασπᾷν θεμελίων, καὶ μηδὲ τὸ ἔδαφος τῶν ἀπονοηθέντων εἰ δυνατὸν καταλιπεῖν. εἰ δ' ἀσθενοῖεν λαβεῖν τὴν τιμωρίαν, αὐτὸ τὸ μὴ κατὰ βούλησιν ἰδίαν ταῦτα γίνεσθαι δεικνύναι. καὶ τὸ μὲν πλῆθος ὤμνυεν. ἐδίδασκε δὲ αὐτοὺς, ὡς ἂν αἱ θυσίαι τῷ θεῷ μᾶλλον κεχαρισμέναι γένοιντο. καὶ ὅπως ἂν οἱ στρατεύοντες ἐξίοιεν, τεκμηρίῳ χρώμενοι τοῖς λίθοις ὡς καὶ πρότερον δεδήλωκα. προεφήτευσε δὲ καὶ Ἰησοῦς Μωυσέως παρόντος ἔτι, πάνθ' ὅσα ποιήσειεν ὑπὲρ τῆς τοῦ λαοῦ σωτηρίας, ἔν τε πολέμοις καὶ κατ' εἰρήνην νόμους συντιθείς. καὶ τὸν τῆς πολιτείας κόσμον συμπείζων ἀναλογιζόμενος προεῖπεν ὡς δηλώσειεν αὐτῷ τὸ θεῖον, ὅτι παραβάντες τὴν αὐτοῦ θρησκείαν πειραθήσονται κακῶν, ὡς ὅπλων τε αὐτοῖς πολεμίων πληρωθῆναι τὴν γῆν καὶ κατασκαφῆναι πόλεις. καὶ τὸν νεὼ καταπρησθῆναι, καὶ πραθέντας δουλεύειν ἀνδράσιν οὐδένα ληψομένοις οἶκτον ἐπὶ ταῖς συμφοραῖς αὐτῶν. μετανοήσειν δ' αὐτοὺς ἐπὶ μηδενὶ χρησίμῳ ταῦτα πάσχοντας. ὁ μέντοι θεὸς ὁ κτίσας ὑμᾶς, πόλεις τε πολίταις ὑμετέροις ἀποδώσει, καὶ τὸν ναόν. ἔσεσθαι δὲ τὴν τούτων ἀποβολὴν, οὐχ ἅπαξ, ἀλλὰ πολλάκις. παρορμήσας δὲ τὸν Ἰησοῦν ἐπὶ τοὺς Χαναναίους στρατιὰν ἐξαγαγεῖν ὡς τοῦ θεοῦ συνεργοῦντος οἷς ἂν ἐπιχειρήσειε, καὶ πᾶσαν ἐπευφημήσας τὴν πληθὺν, ἐπεί, φησι, πρὸς τοὺς ἡμετέρους ἄπειμι προγόνους, καὶ θεὸς τήνδε μοι τὴν ἡμέραν τῆς πρὸς ἐκείνους ἀφίξεως ὥρισε, χάριν μὲν αὐτῷ ζῶν ἔτι καὶ παρὼν ὑμῖν ἔχειν ὁμολογῶ προνοίας τε τῆς ὑπὲρ ὑμῶν, ἣν οὐχ ὑπὲρ ἀπαλλαγῆς μόνον τῶν ἡμετέρων ἐποιήσατο κακῶν, ἀλλὰ καὶ δωρεᾶς τῶν κρειττόνων· ἔτι τε πονοῦντί μοι καὶ κατὰ πᾶσαν ἐπίνοιαν τῆς ἐπὶ τὸ βέλτιον ὑμῶν μεταβολῆς φροντίδα λαμβάνοντι συνηγωνίσατο, καὶ παρέσχεν ἐν ἅπασιν αὐτὸν εὐμενῆ ἡμῖν. μᾶλλον δ' αὐτὸς ἦν ὁ καὶ τὴν ἀφήγησιν αὐτῶν διδοὺς καὶ τὰ τέλη χαριζόμενος ὑποστρατηγῷ χρώμενός μοι καὶ ὑπηρέτῃ, ὧν τὸν ὑμέτερον λαὸν εὐεργετεῖν ἠθέλησε. ἀνθ' ὧν προευλογῆσαι τὴν τοῦ θεοῦ δύναμιν, ᾧ μελήσει καὶ πρὸς τὸ μέλλον ὑμῶν, ἀπαλλασσόμενος καλῶς ἔχειν ἡγησάμην, αὐτός τε ταύτην ὀφειλομένην ἀμοιβὴν ἀποδιδοὺς, καὶ καταλειπὼν εἰς μνήμην ὑμῖν, τὸ σέβειν τε καὶ τιμᾶν προσήκειν τοῦτον ἡμῖν, καὶ τοὺς νόμους τιμᾶν, ὧν τὸ παρέσχηκε, καὶ μένων εὐμενὴς ἔτι παρέξει, δώρημα κάλλιστον φυλάττειν. ὡς δεινὸς μὲν ἐχθρὸς καὶ ἄνθρωπος νομοθέτης ὑβριζομένων αὐτοῦ τῶν νόμων καὶ μάτην κειμένων. θεοῦ δὲ μὴ πειραθείητε χαλεπαίνοντος ὑπὲρ ἀμελουμένων νόμων οὓς αὐτὸς γεννήσας ὑμῖν ἔδωκε.

Deut. 29. Poſtridie populo cum vxoribus & liberis in concionem collecto, ne mancipiis quidem excluſis, iureiurando eos ad legum cuſtodiam adſtrinxit: vtque Dei voluntatem diligenter expendentes, neque cognationis gratiam, neque periculorum metum, neque vllam aliam cauſam tanti facerent, vt eam potiorem legibus ducentes, ab earum præſcriptis diſcederent: ſed ſiue conſanguineorum vnus aliquis, ſiue vrbs quæpiam, circa eas turbare aliquid, aut ſtatum earum labefactare conetur, priuatim & publicè illis periclitantibus auxilium ferrent. quam ſi viciſſent, à fundamentis vt deſertricem reuellerent, & ne ſolum quidem ipſius ſi fieri poſſit ſupereſſe paterentur. ſin verò id efficere non valerent, nec pœnas meritas exigere, ſaltem teſtarentur ſe impietati alienæ non conſentire. hæc populus in foro iureiurando firmauit. Poſt hæc docebat eos quomodo ſacrificia Deo gratiora fierent: & quomodo expeditiones ſuſcipiendæ, captato ſigno ex lapillis de quibus iam diximus. Sed & Ieſus ſuperſtite etiam tum & præſente Moyſe vaticinatus eſt quicquid pro ſalute populi geſturus erat, vel foris bello adminiſtrando, vel domi ferendis legibus: & ad viuendi rationem recens inſtitutam eos præparans, diuino monitu ſe præſagire aiebat, quòd ſi patriam religionem violarent, clades non effugerent. nam & regionem ipſorum armis exterorum opplendam, & vrbes diruendas, & templum incendendum, & ipſos ſub haſta victoris venundandos, ſeruituróſque gentibus quæ afflictorum nulla miſeratione tangerentur: ac tum demum ſeram atque inutilem erratorum pœnitentiam acturos. Deum tamen ipſorum conditorem, & vrbes ſuis ciuibus & templum populo redditurum. Hæc autem fore, vt non ſemel tantùm amittant, ſed ſæpius. *Deut. 31.* Deinde Moyſes exhortatus Ieſum vt in Chananæos exercitum duceret, affuturúmque cœptis eius Deum pollicitus, & populo omnia fauſta ominatus: *Deut. 33. 34.* Quoniam, inquit, ad patres noſtros abeo, & Deus hanc mihi diem abitus præfiniuit, gratias illi viuens adhuc & vobis præſentibus ago pro cura ac prouidentia quam de rebus veſtris hactenus habuit, non ſolum depellendis aduerſis, ſed commodis etiam largiter exhibendis: & quia laborem meum ac ſolicitudinem dum veſtrum ſtatum in meliorem fortunam reducere conor, propicius ſemper adiuuit: imò verò ipſe & exorſus eſt rem & abſoluit, me miniſtro vſus & vicario in obeundis quæ ad veſtram felicitatem pertinere viſa ſunt. Quapropter æquum eſt, vt priuſquam decedam, eius potentiæ, qui & in poſterum vobis non deerit, dignas laudes rependam, méque hoc debito exoluam, veſtræque memoriæ commendem, quòd hunc ſolum colere & venerari conuenit: & leges eius habere in precio, vt quæ omnibus reliquis donis iam acceptis, aut in poſterum à propicio conferendis, longè ſint anteponendæ. Grauis enim aduerſarius eſt vel homo legiſlator, ſi conſtitutionibus ſuis autoritatem adimi ſentiat. Dei verò indignationem abſit vt experiamini, quæ legibus ipſius contemptis excitari poſſet:

Hęc poſtrema verba Moyſe loquente,& ſingulis tribubus ſua fata aperiente, vniuerſa multitudo in lacrymas erupit, vt & mulieres plangentes dolorem ob futuram ipſius mortem cōceptum declararent, quin & pueri præ mœroris impotentia plorantes præ ſe ferebant, quòd tanta eſſet viri virtus ac magnificentia,vt ne illam quidem ætatem latere poſſet.Itaque certamen quoddam erat inter minores & grandiores, vtros maior haberet mœſtitia. alteri enim intelligentes quali orbarentur antiſtite, futuram ſuam conditionem lamentabantur. alteri hoc ipſum lugebant,quòd priuſquam eius virtutem ſatis deguſtaſſent,iam carendum eo,ſéq; deſtituendos videbant. Quantus autem fuerit populi ploratus & querimoniæ, coniecturam capere licet ex eo quòd tum prophetæ accidit. Quamuis enim perſuaſiſſimum ſemper habuit, non eſſe inſtante morte dolendum, vt quę præter Dei voluntatem ac naturæ leges nō veniat, viſo tamen affectu populi, à lacrymis temperare non valuit: dùm verò eò proficiſcitur,vbi diſpariturus erat, omnes cum fletu ſequebantur. Tum Moyſes his qui longiùs aberant manu mota ſignificauit vt conſiſterent:propiores autem rogabat, ne exceſſum ſuum lacrymabilem facere pergerent, cum fletu proſequendo. Illi verò & hanc extremam gratiam ei referendam exiſtimantes,vt quemadmodum cupiebat ſeorſum ſecederet, continuerunt ſe inter ſe lacrymantes. Solus autem ſenatus eum deduxit, & pontifex Eleazarus, & imperator Ieſus. Vt verò in monte Abari vocato conſtitit, qui celſus è regione Hierichuntis attollitur, & conſcendentibus latè Chananææ terrę proſpectum exhibet,ſenatum dimiſit.Cúmque poſt mutuos complexus Eleazaro ac Ieſu vltimum vale diceret,inter loquendum repentina nube circundatus in vallem quandam eſt ablatus. In ſacris autem voluminibus ſcripſit ſe mortuum,veritus ne propter excellētem eius virtutem à Deo raptum prædicarent.Vitæ eius tempus vniuerſum centum viginti annorum fuit, cuius tertiam partem in imperio exegit,vno menſe minus. Mortuúſq; eſt vltimo anni menſe,die prima menſis qui à Macedonibus Dyſtrus dicitur, à noſtris verò Adar:vir omnium quotquot vnquam fuêre prudentiſſimus,& qui conſilia bona optime noſſet exequi: adhæc eloquentia & in tractando populo gratia & dexteritate incomparabilis: affectus quoque ita ſemper in poteſtate habuit, vt omnino illis carere videretur, & nomina tantùm eorum ex his quæ in aliis hominibus conſpiceret, cognita habere. Imperator idem cum primis bonus, vates verò qualis nemo alius, vt omnia eius verba vim oraculorum obtinerent. Quapropter triginta diebus cum luxit populus, cui nunquam quicquam triſtius accidit, quàm tunc prophetæ mors. nec in præſens tantummodo ſui deſiderium reliquit, ſed maximam apud omnes exiſtimationem quotquot ſcripta eius euoluere contigit, dum eius virtutem ex illis æſtimant. Atque hæc ſunt quæ de Moyſis exitu dicenda habuimus.

A μωυσέως δὲ ταῦτα πρὸς τελευτῇ τοῦ βίου φήσαντος, καὶ μετ' εὐλογίας ἑκάστῃ τῶν φυλῶν προφητεύσαντος τὰ καὶ γενόμενα, τὸ πλῆθος εἰς δάκρυα προὔπεσεν, ὡς καὶ τὰς γυναῖκας στερνοτυπουμένας ἐμφανίζειν τὸ ἐπ' αὐτῷ τεθνηξομένῳ πάθος. καὶ οἱ παῖδες δὲ θρηνοῦντες ἔτι μᾶλλον ὡς ἀσθενέστεροι κρατεῖν λύπης ἐδήλουν ἔτι τῆς ἀρετῆς αὐτοῦ καὶ μεγαλουργίας παρ' αὐτὴν τὴν ἡλικίαν συνιέσαν. ἦν δὲ κατ' ἐπίνοιαν τοῖς τε νέοις καὶ πρεσβεβηκόσιν ἅμιλλα τῆς λύπης. B οἱ μὲν γὰρ εἰδότες οἵου στέροιντο κηδεμόνος περὶ τοῦ μέλλοντος ἀπεθρήνουν. τοῖς δὲ καὶ περὶ τούτου τὸ πένθος ἦν, καὶ ὅτι μήπω καλῶς τῆς ἀρετῆς αὐτοῦ γευσαμένοις ἀπολείπεσθαι συνέβαινεν αὐτοῦ. τὴν δ' ὑπερβολὴν τῆς τοῦ πλήθους οἰμωγῆς καὶ τῶν ὀδυρμῶν τεκμαίροιτο ἄν τις ἐκ τοῦ συμβάντος τῷ νομοθέτῃ. καὶ γὰρ πεπεισμένος ἅπαντι τῷ χρόνῳ μηδὲν ἐπὶ μελλούσῃ τελευτῇ κατηφεῖν, ὡς κατὰ βούλησιν αὐτὸ πάσχοντας θεοῦ καὶ φύσεως νόμῳ, C ἐπὶ τοῖς ὑπὸ τοῦ λαοῦ πραττομένοις ἐνικήθη δακρῦσαι. προϊόντι δ' ἔνθεν οὗ ἔμελλεν ἀφανισθήσεσθαι, πάντες εἵποντο δεδακρυμένοι. καὶ μωυσῆς, τοὺς μὲν πόρρω τῇ χειρὶ κατασείων μένειν ἠρεμοῦντας ἐκέλευε. τοὺς δ' ἔγγιον λόγοις παρεκάλει μὴ ποιεῖν αὐτῷ δακρυτὴν ἀπαλλαγὴν ἑπομένους. οἱ δὲ καὶ τοῦτ' αὐτῷ χαρίζεσθαι κρίναντες, τὸ κατὰ βούλησιν ἀπελθεῖν αὐτὸν τὴν ἰδίαν ἐφεῖναι, κατέχουσιν αὑτοὺς D ἐν ἀλλήλοις δακρύοντες. μόνη δ' ἡ γερουσία προὔπεμψεν αὐτὸν, καὶ ὁ ἀρχιερεὺς ἐλεάζαρος, καὶ ὁ στρατηγὸς ἰησοῦς. ὡς δ' ἐπὶ τῷ ὄρει τῷ ἀβαρεῖ καλουμένῳ ἐγένετο, τοῦτο δ' ὑψηλὸν ἱεριχοῦντος ἀντικρὺς κεῖται, γῆν ἀρίστην τῆς χαναναίων καὶ πλείστην παρέχον τοῖς ἐπ' αὐτοῦ κατοπτεύειν, ἀπέπεμπε τὴν γερουσίαν. ἀσπαζομένου δὲ καὶ τὸν ἐλεάζαρον αὐτοῦ καὶ τὸν ἰησοῦν, καὶ προσομιλοῦντος αὐτοῖς ἔτι, νέφους αἰφνίδιον ὑπὲρ αὐτὸν στάντος, ἀφανίζεται κατά τινος φάραγγος. γέγραφε δ' αὐτὸν E ἐν ταῖς ἱεραῖς βίβλοις τεθνεῶτα, δείσας μὴ δι' ὑπερβολὴν τῆς περὶ αὐτὸν ἀρετῆς πρὸς τὸ θεῖον αὐτὸν ἀναχωρῆσαι τολμήσωσιν εἰπεῖν. ἐβίωσε δὲ τὸν πάντα χρόνον, ἐτῶν εἴκοσι καὶ ἑκατόν, ὧν ἦρξε τὸ τρίτον μέρος ἑνὶ λείποντι μηνί. ἐτελεύτησε δὲ τῷ ὑστάτῳ μηνὶ τοῦ ἔτους, ὑπὸ μὲν μακεδόνων, δύστρου καλουμένου, ἀδάρου δὲ ὑφ' ἡμῶν, νουμηνίᾳ, συνέσει τε τοὺς πώποτ' ἀνθρώπους ὑπερβαλὼν, καὶ χρησάμενος ἄριστα τοῖς νοηθεῖσιν. εἰπεῖν τε καὶ πλήθεσιν ὁμιλῆσαι κεχαρισμένος τά τε ἄλλα καὶ F τῶν παθῶν αὐτοκράτωρ, ὡς μηδὲ ἐκεῖναι τι τούτων τῇ ψυχῇ δοκεῖν αὐτοῦ, καὶ γινώσκειν μόνον αὐτῶν τὴν προσηγορίαν ἐκ τοῦ παρ' ἄλλοις αὐτὰ βλέπειν μᾶλλον ἢ παρ' αὐτῷ. καὶ στρατηγὸς μὲν ἐν ὀλίγοις, προφήτης δὲ, οἷος οὐκ ἄλλος, ὥσθ' ὅτι ἂν φθέγξαιτο, δοκεῖν αὐτοῦ λέγοντος ἀκροᾶσθαι τοῦ θεοῦ. πενθεῖ μὲν οὖν αὐτὸν ὁ λαὸς ἐφ' ἡμέρας τριάκοντα. λύπη δὲ οὐκ ἄλλη κατέσχεν ἑβραίους τὸ μέγεθος, ὅση τότε μωυσέως ἀποθανόντος. ἐπόθουν δ' αὐτὸν, οὐχ οἱ πειραθέντες αὐτοῦ μόνον, ἀλλὰ καὶ οἱ τοῖς νόμοις ἐντυγχάνοντες αὐτοῦ, δεινὴν ἐποιοῦντο τὴν ἐπιζήτησιν, τὸ περιὸν αὐτοῦ τῆς ἀρετῆς ἐκ τούτων λογιζόμενοι. καὶ τὸ μὲν κατὰ μωυσῆν τέλος, τοιοῦτον ἡμῖν δεδηλώσθω.

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩ ΠΕΜΠΤΩ ΛΟΓΩ ΤΩΝ ΙΩσήπου ἱστοριῶν τῆς ἰουδαϊκῆς ἀρχαιολογίας.

Ὡς ἰησοῦς ὁ στρατηγὸς τῶν ἑβραίων πολεμήσας πρὸς χαναναίοις, καὶ κρατήσας αὐτῶν, τοὺς μὲν διέφθειρε, τὴν δὲ γῆν κατακληρουχήσας, διένειμε ταῖς φυλαῖς. Κεφ. α.

Ὡς ἀποθανόντος τοῦ στρατηγοῦ, παραβαίνοντες οἱ ἰσραηλῖται τοὺς πατρίους νόμους, μεγάλων ἐπειράθησαν συμφορῶν. καὶ στασιασάντων ἡ βενιαμὶς διεφθάρη φυλὴ, χωρὶς ἀνδρῶν ἑξακοσίων. Κεφ. β.

Πῶς μετὰ ταύτην τὴν κακοπραγίαν ἀσεβήσαντας αὐτοὺς, ὁ θεὸς ἀσσυρίοις ἐδούλωσεν. Κεφ. γ.

Η διὰ κενίζου αὐτοῖς ἐλευθερία γενομένη. Κεφ. δ.

Οτι πάλιν ὁ λαὸς ἡμῶν ἐδούλευσε μωαβίταις· καὶ ὑπό τινος ἰούδου τῆς δουλείας ἀπαλλάγη. Κεφ. ε.

Ὡς χαναναίων αὐτοὺς καταδουλωσαμένων ἠλευθερώθησαν ὑπὸ βαράκου καὶ δεβώρας. Κεφ. ς.

Οτι πολεμήσαντες ἀμαληκῖται τοῖς ἰσραηλίταις ἐνικήσαντο, καὶ τὴν χώραν ἐκάκωσαν ἔτη ἑπτά. Κεφ. ζ.

Ὡς γεδεὼν αὐτοὺς ἠλευθέρωσεν ἀπὸ ἀμαληκιτῶν. Κεφ. η.

Οτι μετ᾽ αὐτὸν πολλοὶ γενόμενοι διάδοχοι τοῖς πέριξ ἔθνεσιν ἐπολέμησαν ἱκανῷ χρόνῳ. Κεφ. θ.

Περὶ τῆς σαμψῶνος ἀνδρίας καὶ ὅσων κακῶν αἴτιος παλαιστίνοις ἐγένετο. Κεφ. ι.

Ὡς οἱ υἱοὶ ἠλὶ τοῦ ἱερέως ἐσφάγησαν, ἐν τῇ πρὸς παλαιστίνους μάχῃ. Κεφ. ια.

Ὡς ὁ πατὴρ αὐτῶν ἀκούσας τὴν συμφορὰν, βαλὼν ἑαυτὸν ἀπὸ τοῦ θρόνου ἀπέθανεν. Κεφ. ιβ.

HÆC IN QVINTO IOSEPHI HISTORIARVM DE Antiquitate Iudaica libro continentur.

Quomodo Iesus Hebræorum imperator debellatis ac cæsis Chananæis terram eorum sorte diuisit tribubus. Cap. I.

Quomodo post mortem imperatoris Israelitæ neglectis patriis religionibus in extremas calamitates inciderunt, & exorto ciuili bello ex vniuersis Beniamitis DC. tantum fuere superstites. Cap. II.

Quomodo propter impietatem in Assyriorum seruitutem à Deo populus Israelitarum est traditus. Cap. III.

Libertas per Cenizum reddita. Cap. IV.

Quomodo populus rursus à Moabitis est subiugatus, & per Iodem è seruitute exemptus. Cap. V.

Quomodo sub Chananæorum imperium redacti, & per Baracum in libertatem sint repositi. Cap. VI.

Quomodo Amalecitæ deuictis Israelitis regionem eorum per septem annos vastauerunt. Cap. VII.

Quomodo Gedeon populum liberauit. Cap. VIII.

Quomodo aliquot successores Gedeonis cum gentibus circumquaque finitimis bella gesserunt. Cap. IX.

De Sampsonis fortitudine, & quanta mala Palæstinis fecerit. Cap. X.

Quomodo filij sacerdotis Elis à Palæstinis in prælio sunt cæsi. Cap. XI.

Quomodo Elis audita filiorum cæde, & arcæ amissione prouolutus de throno exspirauit. Cap. XII.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΙ-ΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ

ΛΟΓΟΣ ΠΕΜΠΤΟΣ.

FLAVII IOSEPHI ANTIQVITATVM IVDAICARVM

LIBER QVINTVS.

Cap. I.

Quomodo Iesus Hebræorum imperator debellatis ac cæsis Chananæis terram eorum sorte diuisit tribubus.

POst Moysem, quemadmodum dixi, ex hominibus sublatum, officiúmque memoriæ viri exhibitum, sedato luctu, Iesus iubet copias ad expeditionem instrui: mittítque exploratores in Hierichuntem, quo mentem eorum & vires cognosceret: castra deinde mouet maturè Iordanem traiecturus. mox conuocatis Rubelidis & Gadidis tribuum principibus, atque etiam Manassetidis: nam & huic tribui dimidiatæ Amoræã habitare permissum erat, quæ fuit Chananææ pars septima: reuocauit eis in mentem quid Moysi fuissent polliciti: rogauítque vt in eius gratiam qui ne vltimo quidem vitæ tempore prospicere eis defatigatus est, & propter communem vtilitatem, alacriter præstarent quæ promiserát. illis verò imperata haud grauatim facientibus armatis quinquaginta millibus, ab Abila ad Iordanem sexaginta stadia castra promouit: quæ postquam metatus est, commodùm speculatores aderát, omnibus apud Chananæos exploratis. ignoti enim à principio, totam illorum vrbem per ocium considerauerút, & mœnia qua parte magis aut minùs erant munita, & portarum quænam assultum minùs ferre possint, & capi essent faciliores. nec quisquam obuiorum spectantibus singula fuit molestus dum curiositaté hospitũ consuetam interpretátur, nec hostile adhuc quicquam suspicatur. vt verò sub vesperam secesserunt in quoddam diuersorium non longè à mœnibus, in quod primùm fuerant deducti, iámque cœna peracta de reditu cõsultabát, indicatũ est regi cœnanti, venisse speculatũ quosdã è castris Hebræorum,

A

Κεφάλαιον α'.

Ὡς Ἰησοῦς ὁ στρατηγὸς τῶν Ἑβραίων πολεμήσας πρὸς Χαναναίους, καὶ κρατήσας αὐτῶν, τοὺς μὲν διέφθειρε, τὴν δὲ γῆν κατακληρουχήσας διένειμε ταῖς φυλαῖς.

ΜΩΥΣΕΩΣ δὲ τὸν προειρημένον τρόπον ἐξ ἀνθρώπων ἀπογεγονότος, Ἰησοῦς ἁπάντων ἤδη τῶν ἐπ' αὐτῷ νενομισμένων τέλος ἐχόντων, καὶ τοῦ B πένθους λελωφηκότος, παρήγγελλεν ἐπὶ στρατιὰν ἕτοιμον εἶναι τὸ πλῆθος. πέμπει δὲ κατασκόπους εἰς Ἱεριχοῦντα, τήν τε δύναμιν αὐτῶν, καὶ τίνα διάνοιαν ἔχουσιν αὐτοὶ γνωσόμενος. αὐτὸς δὲ ἐξήγαγε τὸν στρατὸν, ὡς κατὰ καιρὸν διαβησόμενος τὸν Ἰορδάνην. ἀνακαλεσάμενος δὲ τοὺς τῆς Ῥουβηλίδος φυλῆς ἄρχοντας, καὶ τοὺς τῆς Γάδιδος καὶ Μανασσήτιδος προεστῶτας, (ἐξ ἡμισείας γὰρ καὶ τῇδε τῇ φυλῇ τὴν Ἀμοῤῥαίαν κατοικεῖν ἐπετέτραπτο τῆς Χαναναίων γῆς ἕβ-C δομον οὖσαν μέρος,) ὑπεμίμνησκεν ἃ ὑπέσχοντο Μωυσῇ. καὶ παρεκάλει χαριζομένους τῇ τε ἐκείνου προνοίᾳ μηδ' ὅτε ἀπέθνησκε περὶ αὐτοὺς καμούσῃ, τῷ τε κοινῇ συμφέροντι, παρέχειν αὑτοὺς εἰς τὰ παραγγελλόμενα προθύμους. τῶν δ' ἑπομένων ὁπλίσας πεντακισμυρίους, ἀπὸ τῆς Ἀβίλης ἐπὶ τὸν Ἰορδάνην ἐξῄει σταδίους ἑξήκοντα. καὶ στρατοπεδεύσαντος εὐθὺς οἱ κατάσκοποι παρῆσαν, μηδὲν ἀγνοήσαντες τῶν παρὰ τοῖς Χαναναίοις. D λαθόντες γὰρ τὸ πρῶτον, ἅπασαν ἐπ' ἀδείας τὴν πόλιν αὐτῶν κατενόησαν, τῶν τε τειχῶν, ὅσα καρτερὰ, καὶ ὅσα μὴ τοῦτον ἔχει τὸν τρόπον αὐτοῖς ἀσφαλῶς, καὶ τῶν πυλίδων αἳ πρὸς εἴσοδον τῷ στρατοπέδῳ δι' ἀσθένειαν συνέφερον. ἠμέλουν δὲ θεωμένων οἱ ἐντυγχάνοντες, καθ' ἱστορίαν ξένοις προσήκουσαν, ἀκριβῶς ἕκαστα πολυπραγμονεῖν τῶν ἐν τῇ πόλει νομίζοντες, ἀλλ' οὐκ ἐκ διανοίας πολεμίων. ὡς δὲ γενομένης ὀψίας, ὑπεχώρουσιν εἴς τι καταγώγιον τοῦ τείχους πλησίον, εἰς ὃ καὶ προήχθησαν, δειπνοποιησάμενοι, καὶ περὶ ἀπαλλαγῆς αὐτοῖς τὸ λοιπὸν ἡ φροντὶς ἦν, μηνύονται τῷ βασιλεῖ περὶ δεῖπνον ὄντι, κατασκεψάμενοί τινες τὴν πόλιν ἀπὸ τοῦ τῶν Ἑβραίων στρατο-

στρατοπέδου παρεῖναι, καὶ ὄντες ἐν τῷ τῆς ῥαχάβης καταγωγίῳ, μετὰ πολλῆς τῆς τοῦ λανθάνειν προνοίας ὑπάρχειν. ὁ δὲ εὐθὺς πέμψας πρὸς αὐτοὺς, ἐκέλευσεν ἀγαγεῖν συλλαβόντας, ἵνα βασανίσας μάθοι τί καὶ βουλόμενοι παρεῖεν. ὡς δὲ ἔγνω τὴν ἔφοδον αὐτῶν ἡ ῥαχάβη, λίνου γὰρ ἀγκαλίδας ἐπὶ τοῦ τείχους ἔψυχε, τοὺς μὲν κατασκόπους εἰς ταύτας ἀποκρύπτει. τοῖς δὲ πεμφθεῖσιν ὑπὸ τοῦ βασιλέως ἔλεγεν ὡς ξένοι τινὲς ἀγνῶτες ὀλίγῳ πρότερον ἢ δῦναι τὸν ἥλιον παρ' αὐτῇ δειπνήσαντες ἀπαλλαγεῖεν. οὓς εἰ φοβεροὶ τῇ πόλει δοκοῦσιν ἢ κίνδυνον τῷ βασιλεῖ φέροντες ἧκον, ἄπονον εἶναι λαβεῖν διωχθέντας. οἱ δὲ, τῆς γυναικὸς οὕτως αὐτοὺς ὑπελθούσης, οὐδένα ὑπονοήσαντες δόλον, ἀπῆλθον, οὐδὲ ἐρευνήσαντες τὸ καταγώγιον. ἐπεὶ δὲ ὁρμήσαντες καθ' ἃς ἐνόμιζον αὐτοὺς μάλιστα τῶν ὁδῶν ἀπέρχεσθαι, καὶ κατὰ τὰς εἰς τὸν ποταμὸν φερούσας, οὐδενὶ γνωρίσματι περιετύγχανον, παύονται τοῦ πονεῖν. τοῦ δὲ θορύβου καταστάντος ἡ ῥαχάβη καταγαγοῦσα τοὺς ἄνδρας, καὶ τὸν κίνδυνον ὃν ὑπὲρ τῆς αὐτῶν ὑπέλθοι σωτηρίας, ἁλοῦσαν γὰρ ἀποκρύπτουσαν αὐτοὺς, οὐκ ἂν διαφυγεῖν τὴν ἐκ τοῦ βασιλέως τιμωρίαν, ἀλλὰ πανοικὶ αὐτὴν ἀπολέσθαι κακῶς, παρακαλέσασα διὰ μνήμης ἔχειν ὅταν ἐγκρατεῖς τῆς χαναναίων γῆς καταστάντες, ἀμοιβὴν ἐκτῖσαι δύνωνται τῆς ἄρτι σωτηρίας, χωρεῖν ἐκέλευσεν ἐπὶ τὰ οἰκεῖα, ὀμόσαντας ἢ μὴν σώσειν αὐτὴν καὶ τὰ αὐτῆς ὅταν τὴν πόλιν ἑλόντες, φθείρωσι πάντας τοὺς ἐν αὐτῇ κατὰ τὸ ψήφισμα τὸ παρ' αὐτοῖς γινόμενον. ταῦτα γὰρ εἰδέναι σημείοις τοῖς ἐκ τοῦ θεοῦ διδαχθεῖσαν. οἱ δὲ, καὶ τῶν παρόντων αὐτῇ χάριν ἔχειν ὡμολόγουν. καὶ περὶ τῶν αὖθις ὤμνυον ἔργῳ τὴν ἀμοιβὴν ἀποδώσειν. ἡνίκα δὲ ἂν αἴσθηται μελλούσης ἁλίσκεσθαι τῆς πόλεως, συνεβούλευον κτῆσίν τε τὴν αὐτῆς καὶ τοὺς οἰκείους ἅπαντας εἰς τὸ καταγώγιον ἀποθεμένην ἐγκαθεῖρξαι, πρὸ τῶν θυρῶν ἀνατείνασαν φοινικίδας. ὅπως ἰδὼν τὴν οἰκίαν ὁ στρατηγὸς φυλάττηται κακῶς ποιεῖν. μηνύσειν γὰρ αὐτῷ ἔφασαν διὰ τὸ σὸν σώζεσθαι πρόθυμον. εἰ δέ τις ἐν τῇ μάχῃ πέσοι τῶν σῶν, οὔτε οὐκ ἂν ἡμῖν ἐπενέγκαις αἰτίαν. τόν τε θεὸν ὃν ὀμωμόκαμεν παραιτούμεθα, μηδενὶ ὡς ἐπὶ παραβαίνουσι τοὺς ὅρκους δυσχεράναι. καὶ οἱ μὲν ταῦτα συνθέμενοι, ἐχώρουν διὰ τοῦ τείχους καθιμήσαντες ἑαυτούς. καὶ διασωθέντες πρὸς τοὺς οἰκείους ἐδήλωσαν ὅσα πράξαντες ἐπὶ τῆς πόλεως, ἧκον. ἰησοῦς τε τῷ ἀρχιερεῖ ἐλεαζάρῳ καὶ τῇ γερουσίᾳ φράζει τὰ τοῖς σκοποῖς ὀμοσθέντα πρὸς τὴν ῥαχάβην. οἱ δὲ ἐπεκύρουν τὸν ὅρκον. δεδιότος δὲ τοῦ στρατηγοῦ τὴν διάβασιν, μέγας γὰρ ἦν ὁ ποταμὸς τῷ ῥεύματι, οὔτε γεφύραις πορευτὸς, οὐ γὰρ ἐζεύχθη πώποτε πρότερον, βουλομένοις τε γεφυροῦν, οὐχ ἕξειν σχολὴν παρὰ τῶν πολεμίων ὑπελάμβανε, πορθμείων τε μὴ τυγχανόντων, διαβατὸν αὐτοῖς ἐπαγγέλλεται θεὸς ποιήσειν τὸν ποταμὸν μειώσας αὐτοῦ τὸ πλῆθος. καὶ δύο ἐπισχὼν ἡμέρας ἰησοῦς, διεβίβαζε τόν τε στρατὸν καὶ τὴν πληθὺν ἅπασαν τοιούτῳ τρόπῳ. προῄεσαν μὲν οἱ ἱερεῖς τὴν κιβωτὸν ἔχοντες. ἔπειτα οἱ λευῖται, τήν τε σκηνὴν καὶ τὰ πρὸς ὑπηρεσίαν ταῖς θυσίαις σκεύη κομίζοντες. εἵποντο δὲ τοῖς λευίταις κατὰ φυλὰς ὁ πᾶς ὅμιλος, μέσους ἔχων παῖδας καὶ γυναῖκας, καὶ δεδιὼς περὶ αὐτῶν μὴ βιασθεῖεν ὑπὸ τοῦ ῥεύματος. ὡς δὲ τοῖς ἱερεῦσι πρώτοις ἐμβᾶσιν, πορευτὸς ἔδοξεν ὁ ποταμὸς, τοῦ μὲν βάθους ἐπεσχημένου,

A & nunc diuertêtes apud Rachaben hoc tantùm curare quomodo latenter se subducant. Ille verò confestim mittit qui eos comprehendant quæstioni admouendos vt causam aduentus sui aperiant. quos vbi aduentare Rachabe cognouit, fortè enim lini manipulos siccabat in mœnibus, speculatores his contexit. missis autem à rege dixit, hospites quosdam ignotos paulò ante solis occasum apud se cœnatos B discessisse, qui si suspecti essent regi, quasi detrimentum aliquod reipublicę allaturi, paruo negotio posse ab insequentibus de via retrahi. Tum illi decepti à muliere, quam seriò loqui putabant, ne perscrutati quidem diuersorium abierunt, & excurrentes per vias quibus verisimile erat eos discedere, & quæ ad flumen ducebant, vestigio nullo inuento, frustra laborare destiterunt. Sedato autem tumultu Rachabe deductos de mœnibus, & admonitos quanto C suo periculo saluti eorum consuluisset, vt quæ in dolo deprehensa pœnam capitis cum tota familia regi erat datura, rogatósque vt occupata terra Chananæa memores beneficij gratiam sibi rependerent pro accepta salute, iussit vt bono animo abirent: iureiurando prius delato, quod expugnata vrbe, & aliis iuxta ipsorum decretum internecioni traditis: mulieri salus manebit incolumis. hunc enim euentum sibi D Deum iam antè significasse. illi & in præsens ei gratias agunt, & in futurum abundè relaturos iureiurando confirmant, & hoc consilium dant, vt cùm præsenserit vrbem expugnandam contractis facultatibus & propinquis intra diuersorium, vestem coccineam pro foribus expandat. imperatorem enim edicto inhibiturum, ne quis eam domum lædere audeat, quo datæ sibi salutis gratiam recipiat. quòd si ali- E quis ex eius propinquis in pugna caderet, ipsi culpam fore non suam: neque se ad eius incolumitatem prȩstandam iureiurando teneri velle. His conditionibus discessum est, cum se fune de mœnibus demisissent: reuersíque ad suos rem totam vt erat acta narrauerunt. Tum Iesus pontifici Eleazaro cum senatu indicat quid exploratores Rachabæ iurauerint: eorúmque autoritate iusiurãdum ratum est habitum. Imperatore autem solicito de traiectu: amnis *Iosua 3.* F enim auctus aquis fluebat, & cùm pontem non haberet, ne fabricari quidem hostis passurus videbatur, nec naues vllæ præsto aderant: Deus se illis transitum procuraturum promisit, fluentis eius imminutis. Itaque Iesus postquam duos dies expectasset, copias omnes ad hunc modum in vlteriorem ripam traduxit. Sacerdotes cum arca agmen præcedebant, post eos ibant Leuitæ portantes tabernaculum & vasa sacrificiis destinata. Sequebatur deinde totum agmen in suas tribus distinctum, receptis in medium mulieribus ac pueris, quo tutiores essent ab G impetu fluminis. Vt verò sacerdotibus primis ingressis vadabile est visũ, quòd & aqua decreuisset,

& glarea non amplius vi vndarum volueretur sed stabile solùm exciperet vestigia, omnes iam intrepidè vadum transibant, tale redditum cernentes quale Deus promiserat. steterúntque in aluei medio Sacerdotes, donec transiret multitudo, & in tuto consisteret. quod vbi factum est, & ipsi egressi fluuium, liberum ei solitum cursum reliquerunt: qui confestim auctus, ad pristinam aquarum molem rediit. Exercitus autem quinquaginta stadia progressus, ad decimum à Hierichunte stadium castrametatus est.

Iosua.4.5. Porrò Iesus ara exstructa è lapidibus quos singuli tribuum principes ex alueo propheta iubente sustulerant, vt monumentum esset prodigiosè refrænati fluminis, sacrum in ea Deo fecit: & paschæ solemnitas eo loci celebrata est omnibus rebus iam affluentibus, quarum penuria hactenus laboratum fuerat. nam & segetes Chananæorum maturas tum demetebant, & alias prædas abigebant. eodem enim tempore & manna eis defecerat, post annum ex quo ea primùm vti cœperant quadragesimum.

Iosua.6. Cúmque hæc omnia securè & impunè Israelitæ facerent, nusquam occurrentibus Chananæis, sed intra mœnia præ metu se continentibus, expugnare vrbes eorum Iesus decreuit. Itaque prima die festiuitatis, sacerdotes arcam gestantes, stipati armatorum custodia, accesserunt ad vrbem septem cornubus clangendo, & ad virtutem suos adhortando circumambulabant mœnia senatu comitante, nec aliud quicquam faciendo, quàm quòd inflarent cornua, retro in castra reuertebantur. Cúmque per sex continuos dies idem fecissent, septima Iesus contractis in vnum copiis, reliquo populo conuocato, lætum illis affert nuncium, vrbem ea die sine labore capiendam, Deo hanc in potestatem ipsorum tradente, & ruentibus sua sponte mœnibus facilem aditum aperiente. iussítque omnes occidi quotquot in manus militum deuenirent, & neque lassitudine, neque miseratione, neque prædæ cupidine à cædibus auocari, aut effugium vllum hostibus permittere: sed quicquid spiritum vitalem habet extinguere, nihil in prædam aut proprium emolumentum cessurum reseruãdo. Quicquid autem auri ac argenti repertum fuerit, in vnum comportari voluit, vt primitiæ ob rem feliciter gestam spolia de primum capta vrbe Deo dedicarentur: solam autem Rachaben cum sua cognatione seruari, propter iusiurãdum ab exploratoribus acceptum. Hæc locutus instructũ exercitum ad muros admouet. vrbem deinde rursum circumambulant, præcedentibus cum arca sacerdotibus, & cornuum classico militem ad aggrediendum opus incitantibus. cúmque septies lustrata paulisper constitissent, collapsa sunt mœnia, nec machinis admotis, nec vlla aliavi ab exercitu illata. Hebręi verò nullo negotio per ruinã irrũpẽtes in Hierichũtẽ omnes promiscuè cędũt, inopinato mœnium casu cõsternatos, & subitaneo stupore ad pugnã inutiles. passímq. cadauerib. viæ sternebãtur, nullũ nec præsidiũ nec effugiũ incolis inueniẽtib. ita vt ne fœminis quidem parceretur ac pueris.

A τοῦ δὲ κάχληκος, τῷ μὴ πολλὴν εἶναι μηδὲ ὀξεῖαν τὴν ῥοὴν, ὥσθ᾽ ὑποφέρειν αὐτὴν τῇ βίᾳ, ἐπὶ τοῦ ἐδάφους κειμένου, πάντες ἤδη θαρσαλέως ἐπορεύοντο τὸν ποταμὸν οἷον αὐτοῖς ὁ θεὸς προεῖπε ποιήσειν, τοιοῦτον κατανοοῦντες. ἔστησαν δὲ ἐν μέσῳ οἱ ἱερεῖς ἕως οὗ διαβαίη τὸ πλῆθος καὶ τὰς ἀσφαλείας ἀβλαβῆ μένειν τύχῃ. πάντων δὲ διαβάντων, ἐξῄεσαν οἱ ἱερεῖς, ἐλεύθερον ἀφέντες ἤδη τὸ ῥεῦμα χωρεῖν κατὰ τὴν συνήθειαν. καὶ ὁ

B μὲν ποταμὸς, εὐθὺς ἐκβάντων αὐτὸν τῶν ἑβραίων ηὔξετο, καὶ τὸ ἴδιον ἀπελάμβανε μέγεθος. οἱ δὲ, πεντήκοντα προελθόντες στάδια, βάλλονται στρατόπεδον ἀπὸ δέκα σταδίων τῆς ἱεριχοῦντος. ἰησοῦς δὲ, τόν τε βωμὸν, ὃν ἐκ τῶν λίθων ἕκαστος ἀνείλετο τῶν φυλάρχων ἐκ τοῦ βυθοῦ, τοῦ προφήτου κελεύσαντος ἱδρυσάμενος, τεκμήριον γενησόμενον τῆς ἀνακοπῆς τοῦ ῥεύματος, ἔθυεν ἐπ᾽ αὐτοῦ τῷ θεῷ. καὶ τὴν φάσκα ἑόρταζον ἐν ἐκείνῳ τῷ χωρίῳ, πάντων ὧν αὐτοῖς πρό-

C τερον συνέβαινε σπανίζειν, τότε ῥᾳδίως εὐποροῦντες. τόν τε γὰρ σῖτον ἀκμάζοντα ἤδη τῶν χαναναίων ἐθέριζον, καὶ τὰ λοιπὰ λείαν ἦγον. τότε γὰρ αὐτοῖς καὶ ἡ τῆς μάννης ἐπελελοίπει τροφὴ, χρησαμένοις ἐπὶ ἔτη τεσσαράκοντα. ὡς δὲ ταῦτα ποιούντων τῶν ἰσραηλιτῶν, οὐκ ἐπεξῄεσαν οἱ χαναναῖοι, τειχήρεις δὲ ἡσύχαζον, πολιορκεῖν αὐτοὺς ἰησοῦς ἔγνω. καὶ τῇ πρώτῃ τῆς ἑορτῆς ἡμέρᾳ, τὴν κιβωτὸν οἱ ἱερεῖς φέροντες περὶ αὐτὴν ἐν κύκλῳ, μέρος τι τῶν ὁπλιτῶν φυλάττον ἦν. οἱ

D δὲ προσῄεσαν ἑπτὰ κέρασιν αὐτῶν σαλπίζοντες, καὶ παρεκάλουν τὸν στρατὸν εἰς ἀλκὴν, περιώδευόν τε τὸ τεῖχος ἑπομένης τῆς γερουσίας. καὶ μόνον σαλπισάντων τῶν ἱερέων, τούτου γὰρ οὐδὲν ἐποίησαν περισσότερον, ἀνέζευξαν εἰς τὸ στρατόπεδον. καὶ τοῦτο ἐπὶ ἡμέρας ἓξ ποιησάντων, τῇ ἑβδόμῃ τὸ ὁπλιτικὸν ἰησοῦς συναγαγὼν, καὶ τὸν λαὸν ἅπαντα, τὴν ἅλωσιν αὐτοῖς τῆς πόλεως εὐηγγελίσατο. ὡς κατ᾽ ἐκείνην τὴν ἡμέραν αὐτοῖς

E τοῦ θεοῦ ταύτην παρέξοντος, αὐτομάτως καὶ δίχα τοῦ πόνου τοῦ σφετέρου τῶν τειχῶν κατενεχθησομένων. κτείνειν μέντοι πάνθ᾽ ὅν τινα οὖν λάβοιεν παρεκελεύετο. καὶ μήτε κάμνοντας, ἀποστῆναι τοῦ φόνου τῶν πολεμίων, μήτε ἐλέῳ παραχωρήσαντας, μήτε περὶ ἁρπαγὴν γινομένους περιορᾶν φεύγοντας τοὺς ἐχθρούς. ἀλλὰ τὰ μὲν ζῶα πάντα διαφθείρειν, μηδὲν αὐτοὺς εἰς ἰδίαν ὠφέλειαν λαμβάνοντας. ὅσα δὲ ἂν ἄργυρος ᾖ καὶ χρυσὸς, ταῦτα ἐκέλευε συγκομίζοντας ἀπαρχὴν ἐξαίρετον

F τῶν κατορθωμένων τῷ θεῷ τηρεῖν ἐκ τῆς πρώτης ἁλισκομένης πόλεως εἰληφότας. σώζειν δὲ μόνην ῥαχάβην καὶ τὴν γενεὰν αὐτῆς, διὰ τοὺς γενομένους πρὸς αὐτὴν τοῖς κατασκόποις ὅρκους. ταῦτ᾽ εἰπὼν καὶ διατάξας τὸν στρατὸν, προσῆγεν ἐπὶ τὴν πόλιν. περιῄεσαν δὲ πάλιν τὴν πόλιν ἡγουμένης τῆς κιβωτοῦ καὶ τῶν ἱερέων τοῖς κέρασιν ἐξοτρυνόντων τὴν δύναμιν πρὸς τὸ

G ἔργον. καὶ περιελθόντων ἑπτάκις, καὶ πρὸς ὀλίγον ἠρεμησάντων, κατέπεσε τὸ τεῖχος, μήτε μηχανῆς, μήτε ἄλλης βίας αὐτῷ προσενεχθείσης ὑπὸ τῶν ἑβραίων. οἱ δὲ εἰσελθόντες εἰς ἱεριχοῦντα, πάντας ἔκτεινον ἐν αὐτῇ, πρὸς τὴν παράδοξον τοῦ τείχους ἀνατροπὴν καταπεπληγότων, καὶ τοῦ φρονήματος αὐτοῖς πρὸς ἄμυναν ἀχρείου γεγονότος. ἀνῃροῦντο δὲ οὖν ἐν ταῖς ὁδοῖς ἀποσφαττόμενοι. παρῃτεῖτο δὲ οὐδὲν αὐτοὺς, ἀλλὰ πάντες ἀπώλλυντο ἄχρι καὶ γυναικῶν καὶ παιδίων.

καὶ τι-

καὶ νεκρῶν ἡ πόλις ἦν ἀνάπλεως, καὶ διέφυγεν οὐδέν. τὴν δὲ πόλιν ἐνέπρησαν ἅπασαν καὶ τὴν χώραν. καὶ τὴν Ῥαχάβην σὺν τοῖς οἰκείοις εἰς τὸ καταγώγιον συμφυγοῦσαν ἔσωσαν οἱ κατάσκοποι. καὶ πρὸς αὐτὸν Ἰησοῦς ἀχθείσῃ, χάριν ἔχειν ὡμολόγει τῆς σωτηρίας τῶν κατασκόπων. καὶ μὴν τῆς εὐεργεσίας ταύτης ἔλεγεν ἐν ταῖς ἀμοιβαῖς οὐχ ἥττονα φανήσεσθαι. δωρεῖται δ' αὐτὴν εὐθὺς ἀγροῖς, καὶ διὰ τιμῆς εἶχε τῆς ἁπάσης. τῆς δὲ πόλεως, εἰ καί τι παρέλθοι τὸ πῦρ, κατέσκαπτε. καὶ κατὰ τῶν οἰκησόντων εἴ τις περθηθεῖσαν ἐγείρειν ἐθελήσειεν ἀρὰς ἔθετο, ὅπως, θεμελίους μὲν τειχῶν βαλλόμενος, στερηθῇ τοῦ πρώτου παιδὸς, τελειώσας δὲ τὸν νεώτατον τῶν παίδων ἀποβάλῃ. τῆς δὲ ἀρᾶς τὸ θεῖον οὐκ ἠμέλησεν, ἀλλ' ἐν τοῖς ὕστερον ἐροῦμεν τὸ περὶ αὐτὴν πάθος γενόμενον. ἄπειρον δέ τι πλῆθος ἐκ τῆς ἁλώσεως συναθροίζεται, ἀργύρου τε καὶ χρυσοῦ, καὶ πρὸς ἔτι χαλκοῦ, μηδενὸς παραβάντος τὰ δεδογμένα, μηδ' εἰς ἰδίαν ὠφέλειαν αὐτὰ διαρπασαμένων. καὶ ταῦτα μὲν Ἰησοῦς τοῖς ἱερεῦσιν, εἰς τοὺς θησαυροὺς παραδίδωσιν καταθέσθαι. καὶ Ἱεριχοῦς μὲν, τοῦτον ἀπώλετο τὸν τρόπον. Ἄχαρος δέ τις, Ζεβεδίου παῖς ὤν, ἐκ φυλῆς Ἰούδα, εὑρὼν χλαμύδα βασίλειον, ἐκ χρυσοῦ μὲν πᾶσαν ὑφασμένην, μάζαν δὲ χρυσοῦ σταθμὸν ἕλκουσαν σίκλους διακοσίους, καὶ δεινὸν ἡγησάμενος εἰ, ὃ κινδυνεύσας ηὕρατο κέρδος, τοῦτο τῆς ἰδίας χρείας ἀφελόμενος, δοῦναι φέρων τῷ θεῷ καὶ μὴ δεομένῳ, ὄρυγμα βαθὺ ποιήσας τῇ αὐτοῦ σκηνῇ κατώρυξεν εἰς τοῦτο, λήσειν νομίζων ὡς τοὺς συστρατιώτας οὕτω καὶ τὸν θεόν. ἐκλήθη δὲ ὁ τόπος ἐν ᾧ στρατόπεδον ἔβαλεν Ἰησοῦς Γαλγάλ. σημαίνει δὲ τοῦτο ἐλευθέριον ὄνομα. διαβάντες γὰρ τὸν ποταμὸν, ἐλευθέρους αὑτοὺς ἤδη ἀπό τε τῶν Αἰγυπτίων καὶ τῆς ἐν τῇ ἐρήμῳ ταλαιπωρίας ἐγίνωσκον. μετὰ δὲ ἡμέρας ὀλίγας τῆς Ἱεριχοῦντος συμφορᾶς, πέμπει τρισχιλίους ὁπλίτας Ἰησοῦς εἰς Ἄιναν πόλιν ὑπὲρ τῆς Ἱεριχοῦντος κειμένην. οἳ συμβαλλόντων αὐτοῖς τῶν Αἰνατῶν τραπέντες, ἀποβάλλουσιν ἄνδρας ἓξ καὶ τριάκοντα. τοῦτ' ἀγγελθὲν τοῖς Ἰσραηλίταις, λύπην τε μεγάλην καὶ δεινὴν ἐποίησεν ἀθυμίαν. οὐ κατὰ τὸ οἰκεῖον τῶν ἀπολωλότων, καίτοιγε πάντων ἀνδρῶν ἀγαθῶν καὶ σπουδῆς ἀξίων διεφθαρμένων, ἀλλὰ κατὰ ἀπόγνωσιν. πιστεύοντες γὰρ ἤδη τῆς γῆς ἐγκρατεῖς εἶναι, καὶ σῶον ἕξειν ἐν ταῖς μάχαις τὸν στρατὸν οὕτως τοῦ θεοῦ προϋπεσχημένου, τεθαῤῥηκότας παραδόξως ἑώρων τοὺς πολεμίους. καὶ σάκκοις ἐπενδύντες, δι' ὅλης τῆς ἡμέρας ταῖς στολαῖς ἐν δακρύοις ἦσαν καὶ πένθει, τροφῆς οὐδὲ μίαν ἐπιζήτησιν ποιούμενοι. μειζόνως δὴ τὸ συμβεβηκὸς εἶχον ἀχθόμενοι. βλέπων δὲ οὕτως ὁ Ἰησοῦς τήν τε στρατιὰν καταπεπληγυῖαν, καὶ περὶ τῶν ὅλων πονηρὰν ἤδη τὴν ἐλπίδα λαμβάνουσαν, παῤῥησίαν λαμβάνει πρὸς τὸν θεόν. ἡμεῖς γὰρ εἶπεν, οὐχ ὑπ' αὐθαδείας προήχθημεν ὡς ταύτην ὑπάγεσθαι τοῖς ὅπλοις τὴν γῆν, ἀλλὰ Μωυσέως τοῦ σοῦ δούλου πρὸς τοῦθ' ἡμᾶς ἐπεγείραντος ὃς διὰ πολλῶν τεκμηρίων ἐπηγγέλλου κτήσασθαι παρέξειν ἡμῖν τήνδε τὴν γῆν, καὶ τὸν στρατὸν ἡμῶν ἀεὶ τῶν πολεμίων ποιήσειν τοῖς ὅπλοις κρείττονα. τινὰ μὲν οὖν κατὰ τὰς ὑποσχέσεις ἡμῖν ἀπήντηκε τὰς σάς. νῦν δὲ παρὰ δόξαν ἐπταικότες, καὶ τῆς δυνάμεώς τινας ἀποβαλόντες, ἐπί τε τούτοις ὡς οὐ βεβαίων τῶν παρὰ σοῦ, καὶ ὧν προεῖπε Μωυσῆς ἀπεχόμεθα.

repletáque trucidatis vrbs & postremò incensa rogum defunctis præbuit, in agros quoque pari sæuiente incendio. Rachaben verò cum domesticis qui in diuersorium confugerant, exploratores periculo exemerunt: ac mox ad Iesum adductę, gratiæ sunt ob seruatos speculatores actæ, dicente se meritis illam præmiis remuneraturum. móxque agris donatam, in honore postea semper habuit. Reliquias autem vrbis quæ incendio supererant, ferro diruit, diris execratus quisquis semel vastatam instaurare aggrederetur: nimirum vt prima fundamenta iaciens orbaretur filio primogenito, & absoluto opere natu minimum è liberis amitteret. Nec irritam esse voluit Deus imprecationem, sicut suo loco dicetur. E direptione autem ingens vis argenti ac auri, atque etiam æris in vnum aceruum est redacta, nemine edictum non obseruante, aut sibi prędam ac lucrum inde quærente. Eas manubias Iesus sacerdotibus in thesauros reponendas tradidit. Ac Hierichuntis quidem excidium in hunc modum se habuit.

Ios. 7. 8.

Achar autem quidem Zebediæ filius ex tribu Iudæ, nactus paludamentum regium totum ex auro contextum, & massam auri trecentorum siclorum pondo, & iniquum ratus si nullum periculi precium ad se rediret, sed oblatum à fortuna lucrum Deo nihil talibus rebus opus habenti offerret, intra tentorium in cauum profundum defodit, putans sicut commilitones ita & Deum se posse fallere. Erant tum castra in loco qui vocatur Galgala, voce libertatem significante. transgressi enim fluuium, tandem se & ab Ægyptiis & ab ærumnis in deserto exantlatis liberatos existimabant. Paucis autem pòst diebus quàm Hierichûs est excisa, mittit Iesus tria millia militum ad vrbem Ainam supra Hierichuntem sitam: qui cum Ainatis prælio congressi, & in fugam versi, triginta sex è suis desiderauerunt. Huius incommodi accepti nuncius postquam in castra peruenit, maiorem quàm pro cæsorum numero mœstitiam attulit: non tam propter amissos, tametsi omnes viri fortes & honore digni fuerant, quā propter desperationem. Credentes enim se iam ea regioné potitos, & illæsum exercitum habituros vt Deus promiserat, nūc mirū in modū elatos hoc successu animos hostium videbant. Itaque saccos induti per totam diem hoc habitu in luctu ac lacrymis perseuerabant: nulláque interim corporum curandorum ratione habita, totos se dolori dediderant. Iesus autem videns exercitum sic affectum, & nihil læti amplius sperantem, cum fiducia Deum alloquitur: Nos, inquit, non nostra temeritate adducti sumus, vt terram hanc armis subigere conaremur, sed Moyses seruus tuus ad hoc nos exciuit, cui multis attestantibus prodigiis pollicitus es, traditurum te nobis hanc terram possidendam, & exercitum nostrum ope tua fretum semper in conflictu aduersariis fore superiorem, atque harum promissionum euentum non semel iam sumus experti. Nunc autem præter opinionem clade accepta & militibus aliquot desideratis, hoc casu territi, & de promissis tuis ac Moysis hęsitātes,

& à præliis abstinemus, & post talia belli exordia nihilo feliciores progressus sperare possumus. Tu ergo Domine, potes enim, fer opem, & præsentem mœrorem victoriam largitus adime, desperationémque in futurum attonitis exime. Talibus exorabat Deum Iesus, in faciem humi prolapsus. Responsum deinde accipit, surgeret & lustraret exercitum pollutum sacrilegio & violata religione. hanc enim causam esse præsentis calamitatis: inquisitione autem facta & pœna à sacrilego exacta, Israelitarum fore victoriam. hoc oraculum Iesus populo indicat, & vocato Eleazaro pōtifice ac magistratibus sortem per singulas tribus mittebat. cúmque sors in Iudæ tribum cecidisset, rursum per cognationes eius mittebatur. & cum in Zachariæ cognatione maleficium esset inuentum eam rursum viritim examinantes, Acharem deprehenderunt. qui videns non esse locū tergiuersandi contra diuinum indicium, furtum fassus res furtiuas in medium protulit: móxque affectus supplicio, noctu ignominiosæ sepulturæ traditur, quemadmodum solent damnati iudicio publico. Iesus autem lustratum exercitum ad Ainam ducit, & noctu dispositis circa vrbem insidiis, diluculo hostem ad certamen prolicit. illis verò audacter ob proximam victoriam irruentibus, simulata fuga procul eos ab oppido abstrahit, fusum hostem existimantes, & quasi victoria iam parta insolescentes. postquam autem subitò conuersis copiis in faciem illis obstitit, & aliis qui in insidiis latebant ex composito signum datum est, coorti celeri cursu ad Ainā feruntur, & auersam eius portam occupant, plerisque ciuium è muris suorum vt tum putabant victoriam spectantibus: vrbémque ingressi sine discrimine cædem ingentem edunt. Interim alia parte Iesus obuios in fugam vertit: qui vrbem petentes integram adhuc rati, vbi hanc quoque ab hoste captam ac cum vxoribus ac liberis incensam animaduerterunt, per agros dispalati, cùm sibi inuicem præsidio non possent esse, alij aliis in locis sunt oppressi. Post hanc Ainatarum cladem magna multitudo puerorum & mulierum atque mancipiorum capta est, & supellex sine numero: pecudum item greges non modici, & insuper signata pecunia multa: erat enim ea regio prædiues. atque hæc omnia Iesus inter milites partitus est in eis castris quæ habuit ad Galgala.

11. Ios. 9.

Cæterùm Gabaonitæ qui non longè à Hierosolymis habitant, cognito Hierichuntiorum & Ainatarum casu, iámque in se iturum hostem suspicati, Iesum quidem precibus flectere non tentauerunt, frustra eas fore putantes apud eum qui internecinum bellum cum Chananæis gereret: sed maluerunt vicinos Cepheritas & Cathieremitas in societatem asciscere, dicentes nec ipsos posse euadere periculum nisi maturè prouiderent: quòd si suum consilium sequantur, non deesse remedium. Quod vbi persuaserunt, mittunt legatos ad Iesum de fœdere, quos

A καὶ χεῖρον ἡ τῶν μελλόντων ἐλπὶς ἡμᾶς αἰτιᾶ, τῇ πρώτῃ πείρᾳ τοιαύτῃ συντυχόντας. ἀλλὰ σὺ δέσποτα, δύναμις γάρ σοι τούτων ἴασιν εὑρεῖν, τό τε παρὸν ἡμῶν λυπηρὸν νίκην παρασχόμενος, καὶ περὶ τῶν αὖθις δυσελπιστίας διακειμένοις οὕτως τῆς διανοίας ἔξελε. ταῦτα μὲν Ἰησοῦς ἐπὶ στόμα πεσὼν ἠρώτα τὸν θεόν. χρηματίσαντος δὲ ἀνίστασθαι τοῦ θεοῦ, καὶ καθαίρειν τὸν στρατὸν, μιάσματος ἐν αὐτῷ γεγονότος, κλοπῆς τε τῶν καθιερωμένων B αὐτῷ χρημάτων τετολμημένης· διὰ γὰρ ταῦτα τὴν νῦν αὐτοῖς ἧτταν συμπεσεῖν· ἀναζητηθέντος δὲ τοῦ δράσαντος καὶ κολασθέντος, νίκην αὐτοῖς ἀεὶ περιέσεσθαι τῶν πολεμίων· φράζει ταῦτα πρὸς τὸν λαὸν Ἰησοῦς, καὶ καλέσας Ἐλεάζαρον τὸν ἀρχιερέα, καὶ τοὺς ἐν τέλει κατὰ φυλὴν ἐκλήρου. τούτου δὲ τὸ τετολμημένον ἐκ τῆς Ἰούδα φυλῆς δηλοῦντος, κατὰ φρατρίας πάλιν προτίθησι τὸν κλῆρον ταύτης. τὸ δ' ἀληθὲς τοῦ κα- C κουργήματος, περὶ τὴν Ζαχαρίου συγγένειαν εὑρίσκετο. κατ' ἄνδρα δὲ τῆς ἐξετάσεως γινομένης, λαμβάνουσι τὸν Ἄχαρον. ὁ δ' οὐκ ἔχων ἔξαρνος εἶναι δεινῶς αὐτὸν τοῦ θεοῦ περιελθόντος, ὡμολόγει τε τὴν κλοπὴν, καὶ τὰ φώρια παρῆγεν εἰς μέσον· καὶ οὗτος μὲν εὐθὺς ἀναιρεθεὶς, ἐν νυκτὶ ταφῆς ἀτίμου καὶ καταδίκῳ πρεπούσης τυγχάνει. Ἰησοῦς δὲ ἁγνίσας τὸν λαὸν, ἐξῆγεν ἐπὶ τὴν Ἄιναν αὐτούς, καὶ νυκτὸς τὰ πε- D ρὶ τὴν πόλιν ἐνέδραις προλοχίσας, ὑπὸ τὸν ὄρθρον συμβάλλει τοῖς πολεμίοις. τῶν δὲ μετὰ θράσους αὐτοῖς διὰ τὴν προτέραν νίκην ἐπιόντων, ὑποχωρεῖν προσποιησάμενος, ἕλκει τῷ τρόπῳ τούτῳ μακρὰν αὐτοὺς τῆς πόλεως, διώκειν οἰομένους, καὶ ὡς ἐπὶ νίκῃ καταφρονοῦντας. ἔπειτα δ' ἀναστρέψας τὴν δύναμιν κατὰ πρόσωπον αὐτοῖς ποιεῖ, σημεῖά τε δοὺς ἃ πρὸς τοὺς E ἐν ταῖς ἐνέδραις συντέτακτο, κἀκείνους ἐπὶ τὴν μάχην ἐξανίστησιν. οἱ δ' εἰσεπήδων εἰς τὴν πόλιν τῶν ἔνδον περὶ τείχεσιν ὄντων, ἐνίων δὲ καὶ πρὸς θέαν τῶν ἔξω τὴν γνώμην περισπωμένων. καὶ οἱ μὲν τὴν πόλιν ᾕρουν, καὶ πάντας τοὺς ἐντυγχάνοντας ἔκτεινον. Ἰησοῦς δὲ, τοὺς προσελθόντας εἰς χεῖρας βιασάμενος φυγεῖν τρέπεται. συνελαυνόμενοι δὲ ὡς εἰς ἀκέραιον τὴν πόλιν, ἐπεὶ καὶ ταύτην ἑαλωκυῖαν ἑώρων, καὶ καταπιμπραμένην ὁμοῦ γυναιξὶ καὶ τέκνοις κατέλαβον, F διὰ τῶν ἀγρῶν ᾔεσαν σκεδασθέντες, ἀμύνειν αὐτοῖς ὑπὸ μονώσεως μὴ δυνάμενοι. τοιαύτης δὲ τῆς συμφορᾶς τοὺς Αἰνάτας καταλαβούσης, παίδων τε ὄχλος ἑάλω, καὶ γυναικῶν, καὶ θεραπείας, καὶ τῆς ἄλλης ἀποσκευῆς ἄπειρόν τι πλῆθος. ἀγέλας τε βοσκημάτων ἔλαβον οἱ Ἑβραῖοι, καὶ χρήματα πολλά. καὶ γὰρ πλούσιον ἦν τὸ χωρίον. καὶ ταῦτα πάντα τοῖς στρατιώταις Ἰησοῦς διένειμε, γενόμενος ἐν Γαλγάλοις. Γαβαωνῖται δὲ κατοικοῦντες ἔγγιστα τοῖς Ἱεροσολύμοις, τά τε τοῖς Ἱεριχουντίοις συμβεβηκότα πάθη καὶ τὰ τοῖς Αἰνάταις G ὁρῶντες, καὶ πρὸς σφᾶς μεταβήσεσθαι τὸ δεινὸν ὑπονοοῦντες, Ἰησοῦν μὲν παρακαλεῖν οὐ διέγνωσαν. οὔτε γὰρ τεύξεσθαί τινος τῶν μετρίων ὑπελάμβανον, ἐπ' ὀλέθρῳ τοῦ Χαναναίων ἔθνους παντὸς πολεμοῦντος αὐτοῦ. Κεφηρίτας δὲ καὶ Καθιεριμίτας γείτονας ὄντας αὐτοῖς ἐπὶ συμμαχίαν παρεκάλουν, οὐδ' αὐτοὺς διαφεύξεσθαι τὸν κίνδυνον λέγοντες εἰ φθάσειεν αὐτοὶ ληφθέντες ὑπὸ τῶν Ἰσραηλιτῶν. συμπείσαντες δὲ αὐτούς, διέγνωσαν διαδρᾶναι τὴν δύναμιν αὐτῶν. προσδεξαμένων δὲ τοὺς λόγους αὐτῶν, πέμπουσι πρέσβεις πρὸς Ἰησοῦν

φιλίαν

φιλίαν πεισομένους, οἳ μάλιστα τῶν πολιτῶν ἐδοκίμαζον ἱκανοὺς πρᾶξαι τὰ συμφέροντα τῷ πλήθει. οἱ δὲ ὁμολογεῖν αὐτοὺς χαναναίους ἐπισφαλὲς ἡγούμενοι, διαδύξασθαι δὲ τὸν διὰ τοῦτο κίνδυνον ὑπολαμβάνοντες εἰ λέγοιεν ἑαυτοὺς μὴ προσήκειν κατὰ μηδὲν χαναναίοις, ἀλλὰ πορρωτάτω τούτων κατοικεῖν, ἥκειν τε κατὰ πίστιν τῆς ἀρετῆς αὐτοῦ, πολλὴν ἀνύσαντας ὁδὸν ἔφασκον, καὶ τεκμήριον τοῦ λόγου τούτου τὸ σχῆμα ὑπεδείκνυον. τὰς γὰρ ἐσθῆτας καινὰς ὅτε ἐξῄεσαν οὔσας, ὑπὸ τοῦ χρόνου τῆς ὁδοιπορίας, αὐτοῖς τετρῖφθαι. ξυρῖνας γὰρ εἰς τὸ ταύτας πιστοῦσθαι πρὸς αὐτὴν ἐπιτηδὲς ἔλαβον. στάντες οὖν εἰς μέσους ἔλεγον ὡς πεμφθεῖεν ὑπὸ τῶν γαβαωνιτῶν καὶ τῶν περιοίκων πόλεων, πλεῖστον ἀπεχουσῶν τῆσδε τῆς γῆς, ποιησόμενοι πρὸς αὐτοὺς φιλίαν ἐφ᾽ αἷς πάτριον αὐτοῖς ἐστὶ συνθήκαις. μαθόντες γὰρ ἐκ θεοῦ χάριτος καὶ δωρεᾶς τὴν χαναναίων αὐτοὺς γῆν κτήσασθαι δεδόσθαι, τούτοις τ᾽ ἥδεσθαι ἔλεγον, καὶ πολίτας ἀξιοῦν αὐτῶν γενέσθαι. καὶ οἱ μὲν ταῦτα λέγοντες καὶ ἐπιδεικνύντες τὰ τεκμήρια τῆς ὁδοιπορίας, παρεκάλουν ἐπὶ συνθήκας καὶ φιλίαν τοὺς ἑβραίους. ἰησοῦς δὲ πιστεύσας οἷς ἔλεγον, ὡς οὐκ εἶεν τοῦ χαναναίων ἔθνους, ποιεῖται πρὸς αὐτοὺς φιλίαν, καὶ ἐλεάζαρος ὁ ἀρχιερεὺς μετὰ τῆς γερουσίας ὄμνυσιν ἕξειν τε φίλους καὶ συμμάχους, καὶ μηδὲν μοχλεύσεσθαι κατ᾽ αὐτῶν ἄδικον, τοῖς ὅρκοις ἐπισυναινέσαντος τοῦ πλήθους. καὶ οἱ μὲν ὧν ἤθελον τυχόντες ἐξ ἀπάτης, ἀπῄεσαν πρὸς ἑαυτούς. ἰησοῦς δὲ τῆσδε τῆς χαναναίας στρατεύσας εἰς τὴν ὑπώρειον, καὶ μαθὼν οὐ πόρρω τῶν ἱεροσολύμων τοὺς γαβαωνίτας κατῳκημένους, καὶ τοῦ γένους ὄντας τοῦ χαναναίων, μεταπεμψάμενος αὐτῶν τοὺς ἐν τέλει, τῆς ἀπάτης αὐτοῖς ἐνεκάλει. τῶν δ᾽ οὐκ ἄλλην ἀφορμὴν σωτηρίας ἔχειν ἢ ταύτην προφασιζομένων, καὶ διὰ τοῦτο καὶ ἐπ᾽ αὐτὴν ἐξ ἀνάγκης καταφυγεῖν, συγκαλεῖ τὸν ἀρχιερέα ἐλεάζαρον καὶ τὴν γερουσίαν, καὶ δημοσίους αὐτοὺς δικαιούντων ποιεῖν ἐπὶ τῷ μὴ παραβῆναι τὸν ὅρκον, ἀποδεικνύουσιν εἶναι τοιούτους. καὶ οἱ μὲν τῆς καταλαβούσης αὐτοὺς συμφορᾶς τοιαύτην φυλακὴν καὶ ἀσφάλειαν εὕραντο. τοῦ δὲ τῶν ἱεροσολυμιτῶν βασιλέως χαλεπῶς φέροντος ἐπὶ τῷ μεταθέσθαι πρὸς τὸν ἰησοῦν τοὺς γαβεωνίτας, καὶ τοὺς τῶν πλησίον ἐθνῶν παρακαλέσαντος βασιλέας συνάρασθαι τοῦ κατ᾽ αὐτῶν πολέμου, τούτους παρόντας σὺν αὐτῷ, τέσσαρες δὲ ἦσαν, οἱ γαβεωνῖται ἰδόντες, καὶ στρατοπεδευσαμένους ἐπί τινι πηγῇ τῆς πόλεως οὐκ ἄπωθεν παρασκευάζεσθαι πρὸς πολιορκίαν, ἐπεκαλοῦντο σύμμαχον ἰησοῦν. ἐν τούτοις γὰρ ἦν αὐτοῖς τὰ πράγματα, ὡς ὑπὸ μὲν τούτων ἀπολεῖσθαι προσδοκᾶν. ὑπὸ δὲ τῶν ἐπ᾽ ὀλέθρῳ τοῦ χαναναίων γένους στρατευσάντων σωθήσεσθαι διὰ τὴν γενομένην φιλίαν ὑπολαμβάνειν. καὶ ἰησοῦς πανστρατιᾷ σπεύσας ἐπὶ τὴν βοήθειαν, καὶ δι᾽ ἡμέρας καὶ νυκτὸς ἀνύσας, ὄρθριος προσβαίνουσι τοῖς πολεμίοις ἐμπίπτει. καὶ τραπεῖσιν εἵπετο διώκων διὰ χωρίων ἐπικλινῶν. βήθωρα καλεῖται. ἔνθα καὶ τὴν τοῦ θεοῦ συνεργείαν ἔμαθεν, ἐπισημήναντος αὐτοῦ βρονταῖς τε καὶ κεραυνῶν ἀφέσει, καὶ χαλάζης καταφορᾷ μείζονος τῆς συνήθους. ἔτι γε μὴν καὶ τὴν ἡμέραν αὐξηθῆναι πλέον, ὡς ἂν μὴ καταλαβοῦσα νὺξ ἐπίσχῃ τὴν τῶν ἑβραίων προθυμίαν, συνέπεσεν. ὥς τε καὶ λαμβάνει τοὺς βασιλέας ἰησοῦς ἔν τινι κρυπτομένους σπηλαίῳ κατὰ μακχιδὰ, καὶ κολάζει πάντας.

maximè credebant ad negocium conficiendum idoneos. Qui periculoſum rati ſi ſe Chananeos faterentur, & multò tutiùs ſi nihil ſibi cum illis commune dicerent, ſed longè diuerſas ſedes habere: aiunt ſe fama viri excitos multorum dierum iter feciſſe, & hoc eſſe verum ex habitu comprobabant. veſtes enim quas viam ingreſſuri nouas induiſſent, longo itinere detritas, ſumpſerant enim tritas data opera, vt veriſimilia dicere viderentur. Hoc habitu in concionem ingreſſi dicunt ſe miſſos à Gabaonitis & vicinis vrbibus, vt ſaluis patriis inſtitutis, in amicitiam eorum venirent. comperto enim quòd Deus gratuito munere Chananæorum terram illis conceſſiſſet, gratulari ſe eis, & ius ciuitatis petere. his dictis, & oſtentatis veſtibus in ſignum longi itineris, orabant vt in fœdus & amicitiam admitterentur. Ieſus autem credens eorum verbis quòd Chananæi non eſſent, recipit eos in fidem & amicitiam: & Eleazarus pontifex cum ſenatu iurauit, habituros ſe eos pro amicis ac ſociis, & nihil contra eos iniuſtum molituros, approbante id fœdus vniuerſo populo. hoc aſtu voti compotes domum ad ſuos ſunt reuerſi. Ieſus autem exercitu ducto in ſubmontanum Chananææ tractum, cùm audiſſet Gabaonitas non longe à Hieroſolymis habitare, & eſſe Chananæorum generis, euocatis eorum honoratioribus, fraudem eorum incuſabat. illis verò excuſantibus non alium ſe modum ſalutis quærendæ habuiſſe, & ideo ad dolum verſos neceſſitate cogente: Eleazarum pontificem & ſenatum conuocat. cúmque decretum eſſet non violandam fidem iureiurando ſancitam, ſed publicis miniſteriis deputandos, in hac conditione poſtea ſunt habiti: atque hoc pacto imminenti periculo ſe ſubtraxerunt. Cæterùm cùm rex Hieroſolymitarum indignè ferret Gabaonitas ad Ieſum defeciſſe, & quatuor proximarum gentium reges ad bellum contra eos gerendum acciuiſſet, Gabaonitę videntes ſe peti, & hoſtes caſtris circa quendam fontem non longè ab vrbe poſitis, ad oppugnationem expediri, Ieſum in auxilium aduocant. nam eò tum res deuenerat, vt ab his perniciem expectarent, in illis verò qui ad excidium Chananæorum venerant, propter nouam amicitiam, vnicam ſpem ſalutis reponerent. Tum Ieſus cum toto exercitu in ſuccurſum properans, die & nocte itinere facto, diluculo parantes oppugnationem adoritur: cúmque terga vertiſſent, per decliue fugientes eſt perſecutus. Bethora is locus dicitur. Interfuiſſe huic prelio diuinum auxiliũ euidentib. prodigiis apparuit, cęlo tonante & crebris fulminum ictibus, grandine inſuper maiore ſolito ruente. acceſſit & illud nunquam antea viſum, quòd dies factus eſt longior, ne interuentu noctis victori hoſtis eriperetur. quo factum eſt vt Ieſus reges iſtos caperet in ſpelũca quadã latebras quęrentes iuxta Macchida, de omnibúſq. ſuppliciũ ſu-

Ioſ. 10.

creuisse autem eam diem vltra consuetum, extat relatum in sacra volumina quæ in templo sunt asseruata. Debellatis in hunc modum regibus qui Gabaonitas inuaserant, Iesus in Chananææ montana ducit exercitum: & magna in ea regione cæde edita, prædáque abacta, exercitum reducit in Galgala. cúmque latè per circunquaque sitas regiones rumor de rebus Hebræorum fortiter gestis spargeretur, déque stupenda multitudine cæsorum, excitati sunt in eos reges Libani accolæ, & ipsi Chananæi generis: & quantum Chananæorum campestria colit adscitis Palæstinis castra posuerunt ad vrbem Galilææ Berotham non longè à superiore Cædesa, quæ etiam in Galilæorum agro sita est. erántque omnes hæ copiæ, peditum trecẽta millia, equitum decem millia, curruum viginti millia: quæ tanta hostium multitudo, adeo tam ipsum Iesum quàm cæteros Israelitas terruit, vt præ metu minimum a desperatione abessent. Sed cùm Deus exprobrasset eis formidinem, & quòd eius præsidio se non tam tutos putarent, pollicitúsque victoriam, equos captiuos eneruari & currus incendi iussisset: concepta ex his promissis fiducia, ducit in hostem: quem die quinto adeptus pugnandi copiam facit. fitque conflictus validus, & strages maior quàm vt facilè credi possit est edita. in fuga quoque plurimi ceciderunt, vt præter paucos totus hostilis exercitus interierit. reges etiam ad vnum omnes sunt cæsi, adeóque sæuitum est in victos, vt hominibus sublatis in equos ferrum exercerent, & currus exurerent. Totam deinde regionem peruagatus est, neminéque audente congredi, expugnabat oppida, & quotquot ad manus suas perueniret interficiebat. Iámque quinto huius belli anno exacto Chananæorum nemo supererat, nisi si qui in loca munitissima confugerant. Iesus autem castris è Galgalis in montana translatis sacrum tabernaculum in vrbe Silunte fixit: quòd is locus propter pulchritudinem visus sit idoneus, in quo tantisper maneret, dum maior commoditas ædificandi templi se præberet. Inde cum omni populo profectus versus Sicima, altare ita vt Moyses præceperat statuit: & diuiso exercitu, in Garizæo mõte dimidium eius collocauit & in Gibale alterum dimidiũ, in quo altare erat cum Leuitis ac sacerdotibus. vbi mactatis victimis, execrationibúsque peractis & in altari insculptis, in Siluntem sunt reuersi. Iesus autem iam senex, cùm videret Chananæorum vrbes penè inexpugnabiles, tum propter situm natura tutum, tum propter munitionos ad frustrandos hostium conatus arte additas: nam cognito Israelitarum ex Ægypto exitu, & quod ad suum excidium properarent, toto illo tempore in muniendis oppidis occupati fuerant: conuentu populi in Siluntem indicto concionem aduocat. cúmque frequens concursus factus esset res hactenus fortiter ac feliciter gestas recensuit, quales par erat Dei auspiciis à populo religiosissimo geri:

Iosue. 11.

11.
Ios. 13. 14. 18.

A ὅτι δὲ τὸ μῆκος τῆς ἡμέρας ἐπέδωκε τότε καὶ τοῦ συνήθους ἐπλεόνασε, δηλοῦται διὰ τῶν ἀνακειμένων ἐν τῷ ἱερῷ γραμμάτων. καταστραμμένων δ' οὕτως τῶν περὶ τοὺς βασιλέας, οἱ τοῖς γαβαωνίταις πολεμήσοντες ἐστράτευσαν, ἐπάνεισι πάλιν τῆς χαναναίας ἐπὶ τὴν ὀρεινὴν ἰησοῦς. καὶ πολὺν τὸν ἐν αὐτῇ φόνον ἐργασάμενος, καὶ λείαν λαβὼν, παρῆν εἰς τὸ ἐν γαλγάλοις στρατόπεδον. τοῦ δὲ περὶ τῆς ἑβραίων ἀρετῆς λόγου πολλοῦ φοιτῶντος εἰς τοὺς περιοίκους, κατάπληξις εἶχε τοὺς ἀκούοντας τὸ τῶν ἀπολωλότων πλῆθος. B καὶ στρατεύουσιν ἐπ' αὐτοὺς οἱ περὶ λίβανον ὄρος, βασιλεῖς ὄντες χαναναῖοι. καὶ οἱ ἐν τοῖς πεδινοῖς τῶν χαναναίων παλαιστίνους προσλαβόντες στρατοπεδεύουσι πρὸς βηρώθη πόλει τῆς γαλιλαίας τῆς ἄνω καδέσης οὐ πόρρω. γαλιλαίων δέ ἐστι καὶ τοῦτο τὸ χωρίον. τοῦ δὲ στρατοῦ παντὸς, ὁπλιτῶν μὲν ἦσαν μυριάδες τριάκοντα. μύριοι δ' ἱππεῖς καὶ ἅρματα δισμύρια. καταπλήττει δὲ τὸ πλῆθος τῶν πολεμίων αὐτόν τε ἰησοῦν, καὶ τοὺς C ἰσραηλίτας. καὶ πρὸς τὴν ἐλπίδα τοῦ κρείττονος εὐλαβεστέρως εἶχον δι' ὑπερβολὴν τοῦ δέους. τοῦ θεοῦ δ' ἐξονειδίσαντος αὐτοῖς τὸν φόβον, καὶ εἰ πλέον τῆς παρ' αὐτοῦ βοηθείας ποθοῦσιν, ὑποσχομένου τε τοὺς ἐχθροὺς νικήσειν, καὶ κελεύσαντος τούς τε ἵππους ἀχρήστους ποιῆσαι, καὶ τὰ ἅρματα πυρῶσαι, θαρσαλέος πρὸς τὰς ὑποσχέσεις τοῦ θεοῦ γενόμενος, ἐξώρμησεν ἐπὶ τοὺς πολεμίους. καὶ διὰ πέμπτης ἡμέρας ἐπ' αὐτοὺς ἐλθὼν, συνάπτει. καὶ καρτερὰ μάχη γίνεται, καὶ φόνος D κρείττων πίστεως παρὰ τοῖς ἀκροωμένοις. διώκων τ' ἐπὶ πλεῖστον ἐξῆλθε, καὶ πᾶν τὸ στράτευμα τῶν ἐχθρῶν πλὴν ὀλίγων διέφθειρεν. καὶ οἱ βασιλεῖς πάντες ἔπεσον. ὥς τε τῶν ἀνθρώπων ἐπιλελοιπότων πρὸς τὸ κτείνεσθαι, τοὺς ἵππους ἰησοῦς αὐτῶν ἀνῄρει, καὶ τὰ ἅρματα ἐνεπίμπρα. τήν τε χώραν ἐπ' ἀδείας διεπορεύετο, μηδενὸς τολμῶντος εἰς μάχην ἐπεξελθεῖν, ἀλλὰ πολιορκίᾳ τὰς πόλεις αἱρῶν, καὶ πάλιν ὅτι λάβοι E φονεύων. ἔτος δὲ πέμπτον ἤδη παρεληλύθει, καὶ χαναναίων οὐκέτ' οὐδεὶς ὑπολέλειπτο, πλὴν εἰ μή τινες εἰς ὀχυρώτατον τεῖχος διέφυγον. ἰησοῦς δὲ ἐκ τῶν γαλγάλων ἀναστρατοπεδεύσας, εἰς τὴν ὀρεινὴν ἵστα τὴν ἱερὰν σκηνὴν, κατὰ σιλοῦν πόλιν. ἐπιτήδειον γὰρ ἐδόκει τὸ χωρίον διὰ κάλλος, ἕως οἰκοδομεῖν ναὸν αὐτοῖς τὰ πράγματα παράσχῃ. καὶ χωρήσας ἐντεῦθεν ἐπὶ σικίμων σὺν ἅπαντι τῷ λαῷ, βωμόν τε ἵστησιν ὅπου προεῖπε μωυσῆς. καὶ νείμας τὴν στρατιὰν, F ἐπὶ μὲν τῷ γαριζεῖ ὄρει τὴν ἡμίσειαν ἵστησι. ἐπὶ δὲ τῷ γιβήλῳ τὴν ἡμίσειαν, ἐν ᾧ καὶ ὁ βωμός ἐστι, καὶ τὸ λευιτικὸν καὶ τοὺς ἱερέας. θύσαντες δὲ καὶ ἀρὰς ποιησάμενοι, καὶ ταύτας ἐπὶ τῷ βωμῷ γεγραμμένας καταλειπόντες, εἰς τὴν σιλοῦν ἀνέζευξαν. ἰησοῦς δ' ἤδη γηραιὸς ὢν, καὶ τὰς τῶν χαναναίων πόλεις ὁρῶν οὐκ εὐαλώτους ὑπό τε τῶν χωρίων ἐν οἷς ἦσαν ἰχυρότητος, καὶ τῆς τῶν τειχῶν ἰσχύος, ἃ τῇ φυσικῇ τῶν πόλεων πλεονεξίᾳ περιβαλλόμενοι προσεδόκων τοὺς πολεμίους ἀφέξεσθαι πολιορκίας δι' ἀπόγνωσιν τοῦ λαβεῖν (καὶ γὰρ ἐπ' ὀλέθρῳ τῷ ἑαυτῶν οἱ χαναναῖοι μαθόντες τοὺς ἰσραηλίτας ποιησομένους τὴν ἔξοδον τὴν ἀπ' αἰγύπτου, πρὸς τὸ τὰς πόλεις καρτερὰς ποιεῖν ἐκεῖνον ἅπαντ' ἦσαν τὸν χρόνον) συναγαγὼν τὸν λαὸν εἰς τὴν σιλοῦν ἐκκλησίαν παρήγγελε. καὶ μετὰ σπουδῆς συνδραμόντων, τάτε ἤδη κατωρθωμένα καὶ τὰς γεγενημένας πράξεις ὡς εἰσὶν ἄρισται, καὶ τοῦ θεοῦ τοῦ παρασχόντος αὐτὰς ἄξιαι, καὶ τῆς ἀρετῆς τῶν νόμων οἷς κατακολουθοῦσιν ἔλεγε,

βασι-

βασιλεῖς τε τριάκοντα καὶ ἕνα τολμήσαντας αὐτοῖς εἰς χεῖρας ἐλθεῖν κεκρατεῖσθαι δηλῶν, καὶ στρατιὰ ὅση ποτὲ κατελπίσασα τῆς αὐτῶν δυνάμεως εἰς μάχην συνῆψεν ἅπασαν διαφθαρεῖσαν, ὡς μηδὲ γενεὰν αὐτοῖς ὑπολελεῖφθαι. τῶν δὲ πόλεων, ἐπειδήπερ αἱ μὲν ἑαλώκεισαν, περὶ ἃς δὲ δεῖ χρόνου καὶ μεγάλης πολιορκίας διὰ τὴν τῶν τειχῶν ὀχυρότητα, καὶ τὴν ἐπὶ ταύτῃ τῶν οἰκητόρων πεποίθησιν, ἠξίου τοὺς ἐκ τῆς περαίας τοῦ Ἰορδάνου συνεξορμήσαντας αὐτοῖς, καὶ τῶν κινδύνων συναραμένους, ὄντας συγγενεῖς ἀπολύειν ἤδη πρὸς τὰ οἰκεῖα, χάριν αὐτοῖς ὧν συνέκαμον ὁμολογοῦντας. ἵνα τε κατὰ φυλὴν ἀρετῇ προύχειν μεμαρτυρηθέντα πέμπειν. οἳ τὴν γῆν ἐκμετρησόμενοι πιστῶς καὶ μηδὲν κακουργήσοντες δηλώσουσιν ἡμῖν ἀδόλως αὐτῆς τὸ μέγεθος. καὶ Ἰησοῦς μὲν τούτοις ποιησάμενος τοὺς λόγους, συγκατάινον ἔσχεν τὸ πλῆθος. καὶ ἄνδρας τοὺς ἐκμετρησομένους τὴν χώραν αὐτῶν ἐξέπεμψε, παραδοὺς αὐτοῖς τινὰς γεωμετρίας ἐπιστήμονας, οἷς τἀληθὲς οὐκ ἤμελλε λήσεσθαι διὰ τὴν τέχνην. ἐντολὰς δοὺς ἀποτιμήσασθαι τῆς τε εὐδαίμονος διάμετρον γῆς, καὶ τῆς ἧσσον ἀγαθῆς. ἡ γὰρ φύσις τῆς Χαναναίων γῆς, τοιαύτη τίς ἐστιν. ὡς ἴδοι τις ἂν πεδία μεγάλα καὶ καρποὺς φέρειν ἱκανώτατα. καὶ συγκρινόμενα μὲν ἑτέρᾳ γῇ, πανευδαίμονα νομισθησόμενα. τοῖς δὲ Ἱεριχουντίων χωρίοις παραβαλλόμενα, καὶ τοῖς Ἱεροσολυμιτῶν, τὸ μηδὲν ἀναφανισόμενα. καίτοι παντελῶς ὀλίγην αὐτῶν εἶναι τὴν γῆν συμβέβηκε, καὶ ταύτης ὀρεινὴν τὴν πολλήν, ἀλλ' ὑποβολῇ εἰς καρπῶν ἐκτροφήν τε καὶ κάλλος οὐκ ἀπολείπειν ἑτέρας. καὶ διὰ τοῦτο τιμητοὺς μᾶλλον ἢ μετρητοὺς τοὺς κλήρους εἶναι δεῖν ὑπέλαβε, πολλάκις ἑνὸς πλέθρου κἂν χιλίων ἀνταξίου γινομένου. οἱ δὲ ἄνδρες οἱ πεμφθέντες, δέκα δὲ ἦσαν, περιοδεύσαντες τε καὶ τιμησάμενοι τὴν γῆν ἐν ἑβδόμῳ μηνὶ παρῆσαν πρὸς αὐτὸν εἰς Σιλοῦντα πόλιν, ἔνθα τὴν σκηνὴν ἐστάκεισαν. καὶ Ἰησοῦς Ἐλεάζαρόν τε καὶ τὴν γερουσίαν καὶ σὺν τοῖς φυλάρχοις παραλαβών, νέμει ταῖς ἐννέα φυλαῖς, καὶ τῆς Μανασσιτῶν τοῖς ἡμίσεσι, κατὰ μέγεθος ἑκάστης τῶν φυλῶν τὴν μέτρησιν ποιησάμενος. κληρώσαντος δὲ αὐτοῦ, ἡ μὲν Ἰούδα λαχοῦσα πᾶσαν αἱρεῖται τὴν καθύπερθεν Ἰουδαίαν. παρατείνουσαν μὲν, ἄχρι τῶν Ἱεροσολύμων. τὸ δ' εὖρος, ἕως τῆς Σοδομίτιδος λίμνης καθήκουσαν. ἐν δὲ τῷ κλήρῳ τούτῳ πόλεις ἦσαν, Ἀσκάλων καὶ Γάζα. Συμεώνις δὲ, δευτέρα γὰρ ἦν, ἔλαχε τῆς Ἰδουμαίας τὴν Αἰγύπτῳ τε καὶ τῇ Ἀραβίᾳ πρόσορον οὖσαν. Βενιαμῖται δὲ, τὴν ἀπὸ Ἰορδάνου ποταμοῦ ἔλαχον. ἄχρι θαλάσσης μὲν τὸ μῆκος. τὸ δὲ πλάτος, Ἱεροσολύμοις ὁριζομένην καὶ Βεθήλοις. στενότατος δὲ ὁ κλῆρος οὗτος ἦν διὰ τὴν τῆς γῆς ἀρετήν. Ἱεριχοῦντα γὰρ, καὶ τὴν Ἱεροσολυμιτῶν πόλιν ἔλαβον. ἡ δ' Ἐφραίμου φυλὴ, τὴν ἄχρι Γαδάρων ἀπὸ Ἰορδάνου ποταμοῦ μηκυνομένην ἔλαχεν. εὐρεῖαν δὲ, ὅσον ἀπὸ Βεθήλων εἰς τὸ μέγα τελευτᾷ πεδίον. τῆς Μανασσήτιδος οἱ ἡμίσεις, ἀπὸ μὲν Ἰορδάνου μέχρι Δώρων πόλεως, πλάτος δὲ ἐπὶ Βηθσάνων, ἣ νῦν Σκυθόπολις καλεῖται. καὶ μετὰ τούτους Ἰσάχαρις, Κάρμηλόν τε ὄρος, καὶ τὸν ποταμὸν τοῦ μήκους ποιησαμένη τέρμονα. τὸ δ' Ἰταβύριον ὄρος, τοῦ πλάτους. Ζαβουλωνῖται δὲ, τὴν μέχρι Γεννησαρίτιδος, καθήκουσαν δὲ περὶ Κάρμηλον καὶ θάλασσαν ἔλαχον.

reges triginta & vnum ausos manus conserere deuictos, exercitúsque potentissimos prælio superatos, internecione cæsos, vt ne reliquiæ quidem generis superessent. cæterùm quoniam ex vrbibus aliæ captæ essent, aliæ munitiores & ob hoc obstinatiores longa oppugnatione opus haberent, censuit eos qui ex regione vltra Iordanem sita in communem expeditionē profecti fuerant, & propter cognationem socios periculorum se adiunxerant, gratiis priùs actis ad proprias sedes remittendos. deinde ex singulis tribubus singulos testatæ probitatis viros eligendos, qui regionem totam permensi bona fide & absque dolo magnitudinem eius renunciarent. In eam sententiam itum est ab vniuerso populo: móxque eos viros misit ad metiendam terram adiunctis ad eos quibusdam geometriæ peritis, qui propter hanc scientiam errare ac falli non poterant: hísque mandata dedit, vt æstimationem agrorum iuxta bonitatem terræ facerent. nam Chananææ natura talis est, vt videre liceat campos magnos & frugum ac fructuum feracissimos, qui collati ad aliam terram admodum vberes videri possent: quòd si iidem ad Hierichuntinum aut Hierosolymitanum agrum conferantur, iam non magni precij videbuntur: cùm tamen hi agri parui sint & bona ex parte montani, sed quantum ad fertilitatem attinet, nullis aliis secundi hanc ob rem voluit iuxta æstimationem potius quàm iuxta mensuram sortitionem fieri, quòd nonnunquam vnum iugerum pro mille aliis valeat. Decemuiri autem huic negotio destinati perlustrata regione & æstimatione terræ peracta, septimo mense reuersi sunt ad eum in Siluntem, vbi tum tabernaculi sedes erat. Tum Iesus assumpto Eleazaro cum senatu ac tribuum principibus diuisit regionem nouem tribubus & Manassitarum dimidiæ parti cuique tribui pro eius magnitudine agrum admetiens. cúmque ad sortes ventum esset, tribui Iudæ obuenit tota superior Iudæa pertinens vsque Hierosolyma. latitudo verò eius Sodomiticum lacum attingebat. in hac sorte vrbes erant Ascalon & Gaza. Secundo loco Simeonis sortita est Idumææ partem Ægypto & Arabiæ conterminam. Beniamitæ deinde regionem sorti sunt, quæ à Iordane amne vsque mare protenditur. latitudo verò eius patet Hierosolyma inter & Bethela. angustissima autem hæc sors fuit, propter agri bonitatem. Hierosolyma enim & Hierichuntem acceperunt. Ephræmi autem tribus terram à Iordane vsque Gadara in longum protensam sortita est, in latum patentem à Bethelis vsque magnum campum. Manassetidis item dimidia pars agrum à Iordane vsque Dora vrbem, latitudine vsque Bethsana, quæ nunc Scythopolis vocatur. Post hos Isacharis in longum patentem à flumine vsque Carmelum montem, latitudinis verò mons Itabyrius fuit terminus. Zabulonitæ vsque Genesaritem lacum terram Carmelo & mari contiguam sunt sortiti.

Quæ autem regio poſt Carmelum ſita eſt conuallis ex re nomen habens tota Aſeritis ceſſit quà ad Sidonem eſt obuerſa. In hac portione fuit vrbs Arce, alio nomine Actipus. Quæ verò ad Orientem ſpectant vſque Damaſcum vrbem & ſuperior Galilæa Nephthalitis obtigit, vſque Libani montem & Iordanis fontes qui ex hoc monte oriũtur, quà fines ſunt Arces vrbis verſus ſeptentriones ſitæ. Porrò Danitæ adepti sũt quicquid vallis ad Occidentem ſolem vergit, Azoto & Doris terminati. horum eſt Iamnia & Gitta, & totus ager qui ab Acarone pertingit vſque montem à quo Iudæ tribus initium fecit. Ad hunc modum ſex gentium à filiis Chananei denominatarum regionem Ieſus diuiſit, & nouem cum dimidia tribubus habitandam dedit. Amoræam enim & ipſam ab vno ex filiis eius dictam Moyſes iam ante duabus cum dimidia tribubus diuiſerat, vt ſuprà diximus. Sidoniorum autem, Arucæorum, Amathæorum & Aritheorum agri nihil ad hanc diuiſionem pertinuerunt. Cæterùm Ieſus ætate iam defecta cùm non valeret conſilia ſua per ſe exequi, & qui vicem eius gerebant, negligentiùs rempublicam adminiſtrarent, præcepit vnicuique tribui, vt ex ſua ſorte Chananæorum reliquias tolleret. In hoc enim conſiſtere & ipſorum ſecuritatem, & diſciplinę ac religionis incolumitatem: idque eos non ex Moyſi tantùm monitis, ſed ſuomet experimento didiciſſe: deinde vt Leuitis trigintaocto deſtinatas vrbes redderent, iam enim decem in Amoræa trans flumen acceperant. ex his in tribus profugis receptacula ſunt inſtituta. nihil enim magis erat curæ, quàm vt nuſquam à Moyſis præſcriptis recederetur. hæ fuerunt, in tribu Iudæ Hebron, in Ephræmi Sicima, in Nephthalitide Cedeſis, quæ eſt in ſuperiore Galilęa. poſt hæc quod de præda in reliquum erat diuiſit: ſupererat enim permultum. vnde non mediocris diuitiarum acceſſio & publicè & priuatim facta eſt. tantum erat auri & veſtimentorum ac reliquæ ſupellectilis, tantum etiam iumentorum ac pecudum, vt numero comprehendi non poſſent. Poſthæc aduocato in concionem exercitu, ad eos qui ex regione vltra Iordanem ſita vnà militabant numero quinquaginta millia, in hanc ſententiam locutus eſt: Quoniam Deus & pater qui eſt dominus Hebręorum generis, terram hanc & acquirere dedit, & in perpetuum manſuram nobis promiſit: vóſque opem veſtram indigentibus ex mandato Dei alacriter & impigrè præſtitiſtis, æquum eſt cùm iam nihil arduum ſuperſit, miſſionem vobis dari & promptitudine veſtra non abuti: quandoquidem certi ſumus, ſi in poſterum ſit opus, nihilo ſegniùs operam veſtram nobis paratam fore. Itaque gratias vobis agimus quòd ſocij periculorum eſſe voluiſtis, rogamúſque vt in hac mutua beneuolẽtia perſeueretis, memores amicorum & quòd vos quoque veſtras poſſeſſiones noſtris auxiliis paraſtis, ſicut nos ad hanc felicitatem Deo fauente & vobis adnitẽtibus peruenimus,

Lib. 4. cap. 7.

A τὴν δὲ ἀπὸ τοῦ καρμήλου, κοιλάδα προσαγορευομένην διὰ τὸ καὶ τοιαύτην εἶναι, ἀσηρῖται φέρονται πᾶσαν τὴν ἐπὶ σιδῶνος τετραμμένην. ἄρκη δὲ πόλις ὑπῆρχεν αὐτῶν ἐν τῇ μερίδι, ἡ καὶ ἀκτιπούς. τὰ δὲ πρὸς τὰς ἀνατολὰς τετραμμένα μέχρι δαμασκοῦ πόλεως, καὶ τῆς γαλιλαίας τὰ καθύπερθεν, νεφθαλῖται παρέλαβον, ἕως τοῦ λιβάνου ὄρους, καὶ τῶν τοῦ ἰορδάνου πηγῶν αἳ τὴν ὁρμὴν ἐκ τοῦ ὄρους ἔχουσιν, ἐκ τοῦ καθήκοντος τοῖς ὅροις κατὰ βόρεια πόλεως ἀρκῆς παρεικούσης.
B δανῖται δὲ, τῆς κοίλης ὅσα πρὸς δυόμενον τέτραπται τὸν ἥλιον λαγχάνουσιν ἀζώτῳ καὶ δώροις ὁριζόμενοι. ἰάμνιάν τε πᾶσαν καὶ γίτταν, ἀπ' ἀκάρωνος ἕως τοῦ ὄρους, ἐξ οὗ ἰούδα ἤρξατο φυλή. καὶ ἓξ μὲν ἔθνη τῶν υἱῶν τοῦ χαναναίου φέροντα τὴν ἐπωνυμίαν διεῖλεν οὕτως ἰησοῦς, καὶ τὴν γῆν ταῖς ἐννέα καὶ τῇ ἡμισείᾳ φυλαῖς ἔδωκεν νέμεσθαι. τὴν γὰρ ἀμορῖτιν, καὶ αὐτὴν οὕτως ἀφ' ἑνὸς τῶν χαναναίου παίδων καλουμένην μωϋσῆς ἤδη προειληφὼς νενεμήκει ταῖς δυσὶ φυλαῖς καὶ τῇ
C ἡμισείᾳ. τοῦτο δὲ καὶ πρότερον δεδηλώκειν. τὰ δὲ περὶ σιδῶνα, καὶ ἀρουκαίους, καὶ ἀμαθαίους, καὶ ἀριθαίους, ἀδιακόσμητα ἦν. ἰησοῦς δὲ, τοῦ γήρως ἐμποδίζοντος ἤδη πράττειν ὅσα καὶ νοήσειεν, τῶν τε μετ' αὐτὸν τὴν ἡγεμονείαν παραλαβόντων ἀμελῶς προσάντων τοῦ κοινῇ συμφέροντος, παρήγγελλε φυλῇ ἑκάστῃ, τοῦ γένους τῶν χαναναίων μηδὲν ὑπολιπεῖν ἐν τῇ κατακεκληρωμένῃ γῇ. τὴν γὰρ ἀσφάλειαν αὐτοῖς καὶ τὴν φυλακὴν τῶν πατρίων ἐθῶν, ἐν μόνῳ τούτῳ καὶ μωϋσῆν
D αὐτοῖς εἶναι προειπεῖν, καὶ τοῦτ' αὐτοὺς πεπεῖσθαι. καὶ τοῖς λευΐταις δὲ τὰς ὀκτὼ καὶ τριάκοντα πόλεις ἀποδιδόναι. προειλήφεισαν γὰρ ἤδη κατὰ τὴν ἀμορίαν τὰς δέκα. τούτων τρεῖς ἀπονέμει τοῖς φυγάσιν οἰκεῖν ἐν αὐταῖς. πολλὴ γὰρ ἦν πρόνοια, τοῦ μηδὲν ὧν μωϋσῆς διέταξε παραλιπεῖν. τῆς μὲν οὖν ἰούδα φυλῆς χέβρωνα. σίκιμα δὲ τῆς ἐφραίμου. τῆς νεφθαλίτιδος δὲ κεδίσιν. ἔστι δὲ καὶ τῆς καθύπερθεν γαλιλαίας τοῦτο χωρίον. νέμει δὲ καὶ τῆς λείας ὅσα ἦν ἔτι λοιπά. πλείστη
E δ' ἐγεγόνει. καὶ μεγάλοις πλούτοις περιεβέβληντο καὶ κοινῇ πάντες καὶ κατ' ἰδίαν ἕκαστος χρυσοῦ τε καὶ ἐσθήτων καὶ τῆς ἄλλης ἐπισκευῆς ἕνεκα. τετραπόδων δὲ πλήθους, ὅσων οὐδὲ ἀριθμὸν μαθεῖν ἦν προσγινομένου. μετὰ δὴ ταῦτα, συναγαγὼν εἰς ἐκκλησίαν τὸν στρατὸν, τοῖς ὑπὲρ τὸν ἰόρδανον κατὰ τὴν ἀμοραίαν ἱδρυμένοις, συνεστράτευον δ' αὐτοῖς πεντακισμύριοι ὁπλῖται, ἔλεξε τάδε. ἐπεὶ ὁ θεὸς καὶ πατὴρ δεσπότης τοῦ ἑ-
F βραίων γένους, γῆν τε κτήσασθαι ταύτην ἔδωκε, καὶ κτηθεῖσαν εἰς ἅπαν ἡμετέραν φυλάξειν ὑπέσχηται. συνεργείας δὲ τῆς παρ' ὑμῶν κατ' ἐντολὴν τὴν ἐκείνου δεομένοις, αὑτοὺς εἰς ἅπαντα προθύμους ἐδώκατε, δίκαιον ὑμᾶς μηδενὸς ἔτι δυσκόλου περιμένοντος ἀναπαύσεως ἤδη τυχεῖν, φειδοῖ τῆς προθυμίας ὑμῶν, ἵν' εἰ καὶ πάλιν δεήσειεν ἡμῖν αὐτῆς, ἄοκνον ἔχωμεν εἰς τὰ κατεπείξοντα, καὶ μὴ, τοῖς νῦν καμοῦσαν, αὖθις βραδυτέραν. χάριν τε οὖν ὑμῖν ὧν συνηράσθε κιν-
G δύνων. καὶ οὐχὶ νῦν μόνον ἀλλὰ εἰς πᾶν οὕτως μένοντες ἀγαθοὶ μεμνῆσθαι τῶν φίλων, καὶ παρὰ τῇ διανοίᾳ κρατεῖν ὅσα παρ' αὐτῶν ὑμῖν ὑπῆρξεν, ὅτι τὴν ἀπόλαυσιν τῶν ὑπαρχόντων ὑμῖν ἀγαθῶν δι' ἡμᾶς ἀναβάλλεσθε, καὶ ποιήσαντες εἰς ἃ νῦν εὐνοίᾳ θεοῦ κατέστημεν, ἐπεὶ οὕτως ἐκρίνατε, αὐτῶν μεταλαμβάνειν,

γένους

γέγονε πρὸς τοῖς ὑπάρχουσιν ἀγαθοῖς ἐκ τῶν σὺν ἡμῖν πόνων πλοῦτος ἄφθονος, λείαν τε πολλὴν ἐπαξομένοις καὶ χρυσὸν καὶ ἄργυρον, καὶ τὸ τούτων ἐπὶ πλέον, ἡ παρ' ἡμῶν εὔνοια, καὶ πρὸς ὅτι βουληθείητε κατ' ἀμοιβὴν προθυμία. οὔτε γὰρ ὧν Μωυσῆς προεῖπεν ἀπελείφθητε, καταφρονήσαντες δι' ἀνθρώπων ἀπελθόντος, οὔτ' ἐστὶν οὐδὲν, ἐφ' ᾧ μὴ χάριν ὑμῖν οἴδαμεν. χαίροντας οὖν ὑμᾶς ἐπὶ τὰς κληρουχίας ἀπολύομεν. καὶ παρακαλοῦμεν μηδένα τῆς πρὸς ἡμᾶς συγγενείας ὅρον ὑπολαμβάνειν. μηδ', ὅτι μεταξὺ ποταμὸς οὗτός ἐστιν, ἑτέρους ἡμᾶς νοήσετε καὶ οὐχὶ Ἑβραίους. Ἀβράμου γὰρ ἅπαντες ἐσμὲν οἵ τ' ἐνθάδε κἀκεῖ κατοικοῦντες. θεός τε εἷς τούς τε ἡμετέρους προγόνους καὶ τοὺς ὑμῶν αὐτῶν παρήγαγεν εἰς τὸν βίον. οὗ τῆς θρησκείας ἐπιμελεῖσθαι καὶ πολιτείας δεῖ, ἣν αὐτὸς διὰ Μωυσέως διέταξε, φυλακὴν ἔχοντας πᾶσαν. ὡς ἐμμενόντων μὲν τούτοις, καὶ τοῦ θεοῦ παρέξοντος εὔνουν εἶναι καὶ σύμμαχον ἑαυτόν. ἐκτραπέντων δ' εἰς ἑτέρων ἐθνῶν μίμησιν, ἀποστρατησομένου τοῦ γένους ὑμῶν. ταῦτα εἰπὼν καὶ καθ' ἕνα τοὺς ἐν τέλει καὶ κοινῇ τὸ πλῆθος αὐτῶν ἅπαν ἀσπασάμενος, αὐτὸς μὲν ὑπέμεινε. προὔπεμπε δ' αὐτοὺς ὁ λαὸς οὐκ ἀδακρυτὶ καὶ μόλις ἀλλήλων ἀπελύθησαν. καὶ διαβάντα οὖν τὸν ποταμὸν ἥ τε Ῥουβήλις φυλὴ καὶ Γάδιδις, καὶ ὅσοι τῶν Μανασσητῶν αὐτοῖς συνείποντο, βωμὸν ὑπὲρ τῆς ὄχθης ἱδρύονται τοῦ Ἰορδάνου, ὑπόμνημα τοῖς ἔπειτα γενησομένοις, καὶ σύμβολον τῆς πρὸς τοὺς πέραν κατοικησομένους οἰκειότητος. ἀκούσαντες δ' οἱ πέραν βωμὸν ἱδρύσθαι τοὺς ἀπολυθέντας, οὐ μεθ' ἧς ἐκεῖνοι γνώμης ἀνέστησαν αὐτὸν, ἀλλ' ἐπὶ νεωτερισμῷ καὶ ξενικῶν εἰσαγωγῇ θεῶν, οὐκ ἤθελον ἀπιστεῖν. ἀλλὰ περὶ τὴν θείαν θρησκείαν τὴν διαβολὴν πιθανὴν νομίζοντες, ἔνοπλοι ἦσαν. ὡς ἐπ' ἀμύνῃ τῶν τὸν βωμὸν ἱδρυσαμένων, περαιωσόμενοι τὸν ποταμὸν, καὶ κολάσοντες αὐτοὺς τῆς παρατροπῆς τῶν πατρίων ἐθῶν. οὐ γὰρ ἐδόκει τὴν συγγένειαν αὐτοὺς λογίζεσθαι καὶ τὸ ἀξίωμα τῶν τὴν αἰτίαν εἰληφότων, ἀλλὰ τὸ τοῦ θεοῦ βουλητὸν, καὶ ᾧ τρόπῳ τιμώμενος χαίρει. καὶ οἱ μὲν ἐστράτευσαν ὑπ' ὀργῆς. ἐπέσχε δ' αὐτοὺς Ἰησοῦς καὶ ὁ ἀρχιερεὺς Ἐλεάζαρος καὶ ἡ γερουσία, λόγοις συμβουλεύοντες ἀπόπειραν αὐτῶν τῆς γνώμης λαβεῖν πρῶτον. ἔπειτ' ἂν κακοήθη μάθωσι τὴν διάνοιαν αὐτῶν, τότε τοῖς ὅπλοις χωρεῖν ἐπ' αὐτούς. πέμπουσιν οὖν πρεσβευτὰς πρὸς αὐτοὺς, Φινεέσην τὸν υἱὸν Ἐλεαζάρου, καὶ δέκα σὺν αὐτῷ τῶν ἐν τιμῇ παρὰ τοῖς Ἑβραίοις, μαθησομένους τί καὶ φρονήσαντες, τὸν βωμὸν ἐπὶ τῆς ὄχθης τοῦ ποταμοῦ διαβάντες ἔστησαν. ὡς δὲ περαιωσαμένων, καὶ πρὸς αὐτοὺς ἀφικομένων ἐκκλησία συνελέγη, στὰς Φινεέσης, μείζω μὲν αὐτοὺς ἁμαρτεῖν ἔλεγεν, ἢ ὥστε λόγοις ἐπιτιμηθέντας νενουθετεῖσθαι πρὸς τὰ μέλλοντα. πλὴν, οὐ πρὸς τὸ μέγεθος τῆς παρανομίας ἀπιδόντας εὐθὺς ἐπ' ὅπλα καὶ τὴν ἐκ χειρῶν τιμωρίαν ὁρμῆσαι, πρὸς δὲ τὸ συγγενὲς καὶ τὸ τάχα καὶ λόγοις ἂν σωφρονῆσαι σκοπήσαντας οὕτω ποιήσασθαι τὴν πρεσβείαν, ἵνα τὴν αἰτίαν μαθόντες ὑφ' ἧς προήχθητε τὸν βωμὸν κατασκευάσαι, μήτε προπετεῖς δοκῶμεν ὅπλοις μετιόντες ὑμᾶς, κατὰ λογισμὸν ὅσιον ποιησαμένους τὸν βωμὸν, καὶ δικαίως ἀμυνώμεθα τῆς διαβολῆς ἐλεγχθείσης ἀληθοῦς. οὐ γὰρ ἠξιοῦμεν ὑμᾶς πείρᾳ τῆς τοῦ θεοῦ γνώμης ἐντὸς γεγενημένους, καὶ νόμων ὧν αὐτὸς ἡμῖν ἔδωκεν ἀκροατὰς ὑπάρχοντας, διαζευχθέντας ἡμῶν καὶ παρόντας εἰς τὸν ἴδιον κλῆρον,

A nec id ſine veſtræ operæ præmio: quandoquidem ex hac militia ditati eſtis, multúmque prædæ, auri, & argenti refertis, & ſuper omnia noſtram beneuolentiam ad referendam vicem nunquam non promptam ac paratam. Nam & Moyſis mandatis ſatisfeciſtis, non contempta autoritate mortui, & nihil vobis ad noſtram gratiam promerendam reliquum feciſtis. Lætos igitur vos ad veſtras poſſeſſiones B dimittimus, hoc vnum rogatos, vt nullum terminum exiſtimetis cognationem noſtram dirimere: néve propter flumẽ medium alios nos putetis quàm Hebreos. Omnes enim Abrahæ ſtirps ſumus, qui vel hanc vel illam ripam incolimus, vnus Deus tam noſtros quàm veſtros maiores in hanc lucem protulit: cuius leges ac religio per Moyſem inſtituta diligenter obſeruanda ſunt. hoc enim pacto futurus eſt adiutor & propicius: ſicut contrà ſi in alienos C ritus degenerauerimus, & ipſe nos auerſabitur. Hæc locutus & ſingillatim primatibus populóque in commune dicto vale, ipſe quidem eodem loco reſtitit: reliqua autem multitudo vniuerſa cum lacrymis eos deducebat, & ægrè à ſe inuicem diuellebantur. Itaque traiecto fluuio Rubelis tribus & Gadis & quotquot Manaſſitarum eos ſunt ſecuti altare ſuper ripam Iordanis erigunt, monumentum poſteris & ſignum coniunctionis cum reliquis qui vltra D Iordanem incolunt. Quo audito apud cæteros Iſraelitas, cùm altare exſtructum ſcirent, non etiam quo animo, putabant eos nouata religione alienorum numinum cultum velle introducere: & temerè hac ſuſpicione violatæ religionis moti, arma corripuerant vindicaturi patrios ritus, & pœnas à violatoribus exacturi. exiſtimabant enim non tam cognationis ac dignitatis eorum qui in hoc erant crimine, quã diuinæ voluntatis rationem habendam. atque E ita irati ad expeditionem ſe accinxerunt. Ieſus verò & pontifex Eleazarus cum ſenatu cohibebant eos, dicentes verbis prius quàm armis rẽ aggrediendam, & ſcitandum qua mente id fecerint: & ſi fortè malo animo factum deprehẽſum ſit, tum demum armis impetendos. mittunt igitur eò legatos, Phineeſem filium Eleazari & cum eo decem honoratos in populo, qui cognoſcant quid ſibi volentes altare in ripa conſtruxiſſent. Vt verò traiecto flumine, & F conuentu aduocato Phineeſes in concione conſtitit: Maius, inquit, veſtrum delictum eſt quàm vt verbis tantũ caſtigari debeat. attamen non culpæ magnitudine moti repente ad arma conclamauimus vt pœnas ſumeremus, ſed reſpectu cognationis, & ea ſpe quòd fortaſſe admonitione ad ſanitatem reduci poſſitis, legationem ad vos ſuſcepimus, vt cognita cauſa extructi altaris, nõ temerè armaſſe nos in vos videamur, ſi piis rationibus adducti id feciſtis: ſin autem in culpa ſitis, iuſtam vltionem violatæ pietatis inferamus. Vix enim credere potuimus, vos qui perſpectam Dei ſententiam habetis, & legum eius auditores eſtis, diſiunctos à nobis & in veſtram poſſeſſionẽ reuerſos,

IIII.
Ioſ.12.

quam Deo ferre acceptam debetis, cuius prouidentia vobis contigit, beneficiorum ipsius oblitos, & relictis tabernaculo, arca, & altari patrio, externos deos complecti, ac Chananæorum impietati accedere. Sed venia dabitur, si resipiscatis, & non ad maiorem insaniam prolabamini, ad domesticarum legum reuerentiam reducti. Quòd si in malè cœptis obstinatè persistatis, non grauabimur vllum laborem pro legum defensione suscipere, sed ad has simul & Dei honorem tuendum flumine traiecto, pro Chananæis habitos, non secus atque illos exterminabimus. Cauete enim putetis quia extra limitem nostrum estis, extra potestatem etiam Dei vos euasisse: vbiubi estis, omnia sunt illius, nec licet ius eius ac iudicium effugere. Quòd si putatis locum vobis ad rectè sapiendum esse obstaculo, præstat nouam agrorum diuisionem facere, & hanc regionem pecoribus compascuam relinquere. Satius est igitur vt resipiscatis, & à nouitatibus mutato proposito desistatis: rogamúsque vos per salutem liberorum ac coniugum, & quicquid habetis carissimum, ne nobis belli suscipiendi necessitatem imponatis, contra quos minimè volumus. In hac enim concione & consultatione situm est, vtrum pace nostra & vestris affectibus perpetuò frui malitis, à nobis persuasi, an vos & vestra omnia belli periculis exponere. Postquam hæc Phineeses dicere desiit, qui concioni præerant, pro communis causæ defensione hæc attulerunt: Viri fratres, nos neque è cognatione deficere volumus, neque in religione cuius nequaquam pœnitet, quicquam innouare. Vnum Deum nouimus Hebræis omnibus communem, & altare eius æreum quod est ante tabernaculum, nec aliud vnquam nostras excipiet victimas. Nam hoc quod nunc ereximus, quódque vestræ suspicioni ansam præbuit, non ad Deum sacrificiis placandum extructum est, sed vt perpetuum argumentum extet nostræ necessitudinis, nósque patriæ religionis admoneat, non vt vos suspicamini, violandæ religionis sit initium. & hanc fuisse nobis extruendi causam, Deus ipse testis esto idoneus. quapropter meliorem posthac de nobis opinionem habetote, absítque vt nos affines existimetis ei crimini, cui quisquis ex Abrahæ posteris se obnoxium fecerit, & à patriis moribus ac ritibus degenerauerit, absque capitali pœna expiari non valeat. His auditis Phineeses, collaudatáque eorum constantia, reuersus ad Iesum, rem totam apud populum exposuit. qui lætus quòd nec delectu opus esset nec ciuili sanguine, gratias egit Deo per sacrificia: móxque soluto conuentu, reuersis ad sua singulis, ipse apud Sicima elegit domicilium. Anno autem pòst vigesimo iam decrepitus, accitis oppidatim honoratioribus, & cum senatu magistratibus, tum ex plebe quotquot erat commodum, vbi vidit omnes adesse: primùm Dei beneficia in memoriam illis reuocat plurima, per quę ex rebus afflictis in tãtas opes tantámq; gloriá peruenerãt hortatur deinde vt dent operam vt Deum in posterum æquè habeat propiciú, cùm sciant eius beneuolẽtiá nõ aliis retineri posse quàm pietatis artib.

Ios. 23.24.

A ὃ κατὰ χάριν τοῦ θεοῦ καὶ τῆς ἐκείνου περὶ ἡμᾶς προνοίας ἐλάχετε, λήθην λαβεῖν αὐτοῦ, καὶ τὴν σκηνὴν καὶ τὴν κιβωτὸν καταλιπόντας, καὶ βωμὸν ὃς ἡμῖν πάτριος, ξενικοὺς θεοὺς ἐπιφέρειν τοῖς χαναναίων κακοῖς προσκεχωρηκότας. ἀλλ' οὐδὲν ἀδικεῖν δόξετε μετανοήσαντες καὶ περαιτέρω μὴ μανέντες, νόμων δὲ πατρίων αἰδῶ καὶ μνήμην λαβόντες. ἂν δ' ἐπιμένητε τοῖς ἡμαρτημένοις, οὐ παραιτησόμεθα τὸν ὑπὲρ τῶν νόμων πόνον. ἀλλὰ περαιωσάμενοι τὸν ἰόρδανον τούτοις

B βοηθήσομεν, καὶ πρὸς αὐτῷ τῷ θεῷ, μηδὲν ὑμᾶς χαναναίων διαφέρειν ὑπολαμβάνοντες, ἀλλ' ὁμοίως ἐκείνοις διαφθείροντες. μὴ γὰρ νομίσητε τῷ διαβεβηκέναι τὸν ποταμὸν, καὶ τῆς τοῦ θεοῦ δυνάμεως ἔξω γεγονέναι, πανταχοῦ δ' ἐν τοῖς τούτου ἐστέ. καὶ ἀποδρᾶναι τὴν ἐξουσίαν αὐτοῦ καὶ τὴν ἀπ' αὐτῆς δίκην, ἀδύνατον. εἰ δ' οἴεσθε τὴν ἐνθάδε παρουσίαν ὑμῖν ἐμπόδιον εἶναι τοῦ σωφρονεῖν, οὐδὲν κωλύσει πάλιν τὴν γῆν ὑμᾶς ἀναδάσασθαι καὶ ταύτην ἀνεῖναι μηλόβοτον.

C ἀλλ' εὖ ποιήσατε σωφρονήσαντες, καὶ ἐπὶ νεαροῖς μεταθέμενοι τοῖς ἁμαρτήμασι. καὶ παρακαλοῦμεν ὑμᾶς πρὸς παίδων καὶ γυναικῶν, μὴ παρασχεῖν ὑμῖν ἀνάγκην ἀμύνασθαι. ὡς οὖν τῆς ὑμετέρας αὐτῶν σωτηρίας, καὶ τῶν φιλτάτων ὑμῖν ἐν τῇδε τῇ ἐκκλησίᾳ κειμένης, οὕτω βουλεύεσθε, λόγοις ἡττηθῆναι συμφέρειν ὑπολαβόντες, ἢ πεῖραν ἔργων καὶ πολέμου περιμένειν. τοσαῦτα τοῦ φινεέσου διαλεχθέντος, οἱ προεστῶτες τῆς ἐκκλησίας

D καὶ τὸ πλῆθος αὐτὸ πᾶν ἤρξαντο περὶ τῶν ἐγκεκλημένων αὐτοῖς ἀπολογεῖσθαι, καὶ μήτε συγγενείας τῆς πρὸς αὐτοὺς ἀποστήσεσθαι, μήτε κατὰ νεωτερισμὸν ἀναστῆσαι τὸν βωμὸν ἔλεγον. ἀλλὰ θεόν τε ἕνα γινώσκειν τὸν ἑβραίοις ἅπασι κοινόν. καὶ τὸν πρὸ τῆς σκηνῆς βωμὸν χάλκεον, ᾧ τὰς θυσίας ποιήσειν. τὸν μέντοι γε νῦν ἀνασταθέντα, δι' ὃν καὶ ὕποπτοι γεγόνασιν, οὐ κατὰ θρησκείαν ἱδρῦσθαι, σύμβολον δὲ ὅπως εἴη, καὶ τεκμήριον εἰς τὸν αἰῶνα τῆς πρὸς ὑμᾶς οἰκειότητος, καὶ ἀνάγκη τοῦ σω-

E φρονεῖν καὶ τοῖς πατρίοις ἐμμένειν, ἀλλ' οὐχὶ παραβάσεως ἀρχὴ ὡς ὑπονοεῖτε. μάρτυς δ' ἡμῖν τοῦ ἐπὶ τοιαύτῃ τὸν βωμὸν αἰτίᾳ κατασκευάσαι γένοιτο ὁ θεὸς ἀξιόχρεως. ὅθεν ἀμείνονα περὶ ἡμῶν ἔχοντες ὑπόληψιν, μηδὲν καταγινώσκετε τούτων, ἐφ' οἷς ἐξώλεις εἶναι δίκαιοι πάντες ὅσοι τοῦ ἀβραάμου γένους ὄντες νεωτέροις ἐπιχειροῦσιν ἔθεσι, καὶ τοῦ συνήθους τρόπου παρηλλαγμένοις. ταῦτα εἰπόντας ἐπαινέσας ὁ φινεέσης, παρῆν

F πρὸς ἰησοῦν, καὶ τὰ παρ' αὐτῶν ἀνήγγελε τῷ λαῷ. ὁ δὲ χαίρων ὅτι μηδεμία ἀνάγκη στρατολογεῖν αὐτοὺς μέλλει μηδ' εἰς αἷμα καὶ πόλεμον ἐξάγειν κατὰ ἀνδρῶν συγγενῶν, χαριστηρίους ὑπὲρ τούτων τῷ θεῷ θυσίας ἐπετέλει. καὶ διαλύσας μετὰ ταῦτα τὸ πλῆθος εἰς τὰς ἰδίας κληρουχίας ἰησοῦς αὐτὸς ἐν σικίμοις διῆγεν. ἔτει δ' ὕστερον εἰκοστῷ, ὑπέργηρος ὤν, μεταπεμψάμενος τοὺς ἐπ' ἀξιώματος μάλιστα τῶν πόλεων, καὶ τὰς ἀρχὰς καὶ τὰς γερουσίας, καὶ τοῦ πλήθους ὅσον ἦν ἐφικ-

G τὸν αὐτῷ συναγαγών, ἐπεὶ παρῆσαν, τάς τε εὐεργεσίας τοῦ θεοῦ ἀνεμίμνησκεν αὐτούς. πολλαὶ δ' ἦσαν τοῖς ἐκ ταπεινοῦ σχήματος εἰς τοῦτο δόξης καὶ περιουσίας προελθοῦσι. φυλάττειν τε τὴν τοῦ θεοῦ προαίρεσιν, ἔχουσαν οὕτως πρὸς αὐτοὺς, παρεκάλει, καὶ τῇ εὐσεβείᾳ γε μόνῃ φίλον αὐτοῖς διαμένειν τὸ θεῖον.

αὐτῷ

αὐτῷ γὰρ καὶ δὴ ἐχρῆν ἀπιέναι μέλλοντι τοῦ ζῆν παραινέσαι αὐτοῖς βιαίως καταλιπεῖν. κἀκείνους ἠξίου διὰ μνήμης ποιήσασθαι τὴν παρακέλευσιν. καὶ ὁ μὲν, τοσαῦτα πρὸς τοὺς παρόντας διαλεχθεὶς, τελευτᾷ, βιοὺς ἑκατὸν ἔτη καὶ δέκα. ὧν Μωυσεῖ μὲν ἐπὶ διδασκαλίᾳ τῶν χρησίμων συνδιέτριψε τεσσαράκοντα. στρατηγὸς δὲ μετὰ τὴν ἐκείνου τελευτὴν γίνεται, πέντε καὶ εἴκοσι. ἀνὴρ δὲ μήτε συνέσεως ὢν ἐνδεὴς, μήτε τοῦ τὰ νοηθέντα πρὸς τοὺς πολλοὺς σαφῶς ἐξενεγκεῖν ἄπειρος, ἀλλ᾽ ἐν ἀμφοτέροις ἄκρος, πρός τε τὰ ἔργα καὶ τοὺς κινδύνους εὔψυχος καὶ μεγαλότολμος, πρυτανεῦσαί τε τὰ κατὰ τὴν εἰρήνην δεξιώτατος, καὶ πρὸς ἅπαντα καιρὸν τὴν ἀρετὴν ἡρμοσμένος. θάπτεται δὲ ἐν πόλει Θαμνᾷ τῆς Ἐφραίμου φυλῆς. θνήσκει δὲ κατ᾽ αὐτὸν τὸν καιρὸν καὶ Ἐλεάζαρος ὁ ἀρχιερεὺς, Φινεέσῃ τῷ παιδὶ τὴν ἀρχιερωσύνην καταλειπών. καὶ μνημεῖον αὐτοῦ καὶ τάφος ἐν Γαβαθᾷ πόλει τυγχάνει. μετὰ δὲ τὴν τούτων τελευτὴν Φινεέσης προφητεύει κατὰ τὴν τοῦ θεοῦ βούλησιν ἐπ᾽ ἐξωλείᾳ τοῦ Χαναναίων γένους τῇ Ἰουδαίᾳ φυλῇ παρέχειν τὴν ἡγεμονίαν. καὶ γὰρ τῷ λαῷ διὰ σπουδῆς ἦν μαθεῖν τί καὶ θεῷ δοκεῖ. καὶ προσλαβοῦσα τὴν Συμεωνίδα, ἐφ᾽ ᾧτε ἐξαιρεθέντων τῶν ἐκείνων ὑποτελῶν, καὶ τοὺς ἐν αὐτῇ κληρουχίᾳ τοῦτο ποιῶσιν.

Κεφάλαιον β΄.

Ὡς ἀποθανόντος τοῦ στρατηγοῦ παραβαίνοντες οἱ Ἰσραηλῖται τοὺς πατρίους νόμους μεγάλων ἐπειράθησαν συμφορῶν, καὶ στασιασάντων ἡ Βενιαμὶς διεφθάρη φυλὴ χωρὶς ἀνδρῶν ἑξακοσίων.

Χαναναῖοι δ᾽ ἀκμαζόντων αὐτοῖς κατ᾽ ἐκεῖνον τὸν καιρὸν τῶν πραγμάτων, στρατῷ μεγάλῳ ἐν Ζεβέκῃ αὐτοὺς ὑπέμενον, τῷ βασιλεῖ τῶν Ζεβεκηνῶν Ἀδωνιβεζέκῳ τὴν ἡγεμονίαν ἐπιτρέψαντες. τὸ δὲ ὄνομα τοῦτο σημαίνει, Βεζεκηνῶν κύριος. ἀδωνὶ γὰρ τῇ Ἑβραίων γλώττῃ, κύριος λέγεται. ἤλπιζόν τε κρατήσειν τῶν Ἰσραηλιτῶν, διὰ τὸ τεθνάναι Ἰησοῦν. συμμίξαντες δ᾽ αὐτοῖς Ἰσραηλῖται, ταῖς δυσὶ φυλαῖς ἃς προεῖπον, ἐμαχέσαντο λαμπρῶς. καὶ κτείνουσι μὲν αὐτῶν ὑπὲρ μυρίους, τρεψάμενοι δὲ τὸ λοιπὸν καὶ διώκοντες αἱροῦσι τὸν Ἀδωνιβέζεκον. ὃς ἀκρωτηριασθεὶς ὑπ᾽ αὐτῶν φησὶν, ἀλλ᾽ οὐκ εἰς τὸ πᾶν ἄρα λήσεσθαι θεὸν ἔμελλον τάδε πεπονθὼς ἃ κατὰ δυοῖν καὶ ἑβδομήκοντα βασιλέων πρᾶξαι πρότερον οὐκ ἐνετράπην. καὶ ζῶντα μὲν κομίζουσιν ἕως Ἱεροσολύμων. τελευτήσαντα δὲ, γῇ θάπτουσι. καὶ διῄεσαν αἱροῦντες τὰς πόλεις. πλείστας τε λαβόντες ἐπολιόρκουν Ἱεροσόλυμα. καὶ τὴν μὲν κάτω λαβόντες σὺν χρόνῳ πάντας ἔκτειναν τοὺς ἐνοικοῦντας. χαλεπὴ δ᾽ ἦν ἡ καθύπερθεν αὐτοῖς αἱρεθῆναι, τειχῶν ὀχυρότητι καὶ φύσει τοῦ πεδίου. ὅθεν μετεστρατοπέδευσαν εἰς Χεβρῶνα, καὶ ταύτην ἑλόντες, κτείνουσιν πάντας. ὑπελείπετο δὲ τὸ τῶν γιγάντων ἔτι γένος, οἳ διὰ σωμάτων μεγέθη, καὶ μορφὰς οὐδὲν τοῖς ἄλλοις ἀνθρώποις παραπλησίας, παράδοξον ἦσαν θέαμα, καὶ δεινὸν ἄκουσμα. δείκνυται δ᾽ ἔτι καὶ νῦν τούτων ὀστᾶ, μηδὲν τοῖς ὑπὸ πίστιν ἐρχομένοις ἐοικότα. καὶ τοῦτο μὲν τοῖς Λευΐταις ἐξαίρετον γέρας ἔδοσαν μετὰ τῶν δισχιλίων πηχῶν. τὴν δὲ γῆν Χαλέβῳ δωρεὰν ἔδοσαν, κατὰ Μωυσέως ἐντολάς. οὗτος δ᾽ ἦν τῶν κατασκόπων εἷς, ὧν ἔπεμψε Μωυσῆς εἰς τὴν Χαναναίαν.

Suum enim fuisse vt priusquam decederet, illos officij commonefaceret. postremò rogauit vt hanc admonitionem boni consulerent, essentque eius perpetuò memores. post hāc concionem naturæ debitum exoluit anno vitæ cētesimo decimo: quorum XL. sub Moyse magistro minister ipsius exegit, & post eius obitum vigintiquinque reipublicæ præfuit, vir incomparabili tum prudentia tum eloquentia, adhæc in re imperatoria fortis & impiger, nec minùs in pace bonus & vtilis: denique in quauis virtute eximius. Sepultus est in oppido Thamna tribus Ephræmitidis. per idem tempus moritur & Eleazarus pontifex, Phineesi hæreditarium relinquens sacerdotium. sepulturæ & eius monumentum impositum extat in vrbe Gabatha. Post horum obitum consultus Phineeses à populo de voluntate Dei, cuiúsnam foret imperium in bello Chananæo, respondit iubere Deū vt Iudæ tribus ductu bellum gererēt, quę mox assumpta Simeonide, his conditionibus rem aggressa est, vt sublatis è sua ditione hostium reliquiis, tum tributariis, in alterius tribus extirpantibus huius generis reliquiis, vicem rependeret.

Cap. II.

Quomodo post mortem Imperatoris Israelitæ neglectis patriis religionibus in extremas calamitates inciderunt, & exorto ciuili bello ex vniuersis Beniamitis DC. tantùm fuer e superstites.

At Chananæi quorum res tum erant satis integræ, cum magno exercitu apud Bezecam vrbem eos expectabāt, ductu loci regis Adonibezeci. id nomen Bezecenorum dominum significat. Adoni enim Hebræorū lingua dominus dicitur. Hi spem victoriæ reponebant in hoc, quòd Iesus Dux Israelitarum esset defunctus. aduersus hos quos dixi, duæ tribus egregiè pugnauerunt: & cæsis decem millibus, dum reliquos fugientes insequuntur, Adonibezecum ceperunt. qui manibus ac pedibus truncatus, agnouit diuinam iustitiam, septuaginta & duos reges antea in hunc modum à se mulctatos confessus. sic affectum detulerunt non longè à Hierosolymis, vbi fato functum terræ mandauerunt. deinde circa oppida bellū circumferebāt: quorum bona parte capta, Hierosolyma sunt adorti. Et capta inferiore eius parte, omnes habitatores terræ contrucidauerunt, at superior natura loci & munitionibus est defensa. quare oppugnatione in Hebronem translata, vrbéque vi capta, in oppidanos omnes sæuitum est. apud hos in eam diem superstites erant quidam è gigantum genere, statura & specie cæteris mortalibus dispares, visu simul & auditu horribiles: quorum ossa adhuc ostenduntur, qualia vix credant qui non viderunt ipsi. Hoc oppidum Leuitis honoris gratia concessum est cum illis duobus cubitorum millibus: reliquum eius agrum Chalebo dono dederunt, iuxta mandatum Moysis. fuerat hic vnus è speculatoribus, quos Moyses in Chananęam pręmiserat.

Iosu.21.

Habita est ratio Iethræ quoque Madianitæ, olim Moysis soceri, cuius posteris ager est attributus, quia relicta patria comites se adiunxerant, & in deserto ærumnarum socij fuerant. expugnatis montanis oppidis, in campestria & maritima descendentes prædictæ duæ tribus Ascalonem & Azotum de Chananæis ceperũt. Euasit autem eos Gaza & Accarõ, quòd in planicie sitæ & abundantes curribus, inuadentes se malè mulctatos facile reiiciebant. Atque ita hæ duæ tribus magnis opibus bello acquisitis domum se receperunt, & arma deposuerunt. Beniamitæ verò in quorum sorte erant Hierosolyma, tributo imposito habitatorib. eius pacem dederunt: & in posterum alteri à cædibus, alteri à periculis feriati, ad culturam agrorum vtrique se contulerunt. Beniamitarum exemplo motæ reliquæ tribus & ipsæ idem fecerunt, & tributis cõtẽti pacem Chananæis dederũt. Ephremi verò tribus cùm assidẽdo Bethelis multo tempore ac labore impẽso nihil proficeret, in cœptis tamen pertinaciter durauit. tãdẽ cõprehẽso vno ciuiũ qui in vrbẽ importabat necessaria, fide data & accepta, & iureiurãdo firmata, intromissos clàm ipsum cũ familia seruaturos proditione eius facti sunt voti compotes: cæsisque reliquis omnibus præter hos quibus salus ex pacto debebatur, ipsi posthac vrbis dominium habuerunt.

VI. Omisso deinde bello Israelitæ omnes agriculturæ tantùm operam dabant: atque ita pace longa emolliti, voluptati magis quàm honestati studebant, disciplinæ ac legum diuinarum immemores. qua iniuria Deus commotus per vatem admonet eos non è sua sententia hosti Chananæo parcere, quamobrem fore vt aliquando per occasionem pro intempestiua clementia crudelitatem eis reponerent. at illis, tametsi territis oraculo, bellum tamen non libebat suscipere, tum quòd multa è Chananæo perciperent commoda, tum quòd ob luxum ad laborem non essent idonei: deprauata iam reipublicæ forma, & autoritate optimatum inualida, dum nec senatus vt antè legitur, nec magistratus solemnes creantur: dúmque relicta cura status publici, omnes priuatis tantum lucris sunt dediti. In tanta licentia perturbatio grauis incidit, & qua mox bellum ciuile exortum est, quod hanc causam habuit. Vir è plebe Leuitica, in Ephræmitarum ditione habitans, duxit vxorem natam in oppido Bethlemis, quod ad tribum Iudæ attinet. hanc cùm vehementer ob formam amaret, parũ respondere in amore ægrè ferebat. hinc orto dissidio, mulier continuas expostulationes non ferens, relicto marito mense quarto ad parentes reuertitur is coactus desiderio, & ipse venit ad soceros, quorum opera missis querelis cum vxore in gratiam reuertitur. eo loci quatuor dies exegit, comiter à puellæ parẽtib. habitus. quinta cũ decreuisset domum repetere, post meridiẽ iter ingreditur. cũctãter enim parẽtes filiã dimiserunt, nec nisi meliore diei parte transacta. comes erat vnus famulus, & mulier vehebatur

Iud. 19.

A διδόασι δὲ καὶ τοῖς ἰέθρου τοῦ μαδιανίτου ἀπογόνοις, μωυσέως γὰρ ἦν γαμβρὸς, γῆν ἵνα νέμοιντο, τὴν γὰρ πατρίδα καταλειπόντες ἠκολουθήκεσαν ἐκείνοις καὶ συνῆσαν αὐτοῖς ἐπὶ τῆς ἐρήμου. ἡ δὲ ἰούδα φυλὴ καὶ σεμεωνὶς, τὰς μὲν κατὰ τὴν ὀρεινὴν τῆς χαναναίας πόλεις εἷλον, τῶν δ' ἐν τῷ πεδίῳ καὶ πρὸς θαλάσσῃ ἀσκάλωνά τε καὶ ἄζωτον. διαφεύγει δ' αὐτοὺς γάζα καὶ ἀκκαρὼν, πεδίων γὰρ ὄντων καὶ πολλῆς ἁρμάτων εὐπορίας κακῶς ἐποίουν τοὺς ἐπελθόντας. B καὶ αἱ δὲ μὲν αἱ φυλαὶ μεγάλως ἐκ τοῦ πολεμεῖν εὐδαιμονήσασαι, ἀνεχώρησαν εἰς τὰς ἑαυτῶν πόλεις, καὶ κατατίθενται τὰ ὅπλα. βενιαμῖται δὲ, τούτων γὰρ ἦν ἱεροσόλυμα, τοῖς οἰκήτορσιν αὐτῆς συνεχώρησαν φόρους τελεῖν. καὶ οὕτως παυσάμενοι πάντες, οἱ μὲν τοῦ κτείνειν, οἱ δὲ κινδυνεύειν, ἐργάζεσθαι τὴν γῆν ἠσχόλουν. τὸ δ' αὐτὸ καὶ αἱ λοιπαὶ φυλαὶ, τοὺς βενιαμίτας μιμησάμεναι ἐποίουν, καὶ τοῖς τελουμένοις ἀρκούμενοι φόροις ἐπέτρεπον τοῖς χαναναίοις ἀπολέμοις εἶναι. ἡ δὲ ἐφραὶμ πολιορκοῦσα βηθηλὰ τέλος οὐδὲν ἄξιον τοῦ χρόνου καὶ τῶν C πόνων ηὕρισκε τῆς πολιορκίας. οἱ δὲ καί περ ἀχθόμενοι, τῇ καθέδρᾳ προσεκαρτέρουν. ἔπειτα συλλαβόντες τινὰ τῶν ἐν τῇ πόλει προσελθόντα ἐπὶ κομιδῇ τῶν ἀναγκαίων, τινὰς πίστεις ἔδοσαν αὐτῷ παραδόντι τὴν πόλιν, σώσειν αὐτόν τε καὶ τοὺς συγγενεῖς αὐτοῦ. κἀκεῖνος ἐπὶ τούτοις ὤμνυε τὴν πόλιν αὐτοῖς ἐγχειρεῖν. καὶ ὁ μὲν οὕτως προδοὺς, σώζεται μετὰ τῶν οἰκείων. οἱ δὲ, ἀποκτείναντες ἅπαντας τοὺς ἐνοικοῦντας, εἶχον τὴν πόλιν. D καὶ μετὰ ταῦτα πρὸς μὲν τοὺς πολεμίους, μαλακῶς εἶχον οἱ ἰσραηλῖται, τῆς δὲ γῆς καὶ τῶν ταύτης ἔργων ἐπεμελοῦντο. τῶν δὲ κατὰ τὸν πλοῦτον αὐτοῖς ἐπιδιδόντων, ὑπὸ τρυφῆς καὶ ἡδονῆς τοῦ κόσμου ὀλιγώρουν, καὶ τῆς πολιτείας τῶν νόμων οὐκέτ' ἦσαν ἀκριβεῖς ἀκροαταί. παροξυνθὲν δ' ἐπὶ τούτοις τὸ θεῖον, ἀναιρεῖ πρῶτον μὲν ὡς φείσαιντο παρὰ τὴν αὐτοῦ γνώμην τῶν χαναναίων. ἔπειθ' ὡς ἐκεῖνοι χρήσαιντο πολλῇ κατ' αὐτῶν ὠμότητι καιροῦ λαβόμενοι. οἱ δὲ, καὶ E πρὸς τὰ παρὰ τοῦ θεοῦ, δυσθύμως εἶχον. καὶ πρὸς τὸ πολεμεῖν, ἀηδῶς, πολλά τε παρὰ τῶν χαναναίων λαβόντες, καὶ πρὸς τοὺς πόνους ἤδη διὰ τὴν τρυφὴν ἐκλελυμένοι. καὶ συνέβαινεν ἤδη τὴν ἀριστοκρατίαν διεφθάρθαι, καὶ τὰς γερουσίας οὐκ ἀπεδείκνυσαν, οὐδ' ἀρχὴν ἄλλην οὐδὲ μίαν τῶν πρότερον νενομισμένων. ἦσαν δὲ ἐν τοῖς ἀγροῖς ἡδονῇ τοῦ κερδαίνειν προσδεδωμένοι. καὶ διὰ τὴν πολλὴν ἄδειαν, στάσις αὐτοὺς πάλιν κατελάμβανε δεινὴ, καὶ προήχθησαν εἰς τὸ πο- F λεμεῖν ἀλλήλοις ἐκ τοιαύτης αἰτίας. λευΐτης ἀνὴρ τῶν δημοτικωτέρων τῆς ἐφραίμου κληρουχίας ὢν, καὶ ἐν ἐκείνῃ κατοικῶν, ἄγεται γύναιον ἀπὸ βηθλεμῶν. τῆς δὲ ἰούδα φυλῆς τοῦτ' ἐστὶ τὸ χωρίον. ἐρῶν δὲ σφόδρα τῆς γυναικὸς, καὶ τοῦ κάλλους αὐτῆς ἡττημένος, ἠτύχει τῶν παρ' ἐκείνης οὐχ ὁμοίων πειρώμενος. ἀλλοτρίως δ' αὐτῆς ἐχούσης, καὶ διὰ τοῦτο μᾶλλον ἐκκαιομένου τῷ πάθει, σκέψεις συνεχεῖς αὐτοῖς ἐγίνοντο. καὶ τέλος, ἡ γυνὴ πρὸς αὐτὰς βαρυνομένη, καταλιποῦσα τὸν ἄνδρα, πρὸς τοὺς γονεῖς παραγίνεται, μηνὶ τετάρτῳ. χαλεπῶς δὲ φέρων ὁ ἀνὴρ ἐπὶ τῷ ἔρωτι, ἧκε πρὸς τοὺς πενθερούς, καὶ διαλυσάμενος τὰς μέμψεις, καταλλάττεται πρὸς αὐτήν. καὶ τέσσαρας μὲν ἡμέρας πρὸς αὐτόθι διαιτᾶται, φιλοφρονουμένων αὐτὸν γονέων. τῇ δὲ πέμπτῃ, δόξαν ἀπιέναι πρὸς αὐτὸν, περὶ δείλην ἔξεισι. βράδιον γὰρ ἀπέλυον οἱ γονεῖς τὴν θυγατέρα, καὶ τῆς ἡμέρας τρίβειν ἐποίουν. θεράπων δ' αὐτοῖς εἷς εἵπετο.

καὶ ὄ-

καὶ ὄνος ἦν αὐτοῖς, ἐφ' ἧς ὠχεῖτο τὸ γύναιον. γινομένων δὲ αὐτῶν κατὰ τὰ Ἱεροσόλυμα, σταδίους δ' ἐληλύθεισαν ἤδη τριάκοντα, συνεβούλευεν ὁ θεράπων καταχθῆναί που, μὴ καί τι καὶ τῆς νυκτὸς αὐτοὺς ὁδεύοντας καταλάβοι δύσκολον, καὶ ταῦτα οὐδὲ πόρρω πολεμίων ὄντας, τοῦ καιροῦ πολλάκις ἐπισφαλῆ καὶ ὕποπτα ποιοῦντος καὶ τὰ φίλα. τῷ δ' οὐκ ἤρεσεν ἡ γνώμη παρ' ἀλλοφύλοις ἀνδράσι ξενοῦσθαι. Χαναναίων γὰρ ἦν ἡ πόλις. ἀλλὰ προελθόντας εἴκοσι στάδια, εἰς οἰκείαν ἠξίου κατάγεσθαι πόλιν. καὶ κρατήσας τῇ γνώμῃ, παρῆν εἰς Γαβᾶν, φυλῆς τῆς Βενιαμίτιδος, ἤδη ὀψίας οὔσης. καὶ μηδενὸς ἐπὶ ξενίαν τῶν κατὰ τὴν ἀγορὰν αὐτὸν παρακαλοῦντος, πρεσβύτης ἐξ ἀγροῦ κατιὼν, τῆς μὲν Ἐφραιμίτιδος φυλῆς ὢν, ἐν δὲ τῇ Γαβᾷ διαιτώμενος, συντυγχάνων αὐτῷ, τίς τε ὢν ἤρετο, καὶ δι' ἃς αἰτίας στελλόμενος σκότους ἤδη τὰ πρὸς τὸ δεῖπνον αὐτῷ λαμβάνοι. ὁ δὲ, Λευίτης μὲν ἔφησεν εἶναι, γύναιον δὲ παρὰ τῶν γονέων ἄγων, πρὸς αὐτὸν ἀπιέναι. τὴν δ' οἴκησιν ἐδήλου τυγχάνειν ἐν τῇ Ἐφραιμίου κληρουχίᾳ. ὁ δὲ πρεσβύτης, καὶ διὰ τὴν συγγένειαν, καὶ διὰ τὸ τὴν αὐτὴν φυλὴν νέμειν, καὶ διὰ τὴν συντυχίαν, παρ' αὐτὸν ξενισθησόμενον ἦγε. νεανίαι δέ τινες τῶν Γαβαηνῶν, ἐπὶ τῆς ἀγορᾶς τὸ γύναιον θεασάμενοι, καὶ τὴν εὐπρέπειαν θαυμάσαντες, ἐπεὶ παρὰ τῷ πρεσβύτῃ κατηγμένην ἔμαθον, καταφρονήσαντες τῆς ἀσθενείας, καὶ τῆς ὀλιγότητος, ἧκον ἐπὶ τὰς θύρας. τοῦ δὲ πρεσβύτου παρακαλοῦντος ἀπαλλάττεσθαι, καὶ μὴ προσφέρειν βίαν μηδὲ ὕβριν, ἠξίουν αὐτὸν παρασχόντα τὴν ξένην, πραγμάτων ἀπηλλάχθαι. ὡς δὲ συγγενῆ τε λέγοντος, καὶ Λευίτην τοῦ πρεσβύτου, καὶ δράσειν αὐτοὺς δεινὰ ὑφ' ἡδονῆς εἰς τοὺς νόμους ἐξαμαρτάνοντας, ὠλιγώρουν τοῦ δικαίου καὶ κατεγέλων, ἠπείλουν δὲ ἀποκτείνειν αὐτὸν, ἐμποδίζοντα ταῖς ἐπιθυμίαις αὐτῶν, εἰς ἀνάγκην περιηγμένος, καὶ μὴ βουλόμενος τοὺς ξένους ὑπεριδεῖν ὑβρισθέντας, τῆς ἑαυτοῦ θυγατρὸς αὐτοῖς παρεχώρει, πληρώσειν τε τὴν ἐπιθυμίαν αὐτοὺς λέγων νομιμώτερον δίχα τῆς εἰς τοὺς ξένους ὕβρεως, αὐτὸς δὲ μηδὲν ἀδικήσειν οὓς ὑπεδέξατο τούτῳ τῷ τρόπῳ νομίζων. ὡς δ' οὐδὲν τῆς σπουδῆς τῆς ἐπὶ τὴν ξένην ἐνεδίδοσαν, ἀλλ' ἐνέκειντο ταύτην παραλαβεῖν ἀξιοῦντες, ὁ μὲν, ἱκέτευε μηδὲν τολμᾶν παράνομον. οἱ δ' ἁρπασάμενοι, καὶ προσθέμενοι μᾶλλον τῷ βιαίῳ τῆς ἡδονῆς, ἀπήγαγον πρὸς αὐτοὺς τὴν γυναῖκα. καὶ δι' ὅλης νυκτὸς ἐμπλησθέντες τῆς ὕβρεως, ἀπέλυσαν περὶ ἀρχομένην ἡμέραν. ἡ δὲ, τεταλαιπωρημένη τοῖς συμβεβηκόσιν παρῆν ἐπὶ τὴν ξενίαν. καὶ ὑπὸ λύπης ὧν ἐπεπόνθει, καὶ τοῦ μὴ τολμᾶν ὑπ' αἰσχύνης εἰς ὄψιν ἐλθεῖν τἀνδρί, τοῦτον γὰρ μάλιστα τοῖς γεγενημένοις ἕξειν ἀνίατον ἐλογίζετο, καταπεσοῦσα, τὴν ψυχὴν ἀφίησιν. ὁ δὲ ἀνὴρ αὐτῆς, οἰόμενος ὕπνῳ βαθεῖ κατασχῆσθαι τὴν γυναῖκα, καὶ μηδὲν σκυθρωπὸν ὑφορώμενος, ἀνεγείρειν ἐπειρᾶτο, παραμυθήσασθαι διεγνωκὼς, ὡς οὐκ ἐξ ἑκουσίου γνώμης αὐτὴν παράσχοι τοῖς καθυβρίσασιν, ἀλλὰ ἁρπασαμένων ἐπὶ τὴν ξενίαν αὐτῶν. ὡς δὲ τελευτήσασαν ἔμαθε, σωφρόνως πρὸς τὸ μέγεθος τῶν κακῶν, ἐπιθέμενος τῷ κτήνει νεκρὰν τὴν γυναῖκα κομίζει πρὸς αὐτόν. καὶ διελὼν αὐτὴν κατὰ μέλος εἰς μέρη δώδεκα, διέπεμψεν εἰς ἑκάστην φυλὴν, ἐντειλάμενος τοῖς κομίζουσι λέγειν τοὺς αἰτίους τῆς τελευτῆς γυναικὶ, καὶ τὴν βίαν ταῖς φυλαῖς. οἱ δὲ ὑπό τε τῆς ὄψεως, καὶ τῆς ἀκοῆς τῶν βεβιασμένων κακῶς διατεθέντες, πρότερον οὐδενὸς τοιούτου πεῖραν εἰληφότες, ὑπ' ὀργῆς ἀκράτου καὶ δικαίας εἰς τὴν Σιλοῦν

A cúmque emenſi triginta ſtadia non longè abeſſent à Hieroſolymis, famulus dabat conſilium vt aliquò diuerterent: ne ſi nox iter facié tes opprimeret, in aliquod incommodum inciderent, præſertim propinquis hoſtibus, cum ſerotina hora etiam amicorum loca ſuſpecta facere ſoleat. marito non placuit alienigenarũ vti hoſpitio. nam Chananæi tum vrbem tenebant, malebátque progreſſus viginti ſtadia ad B ſui generis homines diuertere. in hoc conſentientibus omnibus, peruenit in Gabam tribus Beniamitidis ſerò admodum, cúmque in foro inueniret neminem qui ſe inuitaret ad hoſpitium, ſenex quidam è rure domum repetens, Ephræmita genere, ſed Gabæ habitans, caſu repertum interrogat, quiſnam ſit, & cur crepuſculo demum cœnam è foro peteret. ille ſe Leuitam ait, & vxorem à parentibus domum reducere, & in Ephræmitarum ditione ſe habere domicilium. Tum ſenex reſpectu cognationis C ac tribus, & quod fortè oblatus hoſpes viſus eſt, ad ſe deducit hominem. Gabaeni verò quidam iuuenes qui mulierculam in foro viderant, mirati eius formam, poſtquam ad ſenem illum diuertiſſe cognouerunt, contempta imbecillitate & ſolitudine, venerunt ad ianuam: rogantéque ſene vt abirent, & vim abſtinerent ac iniuriam, poſtulabant vt exhibita hoſpita quieti ſuæ cóſuleret. cúmque ille contrà diceret cognatam eſſe, & Leuitidem, peccaturos eos grauiter, ſi D propter voluptatem leges violarent, iuuenéſque iura contemnerent ac deriderent, cædem minantes ſi obſtare libidini eorum pergeret, ſenex ait ſe filiam eis permittere, vt ſaluo hoſpitali iure cupiditatem explerent, volens quantũ in ſe erat tutos ab iniuria præſtare, quos exceperat. illis verò pertinaciter hoſpitam expetentibus, & hãc omnino accipere volentibus, ſupplex orabat ne quid contra leges committerét: E at illi furétes vi raptam mulierem domum abducunt, cúmque ei per totam noctem ad ſatietatem illuſiſſent, diluculo dimiſerunt: quæ ita miſerè affecta ad hoſpitium reuertitur: & præ nimio dolore ac verecundia, non audens in mariti conſpectum venire, quòd hũc indigniſſimè rem laturum putaret humi collapſa expirauit. Leuita ratus ſopore oppreſſam, & nihil grauiùs ſuſpicans, excitare conabatur: conſolaturus eo quòd non ſponte ſe ad ſtuprum præbuiſſet, ſed vi in alienas ædes abrepta. vt verò F defuncta ſenſit, ſatis prudenter pro calamitatis magnitudine ſe gerens, cadauer iumento impoſitum domum reportat: & membratim diuiſum in partes duodecim, ad ſingulas tribus miſit, mandans perferentibus, vt indicarent per tribus qui mulieri cauſa mortis fuerint, & de eorum violentia. Tum verò illi nunquam tali *Iud. 20.* antè viſo vel audito ſpectaculo ad indignatioñe grauiter cõmoti, & iuſto furore perciti apud

conuentum faciunt,& congregati ante tabernaculum,Gabaenos hostiliter armis impetere decernunt.Hunc impetum senatus cohibuit, ſuadens non ita temere cognatis bellum inferendum,priusquam verbis agerent de criminibus:quando ne in exteros quidem ob iniuriam acceptam armari leges permittunt, niſi legatis prius de ſatisfactione miſſis.rectum igitur eſſe adGabaenos mittere qui ſontes ad ſupplicium depoſcant:qui ſi dedantur,horum pœna contentos eſſe debere.ſin contumaces fuerint,bello in eos vindicandum.Itaque mittuntur ad Gabaenos accuſaturi eos iuuenes qui vim pudicitiæ mulieris intulerant, & poſtulaturi vt pro violatis legibus morte iuſtas pœnas dependerent.Gabaeni verò non dediderunt iuuenes,arbitrati ſibi pudendum ſi alienis imperatis metu belli parerent,cùm multitudine ac virtute nulli ſe cedere videri vellent: eratque magnus apparatus totius tribus,cùm cæteri nō defuturos ſe promitterent, ſi quis eos vi & armis aggredi vellet. Quę poſtquàm Iſraelitis à Gabaenis renuntiata ſunt,iureiurando ſanciūt, neminem ex ſuis viro Beniamitæ filiam traditurum in coniugem:& acriore bello perſecuturos ſe eam tribum,quàm maiores eorum Chananæos perſecuti ſint.Et confeſtim eduxerunt contra eos exercitum quadringentorum millium armatorum. Beniamitæ verò habuerunt vigintiquinque armatorum millia, & inſuper ſexcentos.ex eo numero fuere quingēti funditores peritiſſimi,qui læua manu feriebant. itaque commiſſo apud Gabam prælio,egregiè vicêre Beniamitæ, cæſis ex aduerſa acie viginti duobus millibus.& fortaſſe plures cecidiſſent, niſi nox prælium diremiſſet.atque itaBeniamitæ læti ſe intra mœnia receperunt,Iſraelitę verò in caſtra inſperata clade attoniti. Sequenti die prælium inſtauratur,& Beniamitis rurſum vincentibus,decemocto millia cadunt ex parte Iſraelitarum,quo factum eſt vt caſtra metu deſererent,profectique Bethela,quæ vrbs non lōge aberat,poſtridie ieiunio peracto ſupplicauerunt Deo per Phineeſem pontificem vt ab ira deſiſteret,& contentus duabus cladibus victoriam & robur contra hoſtem concederet.Deus verò precibus eorum annuit,& per eūdem vatem fauorem eſt pollicitus.Ergo diuiſis bifariā copiis,dimidiam partem noctu circa vrbem in inſidiis collocant, reliqua in aciem producta cùm Beniamitis manus conſerunt,móxque vt impares paulatim pedem referunt. eo magis Beniamitę inſtant ſponte cedentibus quo longius hoſtem ab vrbe abſtraherent, ita vt etiam illi qui in vrbe propter ætatem imbellem relicti fuerant , procurrerent quaſi prædæ futuri ſocij.poſtquam autem ſatis longè à mœnibus diſceſſum eſt, Hebręi reuerſi in pugnā ſignum dant inſidiatoribus: qui mox coorti cum clamore hoſtem à tergo inuadunt. Senſerunt illi ſe deceptos,& cùm conſilium in ancipiti metu non ſuppeteret,in conuallem quādam cōpulſi,

A

συλλεγέντες, καὶ πρὸ τῆς σκηνῆς ἀθροισθέντες, εἰς ὅπλα χωρεῖν εὐθὺς ὥρμηντο, καὶ χρήσασθαι τοῖς γαβαηνοῖς, ὡς πολεμίοις. ἐπέσχε δ' αὐτοὺς ἡ γερουσία, πείσασα μὴ δεῖν ὀξέως οὕτως πρὸς τοὺς ὁμοφύλους ἐκφέρειν πόλεμον, πρὶν ἢ λόγοις διαλεχθῆναι περὶ τῶν ἐγκλημάτων, τοῦ νόμου μηδ' ἐπὶ τοὺς ἀλλοτρίους ἐφιέντος δίχα πρεσβείας καὶ τοιαύτης πρὸς τὸ μετανοῆσαι πείρας, τοὺς δόξαντας ἀδικεῖσθαι στρατιὰν ἀναγαγεῖν. καλῶς οὖν ἔχειν τῷ νόμῳ πειθομένους

B

πέμψας πρὸς τοὺς γαβαηνοὺς ἐξαιτοῦντας τοὺς αἰτίους. καὶ παρεχομένων μὲν, ἀρκεῖσθαι τῇ τούτων κολάσει. καταφρονησάντων δὲ, τότε τοῖς ὅπλοις αὐτοὺς ἀμύνασθαι. πέμπουσιν οὖν πρὸς τοὺς γαβαηνοὺς κατηγοροῦντες τῶν νεανίσκων τὰ περὶ τὴν γυναῖκα, καὶ πρὸς τιμωρίαν αἰτοῦντες τοὺς δράσαντας μὲν οὐ νόμιμα, γενομένους δὲ δικαίους, ἀντ' αὐτῶν ἐκείνων ἀποθανεῖν. οἱ δὲ γαβαηνοὶ, οὔτε τοὺς νεανίσκους ἐξέδοσαν, καὶ δεινὸν ἀλλοτρίοις ὑπακούειν προστάγμασιν

C

ἡγοῦντο πολέμου φόβῳ, μηδενὸς ἀξιοῦντες εἶναι χείρους ἐν τοῖς ὅπλοις, μήτε διὰ τὸ πλῆθος, μήτε δι' εὐψυχίαν. ἦσαν δὲ ἐν παρασκευῇ μεγάλῃ καὶ τῶν ἄλλων φυλετῶν. συναπενοήθησαν γὰρ αὐτοῖς ὡς ἀμυνούμενοι βιαζομένους. ὡς δὲ ταῦτα ἠγγέλθη τοῖς ἰσραηλίταις τὰ παρὰ τῶν γαβαηνῶν, ὅρκοις ποιοῦνται μηδένα σφῶν ἀνδρὶ βενιαμίτῃ δώσειν πρὸς γάμον θυγατέρα, στρατεύσειν τε ἐπ' αὐτοὺς μᾶλλον αὐτοῖς δι' ὀργῆς ὄντας, ἢ τοῖς χαναναίοις τοὺς προγόνους ἡ-

D

μῶν παρειλήφαμεν γενομένους. παραχρῆμά τε ἐξῆγον ἐπ' αὐτοὺς τὸ στρατόπεδον μυριάδας τεσσαράκοντα ὁπλιτῶν. βενιαμιτῶν δ' ὁπλιτῶν δισμυρίων καὶ πεντακισχιλίων καὶ ἑξακοσίων. ὧν ἦσαν εἰς πεντακοσίους ταῖς λαιαῖς τῶν χειρῶν σφενδονᾶν ἄριστοι. ὥστε καὶ μάχης πρὸς τῇ γαβᾷ γενομένης, τρέπουσιν οἱ βενιαμῖται τοὺς ἰσραηλίτας, ἄνδρες τε πίπτουσιν αὐτῶν εἰς δισμυρίους καὶ δισχιλίους. ἐφθάρησαν δὲ ἴσως ἂν καὶ πλείο-

E

νες, εἰ μὴ νὺξ αὐτοὺς ἐπέσχε καὶ διέλυσε μαχομένους. καὶ οἱ μὲν βενιαμῖται, χαίροντες ἀνεχώρουν εἰς τὴν πόλιν, οἱ δ' ἰσραηλῖται καταπεπληγότες ὑπὸ τῆς ἥττης εἰς τὸ στρατόπεδον. τῇ δ' ἐπιούσῃ πάλιν συμβαλόντων, οἱ βενιαμῖται κρατοῦσι, καὶ θνήσκουσι τῶν ἰσραηλιτῶν ὀκτακισχίλιοι καὶ μύριοι. καὶ δείσαντες τὸν φόβον ἐξέλιπον τὸ στρατόπεδον. παραγενόμενοι δὲ εἰς βεθήλα πόλιν ἔγγιστα κειμένην, καὶ νηστεύσαντες κατὰ τὴν ὑστεραίαν τὸν θεὸν ἱκέτευον διὰ φινεέσου τοῦ ἀρχιερέως παύσασθαι τῆς

F

ὀργῆς τῆς πρὸς αὐτούς. καὶ ταῖς δυσὶν αὐτῶν ἥτταις ἀρκεσθέντα, δοῦναι νίκην καὶ κράτος κατὰ τῶν πολεμίων. ὁ δὲ θεὸς ἐπαγγέλλεται ταῦτα διὰ φινεέσου προφητεύσαντος. ποιήσαντες οὖν τὴν στρατιὰν δύο μέρη, τὴν ἡμισείαν προλοχίζουσι νυκτὸς περὶ τὴν πόλιν. οἱ δ' ἡμίσεις, συνέβαλλον τοῖς βενιαμίταις, ὑπεχώρουν τε ἐγκειμένων. καὶ ἐδίωκον οἱ βενιαμῖται τῶν ἑβραίων ὑποφευγόντων ἠρέμα, καὶ ἐπὶ πολὺ θελόντων εἰς ἅπαν αὐτοὺς ἐξελθεῖν, ἀναχωροῦσιν ἑπόμενοι, ὡς καὶ τοὺς ἐν τῇ πόλει πρεσβύτας καὶ νέους ὑπολειφθέντας δι' ἀσθένειαν συνεκδραμεῖν αὐτοῖς πάντας βουλομένους χειρώσασθαι τοὺς πολεμίους. ὡς δὲ πολὺ τῆς πόλεως ἀπέσχον, ἐπαύσαντο μὲν φεύγοντες οἱ ἑβραῖοι. ἐπιστραφέντες δ' ἵστανται εἰς μάχην, καὶ τοῖς ἐν ταῖς ἐνέδραις οὖσι τὸ σημεῖον αἴρουσιν ὃ συνέκειτο. οἱ δ' ἐξαναστάντες, μετὰ βοῆς ἐπίεσαν τοῖς πολεμίοις. οἱ δὲ, ἅμα τε αὐτοὺς ἠπατημένους ᾔσθοντο, καὶ ἐν ἀμηχανίᾳ συνεστήκεσαν. καὶ εἴς τι κοῖλον συνελασθέντες καὶ φαραγγῶδες χωρίον,

περι-

περιστάντες κατηκόντισαν, ὥς τε πάντας διαφθαρῆναι πλὴν ἑξακοσίων. οὗτοι δὲ συστραφέντες καὶ πυκνώσαντες ἑαυτοὺς, καὶ διὰ μέσων ὠσάμενοι τῶν πολεμίων, ἔφυγον ἐπὶ τὰ πλησίον ὄρη, καὶ κατασχόντες ἱδρύθησαν. οἱ δ᾽ ἄλλοι πάντες περὶ δισμυρίους ὄντες, καὶ πεντακισχιλίους ἀπέθανον. οἱ δὲ ἰσραηλῖται, τήν τε γαβὰν ἐμπιπρᾶσαν, καὶ τάς τε γυναῖκας καὶ τῶν ἀρρένων τοὺς μὴ ἐν ἀκμῇ διεχρήσαντο. τάς τε ἄλλας τῶν βενιαμιτῶν πόλεις ταῦτα δρῶσιν, οὕτως ἦσαν παρωξυσμένοι, καὶ ἰάβισον τῆς γαλαδίτιδος οὖσαν, ὅτι μὴ συμμαχήσειεν αὐτοῖς κατὰ τῶν βενιαμιτῶν, πέμψαντες μυρίους καὶ δισχιλίους ἐκ τῶν τάξεων ἐκέλευσαν ἀνελεῖν, καὶ φονεύουσι τὸ μάχιμον τῆς πόλεως οἱ πεμφθέντες σὺν τέκνοις καὶ γυναιξὶ, πλὴν τετρακοσίων παρθένων. ἐπὶ τοσοῦτον ὑπ᾽ ὀργῆς προήχθησαν τῷ κατὰ τὴν γυναῖκα πάθει προσλαβόντες καὶ τὸ κατὰ τὴν αἵρεσιν τῶν ὁπλιτῶν. μετάνοια δ᾽ αὐτοὺς λαμβάνει τῆς τῶν βενιαμιτῶν συμφορᾶς. καὶ νηστείαν ἐπ᾽ αὐτοῖς προέθεντο, καίτοι δίκαια παθεῖν αὐτοὺς ἀξιοῦντες εἰς τοὺς νόμους ἐξαμαρτάνοντας. καὶ τοὺς διαφυγόντας αὐτῶν ἑξακοσίους, διὰ πρεσβευτῶν ἐκάλουν. καθίδρυντο δὲ ἐπὶ πέτρας τινὸς ῥοᾶς καλουμένης, κατὰ τὴν ἔρημον. οἱ δὲ πρέσβεις, ὡς οὐκ ἐκείνοις τῆς συμφορᾶς μόνοις γεγενημένης, ἀλλὰ καὶ αὐτοῖς τῶν συγγενῶν ἀπολωλότων, ὀδυρόμενοι, πράως ἔπειθον φέρειν, καὶ συνελθεῖν εἰς ταυτὸ, καὶ μὴ παντελῆ τῆς βενιαμίτιδος φυλῆς ὄλεθρον τό γε ἐπ᾽ αὐτοῖς καταψηφίσασθαι. συγχωροῦμεν δὲ ὑμῖν ἔλεγον, τὴν ἁπάσης τῆς φυλῆς γῆν, καὶ λείαν ὅσην ἀπάγειν δυνηθεῖτε. οἱ δὲ τῶν καθ᾽ ἑαυτοὺς θεοῦ ψήφῳ γεγονότων κατ᾽ ἀδικίαν τὴν αὐτῶν γνωσιμαχήσαντες, κατῄεσαν εἰς τὴν πάτριον φυλὴν, πειθόμενοι τοῖς προσκαλουμένοις. οἱ δ᾽ ἰσραηλῖται γυναῖκας αὐτοῖς τετρακοσίας ἔδοσαν παρθένους τὰς ἰαβίτιδας. περὶ δὲ τῶν διακοσίων ἐσκόπουν ὅπως κἀκεῖνοι γυναικῶν εὐπορήσαντες, παιδοποιῶνται. γεγενημένων δ᾽ αὐτοῖς ὅρκων ὥς τε μηδενὶ βενιαμίτῃ συνοικῆσαι θυγατέρα πρὸ τοῦ πολέμου, οἱ μὲν ὀλιγωρεῖν συνεβούλευον τῶν ὀμωμοσμένων ὡς ὑπ᾽ ὀργῆς ὀμωμόσαντες οὐ γνώμῃ καὶ κρίσει, τῷ θεῷ μηδὲν ἐναντίον ποιήσειν εἰ φυλὴν ὅλην κινδυνεύσασαν ἀπολέσθαι σῶσαι δυνηθεῖεν, τάς τε ἐπιορκίας οὐχ ὅταν ὑπὸ ἀνάγκης γένωνται, χαλεπὰς εἶναι καὶ ἐπισφαλεῖς, ἀλλ᾽ ὅταν ἐν κακουργίᾳ τολμηθῶσι. τῆς δὲ γερουσίας πρὸς τὸ τῆς ἐπιορκίας ὄνομα σχετλιασάσης, ἔφη τις τούτοις γυναικῶν εὐπορίαν ἔχειν εἰπεῖν καὶ τηρήσειν τὸν ὅρκον. ἐρομένων δὲ τὴν ἐπίνοιαν, ἡμῖν, εἶπε, τρὶς τοῦ ἔτους εἰς σιλὼ συνιοῦσιν ἕπονται κατὰ πανήγυριν αἱ γυναῖκες καὶ αἱ θυγατέρες. τούτων κατὰ ἁρπαγὴν ἐφείσθω γαμεῖν βενιαμίταις ἃς ἂν δυνηθεῖεν, ἡμῶν οὔτε προτρεπομένων οὔτε κωλυόντων. πρὸς δὲ τοὺς πατέρας αὐτῶν δυσχεραίνοντας, καὶ τιμωρίαν λαμβάνειν ἀξιοῦντας, φήσομεν αὐτοὺς αἰτίους φυλακῆς ἀμελήσαντας τῶν θυγατέρων. ὅτι τε δεῖ τῆς ὀργῆς ἐπὶ βενιαμίτας ἐφεῖναι χρησαμένους αὐτῇ καὶ θᾶττον ἀμέτρως. καὶ οἱ μὲν τούτοις πεισθέντες, ψηφίζονται τὸν διὰ τῆς ἁρπαγῆς γάμον τοῖς βενιαμίταις. ἐνστάσης δὲ τῆς ἑορτῆς, οἱ μὲν διακόσιοι, κατὰ δύο καὶ τρεῖς πρὸ τῆς πόλεως ἐνήδρευον παρεσομένας τὰς παρθένους ἔν τε ἀμπελῶσι καὶ χωρίοις ἐν οἷς λήσειν ἔμελλον.

A circundatis expeditioribus qui eminus pugnare assueuerant, telis ferarum in morem sunt cõfixi. Sexcenti tantùm euaserunt incolumes: qui conglobati & facto cuneo, ferociter per medios hostes eruperent: & in montem quendam fuga delati natura loci se tutati sunt. reliqui omnes ceciderunt, numero circiter vigintiquinque millia. Israelitæ verò Gabam incenderunt, & mulieres atque impuberes contrucidauerunt. pari modo & in alias Beniamitarum vrbes sæuitum est: adeóque indignatio iusta B eos efferauerat, vt ad expugnandam etiam Iabisum Galaditidis vrbem quæ auxilium contra Beniamitas negauerat, duodecim selecta millia mitterent. qui potiti vrbe occiderunt tam viros quàm mulieres & pueros, seruatis tantùm quadringentis virginibus. Tantus erat dolor ac furor ob perpetratum in mulierem scelus, recentibus etiam cladibus exasperatus. qui postquam resedit, subsecuta est pœnitentia dum vna se tribu diminutos reputát. & quamuis iustis armis oppressos censerent, vt qui cõ C tra leges diuinas peccauerant, ieiunium tamen indixerunt ob eorum exitium. Sexcentos quoque illos qui effugerant, missis legatis reuocát. hi petram quandam, quæ Rhoa dicitur, in deserto occupauerant. Legati verò apud illos tam ipsorum quàm suam cladem conquesti, quod infectum esse non poterat, suaserunt æquo ferrent animo, & ad sui generis reliquos aggregarentur, néve quantum in se esset, vniuersam tribum Beniamiticam irent perditum. Licere enim illis pace sua tribus totius agros D recipere, & prædam insuper quantam possent abigere. At illi agnoscentes suam iniustitiam iusto Dei iudicio damnatam, reuersi sunt in suæ tribus ditionem, parentes suorum hortatibus. Israelitæ verò dederunt eis in vxores quadringentas illas virgines Iabiticas. de reliquis verò deliberabant vnde illis vxores ad sufficiẽdam prolem parari possent. cùm enim ante initium belli iureiurando cautum esset ne quis filiam in Beniamiticam tribum elocaret, non deerantqui negligendum id sacramentum con E sulerent, quòd ab ira profectum esset, non à iudicio. Nõ ingratam rem Deo fore si quomodo prouideatur, ne integra tribus pereat: & periuria non quando necessariò fiunt periculosa esse ac grauia, sed cum ausu malitioso committuntur. Cùm verò senatus succlamatione periurij mentionem abominaretur, extitit quidam qui diceret habere se consilium, quomodo saluo iureiurando Beniamitis vxores possent contingere. Proferre deinde id à senatu iussus: Singulis, inquit, annis nobis mos est apud Siluntem F ad celebritatem conuenire, in quo comitatu sequuntur & coniuges & filiæ. Harum quotquot potuerint rapere Beniamitis impune sit vobis nec iubentibus nec prohibentibus. quod si patres earum ægrè tulerint, & vindictam postulauerint, dicem⁹ ipsos in culpa esse, qui filias negligẽter custodiuerĩt: & ꝙ nõ oportet iræ in Bẽiamitas nimis indulgere, qua iá antè plus satis cõtra cõsãguineos sint vsi. In hãc sẽtentiam concessum est, decretúmq. vt liceat Beniamitis vxores rapto quærere. Instãte autẽ festo ducẽti illi bini trinive ante vrbẽ insidiabãtur aduẽtãtibus virginib. inter vineta & per alias latebras.

Iud. xx.

illę verò nihil suspicantes lusitando securè iter faciebant. iuuenes autem coorti dispersas corripiebant: atque hoc pacto quæsitis nuptiis, agriculturæ insudantes, dederunt operam vt ad pristinam felicitatem aliquādo redire possent. Quo factum est vt Beniamitarum tribus, quæ minimum ab internecione abfuit, prudēti hoc Israelitarum consilio seruaretur: móxque magnis incrementis tam numero quàm opibus est aucta. Hic finis fuit belli Beniamitici. Nec felicior per idem tempus fuit Daniana tribus, tali fortuna vsa. Israelitis iam desuetis armorum exercitio, & in colendis agris tantùm occupatis Chananæi in contemptum gentis collegerunt copias: non quòd sibi timerēt, sed vt illata Hebræis aliqua memorabili clade, securiùs in posterum suas vrbes habitarent. & coniuratione facta, magnóque numero peditum armato, adiūctis etiam curribus, Ascalonem & Accaronē in sorte Iudæ sitas in partes suas traxerunt, & alias plerasque campestres ciuitates: ita vt Danitæ in montana compellerentur, ne pedē quidem vbi ponerent in campestribus habentes. qui cùm nec bello essent pares, nec pro numero satis agrorū haberent, miserūt ex suis quinque viros in mediterranea, dispecturos nunquem locum inuenirent deducendis colonis idoneum. illi à campo magno Sidonis iter vnius diei progressi, non longè à Libano & minoris Iordanis fontibus inuento agro bono ac fertili, rem totam suis renuntiant. qui mox cum exercitu illo profecti condiderunt vrbem Dana, cognominem vni è Iacobi filiis, & à sua tribu denominatam. Israelitarum autem res in deterius prolabebantur, quòd neque ad laborē se exercerent, neque pietatem colerent. luxato enim reip. statu, magna liēntia pro suo quisque libito viuebat, vt domestica Chanæorum vitia iam totam gentem impunè inundarent.

VIII. *Iud.* 18.

Cap. III.

Quomodo propter impietatem in Aßyriorum seruitutem à Deo populus Israëlitarum est traditus.

Iud. 3.

HAnc ob rem irato Deo, felicitas populi multis laboribus acquisita, per luxum ac voluptatem breui disperiit. Bello enim à Chusarte rege Assyriorum petiti, & in acie multos amiserunt, & oppidatim infestati, aut vi aut deditione in potestatem eius venerunt. Tributis deinde iniquioribus grauati, & alias varias iniurias ferre sunt coacti per annos octo, quibus exactis in hunc modum sunt libertati restituti.

Cap. IV.

Libertas per Cenizum reddita.

Ibid.

ERat in tribu Iudæ Cenizus vir industrius & magnanimus, hic oraculo monitus ne pateretur Israelitas diutius tales miserias perferre, sed vt ad audendum pro libertate accenderetur, ascitis paucis quibusdam periculorum sociis, quos pręsentis status tædebat, & mutatū

A αἱ δὲ μετὰ παιδιᾶς οὐδὲν ὑφορώμεναι δὴ εἶναι τῶν μελλόντων ἀφυλάκτως ὥδευον. οἱ δὲ σκεδασθεισῶν εἵχοντο ἐξαναστάντες. καὶ οὗτοι μὲν οὕτως γαμήσαντες, ἐπ' ἔργα τῆς γῆς ἐχώρησαν, καὶ πρόνοιαν ἐποιήσαντο πάλιν εἰς τὴν προτέραν εὐδαιμονίαν ἐπανελθεῖν. βενιαμιτῶν μὲν οὖν ἡ φυλὴ κινδυνεύσασα τελέως ἐκφθαρῆναι, τῷ προειρημένῳ τρόπῳ κατὰ τὴν ἰσραηλιτῶν σοφίαν σώζεται. ἤνθησέ τε παραχρῆμα, καὶ ταχεῖαν εἴς τε τὸ πλῆθος καὶ τὰ ἄλλα πάντα ἐποιήσατο τὴν ἐπίδοσιν. οὗτος μὲν οὖν ὁ πόλεμος, οὕτως παύεται. ὅμοια δὲ τούτοις παθεῖν καὶ τὴν δανιτῶν συνέβη φυλὴν, ἐξ αἰτίας τοιαύτης εἰς τοῦτο προαχθεῖσαν. τῶν ἰσραηλιτῶν ἐκλελοιπότων ἤδη τὴν ἐν τοῖς πολέμοις ἄσκησιν καὶ πρὸς τοῖς ἔργοις ὄντων τῆς γῆς, χαναναῖοι καταφρονήσαντες αὐτῶν, συνεποιήσαντο δύναμιν. οὐδὲν μὲν αὐτοὶ πείσεσθαι προσδοκῶντες, ὡς δὲ βεβαίαν τοῦ ποιήσειν κακῶς τοὺς ἑβραίους ἐλπίδα λαβόντες, ἐπ' ἀδείας λοιπὸν οἰκεῖν τὰς πόλεις ἠξίουν. ἅρματά τε συμ-

C παρεσκευάζοντο, καὶ τὸ ὁπλιτικὸν συνεκρότουν. αἵ τε πόλεις αὐτῶν συνεφρόνουν, καὶ τῆς ἰούδα φυλῆς τὴν ἀσκάλωνα καὶ ἀκκάρωνα παρεσπάσαντο, ἄλλας τε πολλὰς τῶν ἐν τῷ πεδίῳ. καὶ δανίτας εἰς τὸ ὄρος ἠνάγκασαν συμφυγεῖν, οὐδὲ ὀλίγον αὐτοῖς ἐπίβασιν τοῦ πεδίου καταλιπόντες. οἱ δ' οὔτε πολεμεῖν ὄντες ἱκανοὶ, γῆν τε οὐκ ἔχοντες ἀρκοῦσαν, πέμπουσιν ἐξ αὐτῶν πέντε ἄνδρας εἰς τὴν μεσόγειον, κατοψομένους γῆν, εἰς ἣν μετοικήσαιντο. οἱ δ' οὐ πόῤῥω τοῦ λιβάνου ὄρους καὶ

D ἐλάσσονος ἰορδάνου τῶν πηγῶν κατὰ τὸ μέγα πεδίον σιδῶνος πόλεως ὁδὸν ἡμέρας μιᾶς προελθόντες, καὶ κατασκεψάμενοι γῆν ἀγαθὴν καὶ πάμφορον, σημαίνουσι τοῖς αὐτῶν. οἱ δ' ὁρμηθέντες στρατῷ κτίζουσιν αὐτόθι πόλιν δάνα, ὁμώνυμον τῷ ἰακώβου παιδὶ, φυλῆς δ' ἐπώνυμον τῆς αὐτῶν. τοῖς δ' ἰσραηλίταις προὔβαινεν ὑπό τε ἀπειρίας τοῦ πονεῖν τὰ κακὰ, καὶ ὑπὸ τῆς περὶ τὸ θεῖον ὀλιγωρίας. μετακινηθέντες γὰρ ἅπαξ τοῦ

E κόσμου τῆς πολιτείας, ἐφ' ἕτερον τὸ πρὸς τὸ καθ' ἡδονὴν καὶ βούλησιν ἰδίαν ἐβίουν, ὡς καὶ τῶν ἐπιχωριαζόντων παρὰ τοῖς χαναναίοις ἀναπίμπλασθαι κακῶν.

Κεφάλαιον γ'.

Πῶς μετὰ ταύτην τὴν κακοπραγίαν ἀσεβήσαντας αὐτοὺς ὁ θεὸς ἀσσυρίοις ἐδούλωσεν.

ΟΡγίζεται τοίνυν αὐτοῖς θεός. καὶ ἣν σὺν πόνοις μυρίοις εὐδαιμονίαν ἐκτήσαντο, ταύτην ἀπέβαλον διὰ τρυφήν. στρατεύσαντος γὰρ ἐπ' αὐτοὺς χουσάρθου τοῦ τῶν ἀσσυρίων βασιλέως πολλούς τε τῶν

F παραταξαμένων ἀπώλεσαν, καὶ πολιορκούμενοι κατὰ κράτος ᾑρέθησαν. εἰσὶ δ' οἳ διὰ φόβον ἑκουσίως αὐτῷ προσεχώρησαν, φόρους τε τοῦ δυνατοῦ μείζονας ἐπιταχθέντες ἐτέλουν, καὶ ὕβρεις παντοίας ὑπέμενον, ἕως ἐτῶν ὀκτὼ μεθ' ἃ τῶν κακῶν ἔπως ἠλευθερώθησαν.

Κεφάλαιον δ'.

Η διὰ κενίζου αὐτοῖς ἐλευθερία γινομένη.

G ΤΗς ἰούδα φυλῆς τις, κενίαζος ὄνομα, δραστήριος ἀνὴρ, καὶ τὸ φρόνημα γενναῖος, χρησθὲν αὐτῷ μὴ περιορᾶν ἐν τοιαύτῃ τοὺς ἰσραηλίτας ἀνάγκῃ κειμένους, ἀλλ' εἰς ἐλευθερίαν αὐτοὺς ἐξαιρεῖσθαι τολμᾶν, παρασκευασάμενος συλλαμβάνεσθαι τοῦ κινδύνου τινὰς αὐτῷ (ὀλί-

(ὀλίγοι δ᾽ ἦσαν, οἷς αἰδὼς ἐπὶ τοῖς παροῦσιν ἐτύγχανε καὶ προθυμία μεταβολῆς) πρῶτον μὲν τὴν παρ᾽ αὐτοῖς οὖσαν φρουρὰν τοῦ χουσάρθου διαφθείρει. προσγινομένων δὲ πλειόνων τῶν συναγωνιζομένων, ἐκ τοῦ μὴ διαμαρτεῖν περὶ τὰ πρῶτα τῆς ἐπιχειρήσεως, μάχην τοῖς ἀσσυρίοις συνάπτουσι. καὶ πρὸς τὸ παντελὲς αὐτοὺς ἀπωσάμενοι, περαιοῦσθαι τὸν εὐφράτην ἐβιάζοντο. κενίαζος δὲ, ὡς ἔργῳ πεῖραν αὐτοῦ, λαμβάνει παρὰ τοῦ πλήθους ἀρχὴν, ὥστε κρίνειν τὸν λαόν. καὶ ἄρξας ἐπ᾽ ἔτη τεσσαράκοντα, καταστρέφει τὸν βίον.

Κεφάλαιον έ.

Ὅτι πάλιν ὁ λαὸς ἐδούλευσε μωαβίταις, καὶ ὑπὸ ἰούδου τῆς δουλείας ἀπηλλάγη.

Τελευτήσαντος δὲ αὐτοῦ πάλιν τὰ τῶν ἰσραηλιτῶν ὑπὸ ἀναρχίας ἐνόσει πράγματα. καὶ τῷ μὴ διὰ τιμῆς ἄγειν τὸν θεὸν μηδὲ τοῖς νόμοις ὑπακούειν, ἔτι μᾶλλον ἐκακοῦντο, ὡς καταφρονήσαντα αὐτῶν τῆς ἀκοσμίας τῆς κατὰ τὴν πολιτείαν, ἔγλωνα τῶν μωαβιτῶν βασιλέα, πόλεμον πρὸς αὐτοὺς ἐξενεγκεῖν. καὶ πολλαῖς μάχαις αὐτῶν κρατήσαντα, καὶ τοῖς φρονήμασι τῶν ἄλλων διαφέροντα, ὑποτάξαντα πρὸς τὸ παντελὲς αὐτῶν τὴν δύναμιν ταπεινῶσαι, καὶ φόρους αὐτοῖς ἐπιτάξαι τελεῖν. καθιδρύσας δ᾽ αὐτῷ ἐν ἱεριχοῦντι βασίλειον, οὐδὲν τῆς εἰς τὸ πλῆθος κακώσεως παρέλειπεν. εἰς τε πενίαν αὐτοὺς κατέστησεν, ἐπὶ ὀκτωκαίδεκα ἔτη. λαβὼν δ᾽ οἶκτον ὁ θεὸς τῶν ἐφ᾽ οἷς ἔπασχον, καὶ ταῖς ἱκεσίαις αὐτῶν ἐπικλασθεὶς, ἀπήλλαξε τῆς ἐπὶ τοῖς μωαβίταις ὕβρεως. ἠλευθέρωσε δὲ τῷ τρόπῳ τούτῳ. τῆς βενιαμίτιδος φυλῆς νεανίας, ἰούδης μὲν τοὔνομα, γήρα τε παῖς, τολμῆσαί τε ἀνδριότατος, καὶ τῷ σώματι πρὸς τὰ ἔργα χρῆσθαι δυνατώτατος, τῶν χειρῶν τὴν ἀριστερὰν ἀμείνων, καὶ ἀπ᾽ ἐκείνης τὴν πᾶσαν ἰσχὺν ἔχων, κατῴκει μὲν ἐν ἱεριχοῦντι καὶ αὐτός. συνήθης δὲ γίνεται τῷ ἔγλωνι, δωρεαῖς αὐτὸν θεραπεύων καὶ ὑπερχόμενος. καὶ διὰ τοῦτο καὶ τοῖς περὶ τὸν βασιλέα προσφιλὴς τυγχάνειν αὐτόν. καί ποτε σὺν δυσὶν οἰκέταις δῶρα τῷ βασιλεῖ φέρων, ξιφίδιον κρύφα τῷ δεξιῷ σκέλει περιδησάμενος εἰσῄει πρὸς αὐτόν. ὥρα δ᾽ ἦν θέρους, καὶ τῆς ἡμέρας ἤδη μεσούσης, ἀνεῖντο αἱ φυλακαὶ, ὑπό τε τοῦ καύματος, καὶ πρὸς ἄριστον τετραμμένων. δοὺς οὖν τὰ δῶρα τῷ ἔγλωνι ὁ νεανίσκος, διέτριβε δ᾽ ἔν τινι δωματίῳ δεξιῶς πρὸς θέρος ἔχοντι, πρὸς ὁμιλίαν ἐτράπετο. μόνοι δ᾽ ἦσαν τοῦ βασιλέως καὶ τοὺς ἐπεισιόντας τῶν θεραπόντων ἀπιέναι κελεύοντος, διὰ τὸ πρὸς ἰούδην ὁμιλεῖν. καθεῖστο δὲ ἐπὶ θρόνου, καὶ δέος εἰσῄει τὸν ἰούδην μὴ διαμάρτῃ, καὶ μὴ δῷ καιρίαν πληγήν. ἀνίστησιν οὖν αὐτὸν, ὄναρ εἰπὼν ἔχειν ἐκ προστάγματος αὐτῷ δηλῶσαι τοῦ θεοῦ. καὶ ὁ μὲν πρὸς τὴν χαρὰν τὴν τοῦ ὀνείρατος ἀνεπήδησεν ἀπὸ τοῦ θρόνου. πλήξας δ᾽ αὐτὸν ὁ ἰούδης εἰς τὴν καρδίαν, καὶ τὸ ξιφίδιον καταλιπὼν, ἔξεισι προσκλείσας τὴν θύραν. οἵ τε θεράποντες ἠρέμουν εἰς ὕπνον τετράφθαι νομίζοντες τὸν βασιλέα. ὁ δὲ ἰούδης τοῖς ἱεριχουντίοις ἀποσημαίνων κρυπτῶς, παρεκάλει τῆς ἐλευθερίας ἀντιλαμβάνεσθαι. οἱ δὲ, ἀσμένως ἀκούσαντες, αὐτοί τε εἰς τὰ ὅπλα ᾖεσαν. καὶ διέπεμπον εἰς τὴν χώραν τοὺς ἀποσημαίνοντας κέρασιν. τούτοις γὰρ συγκαλεῖν τὸ πλῆθος, πάτριον ἦν. οἱ δὲ περὶ τὸν ἔγλωνα πολὺν μὲν χρόνον ἠγνόουν τὸ συμβεβηκὸς αὐτῷ πάθος· ἐπεὶ δὲ πρὸς ἑσπέραν ἦν, δείσαντες μή τι νεώτερον εἴη περὶ αὐτὸν γεγονός, εἰσῆλθον εἰς τὸ δωμάτιον.

cupiebant, primò præsidium suis à Chusarthe impositum interficit: tátúmque primus successus valuit, vt indies crescente suorum numero, iam aperto marte hosti pares viderentur. itaque congressi cum hoste vno prælio se in libertaté asserunt, reliquiæ fusi & fugati exercitus vltra Euphratem se recipiunt. Cenizus verò egregiè nauatæ operæ præmium principatum à populo accepit, nomine Iudicis: in quo postquam annos quadraginta exegit, vita defunctus est.

CAP. V.

Quomodo populus rursum à Moabitis est subiugatus, & per Iodem è seruitute exemptus.

VIII. Iud. 3.

Post cuius mortem vacante principatu res Israelitarum rursum in peius ruere cœperunt, ídquetanto magis quòd nec Deo debitum honorem nec legibus obedientiam exhiberent: quæ res in causa fuit, vt Eglon Moabitarum rex opportunos ad iniuriam ratus, bello adoriretur. exceperunt tamen eum aliquot præliis, sed omnibus victi ferocia posita iugum acceperunt, tributarij facti. Rex victor translato Hierichuntem domicilio, modis omnibus plebem vexauit, ita vt in summa miseria per annos xviij. degerent. Deus autem calamitatibus eorum & supplicationibus flexus, à dura dominatione eos liberauit in hunc modum. Iodes filius Geræ, tribus Beniamiticæ, iuuenis ad quoduis egregium facinus & animo & vtraque manu ex æquo promptus, habitabat ipse quoque apud Hierichuntem. Is in familiaritatem Eglonis se insinuauit, crebris muneribus hominem sibi concilians, & eo nomine amicis etiam regiis gratus. accidit vt semel cum duobus famulis dona ferens, pugione priùs subter sagum ad dextrum femur accinctus, ad regem introgrederetur. erat autem æstas & diei medium, quo remissiùs agebatur custodia, partim propter æstum, partim satellitibus occupatis circa prandium, iuuenis igitur oblatis Egloni muneribus, qui tum in æstiuo quodam cubiculo morabatur, confabulari cum eo cœpit. erant autem soli, quia rex familiariter cum Iode collocuturus famulicium ablegauerat. sedebátque in sella, & Iodes verebatur ne fallente ictu plagam non satis lethalem inferret. Iubet igitur eum surgere, dicens habere se somnium, quod ex Dei mandato regi sit indicandum. cúmque ille audiendi cupidus alacriter assurrexisset, Iodes inflicto in cor pugione, & relicto in vulnere, exiuit clausis priùs foribus. regij famuli interim quiescebant dormire eum putantes. Iodes verò Hierichuntiis re clàm indicata, autorem se illis libertatis vindicandę præbuit. illi verò libenter hęc accipientes, & ipsi confestim arma capiebãt, & cornicinesper totã eã regionẽ dimittebãt. Sic enim illic multitudinem conuocari mos erat: Eglonis autem domesticos diu latuit quod acciderat. sed cùm iam aduesperasceret, veriti ne quid nouihomini accidisset, ingressi sũt in cubiculũ:

cúmque mortuum inueniſſent, hærebant inopes conſilij:& priuſquam ſatellitium conglobaretur, Iſraelitarum turba ſuperuenit, ex his pars in veſtigio confodiuntur,pars alia, circiter millia decem, fuga Moabiticam regionem petunt. Eos Iſraelitæ præoccupato Iordanis tranſitu,in fuga intercipiebant, maximè circa ipſa vada,ita vt ne vnus quidem incolumis euaderet.Atque ita Hebræi Moabitarum imperium excuſſerunt:Iodæ autem huius felicitatis autoris is honor conſenſu multitudinis eſt habitus,vt confeſtim princeps declaratus ſit.cum principatum per annos octuaginta obtinuit, vir alioquin etiam laude digniſſimus:poſt quē Sanagarus Anathi filius electus in imperium, vix toto vertente anno vitam finiit.

Cap. VI.

Quomodo ſub Chananæorum imperium redacti,& per Baracum in libertatem ſint repoſiti.

IX. *Iud.*4. ISraëlitæ verò,quos præteritę calamitates nihilo caſtigatiores reddiderant, in priſtinam impietatem atque inobediētiam relapſi,priuſquàm ſatis à Moabitica ſeruitute reſpiraſſent, imperio Iabini Chananæorum regis ſubiugati ſunt.Is regiam habens apud Aſorum,quę vrbs ſita eſt ſuper Samachonitem lacum, peditum alebat millia trecenta,equitum decem, prętérque currus bellicos habebat ter mille. His copiis præfectus Syſares primus inter amicos regios,congreſſus cum Iſraelitis in tantam deſperationem res illorum adduxit , vt libenter incolumitatem tributaria ſeruitute paſciſcerentur:quam per viginti annos ferre ſunt coacti,præ nimia ſeruitute caput non audentes attollere,etiam Deo ſic volente,quo nimiam gētis contumaciam & ingratitudinem retunderet. Qui tandem reſipiſcentes, & agnita calamitatum cauſa,nimirum quòd à legum contemptu proficiſcerentur, Deboram quandam prophetidem adeunt : nomen hoc apem Hebræis ſignificat:rogantes vt precibus Deum ad miſerationem flectat,ne ita patiatur eos àChananæis opprimi.Deus autem exoratus ſalutem illis annuit,imperatore deſignato Baraco, viro tribus Nephthalitidis:eius nomen interpretatur fulgur. Debora autem accerſito Baraco, iubet eum delectu habito, & conſcripto decem millium virorum exercitu in hoſtem ducere. Satis enim eſſe tot ad victoriam,quam Deus oraculo promiſerit.Baraco verò negante ſe accipere imperium,niſi & illa vnà ſecum adminiſtratura id eſſet:illa cōmotior,Tu,inquit, mulieri cedis honorem,quem Deus te habere voluit,ego verò non recuſo,& conſcriptis decem millibus,caſtra poſuerunt ad montem Itabyrium.occurrit mox eodem Syſares,rege ſuo ſic iubente, & non longè ab hoſte cum exercitu conſedit.Baracum autem & Iſraelitas multitudine hoſtium territos,& in tutiora ſe recipere volentes,retinuit Debora,iuſſitque eadem die prælio decernere.Victoriam enim penes ipſos fore, & Deum ſubſidium & opem allaturum. Itaque commiſſa pugna vehemens imber mixtus grandine ſuperuenit,quemventus in aduer-

καὶ νεκρὸν εὑρόντες, ἐν ἀμηχανίᾳ καθειστήκεισαν. καὶ πρὶν τὴν φρουρὰν συστραφῆναι, τῶν ἰσραηλιτῶν αὐτοῖς ἐπέρχεται πλῆθος. καὶ οἱ μὲν παραχρῆμα ἀναιροῦνται. οἱ δὲ εἰς φυγὴν ἐτράποντο ὡς ἐπὶ τὴν μωαβίτιν σωθησόμενοι. ἦσαν δὲ ὑπὲρ μυρίους. καὶ ἰσραηλῖται προκατειληφότες τοῦ ἰορδάνου τὴν διάβασιν, διώκοντες ἔκτεινον. καὶ κατὰ τὴν διάβασιν πολλοὺς αὐτῶν ἀναιροῦσιν. διέφυγέ τε οὐδὲ εἷς τὰς χεῖρας αὐτῶν. καὶ οἱ μὲν ἑβραῖοι τούτῳ τῷ τρόπῳ τῆς ὑπὸ τοῖς μωαβίταις δουλείας ἀπηλλάγησαν. ἰούδης δὲ τῆς αἰτίας ταύτης τιμηθεὶς τῇ τοῦ πλήθους ἁπάντων ἡγεμονίᾳ τελευτᾷ τὴν ἀρχὴν ἔτεσιν ὀγδοήκοντα κατασχών, ἀνὴρ καὶ δίχα τῆς προειρημένης πράξεως, ἐπαίνου δίκαιος τυγχάνειν. καὶ μετὰ τοῦτον, σαναγαρος ὁ ἀνάθου παῖς αἱρεθεὶς ἄρχειν, ἐν τῷ πρώτῳ τῆς ἀρχῆς ἔτει κατέστρεψε τὸν βίον.

Κεφάλαιον ϛ'.

Ὡς χαναναίων αὐτοὺς καταδουλωσαμένων ἠλευθερώθησαν ὑπὸ βαράκου.

Ἰσραηλῖται δὲ πάλιν, οὐδὲν γὰρ ἐπὶ διδαχῇ τοῦ κρείττονος ἐλάμβανον τὸ πρότερον δυστυχημάτων, ὑπό τε τοῦ μήτε σέβειν τὸν θεὸν μήθ᾽ ὑπακούειν τοῖς νόμοις, πρὶν ἢ καὶ τῆς ὑπὸ μωαβίταις ἀναπνεῦσαι δουλείας, πρὸς ὀλίγον, ὑπὸ ἰαβίνου τοῦ τῶν χαναναίων βασιλέως καταδουλοῦνται. οὗτος γὰρ ἐξ ἀσώρου πόλεως ὁρμώμενος, αὕτη δ᾽ ὑπέρκειται τῆς σαμαχωνίτιδος λίμνης, στρατοῦ μὲν ὁπλιτῶν τριάκοντα ἔτρεφε μυριάδας. μυρίους δὲ ἱππέας. τρισχιλίων δὲ ἁρμάτων εὐπόρει. ταύτης οὖν στρατηγῶν τῆς δυνάμεως σισάρης, τιμῆς τῆς πρώτης παρὰ τῷ βασιλεῖ τυγχάνων, συνελθόντας πρὸς αὐτὸν τοὺς ἰσραηλίτας, ἐκάκωσε δεινῶς, ὥς τε αὐτοῖς ἐπιτάξαι τελεῖν φόρους. εἴκοσι μὲν ἔτη ταῦτα πάσχοντες ἤνυσαν, μήτε αὐτοὶ φρονεῖν ὑπὸ τῆς δυστυχίας ὄντες ἀγαθοί, καὶ τοῦ θεοῦ πλεῖον δαμάσαι θέλοντος αὐτῶν τὴν ὕβριν, καὶ τὴν περὶ αὐτὸν ἀγνωμοσύνην. καὶ μεταθέμενοι τοῦ λοιποῦ, σωφρόνως συνδιδαχθέντες τὰς συμφορὰς αὐτοῖς ἐκ τῆς περιφρονήσεως τῶν νόμων ὑπάρξαι, δεβώραν τινὰ προφῆτιν, μέλισσαν δὲ σημαίνει τοὔνομα κατὰ τὴν ἑβραίων γλῶσσαν, ἱκέτευον δεηθῆναι τοῦ θεοῦ λαβεῖν οἶκτον αὐτῶν, καὶ μὴ περιιδεῖν ἀπολλυμένους αὐτοὺς ὑπὸ χαναναίων. ὁ δὲ θεὸς ἐπένευσε σωτηρίαν αὐτοῖς. καὶ στρατηγὸν αἱρεῖται βάρακον τῆς νεφθαλίδος ὄντα φυλῆς. βάρακος δὲ ἐστὶν ἀστραπὴ κατὰ τὴν ἑβραίων γλῶσσαν. μεταπεμψαμένη δὲ ἡ δεβώρα τὸν βάρακον, ἐπιλέξαντα τῶν νέων μυρίους ἐκέλευε χωρεῖν ἐπὶ τοὺς πολεμίους. ἀποχρῆναι γὰρ τοσούτους τοῦ θεοῦ προειρηκότος καὶ νίκην ἐπισημήναντος. βαράκου δὲ φαμένου μὴ στρατηγήσειν μὴ κἀκείνης αὐτῷ συστρατηγούσης, ἀγανακτήσασα σὺ μὲν εἶπε, γυναικὶ παραχωρεῖς ἀξιώματος οὗ σοι δέδωκεν ὁ θεός. ἐγὼ δὲ οὐ παραιτοῦμαι. καὶ συναθροίσαντες μυρίους ἐστρατοπεδεύσαντο πρὸς ἰταβυρίῳ τῷ ὄρει. ἀπήντα δὲ αὐτοῖς ὁ σισάρης τοῦ βασιλέως κελεύσαντος. καὶ στρατοπεδεύονται τῶν πολεμίων οὐκ ἄποθεν. τοὺς δ᾽ ἰσραηλίτας καὶ τὸν βάρακον καταπλαγέντας τὸ πλῆθος τῶν πολεμίων, καὶ ἀναχωρεῖν διεγνωκότας, ἡ δεβώρα κατεῖχε τὴν συμβολὴν ποιεῖσθαι κατ᾽ ἐκείνην κελεύσασα τὴν ἡμέραν. νικήσειν γὰρ αὐτοὺς καὶ συλλήψεσθαι τὸν θεόν. συνῄεσαν οὖν καὶ προσμιγνύντων αὐτῶν ὄμβρος ἐπιγίνεται μέγας καὶ ὕδωρ πολύ, καὶ χάλαζα.

τὸν

τόν τε ὑετὸν καὶ πρόσωπον ἤλαυνε τῶν χαναναίων ἄνεμος ταῖς ὄψεσιν αὐτῶν ἐπισκοτοῦν, ὥστε τὰς τοξείας ἀχρήστοις αὐτοῖς εἶναι καὶ τὰς σφενδόνας. εἴτε ὁπλῖται διὰ τὸ κρύος χρῆσθαι τοῖς ξίφεσιν οὐκ εἶχον. τοὺς δ' ἰσραηλίτας ἧττόν τε ἔβλαπτε κατ' ὄπιν γινόμενος ὁ χειμὼν, καὶ πρὸς τὴν ἔννοιαν τῆς βοηθείας τοῦ θεοῦ θάρσος ἐλάμβανον. ὥστε εἰς μέσους ὠσάμενοι τοὺς πολεμίους, πολλοὺς αὐτῶν ἀπέκτειναν. καὶ οἱ μὲν ὑπὸ τῶν ἰσραηλιτῶν, οἱ δ' ὑπὸ τῆς οἰκείας ἵππου ταραχθέντες ἔπεσον, ὡς ὑπὸ τῶν ἁρμάτων πολλοὺς αὐτῶν ἀποθανεῖν. σισάρης δὲ καταπηδήσας τοῦ ἅρματος, ὡς εἶδε τὴν τροπὴν γινομένην, φυγὼν ἀφικνεῖται παρά τινα τῶν κενετίδων γυναικῶν ἰάλην ὄνομα. ἡ κρύψαι τε ἀξιώσαντα δέχεται. καὶ ποτὸν αἰτήσαντι γάλα δίδωσι διεφθορὸς ἤδη. ὁ δὲ πιὼν τοῦ μέτρου δαψιλέστερον, εἰς ὕπνον τρέπεται. ἡ δὲ ἰάλη κοιμωμένου σιδηρέον ἧλον ἐλάσασα σφύρῃ διὰ τοῦ κροτάφου αὐτοῦ διέπειρε τὸ ἔδαφος, καὶ τοῖς περὶ τὸν βάρακον μικρὸν ὕστερον ἐλθοῦσιν ἐπεδείκνυε τῇ γῇ προσηλωμένον. καὶ οὕτως μὲν ἡ νίκη αὕτη περιέστη κατὰ τὰ ὑπὸ δεβώρας εἰρημένα, εἰς γυναῖκα. βάρακος δὲ στρατεύσας ἐπ' ἄσωρον, ἰαβῖνόν τε ὑπαντιάσαντα κτείνει. καὶ τοῦ στρατηγοῦ πεσόντος, καθελὼν εἰς ἔδαφος τὴν πόλιν στρατηγεῖ τῶν ἰσραηλιτῶν ἐπ' ἔτη τεσσαράκοντα.

A sos Chananæorum vultus ingerens, & prospectum adimens, inutiles eorum iaculatores ac funditores reddidit: atque etiam scutati manibus rigentibus præ frigore gladios vix retinebant. Israelitas verò tempestas à tergo imminens non solùm minùs offendebat, sed alacriores etiam faciebat, manifestario Dei præsentis ac fauentis signo accensos. itaque rupta aduersa acie, turbatisque ordinibus, ingentem hoB stium stragem ediderunt. atque ita pars talis Israeliticis cedebat, pars à suomet ipsorum equitatu ac curribus proterebantur. Sysares verò vt vidit suos terga vertere desiliens à curru, fuga delatus est ad quandam mulierem Cenetidē nomine Ialen. quæ latebras petentem excepit, & potum poscenti lac acidum exhibuit: quod ille cùm auidius ingurgitasset, in somnum est solutus. quem Iale aggressa, ferreum clauum sopito per tempora adegit malleo, móxque BaraC cianis superuenientibus, solo affixum ostendit. atque ita mulier iuxta Deboræ præsagium autor fuit victoriæ. Baracus autem ducens ad Asorum, Iabinum obuiam factum interfecit: & cæso rege, ac vrbe solo æquata, quadraginta annis imperium Israelitarum tenuit.

Κεφάλαιον ζ.

Ὅτι πολεμήσαντες ἀμαληκῖται τοῖς ἰσραηλίταις ἐνίκησάν τε καὶ τὴν χώραν ἐκάκωσαν ἔτη ἑπτά.

Τελευτήσαντος δὲ βαράκου καὶ δεβώρας, κατὰ τὸν αὐτὸν καιρὸν, μετὰ ταῦτα μαδιανῖται παρακαλέσαντες ἀμαληκίτας τε καὶ ἄραβας, στρατεύουσιν ἐπὶ τοὺς ἰσραηλίτας. καὶ μάχῃ νικῶσι τοὺς συμβαλόντας. καὶ τὸν καρπὸν διώσαντες, τὴν λείαν ἀπήγοντο. τοῦτο δὲ ποιούντων ἐπ' ἔτη ἑπτὰ, εἰς τὰ ὄρη τῶν ἰσραηλιτῶν ἀνεστάλη τὸ πλῆθος, καὶ τῶν πεδίων ἐξεχώρησαν. ὑπονόμους τε καὶ σπήλαια ποιησάμενοι, πᾶν ὅτι τοὺς πολεμίους διέφυγεν, ἐν τούτοις εἶχον φυλάττοντες. οἱ γὰρ μαδιανῖται, κατὰ ὥραν θέρους στρατεύοντες, τὸν χειμῶνα γεωργεῖν τοῖς ἰσραηλίταις ἐπέτρεπον, ὅπως ἔχωσι πεπονηκότων αὐτῶν εἰς ἃ βλάπτωσι. λιμὸς δὲ ἦν καὶ σπάνις τροφῆς, καὶ τρέπονται πρὸς ἱκεσίαν τοῦ θεοῦ σώζειν αὐτοὺς παρακαλοῦντες.

CAP. VII.

D *Quomodo Amalecitæ deuictis Israëlitis regionem eorum per septem annos vastauerunt.*

DEfunctis autem Baraco & Debora eodē ferè tempore, paulo pòst Madianitæ sociis Amalecitis & Arabibus expeditionem cōtra Israelitas fecerunt: & cōgredi ausos magno prælio vicerunt: vastatísque frugibus prædam abegerunt. cúmque idem per continuos septem annos facerent, Israelitas in montana compulE sos campestri solo cedere coegerunt. qui speluncis & subterraneis ędificiis excauatis, quicquid hostium violentiam euadere poterat, intrò receptum asseruabant. Nam Madianitæ per æstatem facientes expeditionem, hyeme agros colere Israelitas permittebāt, vt possent denuò labores eorum vastare. Itaque in perpetua fame ac egestate viuebant, nec iam vllum supererat præsidium nisi in precibus ad Deum & supplicationibus. *Iud. 6.*

Κεφάλαιον η.

F *Ὡς γεδεὼν αὐτοὺς ἠλευθέρωσεν.*

Γεδεὼν ὁ ἰάσου παῖς, μαναοσσήτιδος φυλῆς ἐν ὀλίγοις, δράγματα σταχύων φερόμενος κρυπτῶς εἰς τὴν ληνὸν ἔκοπτε. τοὺς γὰρ πολεμίους ἐδεδίει φανερῶς τοῦτο ποιεῖν ἐπὶ τῆς ἅλωος. φαντάσματος δ' αὐτῷ παραστάντος νεανίσκου μορφῇ, καὶ φήσαντος εὐδαίμονα καὶ φίλον τῷ θεῷ, ὑποτυχὼν, τοῦτο γοῦν ἔφη τεκμήριον τῆς εὐδαιμονίας αὐτοῦ μέγιστον, τῇ ληνῷ νῦν ἀντὶ ἅλωος χρήσασθαι. θαρσεῖν δὲ παρακελευσαμένου, καὶ πειρᾶσθαι τὴν ἐλευθερίαν ἀνασώζειν, ἀδυνάτως ἔχειν ἔλεγε. τήν τε γὰρ φυλὴν ἐξ ἧς ὑπῆρχε, πλήθεσι ὑστερεῖν, καὶ νέον αὐτὸν εἶναι, καὶ τηλικούτων πραγμάτων ἐπινοίας ἀσθενέστερον. ὁ δὲ θεὸς, αὐτὸς ἀναπληρώσειν τὸ λεῖπον ἐπηγγέλλετο,

CAP. VIII.

Quomodo Gedeon populum liberauit.

PEr idem tempus Gedeō Iali filius, vnus ex primatibus tribus Manassetidis, manipulos frugum clàm in torcular comportatos flagellabat. non enim ausus est propter hostem propalàm hoc in area facere. cúmque spectrum ei adolescentis specie se obtulisset, & felicem ac Deo charum appellauisset. respondens, Hoc, inG quit, meæ felicitatis argumentum est maximū, quòd torculari nunc vtor pro area. illo contrà iubēte vt bono esset animo, & de libertate vindicāda cogitaret, negabat fieri posse. nam & tribum suam cuiuis alteri cedere numero, & se iuuenē esse, & tam arduis negotiis imparē. Deus aūt quicquid deesset se suppleturū pollicebatur, *Ibidem*

& victoriam Israelitis daturum, modò ipse imperium assumere non grauaretur. Hanc rem Gedeon cum quibusdam iuuenibus communicauit, qui libenter credētes oraculo, sine mora effecerunt, vt præstò essent decem millia militum, ad quiduis pro libertate audendum paratissima. Gedeoni autem Deus in somnis apparens, dixit homines tali esse ingenio, vt sibi placentes nemini velint virtute cedere, & victoriam sibi potiùs quàm Deò tribuant, nimirum magnis copiis freti. vt igitur sciant rem totam pendere ab ipsius auxilio, iussit vt circa meridiem cùm æstus feruet maximè, exercitum ducat ad fluuium: & quotquot procumbentes biberent, eos viros fortes crederet. quotquot autem trepidè ac tumultuariè potum sumerēt, sic existimaret, eos metu hostium hoc facere. quod posteaquam ita vt iussus est fecit, trecenti inuenti sunt cum perturbatione aquam sumere, cauis manibus ori admouendo. imperauitque Deus vt his assumptis hostem inuaderet. Gedeone verò solicito, quia mandatum acceperat à Deo, noctu illos adoriri, volens ei metum omnem eximere, iussit vt assumpto vno milite, clàm accederet ad Madianitarum tentoria. ab illis enim accepturum occasionē fiduciæ. vadit ille quò iussus est, vno tantùm comitante famulo. cúmque ad quoddam tabernaculum adrepsisset, offendit insomnes in eo milites, & quendam commilitoni narrantem somnium, ita vt à Gedeone quoque exaudiri posset. erat autem tale: Visus erat sibi videre massam ordeaceam, præ vilitate homini fastidiendam, per castra prouolui, & primò regis tentorium, mox cæterorum omnium prosternere. qui respondit interitum exercitus significari, addens vnde hoc ita colligeret. inter omnes inquit, fruges ordeum est sine controuersia vilissimum: & inter omnes Asiaticas gentes non facilè reperias viliorem quàm hodie sūt Israelitæ, vt meritò cōferri possint hordeo. hi nunc, autore Gedeone, contraxerunt copias, & res nouas moliuntur. ergo quia dicis te vidisse illam massam tentoria nostra subuertentem, vereor ne Deus Gedeoni triumphum de nobis concedat. Gedeon autem audito hoc somnio plenus bona spe & fiducia, edicit suis vt omnes in armis essent, edoctis de visione quam in castris hostium audiuerat. fecerunt illi quod imperatum est accensi hoc signo ad quiduis laboris aut periculi subeundum. tū Gedeon circa quartam fermè vigiliam suos in hostem ducit trifariam in tres cohortes diuisos. erant autem centenariæ. gerebántque singuli amphoras vacuas. & in eis faces ardentes, vt clā possent hostem inuadere nihil tale expectantē: & in dextris cornu arietinum vice tubę: hostiū castra latè patebāt, eo quòd camelorū magnum numerū haberent: & cū iuxta gētilitates distributi tēderēt, omnes tamē intra eūdē ambitū cōtinebātur. Hebręi verò à duce antè præmoniti, cū iam non longè ab hoste abessent, dato inter se signo cornibus sonātes, & cōfractis amphoris, sublatóque militari clamore, certi Deū adesse Gedeoni, cum facib. in castra impetū faciūt.

Iud. 7.

A καὶ νίκην παρέξειν ἰσραηλίταις αὐτοῦ στρατηγοῦντος. τοῦτ' οὖν διηγούμενος ὁ γεδεὼν τισὶ τῶν νέων ἐπιστεύετο. καὶ παραχρῆμα πρὸς τοὺς ἀγῶνας ἕτοιμον ἦν τὸ στρατιωτικὸν μυρίων ἀνδρῶν. ἐπιστὰς δὲ κατὰ τοὺς ὕπνους ὁ θεὸς τῷ γεδεῶνι, τήν τε ἀνθρωπίνην φύσιν αὐτόφιλον οὖσαν ἐδήλου, καὶ πρὸς τοὺς ἀρετῇ διαφέροντας ἀπεχθανομένην. ὅπως τε τὴν νίκην παριέντες τοῦ θεοῦ, δοκεῖν νομίζουσιν ἰδίαν, ὡς πολὺς στρατὸς ὄντες, καὶ πρὸς τοὺς πολεμίους ἀξιόμαχος. ἵνα μάθωσιν οὖν βοηθείας τῆς αὐτοῦ τὸ ἔργον, συνεβούλευε περὶ μεσοῦσαν τὴν ἡμέραν, ἐν ἀκμῇ τοῦ καύματος ὄντος, ἄγειν τὴν στρατιὰν ἐπὶ τὸν ποταμόν. καὶ τοὺς μὲν κατακλιθέντας καὶ οὕτως πίνοντας, εὐψύχους ὑπολαμβάνειν. ὅσοι δ' ἂν ἐσπευσμένως καὶ μετὰ θορύβου πίνοντες τύχοιεν, τούτους νομίζειν ὑπὸ δειλίας τοῦτο πάσχειν καὶ καταπεπληγότας τοὺς πολεμίους. ποιήσαντος δὲ κατὰ C τὰς τοῦ θεοῦ ὑποθήκας τοῦ γεδεῶνος, τριακόσιοι ἄνδρες εὑρέθησαν ταῖς χερσὶ μετὰ φόβου προσενηνεγμένοι τὸ ὕδωρ τεταραγμένως. ἔφησέ τε ὁ θεὸς τούτους ἐπαγόμενον, ἐπιχειρεῖν τοῖς πολεμίοις. ἐστρατοπέδευον δὲ ὑπὲρ τοῦ ἰορδάνου μέλλοντες εἰς τὴν ἐπιοῦσαν περαιοῦσθαι. γεδεῶνος δ' ἐν φόβῳ καθεστῶτος, καὶ γὰρ νυκτὸς ἐπιχειρεῖν αὐτῷ ὁ θεὸς προειρήκει, τοῦ δέους αὐτὸν ἀπαλλάξαι βουλόμενος, κελεύει προσλαβόντα τῶν στρατιωτῶν ἕ-D να, πλησίον χωρεῖν ταῖς μαδιανιτῶν σκηναῖς. παρ' αὐτῶν γὰρ ἐκείνων λήψεσθαι φρόνημα καὶ θάρσος. πειθεὶς δὲ εἶτα, φρουρὰν τὸν ἑαυτοῦ θεράποντα παραλαβών. καὶ πλησιάσας σκηνῇ τινὶ καταλαμβάνει τοὺς ἐν αὐτῇ ἐγρηγορότας. καὶ τὸν ἕτερον ὄναρ διηγούμενον τῷ συσκηνοῦντι, ὥς τε ἀκούειν τὸν γεδεῶνα. τὸ δὲ τοιοῦτον ἦν. μάζαν ἐδόκει κριθίνην ὑπ' εὐτελείας E ἀνθρώποις ἄβρωτον, διὰ τοῦ στρατοπέδου κυλιομένην, τὴν τοῦ βασιλέως σκηνὴν καταβαλεῖν, καὶ τὰς τῶν στρατιωτῶν πάντων. ὁ δέ, σημαίνειν ὄλεθρον τοῦ στρατοῦ τὴν ὄψιν ἐκείνης, λέγων ὅθεν, τοῦτ' αὐτῷ συνειδεῖν ἐπῆλθε. πᾶν τὸ σπέρμα τὸ καλούμενον κρίθινον, εὐτελέστατον ὁμολογεῖσθαι τυγχάνειν. τοῦ δ' ἀσιανοῦ παντὸς τὸ ἰσραηλιτῶν ἔστιν ἰδεῖν νῦν ἀτιμότερον γεγενημένον, ὅμοιον δὲ τῷ κατὰ κριθὴν γένει. καὶ τὸ παρὰ τοῖς ἰσ-F ραηλίταις νῦν μεγαλοφρονοῦν, τοῦτ' ἂν εἴη γεδεὼν, καὶ τὸ σὺν αὐτῷ στρατιωτικόν. ἐπεὶ οὖν τὴν μάζαν φῇς εἰδεῖν τὰς σκηνὰς ἡμῶν ἀνατρέπουσαν, δέδια μὴ ὁ θεὸς γεδεῶνι τὴν καθ' ἡμῶν νίκην ἐπινένευκε. γεδεῶνα δὲ ἀκούσαντα τὸ ὄναρ, ἐλπὶς ἀγαθὴ καὶ θάρσος ἔλαβε. καὶ προσέταξεν ἐν τοῖς ὅπλοις εἶναι τοὺς οἰκείους, διηγησάμενος αὐτοῖς καὶ τὴν τῶν πολεμίων ὄψιν. οἱ δ' ἕτοιμοι πρὸς τὰ παραγγελλόμενα φρονηματισθέντες ὑπὸ τῶν δεδηλωμένων ἦσαν. καὶ κατὰ τετάρτην μάλιστα φυλακὴν, προσῆγε τὴν αὐτοῦ στρατιὰν γεδεὼν, εἰς τρία μέρη διελὼν αὐτήν. ἑκατὸν δ' ἦσαν ἐν ἑκάστῳ. ἐκόμι-G ζον δὲ πάντες ἀμφορέας κενοὺς καὶ λαμπάδας ἡμμένας, ὅπως μὴ καταφωρος τοῖς πολεμίοις ἡ ἔφοδος αὐτῶν γένηται. καὶ ἐν τῇ δεξιᾷ, κριοῦ κέρας, ἐχρῶντο δὲ τούτοις ἀντὶ σάλπιγγος. χωρίον δὲ πολὺ κατεῖχε τὸ τῶν πολεμίων στρατόπεδον. πλείστην γὰρ αὐτοῖς εἶναι συνέβαινε κάμηλον. καὶ κατὰ τὰ ἔθνη νεμηθέντες ὑφ' ἑνὶ κύκλῳ πάντες ἦσαν. οἱ δὲ ἑβραῖοι, προειρημένου αὐτοῖς ὁπότ' ἂν γένωνται πλησίον τῶν πολεμίων, ἐκ συνθήματος σάλπιγγί τε ἠχήσαντες καὶ τοὺς ἀμφορέας κατεάξαντες, ὁρμῆσαι μετὰ τῶν λαμπάδων ἀλαλάξαντες, καὶ νικᾶν, θεοῦ γεδεῶνι βοηθήσαντος,

τοῦτ'

τοῦτ' ἐποίησαν. ταραχὴ δὲ λαμβάνει τοὺς ἀνθρώπους ἔτι τε ὑπνοῦντας, καὶ δείματα. νὺξ γὰρ ἦν, καὶ ὁ θεὸς τοῦτο ἤθελεν. ἐκτείνοντο δὲ ὀλίγοι μὲν ὑπὸ τῶν πολεμίων. οἱ δὲ πλείους, ὑπὸ τῶν συμμάχων, διὰ τὸ τῇ γλώσσῃ διαφωνεῖν. ἅπαξ δὲ καταστάντες εἰς ταραχὴν, πᾶν τὸ προστυχὸν ἀνῄρουν, νομίζοντες εἶναι πολέμιον. ὁ φόνος τε πολὺς ἦν, καὶ φήμης πρὸς τοὺς ἰσραηλίτας τῆς γεδεῶνος νίκης ἀφικομένης, ἐν τοῖς ὅπλοις ἦσαν. καὶ διώξαντες λαμβάνουσι τοὺς πολεμίους ἐν κοίλῳ τινὶ χαράδραις περιειλημμένῳ οὐ δυναμένους διαπερᾶναι χωρίῳ. καὶ περιστάντες, κτείνουσιν ἅπαντας, καὶ δύο τῶν βασιλέων, ὤρηβόν τε καὶ ζίβον. οἱ δὲ λοιποὶ τῶν ἡγεμόνων, τοὺς περιλειφθέντας τῶν στρατιωτῶν ἀνάγοντες, ἦσαν δὲ ὡς μύριοι καὶ ὀκτακισχίλιοι, στρατοπεδεύονται πόρρω πολὺ τῶν ἰσραηλιτῶν. γεδεὼν δ' οὐκ ἀπηγορεύκει πονῶν, ἀλλὰ διώξας μετὰ παντὸς τοῦ στρατοῦ καὶ συμβαλὼν ἅπαντας διέφθειρε τοὺς πολεμίους. καὶ τοὺς λοιποὺς ἡγεμόνας, ζεβὴν καὶ ζαρβουνὴν, αἰχμαλώτους λαβὼν ἤγαγεν. ἀπέθανον δ' ἐν αὐτῇ τῇ μάχῃ, μαδιανιτῶν τε καὶ τῶν συστρατευσάντων αὐτοῖς ἀράβων, περὶ μυριάδας δώδεκα. λεία τε πολλὴ χρυσὸς καὶ ἄργυρος καὶ ὑφὴ καὶ κάμηλος, καὶ ὑποζύγια λαμβάνεται τοῖς ἑβραίοις. γεδεὼν δὲ παραγενόμενος εἰς ἐφράμ τὴν ἑαυτοῦ πατρίδα, κτείνει τοὺς τῶν μαδιανιτῶν βασιλέας. ἡ δ' ἐφράμιος φυλὴ, τῇ γεδεῶνος εὐπραγίᾳ δυσχεραίνουσα στρατεύειν ἐπ' αὐτὸν διεγνώκεισαν, τὸ μὴ προσαγγεῖλαι τὴν ἐπιχείρησιν αὐτοῖς τὴν κατὰ τῶν πολεμίων ἐγκαλοῦντες. γεδεὼν δὲ, μέτριος ὢν καὶ πᾶσαν ἀρετὴν ἄκρος, οὐκ αὐτὸς ἔλεγεν αὐτοκράτορι χρησάμενος λογισμῷ, τοῖς ἐχθροῖς ἐπιθέσθαι χωρὶς αὐτῶν, ἀλλὰ τοῦ θεοῦ κελεύσαντος. τὴν δὲ νίκην οὐχ ἧττον αὐτῶν ἔφασκεν ἰδίαν, ἢ τῶν στρατευκότων εἶναι. καὶ τούτοις παρηγορήσας αὐτῶν τὴν ὀργὴν τοῖς λόγοις, μᾶλλον τοὺς ἑβραίους ὠφέλησε τῆς ἐπὶ τῶν πολεμίων εὐπραξίας. ἐμφυλίου γὰρ αὐτοὺς στάσεως ἄρχειν μέλλοντας ἐρρύσατο. τῆς μὲν τοίγε ὕβρεως ταύτης ἡ φυλὴ δίκην ἐξέτισεν, ἣν δηλώσομεν κατὰ καιρὸν ἴδιον. γεδεὼν δὲ τὴν ἀρχὴν ἀποθέσθαι βουλόμενος, βιασθεὶς ἔσχεν αὐτὴν ἐπ' ἔτη τεσσαράκοντα, βραβεύων αὐτοῖς τὰ δίκαια καὶ περὶ τῶν διαφορῶν ἐπ' αὐτὸν βαδιζόντων. κύρια τε πάντα ἦν τὰ ὑπ' αὐτοῦ τελειούμενα. καὶ ὁ μὲν, γηραιὸς τελευτήσας, ἐν ἐφρὰμ τῇ πατρίδι θάπτεται.

Κεφάλαιον θ'.

Ὅτι μετὰ τὸν γεδεῶνα πολλοὶ γενόμενοι διάδοχοι τοῖς πέριξ ἔθνεσιν ἐπολέμησαν ἱκανῷ χρόνῳ.

Παῖδες δὲ ἦσαν αὐτῷ, γνήσιοι μὲν ἑβδομήκοντα, πολλὰς γὰρ ἔγημε γυναῖκας. νόθος δ' εἷς ἐκ παλλακῆς δρουμᾶς, ἀβιμέλεχος τοὔνομα, ὃς μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἀναχωρήσας ἐπὶ σίκιμα πρὸς τοὺς ἀπὸ μητρὸς συγγενεῖς, ἐντεῦθεν γὰρ ἦν, καὶ λαβὼν ἀργύριον παρ' αὐτῶν, οἳ διὰ πλῆθος ἀδικημάτων ἦσαν ἐπίσημοι, ἀφικνεῖται σὺν αὐτοῖς εἰς τὸν πατρῷον οἶκον. κτείνει πάντας τοὺς ἀδελφοὺς, πλὴν ἰωθάνου. σώζεται γὰρ οὗτος διαφυγεῖν εὐτυχήσας. ἀβιμέλεχος δὲ εἰς τυραννίδα τὰ πράγματα μεθίστησι, κύριον αὐτὸν ὅτι βούλεται ποιεῖν, ἀντὶ τῶν νομίμων ἀποδείξας, καὶ δεινῶς πρὸς τοὺς τοῦ δικαίου προϊσταμένους ἐκπικραινόμενος.

Qua arte, accedentibus diuinitus nocturnis terroribus, tanta inter semisomnes consternatio exoritur, vt incomparabiliter plures mutuis vulneribus, quàm hostili ferro caderent, quòd diuersæ linguę homines eadem castra haberent. semel enim pauore confusi, omnes obuios pro hostibus trucidabant. Tantæ cædis & Gedeonis victoriæ rumor vbi ad cæteros Israelitas peruenit, correptis armis fugientem hostem insequuntur: quem adepti circa loca torrentibus impedita hærentem circumueniunt, & quotquot ad manus venere occidunt, interque cæteros reges etiam duos, Oribum & Zibum. Qui verò superfuere duces cum reliquiis exercitus fermè decem & octo millia hominum, quantum potuerunt procul ab hoste castris locum ceperunt. Nec Gedeon defessus cum totis copiis eò properat, & iterum congressus postremò hoc conflictu ad vnum omnes trucidat, & reliquos duos duces capit, Zebim & Hezarbunim. his prœliis cæsa sunt Madianitarum & cæterorum Arabum qui eis auxilio venerant circiter centum viginti millia: præda etiam magna, auri, argenti, textilium, camelorum, & iumentorum Hebræi sunt potiti. Gedeon verò reuersus in patriam suam Ephram, supplicium sumpsit de Madianitarum regibus. Cæterùm Ephræmi tribus iniquo animo ferens Gedeonis bonam fortunam bello eum petere decreuit, eò quòd insciis ipsis hostem esset aggressus. Gedeon vir in omni virtute summus, modestè respondit, se non suo arbitratu hostem absque illis aggressum, sed iussu diuino. Victoriam tamen nihilo minus illorum esse, quàm suam ipsorum qui militassent: atque his verbis sedata eorum ira, non minùs profuit Hebræis quàm rebus prosperè gestis, obstitit enim ne ciuile bellum exoriretur. huius tamen superbiæ tribus hæc pœnas dedit, sicut suo loco dicemus: porrò Gedeon cùm vellet imperium deponere, compulsus est id retinere per annos quadraginta, dicendo ius & litibus finiendis occupatus, populo ratum habente quicquid ille in causis controuersis pronunciaret. in senecta deinde mortuus, apud Ephram in patria sepelitur.

Iud.8

Cap. IX.

Quomodo aliquot successores Gedeonis cum gentibus circumquaque finitimis bella gesserunt.

XI. Iud.8.9.

Habuit autem filios legitimos quidem septuaginta, non ex vno matrimonio susceptos, nothum verò vnum ex cócubina Druma, cui nomen Abimelechus. is defuncto patre profectus Sicima, vnde mater fuit oriunda, adiutúsque à maternis cognatis pecunia, cùm videret malis artibus insignes, & ad quoduis facinus promptos, vnà cum eis ad paternas ædes reuersus, omnes fratres interemit, excepto vno Iothane. hic enim fuga incolumitatem quæsiuit. Abimelechus autem occupata semel tyrannide omnia pro suo libitu, nihil iuxta legum præscripta gerere, omnibus iustitiæ defensoribus inuisus æquè ac infestus.

Itaque dum quodam tempore publica in Sicimis feſtiuitas celebratur, ad quam plebs vniuerſa conuenerat, frater eius Iothanes, quem fuga ſeruatum diximus, conſcenſo monte Garizeo qui Sicimis imminet, & ſublata voce vt ab omnibus exaudiri poſſet, ſilentium ei populo præbente, rogauit vt pauca verba audire dignarentur. Cúmque illi magis etiam ſilerent intenti, dixit quòd arbores olim humana voce vſæ, in conuentu ad id habito rogauerunt ficum, vt imperium in eas acciperet. Recuſante autem illa, quòd contenta honore quem propter fructus ſuos percipiebat, non requireret alium: arbores non deſtiterunt principem quærere: viſúmque eſt, vti hunc honorem deferre. ea verò totidem verbis quot ficus recuſauit, & ſimili modo etiam olea. itum eſt deinde cum eiſdem poſtulatis ad rubum. cuius lignum ad ignaria valet. Is reſpondit: Si ſeriò me regem poſcitis, ſub vmbra mea requieſcite. ſin autem inſidias mihi ſtruitis, egrediatur ignis ex me, & abſumat vos. Hæc inquit Iothanes, non riſus mouendi cauſa vobis fabulor, ſed quia maximis beneficiis à Gedeone affecti, ſuſtinetis Abimelechum necatis fratribus principatum vſurpare, cuius ingenium nihil ab igne differt. Hæc locutus receſſit, & per triennium in latebris montium vixit, Abimelechi potentiam fugitans. Nec ita multo pòſt, Sicimitæ pœnitentia ducti eorum quæ in filios Gedeonis patrauerant, Abimelechum ex vrbe & tota tribu expulerunt. Ille verò cogitabat quomodo ciuitatẽ aliqua clade afficeret. cúmque inſtaret vindemia, non audebant colligere fructus, metuẽtes ne quid incommodi ab Abimelecho acciperent. Fortè per eoſdem dies contulerat ſe cò cum armatorum manu & cognatis quidam princeps nomine Gales. hunc exorauerunt Sicimitę vt tantiſper ſui cuſtodiam ſuſciperet, dũ vindemia peragitur: cœperúntque ſecurè fructus conuehere, & per ſodalitia cœnantes audebant apertè in Abimelechum conuitia iactare. & principis cognati diſpoſitis circa vrbẽ inſidiis, multos ex Abimelechianis in eas præcipitatos interficiebant. Zebellus verò quidam è Sicimitarũ primatibus, hoſpes Abimelechi, per nuncium ei ſignificauit, quomodo Gales populum contra ipſum irritaret: hortatus etiam vt inſidias ei ante vrbem tenderet. ſe enim Galem illò adducturum: atque ita fore facilè vt inimico gratiam qualem meretur referat. quo facto curaturum ſe, vt eum populo reconciliet. cúmq. Abimelechus locum inſidiis aptũ cepiſſet, & Gales cum Zebello in ſuburbanis negligentiùs ageret, conſpectis repente armatis exclamat, Zebelle hoſtem video. illo reſpõdente, vmbras eſſe cautium, iam propiores cernens, imo non vmbrę ſunt, inquit, ſed virorum cohors. ad hæc Zebellus, nónne tu Abimelecho ignauiam obiicis? quin igitur oſtendis qui vir ſis, & armis hominẽ aggrederis? Gales verò turbatus excipit primũ impetum: cúmque ſuos inferiores animaduerteret, amiſſis aliquot, cæteros intra mœnia recipit. Zebellus arrepta oc-

καί ποτε δημοτελοῦς σικίμοις οὔσης ἑορτῆς, καὶ τοῦ πλήθους παντὸς ἐκεῖ συνειλεγμένου, ὁ ἀδελφὸς αὐτοῦ ἰωθάμης, ὃν καὶ διαφυγεῖν ἔφαμεν, ἀνελθὼν ἐπὶ τὸ ὄρος τὸ γαριζεῖν, ὑπέρκειται δὲ τῆς σικίμων πόλεως, ἐκβοήσας εἰς ἐπήκοον, τοῦ πλήθους ἡσυχίαν αὐτῷ παρασχόντος, ἠξίου μαθεῖν τὰ ὑπ' αὐτοῦ λεγόμενα. γενομένης δὲ σιγῆς, εἶπεν ὡς τὰ δένδρα φωνὴν ἀνθρωπίνην προϊέμενα, συνόδου γενομένης αὐτῶν δεηθείη συκῆς ἄρχειν αὐτῶν. ἀρνησαμένης δ' ἐκείνης, διὰ τὸ τῆς τιμῆς τῆς ἐπὶ τοῖς καρποῖς οἰκείας οὔσης ἀπολαύειν, οὐχ ὑπ' ἄλλων ἔξωθεν προσγινομένης, τὰ δένδρα τῆς ἐπὶ τὸ ἄρχεσθαι φροντίδος οὐκ ἀπελείπετο, ἐδόκει δ' αὐτοῖς ἀμπέλῳ τὴν τιμὴν παρασχεῖν. καὶ ἡ ἄμπελος κεχειροτονημένη τοῖς αὐτοῖς τῇ συκῇ χρησαμένη λόγοις παρῃτεῖτο τὴν ἀρχήν. τὸ δ' αὐτὸ καὶ τῶν ἐλαιῶν ποιησαμένων, ῥάμνος, ἐδεήθη γὰρ αὐτῆς ὥστε παραλαβεῖν τὴν βασιλείαν τὰ δένδρα, πυρεία δ' ἀγαθὴ παρασχεῖν τῶν ξύλων ἐστίν, ὑπισχνεῖται τὴν ἀρχὴν ἀναλήψεσθαι, καὶ ἀόκνως ἔχειν. δεῖ μέντοι συνιζάνειν αὐτὰ ὑπὸ τὴν σκιάν. εἰ δ' ὄλεθρον ἐπ' αὐτῇ φρονοῖεν, ὑπὸ τοῦ ἐνόντος πυρὸς διαφθαρεῖν. ταῦτα δ' οὐ γέλωτος ἕνεκα φησὶ λέγειν, ὅτι δὲ πολλῶν ἀγαθῶν ἐκ γεδεῶνος πεπειραμένοι, περιορῶσιν ἀβιμέλεχον ἐπὶ τῶν ὅλων ὄντα πραγμάτων σὺν αὐτῷ τοὺς ἀδελφοὺς ἀποκτείναντες. ὃν πυρὸς οὐδὲν διοίσειν. καὶ ὁ μὲν ταῦτα εἰπὼν, ὑπεχώρησεν καὶ διῃτᾶτο λανθάνων ἐν τοῖς ὄρεσι, δεδιὼς ἐπ' ἔτη τρία τὸν ἀβιμέλεχον. μετ' οὐ πολὺ δὲ τῆς ἑορτῆς οἱ σικιμῖται, μετενόησαν γὰρ ἐπὶ τοῖς γεδεῶνος υἱοῖς πεφονευμένοις, ἐξελαύνουσι τὸν ἀβιμέλεχον τῆς πόλεως καὶ τῆς φυλῆς. ὁ δὲ κακοῦν τὴν πόλιν ἐφρόντιζεν. τῆς δ' ὥρας τῆς τοῦ τρυγᾶν γενομένης ἐδεδίεσαν συλλέγειν τὸν καρπὸν προϊόντες, μή τι δράσῃ κακὸν αὐτοὺς ἀβιμέλεχος. ἐπιδημήσαντος δὲ πρὸς αὐτοὺς τῶν ἀρχόντων τινὸς γάλου, σὺν ὁπλίταις καὶ συγγενέσι τοῖς αὐτοῦ, φυλακὴν οἱ σικιμῖται δέονται παρασχεῖν αὐτοῖς, ἕως ἂν τρυγήσωσι. προσδεξαμένου δὲ ἐκείνου τὴν ἀξίωσιν, προῄεσαν καὶ γάλης σὺν αὐτοῖς, τὸ οἰκεῖον ἄγων ὁπλιτικόν. ὅ τε οὖν καρπὸς μετὰ ἀσφαλείας συνάγεται, καὶ δειπνοῦντες κατὰ συμμορίαν φανερῶς ἀπετόλμων ἤδη βλασφημεῖν τὸν ἀβιμέλεχον. οἵ τε ἄρχοντες ἐνέδραις καταλαμβανόμενοι τὰ περὶ τὴν πόλιν, πολλοὺς τῶν ἀβιμελέχου συλλαμβάνοντες διέφθειρον. ζέβελλος δέ τις τῶν σικιμιτῶν ἄρχων, ξένος ὢν ἀβιμελέχου, ὅσα παροξύνειε γάλης τὸν δῆμον, πέμπων ἀγγέλους ἐμήνυεν αὐτῷ, καὶ παρῄνει λοχᾶν πρὸ τῆς πόλεως. πείσειν γὰρ γάλην ἐξελθεῖν ἐπ' αὐτόν. καὶ τὸ λοιπὸν ἐπ' ἐκείνῳ τυγχάνειν, ὥστε ἀμύνεσθαι, γενομένου γὰρ τούτου, διαλλαγὰς αὐτῷ μνηστεύεσθαι πρὸς τὸν δῆμον. ὅτε οὖν ἀβιμέλεχος ἐκάθισεν ἐνεδρεύων. καὶ ὁ γάλης ἀφυλακτότερος διέτριβεν ἐπὶ τοῦ προαστείου, καὶ ζεβέλλης σὺν αὐτῷ. ἰδὼν δὲ ὁπλίτας ἐπιφερομένους γάλης πρὸς ζεβέλλαν ἔλεγεν ἄνδρας αὐτοῖς ἐπιέναι καθωπλισμένους. τοῦ δὲ σκιὰς εἶναι φαμένου τῶν πετρῶν, πλησίον ἤδη γενομένων, τὸ ἀκριβὲς κατανοῶν, οὐ σκιὰς ἔλεγε ταῦτ' εἶναι, λόχον δ' ἀνδρῶν. καὶ ζεβέλλης, οὐ σὺ μέντοι, φησὶν, ἀβιμελέχῳ κακίαν ἐπικαλεῖς; τί οὖν οὐκ ἐπιδείκνυσαι τὸ τῆς σῆς ἀρετῆς μέγεθος εἰς μάχην αὐτῷ συμβαλών. γάλης δὲ θορυβούμενος, συνάπτει τοῖς ἀβιμελέχου καὶ πίπτουσι μέν τινες τῶν σὺν αὐτῷ. φεύγει δ' αὐτὸς εἰς τὴν πόλιν, τοὺς ἄλλους ἀγόμενος, καὶ ζεβέλλης πολιτεύεται γάλην ἐκβληθῆναι τῆς πόλεως,

κατ-

κατηγορήσας ὡς μαλακῶς πρὸς τοὺς ἀβιμελέχου στρατιώτας ἀγωνίσαιτο. ἀβιμέλεχος δὲ πυθόμενος ἐξελευσομένους αὖθις κατὰ τὸν τρυγητὸν τοὺς σικιμίους, ἐνέδρας προλοχίζεται τὰ περὶ τὴν πόλιν, καὶ προελθόντων, ἡ μὲν τρίτη μοῖρα τῆς στρατιᾶς καταλαμβάνει τὰς πύλας ἀφαιρησομένη τὴν εἴσοδον τοῖς πολίταις. οἱ δ' ἄλλοι σκιδναμένους μεταθέουσι· πανταχοῦ τε φόνος ἦν. καὶ κατασκάψας εἰς ἔδαφος τὴν πόλιν, οὐ γὰρ ἀντέσχε πρὸς πολιορκίαν, ἅλας κατὰ τῶν ἐρειπίων σπείρας προῆγε. καὶ σικιμῖται πάντες οὕτως ἀπώλοντο. ὅσοι δὲ κατὰ τὴν χώραν σκεδασθέντες διέφυγον τὸν κίνδυνον, οὗτοι συλλεγέντες ἐπί τινα πέτραν ὀχυράν, ἐπ' αὐτῆς ἱδρύοντο, τειχίσαι τε ταύτην παρεσκευάζοντο. ἔφθη τε τὴν διάνοιαν αὐτῶν ἀβιμέλεχος μαθών, ἐλθεῖν ἐπ' αὐτὴν μετὰ τῆς δυνάμεως. καὶ φακέλους ὕλης ξηρᾶς περιβάλλων τῷ χωρίῳ δι' αὐτοῦ φέρων ταὐτὸ ποιεῖν τὴν στρατιὰν παρεκελεύσατο. καὶ τάχους περιληφθείσης τῆς πέτρας τοῖς ξύλοις, ἐν κύκλῳ πῦρ ἐμβάλλουσιν, ὅσα τε μᾶλλον ἐξάπτειν φύσιν ἔχει, καὶ μεγίστην αἴρουσι φλόγα. καὶ διαφεύγει μὲν ἐπὶ τῆς πέτρας οὐδείς, ἀλλ' ἅμα γυναιξὶ καὶ τέκνοις ἀπώλοντο, ἄνδρες μὲν περὶ πεντακοσίους καὶ χιλίους, τὸ δ' ἄλλο πλῆθος ἱκανόν. καὶ σικιμίταις μὲν τοιαύτη συμφορὰ συνέπεσε μείζονος, καὶ τῆς ἐπ' αὐτῇ λύπης γενομένης, πλὴν ὅτι κατὰ δίκην, ἐπ' ἀνδρὸς εὐεργέτου συνθεῖσι κακὸν τηλικοῦτον. ἀβιμέλεχος δὲ τοῖς σικιμιτῶν κακοῖς καταπλήξας τοὺς ἰσραηλίτας, μειζόνων ἐφιέμενος δῆλος ἦν, καὶ μηδαμοῦ περιγράφων τὴν βίαν, εἰ μὴ πάντας ἀπολέσειεν. ἤλαυνεν οὖν ἐπὶ θήβας. καὶ τὴν μὲν πόλιν ἐξ ἐπιδρομῆς αἱρεῖ. πύργου δ' ὄντος ἐν αὐτῇ μεγάλου, εἰς ὃν πᾶν τὸ πλῆθος συνέφυγε, πολιορκεῖν τοῦτον παρεσκευάζετο. καὶ αὐτὸν πλησίον ὁρμῶντα τῶν πυλῶν, γυνὴ θραύσματι μύλης βαλοῦσα κατὰ τῆς κεφαλῆς τυγχάνει. πεσὼν δ' ὁ ἀβιμέλεχος ὑπασπιστὴν παρεκάλει κτείνειν αὐτόν, μὴ τῆς γυναικὸς ὁ θάνατος αὐτοῦ δόξειεν ἔργον. καὶ ὁ μὲν τὸ προσταχθὲν ἐποίει. ὁ δὲ τοιαύτην ὑπὲρ τῆς εἰς τοὺς ἀδελφοὺς παρανομίας ποινὴν ἐξέτισε καὶ τῶν εἰς σικιμίους αὐτῷ τετολμημένων. τούτοις δὲ κατὰ τὴν ἰωθάνου μαντείαν ἡ συμφορὰ συνέπεσε. τὸ μέντοι σὺν ἀβιμελέχῳ στράτευμα, πεσόντος αὐτοῦ σκεδασθὲν ἀνεχώρησεν ἐπὶ τὰ οἰκεῖα. τῶν δ' ἰσραηλιτῶν τὴν ἡγεμονίαν ἰαείρης ὁ γαλαδηνὸς ἐκ τῆς μανασσίτιδος φυλῆς παραλαμβάνει, ἀνὴρ τά τε ἄλλα εὐδαίμων, καὶ παῖδας ἀγαθοὺς πεποιημένος. τριάκοντα μὲν τὸν ἀριθμόν, ἱππεύειν δ' ἀρίστους καὶ τῶν κατὰ τὴν γαλαδηνὴν πόλεων ἀρχὰς ἐγκεχειρισμένους. οὗτος δύο καὶ εἴκοσι ἔτη τὴν ἀρχὴν κατασχών, τελευτᾷ γηραιός. καὶ ταφῆς ἐν καμὼν πόλει τῆς γαλαδηνῆς ἀξιοῦται. πάντα δὲ τὰ τῶν ἑβραίων εἰς ἀκοσμίαν καὶ ὕβριν τῶν νόμων ἐφέρετο. καὶ καταφρονήσαντες αὐτῶν ἀμμανῖται καὶ παλαιστῖνοι, στρατῷ μεγάλῳ διήρπαζον τὴν χώραν. καὶ τὴν περαίαν ἅπασαν κατασχόντες, καὶ ἐπὶ τὴν τῶν λοιπῶν ἤδη κτῆσιν διαβαίνειν ἐτόλμων. ἑβραῖοι δὲ σωφρονισθέντες ὑπὸ τῶν κακῶν εἰς ἱκετείας ἐτράποντο τοῦ θεοῦ. καὶ θυσίας ἐπεδέχοντο παρακαλοῦντες αὐτὸν μετριάσαντα, καὶ πρὸς τὴν δέησιν αὐτῶν ὑπαχθέντα παύσασθαι τῆς ὀργῆς. ὁ δὲ θεὸς μεταβαλλόμενος εἰς τὸ ἡμερώτερον, ἔμελλεν αὐτοῖς βοηθεῖν. ἀμμανιτῶν δὲ στρατευσάντων ἐπὶ τὴν γαλαδηνήν, ὑπήντων οἱ ἐπιχώριοι πρὸς τὸ ὄρος δεόμενοι τοῦ στρατηγήσοντος.

A casione, calúniatus eum quasi volens malè pugnasset, effecit vt vrbe pelleretur. cæterùm Abimelechus cognito quòd Sicimitæ ad vindemię reliquum exituri essent, insidias circa vrbem disponit. cúmque prodissent, tertiam suorum partem occupare portas iubet ne ciuibus reditus in vrbe pateret, cæteri verò dispersos circúueniunt. Itaque vbique plurima cædes patrabatur. & vrbe capta primo impetu ac solo æquata, saléque in ruinis eius seminato, tum demum militem inde abduxit. atque ita Sicimitæ B sunt deleti. Quotquot autem per regionem dispalati periculum euaserant, collecti denuo, petra quadam occupata, locum natura munitum muro insuper cingere volebant. Sed hoc consilium præuenit Abimelechus, qui quàm primùm id cognouit, exercitum eò adduxit. & arrepto fasce arido, iussísque cęteris idem facere, breui petram strue lignorum circũdedit: subiectóque igne, & fomentis ingestis flammam ingentem excitauit, ita vt nemo euaderet, sed vnà cum vxoribus & liberis absumerentur. nu- C merus virorum fuit circiter mille quingentos, præter imbellem turbam satis magnam. Tale fuit Sicimitarum exitium, dolendum sanè, nisi quòd meritas pœnas dederũt ingratitudinis erga virum optimè de se meritum. Abimelechus autem Israelitis Sicimitarũ internecione perterritis, videbatur non fore præsenti fortuna contentus, neque priùs conquieturus quàm vniuersos perderet. mox enim exercitum ad Thebas duxit: & capto ex incursu oppido, circa turrim quandam restitit, quæ quòd esset non D mediocris, populo fuit receptaculum. hanc expugnaturus cũ propius ianuam accessisset, mulier fragmine molæ demisso caput subeuntis ferit. ad quem ictum humi collapsus rogauit armigerum vt se occideret, ne mulieris manu periisse diceretur. quo facto fratribus debitas impietatis pœnas exsoluit simul & crudelitatis, qua in Sicimitas vsus est: quæ quidem clades iuxta Iothanis præsagium illis accidit. cæterùm exercitus duce mortuo, miles in suas quisque domos reuersus est.

E Israelitarum deinde gubernacula Iairus Galadenus de tribu Manassetide suscepit, vir tum rebus cæteris, tum numerosa prole felix. triginta enim filios habuit, equites egregios, & Galadenæ oppidorum principes. is cùm viginti & duos annos in principatu vixisset, iam senex defunctus, in Camone vrbe Galadenæ est sepultus. Res autem Hebræorum rursum in peiore statu erant, legibus autoritatem suam non amplius obtinentibus. qua occasione arrepta Ammanitæ & Palæstini cum valido exercitu regionem F eorum ingressi, omnia rapinis vastabant: & occupatis locis vltra Iordanem, traiicere flumen & reliquam regionem inuadere parabant. Hebræi verò calamitatib. castigati supplices opem diuinã implorãt: & victimis numẽ placare conati, rogabãt vt irã finiret, aut certè moderatiùs exerceret. Deus autem iam propitius, auxilium eis non negauit. Igitur Ammanitis Galadenam cũ exercitu ingressis, incolę eius regionis obuiã illis cũ armis veniũt: sed imperatore carebant.

XII. *Iud.10.*

Erat autem quidam Iaphthes, vir patris virtute celebris, qui proprios milites alebat: ad hunc missis nunciis rogabãt vt in auxilium veniret, promittentes se perpetuum copiarum imperiũ ei tradituros. ille non admisit preces, causatus quòd nullam opem ei tulerint, dum à fratribus manifestam iniuriam pateretur. Cùm enim nõ esset eadem matre natus, sed externa quam pater amore captus in ędes induxerat, contempta eius solitudine eiecerunt hominem. tunc autem in Galadena degebat, omnibus quotquot ad se venirent stipendia soluens. Tandem exoratus, & iureiurando accepto imperium copiarum penes se fore, militem suum cum eis coniunxit. Et cùm maturè quicquid facto opus erat prouidisset, exercitu in vrbe Masphaca collato, mittit legatos ad regem Ammanitarum, expostulatum quòd res alienas inuaderet. Qui missis aliis oratoribus respondit, ipsos potius iniquè agere, qui Ægyptiorum fugitiui alienis bonis incubarent: postulátque vt de regione Amoræa decederent, quæ ad maiorum suorum ditionem pertineat. Contrà Iaphthes negabat eum meritò queri de adepta quondam Amoræâ, sed magis gratiam debere pro Ammanitide relicta. potuisse enim Moysen & illam occupare. Se verò agris nequaquam cessurum, quos annis iam trecentis Deo volente tenuissent, & potiùs litem hanc armis direpturum. His dictis legatos dimisit. ipse votum fecit, si victoria potiretur, sacrificaturum se quicquid domum reuerso primùm occurrisset. congressus deinde cum hoste vicit egregiè: fugientésque persecutus est vsque vrbem Maniathen. & ingressus regionem Ammanitidem multas vrbes deleuit, præda militi cõcessa: finéq; seruituti imposuit quã sua gẽs per annos decẽ & octo pertulerat, fortunior militię quã domi. redeũti. n. obuiã facta est filia virgo, pręterquã nullos alios liberos habuit. Ingemuit pater, ictus dolore nimio: dein conquestus de importuno officio, indicauit victimã esse Deo destinatam. at illa non illibenter accepit, gratulatoriam se fore pro victoria patris & ciuium libertate hostiam. vnum rogauit, vt sibi liceret iuuentutem suam cum æqualibus per bimestre tempus deplorare, atque ita voto patrem soluere. quo impetrato, ad præfinitum terminum pater mactatã holocautoma obtulit, neque legitimũ neque Deo gratum sacrum faciens, nec quicquam pẽsi habens quid fama de hoc facto locutura esset. Petitus post hæc bello ab Ephræmi tribu, quòd sine illis in Ammanitas expeditionem fecisset, & nunc solus præda simul & gloria frueretur, primo excusauit, nec ignorasse eos quòd consanguinei bello premerẽtur, nec auxilium attulisse, quod vel non vocatos ferre decebat, vltro deinde accusauit, quòd iniquè facerent, qui non ausi hostem aggredi, nunc contra cognatos ferocirẽt. postremò minatus est, pœnas sibi Deo volente daturos, si insanire pergerent. vt verò nihil se verbis proficere sensit, accito è Galadena exercitu venientes excepit: plurimis-

Iud. 7.

ἦν δέ τις Ἰάφθης, ἀνὴρ διὰ τὴν πατρῴαν ἀρετὴν δυνατὸς καὶ διʼ οἰκείαν αὐτοῦ στρατιὰν ἣν ἔτρεφεν αὐτὸς μισθοφορῶν. πρὸς τοῦτον οὖν πέμψαντες ἠξίουν αὐτὸν συμμαχεῖν, ἐπαγγελλόμενοι παρέξειν εἰς ἅπαντʼ αὐτῷ τὸν χρόνον τὴν ἰδίαν ἡγεμονείαν. ὁ δʼ οὐ προσίεται τὴν παράκλησιν αὐτῶν, ἐγκαλῶν ὅτι μὴ βοηθήσειαν αὐτῷ ὑπὸ τῶν ἀδελφῶν ἀδικουμένῳ περιφανῶς. οὐ γὰρ ὄντα ὁμομήτριον αὐτοῖς, ἀλλὰ ξένον περὶ τὴν μητέρα διʼ ἐρωτικὴν ἐπιθυμίαν ἐπαχθεῖσαν αὐτοῖς ὑπὸ τοῦ πατρὸς, ἐξέβαλεν καταφρονήσαντες διʼ αὐτοῦ ἀσθενείας. καὶ ὁ μὲν διέτριβεν ἐν τῇ Γαλααδίτιδι καλουμένῃ χώρᾳ, πάντας τοὺς ὁποθενοῦν παραγινομένους πρὸς αὐτὸν ἐπὶ μισθῷ δεχόμενος. ἐλλιπαρησάντων δʼ αὐτῶν καὶ ὀμοσάντων εἰς ἀεὶ παρέξειν αὐτῷ τὴν ἡγεμονίαν ἐστρατευε. καὶ ποιησάμενος ὀξεῖαν τὴν τῶν πραγμάτων πρόνοιαν, ἐν πόλει Μασφάκῃ καθίσας τὸν στρατὸν, πρεσβείαν πέμπει παρὰ τὸν Ἀμμανίτην, αἰτιώμενος τῆς ἁλώσεως. ὁ δὲ ἀντιπέμψας ᾐτιᾶτο τῶν Ἰσραηλιτῶν τὴν ἔξοδον τὴν ἀπʼ Αἰγύπτου, καὶ τῆς Ἀμωραίας αὐτοὺς ἠξίου παραχωρεῖν, ὡς πατρῴας οὔσης ἀρχῆθεν. ἀποκρινόμενος δὲ ὁ Ἰάφθας, ὡς οὔτε τῆς Ἀμωραίας τοῖς προγόνοις αὐτῶν εὐλόγως ἐγκαλοῦσι, χάριν τε μᾶλλον τῆς Ἀμμανίτιδος αὐτοῖς ἔχειν ὀφείλουσι παρεθείσης. δυνατὸν γὰρ Μωυσεῖ καὶ ταύτην λαβεῖν. παραχωρεῖν τε ἰδίας εἰπὼν γῆς, ἣν θεοῦ κατακτησαμένου μετὰ τριακόσια ἔτη νέμονται, μαχεῖσθαι πρὸς αὐτοὺς ἔφησεν. καὶ τοὺς μὲν πρέσβεις ταῦτʼ εἰπὼν ἀπέλυσεν. αὐτὸς δὲ εὐξάμενος νίκην, καὶ θυσιάσειν ὑποσχόμενος ἂν σῶος εἰς τὰ οἰκεῖα ὑποστρέψῃ, καὶ πᾶν ὅ τι καὶ πρῶτον αὐτῷ συντύχειν ἱερουργήσειν, συμβαλὼν νικᾷ παρὰ πολύ. καὶ φονεύων ἐδίωκε μέχρι πόλεως Μανιάθης. καὶ διαβὰς εἰς τὴν Ἀμμανῖτιν, πόλεις τε ἠφάνισε πολλὰς, καὶ λείας ἤλασε. καὶ τοὺς οἰκείους δουλείας ἀπήλλαξεν, ἐν ἔτεσιν ὀκτωκαίδεκα ταύτην ὑπομείναντας. ἀναστρέφων δὲ συμφορᾷ περιέπιπτε κατʼ οὐδὲν ὁμοίᾳ τοῖς κατωρθωμένοις αὐτῷ. ὑπήντησε γὰρ ἡ θυγάτηρ αὐτῷ. μονογενὴς δʼ ἦν ἔτι παρθένος. ὁ δὲ ἀνοιμώξας ἐπὶ τῷ μεγέθει τοῦ πάθους, κατεμέμφετο τῆς περὶ τὴν ὑπάντησιν σπουδῆς τὴν θυγατέρα. καθιερῶσαι γὰρ αὐτὴν τῷ θεῷ. τῇ δὲ τὸ συμβησόμενον οὐκ ἀηδῶς προσέπεσεν, ἐπὶ νίκῃ τοῦ πατρὸς καὶ ἐλευθερίᾳ τῶν πολιτῶν τεθνηξομένῃ. παρεκάλεσε δὲ δύο μῆνας αὐτῇ παρασχόντα πρὸς τὸ μετὰ τῶν πολιτῶν ἐπιθρηνῆσαι τὴν νεότητα, τότε ποιεῖν τὰ κατὰ τὴν εὐχήν. συγχωρήσας δὲ κατὰ τὸν προειρημένον χρόνον, μετὰ τοῦτον διελθόντα θύσας τὴν παῖδα ὡλοκαύτωσεν, οὔτε νόμιμον, οὔτε τῷ θεῷ κεχαρισμένην θυσίαν ἐπιτελῶν, μὴ διαβασανίσας τῷ λογισμῷ τὸ γενησόμενον οἷον τὸ πραχθὲν δόξει τοῖς ἀκούσασι. τῆς δὲ Ἐφράμου φυλῆς ἐπʼ αὐτὸν στρατευσάσης ὅτι μὴ κοινωνήσαιτο τὴν ἐπʼ Ἀμμανίταις ἔλασιν αὐτοῖς, ἀλλὰ μόνος καὶ λείαν ἔχοι, καὶ τὴν ἐπὶ τοῖς πεπραγμένοις δόξαν, πρῶτον μὲν ἔλεγεν ὡς οὔτε λάθοιεν αὐτοὺς οἱ συγγενεῖς πολεμούμενοι, καλούμενοί τε πρὸς συμμαχίαν οὐ παραγένοιντο, δέον καὶ πρὸ δεήσεως ἐγνωκότας ἐπειχθῆναι. ἔπειθʼ ὡς ἄδικα πράττειν ἐπιχειροῦσι τοῖς πολεμίοις οὐ τολμήσαντες εἰς χεῖρας ἐλθεῖν, ἐπὶ δὲ τοὺς συγγενεῖς ὡρμηκότες. ἠπείλησέ τε σὺν τῷ θεῷ λήψεσθαι δίκην παρʼ αὐτῶν ἂν μὴ σωφρονῶσιν. ὡς δʼ οὐκ ἔπειθεν, ἀλλὰ συνέβαλεν αὐτοῖς ἐλθοῦσι μετὰ στρατιᾶς, ἣ μετάπεμπτος ἐκ τῆς Γαλααδηνῆς ἐληλύθει, φόνον τε πολὺν αὐτῶν εἰργάσατο, καὶ διώ-

καὶ διώκων ἅπαντας προλαβὼν μέρει τινὶ προαπεσταλμένῳ τοῦ Ἰορδάνου τὰς διαβάσεις, κτείνει περὶ δισχιλίους καὶ τετρακισμυρίους γεγονότας. αὐτὸς δὲ ἄρξας ἓξ ἔτη, τελευτᾷ καὶ θάπτεται ἐν τῇ αὐτοῦ πατρίδι Σεβέει. τῆς Γαλαδηνῆς δ' ἐστὶν αὕτη. τελευτήσαντος δὲ Ἰάφθα, τὴν ἀρχὴν Ἀψάνης παραλαμβάνει, φυλῆς ὢν Ἰούδα, Βηθλεέμων δὲ πόλεως. τούτῳ δὲ παῖδες ἦσαν ἑξήκοντα. τριάκοντα μὲν ἄρρενες, αἱ λοιπαὶ δὲ θυγατέρες, οὓς καὶ πάντας ζῶντας κατέλιπε. τὰς μὲν ἀνδράσιν ἐκδούς, τοῖς δὲ γυναῖκας ἠγμένος. πράξας δ' οὐδὲν ἐν τῷ ἑπταετεῖ γενομένῳ χρόνῳ λόγου καὶ μνήμης ἄξιον, γηραιὸς ὢν ἀπέθανε. καὶ ταφῆς ἐν τῇ πατρίδι τυγχάνει. Ἀψάνου δ' οὕτως ἀποθανόντος, οὐδ' ὁ μετ' αὐτὸν παραλαβὼν τὴν ἡγεμονίαν Ἤλων ἐπ' ἔτη δέκα κατασχὼν αὐτὴν, φυλῆς ὢν τῆς Ζαβουλῆς ἔπραξέ τι σπουδῆς ἄξιον. Ἄβδων δὲ Ἤλωνος παῖς, φυλῆς μὲν τῆς Ἐφραμίτιδος, πόλεως δὲ τῆς Φαραθωνιτῶν γεγονώς, αὐτοκράτωρ ἡγεμὼν ἀποδειχθεὶς μετ' Ἤλων, μόνης ἂν τῆς εὐπαιδίας μνημονευθείη, διὰ τὴν εἰρήνην καὶ τὴν ἄδειαν τῶν πραγμάτων, λαμπρὸν μηδ' αὐτὸς μηδὲν ἐργασάμενος, υἱεῖς δ' ἦσαν αὐτῷ τεσσαράκοντα, καὶ τούτων τὴν γενεὰν καταλειπόντες τριάκοντα, ἤλαυνέ τε σὺν αὐτοῖς οὖσιν ἑβδομήκοντα, πᾶσιν ἱππάζειν ἀρίστοις γεγενημένοις, καὶ πάντας ὑπὲρ γῆς ἀπολιπών. θνήσκει γὰρ γηραιός, καὶ ταφῆς ἐν Φαραθῷ λαμπρᾶς τυγχάνει.

Κεφάλαιον ι.

Περὶ τῆς Σαμψῶνος ἀνδρίας, καὶ ὅσων κακῶν αἴτιος Παλαιστίνοις ἐγένετο.

Μετὰ δὲ τοῦτον Παλαιστῖνοι τελευτήσαντα κρατοῦσι τῶν Ἰσραηλιτῶν. καὶ φόρους παρ' αὐτῶν ἐλάμβανον ἐπ' ἔτη τεσσαράκοντα. ταύτης δ' ἐλευθεροῦνται τῆς ἀνάγκης, τούτῳ τῷ τρόπῳ. Μανώχης τις Δανιτῶν ἐν ὀλίγοις ἄριστος καὶ τῆς πατρίδος ὁμολογούμενος πρῶτος, εἶχε γύναιον ἐν εὐμορφίᾳ περίβλεπτον, καὶ τῶν καθ' αὐτὸ διαφέρον. παίδων δ' οὐ γινομένων αὐτῷ, δυσφορῶν ἐπὶ τῇ ἀπαιδίᾳ, τὸν θεὸν ἱκέτευεν, ἐπὶ τὸ προάστειον συνεχῶς φοιτῶν μετὰ τῆς γυναικός, δοῦναι διαδοχὴν αὐτοῖς γνησίαν. μέγα δὲ ἐστὶ τὸ πεδίον. ἦν δὲ καὶ μανιώδης ὑπ' ἔρωτος ἐπὶ τῇ γυναικί, καὶ διὰ τοῦτο ζηλότυπος ἀκρατῶς. μονωθείσῃ δὲ τῇ γυναικί, φάντασμα ἐπιφαίνεται ἄγγελος τοῦ θεοῦ νεανίᾳ καλῷ παραπλήσιος καὶ μεγάλῳ, καὶ εὐαγγελιζόμενος αὐτῇ παιδὸς γονὴν κατὰ θεοῦ πρόνοιαν, καλοῦ τε καὶ ῥώμην ἐπιφανοῦς, ὑφ' ᾧ πονήσειν Παλαιστίνοις ἀνδρουμένῳ, παρῄνει τε τὰς κόμας αὐτοῦ μὴ ἀποκείρειν. ἔσται δ' αὐτῷ πρὸς ἄλλο μὲν πᾶν ποτὸν ἀποστροφή, τοῦ θεοῦ τοῦτο προστάττοντος, πρὸς ὕδωρ δὲ μόνον οἰκειότης. καὶ ὁ μὲν ταῦτ' εἰπὼν, ᾤχετο, κατὰ βούλησιν ἐλθὼν τοῦ θεοῦ. ἡ δὲ τἀνδρὶ παραγενομένῳ τὰ παρὰ τοῦ ἀγγέλου ἐκδιηγήσατο, ἐκθαυμάζουσα τοῦ τε νεανίσκου τὸ κάλλος καὶ τὸ μέγεθος, ὡς ἐκεῖνον ἐκ τῶν ἐπαίνων εἰς ἔκπληξιν κατὰ ζηλοτυπίαν περιστῆναι καὶ ὑπόνοιαν τὴν ἐκ τοιούτου πάθους κινουμένην. ἡ δὲ βουλομένη τὴν ἄλογον τἀνδρὸς λύπην σταλῆναι, τὸν θεὸν ἱκέτευε πάλιν πέμψαι τὸν ἄγγελον, ὡς ἂν καὶ τῷ ἀνδρὶ αὐτῆς ὡραθείη. καὶ παραγίνεται πάλιν κατὰ χάριν τοῦ θεοῦ ὁ ἄγγελος ὄντων ἐν τῷ προαστείῳ. καὶ τῇ γυναικὶ φαίνεται τοῦ ἀνδρὸς μεμονωμένῃ.

A plurimísque in conflictu cæsis,& postquam in fugam versi sunt,præmissis qui vada Iordanis occuparent.intercluso effugio,circiter quadraginta duo millia hominum peremit.ipse expletis sex principatus annis defunctus sepelitur in patria sua Sebei,quæ sita est in regione Galadena.Huic in principatu successit Apsanes,natus è tribu Iudæ,ex Bethlemis oppido. huic liberi fuêre LX.mares XXX. totidem deterioris sexus, quos omnes superstites reliquit,has nuptas ,il-B los vxoribus cura & opera sua coniunctos. cúque nihil memorabile in principatu septenni gessisset,admodum senex diem obiit , in patria sua sepultus.Helon post hunc assumpsit principatum,tribu Zabulonita:quo per decennium functus , nec ipse quicquam gessit memoratu dignum.Qui deinde successit Abdon Elielis filius tribu Ephræmita,ex vrbe Pharathone , nihil præter numerosam prolem habet memorabile,alioqui per summam securitatem & pa-C cem quæ sub eo floruit,nulla data est ei rerum fortiter & gloriosè gerendarum occasio. Filios habuit quadraginta,nepotes triginta: atque egregiis equitibus septuaginta comitatus circumuectabatur , quos omnes superstites reliquit.Mortuus est iam senex , & in Pharathone magnificè sepultus.

CAP. X.

D *De Sampsonis fortitudine,& quãta mala Palæstinis fecerit.*

POst huius mortem Palæstini superauerunt Israelitas,& tributa ab eis exegerunt per annos quadraginta. Ab ea miseria liberati sunt in hunc modum:Manoches quidam vir inter Danitas optimus,patriæ suæ sine controuersia princeps,vxorem habuit eximia pulchritudine suspiciendam supra omnes eius ætatis fœmi-E nas:ex qua cùm nihil liberorum susciperet, ægrè ferens orbitatem , in suburbanum suum quod erat in campo magno cum vxore ventitans,crebris precibus solicitabat Deum , vt daret sibi liberos. Insaniebat autem in vxorem præ amore , eratque vehementer zelotypus. Cúmque aliquando sola ageret mulier, spectrũ se illius oculis obtulit angelus Dei specie iuuenis pulchri & magni, lætum nuncium afferens fore vt fauore Dei nascatur eis filius,pulcher &-F insigni robore:qui vbi ad virilem ætatem peruenerit, cõpescendam esse ab eo Palæstinorum insolentiam.iussítque ne capillitium ei detõderetur,vtque Deo sic volente ab omni alio potu abstineret,sola aqua contentus.postremò addẽs à Deo se missum abiit.illa marito reuerso angeli verba indicat,mirè prædicans iuuenis staturam & pulchritudinem,ita vt vir tali lauda-G tione motus ad zelotypiam , nonnihil de vxoris pudicitia male suspicari inciperet.quæ volens hunc marito stultum mœrorem adimi,supplex Deum rogauit,vt iterum angelum mittere dignaretur.quò ille à coniuge etiam posset cõspici:& impetrata hac gratia,rursũ in suburbano versantib. apparuit angelus soli mulieri.

XIII. Iud.13.

illa rogat vt paulisper maneat dum virum adducit quo permittente, cum Manoche mox ad eum reuertitur. quo viso, ne tum quidem suspicari desiit: rogauítque vt sibi quoque eadem indicaret. illo respondente, satis esse quòd mulier sciat: iubet quisnam esset dicere: vt nato filio referre ei gratiam & munus aliquod donare possint. negauit ille sibi opus muneribus, nec enim horum causa de filio lætum se attulisse nuncium. cúmque iterum rogaretur vt saltem hospitalem tractationem admitteret, non annuit. tandem exoratus vt paulisper maneret, dũ aliquid affertur, cùm mactasset hædum Manoches, coquẽdúmque vxori dedisset, paratis omnibus iussit deponi in petra & panes & carnes absque vasculis. quo facto virga quam gestabat carnes attigit: confestímque flamma emicante cum panibus absumptæ sunt, & angelus fumo tanquam vehiculo in cælum ascendere ab eis visus est. Manoche autem solicito ne quid periculi immineret ex aspectu numinis, vxor bono iubet esse animo, affirmans, magno suo bono Deum se vidisse: cúmque concepisset, diligenter mandata retinuit. Nato deinde infanti Sampson est nomen inditum. quod robustum significat: qui mox egregia animi ac corporis indole præditus, promisso capillitio victúsque sobrietate diuinum nescio quid præ se ferebat.

Iud.14. Cúmque adoleuisset, comitatus parentes in Thamnam vrbem Palæstinorum conuentus tempore, implicitus amore puellæ indigenæ, rogauit suos parentes, vt id connubium procurarent. quibus excusantibus quòd diuersi essent generis, quódque religio vetaret eiusmodi nuptias, vicit iuuenis pertinacia, effecítque vt virgo sibi desponderetur. crebrò deinde spõsam interuisens, in itinere in leonem incidit, nec tamen eius occursum declinauit licèt inermis, sed nudis manibus adortus beluæ fauces elisit, eiúsque cadauer in dumetum viæ vicinum abiecit. aliquot pòst diebus eandem viam ad puellam remetiens, offendit examẽ apum mellificare in leonis pectore, & sumptis inde tribus fauis eos cum cæteris muneribus adamatæ obtulit. Ad nuptias deinde celebrandas Thamnitas conuocat, qui quòd vires eius haberent suspectas, honoris specie triginta assectatores ex æqualium numero iuueni adhibent iussos obseruare nequid auderet. Conuiuis deinde vt fit hilarescentibus ait se quæstionem propositurum suis sodalibus, quam si intra sex dies soluerent, cuique sindonem se daturum & tunicam. qui tum quòd sagaces videri cuperent, tũ quòd lucrum nõ fastidirent, iubent eum proponere. Ille, Ex voraci, inquit, cibus prodiit, & ex immiti suauitas. in his explicandis cùm hæsissent triduo nec proficerent, puellã aggrediũtur minis simul & precib. vt expiscata secretum è marito indicium sibi faceret. ille repulsis aliquãdiu blandiciis, cum rogãdi finẽ nõ faceret,

A ἡ δ᾽ ἐπιμεῖναι δεηθεῖσα ὡς ἂν ἀγάγοι τὸν ἄνδρα συγχωρήσαντος μέτεισι τὸν Μανώχην. ὁ δὲ, θεασάμενος, οὐδ᾽ οὕτως ἐπαύετο τῆς ὑπονοίας. ἠξίου τέ καὶ αὐτῷ δηλοῦν, ὅσα τῇ γυναικὶ μηνύσειεν. ἀρκέσειν δὲ φράσαντος ταύτην μόνην εἰδέναι, τίς εἴη λέγειν ἐκέλευεν, ἵνα τοῦ παιδὸς γενομένου χάριν αὐτῷ καὶ δωρεὰν παράσχωσι. τοῦ δὲ, μηδέ τινων αὐτῷ δεῖσθαι φήσαντος, οὐδὲ γὰρ κατὰ χρείαν ταῦτα εὐαγγελίσασθαι περὶ τῆς τε παιδὸς γονῆς, τοῦ δὲ, μεῖναι παρακαλοῦντος καὶ ξενίων μεταχεῖν, οὐκ ἐπένευσε. B πεισθεὶς δ᾽ ὅμως λιπαροῦντος ἐπιμεῖναι ὡς ἂν ξένιον αὐτῷ τι κομίσῃ, καὶ θύσαντος ἔριφον τοῦ Μανώχου, καὶ τοῦτον ὀπτᾶν τῇ γυναικὶ κελεύσαντος, ἐπεὶ πάντ᾽ ἦν εὐτρεπῆ, προσέταξεν ἐπὶ τῆς πέτρας ἀποθέσθαι τούς τε ἄρτους καὶ τὰ κρέα χωρὶς τῶν ἀγγείων. καὶ ποιησάντων, ἅπτεται τῇ ῥάβδῳ ἣν εἶχε τῶν κρεῶν. τὰ δὲ, λαμψάντος πυρὸς, ἅμα τοῖς ἄρτοις ἐκαίετο. καὶ ὁ ἄγγελος διὰ τοῦ καπνοῦ ὥσπερ C ὀχήματος ἀνιὼν εἰς οὐρανὸν αὐτοῖς φανερὸς ἦν. Μανώχην δὲ φοβούμενον μή τι σφαλερὸν αὐτοῖς ἐκ τῆς ὄψεως τοῦ θεοῦ γένοιτο, θαρσεῖν ἡ γυνὴ παρεκελεύετο. ἐπὶ γὰρ συμφέροντι τοῖς αὐτῶν τὸν θεὸν αὐτοῖς ὀφθῆναι. καὶ κύει τε ἐκείνη, καὶ φυλακὴν εἶχε τῶν ἐντολῶν, καὶ γενόμενον τὸ παιδίον, Σαμψῶνα καλοῦσιν. ἰσχυρὸν δ᾽ ἀποσημαίνει τὸ ὄνομα. ηὔξετο δ᾽ ὁ παῖς ῥᾳδίως καὶ δῆλος ἦν προφητεύσων D ὑπὸ τῆς περὶ τὴν δίαιταν σωφροσύνης καὶ τῆς τῶν τριχῶν ἀνέσεως. ἀφικόμενος δὲ μετὰ τῶν γονέων εἰς Θαμνὰ πόλιν τῶν Παλαιστινῶν, πανηγύρεως ἀγομένης, ἐρᾷ παρθένου τῶν ἐπιχωρίων. καὶ παρακαλεῖται τοὺς γονεῖς, ἀγαγέσθαι πρὸς γάμον αὐτῷ τὴν κόρην. τῶν δὲ ἀρνουμένων, διὰ τὸ μὴ ὁμόφυλον εἶναι, τοῦ θεοῦ κατὰ τὸ Ἑβραίων συμφέρον ἐπινοοῦντος τὸν γάμον, ἐκνικᾷ μνηστεύσασθαι τὴν παρθένον. συνεχῶς δ᾽ ἀπερχόμενος πρὸς τοὺς γονεῖς αὐτῆς, συντυγ- E χάνει λέοντι, καὶ γυμνὸς ὢν ἐκδεξάμενος αὐτὸν ἄγχει ταῖς χερσὶ, καὶ εἰς τὸ χωρίον τὸ ὑλῶδες ἐνδοτέρω τῆς ὁδοῦ, ῥίπτει τὸ θηρίον. πάλιν τε ἀπιὼν πρὸς τὴν κόρην, ἐπιτυγχάνει σμήνει μελισσῶν ἐν τοῖς στήθεσι τοῦ λέοντος ἐκείνου νενοσσευκότων. καὶ ἀνελόμενος τρία μέλιτος κηρία σὺν τοῖς λοιποῖς δώροις οἷς ἐκόμιζε δίδωσι τῇ παιδί. τῶν δὲ Θαμνιτῶν παρὰ τὴν εὐωχίαν τὴν τῶν γάμων, ἑστία γὰρ αὐτοὺς ἅπαντας, διὰ δέος τῆς ἰσχύος τοῦ νεανίσκου τριάκοντα δόντων αὐτῷ F τοὺς ἀκμαιοτάτους λόγῳ μὲν ἑταίρους ἐσομένους, ἔργῳ δὲ φύλακας μή τι παρακινεῖν ἐθελήσειε, τοῦ ποτοῦ προβαίνοντος καὶ παιδιᾶς οὔσης, οἷα φιλεῖ παρὰ τοῖς τοιούτοις καιροῖς, ὁ Σαμψὼν εἶπεν. ἀλλὰ προβάλλοντος ἐμοῦ λόγον εἰ λύσετε τοῦτον ἐφ᾽ ἡμέρας ἑπτὰ ποιούμενοι τὴν ζήτησιν, ὀθόνας τε καὶ στολὰς γέρας τῆς συνέσεως κατ᾽ ἄνδρα ἕκαστον φέρεσθε παρ᾽ ἐμοῦ. φιλοτιμουμένων δὲ ὁμοῦ τε συνετῶν δόξαι καὶ κέρδος εὑρέσθαι καὶ λέγειν ἀξιούντων, φησὶν, ὅτι τὸ πάμβορον γεγέννηκεν βορὰν ἡδεῖαν ἐξ αὐτοῦ καὶ πάνυ ἀηδοῦς ὄντος. τῶν δ᾽ ἐπὶ τρεῖς ἡμέρας οὐ δυναμένων ἐξευρεῖν τὸ νοούμενον, παρακαλούντων δὲ τὴν κόρην μαθοῦσαν παρὰ τοῦ ἀνδρὸς αὐτοῖς μηνύσαι, καὶ γὰρ ἠπείλουν αὐτὴν ἐμπρήσαι τοῦτο μὴ παρασχοῦσαν, ὁ Σαμψὼν δεομένης τῆς κόρης εἰπεῖν αὐτῇ τὸ μὲν πρῶτον ἀντεῖχεν. ἐγκειμένης δ᾽ αὐτῆς καὶ εἰς δάκρυα προπιπτούσης, καὶ τεκμήριον τιθεμένης τῆς πρὸς αὐτὴν δυσνοίας τὸ μὴ λέγειν αὐτῇ, μηνύει τὰ περὶ τὴν ἀναίρεσιν αὐτῇ τοῦ λέοντος, τρία βαστάσας μέλιτος κηρία κομίσειν αὐτῇ. καὶ ὁ μὲν οὐδὲν ὑφορώμενος δολερὸν, σημαίνει τὸ πᾶν, ἡ δ᾽ ἐκφέρει τὸν λόγον τοῖς δεηθεῖσι.

κατὰ οὖν τὴν ἑβδόμην ἡμέραν, καθ' ἣν ἔδει τὸν προβληθέντα λόγον αὐτῷ διασαφεῖν, πρὶν ἢ δῦναι τὸν ἥλιον συνελθόντες, φασὶ, οὔτε λέοντος ἀηδέστερόν τι τοῖς συντυγχάνουσιν, οὔτε ἥδιον μέλιτος χρωμένοις. καὶ ὁ σαμψώνης εἶπεν, οὐδὲ γυναικὸς εἶναί τι δολερώτερον, ἥ τις ὑμῖν ἐκφέρει τὸν ἡμέτερον λόγον. κἀκείνοις μὲν δίδωσιν ἃ ὑπέσχετο, λείαν ποιησάμενος ἀσκαλωνιτῶν τοὺς κατὰ τὴν ὁδὸν αὐτῷ συντυγχάνοντας. τὸν δὲ γάμον ἐκεῖνον παραιτεῖται, καὶ ἡ παῖς ἐκφαυλίσασα τῆς ὀργῆς αὐτὸν, συνῆν αὐτοῦ φίλῳ νυμφοστόλῳ γεγονότι. πρὸς δὲ τὴν ὕβριν ταύτην, σαμψὼν παροξυνθεὶς, ἅπαντας ἔγνω σὺν αὐτῇ παλαιστίνους μετελθεῖν. θέρους δ' ὄντος, καὶ πρὸς ἀμητὸν ἤδη τῶν καρπῶν ἀκμαζόντων, συλλαβὼν τριακοσίας ἀλώπεκας, καὶ τῶν οὐρῶν ἐξάψας λαμπάδας ἡμμένας, ἐξαφίησιν εἰς τὰς ἀρούρας τῶν παλαιστινῶν, καὶ φθείρεται μὲν οὕτως αὐτοῖς ὁ καρπός. παλαιστινοὶ δὲ γνόντες σαμψῶνος εἶναι τὸ ἔργον, καὶ τὴν αἰτίαν δι' ἣν ἔπραξε, πέμψαντες τοὺς ἄρχοντας εἰς θαμνὰ, τὴν γενομένην αὐτοῦ γυναῖκα καὶ τοὺς συγγενεῖς ζῶντας κατέπρησαν, ὡς αἰτίους τῶν κακῶν γεγονότας. σαμψώνης δὲ πολλοὺς ἐν τῷ πεδίῳ τῶν παλαιστινῶν ἀποκτείνας αἰτὰν κατῴκει. πέτρα δ' ἐστὶν ὀχυρὰ, τῆς ἰούδα φυλῆς. παλαιστινοὶ δ' ἐστράτευον ἐπὶ τὴν φυλήν. τῶν δ' οὐ δικαίως λεγόντων τιμωρίαν αὐτοὺς εἰσπράττεσθαι περὶ τῶν σαμψῶνος ἁμαρτημάτων, φόρους αὐτοῖς τελοῦντας, εἰ βούλονται μὴ ἔχειν αἰτίαν ἔφασαν, αὐτοῖς ὑποχείριον σαμψῶνα δοῦναι. οἱ δὲ, ἀνέγκλητοι βουλόμενοι τυγχάνειν, παρῆσαν ἐπὶ τὴν πέτραν τρισχιλίοις ὁπλίταις. καὶ καταμεμψάμενοι τῶν εἰς παλαιστινοὺς αὐτῷ τετολμημένων ἄνδρας ἅπαντι τῷ γένει τῶν ἑβραίων συμφορὰν ἐπενεγκεῖν δυναμένους, ἥκειν τε λέγοντες ὅπως αὐτὸν λαβόντες ὑποχείριον δώσειαν αὐτοῖς, ἠξίουν ἑκόντι τοῦθ' ὑπομένειν. ὁ δὲ λαβὼν ὅρκους παρ' αὐτῶν μηδὲν τούτων ποιήσειν περισσότερον, ἀλλὰ τοῖς ἐχθροῖς ἐγχειρεῖν μόνον, καταβὰς ἐκ τῆς πέτρας αὐτὸν ἐν τῇ τῶν φυλετῶν τίθησιν ἐξουσίᾳ. κἀκεῖνοι δήσαντες αὐτὸν δυσὶ καλωδίοις, ἦγον παραδώσοντες τοῖς παλαιστίνοις. καὶ γενομένων κατά τι χωρίον, ὃ σιαγὼν καλεῖται νῦν διὰ τὴν σαμψῶνος ἀνδραγαθίαν ἐπ' αὐτῷ γενομένην, πάλαι δ' ἦν ἀνώνυμον, οὐκ ἄπωθεν ἐστρατοπεδευκότων τῶν παλαιστινῶν, ἀλλ' ὑπαντώντων μετὰ χαρᾶς καὶ βοήσεως ἐπὶ κατορθωμένοις οἷς ἐβούλοντο, διαρρήξας τὰ δεσμὰ σαμψὼν, ἁρπασάμενος ὄνου σιαγόνα παρὰ ποσὶν οὖσαν εἰς τοὺς πολεμίους ὤσατο. καὶ παίων αὐτοὺς, κτείνει εἰς χιλίους, τοὺς δ' ἄλλους τρέπεται ταραχθέντας. σαμψώνης δὲ μεῖζον ἢ χρὴ ἐπὶ τούτῳ φρονῶν, οὐ κατὰ θεοῦ συνεργίαν ἔλεγε τοῦτο συμβῆναι, τὴν δ' ἰδίαν ἀρετὴν ἐπέγραφε τῷ γεγονότι, σιαγόνι τῶν πολεμίων τοὺς μὲν πεσεῖν, τοὺς δ' εἰς φυγὴν τραπῆναι διὰ τὸν παρ' αὐτοῦ δέος αὐχῶν. δίψους δ' αὐτὸν ἰσχυροῦ κατασχόντος, κατανοῶν ὡς οὐδέν ἐστιν ἀνθρώπειος ἀρετὴ, τῷ θεῷ πάντα προσεμαρτύρει. καὶ καθικέτευε μηδὲν τῶν εἰρημένων πρὸς ὀργὴν λαβόντα, τοῖς πολεμίοις αὐτὸν ἐγχειρῆσαι. παρασχεῖν δὲ βοήθειαν πρὸς τὸ δεινὸν καὶ ῥύσασθαι τοῦ κακοῦ. πρὸς οὖν τὰς ἱκεσίας ἐπικλασθεὶς ὁ θεὸς, πηγὴν κατά τινος πέτρας ἀνίησιν ἡδεῖαν καὶ πολλήν.

A & lacrymans gratam ſe illi negaret, tandem nihil ſuſpicans rem totam de leone aperit, & vnde tres illos fauos nactus fuerit. illa iuuenibus prodit omnia. ergo cùm præfinita ſoluendæ quęſtioni dies adeſſet, ante ſolis occaſum conuenientes: Neque leone, inquiunt, quicquam occurrenti immitius, neque melle guſtati ſuauius. Ibi Sampſon ſubiecit, neque muliere doloſius, quæ vobis quæſtionem noſtram aperuit. Nihilominus illis perſoluit quæ pro- B miſerat, ſpoliatis quibuſdam Aſcalonitis, quos fortè per viam inuenit obuios: ſed iratus mulieri remiſſo nuncio res ſuas ſibi habere iuſſit ac gerere. at puella contempta vt viciſſim illi moueret ſtomachum, nupſit eius ſodali qui priores nuptias conciliauerat. Hac contumelia commotus Sampſon decreuit de tota gente pœnas ſumere: & commodum maturis ſegetibus tempus iam meſſis aderat. ergo comprehenſis trecentis vulpibus, & facibus ad caudas C earum annexis, per arua Palęſtinorum omnes dimiſit, quibus paſſim diſcurrētibus totus frugum prouentus momento ferè temporis concrematus eſt. Quo cognito gentis principes, & quid Sampſonem ad perpetrandum facinus mouerit, miſſis in hoc Thamnam ſatellitibus, vxorem quondam eius cum cognatis, damni dati reos priùs factos, viuos exuſſerunt publicè. Sampſon autem in Palæſtinos latè graſſatus cædibus, ad habitandam Ætam ſe D contulit, ea eſt petra bene firma, ni tribu Iudæ ſita. At Palæſtini totam tribum bello impetunt: quibus bellum deprecantibus, quòd nec Sampſonis culpæ eſſent affines, nec de ſolenni tributo quicquam diminuerent, reſponſum eſt non abſoluendos ab hoc crimine ni Sampſonis deditionem facerent. Illi volentes hanc ſuſpicionem à ſe amotam, armatis tribus millibus ad petram veniunt, & expoſtulantes quod ſuis facinoribus Palæſtinos Hebræis infenſos redderet, qui irritati facilè poſſent toti genti ma- E gnam aliquam cladem rependere, dicentéſque in hoc ſe veniſſe vt comprehenſum illis dederent, poſtulabant vt conſenſu ipſius facere hoc ſibi liceat. qui iureiurando accepto nihil præterea molituros, ſed hoſti tantùm deditionem faciendam, deſcendens de petra in cognatæ gētis poteſtatem ſe permiſit: & illi vinctum priùs duobus funibus, Palæſtinis tradendum ducebant. cúmque ventum eſſet ad locum, qui ob- F ſcurus antè nunc ex Sampſonis facinore inclaruit, Maxilla nominatus, nec procul abeſſent à caſtris hoſtium, procurrentibus obuiam Palæſtinis, & lætitiam re ex ſententia geſta clamore teſtantibus: Sampſon abruptis repente vinculis, arreptáque maxilla aſini quæ fortè iacebat prę pedibus, in medios hoſtes irruit: qua feriens quotquot aſſequi potuit, circiter mille interfectis cęteros metu dare terga compulit. qua victoria plus ſatis elatus, & opis diuinæ imme- G mor, cùm totū ſibi tribueret, quòd maxilla tantum armatus fudiſſet ac fugaſſet hoſtiles copias ingenti ſiti oborta, cōfeſſus nihil eſſe quātas libet vires humanas, Deo victoriā acceptā retulit, ſuppléxq; rogauit vt arrogātię data venia, ſuccurreret & periculo ſe eximeret. nec irritę fuêre preces, ſed copioſus fōs ſubito è quadā petra

Iud. 15.

prorupit. loco Maxillæ nomē Sāpson imposuit, A quod in hodiernū vsque durat. Post hoc prœliū *Iud. 18.* iam Palæstinos contemnens venit Gazam, & in publico diuersorio egit. quo audito Gazæorum magistratus, ne clàm abire posset, stationes pro portis collocāt. Sampson verò qui insidias maturè senserat, circa mediam noctem surgens, portas cum ipsis claustris ac vectibus. cæteróque paratu reuulsas, & humeris impositas, in montem qui est supra Hebronem perlatas deposuit. paulò verò pòst à patriis institutis B desciscere, & in peregrinos mores degenerare incepit, quod ei omnium malorum fuit principium. cùm enim meretricem quandam Palæstinam adamasset, nomine Dalalen, cōsuetudine eius delectabatur. Quamobrē qui apud Palæstinos rerum potiebantur accedunt eam, & magnis pollicitationibus inducunt vt eliciat è Sampsone causam tanti roboris, propter quod inuictus haberetur ab hostibus. Assensit illa, & C cùm prima occasio data est inter compotationem & muliebres blanditias extollens eius res gestas, omni astu vtebatur vt cognosceret cur tantopere virtute excelleret. Sampson verò adhuc mentis compos eisdem artibus cōtra mulierem vtens: si septenis, inquit, vitibus flexilibus reuinctus fuero, fiam nihilo aliis fortior. Tacuit illa, rem ita se habere putans: communicatóque super hoc cum magistratibus con- D silio, inclusáque in penitiore domus parte manu militum, bene potum ac sopitum accuratè vt ab ipso didicerat vinxit. deinde excitato indicat adesse quosdam qui illum vellēt aggredi, ille ruptis virgeis vinculis ad resistendum se expedit. Mulier tunc frustrata paulò pòst aliam opportunitatē nacta, grauibus querelis aggressa est virum, quòd amanti non satis fidens, celaret eam id, quod maximè scire cuperet, ac si E nesciat tacere, quicquid alios scire amasio suo non expedit: rursúmque simili figmento elusa est, cum septem funibus alligatum perditurum se vires diceret. experta enim hoc quoque nihil effecit: cúmque vrgere non desisteret tertio mulierem ludificatus est, dicens capillos suos oportere implecti licio, atque ita parari vincula, ac ne hoc quidem verum experta, postremò adhibitis omnibus artibus non priùs rogandi finem fecit, quàm fatali iam necessitate instante F victus importunitate Sampson in gratiam mulierculæ suum ipse secretum prodidit: Deus, inquit, mei curam habet. & eius prouidentia natus hanc comam alo, cuius tonsuram ipse mihi interminatus est. nam in eo capillitio totas sibi vires consistere. Hoc cognito, nescienti comam derasit, & hoc pacto imbecillem factum inimicis prodidit, repugnare amplius non valentem. illi orbatum oculis & vinctum abduxerunt. Procedente deinde tempore cùm iam capillus repullularet. cúmque solenne Palæstinis adesset epulum, considentibus optimatibus in quo- G dam fano cuius tectum duabus columnis sustinebatur, accitus est & Sampson vt misero inter compotandum illuderent. qui hoc extremum malum existimans, quòd illusores vlcisci non quiret, iubet puerum à quo manu ducebatur, vt ad illas columnas se acclinet, iam, vt tum simu-

A ὅθεν ὁ σαμψώνης ἐκάλει τὸ χωρίον σιαγόνα. καὶ μέχρι τοῦ δεῦρο τοῦτο λέγεται. μετὰ δὴ ταύτην τὴν μάχην σαμψώνης, καταφρονῶν τῶν παλαιστινῶν, εἰς γάζαν ἀφικνεῖται, καὶ ἔν τινι τῶν καταγωγίων διέτριβε. μαθόντες δὲ τῶν γαζέων οἱ ἄρχοντες τὴν αὐτόθι παρουσίαν αὐτοῦ, τὰ πρὸς τῶν πυλῶν ἐνέδραις καταλαμβάνουσιν, ὅπως ἐξιὼν μὴ λάθῃ. σαμψώνης δὲ, οὐ γὰρ λανθάνουσιν αὐτὸν ταῦτα μηχανησάμενοι, περὶ μεσοῦσαν ἤδη τὴν νύκτα ἀναστὰς, τὰς πύλας σὺν αὐταῖς τε φλιαῖς B καὶ μοχλοῖς, ὅση τε ἄλλη περὶ αὐτὰς ἦν ξύλωσις, ἀράμενος κατὰ τῶν ὤμων, εἰς τὸ ὑπὲρ ἑβρῶνος ὄρος φέρων κατατίθησι. παρέβαινε δὲ ἤδη τὰ πάτρια, καὶ τὴν οἰκείαν δίαιταν παρεχάραττε ξενικῶν μιμήσει ἐθισμῶν. καὶ τοῦτ' ἀρχὴ αὐτῷ κακοῦ γίνεται. γυναικὸς γὰρ ἑταιριζομένης παρὰ τοῖς παλαιστινοῖς ἐρασθεὶς δαλάλης συνῆν αὐτῇ. καὶ τῶν παλαιστινῶν οἱ C τοῦ κοινοῦ προεστῶτες προσελθόντες πρὸς αὐτὴν, πείθουσιν ἐπαγγελίαις μαθεῖν παρὰ τοῦ σαμψῶνος τὴν αἰτίαν τῆς ἰσχύος, ὑφ' ἧς ἄληπτός ἐστι τοῖς ἐχθροῖς. ἡ δὲ παρὰ πότον καὶ τοιαύτην συνουσίαν θαυμάζουσα τὰς πράξεις αὐτοῦ, ἐτεχνιτεύετο μαθεῖν τίνι τρόπῳ τοσοῦτον προὔχει κατ' ἀρετήν. ὁ δὲ σαμψώνης, ἔτι γὰρ φρονεῖν ἰσχυρὸς ἦν, ἀντηπάτα τὴν δαλάλην φάμενος, εἰ κλήμασιν ἑπτὰ δεθείη ἀμπε- D λίνοις, ἔτι καὶ περιειλεῖσθαι δυναμένοις, ἀσθενέστερος ἂν πάντων ἔσοιτο. ἡ δὲ, τότε μὲν ἡσύχασεν. ἀποσημήνασα δὲ τοῖς ἄρχουσι παλαιστινῶν, ἐνήδρευσεν τῶν στρατιωτῶν ἔνδον τινὰς, καὶ καθεύδοντα μεθύοντα, κατέδει τοῖς κλήμασιν κατὰ τὸ ἰσχυρότατον. ἔπειτ' ἀνεγείρασα, ἐδήλου παρεῖναί τινας ἐπ' αὐτόν. ὁ δὲ, ῥήξας τὰ κλήματα βοηθεῖν ὡς ἐπερχομένων αὐτῷ τινῶν ἐπειρᾶτο. καὶ ἡ γυνὴ συνεχῶς ὁμιλοῦν- E τος αὐτῇ τοῦ σαμψῶνος, δεινῶς ἔχειν ἔλεγεν, εἰ κατὰ πίστιν εὐνοίας τῆς πρὸς αὐτὸν μὴ λέγει ταῦθ' ἅπερ δεῖται, ὡς οὐ σιγησομένης, ὅσα μὴ γινώσκεσθαι συμφέρειν οἶδεν αὐτῷ. τοῦ δὲ πάλιν ἀπατῶντος αὐτὴν καὶ φήσαντος, ἑπτὰ κάλοις δεθέντα τὴν ἰσχὺν ἀπολέσειν. ἐπεὶ καὶ τοῦτο ποιήσασα, οὐδὲν ἤνυσε, τρίτον ἐνυφῆναι τὰς κόμας αὐτοῦ ἐμήνυεν. ὡς δὲ οὐδὲ τούτου γινομένου ἀληθὲς ηὑρίσκετο, δεομένης F τελευταῖον ὁ σαμψώνης, ἔδει γὰρ αὐτὸν συμφορᾷ περιπεσεῖν χαρίζεσθαι βουλόμενος τῇ δαλάλῃ, ἐμοῦ φησὶ ὁ θεὸς κήδεται, καὶ κατὰ τὴν ἐκείνου πρόνοιαν γεννηθεὶς, κόμην ταύτην τρέφω παρεγγυήσαντος μὴ ἀποκείρειν τοῦ θεοῦ. τὴν γὰρ ἰσχὺν εἶναί μοι κατὰ τὴν ταύτης αὔξησιν καὶ παραμονήν. ταῦτα μαθοῦσα, καὶ στερήσασα τῆς κόμης αὐτὸν, παραδίδωσι τοῖς πολεμίοις, οὐκ ἔτ' ὄντα ἰσχυρὸν ἀμύνασθαι τὴν ἔφοδον αὐτῶν. οἱ δὲ, ἐκκόψαντες αὐτοῦ τοὺς ὀφθαλμοὺς, δεδεμένον ἄγειν παρέδοσαν. προϊόντος δὲ τοῦ G χρόνου, ηὔξατο ἡ κόμη τῷ σαμψώνῃ. καὶ ἑορτῆς οὔσης τοῖς παλαιστινοῖς δημοτελοῦς, καὶ τῶν ἀρχόντων καὶ γνωριμωτάτων ἐν τῷ αὐτῷ εὐωχουμένων, οἶκος δὲ ἦν δύο κιόνων στεγόντων αὐτοῦ τὸν ὄροφον, ἄγεται μεταπεμψαμένων ὁ σαμψώνης εἰς τὸ συμπόσιον ὅπως ἐνυβρίσωσιν αὐτὸν παρὰ τὸν πότον. ὁ δὲ δεινότερον τῶν κακῶν ὑπολαμβάνων τὸ μὴ δύνασθαι ὑβριζόμενος ἀμύνασθαι, τὸν χειραγωγοῦντα παῖδα πείθει, προσαναπαύσασθαι χρῄζειν εἰπὼν ὑπὸ κόπου, τοῖς κίο-

κίοσιν αὐτὸν ἐγγὺς ἀγαγεῖν. ὡς δ' ἧκεν, ἐνσεισθεὶς αὐτοῖς ἐπικαταβάλλει τὸν οἶκον, ἀναρραγέντων τῶν κιόνων, τρισχιλίοις ἀνδράσιν, οἳ πάντες ἀπέθανον, ἐν αὐτοῖς δὲ καὶ σαμψώνης. καὶ τὸν μὲν τοιοῦτον κατέσχε τέλος, ἄρξαντος τῶν ἰσραηλιτῶν εἴκοσιν ἔτη. θαυμάζειν δὲ ἄξιον τῆς ἀρετῆς καὶ τῆς ἰσχύος, καὶ τοῦ περὶ τὴν τελευτὴν μεγαλόφρονος τὸν ἄνδρα, καὶ τῆς ὀργῆς τῆς μέχρι τοῦ τελευτᾶν πρὸς τοὺς πολεμίους. καὶ τὸ μὲν ὑπὸ γυναικὸς ἁλῶναι, δεῖ τῇ φύσει τῶν ἀνθρώπων προσάπτειν ἥττονι ἁμαρτημάτων οὔσῃ. μαρτυρεῖν δὲ ἐκείνῳ τὴν εἰς τὰ ἄλλα πάντα τῆς ἀρετῆς περιουσίαν. οἱ δὲ συγγενεῖς ἀράμενοι τὸ σῶμα αὐτοῦ θάπτουσιν ἐν σαρασᾷ τῇ πατρίδι μετὰ τῶν συγγενῶν.

labat, defatigatum. quibus admotus sic eas concussit, vt subuersæ totius ædificij ruinam traherent, qua tria millia hominum sunt oppressa, & inter cæteros ipse Sampson. Hic finis viri fuit, exacto principatus anno vigesimo, admirādi ob incomparabilem animi simul ac corporis fortitudinem, qua in hostium perniciem vsque ad extremum halitum vsus est. Nam quòd à muliere deceptus est, humanæ infirmitati conuenit, pronæ ad eiusmodi vitia. cætera dignus sempiterna memoria virtutis nomine. cognati verò eius cadauer in patriam reportatum apud Sarasam oppidum monumento maiorum intulerunt.

Κεφάλαιον ια'.

Ὡς οἱ υἱοὶ ἠλὶ τοῦ ἱερέως ἐσφάγησαν ἐν τῇ πρὸς παλαιστίνους μάχῃ.

Μετὰ δὲ τὴν σαμψῶνος τελευτὴν προέστη τῶν ἰσραηλιτῶν, ἠλὶς ὁ ἀρχιερεύς. ἐπὶ τούτου λιμοῦ γενομένου ἀβιμέλεχος ἐκ βηθλεμῶν, ἔστι δ' ἡ πόλις αὕτη τῆς ἰούδα φυλῆς, ἀντέχειν τῷ δεινῷ μὴ δυνάμενος, τήν τε γυναῖκα ναάμιν καὶ τοὺς παῖδας τοὺς ἐξ αὐτῆς αὐτῷ γεγενημένους, χελλίωνα καὶ μάλλωνα ἐπαγόμενος εἰς τὴν μωαβίτιν μετοικίζεται. καὶ προχωρούντων αὐτῷ κατὰ νοῦν τῶν πραγμάτων, ἄγεται τοῖς υἱοῖς γυναῖκας μωαβίτιδας, χελλίωνι μὲν ὀρφάν, ῥουθὴν δὲ, μαλλίωνι. διελθόντων δὲ δέκα ἐτῶν, ὅ τε ἀβιμέλεχος καὶ μετ' αὐτὸν οἱ παῖδες δι' ὀλίγον τελευτῶσι. καὶ ἡ ναάμις πικρῶς ἐπὶ τοῖς συμβεβηκόσι φέρουσα, καὶ τὴν ὑπὸ τῶν φιλτάτων ἐρημίαν οὐχ ὑπομένουσα, δι' οὓς καὶ τῆς πατρίδος ἐξεληλύθει, πάλιν εἰς αὐτὴν ἀπηλλάττετο. καὶ γὰρ ἤδη καλῶς τὰ κατ' αὐτὴν ἐπυνθάνετο χωρεῖν. οὐκ ἐκαρτέρουν δὲ διαζευγνύμεναι αὐτῆς αἱ νύμφαι, οὐδὲ παραιτουμένη βουλομένας συνεξορμᾶν, πείθειν ἐδύνατο. ἀλλ' ἐγκειμένων εὐξαμένη γάμον εὐτυχέστερον αὐταῖς οὗ διημαρτήκεσαν παισὶ τῆς αὐτῆς γαμηθεῖσαι, καὶ τῶν ἄλλων ἀγαθῶν κτῆσιν, ὅτι τὰ πρὸς αὐτὴν οὕτως ἔστι, μένειν αὐτόθι παρακαλεῖ, καὶ μὴ συμμεταλαμβάνειν αὐτῇ βουληθῆναι πραγμάτων ἀδήλων, τὴν πάτριον γῆν καταλειπούσας. ἡ μὲν οὖν ὀρφὰ μένει. τὴν δὲ ῥουθὴν μὴ πεισθεῖσαν ἀπήγαγε κοινωνὸν παντὸς τοῦ προστυχόντος γενησομένην. ἐλθοῦσαν δὲ ῥουθὴν μετὰ τῆς πενθερᾶς εἰς τὴν βηθλεέμων, βόοζος ἀβιμελέχου συγγενὴς ὢν ξενίζει. καὶ ἡ ναάμις προσαγορευόντων αὐτὴν ὀνόματι τῶν πολιτῶν, δικαιότερον εἶπε μάραν καλῶντέ με. σημαίνει δὲ κατ' ἑβραίων γλῶσσαν, ναάμις μὲν εὐτυχίαν, μάρα δὲ ὀδύνην. ἀμήτου δὲ ὄντος ἐξῄει καλαμησομένη κατὰ συγχώρησιν τῆς πενθερᾶς ἡ ῥούθη, ὅπως τροφῆς εὐπορῶσιν, καὶ εἰς τὸ βοόζου τυχέως ἀφικνεῖται χωρίον. παραγενόμενος δὲ βόοζος μετ' ὀλίγον, καὶ θεασάμενος τὴν κόρην, ἀνέκρινε τὸν ἀγροκόμον περὶ τῆς παιδός. ὁ δὲ μικρὸν ἔμπροσθεν παρ' αὐτῆς ἅπαντα προπεπυσμένος ἐδήλου τῷ δεσπότῃ. ὁ δὲ, τῆς περὶ τὴν πενθερὰν εὐνοίας ἅμα καὶ μνήμης τοῦ παιδὸς αὐτῆς ᾧ συνῴκησεν ἀσπασάμενος, καὶ εὐξάμενος αὐτῇ πεῖραν ἀγαθῶν, καλαμᾶσθαι μὲν αὐτὴν οὐκ ἠξίωσεν, θερίζειν δὲ πᾶν ὅτι καὶ δύναιτο καὶ λαμβάνειν ἐπέτρεψε, προστάξας τῷ ἀγροκόμῳ μηδὲν αὐτὴν διακωλύειν λαμβάνειν, ἄριστόν τε παρεῖχεν αὐτῇ καὶ ποτόν, ὁπότε σιτίζοι τοὺς θερίζοντας.

Cap. XI.

Quomodo filij sacerdotis Elis à Palæstinis in prælio sunt cæsi.

XIV. Ruth. 1.

Post Sampsonis autem obitum præfuit Israelitis Elis pontifex, in cuius principatu fames valida eam regionem inuasit. quam non ferens Abimelechus Bethlemorum ciuis, quod oppidum est tribus Iudæ, assumpta vxore Naami, & filiis communibus Chellione & Mallone, in Moabiticam terram migrauit. cúmq. ibi prospera fortuna vteretur, filiis suis vxores dedit eius gentis fœminas, Chellioni Orphā, Ruthem Malloni. exacto autem decennio Abimelechus cum filiis breui tempore alius post alium obiit. quo casu Naamis in maximū mœrorem coniecta, desolata à charissimis quorum consuetudinem amori patriæ prætulerat, mutato pro re consilio reuerti ad sua decreuit. iam enim res patriæ in meliori statu esse perceperat. nurus autem eius non sustinebant ab ea diuelli & velit nolit comitari eam volebāt. at illa precata eis felicius coniugium, quàm in quo cum filiis suis vixissent, & in reliquis rebus prosperitatem, & docēs quòd in se nihil esset opis, rogabat vt manerent, néve relicta patria in euentum incertum sequi miseram socrum cuperēt. His monitis Orpha paruit: Ruthem verò nolentem manere, cuiusuis fortunæ futuram sociam secum socrus abduxit. Quæ postquam vnà peruenerunt Bethlema, Bozus Abimelechi cognatus eas excepit hospitio. cúmque Naamis à ciuibus suo nomine appellaretur, iustiùs, inquit, vocaretis me Maram. significat autem Hebreorum sermone Naamis felicitatem, Mara dolorem. Et cùm esset messis tempus, Ruthe permissu socrus exhibat ad spicilegium, vt cibos sibi pararent, casúque in Bozi rus deuenit. qui cùm paulò pòst superuenisset, conspicatus puellam, de ea villicum percōtatur. is denarrauit omnia domino, quæ paulò antè ex ipsa cognouerat. qui exosculatus in ea beneuolentiam erga socrum, & affectum erga defūctum maritum, noluit spicilegio contentam esse, sed permisit vt sibiipsi mœreret quātū posset, ac sumeret: mandauítque villico ne eā prohiberet, & vt vnà cū messoribus prādiū ac potū ei præberet.

Ruth. 2.

Ruthe verò acceptam ab eo polentam seruauit socrui,& vespere cum frugibus collectis simul attulit: sed & Naamis seruauerat sibi quasdam partes ciborũ,quos ei vicini contulerãt.narrat deinde socrui,quid ei Bozus dixerit: auditóque ex ea quòd cognatus esset,& propter pietatem forsan curam earum habiturus,exiuit etiam sequentibus diebus ad spicilegium cum Bozi ancillis.post aliquot dies iam hordei tritura peracta venit Bozus in suum rus,& cubabat in area.hoc cognito cogitauit Naamis in rem amborum fore si Ruthe cum eo cubaret: misitque eò Ruthem dormituram ad pedes eius.quę nefas rata non parere socrui, fecit quod iussa est. ac primò non sensit hoc Bozus altum dormiẽs, sed circa mediam noctem experrectus, sentiénsque eam vnà cubare,quæsiuit quænam esset,edidit illa nomen,& famulam se in eius potestate dixit.Tacuit ille tum, sed mane summo priusquam famuli ad opus surgerent,excitatam iussit hordei quantum ferre posset capere, & priusquam aliquis eam ibi dormisse videat, ad socrum redire, cauendos enim tales rumores, maximè si non de nihilo oriantur. Cæterùm meum,inquit,consilium est hoc. rogabis eum qui tibi propinquior est quàm ego,an te vxore opus habeat.quod si aiat,sequeris eum: sin minus,mea legitima coniux eris. Hæc verba vbi renunciauit socrui, bonam spem habuerunt, Bozo res earum curæ futuras. circa meridiem verò reuersus ille in oppidum, senatum coire fecit:ac mox Ruthem & cognatum illum acciuit.Qui postquam venit,Abimelechi, inquit Bozus,& filiorum sortem possides.fassus est alter possidere se,idque iure propinquitatis. Tũ Bozus, ergo non ex parte tãtùm legum meminisse oportet,sed omnia iuxta præscriptum earum facere.ecce adest mulier,quam si vis possessionem agrorum retinere, lex te ducere iubet.at ille Bozo & sortem & mulierem cessit, quandoquidem & ipse defunctorum esset cognatus.Sibi enim iam & vxorem esse & liberos. Id Bozus apud senatum contestatus iussit mulierem accedere illum,& iuxta legem calceum ei detractum in faciem incutere.quo facto Bozus duxit Ruthem,& anno elapso natus est illis infans masculus. hunc Naamis nutricans Obedem de consilio mulierum nominauit, sibi in senectute constitutę inseruiturum. nam ea vox Hebræis inseruientem significat. ex Obede prognatus est Iessæus, ex hoc Dauid rex, qui posteris suis regnum reliquit per viginti& vnam ætates duraturum.Hæc necesse habui de Ruthe narrare,volens Dei potentiam ostendere, cui facile est etiam vulgares homines ad amplissimam dignitatem perducere, sicut perduxit Dauidem ex mediocribus maioribus oriundum. Porrò Hebræi per hoc tempus rebus suis iam labantibus, bellum Palæstinis inferunt ob causam talem: Eli pontifici duo filij fuerunt, Ophnes & Phineesis.

Ruth.3.

Ruth.4.

XV.
1.Reg.2.

ῥούθη δὲ ἄλφιτα λαβοῦσα παρ' αὐτοῦ ἐφύλαξε τῇ ἑκυρᾷ, καὶ παρῆν ὀψὲ κομίζουσα μετὰ τῶν σταχύων. ἐτετηρήκει δὲ αὐτῇ καὶ ἡ νααμὶς ἀπὸ μοίρας βρωμάτων τινῶν οἷς αὐτὴν ἐπολυώρουν οἱ γειτονεύοντες. διηγεῖται δ' αὐτῇ καὶ τὰ παρὰ τοῦ βοόζου πρὸς αὐτὴν εἰρημένα. δηλωσάσης δ' ἐκείνης ὡς συγγενὴς εἴη, καὶ τάχα ἂν δι' εὐσέβειαν προνοήσειεν αὐτῶν, ἐξῄει πάλιν ταῖς ἐχομέναις ἡμέραις ἐπὶ καλάμης συλλογὴν σὺν ταῖς τοῦ βοόζου θεραπαινίσιν. ἐλθών τε μετ' οὐ πολλὰς ἡμέρας καὶ βόοζος, ἤδη τῆς κριθῆς λελικμημένης, ἐπὶ τῆς ἅλωος ἐκάθευδε. τοῦτο πυθομένη ἡ νααμὶς, τεχνᾶται παρακατακλῖναι τὴν ῥούθην αὐτῷ, καὶ γὰρ ἔσεσθαι χρηστὸν αὐταῖς ὁμιλήσαντα τῇ παιδί. καὶ πέμπει τὴν κόρην ὑπνωσομένην αὐτοῦ παρὰ τοῖς ποσίν. ἡ δὲ, πρὸς οὐδὲν γὰρ ἀντιλέγειν τῶν ὑπὸ τῆς ἑκυρᾶς κελευομένων ὅσιον ἡγεῖτο, παραγίνεται, καὶ παραυτίκα μὲν λανθάνει τὸν βόοζον βαθέως καθυπνωκότα. περιεγερθεὶς δὲ περὶ μέσην νύκτα, καὶ αἰσθόμενος τῆς ἀνθρώπου παρακατακειμένης, ἀνέκρινε τίς εἴη. τῆς δ' εἰπούσης τοὔνομα, καὶ φαμένης ὡς αὐτὸν δεσπότην συγχωρεῖν, τότε μὲν ἡσυχίαν ἄγει. ὄρθριος δὲ πρὶν ἢ τοὺς οἰκέτας ἄρξασθαι κινεῖσθαι πρὸς τὸ ἔργον, περιεγείρας αὐτὴν, κελεύει τῶν κριθῶν λαβοῦσαν ὅτι καὶ δύναιτο, πορεύεσθαι πρὸς τὴν ἑκυρὰν πρὶν ὀφθῆναί τισιν αὐτόθι κεκοιμημένην. φυλάττεσθαι γὰρ σῶφρον τὴν ἐπὶ τοιούτοις διαβολὴν, καὶ μάλιστ' ἐπὶ γεγονόσι. περὶ μέντοι τοῦ παντὸς οὕτω φησὶν ἔσεσθαι, ἐρωτᾶν τὸν ἔγγιστα ἐμοῦ τῷ γένει τυγχάνοντα, εἰ σοῦ χρεία γαμετῆς ἐστὶν αὐτῷ. καὶ λέγοντι μὲν ἀκολουθήσεις ἐκείνῳ. παραιτουμένου δὲ, νόμῳ σε συνοικοῦσαν ἕξομαι. ταῦτα τῇ ἑκυρᾷ δηλωσάσης, εὐθυμία κατεῖχεν αὐτὰς ἐν ἐλπίδι, τοῦ πρόνοιαν ἕξειν αὐτῶν βόοζον. κἀκεῖνος ἤδη μεσούσης τῆς ἡμέρας κατελθὼν εἰς τὴν πόλιν, τήν τε γερουσίαν συνῆγε. καὶ μεταπεμψάμενος ῥούθην, ἐκάλει καὶ τὸν συγγενῆ. καὶ παραγενομένου φησὶν, ἀβιμελέχου καὶ τῶν υἱῶν αὐτοῦ κλῆρον κρατεῖς; ὁμολογήσαντος δὲ, συγχωρούντων τῶν νόμων κατ' ἀγχιστείαν. οὐκ οὖν, φησὶν ὁ βόοζος, ἐξ ἡμισείας δεῖ μεμνῆσθαι τῶν νόμων, ἀλλὰ πάντα ποιεῖν κατ' αὐτοὺς μᾶλλον. ἰδοὺ γὰρ δεῦρ' ἥκει γυναῖον, ὅπερ εἰ θέλεις τῶν ἀγρῶν κρατεῖν, γαμεῖν σε δεῖ κατὰ τοὺς νόμους. ὁ δὲ βοόζῳ καὶ τοῦ κλήρου καὶ τῆς γυναικὸς παραχωρεῖ, συγγενεῖ μὲν ὄντι καὶ αὐτῷ τῶν τελευτηκότων, εἶναι δὲ καὶ γυναῖκα λέγων αὐτῷ, καὶ παῖδας ἤδη. μαρτυράμενος οὖν ὁ βόοζος τὴν γερουσίαν ἐκέλευσε τῇ γυναικὶ ὑπολῦσαι αὐτὸν προσελθοῦσαν κατὰ τὸν νόμον καὶ τύπτειν εἰς τὸ πρόσωπον. καὶ γενομένου τούτου, βόοζος γαμεῖ τὴν ῥούθην, καὶ γίνεται παιδίον αὐτοῖς μετ' ἐνιαυτὸν, ἄρρεν. τοῦτο ἡ νααμὶς τιθηνουμένη κατὰ συμβουλείαν τῶν γυναικῶν, ὠβήδην ἐκάλεσαν ἐπὶ γηροκομίᾳ τῆς αὐτῆς τραφησόμενον. ὠβήδης γὰρ κατὰ διάλεκτον τὴν ἑβραίων ὑποσημαίνει δουλεύων. ὠβήδου δὲ γίνεται ἰεσσαῖος, τούτου δαβίδης ὁ βασιλεὺς, καὶ παισὶ τοῖς αὐτοῦ καταλείπων τὴν ἡγεμονείαν, ἐπὶ μίαν καὶ εἴκοσι γενεὰς τῶν ἀνδρῶν. τὰ μὲν περὶ ῥούθην, ἀναγκαίως διηγησάμην, ἐπιδεῖξαι βουλόμενος τὴν τοῦ θεοῦ δύναμιν, ὅτι τούτῳ παράγειν ἐφικτόν ἐστιν εἰς ἀξίωμα λαμπρὸν καὶ τοὺς ἐπιτυχόντας, εἰς οἷον αὐτὸν ἤγαγε καὶ δαβίδην ἐκ τοιούτων γενόμενον. ἑβραῖοι δὲ τῶν πραγμάτων αὐτοῖς ὑπενεχθέντων, πάλιν πόλεμον ἐκφέρουσιν παλαιστινοῖς, διὰ τοιαύτην αἰτίαν. ἡλὶ τῷ ἀρχιερεῖ δύο παῖδες ἦσαν, ὀφνὴς τε καὶ φινεέσης.

οὗτοι

οὗτοι καὶ πρὸς ἀνθρώπους ὑβρισταὶ γινόμενοι, καὶ πρὸς τὸ θεῖον ἀσεβεῖς, οὐδενὸς ἀπείχοντο παρανομήματος. καὶ τὰ μὲν ἐφέροντο τῶν γερῶν κατὰ τιμήν, ἃ δὲ ἐλάμβανον αὐτοῖς, ἀφ' ἁρπαγῆς τρόπῳ, γυναῖκάς τε τὰς ἐπὶ θρησκείᾳ παραγινομένας ὕβριζον φθοραῖς, ταῖς μὲν βίαν προσφέροντες, τὰς δὲ δώροις ὑπαγόμενοι. τυραννίδος δ' οὐδὲν ἀπέλειπεν ὁ βίος αὐτῶν. ὅτε οὖν πατὴρ αὐτοῖς ἐπὶ τούτοις χαλεπῶς εἶχεν, ὅσον οὐδέπω προσδοκῶν ἥξειν ἐκ θεοῦ τιμωρίαν αὐτοῖς ἐπὶ τοῖς πραττομένοις, τότε πλῆθος ἐδυσφόρει. κἀπειδὴ φράζει τὴν ἐσομένην συμφορὰν ὁ θεὸς τοῖς παισὶν αὐτοῦ, τῷ τε ἤλι, καὶ σαμουήλῳ τῷ προφήτῃ παιδὶ τό τε ὄντι, τότε φανερὸν ἐπὶ τοῖς υἱοῖς πένθος ἦγε. βούλομαι δὲ τὰ περὶ τοῦ προφήτου πρότερον διεξελθὼν, ἔπειθ' οὕτως τὰ περὶ τοὺς ἤλι παῖδας εἰπεῖν, καὶ τὴν δυστυχίαν τὴν τῷ παντὶ τῷ λαῷ ἑβραίων γενομένην. ἐλκάνης, λευίτης ἀνὴρ, τῶν ἐν μέσῳ πολιτῶν, τῆς ἐφραίμου κληρουχίας, ῥαμαθὰν πόλιν κατοικῶν, ἐγάμει δύο γυναῖκας, ἄνναν τε καὶ φενάνναν. ἐκ δὴ ταύτης καὶ παῖδες αὐτῷ γίνονται. τὴν δ' ἑτέραν ἄτεκνον οὖσαν, ἀγαπῶν διετέλει. ἀφικομένου δὲ μετὰ τῶν γυναικῶν τοῦ ἐλκάνου εἰς σιλὼ πόλιν θῦσαι, ἐνταῦθα γὰρ ἡ σκηνὴ τοῦ θεοῦ ἐπεπήγει καθὰ προειρήκαμεν, καὶ πάλιν κατὰ τὴν εὐωχίαν νέμοντος μοίρας κρεῶν ταῖς τε γυναιξὶ καὶ τοῖς τέκνοις, ἄννα θεασαμένη τοὺς τῆς ἑτέρας παῖδας τῇ μητρὶ περικαθησαμένους, εἰς δάκρυά τε προύπεσε, καὶ τῆς ἀπαιδίας αὑτὴν ὠλοφύρετο καὶ τῆς μονώσεως. καὶ τῆς τἀνδρὸς παραμυθίας τῇ λύπῃ κρατήσασα, εἰς τὴν σκηνὴν ᾤχετο τὸν θεὸν ἱκετεύουσα δοῦναι γονὴν αὐτῇ καὶ ποιῆσαι μητέρα, ἐπαγγελλομένη τὸ πρῶτον αὐτῇ γενησόμενον καθιερώσειν ἐπὶ διακονίαν τοῦ θεοῦ, δίαιταν οὐχ ὁμοίαν τοῖς ἰδιώταις ποιησάμενον. διατριβούσης δ' ἐπὶ ταῖς εὐχαῖς πολὺν χρόνον, ἤλις ὁ ἀρχιερεὺς, ἐκαθέζετο γὰρ πρὸ τῆς σκηνῆς, ὡς παροινοῦσαν ἐκέλευσεν ἀπιέναι. τῆς δὲ πιεῖν ὕδωρ φαμένης, λυπουμένης δ' ἐπὶ παίδων ἀπορίᾳ τὸν θεὸν ἱκετεύειν, θαρσεῖν παρεκελεύετο παρέξειν αὐτῇ παῖδας τὸν θεὸν καταγγέλλων. παραγενομένη δ' εὔελπις πρὸς τὸν ἄνδρα, τροφὴν χαίρουσα προσηνέγκατο. καὶ ἀναστρεψάντων εἰς τὴν πατρίδα, κύειν ἤρξατο. καὶ γίνεται παιδίον αὐτοῖς, ὃν σαμουῆλον προσαγορεύουσι. θεαίτητον ἄν τις εἴποι. παρῆσαν οὖν ὑπὲρ τοῦ παιδὸς θύσοντες δεκάτας τε φέροντες. ἀναμνησθεῖσα δ' ἡ γυνὴ τῆς εὐχῆς τῆς ἐπὶ τῷ παιδὶ γεγενημένης, παρεδίδου ἤλι, ἀνατεθεῖσα τῷ θεῷ προφήτην γενησόμενον. κόμη τε οὖν αὐτῷ ἀνεῖτο, καὶ ποτὸν ὕδωρ ἦν. καὶ σαμούηλος μὲν ἐν τῷ ἱερῷ διῆγε τρεφόμενος. ἐλκάνῃ δ' ἐκ τῆς ἄννης υἱεῖς τε γίνονται, καὶ τρεῖς θυγατέρες. σαμούηλος δὲ πεπληρωκὼς ἔτος ἤδη δωδέκατον, προεφήτευε. καί ποτε κοιμώμενον ὀνομαστὶ ἐκάλεσεν ὁ θεός. ὁ δὲ νομίσας ὑπὸ τοῦ ἀρχιερέως πεφωνῆσθαι, παραγίνεται πρὸς αὐτόν. οὐ φαμένου δὲ καλέσαι τοῦ ἀρχιερέως ὁ θεὸς εἰς τρεῖς τοῦτο ποιεῖ. καὶ ἤλις διαυγασθεὶς, φησὶ πρὸς αὐτὸν, ἀλλ' ἐγὼ μὲν σαμούηλε, σιγὴν ὡς καὶ τὸ πρὶν ἦγον. θεὸς δ' ἐστὶν ὁ καλῶν. ἀλλὰ σήμαινε πρὸς αὐτὸν, ὅτι παρατυγχάνω· καὶ τοῦ θεοῦ φθεγξαμένου πάλιν ἀκούσας, ἠξίου λαλεῖν ἐπὶ τοῖς χρωμένοις, οὐ γὰρ ὑστερήσειν αὐτὸν ἐφ' οἷς ἂν θελήσειε διακονίας. καὶ ὁ θεὸς ἐπεί φησι παρατυγχάνεις, μάνθανε συμφορὰν ἰσραηλίταις ἐσομένην λόγου μείζονα, καὶ πίστεως τοῖς παρατυγχάνουσι. καὶ τοὺς ἤλι δὲ παῖδας ἡμέρᾳ μιᾷ τεθνηξομένους,

A hi contra omne ius & fas omnia sibi licere volebant: nec contenti honorariis muneribus, etiam à rapinis non abstinebant: mulierum insuper, religionis ergo confluentium ad sacrum locum, pudicitiam vel vi vel donis expugnabant, ita vt nihil à tyrannorum moribus differrent. hanc insolentiam iuuenum & pater ipse magnoperè detestabatur, diuinam vltionem nunquam non expectans, & populus iniquissimè B ferebat. postquam autem illorum exitum Deus & patri & Samueli prophetæ etiamnum puero prædixit, tum verò non aliter quàm defunctos filios lugebat. Sed priusquam de clade in qua sunt absumpti dicam, quædam de hoc propheta narranda sunt. Helcanes Leuita vir ingenuus Ramatham vrbem in sorte Ephræmitarum habitans duas vxores habuit, Annam & Phenannam: ex quarum posteriore liberos suscepit, nihilominus alteram quanquam steC rilem diligens. is cùm sacrificatum venisset in Siluntem, vbi tunc Dei tabernaculum fuisse diximus, & de epulo partes vxoribus ac liberis distribueret, Anna videns alterius liberos cum matre considentes, in lacrymas prorupit, admonita orbitatis & solitudinis. cúmque consolationem mariti non admitteret, abiit in tabernaculum supplicatura, votúmque factura, ablata sterilitate matrem factam primum filium se consecraturam, ad ministeria Dei non vulgari D more educatum. In huiusmodi precibus longas moras protrahentem animaduertens Elis pontifex, qui ante tabernaculum sedebat, tanquam parum sobriam iussit abire. quæ cùm respondisset, aquam se potare, sed mœstam quòd liberis careat, precibus à Deo sterilitatis remedium petere, bono animo eam esse iussit, pollicitus habituram ex Dei munificentia filium. tum demum hilaris ad maritum reuersa, cibis antè præ mœrore fastiditis vsa est. in patriam E deinde reuersa, breui vterum gerere cœpit, mox vbi pariendi tempus aduenit enixa filium Samueli nomen indidit, quasi dicas exoptatum à Deo. cúmque parentes gratias acturi Deo pro accepto filio, & sacrificaturi rediissent, simúlque decimas ex more afferētes, mulier voti rea puerum Eli tradidit, Deo consecratum, prophetámque futurum. itaque & comam alebat, & aqua tantùm in potu vtebatur, degebátque circa fanum, cuius ministeriis educabatur. Helcanæ F autem alij præterea filij ex Anna nati sunt, & filiæ tres. Porrò Samuel exacto anno ætatis duodecimo prophetam agere cœpit. Quadam enim nocte dormientem Deus nomine vocauit. tum ille ratus à pontifice se vocari, accurrit ad eum. Quo negante à se vocatum, Deus idem tertiò fecit. Tum Elis rem perspiciens ait: Ego mi Samuel, nunc quoque vt antè silui, sed Deus te vocat. quapropter præsto esse te responde. Itaque rursum Deo vocante, rogauit quid iuberet, paratum se ad ministerium offerens. Tum Deus: Quando, inquit, præsto es, audi imminere Israelitis cladē maiorē quá credibile est, & filios Elis ambos vna die perituros,

1.Reg.3.

A & sacerdotium meum migraturum in familiã Eleazari. Elis enim pluris fecit suos filios quàm meum cultum, idque ne cum ipsorum quidem commodo. hoc oraculum cùm ab adiurato extorsisset pontifex, alioqui se non contristaturo certiorem iam expectationem exitij filiorum habuit. Samuelis autem gloria magis ac magis crescebat, omnes eius prædictiones veras euentu approbante. Per idem tempus Palæstini suscepta expeditione contra Israelitas, castrametati sunt apud vrbem Amphecam: & nemine ibi occurrente vlterius processerunt. tandem congressi prælio, Hebræorum circiter quatuor millia peremerunt, reliquis trepidè in castra cõpulsis. Quamobrem Hebræi periculum extremum instare putantes, mittunt ad pontificem atque senatum qui postulent arcam in aciem proferri, vt eius præsentia freti hostem superent, ignari eum qui sententiam semel aduersum eos tulerat fore vt vincerentur, maiorem esse quàm arcam, quæ propter ipsum erat veneranda. Venit igitur arca in exercitum, & cum ea pontificis filij accepto à patre mandato, si amissa arca viuere sustineant, ne vnquam in conspectum sibi veniant. quorum Phineeses iam sacerdotio fungebatur, patre propter senium honorem concedente. Vehementer autem Hebræis arca animos addidit, victoriam in hac sitam existimantibus: contra hostes metuebant ne arca Israelitis esset præsidio. attamen vtrorumque expectationem euentus fefellit. Nam post conflictum sperata Hebræis victoria, Palæstinis contigit: & quam cladem hi timuerant, eam Hebræi passi, cognouerunt frustra se in arca fiduciam collocauisse. namque primo impetu in fugam sunt auersi, in qua triginta hominum millia sunt amissa, inter quos pontificis filij ceciderunt: & arca quoque in hostium potestatem deuenit.

XVI. 1. Reg. 4.

καὶ τὴν ἱερωσύνην μεταλευσομένην εἰς τὴν Ἐλεαζάρου οἰκίαν. Ἠλὶς γὰρ τῆς ἐμῆς θεραπείας μᾶλλον τοὺς υἱοὺς καὶ παρὰ τὸ συμφέρειν αὐτοῖς ἠγάπησε. ταῦτα βιασάμενος ὅρκοις εἰπεῖν αὐτῷ τὸν προφήτην, οὐ γὰρ ἐβούλετο λυπεῖν αὐτὸν λέγων, ἔτι βεβαιοτέραν εἶχεν τὴν προσδοκίαν τῆς τῶν τέκνων ἀπωλείας. Σαμουήλου δὲ ηὔξετο ἐπὶ πλεῖον ἡ δόξα πάντων ὧν προεφήτευσεν, ἀληθινῶν βλεπομένων. B κατὰ τοῦτον δὴ τὸν καιρὸν Παλαιστινοὶ στρατεύσαντες ἐπὶ τοὺς Ἰσραηλίτας, στρατοπεδεύονται κατὰ πόλιν Ἀμφέκαν. δεξαμένων δὲ ἐξ ὀλίγου τῶν Ἰσραηλιτῶν, συνήεσαν εἰς τὴν ἐχομένην. καὶ νικῶσιν οἱ Παλαιστινοὶ, καὶ κτείνουσι μὲν τῶν Ἑβραίων εἰς τετρακισχιλίους. τὸ δὲ λοιπὸν πλῆθος συνδιώκουσιν εἰς τὸ στρατόπεδον. δείσαντες δὲ περὶ τῶν ὅλων οἱ Ἑβραῖοι, πέμπουσιν ὡς τὴν γερουσίαν καὶ τὸν ἀρχιερέα τὴν κιβωτὸν τοῦ θεοῦ κελεύοντες κομίζειν, ἵνα παρούσης αὐτῆς C παραταξόμενοι, κρατῶσι τῶν πολεμίων, ἀγνοοῦντες ὅτι μείζων ἐστὶν ὁ καταψηφισάμενος αὐτῶν τὴν συμφορὰν τῆς κιβωτοῦ, δι' ὃν καὶ ταύτην συνέβαινεν εἶναι. παρῆν τε οὖν ἡ κιβωτὸς, καὶ οἱ τοῦ ἀρχιερέως υἱεῖς, τοῦ πατρὸς αὐτοῖς ἐπιστείλαντος, εἰ ληφθείσης τῆς κιβωτοῦ ζῆν ἐθέλουσιν εἰς ὄψιν μὴ παραγίνεσθαι. Φινεέσης δὲ ἤδη καὶ ἱερᾶτο τοῦ πατρὸς αὐτῷ παρακεχωρηκότος διὰ τὸ γῆρας. θάρσος οὖν ἐπιγίνεται πολὺ τοῖς Ἑβραίοις, ὡς διὰ τὴν ἄφιξιν τῆς κιβωτοῦ περιεσομένοις D τῶν πολεμίων. καταπλήττοντο δὲ οἱ πολέμιοι, δεδιότες τὴν παρουσίαν τῆς κιβωτοῦ τοῖς Ἰσραηλίταις. ταῖς μέντοι γε ἑκατέρων προσδοκίαις, οὐχ ὅμοιον ἀπήντησε τὸ ἔργον. ἀλλὰ συμβολῆς γενομένης, ἣν μὲν ἤλπιζον νίκην Ἑβραῖοι, τῶν Παλαιστινῶν αὕτη γίνεται. ἣν δὲ ἐφοβοῦντο ἧτταν οὗτοι, ταύτην Ἑβραῖοι παθόντες, ἔγνωσαν αὐτοὺς μάτην ἐπὶ τὴν κιβωτὸν τεθαρρηκότας. ἐτράπησάν τε γὰρ εὐθὺς εἰς χεῖρας ἐλθόντες τῶν πολεμίων. καὶ ἀπέβαλον εἰς τρισμυρίους, ἐν E οἷς ἔπεσον καὶ οἱ τοῦ ἀρχιερέως υἱεῖς. ἥ τε κιβωτὸς ἤγετο πρὸς τῶν πολεμίων.

Cap. XII.

Quomodo Elis audita filiorum cæde & arcæ amißione prouolutus de throno exspirauit.

Ibidem

HAnc cladem & arcæ captiuitatem postquam in Siluntem Beniamita quidam iuuenis ægre seruatus è prælio renunciauit, tota vrbe repleta luctu, Elis pontifex, qui ad alteram portam sublimis in sella sedebat, audito eiulatu suspicatus id quod res erat, noui aliquid mali suis accidisse, iuuenem accersit. cúmque audisset euentum prælij, tam militum quàm filiorum cladem satis æquo animo tulit, vt qui Deo prænunciante iam antè hæc præsciuerat. Solent enim longè grauius afficere quæ præter expectationem accidunt. Vt verò etiam arcam in hostium potestatem factam cognouit, insperato malo ictus, & doloris impatiẽs, prolapsus è throno exhalauit animã, vitæ anno nonagesimo octauo, principatus XL.

Κεφάλαιον ιβ'.

Ὡς Ἠλὶ ἀκούσας τὴν τῶν υἱῶν συμφορὰν, βαλὼν ἑαυτὸν ἀπὸ τοῦ θρόνου ἀπέθανεν.

ΑΠαγγελθείσης δὲ τῆς ἥττης εἰς τὴν Σιλὼ, καὶ F τῆς αἰχμαλωσίας τῆς κιβωτοῦ, [Βενιαμίτης γὰρ αὐτοῖς τις ἄγγελος ἀφικνεῖται νεανίας, παρατετευχὼς τῷ γεγονότι,] πένθους ἀνεπλήσθη πᾶσα ἡ πόλις. καὶ Ἠλὶς ὁ ἀρχιερεὺς, ἐκαθέζετο γὰρ καθ' ἑτέρας τῶν πυλῶν ἐφ' ὑψηλοῦ θρόνου, ἀκούσας οἰμωγῆς, καὶ νομίσας νεώτερόν τι πεπρᾶχθαι περὶ τοὺς οἰκείους, καὶ μεταπεμψάμενος τὸν νεανίαν, ὡς ἔγνω τὰ κατὰ τὴν μάχην, ῥᾴων ἦν ἐπί τε τοῖς παισὶ καὶ τοῖς συνηγγελμένοις περὶ τὸ στρατόπεδον, ὡς ἂν προεγνωκὼς παρὰ τοῦ θεοῦ τὸ συμβησόμενον, καὶ προαπηγγελκώς. συνέχει γὰρ ἱκανῶς τὰ παρὰ τὴν προσδοκίαν συντυχόντα δεινά. ὡς δὲ καὶ τὴν κιβωτὸν ἤκουσεν ᾐχμαλωτίσθαι πρὸς τῶν πολεμίων, ὑπὸ τοῦ παρ' ἐλπίδας αὐτῷ τοῦτο προσπεσεῖν, περιαλγήσας, ἀποκυλισθεὶς ἀπὸ τοῦ θρόνου, πλδυτᾶ, ὀκτὼ καὶ ἐνενήκοντα βιώσας ἔτη τὰ πάντα, καὶ τούτων τὰ τεσσαράκοντα κατασχὼν τὴν ἀρχήν.

θνή-

θνήσκει δὲ κατ' ἐκείνην τὴν ἡμέραν καὶ ἡ φινεέσου παιδὸς γυνή, μὴ καρτερήσασα ζῆν ἐπὶ τῇ τἀνδρὸς δυστυχίᾳ. κυούσῃ μὲν αὐτῇ προσηγγέλθη τὸ περὶ τὸν ἄνδρα πάθος. τίκτει δ' ἑπταμηνιαῖον παῖδα, ὃν καὶ ζήσαντα ἰωαχάβην προσηγόρευσαν, σημαίνει δὲ ἀδοξίαν τὸ ὄνομα, διὰ τὴν προσπεσοῦσαν δύσκλειαν τότε τῷ στρατῷ. ἦρξε δὲ πρῶτος ἠλὶς, ἰθαμάρου τοῦ ἑτέρου τῶν ἀαρῶνος υἱῶν οἰκίας. ἡ γὰρ ἐλεαζάρου οἰκία, τὸ πρῶτον ἱεροῦτο, παῖς παρὰ πατρὸς ἐπιδεχόμενοι τὴν τιμήν. ἐκεῖνός τε φινεέσῃ τῷ παιδὶ αὐτοῦ παραδίδωσι. μεθ' ὃν ἀβιεζέρης υἱὸς ὢν αὐτοῦ τὴν τιμὴν παραλαβὼν, παιδὶ αὐτοῦ βόκκει τοὔνομα αὐτὸς αὐτὴν κατέλειπεν αὐτοῦ. παρ' οὗ διεδέξατο ὄζις υἱὸς ὢν, μεθ' ὃν ἠλὶς ἔσχε τὴν ἱερωσύνην, περὶ οὗ νῦν ἦν ὁ λόγος, καὶ τὸ γένος τὸ ἀπ' ἐκείνου, μέχρι τῆς κατὰ τὴν σολομῶνος βασιλείαν χρόνων. τότε δὲ οἱ ἐλεαζάρου, πάλιν αὐτὴν ἀπέλαβον.

A Eadem die Phineesis quoque alterius è filiis vxor obiit, non valens superesse mariti infortunio. Peperit ea filium septimestrem quidem, vitalem tamen, cui ob acceptam ignominiam Ioachabes fuit nomen, quam ea vox apud Hebræos significat. Primus autem hic Elis ex Ithamari familia, qui fuit alter Aaronis filius, pontificatum obtinuit. nam antè in Eleazari familia fuit hoc sacerdotium, quod filius à patre per manus accipiebat. ille enim Phineesi id tradidit quod mox filius & successor eius Abiezeres filio suo Boccię reliquit: ab hoc Ozis filius eius B accepit: post quem Elis sacerdotio potitus est, de quo nunc loquimur: quod mansit eius generi vsque ad Solomonis tempora, quando ad Eleazari familiam rursum rediit.

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩ ΕΚΤΩ ΛΟΓΩ ΤΩΝ ΙΩ-σήπου ἱστοριῶν τῆς ἰουδαϊκῆς ἀρχαιολογίας.

Φθορὰ παλαιστινῶν καὶ τῆς γῆς αὐτῶν, καὶ τίνα τρόπον ἀπέπεμψαν αὐτὴν τοῖς ἑβραίοις. Κεφ. α.
Νίκη ἑβραίων, σαμουήλου στρατηγοῦντος. Κεφ. β.
Ὡς σαμουῆλος διὰ τὸ γῆρας ἀσθενὴς ὢν τὰ πράγματα διοικεῖν, τοῖς αὐτοῦ παισὶ ταῦτα ἐνεχείρισεν. Κεφ. γ.
Ὡς οὐ καλῶς προϊσταμένων ἐκείνων τῆς ἀρχῆς τὸ πλῆθος ὑπ' ὀργῆς ᾐτήσατο βασιλεύεσθαι. Κεφ. δ.
Ἀπόδειξις βασιλέως σαούλου τοὔνομα, κελεύσαντος τοῦ θεοῦ. Κεφ. ε.
Σαούλου στρατεία ἐπὶ τὸ ἀμμανιτῶν ἔθνος, καὶ νίκη. Κεφ. ϛ.
Ὡς στρατευσάμενοι πάλιν ἐπὶ τοὺς ἑβραίους, οἱ παλαιστινοὶ ἡττήθησαν. Κεφ. ζ.
Σαούλου πρὸς ἀμαληκίτας πόλεμος καὶ νίκη. Κεφ. η.
Ὅτι σαμουῆλος ἄλλον ἀπέδειξε βασιλέα κρύφα, δαυίδην ὄνομα, κατ' ἐπιτροπὴν θεοῦ. Κεφ. θ.
Ὡς καὶ πάλιν ἐπεστράτευσαν τοῖς ἑβραίοις οἱ παλαιστινοί, ἐπὶ σαούλου βασιλεύοντος. Κεφ. ι.
Μονομαχία δαβίδου πρὸς γολίαθον, καὶ ἧττα τῶν παλαιστινῶν. Κεφ. ια.
Ὡς θαυμάσας τὸν δαβίδην τῆς ἀνδρείας, συνῴκησεν αὐτῷ τὴν θυγατέρα σάουλος. Κεφ. ιβ.
Ὅτι τὸν δαβίδην, ὁ βασιλεὺς ἐσπούδασεν ἀποκτεῖναι. Κεφ. ιγ.
Ὡς πολλάκις καὶ δαβίδης κινδυνεύσας ἀποθανεῖν ὑπὸ σαούλου διέφυγε. καὶ σάουλον δὶς ἐπ' αὐτῷ γενόμενον, ὥστε ἀνελεῖν, οὐ διεχρήσατο. Κεφ. ιδ.
Ὡς στρατευσαμένων παλαιστινῶν ἐπὶ τοὺς ἑβραίους, ἡττήθησαν οἱ ἑβραῖοι τῇ μάχῃ, καὶ ὁ βασιλεὺς αὐτῶν σάουλος ἀπέθανε μετὰ τῶν παίδων μαχόμενος. Κεφ. ιε.

HÆC IN SEXTO IOSEPHI HISTORIARVM DE Antiquitate Iudaica libro continentur.

Quomodo Palæstini peste & fame coacti Arcam Hebræis remiserint. Cap. I.
Victoria Hebræorum ductu Samuelis. Cap. II.
Quomodo Samuel deficientibus per ætatem viribus, rerum administrationem filiis suis commisit. Cap. III.
Quòd populus offensus Samuelis filiorum moribus, regem sibi dari postulauit. Cap. IV.
Saulus iubente Deo Rex declaratur. Cap. V.
Sauli victoria contra Ammanitas. Cap. VI.
Palæstini Hebræos bello aggressi vincuntur. Cap. VII.
Victoria Sauli contra Amalecitas. Cap. VIII.
Samuel ad Dauid regiam potestatem, ex Dei mandato, clâm transfert. Cap. IX.
Quomodo nouam expeditionem aduersus Hebræos, Saulo regnante Palestini susceperunt. Cap. X.
Singulare certamen Dauidis & Goliathi, secutáque Palæstinorum clades. Cap. XI.
Saulus Dauidis fortitudinem admiratus, filiam ei in matrimonium collocat. Cap. XII.
Quòd rex Dauidi necem sit molitus. Cap. XIII.
Quomodo Dauid aliquoties insidias regis ęgrè elapsus bis tamen eum in potestatem suam redactum interficere non sustinuit. Cap. XIV.
Hebræi à Palestinis magno prælio vincuntur, in quo Saulus rex vnà cum filiis fortiter pugnans occubuit. Cap. XV.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΪΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ

ΛΟΓΟΣ ΕΚΤΟΣ.

FLAVII IOSEPHI ANTIQVITATVM IVDAICARVM

LIBER SEXTVS.

Κεφάλαιον α´.

Φθορὰ παλαιστινῶν καὶ τῆς γῆς αὐτῶν, καὶ τίνα τρόπον ἀπέπεμψαν τὴν κιβωτὸν τοῖς ἑβραίοις.

ΛΑΒΟΝΤΕΣ δὲ οἱ παλαιστινοὶ τὴν τῶν ἑβραίων κιβωτὸν αἰχμάλωτον, ὡς προειρήκαμεν μικρὸν ἔμπροσθεν, εἰς ἄζωτον ἐκόμισαν πόλιν, καὶ παρὰ τὸν αὐτῶν θεὸν ὥσπερ τι λάφυρον, δαγὼν δ᾽ οὗτος ἐκαλεῖτο, τιθέασι. τῇ δ᾽ ἐπιούσῃ, πάντες ὑπὸ τὴν τῆς ἡμέρας ἀρχὴν εἰσιόντες εἰς τὸν ναὸν προσκυνῆσαι τὸν θεὸν αὐτῶν, ἐπιτυγχάνουσιν αὐτῷ τοῦτο ποιοῦντι τὴν κιβωτόν. ἔκειτο γὰρ ἐκπεπτωκὼς τῆς βάσεως, ἐφ᾽ ἧς ἑστὼς διετέλει. καὶ βαστάσαντες πάλιν ἐφιστᾶσιν αὐτὸν ἐπὶ ταύτης, δυσφορήσαντες ἐπὶ τῷ γεγενημένῳ. πολλάκις δὲ φοιτῶντες παρὰ τὸν δαγὼν, καὶ καταλαμβάνοντες ὁμοίως ἐπὶ τοῦ προσκυνοῦντος τὴν κιβωτὸν σχήματος κείμενον, ἐν ἀπορίᾳ δεινῇ καὶ συγχύσει καθίσταντο. καὶ τελευταῖον ἀπέσκηψεν εἰς τὴν τῶν ἀζωτίων πόλιν καὶ τὴν χώραν αὐτῶν φθορὰν τὸ θεῖον καὶ νόσον. ἀπέθνησκον γὰρ ὑπὸ δυσεντερίας πάθους χαλεποῦ, καὶ τὴν ἀναίρεσιν ὀξυτάτην ἐπιφέροντος, πρὶν ἢ τὴν ψυχὴν αὐτοῖς δι᾽ εὐθανάτως ἀπολυθῆναι τοῦ σώματος, τὰ ἐντὸς ἀναφέροντες, ἐξεμοῦντες διαβεβρωμένα, καὶ παντοίως ὑπὸ τῆς νόσου διεφθαρμένα. τὰ δ᾽ ἐπὶ τῆς χώρας, μυῶν πλῆθος ἀνελθὸν ἀπὸ τῆς γῆς κατέβλαψε, μήτε φυτῶν, μήτε καρπῶν ἀποσχόμενον. ἐν δὴ τούτοις ὄντες τοῖς κακοῖς οἱ ἀζώτιοι, καὶ πρὸς τὰς συμφορὰς ἀντέχειν οὐ δυνάμενοι, συνῆκαν ἐκ τῆς κιβωτοῦ ταύτης αὐτοῖς ἀνασχεῖν, καὶ τὴν νίκην καὶ τὴν ταύτης αἰχμαλωσίαν, οὐκ ἐπ᾽ ἀγαθῷ γεγενημένην. πέμπουσιν οὖν πρὸς τοὺς ἀσκαλωνίτας, ἀξιοῦντες τὴν κιβωτὸν αὐτοὺς παρὰ σφᾶς δέχεσθαι. τοῖς δὲ, οὐκ ἀηδὴς ἡ τῶν ἀζωτίων δέησις προσέπεσεν. ἀλλ᾽ ἐπινεύουσι μὲν αὐτοῖς τὴν χάριν. λαβόντες δὲ τὴν κιβωτὸν, ἐν τοῖς ὁμοίοις δεινοῖς καθέστησαν. συνεξεκόμισε γὰρ αὐτῇ τὰ τῶν ἀζωτίων ἡ κιβωτὸς πάθη πρὸς τοὺς ἀπ᾽ ἐκείνων αὐτὴν δεχομένους. καὶ πρὸς ἄλλους παρ᾽ αὐτῶν ἀποπέμπουσιν ἀσκαλωνῖται. μένει δ᾽ οὐδὲ παρ᾽ ἐκείνοις. ὑπὸ γὰρ τῶν αὐτῶν παθῶν ἐλαυνόμενοι, πρὸς τὰς ἐχομένας ἀπολύουσι πόλεις.

CAP. I.

Quomodo Palæstini peste & fame coacti arcam Hebræis remiserunt.

PARTA de Hebræis victoria, sacráque arca quemadmodum diximus capta, Palæstini cum cæteris spoliis Azotum eam referunt, & in fano dei sui Dagonis inter donatia collocãt. Sequenti verò die mane venientes vt adorarent deũ suum, inuenerunt eum è basi excidisse, & pronũ prostratum ante arcam: quod ægrè ferentes, in pristinum locum eum reponunt. cúmque sæpius illuc accedentes, semper prostratum & adorabundum reperirẽt, stupor maximus ac perturbatio totum populũ inuasit. postremò grauissima pestis Azotiorum vrbem atq; agrum adorta est. correpti enim dysenteria cruciabiliter moriebantur, nonnulli interanea vitiata morbóq; corrosa euomebant. Ager verò totus scatebat muribus, qui omnia vastantes, nec segetibus parcebant, nec cæteris fructibus. His calamitatibus Azotij pressi, nec valẽtes amplius tolerare, intellexerunt arcam in causa esse, & victoriã cum eiusmodi spoliis luctuosam sibi contigisse. miserunt igitur ad Ascalonitas, postulantes vt arcam in ipsorum vrbem transferrent: qui nõ grauatim Azotiorum legationi annuentes, cupidè arcam ad se receperunt, móxque eisdem quibus illis malis laborauerũt: cum arca enim simul etiam calamitates sunt translatæ. Itaque hinc quoq; ablegata est ad alios, sed ne apud illos quidem permansura. agitati enim eisdem pestibus, ad vicinas vrbes eam transmittebant.

1.Reg.5.

atque in hunc modum quinque Palæstinorum vrbes peruagata est arca, veluti tributum per singulas pœnam violatæ religionis exigens.

1.Reg.6. Quæ defessæ tot malis, & aliis exemplum factæ ne arcam reciperent talia hospitij præmia referentem, nihil superesse videbant, quàm vt bono aliquo modo à se eam ablegarent: & cùm conuenissent quinque ciuitatum principes, Gittæ, Accaronis, Ascalonis, Gazæ & Azoti, dispiciebant quid facto opus esset. Ac primum visum est remittendam esse arcam ad suos, cuius captiuitatem Deus vlcisceretur, quum tot mala simul cum ea regionem ingressa homines & agros vastare non desinant. Nec defuerunt qui huic sententiæ contradicerent, negantes hæc imputanda captiuæ isti arcæ: cuius si tanta vis esset, aut si omnino Deo cara fuisset, nunquam illam in diuersæ religionis hominum manus deuenire permisisset: suadentésque vt hos casus æquo animo ferrent, & sic cogitarent, hæc omnia non aliunde quàm à natura prouenire: quæ & corporibus & terris & plantis & cæteris potentiæ suæ subditis per certas temporum vices huiusmodi mutationes ingenerare solet. Sed vicit sententia probatæ prudentiæ hominum, qui tunc aptiora ad propositum negotium censere videbantur. His neque remitti arcam placuit, neque retineri. sed pro quinque ciuitatibus quinque statuas aureas dedicari Deo in testimonium gratitudinis, quòd eius fauore seruati essent ex ea peste quam humanis remediis euadere fuerit impossibile: & totidem mures aureos addi illis similes qui agris vastitatem intulerunt. His omnibus in loculum inclusis & super arcam impositis plaustrum ei nouum fabricari: vaccas deinde nuper enixas plaustro subiungi, inclusis domi earum vitulis, ne sint impedimento matribus, & vt fœtuum desiderio magis properent. ipsas verò deduci in triuium arcam vehentes, atque ibi relinqui vt quamcunque velint viam ineant. Et si quidem ad Hebræorum regionem se verterint, ad cámque perrexerint, credere arcam fuisse calamitatum causam. sin aliò deflexerint, retrahendas ex itinere, indubitato argumento nihil in hac inesse virium. hoc consilium omnibus calculis est approbatum, quod mox opere sunt exsecuti: & paratis quæ diximus, productóque in triuium plaustro ac ibi relicto ipsi retrorsum discesserunt.

καὶ τοῦτον περιέρχεται τὸν τρόπον, τὰς πέντε τῶν παλαιστινῶν πόλεις ἡ κιβωτός, ὥσπερ δασμὸν ἀπαιτοῦσα παρ' ἑκάστης τοῦ πρὸς αὐτὰς ἐλθεῖν, ἃ δι' αὐτὴν ἔπασχον. ἀπειρηκότες δὲ τοῖς κακοῖς οἱ πεπειραμένοι, καὶ τοῖς ἀκούουσιν αὐτὰ διδασκαλία γινόμενοι, τοῦ μὴ προσδέξασθαι τὴν κιβωτόν ποτε πρὸς αὐτοὺς ἐπὶ τοιούτῳ μισθῷ καὶ τέλει, τὸ λοιπὸν ἐζήτουν μηχανὴν καὶ πόρον ἀπαλλαγῆς αὐτῆς. καὶ συνελθόντες οἱ ἐκ τῶν πέντε πόλεων ἄρχοντες, Γίττης, Ἀκκάρωνος καὶ Ἀσκάλωνος, ἔτι δὲ Γάζης καὶ Ἀζώτου, ἐσκόπουν τί δεῖ ποιεῖν. καὶ τὸ μὲν πρῶτον, ἐδόκει τὴν κιβωτὸν ἀποπέμπειν τοῖς οἰκείοις, ὡς ὑπερδικοῦντος αὐτὴν τοῦ θεοῦ, καὶ συνεπιδημησάντων αὐτῇ διὰ τοῦτο τῶν δεινῶν, καὶ συνεισβαλλόντων μετ' ἐκείνης εἰς τὰς πόλεις αὐτῶν. ἦσαν δ' οἱ λέγοντες, τοῦτο μὲν μὴ ποιεῖν, μηδ' ἐξαπατᾶσθαι τὴν αἰτίαν τῶν κακῶν εἰς ἐκείνην ἀναφέροντας. οὐ γὰρ ταύτην εἶναι τὴν δύναμιν ἐκείνῃ καὶ τὴν ἰσχύν. οὐ γὰρ ἄν ποτ' αὐτῆς κηδομένου θεοῦ ὑποχείριον ἀνθρώποις γενέσθαι. ἡσυχάζειν δὲ καὶ πράως ἔχειν ἐπὶ τοῖς συμβεβηκόσι παρῄνουν, αἰτίαν τούτων οὐκ ἄλλην, ἢ μόνην λογιζομένους τὴν φύσιν, ἣ καὶ σώμασι καὶ γῇ καὶ φυτοῖς καὶ πᾶσι τοῖς ἐξ αὐτῆς συνεστῶσι κατὰ χρόνων περιόδους τίκτει τοιαύτας μεταβολάς. νικᾷ δὲ τὰς προειρημένας γνώμας ἀνδρῶν ἐν τοῖς ἐπάνω χρόνοις συνέσει καὶ φρονήσει πεπιστευμένων συμβουλία, καὶ τότε μάλιστα δόξαντων ἁρμόζοντα λέγειν τοῖς παροῦσιν, οἳ μήτ' ἀποπέμπειν ἔφασαν δεῖν τὴν κιβωτόν, μήτε κατέχειν. ἀλλὰ πέντε μὲν ἀνδριάντας ὑπὲρ ἑκάστης πόλεως χρυσέους ἀναθεῖναι τῷ θεῷ χαριστήριον, ὅτι προενόησεν αὐτῶν τῆς σωτηρίας, καὶ κατέσχεν ἐν τῷ βίῳ διωκομένους ὑπὸ τῶν παθημάτων, οἷς οὐκέτι ἦν ἀντιβλέψαι. τοσούτους δὲ τὸν ἀριθμὸν μύας χρυσοῦς τοῖς κατανεμηθεῖσιν αὐτῶν καὶ διαφθείρασι τὴν χώραν ἐμφερεῖς. ἔπειτα βαλόντας εἰς γλωσσόκομον αὐτοὺς καὶ θέντας ἐπὶ τὴν κιβωτόν, ἅμαξαν αὐτῇ καινὴν κατασκευάσαι· καὶ βόας ὑποζεύξαντας ἀρτιτόκους, τὰς μὲν δαμάλεις ἐγκλεῖσαι καὶ κατασχεῖν, μὴ ταῖς μητράσιν ἐμποδὼν ἑπόμεναι γίνωνται, πόθῳ δ' αὐτῶν ὀξυτέραν ποιοῦνται τὴν πορείαν. ἐκείνας δ' ἐξελάσαντας τὴν κιβωτὸν φερούσας ἐπὶ τριόδου καταλιπεῖν, αὐταῖς ἐπιτρέψαντας ἣν βούλονται τῶν ὁδῶν ἀπελθεῖν. κἂν μὲν τὴν Ἑβραίων ἀπίωσιν, καὶ τὴν τούτων χώραν ἀναβαίνωσιν, ὑπολαμβάνειν τὴν κιβωτὸν αἰτίαν τῶν κακῶν. ἂν δ' ἄλλην τράπωνται, μεταδιώξομεν αὐτὴν ἔφασαν, μαθόντες ὅτι μηδεμίαν ἰσχὺν τοιαύτην ἔχει. ἔκριναν δ' αὐτὰ καλῶς εἰρῆσθαι, καὶ τοῖς ἔργοις εὐθὺς τὴν γνώμην ἐκύρωσαν. καὶ ποιήσαντες μὲν τὰ προειρημένα, προάγουσι τὴν ἅμαξαν ἐπὶ τὴν τρίοδον, καὶ καταλιπόντες ἀνεχώρησαν.

Cap. II.

Victoria Hebræorum ductu Samuelis.

Ibidem. Vaccis autem veram viam ingressis, & rectà non aliter quàm si deducerentur tendentibus, principes Palæstinorum sequebantur, cupientes cognoscere quò peruenirent, & vbi plaustrum sisterent. Vicus est quidam in tribu Iudæ, nomine Bethsama. huc postquam venerunt vaccæ, tametsi pulchram planitiem ante se haberent, vlterius tamen non sunt progressæ, sed ibi plaustrum statuerunt:

Κεφάλαιον β'.

Νίκη Ἑβραίων Σαμουήλου στρατηγοῦντος.

Τῶν δὲ βοῶν τὴν ὀρθὴν ὁδὸν ὥσπερ ἡγουμένων τινῶν αὐταῖς ἀπιουσῶν, οἱ τῶν παλαιστινῶν ἄρχοντες ἠκολούθουν, ποῖ ποτε στήσονται καὶ πρὸς τίνας ἥξουσι βουλόμενοι μαθεῖν. κώμη δέ τις ἐστὶ τῆς Ἰούδα φυλῆς Βαθσάμη ὄνομα. εἰς ταύτην ἀφικνοῦνται αἱ βόες. καὶ πεδίου μεγάλου καὶ καλοῦ τὴν πορείαν αὐτῶν ἐκδεξαμένου, παύονται πρόσω χωρεῖν, στήσασαι τὴν ἅμαξαν αὐτόθι.

Θέα δὲ

A θέα δ' ἦν τοῖς ἐν τῇ κώμῃ, καὶ περιχαρεῖς ἐγίνοντο. θέρους γὰρ ὥρᾳ πάντες ἐπὶ τὴν συγκομιδὴν τῶν καρπῶν ἐν ταῖς ἀρούραις ὑπάρχοντες, ὡς εἶδον τὴν κιβωτὸν ὑφ' ἡδονῆς ἁρπαγέντες, καὶ τὸ ἔργον ἐκ τῶν χειρῶν ἀφέντες, ἔδραμον εὐθὺς ἐπὶ τὴν ἅμαξαν. καὶ καθελόντες τὴν κιβωτὸν, καὶ τὸ ἄγγος ὃ τοὺς ἀνδριάντας εἶχε καὶ τοὺς μύας, τιθέασιν ἐπί τινος πέτρας, ἥτις ἦν ἐν τῷ πεδίῳ. καὶ θύσαντες λαμπρῶς τῷ θεῷ, καὶ κα- B τευωχηθέντες, τήν τε ἅμαξαν καὶ τοὺς βόας ὡλοκαύτωσαν. καὶ ταῦτ' ἰδόντες οἱ τῶν Παλαιστινῶν ἄρχοντες, ὑπέστρεψαν ὀπίσω. ὀργὴ δὲ καὶ χόλος τοῦ θεοῦ μέτεισιν, ὥς τε ἑβδομήκοντα τῶν ἐκ τῆς Βαιθσάμης κώμης ὡς οὐκ ὄντας ἀξίους ἅψασθαι τῆς κιβωτοῦ, ἱερεῖς γὰρ οὐκ ἦσαν, καὶ προσελθόντας αὐτῇ βαλὼν ἀπέκτεινεν. ἔκλαυσαν δὲ ταῦτα παθόντας αὐτοὺς οἱ κωμῆται. καὶ πένθος ἐπ' αὐτοῖς ἤγειραν, οἷον εἰκὸς ἐπὶ θεοπέμπτῳ κακῷ. καὶ τὸν ἴδιον ἕκαστος ἀπεθρήνει. τοῦ τε μένειν τὴν C κιβωτὸν παρ' αὐτοῖς ἀναξίους ἀποφαίνοντες αὐτοὺς, πρὸς τὸ κοινὸν τῶν Ἑβραίων πέμψαντες, ἐδήλουν ἀποδεδόσθαι τὴν κιβωτὸν ὑπὸ τῶν Παλαιστινῶν. κἀκεῖνοι γνόντες τοῦτο, ἀποκομίζουσιν εἰς Καριαθιαρεὶμ γείτονα πόλιν τοῖς Βηθσαμίταις. ἔνθα τινὸς Λευίτου τὸ γένος, Ἀμιναδάβου δόξαν ἔχοντος ἐπὶ δικαιοσύνῃ καὶ τῇ θρησκείᾳ καταβιοῦντος, εἰς οἰκίαν τὴν κιβωτὸν ἤγαγον, ὡς πρέποντα τῷ θεῷ τόπον ἐν ᾧ κατῴκει δίκαιος ἄνθρωπος. ἐθεράπευον δὲ τὴν κιβωτὸν οἱ τούτου D παῖδες, καὶ τῆς ἐπιμελείας ταύτης ἕως ἐτῶν εἴκοσι προΐστησαν. τοσαῦτα γὰρ ἔμεινεν ἐν τῇ Καριαθιαρεὶμ, ποιήσασα παρὰ τοῖς Παλαιστινοῖς μῆνας τέσσαρας. τοῦ δὲ λαοῦ παντὸς ἐκείνῳ τῷ χρόνῳ, καθ' ὃν εἶχεν ἡ τῶν Καριαθιαρειμιτῶν πόλις τὴν κιβωτὸν, ἐπ' εὐχαῖς καὶ θυσίαις τραπέντος τοῦ θεοῦ, καὶ πολλὴν ἐμφανίζοντος τὴν περὶ αὐτὸν θρησκείαν καὶ φιλοτιμίαν, ὁ προφήτης Σαμουῆλος ἰδὼν αὐτῶν τὴν προθυμίαν, ὡς εὔκαιρον E πρὸς οὕτως ἔχοντας εἰπεῖν περὶ ἐλευθερίας, καὶ τῶν ἀγαθῶν τῶν ἐν αὐτῇ, χρῆται λόγοις οἷς ᾤετο μάλιστα τὴν διάνοιαν αὐτῶν προσάξεσθαι καὶ πείσειν. ἄνδρες γὰρ εἶπεν οἷς ἔτι νῦν βαρεῖς μὲν πολέμιοι Παλαιστινοί, θεὸς δ' εὐμενὴς ἄρχεται γίνεσθαι καὶ φίλος, οὐκ ἐπιθυμεῖν ἐλευθερίας δεῖ μόνον, ἀλλὰ καὶ ποιεῖν δι' ὧν ἂν ἔλθοι πρὸς ὑμᾶς. οὐδὲ βούλεσθαι μὲν πράττοντες δ' ἐξ ὧν τοιοῦτοι διαμένουσιν, ἀλλὰ γίνεσθε δίκαιοι. καὶ τὴν πονηρίαν ἐκβαλόντες τῶν ψυχῶν, καὶ F θεραπεύοντες αὐτὴν ὅλαις ταῖς διανοίαις προτρέπεσθε τὸ θεῖον, καὶ τιμῶντες διατελεῖτε. ταῦτα γὰρ ὑμῖν ποιοῦσιν ἥξει τὰ ἀγαθὰ, δουλείας ἀπαλλαγὴ, καὶ νίκη πολεμίων. ἃ λαβεῖν οὔθ' ὅπλοις, οὔτε σωμάτων ἀλκαῖς, οὔτε πλήθει συμμάχων δυνατόν ἐστιν. οὐ γὰρ τούτοις ὁ θεὸς ὑπισχνεῖται παρέξειν αὐτὰ, τῷ δ' ἀγαθοὺς εἶναι καὶ δικαίους. ἐγγυητὴς δ' αὐτῷ τῶν ὑποσχέσεων, ἐγὼ γίνομαι. τοῦτ' εἰπόντος ἐπευφήμει τὸ πλῆθος ἡσθὲν τῇ παραινέσει. καὶ κατένευσεν αὑτὸ παρέξειν G κεχαρισμένον τῷ θεῷ. συνάγει δ' αὐτοὺς ὁ Σαμουῆλος, εἴς τινα πόλιν λεγομένην Μασφάτην. κατοπτευόμενον τοῦτο σημαίνει κατὰ τὴν Ἑβραίων γλῶτταν. ἐντεῦθεν ὑδρευσάμενοί τε σπένδουσι τῷ θεῷ, καὶ διανηστεύσαντες ὅλην τὴν ἡμέραν, ἐπ' εὐχὰς τρέπονται. οὐ λανθάνουσι δὲ τοὺς Παλαιστινοὺς ἐκεῖ συναχθέντες. ἀλλὰ μαθόντες οὗτοι τὴν ἄθροισιν αὐτῶν,

ad quod spectaculum à vicanis mox cum gratulatione est concursum. Cùm enim esset æstas, & fruges ex aruis comportarentur: vt viderunt arcam, præ gaudio mittentes opus è manibus, ad plaustrum illud properabãt. demptam deinde arcam, & vas quod statuas illas ac mures continebat, in petra quadam quæ in campo exstabat, deposuerunt: & accitis victimis peractóque sacrificio splendidè epulati, plaustrum simul ac vaccas holocautoma Deo fecerunt. quo viso principes Palæstinorum retro ad suos sunt reuersi. Cæterùm indignatio Dei Bethsamitas inuasit, ex quibus septuaginta occidit, quòd cùm non essent sacerdotes, profanis manibus contrectare arcam sint ausi. quæ res lætitiam vicanorum nouo luctu nonnihil obscurauit, eò magis quòd suos non fatali morte, sed diuina vltione extinctos desiderabant. quamobrem indignos se ducentes qui hospitium arcæ præberent, mittunt nuncios ad vniuersos Hebræos, qui certiores faciant de arca à Palæstinis reddita. illi re cognita transferunt eam in Cariathiarim, vrbem vicinam Bethsamitis, 1.Reg.7. atque ibi apud Aminadabum quendam Leuitam, opinione religionis ac iustitiæ celebrem, in ædibus eius collocant, idoneum sacrario locum existimantes vbi vir iustus haberet domicilium, cura arcæ commissa est eius filiis, quam per viginti annos cum summa laude gesserunt. tot enim annos in Cariathiari mansit, quatuor solis mensibus apud Palæstinos detenta.

II. Cúmque populus toto hoc vicennio votis & sacrificiis operam daret, magnámque religionem & cultus diuini curam præ se ferret, propheta Samuel animaduersa eorum promptitudine, putans se nactum occasionem adhortandi ad libertatem, & bona quæ illam sequuntur, orationem & tempori accommodans & negotio, verba in hanc fermè sententiam ad eos fecit: Viri Israëlitæ, quandoquidem nec hostis infestus esse desinit, & Deus vestris precibus flexus propitius esse incipit, oportet non votis tantùm libertatem expetere, sed eò totis viribus incumbere, vt vel nunc tandem illa potiri contingat. Cauete ergo ne vestrismet moribus hac indigni reddamini, sed pro se quisque colat iustitiam: expulsisque omnibus vitiis ex animo, purgatas mentes ad Deum conuertite, & in eius veneratione constanter perseuerate. hæc enim facientibus breui omnia bona venient, & in primis noua libertas & victoria de hostibus: quæ neque armis, neque robore corporum, neque copiarum multitudine consequi licet. non enim his rebus Deus præmia proposuit, sed probitati ac iustitiæ: qui vestram expectationem non fallet, mihi credite. Hanc adhortationem alacris populus faustis acclamationibus excepit, promptum se offerens ad omnia quæcunque Deus velit ac iubeat. Samuel autem edixit vt conuenirent in oppidum Masphatim, quæ vox conspicuum significat. ibi hausta aqua libauerunt Deo, & indicto vnius diei ieiunio publicè supplicatum est. Nec latuit Palæstinos Hebræos circa Masphatim congregari, sed confestim cum magno exercitu affuere,

ſperantes ſe illos nec opinos poſſe opprimere. quapropter trepidi ad Samuelem concurrunt, conſilium dubiis rebus petentes, nihil diſſimulantes non eſſe ſibi ſatis vel virium vel animi ad confligendum cum tam potente hoſte, à quo toties victi diſceſſiſſent: & libenter quieturos ſi liceat, ne vltro ſibi perniciem accerſere videantur. conueniſſe ſe ad ſupplicationes & ſacrificia, vtque ſacramento ad militiam adigerentur: nunc imparatis & inermibus imminere hoſtem, vt nulla ſpes ſalutis ſuperſit, ni Deus à propheta exoratus periclitantes in tutelam accipiat. Ille iubet eos ſecuro animo eſſe, neque enim auxilium Dei defore. & mactato agno lactente, rogat Deum vt in ſe ſperantes protegat, & à vi Palæſtinorum tutos faciat: néve patiatur iam iterum ab eodem hoſte cladem accipere. hac victima egregiè litatum eſt, & Deus præſens ac propitius inſignem victoriam annuit. Sed priuſquam totam flammam abſumeret, nondum ſacro peracto, hoſtis in conſpectu aciem explicat, rem factam ſe habere putans, interceptis Iudæis imparatis ad pugnam, & tantùm non inermibus, vt qui non in hoc in eum locum conuenerant. At longè aliter accepti ſunt quàm crederent, etiamſi quis prædixiſſet. Primum enim terra iubente Deo ſub pedibus eorum intremuit, & vacillante veſtigio nutabant, nonnulli etiam in improuiſos hiatus prolabebantur: deinde fulminibus crebris attoniti, & ignitis fulguribus oculos ac manus ſemiuſtulati, vt ne arma quidem retinere poſſent, in fuga ſpem totam ponebant. tum ſubito Samuel in perturbatos irruit, cæſiſque plurimis, reliquos vſque Corrhæos (id loco nomen eſt) perſequi non deſtitit. & fixo ibi ſuæ victoriæ fugæque hoſtium termino, qui trophæi vice eſſet, appellauit eum Fortem, in ſignum donatæ à Deo contra hoſtem fortitudinis: qui poſt hanc cladem nunquam bellum inſtaurare eſt auſus, ſed cohibente metu & accepti incommodi memoria intra fines ſuos ſe continuerunt: & inuerſis rerum vicibus, eorum ferocia in partes victoris tranſiit. Nec his contentus Samuel crebris expeditionibus & multis cædibus eos vaſtauit, donec omnino ſuperbiam gentis perdomaret. agrum etiam quem prælio victis Iudæis abſtulerant, quàm latè inter Gittam & Accaronem patet, armis recepit. Reliqui verò Chananęi pacem eo tempore cum Iſraelitis habebant.

Cap. III.

Quomodo Samuel deficientibus per ætatem viribus, rerum adminiſtrationem filiis ſuis commiſit.

SAmuel autem rebus populi compoſitis, & iuridicis conuentibus per certas vrbes inſtitutis, ipſe ſingulis annis bis eas obibat, & iura reddebat. multóq; tépore hanc pręcipuam curā habuit, vt patriis legibus reſp. adminiſtraretur,

μεγάλῃ στρατιᾷ καὶ δυνάμει κατ᾽ ἐλπίδα τοῦ μὴ προσδοκῶσι μηδὲ παρεσκευασμένοις ἐπιπεσεῖσθαι τοῖς ἑβραίοις ἐπέρχονται. καταπλήττει δ᾽ αὐτοὺς τοῦτο, καὶ εἰς ταραχὴν ἄγει καὶ δέος. καὶ δραμόντες πρὸς σαμούηλον, ἀναπεπτωκέναι τὰς ψυχὰς αὐτῶν ὑπὸ φόβου καὶ τῆς προτέρας ἥττης ἔφασκον, καὶ διὰ τοῦτο ἠρεμεῖν ἵνα μὴ κινήσωμεν τὴν τῶν πολεμίων δύναμιν. σοῦ δ᾽ ἀναγαγόντος ἡμᾶς ἐπ᾽ εὐχὰς καὶ θυσίας καὶ ὅρκους, γυμνοῖς καὶ ἀνόπλοις ἐπεστράτευσαν οἱ πολέμιοι. ἐλπὶς οὖν ἡμῖν οὐκ ἄλλη σωτηρίας ἡμῶν, ἢ ἡ παρὰ σοῦ καὶ τοῦ θεοῦ ἱκετευθέντος ὑπὸ σοῦ παρασχεῖν ἡμῖν διαφυγεῖν παλαιστινούς. ὁ δὲ θαρρεῖν τε προτρέπεται καὶ βοηθήσειν αὐτοῖς τὸν θεὸν ἐπαγγέλλεται. καὶ λαβὼν ἄρνα γαλαθηνὸν, ὑπὲρ τῶν ὄχλων θύει. καὶ παρακαλεῖ τὸν θεὸν ὑπερέχειν αὐτῶν τὴν δεξιὰν, ἐν τῇ πρὸς παλαιστινοὺς μάχῃ, καὶ μὴ περιιδεῖν δεύτερον αὐτοὺς δυστυχήσαντας. ἐπήκοος δὲ γίνεται τῶν εὐχῶν ὁ θεὸς, καὶ προσδεξάμενος, εὐμενεῖ καὶ συμμάχῳ τῇ διανοίᾳ τὴν θυσίαν, ἐπινεύει νίκην αὐτοῖς καὶ κράτος. ἔτι δ᾽ ἐπὶ τοῦ βωμοῦ τὴν θυσίαν ἔχοντος τοῦ θεοῦ, καὶ μήπω πᾶσαν διὰ τῆς ἱερᾶς φλογὸς ἀπειληφότος, προῆλθεν ἐκ τοῦ στρατοπέδου ἡ τῶν πολεμίων δύναμις, καὶ παρατάσσεται εἰς μάχην, ἐπ᾽ ἐλπίδι μὲν νίκης ὡς ἀπειλημμένων ἐν ἀπορίᾳ τῶν ἰουδαίων, μήτε ὅπλα ἐχόντων, μήτε ὡς ἐπὶ μάχην ἐκεῖσε ἀπηντηκότων. περιπίπτουσι δὲ, οἷς οὐδ᾽ εἰ προὔλεγέ τις, ῥαδίως ἐπείσθησαν. πρῶτον μὲν γὰρ αὐτοὺς ὁ θεὸς κλονεῖ σεισμῷ. καὶ τὴν γῆν αὐτοῖς ὑπότρομον καὶ σφαλερὰν κινήσας τίθησιν, ὡς σαλευομένης τε τὰς βάσεις ὑποφέρεσθαι, καὶ διισταμένης εἰς ἔνια τῶν χασμάτων καταφέρεσθαι. ἔπειτα βρονταῖς διαψοφήσας, καὶ διαπύροις ἀστραπαῖς, ὡς καταφλέξαι αὐτῶν τὰς ὄψεις περιλάμψας, καὶ τῶν χειρῶν ἐκκρατήσας τὰ ὅπλα γυμνοὺς εἰς φυγὴν ἀπέστρεψεν. ἐπεξέρχεται δὲ σαμούηλος μετὰ τοῦ πλήθους, καὶ πολλοὺς κατασφάξας, κατακολουθεῖ μέχρι κορραίων τόπου τινὸς, οὕτω λεγομένου. καὶ καταπήξας ἐκεῖ λίθον ὥσπερ ὅρον τῆς νίκης καὶ τῆς φυγῆς τῶν πολεμίων, ἰσχυρὸν αὐτὸν προσαγορεύει. σύμβολον τῆς παρὰ τοῦ θεοῦ γενομένης αὐτοῖς κατὰ τῶν ἐχθρῶν ἰσχύος. οἱ δὲ μετ᾽ ἐκείνην τὴν πληγὴν, οὐκ ἐπεστράτευσαν ἐπὶ τοὺς ἰσραηλίτας. ἀλλ᾽ ὑπὸ δέους καὶ μνήμης τῶν συμβεβηκότων ἡσύχαζον. ὃ δ᾽ ἦν πάλαι θάρσος τοῖς παλαιστινοῖς ἐπὶ τοὺς ἑβραίους, τοῦτ᾽ ἐκείνων μετὰ τὴν νίκην ἐγένετο. καὶ σαμούηλος στρατεύσας ἐπ᾽ αὐτοὺς, ἀναιρεῖ πολλοὺς, καὶ τὰ φρονήματα αὐτῶν εἰς τὸ παντελὲς ταπεινοῖ. καὶ τὴν χώραν ἀφαιρεῖται ἣν τῶν ἰουδαίων ἀπετέμοντο πρότερον κρατήσαντες τῇ μάχῃ. αὕτη δ᾽ ἦν μέχρι πόλεως ἀκκάρωνος ἀπὸ τῆς γίττης ὅρων ἐκτεταμένη. Ἦν δὲ κατ᾽ ἐκεῖνον τὸν καιρὸν φίλα τοῖς ἰσραηλίταις τὰ ὑπολειπόμενα τῶν χαναναίων.

Κεφάλαιον γ'.

Ὡς σαμούηλος διὰ τὸ γῆρας ἀσθενὴς ὢν τὰ πράγματα διοικεῖν, τοῖς αὐτοῦ παισὶ ταῦτα ἐνεχείρισεν.

Ὁ δὲ προφήτης σαμούηλος, διακοσμήσας τὸν λαὸν, καὶ πόλιν αὐτοῖς ἀποδοὺς, εἰς ταύτην ἐκέλευσεν συνερχομένους περὶ τῶν πρὸς ἀλλήλους κρίνεσθαι διαφορῶν. αὐτὸς δὲ δὶς τοῦ ἔτους ἐπερχόμενος τὰς πόλεις, ἐδίκαζεν αὐτοῖς. καὶ πολλὴν ἐβράβευεν εὐνομίαν ἐπὶ χρόνον πολύν.

ἐπειθ᾽

A ἐπειδὴ ὑπὸ γήρως βαρυνόμενος, καὶ τὰ συνήθη πράττειν ἐμποδιζόμενος, τοῖς υἱοῖς τὴν ἀρχὴν καὶ τὴν προστασίαν τοῦ πλήθους παραδίδωσιν. ὧν ὁ μὲν πρεσβύτερος Ἰωήλος προσηγορεύετο. τῷ δὲ νεωτέρῳ Ἀβία ὄνομα ἦν. προσέταξε δὲ τὸν μὲν ἐν Βεθήλῳ πόλει καθεζόμενον κρίνειν, τὸν δ' ἕτερον ἐν Βαρσουβαί, μερίσας τὸν ὑπακουσόμενον ἑκατέρῳ λαόν. ἐγένοντο δὲ σαφὲς οὗτοι παράδειγμα καὶ τεκμήριον, τοῦ μὴ τὸν τρόπον ὁμοίους τοῖς φύσασι γίνεσθαί τινας. ἀλλὰ τάχα μὲν χρηστοὺς καὶ μετρίους ἐκ πονηρῶν. τότε μέν γε φαύ- B λους ἐξ ἀγαθοῦ παρέχον αὐτοὺς γενομένους. τῶν γὰρ τοῦ πατρὸς ἐπιτηδευμάτων ἐκτρεπόμενοι, καὶ τὴν ἐναντίαν ὁδὸν ἀπελθόντες, δώρων καὶ λημμάτων αἰσχρῶν καθυφίεντο τὸ δίκαιον. καὶ τὰς κρίσεις οὐ πρὸς τὴν ἀλήθειαν, ἀλλὰ πρὸς τὸ κέρδος ποιούμενοι, καὶ πρὸς τρυφὴν καὶ πρὸς διαίτας πολυτελεῖς ἀπονενευκότες, πρῶτον μὲν ὑπεναντία ταῦτα ἔπρασσον τῷ θεῷ. δεύτερον δὲ τῷ προφήτῃ πατρὶ αὐτῶν, ὃς πολλὴν τοῦ τὸ C πλῆθος εἶναι δίκαιον σπουδὴν εἰσφέρετο καὶ πρόνοιαν.

Κεφάλαιον δ'.

Ὡς οὐ καλῶς προϊσταμένων ἐκείνων τῆς ἀρχῆς, τὸ πλῆθος ὑπ' ὀργῆς ᾐτήσατο βασιλεύεσθαι.

Ὁ δὲ λαὸς ἐξυβριζόντων εἰς τὴν προτέραν κατάστασιν καὶ πολιτείαν τῶν τοῦ προφήτου παί- D δων, χαλεπῶς τε τοῖς πραττομένοις ἔφερε, καὶ πρὸς αὐτὸν συντρέχουσι. διέτριβε δ' ἐν Ἀρμαθὰ πόλει. καὶ τάς τε τῶν υἱῶν παρανομίας ἔλεγον. καὶ ὅτι γηραιὸς αὐτὸς ὢν ἤδη καὶ παρειμένος ὑπὸ τοῦ χρόνου, τῶν πραγμάτων οὐκέτι τὸν αὐτὸν προεστάναι δύναται τρόπον. ἐδέοντό τε καὶ ἱκέτευον ἀποδεῖξαί τινα αὐτῶν βασιλέα, ὃς ἄρξει τοῦ ἔθνους καὶ τιμωρήσεται Παλαι- E στίνους, ὀφείλοντας ἑαυτοῖς δίκας τῶν προτέρων ἀδικημάτων. ἐλύπησαν δὲ σφόδρα τὸν Σαμούηλον οἱ λόγοι διὰ τὴν σύμφυτον δικαιοσύνην καὶ τὸ πρὸς τοὺς βασιλέας μῖσος. ἥττητο γὰρ δεινῶς τῆς ἀριστοκρατείας, ὡς θείους καὶ μακαρίους ποιούσης τοὺς χρωμένους αὐτῆς τῇ πολιτείᾳ. ὑπὸ δὲ φροντίδος καὶ βασάνου τῆς ἐπὶ τοῖς εἰρημένοις, οὔτε τροφῆς ἐμνημόνευσεν οὔτε ὕπνου. δι' ὅλης δὲ τῆς νυκτὸς, στρέφων τὰς περὶ τῶν πραγμάτων ἐννοίας διεκαρτέρει. ἔχοντι δὲ οὕτως, F ἐμφανίζεται τὸ θεῖον, καὶ παραμυθεῖται μὴ δυσφορεῖν ἐφ' οἷς ἠξίωσε τὸ πλῆθος. ὡς οὐκ ἐκεῖνον ὑπερηφανήσαντας ἀλλ' αὐτὸν, ἵνα μὴ βασιλεύσῃ μόνος. ταῦτα δὲ ἀφ' ἧς ἡμέρας ἐξήγαγεν αὐτοὺς ἀπ' Αἰγύπτου μηχανᾶσθαι τὰ ἔργα. λήψεσθαι μέντοιγε οὐκ εἰς μακρὰν μετάνοιαν αὐτοὺς ἐπίπονον. ὑφ' ἧς οὐδὲν μὲν ἀγένητον ἔσται τῶν ἐσομένων. ἐλεγχθήσονται δὲ καταφρονήσαντες, καὶ βουλὰς οὐκ εὐχαρίστους πρὸς G ἐμὲ καὶ τὴν σὴν προφητείαν λαβόντες. κελεύω δή σε χειροτονεῖν αὐτοῖς ὃν ἂν ἐγὼ προείπω βασιλέα, προδηλώσαντα ποίων τε πειραθήσονται βασιλευόμενοι κακῶν, καὶ διαμαρτυράμενον ἐφ' ἣν ἂν σπεύδωσι μεταβολήν. ταῦτα ἀκούσας Σαμούηλος, ἅμα ἕως συγκαλέσας τοὺς Ἰουδαίους ἀποδείξειν αὐτοῖς βασιλέα ὡμολόγησεν. ἔφη δὲ δεῖν πρῶτον αὐτοῖς ἐκδιηγήσασθαι τὰ παρὰ τῶν βασιλέων ἐσόμενα, καὶ ὅσοις συνεχθήσονται κακοῖς. γινώσκετε γὰρ ὅτι πρῶτον μὲν ὑμῶν ἀποσπάσουσι τὰ τέκνα. καὶ τὰ μὲν αὐτῶν, ἁρματηλάτας εἶναι κελεύσουσι.

A Deinde ſenio grauante, vt conſuetis muniis ſufficere non poſſet, filiis ſuis principatum & curam reip. tradidit: quorum ſeniori Iohel, iuniori Abia, nomen erat: mandauítque vt alter in Bethelis, alter in Barſabe ius diceret, partito populo, & ſua cuique iudici parte attributa. In his manifeſtum exemplum exhibitum eſt, non ſemper patribus ſimiles naſci filios, ſed interdum ex malis bonos, ſicut tunc contrà ex bono mali prognati ſunt. Relictis enim paternis inſtitutis diuerſiſſimam viam ingreſſi, munери- B bus corrupti iuſtitiam opprimebant, & in iudicando non tam veritatis quàm lucri reſpectum habebant, ſolutíque in luxum ac delicias, tum Dei voluntatem, tum patris contemnebant, cui nihil magis erat cordi, quàm vt in populo iuſtitia vigeret quàm maximè.

III 1. Reg. 8

CAP. IV.

Quòd populus offenſus Samuelis filiorum moribus, regem ſibi dari poſtulauit.

Populus autem videns rempub. cura & diligentia prophetæ optimè conſtitutam, labefactari per filiorum eius impotentiam, vehementer offenſus ad patrem concurſum fecit, qui tum habitabat in vrbe Ramatha: & commemoratis filiorum eius iniquitatibus, quodque ipſe iam ſenio debilis, more ſolito præeſſe D adminiſtrationi rerum non poſſet, obnixè precabatur vt regem aliquem declararet, qui toti genti cum imperio præſit, & à Palæſtinis illatæ toties iniuriæ pœnas debitas exigat. Hęc populi voluntas vehementer Samuelem contriſtauit, qui propter innatam iuſtitiam non amabat regiam poteſtatem vt nimiam. Valde enim optimatum gubernatione delectabatur, non aliam ad felicitatem populi conducibiliorem E exiſtimans. adeóque res hæc hominem ſollicitum habuit, vt nec cibum nec ſomnum præ cura caperet, ſed per totam noctem ſe in lecto verſaret, multa interim animo volutans. Sic affecto Deus ſe videndum præbuit, conſolatus eum ne poſtulata populi ægrè ferat: dicens non tam ad ipſum pertinere hanc contumeliam, quàm ad ſe, quem nolint ſibi ſolum eſſe regem: ídque moliri cœpiſſe iam inde ex quo primùm ope ſua ex Ægypto ſunt educti. F verum non multo pòſt futurum eſt, inquit, vt eos conſilij huius ſerò pœniteat: quando nec factum infectum eſſe poterit, & ipſi ſuam erga me æquè ac te ingratitudinem damnabunt. Nunc iubeo te eis creare regem quem ego deſignauero: ídque prius quàm facias, præmonebis quantum malorum ſibi vltro aſciſcant, proteſtaberíſq; eos te inuito ad mutationē ſtatus in deterius properare. His auditis Samuel, mane conuocatis Iudæis, declaraturum G ſe illis regem promiſit, addens velle ſe prius indicare, quæ erunt ſub regibus ferenda, & in quantis incommoditatibus erit viuendum. Scitote ergo primùm quòd à vobis abſtrahent veſtros liberos, & alios aurigas ſibi facient,

IIII.

alios equites & satellites & cursores, & tribunos ac centuriones: & alios item opifices, armorum suorum ac curruum aliorúmque instrumentorum fabros: præterea villicos agrorum suorum & aratores, & vinearum fossores: & nihil est quod non cogentur facere more mancipiorum quæ pecunia parantur. Filias quoque vestras facient sibi vnguentarias, & culinarias, & panificas: & ad alia ministeria compellent, quæ ancillæ necessariò verberum formidine obeunt. possessiones etiam vestras vobis ablatas eunuchis suis & satellitibus donabunt, & pecorum greges vnicuiuis è suis largientur. & vt compendio dicam, seruietis vnà cum omnibus vestris regi, non secus atque domestici eius famuli. cúmque hæc omnia patiemini, veniet vobis in mentem huius meæ prædictionis, & pœnitentia tacti supplices Dei miserationem implorabitis, vt vos à regibus liberet. verùm ille non admittet eas preces, sed repulsos sinet dare pœnas inconsultæ temeritatis. His præmonitionibus multitudo erat surda, nec à proposito dimoueri poterat, contemptis omnibus, quæ Samuel in rem eorum afferebat: sed vrgebat obstinatè vt missa futuri cura regem crearet: quandoquidem nisi regis ductu vindicare se de inimicis gentibus non valerent: nec esse absurdum, si cùm finitimi omnes regnentur, & ipsi eandem reipub. formam accipiant. Samuel verò videns se prædictionibus suis parum proficere, sed pertinaciter eos in sententia manere: Nunc, inquit, abite domum quisque suam, & cùm tempus erit accersam vos, quàm primùm cognouero, quem vobis regem Deus dare velit.

Cap. V.

Saulus iubente Deo rex declaratur.

1.Reg.9.

Erat quidam ex tribu Beniamitide, vir bene natus & laudatis moribus, nomine Cis. huic erat filius, nomine Saulus, egregia tum statura tum specie, quibus respondebat & animus. Hic Cis cùm eximias asinas, quibus præ cæteris iumentis delectabatur, à reliquo grege aberrantes amisisset, filium cum vno famulo ad eas quærendas misit. qui cùm perlustrata sua tribu eas non inuenisset, ad alias venit: & cùm nusquam compareret, decreuit redire, ne patri solicitudinis causa fieret. & dum non longè à Ramatha oppido iter faciunt, famulo admonente habitare ibi prophetam veridicum, cúmque omnino consulendum esse: sic enim scituros quid actum esset de asinis: respondit, nihil se habere quod mercedem diuinationis daret. iã enim viaticum esse consumptum. & dicente famulo, superesse quadrantem sicli, cúmque dari posse, nesciebant enim prophetã mercedes non accipere, itum est ad illum: inuentísque circa portam virginibus aquatum euntibus interrogant vbinam sit prophetæ domicilium. quę indicatis ædibus, iubent properare prius quàm eat ad cœnam. præbere enim eum epulum, & nihil esse in mora nisi vt ille primus accumbat.

A τοὺς δ' ἱππεῖς καὶ σωματοφύλακας, δρομεῖς δὲ ἄλλους καὶ χιλιάρχους. ποιήσουσι δὲ καὶ τεχνίτας ὁπλοποιοὺς, καὶ ἁρματοποιοὺς, καὶ ὀργάνων τέκτονας, γεωργούς τε καὶ τῶν ἰδίων ἀγρῶν ἐπιμελητὰς, καὶ σκαπανεῖς ἀμπέλων. καὶ οὐδέν ἐστιν ὃ μὴ κελευόμενοι ποιήσουσιν, ἀνδραπόδων ἀργυρωνήτων τρόπον. καὶ τὰς θυγατέρας δ' ὑμῶν, μυρεψοὺς ἀποφανοῦσι καὶ ὀψοποιοὺς, καὶ σιτοποιούς. καὶ πᾶν ἔργον ὃ θεραπαινίδες ἐξ ἀνάγκης πληγὰς φοβούμεναι καὶ βασάνους ὑπηρετοῦσι. κτῆB σιν δὲ τὴν ὑμετέραν ἀφαιρήσονται, καὶ ταύτην εὐνούχοις καὶ σωματοφύλαξι δωρήσονται. καὶ βοσκημάτων ἀγέλας τοῖς αὐτῶν προσνεμοῦσιν. συνελόντι δ' εἰπεῖν δουλεύσετε μετὰ πάντων τῶν ὑμετέρων τῷ βασιλεῖ, καὶ τοῖς αὐτοῦ οἰκέταις ἴσοι γενόμενοι. καὶ μνήμην ὑμῖν τῶνδε τῶν λόγων γεννήσει καὶ τὸ πάσχειν αὐτά. καὶ μεταγινώσκοντες ἱκετεύσετε τὸν θεὸν ἐλεῆσαί τε ὑμᾶς καὶ δωρήσασθαι ταχεῖαν ἀπαλλαγὴν τῶν βασιλέων. C ὁ δ' οὐ προσδέξεται τὰς δεήσεις, ἀλλὰ παραπέμψας ἐάσει δίκην ὑποσχεῖν ὑμᾶς τῆς αὐτῶν κακοβουλίας. ἦν δ' ἄρα καὶ πρὸς τὰς προρρήσεις τῶν συμβησομένων ἀνόητον τὸ πλῆθος καὶ δύσκολον ἐξελεῖν τῆς διανοίας, κρίσιν ἤδη παρὰ τῷ λογισμῷ καθιδρυμένην. οὐδὲ γὰρ ἐπεστράφησαν, οὐδ' ἐμέλησεν αὐτοῖς τῶν σαμουήλου λόγων. ἀλλ' ἐνέκειντο λιπαρῶς, καὶ χειροτονεῖν ἠξίουν ἤδη τὸν βασιλέα, καὶ μὴ φροντίζειν D τῶν ἐσομένων. ἐπὶ γὰρ τιμωρίᾳ τῶν ἐχθρῶν, ἀνάγκην τὸν πολεμήσοντα σὺν αὐτοῖς ἔχειν. καὶ οὐδὲν ἄτοπον εἶναι τῶν πλησιοχώρων βασιλευομένων τὴν αὐτὴν ἔχειν αὐτοὺς πολιτείαν. ὁρῶν δ' αὐτοὺς μηδ' ὑπὸ τῶν προειρημένων ἀπεστραμμένους ὁ σαμούηλος, ἀλλ' ἐπιμένοντας, νῦν μὲν εἶπεν ἄπιτε πρὸς αὐτοὺς ἕκαστος. μεταπέμψω δ' ὑμᾶς εἰς δέον, ὅταν μάθω παρὰ τοῦ θεοῦ, τίνα δίδωσιν ὑμῖν βασιλέα.

E

Κεφάλαιον ε'.

Βασιλέως σαούλου ἀπόδειξις κελεύσαντος τοῦ θεοῦ.

Ἦν δέ τις ἐκ τῆς βενιαμίτιδος φυλῆς ἀνὴρ εὖ γεγονὼς καὶ ἀγαθὸς τὸ ἦθος, κὶς ὄνομα. τούτῳ παῖς ὑπῆρχεν. ἦν δὲ νεανίας τὴν μορφὴν ἄριστος, καὶ τὸ σῶμα μέγας, τό τε φρόνημα καὶ τὴν διάνοιαν ἀμείνων τῶν βλεπομένων. σαοῦλον αὐτὸν ἐκάλουν. οὗτος ὁ κὶς ὄνων αὐτῷ ἐκ τῆς νομῆς καλῶν ἀποπλανηθεισῶν, ἥδετο γὰρ αὐταῖς F ὡς οὐκ ἄλλῳ τινὶ τῶν κτημάτων, τὸν υἱὸν μεθ' ἑνὸς θεράποντος ἐπὶ ζήτησιν τῶν κτηνῶν ἐξέπεμπε. ὁ δὲ ἐπὶ τὴν πάτριον περιῆλθε φυλὴν ἐξερευνῶν τὰς ὄνους, εἰς τὰς ἄλλας ἀφίκετο. οὐδ' ἐν ταύταις ἐπιτυχὼν, ἀπιέναι διεγνώκει, μὴ ποιήσῃ περὶ αὐτοῦ τῷ πατρὶ λοιπὸν τὴν φροντίδα. τοῦ δ' ἑπομένου θεράποντος, ὡς ἐγένοντο κατὰ τὴν ἀραμαθὰ πόλιν, εἶναι προφήτην ἐν αὐτῇ φήσαντος ἀληθῆ, καὶ πρὸς αὐτὸν βαδίζειν συμβουλεύοντος. γνώσεσθαι γὰρ παρ' αὐτοῦ τὸ περὶ τῶν ὄνων τέλος. οὐδὲν ἔχειν πορευθέντας εἶπεν αὐτῷ τῆς προφητείας ὃ καὶ παράσχωσιν αὐτῷ. κεκενῶσθαι γὰρ ἤδη τῶν ἐφοδίων. τοῦ δ' οἰκέτου τέταρτον αὐτῷ παρεῖναι σίκλου φήσαντος καὶ τοῦτο δώσειν, ὑπὸ γὰρ ἀγνοίας τοῦ μὴ λαμβάνειν τὸν προφήτην μισθὸν, ἐπλανῶντο, παραγίνονται. καὶ πρὸς ταῖς πύλαις περιτυχόντες παρθένοις ἐφ' ὕδωρ βαδιζούσαις ἐρωτῶσιν αὐτὰς τὴν τοῦ προφήτου τὴν οἰκίαν. αἱ δὲ, σημαίνουσι, καὶ σπεύδειν παρεκελεύσαντο πρὶν αὐτὸν εἰς τὸ δεῖπνον κατακλιθῆναι. πολλοὺς γὰρ ἑστιᾶν καὶ προκατακλίνεσθαι τῶν κεκλημένων.

ὁ δὲ σα-

ὁ δὲ σαμουῆλος διὰ τοῦτο πολλοὺς ἐπὶ τὴν ἑστίαν τότε συνήγαγε. δεομένῳ γὰρ καὶ πᾶσαν ἡμέραν αὐτῷ τοῦ θεοῦ, προειπεῖν τίνα ποιήσει βασιλέα, τῇ παρελθούσῃ τοῦτον ἐμήνυσεν. πέμψειν γὰρ αὐτὸς τινὰ νεανίσκον ἐκ τῆς βενιαμίτιδος φυλῆς, κατὰ τήνδε τὴν ὥραν. αὐτὸς μὲν ἐπὶ τοῦ δώματος καθεζόμενος, ἐξεδέχετο τὸν καιρὸν γενέσθαι. πληρωθέντος δ' αὐτοῦ, καταβὰς ἐπὶ τὸ δεῖπνον ἐπορεύετο. συναντᾷ δὲ τῷ σαούλῳ, καὶ ὁ θεὸς αὐτῷ σημαίνει τοῦτον εἶναι τὸν ἄρξειν μέλλοντα. σαοῦλος δὲ προσέρχεται τῷ σαμουήλῳ. καὶ προσαγορεύσας ἐδεῖτο μηνύειν τὴν οἰκίαν τοῦ προφήτου. ξένος γὰρ ὢν ἀγνοεῖν ἔφασκε. τοῦ δὲ σαμουήλου φράσαντος αὐτὸν εἶναι, καὶ ἄγοντος ἐπὶ τὸ δεῖπνον ὡς τῶν ὄνων ἐφ' ὧν τὴν ζήτησιν ἐκπεμφθείη σεσωσμένων, τά τε πάντων ἀγαθὰ ἔχειν αὐτῷ κεκυρωμένα, προσυχὼν, ἀλλ' ἥττων εἶπεν ἐγὼ δέσποτα ταύτης τῆς ἐλπίδος καὶ φυλῆς μικροτέρας ἢ βασιλέας ποιεῖν, καὶ πατριᾶς ταπεινοτέρας τῶν ἄλλων πατριῶν. σὺ δὲ παίζεις καὶ γέλωτά με τίθεσαι περὶ μειζόνων ἢ κατὰ τὴν ἐμὴν χρείαν διαλεγόμενος. ὁ δὲ προφήτης, ἀγαγὼν αὐτὸν ἐπὶ τὴν ἑστίασιν κατακλίνει, καὶ τὸν ἀκόλουθον ἐπάνω τῶν κεκλημένων. οὗτοι δ' ἦσαν ἑβδομήκοντα τὸν ἀριθμόν. προστάσσει δὲ τοῖς διακόνοις παραθεῖναι τῷ σαούλῳ μερίδα βασιλικήν. ἐπεὶ δ' ἡ κοίτης ὥρα προσῆγεν, οἱ μὲν ἀναστάντες ἀνέλυον πρὸς αὐτοὺς ἕκαστοι. ὁ δὲ σαοῦλος παρὰ τῷ προφήτῃ σὺν τῷ θεράποντι κατεκοιμήθη. ἅμα δ' ἡμέρᾳ σαμουῆλος ἀναστήσας αὐτὸν ἐκ τῆς κοίτης προὔπεμψε. καὶ γενόμενος ἔξω τῆς πόλεως ἐκέλευε, τὸν μὲν θεράποντα ποιῆσαι προελθεῖν, ὑπολείπεσθαι δὲ αὐτόν. ἔχειν γὰρ αὐτῷ τι φράσαι, μηδενὸς ἄλλου παρόντος. καὶ ὁ μὲν σαοῦλος ἀποπέμπεται τὸν ἀκόλουθον. λαβὼν δ' ὁ προφήτης τὸ ἀγγεῖον, ἔλαιον καταχεῖ τῆς τοῦ νεανίσκου κεφαλῆς. καὶ κατασπασάμενος, ἴσθι φησὶ βασιλεὺς ὑπὸ τοῦ θεοῦ κεχειροτονημένος ἐπὶ παλαιστινοὺς καὶ τὴν ὑπὲρ ἑβραίων ἄμυναν. τούτων δὲ ἔσται σοι σημεῖον ὅ σε βούλομαι προγινώσκειν. ὅταν ἀπέλθῃς ἐντεῦθεν, καταλήψῃ τρεῖς ἀνθρώπους ἐν τῇ ὁδῷ προσκυνῆσαι τῷ θεῷ πορευομένους εἰς βεθῆλα. ὧν τὸν μὲν πρῶτον, τρεῖς ἄρτους ὄψῃ κομίζοντα. τὸν δεύτερον ἔριφον. ὁ τρίτος δὲ, ἀσκὸν οἴνου φέρων ἀκολουθήσει. ἀσπάσονται δέ σε οὗτοι καὶ φιλοφρονήσονται, καὶ δώσουσί σοι ἄρτους δύο. σὺ δὲ λήψῃ. κἀκεῖθεν ἥξεις εἰς τὸ ῥαχήλας καλούμενον μνημεῖον, ὅπου συμβαλεῖς τῷ σεσῶσθαί σου τὰς ὄνους εὐαγγελιουμένῳ. ἔπειτ' ἐκεῖθεν ἐλθὼν εἰς γαβαθὰ, προφήταις ἐκκλησιάζουσιν ἐπιτεύξῃ, καὶ γενόμενος ἔνθεος, προφητεύσεις σὺν αὐτοῖς, ὡς πάνθ' ὁντιναοῦν ὁρῶντα ἐκπλήττεσθαί τε καὶ θαυμάζειν, λέγοντα πόθεν εἰς τοῦτο εὐδαιμονίας ὁ κίσου παῖς παρῆλθεν; ὅταν δέ σοι ταῦτα γένηται τὰ σημεῖα, τὸν θεὸν ἴσθι μετὰ σοῦ τυγχάνοντα. ἄσπασαί τε τὸν πατέρα σου καὶ τοὺς συγγενεῖς. ἥξεις δὲ μετάπεμπτος εἰς γάλγαλα ὑπ' ἐμοῦ ἵνα χαριστήρια τούτων θύσωμεν τῷ θεῷ. φράσας ταῦτα καὶ προειπὼν, ἀποπέμπει τὸν νεανίσκον. τῷ σαούλῳ δὲ πάντα κατὰ τὴν προφητείαν σαμουήλου ἀπήντησεν. ὡς δ' ἦλθεν εἰς τὴν οἰκίαν τοῦ συγγενοῦς αὐτοῦ ἀβενάρου, καὶ γὰρ ἐκεῖνον τῶν ἄλλων οἰκείων μᾶλλον ἔστεργε, ἀνερωτῶντος περὶ τῆς ἀποδημίας καὶ τῶν κατ' αὐτὴν γενομένων, τῶν μὲν ἄλλων οὐδὲν ἀπεκρύψατο, οὐδ' ὡς ἀφίκοιτο παρὰ σαμουῆλον τὸν προφήτην, οὐδ' ὡς ἐκεῖνος αὐτῷ σεσῶσθαι τοὺς ὄνους ἔφρασε.

A Samuel autem hac ipsa de causa conuiuas vocauerat. nam pridie cum per totam diem precatus esset Deum, vt certiorem se redderet quem creaturus esset regem, in crastinum se id facturum pollicitus est: circa eandem enim horam missurum se Beniamitam quendam iuuenem. quam ob rem sedebat in solario, expectans præfinitum tempus: quo peracto ad cœnam se conferebat. cúmque Saulum offendisset, Deus inspirauit ei, hunc esse futurum principem. B Saulus verò accedens eum, salutatum prius rogat vbi propheta habitet, hospitem enim se hoc ignorare. cúmque ille respondisset, se eum esse, & ad cœnam duceret, dicens non asinas tantum quas quæreret saluas, sed omnium omnia bona in potestatem eius fore: supra spem, inquit, meam sunt ista Domine, neque enim ea est mea tribus, quæ reges proferat, & familia mea humilior est aliis familiis. C tu verò ludis me, & maiora quàm pro mea conditione loqueris. Propheta autem deductum eum ad conuiuium accumbere fecit, & famulum supra alios vocatos. erant hi septuaginta numero. iussitque ministris vt Saulo portionem regiam apponerent. cúmque iam hora dormiendi adesset, alij quidem surgentes domum quisque suam reuertebantur. Saulus verò apud prophetam cum famulo pernoctauit. & cùm primum dies illuxit, Samuel excitatum eum in viam deduxit. D Postquam autem egressi sunt vrbem, monuit vt famulo præcedere iusso, ipse paulisper subsisteret. esse enim quod sine arbitris illi vellet dicere. tum Saulus famulum ablegat, & propheta deprompta lecytho caput iuuenis oleo perfundit, simúlque regem salutat, Deum ei honorem hunc ratum facere dicens, pro tutela Hebræorum, quorum iniurias bello Palæstinis illato vlcisci debeat. hæc ita fore hoc argumento cognoscere poteris. In hoc itinere offendes tres homines religionis E ergô tendentes ad Bethela: quorum primum videbis ferre tres panes, secundum hædum, hos tertius sequetur vtrem vini baiulans. hi tibi comiter salutato dabunt panes duos, & accipies. inde venies ad Rachelis monumentum, vbi occurret tibi qui nunciet inuentas esse asinas. Inde progressus ad oppidum Gabatha, in cœtum prophetarum incides: & correptus diuino spiritu, vnà cum illis prophetabis, vt quotquot hæc viderint, attoniti miraculo dicant, vnde hæc felicitas Cisi filio? his F signis visis certo scito Deum esse tecum: & saluta patrem tuum & cognatos. Venies autem Galgala, me accersente, vt pro his Deo pacificas hostias immolemus. His prædictis dimisit iuuenem: & quicquid prædictum est occurrit ei in hoc itinere. Postquam autem domum rediit, percontante cognato suo Abenaro, quem præ cæteris diligebat, quomodo successisset peregrinatio, nihil illum celauit, ne hoc quidem quòd apud prophetam fuisset, & ex eo cognouisset inuentas esse asinas.

1. Reg. 10.

de regno tantùm tacuit, ne ea res vel credita inuidiam, vel non credita vanitatis opinionem ei contraheret. quamuis enim & amicus esset & cognatus, tutius tamen ac consultius arbitratus est silentium, reputans credo humanæ naturæ infirmitatem, quòd nemo constans in amore, sed etiamsi manifesto diuino suffragio felicitas contingat, tamen alios sibi præferri iniquè & inuidè ferunt. Porrò Samuel populum in oppidum Masphatim conuocat, & cùm frequentes adesse videret, in hanc sententiam alloquitur, Hæc iussit me Dominus suo nomine ad vos perferre, Ego vos in libertatem vindicaui, primùm Ægyptiorum seruos: deinde à vicinis regibus toties victos ac subiugatos. pro quibus beneficiis hanc mihi gratiam reponitis, quòd abrogato mihi quantum in vobis est imperio, quasi nesciatis vtilissimum esse homini à Deo regi, vnum è vestro numero digniorem existimatis, qui vobis præsit: qui subditis tanquam pecudibus pro sua libidine vtens, quidlibet in quemuis licere sibi volet. non enim fieri potest, vt homo erga hominem sic affectus sit, quemadmodum ego erga à me ipso conditum. Eia quando plus apud vos potest temerarius animi impetus quàm vel religio vel beneficiorum memoria, digeratur multitudo per tribus & familias, & fiat sortitio. Quo facto Beniamiticæ tribus sors exiit. dein familiarum nominibus in vrnam coniectis, Metri familiæ sors obuenit, postremo cùm viritim sortitio fieret Saulo Cisi filio regnum sortito obtigit. Iuuenis verò qui hoc præsciebat, abdiderat, se videri volens inuitus ad regnum accedere. Tanta fuit præditus modestia simul & temperantia, vt cum plerique vel modica felicitate potiti vix sui præ lætitia sint compotes, & omnibus se ob oculos ingerant: hic tot populorum rex declaratus ac dominus, non modo non ostentaret se, verùm etiam è subditorum conspectu subduceret, vt non absque negotio posset inueniri. cúmque nusquam comparente Saulo omnes essent soliciti, hæsitantes quidnam fieri oporteat, propheta precibus Deum appellat, vt latebras indicet, desideratúmque iuuenem exhibere dignetur. quòd vbi impetratum est, mittit qui eum adducant: & postquam venit, in medio populi iuuenem statuit vniuersis conspicuum, vt qui humeris tenus supra omnes excelleret, & ipsa statura maiestatem regiam præ se ferret. Tum propheta: Hunc vobis Deus dat regem. contemplamini quantùm omnibus præminet, quàm sit hoc honore dignus. Cúmque populus acclamasset, Viuat rex: propheta conscriptis in libro omnibus quæ illis sub regia dominatione erant euentura, recitauit ea populo rege præsente, & librum in tabernaculum Dei reposuit, vt esset apud posteros prædictionis suæ monumentum. His ita perfectis, dimissóque populo, ipse reuersus est Ramatha in patriam. Saulum verò in natale oppidum Gabatha redeuntem multi boni viri comitabantur, vt nouo regi debitum officium præstantes. Sed plures mali & factum hoc eorum vitio vertebant,

A περὶ δὲ τῆς βασιλείας καὶ τῶν κατ' αὐτὴν, ἃ καὶ φθόνον ἀκουόμενα καὶ ἀπιστίαν ἔχειν ᾤετο, σιωπᾷ πρὸς αὐτόν. καὶ οὐδὲ πρὸς δύναμιν σφόδρα δοκοῦντα εἶναι καὶ περιττότερον τῶν ἀφ' αἵματος ὑπ' αὐτοῦ στεργόμενον, ἀσφαλὲς ἢ σώφρον ἔδοξε μηνύειν, λογισάμενος οἶμαι τὴν ἀνθρωπίνην φύσιν οἵα ταῖς ἀληθείαις ἐστὶν, ὅτι βεβαίως οὐδεὶς εὔνους, οὔτε φίλων οὔτε συγγενῶν, οὐδ' ἄχρι τῶν παρὰ τοῦ θεοῦ λαμπρῶν ἀποσώζει B τὴν διάθεσιν, ἀλλὰ πρὸς τὰς ὑπεροχὰς κακοήθεις τυγχάνουσιν ἤδη καὶ βάσκανοι. σαμούηλος δὲ, συγκαλεῖ τὸν λαὸν εἰς μασφαθὰ πόλιν, καὶ πρὸς αὐτὸν διατίθεται λόγους, οὓς κατ' ἐντολὴν φράζειν ἔλεγεν τοῦ θεοῦ. ἔτι τὴν ἐλευθερίαν αὐτοῖς ἐκείνου παρασχόντος, καὶ τοὺς πολεμίους δουλώσαντος, ἀμνημονήσειαν τῶν εὐεργεσιῶν. καὶ τὸν μὲν θεὸν ἀποχειροτονοῦσι τῆς βασιλείας, οὐκ εἰδότες ὡς συμφορώτατον ὑπὸ τοῦ πάντων ἀρίστου προστατεῖσθαι. C θεὸς δὲ πάντων ἄριστος. αἱροῦνται δ' ἔχειν ἄνθρωπον βασιλέα. ὃς ὡς κτήμασι τοῖς ὑποτεταγμένοις κατὰ βούλησιν καὶ ἐπιθυμίαν καὶ τῶν ἄλλων παθῶν ὁρμὴν χρήσεται, τῆς ἐξουσίας ἀφειδῶς ἐμφορούμενος. ἀλλ' οὐχ ὡς ἴδιον ἔργον καὶ κατασκεύασμά τι τῶν ἀνθρώπων γένος οὕτω διατηρῆσαι σπουδάσει. ὁ θεὸς δὲ κατ' αὐτὴν τὴν αἰτίαν κήδοιτο. ἀλλ' ἐπεὶ δέδοκται ταῦτα ὑμῖν καὶ κεκράτηκεν ἡ πρὸς τὸν θεὸν ὕβρις, τάχθητε D πάντες κατὰ φυλάς τε καὶ σκῆπτρα, καὶ κλήρους βάλλετε. ποιησάντων δὲ τοῦτο τῶν ἑβραίων, ὁ τῆς βενιαμίτιδος κλῆρος ἐξέπεσε. ταύτης δὲ κληρωθείσης ἔλαχεν ματρὶς καλουμένη πατρία, ἧς κατ' ἄνδρα κληρωθείσης λαγχάνει ὁ κισαίου βασιλεύειν παῖς σάουλος. γνοὺς δὲ τοῦτο ὁ νεανίσκος φθάσας ἐκποδὼν αὑτὸν ποιεῖ, μὴ βουλόμενος οἶμαι δοκεῖν τὴν ἀρχὴν ἑκὼν λαμβάνειν. ἀλλὰ τοσαύτην ἐνεδείξατο ἐγκράτειαν E καὶ σωφροσύνην, ὥς τι τῶν πλείστων οὐδ' ἐπὶ μικραῖς εὐπραγίαις τὴν χαρὰν κατασχεῖν δυναμένων, ἀλλ' εἰς τὸ πᾶσι γενέσθαι φανεροὺς προεκπιπτόντων. ὁ δ' οὐ μόνον οὐδὲν ἐνέφηνε τοιοῦτον ἐπὶ βασιλεία, καὶ τῶν τοσούτων καὶ τηλικούτων ἐθνῶν ἀποδειχθῆναι δεσπότης. ἀλλὰ καὶ τῆς ὄψεως αὑτὸν τῆς τῶν βασιλευθησομένων ἐξέκλεψε, καὶ ζητεῖν αὐτὸν καὶ περὶ τοῦτο πονεῖν παρεσκεύασεν. ὧν ἀμηχανούντων καὶ φροντιζόντων ὅ- F τι γένοιτο ἀφανὴς ὁ σάουλος, ὁ προφήτης ἱκετεύει τὸν θεὸν, δεῖξαι πού ποτ' εἴη, καὶ παρασχεῖν εἰς ἐμφάνειαν τὸν νεανίσκον. μαθὼν δὲ παρὰ τοῦ θεοῦ τὸν τόπον ἔνθα κέκρυπται ὁ σάουλος, πέμπει τοὺς ἄξοντας αὐτόν. καὶ παραγενόμενον ἵστησι μέσον τοῦ πλήθους. ἐξεῖχε δ' ἁπάντων, καὶ τὸ ὕψος ἦν βασιλικώτατος. λέγει δὲ ὁ προφήτης, τοῦτον ὑμῖν ὁ θεὸς ἔδωκε βασιλέα. ὁρᾶτε δὲ ὡς καὶ κρείττων ἐστὶ πάντων, καὶ τῆς ἀρχῆς ἄξιος. ὡς δὲ G ἐπευφήμησε τῷ βασιλεῖ σωτηρίαν ὁ λαὸς, τὰ μέλλοντα συμβήσεσθαι καὶ γράψας αὐτοῖς ὁ προφήτης, ἀνέγνω τοῦ βασιλέως ἀκροωμένου. καὶ τὸ βιβλίον τίθησιν ἐν τῇ τοῦ θεοῦ σκηνῇ, ταῖς μετέπειτα γενεαῖς μαρτύριον ὧν προείρηκε. ταῦτ' ἐπιτελέσας ὁ σαμούηλος, ἀπολύει τὴν πληθύν. καὶ αὐτὸς δὲ εἰς ἀραμαθὰ παραγίνεται πόλιν. πατρὶς γὰρ ἦν αὐτῷ. σαούλῳ δ' ἀπερχομένῳ εἰς γαβαθὴν, ἐξ ἧς ὑπῆρχε, συνήρχοντο πολλοὶ μὲν ἀγαθοὶ τὴν προσήκουσαν βασιλεῖ τιμὴν νέμοντες. πονηροὶ δὲ πλείους, οἳ καταφρονοῦντες αὐτοῦ, καὶ τοὺς ἄλλους ἐχλεύαζον,

καὶ οὔτε

καὶ οὔτε δῶρα προσέφερον, οὔτ' ἐν σπουδῇ καὶ λόγῳ τὸ ἀρέσκεσθαι τὸν σαοῦλον ἐτίθεντο. μηνὶ δ' ὕστερον ἀρχῆς τῆς παρὰ πάντων αὐτῷ τιμῆς ὁ πρὸς ναάσην πόλεμος τὸν ἀμμανιτῶν βασιλέα. οὗτος γὰρ πολλὰ κακὰ τοῖς πέραν τοῦ ἰορδάνου ποταμοῦ κατῳκημένοις τῶν ἰουδαίων διατίθησι, μετὰ πολλοῦ καὶ μαχίμου στρατεύματος διαβὰς ἐπ' αὐτούς. καὶ τὰς πόλεις αὐτῶν εἰς δουλείαν ὑπάγεται. ἰσχύϊ καὶ βίᾳ πρὸς τὸ παρὸν αὐτοὺς χειρωσάμενος. σοφίᾳ δὲ καὶ ἐπινοίᾳ, πρὸς τὸ μηδ' αὖθις ἀποστάντας δυνηθῆναι τὴν ὑπ' αὐτῷ δουλείαν διαφυγεῖν, ἀσθενεῖς ποιῶν. τῶν γὰρ ἢ κατὰ πίστιν ὡς αὐτὸν ἀφικνουμένων, ἢ λαμβανομένων πολέμου νόμῳ, τοὺς δεξιοὺς ὀφθαλμοὺς ἐξέκοπτε. ἐποίει δὲ τοῦθ' ὅπως τῆς ἀριστερᾶς αὐτοῖς ὄψεως ὑπὸ τῶν θυρεῶν καλυπτομένης, ἄχρηστοι παντελῶς εἶεν. καὶ ὁ μὲν τῶν ἀμμανιτῶν βασιλεὺς ταῦτ' ἐργασάμενος τοὺς πέραν τοῦ ἰορδάνου, ἐπὶ τοὺς γαλαδηνοὺς λεγομένους ἐπεστράτευσε. καὶ στρατοπεδευσάμενος πρὸς τῇ μητροπόλει τῶν πολεμίων, ἰαβὴς δ' ἐστὶν αὕτη, πέμπει πρὸς αὐτοὺς πρέσβεις. κελεύων ἢ παραδοῦναι σφᾶς αὐτοὺς ἐπὶ τῷ τοὺς δεξιοὺς αὐτῶν ὀφθαλμοὺς ἐξορύξαι. ἢ πολιορκήσαι ἠπείλει, καὶ τὰς πόλεις αὐτῶν ἀναστήσειν. τὴν δ' αἵρεσιν ἐπ' αὐτοῖς εἶναι, πότερόν ποτε βραχύ τι τοῦ σώματος ἀποτεμεῖν θέλουσιν, ἢ πάντες ἀπολωλέναι. οἱ δὲ γαλαδηνοὶ καταπλαγέντες, πρὸς οὐδέτερον μὲν ἐτόλμησαν οὐδὲν εἰπεῖν, οὔτ' εἰ παραδιδόασιν αὐτούς, οὔτ' εἰ πολεμοῦσιν. ἀνοχὴν δ' ἡμερῶν ἑπτὰ λαβεῖν ἠξίωσαν, ἵνα πρεσβευσάμενοι πρὸς τοὺς ὁμοφύλους, παρακαλέσωσι συμμαχεῖν αὐτοῖς. καὶ εἰ μὲν ἔλθοι βοήθεια, πολεμῶσιν. εἰ δ' ἄπορα εἴη τὰ παρ' ἐκείνων, παραδώσειν αὐτοὺς ἔφασκον ἐπὶ τῷ παθεῖν ὅτι ἂν αὐτῷ δοκῇ. ὁ δὲ ναάσης καταφρονήσας τοῦ τῶν γαλαδηνῶν πλήθους, καὶ τῆς ἀποκρίσεως αὐτῶν, δίδωσί τε αὐτοῖς τὴν ἀνοχήν, καὶ πέμπειν πρὸς οὓς ἂν θέλωσι συμμάχους ἐπιτρέπει. πέμψαντες οὖν εὐθὺς κατὰ πόλιν τοῖς ἰσραηλίταις διήγγελλον τὰ παρὰ τοῦ ναάσου, καὶ τὴν ἀμηχανίαν ἐν ᾗ καθεστήκεσαν. οἱ δ' εἰς δάκρυα καὶ λύπην ὑπὸ τῆς ἀκοῆς τῶν περὶ τοὺς ἰαβισηνοὺς προήχθησαν. καὶ πέρα τούτων οὐδὲν αὐτοῖς ἄλλο πράττειν συνεχώρει τὸ δέος. γενομένων δὲ τῶν ἀγγέλων καὶ ἐν τῇ σαούλου τοῦ βασιλέως πόλει, καὶ τοὺς κινδύνους ἐν οἷς εἶναι συνέβαινε τοὺς ἰαβισηνοὺς φρασάντων, ὁ μὲν λαὸς ταυτὰ τοῖς πρώτοις ἔπασχεν. ὠδύρετο γὰρ τὴν συμφορὰν τὴν τῶν συγγενῶν. ὁ δὲ σάουλος, ἀπὸ τῶν περὶ τὴν γεωργίαν παραγινόμενος ἔργων εἰς τὴν πόλιν, ἐπιτυγχάνει κλαίουσι τοῖς αὐτοῦ πολίταις. καὶ πυθόμενος τὴν αἰτίαν τῆς συγχύσεως καὶ κατηφείας αὐτῶν, μανθάνει τὰ παρὰ τῶν ἀγγέλων. καὶ ἔνθεος γενόμενος, ἀποπέμπει μὲν τοὺς ἰαβισηνούς, ὑποσχόμενος αὐτοῖς ἥξειν βοηθὸς τῇ τρίτῃ τῶν ἡμερῶν, καὶ πρὶν ἥλιον ἀνασχεῖν, κρατήσειν τῶν πολεμίων, ἵνα καὶ νενικότας ἤδη καὶ τῶν φόβων ἀπηλλαγμένους ὁ ἥλιος ἐπιτείλας ἴδῃ. ὑπομεῖναι δ' ἐκέλευσε τινὰς αὐτῶν, ἡγησομένους τῆς ὁδοῦ.

& ipsi contempto rege nullis vel muneribus vel obsequiis gratiam eius demereri conabantur. Mense autem post acceptum regnum elapso, exortum contra Naasen Ammanitarum regem bellum apud omnes ex æquo autoritatem illi parauit. Hic enim diu Iudæis vltra Iordanem habitantibus infestus, postremò cum magno & forti exercitu regionem ingressus vrbes eorum subiugare cœpit: nec contentus libertatem in præsens abstulisse, vt omnem rebellandi materiam in futurum adimeret, tam vltro deditis, quam vi subactis dextrum oculum eruebat: vt quoniam scutum sinistro prospectum negat, omnino inutiles bello fierent. hoc modo tractatis trans amnem incolentibus in Galadenam exercitum duxit: & castrametatus ad primariam regionis vrbem, cui nomen est Iabes, oratores eò misit, qui conditiones offerrent, vt aut deditione facta dextris oculis orbentur vt alij: aut internecionem hominum & oppidorum excidium expectent. eligerent ipsi vtrum mallent, paruam corporis particulam decidere, an in omnium facultatum simul & vitæ discrimen venire. Tam ancipiti optione territi Galadeni, nec hostile responsum dare ausi sunt, nec pacatum: sed inducias septem dierum petierunt, vt missis ad consanguineos nunciis postularent auxilium. & si impetratum fuerit, bellum gerant. sin minus, promittebant se deditionem facturos quacunque conditione hosti liberet. Naases autem qui Galadenos contemnebat, non grauatim inducias dedit, permissis vndecunque suppetias implorare. qui euestigio per omnes Israëlitarum vrbes nuncios dimiserunt, significantes se minis Naasis in extremam desperationem adductos. sed quocunque illi venirent tantundem metus quantum mœroris afferebant, vt nemo se mouere auderet. cæterùm cùm ad regiam quoque venissent, & ibi etiam populus sicut in aliis oppidis afficeretur, nil aliud quàm mœrens, Saulus rure domum reuertens, & animaduersa mœstitia populi, scitatus satin' saluæ res essent, & quæ noua causa tristitiæ: ex nunciis omnia cognouit. mox percitus diuino afflatu, ire eos iubet, & Iabesenis referre, se tertia die venturum auxilio, & ante solem exortum hostes profligaturum, vt exoriens Ammanitas fusos ac fugatos, miseros verò ciues periculo exemptos inspiciat. atque his mandatis, aliquot ex eis retinuit, quibus itineris ducibus vti decreuerat.

V. 1.Reg.11.

Cap. VI.

Sauli victoria contra Ammanitas.

1.Reg.11.

VOlens autem pœnæ formidine populum ad Ammaniticum bellum excitare, quò celerius conueniret, boum qui fortè ab opere veniebant neruos succidit, idem passuros minatus qui postridie cum armis ad

Κεφάλαιον ς'.

Σαούλου στρατεία ἐπὶ τὸ ἀμμανιτῶν ἔθνος καὶ νίκη.

Βουλόμενος δὲ φόβῳ ζημίας τὸν λαὸν ἐπὶ τὸν πρὸς ἀμμανίτας ἐπιστρέψαι πόλεμον, καὶ συναχθεῖν αὐτοὺς ὀξύτερον, ὑποτεμὼν τῶν αὐτοῦ βοῶν τὰ νεῦρα, τὸ ταὐτὸ διαθήσειν ἠπείλησε τοὺς ἀπαντῶντας, εἰ μὴ πρὸς τὸν

Iordanem non adforent, ſecuturi quocunq; ipſe ac propheta ducerent. Eo metu effectum eſt vt cùm omnes ad præfinitum tẽpus præſto eſſent, recenſitis apud Balam oppidum copiis, inuenirentur ſeptingenta millia confluxiſſe, abſq; tribu Iudæ: quæ ſola armauit LXX. millia. Tranſgreſſus dein Iordanem & decem ſchœnorũ ſpatium nocte vna emenſus, ante ſolis ortum quò deſtinarat peruenit: & diuiſo trifariam exercitu, vndiquaq; hoſtem nihil tale expectantẽ aggreditur: & acriter pugnando ingenti ſtrage edita inter cæteros Naaſen regem occidit. Hæc victoria Sauli nomẽ apud omnes Hebræos inclytum reddidit, fama longè lateq; fortitudinẽ viri celebrãte. Si qui enim erant qui priùs eum contemnerent, tunc mutata in diuerſum opinione nullo non honore dignum prędicabant. nam non contentus Iabeſenos ſeruaſſe, in Ammanitarum regionem irruptione facta totam vaſtauit, & ditato ex præda exercitu, glorioſè domum reuerſus eſt. Populus verò nimio gaudio geſtiẽs, placebat ſibi quòd talem regem eſſet nactus, & illis qui inutilem fore dixerãt inſultabat, rogitans vbi nunc eſſent iſti contemptores, & ad ſupplicium eos depoſcens. & alia multa iactabat, vt ſolet multitudo, quoties in aliqua felicitate conſtituta cõtra autorum eius aduerſarios irritatur. Saulus interea ſtudiũ quidem ac beneuolentiam eorum collaudabat, ſed iureiurando affirmauit non paſſurum vt quiſquam è cõſanguinea multitudine tam feſto die rapiatur ad ſupplicium: periniquum enim eſſe victoriã à Deo datam ciuili ſanguine polluere: ſed magis decere vt poſitis odiis diem epulis ac hilaritate tranſigant. Poſt hæc Samuele monẽte opus eſſe alteris comitiis per quæ Saulo rata fiat regni poſſeſſio, conuẽtus fit apud oppidum Galgala. ibi rurſum inſpectante tota multitudine propheta vnxit Saulum ſacro oleo, atque iterum regem conſalutari fecit. Ita factum eſt vt mutato reipublicæ ſtatu regia dominatio introduceretur. Sub Moyſe enim & diſcipulo eius Ieſu, qui tum exercitui cum imperio præfuit, optimates rem adminiſtrabant. poſt cuius mortem octodecim annis populus ſine ſummo magiſtratu vixit: deinde rurſum ad priſtinã regiminis formam redierunt, qui belli gerendi ſcientia & fortitudine præcelleret, ſupremum iudicem cõſtituendo. quam ob rem totum hoc tempus, quo talis ſtatus durauit, appellauerunt Iudicum. Samuel autem propheta priuſquam comitia diſſoluerentur ſic eſt allocutus populum: Adiuro vos per maximum Deum, qui vobis optimos illos fratres Moyſem & Aaronem miſit, & patres veſtros ex Ægypto eduxit: vt abſque pudore ac metu omniue affectu alio, liberè dicatis, nunquid contra ius & æquum fecerim, vel proprij lucri cupiditate, vel in alterius cuiuſquam gratiam. Coarguite me ſi cuius vitulum aut ouem, aut aliud quid tale accepi: cùm tamen huiuſmodi munuſcula quæ in quotidianum victum cedunt, ab vltro dantibus ſumere, vitio verti non ſoleat: aut ſi cuius iumento ad meas neceſſitates vſus ſum.

A ἰόρδανον ὡπλισμένοι κατὰ τὴν ἐπιοῦσαν ἀπαντήσωσιν ἡμέραν, καὶ ἀκολουθήσωσιν αὐτῷ καὶ σαμουήλῳ τῷ προφήτῃ, ὅπου ποτ' ἂν αὐτοὺς ἀγάγωσι. τῶν δὲ δι' εὐλάβειαν τῆς κατεπηγγελμένης ζημίας εἰς τὸν ὡρισμένον καιρὸν συνελθόντων, ἐξαριθμεῖται ἐν βαλᾷ τῇ πόλει τὸ πλῆθος. εὑρίσκει δὲ τὸν ἀριθμὸν χωρὶς τῆς ἰούδα φυλῆς, εἰς ἑβδομήκοντα μυριάδας συνειλεγμένους. τῆς δὲ φυλῆς ἐκείνης, ἦσαν ἑπτὰ μυριάδες. διαβὰς δὲ τὸν ἰορδάνην, καὶ σχοίνων δέκα δι' ὅλης τῆς νυκτὸς B ἀνύσας ὁδὸν, φθάνει μὲν ἥλιον ἀνίσχοντα. τριχῇ δὲ τὸ στράτευμα διελὼν, ἐπιπίπτει πανταχόθεν αἰφνιδίως οὐ προσδοκῶσι τοῖς ἐχθροῖς. καὶ συμβαλὼν εἰς μάχην, ἄλλους τε πολλοὺς ἀποκτείνει τῶν ἀμμανιτῶν, καὶ ναάσην τὸν βασιλέα. τοῦτο λαμπρὸν ἐπράχθη τῷ σαούλῳ τὸ ἔργον, καὶ πρὸς πάντας αὐτὸν τοὺς ἑβραίους διήγγειλεν ἐπαινούμενον, καὶ δόξης ἀπολαύοντα θαυμαστῆς ἐπ' ἀνδρείᾳ. καὶ γὰρ εἴ τινες ἦσαν οἱ πρότερον αὐτοῦ κα- C ταφρονοῦντες, τότε μετέστησαν ἐπὶ τὸ τιμᾶν καὶ πάντων ἄριστον νομίζειν. οὐ γὰρ ἤρκησεν αὐτῷ τοὺς ἰαβισηνοὺς σεσωκέναι μόνον, ἀλλὰ καὶ τὴν τῶν ἀμμανιτῶν ἐπιστρατεύσας χώραν, πᾶσαν αὐτὴν καταστρέφεται. καὶ πολλὴν λαβὼν λείαν, λαμπρῶς εἰς τὴν οἰκείαν ὑπέστρεψεν. ὁ δὲ λαὸς ὑφ' ἡδονῆς τῶν σαούλῳ κατορθωμένων, ἔχαιρε μὲν ὅτι τοιοῦτον ἐχειροτόνησε βασιλέα. πρὸς δὲ τοὺς οὐδὲν ὄφελος αὐτὸν ἔσεσθαι τοῖς πράγμασι λέγοντας D ἐβόων, ποῦ νῦν εἰσὶν οὗτοι καὶ δότωσαν δίκην. καὶ πάνθ' ὅσα φιλεῖ λέγειν ὄχλος ἐπ' εὐπραγίαις ἠρμένος, πρὸς τοὺς ἐξουτελίζοντας ἔναγχος τοὺς τούτων αἰτίους. σάουλος δὲ, τούτων μὲν ἠσπάζετο τὴν εὔνοιαν καὶ τὴν περὶ αὐτοῦ προθυμίαν. ὤμοσε δὲ μή τινα περιόψεσθαι τῶν ὁμοφύλων ἀναιρούμενον ἐπ' ἐκείνης τῆς ἡμέρας. ἄτοπον γὰρ εἶναι τὴν ὑπὸ τοῦ θεοῦ δεδομένην νίκην αἵματι φύραι καὶ φόνῳ, τῶν ἐκ ταὐτοῦ γένους αὐτοῖς. πρέπειν δὲ μᾶλλον εὐμενῶς διακειμένους ἑορτάζειν. E σαμουήλου δὲ φήσαντος καὶ δευτέρας δεῖν χειροτονίας σαούλῳ τὴν βασιλείαν ἐπικυρῶσαι, συνίασι πάντες εἰς γαλγαλὰ πόλιν. ἐκέλευσε γὰρ αὐτοὺς ἐκεῖ ἐλθεῖν. καὶ πάλιν ὁρῶντος τοῦ πλήθους ὁ προφήτης χρίει τὸν σάουλον τῷ ἁγίῳ ἐλαίῳ, καὶ δεύτερον ἀναγορεύει βασιλέα. καὶ οὕτως ἡ τῶν ἑβραίων πολιτεία εἰς βασιλείαν μετέπεσεν. ἐπὶ γὰρ μωυσέως καὶ τοῦ μαθητοῦ αὐτοῦ ἰησοῦ, ὃς ἦν στρατηγὸς, ἀριστοκρατούμενοι διετέλουν. μετὰ δὲ τὴν ἐκείνου τελευτὴν, ἔτεσι τοῖς F πᾶσι δέκα καὶ πρὸς τούτοις ὀκτὼ, τὸ πλῆθος αὐτῶν ἀναρχία κατέσχε. μετὰ ταῦτα δ' εἰς τὴν προτέραν ἐπανῆλθον πολιτείαν, τῷ κατὰ πόλεμον ἀρίστῳ δόξαντι γενέσθαι καὶ κατ' ἀνδρείαν περὶ τῶν ὅλων δικάζειν ἐπιτρέποντες. καὶ διὰ τοῦτο τὸν χρόνον τοῦτον τῆς πολιτείας, κριτῶν ἐκάλεσαν. ἐκκλησίαν δὲ σαμουήλος ποιήσας ὁ προφήτης τῶν ἑβραίων, ἐπόμνυμαι φησὶν ὑμῖν τὸν μέγιστον θεὸν, ὃς τοὺς ἀδελφοὺς τοὺς ἀγαθοὺς ἐκείνους, λέγω δὴ μωυσῆν καὶ ἀαρῶνα, παρήγαγεν εἰς τὸν βίον, καὶ τοὺς πατέρας ἡμῶν ἐξήρπασεν αἰγυπτίων, καὶ τῆς ὑπ' αὐτοῖς δουλείας, μηδὲν μήτ' αἰδοῖ χαριζομένους, μήτε ὑποστελλομένους φόβῳ, μήτε ἄλλῳ τινὶ πάθει παραχωρήσαντας εἰπεῖν, τί μοι πέπρακται σκαιὸν καὶ ἄδικον, ἢ κέρδους ἕνεκα ἢ πλεονεξίας, ἢ χάριτος τῆς πρὸς ἄλλους. ἐλέγξαι δὲ εἰ μόσχον ἢ πρόβατον ἢ τοιοῦτόν τι προσηκάμην ἃ πρὸς τροφὴν ἀνεμέσητον δοκεῖ λαμβάνειν. ἢ εἴ τινος ὑποζύγιον εἰς ἐμὴν ἀποσπάσας χρείαν ἐλύπησα.

τούτων

τούτων ἔνι κατειπεῖν παρόντος ὑμῶν τοῦ βασιλέως. A οἱ δ' ἀνέκραγον μηδὲν τούτων ὑπ' αὐτοῦ γεγονέναι, προστῆναι δὲ ὁσίως καὶ δικαίως αὐτὸν τοῦ ἔθνους. σαμουήλος δὲ ταύτης ἐξ ἁπάντων αὐτῷ τῆς μαρτυρίας γενομένης, ἐπεὶ δεδώκατέ μοι φησὶν τὸ, μηδὲν ἄτοπον ἔθ' ὑμᾶς περὶ ἐμοῦ δύνασθαι λέγειν, φέρε νῦν μετὰ παρρησίας ἀκούσατε ἐμοῦ λέγοντος, ὅτι μεγάλα ἠσεβήσατε εἰς τὸν θεὸν αἰτησάμενοι βασιλέα. διαμνημονεύειν δὲ ὑμᾶς προσῆκεν, ὅτι σὺν ἑβδομήκοντα B μόνοις ἐκ τοῦ γένους ὑμῶν ὁ πάππος ἰάκωβος διὰ λιμὸν εἰς αἴγυπτον ἦλθε. κἀκεῖ πολλῶν μυριάδων ἐπιτεκνωθεισῶν, ἃς εἰς δουλείας καὶ χαλεπὰς ὕβρεις ἤγαγον οἱ αἰγύπτιοι, ὁ θεὸς εὐξαμένων τῶν πατέρων, χωρὶς βασιλέως παρέσχεν αὐτοῖς, ῥύσασθαι τῆς ἀνάγκης τὸ πλῆθος, μωυσῆν αὐτοῖς καὶ ἀαρῶνα πέμψας ἀδελφούς. οἳ ἤγαγον ὑμᾶς εἰς τήνδε τὴν γῆν ἣν νῦν ἔχετε. καὶ τούτων ἀπολαύσαντες ἐκ τοῦ θεοῦ, προδεδώκατε τὴν θρησκείαν καὶ τὴν εὐσέβειαν. οὐ μὴν, C ἀλλὰ καὶ πολεμίοις ὑποχειρίους γινομένους, ἠλευθέρωσε, κρατῶν μὲν ἀσσυρίων καὶ τῆς ἐκείνων ἰσχύος ὑπερτέρους ἀπεργασάμενος. ἔπειτα, ἀμμανιτῶν κρατῆσαι παρασχὼν καὶ μωαβιτῶν, καὶ τελευταῖον παλαιστινῶν. καὶ ταῦτα οὐ βασιλέως ἡγουμένου διεπράξασθε, ἀλλ' ἰεφθάου καὶ γεδεῶνος στρατηγούντων. τίς οὖν ἔσχεν ὑμᾶς ἄνοια, φυγεῖν μὲν τὸν θεὸν, ὑπὸ βασιλέα δὲ εἶναι θέλειν. ἀλλ' ἐγὼ μὲν ἀπέδειξα τοῦτον ὃν D αὐτὸς ἐπελέξατο. ἵνα μέντοιγε φανερὸν ὑμῖν ποιήσω τὸν θεὸν ὀργιζόμενον καὶ δυσχεραίνοντα τῇ τῆς βασιλείας ὑμῶν αἱρέσει, δηλῶσαι τεθ' ὑμῖν τὸν θεὸν παρασκευάσω διὰ σημείων ἐναργῶς. ὃ γὰρ οὐδέπω πρότερον εἶδεν ὑμῶν οὐδεὶς ἐνταῦθα γενόμενον θέρους ἀκμῇ χειμῶνα, αἰτησάμενος τὸν θεὸν παρέξω τοῦτο νῦν ὑμῖν ἐπιγνῶναι. καὶ ταῦτα εἰπόντος πρὸς τὸ πλῆθος τοῦ σαμουήλου, βρονταῖς σημαίνει τὸ θεῖον καὶ E ἀστραπαῖς καὶ χαλάζης καταφορᾷ, τὴν τοῦ προφήτου περὶ πάντων ἀλήθειαν, ὡς τεθαμβηκότας αὐτοὺς καὶ περιδεεῖς γενομένους, ἁμαρτάνειν τε ὁμολογεῖν, καὶ κατ' ἄγνοιαν εἰς τοῦτο προπεσεῖν, καὶ ἱκετεύειν τὸν προφήτην ὡς πατέρα χρηστὸν καὶ ἐπιεικῆ τὸν θεὸν αὐτοῖς εὐμενῆ καταστῆσαι, καὶ ταύτην ἀφεῖναι τὴν ἁμαρτίαν, ἣν πρὸς οἷς ἐξύβρισαν ἄλλοις καὶ παρηνόμησαν προσεξηργάσαντο. ὁ δὲ ὑπισχνεῖται καὶ παρα- F καλέσειν τὸν θεὸν συγγνῶναι περὶ τούτων αὐτοῖς καὶ πείσειν. συνεβούλευε μέντοι δικαίους εἶναι καὶ ἀγαθούς. καὶ μνημονεύειν ἀεὶ τῶν διὰ τὴν παράβασιν τῆς ἀρετῆς αὐτοῖς κακῶν συμπεσόντων. καὶ τῶν σημείων τοῦ θεοῦ καὶ τῆς μωυσέως νομοθεσίας, εἰ σωτηρίας αὐτοῖς καὶ τῆς μετὰ τοῦ βασιλέως εὐδαιμονίας ἐστὶν ἐπιθυμία. εἰ δὲ τούτων ἀμελήσουσιν, ἔλεγεν ἥξειν αὐτοῖς τε καὶ τῷ βασιλεῖ μεγάλην ἐκ θεοῦ πληγήν. καὶ G ὁ σαμουήλος μὲν ταῦτα τοῖς ἑβραίοις προφητεύσας, ἀπέλυσεν αὐτοὺς ἐπὶ τὰ οἰκεῖα, βεβαιώσας ἐκ δευτέρου τῷ σαούλῳ τὴν βασιλείαν.

in his & similibus si quem ostendi, nunc rege præsente dicite, Acclamatum est vno ore, nihil tale eum fecisse, sed sanctè & iustè principatum gessisse. Tum ille, Gaudeo nullas esse vestras de me querelas, at ego habeo nonnihil quod conquerar, si vera loqui licet: quæ tamen iniuria magis ad Deum attinet, quem certè hoc facto valde offendistis, quòd alium regem poposcistis. oportebat enim vos meminisse, quòd auus vester Iacobus, LXX. solis hominibus ve- 1. Reg. 7. stri generis comitatus, fame coactus in Ægyptum deuenit. Cúmq; ibi in multa millia propagata esset eius progenies, eáque graui & contumeliosa seruitute ab Ægyptiis premeretur, inuocantibus vestris patribus, absque vllo rege Deus tantam multitudinem eripuit, missis in hoc Moyse & Aarone fratribus: qui vos in hanc terram induxerunt, quam nunc possidetis. & tamen post talia beneficia non semel prodidistis veram pietatem ac religionem. Nihilominus subiugatos ab hostibus liberauit, dum eius ope vicistis primùm Assyriorum potentiam, deinde Ammanitarum ac Moabitarum, & postremò Palestinos. atque hæc omnia confecistis nō regum auspiciis, sed ductu Iephthæ & Gedeonis. Quæ igitur dementia vos impulit, vt detrectantes imperium Dei, sub rege esse malletis? Gessi tamen vobis morem, eo declarato, quem ipse elegit. Vt autem manifestè sciatis Deum vobis iratum, nec ei placere in regnum versam vestram rempublicam, dabo euidens signum diuinitus. Qualem enim nunquam quisquam æstatis medio vidit in hac regione tempestatem, talem nunc impetrabo à Deo, quæ verbis meis fidem astruat. Vix ea fatus erat, cùm tanta vis tonitruum ac fulgurum & grandinis ingruit, vt attoniti extremáque timentes faterentur se peccasse, & per inscitiam in hunc errorem prolapsos, rogaréntque prophetam vt paterno affectu eos complexus, in gratiam Dei placati reponeret, & quemadmodum aliorum antea, huius quoque peccati veniam impetraret. pollicitus est ille rogaturum se pro eis Deum, & exoraturum: simulque consilium dedit, vt probi ac iusti esse perpetuo studerent, nec vnquam obliuiscerentur, in quantas clades & calamitates ob neglectum virtutis incidissent. meminissent preterea prodigiorum Dei legúmque per Moysem latarum, si caram haberent vel suam ipsorum vel regis incolumitatem. quòd si hæc negligerent, prædixit grauem vltionem tam ipsis quàm regi non defore. atque ita denuo confirmato in regno Saulo, conuentum missum fecit.

CAP. VII.

Palæstini Hebræos bello aggreßi vincuntur.

REx autem delectu habito, cōscriptísq; tribus millibus, duo millia sibi voluit esse satellitiū, cum quibus ad habitādū Bethela se contulit: reliquos Ionathæ filij satellites esse iussit, VI. 1. Reg. 13.

Κεφάλαιον ζ'.

Ὡς στρατευσάμενοι πάλιν ἐπὶ τοὺς ἑβραίους οἱ παλαιστινοὶ ἡττήθησαν.

ΟΥτος δ' ἐπιλέξας ἐκ τοῦ πλήθους ὡς περὶ τρισχιλίους, τοὺς μὲν δισχιλίους δοὺς ὥστε σωματοφυλακεῖν αὐτὸν, λαβὼν αὐτὸς διέτριβεν ἐν πόλει βεθήλῳ. ἰωνάθῃ δὲ τῷ παιδὶ τοὺς λοιποὺς δοὺς ὥστε σωματοφυλακεῖν αὐτοῦ,

quem misit in Gabam. ille verò expugnauit castrum quoddam Palæstinorum non longè inde distans. Qui enim Gabam tenebant, perdomitis Iudæis arma ademerunt, & occupatis opportunis locis præsidiis ea communiuerunt, & omni prorsus ferri vsu eis interdixerunt. quamobrem si quando agricolis opus esset aliquo ferramento, puta vomere aut ligone, aut alio ad colendum agrum necessario, à Palæstinis instrumentum erat petendum. Vt verò audiuerunt expugnatum castrum, indignati & non ferendam contumeliam dictitantes, armant contra Iudæos trecenta millia peditum, curruum triginta millia, equitum sex millia: & castrametati sunt ad oppidum Machmam. His cognitis rex Saulus profectus est Galgala: & dimissis præconibus per totam ditionem, edicit, vt qui saluam vult libertatem populi, contra Palæstinos arma capiat: dissimulans interim eorum potentiam, & negans tales esse vt timeri debeant. sed vbi certo compertum est maximum esse hostium numerum, metus omnes Sauli subditos occupat: & pars in speluncas ac loca subterranea se abdunt, plures verò vltra Iordanem fugiunt, quæ regio à Gadis & Rubeli tribubus tenebatur. Saulus autem accersit prophetam, vt de communi consilio res geratur. Ille renunciat, debere eum eodem loco manentem comparare victimas: se enim post septem dies venturum, vt immolatis sabbato victimis, cum hoste prælio decernatur. at ille expectauit quidem quantum propheta iusserat, sed non per omnia fuit obediens. Cùm enim cunctari prophetam cerneret, & se paulatim à militibus deseri, victimas ad altare obtulit. Cúmque nunciatum esset prophetam aduentare, honoris causa obuiam ei prodiit. Ille malè factum dixit, quòd neglectis suis mandatis, se absente preces & sacrificia quæ Dei voluntate facienda erant pro populo temere occupasset. Saulo verò excusante, expectasse se ad statutum dierum numerum: sed cùm milites audito hostem relicta Machma petere Galgala, metu se desererent, necessitate cogente properasse ad sacrificium: Consultiùs, inquit, propheta, fecisses, si mihi paruisses, & præ nimia festinatione Deum, cuius ego mentis interpres sum, non contempsisses. nam per obedientiam & tibi diuturnitatem regni, & posteris successionem parare poteras. Ita Samuel offensus regis facto domum est reuersus. Saulus autem cum sexcentis tantùm militibus & Ionatha filio venit in vrbem Gabaonem. horum maior pars non erat armis instructa, quòd ea regio nec ferrum haberet, nec armorum fabros: quod cura Palæstinorum cautum fuisse diximus. hi diuiso trifariam exercitu, per totidem vias regionem Hebræorum ingressi omnia populabantur, spectante Saulo rege cum filio, nec valente prohibere hostem, propter suorum paucitatem.

εἰς γάβας ἔπεμψεν. ὁ δ' ἐκπολιορκεῖ τι φρούριον τῶν παλαιστινῶν οὐ πόρρω γαβάλλων. οἱ γὰρ τῆς γάβας παλαιστινοὶ καταστρεψάμενοι τοὺς ἰουδαίους, τά τε ὅπλα αὐτοὺς ἀφῃροῦντο, καὶ τοὺς ὀχυρωτάτους τῆς χώρας τόπους φρουραῖς κατελάμβανον. καὶ σιδηροφορεῖν χρῆσθαί τε καθάπαξ ἀπηγόρευον σιδήρῳ. καὶ διὰ ταύτην τὴν ἀπόρρησιν οἱ γεωργοὶ εἴποτε δέοιντο αὐτοὺς ἐπισκευάσαι τι τῶν ἐργαλείων, ἢ ὕννιν ἢ μακέλλην ἢ ἄλλο τι τῶν εἰς γεωργίαν χρησίμων, φοιτῶντες εἰς τοὺς παλαιστινοὺς ταῦτ' ἔπραττον. ὡς δὲ ἠκούσθη τοῖς παλαιστινοῖς ἡ τῆς φρουρᾶς αἵρεσις, ἀγανακτήσαντες, καὶ δεινὴν ὕβριν τὴν καταφρόνησιν ἡγησάμενοι, στρατεύουσιν ἐπὶ τοὺς ἰουδαίους. πεζῶν μὲν τριάκοντα μυριάσιν, ἅρμασι δὲ τρισμυρίοις, ἵππων δ' ἑξακισχιλίων ἐπήγοντο. καὶ στρατοπεδεύονται πρὸς πόλει μαχμᾷ. τοῦτο σαοῦλος ὁ τῶν ἑβραίων βασιλεὺς μαθὼν, εἰς γάλγαλα καταβαίνει πόλιν. καὶ διὰ πάσης κηρύσσει τῆς χώρας ἐπ' ἐλευθερίᾳ καλῶν τὸν λαὸν, ἐπὶ τὸν πόλεμον τὸν πρὸς παλαιστινούς. τὴν δύναμιν ἐκφαυλίζων αὐτῶν καὶ διασύρων ὡς οὐκ ἀξιόλογον, οὐδ' ὥς τε φοβεῖσθαι διακινδυνεύειν πρὸς αὐτούς. κατανοήσαντες δὲ τὸ πλῆθος τῶν παλαιστινῶν οἱ τοῦ σαούλου, κατεπλάγησαν. καὶ οἱ μὲν, εἰς τὰ σπήλαια καὶ τοὺς ὑπονόμους ἔκρυψαν αὐτούς. οἱ πλείους δὲ, εἰς τὴν πέραν τοῦ ἰορδάνου γῆν ἔφυγον. αὕτη δ' ἦν γάδου καὶ ῥουβήλου. πέμψας δὲ σαοῦλος πρὸς τὸν προφήτην ἐκάλει πρὸς αὐτὸν συνδιασκεψόμενον περὶ τοῦ πολέμου καὶ τῶν πραγμάτων. ὁ δὲ, περιμένειν αὐτὸν ἐκέλευσεν αὐτόθι, καὶ παρασκευάζειν θύματα. μετὰ γὰρ ἡμέρας ἑπτὰ πρὸς αὐτὸν ἥξειν, ὅπως θύσωσι τῇ ἑβδόμῃ τῶν ἡμερῶν, ἔπειθ' οὕτως συμβάλωσι τοῖς πολεμίοις. καὶ περιμένει μὲν ὡς ὁ προφήτης ἐπέστειλεν. οὐκ ἔτι μὲν τοίγε διατηρεῖ τὴν ἐντολήν. ἀλλ' ὡς ἑώρα βραδύνοντα μὲν τὸν προφήτην, αὐτὸν δὲ ὑπὸ τῶν στρατιωτῶν καταλειπόμενον, λαβὼν τὰ θύματα προσήγαγεν. ἐπεὶ δὲ τὸν σαμούηλον ἤκουσε προσιόντα, ὑπαντησόμενος ἐξῆλθεν. ὁ δ' οὐκ ὀρθῶς αὐτὸν ἔφη πεποιηκέναι παρακούσαντα ὧν ἐπέστειλεν αὐτὸς, καὶ φθάσαντα τὴν παρουσίαν, ἣν κατὰ βούλησιν γινομένην τοῦ θείου τὰς εὐχὰς καὶ τὰς θυσίας τὰς ὑπὲρ τοῦ πλήθους προλαβὼν, κακῶς ἱερουργήσειε καὶ προπετὴς γινόμενος. ἀπολογουμένου δὲ τοῦ σαούλου, καὶ περιμεῖναι μὲν τὰς ἡμέρας, ἃς ὥρισε λέγοντος, ὑπὸ δὲ ἀνάγκης καὶ ἀναχωρήσεως τῶν αὐτοῦ στρατιωτῶν διὰ φόβον στρατοπεδίας τῶν ἐχθρῶν ἐν μαχμᾷ καὶ ἀκοῆς τῆς πρὸς αὐτὸν εἰς γάλγαλα καταβάσεως, ἐπειχθῆναι πρὸς τὴν θυσίαν. ὑπολαβὼν ὁ σαμούηλος. ἀλλὰ σύ φησιν εἰ δίκαιος ἦσθα καὶ μὴ παρήκουσας ἐμοῦ μηδ' ὧν ὑπέθετό μοι περὶ τῶν παρόντων ὁ θεὸς ὀλιγώρησας, ταχύτερος ἢ συνέφερε τοῖς πράγμασι γενόμενος, σοί τ' αὐτῷ πλεῖστον ἂν βασιλεῦσαι χρόνον ἐξεγένετο, καὶ τοῖς σοῖς ἐκγόνοις. καὶ σαμούηλος μὲν ἀχθόμενος ἐπὶ τοῖς γεγενημένοις, ἀνεχώρησε παρ' ἑαυτόν. σάουλος δὲ εἰς γαβαὼν πόλιν ἔχων ἑξακοσίους μεθ' ἑαυτοῦ μόνους ἧκε σὺν ἰωνάθῃ τῷ παιδί. τούτων δὲ οἱ πλείους οὐκ εἶχον ὅπλα, τῆς χώρας σπανιζούσης σιδήρου καὶ τῶν ὅπλα χαλκεύειν δυναμένων. οὐ γὰρ εἴων οἱ παλαιστινοὶ ταῦτα εἶναι, καθὼς καὶ μικρὸν ἔμπροσθεν δεδηλώκαμεν. διελόντες δὲ εἰς τρία μέρη τὴν στρατιὰν οἱ παλαιστινοί, καὶ κατὰ τοσαύτας ὁδοὺς ἐπερχόμενοι, τὴν τῶν ἑβραίων χώραν ἐπόρθουν, βλεπόντων τε σαούλου τοῦ βασιλέως αὐτῶν, καὶ τοῦ παιδὸς ἰωνάθου, ἀμύνασθαι τε τὴν γῆν, μετ' ἑξακοσίων γὰρ μόνων ὄντας οὐ δυναμένων.

καθ-

καθεζόμενοι δ' αὐτός τε καὶ ὁ παῖς αὐτοῦ, καὶ ὁ ἀρχιερεὺς Ἀχίας ἀπόγονος ὢν Ἠλεὶ τοῦ ἀρχιερέως, ἐπὶ βουνοῦ ὑψηλοῦ, καὶ τὴν γῆν λεηλατουμένην ὁρῶντες, ἐν ἀγωνίᾳ δεινῇ καθεστήκεσαν. συντίθεται δὲ ὁ Σαούλου παῖς τῷ ὁπλοφόρῳ, κρύφα προσδυθέντος αὐτοῦ εἰς τὴν τῶν πολεμίων παρεμβολὴν εἰσδραμεῖν, καὶ ταραχὴν ἐμποιῆσαι καὶ θόρυβον αὐτοῖς. τοῦ δὲ ὁπλοφόρου προθύμως ἕψεσθαι φήσαντος ὅποι ποτ' ἂν ἡγῆται, κἂν ἀποθανεῖν δέοι, προσλαβὼν τὴν τοῦ νεανίσκου συνεργίαν, καὶ καταβὰς ἀπὸ τοῦ βουνοῦ, πρὸς τοὺς πολεμίους ἐπορεύετο. ἦν δὲ τῶν πολεμίων στρατόπεδον ἐπὶ κρημνῷ, τρισὶν ἄκραις εἰς λεπτὸν ἀπηκονημέναις μῆκος, πέτρας ἐν κύκλῳ περιστεφανούσης, ὥσπερ προβόλοις τὰς ἐπιχειρήσεις ἀπομαχόμενον. ἔνθεν συνέβαινεν ἠμελῆσθαι τὰς φυλακὰς τοῦ στρατοπέδου, διὰ τὸ φύσει περιεῖναι τῷ χωρίῳ τὴν ἀσφάλειαν, καὶ πάντῃ νομίζειν ἀμήχανον εἶναι κατ' ἐκείνας οὐκ ἀναβῆναι μόνον, ἀλλὰ καὶ προσελθεῖν. ὡς οὖν ἧκον εἰς τὴν παρεμβολήν, Ἰωνάθης παρεθάρρυνε τὸν ὁπλοφόρον. καὶ προσβάλωμεν τοῖς πολεμίοις ἔλεγε. κἂν μὲν ἀναβῆναι κελεύσωσιν ἡμᾶς πρὸς αὐτοὺς ἰδόντες, σημεῖον τοῦτο νίκης ὑπολάμβανε. ἐὰν δὲ φθέγξωνται μηδὲν ὡς οὐ καλοῦντες ἡμᾶς, ὑποστρέψωμεν. προσιόντων δ' αὐτῶν τῷ στρατοπέδῳ τῶν πολεμίων, ὑποφαινούσης ἤδη τῆς ἡμέρας, ἰδόντες οἱ Παλαιστινοί, πρὸς ἀλλήλους ἔλεγον, ἐκ τῶν ὑπονόμων καὶ τῶν σπηλαίων προϊέναι τοὺς Ἑβραίους. καὶ πρὸς Ἰωνάθην τὸν ὁπλοφόρον αὐτοῦ, δεῦτ' ἔφασαν ἔλθετε πρὸς ἡμᾶς ἵνα ὑμᾶς τιμωρησώμεθα τετολμημένων ἀξίως. ἀσπασάμενος δὲ τὴν φωνὴν ὁ τοῦ Σαούλου παῖς, ὡς νίκην αὐτῷ σημαίνουσαν, παραυτίκα μὲν ἀνεχώρησεν ἐξ οὗπερ ὤφθησαν τόπου τοῖς πολεμίοις. παραμειψάμενος δὲ τοῦτον ἐπὶ τὴν πέτραν ἧκεν, ἔρημον οὖσαν τῶν φυλαττόντων διὰ τὴν ὀχυρότητα. κἀκεῖθεν ἀνερπύσαντες μετὰ πολλῆς ταλαιπωρίας, ἐβιάσαντο τὴν τοῦ χωρίου φύσιν, ὡς ἀνελθεῖν ἐπὶ τοὺς πολεμίους. ἐπιπεσόντες δ' αὐτοῖς κοιμωμένοις, ἀποκτείνουσι μὲν εἴκοσιν. ταραχῆς δὲ καὶ ἐκπλήξεως αὐτοὺς ἐγέμισαν. ὡς τινὰς μὲν φυγεῖν τὰς πανοπλίας ἀποῤῥίψαντας. οἱ δὲ πολλοὶ μὴ γνωρίζοντες ἑαυτοὺς διὰ τὸ ἐκ πολλῶν ἐθνῶν εἶναι, πολεμίους ὑπονοοῦντες ἀλλήλους, καὶ γὰρ εἴκαζον ἀναβῆναι πρὸς αὐτοὺς τῶν Ἑβραίων οὐχὶ τοὺς δύο μόνους, εἰς μάχην ἐτράποντο. καὶ οἱ μὲν αὐτῶν ἀπέθνησκον κτεινόμενοι. τινὲς δὲ φεύγοντες κατὰ τῶν πετρῶν ὠθούμενοι κατεκρημνίζοντο. τῶν δὲ τοῦ Σαούλου κατασκόπων, τεταράχθαι τὸ στρατόπεδον τῶν Παλαιστινῶν φρασάντων τῷ βασιλεῖ, Σαοῦλος ἠρώτα μή τις εἴη τῶν αὐτοῦ κεχωρισμένος. ἀκούσας δὲ τὸν υἱὸν καὶ σὺν αὐτῷ τὸν ὁπλοφόρον ἀπεῖναι, κελεύει τὸν ἀρχιερέα λαβόντα τὴν ἀρχιερατικὴν στολήν, προφητεύειν αὐτῷ περὶ τῶν μελλόντων. τοῦ δέ, νίκην ἔσεσθαι καὶ κράτος κατὰ τῶν πολεμίων φράσαντος, ἐπεξέρχεται τοῖς Παλαιστινοῖς, καὶ τεταραγμένοις προσβάλλει, καὶ φονεύουσιν ἀλλήλους. προσφέρουσι δ' αὐτῷ καὶ οἱ πρότερον εἴς τε τοὺς ὑπονόμους καὶ εἰς τὰ σπήλαια συμφυγόντες, ἀκούσαντες ὅτι νικᾷ Σαοῦλος. γενομένων δὲ ὡς μυρίων ἤδη τῶν Ἑβραίων, διώκει τοὺς πολεμίους κατὰ πᾶσαν ἐσκορπισμένους τὴν χώραν. εἴτε δὲ ὑπὸ τῆς ἐπὶ τῇ νίκῃ χαρᾶς οὕτω γενομένης, συμβαίνει γὰρ μὴ κρατεῖν τοῦ λογισμοῦ τοὺς οὕτως εὐτυχήσαντας, εἴθ' ὑπὸ ἀγνοίας, εἰς δεινὸν περιπίπτει, καὶ πολλὴν ἂν ἔχον κατὰ μέμψιν ἔργον. βουλόμενος γὰρ αὐτῷ τε τιμωρῆσαι καὶ δίκην ἀπολαβεῖν παρὰ τῶν Παλαιστινῶν

Occupauerant enim collem quendam cũ pontifice Achia, qui fuit vnus ex Elis pontificis poſteris, & videntes ſuorum res impune agi & ferri, grauiter angebantur quòd in ſe nihil eſſet præſidij. Filius verò Saulis cum armigero ſuo conſpirat, vt clàm ingreſſi caſtra hoſtium tumultum aliquem & trepidationem in eis excitarent: & famulo omnem operam in in quemuis euentum pollicente, etiam ſi mori oporteat, ſoli à colle deſcendentes verſus hoſtium caſtra iter faciunt. ea ſita erant in loco prærupto, qui tribus angulis in longum excurrebat, rupe circumquaque cincta, ceu munimento contra inſultus hoſtium. Quapropter negligentiùs cuſtodiebantur, quia propter naturam loci non ſolùm aſcendere, ſed ne accedere quidem tutum videbatur. Ergo poſtquam eò acceſſerunt, Ionathas confortabat armigerũ ad hoſtem aggrediendum. Si nos, inquit, viderint, iuſſerintque aſcendere, omen victoriæ accipiendum eſt. quod ſi tacuerint, neque nos vocauerint, reuertamur. Cúmque propiùs ad hoſtilia caſtra accederent apparente iam die, Palæſtini vbi hoc viderunt inter ſe dicebant: ex antris & cuniculis prorepunt Hebræi. deinde Ionathæ cum armigero inclamabant, Venite huc daturi pœnas audaciæ. Quam vocem Sauli filius cupidè arripiens, vt indubitatum omen victoriæ, tunc quidem receſſit è loco in quo conſpecti fuerant. ſed ex alia parte ad rupem accedentes propter ſitum incuſtoditam, magno labore difficultate loci ſuperata euaſerunt ad hoſtem. aggreſsiq́; ſopitos viginti ex his interfecerunt. & totum exercitum ſtupore ac conſternatione repleuerunt, vt abiectis armis in fugam ſe darent. plerique verò non noſcitantes inter ſe, quòd ex multis gentibus conflati eſſent, pro hoſtibus ſe inuicem inuadebant: & cùm non putarent duos tantùm Hebræos in caſtra penetraſſe, mutuo marte cadebant. quidam metu vulnerum in præcipitia aut ipſi ruebant, aut vt fit in turba tumultuante, alij ab aliis protrudebantur. Cúmque renunciatum eſſet regi per ſpeculatores tumultum eſſe in caſtris Palæſtinorum, interrogauit Saulus, num aliquis è ſuis abeſſet: & audito filium cum armigero abeſſe, iubet pontificem ſumpto ſacerdotali habitu de futuris vaticinari. Quo reſpondente victoriam Deum & hoſtium cladem promittere: ducit militem in Palæſtinos, & perturbatos adoritur, iam ante ipſos inter ſe depugnantes. quo audito, qui antè in ſpeluncas & ſubterranea ſe abdiderant, & ipſi prorumpentes militibus Sauli ſe agglomerant. iámque ad decem millia creuerant, hoſtémque tota ea regione palantem inſectabantur. ibi rex ſiue nimio gaudio parum ſui compos, quòd difficile ſit eximiam felicitatem moderato animo ferre, ſiue per inſcitiam, dignum quiddam reprehenſione admiſit. Volens enim meritas pœnas à Palæſtinis ad ſatietatem repetere,

1. Reg. 14.

VII.

diris deuouit eum, quicunque intermissa cæde ante noctem cibum caperet, nolens ante tenebras insequendi & cædendi finem facere. Paulò pòst cùm delati essent ad quandam syluam Ephræmiticæ tribus refertã apibus, filius Sauli qui non exaudierat patris imprecationes, easque consensu populi ratas habitas, fauum fortè nactus expressum inde mel edebat: & monitus quòd pater additis execrationibus interdixisset ne quisquam cibum ante solis occasum sumeret, edere quidem destitit: negauit tamen rectè id à patre factum. maiore enim vi & alacritate hostem persecuturos fuisse, si corpora cibo recurauissent, & longè plures assecuturos fuisse ac trucidaturos. Itaque cæsis Palæstinorũ multis millibus, sub vesperam demum eorum castra diripiunt: & inter cæteram prędam magna pecudum copia reperta mactant, carnibúsque nondum à cruore purgatis vescuntur: quod è vestigio regi à scribis renunciatum est, vulgus militum in Deum peccare, & cárnes etiam tum cruentas coquere ac edere. Tum Saulus iubet saxum grande in medium prouolui: edicítque vt super illud pecudes iugulent, néve carnes cum sanguine comedant. quia factum hoc Deo displicet. cui edicto cùm omnes parerent, statuit ibi altare, & impositis victimis holocautoma Deo incendit: idque altare omnium primum à Saulo extructum est, cúmque eadem nocte priusquam vires & animos resumerent, hostium reliquias vellet conficere, & miles haud grauatim imperata faceret, magnam præ se ferens alacritatem, accito pontifice iubet eum diuinam super hoc voluntatem quærere, an sibi reliquum hostilem exercitum delere permittatur. Pontifice verò negante Deum responsum velle reddere: Non temere est, inquit rex, hoc Dei silentium, qui antehac vltro solebat quod facto esset opus consulere: sed oportet aliquod latens in nobis peccatum esse, quo offensus tacet. Sed iuro per eum ipsum, quòd etiam si filius meus Ionathas peccatum id commisisset, vt Deum placem, capitis pœnam ab eo exigam, non secus quàm si de quouis nihil ad cognationem meam pertinente supplicium sumendum sit: tum acclamante multitudine vt hoc faciat, vniuersos confestim in vnumlocum statuit: & ipse cùm filio seorsũ, stans, sorte deprehẽsurus quis in culpa sit. cúmque sors Ionatham indicaret, interrogat quid fecisset, & cuius peccati sibi esset conscius. tum ille, Equidẽ pater, nihil aliud scio, nisi quòd heri dum hostem persequor, edicti tui nescius de fauo degustaui. Saulus verò iurat se cũ occisurũ pluris quàm genus aut naturam aut affectus, iusiurandum faciens. Ille ne præsenti quidem periculo territus, magno ac generoso animo se præbuit. Nihil, inquit, deprecor pater. Libenter enim hanc mortem fero, quæ te religione soluat, dum priùs tam magnificam victoriam videre contigit. maximum enim mihi fuerit solatium, Palæstinorum insolentiam ab Hebræis esse perdomitam.

ἐπαρᾶται τοῖς Ἑβραίοις ἵν' εἴ τις ἀποσχόμενος τοῦ φονεύειν τοὺς ἐχθροὺς φάγοι, καὶ μὴ μέχρις οὗ νὺξ ἐπελθοῦσα τῆς αἱρέσεως καὶ τῆς διώξεως αὐτοὺς παύσῃ τῶν πολεμίων, οὗτος ἐπάρατος ᾖ. τοῦ δὲ Σαούλου τοῦτο φήσαντος, ἐπεὶ κατά τινα δρυμῶνα ἐγένοντο βαθὺν καὶ μελισσῶν γέμοντα, τῆς Ἐφραίμου κληρουχίας, ὁ τοῦ Σαούλου παῖς, οὐκ ἐπακηκοὼς τῆς τοῦ πατρὸς ἀρᾶς, οὐδὲ τῆς ἐπ' αὐτῇ τοῦ πλήθους ὁμολογίας, ἀποθλίψας τι κηρίον τοῦ μέλιτος ἤσθιε. μεταξὺ δὲ γνοὺς ὅτι μετὰ δεινῆς ἀρᾶς ὁ πατὴρ ἀπεῖπεν γεύσασθαί τινα πρὸ ἡλίου δυσμῶν, ἐσθίων μὲν ἐπαύσατο. ἔφη δὲ οὐκ ὀρθῶς τοῦτο κωλῦσαι τὸν πατέρα, μετὰ μείζονος γὰρ ἰσχύος ἂν καὶ προθυμίας διώκοντας, εἰ τροφῆς μετελάμβανον, πολλῷ πλείονας καὶ λαβεῖν τῶν ἐχθρῶν καὶ φονεῦσαι. πολλὰς δ' οὖν κατακόψαντες μυριάδας τῶν Παλαιστινῶν, δείλης ὀψίας ἐπὶ διαρπαγὴν τοῦ στρατοπέδου τῶν Παλαιστινῶν ἔρχονται. καὶ λείαν πολλὴν καὶ βοσκήματα λαβόντες, κατασφάζουσι καὶ ταῦτ' ἐν αἵματι κατήσθιον. ἀπαγγέλλεται δὲ τῷ βασιλεῖ ὑπὸ τῶν γραμματέων ὅτι τὸ πλῆθος εἰς τὸν θεὸν ἐξαμαρτάνει θῦσαν, καὶ πρὶν ἢ τὸ αἷμα καλῶς ἀποπλῦναι, καὶ τὰς σάρκας ποιῆσαι καθαρὰς ἐσθίον. καὶ ὁ Σαοῦλος κελεύει κυλισθῆναι λίθον μέγαν εἰς μέσον. καὶ κηρύσσει θύειν ἐπ' αὐτὸν τὸν ὄχλον τὰ ἱερεῖα, καὶ τὰ κρέα μὴ σὺν τῷ αἵματι δαίνυσθαι. τοῦτο γὰρ οὐκ εἶναι τῷ θεῷ κεχαρισμένον. τοῦτο δὲ πάντων κατὰ τὴν πρόσταξιν τοῦ βασιλέως ποιησάντων, ἵστησιν ἐκεῖ βωμὸν ὁ Σαοῦλος, καὶ ὁλοκαύτωσεν ἐκεῖ ἐπ' αὐτοῦ τῷ θεῷ. τοῦτον πρῶτον βωμὸν κατεσκεύασεν. ἄγειν δ' εὐθὺς ἐπὶ τὴν παρεμβολὴν τῶν πολεμίων ἐπὶ τὴν διαρπαγὴν τῶν ἐν αὐτῇ βουλόμενος πρὶν ἡμέρας, καὶ τῶν στρατιωτῶν οὐκ ὀκνούντων ἕπεσθαι, πολλὴν δὲ εἰς ἃ προστάττει προθυμίαν ἐνδεικνυμένων, καλέσας ὁ βασιλεὺς Ἀχίτωβον τὸν ἀρχιερέα, ἐκέλευσεν αὐτὸν γνῶναι, εἰ δίδωσιν ὁ θεὸς αὐτοῖς, καὶ συγχωρεῖ βαδίσασιν ἐπὶ τὸ στρατόπεδον τῶν ἐχθρῶν διαφθεῖραι τοὺς ἐν αὐτῷ τυγχάνοντας. εἰπόντος δὲ τοῦ ἱερέως μὴ ἀποκρίνεσθαι τὸν θεόν. ἀλλ' οὐ δίχα αἰτίας εἶπεν ὁ Σαοῦλος πυνθανομένοις ἡμῖν φωνὴν οὐ δίδωσιν ὁ θεός, ὃς πρότερον αὐτοῖς προεμήνυσε πάντα, καὶ μηδ' ἐπερωτῶσιν ἔφθανε λέγων. ἀλλ' ἔστι τι λανθάνον ἐξ ἡμῶν ἁμάρτημα πρὸς αὐτὸν αἴτιον τῆς σιωπῆς. καὶ ὄμνυμί γε τοῦτον αὐτὸν ἢ μὴν κἂν ὁ παῖς ὁ ἐμὸς Ἰωνάθης ᾖ τὸ ἁμάρτημα τοῦτο ἐργασάμενος ἀποκτείνειν αὐτόν, καὶ τὸν θεὸν οὕτως ἱλάσασθαι, ὡς ἂν εἰ καὶ παρ' ἀλλοτρίου καὶ μηδὲν ἐμοὶ προσήκοντος, τὴν ὑπὲρ αὐτοῦ δίκην ἀπελάμβανεν. τοῦ δὲ πλήθους τοῦτο ποιεῖν ἐπιβοήσαντος, παραχρῆμα πάντας ἵστησιν εἰς ἕνα τόπον. ἵσταται δὲ καὶ αὐτὸς σὺν τῷ παιδὶ κατ' ἄλλο μέρος, καὶ κλήρῳ τὸν ἡμαρτηκότα μαθεῖν ἐπιζητεῖ. καὶ λαγχάνει δοκεῖν οὗτος εἶναι Ἰωνάθης. ἐπερωτώμενος δὲ ὑπὸ τοῦ πατρὸς τί πεπλημμέληκε, καὶ τί περὶ τὸν βίον οὐκ ὀρθῶς οὐδὲ ὁσίως αὐτῷ διαπεπραγμένον συνέγνωκε, πάτερ εἶπεν, ἄλλο μὲν οὐδέν, ὅτι δ' ἐχθὲς ἀγνοῶν τὴν ἀρὰν αὐτοῦ καὶ τὸν ὅρκον, μεταξὺ διώκων τοὺς πολεμίους ἐγεύσατο κηρίου. Σαοῦλος δ' ἀποκτείνειν αὐτὸν ὄμνυσι, καὶ τῆς γενέσεως καὶ τῆς φύσεως καὶ τῶν φίλτρων προτιμήσας τὸν ὅρκον. ὁ δ' οὐ καταπλήττεται τὴν ἀπειλὴν τοῦ θανάτου. παραστησάμενος δὲ γενναίως καὶ μεγαλοφρόνως, οὐδ' ἐγώ σε φησὶν ἱκετεύσω φείσασθαί μου πάτερ. ἥδιστος δέ μοι ὁ θάνατος ὑπέρ τε τῆς εὐσεβείας γινόμενος, καὶ ἐπὶ νίκῃ λαμπρᾷ. μέγιστον γὰρ παραμύθιον τὸ καταλιπεῖν Ἑβραίους Παλαιστινῶν κεκρατηκότας.

ἐπὶ

ἐπὶ τούτοις ὁ λαὸς πᾶς ἤλγησε καὶ συνέπαθεν. ὤμοσέ τε μὴ περιόψεσθαι τὸν αἴτιον τῆς νίκης ἰωνάθην ἀποθανόντα. καὶ τὸν μὲν οὕτως ἐξαρπάζουσι τῆς τοῦ πατρὸς ἀρᾶς. αὐτοὶ δὲ εὐχὰς ὑπὲρ τοῦ νεανίσκου ποιοῦνται τῷ θεῷ, ὥστ᾽ αὐτὸν ἀπολῦσαι τοῦ ἁμαρτήματος. καὶ ὁ σάουλος εἰς τὴν ἑαυτοῦ πόλιν ὑπέστρεψε, διαφθείρας ὡσεὶ μυριάδας ἓξ τῶν πολεμίων. βασιλεύει δὲ εὐτυχῶς καὶ τὰ πλησιόχωρα τῶν ἐθνῶν πολεμήσας, χειροῦται τὸ ἀμμανιτῶν καὶ μωαβιτῶν, καὶ παλαιστινοὺς, ἰδουμαίοις, ἀμαληκίτας τε, καὶ τὸν βασιλέα τῆς ὠβας. ἦσαν δὲ παῖδες αὐτῷ τρεῖς μὲν ἄρσενες. ἰωνάθης καὶ ἰησοῦς καὶ μέλχισος. θυγατέρες δὲ, μερὸβ καὶ μιχαάλ. στρατηγὸν δὲ εἶχε, τὸν τοῦ θείου παῖδα ἀβήναρον. νήρος δ᾽ ἐκεῖνος ἐκαλεῖτο. νῆρος δὲ καὶ κὶς ὁ σαούλου πατὴρ, ἀδελφοὶ ἦσαν, υἱοὶ δ᾽ ἀβελίου. ἦν δὲ καὶ πλῆθος ἁρμάτων σαούλῳ, καὶ ἱππέων. οἷς δ᾽ ἂν πολεμήσειε νικήσας ἀπηλλάσσετο, καὶ τοὺς ἑβραίους εἰς εὐπραγίας καὶ μέγεθος εὐδαιμονίας προηγάγετο, καὶ τῶν ἄλλων ἀπέδειξεν ἐθνῶν δυνατωτάτους. τῶν δὲ νέων τοὺς δὴ μεγέθει καὶ κάλλει διαφέροντας φύλακας τοῦ σώματος ἐποιεῖτο.

Κεφάλαιον η'.

Σαούλου πρὸς Ἀμαληκίτας πόλεμοι καὶ νίκη.

Σαμούηλος δὲ παραγενόμενος πρὸς τὸν σάουλον, πεμφθῆναι πρὸς αὐτὸν ἔφασκεν ὑπὸ τοῦ θεοῦ ὅπως αὐτὸν ὑπομνήσῃ ὅτι βασιλέα προκρίνας αὐτὸν ἁπάντων ὁ θεὸς ἀπέδειξε, καὶ διὰ τοῦτο πείθεσθαι καὶ κατήκοον αὐτῷ γίνεσθαι, ὡς αὐτοῦ μὲν ἔχοντος τὴν τῶν ἐθνῶν ἡγεμονίαν, τοῦ δὲ θεοῦ καὶ τὴν κατ᾽ ἐκεῖνον καὶ τῶν ὅλων πραγμάτων. λέγειν τοίνυν ἔφασκε τὸν θεὸν, ἐπεὶ πολλὰ κακὰ τοὺς ἑβραίους ἀμαληκῖται διέθηκαν κατὰ τὴν ἔρημον, ὅτε ἐξελθόντες ἀπ᾽ αἰγύπτου εἰς τὴν νῦν ὑπάρχουσαν αὐτοῖς ἐστέλλοντο χώραν, κελεύω πολέμῳ τιμωρησάμενον τοὺς ἀμαληκίτας, καὶ κρατήσαντα μηδὲν αὐτῶν ὑπολιπεῖν. ἀλλὰ πάσης διελθεῖν ἡλικίας, ἀρξαμένους ἀπὸ γυναικῶν κτείνειν καὶ νηπίων, καὶ τοιαύτην ὑπὲρ ὧν τοὺς προγόνους ἡμῶν εἰργάσαντο τιμωρίαν ἀπολαβεῖν. φείσασθαι δὲ μήτε ὑποζυγίων μήτε τῶν ἄλλων βοσκημάτων εἰς ὠφέλειαν καὶ κτῆσιν ἰδίαν. ἅπαντα δ᾽ ἀναθεῖναι τῷ θεῷ, καὶ τὸ ἀμαλήκου ὄνομα ταῖς μωυσέως κατακολουθήσαντα ἐντολαῖς ἐξαλεῖψαι. ὁμολογεῖ δὲ ποιήσειν σάουλος τὰ προσταττόμενα· τὴν δὲ πειθαρχίαν τὴν πρὸς τὸν θεὸν, οὐκ ἐν τῷ ποιήσασθαι τὴν πρὸς τοὺς ἀμαληκίτας στρατείαν λογιζόμενος εἶναι μόνον, ἀλλὰ καὶ τὴν ἑτοιμότητα, καὶ τὸ τάχος ἀναβολῆς οὐ προσούσης ἔτι μᾶλλον ἐμφανίζει. ἀθροίζει τε πᾶσαν τὴν δύναμιν, καὶ ταύτην ἐξαριθμήσας ἐν γαλγάλοις, εὑρίσκει τῶν ἰσραηλιτῶν ἔξω τῆς ἰούδα φυλῆς, περὶ τεσσαράκοντα μυριάδας. ἡ δὲ φυλὴ καθ᾽ αὑτὴν ἐστὶ στρατιῶται τρισμύριοι. σάουλος δὲ ἐμβαλὼν εἰς τὴν τῶν ἀμαληκιτῶν χώραν, ἐνέδρας πολλὰς καὶ λόχους ἐπὶ τὸν χειμάρρον τίθησιν, ὡς μὴ μόνον ἐκ τοῦ φανεροῦ μαχομένοις αὐτοῖς κακῶς ποιεῖν, ἀλλὰ καὶ μὴ προσδοκῶσι κατὰ τὰς ὁδοὺς ἐπιπίπτειν καὶ κυκλουμένους ἀναιρεῖν. καὶ δὴ συμβαλὼν αὐτοῖς εἰς μάχην, τρέπεται τοὺς πολεμίους καὶ διαφθείρει πάντας, φεύγουσιν ἐπακολουθῶν. ὡς δ᾽ ἐκεῖνο τὸ ἔργον αὐτῷ κατὰ τὴν τοῦ θεοῦ προφητείαν ἐχώρησε, ταῖς πόλεσι τῶν ἀμαληκιτῶν προσέβαλε.

Hac iuuenis indole omnis multitudo ad dolorem & miserationem flexa est, iurántque nō laturos se vt occidatur Ionathas autor tam luculentæ victoriæ. atque ita iuuenem irato patri eripiunt, & vota Deo faciunt vt ipsum immunem à peccato faciat. Saulus victor domum reuertitur, cęsis circiter sexaginta millibus hostiū. Feliciter deinde regnauit, & contra finitimos Ammanitas & Moabitas, Palæstinósque & Idumæos ac Amalecitas, & regem Obæ multas res gessit prosperè. Habuit autem liberos mares tres, Ionatham, Iesum Melchisum. Filiæ fuerūt ei Merob & Michaal. Copiarum imperium dedit patrueli Abenaro. Is Neri fuit filius. Nerus verò & Cis Sauli pater germani fuêre Abeliæ filij. Abundabat autem & equitatu & curribus, & cum quocunque hoste cōgressus semper victor reuertebatur, ita vt Hebræorum res ad felicem statum perduxerit, & potentiam eorum in tantum auxerit, vt omnibus finitimis essent formidabiles. ex iuuentutis verò numero robore ac specie præstantissimum quenque in suum deligebat satellitum.

CAP. VIII.

Victoria Sauli contra Amalecitas.

VIII. 1. Reg. 15.

Samuel autem ad Saulum veniens, ait se ad illum missum à Deo, vt eum commonefaceret electione Dei ceteris eum in regno prælatum, atque ideo par esse vt ei morem gerat in omnibus: quandoquidem ipse præsit populis, Deus autem & regibus & cæteris rebus omnibus. Hæc igitur, inquit, sunt mādata Domini. Quoniam Amalecitæ Hebræos in deserto multis affecerunt iniuriis, dum egressi ex Ægypto in eā quam nunc tenent regionem proficiscuntur, oportet iusto bello in eos vindicare, & deuictos internecione delere, sæuiréque in omnem sexum ac ætatem, & has illis pro iniuriis patribus olim illatis pœnas rependere: ac ne iumentis quidem aliisque pecudibus parcere, aut inde quicquam prædæ nomine vsurpare, sed omnia Deo sacra esse, vt iuxta Moysis præceptum Amalecitarum nomen è rerum natura deleatur. Pollicitus est Saulus facturum se omnia: & ratus obedientiam in hoc consistere, si non pareret tantùm, sed etiam quàm celerrimè mandata exsequeretur, confestim omnes vndique copias contrahit, & recensito apud Galgala milite, absque tribu Iuda circiter quadringenta millia comperit: quæ tribus ex suo tantùm delectu præbuit triginta millia. Saulus autem Amalecitarum terram cum exercitu irrumpens, pluribus locis insidias circa torrentem disposuit, vt non solùm marte aperto eos infestaret, sed ex improuiso etiam per vias circumuentos opprimeret. Postremò magno prælio in fugam versos non priùs persequi destitit, quā ad vnum omnes ferro tolleret. Quod opus posteaquam ita vt diuinitus prędictū fuerat successit, oppidatim bellū circūferre cœpit:

quorum aliquot machinis, alia cuniculis & operibus, nõ nulla fame, siti aliisque modis cùm expugnasset, vsque ad mulieres & pueros cædibus grassatus est, nec crudele nec inhumanũ hoc ratus: primùm quòd in hostem sæuiret, deinde quòd iussu Dei, cui non parere periculosum est. Cepit etiam regem hostium Agagum, cuius magnitudinem ac pulchritudinem corporis miratus, seruare eum decreuit, idque non ex Dei sententia, sed victus affectu proprio inconcessam miserendi licentiam suo periculo sibi vsurpans. Deus enim ita Amalecitas oderat vt ne infantibus quidem parceret, quos natura ipsa miseratione cæteris digniores esse voluit. Saulus autem regem ipsum hostium, & malorum omnium Hebræis autorem seruauit, pluris eius formam quàm Dei mandata faciens. Hoc eius peccatum imitatus est mox populus. & ipsi enim iumentis ac pecoribus pepercerunt, in prædam cõtra Dei mandatum abactis, pecunias etiam cæterásque opes diripuerunt, nihil perdentes nisi cõtemptibile. Itaque deuictis omnibus à Pelusio, quæ vrbs est in Ægypti finibus, vsque ad rubrum mare, totam eam regionem Saulus vastauit, sola Sicimitarum gente intacta, qui in Madianæ terræ meditullio habitant. Hos ante belli principium admonuit per nuncios, vt secederent, néve res suas cum Amalecitarum rebus miscerent, ne ex eo bello & ad ipsos cladis aliquid perueniret. Studere enim se eorum incolumitati, propter cognationem quæ illis cum Raguele Moysis socero intercedebat.

IX. Atqui ita Saulus ac si nihil esset prætermissum ex iis quæ propheta iuxta Dei voluntatem de bello gerendo mandauerat, sed omnia fuissent ad vnguem obseruata, lætus victoria domum reuertitur. Deus autem offensus est quòd regi erat parcitum, & quòd populus pecudes in prædam verterat, cùm ipse neutrum permisisset. Iniquum erat cuius ope victoria contigisset, eius mandata contemni, etiam si is mortalis aliquis rex fuisset. Admonens igitur ea de re prophetam, ait se pœnitere Saulum elegisse, qui non curet iussa sua exequi, sed malit quicquid ipsi visum fuerit facere. His auditis Samuel vehementer conturbatus, per totam noctem fusis precibus Deum Saulo conciliare conabatur. At ille quantumlibet à propheta rogatus veniam regi non annuit, quòd non placeret, peccata donari in gratiam deprecatoris: quæ non aliunde magis nascantur, quàm ex nimia eorum in quos peccatur indulgentia: qui dum lenitatis gloriam aucupantur, imprudentes maiorem delinquendi ansam offerunt. Postquam igitur Deus preces prophetæ non admisit, & satis apparuit flecti eum non posse, prima luce Samuel ad regem, Galgalis tum agentem, proficiscitur, hunc quàm primùm rex vidit, accurrens salutauit, dicens se gratias agere Deo pro victoria: omniáque iuxta volũtatẽ eius esse peracta. Tum Samuel:

A τὰς μὲν μηχανήμασι, τὰς δ' ὀρύγμασιν ὑπονόμοις καὶ τείχεσιν ἔξωθεν ἀντοικοδομημένοις, τὰς δὲ λιμῷ καὶ δίψει, τὰς δ' ἄλλοις τρόποις ἐκπολιορκήσας, καὶ λαβὼν κατὰ κράτος ἐπὶ σφαγὴν γυναικῶν καὶ νηπίων ἐχώρησεν, οὐδὲν ὠμὸν οὐδ' ἀνθρωπίνης σκληρότερον διαπράσσεσθαι φύσεως ἡγούμενος, πρῶτον μὲν πολεμίους ταῦτα δρῶν, ἔπειτα προστάγματι θεοῦ ᾧ τὸ μὴ πείθεσθαι κίνδυνον ἔφερε. λαμβάνει δὲ καὶ τὸν βασιλέα τῶν ἐχθρῶν ἄγαγον αἰχμάλωτον. οὗ θαυμάσας τὸ κάλλος καὶ τὸ μέγεθος τοῦ σώματος, σωτηρίας ἄξιον ἔκρινεν, οὐκ ἔτι τοῦτο ποιῶν κατὰ βούλησιν τοῦ θεοῦ, πάθει δὲ νικώμενος ἰδίῳ, καὶ χαριζόμενος ἀκαίρως περὶ ὧν οὐκ εἶχεν ἀκίνδυνον ἐξουσίαν οἴκτῳ. ὁ γὰρ θεὸς οὕτως ἐμίσησε τὸ τῶν ἀμαληκιτῶν ἔθνος, ὡς μηδὲ νηπίων φείσασθαι κελεῦσαι πρὸς ἃ μᾶλλον ἔλεος γίνεσθαι πέφυκε. σαοῦλος δὲ, αὐτῶν τὸν βασιλέα, καὶ τὸν ἡγεμόνα τῶν εἰς ἑβραίους κακῶν ἔσωσε, τῆς μνήμης ὧν ἐπέστειλεν ὁ θεὸς, τὸ τοῦ πολεμίου κάλλος ἐπίπροσθε ποιησάμενος. συνεξήμαρτε δ' αὐτῷ καὶ τὸ πλῆθος. καὶ γὰρ ἐκεῖνοι τῶν ὑποζυγίων καὶ τῶν βοσκημάτων ἐφείσαντο καὶ διήρπασαν, μὴ τηρεῖν αὐτὰ τοῦ θεοῦ κελεύσαντος, τά τε ἄλλα χρήματα καὶ τὸν πλοῦτον ἐξεφόρησαν. εἰ δέ τι μὴ σπουδῆς ἄξιον ἦν ὥστε κτήσασθαι, διέφθειραν. νικήσας δὲ σαοῦλος ἅπαντας τοὺς ἀπὸ πηλουσίου τῆς αἰγύπτου καθήκοντας ἕως τῆς ἐρυθρᾶς θαλάσσης διέφθειρε τὴν τῶν πολεμίων, παραλιπὼν τὸ τῶν σικιμιτῶν ἔθνος. οὗτοι γὰρ ἐν τῇ μαδιανῇ χώρᾳ, μέσοι κατῴκηνται. πρὸ δὲ τῆς μάχης πέμψας παρήγγειλεν αὐτοῖς ἀναχωρεῖν, μὴ τοῖς ἀμαληκίταις κοινωνήσωσι συμφορᾶς. συγγενεῖς γὰρ αὐτοὺς ὄντας ῥαγουήλου τοῦ μωυσέως πενθεροῦ, σώζειν αἰτίαν ἔχειν. καὶ σαοῦλος μὲν ὡς μηδενὸς παρακούσας ὧν ὁ προφήτης ἐπέστειλε μέλλοντι τὸν πρὸς ἀμαληκίτας ἐκφέρειν πόλεμον, ἀλλ' ὡς ἐπὶ πᾶσιν ἐκείνοις ἀκριβῶς πεφυλαγμένοις, νενικηκὼς τοὺς πολεμίους, οἴκαδε πρὸς αὐτὸν ὑπέστρεψε χαίρων ἐπὶ τοῖς κατωρθωμένοις. ὁ δὲ θεὸς, ἄχθεται τῇ τε τοῦ βασιλέως τῶν ἀμαληκιτῶν σωτηρίᾳ, καὶ τῇ τῶν βοσκημάτων διαρπαγῇ τοῦ πλήθους, ὅτι μὴ συγχωρήσαντος αὐτοῦ ταῦτ' ἐπράχθη. δεινὸν γὰρ ἡγεῖτο, νικᾶν μὲν καὶ περιγίνεσθαι τῶν ἐχθρῶν, ἐκείνου τὴν ἰσχὺν διδόντος αὐτοῖς. καταφρονεῖσθαι δὲ καὶ παρακούεσθαι, μηδὲ ὡς ἀνθρώπου βασιλέως. μετανοεῖν οὖν ἔλεγε πρὸς τὸν προφήτην σαμουῆλον, ἐπὶ τῷ χειροτονῆσαι βασιλέα τὸν σαοῦλον, μηδὲν ὧν αὐτὸς κελεύοι πράττοντα, τῇ δ' οἰκείᾳ βουλήσει χρώμενον. σφόδρα ταῦτ' ἀκούσας ὁ σαμουῆλος συνεχύθη, καὶ δι' ὅλης τῆς νυκτὸς παρακαλεῖν ἤρξατο τὸν θεὸν καταλλάττεσθαι τῷ σαούλῳ καὶ μὴ χαλεπαίνειν. ὁ δὲ τὴν συγγνώμην οὐκ ἐπένευσεν εἰς τὸν σαοῦλον αἰτουμένῳ τῷ προφήτῃ, λογισάμενος οὐκ εἶναι δίκαιον ἁμαρτήματα χαρίζεσθαι παραιτήσεσιν. οὐ γὰρ ἐξ ἄλλου τινὸς φύεσθαι μᾶλλον, ἢ τοῦ καταμαλακίζεσθαι τοὺς ἀδικουμένους θηρωμένους γὰρ δόξαν ἐπιεικείας καὶ χρηστότητος, λανθάνειν αὐτοὺς ταῦτα γεννῶντας. ὡς οὖν ἀπεῖπεν ὁ θεὸς τῇ τοῦ προφήτου δεήσει καὶ δῆλος ἦν μὴ μεταμελόμενος, ἅμ' ἡμέρᾳ σαμουῆλος εἰς γάλγαλα παραγίνεται πρὸς σαοῦλον. θεασάμενος δ' αὐτὸν ὁ βασιλεὺς προστρέχει, καὶ κατασπασάμενος, τῷ θεῷ φησὶν εὐχαριστῶ, δόντι μοι τὴν νίκην. ἅπαντα μέντοι τὰ κεκελευσμένα ὑπ' αὐτοῦ πεπρᾶχθαι. σαμουῆλος δὲ πρὸς τοῦθ' ὑπολαβὼν,

πόθεν

πόθεν οὖν ἀκούω θρεμμάτων εἶπε, καὶ ὑποζυγίων βοῆς ἐν τῷ στρατοπέδῳ. ὁ δὲ, τὸν λαὸν ταῦτα εἰς θυσίας ἀπείρξατο τετηρηκέναι. τὸ μέν τοι γε τῶν ἀμαληκιτῶν γένος ἅπαν ἐξαφανίσθαι κατὰ τὴν ἐντολήν. καὶ περιλείπεσθαι ἄλλον μηδένα, πρὸς δὲ αὐτὸν ἀγαγεῖν τηρήσαντα μόνον αὐτὸν τὸν βασιλέα. περὶ οὗ τί δεῖ ποιεῖν βουλεύσεσθαι πρὸς ἀλλήλους ἔφασκεν. ὁ δὲ προφήτης, οὐχὶ θυσίαις ἔλεγεν ἥδεσθαι τὸ θεῖον, ἀλλὰ τοῖς ἀγαθοῖς καὶ δικαίοις. οὗτοι δέ εἰσιν, οἱ τῇ βουλήσει καὶ ταῖς ἐντολαῖς αὐτοῦ κατακολουθοῦντες, καὶ μηδὲν ἄλλο πραχθήσεσθαι καλῶς ὑφ᾽ ἑαυτῶν νομίζοντες, ἢ ὅπερ ἂν ποιήσωσι τοῦ θεοῦ κεκελευκότος. καταφρονεῖσθαι γὰρ οὐχ ὅταν αὐτῷ μὴ θύῃ τις, ἀλλ᾽ ὅταν ἀπειθεῖν δοκῇ. παρὰ δὲ τῶν οὐχ ὑποτασσομένων οὐδὲ ἀληθῆ καὶ μόνην τῷ θεῷ κεχαρισμένην θρησκευόντων θρησκείαν, οὔτ᾽ ἂν πολλὰ καὶ πιμελῆ καταθύσωσιν ἱερεῖα, οὔτ᾽ ἂν κόσμον ἀναθημάτων ἐξ ἀργύρου καὶ χρυσοῦ πεποιημένων προσφέρωσι, δέχεται ταῦτ᾽ εὐμενῶς, ἀλλ᾽ ἀποστρέφεται, καὶ δείγματα τῆς πονηρίας, οὐκ εὐσεβείας ἡγεῖται. τοῖς δ᾽ ἓν καὶ μόνον τοῦθ᾽ ὅπερ ἂν φθέγξηται καὶ κελεύσῃ ὁ θεὸς διὰ μνήμης ἔχουσι, καὶ τεθνάναι μᾶλλον ἢ παραβῆναί τι τούτων αἱρουμένοις ἐπιτέρπεται. καὶ οὔτε θυσίαν ἐπιζητεῖ παρ᾽ αὐτῶν. καὶ παρὰ θυόντων δὲ κἂν ᾖ λιτὰ, πενίας ἥδιον τὴν τιμὴν ἢ παρὰ τῶν πλουσιωτάτων δεξιοῦται. σὺ τοίνυν ἴσθι σαυτὸν δι᾽ ὀργῆς ὄντα τῷ θεῷ. κατεφρόνησας γὰρ καταμελήσας ὧν ἐπέστειλε. πῶς οὖν οἴει τὴν θυσίαν αὐτὸν προσβλέπειν ἐξ ὧν κατέκρινεν ἀπολέσθαι γινομένην, πλὴν εἰ μὴ νομίζῃς ὅμοιον ὀλέθρου τὸ θύεσθαι ταῦτα τῷ θεῷ. προσδόκα τοίνυν τὴν βασιλείαν ἀφαιρεθησόμενος καὶ τὴν ἐξουσίαν, ἀφ᾽ ἧς ὁρμώμενος τοῦ παρασχόντος σοι θεοῦ ταύτην ἠμέλησας. σαοῦλος δὲ ἀδικεῖν ὡμολόγησε καὶ τὴν ἁμαρτίαν οὐκ ἠρνεῖτο. παραβῆναι γὰρ τὰς ἐντολὰς τοῦ προφήτου. κατὰ μέν τοι γε δέος καὶ τὸν ἀπὸ τῶν στρατιωτῶν φόβον μὴ κωλῦσαι διαρπάζοντας αὐτοὺς τὴν λείαν μηδὲ ἐπισχεῖν. ἀλλὰ συγγίνωσκε, καὶ πρᾶος ἴσθι. φυλάξεσθαι γὰρ εἰς τὸ λοιπὸν ἁμαρτεῖν. παρεκάλει δὲ τὸν προφήτην ὑποστρέψαντα, θυσίας χαριστηρίους ἐπιτελέσαι τῷ θεῷ. ὁ δὲ, οὐ γὰρ ἑώρα τὸν θεὸν διαλλαττόμενον, ἀπῄει πρὸς αὐτόν.

Κεφάλαιον θ'.

Ὅτι σαμουῆλος ἄλλον ἀπέδειξε βασιλέα δαβίδην ὄνομα.

Σαοῦλος δὲ, κατασχεῖν βουλόμενος τὸν σαμουῆλον, ἐλλαμβάνεται τῆς διπλοΐδος, καὶ βιαίας τῆς ὁλκῆς διὰ τὸ μετ᾽ ὁρμῆς ἀπιέναι τὸν σαμουῆλον γινομένης, διασχίζει τὸ ἱμάτιον. τοῦ δὲ προφήτου τὴν βασιλείαν οὕτως αὐτοῦ διασχισθῆναι φήσαντος, καὶ λήψεσθαι ταύτην ἀγαθὸν καὶ δίκαιον. ἐμμένειν γὰρ τὸν θεὸν τοῖς περὶ αὐτοῦ κεκριμένοις, ὡς τοῦ μεταβάλλεσθαι καὶ στρέφειν τὴν γνώμην ἀνθρωπίνου πάθους ὄντος, οὐχὶ θείας ἰσχύος. ὁ δὲ σαοῦλος, ἀσεβῆσαι μὲν ἔλεγεν, ἀγένητα δὲ ποιῆσαι τὰ πεπραγμένα μὴ δύνασθαι. τιμῆσαί γε μὴν αὐτὸν παρεκάλει τοῦ πλήθους ὁρῶντος σὺν αὐτῷ παραγενόμενον τὸν θεὸν προσκυνῆσαι. δίδωσι δὲ τοῦτο σαμουῆλος αὐτῷ, καὶ συνελθὼν προσκυνεῖ τῷ θεῷ. ἄγεται δὲ καὶ ὁ τῶν ἀμαληκιτῶν βασιλεὺς ἄγαγος πρὸς αὐτόν. καὶ πυνθανομένου τοῦ, εἴη πικρὸς ὁ θάνατος, εἶπεν, ὡς σὺ πολλὰς μητέρας ἑβραίων ἐπὶ τέκνοις ὀδύρεσθαι καὶ πένθος ἄγειν ἐποίησας, οὕτως ὀδυνήσεις ἐπὶ σαυτῷ διαφθαρέντι τὴν μητέρα. καὶ κελεύει παραχρῆμα αὐτὸν ἐν γαλγάλοις

Qui fit igitur quod voces iumentorum & pecudum in castris audio? Respondit rex, populũ hæc ad sacrificia reseruasse, sed gentem Amalecitarum internecione iuxta mandatum delevtam, nemine superstite. Solum se captiuum adducere eorum regem, de quo ex prophetę consilio se decretum. Ad hæc propheta respondit, non sacrificiis delectari Deum, sed viris bonis ac iustis. hos autem esse qui voluntati & mandatis eius obsequuntur, nihilque à se rectè fieri putant, nisi quod iuxta eius præcepta fiat. Cõtemptum enim eius consistere non in non sacrificando, sed in non obediendo: & qui non obediunt, vnicúmque hoc & verum sacrificiũ non offerunt, ab his Deum nec multas saginatas victimas, nec donaria ex auro argentóve fabricata vel postulare vel admittere: sed auersari hæc vt malitiæ magis quàm pietatis argumenta. Contra qui id solùm meminerunt quod ab ipso iussum est, & mori mallent quàm inde discedere, his delectari, ac ne victimas quidem ab his requirere, quòd si etiam sacrificare aliquid libuerit, pauperem honorem gratiùs ab his accipere, quàm à quocunque alio vel ditissimo. Tu igitur, inquit, scito te in iram Dei incurrisse: contempsisti enim & neglexisti mandata eius. Nam quibus oculis putas eum inspecturum sacrificium ex rebus perditioni destinatis, nisi fortè idem esse putas, perire, & immolari Deo? Quapropter expectabis amissionem regni & huius potestatis, qua elatus contra autorem tuæ felicitatis mãdata eius neglexisti. Saulus autem fassus est se peccasse & malè fecisse, quòd verbis prophetæ non paruisset: metu tamen coactum se id fecisse, quòd non auderet militem prædæ cupiditate accensum cohibere. Sed da veniam, inquit, & propitius esto. Cauebo enim in posterum, ne in simile peccatum incidam. Rogabátque vt maneret tantisper, dum pacificas hostias pro se offerret. Ille verò qui præuidebat Deum nulla flectendum victima, abire incepit.

Cap. IX.

Samuel ad Dauidem regiam potestatem transfert.

Tum Saulus retinere cum volens iniecit manum in pallium: & quia Samuel properantiùs discedebat, scissura facta est in vestimento. cúmque propheta dixisset, sic scindendũ eius regnum, & perventurum ad virum iustum & bonum. Deum enim in proposito manere, neque similẽ esse homini natura mutabili: Saulus fatebatur Deum sibi meritò infensum, sed factum infectum fieri nõ posse. Rogabátq; saltem hoc honoris sibi haberet, vt Deum simul in pręsentia populi adoraret. Fecit ei hanc gratiam Samuel, & vnà cum illo adoratũ iuit. Post hæc adductus est ad eum Agagus rex Amalecitarũ. qui cùm, ô mortẽ amaram, exclamasset, audiuit à propheta: Quemadmodũ tu multis Hebræorum matribus cæsis carum filiis lamenta & luctum attulisti, ita æquum est vt ipse matri tuæ mœstitiã afferas: iussitq. eũ ibid. in Galgalis

interfici: ipse verò reuersus est Ramathã. Rex verò tũ demũ sẽtiẽs in quæ mala offenso Deo peruenisset, ad Gaba regiã proficiscitur, quod nomẽ collẽ significat: nec post illã diẽ vnquã in prophetæ conspectũ venit. Samueli verò vicẽ eius molestè ferenti, Deus hanc curam mittere iussit, & assumpto sacro oleo Bethlema proficisci ad Iessæum Obedæ filium, & ex eius filiis cũ vngere, quem ipse indicasset sibi regno dignum videri. Cúmque propheta diceret vereri se, ne si Saulus hoc senserit, vel per insidias vel etiam aperta vi perniciem sibi moliretur, iussus hac de re securus esse, ad dictum oppidum peruenit. Eò loci magno hominum concursu salutatus est, quærentibúsque aduentus causam, sacrificatum se venisse dixit. Peracto sacro Iessæum ad epulas vnà cum filiis conuocat: visóque natu maximo eximia statura ac forma iuuene, coniiciebat inde hunc esse regnaturum. Sed hac parte non est assequutus Dei prouidentiam. Percontanti enim an hunc iuuenem vngere deberet, quem ipse admiratus dignũ regno ducebat, responsum est, non eadem spectare Deũ quæ homines. Tu, inquit, visa iuuenis pulchritudine, iam satis dignum principatu existimas: apud me verò non eximiæ corporis formę pręmium est regnum, sed animi virtuti & eum requiro qui hac sit perfectè excultus, pietatéque ac iustitia, obedientia & fortitudine animum exornatus. His auditis propheta iubet Iessæum filios omnes ostendere: móxque & alij quinq; adfuerunt. horum nomina iuxta ætatis ordinẽ sunt hæc: Eliabus, Aminadabus, Samma, Nathanaael, Rael, Asamus. His quoque visis, qui nihilo deteriores forma erant, propheta rogat Deum, quisnam ex his eligendus esset, & audito quòd nullus, sciscitatur ex Iessæo, num quos præterea liberos habeat. Quo respondente, esse etiam vnum nomine Dauidem, qui curam gerat gregum, propheta iubet vt confestim vocetur: non enim licitum esse absque illo sacrum epulum celebrari. qui postquam accitus à patre venit, adolescens colore flauus, & martium quiddam tuẽs, alioqui liberali specie tum propheta ad patrem versus submissa voce, Hic est, inquit, quem regnare Deo visum est, & cum dicto accumbit, & proximum sibi adolescentem collocat, ac deinceps patrem cum reliquis filiis. Depromit deinde sacrum oleum, quo delibutum Dauidem in aurem admonet, Deum ita velle vt regnum in populum obtineat: præcipítque vt iustitiam colat, & operam det, ne vnquam à mandatis Dei discedat: Hoc enim pacto & regnum eius fore diuturnum, & familiam vniuersam illustre nomen consequuturam: Palæstinos quoque ab illo subigendos, & cum quibuscunque gentibus congressus fuerit, semper victorem rediturum, insignémque inde gloriam tam sibi paraturum quàm posteris relicturum. Post mandata Samuel domum proficiscitur, simúlque numen deserto Saulo ad Dauidẽ cõmigrat.

1.Reg.16.

ἀποθανεῖν. καὶ αὐτὸς δ᾽ εἰς ἀρμαθὸν πόλιν ἀπαλλάσσεται. σάουλος δ᾽ ὁ βασιλεὺς αἰσθόμενος ὧν πειραθείη κακῶν ἐχθρὸν αὐτῷ τὸν θεὸν κατασκευάσας, εἰς τὸ βασίλειον ἀναβαίνει γαβά. σημαίνει δὲ βουνὸν ἑρμηνευόμενον τὸ ὄνομα. καὶ μετ᾽ ἐκείνην οὐκ ἔτι τὴν ἡμέραν εἰς ὄψιν ἔρχεται τῷ προφήτῃ. σαμουήλῳ δὲ λυπουμένῳ περὶ αὐτοῦ, παύσασθαι μὲν τῆς φροντίδος ἐκέλευσεν ὁ θεός. λαβόντι δὲ τὸ ἅγιον ἔλαιον, εἰς βηθλεέμην ἀπελθεῖν πόλιν, πρὸς ἰεσσαῖον παῖδα ὠβήδου. καὶ χρῖσαι τῶν υἱῶν αὐτοῦ ὃν αὐτὸς ἐπιδείξῃ βασιλέα γενησόμενον. ὁ δ᾽, εὐλαβεῖσθαι φήσας μὴ τοῦτο μαθὼν σάουλος ἀνέλῃ λοχήσας αὐτὸν, ἢ καὶ φανερῶς, ὑποθεμένου τοῦ θεοῦ καὶ δόντος ἀσφαλείας ὁδὸν, εἰς τὴν προειρημένην ἧκε πόλιν. καὶ πάντες αὐτὸν ἠσπάζοντό τε καὶ τὴν αἰτίαν τῆς ἀφίξεως ἐπηρώτων. ἔλεγε δὲ ἥκειν ἵνα θύσῃ τῷ θεῷ. ποιήσας οὖν τὴν θυσίαν, καλεῖ τὸν ἰεσσαῖον μετὰ τῶν τέκνων ἐπὶ τὰ ἱερεῖα. καὶ θεασάμενος αὐτοῦ τὸν πρεσβύτατον τῶν υἱῶν εὐμεγέθη καὶ καλὸν, εἴκασεν ἐκ τῆς εὐμορφίας τοῦτον εἶναι τὸν μέλλοντα βασιλεύειν. διαμαρτάνει δὲ τῆς τοῦ θεοῦ προνοίας. ἐπερωτήσαντι γὰρ αὐτὸν, εἰ χρίσει τῷ ἐλαίῳ τὸν νεανίσκον ὃν αὐτὸς ἐτεθαυμάκει, καὶ τῆς βασιλείας ἄξιον ἔκρινεν, οὐ ταὐτὰ βλέπειν ἀνθρώποις εἶπε καὶ θεόν. ἀλλὰ σὺ μὲν εἰς τὸ κάλλος ἀπιδὼν τοῦ νεανίσκου, καὶ δὴ τοῦτον ἡγῇ ἄξιον τοῦ βασιλεύειν εἶναι. ἐγὼ δὲ οὐ σωμάτων εὐμορφίας ἔπαθλον ποιοῦμαι τὴν βασιλείαν, ἀλλὰ ψυχῶν ἀρετῆς, καὶ ζητῶ ὅς τις ταύτης ἐστὶ τελέως εὐπρεπὴς, εὐσεβείᾳ καὶ δικαιοσύνῃ καὶ ἀνδρείᾳ καὶ πειθοῖ, ἐξ ὧν τὸ τῆς ψυχῆς συνίσταται κάλλος κατακεκοσμημένος. ταῦτα φράσαντος τοῦ θεοῦ, πάντας ἐκέλευσεν αὐτῷ τὸν ἰεσσαῖον τοὺς υἱοὺς ἐπιδεῖξαι σαμούηλος. ὁ δὲ, πέντε ἄλλους ἐποίησεν ἐλθεῖν, ὧν ὁ μὲν πρεσβύτερος, ἔλιαβος, ὁ δεύτερος ἀμινάδαβος, σάμαλος ὁ τρίτος, ὁ τέταρτος, ναθανάηλος, καὶ ῥάηλος ὁ πέμπτος ἐκαλεῖτο, ὁ δὲ ἕκτος ἄσαμος. ἰδὼν δὲ καὶ τούτους ὁ προφήτης, μηδὲν χείρους τοῦ πρεσβυτέρου ταῖς μορφαῖς, ἐπηρώτησε τὸν θεὸν τίνα τούτων αἱρεῖται βασιλέα. εἰπόντος δ᾽ οὐδένα, πυνθάνεται τοῦ ἰεσσαίου μὴ πρὸς τούτοις αὐτῷ καὶ ἄλλοι παῖδές εἰσι. φήσαντος δ᾽ εἶναι δαβίδην τοὔνομα, ποιμαίνειν δὲ καὶ τῆς τῶν βοσκημάτων φυλακῆς ἐπιμελεῖσθαι, κελεύει καλεῖν αὐτὸν ἐν τάχει. κατακλιθῆναι γὰρ εἰς τὴν εὐωχίαν οὐκ εἶναι δυνατὸν αὐτοῖς ἐκείνου μὴ παρόντος. ὡς δ᾽ ἧκεν ὁ δαβίδης μεταπεμφθεὶς ὑπὸ τοῦ πατρὸς, παῖς ξανθὸς μὲν τὴν χρόαν, γοργὸς δὲ τὰς ὄψεις καὶ καλὸς ἄλλως, οὗτός ἐστιν εἰπὼν ἡσυχῇ πρὸς αὐτὸν σαμούηλος ὁ βασιλεύειν ἀρέσας τῷ θεῷ. κατακλίνεται μὲν αὐτὸς, κατακλίνει δ᾽ ὑπ᾽ αὐτὸν τὸν νεανίσκον καὶ τὸν ἰεσσαῖον μετὰ καὶ τῶν παίδων. ἔπειτα λαβὼν ὁρῶντος τοῦ δαβίδου τὸ ἔλαιον, ἀλήφει τε αὐτὸν, καὶ πρὸς τὸ οὖς ἠρέμα λαλεῖ. καὶ σημαίνει τοῦτ᾽ ὅτι βασιλεύειν αὐτὸν ὁ θεὸς ᾕρηται. παρῄνει δ᾽ εἶναι δίκαιον καὶ κατήκοον αὐτοῦ τῶν προσταγμάτων. οὕτως γὰρ αὐτῷ παραμενεῖν τὴν βασιλείαν ἐπὶ πολὺν χρόνον, καὶ τὸν οἶκον λαμπρὸν καὶ περιβόητον γενέσθαι. καταστρέψεσθαι δὲ καὶ παλαιστινοὺς, καὶ οἷς ἂν ἔθνεσι πολεμῇ, νικῶντα, καὶ περιόντα τῇ μάχῃ, κλέος τε ἀοίδιμον ζῶντά τε ἕξειν καὶ τοῖς μετ᾽ αὐτὸν ἀπολείψειν. καὶ σαμούηλος μὲν ἀπαλλάσσεται ταῦτα παραινέσας, πρὸς δὲ τὸν δαβίδην μεταβαίνει τὸ θεῖον, καταλιπὸν σάουλον.

ὁ

καὶ ὁ μὲν προφητεύειν ἤρξατο, τοῦ θείου πνεύματος εἰς αὐτὸν μετοικισαμένου, τὸν σάουλον δὲ περιήρχετο πάθη τινὰ καὶ δαιμόνια, πνιγμοὺς αὐτῷ καὶ στραγγάλας ἐπιφέροντα, ὡς τοὺς ἰατροὺς ἄλλην μὲν αὐτῷ θεραπείαν μὴ ἐπινοεῖν. εἰ δέ τις ἐστὶν ἐξᾴδειν δυνάμενος καὶ ψάλλειν ἐπὶ κινύρα, τοῦτον ἐκέλευσαν ζητήσαντας ὁπόταν αὐτῷ προσίοι τὰ δαιμόνια, καὶ ταράττοι, ποιεῖν ὑπὲρ κεφαλῆς ἑστῶτα ψάλλειν, καὶ τοὺς ὕμνους ἐπιλέγειν. σάουλος δ' οὐκ ἐμέλλησεν, ἀλλὰ ζητεῖσθαι προσέταξε τοιοῦτον ἄνθρωπον. φήσαντος δέ τινος τῶν παρόντων, ἐν βηθλεέμει πόλει τεθεᾶσθαι ἰεσσαίου μὲν υἱόν, ἔτι δὲ παῖδα τὴν ἡλικίαν, εὐπρεπῆ δὲ καὶ καλόν, τὰ δὲ ἄλλα πολλῆς σπουδῆς ἄξιον, καὶ ψάλλειν εἰδότα καὶ ᾄδειν ὕμνους, καὶ πολεμιστὴν ἄκρον. πέμψας πρὸς τὸν ἰεσσαῖον ἐκέλευσεν ἀποστέλλειν αὐτῷ τὸν δαβίδην, τῶν ποιμνίων ἀποσπάσαντα. βούλεσθαι γὰρ αὐτὸν ἰδεῖν περὶ τῆς εὐμορφίας καὶ τῆς ἀνδρείας ἀκούσας τοῦ νεανίσκου. ὁ δὲ ἰεσσαῖος πέμπει τὸν υἱὸν καὶ ξένια δούς, κομίσαι τῷ σαούλῳ. ἐλθόντος δὲ, ἡσθεὶς καὶ ποιήσας ὁπλοφόρον, διὰ πάσης εἶχε τιμῆς. ἐξῄδετο γὰρ ὑπ' αὐτοῦ, καὶ πρὸς τὸν ἀπὸ τῶν δαιμονίων τάραχον ὁπότε αὐτῷ ταῦτα προσέλθοι, μόνος ἰατρὸς ἦν, λέγων τε τοὺς ὕμνους, καὶ ψάλλων ἐν τῇ κινύρα, καὶ ποιῶν ἑαυτοῦ γίνεσθαι τὸν σάουλον. πέμπει τοίνυν πρὸς τὸν πατέρα τοῦ παιδὸς ἰεσσαῖον, ἐᾶσαι παρ' αὐτῷ τὸν δαβίδην κελεύων. ἥδεσθαι γὰρ αὐτῷ βλεπομένῳ καὶ παρόντι. τὸ δ' οὐκ ἀντειπεῖν τῷ σαούλῳ, συνεχώρησε δὲ κατέχειν.

quo factum est vt hic concepto diuino spiritu prophetare inciperet, Saulus verò in morbum dæmoniacum incideret, ita vt præfocari ac strangulari videretur, nec aliam opem inuenirent medici, quàm si quis peritus excantator adhiberetur: monuerúntque vbique inquirendum, qui quoties rex à dæmone agitaretur, stans ad caput eius voce ac fidib. sacros hymnos caneret. Cúmque rex sine mora quæri talem mandasset, quidam ex astantibus ait se apud Bethlema vidisse filium Iessæi, adolescentem liberali forma, & præter aliam honestam institutionem hymnos ad citharam canere doctum, ac ne militarium quidem exercitiorum rudem. Mittuntur ergo ad Iessæum abducturi Dauidẽ à gregibus: nunciántque patri, regem audita adolescentis tam forma quàm virtute, cupere ipsum videre. Paruit Iessæus, simúlque munera per filium regi misit. Cúmque venisset confestim à rege admodum læto in satellitium assumitur, in magno apud eũ pretio habitus. Quoties enim à dæmone agitaretur, vnicum erat in excantatione remedium: & solus Dauid hymnos ad cinnyram accinens, regem ad sanam mẽtem reducebat. Impetratum est igitur à Iessæo, vt filium apud regem degere pateretur, quandoquidem tantopere eius præsentia delectabatur.

Κεφάλαιον ι.

Ἄλλη στρατεία παλαιστινῶν ἐπὶ τοὺς ἑβραίους.

Χρόνοις δ' ὕστερον οὐ πολλοῖς οἱ παλαιστινοὶ συνελθόντες, καὶ δύναμιν ἀθροίσαντες, μεγάλην, ἐπίασι τοῖς ἰσραηλίταις, καὶ μεταξὺ σωχοῖς καὶ ἀζήκοις καταλαμβανόμενοι στρατοπεδεύονται. ἀντεπεξάγει δ' αὐτοῖς τὴν στρατιὰν καὶ σάουλος, καὶ ἐπί τινος ὄρους στρατοπεδευσάμενος, ἀναγκάζει τοὺς παλαιστινοὺς τὸ μὲν πρότερον στρατόπεδον καταλιπεῖν, ἐπὶ ὁμοίου δέ τινος ὄρους ἀντικρὺ τοῦ καταληφθέντος ὑπὸ τοῦ σαούλου στρατοπεδεύσασθαι. διέστησε δ' ἀπ' ἀλλήλων τὰ στρατόπεδα μέσος αὐλὼν τῶν ὀρῶν ἐφ' ὧν ἦν. καταβὰς οὖν τις τῶν παλαιστινῶν στρατοπέδου, γολίαθος ὄνομα, πόλεως δὲ γίττης, ἀνὴρ παμμεγεθέστατος, ἦν γὰρ πηχῶν τεσσάρων καὶ σπιθαμῆς, ὅπλα τῇ φύσει τοῦ σώματος ἀναλογοῦντα περικείμενος, θώρακα μὲν γὰρ ἐνεδέδυτο σταθμὸν ἄγοντα πέντε χιλιάδας σίκλων, κόρυθα δὲ καὶ κνημῖδας χαλκέας ὁποίας εἰκὸς ἦν ἀνδρὸς οὕτω παραδόξου τὸ μέγεθος σκεπάσαι μέρη. δόρυ δὲ ἦν, οὐ κοῦφον βάσταγμα δεξιᾶς, ἀλλ' ἐπὶ τῶν ὤμων αὐτὸ αἴρων ἔφερεν. εἶχε δὲ καὶ λόγχην ἑξακοσίων σίκλων. εἵποντο δὲ πολλοὶ βαστάζοντες τὰ ὅπλα. στὰς τοίνυν ὁ γολίαθος τοῦ μεταξὺ τῶν παρατάξεων, βοήν τε ἀφίησι μεγάλην, καὶ πρὸς τὸν σάουλον καὶ τοὺς ἑβραίους λέγει. μάχης μὲν ὑμᾶς καὶ κινδύνων ἀπαλλάττω. τίς γὰρ ἀνάγκη τὴν στρατιὰν ὑμῶν συμπεσοῦσαν κακοπαθεῖν. δότε δ' ὅς τις ἐμοὶ μαχεῖται τῶν ὑμετέρων, καὶ βραβευθήσεται τὸ τοῦ πολέμου τέλος ἐν τῷ νενικηκότι. δουλεύσουσι γὰρ ἐκεῖνοι τοῖς ἑτέροις, ὧν ἂν ὁ νικήσας γένηται. πολὺ δὲ κρεῖττον εἶναι καὶ σωφρονέστατον ἑνὸς κινδύνῳ λαβεῖν ὃ βούλεσθε ἢ τῷ πάντων. ταῦτ' εἰπὼν ἀνεχώρησεν εἰς τὸ τῶν οἰκείων στρατόπεδον. τῇ δ' ἐρχομένῃ πάλιν ἐλθὼν, τοὺς αὐτοὺς ἐποιήσατο λόγους, καὶ μέχρι τεσσαράκοντα ἡμερῶν οὐ διέλειπε προκαλούμενος ἐπὶ τοῖς προειρημένοις τοὺς πολεμίους, ὡς καταπλαγῆναι αὐτὸν τὸν σάουλον

Cap. X.

Expeditio noua Palæstinorum contra Hebræos.

XI. 1. Reg.

Aliquanto autem pòst Palæstini conscripto numeroso exercitu bellum Israelitis inferunt, & castra inter Sochum & Azecum oppida metantur. nec Saulus cunctatus ducto in hostem exercitu effecit, vt prioribus castris relictis in munitiorem quendam collem è regione Israelitarum Palæstini se conferrent, valle quadam inter vtrosque intercedente. In hanc è castris hostium descendit Gittæus Goliathus, vir prodigiosa statura: quatuor enim cubitos vno palmo superabat, vastos artus conuenienti armatura protectus. Thorax quinque millia siclorum pendebat, huic moli respõdebat & galea & ocreæ. prægrandem etiam hastam non dextra gestabat, sed humero sustinebat, sexcentorum siclorum ferro cuspidatam. ponè sequebatur armatorum phalanx. Hic cùm inter vtranque aciem cõstitisset, immani voce sublata: Quid opus est, inquit, Hebræi ancipitem Martis aleã vos subire? Date mihi aduersarium & duorum periculo decernatur, penes vtros futura sit victoria: vt quorum miles succubuerit, alterius partis iugum ex pacto suscipiant. præstat enim vnum aliquem, quàm totum exercitum, in periculum adducere. Hæc locutus retro ad suos reuertitur. Sequenti die rursum procedens eisdem verbis est vsus: atque ita per quadraginta dies prouocare hostem prę dictis conditionibus non destitit, stupẽte Saulo

cum vniuerso exercitu: qui prodibant quidem in aciem, sed à neutris initium pugnæ fiebat. Ad hāc expeditionem profecturus Saulus Dauidem remiserat patri, contentus tribus aliis eius filiis, qui tum signa regia sequebantur, isque ad gregum curam intermissam se receperat. Sed dum bellum ducitur magis quàm geritur, missus à patre venit in castra, visurus quo in statu res essent, & fratribus necessaria portaturus. Interim Goliathus ex more progreditur, & iam insolentior exprobrat, ne vnumquidem esse inter Hebræos qui in singulare certamen descendere audeat. Fortè tum Dauid cum fratribus colloquebatur de patre & rebus domesticis, auditisque barbari conuiciis grauiter commotus, se paratum dixit vt hostem excipiat. At Eliabus maximus fratrū obiurgat hominem, per imperitiam rerum supra quam ætatem eius deceat ferocientem, addens satius esse vt ad patrem ac greges quàm primùm reuertatur. reueritus est Dauid fratrem, nihilominus apud alios milites professus est sibi non deesse animum ad singularem pugnam, ita vt celeriter ad regem de hoc sit perlatum. quare accitus & iussus quid vellet dicere, Non est, inquit, rex cur abiiciamus animos aut formidemus. Ego congressus cum hoste insolentiam eius compescam, & elatum ac ferocientem prosternam, & ex terribili deridendum reddam: tantóque erit tua simul & tuorum illustrior gloria, quòd ab adolescente magis quàm viro hostis deuictus videbitur. Saulo verò laudante generosum eius animum, nec tamen audente rem tantam tam teneræ ætati committere: Nō est, inquit, quod dubites: nam hæc Deo fretus polliceor, cuius fauorem iam non semel expertus sum. Quum enim paternos greges pascerem, raptum agnum ex ore leonis recepi, ipsamque feram in me impetum vertentem cauda correptam, solóque afflictam occidi: neque mitiùs tractaui vrsum greges inuadentem: & hanc quoque belluam nihilo pluris facio, qui cùm in Deum atque homines conuicia euomat, non patietur cœleste numen impune hoc illum auferre, sed meis eum manibus perdomabit. Effecit tam prompta audacia iuuenis, vt rex omnia fausta precatus ad pugnam eum mitteret, instructum priùs thorace regio simúlque ense ac galea. Tum Dauid qui armis gestandis non assueuerat, grauari se his magis quàm muniri sentiens. Tuus sit, inquit, hic ornatus, qui gestare eum es idoneus: mihi famulo tuo permitte meo arbitratu pugnam capessere. & cum dicto arma deponit, baculúmque tantùm assumit: & coniectis in peram quinque lapidibus de glarea torrentis, funda dextram armatus in hostem properat. Hunc apparatum postquam vidit barbarus, adeò contempsit, vt per ludibrium percontaretur,

A καὶ τὴν στρατιάν. καὶ παρετάσσοντο μὲν ὡς εἰς μάχην, οὐκ ἤρχοντο δὲ εἰς χεῖρας. τοῦ δὲ πολέμου συνεστηκότος τοῖς ἑβραίοις καὶ τοῖς παλαιστινοῖς, σαοῦλος ἀπέστειλε τὸν δαβίδην πρὸς τὸν πατέρα ἰεσσαῖον, ἀρκούμενος αὐτοῦ τοῖς τρισὶν υἱοῖς, οὓς ἐπὶ συμμαχίαν καὶ τοὺς κινδύνους ἔπεμψεν. ὁ δὲ τὸ μὲν πρῶτον, ἐπὶ τὰ ποίμνια πάλιν καὶ τὰς νομὰς τῶν βοσκημάτων παραγίνεται. μετ' οὐ πολὺ δὲ ἔρχεται πρὸς τὸ στρατόπεδον τῶν ἑβραίων πεμφθεὶς ὑπὸ τοῦ πατρὸς, κομίσαι τε τοῖς ἀδελ-
B φοῖς ἐφόδια, καὶ γνῶναι τί πράττουσι. τοῦ δὲ γολιάθου πάλιν ἐλθόντος καὶ προκαλουμένου καὶ ὀνειδίζοντος, ὅτι μηδείς ἐστιν ἀνδρεῖος ἐν αὐτοῖς ὃς εἰς μάχην αὐτῷ τολμᾷ καταβῆναι. μεταξὺ τοῖς ἀδελφοῖς ὁμιλῶν δαβίδης περὶ ὧν ἐπέστειλεν ὁ πατὴρ, ἀκούσας βλασφημοῦντος τὴν στρατιὰν καὶ κακίζοντος τοῦ παλαιστινοῦ ἠγανάκτησε. καὶ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ εἶπεν ἑτοίμως ἔχειν μονομαχῆσαι τῷ πολεμίῳ. πρὸς τοῦθ' ὁ πρεσβύτερος τῶν ἀδελφῶν ἐλίαβος ἐπέπληξεν αὐτῷ, τολ-
C μηρότερον παρ' ἡλικίαν καὶ ἀμαθῆ τοῦ προσήκοντος εἰπών. ἐκέλευσέ τε πρὸς τὰ ποίμνια καὶ τὸν πατέρα βαδίζειν. καταιδεσθεὶς δὲ τὸν ἀδελφὸν, ὑπεχώρησεν, καὶ πρός τινας τῶν στρατιωτῶν ἀπελάλησεν ὅτι θέλοι μάχεσθαι τῷ προκαλουμένῳ. δηλωσάντων δ' εὐθὺς τῷ σαούλῳ τὴν τοῦ νεανίσκου προαίρεσιν, μεταπέμπεται πρὸς αὐτὸν ὁ βασιλεύς. καὶ πυθομένου τί βούλεται καὶ λέγειν, μὴ ταπεινὸν εἶπεν ἔστω φρόνημα, μηδ' εὐλαβὲς
D ὦ βασιλεῦ. καθαιρήσω γὰρ ἐγὼ τὴν ἀλαζονείαν τοῦ πολεμίου χωρήσας αὐτῷ διὰ μάχης, καὶ τὸν ὑψηλὸν καὶ μέγαν ὑπ' ἐμαυτῷ λάβω. γένοιτο μὲν αὐτὸς οὕτω καταγέλαστος, ἔνδοξον δὲ τὸ σὸν στράτευμα, εἰ μηδ' ὑπ' ἀνδρὸς πολεμεῖν ἤδη δυναμένου καὶ πιστευομένου παρατάξεις καὶ μάχας, ἀλλ' ὑπὸ παιδὸς ἔτι δοκοῦντος καὶ ταύτην ἔχοντος ἡλικίαν ἀποθάνοι. τοῦ δὲ σαούλου, τὸ μὲν τολμηρὸν αὐτοῦ καὶ τὴν εὐψυχίαν θαυμάζοντος, οὐ θαρροῦντος δὲ ἐπ' αὐτῷ διὰ τὴν ἡλικίαν, ἀλλ' ἀ-
E σθενέστερον εἶναι διὰ ταύτην πρὸς εἰδότα πολεμεῖν μάχεσθαι λέγοντος, τοῦτ' εἶπε δαβίδης ἐπαγγέλλομαι τῷ θεῷ θαρρῶν, ὅτι μετ' ἐμοῦ. πεπείραμαι γὰρ αὐτοῦ τῆς βοηθείας. λέοντα γὰρ ἐπελθόντα μου ποτὲ τοῖς ποιμνίοις, καὶ ἁρπάσαντα ἄρνα διώξας καταλαμβάνω, καὶ τὸν μὲν ἄρνα ἐκ τοῦ στόματος ἐξαρπάζω τοῦ θηρός. αὐτὸν δὲ ὁρμήσαντα ἐπ' ἐμὲ, τῆς οὐρᾶς βαστάσας, καὶ προσρήξας τῇ γῇ, διαφθείρω. ταὐτὸ δὲ καὶ ἄρκτον ἀμυνόμενος διατίθεμαι. νομιζέσθω δὴ καὶ ὁ πολέμιος ἐκείνων εἶναι
F τῶν θηρίων, ὀνειδίζων ἐκ πολλοῦ τὴν στρατιὰν καὶ βλασφημῶν ἡμῶν τὸν θεὸν, ὃς αὐτὸν ὑποχείριον ἐμοὶ ποιήσει. τῇ προθυμίᾳ τοιγαροῦν καὶ τῇ τόλμῃ τοῦ παιδὸς ὅμοιον γενέσθαι τέλος παρὰ τοῦ θεοῦ σαοῦλος εὐξάμενος, ἄπιθι φησὶ πρὸς τὴν μάχην. καὶ περιθεὶς αὐτῷ τὸν αὐτοῦ θώρακα, καὶ περιζώσας τὸ ξίφος, καὶ περικεφαλαίαν ἁρμόσας, ἐξέπεμπεν. ὁ δὲ δαβίδης, βαρυνόμενος ὑπὸ τῶν ὅπλων, οὐκ ἐγεγύμναστο γὰρ, οὐδὲ μεμαθήκει φέρειν ὅπλα, ταῦτα μὲν εἶπεν ὦ βασιλεῦ, σὸς ἔστω κόσμος τοῦ καὶ βαστάζειν δυναμένου. συγχώρησον δὲ ὡς δούλῳ σου, καὶ ὡς ἐγὼ βούλομαι μαχέσασθαι. τίθησι οὖν τὰ ὅπλα, καὶ τὴν βακτηρίαν ἀράμενος, καὶ πέντε λίθοις ἐκ τοῦ χειμάρρου βαλὼν εἰς τὴν πήραν τὴν ποιμενικὴν, καὶ σφενδόνην ἐν τῇ δεξιᾷ χειρὶ φέρων, ἐπὶ τὸν γολίαθον ἐπορεύετο. καταφρονεῖ δὲ οὕτως ἰδὼν αὐτὸν ὁ πολέμιος ἐρχόμενον, καὶ προσέσκωψεν, ὡς οὐχ ἅπερ πρὸς ἄνθρωπον ὅπλα νενόμισται ταῦτ' ἔχων μέλλοι μάχεσθαι. οἷς δὲ κυνὰς ἀπελαυνόμεν καὶ φυλασσόμεθα.

μὴ αὐ-

μὴ αὐτὴν ἀντὶ ἀνθρώπου κυνὰ εἶναι δοκεῖ; ὁ δ' οὐχὶ τοιοῦτον, ἀλλὰ καὶ χείρω κυνὸς αὐτὸν νομίζειν ἀπεκρίνατο. κινεῖ δὲ πρὸς ὀργὴν τὸν γολίαθην, καὶ ἀρὰς αὐτῷ τίθεται ἐκ τῆς προσηγορίας τοῦ θεοῦ. καὶ δώσειν ἠπείλησε τὰς σάρκας αὐτοῦ τοῖς ἐπιγείοις καὶ τοῖς μεταρσίοις διασπάσασθαι. ἀμείβεται δ' αὐτὸν ὁ δαβίδης. σὺ μὲν ἐπέρχῃ μοι ἐν ῥομφαίᾳ καὶ δόρατι καὶ ἐν θώρακι. ἐγὼ δὲ χωρῶν ἐπὶ σὲ, τὸν θεὸν ὥπλισμαι, ὃς σέ τε καὶ τὴν πᾶσαν ὑμῶν στρατιὰν χερσὶ ταῖς ἡμετέραις διολέσει. καρατομήσω μὲν γάρ σε σήμερον, καὶ τὸ ἄλλο σῶμα τοῖς ὁμοφύλοις κυσὶ παραβαλῶ. μαθήσονται δὲ πάντες ὅτι προέστηκεν ἑβραίων τὸ θεῖον, καὶ ὅπλα ἡμῖν καὶ ἰσχὺς τούτου ἐστὶ τὸ κηδόμενον. ἡ δ' ἄλλη παρασκευὴ καὶ δύναμις ἀνωφελὴς, θεοῦ μὴ παρόντος. ὁ δὲ παλαιστινὸς, ὑπὸ βάρους τῶν ὅπλων εἰς ὠκύτητα καὶ δρόμον ἐμποδιζόμενος βάδην ἐπὶ τὸν δαβίδην παραγίνεται, καταφρονῶν καὶ πεποιθὼς γυμνὸν ὁμοῦ καὶ παῖδα ἔτι τὴν ἡλικίαν ἀπόνως ἀναιρήσειν.

Κεφάλαιον ια'.

Μονομαχία δαβίδου πρὸς γολίαθον καὶ ἧττα τῶν παλαιστινῶν.

Απαντᾷ δὲ ὁ νεανίσκος μετὰ συμμάχου μὴ βλεπομένου τοῖς πολεμίοις. θεὸς δ' ἦν οὗτος. καὶ ἀνελόμενος ἐκ τῆς πήρας ὧν εἰς αὐτὴν κατέθηκεν ἐκ τοῦ χειμάρρου λίθων ἕνα, καὶ ἁρμόσας τῇ σφενδόνῃ βάλλει ἐπὶ τὸν γολίαθον εἰς τὸ μέτωπον, καὶ διῆλθεν ἕως τοῦ ἐγκεφάλου τὸ βληθέν. ὡς εὐθὺς καρωθέντα πεσεῖν τὸν γολίαθον ἐπὶ τὴν ὄψιν. δραμὼν δ' ἐφίσταται τῷ πολεμίῳ κειμένῳ, καὶ τῇ ῥομφαίᾳ τῇ ἐκείνου, μάχαιραν οὐκ ἔχων αὐτὸς, ἀποτέμνει τὴν κεφαλὴν αὐτοῦ. πεσὼν δ' ὁ γολίαθος, ἧττα καὶ φυγὴ γίνεται παλαιστινοῖς. τὸν γὰρ δοκιμώτατον ἰδόντες ἐρριμμένον, καὶ περὶ τῶν ὅλων δείσαντες, οὐκ ἔτι μένειν διέγνωσαν. ἀλλ' αἰσχρᾷ καὶ ἀκόσμῳ φυγῇ παραδόντες αὐτοὺς, ἐξαρπάζειν τῶν κινδύνων ἐπειρῶντο. σάουλος δὲ καὶ πᾶς ὁ τῶν ἑβραίων στρατὸς, ἀλαλάξαντες ἐκπηδῶσιν ἐπ' αὐτούς. καὶ πολλοὺς ἀποσφάττοντες διώκουσιν ἄχρι τῶν γίττης ὁρίων καὶ τῶν πυλῶν τῶν ἀσκάλωνος. καὶ θνήσκουσι μὲν τῶν παλαιστινῶν εἰς τρισμυρίους, δὶς δὲ τοσοῦτοι τραυματίαι γίνονται. σάουλος δὲ ὑποστρέψας εἰς τὸ στρατόπεδον αὐτῶν, διαρπάζει τὸ χαράκωμα καὶ ἐνέπρησεν. τὴν δὲ κεφαλὴν τοῦ γολιάθου δαβίδης εἰς τὴν ἰδίαν σκηνὴν ἐκόμισεν, καὶ τὴν ῥομφαίαν ἀνέθηκε τῷ θεῷ. φθόνον δὲ καὶ μῖσος τοῦ σαούλου πρὸς αὐτὸν αἱ γυναῖκες ἐρεθίζουσι. ὑπαντῶσαι γὰρ τῇ στρατιᾷ νικηφόρῳ μετὰ κυμβάλων καὶ τυμπάνων καὶ παντοίας χαρᾶς, ᾖδον αἱ μὲν γυναῖκες, ὡς πολλὰς σάουλος ἀπώλεσε παλαιστινῶν χιλιάδας, αἱ παρθένοι δὲ, ὡς μυριάδας δαβίδης ἀφανίσειε. τούτων δ' ἀκούων ὁ βασιλεὺς, ὡς τὸ μὲν ἔλαττον τῆς μαρτυρίας αὐτὸς λάβοι, τὸ δὲ τῶν μυριάδων πλῆθος ἀνατεθείη τῷ νεανίσκῳ, καὶ λογισάμενος μηδὲν οὕτως μετὰ λαμπρὰν εὐφημίαν ἢ τὴν βασιλείαν ὑστερεῖν αὐτῷ, φοβεῖσθαι καὶ ὑποπτεύειν ἤρξατο τὸν δαβίδην. καὶ τῆς μὲν πρώτης τάξεως, ἐπεὶ τοῦ δεῖν πλησίον αὐτοῦ καὶ λίαν ἐγγὺς ἐδόκει, ἐποίησε γὰρ αὐτὸν ὁπλοφόρον, μεταστήσας, ἀποδείκνυσι χιλίαρχον, δοὺς αὐτῷ χώραν ἀμείνονα μὲν, ἀσφαλεστέραν δὲ ὡς ἐνόμιζεν αὐτῷ. ἐβούλετο γὰρ εἰς τοὺς πολεμίους αὐτὸν ἐκπέμπειν καὶ τὰς μάχας, ὡς ἐν τοῖς κινδύνοις τεθνηξόμενον. δαβίδης δὲ πανταχοῦ τὸν θεὸν ἐπαγόμενος ὅπου ποτ' ἀφίκοιτο, κατώρθου καὶ διαπράγων ἐβλέπετο,

A num se canem putaret, qui armis ad canes arcendos aptis instructus ad pugnam prodiret. Imò cane viliorem, respondit Dauid. quo dicto commotus Goliathus, fanda & infanda conuiciatus, minatus est se cadauer eius frustatim feris alitibúsque pabulo sparsurum. Tum Dauid, Tu me inuadis hasta tua confisus ac thorace & gladio: mihi verò pro armatura Deus est, qui te ac tuum exercitum nostris manibus hodie deleturus est. auferam enim tuum caput, B & reliquum truncum canibus tui similibus laniandam relinquam: & discent omnes quòd Deus curam Hebræorum habet, eiúsque prouidentia vires nobis simul atque arma suggerit: sicut contrà vbi eius fauor deest, nullus apparatus proficit. Interim Palæstinus armis grauior quàm vt procurrere posset, magnis passibus in iuuenem ac inermem contemptim ferebatur.

C

CAP. XI.

Singulare certamen Dauidis & Goliathi, sequutáque Palæstinorum clades.

HVic Dauid impigrè occurrit, occultum adiutorem Deum secum in certamen ducens: & promptum è pera in hoc selectum è torrente vnum lapidem, funda rotatum tanta vi in aduersam hostis frontem infligit, vt ad cerebrum vsque penetrauerit: quo ictu sopitus D Goliathus in faciem est prostratus. Accurrit victor alacris, & quòd ipse inermis esset, suo sibi gladio barbarum obtruncat: tantúmque in eo momenti fuit, vt è vestigio Palæstini terga verterent. Videntes enim præstantissimum ex suis iacere, nullam ampliùs spem superesse rati, turpi ac ignominiosa fuga periculo se eximere conabantur. Tum Saulus & vniuersus Hebræorum exercitus sublato militari clamore in trepidos irruunt, & quotquot assequi poterant E cædentes, vsque ad Gittæ fines ac portas Ascalonis persequuntur. Ceciderúntque Palæstinorum triginta millia, & duplo plures sunt vulnerati. Saulus verò à persequendo reuersus castra hostium diripit ac incendit. Caput autem Goliathi Dauid in suum tentorium reportauit & gladium eius Deo consecrauit.

Motus deinde inuidia Saulus cœpit clàm Dauidem odisse, hac potissimum occasione. Cùm enim victor cum exercitu reuerteretur, hono- F ris causa obuiam venerunt ei mulierũ ac puellarum chori ad cymbala ac tympana canentes. Mulierum cantio fuit, Saulum millenos hostes profligasse: virginum item, Dauidẽ decies millenos sustulisse. Itaque audiens decuplo potiores victoriæ partes adolescenti tribui, & ratus post tam gloriosum testimonium nihil ei superesse sperandum nisi regnum, suspectum cũ habere cœpit: & parum tutum putans armatũ circa se versari, ex satellite tribunũ fecit, nõ tã G illius honori quàm suæ securitati consultũ volens, vt sæpe hostib. obiectũ aliquis casus è medio tolleret. Dauid autẽ nusquã diuina ope destitutus, quocũq. mitteretur rẽ feliciter gerebat:

1. Reg. 18.

vt ob eximiam fortitudinem non ſolum apud populum gratioſus fieret, ſed etiam Sauli filia virgo amore eius caperetur, ita vt ne patrem quidem latere id poſſet. Nactum enim ſe ampliorem inſidiarum tendendarum occaſionem putans, renunciantibus puellæ amorem, libenter ſe illam ei traditurum reſpondit, futuram periculorum & exitij cauſam. Promitto, inquit filiæ coniugium, ſi ſexcenta hoſtium capita afferat. Scio illum honoris auidum, & ex periculis gloriam petere non recuſaturum, ſed fortiter Palæſtinos inuaſurum: id quod mihi bonũ erit & commodum. ſic enim ſine mea infamia ſublatus ſecuritatem nobis afferet. Mittit deinde domeſticos qui Dauidis mentem pertentarent, quomodo erga puellæ coniugium ſit affectus. Qui cùm indicaſſent ei, quòd ob gratiam qua cùm apud regem tum apud populum polleret, Saulus generum ſibi eum deſtinaſſet: Vobis, inquit, fortaſſis mediocris res videtur generum regium fieri, mihi certè non item, qui conſcius mihi ſum quàm plebeiis ortus ſim natalibus. Quo renunciato Saulus ad domeſticos: Dicite, inquit, nihil memorari pecunias aut dona quæ ſponſæ offerat. hoc enim vendere fuerit filiam magis quàm elocare. Sed cupere generum, fortitudine aliiſque virtutibus præcellentem, quales in ipſo iam comperi. poſcere autem pro nuptiis filiæ non aurum aut argentum quod è paternis ædibus afferat, ſed cladem Paleſtinorum, & ſexcenta eius gentis virorum capita. Nam & mihi nullum aliud tali munere optabilius: & filiæ fuerit honorificum nõ vulgaria dona iſta accipere, ſed in matrimonium viri ſpectatæ ac teſtatæ fortitudinis conuenire. Quibus auditis Dauid putans ſyncerè à rege affinitatem ſuam expeti, nihil cunctatus neque expendens negocij difficultatem, cum ſuo ſodalitio ad imperata exequenda properat: & hîc quoque vt in cæteris propitiũ numen expertus, rem ex ſententia conficit. Cęſis enim plurimis hoſtium, ſexcenta capita abſciſa ſignum victoriæ ad regem retulit, promiſſi eum admonens.

1. Reg. 17.

Cap. XII.

Saulus Dauidis fortitudinem admiratus filiam ei in matrimonium collocat.

1 Reg. 19.

Saulus autem non valens tergiuerſari, quòd turpe duceret vel mentiri, vel prætextu affinitatis inſidias & perniciem per mandata tam periculoſa viro forti ſtruxiſſe videri, collocat ei filiam nomine Melcham.

XII.

Nec tamen hæc neceſſitudo animum regis immutauit. Videns enim fauorem Dauidis & apud Deum & apud populum augeri, parũ tutũ hoc exiſtimauit vel regno ſuo vel vitæ: & cùm durũ eſſet vel de alterutro periclitari, tollere hominem decreuit: eiúſque necis Ionatham filium cum domeſticorum fidiſſimis miniſtros

A ὡς δ' ὑπερβολὴν τῆς ἀνδρείας τόν τε λαὸν αὐτοῦ ἐρᾶν καὶ τὴν Σαούλου θυγατέρα παρθένον ἔτι οὖσαν, λαβεῖν ἔρωτα, καὶ τοῦ πάθους ὑπερκρατοῦντος γενέσθαι φανερὰν καὶ διαβληθῆναι πρὸς τὸν πατέρα. ὁ δ' ὡς ἀφορμῇ χρησόμενος τῆς ἐπὶ Δαβίδην ἐπιβουλῆς, ἡδέως ἤκουσε. καὶ δώσειν προθύμως αὐτῷ τὴν παρθένον πρὸς τοὺς τὸν ἔρωτα μηνύσαντας αὐτῆς ἔφη, γενησομένην ἀπωλείας, καὶ κινδύνων αἴτιον αὐτῷ ληψομένῳ. B καταγγέλλω γὰρ εἶπεν αὐτῷ τὸν τῆς θυγατρός μου γάμον, ἂν ἑξακοσίας μοι κομίσῃ κεφαλὰς τῶν πολεμίων. ὁ δέ, καὶ γέρως οὕτω λαμπροῦ προτεθέντος, καὶ βουλόμενος ἐπ' ἔργῳ παραβόλῳ καὶ ἀπίστῳ λαβεῖν κλέος, ὁρμήσει μὲν ἐπὶ τὴν πρᾶξιν, διαφθαρήσεται δὲ ὑπὸ τῶν Παλαιστινῶν, καὶ χωρήσει μοι τὰ κατ' αὐτὸν εὐπρεπῶς, ἀπαλλαγήσομαι γὰρ αὐτοῦ δι' ἄλλων αὐτόν, ἀλλ' οὐχὶ δι' ἐμαυτοῦ κτείνας. διάπειραν δὲ τῆς τοῦ Δαβίδου διανοίας C κελεύει τοὺς οἰκέτας λαμβάνειν, πῶς ἔχει πρὸς τὸ γῆμαι τὴν κόρην. οἱ δ' ἤρξαντο διαλέγεσθαι πρὸς αὐτόν, ὅτι στέργοι μὲν αὐτὸν ὁ βασιλεὺς Σάουλος καὶ ὁ λαὸς ἅπας. βούλεται δ' αὐτῷ κηδεῦσαι τὴν θυγατέρα. ὁ δέ, μικρὸν ἄρα ὑμῖν εἶπε δοκεῖ γαμβρὸν γενέσθαι βασιλέως. ἐμοὶ δ' οὐχὶ τοιοῦτον φαίνεται, καὶ μάλιστα ὄντι ταπεινῷ, καὶ δόξης καὶ τιμῆς ἀμοίρῳ. Σάουλος δὲ ἀγγειλάντων αὐτῷ τῶν οἰκετῶν τὰς τοῦ Δαβίδου ἀποκρίσεις. οὐ χρημάτων ἔ- D φη δεῖσθαί με φράζετε αὐτῷ, οὐδὲ ἕδνων. ἀπεμπολᾶν γάρ ἐστιν οὕτως τὴν θυγατέρα, μᾶλλον ἢ συνοικίζειν. γαμβροῦ δ' ἀνδρείαν ἔχοντος καὶ τὴν ἄλλην ἀρετὴν πᾶσαν, ἣν ὁρᾶν ὑπάρχουσαν αὐτῷ. βούλεσθαι δή μοι παρ' αὐτοῦ λαβεῖν, ἀντὶ τοῦ γάμου τῆς θυγατρός, οὐ χρυσὸν οὐδ' ἄργυρον, οὐδ' ὅπως ταῦτ' ἐκ τῶν πατρὸς οἰκιῶν κομίσῃ, Παλαιστινῶν δὲ τιμωρίαν καὶ κεφαλὰς αὐτῶν ἑξακοσίας. αὐτῷ τε γὰρ ἐμοὶ τούτων οὐδὲν ἂν οὔτε E ποθεινότερον οὔτε λαμπρότερον δῶρον γένοιτο. τῇ τε παιδί μου πολὺ τῶν νενομισμένων ἕδνων ζηλωτότερον, τὸ συνοικεῖν ἀνδρὶ τοιούτῳ καὶ μαρτυρουμένῳ τὴν πολεμίων ἧτταν. κομισθέντων δὲ τούτων πρὸς τὸν Δαβίδην τῶν λόγων ἡσθείς, τὸν Σάουλον ἐσπουδακέναι νομίζων αὐτοῦ περὶ τὴν συγγένειαν, οὐδὲ βουλεύσασθαι περιμείνας, οὐδ' εἰ δυνατὸν ἢ δύσκολόν ἐστι τὸ προκείμενον ἔργον τῷ λογισμῷ περινοήσας, ὥρμησεν εὐθὺς μετὰ τῆς ἑ- F ταιρείας ἐπὶ τοὺς πολεμίους, καὶ τὴν ὑπὲρ τοῦ γάμου κατηγγελμένην πρᾶξιν. καὶ ὁ θεὸς γὰρ ἦν ὁ πάντα ποιῶν εὐμαρῆ καὶ δυνατά, δίδοται τῷ Δαβίδῃ. κτείνας γὰρ πολλούς, κεφαλὰς ἑξακοσίων ἀποτέμων, ἧκε πρὸς τὸν βασιλέα, διὰ τῆς τούτων ἐπιδείξεως, τὸν ἀντὶ τούτων γάμον ἀπαιτῶν.

Κεφάλαιον ιβ'.

Ὡς θαυμάσας τὸν Δαβίδην τῆς ἀνδρείας, συνῴκισεν αὐτῷ τὴν θυγατέρα Σάουλος.

G Σάουλος δὲ οὐκ ἔχων ἀναφυγεῖν ἐκ τῶν ὑπεσχημένων, αἰσχρὸν γὰρ ὑπελάμβανεν, ἢ ψεύσασθαι δοκεῖν, ἢ δι' ἐπιβουλήν, ἵν' ὡς ἀδυνάτοις ἐπιχειρῶν ὁ Δαβίδης ἀποθάνῃ τὸν γάμον ἐπηγγέλθαι, δίδωσιν αὐτῷ θυγατέρα Μελχὰν ὀνόματι. ἔμελλε δὲ οὐκ ἐπὶ πολὺ τοῖς γεγενημένοις ἐμμενεῖν Σάουλος. ὁρῶν γὰρ τὸν Δαβίδην παρὰ τῷ θεῷ, καὶ παρὰ τοῖς ὄχλοις εὐδοκιμοῦντα, κατέδεισε. καὶ τὸν φόβον οὐκ ἔχων ἀποκρύψασθαι περὶ μεγάλων ὄντα, βασιλείας τε καὶ ζωῆς, ὧν καὶ θατέρου στερηθῆναι συμφορὰ δεινή, κτείνειν τὸν Δαβίδην διεγνώκει. καὶ προστάσσει τὴν ἀναίρεσιν αὐτοῦ, Ἰωνάθῃ τε τῷ παιδὶ καὶ τοῖς πιστο-

πάντοις οἰκετῶν. ὁ δὲ, τὴν τοῦ πατρὸς τῆς ἐπὶ τῷ δαβίδῃ μεταβολῆς θαυμάσας, οὐκ ἐπὶ μετρίοις ἀπὸ τῆς πολλῆς εὐνοίας, ἀλλ' ἐπὶ θανάτῳ γινομένης, καὶ τὸν νεανίσκον ἀγαπῶν, καὶ τὴν ἀρετὴν αὐτοῦ καταιδούμενος, λέγει πρὸς αὐτὸν τὸ τοῦ πατρὸς ἀπόρρητον καὶ τὴν προαίρεσιν. συμβουλεύει μέντοι φυλάσσεσθαι γινόμενον ἐκποδὼν τὴν ἐπιοῦσαν ἡμέραν. αὐτὸς γὰρ ἀσπάσεσθαι τὸν πατέρα. καὶ τοῦ καιροῦ παραβαλόντος αὐτῷ διαλεχθήσεσθαι περὶ αὐτοῦ, καὶ τὴν αἰτίαν μαθήσεσθαι καὶ ταύτην ἐκφαυλίσειν, ὡς οὐ δεῖν ἐπ' αὐτῇ κτείνειν τοσαῦτα μὲν ἀγαθὰ τὸ πλῆθος εἰργασμένον, εὐεργέτην δ' αὐτοῦ γεγενημένον, δι' ἃ καὶ συγγνώμην ἂν ἐπὶ τοῖς μεγίστοις ἁμαρτήμασιν εἰκότως εὑρέσθαι. δηλώσω δέ σοι τὴν τοῦ πατρὸς γνώμην. δαβίδης δὲ πεισθεὶς συμβουλίᾳ χρηστῇ, ὑπεξίσταται τῆς τοῦ βασιλέως ὄψεως.

Κεφάλαιον ιγ'.

Ὅτι ὁ βασιλεὺς ἐσπούδασεν ἀποκτεῖναι τὸν δαβίδην.

Τῇ δ' ἐπιούσῃ πρὸς τὸν σαοῦλον ἰωνάθης ἐλθὼν, ὡς ἱλαρόν τε καὶ χαίροντα κατέλαβεν, ἤρξατο λόγον αὐτῷ περὶ τοῦ δαβίδου προσφέρειν. τί κατεγνωκὼς μικρὸν ἢ μεῖζον ἀδίκημα ὦ πάτερ προσέταξας ἀνελεῖν ἄνδρα, μέγα μὲν αὐτῷ πρὸς σωτηρίαν ὄφελος γεγενημένον, μεῖζον δὲ πρὸς τὴν παλαιστινῶν τιμωρίαν, ὕβρεως δὲ καὶ χλεύης ἀπαλλάξαντα τὸν ἑβραίων λαὸν, ἣν ἐπὶ τεσσαράκοντα ἡμέρας ὑπέμεινε, μόνος τολμήσας ὑποστῆναι τὴν τοῦ πολεμίου πρόσκλησιν. καὶ μετὰ ταῦτα κομίσαντα μὲν ὅσας ἐπετάχθη κεφαλὰς τῶν ἐχθρῶν. λαβόντα δ' ἐπὶ τούτῳ γέρας τὴν ἐμὴν ἀδελφὴν πρὸς γάμον. ὡς ἀλγεινότερος αὐτοῦ γένοιθ' ἡμῖν ὁ θάνατος, οὐ διὰ τὴν ἀρετὴν μόνον, ἀλλὰ καὶ διὰ τὴν συγγένειαν. συναδικεῖται γὰρ αὐτοῦ τῷ θανάτῳ καὶ ἡ σὴ θυγάτηρ, χηρείαν πρὶν ἢ τῆς συμβιώσεως εἰς ὄνησιν ἐλθεῖν μέλλουσα πειράζειν. ταῦτα λογισάμενος, μεταβαλοῦ πρὸς τὸ ἡμερώτερον, καὶ μηδὲν ποιήσῃς κακὸν ἄνδρα, πρῶτον μὲν ἡμᾶς εὐεργεσίαν μεγάλην εὐεργετήσαντα τὴν σὴν σωτηρίαν, ὅτε σοι τοῦ πονηροῦ πνεύματος καὶ τῶν δαιμονίων ἐγκαθεζομένων, τὰ μὲν ἐξέβαλεν. εἰρήνην δὲ ἀπ' αὐτῶν τῇ ψυχῇ σου παρέσχε. δευτέραν δὲ τὴν ἀπὸ τῶν πολεμίων ἐκδίκησιν. αἰσχρὸν γὰρ τούτων ἐπιλελῆσθαι. τούτοις παρηγορεῖται τοῖς λόγοις σαοῦλος, καὶ μηδὲν ἀδικήσειν τὸν δαβίδην ὄμνυσι τῷ παιδί. κρείττων γὰρ ὀργῆς καὶ φόβου, ὁ δίκαιος λόγος. ἰωνάθης δὲ μεταπεμψάμενος τὸν δαβίδην, σημαίνει τε αὐτῷ χρηστὰ καὶ σωτήρια τὰ παρὰ τοῦ πατρός. ἄγει δὲ πρὸς αὐτὸν, καὶ παρέμενε τῷ βασιλεῖ δαβίδης ὥσπερ ἔμπροσθεν.

Κεφάλαιον ιδ'.

Ὡς πολλάκις δαβίδης κινδυνεύσας ἀποθανεῖν ὑπὸ σαούλου διέφυγε, καὶ σαοῦλον δὶς ἐπ' αὐτῷ γινόμενον ὥστε ἀνελεῖν οὐ διεχρήσατο.

Κατὰ δὲ τοῦτον τὸν καιρὸν, τῶν παλαιστινῶν στρατευσαμένων πάλιν ἐπὶ τοὺς ἑβραίους, πέμπει μετὰ στρατιᾶς τὸν δαβίδην πολεμήσοντα τοῖς παλαιστινοῖς· καὶ συμβαλὼν, πολλοὺς αὐτῶν ἀπέκτεινε, καὶ νικήσας ἐπάνεισι πρὸς τὸν βασιλέα. προσδέχεται δ' αὐτὸν ὁ σαοῦλος, οὐχ ὡς ἤλπισεν ἀπὸ τοῦ κατορθώματος, ἀλλ' ὑπὸ τῆς εὐπραγίας αὐτοῦ λυπηθεὶς, ὡς ἐπισφαλέστερος αὐτὸς ἐκ τῶν ἐκείνου πράξεων γινόμενος.

esse voluit. Qui demiratus patris inconstantiam, quòd non solùm amare talem iuuenem desiuerit, sed mortem etiam eius expeteret, tum propria beneuolentia, tum virtute hominis motus, secretam patris voluntatem ei nunciat: simúlque consulit, vt saluti suæ maturè fuga prospiciat, neu in sequentem diem vsquam in propinquo appareat. Interim, inquit, ego patrem salutabo, & nactus occasionem de te mētionem iniiciam, & cognita indignationis causa, refellere eam conabor. Nullam enim existere posse idoneam rationem, cur optimè & de republica & de rege meritus opprimi debeat. Nam etiam si quid peccatum sit, oportere hoc pristinis eius meritis donari. post colloquium autem certiorem te de patris animo faciam. Paruit huic consilio Dauid, séque quàm primùm è conspectu regis subtraxit.

Cap. XIII.

Quòd rex Dauidi necem sit molitus.

Sequenti autem die Ionathas patrem accedens, cùm hilarem ac lubentem eum offendisset, cœpit de Dauide verba facere. Pater, inquit, quánam in re vel magna vel parua læsus iubes interfici virum, qui tantum momentum ad salutem nostram attulit, nec minus ad cladem Palæstinorum: quíque quadraginta dierū ignominia populum Hebræum vindicauit, solus prouocato hosti opponere se ausus, idem postea relato præscripto capitum numero, honoris causa sororem meam in matrimonium accepit. quò magis lugubris fiat nobis eius mors, non solùm ob virtutem, sed etiam ob necessitudinem. Iniuria enim hæc ad filiam quoque tuam pertinet, quę priùs viduitatem quàm coniugij fructus experietur. Hæc igitur reputans sine te flecti ad mitiora, néve sæuias in virum primùm optimè de familia nostra meritum, quando te dæmoniaco morbo miserè vexatum pristinæ sanitati restitutum seruauit: deinde qui in perpetuos nostros hostes tam egregiè vindicauit. Indecorum enim fuerit horum omnium obliuisci. His persuasus Saulus, iurat filio, posthac omnem iniuriam à Dauide abstinere se velle. Vicit enim æquitas iram ac formidinem. Ionathas autem accito Dauidi indicat mollitum patrem iam nihil magis quàm salutem ipsius cupere: reductúmque in aulam patri reconciliat, vt solita officia circa eū quéadmodum antè obiret.

Cap. XIV.

Quomodo Dauid aliquoties insidias regis ægrè elapsus, bis tamen eum in potestatem suam redactum interficere non sustinuit.

Per idem tempus Palęstinis bellum redintegrantibus, Dauid cum exercitu contra illo mittitur: breuíque victor magna eorū strage edita ad regem reuertitur. At non ita exceptus est ab eo vt sperabat, vtq; post rē feliciter administratā excipi oportebat: sed successu mœst⁹, ei⁹ felicitatē periculosā sibi fore existimabat.

Cúmque rursum intemperiis vt antè agitaretur, accitum in cubiculum in quo decumbebat spiculum manu tenens, iussit psalmos ac hymnos incantare:& illo iussa exequente, spiculum in eum iaculatus est. quod cùm Dauid flexu corporis declinasset, domum refugit, ibíque per totam eam diem mansit. Noctu verò misit rex qui vsque mane ædes eius seruarent, ne clàm elaberetur, vt in iudicium euocatum capitali sententia damnaret. Melcha autem eius vxor & regis filia vbi patris voluntatem cognouit, accurrit ad maritum, quanto is in periculo esset, ipsáque vnà cum eo renuncians, quo sine viuere nec vellet nec posset. Caue, inquit, ne te sol hic deprehendat, aut nunquam posthac te videbit. sed fuge dum per nocturnas tenebras licet, quas Deus ad tuam salutem longiores faciat. alioqui scito quòd si te pater inuenerit, sine mora est interfecturus. His dictis fune per fenestram demissum periculo exemit. deinde parato lecto tanquam ægrotanti, stragulis iecur capræ recens exemptum subiecit, diluculóque venientibus, quos pater ad Dauidem miserat, ostendit lectum opertum, & quòd palpitatione iecoris stragula moueri viderent, maritum ægrum anhelare persuasit, addens totam noctem inquietam eum exegisse. Quod vbi renunciatum est regi, ea nocte in aduersam valetudinem incidisse, iubet sic vt erat eum afferi. omnino enim illi moriendum esse. qui cùm reuersi ac retecto cubili artem muliebrem tandem deprehendissent, rem totam ad regem deferunt. & cùm pater expostularet quòd inimicum sibi eripuisset, excusationem verisimilem commenta est. Ait illum mortem sibi ni pareret ac adiutaret comminatum: itaque venia se dignam quæ hoc non sponte fecerit, sed necessitate compulsa. debere enim illi cariorem esse vitam filiæ, quàm inimici interitum. atque ita veniam consequitur. Dauid autem fuga elapsus peruenit ad prophetam Samuelem in Ramatha: eique rem omnem quo erga se animo rex esset indicat, & quàm minimum abfuerit quin spiculo ab eo traiectus fuerit: idque cùm neque regem vlla in re læsisset, neque in bello segniter aut improuidè se gessisset, sed fauente Deo cuncta ex sententia confecisset. atque hoc ipsum esse quod Saulum ad inuidiam ac odium magis excitaret. Propheta verò cognita regis iniquitate, relicta Ramatha Dauidem ad quendam locum deducit, cui nomen Galbaath: ibíque aliquandiu cum eo habitauit. Vt verò nunciatum est regi Dauidem apud prophetam agere, mittit armatos qui eum comprehensum ad se pertrahant. Qui postquam ad Samuelem venerunt, offendunt eum in cœtu prophetarum: móxque eodem spiritu afflati, & ipsi prophetare cœperunt. Hoc audito Saulus alios eò mittit, Dauidem comprehensuros. quibus cùm idem quod prioribus accidisset, rursum alios mittit. cúmque tertij quoque prophetico spiritu corriperentur: tandem iræ impotens ipse eò properat.

ἐπεὶ δὲ πάλιν προσελθὸν αὐτὸν τὸ δαιμόνιον ἐθορύβει καὶ συνετάραττε, καλέσας εἰς τὸ δωμάτιον ἐν ᾧ κατέκειτο, κατέχων τὸ δόρυ προσέταξε, τῷ ψαλμῷ καὶ τοῖς ὕμνοις διάδειν αὐτόν. ἐκείνου δὲ τὰ κελευσθέντα ποιοῦντος, διατεινάμενος ἀκοντίζει τὸ δόρυ καὶ τὸ μὲν προειδόμενος ὁ δαβίδης ἐξέκλινε. φεύγει δὲ εἰς τὸν οἶκον τὸν αὑτοῦ, καὶ δι' ὅλης ἔμεινεν ἡμέρας αὐτόθι. νυκτὸς δὲ πέμψας ὁ βασιλεὺς ἐκέλευσεν αὐτὸν ἄχρι τῆς ἕω φυλάττεσθαι, μὴ καὶ λάθῃ παντελῶς ἀφανὴς γενόμενος, ἵνα παραγενόμενος εἰς τὸ δικαστήριον, καὶ κρίσει παραδοὺς ἀποκτείνῃ. μελχὰ δὲ ἡ γυνὴ δαβίδου θυγάτηρ δὲ τοῦ βασιλέως, τὴν τοῦ πατρὸς μαθοῦσα διάνοιαν, τῷ ἀνδρὶ παρίσταται δειλὰς ἔχουσα τὰς περὶ αὐτοῦ ἐλπίδας καὶ περὶ τῆς ἰδίας ψυχῆς ἀγωνιῶσα. οὐδὲ γὰρ αὐτὴν ζῆν ὑπομένειν ἐκείνου στερηθεῖσαν. καὶ μή σε φησὶν ἥλιος ἐνταυθοῖ καταλάβοι. οὐ γὰρ ἔτ' ὄψεταί σε. φεῦγε δὲ, ὡς τοῦτο σοι δύναται παρασχεῖν ἡ παροῦσα νύξ. καὶ ποιήσει δέ σοι ταύτην ὁ θεὸς μακροτέραν. ἴσθι γὰρ σαυτὸν, ἂν εὑρεθῇς ὑπὸ τοῦ πατρὸς, ἀπολούμενον. καὶ καθιμήσασα δὲ διὰ θυρίδος αὐτὸν ἐξέσωσεν. ἔπειτα σκευάσασα τὴν κλίνην, ὡς ἐπὶ νοσοῦντι, καὶ ὑποθεῖσα τοῖς ἐπιβολαίοις ἧπαρ αἰγὸς, ἅμα ἡμέρα τοῦ πατρὸς αὐτῆς πέμψαντος ἐπὶ τὸν δαβίδην, ὠχλῆσθαι διὰ τῆς νυκτὸς εἶπε, τοῖς παροῦσιν ἐπιδείξασα τὴν κλίνην κατακεκαλυμμένην, καὶ τῷ πηδήματι τοῦ ἥπατος σαλεύοντι τὴν ἐπὶ τὸ ἐπιβόλαιον πιστωσαμένη τὸ κατακείμενον τὸν δαβίδην ἀσθμαίνειν. ἀπαγγειλάντων δὲ τῶν πεμφθέντων ὅτι γένοιτο διὰ τῆς νυκτὸς ἀσθενέστερος, ἐκέλευσεν οὕτως ἔχοντα κομισθῆναι. βούλεσθαι γὰρ αὐτὸν ἀνελεῖν. ἐλθόντες δὲ καὶ ἀνακαλύψαντες τὴν κλίνην, καὶ τὸ σόφισμα τῆς γυναικὸς εὑρόντες, ἀπήγγειλαν τῷ βασιλεῖ. μεμφομένου δὲ τοῦ πατρὸς αὐτὴν ὅτι σώσειε μὲν τὸν ἐχθρὸν, κατασοφίσαιτο δ' αὐτὸν, ἀπολογίαν σκήπτεται πιθανήν. ἀπειλήσαντα γὰρ αὐτὴν ἀποκτείνειν, ἔφησε τυχεῖν ἐκ τοῦ δέους τῆς πρὸς τὸ σωθῆναι συνεργίας. ὑφ' ἧς συγγνῶναι καλῶς ἔχειν αὐτῇ κατὰ ἀνάγκην ἀλλὰ μὴ κατὰ προαίρεσιν γενομένης. οὐ γὰρ οὕτως ἔλεγεν οἶμαι τὸν ἐχθρὸν ἐζήτεις ἀποκτεῖναι, ὡς ἐμὲ σώζεσθαι. καὶ συγγινώσκει μὲν τῇ κόρῃ σάουλος. ὁ δὲ δαβίδης ἐκφυγὼν τὸν κίνδυνον, ἧκε πρὸς τὸν προφήτην σαμούηλον εἰς ἀρμαθὰ, καὶ τὴν ἐπιβουλὴν αὐτῷ τὴν τοῦ βασιλέως ἐδήλωσε. καὶ ὡς παρὰ μικρὸν ὑπ' αὐτοῦ τῷ δόρατι βληθεὶς ἀποθάνοι, μήτ' ἐν τοῖς πρὸς αὐτὸν κακὸς γενόμενος, μήτ' ἐν τοῖς πρὸς τοὺς πολεμίους ἀγῶσιν ἄνανδρος, ἀλλ' ἐν ἅπασι μετὰ τοῦ θεοῦ μου καὶ ἐπιτυχής. τὸ δ' ἦν αἴτιον σαούλῳ τῆς πρὸς δαβίδην ἀπεχθείας. μαθὼν δ' ὁ προφήτης τὴν τοῦ βασιλέως ἀδικίαν, καταλείπει μὲν τὴν πόλιν ἀρμαθὰν, ἄγων δὲ τὸν δαβίδην ἐπί τινα τόπον γαλβαὰθ ὄνομα, ἐκεῖ διέτριβεν σὺν αὐτῷ. ὡς δ' ἀπηγγέλθη τῷ σαούλῳ παρὰ τῷ προφήτῃ τυγχάνων ὁ δαβίδης, πέμψας ὁπλίτας ἐπ' αὐτὸν, ἄγειν προσέταξεν συλλαμβάνοντας. οἱ δ' ἐλθόντες πρὸς τὸν σαμούηλον, καὶ καταλαβόντες προφητῶν ἐκκλησίαν, τοῦ θείου μεταλαμβάνουσι πνεύματος, καὶ προφητεύειν ἤρξαντο. σάουλος δ' ἀκούσας, ἄλλους ἔπεμψεν ἐπὶ τὸν δαβίδην. κἀκείνων ταὐτὰ τοῖς πρώτοις παθόντων, πάλιν ἀπέστειλεν ἑτέρους. προφητευόντων δὲ καὶ τῶν τρίτων, τελευταῖον ὀργισθεὶς αὐτὸς ἐξώρμησεν. ἐπεὶ δ' ἐγγὺς ἦν ἤδη, σαμούηλος πρὶν ἰδεῖν αὐτὸν, προφητεύειν ἐποίησεν.

ἐλθὼν

ἐλθὼν δὲ πρὸς αὐτὸν σαοῦλος, ὑπὸ πολλοῦ πνεύματος ἐλαυνόμενος, ἔκφρων γίνεται, καὶ τὴν ἐσθῆτα περιδύσας αὐτὸν, καταπεσὼν ἔκειτο δι᾽ ὅλης ἡμέρας τε καὶ νυκτὸς, σαμουήλου τε καὶ δαβίδου βλεπόντων. ἰωνάθης δὲ ὁ σαούλου παῖς, ἀφικομένου πρὸς αὐτὸν ἐκεῖθεν δαβίδου, καὶ περὶ τῆς τοῦ πατρὸς ἀποδυρομένου ἐπιβουλῆς, καὶ λέγοντος, ὡς οὐδὲν ἀδικήσας, οὔτ᾽ ἐξαμαρτὼν σπουδάζοιτο ὑπὸ τοῦ πατρὸς αὐτοῦ φονευθῆναι, μήτε αὐτῷ τοῦθ᾽ ὑπονοοῦντι πιστεύειν παρεκάλει, μήτε τοῖς διαβάλλουσιν εἴ τινες ἄρα εἰσὶν οἱ τοῦτο πράττοντες. ἀλλ᾽ αὐτῷ προσέχειν καὶ θαρρεῖν. μηδὲν γὰρ τοιοῦτον ἐπ᾽ αὐτῷ φρονεῖν τὸν πατέρα. φράσαι γὰρ αὐτῷ περὶ τούτου καὶ σύμβουλον παραλαβεῖν, τῇ κοινῇ γνώμῃ καὶ τ᾽ ἄλλα πράττοντα. ὁ δὲ ὤμνυεν ἦ μὴν οὕτως ἔχειν. καὶ πιστεύοντ᾽ ἠξίου προνοεῖν αὐτοῦ μᾶλλον ἢ καταφρονοῦντ᾽ ἐπὶ τἀληθέσι τοῖς λόγοις, τὸ δ᾽ ἀληθὲς ὑπολαβεῖν, ὅταν ἢ θεάσηται πεφονευμένον αὐτὸν ἢ πύθηται. μὴ λέγειν δ᾽ αὐτῷ τὸν πατέρα περὶ τούτων ἔφασκεν, εἰδότα τὴν πρὸς αὐτὸν φιλίαν καὶ διάθεσιν. λυπηθεὶς δ᾽ ἐφ᾽ οὕτω πιστωσαμένῳ τὴν τοῦ σαούλου προαίρεσιν ἰωνάθης, ἐπηρώτα τίνος ἐξ αὐτοῦ βούλεται τυχεῖν. ὁ δὲ, οἶδα γὰρ ἔφη πάντα σε χαρίζεσθαί μοι, καὶ παρέχειν ἐθέλοντα. νουμηνία μὲν εἰς τὴν ἐπιοῦσαν ἐστὶν, ἔθος δ᾽ ἔχω δειπνεῖν σὺν τῷ βασιλεῖ καθήμενος. εἰ δή σοι δοκεῖ, πορευθεὶς ἔξω τῆς πόλεως ἐν τῷ πεδίῳ, λανθάνων διαμενῶ. σὺ δ᾽ ἐπιζητήσαντος αὐτοῦ, λέγε πορευθῆναί με εἰς τὴν πατρίδα βηθλεέμα, ἑορτὴν μου τῆς φυλῆς ἀγούσης. προσθεὶς, ὅτι σύ μοι συγκεχώρηκας. κἂν μὲν οἷον εἰκὸς καὶ σύνηθές ἐστι λέγειν ἐπὶ φίλοις ἀποδημοῦσιν, ἐπ᾽ ἀγαθῷ βεβάδικεν εἴπῃ, ἴσθι μηδὲν ὕπουλον παρ᾽ αὐτοῦ εἶναι μηδ᾽ ἐχθρόν. ἂν δ᾽ ὡς ἄλλως ἀποκρίνηται, τοῦτ᾽ ἔσται τεκμήριον τῶν κατ᾽ ἐμοῦ βεβουλευμένων. μηνύσεις δέ μοι τὴν διάνοιαν τὴν τοῦ πατρὸς, οἴκτῳ τε νέμων τοῦτο καὶ φιλίᾳ, δι᾽ ἣν πίστεις τε παρ᾽ ἐμοῦ λαβεῖν ἠξίωκας, αὐτός τε ἐμοὶ δοῦναι δεσπότης ὢν οἰκέτῃ σῷ. εἰ δ᾽ εὑρίσκεις τι ἐν ἐμοὶ πονηρὸν, αὐτὸς ἄνελε καὶ φθάσον τὸν πατέρα. πρὸς δὲ τὸ τελευταῖον δυσχεράνας τῶν λόγων ἰωνάθης, ποιήσειν ταῦτ᾽ ἐπηγγείλατο, κἂν τι σκυθρωπὸν ὁ πατὴρ αὐτοῦ, καὶ τὴν ἀπέχθειαν ἐμφανίζων ἀποκρίνηται μηνύειν. ἵνα δ᾽ αὐτῷ θαρρῇ μᾶλλον, ἐξαγαγὼν αὐτὸν εἰς ὕπαιθρον καὶ καθαρὸν ἀέρα, οὐδὲν παρήσειν ὑπὲρ τῆς δαβίδου σωτηρίας ὤμνυε. τὸν γὰρ θεὸν εἶπε τοῦτον ὃν πολὺν ὁρᾷς καὶ πανταχοῦ κεχυμένον, καὶ πρὶν ἑρμηνεῦσαι με τοῖς λόγοις τὴν διάνοιαν ἤδη μου ταύτην εἰδότα, μάρτυρα ποιοῦμαι τῶν πρὸς σὲ συνθηκῶν, ὡς οὐκ ἀνήσω τὸν πατέρα πολλάκις αὐτοῦ τῆς προαιρέσεως διάπειραν λαμβάνων, πρὶν ἢ καταμαθεῖν εἴ τίς ἐστι καὶ παρὰ τοῖς ἀποῤῥήτοις αὐτοῦ τῆς ψυχῆς νόσος. καταμαθὼν δ᾽ οὐκ ἀποκρύψομαι, καταμηνύσω δὲ πρὸς σὲ, καὶ πρᾷον ὄντα καὶ δυσμενῶς διακείμενον. οἶδεν δὲ οὗτος ὁ θεὸς, πῶς αὐτὸν εἶναι μετὰ σοῦ διὰ παντὸς εὔχομαι. ἔστι μὲν γὰρ νῦν, καὶ οὐκ ἀπολείψει σε. ποιήσει δὲ τῶν ἐχθρῶν, αἴθ᾽ ὁ πατὴρ ὁ ἐμὸς, αἴτ᾽ ἐγὼ, κρείττονα. σὺ μόνον μνημόνευε τούτων, κἂν ἀποθανεῖν μοι γένηται, τὰ τέκνα μου σῶζε. καὶ τὴν ὑπὲρ τῶν παρόντων μοι ἀμοιβὴν, εἰς ἐκεῖνα κατάθου. ταῦτ᾽ ἐπομόσας, ἀπολύει τὸν δαβίδην,

A iámque non longè ab eo loco remotus, prius quàm in conspectum Samuelis veniret, eius opera & ipse prophetam agere incepit. Cúmque ad destinatum locum peruenisset, alienatus à mente, abiectóque vestitu nudus per diem ac noctem in conspectu Dauidis & prophetæ iacuit. Paulò pòst ad Ionatham Dauid peruenit, multa de patris eius insidiis conquerens, quòd se nihil tale meritum totis viribus opprimere cuperet. Ille verò rogabat ne vel ipse hoc temere suspicaretur, vel aliis fortè suggerentibus B talia facilè crederet: sed sibi soli fideret, cui compertum sit nihil mali patrem cõtra ipsum moliri, alioqui indicaturum cum sibi fuisse, cùm absque ipsius consilio nihil agere soleat. Contrà Dauid iureiurando asseuerabat se vera dicere, obtestabaturque vt mallet credere ac saluti amici prospicere, quàm contemptis eius verbis tanquam vanis tum demum fidem habere, postea quam extinctum vel viderit vel audiuerit. C Nam patrem talia consilia ideò cum ipso non communicare, quòd non ignoret mutuam beneuolẽtiam quæ inter ipsos intercedat. Quare tristis quòd iam persuasus esset, percontatus est quanam in re posset illi gratificari. Tum Dauid: Scio, inquit, quòd bene mihi velis, & gratificari cupias. Cras erit prima luna & solenne regis conuiuium, cui me quoque adhibere solet. quare si ita videtur extra vrbem in agro clam te præstolabor. tu verò cùm requisiuerit D me, dic profectum in patriam Bethlema, vt intersim festo quod mea tribus celebrat: idque permissu tuo factum. Quòd si vt mos est de amicis, dixerit, feliciter profectus sit, scito illum nihil mali aduersum me in pectore coquere. Sin autem aliter responderit, hoc erit tibi iniqui in me animi argumentum. indicabísque mihi rem, ita vt præsenti mea calamitate mutuáque nostra amicitia dignum est, quam fide in hoc data & accepta dominus E cum seruo tuo voluisti inire. quà si me indignum aut erga parentem tuum iniurium censes, nihil expectatis eius iussis iam nunc me tuo gladio confodito. Hæc vltima verba grauiter ferens Ionathas, facturum se postulata promisit: & si quid patrem malè de ipso cogitare deprehenderit, indicaturum. & quo maiorem ei fidem faceret, educto sub diuum iureiurando confirmat, nihil se non tentaturum quod ad salutem ipsius pertineat. Deus, inquit, F qui hanc vniuersitatem quam latè vides implet ac moderatur, quíque priusquam eloquar mentem meam nouit, testis esto initi inter nos fœderis, quódque non priùs patris voluntatem scrutari desistam, quàm compertum habuero ecquid latentis odij aduersum te conceperit: & quicquid deprehendero, siue amicum, siue infensum, confestim tibi significabo. Nouit Deus quòd ipsum tibi perpetuò propitium precor, vtque semper tuas res prosperet, quem- G admodum & nunc facit, & posthac facturus est. & siue pater meus siue ego tibi aduerser, tu tamen ope illius nunquam non victor euades. Tu verò memor esto huius nostri affectus: & si me perire contingat, liberos meos serua, & mihi debitam gratiam in illos colloca. Post hoc iusiurandum Dauidem dimittit,

1. Reg. 20.

iussum in certum agri locum secedere, in quo se exercere solebat. cognito enim patris animo venturum se illuc vnà cum puero, & si, inquit, emissis tribus ad scopum iaculis, collecta puerum referre iussero: iacere enim antè ipsum: scito nihil triste à patre timendum. quòd si contrarium me dicere audieris, patrem quoque contrario modo affectum existima. vtcunque tamen ceciderit, ego dabo operam ne quid tibi secus quàm velimus accidat. Tu cùm lætiora tempora venerint, fac memor sis horum, & liberos meos commendatos habeto. His Ionathæ promissionibus confirmatus Dauid ad constitutum locum proficiscitur. Sequenti verò die qua fuit nouilunium, rex de more castè ac purè ad cœnam venit. cúmque filius Ionathas dexter illi accumberet, alterumque latus Abenares exercitus imperator clauderet, videns Dauidis locum vacuum tacuit, suspicatus eum ideo abesse, quòd à congressu vxoris non esset purus. sed cùm ne postridie quidem adesset, sciscitatus est ex filio, qua de causa neque tunc neque hesterna die adfuisset solennibus epulis Iessæi filius. Respondit ille profectum in patriam ad solennem tribus eius festiuitatem, commeatu à se impetrato. Quinetiam me, inquit, ad hoc epulum inuitauit, & si tibi idem videtur, ibo. nosti enim quanta beneuolentia hominem prosequar. Hic iam non amplius odium suum Saulus apud filium dissimulare potuit, & euidenter patuit quàm infesto esset in Dauidem animo. iurgio enim adortus filium, desertorem eum patris ac hostem appellauit, sociumque & adiutorem Dauidis. Nec pudere eum quòd nullo parentum respectu cum inimicis conspiret, & non possit induci vt credat nunquam securè regnaturos incolumi Dauide. simulque iubet, vt hominem accersat, daturum debitum supplicium. cúmque filius quæreret, ob quam culpam eum capite plectere vellet, non iam intra verba iram continens proripuit se, & nactus alicunde spiculum impetum in filium fecit: perpetrassetque impium facinus, ni intercursu amicorum fuisset cohibitus. atque ita manifestè malignum & infestum erga Dauidem animum apud filium prodidit, cùm minimum abfuerit quin suis ipsum manibus propter illum perimeret. Ac tum quidem regius filius è conuiuio profugus, oblitus epularum, tum suum periculum, tum amici iam neci destinati vicem dolens, in mœrore noctem exegit: & prima luce ante vrbem in agrum prætextu exercendi se, sed re vera vt amico indicaret omnia, processit. peractísque in iaculatione his quæ promiserat, ablegatóque in vrbem comite puero, solitudinem nactus ad colloquium Dauidis properat. qui vt primum in conspectum est datus, procumbens ad eius pedes seruatorem suum salutauit. ille erectum à terra complectitur, atque ita æquales duo in mutuis amplexibus hærentes iniquam sortem suam deplorabant; quæ illis suauissimam consuetudinem inuideret, & inuitissimos à se inuicem distraheret, quod illis morte nihilo mitius videbatur.

εἴς τινα τόπον ἀπελθεῖν τοῦ πεδίου φράσας, ἐν ᾧ γυμναζόμενος διετέλει. γνοὺς γὰρ τὰ παρὰ τοῦ πατρός, ἥξειν πρὸς αὐτὸν ἔφησεν ἐκεῖνος ἐπαγόμενος παῖδα. κἂν τρία ἀκόντια βαλὼν ἐπὶ τὸν σκοπὸν κομίσαι τῷ παιδὶ προστάσσω τὰ ἀκόντια, κεῖσθαι γὰρ ἔμπροσθεν αὐτοῦ, γίνωσκε μηδὲν εἶναι φαῦλον παρὰ τοῦ πατρός. ἂν δὲ τἀναντία τούτων ἀκούσῃς μου λέγοντος, καὶ τὰ ἐναντία παρὰ τοῦ βασιλέως προσδόκα. τῆς μέντοι γε ἀσφαλείας τεύξῃ παρ' ἐμοῦ, καὶ οὐδὲν μὴ πάθῃς ἄτοπον. ὅπως δὲ μνησθῇς τούτων παρὰ τὸν τῆς εὐπραγίας καιρόν, σκόπει, καὶ τοῖς υἱοῖς μου γενοῦ χρήσιμος. δαβίδης μὲν οὖν ταύτας λαβὼν παρὰ ἰωνάθου τὰς πίστεις, εἰς τὸ συγκείμενον ἀπηλλάγη χωρίον. τῇ δ' ἐρχομένῃ, νεομηνία δ' ἦν, ἁγνεύσας ὡς ἔθος εἶχεν ὁ βασιλεύς, ἧκεν ἐπὶ τὸ δεῖπνον. καὶ παρακαθεσθέντων αὐτῷ, τοῦ μὲν παιδὸς ἰωνάθου ἐκ δεξιῶν, ἀβεννήρου δὲ τοῦ ἀντιστρατήγου ἐκ τῶν ἑτέρων, ἰδὼν τὴν τοῦ δαβίδου καθέδραν κενήν, ἡσύχασεν, ὑπονοήσας οὐ καθαρεύσαντα αὐτὸν ἀπὸ συνουσίας ὑστερεῖν. ὡς δὲ καὶ τῇ δευτέρᾳ τῆς νουμηνίας οὐ παρῆν, ἐπυνθάνετο παρὰ τοῦ παιδὸς ἰωνάθου, ὅτι καὶ τῇ παρελθούσῃ καὶ ταύτῃ τοῦ δείπνου καὶ τῆς ἑστιάσεως ὁ τοῦ ἰεσσαίου παῖς ἀπολέλειπται. ὁ δὲ πεπορεῦσθαι κατὰ τὰς συνθήκας ἔφησεν αὐτὸν εἰς τὴν ἑαυτοῦ πατρίδα, τῆς φυλῆς ἑορτὴν ἀγούσης, ἐπιτρέψαντος αὐτοῦ. παρακαλέσαι μέντοι καὶ τοῦτον ἐλθεῖν ἐπὶ τὴν θυσίαν. κἂν συγχωρῇς φησιν ἀπέρχομαι, τὴν γὰρ εὔνοιάν μου τὴν πρὸς αὐτὸν ἐπίστασαι. τότε τὴν πρὸς δαβίδην τοῦ πατρὸς ἰωνάθης ἐπέγνω δυσμένειαν, καὶ τρανῶς τὴν ὅλην αὐτοῦ βούλησιν εἶδεν. οὐ γὰρ κατέσχε τῆς ὀργῆς σάουλος, ἀλλὰ βλασφημῶν ἐξ αὐτομόλων γεγεννημένον καὶ πολέμιον ἀπεκάλει, καὶ κοινωνὸν τοῦ δαβίδου καὶ συνεργὸν ἔλεγε, καὶ μηδ' αὐτὸν αἰδεῖσθαι μήτε τὴν μητέρα αὐτοῦ, ταῦτα φρονοῦντα, καὶ μὴ βουλόμενον πεισθῆναι τοῦθ' ὅτι μέχρις οὗ περίεσι δαβίδης, ἐπισφαλῶς αὐτοῖς τὰ τῆς βασιλείας ἔχει. μεταπέμψαι τοιγαροῦν αὐτὸν ἔφησεν ἵνα δῷ δίκην. ὑποτυχόντος δ' ἰωνάθου, τί δ' ἀδικοῦντα κολάσαι θέλεις, οὐκ ἔτ' εἰς λόγους καὶ βλασφημίας τὴν ὀργὴν ὁ σάουλος ἐξήνεγκεν. ἀλλ' ἁρπάσας τὸ δόρυ, ἀνεπήδησεν εἰς αὐτὸν ἀποκτεῖναι θέλων. καὶ τὸ μὲν ἔργον οὐκ ἔδρασε διακωλυθεὶς ὑπὸ τῶν φίλων. φανερὸς δ' ἐγένετο τῷ παιδί, μισῶν τὸν δαβίδην, καὶ διαχειρήσασθαι ποθῶν, ὡς παρὰ μικρὸν δι' ἐκεῖνον αὐτόχειρ καὶ τοῦ παιδὸς γεγονέναι. καὶ τότε μὲν ὁ τοῦ βασιλέως παῖς ἐκπηδήσας ἀπὸ τοῦ δείπνου, καὶ μηδὲν ὑπὸ λύπης προσενέγκασθαι δυνηθείς, κλαίων αὐτὸν μὲν τοῦ παρὰ μικρὸν ἀπολέσθαι, τοῦ κατακεκρίσθαι δ' ἀποθανεῖν δαβίδην ἐνυκτέρευσεν. ἅμα δὲ ἡμέρᾳ, πρὸ τῆς πόλεως εἰς τὸ πεδίον, ὡς γυμναζόμενος μέν, δηλώσων δὲ τῷ φίλῳ τὴν τοῦ πατρὸς διάθεσιν ὡς συνέθετο πρόεισι. ποιήσας δὲ ὁ ἰωνάθης τὰ συγκείμενα, τὸν μὲν ἑπόμενον ἀπολύει εἰς τὴν πόλιν παῖδα, ὁ δ' ἐν ἐρημίᾳ τῷ δαβίδῃ παρῆλθεν εἰς ὄψιν αὐτοῦ καὶ λόγους. ἅμα φανεὶς δ' οὗτος, πίπτει πρὸς τῶν ἰωνάθου ποδῶν, καὶ προσκυνῶν σωτῆρα αὐτοῦ τῆς ψυχῆς ἀπεκάλει. ἀνίστησι δ' ἀπὸ τῆς γῆς αὐτόν, καὶ περιπλακέντες ἀλλήλοις, μακρά τε ἠσπάζοντο καὶ δεδακρυμένα, τὴν τ' ἡλικίαν ἀποθρηνοῦντες αὐτῶν καὶ τὴν ἐφθονημένην ἑταιρείαν, καὶ τὸν μέλλοντα διαχωρισμόν, ὃς οὐδὲν αὐτοῖς ἐδόκει θανάτου διαφέρειν.

μόλις

μόλις δ' ἐκ τῶν θρήνων ἀνανήψαντες, καὶ μεμνῆσθαι τῶν ὅρκων, ἀλλήλοις παρακελευσάμενοι, διελύθησαν. Δαβίδης δὲ φυγὼν τὸν βασιλέα καὶ τὸν ἐξ αὐτοῦ πόλεμον, εἰς νωβᾶν παραγίνεται πόλιν πρὸς ἀχιμέλεχον τὸν ἱερέα. ὃς, ἐπὶ τῷ μόνον ἥκοντα ἰδεῖν, καὶ μήτε φίλον σὺν αὐτῷ, μήτ' οἰκέτην παρόντα, ἐθαύμασε, καὶ τὴν αἰτίαν τοῦ μηδένα εἶναι σὺν αὐτῷ, μαθεῖν ἤθελεν. ὁ δὲ, πρᾶξιν ἀπόρρητον ἐπιταγῆναι πρὸς τοῦ βασιλέως ἔφη, εἰς ἣν συνοδίας αὐτῷ βουλομένῳ μαθεῖν οὐκ ἔδει. τοὺς μέν τοι θεράποντας εἰς τόνδε μοι τὸν τόπον ἀπαντᾶν προσέταξα. ἠξίου δὲ λαβεῖν ἐφόδια. φίλον γὰρ αὐτὸν ποιήσειν ἔργον παρασχόντα, καὶ πρὸς τὸ προκείμενον συλλαμβανομένου. τυχὼν δὲ τούτων, ᾔτει καὶ ὅπλων τι μετὰ χεῖρας, ῥομφαίαν ἢ δοράτιον. παρῆν δὲ καὶ σαούλου δοῦλος γενόμενος σύρος, δώηκος δ' ὄνομα, τὰς τοῦ βασιλέως ἡμιόνους νέμων. ὁ δ' ἀρχιερεὺς, ἔχειν μὲν αὐτὸς οὐδὲν εἶπε τοιοῦτον. εἶναι δὲ τὴν γολιάθου ῥομφαίαν, ἣν ἀποκτείνας τὸν παλαιστινὸν αὐτὸς ἀναθεῖναι τῷ θεῷ. λαβὼν δὲ ταύτην ὁ δαβίδης, ἔξω τῆς τῶν ἑβραίων χώρας εἰς γίτταν διέφυγε τὴν παλαιστινῶν, ἧς ἀγχοῦς ἐβασίλευσεν. ἐπιγνωσθεὶς δὲ ὑπὸ τῶν τοῦ βασιλέως οἰκετῶν, καὶ φανερὸς αὐτῷ γενόμενος μηνυόντων ἐκείνων ὅτι δαβίδης ὁ πολλὰς ἀποκτείνας παλαιστινῶν μυριάδας εἴη, δείσας μὴ πρὸς αὐτοῦ θάνῃ, καὶ τὸν κίνδυνον ὃν ἐξέφυγε παρὰ σαούλου παρ' ἐκείνου πειραθῇ, προσποιεῖται μανίαν καὶ λύσσαν, ὡς ἀφρὸν κατὰ τοῦ στόματος αὐτοῦ φερόμενον, καὶ τὰ ἄλλα δὲ ὅσα συνίστησι μανίας πίστιν παρὰ τῷ γιττῶν βασιλεῖ γενέσθαι τῆς νόσου. καὶ τοῖς οἰκέταις προσδυσχεράνας ὡς ἔκφρονα πρὸς αὐτὸν ἀγάγοιεν ἄνθρωπον, ἐκέλευσε τὸν δαβίδην ὡς τάχος ἐκβαλεῖν. διασωθεὶς δὲ οὕτως ἐκ τῆς γίττης, εἰς τὴν ἰούδα παραγίνεται φυλήν. καὶ ἐν τῷ πρὸς ἀδουλλάμῃ πόλει σπηλαίῳ διατρίβων, πέμπει πρὸς τοὺς ἀδελφοὺς δηλῶν αὐτοῖς ἔνθα εἴη. οἱ δὲ, μετὰ πάσης συγγενείας ἧκον πρὸς αὐτόν. καὶ τῶν ἄλλων δὲ ὅσοις ἢ χρεία ἦν ἢ φόβος ἐκ σαούλου τοῦ βασιλέως, συνερρύησαν πρὸς αὐτόν, καὶ ποιεῖν τὰ ἐκείνων δοκοῦντα ἑτοίμως ἔχειν ἔλεγον. ἐγένοντο δὲ οἱ πάντες ὡς τετρακόσιοι. θαρρήσας δὲ ὡς καὶ χειρὸς αὐτῷ καὶ συνεργίας ἤδη προσγεγενημένης, ἀπάρας ἐκεῖθεν ἀφικνεῖται, πρὸς τὸν τῶν μωαβιτῶν βασιλέα, καὶ τοὺς γονεῖς αὐτοῦ εἰς τὴν αὐτοῦ χώραν προσδεξάμενον ἕως ἂν ἀπογνῷ τὸ καθ' αὐτὸν τέλος ἔχειν παρεκάλει. κατανεύσαντος δ' αὐτοῦ τὴν χάριν, καὶ πάσης τοὺς γονεῖς τοῦ δαβίδου τιμῆς, παρ' ὃν ἐτύγχανον παρ' αὐτῷ χρόνον ἀξιώσαντος, αὐτὸς δὲ, τοῦ προφήτου κελεύσαντος αὐτὸν τὴν μὲν ἐρημίαν ἐκλιπεῖν, πορευθέντα δ' εἰς τὴν κληρουχίαν τῆς ἰούδα φυλῆς ἐν αὐτῇ διάγειν, πείθεται. καὶ παραγενόμενος εἰς σάριν πόλιν ἐν αὐτῇ κατέμενε. σάουλος δ' ἀκούσας ὅτι μετὰ πλήθους ὀφθείη δαβίδης, οὐκ εἰς τυχόντα θόρυβον καὶ ταραχὴν ἐνέπεσεν. ἀλλ' εἰδὼς τὸ φρόνημα τοῦ ἀνδρὸς, καὶ τὴν εὐτολμίαν, οὐδὲν ἐξ αὐτοῦ μικρὸν ἀνακύψειν ἔργον, ὑφ' οὗ κλαύσεσθαι πάντως καὶ πονήσειν, ὑπενόησε. καὶ συγκαλέσας τοὺς φίλους καὶ τοὺς ἡγεμόνας, καὶ τὴν φυλὴν ἐξ ἧς αὐτὸς πρὸς αὐτὸν ἐπὶ τὸν βουνὸν οὗ τὸ βασίλειον εἶχε, καὶ καθίσας ἐπ' ἀρούρης, τόπος δὲ ἦν τις οὕτω προσαγορευόμενος, τιμῆς πολιτικῆς περὶ αὐτὸν οὔσης τάξεως, καὶ τῶν σωματοφυλάκων, λέγει πρὸς αὐτούς. ἄνδρες ὁμόφυλοι, μέμνησθε μὲν, οἶδ' ὅτι, τῶν ἐμῶν εὐεργεσιῶν,

ac vix tandem multis lamentis exatiati, obtestatique se inuicem vt mutuæ fidei perpetuò meminissent, digrediuntur. XIII. Inde Dauid fugiens infestissimum regem, in oppidum Nobam ad Achimelechum sacerdotem peruenit: *1. Reg. 21.* qui solùm neque famulitio stipatum, neque amicis comitatum aduenisse videns, motus admiratione tantæ solitudinis causam percontatus est. tum ille secreta mandata à rege se habere dixit, ad quæ peragenda nullo comitatu opus esset. nam famulos in constituto loco sibi occurrere iussos. poposcit autem ab eo viaticum. sic enim & amici officium facturum, & ad præsens negotium opem collaturum. quo impetrato, armorum etiam aliquid petiit, aut hastam aut gladium. Fortè autem aderat quidam Sauli seruus natione Syrus, nomine Doecus, regiarum mularum curator. Pontifex verò negauit sibi esse quicquam armorum. esse tamen ibi Goliathi gladium, quem occiso Palæstino Deo consecrauerat. Hoc accepto Dauid extra ditionem Hebræorum aufugit in Gittam Palæstinorum, apud quam regnabat Anchus. vbi agnitus à regis ministris, & indicio ad regem perlato, hunc esse Dauidem qui tam multa Palæstinorum millia neci dederit: veritus ne ab eo perimeretur, & in periculum, quod apud Saulum effugerat, apud hunc incideret, furorem ac rabiem simulat, ita vt ore spumam emitteret, & alia signa insaniæ præ se ferret, quibus morbo fidem apud Gittensium regem astrueret. qui iratus famulis quòd mente captum hominem ad se adduxissent, iussit vt quàm primùm eiiceretur. Hoc pacto è Gitta cùm euasisset, in tribum Iudæ peruenit, & agens in spelunca quæ est in agro Adullamæ, misit ad fratres qui eos doceret, vbinam ipse moraretur. *1. Reg. 22.* at illi cum tota cognatione se ad eum contulerunt, nec non & alij multi aut rerum nouarum cupidi, aut Saulum timentes, ad eum vltro confluxerunt, operam suam ad omnem eius nutum offerentes. quorum numerus ad quadringentos creuit. quorum multitudine ac ope fretus, relicto eo loco ad Moabitarum regem proficiscitur, rogátque hominem vt parentes ipsius intra regni sui fines tantisper reciperet, dum res eorum in meliore statu collocarentur. Quo impetrato, & parentibus in magno honore apud regem quandiu illic manserunt habitis, ipse iussu prophetæ relicto deserto in tribum Iudæ se cum suis transtulit, apud Sarim oppidum se continens. Quod postquam ad Saulum delatum est, Dauidem cum armatorum manu esse conspectum, in non mediocrem metum ac perturbationem regem coniecit. Sciens enim eius magnanimitatem ac fortitudinem, aliquid magnum moliturum suspicabatur, quod rebus regis aut periculum, aut certè difficultatis ac laboris plurimum afferret. conuocatísque amicis & ducibus & vniuersis suis tribulibus ad regiam vrbem Gabam, sedens in loco cui nomen Aruum, adstante honoratissimo quoque & toto satellitio, sic eos est affatus: Viri contribules,

ſcio vos meminiſſe quantis à me affecti ſitis beneficiis, & agris locupletati, & honoribus ac præfecturis aucti. Rogo igitur num plura & maiora munera à Ieſſæi filio expectetis. ſcio enim vos omnes in illum propenſiores, initio facto à Ionatha filio, qui & vobis huius ſententiæ autor eſt. non enim me latent clandeſtina inter illum & Dauidem icta fœdera: neque quòd conſilio & opibus aduerſariorum partes contra me adiuuat. Vos autem nihil hæc cura tangit, ſed quieti quò res euaſura ſit expectatis. Poſt hæc regis verba cæteris ſilentibus, ſolus Doecus Syrus mularum regiarum curator reſpondit, vidiſſe ſe Dauidem in Noab oppido, quò cùm ad pontificem Achimelechum veniſſet, ab eo de euentu rerum oraculum accepiſſe, adiutúmque commeatu & gladio Goliathi armatum, quò volebat deductum eſſe. Accitus eſt mox cum tota cognatione pontifex: cui rex, Qua noſtra iniuria prouocatus excepiſti Ieſſæi filium, & regis inſidiatorem armis atque commeatu inſtruxiſti? aut cur etiam de futuris oracula ei reddidiſti? Non enim ignorabas, quòd propter odium quo familiam meam proſequitur, hinc aufugerit. Pontifex autem nihil horum infitiatus, liberè faſſus eſt hæc ſe non tam Dauidi præſtitiſſe quàm ipſi regi. Excepi, inquit, non vt inimicum tuum, ſed vt fidiſſimum miniſtrum & tribunum, & quod maius eſt generum, ac propinqua neceſſitudine coniunctum. quis enim putaret eum qui hoc honore à te dignatus ſit, inimicum eſſe, ac non potiùs cum primis beneuolum? Conſultus etiam de diuina voluntate, non nunc primùm ei reſpondi, ſed aliàs quoque ſæpenumero. Cúmque ſe diceret à te miſſum ad arduum negocium properare, non ſuppeditare quæ requirebat, ad tuam magis quàm ad illius iniuriam pertinere iudicabam. Quare non eſt quod de me malè ſuſpiceris, aut ſi quid noui nunc Dauidem moliri audiuiſti, ob exhibitam à me humanitatem, fauere me illi aduerſum te cogites. in amicum enim ac generum & tribunum tuum collatum volui, quicquid officij in illum contuli. His verbis Saulus fidem habere noluit, quòd plus apud eum metus periculi valeret quàm excuſatio quantumuis iuſta. itaque circumdatum armatis cum tota familia iubet contrucidari. cumque illis religio eſſet viros Deo ſacros ferro violare, Doecum Syrum eam cædem perpetrare mandauit. qui aſſumptis ad hoc aliquot ſui ſimilibus facinoroſis, pontificem cum tota cognatione interfecit: quorum numerus erat trecenti octuaginta quinque. moxque miſſi ſunt à rege Nobam ſacerdotum oppidum, qui contrucidatis ad vnum habitatoribus, nullo vel ætatis vel ſexus reſpectu, poſtremò flammis eam deleuerunt: ex qua clade vnicus tantùm Achimelechi filius, nomine Abiatharus ſeruatus eſt: idque totum iuxta oraculum Dei Eli pontifici olim redditum contigit, quo prædictum erat, propter filiorum iniquitatem eius poſteritatem aliquando interituram. Rex autem Saulus tam ſæuo facinore perpetrato,

IX.

ὅτι καὶ ἀγρῶν τινας ἐποίησα δεσπότας, καὶ τιμαῖς τῶν ἐν τῷ πλήθει καὶ τάξεων ἠξίωσα. πυνθάνομαι γὰρ εἰ μείζονας τούτων δωρεὰς καὶ πλείονας παρὰ τοῦ ἰεσσαίου παιδὸς προσδοκᾶτε. οἶδα γὰρ ὅτι πάντες ἐκείνῳ προστέθεισθε, τοῦ ἐμοῦ τε παιδὸς ἰωνάθου αὐτοῦ τε οὕτως φρονήσαντος καὶ ὑμᾶς ταῦτα πείσαντος. οὐ γὰρ ἀγνοῶ τοὺς ὅρκους καὶ τὰς συνθήκας τὰς πρὸς δαβίδην αὐτῷ γεγενημένας. οὐδὲ ὅτι σύμβουλος μὲν καὶ συνεργὸς ἰωνάθης ἐστὶ τῶν κατ' ἐμοῦ συντεταγμένων. μέλει δ' ὑμῖν οὐδενὶ περὶ τούτων, ἀλλὰ τὸ ἀποβησόμενον ἡσυχάζοντες σκοπεῖτε. σιωπήσαντος δὲ τοῦ βασιλέως, ἄλλος μὲν οὐδεὶς ἀπεκρίνατο τῶν παρόντων. δώηκος δὲ ὁ σύρος, ὁ τὰς ἡμιόνους αὐτοῦ βόσκων εἶπεν, ὡς ἴδοι τὸν δαβίδην εἰς νωβὰν πόλιν πρὸς ἀχιμέλεχον ἐλθόντα τὸν ἀρχιερέα, τά τε μέλλοντα παρ' αὐτοῦ προφητεύσαντος μαθεῖν, καὶ λαβόντα ἐφόδια, καὶ τὴν ῥομφαίαν τοῦ γολιάθου, πρὸς οὓς ἐβούλετο μετ' ἀσφαλείας προπεμφθῆναι. μεταπεμψάμενος οὖν τὸν ἀρχιερέα, καὶ πᾶσαν αὐτοῦ τὴν συγγένειαν σάουλος, τί παθὼν εἶπεν ὑπ' ἐμοῦ δεινὸν καὶ ἄχαρι, τὸν ἰεσσαίου παῖδα προσεδέξω, καὶ σιτίων μὲν αὐτῷ μετέδωκας καὶ ὅπλων, ὄντι τῆς βασιλείας ἐπιβούλῳ; τί γὰρ δὴ καὶ περὶ τῶν μελλόντων ἐχρημάτιζες; οὐ γὰρ δήπου φεύγων ἐμὲ καὶ μισῶν τὸν ἐμὸν οἶκον ἐλάνθανεν. ὁ δ' ἀρχιερεὺς οὐκ ἐπ' ἄρνησιν ἐτράπη τῶν γεγονότων, ἀλλὰ μετὰ παρρησίας ταῦτα παρασχεῖν ὡμολόγει, οὐχὶ δαβίδῃ χαριζόμενος, ἀλλ' αὐτῷ. πολέμιον γὰρ οὐκ εἰδέναι ἔφασκε, πιστὸν δὲ ἐν τοῖς μάλιστα δοῦλον καὶ χιλίαρχον, καὶ τὸ τούτων μεῖζον, γαμβρόν τε ἤδη καὶ συγγενῆ. ταῦτα δ' οὐκ ἐχθροῖς παρέχειν τοὺς ἀνθρώπους, ἀλλὰ τοῖς εὐνοίᾳ καὶ τιμῇ τῇ πρὸς αὐτοὺς ἀρίστοις. προφητεῦσαι δὲ οὐ νῦν πρῶτον αὐτῷ, ἀλλὰ καὶ πολλάκις καὶ ἄλλοτε τοῦτο πεποιηκέναι. φήσαντι δὲ ὑπὸ σοῦ πεμφθῆναι κατὰ πολλὴν σπουδὴν ἐπὶ πρᾶξιν, τὸ μηδὲν παρασχεῖν ἂν ἐπεζήτει, σοὶ μᾶλλον ἀντιλέγειν, ἢ ἐκείνῳ περὶ αὐτῶν ἐλογιζόμην. διὸ μηδὲν πονηρὸν κατ' ἐμοῦ φρονήσῃς, μηδὲ πρὸς ἃ νῦν ἀκούεις δαβίδην ἐγχειρεῖν πρὸς ταῦτα τὴν τότε μου δοκοῦσαν φιλανθρωπίαν ὑποπτεύσῃς. φίλῳ γὰρ καὶ γαμβρῷ σῷ καὶ χιλιάρχῳ παρέσχον, οὐ πολεμίῳ. ταῦτα λέγων ὁ ἀρχιερεὺς, οὐκ ἔπεισε τὸν σάουλον, ἀλλὰ δεινὸς μὲν ὁ φόβος, μηδ' ἀληθῶς πιστεύειν ἀπολογίᾳ. κελεύει δὲ τοῖς ὁπλίταις, περιστᾶσιν αὐτόν, μετὰ τῆς γενεᾶς ἀποκτεῖναι. μὴ θαρρούντων δ' ἐκείνων ἅψασθαι τοῦ ἀρχιερέως, ἀλλὰ τὸ θεῖον εὐλαβουμένων μᾶλλον, ἢ τὸ παρακοῦσαι τοῦ βασιλέως, τῷ σύρῳ δωήκῳ προστάσσει τὸν φόνον. καὶ παραλαβὼν ὁμοίους αὐτῷ πονηροὺς ἐκεῖνος, ἀποκτείνει τὸν ἀχιμέλεχον, καὶ τὴν γενεὰν αὐτοῦ. ἦσαν δὲ πάντες ὡς πέντε καὶ ὀγδοήκοντα καὶ τριακόσιοι. πέμψας δὲ ὁ σάουλος καὶ εἰς τὴν πόλιν τῶν ἱερέων νώβαν, πάντας τε αὐτοὺς ἀπέκτεινεν, οὐ γυναικῶν οὐ νηπίων, οὐδὲ ἄλλης ἡλικίας φεισάμενος, αὐτήν τε ἐνέπρησε. διασώζεται δὲ παῖς εἷς ἀχιμελέχου, ἀβιάθαρος ὄνομα. ταῦτα μὲν τοίγε συνέβη, καθὼς προεφήτευσεν ὁ θεὸς τῷ ἀρχιερεῖ ἠλί, διὰ τὰς τῶν υἱῶν αὐτοῦ δύο παρανομίας εἰπὼν διαφθαρήσεσθαι τοὺς ἐκγόνους. σάουλος δὲ ὁ βασιλεύς, ὠμὸν οὕτως ἔργον διαπραξάμενος, καὶ γε-

καὶ γενεὰν ὅλην ἀρχιερατικῆς ἀποσφάξας τιμῆς, καὶ μήτ᾽ ἐπὶ νηπίοις λαβὼν οἶκτον, μήτ᾽ ἐπὶ γέρουσιν αἰδῶ, καταβαλὼν δὲ καὶ τὴν πόλιν ἣν πατρίδα καὶ τροφὸν τῶν ἱερέων καὶ προφητῶν αὐτόθι τὸ θεῖον ἐπελέξατο, καὶ μόνην εἰς τὸ τοιούτους φέρειν ἄνδρας ἀπέδειξε, μαθεῖν ἅπασι παρέσχε καὶ κατανοῆσαι τὸν ἀνθρώπινον τρόπον, ὅτι μέχρις οὗ μέν εἰσιν ἰδιῶται τινὲς καὶ ταπεινοὶ, τῷ μὴ δύνασθαι χρῆσθαι τῇ φύσει, μηδὲ τολμᾶν ὅσα θέλουσιν, ἐπιεικεῖς εἰσὶ καὶ μέτριοι, καὶ μόνον διώκουσι τὸ δίκαιον, καὶ πρὸς αὐτὸ τὴν εὔνοιάν τε καὶ πᾶσαν σπουδὴν ἔχουσι. τότε δὲ καὶ περὶ τοῦ θείου πεπιστεύκασιν ὅτι πᾶσι τοῖς γινομένοις ἐν τῷ βίῳ πάρεστι, καὶ οὐ τὰ ἔργα μόνον ὁρᾷ τὰ πραττόμενα, ἀλλὰ καὶ τὰς διανοίας ἤδη σαφῶς οἶδεν ἀφ᾽ ὧν μέλλοι ταῦτα ἔσεσθαι. ὅταν δὲ εἰς ἐξουσίαν παρέλθωσι καὶ δυναστείαν, τότε πάντ᾽ ἐκεῖνα μετεκδυσάμενοι, καὶ ὥσπερ ἐπὶ σκηνῆς προσωπεῖα τὰ ἤθη καὶ τοὺς τρόπους ἀποθέμενοι, μεταλαμβάνουσι τόλμαν, ἀπόνοιαν, καταφρόνησιν ἀνθρωπίνων τε καὶ θείων. καὶ ὅτε μάλιστα δεῖ τῆς εὐσεβείας αὐτοῖς καὶ τῆς δικαιοσύνης ἔγγιστα τοῦ φθονεῖσθαι γεγενημένοις, καὶ πᾶσι φανεροῖς ἐφ᾽ οἷς ἂν νοήσωσιν ἢ πράξωσι καθεστῶσι, τόθ᾽ ὡς οὐκέτι βλέποντος αὐτοὺς τοῦ θεοῦ, ἢ διὰ τὴν ἐξουσίαν δεδιότος, οὕτως ἐμπαροινοῦσι τοῖς πράγμασιν. ἃ δ᾽ ἂν ἢ φοβηθῶσιν ἀκούσαντες, ἢ μισήσωσι θελήσαντες, ἢ στέρξωσιν ἀλόγως, ταῦτα κύρια καὶ βέβαια καὶ ἀληθῆ τοῖς ἀνθρώποις καὶ ἀρεστὰ τῷ θεῷ δοκοῦσι. τῶν δὲ μελλόντων λόγος αὐτοῖς οὐδὲ εἷς. ἀλλὰ τιμῶσι μὲν, πολλὰ ταλαιπωρήσαντας, τιμήσαντες δὲ, φθονοῦσι. κἂν προαγαγόντες εἰς ἐπιφάνειαν, οὐ ταύτης ἀφαιροῦνται μόνον τοὺς τετυχηκότας, ἀλλὰ διὰ ταύτην καὶ τοῦ ζῆν ἐπὶ πονηραῖς αἰτίαις, καὶ δι᾽ ὑπερβολὴν αὐτῶν ἀπιθάνως κολάζουσιν, οὐκ ἐπ᾽ ἔργοις δίκης ἀξίοις, ἀλλ᾽ ἐπὶ διαβολαῖς καὶ κατηγορίαις ἀβασανίστοις, οὐδ᾽ ὅσους δεῖ τοῦτο παθεῖν, ἀλλ᾽ ὅσους ἀποκτεῖναι δύνανται. τοῦτο Σαοῦλος ἡμῖν ὁ Κισαίου παῖς, ὁ πρῶτος μετὰ τὴν ἀριστοκρατίαν καὶ τὴν ἐπὶ τοῖς κριταῖς πολιτείαν Ἑβραίων βασιλεύσας, φανερὸν πεποίηκε, τριακοσίους ἀποκτείνας ἱερέας καὶ προφήτας ἐκ τῆς πρὸς Ἀχιμέλεχον ὑποψίας. ἐπικαταβαλὼν δὲ αὐτοῖς καὶ τὴν πόλιν, καὶ τὸν ἐν τρόπῳ τινὶ ναὸν σπουδάσας ἱερέων καὶ προφητῶν ἔρημον καταστῆσαι, τοσούτους μὲν ἀνελὼν, μεῖναι δὲ ἐάσας, οὐδὲ τὴν πατρίδα αὐτῶν πρὸς τὸ καὶ μετ᾽ ἐκείνους ἄλλους γενέσθαι. ὁ δ᾽ Ἀβιάθαρος ὁ τοῦ Ἀχιμελέχου παῖς ὁ μόνος διασωθῆναι δυνηθεὶς ἐκ τοῦ γένους τῶν ὑπὸ Σαούλου φονευθέντων ἱερέων, φυγὼν πρὸς Δαβίδην, τὴν τῶν οἰκείων αὐτοῦ συμφορὰν ἐδήλωσε καὶ τὴν τοῦ πατρὸς ἀναίρεσιν. ὁ δ᾽ οὐκ ἀγνοεῖν ἔφη ταῦτα περὶ αὐτοὺς ἐσόμενα ἰδὼν τὸν Δώηκον. ὑπονοῆσαι γὰρ διαβληθήσεσθαι πρὸς αὐτοῦ τὸν ἀρχιερέα τῷ βασιλεῖ. καὶ τῆς ἀτυχίας ταύτης αὐτοῖς αὑτὸν ᾐτιᾶτο. μένειν δ᾽ αὐτόθι καὶ σὺν αὐτῷ διατρίβειν, ὡς οὐκ ἐν ἄλλῳ τόπῳ λησόμενον οὕτως ἠξίου. κατὰ δὲ τοῦτον τὸν καιρὸν ἀκούσας ὁ Δαβίδης τοὺς Παλαιστινοὺς ἐμβεβληκότας εἰς τὴν Κιλλανῶν χώραν, καὶ ταύτην διαρπάζοντας, δίδωσιν ἑαυτὸν στρατεύειν ἐπ᾽ αὐτοὺς,

stirpe pontificia internecione deleta, neque teneram ætatem miseratus, neque grandæuos reueritus, insuperque ciuitate quàm patriam ac alumnam sacerdotum & prophetarum singulari priuilegio Deus elegerat, solo æquata, satis declarauit quàm prauum sit hominum ingenium. Tantisper enim dum humiles sunt atque plebeij, quia non audent, neque liberum est naturæ obsequi, æqui ac boni viri esse videntur, mirumque quoddam iustitiæ studium præ se ferunt: quin & pietatem interea colunt, Deumque omnibus actionibus nostris interesse, omnes denique cogitationes intueri persuasum habent. sed simul atque ad potentiam & imperium prouecti sunt, exutis pristinis moribus, & tanquam in scena mutato habitu, nouáque persona assumpta, in omnem audaciam & insolentiam diuinarúmque æquè ac humanarum rerum contemptum prolabuntur. & cùm ad superandam inuidiam maximè illis opus est pietate & iustitia, cúmque omnes eorum non actiones solùm, verumetiam voluntates in conspicuo sint omnibus propositæ, tum maximè tanquam aut dissimulante Deo, aut & ipso potestatem eorum formidante, in subditos debacchantur. & quicquid aut per inanem metum, aut odium vel fauorem irritationabilem decernunt, id tum hominibus ratum, tum Deo quoque ipsi probatum esse existimant: futurorum verò prorsus nullum nec respectum nec rationem habent. Quotquot enim in eorum gratiam plurimos labores exhauriunt, eos primum euehunt, deinde iam honoratos per inuidiam non solùm dignitatibus priuant, sed per calumniam etiam sæpe opprimunt, non considerantes quàm meritò, tantumque temerariis delationibus absque vlla probatione fidem adhibentes: & sæuiunt non in quos oportet, sed in quos ipsis sæuire est facilè. Hæc ita esse manifestum exemplum in Saulo Cisi filio nobis est exhibitum, qui primus post sublatam optimatum administrationem ac iudicum supremum magistratum rex Hebræorum creatus, propter suspectum Achimelechum trecentos sacerdotes & prophetas interfecit: cæsósque excidio vrbis obruit, & quantum in se fuit summi Dei fanum sacerdotibus sacrísque ministeriis orbauit, post tam numerosam cædem ne patriam quidem eorum & seminarium superesse passus. Abiatharus autem Achimelechi filius, qui solus generis sui superstes cædem sacerdotum euaserat, ad Dauidem fuga delatus, familiæ cladem & patris interitum ei renunciauit. at ille iam ante se hoc præsagiuisse dicebat, cùm illic Doecum videret: facilèque suspicatum, calumniam pontifici apud regem struendam: ægerriméque ferebat quòd ipse tanti mali occasionem præbuisset. simúlque iussit, vt apud se maneret, quod nusquam tutiores latebras inuenire posset. Per idem tempus cùm indicatum esset Dauidi Palæstinos in Cillanorum agrum irrupisse, eúmque quantus est populari, decreuit illos adoriri, consulto priùs propheta,

1. Reg. 23.

an Deus victoriam annueret: confirmatúsque oraculo, & cum sua cohorte hostem aggressus magna cæde repulit, prædásque ex hostico egit, & Cillanis præsidio fuit dum fruges ex areis conueherent. Resciuit hoc maturè Saulus. nam rei feliciter gestæ fama contineri non potuit quin latè propagata ad regias quoque aures permanaret, non sine ipsius Dauidis laude. Quo nuncio lætus rex putauit se iam rem factam habere, audiens inimicum se intra vnius oppidi mœnia conclusisse, & diuinitus hanc occasionem opprimendi eius datam dictitans, edicit populo vt Cillam properè circumuentam tam diu premant obsidione, donec Dauidem in potestatem redactum interficiant. At ille oraculo admonitus, nisi maturè suis rebus consuleret, fore vt Cillani eius deditione ab ira regis se redimant, relicta vrbe in desertum se cum quadringentis armatis contulit, ibíque collem quendam munitum insedit, nomine Engelain. Saulus autem cognito quòd Dauid non amplius apud Cillam esset, expeditionem eam omisit. Dauid verò ex deserto in Cænam locum agri Zipheni se cum suis transtulit: quò etiam Ionathas regis filius præsto fuit salutaturus amicum, & de futuris collocuturus. Hortabatúrque eum vt bene speraret, néve præsentibus difficultatibus defatigatus cederet. omnino enim regnaturum eum, & vniuerso Hebræorum populo præfuturum. Tales autem felicitates non solere ociosis contingere. Renouatísque fœderibus & sancita sub Deo teste in omnem vitam amicitia, additísque diris execrationibus in eum qui prior à pactis recederet, illum eo loci reliquit, metu nonnihil ac solicitudine leuatum: ipse verò domum suam repetiit. Zipheni verò gratiam regis captantes, certiorem eum faciunt, Dauidem in agro suo morari: pollicebantúrque suam operam, vt in manus regis traderetur. occupatis enim quibusdam faucibus, nullum reliquum illi fore effugium. Saulus verò hominibus collaudatis, gratiísque actis quòd inimicum sibi indicassent, cumulatè se illis beneficium repositurum, pollicitus, misit qui diligenter quærerent Dauidem, omnésque deserti latebras perscrutarentur: dicens se breui cum exercitu secuturum. Atque ita Zipheni duces se regi ad perquirendum eum & comprehendendum obtulerunt, studium suum erga ipsum non indicio tantùm declaraturi, sed omnibus viribus conando vt in potestatem redactum regi traderent. Sed non habuit successum iniqua eorum cupiditas, quibus cùm nullum periculum ex silentio immineret, per adulationem & auaritiam virum pium & præter ius ad mortem quæsitum, regi se tradituros erant polliciti. Dauid enim cognita eorum malicia, simulque regis aduentu, relictis locorum angustiis in quibus tum versabatur, euasit ad magnam petram quæ sita est in deserto Simonis. Nec Saulus destitit illum insequi.

A εἰ ὁ θεὸς παρὰ τοῦ προφήτου πυθόμενος ἐπιτρέπει νίκην. τοῦ δὲ, σημαίνειν φήσαντος, ἐξώρμησεν ἐπὶ τοὺς παλαιστινοὺς μετὰ τῶν ἑταίρων, καὶ φόνον τε αὐτῶν πολὺν ἐξέχεε, καὶ λείαν ἤλασε, καὶ παραμείνας τοῖς κιλλανοῖς ἕως οὗ τὰς ἅλωνας καὶ τὸν καρπὸν συνεῖλον ἀδεῶς. σαούλῳ δὲ τῷ βασιλεῖ μηνύεται, παρ' αὐτοῖς ὤν. τὸ γὰρ ἔργον καὶ τὸ κατόρθωμα οὐκ ἔμεινε παρ' οἷς ἐγένετο. φήμη δ' ἐπὶ πᾶν εἴς τε τὰς τῶν ἄλλων ἀκοὰς, καὶ πρὸς τὰς τοῦ βασιλέως διεκομί-
B σθη, αὐτό τε συνιστάνον καὶ τὸν πεποιηκότα. χαίρει δὲ σάουλος ἀκούσας ἐν κίλλᾳ τὸν δαβίδην. καὶ θεὸς ἤδη χερσὶ ταῖς ἐμαῖς ὑπέθετο αὐτὸν εἰπὼν, ἐπεὶ καὶ συνηνάγκασεν ἐλθεῖν εἰς πόλιν, τείχη καὶ πύλας καὶ μοχλοὺς ἔχουσαν, τῷ λαῷ παντὶ προσέταξεν ἐπὶ τὴν κίλλαν ἐξορμῆσαι, καὶ πολιορκήσαντι, καὶ ἑλόντι τὸν δαβίδην, ἀποκτεῖναι. ταῦτα δ' αἰσθόμενος ὁ δαβίδης, καὶ μαθὼν παρὰ τοῦ θεοῦ ὅτι
C μείναντα παρ' αὐτοῖς οἱ κιλλῖται ἐκδώσουσι τῷ σαούλῳ, παραλαβὼν τοὺς τετρακοσίους, ἀπῆρεν ἀπὸ τῆς πόλεως εἰς τὴν ἔρημον ἐπάνω τῆς ἐγγελαὶν λεγομένης. καὶ ὁ μὲν βασιλεὺς, ἀκούσας αὐτὸν πεφευγότα παρὰ τῶν κιλλιτῶν, ἐπαύσατο τῆς ἐπ' αὐτὸν στρατείας. δαβίδης δὲ ἐκεῖθεν ἄρας, εἴς τινα τόπον καινὴν καλουμένην τῆς ζιφήνης παραγίνεται. εἰς ὃν ἰωνάθης ὁ τοῦ σαούλου παῖς συμβαλὼν αὐτῷ καὶ κατασπασά-
D μενος, θαῤῥεῖν τε καὶ χρηστὰς περὶ τῶν μελλόντων ἐλπίδας ἔχειν παρεκάλει, καὶ μὴ κάμνειν τοῖς παροῦσι. βασιλεύσειν γὰρ αὐτὸν, καὶ πᾶσαν τὴν ἑβραίων δύναμιν ἕξειν ὑφ' αὑτῷ. φιλεῖν δὲ τὰ τοιαῦτα σὺν μεγάλοις ἀπαντᾶν πόνοις. πάλιν δ' ὅρκους ποιησάμενος τῆς εἰς ἅπαντα τὸν βίον πρὸς ἀλλήλους εὐνοίας καὶ πίστεως, καὶ τὸν θεὸν μάρτυρα καλέσας, ὧν ἐπηράσατο παραβαίνοντι τὰ συγκείμενα καὶ μετα-
E βαλλομένῳ πρὸς τἀναντία, τὸν μὲν αὐτόθι καταλείπει μικρὰ τῶν φροντίδων καὶ τοῦ δέους ἐπικουφίσας. αὐτὸς δὲ πρὸς αὐτὸν ἐπανέρχεται. οἱ δὲ ζιφηνοὶ χαριζόμενοι τῷ σαούλῳ, μηνύουσιν αὐτῷ παρ' αὐτοῖς διατρίβειν τὸν δαβίδην. καὶ παραδώσειν ἔφασαν ἐπ' αὐτὸν ἐλθόντι. καταληφθέντων γὰρ τῶν τῆς ζιφήνης στενῶν οὐκ εἶναι φυγεῖν αὐτῷ πρὸς ἄλλους. ὁ δὲ βασιλεὺς ἐπῄνεσεν αὐτοὺς, χάριν ἔχειν ὁμολογή-
F σας, τὸν ἐχθρὸν αὐτῷ μεμηνυκόσι. καὶ οὐκ εἰς μακρὰν ἀμείψασθαι τῆς εὐνοίας ὑποσχόμενος αὐτοὺς, ἔπεμψε τοὺς ζητήσοντας τὸν δαβίδην, καὶ τὴν ἐρημίαν ἐξερευνήσοντας. αὐτὸς δ' ἀκολουθήσειν ἀπεκρίνατο. καὶ οἱ μὲν ἐπὶ τὴν θήραν καὶ τὴν σύλληψιν τοῦ δαβίδου προῆγον τὸν βασιλέα, σπουδάζοντες μὴ μόνον τῷ μηνῦσαι τὸν ἐχθρὸν αὐτῷ τὴν εὔνοιαν, ἀλλὰ καὶ τῷ παρασχεῖν αὐτὸν εἰς ἐξουσίαν, φανερωτέραν καταστήσειν. διήμαρτον δὲ τῆς ἀ-
G δίκου καὶ πονηρᾶς ἐπιθυμίας, οἳ μηδὲν κινδυνεύειν ἔμελλον ἐκ τοῦ μὴ ταῦτα ἐμφανίσαι τῷ σαούλῳ φιλοτιμίας. διὰ δὲ κολακείαν καὶ κέρδους προσδοκίαν παρὰ τοῦ βασιλέως, ἄνδρα θεοφιλῆ καὶ παρὰ δίκην ζητούμενον ἐπὶ θανάτῳ καὶ λανθάνειν δυνάμενον, διέβαλλον, καὶ παραδώσειν ὑπέσχοντο. γνοὺς γὰρ ὁ δαβίδης τήν τῶν ζιφηνῶν κακοήθειαν, καὶ τὴν τοῦ βασιλέως ἔφοδον, ἐκλείπει μὲν τὰ στενὰ τῆς ἐκείνων χώρας, φεύγει δ' ἐπὶ τὴν μεγάλην πέτραν τὴν οὖσαν ἐν τῇ σίμωνος ἐρήμῳ. ὥρμησεν δ' ἐπ' ἐκείνην διώκειν σάουλος.

κατὰ γὰρ

κατὰ γὰρ τὴν ὁδὸν, ἀναχωρήσαντα ἐκ τῶν στενῶν, μαθὼν τὸν δαβίδην, ἐπὶ τὸ ἕτερον μέρος τῆς πέτρας ἀπῆρεν. ἀποφευγούσας δὲ τὸν σαοῦλον ἀπὸ τῆς διώξεως τοῦ δαβίδου μέλλοντος ἤδη συλλαμβάνεσθαι παλαιστινοὶ, πάλιν ἐπὶ τὴν τῶν ἑβραίων ἐστρατευκέναι χώραν ἀκουσθέντες. ἐπὶ γὰρ τούτους ἀνέστρεψε, φύσει πολεμίους ὄντας, αὐτοὺς ἀμύνασθαι κρίνας ἀναγκαιότερον, ἢ τὸν ἴδιον σπουδάζοντα λαβεῖν ἐχθρὸν, περιιδεῖν τὴν γῆν κακωθεῖσαν. καὶ δαβίδης μὲν οὕτως, ἐκ παραλόγου τὸν κίνδυνον διαφυγὼν εἰς τὰ στενὰ τῆς ἐγγαδηνῆς ἀφικνεῖται. σαούλῳ δὲ ἐκβαλόντι τοὺς παλαιστινοὺς, ἧκον ἀπαγγέλλοντες τινὲς τὸν δαβίδην ἐν τοῖς ἐγγαδηνοῖς διατρίβειν ὅροις. λαβὼν δὲ τρισχιλίους ὁπλίτας ἐπιλεκτοὺς, ἐπ᾽ αὐτὸν ἠπείγετο. καὶ γενόμενος οὐ πόρρω τῶν τόπων, ὁρᾷ παρὰ τὴν ὁδὸν σπήλαιον βαθὺ καὶ κοῖλον εἰς πολὺ καὶ μῆκος ἀνεῳγὸς καὶ πλάτος, ἔνθα συνέβαινε τὸν δαβίδην μετὰ τῶν τετρακοσίων κεκρύφθαι. ἐπειγόμενος οὖν ὑπὸ τῶν κατὰ φύσιν, εἴσεισιν εἰς αὐτὸ μόνος. θεαθεὶς δ᾽ ὑφ᾽ ἑνὸς τῶν μετὰ δαβίδου, καὶ φράσαντος τοῦ θεασαμένου πρὸς τὸν ἐχθρὸν αὐτοῦ παρὰ τοῦ θεοῦ καιρὸν ἔχειν ἀμύνης, καὶ συμβουλεύοντος τοῦ σαούλου ἀποτεμεῖν τὴν κεφαλὴν, καὶ τῆς πολλῆς ἄλης αὐτὸν ἀπαλλάξαι καὶ ταλαιπωρίας, ἀναστὰς ἀποτέμνει τὴν πτέρυγα τοῦ ἱματίου μόνου ὃ σαοῦλος ἠμπείχετο. μετανοήσας δὲ εὐθὺς, οὐ δίκαιον εἶπε φονεύειν τὸν ἑαυτοῦ δεσπότην, οὐδὲ τὸν ὑπὸ τοῦ θεοῦ βασιλείας ἀξιωθέντα. καὶ γὰρ εἰ πονηρὸς οὗτος εἰς ἡμᾶς, ἀλλ᾽ οὐκ ἐμὲ δεῖ τοιοῦτον εἶναι πρὸς αὐτόν. τοῦ δὲ σαούλου τὸ σπήλαιον ἐκλιπόντος προσελθὼν ὁ δαβίδης ἀνέκραγε, ἀκοῦσαι σαοῦλον ἀξιῶν. ἐπιστραφέντος δὲ τοῦ βασιλέως, προσκυνεῖται αὐτὸν πεσὼν ἐπὶ πρόσωπον ὡς ἔθος, καί φησι, οὐ πονηροῖς ὦ βασιλεῦ καὶ ψευδέσι πλάττουσι διαβολὰς παρέχοντα δεῖ τὰς ἀκοὰς, χαρίζεσθαι μὲν ἐκείνοις τὸ πιστεύειν αὐτοῖς, τοὺς δὲ φιλτάτους δι᾽ ὑπονοίας ἔχειν, ἀλλὰ τοῖς ἔργοις σκοπεῖν τὴν ἁπάντων διάθεσιν. διαβολὴ μὲν γὰρ ἀπατᾷ, σαφὴς δ᾽ ἀπόδειξις εὐνοίας τὰ πραττόμενα. καὶ λόγος μὲν ἐπ᾽ ἀμφότερα πέφυκεν ἀληθής τε καὶ ψευδής. τὰ δὲ ἔργα, γυμνὴν ὑπ᾽ ὄψει τὴν διάνοιαν τίθησι. τοίνυν, ἐκ τούτων καλῶς ἔχειν με πρὸς σέ, καὶ τὸν σὸν οἶκον, ἐμοὶ πιστεῦσαι δεῖ, καὶ μὴ τοῖς κατηγοροῦσιν, ἃ μήτε εἰς νοῦν ἐμβαλόμην, μήτε δύναται γενέσθαι, προσθέμενον διώκειν τὴν ἐμὴν ψυχὴν, καὶ μηδὲν, μήθ᾽ ἡμέρας μήτε νυκτὸς ἔχειν διὰ φροντίδος, ἢ τὴν ἐμὴν ψυχὴν καὶ ἀναίρεσιν, ἣν ἀδίκως μεταπορεύῃ. πῶς γὰρ ψευδῆ περὶ ἐμοῦ δόξαν εἴληφας ὡς ἀποκτεῖναί σε θέλοντος; ἢ πῶς οὐκ ἀσεβεῖς τὸν θεὸν, ἄνθρωπον τήμερον αὐτῷ τιμωρῆσαι δυνάμενον καὶ παρὰ σοῦ λαβεῖν δίκην, καὶ μὴ θελήσαντα μηδὲ τῷ καιρῷ χρησάμενον, ὃν εἴ σοι κατ᾽ ἐμοῦ περιέπεσεν, οὐκ ἂν αὐτὸς παρῆκας, διαχειρίσασθαι πεδῶν νομίζων πολέμιον. ὅτι γάρ σου τὴν πτέρυγα τοῦ ἱματίου ἀπέτεμον, τότε σου τὴν κεφαλὴν ἠδυνάμην. ἐπιδείξας δὲ τὸ ῥάκος ἰδεῖν, πιστεύειν παρεῖχεν. ἀλλ᾽ ἐγὼ μὲν ἀπεχόμην δικαίας ἀμύνης φησίν. σὺ δὲ μῖσος ἄδικον οὐκ αἰδῇ κατ᾽ ἐμοῦ φέρων. θεὸς ταῦτα δικάσει, καὶ τὸν ἑκατέρου τρόπον ἡμῶν ἐλέγξει. σαοῦλος δὲ ἐπὶ τῷ παραδόξῳ τῆς σωτηρίας θαυμάσας,

A cognito enim inter eundum quòd superatis faucibus euasisset, ad alterum petræ latus peruenit: futurumque erat vt Dauid circumuentus comprehenderetur, nisi rex trepidis nunciis reuocatus esset, qui Palæstinos in ditionem eius hostiliter irrupisse adferebant. Satius enim iudicauit hos perpetuos ac germanos hostes vlcisci, agrisque suis quo minus vastarentur opem afferre, quàm studio capiendi B inimici, regionem illis populandam prodere. atque ita Dauid præter omnium opinionem seruatus ad fauces agri Engadeni se contulit. Saulo autem post reiectos Palæstinos nunciatum est, Dauidem intra fines Engadenorum morari: móxque assumptis tribus armatorum millibus ex omni exercitu selectis, properè eos ad locum indicatum duxit. (1.Reg.24.) cúmque non longè abesset, offendit speluncam longo recessu opacam, & in penitiore sinu latè patentem, in C qua tum fortè Dauid cum sua cohorte delitescebat: in cámque solus ad requisita naturæ se insinuauit. Animaduersum est id continuò ab vno è Dauidis comitibus, qui cùm eum moneret tempus vltionis offerre Deum, nec esse negligendam occasionem tot ærumnas finiendi abscisso infestissimi regis capite, laciniam tantùm regij pallij præcidit: indignum ratus in proprium dominum sæuire, quem Deus ipse ad imperij fastigium electione sua D prouexerat. nec enim par esse iniuriis certare cum eo, qui immeritum extinguere cuperet. Egresso deinde è spelunca Saulo, Dauid quoque in apertum progressus regem inclamat, & cùm ad agnitam vocem se conuertisset, ex more priùs adoratum sic alloquitur: Quàm iniquum est rex, te calumniatoribus patulas aures præbentem, & vanissimis hominibus fidem adhibentem, de amicis spectatis E suspicari, quos ex ipsorum factis potiùs iudicare oportebat. verba enim vel falsa possunt esse vel vera: sed nullum apertius de animo quàm ex factis argumentum potest colligi, quemadmodum nunc quoque iudicare potes, num temere illis credideris, qui eius criminis me apud te reum faciunt, quòd ne in mentem quidem vnquam venit: & in tantum te exasperauerunt, vt nocte atque die nihil magis quàm de mea pernicie cogites. Annon vi- F des vanissimam esse tuam opinionem, qua persuasus es me familiæ vestræ inimicum, tuæque in primis necis esse cupidum? Aut quibus oculis Deum putas immanitatem tuam aspicere, qui hominem ad cædem expetis, oblata vindictæ tali occasione tibi parcentem, quàm ipse nactus nunquam elabi è manibus siuisses? Nihilo enim maiore negocio caput tibi præcidere poteram, quàm hanc vestis laci- G niam. Simulque pannum protulit, qui verbis fidem astrueret. Egò certe ne iustæ quidem vltioni indulsi, & tu iniustas simultates contra me exercere non vereris. Sed horum Deus iudex erit, probabitque vter nostrûm æquioribus moribus sit præditus. Tum Saulus demirans è quanto periculo esset seruatus,

modestiáque iuuenis attonitus, ingemuit: similémque gemitum referente Dauide, rex se iustiùs gemere fassus est. Tu enim, inquit, multorum bonorum causa mihi fuisti, ego contrà tibi multarum calamitatum autor. Et nunc quoque declarasti te à priscorum æquitate non degenerem, qui inimicos in solitudine ad iniuriam expositos nacti, incolumes dimittere maluerunt. Itaque hodie manifestè cerno regnum tibi à Deo repositum, & sub tuum imperium vniuersam Hebræorum gentem concessuram. quamobrem postulo vt iureiurando fidem mihi facias, te rerum potitum obliuioni iniurias meas traditurum, & familiam meam saluam esse passurum. pollicitus est id Dauid interposito iureiurando, atque ita regem in regnum remisit. In idem tempus mors Samuelis prophetæ incidit, viri qui suo merito in maximo semper apud Hebreos precio fuerat: illustréque virtutis ipsius ac suæ obseruantiæ populus testimonium edidit, dum defuncti exequias & sepulturam magnifico sumptu concelebrat: & postquam iusta exoluit in Ramatha patria sepulto luctum in longum tempus protogat, non quasi in publico mœrore, sed quasi ad vnum quemuis propriè hæc orbitas pertineret. fuerat enim vir ad omnem iustitiam ac bonitatem à natura compositus, & ob has virtutes Deo longè acceptissimus. Præfuit populo post Elis pontificis obitum primùm solus annis duodecim, deinde Saule regnante annis decem & octo. cuius extremi dies in hæc, vt dixi, tempora inciderunt. In locis autem in quibus tum Dauid versabatur erat Ziphenus quidam in oppido Emma, vir locuples & multorum gregum dominus. habebat enim in pascuis ouium tria millia, & capras mille: & ab his Dauid omnem iniuriam abstinuit, grauiter interminatus suis ne vel cupiditate vel egestate, vel latendi spe impulsi quicquam violarent, sed pluris iustitiam facerent, & Dei voluntatem, cui nunquam placuerunt, qui in alienas res manus auidè iniicerent. in hac disciplina suos continebat, putans se in hominem probum & sua beneuolentia dignum hoc officium collocare. Nabalus verò (hoc erat viro nomen) homo erat agrestis & malis moribus præditus, sed honestæ ac prudentis & elegantis mulieris maritus. Ad hunc Dauid pecora tondentem decem è suis misit salutatum, qui illi in multos annos eam felicitatem ominarentur: simúlque rogarent vt è facultatibus suis aliquid communicaret, cùm è pastoribus intelligere possit, quòd longo iam tempore in solitudine versati adeò nihil detrimenti attulerint gregibus, vt custodes eorum fuisse potiùs videri possint. Quicquid autem in Dauidem contulerit, in hominem gratum ac memorem collaturum. Ad hæc postulata homo suo more nimis durè dedit responsum. Percontatus enim quis esset Dauid, vt audiuit esse Iessæi filium, Nunc, inquit, fugitiui relictis dominis insolenter ac superbè se gerunt. Quibus renunciatis Dauid in iram accensus, quadringentis armatis assumptis, & ducentis ad custodiam impedimentorum relictis (iam enim sexcentorum manum coegerat)

καὶ τὴν τοῦ νεανίσκου μεγαλειότητα καὶ φύσιν ἐκπλαγεὶς, ἀνῴμωξε. τὸ δ' αὐτὸ κἀκείνου ποιήσαντος, αὐτὸν εἶναι δίκαιον γένειν ἀπεκρίνατο. σὺ μὲν γάρ φησιν ἀγαθῶν αἴτιός μοι γέγονας, ἐγὼ δέ σοι συμφορῶν. ἐπεδείξω δὲ σήμερον τὴν ἀρχαίων ἔχοντα σαυτὸν δικαιοσύνην, οἳ τοὺς ἐχθροὺς ἐν ἐρημίᾳ λαβόντας, σώζειν παρήγγειλον. πέπεισμαι δὴ νῦν ὅτι σοι τὴν βασιλείαν ὁ θεὸς φυλάττει, καὶ περιμένει σε τὸ πάντων τῶν ἑβραίων κράτος. δὸς δή μοι πίστεις ἐνόρκους, μήτε μου τὸ γένος ἐξαφανίσαι, μηδέ μοι μνησικακοῦντα τοὺς ἐκγόνους ἀπολέσαι. τηρῆσαι δέ μοι καὶ σῶσαι τὸν οἶκον. ὀμόσας δὲ καθὼς ἠξίωσε, δαβίδης, σάουλον μὲν εἰς τὴν ἰδίαν ἀπέλυσε βασιλείαν. αὐτὸς δὲ μετὰ τῶν σὺν αὐτῷ εἰς τὴν μασθηρὰν ἀνέβη στενήν. ἀποθνήσκει δὲ κατ' αὐτὸν καιρὸν καὶ σαμούηλος ὁ προφήτης, ἀνὴρ οὐ τῆς τυχούσης ἀπολαύων παρὰ τοῖς ἑβραίοις τιμῆς. ἐνεφάνισε γὰρ τὴν ἀρετὴν αὐτοῦ καὶ τὴν τοῦ πλήθους πρὸς αὐτὸν εὔνοιαν, τὸ πένθος, ὃ ἐπὶ πολὺν χρόνον ὁ λαὸς ἤγαγε, καὶ ἡ περὶ τὴν ταφὴν αὐτοῦ καὶ τὴν τῶν νομιζομένων ἀναπλήρωσιν φιλοτιμία τε καὶ σπουδή. θάπτουσι γὰρ αὐτὸν ἐν τῇ πατρίδι ἀρμαθᾶ, καὶ ἐπὶ πολλὰς πάνυ ἡμέρας ἔκλαυσαν, οὐ κοινὸν τοῦτο πάσχοντες ὡς ἐπ' ἀλλοτρίου τελευτῇ, ὡς εἰς οἰκεῖον δ' ἕκαστος πάθων. ἐγένετο δ' ἀνὴρ δίκαιος καὶ χρηστὸς τὴν φύσιν, καὶ διὰ τοῦτο μάλιστα φίλος τῷ θεῷ. ἦρξε δὲ καὶ προέστη τοῦ λαοῦ, μετὰ τὴν ἠλὶ τοῦ ἀρχιερέως τελευτὴν, μόνος μὲν ἔτη δώδεκα. μετὰ δὲ τοῦ σαούλου τοῦ βασιλέως, δέκα πρὸς τοῖς ὀκτώ. καὶ τὰ μὲν περὶ σαμούηλον, τοῦτο τὸ πέρας ἔσχεν. ἦν δέ τις τῶν ζιφηνῶν, ἐκ πόλεως ἐμμὰ, πλούσιος καὶ πολυθρέμματος. τρισχιλίων μὲν γὰρ αὐτοῦ ποίμνη προβάτων ἐνέμετο, χιλίων δ' αἰγῶν. ταῦτα δαβίδης ἀσινῆ τηρεῖν τε καὶ ἀβλαβῆ παρήγγελλε τοῖς σὺν αὐτῷ, καὶ μήτε ὑπὸ ἐπιθυμίας, μήτε ὑπὸ ἐνδείας, μήτε ὑπὸ τῆς ἐρημίας, καὶ τοῦ δύνασθαι λανθάνειν, καταβλάπτειν. τούτων δ' ἁπάντων ἐπάνω τίθεσθαι τὸ, μηδὲν ἀδικεῖν. καὶ τὸ τῶν ἀλλοτρίων ἅπτεσθαι δεινὸν ἡγεῖσθαι καὶ προσάντες τῷ θεῷ. ταῦτα δ' ἐδίδασκεν αὐτοὺς οἰόμενος ἀνθρώπῳ χαρίζεσθαι ἀγαθῷ, καὶ ταύτης τυγχάνειν ἀξίῳ τῆς προνοίας. ἦν δὲ νάβαλος, τοῦτο γὰρ εἶχεν ὄνομα, σκληρὸς καὶ πονηρὸς τοῖς ἐπιτηδεύμασιν, ἐκ κυνικῆς ἀσκήσεως πεποιημένος τὸν βίον, γυναικὸς ἀγαθῆς καὶ σώφρονος καὶ τὸ εἶδος σπουδαίας λελογχώς. πρὸς οὖν τὸν νάβαλον τοῦτον καθ' ὃν ἔκειρε τὰ πρόβατα καιρὸν, πέμψας ὁ δαβίδης ἄνδρας δέκα τῶν σὺν αὐτῷ, διὰ τούτων αὐτὸν ἀσπάζεται, καὶ συνεύχεται τοῦτο ποιεῖν ἐπ' ἔτη πολλά. παρασχεῖν δὲ ἐξ ὧν δυνατός ἐστιν αὐτῷ παρεκάλει, μαθόντι παρὰ τῶν ποιμένων, ὅτι μηδὲν αὐτοὺς ἠδικήσαμεν, ἀλλὰ φύλακες αὐτῶν τε καὶ τῶν ποιμνίων γεγόναμεν, πολὺν ἐν τῇ ἐρήμῳ διατρίβοντες ἤδη χρόνον. μεταγνώσῃ δ' οὐδὲν δαβίδῃ παρασχόμενος. ταῦτα δὲ τῶν πεμφθέντων διακονησάντων πρὸς τὸν νάβαλον, ἀπανθρώπως σφόδρα καὶ σκληρῶς ἀπήντησε. ἐρωτήσας γὰρ αὐτοὺς τίς ἐστι δαβίδης, ὡς τὸν υἱὸν ἤκουσεν ἰεσσαίου, νῦν ἄρα εἶπε μεγαλοφρονοῦσιν ἐπ' αὐτοῖς οἱ δραπέται, καὶ σεμνύνονται, τοὺς δεσπότας καταλιπόντες. ὀργίζεται δ' αὐτῶν φρασάντων ὁ δαβίδης, καὶ τετρακοσίους μὲν ὁπλισαμένους αὐτῷ κελεύσας ἕπεσθαι, διακοσίους δὲ φύλακας τῶν σκευῶν καταλιπὼν, ἤδη γὰρ εἶχεν ἑξακοσίους, ἐπὶ τὸν

ἐπὶ τὸν

A ἐπὶ τὸν νάβαλον ἐβάδιζεν, ὀμόσας ἐκείνῃ τῇ νυκτὶ τὸν οἶκον αὐτοῦ καὶ τὴν κτῆσιν ὅλην ἀφανίσειν. οὐ γὰρ ἄχθεσθαι μόνον ὅτι γέγονεν ἀχάριστος εἰς αὐτοὺς, μηδὲν ἐπιδοὺς πολλῇ φιλανθρωπίᾳ πρὸς αὐτὸν χρησαμένοις, ἀλλ᾽ ὅτι καὶ προσεβλασφήμησε καὶ κακῶς εἶπε, μηδὲν ὑπ᾽ αὐτῶν λελυπημένος. δούλου δέ τινος τῶν τὰ ποίμνια φυλασσόντων τὰ τοῦ ναβάλου, πρὸς τὴν δέσποιναν μὲν αὐτοῦ, γυναῖκα δ᾽ ἐκείνου, κατειπόντος B ὅτι πέμψας ὁ δαβίδης αὐτῆς πρὸς τὸν ἄνδρα, μηδενὸς τύχοι τῶν μετρίων, ἀλλὰ καὶ προσυβρισθείη βλασφημίαις δειναῖς, πάσῃ περὶ αὐτοὺς προνοίᾳ καὶ φυλακῇ τῶν ποιμνίων χρησάμενος. γενήσεσθαι δὲ τοῦτο ἐπὶ τῷ κακῷ τῷ τοῦ δεσπότου. καὶ ταῦτ᾽ ἐκείνου φήσαντος, ἀβιγαία, προσηγορεύετο γὰρ οὕτως, ἐπισάξασα τοὺς ὄνους, καὶ πληρώσασα παντοίων ξενίων, καὶ μηδὲν εἰποῦσα τῷ ἀνδρὶ (ὑπὸ γὰρ μέθης ἀναίσθητος ἦν) ἐπορεύετο πρὸς δαβίδην. καταβαινούσης δὲ τὰ στενὰ C τοῦ ὄρους ἀπήντησε δαβίδης μετὰ τετρακοσίων ἐπὶ νάβαλον ἐρχόμενος. θεασαμένη δ᾽ αὐτὸν ἡ γυνὴ, καταπηδήσασα, καὶ πεσοῦσα ἐπὶ πρόσωπον, προσεκύνει. καὶ τῶν μὲν ναβάλου λόγων ἐδεῖτο μὴ μνημονεύειν. οὐ γὰρ ἀγνοεῖν αὐτὸν ὅμοιον ὄντα τῷ ὀνόματι. νάβαλος δὲ κατὰ τὴν ἑβραίων γλῶτταν, ἀφροσύνην δηλοῖ. αὐτὴ δ᾽ ἀπελογεῖτο, μὴ θεάσασθαι τοὺς πεμφθέντας ὑπ᾽ αὐτοῦ. διὸ συγγίνωσκέ μοι φησὶν, καὶ τῷ θεῷ χάριν ἔχε κωλύοντί σε μιανθῆναι ἀνθρωπίνῳ D αἵματι. μένοντα γάρ σε καθαρὸν, ἐκεῖνος αὐτὸς ἐκδικήσει παρὰ τῶν πονηρῶν. ἃ γὰρ ἐκδέχεται κακὰ νάβαλον, ταῦτα καὶ ταῖς τῶν ἐχθρῶν σου κεφαλαῖς συμπεσεῖ, γενοῦ δ᾽ εὐμενὴς μοι, κρίνας ἄξιον, τὰ παρ᾽ ἐμοῦ ταῦτα δέξασθαι. καὶ τὸν θυμὸν καὶ τὴν ὀργὴν τὴν ἐπὶ τὸν ἄνδρα μου καὶ τὸν οἶκον αὐτοῦ, εἰς τὴν ἐμὴν τιμὴν ἄφες. πρέπει γὰρ ἡμέρῳ σοι καὶ φιλανθρώπῳ τυγχάνειν, καὶ ταῦτα μέλλοντι βασιλεύειν. E ὁ δὲ, τὰ δῶρα δεξάμενος, ἀλλὰ σέ φησιν ὦ γύναι, θεὸς εὐμενὴς ἤγαγε πρὸς ἡμᾶς τήμερον. οὐ γὰρ ἂν τὴν ἐπερχομένην ἡμέραν εἶδες, ἐμοῦ τὸν οἶκον τὸν ναβάλου διὰ τῆσδε τῆς νυκτὸς ὀμόσαντος ἀπολέσαι, καὶ μηδένα ὑμῶν ἀπολείψειν, ἀπ᾽ ἀνδρὸς πονηροῦ καὶ ἀχαρίστου πρὸς ἐμὲ καὶ τοὺς ἐμοὺς ἑταίρους γενομένου. νῦν δὲ φθάσασα προέλαβες καταμειλίξασθαί μου τὸν θυμὸν, κηδομένου σοῦ τοῦ θεοῦ. ἀλλὰ νάβαλος μὲν, κἂν ἀφεθῇ νῦν διὰ σὲ τῆς τιμωρίας, οὐ φεύ- F ξεται τὴν δίκην, ἀλλ᾽ ὁ τρόπος αὐτὸν ἀπολεῖ, λαβὼν αἰτίαν ἄλλην. ταῦτ᾽ εἰπὼν, ἀπολύει τὴν γυναῖκα. ἡ δὲ, εἰς τὸν οἶκον ἐλθοῦσα, καὶ καταλαβοῦσα τὸν ἄνδρα μετὰ πολλῶν, εὐωχούμενον καὶ κεκαρωμένον ἤδη, τότε μὲν οὐδὲν τῶν γεγενημένων διεσάφει. τῇ δ᾽ ἐπιούσῃ, νήφοντι ἅπαντα δηλώσασα, παρεθῆναι, καὶ πᾶν ἐν αὐτῷ νεκρωθῆναι τὸ σῶμα ὑπὸ τῶν λόγων καὶ τῆς ἐπ᾽ αὐτοῖς λύπης ἐποίησε. καὶ δέκα οὐ G πλείους ἐπιζήσας ἡμέρας, τὸν βίον κατέστρεψε ὁ νάβαλος. ἀκούσας δ᾽ αὐτοῦ τὴν τελευτὴν ὁ δαβίδης, ἐκδικηθῆναι μὲν ὑπὸ τοῦ θεοῦ καλῶς αὐτὸν ἔλεγεν. ἀποθανεῖν γὰρ νάβαλον, ὑπὸ τῆς ἰδίας πονηρίας, καὶ δοῦναι δίκην αὐτῷ καθαρὰν ἔχοντι τὴν δεξιάν. ἔγνω δὲ καὶ τότε τοὺς πονηροὺς ἐλαυνομένους ὑπὸ τοῦ θεοῦ, καὶ μηδενὸς τῶν ἀνθρώποις ὑπερορῶντα, διδόντα δὲ, τοῖς μὲν ἀγαθοῖς τὰ ὅμοια, τοῖς δὲ πονηροῖς, ἀξίαν ἐπιφέροντα τὴν ποινήν.

contra Nabalum proficiscebatur, iuratus quòd ea nocte & familiam eius & omnes opes esset euersurus. Neque enim se tam ægrè ferre, quòd homo ingratus officij nihil rependeret, quàm quòd vltro conuiciis se impeteret, nulla vnquam affectus iniuria. Interea quidam è seruis pastoribus ad heram suam, illius vxorem venit, nuncians quòd Dauid à marito eius modicum quiddam postulans non solùm nihil impetrauerit, sed conuiciis etiam non ferendis sit appetitus, cùm tamen in eam diem semper greges eius intactos præstitisset: câmque insolentiam domini posse illi magnam aliquam calamitatem afferre. Hoc audito Abigæa (id nomen mulieri fuit) oneratis aliquam multis asinis, & variis xeniis in sarcinas congestis, inscio marito & per temulentiam sopito, ad Dauidem properat: eique in vallis cuiusdam descensu contra Nabalum armatorum agmen ducenti fit obuiam. Quem postquam appropinquare vidit, de iumento desiliit, & prona in faciem adorabunda deprecata est ne verbis Nabalis moueretur, qui reuera esset id quod vocabatur. Nabalus enim Hebræorum lingua vocatur insipiens. Excusabâtque se neminem eorum vidisse, qui ad maritum missi fuerant. Quare obsecro, inquit, da veniam, & age gratias Deo, qui per me tibi obstitit, quo minùs humano sanguine manus polluas. Si enim incontaminatus à cæde permanseris, ipse pro te pœnas ab his qui te læserunt exacturus est. Quod enim Nabalum manet infortunium, inimicorum tuorum contingat capitibus. Tu verò propitius hæc mea munuscula admitte, & iram qua meritò in maritum meum es commotus, in meam gratiam remitte. Decet enim clementia & humanitas eum cui fata regnum destinauerunt. Ille verò muneribus acceptis: Profectò, inquit, Dei voluntate ad nos hodie venisti: alioqui crastinam diem non videres. iuraui enim me hac nocte domum vestram subersurum, & neminem superstitem relicturum ex familia hominis ingrati, ac in me meósque contumeliosi. nunc verò Deus tibi in mentem immisit, vt maturè occurrens furorem meum delinires. Nabalus autem tametsi propter te veniam nunc consequitur, pœnam tamen non euadet, sed sui mores per aliam occasionem perdent hominem. Hæc locutus mulierem dimisit. Ea domum reuersa offendit maritum cùm æqualibus compotantem, iámque vino grauem, ideóque tum nihil eorum quæ gesserat indicauit. sequenti verò die posteaquam sobrio rem totam exposuisset, in tantum mœrorem eum coniecit, vt toto corpore sideratus decima pòst die mortem obiret. Quod vbi Dauidi relatum est, meritas pœnas Deo persoluisse eum dixit. suapte enim malicia perditum, & vltioni subiectum, idque incontaminatis eius manibus qui iniuriam acceperat: Atque hoc quoque exemplo didicit, neminem scelestum vindictam Dei posse euadere. nec humanas res à Deo neglectas ferri temerè: sed bona bonis, & malis quod illis dignum est rependi.

Moxque miſſis ad vxorem eius nunciis, acciuit eam in legitimum thorum coniugem ſibi inducturus. quæ præfata priùs ſe indignam vt vel pedes eius contingeret, cum omni tamen ſuo paratu venit: & vxoris loco poſthac habita eſt, hunc honorem ab eo conſecuta tum propter modeſtiam bonóſque mores, tum propter eximiam formæ gratiam. Habuerat autem Dauid & ante coniugem, ex Abeſaro oppido oriũdam. Nam Melcham Sauli filiam priùs Dauidi nuptam pater Liſo Pheltiæ filio elocauit, in oppido Gethla habitanti. Nec ita multo pòſt Ziphenorum quidam renunciauit Saulo, Dauidem rurſum in eorum regione eſſe, & ſi velit adiutare, poſſe eum comprehendi. at ille cum tribus millibus militum eò proficiſcitur: & superueniente nocte caſtrametatus eſt in quodam loco, cui nomen Sicella. Dauid autem cognito quòd rex contra ſe cum armis veniret, ſpeculatoribus miſſis iuſſit vt ſe certiorem facerent, quónam vſque proceſſiſſet: cumque audiſſet eum eſſe apud Sicellam, noctu ignaris ſuis omnibus, duobus tantùm comitatus, Abiſæo ſororis ſuæ Saruiæ filio, & Achimelecho Chettæo, in caſtra hoſtium penetrat. Dormienteque Saulo & circum eum ſatellitio, ſimúlque imperatore copiarum Abenero, in tentorium regium inſinuatus, neque regem agnito eius cubili ex ſpiculo interficere ſuſtinuit, neque Abiſæum accenſum ad facinus permiſit: ſed cohibuit admonitum nefas eſſe regem diuino ſuffragio creatum interimere, quantumuis malum: eius enim eſſe in eum vindicare, qui regnum dediſſet. vtq; aliquod ſignum eſſet, quòd nactus poteſtatem regis opprimendi, non eſſet ea vſus, ablato ſpiculo & lecytho aquali, quæ iuxta cubile ſita erant, nemine ſentiente caſtra exiuit, intrepidè & quaſi per ocium inter ſopitos verſatus, partim nocturnis tenebris, partim audacia propria fretus. transgreſſúſque torrentem & conſcenſo montis vertice vnde facilè poterat exaudiri, inclamatis Sauli militibus & imperatore eorum Abenero è ſomno eos excitat. & cùm imperator nominatim appellatus ſcitaretur quiſnam eſſet qui ſe vocaret, ſic reſpondit: Dauid ego ſum Ieſſæi filius, à vobis profugus. Sed qui factum eſt vt tu vir tantus & inter amicos regios maximè honoratus, tam negligenter domini corpus cuſtodias, vt dormire malis quàm curam ſalutis eius gerere? Capitalem enim culpam admiſiſtis, qui paulo antè quoſdam è noſtris clàm in caſtra regia ſubrepentes non ſenſiſtis. Vide igitur quónam deuenerit ſpiculum regium, & aquæ lecythus: & diſce quantum flagitium ſit commiſſum. Saulus autem agnita Dauidis voce, & cognito quòd adeptus eum à ſomno & cuſtodum negligentia proditum, non tamen interfecit, cùm id iure ſuo facere potuiſſet, gratias ſe illi habere pro ſalute conceſſa profeſſus eſt. hortabatúrque vt bono eſſet animo, nihílque mali in poſterum timens, ad proprias ædes reuerteretur. Compertum enim habere, non ſibiipſi ſalutem ſuam cariorem eſſe quàm Dauidi.

1. Reg. 26.

πέμψας δ' αὐτοῦ πρὸς τὴν γυναῖκα, συνοικήσουσαν καὶ γαμηθησομένην καλεῖ πρὸς αὐτόν. ἡ δ' ἀναξία μὲν εἶναι καὶ ποδῶν ἅψασθαι τῶν ἐκείνου, πρὸς τοὺς παρόντας ἔλεγεν. ὅμως δὲ μετὰ πάσης τῆς θεραπείας ἧκε. καὶ συνῴκησε μὲν αὐτῷ, ταύτην λαμβάνουσα τὴν τιμὴν καὶ διὰ τὸν τρόπον σώφρονα ὄντα καὶ δίκαιον, τυχοῦσα δ' αὐτῆς, καὶ διὰ τὸ κάλλος. εἶχε δὲ δαβίδης γυναῖκα πρότερον, ἣν ἐξ ἀβεσάρου πόλεως ἔγημε. μελχὰν δὲ τὴν σαούλου τοῦ βασιλέως θυγατέρα, τὴν γενομένην τοῦ δαβίδου γυναῖκα, ὁ πατὴρ τῷ φελτίου υἱῷ λισοῦ συνέζευξεν, ἐκ πόλεως ὄντι γεθλᾶς. μετὰ ταῦτα τινὲς ἐλθόντες τῶν ζιφηνῶν, ἀπήγγειλαν τῷ σαούλῳ ὡς εἴη πάλιν δαβίδης ἐν τῇ χώρᾳ αὐτῶν, καὶ δύναιντο συλλαβεῖν αὐτόν, βουλομένῳ συνεργῆσαι. ὁ δὲ μετὰ τρισχιλίων ὁπλιτῶν ἐβάδιζεν ἐπ' αὐτόν. καὶ νυκτὸς ἐπελθούσης, ἐστρατοπέδευσεν ἐπί τινι τόπῳ, σικέλλα λεγομένῳ. δαβίδης δ' ἀκούσας τὸν σαοῦλον ἐπ' αὐτὸν ἥκοντα, πέμψας κατασκόπους, ἐκέλευσε δηλοῦν αὐτῷ ποῦ τῆς χώρας σαοῦλος ἤδη προεληλύθει. τῶν δ' ἐν σικέλλᾳ φρασάντων, διανυκτερεύει διαλαθὼν τοὺς ἰδίους, καὶ εἰς τὸ τοῦ σαούλου στρατόπεδον παραγίνεται, ἐπαγόμενος τὸν ἐκ τῆς ἀδελφῆς αὐτοῦ σαρουίας ἀβισαῖον, καὶ ἀχιμέλεχον τὸν χετταῖον. τοῦ δὲ σαούλου κοιμωμένου, καὶ περὶ αὐτὸν ἐν κύκλῳ τῶν ὁπλιτῶν, καὶ τοῦ στρατηγοῦ ἀβεννήρου κειμένων, ὁ δαβίδης εἰσελθὼν εἰς τὸ στρατόπεδον τὸ τοῦ βασιλέως, οὔτ' αὐτὸς ἀναιρεῖ τὸν σαοῦλον, ἐπιγνοὺς αὐτοῦ τὴν κοίτην ἐκ τοῦ δόρατος. τοῦτο γὰρ αὐτῷ παραπέπηγε. οὔτε τὸν ἀβισαῖον βουλόμενον φονεῦσαι, καὶ πρὸς τοῦτο ὡρμηκότα εἴασεν. ἀλλὰ τὸν ὑπὸ τοῦ θεοῦ κεχειροτονημένον βασιλέα φήσας εἶναι δεινὸν ἀποκτεῖναι κἂν ᾖ πονηρός, ἥξειν γὰρ αὐτῷ παρὰ τοῦ δόντος τὴν ἀρχὴν σὺν χρόνῳ τὴν δίκην, ἐπέσχε τῆς ὁρμῆς. σύμβολον δὲ τοῦ κτεῖναι δυνηθεὶς ἀπέχεσθαι, λαβὼν αὐτοῦ τὸ δόρυ καὶ τὸν φακὸν τοῦ ὕδατος, ὃς κειμένῳ παρέκειτο τῷ σαούλῳ, μηδενὸς αἰσθομένου τῶν ἐν τῷ στρατοπέδῳ, πάντων δὲ κατακοιμωμένων, ἐξῆλθεν ἀδεῶς πάντ' ἐργασάμενος, ὅσα καὶ τοῦ καιροῦ διδόντος αὐτῷ καὶ τῆς τόλμης, διέθηκε τοὺς τοῦ βασιλέως. διαβὰς δὲ τὸν χείμαρρον, καὶ ἐπὶ τὴν κορυφὴν ἀνελθὼν τοῦ ὄρους ὅθεν ἔμελλεν ἐξακουσθήσεσθαι, ἐμβοήσας τοῖς στρατιώταις τοῦ σαούλου, καὶ τῷ στρατηγῷ ἀβεννήρῳ, διανίστησιν αὐτοὺς ἐκ τοῦ ὕπνου. τοῦτόν τε ἐφώνει καὶ τὸν λαόν. ἐπακούσαντος δὲ τοῦ στρατηγοῦ, καὶ τίς ὁ καλέσας αὐτὸν ἐστὶν ἐρομένου, δαβίδης εἶπεν ἐγώ, παῖς μὲν ἰεσσαίου, φυγὰς δὲ ὑμέτερος. ἀλλὰ τί δή ποτε, μέγας τε ὤν, καὶ τὴν πρώτην ἔχων παρὰ τῷ βασιλεῖ τιμήν, οὕτως ἀμελῶς τὸ τοῦ δεσπότου φυλάσσεις σῶμα; καὶ ὕπνος ἡδίων ἐστί σοι τῆς τούτου σωτηρίας καὶ προνοίας, θανάτου γὰρ ταῦτα ἄξια καὶ τιμωρίας, οἵ γε μικρὸν ἔμπροσθεν εἰσελθόντας τινὰς ἡμῶν εἰς τὸ στρατόπεδον ἐπὶ τὸν βασιλέα καὶ πάντας τοὺς ἄλλους, οὐκ ἐνοήσατε. ζήτησον οὖν τὸ δόρυ τοῦ βασιλέως, καὶ τὸν φακὸν τοῦ ὕδατος, καὶ μαθήσῃ πηλίκον ὑμᾶς ἔλαθε κακὸν ἐντὸς γενόμενον. σαοῦλος δὲ γνωρίσας τὴν τοῦ δαβίδου φωνήν, καὶ μαθὼν ὅτι λαβὼν αὐτὸν ἔκδοτον ὑπὸ τοῦ ὕπνου καὶ τῆς τῶν φυλασσόντων ἀμελείας οὐκ ἀπέκτεινεν, ἀλλ' ἐφείσατο δικαίως ἂν αὐτὸν ἀνελών, χάριν ἔχειν αὐτῷ τῆς σωτηρίας ἔλεγε, καὶ παρεκάλει θαρροῦντα καὶ μηδὲν ἔτι πείσεσθαι δεινὸν ἐξ αὐτοῦ φοβούμενον ἀναχωρεῖν ἐπὶ τὰ οἰκεῖα. πέπεισθαι γὰρ ὅτι μηδ' αὐτὸν οὕτως ἀγαπήσειεν ὡς ὑπ' ἐκείνου στέργεται.

ὃς τὸν

ὃς τὸν μὲν φυλάττειν αὐτὸν δυνάμενον, καὶ πολλὰ δείγματα τῆς εὐνοίας παρεσχημένον ἐλαύνοι καὶ τοσοῦτον ἐν φυγῇ χρόνον καὶ ταῖς περὶ τὴν ψυχὴν ἀγωνίαις ἠνάγκασε ζῆσαι φίλων καὶ συγγενῶν ἔρημον. αὐτὸς δ' οὐ παύεται πολλάκις ὑπ' αὐτοῦ σωζόμενος, οὐδὲ τὴν ψυχὴν φανερῶς ἀπολλυμένην λαμβάνων. ὁ δὲ Δαυίδης, πέμψαντα ἀπολαβεῖν ἐκέλευσε τὸ δόρυ καὶ τὸν φακὸν τοῦ ὕδατος, ἐπειπὼν ὡς ὁ θεὸς ἑκατέρω τῆς ἰδίας φύσεως καὶ τῶν κατ' αὐτὴν πεπραγμένων ἔσται δικαστὴς, ὃς οἶδεν ὅτι καὶ κατὰ τὴν παροῦσαν ἡμέραν ἀποκτεῖναί σε δυνηθεὶς, ἀπεσχόμην, οἶδε. καὶ Σαοῦλος μὲν δεύτερον διαφυγὼν τὰς Δαυίδου χεῖρας, εἰς τὰ βασίλεια καὶ τὴν οἰκείαν ἀπηλλάσσετο. φοβηθεὶς δὲ Δαυίδης, μὴ μένων αὐτόθι συλληφθῇ ὑπὸ τοῦ Σαούλου, συμφέρειν ἔκρινεν εἰς τὴν Παλαιστίνην ἀναβὰς, διατρίβειν ἐν αὐτῇ. καὶ μετὰ τῶν ἑξακοσίων, οἳ περὶ αὐτὸν ἦσαν, παραγίνεται πρὸς Ἄγχουν τὸν Γίττης βασιλέα, μία δ' ἦν αὕτη τῶν πέντε πόλεων. δεξαμένου δ' αὐτὸν τοῦ βασιλέως σὺν τοῖς ἀνδράσιν, καὶ δόντος οἰκητήριον, ἔχων ἅμα καὶ τὰς δύο γυναῖκας, Ἀχιμὰν καὶ Ἀβιγαίαν, διῆγεν ἐν Γίττῃ. Σαούλῳ δὲ ταῦτα ἀκούσαντι, λόγος οὐκ ἔτ' ἦν πέμπειν ἐπ' αὐτὸν ἢ βαδίζειν. δὶς γὰρ ἤδη κινδυνεῦσαι παραμικρὸν ἐπ' ἐκείνῳ γενόμενον συλλαβεῖν αὐτὸν σπουδάσαντα. Δαυίδῃ δ' οὐκ ἔδοξεν ἐν τῇ πόλει τῶν Γιττηνῶν μένειν. ἀλλ' ἐδεήθη τοῦ βασιλέως αὐτῶν ἵν' ἐπειδὴ φιλανθρώπως αὐτὸν ὑπεδέξατο, καὶ τοῦτο χαρίσηται, τόπον τινὰ τῆς χώρας δοὺς αὐτῷ πρὸς κατοίκησιν. αἰδεῖσθαι γὰρ διατρίβων ἐν τῇ πόλει βαρὺς αὐτοῖς καὶ φορτικὸς εἶναι. δίδωσι δ' Ἄγχους αὐτῷ κώμην τινὰ, Σεκέλλαν καλουμένην. ἣν βασιλεύσας ὁ Δαυίδης ἀγαπῶν, ἴδιον κτῆμα ἐτίμησεν εἶναι καὶ οἱ παῖδες αὐτοῦ. ἀλλὰ περὶ μὲν τούτων, ἐν ἄλλοις δηλώσομεν. ὁ δὲ χρόνος ὃν κατῴκησεν Δαυίδης ἐν Σεκέλλᾳ τῆς Παλαιστίνης ἐγένετο μῆνες τέσσαρες πρὸς ταῖς εἴκοσιν ἡμέραις. καὶ ἐπερχόμενος δὲ λάθρα τοῖς πλησιοχώροις τῶν Παλαιστινῶν Σαρρίταις καὶ Ἀμαληκίταις διήρπαζεν αὐτῶν τὴν χώραν, καὶ λείαν πολλὴν κτηνῶν καὶ καμήλων λαμβάνων ὑπέστρεφεν. ἀνθρώπων γὰρ ἀπείχετο, δεδιὼς μὴ καταμηνύσωσιν αὐτὸν πρὸς Ἄγχουν τὸν βασιλέα. τὸ μέντοι γε τῆς λείας μέρος αὐτῷ δωρεὰν ἔπεμπε. τοῦ δὲ βασιλέως πυθομένου, τίσιν ἐπιθέμενος τὴν λείαν ἀπήλασε, τοῖς πρὸς τὸν νότον τῶν Ἰουδαίων τετραμμένοις, καὶ ἐν τῇ πεδιάδι κατοικοῦσιν εἰπὼν, ἔπειθε τὸν Ἄγχουν φρονῆσαι οὕτως. ἤλπισε γὰρ αὐτὸν, ὅτι Δαυίδης ἐπολέμησε τὸ ἴδιον ἔθνος, καὶ δοῦλον ἕξειν παρ' ὃν ζῇ χρόνον, ἐν τοῖς αὐτοῦ καταμένοντα. κατὰ δὲ τὸν αὐτὸν καιρὸν, τῶν Παλαιστινῶν ἐπὶ τοὺς Ἰσραηλίτας στρατεύειν διεγνωκότων, καὶ περιπεμψάντων πρὸς τοὺς συμμάχους ἅπαντας ἵνα συμπαρῶσιν αὐτοῖς εἰς τὸν πόλεμον εἰς Ῥεγγὰν, ὅθεν ἔμελλον ἀθροισθέντες ἐξορμᾶν ἐπὶ τοὺς Ἑβραίους, ὁ τῶν Γιττηνῶν βασιλεὺς Ἄγχους, συμμαχῆσαντα τὸν Δαυίδην αὐτῷ μετὰ τῶν ἰδίων ὁπλιτῶν, ἐπὶ τοὺς Ἑβραίους ἠξίου. τοῦ δὲ προθύμως ὑποσχομένου, καὶ φήσαντος παρεστάναι καιρὸν, ἐν ᾧ τὴν ἀμοιβὴν αὐτῷ τῆς εὐεργεσίας καὶ τῆς ξενίας ἀποδώσειν, καὶ ποιήσειν αὐτὸν φύλακα τοῦ σώματος μετὰ τὴν νίκην, καὶ τοῦ ἀγῶνος τοῦ πρὸς τοὺς πολεμίους κατὰ νοῦν χωρήσαντος αὐτοῖς ἐπηγγείλατο, τῆς τιμῆς καὶ πίστεως ὑποσχέσει τὸ πρόθυμον αὐτοῦ μᾶλλον αὔξων.

A Se enim seruatorem suum, hominem spectatæ per multa officia beneuolentiæ, in exilium actum, & sæpe in capitis discrimen adductum, amicorúmq; consuetudine orbatum persequi non desistere. illum verò pro hostili insectatione salutem sibi reponere. Tum Dauid iussit vt mitteret qui & spiculum & lecythum reportarent, hoc attestatus, quòd Deus futurus esset vtriusque naturæ & morum ac gestorum iudex, cui notum esset, quòd ea quoque die pepercisset inimico, quem in manu erat interficere. B Atque hoc modo Saulus iam iterum clementia Dauidis incolumis è manibus emissus, retro in regiam se recepit. Cæterùm Dauid veritus ne si diutius in eis locis hæreret tãdem comprehenderetur, consultius putauit in Palæstinã transire, & illic degere: quod cùm cæteris quoque visum esset, vnà cum sexcentorum manu ad Anchum se contulit regem Gittæ, vnius è quinq; C eius gentis ciuitatibus: vbi domicilio accepto à rege cum duabus vxoribus Achima & Abigæa habitauit. Saulus autẽ cautior factus posthac destitit contra eum aut proficisci aut militem mittere, videns id sibi iam bis malè cessisse, minimúmque absfuisse quin captando caperetur. Dauidi autem non placuit in vrbe Gitta manere, sed petiit à rege vt ad pristinam erga se hospitalitatem hoc quoque adiiceret, & agri partem ad incolendum ei cum suis attribueret. Vereri enim se ne intra mœnia morando onerosus D Gittensibus videatur. annuit eius precibus rex, & vicum quendam nomine Sicellam ei donauit, quem Dauid postea regnum adeptus adeò dilexit, vt suam & posterorum priuatam possessionem in perpetuum esse voluerit: qua de re aliàs fusiùs dicturi sumus. totum autem tempus quo Dauid apud Sicellam vixit, fuerũt menses quatuor, additis viginti diebus. ex eo loco clanculariis excursionibus Palæstinæ gentis vicinos sibi Saritas & Amalecitas infestabat, E magnas iumentorum & camelorũ prædas abigens. mancipia enim non abstrahebat, veritus ne horum indicio res ad Anchum regem perferretur. De manubiis autẽ munera mittere ad regem solebat. quo percontante vnde eas prædas ageret, meridionalem Iudæorum regionem campestrem incursare se respondens, regi facilè persuasit vt crederet quod verum esse vehemẽter cupiebat. sperabat enim Dauidem si hostiliter gẽtem propriam tractasset, præcluso reditu semper posthac obnoxium se habiturum. F Et parabatur tum bellum in Hebræos communi Palæstinorum decreto, indicto omnibus eius nominis sociis die ad conueniendũ in Rengam, vbi collectum exercitum Anchus in hostem ducturus erat: & inter cætera auxilia Dauidem cum sexcentorum cohorte euocauerat. quo promptè operam pollicente, & dicente adesse tempus referẽdæ hospitalis gratiæ, rex con- G trà quo magis eum sibi deuinciret, promisit se eum re bene gesta in summo apud se honore habiturum, & satellitio suo præpositurum.

1.Reg.27.

XIIII.
1.Reg.28.

Cap. XV.

Hebræi à Palæstinis magno prælio vincuntur, in quo Saulus rex vna cum filiis fortiter pugnans occubuit.

SAulus autem è regno suo diuinos omnes & ventriloquos ac ariolos cæterósque similis vanitatis homines eiecerat, solis prophetis retentis: cúmque audisset Palæstinos Sonnam vsque vrbem progressos castra ibi metatos, & ipse cum suis copiis illuc occurrit: & iuxta mōtem quendam Gelboe dictum castra è regione hostium posuit. vbi non mediocris trepidatio illum incessit, reputantem hostilem exercitum viribus longè præcellere: qua de re solicitus ad oraculum Dei confugit, euentum prælij sciscitans. Deo autem silente magis etiam territus prorsus animum despondit, præsagiens cladem imminere, posteaquam Deus præter solitū auxiliatricem manum subtraheret. quæri nihilominus imperat mulierculam quampiam ventriloquam, & manes elicere callentem, quo vel sic rerum euentum prænosceret. nam ventriloquorum genus euocatis defunctorum animabus per eas futura sciscitantibus prædicunt. cúque indicio cuiusdam familiaris sui comperisset esse talem mulierculam in oppido Endoro, ignaris omnibus mutato regio habitu, assumptísque duobus fidissimis famulis ad Endorum & mulierem fatidicam proficiscitur: rogátque eam vt diuinet, educátque ad superos animam viri cuius ipse voluerit. illa autem repugnante & negante se edictum regis contempturā, qui hoc diuinaculorum genus à suo regno arceat: & obtestāte ne nulla iniuria lacessitus insidias sibi strueret, quo deprehensa vetitas artes attrectare ad supplicium raperetur: iurauit neminē hoc resciturum, neque se responsum cum aliis communicaturū, sed fore eam extra omne periculum. Vt verò iureiurando persuasa est non timere, iussit eam Samuelis animam excitare. quæ cùm nesciret quisnam fuisset Samuel, ab inferis hunc euocat. quo in conspectū veniente, mulier specie viri diuinā & veneranda perterrita ac stupefacta, versa ad regem, nónne, inquit, tu es Saulus rex? hoc enim ex Samuele didicerat. Quo annuente & rogante trepidationis causam, ait se videre ascendentem virum diuina quadā specie præditum. percontante deinde qua effigie quóve habitu esset ac ætate, ait senem esse venerandum, habitu sacerdotali amictum. Agnouit rex Samuelem esse, & procidens adoratione salutauit. anima autem Samuelis interrogante quam ob causam elici ac suis moueri sedibus iusserit, necessitate se huc adactum conquestus est. imminere enim grauem hostium exercitum, & se inopē esse consilij destitutum à Deo, neq; per vates, neque per somniorū visiones futura præsignare dignante. quapropter ad eum se confugisse, cui res suas semper curæ fuisse sit expertus. Samuel verò adesse iam regi extremum vitæ diem præuidens, superuacaneum respondit ex ipso futura scitari, cùm à Deo destitutum se agnoscat. Audi ta-

Κεφάλαιον ιε'.

Ὡς στρατευσαμένων παλαιστινῶν πάλιν ἐπὶ τοὺς ἑβραίους ἡττήθησαν οἱ ἑβραῖοι τῇ μάχῃ, καὶ ὁ βασιλεὺς αὐτῶν σάουλος ἀπέθανε μετὰ τῶν παίδων μαχόμενος.

ΕΤυχε δὲ σάουλος ὁ τῶν ἑβραίων βασιλεὺς τοὺς μάντεις καὶ τοὺς ἐγγαστριμύθους καὶ πᾶσαν τὴν τοιαύτην τέχνην ἐκ τῆς χώρας ἐκβεβληκὼς ἔξω τῶν προφητῶν. Ἀκούσας δὲ τοὺς παλαιστινοὺς ἤδη παρόντας καὶ ἐγγὺς σούννης πόλεως ἐν τῷ πεδίῳ κειμένης ἐστρατοπεδευκότας, ἐξώρμησεν ἐπ' αὐτοὺς μετὰ τῆς δυνάμεως. καὶ παραγενόμενος πρὸς ὄρει τινὶ γελβουὲ καλουμένῳ, βάλλεται στρατόπεδον ἀντικρὺ τῶν πολεμίων. ταράττει δ' αὐτὸν οὐχ ὡς ἔτυχεν ἰδόντα ἡ τῶν ἐχθρῶν δύναμις, πολλή τε οὖσα καὶ τῆς οἰκείας κρείττων ὑπονοουμένη. καὶ τὸν θεὸν διὰ τῶν προφητῶν ἠρώτα περὶ τῆς μάχης, καὶ τοῦ περὶ ταύτην ἐσομένου τέλους προειπεῖν. οὐκ ἀποκριναμένου δὲ τοῦ θεοῦ, ἔτι μᾶλλον ὁ σάουλος κατέδεισε, καὶ τὴν ψυχὴν κατέπεσε, τὸ κακὸν οἷον εἰκὸς οὐ παρόντος αὐτῷ κατὰ χεῖρα τοῦ θεοῦ προορώμενος. ζητηθῆναι δ' αὐτῷ κελεύει γύναιόν τι τῶν ἐγγαστριμύθων, καὶ τὰς τῶν τεθνηκότων ψυχὰς ἐκκαλουμένων, ὡς οὕτω γνωσόμενος εἰ κατὰ νοῦν χωρεῖν αὐτῷ μέλλοι τὰ πράγματα. τὸ γὰρ τῶν ἐγγαστριμύθων γένος ἀνάγον τὰς τῶν νεκρῶν ψυχὰς, δι' αὐτῶν προλέγει τοῖς δεομένοις τὰ ἀποβησόμενα. μηνυθέντος δ' αὐτῷ παρά τινος τῶν οἰκετῶν εἶναί τι γύναιον τοιοῦτον ἐν πόλει ἐνδώρῳ, λαθὼν πάντας τοὺς ἐν τῷ στρατοπέδῳ, καὶ ἀποδὺς τὴν βασιλικὴν ἐσθῆτα, δύο παραλαβὼν οἰκέτας οὓς ᾔδει πιστοτάτους ὄντας, ἧκεν εἰς τὴν ἔνδωρον πρὸς τὴν γυναῖκα. καὶ παρεκάλει μαντεύεσθαι καὶ ἀνάγειν αὐτῷ ψυχὴν, ἧσπερ ἂν αὐτὸς εἴποι. τῆς δὲ γυναικὸς ἀπομαχομένης καὶ λεγούσης οὐ καταφρονήσειν τοῦ βασιλέως, ὃς τοῦτο τὸ γένος τῶν μάντεων ἐξήλασεν, οὐδ' αὐτὸν δὲ ποιεῖν καλῶς ἀδικηθέντα μηδὲν ὑπ' αὐτῆς, ἐνεδρεύοντα δὲ εἰς τὰ κεκωλυμένα λαβεῖν αὐτὴν ἵνα δῷ δίκην, ὤμοσε μηδένα γνώσεσθαι, μηδὲ παρ' ἄλλον ἄξειν αὐτῆς τὴν μαντείαν, ἔσεσθαι δ' ἀκίνδυνον. ὡς δὲ τοῖς ὅρκοις αὐτὴν ἔπεισε μὴ δεδιέναι, κελεύει τὴν σαμουήλου ψυχὴν ἀναγαγεῖν αὐτῷ. ἡ δ' ἀγνοοῦσα τὸν σαμουῆλον ὅστις ἦν, καλεῖ τοῦτον ἐξ ᾅδου. φανέντος δ' αὐτοῦ, θεασάμενον τὸ γύναιον ἄνδρα σεμνὸν καὶ θεοπρεπῆ ταράττεται, καὶ πρὸς τὴν ὄψιν ἐκπλαγεῖσα, οὐ σύ φησιν ὁ βασιλεὺς σάουλος; ἐδήλωσε γὰρ αὐτὸν ὁ σαμουῆλος. ἐπινεύσαντος δ' ἐκείνου, καὶ τὴν ταραχὴν αὐτῆς ἐρομένου πόθεν γένοιτο, βλέπειν εἶπεν ἀνελθόντα θεῷ τινὰ τὴν μορφὴν ὅμοιον. τοῦ δὲ τὴν εἰκόνα φράζειν καὶ τὸ σχῆμα τοῦ θεαθέντος καὶ τὴν ἡλικίαν κελεύσαντος, γέροντα μὲν ἤδη καὶ ἔνδοξον ἐσήμαινεν, ἱερατικὴν δὲ περικείμενον διπλοΐδα. ἐγνώρισεν ἐκ τούτων ὁ βασιλεὺς, τὸν σαμουῆλον ὄντα, καὶ πεσὼν ἐπὶ τὴν γῆν ἠσπάζετο καὶ προσεκύνησε. τῆς δὲ σαμουήλου ψυχῆς πυνθανομένης διὰ τί κινήσειεν αὐτὴν καὶ ἀναχθῆναι ποιήσειε, τὴν ἀνάγκην ἀπωδύρετο, τοὺς πολεμίους ἐπικεῖσθαι βαρεῖς αὐτῷ, αὐτὸν δὲ ἀμηχανεῖν τοῖς παροῦσιν ἐγκαταλελειμμένον ὑπὸ τοῦ θεοῦ, καὶ μήτε προρρήσεως τυγχάνοντα, μήτε διὰ προφητῶν, μήτε δι' ὀνειράτων. καὶ διὰ τοῦτο ἐπὶ σὲ τὸν ἀεί μου προνοησάμενον κατέφυγον. σαμουῆλος δὲ, τέλος αὐτὸν ἔχοντα ἤδη τῆς μεταβολῆς ὁρῶν, περισσὸν μὲν εἶπεν ἔτι καὶ παρ' ἐμοῦ βούλεσθαι μαθεῖν,

τοῦ θεοῦ καταλελοιπότος αὐτόν. ἄκουε γε μήν, ὅτι βασιλεῦσαι δεῖ Δαβίδην, καὶ κατορθῶσαι τὸν πόλεμον. σὲ δὲ καὶ τὴν ἀρχὴν καὶ τὴν ζωὴν ἀπολέσαι, τοῦ θεοῦ παρακούσαντα, ἐν τῷ πρὸς ἀμαληκίτας πολέμῳ, καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ φυλάξαντα, καθὰ προεφήτευσά σοι καὶ ζῶν. ἴσθι τοίνυν καὶ τὸν λαὸν ὑποχείριον τοῖς ἐχθροῖς γενησόμενον, καὶ σαυτὸν μετὰ τῶν τέκνων αὔριον πεσόντα ἐπὶ τῆς μάχης μετ' ἐμοῦ γενησόμενον. ταῦτ' ἀκούσας ὁ σάουλος ἄφωνος ὑπὸ τῆς λύπης ἐγένετο. καὶ κατενεχθεὶς εἰς τ' οὔδαφος, εἴτε διὰ τὴν προσπεσοῦσαν ἐκ τῶν δεδηλωμένων ὀδύνην, εἴτε διὰ τὴν ἔνδειαν, οὐ γὰρ προσενήνεκτο τροφὴν τῇ παρελθούσῃ ἡμέρᾳ τε καὶ νυκτί, ῥαδίως κατενήνεκτο. μόλις δὲ ἑαυτοῦ γενόμενον, συνηνάγκασεν ἡ γυνὴ γεύσασθαι, ταύτην αἰτουμένη παρ' αὐτοῦ τὴν χάριν, ἀντὶ τῆς παραβόλου μαντείας ἣν οὐκ ἐξὸν αὐτῇ ποιήσασθαι διὰ τὸν ἐξ αὐτοῦ φόβον ἀγνοουμένου τίς ἦν, ὅμως ὑπέστη καὶ παρέσχεν. ἀνθ' ὧν παρεκάλει, τράπεζάν τε αὐτῷ παραθεῖναι καὶ τροφήν, ὡς ἂν τὴν ἰσχὺν συλλεξάμενος, εἰς τὸ τῶν οἰκείων ἀποσωθῇ στρατόπεδον. ἀντέχοντα δὲ καὶ τελέως ἀπεστραμμένον ὑπὸ τῆς ἀθυμίας, ἐβιάσατο καὶ συνέπεισεν. ἔχουσα δὲ μόσχον ἕνα συνήθη καὶ τῆς κατ' οἶκον ἐπιμελείας καὶ τροφῆς ἀξιούμενον ὑπ' αὐτῆς, ὡς γυνὴ χερνῆτις, καὶ τούτῳ μόνῳ προσαναπαυομένη τῷ κτήματι, κατασφάξασα τοῦτον, καὶ τὰ κρέα παρασκευάσασα, τοῖς οἰκέταις αὐτοῦ καὶ αὐτῷ παρατίθησι. καὶ σάουλος μὲν διὰ τῆς νυκτὸς ἦλθεν εἰς τὸ στρατόπεδον. δίκαιον δὲ ἀποδέξασθαι τῆς φιλοτιμίας τὴν γυναῖκα, ὅτι καίπερ τῇ τέχνῃ κεκωλυμένη χρήσασθαι ὑπὸ τοῦ βασιλέως, παρ' ἧς ἂν αὐτῇ τὰ κατὰ τὸν οἶκον ἦν ἀμείνω καὶ διαρκέστερα, καὶ μηδέποτε αὐτὸν πρότερον τεθεαμένη, οὐκ ἐμνησικάκησεν τῆς ἐπιστήμης ὑπ' αὐτοῦ καταγνωσθείσης, οὐκ ἀπεστράφη δὲ ὡς ξένον καὶ μηδέποτ' ἐν συνηθείᾳ γεγενημένον. ἀλλὰ συνεπάθησέ τε, καὶ παρεμυθήσατο, καὶ πρὸς ἃ διέκειτο λίαν ἀηδῶς προετρέψατο, καὶ τὸ μόνον αὐτῇ παρὸν ὡς ἐν πενίᾳ, τοῦτο παρέσχεν ἐκτενῶς καὶ φιλοφρόνως, οὔθ' ὑπὲρ εὐεργεσίας ἀμοιβῆς τινὸς γεγενημένης, οὔτε χάριν μέλλουσαν θηρωμένη, τελευτήσοντα γὰρ αὐτὸν ἠπίστατο, φύσει τῶν ἀνθρώπων, ἢ πρὸς τοὺς ἀγαθόν τι παρεσχημένους φιλοτιμουμένων, ἢ παρ' ὧν ἄν τι δύνωνται λαβεῖν ὄφελος τούτους προθεραπευόντων. καλὸν οὖν ἐστι μιμεῖσθαι τὴν γυναῖκα, καὶ ποιεῖν εὖ πάντας τοὺς ἐν χρείᾳ γενομένους, καὶ μηδὲν ὑπολαμβάνειν ἄμεινον, μηδὲ μᾶλλόν τι προσήκειν τῷ τῶν ἀνθρώπων γένει τούτων, μηδ' ἐφ' ᾧ τὸν θεὸν εὐμενῆ καὶ χορηγὸν τῶν ἀγαθῶν ἕξομεν. καὶ τὰ μὲν περὶ τῆς γυναικός, ἐν τοσούτοις ἀρκεῖ δεδηλῶσθαι. τὸν δὲ πόλεσι καὶ δήμοις, καὶ ἔθνεσι συμφέροντα λόγον καὶ προσήκοντα τοῖς ἀγαθοῖς, ὑφ' οὗ προαχθήσονται πάντες ἀρετὴν διώξειν, καὶ ζηλοῦντα δόξαν, καὶ μνήμην, αἰώνιον παρασχεῖν δυνησόμενον, ποιήσομαι, πολλὴν καὶ βασιλεῦσιν ἐθνῶν, καὶ ἄρχουσι πόλεων, ἐπιθυμίαν καὶ σπουδὴν τῶν καλῶν ἐνθήσοντα, καὶ πρός τε τοὺς κινδύνους, καὶ τὸν ὑπὲρ τῶν πατρίδων θάνατον προτρεψόμενον, καὶ πάντων καταφρονεῖν διδάξοντα τῶν δεινῶν. ἔχω δ' αἰτίαν τοῦ λόγου τούτου, σάουλον τὸν τῶν ἑβραίων βασιλέα. οὗτος γὰρ καίπερ εἰδὼς τὰ συμβησόμενα, καὶ τὸν ἐπικείμενον θάνατον, τοῦ προφήτου προειρηκότος, οὐκ ἔγνω φυγεῖν αὐτόν, οὐδὲ φιλοψυχήσας προδοῦναι μὲν τοὺς οἰκείους τοῖς πολεμίοις,

men, inquit, in fatis esse vt Dauid assumpta regia dignitate bellum ex sententia conficiat. te verò & principatum & vitam simul amittere, eo quòd in bello quod contra Amalecitas gessisti obediens Deo non fueris, & quæ tibi per me etiam tum viuum mandauit neglexeris. Scito igitur & exercitum tuum ab hoste profligandum, & te vnà cum filiis in prælio cadentem cras mecum futurum. His auditis Saulus obmutuit præ mœstitia, & in humum collapsus est, siue ob subitaneam tristitiam viribus deficientibus, siue ob inediam, quòd ea nocte ac præterita die corpus cibo recurare neglexisset, tandem cùm ægrè ad se ipsum redisset, mulier vrgebat eum vt cibum sumeret, hàc gratiam ab ipso reposcens officij, quod per interdictas artes non sine suo periculo poscenti præstiterat, priusquam sciret hunc ipsum esse qui interdixit. pro quo beneficio hoc tantùm reposcebat, vt mensa apposita vires refoueret, quo ad exercitum redire valeret. resistentem verò & cibum omnem præ desperatione auersari pergentem, tantùm non adegit improbis precibus vt assentiretur. cùmque vnicum haberet vitulum domi à se educatum mulier quotidianis operis victum sibi parans, & nihil præterea possidens, hoc mactato carnes coctas ipsi & famulis apposuit. Saulus verò eadem nocte in castra est reuersus. Mirari succurrit hoc loco mulieris huius comitatem ac liberalitatem, quæ tametsi à rege artem exercere vetita qua victum parare assueuerat, hominem numquam antè visum, immemor totam alendi se rationem per hunc sibi ademptam, non auersata est vt hospitem & ignotum, sed commiserata & consolata ad fastiditum cibum sumẽdũ adhortata est: & quod solũ mulieri pauperi superfuit, prõptè ac libẽti animo apposuit, nec gratiã pro beneficio repẽdẽs, nec officio fauorẽ regis captans, quę iamiã moriturum pręsciebat: cùm tamen homines natura ita comparati simus, vt tum demum officiosos esse libeat: quando aut pro meritis gratia est rependenda, aut ipsi demereri quempiam cupimus, quem cumulatè aliquando beneficium repositurum speramus. Egregium igitur exemplar beneficentiæ nobis exhibuit, ostendens nihil esse potiùs quàm in necessitate constitutos subleuare, nihil quod hominem magis deceat, nihil quod Deum æquè conciliet, & ad benefaciendum nobis prouocet. atque hæc de muliere illa dixisse sufficiat. Nunc aliam quandam admonitionem scriptis meis iuuat inserere, cùm populis ac gentibus profuturam, tum pręcipuè viris eximiis & ad gloriam natis incitamento futuram ad virtutem: quandoquidem hæc sola in sempiterna memoria sui cultores collocare valens, magnũ calcar ad honesta studia tam regibus gentium, quàm ciuitatum magistratibus debet subdere, vt contemptis periculis atque etiam certa morte, nihil durum pro patria subire ac sustinere subterfugiant. Quod vt faciam opportunè Sauli Hebræorum regis illustre exemplum flagitat. Hic enim licet futuri gnarus, & de obitu suo præmonitus à propheta, noluit tamen eum vitare, & ob vitæ cupiditatem exercitum hosti prodere,

atque hoc modo regiam maiestatem dehonestare: sed cum liberis totáque familia periculo se obiiciens, pulchrum existimauit in prælio pro suo subditis imperio pugnando cadere, & filios in eiusdem laudis societatem assumere, potiùs quàm superstites relinquere, incertum qualésnam futuros. Sic enim existimauit, loco posteritatis perpetuam laudem & immortalem memoriam sibi futuram. Quamobrem hic mihi verè iustus & fortis ac prudens fuisse videtur, & si quis huic similis fuit aut futurus est, huic virtutis testimonium ab omnibus reddi æquum censeo. Nam illos qui cum certa victoriæ incolumitatísque spe bellum aggrediuntur, posteaquam magnificum aliquid gesserint, non censeo meritò fortitudinis titulis insigniri ab historicis aliisq; scriptoribus. Sed quamuis & illis sua laus debeatur, soli tamen generosi ac fortes periculorúmque contemptores iure dici possunt, qui Saulum æmulantur. Quid enim magni est communem martis aleam subire, & inter spem ac metum fluctuando, si fortuna affulserit fauore eius vti? contra nihil lætum sperantem, & præscium quòd necesse sit in pugna cadere, & intrepidè tamen & imperculso animo fato minanti occurrere, id verò generosi & fortis viri facinus ego censeo. Hæc est Sauli nostri laus, qui exemplo est omnibus veræ gloriæ amatoribus, vt si honesti apud posteros nominis rationem habent, idem sibi si quando vsus veniat proponant: in primis autem regibus, quibus propter fortunæ sublimitatē adeò non licet esse ignauis, vt turpe sit etiam mediocritatem fortitudinis non excedere. Possem quidem etiam plura in hoc argumento de Sauli generositate dicere: verùm ne videar immodicus, eò vnde digressi sumus reuertar.

1.Reg. 11.

1.Reg.29.

Palæstinis copias vndique contrahentibus, delectúque per singulas gentes ac regna & satrapias habito, nouissimus venit cum suo milite rex Anchus, quem secutus est Dauid cum sexcentorum cohorte, quem vbi viderunt Palæstinorum duces, percontabantur regem vndénam venirent Hebræi, aut à quo vocati. Is respondit Dauidem iram domini sui Sauli fugientem, à se exceptum, nunc vt gratiam hospiti referat, vtque de Saule vindictam sumat, in auxilium venisse. at illis non probabatur, quòd veterem hostem in auxilium acciuisset: suadebántque vt eum retrò remitteret, ne fortè cladem aliquam ipsis afferat. facilè enim habiturum occasionem reconciliandi se domino, si hostibus eius detrimentum aliquod attulerit. Quare prospiciendum esse in futurum, Dauidémque cum sua cohorte ad agros à rege illi assignatos remittendum. Hunc enim esse illum Dauidem virginibus cantatum, quòd plurima Palæstinorum millia deleuisset. Visum est regi quoque Gittæ rectè illos monere: móxque accito Dauide: Equidem, inquit, fidem tuam ac virtutem compertam habens socium huius expeditionis te assumpsi, sed cęteris ducib. hoc nō probatur.

καθυβρίσαι δὲ τὸ τῆς βασιλείας ἀξίωμα, ἀλλὰ παραδοὺς αὑτὸν πανοικὶ μετὰ τῶν τέκνων τοῖς κινδύνοις, καλὸν ἡγήσατο εἶναι, πεσεῖν μετὰ τούτων, ὑπὲρ τῶν βασιλευομένων μαχόμενος, καὶ τοὺς παῖδας ἀποθανεῖν μᾶλλον ἀγαθοὺς ὄντας, ἢ καταλειπεῖν ἐπ᾽ ἀδήλῳ, τὸ ποδαποὶ γενήσονται τὸν τρόπον. διαδοχὴν γὰρ καὶ γένος τὸν ἔπαινον καὶ τὴν ἀγήρω μνήμην ἕξειν. οὗτος οὖν δίκαιος καὶ ἀνδρεῖος, καὶ σώφρων ἐμοί γε δοκεῖ μόνος, καὶ εἴ τις γέγονε τοιοῦτος ἢ γενήσεται, τὴν μαρτυρίαν ἐπ᾽ ἀρετῇ καρποῦσθαι παρὰ πάντων ἄξιος. τοὺς γὰρ μετ᾽ ἐλπίδων ἐπὶ πόλεμον ἐξελθόντας ὡς καὶ κρατήσοντας καὶ σώους ἐπιστρέψοντας, ἐπειδὰν αὐτοῖς διαπράξωνται λαμπρόν, ἐμοὶ δοκοῦσι καλῶς ποιεῖν ἀνδρείους ἀποκαλοῦντες, ὅσοι περὶ τῶν τοιούτων ἐν ταῖς ἱστορίαις καὶ τοῖς ἄλλοις συγγράμμασιν εἰρήκασιν. ἀλλὰ δίκαιοι μὲν εἰσὶ κἀκεῖνοι, τυγχάνειν ἀποδοχῆς. εὔψυχοι δὲ καὶ μεγαλότολμοι, καὶ τῶν δεινῶν καταφρονηταὶ μόνοι δικαίως ἂν λέγοιντο πάντες οἱ σάουλον μιμησάμενοι. τὸ μὲν γὰρ οὐκ εἰδότας τί μέλλοι συμβήσεσθαι κατὰ τὸν πόλεμον αὐτοῖς, μὴ μαλακισθῆναι περὶ αὐτόν, ἀλλ᾽ ἀδήλῳ τῷ μέλλοντι παραδόντας αὑτούς, ἐπ᾽ αὐτοῦ σαλεύειν, οὐδέ οὕτως γενναῖον, κἂν ἔργα πολλὰ διαπραξάμενοι τύχωσι. τὸ δὲ μηδὲν ἐν τῇ διανοίᾳ χρηστὸν προσδοκῶντας, ἀλλὰ προειδότας, ὡς δεῖ θανεῖν, καὶ τοῦτο παθεῖν μαχομένους, εἶτα μὴ δὲ φοβηθῆναι, μὴ δὲ καταπλαγῆναι τὸ δεινόν, ἀλλ᾽ ἐπ᾽ αὐτὸ χωρῆσαι προγινωσκόμενον, τοῦτ᾽ ἀνδρείου ἀληθῶς τεκμήριον ἐγὼ κρίνω. σάουλος τοίνυν τοῦτο ἐποίησεν, ἐπιδείξας ὅτι πάντας μὲν προσήκε τῆς μετὰ τὸν θάνατον εὐφημίας γλιχομένους ταῦτα ποιεῖν, ἐξ ὧν ἂν αὐτοῖς ταύτην καταλίποιεν. μάλιστα δὲ τοὺς βασιλέας, ὡς οὐκ ἐξὸν αὐτοῖς διὰ τὸ μέγεθος τῆς ἀρχῆς οὐ μόνον οὐ κακοῖς εἶναι περὶ τοὺς ἀρχομένους, ἀλλ᾽ οὐδὲ μετρίως χρηστοῖς. ἔτι τούτων πλείω περὶ σαούλου καὶ τῆς εὐψυχίας λέγειν ἐδυνάμην, ὕλην ἡμῖν χορηγησάσης τῆς ὑποθέσεως, ἀλλ᾽ ἵνα μὴ φανῶ ἀπειροκάλως αὐτοῦ χρώμενος τοῖς ἐπαίνοις, ἐπάνειμι πάλιν ἀφ᾽ ὧν εἰς τούτους ἐξέβην. κατεστρατοπεδευκότων γὰρ τῶν παλαιστινῶν ὡς προεῖπον, καὶ κατὰ ἔθνη καὶ βασιλείας καὶ σατράπας ἐξαριθμούντων τὴν δύναμιν, τελευταῖος βασιλεὺς παρῆλθεν ἀγχοῦς, μετὰ τῆς ἰδίας στρατιᾶς. μετ᾽ αὐτὸν δὲ ὁ δαβίδης, μετὰ τῶν ἑξακοσίων ὁπλιτῶν, εἵπετο. θεασάμενοι δὲ αὐτὸν οἱ στρατηγοὶ τῶν παλαιστινῶν, πόθεν εἴησαν ἥκοντες οἱ ἑβραῖοι, καὶ τίνων καλεσάντων, ἠρώτων τὸν βασιλέα, ὁ δὲ δαβίδην ἔλεγεν εἶναι, τὸν φυγόντα σάουλον τὸν ἑαυτοῦ δεσπότην, καὶ πρὸς αὐτὸν ἐλθόντα δέξασθαι, καὶ νῦν τῆς χάριτος ἀμοιβὴν ἐκτῖσαι βουλόμενον, καὶ τιμωρήσασθαι τὸν σάουλον, συμμαχεῖν αὐτοῖς. ἐμέμφθη δὲ ὑπὸ τῶν στρατηγῶν, ἄνδρα παρειληφὼς ἐπὶ συμμαχίᾳ, πολέμιον. καὶ ἀποπέμπειν συνεβούλευον, μὴ καὶ λάθῃ μέγα δι᾽ αὐτὸν κακὸν τοῖς φίλοις ἐργασάμενος. καιρὸν γὰρ αὐτῷ παρέξειν τοῦ καταλλαγῆναι πρὸς τὸν δεσπότην, κακώσαντα τὴν ἡμετέραν δύναμιν. ὁ δὴ καὶ προορώμενον, εἰς τὸν τόπον ὃν ἔδωκεν αὐτῷ κατοικεῖν, ἐκέλευον ἀποπέμπειν σὺν τοῖς ἑξακοσίοις ὁπλίταις. τοῦτον γὰρ εἶναι δαβίδην ὃν ᾄδουσιν αἱ παρθένοι, πολλὰς μυριάδας παλαιστινῶν ἀπολέσαντα. ταῦτ᾽ ἀκούσας ὁ τῶν γιττῶν βασιλεύς, καὶ καλῶς εἰρῆσθαι λογισάμενος, καλέσας τὸν δαβίδην. ἐγὼ μὲν μαρτυρῶ σοι πολλὴν περὶ ἐμὲ σπουδὴν καὶ εὔνοιαν, καὶ διὰ τοῦτο σύμμαχον ἐπηγόμην, οὐ δοκεῖ δὲ ταῦτα τοῖς στρατηγοῖς. ἀλλ᾽

ἀλλ' ἄπιθι μὲν ἡμέραν εἰς ὃν ἔδωκά σοι τόπον, μη-
δὲν ὑπονοῶν ἄτοπον, κἀκεῖ φύλασσέ μοι τὴν χώραν,
μή τινες εἰς αὐτὴν τῶν πολεμίων εἰσβάλλωσιν. ἔστι δὲ
καὶ τοῦτο, συμμαχίας μέρος. καὶ δαβίδης μὲν, ὡς ἐκέ-
λευσεν ὁ τῶν γιττῶν βασιλεὺς, ἧκεν εἰς σίκελλα. καθ'
ὃν δὲ καιρὸν ἐξ αὐτῆς συμμαχήσων τοῖς παλαιστινοῖς ἀ-
πῆλθε, τὸ τῶν ἀμαληκιτῶν ἔθνος ἐπελθὸν, αἱρεῖ τὴν σι-
κέλλαν κατὰ κράτος, καὶ ἐμπρήσαντες, καὶ πολλὴν λείαν
ἄλλην ἔκ τε αὐτῆς ἐκείνης καὶ τῆς ἄλλης τῶν παλαιστι-
νῶν χώρας λαβόντες, ἀνεχώρησαν. ἐκπεπορθημένην δὲ
τὴν σίκελλαν καταλαβὼν ὁ δαβίδης, καὶ διηρπασμένα
πάντα, καὶ τὰς γυναῖκας τὰς ἑαυτοῦ, δύο γὰρ ἦσαν, καὶ
τὰς γυναῖκας τῶν ἑταίρων σὺν τοῖς τέκνοις ᾐχμαλω-
τισμένας, περιρρήγνυται εὐθὺς τὴν ἐσθῆτα. κλαίων δὲ
καὶ ὀδυρόμενος μετὰ τῶν φίλων, ἐπὶ τοσοῦτον περιήχθη τοῖς
κακοῖς, ὥς τε αὐτὸν ἐπιλείπειν ἤδη καὶ τὰ δάκρυα. ἐκιν-
δύνευσε δὲ καὶ βληθεὶς ὑπὸ τῶν ἑταίρων ἀλγούντων
ἐπὶ ταῖς αἰχμαλωσίαις τῶν γυναικῶν καὶ τῶν τέκνων
ἀποθανεῖν. αὐτὸν γὰρ τῶν γεγονότων ᾐτιῶντο. ἀναλαβὼν
δ' ἐκ τῆς λύπης, καὶ τὴν διάνοιαν πρὸς τὸν θεὸν ἀ-
νεγείρας, παρεκάλεσε τὸν ἀρχιερέα ἀβιαθάρην ἐνδύ-
σασθαι τὴν ἱερατικὴν στολὴν, καὶ ἐπερωτῆσαι τὸν
θεὸν. καὶ προφητεῦσαι εἰ διώξαντι τοὺς ἀμαληκίτας
δίδωσι καταλαβεῖν, καὶ σῶσαι μὲν τὰς γυναῖκας καὶ
τὰ τέκνα, τιμωρήσασθαι δὲ τοὺς ἐχθρούς. τοῦ δ' ἀρχιερέως
διώκειν κελεύσαντος, ἐκπηδήσας μετὰ τῶν ἑξακοσίων
ὁπλιτῶν, εἵπετο τοῖς πολεμίοις. παραγενόμενος δ' ἐπί
τινα χείμαρρον, βάσελον λεγόμενον, καὶ πλανωμένῳ τι-
νὶ περιπεσὼν, αἰγυπτίῳ μὲν τὸ γένος, ὑπ' ἐνδείας καὶ
λιμοῦ παρειμένῳ, τρισὶ γὰρ ἡμέραις ἐν τῇ ἐρημίᾳ πλα-
νώμενος ἄσιτος διεκαρτέρησε, πρῶτον αὐτὸν ποτῷ καὶ
τροφῇ παρασκευασάμενος καὶ ἀναλαβὼν ἐπύθετο, τίνος τε
εἴη καὶ πόθεν. ὁ δὲ, γένος μὲν ἐσήμαινεν, αἰγύπτιος ὤν. κα-
ταλειφθῆναι δὲ ὑπὸ τοῦ δεσπότου κατ' ἀρρωστίαν ἕπε-
σθαι μὴ δυνάμενον. ἐδήλου δ' αὐτὸν τῶν καταπρησάν-
των καὶ διηρπακότων ἄλλα τε τῆς ἰουδαίας καὶ τὴν σι-
κελλαν εἶναι. χρησάμενος οὖν ὁ δαβίδης τούτῳ ἐπὶ τοὺς
ἀμαληκίτας ὁδηγῷ, καὶ καταλαβὼν αὐτοὺς ἐπὶ γῆν ἐρ-
ριμμένους, καὶ τοὺς μὲν ἀριστῶντας, τοὺς δὲ καὶ μεθύοντας
ἤδη καὶ λελυμένους ὑπὸ τοῦ οἴνου, καὶ τῶν λαφύρων καὶ
τῆς λείας ἀπολαβόντας, ἐπιπεσὼν αἰφνιδίως, πολὺν
αὐτῶν φόνον εἰργάσατο. γυμνοὶ γὰρ ὄντες, καὶ μηδὲν
προσδοκῶντες τοιοῦτον, ἀλλὰ πρὸς τὸ πίειν καὶ εὐω-
χεῖσθαι τετραμμένοι, πάντες ἦσαν εὐκατέργαστοι. καὶ οἱ
μὲν αὐτῶν, ἔτι τῶν τραπεζῶν παρακειμένων, ἐπικατα-
λαμβανόμενοι παρ' αὐταῖς, ἀνῃροῦντο, καὶ παρέσυρεν
αὐτῶν τὰ σιτία καὶ τὴν τροφὴν τὸ αἷμα, τοὺς δὲ δεξιου-
μένους ἀλλήλους ταῖς προπόσεσι διέφθειρεν, ἐνίους
δὲ καὶ πρὸς ὕπνον ὑπὸ τοῦ ἀκράτου κατενηνεγμένους.
ὁπόσοι δ' ἔφθησαν περιθέμενοι τὰς πανοπλίας ἐξ ἐ-
ναντίας αὐτῷ στῆναι, τούτους οὐδὲν ἧττον εὐχερῶς τῶν
γυμνῶν κατακειμένων ἀπέσφαττε. διέμειναν δὲ οἱ σὺν
τῷ δαβίδῃ καὶ αὐτοὶ ἀναιροῦντες ἀπὸ πρώτης ὥρας
ἕως ἑσπέρας, ὡς μὴ περιλειφθῆναι τῶν ἀμαληκιτῶν
πλείονας ἢ τετρακοσίους. καὶ αὐτοὶ δὲ δρομάσι καμή-
λοις ἐπιβάντες διέφυγον. ἀνέσωσε δὲ τἆλλα πάντα ἃ διήρπασαν αὐτὸν οἱ πολέμιοι, καὶ τάς τε αὐτοῦ γυ-
ναῖκας καὶ τὰς τῶν ἑταίρων. ὡς δὲ ἀναστρέφοντες ἧκον ἐπὶ τὸν τόπον, ἔνθα διακοσίους μὴ δυναμένους
αὐτοῖς ἕπεσθαι, καταλελοίπεσαν ἐπὶ τῶν σκευῶν, οἱ μὲν τετρακόσιοι, τῆς μὲν ἄλλης ὠφελείας τε καὶ λείας

A quare confestim agrum quem tibi donaui, repete, nihil de voluntate nostra dubitans: & illic esto præsidio meæ regioni, ne interim dum cum exercitu absum, hostes aliqui eam per occasionem inuadant. hoc enim pacto non minus amici ac socij præstiteris officium. Paruit Dauid, & ad Sicellam se recepit. Sed interim dum Palæstinorum castra sequeretur, Amalecitarum gens expugnata & incensa Sicella, prædáque tam inde quàm ex vicinis Palæstinorum agris abacta, in suam regionem reuertebatur. B Dauid autem vicum suum vastatum inueniens omnibúsque direptis vtramque etiam vxorem abductam, & pari modo commilitonum vxores ac liberos cum cætera præda abactos, doloris impatiens scidit vestimenta sua: & adeò huic calamitati succubuit, vt non priùs flere ac lamentari suam & suorum vicem desineret, quàm lacrymæ eum deficerent. nec multum aberat quin ab iratis ob iacturam coniugum & liberorum militib⁹ saxis impeteretur, quòd in ipsum causam tanti mali reiicerent. Postquam C autem à mœrore se recollegit, & animam ad Deum erexit, rogauit pontificem Abiatharum vt sumpto sacerdotali amictu Deũ consuleret, & oraculum referret, num Deus concessurus sit assecuto Amalecitas vxores ac liberos recipere, pœnásque de hoste sumere: pontifice verò iubente persequi, assumptis sexcentis armatis quantum potuit per vestigia hostium properauit. cúmque ad torrentem quendam nomine Baselum peruenisset, incidit in quendam Ægyptium errantem, iámque inopia D & fame deficientem, qui toto triduo per desertum impastus oberrauerat. hunc cibo & potu priùs refocillatum, rogat cuius esset, & qua natione. is respondit se Ægyptium genere, à domino relictum in itinere, quòd propter languorem non posset agmen consequi eorum qui vastata Sicella finitimísque locis domum se recipiebant. Itaque hoc ductore Dauid vsus ad persequendos Amalecitas, assecutúsque eos in terram proiecto, & partim prandium sumentes, partim iam temulentos, & rebus ex E præda quæsitis se oblectantes, ex improuiso irruens, magnam eorum stragem edidit. Inermes enim, & nihil tale expectantes, & epulis tantùm ac compotationibus intenti, facilè ab armatis conficiebantur. alij enim instructis mensis accubantes, cruore appositos cibos inundabant, alij propinantes sibi inuicem opprimebantur, nonnulli verò somno iam ac vino sopiti: & si qui se interim armare potuerunt, non multò maiore negotio quàm cæteri cæ- F debantur. durauit enim ea cædes à prandio vsque ad vesperam, vt ex omnibus Amalecitarum copiis ægrè quadringinti celeritate camelorum ab internecione sint exempti. cæterùm præda omnis est recepta, vxorésque tam ipsius quàm Dauidis commilitonum. Remetientes autem iter postquam ad eum locũ peruenerunt, vbi ducẽtos minus expeditos ad custodiã impedimentorum reliquerant, quadringẽti illi nolebant eos in prędę partẽ admittere,

quòd per ignauiam in persequendo hoste delassati fuissent, aiebántque contentos esse oportere receptis vxoribus ac liberis. Hanc eorum voluntatem iniquam Dauid pronunciauit. Par enim esse, vt victoria diuinitus concessa, receptísque ex hoste spoliis, vniuersi milites ex æquo fruerentur, maximè cùm reliqui impedimenta interim asseruauerint. ex eo præiudicio mos in posterum obtinuit, vt tantundem ex præda cederet iis qui pugnę interfuerunt, & iis qui interim circa impedimentorum custodiam sunt versati. Reuersus deinde Sicellam Dauid, per totam tribum Iudæ partes ex præda ad amicos & familiares misit. atque in hunc modum circa Sicellam & in persequendis Amalecitis res gesta est. Interea Palæstini acri prælio cum hoste cōgressi, & superiores facti, plurimos ex aduersa acie sternunt. ibi Saulus & filij contra hostem egregiè certantes, & hoc tantùm agentes ne inulti caderent, vtque honestis vulneribus confecti luctuosam hosti victoriam relinquerent, totam vim hostium in se conuerterunt: & circunuenti multitudine, magna circa se strage Palæstinorum edita postremo & ipsi hostium telis sunt obruti. fuerunt autem Sauli filij, Ionathas, Aminadabus & Melchisus. post quorum casum vniuersus Hebræorum exercitus profligatur: dúmque nullo ordine trepidi fugiunt, instantibus à tergo barbaris ingens cædes est perpetrata. Saulus quoque stipatus suorum caterua fugiegat: in quem Palæstini immissis sagittariis & iaculatoribus, omnes paucis exceptis confixerunt. ipse verò post multa fortia facinora edita, grauatus vulneribus, vt iam nec subsistere, nec sibi ipse manus inferre valeret, obsecrauit armigerum vt se ferro transfigeret, priusquam viuus in hostium potestatem fieret. quod cùm armiger ob maiestatis reuerentiam detrectaret, ipse admoto ad pectus proprij gladij mucrone in eum incubuit. & cùm deficientibus viribus traiicere se non posset, circunspiciens iuuenem proximum rogat, quísnam esset: auditóque esse Amalecitam, orat vt se iuuaret efficere, quod ipse suis manibus non quiret. qui postquam eius optata exsecutus est, ademptis aureis armillis & corona insigni regio, quantum potuit festinus inde se proripuit. armiger autem regius conspecta Sauli nece, ipse quoque se iugulauit. pari modo & vniuersum eius satellitium vnà cum domino suo cecidit, circa montem qui nominatur Gelboe. Qua clade audita ab Hebræis qui vallem vltra Iordanem sitam habitant, quíque campestres vrbes tenent, quòd Saulus rex cùm filiis & exercitu in prælio cecidisset, relictis suis oppidis in munitissimas quasque vrbes confugerunt: quæ Palæstini deserta nacti, facilè occupata ipsi posthac incoluerunt. Die verò quæ prælium proximè consecuta est, dum cæsorum cadauera spoliant, inciderunt in Sauli filiorúmque eius corpora, quibus exutis capita etiam præciderunt:

1. Reg. 13.

A οὐκ ἠξίουν αὐτοῖς ἐπιμερίζειν, οὐ συνακολουθήσαντας, ἀλλὰ μαλακισθέντας περὶ τὴν δίωξιν, ἀγαπήσειν δὲ σεσωσμένας τὰς γυναῖκας ἀπολαμβάνοντας ἔλεγον. δαβίδης δὲ πονηρὰν καὶ ἄδικον αὐτῶν ταύτην ἀπέφηνε τὴν γνώμην. εἶναι γὰρ ἀξίους τοῦ θεοῦ παρασχόντος αὐτοῖς ἀμύνασθαι μὲν τοὺς πολεμίους, κομίσασθαι δὲ πάντα αὐτῶν, πᾶσιν ἐξ ἴσου τοῖς στρατευσαμένοις μερίζεσθαι τὴν ὠφέλειαν. καὶ ταῦτ᾽ ἐπὶ φυλακῇ τῶν

B σκευῶν μεμενηκότων. καὶ ἐξ ἐκείνου, νόμος οὗτος ἐκράτησε παρ᾽ αὐτοῖς, ἵνα τ᾽ αὐτὰ τοῖς μαχομένοις λαμβάνωσιν οἱ τὰ σκεύη φυλάσσοντες. γενόμενος δ᾽ ἐν σικέλλᾳ δαβίδης, διέπεμψε πᾶσι τοῖς ἐν τῇ ἰούδα φυλῇ συνήθεσι καὶ φίλοις, ἀπομοίρας τῶν λαφύρων. καὶ τὰ μὲν περὶ τὴν σικέλλων πόρθησιν, καὶ ἀμαληκιτῶν ἀναίρεσιν, οὕτως ἐγένετο. τῶν δὲ παλαιστινῶν συμβαλόντων, καὶ καρτερᾶς μάχης γενομένης, νικῶσιν οἱ παλαιστι-

C νοί, καὶ πολλοὺς ἀναιροῦσι τῶν ἐναντίων. σάουλος δὲ ὁ τῶν ἰσραηλιτῶν βασιλεύς, καὶ οἱ παῖδες αὐτοῦ, γενναίως ἀγωνιζόμενοι, καὶ πάσῃ προθυμίᾳ χρώμενοι ὡς ἐν μόνῳ τῷ καλῶς ἀποθανεῖν, καὶ παραβόλως διακινδυνεῦσαι τοῖς πολεμίοις τῆς ὅλης αὐτοῖς δόξης ἀποκειμένης. οὐδὲν γὰρ περιοσότερον τούτου εἶχον, ἐπιστρέφουσι πᾶσαν εἰς αὐτοὺς τὴν τῶν ἐχθρῶν φάλαγγα. καὶ περικυκλωθέντες ἀποθνήσκουσι, πολλοὺς τῶν παλαιστινῶν καταβαλόν-

D τες. ἦσαν δὲ οἱ σαούλου παῖδες, ἰωνάθης, καὶ ἀμινάδαβος, καὶ μελχισός. τούτων πεσόντων, τρέπεται τὸ τῶν ἑβραίων πλῆθος. καὶ ἀκοσμία καὶ σύγχυσις γίνεται καὶ φόνος ἐπικειμένων τῶν πολεμίων. σάουλος δὲ φεύγει, καρτερὸν στῖφος ἔχων περὶ αὐτόν, καὶ τῶν παλαιστινῶν ἐπιπεμψάντων ἀκοντιστὰς καὶ τοξότας, πάντας μὲν ἀποβάλλει πλὴν ὀλίγων. αὐτὸς δὲ λαμπρῶς ἀγωνισάμε-

E νος, καὶ πολλὰ τραύματα λαβών, ὡς μηκέτι διακαρτερεῖν, μηδ᾽ ἀντέχειν ταῖς πληγαῖς, ἀποκτεῖναι μὲν αὐτὸν ἠσθένει, κελεύει δὲ τὸν ὁπλοφόρον, σπασάμενον τὴν ῥομφαίαν, ταύτην αὐτοῦ διελάσαι πρὶν ζῶντα συλλαβεῖν αὐτὸν τοὺς πολεμίους. μὴ τολμῶντος δὲ τοῦ ὁπλοφόρου κτεῖναι τὸν δεσπότην, αὐτὸς τὴν ἰδίαν σπασάμενος, καὶ στήσας ἐπὶ τὴν ἀκμήν, ῥίπτει κατ᾽ αὐτῆς αὐτόν. καὶ μὴ δυνάμενος ὤσασθαι μηδ᾽ ἐπερείσας διαβάλλειν αὐτοῦ τὸν σίδηρον ἐπιστρέφεται,

F καὶ νεανίσκου τινὸς ἑστῶτος, πυθόμενος τίς εἴη, καὶ μαθὼν ὡς ἀμαληκίτης ἐστί, παρεκάλεσεν ἐπερείσαντα τὴν ῥομφαίαν, διὰ τὸ μὴ ταῖς χερσὶν αὐτὸν τοῦτο δύνασθαι ποιῆσαι, παρασχεῖν αὐτῷ τελευτὴν οἵαν αὐτὸς βούλεται. ποιήσας δὲ τοῦτο, καὶ περιελόμενος περὶ τὸν βραχίονα αὐτοῦ χρυσὸν καὶ τὸν βασιλικὸν στέφανον, ἐκποδὼν ἐγένετο. θεασάμενος δ᾽ ὁπλοφόρος σάουλον ἀνῃρημένον, ἀπέκτεινεν ἑαυτόν. διεσώθη δ᾽ οὐδεὶς τῶν σωματοφυλάκων τοῦ βασιλέως, ἀλλὰ πάντες ἔπεσον περὶ τὸ καλούμενον γελβοὲ ὄρος. ἀκούσαντες δὲ

G τῶν ἑβραίων οἱ τὴν κοιλάδα πέραν τοῦ ἰορδάνου κατοικοῦντες, καὶ οἱ ἐν τῷ πεδίῳ τὰς πόλεις ἔχοντες, ὅτι σάουλος πέπτωκε, καὶ οἱ παῖδες αὐτοῦ, καὶ τὸ σὺν αὐτῷ πλῆθος ἀπόλωλε, καταλιπόντες τὰς ἑαυτῶν πόλεις εἰς ὀχυρωτάτας ἔφυγον. οἱ δὲ παλαιστινοί, τὰς καταλελειμμένας ἐρήμους εὑρόντες, κατῴκησαν. τῇ δ᾽ ἐπιούσῃ σκυλεύοντες οἱ παλαιστινοὶ τοὺς τῶν πολεμίων νεκρούς, ἐπιτυγχάνουσι τοῖς σαούλου, καὶ τῶν παίδων αὐτοῦ σώμασι, καὶ σκυλεύσαντες, ἀποτέμνουσιν αὐτῶν τὰς κεφαλάς.

καὶ κα-

καὶ κατὰ πᾶσαν περιήγγειλαν τὴν χώραν, πέμψαντες ὅτι πεπτώκασιν οἱ πολέμιοι. καὶ τὰς μὲν πανοπλίας αὐτῶν, ἀνέθηκαν εἰς τὸ ἀσάρτειον ἱερόν. τὰ δὲ σώματα ἀνεσταύρωσαν, πρὸς τὰ τείχη τῆς βηθσὰν πόλεως, ἣ νῦν σκυθόπολις καλεῖται. ἐπεὶ δ᾽ ἤκουσαν οἱ ἐν ἰαβισῷ πόλει τῆς γαλαδίτιδος κατοικοῦντες ὅτι λελώβηνται τὸν σαούλου νεκρὸν, καὶ τοὺς τῶν παίδων αὐτοῦ, δεινὸν ἡγησάμενοι περιϊδεῖν ἀκηδεύτους, ἐξελθόντες οἱ ἀνδρειότατοι καὶ τόλμῃ διαφέροντες, ἡ δὲ πόλις αὕτη καὶ σώμασιν ἀλκίμους καὶ ψυχαῖς φέρει, καὶ δι᾽ ὅλης τῆς νυκτὸς ὁδεύσαντες, ἦλθον εἰς τὴν βηθσάν. καὶ προσελθόντες τῷ τείχει τῶν πολεμίων, καὶ καθελόντες τὸ σῶμα σαούλου καὶ τῶν παίδων αὐτοῦ, κομίζουσιν εἰς ἰαβισσὰν, μηδὲ τῶν πολεμίων αὐτοὺς κωλῦσαι δυνηθέντων, ἢ τολμησάντων διὰ τὴν ἀνδρείαν. οἱ δὲ ἰαβισηνοὶ πανδημεὶ κλαύσαντες, θάπτουσι τὰ σώματα ἐν τῷ καλλίστῳ τῆς χώρας τόπῳ, ἀρούρης λεγομένῳ. καὶ πένθος ἐφ᾽ ἡμέρας ἑπτὰ σὺν γυναιξὶ καὶ τέκνοις ἐπ᾽ αὐτοῖς ἦγον κοπτόμενοι καὶ θρηνοῦντες τὸν βασιλέα καὶ τοὺς παῖδας αὐτοῦ, μήτε ποτοῦ, μήτε τροφῆς γευσάμενοι. τοῦτο σάουλος τὸ τέλος ἔσχε προφητεύσαντος σαμουήλου, διὰ τὸ παρακοῦσαι τοῦ θεοῦ τῶν ἐπ᾽ ἀμαληκίταις ἐντολῶν. καὶ ὅτι τὴν ἀχιμελέχου τοῦ ἀρχιερέως γενεὰν, καὶ ἀχιμέλεχον αὐτὸν, καὶ τὴν τῶν ἀρχιερέων πόλιν ἀνεῖλεν. ἐβασίλευσε δὲ, σαμουήλου ζῶντος ἔτη ὀκτὼ πρὸς τοῖς δέκα. τελευτήσαντος δὲ, δύο καὶ εἴκοσι. καὶ σάουλος μὲν, ἔτω κατέστρεψε τὸν βίον.

A & dimissis in hoc per totam suam regionem certis hominibus, hostes cecidisse nunciauerunt: quorum arma in templo Astartes dedicauerunt: porrò corpora corũ circa mœnia vrbis Bethsanæ, quæ nunc eũ est. Scythopolis, crucibus affixerunt. Quod posteaquam auditum est in Iabissã vrbe regionis Galaditidis, truncata esse Sauli ac filiorũ cadauera, rem indignã rati eos extremò exsequiarum honore fraudari, aliquam multi fortissimi & audacissimi egrediuntur (alit enim hæc vrbs homines robustos ac feroces) factóque per totam noctem itinere, ad Bethsanæ mœnia peruenientes, déptis Sauli & filiorum corporibus Iabissam ea deportauerunt, nemine hostium arcere eos aut aggredi propter virtutem ipsorum audente. Iabisseni autem populariter eos deploratos in celeberrimo agri sui loco sepeliuerunt, & in dicto ob regis & filiorum cædem luctu ac ieiunio dierum septem in lamentis & planctu eos exegerunt. Hic finis fuit Sauli iuxta Samuelis vaticinium, propterea quòd mandata Dei de bello contra Amalecitas gerendo non est exsecutus, & quia trucidato cum tota cognatione Achimelecho pontifice, vrbem quoque pontificalem subuertit. Regnauítque viuẽte Samuele annis decem & octo, & post mortem eius annis viginti: quo tempore exacto, eum quem diximus vitæ finem est sortitus.

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩ ΕΒΔΟΜΩ ΛΟΓΩ ΤΩΝ Ἰωσήπου ἱστοριῶν τῆς ἰουδαϊκῆς ἀρχαιολογίας.

Ὡς δαβίδης μὲν τῆς μιᾶς φυλῆς ἐβασίλευσεν ἐν χεβρῶνι πόλει, τοῦ δὲ ἄλλου πλήθους, ὁ σαούλου παῖς. Κεφ. α.

Ὅτι ἰεβόσθου φονευθέντος ἐξ ἐπιβουλῆς φίλων, ἅπασαν τὴν βασιλείαν δαβίδης παρέλαβεν. Κεφ. β.

Ὡς πολιορκήσας ἱεροσόλυμα δαβίδης, καὶ λαβὼν τὴν πόλιν ἐξέβαλεν μὲν ἐξ αὐτῆς τοὺς χαναναίους, ἐνῴκισε δὲ εἰς αὐτὴν ἰουδαίους. Κεφ. γ.

Ὅτι δαβίδης στρατεύσαντας ἐπ' αὐτὸν παλαιστινοὺς ἐν ἱεροσολύμοις ἐνίκησεν. Κεφ. δ.

Ὡς τοῖς πέριξ ἔθνεσι στρατεύσας δαβίδης, καὶ χειρωσάμενος, φόρον ἐπέταξεν αὐτοῖς τελεῖν. Κεφ. ε.

Ἡ γενομένη πρὸς δαμασκηνοὺς δαβίδου μάχη, καὶ νίκη. Κεφ. ϛ.

Πῶς ἐπὶ τοὺς μεσοποταμίους, στρατεύσας ἐκράτησεν αὐτῶν. Κεφ. ζ.

Ὅτι τῶν περὶ τὴν οἰκίαν αὐτοῦ στασιασάντων, ὑπὸ παιδὸς ἐξεβλήθη τῆς ἀρχῆς. Κεφ. η.

Ὡς στρατεύσας ἀβεσάλωμος ἐπὶ τὸν πατέρα δαβίδην, ἀπώλετο σὺν τῷ στρατῷ. Κεφ. θ.

Πῶς δαβίδης εἰς τὴν βασιλείαν πάλιν ἀνῆλθε, καὶ ἔζησεν εὐδαιμόνως. Κεφ. ι.

Ὡς ἔτι ζῶν, σολομῶνα τὸν υἱὸν, ἀπέδειξε βασιλέα. Κεφ. ια.

Τελευτὴ δαβίδου, καὶ ὅσα τῷ παιδὶ εἰς τὴν οἰκοδομὴν τοῦ ναοῦ κατέλειπεν. Κεφ. ιβ.

HÆC IN SEPTIMO IOSEPHI HISTORIARVM DE Antiquitate Iudaica libro continentur.

Dauid apud Hebronem vnius tribus rex creatur, in reliquis Sauli filius paternum regnum obtinet. Cap. I.

Iebostho amicorum insidiis interfecto, vniuersum regnum ad Dauidem deuenit. Cap. II.

Dauid vi captis Hierosolymis Chananæos inde eiicit, vrbémque Iudæis victoribus inhabitandam tradit. Cap. III.

Dauid Palæstinorum bello impetitus apud Hierosolyma victoriam illustrem consequitur. Cap. IV.

Dauid subactis finitimis gentibus tributa illis imponit. Cap. V.

Damasceni à Dauide vincuntur. Cap. VI.

Quomodo Dauid Mesopotamios vicerit. Cap. VII.

Quomodo per intestinum familiæ dissidium Dauid à filio regno pulsus est. Cap. VIII.

Abesalomus contra patrem profectus cum exercitu perit. Cap. IX.

Quomodo Dauid regno restitutus feliciter vixit. Cap. X.

Dauid se viuente Solomonem filium suum regnum auspicari voluit. Cap. XI.

Mors Dauidis, & quantum filio ad structuram templi reliquerit. Cap. XII.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΙΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ
ΛΟΓΟΣ ΕΒΔΟΜΟΣ.

FLAVII IOSEPHI ANTIQVITATVM IVDAICARVM
LIBER SEPTIMVS.

Κεφάλαιον α'.

Ὡς δαβίδης μὲν τῆς μιᾶς φυλῆς ἐβασίλευσεν ἐν χεβρῶνι, τοῦ δὲ ἄλλου πλήθους ὁ σαούλου παῖς.

ΣΥΝΕΒΗ δὲ ταύτην γενέσθαι τὴν μάχην, καθ' ἣν ἡμέραν καὶ δαβίδης τοὺς ἀμαληκίτας νικήσας, εἰς σίκελλαν ὑπέστρεψεν. ἤδη δ' αὐτοῦ δύο ἡμέρας ἔχοντος ἐν τῇ σικέλλᾳ, τῇ τρίτῃ παραγίνεται διασωθεὶς ἐκ τῆς μάχης τῆς πρὸς παλαιστινοὺς ὁ τὸν σαῦλον ἀνελών, τήν τε ἐσθῆτα περιερρηγμένος, καὶ τὴν κεφαλὴν τέφραν περικεχεάμενος. καὶ προσκυνήσας αὐτόν, πυνθανομένῳ, πόθεν ἥκει τοιοῦτος, ἀπὸ τῆς τῶν ἰσραηλιτῶν μάχης ἔλεγε. γενέσθαι δ' ἀτυχὲς αὐτῆς τὸ τέλος ἐδήλου, πολλῶν μὲν ἀναιρεθεισῶν τοῖς ἑβραίοις μυριάδων, πεσόντος δὲ καὶ τοῦ βασιλέως αὐτῶν σαούλου, μετὰ τῶν τέκνων. ταῦτα δὲ σημαίνειν ἔφασκεν αὐτὸς παρατυχὼν τῇ τροπῇ τῶν ἑβραίων, καὶ τῷ βασιλεῖ πεφευγότι παρών. ὃν καὶ κτεῖναι, μέλλοντα ὑπὸ τῶν πολεμίων λαμβάνεσθαι, παρακληθεὶς αὐτὸς ὡμολόγει. τῇ ῥομφαίᾳ γὰρ αὐτὸν ἐπιπεσόντα, διὰ τὴν τῶν τραυμάτων ὑπερβολὴν αὐτὸν ἀσθενῆσαι κατεργάσασθαι. καὶ σύμβολα τῆς ἀναιρέσεως ἐπεδείκνυε, τόν τε περὶ τοῖς βραχίοσι χρυσὸν τοῦ βασιλέως καὶ τὸν στέφανον, ἃ περιδύσας τὸν σαούλου νεκρὸν κομίσειεν αὐτῷ. δαβίδης δέ, μηκέτ' ἀπιστεῖν ἔχων, ἀλλ' ἐναργῆ τεκμήρια τοῦ σαύλου θανάτου βλέπων, καταρρηγνύει μὲν τὴν ἐσθῆτα, κλαίων δὲ καὶ ὀδυρόμενος μετὰ τῶν ἑταίρων, διεκαρτέρησε τὴν ἡμέραν. ποιεῖ δ' αὐτῷ τὴν λύπην τὴν χαλεπωτέραν, καὶ ὁ σαύλου παῖς ἰωνάθης, πιστότατός τε ὢν φίλος αὐτῷ, καὶ σωτηρίας αἴτιος γεγενημένος. τοσαύτην δ' ἐπεδείξατο τὴν ἀρετὴν καὶ τὴν πρὸς σάουλον εὔνοιαν, ὡς μὴ μόνον ἐπὶ τεθνηκότι χαλεπῶς ἐνεγκεῖν πολλάκις ὑπ' αὐτοῦ κινδυνεύσας ἀφαιρεθῆναι τὸν βίον, ἀλλὰ καὶ τὸν ἀποκτείναντα κολάσαι. φήσας γὰρ πρὸς αὐτόν, ὡς αὐτὸς αὐτοῦ γένοιτο κατήγορος ἀνελὼν τὸν βασιλέα, καὶ μαθὼν ὡς εἴη παιδὸς ἀμαληκίτου γένος, ἐκέλευσεν αὐτὸν ἀπολέσθαι. ἔγραψε δὲ καὶ θρήνους, καὶ ἐπιταφίους ἐπαίνους

CAP. I.

Dauid apud Hebronem vnius tribus rex creatur, in reliquis Sauli filius paternum regnum obtinet.

HOc prælium in eum diem incidit, quo Dauid de Amalecitis victor Sicellam est reuersus. tertio autem post eius reditum die, elapsus è prælio Sauli interfector, scissâ veste, capútque sparsus cinere, ad Dauidem peruenit: adoratóque eo, interrogatus vnde veniret, è conflictu Israelitarum ait se venire. id fuisse illorum partibus infortunatum, cæsis multis Hebræorum millibus, & insuper rege cum filiis post campugnam desiderato. atque se nunciare suis oculis visa, cùm forte in fugientem cum suis regem incidisset, quem à se rogatu ipsius cæsum fatebatur, ne viuus in manus hostium veniret: cùm enim in gladium incubuisset, non potuisse seipsum præ multitudine vulnerum interficere. eius deinde cædis argumenta certissima ostendebat, armillas aureas, & insigne regium, quæ ipse mortuo detraxerat, vt Dauidi afferret. At ille tam certis indiciis credere coactus, scidit vestimentum, & in fletu ac lamentis totam diem cum amicis exegit. accedebat ad mœroris cumulum Ionathas Sauli filius fidissimus eius amicus, & salutis ipsius non semel autor. Tanta autem fuit Dauidis virtus & erga Saulum beneuolentia, vt quamuis sæpius capitalibus eius insidiis appetitus, non solùm ægerrimè tulerit eius interitum, verumetiam interfectorem illius affici supplicio iusserit. Præfatus enim quòd ipse sui accusator extiterit, regis cædem professus, & per hoc Amalecitæ filium se declarauerit, duci hominem mandauit. præterea lamentationes & epitaphia

2.Reg.1.

2.Reg.2.

in laudem Sauli & Ionathæ composuit, quæ in hodiernum vsque diem leguntur. His extremis officiis honorato rege, luctúque finito, cósuluit Deum per prophetam, quámnam ex vrbibus Iudæ tribus habitandam sibi concederet. cúmque responsum esset Hebronem concedi, relicta Sicella eò commigrauit, ambabus vxoribus illò adductis, & cohorte domestica: móxque tota tribus ad eum locum confluens, regem eũ communi suffragio declarauit. Audito deinde quòd Saulum cum filiis Iabiseni in Galaditide regione sepelissent, misit illuc qui collaudato eorum facinore, gratiam illis referendam suo nomine pollicerentur, simúlque nuntiarent, quòd Iudæ tribus regem se consalutasset. Interea Sauli copiarum præfectus Abenerus filius Neri, vir strenuus, & ad magnas res obeũdas natus, quàm primùm cognouit cecidisse regem & Ionatham, aliósque duos eius filios, properè in castra delatus, reliquum ex omnibus filiis nomine Iebosthum periculo eripit, & superato vnà cum illo Iordane, totius populi regem eum constituit, excepta tribu Iudæ: regiámque ei elegit apud locum qui Hebraicè Manalis dictus, interpretatur castrum. inde profectus est cum delectissimo milite, vt prælio cum Iudæ tribu decerneret, iratus quòd Dauidem regem creauissent. Huic occurrit Ioabus Saruiæ Dauidis sororis filius, natus ex patre Suri, duos secum fratres, Abisæum & Asaelem, vniuersúmque Dauidis exercitum ducens: & cùm circa quendam fonticulum apud vrbem Gabao in eum incidisset, aciem ad prælium explicat. Cúmque Abenerus dixisset cupere se experiri vtrius partis præstantiores milites essent, ex pacto vtrinque duodeni ad certamen sunt destinati. qui progressi inter vtramque aciem, emissis priùs pilis, gladios stringunt: comprehésisque aduersariorum capitibus, latera & illa feriebant, donec mutuis vulneribus ad vnũ se conficerent. quo facto exercitus etiam confixerunt, & post acre certamen, partes Abeneri succubuerunt. Versos deinde in fugam Ioabus non destitit persequi, sed tergis eorum hærens hortabatur suos vt ne defatigarentur: idémque etiam fratres eius faciebant, præcipuè iunior Asael ob eximiam pedum pernicitatem celebris, & non solùm cum hominibus, sed cũ equis etiam cursu contendere solitus. is tũ Abenerum rectà insequebatur, nec in sinistram nec in dextram deflectens. Conuersus autem Abenerus, & impetum eius frustrari volens, primùm vnius militis armatura cum eo depasci voluit, vt persequi desineret. deinde rogabat ne se in hanc necessitatem adduceret, vt illo interfecto, in fratris eius conspectum posthac venire non auderet. cúmque ille his verbis nihil moueretur, sed persequi pergeret, ita vt versa hasta fugiebat, imminenti lethale vulnus infligit, vt in vestigio concideret. qui ve-

σαούλου καὶ ἰωνάθου, ὅσοι καὶ μέχρις ἐμοῦ διαμένουσιν. ἐπεὶ δὲ τούτοις διετίμησε τὸν βασιλέα, παυσάμενος δὲ τοῦ πένθους, ἤρετο τὸν θεὸν διὰ τοῦ προφήτου τίνα δίδωσιν αὐτῷ κατοικῆσαι πόλιν τῆς ἰούδα καλουμένης φυλῆς. φήσαντος δὲ αὐτοῦ διδόναι χέβρωνα, καταλιπὼν τὴν σίκελλαν, εἰς ἐκείνην παραγίνεται, τάς τε γυναῖκας εἰσαγόμενος τὰς αὐτοῦ, δύο δὲ ἦσαν, καὶ τοὺς ὁπλίτας σὺν αὐτῷ. συνελθὼν δὲ πρὸς αὐτὸν ἅπας ὁ τῆς φυλῆς τῆς προειρημένης λαὸς, ἀποδείκνυσιν αὐτὸν βασιλέα. ἀκούσας δὲ ὅτι τὸν σαοῦλον καὶ τοὺς υἱοὺς αὐτοῦ θάψειαν οἱ ἐν ἰαβείσῳ τῆς γαλααδίτιδος κατοικοῦντες, ἔπεμψε πρὸς αὐτοὺς, ἐπαινῶν καὶ ἀποδεχόμενος αὐτῶν τὸ ἔργον, καὶ χάριτας ἀποδώσειν ἀντὶ τῆς πρὸς τοὺς τεθνηκότας σπουδῆς ὑπισχνούμενος, ἅμα δὲ καὶ δηλῶν, ὡς ἡ ἰούδα φυλὴ κεχειροτόνηται αὐτὸν βασιλέα. ὁ δὲ τοῦ σαούλου μὲν ἀρχιστράτηγος ἀβέννηρος, νήρου δὲ παῖς, ἀνὴρ δραστήριος καὶ ἀγαθὸς τὴν φύσιν, ὡς ἔγνω πεσόντα τὸν βασιλέα καὶ τὸν ἰωνάθην, καὶ τοὺς δύο τοὺς ἄλλους αὐτοῦ παῖδας, ἐπείχθη εἰς τὴν παρεμβολήν. καὶ τὸν περιλειπόμενον διαρπάσας υἱὸν αὐτοῦ, ἰέβοσθος δὲ ἐκαλεῖτο, διαβιβάζει πρὸς τοὺς πέραν τοῦ ἰορδάνου, καὶ παντὸς ἀποδείκνυσι τοῦ πλήθους βασιλέα, πάρεξ τῆς ἰούδα φυλῆς. βασίλειον δὲ ἐποίησεν αὐτῷ γῆν, κατὰ μὲν τὴν ἐπιχώριον γλῶτταν, μανάλιν. κατὰ δὲ τὴν ἑλλήνων, παρεμβολὰς λεγομένην. ὥρμησε δὲ ἐκεῖθεν ἀβέννηρος μετὰ τῆς στρατιᾶς ἐπιλέκτου συμβαλεῖν τοῖς ἐκ τῆς ἰούδα φυλῆς προαιρούμενος, ὀργισθεὶς ὅτι ἐβασίλευσεν δαβίδην. ἀπήντησε δὲ αὐτῷ ἰώαβος, ὁ σαρουΐας μὲν παῖς, πατρὸς δὲ σουρὶ, ἐκ δὲ τῆς ἀδελφῆς δαβίδου γεγονὼς, ἀρχιστράτηγος ὢν αὐτοῦ, μετὰ καὶ τῶν ἀδελφῶν ἀβισαίου καὶ ἀσαήλου, καὶ πάντων τῶν δαβίδου ὁπλιτῶν. καὶ περιτυχὼν ἐπί τινος κρήνης ἐν γαβαὼ πόλει παρατάσσεται πρὸς μάχην. τοῦ δὲ ἀβεννήρου φήσαντος πρὸς αὐτὸν, μαθεῖν βούλεσθαι πότερος αὐτῶν ἀνδρειοτέρους στρατιώτας ἔχῃ, συντίθεται παρ᾽ ἀμφοτέρων δυοκαίδεκα μαχισομένους συμβαλεῖν. προσελθόντες τοίνυν εἰς τὸ μεταξὺ τῶν παρατάξεων οἱ πρὸς τὴν μάχην ὑφ᾽ ἑκατέρων τῶν στρατηγῶν διειλεγμένοι, καὶ τὰς αἰχμὰς ἐπ᾽ ἀλλήλοις ἀφέντες, σπῶνται τὰς μαχαίρας, καὶ τῶν κεφαλῶν ἐκλαμβανόμενοι, κατέχοντες αὐτοὺς, ἔπαιον εἰς τὰς πλευρὰς καὶ τὰς λαγόνας ἀλλήλους ταῖς ῥομφαίαις, ἕως οὗ πάντες ὥσπερ ἐκ συνθήματος ἀπώλοντο. πεσόντων δὲ τούτων, συνέρρηξε καὶ ἡ λοιπὴ στρατιὰ, καὶ καρτερᾶς μάχης γενομένης, ἡττήθησαν οἱ τοῦ ἀβεννήρου. καὶ φεύγοντας οὐκ ἀνίει διώκων ὁ ἰώαβος. ἀλλ᾽ αὐτός τε ἐπέκειτο παρακελευόμενος τοὺς ὁπλίτας ἐκποδὼς ἕπεσθαι καὶ μὴ κάμνειν ἀναιροῦντας, οἵ τε ἀδελφοὶ προθύμως ἠγωνίσαντο. καὶ ὁ διαφανέστερος τῶν ἄλλων μάλιστα ὁ νεώτερος ἀσάηλος, ἐπί τε ποδῶν ὠκύτητι κλέος εἶχεν. οὐ γὰρ ἀνθρώπους ἐνίκα μόνους, ἀλλὰ καὶ ἵππον καταστάντα εἰς ἅμιλλαν λέγουσι παραδραμεῖν. ἀλλὰ καὶ τὸν ἀβέννηρον ἐδίωκεν ὑπὸ ῥύμης καὶ τῆς ἐπ᾽ ὀρθὸν φορᾶς εἰς οὐδέτερον ἐγκλιθεὶς τῶν μερῶν. ἐπιστραφέντος δὲ τοῦ ἀβεννήρου, καὶ κατασοφίζεσθαι τὴν ὁρμὴν αὐτοῦ πειρωμένου, καὶ ποτὲ μὲν εἰπόντος, ἑνὸς τῶν ἑαυτοῦ στρατιωτῶν, ἀφέμενος τῆς διώξεως, ἀφελέσθαι τὴν πανοπλίαν. πάλιν δὲ ὡς οὐκ ἔπειθε τοῦτο ποιεῖν, κατασχεῖν αὐτὸν καὶ μὴ διώκειν παραινοῦντος, μὴ κτείνας αὐτὸν ἀπολέσῃ τὴν πρὸς τὸν ἀδελφὸν αὐτοῦ παῤῥησίαν. οὐ προσιεμένου δὲ τοὺς λόγους, ἀλλ᾽ ἐπιμείναντα τῇ διώξει φεύγων ὡς εἶχε τὸ δόρυ πλήξας εἰς τοὔπισθεν καιρίως, παραχρῆμα ἀπέκτεινεν.

οἱ δὲ μετ' αὐτοῦ διώκοντες τὸν ἀβέννηρον, ὡς ἦλθον ἐπὶ τὸν τόπον οὗ κεῖσθαι συνέβαινε τὸν ἀσάηλον, περιστάντες τὸν νεκρὸν, οὐκ ἔτι τοὺς πολεμίους ἐδίωκον. ὁ δὲ ἰώαβος αὐτὸς καὶ ὁ ἀδελφὸς αὐτοῦ ἀβισαῖος, παραδραμόντες τὸ πτῶμα, καὶ τῆς πλείονος ἐπὶ τὸν ἀβέννηρον σπουδῆς αἰτίαν τὴν ὑπὲρ τοῦ τελευτηκότος ὀργὴν λαβόντες, ἀπίστῳ τάχει καὶ προθυμίᾳ χρώμενοι, μέχρι τόπου τινὸς, ὃν ὀμματὸν καλοῦσι, ἐδίωξαν τὸν ἀβέννηρον, ἤδη περὶ δυσμὰς ὄντος ἡλίου. ἀναβὰς δ' ἐπί τινα βουνὸν, ὡς ἐστιν ἐπ' ἐκείνῳ τῷ τόπῳ μετὰ τῆς βενιαμίτιδος φυλῆς, αὐτούς τε κατεσκέπτετο καὶ τὸν ἀβέννηρον. τούτου δὲ ἀνακραγόντος καὶ φήσαντος μὴ δεῖν ἄνδρας ὁμοφύλους εἰς ἔριδα καὶ μάχην παροξύνειν. ἁμαρτεῖν γὰρ καὶ τὸν ἀδελφὸν αὐτοῦ ἀσάηλον, ὃς παραινοῦντος μὴ διώκειν οὐκ ἐπείσθη, καὶ διὰ τοῦτο βληθεὶς ἀπέθανε. συμφρονήσας καὶ παράκλησιν ἡγησάμενος τούτους τοὺς λόγους ὁ ἰώαβος ἀνακαλεῖ τῇ σάλπιγγι σημάνας τοὺς στρατιώτας, καὶ τῆς ἐπὶ πολὺ διώξεως ἐπέσχε. καὶ αὐτὸς μὲν ἐπ' ἐκείνου καταστρατοπεδεύεται τοῦ τόπου τὴν νύκτα ταύτην. ἀβέννηρος δὲ δι' ὅλης αὐτῆς ὁδεύσας καὶ περαιωσάμενος τὸν ἰορδάνην ποταμὸν, ἀφικνεῖται πρὸς τὸν τοῦ σαούλου παῖδα εἰς τὰς παρεμβολὰς ἰέβοσθον. τῇ δ' ἐχομένῃ, τοὺς νεκροὺς ἰώαβος ἐξαριθμήσας, ἅπαντας ἐκήδευσεν. ἔπεσον δὲ, τῶν μὲν ἀβεννήρου στρατιωτῶν, ὡς τριακόσιοι καὶ ἑξήκοντα. τῶν δὲ δαβίδου, δέκα πρὸς τοῖς ἐννέα, καὶ ἀσάηλος. οὗ τὸ σῶμα κομίσαντες ἐκεῖθεν ἰώαβος καὶ ἀβισαῖος εἰς βηθλεέμην, καὶ θάψαντες ἐν τῷ πατρίῳ μνήματι, πρὸς δαβίδην εἰς χεβρῶνα παρεγένοντο. ἤρξατο μὲν οὖν, ἐξ ἐκείνου τοῦ χρόνου τοῖς ἑβραίοις ἐμφύλιος πόλεμος. καὶ διέμενεν ἄχρι πολλοῦ, τῶν μὲν μετὰ δαβίδου κρειττόνων ἀεὶ γινομένων, καὶ πλεῖον ἐν τοῖς κινδύνοις φερομένων, τῶν δὲ σαούλου παιδὸς, καὶ τῶν ὑπηκόων αὐτῶν, κατὰ πᾶσαν σχεδὸν ἡμέραν ἐλαττουμένων. ἐγένοντο δὲ κατὰ τοῦτον τὸν καιρὸν καὶ παῖδες τῷ δαβίδῃ, τὸν ἀριθμὸν ἓξ, ἐκ γυναικῶν τοσούτων. ὧν ὁ μὲν πρεσβύτατος ἐκ μητρὸς ἀχίνας γενόμενος, ἄμνων ἐκλήθη. ὁ δὲ δεύτερος, ἐκ γυναικὸς ἀβιγαίας, δανίηλος. τῷ τρίτῳ δ' ἐκ τῆς θολομαίου θυγατρὸς μαχάμης φῦντι τοῦ γεσσιρῶν βασιλέως, ἀψάλωμος ὄνομα. τὸν δὲ τέταρτον, ἀδωνίαν ἐκ γυναικὸς ἀγγίτης προσηγόρευσε. τὸν πέμπτον δὲ καὶ τὸν ἕκτον γερθεσὰν καὶ γάλαν ἐπωνόμασε. τοῦ δ' ἐμφυλίου πολέμου συνεστῶτος, καὶ συμπιπτόντων εἰς ἔργα καὶ μάχην πυκνῶς μεθ' ἑκατέρων τῶν βασιλέων, ἀβέννηρος ὁ τοῦ σαούλου παιδὸς ἀρχιστράτηγος, συνετός τε ὢν καὶ σφόδρα εὔνοιαν ἔχων τὸ πλῆθος, πάντας συμμένειν τῷ ἰεβόσθῳ παρεσκεύασεν. καὶ διέμειναν ἱκανὸν χρόνον τὰ ἐκείνου φρονοῦντες. ὕστερον δ' ἐν ἐγκλήματι γενόμενος ἀβέννηρος, καὶ λαβὼν αἰτίαν ὡς συνέλθοι τῇ σαούλου παλλακῇ, ῥαισφᾶ μὲν τοὔνομα, σιβάθου θυγατρὶ, καὶ καταμεμφθεὶς ὑπὸ ἰεβόσθου, περιαλγήσας καὶ θυμωθεὶς ὡς οὐ δικαίων τῶν παρ' αὐτοῦ τυγχάνοι, πάσῃ προνοίᾳ περὶ αὐτὸν χρώμενος, ἠπείλησε μὲν τὴν βασιλείαν εἰς δαβίδην περιστήσειν, ἐπιδείξειν δ' ὡς οὐ διὰ τὴν ἰδίαν ῥώμην

iò cum eo Abenerum insectabantur, postquam ad locum in quo Asael iacebat peruenerunt, obliti amplioris persecutionis circum cadauer constiterunt. Ioabus autem & frater eius Abisæus, præter exanime corpus cursu prouecti, incitatique ira extincti fratris, mira pernicitate ac alacritate vsque ad solis occasum persecuti sunt Abenerũ, & vsque locum qui ab aquæ ductu nomen accepit. hic in loco eminentiore cõsistit, Abenerũ cum Beniamitis fugientem prospiciens. qui cùm exclamasset, satis iam indignationi indultum, nec esse viros consanguineos improba insectatione cogendos omissa fuga in certamen redire: culpam enim penes fratrem eius Asaelem esse, quòd monitus ab insequendo desistere noluisset, & ideo ictus cecidisset: visus est nõ malè admonere: móxque Ioabus dato receptui signo suos cohibuit: & in eo loco castris positis pernoctauit. Abenerus verò continuato per totam noctem itinere trans Iordanem in Iebosthi regiam se contulit. sequenti die Ioabus recensitis cæsorum cadaueribus omnes sepultura dignatus est. ceciderant autem ex Abeneri exercitu treceni sexaginta: Dauidis nouemdecim, prætérque Asael: cuius cadauer Bethlema reportatum fratres cum patriis monumentis intulissent, ad regem suum in Hebronem sunt reuersi. Hoc fuit inter Hebræos ciuilis belli initium, quod aliquandiu durauit, sed ita vt Dauidis partes magis ac magis proficerent, contrà eorum qui sub Sauli filij degebant imperio, in deteriores fierent. Interea Dauid sex filios è totidem vxoribus suscepit, quorum natu maximus è matre Achima natus, Amnon dictus est. Secundus ex vxore Abigæa Daniel. Tertius ex Machama filia Tholomæi natus regis Gessitorum, nomine Abesalon. Quartus Adonias ex vxore Angite susceptus, quintum verò & sextum Gerthesam & Galam nominauit. Porrò post conflatum ciuile bellum, & crebos partiũ conflictus, præcipuum monumentum fuit in Abenero, qui quòd esset vir prudens, & ad popularem gratiam factus, multitudinem in officio continebat, vt longo tempore in fide Iebosthi permanerent. Deinde verò insimulatus apud eum quòd consuetudinem haberet cum concubina eius Ræspha filia Sibathi; & ea de causa obiurgatus, dolore & indignatione motus quasi non bona gratia sibi pro fideli studio redderetur: minatus est se regnum ad Dauidem translaturum, & declaraturum quòd Iebosthus non tam propria virtute aut prudentia regno trans Iordanem potiretur, quàm ipsius bellicis artibus & eximia in eam diem fide. móxque misit in Hebronem ad Dauidem, qui suo nomine fœdus cum eo ferirent, hac conditione vt inter præcipuos regis amicos reciperetur, si populo ad defectionem à filio Sauli concitato, efficeret vt Dauid ab vniuersis Hebræis rex agnosceretur. Qui cũ vehementer hoc nuncio lætus conditionem accepisset,

1. Reg. 3.

καὶ σύνεσιν ἄρχει τῶν πέραν ἰορδάνου, διὰ δὲ τὴν αὐτοῦ στρατηγίαν τε καὶ πίστιν. καὶ πέμψας εἰς χεβρῶνα πρὸς δαβίδην, λαβεῖν ὅρκοις τε καὶ πίστεις ἠξίου, ἦ μὴν ἕξειν αὐτὸν ἑταῖρον καὶ φίλον ἀναπείσαντα τὸν λαὸν, τοῦ σαούλου μὲν ἀποστῆναι παιδὸς, αὐτὸν δὲ ἀποδείξαντα πάσης χώρας βασιλέα. τοῦ δὲ δαβίδου ποιησαμένου τὰς ὁμολογίας, ἥδη γὰρ ἐφ' οἷς ἀβέννηρος διεπρεσβεύσατο πρὸς αὐτὸν, καὶ πρῶτον τεκμήριον παρέχειν τῶν συνθηκῶν ἀξιώσαντος,

& quò magis ratum esset fœdus, postulasset vt Melcholen vxorem ad eum remitteret, quam magno suo periculo & annumeratis Saulo sexcentis Palæstinorum capitibus emerat: ante omnia remisit eam abstractam à Pheltiæ coniugio, adiuuante etiam Iebostho. nam & huic Dauid scripserat, æquum esse vxorem sibi restitui. deinde conuocatis senioribus populi, & præfectis militiæ in eam sententiam locutus est apud eos remoratum se quidem illos quo minus relicto Iebostho ad Dauidem desciscerent: nunc autem libenter se hoc illis permissurum, quandoquidem certo comperisset hunc per Samuelem prophetam totius Hebræorum gentis regem diuino iudicio designatum esse; eundémque vatem præcecinisse, quòd huius ductu vindicandum sit in Palæstinos, nec alio rege sub iugum Israelitarum eos posse subigi. His auditis seniores & præfecti, certi iam in eorum sententiam Abenerum trásisse, Dauidi in posterum apertè studuerunt. Supererat vt & Beniamitæ in hanc sententiam concederent, quòd ex hac tribu esset Iebosthi satellitium. ad quos quum eadem verba fecisset, ac ne illos quidem reniti animaduertisset, cum viginti fermè comitibus ad Dauidem proficiscitur, vt præsens fœdus initum confirmaret: tum quia quisque in rebus suis sibi magis quàm alij fidit, tum quia volebat certiorem facere, quid in causa eius cum senioribus & ducibus egisset, & quòd ipsam quoque Beniamiticam tribum in partes ipsius traduxisset. à quo comiter exceptus, & splendidis ac sumptuosis epulis per aliquot dies adhibitus, tandem petiit vt dimitteretur, traducturus ad eum exercitum, & quod promiserat re exhibiturus, & quasi in manum imperium gentis ei traditurus. Vix ad hæc promissa exsequenda missus à Dauide Hebronem exiuerat, cùm Ioabus copiarum imperator peregrè rediens illuc aduenit: cognitóque quòd Abenerus icto cum Dauide fœdere paulo antè abiisset regnum ei tradi curaturus: veritus ne is primùm inter amicos locum obtineret, autor illi factus regij fastigij, & alioqui vir prudens in consiliis capiendis, & rerum momentis obseruandis: ipse verò deteriori conditione esse inciperet, & præfectura copiarum priuaretur, malum & iniquum consilium concipit. ac primùm calumniis eum aggressus, persuadere conatur regi, vt caueat sibi, neque fidem illius verbis adhibeat. Nihil enim illum non tentare quo regnum Sauli filio constabiliat: & nunc structis dolis aduenisse, & optatis potitum, cum certa spe insidiis circumueniendi Dauidis abire. Postquam autem frustra se verba fundere animaduertit, ac ne tantillum quidem regem his moueri, mutato consilio facinus audax mente concipit, & certus hominem tollere, mittit confestim qui cursim per eius vestigia viam carperent, & assecuti eum Dauidis nomine reuocarét, quasi per obliuionem quiddam maximè ad rem pertinens illi significare omisisset. Abenerus autem postquam hæc audiuit ex nunciis in loco cui nomen Besira xx. stadiis ab Hebrone dissito, nihil eorum quæ euentura erant suspicatus ad vrbem reuertitur. Cui obuiam factus ante mœnia Ioabus, humanissimè exceptum summam beneuo-

ἀνασώσαντα πρὸς αὐτὸν μελχόλην τὴν γυναῖκα, μεγάλοις ὠνηθεῖσαν ὑπ' αὐτοῦ κινδύνοις καὶ παλαιστινῶν κεφαλαῖς ἑξακοσίαις, ἃς ὑπὲρ αὐτῆς ἐκόμισε τῷ πατρὶ σαούλῳ, πέμπει μὲν αὐτῷ τὴν μελχόλην, ἀποσπάσας φελτίου, τοῦ τε συνοικοῦντος αὐτῇ, καὶ πρὸς τοῦτο καὶ ἰεβόσθου συμπράξαντος. ἐγεγράφει γὰρ αὐτῷ δαβίδης τὴν γυναῖκα δικαίως ἀπολαβεῖν. συγκαλέσας δὲ καὶ τοὺς γεγηρακότας τοῦ πλήθους καὶ ταξιάρχους, λόγους ἐποιήσατο πρὸς αὐτούς, ὡς ἔχοντας ἑτοίμως, ἀποστῆναι μὲν ἰεβόσθου, δαβίδῃ δὲ προσθέσθαι, ταύτης ἀποστρέψειε τῆς ὁρμῆς. νῦν μέντοι γε ἐπιτρέποι χωρεῖν εἰ βούλοντα. καὶ γὰρ εἰδέναι τὸν θεὸν διὰ σαμουήλου τοῦ προφήτου, δαβίδην χειροτονήσαντα, πάντων ἑβραίων βασιλέα. προειπεῖν δ' ὅτι παλαιστινοὺς ἐκεῖνος αὐτοὺς τιμωρήσεται, καὶ ποιήσει κρατήσας ὑποχειρίους. ταῦτ' ἀκούσαντες οἱ πρεσβύτεροι καὶ ἡγεμόνες, ὡς καὶ ἀβέννηρος γνώμην ἣν εἶχον αὐτοὶ περὶ τῶν πραγμάτων σύμφωνον προσέλαβεν, τὰ δαβίδου φρονεῖν μετεβάλλοντο. πεισθέντων δὲ τούτων, ἀβέννηρος συγκαλεῖται τὴν βενιαμίτιν φυλήν, οἱ γὰρ ἐκ ταύτης ἅπαντες ἰεβόσθου σωματοφύλακες ἦσαν, καὶ ταῦτα πρὸς αὐτοὺς διαλεχθείς, ἐπεὶ μηδὲν ἀντικρούοντας ἑώρα, προστιθεμένους δ' οἷς ἐβούλετο, παραλαβὼν ὡς εἴκοσι τῶν ἑταίρων, ἧκε πρὸς δαβίδην, τοὺς ὅρκους παρ' αὐτοῦ ληψόμενος αὐτός, πιστότερα γὰρ τῶν δι' ἄλλου πραττομένων ὅσα δι' αὐτῶν ἕκαστοι ποιοῦμεν εἶναι δοκεῖ, καὶ προσέτι τοὺς γενομένους αὐτῷ λόγους πρός τε τοὺς ἡγεμόνας, καὶ τὴν φυλὴν ἅπασαν σημαίνων, ὑποδεξαμένου δ' αὐτὸν φιλοφρόνως, καὶ λαμπρᾷ καὶ πολυτελεῖ τραπέζῃ ξενήσαντος ἐπὶ συχνὰς ἡμέρας, ἠξίωσεν ἀφεθεὶς ἀγαγεῖν τὸ πλῆθος, ἵνα παρόντι καὶ βλεπομένῳ παραδώσῃ τὴν ἀρχήν. ἐκπέμψαντος δὲ τοῦ δαβίδου τὸν ἀβέννηρον, οὐδὲ ὀλίγον διαλειπὼν εἰς χεβρῶνα ἧκεν ἰώαβος ὁ ἀρχιστράτηγος αὐτοῦ, καὶ μαθὼν ὡς εἴη παρὼν πρὸς αὐτὸν ἀβέννηρος, καὶ μικρὸν ἔμπροσθεν ἀπηλλαγμένος ἐπὶ συνθήκαις καὶ ὁμολογίαις τῆς ἡγεμονείας, δείσας μὴ τὸν μὲν ἐν τιμῇ καὶ τῇ πρώτῃ ποιήσηται τάξει, συνεργὸν τε τῆς βασιλείας ἐσόμενον, καὶ τ' ἄλλα δεινὸν ὄντα συνιδεῖν πράγματα καὶ τοὺς καιροὺς ὑποδραμεῖν, αὐτὸς δ' ἐλαττωθείη καὶ τῆς στρατηγίας ἀφαιρεθείη, κακοῦργον καὶ πονηρὰν ὁδὸν ἄπεισι. καὶ πρῶτον μὲν ἐπιχειρεῖ διαβάλλειν αὐτὸν πρὸς τὸν βασιλέα, φυλάττεσθαι παραινῶν, καὶ μὴ προσέχειν οἷς ἀβέννηρος συντίθεται. πάντα γὰρ ποιεῖν αὐτὸν ἐπὶ τῷ βεβαιώσασθαι τῷ σαούλου παιδὶ τὴν ἡγεμονείαν. ἐπὶ δ' ἀπάτῃ καὶ δόλῳ πρὸς αὐτὸν ἐλθόντα, μεθ' ἧς ἐβούλετο νῦν ἐλπίδος καὶ οἰκονομίας τῶν κατασκευαζομένων ἀπελθεῖν. ὡς δ' οὐκ ἔπειθε τὸν δαβίδην τούτοις, οὐδὲ παροξυνόμενον ἑώρα, τρέπεται ταύτης τολμηροτέραν ὁδόν, καὶ κρίνας ἀβέννηρον ἀποκτεῖναι, πέμπει τοὺς ἐπιδιώξοντας. οἷς καταλαβοῦσι προσέταξεν αὐτὸν καλεῖν ἐκ τοῦ δαβίδου ὀνόματος, ὡς ἔχοντος αὐτοῦ τινὰ περὶ τῶν πραγμάτων πρὸς αὐτόν, ἃ μὴ διεμνημόνευσε παρόντος εἰπεῖν. ἀβέννηρος δ' ὡς ἤκουσε τὰ παρὰ τῶν ἀγγέλων, κατέλαβον γὰρ αὐτὸν ἐν τόπῳ τινὶ βησιρᾷ καλουμένῳ, ἀπέχοντι τῆς χεβρῶνος σταδίοις εἴκοσι, μηδὲν ὑποπτευόμενος τῶν συμβησομένων ὑπέστρεψεν. ὑπαντήσας δ' αὐτῷ πρὸς τῇ πόλει ὁ ἰώαβος,

A καὶ δεξιωσάμενος, ὡς μάλιστ' εὔνους καὶ φίλος (ὑποκρίνονται γὰρ ἱκανῶς πολλάκις εἰς τὸ ἀνύποπτον τῆς ἐπιβουλῆς τὰ τῶν ἀληθῶς ἀγαθῶν οἱ πράγμασιν ἐγχειροῦντες ἀτόποις) ἀποσπᾷ μὲν οἰκείων αὐτὸν, ὡς ἐν ἀπορρήτῳ διαλεξόμενος. παραγαγὼν δὲ εἰς τὸ ἐρημότερον τῆς πύλης, μόνος αὐτὸς ὢν σὺν Ἀβισαίῳ τῷ ἀδελφῷ, σπασάμενος τὴν μάχαιραν, ὑπὸ τὴν λαγόνα παίει. καὶ τελευτᾷ μὲν Ἀβένηρος τοῦτον ἐνεδρευθεὶς τὸν τρόπον ὑπὸ Ἰωάβου, ὡς μὲν αὐτὸς ἔλεγε τιμωρήσαντος Ἀσαήλῳ τῷ ἀ- **B** δελφῷ ὃν διώκοντα βαλὼν Ἀβένηρος ἀπέκτεινεν ἐν τῇ πρὸς τῇ Χεβρῶνι μάχῃ. ὡς δὲ τἀληθὲς εἶχε, δείσαντος περὶ τῆς στρατηγίας καὶ τῆς παρὰ τῷ βασιλεῖ τιμῆς, μὴ τούτων μὲν αὐτὸς ἀφαιρεθείη, λάβοι δὲ παρὰ Δαβίδου τὴν πρώτην τάξιν Ἀβένηρος. ἐκ τούτων ἄν τις κατανοήσειεν, ὅσα καὶ πηλίκα τολμῶσιν ἄνθρωποι πλεονεξίας ἕνεκα καὶ ἀρχῆς, καὶ τοῦ μηδενὶ τούτων παραχωρῆσαι. κτήσασθαι γὰρ αὐτὰ ποθοῦντες, διὰ μυρίων κακῶν λαμβάνουσι. καὶ δείσαντες ἀποβαλεῖν, πολλῷ χείροσι τὸ βέ- **C** βαιον αὐτοῖς τῆς παραμονῆς περιποιοῦσιν, ὡς οὐχ ὁμοίου δεινοῦ τυγχάνοντος πορίσασθαι τηλικοῦτο μέγεθος ἐξουσίας, καὶ συνήθη τοῖς ὑπ' αὐτῆς ἀγαθοῖς γενόμενον, ἔπειτα ταύτην ἀπολέσαι, οὐδὲ ὑπερβολὴν ἔχοντος συμφορᾶς. διὰ τοῦτο καὶ χαλεπώτερα μηχανῶνται καὶ τολμῶσιν ἔργα πάντες φόβῳ τοῦ ἀποβαλεῖν. ἀλλὰ περὶ μὲν τούτων ἐν βραχέσιν ἀρκεῖ δεδηλῶσθαι. Δαβίδης δ' ἀκούσας ἀνῃρημένον τὸν Ἀβένηρον, ἤλγησε μὲν τὴν ψυχήν. ἐμαρτύρατο δὲ πάντας ἀνατείνων εἰς τὸν θεὸν τὴν δε- **D** ξιὰν καὶ βοῶν, ὡς οὔτε κοινωνὸς εἴη τῆς Ἀβενήρου σφαγῆς, οὔτε κατ' ἐντολὴν καὶ βούλησιν ἰδίαν ἀποθάνοι. ἀρὰς δὲ κατὰ τοῦ πεφονευκότος αὐτὸν δεινὰς ἐτίθετο, καὶ τὸν οἶκον αὐτοῦ, καὶ τοὺς συμπράξαντας, ὑπευθύνους ἐποιεῖτο ταῖς ὑπὲρ τοῦ τετελευτηκότος ποιναῖς. ἔμελλε γὰρ αὐτῷ μὴ δόξαι παρὰ τὰς πίστεις καὶ τοὺς ὅρκους οὓς ἔδωκεν Ἀβενήρῳ τοῦτον εἰργάσθαι. προσέταξε μέντοι γε παντὶ τῷ λαῷ, κλαίειν καὶ πενθεῖν τὸν ἄνδρα, καὶ τοῖς νομιζομένοις τιμᾶν **E** αὐτοῦ τὸ σῶμα, περιρρηξαμένοις μὲν τὰς ἐσθῆτας, ἐνδύντας δὲ σάκκους. ταῦτα δὲ ποιεῖν, προάγοντας τῆς κλίνης. αὐτὸς δ' ἐφείπετο μετὰ τῶν γεγηρακότων καὶ τῶν ἐν ἡγεμονίαις ὄντων, κοπτόμενός τε καὶ τοῖς δακρύοις ἐνδεικνύμενος τό τε εὔνουν τὸ πρὸς τὸν ζῶντα, καὶ τὴν ἐπὶ τεθνηκότι λύπην, καὶ ὅτι μὴ κατὰ τὴν αὐτοῦ γνώμην ἀνῄρηται. θάψας δ' αὐτὸν ἐν Χεβρῶνι μεγαλοπρεπῶς καὶ ἐπιταφίοις τε συγγραψάμενος θρήνοις, αὐτὸς ἐπὶ τοῦ τάφου στὰς πρῶτος ἀνεκλαύσατο καὶ παρέδωκε τοῖς ἄλ- **F** λοις. οὕτως δ' αὐτὸν ὁ Ἀβενήρου συνέχεε θάνατος, ὡς μηδὲ τροφὴν ἀναγκαζόντων αὐτὸν τῶν ἑταίρων λαβεῖν. ἀλλ' ὤμοσε γεύσασθαι μηδενὸς, ἄχρι ἡλίου δυσμῶν. ταῦτ' εὔνοιαν αὐτῷ παρὰ τοῦ πλήθους ἐγέννησεν. οἵ τε γὰρ πρὸς τὸν Ἀβένηρον φιλοστόργως διακείμενοι, σφόδρα αὐτοῦ τὴν πρὸς αὐτὸν τιμὴν ἀποθανόντα, καὶ φυλακὴν τῆς πίστεως ἠγάπησαν, ὅτι πάντων αὐτὸν ἀξιώσειε τῶν νομιζομένων ὡς συγγενῆ καὶ φίλον, ἀλλ' οὐχ ὡς ἐχθρὸν γενόμενον ὑβρίσειεν ἀκόσμῳ ταφῇ, καὶ ἠμελημένῃ τότε. ἀλλ' ὡς πᾶν ἐπὶ χρηστῷ καὶ ἡμέρῳ τὴν φύσιν ἔχαιρε, τὴν αὐτὴν ἑκάστου λογιζομένου πρόνοιαν εἰς αὑτοὺς τοῦ βασιλέως ἐν τοῖς ὁμοίοις, ὁποίαν τυγχάνοντα τὸν Ἀβενήρου νεκρὸν ἑώρα. πρὸς τούτοις οὖν μάλιστα Δαβίδην γλίχεσθαι δόξης ἀγαθῆς, ποιούμενον πρόνοιαν ἣν εἰκὸς, ὡς οὐδεὶς ὑπενόησεν ὑπ' αὐτοῦ φονευθῆναι τὸν Ἀβένηρον.

beneuolentiam præ se ferens (vt sæpè fit cùm ad obtexendas insidias malum aliquod facinus molientes summam bonitatem simulant) seorsum à cætero comitatu seducit, quasi secretius aliquid cum eo colloqui vellet: atque ita abductum in locum portæ solitarium, vno tantùm fratre Abisæo præsente stricto ferro per ilia traiicit. Hunc exitum habuit vir egregius, insidiis à Iaoabo interceptus, vt ipse videri volebat in vltionem fratris Asaelis, quem in prælio ad Hebronem commisso Abenerus pertinaciter se insequentem interemerat. re autem vera quòd miserè timeret, ne honore quem obtinebat priuaretur, Dauide imperium exercitus in Abenerum transferente. Hinc sanè videre licet, quàm nihil non audeant homines ambitioni & auariciæ dediti, dum nemini cedere volunt. Nam & dum cupitis potiri properant, non dubitant quoduis perpetrare facinus: & ne quod semel nacti sunt amittant, maiora etiam non reformidant: sic existimantes, leuius incommodum esse ad summum fastigiũ non peruenire, quàm ab assuetis iam bonis excidere, ideóque plus illis semper audaciç superest, dum timent ne pristina felicitate priuentur. Sed de his satis est paucis admonuisse. Porrò Dauid audita Abeneri nece vehementer indoluit, sublatáque ad cælum dextera magna voce protestatus est, quòd nec iubente se nec conscio cædes ea fuerit commissa. ad hæc diris imprecationibus autorem necis huius execratus, & familiam eius & facinoris socios præiudicio suo damnauit. Valde enim solicitus erat, ne videretur hoc contra fœdus cum Abenero ictum fuisse admissum, edixitque vt totus populus defleret ac lugeret, virum & solennibus funeralibus ei parentaret, scissis vestibus & saccos indutus: atque hoc modo exequias frequẽtari voluit, quas & ipse vnà cum honoratioribus ac præfectis deduxit, planctu & lacrymis satis indicans vel beneuolentiam erga viuum, vel mœrorem ob defunctum, quódque præter ipsius voluntatem interemptus fuerit, quin & magnificè apud Hebronem sepultum, ac epitaphio à se composito honoratum, stans super monumentum primus deplorauit, suóque exemplo cæteros ad idem faciendum prouocauit. adeóque grauiter Abeneri morte affectus est, vt nullis amicorum precibus ad gustandum ea die cibum adduci potuerit, sed iuratus ieiunium vsque ad solis occasum seruauerit. quod sanè non mediocrem ipsi gratiam apud multitudinem conciliauit. Nam quotquot erant Abeneri studiosi vehementer hunc defuncti extremum honorem & seruatam ad vltimum fidem probauerunt, quòd omnia in eum contulisset quæ in amicos conferri solent, & non vt inimicum aliquando neglectæ & ignominiosæ sepulturæ tradidisset: tum considerantes pro se quisque egregiam regis benignitatem, eadem sibi quoque ab illo pollicebantur. atque hoc modo optimè Dauid famæ suæ consuluit, nemine amplius suspicante ipsius voluntate cæsum fuisse Abenerum. quin & prius-

quam multitudo quæ ad funus celebrandum conuenerat digrederetur, docuit eos quantum ipse in animo vulnus accepisset, quantúmque totus populus detrimentum amisso viro in rebus bellicis tam consilio quàm manu præstantissimo. Sed Deus, inquit, qui vniuersa gubernat, necem huius inultam non sinet. Is mihi testis esto quòd in Ioabum & Abisæum animaduertere non valeo, qui apud exercitum penè plus possunt quàm ego ipse. pœnam tamen diuinitus infligendam non effugient. Et Abenerus quidem in hunc modum vitam finiuit.

ἔλεξε δὲ καὶ πρὸς τὸ πλῆθος, ὡς αὐτῷ μὲν οὐ τυχοῦσα γένοιτο λύπη ἀνδρὸς ἀγαθοῦ τετελευτηκότος, οὐ μικρὰ δὲ τοῖς ἑβραίων πράγμασι βλάβη, στερηθεῖσιν αὐτοῦ καὶ σώζειν βουλαῖς τε ἀρίσταις καὶ ῥώμῃ χειρῶν ἐν τοῖς πολεμικοῖς ἔργοις δυναμένου. ἀλλὰ θεὸς μὲν εἶπεν, ὧ μέλει πάντων, οὐκ ἐάσῃ τοῦτον ὑμῖν ἀνεκδίκητον. ἐπιστάσθω δὲ, ὡς οὐδὲν ἰώαβον καὶ ἀβισαῖον τοὺς σαρουΐας παῖδας ποιεῖν ἱκανός εἰμι, πλέον ἐμοῦ δυναμένους, ἀλλ' ἀποδώσει τὴν ὑπὲρ τῶν τετολμημένων αὐτοῖς ἀμοιβὴν τὸ θεῖον. καὶ ἀβενῆρος μὲν εἰς τοιοῦτο κατέστρεψε τέλος τὸν βίον.

Cap. II.

Iebostho amicorum insidiis interfecto, vniuersum regnum ad Dauidem deuenit.

Κεφάλαιον β'.

Ὅτι τοῦ ἰεβόσθου φονευθέντος ἐξ ἐπιβουλῆς φίλων, ἅπασαν τὴν βασιλείαν δαβίδης παρέλαβεν.

II. 2. Reg. 4.

IEbosthus autem Sauli filius morte eius audita grauiter hoc tulit, quòd priuatus esset viro consanguineo, qui præcipuus autor ei fuerat vt in paternum regnum succederet, mirúmque in modum ob hanc causam se afflictauit. Nec ipse diu superstes fuit, sed à filiis Hieremmonis Banaotha & Thanno per insidias est oppressus. Hi enim cùm essent Beniamitæ genere, & inter præcipuos optimates, existimantes si Iebosthum interficerent, magna se munera à Dauide accepturos, & aut amplas præfecturas aut aliud quid honorificum apud eum per hoc factum se consecuturos, nacti solum Iebosthum in cubiculo meridiantem, videntésque nec satellitum quenquam adesse, neque ianitricem vigilare, sed & ipsam partim lassitudine, partim æstu in somnum solutam, subintrogressi ad eum, dormientem interemerunt: præcisóque capite, & per totam noctem ac diem itinere continuato, tanquam à læsis properantes ad eum quem magno beneficio demeruissent, Hebronem peruenerunt: ostensóque Dauidi Iebosthi capite, commendabant ei suam operam ac beneuolentiam, quòd regni æmulum de medio sustulissent. Sed multùm eos spes sua fefellit: neque enim pro eorum opinione illos excepit rex. Sceleratissimi, inquit, & iamiam pœnas daturi, an nesciebatis quòd à me operæ præmium Sauli interfector retulerit, qui ad me coronam eius auream apportauerat? & ille quidem rogatus hoc ei præstiterat, ne ab hostibus caperetur. Aut fortè alium me iam factum credebatis, vt mutatis moribus delectarer viris maleficis, & domini cædem tanquam beneficium oblatum complecterer: idque occiso à vobis in suo lecto viro iusto, qui neminem vnquam læsit, vos verò maxima etiam beneuolentia, summísque honoribus prosecutus est. quapropter eadem opera & illi pœnas violatæ fidei dabitis, & mihi iniquæ de me opinationis, quã putastis de tali Iebosthi cæde libẽter auditurũ. Neque enim alio modo grauiùs existimationem meã lędere potuistis. Hęc locut⁹ iussit eos exquisitissimis tormentis excruciatos supplicio dedi: capútq; Iebosthi cũ omni honore funeratũ in Abeneri monumẽtum intulit. His ita finitis vniuersi Hebręorum

Ἀκούσας δὲ τὴν τελευτὴν αὐτοῦ ὁ σαούλου παῖς ἰέβοσθος, οὐ μετρίως ἤνεγκεν, ἀνδρὸς ἐστερημένος συγγενοῦς καὶ τὴν βασιλείαν αὐτῷ παρασχόντος. ἀλλ' ὑπερεπάθησε, καὶ λίαν αὐτὸν ὠδύνησεν ὁ ἀβενήρου θάνατος. οὐκ ἐπεβίω δ' οὐδ' αὐτὸς πολὺν χρόνον. ἀλλ' ὑπὸ τῶν ἱερέμμωνος υἱῶν, βαναόθα, τῷ δὲ ἑτέρῳ θάννος ὄνομα ἦν, ἐπιβουλευθεὶς ἀπέθανεν. οὗτοι γὰρ ὄντες, τὸ μὲν γένος βενιαμῖται, τοῦ δὲ πρώτου τάγματος, λογισάμενοι δ' ὡς ἂν ἀποκτείνωσιν τὸν ἰέβοσθον, μεγάλων παρὰ δαβίδου τεύξονται δωρεῶν, καὶ στρατηγίας ἤ τινος ἄλλης πίστεως τὸ ἔργον αὐτοῖς ἔσται, παρὰ τὸ δωμάτιον μόνον εὑρόντες μεσημβρίζοντα καὶ κοιμώμενον τὸν ἰέβοσθον, καὶ μήτε τοὺς φύλακας παρόντας, μήτε τὴν θυρωρὸν ἐγρηγορυῖαν, ἀλλὰ καὶ αὐτὴν ὑπό τε τοῦ κόπου καὶ τῆς ἐργασίας ἧς μετεχειρίζετο καὶ τοῦ καύματος εἰς ὕπνον καταπεσοῦσαν, παρελθόντες εἰς τὸ δωμάτιον ἐν ᾧ συνέβαινε κατακεκοιμῆσθαι τὸν σαούλου παῖδα, κτείνουσιν αὐτόν. καὶ τὴν κεφαλὴν ἀποτεμόντες, καὶ δι' ὅλης τῆς νυκτὸς καὶ ἡμέρας ποιησάμενοι τὴν πορείαν ὡς ἂν φυγόντες ἐκ τῶν ἠδικημένων, πρὸς τὸν ληψόμενόν τε τὴν χάριν, καὶ παρέξοντα τὴν ἀσφάλειαν, εἰς χεβρῶνα παρεγένοντο. καὶ τὴν κεφαλὴν ἐπιδείξαντες τῷ δαβίδῃ τὴν ἰεβόσθου, συνίστων αὐτοὺς ὡσεὶ εὔνους, καὶ τὸν ἐχθρὸν αὐτοῦ καὶ τῆς βασιλείας ἀνταγωνιστὴν ἀνῃρηκότας. ὁ δ' ὡς οὐκ ἤλπιζον οὕτως αὐτῶν προσεδέξατο τὸ ἔργον. ἀλλ' εἰπὼν, ὦ κάκιστοι, καὶ παραχρῆμα δίκην ὑφέξοντες. οὐκ ἔγνωτε πῶς ἐγὼ τὸν σαούλου φονέα, καὶ τὸν κομίσαντά μοι τὸν χρυσοῦν αὐτοῦ στέφανον ἠμυνάμην, καὶ ταῦτ' ἐκείνῳ χαριζόμενον τὴν ἀναίρεσιν, ἵνα μὴ συλλάβωσιν αὐτὸν οἱ πολέμιοι. ἢ μεταβεβλῆσθαί με, καὶ μηκέτ' εἶναι τὸν αὐτὸν ὑπωπτεύσατε, ὡς χαίρειν κακούργοις ἀνδράσι, καὶ χάριτας ἡγήσασθαι τὰς κυριοκτόνους ὑμῶν πράξεις, ἀνῃρηκότων ἐπὶ τῆς αὐτοῦ κοίτης ἄνδρα δίκαιον, καὶ μηδένα μηδὲν κακὸν εἰργασμένον, ὑμᾶς δὲ διὰ πολλῆς εὐνοίας καὶ τιμῆς ἐσχηκότα. διὸ, δώσετε ποινὴν μὲν αὐτῷ κολασθέντες, δίκην δ' ἐμοὶ τοῦ νομίσαντας ἡδέως ἕξειν με τὴν ἰεβόσθου τελευτὴν, τοῦτον ἀνελεῖν. οὐ γὰρ ἐδύνασθε μᾶλλον ἀδικῆσαι τὴν ἐμὴν δόξαν τοῦθ' ὑπολαβόντες. ταῦτ' εἰπὼν, πᾶσαν αἰκίαν αὐτοὺς αἰκισάμενος, διεχρήσατο. καὶ τὴν ἰεβόσθου κεφαλὴν, ἐν τῷ ἀβενήρου τάφῳ πάντων ἀξιώσας ἐκήδευσε. τούτων δὲ τοιοῦτο λαβόντων τέλος, ἧκον ἅπαντες οἱ τοῦ λαοῦ τῶν ἑβραίων προ-

περιόντι περὶ πρὸς δαβίδην εἰς χεβρῶνα, οἵ τε χιλίαρχοι καὶ ἡγεμόνες αὐτῶν, καὶ παρεδίδοσαν αὐτοὺς, τήν τε εὔνοιαν ἣν ἔτι καὶ σαούλου ζῶντος εἶχον πρὸς αὐτὸν ὑπομιμνήσκοντες, καὶ τὴν τιμὴν ἣν γινόμενον τότε χιλίαρχον τιμῶντες οὐ διέλειπον, ὅτι τε βασιλεὺς ὑπὸ τοῦ θεοῦ διὰ σαμουήλου τοῦ προφήτου χειροτονηθείη, καὶ παῖδες αὐτοῦ, καὶ ὡς τὴν ἑβραίων χώραν αὐτῷ σῶσαι καταγωνισαμένῳ παλαιστινοὺς δέδωκεν ὁ θεὸς ἐμφανίζοντες. ὁ δὲ, ταύτης τε ἀποδέχεται τῆς προθυμίας αὐτοὺς, καὶ παρακαλέσας διαμένειν, οὐ γὰρ ἔσεσθαι μετάνοιαν αὐτοῖς ἐκ τοῦ τοιούτους εἶναι, κατευωχήσας καὶ φιλοφρονησάμενος, ἔπεμψε τὸν λαὸν ἄξοντας ἅπαντα. καὶ συνῆλθον, ἐκ μὲν τῆς ἰούδα φυλῆς ὁπλιτῶν ὡς ὀκτακόσιοι καὶ ἑξακισχίλιοι, φοροῦντες ὅπλα θυρεὸν καὶ σιρομάστην. οὗτοι δὲ, τῷ σαούλου παιδὶ παρέμενον. τούτων γὰρ χωρὶς ἡ ἰούδα φυλὴ, τὸν δαβίδην ἀπέδειξε βασιλέα. ἐκ δὲ τῆς συμεώνος φυλῆς, ἑπτακισχίλιοι καὶ ἑκατόν. ἐκ δὲ τῆς λευίτιδος, τετρακισχίλιοι ἑπτακόσιοι, ἔχοντες ἄρχοντα ἰώδαμον. μετὰ τούτων ἦν ὁ ἀρχιερεὺς σάδωκος, σὺν εἴκοσι καὶ δύο συγγενέσιν ἡγεμόσιν. ἐκ δὲ τῆς βενιαμίτιδος φυλῆς, ὁπλῖται τετρακισχίλιοι. ἡ γὰρ φυλὴ περιέμενεν ἔτι τῶν τοῦ γένους τοῦ σαούλου τινὰ βασιλεῦσαι προσδοκῶσα. ἐκ δὲ τῆς ἐφραίμου φυλῆς, δισμύριοι καὶ ὀκτακόσιοι, οἱ τῶν δυνατωτάτων καὶ κατ' ἰσχὺν διαφερόντων. ἐκ δὲ τῆς μανασσίτιδος φυλῆς τοῦ ἡμίσους, μύριοι ὀκτακισχίλιοι. ἐκ δὲ τῆς ἰσαχάρου φυλῆς διακόσιοι μὲν οἱ προγινώσκοντες τὰ μέλλοντα, ὁπλῖται δὲ δισμύριοι. ἐκ δὲ τῆς ζαβουλώνος φυλῆς, ὁπλιτῶν ἐπιλεκτῶν, πέντε μυριάδες. αὕτη γὰρ ἡ φυλὴ μόνη πᾶσα πρὸς δαβίδην συνῆλθεν. οὗτοι πάντες τὸν αὐτὸν ὁπλισμὸν εἶχον τοῖς τῆς γάδου φυλῆς. ἐκ δὲ τῆς νεφθαλίτιδος φυλῆς, ἐπίσημοι καὶ ἡγεμόνες χίλιοι, ὅπλοις χρώμενοι θυρεῷ καὶ δόρατι. ἠκολούθει δὲ ἡ φυλὴ ἀναρίθμητος οὖσα. ἐκ δὲ τῆς δανίτιδος φυλῆς, ἐκλεκτοὶ δισμύριοι ἑπτακισχίλιοι. ἐκ δὲ τῆς ἀσήρου φυλῆς, μυριάδες τέσσαρες. ἐκ δὲ τῶν δύο φυλῶν τῶν πέραν τοῦ ἰορδάνου, καὶ τοῦ λοιποῦ τῆς μανασσίτιδος φυλῆς ὡπλισμένων θυρεῷ καὶ δόρυ καὶ περικεφαλαίᾳ καὶ ῥομφαίᾳ, μυριάδες δώδεκα. καὶ αἱ λοιπαὶ φυλαὶ, ῥομφαίαις ἐχρῶντο. τοῦτο δὴ τὸ πλῆθος, εἰς χεβρῶνα πρὸς δαβίδην συνῆλθε, μετὰ πολλῆς παρασκευῆς σιτίων καὶ οἴνου, καὶ τῶν πρὸς τροφὴν πάντων, καὶ μιᾷ γνώμῃ τὸν δαβίδην βασιλεύειν ἐκύρωσαν. ἐπὶ δὲ τρεῖς ἡμέρας ἑορτάσαντος τοῦ λαοῦ, καὶ κατευωχηθέντος ἐν τῇ χεβρῶνι, ὁ δαβίδης μετὰ πάντων ἐκεῖθεν ἄρας, ἧκεν εἰς ἱεροσόλυμα. τῶν δὲ κατοικούντων τὴν πόλιν ἰεβουσαίων, γένος δ' εἰσὶν οὗτοι χαναναίων, ἀποκλεισάντων αὐτῷ τὰς πύλας, καὶ τοὺς πεπηρωμένους τὰς ὄψεις καὶ τὰς βάσεις καὶ πᾶν τὸ λελωβημένον στησάντων ἐπὶ χλεύῃ τοῦ βασιλέως ἐπὶ τοῦ τείχους, καὶ λεγόντων κωλύειν αὐτὸν εἰσελθεῖν τοὺς ἀναπήρους, ταῦτα δὲ ἐποίουν καταφρονοῦντες τῇ τῶν τειχῶν ὀχυρότητι, ὀργισθεὶς πολιορκεῖν ἤρξατο τὰ ἱεροσόλυμα. καὶ πολλῇ σπουδῇ καὶ προθυμίᾳ χρησάμενος ὡς διὰ τοῦτ' αὐτὴν ἑλεῖν, εὐθὺς ἐμφανίζων τὴν ἰσχὺν, καὶ καταπληξόμενος εἴ τινες ἄρα καὶ ἄλλοι τὸν αὐτὸν ἐκείνοις τρόπον διέκειντο πρὸς αὐτὸν, λαμβάνει κατὰ κράτος τὴν κάτω πόλιν. ἔτι δὲ τῆς ἄκρας λειπομένης, ἔγνω τιμὰς ὑποσχέσθαι καὶ γέρων ὁ βασιλεὺς προθυμοτέρους ἐπὶ τὰ ἔργα τοὺς στρατιώτας παρασκευάσαι, καὶ τῷ διὰ τῶν ὑποκειμένων φαράγγων ἐπὶ τὴν ἄκραν ἀναβάντι,

A proceres Hebronem ad Dauidem conuenerunt cum tribunis ac præfectis, ſeque & ſua omnia illi dediderunt, cõmemoratis prius veteribus officiis, quæ in eum viuente etiam tum Saulo contuliſſent, & quòd tribunum tunc regium in ſummo honore habuiſſent, & quòd diuino ſuffragio per Samuelem prophetam rex vnà cũ ſuis filiis declaratus eſſet: eique ſoli deſtinatum eſſet vt perdomitis Palæſtinis Hebræorum rebus perpetuam ſalutem ac ſecuritatem afferret. B At ille collaudato eorum ſtudio, hortatúſque vt in cœptis permanerent, fore enim vt nunquam eos pœniteat, conuiuio & omni comitate exceptos remiſit ad populum in regiam adducendum. Conuenerunt itaque ex tribu Iudæ armatorum ſex millia octingenti, ſcuta & lanceas geſtantes, qui hactenus Sauli filium ſecuti fuerant, & ſine quibus hæc tribus Dauidi regnum decreuerat. ex tribu Simeonis ſeptem millia & centum eo ampliùs. ex tribu Leuitica quatuor millia ſeptingenti cum C principe ſuo Iodamo. cum his erat pontifex Sadocus cum vigintiduobus cognatis principibus. ex tribu Beniamitide armati quater mille. Hæc enim tribus adhuc ſuſtinebat credens aliquem ex genere Sauli regnaturum. Ex tribu Ephræmi viginti millia & octingenti, viri animis & viribus præſtantes. Ex dimidia tribu Manaſſitide millia decem & octo. Ex tribu Iſachar ducenti futurorum præſcij, & armatorum D viginti millia. Ex tribu Zabulon armatorum lectiſſimorum quinquaginta millia. Hæc enim tribus ſola vniuerſa ad Dauidem confluxit. hi omnes eadem armatura vtebantur, qua trib⁹ Gadi. Ex tribu Nephthalitide inſigniores & ductores mille, ſcuto & haſta armati. quos ſequebantur reliqui tribules eorum, multitudo penè innumerabilis. Ex tribu Danitide ſelectorum viginti ſeptem millia. ex tribu Aſeri quadraginta millia, ex duabus autem tribubus E trans Iordanẽ habitãtib. & reliquo tribus Manaſſitidis armatorum ſcuto & haſta galeáq; ac gladio vigintiduo millia. Reliquę quoq. tribus gladiis vtebãtur. Hę fuerũt copię quę in Hebronem ad Dauidẽ sũt collectæ cũ magno cõmeatu frumenti & vini, cæterorúmque ad victum commodorum, omnéſque communi ſententia regnum ei ratum ac firmum eſſe voluerunt. cúmque triduo illic feſta celebraſſent, epulíſq; F operati eſſent, Dauid cum omnibus his copiis Hieroſolyma eſt profectus. Iebuſæi verò qui tum vrbem incolebant, Chananæorum & ipſi generis, clauſis ad eius aduentum portis, & in mœnibus quotquot erant cæci vel claudi, aut alioqui mutili in contemptum regis collocatis, dictitabant hos ad arcendum hoſtem ſufficere, freti munitionum firmitate. Quo ludi- G brio ad iram concitatus, oppugnationem aggreditur: & cùm ſtrenua militum opera vteretur, omnibus adnitentibus vt vnius vrbis expugnatione cæteris ſi qui ſimiliter pertinaces eſſent, metus incuteretur, vi inferiorem vrbis partem occupat. Reſiſtente autem ſola arce, decreuit propoſitis honoribus ac prẹmiis militem ad rem alacriter gerendam excitare:

2.Reg.5.

1.Paralip. 12.

III.

promisitque ei qui per subiectam vallem in arcem euasisset, totius exercitus imperium se cõmissurum. & cum eo certatim omnes eniterentur, cupiditate summæ præfecturæ accensi, Saruiæ filius Ioabus alios præuenit, & conscẽsa arce clamore sublato à rege promissum copiarum imperium repoposcit.

A καὶ ταύτην ἑλόντι, στρατηγείαν ἁπάντων τοῦ λαοῦ δώσειν ἐπηγγείλατο. πάντων δὲ φιλοτιμουμένων ἀναβῆναι, καὶ μηδένα πόνον ὀκνούντων ὑφίστασθαι δι' ἐπιθυμίαν τῆς στρατηγίας, ὁ σαρουίας παῖς ἰώαβος ἔφθη τοὺς ἄλλους, καὶ ἀναβὰς ἐβόησεν, πρὸς τὸν βασιλέα, τὴν στρατηγίαν ἀπαιτῶν.

Cap. III.

Dauid vi captis Hierosolymis Chananæos inde populariter eiicit, vrbemque Iudæis victoribus inhabitandam tradit.

Κεφάλαιον γ'.

B *Ὡς πολιορκήσας ἱεροσόλυμα δαβίδης, καὶ λαβὼν τὴν πόλιν ἐξέβαλεν μὲν ἐξ αὐτῆς τοὺς χαναναίους, ἐνῴκησεν δ' εἰς αὐτὴν ἰουδαίους.*

Eiectis deinde ex arce Iebusæis, & instauratis Hierosolymis, rex ea, ciuitatem Dauidis appellauit, ac per omne regni sui tempus domicilium inibi habuit, cæterum tẽpus quo apud Hebronem solius tribus Iudæ rex fuit, septem anni fuere, & mẽses sex. postquam autem Hierosolymis regiam sibi aptauit, in dies magis ac magis res ei ex voto succedebant, Deo prouidente vt ea vrbs egregiis accessionibus quàm celeberrima redderetur. Per idem tempus Iramus legatione in hoc missa in amicitiam ac societatem Dauidis est receptus: misitque ei dono materiam cedrinam & architectos ac fabros, qui regiam ei Hierosolymis exædificarẽt. Dauid autem superiorem vrbis partem & arcẽ in ea conditam in vnum corpus redegit, cingẽdúmque eisdem munitionibus Ioabo demandauit. Igitur primus Dauid Iebusæis inde eiectis, à se ciuitatem denominauit. Nam tempore Abrahami generis nostri autoris Solyma vocabatur. nec desunt qui affirment etiam apud Homerum Solymorum nomine hanc vrbem intelligendam. templum enim iuxta Hebræorum linguam nominatum est hac voce, securitatem significante. Totum autem hoc tempus ex quo Iesus Hebræorum aduersus Chananæos imperator, deuictæ regionis agros suis diuisit, post quem Israelitæ nunquam barbaros ex Hierosolymis eiicere valuerunt, vsque ad hanc Dauidis expugnationẽ anni fuere quingẽti & quindecim. Nec prætermittendus est per silẽtiũ Orphonas vir inter Iebusęos opulentus, cui in expugnatione Hierosolymorum parcitum est à rege, tum propter perpetuã eius erga Hebręos beneuolentiam, tum quia priuato quodam officio demeritus est eũ, vt paulo pòst magis opportuno loco indicabimus. Dauid deinde alias quoque vxores duxit, & concubinas sibi adiũxit. filios etiam vndecim suscepit, quorum nomina, Amnas, Ellus, Sebas, Nathan, Solomon, Iebar, Eliel, Phalna, Ennaphen, Ienas, Eliphal, & præterea filiam Thamaram. Horum nouem ex legitimis coniugibus nati sunt, duo verò postremi è concubinis. Thamara autem Abesalomi germana fuit.

Ἐκβαλὼν δὲ τοὺς ἰεβουσαίους ἐκ τῆς ἄκρας, καὶ αὐτὸς ἀνοικοδομήσας τὰ ἱεροσόλυμα, πόλιν αὐτὴν δαβίδου προσηγόρευσε, καὶ τὸν ἅπαντα χρόνον ἐν αὐτῇ διέτριβε βασιλεύων. ὁ δὲ χρόνος ὃν τῆς ἰούδα φυλῆς ἦρξε μόνης ἐν χεβρῶνι, ἐγένετο ἔτη ἑπτὰ, καὶ μῆνες ἕξ. C ἀποδείξας δὲ βασίλεια ὄντα τὰ ἱεροσόλυμα, λαμπροτέροις ἀεὶ καὶ μᾶλλον ἐχρῆτο τοῖς πράγμασι, τοῦ θεοῦ προνοουμένου κρείττω ποιεῖν αὐτὰ καὶ λαμβάνειν ἐπίδοσιν. πέμψας δὲ πρὸς αὐτὸν εἵραμος ὁ τυρίων βασιλεὺς, φιλίαν καὶ συμμαχίαν συνέθετο. ἔπεμψε δ' αὐτῷ καὶ δωρεὰς, ξύλα κέδρινα καὶ τεχνίτας ἄνδρας τέκτονας καὶ οἰκοδόμους, οἳ κατεσκευάσειαν βασίλειον ἐν ἱεροσολύμοις. δαβίδης δὲ, τήν τε ἄνω πόλιν περιλαβὼν, καὶ τὴν D ἄκραν συνάψας ἐν αὐτῇ, ἐποίησεν ἓν σῶμα. καὶ περιτειχίσας ἐπιμελητὴν τῶν τειχῶν κατέστησεν ἰώαβον. πρῶτος οὖν δαβίδης τοὺς ἰεβουσαίους ἐξ ἱεροσολύμων ἐκβαλὼν, ἀφ' ἑαυτοῦ προσηγόρευσε τὴν πόλιν. ἐπὶ γὰρ ἀβραάμου τοῦ προγόνου ἡμῶν, σόλυμα ἐκαλεῖτο. μετὰ ταῦτα δὲ αὐτὴν φασί τινες ὅτι καὶ ὅμηρος ταῦτα ὀνόμασεν σόλυμα. τὸ γὰρ ἱερὸν, τὰ σόλυμα κατὰ τὴν ἑβραίων ὠνόμασε γλῶσσαν, ὅ ἐστιν, ἀσφάλεια. ἦν δὲ πᾶς ὁ χρόνος ἀπὸ τῆς ἰησοῦ τοῦ στρατηγοῦ ἐπὶ χαναναίους στρα- E τείας, καὶ τοῦ πολέμου καθ' ὃν κρατήσας αὐτῶν κατένειμε ταύτην τοῖς ἑβραίοις, καὶ οὐκ ἔτι τοὺς χαναναίους ἐκβαλεῖν ἐξ ἱεροσολύμων ἐδυνήθησαν οἱ ἰσραηλῖται, μέχρις οὗ δαβίδης αὐτοὺς ἐξεπολιόρκησεν, ἔτη πεντακόσια καὶ πεντακαίδεκα. ποιήσομαι δὲ καὶ μνήμην ὀρφόνα, πλουσίου μὲν ἀνδρὸς τῶν ἰεβουσαίων, οὐκ ἀναιρεθέντος δὲ ἐν τῇ ἱεροσολύμων πολιορκίᾳ ὑπὸ δαβίδου διὰ τὴν πρὸς τοὺς ἑβραίους εὔνοιαν αὐτοῦ, καὶ τινὰ καὶ χάριν F καὶ σπουδὴν πρὸς αὐτὸν γενομένην τὸν βασιλέα, ἣν μικρὸν ὕστερον δυναιρότερον σημανῶ. ἔγημε δὲ καὶ ἄλλας γυναῖκας, πρὸς ταῖς οὔσαις αὐτῷ δαβίδης, καὶ παλλακὰς ἔσχεν. ἐποιήσατο δὲ καὶ παῖδας ἕνδεκα ἀριθμὸν, οὓς προσηγόρευσεν, ἄμας, ἔμνους, ἐβαννάθαν, σολομὼν, ἰεβὰρ, ἐλιὴν, φάλνα, ἠνναφὴν, ἰενάε, ἐλιφαλέ. ἔτι δὲ καὶ θυγατέρα θαμάρην. τούτων, οἱ μὲν ἐννέα, ἐξ εὐγενίδων ἦσαν γεγονότες. οὓς δὲ τελευταίους εἰρήκαμεν δύο, ἐκ τῶν παλλακίδων. θαμάρα δὲ ὁμομήτριος ἀβεσαλάμῳ ἦν.

Cap. IV.

Dauid Palæstinorum bello impetitus apud Hierosolyma victoriam illustrem consequitur.

Κεφάλαιον δ'.

G *Ὅτι δαβίδης στρατεύσαντας ἐπ' αὐτὸν παλαιστινοὺς ἐν ἱεροσολύμοις ἐνίκησεν.*

IV. Palæstini aũt cognito quòd Hebręi Dauidẽ regẽ creassent, collecto contra eos exercitu & occupata cõualle quę dicitur Gigãtum non procul Hierosolymis sita, castra ibi posuerunt.

Γνόντες δ' οἱ παλαιστινοὶ τὸν δαβίδην βασιλέα ὑπὸ τῶν ἑβραίων ἀποδεδειγμένον, στρατεύουσιν ἐπ' αὐτὸν εἰς ἱεροσόλυμα, καὶ καταλαβόμενοι τὴν κοιλάδα τῶν γιγάντων καλουμένην, τόπος δέ ἐστιν οὐ πόρρω τῆς πόλεως, ἐν αὐτῇ στρατοπεδεύονται.

ὁ δὲ

A ὁ δὲ τῶν Ἰουδαίων βασιλεὺς (οὐδὲν γὰρ αὐτὸν προφητείας, καὶ τοῦ κελεῦσαι τὸν θεὸν, καὶ περὶ τῶν ἐσομένων λαβεῖν ἐγγυητὴν ἐκεῖνον ἑαυτῷ, ποιεῖν ἐπέτρεπεν) ἐκέλευσε τὸν ἀρχιερέα τί δοκεῖ τῷ θεῷ, καὶ ποδαπὸν ἔσται τὸ τῆς μάχης τέλος προλέγειν αὐτῷ. προφητεύσαντος δὲ νίκην καὶ κράτος, ἐξάγει τὴν δύναμιν ἐπὶ τοὺς Παλαιστινούς. καὶ γενομένης συμβολῆς, αὐτὸς κατόπιν αἰφνιδίως ἐπιπεσὼν τοῖς πολεμίοις, τοὺς μὲν αὐτῶν ἀπέκτεινε, τοὺς B δὲ εἰς φυγὴν ἐτρέψατο. ὑπολάβῃ δὲ μηδεὶς ὀλίγην τὴν τῶν Παλαιστινῶν στρατιὰν ἐλθεῖν ἐπὶ τοὺς Ἑβραίους, τῷ τάχει τῆς ἥττης καὶ τῷ μηδὲν ἔργον ἐπιδείξασθαι γενναῖον, μηδὲ μαρτυρίας ἄξιον, στοχαζόμενος αὐτῶν τὴν βαρύτητα καὶ τὴν ἀγεννίαν, ἀλλὰ γινωσκέτω Συρίαν ἅπασαν καὶ Φοινίκην, καὶ πρὸς τούτοις ἄλλα ἔθνη μάχιμα συστρατεῦσαι αὐτοῖς, καὶ τοῦ πολέμου κοινωνῆσαι. ὃ καὶ μόνον ἦν αἴτιον, τοσαυτάκις αὐτοῖς νικωμένοις, καὶ πολλὰς ἀποβαλοῦσι μυριάδας, μετὰ μείζονος ἐπιέναι τοῖς Ἑβραίοις δυνάμεως. C ἀμέλει, καὶ ταύταις πταίσαντες ταῖς μάχαις, τριπλασίῳ στρατῷ ἐπῆλθον τῷ Δαβίδῃ, καὶ εἰς ταυτὸ χωρίον ἐστρατοπεδεύσαντο. πάλιν δὲ τοῦ βασιλέως τῶν Ἰσραηλιτῶν ἐρομένου τὸν θεὸν, περὶ τῆς περὶ τὴν μάχην ἐξόδου, προφητεύει ὁ ἀρχιερεὺς, ἐν τοῖς ἄλσεσι τοῖς καλουμένοις κλαυθμῶσι κατέχειν τὴν στρατιὰν, οὐκ ἄποθεν μὲν οὖσι τοῦ τῶν πολεμίων στρατοπέδου. κινεῖν δ᾽ αὐτὸν μὴ πρότερον, μηδ᾽ ἄρχεσθαι μάχης, πρὶν ἢ τὰ ἄλση σαλεύεσθαι, μὴ πνέοντος ἀνέμου. ὡς δ᾽ ἐσαλεύθη τὰ ἄλση, καὶ ὃν αὐτῷ καιρὸν προεῖπεν ὁ D θεὸς παρῆν, οὐδὲν ἐπισχὼν ἐφ᾽ ἑτοίμην ἤδη καὶ φανερὰν ἐξῆλθε τὴν νίκην. οὐ γὰρ ὑπέμειναν αὐτὸν αἱ τῶν πολεμίων φάλαγγες, ἀλλ᾽ εὐθὺς ἀπὸ τῆς συμβολῆς τραπέντας ἐνέκειτο κτείνων. καὶ διώκει μὲν αὐτοὺς ἄχρι πόλεως Γαζάρων, ἣ δέ ἐστιν ὅρος αὐτῶν τῆς χώρας, διαρπάσας αὐτῶν τὴν παρεμβολὴν, καὶ πολὺν εὑρὼν ἐν αὐτῇ πλοῦτον, καὶ τοὺς θεοὺς αὐτῶν διέφθειρεν. τοιούτου δ᾽ ἀποβάντος καὶ ταύτης τῆς μάχης τοῦ τέλους, ἔδοξε Δαβίδῃ συμβουλευσαμένῳ μετὰ τῶν γερόντων καὶ ἡγεμό- E νων καὶ χιλιάρχων, μεταπέμψασθαι τῶν ὁμοφύλων ἐξ ἁπάσης τῆς χώρας πρὸς αὐτὸν, τοὺς ἐν ἀκμῇ τῆς ἡλικίας, ἔπειτα τοὺς ἱερεῖς καὶ Λευίτας, καὶ πορευθέντα εἰς Καριαθιαρεὶμ, μετακομίσαι τὴν τοῦ θεοῦ κιβωτὸν ἐξ αὐτῆς εἰς Ἱεροσόλυμα, καὶ θρησκεύειν ἐν αὐτῇ λοιπὸν ἔχοντας αὐτὴν, θυσίαις καὶ ταῖς ἄλλαις τιμαῖς αἷς χαίρει τὸ θεῖον. εἰ γὰρ ἐπὶ Σαούλου βασιλεύοντος ταῦτ᾽ ἔπραξεν, οὐκ ἂν δεινὸν οὐδὲν ἔπαθον. συνελθόντος οὖν F τοῦ λαοῦ παντὸς, καθὼς ἐβουλεύσαντο, παραγίνεται ὁ βασιλεὺς ἐπὶ τὴν κιβωτὸν, ἣν βαστάξαντες ἐκ τῆς Ἀμιναδάβου οἰκίας οἱ ἱερεῖς, καὶ ἐπιθέντες ἐφ᾽ ἅμαξαν καινὴν, ἕλκειν ἀδελφοῖς τε καὶ παισὶν ἐπέτρεψαν μετὰ τῶν βοῶν. προῆγε δ᾽ ὁ βασιλεὺς καὶ σὺν αὐτῷ τὸ πλῆθος, ὑμνοῦντες τὸν θεὸν, καὶ ᾄδοντες πᾶν εἶδος μέλους ἐπιχώριον, σύν τε ἤχῳ ποικίλῳ κρουσμάτων καὶ ὀρχήσεων καὶ ψαλμῶν, ἔτι δὲ σάλπιγγος καὶ κυμβάλων, κατά- G γοντες τὴν κιβωτὸν εἰς Ἱεροσόλυμα. ὡς δ᾽ ἄχρι τῆς Χειδῶνος ἅλωνος, τόπου τινὸς οὕτω καλουμένου προῆλθε, τελευτᾷ Ὀζᾶς, κατ᾽ ὀργὴν τοῦ θεοῦ. τῶν βοῶν γὰρ ἐπινευσάντων τὴν κιβωτὸν, ἐκτείναντα τὴν χεῖρα καὶ κατασχεῖν θελήσαντα, ὅτι μὴ ὢν ἱερεὺς ἥψατο ταύτης, ἀποθανεῖν ἐποίησε. καὶ ὁ μὲν βασιλεὺς καὶ ὁ λαὸς, ἐδυσφόρησαν ἐπὶ τῷ θανάτῳ τοῦ Ὀζᾶ. ὁ δὲ τόπος ἐν ᾧ ἐτελεύτησεν, ἔτι νῦν Ὀζᾶ διακοπὴ καλεῖται.

Iudæorum verò rex nihil inconsulto Deo solitus agere, iussit pontificem quid tunc quoque de euentu belli polliceretur prædicere. à quo postquam læta omnia didicit, incunctanter & ipse exercitum contra hostes eduxit: & commisso prælio, ipse à tergo eos ex improuiso adortus, partim occidit, partim in fugam compulit. Nemo autem suspicetur modicum aut ignauum fuisse Palæstinorum exercitum, qui tum Hebræos inuaserat, coniecturam inde faciens, quòd non magno negocio sit profligatus, nulla prius memorabili re gesta: sed sciat vniuersam Syriam ac Phœnicen consociatis armis auxilium illis tulisse: quæ causa fuit toties victi, tam multis millibus desideratis, denuò bellum maioribus viribus redintegrarent: quandoquidem post præsentem quoque cladem triplicato exercitu Dauidis ditionem inuaserunt, & codē quo priùs loco castrametare sunt ausi. Rege verò iterum de euentu oraculum consulente, respondit pontifex, in sylua quæ, fletus cognominata non longè ab hoste aberat, exercitum cōtinendum, nec priùs ad pugnam educēdū, quàm sylua nullo perflante vento suapte sponte agitaretur. quod vbi primùm obseruatum est, & Deus maturè præsentiæ suæ signum dedit, nihil moratus ad paratam iam & indubitatam victoriam est progressus, nam ne primum quidem impetum hostilis acies sustinuit, sed mox vt ad manus vētum est terga vertit. nec segniùs Hebreus institit, fodiendóque terga fugiētium, & multos prosternendo, vsque Gezara, quod oppidum in vtrorumque confinio situm erat, victos est insecutus. itum est deinde ad castra expugnanda, vbi non magno labore ingenti præda potiti, deos etiam eorum confractos diripuerunt. Et quia iam iterum contra hostem res feliciter gesta erat, visum est regi de cōmuni seniorum & optimatum ac tribunorum consilio omne suæ tribus robur ex tota eorum ditione conuocare, & itidem sacerdotes ac leuitas, atque ita profectos vnà ad oppidum Cariathiarim, arcam Dei ex eo loco Hierosolyma transportare, omnémque diuinum cultum cum sacrificiis & ceremoniis à maioribus acceptis, in posterum in hac vrbe celebrari. Si enim sub Saulo sacra non fuissent neglecta, nunquam talem cladem populum accepturum fuisse. Conuentu igitur sicut decretum fuerat habito, rex ad transferendam arcam accedit: quam sacerdotes ex ædibus Aminadabi elatā, in plaustrūque nouum impositam, subiunctis bubus, fratribus eius & liberis ducendam permiserunt. Præcedebat rex, & cum eo multitudo, sacros hymnos canentes, & omne genus patriorum carminum, & ad variorum instrumentorum musicorum pulsum saltitantes, accedentibus & tubis & cymbalis, atque ita arcam Hierosolyma deducentes. postquam autem ventum est ad locum cui nomen Chidonis area, manifesta numinis ira Oza quidam exanimatus est. bubus enim exorbitantibus plaustrum & arca inclinata, Oza cùm non esset sacerdos ausus manum sustentandi causa admoliri, in vestigio exspirauit, & loco nomen reliquit, qui inde vsque hodiernum Ozæ percussio vocatur.

2. Reg. 6.

Tum Dauid territus & cogitans ſe fortè idem paſſurum quod Oza, ſi ad ſe in vrbem arcam reciperet, quandoquidem ille manu tantùm in eam extenſa morte mulctatus ſit, ſuperſedit illam Hieroſolyma inducere: diuerténſque paulũ in villam hominis cuiuſdam iuſti nomine Obadami, genere Leuitæ, apud hunc eam depoſuit. quæ per tres integros menſes hoc hoſpitio vſa, rem Obadami familiarem auxit, eiúſque domum multis felicitatib. cumulauit. Rex autem cognito quòd Leuita is ex paupere & humili repentè vſque ad inuidiam eorum qui incrementa eius viderunt felix extitiſſet, nihil amplius mali veritus, arcam in vrbem ſuam tranſtulit hac pompa, vt à ſacerdotibus deportaretur, deduceretúrque à ſeptem choris à ſe in hoc inſtitutis & ordinatis, & rege ipſo interim cinnyram pulſante ac plaudente, ita vt Michole vxor eius, Sauli prioris regis filia, factum hoc improbaret. quæ vbi intra vrbem illata eſt, repoſuerunt eam in tabernaculum à Dauide in hunc vſum erectum. In ea feſtiuitate ſumptuoſè ac ſplendidè ſacrificatum eſt, & totus populus exceptus conuiuio, vt tam mulierib. quàm viris ac pueris in ſingulos diſtribueretur libum panis ſubcinericij, & laganum frixum, & fruſtum de victima. atque his epulis populo paſto ipſe domum reuertitur. Huic occurrens Michole vxor, filia Sauli, omnia precata eſt illi, quæcunque Deus propitius largiri ſolet: reprehendit tamen quòd præter decorum tantus rex ſaltaſſet, ita vt in conſpectu ſeruorum ſuorum & ancillarum partes quaſdam inter ſaltandum denudarit. at ille non pudere ſe huius facti reſpondit, quòd ſciret gratum eſſe Deo qui eum & patris ipſius mulieris & aliis omnibus prætuliſſet: cantaturúmque ſe ei ſæpius ac ſaltaturum, nihil curantem, quàm indecorum hoc aut ipſi aut ipſius ancillis videatur. Hæc Michole ex Dauidis coniugio nullos filios peperit, ſed ex alio marito, cui pater à priore abſtractam tradidit, quinque liberos genuit, vt ſuo loco dicetur. Cæterùm rex videns res ſuas quotidianis ſucceſſibus per Dei fauorem proficere, peccare ſe putauit, quòd cùm ipſe habitaret in alta regia cedrinis trabibus extructa, & omni exornata artificio, arcam pateretur in tabernaculo iacere: itaque decreuit exædificare Deo templum, quemadmodum Moyſes prædixerat. communicatóque ſuper ea re conſilio cum Nathane propheta, cùm is autor eſſet propoſita exequẽdi, polliceretúrque Deum opem ad hoc laturum, auidior etiam ſtruendi templi factus eſt. Sequenti verò nocte Deus Nathani per viſionem apparuit, iubens vt Dauidi nuntiaret, gratiam quidem ſibi eſſe eius voluntatem, quòd primus omnium de ædificando templo cogitauerit: non tamen ſe permittere vt is qui multis bellis implicitus hoſtili ſanguine manus polluerat, ſacratiſſimum fanum conſtrueret. Verumtamen poſtquam longam vitam rex ad vltimam ſenectutem prouectus felici fine clauſerit, extruendum eſſe templum à filio eius & ſucceſſore,

2. Reg. 7.

A δείσας δὲ ὁ Δαβίδης καὶ λογισάμενος μὴ ταυτὸ πάθῃ τῷ Ὀζᾷ δεξάμενος τὴν κιβωτὸν παρ' αὐτὸν ἐν τῇ πόλει, ἐκείνου διότι μόνον ἐξέτεινεν τὴν χεῖρα πρὸς αὐτὴν οὕτως ἀποθανόντος, οὐκ εἰσδέχεται μὲν αὐτὴν πρὸς ἑαυτὸν εἰς τὴν πόλιν, ἀλλ' ἐκνεύσας εἴς τι χωρίον ἀνδρὸς δικαίου Ὠβαδάμου ὄνομα, Λευίτου τὸ γένος, παρ' αὐτῷ τὴν κιβωτὸν τίθησιν. ἐπιμένει δ' ἐπὶ τρεῖς ὅλους μῆνας αὐτόθι, καὶ τὸν οἶκον τὸν Ὠβεδάμου ηὔξησέ τε καὶ πολλῶν αὐτῷ μετέδωκεν ἀγαθῶν. ἀκούσας δὲ ὁ βασιλεὺς ὅτι ταῦτα συνέβηκεν Ὠβεδάμῳ, ὡς ἐκ πενίας καὶ ταπεινότητος B ἀθρόως εὐδαίμων καὶ ζηλωτὸς παρὰ πᾶσι τοῖς ὁρῶσι καὶ πυνθανομένοις τὴν οἰκίαν αὐτοῦ, θαρσήσας ὡς οὐδενὸς κακοῦ πειραθησόμενος, τὴν κιβωτὸν πρὸς αὐτὸν μετακομίζει. τῶν μὲν ἱερέων βασταζόντων αὐτὴν, ἑπτὰ δὲ χορῶν οὓς διεκόσμησεν ὁ βασιλεὺς προαγόντων, αὐτοῦ δ' ἐν κινύρᾳ παίζοντος καὶ κροτοῦντος, ὥς τε καὶ τὴν γυναῖκα Μιχάλην Σαούλου δὲ θυγατέρα τοῦ πρώτου βασιλέως, ἰδοῦσαν αὐτὸν τοῦτο ποιοῦντα χλευάσαι. C εἰς κομίσαντες δὲ τὴν κιβωτὸν, τιθέασιν ὑπὸ τὴν σκηνὴν ἣν Δαβίδης ἔπηξεν αὐτῇ, καὶ θυσίας τε ἐπετέλεσε πολυτελεῖς καὶ εἰρηνικὰς ἀνήνεγκε. καὶ τὸν ὄχλον ἑστιᾷ πάντα, καὶ γυναιξὶ καὶ ἀνδράσι καὶ νηπίοις διαδοὺς κολλυρίδα ἄρτου καὶ ἐσχαρίτην καὶ λάγανον ταγηνιστὸν καὶ μερίδα θύματος. καὶ τὸν μὲν λαὸν οὕτω κατευωχήσας ἔπεμψεν. αὐτὸς δ' εἰς τὸν οἶκον τὸν αὐτοῦ παραγίνεται. παραστᾶσα δ' αὐτῷ Μιχάλη ἡ γυνὴ, Σαούλου δὲ θυγάτηρ, τά τε ἄλλα αὐτῷ κατηύχετο, καὶ παρὰ τοῦ θεοῦ γενέσθαι D ᾔτει παρ' ὅσα παρασχεῖν αὐτῷ δυνατὸν, εὐμενεῖ τυγχάνοντι. καὶ δὴ κατεμέμψατο, ὡς ἀκοσμήσειεν ὀρχούμενος ὁ τηλικοῦτος βασιλεὺς, καὶ γυμνούμενος ὑπὸ τῆς ὀρχήσεως καὶ ἐν δούλοις καὶ θεραπαινίσιν. ὁ δ' οὐκ αἰδεῖσθαι ταῦτα ποιήσας εἰς τὸ τῷ θεῷ κεχαρισμένον ἔφασκεν, ὃς αὐτὸν καὶ τοῦ πατρὸς αὐτῆς καὶ τῶν ἄλλων ἁπάντων προετίμησε, παίζειν τε πολλάκις καὶ χορεῦσαι μηδένα τὴν δόξαν ταῖς θεραπαινίσιν αἰσχρὸν καὶ αὐτῇ τὸ γινόμενον ποιησάμενος λόγον. ἡ δὲ Μιχάλη αὕτη, Δαβίδῃ μὲν συνοικοῦσα, παῖδας οὐκ ἐποιήσατο. γαμηθεῖσα E δὲ ὕστερον, ᾧ παρέδωκεν αὐτὴν ὁ πατὴρ ὁ Σάουλος, τότε ἀποσπάσας αὐτὸς εἶχε, πέντε παῖδας ἔτεκε. καὶ περὶ μὲν τούτων κατὰ χώραν δηλώσομεν. ὁρῶν δὲ ὁ βασιλεὺς κατὰ πᾶσαν τὰ πράγματα αὐτῷ σχεδὸν ἡμέραν ἀμείνω ἐκ τῆς τοῦ θεοῦ βουλήσεως, ἐνόμιζεν ἐξαμαρτάνειν αὐτὸς, εἰ μένων αὐτὸς ἐν οἴκοις ἐκ κέδρου πεποιημένοις, ὑψηλοῖς τε, καὶ καλλίστην τὴν ἄλλην κατασκευὴν ἔχουσι, F περιορᾷ τὴν κιβωτὸν ἐν σκηνῇ κειμένην. καὶ ἐβούλετο τῷ θεῷ κατασκευάσαι ναὸν, ὡς Μωυσῆς προεῖπεν. καὶ περὶ τούτων Ναθάνᾳ τῷ προφήτῃ διαλεχθεὶς, ἐπεὶ ποιεῖν ὅτι περ ὥρμηται προσέταξεν αὐτὸν, ὡς τοῦ θεοῦ πρὸς ἅπαντ' αὐτῷ συνεργοῦ παρόντος, εἶχεν ἤδη περὶ τὴν τοῦ ναοῦ κατασκευὴν προθυμότερον. τοῦ θεοῦ δὲ κατ' ἐκείνην τὴν νύκτα τῷ Ναθάνᾳ φανέντος G λέγειν τῷ Δαβίδῃ, ὡς τὴν μὲν προαίρεσιν αὐτοῦ καὶ τὴν ἐπιθυμίαν ἀποδέχεται, μηδενὸς μὲν πρότερον εἰς νοῦν βαλομένου ναὸν αὐτῷ κατασκευάσαι, τοῦ δὲ ταύτην τὴν διάνοιαν λαβόντος. οὐκ ἐπιτρέπει δὲ, πολλοῖς πολέμοις ἠγωνισμένῳ καὶ φόνῳ τῶν ἐχθρῶν μεμιασμένῳ, ποιῆσαι ναὸν αὐτῷ. μετὰ μέν τοι γε τὸν θάνατον αὐτοῦ, γηράσαντος καὶ μακρὸν ἀνύσαντος βίον, ἔσεσθαι τὸν ναὸν ὑπὸ τοῦ παιδὸς τοῦ μετ' αὐτὸν τὴν βασιλείαν παραληψομένου,

κληθη-

κληθησόμενον δὲ Σολομῶνος. οὗ προσήσεσθαι καὶ προνοεῖν ὡς πατὴρ υἱοῦ κατεπηγγέλλετο, τὴν μὲν βασιλείαν τέκνων ἐκγόνοις φυλάξων, καὶ παραδώσων, ἂν ἁμαρτὼν τύχῃ, νόσῳ καὶ γῆς ἀφορίᾳ. μαθὼν ταῦτα παρὰ τοῦ προφήτου Δαβίδης, καὶ περιχαρὴς γενόμενος ἐπὶ τῷ, τοῖς ἐκγόνοις αὐτοῦ τὴν ἀρχὴν διαμένουσαν ἐγνωκέναι βεβαίως, καὶ τὸν οἶκον αὐτοῦ λαμπρὸν ἐσόμενον καὶ περιβόητον, πρὸς τὴν κιβωτὸν παραγίνεται, καὶ πεσὼν ἐπὶ πρόσωπον, ἤρξατο προσκυνεῖν, καὶ περὶ πάντων εὐχαριστεῖν τῷ θεῷ, ὧν τε αὐτῷ παρέσχηκεν ἤδη ἐκ ταπεινοῦ καὶ ποιμένος εἰς τηλικοῦτο μέγεθος ἡγεμονείας τε καὶ δόξης ἀναγαγὼν, ὧν τε τοῖς ἐκγόνοις αὐτοῦ καθυπέσχετο τῆς προνοίας, ἣν Ἑβραίων καὶ τῆς τούτων ἐλευθερίας ἐποιήσατο. ταῦτα εἰπὼν καὶ τὸν θεὸν ὑμνήσας ἀπαλλάσσεται.

qui vocandus esset Solomon. cuius non aliter quàm filij curam se habiturum pollicebatur, regnúmque per posteros eius continuaturum: quòd si quid peccauerit, pœnam nō vltra morbos & terræ sterilitatem processuram. His ex propheta cognitis Dauid lętus, quòd iam sciret posteris suis imperium permansurum, & familiam suam fore illustrem accelebrem, ad arcam se contulit: procidénsque in faciē adorauit Deū gratias agens pro omnibus beneficiis acceptis; quòd se ex humili pastore ad tantum rerum fastigium tantámque gloriam euexisset: próque promissa posteris etiā suis felicitate, perpetuáque prouidentia qua res Hebræorū augere atque ornare non desineret: atque ita gratiis actis, hymnóq; decantato à tabernaculo digressus est.

Κεφάλαιον έ.

Ὡς τοῖς πέριξ ἔθνεσι στρατεύσας Δαβίδης, καὶ χειρωσάμενος, φόρον ἐπέταξε αὐτῷ τελεῖν.

Διαλιπὼν δὲ ὀλίγον χρόνον, ἔγνω δεῖν ἐπὶ τοὺς Παλαιστινοὺς ἐκστρατεύειν καὶ μηδὲν ἀργὸν μηδὲ ῥάθυμον ἐν τοῖς πράγμασιν ὁρᾶν γενόμενον, ἵν' ὡς τὸ θεῖον αὐτῷ προεῖπε καταστρεψάμενος τοὺς πολεμίους, ἐν εἰρήνῃ τὸ λοιπὸν τοὺς ἐκγόνους αὐτοῦ βασιλεύοντας καταλίποι. καὶ συγκαλέσας πάλιν τὴν στρατιὰν, καὶ παραγγείλας αὐτῇ πρὸς πόλεμον ἑτοίμῃ παρεσκευασμένῃ τυγχάνειν, ὅτε ἔδοξεν αὐτῷ καλῶς ἔχειν τὰ παρ' αὐτῆς, ἄρας ἐκ τῶν Ἱεροσολύμων, ἐπὶ τοὺς Παλαιστινοὺς ἧκε. κρατήσας δ' αὐτῶν τῇ μάχῃ καὶ πολλὴν τῆς χώρας ἀποτεμόμενος, καὶ προσορίσας ἐπὶ τῇ τῶν Ἑβραίων, ἐπὶ τοὺς Μωαβίτας τὸν πόλεμον μετήγαγε. καὶ τὰ μὲν δύο μέρη τῆς στρατιᾶς αὐτῶν, τῇ μάχῃ νικήσας διέφθειρε. τὸ δὲ λειπόμενον αἰχμάλωτον ἔλαβε. φόρους τε αὐτοῖς ἐπιτάξας κατ' ἔτος τελεῖν, εἶτα ἐπὶ Ἀδράζαρον τὸν Ἀράου μὲν υἱὸν, βασιλέα δὲ τῆς Σωφηνῆς ἐστράτευσε. καὶ συμβαλὼν αὐτῷ παρὰ τὸν Εὐφράτην ποταμὸν, τῶν μὲν πεζῶν αὐτοῦ διέφθειρεν ὡς δισμυρίους. τῶν δὲ ἱππότων ὡς πεντακισχιλίους. ἔλαβε δὲ καὶ αὐτοῦ ἅρματα χίλια. καὶ τὰ πλείω μὲν αὐτῶν ἠφάνισεν, ἑκατὸν δὲ μόνα προσέταξεν αὐτῷ φυλαχθῆναι.

CAP. V.

Dauid subactis finitimis gentibus tributa illis imponit.

Non multo deinde interiecto tempore expeditionem in Palæstinos decreuit, ablegato omni ocio & segnicie, vt quemadmodum Deus prędixerat, deuictis hostibus pacatum regnum successoribus relinqueret. Et indicta die militibus ad conueniendum, iussisq; omnibus vt quàm instructissimi ad bellum essent, vt satis omnia parata existimauit, profect⁹ Hierosolymis in Palæstinam peruenit: hostibúsque magno prælio victis, & bona agrorū parte mulctatis, hísque agris Iudęorum terrę contributis in Moabitas bellum traduxit. eorum copias ita concidit, vt tertia tantùm pars superesset, quam in deditionem accepit. His quoque annuo tributo imposito contra Adrazarum Arachi filiū mouit, Sophenorum regem: cum quo ad Euphratem congressus, viginti peditum millia, equites quinquies mille occidit. currus etiam mille cepit, ex quibus incensis reliquis, centum solos sibi reseruauit.

Κεφάλαιον ς'.

Ἡ γενομένη περὶ Δαμασκηνοὺς Δαβίδου μάχη, καὶ νίκη.

Ἀκούσας δὲ ὁ Δαμασκοῦ καὶ Σύρων βασιλεὺς Ἄδαδος, ὅτι πολεμεῖ Δαβίδης τὸν Ἀδράζαρον, φίλος ὢν αὐτῷ μετὰ δυνάμεως ἧκεν ἰσχυρᾶς συμμαχήσων, ἀπαλλάξαι δ' ὡς προσεδόκα συμβαλὼν πρὸς τῷ Εὐφράτῃ ποταμῷ. πταίσας δὲ τῇ μάχῃ, καὶ πολλοὺς ἀποβαλὼν τῶν στρατιωτῶν. ἔπεσον γὰρ ὑπὸ τῶν Ἑβραίων ἀναιρούμενοι τῆς Ἀδάδου δυνάμεως δισμύριοι, οἱ δὲ λοιποὶ πάντες ἔφυγον. μέμνηται δὲ τούτου τοῦ βασιλέως καὶ Νικόλαος ἐν τῇ τετάρτῃ τῶν ἱστοριῶν, λέγων οὕτως. μετὰ δὲ ταῦτα πολλῷ χρόνῳ ὕστερον τῶν ἐγχωρίων τις Ἀδάδος ὄνομα, πλεῖον ἰσχύσας Δαμασκοῦ τε καὶ τῆς ἄλλης Συρίας, ἔξω Φοινίκης ἐβασίλευσε. πόλεμον δὲ ἐξενέγκας πρὸς Δαβίδην βασιλέα τῆς Ἰουδαίας, καὶ πολλαῖς μάχαις κριθεὶς, ὑστάτῃ τε παρὰ τὸν Εὐφράτην ἐν ᾗ ἡττᾶτο ἄριστος ἔδοξεν εἶναι βασιλέων ῥώμῃ καὶ ἀνδρείᾳ.

CAP. VI.

Damasceni à Dauide vincuntur.

Interim Adadus Damasci & Syrorū rex audito quòd Dauid Adrazaro bellum intulisset, cùm esset eius amicus ac socius, cum valido exercitu in auxilium eius properat, sperans se bellum ab eo depulsurum. cúmque & ipse non procul Euphrate cum Dauide conflixisset, prælio victus magnam exercitus partē amisit. Desideratis enim ex eius acie viginti millibus, reliqui fuga saluti suę consuluerunt. Huius Adadi etiam Nicolaus in quarto historiarum suarum libro, in hęc verba meminit. Lōgo deinde pòst tempore indigenarum quidam nomine Adadus, cæteris potentior, Damasci & reliquæ Syriæ præter Phœnicen regnum obtinuit. Hic bello inter eum & Dauidem Iudæorum regem exorto, crebris præliis cum eo conflictatus, in postremo, quo apud Euphratem victus est, multis editis facinoribus regē se & viriū & animi robore pręstātissimum declarauit.

Idem de posteris quoque eius narrat, quòd quasi per manus alius ab alio regnum simul & nomen acceperint. Illo, inquit, defuncto, posteri eius ad decimam vsque generationem regnum obtinuerunt, quisque à suo patre cum imperio nomen accipiens, quemadmodum apud Ægyptios Ptolemæi. ex his potentissimus ordine tertius instaurato bello abolere volens ignominiam aui temporibus acceptam, expeditione contra Iudæos facta Samariam vastauit. Nec à vero aberrauit hac parte hic est enim ille Adadus, qui Achabo apud Israelitas regnante, Samariam inuasit. de quo suo loco dicturi sumus. Porrò Dauid peragrata cum victore exercitu Damasco & reliqua Syria, totam sub imperium redegit, dispositísque opportunis in locis præsidiis, & tributo imposito, domum est reuersus: & ceu trophæum aureas satellitum Adadi pharetras reliquámque eorum armaturam Deo Hierosolymis consecrauit. has postea Susacus Ægyptiorum rex, victo Roboam huius nepote, spoliata vrbe cum multis aliis diuitiis exportauit. Sed hæc postquam ad ea tempora ventum fuerit dicentur. Hebræorum autem rex fauore numinis vtens, & fortunam belli sequens, præcipuas Adrazari vrbes aggressus est, Bettæam & Machonem: easque vi expugnatas diripuit, in his magna vis auri & argenti reperta est: & præter hæc æris genus, quod auro preciosius est habitum: ex quo postea Solomon fecit magnum illud vas mare appellatum, & pulcherrima polubra, cùm templum adornaret. Amathenorum autem rex audita Adrazari clade, quódque exercitum amisisset, timens sibi, decreuit in fidem & amicitiam Dauidis vltro venire: misítque ad eum Adoramum filium, qui victoriam de communi inimico ei suo nomine gratularetur, & in societatem atque amicitiam recipi peteret, & munera offerret, antiqui operis vasa aurea & argentea & ærea. Dauid verò inita amicitia cũ Thæno (sic Amathenes vocabatur) & acceptis muneribus, filium eius pro vtriusque dignitate tractatum dimisit. munera verò illa cum alio auro ex manubiis captarum vrbium redacto, autori victoriæ Deo dedicauit. qui non solùm quoties ipse rex bellum administraret rem prosperabat: verumetiam misso in Idumæam Abisæo Ioabi summi copiarum ducis fratre, illius ductu Idumæos perdomari concessit. Decem enim & octo ex illorum exercitu millia in acie ceciderunt: & occupata præsidiis recens capta regione, rex non ex agris tantùm, sed viritim etiam tributa exegit. Erat autem natura iustus, & in reddendo iure verum tantùm & æquum respiciebat. exercitui verò vniuerso Ioabum præfecerat, à commentariis habuit Iosaphatum Achili filium. Designauit etiam ex Phineesi familia Sadocum pontificem cum Abiatharo. amicus enim ei erat. Scribam verò Sisam constituit. Benaiam Ioiadæ filium satellitio suo præposuit:

πρὸς τούτοις δὲ καὶ περὶ τῶν ἀπογόνων αὐτοῦ φησιν, ὡς μετὰ τὴν ἐκείνου τελευτὴν, ἐξεδέχοντο παρ' ἀλλήλων, καὶ τὴν βασιλείαν καὶ τὸ ὄνομα, λέγων οὕτως. τελευτήσαντος δ' ἐκείνου, ἀπόγονοι ἐπὶ δέκα γενεὰς ἐβασίλευον, ἑκάστου παρὰ τοῦ πατρὸς, ἅμα τὴν ἀρχὴν καὶ τοὔνομα τοῦτο ἐκδεχομένου ὥσπερ οἱ Πτολεμαῖοι ἐν Αἰγύπτῳ. μέγιστον δὲ πάντων δυνηθεὶς ὁ τρίτος ἀναμαχέσασθαι βουλόμενος τὴν τοῦ προπάτορος ἧτταν, στρατεύσας ἐπὶ Ἰουδαίους, ἐπόρθησε τὴν νῦν Σαμαρεῖτιν καλουμένην. οὐ διήμαρτε δὲ τῆς ἀληθείας, οὗτος γάρ ἐστιν Ἄδαδος ὁ στρατευσάμενος ἐπὶ Σαμάρειαν, Ἀχάβου βασιλεύοντος τῶν Ἰσραηλιτῶν, περὶ οὗ κατὰ χώραν ὕστερον ἐροῦμεν. Δαβίδης δὲ στρατευσάμενος ἐπὶ Δαμασκὸν καὶ τὴν ἄλλην Συρίαν, πᾶσαν αὐτὴν ὑπήκοον ἐποιήσατο. καὶ φρουρὰς ἐν τῇ χώρᾳ καταστήσας, καὶ φόρους αὐτοῖς τελεῖν ὁρίσας, ὑπέστρεψε, καὶ τάς τε χρυσᾶς φαρέτρας καὶ τὰς πανοπλίας ἃς οἱ τοῦ Ἀδάδου σωματοφύλακες ἐφόρουν, ἀνέθηκε τῷ θεῷ εἰς Ἱεροσόλυμα. ἃς ὕστερον ὁ τῶν Αἰγυπτίων βασιλεὺς Σούσακος στρατεύσας ἐπὶ τὸν υἱὸν αὐτοῦ Ῥοβόαμον ἔλαβε, καὶ πολὺν ἄλλον ἐκ τῶν Ἱεροσολύμων ἐξεφόρησε πλοῦτον. ταῦτα μὲν οὖν ὅταν ἔλθωμεν ἐπὶ τὸν οἰκεῖον αὐτῶν τόπον, δηλώσομεν. ὁ δὲ τῶν Ἑβραίων βασιλεὺς, τοῦ θεοῦ συμπνέοντος αὐτῷ, καὶ τοῖς πολέμοις συγκατορθοῦντος, καὶ ταῖς καλλίσταις τῶν Ἀδραζάρου πόλεων ἐπεστράτευσε, Βετταίᾳ καὶ Μάχωνι. καὶ λαβὼν αὐτὰς κατακράτος διήρπασε. χρυσὸς δ' ἐν αὐταῖς εὑρέθη πάμπολυς καὶ ἄργυρος. ἔτι δὲ καὶ χαλκὸς, ὃν τοῦ χρυσοῦ κρείττονα ἔλεγον, ἐξ οὗ καὶ ὁ Σολομὼν τὸ μέγα σκεῦος θάλασσαν δὲ καλουμένην ἐποίησε, καὶ τοὺς καλλίστους ἐκείνους λουτῆρας ὅτε τῷ θεῷ τὸν ναὸν κατεσκεύασεν. ὡς δὲ ὁ τῆς Ἀμάθης βασιλεὺς, τὰ περὶ τὸν Ἀδράζαρον ἐπύθετο, καὶ τὴν δύναμιν αὐτοῦ διεφθαρμένην ἤκουσε, δείσας περὶ αὑτοῦ, καὶ τὸν Δαβίδην πρὶν ἐπ' αὐτὸν ἔλθῃ φιλίᾳ καὶ πίστει γνοὺς ἐνδήσασθαι, πέμπει πρὸς αὐτὸν Ἀδώραμον υἱὸν αὐτοῦ. καὶ περὶ τοῦ, τὸν Ἀδράζαρον ἐχθρὸν ὄντ' αὐτῷ πολεμῆσαι χάριν ἔχειν ὁμολογῶν, καὶ συμμαχίαν πρὸς αὐτὸν καὶ φιλίαν ποιούμενος, ἔπεμψεν αὐτῷ καὶ δῶρα σκεύη τῆς ἀρχαίας κατασκευῆς, χρύσεα καὶ ἀργύρεα καὶ χάλκεα. Δαβίδης δὲ ποιησάμενος τὴν συμμαχίαν πρὸς τὸν Θαῖνον, τοῦτο γὰρ ἦν ὄνομα τῷ βασιλεῖ τῆς Ἀμάθης, καὶ τὰ δῶρα δεξάμενος, ἀπέλυσεν αὐτοῦ τὸν υἱὸν μετὰ τιμῆς τῆς πρεπούσης ἑκατέροις. τὰ δὲ πεμφθέντα ὑπ' αὐτοῦ καὶ τὸν ἄλλον χρυσὸν καὶ ἄργυρον ὧν ἐκ τῶν πόλεων εἰλήφει καὶ τῶν κεχειρωμένων ἐθνῶν, φέρων ἀνατίθησι τῷ θεῷ. οὐκ αὐτῷ δὲ πολεμοῦντι μόνῳ, καὶ τῆς στρατιᾶς ἡγουμένῳ τὸ νικᾶν καὶ κατορθοῦν παρεῖχεν ὁ θεὸς, ἀλλὰ καὶ πέμψαντος αὐτοῦ μετὰ δυνάμεως εἰς τὴν Ἰδουμαίαν, Ἀβεσσαῖον τὸν Ἰωάβου τοῦ ἀρχιστρατήγου ἀδελφὸν, δι' ἐκείνου τῶν Ἰδουμαίων νίκην ἔδωκε. μυρίοις γὰρ αὐτῶν καὶ ὀκτακισχιλίοις Ἀβεσσαῖος διέφθειρε τῇ μάχῃ. καὶ τὴν Ἰδουμαίαν ἅπασαν φρουραῖς διαλαβὼν ὁ βασιλεὺς, φόρους ὑπέρ τε τῆς χώρας, καὶ τῆς ἑκάστου κεφαλῆς παρ' αὐτῶν ἐδέχετο. ἦν δὲ καὶ δίκαιος τὴν φύσιν, καὶ τὰς κρίσεις πρὸς τὴν ἀλήθειαν ἀφορῶν ἐποιεῖτο. τὸν στρατηγὸν δ' ἁπάσης εἶχε τῆς στρατιᾶς τὸν Ἰώαβον. ἐπὶ δὲ τῶν ὑπομνημάτων, Ἰωσάφατ τὸν υἱὸν Ἀχίλου κατέστησε. ἀπέδειξε δ' ἐκ τῆς Φινεὲς οἰκίας τὸν Σάδωκον ἀρχιερέα μετ' Ἀβιαθάρου, φίλος γὰρ ἦν αὐτῷ. γραμματέα δὲ Σεισὰν ἐποίησε. Βαναίᾳ δὲ τῷ Ἰωάδου, τὴν τῶν σωματοφυλάκων ἀρχὴν παραδίδωσιν.

οἱ δὲ πρεσβύτεροι πάντες αὐτοῦ, περὶ τὸ σῶμα καὶ τὴν τούτου φυλακὴν ἦσαν. ἐμνήσθη δὲ καὶ πρὸς ἰωνάθαν τὸν σαούλου παῖδα συνθηκῶν καὶ ὅρκων, καὶ τῆς ἐκείνου πρὸς αὐτὸν φιλίας τε καὶ σπουδῆς. πρὸς γὰρ τοῖς ἄλλοις ἅπασιν ἀγαθοῖς οἷς εἶχεν, ἔτι καὶ μνημονικώτατος τῶν εὖ ποιησάντων παρὰ τὸν ἄλλον χρόνον ὑπῆρχε. καὶ εἴ τις ἐκ τοῦ γένους αὐτοῦ σώζεται, ᾧ τὰς ἀμοιβὰς ὠφέλειαν ἰωνάθῃ τῆς ἑταιρείας ἀποδώσει. ἀχθέντος οὖν τινος, ἠλευθερωμένου μὲν ὑπὸ σαούλου, δυναμένου δὲ γινώσκειν τοὺς ἐκ τοῦ γένους αὐτῷ περιόντας, ἀνέκρινεν εἴ τινα ἔχει λέγειν τῶν ἰωνάθῃ προσηκόντων ζῶντα, καὶ κομίσασθαι τὰς τῶν εὐεργεσιῶν χάριτας δυνάμενον, ὧν αὐτὸς ἔτυχε παρὰ ἰωνάθου. φήσαντος δ᾽ υἱὸν αὐτοῦ περιλείπεσθαι, μεμφίβοσθον ὄνομα, πεπηρωμένον τὰς βάσεις. τῆς γὰρ τροφοῦ, μετὰ τὸ προσαγγελθῆναι τὸν πατέρα τοῦ παιδίου καὶ τὸν πάππον ἐν τῇ μάχῃ πεσόντας, ἁρπασαμένης καὶ φυγούσης ἀπὸ τῶν ὤμων αὐτῆς κατενεχθῆναι καὶ βλαβῆναι τὰς βάσεις. μαθὼν ὅπου τε καὶ παρά τινι τρέφεται, πέμψας πρὸς τὸν μάχειρον εἰς λαβαθὰ πόλιν, παρὰ τούτῳ γὰρ ὁ τοῦ ἰωνάθου παῖς ἐτρέφετο, μεταπέμπεται πρὸς αὐτόν. ἐλθὼν δὲ ὁ μεμφίβοσθος πρὸς τὸν βασιλέα, πεσὼν ἐπὶ πρόσωπον προσεκύνησεν αὐτῷ. ὁ δὲ δαβίδης, θαρρεῖν τε προτρέπεται καὶ τὰ βελτίω προσδοκᾶν. δίδωσι δ᾽ αὐτῷ καὶ τὸν πατρῷον οἶκον, καὶ πᾶσαν τὴν οὐσίαν ἣν ὁ πάππος αὐτοῦ σαοῦλος ἐκτήσατο. σύσσιτόν τε καὶ ὁμοτράπεζον ἐκέλευσεν εἶναι, καὶ μηδὲ μίαν ἡμέραν ἀπολείπεσθαι τῆς σὺν αὐτῷ τραπέζης. τοῦ δὲ παιδὸς προσκυνήσαντος ἐπί τε τοῖς λόγοις καὶ ταῖς δωρεαῖς, καλέσας τὸν σιβὰ, τόν τε πατρῷον οἶκον ἔλεγε δεδωρεῖσθαι τῷ παιδὶ, καὶ πᾶσαν τὴν σαούλου κτῆσιν. αὐτόν τε ἐκέλευσεν ἐργαζόμενον αὐτοῦ τὴν γῆν καὶ προνοούμενον, ἁπάντων τὴν πρόσοδον εἰς ἱεροσόλυμα κομίζειν. ἄγεται δ᾽ αὐτὸν καθ᾽ ἑκάστην ἡμέραν ἐπὶ τὴν αὐτοῦ τράπεζαν. αὐτόν τε τὸν σιβὰ καὶ τοὺς υἱοὺς αὐτοῦ, ἦσαν δ᾽ οὗτοι πεντεκαίδεκα, καὶ τοὺς οἰκέτας αὐτοῦ, τὸν ἀριθμὸν ὄντας εἴκοσιν, τῷ παιδὶ χαρίζεται μεμφιβόσθῳ. ταῦτα διαταξαμένου τοῦ βασιλέως, ὁ μὲν σιβὰς προσκυνήσας, καὶ πάντα ποιήσειν εἰπὼν, ἀνεχώρησεν. ὁ δὲ ἰωνάθου παῖς, ἐν ἱεροσολύμοις κατῴκει, συνεστιώμενος τῷ βασιλεῖ, καὶ πάσης ὡς υἱὸς αὐτοῦ θεραπείας τυγχάνων. ἐγένετο δ᾽ αὐτῷ καὶ παῖς, ὃν μίχανον προσηγόρευσε. καὶ οἱ μὲν περιλειφθέντες ἐκ τοῦ σαούλου γένους καὶ ἰωνάθου, τούτων ἔτυχον παρὰ δαβίδου τῶν τιμῶν. τελευτήσαντος δὲ κατ᾽ ἐκεῖνον τὸν χρόνον τοῦ ἀμμανιτῶν βασιλέως ναάσου, φίλος δ᾽ ἦν αὐτὸς αὐτῷ, καὶ διαδεξαμένου τὴν βασιλείαν αὐτοῦ παιδὸς, πέμψας δαβίδης πρὸς αὐτὸν, παρεμυθήσατο. πρᾴως τε φέρειν ἐπὶ τῷ θανάτῳ τοῦ πατρὸς παραινῶν καὶ τὴν αὐτὴν φιλίαν μενεῖν ἣ πρὸς ἐκεῖνον ἦν τούτῳ προσδοκᾶν. οἱ δὲ τῶν ἀμμανιτῶν ἄρχοντες, κακοήθως, ἀλλ᾽ οὐ κατὰ τὸν τοῦ δαβίδου τρόπον ταῦτ᾽ ἐδέξαντο. καὶ παρώξυναν τὸν βασιλέα λέγοντες κατασκόπους πεπομφέναι τῆς χώρας δαβίδην καὶ τῆς αὐτῶν δυνάμεως ἐπὶ προφάσει φιλανθρωπίας. φυλάττεσθαί τε συνεβούλευον καὶ μὴ προσέχειν τοῖς λόγοις αὐτοῦ, μὴ καὶ σφαλεὶς, ἀπαρηγορήτῳ συμφορᾷ περιπέσῃ. ταῦτ᾽ οὖν δόξας πιθανώτερα λέγειν τοὺς ἄρχοντας ἢ τἀληθὲς ἔχειν, ὁ τῶν ἀμμανιτῶν βασιλεὺς ναάσου παῖς, τοὺς παρὰ τοῦ δαβίδου πεμφθέντας πρέσβεις χαλεπῶς περιύβρισε. ξυρήσας γὰρ αὐτῶν τὰ ἡμίση τῶν γενείων καὶ τὰ ἡμίση τῶν ἱματίων περιτεμὼν, ἔργοις ἀπέλυσε κομίζοντας οὐ λόγοις τὰς ἀποκρίσεις.

omnes regis ſeniores filij inter patris ſatellites verſabantur. His ita ordinatis venit illi in mẽtem amici quondam Ionathæ, fœderiſque mutui quod inter eos interceſſerat. nam inter cæteras omnes virtutes hanc quoque habuit, quòd egregiè meminerat beneficiorum quæ vnquam accepiſſet. Igitur ſciſcitatus eſt num quis ſupereſſet ex amici genere, cui gratiam referre poſſet pro iucundiſſima olim cum Ionatha acta conſuetudine. cúmque adductus eſſet ad eum quidam è libertis Sauli, qui poterat ſuperſtites noſcere, percontatus eſt num poſſet aliquem indicare ex Ionathæ genere viuum, cui pro beneficiis à veteri amico perceptis gratiam reponere quiret: quo reſpondente ſupereſſe filium eius Memphiboſthum, pedibus claudum: eo quòd nutrix audita clade in qua pater eius & auus ceciderant, dum rapto puero trepidè fugit prolapſum ex humeris læſerat: diligenter peruestigauit, vbinam & apud quos educaretur. quo comperto miſit in Labatham oppidum ad Machirum (id altoris nomen fuit) qui eum adducerent. Memphiboſthus verò poſtquam ad regem peruenit, procidens in faciem adorauit illum. móxque iuſſus eſt bono animo eſſe, & omnia quæ cuperet de benigniſſimo rege ſibi polliceri: & auitam domum cum prædiis ad illam pertinentibus accepit: iuſſúſque eſt ad eandem cum rege menſam accumbere, & nulla die conuiuio non intereſſe. Cúmque adoleſcens lætus promiſſionibus & muneribus regis gratias agens adorauiſſet, rex accito Siba, ait ſe adoleſcenti paternam domum cum omnibus auitis poſſeſſionibus donaſſe: iuſſítque eum villicatione agrorum ſuſcepta, omnes reditus Hieroſolyma referre. Poſt hæc ſingulis diebus eum menſæ adhibuit: & Sibam cum quindecim filiis & viginti ſeruis Memphiboſtho largitus eſt. His ita ordinatis, Siba adorato rege, omnia ſe facturum pollicitus, diſceſſit. Ionathæ verò filius poſthac Hieroſolymis habitauit, conuictor regis, nec aliter quàm ſi ipſi⁹ filius eſſet tractatus, filium etiam ex ſe genitum Michanum nominauit. Atque hoc honore Ionathæ poſteri à rege fuêre affecti. Cæterùm cũ per idem tempus Ammanitarum rex Naaſſes, ſocius & amicus defunctus eſſet, filiúſque in regnum paternum ſucceſſiſſet, Dauid per legatos officioſè eum conſolatus eſt, hortatus vt æquo animo patris obitum ferret, eandémque quam pater expertus fuerat, amicitiam à ſe expectaret. Priores verò Ammanitarum, ſecus quàm de Dauide ſuſpicari par erat, malitioſè hanc legationem miſſam interpretati ſunt, cõcitauerúntque regem, dicentes Dauidem ſpeculatores regionis & opum eius ſub officij prætextu miſiſſe. proinde cauẽdum ab illis, & verbis eorum non credendum, ne fortè deceptus in aliquam immedicabilem cladem ſeſe conijciat. At rex Ammanitarum Naaſſes ab optimatibus contra rei veritatem perſuaſus, cũ iniuria legatos Dauidis reiecit. Raſis enim media ex parte eorũ barbis præciſóque dimidio veſtimẽtorum, factis non verbis animũ ſuũ declarauit.

VI. 1. Reg. 10.

Quam rem Dauid indignissimè tulit, nihil dissimulans non neglecturum se iniuriam cum contumelia coniunctam, sed bello vindicaturum in Ammanitas, & pœnas violatæ contra ius gentium legationis à rege eorum exacturũ. Quod posteaquam perlatum est ad regis barbari necessarios, & copiarum eius præfectos, conscij sibi violati fœderis, ac debitam pœnam metuentes, & ipsi ad bellum se parabant. & missis legatis ad Syrum Mesopotamenorum regem cum mille talentis societatem eius hac mercede impetrauerunt, adducto in suas partes & Suba. Hi reges habebant peditum viginti millia. conduxerunt etiam regem Michę regionis, & quartum nomine Istobum, qui & ipsi vigintiduo milia militum in armis habebant.

CAP. VII.

Quomodo Dauid Mesopotamios deuicit.

NOn terruit tamen Dauidem Ammanitarum appartus & inita cum regibus societas, Deo fretum, & scientem quòd bonam causam haberet, iussísque armis iniuriam sibi illatam vlcisceretur. Itaque Ioabo commissa belli administratione, cum lectissimo milite eum contra hostem misit: qui mox ad primariam eius gentis vrbem castra admouit. Hostibus verò vrbem egressis, & duas seorsim acies explicantibus: alteram quæ ex auxiliis constabat, in patenti campo: alteram verò quæ Ammanitarum gentis erat, pro portis quæ Hebræos spectabant: Ioabus hoc animaduerso & ipse ad militares artes confugit. & assumptis fortissimis militum, ipse Syro aliísque regibus se opposuit. reliquis Abisæo fratri traditis, iussit vt cõtra Ammanitas aciem dirigeret: admonito prius vt si videret Syros sibi præualere, adducto properè suo milite succurreret. idem se facturum si ipsum Ammanitas ægrè sustinere contingeret. cum his mandatis dimisso fratre, hortatúsque vt generosè & alacriter rem gereret, darétque operam ne quam ignominiam acciperet, ipse Syros aggreditur. qui cùm aliquantisper magna vi restitissent, multis suorum cadentibus terga vertere sunt coacti. quo viso Ammanitæ territi, Abisæum cum suo milite aduentãtem non expectauerunt, sed moti sociorum exemplo intra mœnia refugerunt. atque ita Ioabus malè mulctatis hostibus victorem exercitum Hierosolyma reduxit. Nec tamen ea clades Ammanitarum effecit, vt experti se impares in posterum quiescerent. sed missis nunciis ad Chalamam Syrorum transeuphratensium regẽ eius auxilia mercede conduxerunt. Huius vicẽ in exercitu gerebat Sabecus, qui constabat ex octoginta peditum, equitum verò decem millibus. Tum Hebræorum rex intellecto quòd denuo tam magnas copias Ammanitæ contra se parauissent, nolens amplius per legatos cum eis bellum gerere, ipse cum vniuerso exercitu Iordanem transgressus illis occurrit: & commisso prælio victor euasit, cæsis peditum quadraginta, equitum verò septem millibus. Sabecus quoque hostiũ imperator in eo prelio vulnus accepit à rege, ex quo postea curã nõ admittẽte mo-

ἰδὼν δὲ ταῦτα Δαβίδης ἠγανάκτισε, καὶ δῆλος ἦν οὐ περιοψόμενος τὴν ὕβριν καὶ τὸν προπηλακισμὸν, ἀλλὰ πολεμήσων τοῖς Ἀμμανίταις, καὶ τιμωρίαν αὐτῶν τῆς παρανομίας τῆς εἰς τοὺς πρεσβύτας εἰσπραξόμενος τὸν βασιλέα. συνιέντες δὲ οἵ τε ἀναγκαῖοι καὶ ἡγεμόνες ὅτι παρεσπονδήκασι καὶ δίκην ὑπὲρ τούτων ὀφείλουσιν, προπαρεσκευάζοντο εἰς τὸν πόλεμον. καὶ πέμψαντες πρὸς Σύρον τὸν τῶν Μεσοποταμιτῶν βασιλέα χίλια τάλαντα, σύμμαχον αὐτὸν ἐπὶ τούτῳ γενέσθαι τῷ μισθῷ, παρεκάλεσαν καὶ Σουβάν. ἦσαν δὲ τοῖς βασιλεῦσι τούτοις πεζῶν δύο μυριάδες. προσεμισθώσαντο δὲ καὶ τὸν ἐκ τῆς Μιχᾶς καλουμένης χώρας βασιλέα. καὶ τέταρτον, Ἴστοβον ὄνομα. καὶ τούτους ἔχοντας μυρίους καὶ δισχιλίους ὁπλίτας.

Κεφάλαιον ζ'.

Πῶς Δαβίδης ἐπὶ τοὺς Μεσοποταμίους στρατεύσας ἐκράτησεν αὐτῶν.

ΟΥ κατεπλάγη δὲ τὴν συμμαχίαν καὶ τὴν τῶν Ἀμμανιτῶν δύναμιν ὁ Δαβίδης, τῷ θεῷ πεποιθὼς τῷ δικαίως αὐτοῖς ἀνθ' ὧν ὑβρίσθη πολεμεῖν μέλλειν. καὶ Ἰώαβον τὸν ἀρχιστράτηγον, δοὺς αὐτῷ τῆς στρατιᾶς τὸ ἀκμαιότατον ἐξ αὐτῆς ἔπεμψε πρὸς αὐτούς. ὁ δὲ πρὸς τῇ μητροπόλει τῶν Ἀμμανιτῶν Ἀραμαθᾷ κατεστρατοπεδεύσατο. τῶν δὲ πολεμίων ἐξελθόντων καὶ παραταξαμένων οὐχ ὁμοῦ, διχῇ δὲ, τὸ μὲν γὰρ ἐπικουρικὸν ἐν τῷ πεδίῳ καθ' αὑτὸ ἐτάχθη. τὸ δὲ τῶν Ἀμμανιτῶν στράτευμα, πρὸς ταῖς πύλαις ἀντικρὺς τῶν Ἑβραίων. ἰδὼν τοῦτο Ἰώαβος, ἀντιμηχανᾶται. καὶ τοὺς μὲν ἀνδρειοτάτους ἐπιλεξάμενος, ἀντιπαρατάσσεται τῷ Σύρῳ, καὶ τοῖς μετ' αὐτοῦ βασιλεῦσι. τὸ δ' ἄλλο παραδοὺς Ἀβεσσαίῳ τῷ ἀδελφῷ, τοῖς Ἀμμανίταις ἐκέλευεν ἀντιπαρατάξασθαι. εἰπὼν ἂν τοὺς Σύρους ἴδῃ βιαζομένους αὐτὸν καὶ πλέον δυναμένους, μεταγαγόντα τὴν φάλαγγα βοηθεῖν αὐτῷ. τὸ δ' αὐτὸ τοῦτο ποιήσειν καὶ αὐτὸς, ἂν ὑπὸ τῶν Ἀμμανιτῶν αὐτὸν καταπονούμενον θεάσηται. προπεμψάμενος οὖν τὸν ἀδελφὸν, καὶ παρακαλέσας εὐψύχως καὶ μετὰ προθυμίας ἅπαντα δρᾶν, αἰσχύνην φοβουμένοις προσπεσούσης ἀγωνίσασθαι, τὸν μὲν ἀπέλυσε τοῖς Ἀμμανίταις μαχησόμενον. αὐτὸς δὲ τοῖς Σύροις συνέβαλε. καὶ πρὸς ὀλίγον ἀντισχόντων αὐτῶν καρτερῶς, πολλοὺς μὲν αὐτῶν ἀπέκτεινεν Ἰώαβος, ἅπαντας δ' ἠνάγκασεν εἰς φυγὴν τραπῆναι. τοῦτο ἰδόντες οἱ Ἀμμανῖται, καὶ δείσαντες τὸν Ἀβεσσαῖον, καὶ τὴν μετ' αὐτοῦ στρατιὰν, οὐκ ἔμειναν. ἀλλὰ μιμησάμενοι τοὺς συμμάχους, εἰς τὴν πόλιν ἔφυγον. κρατήσας οὖν τῶν πολεμίων ὁ Ἰώαβος Ἱεροσόλυμα πρὸς τὸν βασιλέα λαμπρῶς ὑπέστρεψε. τοῦτο τὸ πταῖσμα τοὺς Ἀμμανίτας οὐκ ἔπεισεν ἠρεμεῖν. οὐδὲ μανθάνοντας τοὺς κρείττονας, ἡσυχίαν ἄγειν. ἀλλὰ πέμψαντες πρὸς Χαλάμαν τὸν τῶν πέραν Εὐφράτου Σύρων βασιλέα, μισθοῦνται τοῦτον ἐπὶ συμμαχίᾳ. ἔχοντα μὲν ἀρχιστράτηγον Σάβεκον, πεζῶν δὲ μυριάδας ὀκτώ. καὶ ἱππέων μυρίους. γνοὺς δὲ ὁ τῶν Ἑβραίων βασιλεὺς, πάλιν ἐπ' αὐτὸν τοὺς Ἀμμανίτας τοσαύτην δύναμιν συνηθροικότας, οὐκέτι διὰ στρατηγῶν αὐτοῖς πολεμεῖν ἔκρινεν. ἀλλ' αὐτὸς σὺν ἁπάσῃ τῇ δυνάμει διαβὰς τὸν Ἰορδάνην ποταμὸν, καὶ ὑπαντήσας αὐτοῖς, συνάψας αὐτοῖς εἰς μάχην, ἐνίκησε. καὶ ἀναιρεῖ μὲν αὐτῶν πεζῶν μὲν εἰς τέσσαρας μυριάδας, ἱππέων δ' εἰς ἑπτακισχιλίους. ἔτρωσε δὲ, καὶ τὸν στρατηγὸν τοῦ Χαλαμᾶ Σάβεκον, ὃς ἐκ τῆς πληγῆς ἀπέθανεν.

ἀπέθανεν. οἱ δὲ Μεσοποταμῖται τοιούτου γενομένου τοῦ τέλους τῆς μάχης, αὐτοὺς Δαβίδῃ παρέδωσαν, καὶ δῶρα ἔπεμψαν αὐτῷ. καὶ ὁ μὲν ὥρα χειμῶνος ἀνέστρεψεν εἰς Ἱεροσόλυμα. ἀρχομένου δὲ τοῦ ἔαρος, ἔπεμψε τὸν ἀρχιστράτηγον Ἰώαβον πολεμήσοντα τοῖς Ἀμμανίταις. ὁ δὲ τήν τε γῆν ἅπασαν αὐτῶν ἐπερχόμενος διέφθειρε, καὶ αὐτοὺς εἰς τὴν μητρόπολιν συγκλείσας ἀραβαθὰ ἐπολιόρκει. συνέπεσε δὲ τῷ Δαβίδῃ πταῖσμα δεινὸν, ὄντι δικαίῳ καὶ θεοσεβεῖ, καὶ τοὺς πατρίους νόμους ἰσχυρῶς φυλάσσοντι. θεασάμενος γὰρ δείλης ὀψίας ἀπὸ τοῦ τέγους τῶν βασιλείων ἐν ᾧ περιπατεῖν κατ' ἐκεῖνο τῆς ὥρας ἔθος, εἶδε γυναῖκα λουομένην ἐν τῇ αὐτῆς οἰκίᾳ ψυχρῷ ὕδατι, καλλίστην τὸ εἶδος καὶ πασῶν διαφέρουσαν. ὄνομα αὐτῇ ἦν Βεθσαβή. ἡττηταί τε τοῦ κάλλους τῆς γυναικὸς, καὶ τῆς ἐπιθυμίας κατασχεῖν οὐ δυνάμενος, μεταπεμψάμενος αὐτὴν, συνέρχεται. γενομένης δ' ἐγκύου τῆς γυναικὸς, καὶ πεμψάσης πρὸς τὸν βασιλέα, ὅπως τῷ ἁμαρτήματι σκέψηταί τινα τοῦ λαθεῖν ὁδὸν, ἀποθανεῖν γὰρ αὐτὴν κατὰ τοὺς πατρίους καθήκει νόμους μεμοιχευμένην, μεταπέμπεται μὲν τὸν Ἰωάβου ὁπλοφόρον ἐκ τῆς πολιορκίας, ἄνδρα δὲ τῆς γυναικὸς, Οὐρίαν ὄνομα. καὶ παραγενόμενον, περί τε τῆς στρατιᾶς καὶ τῆς πολιορκίας ἀνέκρινε. λέγοντος δὲ πάντα κατὰ νοῦν αὐτοῖς κεχωρηκέναι τὰ πράγματα, βαστάσας ἐκ τοῦ δείπνου μέρη, προσδίδωσιν αὐτῷ, καὶ κελεύει πρὸς τὴν γυναῖκα ἀπελθόντα ἀναπαύσασθαι σὺν αὐτῇ. ὁ δὲ Οὐρίας τοῦτο μὲν οὐκ ἐποίησε, παρεκοιμήθη δὲ τῷ βασιλεῖ σὺν τοῖς ἄλλοις ὁπλοφόροις. ὡς δὲ γνοὺς ταῦθ' ὁ βασιλεὺς, ἀνέκρινεν αὐτὸν ὅτι μὴ πρὸς αὐτὸν εἰς τὴν οἰκίαν ἔλθοι, μηδὲ πρὸς τὴν γυναῖκα ἔλθοι διὰ τοσούτου χρόνου, πάντων ἀνθρώπων ταύτην ἐχόντων τὴν φύσιν ὅταν ἔλθωσιν ἐξ ἀποδημίας. ὁ δ' οὐκ εἶναι δίκαιον εἶπε, τῶν συστρατιωτῶν αὐτοῦ, καὶ τοῦ στρατηγοῦ χαμαὶ κοιμωμένων ἐν παρεμβολῇ καὶ τῇ τῶν πολεμίων χώρᾳ, μετὰ τῆς γυναικὸς αὐτὸν ἀναπαύεσθαι καὶ τρυφᾶν. ταῦτα εἰπόντα, μεῖναι τὴν ἡμέραν ἐκείνην προσέταξεν, ὡς τὴν ἐπιοῦσαν ἀπολύσων αὐτὸν πρὸς τὸν ἀρχιστράτηγον. κληθεὶς δ' ἐπὶ δεῖπνον ὑπὸ τοῦ βασιλέως Οὐρίας καὶ μέχρι μέθης προελθὼν ἐν τῷ πότῳ, δεξιουμένου τοῦ βασιλέως αὐτὸν ἐπιτηδὲς ταῖς προπόσεσιν, οὐδὲν ἧττον πάλιν πρὸ τῶν τοῦ βασιλέως θυρῶν ἐκοιμήθη, μηδὲ μίαν λαβὼν τῆς γυναικὸς ἐπιθυμίαν. ἐπὶ τούτῳ δὲ δυσαναχετήσας ὁ βασιλεὺς, ἔγραψε τῷ Ἰωάβῳ κολάσαι προστάσσων τὸν Οὐρίαν. ἁμαρτεῖν γὰρ αὐτὸν ἐδήλου. καὶ τὸν τρόπον τῆς τιμωρίας, ἵνα μὴ γένηται φανερὸς αὐτὸς τοῦτο βουληθεὶς, ὑπέθετο. κατὰ γὰρ τὸ δυσμαχώτατον αὐτὸν ἐκέλευσε μέρος τῶν πολεμίων τάξαι, καὶ καθ' ὃ κινδυνεύῃ μαχόμενος, ἀπολειφθεὶς μόνος. τοῖς γὰρ συμπαραστάτας ἀναχωρῆσαι ἐκ τῆς μάχης γινομένης ἐκέλευσε. ταῦτα γράψας καὶ σημηνάμενος τῇ αὐτοῦ σφραγῖδι, τὴν ἐπιστολὴν ἔδωκεν Οὐρίᾳ κομίσαι πρὸς Ἰώαβον. δεξάμενος δὲ τὰ γράμματα Ἰώαβος, καὶ τὴν τοῦ βασιλέως προαίρεσιν ἀναγνοὺς, καθ' ὃν ᾔδει τόπον τοὺς πολεμίους αὐτῷ χαλεποὺς γινομένους, κατὰ τοῦτον ἔστησε τὸν Οὐρίαν, δοὺς αὐτῷ τινὰς τῶν ἀρίστων τῆς στρατιᾶς. αὐτὸς δ' ἁπάσῃ τῇ δυνάμει πρὸς ἐπιβοηθήσειν ἔφησεν, εἰ δυνηθεῖεν ἀναρρήξαντές τι τοῦ τείχους εἰσελθεῖν εἰς τὴν πόλιν. ὄντα δ' αὐτὸν γενναῖον στρατιώτην, καὶ δόξαν ἔχοντα παρά τε τῷ βασιλεῖ καὶ παρὰ τοῖς ὁμοφύλοις ἐπ' ἀνδρείᾳ, χαίρειν τοῖς μεγάλοις πόνοις, ἀλλὰ μὴ πρὸς ἀγανακτεῖν ἠξίου. τοῦ δὲ Οὐρίου προθύμως ὑποστάντος τὸ ἔργον, τοῖς μετ' αὐτοῦ παραταξομέ-

ri eũ cõtigit. Mesopotamitæ deinde cognito tã tristi pugnę euẽtu, sine mora legatione ad Dauidem cum muneribus missa, deditionẽ fecerunt. que ita appetente iam hyeme Hierosolyma est reuersus. Vere autem ineunte, Ioabum ad bellum Ammaniticum misit. Is longè latéque vastatis hostium agris, compulsos eos in Rabatham gẽtis metropolim obsidione cinxit: Quo tempore Dauid tametsi vir iustus ac pius & patriarum legum obseruator diligens, in graue tamen peccatum incidit. Cùm enim vergente iam die in solario regiæ more solito deambularet, prospexit in vicinis ædibus mulierem frigida lauantem, insigni forma præcellentem, cui nomen Bethsabe: victúsque eius pulchritudine, & à concupita sibi temperare non valens, accitam ad se complexus est. Paulo pòst mulier grauidam se sentiens, nunciat regi vt dispiciat quomodo factum hoc latere posset, alioqui publicis legibus adulterij damnatam supplicium daturam. Rex itaque accersitum ad se ex castris Ioabi armigerum maritum mulieris, Vriam nomine, de exercitu, & quomodo oppugnatio procedat, percontatur. quo referente omnia cedere ex sententia, partes ei de sua cœna obtulit, iussitque vt profectus ad vxorem apud illam pernoctaret. at ille non ita fecit, sed inibi in regia & inter satellites regis noctem eam exegit. quo cognito rex scitatus est ex eo, quamobrem tanto pòst tempore domum reuersus, ad vxorem non iuisset, idque præter communem omnium hominum morem, quicunque peregrè ad suos redeunt. respondit ille, non esse æquum vt interim dum imperator suus & commilitones in hostili solo in castris humi cubitant, ipse in vxoris amplexibus se oblectet. hæc locutum manere inibi ea quoque die iussit, sequenti ad vicarium suum ducẽ dimissurus. vocatus deinde ad cœnam, & rege de industria crebrioribus propinationibus inuitante ad ebrietatem vsque progressus, nihilominus tum quoque pro foribus regij cubiculi pernoctauit, nullo vxoris desiderio tactus. hanc ob rem indignatus rex scripsit Ioabo vt in Vriam pœnam meritum animaduerteret: modúmque puniendi indicauit, ne manifestum fieret suo iussu hoc factum. iussit enim vt quà primum periculi esset hosti opponeretur, móxque à sociis, quo faciliùs opprimi posset, destitueretur. his ita scriptis, & proprio sigillo obsignatis, epistolam Vriæ commisit ad Ioabum perferendam, qui receptis literis, & cognita regis voluntate, quem locum maximè ab hostibus infestari sciebat, in eo collocaturus Vriam, adiunctis illi lectissimis aliquot militibus, pollicitus est se cũ toto exercitu affore, si qua parte muri suffosa aditũ intra vrbẽ patefecissent: hortatus eũ vt existimationi quam tum apud regem, tum apud commilitones sibi parauerat respondens, libenter potius quàm grauatim iussa capesseret. cúmque Vrias magna alacritate demandatum munus suscepisset, manipulo illi adiungendo clã imperauit,

VII. 2. Reg. 11.

vt cùm primùm occurrentibus hostibus vrgeri hominem viderent, deserto illo in tutum se reciperent. Itaque cùm Hebræi fecissent assultum ad mœnia, veriti Ammanitæ ne ab illa parte hostis murum occuparet, fortissimus quisque reclusa repête porta magno impetu erumpunt. quod vbi viderunt qui circa Vriam versabantur, memores Ioabi mandatorum, vno agmine sese retrorsum receperunt. Solus Vrias quòd puderet contra quàm promiserat assignatum locum non tueri, in se ruentes sustinuit, ferróque exceptos interemit non paucos, donec circumuentus cum aliquot aliis, quos ignaros consilij pudor idem in officio continuerat, non inultus occubuit. His ita gestis Ioabus regi per nuncium significat, quòd non ferens obsidionis moras, oppugnatione adortus mœnia, amissis aliquam multis infecta re in castra redire sit compulsus. mandarat autem nuntio, si regem hoc factum ægrè ferre sentiret, vt de Vriæ quoque morte renuntiaret: id quod etiam euenit. Rex enim his cognitis malefactum aiebat, quod aperta vi mœnia tentassent, oportuisse enim machinis ac cuniculis aditum moliri, maximè cùm Abimelechus Gedeonis filius domesticum exemplum illis esse debuerit, qui Thebis turrim vi capere conatus, saxo ab anicula misso ictus turpiter vitam amisit, vir alioqui fortissimus, quòd inconsultè difficillimum oppugnationis genus esset aggressus. Vtilissimum autem in re militari quid aliis benè aut secus cesserit considerando, cùm simile periculum incidit, hæc sequi, illa fugere. postquam autem indignabundo de Vriæ quoque morte relatum est, irasci desiit: iussitque Ioabo renunciari, vulgare esse id incommodum, nec à natura belli alienum, cuius hæ sint vicissitudines. debere tamen eum in posterum cautiùs rem administrare, & aggeribus ac machinis expugnatam vrbem solo equare, & habitatores eius ad vnum neci dedere. Cum his mandatis nuncius ad Ioabum properè se recepit. cæterum Bethsabe audita mariti morte per aliquot dies eũ luxit: vbi verò à mœrore ac lacrymis destitit, sine mora eam rex coniugem sibi asciuit: ex qua mox puer mascul[us] ei natus est. Has nuptias Deus nequaquam æquis oculis inspexit, sed iratus Dauidi, cùm prophetæ Nathani per visũ nocturnum se obtulisset, regem grauiter incusauit. propheta verò qui esset vir festiuus ac prudens, reputans reges quoties suis affectibus rapiũtur, non magnum iuris respectum habere solere, comminatione numinis ad tempus dissimulata, maluit illum blanda oratione aggredi, in hunc modum sententiam eius exploraturus. Duo viri, inquit, eandem vrbem incolebant: alter prædiues multorúmque armentorũ & gregum dominus: alter vnius tantũ ouiculæ possessor, eam vnà cum pueris suis domi quotidianis cibis alebat, nõ alio affectu quã si esset filia. cũ verò hospes diuiti superuenisset, ille parcẽs suis pecorib. nullũ in amici gratiã mactare voluit: sed abstracta per vim ouicula pauperis,

2. Reg. 12.

A νοις. ἰδίᾳ καταλιπεῖν ὅταν ἐξορμήσαντας ἴδωσι τοὺς πολεμίους ἐδήλωσεν. προσλαβόντων δὲ σὺν τῇ πόλει τῶν ἑβραίων, δείσαντες οἱ ἀμμανῖται μὴ κατ᾽ ἐκεῖνον τὸν τόπον καθ᾽ ὃν οὐρίας συνέβαινε τετάχθαι, φθάσαντες ἀνάβασιν οἱ πολέμιοι, προστησάμενοι τοὺς ἀνδρειοτάτους αὐτῶν καὶ τὴν πύλην ἀνοίξαντες, ἀφνιδίως καὶ μετὰ ῥύμης δρόμου πολλοῦ τοῖς ἐχθροῖς ἐπεξῆλθον. ἰδόντες δὲ αὐτοὺς οἱ σὺν τῷ οὐρίᾳ, πάντες ἀνεχώρησαν ὀπίσω, καθὼς ἰώαβος αὐτοῖς προεῖπεν. αἰσχυνθεὶς δὲ

B οὐρίας φυγεῖν καὶ τάξιν καταλιπεῖν, ὑπέμεινε τοὺς πολεμίους, καὶ τὴν ὁρμὴν αὐτῶν ἐκδεξάμενος ἀναιρεῖ μὲν οὐκ ὀλίγους. κυκλωθεὶς δὲ καὶ ληφθεὶς ἐν μέσῳ τελευτᾷ. σὺν δὲ αὐτῷ τινες καὶ ἄλλοι συγκατέπεσον τῶν ἑταίρων. τούτων οὕτω γενομένων, ἔπεμψεν ἀγγέλους ἰώαβος πρὸς τὸν βασιλέα, λέγειν ἐντειλάμενος αὐτοῖς, ὡς σπουδάσειε μὲν ταχέως ἑλεῖν τὴν πόλιν, προσβαλὼν δὲ τῷ τείχει, καὶ πολλοὺς ἀπολέσας ἀναχωρῆσαι βιασθείη. προστεθῆναι δὲ τούτοις ἂν ὀργιζόμενον ἐπ᾽ αὐτοῖς βλέ-

C πωσι καὶ τὸν οὐρίου θάνατον. τοῦ δὲ βασιλέως ἀκούσαντος ταῦτα παρὰ τῶν ἀγγέλων, δυσφοροῦντος, φάσκοντος ἁμαρτάνειν αὐτοὺς τῷ τείχει προσβαλόντας, δέον ὑπονόμοις καὶ μηχανήμασιν ἑλεῖν πειρᾶσθαι τὴν πόλιν, καὶ ταῦτ᾽ ἔχοντας παράδειγμα τὸν γεδεῶνος υἱὸν ἀβιμέλεχον, ὃς ἐπεὶ τὸν ἐν θήβαις πύργον ἑλεῖν ἐβούλοντο βίᾳ, βληθεὶς ὑπὸ πρεσβύτιδος πέτρῳ κατέπεσε, καὶ ἀνδρειότατος ὤν, διὰ τὸ δυσχερέστατον τῆς ἐπιβουλῆς, αἰσχρῶς

D ἀπέθανεν· οὗ μνημονεύοντας, ἔδει μὴ προσιέναι τῷ τείχει τῶν πολεμίων. ἄριστον γὰρ ἁπάντων ἐν πολέμῳ πραχθέντων καλῶς καὶ ὡς ἑτέρως ἐν τοῖς αὐτοῖς κινδύνοις μνήμην ἔχειν, ὡς τὰ μὲν μιμεῖσθαι, τὰ δὲ φεύγειν. ἐπεὶ δὲ οὕτως ἔχοντι καὶ τὸν οὐρία θάνατον ἐδήλωσεν ὁ ἄγγελος, παύεται μὲν τῆς ὀργῆς. ἰωάβῳ δ᾽ ἐκέλευσε λέγειν ἀνθρώπινον εἶναι τὸ συμβεβηκός, καὶ τὰ τοῦ πολέμου φύσιν ἔχειν τοιαύτην. ὥστε ποτὲ μὲν τοῖς ἐναντίοις εὖ πράττειν συμβαίνειν κατ᾽ αὐτὸν, ποτὲ δὲ τοῖς ἑτέ-

E ροις. τοῦ λοιποῦ μέντοι γε προνοεῖν τῆς πολιορκίας, ὅπως μηδὲν ἐπιπταίσωσι κατ᾽ αὐτὴν, ἀλλὰ χώμασι καὶ μηχαναῖς ἐκπολιορκήσαντας καὶ παραστησαμένους, τὴν μὲν πόλιν κατασκάψαι, πάντας δὲ ἀπολέσαι τοὺς ἐν αὐτῇ. καὶ ὁ μὲν ἄγγελος, ταῦτα ὑπὸ τοῦ βασιλέως ἐντεταγμένα κομίζων πρὸς ἰώαβον ἠπείγετο. ἡ δὲ, τοῦ οὐρίου γυνὴ βεεθσαβὴ, τὸν θάνατον τοῦ ἀνδρὸς πυνθανομένη, ἐπὶ συχνὰς αὐτὸν ἡμέρας ἐπένθησε. παυσαμένης δὲ τῆς λύ-

F πης καὶ τῶν ἐπ᾽ οὐρίᾳ δακρύων, ὁ βασιλεὺς εὐθὺς ἀγάγετο γυναῖκα. καὶ παῖς ἄρρην ἐξ αὐτῆς αὐτῷ γίνεται. τοῦτον οὐχ ἡδέως ἐπεῖδεν ὁ θεὸς τὸν γάμον, ἀλλὰ δι᾽ ὀργῆς ἔχων τὸν δαβίδην, τῷ προφήτῃ νάθαν φανεὶς κατὰ τοὺς ὕπνους, ἐμέμφετο τὸν βασιλέα. ὁ δὲ νάθαν, ἀστεῖος ὢν καὶ συνετὸς ἀνὴρ, λογισάμενος ὡς οἱ βασιλεῖς ὅταν εἰς ὀργὴν ἐμπέσωσι, ταύτῃ πλέον ἢ τῷ δικαίῳ νέμουσι, τὰς μὲν παρὰ τοῦ θεοῦ γεγενημένας ἀπειλὰς ἡσυ-

G χάσειν ἔκρινεν. ἄλλους δὲ λόγους χρηστοὺς πρὸς αὐτὸν διεξῆλθε. καὶ δὴ τοιοῦτόν τινα τρόπον, περὶ οὗ καί τι φρονεῖ, ποιῆσαι σαφὲς αὐτῷ παρεκάλει. δύο γὰρ ἔφησεν ἄνδρες τὴν αὐτὴν κατοικεῖν πόλιν. ὧν ὁ μὲν πλούσιος ἦν, καὶ πολλὰς εἶχεν ἀγέλας ὑποζυγίων τε καὶ θρεμμάτων, καὶ βοῶν· τῷ πένητι δ᾽ ἀμνὰς μία ὑπῆρχε. ταύτην μετὰ τέκνων αὐτὸς ἀνέτρεφε συνδιαιτώμενος αὐτῇ τὰ σῖτα καὶ φιλοστοργίᾳ πρὸς αὐτὴν χρώμενος ἣ τις ἂν χρήσαιτο καὶ πρὸς θυγατέρα. ξένου δ᾽ ἐπελθόντος τῷ πλουσίῳ τῶν μὲν ἰδίων οὐδὲν ἐκεῖνος βοσκημάτων ἠξίωσε καταθύσας εὐωχῆσαι τὸν φίλον. πέμψας δὲ τὴν ἀμνάδα τοῦ πένητος ἀ-

πέσπα-

πεποιακε, καὶ ταύτην παρασκευάσας εἱστίασε τὸν ξένον. σφόδρα δ' ἐλύπησεν ὁ λόγος οὗτος τὸν βασιλέα. καὶ πονηρὸν πρὸς τὸν νάθαν τὸν ἄνθρωπον ἐκεῖνον ὃς δὴ τὸ ἔργον τοῦτο ἐτόλμησεν ἀπεφήνατο, καὶ τὸ τετραπλοῦν τε ἀποτῖσαι τὴν ἀμνάδα δίκαιον εἶναι, καὶ πρὸς τούτῳ θανάτῳ κολασθῆναι. νάθας δ' ὑποτυχὼν αὐτὸν ἔλεγχεν ἐκεῖνον εἶναι τὸν ἄξιον ταῦτα παθεῖν, ὑφ' αὐτοῦ κεκριμένον τολμήσαντα μέγα καὶ δεινὸν ἔργον. ἀνεκάλυπτε δ' αὐτῷ καὶ παρεγύμνου τὴν ὀργὴν τοῦ θεοῦ ποιήσαντος μὲν αὐτὸν βασιλέα τῆς ἑβραίων δυνάμεως, καὶ τῶν ἐν κύκλῳ πάντων ἐθνῶν πολλῶν καὶ μεγάλων κύριον. ῥυσαμένου δ' ἔτι πρὸ τοῦ τῶν ἐκ τῶν σαούλου χειρῶν, δόντος δ' αὐτῷ καὶ γυναῖκας ἃς δικαίως καὶ νομίμως ἠγάγετο. καταφρονηθέντος δ' ὑπ' αὐτοῦ καὶ ἀσεβηθέντος, ὃς ἀλλοτρίαν τε γήμας ἔχοι γυναῖκα, καὶ τὸν ἄνδρα αὐτῆς ἀποκτείνειεν ἐκδοὺς τοῖς πολεμίοις. δώσειν οὖν αὐτὸν ἀντὶ τούτων δίκας τῷ θεῷ. καὶ βιασθήσεσθαι μὲν αὐτοῦ τὰς γυναῖκας ὑφ' ἑνὸς τῶν παίδων. ἐπιβουλευθήσεσθαι δὲ καὶ αὐτὸν ὑπ' ἐκείνου, καὶ τὸ ἁμάρτημα κρύφα τοῦτο δράσαντα, φανερὰν τὴν ἐπ' αὐτῷ δίκην ὑφέξειν. τεθνήξεσθαι δὲ καὶ τὸν παῖδά σοι παραχρῆμα τὸν ἐξ αὐτῆς γεγενημένον. ταραχθέντος δ' ἐπὶ τούτοις τοῦ βασιλέως, καὶ συγχυθέντος ἱκανῶς, καὶ μετὰ δακρύων καὶ λύπης ἀσεβῆσαι λέγοντος, ἦν γὰρ ὁμολογουμένως θεοσεβής, καὶ μηδὲν ἁμαρτὼν ὅλως περὶ τὸν βίον, ἢ τὰ περὶ τὴν οὐρίας γυναῖκα, οἰκτείρει ὁ θεός. καὶ διαλλάττεται φυλάξειν αὐτῷ καὶ τὴν ζωὴν καὶ τὴν βασιλείαν ἐπαγγειλάμενος. μετανοοῦντι γὰρ περὶ τῶν γεγενημένων, οὐκέτι χαλεπῶς ἔχειν ἔφασκε. καὶ νάθας μὲν ταῦτα τῷ βασιλεῖ προφητεύσας, οἴκαδ' ἐπανῆλθε. τῷ δ' ἐκ τῆς οὐρίας γυναικὸς γενομένῳ παιδὶ δαβίδῃ, νόσον ἐνσκήπτει χαλεπὴν τὸ θεῖον. ἐφ' ᾗ δυσφορῶν ὁ βασιλεύς, τροφὴν μὲν ἐπὶ ἡμέρας ἑπτά, καίτοι ἀναγκαζόντων τῶν οἰκείων οὐ προσηνέγκατο. μέλαιναν δὲ περιθέμενος ἐσθῆτα, πεσὼν ἐπὶ σάκκου κατὰ γῆς ἔκειτο, τὸν θεὸν ὑπὲρ τῆς τοῦ παιδὸς ἱκετεύων σωτηρίας, σφόδρα γὰρ ἔστεργεν αὐτοῦ τὴν μητέρα. τῇ δ' ἑβδόμῃ τῶν ἡμερῶν τελευτήσαντος τοῦ παιδός, οὐκ ἐτόλμων τῷ βασιλεῖ τοῦτο μηνύειν οἱ θεράποντες, λογιζόμενοι μὴ γνοὺς ἔτι μᾶλλον ἀπόσχηται καὶ τροφῆς καὶ τῆς ἄλλης ἐπιμελείας, ὡς ἂν ἐπὶ τέκνου πόθῳ τετελευτηκότος, ὁπότε καὶ νοσοῦντος οὕτως ὑπὸ τῆς λύπης αὐτὸν ἐκάκου. ταραττομένων δ' αἰσθόμενος τῶν οἰκετῶν ὁ βασιλεύς, καὶ ταῦτα πασχόντων ἃ μάλιστα συγκρύπτειν θέλουσι συμβαίνει, συνεὶς ὅτι τέθνηκεν ὁ παῖς, προσφωνήσας ἕνα τῶν οἰκετῶν, καὶ μαθὼν τἀληθές, ἀνίσταται. καὶ λουσάμενος καὶ λαβὼν ἐσθῆτα λευκήν, εἰς τὴν σκηνὴν τοῦ θεοῦ παραγίνεται. καὶ κελεύσας δεῖπνον αὐτῷ παραθεῖναι, πολλὴν ἐπὶ τῷ παραλόγῳ τοῖς τε συγγενέσι καὶ τοῖς οἰκέταις ἔκπληξιν παρεῖχεν, ὅτι μηδὲν τούτων ἐπὶ νοσοῦντι τῷ παιδὶ ποιήσας, πάνθ' ὁμοῦ τετελευτηκότος ἔπραττε. τήν τε αἰτίαν δεηθέντες ἐπιτρέψαι πρῶτον αὐτοῖς πυθέσθαι παρεκάλουν εἰπεῖν τῶν γεγενημένων, ὁ δέ, ἀμαθεῖς εἰπὼν αὐτοὺς ἐδίδασκεν, ὡς ἔτι μὲν ζῶντος τοῦ παιδός, ἔχων ἐλπίδα σωτηρίας αὐτοῦ δεόντως πάντ' ἐποίει, τὸν θεὸν ἡγούμενος τούτοις εὐμενῆ καταστήσειν. ἀποθανόντος δ' οὐκέτι χρείαν εἶναι λύπης ματαίας. ταῦτ' εἰπόντος, ἐπῄνεσαν τὴν σοφίαν καὶ τὴν διάνοιαν τοῦ βασιλέως. συνελθὼν δὲ τῇ γυναικὶ βεθσαβῇ, ἔγκυον αὐτὴν ἐποίησε. καὶ γενόμενον ἄρρεν παιδίον, σολομῶνα προσηγόρευσε, νάθα τοῦ προφήτου κελεύσαντος. ἰώαβος δὲ τῇ πολιορκίᾳ τοὺς ἀμμα-

iugulatam & apparatam hospiti apposuit. His verbis rex grauiter commotus, scelestum hominem illum facinus hoc ausum pronuntiauit iustúmque esse vt quadruplum pro adempta ouicula restituatur,& ipse insuper capite plectatur. Tum Nathan incunctanter subiecit,ipsum esse qui hac pœna dignus sit,suopte iudicio nefarij sceleris damnatus.ac tum demum illi exposuit in quantam indignationem numinis incurrisset, cuius fauore vniuersæ gentis Hebræorum rex constitutus,circumquaque vicinarum etiam gentium earúmque multarum & magnarum dominium consecutus esset: nõ semel antea liberatus è Sauli manibus.nunc cùm eiusdem benignitate aliquot legitimas vxores habeat,contempto omni humano simul atque diuino iure,alienam eum duxisse vxorem, marito ipsius interfecto & hosti prodito.Igitur affore diuinam vltionem, & ipsius quoque mulieres ab vno è filiis per vim constuprandas, & ipsum insidiis ab eodem appetendum, vt pro clàm admisso peccato,in propatulo pœnas persoluat. quin & puerum ex ea natum sine mora esse interiturum.territo autem per hanc denunciationem rege, vehementérque perturbato, & cum lacrymis fatente se peccasse in Deũ: erat enim vir pius,& qui hoc vno excepto in tota vita nihil admiserat:placatusDeus recepto in gratiam promisit.&regnum & vitam ei seruaturum se esse. post pœnitentiam enim non ampliùs se irasci. Atque ita Nathan postquam futura regi aperuisset,domum reuertitur.Porrò infans ex vxore Vriæ natus Dauidi,immittente Deo graui morbo corripitur,cuius vicem mœstissimus pater dolenter ferens per septem dies à familiaribus induci non potuit vt vllum cibum degustaret: sed atratus & sacco amictus, humi prostratus iacebat,&à Deo salutem pueri precabatur. Nimis enim eius matrẽ diligebat. Septima verò die mortuo puero,familiares nõ audebant hoc regi indicare,veriti ne re cognita pertinaciùs etiam à cibo reliquáq; cura corporis abstineret desiderio defuncti infantis,cuius morbũ tam impotẽter tulisset.qui cùm turbatam familiam sentiret,& aliquid mali celari facilè intellexit extinctum puerum: accitóque vno è famulis postquam veritatem cõperit,cõfestim surrexit: lotus deinde sumptáque veste candida,ad Dei tabernaculum properauit posthac iussis famulis vt cœnã sibi apponerent prẹter omnem opinionem,admirationi fuit omnibus cognatis & domesticis,stupẽtib.quòd cùm nihil horũ ęgrotãte puero fecisset,nunc post eius obitũ omnia simul faceret:impetratáq; prius licentia,causam sciscitabantur. Tum ille:Non intelligitis,inquit,quòd dum puer viueret, de salute eius sperans, nihil non faciebam quo Deum flecterem?nunc postquam is obiit, superuacaneum sit inaniter mœrore confici. His auditis omnes sapientiam eius laudauerũt. nec ita multo pòst Bethsabe grauida exactis legitimis naturę mensibus filium ei peperit, quem Nathanis monitu Salomonem nominauit.In-

tercaIoabus Ammanitas acri obſidione premebat, præciſis aquæductibus, & commeatibus interceptis, ita vt fame ſimul & ſiti laboraretur, ab vnico enim puteo ſpes eorum pendebat, ac ne hoc quidem ad ſatietatem vtebantur, parcè aquam diſpenſantes, ne forte in totum deficeret. Hec Ioabus per literas regi ſignificauit, hortans vt ad excidium vrbis ipſe veniret, & hunc quoque titulum victoriis ſuis apponeret. qui collaudato ducis officio fidéque, aſſumpto ſecum exercitu ad deuaſtandam Rabathá proficiſcitur: eámque mox vi captam militi diripiendam permiſit. ipſe verò ex præda nactus eſt Ammanitarum regis auream coronam talentum pendentem, & precioſo ſardonyche inſignem quā poſtea capite geſtare ſolitus eſt. nec non & alia multa ac magni precij præda in ea vrbe potitus eſt. viros verò eius excruciatos priùs ad vnum interemit: nec mitiùs alias Ammanitarum vrbes tractauit, pari modo expugnatas.

VIII. 2. Reg. 13.

Poſt hanc victoriam domum reuerſo graue quiddam accidit ex tali cauſa: Filiam habebat adhuc virginem, formoſiſſimas quaſque mulieres pulchritudine vincentem, Thamará nomine: ex eadem qua Abeſalomus genitrice natam. huius amore correptus Amnon filiorū Dauidis natu maximus, cùm propter virginitatem ipſius & aſſeruationem potiri ea non poſſet, adeò paſſione hac conflictabatur, vt non aliter quàm ex morbo lentam tabem ac pallorē ſibi contraheret, id malum deprehendit Ionathas quidam eius cognatus & amicus, vir prudens & magni conſilij. vidēs enim Amnonem à natiua corporis habitudine indies magis ac magis deficere, acceſſit illum rogans vt cauſam ſibi indicaret. Suſpicari enim ſe amatoriá quādam eſſe hanc paſſionem. quo fatente ſororem germanam ſibi adamatam, conſilium dat, quomodo optatis potiri valeat. ſuaſit enim vt ſimulata ægritudine, ſimulatque pater viſendi cauſa illum acceſſiſſet, roget vt ſororem ad ſe mittat, cuius miniſteriis releuatus eò citiùs conualeſcere poſſit. Paruit Amnon, & cùm nihil cūctatus decubuiſſet, ſimulare morbum cœpit. Dein cùm pater officioſè inuiſens percontaretur de valetudine, petiit ſororem ad ſe mitti. ea poſtquam iuſſu patris accita venit, poſtulauit vt ſuis manib[9] colyphia frixa afferret. Sic enim libentiùs ſe comeſturū. quæ in cōſpectu fratris farina ſubacta, formatiſque colyphiis ac frixis, iuueni obtulit. at ille nō ea guſtauit, ſed famulis mandauit, vt quotquot pro forib. cubiculi obuerſarētur, ſubmouerēt, dicēs ſe abſq; ſtrepitu quieſcere cupere. quo facto iuſſit ſororē in intimū conclaue paratá cœnam inferre. quod cū puella feciſſet, apprehenſę ſuadere cœpit vt ſui copiá faceret. At puella exclamat: Abſtine vim frater, abſtine, nefas eſt te rē tá turpē perpetrare. Deſine à tá flagitioſa cōcupiſcētia, quę nihil pręter dedecus & infamiam toti familiæ noſtræ afferre poteſt, aut ſi reſiſtere ei non vales, à patre tibi hoc impetrandum eſt, non per vim extorquendum. at ille amore feruens non paruit,

A νίτας ἰσχυρῶς ἐκάκου, τῶν τε ὑδάτων αὐτοὺς ἀποτεμνόμενος, καὶ τῆς τῶν ἄλλων εὐπορίας, ὡς πάνυ ταλαιπωρεῖν ἐνδείᾳ ποτοῦ καὶ τροφῆς, ἐξ ὀλίγου γὰρ φρέατος ἤρτηντο, καὶ τούτῳ, ὥς τε μὴ τελέως αὐτοὺς ἐπιλείπειν τὴν πηγὴν, διαφυλέστερον χρώμενοι. γράφει δὲ τῷ βασιλεῖ ταῦτα δηλῶν καὶ παρακαλῶν αὐτὸν ἐπὶ τὴν αἵρεσιν τῆς πόλεως ἐλθεῖν, ἵνα τὴν νίκην αὐτὸς ἐπιγραφείη. ταῦτα ἰωάβου γράψαντος, ἀποδεξάμενος τῆς εὐνοίας καὶ τῆς πί-B στεως ὁ βασιλεὺς, παραλαβὼν τὴν σὺν αὐτῷ δύναμιν, ἧκεν ἐπὶ τὴν ῥαβαθᾶς πόρθησιν. καὶ κατὰ κράτος ἑλὼν διαρπάσαι τοῖς στρατιώταις ἐφῆκεν. αὐτὸς δὲ, τὸν τοῦ βασιλέως τῶν ἀμμανιτῶν λαμβάνει στέφανον, ἕλκοντα χρυσοῦ τάλαντον, καὶ πολυτελῆ λίθον ἔχοντα ἐν μέσῳ σαρδόνυχα. ἐφόρει δ' αὐτὸν ἐπὶ τῆς κεφαλῆς δαβίδης. πολλὰ δὲ καὶ ἄλλα σκῦλα λαμπρὰ καὶ πολύτιμα εὗρεν ἐν τῇ πόλει. τοὺς δ' ἄνδρας αἰκισάμενος διέφθειρε. ταῦτα δὲ καὶ C τὰς ἄλλας τῶν ἀμμανιτῶν πόλεις διέθηκεν, ἑλὼν αὐτὰς κατὰ κράτος. ἀναστρέψαντος δ' εἰς ἱεροσόλυμα τοῦ βασιλέως, πταῖσμα αὐτοῦ τὴν οἰκίαν ἐξ αἰτίας τοιαύτης καταλαμβάνει. θυγάτηρ ἦν αὐτῷ, παρθένος μὲν ἔτι, τὸ δὲ κάλλος εὐπρεπὴς, ὡς ἁπάσας ὑπερβάλλειν τὰς εὐμορφοτάτας γυναῖκας, θαμάρα ὄνομα, τῆς δ' αὐτῆς ἀβεσαλώμῳ μητρὸς κεκοινωνηκυῖα. ταύτης ὁ πρεσβύτατος τῶν δαβίδου παίδων ἀμνὼν ἐρασθεὶς, ὡς οὔτε διὰ τὴν D παρθενείαν αὐτῆς, οὔτε διὰ τὴν φυλακὴν τυχεῖν τῆς ἐπιθυμίας ἐδύνατο, χαλεπῶς διέκειτο. καὶ τό τε σῶμα τῆς ὀδύνης αὐτὸν κατεσθιούσης κατισχναίνετο καὶ τὴν χρόαν μετέβαλεν. δῆλος δὲ ταῦτα πάσχων γίνεται ἰωνάθῃ τινὶ συγγενεῖ καὶ φίλῳ, συνετὸς δ' ἦν οὗτος ἐν τοῖς μάλιστα καὶ τὴν διάνοιαν ὀξύς. ὁρῶν οὖν καθ' ἑκάστην ἡμέραν τὸν ἀμνῶνα μὴ κατὰ φύσιν ἔχοντα τῷ σώματι, προσελθὼν ἠρώτα φράσαι τὴν αἰτίαν αὐτῷ. εἰκάζειν μέν τοι γε E αὐτὸς ἔλεγεν ἐξ ἐρωτικῆς οὕτως ἔχειν αὐτὸν ἐπιθυμίας. τοῦ δὲ ἀμνῶνος ὁμολογήσαντος τὸ πάθος, ὅτι τῆς ἀδελφῆς ἐρᾷ τυγχανούσης ὁμοπατρίας, ὁδὸν αὐτῷ καὶ μηχανὴν εἰς τὸ περιγενέσθαι τῶν εὐκταίων ὑπέθετο. νόσον γὰρ ὑποκρίνεσθαι παρῄνεσεν. ἐλθόντα δὲ πρὸς αὐτὸν τὸν πατέρα, πέμψαι τὴν ἀδελφὴν αὐτῷ διακονησομένην, ἐκέλευσε παρακαλέσαι. ῥᾴων γὰρ ἔσεσθαι καὶ ταχέως ἀπαλλαγήσεσθαι τῆς νόσου. τούτου γινομένου, κα-F ταπεσὼν ὁ ἀμνὼν ἐπὶ τὴν κλίνην, νοσεῖν προσεποιεῖτο κατὰ τὰς ἰωνάθου ὑποθήκας. παραγενομένου δὲ τοῦ πατρὸς καὶ σκεπτομένου πῶς ἔχει, τὴν ἀδελφὴν ἐδεῖτο πέμψαι πρὸς αὐτόν. ὁ δ' εὐθὺς ἐκέλευσεν ἀχθῆναι. ἡκούσῃ δὲ προσέταξεν ἄρτους αὐτῷ ποιῆσαι τηγανιστοὺς, αὐτουργῷ γενομένῃ. προσοίσεσθαι γὰρ ἥδιον ἐκ τῶν ἐκείνης χειρῶν. ἡ δ' ἐμβλέποντος τἀδελφοῦ φυράσασα τὸ ἄλευρον, καὶ πλάσασα κολλυρίδας, καὶ τηγανίσασα, προ-G σήνεγκεν αὐτῷ. ὁ δὲ τοῦτο μὲν οὐκ ἐγεύσατο. προσέταξε δὲ τοῖς οἰκέταις παραιτήσασθαι πάντας πρὸ τοῦ δωματίου. βούλεσθαι γὰρ ἀναπαύσασθαι, θορύβου καὶ ταραχῆς ἀπηλλαγμένον. ὡς δὲ τὸ κελευσθὲν ἐγένετο, τὴν ἀδελφὴν ἐκέλευσεν εἰς τὸν ἐνδοτέρω οἶκον τὸ δεῖπνον αὐτῷ παρενεγκεῖν. ποιησάσης δὲ τοῦτο τῆς κόρης, λαβόμενος αὐτῆς, συνελθεῖν αὐτῷ πείθειν ἐπειρᾶτο. ἀνακραγοῦσα δὲ ἡ παῖς ἀλλὰ μὴ σύ γε τοῦτο βιάσῃ με, μὴ δὲ ἀσεβήσῃς εἶπεν ἀδελφὲ τοὺς νόμους παραβὰς, καὶ δεινῇ περιβαλὼν σαυτὸν αἰσχύνῃ. παῦσαι δ' οὕτως ἀδίκου καὶ μιαρᾶς ἐπιθυμίας, ἐξ ἧς ὄνειδος καὶ κακοδοξίαν ὁ οἶκος ἡμῶν κερδανεῖ. συνεβούλευέ τε περὶ τούτου διαλεχθῆναι τῷ πατρὶ, συγχωρήσειν γὰρ ἐκεῖνον, ταῦτα δ' ἔλεγε, βουλομένη τὴν ὁρμὴν αὐτοῦ τῆς ὀρέξεως πρὸς τὸ παρὸν διαφυγεῖν.

ὁ δ'

ὁ δ' οὐ πείθεται, τῷ δ' ἔρωτι κρατούμενος, καὶ τοῖς τοῦ πάθους κέντροις μυωπιζόμενος βιάζεται τὴν ἀδελφήν. μῖσος δ' εὐθέως μετὰ τὴν διακόρησιν εἰσέρχεται τὸν ἀμνῶνα, καὶ προσλοιδορησάμενος ἐκέλευσεν ἀναστᾶσαν ἀπιέναι. τῆς δὲ χεῖρον τὴν ὕβριν καὶ διὰ τοῦτο ἀποκαλούσης, εἰ βιασάμενος αὐτὸς μηδ' ἄχρι νυκτὸς ἐπιτρέποι μεῖναι, ἀλλὰ παραχρῆμα ἀπαλλάττεσθαι κελεύσειεν ἡμέρᾳ καὶ φωτὶ, ἵνα καὶ μάρτυσι τῆς αἰσχύνης περιπέσοι, προσέταξεν αὐτὴν ἐκβαλεῖν τῷ οἰκέτῃ. ἡ δὲ, περιαλγὴς ἐπὶ τῇ ὕβρει καὶ τῇ βίᾳ γενομένη, περιρρήξασα τὸν χιτωνίσκον (ἐφόρουν γὰρ αἱ τῶν ἀρχαίων παρθένοι χειριδωτοὺς ἄχρι τῶν σφυρῶν πρὸς τὸ μὴ βλέπεσθαι χιτῶνας) καὶ σποδὸν καταχεαμένη τῆς κεφαλῆς, ἀπῄει διὰ τῆς πόλεως βοῶσα καὶ ὀδυρομένη τὴν βίαν. περιτυχὼν δ' αὐτῇ ὁ ἀδελφὸς ἀβεσάλωμος, ἀνέκρινε τίνος αὐτῇ δεινοῦ συμβάντος οὕτως ἔχει. κατειπούσης δ' αὐτῆς πρὸς αὐτὸν τὴν ὕβριν, ἡσυχάζειν καὶ μετρίως φέρειν παρηγόρει, καὶ μὴ νομίζειν ὑβρίσθαι φθαρεῖσαν ὑπ' ἀδελφοῦ. ἡ δὲ πεισθεῖσα παύεται τῆς βοῆς, καὶ τοῦ πρὸς πολλοὺς τὴν βίαν ἐκφέρειν. καὶ πολὺν χρόνον χηρεύουσα παρ' ἀβεσαλώμῳ τῷ ἀδελφῷ διεκαρτέρησε. γνοὺς δὲ ταῦθ' ὁ πατὴρ δαβίδης τοῖς μὲν πεπραγμένοις ἤχθετο. φιλῶν δὲ τὸν ἀμνῶνα σφόδρα, πρεσβύτατος γὰρ ἦν υἱὸς αὐτῷ, μὴ λυπεῖν αὐτὸν ἠναγκάζετο. ὁ δὲ ἀβεσάλωμος, ἐμίσει γε χαλεπῶς αὐτὸν, καὶ λανθάνων καιρὸν εἰς ἄμυναν αὐτοῦ τῆς ἁμαρτίας ἐπιτήδειον παρεφύλασσεν. ἔτος δ' ἤδη τοῖς περὶ τὴν ἀδελφὴν αὐτοῦ πταίσμασι διεληλύθει δεύτερον. καὶ μέλλων ἐπὶ τὴν τῶν ἰδίων κουρὰν ἐξιέναι θρεμμάτων εἰς βελσεφὼν, πόλις δέ ἐστιν αὕτη τῆς ἐφραΐμ κληρουχίας, παρεκάλει τὸν πατέρα σὺν καὶ τοῖς ἀδελφοῖς ἐλθεῖν πρὸς αὐτὸν ἐφ' ἑστίασιν. παραιτησαμένου δ' ὡς ἂν μὴ βαρὺς αὐτῷ γένοιτο, τοὺς ἀδελφοὺς ἀποστεῖλαι παρεκάλεσε. πέμψαντος δὲ, τοῖς ἰδίοις ἐκέλευσεν ὁπηνίκα ἴδωσι τὸν ἀμνῶνα μέθῃ παρειμένον καὶ κάρῳ, νεύσαντος αὐτοῦ φονεύσωσι, μηδένα φοβηθέντες.

sed libidinis œstro percitus reluctantem per vim opprimit: atque post oblatum vitium, in contrarium mox affectum vertitur, & exosam ac fastiditam conuiciis aggressus iubet vt è vestigio se inde facessat. quæ cùm hanc iniuriam priore grauiorem diceret, quòd constupratam vel vsque noctem illic manere non patiatur, sed confestim extrudat clara adhuc luce, vt turpitudinis suæ testibus occurrat: mandauit famulo vt eam eiiceret. illa verò scissa talari tunica, qualibus tum regiæ puellæ ex more velabantur, & cinere caput sparsa, per mediam vrbem discedebat, vim sibi illatam quiritando. in quam sic affectam cùm Abesalomus frater incidisset, sciscitatus est quid mali haberet quòd ita sese affligaret. cúmque illa de stupro rem totam ei denarrasset, solatus eam hortabatur vt æquo animo factum hoc ferret, nec ad iniuriam suam pertinere putaret, cùm à fratre sit vitiata: quibus verbis placata puella vociferari ac quiritari desiit: & deinde aliquam multò tempore in cœlibatu apud Abesalomum fratrem perseuerauit. His cognitis Dauid pater vehementer indoluit, sed quia diligebat Amnonem vt filiorum natu maximum, non sustinuit illi molestus esse. Porrò Abesalomus graue odium eius in pectore celabat, opportunitatem vindictæ expectans. iámque alter annus abierat, ex quo pudicitiæ sororis eius illusum est: & cùm esset iturus in Belsephon, quod est oppidum tribus Ephremiticæ, ad tondendos suos greges, inuitauit patrem ac fratres ad solenne conuiuium. quo excusante quòd nollet eum grauare, rogauit vt pace eius liceret filiis proficisci. quo impetrato suis iniunxit, vt quamprimùm animaduertissent Amnonem temeto grauatum, neminem veriti ad nutum suum illum trucidarent.

Κεφάλαιον η'.

Ὅτι τῶν περὶ τὴν οἰκίαν αὐτοῦ στασιασάντων, ὑπὸ παιδὸς ἐξελάθη τῆς ἀρχῆς.

Ὡς δ' ἐποίησαν τὸ προσταχθὲν, ἔκπληξις καὶ ταραχὴ τοὺς ἀδελφοὺς λαμβάνει. καὶ δείσαντες περὶ ἑαυτῶν, ἐμπηδήσαντες ἵπποις ἐφέροντο πρὸς τὸν πατέρα. φθάσας δέ τις αὐτοὺς, ἅπαντας ὑπὸ ἀβεσαλώμου πεφονεῦσθαι τῷ πατρὶ προσήγγελλεν. ὁ δ' ὡς ἐπὶ παισὶν ὁμοῦ τοσούτοις ἀπολωλόσι, καὶ ταῦθ' ὑπ' ἀδελφοῦ, τῆς λύπης κατὰ τὸ κτεῖναι δυναμένης πικρότερον συναρπαγεὶς ὑπὸ τοῦ πάθους, οὔτε τὴν αἰτίαν ἀνέκρινεν, οὔτ' ἄλλο τι μαθεῖν οἷον εἰκὸς τηλικούτου προσηγγελμένου κακοῦ, καὶ δι' ὑπερβολὴν ἀπιστίαν ἔχοντος περιέμεινεν. ἀλλὰ καταρρηξάμενος τὴν ἐσθῆτα, καὶ ῥίψας αὐτὸν ἐπὶ τὴν γῆν, ἔκειτο πενθῶν τοὺς υἱοὺς ἅπαντας, καὶ τοὺς ἀποθανεῖν δεδηλωμένους, καὶ τὸν ἀνῃρηκότα. ὁ δὲ σαμᾶ τοῦ ἀδελφοῦ αὐτοῦ παῖς ἰωνάθης, ἀνεῖναί τι τῆς λύπης παρεκάλει. καὶ περὶ μὲν ἄλλων μὴ πιστεύειν ὡς τεθνᾶσιν. οὐδὲ γὰρ αἰτίαν εὑρήσειν ὑπολαμβάνειν. περὶ ἀμνῶνος δ' ἐξετάζειν ἔφη δεῖν. εἰκὸς γὰρ διὰ τὴν θημάρης ὕβριν ἀποτολμῆσαι τὸν ἀβεσάλωμον τὴν ἀναίρεσιν τὴν ἐκείνου.

CAP. VIII.

Quomodo per intestinum familiæ dissidium Dauid à filio regno pulsus est.

VT verò perpetratum est quod mandauerat, stupor & trepidatio fratres occupat: & sibi quisque timens, correptis equis cursu ad patrem ferebantur. Interim quidam præueniens, omnes ab Abesalomo cæsos nunciat. qui non aliter quàm par erat amissis simul tot filiis, idque fratris scelere, graui dolore ictus, ne causam quidem rogauit: neque expectato nuncio in re propter facinoris magnitudinem incredibili, totum se luctui tradens, conscissa veste humi prostratus iacebat, deplorans non magis quos peremptos acceperat, quàm ipsum interfectorem. Ionathas verò Samnæ fratris eius filius hortabatur vt moderatiùs doleret, negans se de morte cæterorum credere: nec enim causam facti inuenire posse: de solo Amnone dicens diligentiùs perquirendum, nã de hoc probabile esse, quòd memor iniuriæ sororis frater in cũ tale aliquid ausus sit.

A interea sonitus aduentātium equorum,& quorundam eos præcurrentium, omnes in se conuertit. hi fuere filij regis, qui relicto conuiuio profugerant. ibi pater occurrit flens flentibus, ex insperato videns quos paulo antè extinctos acceperat.denuóq; gemitus ac lacrymæ instaurantur, his fratrem, rege filium fœdè trucidatum deplorantibus. At Abesalomus in Gesura ad maternum auum fugit, eius regionis dynastam,ibíque toto triennio permansit. B Cùm autem Dauidi animus esset Abesalomum ad se reuocare,non ad supplicium,sed vt eum apud se haberet:iam enim ira resederat: vltro huc propensum Ioabus imperator suis artibus impulit. mulierculam enim quandam grandi natu subornat, quæ lugubri cultu ad regem accedens, aiebat inter duos suos filios ruri agentes rixam exortam adeò increduisse,vt cùm soli essent,ac nemo adesset qui dirimeret, alter ab altero ictus exspirauerit: rogabátque hanc gratiam, C vt quoniam cognati eius qui interfectus est alterum ad cædē expeterent,saluti eius consuleret,ne reliqua spe suæ senectutis orbaretur. neque enim aliud remedium superesse, si nullum apud regem inueniret,nam nihil esse quod illos compescere queat,præter maiestatis regię reuerentiam. Cúmque rex postulatis eius annuisset, hæc verba subiecit: Tuæ quidem benignitati rex gratias ago, quòd senectutē meam & tantùm non orbitatem miseraris: sed quo D certior sim de tua clemētia, tuum ipsius filium prius in gratiam recipe,& indignationem contra eum depone: alioqui quomodo possem de concessa hac mihi gratia non dubitare, cùm ipse adhuc ob similem iniuriam filio infensus esse pergas? At cuius est prudentiæ, vno contra voluntatem amisso, vltro necem alterius addere? Tetigit mox regis animum suspitio, personam à Ioabo esse subornatam: & cognito ex anicula rem ita se habere, accersit Ioabum,dicens eum assecutum quod cupiebat, li- E cereque vt Abesalomum reducat. Non enim amplius se in eum stomachari, sed totam indignationem præteriisse. At ille adorato rege, & verbis eius libenter acceptis, euestigio Gesura properauit,& assumptum secum Abesalomum Hierosolyma reduxit. Rex verò audiens filium aduentare, misit qui ei denunciaret, ne ad ipsum accederet,nondum enim ita se affectum, vt reuersum videre statim sustineat. Ille ira vt F iussus est deuitato patris conspectu, intra domesticos parietes cum suo famulitio se continebat. nec tamen aliquid eius pulchritudini decessit, vel propter mœrorem, vel quòd non ea tractatione vteretur, qua vti regium iuuenem par erat: sed tā forma quàm statura quossuis in maximis deliciis agentes superabat. Tanta autem fuit eius cæsaries, vt intra octauum quemque mensem ad ducentos siclos, hoc est G ad quinq; pondo accresceret. Ad hunc modum priuato cultu per biennium Hierosolymis habitauit:natique sunt ei filij tres,& vna filia formosissima,quę Solomonis filio Roboamo postea nupsit, & filium ei nomine Abiam peperit.

g.14.

μεταξὺ δὲ κτύπος ἵππων καὶ θόρυβος προσιόντων τινῶν αὐτοὺς ἐπέστρεψεν. ἦσαν δ' οἱ τοῦ βασιλέως παῖδες, οἱ διαδράντες ἀπὸ τῆς ἑστιάσεως. ὑπαντᾷ δ' αὐτοῖς ὁ πατὴρ θρηνοῦσι, λυπούμενος, καὶ παρ' ἐλπίδας ὁρῶν οὓς ἀκηκόει μικρὸν ἔμπροσθεν ἀπολωλότας. ἦν δὲ παρὰ πάντων δάκρυα καὶ στόνος, τῶν μὲν ὡς ἐπ' ἀδελφῷ τεθνηκότι, τοῦ βασιλέως δ' ὡς ἐπὶ παιδὶ κατεσφαγμένῳ. φεύγει δ' ἀβεσσάλωμος εἰς γεσσοῦραν πρὸς τὸν πάππον τὸν πρὸς μητρὸς, δυναστεύοντα τῆς ἐκεῖ χώρας, καὶ τρισὶν ὅλοις ἔτεσι παρ' αὐτῷ καταμένει. τοῦ δὲ δαβίδου προαίρεσιν ἔχοντος ἐπὶ τὸν υἱὸν ἀβεσσάλωμον πέμπειν, οὐκ ἐπὶ τιμωρίᾳ κατελευσόμενον, ἀλλ' ὅπως εἴη σὺν αὐτῷ. καὶ γὰρ τὸ τῆς ὀργῆς ὑπὸ τοῦ χρόνου λελωφήκει. πρὸς τοῦτο μᾶλλον αὐτὸν ἰώαβος ὁ αὐτοῦ στρατηγὸς παρώρμησε. γύναιον γάρ τι τὴν ἡλικίαν ἤδη πρεσβεβηκὸς ἔπεισεν αὐτῷ προσελθεῖν ἐν σχήματι πενθίμῳ. παίδων ἐπὶ τῆς ἀγροικίας αὐτῇ διενεχθέντων καὶ πρὸς φιλονεικίας ἐκτραπέντων, οὐδενὸς τοῦ καταπαῦσαι δυναμένου φανέντος, ἐληφθῆ ὑπὸ θατέρου τὸν ἕτερον πληγέντα ἀποθανεῖν. ἠξίου τε τῶν συγγενῶν ἐπὶ τὸν ἀνῃρηκότα ὡρμηκότων καὶ ζητούντων αὐτὸν ἀνελεῖν, χαρίσασθαι τὴν σωτηρίαν αὐτῆς τοῦ παιδὸς, καὶ μὴ τὰς ἐπιλοίπους τοῦ γηροκομίας αὐτῇ ἐλπίδας προσαφαιρεθῆναι. τοῦτο δ' αὐτῇ, κωλύσαντα τοὺς βουλομένους ἀποκτεῖναι τὸν υἱὸν αὐτῆς, παρέξειν. οὐ γὰρ ἐφέξειν ἐκείνους ἄλλῳ τινὶ τῆς σπουδῆς, ἢ τῷ παρ' αὐτοῦ φόβῳ. τοῦ δὲ συγκατανεύσαντος οἷς τὸ γύναιον ἱκέτευσεν, ὑπέλαβε πάλιν πρὸς τὸν βασιλέα, χάριν μὲν εἰπεῖν εἰδέναι σοῦ τῇ χρηστότητι κατοικτείραντι μου τὸ γῆρας καὶ τὴν παρὰ μικρὸν ἀπαιδίαν. ἀλλ' ἵνα βέβαια τὰ παρὰ τῆς σῆς ᾖ φιλανθρωπίας, τῷ σαυτοῦ παιδὶ πρᾶον καταλλάγηθι, καὶ τὴν πρὸς αὐτὸν ὀργὴν ἄφες. πῶς γὰρ πεισθείην ἐμοί σε ταύτην ἀληθῶς δεδωκέναι τὴν χάριν, αὐτοῦ σου μέχρι νῦν ἐφ' ὁμοίοις ἀπεχθανομένου τῷ παιδί. ἀνόητον δ' αὖ εἶναι προσθεῖναι τῷ παρὰ γνώμην ἀποθανόντι καὶ ἄλλον ἑκουσίως. συνεὶς δ' ὁ βασιλεὺς, ὑπόβλητον οὖσαν τὴν σκέψιν ἐξ ἰωάβου καὶ τῆς τούτου σπουδῆς, καὶ ἐπειδὴ παρὰ τῆς πρεσβύτιδος πυθόμενος οὕτως ἔχον τὸ ἀληθὲς ἔμαθε, προσκαλεσάμενος ἰώαβον, ἐπιτυχεῖν τε τοῦ προσκειμένου κατὰ νοῦν ἔφασκε, καὶ τὸν ἀβεσσάλωμον ἄγειν ἐκέλευσεν. οὐ γὰρ ἔτι χαλεπῶς ἔχειν πρὸς αὐτὸν, ἀλλ' ἤδη τὴν ὀργὴν καὶ τὸν θυμὸν ἀφεικέναι. ὁ δὲ, προσκυνήσας τὸν βασιλέα, καὶ τοὺς λόγους ἀσπασάμενος ἐξώρμησεν εἰς τὴν γεσσοῦραν παραυτίκα, καὶ τὸν ἀβεσσάλωμον παραλαβὼν, ἧκεν εἰς ἱεροσόλυμα. προέπεμψε δ' ἔμπροσθεν ὁ βασιλεὺς πρὸς τὸν υἱὸν ἀκούσας παραγινόμενον, καὶ πρὸς αὐτὸν ἐκέλευσεν μὴ χωρεῖν, οὔπω γὰρ οὕτως ἔχειν ὡς τὸν εὐθὺς ἰδεῖν κατελθόντα. καὶ ὁ μὲν, τοῦτο τοῦ πατρὸς κελεύσαντος, ἐξέκλινε τὴν ὄψιν αὐτοῦ, καὶ διετέλει τῆς παρὰ τῶν οἰκείων θεραπείας τυγχάνων. οὐκ ἐπιβέβλαπτο δ' εἰς τὸ κάλλος ὑπό τε τῆς λύπης καὶ τοῦ μὴ τυγχάνειν τῆς προσηκούσης ἐπιμελείας υἱῷ βασιλέως. ἀλλ' ἐπεῖχε καὶ διέπρεπε πάντων τὸ εἶδος, καὶ τῷ μεγέθει τοῦ σώματος καὶ τοὺς ἐν πολλῇ τρυφῇ διαιτωμένους ὑπερέβαλλε. τοσοῦτο μέντοι γε ἦν τὸ βάθος τῆς κόμης αὐτῷ, ὡς μόλις αὐτὴν ἡμέραις ἀποκείρειν ὀκτώ, σταθμὸν ἕλκουσαν σίκλους διακοσίους. οὗτοι δέ εἰσι πέντε μναῖ. διέτριψε μέντοι γ' ἐν τοῖς ἱεροσολύμοις ἔτη δύο, τριῶν μὲν ἀρρένων πατὴρ γενόμενος, μιᾶς δὲ θυγατρὸς, τὴν μορφὴν ἀρίστης, ἣν ὁ σολομῶνος υἱὸς ῥοβόαμος ὕστερον λαμβάνει, καὶ γίνεται παιδίον ἐξ αὐτῆς, ἀβίας ὄνομα.

τού-

πέμψας δ' ὁ ἀβεσάλωμος πρὸς ἰώαβον, ἐδεῖτο αὐτοῦ τελέως καταπραῦναι τὸν πατέρα, καὶ δεηθῆναι ὅπως αὐτῷ συγχωρήσῃ πρὸς αὐτὸν ἐλθόντι θεάσασθαί τε καὶ προσειπεῖν. καταμελήσαντος δὲ ἰωάβου, τῶν ἰδίων τινὰς ἀποστείλας, τὴν ὁμοροῦσαν αὐτῷ χώραν ἐπυρπόλησεν. ὁ δὲ τὸ πραχθὲν μαθὼν, ἧκε πρὸς τὸν ἀβεσάλωμον ἐγκαλῶν τε αὐτῷ καὶ τὴν αἰτίαν πυθόμενος. ὁ δὲ στρατήγημα τοῦτ' εἶπεν εὑρεῖν ἀγαγεῖν σε πρὸς ἡμᾶς δυνάμενον ἀμελοῦντα τῶν ἐντολῶν, ἃς ἵνα μοι τὸν πατέρα διαλλάξῃς ἐποιούμην. καὶ δὴ δέομαί σου παρόντος, ἡμερῶσαί μοι τὸν γεγεννηκότα, ὡς ἔγωγε δεινοτέραν τῆς φυγῆς κρίνω τὴν κάθοδον, ἔτι τοῦ πατρὸς ἐν ὀργῇ διαμένοντος. πεισθεὶς δ' ὁ ἰώαβος, καὶ τὴν ἀνάγκην αὐτοῦ κατοικτειρήσας, ἐμεσίτευσε πρὸς τὸν βασιλέα, καὶ διαλεχθεὶς περὶ τοῦ παιδὸς, οὕτως αὐτὸν ἡδέως διατίθησιν, ὡς εὐθέως καλέσαι πρὸς αὐτόν. τοῦ δὲ, ῥίψαντος αὐτὸν ἐπὶ τοῦ ἐδάφους, καὶ συγγνώμην αἰτουμένου τῶν ἡμαρτημένων ἀνίστησί τε, καὶ τῶν γεγονότων ἀμνηστίαν ἐπαγγέλλεται. ὁ δὲ ἀβεσάλωμος, τοιούτων αὐτῷ τῶν παρὰ τοῦ βασιλέως ἀποβάντων, πολλοὺς μὲν ἵππους, ἐν ὀλίγῳ πάνυ χρόνῳ, πολλὰ δὲ ἅρματα ἐκέκτητο. καὶ ὁπλοφόροι περὶ αὐτὸν ἦσαν πεντήκοντα. καὶ καθ' ἑκάστην ἡμέραν ὄρθριος πρὸς τὰ βασίλεια παρεγίνετο. καὶ τοῖς ἐπὶ τὰς κρίσεις ἥκουσι καὶ ἐλαττουμένοις πρὸς ἡδονὴν ὁμιλῶν, ὥς τε παρὰ τὸ μὴ συμβούλους ἀγαθοὺς εἶναι τῷ πατρὶ, τάχα δ' αὐτῷ καὶ ἀδίκως ἐπταικότι περὶ τὴν κρίσιν, εὔνοιαν αὐτῷ παρὰ πάντων κατεσκεύασε, λέγων ὡς αὐτὸς ἂν εἰ ταύτην εἶχε τὴν ἐξουσίαν, πολλὴν αὐτοῖς ἐβράβευσεν εὐνομίαν. τούτοις δημαγωγήσας τὸ πλῆθος, ὡς βεβαίαν ἔχειν ἤδη τὴν παρὰ τῶν ὄχλων εὔνοιαν ἐνόμιζε, μετὰ δὲ τὴν τοῦ πατρὸς αὐτοῦ καταλλαγὴν τεσσάρων ἐτῶν ἤδη παρεληλυθότων, ἐδεῖτο προσελθὼν, εἰς χεβρῶνα συγχωρῆσαι πορευθέντι θυσίαν ἀποδοῦναι τῷ θεῷ. φεύγοντα γὰρ τοῦτο εὔξασθαι. τοῦ δὲ δαβίδου τὴν ἀξίωσιν ἀφέντος, πορεύεται, καὶ πολὺς ἐπισυνέρρευσεν ὄχλος, ἐπὶ πολλοὺς αὐτοῦ διαπέμψαντος. παρῆν δὲ καὶ ὁ δαβίδου σύμβουλος ὁ γελμωναῖος ἀχιτόφελος, καὶ διακόσιοι τινὲς ἐξ αὐτῶν ἱεροσολυμιτῶν, οὐκ εἰδότες μὲν τὴν ἐπιχείρησιν, ὡς δ' ἐπὶ θυσίαν μετεσταλμένοι. καὶ βασιλεὺς ὑπὸ πάντων ἀποδείκνυται, τοῦτο γενέσθαι στρατηγήσας. ὡς δ' ἀπηγγέλθη ταῦτα δαβίδῃ, καὶ παρ' ἐλπίδας αὐτῷ τὰ παρὰ τοῦ παιδὸς ἠκούσθη, δείσας ἅμα καὶ τῆς ἀσεβείας καὶ τόλμης αὐτὸν, θαυμάσας δ' ὅτι μηδὲ τῆς ἐπὶ τοῖς ἡμαρτημένοις συγγνώμης ἐμνημόνευσεν, ἀλλ' ἐκείνων πολὺ χείροσι καὶ παρανομωτέροις ἐπεβάλετο, βασιλείᾳ πρῶτον μὲν ὑπὸ τοῦ θεοῦ δεδομένῃ, δεύτερον δ' ἐπ' ἀφαιρέσει τοῦ γεγεννηκότος, ἔγνω φεύγειν εἰς τὰ πέραν τοῦ ἰορδάνου. καὶ συγκαλέσας τῶν φίλων τοὺς ἐπιτηδειοτάτους, καὶ περὶ τῆς τοῦ παιδὸς ἀπονοίας κοινολογισάμενος αὐτοῖς καὶ περὶ πάντων ἐπιτρέψας κριτῇ τῷ θεῷ, καταλιπὼν τὰ βασίλεια φυλάσσειν δέκα παλλακίσιν, ἀπῆρεν ἐκ τῶν ἱεροσολύμων, τοῦ τε ἄλλου πλήθους προθύμως αὐτῷ συνεξορμήσαντος, καὶ τῶν ἑξακοσίων ὁπλιτῶν, οἳ καὶ τῆς πρώτης αὐτῷ φυγῆς ἐκοινώνουν ὅτε ἔζη σαοῦλος. τὸν δ' ἀβιάθαρον καὶ σάδωκον τοὺς ἀρχιερέας, συναπαίρειν αὐτῷ διεγνωκότας καὶ λευίτας ἅπαντας, μετὰ τῆς κιβωτοῦ μένειν ἔπεισεν, ὡς τοῦ θεοῦ καὶ μὴ μετακομιζομένης αὐτῆς ῥυσομένου. ἐνετείλατο δ' ἕκαστα τῶν γινομένων, λάθρα διαγγέλλειν αὐτῷ.

Deinde misit ad Ioabum rogans, vt se penitus in paternam gratiam reducat, & impetret vt sibi liceat patrē inuisere & alloqui. quod quum Ioabus facere cunctaretur, agrum eius vicinum per quosdam è suis incendio vastari iussit. Is quum re cognita ad Absalomum venisset, expostulanti quo suo merito damnum ab eo accepisset: respondit se hoc stratagemate illum ad se elicere voluisse, quandoquidem mādata de conciliando sibi patre negligeret. quam ob rem, inquit, nunc te præsentem obsecro, vt placatum mihi reddas genitorem, quandoquidem molestior est mihi reditus in patriā quàm exilium fuerat, si ille indignatione sit pertinax. Tum Ioabus his verbis inductus, & vicem eius miseratus, deprecatus est regem pro illo, & tam accuratè & feliciter eius causam egit, vt flexus ad pietatem confestim eum acciri iuberet. Qui cùm supplex illi ad genua veniam peccati petens procidisset, sua manu erecto obliuionem omnium anteactorum est pollicitus.

IX.
2. Reg. 15.

Porrò Absalomus in integram gratiam patris receptus breui magnum equitatum & multos currus sibi comparauit, & satellitium armatorum quinquaginta: & per singulos dies manè regiam frequentans, eos qui ius illuc petentes causa cadebant, comiter appellabat: dictitánsque malos adesse patri consiliarios, aut etiam ipsum in ferenda sententia lapsum, popularem auram ita captabat. His artibus conciliatis sibi populi studiis, certus iam de eius fauore, quarto post reconciliationem anno orauit patrem, vt cum bona eius gratia Hebronem ad vota quæ in exilio conceperat persoluenda abire sibi liceat: permissúque eius profectus, mox vndique plurimos ad se acciuit, ita vt cateruatim illò confluerent. Inter cæteros affuit etiam Dauidis consiliarius Achitophel Gelmonæus, & ducenti Hierosolymitæ, non quidem conscij conspirationis, sed quasi ad sacrificium euocati: nec mora stratagemate succedente, rex ab vniuersis consalutatur. Cæterùm Dauid audita ex insperato filij tyrannide, impia hominis audacia perculsus, qui immemor condonatæ prioris noxæ, multò sceleratiora consilia cepisset, primùm vsurpandi regni, quod patri diuinitus datum sciret, deinde ipsius genitoris tollendi, decreuit vltra Iordanem in loca tutiora se recipere: conuocatísque amicorum intimis, & collocutus cum eis de insolentia filij, totum negotium iudici Deo committens, reliquit regiæ custodiam decem pellicibus, & Hierosolymis excessit, cùm alia multitudine magna alacritate prosequente, tum præcipuè sexcentorum cohorte, quæ etiam regnante Saulo à latere fugitantis nusquam discesserat. Abiatharum verò & Sadocum pontifices, & quicquid Leuitici generis aderat, simul abire cupientes, arcámque asportare, bonis rationibus manere persuasit, dicens sine arcæ præsidio diuina ope è periculis se seruandum: simulque mandauit vt de omnibus quæ inciderent per clancularios nuncios se certiorem facerent.

fidelem enim operam in talibus negotiis præstiterunt filij pontificum, Sadochi Achimas & Abiathari Ionathas. Ethæo quoq; Gittæus nullis regis monitis adduci potuit vt maneret, quò magis illustris fuit eius erga regem fides ac beneuolentia. Ascendenti autem per cliuum olineti montis, omnibus circa eum lacrymantibus renunciatum est etiam Achitophelem mutatis studiis in partes Abesalomi cõcessisse: quo vix aliud tristius ei in hac calamitate accidit. quàobrem precatus est Deum, vt Abesalomi animum ab Achitophele alienaret. verebatur enim ne eius consiliis contra se vteretur, viri prudentissimi & oculatissimi in dispiciendo quid facto opus esset. Quumque in verticem montis peruenisset, respiciebat ciuitatem, & cum multis lacrymis non aliter quàm regno eiectus Deum precabatur. ibi offendit virum in amicitia constantem, nomine Chusim. hunc conspicatus scisso amictu & caput cineribus oppletum, & mutabilitatem rerum deplorantem, solatus est pro tempore iussum æquo animo præsentem statum ferre: ac postremo obnixè precatus est, vt simulato Abesalomi partium studio, diligenter secreta eius perscrutaretur, & Achitophelis consiliis semper se opponeret: sic enim cum magis partibus profuturum, quàm si vnà maneret. atque ita persuasus à Dauide, eo relicto Hierosolyma se cõtulit: quò paulò pòst etiam Abesalomus peruenit. Interim Dauid paulùm progressus obuiam habuit Sibâ Memphibosthi seruum, quem ipse ad curam prediorum amici filio donatorum miserat, agentem præ se duos asinos necessariis ad victum onustos. Is obtulit ei vt quicquid vellet sibi ac suis acciperet, simulque rogatus vbinam Memphibosthum reliquisset, Hierosolymis relictum respondit. sperare enim eum rebus turbatis, fore vt ob Sauli meritorum memoriam ipse suffragiis populi rex crearetur. quamobrem indignatus, omnia quæ priùs domino eius cõcesserat, Sibæ est largitus: dicens hunc digniorem quàm illum vt talibus possessionibus fruatur. Hac liberalitate Siba gauisus est. Dauidi verò iuxta locum Bachoram superuenit cognatus Sauli nomine Semeis, filius Geræ, saxis eum simul & conuitiis impetens: cúmque amici eum protegerent, magis etiam exasperatus ad conuitia, sanguinarium & multorum malorum causam appellabat, iubens vt impurus ac execrabilis regione excederet: gratiásque agebat Deo, quòd per proprium filium pœnam peccatorum ab illo exigeret, & eorum quæ olim in dominum suum commiserat. Hac tam sæua petulantia concitatis omnibus ad indignationem, Abisæo verò etiam interficere Semeim volente, Dauid eos cohibuit, negans addendam ad præsentia mala noui alicuius motus occasionem. Nihil, inquit, moror hunc rabidum canem, & Deo cedo, qui eum in nos immisit. Mirum verò si hæc ab isto patimur, quando etiam filius pietatis est oblitus. Sed hæc misericordi Deo curæ erunt, cuius fauore tandem inimici nobis succumbent. His dictis continuabat iter, contempto Semei parte alia montis cursim cum conuitiis assectante.

2.Reg.16.

πιστοὺς δ' εἶχε πρὸς πάντα διακόνους, παῖδας Ἀχίμαανον μὲν Σαδώκου, Ἰωνάθην δὲ Ἀβιαθάρου. Ἐθὶς δ' ὁ Γιτθαῖος, συνεξώρμησεν αὐτῷ, βιασάμενος τὴν Δαβίδου βούλησιν. μένειν γὰρ αὐτὸν ἀνέπειθεν, καὶ διὰ τοῦτο μᾶλλον εὔνους αὐτῷ κατεφαίνετο. ἀναβαίνοντος δ' αὐτοῦ διὰ τοῦ ἐλαιῶνος ὄρους γυμνοῖς τοῖς ποσὶ, καὶ πάντων σὺν αὐτῷ δακρυόντων, ἀγγέλλεται καὶ ὁ Ἀχιτόφελος σὺν τῷ Ἀβεσαλώμῳ, καὶ τὰ τούτου φρονῶν. ἐπέτεινε δ' αὐτῷ τὸ λυπηρὸν, τοῦτο ἀκουσθέν. καὶ τὸν θεὸν ἐπεκαλεῖτο δεόμενος, ἀπαλλοτριῶσαι τὴν Ἀβεσαλώμου διάνοιαν πρὸς τὸν Ἀχιτόφελον. ἐδεδίει γὰρ μὴ τἀναντία συμβουλεύων πείσειεν αὐτὸν, ἀνὴρ ὢν φρενήρης καὶ συνιδεῖν τὸ λυσιτελὲς ὀξύτατος. γενόμενος δ' ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους, ἀπεσκόπει τὴν πόλιν, καὶ μετὰ πολλῶν δακρύων ὡς ἂν βασιλείας ἐκπεσὼν, ηὔχετο τῷ θεῷ. συνήντησε δ' αὐτῷ φίλος ἀνὴρ καὶ βέβαιος, Χουσὶς ὄνομα. τοῦτον ὁρῶν τὴν ἐσθῆτα κατερρηγμένον, καὶ τὴν κεφαλὴν σποδοῦ πλήρη, καὶ θρηνοῦντα τὴν μεταβολὴν, παρηγόρει καὶ παύσασθαι τῆς λύπης παρεκάλει. καὶ τέλος, ἱκέτευσεν ἀπελθόντα πρὸς τὸν Ἀβεσάλωμον ὡς τὰ ἐκείνου φρονοῦντα, τά τε ἀπόρρητα τῆς διανοίας αὐτοῦ κατανοεῖν, καὶ ταῖς Ἀχιτοφέλου συμβουλίαις ἀντιπράσσειν. οὐ γὰρ τοσοῦτον ὠφελήσειν αὐτὸν συνερχόμενον, ὅσον παρ' ἐκείνῳ γενόμενον. καὶ ὁ μὲν πεισθεὶς τῷ Δαβίδῃ, καταλιπὼν αὐτὸν, ἧκεν εἰς Ἱεροσόλυμα. ἀφικνεῖται δὲ εἰς αὐτὰ μετ' οὐ πολὺ καὶ Ἀβεσάλωμος. ὀλίγον δὲ τῷ Δαβίδῃ προελθόντι Σιβᾶς ὁ τοῦ Μεμφιβόσθου δοῦλος συνήντησεν. ὃν προνοησάμενον ἀπεστάλκει τῶν κτήσεων, ἃς δεδώρητο τῷ Ἰωνάθου τοῦ Σαούλου παιδὸς υἱῷ, μετὰ ζεύγου ὄνων καταπεφορτισμένων τοῖς ἐπιτηδείοις, ἐξ ὧν ἐκέλευσε λαμβάνειν, ὧν αὐτός τε καὶ οἱ σὺν αὐτῷ δέοιντο. πυνθανομένου δὲ ποῦ καταλέλοιπε τὸν Μεμφίβοσθον, ἐν Ἱεροσολύμοις ἔλεγε, προσδοκῶντα χειροτονηθήσεσθαι βασιλέα διὰ τὴν ὑπάρχουσαν ταραχὴν, εἰς μνήμην ὧν εὐεργέτησεν αὐτοὺς Σαοῦλος. ἀγανακτήσας δ' ἐπὶ τούτῳ πάνθ' ὅσα τῷ Μεμφιβόσθῳ παρεχώρησε, Σιβᾷ χαρίζεται. πολὺ γὰρ δικαιότερον αὐτὸν ἐκείνου ταῦτ' ἔχειν αὐτὸν ἐπέγνωκε. καὶ ὁ μὲν Σιβᾶς περιχαρὴς ἦν. Δαβίδῃ δὲ γενομένῳ κατὰ Χώραμον οὕτω καλούμενον τόπον, ἐπέρχεται τοῦ Σαούλου συγγενὴς ὄνομα Σεμεεὶ, υἱὸς δὲ Γηρᾶ. καὶ λίθοις τε ἔβαλλεν αὐτὸν, καὶ ἐκακηγόρει. περιστάντων δὲ τῶν φίλων καὶ σκεπόντων, ἔτι μᾶλλον βλασφημῶν διετέλει, μιαιφόνον, καὶ πολλῶν ἀρχηγὸν κακῶν ἀποκαλῶν. ἐκέλευε δὲ καὶ τῆς γῆς, ὡς ἐναγῆ καὶ ἐπάρατον, ἐξιέναι, καὶ τῷ θεῷ χάριν ἔχειν ὡμολόγει τῆς βασιλείας αὐτὸν ἀφελομένῳ, καὶ διὰ παιδὸς ἰδίου τὴν ὑπὲρ ὧν ἥμαρτεν εἰς αὐτοῦ δεσπότην δίκην αὐτῷ εἰσπραξαμένῳ. πάντων δ' ἐπ' αὐτὸν ἠρεθισμένων ὑπ' ὀργῆς, καὶ μάλιστα Ἀβισαίου διαχειρίσασθαι βουλομένου Σεμεεὶ, Δαβίδης αὐτὸν τῆς ὀργῆς ἐπέσχε, μὴ τοῖς παροῦσι κακοῖς ἑτέραν προσεξεργασώμεθα φησὶ καινοτέραν ἀφορμήν. οὐ γὰρ δὴ τοῦ προσλυσσῶντός μοι τούτου κυνὸς αἰδώς τις ἢ φροντὶς ὑπέρχεται. τῷ θεῷ δ' εἴκω, δι' ὃν οὗτος ἐφ' ἡμᾶς ἀπενοήθη. θαυμαστὸν δ' οὐδὲν ὑπὸ τούτου με ταῦτα πάσχειν, ὅπου γε καὶ παιδὸς ἀσεβοῦς πεπείραμαι. ἀλλ' ἔσται τις ἴσως οἶκτος ἡμῖν ἐκ τοῦ θεοῦ, καὶ κρατήσομεν τῶν ἐχθρῶν, τούτου θελήσαντος. ἤνυε δ' οὖν τὴν ὁδὸν οὐ φροντίζων τοῦ Σεμεεὶ παρὰ τὸ ἕτερον μέρος τοῦ ὄρους διατρέχοντος καὶ κακηγοροῦντος.

παρα-

παραγενόμενος δ' ἐπὶ τὸν ἰόρδανον, ἀνελάμβανε τοὺς ἰδίους ἐνταῦθα κεκοπωμένους. ἀβεσαλώμου δὲ καὶ ἀχιτοφέλου τοῦ συμβούλου παραγενομένου εἰς ἱεροσόλυμα, σὺν ἅπαντι τῷ λαῷ, καὶ δαβίδου φίλος ἧκε πρὸς αὐτούς. καὶ προσκυνήσας αὐτὸν συνηύχετο τὴν βασιλείαν εἰς αἰῶνα, καὶ αὐτὸν παρεῖναι πάντα χρόνον. φήσαντος δ' ἐκείνου πρὸς αὐτόν, τί δήποτε φίλος ἐν τοῖς νῦν μάλιστα τοῦ πατρὸς αὐτοῦ γεγενημένος, πρὸς ἅπαντα πιστὸς εἶναι δόξας, οὐ σὺν αὐτῷ νῦν ἐστιν, ἀλλὰ καταλιπὼν ἐκεῖνον, μεταβαίνει πρὸς αὐτόν. δεξιῶς ἀποκρίνεται καὶ σωφρόνως, εἶπε γὰρ ἕπεσθαι δεῖν αὐτὸν τῷ θεῷ, καὶ τῷ παντὶ πλήθει. τούτων οὖν μετὰ σοῦ δέσποτα γεγενημένων εἰκότως ἕπομαι κἀγώ. τὴν γὰρ βασιλείαν ἔλαβες παρὰ τοῦ θεοῦ. τὴν αὐτὴν μέν τοιγε πίστιν καὶ εὔνοιαν ἐνδείξομαι, πιστευόμενος εἶναι φίλος, ἣν οἶσθά με τῷ πατρί σου παρεσχημένον. ἀγανακτεῖν δ' οὐδὲν προσήκειν τοῖς παροῦσι, οὐ γὰρ εἰς ἄλλην οἰκίαν ἡ βασιλεία μεταβέβηκε, μεμένηκε δὲ ἐπὶ τῆς αὐτῆς, υἱοῦ παραλαβόντος. ταῦτα λέγων ἔπειθεν, ὕποπτον γὰρ αὐτὸν εἶχε. καὶ καλέσας τὸν ἀχιτόφελον, συνεβουλεύετο αὐτῷ τί δεῖ ποιεῖν. ὁ δὲ παρῄνεσε, ταῖς τοῦ πατρὸς αὐτοῦ παλλακαῖς συνελθεῖν. ἐκ τούτου παρέσεσθαι τὸν λαὸν ἔλεγε, πιστεύσαντα ὡς ἀδιάλλακτά σοι τὰ πρὸς αὐτόν ἐστι, καὶ μετὰ πολλῆς συστρατεύσεσθαι προθυμίας ἐπὶ τὸν πατέρα. μέχρι γὰρ δεῦρο φανερὰν ἔχθραν ἀναλαμβάνειν δεδιέναι, προσδοκῶντας ὑμᾶς ὁμονοήσειν. πεισθεὶς δὲ τῇ συμβουλείᾳ, κελεύει σκηνὴν αὐτῷ πῆξαι τοὺς οἰκέτας ἐπὶ τοῦ βασιλείου, τοῦ πλήθους ὁρῶντος, καὶ παρελθὼν, συνέρχεται ταῖς τοῦ πατρὸς παλλακαῖς. ταῦτα δ' ἐγένετο κατὰ τὴν νάθα προφητείαν, ἣν τῷ δαβίδῃ σημαίνων τὴν ἐκ τοῦ παιδὸς ἐσομένην ἐπίθεσιν προεφήτευσε.

Delatus deinde ad Iordanem, suos ex itinere fatigatos ibi recolligebat ac reficiebat. Interim Abesalomo cum Achitophele consiliario Hierosolyma ingresso, concursu populi salutantis ad eos facto, inter cæteros etiam Dauidis amicus ad eos venit, & adorato nouo rege, precatus est illi perpetuum hoc imperium. Rogatus deinde ab eo, quid ita cùm hactenus inter præcipuos ac fidissimos patris amicos esset habitus, nunc deserto illo ad se transiret: cordatè respondit, non esse Dei voluntati & populi consensui repugnandum. Hos, inquit, tibi studentes, ego quoque meritò sequor. à Deo enim regnum hoc accepisti. quòd si in tuorum numerum recipere dignatus fueris, quam fidem & beneuolentiam patri tuo me præstitisse nosti, eandem tibi præstabo. Nemo enim præsentem statum iniquè ferre debet, quando non in aliam familiam regnum translatum est, sed in eadem manet, filio succedente. His verbis iuueni omnem suspicionem exemit. Aduocato deinde Achitophele consultabatur quidnam esset agendum. Is suasit vt cum paternis pellicibus congrederetur. Sic enim populum constantiùs in partibus perseueraturum, sublata reconciliationis spe: & promptè contra patrem militaturum. Nam hactenus non libenter eos inimicos se illi profiteri, veritos ne pax inter patrem & filium coeat. Paruit iuuenis, iussitque famulis, vt in regia tentorium sibi erigerent, inspectante populo, in quod ingressus cum pellicibus patris concubuit. Idque totum iuxta Nathanis prophetæ vaticinium euenit, quod Dauidi futurum, vt ab vno è filiis oppugnaretur prædixerat.

Κεφάλαιον θ'.

Ὡς στρατεύσας ἀβεσάλωμος ἐπὶ τὸν πατέρα δαβίδην, ἀπώλετο σὺν τῷ στρατῷ.

ΠΟιήσας δ' ἀβεσάλωμος τὰ παραινεθέντα αὐτῷ ὑπὸ τοῦ ἀχιτοφέλου, δεύτερον αὐτὸν συμβουλεύειν ἠξίου περὶ τοῦ πολέμου τοῦ πρὸς τὸν πατέρα. μυρίους δ' αὐτὸν ἐπιλέκτους αἰτήσαντος ἐκείνου, καὶ τὸν πατέρα κτείνειν αὐτοῦ καὶ τοὺς σὺν αὐτῷ σώους ἀνάξειν ὑπισχνουμένου, καὶ βέβαιον τότε τὴν βασιλείαν ἔσεσθαι φήσαντος, δαβίδου μηκέτι ζῶντος, ἀρεσθεὶς τὴν γνώμην μεταπέμπεται τὸν χουσίν, τὸν δαβίδου ἀρχίφιλον. οὕτως γὰρ αὐτὸν ἐκεῖνος ἐκάλει. καὶ τὴν ἀχιτοφέλου γνώμην αὐτῷ δηλώσας, τί καὶ αὐτῷ δοκεῖ περὶ αὐτῆς ἐπυνθάνετο. ὁ δὲ συνιδὼν ὅτι γενομένων ὧν ἀχιτόφελος συνεβούλευσε, κινδυνεύσει δαβίδης συλληφθεὶς ἀποθανεῖν, ἐναντίαν ἐπειρᾶτο γνώμην εἰσφέρειν. οὐ γὰρ ἀγνοεῖς εἶπεν ὦ βασιλεῦ, τὴν τοῦ πατρὸς καὶ τὴν τῶν σὺν αὐτῷ νῦν ὄντων ἀνδρείαν. ὅτι καὶ πολλοὺς πολέμους πεπολέμηκε, καὶ πάντοτε κρατῶν τῶν πολεμίων ἀπήλλακται. νῦν δὲ εἰκὸς αὐτὸν ἐπὶ στρατοπέδου μένειν, στρατηγῆσαι γὰρ ἱκανώτατον, καὶ προειδεῖν ἀπάτην ἐπερχομένων πολεμίων. ἀλλὰ κατὰ τὴν ἑσπέραν ἀπολιπὼν τοὺς ἰδίους εἰς τινὰ τῶν αὐλώνων αὐτὸν ἀποκρύψει, ἢ πρὸς πέτρᾳ τινὶ λοχήσει. συμβαλόντων δὲ τῶν ἡμετέρων, οἱ μὲν ἐκείνου, πρὸς μικρὸν ὑποχωρήσουσι. θαρρήσαντες δ' ὡς τοῦ βασιλέως αὐτοῖς ἐγγὺς ὄντος ἀντιστήσονται,

Cap. IX.

Abesalomus contra patrem profectus cum exercitu perit.

HOc Achitophelis consilium executus, iterum postulat quid de belli ratione censeat. Respondit ille, oportere sibi attribui decem millia lectorum militum. Cum his se profectum interfecturum patrem, atque ita partibus suis incolumitatem, & ipsi securum imperium eadem opera, Dauide sublato, pariturum. Hac sententia delectatus accersit Chusim Dauidis amicorum principem: sic enim eum ille vocabat: & exposito Achitophelis consilio, quid ipsi videretur quærebat. At ille intelligens quòd hoc modo Dauid in potestatem redactus facile occidi posset, contrariam sententiam attulit. Scis, inquit, rex virtutem patris, & eorum qui illum sequuntur, quòd in multis conflictibus semper victor euasit. Profectò veteranus bellator artibus contra nos vtetur, & intellecto nostrorum aduentu, noctu vallem aliquam cum parte militum insidebit, aut post rupem aliquam delitescet. Deinde nostris exercitum eius inuadentibus paulatim illi pedem referent, expectantes occasionem dum regi propiores facti totis viribus in pugnam redeant,

1. Reg. 17.

interim ille ex improuiso superueniens, suis animum addet, nostris verò metum ac consternationem afferet. Expende igitur meum quoque consilium, sanè melius, & Achitophelis opinionem missam fac. ac potiùs edicto per totam Hebræorum regionem copias contra patrem collige : quæ vbi in vnum conuenerint, imperium earum tu ipse assume, néve alterius fidei committas. Facilè enim illum deuinces, si in aperto campo assequaris, quòd ille paucos circa se habeat, tu verò tam multa millia virorum, qui dari sibi occasionem cupiunt declarandi quàm sint tui nominis studiosi. quòd si pater intra mœnia cuiuspiam oppidi se concluserit, machinis ac cuniculis id expugnabimus. In huius sententiam itum est, Abesalomo autore consilio Achitophelis prælatam: sed hoc ipsum Deus effecit, vt Chusis consultor magis placeret. qui properè ad pontifices Sadocum & Abiatharum veniens, suum & Achitophelis consilium eis exposuit: quódque ipsius comprobatum sit: petiit deinde vt hæc Dauidi per nuncios significarent, adhortarentúrque eum, vt sine mora Iordanem transiret : ne fortè filius mutata sentētia persequatur eum, & priusquam in tutum se recipiat, comprehēdat. Pontifices autem iam antè curauerant, vt extra vrbem laterent filij, renunciaturi Dauidi quid in vrbe agatur. ad hos igitur fidam famulam miserunt, afferentem quid Abesalomo decretum sit: mandarúntque vt quantum possent properarent Dauidi hæc indicaturi. qui euestigio cum patrum mandatis, vt pios ac fidos ministros decebat, nihil sibi ad summam celeritatem reliquum facientes, ad Dauidem properabant. Vix duo stadia promouerant, quum à quibusdam equitibus conspecti, apud Abesalomum deferuntur : qui mox ad capiendum eos misit. Senserunt hoc maturè pontificum filij, & diuertentes à via publica in propinquum vicum agri Hierosolymitani nomine Bocchuram se dederunt, ibique mulierem quandam rogauerunt vt se absconderet. ea mox demissis per funem in puteum, os eius velleribus contexit: rogatáque à superuenientibus persecutoribus num eos vidisset, conspectos sibi non negauit. accepto enim à se potu statim abiuisse dicebat : & si modo alacriter persequantur, fore vt eos comprehendant. Illi diu frustra persequuti, retro sunt reuersi. Mulier verò vbi hoc animaduertit, & non esse ampliùs periculum iuuenibus ne capiantur, per funem rursum extractos cœptum iter continuare iussit. Illi quanta potuerunt festinatione ad Dauidem peruenerunt, & omnes Abesalomi conatus illi renuntiauerunt : qui suos confestim Iordanem transire edicit, quamuis nox esset, nihil cunctari passus. Porrò Achitophel vbi suum alterius consilio posthabitum vidit, conscenso iumento Gelmonem patriam petiit. Ibi conuocatis omnibus domesticis, exposuit eis quæ Abesalomo consuluerat, addens quoniam non persuasisset, certo se breui periturum.

καὶ μεταξὺ τούτων μαχομένων ὁ πατὴρ ἐπιφανεὶς ἐξαίφνης, τοῖς μὲν εὐψυχίαν πρὸς τοὺς κινδύνους παρασκευάσει. τοὺς δὲ σοὺς, καταπλήξεται. περίθου δὴ τοίνυν καὶ τὴν ἐμὴν συμβουλείαν τῷ λογισμῷ. καὶ ταῦτ' ἐπινοοῖς ἄριστα, τὴν μὲν ἀχιτοφέλου γνώμην παραίτησαι. πέμψας δ' εἰς πᾶσαν τὴν χώραν τῶν ἑβραίων, παράγγειλον αὐτοῖς τὴν ἐπὶ τὸν πατέρα σου στρατείαν. καὶ παραλαβὼν τὴν δύναμιν, τοῦ πολέμου γίνου στρατηγὸς, καὶ μὴ πιστεύσῃς τοῦτον ἑτέρῳ. νικήσειν γὰρ προσδόκα ῥαδίως αὐτὸν, ἂν ἐν φανερῷ καταλάβῃς ὄντα μετ' ὀλίγων αὐτὸς πολλὰς ἔχων μυριάδας, βουλομένων τὴν περὶ σὲ σπουδὴν ἐπιδείξασθαι καὶ προθυμίαν. ἂν δ' ὁ πατὴρ αὐτὸν εἰς πολιορκίαν περικλείσῃ, μηχανήμασι καὶ ὀρύγμασιν ὑπονόμοις καθαιρήσομεν ἐκείνην τὴν πόλιν. ταῦτ' εἰπὼν εὐδοκίμει σε μᾶλλον ἀχιτοφέλου· τῆς γὰρ ἐκείνου γνώμης ἡ τούτου προεκρίθη παρ' ἀβεσαλώμῳ. θεὸς μέν τοιγε ἦν ὁ τῇ τούτου διανοίᾳ τὴν τοῦ χουσὶ συμβουλὴν στήσας ἀμείνονα εἶναι δοκεῖν. σπεύσας δὲ πρὸς τοὺς ἀρχιερέας σάδωκον καὶ ἀβιάθαρον, τήν τε ἀχιτοφέλου γνώμην ἐξειπὼν αὐτοῖς καὶ τὴν ἑαυτοῦ, καὶ ὅτι δέδοκται ταῦτ' ὑπ' αὐτοῦ παραινεθέντα πράττειν, ἐκέλευσε μηνύειν πέμψας δαβίδῃ καὶ φανερὰ ποιεῖν τὰ συμβουλευόμενα. καὶ πρὸς παρακελεύσασθαι ταχέως διαβῆναι τὸν ἰορδάνην, μὴ μεταγνοὺς ὁ παῖς αὐτοῦ διώκειν ὁρμήσῃ, καὶ πρὶν ἐν ἀσφαλείᾳ γένηται, φθάσας καταλάβῃ. οἱ δὲ ἀρχιερεῖς ἐξεπίτηδες τοὺς υἱοὺς ἔξω τῆς πόλεως κεκρυμμένους εἶχον, ὅπως διακομίσωσι πρὸς τὸν δαβίδην τὰ πραττόμενα. πέμψαντες οὖν πιστὴν θεραπαινίδα πρὸς αὐτοὺς, φέρουσαν τὰ βεβουλευμένα ὑπὸ ἀβεσαλώμου, προσέταξαν μετὰ σπουδῆς ταῦτα δαβίδῃ σημαίνειν. οἱ δ' οὐδὲν εἰς ἀναβολὰς καὶ μέλλησιν ὑπερέθεντο. λαβόντες δὲ τὰς τῶν πατέρων ἐντολὰς, εὐσεβεῖς ἅμα καὶ πιστοὶ γίνονται διάκονοι. καὶ τῆς ὑπηρεσίας τὸ τάχος καὶ τὴν ὀξύτητα κρίναντες ἄριστον εἶναι, ἠπείγοντο συμβαλεῖν δαβίδῃ. γενομένους δ' αὐτοὺς ἀπὸ σταδίων τῆς πόλεως δύο, θεῶνταί τινες ἱππεῖς καὶ διαβάλλουσι πρὸς τὸν ἀβεσάλωμον. ὁ δ' εὐθὺς ἔπεμψε τοὺς συλληψομένους. νοήσαντες δὲ τοῦτο οἱ τῶν ἀρχιερέων παῖδες, ἐκτραπέντες τῆς ὁδοῦ, παραχρῆμα εἰς κώμην τινὰ τῶν ἱεροσολυμιτῶν οὐκ ἄπωθεν ἑαυτοὺς ἔδωκαν. βοκχούρης ἦν ὄνομα τῇ κώμῃ. γυναικὸς δ' ἐδεήθησαν τινὸς κρύψαι καὶ παρασχεῖν αὐτοῖς τὴν ἀσφάλειαν. ἡ δὲ καθιμήσασα τοὺς νεανίσκους εἰς φρέαρ καὶ πλάκας ἄνωθεν ἐρίων ἐπιβαλοῦσα, ὡς ἧκον οἱ διώκοντες αὐτοὺς, καὶ περὶ αὐτῶν ἀνέκρινον εἰ θεάσαιτο, ἰδεῖν οὐκ ἠρνήσατο. ἀπιόντας γὰρ παρ' αὐτῇ πάλιν ἀπελθεῖν. εἰ μέντοιγε συντόμως διώξουσι, καταλήψεσθαι προύλεγεν. ὡς δ' ἐπὶ πολὺ διώξαντες οὐ κατέλαβον, ἀνέστρεψαν ὀπίσω. θεασαμένη δ' αὐτοὺς ἀναζεύξαντας ἡ γυνὴ καὶ μηδένα φόβον τοῖς νεανίσκοις ἐπ' αὐτῶν ἔτι συλλήψεως εἶναι, ἀνιμήσασα τὴν προκειμένην ὁδὸν αὐτοὺς παρεκελεύσατο. καὶ πολλῇ σπουδῇ καὶ τάχει χρησάμενοι περὶ τὴν ὁδοιπορείαν, ἧκον πρὸς δαβίδην. καὶ πάντα ἀκριβῶς ἐδήλωσαν αὐτῷ τὰ παρ' ἀβεσαλώμου βεβουλευμένα. ὁ δὲ διαβῆναι τὸν ἰορδάνην, τοὺς μεθ' ἑαυτοῦ προσέταξεν ἤδη νυκτὸς οὔσης, καὶ μηδὲν ὀκνεῖν διὰ ταύτην. ἀχιτόφελος δὲ, τῆς γνώμης αὐτοῦ παραδοκιμασθείσης, ἐπιβὰς τοῦ κτήνους ἐξώρμησεν εἰς γελμωνα τὴν πατρίδα. καὶ συγκαλέσας τοὺς οἰκείους ἅπαντας, ἃ συνεβούλευσεν ἀβεσαλώμῳ, ταῦτ' αὐτοῖς διεξῆλθε. καὶ ὡς οὐ πεισθεὶς, φανερὸς ἔσται οὐκ εἰς μακρὰν ἀπολούμενος. δαβί-

Δαβίδην γὰρ κρατήσειν μέλλειν ἔλεγε καὶ ἐπανήξειν ἐπὶ τὴν βασιλείαν. ἄμεινον οὖν ἔφησεν εἶναι τὸ ζῆν αὐτὸν ἐξαγαγεῖν ἐλευθέρως καὶ μεγαλοφρόνως, ἢ παρασχεῖν αὐτὸν εἰς κόλασιν Δαβίδη, ὃς καθόλου πάντα συνέπραττεν Ἀβεσαλώμῳ. ταῦτα διαλεχθεὶς, καὶ παρελθὼν εἰς τὸ μυχαίτατον τῆς οἰκίας, ἀνήρτησεν αὐτόν. καὶ τὸν μὲν Ἀχιτόφελον, τοιούτου θανάτου δικαστὴν αὐτὸν γενόμενον, καθελόντες ἐκ τῆς ἀγχόνης, ἐκήδευσαν οἱ προσήκοντες. ὁ δὲ Δαβίδης, διαβὰς τὸν Ἰόρδανον καθὼς προειρήκαμεν, εἰς Παρεμβολὰς καλλίστην καὶ ὀχυρωτάτην πόλιν παραγίνεται. δέχονται δ' αὐτὸν εὐμενέστατα πάντες οἱ πρῶτοι τῆς χώρας, κατά τε αἰδῶ τῆς τότε φυγῆς, καὶ κατὰ τιμὴν τῆς προτέρας εὐπραξίας. ἦσαν δ' οὗτοι Βερζέλαιος ὁ Γαλααδίτης, καὶ Σιφὰρ ὁ τῆς Ἀμμανίτιδος δυνάστης, καὶ Μάχειρος ὁ τῆς Γαλααδίτιδος χώρας πρῶτος. οὗτοι πᾶσαν αὐτῷ, καὶ τοῖς ἐκείνου τῶν ἐπιτηδείων εὐθηνίαν παρεῖχον, ὡς μήτε κλίνας ἐπιλείπειν ἐστρωμένας, μήτε ἄρτους καὶ οἶνον, ἀλλὰ καὶ θυμάτων ἀφθονίαν χορηγῆσαι, καὶ τὴν εἰς ἀνάπαυσιν ἅμα κεκοπωμένοις καὶ τροφὴν χρησίμων εὐπορίαν διαρκῆ παρασχεῖν. καὶ οἱ μὲν ἐν τούτοις ἦσαν. Ἀβεσάλωμος δὲ, ἀθροίσας μεγάλην στρατιὰν τῶν Ἑβραίων ἐπὶ τὸν πατέρα, καὶ διαβὰς τὸν Ἰόρδανον ποταμὸν, οὐ πόρρω κατέζευξε τῶν Παρεμβολῶν ἐν τῇ Γαλααδιτῶν χώρᾳ, καταστήσας στρατηγὸν πάσης τῆς δυνάμεως Ἀμεσσὰν, εἰς τὴν Ἰωάβου τάξιν τοῦ συγγενοῦς αὐτοῦ. πατρὸς μὲν γὰρ ἦν Ἰεθάρσου, μητρὸς δὲ Ἀβιγαίας. αὕτη δὲ καὶ Σαρουία Ἰωάβου μήτηρ ἀδελφαὶ ἦσαν Δαβίδου. ὡς δ' ἐξαριθμήσας τοὺς σὺν αὐτῷ Δαβίδης, περὶ τετρακισχιλίους εὗρεν ὄντας, οὐκ ἔγνω μένειν ποτ' ἐπ' αὐτὸν ὁ Ἀβεσάλωμος ἔλθῃ. προσθεὶς δὲ τοῖς οὖσι χιλιάρχους καὶ διελὼν εἰς τρία μέρη τὴν στρατιὰν, τὸ μὲν, τῷ στρατηγῷ παρέδωκεν Ἰωάβῳ, τὸ δὲ, τῷ ἀδελφῷ αὐτοῦ Ἀβεσσαίῳ. τὴν δὲ τρίτην μοῖραν ἐνεχείρισεν Ἐθαίῳ, συνήθει μὲν ὄντι καὶ φίλῳ, ἐκ δὲ τῆς Γιττῶν πόλεως ὑπάρχοντι. βουλόμενον δὲ συνεκστρατεύειν αὐτὸν οὐκ εἴασαν οἱ φίλοι, γνώμῃ κατασχόντες σοφωτάτῃ. νικηθέντες μὲν γὰρ σὺν αὐτῷ, πᾶσαν ἀποβαλεῖν ἐλπίδα χρηστὴν ἔφασκον. ἂν δὲ ἡττηθέντες ἐν μέρει τῆς δυνάμεως, τῷ λοιπῷ πρὸς αὐτὸν φύγωσιν, ἀμείνονα παρασκευάζειν αὐτὸν ἰσχύν. ὑπονοήσειν δὲ καὶ τοὺς πολεμίους εἰκὸς εἶναι ἄλλο μετ' αὐτοῦ στράτευμα εἶναι. ἡσθεὶς δὲ τῇ συμβουλείᾳ ταύτῃ, μένειν μὲν αὐτὸν ἐν ταῖς Παρεμβολαῖς ἔκρινεν. ἐκπέμπων δὲ τοὺς φίλους καὶ τοὺς στρατηγοὺς ἐπὶ τὸν πόλεμον παρεκάλει προθυμίαν ἐναποδείξασθαι, καὶ πίστιν καὶ μνήμην εἴ τινος μετρίως ἔχοντος παρ' αὐτοῦ ἔτυχον. φείσασθαι δὲ καὶ τοῦ παιδὸς Ἀβεσαλώμου, κρατήσαντας ἠντιβόλει, μὴ κακόν αὐτὸν ἐργάσηται τι τελευτήσαντος αὐτοῦ. καὶ ὁ μὲν νίκην αὐτοῖς ἐπευξάμενος, ἐκπέμπει τὴν στρατιάν. Ἰωάβου δὲ παρατάξαντος τὴν δύναμιν ἀντικρὺ τῶν πολεμίων ἐν τῷ πεδίῳ τῷ μεγάλῳ, ἐξόπισθεν περιβεβλημένῳ δρυμὸν, ἀντεξάγει τὴν στρατιὰν καὶ Ἀβεσάλωμος. καὶ συμβολῆς γενομένης, ἔργα μεγάλα χειρὸς καὶ τόλμης παρ' ἀμφοτέρων ἐπεδείκνυτο. τῶν μὲν, ὑπὲρ τοῦ τὴν βασιλείαν ἀπολαβεῖν Δαβίδην παρακινδυνευόντων καὶ πάσῃ προθυμίᾳ χρωμένων. τῶν δ' ἵνα μὴ καὶ ταύτην Ἀβεσάλωμος ἀφαιρεθῇ καὶ δῷ τῷ πατρὶ δίκας κολασθεὶς, ἀνθ' ὧν ἐτόλμησεν, οὐδὲν ὀκνούντων, οὔτε ποιεῖν οὔτε πάσχειν, ἔτι δὲ τῶν πλειόνων ἵνα μὴ κρατηθῶσιν ὑπὸ τῶν σὺν Ἰωάβῳ καὶ τοῖς σὺν αὐτῷ στρατηγοῖς ὄντων ὀλίγων.

A Dauidem enim omnino superiorem hoc bello fore, & amissum regnum recepturum esse. Pręstat igitur, inquit, magno animo, vt virum ingenuum decet, è vita exire, quàm Dauidi ob filio nauatam contra eum operam, excarnificãdum se præbere. His dictis in penitissimas ædes digressus, seipse suspendit. atque ita Achitophelem, suopte iudicio tali morti addictum, cognati eius laqueo demptum funerauerunt. B Cæterùm Dauid superato vt diximus Iordane, peruenit Castrum, pulcherrimam ac munitissimam eius tractus vrbem. Ibi cum summa beneuolentia ab omnibus eius regionis optimatibus exceptus est, partim presenti hominis necessitate motis, partim reuerentia pristinæ felicitatis, fuerunt autem hi Berzellæus Galadita, & Siphar Ammanitidis dynastes, & Machirus Galaditidis regionis primas. Hi quicquid ad victum pertinebat, largiter regi cum suis præ- C bebant, vt nec lecti strati eis deessent, nec panis ac vinum, quin & carnium copia semper aderat, & quicquid vel ad alimoniam, vel ad lassitudinis refectionem opus esset. Interim Abesalomus coacto grandi contra patrem exercitu, & traiecto Iordane amne, constitit non longè à Castro oppido Galaditidis, loco Ioabi preposito exercitui cognato eius Amasa. prognatus enim erat patre Iotharsa, & matre Abigæa. hæc verò & Saruia Ioabi mater, sorores erant Da- D uidis. Rex autem recensitis qui circa se erant, comparatóque numero circiter quatuor millium, decreuit non expectare dum Abesalomus prior ipsum aggrediatur, sed creatis tribunis, diuisóque in tres partes exercitu, vnam Ioabo imperatori attribuit, alteram fratri eius Abisæo: tertiam tradidit Ethæo, amico quidem & familiari, sed è Gitta oriundo. Ipsum autem volentem adesse in exercitu amici prohibue- E runt, idque prudentissima ratione. Si enim eo præsente vincerentur, nihil spei reliquum fore. quòd si vna parte exercitus victi, cùm cæteri ad ipsum refugissent, reparandarum virium facultatem non defore. alioquin etiam hostem suspicaturum, alium exercitum circa regem esse. Placuit hoc consilium: itaque persuasus apud Castrum mansit. Sed dum amicos ad pugnam dimitteret, obtestabatur vt F memores omnium acceptorum beneficiorum strenuam ac fidelem operam sibi nauarent: & vt post victoriam filio parcerent, ne occiso illo, aliquid mali in seipsum statueret: atque ita precatus illis victoriam, exercitum emisit. Cæterùm cùm Ioabus ex aduerso hostium aciem suam explicuisset in planicie syluam à tergo habente, Abesalomus quoque suos contrà eduxit: & congressi, acriterque pugnantes multa vtrinque præclara facinora edebant: his G dummodo Dauid regnum recipiat, quiduis periculi magno animo contemnentibus: illis contrà ne Abesalomus & hoc priuetur, & patri insuper audaciæ pœnas det, nihil non vel facere vel pati paratis. Iidem cùm numero longè præstarent, ignominiosum ducebant tanto paucioribus Ioabi militibus succumbere:

x. 2. Reg. 18.

contrà regij vt tot millia profligarent omni ope connixi, tandem vt erat dignum veteranis & rei militaris peritissimis hostem terga vertere coegerunt. fugientes deinde per saltus & abrupta insequendo, alios captiuabant, alios trucidabant, ita vt multo plures in fuga caderent quàm in prælio. Interfecta sunt enim ea die fermè viginti millia. Plurimi autem in Abesalomum ferebantur, insignem tam pulchritudine quàm statura corporis. Is veritus ne viuus caperetur, conscensa mula regia effuso cursu fugiebat. Cúmque per agitationem ventilaretur capillitium, asperæ arboris prominenti ramo inopinate implicitum iuuenem suspendit. Iumentum enim vehementi impetu ferebatur, non aliter quàm sessorem gerens. at ille sublimis in ramo retinebatur, ne hostem effugeret. Quod animaduersum quidam è militibus Dauidis indicauit Ioabo: cóque quinquaginta siclos promittente si illum confoderet, respondit, Nec si duo millia daturus esses, facerem hoc domini mei filio, maximè cùm omnibus nobis audientibus parci iuueni sit precatus. At ille iussit vt indicaret vbi nam pendentem viderit, móxque defixo in corde telo eum interemit. Armigeri verò Ioabi circumsistentes ab arbore eum detraxerunt, & proiectum in hiatum profundum ac obscurum cõgestis saxis obruerunt, ita vt tumuli forma extaret. Deinde quum receptui cecinisset Ioabus, suos à persequendo cohibuit, parcendum ciuili sanguini ratus. Porrò Abesalomus erexerat sibi in valle regis columnam marmoream cum inscriptione, duobus stadiis à Hierosolymis distitam, quam voluit vocari Manum Abesalomi, dicẽs quòd etiamsi liberos eius perire contingat, in hac tamen nomen ipsius esset mansurum. Habuit enim tres mares, & vnam filiam Thamaram, quemadmodum iam antè diximus: quæ Dauidis nepoti Roboamo nupta, Abiam eius successorem peperit: sicut pòst loco suo copiosiùs dicetur.

CAP. X.

Quomodo Dauid regno restitutus feliciter vixit.

DEfuncto Abesalomo populus eius domũ quisque suam dilapsus est. Achimas verò Sadoci pontificis filius adito Ioabo, rogauit vt sibi permitteret ad Dauidem ire, nunciaturo læta omnia, quódque diuina ope ac prouidentia victoriam sit consequutus. Negauit hoc imperator, dicens non conuenire vt antehac afferre læta solitus, nũc de morte filij regem certiorem faceret: iussitq; eum ibi manere. sed vocato Chusi illi mãdauit, vt omnia quæ sciret ad regem perferret. Achima verò denuo rogante, vt ipse mitteretur, victoriam tantùm nunciaturus, non etiam Abesalomi mortem, passus est eum hoc facere. Is viam compendiosam ingressus soli sibi notam, Chusi anteuertit.

A αἰσχύνην γὰρ αὐτοῖς τοῦτο ἔσεσθαι μεγίστην. τῶν δὲ Δαβίδου στρατιωτῶν ἵνα τῶν τοσούτων μυριάδων κρατήσωσιν οἱ Δαβίδου, γνώμῃ τε προύχοντες, καὶ τῇ τῶν πολεμικῶν ἐπιστήμῃ. φεύγοντας δὲ διὰ δρυμῶν καὶ φαράγγων, ἑπόμενοι τοὺς μὲν ἐλάμβανον, πολλοὺς δὲ ἀνῄρουν, ὡς φεύγοντας πεσεῖν πλείονας ἢ μαχομένους. ἔπεσον γὰρ ὡς δισμύριοι ἐπ' ἐκείνης τῆς ἡμέρας. οἱ δὲ τοῦ Δαβίδου πάντες ὥρμησαν ἐπὶ τὸν Ἀβεσάλωμον. φα-

B νερὸς γὰρ αὐτοῖς ὑπό τε τοῦ κάλλους καὶ τοῦ μεγέθους ἐγένετο. δείσας δὲ μὴ καταλάβωσιν αὐτὸν οἱ πολέμιοι, ἐπιβὰς τῆς ἡμιόνου τῆς βασιλικῆς, ἔφευγε. φερόμενος δὲ μετὰ ῥύμης, καὶ ὑπὸ τοῦ σάλου καὶ τῆς κινήσεως κουφῶς ὢν ἐμπλακείσης αὐτοῦ τῆς κόμης τραχεῖ δένδρῳ μεγάλοις ἐπιπολὺ κλάδοις ἐκτεταμένῳ, παραδόξως ἀνακρέμαται. καὶ τὸ μὲν κτῆνος ὑπὸ ὀξύτητος ὡς ἐπικείμενον τὸν δεσπότην ἐπιφέρειν ἐχώρει προσωτέρω. ὁ δὲ ἐκ τῶν κλάδων ἐωρούμενος ἐκρατεῖτο τοῖς

C πολεμίοις. τοῦτό τις ἰδὼν τῶν Δαβίδου στρατιωτῶν, ἐδήλωσεν Ἰωάβῳ. καὶ πεντήκοντα σίκλους αὐτῷ δεδωκέναι τοῦ στρατηγοῦ φήσαντος εἰ βαλὼν ἀπέκτεινε τὸν Ἀβεσάλωμον, οὐδ' εἰ δισχιλίους εἶπεν ἔμελλές μοι παρέξειν, τοῦτ' ἂν διέθηκα μου τὸν τοῦ δεσπότου παῖδα. καὶ ταῦτ' ἐκείνου πάντων ἡμῶν ἀκουόντων φείσασθαι σε τοῦ νεανίσκου δεηθέντος. ὁ δὲ, κελεύσας αὐτὸν δεῖξαι ποῦ κρεμάμενον ἴδοι τὸν Ἀβεσάλωμον, τοξεύ-

D σας κατὰ τῆς καρδίας, ἀπέκτεινεν. οἱ δὲ τὰ τοῦ Ἰωάβου κομίζοντες ὅπλα, ἐν κύκλῳ παριστάντες τοῦ δένδρου καταςπάσι τὸν νεκρόν. καὶ τὸν μὲν εἰς χάσμα βαθὺ καὶ ἀφανὲς ῥίψαντες, βάλλουσιν αὐτῷ λίθοις, ὡς ἀναπληρωθῆναι, καὶ τὸ σχῆμα τάφου καὶ μέγεθος λαβεῖν. σημάνας δὲ ἀνακλητικὸν ὁ Ἰώαβος ἀπείχετο τοῦ διώκειν τοὺς οἰκείους στρατιώτας τὴν τῶν πολεμίων δύναμιν, φειδόμενος τῶν ὁμοφύλων. ἔστησε δ' Ἀβεσάλωμος ἐν τῇ κοιλάδι τῇ βασιλικῇ στήλην λίθου μαρμαρίνου

E δύο σταδίοις ἀπέχουσαν Ἱεροσολύμων, ἣν προσηγόρευσεν ἰδίαν χεῖρα. λέγων, ὡς καὶ τῶν τέκνων αὐτοῦ διαφθαρέντων ἐν τῇ στήλῃ μενεῖ τὸ ὄνομα. τέκνα γὰρ ἦσαν αὐτῷ τρία μὲν ἄρρενα, θυγάτηρ δὲ μία Θαμάρα τοὔνομα, ὡς προειρήκαμεν. συνοικησάσης δ' αὐτῆς τῷ Δαβίδου υἱωνῷ Ῥοβοάμῳ, γίνεται παῖς ὁ διαδεξάμενος τὴν βασιλείαν Ἀβίας. καὶ περὶ μὲν τούτων ἐν ὑστέροις οἰκειότερον τῇ ἱστορίᾳ δηλώσομεν.

F

Κεφάλαιον ι'.

Πῶς Δαβίδης εἰς τὴν βασιλείαν πάλιν ἀνῆλθε, καὶ ἔζησεν ἀσφαλῶς.

MΕτὰ δὲ τὴν Ἀβεσαλώμου τελευτὴν, ὁ μὲν λαὸς, εἰς τὰ οἰκεῖα διεσπάρη. Ἀχιμᾶς δὲ ὁ Σαδώκου τοῦ ἀρχιερέως υἱὸς, Ἰωάβῳ προσελθὼν, ἐδεῖτο

G αὐτῷ τὴν νίκην ἐπιτρέψαι προσελθόντι Δαβίδῃ μηνῦσαι. καὶ ὅτι τῆς παρὰ τοῦ θεοῦ βοηθείας ἔτυχε καὶ προνοίας, εὐαγγελίσασθαι. καὶ τὸν μὲν οὐ προσῆκεν εἰπὼν αὐτῷ καλῶν ἄγγελον ἀεὶ γεγονημένον, νῦν ἀπιστίαν δηλώσοντα θάνατον τῷ βασιλεῖ τοῦ παιδὸς αὐτοῦ, μένειν δ' ἠξίου. καλέσας δὲ τὸν Χουσὶν, ἐκείνῳ προσέταξε τὸ ἔργον, ἵν' ὅπερ αὐτὸς εἶδε, τοῦτο μηνύσειε τῷ βασιλεῖ. τοῦ δ' Ἀχιμᾶ πάλιν δεηθέντος αὐτὸν ἐπὶ τὴν ἀγγελίαν ἀφεῖναι, περὶ μόνης γὰρ αὐτὸν πείσασθαι τῆς νίκης, ἡσυχάσειν δὲ περὶ τῆς Ἀβεσαλώμου τελευτῆς, ἐπέτρεψεν αὐτῷ τὴν πρὸς τὸν Δαβίδην ἄφιξιν. καὶ τὴν ἐπιτομωτέραν ἐμβαλὼν τῶν ὁδῶν, καὶ γὰρ μόνος αὐτὴν ἐγίνωσκε, τὸν Χουσὶ φθάνει.

καθε-

καθεζομένῳ δὲ Δαβίδῃ μεταξὺ τῶν πυλῶν καὶ περιμένοντι πότ' αὐτῷ τις ἐλθὼν ἀπὸ τῆς μάχης ἀπαγγείλῃ τὰ κατ' αὐτὸν, τῶν σκοπῶν τις ἰδὼν τὸν Ἀχιμὰν τρέχοντα, καὶ μήπω τίς ἐστι γνωρίσαι δυνάμενος, εἶπε πρὸς τὸν Δαβίδην βλέπειν τινὰ παραγινόμενον πρὸς αὐτόν. τοῦ δ' ἄγγελον ἥκειν φήσαντος ἀγαθὸν, μετ' ὀλίγον ἑπόμενόν τινα καὶ ἕτερον ἐδήλωσεν αὐτῷ. κἀκεῖνον δὲ ἄγγελον ἀγαθὸν εἰπόντος, ἰδὼν τὸν Ἀχιμὰν ὁ σκοπὸς ἐγγὺς ἤδη γεγενημένον τὸν Σαδώκου παῖδα τοῦ ἀρχιερέως προστρέχειν ἐσήμαινεν. ὁ δὲ Δαβίδης, περιχαρὴς γενόμενος, ἀγαθῶν ἄγγελον τοῦτον ἔφησεν εἶναι, καί τινων εὐκταίων αὐτῷ φέρειν ἀπὸ τῆς μάχης. καὶ μεταξὺ ταῦτα λέγοντος τοῦ βασιλέως, φανεὶς ὁ Ἀχιμὰς, προσεκύνει τὸν βασιλέα. καὶ πυθομένῳ περὶ τῆς μάχης, νίκην εὐαγγελίζεται καὶ κράτος. ἐρομένου δέ τι καὶ περὶ τοῦ παιδὸς ἔχοι λέγειν, αὐτὸς μὲν ἔφασκεν εὐθὺς ὁρμῆσαι πρὸς αὐτὸν τῆς τροπῆς τῶν πολεμίων γενομένης, ἀκοῦσαι δὲ μεγάλης βοῆς διωκόντων τὸν Ἀβεσάλωμον. καὶ πλεῖον μὴ μαθεῖν διὰ τὸ πεμφθέντα ὑπὸ Ἰωάβου δηλῶσαι τὴν νίκην σπεύδεσθαι. παραγενομένου δὲ τοῦ Χουσὶ, καὶ προσκυνήσαντος καὶ τὴν νίκην σημάναντος, περὶ τοῦ παιδὸς αὐτὸν ἀνέκρινεν. ὁ δ' ἐχθροῖς εἶπε τοῖς σοῖς οἷα συμβέβηκεν Ἀβεσαλώμῳ γένοιτο. οὗτος ὁ λόγος, οὐδὲ τὴν ἐπὶ νίκῃ χαρὰν εἴασεν, οὔτ' αὐτῷ μεῖναι μεγίστην οὖσαν, οὔτε τοῖς στρατιώταις. αὐτὸς μὲν γὰρ ἀναβὰς ἐπὶ τὸ ὑψηλότατον τῆς πόλεως, ἀνεκλαίετο τὸν υἱὸν, τυπτόμενος τὰ στέρνα, καὶ τὴν κεφαλὴν σπαραττόμενος, καὶ παντοίως αὐτὸν αἰκιζόμενος. καὶ τέκνον ἐκβοῶν, εἴθε μοι τὸν θάνατον ἐπελθεῖν ἐγένετο καὶ ἅμα σοὶ τελευτῆσαι. φύσει γὰρ ὢν φιλόστοργος, πρὸς ἐκεῖνον ἔτι μᾶλλον συμπαθῶς εἶχεν. ἡ στρατιὰ δὲ καὶ ὁ Ἰώαβος, ἀκούσαντες ὅτι πενθεῖ τὸν υἱὸν οὕτως ὁ βασιλεὺς, ᾐσχύνθησαν μετὰ τοῦ τῶν νενικηκότων σχήματος εἰσελθεῖν εἰς τὴν πόλιν. κατηφεῖς δὲ καὶ δεδακρυμένοι πάντες ὡς ἀφ' ἥττης παρῆλθον. κατακαλυψαμένου δὲ τοῦ βασιλέως καὶ στένοντος τὸν υἱὸν, εἴσεισι πρὸς αὐτὸν Ἰώαβος, καὶ παρηγορῶν, ὦ δέσποτα, φησὶ, λανθάνεις διαβάλλων σαυτὸν οἷς ποιεῖς, ὅτι τοὺς μὲν ἀγαπῶντας σὲ καὶ περὶ σοῦ κινδυνεύοντας, καὶ σαυτὸν καὶ τὴν σὴν γενεὰν δοκεῖς μισεῖν. στέργειν δὲ τοὺς ἐχθροτάτους καὶ ποθεῖν οὐκέτ' ὄντας οἳ δίκῃ τεθνήκασιν. εἰ γὰρ Ἀβεσάλωμος ἐκράτησε, καὶ τὴν βασιλείαν βεβαίως κατέσχεν, οὐδενὸς ἂν ἡμῶν ὑπελείφθη λείψανον. ἀλλὰ πάντες ἂν ἀπὸ σοῦ καὶ τῶν σῶν ἀρξάμενοι τέκνων, ἀπολώλαμεν οἰκτρῶς, οὐ κλαιόντων ἡμᾶς τῶν πολεμίων, ἀλλὰ χαιρόντων, καὶ τοὺς ἐλεοῦντας ἐπὶ τοῖς κακοῖς κολαζόντων. σὺ δ' οὐκ αἰσχύνῃ ταῦτα ποιῶν ἐπὶ μᾶλλον ἐχθρῷ, ὅτι σὸς υἱὸς ὢν ἀσεβὴς οὕτως ἐγένετο. παυσάμενος οὖν τῆς ἀδίκου λύπης, προελθὼν ὄφθητι τοῖς σαυτοῦ στρατιώταις καὶ τῆς νίκης αὐτοῖς καὶ τῆς περὶ τοὺς ἀγῶνας προθυμίας εὐχαρίστησον. ὡς ἐγὼ τήμερον, ἂν ἐπιμένῃς τοῖς ἄρτι πραττομένοις, ἀναπείσας ἀποστῆναί σου τὸν λαὸν, καὶ τὴν βασιλείαν ἑτέρῳ παραδοῦναι, τότε σοι πικρότερον καὶ ἀληθὲς ποιήσω τὸ πένθος. ταῦτ' εἰπὼν Ἰώαβος, ἀπέστρεψεν

Sedente autem rege in porta, & expectante aliquem de prælio nuncium, speculatorum vnus conspecto Achima currente, necdum valens eum agnoscere, ait ad regem, videre se quempiam accurrentem. Cúmque rex bonum esse nuncium ominaretur: paulo pòst sequi illum alterum quendam indicauit. Respondente rege, hunc quoque bonum fore nuncium; speculator iam propiorem Achimam noscitans, Sadoci pontificis filium ait curriculo aduentare. Tum Dauid, profectò hunc bonum & optatum nuncium afferre de prælio. Vix hæc verba finierat, dum Achimas regem adoratum salutat: & sciitante de pugna, lætam victoriam annunciat. rogatus deinde quid filio factum sit, ait se versis in fugam hostibus confestim iter arripuisse, audisse tamen clamorem militum Abesalomum persequentium: nec preterea quicquam comperti habere, quòd iubente Ioabo properè discedendum fuerit, vt victoriam renuntiaret. iámque & Chusis aderat regem adorans, & victoriam annuncians. qui similiter de filio rogatus: Inimicis, inquit, tuis eueniat idem quod Abesalomo. Hæc verba in causa fuerunt, vt nullam ex ea victoria voluptatem nec rex perciperet, nec milites. Ipse enim conscensa editissima vrbis parte deflebat filium, plangens pectus, & capillitium lacerans, & modis omnibus sese affligtans, ac vociferans: Fili mi, vtinam mihi tecum mortem oppetere contingeret. Cùm enim esset natura suorum amantissimus, præ cæteris hunc maiore affectione prosequebatur. Exercitum autem & Ioabum, audito quòd rex filium ita lugeat, puduit triumphabundos in oppidum ingredi: sed demisso capite lacrymantes, non aliter quàm clade accepta veniebant. Cæterùm cùm rex operto capite gemere desiderio filij perseueraret, Ioabus consolandi causa ad eum ingressus. Quid facis, inquit, ô rex? an nescis quòd hoc pacto tibi ipse calumniam struis, quasi amicos pro tua salute periculis se exponentes, atque adeò teipsum & familiam tuam oderis: ames verò tibi infestissimos, & iustissima pœna absumptos desiderare non desinas? Nam si Abesalomus vicisset, & regnum suum constabilisset, nihil ex nobis omnibus reliquum fecisset: sed à te ac tuis liberis initio facto, ad vnum miserabilem in modum perdidisset, non deflentibus nos inimicis, sed gaudentibus, & grauiter punientibus eos qui nostram vicem miserarentur. Te verò non pudet hæc facere propter hominem inimicissimum, qui quum esset tuus filius, tantopere in te fuit impius? Desine igitur ab iniusto luctu, & da te in conspectum tuorum militum, & gratias illis age quòd sua virtute hanc victoriam nobis pepererunt: alioqui si quà cœpisti pergas, hodie regnum ac exercitum alteri tradam, efficiámque vt iam grauiùs ac veriùs quàm antè lugeas. Talibus verbis Ioabus regi mœstitiam excussit, eumque ad curam reipublicæ adduxit. Sumpto enim habitu alio, quo gratior esset militi eius conspectus, pro foribus portæ consedit,

ἀπὸ τῆς λύπης, καὶ ἤγαγεν εἰς τὸν περὶ τῶν πραγμάτων λογισμὸν τὸν βασιλέα. μετασχηματίσας γὰρ αὑτὸν Δαβίδης, καὶ ποιήσας ἐπιτήδειον εἰς τὴν τοῦ πλήθους θέαν, πρὸς ταῖς πύλαις ἐκάθισεν,

ita vt hoc audito vniuersus populus ad salutandum eum concurreret. Dum hæc ita geruntur, qui ex Abesalomi exercitu cladi superfuerunt, domum reuersi nuncios oppidatim dimiserunt, admonentes quantum beneficiorum à Dauide accepissent, & quomodo post multa ac magna bella in libertatem ab eo vindicati fuissent: & quàm iniquè hoc eiecto alteri regnum commisissent: itaque debere eos, extincto quem elegerant, Dauidem rogare, vt omissa ira in gratiam populum suum recipiat, & quemadmodum antea curam reipublicæ suscipiat. De hac re crebri nuncij veniebant ad regem: isque mox Sadoco & Abiatharo pontificibus per literas mandauit, vt principes tribus Iudæ compellent, turpe illis esse, alias tribus ante eos in regnum Dauidem reponere, maximè cùm is tribulis sit ac consanguineus. pari modo Amasam imperatorem eos alloqui iussit, quî fieret quòd cùm esset ipsius ex sorore nepos, exercitui non persuaderet, vt Dauidi regnum in manus reddat. Sperandam autem illi non solùm veniam, quæ iam contigisset, verùm etiam vniuersarum copiarum præfecturam, quam Abesalomus ei concesserat. Pontifices verò tum principes dictæ tribus sunt alloquuti, tum Amasam ostenta regis pollicitatione in partes ipsius traduxerunt. Ac primùm contribules Dauidis incunctanter per legatos eum in regnum reuocant: quorum exemplo simul & Amasæ autoritate moti cæteri Israëlitæ & ipsi idem faciunt, atque hæ legationes ad eum Hierosolymis excipiendum confluebant. Sed singulare Iudæ tribus officium extitit, quæ vsque Iordanem amnem illi occurrit. eodem præsto fuit Semeis filius Geræ, sequentibus mille viris è tribu Beniamitica: necnon Siba libertus Sauli comitatus quindecim filiis & seruis viginti. Hi vnà cum tribu Iudæ ponte ripas fluminis iunxerunt, vt rex cum suis absque negocio transire posset. Vt verò ad Iordanem peruenit, salutatus est à tribu Iudæ: & Semeis in pontem progressus, accidénsque ad regis pedes, rogabat veniam commissorum, vtque infensus sibi esse desineret, néve recepta potestate in se primum animaduerteret: reputarétque id quoque, quòd erroris pœnitentia ductus, primus ipse reuerenti occurrisset. In hunc modum supplicanti ac misericordiam imploranti Abisæus Ioabi frater: Satin hoc, inquit, putas ad effugiendum supplicium, quod maledico in regem diuinitus electum ore es commeritus? Tum rex ad eum versus: Desinite Saruiæ filij, néve nouas turbas ac seditiones excitate. Sic enim vos existimare volo, hanc esse mihi aditialem regni diem, quamobrem iuro me omnibus omnem pœnam remittere, qui quocunque modo in maiestatem meam peccauerunt, neque in quenquam ea de causa animaduersurum esse. tu quoque Semei bono animo esto, nihil de supplicio sollicitus. At ille, adorato rege, cœpit eum præcedere.

ὡς ἅπαντα τὸν λαὸν ἀκούσαντα συνδραμεῖν πρὸς αὐτὸν καὶ κατασπάσασθαι. καὶ ταῦτα μὲν τοῦτον ἔσχε τὸν τρόπον. οἱ δ᾽ ἐκ τῆς μάχης ἀναχωρήσαντες τῶν ἑβραίων μετ᾽ ἀβεσσαλώμου γενόμενοι παρ᾽ ἑαυτοῖς ἕκαστοι, διέπεμπον κατὰ πόλεις, ὑπομιμνήσκοντες αὐτοὺς ὧν εὐεργέτησεν αὐτοὺς δαβίδης, καὶ τῆς ἐλευθερίας ἣν ἐκ πολλῶν καὶ μεγάλων ῥυσάμενος αὐτοὺς πολέμων παράσχοι. μεμφόμενοι δ᾽ ὅτι τῆς βασιλείας αὐτὸν ἐκβαλόντες ἄλλῳ ταύτην ἐνεχείρησαν. καὶ νῦν τεθνηκότος τοῦ κατασταθέντος ὑπ᾽ αὐτῶν ἡγεμόνος, παρακαλοῦσι δαβίδην, παύσασθαι μὲν τῆς ὀργῆς, εὐνοικῶς δὲ πρὸς αὐτοὺς ἔχειν. τῶν δὲ πραγμάτων, καθὼς ἤδη καὶ πρότερον ποιεῖσθαι πρόνοιαν τὴν βασιλείαν ἀπολαβόντα. ταῦτα μὲν οὖν συνεχέστερον ἀπηγγέλλετο τῷ δαβίδῃ. κἀκεῖνος οὐδὲν ἧττον ἔπεμψε πρὸς σάδωκον καὶ ἀβιάθαρον τοὺς ἀρχιερέας, ἵνα τοῖς ἄρχουσι τῆς ἰούδα φυλῆς διαλεχθῶσιν, ὡς αἰσχρόν ἐστιν αὐτοῖς, ἄλλας φυλὰς πρὸ ἐκείνης δαβίδην χειροτονῆσαι βασιλέα, καὶ ταῦθ᾽ ὑμῶν συγγενῶν ὄντων, καὶ πρὸς αὐτὸν κοινὸν αἷμα κεκληρωμένων. τὰ δ᾽ αὐτὰ καὶ ἀμεσᾷ τῷ στρατηγῷ προσέταξεν αὐτοὺς λέγειν, ὅτι τῆς ἀδελφῆς υἱὸς ὢν αὐτοῦ μὴ πείθει τὸ πλῆθος δαβίδῃ τὴν βασιλείαν ἀποδοῦναι. προσδοκᾶν δὲ παρ᾽ αὐτοῦ, μὴ διαλλαγὴν μόνον, τοῦτο γὰρ ἤδη γέγονεν, ἀλλὰ καὶ τὴν ἅπαντος τοῦ λαοῦ στρατηγίαν ἣν αὐτῷ καὶ ἀβεσσάλωμος παρέσχεν. καὶ οἱ μὲν ἀρχιερεῖς, ἃ μὲν τοῖς τῆς φυλῆς ἄρχουσι διελέχθησαν. ἃ δὲ τὸν ἀμεσὰν ἔπεισαν τὰ παρὰ τοῦ βασιλέως πρὸς αὐτὸν εἰπόντες ἐγχειρεῖν ταῖς ὑπὲρ αὐτοῦ φροντίσι. καὶ πείθει γε τὴν φυλήν, παραχρῆμα πέμψαι πρὸς δαβίδην πρέσβεις, παρακαλοῦντας εἰς τὴν ἰδίαν ἐπανελθεῖν βασιλείαν. τὸ δ᾽ αὐτὸ καὶ πάντες ἐποίησαν οἱ ἰσραηλῖται, προτρεψαμένου τοῦ ἀμεσᾶ. τῶν μὲν πρέσβεων ἀφικομένων πρὸς αὐτὸν εἰς ἱεροσόλυμα παρεγένοντο. πάντας δὲ τοὺς ἄλλους ἔφθασεν ἡ ἰούδα φυλὴ πρὸς τὸν ἰόρδανον ποταμὸν ἀπαντῆσαι τῷ βασιλεῖ. καὶ ὁ γηρα παῖς σεμείας, μετὰ χιλίων ἀνδρῶν, οὓς ἐκ τῆς βενιαμίτιδος φυλῆς ἐπήγετο. καὶ σιβὰς δὲ ἀπελεύθερος σαούλου, καὶ οἱ παῖδες αὐτοῦ πεντεκαίδεκα τὸν ἀριθμὸν ὄντες, μετὰ οἰκετῶν εἴκοσι. οὗτοι σὺν τῇ ἰούδα φυλῇ τὸν ποταμὸν ἐγεφύρωσαν, ἵνα ῥᾷστα διαβῇ μετὰ τῶν ἰδίων ὁ βασιλεύς. ὡς δ᾽ ἧκεν ἐπὶ τὸν ἰόρδανον, ἠσπάσατο μὲν αὐτὸν ἡ ἰούδα φυλή. προσέπεσε δ᾽ ἀναβὰς ἐπὶ τὴν γέφυραν σεμεεὶς, καὶ κατασχὼν αὐτοῦ τοὺς πόδας, ἐδεῖτο συγγνῶναι περὶ τῶν εἰς αὐτὸν ἡμαρτημένων, καὶ μὴ γενέσθαι πικρὸν αὐτῷ, μηδὲ τοῦτον πρῶτον ἡγήσασθαι τὴν τιμωρίαν, ἐν ἐξουσίᾳ γενόμενον. λογίσασθαι δ᾽ ὅτι καὶ μετανοήσας ἐφ᾽ οἷς ἐσφάλη πρῶτος ἐλθεῖν πρὸς αὐτὸν ἐσπούδασε. ταῦτα δὲ ἀντιβολοῦντος αὐτοῦ καὶ οἰκτιζομένου, ἀβεσσαῖος ὁ ἰωάβου ἀδελφὸς, διὰ τοῦτο οὖν εἶπεν οὐ τεθνήξῃ βλασφημήσας τὸν ὑπὸ τοῦ θεοῦ κατασταθέντα βασιλεύειν; δαβίδης δ᾽ ἐπιστραφεὶς εἰς αὐτὸν, οὐ παύσεσθ᾽ εἶπεν ὦ σαρουΐα παῖδες. μὴ κινήσητι πάλιν ἡμῖν καινὰς ἐπὶ ταῖς προτέραις ταραχὰς καὶ στάσεις. οὐ γὰρ ἀγνοεῖν ὑμᾶς προσήκει ὅτι σήμερον ἄρχομαι τῆς βασιλείας. διὸ πᾶσιν ἀφιέναι τὰς κολάσεις τοῖς ἀσεβήσασιν ὄμνυμι, καὶ μηδένα τῶν ἁμαρτόντων ἐπεξελθεῖν. σύ τε εἶπεν ὦ σεμεΐα, θάρρει. καὶ δείσῃς μηδὲν ὡς τεθνηξόμενος. ὁ δὲ, προσκυνήσας αὐτὸν προῆγεν.

ἀπήντησε δὲ αὐτῷ καὶ ὁ σαούλου υἱωνὸς μεμφίβοσθος, ῥυπαρὰν τὴν ἐσθῆτα περικείμενος, καὶ τὴν κόμην βαθεῖαν καὶ κατημελημένην ἔχων. μετὰ γὰρ τὴν δαβίδου φυγὴν, οὔτε ἀπεκείρατο λυπούμενος, οὔτε ἐκάθηρε τὴν ἐσθῆτα, κατακρίνας αὐτοῦ συμφορὰν ταύτην ἐπὶ τῇ τοῦ βασιλέως μεταβολῇ. διεβέβλητο δὲ καὶ ὑπὸ τοῦ ἐπιτρόπου σιβᾶ πρὸς αὐτὸν ἀδίκως. ἀσπασαμένου δ' αὐτοῦ καὶ προσκυνήσαντος, ἤρξατο πυνθάνεσθαι τί δή ποτ' οὐ συνεξῆλθεν αὐτῷ, καὶ κοινωνὸς ἦν τῆς φυγῆς, ὁ δ' ἀδίκημα τοῦτ' ἔλεγεν εἶναι σιβᾶ. κελευσθεὶς γὰρ παρασκευάσασθαι τὰ πρὸς τὴν ἔξοδον οὐκ ἐφρόντισεν, ἀλλ' ὥσπερ ἀνδραπόδου τινὸς, οὕτως παρήκουσεν. εἰ μέντοι γε τὰς βάσεις εἶχον ἐῤῥωμένας, οὐκ ἂν ἀπελείφθην σου, χρῆσθαι πρὸς τὴν φυγὴν ταύταις δυνάμενος. οὐ τοῦτο δὲ μόνον ἠδίκησέ μου τὴν πρὸς σὲ δέσποτα εὐσέβειαν, ἀλλὰ καὶ προσδιέβαλε, καὶ διεψεύσατο κακουργῶν. ἀλλ' οἶδα ὅτι τούτων οὐδὲν ἡ διάνοια ἡ σὴ προσίεται, δικαία τε οὖσα, καὶ τὴν ἀλήθειαν ἣν ἰσχύειν τε βούλεται, καὶ τὸ θεῖον ἀγαπῶσα. μείζονα γὰρ κινδυνεύσας παθεῖν ὑπὸ τοῦ πάππου τοῦ μου, καὶ τῆς ὅλης ἡμῶν γενεᾶς ὀφειλούσης εἰς ἐκεῖνα ἀπολωλέναι, σὺ μέτριος καὶ χρηστὸς ἐγένου, τότε μάλιστα πάντων ἐκείνων λήθην ποιησάμενος, ὅτ' ἐξουσίαν τῆς ὑπὲρ αὐτῶν τιμωρίας εἶχεν ἡ μνήμη. φίλον δὲ σὸν ἔκρινας ἐμὲ καὶ ἐπὶ τῆς τραπέζης εἶχες ὁσημέραι, καὶ οὐδὲν ἀπέλειπον τῶν συγγενῶν τοῦ μάλιστα τιμωμένου. ταῦτ' εἰπόντος, οὔτε τὸν μεμφίβοσθον ἔγνω κολάζειν, οὔθ' ὡς καταψευσάμενον τὸν σιβᾶ δικάζειν. ἀλλ' ὑπὸ μὲν τοῦ σιβᾶ ἐλθεῖν ἐκείνῳ πάντα χαρισάμενος φήσας, αὐτῷ δὲ συγγινώσκειν ὑπέσχετο, τῆς οὐσίας αὐτῷ τὸ ἥμισυ κελεύσας ἀποδοθῆναι. ὁ δὲ μεμφίβοσθος, πάντ' ἐχέτω μὲν εἶπεν ὁ σίβας, ἐμοὶ δ' ἀπόχρη τὸ, σὲ τὴν βασιλείαν ἀπολαβεῖν. βερζέλλον δὲ τὸν γαλααδίτην ἄνδρα μέγαν καὶ καλὸν, καὶ πολλὰ παρεσχημένον ἐν ταῖς παρεμβολαῖς αὐτῷ, διαβάντα τε προπέμψαντα μέχρι τοῦ ἰορδάνου, παρεκάλει συνελθεῖν ἕως τῶν ἱεροσολύμων. γηροκομήσειν γὰρ αὐτὸν ἐν πάσῃ τιμῇ, καὶ ὡς πατρὸς ἐπιμελεῖσθαι, καὶ προνοήσειν ἐπηγγέλλετο. ὁ δὲ, πόθῳ τῶν οἴκοι παρῃτεῖτο τὴν μετ' αὐτοῦ διατριβὴν, καὶ τὸ γῆρας λέγων οὐ τοιοῦτον αὐτῷ τυγχάνειν ὥς τε ἀπολαβεῖν τῶν ἡδέων, εἰς ὀγδοήκοντα ἔτη προβεβηκότος, ἀλλ' ὡς τῆς καταλύσεως ἤδη καὶ ταφῆς προνοεῖν, ἐπὶ ταύτην ἠξίου βουλόμενον αὐτῷ χαρίζεσθαι τὰ κατ' ἐπιθυμίαν ἀπολαῦσαι. οὔτε γὰρ τροφῆς οὔτε ποτοῦ συνιέναι διὰ τὸν χρόνον. ἀποκεκλεῖσθαι δ' αὐτῷ καὶ τὰς ἀκοὰς ἤδη πρὸς αὐλῶν ἤχους καὶ μέλη τῶν ἄλλων ὀργάνων ὅσα παρὰ βασιλεῦσι τέρπει τοὺς συνδιαιτωμένους. οὕτως δὲ λιπαρῶς δεομένου, σὲ μὲν εἶπεν, ἀπολύω, τὸν δὲ ἀχίμανον υἱὸν, ἄφες μοι, πάντων γὰρ αὐτῷ μεταδώσω τῶν ἀγαθῶν. καὶ βερζέλλος μὲν καταλιπὼν τὸν υἱὸν, καὶ προσκυνήσας τὸν βασιλέα, καὶ πάντων ἐπευξάμενος αὐτῷ τέλος ὧν ἔχει κατὰ ψυχὴν, οἴκαδε ὑπέστρεψεν. παραγίνεται δ' εἰς γάλγαλα δαβίδης, τοῦ λαοῦ παντὸς ἤδη τὸ ἥμισυ περὶ αὐτὸν ἔχων, καὶ τὴν ἰούδα φυλήν. ἀφικνοῦνται δ' εἰς γάλγαλα πρὸς αὐτὸν οἱ τῆς χώρας πρῶτοι, μετὰ πολλῆς πληθύος, καὶ τὴν ἰούδα φυλὴν κατεμέμφοντο λάθρα πρὸς αὐτὸν ἐλθοῦσαν,

Post hæc Memphibosthus Sauli nepos ei venit obuiam, sordidatus & promisso ac neglecto capillitio. ex quo enim rex profugerat, neque comam totondit, neque vestem purgauit, calamitatem eius non secus quàm propriam ferens: ad hæc à suo procuratore apud regem falso delatus fuerat. Is post salutatum & adoratum regem interrogatus ab eo, qua de causa non simul exisset, socius fugæ futurus: respondit Sibam esse in culpa. Hunc iussum parare ad profectionem necessaria, verba sua non aliter quàm alicuius mancipij contempsisse. alioquin, inquit, si pedibus integris fuissem, & ad profectionem his vti potuissem, nunquam abs te relinqui passus fuissem. Nec contentus meam erga te domine pietatem impedisse, insuper maliciosè ac mendaciter me detulit. Sed bene noui quòd tua prudentia tales calumnias non admittat: quum sis iustus, & Deum ac veritatem cui tantopere studes diligas. Cùm enim in grauissimis periculis aui mei temporibus versatus sis, liceretque tibi de tota familia nostra eo nomine pœnas sumere, quæ tua bonitas est ac modestia, omnes acceptas iniurias obliuioni tradidisti, recenti etiam tum earum memoria summam potestatem assecutus. præterea in amicorum ordinem allectum, & mensæ tuæ quotidianum conuiuam adhibitum, nihilo deteriore conditione quàm vnum quem è maximè necessariis apud te esse voluisti. his auditis neque Memphibosthum punire libuit, neque an Siba calumniator fuerit cognoscere. sed præfatus cuncta se eius bona Sibæ largitum, veniam tamen illi & dimidiæ partis restitutionem promisit. Tum Memphibosthus: Habeat sibi totum Siba, mihi satis est te in tuum regnum restitutum esse. Berzellæum deinde Galaditam virum magnum ac bonum, cuius benignitate belli tempore adiutus fuerat, deducentem se Iordanem vsque, rex rogauit vt simul Hierosolyma proficisceretur: pollicitus eum parentis loco se habiturum, nihilque illi defore quo extremæ eius ætati refouendæ sit opus. at ille excusauit, rem domesticam conuictui regio præferens: dicens se iam octuagenarium non posse regiæ voluptatibus perfrui, iam de absoluendo extremo vitæ actu & sepultura sollicitum: rogansque vt sibi cum bona regis gratia liceat suo more domi viuere: quandoquidem iam per ætatem non amplius vllam è potu, aut cibo voluptatem capiat, & aures obturatas habeat ad sonos tibiarum cæterorúmque instrumentorum, quibus aulici regij se oblectare solent. Quo ita instanter rogante: Te, inquit, dimitto: hunc verò Achimanum filium mecum abire sinito. Omnium enim bonorum meorum particeps erit. Tum Berzellæus relicto filio, & adorato rege, omniáque fausta illi precatus, domum est reuersus. Dauid autem Galgala peruenit, iam dimidium totius populi circa se habens, & Iudæ tribum integram. Eò venerunt ad illum primores eius regionis, sequente magna hominum multitudine: incusabántque Iudæ tribum, quòd insciis cæteris ad regem se contulisset,

cui omnes simul vnanimiter occurrere debuerint. Principes verò tribus Iudæ rogabant vt æquo animo ferrent quòd præuenti essent. Exhibitum enim hoc officium propter cognationem, qua deuinctum sibi feruentioribus studiis prosequerentur. neque enim se hac de causa vlla munera accepisse, vt meritò ægrè ferre debeant, seriùs se ad illum peruenisse. Non tulerunt hoc dictum cæterarum tribuum principes: Demiramur, inquiunt, fratres, quòd regem vobis propriè cognatum vindicatis, ac si non omnium nostrum cognatus sit habendus, quem omnibus nobis ex æquo Deus præesse voluit. ergo cùm totus populus vndecim partes habeat, vos vnicam, tantóque potiores simus, præter æquum fecistis, quòd nobis nescientibus ad regem venistis. In hac principum altercatione exortus est vir quidam malus ac seditiosus, Sabæus filius Bochoriæ, tribus Beniamitidis: qui sublata voce in medio multitudinis exclamauit: Non est nobis pars apud Dauidem, nec hæreditas apud Iessæi filium: Simúlque cornicine iusso canere bellicum, omnes relicto Dauide illum sunt secuti, sola Iudæ tribu circa eum manente, à qua mox in regiam Hierosolymorum est deductus. Vbi concubinis cum quibus filius Abesalomus congressus fuerat, in alias ædes traductis omnia benignè vt antè administrari iussit, ipse verò posthac non amplius eis est vsus. Amasam deinde exercitui præposuit, dignitate in hunc collata, quæ prius Ioabi fuerat: iussitque vt collectis quantis posset è tribu Iudæ copiis post triduum ad se veniret, vt eum tradito exercitu cum imperio contra Bochoriæ filium mitteret. Quo ad colligendum militem profecto, quum in ea re occupatior maturè non rediret: tertia die rex Ioabo dixit, non esse in rem publicam dilationem Sabæo concedi: ne fortè instructior factus plus damni det, plúsque exhibeat negocij, quàm modò Abesalomus exhibuisset. Non est, inquit, vlterius expectandum, sed cum his quæ nunc ad manum sunt copiis, & sexcentorum cohorte, cum Abisæo fratre hostem persequere: & vbicunque illum adeptus fueris, da operam vt prælio decernatur: & caue ne occupatis munitis vrbibus multorum nobis certaminum & laborum materiam præbeat. Ioabus nihil cunctatus paruit, & assumpto fratre ac cohorte, reliquísque qui tum Hierosolymis aderant militibus, contra Sabæum raptim exercitum ducit. Cúmque Gabaonem, qui vicus quadraginta stadiis à Hierosolymis abest, peruenisset, obuiam ei factus est Amasa magnum exercitum adducens. Ibi Ioabus thorace munitus, accintúsque gladio, accedente ad complectendum Amasa, de industria gladium sibi è vagina elabi passus est: eoque mox à terra sublato, & altera manu barba Amasæ ceu deosculandi prehensa, improuiso ictu ventrem ei perfodit, hominémque confecit: facinus sanè impium,

2.*Rom*.20.

A ὡς δεῖν ὁμοῦ πάντας μιᾷ γνώμῃ ποιήσασθαι τὴν ὑπάντησιν. οἱ δ᾽ ἄρχοντες τῆς ἰούδα φυλῆς, μὴ δυσχεραίνειν αὐτοὺς ἠξίουν προληφθέντας. καὶ γὰρ συγγενεῖς ὄντες αὐτοῦ, καὶ διὰ τοῦτο μᾶλλον προνοούμενοι, καὶ στέργοντες φθάσαι. οὐ μέντοι γε διὰ τὸ προηγηθεῖν δῶρα λαβεῖν αὐτοὺς, ἵν᾽ ἔχωσιν ἐπὶ τούτῳ δυσφορεῖν, ὕστεροι πρὸς αὐτὸν ἐλθόντες. ταῦτα τῶν τῆς ἰούδα φυλῆς ἡγεμόνων εἰπόντων, οἱ τῶν ἄλλων ἄρχοντες, οὐχ B ἡσύχασαν. ἀλλ᾽ ἡμεῖς μὲν ἔφασαν ὦ ἀδελφοὶ, θαυμάζομεν ὑμᾶς αὐτῶν ἀποκαλοῦντας μόνον συγγενῆ τὸν βασιλέα. ὁ γὰρ τὴν ἁπάντων ἐξουσίαν παρὰ τοῦ θεοῦ λαβὼν, πάντων ἡμῶν εἶναι συγγενὴς κρίνεται. καὶ διὰ τοῦτο μὲν λαὸς ἅπας ἕνδεκα μοίρας ἔχει, μίαν δ᾽ ἡμεῖς. καὶ πρεσβύτεροι ἐσμὲν, καὶ οὐκ ἐποιήσατε δίκαια κρύφα καὶ λεληθότως ἐλθόντες πρὸς τὸν βασιλέα. τοιαῦτα τῶν ἡγεμόνων πρὸς ἀλλήλους διαλεχθέντων, ἀνήρ τις πονηρὸς, καὶ στάσει χαίρων, ὄνομα C σαβαῖος, υἱὸς βοχορίου τῆς βενιαμίτιδος φυλῆς, στὰς ἐν μέσῳ πρὸς τὸ πλῆθος, μέγα βοήσας, εἶπεν, οὔτ᾽ ἔχει τις ἡμῶν παρὰ δαβίδου μοίρας, οὔτε κλῆρον παρὰ τοῦ ἰεσσαίου παιδί. καὶ μετὰ τοὺς λόγους σαλπίσας κέρατι, σημαίνει πόλεμον πρὸς τὸν βασιλέα. καὶ πάντες ἠκολούθησαν ἐκείνῳ, δαβίδην καταλιπόντες. μόνη δ᾽ αὐτῷ παρέμεινεν ἡ ἰούδα φυλὴ, καὶ κατέστησεν αὐτὸν εἰς τὸ ἐν ἱεροσολύμοις βασίλειον. καὶ τὰς μὲν D παλλακὰς, αἷς ὁ υἱὸς αὐτοῦ συνῆλθεν ἀβεσάλωμος, εἰς ἄλλην μετήγαγεν οἰκίαν, πάντα προστάξας αὐταῖς χορηγεῖν τὰ ἐπιτήδεια τοὺς ἐπιμελουμένους, αὐτὸς δ᾽ οὐκ ἐπλησίαζεν αὐταῖς. ἀποδείκνυσι δὲ καὶ τὸν ἀμεσαὶ στρατηγὸν, καὶ τὴν τάξιν αὐτῷ ἐφ᾽ ἧς ἰώαβος ἦν δίδωσιν. ἐκέλευσε δὲ στρατιὰν ὅσην δύναται συναγαγόντα ἐκ τῆς ἰούδα φυλῆς, μετὰ ἡμέρας τρεῖς, ὡς αὐτὸν ἐλθεῖν, ἵνα παραδοὺς αὐτῷ πᾶσαν τὴν δύναμιν, ἐκπέμψῃ πολεμήσοντα τὸν υἱὸν βοχορίου. ἐξελ-E θόντος δὲ τοῦ ἀμεσὰ, καὶ περὶ τὴν ἄθροισιν τῆς στρατιᾶς βραδύναντος, ὡς οὐκ ἐπανήει, τῇ τρίτῃ τῶν ἡμερῶν ὁ βασιλεὺς πρὸς τὸν ἰώαβον ἔλεγεν, οὐκ εἶναι σύμφορον ἀσχολίαν τῷ σαβαίῳ διδόναι, μὴ γενόμενος ἐν πλείονι παρασκευῇ, μειζόνων κακῶν καὶ πραγμάτων αἴτιος ἢ ἀβεσάλωμος αὐτοῖς κατέστη γένηται. μὴ περίμενε τοίνυν ἔτι μηδὲν ἀλλὰ τὴν οὖσαν παραλαβὼν δύναμιν, καὶ τοὺς ἑξακοσίους μετὰ ἀβεσσαίου τοῦ ἀδελφοῦ σου, δίωκε τὸν πολέμιον. καὶ ὅπου F ποτ᾽ ἂν αὐτὸν καταλάβῃς ὄντα, πειράθητι συμβαλεῖν. σπούδασον δ᾽ αὐτὸν φθάσαι, μὴ πόλεις ὀχυρὰς καταλαβόμενος, ἀγῶνας ἡμῖν καὶ πολλοὺς ἱδρῶτας παρασκευάσῃ. ἰώαβος δ᾽ οὐκ ἔτι μέλλειν ἔκρινεν. ἀλλὰ τόν τε ἀδελφὸν καὶ τοὺς ἑξακοσίους παρέλαβε, καὶ ὅση λοιπὴ δύναμις ἦν ἐν τοῖς ἱεροσολύμοις ἕπεσθαι κελεύσας, ἐξώρμησεν ἐπὶ τὸν σαβαῖον. ἤδη δὲ ἐν γαβαὼν, κώμη δ᾽ ἐστὶν αὕτη σταδίοις ἀπέ-G χουσα τεσσαράκοντα τῶν ἱεροσολύμων, γεγενημένος, πολλὴν ἀμεσᾶ δύναμιν ἀγαγόντος, ἀπήντησεν αὐτῷ. περιεζωσμένος δὲ μάχαιραν, καὶ θώρακα ἐνδεδυμένος ἰώαβος, προσιόντος ἀσπάσασθαι τοῦ ἀμεσᾶ, φιλοτέχνως τὴν μάχαιραν αὐτομάτως ἐκ τῆς θήκης ἐποίησεν ἐκπεσεῖν. βαστάσας δ᾽ αὐτὴν ἀπὸ τῆς γῆς, καὶ τῇ ἑτέρᾳ τὸν ἀμεσαὶ ἐγγὺς γενόμενον ὡς καταφιλήσων τοῦ γενείου λαβόμενος, οὐ προσειδόμενον εἰς τὴν γαστέρα πλήξας ἀπέκτεινεν, ἔργον διαπραξάμενος παντελῶς ἀνόσιον,

ἀγαθὸν

ἀγαθὸν νεανίαν συγγενῆ καὶ μηδὲν ἀδικήσαντα ζηλοτυπήσας τῆς στρατηγίας καὶ τῆς παρὰ τῷ βασιλεῖ πρὸς αὐτὸν ἰσοτιμίας. διὰ ταύτην γὰρ τὴν αἰτίαν καὶ τὸν Ἀβέννηρον ἐφόνευσεν. ἀλλ' ἐκεῖνο μὲν αὐτῷ τὸ παρανόμημα πρόφασις εὐπρεπὴς εὔγνωστον ἐδόκει ποιεῖν, ὁ ἀδελφὸς Ἀσάηλος ἐκδεδικεῖσθαι νομιζόμενος. τοῦ δὲ Ἀμεσᾶ φόνου οὐδὲν τοιοῦτον εἶχε παρακάλυμμα. ἀποκτείνας δὲ τὸν στρατηγὸν, ἐδίωκε τὸν Σαβαῖον καταλιπὼν ἕνα πρὸς τὸν νεκρὸν, βοᾷν ἐντειλάμενος πρὸς τὴν στρατιὰν, ὅτι τέθνηκε μὲν Ἀμεσᾶς δικαίως, καὶ μετ' αἰτίας κολαζόμενος. εἰ δὲ φρονεῖτε τὰ τοῦ βασιλέως, ἕπεσθε αὐτοῦ τῷ στρατηγῷ Ἰωάβῳ, καὶ Ἀβεσσαίῳ τῷ τούτου ἀδελφῷ. κειμένου δὲ τοῦ σώματος ἐπὶ τῆς ὁδοῦ, καὶ παντὸς τοῦ πλήθους ἐπ' αὐτὸ συρρέοντος, καὶ οἷα ὄχλος φιλεῖ, ἐθαύμαζον πλεῖον ἱστάμενοι, βαστάσας ἐκεῖθεν ὁ φύλαξ, καὶ κομίσας εἴς τι χωρίον ἀπωτάτω τῆς ὁδοῦ, τίθησιν αὐτόθι καὶ καλύπτει ἱματίῳ. τούτου γενομένου, πᾶς ὁ λαὸς ἠκολούθησε τῷ Ἰωάβῳ. διώξαντι δὲ αὐτῷ διὰ πάσης τῆς Ἰσραηλίτιδος χώρας τὸν Σαβαῖον, δηλοῖ τις ἐν ὀχυρᾷ πόλει τυγχάνειν αὐτὸν Ἀβελμαχέᾳ λεγομένῃ. παραγενόμενος δὲ ἐκεῖ, καὶ τῇ στρατιᾷ περικαθίσας τὴν πόλιν, καὶ χαράκωμα περὶ αὐτὴν πηξάμενος, ὑπορύσσειν ἐκέλευσε τοῖς στρατιώταις τὰ τείχη, καὶ καταβάλλειν αὐτά. μὴ δεξαμένων γὰρ αὐτὸν τῶν ἐν τῇ πόλει, χαλεπῶς πρὸς αὐτοὺς διατεθείη. γύναιον δέ τι σῶφρον καὶ συνετὸν, ἐπ' ἐσχάταις ἤδη τὴν πατρίδα κειμένην θεασάμενον, ἀναβὰν ἐπὶ τὸ τεῖχος, προσκαλεῖται διὰ τῶν ὁπλιτῶν τὸν Ἰώαβον. προσελθόντος δὲ ἤρξατο λέγειν. ὡς ὁ θεὸς τοὺς βασιλεῖς καὶ τοὺς στρατηγοὺς ἀποδείξειεν, ἵνα τοὺς πολεμίους τοὺς Ἑβραίων ἐξαρῶσι καὶ παρέχωσιν αὐτοῖς εἰρήνην ἀπαιτοῦσι· σὺ δὲ σπουδάζεις μητρόπολιν Ἰσραηλιτῶν καταβαλεῖν καὶ πορθῆσαι, μηδὲν ἐξαμαρτοῦσαν. ὁ δὲ ἵλεω μὲν εὔχεται τὸν θεὸν αὐτῷ διαμένειν. αὐτὸς δὲ οὕτως ἔχειν εἶπεν, ὡς μηδένα τοῦ λαοῦ φονεῦσαι, οὐχ ὅτι πόλιν ἐξελεῖν βούλεσθαι τηλικαύτην. λαβὼν μέντοι παρ' αὐτῶν τὸν ἀντάραντα τῷ βασιλεῖ πρὸς τιμωρίαν Σαβαῖον υἱὸν τοῦ Βοχορέως, παύσεσθαι τῆς πολιορκίας καὶ τὴν στρατιὰν ἀπάξειν. ὡς δ' ἤκουσεν ἡ γυνὴ παρὰ τοῦ Ἰωάβου, μικρὸν ἐπισχεῖν δεηθεῖσα, τὴν γὰρ κεφαλὴν εὐθέως αὐτῷ ῥιφθήσεσθαι τοῦ πολεμίου, καταβαίνει πρὸς τοὺς πολίτας, καὶ βούλεσθ', εἰποῦσα, κακοὶ κακῶς μετὰ τέκνων ἀπολέσθαι καὶ γυναικῶν ὑπὲρ ἀνθρώπου πονηροῦ καὶ μηδὲ τίς ἐστι γνωρίμου, καὶ τοῦτον ἔχειν ἀντὶ Δαβίδου τοσαῦτ' εὐεργετήσαντος ὑμᾶς βασιλέως, καὶ πρὸς δύναμιν τοσαύτην καὶ τηλικαύτην ἀνταίρειν μίαν πόλιν; πείθει, τὴν κεφαλὴν ἀποτεμόντας τοῦ Σαβαίου, ῥίψαι ταύτην εἰς τὸ Ἰωάβου στράτευμα. τούτου γενομένου σημάνας ἀνακλητικὸν ὁ τοῦ βασιλέως στρατηγὸς, ἔλυσε τὴν πολιορκίαν. καὶ παραγενόμενος εἰς Ἱεροσόλυμα, παντὸς ἀποδείκνυται πάλιν τοῦ λαοῦ στρατηγός. καθίστησι δὲ καὶ Βαναίαν ὁ βασιλεὺς ἐπὶ τῶν σωματοφυλάκων καὶ τῶν ἑξακοσίων, Ἀδώραμον δὲ ἐποίησεν ἐπὶ τῶν φόρων, καὶ Σαβάθην καὶ Ἀχίλαον ἐπὶ τῶν ὑπομνηματογράφων, Σουσὰν δὲ γραμματέα, Σάδωκον δὲ καὶ Ἀβιαθάρην, ἱερεῖς. μετὰ δὲ ταῦτα τῆς χώρας λιμῷ φθειρομένης, ἱκέτευσε Δαβίδης τὸν θεὸν, ἐλεῆσαι τὸν λαὸν, καὶ τὴν αἰτίαν αὐτῷ καὶ τὴν ἴασιν φανερὰν ποιῆσαι τῆς νόσου. τῶν δὲ προφητῶν εἰπόντων βούλεσθαι τὸν θεὸν ἐκδικίας τυχεῖν τοὺς Γαβαωνίτας, οὓς Σαοῦλος ὁ βασιλεὺς ἀποκτείνας ἠσέβησεν ἐξαπατήσας,

quòd bonum & cognatum iuuenem immerentem propter æmulationem summæ præfecturæ & regiæ gratiæ sustulit. Hac enim de causa iam ante Abeneri quoque cædem perpetrauerat. Sed illud facinus propter honestum prætextum fraternæ vltionis dignius venia videbatur: in Amasæ verò cæde nihil tale habuit quod prætenderet. Cæso autem imperatore pergebat ad Sabæum debellandum, vno relicto apud cadauer. hunc iussit proclamare ad exercitum, Amasam iure cæsum meritas pœnas dedisse: qui verò partes regis fouerent, Ioabum & fratrem Abisæum eius duces sequi debere. Iacente verò in via corpore, & tota multitudine ad id confluente, & vt fieri solet cum admiratione circumstante, custos translatum illud in villam quandam longe à via remotam deposuit, & veste contexit. quo facto omnes Ioabum sunt secuti. Is quum per totam Israeliticam regionem Sabæum esset persecutus, indicio cuiusdam cognouit eum esse in munita quadam vrbe, nomine Abelmachea. qua obsessa & circumuallata, iubet militem muros eius suffodere & euertere: valde enim irascebatur quòd portas ei clausissent. Mulier autem quædam honesta & prudens, videns patriã in extremo periculo, consensis mœnibus Ioabum per milites ad colloquium euocat. qui postquam processit: Deus, inquit, reges & imperatores creat, vt deletis Hebræorum hostibus in pace Israelitas contineant: tu verò nulla in re læsus, primariam Israelitarum vrbem expugnatum venisti. Tum ille abominatus eius verba, & meliorem sibi mentem precatus, negauit se vel vnum è plebe occisum cupere, tantum abesse vt vrbem tam egregiam excisam velit: & si ad supplicium dedatur Sabæus Bochoriæ filius, regi rebellis, omissa oppugnatione confestim se deinde exercitum abducturũ. His auditis mulier Ioabum rogat vt paulisper sustineat, pollicita illi caput hostis statim è mœnibus deiiciendum: móxque ad ciues reuersa: Vultis, inquit, mali malè perire cum liberis ac coniugibus propter hominem malum & ignotum, eúmque pro Dauide, cuius tanta in vos extant beneficia, regnare, & vnam hanc vrbem tam valido exercitui resistere? Quibus rebus persuasi, præciso capite Sabæi, ad milites Ioabi hoc deiiciunt: confestimque signo receptui dato dux obsidionem soluit: & Hierosolyma reuersus denuo vniuersis copiis imperator præficitur. Banaias quoque satellitibus & sexcentorum cohorti à rege præponitur, Adoramus quæstor tributis recipiendis constituitur. Sabathes & Achilaus Commentariensium fiunt principes. Susa scribis præpositus, pontificatus quoque Sadoco & Abiatharo mansit.

XII. *2. Reg. 21.*

Post hæc fame regionem premente, rex supplex à Deo petiit, vt populum miseratus causam atque remedium tanti mali ostendere dignaretur. Responsum est per prophetas, postulare Deũ vt Gabaonitæ vindicentur, quos Saulus rex deceptos præter ius & fas interfecerat,

X

& iusiurandum quod illis olim Iesus imperator & senatus iurauerat, violauerat. Quamobrē si Gabaonitis pro cęsis ciuibus pœnas quas ipsi voluerint exigere, permittat rex, fore vt placatus Deus populum è præsenti calamitate eximat. quod postea quam ex prophetarum relatione compertum est, accitis Gabaonitis percontatus est quid à se peterent: qui cùm septem è Sauli progenie deposcerent ad supplicium, rex perquisitos eis tradidit, Memphibostho tamen Ionathæ filio parcens. his acceptis Gabaonitæ, vt libitum est in eos animaduerterunt: confestímque pluente Deo terra posito squalore ad pristinam felicitatem rediit, populúsque copia rerum vt antè fruebatur. Aliquanto pòst rex bello Palæstinos adortus, & prælio cum eis congressus, dum victos auidius persequitur, vltra cæteros solus est longiùs prouectus. hunc iam lassulum conspicit Acmon filius Araphi, vnus è gigantum sobole, indutus loricam circulis consertam, & lanceam gerens trecentos siclos pendentem, accinctúsque gladio: & conuersus è fuga haud dubiè confecisset regem, ni Abisæus Ioabi frater repentè superueniens eum protexisset iam prostratum, & hostem trucidasset. quo regis periculo grauiter commotus est exercitus, & duces iureiurando eum deuinxerunt, ne in posterum cum aliis interesset prælio, ne si propter fortitudinem & audaciam humanam aliquid ei contingeret, populus ea felicitate quam ex ipsius administratione percipiebat orbaretur. Cúmque post hanc pugnam Palæstini ad Gazam vrbem conuenissent, rex quamprimùm hoc cognouit, exercitum contra eos confestim ire iussit, in hac expeditione egregiam laudem ob præclara facinora edita meruit Sobacchis Chettæus, vnus è fortissimis Dauidis militibus. complures enim qui se de gigantum genere iactabant, & viribus eximiis insolescebant, orco tradidit, præcipuus autor victoriæ quam tunc Hebræus de hoste reportauit. Redintegrantibúsque bellum Palæstinis, & nouo exercitu in eos misso à rege, optimè se gessit Nephanus cognatus ipsius. singulari enim certamine cum fortissimo Palæstinorum congressus, occiso illo effecit vt reliqui terga verterent: multíque hostium in ea pugna sunt desiderati. Nec ita multo pòst rursum castrametati sunt ad quoddam oppidum non procul Hebræorum finibus: fuitque in eo exercitu vir statura cubitorum sex: cui seni digiti erant in manibus ac pedibus. Huic ex regis exercitu Ionathas Samæ filius solus se opposuit, stratóque aduersario maximum momentum ad victoriam attulit, & ipse fortissimi viri laudem retulit. nam & hic barbarus oriundum se à gigantibus iactabat. Hoc prælium cum gente fuit vltimum, non ausa postea se contra Israelitas mouere. Cæterùm Dauid perfunctus iam bellis ac periculis, & in altissima pace degens, vario genere carminum odas & hymnos in honorem Dei composuit, partim trimetro versu, partim pentametro: instrumentísque musicis comparatis docuit Leuitas ad pulsum eorum laudes Dei decantare, tam sabbatis diebus, quàm in cæteris festiuita-

2. Reg. 22.

καὶ τοὺς ὅρκους αὐτοῖς οὓς ὁ στρατηγὸς ἰησοῦς ὤμοσε καὶ ἡ γερουσία μὴ φυλάξας. ἐὰν τοίνυν δίκην ἣν αὐτοὶ θέλουσιν οἱ γαβαωνῖται λαβεῖν ὑπὲρ τῶν ᾐρημένων ταύτην αὐτοῖς παράσχῃ, διαλλαγήσεσθαι, καὶ τὸν ὄχλον ἀπαλλάξειν τῶν κακῶν ἐπηγγέλλετο. ὡς οὖν ταῦτα παρὰ τῶν προφητῶν ἔμαθεν ἐπιζητεῖν τὸν θεὸν, μεταπέμπεται τοὺς γαβαωνίτας, καὶ τίνος βούλονται τυχεῖν, ἐπηρώτα. τῶν δ' ἐκ τοῦ γένους τοῦ σαούλου παραλαβεῖν ἑπτὰ παῖδας ἀξιωσάντων πρὸς τιμωρίαν, ὁ βασιλεὺς ἀναζητήσας, παρέδωκεν αὐτοῖς, μεμφιβόσθου φεισάμενος τοῦ ἰωνάθου παιδός. παραλαβόντες δ' οἱ γαβαωνῖται, τοὺς ἄνδρας ὡς ἐβούλοντο ἐκόλασαν. ἤρξατο δ' ὕειν παραχρῆμα ὁ θεὸς, καὶ τὴν γῆν πρὸς γονὴν καρπῶν ἀνακαλεῖν ἀπολύσας τοῦ πρότερον αὐχμοῦ, καὶ πάλιν εὐθήνησεν ἡ τῶν ἑβραίων χώρα. στρατεύεται δὲ μετ' οὐ πολὺν χρόνον ὁ βασιλεὺς ἐπὶ παλαιστινοὺς, καὶ συνάψας μάχην αὐτοῖς, καὶ τρεψάμενος, ἐμονώθη διώκων. καὶ γενόμενος ἔκλυτος, ὤφθη ὑπό τινος τῶν πολεμίων, ἄκμωνος μὲν τοὔνομα, ἀράφου δὲ παιδός. οὗτος ἦν μὲν καὶ ἀπόγονος τῶν γιγάντων. ἔχων δὲ καὶ ξυστὸν, οὗ τὴν λαβὴν συνέλκειν σταθμὸν, τριακοσίους σίκλους, καὶ θώρακα ἁλυσιδωτὸν, καὶ ῥομφαίαν, ὥρμησεν ἐπιστραφεὶς ὡς ἀποκτείνων τὸν τῶν πολεμίων βασιλέα, παρεῖτο γὰρ ὑπὸ τοῦ κόπου. ἐπιφανεὶς δ' ἐξαίφνης ἀβεσσαῖος ἰωάβου ἀδελφὸς, τὸν βασιλέα μὲν ὑπερήσπισε περιβὰς κείμενον, ἀπέκτεινε δὲ τὸν πολέμιον. ἤνεγκε δ' ἐπὶ τῷ παρ' ὀλίγον κινδυνεῦσαι τὸν βασιλέα χαλεπῶς τὸ πλῆθος. καὶ οἱ ἡγεμόνες ὥρκωσαν αὐτὸν μηκέτι εἰς μάχην ἀπαντῆσαι σὺν αὐτοῖς, μὴ δι' ἀνδρείαν καὶ προθυμίαν παθών τι τῶν δεινῶν, στερήσῃ τὸν λαὸν τῶν δι' αὐτὸν ἀγαθῶν, ὅσα τε ἤδη παρέσχηκε, καὶ ὅσων ἔτι μεθέξουσι πολὺν βιώσαντος χρόνον. συνελθόντων δὲ τῶν παλαιστινῶν εἰς γαζάραν πόλιν, ἀκούσας ὁ βασιλεὺς ἔπεμψεν ἐπ' αὐτοὺς στρατιάν. ἠρίστευσε δὲ τότε καὶ σφόδρα εὐδοκίμησεν σοβακχὶς ὁ χετταῖος, εἷς τῶν περὶ δαβίδην ἀνδρειοτάτων. ἀπέκτεινε γὰρ πολλοὺς τῶν αὐχούντων προγόνους τοὺς γίγαντας, καὶ μέγα ἐπ' ἀνδρείᾳ φρονούντων, αἴτιός τε τῆς νίκης τοῖς ἑβραίοις ἐγένετο. καὶ μετ' ἐκείνην τὴν ἧτταν, πάλιν ἐπολέμησαν οἱ παλαιστινοὶ, καὶ στρατιὰν ἐπ' αὐτοὺς δαβίδου πέμψαντος, ἠρίστευσε νεφάνος ὁ συγγενὴς αὐτοῦ. μονομαχήσας γὰρ τῷ πάντων ἀνδρειοτάτῳ τῶν παλαιστινῶν ἀπέκτεινεν αὐτὸν καὶ τοὺς ἄλλους εἰς φυγὴν ἔτρεψε. πολλοί τε αὐτῶν ἀπέθανον μαχόμενοι. διαλειπόντες δ' ὀλίγον χρόνον, ἐστρατοπέδευσαν πρὸς τῇ πόλει τῶν ὅρων τῆς ἑβραίων χώρας οὐκ ἄπωθεν. ἦν δ' αὐτοῖς ἀνὴρ, τὸ μὲν ὕψος ἓξ πηχῶν. δακτύλους δ' ἐν ἑκατέρῳ τῶν βάσεων καὶ τῶν χειρῶν, ἑνὶ πλειοστοτέρους εἶχε τῶν κατὰ φύσιν. ἐκ τῆς οὖν πεμφθείσης ἐπ' αὐτοὺς ὑπὸ δαβίδου στρατιᾶς, τούτῳ μονομαχεῖ ἰωνάθης ὁ σαμᾶ υἱός. ἀνεῖλέ τε αὐτὸν, καὶ τῆς ὅλης νίκης ῥοπὴ γενόμενος, δόξαν ἀριστείας ἀπηνέγκατο. καὶ οὗτος γὰρ ὁ παλαιστινὸς ηὔχει τῶν γιγάντων ἀπόγονος εἶναι. μετὰ δὲ ταύτην τὴν μάχην, οὐκ ἔτι τοῖς ἰσραηλίταις ἐπολέμησαν. ἀπηλλαγμένος δ' ἤδη πολέμων ὁ δαβίδης καὶ κινδύνων, καὶ βαθείας ἀπολαβὼν τὸ λοιπὸν εἰρήνης, ᾠδὰς εἰς τὸν θεὸν καὶ ὕμνους συνετάξατο, μέτρου ποικίλου. τοὺς μὲν γὰρ τριμέτρους, τοὺς δὲ πενταμέτρους ἐποίησεν. ὄργανά τε κατασκευάσας ἐδίδαξε πρὸς αὐτὰ τοὺς λευίτας ὑμνεῖν τὸν θεὸν,

κατὰ

κατά τε τὴν τῶν καλουμένων σαββάτων ἡμέραν, καὶ κατὰ τὰς ἄλλας ἑορτάς. ἡ δὲ τῶν ὀργάνων ἐστὶν ἰδέα τοιαύτη τις τὸν τρόπον. ἡ μὲν κινύρα, δέκα χορδαῖς ἐξημμένη, τύπτεται πλήκτρῳ. ἡ δὲ νάβλα, δώδεκα φθόγγους ἔχουσα, τοῖς δακτύλοις κρούεται. κύμβαλά τε ἦν πλατέα καὶ μεγάλα χάλκεα. καὶ περὶ μὲν τούτων ἐπὶ τοσοῦτον ἡμῖν ὥστε μὴ τελέως ἀγνοεῖν τὴν τῶν προειρημένων ὀργάνων φύσιν, ἀρκούντως λελέχθω. τῷ δὲ βασιλεῖ πάντες ἦσαν οἱ περὶ αὐτὸν ἀνδρεῖοι. τούτων δ' οἱ διασημότατοι καὶ λαμπροὶ τὰς πράξεις, ὀκτὼ καὶ τριάκοντα. ὧν πέντε μόνον διηγήσομαι τὰ ἔργα. φανερὰς γὰρ καὶ τὰς τῶν ἄλλων ἀρετὰς ἀρκέσουσιν οὗτοι ποιῆσαι. δυνατοὶ γὰρ ἦσαν οὗτοι καὶ χώραν ὑπάγεσθαι καὶ μεγάλων ἐθνῶν κρατῆσαι. πρῶτος μὲν οὖν, Ἰέσσαιμος υἱὸς Ἀχεμαίου. ὃς πολλάκις εἰς τὴν παράταξιν ἐμπηδῶν τῶν πολεμίων, οὐ πρὶν ἀνεπαύετο μαχόμενος, πρὶν ἐννακοσίους αὐτῶν κατέβαλε. μετ' αὐτὸν ἦν Ἐλεάζαρος υἱὸς Δωδείου, ὃς ἦν μετὰ τοῦ βασιλέως ἐν Ἀρασάμῳ. οὗτός ποτε, τῶν Ἰσραηλιτῶν καταπλαγέντων τὸ πλῆθος τῶν Παλαιστινῶν καὶ φευγόντων, μόνος ἔμεινε. καὶ συμπεσὼν τοῖς πολεμίοις, ἀπέκτεινεν αὐτῶν πολλούς, ὡς ὑπὸ τοῦ αἵματος προσκολληθῆναι τὴν ῥομφαίαν αὐτοῦ τῇ δεξιᾷ, καὶ τοὺς Ἰσραηλίτας ἰδόντας τετραμμένους ὑπ' αὐτοῦ Παλαιστινούς, καταβάντας διώκειν, καὶ θαυμαστὴν καὶ διαβόητον τότε νίκην ἄρασθαι, τοῦ μὲν Ἐλεαζάρου κτείνοντος, ἑπομένου δὲ τοῦ πλήθους καὶ σκυλεύοντος τοὺς ἀναιρουμένους. τρίτος δὲ ἦν, Ἰλοῦ μὲν υἱός, Σεβαῖ δὲ ὄνομα. καὶ οὗτος ἐν τοῖς πρὸς Παλαιστινοὺς ἀγῶσιν, εἰς τόπον σιαγόνα λεγόμενον αὐτῶν παρατεταγμένων, ὡς οἱ Ἑβραῖοι πάλιν τὴν δύναμιν φοβηθέντες οὐκ ἔμειναν, ὑπέστη μόνος ὡς στράτευμα καὶ τάξις, καὶ τοὺς μὲν αὐτῶν κατέβαλεν, τοὺς δ' οὐ καρτερήσαντας αὐτοῦ τὴν ἰσχὺν καὶ τὴν βίαν, ἀλλ' εἰς φυγὴν ἀποστραφέντας ἐδίωξε. ταῦτα μὲν ἔργα χειρῶν, καὶ μάχης οἱ τρεῖς ἐπεδείξαντο. καθ' ὃν δὲ καιρὸν ἐν Ἱεροσολύμοις ὄντος τοῦ βασιλέως, ἐπῆλθεν ἡ τῶν Παλαιστινῶν δύναμις πολεμῆσαι, Δαβίδης μὲν ἐπὶ τὴν ἀκρόπολιν ἀνῆλθεν ὡς προειρήκαμεν, πευσόμενος τοῦ θεοῦ περὶ τοῦ πολέμου. τῆς δὲ τῶν ἐχθρῶν παρεμβολῆς ἐν τῇ κοιλάδι κειμένης, ἣ μέχρι πόλεως Βηθλεὲμ διατείνει, σταδίους Ἱεροσολύμων ἀπεχούσης εἴκοσι, ὁ Δαβίδης τοῖς ἑταίροις, καλὸν ὕδωρ εἶπεν ἔχομεν ἐν τῇ πατρίδι μου, καὶ μάλιστα τὸ πρὸς τῷ λάκκῳ τῷ πρὸς τῇ πύλῃ, θαυμάζων, εἴ τις ἐξ αὐτοῦ πιεῖν αὐτῷ κομίσειε, μᾶλλον ἐθελήσειν, ἢ εἰ πολλὰ χρήματα διδοίη. ταῦτ' ἀκούσαντες οἱ τρεῖς ἄνδρες οὗτοι, παραχρῆμα ἐκδραμόντες, καὶ διὰ μέσου τοῦ τῶν πολεμίων ὁρμήσαντες στρατοπέδου, ἧκον εἰς Βηθλεέμ, καὶ τοῦ ὕδατος ἀρυσάμενοι, πάλιν διὰ τῆς παρεμβολῆς ὑπέστρεψαν πρὸς τὸν βασιλέα, ὡς τοὺς Παλαιστινοὺς καταπλαγέντας αὐτῶν τὸ θράσος καὶ τὴν εὐψυχίαν, ἠρεμῆσαι, καὶ μηδὲν ἐπ' αὐτοὺς τολμῆσαι καταφρονήσαντας τῆς ὀλιγότητος. κομισθέντος δὲ τοῦ ὕδατος οὐκ ἔπιεν ὁ βασιλεύς, κινδύνῳ καὶ αἵματι φήσας ἀνθρώπων αὐτὸ κεκομίσθαι, καὶ διὰ τοῦτο μὴ πρέπειν αὐτὸ πιεῖν. ἔσπεισε δὲ ἀπ' αὐτοῦ τῷ θεῷ, καὶ περὶ τῆς σωτηρίας τῶν ἀνδρῶν εὐχαριστήσας αὐτῷ. μετὰ τούτοις ἦν Ἰωάβου ἀδελφὸς Ἀβεσσαῖος. καὶ γὰρ οὗτος μιᾷ ἡμέρᾳ τῶν πολεμίων ἑξακοσίους ἀπέκτεινεν. πέμπτος Βαναίας, ὁ ἱερεὺς τῷ γένει. προκληθεὶς γὰρ ὑπ' ἀδελφῶν διασήμων ἐν τῇ Μωαβίτιδι χώρᾳ κατ' ἀρετὴν ἐκράτησεν αὐτῶν. καὶ πάλιν αὐτὸν ἀνδρὸς Αἰγυπτίου τὸ γένος, θαυμαστοῦ τὸ μέγεθος, προσκαλεσαμένου, γυμνὸς ὡπλισμένον τῷ δόρατι, τὸ ἐκείνου λαβὼν ἀπέκτεινε. περιελόμενος γὰρ αὐτὸν ἄκοντα καὶ ζῶντα ἔτι καὶ μαχόμενον σκυλεύσας, τοῖς ἰδίοις αὐτὸν ὅπλοις διεχρήσατο.

tibus. species autẽ instrumẽtorũ hæc fuere: cinnyra decẽ chordis intenditur, & plectro pulsatur: nabla duodecim sonos continet, sed digitis carpitur: cúmq. his aderant & cymbala ęrea, bene magna atq; lata: quod quo sanè de prędictorum instrumentorũ natura, ne prorsus ignorẽtur, dixisse sufficit. Porrò rex fortissimos viros circa se habuit, sed maximè insignes præclaris facinoribus, XXXVIII. quorum quinque tantùm virtutẽ commemorabo, facili ex his de reliquis coniectura. tales enim erant hi qui possent vel regiones subigere, vel magnas gẽtes debellare. Primus Issæmus filius Achemei, qui non semel in aciem hostium irruens non priùs à cæde abstitit, quàm nongentos occideret. Post hunc Eleazarus filius Dodeiæ, qui fuit cum rege in Arasamo. hic in quodam prælio Israelitis multitudine hostium territis & in fugã versis, solus locũ suũ non deseruit: & congressus cũ hostib. multos interfecit, adeò vt cruore gladius eius ad dexterã adglutinaretur: quo viso reuersi in prælium Israelitæ cedentem iam hostem vrgẽdo admirãdam ac celebratam victoriam retulerunt, Eleazaro sternente, vulgo verò militum prostratos spoliãte. Tertius erat Ili filius Sebas. hic quoq. cum bello Palęstino in loco qui Maxilla dicitur, acies ex aduerso constitissent, Hebræique rursum territi loco cederent, solus in aciei vicem hosti se opposuit: & non paucis letho datis, reliquos impressionem eius non sustinẽtes, & in fugam effusos insectatus est. Hæc fuerũt facinora quæ hi tres in prœliis ediderũt. Eo verò tempore, quo rege Hierosolymis agẽte Palæstinorum exercitus vsque ad vrbem accessit, & dum ille cõsulturus Deũ de bello, arcẽ ascendit, in ea valle castra metatus est, quæ XX. stadiorum spacio vsque Bethlema pertinet: dicente ad amicos: O quàm bonam aquam habemus in patria mea, maximæ in cisterna portæ vicina: ô si quis eam mihi afferret, id certè mallem quàm multum argẽti accipere: tres isti his auditis e uestigio excurrerunt, & cùm per media hostiũ castra Bethlema peruenissent, hausta aqua per eãdẽ viã ad regẽ sunt reuersi, attonitis audacia tanta barbaris, nec ausis paucitatẽ eorũ contẽnere. eã aquam rex bibere noluit, dicens periculo sanguinis emptam, & ob hoc sibi non conuenire: sed Deo inde libauit, gratias agens pro virorum incolumitate. Post hos erat Ioabi frater Abisæus, qui vna die DC. hostes interemit. Quintus Banaias, genere sacerdos, hic prouocatus à duob. fratrib. virtute inter Moabitas illustribus, vtrũque cõfecit. Rursum ex prouocatione cũ miræ staturę Ægyptio certans, inermis cum armato, hasta ex ipsius manibus extorta hominem confodit: quo insignior fuit victoria, quòd adhuc viuenti adẽptis armis, priùs eum spoliauit, mox propriis armis occidit. Est & aliud eius facinus, quod iam dictis, quãtum ad animositatem vel præferri potest, vel certè conferri. Quum enim ningeret, leo in

2. Reg. 23.

quendam puteum illapsus est: cuius os quòd angustum esset, videbat breui fori vt id niuibus oppleretur: atque ita desperato exitu, & salute rugire occœpit. Banaias autem fortè fortuna iter faciens, accurrit ad rugitum bestiæ: & cùm descendisset in puteum, repugnantem ictu baculi quem gerebat exanimauit. nec deteriores virtute fuerunt reliqui triginta tres. Cæterùm

XIII. 2. Reg. 24.

Dauid volens cognoscere quantus millium numerus recenseri posset in populo, oblitus præceptorum Moysis, qui prædixerat quoties censeretur populus in singula eius capita pendendum Deo semisiclum, iussit Ioabum imperatorem vt iret ad censum peragendum. quo excusante nihil opus esse, nihil motus coegit sine mora ad imperata exequenda proficisci. Ioabus autem assumptis ad hoc negocium principibus tribuum & scribis, obita tota Israelitarum regione, & cognito quanta esset populi multitudo, post nouem menses & viginti dies Hierosolyma reuersus ad regem numerum ei populi reddidit, absque tribu Beniamitica: quam nondum ad censum vocauerat, sicut nec Leuiticam. Rex enim interim pœnituit, agnoscens in Deum se peccasse. Erat autem reliquorum Israelitarum numerus nongenta millia, duntaxat eorum qui ad militiam essent idonei. In Iudæ verò tribu quadringenta millia censebãtur. Prophetis deinde referentibus ad Dauidem quòd Deum offendisset, supplex orare cœpit, vt propitius redditus facti huius daret veniam. Qui exoratus Gadum prophetam ad eum misit, tres optiones offerentem, vt ex his quam mallet eligeret, aut famem per septennium duraturam, aut bellum per tres menses iniquo Marte cum hoste gerendum, aut pestilentiam per triduum inter Hebræos sæuituram. Illo verò hærente ac turbato propter difficilem inter hæc mala electionem, & propheta vrgente ad celerem responsionem, vt Deo renunciare posset: rex cogitans quòd si famem peteret, sui magis quàm aliorum rationem habuisse videri posset: quandoquidem ipsi nihil periculi esset multum frumenti in horreis habenti, illis non item: quòd si per tres mẽses ab hoste vinci elegisset, sic quoque sibi consuluisse, qui arces & fortissimam circa se cohortem haberet: optauit malum regnantibus æquè ac regnatis commune, in quo omnibus par metus imminet: præfatus melius esse incidere in manus Dei, quàm in manus hostiũ. Hæc ita vt audiuit propheta Deo renũciante, pestilẽtia in Hebræos ingruit, ita vt variis modis absumerẽtur, nec facilè esset morbum cognoscere. Mors enim vna erat, sed plurimis & incõpertis causis homines rapiebat, alius enim post alium efferebatur, & clanculũ obrepẽs malũ celeriter exitium afferebat. quidam enim repentè cum vehementi dolore, & amaro cruciatu animam exhalabant. alij paulò lentiore vexati malo ne curationem quidem ferre poterãt, sed inter officia medicorũ expirabãt. alij subitò tenebris ob oculos obortis, ceu præfocati exanimabantur.

προσαπειληθῆναι δ' ἄν τις αὐτῷ καὶ τοῦτο ταῖς προειρημέναις πράξεσιν, ἢ ὡς πρῶτον αὐτῶν κατ' εὐψυχίαν, ἢ ὡς ὅμοιον. νίφοντος γὰρ τοῦ θεοῦ, λέων εἴς τινα λάκκον ὀλισθὼν ἐνέπεσε. στενοῦ δ' ὄντος τοῦ στομίου, δῆλος ἦν ἀφανὴς ἐσόμενος, ἐμφραχθέντος αὐτῷ τῇ χιόνι. πόρον οὖν οὐδένα βλέπων ἐξόδου καὶ σωτηρίας, ἐβρυχᾶτο. τοῦ δὲ θηρὸς ἀκούσας ὁ Βαναίας, ὥδευε γὰρ τότε, καὶ πρὸς τὴν βοὴν ἐλθὼν, καταβὰς εἰς τὸ στόμιον, πλήξας αὐτὸν μαχόμενον τῷ μετὰ χεῖρας ξύλῳ, παραχρῆμα ἀπέκτεινε. καὶ οἱ λοιποὶ δὲ τριάκοντα τρεῖς, τοιοῦτοι τὰς ἀρετὰς ὑπῆρχον. ὁ δὲ βασιλεὺς Δαυίδης, βουλόμενος γνῶναι πόσαι μυριάδες εἰσὶ τοῦ λαοῦ, τῶν Μωύσεως ἐντολῶν ἐκλαθόμενος, ὃς προεῖπεν, ἐὰν ἐξαριθμηθῇ τὸ πλῆθος, ὑπὲρ ἑκάστης κεφαλῆς αὐτῷ τῷ θεῷ τελεῖσθαι ἡμίσικλον, προσέταξεν Ἰωάβῳ τῷ στρατηγῷ, πορευθέντι πάντα τὸν ὄχλον ἐξαριθμῆσαι. τοῦ δ' οὐκ ἀναγκαῖον εἶναι φήσαντος τοῦτο ποιῆσαι, οὐκ ἐπείσθη, προσέταξε δὲ μηδὲν μελλήσαντι, βαδίζειν ἐπὶ τὴν ἐξαρίθμησιν τῶν Ἑβραίων. Ἰώαβος δὲ, τοὺς ἄρχοντας τῶν φυλῶν παραλαβὼν καὶ γραμματεῖς, ἐπιὼν τὴν τῶν Ἰσραηλιτῶν χώραν, καὶ τὸ πλῆθος ὅσον ἐστὶ κατανοήσας, ὑπέστρεψεν εἰς Ἱεροσόλυμα πρὸς τὸν βασιλέα, μετὰ μῆνας ἐννέα καὶ ἡμέρας εἴκοσι. καὶ τὸν ἀριθμὸν ἀπέδωκε τῷ βασιλεῖ τοῦ λαοῦ, χωρὶς τῆς Βενιαμίτιδος φυλῆς, ἐξαριθμῆσαι γὰρ αὐτὴν οὐκ ἔφθασεν, ἀλλ' οὐδὲ τὴν Λευιτῶν φυλήν. μετενόησε γὰρ ὁ βασιλεὺς εἰς τὸν θεὸν ἁμαρτών. ἦν δὲ τῶν ἄλλων Ἰσραηλιτῶν ἀριθμὸς ἐνενήκοντα μυριάδες, ὅπλα βαστάζειν καὶ στρατεύεσθαι δυναμένων. ἡ δὲ Ἰούδα φυλὴ, καθ' ἑαυτὴν τεσσαράκοντα μυριάδες ἦσαν. τῶν δὲ προφητῶν δηλωσάντων τῷ Δαυίδῃ ὅτι δι' ὀργῆς ἐστὶν αὐτῷ ὁ θεὸς, ἱκετεύειν ἤρξατο καὶ παρακαλεῖν εὐμενῆ γίνεσθαι καὶ συγγνώσκειν ἡμαρτηκότι. Γάδον δὲ τὸν προφήτην ἔπεμψεν ὁ θεὸς πρὸς αὐτὸν, τρεῖς αἱρέσεις κομίζοντα, ὅπως ἐκλέξηται τούτων ἣν ἂν δοκιμάσῃ, πότερον θέλει λιμὸν γενέσθαι κατὰ τὴν χώραν ἐπὶ ἔτη ἑπτά. ἢ τρεῖς μῆνας πολεμίοις ὑπὸ τῶν ἐχθρῶν ἡττηθῆναι. ἢ λοιμὸν ἐνσκῆψαι καὶ νόσον ἐπὶ τρεῖς ἡμέρας τοῖς Ἑβραίοις. ὁ δ' εἰς ἀμήχανον ἐκλογὴν μεγάλων κακῶν ἐμπεσὼν, ἐλυπεῖτο, καὶ σφόδρα ἦν συγκεχυμένος. τοῦ δὲ προφήτου, τοῦτο δεῖν ἐξ ἀνάγκης γενέσθαι φήσαντος, καὶ κελεύσαντος ἀποκρίνασθαι ταχέως ἵνα ἀπαγγείλῃ τὴν αἵρεσιν αὐτοῦ τῷ θεῷ, λογισάμενος ὁ βασιλεὺς, ὡς εἰ λιμὸν αἰτήσειεν, ἔδοξε τοῦτο πεποιηκέναι τοῖς ἄλλοις, αὐτῷ μὲν ἀφόβως, ὅτι πολλὴν αὐτὸς ἐγκεκλεισμένον ἔχοι σῖτον, ἐκείνοις δὲ βλαβερῶς. εἰ δέ γε ἕληται τοὺς τρεῖς μῆνας νικωμένοις αὐτοῖς, ὅτι τοὺς ἀνδρειοτάτους ἔχοι περὶ αὑτὸν καὶ φρούρια, καὶ διὰ τοῦτο μηδὲν φοβούμενος, εἵλετο τὸν πόλεμον, ᾐτήσατο τὸ πάθος κοινὸν καὶ βασιλεῦσι καὶ τοῖς ἀρχομένοις, ἐν ᾧ τὸ δέος ἴσον ἁπάντων γίνεται, προειπὼν ὅτι πολὺ κρεῖττον εἰς τὰς τοῦ θεοῦ χεῖρας ἐμπεσεῖν, ἢ τὰς τῶν πολεμίων. ταῦτ' ἀκούσας ὁ προφήτης, ἀπήγγελε τῷ θεῷ. ὁ δὲ, τὸν λοιμὸν καὶ τὴν φθορὰν ἐπέμψε τοῖς Ἑβραίοις. ἀπέθνησκον δ' οὐ μονοτρόπως. οὐδ' ὥστε ῥᾴδιον κατανοῆσαι γενέσθαι τὴν νόσον. ἀλλὰ τὸ μὲν κακὸν ἓν ἦν. μυρίαις δ' αὐτοὺς αἰτίαις καὶ προφάσεσιν οὐδ' ἐπινοῆσαι δυναμένους ἀνήρπαζεν. ἄλλος γὰρ ἐπ' ἄλλῳ διεφθείρετο, καὶ λανθάνον ἐπερχόμενον τὸ δεινὸν, ὀξεῖαν τὴν τελευτὴν ἐπέφερε. τῶν μὲν αἰφνιδίως μετ' ἀλγημάτων σφοδρῶν καὶ πικρᾶς ὀδύνης τὴν ψυχὴν ἀφιέντων. ἐνίων δὲ καὶ μαραινομένων τοῖς παθήμασι, καὶ μηδ' εἰς κηδείαν ὑπολειπομένων, ἀλλ' ἐν αὐτῷ τῷ κάμνειν, εἰς τὸ παντελὲς δαπανωμένων.

οἱ δ' αἰφνίδιον σκότους αὐτοῖς τὰς ὄψεις ὑποδραμόντος, προσπνιγεὶς ἀπῴμωζον. ἔνιοι δὲ, τῶν οἰκείων τινὰ κηδεύοντες, συναπέθνησκον ἀτελέσι ταῖς ταφαῖς. ἀπώλοντο δ' ἀρξαμένης ἕωθεν τῆς λοιμικῆς νόσου φθείρειν αὐτοὺς, ἕως ὥρας ἀρίστου, μυριάδες ἑπτά. ἐξέτεινε δὲ ὁ ἄγγελος τὴν χεῖρα ἐπὶ τὰ ἱεροσόλυμα, τὸ δεινὸν κἀκεῖσε πέμπων. ὁ δὲ βασιλεὺς σάκκον ἐνδεδυμένος ἔκειτο κατὰ τῆς γῆς, ἱκετεύων τὸν θεὸν καὶ δεόμενος ἤδη λωφῆσαι, καὶ τοῖς ἀπολωλόσιν ἀρκεσθέντα παύσασθαι. ἀναβλέψας δ' εἰς τὸν ἀέρα ὁ βασιλεὺς, καὶ θεασάμενος τὸν ἄγγελον δι' αὐτοῦ φερόμενον ἐπὶ τὰ ἱεροσόλυμα, καὶ μάχαιραν ἐσπασμένον, εἶπε πρὸς τὸν θεὸν, ὡς αὐτὸς εἴη δίκαιος κολασθῆναι ὁ ποιμὴν, τὰ δὲ ποίμνια σώζεσθαι μηδὲν ἐξαμαρτόντα. καὶ ἠντιβόλει τὴν ὀργὴν εἰς αὐτὸν καὶ τὴν γενεὰν αὐτοῦ πᾶσαν ἀποσκήπτειν, φείδεσθαι δὲ τοῦ λαοῦ. κατακούσας δὲ ὁ θεὸς τῆς ἱκετείας, ἔπαυσε τὸν λοιμόν. καὶ πέμψας γάδον τὸν προφήτην, ἐκέλευσεν αὐτὸν ἀναβῆναι παραχρῆμα εἰς τὴν ἅλω τοῦ ἰεβουσαίου ὀροννᾶ, καὶ οἰκοδομήσαντα βωμὸν ἐκεῖ τῷ θεῷ θυσίας ἐπιτελέσαι. δαβίδης δ' ἀκούσας, οὐκ ἠμέλησεν, ἀλλ' εὐθὺς ἔσπευσεν ἐπὶ τὸν παρηγγελμένον αὐτῷ τόπον. ὀροννᾶ δὲ τὸν σῖτον ἀλοῶν, ἐπεὶ τὸν βασιλέα προσιόντα καὶ τοὺς παῖδας αὐτοῦ πάντας ἐθεάσατο, προσέδραμεν αὐτῷ καὶ προσεκύνησεν. ἦν δὲ, τὸ μὲν γένος, ἰεβουσαῖος, φίλος δ' ἐν τοῖς μάλιστα δαβίδου. καὶ διὰ τοῦτ' αὐτὸν οὐδὲν εἰργάσατο δεινὸν, ὅτε τὴν πόλιν κατεστρέψατο ὡς μικρῷ ἔμπροσθεν ἐδηλώσαμεν. τοῦ δὲ ὀροννᾶ πυθομένου τί πάρεστι πρὸς τὸν δοῦλον ὁ δεσπότης, εἶπεν ὠνήσασθαι παρ' αὐτοῦ τὴν ἅλω, ὅπως βωμὸν ἐν αὐτῇ κατασκευάσῃ τῷ κυρίῳ, καὶ ποιήσῃ θυσίαν. ὁ δὲ, καὶ τὴν ἅλω εἶπε, καὶ τὰ ἄροτρα καὶ τοὺς βόας εἰς ὁλοκαύτωσιν χαρίζεσθαι, καὶ τὸν θεὸν ἡδέως εὔχεσθαι τὴν θυσίαν προσέσθαι. ὁ δὲ βασιλεὺς, ἀγαπᾶν μὲν αὐτὸν τῆς ἁπλότητος καὶ τῆς μεγαλοψυχίας ἔλεγε, καὶ δέχεσθαι τὴν χάριν. τιμὴν δ' αὐτὸν ἠξίου λαμβάνειν πάντων, οὐ γὰρ εἶναι δίκαιον προῖκα θυσίαν ἐπιτελεῖν. τοῦ δὲ ὀροννᾶ φήσαντος ποιεῖν ὅτι βούλεται, πεντήκοντα σίκλων ὠνεῖται παρ' αὐτοῦ τὴν ἅλω. καὶ ᾠκοδομήσας τὸν βωμὸν, ἱερούργησε καὶ ὡλοκαύτωσε, καὶ θυσίας ἀνήνεγκεν εἰρηνικάς. καταπραΰνεται δὲ τούτοις τὸ θεῖον, καὶ πάλιν εὐμενὲς γίνεται. συνέβη δ' εἰς ἐκεῖνον ἀγαγεῖν τὸν τόπον ἄβραμον τὸν υἱὸν αὐτοῦ ἴσακον ὥς τε ὁλοκαυτῶσαι, καὶ μέλλοντος ἀποσφάττεσθαι τοῦ παιδὸς κριὸν ἐξαίφνης ἀναφανῆναι παρεστῶτα τῷ βωμῷ, ὃν καὶ κατέθυσεν ὁ ἄβραμος, ἀντὶ τοῦ παιδὸς ὡς προειρήκαμεν. ὁρῶν δ' ὁ βασιλεὺς δαβίδης, τῆς εὐχῆς αὐτοῦ τὸν θεὸν ἐπήκοον γεγενημένον, καὶ τὴν θυσίαν ἡδέως προσδεξάμενον, ἐκέλευε τὸν τόπον ἐκεῖνον ὅλον βωμὸν προσαγορεῦσαι τοῦ λαοῦ παντὸς, καὶ οἰκοδομῆσαι ναὸν τῷ θεῷ. ταύτην εὐστόχως ἀφῆκεν εἰς τὸ γενησόμενον τὴν φωνήν. ὁ γὰρ θεὸς τὸν προφήτην ἀποστείλας πρὸς αὐτὸν, ἐκεῖ ναὸν ἔλεγεν οἰκοδομήσειν αὐτοῦ τὸν υἱὸν, τὸν μέλλοντα μετ' αὐτὸν τὴν βασιλείαν διαδέχεσθαι. μετὰ δὲ ταύτην τὴν προφητείαν ἐκέλευσεν ὁ βασιλεὺς ἐξαριθμηθῆναι τοὺς παροίκους, καὶ

nonnulli interim dum aliquem domesticorum funerant, sepultura nondum absoluta commoriebantur. quo factum est vt à matutina hora vsque ad prandium hac peste septuaginta millia hominum sint absumpta. iámque genius à Deo missus Hierosolyma petebat, eam quoque vrbē simili malo afflicturus. Tum rex saccum indutus & humi prostratus, supplex orabat Deum vt pestem sedaret, & iam mortuis contentus de cætero quiesceret. inter has preces sublatis oculis, cernens genium per aerem stricto gladio Hierosolyma petentem, exclamat ad Deum: se esse pastorem pœna dignum, ceterùm greges nihil commeruisse. Effunderet iram in se ac suā familiam, & innocenti populo parceret. Deus autem admissa supplicatione pestem repulit: missóque ad eum Gado propheta, mandauit vt confestim ascenderet in aream Oronnæ Iebusæi, & extructo altari, inibi sacrificaret: qui mādatum hoc non neglexit, sed mox ad destinatū locum se contulit. Oronna verò circa trituram frugum occupatus, vt regem vnà cum omnib[us] filiis peraccedentem vidit, occurrens adorauit eum. Erat autem genere quidem Iebusæus, sed inter præcipuos amicos Dauidis: quę causa fuit vt capta vrbe nihil illi molestū acciderit, quēadmodum superiùs diximus. Hoc percontante, quamobrem herus ad seruum accederet, ait se velle aream eius emere, vt in ea domino altare construeret, & sacra faceret. at ille & aream & aratra & boues & holocautomata gratis largiri se dixit, precarísque vt Deus libens ac propitius hoc sacrificium admittat. Rex verò gratam sibi eius simplicitatem ac magnanimitatem professus, voluit vt preciumacciperet. Iniquum enim esse de gratuitis offerre sacrificium. Orōna verò dicente facturum se quicquid rex vellet, aream hanc de eo quinquaginta siclis emit. extructóque ibi altari, sacrificia & holocautomata super eo perfecit, & hostias pacificas obtulit. quo festo Deus placatus, propitius, vt antè, est redditus. Erat autem is locus in quem olim Abrahamus filium vt holocautoma faceret adduxerat, & cùm iamiam iugulādus esset puer, aries repentè astans altari apparuerat: qui pueri vice fuerat mactatus, vt iam antè scripsimus. Dauid autem cùm animaduertisset se exauditū, & gratum fuisse sacrificium, decreuit totum illum locum altare vniuersi populi appellare, & Deo templum ibi exædificari: quam eius vocē Deus in futurum ratam esse voluit. mox enim propheta ad eum misso, illic templum extruendum prædixit à filio, quem regni successorem esset relicturus.

XIV. Post hanc prophetiam iussit rex numerari inquilinos, & inuenta sunt eorum centum octoginta millia. ex his constituit lapicidarum octoginta millia: reliquos ad conuehēdos lapides deputauit, ex quibus tria millia & quingentos operariis præfecit. magnam quoq. vim ferri ac ęris ad horum operum vsum congessit, materiémque cedrinam multam & prægrādē,

εὑρέθησαν εἰς ὀκτὼ μυριάδας καὶ δέκα. ἐκ τούτων ἀπέδειξε λατόμους μὲν τοὺς ὀκτακισμυρίους. τὸ δὲ ἄλλο πλῆθος, παραφέρειν τοὺς λίθους. καὶ τρισχιλίους δὲ καὶ πεντακοσίους τοῖς ἐργαζομένοις ἐξ αὐτῶν ἐπέστησεν. ἡτοίμασε δὲ καὶ πολὺν σίδηρον καὶ χαλκὸν εἰς τὰ ἔργα, καὶ ξύλα κέδρινα πολλὰ καὶ παμμεγεθέστατα,

Tyriis & Sidoniis hanc suppeditantibus, à quibus huius copiam impetrauerat, dicebátque suis amicis, hæc ideò se apparare, vt filio successura materiam ad ædificandum relinqueret, & non tum demum eam comportare necesse habeat, adhuc per ætatem rudis talium negotiorum, sed omnibus in promptu sitis facilè opus persoluat.

Cap. XI.

Dauid se viuente Solomonem filium suum regnum auspicari voluit.

Accito deinde Solomoni filio mandauit, vt quamprimùm regnū adeptus esset, templum Deo construeret, dicens, se id voluisse quidem, sed oraculo prohibitum, quòd propter crebra bella cruentus haberetur: prædictúmque sibi id ædificium à fatis destinatum filiorum natu minimo, qui Solomon esset appellandus: quem non aliter quàm filium patri, ipsi Deo curæ futurum: atque etiam totam Hebræorum regionem hoc principe felicem fore, & inter cætera bona, id quod omnium est potissimum, pacem habituram, vtpote alienam nō tantum ab externis bellis, verùm etiam ab intestinis seditionibus. Ergo, inquit, quandoquidē à Deo designatus es rex, antequam natus, da operam vt alioquin etiam dignus sis eius prouidentia, pietatem colens, & iustitiam atque fortitudinem, & pręcepta eius legésque per Moysem traditas obseruans, & ab aliis eas violari non permittens: & insuper templum, quod te regnante strui sibi voluit, cura vt sicut debes ei reddas, nihil deterritus operis magnitudine. omnia enim ante obitum parata tibi relinquā. Scito sanè auri quidem collecta decem millia, argēti verò talentorum centum millia: æris itē ac ferri tantum congessi, quantum vix numero comprehēdi possit: & adhæc lapidum ac lignorum materiam copiosissimam. Habes præterea multa millia fabrorum lignariorum & cæmentariorum: & si quid his defuerit, tu supplebis. Quapropter hoc opere absoluto carus eris Deo, cúmque perpetuum protectorem habebis. Post hæc adhortatus est principes populi, vt in ea structura filium adiutarent, & securi de omnibus aduersantibus, cultui tantùm diuino vacarent, percepturos enim pro hoc pacem & bonū ac legitimum reipublicæ statum, quæ præmia piis ac iustis Deus solet reddere. Postquam autē absolutum fuerit templum, iussit arcam in eo reponi, cæterámque sacram supellectilē, cuius receptaculo iam pridem templum debuerat extrui, nisi patres mādatum Dei neglexissent, qui præceperat vt quamprimùm hostilem terram occupassent, tēplū illi exædificarent. Hæ fuerūt Dauidis adhortationes, tā ad filiū, quā ad principes. Pręgrauatē aūt iā senio, & corpore per ætatē frigescēte, alsiosus factus est, vt ne iniectis quidem multis stragulis calefieret: cúmque ex cōmuni medicorū cōsilio decretū esset, vt lectissima è formosis totius regionis virginib. cū rege cubaret: hoc.n. fore cōtra frigus remediū, fouēte eum puella inuēta est in vrbe vna fœmina omniū eius ætatis pulcherrima, Abisace nomine, quę cū rege cubitās, nihil aliud quā recalfaciebat eū: iā enim præ senio ad venereas res elāguerat. sed de hac virgine paulo pòst incidet

XV.
2. Reg. 1.

τυρίων αὐτῷ ταῦτα πεμπόντων καὶ σιδωνίων. ἐπέστελλε γὰρ αὐτοῖς τὴν τῶν ξύλων χορηγίαν, πρός τε τοὺς φίλους ἔλεγε ταῦτα παρασκευάζεσθαι νῦν, ἵνα τῷ μέλλοντι παιδὶ βασιλεύειν μετ' αὐτὸν, ἑτοίμην τὴν ὕλην τῆς οἰκοδομίας τοῦ ναοῦ καταλείπῃ, καὶ μὴ τότε συμπορίζῃ νέος ὢν, καὶ τῶν τοιούτων ἄπειρος διὰ τὴν ἡλικίαν, ἀλλὰ παρακειμένην ἔχων, ἐπιτελῇ τὸ ἔργον.

Κεφάλαιον ια'.

Ὡς δαβίδης ἔτι περιὼν σολομῶνα τὸν υἱὸν ἀπέδειξεν βασιλέα.

Καλέσας δὲ τὸν παῖδα σολομῶνα, κατασκευάσαι τὸν ναὸν αὐτὸν τῷ θεῷ ἐκέλευσε διαδεξάμενον τὴν βασιλείαν. λέγων, ὡς αὐτὸν βουλόμενον κωλύσειεν ὁ θεὸς, αἵματι καὶ πολέμοις πεφυρμένον. προείποι δ' ὅτι σολομὼν οἰκοδομήσοι τὸν ναὸν αὐτῷ, παῖς νεώτατος, καὶ τοῦτο κληθησόμενος τοὔνομα, οὗ προνοήσειν μὲν αὐτὸς ὡς πατὴρ ἐπηγγέλλετο. τὴν δ' ἑβραίων χώραν, εὐδαίμονα καταστήσειν ἐπ' αὐτοῦ, τοῖς τε ἄλλοις ἀγαθοῖς καὶ δὴ τῷ μεγίστῳ πάντων εἰρήνῃ καὶ πολέμων ἀπαλλαγῇ καὶ στάσεων ἐμφυλίων. σὺ τοίνυν, ἐπεὶ πρὸ τῆς γενέσεως ἀπεδείχθης βασιλεὺς ὑπὸ τοῦ θεοῦ, πειρῶ τά τε ἄλλα γίνεσθαι τῆς τούτου προνοίας ἄξιος, εὐσεβὴς ὢν καὶ δίκαιος καὶ ἀνδρεῖος, καὶ τὰς ἐντολὰς αὐτοῦ καὶ τοὺς νόμους, οὓς διὰ μωυσέως ἡμῖν ἔδωκε, φύλαττε, καὶ τοῖς ἄλλοις μὴ παραβαίνειν ἐπίτρεπε. τὸν δὲ ναὸν ὃν ὑπὸ σοῦ βασιλεύοντος, εἵλετο αὐτῷ γενέσθαι, σπούδασον ἀποδοῦναι τῷ θεῷ, μὴ καταπλαγεὶς τὸ μέγεθος τοῦ ἔργου, μηδὲ ἀποδειλιάσας πρὸς αὐτό. πάντα γάρ σοι, πρὸ τῆς ἐμαυτοῦ τελευτῆς ἕτοιμα ποιήσω. γίνωσκε δὴ, χρυσοῦ μὲν τάλαντα συνειλεγμένα, μύρια. δέκα δὲ ἀργυρίου μυριάδας ταλάντων. χαλκὸν δὲ καὶ σίδηρον, ἀριθμοῦ πλείονα συντέθεικα. ξύλων δὲ καὶ λίθων, ὕλην ἄφθονον. ἔχεις δὲ καὶ λατόμων πολλὰς μυριάδας καὶ τεκτόνων. ἂν δέ τι τούτοις σοι προσδέῃ, σὺ προσθήσεις. γινομένου τοίνυν τούτου, ἄριστος ἔσῃ τῷ θεῷ αὐτὸν ἔχων προστάτην. προσπαρεκελεύσατο δὲ καὶ τοὺς ἄρχοντας τοῦ λαοῦ, τῆς οἰκοδομίας συλλαβέσθαι τῷ παιδὶ, καὶ πάντων ἀδεεῖς ὄντας τῶν κακῶν, περὶ τὴν τοῦ θεοῦ θρησκείαν ἀσχολεῖν. καρπώσεσθαι γὰρ αὐτοὺς ἀντὶ τούτων εἰρήνην καὶ εὐνομίαν, οἷς ἀμείβεται τοὺς εὐσεβεῖς καὶ δικαίους ὁ θεὸς ἀνθρώπους. οἰκοδομηθέντος δὲ τοῦ ναοῦ, τὴν κιβωτὸν ἀποθέσθαι προσέταξε, καὶ τὰ ἅγια σκεύη, πρὸ πολλοῦ ναὸν ὀφείλοντα ἔχειν, εἰ τῶν ἐντολῶν τοῦ θεοῦ μὴ παρήκουσαν ἡμῶν οἱ πατέρες, ἐντειλαμένου μετὰ τὸ τὴν γῆν ταύτην κατασχεῖν, οἰκοδομῆσαι ναὸν αὐτῷ. ταῦτα μὲν πρὸς τοὺς ἡγεμόνας ὁ δαβίδης καὶ τὸν υἱὸν αὐτοῦ διελέχθη. πρεσβύτερος δὲ ὢν ἤδη, καὶ τοῦ σώματος αὐτῷ ψυχομένου διὰ τὸν χρόνον, δυσριγὴς ὑπῆρχεν, ὡς μηδ' ὑπὸ τῆς ἐπιβολῆς ἐκ πολλῶν ἱματίων γινομένης ἀναθερμαίνεσθαι. συνελθόντων δὲ τῶν ἰατρῶν, καὶ συμβουλευσάντων, ὅπως ἐξ ἁπάσης τῆς χώρας εὐειδὴς ἐπιλεχθεῖσα παρθένος συγκαθεύδῃ τῷ βασιλεῖ, τοῦτο γὰρ αὐτῷ πρὸς τὸ ῥῖγος ἔσεσθαι βοήθημα, θαλπούσης αὐτὸν τῆς κόρης, εὑρίσκεται ἐν πόλει γυνὴ μία πασῶν τὸ εἶδος ἀρίστη γυναικῶν, ἀβισάκη τοὔνομα. ἣ συγκοιμωμένη τῷ βασιλεῖ, συνεθέρμαινεν αὐτὸν μόνον. ὑπὸ γὰρ γήρως ἦν πρὸς τὰ ἀφροδίσια καὶ γυναικὸς ὁμιλίαν ἀσθενής. ἀλλὰ περὶ μὲν ταύτης τῆς παρθένου, μετ' ὀλίγον δηλώσομεν. ὁ δὲ τέταρτος

παρτος υἱὸς δαβίδου, νεανίας εὐειδὴς καὶ μέγας, ἐκ γυναικὸς αὐτῷ ἀγιθῆς γεγονὼς, ἀδωνίας δὲ προσαγορευόμενος, ἐμφερὴς ὢν ἀψεσαλώμῳ τὴν διάνοιαν, αὐτὸς ὡς βασιλεύσων ὑπῆρτο. καὶ πρὸς τοὺς φίλους ἔλεγεν, ὡς τὴν ἀρχὴν αὐτὸν δεῖ παραλαβεῖν. κατεσκεύασε δὲ ἅρματα πολλὰ, καὶ ἵππους, καὶ πεντήκοντα ἄνδρας τοὺς προδρόμους. ταῦθ' ὁρῶν ὁ πατὴρ, οὐκ ἐπέπληττεν, οὐδ' ἐπεῖχεν αὐτὸν τῆς προαιρέσεως, οὐδὲ μέχρι τοῦ πύθεσθαι διὰ τί ταῦτα πράττειν προήχθη. συνεργοὺς δ' εἶχεν ἀδωνίας, τὸν στρατηγὸν ἰώαβον, καὶ τὸν ἀρχιερέα ἀβιαθάρην. μόνοι δ' ἀντέπραττον, ὅ τε ἀρχιερεὺς σάδωκος, καὶ ὁ προφήτης νάθαν, καὶ βαναίας ὁ ἐπὶ τῶν σωματοφυλάκων, καὶ σεμεῒς, ὁ δαβίδου φίλος, καὶ πάντες οἱ ἀνδρειότατοι. τοῦ δὲ ἀδωνία παρασκευασαμένου δεῖπνον ἔξω τῆς πόλεως, παρὰ τὴν πηγὴν τὴν ἐν τῷ βασιλικῷ παραδείσῳ, καὶ πάντας καλέσαντος τοὺς ἀδελφοὺς χωρὶς σολομῶνος, παραλαβόντος δὲ καὶ τὸν στρατηγὸν ἰώαβον, καὶ ἀβιάθαρον, καὶ τοὺς ἄρχοντας τῆς ἰούδα φυλῆς, τοὺς δὲ περὶ τὸν ἀρχιερέα καὶ νάθαν τὸν προφήτην, καὶ τὸν ἐπὶ τῶν σωματοφυλάκων βαναίαν, καὶ πάντας τοὺς ἐκ τῆς ἐναντίας αἱρέσεως, οὐκ ἐκάλεσεν ἐπὶ τὴν ἑστίασιν. τοῦτο πρὸς τὴν σολομῶνος κατεμήνυσε μητέρα βεθσαβὴν, νάθαν ὁ προφήτης, ὡς ἀδωνίας βασιλεύς ἐστι, καὶ τοῦτ' ἀγνοεῖ δαβίδης. συνεβούλευέ τε σώζειν αὑτὴν, καὶ τὸν παῖδα σολομῶνα βασιλεύειν. μεταξὺ δ' ἀδωνίας τὴν ἀρχὴν ἤδη παραλάβοι. ταῦτα δὲ τῷ βασιλεῖ διαλεγομένης ὁ προφήτης ἐπεισελεύσεσθαι καὶ αὐτὸς ἔφησε, καὶ τοῖς λόγοις αὐτῆς ἐπιμαρτυρήσειν. ἡ δὲ βεθσαβὴ, πεισθεῖσα τῷ νάθαν, πάρεισι πρὸς τὸν βασιλέα. καὶ προσκυνήσασα, καὶ λόγον αἰτησαμένη, πάντ' αὐτῷ καθὰ ὁ προφήτης ὑπέθετο διεξέρχεται, τό τε δεῖπνον τοῦ ἀδωνία, καὶ τοὺς ὑπ' αὐτοῦ κεκλημένους ἀβιάθαρον τὸν ἀρχιερέα, καὶ ἰώαβον τὸν ἄρχοντα, καὶ τοὺς υἱοὺς αὐτοῦ χωρὶς σολομῶνος, καὶ τῶν ἀναγκαίων αὐτοῦ φίλων μηνύσασα. ἔλεγέ τε τὸν λαὸν ἀφορᾶν τίνα χειροτονήσει βασιλέα. παρεκάλει τε κατὰ νοῦν ἔχειν, ὥς τε μετὰ τὴν ἀπαλλαγὴν αὐτοῦ βασιλεύσας, αὐτήν τε καὶ σολομῶνα τὸν υἱὸν αὐτῆς ἀναιρήσει. διαλεγομένης δ' ἔτι τῆς γυναικὸς, ἤγγειλαν οἱ τοῦ δωματίου παρεστῶτες, ὅτι βούλεται νάθας ἰδεῖν αὐτόν. τοῦ δὲ βασιλέως ἐκδέξασθαι κελεύοντος εἰσελθὼν, εἰ τήμερον ἀποδείξειε τὸν ἀδωνίαν βασιλέα, καὶ παραδοίη τὴν ἀρχὴν ἐπυνθάνετο. λαμπρὸν γὰρ αὐτὸν ποιήσαντα δεῖπνον, κεκληκέναι τοὺς υἱοὺς αὐτοῦ πάντας χωρὶς σολομῶνος, καὶ τὸν στρατηγὸν τὸν ἰώαβον, οἳ μετὰ κρότου καὶ παιδιᾶς εὐωχούμενοι πολλὴν αἰώνιον αὐτῷ συνεύχονται τὴν ἡγεμονίαν. ἐκάλεσέ τε οὔτε ἐμὲ, οὔτε τὸν ἀρχιερέα σάδωκον, οὔτε βαναίαν τὸν ἐπὶ τῶν σωματοφυλάκων. δίκαιον δ' ἐστὶ ταῦτα γινώσκειν ἅπαντας, εἰ κατὰ τὴν σὴν γνώμην ἐγένετο. ταῦτα τοῦ νάθα φήσαντος ὁ βασιλεὺς ἐκέλευσε καλέσαι τὴν βεθσαβὴν πρὸς αὐτόν. ἐκκεχωρήκει γὰρ ἐκ τοῦ δωματίου, τοῦ προφήτου παραγινομένου. τῆς δὲ γυναικὸς ἐλθούσης, ὄμνυμί σοι, φησὶ, τὸν μέγιστον θεὸν, ἦ μὴν τὸν υἱόν σου σολομῶνα βασιλεύσειν, ὡς καὶ πρότερον ὤμοσα, καὶ τὸν ἐπὶ τοῦ μοῦ καθῆσθαι θρόνου. καὶ τοῦτ' ἔσται σήμερον. προσκυνησάσης δ' αὐτὸν τῆς γυναικὸς, καὶ μακρὸν εὐξαμένης αὐτῷ βίον σάδωκον μεταπέμπεται τὸν ἀρχιερέα, καὶ βαναίαν τὸν ἐπὶ τῶν σωματοφυλάκων, καὶ παραγινομένων κελεύει παραλαβεῖν νάθαν τε τὸν προφήτην, καὶ τοὺς περὶ τὴν αὐλὴν ὁπλίτας ἅπαντας, καὶ ἀναβάσαντας τὸν υἱὸν

A mentio. Cæterùm quartus filius Dauidis iuuenis pulcher & magnus, ex vxore Ægistha ei natus, nomine Adonias, Abesalomo quod ad ambitionem attinet similis, de occupando regno cogitare cœpit, & cum amicis egit vt sibi principatum deferrent: parauítque sibi currus multos & equos, & quinquaginta viros stipatores: id quod pater vidés, nec obiurgauit cũ, nec cõpescuit, ac ne scitatus quidem est, quid sibi vellet talis apparatus. B Adiutores autem habebat Adonias Ioabum imperatorem & pontificem Abiatharum. Soli autem conatibus eius resistebant, pontifex Sadocus & propheta Nathan, & Banaias præfectus satellitum, & Semeis Dauidis amicus, & manus fortissimorum. Porrò Adonias paratis in suburbano epulis, ad fontem qui est in hortis regiis, & inuitatis illuc omnibus fratribus excepto Solomone, assumpsit secum & imperatorem Ioabum & Abiatharum & principes tribus Iudæ. C Eos verò qui pontificis & Nathanis prophetæ & Banaiæ satellitum præfecti partium erant, ad hoc conuiuium non vocauit. Hoc Solomonis matri Bethsabæ propheta Nathan indicauit, Adoniam regnare insciente Dauide: suasítque vt tam propriæ saluti quàm filij regnó consuleret: ingressáque ad Dauidem sola diceret ei, quòd ipse quidem iurasset post se regnaturum Solomonem, & interim Adonias regnum occupasset. Hæc loquenti cũ rege se quoque superuenturum propheta pollicitus est, & verbis eius testem futurum. D Paruit Bethsabe, & regem adiit. Quo adorato impetratáque dicendi copia, omnia sicut propheta submonuerat indicauit, exposuítque ordine quẽadmodum Adonias epulum adornauerit, & Abiatharum pontificem Ioabúmque principem exercitus vocauerit, & filios regios absque Solomone ac eius necessariis amicis. addebat etiã totum populum suspensum expectare, quémnam esset successorẽ declaraturus: vt cogitet rogans, quòd se defuncto mori necesse esset tam E ipsam quàm Solomonem filium. Adhuc ea loquente cubicularij nunciant Nathanem venisse vt regem viseret: statímque admissus percontabatur, num hodie regem declaret Adoniam, & principatum suum in illum transferat. Parato enim splendido conuiuio, vocatos ab eo filios eius omnes excepto Solomone; & præter hos Ioabum imperatorem: hos omnes suauiter epulantes cum plausu & alacritate faustis acclamationibus perpetuum imperium nouo regi F ominari. Sed neque me, inquit, vocauit, neque Sadocum põtificem aut Banaiam satellitio tuo præpositum. quare æquum est vt ab omnibus sciatur, num hæc gerantur ex tua sententia. His auditis rex iubet acciri Bethsaben, excesserat enim cubiculo propheta veniẽte. qua introgressa: Iuro, inquit, tibi maximum Deum, regnaturum tuum filium, vt iam antè iuraui, cúmq. in solio meo sessurum, idque hac ipsa die. G Ad quæ verba cùm mulier adorato rege longam ei vitam esset precata, Sadocum accersit pontificem & Banaiam præfectum satellitum: quibus mox venientibus iubet vt assumpto Nathane propheta & cohorte regia, impositóque filio ipsius Solomone in mulam regiam, extra

vrbem illum deducerent ad fontem qui vocatur Gion: vnctúmque ſacro oleo regem declararent. hoc autem munus Sadoco pontifici & Nathani prophetæ iniunxit: mandauítque vt inuecto per mediam vrbem præcinente tubicine proſequentium multitudo acclamaret: In æternum Solomon rex in ſolio regio ſedeat, vt notum fiat vniuerſo populo, regem eum à patre declaratum, Solomoni verò præcepta imperandi dedit, vt iuſtè ac piè præſit tum Iudæ tribui, tum vniuerſo Hebræorum populo. Poſt hæc Banaias Deum Solomoni propitium fieri precatus, cum cæteris ſine mora eum in regiam mulam imponit: & deductum extra vrbẽ ad fontem, oleóque vnctum, rurſum in eam cũ fauſtis acclamationibus introducunt, vt multos annos in hoc principatu feliciter exigat: móxque adductum in regiam in ſolio paterno collocant. quo facto populus totus ad conuiuia feſtiuitatémque animum aduertit, choris & tibiis ſeſe oblectatus, vt præ concentu inſtrumẽtorum terra ſimul ac aer reſonaret. Vt verò has voces Adonias & eius conuiuæ audiuêre, vehementer ſunt perturbati: & Ioabus imperator negauit ſibi placere vel ſonitum illum vel tubam. Cúmque nemo frueretur appoſitis, ſed omnes cogitabundi accumberent, accurrit ad eos pontificis Abiathari filius Ionathas: & cùm Adonias libenter viſum iuuenem bonum nuncium ominatus eſſet, ordine illis rem totam de Solomone & regis voluntatem expoſuit. quo audito proripiunt ſe omnes è conuiuio, & ſuã quiſque domum diffugiunt. Adonias autẽ veritus ne rex factum eius iniquo animo ferret, ſupplex ad altare confugit, & hoc apprehenſo ſe tutabatur. quod vbi ad Solomonem eſt perlatum, quódq; rogaret fidem ſibi dari de obliuione huius iniuriæ, & ſecuritate impunitatis: clementer ſimul ac prudenter præteriti quidẽ errati veniam ei conceſſit, ſed præmonito vt caueret in poſterum: alioqui ſi amplius aliquid nouare deprehenderetur, ipſum ſibi cauſam exitij futurum. miſit deinde qui illum ex aſylo educerent. qui cùm veniſſet, nouúmque regem adoraſſet: iuſſit eum domum ſuam abire nihil ſolicitũ, ac in reliquum curare vt vir bonus ſit, quandoquidem hoc ipſi maximè expediat. Dauid autem volens eum totius populi regem declarare, conuocat principes Hieroſolyma, vnà cum ſacerdotibus ac Leuitis, quibus recenſitis inuenit eorum qui trigeſimum annum excederent XXXVIII. millia: ex quibus deſignauit curatores ædificij templi ter mille ſupra viginti millia: iudices verò populi & ſcribas eorum ſex millia: ianitorũ verò domus Dei quatuor millia. tantundémque eorum qui hymnos Deo canerent, & inſtrumentis muſicis à Dauide, vt diximus, in hoc præparatis vterentur. Hos diuiſit in cognationes, & ſeparatis à reliqua tribu ſacerdotibus, vigintiquatuor eorum cognationes inuenit: ex Eleazari familia ſexdecim, ex Ithamari octo. inſtituítque vt vna cognatio miniſtraret Deo per dies octo, à ſabbato vſque ſabbatum: atque ita ſortitio facta eſt omnium cognationum in præſentia Dauidis & Sadoci ac Abiathari põtificum & omniũ prin-

αὐτοῦ σολομῶνα ἐπὶ τὴν βασιλικὴν ἡμίονον, ἔξω τῆς πόλεως ἀγαγεῖν ἐπὶ τὴν πηγὴν τὴν λεγομένην γιών. καὶ περιχρίσαντας τὸ ἅγιον ἔλαιον, ἀποδεῖξαι βασιλέα. τοῦτο δὲ ποιῆσαι προσέταξε σάδωκον τὸν ἀρχιερέα, καὶ νάθαν τὸν προφήτην, ἀκολουθοῦντάς τε προσέταξε διὰ μέσης τῆς πόλεως, τοῖς κέρασιν ἐπισαλπίζοντας βοᾶν, εἰς αἰῶνα τὸν σολομῶνα τὸν βασιλέα καθίσαι ἐπὶ τοῦ βασιλικοῦ θρόνου. ἵνα γνῷ πᾶς λαὸς ἀποδεδειγμένον αὐτὸν ὑπὸ τοῦ πατρὸς βασιλέα. σολομῶνι δ' ἐπέταλτο περὶ τῆς ἀρχῆς, ἵνα εὐσεβῶς καὶ δικαίως προστῇ τοῦ τῶν ἑβραίων ἔθνους παντὸς καὶ τῆς ἰούδα φυλῆς. βαναίας δὲ εὐξάμενος τὸν θεὸν σολομῶνι εὐμενῆ γενέσθαι, μηδὲ μικρὸν διαλειπόντες, ἀναβιβάζουσιν ἐπὶ τὴν ἡμίονον τὸν σολομῶνα. καὶ προαγαγόντες ἔξω τῆς πόλεως ἐπὶ τὴν πηγήν, καὶ τῷ ἐλαίῳ χρίσαντες εἰσῆγον εἰς τὴν πόλιν ἐπευφημοῦντες, καὶ τὴν βασιλείαν αὐτῷ γενέσθαι πολυχρόνιον εὐχόμενοι. καὶ παραγαγόντες εἰς τὸν οἶκον βασιλικόν, καθίζουσιν αὐτὸν ἐπὶ τοῦ θρόνου. καὶ πᾶς ὁ λαὸς ἐπ' εὐωχίαν εὐθὺς ἐτράπη καὶ ἑορτήν, χορεύων καὶ αὐλοῖς τερπόμενος, ὡς ὑπὸ τοῦ πλήθους τῶν ὀργάνων ἅπασαν περιηχεῖσθαι τὴν γῆν καὶ ἀέρα. ὡς δ' ᾔσθοντο τῆς βοῆς, ἀδωνίας τε καὶ οἱ παρόντες ἐπὶ τὸ δεῖπνον, ἐταράχθησαν. ὅ τε στρατηγὸς ἰώαβος ἔλεγεν οὐκ ἀρέσκεσθαι τοῖς ἤχοις οὐδὲ τῇ σάλπιγγι. παρακειμένου δὲ τοῦ δείπνου, καὶ μηδενὸς γευομένου, πάντων δ' ἐπ' ἐννοίας ὑπαρχόντων, εἰστρέχει πρὸς αὐτοὺς ὁ τοῦ ἀρχιερέως ἀβιαθάρου παῖς ἰωνάθης. τοῦ δ' ἀδωνία θεασαμένου τὸν νεανίαν ἡδέως, καὶ προσειπόντος ἀγαθὸν ἄγγελον, ἐδήλου πάντ' αὐτοῖς τὰ περὶ τὸν σολομῶνα, καὶ τὴν δαβίδου βασιλέως γνώμην. ἀναπηδήσαντες δ' ἐκ τοῦ συμποσίου ὅ τε ἀδωνίας καὶ οἱ κεκλημένοι πάντες ἔφευγον πρὸς ἑαυτοὺς ἕκαστοι. φοβηθεὶς δ' ἀδωνίας τὸν βασιλέα περὶ τῶν γεγονότων, ἱκέτης γίνεται τοῦ θυσιαστηρίου, ὃ δὴ προεῖχεν ἐλλαβόμενος. δηλοῦται τοῦτο σολομῶνι πεποιηκώς, καὶ πίστεις ἀξιῶν παρ' αὐτοῦ λαβεῖν, ὥς τε μὴ μνησικακῆσαι, μηδ' ἐργάσασθαι δεινὸν αὐτὸν μηδέν. ὁ δὲ ἡμέρως πάνυ καὶ σωφρόνως, τῆς μὲν τότε ἁμαρτίας αὐτὸν ἀφῆκεν ἀθῷον. εἰπὼν δ' εἰ ληφθείη τι πάλιν καινοτομῶν, ἑαυτῷ αἴτιον τῆς τιμωρίας ἔσεσθαι, καὶ πέμψας αὐτὸν ἀνίστησιν ἀπὸ τῆς ἱκετείας. ἐλθόντα δὲ πρὸς αὐτὸν καὶ προσκυνήσαντα, εἰς τὴν ἰδίαν οἰκίαν ἀπελθεῖν ἐκέλευσε μηδὲν ὑφορώμενον, καὶ τοῦ λοιποῦ παρέχειν αὐτὸν ἀγαθόν, ὡς αὐτῷ τοῦτο συμφέρον ἠξίου. βουλόμενος δὲ δαβίδης, παντὸς τοῦ λαοῦ ἀποδεῖξαι τὸν υἱὸν βασιλέα, συγκαλεῖ τοὺς ἄρχοντας εἰς ἱεροσόλυμα, καὶ τοὺς ἱερεῖς καὶ τοὺς λευΐτας. ἐξαριθμήσας δὲ τούτους πρῶτον, εὑρίσκει τῶν ἀπὸ τριάκοντα, τρισμυρίους ὀκτακισχιλίους, ἐξ ὧν ἀπέδειξεν ἐπιμελητὰς τῆς οἰκοδομίας τοῦ ναοῦ, δισμυρίους τετρακισχιλίους. κριτὰς δὲ τοῦ λαοῦ καὶ γραμματεῖς τούτων ἑξακισχιλίους, πυλωροὺς δὲ τετρακισχιλίους τοῦ οἴκου τοῦ θεοῦ. καὶ τοσούτους ὑμνῳδοὺς τοῦ θεοῦ, ᾄδοντας τοῖς ὀργάνοις οἷς δαβίδης κατεσκεύασε καθὼς προειρήκαμεν. διεμέρισε δ' αὐτοὺς κατὰ πατριάς, καὶ χωρίσας ἐκ τῆς φυλῆς τοὺς ἱερεῖς εὗρε τούτων εἴκοσι τέσσαρας πατριάς. καὶ ἐκ μὲν τῆς ἐλεαζάρου οἰκίας, ἑκκαίδεκα. ἐκ δὲ τῆς ἰθαμάρου ὀκτώ. διέταξε δὲ μίαν πατριὰν διακονεῖσθαι τῷ θεῷ, ἐπὶ ἡμέρας ὀκτώ, ἀπὸ σαββάτου, ἐπὶ σάββατον. καὶ οὕτως ἂν αἱ πατριαὶ πᾶσαι διεκληρώσαντο, δαυίδου παρόντος, καὶ σαδώκου καὶ ἀβιαθάρου παρόντων τῶν ἀρχιερέων, καὶ πάντων τῶν ἀρχόντων. καὶ ἡ πρώτη

μὲν

μὲν ἀναβᾶσα πατριὰ ἐγράφη πρώτη, ἡ δὲ δευτέρα ἀκολούθως ἄχρι τῶν εἴκοσι τεσσάρων. καὶ διέμενεν ἐπὶ τῆσδε ὁ μερισμὸς ἄχρι τῆς σήμερον ἡμέρας. ἐποίησε δὲ καὶ τῆς λευίτιδος φυλῆς εἴκοσι μέρη καὶ τέσσαρα. καὶ κληρωσαμένων κατὰ τὸν αὐτὸν ἀνέβησαν τρόπον ταῖς τῶν ἱερέων ἐφημερίσιν, ἐπὶ ἡμέραις ὀκτώ. τοῖς δ' ἀπογόνοις τοῦ μωυσέως ἐτίμησεν. ἐποίησε γὰρ αὐτοὺς φύλακας τῶν θησαυρῶν τοῦ θεοῦ, καὶ τῶν ἀναθημάτων ἃ συνέβη τοὺς βασιλεῖς ἀναθεῖναι. διέταξε δὲ πᾶσι τοῖς ἐκ τῆς λευίτιδος φυλῆς καὶ τοῖς ἱερεῦσι δουλεύειν νύκτα καὶ ἡμέραν τῷ θεῷ, καθὼς αὐτοῖς ἐπέστειλε μωυσῆς. μετὰ ταῦτα διεμέρισε πᾶσαν τὴν στρατιὰν εἰς δώδεκα μοίρας, σὺν ἡγεμόσι καὶ ἑκατοντάρχαις καὶ ταξιάρχαις. εἶχε δ' ἑκάστη τῶν μοιρῶν, δισμυρίους καὶ τετρακισχιλίους, ὧν ἐκέλευσε προσεδρεύειν κατὰ τριάκοντα ἡμέρας ἀπὸ τῆς πρώτης ἕως τῆς ὑστάτης σολομῶνι τῷ βασιλεῖ σὺν τοῖς χιλιάρχοις καὶ ἑκατοντάρχοις. κατέστησε δὲ καὶ ἄρχοντας ἑκάστης μοίρας, ὃν ἀγαθὸν ᾔδει καὶ δίκαιον, ἐπιτρόπους τε τῶν θησαυρῶν, καὶ κωμῶν, καὶ ἀγρῶν ἄλλους, καὶ κτηνῶν, ὧν οὐκ ἀναγκαῖον ἡγησάμην μνησθῆναι τῶν ὀνομάτων. ὡς δ' ἕκαστα τούτων κατὰ τὸν εἰρημένον διέταξε τρόπον, εἰς ἐκκλησίαν συγκαλέσας τοὺς ἄρχοντας τῶν ἑβραίων, καὶ τοὺς φυλάρχους, καὶ τοὺς ἡγεμόνας τῶν διαιρέσεων, καὶ τοὺς ἐπὶ πάσης πράξεως ἢ κτήσεως τοῦ βασιλέως τεταγμένους, στὰς ἐφ' ὑψηλοτάτου βήματος ὁ βασιλεὺς, ἔλεξε πρὸς τὸ πλῆθος· Ἀδελφοὶ καὶ ὁμοεθνεῖς, γινώσκειν ὑμᾶς βούλομαι, ὅτι ναὸν οἰκοδομῆσαι τῷ θεῷ διανοηθεὶς, χρυσόν τε πολὺν παρεσκευασάμην, καὶ ἀργυρίου ταλάντων μυριάδας δέκα. ὁ δὲ θεὸς ἐκώλυσέ με διὰ τοῦ προφήτου νάθαν, διά τε τοὺς ὑπὲρ ὑμῶν πολέμους καὶ τῷ φόνῳ τῶν ἐχθρῶν μεμιάνθαι τὴν δεξιάν. τὸν δὲ υἱὸν ἐκέλευσε τὸν διαδεξόμενον τὴν βασιλείαν κατασκευάσαι τὸν ναὸν αὐτῷ. νῦν οὖν ἐπεὶ καὶ τῶν προγόνων ἡμῶν ἰακώβου δυοκαίδεκα παίδων γενομένων, ἴστε τὸν ἰούδαν ἀποδειχθέντα βασιλέα, καὶ ἐμὲ τῶν ἀδελφῶν ἓξ ὄντων προκριθέντα καὶ τὴν ἡγεμονίαν λαβόντα παρὰ τοῦ θεοῦ, καὶ μηδένα τούτων δυσχεράναντα, οὕτως ἀξιῶ κἀγὼ τοὺς ἐμαυτοῦ παῖδας, μὴ στασιάζειν πρὸς ἀλλήλους σολομῶνος τὴν βασιλείαν παρειληφότος, ἀλλ' ἐπισταμένους ὡς ὁ θεὸς αὐτὸν ἐξελέξατο, φέρειν ἡδέως αὐτὸν δεσπότην. οὐ δεινὸν γὰρ θεοῦ θέλοντος οὐδ' ἀλλοφύλῳ κρατοῦντι δουλεύειν. χαίρειν δ' ἐπ' ἀδελφῷ ταύτης τυχόντι τῆς τιμῆς προσήκειν ὡς κοινωνοῦντας αὐτῆς. εὔχομαι δὴ τὰς ὑποσχέσεις τοῦ θεοῦ παρελθεῖν εἰς τέλος, καὶ τὴν εὐδαιμονίαν ταύτην ἀνὰ πᾶσαν τὴν χώραν σπαρῆναι, καὶ τὸν ἅπαντα ταύτῃ παραμένειν χρόνον, ἣν αὐτὸς ἐπηγγείλατο παρέξειν ἐπὶ σολομῶνος βασιλέως. ἔσται δ' αὐτὰ βέβαια, καὶ καλὸν ἕξει πέρας, ἂν εὐσεβῆ καὶ δίκαιον σαυτὸν καὶ φύλακα τῶν πατρίων παρέχῃς νόμων ὦ τέκνον. εἰ δὲ μὴ, τὰ χείρω προσδόκα, ταῦτα παραβαίνων. ὁ μὲν οὖν βασιλεὺς τούτους ποιησάμενος τοὺς λόγους ἐπαύσατο. τὴν δὲ διαγραφὴν καὶ τὴν διάταξιν τῆς οἰκοδομίας τοῦ ναοῦ, πάντων ὁρώντων ἔδωκε σολομῶνι, θεμελίων καὶ οἴκων καὶ ὑπερῴων, ὅσοι τε τὸ πλῆθος καὶ πηλίκοι τὸ ὕψος καὶ τὸ εὖρος γένοιντο, ὅσα τε σκεύη χρυσᾶ καὶ ἀργυρᾶ τούτων τὸν σταθμὸν ὥρισεν. πρὸς παρώρμησε δὲ

cipũ, & cuius prima sors exiit, descripta est cognatio prima, & post hãc secũda, deincépsque vsque vigesimam quartam: quæ quidem diuisio durat vsque in hodiernum diem. Leuiticã quoque tribum in partes vigintiquatuor diuisit: & sortitione facta, & illis quemadmodum sacerdotibus octoni ministerij dies obuenerunt. Præcipuus autem honos Moysis posteris est habitus. Constituit enim eos custodes thesaurorum Dei, & donariorum quę reges solẽt dedicare. instituítque vt vniuersa Leuitarum tribus & sacerdotes per suas quisque vices interdiu noctúq; circa cultum diuini numinis versarentur, sicut olim à Moyse præscriptum fuerat. Post hæc totas copias in duodecim partes digessit, eísque tribunos, centuriones & præfectos assignauit. continebat quæque pars millia vigintiquatuor: voluitque vt singulæ singulis mensibus stationem agerent circa regiam Solomonis, vnà cum tribunis suis ac centurionibus: & cuique suum ducem præfecit, virum iustum & spectatæ bonitatis. quin & thesauris & vicis & agris, eorúmque cultoribus, & armentis cum suis pastoribus præfectos attribuit, quos nominatim recensere necesse non habeo. Postquam autem omnia sicut diximus ordinauit, aduocatis in concionem magistratibus Hebræorum & tribuum principibus, & ducibus quos singulis exercitus sui partibus præposuerat, adhæc omnibus qui negotij & facultatibus regiis præerant, è suggestu celsiore in hũc modum multitudinem est allocutus: Fratres & populares, notum vobis esse volo, quòd cùm voluissem templum extruere, multum auri eum in vsum & argenti centum millia talentorum comparaui. sed Deus ipse per prophetam Nathanem me vetuit, eo quòd bellis quæ pro libertate vestra gessi, dextram hostili cruore contaminauerim: & filium meum regníque successorem templum sibi iussit extruere. Nunc igitur quandoquidem scitis quòd etiam maiores nostri Iacobi filij cùm duodecim essent, Iudas tamen consensu omnium principatũ obtinuit, & mihi cùm sex fratres essent, posthabitis illis Deum ad me regnum detulisse, nec eorũ quenquam id factum iniquè tulisse: ita ego quoque postulo, vt Solomone imperium consecuto, cęteri mei filij nec contra illum nec inter se inuicem seditiones agitẽt, sed scientes hunc diuinitus electum, libẽter eius dominio sint subiecti. Cùm enim æquum sit, si Deus ita velit, vel externos ferre dominos, quanto magis gratulari & fauere decet fratri, non secus quàm eiusdem honoris participes. Ego sanè nihil magis in votis habeo quàm vt promissiones Dei deducantur ad effectum, & felicitas quæ hanc regionem sub Solomonis regno manet, quamprimùm totam eam occupet, & in perpetuum in ea duret. Quod quidem dubio procul ita futurum est, & omnia rectè euenient, si te fili mi pietatis & iustitiæ, patriarúmque legum custodem geras: alioquin si hæ non seruentur, nihil nisi triste est expectandum. Hoc sermone finito inspectantibus omnibus Solomoni templi descriptionem ac formã dedit, in qua fundamenta & cellæ tam inferiores quàm superiores, earúmque numerus & quantitas ac capacitas designabatur: tum quo pondere quæque vasa tam aurea quàm argentea fieri deberent præfiniuit,

hortatúsque est eum vt summam diligentiam ad hoc opus adhiberet: simúlque principes & tribum Leuiticam, vt eum adiuuarēt, tum propter ætatem nondum sat maturam, tum quia diuinitus & ad regnum esset electus, & ad templum ædificandum, quam quidem fabricam nequaquam fore difficilem, præparata per se iam antè materia, multis auri talentis, plurimis item argenti, & trabibus fabrorúmque ac cæmentariorum multitudine, & smaragdis aliísque omnis generis gemmis. Postremò nunc se in hunc vsum ex proprio fisco erogare alia tria millia talentorum auri purissimi, ad exornandum adytum & currum Dei cherubinos, quos oporteret supra arcam stare eámque protegere. Postquam autem Dauid finem loquendi fecit, secuta est magna alacritas principum & sacerdotum, & tribus Leuiticæ, de suo quoque conferentium, & multa liberaliter ac magnificè pollicentium. obtulerunt enim se contributuros talentorum auri quinque millia, & stateres decem mille. argenti verò centum millia, ferri quoque talentorum multa millia. & si cui lapillus aliquis erat preciosus, afferebat & tradebat in thesauros reponendum: quorum curæ præpositus erat vnus è Moysis posteris nomine Ialus. Ea res magna voluptate affecit totum populum, & maximè Dauid visa principum ac sacerdotum reliquorúmque omnium promptitudine, elata voce Deum laudauit, patrem ac conditorem huius vniuersitatis appellitans, fabricatorémque rerum tam humanarum quàm diuinarum, & præsidem ac gubernatorem generis Hebræorum, eorúmque felicitatis & regni ab ipso sibi commissi. Post hæc precatus omni populo bona omnia, priuatímque filio mentem bonam & iustam, omníque virtute præditam, iussit vt populus quoque Deo laudes persolueret. Illi verò prostrati humi Deum adorauerunt: versi deinde ad Dauidem, pro omnibus ei bonis, quæ ipso regnante perceperant, gratias egerunt. Sequēti verò die sacrificia sunt instaurata, mille vitulis, mille arietibus, mille agnis in holocautoma oblatis: ad pacifica quoque sacrificia multis millibus victimarū mactatis: & tota ea die rex vnà cum omni populo festiuitati operam dedit: Solomónque denuò est inunctus & legitimus rex declaratus: simúlque Sadocus pontifex totius multitudinis designatus. Deducto deinde in regiam Solomone, & in solio paterno collocato, ex ea die in posterum obedientes ei fuerunt.

Cap. XII.

Mors Dauidis, & quantum filio ad structuram templi reliquerit.

XVI. 3. Reg. 2.

Pavlo autem pòst Dauid accedente ad senium morbo, videns iam instare sibi mortem, accito Solomone sic illum est affatus: Ego, fili, fato vocante ad patres meos abeo, & viam omnibus qui nunc sunt, quíve pòst erunt communem ingredior, quam remetiri non licebit, nec quid in hac vita geratur reuisere. Quapropter viuens adhuc & morti vicinus iterum atque iterum te moneo quæ & antè consului, vt iustus sis erga subditos, & pius erga Deū, qui te hoc regno cohonestauit: vtq; custodias præcepta eius & leges, quas nobis per Moysē demisit:

A καὶ λόγοις αὐτὸν πάσῃ χρήσασθαι προθυμίᾳ περὶ τὸ ἔργον. καὶ τοὺς ἄρχοντας καὶ τὴν τῶν λευιτῶν φυλὴν, συναγωνίσασθαι, διά τε τὴν ἡλικίαν, καὶ διὰ τὸ τὸν θεὸν ἐκεῖνον ἐλέσθαι τῆς οἰκοδομίας τοῦ ναοῦ, καὶ τῆς βασιλείας προστάτην. οὐ μὴν δὲ αὐτοῖς καὶ οὐ σφόδρα ἐπίπονον τὴν οἰκοδομίαν ἀπέφηνεν αὐτοῦ. πολλὰ μὲν τάλαντα χρυσίου, πλείω δὲ ἀργυρίου καὶ ξύλα καὶ τεκτόνων πλῆθος καὶ λατόμων ἤδη παρασκευασαμένου, σμαράγδου τε καὶ πάσης ἰδέας λίθου πολυτελοῦς. B καὶ νῦν δὲ ἐπὶ τῆς ἰδίας ἀρχῆς διακονίᾳ καὶ ἄλλα τρισχίλια τάλαντα χρυσοῦ καθαροῦ παρέξειν ἔλεγεν εἰς τὸ ἄδυτον, καὶ εἰς τὸ ἅρμα τοῦ θεοῦ τοὺς χερουβεῖς, οὓς ἐφεστάναι δεήσει τὴν κιβωτὸν καλύπτοντας. σιωπήσαντος δαβίδου, πολλὴ καὶ τῶν ἀρχόντων καὶ τῶν ἱερέων καὶ τῆς λευΐτιδος φυλῆς προθυμία συμβαλλομένων, καὶ ποιουμένων ἐπαγγελίας λαμπρὰς καὶ μεγαλοπρεπεῖς ἐγένετο. χρυσίου μὲν γὰρ ὑπέστησαν εἰσοίσειν τάλαντα πεντακισχίλια. καὶ στατῆρας μυρίους. ἀργυρίου δὲ C μυρία τάλαντα. καὶ σιδήρου μυριάδας ταλάντων πολλάς. καὶ εἴ τινι λίθος ἦν πολυτελὴς, ἐκόμισε καὶ παρέδωκεν εἰς τοὺς θησαυρούς. ὧν ἐπεστάτευσεν ὁ μωυσέως ἔκγονος ἴαλος. ἐπὶ τούτοις, ἥσθη τε ὁ λαὸς ἅπας. καὶ δαβίδης τὴν σπουδὴν καὶ τὴν φιλοτιμίαν τῶν ἀρχόντων καὶ ἱερέων, καὶ τῶν ἄλλων ἁπάντων ὁρῶν καὶ τὸν θεὸν εὐλόγει. ἤρξατο μεγάλῃ βοῇ, πατέρα τε καὶ γένεσιν τῶν ὅλων ἀποκαλῶν, καὶ δημιουργὸν ἀνθρωπίνων καὶ θείων, οἷς αὐτὸς ἐκόσμησεν προστάτην τε καὶ κηδεμόνα γένους ἑβραίων καὶ τῆς D τούτων εὐδαιμονίας, ἧς τε αὐτῷ βασιλείας ἔδωκεν. ἐπὶ τούτοις εὐξάμενος τῷ τε παντὶ λαῷ τὰ ἀγαθὰ, καὶ τῷ παιδὶ σολομῶνι διάνοιαν ὑγιῆ καὶ δικαίαν, καὶ πᾶσι τοῖς τῆς ἀρετῆς μέρεσιν ἐρρωμένην, ἐκέλευσε καὶ τὸ πλῆθος εὐλογεῖν τὸν θεόν. καὶ οἱ μὲν πεσόντες ἐπὶ τὴν γῆν προσεκύνησαν. εὐχαρίστησαν δὲ καὶ δαβίδῃ περὶ πάντων ὧν αὐτοῦ τὴν βασιλείαν παραλαβόντος ἀπήλαυσαν. τῇ δὲ ἐπιούσῃ θυσίας τῷ θεῷ παρέστησαν, μόσχους χιλίους, καὶ E κριοὺς τοσούτους, καὶ χιλίους ἀμνούς, οὓς ὡλοκαύτωσαν. ἔθυσαν δὲ καὶ τὰς εἰρηνικὰς θυσίας, πολλὰς μυριάδας ἱερείων κατασφάξαντες. καὶ δι' ὅλης ἡμέρας ἑόρταζεν ὁ βασιλεὺς σὺν παντὶ τῷ λαῷ. καὶ σολομῶνα, δεύτερον ἔχρισαν τῷ ἐλαίῳ, καὶ ἀπέδειξαν αὐτὸν βασιλέα. καὶ σάδωκον, ἀρχιερέα τῆς πληθύος ἁπάσης. εἴς τε τὸ βασίλειον ἀγαγόντες σολομῶνα, καὶ καθίσαντες αὐτὸν ἐπὶ θρόνου τοῦ πατρῴου ἀπ' ἐκείνης τῆς ἡμέρας ὑπήκουον F αὐτῷ.

Κεφάλαιον ιβ'.

Τελευτὴ δαβίδου καὶ ὅσα τῷ παιδὶ εἰς τὴν οἰκοδομὴν τοῦ ναοῦ κατέλειπεν.

Μετ' ὀλίγον δὲ χρόνον, καὶ δαβίδης καταπεσὼν εἰς νόσον ὑπὸ γήρως, καὶ συνιδὼν ὅτι μέλλοι τελευτᾶν, καλέσας τὸν σολομῶνα, διελέχθη πρὸς αὐτὸν τοιάδε· ἐγὼ μὲν ὦ τέκνον, εἰς τὸ χρεὼν ἤδη καὶ πατέρας τοὺς G ἐμοὺς ἀπαλλάσσομαι, κοινὴν ὁδὸν ἁπάντων τῶν τε νῦν ὄντων καὶ τῶν ἐσομένων πορευόμενος, ἐξ ἧς οὐκέτι θ' οἷόν τε ἐπανελθόντα, γνῶναι τί κατὰ τὸν βίον πράττεται. διὸ ζῶν ἔτι, καὶ πρὸς αὐτῷ γεγονὼς ὄντως τὸ τελευτᾶν, παραινῶ σοι ταῦθ' ἃ καὶ πρότερον ἔφθην συμβουλεύσας, δίκαιον μὲν εἶναι πρὸς τοὺς ἀρχομένους, εὐσεβεῖ δὲ πρὸς τὸν τὴν βασιλείαν δεδωκότα θεόν. φυλάττειν δὲ αὐτοῦ τὰς ἐντολὰς καὶ τοὺς νόμους, οἷς αὐτὸς διὰ μωυσέως κατέπεμψεν ἡμῖν,

ἡμῶν, καὶ μήτε χάριτι, μήτε θωπείᾳ, μήτ' ἐπιθυμίᾳ μήτ' ἄλλῳ πάθει προστεθειμένον τούτων ἀμελήσῃς. τὴν γὰρ τοῦ θείου πρὸς σαυτὸν εὔνοιαν ἀπολεῖς, παραβὰς τὰ νόμιμα, καὶ πρὸς ἅπαντ' αὐτοῦ τὸ ἀγαθὸν ἀποστρέψεις πρόνοιαν. τοιοῦτον δέ σε αὐτὸν παρέχων, ὁποῖον εἶναί τε δεῖ, κἀγὼ δὲ παρακαλῶ, καθέξεις ἡμῶν τὴν βασιλείαν τῷ γένει, καὶ οἶκος ἄλλος Ἑβραίων οὐκ ἂν δεσπόσειεν, ἀλλ' ἡμεῖς αὐτοὶ διὰ τοῦ παντὸς αἰῶνος. μέμνησο δὲ καὶ τῆς Ἰωάβου τοῦ στρατηγοῦ παρανομίας, ἀποκτείναντος διὰ ζηλοτυπίαν δύο στρατηγοὺς δικαίους καὶ ἀγαθούς, Ἀβεννῆρον τὸν Νήρου παῖδα, καὶ τὸν Ἀμεσὰν υἱὸν Ἰεθεράνου. ὃν ὅπως ἄν σοι δόξῃ, τὸν θάνατον ἐκδίκησον, ἐπεὶ καὶ κρείττων ἐμοῦ καὶ δυνατώτερος Ἰώαβος ὢν, μέχρι νῦν τὴν δίκην διέφυγε. παρατίθημι δέ σοι, καὶ τοὺς Βερζελλᾶ τοῦ Γαλαδίτου παῖδας, οὓς ἐν τιμῇ πάσῃ καὶ προνοίᾳ τοῦτο ἐμοὶ χαριζόμενος ἕξεις. οὐ προκατάρχομεν γὰρ εὐποιίας, ἀλλ' ἀμοιβὴν ὧν ὁ πατὴρ αὐτῶν παρὰ τὴν φυγὴν ὑπῆρξέ μοι χρεολυτοῦμεν. καὶ τὸν Γηρᾶ δὲ υἱὸν Σεμεεὶν, τὸν ἐκ τῆς Βενιαμίτιδος φυλῆς, ὃς πολλὰ βλασφημήσας με παρὰ τὴν φυγὴν ὅτ' εἰς Παρεμβολὰς ἐπορευόμην, ἀπήντησε ἐπὶ τὸν Ἰόρδανον, καὶ πίστεις ἔλαβεν ὡς μηδὲν αὐτὸς παθεῖν τότε, νῦν ἐπιζητήσας αἰτίαν εὔλογον, ἀμυνοῦ. ταῦτα παραινέσας τῷ παιδὶ περί τε τῶν ὅλων πραγμάτων, καὶ περὶ τῶν φίλων, καὶ οὓς ᾔδει τιμωρίας ἀξίους γεγενημένους, ἀπέθανεν, ἔτη μὲν βιώσας ἑβδομήκοντα, βασιλεύσας δὲ ἑπτὰ μὲν ἐν Χεβρῶνι τῆς Ἰούδα φυλῆς καὶ μῆνας ἕξ, ἐν Ἱεροσολύμοις δὲ, ἁπάσης τῆς χώρας, τρία καὶ τριάκοντα. οὗτος ἄριστος ἀνὴρ ἐγένετο, καὶ πᾶσαν ἀρετὴν ἔχων ἣν ἔδει τῷ βασιλεῖ, καὶ τοσούτων ἐθνῶν σωτηρίαν ἐγκεχειρισμένῳ προσεῖναι. ἀνδρεῖός τε γὰρ ἦν, ὡς οὐκ ἄλλος τις, ἐν δὲ τοῖς ὑπὲρ τῶν ὑπηκόων ἀγῶσι, πρῶτος ἐπὶ τοὺς κινδύνους ὥρμα, τῷ πονεῖν καὶ μάχεσθαι παρακελευόμενος τοὺς στρατιώτας ἐπὶ τὰς πράξεις, ἀλλ' οὐχὶ τῷ προστάττειν ὡς δεσπότης, νοῆσαί τε καὶ συνιδεῖν καὶ περὶ τῶν μελλόντων, καὶ τὴν τῶν ἐνεστηκότων οἰκονομίας, ἱκανώτατος, σώφρων, ἐπιεικής, χρηστὸς πρὸς τοὺς ἐν συμφοραῖς ὑπάρχοντας, δίκαιος, φιλάνθρωπος, ἃ μόνοις ἐξαίρετα τοῖς βασιλεῦσιν εἶναι προσήκει. μηδὲν ὅλως παρὰ τοσοῦτο μέγεθος ἐξουσίας ἁμαρτὼν, ἢ τὸ περὶ τὴν Οὐρίου γυναῖκα. κατέλειπε δὲ καὶ πλοῦτον, ὅσον οὐκ ἄλλος βασιλεὺς, οὔθ' Ἑβραίων οὔτε τῶν ἄλλων ἐθνῶν. ἔθαψε δὲ αὐτὸν ὁ παῖς Σολομὼν ἐν Ἱεροσολύμοις διαπρεπῶς, τοῖς τε ἄλλοις οἷς περὶ κηδείαν νομίζεται βασιλικὴν ἅπασι, καὶ δὴ καὶ πλοῦτον αὐτῷ πολὺν καὶ ἄφθονον συνεκήδευσεν. ὧν τὴν ὑπερβολὴν τεκμήραιτ' ἄν τις ῥᾳδίως ἐκ τῶν λεχθησομένων. μετὰ γὰρ χρόνον ἐτῶν χιλίων καὶ τριακοσίων, Ὑρκανὸς ὁ ἀρχιερεὺς, πολιορκούμενος ὑπὸ Ἀντιόχου τοῦ εὐσεβοῦς ἐπικληθέντος, υἱοῦ δὲ Δημητρίου, βουλόμενος χρήματ' αὐτῷ δοῦναι, ὑπὲρ τοῦ λῦσαι τὴν πολιορκίαν, καὶ τὴν στρατιὰν ἀπαγαγεῖν, καὶ ἄλλοθεν οὐκ εὐπορῶν, ἀνοίξας οἶκον τῶν τοῦ Δαβίδου μνημάτων, καὶ βαστάσας τρισχίλια τάλαντα μέρος ἔδωκεν Ἀντιόχῳ, καὶ διέλυσεν οὕτως τὴν πολιορκίαν, καθὼς καὶ ἐν ἄλλῳ δεδηλώκαμεν. μετὰ δὲ τοῦτο, ἐτῶν πολλῶν διαγενομένων, πάλιν Ἡρώδης ὁ βασιλεὺς, ἕτερον ἀνοίξας οἶκον, ἀνείλετο χρήματα πολλά. τῶν μέντοι γε θηκῶν τῶν βασιλέων οὐδεὶς αὐτῶν ἐπέτυχεν. ἦσαν γὰρ ὑπὸ τὴν γῆν μηχανικῶς κεκηδευμέναι πρὸς τὸ μὴ φανερὰς εἶναι τοῖς εἰς τὸ μνῆμα εἰσιοῦσιν. ἀλλὰ περὶ μὲν τούτων ἡμῖν, ἐπὶ τοσοῦτον ἀπόχρη δεδηλῶσθαι.

& caue ne vel gratia vel assentatione aut cupiditate aliáve affectione ad neglectum earum deflectas. Nequaquam enim Dei fauorem poteris retinere, nisi seruatis eius legibus, alioqui suam prouidentiam à te auertet. Quòd si talem te erga eum exhibueris, qualem decet, & qualem optamus, efficies vt regnum in familia nostra maneat, & nulla vnquam alia domus præter nostram in Hebræos dominationem obtineat. Memento etiam iniquitatis Ioabi, qui propter æmulationem duos duces iustos ac bonos interemit, Abenerum Neri filium, & Amasam filium Iethranis. in eum tuo arbitratu animaduertes, quandoquidem hactenus pœnam euasit, quòd meipso esset potentior. Commendo tibi etiam Berzellæi Galaditæ filios, quos mea causa omni honore ac studio prosequeris, non conferens in eos beneficium, sed referens, pro officiis quæ pater illorum in me exulem liberaliter congessit, & per quæ nos sibi debitores effecit. præterea Geræ filium Semeim Beniamitam, qui me pulsum multis affecit conuitiis quãdo Castrum petebam, móxque ad Iordanem occurrens fidem incolumitatis tunc à me impetrauit, nunc occasionem rationabilem nactus punito. His mandatis filio de Repub. & amicis, & eis quos punitos volebat, expirauit, exactis septuaginta vitæ annis, postquam regnasset apud Hebronem tribui Iudæ imperitans annos septem, & menses sex, Hierosolymis verò vniuersæ regionis rex annos triginta tres, vir optimus, & omnibus virtutibus præditus, quas regem tot gentium incolumitati prospicientem habere oportebat. Nam fortis erat vt nemo alius, & in certaminibus pro subiectorum tutela susceptis primus se periculis obiiciebat, exemplo suo militem ad præclara facinora excitans & non tanquam dominus pro imperio ad officium cogens. Idem in consiliis prudentissimus, & egregiè callens quid in præsens, quidve in futurum conduceret. adhæc sobrius, mitis, benignus erga calamitosos, iustus, humanus, quę quidem pręcipuæ sunt regum virtutes. nec in tanta potestate vnquam ab ęquitate deflexit, nisi quod ad Vriæ vxorem attinet. Tantas præterea diuitias hæredi reliquit, quantas nullus alius rex vel Hebrçorum vel aliarum gentium. Sepeliuit autem eum filius Solomon Hierosolymis magnificè, præter solénia illa in regum funeribus, inlatis etiam in monumentum eius maximis diuitiis, quarum magnitudinem facilè sit coniectare ex hoc quod dicemus. Nam post annos MCCC. Hyrcanus pontifex oppugnatus ab Antiocho, cognomine Pio, Demetrij filio, volens pecuniam ei dare, vt abducto exercitu obsidionem solueret. nec valens aliunde sumere, aperta cella monumenti Dauidis, & prolatis inde tribus talẽtorũ millibus, eorúmq; parte Antiocho numerata, oppugnationis periculo se exemit, sicut & alibi indicauimus. Ac rursum post multos annos elapsos Herodes rex alia cella aperta magnam pecuniã sustulit. ad loculos tamen qui regũ cineres continent, neuter eorũ peruenit. singulari enim arte ita erãt sub terrã conditi, vt ab ingredientibus monumentum inueniri nequirent. Sed de his hactenus dixisse sufficit.

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩ ΟΓΔΟΩ ΛΟΓΩ ΤΩΝ Ιωσήπου ἱστοριῶν τῆς ἰουδαϊκῆς ἀρχαιολογίας.

Ως σολομὼν τὴν βασιλείαν παραλαβὼν, τοὺς ἐχθροὺς ἀνεῖλε. Κεφ. α.

Περὶ τῆς σοφίας αὐτοῦ καὶ τῆς συνέσεως, καὶ τοῦ πλούτου, καὶ ὅτι πρῶτος τὸν ἐν ἱεροσολύμοις ναὸν ᾠκοδόμησεν. Κεφ. β.

Ως τελευτήσαντος σολομῶνος, ὁ λαὸς ἀποστὰς τοῦ παιδὸς αὐτοῦ τοῦ ῥοβοάμου, τῶν δέκα φυλῶν ἱεροβόαμον ἀπέδειξε βασιλέα, τῶν δὲ δύο φυλῶν ὁ υἱὸς ἐβασίλευσεν. Κεφ. γ.

Ως σούσακος ὁ αἰγυπτίων βασιλεὺς στρατευσάμενος ἐπὶ τὰ ἱεροσόλυμα, καὶ καταχὼν τὴν πόλιν, τὸν πλοῦτον αὐτῆς εἰς αἴγυπτον μετήνεγκεν. Κεφ. δ.

Στρατεία ἱεροβοάμου τοῦ τῶν ἰσραηλιτῶν βασιλέως, ἐπὶ τὸν υἱὸν τοῦ ῥοβοάμου, καὶ ἧττα, καὶ ὅτι τὴν ἱεροβοάμου γενεὰν βασάνης τις ὄνομα διαφθείρας, αὐτὸς τὴν βασιλείαν ἔσχεν. Κεφ. ε.

Αἰθιόπων ἐπιστρατεία τοῖς ἱεροσολύμοις βασιλεύοντος αὐτῶν ἀσάνου τοῦ ἀβιᾶ παιδὸς, καὶ διαφθορὰ τοῦ στρατοῦ. Κεφ. ς.

Ως τῆς ἀβεσαράου γενεᾶς διαφθαρείσης, ἐβασίλευσεν τῶν ἰσραηλιτῶν ζαμάρης καὶ ὁ υἱὸς αὐτοῦ ἄχαβος. Κεφ. ζ.

Ως ἄδερ δαμασκοῦ καὶ συρίας βασιλεὺς δὶς ἐπ᾽ ἄχαβον στρατευσάμενος ἡττήθη. Κεφ. η.

Περὶ ἰωσαφάτου τοῦ ἱεροσολύμων βασιλέως. Κεφ. θ.

Ως ἄχαβος ἐπὶ σύρους στρατευσάμενος, ἡττήθη τῇ μάχῃ καὶ αὐτὸς ἀπώλετο. Κεφ. ι.

HÆC IN OCTAVO IOSEPHI HISTORIARVM DE Antiquitate Iudaica libro continentur.

Quomodo Solomon regnum adeptus, inimicos expulerit. Cap. I.

De Sapientia Solomonis & prudentia, & diuitiis, quódque primus Hierosolymis templum ædificauit. Cap. II.

Solomone defuncto populus à Roboamo eius filio deficiens Hieroboamum decem tribuum regem fecit: Roboamus verò duabus imperauit. Cap. III.

Susacus Ægyptiorum rex, captis Hierosolymis, diuitias eius vrbis in Ægyptum transportauit. Cap. IV.

Hieroboami contra Abiam filium Roboami expeditio & clades: & quòd Basanes Hieroboami generis extirpator, ipse regnum occupauerit. Cap. V.

Æthiopum irruptio in agrum Hierosolymitanũ sub Asano, & exercitus eorum interitus. Cap. VI.

Basanæ stirpe sublata apud Israelitas Zamares, & post hunc Amarinus & Achabus filius regnum obtinent. Cap. VII.

Adadus Damasci & Syriæ rex bis contra Achabum ducto exercitu profligatur. Cap. VIII.

De Iosaphato rege Hierosolymorum. Cap. IX.

Achabus à Syris bello lacessitis in prælio victus occiditur. Cap. X.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΙΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ

ΛΟΓΟΣ ΟΓΔΟΟΣ.

FLAVII IOSEPHI ANTIQVITATVM IVDAICARVM

LIBER OCTAVVS.

Κεφάλαιον α᾽.

Ως σολομὼν τὴν βασιλείαν παραλαβών, τοὺς ἐχθροὺς ἀνεῖλε.

ΠΕΡΙ μὲν οὖν δαβίδου καὶ τῆς ἀρετῆς αὐτοῦ, καὶ ὅσων ἀγαθῶν αἴτιος γενόμενος τοῖς ὁμοφύλοις, πολέμοις τε καὶ μάχας ὅσας κατορθώσας γηραιὸς ἐτελεύτησεν, ἐν τῇ πρὸ ταύτης βίβλῳ δεδηλώκαμεν. σολομῶνος δὲ τοῦ παιδὸς αὐτοῦ νέου τὴν ἡλικίαν ἔτι ὄντος, τὴν βασιλείαν παραλαβόντος, ὃν ἔτι ζῶν ἀπέφηνε τοῦ λαοῦ δεσπότην, κατὰ τὴν τοῦ θεοῦ βούλησιν καθίσαντος ἐπὶ τὸν θρόνον, ὁ μὲν πᾶς ὄχλος ἐπευφήμησεν οἷον εἰκὸς ἐπ᾽ ἀρχομένῳ βασιλεῖ, τελευτῆσαι καλῶς αὐτῷ τὰ πράγματα, καὶ πρὸς γῆρας ἀφικέσθαι λιπαρὸν καὶ πανευδαίμονα τὴν ἡγεμονίαν. ἀδωνίας δέ, ὃς καὶ τοῦ πατρὸς ζῶντος, ἐπεχείρησε τὴν ἀρχὴν κατασχεῖν, παρελθὼν πρὸς τὴν τοῦ βασιλέως μητέρα βεθσαβήν, καὶ φιλοφρόνως αὐτὴν ἀσπασάμενος, πυθομένης εἰ καὶ διὰ χρείαν τινὰ πρὸς αὐτὴν ἀφῖκται, καὶ δηλοῦν κελευούσης ὡς ἡδέως παρεξομένης, ἤρξατο λέγειν, ὅτι γινώσκοι μὲν τὴν βασιλείαν καὶ αὐτὴ καὶ διὰ τὴν ἡλικίαν, καὶ διὰ τὴν τοῦ πλήθους προαίρεσιν οὖσαν αὐτοῦ. μεταβάσης δὲ πρὸς σολομῶνα τὸν υἱὸν αὐτῆς κατὰ τὴν τοῦ θεοῦ γνώμην στέργει καὶ ἀγαπᾷ τὴν ὑπ᾽ αὐτὸν δουλείαν, καὶ τοῖς παροῦσιν ἥδεται πράγμασιν. ἐδεῖτο δ᾽ οὖν διακονῆσαι πρὸς τὸν ἀδελφὸν αὐτῷ, καὶ πεῖσαι δοῦναι τὴν τῷ πατρὶ συγκοιμωμένην πρὸς γάμον αὐτῷ ἀβισάκην. οὐ γὰρ πλησιάσαι τὸν πατέρα διὰ τὸ γῆρας αὐτῇ, μένειν δ᾽ ἔτι παρθένον. ἡ δὲ βεθσαβὴ, καὶ διακονήσειν σπουδαίως ὑπέσχετο, καὶ κατα[illegible] πράξασθαι τὸν γάμον δι᾽ ἀμφότερα, τοῦ τε βασιλέως χαρίσασθαί τι βουλομένου, καὶ δεησομένης αὐτῆς λιπαρῶς. καὶ ὁ μὲν, εὔελπις ἀπαλλάττεται περὶ τοῦ γάμου. ἡ δὲ τοῦ σολομῶνος μήτηρ, εὐθέως ὥρμησεν ἐπὶ τὸν υἱόν, διαλεξομένη περὶ ὧν ἀδωνίᾳ δεηθέντι κατεπηγγείλατο. καὶ προϋπαντήσαντος αὐτῇ τοῦ παιδὸς, καὶ περιπλακέντος, ἐπεὶ παρήγαγεν αὐτὴν εἰς τὸν οἶκον οὗ συνέβαινεν αὐτῷ κεῖσθαι τὸν βασιλικὸν θρόνον, καθί-

CAP. I.

Quomodo Solomon regnum adeptus inimicos expulit.

DE Dauide igitur & eius virtute, quantorúmque bonorum suæ genti autor fuerit, & quantis bellis feliciter gestis senio confectus decesserit, in proximo volumine docuimus. Cæterùm posteaquam Solomon eius filius, ætate etiam tum iuuenis, regnum adeptus ex sententia patris & decreto diuini numinis in solio consedit, populus quidem totus, vt nouis regibus solet, faustis acclamationibus precatus est ei perpetuam rerum felicitatem, & post regnum bene administratum diuturnam senectutem. Adonias verò qui etiam viuente patre occupare conatus est regnum, accessit ad regis matrem, eámque blandè salutauit. Qua quærente nunquid venisset quòd opera sua opus haberet, omniáque benignè pollicente, orsus est dicere, ipsam quoque nosse, quòd tam ætatis prærogatiua, quàm populi consensu regnum sibi deberetur. sed quoniam Deo visum sit id transferre in filium eius Solomonem, se quoque libenter ferre illius dominationem, & contentum esse presenti conditione. rogauit deinde vt apud fratrem pro se intercederet, eíque persuaderet vt bona eius pace liceat sibi ducere Abisacen cum patre cubare solitam. Esse enim adhuc virginem, quòd pater præ senio congredi cum ea non valuisset. Bethsabe verò promisit operam suam in hoc negotio, & de hoc coniugio bene eum sperare voluit, tum quòd rex vltro fratri gratificari cuperet, tum quòd eò preces matris essent accessuræ: atque ita plenum spe hominem dimisit: móxque ipsa ad filium properauit, colloquutura de eo quod Adoniæ petenti promiserat. cui cùm rex occurrisset, complexúque eam excepisset, deducta in cubiculum in quo tum erat regia sella, sedit, iussítque alteram matri à dextris poni

3. Reg. 2.

A B C D E

Quę poſtquam conſedit, Vnam, inquit, gratiam filî petenti mihi annue, neque tuo renutu triſtiorem facias. Reſpondit ille, iuberet, quicquid vellet, pium enim eſſe, matri quidlibet cōcedere: nec oportuiſſe eam ſic præfari, ac ſi negaturū ſuſpicaretur, ſed certam impetrādi ſpem habere. tum illa rogat, vt virginem Abiſacen Adoniæ fratri nuptum tradat. At rex iratus dimiſit matrem, dicens Adoniam maiora moliri, miraríque ſe quòd nō eadem opera poſtularet, vt regnum ei tanquam natu grandiori cederet, quando Abiſacæ coniugium expetat, habens amicos potentes, Ioabum imperatorem copiarū & Abiatharum ſacerdotem. Móxque accito Banaia præfecto ſatellitum, mandauit ei vt Adoniam fratrem interficeret. Vocato deinde Abiatharo ſacerdote, Te, inquit, ſupplicio eximūt tum alij labores acti cum meo patre, tum illud præcipuè, quòd vnà cum eo arcā tranſtuliſti. Hæc autem pœna tibi erit Adoniæ partes ſequuto, vt neque hîc maneas, neque in cōſpectum meum venias: ſed abi in patriam tuam, & illic ruri viue. atque ibi vſque ad mortem dege, quandoquidem talia commiſiſti, propter quæ indignus es vt honoribus fruaris. Ob hanc itaque cauſam ablatus eſt ſacerdotalis honor à domo Ithamari, ſicut Deus Eli prædixerat auo Abiathari, & trāſlatus eſt in genus Phineeſis ad Sadocum. Cæterùm eo tempore quo pontificatus in Ithamari domo fuit, poſt Elim primum ex ea familia pontificem, ex Phineeſis gente priuatam vitam egerunt hi: filius Ioſephi pontificis Boccias, & huius Ioathamus, Ioathami verò Maræothus, & Maræothi Arophęus, Arophæi Achitobus, cuius fuit Sadocus, qui primus Dauide regnante pontifex eſt creatus. Porrò Ioabus imperator audita nece Adonię, valde extimuit. eius enim amicitiam magis quàm regis coluerat, & ideo non immeritò malè ſuſpicans ad altare confugit, impunitatem ſe inde quæſiturum exiſtimans, propter notam regis erga Deum pietatem. Qui poſteaquam de Ioabo renuntiatum eſt, miſit Banaiam qui citaret eum ad ſuum tribunal cauſam dicturū. Ioabus autem negabat ſe fanum relicturum, ſed ibi potiùs quàm aliàs moriturum. Hoc eius reſponſo per Banaiam accepto, rex iuſſit vt inibi caput eius ita vt vellet abſcideretur, & hāc pœnam lueret pro duobus imperatoribus, quos cōtra omne fas ac nefas peremerat. Corpus verò ſepeliri, vt peccata eius apud poſteros manerent, ipſe verò ac pater innocentes eſſent quod ad Ioabi mortem attinet. Banaias verò exequutus mandatum, ipſe in imperium copiarum ei ſucceſſit. Poſt hęc abrogato Abiatharo pontificatu, rex ſolum Sadocum id ſacerdotium obtinere voluit. Semei deinde imperauit, domo Hieroſolymis extructa inibi apud ſe manere, interdicto Cedronis torrentis tranſitu: aut ſi ſecus fecerit, eſſe capite mulctandum. nec contentus interminatione, iureiurando hominem ad id mandatum ſeruandum adegit.

σας ἐκέλευσεν ἕτερον ἐκ δεξιῶν τεθῆναι τῇ μητρί. καθεσθεῖσα δὲ ἡ βηθσαβὴ, μίαν, εἶπεν, ὦ παῖ χάριν αἰτουμένῃ μοι κατάνευσον καὶ μηδὲν ἐξαρνήσεως, δύσκολον μὴ δὲ σκυθρωπὸν ἀπεργάσῃ. τοῦ δὲ σολομῶνος προστάττειν κελεύοντος, πάντα γὰρ ὅσιον εἶναι μητρὶ παρέχειν, καί τι προσμεμψαμένου τῆς ἀρχῆς ὅτι μὴ μετ' ἐλπίδος ἤδη βεβαίας τοῦ τυχεῖν ὧν ἀξιοῖ ποιεῖται τοὺς λόγους, ἀλλ' ἄρνησιν ὑφορωμένη, δοῦναι τὴν παρθένον αὐτὴν ἀβισάκην ἀδωνίᾳ τἀδελφῷ πρὸς γάμον παρεκάλει. λαβὼν δὲ πρὸς ὀργῆς ὁ βασιλεὺς τὸν λόγον, ἀποπέμπεται μὲν τὴν μητέρα, μειζόνων δὲ ὀρέγεσθαι πραγμάτων εἰπὼν ἀδωνίαν, καὶ θαυμάζειν πῶς οὐ παραχωρῆσαι καὶ τῆς βασιλείας ὡς πρεσβυτέρῳ παρακαλεῖ, τὸν γάμον αὐτῷ τὸν ἀβισάκης αἰτουμένῳ, φίλους ἔχοντι δυνατοὺς, ἰώαβον τὸν στρατηγὸν, καὶ ἀβιάθαρον τὸν ἱερέα. καὶ μεταπεμψάμενος βαναίαν τὸν ἐπὶ τῶν σωματοφυλάκων ἀποκτεῖναι προσέταξεν αὐτῷ τὸν ἀδελφὸν ἀδωνίαν. καλέσας δὲ τὸν ἀβιάθαρον τὸν ἱερέα, θανάτου μὲν εἶπε, ῥύεταί σε τά τε ἄλλα ὅσα τῷ πατρί μου συνέκαμες, καὶ ἡ κιβωτὸς, ἣν σὺν αὐτῷ μετήνεγκας. ταύτην δέ σοι τὴν τιμωρίαν ἐπιτίθημι ταξαμένῳ μετ' ἀδωνίᾳ καὶ τὰ ἐκείνου φρονήσαντι, μήτε ἐνθάδε ἴσθι, μήτε εἰς ὄψιν ἀπαντᾶν τὴν ἐμὴν, ἀλλὰ εἰς τὴν πατρίδα πορευθεὶς, ἐν τοῖς ἀγροῖς ζῆθι, καὶ τοῦτον ἄχρι τελευτῆς ἔχε τὸν βίον, ἁμαρτὼν τοῦ μηκέτι εἶναι δικαίως ἐν ἀξίᾳ. καταλύεται μὲν οὖν ἀπὸ τῆς ἱερατικῆς τιμῆς ὁ ἰθαμάρου οἶκος διὰ τὴν προειρημένην αἰτίαν, καθὼς τῷ ἀβιαθάρου πάππῳ προεῖπεν ὁ θεὸς ἠλί. μετέβη δὲ εἰς τὸ φινεέσου γένος, πρὸς σάδωκον. οἱ δὲ ἰδιωτεύσαντες ἐκ τοῦ φινεέσου γένους, καθ' ὃν καιρὸν εἰς τὸν ἰθαμάρου οἶκον ἡ ἀρχιερωσύνη μετῆλθεν, ἠλὶ πρώτου ταύτην παραλαβόντος, ἦσαν οὗτοι. ὁ τοῦ ἀρχιερέως ἰωσήπου υἱὸς, βοκκίας. τούτου δὲ ἰωάθαμος, ἰωαθάμου δὲ μαραίωθος, μαραιώθου δὲ, ἀρόφαιος, ἀροφαίου δὲ, ἀχίτωβος, ἀχιτώβου δὲ, σάδωκος, ὃς πρῶτος ἐπὶ δαβίδου τοῦ βασιλέως ἀρχιερεὺς ἐγένετο. ἰώαβος δὲ ὁ στρατηγὸς, τὴν ἀναίρεσιν ἀκούσας τὴν ἀδωνία, περιδεὴς ἐγένετο. φίλος γὰρ ἦν αὐτῷ μᾶλλον, ἢ τῷ βασιλεῖ σολομῶνι. καὶ κίνδυνον ἐκ τούτου, διὰ τὴν πρὸς ἐκεῖνον εὔνοιαν οὐκ ἀλόγως ὑποπτεύων, καταφεύγει μὲν ἐπὶ τὸ θυσιαστήριον. ἀσφάλειαν δὲ ἐνόμιζεν αὐτῷ περιεῖναι ἐκ τῆς πρὸς τὸν θεὸν εὐσεβείας τοῦ βασιλέως. ὁ δὲ, ἀπαγγειλάντων αὐτῷ τὴν ἰωάβου γνώμην, πέμψας βαναίαν, ἐκέλευσεν ἀναστήσαντα αὐτὸν ἐπὶ τὸ δικαστήριον ἄγειν ὡς ἀπολογησόμενον. ἰώαβος δὲ οὐκ ἔφη καταλείψειν τὸ ἱερὸν, ἀλλ' αὐτοῦ τεθνήξεσθαι μᾶλλον ἢ ἐν ἑτέρῳ χωρίῳ. βαναίου δὲ τὴν ἀπόκρισιν αὐτοῦ τῷ βασιλεῖ δηλώσαντος, προσέταξε σολομὼν ἐκεῖ τὴν κεφαλὴν αὐτοῦ ἀποτεμεῖν καθὼς βούλεται, καὶ ταύτην λαβεῖν τὴν δίκην, ὑπὲρ τῶν δύο στρατηγῶν, οὓς ὁ ἰώαβος ἀνοσίως ἀπέκτεινε. θάψαι δὲ αὐτοῦ τὸ σῶμα, ὅπως τὰ μὲν ἁμαρτήματα μηδέποτε καταλείπῃ τὸ γένος τὸ ἐκείνου, τῆς δὲ ἰωάβου τελευτῆς, αὐτός τε καὶ ὁ πατὴρ ἀθῷοι τυγχάνωσι. καὶ βαναίας μὲν τὰ κελευσθέντα ποιήσας, αὐτὸς ἀποδείκνυται στρατηγὸς πάσης τῆς δυνάμεως. σάδωκον δὲ ποιεῖ μόνον ὁ βασιλεὺς εἰς τὸν ἀβιαθάρου τόπον ὃν μετεστήσατο. σεμεῒ δὲ ὧδε προσέταξεν, οἰκίαν οἰκοδομήσαντι μένειν ἐν ἱεροσολύμοις αὐτῷ προσεδρεύοντα, καὶ μὴ διαβαίνειν τὸν χείμαρρον κεδρῶνος ἔχειν ἐξουσίαν. παρακούσαντι δὲ τούτῳ, θάνατον ἔσεσθαι τὸ πρόστιμον. τῷ δὲ μεγέθει τῆς ἀπειλῆς, καὶ ὅρκοις αὐτὸν προσηνάγκασεν ποιήσασθαι.

σεμέεις

σεμέεις δὲ χάριν οἷς προσέταξεν αὐτῷ σολομὼν ἔχειν φήσας καὶ ταῦτα ποιήσειν προσομόσας, καταλιπὼν τὴν πατρίδα, τὴν διατριβὴν ἐν τοῖς ἱεροσολύμοις ἐποιεῖτο. διελθόντων δὲ τριῶν ἐτῶν ἀκούσας δύο δούλους ἀποδράντας αὐτὸν ἐν γίττῃ τυγχάνοντας, ὥρμηται ἐπὶ τοὺς οἰκέτας. ἐπανελθόντος δὲ μετ᾽ αὐτῶν, ὁ βασιλεὺς αἰσθόμενος, ὡς καὶ τῶν ἐντολῶν αὐτοῦ καταφρονήσαντος, καὶ τὸ μεῖζον τῶν ὅρκων τοῦ θεοῦ μηδὲ μίαν ποιησαμένου φροντίδα, χαλεπῶς εἶχε. καὶ καλέσας αὐτὸν, οὐ σύ φησιν ὤμοσας μὴ καταλήψειν ἐμὲ, μηδὲ ἐξελεύσεσθαί ποτε ταύτης τῆς πόλεως εἰς ἄλλην; οὐκ ἂν ἀποδράσῃς τὴν τῆς ἐπιορκίας δίκην, ἀλλὰ καὶ ταύτης καὶ ὧν τὸν πατέρα μου παρὰ τὴν φυγὴν ὕβρισας τιμωρήσομαί σε πονηρὸν γενόμενον, ἵνα γνῷς ὅτι κερδαίνουσιν οὐδὲν οἱ κακοὶ μὴ παρ᾽ αὐτὰ τὰ ἀδικήματα κολασθέντες, ἀλλὰ παντὶ τῷ χρόνῳ ᾧ νομίζουσιν ἀδεεῖς εἶναι μηδὲν πεπονθότες, αὔξεται καὶ γίνεται μείζων ἡ κόλασις αὐτοῖς, ἣν ἂν παρ᾽ αὐτίκα πλημμελήσαντες ἔδοσαν. καὶ σεμέειν μὲν κελευσθεὶς βαναίας ἀπέκτεινεν. ἤδη δὲ τὴν βασιλείαν βεβαίως ἔχων ὁ σολομὼν, καὶ τῶν ἐχθρῶν κεκολασμένων, ἄγεται τὴν φαραώθου τοῦ τῶν αἰγυπτίων βασιλέως θυγατέρα. καὶ κατασκευάσας τὰ τείχη τῶν ἱεροσολύμων, πολλῷ μείζω καὶ ὀχυρώτερα τῶν πρόσθεν ὄντων, διεῖπε τὰ πράγματα λοιπὸν ἐπὶ πολλῆς εἰρήνης. μηδ᾽ ὑπὸ τῆς νεότητος πρός τε δικαιοσύνην καὶ φυλακὴν τῶν νόμων, καὶ μνήμην ὧν ὁ πατὴρ τελευτῶν ἐπέστειλε βλαπτόμενος. ἀλλὰ πάνθ᾽ ὅσα οἱ τοῖς χρόνοις προβεβηκότες, καὶ πρὸς τὸ φρονεῖν ἀκμάζοντες, μετὰ πολλῆς ἀκριβείας ἐπιτελῶν.

Κεφάλαιον β'.

Περὶ τῆς σοφίας σολομῶνος, καὶ τῆς συνέσεως, καὶ τοῦ πλούτου καὶ, ὅτι πρῶτος τὸν ἐν ἱεροσολύμοις ναὸν ᾠκοδόμησεν.

Ἔγνω δ᾽ εἰς χεβρῶνα παραγενόμενος, ἐπὶ τοῦ χαλκοῦ θυσιαστηρίου τοῦ κατασκευασθέντος ὑπὸ μωυσέως, θῦσαι τῷ θεῷ. καὶ χίλια τὸν ἀριθμὸν ὁλοκαύτωσεν ἱερεῖα. τοῦτο δὲ ποιήσας μεγάλως ἔδοξε τὸν θεὸν τετιμηκέναι. φανεὶς γὰρ αὐτῷ κατὰ τοὺς ὕπνους ἐκείνης τῆς νυκτὸς, ἐκέλευσεν αἰτεῖσθαι τίνας ἀντὶ τῆς εὐσεβείας δώσει αὐτῷ δωρεάς. σολομὼν δὲ, τὰ κάλλιστα καὶ μέγιστα καὶ θεῷ παρασχεῖν ἥδιστα, καὶ λαβεῖν ἀνθρώπῳ συμφορώτατα τὸν θεὸν ᾔτησεν. οὐ γὰρ χρυσὸν οὐδ᾽ ἄργυρον, οὐδὲ τὸν ἄλλον πλοῦτον ὡς ἄνθρωπος καὶ νέος ἠξίωσεν αὐτῷ προσγενέσθαι. ταῦτα γὰρ σχεδὸν νενόμισται παρὰ τοῖς πλείστοις μόνα σπουδῆς ἄξια, καὶ θεοῦ δῶρα εἶναι. ἀλλὰ δός μοι φησὶ δέσποτα νοῦν ὑγιῆ, καὶ φρόνησιν ἀγαθὴν, οἷς ἂν τὸν λαὸν τἀληθῆ καὶ τὰ δίκαια λαβὼν ἀνακρίνοιμι. τούτοις ἥσθη τοῖς αἰτήμασιν ὁ θεὸς, καὶ τά τε ἄλλα πάνθ᾽ ὧν οὐκ ἐμνήσθη παρὰ τὴν ἐκλογὴν, δώσειν ἐπηγγείλατο, πλοῦτον, δόξαν, νίκην πολεμίων, καὶ πάντων σύνεσιν καὶ σοφίαν, οἵαν οὐκ ἄλλην τις ἀνθρώπων ἔσχεν οὔτε βασιλέων οὔτ᾽ ἰδιωτῶν. φυλάξειν τε καὶ τοῖς ἐκγόνοις αὐτοῦ τὴν βασιλείαν ἐπὶ πλεῖστον ὑπισχνεῖτο χρόνον, ἂν δίκαιός τε ὢν διαμένῃ καὶ πειθόμενος αὐτῷ καὶ τὸν πατέρα μιμούμενος ἐν οἷς ἦν ἄριστος. ταῦτα τοῦ θεοῦ σολομὼν ἀκούσας, ἀνεπήδησεν ἐκ τῆς κοίτης. καὶ προσκυνήσας αὐτὸν, ὑπέστρεψεν εἰς ἱεροσόλυμα, καὶ πρὸ τῆς σκηνῆς μεγάλας ἐπιτελέσας θυσίας, κατευώχει τοὺς ἰδίους ἅπαντας.

Semeis verò professus sibi gratissimum hoc regium mandatum, & iuratus facturum se imperata, patria relicta Hierosolymis domicilium habuit. Triēnio dein exacto, cùm audisset duos fugitiuos suos apud Gittam agere, retracturus eos illuc proficiscitur. Rex autem postea quam intellexit eum vnà cum illis reuersum, ęgrè tulit non præscriptum modò suum contemptim habitum, sed sacramētum etiam Dei violatum. Accitóque mox, Nónne tu, inquit, iurasti te nunquam me derelicturum, neque ex hac vrbe in aliam commeaturum? non euades pœnam periurij, vir pessime, sed lues etiam illa quæ olim per petulantiam in patrem meum eiectum es debacchatus: vt scias quòd nihil lucrentur nocentes etiam si non statim post peccatū puniantur, sed per omne tempus quo propter impunitatem securi sibi videntur, crescit illorum pœna, quam iamdudum sunt promeriti. atque ita Semeim iussu regis Banaias interfecit.

II. 3.Reg.3.

Solomō autem sublatis iam inimicis, regnóque constabilito, Pharaonis Ægyptiorum regis filiam duxit vxorem: instauratísque Hierosolymorum mœnibus maioribus multo & munitioribus, in tranquillissima pace Rempublicam deinde administrauit, nihil impeditus iuuenili ætate, quo minus vel iustitiam coleret, & leges custodiret, vel mandata, quæ à patre morituro acceperat, exequeretur: sed non secus ac si grandis natu esset, maturæque iam prudentiæ, omnibus rebus diligentissimè prospiciebat.

Cap. II.

De sapientia Solomonis, & prudentia, & diuitiis, quódque primus Hierosolymis templum ædificauit.

Visum est autem ei Hebronem petere, & super altare æreum à Moyse fabricatum sacrificare, mille victimarum holocautomatis cælesti numini oblatis: qui honor Deo fuit acceptissimus. illa ipsa enim nocte cùm in somnis ei conspiciendum se præbuisset, iussit eum postulare quicquid donorū pro hac pietate rependi sibi cuperet. Solomon verò pulcherrimū quiddam ac maximum petiit, quod & Deus libentissimè largitur, & homini est vtilissimum. Non enim aurum aut argētum aut alias id genus diuitias vt homo iuuenis petiit. nam hæc sola vulgo hominum videntur expetenda, hęc sola diuina munificentia digna. Sed da mihi, inquit, Domine, mentem sanam, & intellectū bonum, vt his acceptis populū hunc verè ac iustè iudicare valeam! Hac postulatione delectatus Deus, pollicitus est se etiam alia quę non petierat, additurum, diuitias & gloriam, sed antè omnia talem intellectum ac sapientiam, qualē antehac nemo habuerit vel regum vel priuatorum. Adhæc conseruaturum regnum in eius familia per multas ætates, modò iustus esse pergat, Deóque per omnia parere, & paternis vestigiis incedere, pręcipuas eius virtutes imitando. His diuinitus auditis Solomon è stratis se proripuit, & adorato Deo Hierosolyma est reuersus: & mactatis antè tabernaculum plurimis victimis, epulum omnibus suis exhibuit.

Per eosdem dies iudicium ad eum delatum est arduum, cuius exitum inuenire fuit difficile. Rem autem controuersam de qua lis erat, necessarium duxi indicare, vt qui hæc legent, difficultatem decernendi intelligant: & si quando tale quippiam inciderit, ad exemplar solertiæ regiæ difficultatem disquirendi sibi comparēt. Duæ mulieres quæstus meretricij venerunt ad eum, quarum altera quæ iniuriam pati videbatur, sic est exorsa: Ego, Rex, & mulier hæc habitamus in eodem cubiculo. Accidit autem vt ambæ eadem die, eadémque hora infantes masculos pareremus. Post triduum ista iuxtà cubantem suum infantem per somnum oppressit, & sublato è meo gremio infante meo, mortuũ illum dormienti mihi in sinum imposuit. Illucescente die mammam præbere volens infanti meum non inueni, sed istius mortuum vidi iuxta me iacentem: id quod certissimis indiciis deprehendi, & quia repetens meum filium nihil profeci, ad tuum auxilium domine confugi. nam quia propter solitudinem nemo est qui coarguat, pertinaciter quod meum est abnegat. Tum rex interrogat alteram, ecquid habeat quod accusationi huius opponat. Illa negante se hoc fecisse, & asseuerante suum esse superstitem infantem, alterius verò mortuum: neminéque inueniente quid decerni posset, sed omnibus vt in re obscurissima cæcutientibus, solus Rex tale quiddam excogitauit. Iussis afferri infantibus, tam viuo quàm mortuo, vocat quendam è satellitibus, imperatque vt stricto gladio puerum vtrumque secet in duas partes: quo vtraque dimidium accipiat tam viui quã mortui. Hanc sententiam totus populus tacitè damnabat vt puerilem: sed interim cùm vera mater exclamasset, non ita faciendum, sed potiùs alteri addicendum infantem: sibi enim sat esse si viuum videat, etiam si alienus existimetur: altera verò parata esset, ex alieno dolore crudelem voluptatem capere, animaduertens rex has postremas voces non fingi, ei quæ exclamauerat infantem adiudicauit, quòd hęc reuera mater esset. alterius verò malitiam damnauit, quod & suum perdidisset, & amicæ infantem perdere conaretur. Visum est hoc populo insigne argumentum regiæ prudentiæ simul & sapientiæ, & ex illa die non secus quàm diuina mente prædito obtemperabant. In tota autem sua ditione præfectos & duces habuit hos: Toparchiæ Bethlemis, quæ sortem Ephræmi complectebatur, præerat Vres. Ea verò in qua Dora sunt & regio maritima, parebat Aminadabo Solomonis genero. Magnus cãpus erat sub Banaia filio Achili, cuius præfecturæ contributa erat & ea regio quæ vsque Iordanem pertinet. Galaditicam & Gaulaniticam vsque montem Libanum, vrbésque in eis sexaginta magnas ac bene munitas Gabaris administrabat. Achinadabus Galilææ toti Sidonem vsque pręerat, habens & ipse in matrimonio Solomonis filiã nomine Basimã. Maritimã verò quæ est circa Arcen Banacates obtinebat.

3. Reg. 4.

ταύταις δὲ ταῖς ἡμέραις κρίσις ἐπ' αὐτὸν ἧκε δυσχερής, ἧς τὸ τέλος εὑρεῖν ἦν ἐπίπονον. τὸ δὲ πρᾶγμα περὶ οὗ συνέβαινεν εἶναι τὴν δίκην, ἀναγκαῖον ἡγησάμην δηλῶσαι, ἵνα τοῖς ἐντυγχάνουσιν τό τε δύσκολον τῆς κρίσεως γνώριμον ὑπάρξῃ, καὶ τοιούτων μεταξὺ πραγμάτων γινόμενοι, λάβωσιν ὥσπερ ἐξ εἰκόνος τῆς τοῦ βασιλέως ἀγχινοίας τὸ ῥαδίως ἀποφαίνεσθαι περὶ τῶν ζητουμένων δύνασθαι. δύο γυναῖκες ἑταῖραι τὸν βίον, ἧκον ἐπ' αὐτόν. ὧν ἡ ἀδικεῖσθαι δοκοῦσα πρώτη λέγειν ἤρξατο, οἰκῶ μὲν εἶπεν, ὦ βασιλεῦ, μετ' αὐτῆς ἐν ἑνὶ δωματίῳ. συνέβη δὲ ἀμφοτέραις ἡμῖν ἐπὶ μιᾶς ἡμέρας ἀποτεκεῖν κατὰ τὴν αὐτὴν ὥραν ἄρρενα παιδία. τρίτης δὲ ἡμέρας διελθούσης, ἐπικοιμηθεῖσα τῷ αὐτῆς παιδίῳ αὕτη, τοῦτο μὲν ἀποκτείνει. βαστάσασα δὲ τοὐμὸν ἐκ τῶν γονάτων πρὸς αὐτὴν μεταφέρει, καὶ τὸ νεκρὸν ἐμοῦ κοιμωμένης εἰς τὰς ἀγκάλας μου τίθησιν. πρωῒ δὲ θηλὴν ὀρέξαι βουλομένη τῷ παιδίῳ, τὸ μὲν ἐμὸν οὐχ εὗρον. τὸ δὲ ταύτης νεκρὸν ὁρῶ μοι παρακείμενον. ἀκριβῶς γὰρ κατανοήσασα τοῦτο ἐπέγνων. ὅθεν ἀπαιτῶ τὸν ἐμὸν υἱόν, καὶ οὐκ ἀπολαμβάνουσα, καταπέφευγα δέσποτα ἐπὶ τὴν παρὰ σοῦ βοήθειαν. τὸ γὰρ εἶναι μόνας, καὶ μηδένα τὸν ἐξελέγξαι δυνάμενον φοβεῖσθαι καταφρονοῦσα, ἰσχυρῶς ἀρνουμένη παραμένει. ταῦτ' εἰπούσης ὁ βασιλεὺς ἀνέκρινε τὴν ἑτέραν τί τοῖς εἰρημένοις ἀντιλέγειν ἔχοι. τῆς δὲ ἀρνουμένης τοῦτο πεποιηκέναι, τὸ δὲ παιδίον τὸ ἑαυτῆς ζῆν λεγούσης, τὸ δὲ τῆς ἀντιδίκου τεθνηκέναι, μηδενὸς ἐπινοοῦντος τὴν κρίσιν, ἀλλὰ ὥσπερ ἐπ' αἰνίγματι περὶ τὴν εὕρεσιν αὐτοῦ πάντων τὴν διάνοιαν τετυφλωμένων, μόνος ὁ βασιλεὺς ἐπινόησέ τι τοιοῦτον. κελεύσας κομισθῆναι τὸ νεκρὸν καὶ τὸ ζῶν παιδίον, μεταπέμπεταί τινα τῶν σωματοφυλάκων, καὶ σπασάμενον προσέταξε τὴν μάχαιραν, ἀμφότερα διχοτομῆσαι τὰ παιδία, ὅπως ἑκάτεραι λάβωσιν ἀνὰ ἥμισυ τοῦ τε ζῶντος καὶ τοῦ τετελευτηκότος. ἐπὶ τούτῳ, πᾶς μὲν ὁ λαὸς λανθάνων ἐχλεύαζεν ὡς μειράκιον τὸν βασιλέα, μεταξὺ δὲ τῆς μὲν ἀληθοῦς μητρὸς ἀνακραγούσης τοῦτο μὴ ποιεῖν, ἀλλὰ παραδιδόναι τῇ ἑτέρᾳ τὸ παιδίον ὡς ἐκείνης. ἀρκεῖσθαι γὰρ βλέπειν αὐτὸ ζῶν κἂν ἀλλότριον δοκῇ. τῆς δ' ἑτέρας ἑτοίμως ἐχούσης διαιρούμενον ἰδεῖν τὸ παιδίον, καὶ πρὸς ἔτι βασανισθῆναι καὶ αὐτὴν ἀξιούσης, ὁ βασιλεὺς ἐπιγνοὺς τὰς ἑκατέρων φωνὰς ἀπὸ τῆς ἀληθείας γεγενημένας, τῇ μὲν ἀνακραγούσῃ τὸ παιδίον προσέκρινε. μητέρα γὰρ αὐτὴν ἀληθῶς εἶναι. τῆς δὲ ἄλλης κατέγνω πονηρίαν, τό τε ἴδιον ἀποκτεινάσης, καὶ τὸ τῆς φίλης σπουδαζούσης ἀπολλύμενον θεάσασθαι. τοῦτο μέγα δεῖγμα καὶ τεκμήριον τῆς τοῦ βασιλέως φρονήσεως καὶ σοφίας ἐνόμιζε τὸ πλῆθος. κἀξ ἐκείνης λοιπὸν τῆς ἡμέρας, ὡς θείαν ἔχοντι διάνοιαν αὐτῷ προσεῖχον. στρατηγοὶ δ' αὐτοῦ καὶ ἡγεμόνες ἦσαν τῆς χώρας ἁπάσης, οἵδε. τῆς μὲν ἐφραίμου κληρουχίας, οὔρης. ἐπὶ δὲ τῆς βιθέμες τοπαρχίας ἦν ὁ κλῆρος. τὴν δὲ δώρων καὶ τὴν παραλίαν ἀβιανάδαβος εἶχεν ὑπ' αὐτῷ γεγαμηκὼς τὴν σολομῶνος θυγατέρα. τὸ δὲ μέγα πεδίον ἦν ὑπὸ βαναία τῷ ἀχίλου παιδί. προσυπῆρχε δὲ καὶ τῆς ἄχρι ἰορδάνου πάσης. τὴν δὲ γαλααδῖτιν καὶ γαυλωνῖτιν ἕως τοῦ λιβάνου ὄρους καὶ πόλεις ἑξήκοντα μεγάλας καὶ ὀχυρωτάτας ἔχων ὑφ' αὐτόν, γαβάρις διεῖπεν. ἀχινάδαβος δέ, τῆς γαλιλαίας ὅλης, ἄχρι σιδῶνος ἐπετρόπευε, συνοικῶν καὶ αὐτὸς θυγατρὶ σολομῶνος βασίμα τοὔνομα. τὴν δὲ περὶ ἄρκην παραλίαν εἶχε βανακάτης.

σαρά-

σαφάτης δὲ, τὸ ἰταβύριον ὄρος καὶ κάρμηλον, καὶ τὴν γαλιλαίαν ἄχρι τοῦ ποταμοῦ ἰορδάνου χώραν, ἐπὶ δὲ τούτων πᾶσαν ἐπετέτραπτο. σουβεὴς δὲ τῆς βενιαμίτιδος κληρουχίας ἐγκεχειρισμένος. ταβάρης δὲ εἶχε τὴν πέραν τοῦ ἰορδάνου χώραν. ἐπὶ δὲ τούτων εἷς πάλιν ἄρχων ἀποδέδεικτο. θαυμαστὴν δὲ ἐπίδοσιν ἔλαβεν ὅτε τῶν ἑβραίων λαὸς, καὶ ἡ ἰούδα φυλὴ, πρὸς γεωργίαν τραπέντων καὶ τὴν τῆς γῆς ἐπιμέλειαν. εἰρήνης γὰρ ἀπολαύοντες, καὶ πολέμοις καὶ ταραχαῖς μὴ περισπώμενοι, καὶ προσέτι τῆς ποθεινοτάτης ἐλευθερίας ἀκράτως ἐμφορούμενοι, πρὸς τὸ συναύξειν ἕκαστος τὰ οἰκεῖα καὶ ποιεῖν ἄξια πλείονος ὑπῆρχον. ἦσαν δὲ ἕτεροι τῷ βασιλεῖ ἡγεμόνες, οἳ τῆς τε σύρων γῆς καὶ τῶν ἀλλοφύλων, ἥτις ἦν ἀπ' εὐφράτου ποταμοῦ διήκουσα μέχρι τῆς αἰγυπτίων, ἐπῆρχον ἐκλέγοντες αὐτῷ φόρους παρὰ τῶν ἐθνῶν. συνετέλουν δὲ καὶ τῇ τραπέζῃ καθ' ἡμέραν, καὶ τῷ δείπνῳ τοῦ βασιλέως σεμιδάλεως μὲν κόρους τριάκοντα. ἀλεύρου δὲ ἑξήκοντα. σιτιστοὺς δὲ βόας δέκα καὶ νομάδας βόας εἴκοσι. καὶ σιτιστοὺς ἄρνας ἑκατόν. ταῦτα πάντα παρὲξ τῶν ἐπ' ἄγρας ἐλάφων λέγω καὶ βουβάλων, καὶ τῶν πτηνῶν καὶ ἰχθύων, ἐκομίζετο καθ' ἡμέραν τῷ βασιλεῖ παρὰ τῶν ἀλλοφύλων. τοσοῦτον δὲ πλῆθος ἦν ἁρμάτων σολομῶνι, ὡς τέσσαρας εἶναι μυριάδας φατνῶν τῶν ὑπεζευγμένων ἵππων. χωρὶς δὲ τούτων ἦσαν ἱππεῖς δισχίλιοι καὶ μύριοι. ὧν οἱ μὲν ἡμίσεις, τῷ βασιλεῖ προσήδρευον ἐν ἱεροσολύμοις. οἱ δὲ λοιποὶ, κατὰ τὰς βασιλικὰς διεσπαρμένοι χώρας, ἐν αὐταῖς κατέμενον. ὁ δ' αὐτὸς ἡγεμὼν, ὁ τὴν τοῦ βασιλέως δαπάνην πεπιστευμένος, καὶ τοῖς ἵπποις ἐχορήγει τὰ ἐπιτήδεια, συγκομίζων εἰς ὃν ὁ βασιλεὺς διέτριβε τόπον. τοσαύτη δ' ἦν ὁ θεὸς σολομῶνι παρέσχε φρόνησιν καὶ σοφίαν, ὥς τε τοὺς ἀρχαίους ὑπερβάλλειν ἀνθρώπους. καὶ μηδὲ τοὺς αἰγυπτίους, οἳ πάντων συνέσει διενεγκεῖν λέγονται, συγκρινομένους λείπεσθαι παρ' ὀλίγον, ἀλλὰ καὶ πλεῖστον ἀφεστηκότας τῆς βασιλέως φρονήσεως ἐλέγχεσθαι. ὑπερῆρε δὲ καὶ διήνεγκε σοφίᾳ καὶ τῶν κατὰ τὸν αὐτὸν καιρὸν δόξαν ἐχόντων παρὰ τοῖς ἑβραίοις ἐπὶ δεινότητι. ὧν οὐ παρελεύσομαι τὰ ὀνόματα. ἦσαν δὲ, ἄθανος καὶ αἵμανος, καὶ χαλκέος, καὶ δόδανος, υἱοὶ ἡμάωνος. συνετάξατο δὲ καὶ βιβλία περὶ ᾠδῶν καὶ μελῶν πέντε πρὸς τοῖς χιλίοις, καὶ παραβολῶν καὶ εἰκόνων βίβλους τρισχιλίας. καθ' ἕκαστον γὰρ εἶδος δένδρου παραβολὴν εἶπεν, ἀπὸ ὑσσώπου ἕως κέδρου. τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ κτηνῶν καὶ τῶν τ' ἐπιγείων ἁπάντων ζώων καὶ τῶν νηκτῶν, καὶ τῶν ἀερίων. οὐδὲ μίαν γὰρ τούτων φύσιν ἠγνόησεν, οὐδὲ παρῆλθεν ἀνεξέταστον. ἀλλ' ἐν πάσαις ἐφιλοσόφησεν, καὶ τὴν ἐπιστήμην τῶν ἐν αὐταῖς ἰδιωμάτων ἄκραν ἐπεδείξατο. παρέσχε δ' αὐτῷ μαθεῖν ὁ θεὸς, καὶ τὴν κατὰ τῶν δαιμόνων τέχνην εἰς ὠφέλειαν καὶ θεραπείαν τοῖς ἀνθρώποις. ἐπῳδάς τε συνταξάμενος αἷς παρηγορεῖται τὰ νοσήματα, καὶ τρόπους ἐξορκώσεων κατέλειπεν. οἷς ἐνδούμενα τὰ δαιμόνια ὡς μηκέτ' ἐπανελθεῖν ἐκδιώκουσι. καὶ αὕτη μέχρι νῦν παρ' ἡμῖν ἡ θεραπεία πλεῖστον ἰσχύει. ἱστόρησα γάρ τινα ἐλεάζαρον τῶν ὁμοφύλων, οὐεσπασιανοῦ παρόντος καὶ τῶν υἱῶν αὐτοῦ, καὶ χιλιάρχων καὶ ἄλλου στρατιωτικοῦ πλήθους, τοὺς ὑπὸ τῶν δαιμονίων λαμβανομένους ἀπολύοντα τούτων. ὁ δὲ τῆς θεραπείας τρόπος, τοιοῦτος ἦν. προσφέρων τοῖς ῥισὶ τοῦ δαιμονιζομένου τὸν δακτύλιον, ἔχοντα ὑπὸ τῇ σφραγῖδι ῥίζαν ἐξ ὧν ὑπέδειξε σολομὼν, ἔπειτα ἐξεῖλκεν ὀσφραινομένῳ διὰ τῶν μυκτήρων τὸ δαιμόνιον.

A Saphates Itabyrium montem & Carmelum, totámque inferiorem Galilæam. Subeæ Beniamitica ditio fuit commiſſa. Tabares regionem trans Iordanem ſitam ſub ſe habuit. & rurſum his omnibus vnus præerat princeps. Mirãdum autem in modum per id tempus auctæ ſunt res Hebræorum, & tribus Iudæ, populo ad agrorũ colendorum ſtudium conuerſo. Pace enim potiti, & nullis bellicis tumultibus diſtracti, ad hæc optatiſſima libertate auidè perfruentes, in hoc potiſſimùm erant intenti, vt ſuas quiſque B facultates augeret, & maioris precij faceret. Erant præterea regi alij præfecti, qui Syrorum cæterorúmque barbarorum Euphratem inter & Ægyptum incolentium gubernabant regiones, tributa ex eis colligendo. Hi barbari conferebant in quotidianos regiæ menſæ ſumptus ſimilæ coros triginta, farinæ ſexaginta, ſaginatos boues decem, & paſcuales viginti, & ſaginatos agnos centum. præter capturas venatio- C num, quæ conſtabant ceruis ac bubalis, pretérque aues & piſces. Tãtam etiam curruum multitudinem habebat, vt quadraginta millia præſepium numerarentur, in quibus equi iugales alebantur. & abſque his equitatus ei fuit duodecim millium, quorum media pars Hieroſolymis circa regem verſabatur, reliqui verò ſparſim per villas regias degebãt. & qui regiis impenſis preerat, idem etiam equis neceſſaria ſuppeditabat, eò conuehendo vbicumque rex habitaret. Tanta autem fuit ſapientia & pruden- D tia quam Solomon diuinitus acceperat, vt omnes priſcos ſuperaret, atque etiam Ægyptios, qui omnium ſapientiſſimi habentur, longè poſt ſe relinqueret, præcellebat etiam eos qui per idem tempus in maxima opinione ſapientię fuerunt apud Hebræos, quorum nomina non tacebo. Fuerunt autem hi: Athanus, Æmanus, Chalceus, Dodanus, filij Hemaonis. Compoſuit etiam libros Odarum & Carminum quinque ſupra mille, & parabolarum ac ſimilitudinum libros ter mille. cuilibet enim ſpe- E ciei plantarum ſuam adhibuit parabolam, ab hyſſopo vſque cedrum: idem fecit de pecoribus & cęteris terreſtribus animantibus, natatilibúſque & quæ per aërem feruntur. nullius enim horum naturam ignorauit, aut inſcrutatam reliquit: ſed circa omnes philoſophatus eſt, & ſcientiam proprietatum earum ſummam præ ſe tulit. quin & eam rem diuinitus conſecutus eſt ad vtilitatem & medelam hominum, quæ F aduerſus dæmones eſt efficax. Incantationes enim compoſuit, quibus morbi pellũtur: & cõiurationum modos ſcriptos reliquit, quibus cedentes dæmones ita fugantur, vt in poſterum nunquam reuerti audeant: atque hoc ſanationis genus nunc vſque plurimum apud noſtrates pollet. Vidi. n. ex popularibus meis quendã Elcazarũ, in pręſẽtia Veſpaſiani & filiorũ & tribunorũ reliquorũq; militũ, multos arrepticios G percurãtẽ. Modus verò curationis erat hic. Admoto narib. dęmoniaci anulo, ſub cuius ſigillo incluſa erat radicis ſpecies à Solomone indicatę, ad eius olfactũ per naſũ extrahebatur dęmo-

nium: & collapso mox homine, adiurabat id ne amplius rediret, Solomonis interim mentionē faciens, & incantationes ab illo inuentas recitans. Volens dein Eleazarus his qui aderant ostendere suæ artis efficaciam, non longè inde ponebat poculum aut polubrum aqua plenum: imperabátque dæmonio hominem exeunti vt his subuersis signum daret spectantibus quòd reliquisset hominem. quo facto nemini dubiū erat quanta fuisset Solomonis scientia & sapientia. quamobrem libuit hoc quoque narrare, vt omnibus nota sit eximia regis huius natura: quámque charus Deo fuerit, & in omni genere virtutum excellentissimus. Porrò Tyriorum rex Iromus audito quòd Solomon patri in regnum successisset, vehementerest gauisus: nam Dauidis amicus fuerat, & per legatos salutato gratulatus est præsentem felicitatem: per quos Solomon scripsit ad eum in hunc ferè modum. Solomon Iromo regi: Scito patrem meum cùm voluisset ædificare templum Deo, bellis assiduis impeditum. neque enim priùs à subiugandis hostibus destitit, quàm omnes sibi tributarios redderet. Ego verò gratias habeo pro pace qua nunc fruimur, & præsenti otio decreui vti ad extruendum cœlesti numini domicilium. id enim à me fabricandum, iam antè patri meo Deus prædixit: quamobrem rogo vt aliquos vnà cum meis mittas in montem Libanum, ad materiem cædendam: quandoquidē hanc artem Sidonij melius callent quàm nostrates. mercedis autem quanta huiusmodi operariis persoluenda sit, te arbitrum facio. Eam epistolam Iromus libenter legit, Solomoníque in hunc modum rescripsit. Rex Iromus regi Solomoni. Gratia Deo quòd tibi paternum principatum tradidit, viro sapienti & omni virtutum genere prædito. Quare cùm nihil mihi gratius accidere potuerit, voluntati tuæ libens obsequar. Excisis enim multis & magnis trabibus cedrinis atque cyparissinis, per meos ad mare deducendas curabo: eosdémque iubebo vt compactis ratibus ad quemcunque volueris tuæ regionis locum eas appellant, vnde pòst per tuos Hierosolyma deportentur. Tu verò hanc nobis gratiam repones, vt exportandi ad nos frumenti potestatem facias, quo vtpote insulares maximè indigemus. Harum literarum exemplaria hodiéque durant, tam in nostris quàm Tyriorum annalibus: & si cui libuerit hæc certiùs cognoscere, impetrata à publicorum commentariorum conseruatoribus visendi copia, comperiet eorum scripta consonare cum his quæ à nobis produntur. quod ideo admonui, vt qui hæc legunt, sciant nos nihil veris affingere, neque verisimilia quædam & ad delectationem accommoda narrationi nostræ interserere, atque deinde postulare, vt lector nihil amplius disquirendo fidem nobis habeat: quandoquidem in hac commentatione à decoro discedere absque nefario scelere non licet. quapropter non recusamus quin scripta nostra reiiciantur, nisi talia sunt vt eorum veritas validissimis argumentis approbari possit. Cæterùm Solomō rex ceptis regis Tyriorum literis, & facilitatem eius & beneuolentiam collaudauit, & insuper quibus ipsum cupere intellexit, præmiis cū est

3.Reg 3.

καὶ πεσόντος εὐθὺς τοῦ ἀνθρώπου, μηκέτ' εἰς αὐτὸν ἐπανελθεῖν ὥρκου, σολομῶνός τε μεμνημένος, καὶ τὰς ἐπῳδὰς ἃς συνέθηκεν ἐκεῖνος ἐπιλέγων. βουλόμενος δὲ πεῖσαι καὶ παραστῆσαι τοῖς παρατυγχάνουσιν ὁ ἐλεάζαρος, ὅτι ταύτην ἔχει τὴν ἰσχὺν, ἐτίθει μικρὸν ἔμπροσθεν ποτήριον πλῆρες ὕδατος ἢ ποδόνιπτρον. καὶ τῷ δαιμονίῳ προσέταττεν ἐξιόντι τοῦ ἀνθρώπου, ταῦτ' ἀνατρέψαι καὶ παρασχεῖν ἐπιγνῶναι τοῖς ὁρῶσιν, ὅτι καταλέλοιπε τὸν ἄνθρωπον. γινομένου δὲ τούτου, σαφὴς ἡ σολομῶνος καθίστατο σύνεσις καὶ σοφία. δι' ἣν, ἵνα γνῶσιν ἅπαντες τὸ μεγαλεῖον αὐτοῦ τῆς φύσεως καὶ θεοφιλὲς, καὶ λάθῃ μηδένα τῶν ὑπὸ τὸν ἥλιον τῆς βασιλέως περὶ πᾶν εἶδος ἀρετῆς ὑπερβολὴ, περὶ τούτων εἰπεῖν προήχθημεν. ὁ δὲ τῶν τυρίων βασιλεὺς εἵρωμος, ἀκούσας ὅτι σολομὼν τὴν τοῦ πατρὸς διεδέξατο βασιλείαν, ὑπερήσθη. φίλος γὰρ ἐτύγχανε τῷ δαβίδῃ. καὶ πέμψας πρὸς αὐτὸν, ἠσπάζετό τε καὶ συνέχαιρεν ἐπὶ τοῖς παροῦσιν ἀγαθοῖς. ἐπιστέλλει δὲ πρὸς αὐτὸν. Σολομὼν εἱρώμῳ βασιλεῖ. ἴσθι μου τὸν πατέρα βουληθέντα κατασκευάσαι τῷ θεῷ ναὸν, ὑπὸ τῶν πολέμων καὶ τῶν συνεχῶν στρατειῶν κεκωλυμένον. οὐ γὰρ ἐπαύσατο πρότερον τοὺς ἐχθροὺς καταστρεφόμενος, πρὶν ἢ πάντας αὐτοὺς φόρων ὑποτελεῖς ἐποίησεν. ἐγὼ δὲ χάριν οἶδα τῷ θεῷ τῆς παρούσης εἰρήνης, καὶ διὰ ταύτην εὐσχολῶν, οἰκοδομῆσαι τῷ θεῷ βούλομαι τὸν οἶκον. καὶ γὰρ ὑπ' ἐμοῦ τοῦτον ἔσεσθαι τῷ πατρί μου προεῖπεν ὁ θεός. διὸ παρακαλῶ σε συμπέμψαι τινὰς τοῖς ἐμοῖς εἰς λίβανον τὸ ὄρος, κόψοντας ξύλα. πρὸς γὰρ τομὴν ὕλης, ἐπιστημονέστερον ἔχουσι τῶν ἡμετέρων σιδώνιοι. μισθὸν δ' ὃν ἂν ὁρίσῃς τοῖς ὑλουργοῖς παρέξω. ἀναγνοὺς δὲ τὴν ἐπιστολὴν εἵρωμος, καὶ τοῖς ἐπεσταλμένοις ἡσθεὶς ἀντιγράφει τῷ σολομῶνι. Βασιλεὺς εἵρωμος, βασιλεῖ σολομῶνι. τὸν μὲν θεὸν εὐλογεῖν ἄξιον, ὅτι σοι τὴν πατρῴαν παρέδωκεν ἡγεμονίαν, ἀνδρὶ σοφῷ καὶ πᾶσαν ἀρετὴν ἔχοντι. ἐγὼ δὲ τούτοις ἡδόμενος, ἅπαντα ὑπουργήσω τὰ ἐπεσταλμένα. τεμὼν γὰρ ξύλα πολλὰ καὶ μεγάλα κέδρου τε καὶ κυπαρίσσου, διὰ τῶν ἐμῶν ἐπὶ θάλασσαν καταπέμψω καὶ κελεύσω τοὺς ἐμοὺς σχεδίαν πηξαμένους εἰς ὃν ἂν βουληθῇς τόπον τῆς αὐτοῦ χώρας πλεύσαντας ἀποθέσθαι, ἔπειθ' οἱ σοὶ διακομίσωσιν εἰς ἱεροσόλυμα. ὅπως παράσχῃς ἡμῖν ἀντὶ τούτων σῖτον, οὗ διὰ τὸ νῆσον οἰκεῖν δεόμεθα, φρόντισον. διαμένει δ' ἄχρι τῆς σήμερον, τὰ τῶν ἐπιστολῶν τούτων ἀντίγραφα, οὐκ ἐν τοῖς ἡμετέροις μόνον σωζόμενα βιβλίοις, ἀλλὰ καὶ παρὰ τυρίοις. ὥς τ' εἴ τις θελήσειε τὸ ἀκριβὲς μαθεῖν, δεηθεὶς τῶν ἐπὶ τυρίων γραμματοφυλακίων δημοσίων, εὕροι συμφωνοῦντα τοῖς εἰρημένοις ὑφ' ἡμῶν τὰ παρ' ἐκείνοις. ταῦτα μὲν οὖν διεξῆλθον βουλόμενος γνῶναι τοὺς ἐντευξομένους, ὅτι μηδὲν μᾶλλον ἔξω τῆς ἀληθείας λέγομεν, μηδὲ πιθανοῖς τισι καὶ πρὸς ἀπάτην καὶ τέρψιν ἐπαγωγοῖς τὴν ἱστορίαν διαλαμβάνοντες, τὴν μὲν ἐξέτασιν φεύγειν πειρώμεθα, πιστεύεσθαι δ' εὐθὺς ἀξιοῦμεν. οὐδὲ συγκεχωρημένον ἡμῖν κατεξανισταμένοις τοῦ πρέποντος τῆς πραγματείας, ἀθώοις ὑπάρχειν. ἀλλὰ μηδεμιᾶς ὑποδοχῆς τυγχάνειν παρακαλοῦντες, ἂν μὴ μετ' ἀποδείξεως καὶ τεκμηρίων ἰσχυρῶν ἐμφανίζειν δυνώμεθα τὴν ἀλήθειαν. ὁ δὲ βασιλεὺς σολομὼν, ὡς ἐκομίσθη τὰ παρὰ τοῦ τυρίων βασιλέως γράμματα, τήν τε προθυμίαν αὐτοῦ καὶ τὴν εὔνοιαν ἐπῄνεσε.

καὶ οἷς

καὶ οἷς ἠξίωσε, τούτοις αὐτὸν ἠμείψατο. σίτου μὲν αὐτῷ κατ' ἔτος πέμψας δισχιλίους κόρους, καὶ τοσούτους ἐλαίου βάδους. ὁ δὲ βάδος δύναται χωρῆσαι ξέστας ἑβδομήκοντα καὶ δύο. τὸ δ' αὐτὸ μέτρον καὶ οἴνου παρεῖχεν. ἡ μὲν οὖν εἰρώμου φιλία καὶ σολομῶνος ἀπὸ τούτων ἔτι μᾶλλον ηὔξησε, καὶ διαμένειν ὡμολόγησαν εἰς ἅπαν. ὁ δὲ βασιλεὺς ἐπέταξε παντὶ τῷ λαῷ φόρον ἐργάτας τρισμυρίους, οἷς ἄπονον τὴν ἐργασίαν κατέστησε, μερίσας αὐτὴν συνετῶς. μυρίους γὰρ ἐποίησε κόπτοντας ἐπὶ μῆνα ἕνα ἐν τῷ λιβάνῳ ὄρει, δύο δὲ μῆνας ἀναπαύεσθαι παραγινομένους ἐπὶ τὰ οἰκεῖα, μέχρις οὗ πάλιν οἱ δισμύριοι τὴν ἐργασίαν πληρώσωσι κατὰ τὸν ὡρισμένον χρόνον. ἔπειθ' οὕτως συνέβαινε τοῖς πρώτοις μυρίοις διὰ τετάρτου μηνὸς ἀπαντᾶν ἐπὶ ἔργον. γεγόνει δ' ἐπίτροπος τοῦ φόρου τούτου ἀδώραμος. ἦσαν δ' ἐκ τῶν παροίκων, οὓς δαβίδης καταλελοίπει, τῶν μὲν παρακομιζόντων τὴν λιθείαν καὶ τὴν ἄλλην ὕλην, ἑπτὰ μυριάδες. τῶν δὲ λατομούντων, ὀκτάκις μύριοι. τούτων δ' ἐπιστάται τρισχίλιοι καὶ τριακόσιοι. προσετάχει δὲ λίθους μὲν αὐτοῖς τέμνειν μεγάλους, εἰς τοὺς τοῦ ναοῦ θεμελίους. ἁρμόσαντας δὲ πρῶτον καὶ συνδήσαντας ἐν τῷ ὄρει, κατακομίζειν οὕτως εἰς τὴν πόλιν. ἐγίνετο δὲ ταῦτα οὐ παρὰ τῶν οἰκοδόμων τῶν ἐγχωρίων μόνον, ἀλλὰ καὶ ὧν ὁ εἴρωμος ἔπεμψε τεχνιτῶν. τῆς δ' οἰκοδομίας τοῦ ναοῦ σολομὼν ἤρξατο, τέταρτον ἤδη τῆς βασιλείας ἔτος ἔχων μηνὶ δευτέρῳ, ὃν μακεδόνες μὲν ἀρτεμίσιον καλοῦσιν, ἑβραῖοι δὲ ἰαρ, μετὰ ἔτη πεντακόσια καὶ ἐννενήκοντα καὶ δύο, τῆς ἀπ' αἰγύπτου τῶν ἰσραηλιτῶν ἐξόδου. μετὰ δὲ χίλια καὶ εἴκοσι ἔτη τῆς ἀβράμου εἰς τὴν χαναναίαν ἐκ τῆς μεσοποταμίας ἀφίξεως. ἀπὸ δὲ τῆς ἐπομβρίας μετὰ χίλια καὶ τετρακόσια καὶ τεσσαράκοντα. ἀπὸ δὲ τοῦ πρώτου γεννηθέντος ἀδάμου ἕως οὗ τὸν ναὸν ᾠκοδόμησεν ὁ σολομών, διεληλύθει τὰ πάντα ἔτη τρισχίλια καὶ ἑκατὸν καὶ δύο. καθ' ὃν δὲ ὁ ναὸς ἤρξατο οἰκοδομεῖσθαι χρόνον, κατ' ἐκεῖνον ἔτος ἤδη τῆς ἐν τύρῳ βασιλείας ἑνδέκατον ἐνειστήκει εἰρώμῳ. ἀπὸ δὲ τῆς οἰκήσεως τύρου εἰς τὴν οἰκοδομίαν τοῦ ναοῦ διαγεγόνει χρόνος ἐτῶν τεσσαράκοντα καὶ διακοσίων. βάλλεται μὲν οὖν τῷ ναῷ θεμελίους ὁ βασιλεὺς ἐπὶ μήκιστον τῆς γῆς βάθος, ὕλης λίθων ἰσχυρᾶς, καὶ πρὸς χρόνον ἀντέχειν δυναμένης. οἵ τε τῇ γῇ συμφύεσθαι ἔμελλον καὶ ἔδαφος καὶ ἔρεισμα τῆς ἐποικοδομησομένης κατασκευῆς ἔσεσθαι, καὶ διὰ τὴν κάτωθεν ἰσχὺν, οἷς ἀπόνως τὸ μέγεθος τῶν ἐποικοδομηθησομένων, καὶ κάλλεσι πολυτελῶν, ἢ βάρος ἃ ἤμελλον οὐχ ἧττονα εἶναι τῶν ἄλλων ὅσα πρὸς ὕψος καὶ πρὸς ὄγκον, κόσμου τε χάριν καὶ τῆς μεγαλουργίας, ἐπενοεῖτο, ἀνήγαγον δ' αὐτὸν ἄχρι τῆς ὀροφῆς ἐκ λευκοῦ λίθου πεποιημένον. τὸ μὲν οὖν ὕψος ἦν ἑξήκοντα πηχῶν, τῶν δ' αὐτῶν, καὶ τὸ μῆκος, εὖρος δ' εἴκοσι. κατὰ τοῦτο δὲ ἄλλος ἦν ἐγηγερμένος ἴσος τοῖς μέτροις. ὥστε εἶναι τὸ πᾶν ὕψος τοῦ ναοῦ, πηχῶν ἑκατὸν καὶ εἴκοσι. τέτραπτο δὲ πρὸς τὴν ἀνατολήν. τὸ δὲ πρόναον αὐτοῦ προέστησαν, ἐπὶ πήχεις εἴκοσι τὸ μῆκος, πρὸς τὸ εὖρος τοῦ μήκους τεταγμένου. ἔχον δὲ πλάτους, πήχεις δέκα. ὕψος δὲ ἀνεγηγερμένον, πηχῶν ἑκατὸν εἴκοσι. περιῳκοδόμησε δὲ τὸν ναὸν ἐν κύκλῳ τριάκοντα βραχέσιν οἴκοις. οἳ συνοχή τε τοῦ παντὸς ἔμελλον ἔσεσθαι διὰ πυκνότητα καὶ πλῆθος ἔξωθεν περικείμενοι. καὶ δὴ καὶ τὰς εἰσόδους αὐτοῖς δι' ἀλλήλων κατεσκεύασεν. ἕκαστος δὲ τῶν οἴκων τοῦτον,

A remuneratus, frumenti annuos bis mille coros mittendo, & totidem olei bados. badus autem capit ſextarios 72. parem quoque vini modum illi exhibuit. Et ab his initiis amicitia regũ horum ex orta, maioribúſque incrementis aucta, in tantum adoleuit, vt in perpetuum firma durauerit. Solomon autem à populo ſuo millia XXX. operariorum exegit, prudenter inter eos operas partitus, quo minus labor ſentiretur. B Decem enim millia iuſſit in Libano ſyluam per menſem integrum cędere, ac deinde per duos alios domi interquieſcere, dum reliqua viginti millia ſuum opus abſoluunt, ita vt quarto demum menſe labor ad primos illos decies mille rediret. His omnibus Adoramus eſt prępoſitus. Præter hos erant in opere inquilini illi quos Dauid eò deſtinauerat, conuectores ſaxorum cæteręque materiæ LXXM. & cęmentarij LXXXM. magiſtrique horum ter mille & CC. iis C mandatum fuerat vt ſaxa prægrandia exciderent in vſum fundamentorum templi, eaque in monte priùs in quadrum dedolata, ita demum in vrbem conueherent: idque non modo indigenis, ſed & miſſis ab Iromo opificibus erat iniunctum.

III. 3. Reg. 6.

Exorſúſque eſt Solomon fabricam hanc anno regni ſui quarto, ſecundo menſe, quem Macedones Artemiſium vocant, Iar verò Hebræi, D annis DXC. duobus poſtquam Iſraelitæ Ægypto exceſſerant: mille & XX. annis poſt Abrahami ex Meſopotamena regione in Chananæam migrationẽ: poſt diluuiũ verò annis MCCCCXL. quòd ſi ab Adamo creato vſque templi ædificationem temporum ratio ſubducatur, compererientur anni MMMCII. Initium verò fabricandi templi in annum vndecimum regni Iromi incidit, apud Tyrum regnantis, quę condita eſt E CCXL. annis antequam templum extrueretur. Iecit igitur rex in altiſſimam terræ profunditatem fundamẽta templi è ſaxis validiſſimis, quę contra omnem temporum iniuriam reſiſtere poſſent, ita vt cùm contigua terra coalita ſolũ ac firmamentum imponendis ſubſtructionibus præberent, & propter inconcuſſam ſoliditatem facilè molem ędificij cum paratu ornamentorum ſumptuoſiſſimo perferrent, non minorem admirationem habitura, quàm quæ ſupernè ad F amplitudinem, pulchritudinem & magnificentiam operis per artifices allaborata ſunt. extruxeruntque illud vſque lacunar ex albo lapide. Huius ædificij altitudo fuit cubitorum ſexaginta, & totidem longitudo, latitudo verò viginti. Super hoc autem erat aliud edificium pari menſura, ita vt tota altitudo templi centum viginti cubitis conſtaret. verſum autem erat ad Orientem. Et porticus in aditu eius e- G rat viginti cubitorum longitudinis, iuxta menſuram latitudinis templi, lata cubitos decem, ſurgens in altum cubitis centum viginti. In circuitu deinde templi conſtruxit triginta cellas, quæ inter ſe conſtipatæ externè parietes templi fulciebant. erántque inter ſe peruiæ, & patebant ſingulæ in longum vigintiquinque cubitos, ac totidem in latum,

& viginti cubitis attollebantur. Super has alia series cellarum erat extructa, super quam rursum aliæ, omnes inter se numero & amplitudine pares, ita vt coniunctæ inferius ędificium æquarent altitudine. Nam superius non erat circumædificatum. fuerunt autem omnia cedro contecta. Et cellæ quidem suum quæque tectũ habebant, non proximo contiguum. reliquum ex longissimis trabibus erat consertum, ad vtrunque latus pertingentibus, ita vt ipsi parietes hoc pacto consibulati firmiores redderentur. His trabibus subnexa erant laquearia politissima, cælaturis & bracteis aureis ornata. Parietes etiam cedrinis tabulis auro illitis erant incrustati, ita vt omnia reniterent auro, & intrantium oculos fulgor vndique occurrẽs perstringeret. Tota verò structura ex lapidibus politissimis constabat, ita ad vnguem inter se quadrantibus, & commissuris oculos fallentibus, vt intuentibus nullum vsquam mallei aut cuiuslibet fabrilis instrumenti vestigium appareret, sed connata potius omnia quàm arte cõgesta viderentur. Porrò ascensum in superiorem templi partem sic commentus est rex, vt cochleam in hunc vsum crassitudini parietis includeret. Hæc enim pars non habebat ab Oriente magnam ianuam vt inferior, sed à lateribus inerant parua hostiola, nec parum ad firmitatem conferebant tabulæ cedrinæ se inuicem complectentes, & crassis catenis inter se constrictæ. Diuiso deinde in duas partes fano, penetrale eius viginti cubitorum nulli fecit accessibile, reliquum quadraginta cubitorum spatium in vsum sacerdotum consecrauit: & in pariete adytum à reliquo corpore separante fores apposuit cedrinas, has quoque cælatas & inauratas. eas prætexuit velis picturatissimis, hyacinto, purpura, cocco, byssóque splendidissimo ac mollissimo distinctis. Post hæc in adyto viginti cubitos quaquauersum patente dedicauit duos cherubinos ex auro solido, vtrumque quinque cubitorum altitudine. vterque duas alas habebat ad quinque cubitos protensas: quapropter non longo seiunctos interuallo statuit, vt vna ala australem parietem attingeret, altera septentrionalem: reliquæ duæ sese contingentes in medio sitam arcam protegerent. Hæ cherubicæ effigies quánam specie fuerint, nemo vel coniicere potest vel eloqui. Pauimentum etiam templi constrauit laminis aureis. Ianuæ demum fores altitudini parietis proportione conuenientes addidit, latas cubitos viginti, & auro illitas. Atque vt compendio dicam, nihil tam intus quàm foris omisit, quod non inauraret. Oppansum est præterea aulęum & huic ianuæ, simile illi quod interior ianua habuit. Cæterùm porticus nihil tale habebat. Post hæc Solomon accersiuit Tyro ab Iromo artificem nomine Chiramum, filium mulieris Nephthalitidis, patre Tyrio ab Israelitis oriundo, operariũ insignem in quauis materia, sed præcipuè in auro & argento ac ære. Huius opera vsus est

3. Reg. 7.

A εὔρεις μὲν εἶχεν εἴκοσι πέντε πήχεις. μήκοις δὲ τοῖς αὐτοῖς, ὕψοις δὲ εἴκοσι. ἐπῳκοδόμητο δὲ τούτοις ἄνωθεν οἶκοι ἕτεροι, καὶ πάλιν ἄλλοι κατ' αὐτῶν ἴσοι καὶ τοῖς μέτροις καὶ τῷ ἀριθμῷ, ὡς τὸ πᾶν ὕψος αὐτοῖς λαβεῖν τῶν κάτωθεν οἴκων παραπλήσιον. ὁ γὰρ ὑπερῷος οὐκ ἦν περιῳκοδομημένος. ὄροφος δ' αὐτοῖς ἐπεβέβλητο κέδρου. καὶ τοῖς μὲν οἴκοις ἴδιος ἦν ἑκάστῳ, πρὸς τοὺς πλησίον οὐ συνάπτων. τοῖς δ' ἄλλοις ὑπῆρχεν ἡ στέγη δι' ἀλλήλων δεδωμημένη μηκίσταις δοκοῖς, καὶ διοικούσαις ἁπάντων ὡς τοὺς μέσους τοίχους ὑπ' αὐτῶν συγκρατουμένους ξύλων, ἐρρωμενεστέρους διὰ τοῦτο γίνεσθαι. τὴν δ' ὑπὸ τὰς δοκοὺς στέγην τῆς αὐτῆς ὕλης ἐβάλλετο πᾶσαν ἐξεσμένην εἰς φατνώματα καὶ πρὸς κόλλησιν χρυσοῦ. τοὺς δὲ τοίχους, κεδρίναις διαλαβὼν σανίσι, χρυσὸν αὐταῖς ἐνετόρνευσεν, ὡς τε στίλβειν ἅπαντα τὸν ναὸν καὶ περιλάμπεσθαι τὰς ὄψεις τῶν εἰσιόντων ὑπὸ τῆς αὐγῆς τοῦ χρυσοῦ πανταχόθεν φερομένης. ἡ δ' ὅλη C τοῦ ναοῦ οἰκοδομία, κατὰ πολλὴν τέχνην ἐκ λίθων ἀκροτόμων ἐγένετο συντεθέντων ἁρμονίως πάνυ καὶ λείως. ὡς μήτε σφύρας, μήτε ἄλλου τινὸς ἐργαλείου τεκτονικοῦ τοῖς κατανοοῦσιν ἐργασίαν δηλοῦσθαι. ἀλλὰ δίχα τῆς τούτων χρήσεως πᾶσαν ἡρμόσθαι τὴν τούτων ὕλην προσφυῶς. ὡς ἑκούσιον τὴν ἁρμονίαν αὐτῆς δοκεῖν μᾶλλον, ἢ τῆς τῶν ἐργαλείων ἀνάγκης. ἐφιλοτέχνησεν δὲ βασιλεὺς ἄνοδον εἰς τὸν ὑπερῷον οἶκον διὰ τοῦ εὔρους τοῦ τοίχου. οὐ γὰρ εἶχον θύραν μεγάλην κατὰ τῆς ἀνατολῆς ὡς εἶχεν ὁ κάτωθεν οἶκος, ἀλλ' ἐκ τῶν πλευρῶν ἦσαν αἱ εἴσοδοι διὰ μικρῶν πάνυ θυρῶν. διέλαβε δὲ τὸν ναὸν καὶ ἔνδοθεν καὶ ἔξωθεν, ξύλοις κεδρίνοις, ἁλύσεσι παχείαις συνδεδεμένοις. ὡς τε ἀντ' ὀχυρωμάτων καὶ ῥώμης τοῦτον αὐτοῖς χρῆσθαι. διελὼν δὲ τὸν ναὸν εἰς δύο, τὸν μὲν ἔνδοθεν οἶκον, εἴκοσι πηχῶν ἐποίησεν ἄδυτον. τὸν δὲ, τεσσαράκοντα πηχῶν ἅγιον ναὸν ἀπέδειξεν. ἐκτεμὼν δὲ τὸν μέσον τοῖχον θύρας ἐπέστησε κεδρίνας, E χρυσὸν αὐταῖς πολὺν ἐργασάμενος, καὶ τορείαν ποικίλην. κατεπέτασε δὲ ταύτας ὑφέσιν εὐανθεστάτοις, ἐξ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου πεποιημένοις. οὐ μὴν, ἀλλὰ καὶ βύσσου λαμπροτάτης καὶ μαλακωτάτης. ἀνέθηκε δ' εἰς τὸ ἄδυτον εἴκοσι πηχῶν τὸ εὖρος, τῶν δ' αὐτῶν καὶ τὸ μῆκος, δύο χερουβεὶς ὁλοχρύσους πηχῶν ἑκάτερον τὸ ὕψος πέντε. δύο δ' ἦσαν ἑκατέρῳ πτέρυγες, ἐπὶ πέντε πήχεις ἐκτεταμέναι. διὸ οὐ μακρὰν ἀπ' F ἀλλήλων αὐτὰς ἀνέστησεν. ἵνα τῶν πτερύγων, τῇ μὲν, ἅπτωνται τοῦ κατὰ νότον κειμένου τοίχου ἀδύτου. τῇ δὲ, κατὰ βορρᾶν. αἱ δ' ἄλλαι πτέρυγες αὐτοῖς συνάπτουσαι, τεθείσῃ μεταξὺ αὐτῶν τῇ κιβωτῷ σκέπη τυγχάνωσι. τὰς δὲ χερουβεὶς, οὐδεὶς ὁποῖαί τινες ἦσαν εἰπεῖν οὐδ' εἰκάσαι δύναται. κατέστρωσε δὲ καὶ τοῦ ναοῦ τὸ ἔδαφος ἐλάσμασι χρυσοῦ. ἐπέθηκε δὲ καὶ τῷ πυλῶνι τοῦ ναοῦ, θύρας πρὸς τὸ ὕψος τοῦ τοίχου συμμεμετρημένας, εὖ- G ρος ἐχούσας πηχῶν εἴκοσι. καὶ ταύτας κατεκόλλησε χρυσῷ. συνελόντι δ' εἰπεῖν, οὐδὲν εἴασε τοῦ ναοῦ μέρος, οὔτε ἔξωθεν οὔτε ἔνδοθεν ὃ μὴ χρυσὸς ἦν. κατεπέτασε δὲ καὶ ταύτας τὰς θύρας, ὁμοίως τοῖς ἐνδοτέρω καταπετάσμασι. ἡ δὲ τοῦ προναοῦ πύλη, τούτων οὐδὲν εἶχε. μεταπέμπεται δ' ἐκ Τύρου Σολομὼν παρὰ Εἰρώμου τεχνίτην, Χείραμον ὄνομα. μητρὸς μὲν ὄντα, Νεφθαλίτιδος τὸ γένος. ἐκ γὰρ ταύτης ὑπῆρχε τῆς φυλῆς. πατρὸς δὲ Τυρίου, γένος Ἰσραηλιτῶν. οὗτος, ἁπάντων μὲν ἐπιστήμην εἶχεν ἔργων. μάλιστα δὲ, τεχνίτης ἦν χρυσὸν ἐργάζεσθαι καὶ ἄργυρον καὶ χαλκόν.

ὑφ' οὗ δὴ καὶ πάντα κατὰ τὴν τοῦ βασιλέως βούλησιν τὰ περὶ τὸν ναὸν ἐξεμηχανήθη. κατεσκεύασε δὲ ὁ χείραμος οὗτος καὶ στύλους δύο χαλκοῦς ἔσωθεν τὸ πάχος τεσσάρων δακτύλων. ἦν δὲ τὸ μὲν ὕψος τοῖς κίοσιν, ὀκτωκαίδεκα πηχέων. ἡ δὲ περίμετρος, δέκα καὶ δύο πηχῶν. χωνευτὸν δὲ ἐφ' ἑκατέρᾳ κεφαλῇ κρίνον ἐφειστήκει τὸ ὕψος ἐπὶ πέντε πήχεις ἐγηγερμένον. ᾧ περιέκειτο δίκτυον ἐλάτῃ χάλκινον περιπεπλεγμένον καλύπτειν τὰ κρίνα. τούτου δὲ ἀπήρτηντο κατὰ διστοιχίαν, καὶ ῥοαὶ διακόσιαι. τούτων τῶν κιόνων, τὸν μὲν ἕτερον κατὰ τὴν δεξιὰν ἔστησε τοῦ προπυλαίου παραστάδα, καλέσας αὐτὸν ἰάχειν. τὸν δὲ ἕτερον κατὰ τὸν ἀριστερὸν, ὀνομάσας αὐτὸν, βοάζ. ἐχώνευσε δὲ καὶ θάλασσαν χαλκῆν εἰς ἡμισφαίριον ἐσχηματισμένον, ἐκλήθη δὲ τὸ χαλκούργημα, θάλασσα διὰ τὸ μέγεθος. ἦν γὰρ ὁ λουτὴρ τὴν διάμετρον πηχῶν δέκα, καὶ ἐπὶ παλαιστιαῖον πάχος κεχωνευμένος. ὑπήρειστο δὲ κατὰ τὸ μεσαίτατον τῆς κύτους σπείρᾳ περιηγμένη εἰς ἕλικας δέκα. ἦν δὲ τὴν διάμετρον πήχεος. περιειστήκεισαν δὲ περὶ αὐτὴν μόσχοι δώδεκα, πρὸς τὰ κλίματα τῶν τεσσάρων ἀνέμων ἀποβλέποντες, καθ' ἕκαστον αὐτῶν τρεῖς, ἔσω τὰ ὀπίσθια νενευκότες, ὥστ' αὐτοῖς ἐπικαθέζεσθαι ἡμισφαίριον, κατὰ περιαγωγὴν ἔνδον ἐπινεῦον. ἐδέχετο δὲ ἡ θάλασσα, βάδους δισχιλίους. ἐποίησε δὲ καὶ λουτήρων δέκα βάσεις χαλκᾶς τετραγώνων. τούτων ἑκάστη μῆκος γεγόνει πηχῶν πέντε, πλάτος τεσσάρων, ὕψος ἕξ. συνεκέκλειτο δὲ τὸ ἔργον κατὰ μέρος τετορνευμένον οὕτως. τέσσαρες ἦσαν κιονίσκοι κατὰ γωνίαν ἑστῶτες τετράγωνοι, τὰ πλευρὰ τῆς βάσεως ἐξ ἑκατέρου μέρους ἐν αὐτοῖς ἔχοντες ἐξηρμοσμένα. ἦν δὲ ταῦτα τριχῇ διῃρημένα, ἑκάστην δὲ χώραν ὅρος ἐπεῖχεν εἰς ὑπόβασιν κατεσκευασμένον. ἐφ' οἷς ἐτετόρευτο, πῇ μὲν λέων, πῇ δὲ ταῦρος καὶ ἀετός. ἐπὶ δὲ τῶν κιονίσκων ὁμοίως ἐξείργαστο τοῖς κατὰ τὰ πλευρὰ τετορνευμένοις. τὸ δὲ πᾶν ἔργον ἐπὶ τεσσάρων αἰρούμενον τροχῶν εἱστήκει. χωνευτοὶ δ' ἦσαν οὗτοι, πλήμνας καὶ ἄντυγας πήχεως καὶ ἡμίσου ἔχοντες τὴν διάμετρον. ἐθαύμασεν αὐτὶς τὰς ἁψῖδας τῶν τροχῶν θεασάμενος, πῶς συντετορευμέναι καὶ τοῖς πλευροῖς τῶν βάσεων προσηνωμέναι ἁρμονίως τῇ ἄντυξιν ἐνέκειντο. ἦσαν δ' ὅμως οὕτως ἔχουσαι. τὰς δὲ γωνίας ἄνωθεν συνέκλειον ὦμοι χειρῶν ἀνατεταμένων. οἷς ἐπεκάθητο σπεῖρα κατὰ κοιλὸν ἐπικειμένη τὸν λουτῆρα ταῖς χερσὶν ἐπαναπαυόμενον, ἀετοῦ καὶ λέοντος αὐταῖς ἐφηρμοσμένων, ὡς σύμφυτα ταῦτ' εἶναι δοκεῖν τοῖς ὁρῶσι. μεταξὺ δὲ τούτων φοίνικες ἦσαν τετορευμένοι. τοιαύτη μὲν ἡ κατασκευὴ τῶν δέκα βάσεων ὑπῆρχε. προσεξειργάσατο δὲ καὶ κυθρογαύλους δέκα λουτῆρας στρογγύλους χαλκοῦς, ὧν ἕκαστος ἐχώρει τεσσαράκοντα χόας. τὸ γὰρ ὕψος εἶχε τεσσάρων πηχῶν, καὶ τοσοῦτον ἀπ' ἀλλήλων αὐτοῖς διεστήκει τὰ χείλη. τίθησι δὲ τοὺς λουτῆρας τούτους ἐπὶ τῶν δέκα βάσεων τῶν κληθεισῶν μεχωνώθ. πέντε δὲ λουτῆρας ἐξ ἀριστεροῦ μέρους τοῦ ναοῦ. ἐτέτραπτο δὲ τοῦτο κατὰ βορέαν ἄνεμον. καὶ τοσούτους ἐκ τοῦ δεξιοῦ πρὸς νότον ἀφορῶντας εἰς τὴν ἀνατολήν. κατὰ δ' αὐτὸ καὶ τὴν θάλασσαν ἀνέθηκε. πληρώσας δ' ὕδατος, τὴν μὲν θάλασσαν ἀπέδειξεν εἰς τὸ νίπτειν τοὺς εἰς τὸν ναὸν εἰσιόντας ἱερεῖς ἐν αὐτῇ τὰς χεῖρας καὶ τοὺς πόδας, μέλλοντας ἀναβαίνειν ἐπὶ τὸν βωμόν. τοὺς δὲ λουτῆρας, εἰς τὸ καθαίρειν τὰ ἐντὸς τῶν ὁλοκαυτουμένων ζώων, καὶ τοὺς πόδας αὐτῶν.

in omnib⁹ quæ artificiosè in tẽplo fieri voluit Is fecit duas columnas æreas crassitudine quatuor digitorum, altas decem & octo cubitos, quarum circumferentia duodecim cubitos cõplectebatur. his imposita erant capitella fusilia liliata, proceritate quinque cubitorum: quibus circundata erant retiacula ærea, quæ operiebãt lilia, dependebántque inde duæ series malorum punicorum ducentorum numero. Has columnas posuit in aditu vestibuli, alteram a dextris nominatam iachin, alteram à sinistris nominatam boz. Fecit etiam vas ahenеum fusile semioribis specie, quod propter capacitatem appellatum est mare. Erat enim labrum patens per dimetientem lineam in cubitos decem, crassitudine palmari. eius meditullium sustinebatur spira decies replicata, cuius dimetiens linea fuit cubitalis. Id labrum circũstabát duodecim iuuenci ad tractus quatuor ventorũ obuersi terni, quorum postica subsidebant, vt eis orbiculare illud vas incumberet, in medio sui depressius. Capiebat autem hoc mare congiorum tria millia. Fecit præterea labrorum decem bases ęreas quadrangulas. harum quæque longitudine fuit cubitorum quinque, latitudine quatuor, altitudine trium. huius operis partes seorsim fabricatæ sic compingebantur. Quatuor erant columellæ per totidem angulos dispositę quadrangulæ, quibus latera basium vtrinque inserebantur: erant autem hæc tripartita, & inter iuncturas cælaturis distincta, alibi leonis effigie, tauri alibi aut aquilæ. Columellæ quoque eisdem cælaturis erant ornatæ. Totum verò opus quatuor rotis suspendebatur, quæ fusiles erant, habebántque modiolos & radios, sesquicubitali inter vtramq; extremitatem interuallo. erátque mirum videre rotarum circumferẽtias, quomodo lateribus basium coaptatæ cantis suis insistebant. Angulos autem supernè continebant fusiles humeruli manuum extensarum. his imposita erat spira, cui labrum inserebatur, ita vt manibus sustineri videretur: qua parte effigies leonum & aquilarum sic erant adaptatæ, vt connatas putares, interuenientibus inter eas palmarum arbusculis. Atque hæc fuit decem basium structura. Deinde ex eodem ære fecit decem labra rotunda conchæ specie, quorum quodque capiebat congios quadraginta. erat enim altitudo quatuor cubitorum, & tantundem spatij patebat inter margines. Ea labra decem illis basibus imposuit, quas mechenoth sua lingua appellabant. horum quinque ad sinistrum latus templi septentrionale collocauit totidem ad dextrum australe, ita vt Orientem spectarent: quo loco etiam mare illud dedicauit. Omnibus deinde aqua repletis, mare quidem in eum vsum assignauit, vt inde sacerdotes templum ingredientes manus ac pedes ablueren, ad altare ascensuri: labra autem vt eorum aqua purgarentur intestina ac pedes animantium ad holocautoma destinatorum.

Fabricauit etiam altare æreum viginti cubitorum longitudine, totidem latitudine, altitudine decem, in quo holocautomata incenderentur. Fecit item vasa eius ex ære omnia, lebetes & amulas, tenacula & harpagones & reliqua, auri fulgorem referentia. Mensas quoque multas dedicauit rex, & in his vnam magnam auream, in qua proponebantur sacri panes: reliquæ non multo deteriores diuerso modo factæ sustinebant phialas & pateras aureas vigesies mille, argentearum quadraginta millia. Candelabrorũ item fecit decem millia, iuxta præceptum Moysis: ex quibus vnum in templo dedicauit, vt interdiu luceret iuxta legem: & mensam vnam impositos panes habentem, sitam ad septẽtrionale templi latus ex aduerso cãdelabri. id enim ad australe latus, collocauerat. medium autem inter vtrũque locum obtinebat altare illud aureum. Hæc omnia continebat anterior illa tẽpli pars quadraginta cubitos longa, & velo dis-parata ab adyto. illò enim arca erat inferenda. Cantharorum autem vinariorum octoginta millia rex comparauit, & phialarum aurearum millia decem, argentearum verò alterum tantum. Lancium item aurearum, ad offerendam in eis similam maceratam ad altare, octoginta millia, duplum verò argentearum. Craterarum quoque in quibus similam oleo subigebant, sexaginta millia aurearum, & alterum tantum argentearum. Mensurarum verò quales Moysi hin vocantur, & assaron, aurearum erant viginti millia, & duplicatus numerus argentearum. Acerræ quoque aureæ quibus odoramenta in templum inferri solent, erant numero viginti millia: & aliæ quibus deferebatur ignis à magno altari in paruum intra templum situm quinquaginta millia. Paratæ erant & sacerdotales vestes in vsum pontificum, annumeratis talaribus & epomidibus atque logio cum suis gemmis in vniuersum mille. Corona verò in qua Moyses Dei nomen inscripsit, vnica fuit, & vsque in hodiernum permansit. Stolas autem sacerdotales è bysso fieri curauit, cũ decies mille zonis purpureis, & tubarum quales Moyses præscripsit CCM. Item alias stolas byssinas Leuitis hymnorum cantoribus, numero ducenta millia. Instrumentorum prætera musicorum, quæ naula & cinnyræ vocantur in vsum hymnodiarũ ex electro confecit quadringenta millia. Quæ omnia Solomon ad honorem Dei magnificè parauit, nullis parcens sumptibus: sed omni liberalitate vsus hæc in thesauris Dei condidit. Circumdedit deinde templo septum quoddam trium cubitorum altitudine, quod nostra lingua gison vocamus, exclusurum profanam multitudinem, & solos sacerdotes admissurum, extra hoc septum erat fanum, porticibus magnis ac latis cinctum, & portis altis patens: quarum singulæ singulos ventos spectabant, & foribus auratis claudebantur, in hoc fanum cuilibet è populo, puro modò ac casto, & præscriptorum legis obseruanti, accessus patebat. Dici autem non potest, ac vix etiam oculis credi, quàm mirandum fuerit illud exterius fanum. vallibus enim expletis, tam profundis, vt ad prospectũ oculi caligarẽt, & aggesta ad quadringẽtos cubitos ter-

κατεσκεύασε δὲ καὶ θυσιαστήριον χάλκεον πηχῶν εἴκοσι τὸ μῆκος, καὶ τοσούτων εὖρος, τὸ δὲ ὕψος δέκα, πρὸς τὰς ὁλοκαυτώσεις. ἐποίησε δὲ αὐτῷ καὶ τὰ σκεύη πάντα χάλκεα, ποδιστῆρας καὶ ἀναλημπτῆρας, οὐ μὴν ἀλλὰ πρὸς τούτοις καὶ λαβίδας καὶ ἁρπάγας, καὶ πᾶν σκεῦος ἐδημιούργησεν ἐκ χαλκοῦ, τὴν αὐγὴν ὁμοίου χρυσῷ καὶ τὸ κάλλος. τραπεζῶν τε τὸ πλῆθος ἀνέθηκεν ὁ βασιλεύς, καὶ μίαν μὲν μεγάλην χρυσέαν, ἐφ᾽ ἧς ἐτίθεσαν τοὺς ἄρτους τοῦ θεοῦ. καὶ ταύτης παραπλησίας μυρίας πρὸς αὖ ἑτέρῳ τρόπῳ γεγενημένας. ἐφ᾽ ὧν ἐπέκειτο τὰ σκεύη, φιάλαι τε καὶ σπονδεῖα, χρύσεα μὲν δισμύρια, ἀργύρεα δὲ τετρακισμύρια. καὶ λυχνίας δὲ μυρίας ἐποίησε κατὰ τὴν Μωυσέως πρόσταξιν. ἐξ ὧν μίαν ἀνέθηκεν εἰς τὸν ναὸν ἵνα καίηται καθ᾽ ἡμέραν ἀκολούθως τῷ νόμῳ. καὶ τράπεζαν μίαν ἐπικειμένην ἄρτοις πρὸς τὸ βόρειον τοῦ ναοῦ μέρος ἀντικρὺ τῆς λυχνίας. ταύτην γὰρ κατὰ νότον ἔστησεν. ὁ δὲ χρυσοῦς βωμός, μέσον αὐτῶν ἔκειτο. ταῦτα πάντα εἶχεν ὁ τῶν τεσσαράκοντα πηχῶν οἶκος, πρὸ τοῦ καταπετάσματος τοῦ ἀδύτου. εἰς τοῦτο γὰρ ἡ κιβωτὸς ἔμελλε κεῖσθαι. οἰνοχόας δὲ ὁ βασιλεὺς μυριάδας ὀκτὼ κατεσκεύασε, καὶ φιαλῶν χρυσέων δέκα. ἀργυρέας δὲ διπλασίονας. πινάκων δὲ χρυσέων, εἰς τὸ προσφέρειν ἐν αὐτοῖς πεφυραμένης σεμιδάλεως τῷ βωμῷ μυριάδας ὀκτώ, τούτων δὲ ἀργυρέους διπλασίονας. κρατῆρας δὲ οἷς ἐνέφυρον τὴν σεμίδαλιν μετ᾽ ἐλαίου, χρυσέοις μὲν ἑξακισμυρίοις. ἀργυρέοις δέ, δὶς τοσούτοις. τὰ μέτρα δὲ τῆς Μωυσέως εἶν καὶ ἀσσάρων παραπλήσια, χρύσεια μὲν δισμύρια. ἀργύρεα δέ, διπλασίονα. θυμιατήρια δὲ χρυσᾶ ἐν οἷς ἐκομίζετο θυμίαμα εἰς τὸν ναόν, δισμύρια. ὁμοίως ἄλλα θυμιατήρια, οἷς ἐκόμιζον ἀπὸ τοῦ μεγάλου βωμοῦ πῦρ ἐπὶ τὸν μικρὸν βωμὸν τὸν ἐν τῷ ναῷ, πεντακισμύρια. στολὰς δὲ ἱερατικὰς τοῖς ἀρχιερεῦσι, σὺν ποδήρεσιν ἐπωμίσι καὶ λογίῳ καὶ λίθοις χιλίας. ἡ δὲ στεφάνη εἰς ἣν Μωυσῆς τὸν θεὸν ἔγραψε, μία ἦν, καὶ διέμεινεν ἄχρι τῆσδε τῆς ἡμέρας. τὰς δὲ ἱερατικὰς στολάς, ἐκ βύσσου κατεσκεύασε, καὶ ζώνας εἰς ἕκαστον πορφύρας μυρίας, καὶ σαλπίγγων κατὰ Μωυσέως ἐντολὴν, μυριάδας εἴκοσι. καὶ στολὰς τοῖς ὑμνῳδοῖς τῶν λευιτῶν ἐκ βύσσου μυριάδας εἴκοσι. καὶ τὰ ὄργανα τὰ μουσικὰ καὶ πρὸς τὴν ὑμνῳδίαν ἐξευρημένα, ἃ καλεῖται νάβλαι καὶ κινύραι ἐξ ἠλέκτρου κατεσκεύασε, τετρακισμυρίας. ταῦτα πάντα ὁ Σολομὼν εἰς τὴν τοῦ θεοῦ τιμὴν πολυτελῶς καὶ μεγαλοπρεπῶς κατεσκεύασε μηδενὸς φεισάμενος, ἀλλὰ πάσῃ φιλοτιμίᾳ περὶ τὸν τοῦ ναοῦ κόσμον χρησάμενος, ἃ καὶ κατέθηκε τοῖς θησαυροῖς τοῦ θεοῦ. περιέβαλε δὲ τοῦ ναοῦ κύκλῳ, γεῖσον μὲν κατὰ τὴν ἐπιχώριον γλῶτταν, θριγκὸν δὲ παρ᾽ Ἕλλησι λεγόμενον, εἰς τρεῖς πήχεις ἀναγαγὼν τὸ ὕψος, εἴρξοντα μὲν τοὺς πολλοὺς τῆς εἰς τὸ ἱερὸν εἰσόδου, μόνοις δὲ ἀνειμένην αὐτὴν τοῖς ἱερεῦσι σημαίνοντα. τούτου δὲ ἔξωθεν ἱερὸν ᾠκοδόμησεν ἐν τετραγώνῳ σχήματι στοὰς ἐγείρας μεγάλας καὶ πλατεῖς, καὶ πύλαις ὑψηλαῖς ἀνεῳγμένας. ὧν ἑκάστη πρὸς ἕκαστον τῶν ἀνέμων τέτραπτο χρυσέαις κλειομένη θύραις. εἰς τοῦτο τοῦ λαοῦ πάντες οἱ διαφέροντες ἁγνείᾳ καὶ παρατηρήσει τῶν νομίμων εἰσῄεσαν. θαυμαστὸν δὲ καὶ λόγου παντὸς ἀπέφηνε, μεῖζον δὲ εἰπεῖν καὶ τῆς ὄψεως, τὸ τούτων ἔξωθεν ἱερόν. μεγάλας γὰρ ἐμφορήσας φάραγγας, ἃς διὰ βάθος ἄπειρον οὐδὲ ἀπόνως νεύσαντας ἦν ἰδεῖν, καὶ ἀνα-

καὶ ἀναβιβάσας εἰς τετρακοσίους πήχεις τὸ ὕψος, ἰσοπέδους τῇ κορυφῇ τοῦ ὄρους ἐφ' ἧς ὁ ναὸς ᾠκοδόμητο κατεσκεύασε. καὶ διὰ τοῦτο ὕπαιθρον ὂν τὸ ἔξωθεν ἱερὸν, ἴσον ὑπῆρχε τῷ ναῷ. περιλαμβάνει δ' αὐτὸ καὶ στοαῖς διπλαῖς μὲν τὴν κατασκευὴν, λίθου δ' αὐτοφυοῦς τὸ ὕψος κίοσιν ἐπηρεισμέναις. ὄροφαι δ' αὐταῖς ἦσαν ἐκ κέδρου φατνώμασιν ἐξεσμέναι. τὰς δὲ θύρας τοῦ ἱεροῦ τούτῳ πάσας ἐπίστωσεν ἐξ ἀργύρου. τὰ μὲν οὖν ἔργα ταῦτα, καὶ τὰ μεγέθη καὶ κάλλη τῶν τε οἰκοδομημάτων, καὶ τῶν εἰς τὸν ναὸν ἀναθημάτων σολομὼν ὁ βασιλεὺς ἐν ἔτεσιν ἑπτὰ συντελέσας, καὶ πλούτου καὶ προθυμίας ἐπίδειξιν ποιησάμενος ὡς ἄν τις ἰδὼν ἐνόμισεν ἐν τῷ παντὶ κατασκευασθῆναι χρόνῳ ταῦτα ἐν οὕτως ὀλίγῳ πρὸς τὸ μέγεθος συγκρινόμενα τοῦ ναοῦ συμπερανθῆναι, γράψας τοῖς ἡγεμόσι καὶ πρεσβυτέροις τῶν ἑβραίων, ἐκέλευσεν ἅπαντα τὸν λαὸν συναγαγεῖν εἰς ἱεροσόλυμα, ὀψόμενόν τε τὸν ναὸν καὶ μετακομιοῦντα τὴν τοῦ θεοῦ κιβωτὸν εἰς αὐτόν. καὶ περιαγγελθείσης τῆς εἰς τὰ ἱεροσόλυμα πᾶσιν ἀφίξεως, ἑβδόμῳ μηνὶ μόλις συνίασιν. ὑπὸ μὲν τῶν ἐπιχωρίων θισρὶ, ὑπὸ δὲ τῶν μακεδόνων ὑπερβερεταίῳ λεγομένῳ. συνέδραμε δὲ εἰς τὸν αὐτὸν χρόνον, καὶ ὁ τῆς σκηνοπηγίας καιρὸς, ἑορτῆς σφόδρα παρὰ τοῖς ἑβραίοις ἁγιωτάτης καὶ μεγίστης. βαστάσαντες οὖν τὴν κιβωτὸν καὶ τὴν σκηνὴν, ἣν μωυσῆς ἐπήξατο, καὶ πάντα τὰ πρὸς τὴν διακονίαν τῶν θυσιῶν τοῦ θεοῦ σκεύη, μετεκόμιζον εἰς τὸν ναόν. προῆγον δὲ μετὰ θυσιῶν αὐτός τε ὁ βασιλεὺς, καὶ ὁ λαὸς ἅπας καὶ οἱ λευῖται. σπονδαῖς τε καὶ πολλῶν ἱερείων αἵματι τὴν ὁδὸν καταντλοῦντες, καὶ θυμιῶντες ἄπειρόν τι θυμιαμάτων πλῆθος. ὡς ἅπαντα τὸν πέριξ ἀέρα πεπληρωμένον, καὶ τοῖς πορρωτάτω τυγχάνουσιν ἡδὺν ἀπαντᾶν, καὶ γνωρίζειν ἐπιδημίαν θεοῦ καὶ κατοικισμὸν κατ' ἀνθρωπίνην δόξαν, εἰς νεοδόμητον αὐτοῖς καὶ καθιερωμένον χωρίον. καὶ γὰρ οὐδ' ὑμνοῦντες οὐδὲ χορεύοντες ἕως οὗ πρὸς τὸν ναὸν ἦλθον ἔκαμον. τοῦτον μὲν οὖν τὸν τρόπον τὴν κιβωτὸν μετήνεγκαν. ὡς δ' εἰς τὸ ἄδυτον αὐτὴν μετενεγκεῖν ἔδει, τὸ μὲν ἄλλο πλῆθος μετέστη, μόνοι δὲ κομίσαντες οἱ ἱερεῖς, μεταξὺ τῶν χερουβεὶν τῶν δύο κατέθεσαν. αἱ δὲ τοὺς ταρσοὺς συμπλέξασαι, καὶ γὰρ οὕτως ἦσαν ὑπὸ τοῦ τεχνίτου κατεσκευασμέναι, τὴν κιβωτὸν ὡς ὑπὸ σκηνῇ τινὶ καὶ θόλῳ κατεσκέπασαν. εἶχε δὲ ἡ κιβωτὸς οὐδὲν ἕτερον, ἢ δύο λιθίνας πλάκας, αἳ τοὺς δέκα λόγους τοὺς ὑπὸ τοῦ θεοῦ λαληθέντας ἐν σιναίῳ ὄρει ἐγγεγραμμένους αὐταῖς ἔσωζον. τὴν δὲ λυχνίαν καὶ τὴν τράπεζαν, καὶ τὸν βωμὸν τὸν χρύσεον, ἔστησαν ἐν τῷ ναῷ πρὸ τοῦ ἀδύτου, κατὰ τοὺς αὐτοὺς τόπους, οὓς καὶ τότε ἐν τῇ σκηνῇ κείμενοι κατεῖχον. καὶ τὰς καθημερινὰς θυσίας ἀνέφερον. τὸ δὲ θυσιαστήριον τὸ χάλκεον ἵστησι πρὸ τοῦ ναοῦ ἀντικρὺς τῆς θύρας, ὡς ἀνοιχθείσης αὐτὸ καταπρόσωπον εἶναι καὶ βλέπεσθαι τὰς ἱερουργίας καὶ τὴν τῶν θυσιῶν πολυτέλειαν. τὰ δὲ λοιπὰ σκεύη πάντα συναλίσας, ἔνδον εἰς τὸν ναὸν κατέθετο. ἐπεὶ δὲ ταῦτα διακοσμήσαντες οἱ ἱερεῖς τὰ περὶ τὴν κιβωτὸν ἐξῆλθον, ἄφνω πίλημα νεφέλης οὐ σκληρὸν, οὐδ' οἷον ὥρᾳ χειμῶνος ὑετοῦ γέμον ἵσταται, κεχυμένον δὲ καὶ κεκραμμένον εἰς τὸν ναὸν εἰσέρρει. καὶ ταῖς μὲν ὄψεσι τῶν ἱερέων, ὡς μηδὲ καθορᾶν ἀλλήλοις ἐπεσκότει. ταῖς δὲ διανοίαις τῶν ἁπάντων, φαντασίαν καὶ δόξαν παρεῖχεν, ὡς τοῦ θεοῦ καταληλυθότος εἰς τὸ ἱερὸν καὶ κατεσκηνωκότος ἡδέως ἐν αὐτῷ. καὶ οἱ μὲν ἐπὶ ταύτης εἶχον αὐτοὺς τῆς ἐννοίας. ὁ δὲ βασιλεὺς σολομὼν ἐξεγερθεὶς, ἔτυχε γὰρ καθεζόμενος, ἐποιήσατο λόγους πρὸς τὸν θεὸν

A eam vertici montis, in quo templum extructũ eſt æquauit: atque hoc modo factum eſt vt area fani cum ſolo templi æquaretur. hãc cinxit duplicib. porticibus, quas columnę è natiuo ſaxo ſuſtentabant, & laquearia cedro expolita tegebant. Fores verò habebant omnes ex argento fabricatas. His tam magnis ac pulchris operib. & donariis ſeptennio perfectis, non ad opulentiæ modò, ſed & celeritatis oſtentationem: quæ enim ætatem integram hominis poſc ere videbantur, tam breui ſi ad magnitudinẽ cõferatur B tempore erãt abſoluta: Solomon rex per litteras iuſſit magiſtratus ac ſeniores Hebræorum totũ populum Hieroſolyma congregare, ad ſpectandum templum, & ad transferendam illuc arcã Deo ſacratam: denuntiatáque omnibus profectione Hieroſolymitana, ſeptimo demum mẽſe conuenerũt, qui noſtratibus eſt thuri, Macedonibus hyperberetæus: incidítque in idem tẽ- C pus ſcenopegia, feſtum apud Hebręos ſanctiſſimum & maximum. Tollentes igitur arcam, & tabernaculum quod Moyſes conſtruxerat, & omnia vaſa ad miniſterium ſacrificiorum Dei parata, tranſportauerunt in templum: acceſſerúntque illò cum victimis tam rex quàm vniuerſus populus ac Leuitæ, libaminibus & multo hoſtiarum ſanguine via perfundentes, & infinitam vim odoramentorum adolentes, vt cir- D cumquaque totus aër ſuauitate repletus etiam longè remotis ſentiretur, conſtanti omnium opinione, aduentare Deum ad inhabitandum recens extructum ac dedicatum ſibi locum. nam neque hymnos canentibus, neque choreas ducentibus, laſſitudo eſt oborta, dum ad templum peruenirent. atque in hunc modum arca eſt tranſlata. Quum verò iam in adytum inferri deberet, reliqua quidem multitudo abſceſſit, ſoli E verò baiulantes ſacerdotes inter duos cherubinos eam depoſuerunt: quę effigies coniunctis alarum extremitatibus (ſic enim artifex eas fecerat) arcam velut ſub vmbella aut tholo protexerunt, cõtinebat hęc nihil aliud quàm duas tabulas lapideas, quę decem præcepta, Dei ore in monte Sina prodita, inſculpta eis conſeruabant. Candelabrum autem & menſam & altare aureum ſtatuerunt in templo ante adytum, eiſdem locis in quibus in tabernaculo priùs ſita F fuerant: vbi quotidianas hoſtias offerebant. Cęterùm altare ęreum pro foribus templi eſt poſitum, vt apertis illis in conſpectu eſſet ſacrificiorum magnificentia. reliquum verò vaſorum inſtrumentum omne in vnum congeſtum, intra templum eſt repoſitum. Poſtquam autem omnibus quę ad arcam attinebant ritè peractis ſacerdotes ſanctuarium exiuerunt, repente globus nebulę, non aſper, nec qualis hiberno tem- G pore grauidus pluuia condenſatur, ſed diffuſus ac temperatus in templum influxit: & primò ſacerdotum viſum vt vix ſe inuicem cernerent obſcurauit, deinde in omnibus eam cogitationem excitauit, quòd Deus in templum deſcendens, pręſens ac libens hoc domicilium ſibi optaret. His talia voluentibus animo, rex qui tũ fortè ſedebat, aſſurrexit: verbíſque & ſe & Deo

IV. 3. Reg. 8.

dignis cæleste numen est allocutus. Tu quidem, inquit, sempiternam domum habes Domine, nec ignoramus te tibiipsi hanc vniuersi molem condidisse, quæ cælo, aëre, terra & mari constat: quam totam imples, nec tamen ab ea caperis. hoc verò templum ideo tuo nomini adornauimus, vt in hoc sacrificiis ac precibus in cælum missis tibi propitio litaremus, certo persuasi quòd & hîc ades, & nusquam interim abes. Cùm enim omnia videas, audias omnia, nihil obstabit hæc ædes quo minus vbicunque te dignum est habites, à nemine alienus, & omnibus proximus, præcipuè his qui te desiderant nocte diéque præsens ac propitius. His vocibus Deum precatus, vertit orationem ad populum, docens eos de potentia Dei simul & prouidentia. Hunc Dauidi suo patri futura, quæque euenerint, quæque euentura sint prædixisse: hunc ipsi nondum nato nomen imposuisse, quo vocandus esset: quódque paterni regni successor templum ei ædificaturus esset prænunciasse. ergo cùm vaticinium magna ex parte euentu sit comprobatum, debere eos Deo laudes afferre cum gratiarum actione, & de promissionibus futuræ felicitatis nihil dubitare, quibus iam nunc fidem adstrui conspicerent. His affatus multitudinem rex, rursum ad templum vertit oculos, & extensa ad multitudinem dextera: Operibus quidem, inquit, impossibile est hominibus gratiam Deo pro acceptis beneficiis reddere. Nullius enim rei diuinum numen indiget, nimirum maius quàm cui tales retributiones conueniant. sed hoc vno quo nos cæteris animantibus præstantiores voluisti, laudare nos maiestatem tuam decet, & pro his quibus familiam meam atque Hebræorum populum dignatus es, necesse est gratias agere. Qua enim re magis vel parum propitius placandus, vel in fauore es retinendus, quam voce, quam ex aëre haurimus, & per hunc rursum ascendere nouimus? Quapropter gratias tibi ago, primùm quòd patrem meum ex obscuro loco ad tantam gloriam euexisti: deinde quòd mihiipsi in præsentem diem omnia quæcunque promiseras præstitisti: precórque vt in posterum largiaris quæ Deus hominibus caris largiri potest, & familiam nostram in sempiternum augeas: quemadmodum patri meo & viuo & mortuo es pollicitus, quòd apud nos regnum sit permansurum, & per innumeras successiones propagandum. Hæc igitur nobis concede, simúlque meis omnibus virtutem qua potissimum delectaris. Ad hæc supplex oro, vt aliquid de tuo spiritu ad hoc templum incolendum deducas, vt nobis appareat, in terris quoque te degere. Alioquin tibi paruum est domicilium vniuersum hoc cæli conuexum, nedum hoc qualecunque templum. Tu tamen hoc vt proprium integrum seruato à vi hostium, oro & tãquam possessionis tuæ curam gerito. Et si quando populus in peccatum prolapsus, ob hoc te affligẽte aut sterilitate terræ, aut pestilentia, similíve malo mulctatus fuerit, qualibus in pietatis preuaricatores soles animaduertere: ac deinde affluens ad tuum templum supplex cõfugerit, salutem votis expetens: exaudi tanquam præsens,

A οἷς τῇ θείᾳ φύσει πρέποντας ὑπελάμβανε, καὶ καλῶς εἶχεν αὐτῷ λέγειν. σὺ γὰρ εἶπεν, οἶκον μὲν αἰώνιον ἔχεις, ὦ δέσποτα, καὶ ἐξ ὧν σαυτῷ εἰργάσω γεγονότα τὸν οὐρανὸν οἴδαμεν καὶ ἀέρα καὶ γῆν καὶ θάλασσαν, δι' ὧν ἁπάντων οὐδὲ τούτοις ἀρκούμενος κεχώρηκας. τοῦτον δέ σοι κατεσκεύασα τὸν ναὸν ἐπώνυμον, ὡς ἂν ἀπ' αὐτοῦ σοι τὰς εὐχὰς θύοντες καὶ καλλιερούντες ἀναπέμπωμεν εἰς τὸν ἀέρα. καὶ πεπεισμένοι διατελοίημεν ὅτι πάρει, καὶ μακρὰν οὐκ ἀφέστηκας, οὐ δὲ σαυτῷ, τῷ μὲν γὰρ πάντα τε ἐφορᾶν B καὶ πάντα ἀκούειν, οὐδὲ νῦν ὅπου σοι θέμις οἰκεῖν ἀπολείπεις τοὺς πάντας, μᾶλλον δὲ πᾶσιν ἔγγιστα εἶναι, μάλιστα δὲ ἑκάστῳ καὶ βουλομένῳ καὶ διὰ νυκτὸς καὶ ἡμέρας συμπάρει. ταῦτ' ἐπιθειάσας πρὸς τὸν θεὸν, ἀπέστρεψεν εἰς τὸ πλῆθος τοὺς λόγους, ἐμφανίζων τοῦ θεοῦ τὴν δύναμιν αὐτοῖς καὶ τὴν πρόνοιαν. ὅτι Δαυΐδῃ τῷ πατρὶ, περὶ τῶν μελλόντων ἅπαντα καθὼς ἀποβέβηκεν ἤδη τὰ πολλὰ καὶ γενήσεται τὰ λείποντα δηλώσειε, καὶ ὡς αὐτὸς ἐπιθείη ὄνομα τῷ μήπω γεγεννημένῳ, καὶ τίς μέλλοι καλεῖσθαι C προείποι. καὶ ὅτι τὸν ναὸν οὗτος ᾠκοδομήσειεν αὐτῷ βασιλεὺς μετὰ τὴν τοῦ πατρὸς τελευτὴν γενόμενος. ἃ βλέποντας κατὰ τὴν ἐκείνου προφητείαν ἐπιτέλει, τὸν θεὸν εὐλογεῖν ἠξίου. καὶ μὴ περί τινος ἀπογινώσκειν ὧν ὑπέσχηται πρὸς εὐδαιμονίαν ὡς οὐκ ἐσομένου, πιστεύοντας ἐκ τῶν ἤδη βλεπομένων. ταῦτα διαλεχθεὶς πρὸς τὸν ὄχλον ὁ βασιλεὺς, ἐφορᾷ πάλιν εἰς τὸν ναόν. καὶ τὴν δεξιὰν εἰς τὸν ὄχλον ἀνασχών. ἔργοις μὲν εἶπεν οὐ δυνατὸν ἀνθρώποις D ἀποδοῦναι θεῷ χάριν ὑπὲρ ὧν εὖ πεπόνθασιν. ἀπροσδεὲς γὰρ τὸ θεῖον ἁπάντων κρεῖττον τοιαύτης ἀμοιβῆς. ᾧ δὲ τῶν ἄλλων ζώων ὑπὸ σοῦ δέσποτα κρείττονες γεγόναμεν, τοῦτο τὴν σοῦ εὐλογεῖν μεγαλειότητα πρέπει, καὶ περὶ τῶν ὑπηργμένων εἰς τὸν ἡμέτερον οἶκον, καὶ τὸν ἑβραίων λαὸν εὐχαριστεῖν ἀνάγκη. τίνι γὰρ ἄλλῳ ἱλάσασθαι τε μηνιοῦντα, καὶ διαμένοντα εὐμενῆ δεξιώτερόν ἐστιν ἡμῖν, ἢ φωνῇ, ἣν ἐξ ἀέρος ἔχομέν τε, καὶ δι' αὐτοῦ πάλιν E ἀνιοῦσαν οἴδαμεν. χάριν οὖν ἔχειν αὐτῆς ὀφείλω σοι, περί τε τοῦ πατρὸς πρῶτον, ὃν ἐξ ἀφανοῦς εἰς τοσαύτην ἀνήγαγες δόξαν. ἔπειθ' ὑπὲρ ἐμαυτοῦ πάντα μέχρι τῆς παρούσης ἡμέρας ἃ προεῖπας πεποιηκότι. δέομαι δὲ τοῦ λοιποῦ χορηγεῖν ὅσα θεῷ δύναμις ἀνθρώποις ὑπὸ σοῦ τετιμημένοις. καὶ τὸν οἶκον τὸν ἡμέτερον αὔξειν εἰς ἅπαν, ὡς καὶ ὡμολόγησας Δαυΐδῃ τῷ πατρί μου καὶ ζῶντι καὶ παρὰ τὴν τελευτὴν, ὅτι παρ' ἡμῖν ἡ βασιλεία F μένει, καὶ τὸ ἐκείνου γένος αὐτὴν διαδοχαῖς ἀμείψει μυρίαις. ταῦτ' οὖν ἡμῖν ἐπάρκεσον, καὶ πᾶσι τοῖς ἐμοῖς ἀρετὴν ᾗ συγχαίρεις παράσχου. πρὸς δὴ τούτοις ἱκετεύω καὶ μοῖράν τινα τοῦ σοῦ πνεύματος εἰς τὸν ναὸν ἀποικῆσαι, ὡς ἂν καὶ ἐπὶ γῆς ἡμῖν εἶναι δοκῇς. σοὶ μὲν γὰρ μικρὸν οἰκητήριον καὶ τὸ πᾶν οὐρανοῦ, καὶ τῶν κατὰ τοῦτον ὄντων κύτος, οὐχ ὅτι γε οὗτος ὁ τυχὼν ναός. ἀλλὰ φυλάσσειν τε ἀπόρθητον ὡς ἴδιον ἐκ πολεμίων εἰς ἅπαν, G καὶ προνοεῖν ὡς οἰκείου κτήματος παρακαλῶ. κἂν ἁμαρτών ποτε ὁ λαὸς, ἔπειτα πληγῇ τινι κακωθῇ διὰ τὴν ἁμαρτίαν, ἐκ σοῦ γῆς ἀκαρπίᾳ καὶ φθορᾷ λοιμικῇ εἴ τινι τούτων τῶν παθημάτων, οἷς σὺ τοὺς παραβάντας τι τῶν ὁσίων μετέρχῃ, καὶ καταφύγῃ πᾶς ἀθροισθεὶς εἰς τὸν ναὸν ἱκετεύων σε καὶ σωθῆναι δεόμενος, ἐπήκοος αὐτοῦ γενόμενος ὡς ἔνδον ὢν ἐλεήσῃς καὶ τῶν συμφορῶν ἀπαλλάξῃς.

ταυ-

ταύτην δ' οὐχ Ἑβραίοις μόνον δέομαι παρὰ σοῦ τὴν βοήθειαν εἶναι σφαλεῖσιν, ἀλλὰ γὰρ κἂν ἀπὸ περάτων τῆς οἰκουμένης τινὲς ἀφίκωνται, κἂν ὁπόθεν, προτρεπόμενοι καὶ τυχεῖν τινὸς ἀγαθοῦ λιπαροῦντες, δὸς αὐτοῖς ἐπήκοος γενόμενος. οὕτως γὰρ ἂν μάθοιεν πάντες ὅτι σὺ μὲν αὐτὸς ἐβουλήθης παρ' ἡμῖν κατασκευασθῆναί σοι τὸν οἶκον. ἡμεῖς δ' οὐκ ἀπάνθρωποι τὴν φύσιν ἐσμὲν, οὐδ' ἀλλοτρίως πρὸς τοὺς οὐχ ὁμοφύλους ἔχομεν, ἀλλὰ πᾶσι κοινὴν τὴν ἀπὸ σοῦ βοήθειαν, καὶ τὴν τῶν ἀγαθῶν ὄνησιν, ὑπάρχειν ἠθελήσαμεν. εἰπὼν ταῦτα, καὶ ῥίψας ἑαυτὸν ἐπὶ τὴν γῆν, καὶ ἐπὶ πολλὴν ὥραν προσκυνήσας, ἀναστὰς θυσίας τῷ βωμῷ προσήγαγε. καὶ γεμίσας τῶν ὁλοκλήρων ἱερείων ἐναργέστατα τὸν θεὸν ἡδέως ἔγνω τὴν θυσίαν προσδεχόμενον. πῦρ γὰρ ἐξ ἀέρος διαδραμὸν καὶ πάντων ὁρώντων ἐπὶ τὸν βωμὸν ἄξαν, τὴν θυσίαν ἥρπασε καὶ κατεδαίσατο. ταύτης δὴ τῆς ἐπιφανείας γενομένης, ὁ μὲν λαὸς δῆλος ἦν τοῦτ' εἰκάσας εἶναι τῆς ἐν τῷ ναῷ τοῦ θεοῦ διατριβῆς ἐσομένης. καὶ ἡσθεὶς προσκυνεῖ πεσὼν ἐπὶ τοὔδαφος. ὁ δὲ βασιλεὺς εὐλογεῖν τε ἤρξατο, καὶ τὸ πλῆθος ταὐτὸ εἰπεῖν παρώρμα, δείγματα μὲν ἔχοντας ἤδη τῆς τοῦ θεοῦ πρὸς αὐτοὺς εὐμενείας, εὐχομένους δὲ τοιαῦτα ἀποβαίνειν ἀεὶ τὰ παρ' ἐκείνου, καὶ τὴν διάνοιαν αὐτοῖς καθαρὰν ἀπὸ πάσης φυλάττεσθαι κακίας ἐν δικαιοσύνῃ καὶ θρησκείᾳ, καὶ τὰς ἐντολὰς τηρεῖν ἃς διὰ Μωυσέως αὐτοῖς ἔδωκεν ὁ θεὸς διαμένουσας. ἔσεσθαι γὰρ οὕτως εὔδαιμον τὸ Ἑβραίων ἔθνος, καὶ παντὸς ἀνθρώπων γένους μακαριώτερον. παρεκάλει τε μνημονεύειν ὡς οἷς ἐκτήσαντο τὰ παρόντα ἀγαθὰ, τούτοις αὐτὰ καὶ βέβαια ἕξουσι, καὶ μείζω καὶ πλείω κατασχήσουσι. οὐ γὰρ λαβεῖν αὐτὰ μόνον δι' εὐσέβειαν καὶ δικαιοσύνην, διὰ ταῦτα προσῆκεν ὑπολαμβάνειν, εἶναι τοῖς ἀνθρώποις οὕτως μέγα τὸ κτήσασθαί τι τῶν οὐχ ὑπαρχόντων, ὡς τὸ σῶσαι τὰ περισωθέντα καὶ μηδὲν ἁμαρτεῖν εἰς βλάβην αὐτῶν. ὁ μὲν οὖν βασιλεὺς διαλεχθεὶς ταῦτα πρὸς τὸ πλῆθος, διαλύει τὴν ἐκκλησίαν, τελέσας θυσίας ὑπέρ τε ἑαυτοῦ καὶ πάντων Ἑβραίων. ὡς μόσχους μὲν καταθύσαι μυρίους καὶ δισχιλίους, προβάτων δὲ μυριάδας δώδεκα. τὸν γὰρ ναὸν τότε πρῶτον ἔγευσεν ἱερουργημάτων. καὶ κατευωχήθησαν ἐν αὐτῷ πάντες σὺν γυναιξὶ καὶ τέκνοις Ἑβραῖοι. ἔτι δὲ καὶ τὴν σκηνοπηγίαν καλουμένην ἑορτὴν, πρὸ τοῦ ναοῦ λαμπρῶς καὶ μεγαλοπρεπῶς ἐπὶ δὶς ἑπτὰ ἡμέραις ἤγαγεν ὁ βασιλεὺς σὺν ἅπαντι τῷ λαῷ κατευωχούμενος. ἐπεὶ δ' εἶχεν αὐτοῖς ἀποχρώντως ταῦτα, καὶ μηδὲν ἐνέδει τῇ περὶ τὸν θεὸν εὐσεβείᾳ, πρὸς αὐτοὺς ἕκαστοι τοῦ βασιλέως ἀπολύσαντος ἀπῄεσαν, εὐχαριστήσαντες τῷ βασιλεῖ, τῆς τε περὶ αὐτοὺς προνοίας, καὶ ὧν ἐπεδείξατο ἔργων, καὶ εὐξάμενοι τῷ θεῷ παρασχεῖν αὐτοῖς εἰς πολὺν χρόνον Σολομῶνα βασιλέα. τὴν δὲ πορείαν ἐποιοῦντο μετὰ χαρᾶς καὶ παιδιᾶς, ὕμνους εἰς τὸν θεὸν ᾄδοντες, ὡς ὑπὸ τῆς ἡδονῆς ἀπόνως τὴν ὁδὸν τὴν ἐπὶ τὰ οἰκεῖα πάντας ἀνύσαι. καὶ οἱ μὲν τὴν κιβωτὸν εἰς τὸν ναὸν εἰσαγαγόντες, καὶ τὸ μέγεθος καὶ τὸ κάλλος ἱστορήσαντες αὐτοῦ, καὶ θυσιῶν ἐπ' αὐτῷ μεγάλων καὶ ἑορτῶν μεταλαβόντες εἰς τὰς αὐτῶν ἕκαστοι πόλεις ὑπέστρεψαν. ὄναρ δ' ἐπιφανὲν τῷ βασιλεῖ κατὰ τοὺς ὕπνους, ἐσήμαινεν αὐτῷ τῆς εὐχῆς ἐπήκοον τὸν θεὸν γεγονέναι. καὶ ὅτι φυλάξοι τε τὸν ναὸν, καὶ διαπαντὸς ἐν αὐτῷ μενοῖ τῶν ἐκγόνων αὐτοῦ καὶ τῆς ἁπάσης πληθύος τὰ δίκαια ποιούσης.

& miseratus eos è calamitatibus eripe. Nec solis Hebræis errantibus hanc opem à te precor: sed etiam si ab extremis orbis finibus aliqui venerint, aut vndecunque profecti in hoc loco boni quippiam impetrare à te voluerint, exoratus illis largire. Sic enim omnibus erit euidens, quòd & tu hanc ædem apud nos tibi extrui voluisti, & nos nec inhumani sumus, nec alienigenis iniqui, sed libenter ferimus te communiter omnibus tum opitulatorem esse, tum bonarum rerum omnium largitorem. Hæc locutus & pronus humi stratus, cùm aliquandiu adorauisset surrexit, hostiásque ad altare adhibuit: quumque id solidis victimis repleuisset, litatum Deo manifesto argumento cognouit. Ignis enim ex aere emicans, omnibúsque inspectantibus in altare delapsus, correptas victimas absumpsit: ad quod prodigium populus haud dubiam coniecturam fecit, in eo templo numen esse habitaturum, & præ gaudio procidens in solum, vnanimiter adorauit. Rex autem ad laudes Dei versus, multitudinem ad idem hortabatur, quandoquidem signa vidissent eius beneuolentiæ: precandum admonens, vt perpetuò talem se exhibeat, & mentem eorum puram ab omni peccati labe custodiat in iustitia & religione, quo possint præcepta per Moysem diuinitus tradita constanter obseruare. Sic enim fore genus Hebræorum felicissimum omnium, & cæteris mortalibus longè beatius. Simulque iubebat eos meminisse, quòd quibus artibus parauissent tanta bona, eisdem & hæc retenturi essent, & alia máiora atque cumulatiora quæsituri. Neq; enim aliter existimandum, quàm iustitiæ ac pietatis merito hæc illis contigisse. esse autem facilius parare quæ desint, quàm parta tueri, & cauere ne vllum detrimentum admittatur. His affatus multitudinem rex, concionem dimisit, sacris primum factis tam pro se quàm pro populo: mactauítque vitulorum duodecim millia, agnorum cętum & viginti millia: nam tum primùm templum victimarum cruore imbutum est, & omnes Hebræi cum liberis ac vxoribus epulo sunt excepti. Preterea scenopegię festum ante templum splendidè ac magnificè rex per quatuordecim dies celebrauit cum vniuerso populo epulatus. Peractis autem his omnibus, & nullo pietatis officio prætermisso, dimissi sunt suam quisq; domum, actis prius regi gratiis, pro bene curata republica, & pro tantis operibus absolutis, precatiq; vt eis omnipotens Deus in longum tempus Solomone rege frui concederet. Faciebant autem iter gaudentes ac gestientes, hymnósque sacros canentes, ita vt præ gaudio nullum viæ tædium in reuertendo sentirent. Cæterùm illata in templum arca, & spectaculo tam elegantis & ampli ædificij publicè exhibito, festisque diebus inter sacra & epulas exactis, cùm iam singuli ad suas vrbes essent reuersi, rex in somnis est admonitus, gratū Deo fuisse eius sacrificium, & vota exaudita esse. quódque seruaturus esset suum templū, & semper inhabitaturus, donec ipsius posteri cum subiecto populo iustitiam colerent:

3. Reg. 9.

in primíſque ipſum ſi à paternis præceptis nuſquam diſcederet, ad ſummum felicitatis faſtigium euehendum, & genus eius per continuatas ſucceſſiones ei regioni præfuturum, nec vnquam è Iuda tribu regem deſore. Quòd ſi prodito & obliuioni tradito pietatis ſtudio, ad externarum religionum ritus ſe transferret, radicitus eum excidendum: & neque generis ipſius reliquias manſuras, neque Iſraelitas calamitatem euaſuros: ſed bellis & aliis innumeris cladibus afflictos, & è patrio ſolo extorres, peregrè apud exteras gentes oberraturos. Templum verò quod tum recens extructum eſſet, Dei permiſſione à barbaris direptum atque incenſum iri, vrbe inſuper hoſtili manu diruta: ita vt vbique ſparſo earum calamitatum rumore, & multis ob earum magnitudinem ægrè credentibus, finitimi demiraturi ſint, & interrogaturi, qua de cauſa Hebræi in tantam nunc indignationem incidiſſent, quum antea eius ope ad maximas diuitias, maximámque gloriam eſſent euecti. Quibus reliquias gentis reſponſuras, quòd propter peccata ſua & patriarum legum præuaricationem hæc omnia contigiſſent. Hæc illi per ſomnium denuntiata ſacræ literæ continent.

V. Abſoluta autem templi fabrica, quæ ſeptennio, vt dictum eſt, durauit, regiæ ſtructuram eſt aggreſſus, quam vix tertiodecimo anno conſummauit. neque enim tantam curam huic operi, quantam ædificando templo impendit. Sed illud quidem amplum licet, & plus quàm credi poſſit celebre, cooperanti Deo intra iam dictum tempus perfectum eſt: regia verò tametſi multum magnificentiæ templi cederet, quòd neque materia eius tanto antè præparata fuiſſet, & regi non Deo strueretur domicilium, eo tardius ad finem eſt perducta. Et hæc tamē pro dignitate fortunarum regis ac gentis eſt exædificata. Operæpretium autem fuerit totum eius ordinem ac diſpoſitionem indicaſſe, vt ex eius deſcriptione totam amplitudinem lector colligere ac conſiderare poſſit. Baſilica erat magna & pulchra multis columnis ſuffulta, quam ad cauſas forenſes agitandas, & lites decernendas condidit, capacem multitudinis quæ eò ius peteret, longam cubitos centum, latam quinquaginta, altam triginta. hanc ſexdecim columnæ quadrangulæ ſuſtinebant, tectam opere Corinthiaco, additis parilibus poſtibus cum valuis cælatis ad ornamentum loci ſimul & munimentum. In eius medio fuit ædes alia, quadrata, lata triginta cubitos, columnis validis ſuffulta: & in ea tribunal magnificum, vbi Rex iura ſolebat reddere. Huic ædificio coniuncta erat domus in vſum reginæ facta, & aliæ aulæ quò ſe negotiis peractis animi cauſa conferebant, omnes cedrinis tabulis conſtratæ: partim ſaxo quadrato decemcubitali conſtructæ, partim ita vt ſolent regiæ vel templa, incruſtatæ pretioſo marmore, quod è locis eo nomine celebribus apportatur.

A αὐτὸν δὲ προεῖπεν ἐμμένοντα ταῖς τοῦ πατρὸς ὑποθήκαις ἐλεύσεσθαι εἰς ὕψος καὶ μέγεθος εὐδαιμονίας ἀνυπέρβλητον, καὶ βασιλεύσειν ἀεὶ τῆς χώρας τοὺς ἐκ τοῦ γένους αὐτοῦ καὶ τῆς Ἰούδα φυλῆς. προδόντα μέν τοι τὰ ἐπιτηδεύματα καὶ λήθην αὐτῶν ποιησάμενον, καὶ ξενικοὺς θεοὺς θρησκεύειν μεταβαλλόμενον, πρόρριζον ἐκκόψειν, καὶ μήτε τοῦ γένους τι λείψανον αὐτῶν ἐάσειν, μήτε τὸν Ἰσραηλιτῶν λαὸν ἀπαθῆ παρόψεσθαι.

B πολέμοις δὲ αὐτοὺς καὶ κακοῖς ἐξαφανίσειν μυρίοις. καὶ τῆς γῆς, ἣν τοῖς πατράσιν αὐτῶν ἔδωκεν, ἐκβαλὼν, ἐπήλυδας ἀλλοτρίας καταστήσειν. τὸν δὲ ναὸν τὸν νῦν οἰκοδομηθέντα καταπρησθησόμενον τοῖς ἐχθροῖς παραδώσειν καὶ διαρπαγησόμενον. κατασκάψειν δὲ καὶ τὴν πόλιν χερσὶ τῶν πολεμίων. καὶ ποιήσειν μύθων ἄξια τὰ παρ' αὐτοῖς κακὰ, καὶ πολλῆς διὰ ὑπερβολὴν μεγέθους ἀπιστίας, ὡς τοὺς προσοίκους ἀκούοντας τὴν συμφορὰν θαυμάζειν καὶ τὴν αἰτίαν πολυπραγμο-

C νεῖν, δι' ἣν οὕτως ἐμισήθησαν Ἑβραῖοι τῷ θεῷ, πρότερον εἰς δόξαν καὶ πλοῦτον παρ' αὐτοῦ παραχθέντες. καὶ παρὰ τῶν ὑπολειπομένων ἀκούειν, ἐξομολογουμένων τὰς ἁμαρτίας αὐτῶν, καὶ τὰς τῶν πατρίων νομίμων παραβάσεις. ταῦτα μὲν αὐτῷ τὸν θεὸν εἰπεῖν, κατὰ τοὺς ὕπνους ἀναγέγραπται. μετὰ δὲ τὴν τοῦ ναοῦ κατασκευὴν, ἔτεσιν ἑπτὰ καθὼς προειρήκαμεν γενομένην, τὴν τῶν βασιλείων οἰκοδομίαν κατεβάλετο, ἣν ἔτεσι τρισὶ καὶ δέκα μόλις ἀπήρτισεν. οὐ γὰρ

D τὸν αὐτὸν ἐσπούδαζε τρόπον, ὅν περ καὶ τὸ ἱερόν. ἀλλὰ τὸ μὲν, καί περ ὂν μέγα καὶ θαυμαστῆς εὐδοξίας καὶ παραδόξου τετυχηκὸς, ἔτι καὶ θεοῦ συνεργοῦντος εἰς ὃν ἐγίνετο, τοῖς προειρημένοις ἔτεσιν ἔλαβε πέρας. τὰ δὲ βασίλεια, πολὺ τῆς ἀξίας τοῦ ναοῦ καταδεέστερα τυγχάνοντα, τῷ μήτε τὴν ὕλην ἐκ τοσούτου χρόνου καὶ τῆς αὐτῆς ἡτοιμάσθαι φιλοτιμίας, καὶ βασιλεῦσιν οἰκητήριον, ἀλλὰ μὴ θεοῦ γενέσθαι, βρα-

E δεῖον ἠνύσθη. καὶ αὐτὰ μὲν οὖν ἀξιολόγως καὶ κατὰ τὴν εὐδαιμονίαν τῆς Ἑβραίων χώρας καὶ τοῦ βασιλέως οἰκοδομήθη. τὴν δὲ ὅλην αὐτῶν διάταξιν, καὶ τὴν διάθεσιν εἰπεῖν ἀναγκαῖον, ἵν' οὕτως ἐκ τούτου στοχάζεσθαι καὶ συνορᾶν ἔχωσι τὸ μέγεθος οἱ τῇ γραφῇ μέλλοντες ἐντυγχάνειν. οἶκος ἦν μέγας καὶ καλὸς, πολλοῖς στύλοις ἐρηρεισμένος, ὃν εἰς τὰς κρίσεις καὶ τὴν τῶν πραγμάτων διάγνωσιν πλῆθος ὑποδέξα-

F σθαι, καὶ χωρῆσαι σύνοδον ἀνθρώπων ἐπὶ δίκας συνεληλυθότων κατεσκεύασεν. ἑκατὸν μὲν πηχῶν τὸ μῆκος, εὖρος δὲ, πεντήκοντα. τὸ δὲ ὕψος τριάκοντα. κίοσι μὲν τετραγώνοις ἀνειλημμένον ἑκκαίδεκα πᾶσιν. ἐστεγασμένον δὲ κορινθίως. ἰσομέτροις δὲ φλιαῖς, καὶ θυρώμασι τριγλύφοις, ἀσφαλῆ τε ὁμοῦ καὶ κεκαλλωπισμένον. ἕτερος δὲ οἶκος ἦν ἐν μέσῳ κατὰ ὅλου τοῦ πλάτους τεταγμένος, τετράγωνος. εὖρος πηχῶν τριάκον-

G τα, ἀντικρὺς ἔχων ναὸν, παχέσι στύλοις ἀνατεταμένον. ἦν δὲ ἐν αὐτῷ ἐξέδρα διαπρεπὴς, ἐν ᾗ καθεζόμενος ὁ βασιλεὺς ἔκρινεν. ᾧ παρέζευκτο κατεσκευασμένος ἄλλος οἶκος τῇ βασιλίσσῃ, καὶ τὰ λοιπὰ τὰ πρὸς τὴν δίαιταν, καὶ τὰς ἀναπαύσεις οἰκήματα, μετὰ τὴν τῶν πραγμάτων ἀπόλαυσιν, ἐστρωμένα πάντα σανίσι τετμημέναις ἐκ κέδρου. καὶ τὰ μὲν, οἰκοδομήσατο λίθοις δεκαπήχεσιν, ἕτερα δὲ πρίστοις τοὺς τοίχους καὶ πολυτελεῖ κατημφιεσμένα εἰς κόσμον ἱερῶν καὶ βασιλείων οἴκων θεωρίᾳ ἣ μεταλλεύεται τοῖς φέρουσιν αὐτὸν τόποις ἐπωνυμένη.

καὶ τὸ μὲν

καὶ τὸ μὲν ἀπ' αὐτοῦ κάλλος ἐπὶ τριστιχίαν ἦν ἐνυφασμένον, τῇ δὲ μοίρᾳ γλυφέων παρεῖχε θαυμάζειν ἐπιστήμην. ὑφ' ὧν πεποίητο δένδρα καὶ φυτὰ παντοῖα σύσκια τοῖς κλάδοις καὶ τοῖς ἐκκρεμαμένοις αὐτῶν πετάλοις, ὡς ὑπονοεῖν αὐτὰ καὶ σαλεύεσθαι δι' ὑπερβολὴν λεπτότητος καλύπτοντα τὸν ὑπ' αὐτοῦ λίθον. τὸ δὲ ἄλλο μέχρι τῆς στέγης χριστὸν ἦν καταπεποικιλμένον χρώμασι καὶ γραφαῖς. προσκατεσκεύασε δὲ πρὸς τούτοις ἄλλα τε πρὸς τρυφὴν οἰκήματα, καὶ δὴ καὶ στοὰς μηκίστας, καὶ ἐν κάλλει τῶν βασιλείων κειμένας, ἐν αἷς λαμπρότατον οἶκον εἰς ἑστιάσεις, καὶ συμπόσια χρυσοῦ περίπλεω. καὶ τὰ ἄλλα δὲ ὅσα τοῦτον ἔχειν ἔδει πρὸς τὴν τῶν ἑστιωμένων ὑπηρεσίαν, σκεύη πάντ' ἐκ χρυσοῦ κατεσκεύαστο. δύσκολον δ' ἐστὶν καταριθμήσασθαι τὸ μέγεθος καὶ τὴν ποικιλίαν τῶν βασιλείων, ὅσα μὲν ἦν αὐτοῖς τὰ μέγιστα οἰκήματα, πόσα δὲ τὰ τούτων ὑποδεέστερα, καὶ πόσα ὑπόγαια καὶ ἀφανῆ, τό τε τῶν αἰρομένων εἰς ἀέρα κάλλος, καὶ τὰ ἄλση πρὸς θεωρίαν ἐπιτερπεστάτην, καὶ θέρους ἀποφυγὴν καὶ σκέπην εἶναι τοῖς σώμασιν. ἐν κεφαλαίῳ δ' εἰπεῖν τὴν ὅλην οἰκοδομίαν ἐκ λίθου λευκοῦ, καὶ κέδρου, καὶ χρυσοῦ καὶ ἀργύρου πᾶσαν ἐποιήσατο. τοὺς ὀρόφους καὶ τοὺς τοίχους τοῖς ἐγκλειομένοις χρυσῷ λίθοις διανθίσας τὸν αὐτὸν τρόπον ὡς καὶ τὸν τοῦ θεοῦ ναὸν τούτοις κατηγλάισεν. εἰργάσαντο δὲ καὶ ἐξ ἐλέφαντος θρόνον παμμεγέθη, σκαπτὸν, ἐν κατασκευῇ βήματος. ἔχοντα μὲν, ἓξ ἀναβαθμούς, ἑκάστῳ δὲ τούτων ἐξ ἑτέρου μέρους δύο λέοντες ἐφεστήκεσαν, τοσούτων ἄνωθεν ἄλλων παρεστώτων. τὸ δ' ἐνήλατον τοῦ θρόνου, χεῖρες ἦσαν δεχόμεναι τὸν βασιλέα. ἀνεκέκλειτο δ' εἰς μόσχου προτομὴν τὰ κατ' ὄπιν αὐτοῦ βλέποντος, χρυσῷ δὲ ἅπας δεδεμένος. ταῦτα ὁ σολομὼν εἰκοσαετίᾳ κατασκευάσας, ἐπεὶ πολὺν μὲν αὐτῷ χρυσὸν, πλείω δ' ἄργυρον ὁ τῶν τυρίων βασιλεὺς εἵρωμος εἰς τὴν οἰκοδομίαν συνήνεγκεν, ἔτι δὲ καὶ ξύλα κέδρου καὶ πίτυος. ἀντεδωρήσατο δὲ καὶ αὐτὸς μεγάλαις δωρεαῖς τὸν εἵρωμον, σῖτόν τε κατ' ἔτος πέμπων αὐτῷ καὶ οἶνον καὶ ἔλαιον, ὧν μάλιστα διὰ τὸ νῆσον οἰκεῖν ὡς καὶ προειρήκαμεν ἤδη, χρῄζων διετέλει. πρὸς τούτοις δὲ καὶ πόλεις αὐτῷ τῆς γαλιλαίας, εἴκοσι μὲν τὸν ἀριθμὸν, οὐ πόρρω τῆς τύρου κειμένας ἐχαρίσατο. ἃς ἐπελθὼν καὶ κατανοήσας εἵρωμος, καὶ δυσαρεστήσας τῇ δωρεᾷ, πέμψας πρὸς σολομῶνα μὴ δεῖσθαι τῶν πόλεων ἔλεγεν. καὶ ἔκτοτε προσηγορεύθησαν χαβαλὼν γῆ. μεθερμηνευόμενον γὰρ τὸ χαβαλὼν κατὰ φοινίκων γλῶτταν, οὐκ ἀρέσκον σημαίνει. καὶ σοφίσματα δὲ καὶ λόγους αἰνιγματώδεις διεπέμψατο πρὸς τὸν σολομῶνα ὁ τῶν τυρίων βασιλεὺς, παρακαλῶν ὅπως αὐτῷ τούτους σαφηνίσῃ, καὶ τῆς ἀπορίας τῶν ἐν αὐτοῖς ζητουμένων ἀπαλλάξῃ. τὸν δὲ, δεινὸν ὄντα καὶ συνετὸν, οὐδὲν τούτων παρῆλθεν, ἀλλὰ πάντα νικήσας τῷ λογισμῷ, καὶ μαθὼν αὐτῶν τὴν διάνοιαν ἀνεφώτισε. μέμνηται δὲ τούτων τῶν δύο βασιλέων, καὶ μένανδρος ὁ μεταφράσας ἀπὸ τῆς φοινίκων διαλέκτου τὰ τυρίων ἀρχεῖα εἰς τὴν ἑλληνικὴν φωνὴν, λέγων οὕτως. τελευτήσαντος δὲ ἀβιβάλου, διεδέξατο τὴν βασιλείαν παρ' αὐτοῦ υἱὸς εἵρωμος, ὃς βιώσας ἔτη πεντήκοντα τρία, ἐβασίλευσε τριάκοντα καὶ τέσσαρα. οὗτος ἔχωσε τὸ εὐρὺ χωρίον, καὶ τόν τε χρυσοῦν κίονα τὸν ἐν τοῖς τοῦ διὸς ἀνέθηκεν. ἔτι τε ὕλην ξύλων ἀπελθὼν ἔκοψεν ἀπὸ τοῦ ὄρους τοῦ λεγομένου λιβάνου εἰς τὰς τῶν ἱερῶν στέγας. καθελών τε τὰ ἀρχαῖα ἱερά,

Et tribus quidem ordinibus aulæis Babylonicis prætexebantur: quartus verò sculptorum admirabile artificium ostentabat, in quo efficta erant variæ arborum ac plantarum species, frondibus & foliis tanta subtilitate expressis, vt agitari quodammodo viderentur. Reliquum verò quod supererat vsque ad lacunar, opere albario tectum, & discoloribus picturis erat variegatum. Præter hæc erant & alia cubicula ad voluptatem facta, & porticus ad ornatum regiæ longissimæ, in quibus splendidissima triclinia referta auro, vt quæ aurea supellectili ad omne regij conuiuij ministerium erant instructissima. Difficile est enumerare amplitudinem ac varietatem aularum, tam maiorum quàm mediocrium, tum quæ sub terra latebant, quæve in aërem elegantissimè attollebantur. In summa totum ædificium è marmore candido & cedro, & auro atque argento constabat: dispositis per parietes & laquearia variis lapillis auro inclusis, quemadmodum & in ornatu templi factum fuerat. Quin & ex ebore factum erat prægrande solium cælatum, specie tribunalis, quòd sex gradibus ascendebatur, in quorum singulis extremitatibus leonum effigies erant impositæ, totidem aliis supernè imminentibus. qua verò parte rex insidebat, manuum effigies eum excipiebant: & quà reclinabatur, dimidiatus erat iuuencus tergum suum respiciens: totumque tribunal auro coagmentatum erat. Hæc opera Solomon viginti annis perfecit, conferente magnam auri vim, maiorem argenti Iromo Tyriorum rege, & præter hæc cedri atque pinus materiem. Sed & ipse maximis donis Iromum est remuneratus, singulis annis frumentum ei mittens & vinum atque oleum, quibus maxime opus habebat, vt diximus, eo quòd insulam incoleret. Præterea Galilææ oppida numero viginti non procul à Tyro dissita ei donauit: quæ cùm ille perlustrata satis considerasset, & non valde probasset, renuntiari iussit Solomoni, sibi non esse opus eis oppidis. & ex eo terra Chabelon est appellata: voce Phœnicum lingua, id quod displicet significante. Quæstiones etiam ænigmaticas Tyrius rex ad Solomonem transmisit, rogans vt eas explicaret, & dubitationem sibi omnem eximeret. At ille callens huiusmodi rerum ac natura prudentissimus, nihil inexplicatum relinquebat: sed omnia ratione peruincens, & perscrutatus eorum intellectum, apertissimè declarabat. Meminit horum duorum regum & Menander, qui è Phœnicum lingua annales Tyriorum in Græcum sermonem est interpretatus, in hunc modum scribens: Defuncto Abibalo successit in regnum filius Iromus, qui vixit annos quinquaginta tres, & regnauit annos xxxiiii. hic aggessit ad insulam agrum qui dicitur amplus, & auream columnam in Iouis delubro dedicauit. idem materiem multam in monte Libano excidit ad contegenda templa,

& demolitus antiqua templa, Herculi & Astartæ noua instaurauit: primusq; Herculi statuam erexit mense Peritio. Deinde expeditione contra Euceos suscepta, quòd debita tributa non persoluerent, subactis illis victor est domum reuersus. Huius temporibus erat Abdemonus adolescens, qui problemata à Solomone Hierosolymorum rege iniuncta dissoluebat. Meminit & Dius sic scribens. Abibalo defuncto filius eius Iromus regnum excepit. Is Orientalem vrbis partem aggeribus auxit, & eo pacto pomœria protulit. templum quoque Iouis Olympij, quod antè separatum erat, medio spatio repleto aggeribus cum vrbe coniunxit, & aureis donariis ornauit. conscenso deinde Libano materiem ad structuram templorum cæcidit. Additque Solomonem Hierosolymorum regem ad hunc Iromum ænigmata misisse, solutionem eorum postulantem: quòd cùm ille non valuisset, magna pecunia mulctatum esse. Deinde per Abdemonem quendam virum Tyrium proposita explicuisse, & ipsum alia proposuisse: in quibus soluendis cùm Solomon hæreret, maiorem etiam pecuniam eum illi remisisse. Et Dius quidem ita scribit. Cæterùm rex cùm videret mœnia Hierosolymorum turribus & propugnaculis ad securitatem egere, nec ea dignitati vrbis satis respondere, & muros instaurauit, & turres magnas in eis erexit.

VI. Condidit etiam vrbes vel præcipuis annumerandas, Asorum & Magedonem, & tertiam Gazara Palæstinæ vrbem, quam Pharao rex Ægypti bello aggressus expugnauerat, occisisque ad vnum habitatoribus diruerat, ac deinde filiæ suæ Solomoni nuptæ dono dederat. quamobrem denuo rex eam exædificauit, quòd esset natura munita, & ad bella rerúmque nouitates opportuna. Nec procul inde alias duas vrbes condidit, quarum altera Betachora, altera Baleth vocabatur. necnon & alias ad secessus voluptarios aptas ob aëris temperiem fructuúmque vbertatem, & perennibus aquis irriguas. Ingressus deinde in desertum quod est super Syriam, eiusque regionis potitus, vrbem ibi maximam condidit, duorum dierum itinere à superiore Syria distantem, ab Euphrate verò vnius. ad magnam autem Babylonem inde sex dierum via protendebatur. Quare autem à reliquis cultæ Syriæ partibus hæc vrbs tam procul habitetur, causa est hæc, quòd mediterranea per desertum petentibus, ibi demum fontes ac putei reperiuntur. Hac igitur vrbe extructa, & mœnibus validissimis cincta, Thadamoram eam appellauit, quo nomine etiam nunc à Syris vocitatur. Græci Palmiram nominant. Atque hæc fuerunt per id tempus Solomonis opera. Nunc quoniam video multos quærere, qui factum sit vt omnes Ægyptiorum reges à Minæo illo qui Memphin condidit, quique multis annis auum nostrum Abrahamum præcessit, vsque ad Solomonis tempora, per mille trecentos & amplius annos Pharaones dicti sint,

A καὶ ναὸν ᾠκοδόμησε τοῦ Ἡρακλέους, καὶ τὸν τῆς Ἀστάρτης. πρῶτός τε τοῦ Ἡρακλέους ἔγερσιν ἐποιήσατο ἐν τῷ Περιτίῳ μηνί. τοῖς τε Εὐκέοις ἐπεστρατεύσατο μὴ ἀποδιδοῦσι τοὺς φόρους, καὶ ὑποτάξας πάλιν αὐτῷ, ἀνέστρεψε. ἐπὶ τούτου ἦν Ἀβδήμονος παῖς νεώτερος, ὃς ἀεὶ ἐνίκα τὰ προβλήματα, ἃ ἐπέτασσε Σολομὼν, ὁ Ἱεροσολύμων βασιλεύς. μνημονεύει δὲ καὶ Δῖος λέγων οὕτως. Ἀβιβάλου τελευτήσαντος, υἱὸς αὐτοῦ Εἴρωμος ἐβασίλευσεν. οὗτος τὰ πρὸς ἀνατολὰς μέρη τῆς πόλεως προσέχωσε, καὶ μεῖζον τὸ ἄστυ ἐποίησε. καὶ B τοῦ Ὀλυμπίου Διὸς τὸ ἱερὸν καθ᾽ ἑαυτὸ, ἐγχώσας τὸν μεταξὺ τόπον, συνῆψε τῇ πόλει, καὶ χρυσοῖς ἀναθήμασιν ἐκόσμησεν. ἀναβὰς δὲ εἰς τὸν Λίβανον, ὑλοτόμησε πρὸς τὴν τῶν ἱερῶν κατασκευήν. τὸν δὲ τυραννοῦντα Ἱεροσολύμων Σολομῶνα πέμψαι φασὶ πρὸς τὸν Εἴρωμον αἰνίγματα, καὶ παρ᾽ αὐτοῦ λαβεῖν ἀξιοῦν. τὸν δὲ, μὴ δυνηθέντα λῦσαι τὰ αἰνίγματα, πολλὰ τῶν χρημάτων εἰς τὸ ἐπιζήμιον ἀναλῶσαι. C εἶτα δὲ Ἀβδήμονά τινα Τύριον ἄνδρα τὰ προτεθέντα λῦσαι, καὶ αὐτὸν ἄλλα προβαλεῖν, ἃ μὴ λύσαντα τὸν Σολομῶνα, πολλὰ τῷ Εἰρώμῳ προσαποτῖσαι χρήματα. καὶ Δῖος μὲν οὕτως εἴρηκεν. ἐπεὶ δὲ ἑώρα τὰ τῶν Ἱεροσολύμων τείχη ὁ βασιλεὺς, πύργων πρὸς ἀσφάλειαν δεόμενα καὶ τῆς ἄλλης ὀχυρότητος, πρὸς γὰρ τὸ ἀξίωμα τῆς πόλεως ἡγεῖτο δεῖν καὶ τοὺς περιβόλους εἶναι, ταῦτά τε προσεπεσκεύαζε, D καὶ πύργοις αὐτὰ μεγάλοις προσεξῆρεν. ᾠκοδόμησε δὲ καὶ πόλεις ταῖς βαρυτάταις ἐναρίθμους, Ἀσωρόν τε καὶ Μαγεδῶν, τὴν τρίτην δὲ Γάζαρα τὴν τῆς Παλαιστινῶν χώρας ὑπάρχουσαν, ἣν Φαραὼν ὁ τῶν Αἰγυπτίων βασιλεὺς στρατευσάμενος καὶ πολιορκήσας, αἱρεῖ κατὰ κράτος, ἀποκτείνας δὲ πάντας τοὺς ἐνοικοῦντας αὐτὴν, κατέσκαψεν, εἶτα δωρεὰν ἔδωκε τῇ αὐτοῦ θυγατρὶ Σολομῶνι γεγαμημένῃ. διὸ καὶ ἀνήγειρεν ὁ βασιλεὺς αὐτὴν οὖσαν ὀχυρὰν φύσει καὶ E πρὸς πολέμους καὶ τὰς τῶν καιρῶν μεταβολὰς χρησίμην εἶναι δυναμένην. οὐ πόρρω δ᾽ αὐτῆς ἄλλας ᾠκοδόμησε δύο πόλεις, Βητχώρα τῇ ἑτέρᾳ ὄνομα ἦν, ἡ δὲ ἑτέρα, Βαλὲθ ἐκαλεῖτο. προσκατεσκεύασε δὲ καὶ ἄλλας ταύτας εἰς ἀπόλαυσιν καὶ τρυφὴν ἐπιτηδείως ἐχούσας τῇ τε τῶν ἀέρων εὐκρασίᾳ, καὶ τοῖς ὡραίοις εὐφυεῖς, καὶ νάμασιν ὑδάτων ἐνδρόσους. ἐμβαλὼν δὲ καὶ εἰς τὴν ἔρημον τὴν ἐπάνω Συρίας, F καὶ κατασχὼν αὐτὴν, ἔκτισεν ἐκεῖ πόλιν μεγίστην, δύο μὲν ἡμερῶν ὁδὸν ἀπὸ τῆς ἄνω Συρίας διεστῶσαν, ἀπὸ δ᾽ Εὐφράτου μιᾶς, ἀπὸ δὲ τῆς μεγάλης Βαβυλωνίας, ἓξ ἡμερῶν ἦν τὸ μῆκος. αἴτιον δὲ τοῦ τὴν πόλιν οὕτως ἀπὸ τῶν οἰκουμένων μερῶν τῆς Συρίας ἀπῳκίσθαι, τὸ κατωτέρω μὲν οὐδαμοῦ τῆς γῆς ὕδωρ εἶναι, πηγὰς δ᾽ ἐν ἐκείνῳ μόνῳ τῷ τόπῳ εὑρεθῆναι καὶ φρέατα. ταύτην οὖν τὴν πόλιν οἰκοδομήσας, καὶ τείχεσιν ὀχυρωτάτοις περιβαλὼν, Θαδάμοραν G ὠνόμασε, καὶ τοῦτ᾽ ἔτι νῦν καλεῖται παρὰ τοῖς Σύροις. οἱ δὲ Ἕλληνες αὐτὴν προσαγορεύουσι Πάλμυραν. Σολομὼν μὲν οὖν ὁ βασιλεὺς ταῦτα κατ᾽ ἐκεῖνον τὸν καιρὸν πράττων διετέλει. πρὸς δὲ τοὺς ἐπιζητήσαντας, ὅτι πάντες οἱ τῶν Αἰγυπτίων βασιλεῖς ἀπὸ Μιναίου τοῦ Μέμφιν οἰκοδομήσαντος, ὃς ἔτεσι πολλοῖς ἔμπροσθεν ἐγένετο τοῦ πάππου ἡμῶν Ἀβράμου, μέχρι Σολομῶνος, πλειόνων ἐτῶν τριακοσίων καὶ χιλίων μεταξὺ διεληλυθότων, Φαραῶνες ἐκλήθησαν,

ἀπὸ τοῦ

ἀπὸ τοῦ μετὰ τοὺς ἐν τοῖς μεταξὺ χρόνοις ἄρξαντας βασιλέως Φαραὼν τὴν προσηγορίαν λαβόντας, ἀναγκαῖον ἡγησάμην εἰπεῖν, ἵνα τὴν ἄγνοιαν αὐτῶν ἀφέλω καὶ ποιήσω τοῦ ὀνόματος φανερὰν τὴν αἰτίαν. ὁ Φαραὼν κατ' Αἰγυπτίους βασιλέα σημαίνει. οἶμαι δ' αὐτοὺς ἐκ παίδων ἄλλοις χρωμένους ὀνόμασιν, ἐπειδὰν δὲ βασιλεῖς γένωνται, τὸ σημαῖνον αὐτῶν τὴν ἐξουσίαν κατὰ τὴν πάτριον γλῶτταν μετονομάζεσθαι. καὶ γὰρ οἱ τῆς Ἀλεξανδρείας βασιλεῖς, ἄλλοις ὀνόμασι καλούμενοι πρότερον, ὅτε τὴν βασιλείαν ἔλαβον, Πτολεμαῖοι προσηγορεύθησαν ἀπὸ τοῦ πρώτου βασιλέως. καὶ οἱ Ῥωμαίων δὲ αὐτοκράτορες ἐκ γενετῆς ἀπ' ἄλλων χρηματίσαντες ὀνομάτων, Καίσαρες καλοῦνται, τῆς ἡγεμονίας καὶ τῆς τιμῆς τὴν προσηγορίαν αὐτοῖς θεμένης, ἀλλ' οὐχ ὡς ὑπὸ τῶν πατέρων ἐκλήθησαν τούτοις ἐπιμένοντες. νομίζω δὲ καὶ Ἡρόδοτον τὸν Ἁλικαρνασέα διὰ τοῦτο μετὰ Μιναῖον τὸν οἰκοδομήσαντα Μέμφιν τριάκοντα καὶ τριακοσίους βασιλέας Αἰγυπτίων γενέσθαι λέγοντα, μὴ δηλῶσαι αὐτῶν τὰ ὀνόματα, ὅτι Φαραῶθες ἐκαλοῦντο. καὶ γὰρ μετὰ τὴν τούτων τελευτὴν γυναικὸς βασιλευσάσης λέγει τοὔνομα Νικαύλην καλῶν. δῆλον, ὡς τῶν μὲν ἀρρένων βασιλέων τὴν αὐτὴν προσηγορίαν ἔχειν δυναμένων, τῆς δὲ γυναικὸς οὐκέτι κοινωνεῖν ἐκείνης, καὶ διὰ τοῦτο εἰπεῖν αὐτῆς τὸ φύσει δέησαν ὄνομα. ἐγὼ δὲ καὶ ἐν τοῖς ἐπιχωρίοις ἡμῶν βιβλίοις εὗρον, ὅτι μετὰ Φαραώθην τὸν Σολομῶνος πενθερὸν, οὐκέτι οὐδεὶς τοῦτο τὸ ὄνομα βασιλεὺς Αἰγυπτίων ἐκλήθη. καὶ ὅτι ὕστερον ἧκε πρὸς Σολομῶνα ἡ προειρημένη γυνὴ βασιλεύουσα τῆς Αἰγύπτου καὶ τῆς Αἰθιοπίας. περὶ μὲν οὖν ταύτης, μετ' οὐ πολὺ δηλώσομεν. νῦν δὲ τούτων ἐπεμνήσθην, ἵνα παραστήσω τὰ ἡμέτερα βιβλία, καὶ τὰ παρ' Αἰγυπτίοις περὶ πολλῶν ὁμολογοῦντα. ὁ δὲ βασιλεὺς Σολομὼν, τοὺς ἀπὸ τῶν Χαναναίων οὐχ ὑπακούοντας (οἳ ἐν Λιβάνῳ διέτριβον ὄρει καὶ μέχρι πόλεως Ἀμμάθης) ὑποχειρίους ποιησάμενος, φόρον αὐτοῖς προσέταξε, καὶ πρὸς τὸ θητεύειν αὐτῷ καὶ τὰς οἰκετικὰς χρείας ἐκτελεῖν, καὶ πρὸς γεωργίαν κατ' ἔτος ἀπὸ αὐτῶν ἐξελέγετο. τῶν γὰρ Ἑβραίων οὐδεὶς ἐδούλευεν, οὐδ' ἦν εὔλογον ἔθνη πολλὰ τοῦ θεοῦ δεδωκότος αὐτοῖς ὑποχείρια, δέον ἐκ τούτων ποιεῖσθαι τὸ θητικὸν, ἐκείνους κατάγειν εἰς τοῦτο τὸ σχῆμα. ἀλλὰ πάντες ἐν ὅπλοις ἐφ' ἁρμάτων καὶ ἵππων στρατευόμενοι, μᾶλλον ἢ δουλεύοντες διῆγον. τῶν δὲ Χαναναίων, οὓς εἰς τὴν ἱκετείαν ἀπήγαγεν, ἄρχοντας ἀπέδειξε πεντακοσίους καὶ πεντήκοντα τὸν ἀριθμὸν, οἳ τὴν ὅλην αὐτῶν ἐπιτροπὴν εἰλήφεισαν παρὰ βασιλέως, ὥστε διδάσκειν αὐτοὺς τὰ ἔργα καὶ τὰς πραγματείας ἐφ' ἃς ἂν αὐτῶν ἔχρῃζεν. ἐναυπηγήσατο δὲ ὁ βασιλεὺς ἐν τῷ Αἰγυπτιακῷ κόλπῳ σκάφη πολλὰ, τῆς Ἐρυθρᾶς θαλάσσης ἔν τινι τόπῳ λεγομένῳ Ἀσιωγγάβερ. αὕτη γὰρ Βερενίκη καλεῖται, οὐ πόρρω Ἐλανῆς πόλεως, ἡ χώρα τὸ πρὶν Ἰουδαίων ἦν. ἔτυχε δὲ καὶ τῆς ἁρμοζούσης εἰς τὰς ναῦς δωρεᾶς παρὰ Εἰρώμου τοῦ Τυρίων βασιλέως. ἄνδρας γὰρ αὐτῷ κυβερνήτας καὶ τῶν θαλασσίων ἐπιστήμονας ἔπεμψεν ἱκανοὺς ὡς ἐκέλευσε, πλεύσαντας μετὰ καὶ τῶν ἰδίων οἰκονόμων εἰς τὴν πάλαι μὲν Σωφίεραν, νῦν δὲ Χρυσῆν γῆν καλουμένην, τῆς Ἰνδικῆς ἐστὶν αὕτη, χρυσὸν αὐτῷ κομίσαι. καὶ συναθροίσαντες ὡς τετρακόσια τάλαντα, πάλιν ἀνεχώρησαν πρὸς τὸν βασιλέα. τὴν δὲ τῆς Αἰγύπτου καὶ Αἰθιοπίας τότε βασιλεύουσαν γυναῖκα,

à quodam rege nomine desumpto: operæpretium existimo eorum ignorantiæ mederi, & manifestam huius appellationis causam reddere. Pharao regem Ægyptiis sonat. Opinor autem ipsos à pueritia nominibus aliis discretos, quamprimùm reges creati fuerint, potestatis eius nomen patriæ linguæ vernaculum assumere. Nam & Alexandrini reges aliis priùs nominibus vocati, post assumptum regnum vocati sunt Ptolemæi à primo eius vrbis rege: & Romanorum imperatores alioquin gentilia nomina habentes, Cæsares appellantur, principatus & honoris vocabulo, posthabito illo priore quod à parentibus hæreditarium in eos demanauit. Et hinc est, ni fallor, quòd Herodotus Halicarnaseus cùm CCCXXX. reges post Minæum Memphis conditorem deinceps successisse dixerit, nomina eorum non recensuit, quia Pharaones vocati sint omnes. Cùm enim post hos mulier imperium arripuisset, nomen eius ponit Nicaulen: nimirum ea de causa, quòd soli mares huius appellationis essent capaces, & non etiam fœmina, oportuit peculiare ipsius nomen dicere. Ego verò in nostræ gentis commentariis reperi, quòd post Solomonis socerum Pharaonem, nemo Ægyptiorum regum ampliùs hoc nomine sit vocatus: & quòd post illum venerit ad Solomonem iam dicta mulier, quæ tum Ægypti simul ac Æthiopiæ regnum obtinebat. Sed de hac paulo pòst dicemus: nunc verò ideo hæc memoraui, vt ostenderem nostros libros & Ægyptiorum in multis consentire. Solomon autem rex reliquias Chananæorum quæ Libanum montem vsque ad vrbem Amathen colebant, & imperium eius detrectabant, sub ditionem suam redactas tributa pendere coegit, & per singulos annos certum numerum seruorum & colonorum qui per agros distribuerentur exegit. Hebræorum enim nemo ad seruiles operas adigebatur: nec erat æquum, vt cùm tam multas gentes Deus sub eorum imperium subdidisset, ex his potius quàm deuictis eiusmodi conditionis homines censerentur: sed omnes arma & currus atque equos & rem militarem tractare malebant. Chananæis verò quos ad seruitutem abduxit, sexcentos præfectos præposuit, qui procuratores essent regij, & sua cuique opera atq; negotia præscriberent. Quin & classem rex in Ægyptio sinu ædificauit, in quodam loco ad mare rubrum, qui nominatur Asiongaber. Hæc nunc Berenice vocatur, nō procul ab Elana vrbe, quæ regio tum in Hebræorum ditione censebatur. Et in hac quoq; classe munificentia Iromi regis amici fuit vsui. Viros enim gubernatores & nauticæ rei peritos ei misit quotquot voluit, qui nauigantes cum regiis procuratoribus in regionem Indiæ, olim Sophiram, nunc Auream terram nominatam, aurum illi adferrent. hi collectis circiter quadringentis talentis retro ad regem sunt reuersi. Interim ad Ægypti Æthiopiæque reginam, 3. Reg. 10.

mulierem sapientiæ studiosam, & cætera quoque egregiam, Solomonis virtutem ac sapientiæ fama delata, cupiditas eam incessit coràm hominem visendi: sic enim fore vt experimento, non rumoribus crederet, qui sæpenumero falsi eo quòd toti à fide renunciantium pendeant, paulo pòst euanescunt: decreuítque susceptа longinquá peregrinatione illius sapientia perfrui, & de rebus arduis cum eo disserere. Venit igitur Hierosolyma splendido & opulẽto apparatu. Adducebat enim secum camelos onustos auro & variis aromatibus lapillísque preciosis. Rex verò honorificentissimè exceptam, & in cæteris comiter ac liberaliter habuit, & propositiones illius pro sua prudentia facilè explicans, opinione citiùs dissoluebat. At illa stupebat ad regis sapientiam, tanto maiorem experta quàm audierat: magísque etiam admirabatur regiam tam elegantem ac magnificam, & tam bellè dispositum ędificiorum ordinem, quòd hîc quoque ingenium regis contemplaretur. Sed nihil magis mirata est quàm aulam, cui cognomen Saltus Libani, & quotidianos conuiuiorum sumptus tam dapsiles, apparatúmque ministerij. nam & cultu erant decentissimo, & perquam scitè omnia ministrabant. Nec minor fuit admiratio dum quotidiana sacrificia videret, quantáque cura & religione sacerdotes ac Leuitæ circa ea versarentur. Hæc quotidie contemplando vehementer admirabatur, id quod nec dissimulare potuit, sed apud regem ingenuè fassa est, quantoperè huiusmodi spectaculis afficeretur. Omnia, inquit, rex, quæ auditu percipiuntur, cunctantiùs credere solemus: sed de tuis bonis, quæ vel intra te sunt reposita, sapientia videlicet ac prudentia, vel tam amplum regnum tibi suppeditat, non vana fama ad nos perlata est: sed quum esset vera, non respondisse tamen eam tuæ felicitati nunc præsens video. Quamuis enim auribus persuadere conabatur, non potuit tamen res ita pro dignitate repræsentare, sicut nunc oculis nostris subiiciuntur. de me quidem fatendum est, quòd cùm de fide eius hæsitassem, ne fortè aliquid affingeret, nunc longè maiora eis conspexi. Macti tanta felicitate Hebræi, macti amici ac familiares tui, quibus perpetuo sapientia tua frui datum est. Laudandus Deus qui regionem hanc & habitatores eius adeò dilexit, vt te regem eis præficeret. Nec contenta verbis indicasse quanti regem faceret, etiam muneribus suam erga illum obseruantiam testari voluit. Viginti enim auri talenta ei donauit, & aromatum vim magnæ æstimationis, lapillorúmque preciosissimorum. Aiunt etiam quòd balsami plantam, cuius hodiéque ferax est nostra regio, illius reginæ munificentiæ ferri acceptam oporteat. Nec minora fuère quæ ipsa à rege recepit, optione etiam illi permissa, nihil enim roganti negatum est, sed libentiùs quàm illa peteret largiens, insignem præ se tulit liberalitatem.

A σοφίᾳ διαπεπονημένην καὶ τἆλλα θαυμαστὴν, ἀκούσασαν τὴν Σολομῶνος ἀρετὴν καὶ φρόνησιν, ἐπιθυμία τῆς ὄψεως αὐτοῦ καὶ τῶν ὁσημέραι περὶ τῶν ἐκεῖ λεγομένων πρὸς αὐτὸν ἤγαγε. πεισθῆναι γὰρ ὑπὸ τῆς πείρας, ἀλλ' οὐχ ὑπὸ τῆς ἀκοῆς, ἣν εἰκός ἐστι καὶ ψευδεῖ δόξῃ συγκατατίθεσθαι καὶ μεταπεῖσαι πάλιν, ἔλεγε γὰρ ἐπὶ τοῖς ἀπαγγέλλουσι κεῖται, θέλουσα πρὸς αὐτὸν ἐλθεῖν διέγνω, μάλιστα καὶ τῆς σοφίας αὐτοῦ βουλομένη λα-B βεῖν πεῖραν, αὐτὴ προτείνασα, καὶ λῦσαι τὸ ἄπορον τῆς διανοίας δεηθεῖσα. ἧκεν οὖν εἰς Ἱεροσόλυμα μετὰ πολλῆς δόξης καὶ πλούτου παρασκευῆς. ἐπήγετο γὰρ καμήλους χρυσίου μεστὰς, καὶ ἀρωμάτων ποικίλων καὶ λίθου πολυτελοῦς. ὡς δ' αὐτὴν ἀφικομένην ἡδέως ὁ βασιλεὺς προσεδέξατο, τά τε ἄλλα περὶ αὐτὴν φιλότιμος ἦν, καὶ τὰ προβαλλόμενα σοφίσματα ῥᾳδίως τῇ συνέσει καταλαμβανόμενος, θᾶττον ἢ προσεδόκα C τις ἐπελύετο. ἡ δ' ἐξεπλήσσετο μὲν καὶ τὴν σοφίαν τοῦ Σολομῶνος οὕτως ὑπερβάλλουσαν αὐτὴν καὶ τῆς ἀκουομένης τῇ πείρᾳ κρείττω καταμανθάνουσα. μάλιστα δ' ἐθαύμαζε τὰ βασίλεια τοῦ τε κάλλους καὶ τοῦ μεγέθους. οὐχ ἧττον δὲ τῆς διατάξεως τῶν οἰκοδομημάτων. καὶ γὰρ ἐν αὐτῇ πολλὴν τοῦ βασιλέως καθεώρα φρόνησιν. ὑπερεξέπληττε δ' αὐτὴν ὅ τε οἶκος δρυμὸς ἐπικαλούμενος Λιβάνου, καὶ ἡ τῶν καθημέραν δείπνων D πολυτέλεια, καὶ τὰ τῆς παρασκευῆς αὐτοῦ καὶ διακονίας, ἥ τε τῶν ὑπηρετούντων ἐσθὴς, καὶ τὸ μετ' ἐπιστήμης αὐτῶν περὶ τὴν διακονίαν εὐπρεπές. οὐχ ἥκιστα δὲ καὶ καθ' ἡμέραν ἐπιτελούμεναι τῷ θεῷ θυσίαι, καὶ τὸ τῶν ἱερέων καὶ Λευιτῶν περὶ αὐτὰς ἐπιμελές. ταῦθ' ὁρῶσα καθ' ἡμέραν ὑπερεθαύμαζε, καὶ κατασχεῖν οὐ δυνηθεῖσα τὴν ἔκπληξιν τῶν βλεπομένων, φανερὰν ἐποίησεν αὐτὴν θαυμαστικῶς διακειμένην. πρὸς γὰρ τὸν βασι-E λέα προήχθη λόγοις εἰπεῖν ὑφ' ὧν ἠλέγχθη σφόδρα τὴν διάνοιαν ἐπὶ τοῖς προειρημένοις ἡττημένη. πάντα μὲν γὰρ εἶπεν ὦ βασιλεῦ τὰ δι' ἀκοῆς εἰς γνῶσιν ἐρχόμενα, μετ' ἀπιστίας παραγίνεται. τῶν δὲ σῶν ἀγαθῶν ὧν αὐτός τε ἔχεις ἐν σεαυτῷ, λέγω δὲ τὴν σοφίαν καὶ τὴν φρόνησιν, καὶ ὧν ἡ βασιλεία σοι δίδωσιν, οὐ ψευδὴς ἄρα ἡ φήμη πρὸς ἡμᾶς διῆλθεν, ἀλλ' οὖσα ἀληθὴς, πολὺ καταδεεστέραν τὴν εὐδαιμονίαν ἀπέφαινεν ἧς F ὁρῶ νῦν παροῦσα. τὰς μὲν γὰρ ἀκοὰς πείθειν ἐπεχείρει μόνον. τὸ δὲ ἀξίωμα τῶν πραγμάτων, οὐχ οὕτως ἐποίει γνώριμον, ὡς ἡ ὄψις αὐτὸ καὶ τὸ παρ' αὐτοῖς εἶναι συνίστησιν. ἐγὼ γοῦν, οὐδὲ τοῖς ἐπαγγελλομένοις διὰ πλῆθος καὶ μέγεθος ὧν ἐπυνθανόμην πιστεύουσα, πολλῷ πλείω τούτων ἱστόρησα. καὶ μακάριον τὸ τῶν Ἑβραίων λαὸν εἶναι κρίνω, δούλους τε τοὺς σοὺς καὶ φίλους, οἳ καθ' ἡμέραν τῆς σῆς σοφίας ἀκροώμενοι δια-G τελοῦσιν. εὐλογήσειεν ἄν τις τὸν θεὸν ἀγαπήσαντα τήνδε τὴν χώραν καὶ τοὺς ἐν αὐτῇ κατοικοῦντας οὕτως ὥστε σε ποιῆσαι βασιλέα. παραστήσασα δὲ καὶ διὰ τῶν λόγων, πῶς αὐτὴν διέθηκεν ὁ βασιλεὺς, ἔτι καὶ ταῖς δωρεαῖς τὴν διάνοιαν αὐτῆς ἐποίησε φανεράν. εἴκοσι μὲν γὰρ αὐτῷ τάλαντα ἔδωκε χρυσίου. ἀρωμάτων τε πλῆθος ἀσυλλόγιστον, καὶ λίθον πολυτελῆ. λέγουσι δ' ὅτι καὶ τὴν τοῦ ὀποβαλσάμου ῥίζαν ἣν ἔτι νῦν ἡμῶν ἡ χώρα φέρει, δούσης ταύτης τῆς γυναικὸς ἔχομεν. ἀντιδωρήσατο δ' αὐτὴν καὶ Σολομὼν πολλοῖς ἀγαθοῖς, καὶ μάλιστα ὧν κατ' ἐπιθυμίαν ἐξελέξατο, οὐδὲν γὰρ ἦν ὃ δεηθεῖσα λαβεῖν οὐ παρέσχεν, ἀλλ' ἑτοιμότερος ὢν αὐτὸς κατὰ τὴν οἰκείαν χαρίζεσθαι προαίρεσιν, ἅπερ ἐκείνη τυχεῖν ἠξίου, προϊέμενος τὴν μεγαλοφροσύνην ἐπεδείκνυτο.

καὶ ἡ μὲν

καὶ ἡ μὲν τῶν αἰγυπτίων καὶ τῆς αἰθιοπίας βασίλισσα, ὧν προειρήκαμεν τυχοῦσα, καὶ μεταδοῦσα πάλιν τῷ βασιλεῖ τῶν παρ' αὐτῆς, εἰς τὴν οἰκείαν ὑπέστρεψεν. κατὰ δὲ τὸν αὐτὸν καιρὸν κομισθέντων ἀπὸ τῆς χρυσῆς καλουμένης γῆς λίθου πολυτελοῦς τῷ βασιλεῖ, καὶ ξύλων πευκίνων, τοῖς ξύλοις εἰς ὑποστηρίγματα τοῦ ναοῦ καὶ τῶν βασιλείων κατεχρήσατο, καὶ πρὸς τὴν τῶν μουσικῶν ὀργάνων κατασκευὴν, κινύρας τε καὶ ναύλας, ὅπως ὑμνῶσιν οἱ λευῖται τὸν θεόν. πάντων δὲ τῶν πώποτε κομισθέντων αὐτῷ, κατ' ἐκείνην τὴν ἡμέραν ἐνεχθέντα, καὶ μεγέθει καὶ κάλλει διέφερεν. ὑπολάβῃ δὲ μηδεὶς ὅτι τὰ τῆς πεύκης ξύλα τοῖς νῦν εἶναι λεγομένοις, καὶ ταύτην ὑπὸ τῶν πιπρασκόντων τὴν προσηγορίαν ἐπὶ καταπλήξει τῶν ὠνουμένων λαμβάνουσιν, ἐστὶ παραπλήσια. ἐκεῖνα γὰρ τὴν μὲν ἰδέαν ἐμφερῆ τοῖς συκίνοις γίνεται. λευκότερα δέ ἐστι καὶ στίλβοντα πλέον. τοῦτο μὲν πρὸς τὸ μηδένα τὴν διαφορὰν ἀγνοῆσαι, μηδὲ τὴν φύσιν τῆς ἀληθοῦς πεύκης, ἐπεὶ διὰ τὴν τοῦ βασιλέως χρείαν ἐμνήσθημεν αὐτῆς, εὔκαιρον εἶναι καὶ φιλάνθρωπον δηλῶσαι νομίσαντες εἰρήκαμεν. ὁ δὲ τοῦ χρυσοῦ σταθμὸς τοῦ κομισθέντος αὐτῷ, τάλαντα ἑξακόσια δὲ ἑξήκοντα καὶ ἕξ, μὴ συγκαταριθμουμένου καὶ τοῦ ὑπὸ τῶν ἐμπόρων ὠνηθέντος, μηδ' ὧν οἱ τῆς ἀραβίας τοπάρχαι καὶ βασιλεῖς ἔπεμπον αὐτῷ δωρεῶν. ἐχώνευσε δὲ τὸν χρυσὸν εἰς διακοσίων κατασκευὴν θυρεῶν ἀνὰ σίκλους ἀγόντων ἑξακοσίους. ἐποίησε δὲ καὶ ἀσπίδας τριακοσίας, ἀγούσης ἑκάστης μνᾶς χρυσίου τρεῖς. ἀνέθηκε δὲ ταῦτα φέρων εἰς τὸν οἶκον τὸν δρυμὸν λιβάνου καλούμενον. οὐ μὴν, ἀλλὰ καὶ τὰ ἐκπώματα διὰ χρυσοῦ καὶ λίθου τὰ πρὸς τὴν ἑστίασιν ὡς ἐνῆν μάλιστα φιλοτέχνως κατεσκεύασε καὶ τὴν ἄλλην τῶν σκευῶν δαψιλείαν χρυσέαν ἅπασαν ἐμηχανήσατο. οὐδὲν γὰρ ἦν ὅτι τις ἀργύρῳ ἐπίπρασκεν ἢ πάλιν ἐωνεῖτο. πολλαὶ γὰρ ἦσαν ναῦς, ἃς ὁ βασιλεὺς ἐν τῇ ταρσικῇ λεγομένῃ θαλάττῃ καταστήσας, ἀπάγειν εἰς τὰ ἐνδοτέρω τῶν ἐθνῶν παντοίαν ἐμπορίαν προσέταξεν. ὧν διεμπολουμένων, ἄργυρος καὶ χρυσὸς ἐκομίζετο τῷ βασιλεῖ. καὶ πολὺς ἐλέφας, αἰθίοπές τε καὶ πίθηκοι. τὸν δὲ πλοῦν ἀπιοῦσαί τε καὶ ἐπανερχόμεναι τρισὶν ἔτεσιν ἤνυον. φήμη δὲ λαμπρὰ πᾶσαν ἐν κύκλῳ τὴν χώραν περιήρχετο διαβοῶσα τὴν σολομῶνος ἀρετὴν καὶ σοφίαν, ὡς τούς τε πανταχῇ βασιλέας ἐπιθυμεῖν εἰς ὄψιν αὐτῷ παραγενέσθαι, τοῖς λεγομένοις δι' ὑπερβολὴν ἀπιστοῦντας, καὶ δωρεαῖς μεγάλαις προεμφανίζειν τὴν περὶ αὐτὸν σπουδήν. ἔπεμπον δὲ αὐτῷ, σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, καὶ ἁλουργεῖς ἐσθῆτας, καὶ ἀρωμάτων γένη πολλά, καὶ ἵππους καὶ ἅρματα, καὶ τῶν ἀχθοφόρων ἡμιόνων, ὅσους καὶ ῥώμῃ καὶ κάλλει τὴν τοῦ βασιλέως ὄψιν εὐφρανεῖν ἐπελέγετο, ὥς τε τοῖς οὖσιν αὐτῷ πρότερον ἅρμασι καὶ ἵπποις ἐκ τῶν πεμπομένων προσθέντα ποιῆσαι τῶν ἁρμάτων ἀριθμὸν, τετρακοσίοις περισσότερον. ἦν γὰρ αὐτῷ πρότερον, χίλια, ὑπῆρχον γὰρ αὐτῷ δισμύριοι ἵπποι. ἤσκηντο δ' οὗτοι, πρὸς εὐμορφίαν καὶ τάχος, ὡς μήτ' εὐπρεπεστέρους ἄλλοις εἶναι συμβαλεῖν αὐτοῖς, μήτε ὠκυτέρους, ἀλλὰ καλλίστους τε πάντων ὁρᾶσθαι, καὶ ἀπαραμίλλητον αὐτῶν εἶναι τὴν ὀξύτητα. ἐπεκόσμουν δ' αὐτοὺς καὶ οἱ ἀναβαίνοντες, νεότητι μὲν πρῶτον ἀνθοῦντες, ἐπιπρεπεστάτῃ, τὸ δ' ὕψος ὄντες περίοπτοι, καὶ πολὺ τῶν ἄλλων ὑπερέχοντες, μηκίστας μὲν καθειμένοι χαίτας, ἐνδεδυμένοι δὲ χιτῶνας τῆς τυρίας πορφύρας. ψῆγμα δὲ χρυσίου καθ' ἡμέραν αὐτῶν ἐπέσηθον ταῖς κόμαις, ὡς στίλβειν αὐτῶν τὰς κεφαλὰς τῆς αὐγῆς τοῦ χρυσίου πρὸς τὸν ἥλιον ἀντανακλωμένης.

Atque ita Ægyptiorum regina, datis simul & acceptis amplissimis muneribus, in patrium solum reuertitur. Per idem tempus allatis ex Aurea sicut vocant terra gemmis & lignis pineis, ex hac materie rex fulcra templi ac regiæ fecit, eiusque parte vsus est ad instrumenta musica, cinnyras & nabla, quibus Leuitæ diuinos hymnos solent accinere. nunquam enim antehac tam elegans apportata fuerat. Sed nemo sic cogitet, quæ nunc pinea ligna vocantur, quæve ad alliciendos emptores hac appellatione mangonizant negociatores, illis esse similia. illa enim aspectu ficulnaem materiem referunt, nisi quòd candidiora sunt & fulgentiora: id quod admonere officij nostri duximus, ne quis per ignorantiam in his discernendis fallatur, quandoquidem res Solomonis in huius materiei mentionem nos induxerunt. Eadem classis attulit regi auri talenta DCLXVI. non annumerato quod priuatim negociatores mercati sunt, nec eo quod toparchæ & reges Arabiæ dono illi miserunt. Ex eo fecit ducenta scuta fusilia singula sexcentos siclos pendentia, & trecentos clypeos, quorum singuli trecentas minas penderent: atque hæc omnia in aula Saltus Libani vocata reposuit. Sed & pocula ex auro solido parauit, & è lapide precioso, & in vsum conuiuij singulari arte fabre facta, reliquamque omnem suppellectilem regiam ex auro fieri curauit. Nullum enim tum argento in commerciis erat precium. Multa enim nauigia rex in mari quod vocatur Tarsicum habuit, quæ ad remotas gentes merces varias deferre iussit, pro quibus exportatis aurum & argentum regi ferebant. multumque eboris, & mancipia Æthiopica & simias. Ea nauigatio in itu ac reditu triennium integrum absumebat. Fama etiam celeberrima per omnes circumquaque regiones de Solomonis virtutibus ac sapientia diuagabatur: qua exciti plerique reges, quò certiores de iam dictis fierent, visendi eius cupidine flagrabant, & exquisita munificentia studiosos eius se declarabant. Mittebantur vasa tam aurea quàm argentea, & vestes purpureæ, & omne genus aromata: equi præterea currusque & muli subuehendis sarcinis, qui vel robore vel pulchritudine regi placituri videbantur: vt ad eum equorum ac curruum numerum, quem iam antè habuerat, ex donaticiis quadringenti currus accederent. Habuit enim priùs currus mille, equorum viginti millia. hi quum pulcherrimi fuêre, tum ad cursum exercitatissimi, vt collati ad cæteros omnes post se relinquerent. His decus addebant equites, flos iuuentutis, procera statura, promissoque capillitio conspicui, & tunicas è sarrana purpura induti. ad hæc ramentis auri capillum quotidie spargebant, vt ad solarium radiorum contactum fulgor à capitibus eorum reflecteretur.

Hi armati & pharetris succincti regium currum stipabant, quo sublimis inuectus, & amictus veste candida, mane solebat vrbem egredi. Aberat ab Hierosolymis duorum schœnorum spacio prædium nomine Hettan, hortis & inductis fontibus amœnum simul ac opulentum. in eum locum vectari delectabatur. Diuina autem quadam diligentia ac prouidentia rebus in omnibus vtebatur, & cùm esset elegantiarum amator, ne viarum quidem curam prætermisit, sed & harum quotquot Hierosolyma regiæ sedem ducebant, silice constrauit, tum vt vltro citróque commeantibus essent faciles, tum ad ostentandam hac quoque parte principatus sui magnificentiam. Distributísque oppidatim curribus, & in singula certo numero ad alendum præfinito, circa se quidem paucos reseruauit: loca verò vbi alebantur, curruum oppida appellauit. Argenti etiam tantam copiam Hierosolymis esse fecit, quanta fuit saxorum: & cedros arbores antehac nunquam in Iudæa visas, in campis eius adeò multiplicauit, vt Moros numero æquarent. Mandauit etiam negociatoribus Ægyptiacis vt equos venales ad se adducerent, in singulas bigas sexcentarum argenti drachmarum precio constituto: quos deinde ad Syriæ reges & transeuphratenses mittere solebat. Cumque esset omnium regum gloriosissimus & piissimus, & opibus ac prudentia omnes superasset, qui ante illum rem Hebræorum administrauerant, deterior factus est ante obitum: & à patriis moribus desciscendo, indignum antè gestis rebus vitæ exitum habuit. Nam insaniens in mulieres,& in rebus venereis immodicus,non contentus suæ regionis mulieribus, multas externæ originis duxit, Sidonias, Tyrias, Ammanitidas, Idumæas: atque ita contemptis semel Moysi institutis, quæ non nisi gentis eiusdem coniuges permittebant, illarum deos colere cœpit, amori earum hoc tribuens. Atqui hanc ipsam rem legislator præcauere voluerat, ne per hanc occasionem peregrinis implicarentur ritibus, néve relicto patrij numinis cultu, ad illarum religiones se transferrent. Sed hæc Solomon contempsit, voluptate irrationabili victus: ductísque vxoribus è principibus virísque illustribus prognatis septingentis numero, & concubinis trecentis, & in his Ægyptiorum regis filia adeò consuetudine earum est captus, vt ritus earum imitaretur, quo magis illis hoc argumento fidem amoris ac beneuolentiæ faceret. ætate deinde prouectior, & mente iam paulatim senescente, magis etiam patriæ religionis oblitus cultum Dei sui neglexit, & mulierum exterarum ritibus assueuit: quamuis iam antè quoque à præscripto legum discesserat, quando æreas boum effigies basi maris illius addiderat, sicut solio suo leonum pòst apposuit. Nam neque illa fas erat facere. Cumque domesticum haberet exemplum pulcherrimum parentis virtutem, & gloriam quam propter pietatem ad posteros reliquerat,

3.Reg.11.

A πάντων περὶ αὐτὸν ὄντων ὁ βασιλεὺς καθωπλισμένων καὶ τόξα ἐξηρτημένων, ἐφ' ἅρματος αὐτὸς ὀχούμενος, καὶ λευκὴν ἠμφιεσμένος ἐσθῆτα, πρὸς ἕω ἔθος εἶχεν ἐξορμᾶν. ἦν δὲ χωρίον τι ἀπὸ δύο σχοίνων Ἱεροσολύμων ὃ καλεῖται μὲν Ἠτάν, παραδείσοις δὲ καὶ ναμάτων ἐπιρροίαις ἐπιτερπὲς ὁμοῦ καὶ πλούσιον. εἰς τοῦτο τὰς ἐξόδους ἱερούμενος ἐποιεῖτο. θείᾳ δὲ περὶ πάντα χρώμενος ἐπινοίᾳ τε καὶ σπουδῇ, καὶ λίαν ὢν

B φιλόκαλος, οὐδὲ τῶν ὁδῶν ἠμέλησεν, ἀλλὰ καὶ τούτων τὰς ἀγούσας εἰς Ἱεροσόλυμα βασίλειον οὖσαν, λίθῳ κατέστρωσε μέλανι, πρός τε τὸ ῥᾴστην εἶναι τοῖς βαδίζουσιν, καὶ πρὸς τὸ δηλοῦν τὸ ἀξίωμα τοῦ πλούτου καὶ τῆς ἡγεμονίας. διαμερίσας δὲ τὰ ἅρματα καὶ διατάξας, ὥστε ἐν ἑκάστῃ πόλει τούτων ἀριθμὸν ἀφωρισμένον ὑπάρχειν, αὐτὸς μὲν περὶ αὐτὸν ἐτήρησεν ὀλίγα. τὰς δὲ πόλεις ταύτας ἁρμάτων προσηγόρευσε. τὸ δ' ἀργυρίου τοσοῦτον ἐποίησε πλῆθος ἐν Ἱεροσολύμοις ὁ βα-

C σιλεὺς, ὅσον ἦν καὶ τῶν λίθων· καὶ τῶν κεδρίνων ξύλων οὐ πρότερον ὄντων ὥσπερ καὶ τῶν δένδρων τῶν συκαμίνων πλήθει τὰ τῆς Ἰουδαίας πεδία. προσέταξε δὲ καὶ τοῖς ἐμπόροις Αἰγύπτου κομίζουσιν αὐτῷ, πωλεῖν, τὸ μὲν ἅρμα σὺν ἵπποις δυσὶν ἑξακοσίων δραχμῶν ἀργυρείου. αὐτός τε τοῖς τῆς Συρίας βασιλεῦσι καὶ τοῖς πέραν Εὐφράτου διέπεμπεν αὐτούς. γενόμενος δὲ πάντων βασιλέων ἐνδοξότατος καὶ θεοφι-

D λέστατος, καὶ φρονήσει καὶ πλούτῳ διενεγκὼν τῶν πρὸ αὐτοῦ τὴν Ἑβραίων ἀρχὴν ἐσχηκότων, οὐκ ἐπέμεινε τούτοις ἄχρι τελευτῆς. ἀλλὰ καταλιπὼν τὴν τῶν πατρίων ἐθισμῶν φυλακὴν, οὐκ εἰς ὅμοιον οἷς προειρήκαμεν αὐτοῦ τέλος κατέστρεψεν. εἰς δὲ γυναῖκας ἐκμανεὶς καὶ τὴν τῶν ἀφροδισίων ἀκρασίαν, οὐ ταῖς ἐπιχωρίοις μόνον ἠρέσκετο, πολλὰς δὲ καὶ ἐκ τῶν ἀλλοτρίων ἐθνῶν γήμας, Σιδωνίας καὶ Τυρίας, καὶ Ἀμμανίτιδας, καὶ Ἰδουμαίας, παρέβη μὲν τοὺς Μωυσέος νόμους, ὃς ἀπη-

E γόρευσε συνοικεῖν ταῖς οὐχ ὁμοφύλοις, τοὺς δ' ἐκείνων ἤρξατο θρησκεύειν θεοὺς, ταῖς γυναιξὶ καὶ τῷ πρὸς αὐτὰς ἔρωτι χαριζόμενος. τοῦτ' αὐτὸ ὑπειδομένου τοῦ νομοθέτου προειπόντος μὴ γαμεῖν τὰς ἀλλοτριοχώρους, ἵνα μὴ τοῖς ξένοις ἐπιπλακέντες ἔθεσι τῶν πατρίων ἀποστῶσι, μηδὲ τοὺς ἐκείνων σέβωνται θεοὺς, παρέντες τιμᾶν τὸν ἴδιον. ἀλλὰ τούτων μὲν κατημέλησεν ὑπενεχθεὶς εἰς ἡδονὴν ἀλόγιστον ὁ Σολομών. ἀγαγό-

F μενος δὲ γυναῖκας ἀρχόντων καὶ διασήμων θυγατέρας ἑπτακοσίας τὸν ἀριθμὸν, καὶ παλλακὰς τριακοσίας, πρὸς δὲ ταύταις καὶ τὴν τοῦ βασιλέως τῶν Αἰγυπτίων θυγατέρα, εὐθὺς μὲν ἐκρατεῖτο πρὸς αὐτῶν ὥστε μιμεῖσθαι τὰ παρ' ἐκείνων, καὶ τῆς εὐνοίας καὶ φιλοστοργίας ἠναγκάζετο παρέχειν αὐταῖς δεῖγμα τὸ βιοῦν ὡς αὐταῖς πάτριον ἦν. προβαινούσης δὲ τῆς ἡλικίας καὶ τοῦ λογισμοῦ διὰ τὸν χρόνον ἀσθενοῦντος

G ἀντέχειν πρὸς τὴν μνήμην τῶν ἐπιχωρίων ἐπιτηδευμάτων, ἔτι μᾶλλον τοῦ ἰδίου θεοῦ κατωλιγώρησε. τοὺς δὲ τῶν γάμων τῶν ἐπεισάκτων τιμῶν διετέλει. καὶ πρὸ τούτων δὲ ἁμαρτεῖν αὐτὸν ἔτυχε καὶ σφαλῆναι περὶ τὴν φυλακὴν τῶν νομίμων, ὅτε τῶν χαλκῶν βοῶν ὁμοιώματα κατεσκεύασε τῶν ὑπὸ τῇ θαλάττῃ ἀναθήματι, καὶ τῶν λεόντων τῶν περὶ τὸν θρόνον τὸν ἴδιον. οὐδὲ γὰρ αὐτὰ ποιεῖν ὅσιον. κάλλιστον δ' ἔχων καὶ οἰκεῖον παράδειγμα τῆς ἀρετῆς τὸν πατέρα, καὶ τὴν ἐκείνου δόξαν, ἣν αὐτῷ συνέβη καταλιπεῖν διὰ τὴν πρὸς τὸν θεὸν εὐσέβειαν,

οὐ μιμησάμενος αὐτόν, καὶ ταῦτα δὶς αὐτῷ τοῦ θεοῦ κατὰ τοὺς ὕπνους φανέντος καὶ τὸν πατέρα μιμεῖσθαι παραινέσαντος, ἀκλεῶς ἀπέθανεν. ἧκεν οὖν ὁ προφήτης ὑπὸ τοῦ θεοῦ πεμφθείς, οὔτε λανθάνειν αὐτὸν ἐπὶ τοῖς παρανομήμασι λέγων, οὔτ' ἐπὶ πολὺ χαιρήσειν τοῖς πραττομένοις ἀπειλῶν, ἀλλὰ ζῶντος μὲν οὐκ ἀφαιρεθήσεσθαι τὴν βασιλείαν, ἐπεὶ τῷ πατρὶ δαβίδῃ τὸ θεῖον αὐτὸν ὑπέσχετο διάδοχον ποιήσειν ἐκείνου. τελευτήσαντος δὲ τὸν υἱὸν αὐτοῦ ταῦτα διαθήσειν, οὐχ ἅπαντα μὲν τὸν λαὸν ἀποστήσας αὐτοῦ, δέκα δὲ φυλὰς μόνας παραδοὺς αὐτοῦ τῷ δούλῳ, δύο δὲ καταλειπὼν τῷ υἱωνῷ τῷ δαβίδου, δι' αὐτὸν ἐκεῖνον ὅτι τὸν θεὸν ἠγάπησεν, καὶ διὰ τὴν πόλιν ἱεροσόλυμα, ἐν ᾗ ναὸν ἔχειν ἐβουλήθη. ταῦτα ἀκούσας σολομὼν, ἤλγησε, καὶ σφοδρῶς συνεχύθη, πάντων αὐτῷ σχεδὸν ἀγαθῶν ἐφ' οἷς ζηλωτὸς ἦν, εἰς μεταβολὴν ἐρχομένων πονηράν. οὐ πολὺς δὲ διῆλθε χρόνος ἀφ' οὗ κατήγγειλεν ὁ προφήτης αὐτῷ τὰ συμβησόμενα, καὶ πολέμιον ἐπ' αὐτὸν εὐθὺς ἤγειρεν ὁ θεός, ἄδερον μὲν ὄνομα. τὴν δ' αἰτίαν τῆς ἔχθρας, λαβόντα τοιαύτην. παῖς οὗτος ἦν ἰδουμαῖος, γένος ἐκ βασιλικῶν σπερμάτων. καταστρεψαμένου δὲ τὴν ἰδουμαίαν ἰωάβου τοῦ δαβίδου στρατηγοῦ, καὶ πάντας τοὺς ἐν ἀκμῇ καὶ φέρειν ὅπλα δυναμένους διαφθείραντος μησὶν ἕξ, φυγὼν ἧκε πρὸς τὸν φαραῶνα τῶν αἰγυπτίων βασιλέα. ὁ δὲ φιλοφρόνως αὐτὸν ὑποδεξάμενος, οἶκόν τε αὐτῷ δίδωσι καὶ χώραν εἰς διατροφήν. καὶ γενόμενον ἐν ἡλικίᾳ, λίαν ἠγάπα. ὡς καὶ τῆς αὐτοῦ γυναικὸς αὐτῷ δοῦναι πρὸς γάμον τὴν ἀδελφήν, ὄνομα θαφίνην. ἐξ ἧς υἱὸς αὐτῷ γενόμενος, τοῖς τοῦ βασιλέως παισὶ συνανετράφη. ἀκούσας οὖν τὸν δαβίδου θάνατον ἐν αἰγύπτῳ, καὶ τὸν ἰωάβου, προσελθὼν ἐδεῖτο τοῦ φαραῶνος ἐπιτρέπειν αὐτῷ βαδίζειν εἰς τὴν πατρίδα. τοῦ δὲ βασιλέως ἀνακρίναντος, τίνος ἐνδεὴς ὢν ἢ τί παθὼν ἐσπούδακε καταλιπεῖν αὐτόν, ἐνοχλῶν πολλάκις καὶ παρακαλῶν, τότε μὲν οὐκ ἀφείθη. κατ' ἐκεῖνον δὲ τὸν καιρόν, καθ' ὃν ἤδη σολομῶνι τὰ πράγματα κακῶς ἔχειν ἤρχετο διὰ τὰς προειρημένας παρανομίας, καὶ τὴν ὀργὴν τὴν ἐπ' αὐτοῖς τοῦ θεοῦ, συγχωρήσαντος τοῦ φαραῶνος, ὁ ἄδερος ἧκεν εἰς τὴν ἰδουμαίαν. καὶ μὴ δυνηθεὶς αὐτὴν ἀποστῆσαι τοῦ σολομῶνος, κατείχετο γὰρ φρουραῖς πολλαῖς καὶ οὐκ ἦν ἐλεύθερος δι' αὐτὰς ὁ ἐπ' ἀδείας νεωτερισμός, ἄρας ἐκεῖθεν, εἰς τὴν συρίαν ἀφίκετο. συμβαλὼν δ' ἐκεῖ τινὶ ῥαάζαρῳ μὲν τοὔνομα, τὸν δὲ τῆς σωφήνης ἀποδεδρακότι βασιλέα ἀδράζαρον δεσπότην ὄντα, καὶ λῃστεύοντι τὴν χώραν εἰς φιλίαν αὐτῷ συνάψας, ἔχοντι περὶ αὐτὸν στῖφος λῃστρικόν, ἀναβαίνει. καὶ κατασχὼν τὴν ἐκεῖ συρίαν, βασιλεὺς αὐτῆς ἀποδείκνυται. καὶ κατατρέχων τὴν τῶν ἰσραηλιτῶν γῆν, ἐποίει κακῶς, καὶ διήρπαζε σολομῶνος ἔτι ζῶντος. καὶ ταῦτα μὲν ἐκ τοῦ ἀδεοῦς συνέβαινε πάσχειν τοὺς ἑβραίους. ἐπιτίθεται δὲ σολομῶνι, καὶ τῶν ὁμοφύλων τις ἱεροβόαμος υἱὸς ναβαταίου, κατὰ προφητείαν πάλαι γενομένην αὐτῷ τοῖς πράγμασιν ἐπελπίσας. παῖδα γὰρ ὑπὸ τοῦ πατρὸς καταλειφθέντα, καὶ ὑπὸ τῇ μητρὶ παιδευόμενον, ὡς εἶδε γενναῖον καὶ τολμηρὸν σολομὼν ὄντα τὸ φρόνημα, τῆς τῶν τειχῶν οἰκοδομίας ἐπιμελητὴν κατέστησεν, ὅτε τοῖς ἱεροσολύμοις τὸν κύκλον περιέβαλεν.

A discedens ab eius imitatione, idque bis in somnis monitus sequi paterna vestigia, mortem inglorius oppetiit. Venit itaque ad illum propheta missus à Deo, dicens neque clàm esse eius impietatem, neque diutius impunitam fore: viuo tamen regnum non auferendum, quando patri eius diuinitus sit promissum, non alium successorem futurum: sed post hunc defunctum, filium pœnas daturum: ita tamen vt B non vniuersum regnum deficeret, sed decem solæ tribus seruo ipsius cederent, reliquæ duæ penes nepotem Dauidis remanerent, idque ipsius aui respectu, & vrbis Hierosolymorum, in qua Deus templum sibi elegisset. His auditis Solomon vehementer perturbatus indoluit, omni felicitate, qua hactenus suspiciebatur, in contrarium vergente. Nec multum temporis post hanc prophetæ denunciationem est elapsum, dum hostis ei Deo sic volen- C te exortus est, cui nomen Aderus, regi infensus ob causam hanc. Idumæus fuit genere, & è regio stemmate. Cúmque Ioabus copiarum Dauidis Imperator Idumæam subigeret, omnibus eius gentis qui per ætatem arma ferre possent internecione intra semestre deletis, hic etiamnum adolescentulus ad Pharaonem Ægyptiorum regem euasit. ab eo comiter exceptus, & domum & agros ex quorum reditibus viueret, munificentia illius est consecutus: & D postquam adoleuit tam carus ei factus est, vt rex coniugis suæ sororem, nomine Taphinem, nuptum ei traderet: ex qua filius natus, cum regis liberis est educatus. Porrò accepto in Ægypto de Dauidis & Ioabi morte nuncio regē, adiuit rogans vt sibi in patriā reuerti permitteret. Rege autem percontante quid illi deesset, quáve sua iniuria prouocatus relinquere amicum benemeritum cuperet, & si non semel id petitum, impetrare tamen tunc nequaquam valuit. Sed cùm iam res Solomonis labare in- E ciperent, Deo impietatem eius non ampliùs ferente, cuius nutu Pharao difficilem se hactenus præbuerat, Aderus impetrato à suo rege commeatu in Idumæam reuertitur. & cùm non posset gentem suam ad defectionem à Solomone perpellere, eo quòd validis præsidiis impositis in officio contineretur, nec liceret impune res nouas ibi moliri, profectus inde in Syriam se contulit. Vbi cùm incidisset in quendam Razarum, qui desciuerat à Sophenæ rege Adrazaro, & eas terras cum latro- F num manu incursionibus populabatur, societatem cum homine iniit: cuius ope occupata ea parte Syriæ, rex declaratus, Israelitarum ditionem crebrò irrumpendo, viuo adhuc Solomone rapinis omnia miscebat & cædibus. Et quasi parum esset Hebræis vnus hostis externus, domi extitit qui Solomonem infestaret Hieroboamus Nabatæi filius, veteri quodam oraculo ad res nouandas excitatus. Cùm e- G nim patre orbatus adolescens adhuc à matre educaretur, Solomon animaduersa generosa eius indole, præfecit eum fabricæ murorum, quando Hierosolyma mœnibus cingebat.

Eius operis curam tanta ſolertia geſſit, vt rex comprobata hominis induſtria, præmio dignum ducens, cum Ioſephi tribui præficeret. Ad quam dum Hieroſolymis egreſſus iter faceret, obuiam ei fit propheta nomine Achia, Silunte oppido oriundus. Is ſalutatum eum de via paulùm ſeduxit in rus quoddam diuertens, in quo tum nemo alius aderat: ſciſſoq; in duodecim fruſta pallio, quo ipſe amiciebatur, iuſſit Hieroboamum decem inde ſumere, præfatus Deum hoc iubere. Ille, inquit, ſciſſo imperio Solomonis, eius filio, propter promiſſionem Dauidi factam, tribum vnam cum altera ei contigua daturus eſt: tibi verò decem propter Solomonis peccatum, qui mulieribus & diis earum totum ſe deuouit. Quare ſciens cauſam propter quam Deus ab illo eſt alienatus, iuſtitiam colito, & legum perpetuus cuſtos ac cõſeruator eſto, cùm pietatis ac religionis præmium maximum tibi ſit propoſitum, nimirum vt tantus euadas, quantum ſcis Dauidem priùs fuiſſe. His prophetæ verbis erectus ad ſpes magnas Hieroboamus, cùm eſſet alioqui ambitioſo & inquieto ingenio, quamprimum in ſuam prouinciam peruenit, non immemor præſagij prophetici ſolicitare populum cœpit, vt à Solomone deficeret, ipſique principatum deferret. Cuius conatibus & inſidiis cognitis Solomon volebat eum comprehenſum occidere. At ille ad Suſacum Ægypti regem profugus & præſens periculum euaſit, & manendo illic vſque Solomonis obitum regno ſe Iſraëlitico incolumen ſeruauit.

Cap. III.

Solomone defuncto populus à Roboamo eius filio deficiens, Hieroboamum decem tribuum regem fecit.

Solomon autem iam admodum ſenex moritur, exactis regni annis octoginta, vitæ verò nonaginta quatuor: ſepelitúrque Hieroſolymis, omnium regum feliciſſimus & opulentiſſimus atque prudentiſſimus, excepto peccato ad quod iam ſeneſcens à mulieribus eſt pertractus, de quo & conſecutis mox Hebræorum calamitatibus ſatis dictum eſt. Cæterùm defuncto Solomone, & ſuccedente in principatum eius filio Roboamo quem è Noma Ammanitici generis muliere ſuſceperat, mox quidam è proceribus in Ægyptum miſerunt, qui Hieroboamum reuocarent. qui cùm ad eos in vrbem Sicima veniſſet, etiam Roboamus eodem peruenit. Placuit enim conuentu Iſraelitarum illic habito, regnum de populi conſenſu accipere. Accedunt itaque illum principes populi vnà cum Hieroboamo, rogantes vt aliquid de ſeruitio remitteret, & patre ſuo vellet eſſe mitior. Graui enim illius iugo ſe preſſos fuiſſe. Sic enim firmius ei fore imperium, ſi amari mallet quàm metui. Ille poſt triduum ad poſtulata reſponſurum ſe pollicitus, ſtatim in ſuſpicionem venit, quòd ſine mora votis eorum non annuiſſet.

VIII. 3. Reg. 12.

A οὕτως δὲ τῶν ἔργων προενόησεν, ὥς τε ὁ βασιλεὺς αὐτὸν ἀπεδέξατο, καὶ γέρας αὐτῷ στρατηγίαν ἐπὶ τῆς ἰωσήπου φυλῆς ἔδωκεν. ἀπερχομένῳ δὲ τῷ ἱεροβοάμῳ κατ' ἐκεῖνον τὸν καιρὸν ἐκ τῶν ἱεροσολύμων, συνήντησε προφήτης, ἐκ πόλεως μὲν σιλὼ, ἀχία δὲ ὄνομα. καὶ προσαγορεύσας αὐτὸν ἀπήγαγεν ἐκ τῆς ὁδοῦ μικρὸν ἀπονεύσας εἰς τὸ χωρίον, εἰς ὃ παρῆν μηδὲ εἷς ἄλλος, σχίσας δ' εἰς δώδεκα φάρση τὸ ἱμάτιον, ὅπερ ἦν αὐτὸς περιβεβλημένος, B ἐκέλευσε τὸν ἱεροβόαμον λαβεῖν τὰ δέκα· προειπὼν ὅτι ταῦτα ὁ θεὸς βούλεται, καὶ σχίσας τὴν σολομῶνος ἀρχὴν, τῷ παιδὶ μὲν τῷ τούτου διὰ τὴν πρὸς δαβίδην γενομένην ὁμολογίαν αὐτῷ, μίαν φυλὴν καὶ τὴν ἑξῆς αὐτῇ δίδωσι. σοὶ δὲ, τὰς δέκα, σολομῶνος εἰς αὐτὸν ἐξαμαρτάνοντος, καὶ ταῖς γυναιξὶ, καὶ τοῖς ἐκείνων θεοῖς αὐτὸν ἐκδεδωκότος. εἰδὼς οὖν τὴν αἰτίαν, δι' ἣν μετατίθησι τὴν αὐτοῦ γνώμην ἀπὸ C σολομῶνος ὁ θεὸς, δίκαιος ἴσο, καὶ φύλαττε τὰ νόμιμα, προκειμένου σοὶ τῆς εὐσεβείας καὶ τῆς πρὸς θεὸν τιμῆς ἄθλου μεγίστου τῶν ἁπάντων, γενήσεσθαι τηλικοῦτον, ἡλίκον οἶσθα δαβίδην γενόμενον. ἐπαρθεὶς οὖν τοῖς τοῦ προφήτου λόγοις ὁ ἱεροβόαμος, φύσει θερμὸς ὢν νεανίας καὶ μεγάλων ἐπιθυμητὴς πραγμάτων, οὐκ ἠρέμει. γενόμενος δὲ ἐν τῇ στρατηγίᾳ, καὶ μεμνημένος τῶν ὑπὸ ἀχία δεδηλωμένων, εὐθὺς ἀναπείθειν ἐπεχεί- D ρει τὸν λαὸν ἀφίστασθαι σολομῶνος, καὶ κινεῖν καὶ πράττειν εἰς αὐτὸν τὴν ἡγεμονίαν. μαθὼν δὲ τὴν διάνοιαν αὐτοῦ καὶ τὴν ἐπιβουλὴν ὁ σολομὼν ἐζήτει συλλαβὼν αὐτὸν ἀνελεῖν. φθάσας δὲ τοῦτο ἱεροβόαμος, πρὸς σούσακον φεύγει τὸν αἰγυπτίων βασιλέα, καὶ μέχρι τῆς σολομῶνος τελευτῆς ἐκεῖ μείνας, τό τε μηδὲν ὑπ' αὐτοῦ παθεῖν ἐκέρδησε καὶ τὸ βασιλείᾳ φυλαχθῆναι.

Κεφάλαιον γ'.

E *Ὡς τελευτήσαντος σολομῶνος, ὁ λαὸς ἀποστὰς τοῦ παιδὸς αὐτοῦ τοῦ ῥοβοάμου, τῶν δέκα φυλῶν ἱεροβόαμον ἀπέδειξε βασιλέα.*

Ἀποθνήσκει δὲ ὁ σολομὼν ἤδη γηραιὸς ὤν. βασιλεύσας μὲν ὀγδοήκοντα ἔτη, ζήσας δὲ ἐνενήκοντα τέσσαρα. θάπτεται δὲ ἐν ἱεροσολύμοις. πάντας ὑπερβάλλων εὐδαιμονίᾳ τε καὶ πλούτῳ καὶ F φρονήσει τοὺς βασιλεύσαντας, εἰ μὴ ὅσα γε πρὸς γῆρας ὑπὸ τῶν γυναικῶν ἀπατηθεὶς, παρηνόμησε. περὶ ὧν καὶ τῶν δι' αὐτὰ κακῶν συμπεσόντων ἑβραίοις, εἰς καιρὸν ἕτερον ἔδοξέ μοι διασαφῆσαι. μετὰ δὲ τὴν τοῦ σολομῶνος τελευτὴν, διαδεξαμένου τοῦ παιδὸς αὐτοῦ τὴν βασιλείαν ῥοβοάμου, ὃς ἐκ γυναικὸς ἀμμανίτιδος ὑπῆρχεν αὐτῷ γεγονὼς, νοόμας τοὔνομα, πέμψαντες εὐθὺς εἰς τὴν αἴγυπτον οἱ τῶν ὄχλων ἄρχον- G τες, ἐκάλουν τὸν ἱεροβόαμον. ἀφικομένου δὲ πρὸς αὐτοὺς εἰς σίκιμα πόλιν, καὶ ῥοβόαμος εἰς αὐτὴν παραγίνεται. ἐδέδοκτο γὰρ αὐτῷ ἐκεῖσε συνελθοῦσι τοῖς ἰσραηλίταις, ἀποδεῖξαι αὐτὸν βασιλέα. προσελθόντες οὖν οἵ τε ἄρχοντες αὐτῷ τοῦ λαοῦ, καὶ ἱεροβόαμος, παρεκάλουν λέγοντες ἀνεῖναί τι τῆς δουλείας αὐτοῖς, καὶ γενέσθαι χρηστότερον τοῦ πατρός. βαρὺν γὰρ ὑπ' ἐκείνῳ ζυγὸν αὐτοὺς ὑπενεγκεῖν. εὐνούστεροι δὲ ἔσεσθαι πρὸς αὐτὸν, καὶ ἀγαπήσειν τὴν δουλείαν διὰ τὴν ἐπιείκειαν, ἢ διὰ τὸν φόβον. ὁ δὲ μετὰ τρεῖς ἡμέρας εἰπὼν αὐτοῖς ἀποκρίνεσθαι περὶ ὧν ἀξιοῦσιν, ὕποπτος μὲν εὐθὺς γίνεται, μὴ παραχρῆμα ἐπινεύσας αὐτοῖς τὰ πρὸς ἡδονήν.

προ-

προέχειρον γὰρ ἠξίουν εἶναι τὸ χρηστὸν καὶ φιλάνθρωπον, καὶ τοῦτ᾽ ἐν νέῳ. ἐδόκει δ᾽ ὅμως καὶ τὸ βουλεύσασθαι τῷ μὴ παραυτίκα ἀπειπεῖν ἀγαθῆς ἐλπίδος ἔχεσθαι. συγκαλέσας δὲ τοὺς πατρῴους φίλους, ἐσκοπεῖτο μετ᾽ αὐτῶν, ποδαπὴν δεῖ ποιήσασθαι τὴν ἀπόκρισιν πρὸς τὸ πλῆθος. οἱ δ᾽ ἅπερ εἰκὸς τοὺς εὔνους καὶ φύσιν ὄχλων εἰδότας, παρῄνουν αὐτῷ φιλοφρόνως ὁμιλῆσαι τῷ λαῷ, καὶ δημοτικώτερον, ἢ κατὰ βασιλείας ὄγκον. χειρώσεσθαι γὰρ οὕτως εἰς εὔνοιαν αὐτὸν, φύσει τῶν ὑπηκόων ἀγαπώντων τὸ προσηνὲς καὶ παρὰ μικρὸν ἰσότιμον τῶν βασιλέων. ὁ δ᾽ ἀγαθὴν οὕτως καὶ συμφέρουσαν ἴσως πρὸς τὸ πᾶν, εἰ δὲ μὴ, πρός γε τὸν τότε καιρὸν, ὅτε δεῖ γενέσθαι βασιλέα, γνώμην ἀπεστράφη, τοῦ θεοῦ ποιήσαντος οἶμαι κατακριθῆναι τὸ συμφέρον ὑπ᾽ αὐτοῦ. καλέσας δὲ τὰ μειράκια τὰ συντεθραμμένα, καὶ τὴν τῶν πρεσβυτέρων αὐτοῖς συμβουλίαν εἰπὼν, τί δοκεῖ ποιεῖν αὐτοῖς ἐκέλευε λέγειν. τὰ δὲ, οὔτε γὰρ ἡ νεότης, οὔτε ὁ θεὸς ἠφίει νοεῖν τὰ κρείττω, παρῄνεσαν ἀποκρίνεσθαι τῷ λαῷ, τὸν βραχύτερον αὐτοῦ δάκτυλον τῆς τοῦ πατρὸς ὀσφύος εἶναι παχύτερον, καὶ εἰ σκληραγωγίας ἐπειράθησαν ἐκείνου, πολὺ μᾶλλον αὐτοῦ λήψεσθαι πεῖραν δυσκόλου, καὶ εἰ μάστιξιν αὐτοὺς ἐκεῖνος ἐνουθέτει, σκορπίοις τοῦτο ποιήσειν αὐτὸν προσδοκᾶν. τούτοις ἡσθεὶς ὁ βασιλεὺς, καὶ δόξας πρέπειν τῷ τῆς ἀρχῆς ἀξιώματι τὴν ἀπόκρισιν, ὡς συνῆλθεν ἀκουσόμενον τὸ πλῆθος τῇ τρίτῃ τῶν ἡμερῶν, μετεώρου τοῦ λαοῦ παντὸς ὄντος λέγοντος ἀκοῦσαί τι τοῦ βασιλέως ἐσπουδακότος, οἰομένου δέ τι καὶ φιλάνθρωπον, τὴν τῶν μειρακίων αὐτοῖς συμβουλίαν, παρεὶς τὴν τῶν φίλων, ἀπεκρίνετο. ταῦτα δ᾽ ἐπράττετο κατὰ τὴν τοῦ θεοῦ βούλησιν, ἵνα λάβῃ τέλος ἃ προεφήτευσεν ἀχίας. πληγέντες δὲ ὑπὸ τῶν λόγων, ὡς ὑπὸ σιδήρου καὶ ἀλγήσαντες, ὡς ἐπὶ πείρᾳ τοῖς εἰρημένοις ἠγανάκτησαν, καὶ μέγα πάντες ἐμβοήσαντες οὐκέτι οὐδὲν αὐτοῖς εἶναι συγγενὲς πρὸς δαβίδην καὶ τοὺς ἀπ᾽ αὐτοῦ μετ᾽ ἐκείνην ἔφασαν τὴν ἡμέραν. παραχωρεῖν δ᾽ αὐτῷ μόνον τὸν ναὸν, ὃν ὁ πατὴρ αὐτοῦ κατεσκεύασεν εἰπόντες, καταλείψειν ἠπείλησαν. οὕτως δ᾽ εἶχον πικρῶς καὶ τὴν ὀργὴν ἐτήρησαν, ὡς πέμψαντος αὐτοῦ τὸν ἐπὶ τῶν φόρων ἀδώραμον ἵνα συγγνόντας τοῖς εἰρημένοις, εἴ τι προπετὲς ὑπὸ νεότητος καὶ δύσκολον ἦν αὐτοῖς, ποιήσειε μαλακωτέρους, οὐχ ὑπέμειναν, ἀλλὰ βαλόντες αὐτὸν λίθοις, ἀπέκτειναν. τοῦτ᾽ ἰδὼν ῥοβόαμος, καὶ νομίσας αὐτὸν βεβλῆσθαι τοῖς λίθοις οἷς τὸν ὑπηρέτην ἀπέκτεινεν αὐτοῦ τὸ πλῆθος, δείσας, μὴ καὶ ἔργῳ πάθῃ τὸ δεινὸν, ἐπιβὰς εὐθὺς ἐπὶ ἅρματος, ἔφυγεν εἰς ἱεροσόλυμα. καὶ ἡ μὲν ἰούδα φυλὴ, καὶ ἡ βενιαμὶς, χειροτονοῦσιν αὐτὸν βασιλέα. τὸ δ᾽ ἄλλο πλῆθος, ἀπ᾽ ἐκείνης τῆς ἡμέρας τῶν δαβίδου παίδων ἀποστὰν, τὸν ἱεροβόαμον ἀπέδειξε τῶν πραγμάτων κύριον. ῥοβόαμος δὲ ὁ σολομῶνος παῖς, ἐκκλησίαν ποιήσας τῶν δύο φυλῶν, αἷς εἶχεν ὑπηκόους, οἷός τε ἦν λαβὼν ὀκτωκαίδεκα παρ᾽ αὐτῶν στρατοῦ μυριάδας ἐπιλέκτους, ἐξελθεῖν ἐπὶ τὸν ἱεροβόαμον καὶ τὸν λαὸν, ὅπως πολεμήσας, ἀναγκάσῃ δουλεύειν αὐτῷ. κωλυθεὶς δὲ ὑπὸ τοῦ θεοῦ διὰ τοῦ προφήτου ποιήσασθαι τὴν στρατείαν, οὐ γὰρ εἶναι δίκαιον τοὺς ὁμοφύλους πολεμεῖν, ὅπερ ἔλεγε, καὶ ταῦτα κατὰ τὴν τοῦ θεοῦ προαίρεσιν τῆς τοῦ πλήθους ἀποστάσεως γεγενημένης, οὐ κατεξῆλθε. διηγήσομαι δὲ πρῶτον ὅσα ἱεροβόαμος ὁ τῶν ἰσραηλιτῶν βασιλεὺς ἔπραξεν, εἶτα δὲ, τούτων ἐχόμενα τὰ ὑπὸ ῥοβοάμου τοῦ τῶν δύο φυλῶν βασιλέως γεγενημένα δηλώσομεν. φυλαχθείη γὰρ ἂν οὕτως ἄχρι παντὸς τῆς ἱστορίας τὸ εὔτακτον.

Decere enim eius ætatem putabant procliuem esse ad benemerendum. non nihil tamen spei suberat: quòd non statim essent repulsam passi. Interim ille conuocatis paternis amicis consultabat quale responsum populo dari oporteat. qui quum bene ipsi cuperent, & vulgi naturam probè callerent, suaserunt vt comiter populum alloqueretur, & posito aliquantisper fastu regio ad captandam multitudinis gratiam se accommodaret. hac enim arte captos facilè illum amaturos, quòd natura ita comparatum sit, vt subiecti delectentur regibus mansuetis, & de suo fastigio nonnihil se demittentibus. Ibi Deus sine dubio mentem ademit homini, cui tam vtilis in omne tempus sententia, certè ad præsens ambienti regnum necessaria, non probabatur: sed accitis æqualibus suis iuuenibus, & exposito seniorum consilio, quid ipsis videretur, proferre iussit. Illi, quia nec per ætatem poterant, nec Deus sinebat, vtiliora cernere, autores ei fiunt sic ad populum respondendi: minimum digitum ipsius crassiorem esse quàm patris lumbi fuerint: & si ab illo duriter habitos se putarent, duriùs etiam in posterum tractandos esse: & si ab illo scuticis cæsi fuissent, expectandum vt ab ipso scorpionibus flagellarentur. His delectatus rex, & ratus decere maiestatem principatus tale responsum, postquam tertia die populus ad audiendum conuenit, omnibus expectatione suspensis, & existimantibus benignum aliquid sibi proponendum, omisso amicorum consilio, ex iuuenum sententia respondit, non sine Dei voluntate, vt Achiæ vaticinium suus euentus sequeretur. Icti enim velut ferro tam duris verbis, non secus ac si à minis ad rem iam esset peruentum, per indignationem vno ore exclamant, nihil sibi futurum ampliùs cum Dauidis progenie, haberet ipse templum quod pater extruxisset, manifestè defectionem præ se ferentes. Adeoque pertinax ira fuit, vt Adoramum quæstorem regium, missum ad excusandum iuuenilis linguæ petulantiam, placandósq; concitati vulgi animos, ne auditum quidem lapidibus obruerint. Quo facto Roboamus ratus, id quod erat, se in famulo saxis impetitum, veritúsque ne conceptum semel odium in ipsius caput effunderetur, trepidè conscenso curru quantum potuit Hierosolyma properauit. Et Iudæ quidem ac Beniamis tribus communibus suffragiis regem eum eligunt: reliqua verò multitudo, ex illo die alienata à progenie Dauidis, Hieroboamo imperium detulit. id Roboamus ægrè ferens, conuentu duarum tribuum sibi subditarũ indicto, & delectu CLXXX. millium habito, conaturus erat reliquas decem vi ad officium retrahere, nisi Deus per prophetam intercessisset, admonens nefas esse ciuile bellũ mouere, præsertim cùm Deo volente populus ab eo defecisset. Nunc prius Hieroboami Israelitarum regis gesta, ac tum demum res Roboami duarum tribuum regis dicemus, seriei narrationis ita postulante.

Ergo Hieroboamus regia Sicimis constructa, inibi domicilium optauit: nec eo contentus, apud Phanuelam vrbem aliud ædificauit. Nec multo pòst instante Scenopegia, cogitans secum, quòd si permitteret populo Hierosolymitanam profectionem, & festi illic celebrandi potestatem faceret, populus captus religione templi & ceremoniis, facile mutata voluntate, séque relicto ad priorem regem accedere posset, idque non dominationi suæ tantùm, verumetiam vitæ periculosum foret, statuit hoc modo rebus suis consulere. Duas vitulas ex auro fecit, & constructis totidem delubris, altero apud Bethela, altero apud Danam, quod oppidum situm est ad minoris Iordanis fontem, effigies illas vtrobique consecrauit: & conuentu indicto decem tribuum quibus ipse præerat, pro concione in hunc modum eas est allocutus: Viri populares, notũ vobis existimo, quòd nullus locus Deo est vacuus, & quòd is nullo certo loco includitur: sed vbique vota exaudit, vbique cultores suos respicit. Quare non placet mihi, hoc tempore vos Hierosolyma vrbem infensam longo itinere proficisci religionis ergò. Homo illud templum statuit, quemadmodum & ego duas aureas vitulas consecraui, alteram in Bethelis, alteram in Dana, vt pro locorum opportunitate ex propinquioribus oppidis ad eas confluẽtes, illic Deum ritè adoretis. Nec deerunt sacerdotes ac Leuitæ ex vobis per me designati, ne quid Leuiticam tribum & Aaronis progeniem desideretis. Ergo quicunq; ex vobis sacerdotium ambit, vitulum & arietem Deo mactet, quo ritu ferunt etiam primum sacerdotem Aaronem creatum esse. His verbis populũ decepit, autor ei factus patriæ religionis deserẽdæ: quæ causa fuit Hebræis omnium calamitatum, vt bello ab exteris gentibus deuicti, postremò in captiuitatẽ abducerẽtur, sicut suo loco dicetur. Porrò appetente iam septimi mensis festiuitate, volens & ipse apud Bethela eam celebrare, sicut à duabus tribubus Hierosolymis celebrabatur, ante vitulam altare posuit: móxque assumpta pontificis persona cum suis sacerdotibus ad illud ascendit. Cúmq; iam holocautomata in conspectu totius populi pararet incendere, Deo mittẽte superuenit à Hierosolymis propheta, nomine Iadon. Is in mediam multitudinem progressus, audiente rege ad altare sermonem vertit. Altare, altare, hæc dicit Dominus. Exorietur quidam de genere Dauidis, Iosias nomine, is mactabit super te falsos sacerdotes illius temporis, & impostorum ad impietatem populum seducentium ossa super te incendet. Et vt nemini dubium sit prædictionem hanc non esse vanam, prodigio confirmabitur. Rumpetur altare hoc, & adipes victimarum in eo congesti in humum effundentur. His prophetæ verbis irritatus rex, intendit in eum manum, iubens hominem comprehendi: móxque sideratum brachium diriguit, vt reducere manum non posset, torpente membro haud secus quàm si esset exanime. Altare quoque diruptum impositas victimas effudit, ita vt vates Dei prædixerat.

3. Reg. 13.

A ὁ τοίνυν ἱεροβόαμος, οἰκοδομήσας βασίλειον ἐν σικίμῃ πόλει, ἐν ταύτῃ τὴν δίαιταν εἶχε. κατεσκεύασε δὲ καὶ ἐν φανουήλᾳ πόλει λεγομένῃ. μετ' οὐ πολὺ δὲ τῆς σκηνοπηγίας ἑορτῆς ἐνίστασθαι μελλούσης, λογισάμενος ὡς ἐὰν ἐπιτρέψῃ τῷ πλήθει προσκυνῆσαι τῷ θεῷ εἰς ἱεροσόλυμα πορευθέντι, καὶ ἐκεῖ τὴν ἑορτὴν διαγαγεῖν, μετανοῆσαν ἴσως, καὶ δελεασθὲν ὑπὸ τοῦ ναοῦ καὶ τῆς θρησκείας τῆς ἐν αὐτῷ τοῦ θεοῦ, καταλείψει μὲν αὐτὸν, προσχωρήσει δὲ τῷ πρώτῳ βασιλεῖ, καὶ κινδυνεύσει τούτου γενομένου τὴν ψυχὴν ἀποβαλεῖν, ἐπιτεχνᾶταί τι τοιοῦτον. δύο ποιήσας δαμάλεις χρυσᾶς, καὶ οἰκοδομήσας ναΐσκους τοσούτους, ἕνα μὲν ἐν βηθήλῃ πόλει, τὸν ἕτερον δὲ ἐν δάνῃ, ἣ δέ ἐστι πρὸς ταῖς πηγαῖς τοῦ μικροῦ ἰορδάνου, τίθησι τὰς δαμάλεις ἐν ἑκατέρῳ τῶν ἐν ταῖς προειρημέναις πόλεσι ναΐσκῳ. καὶ συγκαλέσας τὰς δέκα φυλὰς ὧν αὐτὸς ἦρχεν, ἐδημηγόρησε, τούτους ποιησάμενος τοὺς λόγους, ἄνδρες ὁμόφυλοι, γινώσκειν ὑμᾶς νομίζω τοῦτο, ὅτι πᾶς τόπος ἔχει τὸν θεὸν, καὶ οὐκ ἔστιν ἓν ἀποδεδειγμένον χωρίον ἐν ᾧ πάρεστιν. ἀλλὰ πανταχοῦ τε ἀκούει καὶ τοὺς θρησκεύοντας ἐφορᾷ. ὅθεν οὔ μοι δοκεῖ νῦν ἐπείγειν ὑμᾶς εἰς ἱεροσόλυμα πορευθέντας εἰς τὴν τῶν ἐχθρῶν πόλιν μακρὰν οὕτως ὁδὸν προσκυνεῖν. ἄνθρωπος γὰρ κατεσκεύακε τὸν ναόν, πεποίηκα δὲ κἀγὼ δύο χρυσᾶς δαμάλεις ἐπωνύμους τῷ θεῷ, καὶ τὴν μὲν ἐν βηθήλῃ πόλει καθιέρωσα, τὴν δὲ ἐν δάνῃ, ὅπως ὑμῶν οἱ τούτων ἔγγιστα τῶν πόλεων κατῳκημένοι προσκυνήσωσιν εἰς αὐτὰς ἀπερχόμενοι τὸν θεόν. ἀποδείξω δέ τινας ὑμῖν καὶ ἱερεῖς ἐξ ὑμῶν καὶ λευίτας, ἵνα μὴ χρείαν ἔχητε τῆς λευίτιδος φυλῆς καὶ τῶν ἀαρῶνος υἱῶν. ἀλλ' ὁ βουλόμενος ὑμῶν ἱερεὺς εἶναι, προσενεγκάτω μόσχον τῷ θεῷ καὶ κριὸν, ἃ καὶ τὸν πρῶτον ἱερέα φασὶν ἀαρῶνα πεποιηκέναι. ταῦτ' εἰπὼν, ἐξηπάτησε τὸν λαὸν, καὶ τῆς πατρῴου θρησκείας ἀποστάντας, ἐποίησε παραβῆναι τοὺς νόμους. ἀρχὴ κακῶν ἐγένετο τοῦτο τοῖς ἑβραίοις, καὶ τοῦ πολέμῳ κρατηθέντας ὑπὸ τῶν ἀλλοφύλων αἰχμαλωσίᾳ περιπεσεῖν. ἀλλὰ ταῦτα μὲν κατὰ χώραν δηλώσομεν. ἐνστάσης δὲ τῆς ἑορτῆς ἑβδόμῳ μηνὶ, βουλόμενος καὶ αὐτὸς ἐν βηθήλῃ ταύτην ἀγαγεῖν, ὥσπερ ἑόρταζον καὶ αἱ δύο φυλαὶ ἐν ἱεροσολύμοις, οἰκοδομεῖ μὲν θυσιαστήριον πρὸ τῆς δαμάλεως. γενόμενος δ' αὐτὸς ὁ ἀρχιερεὺς ἐπὶ τὸν βωμὸν ἀναβαίνει σὺν τοῖς ἰδίοις ἱερεῦσι. μέλλοντος δ' ἐπιφέρειν τὰς θυσίας, καὶ τὰς ὁλοκαυτώσεις ἐν ὄψει τοῦ λαοῦ παντὸς, παραγίνεται πρὸς αὐτὸν ἐξ ἱεροσολύμων προφήτης, ἰάδων ὄνομα, τοῦ θεοῦ πέμψαντος. ὃς σταθεὶς ἐν μέσῳ τῷ πλήθει τοῦ βασιλέως ἀκούοντος, εἶπε τάδε, πρὸς τὸ θυσιαστήριον ποιούμενος τοὺς λόγους, ὁ θεὸς ἔσεσθαί τινα προλέγει ἐκ τοῦ δαβίδου γένους ἰωσίαν ὄνομα, ὃς ἐπὶ σοῦ θύσει τοὺς ψευδοϊερεῖς τοὺς κατ' ἐκεῖνον τὸν καιρὸν γενησομένους, καὶ τὰ ὀστᾶ τῶν λαοπλανῶν τούτων καὶ ἀπατεώνων, καὶ ἀσεβῶν, ἐπὶ σοῦ καύσει. ἵνα μέντοιγε πιστεύσωσι οὗτοι τοῦθ' οὕτως ἕξειν, σημεῖον αὐτοῖς προερῶ γενησόμενον. ῥαγήσεται τὸ θυσιαστήριον παραχρῆμα, καὶ πᾶσα ἡ ἐπ' αὐτοῦ πιμελὴ τῶν ἱερείων, ἐπὶ γῆν χυθήσεται. ταῦτ' εἰπόντος τοῦ προφήτου, παροξυνθεὶς ὁ ἱεροβόαμος, ἐξέτεινε τὴν χεῖρα κελεύων συλλαβεῖν αὐτόν. ἐκτεταμένη δ' ἡ χεὶρ, εὐθὺς παρείθη, καὶ οὐκ ἔτι ἴσχυεν αὐτὴν πρὸς ἑαυτὸν ἀναγαγεῖν. ἀλλὰ νεναρκηκυῖαν καὶ νεκρὰν εἶχεν ἀπηρτημένην. ἐρράγη δὲ καὶ τὸ θυσιαστήριον, καὶ κατηνέχθη πάντα ἀπ' αὐτοῦ, καθὼς προεῖπεν ὁ προφήτης.

μαθὼν

μαθὼν δὲ ἀληθῆ τὸν ἄνθρωπον καὶ θείαν ἔχοντα πρόγνωσιν, παρεκάλεσεν αὐτὸν δεηθῆναι τοῦ θεοῦ ἀναζωπυρῆσαι τὴν δεξιὰν αὐτοῦ. καὶ ὁ μὲν ἱκέτευσε τὸν θεὸν τοῦτ' αὐτῷ παρασχεῖν. ὁ δὲ τῆς χειρὸς τὸ κατὰ φύσιν ἀπολαβούσης, χαίρων ἐπ' αὐτῇ τὸν προφήτην παρεκάλει δειπνῆσαι παρ' αὐτῷ. Ἰάδων δὲ ἔφη, οὐχ ὑπομένειν εἰσελθεῖν πρὸς αὐτὸν, οὐδὲ γεύσασθαι ἄρτου καὶ ὕδατος ἐν ταύτῃ τῇ πόλει. τοῦτο γὰρ αὐτῷ τὸν θεὸν ἀπειρηκέναι, καὶ τὴν ὁδὸν ἣν ἦλθεν ὅπως μὴ δι' αὐτῆς ποιήσηται τὴν ἐπιστροφὴν, ἀλλὰ δι' ἄλλης ἔφασκε. τοῦτον μὲν οὖν ἐθαύμαζεν ὁ βασιλεὺς τῆς ἐγκρατείας. αὐτὸς δ' ἦν ἐν φόβῳ, μεταβολὴν αὐτοῦ τῶν πραγμάτων ἐκ τῶν προειρημένων, οὐκ ἀγαθὴν ὑπονοῶν. ἦν δέ τις ἐν τῇ πόλει πονηρὸς ψευδοπροφήτης, ὃν εἶχεν ἐν τιμῇ Ἱεροβόαμος, ἀπατώμενος ὑπ' αὐτοῦ τὰ πρὸς ἡδονὴν λέγοντος. οὗτος τότε μὲν κλινήρης ἦν διὰ τὴν ἀπὸ τοῦ γήρως ἀσθένειαν. τῶν δὲ παίδων αὐτῷ δηλωσάντων τὰ περὶ τοῦ παρόντος ἐξ Ἱεροσολύμων προφήτου, καὶ τῶν σημείων τῶν γενομένων, καὶ ὡς παρεθεῖσαν αὐτῷ τὴν δεξιὰν Ἱεροβόαμος, εὐξαμένου πάλιν ἐκείνου ζῶσαν ἀπολάβοι. δείσας μὴ παρευδοκιμήσειεν αὐτὸν ὁ ξένος παρὰ τῷ βασιλεῖ, καὶ πλείονος ἀπολάβοι τιμῆς, προσέταξε τοῖς παισὶν εὐθὺς ἐπισάξαι τὸν ὄνον, καὶ ἕτοιμον πρὸς ἔξοδον αὐτῷ παρασκευάσαι. τῶν δὲ σπευσάντων ὃ προσετάγησαν, ἐπιβὰς ἐδίωξε τὸν προφήτην. καὶ καταλαβὼν ἀναπαυόμενον ὑπὸ δένδρῳ βαθεῖ καὶ σκιὰν ἔχοντι δρυὸς εὐμεγέθους, ἠσπάσατο πρῶτον. εἶτα ἐμέμφετο, μὴ παρ' αὐτὸν εἰσελθόντα καὶ ξενίων μεταλαβόντα. τοῦ δὲ φήσαντος κεκωλῦσθαι πρὸς τοῦ θεοῦ γεύσασθαι παρά τινι τῶν ἐν ἐκείνῃ τῇ πόλει, ἀλλ' οὐχὶ παρ' ἐμοὶ πάντως ἀπηγόρευκέ σοι τὸ θεῖον παραθέσθαι τράπεζαν ἔφη. προφήτης γάρ εἰμι κἀγὼ, καὶ τῆς αὐτῆς σοι κοινωνὸς πρὸς αὐτὸν θρησκείας. καὶ πάρειμι νῦν ὑπ' αὐτοῦ πεμφθεὶς ὅπως ἀγάγω σε πρὸς ἐμαυτὸν ἑστιασόμενον. ὁ δὲ, ψευσαμένῳ πεισθεὶς, ἀνέστρεψεν. ἀριστούντων δ' ἔτι καὶ φιλοφρονουμένων, ὁ θεὸς ἐπιφαίνεται τῷ Ἰάδωνι. καὶ παραβάντα τὰς ἐντολὰς αὐτοῦ, τιμωρίαν ὑφέξειν ἔλεγε. καὶ ποδαπὴν, ἐδήλου. λέοντα γὰρ αὐτῷ κατὰ τὴν ὁδὸν ἀπερχομένῳ, συμβαλεῖν ἔφρασεν, ἀφ' οὗ διαφθαρήσεσθαι, καὶ τῆς ἐν τοῖς πατρῴοις μνήμασι ταφῆς ἀμοιρήσειν. ταῦτα δ' ἐγίνετο οἶμαι κατὰ τὴν τοῦ θεοῦ βούλησιν, ὅπως μὴ προσέχοι τοῖς τοῦ Ἰάδωνος λόγοις Ἱεροβόαμος ἐληλεγμένου ψεῦδος. πορευομένῳ τοίνυν τῷ Ἰάδωνι πάλιν εἰς Ἱεροσόλυμα, συμβάλλει λέων. καὶ κατασπάσας αὐτὸν ἀπὸ τοῦ κτήνους, ἀπέκτεινε. καὶ τὸν μὲν ὄνον οὐδὲν ὅλως ἔβλαψε. παρακαθεζόμενος δὲ, ἐφύλασσε κἀκεῖνον, καὶ τὸ τοῦ προφήτου σῶμα, μέχρις οὗ τινὲς τῶν ὁδοιπόρων ἰδόντες ἀπήγγειλαν ἐλθόντες εἰς τὴν πόλιν τῷ ψευδοπροφήτῃ. ὁ δὲ, τοῖς υἱοῖς πέμψας ἐκόμισεν εἰς τὴν πόλιν τὸ σῶμα, καὶ πολυτελοῦς μὲν κηδείας ἠξίωσεν, ἐντειλάμενος τοῖς παισὶ καὶ αὐτὸν ἀποθανόντα, σὺν ἐκείνῳ θάψαι. λέγων, ἀληθῆ μὲν εἶναι πάνθ' ὅσα προεφήτευσε κατὰ τῆς πόλεως ἐκείνης, καὶ τοῦ θυσιαστηρίου, καὶ τῶν ἱερέων, καὶ τῶν ψευδοπροφητῶν. ὑβρισθήσεσθαι δ' αὐτὸς μετὰ τὴν τελευτὴν οὐδὲν σὺν ἐκείνῳ ταφεὶς, τῶν ὀστῶν οὐ γνωσθησομένων. κηδεύσας οὖν τὸν προφήτην, καὶ ταῦτα ἐντειλάμενος τοῖς υἱοῖς, πονηρὸς ὢν καὶ ἀσεβὴς πρόσεισι τῷ Ἱεροβοάμῳ. καὶ τί δή ποτ' ἐταράχθης εἶπεν ὑπὸ τῶν τοῦ ἀνοήτου λόγων; ὡς δὲ καὶ τὰ περὶ τὸ θυσιαστήριον αὐτῷ καὶ τὴν αὐτοῦ χεῖρα, διηγήσατο ὁ βασιλεὺς, θεῖον ἀληθῶς καὶ προφήτην ἄριστον ἀποκαλῶν, ἤρξατο ταύτην αὐτοῦ τὴν δόξαν ἀναλύειν κακουργῶν, καὶ πιθανοῖς περὶ τῶν γεγενημένων χρώμενος λόγοις βλάπτειν αὐτῶν τὴν ἀλήθειαν.

Ibi rex videns hominem veridicum esse ac diuinum, rogauit eum, vt Deum exoraret, quò affectæ dextræ vigorem pristinum redderet. quod cùm ita factum esset, lętus recepta sanitate, rogabat prophetam vt cum eo prandere dignaretur. excusauit Iadon negans se in ea vrbe panem aut vinum sumpturum. id enim sibi cõtra interdictum Dei non licere. vetitum etiam ne per eandem viã reuertatur qua venerat. Rex autem miratus viri continentiam, eo magis de se cœpit esse solicitus, ex his quæ viderat & audierat, parum felicem rerum suarum exitum augurans.

IX

Erat in ea vrbe malus quidam pseudopropheta, quem Hieroboamus in honore habebat seductus ab illo omnia ad gratiam loquente. hic tum decumbebat, quòd esset senio languidus, cúmque audisset à filiis de aduẽtu prophetæ à Hierosolymis, & prodigiis per eum patratis, & quòd Hieroboamus emortuam dextram ad illius preces sanam recepisset: veritus ne rex de hospite melius quàm de se opinaretur, mandauit filiis vt euestigio asinum stratum ad iter sibi expedirent. quibus impigrè iussa executis conscenso iumento per vestigia prophetę properabat. quem assecutus interquiescentem sub quercu patula & vmbrosa, primò salutauit: deinde expostulauit cum eo quòd non ad se diuertisset, hospitalitate fruiturus. quo referẽte vetitum se à Deo, ne apud quenquam in ea vrbe cibum sumeret. Certè apud me, inquit, licuit sumere. nam ego quoque propheta sum eiusdẽ cuius tu cultor numinis. & nunc ipsius iussu venio, te ad nos adducturus, & prandio hospitali excepturus. Tum vates mentienti credens reuertitur. Adhuc autem illis prandentibus, & familiari sermone se oblectantibus, Deus apparuit Iadoni, pœnam inobedientiæ, pœnæq. modum denuncians. Fore enim vt in itinere à leone discerpatur, nec in paternũ monumentũ inferatur. Hæc autem Deo volente contigisse opinor, quo minus apud Hieroboamum Iadonis verba fidẽ inuenirent, de mendacio suspecti. Nam redeunti Hierosolymam leo factus obuiã detractum de iumento necauit, nihil lęso asino imò & illum & prophetę cadauer seruabat accubans. donec viatores quidam rẽ visam pseudoprophetæ renunciauerunt. Tum ille filiis in hoc missis corpus eius in vrbem reportauit, inibiq. magnificè sepeliit, monitis filiis vt se quoq. post mortẽ in idẽ monumẽtũ inferrent. Vera.n. esse quęcũq. ille præcecinisset, de vrbe illa & altari, & sacerdotibus ac pseudoprophetis. ad se autem nullam post mortem iniuriam peruenturam, propter communem cum illo sepulturam confuso ossium discrimine. Post iusta funebria prophetę reddita, & iniuncta filiis mandata, cùm esset vir malus & impius, Hieroboamum adit: & quid ita, inquit, istius fatui turbatus es sermonibus? Illo verò de altari & sua ipsius manu referente, ac verè hominem Dei vatémque optimum vocitante, cœpit hanc eius opinionem malitiosè labefactare, & probabilibus rationibus rei veritatem offuscare.

A Aiebat enim præ lassitudine manum eius obtorpuisse, dum altari infert victimas, ac deinde post quietem pristinum vigorem recepisse. Altare quoque recẽtis etiam tum structuræ, quòd tot ac tantarum victimarum molem non ferret, disruptum concidisse. Postremò vatis mortem indicat, à leone essenecatum: adeò nihil diuinum nec in vita nec in verbis eius fuisse. His dictis regi persuasit, & mentem eius à Deo & iustis ac piis operibus in totum auersam in extremam impietatem præcipitauit. B In tantum enim posthac contra omne ius ac fas debacchatus est, vt nihil aliud quæreret, quàm quomodo in dies magis ac magis semetipse nouis sceleribus superaret.

X. Sed hoc omisso de Solomonis filio Roboamo iam dicendum. Is duarum tribuum regno potitus, vrbes munitas & magnas cõdidit, quarum nomina hæc: Bethleem, Ethame, Thecos, Bethsur, Socho, Odolam, Ipa, Maresa, Zipha, Adorem, Lachis, Azeca, Saræm, Elom, Hebron, C omnes in tribu Iudæ sitæ. Alias deinde æquè magnas in Beniamitica sorte muniuit, singulisque sua præsidia & præfectos imposuit, frumẽto, vino, oleo, cæterisque commeatibus abundè instructis. Scutorum etiam & lancearum tantum numerum fabricari curauit, quantus multis millibus sufficeret. Ad hunc Hierosolymis degentem è tota Israelitarum ditione confluxerunt sacerdotes & Leuitæ, quotquot è reliqua plebe erant boni ac iusti patrias suas re- D linquebant, vt Hierosolymis Deum colere liceret, offensi Hieroboami tyrannide, qui eos ad suarum vitularum adorationem vi adigere volebat. quo factum est vt Roboami regnum integro triennio talibus accessionibus cresceret. Qui cùm ex priore matrimonio cognatæ cuiusdam mulieris tres liberos suscepisset, superduxit postea cognatam aliam, Macham è Thamare Abesalomi filia primogenitam, ex qua Abiæ pater factus est. & quamuis etiam ex aliis vxo- E ribus liberos haberet, prę omnibus tamẽ amauit Macham. erant enim ei legitimæ vxores octodecim, concubinæ verò triginta: & ex his viginti octo filij, filiæ verò sexaginta. Abiam verò Machæ filium successorem sibi designauit, eiusque fidei thesauros suos & munitissimas quasque vrbes credidit. Sed vt plerunque solẽt mortales fortuna blandiẽte corrumpi. Roboamo quoque idem accidit. Videns enim sui regni tanta incrementa, ad iniustas & impias a- F ctiones deflexit, factus contemptor veræ religionis, ita vt etiam populum in imitationem sui pertraheret: quandoquidem ea est rerum humanarum natura, vt cùm principum ac magistratuum moribus etiam subditi deprauẽtur, quorum modestia ceu norma corrigi debebãt, & pro virtutibus vitia eorum sequantur: alioquin nisi eadem quæ reges faciant, improbare facta illorum videntur: sicut sub Roboamo cõ- G tigit, populo leges ac pietatem egregiè cõtemnente, ne iustitiæ studiis regem suum offenderet.

ἐπεχείρει γὰρ πείθειν αὐτὸν ὡς ὑπὸ κόπου μὲν ἡ χεὶρ αὐτοῦ ναρκήσειε βαστάζουσα τὰς θυσίας. εἶτ' ἀνεθεῖσα πάλιν, εἰς τὴν αὐτὴν ἐπανέλθοι φύσιν. τὸ δὲ θυσιαστήριον ὂν καινὸν καὶ δεξάμενον θυσίας πολλὰς καὶ μεγάλας, ῥαγῆναι καὶ πεσεῖν διὰ βάρος τῶν ἐπενηνεγμένων. ἐδήλου δ' αὐτῷ καὶ τὸν θάνατον τοῦ τὰ σημεῖα ταῦτα προειρηκότος, ὡς ὑπὸ λέοντος ἀπόλοιτο. οὕτως οὐδὲν οὔτ' εἶχεν, οὔτ' ἐφθέγξατο προφήτου. ταῦτ' εἰπὼν, πείθει τὸν βασιλέα, καὶ τὴν διάνοιαν αὐτοῦ τελέως ἀποστρέψας ἀπὸ τοῦ θεοῦ καὶ τῶν δικαίων καὶ θείων ἔργων ἐπὶ τὰς ἀσεβεῖς πράξεις παρώρμησεν. οὕτως δ' ἐξύβρισεν εἰς τὸ θεῖον καὶ παρηνόμησεν, ὡς οὐδὲν ἄλλο καθ' ἡμέραν ζητεῖν, ἤ τι καινὸν καὶ μιαρώτερον τῶν ἤδη τετολμημένων ἐργάσηται. καὶ τὰ μὲν περὶ ἱεροβοάμου, ἐπὶ τοῦ παρόντος ἡμῖν δεδηλώσθω. ὁ δὲ σολομῶνος υἱὸς ῥοβόαμος, ὁ τῶν δύο φυλῶν βασιλεὺς ὡς προειρήκαμεν, ᾠκοδόμησε πόλεις ὀχυράς τε καὶ μεγάλας, βηθλεὲμ, καὶ ἠταμὲ, καὶ θεκωὲς, καὶ βηθσοὺρ, καὶ σωχὼ, καὶ ὀδολὰμ, καὶ εἰπὰν, καὶ μαρησὰν, καὶ ζιφὰ, καὶ ἀδωραὶμ, καὶ λαχεὶς, καὶ ζηκὰ, καὶ σαραὶμ, καὶ ἠλὼμ, καὶ χεβρῶνα, ταύτας μὲν ἐν τῇ ἰούδα κληρουχίᾳ πρώτας ᾠκοδόμησε. κατεσκεύασε δὲ καὶ ἄλλας μεγάλας ἐν τῇ βενιαμίδι κληρουχίᾳ. καὶ τειχίσας, φρουράς τε κατέστησεν ἐν ἁπάσαις καὶ ἡγεμόνας, σῖτόν τε πολὺν καὶ οἶνον καὶ ἔλαιον, τά τε ἄλλα πρὸς διατροφὴν ἐν ἑκάστῃ τῶν πόλεων δαψιλῶς ἀπέθετο, πρὸς δὲ τούτοις θυραιοὺς καὶ σειρομάστας εἰς πολλὰς μυριάδας. συνῆλθον δὲ οἱ παρὰ πᾶσι τοῖς ἰσραηλίταις ἱερεῖς πρὸς αὐτὸν εἰς ἱεροσόλυμα καὶ λευῖται, καὶ εἴ τινες ἄλλοι τοῦ πλήθους ἦσαν ἀγαθοὶ καὶ δίκαιοι, καταλείποντες τὰς αὐτῶν πόλεις ἵνα θρησκεύσωσιν ἐν ἱεροσολύμοις τὸν θεόν, οὐ γὰρ ἡδέως εἶχον προσκυνεῖν ἀναγκαζόμενοι τὰς δαμάλεις ἃς ἱεροβόαμος κατεσκεύασε. καὶ ηὔξησαν τὴν ῥοβοάμου βασιλείαν ἐπ' ἔτη τρία. γήμας δὲ συγγενῆ τινα καὶ τρεῖς ποιησάμενος ἐξ αὐτῆς παῖδας, ἠγάγετο ὕστερον καὶ τὴν ἐκ τῆς ἀψαλώμου θυγατρὸς θαμάρης, μαχάνην ὄνομα καὶ αὐτὴν οὖσαν συγγενῆ. καὶ παῖς ἄρρην ἐξ αὐτῆς αὐτῷ γίνεται, ὃν ἀβίαν προσηγόρευσε. τέκνα δὲ εἶχεν καὶ ἐξ ἄλλων γυναικῶν, πλείονα. πασῶν δὲ μᾶλλον ἔστερξε τὴν μαχάνην. εἶχε δὲ τὰς μὲν νόμῳ συνοικούσας αὐτῷ γυναῖκας, ὀκτωκαίδεκα. παλλακὰς δὲ τριάκοντα. καὶ υἱοὶ μὲν αὐτῷ γεγόνεισαν, ὀκτὼ καὶ εἴκοσι. θυγατέρες δὲ ἑξήκοντα. διάδοχον δ' ἀπέδειξε βασιλείας, τὸν ἐκ τῆς μαχάνης ἀβίαν. καὶ τοὺς θησαυροὺς αὐτῷ καὶ τὰς ὀχυρωτάτας πόλεις ἐπίστευσεν. αἴτιον δ' οἶμαι πολλάκις γίνεται κακῶν καὶ παρανομίας τοῖς ἀνθρώποις τὸ τῶν πραγμάτων μέγεθος, καὶ ἡ πρὸς τὸ βέλτιον αὐτῶν τροπή. τὴν γὰρ βασιλείαν αὐξανομένην οὕτω βλέπων ῥοβόαμος, εἰς ἀδίκους καὶ ἀσεβεῖς ἐξετράπη πράξεις, καὶ τῆς τοῦ θεοῦ θρησκείας καταπεφρόνηκεν, ὡς καὶ τὸν ὑπ' αὐτῷ λαὸν μιμητὴν γενέσθαι τῶν ἀνομημάτων. συνδιαφθείρεται γὰρ τὰ τῶν ἀρχομένων ἤθη, τοῖς ἡγεμόνων τρόποις. καὶ ὡς ἔλεγχον τῆς ἐκείνων ἀσελγείας τὴν αὐτῶν σωφροσύνην παραπέμποντες, ὡς ἀρετῇ ταῖς κακίαις αὐτῶν ἕπονται. οὐ γὰρ ἔνεστιν ἀποδέχεσθαι δοκεῖν τὰ τῶν βασιλέων ἔργα, μὴ ταῦτα πράττοντας. τοῦτο τοίνυν συνέβαινε καὶ τοῖς ὑπὸ ῥοβοάμῳ τεταγμένοις, ἀσεβοῦντος αὐτοῦ καὶ παρανομοῦντος, σπουδάζειν μὴ προσκρούσωσι τῷ βασιλεῖ, θέλοντες εἶναι δίκαιοι.

Κεφα-

Κεφάλαιον δ'.

Ὡς Σούσακος ὁ Αἰγυπτίων βασιλεὺς, στρατευσάμενος ἐπὶ τὰ Ἱεροσόλυμα, καὶ λαβὼν τὴν πόλιν τὸν πλοῦτον αὐτῆς εἰς Αἴγυπτον μετήνεγκεν.

Τιμωρεῖται δὲ τῆς εἰς αὐτὸν ὕβρεως ὁ θεὸς ἐπιπέμπει τὸν τῶν Αἰγυπτίων βασιλέα Σούσακον. περὶ οὗ πλανηθεὶς Ἡρόδοτος τὰς πράξεις αὐτοῦ Σεσώστρει προσάπτει. οὗτος γὰρ ὁ Σούσακος, πέμπτῳ ἔτει τῆς Ῥοβοάμου βασιλείας, ἐπιστρατεύεται μετὰ πολλῶν αὐτῷ μυριάδων. ἅρματα μὲν γὰρ αὐτῷ χίλια καὶ διακόσια τὸν ἀριθμὸν ἐξηκολούθει. ἱππέων δὲ μυριάδες ἕξ. πεζῶν δὲ μυριάδες τεσσαράκοντα. τούτων τοὺς πλείστους Λίβυας ἐπήγετο καὶ Αἰθίοπας. ἐμβαλὼν οὖν εἰς τὴν χώραν τῶν Ἑβραίων, καταλαμβάνεται τὰς ὀχυρωτάτας τῆς Ῥοβοάμου βασιλείας ἀμαχητί. καὶ ταύτας ἀσφαλισάμενος, ἔσχατον ἐπῆλθε τοῖς Ἱεροσολύμοις. ἐγκεκλεισμένου δὲ τοῦ Ῥοβοάμου καὶ τοῦ πλήθους ἐν αὐτοῖς διὰ τὴν Σουσάκου στρατιὰν, καὶ τὸν θεὸν ἱκετευόντων, δοῦναι νίκην καὶ σωτηρίαν, ἀλλ' οὐκ ἔπεισαν τὸν θεὸν ἀχθῆναι μετ' αὐτῶν. ὁ δὲ προφήτης Σαμαίας ἔφησεν αὐτοῖς τὸν θεὸν ἀπειλεῖν ἐγκαταλείψειν αὐτούς, ὡς καὶ αὐτοὶ τὴν θρησκείαν αὐτοῦ κατέλειπον. ταῦτ' ἀκούσαντες, εὐθὺς ταῖς ψυχαῖς ἀνέπεσον. καὶ μηδὲν ἔτι σωτήριον ὁρῶντες, ἐξομολογεῖσθαι πάντες ὥρμησαν, ὅτι δικαίως αὐτοὺς ὁ θεὸς ὑπερόψεται γενομένους περὶ αὐτὸν ἀσεβεῖς, καὶ συγχέοντας τὰ νόμιμα. κατιδὼν δ' αὐτοὺς ὁ θεὸς οὕτως διακειμένους, καὶ τὰς ἁμαρτίας ἀνθομολογουμένους, οὐκ ἀπολέσειν αὐτοὺς εἶπεν πρὸς τὸν προφήτην. ποιήσειν μέντοι γε τοῖς Αἰγυπτίοις ὑποχειρίους, ἵνα μάθωσι πότερον ἀνθρώπῳ δουλεύειν ἐστὶν ἀπονώτερον, ἢ θεῷ. παραλαβὼν δὲ Σούσακος ἀμαχητὶ τὴν πόλιν, δεξαμένου Ῥοβοάμου διὰ τὸν φόβον, οὐκ ἐνέμεινε ταῖς γενομέναις συνθήκαις. ἀλλ' ἐσύλησε τὸ ἱερὸν, καὶ τοὺς θησαυροὺς ἐξεκένωσε τοῦ θεοῦ καὶ τοὺς βασιλικούς, χρυσοῦ καὶ ἀργύρου μυριάδας ἀναριθμήτους βαστάσας, καὶ μηδὲν ὅλως ὑπολειπών. περιεῖλε δὲ καὶ τοὺς χρυσοῦς θυρεοὺς καὶ τὰς ἀσπίδας ἃς κατεσκεύασε Σολομὼν ὁ βασιλεύς. οὐκ εἴασε δὲ οὐδὲ τὰς χρυσᾶς φαρέτρας, ἃς ἀνέθηκε Δαβίδης τῷ θεῷ, λαβὼν παρὰ τοῦ τῆς Σωφηνῆς βασιλέως. καὶ τοῦτο ποιήσας, ἀνέστρεψεν εἰς τὰ οἰκεῖα. μέμνηται δὲ ταύτης τῆς στρατείας καὶ ὁ Ἁλικαρνασεὺς Ἡρόδοτος περὶ μόνον τὸ τοῦ βασιλέως πλανηθεὶς ὄνομα, καὶ ὅτι ἄλλοις τε πολλοῖς ἐπῆλθεν ἔθνεσι καὶ τὴν Παλαιστίνην Συρίαν ἐδουλώσατο, λαβὼν ἀμαχητὶ τοὺς ἀνθρώπους τοὺς ἐν αὐτῇ. φανερὸν δ' ὅτι τὸ ἡμέτερον ἔθνος βούλεται δηλοῦν κεχειρωμένον ὑπὸ τοῦ Αἰγυπτίου. λέγει γὰρ ὅτι στήλας κατέλειπεν ἐν τῇ τῶν ἀμαχητὶ παραδόντων αὐτοῖς αἰδοῖα γυναικῶν ἐγγράψας. Ῥοβόαμος δ' αὐτῷ παρέδωκεν ὁ ἡμέτερος βασιλεὺς, ἀμαχητὶ τὴν πόλιν. φησὶ δὲ καὶ Αἰθίοπας παρ' Αἰγυπτίων μεμαθηκέναι τὴν τῶν αἰδοίων περιτομήν. Φοίνικες γὰρ καὶ Σύριοι οἱ ἐν τῇ Παλαιστίνῃ, ὁμολογοῦσι παρ' Αἰγυπτίων μεμαθηκέναι. δῆλον οὖν ἐστὶν ὅτι μηδένες ἄλλοι περιτέμνονται τῶν ἐν Παλαιστίνῃ Σύρων, ἢ μόνοι ἡμεῖς. ἀλλὰ περὶ μὲν τούτων ἑκάστοι λεγέτωσαν ὅτι ἂν αὐτοῖς δοκῇ. ἀναχωρήσαντος δὲ Σουσάκου, Ῥοβόαμος ὁ βασιλεύς, ἀντὶ μὲν τῶν χρυσέων θυρεῶν καὶ τῶν ἀσπίδων χαλκέα ποιήσας, τὸν αὐτὸν ἀριθμὸν παρέδωκεν τοῖς τῶν βασιλείων φυλαξίν. ἀντὶ δὲ τοῦ μετὰ στρατηγίας ἐπιφανοῦς, καὶ τῆς ἐν τοῖς πράγμασι λαμπρότητος διάγειν, ἐβασίλευσεν ἐν ἡσυχίᾳ πολλῇ καὶ δέει, πάντα τὸν χρόνον ἐχθρὸς ὢν Ἱεροβοάμῳ. ἐτελεύτησε δὲ, βιώσας ἔτη πεντήκοντα καὶ ἑπτά.

CAP. IV.

Susacus Aegyptiorum rex captis Hierosolymis diuitias eius vrbis in Aegyptum transportauit.

Hanc contumeliam Deus per Susacum Ægyptiorum regem vltus est, cuius res gestas Herodotus per errorem Sesostri adscribit. hic enim Susacus quinto anno Roboami regni numerosissimum exercitum contra illum adduxit: in quo fuisse ferunt currus MCC. equitũ LXM. peditum CCCCM. eius miles maximè ex Afris constabat ac Æthiopibus. Irrumpens igitur in Hebræorum regionẽ, munitissimas Roboami vrbes sponte deditionem facientes in fidem suam recepit, quibus præsidio firmatis postremo Hierosolyma est aggressus. Roboamus verò vnà cũ suis à Susaci exercitu obsessus, versus ad supplicationes exorare Deum nõ potuit, vt victoriã annueret. Samæas quoque propheta eos terruit, dicens Deum minari deserturum se illos qui cultum ipsius priores deseruerant. quamobrem consternati, & videntes nullã salutis spem reliquam, omnes confiteri cœperũt, iure se à Deo propter impietatem ac legum neglectum destitutos. Deus autem videns eos sic effectos, & peccata sua cõfitentes, per prophetam denuntiauit, nolle se eos perdere subditurum tamen Ægyptiis, vt experiantur vtrum cõmodius sit, Deo seruire an homini. Susacus autem Roboamo propter metum dedente vrbem, conditiones non seruauit: sed deprædatus templum, thesauros tum Deo sacros tum regios expilauit, exportata innumera auri atque argenti multitudine, ac ne scrupulo quidẽ relicto. Detraxit etiam aurea scuta & clypeos, quos Solomon rex fecerat: ac ne pharetras quidem aureas reliquit, quas Dauid dedicauerat, à Sophenę rege acceptas: atque ita cum opima præda domũ est reuersus. Meminit autẽ huius expeditionis etiam Halicarnassensis Herodotus, in nomine tantũ errans, & quòd peruasis multis aliis gentibus etiam Palæstinam Syriam subiugarit, hominibus non expectata vi deditionem facientibus. Apparet autem satis quòd nostram gentẽ dicere velit ab Ægyptio subactam. narrat enim hunc columnas reliquisse apud eos qui prius quàm Martẽ experirẽtur deditionẽ fecissent, in quibus pudẽda muliebria inscupta fuerint. Roboamus aũt is fuit rex noster, qui vrbẽ antequã oppugnaretur dedidit. Idẽ ait Aethiopas quoq. ab Ægyptiis circũcisionẽ viriliũ didicisse. Phœnicas. n. & Syros Palestinos fateri schãc ab Ægyptiis accepisse. Cõstat aũt quòd nulli alij circũcidãtur in Palæstina Syriæ præterquam nos. Sed de his quisque suo arbitratu sẽtiat. Post Susaci discessum Roboamus pro scutis & clypeis aureis parem æreorum numerum refecit, eaq. scutariis & excubitoribus suis assignauit: & sine vlla memorabili expeditione, aut præclaro facinore, quietus regni sui tempora elabi passus est, metu cohibẽte, eò quòd perpetũ illi esset cum Hieroboamo dissidium. Vixit annos LVII. ex quibus decem & septẽ in principatu exegit,

vir arrogans ac insipiens, vt qui propter spretū paternorum amicorum consilium tantam ditionem amisit. Sepultus est Hierosolymis in regiis conditoriis. In regnum paternum Abias successit octauum iam supra decimum agens annum, Hieroboamo apud decem tribus regnū obtinente.

XI. Et quoniam huius regis exitum, diximus, superest vt quis Hieroboami finis fuerit consequenter subnectamus. Is nullum neque modum neque finem impietatis faciens, singulis diebus aras in excelsis lucis extruebat, & sacrificos his è vulgo assignabat. Hanc suam contumeliam, dignámque tanta impietate pœnam, non multo pòst Deus in caput ipsius atque familiæ vertit. Cúmque filius eius Obimes illo tempore ægrotaret, iussit vxorem suam mutato cultu, sumptóque priuato habitu, ad Achiam prophetam proficisci. esse enim hunc virum in prædicēdis futuris mirificum, à quo ipse olim regnum sibi deberi cognouisset. mandauítque vt quasi peregrina de filio percontaretur, esséťne præsentem morbum euasurus. Illa habitu mutato, ita vt à marito iussa fuerat, in Siluntem vbi tum Achias degebat, peruenit. Iámque aduentante ad illius ædes muliere, cæcutiēti pre senio Deus apparuit, indicans & quòd Hieroboami vxor ad eum veniret, & quid ad interrogata respondendum sit. Et cùm iam pro foribus esset priuatam hospitēm simulans, exclamat: Ingredere Hieroboami coniux, quid teipsam celas? Deum certè latere non potes, qui me de aduentu tuo præmonuit, mandauítque quid tecum loqui debeam. Vade igitur ad maritum, & hęc Dei verbis ei renuncia. Quoniam te magnum è paruo & nihili reddidi, & abscisso à Dauidis familia regno, tibi illud dedi: tu contrà immemor horum beneficiorum fusiles deos quàm me colere maluisti: ideò delebo te & tuum genus, & cadauera vestra à canibus atque alitibus deuorabuntur. constituam enim regem super populum meum, qui neminem è Hieroboami genere superstitem est relicturus. Nec populus erit expers vltionis, sed excidet è terra bona hac, & in transeuphratenses regiones dispergetur, quia regis impietatem est imitatus, & deos ab illo factos adorat, relictis meis ceremoniis. Tu verò mulier ad maritum propera, hæc illi renunciatura. Filium enim mortuum reperies. nam te vrbem ineunte, ille è vita exiturus est: sepelieturque defletus à toto populo, & publico luctu honoratus. Solus enim hic è Hieroboami familia bonus existit. Hoc oraculo mulier territa se proripit, & toto itinere futuram filij mortem iam tum deplorans, plangénsque misera properat propter maritum eadem opera filio fatum accelerans, quem non nisi mortuum visura erat: reuersáque domum illum quidem ita vt propheta prædixerat, exanimem reperit, regi verò cuncta ordine renuntiauit.

3. Reg. 14.

A βασιλεύσας δ' αὐτῶν ἑπτακαίδεκα. τὸν τρόπον ἀλαζὼν ἀνὴρ καὶ ἀνόητος, καὶ διὰ τὸ μὴ προσέχειν τοῖς πατρῴοις φίλοις, τὴν ἀρχὴν ἀπολέσας. ἐτάφη δ' ἐν ἱεροσολύμοις ἐν ταῖς θήκαις τῶν βασιλέων. διεδέξατο δ' αὐτοῦ τὴν βασιλείαν, ὁ υἱὸς ἀβίας, ὄγδοον ἤδη καὶ δέκατον ἔτος ἱεροβοάμου τῶν δέκα φυλῶν βασιλεύοντος. καὶ ταῦτα μὲν, τοιοῦτον ἔσχε τέλος. τὰ δὲ περὶ ἱεροβόαμον ἀκόλουθα τούτων ἔχομεν πῶς κατέστρεψε τὸν βίον διεξελθεῖν. οὗτος γὰρ οὐ διέλειπεν οὐδὲ ἠρέμησεν εἰς τὸν θεὸν ἐξυβρίζων, B ἀλλὰ καθημέραν ἐπὶ τῶν ὑψηλῶν βωμοὺς ἀνίστας, καὶ ἱερεῖς ἐκ τοῦ πλήθους ἀποδεικνὺς διετέλει. ταῦτα δ' ἔμελλεν οὐκ εἰς μακρὰν τὰ ἀσεβήματα καὶ τὴν ὑπὲρ αὐτῶν δίκην εἰς τὴν αὐτοῦ κεφαλὴν, καὶ πάσης αὐτοῦ τῆς γενεᾶς τρέψειν τὸ θεῖον. κάμνοντος δ' αὐτῷ κατ' ἐκεῖνον τὸν καιρὸν τοῦ παιδὸς ὃν ὀβίμην ἐκάλουν, τὴν γυναῖκα αὐτοῦ προσέταξεν, τὴν στολὴν ἀποθεμένην, καὶ σχῆμα λαβοῦσαν ἰδιωτικὸν, πορευθῆναι C πρὸς ἀχίαν τὸν προφήτην. εἶναι γὰρ θαυμαστὸν ἄνδρα, περὶ τῶν μελλόντων προειπεῖν. καὶ γὰρ περὶ τῆς βασιλείας αὐτῷ τοῦτον δεδηλωκέναι. παραγενομένην δ' ἐκέλευσε περὶ τοῦ παιδὸς ἀνακρίνειν ὡς ξένην, εἰ διαφεύξεται τὴν νόσον. ἡ δὲ μετασχηματισαμένη, καθὼς αὐτῇ προσέταξεν ὁ ἀνὴρ, ἧκεν εἰς σιλὼ πόλιν. ἐκεῖ γὰρ διέτριβεν ὁ ἀχίας. καὶ μελλούσης εἰς τὴν οἰκίαν αὐτοῦ εἰσιέναι, τὰς ὄψεις ἠμαυρωμένου διὰ τὸ γῆρας, ἐπιφανεὶς ὁ θεὸς, ἀμφότερα αὐτῷ μηνύει, τήν τε ἱεροβοάμου D γυναῖκα πρὸς αὐτὸν ἀφιγμένην, καὶ τί δεῖ περὶ ὧν πάρεστιν ἀποκρίνασθαι. παριούσης δὲ τῆς γυναικὸς εἰς τὴν οἰκίαν ὡς ἰδιώτιδος καὶ ξένης, ἀνεβόησεν, εἴσελθε ὦ γύναι ἱεροβοάμου, τί κρύπτεις σαυτήν; τὸν γὰρ θεὸν οὐ λανθάνεις, ὃς ἀφιξομένην τέ μοι φανεὶς ἐδήλωσε, καὶ προσέταξε τίνας ποιήσομαι τοὺς λόγους. ἀπελθοῦσαν οὖν πρὸς τὸν ἄνδρα, ἔφραζεν αὐτῷ ταῦτα λέγειν. ἐπεί σε μέγαν ἐκ μικροῦ καὶ μηδενὸς ὄντος ἐποίησα, καὶ ἀπο- E σχίσας τὴν βασιλείαν ἀπὸ τοῦ δαβίδου γένους σοὶ ταύτην ἔδωκα. σὺ δὲ τούτων ἠμνημόνησας, καὶ τὴν ἐμὴν 701 θρησκείαν καταλιπὼν, χωνευτοὺς θεοὺς κατασκευάσας ἐκείνους ἐτίμας. οὕτως σε πάλιν καθαιρήσω, καὶ πᾶν ἐξολοθρεύσω σου τὸ γένος, καὶ κυσὶ καὶ ὄρνισι βορὰν ποιήσω γενέσθαι. βασιλεὺς γὰρ ἐξεγείρεται τοῦ ὑπ' ἐμοῦ λαοῦ παντὸς, ὃς οὐδὲν ἀπολείψει τοῦ ἱεροβοάμου γένους. μεθέξει δὲ τῆς τιμωρίας καὶ τὸ πλῆθος ἐκπεσὸν F τῆς ἀγαθῆς γῆς, καὶ διασπαρὲν εἰς τοὺς πέραν εὐφράτου τόπους, ὅτι τοῖς τοῦ βασιλέως ἀσεβήμασι κατηκολούθησε, καὶ τοὺς ὑπ' αὐτοῦ γενομένους προσκυνεῖ θεοὺς, τὴν ἐμὴν θυσίαν ἐγκαταλιπόν. σὺ δὲ ὦ γύναι, ταῦτα παραγγέλλουσα σπεῦδε πρὸς τὸν ἄνδρα. τὸν δὲ υἱὸν καταλήψῃ τεθνηκότα. σοῦ γὰρ εἰσιούσης εἰς τὴν πόλιν, ἀπολείψει τὸ ζῆν αὐτόν. ταφήσεται δὲ, κλαυσθεὶς ὑπὸ τοῦ πλήθους παντὸς, κοινῷ τιμηθεὶς πένθει. καὶ γὰρ μόνος G τῶν ἐκ τοῦ ἱεροβοάμου γένους ἀγαθὸς οὗτος ἦν. ταῦτα οὖν προφητεύσαντος, ἐκπηδήσασα ἡ γυνὴ τεταραγμένη, καὶ τῷ τοῦ προειρημένου παιδὸς θανάτῳ περιαλγὴς, θρηνοῦσα διὰ τῆς ὁδοῦ, καὶ τὴν μέλλουσαν τοῦ τέκνου κοπτομένη τελευτὴν, ἀθλία τοῖς πάθεσιν ἠπείγετο κακοῖς ἀμηχάνοις, καὶ σπουδῇ μὲν ἀτυχεῖ χρωμένη διὰ τὸν υἱόν. ἔμελλε γὰρ αὐτὸν ἐπειχθεῖσα θᾶττον ὄψεσθαι νεκρὸν, ἀναγκαία δὲ διὰ τὸν ἄνδρα, καὶ παραγενομένη, τὸν μὲν ἐκπεπνευκότα καθὼς εἶπεν ὁ προφήτης εὗρε, τῷ δὲ βασιλεῖ, πάντα ἀπήγγελε.

Κεφά-

Κεφάλαιον ε΄.

Στρατεία Ἱεροβοάμου ἐπὶ τὸν υἱὸν Ῥοβοάμου, καὶ ἧττα. καὶ ὅτι Βασάνης τὴν Ἱεροβοάμου γενεὰν διαφθείρας, αὐτὸς τὴν βασιλείαν ἔσχεν.

Ἱεροβόαμος δὲ οὐδὲν τούτων φροντίσας, πολλὴν ἀριθμήσας στρατιὰν, ἐπὶ τὸν Ῥοβοάμου παῖδα τῶν δύο φυλῶν τὴν βασιλείαν τοῦ πατρὸς διαδεξάμενον Ἀβίαν ἐξεστράτευσε πολεμήσων. κατεφρόνει γὰρ αὐτὸν διὰ τὴν ἡλικίαν. ὁ δὲ ἀκούσας τὴν ἔφοδον τὴν Ἱεροβοάμου, πρὸς αὐτὴν οὐ κατεπλάγη, γενόμενος δ' ἐπάνω καὶ τῆς νεότητος τῷ φρονήματι καὶ τῆς ἐλπίδος τοῦ πολεμίου, στρατιὰν ἐπιλέξας ἐκ τῶν δύο φυλῶν, ἀπήντησε τῷ Ἱεροβοάμῳ εἰς τόπον τινὰ καλούμενον ὄρος Σαμαρῶν. καὶ στρατοπεδευσάμενος ἐγγὺς αὐτοῦ τὰ πρὸς τὴν μάχην ηὐτρέπιζεν. ἦν δὲ ἡ δύναμις αὐτοῦ, μυριάδες τεσσαράκοντα. ἡ δὲ τοῦ Ἱεροβοάμου στρατιὰ, διπλασίων ἐκείνης. ὡς δὲ τὰ στρατεύματα πρὸς τὰ ἔργα καὶ τοὺς κινδύνους ἀντιπαρετάσσετο καὶ συμβαλεῖν ἔμελλε, στὰς ἐφ' ὑψηλοῦ τινος τόπου Ἀβίας, καὶ τῇ χειρὶ κατασείσας, τὸ πλῆθος καὶ τὸν Ἱεροβόαμον ἀκοῦσαι πρῶτον αὐτοῦ μεθ' ἡσυχίας ἠξίωσε. γενομένης δὲ σιωπῆς, ἤρξατο λέγειν, ὅτι μὲν τὴν ἡγεμονίαν ὁ θεὸς Δαβίδῃ καὶ τοῖς ἐκγόνοις αὐτοῦ κατένευσεν εἰς ἅπαντα χρόνον, οὐδ' ὑμεῖς ἀγνοεῖτε, θαυμάζω δὲ πῶς ἀποστάντες τοῦ μου πατρὸς, τῷ δούλῳ Ἱεροβοάμῳ προσέθεσθε καὶ μετ' ἐκείνου πάρεστε νῦν ἐπὶ τοὺς ὑπὸ τοῦ θεοῦ βασιλεύειν κεκριμένους πολεμήσοντες, καὶ τὴν ἀρχὴν ἀφαιρησόμενοι τὴν ὑπάρχουσαν. τὴν μὲν γὰρ πλείω μέχρι νῦν Ἱεροβόαμος ἀδίκως ἔχει. ἀλλ' οὐκ οἶμαι ταύτης αὐτὸν ἀπολαύσειν ἐπὶ πλείονα χρόνον, ἀλλὰ δοὺς καὶ τοῦ παρεληλυθότος δίκην τῷ θεῷ, παύσεται τῆς παρανομίας, καὶ τῶν ὕβρεων ἃς οὐ διαλέλοιπεν εἰς αὐτὸν ὑβρίζων, καὶ ταῦτα ποιεῖν ὑμᾶς ἀναπεπεικώς. οἳ μηδὲν ἀδικηθέντες ὑπὸ τοῦ μου πατρὸς, ἀλλ' ὅτι μὴ πρὸς ἡδονὴν ἐκκλησιάζων ὡμίλησεν, ἀνθρώπων πονηρῶν συμβουλίᾳ πεισθεὶς, ἐγκατελείπετε μὲν τῷ δοκεῖν ὑπ' ὀργῆς ἐκεῖνον, τῇ δ' ἀληθείᾳ αὐτοὺς ὑπὸ τοῦ θεοῦ καὶ τῶν ἐκείνου νόμων ἀπεσπάσατε. καίτοι συγγνωκέναι καλῶς εἶχεν ὑμᾶς, οὐ λόγων μόνων δυσκόλων, ἀνδρὶ νέῳ καὶ δημαγωγίας ἀπείρῳ, ἀλλ' εἰ καὶ πρός τι δυσχερὲς ἡ νεότης αὐτοῦ, καὶ ἡ ἀμαθία τῶν πραττομένων ἐξήγαγεν ἔργον, διά τε Σολομῶνα τὸν πατέρα, καὶ τὰς εὐεργεσίας ἐκείνου. παραίτησιν γὰρ εἶναι δεῖ τῆς τῶν ἐκγόνων ἁμαρτίας, τὰς τῶν πατέρων εὐποιΐας. ὑμεῖς δ' οὐδὲν τούτων ἐλογίσασθε, οὔτε τότ' οὔτε νῦν. ἀλλ' ἥκετε στρατὸς ἐφ' ἡμᾶς τοσοῦτος. τίνι καὶ πεπιστευκὼς περὶ τῆς νίκης; ἢ ταῖς χρυσαῖς δαμάλεσι, καὶ τοῖς ἐπὶ τῶν ὀρῶν βωμοῖς, ἃ δείγματα τῆς ἀσεβείας ἐστὶν ὑμῶν, ἀλλ' οὐχὶ τῆς θρησκείας; ἢ τὸ πλῆθος ὑμᾶς εὐέλπιδας ἀπεργάζεται, τὴν ἡμετέραν στρατιὰν ὑπερβάλλον; ἀλλ' οὐδ' ἥτις οὖν ἰσχὺς μυριάδων στρατοῦ μετὰ ἀδικημάτων πολεμοῦντος. ἐν γὰρ μόνῳ τῷ δικαίῳ καὶ εἰς τὸ θεῖον εὐσεβεῖ τὴν βεβαιοτάτην ἐλπίδα τοῦ κρατεῖν τῶν ἐναντίων ἀποκεῖσθαι συμβέβηκεν. ἥτις ἐστὶ παρ' ἡμῖν τετηρηκόσιν ἀπ' ἀρχῆς τὰ νόμιμα, καὶ τὸν ἴδιον θεὸν σεβομένοις. ὃν οὐ χεῖρες ἐποίησαν ἐξ ὕλης φθαρτῆς, οὐδ' ἐπινοίᾳ πονηροῦ βασιλέως ἐπὶ τῇ τῶν ὄχλων ἀπάτῃ κατεσκεύασεν, ἀλλ' ὃς ἔργον ἐστὶν αὐτοῦ καὶ ἀρχὴ καὶ τέλος τῶν ἁπάντων. συμβουλεύω τοιγαροῦν ὑμῖν ἔτι καὶ νῦν μεταγνῶναι, καὶ λαβόντας ἀμείνω λογισμὸν, παύσασθαι τοῦ πολεμεῖν. καὶ τὰ πάτρια καὶ τὸ προαγαγὸν ὑμᾶς ἐπὶ τοσοῦτο μέγεθος εὐδαιμονίας γνωρίσαι.

CAP. V.

Hieroboami contra Abiam filium Roboami expeditio & clades, & quòd Basanes Hieroboami generis extirpator, ipse regnum occupauerit

At Hieroboamus nihil his motus, magnis delectibus habitis contra Abiam filium Roboami, duarum tribuum regem, qui tum patri successerat, duxit exercitum, propter ætatem eius non satis administrandis rebus maturam, sperans se facilem victoriam reportaturum. Ille verò audito aduentu Hieroboami haudquaquam est perterritus, sed supra ætatem, & supra quàm hostis sperauerat, impigrè collecto è duabus tribubus exercitu, occurrit Hieroboamo in quodam loco qui appellatur mons Samaron, & prope illum castra metatus ad prælium se & suos parabat. Habebat autem in castris quadringenta millia militum: Hieroboami copiæ duplo numerosiores fuêre. Vt verò pugnandi studio acies instructæ ex aduerso cõstitêre, Abias occupato editiore quodam loco, manu mota silentium ab hoste petiit. Quo impetrato, sic orsus est dicere: QuodDauidi atque eius posteris regnum in multas ætates duraturum diuinitus sit concessum, ne ipsi quidem ignoratis: quo magis miror cur deserto meo patre, Hieroboamo eius seruo adhærere malueritis, & nunc ab illo contra nos stetis iusto Dei suffragio principatum obtinentes, impugnaturi nos & reliqua regni parte repulsuri. maiorẽ enim eius partem Hieroboamus iam nunc iniusta vi occupat. Sed non diu fruetur sua tyrannide, dabit Deo pœnas perpetratorum scelerũ, qui finem imponet eius nefariis facinoribus, quandoquidem ipse non vult imponere atque etiam vos ad omnem iniquitatem incitare non desinit. Hoc enim autore nulla iniuria prouocati à meo patre, tantum quia malis consiliis seductus, parum comiter vos allocutus est, irati deseruistis non tam illum quàmDeum optimũ maximum, legésque eius omnium quæ vnquã fuêre sanctissimas. Atqui æquum erat veniam dedisse nõ solùm verbi durioris homini iuueni & concionandi non admodum perito, sed etiam si re aliquid per ætatẽ peccasset, vel propter Solomonem patrem, & illius in hanc gentem beneficia. Par enim est parentum meritis posterorum errata cõdonari. Vos verò nullam eorum rationem habuistis, ac ne nunc quidem habetis, sed tam numeroso exercitu contra nos venitis. qua quæso re freti? num aureis illis vitulis, & aris ac lucis celsioribus, quæ non religionis sed impietatis vestræ argumẽta sunt? An fortè multitudo qua potiores estis, spem vobis facit victoriæ? At nihil pollet quãtũlibet innumera vis exercitus, pro iniustitia cõtra ius arma ferentis. In sola enim pietate ac iustitia spes victoriæ sita est, quę profectò penes nos est, qui cõstãter in seruãdis legibus & veri numinis cultu perseueramus: quẽ nõ manus artificis è materia fragili sculpserũt, neq; scelestus rex commẽtus est ad imponẽdũ vulgo ignobili: sed qui cõditor est omniũ, & principiũ huius vniuersitatis simul & finis. Quãobrẽ nũc quoq. suadeo vt resipiscatis, & secuti meliora consilia desinatis contra instituta patria bellum gerere, per quæ ad tantam felicitatem peruenistis.

Dum in hanc sententiam Abias verba facit ad Israeliticum populum, interim à Hieroboamo pars copiarum occultè missa à tergo Abianorũ conspicitur: qui circumuentos se videntes non mediocriter sunt territi. Ibi Abias bono animo suos esse iubet, omnémque fiduciam in Deo ponere illum certè nullis hominũ insidiis circumueniri. Ad hanc regis vocem redditus est militi animus: & inuocata ope numinis, ad sacerdotum classica ingenti clamore sublato alacritatis indice in hostem irruunt. Nec defuit cęleste auxilium, quod hostium vigorem retudit, Abianis longè præpollentibus quod hostiũ vigorem retudit, Abianis longè præpollentib⁹. Tantam enim stragem ediderunt, quanta in in nullis vel Græcorum vel Barbarorum inuenitur commentariis. Cæsis enim quingentis millibus memorabilem apud omnes posteros victoriam retulerunt: & vrbes eorum munitissimas vi captas deripuerunt, Bethlen cum sua ditione, itémque Isanam & huic coniunctam ditionem. Post eam cladem Hieroboami vires omnino fractæ fuêre, quandiu Abia fuit superstes. Defunctus enim est non multo post victoriam, exacto tertio principatus sui anno: sepultúsque est Hierosolymis in maiorum suorum conditoriis, relictis filiis viginti duobus, filiabus sexdecim. is liberorum numerus è mulieribus XIV. ei susceptus est. In regnum successit filius Asanus, matre Machæa genitus, quo regnante Israelitarum regio decenni pace potita est. Atque hęc sunt quæ de rebus Abiæ sunt prodita. Mortuus est deinde etiam Hieroboamus rex decem tribuum, cùm regnasset annis vigintiduobus, secundo iam anno regni Asanici exacto. Eius loco imperauit filius Nadabus paternæ malitiæ ac impietatis æmulus, eóque in principatu biennium exegit. Quo tempore ducto exercitu ad Gabatho Palęstinorum vrbẽ putabat se eam obsidione posse capere. Interim quidam è domesticis eius amicis Basanes Macheli filius insidiis interceptum occidit, & arrepto regno totam eius stirpem excidit, euenít que iuxta prophetæ vaticinium, vt qui ex Hieroboami cognatis in vrbe trucidabantur, à canibus laniati absumerentur: qui verò in agris, ab alitibus. Atque in hunc modum Hieroboami familia debitas impietatis & scelerum pœnas exoluit.

Cap. VI.

Aethiopum irruptio in Hierosolymitanum agrum sub Asano, & exercitu eorum interitus.

XII. Asanus autem Hierosolymorum rex vir erat moribus honestissimis præditus, & cælestis numinis obseruantissimus, quique nihil vel cogitaret vel faceret nisi pietati ac naturæ legibus consonum. is correxit quicquid erat in suo regno vitiosum, sublatis omnibus exoticis immunditiis. habuítque in exercitu lectissimorum virorum scutatorum ac hastatorum ex tribu Iudæ trecenta millia: ex tribu itẽ Beniamitica scutatorum & sagittariorum ducẽta quinquaginta millia. Eius regni anno decimo Zaræus Æthiopum rex cum maximo exercitu contra eum venit, ducens peditum nõ-

ταῦτα μὲν ἀβίας διελέχθη πρὸς τὸ πλῆθος. ἔτι δ᾽ αὐτοῦ λέγοντος, λάθρᾳ τινὰς τῶν στρατιωτῶν ὁ ἱεροβόαμος ἔπεμψε περικυκλωσομένους τὸν ἀβίαν ἔκ τινων οὐ φανερῶν τοῦ στρατοπέδου μερῶν. μέσου δ᾽ αὐτοῦ περιληφθέντος τῶν πολεμίων, ἡ μὲν στρατιὰ κατέδεισε, καὶ ταῖς ψυχαῖς ἀνέπεσεν. ὁ δ᾽ ἀβίας παρεθάρρυνε καὶ τὰς ἐλπίδας ἔχειν ἐν τῷ θεῷ παρεκάλει. τοῦτον γὰρ οὐκ ἐκκυκλῶσθαι πρὸς τῶν πολεμίων. οἱ δὲ ὁμοῦ πάντες ἐπικαλεσάμενοι τὴν παρὰ τοῦ θεοῦ συμμαχίαν, τῶν ἱερέων τῇ σάλπιγγι σημαναίντων, ἀλαλάξαντες ἐχώρησαν ἐπὶ τοὺς πολεμίους. καὶ τῶν μὲν ἔθραυσε τὰ φρονήματα, καὶ τὰς ἀκμὰς αὐτῶν ἐξέλυσεν ὁ θεός. τὴν δὲ ἀβία στρατιὰν, ὑπερτέραν ἐποίησεν. ὅσος γὰρ οὐδέποτε ἐμνημονεύθη φόνος ἐν πολέμῳ γεγονέναι, οὔθ᾽ ἑλλήνων οὔτε βαρβάρων, τοσούτους ἀποκτείναντες τῆς ἱεροβοάμου δυνάμεως, θαυμαστὴν καὶ διαβόητον νίκην παρὰ τοῦ θεοῦ λαβεῖν ἠξιώθησαν. πεντήκοντα γὰρ μυριάδας τῶν ἐχθρῶν κατέβαλον, καὶ τὰς πόλεις αὐτῶν διήρπασαν τὰς ὀχυρωτάτας ἑλόντες κατὰ κράτος, τήν τε βηθήλην καὶ τὴν τοπαρχίαν αὐτῆς, καὶ τὴν ἰσαναν, καὶ τὴν τοπαρχίαν αὐτῆς. καὶ ἱεροβόαμος μὲν, οὐκ ἔτι μετ᾽ αὐτὴν τὴν ἧτταν ἴσχυσεν ἐφ᾽ ὅσον ἀβίας περιῆν χρόνον. τελευτᾷ δ᾽ οὗτος ὀλίγον τῇ νίκῃ χρόνον ἐπιζήσας, ἔτη βασιλεύσας τρία. καὶ θάπτεται μὲν ἐν ἱεροσολύμοις, ἐν ταῖς προγονικαῖς θήκαις. ἀπολείπει δὲ υἱοὺς μὲν δύο καὶ εἴκοσι. θυγατέρας δὲ ἑκκαίδεκα. πάντας δὲ τούτους ἐκ γυναικῶν δεκατεσσάρων ἐτεκνώσατο. διεδέξατο δ᾽ αὐτοῦ τὴν βασιλείαν ὁ υἱὸς ἄσανος. καὶ ἡ μήτηρ τοῦ νεανίσκου, μαχαία τοὔνομα. τούτου κρατοῦντος, ἀπέλαυσεν ἡ χώρα τῶν ἰσραηλιτῶν εἰρήνης, ἐπὶ ἔτη δέκα. καὶ τὰ μὲν περὶ ἀβίαν τὸν ῥοβοάμου τοῦ σολομῶνος, οὕτως παρειλήφαμεν. ἐτελεύτησε δὲ καὶ ἱεροβόαμος ὁ τῶν δέκα φυλῶν βασιλεὺς, ἄρξας ἔτη δύο καὶ εἴκοσι. διαδέχεται δ᾽ αὐτὸν ὁ παῖς νάδαβος, δεύτερον ἔτος ἤδη τῆς βασιλείας ἀσάνου διεληλυθότος. ἦρξε δὲ ὁ τοῦ ἱεροβοάμου παῖς ἔτη δύο, τῷ πατρὶ τὴν ἀσέβειαν καὶ τὴν πονηρίαν ἐμφερὴς ὤν. ἐν δὲ τούτοις τοῖς δυσὶν ἔτεσι στρατευσάμενος ἐπὶ γαβαθὼ πόλιν παλαιστίνων οὖσαν πολιορκίᾳ λαβεῖν αὐτὴν προσέμενεν. ἐπιβουλευθεὶς δὲ ἐκεῖ ὑπὸ φίλου τινὸς βασάμου ὄνομα, μαχείλου δὲ παιδὸς, ἀποθνήσκει. ὃς μετὰ τὴν τελευτὴν αὐτοῦ τὴν βασιλείαν παραλαβὼν, ἅπαν τὸ ἱεροβοάμου γένος διέφθειρε. καὶ συνέβη κατὰ τὴν θεοῦ προφητείαν, τοὺς μὲν ἐν τῇ πόλει τῶν ἱεροβοάμου συγγενῶν ἀποθνήσκοντας ὑπὸ κυνῶν σπαραχθῆναι καὶ δαπανηθῆναι, τοὺς δ᾽ ἐν τοῖς ἀγροῖς, ὑπ᾽ ὀρνίθων. ὁ μὲν οὖν ἱεροβοάμου οἶκος, τῆς ἀσεβείας αὐτοῦ καὶ τῶν ἀνομημάτων ὑπέσχεν ἀξίαν δίκην.

Κεφάλαιον ϛ΄.

Αἰθιόπων ἐπιστρατεία τοῖς ἱεροσολύμοις βασιλεύοντος ἀσάνου, καὶ διαφθορὰ τοῦ στρατοῦ.

Ὁ δὲ τῶν ἱεροσολύμων βασιλεὺς ἄσανος ἦν, τὸν τρόπον ἄριστος καὶ πρὸς τὸ θεῖον ἀφορῶν, καὶ μηδὲν μήτε πράττων μήτ᾽ ἐννοούμενος, ὃ μὴ πρὸς τὴν εὐσέβειαν εἶχε καὶ τὴν τῶν νομίμων φυσικὴν τὴν ἀναφοράν. κατώρθωσε δὲ τὴν αὐτοῦ βασιλείαν ἐκκόψας εἴ τι πονηρὸν ἦν ἐν αὐτῇ, καὶ καθαρεύσας ἀπὸ πάσης κηλῖδος. στρατὸν δ᾽ εἶχεν ἐπιλέκτων ἀνδρῶν ὡπλισμένων θυρεὸν καὶ σειρομάστην, ἐκ μὲν τῆς ἰούδα φυλῆς, μυριάδας τριάκοντα, ἐκ δὲ τῆς βενιαμίτιδος, ἀσπίδας φορούντων καὶ τοξοτῶν, μυριάδας πέντε καὶ εἴκοσι. ἤδη δὲ αὐτοῦ δέκα ἔτη βασιλεύοντος, στρατεύει μεγάλῃ δυνάμει ζαραῖος ἐπ᾽ αὐτὸν ὁ τῆς αἰθιοπίας βασιλεύς,

ἐνε-

ἐνενήκοντα μὲν πεζῶν μυριάσιν, ἱππέων δὲ δέκα, τριακοσίοις δ' ἅρμασι. καὶ μέχρι πόλεως Μαρήσας, ἔστι δ' αὕτη τῆς Ἰούδα φυλῆς, ἐλάσαντος αὐτοῦ μετὰ τῆς οἰκείας δυνάμεως, ἀπήντησεν Ἄσανος. καὶ ἀντιπαρατάξας αὐτῷ τὴν στρατιὰν, ἔν τινι φάραγγι Σαφαθᾶ λεγομένῃ, τῆς πόλεως οὐκ ἄποθεν, ὡς εἶδε τὸ τῶν Αἰθιόπων πλῆθος, ἀναβοήσας, νίκην ᾔτει παρὰ τοῦ θεοῦ, καὶ τὰς πολλὰς κτείνειν μυριάδας τῶν πολεμίων. οὐδὲ γὰρ ἄλλῳ τινὶ θαρρήσας ἔλεγεν, ἢ τῇ παρ' αὐτοῦ βοηθείᾳ δυναμένῃ καὶ τοὺς ὀλίγους ἀπεργάσασθαι κρείττους τῶν πλειόνων, καὶ τοὺς ἀσθενεῖς τῶν ὑπερεχόντων, ἀπαντῆσαι πρὸς μάχην τῷ Ζαραίῳ. ταῦτα λέγοντος Ἀσάνου, νίκην ἐσήμαινεν ὁ θεός. καὶ συμβαλὼν μετὰ χαρᾶς τῶν προδεδηλωμένων ὑπὸ τοῦ θεοῦ πολλοὺς ἀπέκτεινε τῶν Αἰθιόπων. καὶ τραπέντας εἰς φυγὴν ἐδίωξεν ἄχρι τῆς Γεραρίτιδος χώρας. ἀφέμενοι δὲ τῆς ἀναιρέσεως, ἐπὶ τὴν ἁρπαγὴν τῶν πολεμίων, ἥλω γὰρ Γέραρα, ἐχώρησαν, καὶ τῆς παρεμβολῆς αὐτῶν, ὡς πολὺν μὲν ἐκφορῆσαι χρυσὸν, λείαν τε ἀπαγαγεῖν, καμήλους καὶ ὑποζύγια, καὶ βοσκημάτων ἀγέλας. Ἄσανος μὲν οὖν καὶ ἡ σὺν αὐτῷ στρατιὰ τοιαύτην παρὰ τοῦ θεοῦ νίκην λαβόντες καὶ ὠφέλειαν, ἀνέστρεφον εἰς Ἱεροσόλυμα. παραγενομένοις δὲ αὐτοῖς ἀπήντησε κατὰ τὴν ὁδὸν προφήτης Ἀζαρίας ὄνομα. οὗτος ἐπισχεῖν κελεύσας τῆς ὁδοιπορίας, ἤρξατο λέγειν πρὸς αὐτοὺς, ὅτι ταύτης εἶεν τῆς νίκης παρὰ τοῦ θεοῦ τετυχηκότες, ὅτι δικαίους καὶ ὁσίους αὐτοὺς παρέσχον, καὶ πάντα κατὰ βούλησιν τοῦ θεοῦ πεποιηκότας. ἐπιμένουσι μὲν οὖν ἔφασκεν, ἀεὶ κρατεῖν τῶν ἐχθρῶν, καὶ τὸ ζῆν μετ' εὐδαιμονίας παρέξειν τὸν θεόν. ἀπολείπουσι δὲ τὴν θρησκείαν, ἅπαντα τούτων ἐναντία συμβήσεσθαι, καὶ γενήσεσθαι χρόνον ἐκεῖνον, ἐν ᾧ μηδεὶς ἀληθὴς εὑρεθήσεται προφήτης ἐν τῷ ὑμετέρῳ ὄχλῳ, οὐδὲ ἱερεὺς τὰ δίκαια χρηματίζων. ἀλλὰ καὶ αἱ πόλεις ἀνάστατοι γενήσονται, καὶ τὸ ἔθνος κατὰ πάσης σπαρήσεται γῆς, ἔπηλυν βίον καὶ ἀλήτην βιωσόμενον. καιρὸν δ' αὐτοῖς ἔχουσι συνεβούλευεν ἀγαθοῖς γίνεσθαι, καὶ μὴ φθονῆσαι τῆς εὐμενείας αὐτοῖς τοῦ θεοῦ. ταῦτ' ἀκούσας ὁ βασιλεὺς καὶ ὁ λαὸς, ἐχάρησαν, καὶ πολλὴν πρόνοιαν ἐποιοῦντο, κοινῇ τε πάντες καὶ κατ' ἰδίαν τοῦ θείου. διέπεμψε δ' ὁ βασιλεὺς καὶ τοὺς ἐν τῇ χώρᾳ τῶν νομίμων ἐπιμελησομένους. καὶ ταῦτα μὲν Ἀσάνου τοῦ βασιλέως τῶν δύο φυλῶν ἐν τούτοις ὑπῆρχεν. ἐπάνειμι δὲ ἐπὶ τὸν τοῦ πλήθους τῶν Ἰσραηλιτῶν βασιλέα Βασάνην, τὸν ἀποκτείναντα τὸν Ἱεροβοάμου υἱὸν Νάβαδον, καὶ κατασχόντα τὴν ἀρχήν. οὗτος γὰρ ἐν Θάρσῃ πόλει διατρίβων, καὶ ταύτην οἰκητήριον πεποιημένος, εἴκοσι μὲν ἐβασίλευσεν ἔτη καὶ τέσσαρα. πονηρὸς δὲ καὶ ἀσεβὴς ὑπὲρ Ἱεροβόαμον καὶ τὸν υἱὸν αὐτοῦ γενόμενος, πολλὰ καὶ τὸ πλῆθος κακὰ διέθηκε, καὶ τὸν θεὸν ἐξύβρισεν. ὃς αὐτῷ πέμψας Γιμοῦν τὸν προφήτην προεῖπε διαφθείρειν αὐτοῦ πᾶν γένος, καὶ τοῖς αὐτοῖς οἷς καὶ τὸν Ἱεροβοάμου κακοῖς περιέβαλεν οἶκον ἐξολέσειν, ὅτι βασιλεὺς ὑπ' αὐτοῦ γενόμενος, οὐκ ἠμείψατο τὴν εὐεργεσίαν τῷ δικαίως προστῆναι τοῦ πλήθους καὶ εὐσεβῶς. ἅπερ αὐτοῖς πρῶτον τοῖς οὖσι τοιούτοις ἀγαθὰ, ἔπειτα τῷ θεῷ φίλα. τὸν δὲ κάκιστον Ἱεροβόαμον ἐμιμήσατο, καὶ τῆς ψυχῆς ἀπολομένης τῆς ἐκείνου τὴν πονηρίαν ἀνεδείξατο. εἰς πεῖραν οὖν ἥξειν εἰκότως τῆς ὁμοίως συμφορᾶς αὐτὸν ἔλεγεν, ὅμοιον αὐτῷ γενόμενον. Βασάνης δὲ προακηκοὼς τὰ μέλλοντα αὐτῷ συμβήσεσθαι κακὰ μεθ' ὅλης τῆς γενεᾶς ἐπὶ τοῖς τετολμημένοις, οὐ πρὸς τὸ λοιπὸν ἡσύχασεν, ἵνα μὴ μᾶλλον πονηρὸς δόξας ἀποθάνῃ, καὶ περὶ τῶν παρῳχημένων ἐκ τοῦ τότε γοῦν με-

genta millia, equitum centum millia, adiunctis trecentis curribus. Huic progresso vsque Maræsam, quæ est vrbs ditionis Iudæ, occurrit Asanus: & instructa contra eum acie non procul ab vrbe in quadam valle, cui nomen Saphatha, vt vidit ingentem Æthiopum multitudinē exclamauit Deum inuocans, oránsque vt victoriam sibi contra tam multa hostium millia dignetur annuere. Venisse se ad dimicandum cum Zaræo sola illius ope fretum, qui paucos plurium, & imbecilles fortium victores posset reddere. Hæc precanti Deus victoriæ signum obtulit: quo viso rex alacris cum hoste conflixit, cæsísque plurimis, reliquos terga vertentes vsque in agrum Gerarenum persequutus est. Versi deinde à cædibus ad rapinas Gerara capiunt ac diripiunt. idem & in castris hostium factum est: vnde multum auri egestum est, prædáque abacta camelorum, iumentorum, & greges pecorum. Tanta victoria diuinitus parta ditati omnes reuertuntur Hierosolyma: iámque non longè aberant quum illis propheta Azarias fit obuiam, is posteaquam agmen consistere iussit, orsus est dicere, hanc victoriam diuino fauore eis contigisse propter seruatam iustitiam ac pietatem, & quia semper Dei voluntati obtemperauissent. Quòd si ita vt cœperant pergerent, in posterum quoque victorias de hoste & vitam fortunatam eiusdem fauore illis expectandam: sin verò à religione desciuerint, omnia contraria illos manere: sequuturúmque tale tempus, in quo neque propheta verax in populo reperiatur, neque sacerdos iustitiæ cultor. Túncque & vrbes eorum subuertendas esse, & gentem per omnes terras dispergendam, erronúmque more vitam acturam nullis certis sedibus. Quapropter hortabatur vt dum tempus esset probitati studerent, & diuinum fauorem sibiipsis non inuiderent. His auditis rex vnà cum populo gauisi sunt, dederuntque operam & publicè & priuatim vt religio sarta tecta maneret, dimissis à rege per totam regionem à quibus hoc negotium diligenter curaretur. Nunc relictis in hoc statu Asani duarum tribuum regis rebus, reuertor ad Basanem Israelitarum regem, qui Nadabo Hieroboami filio cęso regnum eius occupauerat. Hic in Tharse vrbe electo domicilio vigintiquatuor annis regnauit, sceleratior, magísque impius quàm vel Hieroboamus vel illius filius afflictor populi, & aduersus Deum contumax. Quapropter misso ad eum Gimone propheta prædixit se totum ipsius genus excisurum, & eisdem quibus priùs Hieroboamum cladibus profligaturum: eo quòd rex à se constitutus ingratus fuisset, nulla in administrãdo regno pietatis aut iustitiæ ratione habita, quibus virtutibus nulla vel vtilior populo, vel Deo gratior: sed sceleratissimi Hieroboami factus imitator, omnib. eius vitiis sese cõtaminasset. Cui quum similis esse voluerit, merito etiam similem exitum habiturum. At Basanes posteaquã cognouit imminentes pro scelere sibi ac suo generi calamitates, non hoc curauit vt correctior in

3. Reg. 16.

posterum & anteactorũ pœnitens placato numine vitaret exitium. sed velut proposito præmio si strenuè pergeret, ac si per prophetá ampla spes proposita, non calamitas denuntiata esset seipso factus nequior, indies data opera scelus scelere cumulabat. Postremò cum exercitu aggressus est vrbem non ignobilem Ramathonem, distantẽ quadraginta stadiis à Hierosolymis. quam captam muniebat, vt eam sedem belli faceret, vnde sui milites excursionib⁹ regnum Asani vastarent. Veritus autẽ eius conatum Asanus, & cogitans quàm multa damna suæ regioni relictus apud Ramathonem exercitus inferre posset: misit ad regem Damascenorum legatos cum pecuniis, ambiens eius societatem, & admonẽs quòd paterna inter ipsos intercederet amicitia. At ille & pecuniam libenter accepit, & societatem cum eo iniit, relicta Basanis amicitia: móxque suos duces iubet cum exercitu in illius ditionem proficisci, & vrbes hostiliter infestare: qui sine mora alias incenderunt, alias diripuerunt videlicet Achionem, Danam, & Abelmanen. His auditis Israelitarum rex, omissa munitione Ramathonis, ad suas res tuendas reuersus est. Asanus autem è conuecta ab illo materia duo firma oppida in eo loco condidit, quorum alteri nomẽ Gaba, alteri Maspha. Nec postea Basanes bellũ instaurare valuit, fatali morte præuentus: sepultúsque est in Arsane oppido. In regnum successit illius filius Elanus. Hic post alterum regni annum periit per insidias cæsus à Zamare sui equitatus dimidię partis magistro. Epulantem enim apud Osam suum procuratorem immissa equitum turma facilè oppressit, per absentiam tam pręfectorum quàm militum, qui tum omnes in obsidione Gabathonis Palæstinorum vrbis occupati fuère.

CAP. VII.

Basanæ stirpe sublata apud Israelitas Zamares, & post hunc Amarinus & Acbabus filius, regnum obtinent.

DEinde ex magistro equitum factus rex, totam Basanæ stirpem iuxta Gimonis vaticinium extinxit. Eodem enim modo eius familia radicitus interiit propter impietatẽ, quo Hieroboami progeniem internecione absumptam diximus. Interea qui Gabathonem obsidebat exercitus, audito regis casu, & quòd Zamares occisi à se regnum inuasisset, & ipse Amarino imperatori suo regnum detulit: qui soluta Gabathonis obsidione ad Tharsen regiam properat, eáque expugnata vi potitur. Zamares videns vrbem sine pręsidio, in intimam regiam se recepit, subiectóque igne simul cũ ea se quoque cócremauit, regni sui die septimo. Quo facto confestim populus in diuersa studia scissus est, aliis Thamanũ, aliis Amarinũ regnare volẽtibus. Cuius factio quum tandem vicisset, occiso Thamano sol⁹ toti⁹ populi regnũ obtinet.

τανοήσας συγγνώμης παρὰ τοῦ θεοῦ τύχοι. ἀλλ' ὥσπερ οἱ προκειμένων αὐτοῖς ἄθλων ἐπ' ἀνδρείᾳ τι σπουδάσωσιν, οὐ διαλείπουσι περὶ τοῦτο ἐνεργοῦντες, οὕτω καὶ Βασάνης προειρηκότος αὐτῷ τοῦ προφήτου τὰ μέλλοντα, ὡς ἐπ' ἀγαθοῖς τοῖς μεγίστοις κακοῖς, ὀλέθρῳ γένους καὶ οἰκίας ἀπωλείᾳ, χείρων ἐγίνετο. καὶ καθ' ἑκάστην ἡμέραν ὥσπερ ἀθλητὴς κακίας τοῖς περὶ αὐτὴν πόνοις προσετίθει. καὶ τελευταῖον, τὴν στρατιὰν παραλαβὼν πάλιν ἐπῆλθε πόλει τινὶ τῶν οὐκ ἀφανῶν Ῥαμαθῶνι τοὔνομα, σταδίων ἀπεχούσῃ Ἱεροσολύμων τεσσαράκοντα. καὶ καταλαβόμενος αὐτὴν, ὠχύρου προδιεγνωκὼς καταλείπειν ἐν αὐτῇ δύναμιν, ἵνα ἐκεῖθεν ὡρμημένοι τὴν Ἀσάνου βασιλείαν κακώσωσι. φοβηθεὶς δὲ Ἄσανος τὴν ἐπιχείρησιν τοῦ πολεμίου, καὶ λογισάμενος ὡς πολλὰ διαθήσει κακὰ τὴν ὑπ' αὐτοῦ βασιλευομένην πᾶσαν ὁ καταλειφθεὶς ἐν Ῥαμαθῶνι στρατὸς, ἔπεμψε πρὸς τὸν Δαμασκηνῶν βασιλέα πρέσβεις καὶ χρυσὸν καὶ ἄργυρον, παρακαλῶν συμμαχίαν, καὶ ὑπομιμνήσκων ὅτι καὶ πατρῷα φιλία πρὸς ἀλλήλους ἐστὶν αὐτοῖς. ὁ δὲ τῶν χρημάτων τὸ πλῆθος ἀσμένως ἐδέξατο, καὶ συμμαχίαν ἐποιήσατο πρὸς αὐτὸν, διαλύσας τὴν πρὸς τὸν Βασὰν φιλίαν. καὶ πέμψας εἰς τὰς ὑπ' αὐτοῦ βασιλευομένας πόλεις τοὺς ἡγεμόνας τῆς ἰδίας δυνάμεως ἐκέλευε κακοῦν αὐτάς. οἱ δὲ, τὰς μὲν ἐνέπρησαν, τὰς δὲ διήρπασαν πορθήσαντες, τήν τε Ἰωάννου λεγομένην, καὶ Δάνα, καὶ Ἀβελλάνην. ταῦτα ἀκούσας ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς, τοῦ μὲν οἰκοδομεῖν καὶ ὀχυροῦν τὴν Ῥαμαθῶνα ἐπαύσατο. μετὰ δὲ σπουδῆς ὡς βοηθήσων τοῖς οἰκείοις κακουμένοις ἀνέστρεψεν. Ἄσανος δὲ, ἐκ τῆς παρασκευασμένης ὑπ' αὐτοῦ πρὸς τὴν οἰκοδομίαν ὕλης πόλεις ἀνήγειρεν ἐν αὐτῷ τόπῳ δύο καρτεράς, ἡ μὲν Γαβὰ ἐκαλεῖτο, ἡ δὲ, Μασφά. καὶ μετὰ ταῦτα μὲν καιρὸν οὐκ ἔσχεν ὁ Βασάνης τῆς ἐπὶ τὸν Ἄσανον στρατείας, ἐφθάσθη γὰρ ὑπὸ τοῦ χρεών. καὶ θάπτεται μὲν ἐν Ἀρσάνῃ πόλει. παραλαμβάνει δ' αὐτοῦ τὴν ἀρχὴν παῖς Ἤλανος, ὃς ἄρξας ἐπ' ἔτη δύο, τελευτᾷ, φονεύσαντος αὐτὸν ἐξ ἐπιβουλῆς Ζαμβρίου τοῦ ἱππάρχου τῆς ἡμισείας τάξεως. κατευωχηθέντα γὰρ αὐτὸν παρὰ τῷ οἰκονόμῳ αὐτοῦ Ὠσᾶ τοὔνομα, πείσας ἐπιδραμεῖν τῶν ὑφ' αὐτὸν ἱππέων τινάς, ἀπέκτεινε διὰ τὸ μεμονωμένον τῶν περὶ αὐτὸν ὁπλιτῶν καὶ ἡγεμόνων. οὗτοι γὰρ ἅπαντες περὶ τὴν πολιορκίαν τῶν Γαβαθῶν ἐγίνοντο τῶν Παλαιστινῶν.

Κεφάλαιον ζ.

Ὡς τῆς Βασάνου γενεᾶς διαφθαρείσης, ἐβασίλευσεν τῶν Ἰσραηλιτῶν Ζαμάρης καὶ ὁ υἱὸς αὐτοῦ Ἄχαβος.

ΦΟνεύσας δὲ τὸν Ἤλανον ὁ ἵππαρχος Ζαμβρῆς, αὐτὸς βασιλεύει. καὶ πᾶσαν τὴν Βασάνου γενεὰν κατὰ τὴν Ἰμοῦ προφητείαν διαφθείρει. τῷ γὰρ αὐτῷ τρόπῳ συνέβη τὸν οἶκον αὐτοῦ πρόρριζον ἀπολέσθαι διὰ τὴν ἀσέβειαν, ὡς καὶ τὸν Ἱεροβοάμου διαφθαρέντα γεγράφαμεν. ἡ δὲ πολιορκοῦσα τὴν Γαβαώνην στρατιὰ, πυθομένη τὰ περὶ τὸν βασιλέα, καὶ ὅτι Ζαμβρῆς ἀποκτείνας αὐτὸν ἔχει τὴν βασιλείαν, καὶ αὐτὴ τὸν ἡγούμενον αὐτῆς Ἀμαρῖνον ἀπέδειξε βασιλέα. ὃς ἀπὸ τῆς Γαβαάνης ἀναστήσας τὸν στρατὸν, εἰς Θαρσὴν παραγίνεται τὸ βασίλειον. καὶ προσβαλὼν τῇ πόλει, κατὰ κράτος αἱρεῖ. Ζαμβρῆς δὲ τὴν πόλιν ἰδὼν ἠρημωμένην, συνέφυγεν εἰς τὸ μυχαίτατον τῶν βασιλείων. καὶ ὑποπρήσας αὐτῷ, συγκατέκαυσεν αὐτὸν, βασιλεύσας ἡμέρας ἑπτά. διέστη δ' εὐθὺς ὁ τῶν Ἰσραηλιτῶν λαός. καὶ οἱ μὲν αὐτῶν Θάμανον βασιλεύειν ἤθελον, οἱ δὲ τὸν Ἀμαρῖνον. νικήσαντες δ' οἱ τοῦτον ἄρχειν ἀξιοῦντες, ἀποκτείνουσι τὸν Θάμανον,

καὶ

καὶ παντὸς βασιλεύει ὁ ἀμαρῖνος τοῦ ὄχλου. τριακοστῷ δὲ ἔτει τῆς ἀσάνου βασιλείας, ἦρξεν ὁ ἀμαρῖνος ἔτη δώδεκα. τούτων τὰ μὲν ἕξ, ἐν θάρσῃ πόλει, τὰ δὲ λοιπὰ, ἐν μαρέωνι, ὑπὸ δὲ ἑλλήνων σαμαρεία καλουμένῃ. προσηγόρευσε δὲ αὐτὴν αὐτὸς σαμάρειαν, ἀπὸ τοῦ τὸ ὄρος ἀποδομένου αὐτῷ, ἐφ᾽ οὗ κατεσκεύασε τὴν πόλιν, σαμάρου. διέφερε δὲ οὐδὲν τῶν πρὸ αὐτοῦ βασιλευσάντων, ἢ τῷ χείρων αὐτῶν εἶναι. ἅπαντες γὰρ ἐζήτουν πῶς ἀποστήσωσιν ἀπὸ τοῦ θεοῦ τὸν λαὸν, τοῖς καθ᾽ ἡμέραν ἀσεβήμασι. καὶ διὰ τοῦτο δι᾽ ἀλλήλων αὐτοὺς ὁ θεὸς ἐποίησεν ἐλθεῖν, καὶ μηδένα τοῦ γένους ὑπολείπειν. ἐτελεύτησε δὲ καὶ οὗτος ἐν σαμαρείᾳ. διαδέχεται δὲ αὐτὸν ὁ παῖς ἄχαβος. μαθεῖν δὲ ἔστιν ἐκ τούτων ὅσην τὸ θεῖον ἐπιστροφὴν ἔχει τῶν ἀνθρωπίνων πραγμάτων. καὶ πῶς μὲν ἀγαπᾷ τοὺς ἀγαθοὺς, μισεῖ δὲ τοὺς μοχθηροὺς, καὶ προρρίζους ἀπόλλυσιν. οἱ μὲν γὰρ τῶν ἰσραηλιτῶν βασιλεῖς, ἄλλος ἐπ᾽ ἄλλῳ διὰ τὴν παρανομίαν καὶ τὰς ἀδικίας ἐν ὀλίγῳ χρόνῳ πολλοὶ κακῶς διαφθαρέντες εὑρέθησαν καὶ τὸ γένος αὐτῶν. ὁ δὲ τῶν ἱεροσολύμων καὶ τῶν δύο φυλῶν βασιλεὺς ἄσανος, καὶ δι᾽ εὐσέβειαν καὶ δικαιοσύνην, εἰς μακρὸν καὶ εὔδαιμον ὑπὸ τοῦ θεοῦ προήχθη γῆρας, καὶ τεσσαράκοντα καὶ ἓν ἄρξας ἔτος, εὐμοίρως ἀπέθανε. τελευτήσαντος δὲ αὐτοῦ, διεδέξατο τὴν ἡγεμονείαν υἱὸς, ἰωσαφάτης, ἐκ γυναικὸς ἀβίδας τοὔνομα γεγενημένος. τοῦτον μιμητὴν δαβίδου τοῦ προπάππου κατά τε ἀνδρείαν καὶ εὐσέβειαν ἅπαντες ἐν τοῖς ἔργοις ὑπέλαβον. ἀλλὰ τὰ περὶ μὲν τούτου τοῦ βασιλέως οὐ κατεπείγει νῦν λέγειν. ὁ δὲ ἄχαβος ὁ τῶν ἰσραηλιτῶν βασιλεὺς, κατοικεῖ μὲν ἐν σαμαρείᾳ. τὴν δὲ ἀρχὴν κατέσχεν, ἕως ἐτῶν εἴκοσι καὶ δύο. μηδὲν κινήσας τῶν πρὸ αὐτοῦ βασιλέων, εἰ μὴ, ὅσα γε πρὸς τὸ χεῖρον, καθ᾽ ὑπερβολὴν πονηρίας ἐπενόησεν. ἅπαντα δὲ αὐτῶν τὰ κακουργήματα, καὶ τὴν πρὸς τὸ θεῖον ὕβριν ἐκμιμησάμενος, καὶ μάλιστα τὴν ἱεροβοάμου ζηλώσας παρανομίαν. καὶ γὰρ οὗτος δαμάλεις, τὰς ὑπ᾽ ἐκείνου κατασκευασθείσας προσεκύνησε. καὶ τούτοις ἄλλα παράδοξα ἐμηχανήσατο. ἔγημε δὲ καὶ γυναῖκα, θυγατέρα ἰθωβάλου τοῦ τυρίων καὶ σιδωνίων βασιλέως, ἡ ἰεζάβελ ἦν ὄνομα. ἀφ᾽ ἧς τοὺς ἰδίους αὐτῆς θεοὺς προσκυνεῖν ἔμαθεν. ἦν δὲ τὸ γύναιον δραστήριόν τε καὶ τολμηρόν. εἰς τοσαύτην δὲ ἀσέλγειαν καὶ μανίαν προὔπεσεν, ὥς τε καὶ ναὸν τῷ τυρίων θεῷ, ὃν βὲλ προσαγορεύουσιν, ᾠκοδόμησε, καὶ ἄλσος παντοίων δένδρων κατεφύτευσε, κατέστησε δὲ καὶ ἱερεῖς καὶ ψευδοπροφήτας τούτῳ τῷ θεῷ. καὶ αὐτὸς ὁ βασιλεὺς πολλοὺς τοιούτους περὶ αὐτὸν εἶχεν, ἀνοίᾳ καὶ πονηρίᾳ πάντας ὑπερβεβηκὼς τοὺς πρὸ αὐτοῦ. προφήτης δέ τις τοῦ μεγίστου θεοῦ ἐκ πόλεως θεσβώνης τῆς γαλααδίτιδος χώρας, προσελθὼν ἀχάβῳ, προλέγειν αὐτῷ τὸν θεὸν ἔφασκε μήτε ὕσειν αὐτὸν ἐν ἐκείνοις τοῖς ἔτεσι μήτε δρόσον καταπέμψειν εἰς τὴν χώραν, εἰ μὴ φανέντος αὐτοῦ. καὶ τούτοις ἐπομώσας, ἀνεχώρησεν εἰς τὰ πρὸς νότον μέρη, ποιούμενος παρὰ χειμάρρῳ τινὶ τὴν διατριβὴν, ἐξ οὗ καὶ τὸ ποτὸν εἶχε. τὴν γὰρ τροφὴν αὐτῷ καθ᾽ ἡμέραν κόρακες προσέφερον. ἀναξηρανθέντος δὲ τοῦ ποταμοῦ δι᾽ ἀνομβρίαν, εἰς σαρεφθὰ πόλιν οὐκ ἄπωθεν τῆς σιδῶνος καὶ τύρου, μεταξὺ γὰρ κεῖται, παραγίνεται τοῦ θεοῦ κελεύσαντος. εὑρήσειν γὰρ ἐκεῖ γυναῖκα χήραν, ἥτις αὐτῷ παρέξει τροφάς. ὢν δὲ οὐ πόρρω τῆς πύλης, ὁρᾷ γυναῖκα χερνῆτιν ξυλιζομένην. τοῦ δὲ θεοῦ δηλώσαντος ταύτην εἶναι τὴν μέλλουσαν αὐτὸν διαθρέψειν, προσελθὼν ἠσπάσατο. καὶ κομίσαι ὕδωρ παρεκέλευσεν ὅπως πίῃ. καὶ πορευομένης μετακαλεσάμενος, καὶ ἄρτον ἐνεγκεῖν ἐκέλευσε. τῆς δὲ ὀμωσάσης μηδὲν ἔχειν ἔνδον ἢ μίαν ἀλεύρου δράκα,

A Trigesimo anno regni Asani regnauit Amarinus annis duodecim, sex Tharsæ, reliquos sex Marcone, quæ à Græcis Samaria dicitur. Ipse Samaræum vocauit, à Samaro, de quo mõtem emerat, in quo vrbs sita est. Hic nihil à priorib. regib. differebat, nisi quòd illis fuit sceleratior. Omnes enim hoc tãtùm agebant, vt populum quotidianis impietatibus à Deo abalienarent. Quapropter iratus Deus effecit vt alius alium tolleret, & cum toto suo genere extirparentur. B Hic Samariæ diem suum obiit, succedente Achabo filio. Hinc certè videre licet quàm curæ sint Deo res hominum, & quomodo bonos diligat, malos contrà funditus eradicet. Israelitarum enim reges propter impietatem breui tẽpore alius ab alio cũ totis familiis sublati sunt. Asanus verò Hierosolymorum duarúmque tribuum rex ob pietatẽ ac iustitiam feliciter Dei fauore viuẽs ad extremam peruenit senectam, & post vnum & quadraginta regni annos bo- C na morte decessit. cui mox Iosaphatus successit filius, ex Abida matre natus, omnium testimonio proauitæ pietatis ac fortitudinis æmulus, quibus Dauidem sanctissimum regem retulit, quemadmodum paulo pòst dicetur.

Cæterùm Achabus Israelitarum rex habitauit Samariæ vbi vigintiduobus annis regnum tenuit, nihil de priorum regum institutis mutans, nisi si quid fortè deterius commentus est. Omnium enim impietates repræsẽtauit ac sce- D lera, sed Hieroboami præcipuè. nam & vaccas ab eo consecratas adorauit, & alias super hanc impietates addidit. Vxorem præterea duxit filiam Ithobali, Tyriorum ac Sidoniorum regis, cui nomẽ Iezabela: móxq; ab ea domesticos illius deos colere didicit. Erat hęc muliercula audax & temeraria, adeóque impotẽtis insaniæ, vt nõ verita sit tẽplũ Beli deo Tyriorum exędificare, & lucum omnis generis arborum plantare: cui etiam sacerdotes & falsos vates instituit. Quin & ipse rex hoc genus hominum fre- E quens circa se habere delectabatur, dementia & malitia omnes antè se reges superans. Hunc propheta quidam Dei maximi è Thesbone Galaditica vrbe oriundus adiit, dicens eum prænunciare, quòd nec pluuiam illis annis daturus sit, nec rorẽ, donec ipse vates non cõpareret. Additóque iureiurãdo quo magis rẽ confirmaret, secessit ad tractũ australẽ, vbi ad torrẽtẽ quẽdã degebat, vnde potũ haberet. Nã cibus ei quoti- F die per coruos afferebatur. qui postquã ob inopiã imbriũ exaruit, iubẽte Deo profectus est Sareptã, quod oppidũ Tyrũ inter & Sidonem sitũ est. Illic enim se mulierem viduam inuẽturum premonitus fuerat, quæ alimenta suppeditaret: Iámque non longe à porta aberat, quum videt mulierem operariam ligna colligentem: & significante Deo hanc fore eius altricem, salutatam prius rogauit vt aquam potabilem afferret G abeuntémque iam reuocans, & panem portare iussit. Iurauit illa nihil sibi domi esse pręter v-

XIII.

3. Reg. 17.

nicũ farinæ pugillum & olei paululũ: venisséque se eò vt collectis lignis sibi ac filio panẽ coqueret, quem vbi comedissent fame absumerẽtur, quandoquidem nihil superesset aliud. Tum propheta, Vade, inquit, bono animo lætiora sperans: & primùm mihi paululũ paratum affer. polliceor enim tibi nunquam in vase illo farinam defore, nec oleum in fidelia, donec Deus det pluuiam. Paruit mulier, & quęcunque propheta petierat fecit: deincépsque & sibi & filio & hospiti sat alimentorum habuit. neutrum enim horum defecit, quandiu durauit siccitas. Meminit autem huius inopię pluuiarum etiam Menãder in gestis Ithobali Tyriorum regis sic scribens. Hoc regnante etiam pluuiarum defectus fuit ab Hyperberetæo mense vsque ad insequentis anni Hyperberetæum continuus, qui cùm supplicationes indixisset, sequuta est magna vis tonitruũ. Hic Botrym in Phœnice condidit, & Auzaten in Africa. His verbis dubio procul siccitatem factam sub Achabo, cuius tẽpore Ithobalus apud Tyrum regnauit, Menander in suos commentarios retulit. Mulier autẽ illa prophetæ hospes cùm filius eius morbo præualente expirasset, eiulans & voces quas dolor exprimebat emittens, querebatur de aduentu hominis qui peccata eius detexisset, ideò mulctatam se filij morte dictitans. Ille consolabundus iubet eã sibi tradere filium, breui recepturã viuum: acceptúmque mox in propriũ cubiculum detulit: quo deposito super suũ lectulum, exclamauit ad Deum, non bonam hospitij gratiam altrici relatã extincto ipsius puero: rogabátque vt remisso spiritu vitam ei restitueret. Itaque Deo genitricem miserãte, & prophetæ gratificante, ne videretur infortuniũ secum in hospitium intulisse, præter omnem expectationem recepit puer spiritum. At illa gratias egit vati, dicens nunc demum se agnoscere diuinæ mentis interpretem. Paulo deinde pòst Dei iussu ad Achabum proficiscitur, indicaturus ei venturam pluuiam. Erat tum fames per totam regionem, & magna rerum ad victũ necessariarum penuria, vt non solùm hominibus panis deesset, verùm etiam equis cæterísque iumentis terra negaret pabulum: tanta erat vbiq. siccitas. Rex igitur vocato dispẽsatore Obedia, cui iumentorum curam mandauerat, iussit vbique fontes & torrentes perquirere, sicubi inueniretur herba ad secandum iumentis pabulum. Cúmque multum quæsitus propheta Eliasn usquam compareret, iussit Obediam quoque se sequi. Partitis deinde itineribus, aliam rex, aliã dispensator viam ingreditur. Erat autẽ vir pius & quo tempore Iezabel regina in prophetas sæuiebat cædibus, centum ex eis in cauernis subterraneis abdiderat, pane & aqua sustentãdos. Huic à rege digresso Elias occurrit, & ex percontatione agnitus à venerabũdo salutatur. Mox propheta mandãte vt aduentũ suum regi nunciet: quo, inquit, meo merito me mittis ad eum qui te vbique gentium ad necẽ perquirit?

3.Reg.18.

A καὶ ὀλίγον ἔλαιον, πορεύεσθαι δὲ συνειλεχυῖαν τὰ ξύλα, ἵνα φυράσασα ποιήσῃ αὑτῇ καὶ τῷ τέκνῳ ἄρτον. μεθ' ὃν, ἀπολεῖσθαι λιμῷ δαπανηθέντα, μηκέτι μηδενὸς ὄντος ἔλεγεν. ἀλλὰ θαρσοῦσα εἶπεν ἄπιθι, καὶ τὰ κρείσσω προσδοκῶσα, καὶ ποιήσασα πρῶτον ἐμοὶ βραχὺ κόμισον. προλέγω γάρ σοι μηδέποτε ἐπιλείψειν ἄλευρον ἐκεῖνο τὸ ἄγγος, μηδ' ἐλαίου τὸ κεράμιον, μέχρις οὗ ἂν ὕσῃ ὁ θεός. ταῦτ' εἰπόντος τοῦ προφήτου, παραγενομένη B πρὸς αὐτὴν ἐποίησε τὰ εἰρημένα, καὶ αὐτή τε εἶχε καὶ τῷ τέκνῳ ἐχορήγει τὴν διατροφὴν καὶ τῷ προφήτῃ. ἐπέλιπε δ' οὐδὲν αὐτοὺς τούτων, ἄχρις οὗ καὶ ὁ αὐχμὸς ἐπαύσατο. μέμνηται δὲ τῆς ἀνομβρίας ταύτης καὶ Μένανδρος ἐν ταῖς Ἰθωβάλου τοῦ Τυρίων βασιλέως πράξεσι λέγων οὕτως. ἀβροχία τε ἐπ' αὐτοῦ ἐγένετο, ἀπὸ τοῦ Ὑπερβερεταίου μηνὸς, ἕως τοῦ ἐχομένου ἔτους Ὑπερβερεταίου. ἱκετείαν δ' αὐτοῦ ποιησαμένου, κεραυνοὺς ἱκανοὺς βεβλη- C κέναι, οὗτος πόλιν Βότρυν ἔκτισε τὴν ἐπὶ Φοινίκῃ, καὶ Αὔζαν τὴν ἐν Λιβύῃ. καὶ ταῦτα μὲν δηλῶν τὴν ἐπ' Ἀχάβου γενομένην ἀνομβρίαν, κατὰ γὰρ τοῦτο καὶ Ἰθώβαλος ἐβασίλευε Τυρίων, ὁ Μένανδρος ἀναγέγραφεν. ἡ δὲ γυνὴ περὶ ἧς πρὸ τούτων εἴπομεν, ἡ τὸν προφήτην διατρέφουσα, τοῦ παιδὸς αὐτῇ καταπεσόντος εἰς νόσον, ὡς καὶ τὴν ψυχὴν ἀφεῖναι καὶ δόξαι νεκρὸν, ἀνακλαιομένη καὶ φωνὰς οἵας ὑπηγόρευε τὸ πάθος ἀφιεῖσα, κατῃτιᾶτο τῆς παρ' αὐτὴν παρουσίας τὸν προφήτην, ὡς ἐλέγξαντα τὰς ἁ- D μαρτίας αὐτῆς, καὶ διὰ τοῦτο τοῦ παιδὸς τετελευτηκότος. ὁ δὲ παρεκελεύετο θαρρεῖν καὶ παραδοῦναι τὸν υἱὸν αὐτῷ. ζῶντα γὰρ αὐτὸν ἀποδώσειν. παραδούσης οὖν αὐτῆς, βαστάσας εἰς τὸ δωμάτιον ἐν ᾧ διέτριβεν αὐτὸς, καὶ καταθεὶς ἐπὶ τῆς κλίνης, ἀνεβόησε πρὸς τὸν θεὸν, οὐ καλῶς ἀμείψασθαι τὴν ὑποδεξαμένην καὶ θρέψασαν, τὸν υἱὸν αὐτῆς ἀφαιρησάμενον. ἐδεῖτό τε τὴν ψυχὴν εἰσπέμψαι πάλιν τῷ παιδὶ καὶ παρασχεῖν αὐτῷ τὸν βίον. τοῦ δὲ θεοῦ E κατοικτειρήσαντος μὲν τὴν μητέρα, βουληθέντος δὲ καὶ τῷ προφήτῃ χαρίσασθαι, τὸ μὴ δόξαι πρὸς αὐτὴν ἐπὶ κακῷ παρεῖναι, παρὰ πᾶσαν προσδοκίαν ἀνεβίωσεν. ἡ δ' εὐχαρίστει τῷ προφήτῃ, καὶ τότε σαφῶς ἔλεγε μεμαθηκέναι ὅτι τὸ θεῖον αὐτῷ διαλέγεται. χρόνου δ' ὀλίγου διελθόντος, παραγίνεται πρὸς Ἄχαβον τὸν βασιλέα, κατὰ βούλησιν τοῦ θεοῦ, δηλώσων αὐτῷ τὸν γενησόμενον ὑετόν. λιμὸς δὲ τότε κατεῖχε τὴν χώραν ἅπασαν, καὶ πολλὴ τῶν ἀναγκαίων ἀπορία, μὴ μόνον ἀνθρώποις ἄρτων σπα- F νίζειν, ἀλλὰ καὶ τὴν γῆν μηδ' ὅσα τοῖς ἵπποις καὶ τοῖς ἄλλοις κτήνεσι πρὸς νομὴν ἐστι χρήσιμα διὰ τὴν ἀνομβρίαν ἀποδιδόναι. τὸν οὖν ἐπιμελούμενον αὐτοῦ τῶν κτημάτων, προσκαλεσάμενος ὁ βασιλεὺς ἐκέλευσε ζητεῖν πηγὰς τῶν ὑδάτων, καὶ τοὺς χειμάρρους, ἵν' εἴπου παρ' αὐτοῖς εὑρεθείη πόα, ταύτην εἰς τροφὴν ἀμησάμενοι τοῖς κτήνεσιν ἔχωσι. καὶ διαπέμψας κατὰ πᾶσαν τὴν οἰκουμένην τοὺς ζητήσοντας τὸν προφήτην Ἠλίαν, οὐχ εὑρὼν, συνέπεσθαι ἐκέλευσε κἀκεῖνον αὐτῷ. δόξαν οὖν G ἐξορμᾶν αὐτοῖς μερισάμενοι τὰς ὁδοὺς, ὅ τε Ἀβεδίας καὶ ὁ βασιλεὺς ἀπῄεσαν ἑτέρας ἑτέραν τῶν ὁδῶν. συνεβεβήκει δὲ καθ' ὃν Ἰεζαβέλη ἡ βασίλισσα καιρὸν τοὺς προφήτας ἀπέκτεινε, τοῦτον ἑκατὸν ἐν τοῖς ὑπογείοις σπηλαίοις κρύψαι προφήτας, καὶ τρέφειν αὐτοὺς ἄρτον χορηγοῦντα μόνον καὶ ὕδωρ. μονωθέντι δ' αὖ ἀπὸ τοῦ βασιλέως Ὠβεδίᾳ, συνήντησεν αὐτῷ ὁ προφήτης Ἠλίας. καὶ πυθόμενος παρ' αὐτοῦ τίς εἴη, καὶ μαθὼν, προσεκύνησεν αὐτόν. ὁ δὲ πρὸς τὸν βασιλέα βαδίζειν ἐκέλευσε καὶ λέγειν, ὅτι παρείη πρὸς αὐτόν. ὁ δέ τι κακὸν ὑπ' αὐτοῦ πεπονθότα πρὸς τὸ ἀποκτεῖναι ζητοῦντα καὶ πᾶσαν ἐρευνήσαντα κατὰ γῆν, πέμπειν αὐτόν.

ὅτι

ὅτι μηδένα τόπον κατέλιπεν εἰς ὃν οὐκ ἀπέστειλε τοὺς ἀνάξοντας εἰ λάβοιεν ἐπὶ θανάτῳ. καὶ γὰρ εὐλαβεῖσθαι πρὸς αὐτὸν ἔφασκε μὴ τοῦ θεοῦ φανέντος αὐτῷ πάλιν εἰς ἄλλον ἀπέλθοι τόπον. εἶτα διαμαρτὼν αὐτοῦ πέμψαντος τοῦ βασιλέως, καὶ μὴ δυναμένου εὑρεῖν ὅπου ποτ᾽ εἴη γῆς, ἀποθάνῃ. προνοεῖν οὖν αὐτοῦ τῆς σωτηρίας παρεκάλει, τὴν περὶ τοὺς ὁμοτέχνους αὐτοῦ σπουδὴν λέγων, ὅτι σώσειεν ἑκατὸν προφήτας, Ἰεζαβέλας πάντας τοὺς ἄλλους ἀνῃρηκυίας, καὶ ἔχοι κεκρυμμένους αὐτοὺς καὶ τρεφομένους ὑπ᾽ αὐτοῦ. ὁ δὲ, μηδὲν δεδιότα βαδίζειν ἐκέλευε πρὸς τὸν βασιλέα, δοὺς αὐτῷ πίστεις ἐνόρκους, ὅτι πάντως κατ᾽ ἐκείνην Ἀχάβῳ φανήσεται τὴν ἡμέραν. μηνύσαντος δὲ τῷ βασιλεῖ τοῦ Ὠβεδίου τὸν Ἠλίαν, ὑπήντησεν ὁ Ἄχαβος. καὶ διήρετο μετ᾽ ὀργῆς εἰ αὐτὸς εἴη ὁ τῶν Ἑβραίων λαὸν κακώσας, καὶ τῆς ἀκαρπίας αἴτιος γεγενημένος. ὁ δ᾽ οὐδὲν ὑποθωπεύσας, αὐτὸν εἶπεν ἅπαντα τὰ δεινὰ πεποιηκέναι, καὶ τὸ γένος αὐτοῦ, ξενικοὺς εἰσενηνοχότας τῇ χώρᾳ θεοὺς, καὶ τούτους σέβοντας, τὸν δ᾽ ἴδιον αὐτῶν ὃς μόνος ἐστὶ θεὸς, ἀπολελοιπότας. νῦν μέντοι γε ἀπελθόντας ἐκέλευε πάντα τὸν λαὸν εἰς τὸ Καρμήλιον ὄρος ἀθροῖσαι πρὸς αὐτὸν, καὶ τοὺς προφήτας αὐτοῦ, καὶ τοὺς τῆς γυναικὸς εἰπὼν ὅσοι τὸν ἀριθμὸν εἶεν, καὶ τοὺς τῶν ἄλσεων προφήτας ὡς τετρακοσίους τὸ πλῆθος ὄντας. ὡς δὲ συνέδραμον πάντες εἰς τὸ προειρημένον ὄρος, Ἀχάβου διαπέμψαντος, σταθεὶς αὐτῶν ὁ προφήτης Ἠλίας μεταξὺ, μέχρι πότε διῃρημένους αὐτοὺς τῇ διανοίᾳ καὶ ταῖς δόξαις, οὕτως βιώσειν ἔφασκε. νομίσαντας μὲν γὰρ τὸν ἐγχώριον θεὸν ἀληθῆ καὶ μόνον, ἕπεσθαι τούτῳ, καὶ ταῖς ἐντολαῖς αὐτοῦ παρῄνει. μηδὲν δὲ τοῦτον ἡγουμένους, ἀλλὰ περὶ τῶν ξενικῶν ὑπειληφότας, ὡς ἐκείνους δεῖ θρησκεύειν, αὐτοῖς συνεβούλευε κατακολουθεῖν. τοῦ δὲ πλήθους μηδὲν πρὸς ταῦτα ἀποκρινομένου, ἠξίωσεν Ἠλίας πρὸς διάπειραν, τῆς τε τῶν ξενικῶν θεῶν ἰσχύος, καὶ τῆς τοῦ ἰδίου, μόνος ὢν αὐτοῦ προφήτης, ἐκείνων δὲ τετρακοσίους ἐχόντων, λαβεῖν αὐτός τε βοῦν, καὶ ταύτην θύσας ἐπιθεῖναι ξύλοις, πυρὸς οὐχ ὑφαφθέντος. κἀκείνους τοῦτο ποιήσαντας ἐπικαλέσασθαι τοὺς ἰδίους θεοὺς ἀνακαῦσαι τὰ ξύλα. γενομένου γὰρ τούτου, μαθήσεσθαι τότε τὴν ἀληθῆ φύσιν τοῦ θεοῦ. ἀρεσάσης δὲ τῆς γνώμης, ἐκέλευσεν Ἠλίας τοὺς προφήτας ἐκλεξαμένους βοῦν, πρώτους τε θῦσαι, καὶ τοὺς αὐτῶν ἐπικαλέσασθαι θεούς. ἐπεὶ δ᾽ οὐδὲν ἀπήντα παρὰ τῆς εὐχῆς καὶ τῆς ἐπικλήσεως θύουσι τοῖς προφήταις, σκώπτων ὁ Ἠλίας, μεγάλῃ βοῇ καλεῖν αὐτοὺς ἐκέλευε τοὺς θεούς. ἢ γὰρ ἀποδημεῖν αὐτοὺς, ἢ καθεύδειν. τῶν δ᾽ ἀπ᾽ ὄρθρου τοῦτο ποιούντων μέχρι μέσης ἡμέρας, καὶ τεμνόντων αὑτοὺς, μαχαίραις καὶ σιρομάσταις κατὰ τὸ πάτριον ἔθος, μέλλων αὐτὸς ἐπιτελεῖν τὴν θυσίαν, ἐκέλευσε τοὺς μὲν ἀναχωρῆσαι, τοὺς δὲ ἐγγὺς προσελθόντας τηρεῖν αὐτὸν, μὴ πῦρ λάθρα τοῖς ξύλοις ἐμβάλῃ. τοῦ δὲ ὄχλου προσελθόντος, λαβὼν δώδεκα λίθους, κατὰ φυλὴν τοῦ λαοῦ τῶν Ἑβραίων, ἀνέστησεν ἐξ αὐτῶν θυσιαστήριον, καὶ περὶ αὐτὸ δεξαμενὴν ὤρυξε βαθυτάτην. καὶ συνθεὶς τὰς σχίζας ἐπὶ τοῦ βωμοῦ, καὶ κατ᾽ αὐτῶν ἐπιθεὶς τὰ ἱερεῖα, τέσσαρας ἀπὸ τῆς κρήνης ὑδρίας προσέταξε πληρωθείσας ὕδατος, κατασκεδάσαι τοῦ θυσιαστηρίου, ὡς ὑπερβάλλειν αὐτὸ καὶ τὴν δεξαμενὴν ἅπασαν ὕδατος γεμισθῆναι πηγῆς ἀναδοθείσης. ταῦτα δὲ ποιήσας, ἤρξατο εὔχεσθαι τῷ θεῷ καὶ καλεῖν αὐτὸν, καὶ ποιεῖν τῷ πεπλανημένῳ πολὺν ἤδη χρόνον λαῷ, φανερὰν τὴν αὐτοῦ δύναμιν. καὶ ταῦτα λέγοντος, ἄφνω πῦρ ἐκ τοῦ οὐρανοῦ, τοῦ πλήθους ὁρῶντος, ἐπὶ τὸν βωμὸν ἔπισε;

A Quis enim locus eſt ad quem attracturos te nō miſerit? Nunc fieri poteſt, vt dum ego regem adeo, te Dei ſpiritus quo agitaris aliò rapiat. & rex te non reperto fruſtratus in caput meum ſæuiat. Noli eſſe in meo periculo tam ſecurus, quum ſcire poſſis quàm ſim ſtudioſus tui ſimilium, qui centum Dei homines furori Iezabelis eripui, & nūc eis in latebris alimenta ſuggero. Propheta cōtrà iubet vt nihil metuēs regem adeat, B ſacramento interpoſito ſe quoque eadem die in eius conſpectum venturum. Quo indicio poſtquam Achabus Eliam adeſſe didicit, in occurſum eius properat: & cum indignatione. Tun' ille es, inquit, Hebreorum turbator? túne ſterilitatis huius autor? At ille nihilo blādior, ipſum & eius familiam cum ſuis externis ſacris cauſam malorum omnium aſſeuerat, inuectis pereginis numinibus, & pro abrogato veri Dei cultu ſuppoſitis. Mox iubet vt eat, & C totum populum in Carmelum montem ad ſe conuocet, ſimúlque ſuos & vxoris vates, quorū numerum etiam non tacuit: præterea lucorum prophetas quadringentos plus minus. Vt verò omnes acciti à rege ad conſtitutum locum cōfluxerunt, Elias in medio conſiſtit, &, Quouſque, inquit, inter vtrunque vacillabitis? Si enim Deum noſtrum verum & ſolum creditis, hunc & mandata eius ſequimini: quòd ſi non huic, D ſed externis diuinos honores deberi exiſtimatis, illos igitur recipite. Populo verò nihil ad hæc reſpondente, Elias poſtulat, vt quo certiore argumēto vel proprij vel alienorum probetur potentia, ſolus ipſe Dei ſui vates contra illorum trecentos contendat, accepto boue, & in lignorum ſtruem impoſito, ſed nullo igne ſubdito. idem oportere & illos facere, atque ita inuocare ſuos deos, vt ligna velint accendere. E Hoc enim pacto veram Dei naturam dignoſci poſſe. Quæ ſententia poſtquam placuit, iubet Elias prophetas illos electo boue priores ſacrā rem facere, & ſua nominatim inclamare numina. Cúmque ſuis precibus & in vocationibus nihil proficerent, ludens Elias, altiùs eos iubet vocem attollere, ſi fortè aut peregrè abſint aut dormiant. Illis verò à mane vſque meridiem fruſtra inclamantibus, & more patrio cultris ac lanceolis ſua corpora incidentibus, cùm iam F ſuæ vices ſacrificandi veniſſent, amotis ſacrificis illis fanaticis iuſſit vulgum propiùs obſeruare, ne fortè clàm ignem admoueret: qui poſtquam acceſſit, acceptis duodecim lapidib', iuxta numerum tribuum Iſraeliticarum altare ex eis inſtaurauit, foditque circū illud foſſam bene profundam. & coaptata ſuper altare ſtrue lignorum victimáque deſuper impoſita, quatuor hydrias fontana aqua plenas ſuper altare G iuſſit effundi, ita vt foſſa quoque repleretur aquis ſuperfluentibus. Quibus peractis, cœpit inuocare Deum, precaríque vt erranti iam diu populo oſtendat ſuam potentiam: & ecce adhuc illo orante, ignis repente de cælo in altare

lapſus inſpectante populo tum victimam tum aquam omnem circumfuſam abſumit, ita vt locus fieret aridus. Quo viſo Iſraelitæ proſtrati in terram vnum Deum adorant, hunc maximū & ſolum verum confitendo: cæteros nihil aliud eſſe quàm nomina vanis ſtultorum hominum opinionibus conficta: móxque comprehenſos eorum prophetas interficiunt, Elia ſic iubente: qui & regem abire ad prandium iuſſit, nec eſſe amplius ſolicitum: breui enim viſurum pluuiā quo abeunte Elias verticem Carmeli conſcendit, & cùm humi deſediſſet, caput genibus applicuit, iuſsítque famulum aſcenſo quodā ſcopulo ad mare proſpicere, & indicare ſicubi nubem excitari viderit. Paruit ille non ſemel aſcenſo ſcopulo, ſed nihil ſe videre retulit. Tandem ſeptimò reuerſus ait ſe vidiſſe in aëre neſcio quid nigricans, humano veſtigio non amplius. Quo audito Elias mittit eum mox ad Achabum, iubēs vt rex properè in vrbem redeat, prius quàm profuſus imber occupet. Qui poſtquam ad Ieſraelam vrbem cœpit tendere, ſine mora offuſcato aëre & inuoluto nubibus procella mixtus imber ſuperuenit: & propheta correptus numine regium currum vſque Ieſraelam Azari vrbem currens proſequutus eſt.

3. Reg. 19.

Iezabela verò Achabi vxor audito prodigio per Eliam patrato, quódque prophetas ipſius omnes interfeciſſet, miſit ad eum nuncios, minando ſe illum occiſuram, quemadmodum ipſe prophetas occiderat. Et Elias territus fugit in vrbem Berſube, quæ eſt in extremis tribus Iudæ finibus, Idumeæ contermina: relictóque ibi famulo, ipſe in deſertum abiit. Cúmque precatus eſſet mortem, quòd non eſſet cæteris melior, vt illis abſumptis ipſe vitæ cupidus eſſe debeat, ſub arbore quadam obdormiit: & excitatus à quodam, ſurgens inuenit aquam ac cibum appoſitum. & cùm comediſſet collectis ex hoc cibo viribus, ad Sinæum vſque montem peruenit, in quo Moyſes à Deo legem accepiſſe proditur: vbi nactus amplum quendam ſpecum, ingreſſus habitare illic decreuit. Allapſa deinde ad aurem eius voce incertum vnde profecta, percontante quamobrem relicta vrbe deſertum coleret: ait ſe occiſis externorum deorum vatibus perſuaſiſſe populo, quòd vnicus ſit Deus, qui ab omnibus coli debeat: & ob id factum ad ſupplicium ſe à regina expeti. Mox eadem voce iuſſus in craſtinum ſub diuum prodire auditurus quid opus facto ſit: ſequenti luce è ſpelunca prodiit. Ibi & terræmotus eius aures perculit, & oculis ſe candens ignis fulgor obtulit. ſequutóque mox ſilentio, diuina voce nihil terreri præſentibus iuſſus eſt. neminem enim inimicorum fore illius compotem: mandatúmque mox vt domum reuerſus declaret populi regem Ieum Nemeſſæi filium: apud Damaſcum verò Syrorum Azaelem: & pro ſe prophetam Eliſæum conſtituat, ex Abela vrbe oriūdum. Impios enim pœnam daturos, alios Ieu regi, alios Azaeli. His auditis Elias in regionem Hebræorum reuertitur: & quum offendiſſet Saphati filium Eliſæum arantem cum quibuſdam

A καὶ τὴν θυσίαν ἐδαπάνησεν, ὡς ἀνακαλῦψαι καὶ τὸ ὕδωρ, καὶ ψαφαρὸν γενέσθαι τὸν τόπον. οἱ δ' ἰσραηλῖται τοῦτο ἰδόντες, ἔπεσον ἐπὶ τὴν γῆν καὶ προσεκύνουν ἕνα θεὸν, καὶ μέγιστον καὶ ἀληθῆ μόνον ἀποκαλοῦντες. τοὺς δ' ἄλλους ὀνόματα ὑπὸ φαύλου καὶ ἀνοήτου δόξης πεποιημένα. συλλαβόντες δ' αὐτῶν καὶ τοὺς προφήτας, ἀπέκτειναν, ἠλία τοῦτο παραγγείλαντος. ἔφη δὲ καὶ τῷ βασιλεῖ πορεύεσθαι πρὸς ἄριστον μηδὲν ἔτι φροντίσαντα. μετ' ὀ-

B λίγον γὰρ ὄψεσθαι τὸν θεὸν ὕοντα. καὶ ὁ μὲν ἄχαβος, ἀπηλλάγη. ἠλίας δὲ ἐπὶ τὸ ἀκρωτήριον τοῦ καρμήλου ἀναβὰς ὄρους, καὶ καθίσας ἐπὶ τῆς γῆς, προσηρείσατο τοῖς γόνασι τὴν κεφαλήν. καὶ τὸν θεράποντα ἐκέλευσεν ἀνελθόντα ἐπί τινα σκοπὴν εἰς τὴν θάλασσαν ἀποβλέπειν. κἂν εἴδῃ νεφέλην ἐγειρομένην ποθὲν, φράζειν αὐτῷ. μέχρι γὰρ τότε καθαρὸν εἶναι συνέβαινε τὸν ἀέρα. τοῦ δὲ ἀναβάντος, καὶ πολλάκις μηδὲν ὁρᾶν φήσαντος, ἑβδο-

C μον ἤδη βαδίσας ἑωρακέναι μελαινόμενον εἶπέ τι τοῦ ἀέρος, οὐ πλέον ἴχνους ἀνθρωπίνου. ὁ δ' ἠλίας ταῦτα ἀκούσας, πέμπει πρὸς τὸν ἄχαβον, κελεύων αὐτὸν εἰς τὴν πόλιν ἀπέρχεσθαι πρὶν ἢ καταρραγῆναι τὸν ὄμβρον. καὶ ὁ μὲν εἰς ἰεσραὴλ πόλιν παραγίνεται. μετ' οὐ πολὺ δὲ τοῦ ἀέρος ἀχλύσαντος, καὶ νέφεσιν καλυφθέντος, πνεῦμα τε λαῦρον ἐπιγίνεται, καὶ πολὺς ὄμβρος. ὁ δὲ προφήτης ἔνθεος γενόμενος, τῷ τοῦ βασιλέως ἅρματι μέχρι τῆς ἰσραήλας ἀζάρου πόλεως συνέδραμε. μαθοῦσα

D δὲ ἡ τοῦ ἀχάβου γυνὴ ἰεζάβελα, τά τε σημεῖα τὰ ὑπὸ τοῦ ἠλίου γενόμενα, καὶ ὅτι τοὺς προφήτας αὐτοὺς ἀπέκτεινεν, ὀργισθεῖσα πέμπει πρὸς αὐτὸν ἀγγέλους, ἀπειλοῦσα δι' αὐτῶν ἀποκτείνειν αὐτὸν, ὡς κἀκεῖνος τοὺς προφήτας αὐτῆς ἀπολέσειε. φοβηθεὶς δὲ ὁ ἠλίας, φεύγει εἰς πόλιν βερσουβεὲ λεγομένην. ἐπ' ἐσχάτοις δ' ἐστὶν αὕτη τῆς χώρας τῆς τῶν ἰούδα φυλὴν ἐχόντων κατὰ τὴν ἰδουμαίων γῆν. καταλιπὼν δὲ ἐκεῖ τὸν θεράποντα, εἰς τὴν ἔρημον ἀνεχώρησεν. εὐξάμενος δ' ἀποθανεῖν, οὐ γὰρ δὴ κρείττων,

E ἵνα ἐκείνων ἀπολωλότων αὐτὸς ζῆν γλίχηται, κατεκοιμήθη πρός τινι δένδρῳ. διεγείραντος δ' αὐτὸν τινὸς, ἀναστὰς εὑρίσκει παρακειμένην αὐτῷ τροφὴν καὶ ὕδωρ. φαγὼν δὲ καὶ συλλεξάμενος ἐκ τῆς τροφῆς ἐκείνης τὴν δύναμιν, εἰς τὸ σιναῖον, καλούμενον ὄρος παραγίνεται, οὗ μωυσῆς τοὺς νόμους παρὰ τοῦ θεοῦ λέγεται λαβεῖν. εὑρὼν δ' ἐν αὐτῷ σπήλαιόν τι κοῖλον, εἴσεισι. καὶ διετέλει ποιούμενος ἐν αὐτῷ τὴν μονήν. ἐρομένης δέ τινος αὐτὸν φωνῆς ἐξ ἀδήλου, τί παρείη καταλελοιπὼς τὴν πό-

F λιν, ἐκεῖσε. διὰ τὸ, κτεῖναι μὲν τοὺς προφήτας τῶν ξενικῶν θεῶν, πεῖσαι δὲ τὸν λαὸν ὅτι μόνος εἴη θεὸς ὃν ἀπ' ἀρχῆς ἐθρήσκευσαν ἔφησε, ζητεῖσθαι ἐπὶ τούτῳ πρὸς τιμωρίαν ὑπὸ τῆς γυναικὸς τοῦ βασιλέως. πάλιν δὲ ἀκούσας προσελθεῖν εἰς τὸ ὕπαιθρον τῇ ἐπιούσῃ, γνώσεσθαι γὰρ οὕτως τί δεῖ ποιεῖν, προῆλθεν ἐκ τοῦ σπηλαίου μεθ' ἡμέραν. καὶ σεισμοῦ τε ἐπακούει, καὶ λαμπρὰν πυρὸς αὐγὴν ὁρᾷ. καὶ γενομένης ἡσυχίας, φωνὴ θεία μὴ ταράττεσθαι τοῖς γινομένοις αὐτὸν παρακελεύεται, κρατήσειν γὰρ οὐδένα τῶν ἐχθρῶν αὐτοῦ. προσέταξέ τε ὑπο-

G στρέψαντα εἰς τὴν οἰκίαν, ἀποδεῖξαι τῷ πλήθει βασιλέα ἰηοῦν τὸν νεμεσαίου παῖδα. ἐκ δαμασκοῦ δὲ τῶν σύρων ἀζάηλον. ἀντ' αὐτοῦ δὲ προφήτην ἐλισσαῖον ὑπ' αὐτοῦ γενήσεσθαι ἐκ πόλεως ἀβελᾶς. διαφθερεῖ δὲ τοῦ ἀσεβοῦς ὄχλου, τοὺς μὲν, ἀζάηλος, τοὺς δὲ, ἰηοῦς. ὁ δ' ἠλίας ὑποστρέφει ταῦτ' ἀκούσας, εἰς τὴν ἑβραίων χώραν. καὶ τὸν σαφάτου παῖδα ἐλισσαῖον καταλαβὼν ἀροῦντα,

καὶ μετ'

A καὶ μετ' αὐτοῦ τινας ἄλλους, ἐλαύνοντας ζεύγη δώδεκα, προσελθὼν ἐπέρριψεν αὐτῷ τὸ ἴδιον ἱμάτιον. ὁ δ' ἐλισσαῖος εὐθέως προφητεύειν ἤρξατο. καὶ καταλιπὼν τοὺς βόας, ἠκολούθησεν ἠλίᾳ. δεηθεὶς δὲ συγχωρῆσαι αὐτῷ τοὺς γονεῖς ἀσπάσασθαι, μὴ κελεύσαντος τοῦτο ποιεῖν, ἀποταξάμενος αὐτοῖς εἵπετο. καὶ ἦν ἠλίου τὸν ἅπαντα χρόνον τοῦ ζῆν καὶ μαθητὴς καὶ διάκονος. καὶ τὰ μὲν περὶ τοῦ τούτου προφήτου, τοιαῦτα ἦν. νάβουθος δέ τις ἀπὸ πόλεως ἀζάρης, ἀγρογείτων ὢν τοῦ βασιλέως, B παρακαλοῦντος αὐτὸν ἀποδόσθαι τιμῆς ὅσης βούλεται τὸν πλησίον αὐτοῦ τῶν ἰδίων ἀγρόν, ἵνα συνάψας ἐν αὐτῷ ποιήσῃ κτῆμα. εἰ δὲ μὴ βούλοιτο χρήματα λαβεῖν, ἐπιτρέποντος ἐκλέξασθαι τῶν ἀγρῶν τινὰ τῶν ἐκείνου. τοῦτο μὲν οὔ φησι ποιήσειν. αὐτὸς δὲ τὴν ἰδίαν καρπώσασθαι γῆν, ἣν ἐκληρονόμησε τοῦ πατρός. λυπηθεὶς δ' ὡς ἐφ' ὕβρει τῷ μὴ τὰ ἀλλότρια λαβεῖν ὁ βασιλεύς, οὔτε λουτρὸν προσηνέγκατο, οὔτε τροφήν. τῆς δὲ ἰεζαβέλης τῆς γυναικὸς αὐτοῦ πυνθανομένης ὅτι λυπεῖται, C καὶ μήτε λούεται, μήτε ἄριστον αὐτῷ παρατίθεται, μήτε δεῖπνον, διηγήσατο αὐτῇ τὴν ναβούθου σκαιότητα. καὶ ὡς χρησάμενος ἐπιεικέσι πρὸς αὐτὸν λόγοις, καὶ βασιλικῆς ἐξουσίας ὑποδεεστέροις ὑβρισθείη μὴ τυχὼν ὧν ἠξίου. ἡ δὲ μὴ μικροψυχεῖν ἐπὶ τούτοις παρεκάλει. παυσάμενον δὲ τῆς λύπης, ἐπὶ τὴν συνήθη τρέπεσθαι τοῦ σώματος πρόνοιαν. μελήσειν γὰρ αὐτῇ περὶ τῆς ναβούθου τιμωρίας. καὶ παραχρῆμα πέμπει γράμματα πρὸς τοὺς ὑπερέχοντας τῶν ἰσραηλιτῶν, ἐκ τοῦ ἀχάβου ὀνόματος. νηστεῦσαί τε κε- D λεύουσα, καὶ ποιησαμένους ἐκκλησίαν προκαθῆσαι μὲν αὐτῶν νάβουθον. εἶναι γὰρ αὐτὸν γένους ἐπιφανοῦς. παρασκευασαμένους δὲ τρεῖς τολμηροὺς τινας τοὺς καταμαρτυρήσοντας αὐτοῦ ὡς τὸν θεόν τε εἴη βλασφημήσας καὶ τὸν βασιλέα, καταλεῦσαι, καὶ τούτῳ διαχρήσασθαι τῷ τρόπῳ. καὶ νάβουθος μὲν ὡς ἔγραψεν ἡ βασίλισσα, οὕτως καταμαρτυρηθεὶς βλασφημῆσαι τὸν θεόν τε καὶ ἄχαβον βαλλόμενος ὑπὸ τοῦ πλήθους ἀπέθανεν. ἀκούσασα δὲ E ταῦτα ἡ ἰεζάβελα, εἴσεισι πρὸς τὸν βασιλέα. καὶ κληρονομεῖν τοῦ ναβούθου ἀμπελῶνος προῖκα ἐκέλευσεν. ὁ δὲ ἄχαβος ἥσθη τοῖς γεγενημένοις, καὶ ἀναπηδήσας ὑπὸ τῆς κλίνης, ὀψόμενος ἧκε τὸν ἀμπελῶνα τὸν ναβούθου. ἀγανακτήσας δὲ ὁ θεός, πέμπει τὸν προφήτην ἠλίαν εἰς τὸ ναβούθου χωρίον, ἀχάβῳ συμβαλοῦντα, καὶ περὶ τῶν πεπραγμένων ἐρησόμενον, ὅτι κτείνας τὸν ἀληθῆ δεσπότην τοῦ χωρίου κληρονομήσειεν αὐτὸς ἀδίκως. ὡς δ' ἧκε F πρὸς αὐτόν, εἰπόντος τοῦ βασιλέως ὅτι βούλεται χρήσασθαι αὐτῷ, αἰσχρὸν γὰρ ὄντα ἐπὶ ἁμαρτήματι ληφθῆναι ὑπ' αὐτοῦ, κατ' ἐκεῖνον ἔφη τὸν τόπον, ἐν ᾧ τὸν ναβούθου νεκρὸν ὑπὸ κυνῶν δαπανηθῆναι συνέβη, τότε αὐτοῦ αἷμα, καὶ τὸ τῆς γυναικὸς χυθήσεσθαι, καὶ πᾶν αὐτοῦ τὸ γένος ἀπολεῖσθαι, τοιαῦτα ἀσεβῆσαι τετολμηκότος, καὶ παρὰ τοὺς πατρίους νόμους πολίτην ἀδίκως ἀνῃρηκότος. ἀχάβῳ G δὲ λύπη τῶν πεπραγμένων εἰσῆλθε καὶ μεταμέλος, καὶ σακκίον ἐνδυσάμενος, γυμνοῖς τοῖς ποσὶ διῆγεν, οὐχ ἁπτόμενος τροφῆς, ἀνομολογούμενος δὲ τὰ ἡμαρτημένα, καὶ τὸν θεὸν οὕτως ἐξευμενίζων. ὁ δὲ ζῶντος μὲν αὐτοῦ πρὸς τὸν προφήτην εἶπεν, ὑπερβαλεῖσθαι τὴν τοῦ γένους τιμωρίαν, ἐπεὶ τοῖς γε τετολμημένοις μετανοεῖ. τελέσειν δὲ τὴν ἀπειλὴν ἐπὶ τῷ υἱῷ τοῦ ἀχάβου. καὶ ὁ μὲν προφήτης ταῦτ' ἐδήλωσε τῷ βασιλεῖ.

aliis impellentibus iuga duodecim, accessit & ei pallium suum iniecit: qui euestigio prophetare occœpit, relictisque bubus, sectator Eliæ factus est. Rogauit tamen vt priùs sibi liceret parentibus valedicere, quo impetrato illum sequutus est, indiuiduus posthac minister ac comes. Et prophetæ quidem huius res ita se habuerunt.

XIV.

3.Reg.21.

Cæterùm Nabuthus quidam ciuis vrbis Azari, quum prædium haberet regiis fundis contiguum, sæpe rogatus ab Achabo vt ei quātolibet precio venderet rus finitimum, adiungendum regio: aut si mallet vnum aliquod è regiis pro eo sibi eligeret: negauit se id facturum. gratius enim sibi esse, è paternis agris fructus percipere. Rex non aliter quàm si suam possessionem amisisset, quia non licebat alienam occupare, contristatus, nec lauare voluit, nec cibum sumere. Iezabela verò scitante quid accid[e]rit, vt nec balneum admittat, & cœnam æquè ac prandium fastidiat, quàm rusticus sit Nabuthus ei denarrat. Vsum se apud eum comi sermone, & infra regiam maiestatem demisso, pro qua humanitate nihil nisi repulsam retulisse. Mulier contra hortatur vt magno sit animo, & mœrore misso ad consuetam corporis curam redeat: se daturam operam, ne Nabuthus hanc contumeliam impunè auferat. Móxque literas Achabi nomine scriptas mittit ad Israelitarum præcipuos, hoc argumento: Iubebantur indicto ieiunio concionem aduocare, & in ea primùm locum Nabutho propter illustre genus attribuere. Deinde subornatis tribus viris nihil non ausuris, horum testimonio conuictum eum blasphemiæ populo lapidandum obiicere, atque hoc modo de medio tollere. Id quod ita vt regina scripserat factum est: & Nabuthus tali testimonio conuictus Deo ac regi fecisse conuitium, à populo est saxis obrutus. Quod vbi Iezabelæ relatum est, regem accedit, suadétque vt sine suo sumptu vinetorum Nabuthi hæreditatem capessat: & ille exiliens præ gaudio, ad visendum id prædium euestigio se confert. Deus autem iratus Eliam mittit, vt regi in eo rure occurrat, rogétque quid ita occiso vero domino eius prædij hæreditatem iniustè sibi vsurpet. Quem vbi ad se venientem vidit, turpe ratus obiurgari, prior fassus erratum, ad satisfaciendum ipsius arbitratu se obtulit. Tum vates prædicit, loco vbi Nabuthi cadauer à canibus absumptum est, fundendum & regis & reginæ sanguinem, & totum eorum genus delendum propter tam crudele scelus, quo ciuem contra ius per calumniam oppresserat. Tum demum Achabum eius facinoris pœnitentia subiit, & indutus saccum, nudísque pedibus à cibo abstinuit, peccatum confitens, & Deum ita placare cupiens. Deus verò per prophetam denuntiat, se quidem vsque post eius obitum dilaturum vindictam, quandoquidem sceleris pœniteat: minas tamen vanas non fore, sed Achabi filium pro commissis pœnas daturum.

CAP. VIII.

Adadus Damasci & Syriæ rex bis contra Achabum ducto exercitu profligatur.

3. Reg. 20.

DVm hæc circa Achabum geruntur, eodẽ tempore Adadi filius Syrorum & Damasci rex contractis è toto regno suo copiis, ascitisque vltra Euphratem trigintaduobus sociis regibus, contra Achabum duxit, qui intelligẽs se imparem eius copiis, à congressu quidem abstinuit, sed coactis ex agris in vrbes munitissimas omnibus ipse mansit intra Samariam. Cincta enim erat mœnibus firmissimis, & alioquin videbatur expugnatu difficilis. Syrus autem cum exercitu eò venit, & obsessam vrbẽ oppugnare cœpit. missoque caduceatore ad Achabum, petiit vt sibi liceret legatos ad eum mittere, propositurosquidnam peteret: quo impetrato quo venissent legati, ita vt illis mandatum erat, aiunt Achabi diuitias & liberos & vxores esse Adadi. quod si ipse quoque fateatur & permittat ei quicquid libuerit ex his sumere abducto exercitu regem obsidionem soluturum. Achabus verò iubet legatos regi suo renunciare, & ipsum & suos omnes, facultatésque vniuersas in potestate illius fore. Post hanc legationem rursum aliam Syrus misit, postulans vt quandoquidem ipsius confessione omnia sua essent, admitteret crastina luce mittendos in hoc famulos, eisque liberum faceret regiam & amicorum ac cognatorum domos scrutari, & auferre quicquid in eis inuentum fuerit pulcherrimum. Reliqua quæ illis non placuerint, sibi haberet. Achabus lætus secunda legatione Syri, aduocata concione, dicit se libenter pro pace & ciuium incolumitate vxores ac liberos suos, omnésque facultates proprias fuisse traditurum. Hoc enim prima legatione Syrum petiisse. Nunc verò misisse eum famulos qui omnium ædes scrutentur, & nihil in eis quod sit pulcherrimum relinquant, nimirum belli ansam quærentem: vt quandoquidem sciat propter amorem ciuium paratum rebus suis non parcere, occasionem belli ex illorum rebus arripiat. facturum se tamen, quicquid ipsis visum fuerit. Reclamauit tota concio contemnendum esse cum suis mandatis insolentem barbarum, & bellum alacriter gerendum. Accitis igitur legatis hoc responso referendum dedit, quòd primis postulatis nunc quoque consentiat securitatis ciuium gratia, posteriora non admittat. atque ita eos dimisit. Hoc responso commotus ad iram Adadus tertiò legatos mittit cum minis: ferocem eum esse fiducia mœnium, se verò parem illis aggerem excitaturum, si vel pugillum terræ singuli milites conferant: volens cum copiarum multitudine perterrefacere: Achabo verò respõdẽte, inter armatos non verbis sed factis decernẽdum, legati reuersi cœnanti tum fortè cum triginta sociis regibus responsa referunt. Ille e uestigio mãdat circũuallari vrbẽ & aggerẽ, erigi,

Κεφάλαιον η΄.

Ὡς Ἄδερ δαμασκοῦ καὶ συρίας βασιλεὺς δὶς ἐπ' ἄχαβον στρατευσάμενος ἡττήθη.

ΤΩν δὲ περὶ τὸν ἄχαβον ὄντων τοιούτων κατὰ τὸν αὐτὸν καιρὸν, ὁ τοῦ ἀδάδου υἱὸς, βασιλεύων τῶν σύρων καὶ δαμασκοῦ, δύναμιν ἐξ ἁπάσης τῆς χώρας συναγαγὼν, συμμάχους τοὺς πέραν εὐφράτου βασιλέας ποιησάμενος τριάκοντα καὶ δύο ἐστράτευσεν ἐπὶ τὸν ἄχαβον. ὁ δὲ οὐκ ὢν ὅμοιος αὐτῷ τῇ στρατιᾷ, πρὸς μάχην μὲν οὐ παρετάξατο, πάντα δὲ εἰς τὰς ὀχυρωτάτας πόλεις ἐγκλείσας τὰ ἐν τῇ χώρᾳ, αὐτὸς ἔμενεν ἐν σαμαρείᾳ. τείχη γὰρ αὕτη λίαν ὀχυρὰ περιεβέβλητο, καὶ τὰ ἄλλα, δυσάλωτος ἐδόκει. ὁ δὲ σύρος, ἀναλαβὼν τὴν δύναμιν, ἧκεν ἐπὶ σαμάρειαν, καὶ περικαθίσας αὐτῇ τὸν στρατὸν, ἐπολιόρκει. πέμψας δὲ κήρυκα πρὸς ἄχαβον, ἠξίου πρεσβευτὰς δέξασθαι παρ' αὐτοῦ, δι' ὧν αὐτῷ δηλώσει τί βούλεται. τοῦ δὲ ἰσραηλιτῶν βασιλέως πέμπειν ἐπιτρέψαντος, ἐλθόντες οἱ πρέσβεις ἔλεγον κατὰ ἐντολὴν τοῦ βασιλέως, τὸν ἀχάβου πλοῦτον, καὶ τὰ τέκνα αὐτοῦ, καὶ τὰς γυναῖκας ἀδάδου τυγχάνειν. ἂν δὲ ὁμολογήσῃ, καὶ λαβεῖν αὐτὸν τούτων ὅσα βούλεται συγχωρήσῃ, τὴν στρατιὰν ἀπάξει καὶ παύσεται πολιορκῶν. ὁ δὲ ἄχαβος, τοῖς πρέσβεσιν ἐκέλευσεν πορευθεῖσι λέγειν αὐτῷ τῷ βασιλεῖ, ὅτι καὶ αὐτὸς καὶ οἱ ἐκείνου πάντες, κτήματα εἰσὶν αὐτοῦ. ταῦτα δὲ ἀπαγγειλάντων, πέμπει πάλιν πρὸς αὐτὸν, ἀξιῶν ἀνωμολογηκότα εἶναι πάντα τὰ ἐκείνου δέξασθαι τοὺς πεμφθησομένους εἰς τὴν ἐπιοῦσαν ὑπ' αὐτοῦ δούλους, οἷς ἐρευνήσασι, τά τε βασίλεια, καὶ τοὺς τῶν φίλων καὶ συγγενῶν οἴκους, ἐκέλευσε διδόναι πᾶν ὅτι ἂν ἐν αὐτοῖς εὕρωσι κάλλιστον. τὰ δὲ ἀπαρέσαντα οἱ καταλείψουσιν. ἄχαβος δὲ ἀγασθεὶς, ἐπὶ τῇ δευτέρᾳ πρεσβείᾳ τοῦ τῶν βασιλέως, συναγαγὼν εἰς ἐκκλησίαν τὸ πλῆθος ἔλεγεν. ὡς αὐτὸς μὲν ἔχειν ἑτοίμως ὑπὲρ σωτηρίας αὐτῶν καὶ εἰρήνης, καὶ γυναῖκας τὰς ἰδίας προέσθαι τῷ πολεμίῳ καὶ τέκνα, καὶ πάσης παραχωρῆσαι κτήσεως. ταῦτα γὰρ ἐπιζητῶν ἐπρεσβεύσατο πρότερον ὁ σύρος. νῦν δ' ἠξίωκε δούλους πέμψαι, τάς τε πάντων οἰκίας ἐρευνῆσαι, καὶ μηδὲν ἐν αὐταῖς καταλιπεῖν τῶν καλλίστων κτημάτων, πρόφασιν βουλόμενος πολέμου λαβεῖν, εἰδὼς, ὅτι τῶν μὲν ἐμαυτοῦ δι' ὑμᾶς οὐκ ἂν φεισαίμην, ἀφορμὴν δὲ ἐκ τοῦ περὶ τῶν ὑμετέρων ἀηδοῦς πραγματευόμενος εἰς τὸ πολεμεῖν. ποιήσω γε μὴν τὰ ὑμῖν δοκοῦντα. τὸ δὲ πλῆθος μηδὲν ὑπακούειν τῶν κατ' αὐτὸν συνεβούλευεν, ἀλλὰ καταφρονεῖν, καὶ πρὸς τὸ πολεμεῖν ἑτοίμως ἔχειν. τοῖς οὖν πρεσβευταῖς ἀποκρινάμενος λέγειν ἀπελθοῦσιν, ὅτι τοῖς τὸ πρῶτον ἀξιωθεῖσιν ὑπ' αὐτοῦ, καὶ νῦν ἐμμένει τῆς τῶν πολιτῶν ἀσφαλείας ἕνεκα. πρὸς δὲ τὴν δευτέραν ἀξίωσιν οὐχ ὑπακούει, ἀπέλυσεν αὐτούς. ὁ δὲ ἄδαδος ἀκούσας ταῦτα καὶ δυσχεράνας, τρίτον ἔπεμψε πρὸς ἄχαβον τοὺς πρέσβεις, ἀπειλῶν ὑψηλότερον τῶν τειχῶν, οἷς καταφρονεῖ, χῶμα τούτοις ἐπεγείρειν αὐτοῦ τὴν στρατιὰν, κατὰ δράκα γῆν λαμβάνουσαν. ἐμφανίζων αὐτῷ τῆς δυνάμεως τὸ πλῆθος καὶ καταπληττόμενος. τοῦ δ' ἀχάβου μὴ καυχᾶσθαι δεῖν ἀποκριναμένου καθωπλισμένον, ἀλλὰ τῇ μάχῃ κρείττω γενόμενον, ἐλθόντες οἱ πρέσβεις, καὶ δειπνοῦντα καταλαβόντες τὸν βασιλέα μετὰ τριάκοντα καὶ δύο βασιλέων συμμάχων, ἐδήλωσαν αὐτῷ τὴν ἀπόκρισιν. ὁ δὲ, εὐθέως τοῦτο προσέταξε, καὶ περιχαροῦν τὴν πόλιν,

καὶ χώ-

καὶ μάλιστα βάλλεσθαι, καὶ μηδένα τρόπον ἀπολείπειν πολιορκίας. ἦν δ᾽ ἄχαβος τούτων πραττομένων ἐν ἀγωνίᾳ δεινῇ, σὺν παντὶ τῷ λαῷ. θαρρεῖ δὲ καὶ τῶν φόβων ἀπολύεται, προφήτου τινὸς αὐτῷ προσελθόντος. καὶ φήσαντος αὐτῷ τὸν θεὸν ὑπισχνεῖσθαι ποιήσειν τὰς τοσαύτας τῶν πολεμίων μυριάδας ὑποχειρίους. πυνθανομένου δὲ, διὰ τίνων ἂν ἡ νίκη γένοιτο, διὰ τῶν παίδων, εἶπε, τῶν ἡγεμόνων, ἡγουμένου σοῦ διὰ τὴν ἀπειρίαν ἐκείνων. καλέσας δὲ τοὺς τῶν ἡγεμόνων υἱοὺς εὑρέθησαν δ᾽ ὡς διακόσιοι καὶ τριάκοντα δύο, μαθὼν τὸν σύρον πρὸς εὐωχίαν καὶ ἄνεσιν τετραμμένον, ἀνοίξας τὰς πύλας, ἐξέπεμψε τοὺς παῖδας. τῶν δὲ σκοπῶν δηλωσάντων τῷ ἀδάδῳ, πέμπει τινὰς ὑπαντησομένους, ἐντειλάμενος ἂν μὲν εἰς μάχην ὦσι προσεληλυθότες, ἵνα δήσαντες ἀγάγωσι πρὸς αὐτὸν, ἂν δὲ εἰρηνικῶς, ὅπως τοῦτο ποιῶσιν. εἶχε δ᾽ ἑτοίμην ἄχαβος καὶ τὴν ἄλλην στρατιὰν ἐντὸς τῶν τειχῶν. οἱ δὲ παῖδες τῶν ἀρχόντων συμβαλόντες τοῖς φύλαξι, πολλοὺς αὐτῶν ἀποκτείνουσι. καὶ τοὺς ἄλλους ἄχρι τοῦ στρατοπέδου διώκουσιν. ἰδὼν δὲ τούτους νικῶντας ὁ τῶν ἰσραηλιτῶν βασιλεὺς, ἐξαφίησι καὶ τὴν ἄλλην στρατιὰν ἅπασαν. ἡ δὲ, αἰφνιδίως ἐπιπεσοῦσα τοῖς σύροις, ἐκράτησεν αὐτῶν. οὐ γὰρ προσεδόκων αὐτοὺς ἐπεξελεύσεσθαι. καὶ διὰ τοῦτο γυμνοῖς καὶ μεθύουσι προσέβαλλον, ὥς τε τὰς πανοπλίας ἐκ τῶν στρατοπέδων φεύγοντας καταλείπειν, καὶ τὸν βασιλέα διασωθῆναι μόλις ἐφ᾽ ἵππου ποιησάμενον τὴν φυγήν. ἄχαβος δὲ, πολλὴν ὁδὸν διώκων τοὺς σύρους ἤνυσεν, ἀναιρῶν αὐτούς. διαρπάσας δὲ τὰ ἐν τῇ παρεμβολῇ, πλοῦτος δ᾽ ἦν οὐκ ὀλίγος, ἀλλὰ καὶ χρυσοῦ πλῆθος καὶ ἀργύρου, τά τε ἅρματα τοῦ ἀδάδου καὶ τοὺς ἵππους λαβὼν, ἀνέστρεψεν εἰς τὴν πόλιν. τοῦ δὲ προφήτου παρασκευάζεσθαι φήσαντος, καὶ τὴν δύναμιν ἑτοίμην ἔχειν, ὡς τῷ ἐπιόντι πάλιν ἔτει στρατεύσοντος ἐπ᾽ αὐτὸν τοῦ σύρου, ὁ μὲν ἄχαβος, πρὸς τούτοις ἦν. ὁ δὲ ἄδαδος, διασωθεὶς ἐκ τῆς μάχης, μεθ᾽ ὅσης ἐδυνήθη στρατιᾶς, συνεβουλεύσατο τοῖς αὑτοῦ φίλοις, πῶς ἂν ἐπιστρατεύσηται τοῖς ἰσραηλίταις. οἱ δ᾽ ἐν μὲν τοῖς ὄρεσιν οὐκ ἐδίδοσαν γνώμην συμβαλεῖν αὐτοῖς. τὸν γὰρ θεὸν αὐτῶν ἐν τοῖς τοιούτοις δύνασθαι τόποις, καὶ διὰ τοῦτο νῦν ὑπ᾽ αὐτῶν νενικῆσθαι. κρατήσειν δὲ ἔλεγον, ἐν πεδίῳ ποιησαμένους τὴν μάχην. συνεβούλευόν τε πρὸς τούτῳ, τοὺς μὲν βασιλέας οὓς ἐπηγάγετο συμμάχους, ἀπολῦσαι εἰς τὰ οἰκεῖα. τὴν δὲ στρατιὰν αὐτῶν κατασχεῖν, ἀντ᾽ ἐκείνων σατράπας καταστήσαντα. εἰς δὲ τὴν τῶν ἀπολωλότων τάξιν, στρατολογῆσαι δύναμιν ἐκ τῆς χώρας τῆς αὐτῶν ἵππους καὶ ἅρματα. δοκιμάσας οὖν ταῦτα εἰρῆσθαι καλῶς οὕτως διεκόσμησε τὴν δύναμιν. ἀρξαμένου δὲ τοῦ ἔαρος ἀναλαβὼν τὴν στρατείαν, ἦγεν ἐπὶ τοὺς ἑβραίους, καὶ γενόμενος πρὸς πόλει τινὶ, ἄφεκα δ᾽ αὕτη ἦν, ἐν μεγάλῳ στρατοπεδεύεται πεδίῳ. ἄχαβος δὲ ἀπαντήσας αὐτῷ μετὰ τῆς δυνάμεως, ἀντεστρατοπεδεύσατο. σφόδρα δ᾽ ἦν ὀλίγον αὐτοῦ τὸ στράτευμα, πρὸς τοὺς πολεμίους ἀντιπαραβαλλόμενον. τοῦ δὲ προφήτου προσελθόντος αὐτῷ πάλιν, καὶ νικήσειν τὸν θεὸν αὐτῷ φήσαντος, ἵνα τὴν ἰδίαν ἰσχὺν ἐπιδείξηται, μὴ μόνον ἐν τοῖς ὄρεσιν, ἀλλὰ κἀν τοῖς πεδίοις ὑπάρχουσαν ὅπερ οὐκ ἔστι δοκεῖ τοῖς σύροις, ἑπτὰ μὲν ἡμέραις ἀντιστρατοπεδεύοντες ἡσύχαζον. τῇ δ᾽ ὑστάτῃ τούτων, ὑπὸ τὸν ὄρθρον προελθόντων ἐκ τοῦ στρατοπέδου τῶν πολεμίων, καὶ παραταξαμένων πρὸς μάχην, ἀντεπεξῆγε καὶ ἄχαβος τὴν οἰκείαν δύναμιν. καὶ συμβαλὼν, καρτερᾶς τῆς μάχης γενομένης, τρέπεται τοὺς πολεμίους εἰς φυγήν.

A & nullam oppugnandi rationem prætermitti. Interim Achabus cum omni populo minimũ à desperatione aberat. Sed hunc timorem ei propheta quidam superueniens exemit, dicens Deum polliceri, daturum se victoriam de tam multis hostium millibus. Rogatus deinde per quos hæc victoria contingeret: Per filios, inquit, principum, sed te regente illorum imperitiam. Accitis igitur principum filiis, qui triginta duo erant supra ducentos, cognito quòd B Syrus ad epulas & luxum se dedisset, patefactis repentè portis emittit iuuenes. Id postquam ei per speculatorem est significatum, mittit quosdam eis obuiam cum his mandatis, vt siue pacati veniant, siue pugnatum, vinctos ad se pertrahant. Interim Achabus etiam reliquum militem intra mœnia paratum cum armis habuit. Filij verò principum congressi cum excubiis, multis occisis reliquos vsque ad castra persequuti sunt. Quod vbi succedere Israelitarum C rex animaduertit, vniuersum reliquum exercitum emittit. At illi repentino impetu in Syros delati, facilè eos profligant, nihil tale expectantes. quo factum est vt in ebrios & inermes impingerent, ita vt relicta in castris armatura fugerent, & rex ipse præceleri equo vix euaserit. Achabus verò longo spacio Syros persequutus est, cędendo quotquot assequi datum est. Direptis deinde opulentis castris, auro & argento refertis, captis etiam equis Adadi & curribus, D domum in vrbem reuersus est. Cæterùm propheta monente vt in sequentem etiam annum paratus sit, & exercitum in promptu habeat, reuersurum enim Syrum iterum, rex omni ope bellum apparat. Porrò Adadus seruatus è clade cum reliquiis exercitus, aduocatis amicis, consultabat quomodo cum Israelitis bellum gerere debeat. Illi suaserunt non esse posthac cum eis in montanis confligendum. Deum enim eorum in talibus locis pollere, & ideo se nunc E ab eis victos. Sed si in campestribus committatur prælium, facilè se superiores fore. Præterea consuluerunt vt dimissis regibus quos secum in expeditionem duxerat, copias eorum retineret, & satrapas illis præficeret, supplemẽtumque in sua ditione tam equitum quàm peditum conscriberet. Placuit regi consilium, déditque operam vt talis apparatus fieret. Mox vbi primum veris signum se protulit, exercitum in Hebræos duxit, & quum peruenisset propè oppidum Apheca, in magno campo castra po- F suit. Achabus verò cum suis copiis obuiam illi progressus, castra cum castris contulit, quamuis numero militum longè inferior. Superueniente deinde propheta, & victoriam pollicente, vt hostis contra quàm opinabatur sentiret Deum Israelitarum non minus potentem in campis quàm in mõtibus, per sex dies à neutris castris quicquam motum est. Septima verò quum hostis pro castris aciem explicuisset, Achabus quoque suos ex aduerso instruxit.

Nec mora collatis signis acriter vtrinque pugnatum est, donec Syri non ferentes Hebræorum vim terga verterent. quibus impigrè victoriam prosequentibus, confusum agmen trepidè fugientium equitum, peditum, curruũ, à seipsis proculcatum obterebatur, non multis pro tanto numero in Aphecam amicam vrbem euadentibus: qui & ipsi murorum ruina oppressi sunt circiter viginti septem millia in prælio verò centum millia hostium ceciderunt. Adadus aliquot fidissimis famulis comitatus in quandam subterraneã cellam se abdidit. quibus clementiam Israelitici regis prædicantibus, & spem veniæ facientibus, si consueto supplicum habitu ad eum mitterentur, permissi sunt hoc facere. Illi induti saccos, & restibus capita redimiti, qui tum priscus apud Syros supplicandi mos fuit, Achabum adeunt, & salutis tantùm gratiam petere Adadum significant, deditítium eius in perpetuum futurum. Tum ille gratulari se ei dixit, quòd è pugna euasisset, fratrísque loco eum se habiturum pollicitus est. Famuli accepta sacramenti fide nihil mali passurum, producunt è latebris hominem, & adducunt ad Achabum, qui tum sublimis curru vehebatur. Et quum adorasset, Achabus porrecta dextra in currum eum sustulit, exceptúmque osculo iussit esse bono animo, & nihil se indignum timere, Adadus actis gratiis quàm longa sibi vita daretur memorem se fore huius beneficij professus est, rediturúmque Israelitici iuris vrbes, quas maiores eius armis occupauerant: & facturum ei liberam potestatem commeandi Damascum, sicut pater ipsius idem ius Samariæ habuerat. Fœdere deinde icto, & iureiurando firmato, Adadus egregiè donatus in suum regnum remissus est. Post talem Syrorum contra Israelitas expeditionis exitum propheta quidam, nomine Michæas, accessit ad quendam Israelitam iussitque eum vtvulnus sibi in caput infligeret, addens Deum ita velle. Qui quum parere nollet, daturum inobedientiæ pœnam prædixit, & leonis incursu periturum. Quod quum ita euenisset, alterum propheta adiit, idem imperans. A quo incunctanter ictus, & verticem saucius, obligato capite venit ad regem, dicens se commilitonem eius esse, & à tribuno captiuum quendam asseruandum accepisse: quo fuga elapso periclitari se nunc ne interficiatur ab eo qui illum tradiderat, quandoquidem hoc interminatus sit si captiuus effugeret. Respondente verò Achabo merito id passurum, soluto capite agnoscendum se Michęas præbuit. Hac autem arte vsus est, quo maiorem vim verbis suis adderet. Ait enim Deum in regem animaduersurum, quòd Adadum hominem impium & contra diuinitatem contumeliosis dictis furentem elabi permisisset. Futurum enim vt ipse ab eo cui pepercit interficiatur, & populus eius ab exercitu. Rex libertate prophetæ offensus, iubet eum in carcerem coniici, & vehementer ea prædictione contristatus domum se recipit.

καὶ διώκων ἐπέκειτο κτείνων. οἱ δὲ, καὶ ὑπὸ τῶν ἁρμάτων, καὶ ὑπ' ἀλλήλων ἀπώλλυντο. ἴσχυσαν δὲ ὀλίγοι διαφυγεῖν, εἰς τὴν ἄφεκα πόλιν αὐτῶν. ἀπέθανον δὲ καὶ αὐτοὶ, τῶν τειχέων αὐτοῖς ἐπιπεσόντων, ὄντες δισμύριοι ἑπτακισχίλιοι. διεφθάρησαν δὲ ἐν ἐκείνῃ τῇ μάχῃ ἄλλαι μυριάδες δέκα. ὁ δὲ βασιλεὺς τῶν σύρων ἄδαδος, φεύγων μετά τινος πιστοτάτου τῶν οἰκετῶν, εἰς ὑπόγαιον οἶκον ἐκρύβη. τούτων δὲ, φιλανθρώπους καὶ ἐλεήμονας εἶναι φησάντων τοὺς τῶν ἰσραηλιτῶν βασιλέας, καὶ δυνήσεσθαι τῷ συνήθει τρόπῳ τῆς ἱκετείας χρησαμένους τὴν σωτηρίαν αὐτῶν παρὰ ἀχάβου λαβεῖν εἰ συγχωρήσειεν αὐτοῖς, πρὸς αὐτὸν ἀπελθεῖν ἀφῆκεν. οἱ δὲ, σάκκους ἐνδυσάμενοι, καὶ σχοινία ταῖς κεφαλαῖς περιθέμενοι, οὕτως γὰρ τὸ παλαιὸν ἱκέτευον οἱ σύροι, πρὸς ἄχαβον παρεγένοντο, καὶ δεῖσθαι τὸν ἄδαδον σώζειν αὐτὸν ἔλεγον, εἰς ἀεὶ δοῦλον αὐτοῦ τῆς χάριτος γενησόμενον. ὁ δὲ, συνήδεσθαι φήσας αὐτῷ περιόντι, καὶ μηδὲν ἐν τῇ μάχῃ πεπονθότι, τιμὴν καὶ εὔνοιαν ἣν ἄν τις ἀδελφῷ παράσχοι κατεπηγγείλατο. λαβόντες δὲ ὅρκους παρ' αὐτοῦ, μηδὲν ἀδικήσειν φανέντα, προάγουσι πορευθέντες ἐκ τοῦ οἴκου ἐν ᾧ ἐκέκρυπτο, καὶ προσάγουσι τῷ ἀχάβῳ, ἐφ' ἅρματος καθεζομένῳ. ὁ δὲ, προσεκύνησεν αὐτῷ. ἄχαβος δὲ ἐπιδοὺς αὐτῷ τὴν δεξιὰν, ἀνεβίβασεν ἐπὶ τὸ ἅρμα, καὶ καταφιλήσας, θαρρεῖν ἐκέλευσε καὶ μηδὲν τῶν ἀτόπων προσδοκᾶν. ἄδαδος δὲ εὐχαριστεῖ, καὶ παρ' ὅλον τὸν τοῦ ζῆν χρόνον ἀπομνημονεύειν τῆς εὐεργεσίας ὡμολόγει. καὶ τὰς πόλεις τῶν ἰσραηλιτῶν ἃς ἀπενηνόχασιν οἱ πρὸ αὐτοῦ βασιλεῖς, ἀποδώσειν ἐπηγγείλατο. καὶ δαμασκὸν, ὥστε ἐξελαύνειν εἰς αὐτὴν, καθὼς καὶ οἱ πατέρες αὐτοῦ εἰς σαμάρειαν εἶχον τοῦτο ποιεῖν, ἀνήσειν. γενομένων δὲ αὐτοῖς ὅρκων καὶ συνθηκῶν, πολλὰ δωρησάμενος αὐτῷ ἄχαβος, ἀποπέμπει εἰς τὴν ἰδίαν βασιλείαν. καὶ τὰ μὲν περὶ τῆς ἀδάδου τοῦ σύρων βασιλέως στρατείας, ἐπὶ ἄχαβον καὶ τοὺς ἰσραηλίτας, τοιοῦτον εἶχε τὸ τέλος. προφήτης δέ τις μιχαίας τοὔνομα, προσελθὼν ἑνὶ τῶν ἰσραηλιτῶν, ἐκέλευσεν αὐτὸν εἰς τὴν κεφαλὴν πλῆξαι. τοῦτο γὰρ ποιήσειν, κατὰ βούλησιν τοῦ θεοῦ. τοῦ δὲ μὴ πεισθέντος προεῖπεν αὐτῷ παρακούσαντι, τῶν τοῦ θεοῦ προσταγμάτων, λέοντι περιτυχόντα διαφθαρήσεσθαι. συμβάντος δὲ τούτου τἀνθρώπῳ, πρόσεισιν ἑτέρῳ πάλιν ὁ προφήτης, ταὐτὸ προστάσσων. πλήξαντος δὲ ἐκείνου, καὶ θραύσαντος αὐτοῦ τὸ κρανίον, καταδησάμενος τὴν κεφαλὴν, προσῆλθε τῷ βασιλεῖ λέγων αὐτῷ, συνεστρατεῦσθαι, καὶ παραλαβεῖν ἐπὶ φυλακὴν τινὰ τῶν αἰχμαλώτων παρὰ τοῦ ταξιάρχου. φυγόντος δὲ αὐτοῦ κινδυνεύειν ὑπὸ τοῦ παραδεδωκότος ἀποθανεῖν. ἀπειλῆσαι γὰρ αὐτὸν εἰ διαφύγοι ὁ αἰχμάλωτος ἀποκτείνειν. δίκαιον δὲ φήσαντος ἀχάβου τὸν θάνατον εἶναι, λύσας τὴν κεφαλὴν, ἐπιγινώσκεται ὑπ' αὐτοῦ μιχαίας ὁ προφήτης ὤν. κέχρηται δὲ σοφίσματι πρὸς αὐτὸν τῷ γενομένῳ πρὸς τοὺς μέλλοντας λόγους. εἶπε γὰρ ὡς ὁ θεὸς ἀφέντα αὐτὸν διαδρᾶναι τὴν τιμωρίαν ἄδαδον βλασφημήσαντα εἰς αὐτὸν μετελεύσεται, καὶ ποιήσει μὲν ἀποθανεῖν αὐτὸν ὑπ' ἐκείνου, τὸν δὲ λαὸν ὑπὸ τῆς στρατιᾶς αὐτοῦ. παροξυνθεὶς δὲ ἄχαβος πρὸς τὸν προφήτην, τὸν μὲν, ἐγκλεισθέντα φυλάττεσθαι ἐκέλευσεν. συγκεχυμένος δὲ αὐτὸς ἐπὶ τοῖς μιχαίου λόγοις, ἀνεχώρησεν εἰς τὴν οἰκίαν.

Κεφάλαιον θ'.

Περὶ ἰωσαφάτου τοῦ ἱεροσολύμων βασιλέως.

Καὶ ἀχάβης μὲν ἐν τούτοις ἦν, ἐπάνειμι δὲ ἐπὶ τὸν ἱεροσολύμων βασιλέα ἰωσάφατον. ὃς αὐξήσας τὴν βασιλείαν, καὶ δυνάμεις ἐν ταῖς πόλεσι ταῖς ἐν τῇ τῶν ὑπηκόων χώρᾳ καταστήσας, οὐδὲν ἧττον ὑπὸ ἀβία τοῦ πάππου καταληφθείσαις τῆς ἐν ἐφραΐμ κληρουχίας, ἱεροβοάμου βασιλεύοντος τῶν δέκα φυλῶν, φρουρὰς ἐγκαθίδρυσεν. ἀλλ' εἶχεν εὐμενές τε καὶ συνεργὸν τὸ θεῖον, δίκαιος ὢν καὶ εὐσεβής, καὶ τί καθ' ἑκάστην ἡμέραν ἡδὺ ποιήσῃ καὶ προσηνὲς τῷ θεῷ ζητῶν. ἐτίμων δ' αὐτὸν οἱ πέριξ βασιλεῖς δωρεαῖς, ὡς πλεῖστόν τε ποιῆσαι βαθύπλουτον, καὶ δόξαν ἀρέσθαι μεγίστην. τρίτῳ δὲ τῆς βασιλείας ἔτει, συγκαλέσας τοὺς ἡγεμόνας, καὶ τοὺς ἱερεῖς τῆς χώρας, ἐκέλευσε τὴν γῆν περιελθόντας, ἅπαντα τὸν λαὸν τὸν περὶ αὐτὸν διδάξαι κατὰ πόλεις τοὺς μωυσέως νόμους, καὶ φυλάσσειν τούτους, καὶ σπουδάζειν περὶ τὴν θρησκείαν τοῦ θεοῦ. καὶ ἤδη πᾶν τὸ πλῆθος οὕτως, ὡς μηδὲν ἄλλο φιλοτιμεῖσθαι μηδὲ ἀγαπᾶν, ὡς τὸ τηρεῖν τὰ νόμιμα. οἵ τε πρόσχωροι διετέλουν στέργοντες τὸν ἰωσάφατον, καὶ πρὸς αὐτὸν εἰρήνην ἄγοντες. οἱ δὲ παλαιστινοὶ, τακτοὺς ἐτέλουν αὐτῷ φόρους, καὶ ἄραβες ἐχορήγουν κατ' ἔτος ἄρνας ἑξήκοντα καὶ τριακοσίους. καὶ ἐρίφους τοσούτους. πόλεις τε μεγάλας ὠχύρωσεν, ἄλλας τε καὶ βάρεις, καὶ δύναμιν στρατιωτικὴν, καὶ ὅπλα πρὸς τοὺς πολεμίους ηὐτρέπιστο. ἦν δὲ ἐκ μὲν τῆς ἰούδα φυλῆς, στρατὸς ὁπλιτῶν μυριάδες τριάκοντα, ὧν ἔδραιος τὴν ἡγεμονίαν εἶχεν, ἰωάννης δὲ, μυριάδων εἴκοσι. ὁ δ' αὐτὸς οὗτος ἡγεμὼν, κἀκ τῆς βενιαμίτιδος φυλῆς εἶχε τοξότων πεζῶν μυριάδας εἴκοσι. ἄλλος δ' ἡγεμὼν, ὀχόβατος ὄνομα, μυριάδας ὁπλιτῶν ὀκτωκαίδεκα τὸ πλῆθος τῷ βασιλεῖ προσένειμε, πάρεξ ὧν εἰς τὰς ὀχυρωτάτας διέπεμψε πόλεις. ἠγάγετο δὲ τῷ παιδὶ ἰωράμῳ τὴν ἀχάβου θυγατέρα τοῦ τῶν δέκα φυλῶν βασιλέως, γοθολίαν ὄνομα. πορευθέντα δ' αὐτὸν μετὰ χρόνον τινὰ εἰς σαμάρειαν, φιλοφρόνως ἄχαβος ὑπεδέξατο, καὶ τὸν ἀκολουθήσαντα στρατὸν ἐξένισε λαμπρῶς, σίτου τε καὶ οἴνου καὶ θυμάτων ἀφθονίᾳ. παρεκάλεσε δὲ συμμαχῆσαι κατὰ τοῦ σύρου βασιλέως, ἵνα τὴν ἐν γαλαδηνῇ πόλιν ἀράμαθαν ἀφέληται. τοῦ γὰρ πατρὸς αὐτοῦ πρῶτον τυγχάνουσαν, ἀφῃρῆσθαι τὸν ἐκείνου πατέρα. τοῦ δὲ ἰωσαφάτου τὴν βοήθειαν ἐπαγγειλαμένου, καὶ γὰρ εἶναι δύναμιν αὐτῷ μὴ ἐλάττω τῆς ἐκείνου, καὶ μεταπεμψαμένου τὴν δύναμιν ἐξ ἱεροσολύμων εἰς σαμάρειαν, προεξελθόντες ἔξω τῆς πόλεως οἱ δύο βασιλεῖς, καὶ καθίσαντες ἐπὶ τοῦ ἰδίου θρόνου ἑκάτερος, τοῖς οἰκείοις στρατιώταις τὸ στρατιωτικὸν διένεμον. ἰωσάφατης δὲ ἐκέλευσεν εἴ τινές εἰσι προφῆται, καλέσαντ' αὐτοὺς ἀνακρῖναι, περὶ τῆς ἐπὶ τὸν σύρον ἐξόδου, εἰ συμβουλεύουσι κατ' ἐκεῖνον τὸν καιρὸν αὐτῷ ποιήσασθαι τὴν στρατείαν. καὶ γὰρ εἰρήνη καὶ φιλία τότε τῷ ἀχάβῳ πρὸς τὸν σύρον ὑπῆρχεν, ἐπὶ τρία ἔτη διαμείνασα, ἀφ' οὗ λαβὼν αὐτὸν αἰχμάλωτον ἀπέλυσεν, ἄχρις ἐκείνης τῆς ἡμέρας.

Cap. IX.

De Iosaphato rege Hierosolymorum.

Hactenus de Achabi rebus, nunc ad Iosaphatum Hierosolymorum regem reuertor: qui aucto suo regno, & præsidiis per vrbes ditionis suæ dispositis, ne illas quidem sine præsidio reliquit, quas Abias auus in sorte Ephræmitica de Hieroboamo decem tribuum rege ceperat. Hic rex perpetuò propitium & auxiliatorem Deum habuit, quòd esset vir iustus ac pius, & per singulos dies dabat operam vt aliquid gratum Deo faceret. Quo factum est vt & ipsi à circumquaque vicinis regibus multus honos haberetur, id quod missitandis ad eũ muneribus declarauerunt, vthinc quoque tam diuitiæ regis quàm fama non mediocre incrementum caperent. Anno autem regni sui tertio conuocatis principibus & sacerdotibus eius regionis, iussit eos obire vniuersam ditionem, & populum oppidatim leges Moysis, earúmque obseruãtiam atque religionis cultum docere quod adeò libenter ciues complexi sunt, vt certamen huius studij inter eos susceptum videri posset. Finitimæ quoque gentes constanter hunc regem amabant, pacem inuiolatam cum eo seruantes. Palæstini etiam ordinaria tributa persoluebant, & Arabes annuos sexcentos triginta agnos, parémque hædorum numerum. Muniuit etiam magnas vrbes ac validas, & exercitus armis bene instructos contra hostem aluit: ex tribu Iudæ scutatorum trecenta millia, quibus præerat Edraus, Ioannes verò ducentis millibus. Idem dux habebat ex tribu Beniamitica sagittariorum peditum ducenta millia. alius præterea dux nomine Ochobatus ductabat centum octoginta scutatorum millia absque militibus, qui per oppidorum præsidia fuêre dispositi. Duxit deinde filio suo Ioramo Achabi decem tribuum regis filiam Gotholiam. Cúmque libuisset ei Samariam inuisere, benignissimè ab Achabo exceptus est, atque etiam militia quę suum regem comitabatur, publicè exhibito frumento, vino & carnibus. rogatúsque est ab Achabo, vt contra Syrorum regem arma cum eo coniungeret. ad recipiendam vrbem Ramatham in regione Galaditica, quam de ipsius Syri patre ceperat. Iosaphatò verò auxilium pollicito, quòd non minorem haberet exercitum, & Samariam accitis à Hierosolymis copiis, progressi extra mœnia duo reges, & sedente in suo quisque solio, stipendia militibus numerabant. Iosaphatus verò censebat (si qui prophetæ essent) accersendos, & consulendos de expeditione quæ contra Syrum parabatur, an & illis videretur eo tempore suscipienda. Etenim Achabo amicitia cum Syro intercedebat triennio continuo, ex quo captum eum dimiserat vsque in illam diem.

CAP. X.

Achabus à Syris bello lacessitus in prælio victus occiditur.

ACHab⁹ verò accitis suis prophetis numero quadringētis iussit eos ex Deo scitari, an daturus sit regi bellum contra Adadum mouenti victoriam, & vrbis dominium propter quam bellum instaurare placuit. Prophetis verò bellum suadentibus: vincendum enim Syrum, & in potestatem venturum, quemadmodum antea: Iosaphato suboluit fucus ex eorum verbis, & quòd falsi vates essent: percōtatusque est Achabum, num quem alium prȩterea prophetam habeat, vt certiùs etiam futura prȩscire valeant. Respondit ille, esse quidem & alium, sed sibi inuisum, quòd malum euentum prædicat, foréque vt ipse à Syrorū rege occisus pereat, & ob eam causam in carcerem eum nunc esse inclusum. Eum vocari Michæam Iembleæ filium. Iosaphato verò postulante eum produci missus cubicularius prophetam adduxit: qui inter eundum ei indicauerat, cæteros omnes prophetas victoriam regi prædicere. Respondit vates, sibi non licere contra quàm Deus moneat mentiri, sed dicturum se quicquid ex eo de rege cognouerit. Vbi verò ad regem peruenit, adiuratus vt vera loqueretur: ait sibi Deum ostendisse Israelitas fugientes, & insequentibus Syris dispersos, non aliter quàm greges sublatis pastoribus. Hoc quoque significare Deum dicebat, quòd cæteris incolumibus redeuntibus, solus Achabus in prælio cadere debeat. Hæc loquuto Michea, versus ad Iosaphatum Achabus: Nónne, inquit, modò tibi dixi quàm malè mihi velit iste. Michæa verò constanter asseuerante se nihil nisi iussu Dei prædicere, illum verò spe victoriȩ solicitari a pseudoprophetis ad bellum, in quo ipsi cadendum sit, rex attentiùs cogitare cœpit. Interea Sedecias quidam vnus è pseudoprophetis in medium progreditur, negans curandum quid Micheas garriat. nihil enim veri eū prædicere, argumento esse prædictionem Eliæ, qui sine dubio melius quàm iste futura cerneret. illum enim prædixisse, apud Iezraelam in Nabuthi suburbano lambendum à canibus regis sāguinem, quemadmodū lampsissent cruorem Nabuthi opera ipsius lapidati à populo. perspicuum igitur esse istum mentiri, qui longe præstantiori prophetæ non vereatur cōtrarium dicere, quòd periturus sit rex ab hinc die tertia. sed mox fore euidentius etiam quàm verax sit aut afflatus diuino spiritu. Percussus, inquit, à me in faciem, arefaciat mihi dexteram, sicut Iadon fecit Hieroboamo, cùm cōprehēdi eum prophetam iussisset. Puto enim te audiuisse quòd hoc ita factum sit. & cum dicto inflixit ei alapam. cúmq. ei nihil mali propter hoc accideret, securus iam Achabus non ampliùs dubitauit copias contra Syrum ducere. vincebat enim opinor, fati vis, plus fidei falsis quàm veris prophetis astruens, & causas ad futurum euentum prȩstruens. Sedecias verò aptatis sibi ferreis cornibus, dicit Achabo, Deum significare ventilandā cornibus vniuersam Syriā. Michæa contrà asseuerante breui fore vt Sedecias

Κεφάλαιον ι.

Ὡς ἄχαβος ἐπὶ σύρους στρατευσάμενος ἡττήθη τῇ μάχῃ, καὶ αὐτὸς ἀπώλετο.

ΚΑλέσας δ' ἄχαβος τοὺς αὐτοῦ προφήτας, τετρακοσίους τὸν ἀριθμὸν ὄντας, ἐκέλευσεν ἐρέσθαι τὸν θεόν, εἰ δίδωσιν αὐτῷ στρατευσαμένῳ ἐπὶ τὸν ἄδαδον νίκην καὶ καθαίρεσιν πόλεως, δι' ἣν ἐκφέρειν μέλλει τὸν πόλεμον. τῶν δὲ προφητῶν συμβουλευσάντων ἐκστρατεῦσαι, κρατήσειν γὰρ τοῦ σύρου, καὶ λήψεσθαι ὑποχείριον αὐτὸν ὡς καὶ τὸ πρότερον. συνεὶς ἐκ τῶν λόγων ἰωσάφατος, ὅτι ψευδοπροφῆται τυγχάνουσιν, ἐπύθετο τοῦ ἀχάβου, εἰ καὶ ἕτερός τις ἐστὶ προφήτης τοῦ θεοῦ, ἵνα ἀκριβέστερον μάθωμεν περὶ τῶν μελλόντων. ὁ δ' ἄχαβος, εἶναι μὲν ἔφη, μισεῖν δὲ αὐτὸν κακὰ προφητεύσαντα, καὶ προειπόντα ὅτι τεθνήξεται νικηθεὶς ὑπὸ τοῦ σύρων βασιλέως, καὶ διὰ τοῦτο ἐν φυλακῇ νῦν αὐτὸν ἔχειν, καλεῖσθαι δὲ μιχαίαν, υἱὸν ἰεμβλαίου. τοῦ δὲ ἰωσαφάτου κελεύσαντος αὐτὸν προαχθῆναι, πέμψας εὐνοῦχον, ἄγει τὸν μιχαίαν. κατὰ δὲ τὴν ὁδὸν ὁ εὐνοῦχος ἐδήλωσεν αὐτῷ πάντας τοὺς ἄλλους προφήτας, νίκην τῷ βασιλεῖ προειρηκέναι. ὁ δ' οὐκ ἐξὸν αὐτῷ καταψεύδεσθαι τοῦ θεοῦ φήσας, ἀλλ' ἐρεῖν ὅτι ἂν αὐτῷ περὶ τοῦ βασιλέως αὐτὸς εἴπῃ. ὡς ἧκε πρὸς τὸν ἄχαβον, καὶ λέγειν αὐτῷ τἀληθὲς οὗτος ἐνορκίσαντος, δεῖξαι τὸν θεὸν αὐτῷ τοὺς ἰσραηλίτας φεύγοντας ἔφη, καὶ διωκομένους ὑπὸ τῶν σύρων, καὶ διασκορπιζομένους, καθάπερ ποιμένων ἀπηρημένων τὰ ποίμνια. ἔλεγε τε σημαίνειν τοὺς μὲν, μετ' εἰρήνης ἀναστρέφειν εἰς τὰ ἴδια, πεσεῖσθαι δὲ αὐτὸν μόνον ἐν τῇ μάχῃ. ταῦτα φήσαντος τοῦ μιχαία πρὸς ἰωσάφατον, ὁ ἄχαβος, ἀλλ' ἔγωγε μικρὸν ἔμπροσθεν ἐδήλωσά σοι τὴν τἀνθρώπου πρός με διάθεσιν. τοῦ δὲ μιχαία εἰπόντος, ὡς προσήκει αὐτῷ πάντων ἀκροᾶσθαι τῶν ὑπὸ θεοῦ προλεγομένων, καὶ ὡς παροξύνουσιν αὐτὸν οἱ ψευδοπροφῆται, πείσασθαι τὸν πόλεμον ἐπ' ἐλπίδι νίκης, ὅτι δεῖ πεσεῖν αὐτὸν μαχόμενον, αὐτὸς μὲν ἦν ἐπ' ἐννοίᾳ. σεδεκίας δέ τις τῶν ψευδοπροφητῶν προελθὼν, τῷ μὲν μιχαίᾳ μὴ προσέχειν παρῄνει. μὴ λέγειν γὰρ αὐτὸν ἀληθές. τεκμηρίοις δὲ ἐχρήσατο οἷς ἠλίας προεφήτευσεν ὁ τούτου κρείττων τὰ μέλλοντα συνιδεῖν. καὶ γὰρ τοῦτον ἔλεγε προφητεύσαντα ἐν ἰεζαρὰ πόλει, ἐν τῷ ναβουθαίου ἀγρῷ τὸ αἷμα αὐτοῦ κύνας λιχμήσασθαι προειπεῖν, καθὼς καὶ ναβούθου τὸ δι' αὐτὸν καταλευσθέντος ὑπὸ τοῦ ὄχλου. δῆλον οὖν, ὡς ἐστὶ ψεύδεται τῷ κρείττονι προφήτῃ τἀναντία λέγων, ἀπὸ ἡμερῶν τριῶν φάσκων ταύτης τεθνήξεσθαι. γνώσεσθαι δ' εἴπερ ἐστὶν ἀληθὴς καὶ τοῦ θείου πνεύματος τὴν δύναμιν ἔχει. αὐτίκα γὰρ ῥαπισθεὶς ὑπ' ἐμοῦ, βλαψάτω μου τὴν χεῖρα, ὥσπερ ἰάδων τὴν ἱεροβοάμου τοῦ βασιλέως συλλαβεῖν θελήσαντος ἀπεξήρανε δεξιάν. ἀκήκοας γὰρ οἶμαι τοῦτο πάντως γενόμενον. ὡς οὖν πλήξαντος αὐτοῦ τὸν μιχαίαν, συνέβη μηδὲν παθεῖν, ἄχαβος θαρρήσας ἄγειν τὴν στρατιὰν προεθυμεῖτο ἐπὶ τὸν σύρον. ἐνίκα γὰρ οἶμαι, τὸ χρεὼν, καὶ πιθανωτέρους ποιεῖ τἀληθοῦς τοὺς ψευδοπροφήτας, ἵνα λάβῃ τὴν ἀφορμὴν τοῦ τέλους. σεδεκίας δὲ σιδήρεα ποιήσας κέρατα λέγει πρὸς ἄχαβον, θεὸν αὐτῷ σημαίνειν τούτοις πᾶσαν καταστρέψασθαι συρίαν, μιχαίας δὲ μετ' οὐ πολλὰς ἡμέρας εἶπε τὸν

τὸν

τὸν σεδεκίαν ταμεῖον ἐκ ταμείου κρυβησόμενον ἀμείψειν, ζητοῦντα φυγεῖν τῆς ψευδολογίας τὴν δίκην, ἐκέλευσεν ὁ βασιλεὺς ἀπαχθέντα φυλάττεσθαι παρὰ ἀχάμωνα τὸν τῆς πόλεως ἄρχοντα, καὶ χορηγεῖσθαι μηδὲν ἄρτου καὶ ὕδατος αὐτῷ περισσότερον. καὶ ἄχαβος μὲν, καὶ ἰωσάφατος ὁ τῶν ἱεροσολύμων βασιλεὺς, ἀναλαβόντες τὰς δυνάμεις, ἤλασαν εἰς ἀραμάθην πόλιν τῆς γαλααδίτιδος. ὁ δὲ τῶν σύρων βασιλεὺς ἀκούσας αὐτῶν τὴν στρατείαν, ἀντεπήγαγεν αὐτοῖς τὴν αὐτοῦ στρατιάν. καὶ οὐκ ἄποθεν τῆς ἀραμάθης στρατοπεδεύεται. συνέθεντο δὲ, ὅτι ἄχαβος καὶ ἰωσάφατος, ἀποθέσθαι τὸ βασιλικὸν σχῆμα. τὸν δὲ ἱεροσολύμων βασιλέα, τὴν αὐτοῦ στολὴν ἔχοντα στῆναι ἐν τῇ παρατάξει κατασοφιζόμενον τὰ ὑπὸ τοῦ μιχαίου προειρημένα. εὗρε δ᾽ αὐτὸν τὸ χρεὼν καὶ δίχα τοῦ σχήματος. ὁ μὲν γὰρ ἄδαδος ὁ τῶν σύρων βασιλεὺς, παρήγγελλε τῇ στρατιᾷ διὰ τῶν ἡγεμόνων, μηδένα τῶν ἄλλων ἀναιρεῖν, μόνον δὲ τὸν βασιλέα τῶν ἰσραηλιτῶν. οἱ δὲ σύροι, τῆς συμβολῆς γινομένης, ἰδόντες τὸν ἰωσάφατον ἑστῶτα πρὸ τῆς τάξεως, καὶ τοῦτον εἰκάσαντες εἶναι τὸν ἄχαβον, ὥρμησαν ἐπ᾽ αὐτὸν, καὶ περικυκλωσάμενοι, ὡς ἐγγὺς ὄντες ἔγνωσαν οὐκ ὄντα τοῦτον, ἀνεχώρησαν ὀπίσω πάντες. ἀρξάμενοι δ᾽ ἠοῦς ἄχρι δείλης ὀψίας γινομένης, μαχόμενοι καὶ νικῶντες, ἀπέκτειναν οὐδένα κατὰ τὴν τοῦ βασιλέως ἐντολήν. ζητοῦντες τὸν ἄχαβον ἀνελεῖν μόνον, καὶ εὑρεῖν οὐ δυνάμενοι. παῖς δέ τις βασιλικὸς τοῦ ἀδάδου ἀμάνος ὄνομα, τοξεύσας εἰς τοὺς πολεμίους, τιτρώσκει τὸν βασιλέα διὰ τοῦ θώρακος, κατὰ τοῦ πνεύμονος. ἄχαβος δὲ τὸ μὲν συμβεβηκὸς οὐκ ἔγνω ποιῆσαι τῷ στρατεύματι φανερὸν μὴ τραπείησαν. τὸν δ᾽ ἡνίοχον ἐκέλευσεν ἐπιστρέψαι τὸ ἅρμα καὶ ἐξαγαγεῖν τῆς μάχης. χαλεπῶς γὰρ βεβλῆσθαι καὶ καιρίως. ὀδυνώμενος δὲ, ἔστη ἐπὶ τοῦ ἅρματος, ἄχρι δυσμῶν τοῦ ἡλίου, καὶ λιποθυμήσας, ἀπέθανε. καὶ τὸ μὲν σύρων στράτευμα, νυκτὸς ἤδη γινομένης, ἀνεχώρησεν εἰς τὴν παρεμβολήν. δηλώσαντος δὲ τοῦ στρατοκήρυκος ὅτι τέθνηκεν ἄχαβος, ἀνέζευξαν εἰς τὰ ἴδια. κομίσαντες δὲ τὸν ἀχάβου νεκρὸν εἰς σαμάρειαν, ἐκεῖ θάπτουσι. καὶ τὸ ἅρμα ἀποπλύναντες ἐν τῇ ἰεζάρα κρήνῃ, ὂν δὲ καθῃμαγμένον τῷ τοῦ βασιλέως φόνῳ, ἀληθῆ τὴν ἡλία προφητείαν ἐπέγνωσαν. οἱ μὲν γὰρ κύνες, ἀνελιχμήσαντο τὸ αἷμα. αἱ δὲ ἑταιριζόμεναι, ἐν τῇ κρήνῃ τὸ λοιπὸν λουόμεναι τούτῳ διετέλουν. ἀπέθανε δὲ ἐν ραμαθῶνι, μιχαία τοῦτο προειρηκότος. συμβάντων οὖν ἀχάβῳ τῶν ὑπὸ τῶν δύο προφητῶν εἰρημένων, δεῖ μέγα τε τὸ θεῖον ἡγεῖσθαι, καὶ τιμᾶν αὐτὸ πανταχοῦ καὶ σέβειν, καὶ τῆς ἀληθείας μὴ τὰ πρὸς ἡδονὴν καὶ βούλησιν πιθανώτερα δοκεῖν. ὑπολαμβάνειν δ᾽ ὅτι προφητείας καὶ τῆς διὰ τῶν τοιούτων προγνώσεως οὐδὲν ἐστὶ συμφορώτερον, παρέχοντος οὕτω τοῦ θεοῦ, τί δεῖ φυλάξασθαι. λογίζεσθαί τε πάλιν ἐκ τῶν περὶ τὸν βασιλέα γινομένων στοχαζομένοις προσήκει τὴν τοῦ χρεὼν ἰσχὺν, ὅτι μηδὲ προγινωσκόμενον αὐτὸ διαφυγεῖν ἐστιν. ἀλλ᾽ ὑπέρχεται τὰς ἀνθρωπίνας ψυχὰς ἐλπίσι κολακεῦον χρησταῖς, ἄχρις τὸ, πόθεν αὐτῶν κρατήσει περιάγει. φαίνεται οὖν καὶ ἄχαβος ὑπὸ τούτου τὴν διάνοιαν ἀπατηθεὶς, ὡς ἀπιστῆσαι μὲν τοῖς προλέγουσι τὴν ἧτταν. τοῖς δὲ τὰ πρὸς χάριν προφητεύσασι πεισθεὶς, ἀποθανεῖν. τοῦτον μὲν οὖν ὁ παῖς ὀχοζίας διεδέξατο.

è cella in cellã fugiat latebras quæritãs ne luat pœnas vaniloquij, iratus rex iubet eum apud Achamonẽ magistratum vrbis haberi in custodia, nec aliud quicquam præter panem & aquã ei præberi. Atque ita duo reges versus Ramatham cum copiis profecti sunt, quo audito rex Syriæ cum exercitu eis occurrens, non procul à Ramatha castra posuit. Conuentum autem erat inter reges socios, vt Achabus priuato habitu versaretur in prælio, Hierosolymitanus verò sumpto Achabi cultu staret in acie, quo faciliùs Michææ vaticinium eluderent. sed inuenit eum fatum etiam sine insignibus. Adadus enim mandauit per tribunos militi, vt neminem alium occideret, sed solum regem Israelitarum. Syri verò primo congressu videntes Iosaphatum stantem ante aciem, rati esse Achabum impetu facto eum circumuenerũt: sed postquam è propinquo cognouerunt esse aliũ, omnes se retro receperũt. à mane autem vsque ad vesperam pugnantes & vincentes occidebant neminem, sicut eis mandatum fuerat, solũ Achabum ad necem quærendo, nec tamen inueniendo. tãdem vnus ex Adadi famulis Amanus nomine, missa in incertum sagitta, regem per thoracem in pulmonem sauciat. Achabus autem noluit hoc scire suum militem, ne terga verteret: sed aurigam iussit currum extra prælium euehere, quòd graue ac lethale vulnus acceperit. Cúmque vehementer cruciaretur, perstitit tamen in curru vsque ad solis occubitum, & tandem profluuio sanguinis viribus deficiẽs interiit. iámque appetente nocte Syri se in castra recipiunt: & quamprimùm per caduceatorem de Achabi morte cognitum est, solutis castris domum quisque reuertitur. Cadauer regis Samariam relatum, illuc sepulturæ traditur. & cùm currus regius cruore fœdatus ad Iezare fõtem esset ablutus, veritatem Eliæ prædictionis euentus comprobauit. Canes enim lambebant eius sanguinem: & meretrices posthac ex eo fonte aquabuntur. Mortuus autem est apud Ramatham, iuxta Michææ vaticinium. Ergo quoniam vtriusque prophetæ prædictionem euentus consecutus est, veneranda sunt illorum oracula, eísque semper plus oportet tribuere, quàm eorum qui ad gratiam loquuntur sermonibus: nec aliter existimare quàm quòd nihil sit illis vtilius, quandoquidem per ea diuinitus monemur quid caueri debeat. Quin & ea reputatio hoc loco subit animum, quòd insuperabilis sit fati necessitas, quæ etiamsi præsciatur, præcaueri tamen non potest: sed tamdiu homines sibi vana spe blandiuntur, donec in illius casses incidant. nàm hoc quoque Achabo fatale fuerat, vt prænuntiantibus cladem non crederet, & à prophetantibus ad gratiam deceptus in mortem rueret. cui in principatum Ochozias filius succedit.

XV. 3. Reg. 22.

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩ ΕΝΑΤΩ ΛΟΓΩ ΤΩΝ
Ἰωσήπου ἱστοριῶν τῆς ἰουδαϊκῆς ἀρχαιολογίας.

Ὡς στρατευσάμενος ὁ ἀχάβου παῖς, ἰώραμος ἐπὶ μωαβίτας, ἐκράτησεν αὐτῶν. Κεφ. α.
Ὡς ἰώραμος βασιλεύων τῶν ἱεροσολυμιτῶν, τὴν ἀρχὴν πᾶσαν λαβών, τοὺς ἀδελφοὺς καὶ τοὺς πατρῴους φίλους ἀπέκτεινεν. Κεφ. β.
Ὅτι στρατευσάντων ἐπ᾽ αὐτὸν ἀράβων, ἥτε δύναμις αὐτοῦ πᾶσα διεφθάρη. καὶ οἱ παῖδες αὐτοῦ παρὲξ ἑνὸς ὄντος ἔτι νηπίου, καὶ πρὸς τούτοις αὐτὸς ἀσεβὴς γενόμενος, κακῶς τὸν βίον κατέστρεψε. Κεφ. γ.
Στρατεία τοῦ ἰωράμου τῶν ἰσραηλιτῶν βασιλέως ἐπὶ τοὺς σύρους. Κεφ. δ.
Ὡς ἰώραμος ἀπέθανεν ὑπὸ ἰηοῦ ἀναιρεθεὶς τοῦ ἱππάρχου καὶ ἡ γενεὰ αὐτοῦ, καὶ ὁ τῶν ἱεροσολύμων βασιλεὺς ὀχοζίας. Κεφ. ε.
Ὅτι ὁ ἰηοῦς ἐβασίλευσε τῶν ἰσραηλιτῶν ἐν σαμαρείᾳ διαζῶν, καὶ οἱ παῖδες αὐτοῦ ἐπὶ γενεὰς τέσσαρας. Κεφ. ς.
Ὡς γοθολία, τῶν ἱεροσολυμιτῶν ἐβασίλευσεν ἐπὶ ἔτη πέντε. καὶ ἀνελὼν αὐτὴν ὁ ἀρχιερεὺς ἰώδας, τὸν ὀζίου παῖδα βασιλέα ἀπέδειξεν. Κεφ. ζ.
Ἀζαήλου τοῦ δαμασκηνῶν βασιλέως ἐπὶ τοὺς ἰσραηλίτας καὶ ὕστερον ἐπὶ τοὺς ἱεροσολυμίτας στρατεία. Κεφ. η.
Ὡς ἀμασίας, ὁ τῶν ἱεροσολυμιτῶν βασιλεύς, στρατευσάμενος ἐπὶ ἰδουμαίους, καὶ ἀμαληκίτας ἐνίκησεν. Κεφ. θ.
Ὡς ἀμασίας πολεμῶν πρὸς τὸν ἰσραηλιτῶν βασιλέα ἰώασον, ἡττᾶται. Κεφ. ι.
Καὶ ὡς ὁ παῖς αὐτοῦ ὀζίας, τὰ πέριξ ἔθνη ἐχειρώσατο. Κεφ. ια.
Ὅτι στρατευσάμενος ἀρασὴν ὁ δαμασκοῦ βασιλεὺς ἐπὶ ἱεροσολυμίτας, ἠνάγκασεν ἀχάζην τὸν βασιλέα, πέμψαντα χρήματα πολλὰ πρὸς τὸν βασιλέα ἀσσυρίων, πεῖσαι τούτοις αὐτὸν, ἐπὶ δαμασκὸν στρατεύσασθαι. Κεφ. ιβ.
Ὡς κατὰ κράτος ἔλαβεν ὁ τῶν ἀσσυρίων βασιλεὺς δαμασκόν. καὶ διέφθειρε μὲν αὐτῶν τὸν βασιλέα. τοὺς δὲ ἀνθρώπους ἀναστήσας εἰς μηδίαν, ἕτερα ἔθνη κατῴκησεν ἐν δαμασκῷ. Κεφ. ιγ.
Ὡς σαλμανάσαρος ὁ τῶν ἀσσυρίων βασιλεύς, εἷλε κατὰ κράτος τὴν Σαμάρειαν, καὶ τὰς δέκα τῶν ἰσραηλιτῶν φυλὰς εἰς τὴν μηδίαν κατῴκησας ἐκ τῆς περσίδος τὸ τῶν κουθαίων ἔθνος εἰς τὴν ἐκείνων μετήγαγε χώραν. Κεφ. ιδ.

HÆC IN NONO IOSEPHI HISTORIARVM DE
Antiquitate Iudaica libro continentur.

Ioramus Achabi filius Moabitas bello petitos superat. CAP. I.
Ioramus Hierosolymorum rex principatum adeptus fratres & paternos amicos interficit. CAP. II.
Quomodo inuadentibus Ioramum Arabibus, exercitus eius deletus fuerit, ac filiis peremptis, vnico excepto adhuc infante, postremo ipse Deo inuisus miserâ morte sublatus sit. CAP. III.
Expeditio Iorami Israelitarum regis aduersus Syros. CAP. IV.
Ioramus à Ieu magistro equitum cum tota stirpe occiditur, & cum eo Hierosolymitanorum rex Ochozias. CAP. V.
Ieus inter Israelitas regnat apud Samariam, & post eum vsque quartam generationem eius progenies. CAP. VI.
Gotholia per summum nefas Hierosolymis regnum occupat, quâ post sextum annum cæsâ pontifex Ioadus Ochoziæ filium regem constituit. CAP. VII.
Azaelis Damascenorum regis contra Israelitas, ac mox contra Hierosolymitas expeditiones. CAP. VIII.
Amasias rex Hierosolymitanus exercitu contra Idumæos & Amalecitas ducto victor euadit. CAP. IX.
Amasias pugnans contra Ioam Israelitarum regem vincitur. CAP. X.
Quomodo Amasiæ filius Ozias vicinas gentes subegerit. CAP. XI.
Rase Damascenorum rege Hierosolymitas bello vexante Achazes eorum rex magnis muneribus missis coactus est Assyriorum regem in Damascenos immittere. CAP. XII.
Assyriorum rex vi expugnatâ Damasco, & occiso rege, populum traducit in mediam, aliis gentibus Damascum in coloniam deductis. CAP. XIII.
Quomodo Salmanassas Assyriorum rex, Samariâ expugnata, decem Israelitarum tribus in Mediam transtulerit, & Cuthæos in eorum regionem migrare iusserit. CAP. XIV.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΙΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ
ΛΟΓΟΣ ΕΝΑΤΟΣ.

FLAVII IOSEPHI ANTIQVITATVM IVDAICARVM
LIBER NONVS.

Κεφάλαιον α'.

Ὡς στρατευσάμενος ὁ ἀχάβου παῖς ἰώραμος ἐπὶ μωαβίτας κρατήσειεν αὐτῶν.

ΙΩΣΑΦΑΤΗ δὲ τῷ βασιλεῖ, παραγενομένῳ εἰς ἱεροσόλυμα, ἀπὸ τῆς συμμαχίας τῆς πρὸς ἄχαβον τὸν τῶν ἰσραηλιτῶν βασιλέα, ἣν αὐτῷ δέδω τῷ σύρων βασιλεῖ πολεμοῦντι παρέσχεν ὡς προειρήκαμεν, ἰηοῦς ὁ προφήτης συντυχὼν ἠτιᾶτο τῆς πρὸς ἄχαβον συμμαχίας ἀνθρώπον ἀσεβῆ καὶ πονηρόν. τὸν γὰρ θεὸν, ἀηδῶς μὲν ἐπὶ τούτῳ διατεθῆναι. ῥύσασθαι μέντοι, καί περ ἡμαρτηκότα, διὰ τὴν ἰδίαν αὐτοῦ φύσιν οὖσαν ἀγαθὴν ἔλεγεν ἐκ τῶν πολεμίων. καὶ τότε μὲν ἐπ' εὐχαριστίας καὶ θυσίας ὁ βασιλεὺς ἐτράπετο τοῦ θεοῦ. μετὰ ταῦτα δὲ τὴν χώραν ὥρμησε περιερχόμενος ἐν κύκλῳ πᾶσαν ὅσης αὐτὸς ἦρχε, τὸν λαὸν ἐκδιδάσκων, τά τε νόμιμα τὰ διὰ μωυσέως ὑπὸ τοῦ θεοῦ δοθέντα, καὶ τὴν εὐσέβειαν τὴν πρὸς αὐτόν. καὶ δικαστὰς ἀποδείξας ἐν ἑκάστῃ πόλει τῶν βασιλευομένων ὑπ' αὐτοῦ, παρεκελεύσατο μηδενὸς οὕτως ὡς τοῦ δικαίου προνοουμένοις, κρίνειν τοῖς ὄχλοις, μήτε δώρων, μήτε ἀξιώματος τῶν ἐν ὑπεροχῇ διὰ πλοῦτον ἢ διὰ γένος εἶναι δοκούντων. βραβεύειν δὲ ἅπασι τὸ ἴσον, ἐπισταμένοις ὅτι, καὶ τῶν κρύφα πραττομένων, ἕκαστον ὁ θεὸς βλέπει. ταῦτα διδάξας, κατὰ πόλιν ἑκάστην τῶν δύο φυλῶν ὑπέστρεψεν εἰς ἱεροσόλυμα. κατέστησε δὲ καὶ ἐν τούτοις κριτὰς, ἐκ τῶν ἱερέων, καὶ ἐκ τῶν λευιτῶν, καὶ τῶν τὰ πρῶτα τοῦ πλήθους φερομένων. παραινέσας ἐπιμελεῖς καὶ δικαίας ποιεῖσθαι πάσας μὲν τὰς κρίσεις. ἐὰν δὲ περὶ μειζόνων διαφορὰν ἔχοντες τῶν ὁμοφύλων τινὲς ἐκ τῶν ἄλλων πέμψωσι πρὸς αὐτοὺς πόλεων, τούτων δὲ μετὰ πλείονος σπουδῆς ἀποφανεῖσθαι δικαίως περὶ τῶν πραγμάτων. μάλιστα γὰρ τὰς ἐν ταύτῃ τῇ πόλει κρίσεις, ἐν ᾗ τόν τε ναὸν εἶναι τοῦ θεοῦ συμβέβηκε καὶ δίαιταν ὁ βασιλεὺς ἔχει, προσήκει σπουδαίας εἶναι καὶ δικαιοτάτας. ἄρχοντας δ'

CAP. I.

Ioramus Achabi filius Moabitas bello petitos ſuperat.

A

Oſaphato autem regi poſt ſuppetias contra Adadum Achabo latas Hieroſolyma reuertenti propheta Ieus occurrens, reprehendit eum, quòd cum homine impio & ſcelerato arma coniunxiſſet. Deum enim indignè tuliſſe hanc ſocietatem: ſeruaſſe tamen eum propter ſuam bonitatem, licet malè, quod non debuerat, fecerit. Poſt eam admonitionem rex ſupplicationibus & ſacrificiis Deo conciliato, vniuerſam ſuam ditionem perluſtrauit, populum leges diuinitus per Moyſem traditas, & cultum pietatis docendo: conſtitutiſque oppidatim magiſtratibus hortatus eſt eos, vt ſolius iuſtitiæ reſpectu habito ius populis dicerent, nec muneribus corrupti, nec magnatum aut diuitum captantes gratiam: omnibúſque quod æquum eſt redderent, ſcientes quòd etiam occulta Deus inſpiciat. Hæc cùm per ſingulas duarum tribuum vrbes docuiſſet, Hieroſolyma reuerſus hîc quoque iudices è ſacerdotum ac Leuitarum ordine, & è primatibus optauit, & hos priùs monitos vt iuſtè & accuratè iura populo redderent. Quòd ſi grauiores controuerſiæ deferrentur ad eos ex aliis cognatis vrbibus, de horum negotiis maior etiam diligentia decerni voluit: quòd eam vrbem maximè æquitatis ſeruantem eſſe deceat, in qua & templum ſimul haberetur & regia. eius ſummos magiſtratus ex amicorum

4. Reg. 3. 2. paralib. 19.

B C D

numero præpoſuit, Amaſiã ſacerdotẽ, & ex Iudæ tribu Zabadiã. Per idẽ tempus Moabitæ & Ammanitæ cum Arabum auxiliis bellum inferunt, & ad Engaddam vrbem Aſphaltitæ lacui vicinam caſtra metantur, trecentis ſtadiis à Hieroſolymis diſſitam, cuius ager egregia palmeta fert, & balſamum. Ioſaphatus autem cùm audiſſet hoſtes ſuperato lacu in regnum ſuum iam irrupiſſe, territus concionem aduocat: & ad templum verſus Deum inuocat, vt tantum virium & roboris ei ſuggerat, quantum ſatis ſit ad ſumendam de hoſte pœnam audaciæ. In hoc enim templum id extructum à maioribus, vt quoties ab externo hoſte immineat periculum, ibi populus coràm numen præſens inuocet, diuináque ope adiutus inuaſores ſuos malè mulctatos arceat, volentes quæ ſemel diuina munificentia contigêre, per vim ad ſe retrahere. Sic precatus eſt lacrymans, accedente eodem totius populi cum vxoribus & liberis ſupplicatione. Ibi Iaziel quidam propheta exortus è media concione exclamat, Deum preces exaudiuiſſe, & ipſum pugnaturum ſe polliceri pro ſuæ religionis hominibus. Mox edicit vt in craſtinum ſe parent, ituri obuiam hoſtibus, & occurſuri eis Engaddam inter & Hieroſolyma, ad quendam cliuum, cui nomen Sis, voce Hebræis ſignificante eminentiam. Ibi non fore opus vt cum hoſte confligant, ſed pugnantem tantùm pro ſe Deum quieti ipſi ſpectatores conſiderent. Poſt hoc oraculum rex & totus populus proſtrati in faciem gratias agendo adorabant Deum, & Leuitæ organis ſuis hymnos canebant. Diluculo verò progreſſus rex in ſolitudinem ſubiectam oppido Thecuæ, admonuit multitudinem, credendum eſſe prædictioni propheticæ, & non ſtruendam quidem aciem, ſed in primo agmine conſtituendos ſacerdotes cum tubis, & Leuitas cum cantoribus, agendáſque Deo gratias, non aliter quàm liberata iam ab hoſte patria. Placuit omnibus regis conſilium, idque mox etiam exequuti ſunt. Deus verò terrorem & conſternationem immiſit Ammanitis & eorum ſociis, ita vt alij in alios ruentes hoſtiliter in ſe inuicem debaccharentur tanto furore, vt ne vnus quidem ex tot millibus reliquus fieret. Ioſaphatus verò proſpiciens in vallem in qua caſtra hoſtium fuerant, cùm totam videret refertam cadaueribus, lætus tam inopinato Dei auxilio, quòd ſibi citra ſudorem & ſanguinem victoria concontigiſſet, permiſit ſuo militi caſtra diripere, & ſpoliare cadauera: tantáque fuit multitudo vt ægrè per integrum triduum omnia ſpolia legerent. Quarta verò die congregatus totus populus in quandam conuallem, potentiam & auxilium Dei debitis concelebrauit laudibus: à quo facto poſtea locus nomen inuenit, vt in perpetuum Conuallis laudationis appellatus ſit. Inde reuerſus cum exercitu rex Hieroſolyma, per aliquot dies in ſacrificiis occupapatus fuit, ac epulis. Quin & in exteras gentes tam mirificę victorię fama perlata, eam regi ſãctitatis ac pietatis opinionem conciliauit,

A αὐτῶν ἀποδείκνυσιν, ἀμασίαν τὸν ἱερέα, καὶ ζαβαδίαν ἐκ τῆς ἰούδα φυλῆς ἑταίρους. καὶ ὁ μὲν βασιλεὺς, τοῦτον τὸν τρόπον διέταττε τὰ πράγματα. κατὰ δὲ τὸν αὐτὸν καιρὸν, ἐστράτευον ἐπ' αὐτὸν μωαβῖται καὶ ἀμμανῖται, συμπαραλαβόντες καὶ ἀράβων μεγάλην μοῖραν, καὶ καταστρατεύονται πρὸς ἐγγαδδὶ πόλιν κειμένην πρὸς τῇ ἀσφαλτίτιδι λίμνῃ, τριακοσίους ἀπέχουσαν σταδίους τῶν ἱεροσολύμων. γεννᾶται δὲ ἐν αὐτῇ φοῖνιξ ὁ B κάλλιστος, καὶ ὀποβάλσαμον. ἀκούσας δὲ ἰωσαφάτης ὅτι τὴν λίμνην διαβάντες οἱ πολέμιοι, ἐμβεβλήκασιν ἤδη εἰς τὴν βασιλευομένην ὑπ' αὐτοῦ χώραν, δείσας εἰς ἐκκλησίαν συνάγει τὸν δῆμον τῶν ἱεροσολυμιτῶν εἰς τὸ ἱερόν. καὶ στὰς κατὰ πρόσωπον τοῦ ναοῦ ηὔχετο, καὶ ἐπεκαλεῖτο τὸν θεὸν παρασχεῖν αὐτῷ δύναμιν καὶ ἰσχὺν, ὥστε τιμωρήσασθαι τοὺς ἐπιστρατεύσαντας. τοῦτο γὰρ τοῦτο δεηθῆναι τοὺς τὸ ἱερὸν κατασκευασαμένους αὐτοῦ, ὅπως C ὑπερμαχῇ τῆς πόλεως ἐκείνης, καὶ τοὺς ἐπ' αὐτὴν τολμήσαντας ἐλθεῖν ἀμύνηται, οἳ τὴν ἀπ' αὐτοῦ δοθεῖσαν γῆν εἰς κατάσχεσιν ἀφελέσθαι πάρεισιν αὐτούς. ταῦτ' εὐχόμενος, ἐδάκρυσε. καὶ σύμπαν δὲ τὸ πλῆθος, γυναιξὶν ἅμα καὶ τέκνοις ἱκέτευεν. ἰαζίηλος δέ τις προφήτης παρελθὼν εἰς μέσην τὴν ἐκκλησίαν, ἀνεβόησε, τῷ τε πλήθει λέγων, καὶ τῷ βασιλεῖ, τὸν θεὸν ἐπακοῦσαι τῶν εὐχῶν, καὶ πολεμήσειν αὐτὸν τοῖς ἐχθροῖς ἐπαγγέλλεσθαι. προσέταξε δὲ τῇ ἐπιούσῃ τὴν στρατιὰν ἐξελάσαν- D τα τοῖς πολεμίοις ὑπαντᾶν. εὑρήσειν γὰρ αὐτοὺς μεταξὺ ἱεροσολύμων καὶ ἐγγάδης ἀναβάσεως, λεγομένης δ' ἐξοχῆς. καὶ μὴ συμβαλεῖν μὲν αὐτοῖς, στάντα δὲ μόνον ὁρᾶν, πῶς αὐτοῖς μάχεται τὸ θεῖον. τοῦ δὲ προφήτου ταῦτα εἰπόντος, ὁ μὲν βασιλεὺς καὶ τὸ πλῆθος, πεσόντες ἐπὶ πρόσωπον, ηὐχαρίστουν τῷ θεῷ καὶ προσεκύνουν. οἱ δὲ λευῖται, τοῖς ὀργάνοις διετέλουν ὑμνοῦντες. ἅμα δ' ἡμέρᾳ προσελθὼν ὁ βασιλεὺς εἰς τὴν ἔρημον, τὴν ὑποκάτω θεκώας πόλεως, ἔλεγε πρὸς τὸ πλῆθος. ὡς δεῖ πι- E στεύειν τοῖς ὑπὸ τοῦ προφήτου εἰρημένοις. καὶ μὴ παρατάσσεσθαι μὲν αὐτοῖς εἰς μάχην. προστησαμένους δὲ τοὺς ἱερεῖς μετὰ τῶν σαλπίγγων, καὶ λευίτας μετὰ τῶν ὑμνούντων, εὐχαριστεῖν ὡς ἤδη ῥυσαμένῳ τὴν χώραν ἡμῶν παρὰ τῶν πολεμίων. ἤρεσε δ' ἡ τοῦ βασιλέως γνώμη. καὶ ἅπερ συνεβούλευσε, ταῦτ' ἔπραττον. ὁ δὲ θεὸς, εἰς φόβον ἐνέβαλε καὶ ταραχὴν τοὺς ἀμμανίτας. οἱ δὲ, δόξαντες ἀλλήλοις πολεμίους ἀπέκτεινον, ὡς ἐκ F τῆς τοσαύτης στρατείας ἀνασωθῆναι μηδένα. ἰωσαφάτης δ' ἀναβλέψας εἰς τὴν φάραγγα, ἐν ᾗ συνέβαινε στρατοπεδευκέναι τοὺς πολεμίους, καὶ πλήρη νεκρῶν ἰδὼν, ἥσθη μὲν ἐπὶ τῷ παραδόξῳ τῆς τοῦ θεοῦ βοηθείας, ὅτι μηδὲ πονήσασιν αὐτοῖς αὐτὸς δι' ἑαυτοῦ τὴν νίκην ἔδωκεν. ἐπέστρεψέ τε τῇ στρατιᾷ διαρπάσαι τὴν παρεμβολὴν τῶν ἐχθρῶν καὶ σκυλεῦσαι τοὺς νεκρούς. καὶ οἱ μὲν ἐπὶ τρεῖς ἡμέρας σκυλεύσαντες ἔκαμον. τοσοῦτον ἦν τὸ τῶν ἀνῃρημένων πλῆθος. τῇ τετάρτῃ δὲ συναθροισθεὶς G πᾶς ὁ λαὸς εἴς τινα κοῖλον καὶ φαραγγώδη τόπον, τὴν τοῦ θεοῦ δύναμιν καὶ τὴν συμμαχίαν ηὐλόγησεν, ἀφ' οὗ καὶ προσηγορίαν ἔχει ὁ τόπος, κοιλὰς εὐλογίας. ἐκεῖθεν δ' ἀναγαγὼν τὴν στρατιὰν ὁ βασιλεὺς εἰς ἱεροσόλυμα, τρέπεται πρὸς εὐωχίας καὶ θυσίας ἐπὶ πολλὰς ἡμέρας. μετὰ μὲν τοι γε τὴν τῶν πολεμίων αὐτοῦ διαφθορὰν, ἀκουσθεῖσαν τοῖς ἀλλοφύλοις ἔθνεσι πάντες οὗτοι κατεπλάγησαν αὐτὸν,

ὡς

ὡς φανερῶς αὐτῷ τοῦ θεοῦ τὸ λοιπὸν συμμαχοῦντος. καὶ Ἰωσαφάτης μὲν ἔκτοτε μετὰ λαμπρᾶς δόξης ἐπί τε δικαιοσύνῃ καὶ τῇ πρὸς τὸ θεῖον εὐσεβείᾳ διῆγεν. ἦν δὲ φίλος καὶ τῷ τοῦ Ἀχάβου παιδὶ, βασιλεύοντι τῶν Ἰσραηλιτῶν, πρὸς ὃν κοινωνήσας ἐπὶ κατασκευῇ νηῶν, εἰς τε Πόντον πλευσουσῶν, καὶ τὰ ἐπὶ Θρᾴκης ἐμπόρια, διήμαρτε τοῦ κτήματος. ὑπὸ γὰρ μεγέθους ἀπώλετο τὰ σκάφη. καὶ διὰ τοῦτο οὐκ ἔτι περὶ ναῦς ἐφιλοτιμήσατο. τὰ μὲν οὖν περὶ τὸν Ἱεροσολύμων βασιλέα Ἰωσαφάτην οὕτως εἶχεν.

Ὁ δ' Ἀχάβου παῖς Ὀχοζίας, ἐβασίλευε τῶν Ἰσραηλιτῶν, ἐν Σαμαρείᾳ ποιούμενος τὴν δίαιταν, πονηρὸς ὢν καὶ πάντα ὅμοιος τοῖς γονεῦσιν ἀμφοτέροις, καὶ Ἱεροβοάμῳ τῷ πρώτῳ παρανομήσαντι, καὶ τὸν λαὸν ἀπατᾶν ἀρξαμένῳ. τὴν δὲ βασιλείαν ἔτος ἤδη δεύτερον ἔχοντος, ὁ τῶν Μωαβιτῶν ἀφίσταται βασιλεὺς αὐτοῦ, καὶ τοὺς φόρους οὓς ἔμπροσθεν ἐτέλει τῷ πατρὶ αὐτοῦ Ἀχάβῳ χορηγῶν ἐπαύσατο. συνέβη δὲ τὸν Ὀχοζίαν καταβαίνοντα ἀπὸ τῆς στέγης τῆς οἰκίας κατενεχθῆναι, καὶ νοσήσαντα πέμψαι πρὸς τὸν Ἀκκάρων θεὸν Μυῖαν, τοῦτο γὰρ ἦν ὄνομα τῷ θεῷ, πυνθάνεσθαι περὶ τῆς σωτηρίας. φανεὶς δ' ὁ τῶν Ἑβραίων θεὸς Ἠλίᾳ τῷ προφήτῃ, προσέταξεν αὐτῷ τοῖς πεμφθεῖσιν ἀγγέλοις ὑπαντήσαντα, πυνθάνεσθαι αὐτῶν εἰ θεὸν ὁ Ἰσραηλιτῶν λαὸς ἴδιον οὐκ ἔχει, ὅτι ἔπεμπε πρὸς τὸν ἀλλότριον ὁ βασιλεὺς αὐτῶν περὶ τῆς σωτηρίας πυνθανομένους. ἐκέλευσέ τε αὐτοὺς ὑποστρέψαι καὶ φράσαι τῷ βασιλεῖ, ὅτι μὴ διαφεύξεται τὴν νόσον. τοῦ δὲ Ἠλία ποιήσαντος ἃ προσέταξεν ὁ θεὸς, ἀκούσαντες οἱ ἄγγελοι τὰ παρ' αὐτοῦ, παραχρῆμα ὑπέστρεψαν πρὸς τὸν βασιλέα. θαυμάζοντος δὲ τὸ τάχος ἐπανόδου, καὶ τὴν αἰτίαν ἐπερωτήσαντος, ἔφασαν ἀπαντῆσαί τινα αὐτοῖς ἄνθρωπον. καὶ κωλῦσαι μὲν προσωτέρω χωρεῖν, ἀναστρέψαντας δὲ σοὶ λέγειν ἐξ ἐντολῆς τοῦ Ἰσραηλιτῶν θεοῦ, ὅτι χεῖρον ἕξει νόσος. τοῦ δὲ βασιλέως σημαίνειν αὐτῷ τὸν ταῦτα εἰρηκότα κελεύσαντος, ἄνθρωπον ἔλεγον δασὺν, καὶ ζώνην περιειλημμένον δερματίνην. συνεὶς δ' ἐκ τούτων Ἠλίαν εἶναι τὸν σημαινόμενον ὑπὸ τῶν ἀγγέλων, πέμψας ἐπ' αὐτὸν ταξίαρχον, καὶ πεντήκοντα ὁπλίτας, ἀχθῆναι πρὸς αὐτὸν ἐκέλευσεν. εὑρὼν δὲ τὸν Ἠλίαν ὁ πεμφθεὶς ταξίαρχος ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους καθεζόμενον, καταβάντα ἥκειν ἐκέλευε πρὸς τὸν βασιλέα. κελεύειν γὰρ τοῦτ' ἐκεῖνον. εἰ δὲ μὴ θελήσειεν, ἄκοντα βιάσασθαι. ὁ δ' εἰπὼν πρὸς αὐτὸν ἐπὶ πεῖρα τοῦ προφήτης ἀληθὴς ὑπάρχειν, εὔξασθαι πῦρ ἀπ' οὐρανοῦ πεσὸν ἀπολέσαι τοὺς στρατιώτας καὶ αὐτὸν, εὔχεται, καὶ πρηστὴρ κατενεχθεὶς, διαφθείρει τόν τε ταξίαρχον καὶ τοὺς σὺν αὐτῷ. τῆς δ' ἀπωλείας τῆς τούτων δηλωθείσης τῷ βασιλεῖ, παροξυνθεὶς ἄλλον πέμπει ταξίαρχον ἐπὶ τὸν Ἠλίαν σὺν ὁπλίταις τοσούτοις, ὅσοις καὶ τὸν πρότερον ἀπέστειλεν. ἀπειλήσαντος δὲ καὶ τούτου τῷ προφήτῃ βίᾳ λαβεῖν αὐτὸν εἰ μὴ κατέλθοι βουλόμενος, εὐξαμένου κατ' αὐτοῦ πῦρ διεχρήσατο καθὼς καὶ τὸν ἄλλον ταξίαρχον. πυνθανόμενος δὲ καὶ τὰ περὶ τοῦτον ὁ βασιλεὺς, τρίτον ἐξέπεμψεν. ὁ δὲ, φρόνιμος ὢν, καὶ λίαν ἐπιεικὴς τὸ ἦθος, ἐλθὼν ἐπὶ τὸν τόπον οὗ συνέβαινεν εἶναι τὸν Ἠλίαν, φιλοφρόνως προσεῖπεν αὐτὸν, γινώσκειν δὲ ἔλεγεν, ὅτι μὴ βουλόμενος βασιλέως διακονῶν προστάγματι παρείη πρὸς αὐτὸν, καὶ οἱ πρὸς αὐτὸν πεμφθέντες, οὐχ ἑκόντες, ἀλλὰ κατὰ τὴν αὐτὴν αἰτίαν ἦλθον. ἐλεῆσαι τοιγαροῦν αὐτὸν ἠξίου τοὺς σὺν αὐτῷ παρόντας ὁπλίτας, καὶ καταβάντα ἕπεσθαι πρὸς τὸν βασιλέα.

A vt res eius sub diuini numinis tutela esse pro comperto crederent: mansitque vsque extremum eius diem hæc persuasio. Erat autem amicus & Achabi filio, qui tum Israelitis præerat: cum quo inita societate parandarum nauium, quæ merces in Pontum peterent, ac emporia Thraciæ, iacturam fecit haud minimam. Nauigia enim absumpta sunt naufragiis, quòd non bene regerentur pre magnitudine. Quo factum est vt hac cura vacauerit in posterum. Atque B hactenus de Iosaphato.

II. 4.Reg.1.

Achabi verò filius Ochozias regnauit apud Israelitas, & regiam Samariam, vir pessimus, & vtrique parenti omnino similis, & Hieroboami primi Israelitarum se ductoris æmulus. Eius regni anno secundo Moabitarum rex defecit, & tributa quæ patri eius solitus erat, pendere amplius detrectauit. Accidit autē vt Ochozias de solario domus suæ descendens per gra- C dus prolaberetur, morbóque ex hoc casu contracto Accaronem ad Myriodis (id deo nomen erat) oraculum sciturus de incolumitate mitteret. Hebræorum verò Deus Eliæ prophetæ mandauit, vt nunciis ab eo missis occurrens percontaretur, an Israelitæ proprium Deum non haberent, quandoquidem rex ad alienum mitteret de salute interrogaturos: iuberétque eos reuerti, & regi dicere cum nō reualiturum. D Quod quum Elias fecisset, nunciis his auditis confestim ad regem reuersi sunt. Quo demirāte celeritatem reditus, & causam quærente, aiūt sibi occurrisse virum quendam, & vetuisse vlterius progredi: iussisseque renunciarent suo regi Israelitarum Dei nomine, quòd morbus in peius proficiet. Rege verò iubente vt sibi figuram hominis illius designarent, dicebāt hominem esse hispidum & cingulo coriaceo præ- E cinctum. Qui cùm intellexisset Eliam per hæc descriptum à nunciis, misit ad eum attrahendum centurionem cum quinquaginta militibus. Is repertum in montis vertice descendere iussit, & ad regem venire. In hoc enim se missum, vt ni sponte sua faciat, vi coactum eò pertrahat. Ille præfatus se prodigium editurum, quo verus propheta nosceretur, & igne ad suas preces cælitus misso ipsum vnà cum militibus, F conflagraturum, malum hoc eis imprecatus est móxque candens turbo delatus centurionem & eius comitatum perdidit. quorum clade ad regem perlata, iratus alium centurionem cum totidem militibus ad Eliam mittit: qui & ipse cum prophetæ minatus vim esset, ni volens sequeretur, & hunc ad preces eius ignis absumpsit quemadmodum alterum. Quo cognito rex misit tertium. Is quòd esset cordatus & mansuetis moribus, postquam peruenit ad locum G vbi tum erat Elias, & amicè eum salutauit: Nō ignoras, inquit, quòd vt regis mandato paream inuitus ad te venio, sicut & illi qui ante me venerunt. Misertus igitur mei & horum militum volēs ac libēs descēde, nósque ad regē sequere.

Tum Elias delectatus viri ciuilitate & modestis moribus, descendit ac secutus est. Perductus deinde ad regem, afflatus numine: Hæc, inquit, dicit Dominus: Quia me pro Deo non habuisti, quem de morbo tuo veri nihil prædicere posse putasti, & ad eum qui Accaronitis colitur de valetudine consulendum mittere maluisti, scito te moriturum. Nec multum exinde tempus elapsum, dum ita vt Elias prædixit decedens, quod liberis careret, Ioramo fratri succedenti locum fecit, homini patrem cùm aliis vitiis, tum maximè impietate referenti. Omisso enim sui Dei cultu, totum se externis religionib. dedidit vir alioqui nõ ignauus, & ad res gerẽdas satis industrius. Hoc regnante Elias ex hominib. exẽptus est, nec in hodiernũ vsque mortaliũquisquã scire potuit quisnã fuerit eius exitus. Discipulum reliquit Elisæum, sicut iam antè diximus. De hoc Elia, & Enocho qui fuit antè vniuersale diluuium, in sacris libris legimus quidem exemptos esse è consuetudine mortalium, mortuos tamen esse nemini vnquam fuit cognitum. Cæterùm Ioramus accepto post fratrem regno, Moabitarum regi Mise bellum inferre statuit, tributum nolenti reddere, quod Achabo patri antea soluebat, intonsarum pecudum annua ducenta millia. Ergo postquam domi parauit exercitum, Iosaphatum quoque per nuncios solicitauit, vt quandoquidem amicus esset paternus, auxilia mitteret paranti bellum contra Moabitas, qui tum recens à suo regno defecerant. At ille non se solùm veturum auxilio promisit, sed Idumæorum etiam regem, sibi obnoxium, in eam expeditionem pertracturum. Ioramus vbi renunciatum est ei de talibus auxiliis, venit Hierosolyma, & splendidè ab eius loci rege exceptus, cùm de communi sententia visum esset per Idumeæ deserta, qua minimè hostis expectaret, iter facere, cum aliis duobus regibus Hierosolymis profectus est, videlicet cum hospite, & cum rege Idumæorum. & circuitu facto, die septima ducibus itineris aberrantibus, in tanta iumenta & milites aquarum penuriam inciderunt, vt omnibus tantum non desperantibus Ioramus doloris impatiens exclamaret ad Deũ quãnã sua culpa tres reges sine prælio in Moabitarum regis manus traderet? Iosaphatus contrà, vt virum pium decebat, consolabatur eum: iussitque perquiri, num quis in exercitu propheta adesset, per quem quid faciendum Deus posset consuli. & indicante quodam famulo, vidisse se ibi Eliæ discipulum Elisæum Saphati filium, suasu Iosaphati tres reges ad illum vadunt: quúmque ad illius tabernaculum venissent, quod fortè extra castra fixerat, rogabant quid futurum esset de exercitu, præcipuè Ioramus. At ille iussit vt absisteret, nec molestus esse pergeret, sed potius patris ac matris prophetas consuleret, illos enim esse veridicos: rex precibus vrgebat, vt responsum daret, & periclitantes seruaret. At ille iurauit se ei non fuisse responsurum, nisi hoc faceret in gratiã Iosaphati viri probi & pij

III.
4. Reg. 3.

A ἀποδεξάμενος δὲ τὴν δεξιότητα τῶν λόγων καὶ τὸ ἀστεῖον τοῦ ἤθους ὁ ἠλίας, καταβὰς ἠκολούθησεν αὐτῷ. παραγενόμενος δὲ πρὸς τὸν βασιλέα, προεφήτευσεν αὐτῷ καὶ τὸν θεὸν ἐδήλου λέγειν. ἐπειδὴ κατέγνως αὐτοῦ ὡς οὐκ ὄντος θεοῦ, καὶ περὶ τῆς νόσου οὐδὲν ἀληθὲς προειπεῖν δυναμένου, πρὸς δὲ τὸν ἀκκαρωνιτῶν ἔπεμπες παρ' αὐτοῦ πυνθανόμενος ποδαπὸν ἔσται σοι τὸ τέλος τῆς νόσου, γίνωσκε ὅτι τεθνήξῃ. καὶ ὁ μὲν, ὀλίγου σφόδρα χρόνου διελθόντος, καθὼς προεῖπεν ἠλίας ἀπέθανε, διαδέχεται B δ' αὐτοῦ τὴν βασιλείαν, ὁ ἀδελφὸς ἰώραμος, ἄπαις γὰρ κατέστρεψε τὸν βίον. ὁ δὲ ἰώραμος οὗτος, τῷ πατρὶ τὴν πονηρίαν χρησάμενος, καὶ ἀσέβειαν πρὸς τὸν θεόν. παρεὶς γὰρ τὸ τοῦτον θρησκεύειν, τοὺς ξενικοὺς ἐσέβετο. ἦν δὲ τἆλλα δραστήριος. κατ' ἐκεῖνον δὲ τὸν καιρὸν, ἠλίας ἐξ ἀνθρώπων ἠφανίσθη. καὶ οὐδεὶς ἔγνω μέχρις τῆς σήμερον αὐτοῦ τὴν τελευτήν. μαθητὴν δ' ἐλισσαῖον κατέλειπεν, ὡς καὶ πρότερον ἐδηλώσαμεν. περὶ μέντοι γε ἠλία καὶ C ἐνώχου τοῦ γενομένου πρὸ τῆς ἐπομβρίας, ἐν ταῖς ἱεραῖς ἀναγέγραπται βίβλοις, ὅτι γεγόνασιν ἀφανεῖς. θάνατον δ' αὐτῶν, οὐδεὶς οἶδεν. ὑπολαβὼν δὲ τὴν βασιλείαν ἰώραμος, ἐπὶ τὸν μωαβιτῶν ἔγνω στρατεύειν βασιλέα, μισὰν ὄνομα, φόρους τελοῦντα ἀχάβῳ τῷ πατρὶ αὐτοῦ, μυριάδας εἴκοσι προβάτων σὺν τοῖς πόκοις. συναθροίσας οὖν οἰκείαν δύναμιν, ἔπεμψε καὶ πρὸς ἰωσάφατην, παρακαλῶν αὐτὸν, ἐπεὶ φίλος ἀπ' ἀρχῆς ὑπῆρχεν αὐτοῦ τῷ πατρὶ, συμμαχῆσαι πόλεμον ἐπὶ τοὺς μωαβίτας D ἐκφέρειν μέλλοντι, ἀποστάντας αὐτοῦ τῆς βασιλείας. ὁ δ' οὐ μόνον αὐτὸς βοηθήσειν ὑπέσχετο. ἀλλὰ καὶ τὸν ἰδουμαίων βασιλέα συναναγκάσειν ὄντα ὑφ' ἑαυτὸν στρατεύεσθαι. ἰώραμος δὲ τοιούτων αὐτῷ τῶν παρὰ τοῦ ἰωσαφάτου περὶ τῆς συμμαχίας κομισθέντων ἀναλαβὼν τὴν αὐτοῦ στρατιὰν ἧκεν εἰς ἱεροσόλυμα, καὶ ξενισθεὶς λαμπρῶς ὑπὸ τοῦ βασιλέως τῶν ἱεροσολυμιτῶν, δόξαν αὐτοῖς διὰ τῆς ἐρήμου τῆς ἰδουμαίας ποιήσασθαι τὴν ὁδοιπορίαν ἐπὶ τοὺς πολεμίους, οὐ γὰρ προσδοκήσειν E αὐτοὺς ταύτῃ ποιήσασθαι τὴν ἔφοδον, ὥρμησαν οἱ τρεῖς βασιλεῖς ἐκ τῶν ἱεροσολύμων. ὅ τε τούτων αὐτῶν, καὶ ὁ τῆς σαμαρείας, καὶ ὁ τῆς ἰδουμαίας. καὶ κυκλώσαντες ἑπτὰ ἡμερῶν ὁδὸν, εἰς ἀπορίαν ὕδατος τοῖς τε κτήνεσι καὶ τῇ στρατιᾷ περιέστησαν, πλανηθέντων τὰς ὁδοὺς αὐτοῖς τῶν ἡγουμένων, ὡς ἀγωνιᾶν μὲν ἅπαντας, μάλιστα δὲ τὸν ἰώραμον, καὶ ὑπὸ λύπης ἐκβοῆσαι πρὸς τὸν θεὸν, τί κακὸν αἰτιασάμενος ἄγοι τοὺς τρεῖς βασιλέας ἀμαχητὶ παραδώσοντας αὐτοὺς τῷ μωαβιτῶν βασιλεῖ. παρεθάρσυνε δὲ αὐτὸν ἰωσαφάτης δίκαιος ὢν, καὶ πέμψαντα εἰς τὸ στρατόπεδον ἐκέλευσε γνῶναι εἴ τις αὐτοῖς τοῦ θεοῦ προφήτης συνελήλυθεν, ἵνα δι' αὐτοῦ μάθωμεν παρὰ τοῦ θεοῦ, τί ποιητέον ἡμῖν ἐστιν. οἰκέτου δέ τινος τῶν ἰωράμου φήσαντος ἰδεῖν αὐτόθι τὸν ἠλία μαθητὴν ἐλισσαῖον σαφάτου G παῖδα, πρὸς αὐτὸν ἀπίασιν οἱ τρεῖς βασιλεῖς, ἰωσαφάτου παραινέσαντος. ἐλθόντες δ' ἐπὶ τὴν σκηνὴν τοῦ προφήτου, ἐτύγχανε δ' ἔξω τῆς παρεμβολῆς κατεσκηνωκὼς ἐπηρώτων τὸ μέλλον ἐπὶ τῆς στρατιᾶς. μάλιστα δ' ὁ ἰώραμος. τοῦ δὲ, μὴ διοχλεῖν αὐτῷ φράσαντος, ἀλλὰ πρὸς τοὺς τοῦ πατρὸς αὐτοῦ καὶ τῆς μητρὸς βαδίζειν προφήτας, εἶναι γὰρ ἐκείνους ἀληθεῖς, ἐδεῖτο προφητεύειν καὶ σώζειν αὐτούς. ὁ δ' ὀμόσας τὸν θεὸν οὐκ ἂν ἀποκριθῆναι αὐτῷ, εἰ μὴ διὰ ἰωσαφάτην ὅσιον ὄντα καὶ δίκαιον.

ἀχθείς-

ἀχθέντος τε ἀνθρώπου τινὸς ψάλλειν εἰδότος, ἐπεζήτησε γὰρ αὐτός, πρὸς τὸν ψάλλοντα ἔνθεος γενόμενος προσέταξε τοῖς βασιλεῦσιν, ἐν τῷ χειμάρρῳ πολλοὺς ὀρύξαι βόθρους. οὔτε γὰρ νέφους, οὔτε πνεύματος γενομένου, οὔτε ὑετοῦ καταρραγέντος, ὄψεσθε πλήρη τὸν ποταμὸν ὕδατος, ὡς ἂν καὶ τὸν στρατὸν καὶ τὰ ὑποζύγια σωθῆναι ἡμῖν ἀπὸ τοῦ ποτοῦ. ἔσται δὲ ὑμῖν οὐ τοῦτο μόνον παρὰ τοῦ θεοῦ, ἀλλὰ καὶ κρατήσετε τῶν ἐχθρῶν καὶ καλλίστας καὶ ὀχυρωτάτας πόλεις λήψεσθε τῶν μωαβιτῶν, καὶ δένδρα μὲν αὐτῶν κόψετε, τὴν δὲ χώραν δῃώσετε, πηγὰς δὲ καὶ ποταμοὺς ἐμφράξετε. ταῦτα εἰπόντος τοῦ προφήτου, τῇ ἐπιούσῃ πρὶν ἥλιον ἀνασχεῖν, ὁ χείμαρρους σφοδρῶς ἐρρύει. πολὺ γὰρ ἀπὸ τριῶν ἡμερῶν ὁδοῦ ἐν τῇ ἰδουμαίᾳ τὸν θεὸν ὗσαι συνέπεσεν, ὥστε εὑρεῖν τὴν στρατιάν, καὶ τὰ ὑποζύγια ποτὸν ἄφθονον. ὡς δ' ἤκουσαν οἱ μωαβῖται τοὺς τρεῖς βασιλέας ἐπ' αὐτοὺς βαδίζοντας, καὶ διὰ τῆς ἐρήμου ποιουμένους τὴν ἔφοδον, ὁ βασιλεὺς αὐτῶν εὐθὺς συλλέξας στρατιὰν ἐκέλευσε, διὰ τῶν ὅρων συμβάλλεσθαι τὸ στρατόπεδον, ἵνα αὐτοὺς μὴ λάθωσιν εἰς τὴν χώραν ἐμβαλόντες οἱ πολέμιοι. θεασάμενοι δὲ ὑπὸ τὴν ἀνατολὴν τοῦ ἡλίου τὸ ἐν τῷ χειμάρρῳ ὕδωρ (καὶ γὰρ οὐδὲ μακρὰν ἦν τῆς μωαβίτιδος) αἵματι τὴν χροιὰν ὅμοιον, τότε γὰρ μάλιστα πρὸς τὴν αὐγὴν τὸ ὕδωρ ἐρυθραίνεται, ψευδῆ δόξαν περὶ τῶν πολεμίων ἐλάμβανον ὡς ἀπεκτεινόκοτες ἑαυτοὺς διὰ δίψος, καὶ τοῦ ποταμοῦ αἷμα αὐτοῖς ῥέοντος. τοῦτο τοίνυν οὕτως ἔχειν ὑπολαβόντες ἠξίωσαν αὐτοὺς ἐπὶ διαρπαγὴν τῶν πολεμίων ἐκπέμψαι τὸν βασιλέα. καὶ πάντες ὁρμήσαντες ὡς ἐπὶ ἑτοίμην ὠφέλειαν, ἦλθον εἰς τὸ τῶν ἐχθρῶν στρατόπεδον ὡς ἀπολωλότων. καὶ διαψεύδεται μὲν αὐτοὺς ἡ ἐλπὶς αὕτη. περιστάντων δὲ τῶν πολεμίων οἱ μὲν αὐτῶν κατεκόπησαν. οἱ δέ, διεσπάρησαν εἰς τὴν ἰδίαν χώραν φεύγοντες. ἐμβαλόντες δὲ εἰς τὴν μωαβιτῶν οἱ βασιλεῖς, τάς τε πόλεις κατασκάψαντες τὰς ἐν αὐτῇ, καὶ τοὺς ἀγροὺς αὐτῶν διήρπασαν, καὶ ἠφάνισαν πληροῦντες τῶν ἐκ τῶν χειμάρρων λίθων, καὶ τὰ κάλλιστα τῶν δένδρων ἐξέκοψαν, καὶ τὰς πηγὰς ἐνέφραξαν τῶν ὑδάτων, καὶ τὰ τείχη καθεῖλον ἕως ἐδάφους. ὁ δὲ βασιλεὺς τῶν μωαβιτῶν συνδιωκόμενος τῇ πολιορκίᾳ, καὶ τὴν πόλιν ὁρῶν κινδυνεύουσαν ἀναιρεθῆναι κατὰ κράτος, ὥρμησε μεθ' ἑπτακοσίων ἐξελθὼν διὰ τοῦ τῶν πολεμίων ἐξιππάσασθαι στρατοπέδου, καθ' ὃ μέρος αὐτοὺς ἐνόμιζε τὰς φυλακὰς ἀνεῖσθαι. καὶ πειραθεὶς, οὐκ ἠδυνήθη φυγεῖν, ἐπιτυγχάνει γὰρ ἐπιμελῶς φρουρουμένῳ τῷ τόπῳ. ὑποστρέψας δ' εἰς τὴν πόλιν, ἔργον ἀπογνώσεως, καὶ δεινῆς ἀνάγκης διεπράξατο. τὸν υἱὸν τὸν πρεσβύτερον, ὃς μετ' αὐτὸν βασιλεύειν ἔμελλεν, ἀναγαγὼν ἐπὶ τὸ τεῖχος, ὥστε πᾶσι φανερὸν γενέσθαι τοῖς πολεμίοις, ἱερούργησεν εἰς ὁλοκαύτωσιν τῷ θεῷ. θεασάμενοι δ' αὐτὸν οἱ βασιλεῖς, κατῴκτειραν τῆς ἀνάγκης. καὶ παθόντες ἀνθρώπινόν τι καὶ ἐλεεινόν, διέλυσαν τὴν πολιορκίαν, καὶ ἕκαστος εἰς τὴν οἰκίαν ἀνέστρεψεν. ἰωσαφάτης δὲ παραγενόμενος εἰς ἱεροσόλυμα, καὶ μετ' εἰρήνης διάγων, ὀλίγον ἐπιβιώσας χρόνον μετὰ τὴν στρατείαν ἐκείνην ἀπέθανε, ζήσας ἀριθμὸν ἐτῶν ἑξήκοντα, βασιλεύσας δ' ἐξ αὐτῶν πέντε καὶ εἴκοσι. ταφῆς δ' ἔτυχε μεγαλοπρεποῦς ἐν ἱεροσολύμοις. καὶ γὰρ ἦν μιμητὴς τῶν δαβίδου ἔργων.

Accito deinde pſalte quodam, ſic enim vates poſtularat, eo pſallente correptus diuino ſpiritu, iuſſit reges in alueo torrentis multas foſſas facere. nam abſque vento & pluuia viſuros aluecum repletum aquis, ita vt militi & iumentis abundè potu ſuppetente, nullum ampliùs à ſiti periculum timeatur. Nec hoc ſolùm, inquit, vobis à Deo continget, ſed & copias hoſtium eius ope profligabitis, & arbores excidetis, & regionem vaſtabitis, & fontes ac riuos obturabitis. Hæc loquuto propheta, ſequenti die prius quàm ſol oriretur, torrens magno impetu ferri cœpit, auctus imbribus, qui in Idumæam trium dierum itinere inde diſtantem demiſſi fuerant: vt & iumentis & milili largiſſima adeſſet potus copia. Rex autem Moabitarum vt audiuit tres reges contra ſe aduentare, à deſerto inuaſuros, excita omni ſua militia, iuſſit eos in finibus occurrere, nec clàm in ditionem ſuam impetum facerent. qui videntes ex oriente ſole aquam in torrente (non procul enim à terra Moabitide aberat) colore ſanguineam, quòd eo tempore maximè aqua radiis icta rutilet, falsò opinati ſunt hoſtes propter ſitim in ſemetipſos arma vertiſſe, & eorum ſanguinem per torrentem defluere: & cùm hac perſuaſione regem ſuum adeuntes, rogabant vt eos ad diripienda hoſtilia caſtra ire permitteret. quo impetrato ruentes velut ad paratam prædam, ad Hebræorum caſtra perueniunt. Sed valde eos ſua ſpes fruſtrata eſt. Coorientibus enim in eos vndique hoſtibus partim cæſi ſunt, partim diſpalati fugiendo ægrè in terram ſuam euaſerunt. Reges verò agros Moabitarum ingreſſi, dirutis oppidis totam regionem prædis abactis exhauſerunt, & rura eorum glarea torrentis operierunt, & optimas quaſque arbores exciderunt, fontéſque aquarum obturauerunt, mœnibus vbique ſolo æquatis. Rex ipſe compulſus in quandam vrbem, & obſeſſus, veritus ne expugnata illa caperetur, erumpere cum ſeptingentis equitibus tentauit, qua parte negligentiores excubiæ viſæ ſunt. quod vbi præter ſpem non ſucceſſit, in vrbem reuerſus rem extremæ neceſſitatis & deſperationis aggreditur. ſeniorem enim filium qui regni ſucceſſor deſtinatus fuerat, productum in mœnia, toto hoſtili exercitu inſpectante holocautoma Deo ſacrificat. Reges verò hoc viſo tantam neceſſitatem miſerati, & humanarum viciſſitudinum memores, ſoluta obſidione domum quiſque ſuam reuerſi ſunt. Ioſaphatus verò poſt hanc expeditionem pacatus quidem, ſed non diu Hieroſolymis ſuperuixit, exacto vitæ anno ſexageſimo, regni vigeſimo quinto: ſepultúſque eſt in ea vrbe magnificè, quemadmodum Dauidis imitatorem ſepeliri decuit.

Cap. II.

Ioramus Hierosolymorum rex principatum adeptus fratres & paternos amicos interficit.

E Filiis quos complures reliquit superstites, Ioramus natu maximus patris voluntate in regnum successit, cum Israelitarum rege commune nomen habens, vxoris suæ fratre, qui Achabi fuit filius, & tum recens à Moabitico bello Samariam reuersus Elisæum secum adduxerat. Eius prophetæ res memorabiles è sacris libris huc transcriptas inserere nostræ narrationi operæpretium duximus. Obdiæ vxor, qui Achabi dispensator fuerat, tunc vidua Elisæum adiit, dicens nec ipsum ignorare quòd ea persecutione qua Iezabela in prophetas sæuiebat, maritus eius centum ex eo numero seruauerat: quos vt alere clàm posset, multum æris alieni contraxerat. nunc illo defuncto, creditores & ipsam & liberos in seruitutem velle rapere. quapropter orabat vt ob hoc mariti benefactum eius misertus opem aliquam præsentem afferret. Quo scitante ecquid domi haberet, nihil se habere ait, præter olei paululum in fidelia. tum propheta iubet illam ire, & acceptis commodato à vicinis vacuis vasis compluribus, foribúsque cubiculi clausis, in omnia oleum id indere. Deum enim repleturum omnia. Paruit mulier, & repletis ad vnum omnibus, ad prophetam reuersa, rem totam illi retulit. Ille consuluit vt diuendito oleo, debitum creditoribus redderet. aliquantum enim de olei pretio superfore, quod ad liberorum alimenta valeat. atque in hunc modum mulier à creditorum molestia liberata est.

4. Reg. 6.

Idem Ioramum per nuncios admonuit, vt locum quendam caueret, in quo à Syris occidere eum volentibus insidiæ positæ fuerant. Quo factum est vt ille præmonitus venatum non iret. Adadus autem frustratis insidiis indignatus est, ratus à suis detectas: & vocatis domesticis per conuitium proditores appellauit, minatus etiam mortem, eo quòd rem solis creditam hostis per eos cognouerit. Quodam autem respondente, non rectè eum facere quòd proditionis amicos insimularet, & suspicaretur ab ipsis detectos qui ad hostem intercipiendum missi fuerant: sed scire debere, quòd Elisæus propheta nihil non indicet, prodátque vel occultissima consilia: iussit eos per nuncios explorare, in quánam vrbe Elisæus habitet: renunciatúmque est ei apud Dothaim hominem degere. Ac mox illuc aliquot equitum turmas misit cum curribus, qui Elisæum comprehenderent: qui noctu vrbem circumuentam circumquaque custodiebant. Diluculo autem minister prophetæ re cognita, quòd hostes vellent eum capere, trepidè accurrens hoc illi indicat. At ille famulum ponere metum, & bono animo esse hortatus est, & ipse interim securus & fidens diuino auxilio:

Κεφάλαιον β'.

Ὡς ἰώραμος βασιλεύων τῶν ἱεροσολυμιτῶν, τὴν ἀρχὴν παρα-λαβὼν, τοὺς ἀδελφοὺς καὶ τοὺς πατρῴους φίλους ἀπέκτεινεν.

Κατέλειπε δὲ καὶ παῖδας ἱκανοὺς, διάδοχον δ' ἀπέδειξε, τὸν πρεσβύτερον ἰώραμον. ταὐτὸ γὰρ εἶχεν ὄνομα τῷ τῆς μητρὸς ἀδελφῷ, βασιλεύοντι δὲ τῶν ἰσραηλιτῶν, ἀχάβου δὲ παιδί. παραγενόμενος δ' ἀπὸ τῆς μωαβίτιδος ὁ τῶν ἰσραηλιτῶν βασιλεὺς εἰς σαμάρειαν, εἶχε σὺν αὐτῷ ἐλισσαῖον τὸν προφήτην, οὗ τὰς πράξεις βούλομαι διελθεῖν. λαμπραὶ γὰρ εἰσὶ καὶ ἱστορίας ἄξιαι, καθὼς ἐν ταῖς ἱεραῖς βίβλοις ἐπεγνώκαμεν. προσελθοῦσαν γὰρ αὐτῷ φασὶ τὴν ὠβεδίου, τοῦ ἀχάβου οἰκονόμου γυναῖκα εἰπεῖν, ὡς οὐκ ἀγνοεῖ πῶς ὁ ἀνὴρ αὐτῆς τοὺς προφήτας περιέσωσεν, ὑπὸ τῆς ἀχάβου γυναικὸς ἰεζαβέλας ἀναιρουμένους ἑκατόν. ἔλεγε γὰρ, ὡς αὐτοὺς δανεισάμενος τρέφοι κεκρυμμένους. καὶ μετὰ τὴν τοῦ ἀνδρὸς τελευτὴν ἄγεσθαι νῦν ὑπὸ τῶν δανειστῶν αὐτήν τε καὶ τέκνα πρὸς δουλείαν. παρεκάλει τε διὰ ταύτην τὴν ἐργασίαν τἀνδρὸς ἐλεῆσαί τε καὶ παρασχεῖν τινα βοήθειαν. πυθομένῳ δ' αὐτῷ τί ἔχοι ἐπὶ τῆς οἰκίας, ἄλλο μὲν οὐδὲν ἔφη, ἔλαιον δὲ βραχὺ λίαν ἐν κεραμίῳ. ὁ δὲ προφήτης ἀπελθοῦσαν ἐκέλευσεν ἀγγεῖα χρήσασθαι πολλὰ παρὰ τῶν γειτόνων κενὰ, καὶ τὰς θύρας ἀποκλείσασαν τοῦ δωματίου, μεταχεῖν εἰς ἅπαντα τὸ ἔλαιον. τὸν γὰρ θεὸν πληρώσειν αὐτά. τῆς δὲ γυναικὸς, τὰ κελευσθέντα ποιούσης, ἐπεὶ πάντα ἐπληρώθη, καὶ οὐδὲν ἦν κενὸν, ἐλθοῦσα πρὸς τὸν προφήτην πάντα ἀπήγγειλεν. ὁ δὲ συμβουλεύει τὸ ἔλαιον ἀπελθούσῃ ἀποδόσθαι, καὶ τοῖς δανεισταῖς ἀποδοῦναι τὰ ὀφειλόμενα. γενήσεσθαι δὲ τι καὶ περισσότερον ἐκ τῆς τιμῆς τοῦ ἐλαίου, ᾧ πρὸς διατροφὴν τῶν τέκνων καταχρήσεσθαι. καὶ ἐλισσαῖος μὲν οὕτως ἀπήλλαξε τῶν χρεῶν τὴν γυναῖκα, καὶ τῆς ἀπὸ τῶν δανειστῶν ὕβρεως ἠλευθέρωσεν. ἐλισσαῖος δὲ ταχέως πρὸς ἰώραμον διαπέστειλε φυλάττεσθαι τὸν τόπον ἐκεῖνον αὐτῷ παραινῶν, εἶναι γὰρ ἐν αὐτῷ σύρους τινὰς τοὺς ἐκεῖ λοχῶντας αὐτὸν ἀναιρεῖν. καὶ ὁ μὲν βασιλεὺς, οὐκ ἐπὶ τὴν θήραν ὥρμησε τῷ προφήτῃ πειθόμενος. ἄδερ δὲ, τῆς ἐπιβουλῆς διαμαρτὼν, ὡς τῶν ἰδίων αὐτοῦ καταμηνυσάντων τὴν ἐνέδραν πρὸς ἰώραμον, ὠργίζετό τε, καὶ μεταπεμψάμενος αὐτοὺς προδότας ἔλεγε τῶν ἀπορρήτων αὐτοῦ, καὶ θάνατον ἠπείλει, φανερᾶς τῆς ἐπιχειρήσεως, ἣν μόνοις ἐκείνοις ἐπίστευσε, τῷ πολεμίῳ γενομένης. φήσαντος δέ τινος τῶν παρόντων μὴ ψευδοδοξεῖν αὐτὸν, μηδ' ὑπονοεῖν αὐτῶν ὡς πρὸς τὸν ἐχθρὸν αὐτοῦ κατειρηκότων τὴν ἔκπεμψιν τῶν ἀναιρησόντων αὐτόν. ἀλλὰ γινώσκειν ὅτι ἐλισσαῖός ἐστιν ὁ προφήτης ὁ πάντα μηνύων αὐτῷ, καὶ φανερὰ ποιῶν τὰ ὑπ' αὐτοῦ βεβουλευμένα, προσέταξε πέμψασι μαθεῖν ἐν τίνι πόλει διατρίβει τυγχάνων ὁ ἐλισσαῖος. οἱ δὲ πεμφθέντες ἧκον ἀγγέλλοντες αὐτὸν ἐν δωθαὶμ ὑπάρχοντα. πέμπει τοιγαροῦν ἄδερ ἐπὶ τὴν πόλιν δύναμιν πολλὴν ἵππων καὶ ἁρμάτων, ὅπως τὸν ἐλισσαῖον λάβωσιν. οἱ δὲ νυκτὸς κύκλῳ τὴν πόλιν πᾶσαν περιλαβόντες εἶχον ἐν φρουρᾷ. ἅμα δ' ἕω τοῦτο μαθὼν ὁ τοῦ προφήτου διάκονος, καὶ ὅτι ζητοῦσιν οἱ πολέμιοι λαβεῖν ἐλισσαῖον, ἐδήλωσεν αὐτῷ μετὰ βοῆς καὶ τάχους δραμὼν πρὸς αὐτόν. ὁ δὲ, τὸν θεράποντα μὴ δεδιέναι παρεθάρσυνε, καὶ τῷ θεῷ συμμάχῳ καταφρονῶν, ἀδεὴς ἦν.

παρε-

A παρεκάλει τὸν τῷ διακόνῳ πρὸς τὸ λαβεῖν αὐτὸν εὔελπι θάρσος ἐμφανίσαι τὴν αὐτοῦ δύναμιν καὶ παρουσίαν ὡς δυνατόν. ὁ δὲ θεὸς, ἐπήκοος τῶν εὐχῶν τοῦ προφήτου γενόμενος, πλῆθος ἁρμάτων καὶ ἵππων τῷ θεράποντι περὶ τὸν ἐλισσαῖον κεκυκλωμένον θεάσασθαι παρέσχεν. ὡς αὐτὸν ἀφιέναι μὲν τὸ δέος, ἀναθαρσῆσαι δὲ πρὸς τὴν ὄψιν τῆς νομιζομένης συμμαχίας. ἐλισσαῖος δὲ μετὰ ταῦτα, καὶ τὰς τῶν πολεμίων ὄψεις ἀμαυ- B ρῶσαι τὸν θεὸν παρεκάλει, ἀχλὺν αὐταῖς ἐπιβαλόντα ἀφ' ἧς ἀγνοήσειν αὐτὸν ἔμελλον. γενομένου δὲ καὶ τούτου παρελθὼν εἰς μέσους τοὺς ἐχθροὺς, ἐπηρώτησε τίνα ἐπιζητοῦντες ἦλθον. τῶν δὲ, τὸν προφήτην ἐλισσαῖον εἰπόντων, παραδώσειν ὑπέσχετο, εἰ πρὸς τὴν πόλιν ἐν ᾗ τυγχάνει ὢν, ἀκολουθήσειαν αὐτῷ. καὶ οἱ μὲν, ἡγουμένῳ τῷ προφήτῃ τὰς ὄψεις ὑπὸ τοῦ θεοῦ καὶ τὴν διάνοιαν ἐπεσκοτισμένοι σπουδάζοντες εἵποντο. ἀγα- C γὼν δ' αὐτοὺς ἐλισσαῖος εἰς σαμάρειαν, ἰωράμῳ μὲν τῷ βασιλεῖ προσέταξε κλεῖσαι τὰς θύρας, καὶ περιστῆσαι τοῖς σύροις τὴν αὐτοῦ δύναμιν. τῷ θεῷ δὲ ηὔξατο καθᾶραι τὰς ὄψεις τῶν πολεμίων, καὶ τὴν ἀχλὺν αὐτῶν ἀφελεῖν. οἱ δ' ἐκ τῆς ἀμαυρώσεως ἐκείνης ἀφέντες, ἑώρων αὐτοὺς ἐν μέσοις τοῖς ἐχθροῖς ὑπάρχοντας. ἐν ἐκπλήξει δὲ δεινῇ καὶ ἀμηχανίᾳ τῶν σύρων οἷον εἰκὸς ἐφ' οὕτως θείῳ καὶ παραδόξῳ πράγματι κειμέ- D νων, καὶ τοῦ βασιλέως ἰωράμου πυθομένου τὸν προφήτην εἰ κελεύσειεν αὐτοὺς κατακοντισθῆναι, τοῦτο μὲν ἐκώλυσε ποιεῖν ἐλισσαῖος. τοὺς γὰρ νόμῳ ληφθέντας πολέμου, ἀποκτείνειν ἔλεγε δίκαιον. τούτους δὲ μηδὲν κακὸν ἐργάσασθαι τὴν ἐκείνου χώραν. θείᾳ δὲ δυνάμει πρὸς αὐτοὺς οὐκ εἰδότας ἐλθεῖν. συνεβούλευσέ τε ξενίων αὐτοῖς μεταδόντα καὶ τραπέζης, ἀπολύειν ἀβλαβεῖς. ἰώραμος μὲν οὖν τῷ προφήτῃ πειθόμενος, ἑστιάσας λαμπρῶς καὶ πάνυ φιλοτίμως τοὺς σύ- E ρους, ἀπέλυσε πρὸς ἄδερ τὸν αὐτῶν βασιλέα. τῶν δ' ἀφικομένων καὶ δηλωσάντων αὐτῷ τὰ συμβεβηκότα, θαυμάσας ὁ ἄδερ τὸ παράδοξον καὶ τὴν τοῦ θεοῦ τῶν ἰσραηλιτῶν ἐπιφάνειαν καὶ δύναμιν, καὶ τὸν προφήτην ᾧ τὸ θεῖον οὕτως ἐναργῶς παρῆν, κρύφα μὲν οὐκέτι διέγνω τῶν ἰσραηλιτῶν ἐπιχειρεῖν βασιλεῖ τὸν ἐλισσαῖον δεδοικώς. φανερῶς δὲ πολεμεῖν ἔκρινε, τῷ πλήθει τῆς στρατιᾶς καὶ τῇ δυνάμει νομίζων περιέσε- F σθαι τῶν πολεμίων. καὶ στρατεύει μετὰ μεγάλης δυνάμεως ἐπὶ τὸν ἰώραμον. ὃς οὐχ ἡγούμενος αὑτὸν ἀξιόμαχον εἶναι τοῖς σύροις, ἐνέκλεισεν αὑτὸν εἰς τὴν σαμάρειαν, θαρρῶν τῇ τῶν τειχῶν ὀχυρότητι. ἄδερ δὲ λογισάμενος αἱρήσειν τὴν πόλιν, εἰ καὶ μὴ τοῖς μηχανήμασι, λιμῷ μέντοι καὶ σπάνει τῶν ἐπιτηδείων παραστήσασθαι τοὺς σαμαρεῖς, προσβαλὼν ἐπολιόρκει τὴν πόλιν. οὕτω δ' ἐπέλειπε τὸν ἰώραμον ἡ τῶν ἀναγ- G καίων εὐπορία, ὡς διὰ τὴν ὑπερβολὴν τῆς ἐνδείας ἐν τῇ σαμαρείᾳ πραθῆναι, ὀγδοήκοντα μὲν ἀργυρῶν νομίσματος κεφαλὴν ὄνου, πέντε δ' ἀργυρῶν νομίσματος, ξέστην κόπρου περιστερῶν ἀντὶ ἁλῶν ὠνεῖσθαι τοὺς ἑβραίους. ἦν δ' ἐν φόβῳ μὴ διὰ τὸν λιμὸν προδῷ τις τοῖς ἐχθροῖς τὴν πόλιν ὁ ἰώραμος. καὶ καθ' ἑκάστην ἡμέραν ἐκπεριήρχετο τὰ τείχη καὶ τοὺς φύλακας μή τις ἔνδον εἴη παρ' αὐτῶν σκεπτόμενος, καὶ τῷ βλέπεσθαι, καὶ φροντίζειν ἀφαιρούμενος καὶ τὸ βούλεσθαί τι τοιοῦτο, καὶ τὸ ἔργον, εἰ ταύτην τὶς τὴν γνώμην ἤδη λαμβάνειν ἔφθησεν. ἀνακραγούσης δέ τινος γυναικὸς, δέσποτα ἐλέησον. νομίσας αἰτεῖν τι μέλλειν αὐτὴν τῶν πρὸς τροφὴν, ὀργισθεὶς ἐπηράσατο αὐτῇ τὸν θεὸν, καὶ μήτε ἅλωνας αὐτῷ, μήτε ληνοὺς ὑπάρχειν ἔλεγεν, ὅθεν τι καὶ παράσχοιεν αὐτῇ δεομένῃ.

rogauítque Deum, vt ad confirmandum famulum præsentem se & auxiliatorem ostenderet. Tum Deus exoratus speciem magni equitatus & curruum circa Elisæum famulo videndam exhibuit, ita vt animatus his suppetiis, nec ipse quicquam timeret amplius. Post hæc vates iterum Deum orauit, vt obscuraret oculos hostiũ, caligine immissa præ qua agnoscere ipsum nequeant: & impetrato hoc quoque, dedit se in medium illorum, interrogans quem quærerẽt: quibus respondentibus, Elisæum prophetam se quærere, pollicitus est hunc se traditurum eis, si ad vrbem in qua esset ipsum sequerentur. atque ita, qui & oculis & mẽte à Deo cæcati fuerant, ducentem incunctanter secuti sunt, quos vbi Samariam perduxit, Ioramum regem iussit portas claudere, & Syris suum militẽ circumdare: precibus deinde rursum ad Deum missis impetrat, vt hostium oculis caliginẽ illam tolleret. at illi recepta oculorum acie, conclusos se animaduertunt in mediis hostibus. cúmque attoniti & inopes & consilij hærerent in tam prodigioso negotio, rege quærente ex propheta, an iaculis eos deberet configere, id quidem facere vetuit. solos enim bello superatos hostes occidi fas esse. at hos ne læsa quidem ipsius ditione, Dei voluntate & potentia ignaros omnium eò loci esse productos. consuluit igitur vt hospitali mensa refectos incolumes abire permitteret. Itaque Ioramus prophetæ monitis obsequens, liberaliter ac splendidè tractatos Syros ad regem eorum Adadum remisit. Illi reuersi omnia quæ eis contigêre suo regi renuntiant: qui in tãto prodigio manifestam Dei potentiam admiratus, simúlq; vatis diuinitatem, nihil posthac contra Israelitarum regem clàm molitus est: sed decreuit aperto Marte rem gerere, potẽtiorem se ratus, & numerosioris exercitus dominum: comparatísque ingentibus copiis, vniuersas contra eum educit. qui putans se imparem, si collatis signis res ferro gerenda sit, intra Samariam se cõtinuit, fretus vrbis munitionibus. Adadus verò cogitans, si non machinis, fame tamen eam se in potestatem redacturum, oppugnationem aggreditur. Tanta autem Ioramus laborabat rerum inopia, vt propter nimiam indigentiam intra Samariam veniret octoginta denariis argẽteis caput asini, & quinque denariis Hebræi columbini stercoris sextarium vice condimenti emerent: nihílq; magis verebatur rex, quàm ne quis fame adactus, & non ferens inopiam, vrbem hostibus proderet. quamobrem per singulos dies obibat ipse mœnia & excubias, dispiciens ne quis in vrbẽ clàm admitteretur, & singulari diligentia huiusmodi occasiones adimens. Cúmque mulier quædam exclamasset, Miserere domine, putás eam aliquid cibi petere, commotus ira malè precatus est ei, negans sibi esse vel areas vel torcularia, vnde ipsi impartiri posset aliquid.

IIII.

illa verò dicente nihil ſe eiuſmodi petere, nec ob cibum moleſtam eſſe, ſed vt litem inter ſe & aliam mulierem finiat: iubet quid rei ſit exponere. Mulier ait ſe cum amica quadam vicina pactam, vt quandoquidem nullum aliud adſit contra famem remedium, iugulatis infantibus (nam vtrique erat filiolus) vnum atque alterum diem hoc cibo ſe alerent. Se priùs ſuum occidiſſe, quo heſterna die conſumpto in communem alimoniam, alteram illam mulierem à pacto diſcedere, & ſuum abſcondidiſſe filium. Perculſus vehementi dolore Ioramus veſtem ſibi conſcidit, & exclamans hoc demum defuiſſe ad calamitatum ſummam, ira contra prophetam accenditur, tollendum dictitans qui in tantis malis nullum dignaretur à cæleſti numine impetrare ſubſidium: confeſtimque mittit qui caput illi amputet. Et ille quidem ad cædem eius properabat, Eliſæum verò regis ira non latuit: ſed domi ſedens cum diſcipulis, Ioramus, inquit, homicidæ filius miſit qui caput mihi adimat. nunc aduentum eius obſeruate, vt dum erit pro foribus opponatis vos, & obiectis foribus illum remoremini. mox enim rex ipſe aderit, mandati iam pœnitens. Illi ita vt iuſſi ſunt, hominem venientem excludunt: móxque Ioramus ad ſe reuerſus, & veritus ne cædes acceleretur, quantum potuit, ad Eliſæum properat, interuentu ſuo cohibiturus miſſum à ſe hominem, & vatem periclitantem ſeruaturus. quò vt ventum eſt, incuſare eum cœpit, quòd in tantis calamitatibus ſe cum ciuibus diſpiceret, nec vllum à Deo peteret remedium. Tum propheta promittit in craſtinum eadem hora qua tum rex ad ſe venerat, futuram magnam rerum ad victum neceſſariarum abundantiam, ita vt publicè in foro vno ſiclo veniret ſatum ſimilæ, & vno æquè ſiclo duo ſata hordei. His dictis rex cum ſuo comitatu ſupra modum exhilaratus eſt, propter expertam toties prædictionum fidem, tum quoque nihil addubitans, & præſentem difficultatem ſpe futuri ſubleuans, amicus autem quidam regius, tertiæ copiarum eius parti præpoſitus, cui tum rex fortè familiariter incumbebat, Non credibilia, inquit, polliceris, mi vates, & ſicut abſurdum ſit ſperare ſimilæ ac hordei pluuiam, ita nec quod tu dicis mihi fit veriſimile. Tum propheta: Videbis ipſe, ne dubita, ſed videbis modò, non frueris etiam. Hæc prædictio effectum talem habuit. Mos erat apud Samaritas, vt lepra impurati extra mœnia degerent: & tum quoque quatuor numero hac de cauſa extra portas habebant domicilium. Hi cùm propter ſæuienté famem nihil ex vrbe ciborum acciperent, & ſiue in vrbem reditus daretur, ſiue domi ſe continerent, fame ſibi pereundum certò intelligerent, decreuerunt ſe hoſtibus committere: vt ſiue eis parceretur, viuerent: ſiue ſæuire hoſtis mallet, certè leuius mortis genus incurrerent. Hæc ſententia poſtquàm comprobata eſt, noctu eunt ad caſtra hoſtium.

4.Reg.7.

τῆς δ' οὐδενὸς μὲν χρῄζειν εἰπούσης τούτων οὐδ' ἐνοχλεῖν τροφῆς ἕνεκα, κριθῆναι δ' ἀξιούσης πρὸς ἄλλην γυναῖκα, κελεύσαντος λέγειν καὶ διδάσκειν περὶ ὧν ἐπιζητεῖ, συνθήκας ἔφη ποιήσασθαι μετὰ τῆς ἑτέρας γυναικὸς γειτνιώσης αὐτῇ καὶ φίλης τυγχανούσης, ὅπως ἐπεὶ τὰ τοῦ λιμοῦ καὶ τῆς ἐνδείας ἦν ἀμήχανα, διαχρησάμεναι τὰ τέκνα, ἦν δ' ἄρρεν ἑκατέρᾳ παιδίον, ἀνὰ μίαν ἡμέραν θρέψωμεν ἀλλήλας. κἀγὼ φησὶ πρώτη τοὐμὸν κατέσφαξα. καὶ τὴν παρελθοῦσαν ἡμέραν, τοὐμὸν ἐτράφημεν ἀμφότεραι. ἡ δ' οὐ βούλεται ταὐτὸ ποιεῖν, ἀλλὰ παραβαίνει τὴν συνθήκην, καὶ τὸν υἱὸν ἀφανῆ πεποίηκε. τοῦτ' ἐλύπησε σφοδρῶς Ἰώραμον ἀκούσαντα, καὶ περιρρηξάμενος τὴν ἐσθῆτα, καὶ δεινὸν ἐκβοήσας, ἔπειτα ὀργῆς ἐπὶ τὸν προφήτην Ἐλισσαῖον πληρωθεὶς, ἀνελεῖν αὐτὸν ὥρμησεν, ὅτι μὴ δεῖται τοῦ θεοῦ πόρον αὐτοῖς καὶ διαφυγὴν τῶν περιεχόντων κακῶν δοῦναι. τόν τε ἀποτεμοῦντα αὐτοῦ τὴν κεφαλὴν, εὐθὺς ἐξέπεμπε. καὶ ὁ μὲν ἐπὶ τὴν ἀναίρεσιν ἠπείγετο τοῦ προφήτου. τὸν δὲ Ἐλισσαῖον οὐκ ἔλαθεν ἡ τοῦ βασιλέως ὀργή. καθεζόμενος δ' οἴκαδε παρ' ἑαυτῷ σὺν τοῖς μαθηταῖς, ἐμήνυσεν αὐτοῖς, ὅτι Ἰώραμος ὁ τοῦ φονέως υἱὸς πέμψειε τὸν ἀφαιρήσοντα αὐτοῦ τὴν κεφαλήν. ἀλλ' ὑμεῖς φησιν, ὅταν ὁ τοῦτο προσταχθεὶς ἀφίκηται, παραφυλάξασθε εἰσιέναι μέλλοντα προσαποθλίψαι τῇ θύρᾳ καὶ κατασχεῖν. ἀκολουθήσει γὰρ αὐτῷ πρὸς ἐμὲ παραγινόμενος ὁ βασιλεὺς, μεταβεβουλευμένος. καὶ οἱ μὲν τὸ κελευσθὲν ὡς ἧκεν ὁ πεμφθεὶς ὑπὸ τοῦ βασιλέως ἐπὶ τὴν ἀναίρεσιν τοῦ Ἐλισσαίου ἐποίησαν. Ἰώραμος δὲ καταγνοὺς τῆς ἐπὶ τὸν προφήτην ὀργῆς, καὶ δείσας μὴ φθάσῃ κτείνας αὐτὸν ὁ τοῦτο προσταχθεὶς, ἔσπευδε κωλῦσαι γενέσθαι τὸν φόνον, καὶ διασῶσαι τὸν προφήτην. ἀφικόμενος δὲ πρὸς αὐτὸν, ᾐτιᾶτο ὅτι μὴ παρὰ τοῦ θεοῦ λύσιν αὐτοῖς τῶν παρόντων κακῶν αἰτεῖται, ἀλλ' οὕτως ὑπ' αὐτῶν φθειρομένους ὁρᾷ. Ἐλισσαῖος δὲ, εἰς τὴν ἐπιοῦσαν ἐπηγγέλλετο κατ' ἐκείνην τὴν ὥραν ἐν ᾗ βασιλεὺς ἀφίκετο πρὸς αὐτὸν, ἔσεσθαι πολλὴν εὐπορίαν τροφῆς. καὶ πραθήσεσθαι μὲν ἐν τῇ ἀγορᾷ σίκλου δύο κριθῆς σάτα. ὠνεῖσθαι δὲ σεμιδάλεως σάτον σίκλου. ταῦτα τόν τ' Ἰώραμον καὶ τοὺς παρόντας εἰς χαρὰν περιέτρεψε. πιστεύειν γὰρ τῷ προφήτῃ διὰ τὴν ἐπὶ τοῖς προπεπειραμένοις ἀλήθειαν οὐκ ὤκνουν. ἀλλὰ καὶ τὸ ἐπ' ἐκείνης ἐνδεὲς τῆς ἡμέρας καὶ ταλαίπωρον ἡ προσδοκωμένη κοῦφον αὐτοῖς ἐποίει. ὁ δὲ τῆς τρίτης μοίρας ἡγεμὼν τῷ βασιλεῖ φίλος ὢν, καὶ τότε φέρων αὐτὸν ἐπηρεισμένον, ἄπιστα εἶπε λέγειν ὦ προφῆτα. καὶ ὥσπερ ἀδύνατον ἐκχέαι τὸν θεὸν ἐξ οὐρανοῦ καταρράκτας κριθῆς ἢ σεμιδάλεως, οὕτως ἀμήχανον καὶ τὰ ὑπὸ σοῦ νῦν εἰρημένα γενέσθαι. καὶ ὁ προφήτης πρὸς αὐτὸν, ταῦτα μὲν εἶπεν ὄψῃ τοῦτο λαμβάνοντα τὸ τέλος. οὐ μεταλήψῃ δ' οὐδενὸς τῶν ὑπαρξόντων. ἐξέβη τοίνυν τοῦτον τὸν τρόπον τὰ ὑπὸ Ἐλισσαίου προειρημένα. νόμος ἦν ἐν τῇ Σαμαρείᾳ, τοὺς λέπραν ἔχοντας καὶ μὴ καθαροὺς ἀπὸ τῶν τοιούτων τὰ σώματα, μένειν ἔξω τῆς πόλεως. ἄνδρες οὖν τὸν ἀριθμὸν τέσσαρες, διὰ ταύτην τὴν αἰτίαν περὶ τὰς πύλας μένοντες, μηκέτι μηδενὸς αὐτοῖς διὰ τὴν ὑπερβολὴν τοῦ λιμοῦ τροφὴν ἐκφέροντος, εἰσελθεῖν μὲν εἰς τὴν πόλιν κεκωλυμένοι διὰ τὸν νόμον, κἂν ἐπιτραπῇ δὲ αὐτοῖς διαφθαρήσεσθαι κακῶς ὑπὸ τοῦ λιμοῦ λογισάμενοι, τοῦτο δὲ πείσεσθαι κἂν αὐτόθι μένωσιν ἀπορίᾳ τροφῆς, παραδοῦναι τοῖς πολεμίοις αὐτοὺς ἔκριναν. ὡς εἰ μὲν φείσαιντο αὐτῶν, ζησόμενοι. εἰ δ' ἀναιρεθεῖεν, εὖ θανατήσοντες. ταύτην κυρώσαντες τὴν βουλὴν, νυκτὸς ᾔεσαν εἰς τὸ στρατόπεδον τὸ τῶν πολεμίων, ἤρχε-

ἤρξατο δ' ἤδη τοὺς σύρους ἐκφοβεῖν καὶ ταράττειν ὁ θεὸς, καὶ κτύπον ἁρμάτων καὶ ὅπλων ὡς ἐπερχομένης στρατιᾶς ταῖς ἀκοαῖς αὐτῶν ἐνηχεῖν, καὶ ταύτην ἐγγυτέρω προσφέρειν αὐτοῖς τὴν ὑπόνοιαν. ἀμέλει τοῦτον τὸν τρόπον ὑπ' αὐτῆς διετέθησαν, ὥς τε τὰς σκηνὰς ἐκλιπόντες συνέδραμον πρὸς τὸν ἄδερ λέγοντες ὡς ἰώραμος ὁ τῶν ἰσραηλιτῶν βασιλεὺς μισθωσάμενος συμμάχους, τόν τε τῶν αἰγυπτίων βασιλέα, καὶ τὸν τῶν νήσων, ἐπ' αὐτοὺς ἄγει. προσιόντων γὰρ αὐτοῖς, ἐπακούειν τοῦ κτύπου. ταῦτα λέγουσιν ὁ ἄδερ, καὶ γὰρ αὐτὸς παρεφορεῖτο ἤδη τὰς ἀκοὰς ὁμοίως τῷ πλήθει, προσεῖχε. καὶ μετὰ πολλῆς ἀταξίας καὶ θορύβου καταλειπόντες ἐν τῇ παρεμβολῇ τοὺς ἵππους καὶ τὰ ὑποζύγια, καὶ πλοῦτον ἄφθονον, εἰς φυγὴν ἐχώρησαν. οἱ δὲ λεπροὶ οἱ ἐκ τῆς σαμαρείας ἀναχωρήσαντες εἰς τὸ τῶν σύρων στρατόπεδον, ὧν μικρὸν ἔμπροσθεν ἐπεμνήσθημεν, καὶ γενόμενοι πρὸς τῇ παρεμβολῇ, πολλὴν ἡσυχίαν καὶ ἀφθονίαν ἔβλεπον οὖσαν. καὶ παρελθόντες δὲ εἴσω, καὶ ὁρμήσαντες εἰς μίαν σκηνὴν, ὡς οὐδ' ἕνα ἑώρων ἐν μέσῳ, φαγόντες καὶ πιόντες ἐβάστασαν ἐσθῆτα, καὶ πολὺν χρυσὸν κομίσαντες ἔξω τῆς παρεμβολῆς ἔκρυψαν. ἔπειθ' εἰς ἑτέραν σκηνὴν παρελθόντες, ὁμοίως τὰ ἐν αὐτῇ πάλιν ἐξεκόμισαν. καὶ τοῦτο ἐποίησαν τετράκις, μηδενὸς αὐτοῖς ὅλως ἐντυγχάνοντος. ὅθεν εἰκάσαντες ἀνακεχωρηκέναι τοὺς πολεμίους, κατεγίνωσκον ἑαυτῶν μὴ ταῦτα δηλούντων τῷ ἰωράμῳ καὶ τοῖς πολίταις. καὶ οἱ μὲν ἐλθόντες πρὸς τὸ τῆς σαμαρείας τεῖχος, καὶ ἀναβοήσαντες πρὸς τοὺς φύλακας, ἐμήνυον αὐτοῖς τὰ περὶ τοὺς πολεμίους. ἐκεῖνοι δὲ ταῦτα ἀπήγγειλαν τοῖς τοῦ βασιλέως φύλαξι. παρ' ὧν μαθὼν ἰώραμος, μεταπέμπεται τοὺς φίλους καὶ τοὺς ἡγεμόνας. πρὸς οὓς ἐλθόντας ἐνέδρας καὶ τέχνην ὑπονοεῖν ἔλεγε τὴν ἀναχώρησιν τοῦ τῶν σύρων βασιλέως, ἀπογνόντος ὑμᾶς τῷ λιμῷ διαφθαρήσεσθαι, ἵν' ὡς πεφευγότων ἐπὶ διαρπαγὴν ἐξελθόντων τῆς παρεμβολῆς αἰφνιδίως ἐπιπέσῃ, καὶ κτείνῃ μὲν αὐτοὺς, ἀμαχητὶ δ' ἕλῃ τὴν πόλιν. ὅθεν ὑμῖν παραινῶ, διὰ φυλακῆς ἔχειν αὐτὴν, φρονήσαντας τῷ τοὺς πολεμίους ἀνακεχωρηκέναι. φήσαντος δέ τινος, ὡς ἄριστα μὲν καὶ συνετώτατα ὑπονοήσειε. πέμψαι γε μὴν συμβουλεύσαντος δύο τῶν ἱππέων τοὺς τὴν ἄχρι ἰορδάνου πᾶσαν ἐξερευνήσοντας, ἵν' εἰ ληφθέντες ὑπὸ λοχώντων τῶν πολεμίων διαφθαρεῖεν, φυλακὴ τῇ στρατιᾷ γένωνται, τοῦ μηδὲν ὅμοιον παθεῖν αὐτὴν ἀνυπόπτως προσελθοῦσαν. προσαριθμήσει δέ φησι τοῖς ὑπὸ τοῦ λιμοῦ τεθνηκόσι τοὺς ἱππεῖς, κἂν ὑπὸ τῶν ἐχθρῶν ληφθέντες ἀπόλωνται. ἀρεσθεὶς δὲ τῇ γνώμῃ τότε τοὺς κατοπτευσομένους ἔπεμψεν. οἱ δὲ, κενὴν μὲν τὴν ὁδὸν πολεμίων ἤνυσαν, μεστὴν δὲ σιτίων καὶ ὅπλων εὗρον. ἃ διὰ τὸ κοῦφοι πρὸς τὸ φεύγειν εἶναι, ῥίπτοντες κατέλιπον. ταῦτ' ἀκούσας ὁ βασιλεὺς, ἐπὶ διαρπαγὴν τῶν ἐν τῷ στρατοπέδῳ τὸ πλῆθος ἐξαφῆκεν. οὐ τελὲς δ' οὐδὲν οὐδ' ὀλίγον ὠφελοῦντο, ἀλλὰ πολὺν μὲν χρυσόν. πολὺν δ' ἄργυρον. ἀγέλας δὲ παντοδαπῶν κτηνῶν. ἔτι γε μὴν σίτου μυριάδας καὶ κριθῆς, ἃς οὐδ' ὄναρ ἤλπισαν ἐπιτυχόντες, τῶν μὲν προτέρων κακῶν ἀπηλλάγησαν. ἀφθονίαν δ' εἶχον ὡς ὠνεῖσθαι δύο μὲν σάτα κριθῆς σίκλου. σεμιδάλεως δὲ σάτον σίκλου κατὰ τὴν ἐλισσαίου προφητείαν. ἰσχύει δὲ τὸ σάτον, μόδιον καὶ ἥμισυ ἰταλικόν. μόνος δὲ τούτων οὐκ ὤνατο τῶν ἀγαθῶν ὁ τῆς τρίτης μοίρας ἡγεμών. κατασταθεὶς γὰρ ὑπὸ τοῦ βασιλέως ἐπὶ τῆς πύλης,

Ea nocte Deus Syros exterruit, immiſſo in aures eorum ſonitu quaſi curruum & armatorum aduentantium; adeò vt creſcente magis ac magis ſuſpicione conſternati è totis caſtris ad regem ſuum concurrerent; dicentes adeſſe reges à Ioramo conductos, regem Ægypti & regem inſularum: iam enim exaudiri eorum ſtrepitum. Hæc nunciantibus Adadus credidit, quòd & ipſi aures inani ſonitu pulſarentur vt cæteris: & per ſummam trepidationem omnes ſine ordine ad fugam ſe expediunt; relictiſque intra caſtra & equis, & iumentis, & diuitiis maximis totam ſpem ſalutis in fugiendo collocant. Leproſi verò illi Samaritæ venientes in caſtra Syrorum in ipſo valli aditu ingens ſilentium & magnam rerum copiam deprehendunt, progreſſique vlterius, & ad vnum quodpiam tentorium delati, poſtquam ne vnum quidem adeſſe viderunt, refecti primùm cibo ac potu, veſte & multo auro ſe onerant, eam prædam extra vallum elatam in quodam loco abdunt: mox alterum tentorium aggreſſi faciunt ſimiliter vt priùs: idque quater fecerunt, nemine interim conſpecto. Vnde facilè coniectantes de abitu hoſtium, damnabant ſuam negligentiam, quòd non hæc Ioramo & ciuibus indicaſſent mox à principio. quapropter ad mœnia Samariæ properant, & inclamatis cuſtodibus diſceſſum hoſtium eis ſignificant. illi porrò excubitoribus regiis idem renuntiant. Rex cognito negotio amicorum & ducum conſilium aduocat. ait rem ſibi ſuſpectam, ne aſtu ſimulato abitu Syri ſibi inſidias ſtruant, deſperantes fame vrbem expugnari poſſe: vt ſi ad diripienda caſtra quaſi fuga deſerta procurrant, repentè coorti cæſis direptoribus vrbem etiam facilè occupent. quare ſuam ſententiam eſſe, vt diligenter eam contra inſidias muniant, & cauti ſint, neque temere credita fuga hoſtium procurrendo periculosè obiiciant. Hoc conſilium quidam laudauit vt prudens: addiditque ſibi videri mittendos duos equites qui omnia Iordanem vſque explorent: qui ſi fortè intercipiantur, cautiores fore cæteros, ne & ipſi temerè progreſſi circumueniantur: nec duorum equitum fore grauem iacturam, quos fortaſſis alioquin fames abſumeret. id regi placuit, & eueſtigio miſit qui omnia diſpicerent. illi renunciant nihil ſe per viam reperiſſe hoſtium, ſed paſſim iacere arma iactata, & frumentum reliquáſque ſarcinas, quo expeditiores fugerent. his auditis rex multitudinem ad caſtrorum direptionem emittit. nec fuit vulgaris præda, ſed auri & argenti plurimum, & varia iumentorum genera, preterea tantum inuenerunt frumenti atque hordei numerum, quantū nec in ſomnis ſperare poterant, vt mox omnes præteritæ famis obliuio caperet. tanta enim fuit abundantia, vt duo ſata hordei ſiclo emerentur, & eodem pretio ſatum ſimilæ, iuxta Eliſei vaticinium. ſatum autem continet modium Italicum & dimidium. ſolus autem hac copia non eſt adiutus præfectus ille tertiæ partis militiæ. conſtitutus enim ad portam à rege,

vt cohiberet proruẽtis multitudinis impetum, ne se inuicem conculcando obtererẽt, ipse hoc passus est: atque ita interiit, quemadmodum Elisæus prædixerat, cum prænuncianti annonæ abundantiam nollet credere. Rex autem Syrorum Damascũ reuersus incolumis, vbi cognouit diuinitus immisso terrore se vnà cum exercitu in fugam cõiectum, & vanum fuisse quod de aduentu hostium crediderant, ratus omnino aduersum se habere numen, per animi ægritudinem in morbum etiam corporis incidit. cumque per idem tempus Elisæus Damascum inuiseret, hoc cognito fidissimum è familiaribus suis Azaelẽ honoris causa ei misit obuiam, non sine muneribus, scitaturum quisnam futurus esset morbi exitus, & num euasurus esset hoc periculum. Azael assumptis XL. camelis quicquid optimum ager Damascenus fert, & quicquid in regia fuit eximium, in eos imposuit: & obuiam factus Elisæo, reuerenter eum salutat, dicens se ab Adado rege missum vt offerret ei munera, & de morbo consuleret, num quod leuamen sperare debeat. propheta nuncio nihil mali renũciare iusso, tantùm moriturum regem indicat. id famulus regius dolenter accepit. Elisæus verò flebat, & multis manabat lacrymis, prospiciens quanta mala passurus esset suus populus post Adadi obitum. Azaele deinde rogante causam tristitiæ, Fleo, inquit, quòd me Israelitarum misereat, tam multis à te afficientur cladibus: nam optimos ex eis interficies, & munitissimas eorum vrbes incẽdes, & infantes ad saxa allides, & dissecabis prægnãtes mulieres. Azaele verò dicente, & vnde mihi vires vt hæc faciam, ait sibi diuinitus significatũ, quòd ipse regnaturus sit in Syria. Itaque Azael reuersus ad suum dominum, melius cum habiturum nunciat: & sequenti die reti vuido in eũ iniecto, præfocati à se regiam occupat, vir alioquin strenuus, & gratiosus apud Syrorum ac Damascenorum multitudinem: quo factum est vt vsq; in præsens tam Adadus quàm Azael eius successor diuinis apud Syros colãtur honoribus, tum propter aliam beneficentiam, tum quia magnificè templis extructis Damascenorum vrbem ornatiorem reddiderint. eorum enim effigies quotidianis pompis honorant, & antiquitatem iactant, nescientes quòd non admodum sint veteres, & nondum centum supra mille anni ab eorum ætate intercesserint. Cæterum Ioramus Israelitarum rex audita morte Adadi, à continuis pauoribus respirauit, lætus tandem aliquando licere sibi in pace viuere.

4.Reg.8.

V.

4.Reg.8.

Alter verò Ioramus qui Hierosolymis imperitans eodem, vt dixi, nomine censebatur, mox vt principatum iniit, à cædibus fratrum & paternorum amicorum potestatem auspicatus, videbatur cum Israeliticis regibus certamen suscepisse, ne inferior haberi posset, quantum ad impietatem attinet, nactus ad hoc magistram idoneam Gotholiam vxorem: quæ fuit Achabi filia, à qua externorum numinum cultũ didicit.

A ἵνα τὸ πλῆθος ἐπέχῃ τῆς πολλῆς ὁρμῆς, καὶ μὴ κινδυνεύσωσιν ὑπ' ἀλλήλων ὠθούμενοι συμπατηθέντες ἀπολέσθαι, ταῦτ' αὐτὸς ἔπαθε. καὶ τοῦτον ἀποθνήσκει τὸν τρόπον, τὴν τελευτὴν αὐτῷ προφητεύσαντος ἠλισσαίου, ὅτι τοῖς ὑπ' αὐτοῦ περὶ τῆς ἐσομένης εὐπορίας τῶν ἐπιτηδείων λεγομένοις, μόνος ἐξ ἁπάντων οὐκ ἐπίστευσεν. ὁ δὲ τῶν σύρων βασιλεὺς ἄδερος διασωθεὶς εἰς δαμασκὸν, καὶ μαθὼν ὅτι τὸ θεῖον αὐτόν τε καὶ τὴν B στρατιὰν αὐτοῦ πᾶσαν εἰς τὸ δέος καὶ τὴν ταραχὴν ἐκείνην ἐνέβαλλεν, ἀλλ' οὐκ ἐξ ἐφόδου πολεμίων ἐγένετο, σφόδρα τῷ δυσμενῆ τὸν θεὸν ἔχειν ἀθυμήσας εἰς νόσον κατέπεσεν. ἐκδημήσαντος δὲ κατ' ἐκεῖνον τὸν χρόνον εἰς δαμασκὸν ἐλισσαίου τοῦ προφήτου, γνοὺς ὁ ἄδερ, τὸν πιστότατον τῶν οἰκετῶν ἀζάηλον ἔπεμψεν ὑπαντησόμενον αὐτῷ, καὶ δῶρα κομίζοντα, κελεύσας ἐρέσθαι περὶ τῆς νόσου, καὶ εἰ διαφύγοι τὸν ἐξ αὐτῆς C κίνδυνον. ἀζάηλος δὲ μετὰ καμήλων τεσσαράκοντα τὸν ἀριθμὸν, αἳ τὰ κάλλιστα καὶ τὰ τιμιώτατα, τῶν ἐν δαμασκῷ γινομένων, καὶ ὄντων ἐν τῷ βασιλείῳ ἔφερον δῶρα, συμβαλὼν τῷ ἐλισσαίῳ, καὶ προσαγορεύσας αὐτὸν φιλοφρόνως, ἔλεγεν ὑπὸ ἄδερος τοῦ βασιλέως πεμφθέντα πρὸς αὐτὸν, δῶρά τε κομίσαι καὶ πύθεσθαι περὶ τῆς νόσου, εἰ ῥᾷον ἀπ' αὐτῆς ἔσοιτο. ὁ δὲ προφήτης, τὸν μὲν ἀζάηλον ἐκέλευσε μηδὲν ἀπαγγέλλειν D τῷ βασιλεῖ κακόν. ἔλεγε δ' ὅτι τεθνήξεται. καὶ ὁ μὲν οἰκέτης τοῦ βασιλέως, ἐλυπεῖτο ταῦτα ἀκούσας. ὁ δὲ ἐλισσαῖος ἔκλαιε, καὶ πολλοῖς ἐρρεῖτο δακρύοις, προορώμενος ἃ πάσχειν ὁ λαὸς ἔμελλε κακὰ, μετὰ τὴν ἄδερος τελευτήν. ἀνακρίναντος δ' αὐτὸν ἀζαήλου τὴν αἰτίαν τῆς συγχύσεως, κλαίω, φησὶ, τὸ πλῆθος τῶν ἰσραηλιτῶν ἐλεῶν, ὧν ἐκ σοῦ πείσονται δεινῶν. ἀποκτενεῖς γὰρ αὐτῶν τοὺς ἀρίστους, καὶ τὰς ὀχυρωτάτας πόλεις ἐμ-E πρήσεις, καὶ παιδία μὲν ἀπολεῖς προσρηγνὺς πέτραις, τὰς δ' ἐγκύους ἀναρρήξεις γυναῖκας. τοῦ δ' ἀζαήλου λέγοντος, τίνα γὰρ ἰσχὺν ἐν ἐμοὶ τηλικαύτην εἶναι συμβέβηκεν ὥστε ταῦτα ποιῆσαι, τὸν θεὸν ἔφησεν αὐτῷ δεδηλωκέναι τοῦθ' ὅτι τῆς συρίας μέλλοι βασιλεύειν. ἀζάηλος μὲν οὖν παραγενόμενος πρὸς τὸν ἄδερα, τῷ μὲν τὰ βελτίω περὶ τῆς νόσου κατήγγειλε. τῇ δ' ἐπιούσῃ δίκτυον ἐπιβαλὼν αὐτῷ διάβροχον, τὸν μὲν F στραγγάλῃ διέφθειρε, τὴν δ' ἀρχὴν αὐτὸς παρέλαβε, δραστήριός τε ὢν ἀνὴρ, καὶ πολλὴν ἔχων παρὰ τῶν σύρων εὔνοιαν καὶ τοῦ δήμου τῶν δαμασκηνῶν. ὑφ' οὗ μέχρι νῦν αὐτός τε ὁ ἄδερ καὶ ἀζάηλος ὁ μετ' αὐτὸν ἄρξας, ὡς θεοὶ τιμῶνται διὰ τὰς εὐεργεσίας καὶ τῶν ναῶν τὰς οἰκοδομίας, οἷς ἐκόσμησαν τὴν τῶν δαμασκηνῶν πόλιν. πέμπουσι δ' αὐτοὶ καθ' ἑκάστην ἡμέραν ἐπὶ τῇ τιμῇ τῶν βασιλέων, καὶ σεμνύνονται τὴν τούτων G ἀρχαιότητα, οὐκ εἰδότες ὅτι νεώτεροι εἰσὶ, καὶ οὐκ ἔχουσιν αὐτοὶ οἱ βασιλεῖς ἔτη χίλια καὶ ἑκατόν. ὁ δὲ τῶν ἰσραηλιτῶν βασιλεὺς ἰώραμος ἀκούσας τὴν ἄδερος τελευτὴν, ἀνέπνευσεν ἐκ τῶν φόβων, καὶ τοῦ δέους ὃ δι' αὐτὸν εἶχεν, ἀσμένως εἰρήνης λαβόμενος. ἰώραμος δὲ ὁ τῶν ἱεροσολύμων βασιλεὺς, καὶ τούτῳ γὰρ ἦν ταυτὸ καθὼς προειρήκαμεν ἔμπροσθεν ὄνομα, παραλαβὼν τὴν ἀρχὴν, εὐθὺς ἐπὶ σφαγὴν τῶν ἀδελφῶν αὐτοῦ, καὶ τῶν πατρῴων φίλων οἳ καὶ ἡγεμόνες ἦσαν ἐχώρησεν, τὴν ἀρχὴν καὶ τὴν ἐπίδειξιν τῆς πονηρίας ἐντεῦθεν ποιησάμενος, καὶ μηδὲν διενεγκὼν τῶν τῆς ἰσραὴλ βασιλέων, οἳ πρῶτοι παρηνόμησαν εἰς τὰ πάτρια τῶν ἑβραίων ἔθη, καὶ τὴν τοῦ θεοῦ θρησκείαν. ἐδίδαξέ τε αὐτὸν τά τε ἄλλα κακὰ, καὶ δὴ καὶ ξενικοὺς θεοὺς προσκυνεῖν, γοθολία θυγάτηρ μὲν ἀχάβου συνοικήσασα δ' αὐτῷ.

καὶ ὁ

καὶ ὁ μὲν θεὸς διὰ τὴν πρὸς Δαυίδην ὁμολογίαν οὐκ ἐβούλετο τούτου τὸ γένος ἐξαφανίσαι. Ἰώραμος δ' οὐ διέλιπεν ἑκάστης ἡμέρας καινουργῶν ἐπ' ἀσεβείᾳ καὶ λύμῃ τῶν ἐπιχωρίων ἐθισμῶν. ἀποστάντων δ' αὐτοῦ κατ' ἐκεῖνον τὸν καιρὸν τῶν Ἰδουμαίων, καὶ τὸν μὲν πρότερον ἀποκτεινάντων βασιλέα, ὃς ὑπήκουεν αὐτοῦ τῷ πατρί, ὃν δ' ἐβούλοντο αὐτοὶ καταστησάντων, Ἰώραμος μετὰ τῶν περὶ αὐτὸν ἱππέων καὶ τῶν ἁρμάτων, νυκτὸς εἰς τὴν Ἰδουμαίαν ἐνέβαλε. καὶ τοὺς μὲν πέριξ τῆς αὐτοῦ βασιλείας διέφθειρε, πορρωτέρω δ' οὐ προῆλθεν. ὤνησε μέντοι τοῦτο ποιήσας οὐδέν. πάντες γὰρ ἀπέστησαν αὐτοῦ, καὶ οἱ τὴν χώραν τὴν καλουμένην Λαβίναν νεμόμενοι. ἦν δ' οὕτως ἐμμανὴς ὥστε τὸν λαὸν ἠνάγκαζεν ἐπὶ τὰ ὑψηλὰ τῶν ὀρῶν ἀναβαίνοντα προσκυνεῖν τοὺς ἀλλοτρίους θεούς. ταῦτα δ' αὐτῷ πράττοντι καὶ τελέως ἐκβεβληκότι τῆς διανοίας τὰ πάτρια νόμιμα, κομίζεται παρ' Ἠλίου τοῦ προφήτου ἐπιστολή, ἣ τὸν θεὸν ἐδήλου μεγάλην παρ' αὐτοῦ ληψόμενον δίκην, ὅτι τῶν μὲν ἰδίων πατέρων μιμητὴς οὐκ ἐγένετο, τοῖς δὲ τῶν Ἰσραηλιτῶν βασιλέων κατηκολούθησεν ἀσεβήμασι, καὶ συνηνάγκασε τὴν τε Ἰούδα φυλὴν, καὶ τοὺς πολίτας Ἱεροσολύμων ἀφέντας τὴν ὁσίαν τῆς ἐπιχωρίου θεοῦ θρησκείαν, σέβειν τὰ εἴδωλα, καθὼς καὶ Ἄχαβος τοὺς Ἰσραηλίτας ἐβιάσατο. ὅτι τε τοὺς ἀδελφοὺς διεχρήσατο, καὶ τοὺς ἀγαθοὺς ἄνδρας καὶ δικαίους ἀπέκτεινε, τήν τε τιμωρίαν ἣν ἀντὶ τούτων ὑφέξειν ἔμελλεν, ἐσήμαινε τοῖς γράμμασιν ὁ προφήτης, ὄλεθρον τοῦ λαοῦ καὶ φθορὰν γυναικῶν αὐτοῦ τε τοῦ βασιλέως καὶ τέκνων, καὶ ὅτι τεθνήξεται νόσῳ τῆς νηδύος, ἐπὶ πολὺ βασανισθεὶς, καὶ τῶν ἐντέρων αὐτοῦ διὰ τὴν ἐκβολὴν τῆς τῶν ἐντὸς διαφθορᾶς ἐκρυέντων. ὡς αὐτὸν ὁρῶντα τὴν αὐτοῦ συμφορὰν, καὶ μηδὲν βοηθῆσαι δυνάμενον, ἔπειθ' οὕτως ἀποθανεῖν. ταῦτα μὲν ἐδήλου διὰ τῆς ἐπιστολῆς ὁ Ἠλίας.

Κεφάλαιον γ'.

Ὅτι στρατοπεδευσάντων ἐπ' αὐτὸν Ἀράβων, ἥ τε δύναμις αὐτοῦ πᾶσα διέφθαρεν, καὶ οἱ παῖδες αὐτοῦ πάρεξ ἑνὸς ὄντος ἔτι νηπίου, καὶ περὶ τούτοις αὐτὸς ἀσεβὴς γενόμενος, κακῶς τὸν βίον κατέστρεψε.

Μετ' οὐ πολὺ δὲ στρατὸς Ἀράβων τῶν ἔγγιστα τῆς Αἰθιοπίας κατοικούντων, καὶ ἀλλοφύλων, εἰς τὴν Ἰωράμου βασιλείαν ἐνέβαλε. καὶ τήν τε χώραν διήρπασαν, καὶ τὸν οἶκον τοῦ βασιλέως. ἔτι δὲ καὶ τοὺς υἱοὺς αὐτοῦ κατέσφαξαν καὶ τὰς γυναῖκας. εἷς δὲ αὐτοῦ περιλείπεται τῶν παίδων διαφυγὼν τοὺς πολεμίους, Ὀχοζίας ὄνομα. μετὰ δὲ ταύτην τὴν συμφορὰν, αὐτὸς τὴν προειρημένην νόσον ὑπὸ τοῦ προφήτου ἐπὶ πλεῖστον νοσήσας χρόνον, ἐνέσκηψε γὰρ εἰς τὴν γαστέρα τὸ θεῖον αὐτοῦ τὴν ὀργὴν, ἐλεεινῶς ἀπέθανεν, ἐπιδὼν αὐτοῦ τὰ ἐντὸς ἐκρυέντα. περιύβρισε δὲ αὐτοῦ καὶ τὸν νεκρὸν ὁ λαός. λογιζόμενοι γὰρ οἶμαι τὸν οὕτως ἀποθανόντα, κατὰ μῆνιν θεοῦ, μὴ δὲ κηδείας τῆς βασιλεῦσι πρεπούσης ἄξιον εἶναι τυχεῖν, οὔτε ταῖς πατρῴαις ἐνεκήδευσαν αὐτὸν θήκαις, οὔτε ἄλλης τιμῆς ἠξίωσαν, βιώσαντα μὲν ἔτη τεσσαράκοντα, βασιλεύσαντα δὲ ὀκτώ. παραδέδωκε δὲ τὴν ἀρχὴν ὁ δῆμος ὁ τῶν Ἱεροσολυμιτῶν τῷ παιδὶ αὐτοῦ Ὀχοζίᾳ.

Et quamuis Deo certum esset seruare quæ Dauidi promiserat, Ioramus tamen indies nouis superstitionibus irritare eum, & populi regionem deprauare non destitit. Accidit interim vt Idumæi ab eius imperio deficerent, cæso rege suo qui Iosaphato hactenus paruerat, & nouo in eius solium imposito: quam iniuriam vlturus Ioramus cum equitatu qui tum ad manum erat, & curribus in Idumæam noctu irrupit: & exustis vicis finitimis non est ausus vlterius progredi. nec tamen hac expeditione quicquam profecit, nisi quòd plures defectiones secutæ sunt, excutientibus eius iugum & illis qui Labinam regionem incolunt. Tantus autem fuit hominis furor, vt adigeret populum lucos in editis montibus sitos conscendere, & aliena numina colere. Cui sic insanienti & prorsus oblito instituti patrij, affertur ab Elia propheta epistola, vindictam Dei minitans, quòd contempto patrum suorum exemplo, ad sectandam Israeliticorum regum impietatem se contulerit: nec hoc contentus etiam Iudæ tribum & Hierosolymorum ciues impulerit relicta patria religione ad externos ritus desciscere, & effigies hominum colere, quemadmodum & Achabus sibi subditos compulerat. ad hæc quòd fratres & alios viros bonos ac iustos interfecisset. pœna etiam qualis imminere tin eisdem significabatur literis, hostilis manus quæ in populum regis & domesticam familiam deseuiret, nec liberis parcens nec vxoribus. Ipsum quoque lento ventris profluuio vexatum, intestinis simul paulatim effluentibus, serò per hoc peccatum agnoscentem, miseram efflaturum animam. atque hoc fuit argumentum epistolæ, quæ illi Eliæ nomine est reddita.

Cap. III.

Exercitus Iorami deletur ab hostibus, & filij perimuntur, vnico excepto, postremò ipse misera morte tollitur.

Nec multo pòst exercitus Arabum qui versus Æthiopiam incolunt, cum aliis Barbaris Iorami regnum inuadit, qui & regionem omnem, & ipsam regiam diripuit, iugulatis etiam vxoribus eius ac liberis. vnicus tantum fuit superstes, ęgrè elapsus è manibus hostium, Ochozias nomine. post hanc publicam calamitatem, & ipse in morbum incidit, sicut ei iam antè prædictum fuerat. id malum in ventrem eius ingruit, vt manifesto diuinæ iræ indicio miserabiliter periret, videns quotidie per ventrem intestina defluere. quin & populus insultauit eius cadaueri, facilè inde coniectans, quàm inuisus Deo fuisset homo nefarius, nec cum regio funere dignatus est, nec paterno monumento intulit. Vixit annos quadraginta, regnauit octo. populus Hierosolymitanus Ochoziam in paternum solium imposuit.

CAP. IIII. | Κεφάλαιον δ'.

Damascenorum rex Israelitarum regem bello impetit.

VI. ISraelitarum autem rex Ioramus sperans post Adadi mortem Ramatham Galaditicam vrbem se posse recipere, magno priùs facto apparatu exercitum ei admouet. In ea oppugnatione sagitta ictus à quodam Syro non lethaliter, in Azaram vrbem se recepit curandi vulneris gratia, relicto in obsidione Ramathę toto exercitu, cui Ieum Amasiæ filium præfecerat, qui illam vi expugnatā recepit. erat autem ei propositum percurato vulnere Syros bello aggredi. Interim Elisæus dato vni è discipulis suis sacro oleo, misit eum Ramatham, vt eo delibutum Ieum regem appellaret, diceretque se autoritate diuina regem eum eligere, mandatis etiam quibusdam aliis, iussit eum fugientis more iter facere, nemine abitus eius conscio. Ille vbi ad destinatam vrbem peruenit, offendit Ieum fortè sedentem medium inter duces exercitus, ita vt Elisæus fore prædixerat: accedénsque ad illum, ait se cum eo velle colloqui. & cùm surgens secutus ipsum esset in conclaue, iuuenis depromptum oleum in caput eius effudit. Deus, inquit, te regem elegit in perniciem Achabi generis, & vt vlciscaris prophetarum eius sanguinem, qui à Iezabela contra omne fas occisi sunt: vt quemadmodum priùs Hieroboami & filij ipsius Nabadi, ac mox Basani familiæ propter impietatem interiêre funditus, ita nunc nullum semen maneat reliquum ex Achabi genere. Atque hæc locutus è conclaui se proripuit, nolens à quoquam conspici. Ieus autem statim in consessum ducum rediit. Percontantibus autem illis, qua de causa venisset iuuenis, & insanum videri dicentibus: rectè, inquit, coniecturam facitis. nam insani verba locutus est. illis verò magis etiam exponi sibi quid esset orantibus, regnum populi sibi à Deo delatum, ait illum dixisse. Hæc vbi prolocutus est, vnusquisque ducum detraxit sibi pallium. quibus congestis in speciem solij, & ipso superimposito, tubis & cornibus iusserunt signa canere, Ieum, nouum regem consalutantes faustis acclamationibus. Ille decreuit cum exercitu Iezraelam vrbem petere, vbi tum, vt iam diximus, Ioramus curabat vulnus, quod in Ramathensi oppugnatione acceperat. Veneratque eò per officium cognationis etiam Hierosolymorum rex Ochozias, quòd esset sororis eius filius, vt quomodo se habeat vulnus inuiseret. Quos vt Ieus repentino accessu opprimeret, edixit vt è suis militibus nemo Ioramo indicium faceret: hoc enim eximium fore argumentum, quòd bona fide regnum sibi detulerint.

4.Reg.9.

Στρατεία τοῦ Ἰωράμου Ἰσραηλιτῶν βασιλέως ἐπὶ τοὺς Σύρους.

ΙΩραμος δὲ ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς, μετὰ τὴν ἄδερος τελευτὴν, ἐλπίσας Ἀραμάθην πόλιν τῆς Γαλααδίτιδος ἀφαιρήσεσθαι τοὺς Σύρους, στρατεύει μὲν ἐπ' αὐτὴν μετὰ μεγάλης παρασκευῆς. ἐν δὲ τῇ πολιορκίᾳ τοξευθεὶς ὑπό τινος τῶν Σύρων οὐ καιρίως, ἀνεχώρησεν εἰς Ἄζαρον πόλιν, ἰαθησόμενος ἐν αὐτῇ τὸ τραῦμα, καταλιπὼν ἐν τῇ Ἀραμάθῃ τὴν στρατιὰν ἅπασαν, καὶ ἡγεμόνα τὸν Ἀμασὶ παῖδα Ἰηοῦν. ἤδη γὰρ αὐτὴν εἰλήφει κατὰ κράτος. προὔκειτο δὲ αὐτῷ μετὰ τὴν θεραπείαν, πολεμεῖν τοῖς Σύροις. Ἐλισσαῖος δ' ὁ προφήτης ἕνα τῶν μαθητῶν αὐτοῦ δοὺς αὐτῷ τὸ ἅγιον ἔλαιον ἔπεμψεν εἰς Ἀραμάθην, χρίσοντα τὸν Ἰηοῦν, καὶ φράσοντα ὅτι τὸ θεῖον αὐτὸν ᾕρηται βασιλέα, ἄλλα τε πρὸς τούτοις εἰπὼν ἐπιστείλας ἐκέλευσε, καὶ τρόπῳ φυγῆς ποιήσασθαι τὴν πορείαν, ὅπως λάθῃ πάντας ἐκεῖθεν ἀπιών. ὁ δὲ γενόμενος ἐν τῇ πόλει, τὸν Ἰηοῦν εὑρίσκει καθεζόμενον μετὰ τῶν τῆς στρατιᾶς ἡγεμόνων μέσον αὐτῶν, καθὼς Ἐλισσαῖος αὐτῷ προεῖπε. προσελθὼν δὲ ἔφη, βούλεσθαι περί τινων αὐτῷ διαλεχθῆναι. τοῦ δ' ἀναστάντος, καὶ ἀκολουθήσαντος εἰς τὸ ταμιεῖον, λαβὼν ὁ νεανίας τὸ ἔλαιον, κατέχεεν αὐτοῦ τῆς κεφαλῆς, καὶ τὸν θεὸν ἔφησε χειροτονεῖν αὐτὸν, ἐπ' ὀλέθρῳ τοῦ γένους τοῦ Ἀχάβου, καὶ ὅπως ἐκδικήσῃ τὸ αἷμα τῶν προφητῶν, τῶν ὑπὸ Ἰεζαβέλας παρανόμως ἀποθανόντων, ἵν' ὁ τούτων οἶκος τὸν αὐτὸν τρόπον ὅνπερ οἱ Ἱεροβοάμου τοῦ Ναβαταίου παῖδες καὶ Βαάσα πρόρριζος διὰ τὴν ἀσέβειαν αὐτῶν ἀφανισθῇ, καὶ μηδὲν ὑπολειφθείη σπέρμα τῆς Ἀχάβου γενεᾶς. καὶ ὁ μὲν ταῦτ' εἰπὼν ἐξεπήδησεν ἐκ τοῦ ταμιείου, σπουδάζων μηδενὶ τῶν ἐπὶ τῆς στρατιᾶς ὀφθῆναι. ὁ δὲ Ἰηοῦς προελθὼν ἧκεν ἐπὶ τὸν τόπον ἔνθα μετὰ τῶν ἡγεμόνων ἐκαθέζετο. πυνθανομένων δὲ, καὶ φράζειν αὐτοῖς παρακαλούντων τί πρὸς αὐτὸν ὁ νεανίας ἀφίκοιτο, καὶ προσέτι μαίνεσθαι λεγόντων αὐτόν. ἀλλ' ὀρθῶς γε εἰκάσατε, εἶπε. καὶ γὰρ τοὺς λόγους μεμηνότος ἐποιήσατο. σπουδαζόντων δὲ ἀκοῦσαι καὶ δεομένων, ἔφη τὸν θεὸν αὐτὸν ᾑρῆσθαι βασιλέα τοῦ πλήθους εἰρηκέναι. ταῦτ' εἰπόντος ἕκαστος περιδύων αὐτὸν ὑπεστρώννυεν αὐτῷ τὸ ἱμάτιον, καὶ σαλπίζοντες τοῖς κέρασιν ἐσήμαινον Ἰηοῦν εἶναι βασιλέα. ὁ δὲ, ἀθροίσας τὴν στρατιὰν, ἔμελλεν ἐξορμᾶν ἐπὶ Ἰώραμον, εἰς Ἰεσραέλαν πόλιν. ἐν ᾗ καθὼς προείπομεν, ἐθεραπεύετο τὴν πληγὴν, ἣν ἔλαβε πρὸς τῇ Ἀραμάθης πολιορκίᾳ. ἔτυχε δὲ καὶ ὁ τῶν Ἱεροσολύμων βασιλεὺς Ὀχοζίας ἀφιγμένος πρὸς τὸν Ἰώραμον. υἱὸς γὰρ ἦν αὐτοῦ τῆς ἀδελφῆς ὡς καὶ προειρήκαμεν. ἐπισκέψασθαι δὲ πῶς ἔχοι ἐκ τοῦ τραύματος διὰ τὴν συγγένειαν ἐληλύθει. Ἰηοῦς δὲ βουλόμενος, ἀφνιδίως τοῖς περὶ τὸν Ἰώραμον ἐμπεσεῖν, ἠξίου μηδένα τῶν στρατιωτῶν ἀποδράντα μηνῦσαι ταῦτα τῷ Ἰωράμῳ· τοῦτο ἔσεσθαι λαμπρὰν ἐπίδειξιν αὐτῷ τῆς εὐνοίας, καὶ τοὺς διακειμένους οὕτως ἀποδεῖξαι αὐτὸν βασιλέα.

Κεφά-

Κεφάλαιον ε'.

Ὡς ἰώραμος ἀπέθανεν ὑπὸ ἰηοῦ ἀναιρεθεὶς τοῦ ἱππάρχου, καὶ ἡ γενεὰ αὐτοῦ, καὶ ὁ τῶν ἱεροσολύμων βασιλεὺς ὀχοζίας.

Οἱ δὲ τοῖς εἰρημένοις ἡσθέντες, ἐφύλαττον τὰς ὁδοὺς, μή τις εἰς ἰεσράελα διαλαθὼν μηνύσῃ αὐτὸν τοῖς ἐκεῖ. καὶ ὁ μὲν ἰηοῦς, τῶν ἱππέων ἐπιλεκτοὺς ἀναλαβὼν, καὶ καθίσας ἐφ' ἅρματος, εἰς τὴν ἰεσράελα ἐπορεύετο. γινομένου δὲ ἐγγὺς ὁ σκοπὸς ὃν ὁ βασιλεὺς ἰώραμος καθεστήκει, τοὺς ἐρχομένους εἰς τὴν πόλιν ἀφορᾷν, ἰδὼν μετὰ πλήθους προσελαύνοντα τὸν ἰηοῦν, ἀπήγγειλεν ἰωράμῳ προσελαύνουσαν ἱππέων ἴλην. ὁ δ' εὐθὺς ἐκέλευσεν ἐκπεμφθῆναί τινα ἱππέων ὑπαντησόμενον, καὶ τίς ἐστιν ὁ προσιὼν γνωσόμενον. ἐλθὼν δὲ πρὸς τὸν ἰηοῦν ὁ ἱππεὺς, ἐπηρώτα περὶ τῶν ἐν τῷ στρατοπέδῳ, πυνθάνεσθαι γὰρ ταῦτα τὸν βασιλέα. ὁ δὲ μηδὲν μὲν περὶ τούτων πολυπραγμονεῖν ἐκέλευσεν, ἕπεσθαι δ' αὐτῷ. ταῦθ' ὁ σκοπὸς ὁρῶν, ἀπήγγειλεν ἰωράμῳ τὸν ἱππέα συγκαταμιγέντα τῷ πλήθει τῶν προσιόντων, σὺν ἐκείνοις παραγίνεσθαι. πέμψαντος δὲ καὶ δεύτερον τοῦ βασιλέως, ταὐτὸ ποιεῖν προσέταξεν ἰηοῦς. ὡς δὲ καὶ τοῦτ' ἐδήλωσεν ὁ σκοπὸς ἰωράμῳ, τελευταῖον αὐτὸς ἐπιβὰς ἅρματος σὺν ὀχοζίᾳ τῷ τῶν ἱεροσολύμων βασιλεῖ, παρῆν γὰρ αὐτὸς ὡς ἔφημεν ἔμπροσθεν ὀψόμενος αὐτὸν, πῶς ἐκ τραύματος ἔχοι διὰ συγγένειαν, ἐξῆλθεν ὑπαντησόμενος. σχολαίτερόν τε καὶ μετ' εὐταξίας ὥδευεν ἰηοῦς. καταλαβὼν δ' ἐν ἀγρῷ ναβούθου τοῦτον ἰώραμος, ἐπυνθάνετο εἰ πάντα ἔχοι καλῶς τὰ κατὰ τὸ στρατόπεδον. βλασφημήσαντος δὲ πικρῶς αὐτὸν ἰηοῦ, ὡς καὶ τὴν μητέρα αὐτοῦ φαρμακὸν καὶ πόρνην ἀποκαλέσαι, δείσας ὁ βασιλεὺς τὴν διάνοιαν αὐτοῦ, καὶ μηδὲν ὑγιὲς φρονεῖν αὐτὸν ὑπονοήσας, στρέψας ὡς εἶχε τὸ ἅρμα, ἔφυγε, φήσας πρὸς ὀχοζίαν ἐνέδρᾳ καὶ δόλῳ κατεστρατηγεῖσθαι. ἰηοῦς δὲ τοξεύσας αὐτὸν, καταβάλλει, τοῦ βέλους διὰ τῆς καρδίας ἐνεχθέντος. καὶ ἰώραμος μὲν εὐθὺς πεσὼν ἐπὶ γόνυ τὴν ψυχὴν ἀφῆκεν. ἰηοῦς δὲ προσέταξε βαδάκῳ τῷ τῆς τρίτης μοίρας ἡγεμόνι, ῥίψαι τὸν ἰωράμου νεκρὸν, εἰς τὸν ἀγρὸν τοῦ ναβούθου, ἀναμνήσας αὐτὸν τῆς ἠλία προφητείας ἣν ἀχάβῳ τῷ πατρὶ αὐτοῦ τὸν νάβωθον ἀποκτείναντι προεφήτευσεν, ὡς ἀπολεῖται αὐτός τε καὶ τὸ γένος αὐτοῦ, ἐν τῷ ἐκείνου χωρίῳ. ταῦτα γὰρ, καθεζομένους ὄπισθεν τοῦ ἅρματος τοῦ ἀχάβου, λέγοντος ἀκοῦσαι τοῦ προφήτου. καὶ δὴ τοῦτο συνέβη γενέσθαι, κατὰ τὴν πρόρρησιν τὴν ἐκείνου. πεσόντος δὲ ἰωράμου, δείσας περὶ τῆς ἑαυτοῦ σωτηρίας ὀχοζίας, τὸ ἅρμα εἰς ἑτέραν ὁδὸν ἐξένευσε, λήσεσθαι τὸν ἰηοῦν ὑπολαβών. ὁ δ' ἐπιδιώξας καὶ καταλαβὼν ἔν τινι προσβάσει, τοξεύσας ἔτρωσε. καταλιπὼν δὲ τὸ ἅρμα, καὶ ἐπιβὰς ἵππῳ φεύγει τὸν ἰηοῦν εἰς μαγεδδώ. κἀκεῖ θεραπευόμενος μετ' ὀλίγον ἐκ τῆς πληγῆς τελευτᾷ. κομισθεὶς δ' εἰς ἱεροσόλυμα, τῆς ἐκεῖ ταφῆς τυγχάνει, βασιλεύσας μὲν ἐνιαυτὸν ἕνα, πονηρὸς δὲ καὶ χείρων τοῦ πατρὸς γενόμενος.

CAP. V.

Ioramus à Ieu magistro equitum cum tota stirpe occiditur, & cum eo Hierosolymitanus rex Ochozias.

Milites verò læti imperata faciunt, & omnes vias obsident, ne quis ad Ioramum illis insciis peruenire, & quid agatur renunciare valeat. Ieus interim stipatus equitum lectissimis, ad Iesraelem sublimis curru properè vehitur, quo iam appropinquante, speculator à rege constitutus vt venientes in vrbem obseruet, vbi vidit Ieum cum turmis aduehi, renuntiauit Ioramo aduentare agmen equitum. illi euestigio mittit quendam equitem qui occurrat & cognoscat quisnam veniat. ad quos vbi accessit eques, rogat quid agatur in exercitu. regem enim scire cupere. Ieus iubet illum nihil de hac re esse solicitum, & vt sequatur se cum aliis. hoc speculator cùm vidisset, renunciat Ioramo equitem illum admixtum agmini iter facere cum illis. mox & alterum à rege missum Ieus idem iubet facere. vt verò & hoc per speculatorem Ioramus didicit, postremò ipse conscenso curru cum Ochozia Hierosolymorum rege, quem vt cognatum inuisendi gratia illò venisse diximus, exiuit illi obuiam. nam lentè & composito agmine Ieus incedebat. Hunc Ioramus in suburbano Nabuthi nactus, rogat satin saluæ sint res in exercitu. à quo amarulento conuicio exceptus, & veneficæ meretricis filius appellatus, facilè cogitans nihil sani eum habere in animo, flexis habenis cœpit fugere, dicens Ochoziæ, circũuentos se dolo ac insidiis. Ieus verò sagitta per cor transfixũ de curru cũ præcipitat. mox Badaco tertiæ partis exercitus præfecto imperat, vt cadauer Iorami in Nabuthi agrum proiiciat, prophetiam Eliæ in mentem ei reuocans, qua patri huius Achabo prædixerat, fore vt aliquando ipse & eius familia in eo loco pereat. id enim se tum ex ore prophetæ audisse, cùm post tergum Achabi in eodem curru sederet. id quod etiam ita vt prædictum fuerat euenit. Cæso autem Ioramo, Ochozias suæ quoque saluti metuens, currum in aliam viam deflexit, latere se Ieum existimans. At ille assecutus cum ad quendã cliuum, sagitta ictum sauciat. qui relicto curru equum properè conscendit, & continuato cursu delatus est in Magedonem oppidum, vbi paulo pòst ex eo vulnere mortuus, relatúsque Hierosolyma, illic sepultus est, cùm regnasset anno vno, patre suo longè sceleratior.

CAP. VI.

Ieus inter Israelitas regnat apud Samariam, & post eum vsque quartam generationem eius progenies.

IEu verò veniente Iesraelam Iezabela ornatu regio stans in turri, ô seruum egregium, inquit, qui dominum suum occidit. Ille suspiciẽs rogauit eã quænam esset, iubẽs ad se descẽdere.

Κεφάλαιον ς'.

Ὅτι ὁ ἰηοῦς ἐβασίλευσε τῶν ἰσραηλιτῶν ἐν σαμαρείᾳ διατρίβων, καὶ οἱ παῖδες αὐτοῦ ἐπὶ γενεὰς τέσσαρας.

Τοῦ δὲ ἰηοῦ ἐλθόντος εἰς ἰεσράελα, κοσμησαμένη ἡ ἰεζαβέλα, καὶ στᾶσα ἐπὶ τοῦ πύργου, καλὸς εἶπε δοῦλος ὁ ἀποκτείνας τὸν δεσπότην. ὁ δ' ἀναβλέψας πρὸς αὐτὴν, ἐπυνθάνετο τίς εἴη.

tandem eunuchis ipsius imperat, vt eam de turri dent præcipitem. quæ inter cadendum cruëtatis mœnibus, vbi solum attigit ab equitibus conculcata & obtrita periit. post hæc Ieus ingressus regiam cum amicis refecit se ab itinere, mandauitque Iezabelæ famulis vt eam sepelirent in honorem generis, quòd nata esse è regibus: qui nihil reliquum inuenerunt de cadauere, præter manus & faciem, consumptis cæteris à canibus. his auditis Ieus admiratus est Eliæ mentem diuinam, qui eam reginam in hac ipsa vrbe malè perituram prædixerat. Et quia septuaginta liberi Achabi apud Samariam educabantur, binas eò literas Ieus, alteras ad eorum pędagogos, alteras ad vrbis magistratus, misit: in quibus hortabatur, vt quandoquidem arma, viri, equi & currus illis non deessent, creato ex eo numero rege qui per ætatem maximè videri posset idoneus, in domini interfectores vindicent. Id faciebat, vt experiretur quomodo Samaritæ erga se animati essent. Magistratus autem & pædagogi lectis literis extimuerunt, & cogitantes se huic qui duos maximos reges oppresserat, esse impares, rescripserunt ipsum esse dominum, se verò imperata eius paratos facere. Ille rursum rescripsit, ergo Achabi filiorum capita præcisa ad se mitterent. Tum magistratus accersitis adolescentum altoribus imperant, vt occisis illis præfecta capita ad Ieum transmittant. illi nihil miserti iussa peregerunt, & congesta in vasis quibusdam plexilibus capita Iesraelam misērūt. Quæ cùm eò perlata essent, renuntiatur cœnanti cum amicis regi, adesse Achabi filiorum capita. ille ante portam ex vtroque viæ latere aceruos ex eis iussit construi: quo facto, diluculo ad ea visenda progressus, vertit se ad populum: & si ego, inquit, cum coniuratis dominum meum interfeci, istos omnes quis interfecit? Volebátque eis persuasum, quicquid Achabi generi accidisset, non volente solùm, sed prænuntiante etiam Deo factum, qui hoc fore iam ante per Eliam vatem ostenderat. Deinde occisis quotquot etiam apud Iesraelitas ex ea cognatione inuenirentur, versus Samariam iter ingressus est. Et cùm incidisset in cognatos Ochoziæ regis Hierosolymorum, rogauit quónam tenderent. Aiunt se venire salutatum Ioaramum, & cum eo regem suum Ochoziam. nesciebant enim vtrunque ab eo necatum. ille hos quoque comprehensos iubet interfici, duos & quadraginta numero. Paulo pòst occurrit ei vir bonus & iustus, nomine Ionadabus, vetus amicus ipsius: qui post mutuam salutationem multis verbis prædicauit eius facinora, quod ex sententia Dei fecerit omnia, dum impiam Achabi familiam extirpat radicitus. Ieus verò suasit ei vt conscenso curru quo ipse vehebatur, simul intraret Samariam. Visurum enim quòd nemini malo parceret, sed falsos vates ac sacerdotes,

4. *Reg.* 10.

A καὶ καταβᾶσαν ἥκειν πρὸς αὐτὸν ἐκέλευσε. καὶ τέλος τοῖς εὐνούχοις προσέταξεν αὐτὴν ἀπὸ τοῦ πύργου βαλεῖν. καταφερομένη δὲ, τότε τεῖχος περιέρρανε τῷ αἵματι, καὶ συμπατηθεῖσα ὑπὸ τῶν ἵππων οὕτως ἀπέθανε. τούτων δὴ γινομένων παρελθὼν ἰηοῦς εἰς τὰ βασίλεια σὺν τοῖς φίλοις, ἑαυτὸν ἐκ τῆς ὁδοῦ ἀνεκτᾶτο, προστάξας τοῖς οἰκέταις ἰεζάβελαν θάψαι διὰ τὸ γένος. ἦν γὰρ ἐκ βασιλέων. εὗρον δὲ οὐδὲν τοῦ σώματος αὐτῆς οἱ προσταχθέντες τὴν κηδείαν, ἢ μόνα τὰ ἀκρωτήρια. τὸ δὲ ἄλλο πᾶν, ὑπὸ κυνῶν ἦν

B δεδαπανημένον. ταῦτα ἀκούσας ὁ ἰηοῦς, ἐθαύμαζε τὴν ἠλίου προφητείαν. οὕτω γὰρ αὐτὴν εἰς ἰεζράελα προεῖπε τοῦτον ἀπολέσθαι τὸν τρόπον. ὄντων δὲ ἀχάβου παίδων ἑβδομήκοντα, τρεφομένων δὲ ἐν σαμαρείᾳ, πέμπει δύο ἐπιστολὰς ἰηοῦς, τὴν μὲν τοῖς παιδαγωγοῖς, τὴν δὲ ἑτέραν, τοῖς ἄρχουσι τῶν σαμαρέων, λέγων ὡς τὸν ἀνδρειότατον τῶν ἀχάβου παίδων,

C ἀποδείξει βασιλέα. καὶ γὰρ ἁρμάτων τὸ ἀνδρειότατον αὐτοῖς εἶναι πλῆθος καὶ ἵππων καὶ ὅπλων καὶ στρατιᾶς, καὶ πόλεις ὀχυρὰς ἔχειν. καὶ ταῦτα ποιήσαντας, εἰσπράττεσθαι δίκην ὑπὲρ τοῦ δεσπότου. ταῦτα δὲ ἔγραφε, διάπειραν βουλόμενος λαβεῖν τῆς τῶν σαμαρέων διανοίας. ἀναγνόντες δὲ τὰ γράμματα, οἵ τε ἄρχοντες καὶ οἱ παιδαγωγοὶ, κατέδεισαν. καὶ λογισάμενοι μηδὲν δύνασθαι ποιεῖν πρὸς τοῦτον, ὃς δύο μεγίστων

D ἐκράτησε βασιλέων, ἀντέγραψαν ὁμολογοῦντες αὐτὸν ἔχειν δεσπότην, καὶ ποιήσειν ὃ ἂν κελεύει. ὁ δὲ πρὸς ταῦτα ἀντέγραψεν, αὐτῷ τε ὑπακούειν κελεύων, καὶ τῶν ἀχάβου παίδων τὰς κεφαλὰς ἀποτεμόντας, πέμψαι πρὸς αὐτόν. οἱ δὲ ἄρχοντες, μεταπεμψάμενοι τοὺς τροφεῖς τῶν παίδων, προσέταξαν ἀποκτείνασιν αὐτοὺς τὰς κεφαλὰς ἀποτεμεῖν καὶ πέμψαι πρὸς

E ἰηοῦν. οἱ δὲ οὐδὲν ὅλως φεισάμενοι, τοῦτο ἔπραξαν. καὶ συνθέντες εἴς τινα πλεκτὰ ἀγγεῖα τὰς κεφαλὰς, ἔπεμψαν εἰς ἰεζράηλα. κομισθεισῶν δὲ τούτων, ἀγγέλλεται δειπνοῦντι μετὰ τῶν φίλων τῷ ἰηοῦ, ὅτι κομισθεῖεν αἱ τῶν ἀχάβου παίδων κεφαλαί. ὁ δὲ περὶ τῆς πύλης ἐξ ἑκατέρου μέρους ἐκέλευσεν ἐξ αὐτῶν ἀναστῆσαι βουνούς. γινομένου δὲ τούτου, ἅμα ἡμέρα προελθὼν ὀψόμενος, καὶ θεασάμενος ἤρξατο πρὸς τὸν παρόντα λαὸν λέγειν, ὡς αὐτὸς μὲν ἐπὶ τὸν δεσπό-

F την τὸν αὐτοῦ στρατεύσαιτο, κἀκεῖνον ἀποκτείνειε. τούτους δὲ πάντας οὐκ αὐτὸς ἀνελεῖν. γινώσκειν δὲ αὐτοὺς ἠξίου περὶ τῆς ἀχάβου γενεᾶς, ὅτι πάντα κατὰ τὴν τοῦ θεοῦ προφητείαν γέγονε, καὶ ὁ οἶκος αὐτοῦ καθὼς ἠλίας προεῖπεν ἀπώλωλε. προσδιαφθείρας δὲ καὶ τοὺς παρὰ τοῖς ἰεζραηλίταις εὑρεθέντας ἐκ τῆς ἀχάβου συγγενείας εἰς σαμάρειαν εἰσεπορεύετο. κατὰ δὲ τὴν ὁδὸν, τοῖς ὀχοζίου συμβαλὼν οἰκείοις τοῦ βασι-

G λέως τῶν ἱεροσολύμων ἀνέκρινεν αὐτοὺς τί ποτε παραγένοιντο. οἱ δὲ ἀσπασόμενοί τε ἰώραμον καὶ τὸν αὐτῶν βασιλέα ὀχοζίαν ἥκειν ἔφασκον. οὐ γὰρ ᾔδεισαν αὐτοὺς ἀμφοτέρους ὑπ᾽ αὐτοῦ πεφονευμένους. ἰηοῦς δὲ καὶ τούτους συλληφθέντας ἀναιρεθῆναι προσέταξεν, ὄντας τὸν ἀριθμὸν, τεσσαράκοντα δύο. συναντᾷ δὲ αὐτῷ μετὰ τούτους, ἀνὴρ ἀγαθὸς καὶ δίκαιος ἰωνάδαβος ὄνομα, φίλος αὐτοῦ πάλαι γενόμενος. ὃς ἀσπασάμενος αὐτὸν, ἐπαινεῖν ἤρξατο, πάντα πεποιηκέναι κατὰ βούλησιν θεοῦ, τὴν οἰκίαν ἐξαφανίσαντα τὴν ἀχάβου. ἰηοῦς δὲ ἀναβάντα ἐπὶ τὸ ἅρμα, συνεισελθεῖν αὐτὸν εἰς σαμάρειαν παρεκάλει, λέγων ἐπιδείξειν, πῶς οὐδενὸς φείσεται πονηροῦ, ἀλλὰ καὶ τοὺς ψευδοπροφήτας καὶ τοὺς ψευδιερεῖς,

καὶ τοὺς

καὶ τοὺς ἐξαπατήσαντας τὸ πλῆθος, ὡς τὴν μὲν τοῦ μεγίστου θεοῦ θρησκείαν ἐγκαταλειπεῖν, τοὺς δὲ ξενικοὺς προσκυνεῖν, τιμωρήσεται. κάλλιστον δ' εἶναι θεαμάτων, καὶ ἥδυστον ἀνδρὶ χρηστῷ καὶ δικαίῳ κολαζομένους πονηρούς. τούτοις πεισθεὶς ὁ Ἰωνάδαβος ἀναβὰς εἰς τὸ ἅρμα, εἰς Σαμάρειαν παραγίνεται. ἀναζητήσας δὲ πάντας τοὺς Ἀχάβου συγγενεῖς Ἰηοῦς, ἀποκτείνει. βουλόμενος δὲ, μηδένα τῶν ψευδοπροφητῶν, μηδ' ἱερέων τῶν Ἀχάβου θεῶν τιμωρίαν διαφυγεῖν, ἀπάτῃ καὶ δόλῳ πάντας αὐτοὺς συνέλαβεν. ἀθροίσας γὰρ τὸν λαὸν ἔφη, διπλασίονας ὧν Ἄχαβος θεῶν εἰσηγήσατο προσκυνεῖν, καὶ τοὺς ἐκείνων ἱερεῖς καὶ προφήτας ἠξίου καὶ δούλους αὐτῷ παρεῖναι. θυσίας γὰρ πολυτελεῖς καὶ μεγάλας ἐπιτελεῖν τοῖς Ἀχάβου θεοῖς, τὸν δ' ἀπολειφθέντα τῶν ἱερέων, θανάτῳ ζημιώσειν. ὁ δὲ θεὸς Ἀχάβου, Βαὰλ ἐκαλεῖτο. τάξας δ' ἡμέραν καθ' ἣν ἔμελλε ποιήσειν τὰς θυσίας, διέπεμψεν ἀνὰ πᾶσαν τὴν τῶν Ἰσραηλιτῶν χώραν, τοὺς ἄξοντας πρὸς αὐτὸν τοὺς ἱερεῖς τοῦ Βαάλ, καὶ ἐκέλευσε τοῖς ἱερεῦσι δοῦναι πᾶσιν ἐνδύματα. λαβόντων δὲ, παρελθὼν εἰς τὸν οἶκον μετὰ τοῦ φίλου Ἰωναδάβου, μήτις ἐν αὐτοῖς ἀλλόφυλος εἴη καὶ ξένος, ἐρευνῆσαι προσέταξεν. οὐ βούλεσθαι γὰρ τοῖς ἱεροῖς αὐτῶν ἀλλότριον παρατυγχάνειν. τῶν δὲ εἰπόντων μὲν οὐδένα παρεῖναι ξένον, καταρξαμένων δὲ τῶν θυσιῶν, περιέστησεν ἔξωθεν ὀγδοήκοντα τὸν ἀριθμὸν ἄνδρας οὓς ᾔδει πιστοὺς τῶν ὁπλιτῶν. κελεύσας αὐτοῖς ἀποκτείνειν τοὺς ψευδοπροφήτας, καὶ νῦν τοῖς πατρίοις ἔθεσι τιμωρεῖν πολὺν ἤδη χρόνον ὠλιγωρημένοις, ἀπειλήσας ὑπὲρ τῶν διαφυγόντων τὰς ἐκείνων ἀφαιρεθήσεσθαι ψυχάς. οἱ δὲ τούς τε ἄνδρας πάντας κατέσφαξαν, καὶ τὸν οἶκον τοῦ βασιλέως ἐμπρήσαντες, ἐκάθηραν οὕτως ἀπὸ τῶν ξενικῶν θεῶν τὴν Σαμάρειαν. οὗτος ὁ Βαὰλ, Τυρίων ἦν θεός. Ἄχαβος δὲ τῷ πενθερῷ βουλόμενος χαρίσασθαι Ἰθωβάλῳ Τυρίων ὄντι βασιλεῖ καὶ Σιδωνίων, ναόν τε αὐτῷ κατεσκεύασεν ἐν Σαμαρείᾳ, καὶ προφήτας ἀπέδειξε, καὶ πάσης θρησκείας ἠξίου. ἀφανισθέντος δὲ τούτου τοῦ θεοῦ, τὰς χρυσᾶς δαμάλεις προσκυνεῖν τοῖς Ἰσραηλίταις Ἰηοῦς ἐπέτρεπε. ταῦτα διαπραξαμένῳ καὶ προνοήσαντι τῆς κολάσεως τῶν ἀσεβῶν, ὁ θεὸς διὰ τοῦ προφήτου προεῖπεν, ἐπὶ τέσσαρας γενεὰς τοὺς παῖδας αὐτοῦ βασιλεύσειν τῶν Ἰσραηλιτῶν. καὶ τὰ μὲν περὶ Ἰηοῦν ἐν τούτοις ὑπῆρχε.

Κεφάλαιον ζ'.

Ὡς Γοθολία τῶν Ἱεροσολυμιτῶν ἐβασίλευσεν ἐπὶ ἔτη πέντε, καὶ ἀνελὼν αὐτὴν ὁ ἀρχιερεὺς τὸν Ὀζίου παῖδα βασιλέα ἀπέδειξεν.

Γοθολία δὲ ἡ Ἀχάβου θυγάτηρ, ἀκούσασα τὴν Ἰωράμου τἀδελφοῦ καὶ τὴν Ὀχοζίου τοῦ παιδὸς, καὶ τοῦ γένους τῶν βασιλέων ἀπώλειαν, ἐσπούδαζε μηδένα τῶν ἐκ τοῦ Δαβίδου καταλειπεῖν οἴκου, πᾶν δ' ἐξαφανίσαι τὸ γένος ὡς ἂν μηδὲ εἷς ἐξ αὐτοῦ βασιλεὺς ἔτι γένοιτο. καὶ τοῦθ' ὡς μὲν ᾤετο διεπράξατο. διεσώθη δὲ εἷς υἱὸς Ὀχοζίου, τρόπῳ δὲ τοιούτῳ τὴν τελευτὴν διέφυγεν. ἦν Ὀχοζίᾳ ὁμοπάτριος ἀδελφὴ Ἰωσαβεθὴ ὄνομα, ταύτῃ συνῴκει ὁ ἀρχιερεὺς Ἰώαδος.

qui populo seducto autores fuerint relicta patria religione externa sacra suspiciendi, ad vnum omnes supplicio dederet. iucundissimum spectaculum fore viro bono, inspicere malos dantes meritas pœnas anteactorum scelerum. Paruit regi Ionadabus, & eodem curru cum eo Samariam peruectus est. At Ieus quantum cognatorum Achabi diligenti inquisitione facta inibi reperit, omnes ad mortem adegit. cumque cuperet neminem è falsis prophetis & sacerdotibus profanis euadere, dolo vniuersos circumuenit. Conuocato enim populo ait se omnes Achabi religiones duplicare velle, idque vt ex sententia sacerdotum ipsius & prophetarum fiat, debere omnes eius ordinis ad se conuenire. Celebrandum enim solennibus victimis diem festum Bali: quo nomine Achabi Deus vocatur. ab ea festiuitate si quis sacerdotum abfuerit, capitale fore. dimissis deinde per omnem Israelitarum ditionem qui sacerdotes ad statum diem Samariam deducerent, iussit omnibus vestes donari. eas cùm accepissent, venit in ædem vbi erant, Ionadabo etiam comitatus, & adhibuit qui scrutarentur ne quis alienus admixtus sit: nolle se dicens, vt sacris eorum alienus ac profanus vllus sese ingerat. illis verò negantibus quemquam talem adesse, & iam sacra sua parantibus aggredi, foris octoginta viros è fidissimis armat: quibus mandat vt pseudoprophetas omnes interimant, & patrios ritus tam diu neglectos vlciscantur, interminatus quicunque aliquem eorum elabi permiserit, vicarium pro illo moriturum. Illi verò omnes ad vnum necauerunt. & regia ipsa incensa vrbem externis sacris profanatam purificauerunt. Iste Bal Tyriorum deus erat, quem Achabus in gratiam Ithobalis Tyriorum ac Sidoniorum regis soceri sui coluit, templo ei Samariæ dedicato, & prophetis cum reliquo cultu assignatis. huius sacris abrogatis Ieus, aureas tamen vaccas Israelitis adorare permisit. Nec tamen ingrata Deo fuit eius in impios animaduersio, qui per prophetam suum significauit, per quatuor generationes posteros eius apud Israelitas regnaturos.

CAP. VII.

Gotholia per summum nefas Hierosolymis regnum occupat, qua post sextum annum cæsa pontifex Ochoziæ filium regem constituit.

VII. 4. Reg. 11.

DVm Ieus homines nefarios in hunc modum persequitur, Gotholia regis Achabi filia comperta filij morte & generis sui pernicie, decreuit etiam è Dauidis familia neminem superstitem relinquere, ne quis huius sanguinis posthac Hierosolymis regnum obtineat: id quod quantum in ipsa fuit perfecit. Seruatus tamen est vnus Ochoziæ filius ad hunc fermè modum. Erat Ochoziæ germana soror, Iosabetha nomine, pontifici Ioado nupta.

hæc regiam ingressa, cùm inter cæsorum cadauera latentem nutricis opera anniculum puerum Ioasum deprehendisset, ablatum furtim domi in suo cubiculo abdidit, & solo marito conscio sex annis in templo clàm aluit, quàm diu Gotholia Hierosolymorum & duarum tribuum regnum tenuit. Septimo demum anno Ioadus cum quinque centurionibus coniurat, vt communicatis operis ademptum Gotholiæ regnum ad puerum transferant: dataque & accepta silentij fide spei pleni negocium hoc modo aggrediuntur. centuriones Ioado ad hoc facinus adsciti peragrata tota regione sacerdotes ac Leuitas & aliquot in suis tribubus potentiores Hierosolyma nomine pontificis euocatos secum adducunt. ille habere se vtile reipublicæ consilium ait, aperturúmque eis, si id apud se continere velint: opus enim esse non silentio tantùm, sed etiam auxilio. Cúmque sacramentum ab eis accepisset, tutò se posse quicquid vellet dicere, producto puero Dauidici generis quem alebat: Hic est, inquit, rex vester, ex illa natus familia, quam scitis Deum prædixisse regnaturam in perpetuum. Itaque censeo tertiam vestrûm partem custodiam eius in templo agere, tertiam item omnia templi loca opportuna occupare: eam verò quæ superest, patentem portam qua itur in regiam seruare. reliqua verò multitudo in templo inermis sit, neque quenquam cum armis intrare sinite, qui non sit sacerdos. prætereа certos è sacerdotibus ac Leuitis selectos mādauit satellitij more strictis gladiis regem stipare, & si quis armatus in templum irrumpere ausit, incunctanter occidere, & posito omni metu seruandi tantùm regis curam gerere. illi approbato pontificis consilio rem statim aggrediuntur. Ioadus verò aperto armamentario, quod Dauid in templo instruxerat, distribuit centurionibus & sacerdotibus ac Leuitis quantum ibi hastarum inuenit & pharetrarum, & si quod aliud armorum genus aderat. atq; ita armatos templo circumdedit consertis inuicem manibus, vt ab ingressu quos interesse non oportebat excluderent. adductoque in medium puero, corona regia caput redimitum, & inunctum sacro oleo regem pronunciat. populus quoque gaudens simul & plaudēs faustis acclamationibus vitam & victoriam nouo regi congeminat. Tumultus hic & acclamationes præter spem ad aures Gotholiæ venientes effecerunt, vt vehementer perturbato animo cum satellitio prosiliret à regia. Venientē deinde in templum ipsam quidem sacerdotes admittunt, sed armatos eum sequentes arcuerunt illi, qui ad hoc ipsum templo à pontifice circumdati fuerant. Cæterùm Gotholia postquam puerum vidit in suggestu stantē, redimitúmq; corona regia discissa veste sua, magno clamore iubet interfici insidiatorē, & occupatorem tyrannidis. Ioadus cōtrà accitis cēturionibus, iubet mulierem arripi, duciq; in torrentem cedronis, atque illic pœnas luere.

A εἰσελθοῦσα δὲ εἰς τὸ βασίλειον, καὶ τοῖς ἀπεσφαγμένοις τὸν ἰώασον, τοῦτο γὰρ προσηγορεύετο τὸ παιδίον ἐνιαύσιον, ἐγκεκρυμμένον εὑροῦσα μετὰ τῆς τρεφούσης, βαστάσασα μετ᾽ αὐτῆς εἰς τὸ ταμιεῖον, ἀπέκλεισε. καὶ λανθάνοντες ἀνέθρεψαν αὐτή τε, καὶ ὁ ἀνὴρ αὐτῆς ἰώαδος ἐν τῷ ἱερῷ ἔτεσιν ἕξ, οἷς ἐβασίλευσε γοθολία τῶν ἱεροσολύμων, καὶ τῶν δύο φυλῶν. τῷ δὲ ἑβδόμῳ ἔτει κοινολογησάμενος τισὶ ἰώαδος πέντε τὸν ἀριθμὸν ἑκατοντάρχαις, καὶ **B** συμπείσας αὐτοὺς συνεπιθέσθαι μὲν τοῖς κατὰ τῆς γοθολίας ἐγχειρουμένοις, τὴν δὲ βασιλείαν τῷ παιδὶ συμπεριποιῆσαι, καὶ λαβὼν ὅρκους οἷς τὸ ἀδεὲς παρὰ τῶν συνεργούντων βεβαιοῦται, τὸ λοιπὸν ἐθάῤῥει ταῖς κατὰ τῆς γοθολίας ἐλπίσιν. οἱ δ᾽ ἄνδρες οὓς ὁ ἱερεὺς ἰώαδος κοινωνοὺς τῆς πράξεως παρειλήφει, πορευθέντες εἰς ἅπασαν τὴν χώραν τοὺς ἱερεῖς καὶ τοὺς λευίτας ἐξ αὐτῆς ἀθροίσαντες καὶ τοὺς τῶν φυλῶν προεστη**C**κότας, ἧκον ἄγοντες εἰς ἱεροσόλυμα πρὸς τὸν ἀρχιερέα. ὁ δὲ, πίστιν ᾔτησεν αὐτοὺς ἔνορκον, ἦ μὴν φυλάξειν ὅπερ ἂν μάθωσιν ἀπόῤῥητον παρ᾽ αὐτοῦ, σιωπῆς ἅμα καὶ συμπράξεως δεόμενον. ὡς δ᾽ ἀσφαλὲς αὐτῷ λέγειν ὀμωμοκότων ἐγένετο, παραγαγὼν ὃν ἐκ τοῦ δαβίδου γένους ἔτρεφεν, οὗτος ὑμῖν, εἶπε, βασιλεὺς, ἐξ ἐκείνης τῆς οἰκίας ἧς ἴστε θεὸν ὑμῖν προφητεύσαντα βασιλεύειν ἄχρι τοῦ παντὸς χρόνου. παραινῶ δὲ τὴν τρίτην ὑμῶν μοῖραν φυλάττειν αὐτὸν ἐν τῷ ἱερῷ, **D** τὴν δὲ τετάρτην ταῖς φυλακαῖς ἐφεστάναι τοῦ τεμένους ἁπάσαις. ἡ δὲ μετὰ ταύτην ἐχέτω τὴν τῆς ἀνοιγομένης καὶ φερούσης εἰς τὸ βασίλειον πύλης φυλακήν. τὸ δ᾽ ἄλλο πλῆθος ἄοπλον ἐν τῷ ἱερῷ τυγχανέτω. μηδ᾽ ἕνα δὲ ὁπλίτην εἰσελθεῖν ἐάσητε ἢ μόνον ἱερέα. προσδιετάξατο δὲ τούτοις μέρος τι τῶν ἱερέων καὶ λευίτας περὶ αὐτὸν εἶναι τὸν βασιλέα, ταῖς μαχαίραις αὐτῶν ἐσπασμέναις δορυφοροῦντας, τὸν δὲ τολμήσαν**E**τα παρελθεῖν εἰς τὸ ἱερὸν ὡπλισμένον ἀναιρεῖσθαι παραυτίκα, δείσαντες δὲ μηδένα παραμεῖναι τῇ φυλακῇ τοῦ βασιλέως. καὶ οἱ μὲν, οἷς ὁ ἀρχιερεὺς συνεβούλευσε τούτοις πεισθέντες, ἔργῳ τὴν προαίρεσιν ἐδήλουν. ἀνοίξας δὲ ἰώαδος τὴν ἐν τῷ ἱερῷ ὁπλοθήκην ἣν δαβίδης κατεσκεύασε, διεμέρισε τοῖς ἑκατοντάρχαις ἅμα καὶ ἱερεῦσι καὶ λευίταις ἅπανθ᾽ ὅσα εὗρεν ἐν αὐτῇ δόρατά τε καὶ φαρέτρας, καὶ εἴ τι ἕτερον εἶδος ὅπλου κατέλαβε. καὶ καθωπλισμένους **F** ἔστησεν ἐν κύκλῳ περὶ τὸ ἱερὸν συναψαμένους τὴν χεῖρα καὶ τὴν εἴσοδον τοῖς οὐ προσήκουσιν οὕτως ἀποτειχίσοντας. συναγαγόντες δὲ τὸν παῖδα εἰς τὸ μέσον, ἐπέθηκαν αὐτῷ τὸν στέφανον τὸν βασιλικόν. καὶ τῷ ἐλαίῳ χρίσας ἰώαδος, ἀπέδειξε βασιλέα. τὸ δὲ πλῆθος χαῖρον καὶ κροταλίζον ἐβόα σώζεσθαι τὸν βασιλέα. τοῦ δὲ θορύβου καὶ τῶν ἐπαίνων γοθολία παρ᾽ ἐλπίδας ἀκούσασα, τεταραγμένη σφό**G**δρα τῇ διανοίᾳ μετὰ τῆς ἰδίας ἐξεπήδησε στρατιᾶς ἐκ τοῦ βασιλείου. παραγενομένην δ᾽ εἰς τὸ ἱερὸν αὐτὴν οἱ μὲν ἱερεῖς εἰσδέχονται. τοὺς δ᾽ ἑπομένους ὁπλίτας εἶρξαν εἰσελθεῖν οἱ περιεστῶτες ἐν κύκλῳ ταῦθ᾽ ὑπὸ τοῦ ἀρχιερέως τοῦτο προστεταγμένων. ἰδοῦσα δὲ γοθολία τὸν παῖδα ἐπὶ τῆς σκηνῆς ἑστῶτα, καὶ τὸν βασιλικὸν περικείμενον στέφανον, περιῤῥηξαμένη καὶ δεινὸν ἀνακράζουσα, φονεύειν ἐκέλευε τὸν ἐπιβουλεύσαντα αὐτῇ, καὶ τὴν ἀρχὴν ἀφελέσθαι σπουδάσαντα. ἰώαδος δὲ καλέσας τοὺς ἑκατοντάρχας, ἐκέλευσεν αὐτοὺς ἀγαγόντας τὴν γοθολίαν εἰς τὴν φάραγγα τοῦ κεδρῶνος, ἀνελεῖν ἐκεῖ.

μὲν γὰρ

μὴ γὰρ βούλεσθαι μιᾶναι τὸ ἱερὸν αὐτόθι τὴν ἀλιτηρίαν τιμωρήσαντας. προσέταξε δὲ, κἂν βοηθῶν τις προσέλθοι, κἀκεῖνον ἀνελεῖν. λαβόμενοι τοίνυν τῆς γοθολίας οἱ προστεταγμένοι τὴν ἀναίρεσιν αὐτῆς ἐπὶ τὴν πύλην τῶν ἡμιόνων τοῦ βασιλέως ἤγαγον, κἀκεῖ διεχρήσαντο. ὡς δὲ τὰ περὶ τὴν γοθολίαν τοῦτον ἐστρατήγει τὸν τρόπον, συγκαλέσας τόν τε δῆμον καὶ τοὺς ὁπλίτας ἰώαδος εἰς τὸ ἱερὸν, ἐξώρκισεν εὐνοεῖν τῷ βασιλεῖ, καὶ προνοεῖν αὐτοῦ τῆς σωτηρίας, καὶ τῆς ἐπὶ πλεῖον ἀρχῆς. ἔπειτ' αὐτὸν τὸν βασιλέα τιμήσειν τὸν θεὸν, καὶ μὴ παραβῆναι τοὺς μωυσέως νόμους, δοῦναι πίστιν ἠνάγκασε. καὶ μετὰ ταῦτα εἰσδραμόντες τὸν τοῦ βαὰλ οἶκον, ὃν ἡ γοθολία καὶ ὁ ἀνὴρ αὐτῆς ἰώραμος κατεσκεύασεν, ἐφ' ὕβρει μὲν τοῦ πατρίου θεοῦ, τιμῇ δὲ τοῦ ἀχάβου, κατέσκαψαν, καὶ τὸν ἔχοντα τὴν ἱερωσύνην αὐτοῦ μααθὰν ἀπέκτειναν. τὴν δ' ἐπιμέλειαν καὶ φυλακὴν τοῦ ἱεροῦ τοῖς ἱερεῦσι καὶ λευίταις ἐπέτρεψεν ἰώαδος, κατὰ τὴν δαβίδου τοῦ βασιλέως διάταξιν, κελεύσας αὐτοῖς δὶς τῆς ἡμέρας ἐπιφέρειν τὰς νενομισμένας τῶν ὁλοκαυτώσεων θυσίας, καὶ θυμιᾶν ἀκολούθως τῷ νόμῳ. ἀπέδειξε δὲ τῶν λευιτῶν τινὰς καὶ πυλωροὺς ἐπὶ φυλακῇ τοῦ τεμένους, ὡς μηδένα μεμιασμένον παρεῖναι λανθάνοντα. τούτων δ' ἕκαστα διατάξας, μετὰ τῶν ἑκατοντάρχων καὶ ἡγεμόνων καὶ τοῦ λαοῦ παντὸς ἐκ τοῦ ἱεροῦ παραλαβὼν ἄγει τὸν ἰώασον εἰς τὸ βασίλειον, καὶ καθίσαντος εἰς τὸν βασιλικὸν θρόνον ἐπευφήμησέ τε τὸ πλῆθος, καὶ πρὸς εὐωχίαν τραπέντες ἐπὶ πολλὰς ἑόρταζον ἡμέρας, ἡ μὲν τοίγε πόλις, ἐπὶ τῷ τὴν γοθολίαν ἀποθανεῖν, ἡσυχίαν ἦγεν. ἦν δὲ ἰώασος ὅτε τὴν βασιλείαν παρέλαβεν, ἐτῶν ἑπτά. μήτηρ δ' ἦν αὐτῷ τὸ μὲν ὄνομα σαβία, πατρίδος δὲ βηρσαβεέ. πολλὴν δ' ἐποιήσατο τῶν νόμων φυλακὴν, καὶ περὶ τὴν τοῦ θεοῦ θρησκείαν φιλοτιμίαν, παρὰ πάντα χρόνον ὃν ὁ ἰώαδος ἐβίωσεν. ἔγημε δὲ καὶ γυναῖκας δύο παρελθὼν εἰς ἡλικίαν δόντος τοῦ ἀρχιερέως. ἐξ ὧν καὶ ἄρσενες αὐτῷ καὶ θήλειαι παῖδες ἐγένοντο. τὰ μὲν οὖν περὶ τοῦ βασιλέως ἰωάσου ὡς τὴν τῆς γοθολίας ἐπιβουλὴν διέφυγε, καὶ τὴν βασιλείαν παρέλαβεν, ἐν τούτοις δεδηλώκαμεν.

Κεφάλαιον η'.

Αζαήλου τοῦ δαμασκηνῶν βασιλέως ἐπὶ τοὺς ἰσραηλίτας, καὶ ὕστερον ἐπὶ τοὺς ἱεροσολυμίτας, στρατεῖαι.

Αζάηλος δὲ ὁ τῶν σύρων βασιλεὺς πολεμῶν τοῖς ἰσραηλίταις, καὶ τῷ βασιλεῖ αὐτῶν ἰηοῦ, διέφθειρεν τῆς πέραν ἰορδάνου χώρας, τὰ πρὸς τὴν ἀνατολὴν τῶν ῥουβηνιτῶν, καὶ γαδιτῶν, καὶ μανασσιτῶν, ἔτι δὲ καὶ τὴν γαλααδίτην καὶ βαταναίαν, πυρπολῶν πάντα καὶ διαρπάζων, καὶ τοῖς εἰς χεῖρας ἀπαντῶσι βίαν προσφέρων. οὐ γὰρ ἔφθη αὐτὸν ἰηοῦς ἀμύνασθαι κακοῦντα τὴν χώραν, ἀλλὰ καὶ τῶν εἰς τὸ θεῖον ὑπερόπτης γενόμενος, καὶ καταφρονήσας τῆς ὁσίας καὶ τῶν νόμων ἀπέθανε βασιλεύσας ἔτη τῶν ἰσραηλιτῶν ἑπτὰ καὶ εἴκοσι. ἐτάφη δ' ἐν σαμαρείᾳ, τῆς ἀρχῆς διάδοχον ἰώαζον τὸν υἱὸν καταλιπών. τὸν δὲ τῶν ἱεροσολύμων βασιλέα ἰώασον ὁρμή τις ἔλαβεν τὸν ναὸν ἀνακαινίσαι τοῦ θεοῦ, καὶ τὸν ἀρχιερέα καλέσας ἰώαδον εἰς ἅπασαν ἐκέλευσε πέμψαι τὴν χώραν τοὺς λευίτας καὶ ἱερέας αἰτήσοντας ὑπὲρ ἑκάστης κεφαλῆς ἡμισίκλον ἀργυροῦν, εἰς ἐπισκευὴν καὶ ἀνανέωσιν τοῦ ναοῦ, καταλυθέντος ὑπὸ τοῦ ἰωράμου καὶ γοθολίας καὶ τῶν παίδων αὐτῆς.

neque enim fas eſſe templũ veneficæ ſupplicio pollui. mandauit etiam, ſi quis ei conetur ferre ſuppetias, & ipſum pariter interimi. Illi igitur quibus hoc demandatum eſt, eductã extra portam mulorum regis illic interficiunt. Vt verò conſpiratio contra Gotholiam ſucceſſit, Ioadus conuocato populo ac militibus in templũ, omnes ſacramento ad fidem regis adegit, incolumitati ipſius tuendæ, regnóque augendo daturos operam. eodem iureiurando mox regem aſtrinxit ad diuini numinis reuerentiam, & ad obſeruationem legum, quas Moyſes cœlitus acceptas ad populum pertulit. poſt hæc ad ædem Baali ſacram cõcurritur, quam Gotholia cum marito Ioramo conſtruxerat, in veri Dei cõtumeliam, & ad Achabi gratiam: eam populus à fundamentis diruit, & Mathanem qui tum ſacerdotium eius tenuit, trucidauit. Templi verò curam & cuſtodiã ſacerdotibus ac Leuitis iuxta Dauidis regis inſtitutum Ioadus commiſit, iuſſitque vt bis ſingulis diebus ſolenne offerrent ſacrificium, & ſuffitum iuxta pręſcripta legis facerent. Deinde quoſdam è Leuitarum numero ianitores ad cuſtodiam templi conſtituit, ne quis pollutus poſſet intrò ſubrepere. Hęc vbi ad hunc modum diſpoſuit, cum centurionibus & ducibus totóque populo ex templo Ioaſum in regiam deduxit: cúmq. collocato in ſolio denuò alacriter acclamatum eſſet, populus ad epulas conuerſus feſtiuitatẽ per aliquot dies egit, omnibus ſceleſtæ mulieris cædem libẽter ferentibus. Erat Ioas cùm in regnum adſciretur annorum ſeptem, matre natus Sabia, ex oppido Berſabe orianda fuit autẽ legum & diuini cultus obſeruantiſſimus, toto tempore quo Ioadus fuit ſuperſtes: duxitque vxores duas poſtquam ætate maturuit, conciliante coniugium eodem pontifice: ex quibus vtriuſque ſexus liberos ſuſcepit. Atque hactenus de Ioaſo quomodo elapſus ex inſidiis Gotholiæ, tandem regnum aſſecutus eſt.

4. Reg. 12.

Cap. VIII.

Azaelis Damaſcenorum regis contra Iſraelitas, ac mox contra Hieroſolymitas expeditiones.

VIII. 4. Reg. 13.

Azael autẽ Syrorum rex bellum cum Iſraelitis & Ieo rege eorũ gerẽs regionis trãs Iordanẽ ſitæ orietales tractus vaſtauit, qui à Rubenitis & Gaditis atq; Manaſſitis colebãtur. nec nõ Galaditicam & Batanẽã, omnia rapinis miſcens, & incendiis, ac ne ab hominum quidem cæde temperans quotquot in eius manus inciderent. Neque enim Ieus arcere eum à populationibus potuit, contemptor & ipſe numinis religionumque & legum à maioribus per manus acceptarum toto regni ſui tempore, quod fuit annorum XXVII. quo exacto mortuus apud Samariam eſt ſepultus, Ioaza filio ſucceſſore principatus relicto. Ioaſum autem Hieroſolymorum regem inſtaurandi templi cupido ſubiit: vocatóque pontifice Ioado iuſſit eum per totam ſuam ditionẽ Leuitas & ſacerdotes dimittere, qui in ſingula capita ſemiſiclum argenti exigerent in vsũ eius inſtaurationis, eò quòd ſub Ioramo & Gotholia, & eorũ liberis tuẽdi & ſartiẽdi tẽpli cu-

ra penitus abiecta fuerat. Pontifex verò hoc nō fecit, sciens neminem libenter argentum erogaturum: sed anno regni vigesimotertio rege incusante quòd voluntati suę non obtemperasset, & iubente in futurum templi reparationi prospicere, tale quiddam ad colligēdam pecuniam commentus est, quod nō grauatim tulit populus. arcam parauit ligneam, in qua bene clausa vnum tantùm foramen supernè reliquit. eam cùm in templo iuxta altare deposuisset, iussit quemque pecuniæ quātum liberet per foramen immittere, in templi instaurationem cōferendæ. id populus tulit æquissimo animo, & multum auri atque argenti certatim contulit. arcam verò singulis diebus præsente rege exinaniebant scriba gazophylacij & sacerdos eius custos, numeratáque pecunia & recondita rursum vnde sustulerant reponebant. & cū primùm videretur collatum quantum sat esset, pōtifex & rex conduxerunt fabros & cæmētarios, & trabes magnas pulcherrimæ materiei cōparauerunt. instaurato deinde templo, quicquid ex collato auro & argento superfuit (superfuit autem non parum) id totum in crateras, cantharos, pocula, & alia vasa insumptum est: insuperque quotidianis sacrificiis altare adolebatur atque hæc tantisper dum Ioadus vixit diligenter accurata fuerunt. illo autem post annum ætatis centesimum & trigesimum defuncto, & ob probitatem ac iustitiam insignem, tū quòd Dauidici generis seruator fuisset, in regum monumenta illato, rex Ioas à pristina religionis cura facilè desciuit: móxque & primates populi ad eundem modum deprauati sunt, vt nihil apud eos potiùs haberetur quàm contemptus iuris ac iustitiæ. Deus verò indignatus propter hanc regis & cæterorum mutationē misit prophetas qui contestarentur eos, & à pręsenti malitia compescerent. illi verò tam insano affectu eam complectebantur, vt neque exemplis maiorum qui propter contemptum legum cū totis familiis perierant, neq. prophetarū cōminationib. moti resipiscerēt, & ad relicta honesta studia reuerterētur. Quin & Zachariā pōtificis Ioadi filiū rex in ipso tēplo saxis iussit obrui, oblitus patris eius beneficiorū tātū, quia propheta diuinitus cōstitutus, pro cōcione populū & regē adhortatus ad iustitiam, graues pœnas illis minatus est, si moniti parere cōtēnerēt. Moriēs tamē Zacharias testē & iudicē Deū inuocauit, ꝙ ꝓ bono cōsilio & patris sui beneficiis, à Ioa mortis amarū pręmiū sibi repēderetur. Nec diu debita regi pœna dilata est. Azael.n. Syrorū rex impressione in regnū eius facta, & Gitta primū direpta atque euersa, mox ipsum Hierosolymis desidentem adortus est. Tum Ioas conterritus omnes thesauros Dei priorúmque regum exhausit, & cum eis detracta templo donaria misit ad Syrum, tanti pacem redimens & securitatem, ne oppugnatus in extremū rerum suarum discrimen adduceretur. Ille tā ingenti pecunia corruptus, vim exercitus à regia vrbe abstinuit.

A ὁ δ᾽ ἀρχιερεὺς, τοῦτο μὲν οὐκ ἐποίησε, συνεὶς ὡς οὐδεὶς εὐγνωμόνως προήσεται τὸ ἀργύριον. τρίτῳ δὲ καὶ εἰκοστῷ τῆς βασιλείας ἔτει μεταπεμψαμένου τοῦ βασιλέως αὐτόν τε καὶ λευΐτας, καὶ ὡς παρακούσαντας ὧν προσέταξεν αἰτιωμένου, καὶ κελεύσαντος εἰς τὸ μέλλον προνοεῖσθαι τῆς ἐπισκευῆς τοῦ ναοῦ, στρατηγήματι χρῆται πρὸς τὴν συλλογὴν τῶν χρημάτων ὁ ἀρχιερεὺς, ᾧ τὸ πλῆθος ἡδέως ἔσχε τοιούτῳ. ξύλινον κατασκευάσας θησαυρὸν, καὶ κλείσας πανταχόθεν, ὀπὴν ἐν αὐτῷ B μίαν ἀνέῳξεν. ἔπειτα θεὶς εἰς τὸ ἱερὸν παρὰ τὸν βωμὸν, ἐκέλευσεν ἕκαστον ὅσον βούλεται βάλλειν εἰς αὐτὸν διὰ τῆς ὀπῆς, εἰς τὴν ἐπισκευὴν τοῦ ναοῦ. πρὸς τοῦτο πᾶς ὁ λαὸς εὖ διετέθη. καὶ πολὺν ἄργυρον καὶ χρυσὸν φιλοτιμούμενοι καὶ συνεισφέροντες ἤθροισαν. κενοῦντες δὲ τὸν θησαυρὸν καὶ παρόντος τοῦ βασιλέως ἀριθμοῦντες τὸ συνειλεγμένον ὅ τε γραμματεὺς καὶ ἱερεὺς τῶν γαζοφυλακίων, ἔπειτ᾽ εἰς τὸν αὐτὸν ἐτίθεσαν τόπον. καὶ τοῦτο C ἐποίουν ἑκάστης ἡμέρας. ὡς δ᾽ ἀποχρῶντως τὸ πλῆθος ἐδόκει βαλεῖν τῶν χρημάτων, ἔπεμψαν μισθούμενοι λατόμους καὶ οἰκοδόμους ὁ ἀρχιερεὺς ἰώαδος καὶ ὁ βασιλεὺς ἰώασος, καὶ ἐπὶ ξύλα μεγάλα καὶ τῆς καλλίστης ὕλης. ἐπισκευασθέντος δὲ τοῦ ναοῦ, τὸν ὑπολειφθέντα χρυσὸν καὶ ἄργυρον, οὐκ ὀλίγος δὲ ἦν, εἴς τε κρατῆρας καὶ οἰνοχόας καὶ ἐκπώματα καὶ τὰ λοιπὰ σκεύη κατεχρήσαντο, θυσίαις τε πολυτελέσιν ὁσημέραι τὸν βωμὸν πιαίνοντες διετέλουν. καὶ ταῦτα μὲν ἐφ᾽ ὅσον ἰώαδος χρόνον D ἔζη, τῆς προσηκούσης ἐτύγχανε σπουδῆς. ὡς δ᾽ ἐτελεύτησεν οὗτος, ἔτη μὲν βιώσας ἑκατὸν καὶ τριάκοντα, δίκαιος δὲ καὶ χρηστὸς γενόμενος καὶ ἐτάφη ἐν ταῖς βασιλικαῖς θήκαις ἐν ἱεροσολύμοις, ὅτι τοῦ δαβίδου γένους τὴν βασιλείαν ἐκτήσατο, προέδωκεν ὁ βασιλεὺς ἰώασος τὴν ἐπιμέλειαν τὴν πρὸς τὸν θεόν. συνδιεφθάρησαν δ᾽ αὐτῷ καὶ οἱ τοῦ πλήθους πρωτεύοντες, ὡς τε πλημμελεῖν εἰς τὰ δίκαια, καὶ νενομισμένα παρ᾽ αὐτοῖς ἄριστα εἶναι δυσχεράνας δ᾽ ὁ θεὸς ἐπὶ τῇ μεταβολῇ τοῦ βασι- E λέως καὶ τῶν ἄλλων, πέμπει τοὺς προφήτας διαμαρτυρησομένους τε τὰ πραττόμενα, καὶ παύσοντας τῆς πονηρίας αὐτούς. οἱ δ᾽ ἰσχυρὸν ἔρωτα καὶ δεινὴν ἐπιθυμίαν ἄρα ταύτης εἶχον, ὡς μήτε ὅσα οἱ πρὸ αὐτῶν ἐξυβρίσαντες εἰς τὰ νόμιμα πανοικὶ κολασθέντες ἔπαθον, μηθ᾽ ὅσα οἱ προφῆται προὔλεγον πεισθέντες μετανοῆσαι, καὶ μετελθεῖν ἐξ ὧν εἰς ἐκεῖνα παρανομήσαντες ἐξέπεσαν. ἀλλὰ καὶ ζαχαρίαν υἱὸν τοῦ ἀρχιερέως ἰωά- F δου λίθοις ὁ βασιλεὺς ἐκέλευσε βληθέντα ἀποθανεῖν ἐν τῷ ἱερῷ, τῶν τοῦ πατρὸς αὐτοῦ εὐεργεσιῶν λαθόμενος, ὅτι τοῦ θεοῦ προφητεύειν αὐτὸν ἀποδείξαντος στὰς ἐν μέσῳ τῷ πλήθει, συνεβούλευεν αὐτῷ τε καὶ τῷ βασιλεῖ τὰ δίκαια πράττειν, καὶ ὅτι τιμωρίαν μεγάλην ὑφέξουσι μὴ πειθόμενοι, προὔλεγε. τελευτῶν μέντοι ζαχαρίας, μάρτυρα καὶ δικαστὴν ὧν ἔπασχε τὸν θεὸν ἐποιεῖ- G το, ἀντὶ χρηστῆς συμβουλίας καὶ ὧν ὁ πατὴρ αὐτοῦ παρέσχεν ἰωάσῳ πικρῶς καὶ βιαίως ἀπολλύμενος. ἔδωκε μέντοι γ᾽ οὐκ εἰς μακρὰν ὁ βασιλεὺς δίκην ὧν παρηνόμησεν. ἐμβαλόντος γὰρ ἀζαήλου τοῦ σύρων βασιλέως εἰς τὴν χώραν αὐτοῦ, καὶ τὴν γίτταν καταστρεψαμένου καὶ λεηλατήσαντος ἐπ᾽ αὐτὸν στρατεύει εἰς ἱεροσόλυμα. φοβηθεὶς δ᾽ ὁ ἰώασος, πάντας κενώσας τοὺς τοῦ θεοῦ θησαυροὺς, καὶ τοὺς τῶν βασιλέων καὶ τὰ ἀναθήματα καθελὼν, ἔπεμψε τῷ σύρῳ, τούτοις ὠνούμενος τὸ μὴ πολιορκηθῆναι μηδὲ κινδυνεύειν περὶ τῶν ὅλων. ὁ δὲ πεισθεὶς τῇ τῶν χρημάτων ὑπερβολῇ, τὴν στρατιὰν οὐκ ἐπήγαγεν ἐπὶ τὰ ἱεροσόλυμα, νόσῳ μέντοι χαλεπῇ περιπεσὼν ὁ ἰώασος,

ἐπιθυ-

ἐπιθεμένων αὐτῷ τῶν φίλων τοῦ Ζαχαρίου, οἳ τὸν θάνατον ἐκδικοῦντες Ἰωάδου παιδὸς ἐπεβούλευσαν τῷ βασιλεῖ, καὶ διεφθάρη πρὸς αὐτῶν. καὶ θάπτεται μὲν ἐν Ἱεροσολύμοις, οὐκ ἐν ταῖς θήκαις δὲ ταῖς βασιλικαῖς τῶν προγόνων, ἀσεβὴς γενόμενος. ἐβίωσε δ' ἔτη ἑπτὰ καὶ τεσσαράκοντα.

Κεφάλαιον θ'.

Ὡς Ἀμασίας ὁ τῶν Ἱεροσολυμιτῶν βασιλεὺς στρατευσάμενος ἐπὶ Ἰδουμαίοις καὶ Ἀμαληκίτας ἐνίκησεν.

Τὴν δὲ βασιλείαν αὐτοῦ διαδέχεται Ἀμασίας ὁ παῖς. εἰκοστῷ δὲ καὶ πρώτῳ τῆς Ἰωάσου βασιλείας, παρέλαβε τὴν τῶν Ἰσραηλιτῶν ἡγεμονίαν Ἰωάζας ὁ τοῦ Ἰηοῦ υἱὸς ἐν Σαμαρείᾳ, καὶ κατέσχεν αὐτὴν ἔτεσι δέκα καὶ ἑπτὰ, τὸν μὲν πατρὸς οὐδ' αὐτὸς μιμητὴς γενόμενος ἀσεβήσας, καὶ οἱ πρῶτοι τοῦ θεοῦ καταφρονήσαντες. ἐταπείνωσεν δ' αὐτὸν καὶ συνέστειλεν ἐκ τῆς τοσαύτης δυνάμεως ὁ τῶν Σύρων βασιλεὺς εἰς ὁπλίτας μυρίους καὶ πεντακοσίους ἱππεῖς, στρατεύσας ἐπ' αὐτὸν, πόλεις τε μεγάλας καὶ πολλὰς αὐτοῦ ἀφελόμενος, καὶ τὴν στρατιὰν αὐτοῦ διαφθείρας. ταῦτα δ' ἔπαθεν ὁ τῶν Ἰσραηλιτῶν λαὸς, κατὰ τὴν Ἐλισσαίου προφητείαν, ὅτε Ἀζάηλον βασιλεύσειν προεῖπε τῶν Σύρων καὶ Δαμασκηνῶν, ἀποκτείναντα τὸν δεσπότην. ὢν δὲ ἐν ἀπόροις οὕτω καιροῖς Ἰωάζας, ἐπὶ δέησιν καὶ ἱκετείαν τοῦ θεοῦ κατέφυγε, ῥύσασθαι τῶν Ἀζαήλου χειρῶν αὐτὸν παρακαλῶν καὶ μὴ περιϊδεῖν ὑπ' ἐκείνῳ γενόμενον. ὁ δὲ θεὸς, καὶ τὴν μετάνοιαν ὡς ἀρετὴν ἀποδεχόμενος, καὶ νουθετῶν μᾶλλον τοὺς δυναμένους τελέως ἀπολλύειν, δοκοῦν αὐτῷ, δίδωσιν αὐτῷ τὴν ἐκ τοῦ πολέμου καὶ τῶν κινδύνων ἄδειαν. εἰρήνης δ' ἡ χώρα λαβομένη, ἀνέδραμέ τε πάλιν εἰς τὴν προτέραν κατάστασιν, καὶ εὐθήνησε. μετὰ δὲ τὴν Ἰωάζου τελευτὴν, ἐκδέχεται τὴν ἀρχὴν ὁ υἱὸς αὐτοῦ Ἰώας, ὃς ἕβδομον ἤδη καὶ τριακοστὸν ἔτος βασιλεύοντος Ἰωάσου τῆς Ἰούδα φυλῆς, παρέλαβε τὴν ἀρχὴν ἐν Σαμαρείᾳ τῶν Ἰσραηλιτῶν. καὶ γὰρ αὐτὸς τὴν αὐτὴν εἶχε προσηγορίαν τῷ τῶν Ἱεροσολυμιτῶν βασιλεῖ. καὶ κατέσχεν αὐτὴν ἔτεσιν ἑξκαίδεκα. ἀγαθὸς δ' ἦν καὶ οὐδὲν ὅμοιος τῷ πατρὶ τὴν φύσιν. κατ' ἐκεῖνον δὲ τὸν καιρὸν Ἐλισσαίου τοῦ προφήτου, γηραιοῦ μὲν ἤδη τυγχάνοντος, εἰς δὲ νόσον ἐμπεπτωκότος, ἧκεν ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς πρὸς αὐτὸν ἐπισκεψόμενος. καταλαβὼν δ' αὐτὸν ἐν ἐσχάτοις ὄντα, κλαίειν ἤρξατο, καὶ ποτνιᾶσθαι, πατέρα τε αὐτὸν ἀποκαλεῖν, καὶ ὅπλον. δι' αὐτὸν γὰρ μηδέποτε χρήσασθαι πρὸς τοὺς ἐχθροὺς ὅπλοις, ἀλλὰ ταῖς ἐκείνου προφητείαις ἀμαχητὶ κρατεῖν τῶν πολεμίων, νῦν δ' ἀπιέναι μὲν αὐτὸν ἐκ τοῦ ζῆν, καταλιπεῖν δ' ἐξωπλισμένοις τοῖς Σύροις καὶ τοῖς αὐτῶν πολεμίοις, οὐκέτ' αὐτῷ τοίνυν ζῆν ἔτι ἀσφαλὲς ἔλεγεν, ἀλλὰ καλῶς ἔχειν καὶ συνεξορμᾶν αὐτῷ καὶ συναπαίρειν τοῦ βίου. ταῦτα ὀδυρόμενον Ἐλισσαῖος παρεμυθεῖτο τὸν βασιλέα. καὶ τόξον ἐκέλευσεν αὐτῷ κομισθὲν, ἐντεῖναι τοῦτο. ποιήσαντος οὖν εὐτρεπὲς τοῦ βασιλέως τὸ τόξον, ἐπιλαβόμενος αὐτοῦ, ἐκέλευσε τοξεύειν. τρία δὲ βέλη αὐτοῦ προεμένου, εἶτα διαναπαυσαμένου, πλείω μὲν εἶπεν ἀφεὶς, ἐκ ῥιζῶν ἂν τὴν τῶν Σύρων βασιλείαν ἐξεῖλες. ἐπεὶ δὲ τρισὶν ἠρκέσθης μόνοις, τοσαύταις καὶ μάχαις κρατήσεις, συμβαλὼν τοῖς Σύροις, ἵνα τὴν χώραν, ἣν ἀπέτεμον τοῦ σοῦ πατρὸς ἀνακτήσῃ. καὶ ὁ μὲν βασιλεὺς ταῦτ' ἀκούσας ἀπηλλάγη, μετ' οὐ πολὺ δὲ καὶ ὁ προφήτης ἀπέθανεν. ἀνὴρ, ἐπὶ δικαιοσύνῃ διαβόητος καὶ φανερῶς σπουδασθεὶς ὑπὸ τοῦ θεοῦ. θαυμαστὰ γὰρ καὶ παράδοξα διὰ τῆς προφητείας ἐπεδείξατο ἔργα,

A Ioas tamen graui morbo implicitus, amicis Zachariæ pœnas dedit, qui ne filius pōtificis maneret inultus, per insidias eum sustulerunt. Sepultúsque est Hierosolymis, nec tamen propter impietatem dignus habitus qui regiis monumentis inferretur, cùm vixisset annos XL. & septem.

CAP. IX.

Amasias rex Hierosolymitanus exercitu contra Idumæos & Amalecitas ducto victor euadit.

B In regnum successit ei filius Amasias. Anno autem Ioasi vigesimoprimo apud Israelitas & Samariam Ieo successit filius Ioazas, in quo principatu exegit annos XVII. patri nequaquam similis, sed magis primis eius regni regibus impius, qui palàm omnem contemptum cælestis numinis præ se tulerunt. Huius copias C rex Syriæ tātopere attriuit, vt ex numeroso exercitu non plus quàm decem millia peditum, equites quingenti superessent: qua expeditione multas magnas vrbes illi ademit, & hostiū non mediocres strages edidit. Hæc autem Israelitis acciderunt secundum Eliséi vaticinium, quo tempore Azaeli etiam prædixit, quòd necato domino Damasci ac Syriæ regnum esset occupaturus. In hac temporum difficultate Ioazas ad preces & supplicationes confugit, orās Deū, D vt se è manibus Azaelis liberet, nec ab eo subigi patiatur. Deus autē qui non solùm perpetuā innocentiam, verumetiam resipiscentiam fauore complectitur, & cùm perdere possit si velit, castigare mauult, exoratus eripuit eū è belli periculis: & regio pacem nacta ad pristinum felicitatis statum breui rediit. Post obitum Ioazæ Ioas filius regno Israelitarum apud Samariam potitur, trigesimoseptimo anno regni Ioæ regnantis in tribu Iudæ. nam & iste eodem quo E Hierosolymitanus nomine vocabatur: tenuítque regnum annis XVI. Hic optimus vir erat. nihil paterni ingenij referens: & cùm Elisæus iā admodum senex in morbum incidisset, visendi causa eum adiit: quem animaduertens extremum spiritum ducere, flere cœpit, & lamētari, patrem & clypeum appellitans: quòd eo viuo armis contra hostem opus non fuerit, sed ipsius prædictionum beneficio semper inuicti euaserint. F Nunc illum è vita discedere, se verò exarmatū Syris & aliis hostibus obiici, quamobrem adēpto tali presidio, sibi quoq; optabilius vnà cū illo hác etiā relīquere. His querimoniis motus Eliseus, regē cōsolatus afferri arcū postulat, eūq. regē iubet intēdere: deinde iniecta in eū manu iubet iaculari. & cū emissis tribus telis destitisset: Si, inquit, plura misisses, poteras totū Syrorū regnū excindere. nūc quia tribus solis G contentus fuisti, totidē præliis vinces Syros, & regionē quā tuo patri ademerunt recipies. His auditis rex abiit, & propheta paulo pòst defunctus est, vir inclytæ iustitiæ, & citra controuersiam Deo longè charissimus. multa enim & miranda diuinę mentis argumenta exhibuit,

4. Reg. 14.

quorum memoria apud Hebræos durat clarissima. sepulchro etiã honoratus est magnifico, quale decuit hominem numini diuino acceptissimum. Contigit autem aliquando vt latrones occisi à se viatoris cadauer in monumentũ eius abderent, quod mox reuixit à contactu prophetæ corporis. Atque hæc fuerunt & viui & defuncti vatis opera. Azaele autem rege extincto, ad Adadum filium Syriæ regnum hæreditario iure peruenit. Huic Ioas Israelitarum rex tribus prælijs victo omnem eam regionem abstulit, quæ vrbes ac vicos de patre ipsius captos complexa est: quod & ipsum Elisæus iam antè prædixerat. postquam verò etiam Ioas fato functus est, Hieroboam eius filius excepit imperium.

Cap. X.

Amasias pugnans contra Israelitarum regem Ioam vincitur.

IX. SEcundo autem anno Ioę regis Israelitarum regnum accepit Amasias Hierosolymis & in tribu Iudæ, matre natus vrbis regiæ ciue, appellata Iudan. mirum autem in modum iustitiam colebat, tametsi ætate adhuc iuuenis. Regni administrationem exorsus à necis paternæ vindicta, qui amicorum insidiis sublatus fuerat. eósque omnes in potestatem redactos affecit supplicio, parcens tamen ipsorum liberis, iuxta leges à Moyse præscriptas: qui iniquum censuit pro parentum culpis à liberis eorum pœnas reposcere. Post hęc delectu habito in tribu Iudæ & Beniamitica, conscripto flore iuuẽtutis, vtpote ætatis annorum plus minus viginti, cẽturiones his copiis idoneos attribuit. deinde misit ad Israelitarum regem qui viginti scutatorum millia conducerent stipendio talentorum argẽti cẽtũ annumerato. decreuerat enim contra Amalecitarum & Idumæorũ atque Gabilitarũ gẽtes exercitum ducere. iaq. propediem moturus erat in eos, cùm interueniens propheta dimittere Israelitas consuluit. esse.n. hoc hominum genus impiũ, & cladẽ certã imminere oraculo se monitum, si talibus rex vtatur auxiliis. alioqui Deo fauẽte vel modica manu deuinci posse hostiles exercitus. Rege aũt ægreferẽte, quia iã publicè stipẽdiũ Israelitis numerauerat, hortatus est propheta vt Dei voluntatẽ sequeretur, quo propitio nõ defore pecuniã. illos itaq. dimisit, pręfatus se donare illis quicquid mercedis nomine accepissent, & cũ domesticis tãtũ copiis cõtra prędictas gẽtes profectus est. Quibus vno prelio victis interfecit x. millia, & totidẽ millia captiuorũ abducta in magnã petrã quæ imminet Arabiæ, eo loco per rupes pręcipitata necauit: atq. ita victor cum opima prędа domũ rediit. Interea vigĩti illa Israelitarũ mercenariorũ millia, ignominiosã rati suã missionẽ ac si ꝑ inutili dãnata esset eorũ opera, impetũ in eius regnũ faciũt: & progressi vsq. Bethsemera, regionem populati sũt, abacto magno iumentorũ numero, cęsisq; tribus colonorũ millibus. Amasias verò post victoriã factus insolẽs autorem eius Deum cœpit habere cõtemptui, & pro eo venerari asportata de Amalecitis

A ἐς μνήμης λαμπρᾶς παρὰ τοῖς ἑβραίοις ἀξιωθέντα. ἔτυχε δὲ καὶ ταφῆς μεγαλοπρεποῦς καὶ οἵας εἰκὸς ἦν τὸν οὕτω θεοφιλῆ μεταλαβεῖν. συνέβη δὲ καὶ τότε λῃστῶν τινῶν ῥιψάντων εἰς τὸν ἐλισσαίου τάφον ὃν ἦσαν ἀνῃρηκότες, τὸν νεκρὸν τῷ σώματι αὐτοῦ προσκολληθέντα ἀναζωπυρῆσαι. καὶ τὰ μὲν περὶ ἐλισσαίου τοῦ προφήτου, ζῶν τε ὅσα προεῖπε, καὶ ὡς μετὰ τὴν τελευτὴν ἔτι δύναμιν εἶχε θείαν δεδηλώκαμεν. τελευτήσαντος δὲ τοῦ σύρων βασι-B λέως ἀζαήλου, εἰς ἄδαν τὸν υἱὸν αὐτοῦ ἡ βασιλεία παραγίνεται. πρὸς τοῦτον συνάπτει πόλεμον ἰώασος ὁ τῶν ἰσραηλιτῶν βασιλεὺς, καὶ τρισὶ μάχαις νικήσας αὐτὸν, ἀφείλετο τὴν χώραν ἅπασαν, καὶ ὅσας ὁ πατὴρ αὐτοῦ ἀζάηλος πόλεις καὶ κώμας τῆς ἰσραηλιτῶν βασιλείας παρέλαβε. τοῦτο μέντοι κατὰ τὴν τοῦ ἐλισσαίου προφητείαν ἐγένετο. ἐπεὶ δὲ συνέβη καὶ ἰώασον τεθνηκέναι, καθῆκεν εἰς ἱεροβόαμον ἡ ἀρχὴ τὸν υἱὸν αὐτοῦ.

Κεφάλαιον ί.

Ὡς ἀμασίας πολεμῶν πρὸς τὸν ἰσραηλιτῶν βασιλέα ἰώασον ἡττᾶται.

C ΔΕυτέρῳ δὲ ἔτει τῆς ἰωάσου βασιλείας τῶν ἰσραηλιτῶν, ἐβασίλευσεν ἀμασίας τῆς ἰούδα φυλῆς ἐν ἱεροσολύμοις, μητρὸς ὢν ἰούδαν τοὔνομα, πολίτιδος δὲ τὸ γένος. θαυμαστῶς δὲ τοῦ δικαίου προενόει, καὶ ταῦτα νέος ὤν. παρελθὼν δ' ἐπὶ τὰ πράγματα καὶ τὴν ἀρχὴν, ἔγνω δεῖν πρῶτον ἰωάσῳ τιμωρῆσαι τῷ πατρὶ, καὶ τοὺς ἐπιθεμένους αὐτῷ φίλους κολάσαι. καὶ τούτους μὲν συλλαβὼν ἅπαν-D τας ἐφόνευσε, τοὺς δὲ παῖδας αὐτῶν, οὐδὲν εἰργάσατο δεινὸν, ἀκόλουθα ποιῶν τοῖς μωυσέως νόμοις, ὃς οὐκ ἐδικαίωσε διὰ πατέρων ἁμαρτίας, τέκνα κολάζειν. ἔπειτα στρατιὰν ἐπιλέξας ἐκ τῆς ἰούδα φυλῆς καὶ βενιαμίτιδος τῶν ἐν ἀκμῇ καὶ περὶ εἴκοσιν ἔτη γεγονότων, καὶ συναθροίσας εἰς τριάκοντα μυριάδας, τούτων μὲν ἑκατοντάρχους κατέστησε. πέμψας δὲ καὶ πρὸς τὸν τῶν ἰσραηλιτῶν βασιλέα, μισθοῦται δέκα μυριάδας ὁπλιτῶν, ταλάντων E ἑκατὸν ἀργυρίου. διεγνώκει γὰρ τοῖς ἀμαληκιτῶν ἔθνεσι καὶ ἰδουμαίων καὶ γαβιλιτῶν ἐπιστρατεύσασθαι. παρασκευασαμένου τε πρὸς τὴν στρατείαν, καὶ μέλλοντος ἐξορμᾶν, ὁ προφήτης τὸν τῶν ἰσραηλιτῶν λαὸν ἀπολῦσαι συνεβούλευσεν. εἶναι γὰρ ἀσεβῆ, τὴν γὰρ θεὸν ἧτταν αὐτῷ προλέγειν χρησαμένῳ τούτοις συμμάχοις. περιέσεσθαι δὲ τῶν πολεμίων καὶ μετ' ὀλίγων αὐτοῖς ἀγωνιζόμενον βουλομένου τοῦ θεοῦ. δυσφοροῦντος δὲ τοῦ βασιλέως ἐπὶ τῷ ὀ-F φθῆναι τὸν μισθὸν δεδωκέναι τοῖς ἰσραηλίταις, παρῄνει ποιεῖν ὁ προφήτης ὅ,τι τῷ θεῷ δοκεῖ, χρήματα δὲ αὐτῷ πολλὰ παρ' αὐτοῦ γενήσεσθαι. καὶ τοὺς μὲν ἀπολύει, χαρίζεσθαι τὸν μισθὸν εἰπὼν αὐτοῖς δὲ μετὰ τῆς οἰκείας δυνάμεως ἐπὶ τὰ προειρημένα τῶν ἐθνῶν ἐστράτευσε. καὶ κρατήσας αὐτῶν τῇ μάχῃ, μυρίους μὲν ἀπέκτεινε, τοσούτους δὲ ζῶντας ἔλαβεν, οὓς ἐπὶ τὴν μεγάλην ἀγαγὼν πέτραν, ἥπερ ἐστὶν ἐπὶ τὴν ἀραβίαν, ἐπ' αὐτῆς κατεκρήμνι-G σεν. ἀπήγαγέ τε λείαν πολλὴν καὶ πλοῦτον ἄφθονον ἐκ πάντων ἐθνῶν. ἀμασίου δὲ ἐν τούτοις ὑπάρχοντος, οἱ τῶν ἰσραηλιτῶν, οὓς ἀπέλυσε μισθωσάμενος, ἀγανακτήσαντες ἐπὶ τούτῳ, καὶ νομίσαντες ὕβριν εἶναι τὴν ἀπόλυσιν, οὐ γὰρ ἂν τοῦτο παθεῖν μὴ κατεγνωσμένους, ἐπῆλθον αὐτοῦ τῇ βασιλείᾳ, καὶ μέχρι βηθσεμήρων προελθόντες διήρπασαν τὴν χώραν, καὶ πολλὰ μὲν ἔλαβον ὑποζύγια, τρισχιλίους δ' ἀνθρώπους ἀπέκτειναν. ἀμασίας δὲ τῇ νίκῃ καὶ τοῖς κατορθώμασιν ἐπαρθεὶς, τὸν μὲν τούτων αἴτιον αὐτῷ θεὸν γενόμενον, ὑπερορᾶν ἤρξατο. οὓς δ' ἐκ τῆς ἀμαληκιτῶν χώρας

χώρας ἐκόμισε, τούτους σεβόμενος διετέλει. προσελθὼν δ' ὁ προφήτης αὐτῷ, θαυμάζειν ἔλεγεν εἰ τούτους ἡγεῖται θεούς, οἳ τοῖς ἰδίοις, παρ' οἷς ἐτιμῶντο μηδὲν ὤνησαν, μηδ' ἐκ χειρῶν ἐρρύσαντο τῶν ἐκείνου, ἀλλ' ὑπερεῖδον πολλούς τε αὐτῶν ἀπολλυμένους, καὶ τοὺς αἰχμαλωτισθέντας. κεκομίσθαι γὰρ εἰς ἱεροσόλυμα τοῦτον τὸν τρόπον, καθὼς ἄν τις τῶν πολεμίων τινὰς ζωγρήσας ἤγαγε. τῷ δὲ βασιλεῖ ταῦτ' ὀργὴν ἐκίνησε, καὶ προσέταξεν ἡσυχίαν ἄγειν τὸν προφήτην, ἀπειλήσας αὐτὸν κολάσειν, ἂν πολυπραγμονῇ. καὶ ὁ μὲν, ἡσυχάζειν εἶπεν. οὐκ ἀμελήσειν δὲ ὧν ἐπεχείρησε νεωτερίζων τὸν θεὸν προὔλεγεν. ἀμασίας δὲ, κατεῖχεν αὐτὸν ἐπὶ ταῖς εὐπραγίαις οὐ δυνάμενος, ἃς παρὰ τοῦ θεοῦ λαβὼν εἰς αὐτὸν ἐξύβριζεν, ἀλλὰ φρονηματισθεὶς, ἔγραψεν ἰώσῳ τῷ τῶν ἰσραηλιτῶν βασιλεῖ, κελεύων ὑπακούειν αὐτῷ σὺν παντὶ τῷ λαῷ, ὡς καὶ πρότερον ὑπήκουε τοῖς προγόνοις αὐτοῦ, δαβίδῃ καὶ σολομῶνι. ἢ μὴ βουλόμενον εὐγνωμονεῖν εἰδέναι πολέμῳ περὶ τῆς ἀρχῆς κριθησόμενον. ἀντέγραψε δὲ ὁ ἰώασος τάδε. βασιλεὺς ἰώασος βασιλεῖ ἀμασίᾳ. ἦν ἐν τῷ λιβάνῳ ὄρει κυπάρισσος παμμεγέθης, καὶ ἄκανος αὐτῇ πρὸς τὴν κυπάρισσον ἔπεμψε μνηστευομένη τὴν θυγατέρα αὐτῆς πρὸς γάμον τῷ παιδί. μεταξὺ δὲ ταῦτα λεγούσης, θηρίον τι παρερχόμενον κατεπάτησε τὴν ἄκανον. τοῦτο οὖν ἔσται σοι παράδειγμα τοῦ μὴ μειζόνων ἐφίεσθαι, μηδ' ὅτι τὴν πρὸς ἀμαληκίτας μάχην εὐτύχησας, ἐπὶ ταύτῃ γαυρούμενος σαυτῷ καὶ τῇ βασιλείᾳ σου κινδύνους ἐπισπᾶ. ταῦτα δ' ἀναγνοὺς ἀμασίας, ἔτι μᾶλλον ἐπὶ τὴν στρατείαν παρωξύνθη, τοῦ θεοῦ παρορμῶντος αὐτὸν, οἶμαι, πρὸς αὐτὴν, ἵνα τῶν παρανομηθέντων εἰς αὐτὸν δίκην ὑπολάβῃ. ὡς δ' ἐξῆγε μετὰ τῆς δυνάμεως ἐπὶ τὸν ἰώασον, καὶ συνάπτειν μάχην ἔμελλον, τὸ ἀμασίου στράτευμα φόβος αἰφνίδιος καὶ κατάπληξις οἵαν θεὸς οὐκ εὐμενὴς ὢν τίθησιν, εἰς φυγὴν ἔτρεψε. καὶ πρὶν εἰς χεῖρας ἐλθεῖν, διασπαρέντων ὑπὸ τοῦ δέους αὐτῶν, μονωθέντα τὸν ἀμασίαν, ληφθῆναι συνέβη πρὸς τῶν πολεμίων αἰχμάλωτον. ἠπείλησε δ' αὐτῷ θάνατον εἰ μὴ πείσει τοὺς ἱεροσολυμίτας ἀνοίξαντας αὐτῷ τὰς πύλας, δέξασθαι μετὰ τῆς στρατιᾶς εἰς τὴν πόλιν. καὶ ἀμασίας μὲν ὑπὸ ἀνάγκης καὶ περὶ τὸ ζῆν δέους, ἐποίησεν εἰσδεχθῆναι τὸν πολέμιον. ὁ δὲ διακόψας τοῦ τείχους ὡς τετρακοσίων πηχῶν, ἐφ' ἅρματος εἰσήλασε διὰ τῆς διακοπῆς εἰς ἱεροσόλυμα τὸν ἀμασίαν ἄγων αἰχμάλωτον. κύριός τε τούτῳ τῷ τρόπῳ γενόμενος τῶν ἱεροσολύμων, τούς τε θεοῦ θησαυροὺς ἀνείλετο, καὶ ὅσος ἦν τῷ ἀμασίᾳ χρυσὸς καὶ ἄργυρος ἐν τοῖς βασιλείοις ἐξεφόρησε. καὶ οὕτως αὐτὸν ἀπολύσας τῆς αἰχμαλωσίας, ἀνέζευξεν εἰς σαμάρειαν. ταῦτα δ' ἐγένετο περὶ τοὺς ἱεροσολυμίτας ἔτει τετάρτῳ καὶ δεκάτῳ τῆς ἀμασίου βασιλείας. ὃς μετὰ ταῦτα ἐπιβουλευθεὶς ὑπὸ τῶν φίλων, φεύγει μὲν εἰς λάχισαν πόλιν, ἀναιρεῖται δὲ ὑπὸ τῶν ἐπιβούλων πεμψάντων ἐκεῖ τοὺς ἀποκτενοῦντας αὐτόν. καὶ τὸ μὲν σῶμα κομίσαντες εἰς ἱεροσόλυμα βασιλικῶς ἐκήδευσαν. κατέστρεψε δ' οὕτως ἀμασίας τὸν βίον, διὰ τὸν νεωτερισμὸν τῆς πρὸς τὸν θεὸν ὀλιγωρίας, βιώσας μὲν ἔτη τέσσαρα καὶ πεντήκοντα, βασιλεύσας δ' ἐννέα καὶ εἴκοσι.

A numina. Quamobrem à propheta conuentus est, mirari se dicente si hos deos crederet, qui cultoribus suis nihil opis afferre valuerint, nec eos ab Hebræorum vi tutos præstiterint, sed tanquam ad se non pertinêtes cædi & captiuos trahi passi sint. qui & ipsos belli iure abductos inter reliquam captiuorum turbã Hierosolyma peruenisse. Rex his verbis ad iram percitus iussit illum hac de re esse quietum, minatus supplicium si negotiis alienis miscere se pergeret. B tũ ille, se quidem quieturum dixit, Deum tamẽ vltorem huiusmodi nouitatibus non defore. Nec multo post Amasias felicitatem suam, cuius tamen autorem Deum non agnoscebat, nõ capiens, sed fastu inflatus, scripsit Ioæ regi Israelitarum, vt ipsius imperata faciat cum suo populo, sicut antehac idem populus maioribus eius Dauidi, & Solomoni paruit: quòd si nolit vltro facere officium, bello esse decernendum C de imperij iuribus. Ad hoc Ioas in hæc verba rescripsit. Rex Ioas regi Amasiæ. Olim in eodem monte Libano cupressus erat & carduus; hic à cupresso filiam petiit filio suo dari coniugem. Interim bestia quædam superueniens cõculcauit carduum. Hoc exemplum te moneat, ne maiora quàm par est appetas, néve propter recentem de Amalecitis victoriam elatus, & te & regnum tuum incertæ committas aleæ. His D lectis Amasias magis etiam ad bellum concitatus est, Deo, sicut fas est credere, instigante, vt tandem meritas impietatis pœnas exolueret. Vbi verò in conspectum hostium venit, instructa vtrinque acie, tantus repentè pauor ac consternatio diuinitus milites eius inuasit, vt priusquàm manus consererentur, iam terga verterent: & aliis aliò diffugientibus, desertus à suis Amasias in hostis potestatem veniret: qui mortem illi minatus est, nisi efficeret, vt Hierosolymitæ E apertis portis se cum victore exercitu admitterent. ea necessitate & vitæ amore adactus persuasit ciuibus vt hostem reciperet. At ille dirutis ad trecentorum cubitorum spaciũ mœnibus, curru per id interstitium triumphabundus inuectus est, captiuum præ se agens Amasiam: & hoc modo factus vrbis dominus, Dei thesauros abstulit, & quicquid auri vel argenti in regia repertum est, totum asportauit: ac tum F demum demisso rege reuersus est Samariam. Hæc Hierosolymitis contigerunt anno regni Amasiæ decimo quarto. Appetitus tandem amicorum insidiis fugit in vrbem Lacheis: nec tamen euasit, illuc quoque insecutis insidiatoribus, à quibus interfectus est. Corpus Hierosolyma relatum, & regia magnificentia funeratum est. Tam miserum autem exitum habuit propter nouatas religiones & pietatis contem- G ptum post exactum annum vitæ quinquagesimum, regni verò vicesimum nonum, Ozia filio regni successore.

X.

Cap. XI.

Quomodo Ozias vicinas gentes subegerit.

XI. 4.Reg.14.

Decimoquinto autem anno regni Amasię Hieroboamus Ioæ filius apud Israelitas regno potitus est, quod per annos quadraginta obtinuit in eadem qua maiores eius Samariæ regia. Hic rex cùm esset vehementer impius, totúsque idolis deditus, nihil sibi non permittens, Israelitis etiam innumeras calamitates attulit. Ei propheta Ionas prędixit, quòd deuictis Syris ditionem suam esset ampliaturus, prolatis eius terminis ad septentriones vsque Amathen vrbem, ad meridiem verò vsque Asphaltitem lacum. his enim olim terminis Chananæa terra finiebatur, iuxta Iesu imperatoris definitionem. quo oraculo excitatus Hieroboamus, totos eos tractus ademptos Syris ad suum regnum addidit, nihil fallente Ionæ vaticinio. Sed quoniam pollicitus sum me bona fide res Hebræorum proditurum, nó dissimulabo quid de hocpropheta in sacris codicibus inuenerim. Iussus enim à Deo proficisci in regnum Nini, & illic prædicare, quòd imperium illud periturum esset, non ausus est hoc facere: sed putans se posse Deum effugere, conscenso apud Ioppē nauigio petebat Tarsum Ciliciæ: exorta autem vehementi tempestate, ita vt periculum esset ne nauis mergeretur, gubernator & nautæ, atque ipse etiam nauclerus vota pro incolumitate faciebant: Ionas verò solus operto capite iacebat, nihil quemadmodum alij faciens. cúmq. turbantibus procellis fluctus magis ac magis crescerent, suspicati aliquem è vectoribus esse in causa, decreuerunt sortitò quærere quisnam ille sit. quo facto, sors prophetæ obtigit. percótantibus quisnam esset, vel quid haberet negotij, ait se Hebræum esse, & prophetam Dei maximi, consuluitque vt ipsum in mare iacerent, si vellent præsens periculum euadere: se enim esse propter quem tempestas sæuiat. At illi primùm quidem non audebant hoc facere, impium facinus ducentes, hominem hospitem, qui vitam suæ fidei concredidisset, in tam manifestum exitium mittere. tandem vrgente periculo & nauim tantùm non mergente, partim prophetæ autoritate, partim suopte metu compulsi, in mare eum proiiciunt. Et tēpestas quidem sedata est, Ionam autem ferunt à ceto deuoratum post triduum in Euxinum pontum reuomitum, viuum & toto corpore illæsum. vbi impetrata à Deo erratorum venia, ad Nini vrbem profectus est, & cùm in loco vnde exaudiri poterat constitisset, prædicauit quòd paulo pòst amissuri essent imperium Asię: & cum hoc dicto abiit. Hęc de eo sic retulimus, vt inuenimus in commentariis. Hieroboamus autē exactis feliciter in suo principatu XL. annis mortuus apud Samariam sepelitur, Zacharia filio successore. Ozias itē successit Amasię anno regni Hieroboami decimoquarto, & apud Hierosolyma duabus tribubus præfuit, natus ma-

Iona 1.

4.Reg.14.15.

Κεφάλαιον ια΄.

Ὡς ὀζίας τὰ πέριξ ἔθνη ἐχειρώσατο.

Διαδέχεται δ' αὐτὸν ὁ παῖς ὀζίας τοὔνομα. πεντεκαιδεκάτῳ δὲ ἔτει τῆς ἀμασίου βασιλείας ἐβασίλευσε τῶν ἰσραηλιτῶν ἰωάσου υἱὸς ἱεροβόαμος ἐν σαμαρείᾳ ἔτη τεσσαράκοντα· οὗτος ὁ βασιλεὺς, τὰ μὲν εἰς τὸν θεὸν ὑβριστὴς καὶ παράνομος δεινῶς ἐγένετο, εἴδωλά τε σεβόμενος, καὶ πολλοῖς ἀτόποις καὶ ξένοις ἐγχειρῶν ἔργοις, τῷ δὲ λαῷ τῶν ἰσραηλιτῶν μυρίων κακῶν αἴτιος ὑπῆρχε. τούτῳ προεφήτευσέ τις ἰωνᾶς, ὡς δεῖ πολεμήσαντα τοῖς σύροις αὐτοῦ κρατῆσαι τῆς ἐκείνων δυνάμεως, καὶ πλατῦναι τὴν αὑτοῦ βασιλείαν, τοῖς μὲν κατὰ τὴν ἄρκτον μέρεσιν, ἕως ἀμάθου πόλεως, τοῖς δὲ κατὰ τὴν μεσημβρίαν, ἕως τῆς ἀσφαλτίτιδος λίμνης. τὸ γὰρ ἀρχαῖον οἱ ὅροι τῆς χαναναίας οὗτοι, καθὼς ὁ στρατηγὸς ἰησοῦς διώρισε. στρατεύσας οὖν ἐπὶ τοὺς σύρους ὁ ἱεροβόαμος, καταστρέφεται πᾶσαν αὐτῶν τὴν χώραν ὡς προεφήτευσεν ἰωνᾶς. ἀναγκαῖον δὲ ἡγησάμην, τὴν ἀκρίβειαν τῶν πραγμάτων παραδώσειν ὑπεσχημένος, ὅσα καὶ περὶ τοῦ προφήτου τούτου εὗρον ἐν ταῖς ἑβραϊκαῖς βίβλοις ἀναγεγραμμένα, διεξελθεῖν. κελευσθεὶς γὰρ οὗτος ὑπὸ τοῦ θεοῦ, πορευθῆναι μὲν εἰς τὴν νίνου βασιλείαν, κηρύξαι δ' ἐκεῖ γενόμενον ἐν τῇ πόλει, ὅτι τὴν ἀρχὴν ἀπολεῖσθαι, δείσας οὐκ ἀπῆλθεν, ἀλλ' ἀποδιδράσκει τὸν θεὸν, εἰς ἰόππην πόλιν, καὶ πλοῖον εὑρὼν ἐμβὰς, εἰς ταρσὸν ἔπλει τῆς κιλικίας. ἐπιγινομένου δὲ χειμῶνος σφοδροτάτου καὶ κινδυνεύοντος καταδῦναι τοῦ σκάφους, οἱ μὲν ναῦται καὶ ὁ κυβερνήτης, καὶ αὐτὸς ὁ ναύκληρος, εὐχὰς ἐποιοῦντο χαριστηρίους εἰ διαφύγοιεν τὴν θάλασσαν. ὁ δὲ ἰωνᾶς συγκαλύψας αὑτὸν ἐβέβλητο, μηδὲν ὧν τοὺς ἄλλους ἑώρα ποιοῦντας, μιμούμενος. αὔξοντος δ' ἔτι μᾶλλον τοῦ κλύδωνος, καὶ βιαιοτέρας γινομένης ὑπὸ τῶν πνευμάτων τῆς θαλάσσης, ὑπονοήσαντες ὡς ἐνδέχεταί τινα τῶν ἐμπλεόντων αἴτιον αὐτοῖς εἶναι τοῦ χειμῶνος, συνέθεντο κλήρῳ, τοῦτον ὅς τις ποτὲ εἴη μαθεῖν. κληρωσαμένων οὖν ὁ προφήτης λαγχάνει. πυνθανομένων τε πόθεν τε εἴη καὶ τί μετέρχεται, τὸ μὲν γένος ἔλεγεν ἑβραῖος εἶναι, προφήτης δὲ τοῦ μεγίστου θεοῦ. συνεβούλευσεν οὖν αὐτοῖς εἰ θέλουσιν ἀποδρᾶσαι τὸν παρόντα κίνδυνον, ἐκβάλλειν αὐτὸν εἰς τὸ πέλαγος, αἴτιον γὰρ αὐτοῖς εἶναι τοῦ χειμῶνος. οἱ δὲ, τὸ μὲν πρῶτον οὐκ ἐτόλμων, κρίνοντες ἀσέβημα εἶναι ξένον ἄνθρωπον καὶ πεπιστευκότα αὐτοῖς τὸ ζῆν, εἰς φανερὰν οὕτως ἀπώλειαν ἐκρῖψαι. τελευταῖον δὲ ὑπερβιαζομένου τοῦ κακοῦ, καὶ ὅσον οὔπω μέλλοντος βαπτίζεσθαι τοῦ σκάφους, ὑπό τε τοῦ προφήτου παρορμηθέντες, καὶ ὑπὸ τοῦ δέους τοῦ περὶ τῆς ἑαυτῶν σωτηρίας, ῥίπτουσιν αὐτὸν εἰς τὴν θάλασσαν. καὶ ὁ μὲν χειμὼν ἐστάλη. τὸν δὲ λόγος ὑπὸ τοῦ κήτους καταποθέντα τρεῖς ἡμέρας καὶ τοσαύτας νύκτας, εἰς τὸν εὔξεινον ἐκβρασθῆναι πόντον, ζῶντα καὶ μηδὲν τοῦ σώματος λελωβημένον. ἔνθα τοῦ θεοῦ δεηθεὶς, συγγνώμην αὐτῷ παρασχεῖν τῶν ἡμαρτημένων, ἀπῆλθεν εἰς τὴν νινάου πόλιν. καὶ σταθεὶς ἐπήκοον ἐκήρυσσεν, ὡς μετ' ὀλίγον πάλιν ἀποβαλοῦσι τὴν ἀρχὴν τῆς ἀσίας, καὶ ταῦτα δηλώσας ὑπέστρεψε. διεξῆλθον δὲ τὴν περὶ αὐτοῦ διήγησιν, ὡς εὗρον ἀναγεγραμμένην. ἱεροβόαμος δ' ὁ βασιλεὺς, μετὰ πάσης εὐδαιμονίας τὸν βίον διαγαγὼν καὶ ἄρξας ἔτη τεσσαράκοντα, ἐτελεύτησε. καὶ θάπτεται μὲν ἐν σαμαρείᾳ. διαδέχεται δ' αὐτοῦ τὴν βασιλείαν, ὁ υἱὸς ζαχαρίας. τὸν αὐτὸν δὲ τρόπον καὶ ὀζίας ὁ τοῦ ἀμασίου υἱὸς, ἔτος ἤδη τέταρτον πρὸς τοῖς δέκα βασιλεύοντος ἱεροβοάμου, τῶν δύο φυλῶν ἐβασίλευσεν ἐν ἱεροσολύμοις,

μητρὸς

μητρὸς ὢν, ἀχίας μὲν τοὔνομα, ἀστῆς δὲ τὸ γένος. ἀγαθὸς δ' ἦν καὶ δίκαιος τὴν φύσιν, καὶ μεγαλόφρων, καὶ προνοῆσαι τῶν πραγμάτων φιλοπονώτατος. στρατευσάμενος δὲ καὶ ἐπὶ παλαιστινοὺς, νικήσας μάχῃ, πόλεις αὐτῶν ἔλαβε κατὰ κράτος, γίτταν καὶ ἀμνίαν, καὶ κατέσκαψεν αὐτῶν τὰ τείχη. μετὰ δὲ ταύτην τὴν στρατείαν ἐπῆλθε τοῖς τῇ αἰγύπτῳ γειτνιῶσιν ἄραψι. καὶ πόλιν κτίσας ἐπὶ τῆς ἐρυθρᾶς θαλάσσης, κατέστησεν αὐτῇ φρουράν. ἔπειτα τοὺς ἀμμανίτας καταστρεψάμενος, καὶ φόρους αὐτοῖς ὁρίσας τελεῖν, καὶ πάντα μέχρι τῶν αἰγυπτίων ὅρων χειρωσάμενος, τῶν ἱεροσολύμων ἤρχετο ποιεῖσθαι τὸ λοιπὸν τὴν ἐπιμέλειαν. ὅσα γὰρ τῶν τειχῶν, ἢ ὑπὸ τοῦ χρόνου καταβέβλητο, ἢ ὑπὸ τῆς ὀλιγωρίας τῶν πρὸ αὐτοῦ βασιλέων, ταῦτά τε ἀνῳκοδόμει καὶ κατεσκεύαζεν, ὅσα τε ἦν κατεσκαμμένα, ὑπὸ τοῦ τῶν ἰσραηλιτῶν βασιλέως ὅτε τὸν πατέρα αὐτοῦ λαβὼν αἰχμάλωτον τὸν ἀμασίαν εἰσῆλθεν εἰς τὴν πόλιν. προσῳκοδόμησε δὲ καὶ πύργους πολλοὺς πεντήκοντα πηχῶν καὶ ἑκατόν. καὶ φρουρὰς δ' ἐνετείχισε τοῖς ἐρήμοις χωρίοις. καὶ πολλοὺς ὀχετοὺς ὤρυξεν ὑδάτων. ἦν δ' αὐτῷ καὶ ὑποζυγίων καὶ τῶν ἄλλων θρεμμάτων ἄπειρόν τι πλῆθος. εὐφυὴς γὰρ ἦν ἡ χώρα πρὸς νομάς. γεωργικὸς δ' ὢν σφόδρα τῆς γῆς ἐπεμελεῖτο, φυτοῖς αὐτὴν καὶ παντοδαποῖς τιθηνῶν σπέρμασι. στρατιὰν δ' εἶχεν ἐπιλέκτου περὶ αὐτὸν μυριάδας ἑπτὰ καὶ τριάκοντα. ἧς ἡγεμόνες ἦσαν καὶ ταξίαρχοι καὶ χιλίαρχοι γενναῖοι καὶ τὴν ἀλκὴν ἀνυπόστατοι, τὸν ἀριθμὸν δισχίλιοι. διέταξε δ' εἰς φάλαγγα τὴν ὅλην στρατιὰν καὶ ὥπλισε, ῥομφαίαν δοὺς ἑκάστῳ, καὶ θυρεοὺς καὶ θώρακας χαλκοῦς, καὶ τόξα καὶ σφενδόνας. ἔτι δὲ καὶ πρὸς τούτοις μηχανήματα πολλὰ πρὸς πολιορκίας κατεσκεύασε. πετροβόλα τε καὶ δορυβόλα. καὶ ἁρπάγας, καὶ ὅσα τούτοις ὅμοια. γενόμενος δ' ἐν ταύτῃ τῇ συντάξει καὶ παρασκευῇ, διεφθάρη τὴν διάνοιαν ὑπὸ τοῦ τύφου, καὶ χαυνωθεὶς θνητῇ περιουσίᾳ τῆς ἀθανάτου καὶ πρὸς ἅπαντα διαρκοῦς τὸν χρόνον ἰσχύος ὠλιγώρησεν. αὕτη δ' ἦν ἡ πρὸς τὸν θεὸν εὐσέβεια, καὶ τὸ τηρεῖν τὰ νόμιμα. ὤλισθεν δ' ὑπ' εὐπραξίας, καὶ κατηνέχθη πρὸς τὰ τοῦ πατρὸς ἁμαρτήματα. πρὸς ἃ κἀκεῖνον ἡ τῶν ἀγαθῶν λαμπρότης καὶ τὸ μέγεθος τῶν πραγμάτων, οὐ δυνηθέντα προστῆναι καλῶς αὐτῶν ἤγαγεν. ἐνστάσης δ' ἡμέρας ἐπισήμου, καὶ πάνδημον ἑορτὴν ἐχούσης, ἐνδὺς ἱερατικὴν στολὴν, εἰσῆλθεν εἰς τὸ θέμενος ἐπιθυμιάσων ἐπὶ τοῦ χρυσοῦ βωμοῦ τῷ θεῷ. τοῦ δ' ἀρχιερέως ἀζαρίου, ὄντων σὺν αὐτῷ ἱερέων ὀγδοήκοντα, κωλύοντος αὐτὸν· οὐ γὰρ ἐξὸν ἐπιθύειν εἶπον. μόνοις δ' ἐφεῖσθαι τοῦτο ποιεῖν τοῖς ἐκ τοῦ ἀαρῶνος γένους. καταβοώντων δ' ἐξιέναι καὶ μὴ παρανομεῖν εἰς τὸν θεόν. ὀργισθεὶς, ἠπείλησεν αὐτοῖς θάνατον, εἰ μὴ τὴν ἡσυχίαν ἄξουσι. μεταξὺ δὲ, σεισμὸς ἐκλόνησε τὴν γῆν μέγας. καὶ διαστάντος τοῦ ναοῦ, φέγγος ἡλίου λαμπρὸν ἐξέλαμψε, καὶ τῇ τοῦ βασιλέως ὄψει προσέπεσεν. ὡς τοῦτον μὲν εὐθέως λέπραν ἐπιδραμεῖν, πρὸ δὲ τῆς πόλεως, πρὸς τῇ καλουμένῃ ἐρωγῇ τοῦ ὄρους ἀπορραγῆναι τὸ ἥμισυ τοῦ κατὰ τὴν δύσιν, καὶ κυλισθὲν τέσσαρας σταδίους ἐπὶ τὸ ἀνατολικὸν ὄρος στῆναι. ὡς τάς τε παρόδους ἐμφραγῆναι, καὶ τοὺς παραδείσους τοὺς βασιλικούς. ἐπεὶ δὲ κατειλημμένην τὴν ὄψιν τοῦ βασιλέως ὑπὸ τῆς λέπρας εἶδον οἱ ἱερεῖς, ἔφραζόν τε αὐτῷ τὴν συμφορὰν, καὶ ἐκέλευον ἐξιέναι τῆς πόλεως, ὡς ἐναγῆ. ὁ δ' ὑπ' αἰσχύνης τοῦ συμβεβηκότος δεινοῦ καὶ τοῦ μηκέτ' αὐτῷ παρρησίαν εἶναι, τὸ κελευόμενον ἐποίει.

tre Achia, ciue & ipsa Hierosolymitana. Hic erat natura bonus ac iustus, & magnanimus, prouidendísque rebus solers & industrius. is suscepta expeditione in Palæstinos, prælio victor vrbes eorum vi cepit, Gittam & Iamniam & earum mœnia diruit. alia deinde expeditione duxit in Arabas Ægypto vicinos: & condita vrbe ad mare rubrum, præsidium in ea posuit. post hæc Ammanitis subactis, tributóque genti præfinito, & omnibus locis vsque ad Ægypti terminos in potestatem suam redactis, in posterum ad curam vrbis se contulit. quicquid enim mœnium vel vetustate labefactum erat, vel superiorum regum incuria, totum instaurauit: atque eam etiam partem, quam Israelitarum rex Amasia patre huius capto diruerat, quando vrbem victor ingressus est. his addidit non paucos turres cẽtum quinquaginta cubitorum altitudinis & arces aliquot in locis minus frequentatis ad tutelã disposuit: aquæ ductus quoque non paucos extruxit. habuit etiam iumentorum aliarumque pecudum infinitam penè multitudinem, quòd regio esset apta pascuis. cúmque admodum esset agriculturæ studiosus, terram variis arborum cæterarúmque plantarũ generibus excoluit. habuit preterea selectorum militũ trecenta septuaginta millia, quibus præerant centuriones ac tribuni viri generosi & inuicto robore præditi ad duo millia numero: edocuitque exercitum phalangis ordinẽ struere in aciem, & arma singulis distribuit, gladios, clypeos, & thoraces æreos, arcus etiam & fundas. præterea machinas fecit multas ad expugnanda oppida, quibus vel saxa vel tela emitteret, harpagones quoque & alia instrumenta his similia. Dúmque in his studiis & paratib⁹ versatur, corruptus est arrogantia, & inflatus mortali potentia, immortalem illam ac sempiternã cœpit non magnifacere, nec religionis nec pietatis admodum obseruãs, ita vt ad paternã impietatẽ videretur procliuior, ad quã & ille prolapsus fuerat, quòd fortunę fauorẽ & perpetuos successus in rebus maximis moderatè ferre nesciret. Et cùm venisset solennis festi celebritas, sumpto sacerdotali habitu, ingressus templũ ad aureum altare Deo suffitum facturus astitit. Accurrit eò mox Azarias pontifex octoginta sacerdotum globo stipatus, & regẽ cõpescuit, vociferans ac negãs hoc illi fas esse, sed solis sacerdotib⁹ datũ suffire, qui sint ex Aaronis genere. iubebátque vt exiret, & Deũ talibus factis prouocare ad iram desineret. Tũ rex cõmotus mortem illis ni quiescerẽt minatus est: & ecce tibi terra vehementer concutitur, fissóque supernè tẽplo radius solis os regis improbũ ferit, quod euestigio lepra cõtactum est. accessit huic & aliud prodigium, quòd eodem terræmotu ante vrbem in loco qui dicitur Eroge, dimidiũ mõtis ad Occidentẽ vergẽtis reuulsũ, per quatuor stadia volutũ, obiectu demũ Oriẽtalis mõtis cõstitit, obstructa via publica, & oppressis ruina hortis regiis. Sacerdotes verò postquã in facie regis leprã animaduerterũt, diuinitus inflictã ei plagã indicauerũt, & vt tãquã pollutus & im-

puratus vrbe cederet admonuerunt. at ille pudore calamitatis iam modestior, paruit, superbiæ cum impietate coniunctæ tam miserabili pœna mulctatus. & cùm aliquandiu priuatus extra vrbem vixisset, filio Iothamo rempub. administrante, mœrore tandem cōfectus obiit anno ætatis sexagesimo octauo, regni quinquagesimo secundo, sepultúsque est in suis hortis in monumento solitario. Israelitarum autē rex Zacharias Hieroboami filius vix sexto regni mense exacto, ab vno è suis purpuratis per dolum occiditur. Selesmus is fuit Iabesi filius, qui occupata vacua Zachariæ cæde regia, trigesima pòst die malè partum regnum malè perdidit. Manaemus enim dux exercitus, qui per id tempus apud Thapsam vrbem erat, audito Zachariæ casu, cum omnibuscopiis properè venit Samariam, & prælio victum Selesmum interfecit: dein autoritate propria sumptis regni insignibus, Thapsam cum exercitu victore profectus est. oppidani verò obfirmatis portis noluerunt regem admittere. at ille vt in defectores sæuiens totum circumquaque agrum vastauit, & postremò vrbē quoque vi cepit: & quòd esset Thapsensibus infensus, omnes ferro confecit, ne teneræ quidem ætati parcens, & nihil sibi ad extremam crudelitatē reliquum faciens. quę enim ne in barbaros quidem deuictos perpetrare fas fuerit, ea in sui generis homines sibi permisit. nec mitior fuit postea toto decēnio quo Israelitis præfuit. petitus deinde bello ab Assyriorum rege Phullo, non ausus est cum eo in certamen descendere, sed pactus millia talētis argenti, maturè se ab ea vexatione redemit. hāc summam Manaemo populus contulit. exactis L. drachmis in singula capita. Nec multò pòst mortuus, Samariæ sepultus est, Phaceia regni hærede relicto. is patri crudelitate persimilis, duobus tantùm annis regnauit: quibus exactis in conuiuio cum amicis trucidatus est, insidiis Phaceiæ tribuni, qui Romeliæ fuit filius. obtinuit aut hic Phaceias principatum annis xx. dubium impius magis an iniustus. Huius tēpore Theglaphalassar Assyriorum rex Israelitas aggressus, subacta Galadica regione, & quicquid trans Iordanem colitur, vicináque Galilæa, & Cydida, & Asora, colonos abstractos in suum regnum traduxit, de quo hoc loco hactenus. Porrò Iothamus Oziæ filius regnauit in tribu Iuda & Hierosolymorū regia, natus matre vrbani generis nomine Ierasa. Huic regi nulla virtus defuit, erga Deum pio, iusto erga homines, & reipub. studioso. quicquid enim instauratione opus habebat, diligenter sartiēdum curauit. in templo vestibulum refecit & porticus: mœnium partem labantē restituit, & additis magnis ac firmis turrib⁹ communiuit. Ammanitas etiā prælio deuictos tributa pendere coegit, annua talēta cētū & tritici coros decies mille, & totidē hordei. In tātúmque regnū auxit, vt tā domi felix esset, quā foris formidabilis.

A τῆς ὑπὲρ ἄνθρωπον διανοίας καὶ τῆς διὰ τοῦτ' εἰς τὸν θεὸν ἀσεβείας ταλαίπωρον οὕτω καὶ οἰκτρὰν ὑπομείνας δίκην. καὶ χρόνον μέν τινα διῆγεν ἔξω τῆς πόλεως, ἰδιώτην ἀποζῶν βίον, τοῦ παιδὸς αὐτοῦ Ἰωθάμου τὴν ἀρχὴν παραλαβόντος, ἔπειτα ὑπὸ λύπης καὶ ἀθυμίας ἀπέθανεν, ἔτη μὲν βιώσας ὀκτὼ καὶ ἑξήκοντα. τούτων δὲ βασιλεύσας πεντήκοντα δύο. ἐκηδεύθη δὲ μόνος, ἐν τοῖς ἑαυτοῦ κήποις. ὁ δὲ τοῦ Ἱεροβοάμου παῖς Ζαχαρίας
B ἓξ μῆνας βασιλεύσας τῶν Ἰσραηλιτῶν, δολοφονηθεὶς ἀπέθανεν ὑπὸ φίλου τινὸς, Σελλήσμου μὲν τοὔνομα, Ἰαβήσου δὲ υἱοῦ. ὃ καὶ τὴν βασιλείαν μετ' αὐτὸν παραλαβὼν, οὐ πλείονα χρόνον ἡμερῶν αὐτὴν κατέσχε τριάκοντα. ὁ γὰρ στρατηγὸς Μανάημος κατ' ἐκεῖνον τὸν καιρὸν ὢν ἐν Θαρσῇ πόλει, καὶ τὰ περὶ τὸν Ζαχαρίαν ἀκούσας, ἄρας μετὰ πάσης τῆς στρατιᾶς ἧκεν εἰς Σαμάρειαν, καὶ συμβαλὼν εἰς μάχην, ἀναιρεῖ τὸν Σέλλησμον. καὶ βασιλέα καταστήσας ἑαυτὸν, ἐκεῖθεν εἰς Θαψὰν παραγίνεται πόλιν.
C οἱ δ' ἐν αὐτῇ τὰς πύλας μοχλοῖς κλείοντες, οὐκ εἰσεδέξαντο τὸν βασιλέα. ὁ δ' ἀμυνόμενος αὐτοὺς, τὴν πέριξ ἐδῄωσε χώραν καὶ τὴν πόλιν κατὰ κράτος λαμβάνει πολιορκίᾳ. φέρων τε χαλεπῶς ἐπὶ τοῖς ὑπὸ τῶν Θαψατῶν πραχθεῖσι, πάντας αὐτοὺς διεχρήσατο, μηδὲ νηπίων φειδόμενος, ὠμότητος ὑπερβολὴν οὐ καταλειπὼν οὐδὲ ἀγριότητος. ἃ γὰρ οὐδὲ τῶν ἀλλοφύλων τινὰς σύγγνωστον διαθεῖναι γενομένους ὑποχειρίους, ταῦτα τοὺς ὁμοφύλους οὕτως εἰργάσατο. βασιλεύσας οὖν τὸν τρό-
D πον τοῦτον ὁ Μανάημος ἐπ' ἔτη δέκα σκαιὸς καὶ πάντων ὠμότατος διέμεινε. στρατεύσαντος δ' ἐπ' αὐτὸν Φούλλου τοῦ τῶν Ἀσσυρίων βασιλέως, εἰς μὲν ἀγῶνα καὶ μάχην οὐκ ἀπήντα τοῖς Ἀσσυρίοις. πείσας δὲ χίλια τάλαντα ἀργυρίου λαβόντα ἀναχωρῆσαι, διαλύεται τὸν πόλεμον. τὸ δὲ κεφάλαιον τοῦτο συνήνεγκε τὸ πλῆθος Μαναήμῳ, πραχθὲν κατὰ κεφαλὴν δραχμὰς πεντήκοντα. τελευτήσαντος δὲ μετὰ ταῦτα, κηδεύεται μὲν ἐν Σαμαρείᾳ. καταλείπει δὲ τῆς βασιλείας τὸν υἱὸν Φακείαν διάδοχον. ὃς τῇ
E τοῦ πατρὸς κατακολουθήσας ὠμότητι, δυσὶν ἔτεσι μόνοις ἦρξεν. ἔπειτα δολοφονηθεὶς ἐν συμποσίῳ μετὰ φίλων ἀπέθανε, Φακείου τινὸς ὃς ἦν χιλίαρχος ἐπιβουλεύσαντος, αὐτοῦ παιδὸς δὲ Ῥομελίου. κατέσχε δὲ οὗτος ὁ Φακείας τὴν ἀρχὴν ἔτεσιν εἴκοσι, καὶ ἀσεβής τε ἦν καὶ παράνομος. ὁ δὲ τῶν Ἀσσυρίων βασιλεὺς Θεγλαφαλάσαρ τοὔνομα, ἐπιστρατευσάμενος τοῖς Ἰσραηλίταις, καὶ τήν τε Γαλαδηνὴν ἅπασαν καταστρεψάμενος, καὶ τὴν πέραν τοῦ Ἰορ-
F δάνου χώραν, καὶ τὴν πρὸς αὐτὴν τὴν Γαλιλαίαν καλουμένην, καὶ Κύδιδαν, καὶ Ἄσωρα, καὶ τοὺς οἰκήτορας αἰχμαλωτίσας, μετέστησεν εἰς τὴν αὐτοῦ βασιλείαν. καὶ τὰ μὲν περὶ τοῦ Ἀσσυρίων βασιλέως, ἐν τούτοις ἡμῖν δεδηλώσθω. Ἰώθαμος δὲ ὁ Ὀζίου παῖς, ἐβασίλευε τῆς Ἰούδα φυλῆς ἐν Ἱεροσολύμοις, ἐκ μητρὸς μὲν ἀστῆς γεγονὼς καλουμένης δὲ Ἱεράσης. οὗτος ὁ βασιλεὺς οὐδὲ μιᾶς ἀρετῆς ἀπελείπετο, ἀλλ' εὐσεβὴς μὲν τὰ πρὸς τὸν θεὸν, δίκαιος δὲ τὰ πρὸς ἀνθρώποις ὑπῆρχεν. ἐπιμελητὴς δὲ τῶν κατὰ τὴν πόλιν. ὅσα γὰρ ἐπισκευῆς ἐδεῖτο καὶ κόσμου. ταῦτα φιλοτίμως ἐξειργάσατο. στοὰς μὲν τὰς ἐν τῷ ναῷ ἱδρύσας καὶ προπύλαια. τὰ δὲ καταπεπτωκότα τῶν τειχῶν ἀνέστησε, πύργους παμμεγέθεις καὶ δυσαλώτους οἰκοδομήσας. καὶ τῶν ἄλλων εἴ τι κατὰ τὴν βασιλείαν ἠμελεῖτο, πολλὴν ἐπιστροφὴν ἐποιεῖτο, στρατευσάμενος δὲ καὶ ἐπὶ τοὺς Ἀμμανίτας, καὶ κρατήσας αὐτῶν ἐν τῇ μάχῃ, ἐπέταξεν αὐτοῖς φόρους κατὰ πᾶν ἔτος αὐτῷ τελεῖν, ἑκατὸν τάλαντα, καὶ σίτου κόρους μυρίους, τοὺς αὐτοὺς δὲ καὶ κριθῆς. ηὔξησε δὲ οὗτος τὴν βασιλείαν, ὡς τὸ ἀκαταφρόνητον μὲν αὐτὴν ἐκ τῶν πολεμίων εἶναι, τοῖς δ' οἰκείοις εὐδαίμονα.

ζῆν

ὢν δ᾽. τις κατὰ τοῦτον τὸν καιρὸν προφήτης νάουμος τοὔνομα, ὃς περὶ τῆς ἀσσυρίων καταστροφῆς καὶ τῆς νίνου προφητεύων ἔλεγεν οὕτως. ἔσαι νινύας κολυμβήθρα ὕδατος κινουμένη, οὕτως καὶ ὁ δῆμος ἅπας ταρασσόμενος, καὶ κλυδωνιζόμενος οἰχήσεται φεύγων λεγόντων πρὸς ἀλλήλοις, στῆτε καὶ μείνατε, καὶ χρυσὸν αὐτοῖς καὶ ἀργύρεον ἁρπάσατε. ἔσαι δ᾽ οὐδεὶς βουλησόμενος. σώζειν γὰρ αὐτῶν ἐθελήσουσι τὰς ψυχὰς μᾶλλον ἢ τὰ κτήματα. δεινὴ γὰρ αὐτοῖς ἐν ἀλλήλοις ἔρις ἕξει καὶ θρῆνος, πάρεσίς τε τῶν μελῶν, αἵ τε ὄψεις ὑπὸ τοῦ φόβου μέλαιναι τελέως αὐτοῖς γενήσονται. ποῦ δὲ ἔσαι τὸ κατοικητήριον τῶν λεόντων καὶ ἡ μήτηρ σκύμνων; λέγει δέ σοι ὁ θεὸς νινύα, ὅτι ἀφανίσω σε, καὶ οὐκέτι λέοντες ἐκ σοῦ προϊόμενοι ἐπιτάξουσι τῷ κόσμῳ. καὶ ἄλλα δὲ πολλὰ πρὸς τούτοις, ἃ προεφήτευσεν οὗτος ὁ προφήτης περὶ νινεύης, λέγειν οὐκ ἀναγκαῖον ἡγησάμην. ἵνα δὲ μὴ τοῖς ἐντυγχάνουσιν ὀχληρὸς δοκῶ, παρέλιπον. συνέβη δὲ πάντα τὰ προειρημένα περὶ νινεύης, μετὰ ἔτη ἑκατὸν καὶ πεντεκαίδεκα. περὶ μὲν οὖν τούτων, ἀποχρώντως ἡμῖν δεδήλωται.

Κεφάλαιον ιβ΄.

Ὡς στρατευσάμενος ἀράσης ὁ δαμασκοῦ βασιλεὺς ἐπὶ ἱεροσολυμίτας ἠνάγκασεν ἀχάζην τὸν βασιλέα πεῖσαι τὸν βασιλέα ἀσσυρίων ἐπὶ δαμασκὸν στρατεύσασθαι.

Ὁ δ᾽ ἰώθαμος μετήλλαξεν, ἔτη βιώσας ἓν καὶ τεσσαράκοντα, βασιλεύσας δ᾽ ἐξ αὐτῶν ἑκκαίδεκα. θάπτεται δ᾽ ἐν ταῖς βασιλικαῖς θήκαις. ἔρχεται δ᾽ εἰς τὸν υἱὸν αὐτοῦ ἀχάζην ἡ βασιλεία, ὃς ἀσεβέστατος εἰς τὸν θεὸν γενόμενος, καὶ τοὺς πατρίους παραβὰς νόμους, τοὺς ἰσραηλιτῶν βασιλέας ἐμιμήσατο, βωμοὺς ἐν ἱεροσολύμοις ἀναστήσας, καὶ θύων ἐπ᾽ αὐτῶν τοῖς εἰδώλοις, οἷς καὶ ἴδιον ὁλοκαύτωσε παῖδα, κατὰ τὰ χαναναίων ἔθη, καὶ τούτοις ἄλλα παραπλήσια διεπράσσετο. ἔχοντος δ᾽ οὕτως καὶ μεμηνότος, ἐστράτευσεν ἐπ᾽ αὐτὸν ὁ τῶν σύρων καὶ δαμασκηνῶν βασιλεὺς ἀράσης, καὶ φακέας ὁ τῶν ἰσραηλιτῶν. φίλοι γὰρ ἦσαν. καὶ συνελάσαντες αὐτὸν εἰς ἱεροσόλυμα, ἐπὶ πολὺ ἐπολιόρκουν χρόνον διὰ τὴν τῶν τειχῶν ὀχυρότητα μηδὲν ἀνύοντες. ὁ δὲ τῶν σύρων βασιλεὺς, λαβὼν τὴν πρὸς τῇ ἐρυθρᾷ θαλάσσῃ πόλιν ἠλάθ, καὶ τοὺς ἐνοικοῦντας ἀποκτείνας, ἐγκατῴκησεν αὐτῇ σύρους. τοὺς δ᾽ ἐν τοῖς φρουρίοις ὁμοίως καὶ τοὺς πέριξ ἰουδαίους διαφθείρας, καὶ λείαν πολλὴν ἀπελάσας εἰς δαμασκὸν, μετὰ τῆς στρατιᾶς ἀνέζευξεν. ὁ δὲ τῶν ἱεροσολυμιτῶν βασιλεὺς, γνοὺς τοὺς σύρους ἐπ᾽ οἴκου κεχωρηκότας, καὶ νομίσας ἀξιόμαχος εἶναι τῷ τῶν ἰσραηλιτῶν βασιλεῖ, τὴν δύναμιν ἐπ᾽ αὐτὸν ἐξήγαγε, καὶ συμβαλὼν ἐνικήθη κατὰ μῆνιν τοῦ θεοῦ, ὃν ἐπὶ τοῖς ἀσεβήμασιν αὐτοῦ πολλοῖς ἅμα καὶ μεγάλοις εἶχε. δώδεκα γὰρ αὐτοῦ μυριάδες κατ᾽ ἐκείνην τὴν ἡμέραν ὑπὸ τῶν ἰσραηλιτῶν ἀνῃρέθησαν. ὧν ὁ στρατηγὸς ζαχαρίας τὸν υἱὸν ἀπέκτεινε ἐν τῇ συμβολῇ τοῦ βασιλέως ἀχάζου, ἀμίας ὄνομα, καὶ τὸν ἐπίτροπον τῆς βασιλείας ἁπάσης ἐρικάμ, καὶ τὸν τῆς ἰούδα φυλῆς στρατηγὸν ἐλκανὰν αἰχμάλωτον ἔλαβε. καὶ ἐκ τῆς βενιαμίτιδος φυλῆς, γυναῖκας καὶ παῖδας ἀπήγαγον, καὶ πολλὴν λείαν ἁρπάσαντες, ἀνεχώρησαν εἰς σαμάρειαν. ὠβήλας δέ τις ὃς κατ᾽ ἐκεῖνο καιροῦ προφήτης ὑπῆρχεν ἐν σαμαρείᾳ, τῷ στρατῷ πρὸ τῶν τειχῶν ἀπαντήσας, μεγάλῃ βοῇ τὴν νίκην αὐτοῖς οὐ διὰ τὴν οἰκείαν ἰσχὺν ἔλεγεν γενέσθαι.

XII. Hoc regnante propheta quidam extitit, Naumus nomine, qui de Assyriorum & Nini subuersione hæc verba vaticinatus est. Ecce Niniue piscina aquarum fluctuans, ita & populus eius omnis turbatus & fluctuās fugiet. dicentque, state, state, eripite aurum, eripite argentum. & nemo valet. mallent enim vitam seruare quā facultates. occupabit enim eos graue dissidium & lamentatio, & dissolutio membrorum, & facies eorū pre pauore fient luridæ. Vbi erit posthac domicilium leonum, & mater catulorum leoninorum? Dicit tibi Niniue dominus: Delebo te, nec posthac amplius leones ex te egressi mundo imperitabunt. & alia multa de Niniue in hanc sententiam prophetauit, quæ nunc nō est necesse repetere, alioquin molestus videri possem lectorem plus æquo onerans. Euenerūt autem omnia quæ de Niniue prædicta sūt, post annum cxv. Et de his quidem hactenus.

Cap. XII.

Rase Damascenorum rege Hierosolymitas bello vexante, Achazes eorum rex coactus est Assyriorum regem in Damascenos immittere.

XIII. Iothamus autē è viuis abiit ætatis anno xli. cùm regnasset annos sexdecim: & quo in regiis conditoriis deposito, regnum ad Achazen eius filium hęreditario iure peruenit. qui erga Deum impiissimus, omnium, & patriarum legum desertor, ad imitationem Israeliticorum regum se contulit, aras Hierosolymis erigens, & in eis idolis sacrificās, quibus etiam propriū filium holocautoma obtulit ritu Chananæorū, & his similia multa perpetrauit. Hunc ita insanientem duo simul reges, Rases Damascenorū & Phacies Israelitarum, bello aggrediuntur: erant enim amici & socij: & compulsum Hierosolyma multum diuque frustra oppugnauerūt, quòd vrbs esset munita egregiè. Interea Syriæ rex ad mare rubrū Elam vrbē occupat, & necatis eius habitatoribus Syrorum coloniam eò deduxit. Multis item arcibus expugnatis, & magno Iudæorum numero interfecto, cum exercitu ex manubiis ditato domū reuersus est. Hierosolymitanus autem rex postquam cognouit Syros abiisse domum, putans se Israelitarū rege non inferiorem viribus, eduxit contra eum copias. & cùm irato Deo commisisset præliū propter tot impia facinora victus est. centum enim & viginti millia tunc ceciderunt de Hierosolymitarum exercitu. In eodē prælio Zacharias supremus dux Israelitarū cū Amia filio Achazę cōgressus, superatū occidit, & pari modo Ericā prætorianorū præfectum adeptus interemit, & Elcanam tribus Iudę copiarum ducem viuum in potestatem suam redegit. magnum præterea captiuorum vtriusque sexus numerum è Beniamitica tribu abegerunt, & opima præda ditati reuersi sunt Samariam. Obelas autem quidā qui in ea vrbe per id tempus propheta erat, occurrens illis ante mœnia, magna voce hanc victoriam non ipsorum virtute partā asseuerabat,

4. Reg. 16.

sed quòd Deus regi Achazæ irasceretur. incusabátque eos quòd non contenti præsenti felicitate, ausi sint homines ex tribu Iudæ ac Beniamitica consanguineos suos captiuos abducere: & suadebat vt hos illæsos domum remitterent. quod ni faciant, Deum ab illis pœnas exacturum. post hanc admonitionem Israelitæ in concionem conuenientes deliberant quid facto opus esset. Exurgens autem quidam magnę inter suos autoritatis, Barachias nomine, cum aliis tribus, negabant se passuros vt ciues sui captiuos in vrbem introducerent, ne fortè omnes ex æquo diuina vltio perderet. satis esse pręteritorum peccatorum, in quæ prophetæ clamitent, etiamsi nulla noua accedat impietas. His auditis milites, permiserunt illos, quicquid vellent, arbitratu suo agere. Tum prædicti viri assumptos captiuos exemerunt vinculis, & curatis eorum corporibus, adiutos viatico remiserunt domum incolumes. nihilo minus quatuor hi deduxerunt eos vsque Hierichuntem & vlterius, cúmque non longè abessent à Hierosolymis, repetierunt Samariam.

Cap. XIII.

Assyriorum rex vi expugnata Damasco, & occiso rege, populum traducit in Mediam aliis gentibus Damascum in coloniam deductis.

4. Reg. 16. 17.

Achazes autem rex hac clade ab Israelitis affectus, missa ad Assyriorum regem Theglaphalassarem legatione, auxilium ab eo petiit contra Israelitas & Damascenos atque Syros, magnam pecuniam illi pollicens in præsens etiam magnifica munera mittendo. Quam legationem pòstquam audiuit, ipse in auxilium Achazæ profectus est, & vastata Syria, expugnatáque Damasco, Rasem quoque regem occidit. Damascenos verò in superiorem Mediam populariter traduxit: & pro illis quasdā Assyriorum gentes in agrum Damascenum reposuit. Israelitarum deinde terram populatus, multos ex ea captiuos comprehendit. Post Syros adhunc modū tractatos, rex Achazes sublato quātum erat auri & argenti in regiis thesauris, atque etiam in ipso templo & donariis quotquot erant pulcherrima, hæc secum deferens venit Damascum, & sicut antè pactus fuerat, omnia regi Assyriorum tradidit, actísque pro beneficio gratiis reuersus est Hierosolyma. Erat autē hic rex tam stultus & incogitans, vt quamuis hostiliter cum Syris dissideret, illorum tamen deos colere non desineret, sed in eorū ceremoniis, tanquam victoriā inde sibi pollicens, pietatem collocare pergeret. post cladem verò acceptam, Assyriorum venerari cœpit numina, quiduis potius adoraturus, quàm verum & à maioribus acceptum Deum, cuius indignatione vt tum vinceretur factum est. In tantum autem religionis contemptum prolapsus est, vt spoliatum priùs donariis templum clauderet, ne illud solennibus sacrificiis honorare liceret. post has insanas impietates tandem moritur, cùm vixisset annos trigintasex, & ex his regnasset sedecim, relicto hærede Ezecia filio.

A διὰ δὲ τὸν τοῦ θεοῦ χόλον ὃν εἶχεν ἐπ' ἄχαζον τὸν βασιλέα. καὶ κατεμέμφετο, τῇ μὲν εὐπραγίᾳ τῇ κατ' αὐτοὺς μὴ ἀρκεσθέντας, ἀλλὰ τολμήσαντας τοὺς ἐκ τῆς ἰούδα φυλῆς καὶ βενιαμίτιδος συγγενεῖς ὄντας αἰχμαλωτίσαι. συνεβούλευέ τε αὐτοῖς ἀπολῦσαι τούτους εἰς τὴν οἰκείαν ἀπαθεῖς. ἀπειθήσαντας γὰρ τῷ θεῷ δίκην ὑφέξειν. ὁ δὲ τῶν ἰσραηλιτῶν λαὸς εἰς τὴν ἐκκλησίαν συνελθὼν, ἐπεσκέπτετο περὶ τούτων. ἀναστὰς δέ τις βαραχίας ὀνόματι τῶν εὐδοκιμούντων ἐν τῇ πολιτείᾳ, καὶ ἄλλοι μετ' αὐτοῦ τρεῖς, ἔλεγον οὐκ ἐπιτρέψειν τοῖς πολίταις εἰσαγαγεῖν αὐτοὺς εἰς τὴν πόλιν, ἵνα μὴ πάντες ἀπολλώμεθα ἀπὸ τοῦ θεοῦ. μόνον γὰρ ἀπόχρη τὸ πρὸς αὐτὸν ἡμᾶς ἐξαμαρτεῖν, ὡς οἱ προφῆται λέγουσιν, ἀλλὰ μὴ καινότερα τούτων ἀσεβήματα δρᾶν. ταῦτα δ' ἀκούσαντες οἱ στρατιῶται, συνεχώρησαν ἐκείνοις ποιεῖν ὃ ἐδόκει συμφέρειν. παραλαβόντες οὖν οἱ προειρημένοι ἄνδρες τοὺς αἰχμαλώτους, ἔλυσάν τε καὶ ἐπιμελείας ἠξίωσαν, καὶ δόντες ἐφόδια, εἰς τὴν οἰκείαν ἀπέλυσαν ἀβλαβεῖς. οὐδὲν ἧττον καὶ τέσσαρες αὐτοῖς συνῆλθον, καὶ μέχρις ἱεριχοῦντος προπέμψαντες οὐκ ἄπωθεν τῶν ἱεροσολύμων, ἀνέστρεψαν εἰς σαμάρειαν.

Κεφάλαιον ιγ.

Ὡς κατὰ κράτος ἔλαβεν ὁ τῶν ἀσσυρίων βασιλεὺς δαμασκὸν, καὶ διέφθειρε μὲν αὐτῶν τὸν βασιλέα, τοὺς δὲ ἀνθρώπους ἀναστήσας εἰς μηδίαν, ἕτερα ἔθνη κατῴκισεν ἐν δαμασκῷ.

D Ἀχάζης δ' ὁ βασιλεὺς ταῦτα μαθὼν ὑπὸ τῶν ἰσραηλιτῶν, πέμψας πρὸς τὸν τῶν ἀσσυρίων βασιλέα θεγλαφαλασσάρην, συμμαχίαν αὐτῷ παρασχεῖν παρεκάλει πρὸς τὸν πόλεμον τὸν πρὸς τοὺς ἰσραηλίτας, καὶ σύρους καὶ δαμασκηνοὺς, χρήματα πολλὰ δώσειν ὑπισχνούμενος. ἔπεμψε δ' αὐτῷ καὶ λαμπρὰς δωρεάς. ὁ δὲ, τῶν πρεσβέων ἀφικομένων πρὸς αὐτὸν, ἧκε σύμμαχος ἀχάζῃ, καὶ στρατεύσας ἐπὶ τοὺς σύρους, τήν τε χώραν αὐτῶν ἐπόρθησε, καὶ τὴν δαμασκὸν κατὰ κράτος εἷλε, καὶ τὸν βασιλέα ῥάσην ἀπέκτεινε. τοὺς δὲ δαμασκηνοὺς ἀπῴκισεν εἰς τὴν ἄνω μηδίαν. καὶ ἐκ τῶν ἐθνῶν τῶν ἀσσυρίων E μεταστήσας τινὰς, εἰς τὴν δαμασκὸν κατῴκησε. τὴν δὲ τῶν ἰσραηλιτῶν γῆν κακώσας, πολλοὺς ἀπ' αὐτῆς αἰχμαλώτους συνέλαβε. ταῦτ' αὐτοῦ διαπραξαμένου τοὺς σύρους, ὁ βασιλεὺς ἄχαζος ἄρας τὸν χρυσὸν, ὃς ἦν ἐν τοῖς βασιλικοῖς θησαυροῖς, καὶ τὸν ἄργυρον, καὶ τὰ ἐν τῷ ναῷ τοῦ θεοῦ, καὶ εἴ τι κάλλιστον ἀνάθημα, τοῦτο βαστάσας ἧκεν ἔχων εἰς δαμασκὸν, καὶ ἔδωκε τῷ τῶν ἀσσυρίων βασιλεῖ κατὰ τὰς ὁμολογίας, καὶ πάντων αὐτῷ χάριν ἔχειν ὁμολογήσας, ὑπέστρεψεν εἰς ἱεροσόλυμα. F ἦν δ' οὕτως ἀνόητος καὶ τοῦ συμφέροντος ἀσυλλόγιστος οὗτος ὁ βασιλεὺς, ὥστε οὐδὲ πολεμούμενος ὑπὸ τῶν σύρων ἐπαύσατο τοὺς θεοὺς αὐτῶν προσκυνῶν, ἀλλὰ διετέλει τούτους σεβόμενος ὡς παρεξομένους αὐτῷ τὴν νίκην. ἡττηθεὶς δὲ πάλιν, τοὺς ἀσσυρίων ἤρξατο τιμᾶν θεοὺς, καὶ πάντας ἐῴκει μᾶλλον τιμήσων, ἢ τὸν πατρῷον καὶ ἀληθῶς θεὸν, ὃς αὐτῷ καὶ τῆς ἥττης ὀργιζόμενος ἦν αἴτιος. ἐπὶ τοσοῦτον G δ' ὀλιγωρίας καὶ καταφρονήσεως ἦλθεν, ὡς καὶ τέλεον ἀποκλεῖσαι τὸν ναὸν, καὶ τὰς νενομισμένας ἀπαγορεῦσαι θυσίας ἐπιφέρειν, καὶ περιδύσαι τῶν ἀναθημάτων αὐτόν. ταῦθ' ὑβρίσας τὸν θεὸν ἐτελεύτησεν, ἔτη μὲν βιώσας ἓξ καὶ τριάκοντα, βασιλεύσας δ' ἐξ αὐτῶν ἑκκαίδεκα. τὸν υἱὸν δ' ἐζεκίαν διάδοχον καταλιπών.

ἀπέ-

ἀπέθανε δ' ὑπὸ τὸν αὐτὸν καιρὸν καὶ ὁ τῶν ἰσραηλιτῶν A βασιλεὺς φακέας, ἐπιβουλεύσαντος αὐτῷ φίλου τινὸς ὠσήου τοὔνομα. ὃς ἔχων τὴν βασιλείαν ἐπ' ἔτη ἐννέα, πονηρός τε ἦν, καὶ τῶν πρὸς θεὸν ὀλίγωρος. στρατεύει δ' ἐπ' αὐτὸν ὁ τῶν ἀσσυρίων βασιλεὺς σαλμανάσαρος, καὶ κρατήσας αὐτοῦ, τὸν θεὸν γὰρ οὐκ εἶχεν ἴσως εὐμενῆ καὶ σύμμαχον, ὑπήκοον ἐποιήσατο, καὶ φόρους ἐπέταξεν αὐτῷ τελεῖν ὡρισμένους. ἔτει δὲ τετάρτῳ τῆς βασιλείας ὠσήου, ἐβασίλευσεν ἐζεκίας ἐν ἱεροσολύμοις, ἀχάζου υἱός, καὶ ἀβίας B ἀστῆς τὸ γένος. φύσις δὲ ἦν αὐτῷ χρηστὴ καὶ δικαία καὶ θεοσεβής. οὐδὲν γὰρ ἄλλο πρῶτον εἰς τὴν βασιλείαν παρελθὼν οὐδ' ἀναγκαιότερον, οὐδὲ συμφορώτερον αὐτῷ τε καὶ τοῖς ἀρχομένοις ὑπέλαβε τοῦ θρησκεύειν τὸν θεόν. ἀλλὰ συγκαλέσας τὸν λαὸν καὶ τοὺς ἱερεῖς καὶ τοὺς λευΐτας, ἐδημηγόρησεν ἐν αὐτοῖς λέγων, οὐκ ἀγνοεῖτε μὲν ὡς διὰ τὰς τοῦ πατρὸς ἁμαρτίας τοῦ μου παραβάντος τὴν πρὸς τὸν θεὸν ὁσίαν τιμὴν πολλῶν ἐπειράθητε, καὶ μεγάλων κακῶν διαφθαρέντες ὑπ' αὐτοῦ τὴν διάνοιαν, καὶ ἀναπεισθέντες C οὓς αὐτὸς ἐδοκίμαζεν εἶναι θεοὺς τούτοις προσκυνεῖν, παραινῶ δ' ὑμῖν ἔργῳ μεμαθηκόσιν ὡς ἔστι δεινὸν τὸ ἀσεβεῖν, τούτου μὲν ἤδη λήθην ποιήσασθαι, καθᾶραι δ' αὑτοὺς ἐκ τῶν προτέρων μιασμάτων, τούς τε ἱερεῖς καὶ λευΐτας, καὶ συνελθόντας οὕτως ἀνοῖξαι τὸ ἱερόν, καὶ καθάραντας αὐτὸ ταῖς ἐξ ἔθους θυσίαις, εἰς τὴν ἀρχαίαν καὶ πάτριον ἀνακαλέσασθαι τιμήν. οὕτω γὰρ τὸν θεὸν εὐμενῆ ποιησαίμεθα, ἀφέντα τὴν ὀργήν. ταῦτ' εἰπόντος D τοῦ βασιλέως, οἱ ἱερεῖς ἀνοίγουσι τὸ ἱερόν. καὶ εὐτρεπίσαντες τὰ σκεύη τοῦ θεοῦ, καὶ τὰ μιάσματα ἐκβαλόντες, τὰς ἐξ ἔθους τῷ βωμῷ θυσίας ἐπέφερον. διαπέμψας δὲ ὁ βασιλεὺς εἰς τὴν ὑπ' αὐτὸν χώραν, ἐκάλει τὸν λαὸν εἰς ἱεροσόλυμα τὴν τῶν ἀζύμων ἑορτὴν ἄξοντα. πολὺν γὰρ ἐκλελοίπει χρόνον διὰ τὰς τῶν προειρημένων βασιλέων παρανομίας. διαπέστειλε δὲ καὶ πρὸς τοὺς ἰσραηλίτας προτρεπόμενος αὐτοὺς ἀφέντας τὸν ἄρτι βίον, εἰς τὴν ἀρχαίαν ἐπανελθεῖν συνήθειαν, καὶ τὸ σέβειν τὸν E θεόν. καὶ γὰρ ἐπιτρέπειν αὐτοῖς παραγινομένοις εἰς ἱεροσόλυμα, τὴν τῶν ἀζύμων ἄγειν ἑορτήν, καὶ συμπανηγυρίζειν αὐτοῖς. ταῦτα δ' ἔλεγε, παραινῶν οὐχ ὅπως ὑπακούσωσιν αὐτῷ, εἰ μὴ θέλωσι, τοῦ δὲ ἐκείνων συμφέροντος ἕνεκα· μακαρίους γὰρ ἔσεσθαι. οἱ δὲ ἰσραηλῖται, παραγενομένων τῶν πρέσβεων, καὶ δηλωσάντων αὐτοῖς τὰ παρὰ τοῦ ἰδίου βασιλέως, οὐ μόνον οὐκ ἐπείσθησαν. ἀλλὰ καὶ τοὺς πρέσβεις ὡς ἀνοήτους διεχλεύασαν, καὶ τοὺς προφήτας ὁμοίως ταῦτα παραινοῦντας, καὶ προλέγοντας ἃ F πείσονται μὴ μεταθέμενοι πρὸς τὴν εὐσέβειαν τοῦ θεοῦ διέπτυον. καὶ τελευταῖον συλλαβόντες αὐτούς, ἀπέκτειναν. καὶ οὐδὲ μέχρι τούτου αὐτοῖς ἤρκεσε παρανομοῦσιν, ἀλλὰ καὶ χείρω τῶν προειρημένων ἀπενοοῦντο. καὶ οὐ πρότερον ἐπαύσαντο, πρὶν ἢ τοῖς πολεμίοις αὐτοὺς ἀμυνόμενος τῆς ἀσεβείας ὁ θεὸς ἐποίησεν ὑποχειρίους. καὶ περὶ μὲν τούτων, αὖθις δηλώσομεν. πολλοὶ μέντοι τῆς μανασσίτιδος φυλῆς καὶ ζαβούλου καὶ ἰσαχάρου πεισθέντες οἷς οἱ προφῆται παρῄνεσαν, εἰς εὐσέβειαν G μετεβάλλοντο. καὶ οὗτοι πάντες εἰς ἱεροσόλυμα πρὸς ἐζεκίαν συνέδραμον ὅπως τῷ θεῷ προσκυνήσωσιν. ἀφικομένων δὲ τούτων, ὁ βασιλεὺς ἐζεκίας ἀναβὰς εἰς ἱερὸν μετὰ τῶν ἡγεμόνων καὶ τοῦ λαοῦ παντός, ἔθυσεν αὐτοῦ ταύρους ἑπτά, καὶ κριοὺς τοσούτους καὶ ἐρίφους τοσούτους. ἐπιθέντες δὲ τὰς χεῖρας

Quo tempore etiam Phaceias Israelitarum regnū cum vita amisit, cæsus per insidias cuiusdam ex charioribus sibi aulicis, cui nomen Oseas, qui cùm regnum scelere quæsitum per annos IX. obtineret, vir fuit pessimus, nihil pietatis Deo deferens. In hūc duxit exercitum Assyriorum rex Salmanasarus, & quia Deum non habebat propitium, destitutum eius auxilio facilè subiugauit, & præfinita tributa coegit pēdere. Quarto autem anno regni huius Oseæ Ezecias Hierosolymis regnum adeptus est, Achazæ ex Abia Hierosolymitana muliere filius. is erat ingenio bono & iusto ac pio præditus. nam statim ab inito principatu nullam magis necessariam vel vtilem tam sibi quàm subditis curam existimauit, quàm religionis ac diuini cultus. quamobrem aduocata populi & sacerdotum Leuitarúmque concione, sic fertur ad eos verba fecisse: Ne ipsi quidē ignoratis quòd propter peccata patris mei, & nō redditos Deo debitos honores, in multas & magnas calamitates incidistis, quia per extremam dementiam passi estis vobis persuaderi, vt eos quos ille deos putabat coleretis. Ergo quandoquidē vestro malo didicistis quàm perniciosa res sit impietas, hortor vt illa obliuioni tradita purificetis vos à præteritis pollutionibus vnà cum sacerdotibus & Leuitis, ac tum demum conuenientes aperiatis templum, & lustratum priùs expiatúmque sacrificiis legitimis in pristinum honorem & reuerentiam restituatis. hoc enim pacto placatum Deum & propitium habebimus. His regis monitis accensi sacerdotes templum aperiunt, & eiectis inde inquinamentis, adornatísque sacris vasis, victimas patrio ritu in altare inferunt. Rex verò dimissis per totam ditionem suam nuntiis, populum Hierosolyma ad azymorum celebritatem cōuocat multo iam tempore intermissam propter impiam superiorum regum incuriam. Quin & Israelitas per nuncios hortatus est, vt relictis consuetis superstitionibus ad priscam illam pietatem & veri Dei cultum redirent. Se enim illis permissurum vt Hierosolyma venientes azymorū festum vnà cum suis ciuibus celebrent. Hęc autem se suadere non vt suum negotium ageret, sed ipsorum vtilitatis gratia, quos beatos fore, si huic consilio paruerint. Israelitæ verò audito quid legati à suo rege afferrent, adeò mentem non adhibuerunt, vt eos ludibrio habuerint, & prophetas quoque eodem cohortantes, & præmonentes quantæ calamitates instarent, ni maturè ad pietatem redirent, respuerint: quos postremò comprehensos necauerunt. nec his facinoribus contenti ad peiora etiam sunt prolapsi, ita vt non priùs desisterent, quàm ob extremam impietatem Deus vltor in potestatem hostiū eos tradidit, sicut suo loco dicetur. Multi tamen è Manassitica tribu & Zabulonis atq. Isacharis prophetarum monitis parētes ad pietatē sunt conuersi, atque hi omnes Hierosolyma ad Ezeciā cōfluxerūt, vt Deū adorarēt. Postquā aūt ea multitudo cōuenit, rex ascēso tēplo vnà cū principib. & populo, immolauit pro se tauros septem, & totidē arietes, parémque hircorum numerum. & cùm primùm manus in

capita victimarum impoſuiſſent tam rex quã principes, ſacerdotibus mactandas reliquerũt. illi verò iugulabant, & ſolidas concremabant, Leuitarum corona circumſtante cum inſtrumentis muſicis, & diuinos hymnos canente, quemadmodum olim Dauid eos pſallere docuerat. reliqui verò ſacerdotes accinebant buccinis. Interea populus & multitudo humi in faciem proſtrati Deum adorabant. poſt hæc ſacrificauit boues ſeptuaginta, arietes c. agnos cc. populo verò ad epulum largitus eſt boues DC. & reliqui pecoris tria millia. Cúmque omnia ritè ſacerdotes perfeciſſent, rex lætus epulabatur cum populo, agentes Deo gratias. Inſtante verò azymorum feſto, paſchale ſacrum facientes, alias deinceps victimas mactabãt per continuos dies ſeptem. populo etiam, præter eũ numerum, quem ipſi mactauerunt, taurorũ duo millia, pecorum ſeptem millia rex de ſuo largitus eſt. hanc liberalitatem imitati principes mille tauros eis dederunt, & pecora mille quadringenta. nec vllum feſtum tam magnificè eſt celebratum à Solomonis temporibus in eum vſque diem. peracto feſto vrbem egreſſi totam regionem luſtrauerunt, ipſa quoque Hieroſolyma ab omni idolorum ſpurcitie munda reddiderunt. Quotidiana deinde ſacra iuxta legem rex de ſuo fieri mãdauit, & ſacerdotibus ac Leuitis à populo decimas reddi cũ primitiis fructuum, vt poſſent eſſe circa diuinum cultum aſſidui. Quo factum eſt vt populus omne genus fructuum conferret Leuitis & ſacerdotib⁹: rex verò horum apothecas & promptuaria condidit, vnde ſingulis partes diſtribuerentur cum vxoribus & liberis. atque in hunc modum priſtinus cultus reſtitutus eſt. His ita cõſtitutis rex Palæſtinis bellum intulit, & parta victoria omnes eorum vrbes à Gitta vſque Gazam ſuæ ditioni adiecit. Interea rex Aſſyriorum per oratorem ei denunciat, omnem eius regionem ſe ſubiugaturũ, niſi tributa, quę priùs pater ipſius, penderet. Ezecias verò minas eius non magni fecit, fretus Deo ſuáque pietate, ac propheta Eſaia, per quem futura cognoſcebat. & hactenus de hoc rege.

Cap. XIV.

Salmanaſar capto Iſraelitarum rege, & decem tribubus tranſlatis in Mediam, Cuthæos in eorum regionem migrare iubet.

XV. 4. Reg. 17. SAlmanaſar autem Aſſyriorum rex comperto quòd Iſraelitarum rex miſiſſet clàm legationem ad Soam Ægyptiorum regem, inuitans eum ad ſocietatem contra ipſum ineundam, iratus duxit exercitum contra Samariam, anno Oſeæ regni ſeptimo, & nõ receptus ab eo, poſt tertiũ obſidionis annũ vrbẽ vi cepit, anno eiuſdẽ regis nono, Ezecię verò Hieroſolymorũ regis anno ſeptimo: extinctóque funditus Iſraelitarũ imperio, populum traduxit in Mediã & Perſidẽ,

A ταῖς κεφαλαῖς τῶν ἱερείων αὐτός τε ὁ βασιλεὺς καὶ οἱ ἡγεμόνες, τοῖς ἱερεῦσι καλλιερεῖν ἀφῆκαν. καὶ οἱ μὲν ἔθυόν τε καὶ ὡλοκαύτουν. οἱ δὲ λευῖται περιεστῶτες ἐν κύκλῳ μετὰ τῶν μουσικῶν ὀργάνων, ᾖδον ὕμνους εἰς τὸν θεὸν, καὶ ἔψαλλον ὡς ἐδιδάχθησαν ὑπὸ τοῦ δαβίδου. οἱ δὲ λοιποὶ ἱερεῖς βυκάνας ἔχοντες, ἐπεσάλπιζον τοῖς ὑμνῳδοῦσιν. τούτων δὲ γινομένων, ἐπὶ πρόσωπον ῥίψαντες ἑαυτοὺς, ὅ τε βασιλεὺς καὶ τὸ πλῆθος προσεκύνουν τὸν θεόν. ἔπειτα θύει μὲν βοῦς ἑβδομήκοντα, κριοὺς ἑκατὸν, ἄρνας διακοσίους. τῷ πλήθει δὲ πρὸς εὐωχίαν ἐχαρίσατο βοῦς B μὲν ἑξακοσίους, τὰ δὲ λοιπὰ θρέμματα τρισχίλια. καὶ πάντα μὲν οἱ ἱερεῖς ἀκολούθως ἐποίησαν τῷ νόμῳ. τούτοις δὲ ὁ βασιλεὺς ἡδόμενος, εὐωχεῖτο μετὰ τοῦ λαοῦ, τῷ θεῷ χάριν ὁμολογῶν. ἐνστάσης δὲ τῆς τῶν ἀζύμων ἑορτῆς, θύσαντες τὴν λεγομένην πάσχα, τὰς ἄλλας τὸ λοιπὸν θυσίας ἐπετέλουν, ἐφ᾽ ἡμέρας ἑπτά. τῷ δὲ πλήθει παρὲξ ὧν ἐκαλλιέρησαν αὐτοὶ, ταύρους μὲν δισχιλίους, θρέμματα δὲ ἑπτακισχίλια ὁ βασιλεὺς ἐχαρίσατο. τὸ δὲ C αὐτὸ καὶ οἱ ἡγεμόνες ἐποίησαν, χιλίους μὲν ταύρους ἔδοσαν αὐτοῖς, θρέμματα δὲ χίλια καὶ τεσσαράκοντα. καὶ τοῦτον τὸν τρόπον ἀπὸ σολομῶνος τοῦ βασιλέως οὐκ ἀχθεῖσα ἡ ἑορτὴ, τότε πρῶτον λαμπρῶς καὶ φιλοτίμως ἐπετελέσθη. ὡς δὲ τὰ περὶ τὴν ἑορτὴν αὐτοῖς πέρας εἶχεν, ἐξελθόντες εἰς τὴν χώραν ἥγνισαν αὐτὴν, καὶ τὴν πόλιν δὲ παντὸς ἐκάθαραν μιάσματος εἰδώλων. τάς τε καθημερινὰς θυσίας ὁ βασιλεὺς ἐκ τῶν ἰδίων ἐπιτελεῖσθαι προσέταξε κατὰ τὸν νόμον, καὶ τοῖς ἱερεῦσι καὶ λευί- D ταις τὰς δεκάτας ὥρισε παρὰ τοῦ πλήθους δίδοσθαι, καὶ τὰς ἀπαρχὰς τῶν καρπῶν, ἵν᾽ ἀεὶ τῇ θρησκείᾳ παραμένωσι, καὶ τῆς θεραπείας ὦσιν ἀχώριστοι τοῦ θεοῦ. καὶ τὸ μὲν πλῆθος συνεισέφερε παντοδαπὸν καρπὸν τοῖς ἱερεῦσι καὶ τοῖς λευίταις. ἀποθήκας δὲ καὶ ταμιεῖα τούτων ὁ βασιλεὺς κατασκευάσας, ἑκάστῳ διένειμε τῶν ἱερέων καὶ λευιτῶν, καὶ πᾶσιν αὐτοῖς καὶ γυναιξί. καὶ οὕτω πάλιν εἰς τὴν ἀρχαίαν θρησκείαν ἐπανῆλθον. ταῦτα δὲ τὸν προειρημένον τρόπον ὁ βασιλεὺς καταστησάμενος, πό- E λεμον ἐξήνεγκε πρὸς τοὺς παλαιστινοὺς, καὶ νικήσας, κατέσχεν ἁπάσας τὰς ἀπὸ γάζης μέχρι γίττης πόλεις τῶν πολεμίων. ὁ δὲ τῶν ἀσσυρίων βασιλεὺς πέμψας ἠπείλει πᾶσαν αὐτοῦ καταστρέψασθαι τὴν ἀρχὴν, εἰ μὴ τοὺς φόρους, οὓς ὁ πατὴρ αὐτοῦ τὸ πρῶτον ἐτέλει, τούτοις ἀποδώσει. ἐζεκίας δὲ ὁ βασιλεὺς, τῶν μὲν ἀπειλῶν οὐκ ἐφρόντισεν, ἐθάρρει δὲ ἐπὶ τῇ πρὸς τὸ θεῖον εὐσεβείᾳ, καὶ τῷ προφήτῃ ἡσαΐᾳ, παρ᾽ οὗ πάντ᾽ ἀκριβῶς τὰ μέλ- F λοντα ἐπυνθάνετο. καὶ ὧδε μὲν ἡμῖν ἐπὶ τοῦ παρόντος ἐχέτω τὰ περὶ τούτου τοῦ βασιλέως.

Κεφάλαιον ιδ´.

Ὡς σαλμανάσαρης τὸν τῶν ἰσραηλιτῶν βασιλέα ἀπέκτεινε, καὶ ὡς, τὰς δέκα φυλὰς εἰς μηδίαν κατῳκίσας, τὸ τῶν κουθαίων ἔθνος εἰς τὴν ἐκείνων μετήγαγε χώραν.

G ΣΑλμανασάρης δὲ ὁ τῶν ἀσσυρίων βασιλεὺς, ἐπεὶ ἠγγέλη αὐτῷ ὁ τῶν ἰσραηλιτῶν βασιλεὺς ὡς εἴη, πέμψας κρύφα πρὸς σῶαν τὸν τῶν αἰγυπτίων βασιλέα, παρακαλῶν αὐτὸν ἐπὶ συμμαχίαν τὴν κατ᾽ αὐτοῦ, παροξυνθεὶς, ἐστράτευσεν ἐπὶ τὴν σαμάρειαν ἔτει ἑβδόμῳ τῆς ὠσηοῦ βασιλείας. οὐ δεξαμένου δὲ αὐτὸν τοῦ βασιλέως, ἔτεσι πολιορκήσας τρισὶν, εἷλε κατὰ κράτος τὴν σαμάρειαν, ἔνατον μὲν ἔτος ὠσηοῦ βασιλεύοντος, ἕβδομον δὲ ἐζεκίου τοῦ τῶν ἱεροσολυμιτῶν βασιλέως. καὶ τὴν ἰσραηλιτῶν ἡγεμονίαν ἄρδην ἠφάνισε, καὶ πάντα τὸν λαὸν μετῴκισεν εἰς τὴν μηδίαν καὶ περσίδα,

ἐν οἷς

ἐν οἷς καὶ τὸν βασιλέα ὡσηὲ ζῶντα ἔλαβε. καὶ μεταστήσας ἐκ ταύτης ἄλλα ἔθνη ἀπὸ χούθου τόπου τινός, ἔστι γὰρ ἐν περσίδι ποταμὸς τοῦτ' ἔχων τοὔνομα, κατῴκισεν εἰς τὴν σαμάρειαν, καὶ τὴν τῶν ἰσραηλιτῶν χώραν. μετῴκησαν οὖν αἱ δέκα φυλαὶ τῶν ἰσραηλιτῶν ἐκ τῆς ἰουδαίας μετὰ ἐτῶν ἀριθμὸν ἐννακοσίων τεσσαράκοντα ἑπτά, ἀφ' οὗ χρόνου τὴν αἴγυπτον ἐξελθόντες αὐτῶν οἱ πρόγονοι τήνδε κατέσχον τὴν χώραν. ἀπὸ δὲ στρατηγοῦντος ἰησοῦ ἐτῶν ὀκτακοσίων. ἀφ' οὗ δὲ ἀποστάντες ἀπὸ ῥοβοάμου τοῦ τοῦ δαβίδου υἱωνοῦ τὴν βασιλείαν ἱεροβοάμῳ παρέδοσαν, ὡς μοι καὶ πρότερον δεδήλωται, ἔτη ἐστὶ διακόσια τεσσαράκοντα, μῆνες ἑπτά, ἡμέραι ἑπτά. καὶ τέλος μὲν τοὺς ἰσραηλίτας τοιοῦτο κατέλαβε παραβάντας τοὺς νόμους, καὶ παρακούσαντας τῶν προφητῶν, οἳ προὔλεγον ταύτην αὐτοῖς τὴν συμφορὰν, μὴ παυσαμένοις τῶν ἀσεβημάτων. ἦρξε δ' αὐτοῖς τῶν κακῶν ἡ στάσις ἣν ἐστασίασαν πρὸς ῥοβόαμον, τὸν τούτου δοῦλον ἀποδείξαντες βασιλέα, ὃς εἰς τὸ θεῖον ἐξαμαρτὼν, ἐχθρὸν αὐτοῖς τοῦτο ἐποίησε μιμησαμένοις τὴν ἐκείνου παρανομίαν. ἀλλ' ἐκεῖνος μὲν ἧς ἦν ἄξιος δίκης ταύτην ὑπέσχεν. ὁ δὲ τῶν ἀσσυρίων βασιλεὺς ἐπῆλθε πολεμῶν τήν τε συρίαν πᾶσαν καὶ φοινίκην. τὸ δ' ὄνομα τούτου τοῦ βασιλέως ἐν τοῖς τυρίων ἀρχείοις ἀναγέγραπται. ἐστράτευσε γὰρ ἐπὶ τύρον βασιλεύοντος αὐτοῖς ἐλουλαίου, μαρτυρεῖ δὲ τοῦτο καὶ μένανδρος, ὁ τῶν χρονικῶν ποιησάμενος τὴν ἀναγραφὴν, καὶ τὰ τῶν τυρίων ἀρχεῖα μεταφράσας εἰς τὴν ἑλληνικὴν γλῶτταν, οὕτως ἐδήλωσε. καὶ ἐλουλαῖος ὄνομα, ἐβασίλευσεν ἔτη τριάκοντα ἕξ. οὗτος, ἀποστάντων κιτταίων, ἀναπλεύσας, προσηγάγετο αὐτοὺς πάλιν. ἐπὶ τούτοις πέμψας ὁ τῶν ἀσσυρίων βασιλεὺς, ἐπῆλθε φοινίκην πολεμῶν ἅπασαν. ὅστις σπεισάμενος εἰρήνην, μετὰ πάντων ἀνεχώρησεν ὀπίσω. ἀπέστη τε τυρίων, σιδὼν καὶ ἄρκη καὶ ἡ πάλαι τύρος, καὶ πολλαὶ ἄλλαι πόλεις, αἳ τῷ τῶν ἀσσυρίων ἑαυτὰς βασιλεῖ παρέδοσαν. διὸ τυρίων οὐχ ὑποταγέντων, πάλιν ὁ βασιλεὺς ἐπ' αὐτοὺς ὑπέστρεψε, φοινίκων συμπληρωσάντων αὐτῷ ναῦς ἑξήκοντα, καὶ ἐπικώπους ὀκτακοσίους. αἷς ἐπιπλεύσαντες τύριοι ναυσὶ δώδεκα, τῶν νεῶν τῶν ἀντιπάλων διασπαρεισῶν, λαμβάνουσιν αἰχμαλώτους ἄνδρας εἰς πεντακοσίους. ἐπετάθη δὴ πάντων ἐν τύρῳ τιμὴ διὰ ταῦτα. ἀναζεύξας δ' ὁ τῶν ἀσσυρίων βασιλεὺς, κατέστησε φύλακας ἐπὶ τοῦ ποταμοῦ, καὶ ὑδραγωγιῶν οἳ διακωλύσουσι τυρίους ἀρύσασθαι. καὶ τοῦτο ἔτεσι πέντε γενόμενον, ἐκαρτέρησαν πίνοντες ἐκ φρεάτων ὀρυκτῶν. καὶ τὰ μὲν ἐν τοῖς τυρίων ἀρχείοις γεγραμμένα, καὶ τὰ σαλμανασσάρου τοῦ ἀσσυρίων βασιλέως ταῦτ' ἐστίν. οἱ δὲ μετοικισθέντες εἰς σαμάρειαν χουθαῖοι, ταύτῃ γὰρ ἐχρῶντο μέχρι δεῦρο τῇ προσηγορίᾳ, διὰ τὸ ἐκ τῆς χουθᾶς καλουμένης χώρας μεταχθῆναι, αὕτη δ' ἐστὶν ἐν τῇ περσίδι, καὶ ποταμὸς τοῦτ' ἔχων ὄνομα, ἕκαστοι κατὰ ἔθνος ἴδιον θεὸν εἰς τὴν σαμάρειαν κομίσαντες, πέντε δ' ἦσαν, καὶ τούτους καθὼς ἦν πάτριον αὐτοῖς σεβόμενοι παροξύνουσι τὸν μέγιστον θεὸν εἰς ὀργὴν καὶ χόλον. λοιμὸς γὰρ αὐτοῖς ἐνέσκηψεν, ὑφ' οὗ φθειρόμενοι καὶ μηδεμίαν τῶν κακῶν θεραπείαν ἐπινοοῦντες, χρησμῷ θρησκεύειν τὸν μέγιστον θεὸν, ὡς τοῦτο σωτήριον

cum quo etiã Oſeas rex viuus captus eſt. Deinde migrare iuſſa quadam Perſica gente ex eo tractu qui ab amne Chutho denominatur, ſedes ei deſignauit in agro Samariæ, cæteráque Iſraelitarum regione. Migrauerunt igitur decem tribus Iſraelitarum ex ſuis ſedibus poſt annos DCCCCXLVII. ex quo maiores eorum Ægyptum egreſſi armis ea loca ſuę ditionis fecerunt: poſt principatum Ieſu annis octingentis. poſt defectionem verò à Roboamo Dauidis nepote ad Hieroboamum, de qua ſuprà diximus, annis CCXL. menſibus ſeptem, diebus ſeptem. atque hic fuit finis Iſraelitarum, qui neque legi ſubditi eſſe voluerunt, neque prophetas audire, prænunciantes adeſſe pro foribus hanc calamitatem, ni ab impietate deſiſterent. omnium autem horum malorum initium fuit illa ſeditio, per quam à Roboamo defecerunt, ſeruo ipſius in locum eius rege conſtituto: qui contemptis diuinis legibus, & populo per ſuum exemplum ad eandem iniquitatem pertracto, indignationem cæleſtis numinis eis conciliauit, & ipſe quoque meritas pœnas non effugit. Porrò Aſſyriorum rex cum armis totam Syriam & Phœnicen peragrauit, & nomen eius in Tyriorum annalibus ſcriptum inuenitur. bellauit enim contra Tyrum regnante ibi Elulæo, atteſtante etiam Menandro, qui in ſuis chronicis, ex Tyriorum annalibus in græcam linguam tranſlatis ſic ſcribit. Is deinde qui Elulæus nominabatur, regnauit annos tringintaſex. hic deficientes Gittæos cum claſſe eò profectus ſub imperium ſuum retraxit. contra quos miſſo exercitu Aſſyriorum rex Phœnicen totam inuaſit: facta deinde pace, cum copiis domum reuerſus eſt. paulo pòſt Sidon, Arce, Palætyrus cum multis aliis oppidis à Tyriis ad Aſſyriorum regem defecerunt: & cùm ſoli Tyrij facere eius impetrata detrectarent, reuerſus eſt contra eos cum ſexaginta nauibus, quas Phœnices inſtruxerunt, impoſitis etiam octingentis remigibus. Quibus occurrentes Tyrij cum duodecim nauibus diſiecta hoſtili claſſe, quingentos ex ea captiuos abduxerunt, quo facinore non mediocrem rei naualis gloriam ſibi comparauerunt. Reuertens autem rex Aſſyrius, cuſtodes ad fluuium & aquæductus diſpoſuit, qui aquari Tyrios prohiberent: quod cùm per continuos quinque annos fieret, coacti ſunt effoſſis puteis inde ſe ſuſtentare. Hæc ſunt quæ in Tyriorum annalibus de Salmanaſare Aſſyrio ſcripta inueniuntur. Cæterùm noui Samariæ coloni Chuthæi, ſic enim tum appellabantur, quod à Perſidis regione Chutha, & flumine Chutho eſſent traducti, cùm quinque gentium eſſent, totidem deos patrios ſecum attulerunt, quos ritu ſuo colentes Deum maximum ad indignationem irritauerunt. Exorta eſt enim ſæua peſtilentia, à qua cùm popularentur, nullam inuenientes opem oraculo admoniti ſunt, vt Deum maximum colerent: nam hoc illis

præſentem ſalutem allaturum eſſe. miſſis igitur ad regem Aſſyrium legatis, petierunt vt ſacerdotes aliquot è captiuis Iſraelitis ad eos remitteret. quo facto legem & Dei colendi rationem ab eis edocti diligenter eum cœperunt colere: móxque ceſſauit peſtilentia, permanéntque nunc quoque in ea religione Chutæi vocati Hebræis, Græcis verò Samaritę, qui pro præſenti ſemper conditione temporum mutabiles, quoties feliciter degere Iudæos viderint, cognatos ſe eorum appellant, vtpote à Ioſepho oriundos, & hac ratione ſanguine illis coniunctos. quando verò in rebus aduerſis eos aſpiciunt, nihil ad ſe pertinere aiunt, nec illis quicquam deberi beneuolentiæ, cùm ipſi ex longè remotis gentibus ad ea loca venerint: de quo aliàs dicetur opportuniùs.

A αὐτοῖς ὃν ἔμαθον. πέμψαντες οὖν πρὸς τὸν ἀσσυρίων βασιλέα πρέσβεις, ἐδέοντο ἱερεῖς αὐτοῖς τῶν ἐλαβεν αἰχμαλώτων τοὺς ἰσραηλίτας πολεμήσας, ἀποστεῖλαι. πέμψαντος δὲ τά τε νόμιμα, καὶ τὴν περὶ τὸν θεὸν τοῦτον ὁσίαν διδαχθέντες θρησκεύουσιν αὐτὸν φιλοτίμως. καὶ τοῦ λοιμοῦ παραχρῆμα ἐπαύσαντο. χρώμενοί τε τοῖς αὐτοῖς ἔτι καὶ νῦν ἤθεσι διατελοῦσιν, οἱ κατὰ μὲν τὴν ἑβραίων γλῶτταν χουθαῖοι, κατὰ δὲ τὴν ἑλλήνων σαμαρεῖται. B οἱ πρὸς μεταβολὴν καὶ συγγένειαν ὅταν μὲν εὖ πράττοντας βλέπωσι τοὺς ἰουδαίους συγγενεῖς ἀποκαλοῦσιν, ὡς ἐξ ἰωσήπου φύντες, καὶ τὴν ἀρχὴν ἐκεῖθεν τῆς πρὸς αὐτοὺς ἔχοντες οἰκειότητος. ὅταν δὲ πταίσαντας ἴδωσιν, οὐδαμόθεν αὐτοῖς προσήκειν λέγουσιν, οὐδὲ εἶναι δίκαιον οὐδὲν αὐτοῖς εὐνοίας ἢ γένους, ἀλλὰ μετοίκους ἀλλοεθνεῖς ἀποφαίνουσιν ἑαυτούς. περὶ μὲν οὖν τούτων ἕξομεν εὐκαιρότερον εἰπεῖν.

ΤΑΔΕ

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩ ΔΕΚΑΤΩ ΛΟΓΩ ΤΩΝ
Ἰωσήπου ἱστοριῶν τῆς ἰουδαϊκῆς ἀρχαιολογίας.

Στρατεία τοῦ ἀσσυρίων βασιλέως σεναχηρίβου εἰς ἱεροσόλυμα, καὶ πολιορκία τοῦ βασιλέως ἐζεκίου. Κεφ. α.

Ὡς ἐφθάρη τὸ τῶν ἀσσυρίων στράτευμα λοιμικῶς ἐν μιᾷ νυκτὶ, καὶ ὁ βασιλεὺς αὐτῶν ἀναζεύξας οἴκαδε, ἐξ ἐπιβουλῆς τῶν τέκνων ἀπέθανεν. Κεφ. β.

Ὡς τὸν μεταξὺ χρόνον μετ' εἰρήνης διάγων ἐζεκίας ἐτελεύτησε, διάδοχον τῆς βασιλείας μανασσῆν καταλιπών. Κεφ. γ.

Ὅτι στρατεύσαντες ἐπ' αὐτὸν οἱ χαλδαίων καὶ βαβυλωνίων βασιλεῖς, καὶ νικήσαντες αὐτὸν αἰχμάλωτον λαβόντες ἤγαγον εἰς βαβυλῶνα, καὶ καταχόντες αὐτόθι πολὺν χρόνον, εἰς τὴν αὐτοῦ βασιλείαν πάλιν ἀπέλυσαν. Κεφ. δ.

Ὡς τὸν αἰγυπτίων βασιλέα νεχάον, στρατευσάμενον ἐπὶ βαβυλωνίους, καὶ ποιούμενον διὰ τῆς ἰουδαίας τὴν ὁδὸν κωλύων ὁ βασιλεὺς ἰωσίας ἠπάντα, μάχης δὲ γενομένης, τραυματίας κομισθεὶς εἰς ἱεροσόλυμα τελευτᾷ. καὶ τὸν υἱὸν αὐτοῦ ἰωάζην ἀπέδειξαν οἱ ἱεροσολυμῖται βασιλέα. Κεφ. ε.

Ναβουχοδονοσόρου τοῦ τῶν βαβυλωνίων βασιλέως στρατεία εἰς συρίαν, τὸν βασιλέα ἰωάκιμον, φίλον ἠνάγκασεν εἶναι καὶ σύμμαχον. Κεφ. ς.

Ὡς μετὰ τὴν ἀναχώρησιν τὴν τοῦ βαβυλωνίου πάλιν ἰωάκιμος ἐφρόνησε τὰ τῶν αἰγυπτίων, καὶ στρατεύσας ἐπ' αὐτὸν ὁ ναβουχοδονόσορος, τὸν μὲν ἰωάκιμον ἀπέκτεινεν, ἰωάχιμον δὲ τὸν υἱὸν αὐτοῦ κατέστησε βασιλέα. Κεφ. ζ.

Ὅτι μετανοήσας καὶ στρατεύσας ἐπὶ ἱεροσόλυμα, ἐγκρατὴς τοῦ ἰωαχίμου γίνεται, παραδόντος ἑαυτόν. Κεφ. η.

Ὅπως σεδεκίαν τῶν ἱεροσολυμιτῶν βασιλέα κατέστησεν ὁ βαβυλώνιος. Κεφ. θ.

Ἱεροσολύμων ἅλωσις, καὶ ὡς ὁ ναβουχοδονόσορος τὸν δῆμον μετῴκισεν εἰς βαβυλῶνα. Κεφ. ι.

Ὡς ναβουχοδονόσορος τελευτήσας, διάδοχον κατέλειπε τῆς βασιλείας, τὸν υἱὸν, καὶ ὡς καταλύεται ἡ τούτων ἀρχὴ ὑπὸ κύρου τοῦ περσῶν βασιλέως, καὶ ὅσα συνέβη τοῖς ἰουδαίοις κατὰ τὸν καιρὸν, παρὰ τοῖς βαβυλωνίοις. Κεφ. ια.

HÆC IN DECIMO IOSEPHI HISTORIARVM DE
Antiquitate Iudaica libro continentur.

Senacheribi Aſſyriorum regis expeditio Hieroſolymitana,& Ezeciæ regis oppugnatio. Cap. I.

Quòd Aſſyriorum exercitus vna nocte peſte abſumptus eſt,& quòd rex eorum domum reuerſus filiorum inſidiis periit. Cap. II.

Ezecias ab infeſtatione Aſſyriorum liberatus cùm aliquandiu vixiſſet in pace,decedens Manaſſę filio regnum reliquit. Cap. III.

Manaſſes à Chaldæorum ac Babyloniorum rege captus,poſt aliquantum temporis ab eo rurſus in regnum ſuum reſtituitur. Cap. IV.

Quomodo Nechao Ægyptiorum regi contra Babylonios per Iudæam exercitum ducere volenti prohibiturus occurrerit Ioſias,ac pugna commiſſa,vulneratus & Hieroſolyma reductus obierit:eiuſque filium Ioazin Hieroſolymitani regem conſtituerint. Cap. V.

Nabuchodonoſorus rex Babyloniorum inuadens Syriam,Ioacimum ad amicitiam & ſocietatem ſuam pertraxit. Cap. VI.

Poſt diſceſſum Babyloniorum Ioacimum Ægyptiorum rebus rurſum fauentem Nabuchodonoſorus cum exercitu reuerſus interficit,& Ioachimum eius filium pro eo regem conſtituit. Cap. VII.

Babylonius mutata ſententia Ioachimum obſidet,deditúmque vltro captiuum abducit. Cap. VIII.

Sedecias Hieroſolymorum rex à Babylonio conſtituitur. Cap. IX.

Captis Hieroſolymis Nabuchodonoſorus populum traducit in Babyloniam. Cap. X.

De ſucceſſoribus Nabuchodonoſori,& quòd Cyrus eorum imperium in Perſas tranſtulit,& quomodo ſe tum res Iudæorum apud Babylonios habuerint. Cap. XI.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΙΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ
ΛΟΓΟΣ ΔΕΚΑΤΟΣ.

FLAVII IOSEPHI ANTIQVITATVM IVDAICARVM
LIBER DECIMVS.

Senacheribi Assyriorum regis expeditio Hierosolymitana, & Ezeciæ regis oppugnatio.

4. Reg. 18.

EZeciȩ duarum tribuum regis anno quartodecimo Senacheribus Assyriorum rex cũ instructissimo exercitu eũ aggressus est, omnésq; vrbes vi cepit, quotquot sunt in Iudæ tribu & Beniamitica. Iámque ducturus erat Hierosolyma, cùm ad illum venit legatio, imperata facturum, & tributa soluturum promittens. Senacheribus verò auditis legatis decreuit omisso bello postulata regis admittere, & pollicitus est, si argenti talenta trecenta, auri triginta accepisset, pacatum se abiturum, iureiurando interposito quòd ab omni iniuria temperaturus esset. His persuasus Ezecias exhaustis thesauris mittit eam pecuniam, ratus hoste remoto posthac sine periculo se regnaturum. Accepit Assyrius pecuniam, sed pacta non præstitit: nam profectus ipse cum copiis cõtra Ægyptios & Æthiopes, Rapsacẽ ducẽ cum duobus aliis ad cõtinuãdũ Hierosolymitanũ bellum reliquit. collegarũ nomina erãt Tharata & Anacharis. vt verò admoto mœnib. exercitu castrametati sunt, per nunciũ postulauerunt, vt Ezecias ad se prodiret in colloquiũ. ille ꝙ sibi metueret prodire nolẽs, tres intimos amicos misit, Eliacimum procuratorem, & Somnæum, & Ioachum à commentariis. hi cùm prodiissent, ante duces constiterunt. quos intuitus Rapsaces iussit regi suo referre hæc: quòd magnꝰ rex Senacherib. scire vult, quo fretus dominum suum refugiat, & obedire nolens exercitũ in vrbẽ nõ recipiat. an fortè Ægyptiis,

Κεφάλαιον α΄.

Στρατεία τοῦ ἀσσυρίων βασιλέως σεναχηρίβου εἰς ἱεροσόλυμα, καὶ πολιορκία τοῦ βασιλέως ἐζεκίου.

A ΕΖΕΚΙΟΥ τοῦ τῶν δύο φυλῶν βασιλέως, τέταρτον ἤδη καὶ δέκατον ἔτος τῆς ἡγεμονίας ἔχοντος, ὁ τῶν ἀσσυρίων βασιλεὺς σεναχήριβος ὄνομα, στρατεύει μετὰ πολλῆς παρασκευῆς ἐπ᾽ αὐτόν. καὶ κατὰ κράτος τε ἁπάσας αἱρεῖ τὰς πόλεις τὰς τῆς ἰούδα φυλῆς, καὶ βενιαμίτιδος. μέλλοντος δὲ ἄγειν τὴν δύ- B ναμιν ἐπὶ ἱεροσόλυμα, φθάνει πρεσβευσάμενος πρὸς αὐτὸν, καὶ ὑπακούσεσθαι, καὶ φόρον ὃν ἂν τάξηται τελέσειν ὑπισχνούμενος. σεναχήριβος δὲ μαθὼν τὰ παρὰ τῶν πρέσβεων, ἔγνω μὴ πολεμεῖν, ἀλλὰ τὴν ἀξίωσιν προσδέχεται, καὶ ἀργυρίου μὲν τάλαντα τριακόσια, χρυσίου δὲ τριάκοντα λαβὼν, φίλος ἀναχωρεῖν ὡμολόγει, πίστεις δοὺς τοῖς πρεσβευταῖς ἐνόρκους, ἦ μὴν ἀδικήσας μηδὲν αὐτὸν οὕτως ἀναστρέψειν. ὁ δὲ ἐζεκίας πεισθεὶς, καὶ κενώσας τοὺς θησαυροὺς, πέμπει τὰ χρήματα, νομίζων ἀπαλλαγήσεσθαι τοῦ πολέμου, καὶ τοῦ περὶ τῆς βασιλείας ἀγῶνος. ὁ δὲ ἀσσύριος λαβὼν ταῦτα, τῶν μὲν ὡμολογημένων οὐδὲν ἐφρόντισεν, ἀλλ᾽ αὐτὸς μὲν ἐστράτευσεν C ἐπ᾽ αἰγυπτίους, καὶ αἰθίοπας, τὸν δὲ στρατηγὸν ῥαψάκην μετὰ πολλῆς ἰσχύος σὺν καὶ δυσὶν ἄλλοις τῶν ἐν τέλει κατέλειπε, πορθήσοντας τὰ ἱεροσόλυμα. τούτων δὲ τὰ ὀνόματα, θαρατὰ καὶ ἀνάχαρις ἦν. ὡς δὲ ἐλθόντες πρὸ τῶν τειχῶν ἐστρατοπεδεύσαντο, πέμψαντες πρὸς τὸν ἐζεκίαν, ἠξίουν αὐτὸν ἐλθεῖν εἰς λόγους. ὁ δὲ, αὐτὸς μὲν ὑπὸ δειλίας οὐ πρόεισι, τρεῖς δὲ τοὺς ἀναγκαιοτάτους φίλους αὐτῷ ἐξέπεμψε, τὸν τῆς βασιλείας ἐπίτροπον ἐλιακίμον ὄνομα, καὶ σομναῖον, καὶ ἰώαχον τὸν ἐπὶ τῶν ὑπομνημάτων. οὗτοι μὲν οὖν προσελθόντες ἀντικρὺς τῶν ἡγεμόνων τῆς στρατιᾶς τῶν ἀσσυρίων ἔστησαν. θεασάμενος δὲ αὐτοὺς ὁ στρατηγὸς ῥαψάκης, ἐκέλευσεν ἀπελθόντας ἐζεκίᾳ λέγειν. ὅτι βασιλεὺς μέγας σεναχήριβος πυνθάνεται αὐτοῦ τίνι θαρρῶν καὶ πεποιθὼς φεύγει δεσπότην αὐτοῦ, καὶ ἀκροᾶσθαι μὴ θέλει, καὶ τὴν στρατιὰν αὐτοῦ οὐ δέχεται τῇ πόλει. ἢ διὰ τοὺς αἰγυπτίους, τὴν

τὴν ἑαυτοῦ στρατιὰν ἐλπίζων ὑπ' ἐκείνων αὐτῶν καταγωνίσασθαι. εἰ δὲ τοῦτο προσδοκᾷ, δηλοῦν αὐτῷ ὅτι ἀνόητός ἐστι, καὶ ὅμοιος ἀνθρώπῳ, ὃς καλάμῳ ἐπερειδόμενος τεθλασμένῳ, πρὸς τὸ καταπεσεῖν ἔτι καὶ τὴν χεῖρα διαπαρεὶς ᾔσθετο τῆς βλάβης. εἰδέναι δ' ὅτι καὶ βουλήσει θεοῦ τὴν ἐπ' αὐτὸν στρατιὰν πεποίηται, ὃς αὐτῷ καταστρέψασθαι καὶ τὴν ἰσραηλιτῶν βασιλείαν δέδωκεν, ἵνα τὸν αὐτὸν τρόπον, καὶ τοὺς ἀρχομένους ὑπ' αὐτοῦ διαφθείρῃ. ταῦτα δὲ τὸν ῥαψάκην ἑβραϊστὶ λέγοντα, τῆς γὰρ γλώττης εἶχεν ἐμπείρως, ὁ ἐλιάκιμος φοβούμενος μὴ τὸ πλῆθος ἐπακοῦσαν εἰς ταραχὴν ἐμπέσῃ, συριστὶ διαλέγεσθαι ἠξίου. συνεὶς δ' ὁ στρατηγὸς τὴν ὑπόνοιαν αὐτοῦ καὶ τὸ ἐπ' αὐτοῦ δέος, μείζονι καὶ διαπρύσῳ τῇ φωνῇ χρώμενος ἀπεκρίνατο αὐτῷ ἑβραϊστὶ λέγων, ὅπως ἀκούσαντες τὰ τοῦ βασιλέως προστάγματα πάντες τὸ συμφέρον ἕλωνται παραδόντες αὑτοὺς ἡμῖν. δῆλον γὰρ ὡς τὸν λαὸν ὑμεῖς τε καὶ ὁ βασιλεὺς ἐλπίσι παρακρουόμενοι ματαίαις, ἀντέχειν πείθετε. εἰ δὲ θαρρεῖτε, καὶ τὴν δύναμιν ἡμῶν ἀπώσεσθαι νομίζετε, δισχιλίοις ἐκ τῆς ἐμοὶ παρούσης ἵππου εἰς ἑτοιμασίαν ὑμῖν παρέχειν ἕτοιμός εἰμι, οἷς ἰσαρίθμους ἐπιβάτας δόντες, ἐμφανίσατε τὴν αὐτῶν δύναμιν. ἀλλ' οὐκ ἂν οὓς γε μὴ ἔχετε, τούτους μὴ δῶητε. τί τοιγαροῦν βραδύνετε παραδιδόναι σφᾶς αὐτοὺς τοῖς κρείττοσι, καὶ ληψομένοις ὑμᾶς καὶ μὴ θέλοντας; καίτοι τὸ μὲν ἑκούσιον τῆς παραδόσεως, ἀσφαλὲς ὑμῖν. τὸ δὲ ἀκούσιον πολεμουμένοις ἐπικίνδυνον, καὶ συμφορῶν αἴτιον φαίνεται. ταῦτ' ἀκούσαντες ὅτε δῆμος καὶ οἱ πρέσβεις τοῦ στρατηγοῦ τῶν ἀσσυρίων λέγοντος, ἀπήγγειλαν ἐζεκίᾳ. ὁ δὲ πρὸς ταῦτα, τὴν βασιλικὴν ἀποδὺς ἐσθῆτα, ἀμφιασάμενος δὲ σάκκοις, καὶ σχῆμα ταπεινὸν ἀναλαβών, τῷ πατρίῳ νόμῳ πεσὼν ἐπὶ πρόσωπον, τὸν θεὸν ἱκέτευε, καὶ βοηθῆσαι τῷ μηδεμίαν ἄλλην ἐλπίδα ἔχοντι σωτηρίας ἱκέτευε. πέμψας δὲ καὶ τῶν φίλων τινὰς καὶ τῶν ἱερέων πρὸς ἠσαΐαν τὸν προφήτην, ἠξίου δεηθῆναι τοῦ θεοῦ, καὶ ποιησάμενον θυσίας ὑπὲρ τῆς κοινῆς σωτηρίας παρακαλεῖν αὐτόν, νεμεσῆσαι μὲν ταῖς τῶν πολεμίων ἐλπίσιν, ἐλεῆσαι δὲ τὸν αὐτοῦ λαόν. ὁ δὲ προφήτης ταῦτα ποιήσας, χρηματίσαντος αὐτῷ τοῦ θεοῦ παρεθάρρυνε καὶ τὸν βασιλέα καὶ τοὺς περὶ αὐτὸν φίλους, προλέγων ἀμαχητὶ τοὺς πολεμίους ἡττηθέντας, ἀναχωρήσειν αἰσχρῶς, καὶ οὐχὶ μεθ' οὗ νῦν εἰσι θράσους. τὸν γὰρ θεὸν προνοεῖν ὅπως διαφθαρῶσι. καὶ αὐτὸν γὰρ τὸν βασιλέα τῶν ἀσσυρίων σεναχήριβον διαμαρτόντα τῶν ἐπὶ τὴν αἰγύπτου πραγμάτων, καὶ παρερχόμενον εἰς τὴν οἰκίαν ἀπολεῖσθαι σιδήρῳ προύλεγεν. ἔτυχε δ' ὑπὸ τὸν αὐτὸν καιρὸν καὶ γεγραφὼς τῷ ἐζεκίᾳ ὁ ἀσσύριος ἐπιστολάς, ἐν αἷς ἀνόητον μὲν αὐτὸν ἔλεγεν ὑπολαμβάνοντα τὴν ὑπ' αὐτῷ διαφεύξεσθαι δουλείαν, ἔθνη πολλὰ καὶ μεγάλα κεχειρωμένῳ. ἠπείλει δὲ πανωλεθρίᾳ διαφθείρειν αὐτὸν παραλαβών, εἰ μὴ τὰς πύλας ἀνοίξας ἑκὼν αὐτοῦ δέξηται τὴν στρατιὰν εἰς ἱεροσόλυμα. ταῦτ' ἀναγνούς, καταφρονεῖ διὰ τὴν ἀπὸ θεοῦ πεποίθησιν. τὰς δὲ ἐπιστολὰς πτύξας εἰς τὸν ναὸν εἴσω κατέθετο. πάλιν δὲ τῷ θεῷ τὰς εὐχὰς αὐτοῦ ποιησαμένου περὶ τῆς πόλεως, καὶ τῆς ἁπάντων σωτηρίας, ἠσαΐας ὁ προφήτης ἐπήκοον αὐτοῦ ἔφασκε γεγονέναι. καὶ κατὰ τὸν παρόντα καιρὸν μὴ πολιορκηθήσεσθαι ὑπὸ τοῦ ἀσσυρίου. τῷ δὲ μέλλοντι πάντων ἀδεεῖς τοὺς ὑπ' αὐτοῦ γενομένους γεωργήσειν μετ' εἰρήνης, καὶ τῶν ἰδίων ἐπιμελήσεσθαι κτημάτων, οὐδὲν φοβουμένους. τοῦ δὲ χρόνου διελθόντος, καὶ ὁ τῶν ἀσσυρίων βασιλεὺς διαμαρτὼν τῆς ἐπὶ τοὺς αἰγυπτίους ἐπιβουλῆς,

A sperans ab illis posse exercitum regium deleri. id quidem si speret, dubio procul eum desipere, & similem esse homini qui fragili arundini innititur, qua non solùm non sustinetur, sed lapsus etiam manum transfigitur. Scire autem eum oportere, quòd non sine Dei voluntate facta sit hæc expeditio, qui sicut antè de Israelitis victoriam dedit, ita nunc quoque Ezeciam cum suis subditis Assyriorum armis velit succumbere. B Hæc Rhapsace Hebraicè dicente, cuius linguæ peritus erat, Eliacimus timens ne multitudo his auditis pauore consternaretur, rogauit eum vt loqueretur Syriacè. Ille satis intelligens quid alter metueret, maiore etiam voce Hebraicè respondit: debere eos audire mandata regis, & quod in rem ipsorum sit, deditionem facere. Satis, inquit, scio quòd vos & vester rex populum vana spe seducentes, vt resistat suadetis. quod si quid audetis, & putatis vos posse exercitum nostrum à mœnibus repellere, promptus sum vos duobus equorum millibus instruere: vos datis C totidem sessoribus vires vestras ostendite. sed nō potestis dare quos non habetis. Quid igitur cūctamini dedere vos validioribus, qui vos possunt vel inuitos vi capere? maximè cùm spontanea deditio tuta sit: contrà cùm sit à coactis, periculo calamitatis non careat. Hæc cùm audissent ex duce tam legati quàm populus, ad regem etiam perlata sunt. Ille perculsus habitum regalem exuit, & saccum indutus humili specie, vt mos est patrius, in faciem procidens Deo D supplicat, vt cùm alia spes nulla adsit, opem & salutem afferat. Missis etiam ad Esaiam prophetam amicis aliquot & sacerdotibus, rogauit vt pro communi salute precibus Deum solicitet ac sacrificiis, vt frangens nimias spes hostium, misereatur sui populi. Paruit propheta, & monitus oraculo iussit regem atque amicos bono esse animo, prædicens hostem sine prælio victū discessurum cum ignominia, & positurum feroces animos. Deum enim ei moliri perniciem. E Ipsum quoque Senacheribum non succedente expeditione Ægyptiaca domum reuersum, ferro esse interiturum. Fortè autem acciderat vt eodem tempore venirent ab eo literæ ad Ezeciam, in quibus stultum eum dicebat, quòd putaret se posse seruitutem effugere eius qui tam multas gentes perdomuerit: minabatúrque internecionem omnibus, nisi sponte patefactis portis exercitum intra Hierosolyma reciperent. F Has lectas contempsit propter fiduciam quam in Deo collocauerat, & epistolam complicatam in templo reposuit. Iteratis deinde supplicationibus quibus vrbis salus Deo commendata est, Esaias exoratum esse retulit, nec esse ea tempestate oppugnationem metuendam ab Assyrio. Instare enim feliciora tempora, quibus securi G possint agros suos in pace colere, & possessionum suarum curam habere timentes neminé. Procedente autem tempore Assyriorum rex frustrari suos conatus videns infectis rebus

4. Reg. 19.

rediit ex causa tali. Multum temporis contriuit in apparanda oppugnatione Pelusij:iámque aggerem penè mœnibus æquauerat,& videbatur assultum propediem facturus,cùm audiuit aduentare Tharsicem regem Æthiopum, Ægyptiis laturum suppetias,& per desertum copias ducere,vt improuisus adoriatur Assyrios. Territus igitur hoc rumore Senacheribus properè inde cum suis abiit. Herodotus autem hunc cōtra Vulcani sacerdotem bellum gessisse dicit,nimirum quòd idem & rex esset & sacerdos. Oppugnās,inquit,Pelusium,hac de causa obsidionem soluit. Rex Ægyptius implorauit opē sui numinis:quod exoratum magnum Arabi incōmodum attulit. nam & in hoc erat quòd pro Assyrio scribit Arabem. Vna,inquit,nocte murium vis tanta extitit,vt hostium arcus & reliqua arma corroderent:quod factum est vt exarmatus rex à Pelusio suum exercitum abduceret. Berosus autem Chaldaicarum rerum scriptor Senacheribi regis meminit: & quòd apud Assyrios regnauerit,totámque Asiam atque Ægyptum bello infestauerit,his verbis narrat.

IIII.

CAP. II.

Quòd Assyriorum exercitus vna nocte peste absumptus est,& quòd rex eorum domum reuersus filiorum insidiis periit.

Senacheribus autem ab Ægyptiaco bello reuertens offendit ibi exercitum,quē sub Rapsacis imperio reliquerat. peste diuinitus immissa deletum , prima nocte posteaquam vrbem oppugnare cœperat,absumptis cum ducibus & tribunis CLXXXV. millibus militū. qua clade territus , & de reliquis copiis solicitus, maximis itineribus in regnum suum contēdit, ad regiā quæ Ninus dicitur. Vbi paulo pòst per insidias seniorum è filiis suis, Adramelechi & Selennari,vitam amisit,occisus in ipso templo Arasci,quem præcipuo cultu dignabatur. quibus ob parricidium à popularibus pulsis,& in Armeniam fugientibus , Assarachodas minor filius in regnum successit. Atque hic fuit huius expeditionis exitus.

CAP. III.

Ezecias ab infestatione Assyriorum liberatus cùm aliquandiu vixisset in pace, decedens Manasse filio regnum reliquit.

III. 4. Reg. 20.

Ezecias autē præter omnē opinionē liberatus periculo,vota ꝓ incolumitate Deo persoluit quandoquidē manifestū erat huius solius ope hostem partim peste deletum,partim metu similis exitij ab oppugnatione vrbis absterritū. Dúmque totus circa Dei cultum occupatur, paulo pòst in grauem morbum incidit,ita vt à medicis pro deplorato haberetur , nec amicis quidquam melius sperantibus:nec tam vitę periculum angebat regem , quàm quòd sine liberis decedente generis successio in eo deficere videbatur,&regnū sine legitimo hęrede futurū.

A ἄπρακτος ἀνεχώρησεν ἐπ᾽ οἴκου, δι᾽ αἰτίαν τοιαύτην. πολὺς αὐτῷ χρόνος ἐξετρίβετο πρὸς τὴν πηλουσίου πολιορκίαν, καὶ τῶν χωμάτων ἤδη μετεώρων ὄντων ἃ πρὸς τοῖς τείχεσι ἤγειρε, καὶ ὅσον οὔπω μέλλοντος προσβαλεῖν αὐτοῖς, ἀκούει τὸν τῶν αἰθιόπων βασιλέα θαρσίκην πολλὴν ἄγοντα δύναμιν ἐπὶ συμμαχίᾳ τοῖς αἰγυπτίοις ἥκειν, διεγνωκότα ποιήσασθαι τὴν πορείαν διὰ τῆς ἐρήμου, καὶ ἐξαίφνης εἰς τὴν τῶν ἀσσυρίων ἐμβαλεῖν. ταραχθεὶς

B οὖν ὑπὸ τούτων ὁ βασιλεὺς σεναχήριβος, ἐπὶ τὸν ἱερέα τοῦ ἡφαίστου στρατεῦσαι ἔλεγεν, ὥς φησιν ὁ βασιλεὺς ἐπὶ τὸν τῶν αἰγυπτίων βασιλέα ἐλθὼν ἱερέα ὄντα τοῦ ἡφαίστου. πολιορκῶν δὲ τὸ πηλούσιον, ἔλυσε τὴν πολιορκίαν ἐξ αἰτίας τοιαύτης. ηὔξατο δ᾽ ὁ βασιλεὺς τῶν αἰγυπτίων τῷ θεῷ, ὧ γενόμενος ὑπήκοος ὁ θεὸς, πληγὴν ἐνσκήπτει τῷ ἄραβι. πλανᾶται γὰρ καὶ τοῦτο ἡρόδοτος οὐκ ἀσσυρίων λέγων τὸν βασιλέα, ἀλλ᾽ ἀράβων. μυῶν γὰρ πλῆ-

C θος φησὶ μιᾷ νυκτὶ τὰ τόξα καὶ τὰ λοιπὰ ὅπλα διαφαγεῖν τῶν ἀσσυρίων. καὶ διὰ τοῦτο, μὴ ἔχοντα τὰ τόξα τὸν βασιλέα, τὴν στρατιὰν ἀπαγαγεῖν ἀπὸ τοῦ πηλουσίου. καὶ ἡρόδοτος μὲν οὕτως ἱστορεῖ. βηρωσὸς δ᾽ ὁ τὰ χαλδαϊκὰ συγγραψάμενος, μνημονεύει τοῦ βασιλέως τοῦ σεναχηρίβου, καὶ ὅτι τῶν ἀσσυρίων ὑπῆρχε, καὶ ὅτι πάσῃ ἐπεστρατεύσατο τῇ ἀσίᾳ καὶ τῇ αἰγύπτῳ, λέγων οὕτως.

Κεφάλαιον β΄.

D *Ὡς ἐφθάρη τὸ τῶν ἀσσυρίων στράτευμα λοιμικῶς ἐν μιᾷ νυκτὶ καὶ ὁ βασιλεὺς αὐτῶν ἀναζεύξας οἴκαδε ἐξ ἐπιβουλῆς τῶν τέκνων ἀπέθανεν.*

Ὑποστρέψας δὲ σεναχήριβος ἀπὸ τοῦ αἰγυπτίων πολέμου ἐπὶ τὰ ἱεροσόλυμα, καταλαβὼν ἐκεῖ τὴν ὑπὸ τῷ στρατηγῷ ῥαψάκῃ δύναμιν, τοῦ θεοῦ λοιμικὴν ἐνσκήψαντος αὐτοῦ τῷ στρατῷ νόσον, κατὰ τὴν πρώτην τῆς πολιορκίας νύκτα, διεφθείροντο μυριάδες ὀκτωκαίδεκα καὶ πεντακισχίλιοι σὺν ἡγεμόσι καὶ ταξιάρχαις. ὑπὸ

E ταύτης δὲ τῆς συμφορᾶς εἰς φόβον καὶ δεινὴν ἀγωνίαν καταστὰς, καὶ δείσας περὶ τῷ στρατῷ παντὶ, φεύγει μετὰ τῆς λοιπῆς δυνάμεως εἰς τὴν αὐτοῦ βασιλείαν εἰς τὴν νίνου προσαγορευθεῖσαν. καὶ διατρίψας ἐν ταύτῃ ὀλίγον χρόνον, δολοφονηθεὶς ὑπὸ τῶν πρεσβυτέρων παίδων ἀδραμελέχου καὶ σελενναροῦ, τελευτᾷ τὸν βίον, καὶ ἀνετέθη, τῷ ἰδίῳ ναῷ ἀράσκῃ λεγομένῳ. καὶ οἱ μὲν φυγαδευθέντες ἐπὶ τῷ φόνῳ τοῦ πατρὸς ὑπὸ τῶν πολιτῶν εἰς τὴν ἀρμενίαν ἀπῆεσαν. διαδέχεται δὲ τὴν βασιλείαν

F σεναχηρίβου ἀσσαραχόδδας. καὶ τὸ μὲν τῆς ἀσσυρίων στρατιᾶς τῆς ἐπὶ τοὺς ἱεροσολυμίτας τέλος, τοιοῦτο συνέβη γενέσθαι.

Κεφάλαιον γ΄.

Ὡς τὸν μεταξὺ χρόνον μετ᾽ εἰρήνης διάγων ἐζεκίας ἐτελεύτησεν, διάδοχον τῆς βασιλείας μανασσῆν καταλιπών.

Ἐζεκίας δ᾽ ὁ βασιλεὺς παραδόξως ἀπαλλαγεὶς τῶν φόβων, χαριστηρίους σὺν ἅπαντι τῷ λαῷ θυσίας ἐπετέλεσε τῷ θεῷ, μηδεμιᾶς ἄλλης αἰτίας τῶν πο-

G λεμίων, τοὺς μὲν διαφθειράσης, τοὺς δὲ φόβῳ τῆς ὁμοίας τελευτῆς ἀπαλλαξάσης ἀπὸ τῶν ἱεροσολυμιτῶν, ἢ τῆς συμμαχίας τῆς ἀπὸ τοῦ θεοῦ. πάσῃ δὲ χρησάμενος σπουδῇ, καὶ φιλοτιμίᾳ περὶ τὸν θεὸν, μετ᾽ οὐ πολὺ, νόσῳ χαλεπῇ περιπεσὼν, ἀπέγνωστο μὲν ὑπὸ τῶν ἰατρῶν. χρηστὸν δὲ περὶ αὐτοῦ οὐδὲν προσδόκων οὐδὲ οἱ φίλοι. τῇ δὲ νόσῳ προσετίθετο καὶ ἀθυμία δεινὴ ὑπὸ τοῦ βασιλέως αὐτοῦ τὴν ἀπαιδίαν λογιζομένου, καὶ ὅτι μέλλει τελευτᾶν ἔρημον καταλείπειν τὸν οἶκον καὶ τὴν ἀρχὴν γνησίας διαδοχῆς.

καίπερ

κάμνων σὺν ὑπ' αὐτῆς τῆς δυσνοίας μάλιστα καὶ ὀδυρόμενος ἱκέτευε τὸν θεὸν αὐτῷ ζωῆς ὀλίγον προσεπιδοῦναι μέχρι τέκνων γονῆς, καὶ μὴ πρότερον ἢ πατὴρ τέκνων γένηται, τὴν ψυχὴν αὐτὸν ἐάσαι καταλείπειν. ἐλεήσας δ' αὐτὸν ὁ θεός, καὶ τῆς αἰτίας ἀποδεξάμενος, ὅτι μὴ διὰ τὸ μέλλειν στέρεσθαι τῶν ἐκ τῆς βασιλείας ἀγαθῶν ὠδύρετο τὴν ὑπονοηθεῖσαν τελευτήν, ὅτι χρόνον ζωῆς αὐτῷ δεηθείη παρασχεῖν, ἀλλὰ τοῦ παῖδας αὐτῷ γενέσθαι τοὺς ὑποδεξομένους τὴν ἡγεμονίαν ἐκείνου, πέμψας Ἠσαΐαν τὸν προφήτην, ἐκέλευσε δηλοῦν αὐτῷ ὅτι διαφεύξεται τὴν νόσον μετὰ τρεῖς ἡμέρας, καὶ βιώσεται μετ' αὐτὴν ἔτη πεντεκαίδεκα καὶ παῖδες αὐτῷ γενήσονται. ταῦτα τοῦ προφήτου φήσαντος κατ' ἐντολὴν τοῦ θεοῦ, διὰ τὴν ὑπερβολὴν τῆς νόσου, καὶ τὸ παράδοξον τῶν ἐπηγγελμένων ἀπιστῶν, σημεῖόν τι καὶ τεράστιον ἠξίου ποιῆσαι τὸν Ἠσαΐαν, ἵνα αὐτῷ πιστεύσῃ λέγοντι ταῦτα ἥκοντι παρὰ τοῦ θεοῦ. τὰ γὰρ παράλογα καὶ μείζω τῆς ἐλπίδος, τοῖς ὁμοίοις πιστοῦται πράγμασιν. ἐρωτήσαντος δ' αὐτόν, τί βούλεται σημεῖον γενέσθαι, τὸν ἥλιον ἠξίωσεν, ἐπειδὴ σκιὰν ἐπὶ δέκα βαθμοὺς ἀποκλίνας ἤδη πεποίηκεν ἐν τῇ οἰκίᾳ, ἐπὶ τὸν αὐτὸν ἀναστρέψαι τόπον ποιήσας αὐτὸν πάλιν παρασχεῖν. τοῦ δὲ προφήτου τὸν θεὸν παρακαλέσαντος, ὥστε τὸ σημεῖον τοῦτ' ἐπιδεῖξαι τῷ βασιλεῖ, ἰδὼν ὅπερ ἤθελεν, εὐθὺς λυθεὶς τῆς νόσου, ἄνεισιν εἰς τὸ ἱερόν, καὶ τῷ θεῷ προσκυνήσας, εὐχὰς ἐποιήσατο. ἐν τούτῳ τῷ χρόνῳ, συνέβη τὴν τῶν Ἀσσυρίων ἀρχὴν ὑπὸ Μήδων καταλυθῆναι. δηλώσω δὲ περὶ τούτων ἐν ἑτέροις. ὁ δὲ τῶν Βαβυλωνίων βασιλεύς, Βαλάδας ὄνομα, πέμψας πρὸς τὸν Ἐζεκίαν πρέσβεις δῶρα κομίσαντας, σύμμαχόν τε αὐτὸν εἶναι παρεκάλει καὶ φίλον. ὁ δὲ τοὺς πρεσβευτὰς ἡδέως ἀποδεξάμενος, καὶ ἑστιασάμενος, καὶ τοὺς θησαυροὺς ἐπιδείξας αὐτοῖς, καὶ τὴν τῶν ὅπλων παρασκευήν, καὶ τὴν ἄλλην πολυτέλειαν ὅσην ἐν λίθοις εἶχε καὶ χρυσῷ, δῶρά τε δοὺς κομίζειν τῷ Βαλάδᾳ, πρὸς αὐτὸν ἀπέλυσεν. Ἠσαΐου δὲ τοῦ προφήτου πρὸς αὐτὸν ἀφικομένου, καὶ πυνθανομένου πόθεν εἶεν οἱ παρόντες, ἐκ Βαβυλῶνος ἔλεγε παρὰ τοῦ βασιλέως ἐλθεῖν αὐτούς. ἐπιδεῖξαι δὲ πάντ' αὐτοῖς, ὅπως εἰδότες τὸν πλοῦτον καὶ τὴν δύναμιν, ἐκ τούτου στοχαζόμενοι, σημαίνειν ἔχωσι τῷ βασιλεῖ. ὁ δὲ προφήτης ὑποτυχών, ἴσθι φησὶν ὡς μετ' ὀλίγον χρόνον εἰς Βαβυλῶνα σου τὸν μετατιθησόμενον τὸν πλοῦτον, καὶ τοὺς ἐκγόνους εὐνουχισθησομένους, καὶ ἀπολέσαντας τὸ ἄνδρας εἶναι, τῷ Βαβυλωνίῳ δουλεύοντας βασιλεῖ. ταῦτα γὰρ προλέγειν τὸν θεόν. ὁ δ' Ἐζεκίας λυπηθεὶς ἐπὶ τοῖς εἰρημένοις, ἔφη μὲν οὐκ ἂν βούλεσθαι τοιαύταις συμφοραῖς τὸ ἔθνος αὐτοῦ περιπεσεῖν. ἐπεὶ δ' οὐκ ἔστι δυνατὸν τὰ τῷ θεῷ δεδογμένα μεταβαλεῖν, ηὔχετο μέχρις τῆς αὐτοῦ ζωῆς εἰρήνην ὑπάρξαι. μνημονεύει δὲ τοῦ τῶν Βαβυλωνίων βασιλέως Βαλάδα Βηρωσός. ὢν δ' οὗτος ὁ προφήτης ὁμολογουμένως θεῖος καὶ θαυμάσιος τὴν ἀλήθειαν, πεποιθὼς τῷ μηδὲν ὅλως ψευδὲς εἰπεῖν, ἅπανθ' ὅσα προεφήτευσεν ἐγγράψας βίβλοις, κατέλειπεν ἐκ τοῦ τέλους γνωρισθησόμενα τοῖς αὖθις ἀνθρώποις. καὶ οὐχ οὗτος μόνος ὁ προφήτης, ἀλλὰ καὶ ἄλλοι δώδεκα τὸν ἀριθμὸν τὸ αὐτὸ ἐποίησαν. καὶ πᾶν εἴτε ἀγαθὸν εἴτε φαῦλον γίνεται παρ' ἡμῖν, κατὰ τὴν ἐκείνων ἀποβαίνει προφητείαν. ἀλλὰ τούτων μὲν αὖθις ἐξαγγελοῦμεν ἕκαστον. ἐπιβιοὺς δὲ ὃν προειρήκαμεν χρόνον ὁ βασιλεὺς Ἐζεκίας, καὶ πάντα τοῦτον ἐν εἰρήνῃ διάγων, τελευτᾷ πεντηκοστὸν μὲν καὶ τέταρτον ἔτος τῆς ζωῆς διανύσας, εἴκοσι δὲ βασιλεύσας καὶ ἐννέα.

hoc igitur mœrore potissimum confectus, supplex cum lacrymis Deum rogauit, vt tantisper differretur vitæ terminus, donec procrearet sobolem, néve nondum factus pater eximeretur numero viuentium. Misertus autem Deus, idq; eo libentiùs quòd non sibi doleret regni voluptates adimi, sed successorem tantùm germanũ principat⁹ quæreret, misso ad eũ propheta Esaia, iussit nũtiari quòd post triduũ morbũ euaderet: & superuiuẽs annos 15. nonnisi relicto herede filio decederet. Hæc cũ propheta ita vt iussus erat ad regẽ perferret, ob magnitudinẽ morbi & inopinatũ nuncium dubitans, prodigiosum aliquod signum ab Esaia postulat, vt certò posset credere, missum illum ad se à Deo nuncium. quæ enim supra spem & rationẽ esse videntur, eorum solet hoc pacto cõfirmari veritas. Et rogãte propheta quódnam signum exhiberi sibi postulet, voluit vt quando vmbra in suo solario iam ad decimã lineam processerat, per totidem lineas reuerti eam faceret. Et cùm Deus hoc dedisset prophetæ precibus, viso ita vt voluit tam insigni prodigio, confestim recepta sanitate ad tẽplum ascendit, & adorato Deo vota persoluit. Circa eademfermè tempora imperium Assyriorum per Medos dissolui contigit, de quo dicemus alibi. Babyloniorum autẽ rex Baladas missis ad Ezeciam legatis cum muneribus, inuitauit eum ad societatem & amicitiam. Ille exceptis legatis comiter, & conuiuio regali adhibitis thesauros etiam ostẽdit, & apparatum armorum, & quicquid preciosum auro constabat ac gẽmis: atque ita cum donis remisit ad Baladam. Aditus deinde ab Esaia, rogatúsque quinam essent qui venerant: ait è Babylone missos à rege venisse: ostendisséque se illis omnia, vt visis diuitiis colligentes ex his ipsius potentiam, regi suo renunciare possent certiùs. tum propheta respondens: Scito, inquit, quòd hę diuitię paulo pòst transferẽtur in Babyloniã, & posteri tui virilitate amissa eunuchi seruient regi Babylonio. Hæc.n. prædicit dominus. Ezecias cõtristatus hac prędictione, ait se quidem malle gentem suam in eam calamitatem non incidere, sed quando aliter visum sit Deo, precari vt saltem ipse possit in pace quod reliquum vitæ exigere. Huius quoque Baladæ Babyloniorum regis Berosus meminit. Cæterùm propheta hic cùm esset diuinus, & vsque ad miraculum veridicus, certus se nihil à vero alienum dixisse, omnia sua vaticinia scripto tradita reliquit posteris, vt ex euentu certitudo eorum posset intelligi. nec hic solus id fecit, sed alij præterea duodecim: & quicquid vel mali vel boni nobis euenit, totum illorum respondet oraculis. sed hos aliàs singillatim percensebimus.

IIII. Ezecias porrò cùm quãtum iam diximus superuixisset in pace, obiit post annum vitę quartum & quinquagesimum, regni verò nonum & vigesimum.

CAP. IV.

Manasses à Chaldæorum ac Babyloniorum rege captus, post aliquantum temporis ab eo rursum in regnum suum restituitur.

4. Reg. 21.

HVius successor Manasses filius, ex matre Achiba Hierosolymitana ciue natus, omissis paternis studiis contrarium vitæ institutum tenuit, nullam impietatem prętermittens, sed per omnia iniquitates Israelitarum imitans, quos Deus propter peccata perdidit. ausus est etiam scelestus templum Dei profanare, atque adeò totam vrbem & reliquam ditionē quàm latè patuit. Exorsus enim à Dei contemptu, in omnes quotquot erant in Hebræis iustos grassabatur cædibus, ne prophetis quidē cruentas manus abstinens. nam & ex horum numero per singulas dies aliquem afficiebat supplicio, vt Hierosolyma inundarentur sanguinibus. His tam nefariis facinoribus concitatus Deus ad iracundiam, mittebat vnum post alium prophetam ad regem simul atque populū, per quos casdem illis comminabatur calamitates, quas propter contemptum religionis fratres ipsorū Israelitæ aliquanto antè perpessi fuerant. At illi nolētes fidem habere illorum sermonibus, per quos moniti si paruissent, imminentia mala vitare poterant, re tandem veritatem eorum experti sunt.

V. Cùm enim in eisdem perseuerarent moribus, hostem illis Deus immisit regem Chaldęorum & Babyloniæ. is misso in Iudæam exercitu, regionem totam depopulatus, Manassem quoque dolo interceptum & abductum, perpetuò pœnæ habuit obnoxium. Tum demum miser malo suo doctus admissam culpam agnouit, & vt hostem humanum ac clementem experiretur, à Deo precibus petiit. Nec Deus se præbuit inexorabilem, sed misertus exaudiit supplicem: quem post aliquantum temporis spatium Babylonius domum remissum in pristinum principatum restituit. Cæterùm clementia victoris postliminio reuersus Hierosolyma, dedit operam si posset abolere priorum peccatorum etiā memoriam, mutatis moribus totus conuersus ad religionis studia. Nam & vrbem lustrauit, & templum consecrauit denuò: & in reliquū totus fuit in eo vt gratitudinem Deo posset approbare, & quod viueret eius retinere beneuolentiam. Idem facere populum quoque docuit, memor in quale incidisset infortuniū ob perperam administratam rempublicam. Adornato etiam altari, ex præscripto Moysis solennes obtulit super eo victimas. Restitutis in veterem statum religonis ritibus, ad munienda Hierosolyma curam transtulit, ita vt reparatis antiquis mœnibus noua illis circundaret, & turres excitaret altissimas, suburbanásque arces cum aliis necessariis tum in primis commeatibus muniret. Adeóque in melius mutatus est, vt ex quo Deum colere cœpit, toto vitæ tēpore prędicatus sit beatissimus. Cúmque vixisset annos LXVII. in viuis esse desiit, exactis in regno annis quinque & quinquaginta. Sepultus est in hortis propriis: regnum excepit

Κεφάλαιον δ'.

Ὅτι στρατεύσαντες ἐπὶ τὸν Μανασσῆν οἱ Χαλδαίων καὶ Βαβυλωνίων βασιλεῖς αἰχμάλωτον αὐτὸν ἤγαγον, καὶ μετ' οὐ πολὺν χρόνον εἰς τὴν αὐτοῦ βασιλείαν πάλιν ἀπέλυσαν.

ΔΙαδεξάμενος δὲ τὴν βασιλείαν ὁ παῖς αὐτοῦ Μανασσῆς ἐκ μητρὸς Ἀχιβᾶς τοὔνομα πολίτιδος γεγονὼς, ἀπερρήξε μὲν αὑτὸν τῶν τοῦ πατρὸς ἐπιτηδευμάτων, καὶ τὴν ἐναντίαν ἐξάπτετο, πᾶν εἶδος πονηρίας ἐπιδειξάμενος ἐν τῷ τρόπῳ, καὶ μηδὲν ἀσεβὲς παραλειπὼν, ἀλλὰ μιμούμενος τὰς τῶν Ἰσραηλιτῶν παρανομίας, οἳ εἰς τὸν θεὸν ἐξαμαρτάνοντες ἀπώλοντο. μιαίνειν δὲ καὶ τὸν ναὸν ἐτόλμησε τοῦ θεοῦ, καὶ τὴν πόλιν καὶ τὴν χώραν ἅπασαν. ἀπὸ γὰρ τῆς εἰς τὸν θεὸν καταφρονήσεως ὁρμώμενος, πάντας ὠμῶς τοὺς δικαίους τοὺς ἐν τοῖς Ἑβραίοις ἀπέκτεινεν. ἀλλ' οὐδὲ τῶν προφητῶν ἔσχε φειδώ. καὶ τούτων δέ τινας καθ' ἡμέραν ἀπέσφαξεν, ὡς τῷ αἵματι ῥεῖσθαι τὰ Ἱεροσόλυμα. λαβὼν οὖν ὀργὴν ἐπὶ τούτοις ὁ θεὸς, πέμπει προφήτας πρὸς τὸν βασιλέα καὶ τὸ πλῆθος, δι' ὧν αὐτοῖς ἠπείλησε, τὰς αὐτὰς συμφορὰς ἃς συνέβη περιπεσεῖν τοὺς ἀδελφοὺς αὐτῶν Ἰσραηλίτας εἰς αὐτὸν ἐξυβρίζοντας. οἱ δὲ τοῖς μὲν λόγοις οὐκ ἐπίστευον παρ' ὧν ἠδύναντο κερδῆσαι τὸ, μηδενὸς πειραθῆναι κακοῦ. τοῖς δ' ἔργοις ἔμαθον ἀληθῆ τὰ παρὰ τῶν προφητῶν. ὡς γὰρ τοῖς αὐτοῖς ἐπέμενον, πόλεμον ἐπ' αὐτοὺς ἐκίνει, παρὰ τοῦ τῶν Βαβυλωνίων καὶ Χαλδαίων βασιλέως, ὃς στρατείαν ἔπεμψεν εἰς τὴν Ἰουδαίαν, τήν τε χώραν ἐλεηλάτησε, καὶ τὸν βασιλέα Μανασσῆν, δόλῳ ληφθέντα καὶ πρὸς αὐτὸν ἀχθέντα, πρὸς ὃν ἐβούλετο τιμωρίαν εἶχεν ὑποχείριον. ὁ δὲ Μανασσῆς, τότε συνεὶς ἐν οἵοις κακοῖς ἐστι, καὶ πάντων αἴτιον ἑαυτὸν νομίζων, ἐδεῖτο τοῦ θεοῦ παρασχεῖν αὐτῷ φιλάνθρωπον καὶ ἐλεήμονα τὸν πολέμιον. χαρίζεται δὲ τοῦτο τῆς ἱκεσίας ἐπακούσας ὁ θεὸς αὐτῷ. καὶ πάλιν εἰς τὴν οἰκείαν ὁ Μανασσῆς ἀπολυθεὶς ὑπὸ τοῦ Βαβυλωνίων βασιλέως ἀνασώζεται. γενόμενος δ' εἰς τὰ Ἱεροσόλυμα τῶν μὲν προτέρων ἁμαρτημάτων περὶ τὸν θεὸν καὶ τὴν μνήμην ἐσπούδαζε εἰ δυνατὸν αὐτῷ γένοιτο τῆς ψυχῆς ἐκβαλεῖν, ὧν μεταβουλεύειν ὥρμησε, καὶ πάσῃ χρῆσθαι περὶ αὐτὸν δεισιδαιμονίᾳ, καὶ τὸν ναὸν ἥγνισε, καὶ τὴν πόλιν ἐκάθηρε, καὶ πρὸς μόνῳ τὸ λοιπὸν ἦν τῷ, χάριν τε τῆς σωτηρίας ἐκτίνειν τῷ θεῷ, καὶ διατηρεῖν αὐτὸν εὐμενῆ πρὸς ὅλον τὸν βίον. ταῦτα δὲ αὐτὰ πράττειν τὸ πλῆθος ἐδίδασκε, μεμαθηκὼς οἵᾳ παρὰ μικρὸν ἐχρήσατο συμφορᾷ, διὰ τὴν ἐναντίαν πολιτείαν. ἐπισκευάσας δὲ καὶ τὸν βωμὸν, τὰς νομίμους θυσίας ἐπετέλει καθὼς διέταξε Μωυσῆς. διοικησάμενος δὲ τὰ περὶ τὴν θρησκείαν ὃν δεῖ τρόπον καὶ τῆς τῶν Ἱεροσολύμων ἀσφαλείας προενόησεν. ὥστε παλαιὰ τείχη μετὰ πολλῆς ἐπισκευάσας σπουδῆς, καὶ ἕτερον αὐτοῖς ἐπιβαλεῖν, ἀναστῆσαί τε καὶ πύργους ὑψηλοτάτους, τά τε πρὸ τῆς πόλεως φρούρια, τοῖς τ' ἄλλοις καὶ δὴ καὶ σιτίων πάντων εἰς αὐτὰ χρησίμων ὀχυρώτερα ποιῆσαι. ἀμέλει δὲ τῇ πρὸς ταῦτα μεταβολῇ χρησάμενος, οὕτω τὸν μεταξὺ διῆγε βίον, ὡς μακάριος εἶναι καὶ ζηλωτὸς ἐκείνου τοῦ χρόνου λογιζόμενος, ἀφ' οὗ τὸν θεὸν εὐσεβεῖν ἤρξατο. ζήσας οὖν ἔτη ἑξήκοντα ἑπτὰ, κατέστρεψε τὸν βίον. βασιλεύσας ἔτη πέντε καὶ πεντήκοντα. καὶ θάπτεται μὲν αὐτὸς ἐν τοῖς αὐτοῦ παραδείσοις. ἡ βασιλεία δὲ εἰς τὸν υἱὸν αὐτοῦ περιέρχεται Ἄμωσον. μητρὸς Ἐμαλσέμης μὲν

μὲν ὄνομα τετυχηκότα. ἐκ δὲ πόλεως Ἰαβάτης ὑπαρχούσης. οὗτος μιμησάμενος τὰ τοῦ πατρὸς ἔργα, ἃ νέος ὢν ἐκεῖνος ἐτόλμησεν, ἐπιβουλευθεὶς ὑπὸ τῶν ἰδίων οἰκετῶν, ἀπέθανεν ἐπὶ τῆς οἰκίας τῆς αὐτοῦ. βιώσας ἔτη τέσσαρα καὶ εἴκοσι, βασιλεύσας δ᾽ ἐξ αὐτῶν, ἔτη δύο. μετῆλθε δ᾽ αὐτοῦ τὸ πλῆθος τοὺς φονεῖς, καὶ τῷ τε πατρὶ συνθάπτουσι τὸν Ἀμωσὸν, τὴν δὲ βασιλείαν τῷ παιδὶ αὐτοῦ Ἰωσίᾳ παραδιδόασι, ὀκταετεῖ τὴν ἡλικίαν ὄντι.

A Amos filius, natus matre Emalsema, oriunda ex Iabate oppido. Hic imitatus iuuenilia sui patris opera, & à similibus non abstinens facinoribus, maturè dedit pœnas, domi à suis oppressus familiaribus vix dum exacto anno vitæ quarto & vigesimo, regni verò secundo. In eius interfectores animaduertit populus, ipsum in paternum monumentum intulit, & regnum eius filio Iosię nominato tradidit, octo tum annorum pucro.

Κεφάλαιον ε´.

Περὶ Ἰωσίου.

Μήτηρ ἐκ πόλεως μὲν ἦν Βοσκέθ, Ἰεδῆ δὲ τοὔνομα, τὴν δὲ φύσιν αὐτὸς ἄριστος ὑπῆρχε, καὶ πρὸς ἀρετὴν εὖ γεγονὼς, Δαβίδου τοῦ βασιλέως ἐπιτηδεύμασιν καὶ σκοπῷ καὶ κανόνι περὶ τῆς ὅλης τοῦ βίου ἐπιτηδεύσεως κεχρημένος. γενόμενος δὲ ἐτῶν δυοκαίδεκα, τὴν εὐσέβειαν καὶ τὴν δικαιοσύνην ἐπεδείξατο. τὸν γὰρ λαὸν ἐσωφρόνιζε καὶ παρῄνει τῆς περὶ τῶν εἰδώλων δόξης οὐκ ὄντων θεῶν ἀποστάντας, σέβειν τὸν πάτριον θεόν. τά τε τῶν προγόνων ἐπισκοπῶν ἔργα, τὰ μὲν ἁμαρτηθέντα διώρθου συνετῶς ὡς ἂν ὁ πρεσβύτατος καὶ νοῆσαι τὸ δέον ἱκανώτατος. ὅσα δ᾽ εὕρισκεν εὖ γεγονότα, καὶ τὴν χώραν, ἐφύλαττέ τε καὶ ἐμιμεῖτο. ταῦτα δ᾽ ἔπραττε, σοφίᾳ καὶ ἐπινοίᾳ τῆς φύσεως χρώμενος, καὶ τῇ τῶν πρεσβυτέρων πειθόμενος συμβουλείᾳ καὶ παραδόσει. τοῖς γὰρ νόμοις ὡς ἂν κατακολουθῶν οὕτω περὶ τὴν τάξιν τῆς πολιτείας καὶ τῆς περὶ τὸ θεῖον εὐσεβείας, διαμαρτεῖν τε συνέβαινε, διὰ τὸ τὴν τῶν προτέρων παρανομίαν μὴ τυγχάνειν ἀλλ᾽ ἐξηφανίσθαι. περιϊὼν γὰρ ὁ βασιλεὺς τὴν πόλιν καὶ τὴν χώραν ἅπασαν, τά τε ἄλση τὰ τοῖς ξενικοῖς ἀνειμένα θεοῖς, ἐξέκοψε καὶ τοὺς βωμοὺς αὐτῶν κατέσκαψεν, εἰ τι δ᾽ ἦν ἀνάθημα τούτοις ὑπὸ τῶν προγόνων ἀνακείμενον, περιυβρίζων, κατέσπα. καὶ τούτῳ τῷ τρόπῳ, τὸν λαὸν ἀπὸ τῆς περὶ αὐτοὺς δόξης, εἰς τὴν τοῦ θεοῦ θρησκείαν ἐπέστρεψε. καὶ τὰς συνήθεις ἐπιφέρει θυσίας, καὶ τὰς ὁλοκαυτώσεις αὐτοῦ τῷ βωμῷ. ἀπέδειξε δὲ τινὰς κριτὰς καὶ ἐπισκόπους, ὡς ἂν διοικοῖεν τὰ παρ᾽ ἑκάστοις πράγματα, περὶ παντὸς τὸ δίκαιον ποιούμενοι, καὶ τῆς ψυχῆς οὐκ ἔλασσον αὐτὸ περιέποντες. διαπεμψάμενος δὲ καὶ τὴν πᾶσαν τὴν χώραν, χρυσὸν καὶ ἄργυρον τοὺς βουλομένους ἐκέλευε κομίζειν, ὡς ἐπισκευὴν τοῦ ναοῦ ὅσον τις ἢ προαιρέσεως ἢ δυνάμεως ἔχει. κομισθέντων δὲ τῶν χρημάτων, τῆς ἐπιμελείας τοῦ ναοῦ, καὶ τῆς εἰς τοῦτο δαπάνης προέστησε τόν τε ἐπὶ τῆς πόλεως Ἀμασίαν, καὶ τὸν γραμματέα Σαφὰν, καὶ τὸν γραφέα τῶν ὑπομνημάτων Ἰωάτην, καὶ τὸν ἀρχιερέα Ἐλιακίαν. οἱ μηδὲν ὑπερθέσει μὴ δ᾽ ἀναβολῇ δόντες, ἀρχιτέκτονας καὶ πάνθ᾽ ὅσα πρὸς τὴν ἐπισκευὴν χρήσιμα παρασκευάσαντες, εἴχοντο τῶν ἔργων. καὶ ὁ μὲν ναὸς οὕτως ἐπισκευασθεὶς, τὴν τοῦ βασιλέως εὐσέβειαν φανερὰν ἐποίησεν. ὄγδοον δ᾽ ἤδη καὶ δέκατον τῆς βασιλείας ἔτος ἔχων, πέμπει πρὸς Ἐλιακίαν τὸν ἀρχιερέα, κελεύων τὸ περισσὸν τῶν χρημάτων χωνεύσαντα ποιῆσαι κρατῆρας καὶ σπονδεῖα καὶ φιάλας εἰς τὴν διακονίαν. ἔτι δὲ καὶ ὅσος ἂν ᾖ χρυσὸς ἐν τοῖς θησαυροῖς ἢ ἄργυρος, καὶ τοῦτο προσκομίσαντας εἰς τοὺς κρατῆρας ὁμοίως καὶ τοιαῦτα σκεύη δαπανῆσαι. προκομίζων δὲ τὸν χρυσὸν ὁ ἀρχιερεὺς Ἐλιακίας, ἐν τυγχάνει ταῖς ἱεραῖς βίβλοις ταῖς Μωυσέως ἐν τῷ ναῷ κειμέναις, καὶ προκομίσας δίδωσι τῷ γραμματεῖ Σαφὰν, ὁ δὲ ἀναγνοὺς, παραγίνεται πρὸς τὸν βασιλέα,

B

Cap. V.

De Iosia rege.

Hvius mater fuit ex oppido Bosceta, Ieda nomine, ipse indole optima, & ad virtutem natus Dauide rege exemplari & regula totius vitæ sibi proposito. quàm primùm enim duodecimum annum ætatis attigit, egregium edidit pietatis ac iustitiæ specimē. Autor enim fuit populo, vt abiectis erroribus, & relicta de falso creditis diis persuasione, conferrent se ad cultum patrij numinis. Et retractatis maiorum suorum institutis, quicquid peccatū esset corrigebat, tam prudenter adhibitis remediis, quā si esset ætate maturissima. quæ verò decenter se habere inuenit, immota seruauit, & imitatus est. Hæc autem faciebat tum per innatam sapientiam, tum etiam seniorum monitis & cōsiliis. Sequendo enim legum ductum in ordinanda republica & cultu diuini numinis aberrare non potuit, à quibus recedentes priores aliquot reges seipsos perdiderant. Itaque obeundo tam vrbem quàm regionem totā, lucos externis diis dedicatos excidebat, & aras eorum diruebat, & donaria quæ eis à maioribus consecrata fuerant, per ludibrium detrahebat: atq; ita populum à vana opinione ad vnum Dei cultum conuertit: & consueta holocautomata cæteráque sacrificia super altare obtulit. Constituit etiam certos magistratus, & morū cēsores, qui priuata quoque negocia sic disponerēt, vt in omnibus non minorem iustitię quàm vitæ ipsius rationem haberēt. dimissis deinde per totam suam ditionem nunciis iussit vt quicūq. vellēt cōferrēt aurū & argētum in reparationē templi, idq. suo quisq. arbitratu, vt nemo grauaretur: & allatis pecuniis curam sumptuū in tēplū sartū tectū prestādū cōmisit Amasi prefecto vrbis, & Saphani scribæ, & Ioatæ cōmētariēsi, & pōtifici Eliaciæ. qui omissis moris & dilationibus, adhibitis architectis, & suppeditatis omnib⁹ rebus ad reparationē necessariis, incūbebant operi: atque ita instauratum est templū & ipsum regiæ pietatis argumentum futurum. Anno deinde regni sui XVIII. iussit Eliaciam pontificem pecunia (quæ instaurationi superfuit) in massas conflata crateras inde & libatoria, phialásque ad ministeria templi conficere: præterea quicquid auri argentíve in thesauris esset, id quoque prolatum in eosdem vsus conuertere: pontifex autem dum promit aurum, fortè incidit in sacros libros Moysis in templo repositos: eos prolatos dedit scribę Saphani, qui cùm eos perlegisset, regem adiit, & quæ impe-

4. Reg. 22.

C D E F G

rasset omnia facta indicauit. præterea libros recens inuentos ei legit. Qua lectione audita rex scidit sibi vestem, & conuocatis intimis aliquot amicis, ipsoque scriba, & Eliacia pontifice, misit eos ad prophetissam Oldam, vxorem Sallumi, viri clari ac nobilis, vt persuaderent ei Deū placare, & propitium genti suæ reddere. timendum enim esse ne propter neglectas à maioribus leges Moysis graues casus immineant, néve eiecti patrio solo in externis regionibus destituti omnibus commodis miserè vitam finiant. Auditis regiis mandatis prophetissa iubet ei renunciari, quòd Deus semel contra eos sententiam tulerit, quæ nullis supplicationib⁹ irrita fieri possit: vt populus eiiciatur propriis sedibus, & omnibus præsentibus cōmodis propter non seruatas leges mulctetur. quandoquidem concesso ad resipiscendum tāto temporis spatio, ne prophetarum quidem hortatibus ad saniorem mentem reuocari potuerit, debitas impietatis pœnas prædicentium: & ideò decretum id mutari non posse, vt ipso euentu discāt esse Deum, & in prophetarum eius prædictionibus nihil inesse mendacij, quibus certam suā voluntatem hominibus indicare solet. attamē propter bonitatem regis dilaturum Deum aliquantisper imminentem calamitatem: sed ab eius obitu præfinita iam antè mala in populum missurum. Hoc mulieris vaticinium regi renunciant, qui ad eam missi fuerant. ille circum omnia oppida missis nunciis, iussit Hierosolyma conuenire sacerdotes ac Leuitas, & omnes omnis ætatis homines. & cùm congregati essent omnes, primùm eis sacros libros legit. deinde stans in editiori loco in medio populi, sacramento adegit vniuersos ad cultum diuini numinis, & seruandas leges Mosaicas: quod illi magno consensu facturos se receperunt. móxque sacra facientes & mactantes victimas Deū precabantur vt propitius adesse dignaretur. Postremò iussit pontificem, si quod vas in templo superesset à maioribus dicatum idolorum externorum vsui, vt inde eiiceretur: & cùm non pauca essent collecta, omnibus incensis cinerē eorum dispersit. denique sacerdotes idolorum à genere Aaronis alienis interfecit. His apud Hierosolyma peractis exiuit peregrè, & quicquid per totam regionem honorem externorum numinum à Hieroboamo dedicatum inuenit, deleuit funditus: & ossa pseudoprophetarum super altare, quod primus Hieroboamus extruxerat, combussit: sicut superius diximus, iā tum cùm super eo Hieroboamus sacra faceret, interuenisse prophetam, & in præsentia totius populi prenūciasse, quòd vnus ex Dauidis progenie, nomine Iosias, hoc esset facturus: cuius prædictionis euentus post annos trecentos sexagintavnum secutus est. Post hæc inuisit & alios Israelitas, qui captiuitatem & seruitutem Assyriorum euitauerant, eisque persuasit vt omissis impiis actionibus, & religionibus externis, Deum maximū ritu patrio colerēt, eiq. soli adhærerēt. nec hoc cōtētus oppidatim ac vicatim per domos scrutatus est, ne quid suspectum int⁹ delitesceret. quadrigas etiā solis, quas su-

4. Reg. 23.

A καὶ πάντα ὅσα κελεύσειε γενέσθαι τέλος ἔχοντα ἐδήλου, παρανίγνω δὲ καὶ τὰς βίβλους αὐτῷ. ἀκούσας δὲ καὶ περιρρηξάμενος τὴν ἐσθῆτα, τὸν ἀρχιερέα καλέσας Ἐλιακίαν, καὶ αὐτὸν τὸν γραμματέα, καὶ τῶν ἀναγκαιοτάτων φίλων τινάς, ἔπεμψε πρὸς τὴν προφῆτιν Ὀλδὰν, γυναῖκα δὲ Σαλλούμου τῶν ἐν δόξῃ τινὸς, καὶ δι' εὐγένειαν ἐπιφανοῦς, καὶ προσελθόντας, ἐκέλευε λέγων ἱλάσκεσθαι τὸν θεὸν, καὶ πειρᾶσθαι ποιεῖν εὐμενῆ. δέος γὰρ εἶναι μὴ παραβάντων τοὺς Μωυσέως νόμους τῶν προγόνων B αὐτῶν κινδυνεύσωσιν ἀνάστατοι γενέσθαι, καὶ τῆς οἰκείας ἐκπεσόντες, ἐπ' ἀλλοτρίας ἔρημοι πάντων, καταστρέψωσιν οἰκτρῶς τὸν βίον. ἀκούσασα δ' ἡ προφῆτις παρὰ τῶν πεμφθέντων ταῦτα αὐτῶν δι' ὧν ἀπέστειλεν ὁ βασιλεὺς, ἐκέλευσεν αὐτοὺς ἀπελθόντας, πρὸς τὸν βασιλέα λέγειν, ὅτι τὸ μὲν θεῖον, κατ' αὐτῶν ψῆφον ἐξήνεγκεν, ἣν οὐχ ἱκεσίαις αὐτῆς ἄκυρον ποιήσειεν, ἀπολέσαι τὸν λαὸν, καὶ τῆς χώρας ἐκβαλεῖν, καὶ πάντων ἀφελέσθαι τῶν νῦν C παρόντων ἀγαθῶν παραβάντας τοὺς νόμους, καὶ τοσούτῳ μεταξὺ χρόνῳ μὴ μετανοήσαντας, τῶν τε προφητῶν τούτων παραινούντων σωφρονεῖν, καὶ τὴν ἐπὶ τοῖς ἀσεβήμασι τιμωρίαν προλεγόντων, ἣν ἵνα πεισθῶσιν ὅτι ὁ θεός ἐστι, καὶ οὐδὲν ἐψεύδετο τούτων ὧν αὐτοῖς διὰ τῶν προφητῶν κατήγγελλε, πάντως αὐτοῖς ποιήσειν. δι' αὐτὸν μὲν τὸ δίκαιον γενόμενον ἐφέξειν ἔτι τὰς συμφορὰς, μετὰ δὲ τὴν ἐκείνου τελευτὴν, τὰ κατεψηφισμένα πάθη τοῖς ὄχλοις ἐπιπέμψειν. οἱ μὲν οὖν τῆς γυναικὸς προφητευ- D σάσης, ἐλθόντες ἀπήγγειλαν τῷ βασιλεῖ. ὁ δὲ περιπέμψας πανταχοῦ τὸν λαὸν, ἐκέλευσε συνελθεῖν εἰς τὰ Ἱεροσόλυμα τούς ἱερεῖς καὶ τοὺς Λευίτας, πᾶσάν τε ἡλικίαν προστάξας παρεῖναι. ἀθροισθέντων δὲ αὐτῶν πρῶτον μὲν αὐτοῖς ἀνέγνω τὰς ἱερὰς βίβλους. ἔπειτα στὰς ἐπὶ τοῦ βήματος ἐν μέσῳ τῷ πλήθει, ὅρκοις ἐπιποιήσασθαι καὶ πίστεις ἠνάγκασεν, ἦ μὴν θρησκεύσειν τὸν θεὸν καὶ φυλάξαι τοὺς Μωυσέως νόμους. οἱ δὲ προθύμως τε ἤνεσαν, καὶ τὰ παραινεθέντα ὑπὸ τοῦ βασιλέως ποιήσειν ὑπέσχον- E σαν. θύοντές τε παραχρῆμα καὶ καλλιεροῦντες τὸν θεὸν ἱκέτευον, εὐμενῆ καὶ ἵλεω αὐτοῖς ὑπάρχειν. τὸν δ' ἀρχιερέα προσέταξεν εἴ τι περισσὸν ὑπὸ τῶν προγόνων σκεῦος τοῖς εἰδώλοις, καὶ ξενικοῖς θεοῖς κατασταθὲν ἦν ἐν τῷ ναῷ τούτῳ ἐκβαλεῖν. συναθροισθέντων δὲ πολλῶν καταπρήσας αὐτὰ τὴν σποδὸν αὐτῶν διέσπειρε. καὶ τοὺς ἱερεῖς τῶν εἰδώλων, οὐκ ὄντας ἐκ τοῦ Ἀαρῶνος γένους ἀπέκτεινε. ταῦτα δ' ἐν τοῖς Ἱεροσολύμοις διαπραξάμε- F νος, ἧκεν εἰς τὴν χώραν. καὶ κατασκευασθέντα ἐν αὐτῇ ὑπὸ Ἱεροβοάμου τοῦ βασιλέως εἰς τιμὴν τῶν ξενικῶν θεῶν, ἠφάνισε. καὶ τὰ ὀστᾶ τῶν ψευδοπροφητῶν ἐπὶ τοῦ βωμοῦ ὃν κατεσκεύασε πρῶτος Ἱεροβόαμος, κατέκαυσε. ταῦτα δὲ προφήτην κατελθόντα πρὸς Ἱεροβόαμον θυσιάζοντος αὐτοῦ, καὶ παντὸς ἀκούοντος τοῦ λαοῦ, προκαταγγεῖλαι τὰ γενησόμενα, ὅτι τις ἐκ τοῦ Δαβίδου γέ- G νους, Ἰωσίας τοὔνομα, ποιήσει τὰ προειρημένα. συνέβη δὲ ταῦτα λαβεῖν τέλος, μετ' ἔτη τριακόσια καὶ ἑξήκοντα ἕν. μετὰ δὲ ταῦτα, ὁ βασιλεὺς Ἰωσίας πορευθεὶς καὶ πρὸς τοὺς ἄλλους τῶν Ἰσραηλιτῶν, ὅσοι τὴν αἰχμαλωσίαν καὶ τὴν δουλείαν ὑπὸ τῶν Ἀσσυρίων διέφυγον, ἀφεῖναι μὲν τὰς ἀσεβεῖς πράξεις καὶ τὰς τιμὰς τὰς πρὸς τοὺς ἀλλοτρίους θεοὺς ἐγκαταλείπειν ἔπεισε. τὸν δὲ πάτριον καὶ μέγιστον θεὸν, εὐσεβεῖν, καὶ τούτῳ προσανέχειν. τὰς οἰκίας τε καὶ τὰς κώμας ἠρεύνησε καὶ τὰς πόλεις, μήπως ἔνδον ἔχοι τι τῶν εἰδώλων ὑπονοῶν.

οὐ μὴν

ᾧ μὴν, ἀλλὰ καὶ τὰ τοῖς βασιλευομένοις ἐφεστῶτα ἅρματα ἃ κατεσκεύασαν οἱ πρόγονοι, καὶ εἴ τι ἄλλο τοιοῦτον ἦν ὃ προσεκύνουν ὡς θεῷ ἱδρύσασι. καὶ καθαρείσας οὕτω τὴν χώραν ἅπασαν εἰς Ἱεροσόλυμα τὸν λαὸν συνεκάλεσε, κἀκεῖ τὴν ἀζύμων ἑορτὴν, καὶ τὴν πάσχα λεγομένην ἤγαγεν, ἐδωρήσατό τε τῷ λαῷ τὸ πάσχα, νεογνοὺς ἐρίφους καὶ ἄρνας, τρισμυρίους, βοῦς δὲ εἰς ὁλοκαυτώματα τρισχιλίους. παρεῖχον δὲ καὶ τῶν ἱερέων οἱ πρῶτοι διὰ τὸ πάσχα τοῖς ἱερεῦσιν, ἄρνας δισχιλίους ἑξακοσίοις. καὶ τοῖς Λευίταις πεντακισχιλίους ἄρνας ἔδωσαν οἱ προεστῶτες αὐτῶν, βοῦς δὲ πεντακοσίους. καὶ γενομένης οὕτως ἀφθόνου τῆς τῶν ἱερείων εὐπορίας, τὰς θυσίας ἐπετέλουν τοῖς Μωυσέως νόμοις, ἑκάστου τῶν ἱερέων ἐξηγουμένου τοῖς ὄχλοις. καὶ τοῦ μηδεμίαν ἄλλην οὕτως ἀχθῆναι τοῖς Ἑβραίοις ἑορτὴν ἀπὸ τῶν Σαμουήλου τοῦ προφήτου χρόνων αἴτιον ἦν τὸ, πάντα κατὰ νόμους καὶ κατὰ τὴν ἀρχαίαν παρατήρησιν τῆς πατρίου συνηθείας ἐπιτελεσθῆναι. ζήσας δὲ ἐν εἰρήνῃ μετὰ ταῦτα Ἰωσίας, ἔτι τε καὶ πλούτῳ καὶ τῇ παρὰ πᾶσιν εὐδοξίᾳ, κατέστρεψε τοῦτῳ τῷ τρόπῳ τὸν βίον.

Κεφάλαιον ς'.

Ὡς συμβαλὼν ὁ Νεχάως τῷ τῶν Βαβυλωνίων βασιλεῖ, καὶ ὑποστρέφων εἰς Αἴγυπτον, ἧκεν εἰς Ἱεροσόλυμα, καὶ ἀντὶ Ἰωάζου τὸν ἀδελφὸν αὐτοῦ Ἰωάκιμον ἀπέδειξε βασιλέα.

Νεχάως ὁ τῶν Αἰγυπτίων βασιλεὺς, ἐγείρας στρατιὰν ἐπὶ τὸν Εὐφράτην ἤλασε ποταμὸν, Μήδοις πολεμήσων καὶ τοῖς Βαβυλωνίοις, οἳ τὴν Ἀσσυρίων κατέλυσαν ἀρχήν· τῆς γὰρ Ἀσίας βασιλεῦσαι πόθον εἶχεν. γενόμενον δὲ αὐτὸν κατὰ Μενδὴν πόλιν, ἣν δὲ αὕτη τῆς Ἰωσίου βασιλείας, μετὰ δυνάμεως εἶργεν αὐτὸν διὰ τῆς ἰδίας ποιεῖσθαι χώρας τὴν ἐπὶ τοὺς Μήδους ἔλασιν. πέμψας δὲ κήρυκα πρὸς αὐτὸν ὁ Νεχάως, οὐκ ἐπ' αὐτὸν στρατεύειν ἔλεγεν, ἀλλ' ἐπὶ τὸν Εὐφράτην ὡρμηκέναι. μὴ παροξύνειν δὲ αὐτὸν ἐκέλευεν ὥστε πολεμεῖν αὐτῷ κωλύοντι βαδίζειν ἐφ' οὓς διέγνωκεν. Ἰωσίας δὲ οὐ προσίετο τὰ παρὰ τοῦ Νεχάω, ἀλλ' οὕτως εἶχεν, ὡς μὴ συγχωρεῖν αὐτῷ τὴν οἰκείαν διέρχεσθαι, τῆς πεπρωμένης ἀλαζονείας οἶμαι εἰς τοῦτ' αὐτὸν παρορμησάσης, ἵνα λάβῃ πρόφασιν κατ' αὐτοῦ. διατάσσοντος γὰρ αὐτοῦ τὴν δύναμιν, καὶ ἐφ' ἅρματος ἀπὸ κέρως ἐπὶ κέρας ὀχουμένου, τοξεύσας τις αὐτὸν τῶν Αἰγυπτίων, ἔπαυσε τῆς πρὸς τὴν μάχην σπουδῆς. τῷ τραύματι γὰρ περιαλγὴς ὢν, ἐκέλευσεν ἀνακληθῆναι τὸ στράτευμα, καὶ ὑπέστρεψεν εἰς Ἱεροσόλυμα. τελευτᾷ δὲ ἐκ τῆς πληγῆς ἐκεῖ τὸν βίον, καὶ κηδεύεται μὲν ἐν ταῖς πατρῴαις θήκαις μεγαλοπρεπῶς, βιώσας μὲν ἔτη τριακονταεννέα, βασιλεύσας δὲ τούτων, ἓν καὶ τριάκοντα. πένθος δὲ ἐπ' αὐτῷ μέγα τοῦ λαοῦ παντὸς ἤχθη πολλαῖς ἡμέραις ὀδυρομένου καὶ κατηφοῦντος. Ἱερεμίας δὲ ὁ προφήτης, ἐπικήδειον αὐτοῦ συνέταξε μέλος θρηνητικὸν, ὃ καὶ μέχρι νῦν διαμένει. οὗτος ὁ προφήτης, καὶ τὰ μέλλοντα τῇ πόλει δεινὰ προεκήρυξεν, ἐν γράμμασι καταλειπὼν, καὶ τὴν νῦν ἐφ' ἡμῶν γενομένην ἅλωσιν, τήν τε Βαβυλωνίας αἵρεσιν. οὐ μόνον δὲ οὗτος προεθέσπισε ταῦτα τοῖς ὄχλοις, ἀλλὰ καὶ ὁ προφήτης Ἰεζεκίηλος, ὃς πρῶτος περὶ τούτων δύο βιβλία γράψας κατέλιπεν. ἦσαν δὲ οἱ δύο τῷ γένει ἱερεῖς, ἀλλ' ὁ μὲν Ἱερεμίας ἐν Ἱεροσολύμοις διῆγεν, ἀπὸ τρισκαιδεκάτου ἔτους τῆς Ἰωσίου βασιλείας, ἕως οὗ κατεσκάφη ἡ πόλις καὶ ὁ ναός. τὰ μὲν τοίγε συμβάντα περὶ τοῦτον τὸν προφήτην, κατὰ χώραν δηλώσομεν. τελευτήσαντος δὲ Ἰωσίου καθὼς προειρήκαμεν, τὴν βασιλείαν ὁ παῖς αὐτοῦ διαδέχεται Ἰώαζος

& si quid aliud diuinis honoribus vulgus imperitus dignabatur, de medio sustulit. Cęterùm lustrata ad hunc modum regione vniuersa, populum Hierosolyma conuocauit ad celebrandū festum azymorum, quod dicitur pascha: deditque populo ad epulum de suo triginta hædorum & agnorum millia, & boum tria millia. principes quoque sacerdotum contulerunt sacerdotibus ad idem festum agnorum duo millia & sexcentos: & similiter Leuitis eorum primarij dederunt agnorum quinque millia, boues quingentos. cúmque tanta esset victimarum copia, immolabantur omnes iuxta leges Moysis, sacerdotibus ei curæ præpositis, & exemplo suo reliquo populo præeuntibus, & quòd à Samuelis prophetæ temporibus in eam vsque diē nulla talis festiuitas celebrata fuerit, causa est quia tum omnia iuxta præscripta legum & antiquas consuetudines peragebant.

Post hæc Iosias cùm pace, diuitiis & gloria floruisset, vitæ finem habuit huiusmodi. VI.

CAP. VI.

Nechao rege Aegypti contra Babylonis per Iudaam exercitum ducere volente, Iosias vetare conatus prælio victus occiditur.

Nechaos Ægypti rex magnis delectibus habitis copias ad Euphratem duxit contra Medos & Babylonios, qui Assyriorum imperium euerterant, volens sibi Asiæ regnū quęrere. Cúmque processisset vsque Menden, oppidum ditionis Iosiæ, opposuit se ei, vetans per sui iuris regionem iter contra Medos facere, tū Nechaos caduceatore misso, ait se non illum petere bello, sed ad Euphratem properare. non esse sibi imponendam necessitatem præter propositum cum obstante dimicandi. Iosias autem verbis Ægyptij nihil mouebatur, sed perseuerabat in ea sententia, vt per suam ditionem volenti ducere transitum pernegaret, fato opinor ad hanc arrogantiam vrgente hominem, vt occasionem aduersus cū inueniret. Dum enim aciem instruens curru ab vno cornu ad alterum vehitur, Ægyptius quidam sagitta icto bellandi studium exemit. saucius enim & cruciatum non ferens, iusso exercitu deflectere, Hierosolyma reuertitur: vbi ex eo vulnere est mortuus. Sepultus est magnifico funere in monumentis paternis, cùm vixisset annos triginta nouē, regnasset triginta vnum. Luxit cū populus multis diebus lamentis, & tristitia mortē eius prosequens. Hieremias etiam epicedium ei scripsit lugubri carmine, quod nunc quoque extare videmus. hic propheta & instantem vrbi captiuitatem Babyloniam, & nostri etiam seculi clades prædictas mandauit literis. Nec solus ille hæc vaticinatus est multitudini, sed & propheta Hiezeciel, qui primus duos libros hoc argumēto scriptos reliquit. erāt aūt hi duo sacerdotalis generis, quorū Hieremias vixit Hierosolymis, ab anno 13. regni Iosiæ vsque dū templum vnà cum vrbe est dirutū: cuius suo loco mentionē faciemus. Porrò mortuo quemadmodū diximus Iosia, regnum suscepit filius eius Ioazus,

anno ætatis vigesimo tertio, regiã habens Hierosolymis. Hic matre natus Amethala, impiis & impuris fuit moribus.

VII. Hunc Ægyptiorum rex à bello reuertens accersitum ad se in vrbem Syriæ Samatham vinxit, & fratri eius seniori, eodem patre nato, Eliacimo nomine regnum tradidit, Ioacimi nomine prius illi indito. regioni verò eius cẽtum argenti talentorum tributum imposuit, & vnius talenti auri. atque ita Ioacimo tributario facto, Ioazum secum in Ægyptũ abduxit, vbi mortuus est cùm regnasset menses tres, dies decem. Mater autem Ioacimi vocata est Zabuda, nata ex oppido Abuma. hic quoque malitioso fuit ingenio, nec erga Deum pius, nec mitis erga homines.

Cap. VII.

Nabuchodonosorus inuadens Syriam Ioacimum ad amicitiam & societatem suam pertraxit.

Anno autem quarto ex quo is regnare incepit, quidam Nabuchodonosorus apud Babylonem regno potitus cum instructissimo exercitu Carchabesam ad Euphratẽ sitam petiit bellum inferens Ægyptio Nechao, qui tum toti Syriæ dominabatur. at ille cognito Babylonij conatu, non contempsit hostem, sed cum validis & numerosis copiis ad Euphratem ei se opposuit. & collatis signis cum eo congressus amissis multis millibus coactus est cedere: Babylonius autem superato Euphrate, totam Syriam Pelusium vsque subegit, Iudæa sola excepta. Quarto deinde regni Nabuchodonosori anno, Ioacimi verò octauo, Babylonij Iudæis bellũ inferũt magnis viribus, dira minantes ni tributa pendant quemadmodum reliqui Syriæ habitatores. At ille timore suadẽte pacem mercatus pecuniis, integro triennio imperata tributa persoluit.

4.Reg.24.

VIII. Inductus deinde ad vanas spes rumoribus expeditionis Ægyptiorum contra Babylonios, & negato tributo, expectatione sua frustratus est. nã Ægyptij bellum instaurare non ausi sunt: id quod propheta Hieremias quotidianis monitis prædicere non destitit, frustra eos spem in Ægyptiorum præsidio ponere. Imminere enim vrbi certam subuersionem à Babyloniis, & Ioacimo regi captiuitatem. Sed hæc vaticinia quòd nemo eis moueretur, nemini proderant. Etenim tam vulgus quàm proceres contemptim hæc audiebant, & irati malè ominanti, prophetam apud regem accusabant, deposcentes eum ad supplicium. Delata demum re ad regium senatum, maxima pars vt improuida calculis suis eum damnauit. pauci verò quidam sapientiores è regia prophetam dimiserunt, autorésque fuerunt etiam aliis ne in eum sæuire pergerent. Adducebántque rationem, nõ hunc solùm mala vrbi prædicere, sed & Michæam antè talia prædixisse, & multos alios, quorũ nemo à sui temporis regibus aliquid esset passus, sed omnes vt Dei vates habiti sint in precio.

τοὔνομα, περὶ τρίτον καὶ εἰκοστὸν ἤδη ἔτος γεγονώς. καὶ οὗτος μὲν ἐν ἱεροσολύμοις ἐβασίλευσε μητρὸς ἀμετάλης, ἀσεβὴς δὲ καὶ μιαρὸς τὸν τρόπον. ὁ δὲ τῶν αἰγυπτίων βασιλεὺς, ὑποστρέψας ἀπὸ τῆς μάχης, μεταπέμπεται τὸν ἰώαζον πρὸς αὐτὸν εἰς σαμαθὰ καλουμένην πόλιν, ἥτις ἐστὶ τῆς συρίας, καὶ τὸν μὲν ἐλθόντα ἔδησε, τῷ δὲ πρεσβυτέρῳ αὐτοῦ ἀδελφῷ ὁμοπατρίῳ ὄντι ἐλιακίμῳ τοὔνομα τὴν βασιλείαν παραδίδωσι, μετονομάσας αὐτὸν ἰωάκιμον. τῇ δὲ χώρᾳ ἐπέταξεν, ἑκατὸν ἀργυρίου τάλαντα, ἓν δὲ χρυσίου. καὶ τὸ μὲν ἐτέλει ὁ ἰωάκιμος τὸ πλῆθος τῶν χρημάτων, τὸν δὲ ἰώαζον ἀπήγαγεν εἰς αἴγυπτον, ὃς καὶ ἐτελεύτησεν ἐν αὐτῇ, βασιλεύσας μῆνας τρεῖς, ἡμέρας δέκα. ἡ δὲ τοῦ ἰωακίμου μήτηρ, ἐκαλεῖτο ζαβούδα, ἐκ πόλεως δὲ ἦν ἀβούμας. ἐτύγχανε δὲ ὢν τὴν φύσιν ἄδικος καὶ κακοῦργος, καὶ μήτε πρὸς θεὸν ὅσιος, μήτε πρὸς ἀνθρώπους ἐπιεικής.

Κεφάλαιον ζ.

Ναβουχοδονοσόρου στρατεία εἰς συρίαν, καὶ ὡς τὸν ἰωάκιμον φίλον ἠνάγκασεν εἶναι καὶ σύμμαχον.

Ἔτος δὲ αὐτοῦ τῆς βασιλείας τέταρτον ἤδη ἔχοντος, τὴν βαβυλωνίων ἀρχὴν παραλαμβάνει τις ναβουχοδονόσορος ὄνομα, ὃς ὑπὸ τὸν αὐτὸν καιρὸν μετὰ μεγάλης παρασκευῆς ἐπὶ καρχαβησὰν ἀναβαίνει πόλιν, ἔστι δὲ αὕτη πρὸς τῷ εὐφράτῃ, πολεμεῖν διεγνωκὼς τῷ τῶν αἰγυπτίων νεχαῷ, ὑπὸ τούτῳ γὰρ ἦν ἅπασα ἡ συρία. μαθὼν δὲ τὴν τοῦ βαβυλωνίου προαίρεσιν καὶ τὴν ἐπ' αὐτὸν στρατείαν ὁ νεχαώς, οὐδὲ αὐτὸς ὠλιγώρησεν. ἀλλὰ σὺν πολλῇ χειρὶ τὸν ναβουχοδονόσορον ἀμυνούμενος, ὥρμησεν ἐπὶ τὸν εὐφράτην. συμβολῆς δὲ γενομένης ἡττήθη, καὶ πολλὰς ἀπέβαλε μυριάδας ἐν τῇ μάχῃ. διαβὰς δὲ τὸν εὐφράτην ὁ βαβυλώνιος, τὴν ἄχρι πηλουσίου παραλαμβάνει συρίαν πάρεξ τῆς ἰουδαίας. τέσσαρα δὲ ἔτη βασιλεύοντος ἤδη τοῦ ναβουχοδονοσόρου, ὄγδοον δὲ ἰωακίμῳ τῷ τῶν ἑβραίων ἔχοντι τὴν ἀρχήν, καὶ στρατεύει μετὰ πολλῆς δυνάμεως ἐπὶ τοὺς ἰουδαίους ὁ βαβυλώνιος, φόρους αἰτῶν τὸν ἰωάκιμον, ἢ πολεμήσειν ἀπειλῶν. ὁ δὲ δείσας τὴν ἀπειλὴν, καὶ τὴν εἰρήνην ἀντικαταλλαξάμενος τῶν χρημάτων, ἤνεγκεν αὐτῷ φόρους, οὓς ἔταξεν ἐπὶ ἔτη τρία. τῷ δὲ τρίτῳ, στρατεύειν τοὺς αἰγυπτίους ἀκούσας ἐπὶ τὸν βαβυλώνιον, καὶ τοὺς φόρους αὐτῷ μὴ δοὺς, διεψεύσθη τῆς ἐλπίδος. οἱ γὰρ αἰγύπτιοι ποιήσασθαι τὴν στρατείαν οὐκ ἐθάρρησαν. ταῦτα δὲ ὁ προφήτης ἱερεμίας κατὰ πᾶσαν ἡμέραν προύλεγεν, ὡς μάτην ταῖς παρὰ τῶν αἰγυπτίων ἐλπίσι προσανέχουσι, καὶ ὡς δεῖ τὴν πόλιν ὑπὸ τοῦ βαβυλωνίων βασιλέως ἀνάστατον γενέσθαι, καὶ ἰωακίμῳ τῷ βασιλεῖ χειρωθῆναι ὑπ' αὐτοῦ. ταῦτ' εἰς οὐδὲν χρήσιμον οὐκ ὄντων τῶν σωθησομένων ἐλέγετο. καὶ γὰρ τὸ πλῆθος καὶ οἱ ἄρχοντες, ἀκούοντες παρημέλουν, καὶ πρὸς ὀργὴν λαμβάνοντες τὰ λεγόμενα, ὡς οἰωνιζομένου κατὰ τοῦ βασιλέως τοῦ προφήτου τὸν ἱερεμίαν ᾐτιῶντο, καὶ ὑπάγοντες δίκην καταψηφισθῆναι πρὸς τιμωρίαν ἠξίουν. καὶ οἱ μὲν ἄλλοι πάντες ἤνεγκαν τὰς ψήφους κατ' αὐτοῦ, οἳ καὶ ἀπέγνωσαν τῶν πρεσβυτέρων. οἱ δὲ σοφῆς ὄντες διανοίας, ἀπέλυσαν τὸν προφήτην ἀπὸ τῆς αὐλῆς, καὶ τοῖς ἄλλοις συνεβούλευσαν μηδὲν διαθεῖναι κακὸν τὸν ἱερεμίαν. ἔλεγον γὰρ οὐ μόνον τοῦτον προλέγειν τῇ πόλει τὰ μέλλοντα, ἀλλὰ καὶ μιχαίαν πρὸ αὐτοῦ ταῦτα κατηγγελκέναι, καὶ πολλοὺς ἄλλους ὧν οὐδεὶς ὑπὸ τῶν τότε βασιλέων οὐδὲν ἔπαθεν, ἀλλ' ὡς προφήτης τοῦ θεοῦ τιμῆς ἔτυχε.

τούτοις καταπραΰναντες τὸ πλῆθος τοῖς λόγοις ἐρρύσαντο τῆς κατεψηφισμένης αὐτοῦ κολάσεως τὸν ἱερεμίαν, ὃς ἁπάσας τὰς αὐτοῦ προφητείας συγγραψάμενος, νηστεύοντος τοῦ δήμου, καὶ ἐκκλησιάζοντος ἐν τῷ ἱερῷ μηνὶ ἐνάτῳ τοῦ πέμπτου ἔτους ἰωακίμου βασιλείας, ἀνέγνω τὴν βίβλον, ἣν περὶ τῶν μελλόντων συμβήσεσθαι τῇ πόλει καὶ τῷ ναῷ καὶ τοῖς ὄχλοις ἦν συντεταχώς. ἀκούσαντες δ' οἱ ἡγεμόνες, λαμβάνουσι παρ' αὐτοῦ τὸ βιβλίον, καὶ κελεύουσιν αὐτόν τε καὶ τὸν γραμματέα βάρουχον ἐκποδὼν ἑαυτοὺς ποιῆσαι μὴ πισὶ δῆλοι γένωνται. τὸ δὲ βιβλίον αὐτὸ, φέροντες τῷ βασιλεῖ διδόασιν. ὁ δὲ παρόντων αὐτῷ τῶν φίλων, ἐκέλευσε τὸν ἑαυτοῦ γραμματέα λαβόντα ἀναγνῶναι. ἀκούσας δὲ τῶν ἐν τῷ βιβλίῳ καὶ ὀργισθεὶς ὁ βασιλεὺς, διέρρηξέ τε καὶ βαλὼν εἰς πῦρ ἠφάνισε. ζητηθέντας δὲ τόν τε ἱερεμίαν καὶ τὸ γραμματέα βάρουχον ἐκέλευσεν ἀχθῆναι πρὸς αὐτὸν κολασθησομένους. οὗτοι μὲν οὖν διαφεύγουσιν αὐτοῦ τὴν ὀργήν.

Κεφάλαιον η'.

Ὡς ναβουχοδονόσορος τὸν ἰωάκιμον πάλιν τὰ τῶν αἰγυπτίων φρονήσαντα ἀπέκτεινεν, ἰωάχιμον δὲ τὸν υἱὸν αὐτοῦ κατέστησε βασιλέα.

ΜΕτ' οὐ πολὺν δὲ χρόνον στρατευσάμενον ἐπ' αὐτὸν τὸν τῶν βαβυλωνίων βασιλέα δέχεται, κατὰ τὸ δέος τὸ παρὰ τῶν προειρημένων ὑπὸ τοῦ προφήτου. τούτοις οὐδὲν νομίζων πείσεσθαι δεινὸν μηδ' ἀποκλείσας μηδὲ πολεμήσας. εἰσελθὼν δ' εἰς αὐτὴν, οὐκ ἐφύλαξε τὰς πίστεις, ἀλλὰ τοὺς ἀκμαιοτάτους καὶ κάλλει διαφέροντας τῶν ἱεροσολυμιτῶν ἀπέκτεινε μετὰ τοῦ βασιλέως ἰωακίμου, ὃν ἄταφον ἐκέλευσε ῥιφῆναι πρὸ τῶν τειχῶν. τὸν δὲ υἱὸν αὐτοῦ ἰωάχιμον κατέστησε βασιλέα τῆς χώρας καὶ τῆς πόλεως. τοὺς δ' ἐν ἀξιώματι τρισχιλίους ὄντας τὸν ἀριθμὸν, αὐτοὺς αἰχμαλώτους λαβὼν ἀπήγαγεν εἰς βαβυλῶνα, ἐν δὲ τούτοις ἦν ὁ προφήτης ἰεζεκίηλος παῖς ὤν. καὶ τέλος μὲν τοιοῦτον ἰωάκιμον τὸν βασιλέα κατέσχε, βιώσαντα μὲν ἔτη ἓξ καὶ τριάκοντα, βασιλεύσαντα δὲ τούτων ἕνδεκα. ὁ δὲ διαδεξάμενος αὐτοῦ τὴν βασιλείαν ἰωάχιμος, ἐκ μητρὸς μὲν νοστῆς ὄνομα, πολίτιδος δὲ, ἐβασίλευσεν μῆνας τρεῖς ἡμέρας δέκα.

Κεφάλαιον θ'.

Ὅτι μετανοήσας, ἐγκρατὴς τοῦ ἰωαχίμου παραδόντος ἑαυτὸν γίνεται.

ΤΟν δὲ τῶν βαβυλωνίων βασιλέα, δόντα τὴν βασιλείαν ἰωαχίμῳ, παραχρῆμα ἔλαβε δέος. ἔδεισε γὰρ μὴ μνησικακήσας αὐτῷ τῆς τοῦ πατρὸς ἀναιρέσεως, ἀποστήσῃ τὴν χώραν αὐτοῦ. πέμψας τοίνυν δύναμιν πολιορκεῖ τὸν ἰωάχιμον ἐν τοῖς ἱεροσολύμοις. ὁ δὲ φύσει χρηστὸς ὢν καὶ δίκαιος, οὐκ ἠξίου τὴν πόλιν κινδυνεύουσαν δι' αὐτὸν περιορᾶν. ἀλλὰ ἀπάρας τὴν μητέρα καὶ τοὺς συγγενεῖς, παραδίδωσι τοῖς πεμφθεῖσιν ὑπὸ τοῦ βαβυλωνίου στρατηγοῖς ὅρκους παρ' αὐτῶν λαβὼν ὑπὲρ τοῦ μηδὲν μήτ' αὐτοὺς παθεῖν μήτε τὴν πόλιν, οἷς οὐδ' ἐνιαυτὸν ἡ πίστις ἔμεινεν. οὐ γὰρ ἐφύλαξεν αὐτὴν βαβυλωνίων βασιλεὺς, ἀλλὰ τοῖς στρατηγοῖς ἐπέστειλεν ἅπαντας τοὺς ἐν τῇ πόλει λαβόντας αἰχμαλώτους νέους τὴν ἡλικίαν,

A atque hoc pacto lenitis animis diuersa sentientium effecerunt vt reuocatis suffragiis propheta eximeretur supplicio: qui conscriptis omnibus suis prophetiis, ieiunanti populo & in templum congregato, nono mense quinti anni regni Ioacimi legit eum librum, continentem quid templo & vrbi eiusque populo deberet accidere. His auditis principes ei librum adimunt, simúlque iubent tam ipsum quàm eius scribam Baruchum è medio secedere, vt omnes lateat vbi sint: librum verò ad regem pertulerunt. qui præsentibus amicis iussit scribam librum sumere & legere. quo lecto iratus conscidit eum, & iniectum in ignem exussit: iussitque Hieremiam & Baruchum ad se adduci daturos supplicium. sed illi iam se iræ eius subduxerant.

Cap. VIII.

Nabuchodonosorus Ioacimum rursum Aegyptiorum rebus studentem interfecit, & Ioachimum eius filium pro eo regem constituit.

NOn multo pòst venientem cum exercitu Babylonium regem excipit in vrbe, territus prophetæ prædictionibus. quòd enim ab eo sibi non timeret, neque exclusit, nec ad bellum se parauit. At ille receptus non seruauit fidem, sed florem iuuentutis Hierosolymitanæ vnà cum ipso rege interfecit: quem etiam insepultum extra mœnia iussit proiici: & pro eo Ioachimum filium regem vrbis & regionis constituit. eorum verò qui in aliqua dignitate fuerunt, in captiuitatem abduxit Babylonem tria millia, in quibus fuit etiam tum puer Hiezeciel. Hic finis fuit Ioacimi regis, qui vixit annos triginta sex, regnauit vndecim. Successor autem eius Ioachimus, natus matre Hierosolymitana nomine Nosta, regnauit menses tres, dies decem.

Cap. IX.

Babylonius mutata sententia Ioachimum obsidet, deditúmque vltro captiuum Babyloniam abducit.

BAbylonium autem regem statim dedisse regnum Ioachimo pœnituit. Verebatur enim ne memor patris per iniuriam occisi, regionem ad defectionem perpelleret. Misso igitur exercitu Hierosolymis eũ obsedit. qui cùm esset natura bonus & iustus, non sustinuit periclitantem propter se vrbem despicere: sed matrem & cognatos missis à rege ducibus tradidit obsides, icto in hoc cum eis fœdere, quòd nec vrbi mali aliquid inferrent, nec ciuibus. Sed tum quoque ne per integrum quidem annum fides seruata est, Babylonio rege violante eam, & mandãte per literas suis ducibus, vt omnem iuuentutem captiuam ex vrbe abducerent,

IX. 4. Reg. 25.

& quicquid inesset artificum, & vinctos ad se adducerent. fueruntque hi omnes decem millia numero, & octingenti triginta duo, & in his Ioachimus cum amicis ac matre, qui à rege in custodia sunt habiti.

Cap. X.

Sedecias Hierosolymorum rex à Babylonio constituitur.

PRo Ioachimo autem Sedeciam eius patruum regem constituit, iureiurando astrictum quòd nihil in ea regione esset nouaturus, nec iuuaturus Ægyptios. is erat annorum viginti & vnius cùm principatum acciperet, natus eadem matre qua frater Ioacimus, sed iusti ac decori negligens, vt qui æquales quoque circa se haberet impios. quin & totus populus in eandem solutus est licentiam. Quamobrem sæpenumero Hieremias propheta illum adiit, obtestans vt omissis impietatibus iustitiæ curam gereret: néve aut ducibus mentem adhiberet, quòd essent mali plerique, aut falsis prophetis crederet, eum decipientibus, & pollicentibus non oppugnaturum amplius vrbem Babylonium vincendumque bello petitum ab Ægyptiis. hæc enim non verè dici, nec euentura esse vnquam. Sedecias verò tantisper dum audiebat prophetam, agnoscebat eum vera dicere, & in rem suam esse si illi fidem adhibeat: sed per amicos rursum deprauabatur, & abducebatur à prophetæ consiliis in diuersum quocunque vellent. Sed & apud Babylonem Iezeciel eodem tempore vastationem templi prædicebat, eámque prædictionem etiam Hierosolyma transmisit. quibus vaticiniis Sedecias hac potissimùm de causa noluit credere. In cæteris enim omnibus inter se concinebant, quòd & vrbs vi capietur, & Sedecias ipse captiuus abducetur. in hoc verò discrepare videbatur Iezeciel, quòd negaret Sedeciam visurum Babylonem, cùm Hieremias asseuerarct, omnino futurum vt captiuum eum Babylonius rex secum abduceret. quare cùm hic diuersa dicere eos videret, ne illa quidem vera putabat in quibus consentirent: etiamsi euentus omnia vera fuisse comprobauit, sicut aliàs opportuniùs dicetur. Igitur cùm per octo annos socius Babyloniorum fuisset, violato fœdere ad Ægyptios defecit, sperans si cum illis vires coniungeret, Babylonium necessario succumbere. Quo cognito Babylonius exercitum contra eum duxit: vastatáque regione, & occupatis arcibus ad ipsa Hierosolyma oppugnanda accessit. Ægyptius autem audito in quibus angustiis esset Sedecias socius, assumpto valido exercitu Iudæam petiit, volens obsidionem soluere. At Babylonius intermissa obsidione, obuiam illi profectus, vno prælio victum tota Syria expulit. Mox verò vt obsidio soluta est, pseudoprophetæ Sedeciam deceperunt, vanum iactantes quòd à Babyloniis regi eiúsque subditis instaret belli periculum,

A καὶ τεχνίτας, δεδεμένους ἄγειν πρὸς αὐτόν. ἦσαν δὲ οὗτοι πάντες, εἰς μυρίους ὀκτακοσίους τριακονταδύο. καὶ τὸν Ἰωάχιμον μετὰ τῆς μητρὸς καὶ τῶν φίλων. τούτους κομισθέντας πρὸς αὐτὸν εἶχεν ἐν φυλακῇ.

Κεφάλαιον ι'.

Ὅπως ὁ Βαβυλώνιος Σεδεκίαν τῶν Ἱεροσολυμιτῶν βασιλέα κατέστησεν.

B

ΤΟν δὲ θεῖον τοῦ Ἰωαχίμου Σεδεκίαν, ἀπέδειξε βασιλέα, ὅρκους παρ' αὐτοῦ λαβὼν ἦ μὴν φυλάξειν αὐτῷ τὴν χώραν καὶ μηδὲν νεωτερίσειν, μηδὲ τοῖς Αἰγυπτίοις εὐνοήσειν. Σεδεκίας δ' ἦν ἐτῶν εἴκοσι καὶ ἑνός, ὅτε τὴν ἀρχὴν παρέλαβεν, ὁμομήτριος μὲν Ἰωακίμου τοῦ ἀδελφοῦ αὐτοῦ, τῶν δὲ δικαίων καὶ τοῦ δέοντος ὑπερόπτης. καὶ γὰρ οἱ κατὰ τὴν ἡλικίαν ἦσαν ἀσεβεῖς περὶ αὐτόν, καὶ ὁ πᾶς ὄχλος ἐπ' C ἐξουσίας ὕβριζεν ἃ ἤθελε. διὸ καὶ ὁ προφήτης Ἱερεμίας πρὸς αὐτὸν ἐλθὼν πολλάκις ἐμαρτύρετο κελεύων, τὰς μὲν ἄλλας ἀσεβείας, καὶ παρανομίας καταλείπειν, προνοεῖν δὲ τοῦ δικαίου, καὶ μήτε τοῖς ἡγεμόσιν, εἶναι γὰρ ἐν αὐτοῖς πονηρούς, προσανέχειν, μηδὲ τοῖς ψευδοπροφήταις ἀπατῶσιν αὐτὸν πεπιστευκέναι, ὡς οὐκέτι πολεμήσει τὴν πόλιν ὁ Βαβυλώνιος, καὶ ὡς Αἰγύπτιοι στρατεύσουσιν ἐπ' αὐτὸν καὶ νικήσουσι. ταῦτα γὰρ οὐκ ἀληθῆ λέγειν, οὐδ' οὕτως D ὀφείλοντα γενέσθαι. ὁ δὲ Σεδεκίας, ἐφ' ὅσον μὲν ἤκουε τοῦ προφήτου ταῦτα λέγοντος, ἐπείθετο αὐτῷ καὶ συνῄδει πᾶσιν ὡς ἀληθεύουσι, καὶ συμφέρειν αὐτῷ πεπιστευκέναι. διέφθειραν δὲ πάλιν αὐτὸν οἱ φίλοι καὶ διῆγον ἀπὸ τοῦ προφήτου πρὸς ἅπερ ἤθελον. προεφήτευσε δὲ καὶ Ἰεζεκίηλος ἐν Βαβυλῶνι, τὰς μελλούσας τῷ ναῷ συμφοράς, καὶ ἀκούσας ταῦτα ἔπεμψεν εἰς Ἱεροσόλυμα. ταῖς δὲ προφητείαις αὐτῶν Σεδεκίας ἠπίστησεν, E ἐκ τοιαύτης αἰτίας. τὰ μὲν ἄλλα πάντα συμφωνοῦντα τοῖς προφήταις ἀλλήλοις εἰπεῖν συνέβη, ὅτι τε ἡ πόλις ἁλώσεται καὶ Σεδεκίας αὐτὸς αἰχμάλωτος ἔσται. διεφώνησε δὲ Ἰεζεκίηλος εἰπών, οὐκ ὄψεσθαι Βαβυλῶνα τὸν Σεδεκίαν, τοῦ Ἱερεμίου φάσκοντος αὐτῷ ὅτι δεδεμένον αὐτὸν ὁ Βαβυλώνιος ἀπάξει βασιλεύς. καὶ διὰ τὸ μὴ ταὐτὸν αὐτοὺς ἑκατέρους λέγειν, καὶ περὶ ὧν συμφωνεῖν ἐδόκουν, ὡς οὐδ' ἐκεῖνα ἀληθῆ λέ- F γουσι γνούς, καί τοι πάντα αὐτῷ κατὰ τὰς προφητείας ἀπήντησε, ἅπερ ἐν καιρῷ ἑτέρῳ δηλώσομεν, τὴν συμμαχίαν καὶ τὴν πρὸς τοὺς Βαβυλωνίους ἐπὶ ἔτη ὀκτὼ κατασχών, διέλυσε τὰς πρὸς αὐτοὺς πίστεις, καὶ τοῖς Αἰγυπτίοις προστίθεται κατὰ λύσειν τοὺς Βαβυλωνίους ἐλπίσας, ἂν μετ' ἐκείνων γένοιτο. μαθὼν δὲ τοῦτο ὁ τῶν Βαβυλωνίων βασιλεύς, ἐστράτευσεν ἐπ' αὐτόν, καὶ τὴν χώραν κακώσας αὐτοῦ, καὶ τὰ φρούρια λαβών, ἐπ' αὐτὴν G ἧκε τὴν τῶν Ἱεροσολυμιτῶν πόλιν πολιορκήσων αὐτήν. ὁ δὲ Αἰγύπτιος ἀκούσας ἐν οἷς ἐστιν ὁ σύμμαχος αὐτοῦ Σεδεκίας, ἀναλαβὼν πολλὴν δύναμιν, ἧκεν εἰς τὴν Ἰουδαίαν ὡς λύσων τὴν πολιορκίαν. ὁ δὲ Βαβυλώνιος ἀφίσταται τῶν Ἱεροσολύμων, ἀπαντήσας δὲ τοῖς Αἰγυπτίοις, καὶ συμβαλὼν αὐτοῖς τῇ μάχῃ νικᾷ, καὶ τρεψάμενος αὐτούς, εἰς φυγὴν ἐξ ὅλης διώκει τῆς Συρίας. ὡς δ' ἀνεχώρησεν ὁ τῶν Βαβυλωνίων βασιλεὺς ἀπὸ τῶν Ἱεροσολύμων, ἐξηπάτησαν οἱ ψευδοπροφῆται τὸν Σεδεκίαν λέγοντες, οὔτε τὸν Βαβυλώνιον αὐτῷ ἔτι πολεμήσειν καὶ τοὺς ὁμοφύλους,

οὔτε

οὔτε ἀναστήσειν ἐκ τῆς οἰκείας εἰς τὴν Βαβυλῶνα. μετὰ πάντων δὲ ἥξειν τοὺς αἰχμαλώτους τῶν τοῦ ναοῦ σκευῶν, ὧν ἐσύλησεν ὁ βασιλεὺς ἐκ τοῦ νεώ. τὰ ἐναντία δὲ τούτων καὶ ἀληθῆ παρελθὼν ὁ ἱερεμίας προεφήτευσεν, ὡς ἐπιοῦσι μὲν κακῶς καὶ ἐξαπατῶσι τὸν βασιλέα. παρὰ δὲ τῶν αἰγυπτίων οὐδὲν ἐστὶν αὐτοῖς ὄφελος, ἀλλὰ νικήσας αὐτοὺς ὁ βαβυλώνιος, ἐπιστρατεύειν εἰς τὰ ἱεροσόλυμα μέλλει. καὶ πολιορκήσει τε καὶ τῷ λιμῷ διαφθαρεῖ τὸν δῆμον, καὶ τοὺς περιλειφθέντας αἰχμαλώτους ἄξει, καὶ τὰς οὐσίας διαρπάσει, καὶ τὸν ἐν τῷ ναῷ πλοῦτον ἐκφορήσας ἔτι καὶ αὐτὸν ἐμπρήσει, καὶ κατασκάψει τὴν πόλιν. καὶ δουλεύσομεν αὐτῷ καὶ τοῖς ἐκγόνοις αὐτοῦ ἐπὶ ἔτη ἑβδομήκοντα. παύσουσι δὲ ἡμᾶς τότε τῆς ἐπ' αὐτοῖς δουλείας πέρσαι τε καὶ μῆδοι, καταλύσαντες βαβυλωνίους. ἀφ' ὧν εἰς τήνδε ἀπολυθέντες οἰκοδομήσομεν τὸν ναὸν πάλιν, καὶ τὰ ἱεροσόλυμα καταστήσομεν. ταῦτα λέγων ὁ ἱερεμίας ὑπὸ μὲν τῶν πλειόνων ἐπιστεύετο. οἱ δὲ ἡγεμόνες καὶ οἱ ἀσεβεῖς, ὡς ἐξεστηκότα τῶν φρενῶν αὐτὸν οὕτως ἐξεφαύλιζον. δόξαν δὲ αὐτῷ που εἰς τὴν πατρίδα παραγενέσθαι λεγομένην ἀναθώθ, σταδίους δὲ ἀπέχουσαν ἱεροσολύμων εἴκοσι, συντυχὼν κατὰ τὴν ὁδὸν τῶν ἀρχόντων τις, συλλαβὼν κατεῖχε, συκοφαντῶν ὡς πρὸς τοὺς βαβυλωνίους αὐτομολοῦντα. ὁ δὲ ψευδῆ μὲν ἐκεῖνον ἔλεγεν αἰτίαν ἐπιφέρειν αὐτῷ, βαδίζειν δὲ αὐτὸν ἔφασκεν εἰς τὴν πατρίδα. ὁ δ' οὐ πεισθεὶς, ἀλλὰ συλλαβὼν αὐτὸν, ἤγαγεν εἰς δίκην πρὸς τοὺς ἄρχοντας, ὑφ' ὧν πᾶσαν αἰκίαν καὶ βασάνους ὑπομείνας, ἐφυλάττετο πρὸς τιμωρίαν. καὶ χρόνον μέν τινα διῆγεν, οὕτως ἀδίκως πάσχων τὰ προειρημένα. ἔτει δὲ ἐνάτῳ τῆς σεδεκίου βασιλείας, καὶ ἡμέρᾳ δεκάτῃ τοῦ δεκάτου μηνὸς, στρατεύει τὸ δεύτερον ὁ τῶν βαβυλωνίων βασιλεὺς ἐπὶ τὰ ἱεροσόλυμα, καὶ προσκαθίσας αὐτῇ μῆνας ὀκτωκαίδεκα, μετὰ πάσης πολιορκεῖ φιλοτιμίας. συνεπέθετο δὲ εἰς ταυτὸ πολιορκουμένοις τοῖς ἱεροσολύμοις, δύο τὰ μέγιστα τῶν παθῶν, λιμὸς καὶ φθορὰ λοιμική, ἐνσκηψάντων σφοδρῶς. ἐν δὲ τῇ εἱρκτῇ τυγχάνων ὁ προφήτης ἱερεμίας οὐχ ἡσύχαζεν, ἀλλ' ἐκεκράγει, καὶ ἐκήρυσσε παραινῶν τῷ πλήθει δέξασθαι τὸν βαβυλώνιον ἀνοίξαντας τὰς πύλας. σωθήσεσθαι γὰρ αὐτοῖς πανοικὶ τοῦτο πράξαντας, εἰ δὲ μὴ διαφθαρήσεσθαι. προύλεγε δὲ ὡς εἰ μὲν ἐπιμένει τις ἐν τῇ πόλει πάντως ἀπολεῖται θατέρῳ, ἢ λιμῷ δαπανηθεὶς, ἢ σιδήρῳ τῷ τῶν πολεμίων. εἰ δὲ φύγοι πρὸς τοὺς πολεμίους, διαδράσεται τὸν θάνατον. οὐ δὲ ἐν αὐτοῖς δὲ ὄντες τοῖς δεινοῖς ἐπίστευον οἱ ταῦτ' ἀκούοντες τῶν ἡγεμόνων, ἀλλὰ μετ' ὀργῆς ἀπήγγελλον ἐλθόντες πρὸς τὸν βασιλέα, καὶ κατηγοροῦντες, καὶ ἠξίουν τὸν προφήτην ὡς μεμηνότα, καὶ τὰς ψυχὰς αὐτῶν προκατακλῶντα, καὶ ταῖς τῶν χειρόνων καταγγελίαις πρόθυμον ἐκλύοντα τοῦ πλήθους. ἕτοιμον γὰρ εἶναι αὐτὸ ὑπὲρ αὐτοῦ καὶ τῆς πατρίδος. ὁ δὲ ἀπειλεῖ πρὸς τοὺς πολεμίους φεύγων, ἁλώσεσθαι λέγων τὴν πόλιν, καὶ πάντας ἀπολεῖσθαι. ὁ δὲ βασιλεὺς αὐτὸς μὲν ὑπὸ χρηστότητος καὶ δικαιοσύνης, οὐδὲν ἰδίᾳ παρεξώθη, ἵνα δὲ μὴ τοῖς ἡγεμόσιν ἀπεχθάνηται παρὰ τοιοῦτον καιρὸν ἀντιπράττων τῇ προαιρέσει, τὸν προφήτην ἐφῆκεν αὐτοῖς ποιεῖν ὅτι ἂν θέλωσιν. οἱ δὲ τοῦτο ἐφέντος αὐτοῖς τοῦ βασιλέως, εὐθὺς εἰς τὴν εἱρκτὴν εἰσελθόντες, καὶ παραλαβόντες αὐτὸν, εἴς τινα λάκκον βορβόρου πλήρη καθιμήσαντο, ὅπως ἰδίῳ θανάτῳ πνιγεὶς ἀποθάνῃ. ὁ δὲ πρὸς τὸν αὐχένα ὑπὸ τοῦ πηλοῦ περισχεθεὶς, ἐν πόνοις ἦν. τῶν δ' οἰκετῶν τις τοῦ βασιλέως, ἐν τιμῇ τυγχάνων, αἰθίοψ τὸ γένος,

quódve transferendi essent è suis sedibus in Babyloniam, imò etiam captiuos reddituros esse cum omnibus vasis, quibus rex templum spoliauerat. At Hieremias adito rege omnia vera & his contraria prænuntiat, dicens eos regem decipere, nihílque commodi sperandum ab Ægyptiis. sed victis illis Babylonium copias ad Hierosolyma reducturum, & quotquot oppugnationi ac fami superfuerint, captiuos abducturum: direptísq; omnium facultatibus, & exhaustis templi diuitiis, in vrbem simul & templum ferro ac flammis sæuituru͂, nullo sacri aut profani discrimine. Et seruiemus, inquit, ei posterísque eius per annos LXX. à qua seruitute Persæ & Medi nos eripient, extincto Babyloniorum imperio. quoru͂ ope dimissi, & huc reuersi templum ædificabimus denuò, & Hierosolyma restituemus. Hęc dicens Hieremias plerísque persuadebat: principes verò & impij velut furiosum contemnebant. Cúmq; aliquando libuisset ei natale solu͂ Anathoth reuisere, quòd à Hierosolymis XX. stadiis est dissitum, quidam è magistratibus in itinere fortè obuius co͂prehensum detinuit, calumnians quòd ad Babylonios vellet transfugere. propheta contrà negauit eum verum crimen afferre, sed ire se in patriam. at ille nihil eius verbis motus, duxit eum ad magistratus in iudicium, à quibus diu tortus & excruciatus seruabatur ad supplicium, & aliquanto tempore coactus est viuere in his afflictionibus. Anno autem nono regni Sedecię, decima die mensis decimi, Babylonius rex iterum exercitum admouit Hierosolymis: & co͂tinuata per XVIII. menses obsidione, modis omnibus expugnare vrbem conatus est. præter externam autem oppugnatione͂ duobus grauibus malis intus impugnabatur ciuitas, fame simul & pestilentia vehementer grassantibus. Interim Hieremias in carcere non quiescebat, sed clamabat ad multitudinem, apertis portis recipiendum Babylonium: nam hoc facto seruados esse vnà cum totis familiis, alioquin sine remedio perituros. addebat manentibus in vrbe hostili ferro aut fame pereundu͂. qui verò ad hoste͂ perfugerint, mortem euasuros. At principes ne malis quide͂ pressi audire volebant, sed irati ad regem omnia deferebát, incusabántq; prophetam vt furentem, & frangentem sibi animos, & obnunciandis calamitatibus omnem populi promptitudinem & alacritatem eneruante͂. illos enim paratos pugnare pro patria, hu͂c verò minari tristia, & dicere expugnatam vrbem omnino subuerte͂dam esse. Rex verò suopte quidem ingenio no͂ exacerbabatur: sed ne in principum inuidiam tali tempore incurreret volu͂tati eorum resistens, permisit eis vt de propheta quicquid liberet facerent: quo impetrato ce͂festim carcerem petentes, exemptum inde in que͂dam cœnosum puteum per funem demiserunt, vt ibi præfocatus moreretur. ille verò vsque collum mersus ibi manebat. interim quidá è seruis regis charioribus, genere Æthiops,

renunciat domino quid prophetæ acciderit, dicens non rectè principes statuisse & amicos, quòd vatem in cœnum demerserint, & grauiorem quàm quæ in vinculis erat expectanda, mortem homini excogitauerint. His auditis rex pœnitentia prioris consilij, quòd principibus prophetam in potestatem tradiderat, iubet Æthiopem triginta socios è suo famulitio sibi assumere, funésque capere, & quicquid ad viri incolumitatem opus sit, & quantum potest propere è puteo Hieremiam extrahere. tum Æthiops assumptis quemadmodum iussus erat sociis, extractum è cœno permisit abire liberum. Accitus deinde clàm ad regem, interrogatus est ecquod posset diuinitus afferre ad rem præsentem remedium. ille habere se ait, sed neminem crediturum sibi, aut præceptis suis obtemperaturum. Sed omnes, inquit, amici tui quasi maleficum cupiunt me perdere. & vbi nunc sunt impostores illi qui negabant Babylonium amplius rediturum? Quamobrem vereor apud te veritatem promere, ne fortè in vitam meam sæuias. Sed cùm rex iureiurando confirmasset, nec se illum interfecturum, nec amicos id facere passurum, fretus accepta fide, consuluit vt vrbem Babyloniis dederet. ita enim se internuncio iubere Deum, si modò velit incolumis esse, & imminens periculum euadere, & cauere ne vrbs solo æquetur, templumque tradatur incendio. Ni faciat, ipsum fore omnium malorum causam tam sibi ac suæ familiæ, quàm vniuerso populo. Tum rex, se quidem cupere facere quę vates in rem communem consuleret: sed timere amicos qui iam ad Babylonios transfugerant, ne ab illis accusatus apud regem traderetur supplicio. at propheta addebat illi animum, vanum eum timorem esse dictitans. nihil enim mali passurum, si ciuitatem dederet, ac ne vxores quidem eius & liberos: mansurum etiam templum incolume. Hæc locutum Hieremiam rex dimisit: iussum nemini ciuium communicatum inter ipsos consilium prodere, ac ne principibus quidem indicare, si cognito collocutos se esse, percontarentur, cúrnam esset à rege accersitus: sed prætexendum quòd venerit rogatum, ne posthac amplius haberetur in vinculis. id quod factum est à propheta: volebant enim scire quánam de causa accessisset ad Sedeciam.

Cap. XI.

Captis Hierosolymis Nabuchodonosorus populum traducit in Babyloniam.

INterea Babylonius pergebat in oppugnandis acriter Hierosolymis, extructis aggeribus, & erectis turribus, è quib⁹ arcebat propugnatores stàtes in mœnibus. multos enim aggeres circumquaq. excitauerat, vrbis muro altitudine pares. Nec segniter interim defendebatur vrbs, ciuibus nec fami nec pesti succūbentibus,

τὸ περὶ τὸν προφήτην πάθος ἀπήγγειλε τῷ βασιλεῖ, φάσκων οὐκ ὀρθῶς ταῦτα τοὺς φίλους καὶ τοὺς ἡγεμόνας αὐτοῦ πεποιηκέναι, καταποντίσαντας εἰς βόρβορον τὸν προφήτην, καὶ τοῦ διὰ τῶν δεσμῶν θανάτου πικρότερον οὕτως ἐσόμενον ἐπινοήσαντας κατ' αὐτοῦ. ταῦτ' ἀκούσας ὁ βασιλεὺς, καὶ μετανοήσας ἐν τῷ παραδοῦναι τὸν προφήτην τοῖς ἡγεμόσιν, ἐκέλευσε τὸν αἰθίοπα, τριάκοντα τῶν βασιλικῶν παραλαβόντα, καὶ σχοινία, καὶ πᾶν ὃ πρὸς τὴν τοῦ προφήτου σωτηρίαν ἐπινοεῖ χρήσιμον, μετὰ σπουδῆς ἀνελκύσαι τὸν ἱερεμίαν. ὁ δὲ αἰθίοψ, παραλαβὼν οὓς ἐπετάγη, ἀνέσπασεν ἐκ τοῦ βορβόρου τὸν προφήτην καὶ διαφῆκεν ἀφύλακτον. μεταπεμψαμένου δ' αὐτὸν κρύφα τοῦ βασιλέως, καὶ τί δύναται φράζειν αὐτῷ παρὰ τοῦ θεοῦ, καὶ πρὸς τὰ παρόντα σημαίνειν ἐρομένου. ἔχειν μὲν ἔλεγεν, οὐ πιστευθήσεσθαι δ' εἰπὼν, οὐδὲ παραινέσας, ἀκουσθήσεσθαι, ἀλλ' ὡς δὴ μέγα κακόν τι ἐργασάμενον, ἀπολέσαι διέγνωσαν οἱ σοὶ φίλοι φησί. καὶ ποῦ νῦν εἰσὶν οἱ τὸν βαβυλώνιον οὐκ ἔθ' ἡμῖν ἐπιστρατεύσειν φάσκοντες καὶ ἀπατῶντες. δέδοικα μὲν γὰρ νῦν γε τὴν ἀλήθειαν εἰπεῖν, μή με κατακρίνῃς θανάτῳ. τοῦ δὲ βασιλέως, ὅρκους αὐτῷ δόντος, ὡς οὔτε αὐτὸς αὐτὸν ἀναιρήσει, οὔτε τοῖς ἡγεμόσιν ἐκδώσει, θαρρήσας τε τῇ λεγομένῃ πίστει, συνεβούλευσεν αὐτῷ παραδοῦναι τὴν πόλιν τοῖς βαβυλωνίοις. ταῦτα δὲ αὐτῷ τὸν θεὸν δι' αὐτοῦ προφητεύειν ἔλεγεν, εἴγε βούλεται σώζεσθαι, καὶ τὸν ἐφεστῶτα κίνδυνον διαφυγεῖν. καὶ μήτε τὴν πόλιν εἰς ἔδαφος πεσεῖν, μήτε τὸν ναὸν ἐμπρησθῆναι. αὐτὸν γὰρ τούτων παραίτιον ἔσεσθαι τῶν κακῶν τοῖς πολίταις, καὶ αὐτῷ πανοικὶ τῆς συμφορᾶς. ὁ δὲ ταῦτ' ἀκούσας, βούλεσθαι μὲν αὐτὸν ἔφη, ποιεῖν ἃ παραινεῖ καὶ λέγει συνοίσειν αὐτῷ γινόμενα. δεδοικέναι δὲ τοὺς αὐτομολήσαντας τῶν φίλων πρὸς τοὺς βαβυλωνίους, μὴ διαβληθεὶς ὑπ' αὐτῶν τῷ βασιλεῖ κολασθῇ. παρεθάρσυνε δ' αὐτὸν ὁ προφήτης, καὶ μάτην ὑπονοεῖν τὴν τιμωρίαν ἔλεγεν. οὐδενὸς γὰρ κακοῦ πειραθήσεσθαι, παραδόντα τοῖς βαβυλωνίοις, οὔτ' αὐτὸν οὔτε τὰ τέκνα, οὔτε τὰς γυναῖκας, μενεῖν δὲ καὶ τὸν ναὸν ἀπαθῆ. καὶ τὸν μὲν ἱερεμίαν ταῦτ' εἰπόντα, ὁ βασιλεὺς ἀπέλυσε, προστάξας αὐτῷ, μηδενὶ τῶν πολιτῶν τὰ δόξαντα αὐτοῖς ἐξενεγκεῖν, ἀλλὰ μηδὲ τοῖς ἡγεμόσιν, εἰ μαθόντες αὐτὸν ὑπ' αὐτοῦ μετάπεμπτον γεγονέναι πυνθάνονται τί κληθεὶς εἴποι πρὸς αὐτὸν φράζειν τι τούτων· ἀλλὰ σκήπτεσθαι πρὸς αὐτοὺς, ὅτι δεηθείη, μὴ ἐν δεσμοῖς τυγχάνειν καὶ φυλακῇ. καὶ δὴ τοῦτο πρὸς αὐτοὺς ἔλεγεν. ἐπυνθάνοντο γὰρ ἐλθόντες πρὸς τὸν προφήτην, τί περὶ αὐτοῦ ἀφίκοιτο πρὸς τὸν βασιλέα σκήπτεσθαι. ταῦτα μὲν οὕτως ἐλέχθη.

Κεφάλαιον ιά.

Ἱεροσολύμων ἅλωσις, καὶ ὡς ὁ ναβουχοδονόσορος τὸν δῆμον μετῴκισεν εἰς βαβυλῶνα.

ΤΗς δὲ πολιορκίας τῶν ἱεροσολύμων ὁ βαβυλώνιος ἐντεταμένως σφόδρα καὶ προθύμως εἴχετο, πύργους τε μεγάλων οἰκοδομήσας χωμάτων, ἀπ' αὐτῶν ἀνεῖργε τοὺς τοῖς τείχεσιν ἐφεστῶτας, καὶ πολλὰ περὶ τὸν κύκλον ὅλον ἤγειρε χώματα, τοῖς τείχεσι τὸ ὕψος ἴσα. καρτερῶς δὲ καὶ προθύμως ἔφερον οἱ ἐντὸς τὴν πολιορκίαν. ἔκαμνον γὰρ οὔτε πρὸς τὸν λιμὸν, οὔτε πρὸς τὴν νόσον τὴν λοιμικήν.

ἀλλὰ

ἀλλὰ καίπερ ἔνδον ὑπὸ τούτων ἐλαυνόμενοι τῶν παθῶν, τὰς ψυχὰς ἔρρωντο πρὸς τὸν πόλεμον, μήτε πρὸς τὰς ἐπινοίας τῶν ἐχθρῶν καὶ τὰ μηχανήματα καταπληττόμενοι, ἀλλ' ἀντιμηχανήματα παρ' ἐκείνων ἀντεπινοοῦντες, ὡς εἶναι τὸν ὅλον ἀγῶνα καὶ τοῖς βαβυλωνίοις, καὶ τοῖς ἱεροσολυμίταις, τῆς ὀξύτητος καὶ συνέσεως, τῶν μὲν πλέον ἐν ταύτῃ δυνηθῆναι τὴν αἵρεσιν οἰομένων εἶναι τῆς πόλεως, τῶν δὲ τὴν σωτηρίαν οὐκ ἐν ἄλλῳ τιθεμένων, ἢ ἐν τῷ μὴ καμεῖν ἀντεφευρίσκοντας οἷς μάταια τὰ τῶν ἐχθρῶν ἀπελεγχθήσεται μηχανήματα. καὶ ταῦτ' ὑπέμειναν, ἐπὶ μῆνας ὀκτωκαίδεκα, ἕως οὗ διεφθάρησαν ὑπὸ τοῦ λιμοῦ, καὶ τῶν βελῶν, ἅπερ ἀπὸ τῶν πύργων εἰς αὐτοὺς ἠκόντιζον οἱ πολέμιοι. ᾑρέθη δ' ἡ πόλις, ἑνδεκάτῳ ἔτει τῆς σεδεκίου βασιλείας, τοῦ τετάρτου μηνὸς τῇ ἐνάτῃ ἡμέρᾳ. εἷλον δ' οὖν οἱ ἡγεμόνες τῶν βαβυλωνίων, οἷς ἐπίστευσε τὴν πολιορκίαν ὁ ναβουχοδονόσορος. αὐτὸς γὰρ ἐν ῥεβλαθᾷ διέτριβε πόλει. τὰ δὲ τῶν ἡγεμόνων ὀνόματα εἴτις ἐπιζητήσειε γνῶναι, οἵτινες τὰ ἱεροσόλυμα πορθήσαντες ὑπέταξαν, νηργελέαρος, ἀρέμαντος, ἐμεγάρος, ναβώσαρις, ἐχαράμψαρις. ἁλούσης δὲ τῆς πόλεως περὶ μέσην νύκτα, καὶ τῶν ἡγεμόνων τῶν πολεμίων εἰσελθόντων εἰς τὸ ἱερὸν, γνοὺς ὁ σεδεκίας ὁ βασιλεὺς, παραλαβὼν τὰς γυναῖκας καὶ τὰ τέκνα, καὶ τοὺς ἡγεμόνας, καὶ τοὺς φίλους, φεύγει μετ' αὐτῶν ἐκ τῆς πόλεως διὰ τῆς καρτερᾶς φάραγγος καὶ διὰ τῆς ἐρήμου. φρασάντων δὲ τοῦτο τινῶν αὐτομόλων τοῖς βαβυλωνίοις, ὑπὸ τὸν ὄρθρον ὥρμησαν διώκειν αὐτόν. καταλαβόντες δὲ οὐκ ἄπωθεν ἱεριχοῦντος, ἐκύκλωσαν αὐτόν. οἱ δὲ φίλοι καὶ οἱ ἡγεμόνες οἱ συμφυγόντες τῷ σεδεκίᾳ, ἐπεὶ τοὺς πολεμίους ἐγγὺς ὄντας εἶδον, καταλιπόντες αὐτὸν διεσπάρησαν, ἄλλος ἀλλαχόσε, καὶ σώζειν ἑαυτὸν ἕκαστος ἔγνω. περιλειφθέντα δ' αὐτὸν σὺν ὀλίγοις, ζωγρήσαντες οἱ πολέμιοι μετὰ τῶν τέκνων καὶ τῶν γυναικῶν, ἤγαγον πρὸς τὸν βασιλέα. παραγενόμενον δ' αὐτὸν, ὁ ναβουχοδονόσορος, ἀσεβῆ καὶ παράσπονδον ἀποκαλεῖν ἤρξατο, καὶ ἀμνήμονα τῶν πρόσω λόγων, οὓς ἐποιήσατο, σώζειν αὐτῷ τὴν χώραν ὑπισχνούμενος. ὠνείδιζε καὶ ἀχαριστίαν, παρ' αὐτοῦ μὲν λαβόντι τὴν βασιλείαν, ἰακίμου γὰρ αὐτὴν οὖσαν ἀφελόμενον ἐκείνῳ δοῦναι, χρησαμένῳ δὲ τῇ δυνάμει κατὰ τοῦ παρασχόντος. ἀλλὰ μέγας εἶπεν ὁ θεὸς, ὃς μισήσας σου τὸν τρόπον, ὑποχείριον ἡμῖν ἔθηκε. χρησάμενος δὲ τούτοις πρὸς σεδεκίαν τοῖς λόγοις, τοὺς υἱοὺς ἐκέλευσε παραχρῆμα καὶ τοὺς φίλους θῦσαι, αὐτοῦ τε σεδεκίου καὶ τῶν ἄλλων αἰχμαλώτων βλεπόντων. ἔπειτα τοὺς ὀφθαλμοὺς ἐκκόψας τοῦ σεδεκίου, δήσας ἤγαγεν εἰς βαβυλῶνα. καὶ ταῦτα αὐτῷ συνέβη, ἃ ἱερεμίας τε καὶ ἰεζεκίηλος οἱ προφῆται προεφήτευσαν αὐτῷ, ὅτι συλληφθεὶς ἀχθήσεται πρὸς τὸν βαβυλώνιον, καὶ λαλήσει αὐτῷ κατὰ στόμα, καὶ ὄψεται τοῖς ὀφθαλμοῖς τοὺς ὀφθαλμοὺς αὐτοῦ. καὶ ταῦτα μὲν ἱερεμίας εἶπε. τυφλωθεὶς δὲ καὶ ἀχθεὶς εἰς βαβυλῶνα, ταύτην οὐκ εἶδε καθὼς ἰεζεκίηλος προεῖπε. ταῦτα μὲν οὖν ἱκανὰ ἐμφανίσαι δυνάμενα τὴν τοῦ θεοῦ φύσιν τοῖς ἀγνοοῦσιν εἰρήκαμεν, ὅτι ποικίλη τ' ἐστὶ καὶ πολύτροπος, καὶ πάντα καθ' ὥραν ἅπαντα τεταγμένως, ἅτε δεῖ γενέσθαι προλέγει, τήν τε τῶν ἀνθρώπων ἄγνοιαν καὶ ἀπιστίαν, ὑφ' ἧς προϊδεῖν οὐδὲν ἐάθησαν τῶν ἀποβησομένων, ἀφύλακτοι δὲ ταῖς συμφοραῖς παρεδόθησαν, ὡς ἀμήχανον αὐτοῖς εἶναι, τὴν ἐξ αὐτῶν πεῖραν διαφυγεῖν. οἱ μὲν οὖν ἐκ τοῦ δαβίδου γένους βασιλεύσαντες, οὕτως κατέστρεψαν τὸν βίον.

ſed obduratis animis omnia mala perferentibus, ac ne machinis quidem hoſtium territi, alias contrà machinas excogitabant; vt inter ſe vtrique non viribus ſolùm certarent, verùmetiam artibus; dum illi his potiſſimum ſperant ſe vrbem poſſe capere, hi ſalutem ſuam in eo putant conſiſtere, ſi non ceſſent nouis commentis illorum conatus ludificari. atq; id certamen durauit per mẽſes decem & octo, donec tandem ſuccubuêre, partim inedia victi, partim ſuperne è turribus telorũ multitudine oppreſſi. Capta eſt autem vrbs vndecimo anno regni Sedeciæ, quarti menſis die nona. ceperuntque eam duces Babyloniorum, quibus Nabuchodonoſorus oppugnationem commiſerat, dum ipſe apud Reblatha degeret. quòd ſiquis requirat eorum ducum etiã nomina, ſunt hæc: Nergelear, Aremantus, Emegar, Naboſaris, Echarampſaris. Vrbe autem capta circa mediam noctem, & ducibus ac reliquis hoſtibus in templum ingreſſis, Sedecias rex vbi hoc ſenſit, aſſumptis vxoribus, liberis, ducibus & amicis, fugam arripuit per fauces quaſdã anguſtas in deſertũ. quod cùm Babylonij cognouiſſent transfugarum indicio, ſub auroram aggreſſi ſunt eos perſequi, & aſſecuti eos non procul à Hierichunte circumuenerunt. Amici verò & duces fugæ comites viſis è propinquo hoſtibus, relicto Sedecia diſſipati ſunt quà quemque tulit ſpes effugij. Ipſe penè deſertus cum vxoribus ac liberis & paucis amicis in hoſtium poteſtatem deuenit, & mox ad regem perductus eſt. Quem poſtquàm in conſpectu habuit Nabuchodonoſorus, impium & fœdifragum vocare cœpit, promiſſionum immemorem, quòd regi ſeruare illam regionem eſſet pollicitus. exprobrabat etiam ingratitudinẽ, quòd cùm à ſe accepiſſet regnum Ioacimo fratri debitum, accepta poteſtate abuſus eſſet in autorem beneficij. Sed magnus eſt, inquit, Deus qui te propter mores tuos peſſimos in manus meas tradidit. His verbis cum Sedeciam increpuiſſet, eueſtigio iuſſit ipſo & aliis captiuis inſpectãtibus filios eius & amicos trucidari. Deinde ipſum excæcauit, Babylonem ſecum abducendum. Atq; ita vtriuſque prophetæ prædictiones, tam Hieremiæ quàm Iezecielis, quamuis ab illo contemptæ, euentu non vanæ fuiſſe comprobatæ ſunt. quòd captus abducetur ad Babylonium, & coràm cum eo loquetur, & oculis ſuis faciem eius videbit, Hieremias prædixit. quòd verò cæcatus primò cum Babylonem perductus eſſet videre eam non potuit, Iezecielis fuerat vaticinium. Quæ quidem ignorantibus ſatis declarare poſſunt Dei naturam, quàm varia ſit & multimoda, omnia tempeſtiuè diſponens, & futura præſignificans: ſicut humanæ inſcitię & incredulitatis inſigne exemplum hîc eminet, per quam non licuit eis futuram calamitatem euitare, vt ne cauerent quidem fatum ineluctabile. Atq; hic fuit Dauidici generis regum exitus, qui vnus & viginti regnauerunt deinceps:

idque temporis spacium quingentos & quindecim annos continet, & menses insuper sex cum diebus decem: annumeratis viginti annis primi regis Sauli, qui fuit tribus alterius. Cæterùm Babylonius post victoriam Nabuzardanem ducem misit Hierosolyma cum mandatis, vt templum spoliatum incenderet, regia quoque similiter cremata vrbem à fundamentis dirueret, populum in Babyloniam traduceret. Qui cùm eò peruenisset vndecimo Sedeciæ regni anno, è templo vasa omnia tam aurea quàm argentea sustulit, & labrum quoque illud grande quod Solomon dedicauerat. præterea columnas illas æreas cum suis capitulis, & mensas aureas atque candelabra. His sublatis templum incendit mensis quinti die prima, anno regni Sedeciæ vndecimo, regni verò Nabuchodonosori XVIII. deinde & regiam incendit, & vrbem diruit. Incensum est autem templum annis ex quo extructum fuerat elapsis CCCCLXX. mensibus sex, & diebus decem additis. exactis à transmigratione ex Ægypto annis MLXII. mensibus sex, diebus decem. A diluuio autem vsq; ad templi deuastationem intercesserunt anni MDCCCCL. menses sex, dies decem. Ab Adamo item condito vsque ad hunc templi casum tria millia annorum elapsa sunt, & insuper DXIII. menses sex, dies decem. Tantus censetur annorum numerus, quo temporis spacio quid & quando gestum sit, suo quæque ordine explicauimus. Dirutis Hierosolymis, & populo migrare iusso, dux regius captiuos fecit hos: pontificem Saream, & qui post hunc secundum inter sacerdotes locum tenebat, Sephemam: tres præfectos custodiæ templi, eunuchum primarium regis cubicularium, cum septem aliis regiis amicis: præterea scribam regium, & alios principes viros sexaginta. quos omnes vnà cum spoliis templi perduxit ad regem suum agentem tunc Reblathis, quæ est Syriæ ciuitas. Rex verò pontificem & principes in ea vrbe iussit capite plecti, reliquam captiuorum multitudinem & in his Sedeciam ipse Babylonem perduxit, Iosadocum etiam pontificem vinctum secum duxit, Sareæ pontificis filium, quem modò Reblathis affectum supplicio diximus. Nunc quoniam regum genus & eorum successionem ordine recensuimus, conueniens duxi etiam pontificum enumerare nomina, qui regum tempore per continuatas successiones summum administrauerunt sacerdotium. Ergo primus omnium in templo recèns à Solomone extructo pontifex fuit Sadocus, cui filius Achimas successit. post Achimam Azarias, & post hunc Ioramus. post Ioramum Isus, & deinceps Axioramus, Phideas, Sudeas, Iulus, Iothamus, Vrias, Nerias, Odeas, Saldumus, Elcias, Sareas, Iosadocus qui captiuus Babylonem pertractus est. hi omnes quasi per manus traditum sacerdotium filij parentum successores acceperunt, continuata generis serie. Cæterùm rex Babylonem reuersus,

Anni mũdi.

εἴκοσι μὲν καὶ εἷς γενόμενοι, μέχρι τοῦ τελευταίου βασιλέως. ἔτη δὲ πάντες βασιλεύσαντες, πεντακόσια καὶ δεκατέσσαρα, καὶ μῆνας ἓξ καὶ ἡμέρας δέκα, ἐξ ὧν εἴκοσι τὴν ἀρχὴν κατέσχεν ὁ πρῶτος αὐτῶν βασιλεὺς σάουλος, οὐκ ἐκ τῆς αὐτῆς φυλῆς ὑπάρχων. ὁ δὲ βαβυλώνιος πέμπει τὸν αὐτοῦ στρατηγὸν ναβουζαρδάνην εἰς ἱεροσόλυμα, συλήσοντα τὸν ναόν, προστάξας ἅμα καὶ καταπρῆσαι αὐτόν τε καὶ τὰ βασίλεια, τήν τε πόλιν εἰς ἔδαφος καθελεῖν, καὶ τὸν λαὸν εἰς τὴν βαβυλωνίαν μεταστῆσαι. ὃς γενόμενος ἐν τοῖς ἱεροσολύμοις ἐν δεκάτῳ ἔτει τῆς σεδεκίου βασιλείας, συλᾷ τε τὸν ναόν, καὶ βαστάζει τὰ σκεύη τοῦ θεοῦ χρυσᾶ τε καὶ ἀργυρᾶ, καὶ δὴ καὶ τὸν μέγαν λουτῆρα, ὃν σολομὼν ἀνέθηκεν, ἔτι γε μὴν τοὺς στύλους τοὺς χαλκοῦς καὶ τὰς κεφαλὰς αὐτῶν, τάς τε χρυσᾶς τραπέζας καὶ τὰς λυχνίας. βαστάσας δὴ ταῦτα, ἀνῆψε τὸν ναὸν μηνὶ πέμπτῳ, τῇ νουμηνίᾳ ἐνδεκάτῳ ἔτει τῆς σεδεκίου βασιλείας ὀκτωκαιδεκάτῳ δὲ τῆς ναβουχοδονοσόρου. ἐνέπρησε δὲ καὶ τὰ βασίλεια, καὶ τὴν πόλιν κατέστρεψεν. ἐνεπρήσθη δὲ ὁ ναός, μετὰ τετρακόσια ἔτη καὶ ἑβδομήκοντα, καὶ μῆνας ἓξ καὶ δέκα ἡμέρας, ἀφ' οὗ κατεσκευάσθη. τῇ δ' ἐξ αἰγύπτου μεταναστάσει τοῦ λαοῦ, τότε ἦν ἔτη χίλια ἑξηκονταδύο, μῆνες ἕξ, ἡμέραι δέκα. τῷ δὲ κατακλυσμῷ μέχρι τῆς τοῦ ναοῦ πορθήσεως, χρόνος ἦν ὁ πᾶς ἐτῶν χιλίων ἐνακοσίων πεντήκοντα, μηνῶν ἕξ, ἡμερῶν δέκα. ἐξ οὗ δὲ ἐγεννήθη ἄδαμος μέχρι τῶν περὶ τὸν ναὸν συμβαίντων, ἔτη ἐστὶ τρισχίλια πεντακόσια δεκατρία, μῆνες ἕξ, ἡμέραι δέκα. τοσοῦτον μὲν οὖν τὸ τούτων τῶν ἐτῶν πλῆθος, ὅσα δὲ ἐπράχθη, καθ' ἕκαστον τῶν συμβεβηκότων δεδηλώκαμεν. ὁ δὲ στρατηγὸς τοῦ τῶν βαβυλωνίων βασιλέως, κατασκάψας τὰ ἱεροσόλυμα, καὶ τὸν λαὸν μεταναστήσας, ἔλαβεν αἰχμαλώτους τὸν ἀρχιερέα σαρέαν, καὶ τὸν μετ' αὐτὸν ἱερέα σεφενίαν, καὶ τοὺς φυλάσσοντας τὸ ἱερὸν ἡγεμόνας, τρεῖς δὲ ἦσαν οὗτοι, καὶ τὸν ἐπὶ τῶν πλείστων εὐνοῦχον, καὶ τοὺς φίλους τοῦ σεδεκίου ἑπτά, καὶ τὸν γραμματέα αὐτοῦ, καὶ ἄλλους ἡγεμόνας ἑξήκοντα. οὓς ἅπαντας, μεθ' ὧν ἐσύλησε σκευῶν ἐκόμισε πρὸς τὸν βασιλέα εἰς ῥεβλαθὰ πόλιν τῆς συρίας. ὁ δὲ βασιλεύς, τοῦ μὲν ἀρχιερέως καὶ τῶν ἡγεμόνων, ἐκέλευσεν ἐκεῖ τὰς κεφαλὰς ἀποτεμεῖν. αὐτὸς δὲ πάντας τοὺς αἰχμαλώτους καὶ τὸν σεδεκίαν ἤγαγεν εἰς βαβυλῶνα. δέσμιον δ' ἐπήγετο καὶ ἰωσάδοκον τὸν ἀρχιερέα, ὄντα υἱὸν σαρέα τοῦ ἀρχιερέως, ὃν ἀπέκτεινεν ὁ βαβυλώνιος ἐν ῥεβλαθᾷ πόλει τῆς συρίας, ὡς καὶ πρότερον ἡμῖν δεδήλωται. ἐπεὶ δὲ τὸ γένος διεξήλθομεν τὸ τῶν βασιλέων, καὶ τίνες ἦσαν δεδηλώκαμεν καὶ τοὺς χρόνους αὐτῶν, ἀναγκαῖον ἡγησάμην καὶ τῶν ἀρχιερέων εἰπεῖν τὰ ὀνόματα. καὶ τίνες ἦσαν οἱ τὴν ἀρχιερωσύνην καταδέξαντες ἐπὶ τοῖς βασιλεῦσι. πρῶτος μὲν οὖν σάδοκος ὁ ἀρχιερεὺς ἐγένετο τοῦ ναοῦ, ὃν σολομὼν ᾠκοδόμησε. μετ' αὐτὸν δ' ὁ υἱὸς ἀχιμᾶς διαδέχεται τὴν τιμήν. καὶ μετὰ ἀχιμᾶν, ἀζαρίας. τούτου δὲ ἰώραμος. τοῦ δὲ ἰωράμου ἶσος. μετ' αὐτὸν ἀξιώραμος. τούτου δὲ φιδέας, τοῦ δὲ φιδέα σουδέας. τοῦ δὲ σουδέα, ἰοῦλος. τοῦ δὲ ἰούλου, ἰώθαμος. ἰωθάμου δὲ οὐρίας. οὐρίου δέ, νηρίας. τοῦ δὲ νηρία, ὠδέας. τούτου δὲ σαλδοῦμος, σαλδούμου δέ, ἐλκίας, ἐλκία δὲ σαρέας, τοῦ δὲ ἰωσάδοκος ὁ αἰχμαλωτισθεὶς εἰς βαβυλῶνα. οὗτοι πάντες παῖδες παρὰ πατρὸς διεδέξαντο τὴν ἀρχιερωσύνην. παραγενόμενος δὲ εἰς βαβυλῶνα ὁ βασιλεύς,

σεδεκίαν μὲν εἶχεν, ἄχρις οὗ καὶ ἐτελεύτησεν ἐν εἱρκτῇ, θάψας δὲ αὐτὸν βασιλικῶς. τὰ σκεύη τὰ ἐκ τῶν ἱεροσολύμων συληθέντα τοῦ ναοῦ, ἀνέθηκε τοῖς ἰδίοις θεοῖς. τὸν δὲ λαὸν κατῴκησεν ἐν τῇ βαβυλωνίτιδι χώρᾳ. τὸν δ' ἀρχιερέα ἀπέλυσε τῶν δεσμῶν. ὁ δὲ στρατηγὸς ναβουζαρδάνης, αἰχμαλωτίσας τὸν τῶν ἰουδαίων λαὸν, τοὺς πένητας καὶ αὐτομόλους ἐκεῖ κατέλειπεν, ἀποδείξας αὐτῶν ἡγεμόνα, γοδολίαν ὄνομα, αἰκάμου παῖδα τῶν εὖ γεγονότων, ἐπιεικῆ καὶ δίκαιον. ἐπέταξε δ' αὐτοῖς τὴν χώραν ἐργασαμένοις, τῷ βασιλεῖ τελέσειν φόρον ὡρισμένον. ἱερεμίαν δὲ τὸν προφήτην, λαβὼν ἐκ τῆς εἱρκτῆς ἔπειθεν εἰς βαβυλῶνα σὺν αὐτῷ παραγενέσθαι. κεκελεῦσθαι γὰρ ὑπὸ τοῦ βασιλέως πάντ' αὐτῷ χορηγεῖν. εἰ δὲ τοῦτο μὴ βούλεται, δηλοῦν αὐτῷ ποῦ μένειν διέγνωκεν, ἵνα τοῦτο ἐπιστείλῃ τῷ βασιλεῖ. ὁ δὲ προφήτης, οὔδ' ἕπεσθαι ἤθελεν, οὔτ' ἀλλαχόσε ποῦ μένειν, ἡδέως δ' εἶχεν ἐπὶ τοῖς ἐρειπίοις τῆς πατρίδος, καὶ τοῖς ταλαιπώροις αὐτῆς διαζῆσαι λειψάνοις. γνοὺς δ' αὐτοῦ τὴν προαίρεσιν ὁ στρατηγὸς, τῷ γοδολίᾳ προστάξας, ὃν κατέλειπεν, πᾶσαν αὐτοῦ ποιεῖσθαι πρόνοιαν καὶ χορηγείαν ὅσων ἂν δέηται, δωρησάμενος δὲ αὐτὸν δωρεαῖς πολυτελέσιν, ἀπέλυσε. καὶ ἱερεμίας μὲν κατέμεινεν ἐν πόλει τῆς χώρας μασφαθᾶ καλουμένῃ, παρακαλέσας τὸν ναβουζαρδάνην, ἵν' αὐτῷ συναπολύσῃ τὸν μαθητὴν βάρουχον, νήρου δὲ παῖδα ἐξ ἐπισήμου σφόδρα οἰκίας ὄντα, καὶ τῇ πατρῴῳ γλώττῃ διαφερόντως πεπαιδευμένον. ναβουζαρδάνης μὲν ταῦτα διαπραξάμενος, ὥρμησεν εἰς βαβυλῶνα. οἱ δὲ πολιορκουμένων ἱεροσολύμων φυγόντες, ἐπειδὴ τοὺς βαβυλωνίους ἤκουσαν ἀνακεχωρηκότας, συλλεχθέντες πανταχόθεν, ἧκον πρὸς τὸν γοδολίαν εἰς μασφαθᾶ. ἡγεμόνες δὲ ἦσαν ἐπ' αὐτοῖς, ἰωάννης υἱὸς καρέου, καὶ ἰεζανίας, καὶ σαρέας. καὶ ἕτεροι πρὸς τούτοις. ἐκ δὲ τοῦ βασιλικοῦ γένους, ἦν τις ἰσμάηλος, πονηρὸς ἀνὴρ καὶ δολιώτατος, ὃς πολιορκουμένων τῶν ἱεροσολυμιτῶν, ἔφυγε πρὸς τὸν ἀμμανιτῶν βασιλέα βαάλιν, καὶ συνδιῆγεν αὐτῷ τὸν χρόνον ἐκεῖνον. τούτοις τοίνυν γενομένοις αὐτοῦ γοδολίας ἔπεισε μένειν αὐτίκα μηδὲν δεδιότας τοὺς βαβυλωνίους. γεωργοῦντας γὰρ τὴν χώραν, οὐδὲν πείσεσθαι δεινόν. ταῦτ' ὀμνὺς αὐτοῖς διεβεβαιοῦτο καὶ πρὸς ταύτην λέγων αὐτὸν ἔχειν ὥς εἴ τις ἐνοχλοίη, τεύξεσθαι τῆς προθυμίας, συνεβούλευε κατοικεῖν εἰς ἣν ἕκαστος βούλεται πόλιν, ἀποστέλλειν τε μετὰ τῶν ἰδίων, καὶ ἀνακτίζειν τὰ ἐδάφη, καὶ κατοικεῖν προεῖπε. παρασκευάζεσθαι δὲ αὐτοὺς ἕως ἔτι καιρός ἐστι, σῖτον καὶ οἶνον καὶ ἔλαιον, ὅπως ἔχωσι διὰ τοῦ χειμῶνος τρέφεσθαι. ταῦτα διαλεχθεὶς πρὸς αὐτοὺς, ἀπέλυσε διάγειν τῆς χώρας, εἰς ὃν ἕκαστος ἐβούλετο τόπον. διαδραμούσης δὲ φήμης, εἰς τὰ περὶ τὴν ἰουδαίαν ἔθνη, ὅτι τοὺς ἀπὸ τῆς φυγῆς παρ' αὐτὸν ἐλθόντας γοδολίας ἐδέξατο φιλανθρώπως, καὶ τὴν γῆν αὐτοῖς γεωργοῦσι κατοικεῖν ἐφῆκεν, ἐφ' ᾧ τελέσειν φόρον τῷ βαβυλωνίῳ, συνέδραμον αὐτοὶ πρὸς τὸν γοδολίαν, καὶ τὴν χώραν κατῴκησαν. κατανοήσαντες δὲ τὴν χώραν, καὶ τὴν τοῦ γοδολίου χρηστότητα καὶ φιλανθρωπίαν ἰωάννης καὶ οἱ μετ' αὐτοῦ ἡγεμόνες, ὑπηγάπησαν αὐτὸν, καὶ βαάλιν τὸν τῶν ἀμμανιτῶν βασιλέα ἔλεγον πέμπειν ἰσμάηλον ἀποκτενοῦντα δόλῳ κρυφίως,

Sedeciam in carcere vsque ad mortem eius detinuit, mortuum tamen regia funeris pompa elatum sepeliit. vasa quibus Hierosolymitanum templum spoliauerat, suis consecrauit numinibus. populo in Babylonia sedes attribuit. pontificem è vinculis exemit. XI. Nabuzardanes autem dux qui populum captiuum abduxerat, transfugas & pauperes illic reliquit, duce illis præposito nomine Godolia, Aicami hominis nobilis filio, viro æquo & bono. His imperauit, vt pro agris quos ad culturam acceperant, certum tributum regi penderent. Prophetæ quoque Hieremiæ è carcere exempto suasit vt iret secum Babylonem: iussum enim se à rege, vt ei necessaria omnia præbeat. Quod si sequi nolit, diceret vbinam habitare cuperet, vt de hoc regem per literas certiorem possit reddere. Propheta verò neque ducem sequi voluit, neque aliò ad habitandum ire, contentus habitare in ruinis patriæ, & eius miseras reliquias colere. At dux voluntate eius cognita, Godoliæ quem ibi relinquebat commẽdauit hominem, mandans ne quid ei deesse pateretur: donatóque vate magni precij muneribus, ipse quoque domum profectus est. Hieremias autem domicilium elegit apud oppidum Masphatam, impetrata priùs à Nabuzardane gratia, vt secũ è carcere dimitteretur etiam Baruchus Neri filius, insigni familia natus, & in patria lingua egregiè doctus. Nabuzardanes itaque his peractis Babylonem reuertitur. Illi autem qui obsidionis Hierosolymitanæ tẽpore diffugerant, posteaquàm Babylonios recessisse audiuerunt, vndique collecti venerunt ad Godoliam Masphata. Eorum principes erãt, Ioannes Careæ filius, & Iezanias & Sareas, & nonnulli alij: prætereà hos Ismael quidam ortus regio genere, vir alioquin malus & dolosissimus, qui tempore obsidionis profugerat ad Bathalem regem Ammanitarum, & apud eum per id tempus moratus fuerat. His igitur ad se venientibus, Godolias suasit vt ibi manerent, nihil timentes à Babyloniis. posse enim eos impunè regionem colere. interpositoque iureiurando paratum fore suum auxilium si quis molestaretur, consuluit vt vnusquisque habitaret in quo vellet oppido, dicens missurum se vnà aliquot è suis, & daturum operam vt diruta instaurentur, & habitentur denuò. illos verò debere donec tempestiuũ est, curare ne frumentum & vinum ac oleum desit in futuram hyemem quo sustẽtentur. hæc locutus permisit quemque arbitratu suo quem liberet locum incolere. Quę fama postquàm ad circumuicinas Iudææ gentes peruenit, quòd profugos ad se venientes Godolias magna humanitate exciperet, & agros eis colendos assignaret, imposito certo tributo quod pẽderetur Babylonio, vndique concursum est ad eũ, & cœperunt regionem colere. Ioannes autem cum aliis principibus videntes regionem coli multum amauerunt Godoliam propter bonitatem eius & humanitatem: admonuerúntque eum quòd Bathales Ammanitarum rex ideo misisset Ismaelem, vt ipsum clàm dolo interficeret,

& principatum inter Israelitas occuparet, cùm sit è genere regio: securum autem fore ab insidiis, si eis permittat Ismaelem clàm occidere. Vereri enim se, ne si ipse insidiis præoccupatus fuerit, reliquiæ Israelitarum in totum pereant, ille verò respondit se non dissimulaturum tales insidias aduersum hominem affectum à se beneficio. non enim esse verisimile eum qui in tanta inopiæ necessitate nihil mali fecerit, nunc contra omne fas erga benefactorem tam ingratum esse, vt cui circumuento insidiis non posset sine scelere non succurrere, cum sua manu interimere conetur. Attamen etiamsi vera essent quę deferrent, emori esse satius, quàm hominem qui salutem suæ fidei commisisset, opprimere. Itaque Ioannes cum cæteris frustra hoc conatus persuadere abiit. post dies inde triginta venit ad Godoliam in Masphata Ismael comitatus amicis decem: vbi inter hospitales epulas dum se comiter poculis inuitant, hospitem mero grauem & somnolentum aduertens, cum decem illis sociis adortus interfecit, nec difficile fuit cæteros conuiuas similiter affectos confodere: quibus necatis adiuuante nocturno tempore per totum oppidum grassati sunt promiscuis cædibus tam in Iudæos quàm in Babylonios milites securos & passim dormientes. sequenti verò die venerunt cum muneribus ex agris ad Godoliam circiter octoginta, omnium inscij quæ acciderant. quos videns Ismael intrò vocauit ad Godoliam, & introgressos clauso palatio trucidauit, cadaueráque eorum in puteum quendam, ne essent conspicua, demersit. Soli autem ex eo numero seruati sunt, qui rogauerunt ne se prius occideret, quàm ei quædam occultata in agris traderent, supellectilem & vestes atque frumentum. quibus promissis motus, aliquot ex eis pepercit. plebem verò Masphatensem cum mulieribus & pueris abduxit: & in his etiam Sedeciæ filias, quas Nabuzardanes apud Godoliam reliquerat. His perpetratis ad Ammanitarum regem profectus est. Ioannes autem cum cæteris ducibus audita Masphatensium clade, & morte Godoliæ, indignissimè tulerunt, & assumptis suis quisque militibus, Ismaelem hostiliter persecuti sunt, cúmque apud fontem Hebronensem deprehenderunt. quibus visis captiui Ismaelis læti, rati id quod erat auxilium sibi venire, omnes ad Ioannem transiuerunt. Ismael autem cum octo tantum comitibus ad Ammanitarum regem perfugit. Cæterùm Ioannes assumptis quos Ismaeli eripuerat, cum eunuchis & mulieribus atque pueris peruenit in locum qui Mandra dicitur, ibique ea die manserunt. Voluerunt inde proficisci in Ægyptum, timentes Babylonios, ne irati propter cædem præfecti in ea regione à se constituti, in illos sæuirent.

ὅπως αὐτὸς ἄρχῃ τῶν Ἰσραηλιτῶν, εἶναι γὰρ ἐκ τοῦ γένους τοῦ βασιλικοῦ. ῥύεσθαί γε μὴν τῆς ἐπιβουλῆς ἔλεγον αὐτὸν, ἂν αὐτοῖς ἐφῇ κτεῖναι τὸν Ἰσμάηλον ὡς οὐδενὸς γινωσκομένου. δεδιέναι γὰρ ἔφασκον μὴ φονευθεὶς αὐτὸς ὑπ' ἐκείνου, παντελὴς ἀπώλεια γένηται τῆς ὑπολειπομένων τῆς τῶν Ἰσραηλιτῶν ἰσχύος. ὁ δ' αὐτοῖς ὡμολόγει, καὶ ἀνδρὸς εὖ πεπονθότος ἐπιβουλὴν τοιαύτην ἐμφανίσειν. οὐ γὰρ εἰκὸς εἶναι, παρὰ τηλικαύτην ἐρημίαν ὧν ἔχρῃσε μὴ ἐξαμαρτόντα, οὕτως πονηρὸν εἰς τὸν εὐεργετήσαντα καὶ ἀνόσιον εὑρεθῆναι, ὡς τὸ μὲν ἀδίκημα, τὸ μὴ ὑπ' ἄλλων ἐπιβουλευσάμενον σῶσαι, σπουδάσαι δὲ αὐτὸν, αὐτόχειρα ζητεῖν αὐτοῦ γενέσθαι. οὐ μὴν, ἀλλ' εἰ ταῦτα ἀληθῆ δεῖν δοκεῖ, ἄμεινον ἔφασκεν ἀποθανεῖν αὐτὸν ἀπ' ἐκείνου μᾶλλον, ἢ καταφυγόντα πρὸς αὐτὸν ἄνθρωπον καὶ πιστεύσαντα τὴν ἰδίαν σωτηρίαν, καὶ παρακαταθέμενον αὐτῷ, διαφθεῖραι. καὶ ὁ μὲν Ἰωάννης καὶ οἱ σὺν αὐτῷ ἡγεμόνες, μὴ δυνηθέντες πεῖσαι τὸν Γοδολίαν, ἀπῆλθον. χρόνου δὲ διελθόντος ἡμερῶν τριάκοντα, παραγίνεται πρὸς Γοδολίαν εἰς Μασφαθὰ πόλιν Ἰσμάηλος, μετ' ἀνδρῶν δέκα, οὓς λαμπρᾷ τραπέζῃ καὶ ξενίοις ὑποδεξάμενος, εἰς μέθην προήχθη, φιλοφρονούμενος τὸν Ἰσμάηλον, καὶ τοὺς σὺν αὐτῷ. θεασάμενος δ' οὕτως αὐτὸν ἔχοντα, καὶ βεβαπτισμένον εἰς ἀναισθησίαν καὶ ὕπνον ὑπὸ τῆς μέθης ὁ Ἰσμάηλος, ἀναπηδήσας μετὰ τῶν δέκα φίλων, ἀποσφάττει τὸν Γοδολίαν, καὶ τοὺς σὺν αὐτῷ, κατακειμένους ἐν συμποσίῳ. καὶ μετὰ τὴν τούτων ἀναίρεσιν, ἐξελθὼν νυκτὸς, ἅπαντας φονεύει τοὺς ἐν τῇ πόλει Ἰουδαίους, καὶ τοὺς ὑπὸ τῶν Βαβυλωνίων καταλειφθέντας ἐν αὐτῇ τῶν στρατιωτῶν. τῇ δ' ἐπιούσῃ μετὰ δώρων ἧκον πρὸς Γοδολίαν τῶν ἀπὸ τῆς χώρας ὀγδοήκοντα, μηδενὸς τὰ περὶ αὐτὸν ἐγνωκότος. ἰδὼν δὲ αὐτοὺς Ἰσμάηλος, εἴσω τε καλεῖ πρὸς Γοδολίαν, καὶ παρελθόντων, ἀποκλείσας τὴν αὐλὴν, ἐφόνευσε, καὶ τὰ σώματα αὐτῶν εἰς λάκκον τινὰ βαθὺν, ὡς ἂν ἀφανῆ γένοιτο, κατεπόντισε. διεσώθησαν δὲ τῶν ὀγδοήκοντα τούτων ἀνδρῶν, οἱ μὴ πρότερον ἀναιρεθῆναι παρεκάλεσαν, πρὶν τὰ κεκρυμμένα ἐν τοῖς ἀγροῖς αὐτῷ παραδῶσι, ἔπιπλά τε καὶ ἐσθῆτας καὶ σῖτον. ταῦτα ἀκούσας, ἐφείσατο τῶν ἀνδρῶν τούτων Ἰσμάηλος. τὸν δ' ἐν τῇ Μασφαθᾷ λαὸν σὺν γυναιξὶ καὶ νηπίοις ᾐχμαλώτισεν, ἐν οἷς καὶ τὰς τοῦ βασιλέως Σεδεκίου θυγατέρας, ἃς Ναβουζαρδάνης ὁ τῶν Βαβυλωνίων στρατηγὸς, παρὰ Γοδολίᾳ καταλελοίπει. ταῦτα δ' ἐξαπραξάμενος, ἀφικνεῖται πρὸς τὸν Ἀμμανιτῶν βασιλέα. ἀκούσας δ' Ἰωάννης καὶ οἱ σὺν αὐτῷ ἡγεμόνες τὰ ἐν τῇ Μασφαθᾷ πεπραγμένα ὑπὸ Ἰσμαήλου, καὶ τὸν Γοδολίου θάνατον, ἠγανάκτησαν, καὶ τοὺς ἰδίους ἕκαστος παραλαβὼν ὁπλίτας, ὥρμησαν πολεμήσοντες τὸν Ἰσμάηλον, καὶ καταλαμβάνουσιν αὐτὸν πρὸς τῇ πηγῇ ἐν Χεβρῶνι. οἱ δὲ αἰχμαλωτισθέντες ὑπὸ Ἰσμαήλου, τὸν Ἰωάννην ἰδόντες καὶ τοὺς ἡγεμόνας, εὐθύμως διετέθησαν, βοήθειαν αὐτοῖς ἥκειν ὑπολαμβάνοντες, καὶ καταλιπόντες τὸν αἰχμαλωτίσαντα, πρὸς τὸν Ἰωάννην ἀνεχώρησαν. Ἰσμάηλος μὲν οὖν μετ' ἀνδρῶν ὀκτὼ, φεύγει πρὸς τὸν Ἀμμανιτῶν βασιλέα. ὁ δ' Ἰωάννης παραλαβὼν οὓς ἀνέσωσεν ἐκ τῶν Ἰσμαήλου χειρῶν, καὶ τοὺς εὐνούχους καὶ γυναῖκας καὶ νήπια, εἴς τινα τόπον Μάνδραν λεγόμενον παραγίνεται, καὶ τὴν μὲν ἡμέραν ἐκείνην, ἐπέμεινεν αὐτόθι. διεγνώκεισαν δ' ἐκεῖθεν ἄραντες, εἰς Αἴγυπτον ἐλθεῖν, φοβούμενοι μὴ κτείνωσιν αὐτοὺς οἱ Βαβυλώνιοι, μείναντας ἐν τῇ χώρᾳ ὑπὸ Γοδολίᾳ τοῦ κατασταθέντος ὑπ' αὐτῶν ἡγεμόνος, ὀργισθέντες πεφονευμένου.

ὅπως

ὄντων δ' ἐπὶ ταύτης τῆς βουλῆς, προσίασιν ἱερεμίᾳ τῷ προφήτῃ, ἰωάννης ὁ τοῦ καρέου, καὶ οἱ σὺν αὐτῷ ἡγεμόνες, παρακαλοῦντες δεηθῆναι τοῦ θεοῦ, ὅπως ἀμηχανοῦσιν αὐτοῖς, περὶ τοῦ τί χρὴ ποιεῖν, ταῦτ' αὐτοῖς ὑποδείξῃ, ὀμόσαντες ποιήσειν, ὅτι ἂν αὐτοῖς ὁ ἱερεμίας εἴπῃ. ὑποσχομένου δὲ τοῦ προφήτου διακονήσειν αὐτοῖς πρὸς τὸν θεόν, συνέβη μετὰ δέκα ἡμέρας αὐτῷ φανέντα τὸν θεὸν εἰπεῖν δηλῶσαι ἰωάννῃ καὶ τοῖς ἄλλοις ἡγεμόσι, καὶ τῷ λαῷ παντί, ὅτι μένουσι μὲν αὐτοῖς ἐν ἐκείνῃ τῇ χώρᾳ, παρέσται, καὶ πρόνοιαν ἕξει, καὶ τηρήσει παρὰ τῶν βαβυλωνίων οὓς δεδίασιν ἀπαθεῖς. πορευομένοις δ' εἰς αἴγυπτον ἀπολείψειν, καὶ ταῦτα διαθήσειν ὀργισθεὶς ἃ καὶ τοὺς ἀδελφοὺς αὐτῶν ἔμπροσθεν οἴδατε παθόντας. ταῦτα εἰπὼν τῷ ἰωάννῃ καὶ τῷ λαῷ τὸν θεὸν αὐτοῖς προλέγειν ὁ προφήτης, οὐκ ἐπιστεύετο, ὡς κατ' ἐντολὴν τὴν ἐκείνου μένειν αὐτοὺς ἐν τῇ χώρᾳ κελεύει, χαριζόμενον δὲ βαρούχῳ τῷ ἰδίῳ μαθητῇ καταψεύδεσθαι μὲν τοῦ θεοῦ, πείθειν δὲ μένειν αὐτόθι, ὡς ἂν ὑπὸ τῶν βαβυλωνίων διαφθαρῶσι. παρακούσας οὖν ὅτε λαὸς καὶ ὁ ἰωάννης τῆς τοῦ θεοῦ συμβουλίας, ἣν αὐτοῖς διὰ τοῦ προφήτου παρῄνεσεν, ἀπῆρεν εἰς τὴν αἴγυπτον, ἄγων καὶ τὸν ἱερεμίαν καὶ τὸν βαροῦχον. γενομένων δὲ αὐτῶν ἐκεῖ, σημαίνει τὸ θεῖον τῷ προφήτῃ, μέλλοντα στρατεύειν ἐπὶ τοὺς αἰγυπτίους τὸν βαβυλωνίων βασιλέα, καὶ προειπεῖν ἐκέλευσε τῷ λαῷ, τήν τε ἅλωσιν τῆς αἰγύπτου, καὶ ὅτι, τοὺς μὲν αὐτῶν ἀποκτείνῃ. τοὺς δέ, αἰχμαλώτους λαβών, εἰς βαβυλῶνα ἄξει· καὶ ταῦτα συνέβη. τῷ γὰρ πέμπτῳ τῆς ἱεροσολύμων πορθήσεως ἔτει, ὅ ἐστι τρίτον καὶ εἰκοστὸν τοῦ ναβουχοδονοσόρου, στρατεύει ὁ αὐτὸς ἐπὶ τὴν κοίλην συρίαν. καὶ κατασχὼν αὐτήν, ἐπολέμησε καὶ ἀμμανίτας καὶ μωαβίτας, ποιησάμενος δὲ ὑπήκοα ταῦτα τὰ ἔθνη, ἐνέβαλεν εἰς τὴν αἴγυπτον καταστρεψόμενος αὐτήν. καὶ τὸν μὲν τότε βασιλέα, κτείνει, καταστήσας δὲ ἕτερον, τοὺς ἐν αὐτῇ πάλιν ἰουδαίους αἰχμαλωτίσας ἤγαγεν εἰς βαβυλῶνα. καὶ τὸ μὲν ἑβραίων γένος ἐν τοιούτῳ τέλει γενόμενον παρειλήφαμεν δὶς ἐλθὸν πέραν τοῦ εὐφράτου. ὑπὸ ἀσσυρίων μὲν γὰρ ἐξέπεσεν ὁ τῶν δέκα φυλῶν λαὸς ἀπὸ σαμαρείας, βασιλεύοντος ὠσηέ. ἔπειτα τῶν δύο φυλῶν, ὑπὸ ναβουχοδονοσόρου τοῦ τῶν βαβυλωνίων καὶ χαλδαίων βασιλέως, καὶ ὃς ὑπελείφθη τῶν ἱεροσολύμων ἁλόντων. σαλμανασάρης μὲν οὖν ἀναστήσας τοὺς ἰσραηλίτας, κατῴκησεν ἀντ' αὐτῶν τὸ χουθαίων ἔθνος, οἳ πρότερον ἐνδοτέρω τῆς περσίδος καὶ τῆς μηδίας ἦσαν, τότε μέντοι σαμαρεῖς ἐκλήθησαν, τὴν τῆς χώρας εἰς ἣν κατῳκίσθησαν προσηγορίαν ἀναλαβόντες. ὁ δὲ τῶν βαβυλωνίων βασιλεύς, τὰς δύο φυλὰς ἐξαγαγών, οὐδὲν ἔθνος εἰς τὴν χώραν κατῴκισε. καὶ διὰ τοῦτ' ἔρημος ἰουδαία πᾶσα καὶ ἱεροσόλυμα καὶ ὁ ναὸς διέμεινεν ἔτεσιν ἑβδομήκοντα. τὸν δὲ σύμπαντα χρόνον, ὃς ἀπὸ τῆς τῶν ἰσραηλιτῶν αἰχμαλωσίας, ἐπὶ τὴν τῶν δύο φυλῶν ἀνάστασιν ἐληλύθει, ἔτη ρλ' μῆνας ἕξ, ἡμέρας δέκα συνέβη γενέσθαι. ὁ δὲ τῶν βαβυλωνίων βασιλεὺς ναβουχοδονόσορος τοὺς εὐγενεστάτων λαβὼν τῶν ἰουδαίων παῖδας, καὶ τοὺς σεδεκίου τοῦ βασιλέως αὐτῶν συγγενεῖς, οἳ καὶ ταῖς ἀκμαῖς τῶν σωμάτων, καὶ ταῖς εὐμορφίαις τῶν ὄψεων ἦσαν περίβλεπτοι, παιδαγωγοῖς καὶ τῇ δι' αὐτῶν θεραπείᾳ παραδίδωσι, ποιήσας τινὰς αὐτῶν ἐκτομίας, τὸ δὲ αὐτὸ καὶ τοὺς ἐκ τῶν ἄλλων ἐθνῶν ὅσα κατεστρέψατο ληφθέντας ἐν ὥρᾳ τῆς ἡλικίας διαθείς, ἐχορήγει μὲν αὐτοῖς τὰ ἀπὸ τῆς τραπέζης αὐτοῦ εἰς δίαιταν, ἐπαίδευε δὲ καὶ τὰ ἐπιχώρια;

A prius tamen consulendum Hieremiam rati, accedentes eum rogauerunt vt hæsitantibus oraculum expediret quidnam faciendum sit, iurati facturos se quicquid ille iusserit. cúmq; propheta operam suam esset pollicitus, decima demum die Deus apparens iussit vt Ioanni & cæteris ducibus diceret: si manserint in ea regione, auxilio futurum, & prouisurum ne quid incommodi à Babyloniis quos timebant accipiant. Sin in Ægyptum mallent iter facere, B curam eorum relicturum, infensúmque tali calamitate affecturum eos, quali paulo antè fratres eorum castigatos esse viderint. Hæc diuinitus monenti prophetæ noluerunt credere, quòd ex Dei sententia iuberet eos manere: sed putauerunt eum falsò verbis suis Deum prætexere, re autem vera loqui in gratiam Baruchi discipuli, ne possint Babyloniorum iram effugere. Contempto igitur Dei consilio quod per prophetam dederat, Ioannes & reliqua multitudo C in Ægyptum abiit; abducto simul Barucho & Hieremia. Quò postquàm peruentum est, Deus significauit prophetæ fore vt Babylonius exercitum ducat in Aegyptum: iussitque prædicere populo, quòd capietur Ægyptus, & ibi partim interficientur, partim captiui Babylonem abducentur: id quod etiam factum est. quintò enim post excidium Hierosolymitanum anno, qui fuit regni ipsius Nabuchodonosori vigesimus tertius, cum magnis copiis inuasit Cœlen D Syriam. qua subacta bellum gessit contra Ammanitas & Moabitas, & his quoque perdomitis Ægyptum hostiliter est ingressus: occisoque qui tunc regnabat, & alio rege constituto, repertos ibi Iudæos rursum captiuos Babylonem abduxit. Hæc fuit fortuna Hebræorum, vt accepimus, bis vltra Euphratem traductorum. nam per Assyrios decem tribus è Samaria sunt abductæ, regnante Osea, deinde reliquæ duæ per E Nabuchodonosorum Chaldæorum & Babyloniorum regem captis Hierosolymis. Sed Salmanasar in vacuas Israelitarum sedes deduxit gentem Chuthæorum, qui priùs in intima Perside & Media fuerant, Samaritæ deinde vocati à regione in quam demigrauerunt. rex vero Babylonius pro abductis duabus tribubus nullam gentem in eam regionem reposuit: quo factum est vt Iudæa cum Hierosolymis ac templo per LXX. annos deserta maneret. tēpus au- F tem totum quod inter decem tribuum captiuitatem & duarum reliquarum transmigratione̅ intercessit, anni fuêre centum triginta, & menses sex, dies decem. Cæterùm Nabuchodonosorus selectis nobilissimis Iudæorum pueris, & Sedeciȩ regis cognatis, qui & flore ȩtatis & decore formæ fuêre conspicui, pȩdagogos eorum curæ assignauit, exectis quibusdam ex eo numero, quemadmodum solitus est facere & aliarum gentium deuictarum formosis adolescentibus: præbebátque eis de sua mensa victum,

XII. *Daniel.1.*

& Chaldæorum disciplinis instituendos curabat ac literis, in quibus sanè profecerunt plurimum. in his erant quatuor de Sedeciæ genere, admodum pulchri & egregio præditi ingenio, quorum nomina, Daniel, Ananias, Misael, Azarias. his Babylonius mutauit nomina, & pro Daniele Baltasarem, pro Anania Sedrachem, pro Misaele Misachem, pro Azaria Abdenago appellari iussit: eosque ob egregiam indolem & non mediocrem eruditionem vehementer charos habuit. Cúmque visum fuisset Danieli cum cognatis victitare duriùs, & à regiæ mensæ abstinere eduliis, atque adeò ab animatis omnibus, accesserunt Aschanem eunuchum qui curæ eorum erat præpositus, rogantes vt quæ mittebantur à rege in suos vsus conuerteret, ipsis legumina tantùm & palmulas in alimenta præberet, & si quid aliud præterea vellet inanimæ. se enim aliis fastiditis talem victum appetere. ille verò ait se gratificari eis cupere, sed vereri ne hoc rex deprehendat extenuatis ipsorum corporibus, & immutata specie, quòd necesse sit vt habitudo & color rationi victus respondeat: idque magis fore conspicuum ex collatione aliorum qui alantur delicatiùs: atque ita propter eos adduci se posse in capitis periculum. Itaque nacti Aschanem nondum admodum difficilem, persuadent vt saltem per decem dies hoc eis permittat experiendi gratia: quòd si corpora eorum nihilo deterius inde habuerint, in eodem victu perseuerare, qui compertus sit innoxius. sin autem detrimentum aliquod inde acceperint, minus speciosi facti quàm alij, ad pristinam diætam eos reduceret. vt verò apparuit non solùm non lædi eos talibus, sed habitiores prę aliis & maiores inde fieri, vt cum eis non essent conferendi qui cibis vescebātur regiis, sed Daniel cum sociis potius delicatam vitam agere videretur, ex eo tēpore securè Aschanes partes quæ de regia mēsa mittebantur pueris, sibi retinebat, & illis apponebat quæ iam diximus. Illi verò vtpote puros iam habentes animos & ad percipiendas disciplinas idoneos, atque etiam firmiora ad laborem corpora, quòd neque illi læderentur aut grauarentur varietate deliciarum, neque hæc simili de causa emolliretur, facilè omnem perdidicerūt doctrinam tam Hebraicam quàm Chaldaicam: sed præcipuè Daniel peritus talium artium, coniectandis quoque somniorum significationibus studuit, visiones etiam diuinas videre solitus. Exacto autem biennio post Ægypti populationem Nabuchodonosorus cùm vidisset mirandam visionem, cuius etiam euentum Deus ei in somnis indicauerat, mox vt è stratis surrexit eius oblitus est. Accersitis igitur Chaldæis, & magis ac vatibus, ait se somnium vidisse, & quoniam oblitus sit quale fuerit, velle vt & somnium sibi indicent, & eius significationem. Illis autem respondentibus hoc supra humanas vires esse,

Daniel.2.

καὶ τὰ τῶν χαλδαίων ἐξεδίδασκε γράμματα, ἦσαν δ' αὐτοὶ σοφίαν ἱκανοὶ, περὶ ἣν ἐκέλευσε διατρίβειν. ἦσαν δ' ἐν τούτοις τῶν ἐκ τοῦ σεδεκίου γένους, τέσσαρες καλοί τε καὶ ἀγαθοὶ τὰς φύσεις, ὧν ὁ μὲν δανιῆλος ἐκαλεῖτο, ὁ δὲ ἀνανίας, ὁ δὲ μισαῆλος, ὁ δὲ τέταρτος ἀζαρίας. τούτοις ὁ βαβυλώνιος μετονόμασε καὶ χρῆσθαι προσέταξεν ἑτέροις ὀνόμασι, καὶ τὸν μὲν δανιῆλον, ἐκάλει βαλτάσαρον, τὸν δὲ ἀνανίαν σεδράχην, μισαῆλον δὲ μισάχην. τὸν δὲ ἀζαρίαν ἀβδεναγώ. τούτους ὁ βασιλεὺς διὰ τὴν ὑπερβολὴν εὐφυΐας καὶ σπουδῆς τῆς περὶ τὴν παίδευσιν τῶν γραμμάτων καὶ σοφίας ἐν προκοπῇ γενομένους, εἶχεν ἐν τιμῇ καὶ στέργων διετέλει. δόξαν δὲ δανιήλῳ μετὰ τῶν συγγενῶν σκληραγωγεῖν αὐτὸν, καὶ τῶν ἀπὸ τῆς βασιλικῆς τραπέζης ἐδεσμάτων ἀπέχεσθαι, καὶ καθόλως πάντων τῶν ἐμψύχων, προσελθὼν ἀσχάνῃ τῷ τὴν ἐπιμέλειαν αὐτῶν ἐπιτετραμμένῳ εὐνούχῳ, τὰ μὲν παρὰ τοῦ βασιλέως αὐτοῖς κομιζόμενα παρεκάλεσεν αὐτὸν ἀναλίσκειν λαμβάνοντα, παρέχειν δὲ αὐτοῖς ὄσπρια καὶ φοίνικας εἰς διατροφὴν, καὶ εἴ τι τῶν ἀψύχων ἕτερον βούλοιτο. πρὸς γὰρ τὴν τοιαύτην δίαιταν αὐτοὺς ἐκκεκλικέναι, τῆς δ' ἑτέρας περιφρονεῖν. ὁ δὲ, εἶναι μὲν ἕτοιμος ὑπηρετεῖν ἔλεγεν αὐτῶν τῇ προαιρέσει, ὑφορᾶσθαι δὲ μὴ κατάδηλοι τῷ βασιλεῖ γενηθέντες, ἐκ τῆς τῶν σωμάτων ἰσχνότητος, καὶ τῆς τροπῆς τῶν χαρακτήρων, συμμεταβαλεῖν γὰρ αὐτοῖς ἀνάγκη τὰ σώματα, καὶ τὰς χρόας ἅμα τῇ διαίτῃ, καὶ μάλιστα τῶν ἄλλων παίδων εὐπαθούντων, ἐλεγχθέντες αἴτιοι κινδύνου καὶ τιμωρίας αὐτῷ καταστῶσιν. ἔχοντα τοίνυν πρὸς τοῦτο δι' εὐλαβείας τὸν ἀσχάνην, πείθουσιν ἐπὶ δέκα ἡμέρας ταῦτα παρασχεῖν αὐτοῖς πείρας ἕνεκα, καὶ μὴ μεταβαλλούσης μὲν αὐτοῖς τῆς τῶν σωμάτων ἕξεως, ἐπιμένειν τοῖς αὐτοῖς ὡς οὐδὲν ἔτι εἰς αὐτὴν βλαβησομένων. εἰ δὲ μειωθέντας ἴδοι καὶ χεῖρον τῶν ἄλλων ἔχοντας, ἐπὶ τὴν προτέραν αὐτοὺς δίαιταν ἄγειν. ὡς δὲ, οὐ μόνον οὐδὲν αὐτοὺς ἐλύπει τὴν τροφὴν ἐκείνην προσφερομένους, ἀλλὰ καὶ τῶν ἄλλων εὐτραφέστεροι τὰ σώματα, καὶ ἐντεῦθεν μείζονες γίνοντο, ὡς τοὺς μὲν ἐνδεεστέρους ὑπολαμβάνειν, οἷς τὴν βασιλικὴν συνέβαινεν εἶναι χορηγίαν, τοὺς δὲ μετὰ τοῦ δανιήλου, δοκεῖν ἐν ἀφθονίᾳ καὶ τρυφῇ τῇ πάσῃ βιοῦν, ἔκτοτε μετὰ ἀδείας ὁ ἀσχάνης ἃ μὲν ἀπὸ τοῦ δείπνου καθημέραν συνήθως ἔπεμπε τοῖς παισὶν ὁ βασιλεὺς, αὐτὸς ἐλάμβανεν, ἐχορήγει δὲ αὐτοῖς τὰ προειρημένα. οἱ δ' ὡς καὶ τῶν ψυχῶν αὐτοῖς διὰ τοῦτο καθαρῶν καὶ πρὸς τὴν παιδείαν ἀκραιφνῶν γεγενημένων, καὶ τῶν σωμάτων πρὸς φιλοπονίαν εὐτονωτέρων, οὔτε γὰρ ἐκείνας ἐλωβοῦντο καὶ βαρείας εἶχον ὑπὸ τρυφῆς ποικίλης, οὐδὲ ταῦτα μαλακώτερα διὰ τὴν αὐτὴν αἰτίαν, πᾶσαν ἑτοίμως ἐξέμαθον παιδείαν, ἥτις ἦν παρὰ τοῖς ἑβραίοις καὶ τοῖς χαλδαίοις. μάλιστα δὲ δανιῆλος, ἱκανὰς ἤδη σοφίας ἐμπείρως ἔχων, περὶ κρίσεις ὀνείρων ἐσπουδάκει, καὶ τὸ θεῖον αὐτῷ φανερὸν ἐγένετο. μετὰ δὲ ἔτος δεύτερον τῆς αἰγύπτου πορθήσεως, ὁ βασιλεὺς ναβουχοδονόσορος, ὄναρ ἰδὼν θαυμαστὸν, οὗ τὴν ἔκβασιν αὐτὸς αὐτῷ κατὰ τοὺς ὕπνους ἐδήλωσεν ὁ θεὸς, τούτου μὲν ἐπιλανθάνεται, διαναστὰς ἐκ τῆς κοίτης. μεταπεμψάμενος δὲ τοὺς χαλδαίους καὶ τοὺς μάγους, καὶ τοὺς μάντεις, ὡς εἴη τι ὄναρ ἑωρακὼς ἔλεγεν αὐτοῖς. καὶ τὸ συμβεβηκὸς περὶ τὴν λήθην ὧν εἶδε μηνύων, ἐκέλευσεν αὐτοὺς λέγειν ὅ τι τε ἦν τὸ ὄναρ, καὶ τί τὸ σημεῖον. τῶν δὲ, ἀδύνατον εἶναι λεγόντων ἀνθρώποις τοῦθ' εὑρεῖν,

εἰ δ'

εἰ δ' αὐτοῖς ἔκθοιτο τὴν ὄψιν τοῦ ἐνυπνίου φράσειν τὸ σημεῖον ὑπισχνουμένων, θάνατον ἠπείλησεν αὐτοῖς, εἰ μὴ τὸ ὄναρ εἴποιεν. προσέταξε δὲ πάντας αὐτοὺς ἀναιρεθῆναι, ποιῆσαι τὸ κελευσθὲν ὁμολογήσαντας μὴ δύνασθαι. Δανίηλος δ' ἀκούσας ὅτι προσέταξε πάντας τοὺς σοφοὺς ὁ βασιλεὺς ἀποθανεῖν, ἐν τούτοις δὲ καὶ αὐτὸν μετὰ τῶν συγγενῶν κινδυνεύειν, πρόσεισιν Ἀριόχῳ τῷ τὴν ἐπὶ τῶν σωματοφυλάκων τοῦ βασιλέως ἀρχὴν πεπιστευμένῳ. καὶ δεηθεὶς παρ' αὐτοῦ τὴν αἰτίαν μαθεῖν, δι' ἣν ὁ βασιλεὺς πάντας εἴη προστεταχὼς ἀναιρεθῆναι τοὺς σοφούς, καὶ Χαλδαίους καὶ μάγους, καὶ μαθὼν τὸ περὶ τὸ ἐνύπνιον, καὶ ὅτι κελευσθέντες ὑπὸ τοῦ βασιλέως τοῦτ' αὐτῷ δηλοῦν ἐπιλελησμένῳ, φήσαντες μὴ δύνασθαι, παροξῦναι αὐτόν, παρεκάλεσε τὸν Ἀριόχην, εἰσελθόντα πρὸς τὸν βασιλέα, μίαν αἰτήσασθαι νύκτα τοῖς μάγοις, καὶ ταύτῃ τὴν ἀναίρεσιν ἐπισχεῖν. ἐλπίζειν γὰρ δι' αὐτῆς δεηθεὶς τοῦ θεοῦ, γνώσεσθαι τὸ ἐνύπνιον. ὁ δὲ Ἀριόχης ταῦτ' ἀπήγγειλε τῷ βασιλεῖ Δανίηλον ἀξιοῦν. καὶ ὁ μὲν κελεύει τὴν ἀναίρεσιν τῶν μάγων ἐπισχεῖν, ἕως γνῷ τὴν ὑπόσχεσιν τοῦ Δανιήλου. ὁ δὲ παῖς, μετὰ τῶν συγγενῶν ὑποχωρήσας πρὸς ἑαυτόν, δι' ὅλης ἱκετεύει τὸν θεὸν τῆς νυκτός, γνωρίσαι, καὶ τοὺς μάγους καὶ τοὺς Χαλδαίους, οἷς δεῖ καὶ αὐτοὺς συναπολέσθαι, ῥύσασθαι τῆς τοῦ βασιλέως ὀργῆς, ἐμφανίσαντα τὴν ὄψιν αὐτῷ καὶ ποιήσαντα δήλην ἧς ὁ βασιλεὺς ἐπιλέληστο διὰ τῆς παρελθούσης νυκτός, ἰδὼν κατὰ τοὺς ὕπνους. ὁ δὲ θεὸς ἅμα τούς τε κινδυνεύοντας ἐλεήσας, καὶ τὸν Δανίηλον τῆς σοφίας ἀγασάμενος, τό τε ὄναρ αὐτῷ γνώριμον ἐποίησε καὶ τὴν κρίσιν, ὡς ἂν καὶ τὸ σημαινόμενον ὁ βασιλεὺς παρ' αὐτοῦ μάθοι. Δανίηλος δὲ γνοὺς παρὰ τοῦ θεοῦ ταῦτα, περιχαρὴς ἀνίσταται, καὶ τοῖς ἀδελφοῖς δηλώσας, τοὺς μὲν ἀπεγνωκότας ἤδη τοῦ ζῆν καὶ πρὸς τῷ τεθνάναι τὴν διάνοιαν ἔχοντας, εἰς εὐθυμίαν καὶ τὰς περὶ τοῦ βίου διήγειρεν ἐλπίδας. εὐχαριστήσας δὲ τῷ θεῷ μετ' αὐτῶν ἔλεον λαβόντι τῆς ἡλικίας αὐτῶν, γενομένης ἡμέρας παραγίνεται πρὸς τὸν Ἀριόχον, καὶ ἄγειν αὐτὸν αὐτὸν ἠξίου πρὸς τὸν βασιλέα. δηλῶσαι γὰρ αὐτῷ βούλεσθαι τὸ ἐνύπνιον, ὃ φησὶν ἰδεῖν πρὸ τῆς παρελθούσης νυκτός. εἰσελθὼν δὲ πρὸς τὸν βασιλέα Δανίηλος, παρῃτεῖτο πρῶτον, μὴ σοφώτερον αὐτὸν δόξαι τῶν ἄλλων Χαλδαίων καὶ μάγων. ὅτι μηδενὸς ἐκείνων τὸ ὄναρ εὑρεῖν δυνηθέντος, αὐτὸς αὐτὸ μέλλοι λέγειν. οὐ γὰρ κατ' ἐμπειρίαν, οὐδ' ὅτι τὴν διάνοιαν αὐτῶν μᾶλλον ἐκπεπόνηται, τοῦτο γίνεσθαι. ἀλλ' ἐλεήσας ἡμᾶς φησὶν ὁ θεὸς κινδυνεύοντας ἀποθανεῖν, δεηθέντι περί τε τῆς ἐμαυτοῦ ψυχῆς καὶ τῶν ὁμοεθνῶν, καὶ τὸ ὄναρ καὶ τὴν κρίσιν αὐτοῦ φανερὰν ἐποίησεν. οὐχ ἧττον γὰρ τῆς ἐφ' ἡμῖν αὐτοῖς καταδικασθεῖσι ὑπὸ σοῦ μὴ ζῆν λύπης, περὶ τῆς σῆς αὐτοῦ δόξης ἐφρόντιζον, ἀδίκως οὕτως ἄνδρας καὶ ταῦτα καλοὺς κἀγαθοὺς ἀποθανεῖν κελεύσαντος, οἷς οὐδὲν μὲν ἀνθρωπίνης σοφίας ἐχόμενον προσέταξας, ὃ δ' ἦν ἔργον θεοῦ, τοῦτ' ἀπῄτεις παρ' αὐτῶν. σοὶ τοίνυν φροντίζοντι περὶ τοῦ, τίς ἄρξει τοῦ κόσμου παντός, μετὰ σέ, κατακοιμηθέντι βουλόμενος δηλῶσαι πάντας ὁ θεὸς τοὺς βασιλεύσοντας, ὄναρ ἔδειξε τοιοῦτον. ἔδοξας ὁρᾶν ἀνδριάντα μέγαν ἑστῶτα. οὗ τὴν μὲν κεφαλὴν συνέβαινεν εἶναι χρυσέαν, τοὺς δὲ ὤμους καὶ τοὺς βραχίονας ἀργυροῦς, τὴν δὲ γαστέρα καὶ τοὺς μηροὺς, χαλκοῦς, κνήμας δὲ καὶ πόδας, σιδηροῦς.

quòd ſi exponeret viſionem ſomnij, pollicentibus interpretationem, minatus eſt mortem niſi ſomnium etiam indicarent: & cùm negarent ſe id poſſe, necari omnes imperat. Tum Daniel audito quòd omnes ſapientes iuſſiſſet occidi, & inter hos ſe quoque cum ſuis cognatis eſſe in periculo, adiit Ariochum regij præfectum ſatellitij: rogauitque cauſam cur ita rex ſtatuiſſet in omnes ſapientes & magos atque Chaldæos animaduertere: & cognito quòd cùm oblitus eſſet ſomnij, iuſſiſſetque eos id ſibi indicare, nec illi potuiſſent, ad iram commotus ſit, impetrauit vt præfectus vnius noctis dilationem magis à rege peteret. ſpem enim ſibi eſſe, Deum ea ipſa nocte exoratum indicaturum eſſe id ſomnium. quæ Danielis poſtulata cùm per Ariochum regi eſſent renunciata, iuſſit cædem magorum differri, tantiſper dum huius promiſſi fidem experiretur. puer verò cum ſociis digreſſus in ſuum cubiculum, per totam noctem ſupplex Deum precibus ſolicitauit, vt rem ſibi aperiret, & magos cum quibus & ipſi periclitarentur, ab ira regis eriperet, manifeſtata ſibi viſione quam rex præterita nocte viſam elabi è memoria paſſus ſit. Deus autem & periclitantes miſeratus, & Danielis ſapientia delectatus, tam ſomnium quàm eius interpretationem ei notam reddidit, vt hanc per eum rex cognoſceret. Ille hac reuelatione lætus, ſurgens fratribus eam indicat, iam deſperantibus vitam, & tantùm de morte cogitantibus: hortatúrque vt tranquillo ſint animo, & de vita melius ſperare non dubitent. Cum quibus actis Deo gratiis quòd ætatem eorum eſſet miſeratus, Ariochum adit initio diei, rogans vt ſe ad regem ducat, indicaturum ei ſomnium quod proxima ante hanc nocte viderat. Ad quem ingreſſus primùm deprecatus eſt eam opinionem, quaſi ipſe Chaldæis & magis eſſet ſapientior, quòd nemine illorum valente inuenire ſomnium, ipſe id eſſet indicaturus. non enim ſua peritia, vel quòd intellectu alios præcellat, id fieri: ſed Deus, inquit, nos de vita periclitantes miſeratus eſt: rogantíque mihi pro mea populariúmque vita, & ſomnium & eius ſignificationem aperuit. neque enim tam me ſollicitum habuit ea triſtitia, quòd à te indigni vita eſſemus iudicati, quàm metus de exiſtimatione tuæ gloriæ, cùm tot viros bonos & honeſtos necari iuberes, ídque iniuria, quòd non eſſet humana ſapientia comprehenſibile quod mandabas, ſolo Deo valente præſtare quod cuperes. Ergo cùm hæc te cura teneret, quiſnam poſt te potiturus eſſet orbis imperio, dormienti tibi Deus volens omnes regnaturos oſtendere, tale immiſit ſomnium: videbaris tibi videre ſtatuam grandem ſtantem, cuius caput erat aureum, humeri ac brachia argentea, venter & femora ærea, crura ac pedes ferrei.

deinde saxum vidisti abruptum à monte in statuam illam incidere, & hanc deiectam conterere, vt nulla eius pars maneret integra, sed aurum, argentum, æs & ferrum abiret in minutiorem farina puluerem: cúmque ingruente venti vi difflatum in terras diuersissimas. Saxum verò illud tam magnum accepisse incrementum, vt quantum est terrarum sua mole opprimeret. Et hoc quidem est quod vidisti somnium, quod in hunc modum interpretari oportet. Aureum illud caput te significat, & alios reges ante te Babylonios. duæ verò manus & humeri duo portendunt, quòd à duobus regibus vestrum imperium delebitur. illorum quoque imperium alius ab occidente veniens tollet è medio, amictus armis æreis. Huius quoque vires debellabuntur ab alio ferro simili, cui propter naturam ferri nihil poterit resistere, quòd ea sit auro, argento ac ære validior. adiecit & de saxo interpretationem Daniel, sed mihi hoc narrare non libuit, cuius propositum est præterita, non etiam futura, scribere. quod si quis veritatis auidus non desistit inquirere, futurorum quoque obscuros euentus cupiens discere, det operam vt Danielis librum perlegat, qui habetur inter sacras literas. Porrò Nabuchodonosorus his auditis agnoscens suum somnium, attonitus est Danielis indole, & procidens in faciem, cum non aliter quàm Deum adorauit, diuinis iuuenem dignatus honoribus. Nec hoc contentus imposito ei Dei sui nomine, vniuersæ ditioni suæ præpositum esse voluit, cum eóque simul eius consanguineos: qui ob hæc inuidiosi facti in periculum inciderunt, offenso rege propter causam talem.

Daniel. 3.

Rex fabrefacta aurea statua, alta sexaginta, lata sex cubitos, in campo magno Babylonis eam statuit: quam dedicaturus conuocauit ex omni sua ditione principes, eísque mandauit, vt quamprimùm tuba dari signum audierint, procidentes in faciem adorent statuam. quod qui non fecerit, pœnam proposuit vt coniiciatur in ardentis fornacis incendium. Cùm igitur omnes audito tubæ signo adorarent eam statuam, Danielis cognati negauerunt se hoc facturos, quòd nollent patrias leges transgredi. móxque delati, & in ignem coniecti diuina seruati sunt prouidentia, & præter omnium opinionem euaserunt mortis periculum. Ignis enim eos non attigit, sed quasi sentiens iniustè in fornacem coniectos, pepercit, & non exeruit vim suam in iuuenes, Deo inuicta flammis faciente horum corpora: quæ quidem res magis etiam eos regi commendauit, quòd probos & Deo charos esse animaduerteret: quo factum est vt semper in maximo apud eum honore haberentur.

Daniel. 4.

Non multò deinde pòst, rursum aliud dormiens rex vidit in somnium, quòd priuatus regno vitam acturus esset inter bestias, & post exactum eo modo septennium, denuò restituendus esset in pristinum imperium. quo viso rursum conuocatis magis percontatus est quid significet.

ἔπειτα λίθον εἶδες ἀπὸ ὄρους ἀπορραγέντα, ἐμπεσεῖν τῷ ἀνδριάντι, καὶ τοῦτον καταβαλόντα, συντρῖψαι, καὶ μηδὲν αὐτοῦ μέρος ὁλόκληρον ἀφεῖναι, τὸν δὲ χρυσὸν καὶ τὸν ἄργυρον, καὶ τὸν σίδηρον καὶ τὸν χαλκὸν, ἀλεύρου λεπτότερον γενέσθαι. καὶ τὸν μὲν ἀνέμου πνεύσαντος σφοδροτέρου, ὑπὸ τῆς βίας ἁρπαγέντα διασπαρῆναι. τὸν δὲ λίθον αὐξῆσαι τοσοῦτον, ὡς ἅπασαν ὑπ' αὐτοῦ τὴν γῆν δοκεῖν πεπληρῶσθαι. τὸ μὲν οὖν ὄναρ ὅπερ εἶδες, τοῦτ' ἔστιν, ἡ δὲ κρίσις αὐτοῦ, τοῦτον ἔχει τὸν τρόπον. ἡ μὲν χρυσῆ κεφαλὴ σέ τε ἐδήλου, καὶ τοὺς πρὸ σοῦ βασιλεῖς Βαβυλωνίους ὄντας. αἱ δὲ δύο χεῖρες καὶ οἱ ὦμοι σημαίνουσιν, ὑπὸ δύο καταλυθήσεσθαι βασιλέων τὴν ἡγεμονίαν ὑμῶν. τὴν δὲ ἐκείνων ἕτερός τις ἀπὸ δύσεως καθαιρήσει, χαλκὸν ἠμφιεσμένος. καὶ ταύτην ἄλλη παύσει τὴν ἰσχὺν, ὁμοία σιδήρῳ, καὶ κρατήσει δὲ εἰς ἅπασαν διὰ τὴν τοῦ σιδήρου φύσιν, εἶναι γὰρ αὐτὴν στερροτέραν τῆς τοῦ χρυσοῦ καὶ τοῦ ἀργύρου καὶ τοῦ χαλκοῦ. ἐδήλωσε δὲ καὶ περὶ τοῦ λίθου Δανίηλος τῷ βασιλεῖ, ἀλλ' ἐμοὶ μὲν οὐκ ἔδοξε τοῦτο ἱστορεῖν, τὰ παρελθόντα καὶ τὰ γεγενημένα συγγράφειν, οὐ τὰ μέλλοντα ὀφείλοντι. εἰ δέ τις τῆς ἀληθείας γλιχόμενος οὐ περιΐσταται πολυπραγμονεῖν, ὡς καὶ περὶ τῶν ἀδήλων εἰ γενήσεται βούλεσθαι μαθεῖν, σπουδασάτω τὸ βιβλίον ἀναγνῶναι τοῦ Δανιήλου, εὑρήσει δὲ τοῦτο ἐν τοῖς ἱεροῖς γράμμασι. ὁ δὲ βασιλεὺς Ναβουχοδονόσορος ἀκούσας ταῦτα καὶ ἐπιγνοὺς τὸ ὄναρ, ἐξεπλάγη τὴν τοῦ Δανιήλου φύσιν. καὶ πεσὼν ἐπὶ πρόσωπον, ᾧ τρόπῳ τὸν θεὸν προσκυνοῦσι, τούτῳ τὸν Δανίηλον ἠσπάζετο, καὶ θύειν δὲ ὡς θεῷ προσέταξεν. οὐ μὴν, ἀλλὰ καὶ τὴν προσηγορίαν αὐτῷ τοῦ ἰδίου θεοῦ θέμενος, ἁπάσης ἐπίτροπον τῆς βασιλείας ἐποίησε, καὶ τοὺς συγγενεῖς αὐτοῦ, οἷς ὑπὸ φθόνου καὶ βασκανίας, εἰς κίνδυνον ἐμπεσεῖν συνέβη, τῷ βασιλεῖ προσκρούσαντας ἐξ αἰτίας τοιαύτης. ὁ βασιλεὺς κατασκευάσας χρύσεον ἀνδριάντα, πηχῶν τὸ μὲν ὕψος ἑξήκοντα, πλάτος δὲ ἕξ, ἔστησεν αὐτὸν ἐν τῷ μεγάλῳ τῆς Βαβυλῶνος πεδίῳ, καὶ μέλλων καθιεροῦν, συνεκάλεσεν ἐξ ἁπάσης ἧς ἦρχε γῆς τοὺς πρώτους, πρῶτον αὐτοῖς προστάξας, ὅτι σημαινούσης ἀκούσωσι τῆς σάλπιγγος, τότε πεσόντας προσκυνεῖν τὸν ἀνδριάντα. τοὺς δὲ μὴ ποιήσαντας, ἠπείλησεν εἰς τὴν τοῦ πυρὸς ἐμβληθήσεσθαι κάμινον. πάντων οὖν μετὰ τὸ σημαινούσης ἐπακοῦσαι τῆς σάλπιγγος προσκυνούντων τὸν ἀνδριάντα, τοὺς Δανιήλου συγγενεῖς οὐ ποιῆσαι τοῦτό φασι, μὴ βουληθέντας παραβῆναι τοὺς πατρίους νόμους. καὶ οἱ μὲν ἐλεγχθέντες, εὐθέως εἰς τὸ πῦρ ἐμβληθέντες, θείᾳ σώζονται προνοίᾳ, καὶ παραδόξως διαφεύγουσι τὸν θάνατον. οὐ γὰρ ἥψατο τὸ πῦρ αὐτῶν. ἀλλὰ κατὰ λογισμὸν οἶμαι τοῦ μηδὲν ἀδικήσαντας εἰς αὐτὸ βληθῆναι οὐχ ἥψατο, καίειν δ' ἀσθενὲς ἦν ἔχον ἐν ἑαυτῷ τοὺς παῖδας, τοῦ θεοῦ κρείττονα τὰ σώματα αὐτῶν ὡς τὸ μὴ δαπανηθῆναι ὑπὸ τοῦ πυρὸς παρασκευάσαντος. τοῦτο συνέστησεν αὐτοὺς τῷ βασιλεῖ ὡς δικαίους καὶ θεοφιλεῖς. διὸ μετὰ πάσης ἀξιούμενοι παρ' αὐτοῦ τῆς τιμῆς διετέλουν. ὀλίγῳ δὲ ὕστερον χρόνῳ, πάλιν ὁρᾷ κατὰ τοὺς ὕπνους ὁ βασιλεὺς ὄψιν ἑτέραν. ὡς ἐκπεσὼν τῆς ἀρχῆς, μετὰ θηρίων ἕξει τὴν δίαιταν, καὶ διαζήσας οὕτως ἐπὶ τῆς ἐρημίας ἔτεσιν ἑπτὰ, αὖθις τὴν ἀρχὴν ἀπολήψεται. τοῦτο θεασάμενος τοὔναρ, πάλιν τοὺς μάγους συγκαλέσας, ἀνέκρινεν αὐτοὺς περὶ αὐτοῦ, καὶ τί σημαίνει λέγειν ἠξίου.

τῶν μὲν

τῶν μὲν οὖν ἄλλων οὐδεὶς ἐδυνήθη τὴν τοῦ ἐνυπνίου διάνοιαν εὑρεῖν οὐδ᾽ ἐμφανίσαι τῷ βασιλεῖ, Δανιῆλος δὲ μόνος καὶ ταῦτα ἔκρινε, καὶ καθὼς οὗτος τῷ αὐτῷ προεῖπεν ἀπέβη, διαζήσας γὰρ ἐπὶ τῆς ἐρημίας τὸν προειρημένον χρόνον οὐδενὸς τολμήσαντος ἐπιθέσθαι τοῖς πράγμασι παρὰ τὴν ἑπταετίαν, δεηθεὶς τοῦ θεοῦ τὴν βασιλείαν ἀπολαβεῖν, πάλιν εἰς αὐτὴν ἐπανέρχεται. ἐγκαλέσῃ δέ μοι μηδεὶς οὕτως ἕκαστα τούτων ἀπαγγέλλοντι διὰ τῆς γραφῆς, ὡς ἐν τοῖς ἀρχαίοις εὑρίσκω βιβλίοις. καὶ γὰρ εὐθὺς ἐν ἀρχῇ τῆς ἱστορίας, πρὸς τοὺς ἐπιζητήσοντας τι τῶν πραγμάτων ἢ μεμψομένους ἠσφαλισάμην μόνον τε μεταφράζειν τὰς ἑβραίων βίβλους εἶπον εἰς τὴν ἑλληνίδα γλῶσσαν, καὶ ταῦτα δηλώσειν, μήτε προστιθεὶς τι τοῖς πράγμασιν αὐτὸς ἴδιον, μήτ᾽ ἀφαιρεῖν ὑπεσχημένος. ὁ δὲ βασιλεὺς ναβουχοδονόσορος, ἔτη τεσσαρακοντατρία βασιλεύσας, τελευτᾷ τὸν βίον. ἀνὴρ δραστήριος καὶ τῶν πρὸ αὐτοῦ βασιλέων εὐτυχέστερος γενόμενος. μέμνηται δ᾽ αὐτοῦ τῶν πράξεων καὶ Βηρωσσὸς ἐν τῇ τρίτῃ τῶν χαλδαικῶν, λέγων οὕτως. ἀκούσας δ᾽ ὁ πατὴρ αὐτοῦ ναβουχοδονόσορος, ὅτι ὁ τεταγμένος σατράπης, ἔν τε αἰγύπτῳ καὶ τοῖς περὶ τὴν κοίλην συρίαν καὶ τὴν φοινίκην τόποις, ἀποστάτης αὐτοῦ γέγονεν, οὐ δυνάμενος αὐτὸς ἔτι κακοπαθεῖν συστήσας τῷ ναβουχοδονοσόρῳ ὄντι ἐν ἡλικίᾳ μέρη τινὰ τῆς δυνάμεως, ἔπεμψεν ἐπ᾽ αὐτόν. συμμίξας δὲ ναβουχοδονόσορος τῷ ἀποστάτῃ καὶ παραταξάμενος, αὐτοῦ τε ἐκράτησε, καὶ τὴν χώραν ἐκ ταύτης τῆς ἀρχῆς ὑπὸ τὴν αὐτοῦ βασιλείαν ἐποιήσατο. τῷ δὲ πατρὶ τῷ ναβουχοδονοσόρῳ συνέβη κατ᾽ αὐτὸν τὸν καιρὸν ἀρρωστήσαντι ἐν τῇ βαβυλωνίων πόλει, μεταλλάξαι τὸν βίον, ἔτη βασιλεύσαντι εἰκοσιέν. αἰσθόμενος δὲ μετ᾽ οὐ πολὺν χρόνον τὴν τοῦ πατρὸς τελευτὴν ναβουχοδονόσορος, καὶ καταστήσας τὰ κατὰ τὴν αἴγυπτον πράγματα καὶ τὴν λοιπὴν χώραν, καὶ τοὺς αἰχμαλώτους ἰουδαίων τε καὶ φοινίκων καὶ σύρων, καὶ τῶν κατὰ τὴν αἴγυπτον ἐθνῶν, καὶ συντάξας τισὶ τῶν φίλων μετὰ τῆς βαρύτητος δυνάμεως καὶ τῆς λοιπῆς ὠφελείας ἀνακομίζειν εἰς τὴν βαβυλωνίαν, αὐτὸς ὁρμήσας ὀλιγοστὸς διὰ τῆς ἐρήμου παραγίνεται εἰς βαβυλῶνα. παραλαβὼν δὲ τὰ πράγματα, διοικούμενα ὑπὸ τῶν χαλδαίων, καὶ διατηρουμένην τὴν βασιλείαν ὑπὸ τοῦ βελτίστου αὐτῶν, κυριεύσας ὁλοκλήρου τῆς πατρικῆς ἀρχῆς, τοῖς μὲν αἰχμαλώτοις παραγενομένοις, συνέταξεν ἀποικίας ἐν τοῖς ἐπιτηδειοτάτοις τῆς βαβυλωνίας τόποις. αὐτὸς δ᾽ ὑπὸ τῶν ἐκ τοῦ πολέμου λαφύρων, τό τε τοῦ βήλου ἱερὸν καὶ τὰ λοιπὰ κοσμήσας φιλοτίμως, τήν τε ὑπάρχουσαν ἐξ ἀρχῆς πόλιν, καὶ ἑτέρα χρησάμενος, καὶ ἀναγκάσας, πρὸς τὸ μηκέτι δύνασθαι τοὺς πολιορκοῦντας τὸν ποταμὸν ἀναστρέψαντας ἐπὶ τὴν πόλιν κατασκευάζειν. περιεβάλετο δὲ τρεῖς μὲν τῆς ἔνδον πόλεως περιβόλους, τρεῖς δὲ ἔξω, τοῦτο ἢ τῆς ὀπτῆς πλίνθου. καὶ τειχίσας ἀξιολόγως τὴν πόλιν, καὶ τοὺς πυλῶνας κοσμήσας ἱεροπρεπῶς, κατεσκεύασεν ἐν τοῖς πατρικοῖς βασιλείοις ἕτερα βασίλεια ἐχόμενα αὐτῶν. ὧν τὸ μὲν ἀνάστημα καὶ τὴν λοιπὴν πολυτέλειαν, περισσὸν ἴσως ἂν εἴη λέγειν. πλὴν ὅσον τε τὰ μεγαλεῖα καὶ ὑπερήφανα συνετελέσθησαν ἡμέραις δεκαπέντε. ἐν δὲ τοῖς βασιλείοις τούτοις, ἀναλήμματα λίθινα ἀνῳκοδόμησε, τὴν ὄψιν ἀποδοὺς ὁμοιότητα τοῖς ὄρεσι.

Eius intellectum nemo alius inuenire & regi indicare potuit, solus Daniel quid portenderet coniectura assecutus est: & qualem hic prædixit, talis etiam euentus affuit. nam cum in solitudine tempus prædictum exegisset, nemine septennio toto audente inuadere dominium, exorato Deo rursum in regnum suum restitutus est. Nemo autem mihi vitio debet vertere, quòd hæc ita vt in antiquis libris inuenio, scriptis meis insero. Talibus enim criminatoribus dudum occurri in initiis huius historiæ, palàm profitens me tantùm Hebraicorum voluminum in Græcam linguam interpretem:& quæ illic continentur bona fide relaturum me promisi, nec addentem quicquam de meo,nec auferentem etiam.Cæterùm Nabuchodonosorus cùm regnasset annos XLIII. vitam finiit, vir industrius, & prioribus regibus longè fortunatior. Meminit eius & Berosus in tertio rerum Chaldaicarum libro his verbis.

XIII.

Pater autẽ Nabuchodonosorus audito quòd Satrapa quem Ægypto & Cauæ Syriæ Phœniciæque præfecerat,à se defecisset,cùm non posset ampliùs ferre labores militiæ, tradita iuniori Nabuchodonosoro copiarum parte, iussit hunc contra illum proficisci. qui collatis signis cum defectore congressus, & ipsum deuicit, & regiones eius ad suum imperium retraxit. Interea pater Nabuchodonosorus apud Babylonem morbo absumptus est, cum regnasset annos XXI. Nabuchodonosorus vero non multo pòst patris morte cognita, & constitutis Ægypti ac reliquarum regionum negotiis, demandataque amicis cura captiuorum Iudæorum, Syrorum, Phœnicum & Ægyptiorum traducendorum in Babyloniam cum exercitu & impedimentis, ipse cum paucis per desertum Babylonem properauit.Et cùm assumpsisset regni administrationem, quæ interim penes Chaldæos fuerat, & ab eorum primo seruata erat in eius reditum, factus est totius paterni imperij dominus. ac primùm omnium captiuos recens adductos per opportuna Babyloniæ loca in colonias distribuit: deinde spoliis bello partis Beli templum & alia quædam magnificè exornauit. auxit etiam & reparauit antiqua vrbis ædificia, munito & fluminis alueo,ita ne hostes eo possent vti ad ciuitatis incommodum.Tres quoque murorum ambitus intra vrbem extruxit, & totidem foris circũdedit,omnes è coctilibus laterculis.cúmque memorabilibus operibus ciuitatem muniisset, & portas in templorum modum ornasset, paternæ regiæ cõtiguam extruxit aliam regiam,cuius substructiones & reliquam magnificentiam fortè superuacaneum esset dicere: vnum silere non possum, quòd tam amplum & superbum ædificium intra quindecim dies absolutum est. In hac regia moles saxeas fornicibus suspendit, montium speciem referentes, superne consitas variis arborum generibus,

atque ita celebratos illos pensiles hortos absoluit, eo quòd vxor educata in Media concupisset quandam patriæ suæ similitudinem. Horum hortorum etiam Megasthenes in quarto rerum Indicarum volumine meminit, vbi ostendere conatur quòd hic rex virtute & rerum gestarum magnitudine Herculem longè à tergo reliquerit. subiugasse enim eum & vrbem Africæ primariam, & bonam partem Hispaniæ. Sed & Diocles in secundo rerum Persicarum libro eius regis mentionem facit, & Philostratus tam in Phœnicum quàm in Indorum historiis, quòd hic rex per tredecim annos Tyrum oppugnauerit, regnante apud eam vrbem Ithobale. Atque hæc sunt quæ de hoc rege apud historicos inuenio.

Cap. XII.

De successoribus Nabuchodonosori, & quòd Cyrus eorum imperium in Persas transtulit, & quomodo se tum res Iudæorum apud Babylonios habuerint.

Cæterùm post Nabuchodonosori obitum Abilamarodachus eius filius regnum suscepit, qui mox Hierosolymorum regem Iechoniam è vinculis dimisit, & inter necessarios amicos habuit, multis muneribus donatum, & apud Babylonem regiæ suæ præfectum. Pater enim eius fidem non seruauerat Iechoniæ, qui se ei cum vxoribus & liberis totáque cognatione sponte tradiderat, respectu solius patriæ, quam nolebat per vim expugnatam dirui, sicut antè diximus. Abimalarodacho post decimumoctauum regni sui annum defuncto Niglisar filius successit, cúmque regnasset annos quadraginta, vitam cum morte mutauit. continuata deinde successione ad Labosordachum filium regnum peruenit: apud quem cùm nouem tantùm mensibus hæsisset, post mortem eius transiit ad Balthasarem, qui Babyloniis Naboandel nominatur. Huic bellum intulerunt Cyrus Persarum rex & Darius Medorum, à quibus dum intra Babylonem oppugnatur, mirabilis quædam & prodigiosa visio ei contigit. Discumbebat cœnans in ampla quadam aula, magno apparatu vasorum argenteorum quæ regiæ mensæ adhiberi solent, accumbentibus etiam concubinis & purpuratorum præcipuis. Deinde cùm ita collibuisset, iubet è suo templo afferri vasa Dei, quæ spoliatis Hierosolymis Nabuchodonosor in vsum suum veritus vertere, in Dei sui templo reposuerat. Ipse verò iam mero calens ausus est ex eis potare, verba interim contumeliosa in Deum proferens: & ecce ibi videt manum è pariete prominentem, & in eo syllabas quasdam scribentem, qua visione territus conuocauit magos & Chaldæos, & totum hoc genus quod apud Barbaros prodigiorum & somniorum interpretationem profitetur, postulans vt sibi enarrent id quod erat scriptum.

Daniel. 5.

A καὶ καταφυτεύσας δένδρεσι παντοδαποῖς, ἐξειργάσατο καὶ κατεσκεύασε τὸν καλούμενον κρεμαστὸν παράδεισον. διὰ τὸ τὴν γυναῖκα αὐτοῦ ἐπιθυμεῖν τῆς οἰκείας διαθέσεως, ὡς τεθραμμένην ἐν τοῖς κατὰ μηδίαν τόποις. καὶ μεγασθένης δὲ, ἐν τῇ τετάρτῃ τῶν ἰνδικῶν, μνημονεύει αὐτῶν, δι' ἧς ἀποφαίνειν πειρᾶται τοῦτον τὸν βασιλέα, τῇ ἀνδρείᾳ καὶ τῷ μεγέθει τῶν πράξεων, ὑπερβεβηκότα τὸν ἡρακλέα. καταστρέψασθαι γὰρ αὐτὸν φησὶ λιβύης τὴν πόλιν, καὶ ἰβηρίαν. B καὶ διοκλῆς δὲ ἐν τῇ δευτέρᾳ τῶν περσικῶν, μνημονεύει τούτου τοῦ βασιλέως, καὶ φιλόστρατος ἐν ταῖς ἰνδικαῖς αὐτοῦ καὶ φοινικικαῖς ἱστορίαις. ὅτι οὗτος ὁ βασιλεὺς ἐπολιόρκησε τύρον ἔτη ιγ'. βασιλεύοντος κατ' ἐκεῖνον τὸν καιρὸν ἰθοβάλου τῆς τύρου. καὶ τὰ μὲν ὑπὸ πάντων ἱστορούμενα περὶ τούτου τοῦ βασιλέως, ταῦτα ἦν.

C

Κεφάλαιον ιβ'.

Ὡς ναβουχοδονόσορος τελευτήσας διάδοχον κατέλιπε τῆς βασιλείας τὸν υἱὸν, καὶ ὡς καταλύεται ἡ τούτων ἀρχὴ ὑπὸ κύρου τοῦ περσῶν βασιλέως, καὶ ὅσα συνέβη ἰουδαίοις κατὰ τοῦτον τὸν καιρὸν παρὰ τοῖς βαβυλωνίοις.

D Μετὰ δὲ τὴν ναβουχοδονοσόρου τελευτὴν ἀβιλαμαράδαχος ὁ παῖς αὐτοῦ τὴν βασιλείαν παραλαμβάνει ὃς εὐθὺς τὸν ἱεροσολύμων βασιλέα ἰεχωνίαν τῶν δεσμῶν ἀφεὶς, ἐν τοῖς ἀναγκαιοτάτοις φίλοις εἶχε πολλὰς αὐτῷ δωρεὰς δοὺς, καὶ ποιήσας αὐτὸν ἐπὶ τῶν ἐν τῇ βαβυλῶνι βασιλείων. ὁ γὰρ πατὴρ αὐτοῦ τὴν πίστιν οὐκ ἐφύλαξε τῷ ἰεχωνίᾳ, παραδόντι μετὰ γυναικῶν καὶ τέκνων καὶ τῆς συγγενείας ὅλης ἑκουσίως ἑαυτὸν ὑπὲρ τῆς πατρίδος, ὡς ἂν μὴ E κατασκαφείη ληφθεῖσα τῇ πολιορκίᾳ, καθὼς προειρήκαμεν. τελευτήσαντος δὲ ἀβιλαμαροδάχου μετὰ ἔτη ὀκτωκαίδεκα τῆς βασιλείας, νιγλίσαρος ὁ παῖς αὐτοῦ τὴν ἀρχὴν παραλαμβάνει. καὶ κατασχὼν αὐτὴν ἔτη τεσσαράκοντα, καταστρέφει τὸν βίον. μετ' αὐτὸν δὲ εἰς τὸν υἱὸν αὐτοῦ λαβοσόρδαχον ἀφικνεῖται τῆς βασιλείας ἡ διαδοχὴ, καὶ μῆνας ποιήσασα παρ' αὐτῷ τοὺς πάντας ἐννέα, τελευτήσαντος αὐτοῦ μεταβαίνει πρὸς βαλτάσαρον τὸν καλούF μενον ναβοάνδηλον παρὰ βαβυλωνίοις. ἐπὶ τοῦτον στρατεύουσι κῦρός τε ὁ περσῶν βασιλεὺς, καὶ δαρεῖος ὁ μήδων, καὶ πολιορκουμένῳ αὐτῷ ἐν βαβυλῶνι, θαυμάσιόν τι καὶ τεράστιον θέαμα συνέβη. κατέκειτο δειπνῶν ἐν οἴκῳ μεγάλῳ, καὶ σκευῶν ἦν πολὺς ἄργυρος, εἰς ἑστίασιν πεποιημένων βασιλικὴν, μετὰ τῶν παλλακίδων καὶ τῶν φίλων. δόξαν G δὲ αὐτῷ, κομισθῆναι κελεύει ἐκ τοῦ ἰδίου ναοῦ, τὰ τοῦ θεοῦ σκεύη, ἃ συλήσας ναβουχοδονόσορος ἐξ ἱεροσολύμων, οὐκ ἐχρῆτο μὲν, εἰς δὲ τὸν αὐτοῦ ναὸν κατέθετο. αὐτὸς δὲ ὑπὸ θράσους προαχθεὶς, ὥστε αὐτοῖς χρῆσθαι, μεταξὺ πίνων καὶ βλασφημῶν εἰς τὸν θεὸν, ἐκ τοῦ τείχους ὁρᾷ χεῖρα προϊοῦσαν, καὶ τῷ τοίχῳ τινὰς συλλαβὰς ἐγγράφουσαν. ταραχθεὶς δ' ὑπὸ τῆς ὄψεως, συνεκάλεσε τοὺς μάγους καὶ τοὺς χαλδαίους, καὶ πᾶν τοῦτο τὸ γένος ὅσον ἦν ἐν τοῖς βαρβάροις, τά τε σημεῖα καὶ τὰ ὀνείρατα κρίνειν δυνάμενον, ὡς ἂν αὐτῷ δηλώσωσι τὰ γεγραμμένα.

τῶν δὲ μάγων οὐδὲν εὑρίσκειν, οὐδὲ συνιέναι λεγόντων, ὑπ᾽ ἀγωνίας ὁ βασιλεὺς, καὶ πολλῆς τῆς ἐπὶ τῷ παραδόξῳ λύπης, κατὰ πᾶσαν ἐκήρυξε τὴν χώραν, τῷ τὰ γράμματα καὶ τὴν ὑπ᾽ αὐτῶν δηλουμένην διάνοιαν σαφῆ ποιήσαντι, δώσειν ὑπισχνούμενος, στρεπτὸν περιαυχένιον χρύσεον, καὶ πορφυρᾶν ἐσθῆτα φορεῖν, ὡς οἱ τῶν Χαλδαίων βασιλεῖς, καὶ τὸ τρίτον μέρος τῆς ἰδίας ἀρχῆς. τούτου γενομένου τοῦ κηρύγματος, ἔτι μᾶλλον οἱ μάγοι συνδραμόντες καὶ φιλοτιμησάμενοι πρὸς τὴν εὕρεσιν τῶν γραμμάτων, οὐδὲν ἔλαττον ἠπόρησαν. ἀθυμοῦντα δ᾽ ἐπὶ τούτῳ θεασαμένη τὸν βασιλέα ἡ μάμμη αὐτοῦ, παραθαρσύνειν ἤρξατο, καὶ λέγειν, ὡς ἔστι τις ἐκ τῆς Ἰουδαίας αἰχμάλωτος, ἐκεῖθεν τὸ γένος, ἀχθεὶς ὑπὸ τοῦ Ναβουχοδονοσόρου πορθήσαντος Ἱεροσόλυμα, Δανιῆλος ὄνομα, σοφὸς ἀνὴρ καὶ δεινὸς ἐξευρεῖν τὰ ἀμήχανα, καὶ μόνῳ τῷ θεῷ γνώριμα, ὃς Ναβουχοδονοσόρῳ τῷ βασιλεῖ μηδενὸς ἄλλου δυνηθέντος εἰπεῖν περὶ ὧν ἔχρηζεν, εἰς φῶς ἤγαγε τὰ ζητούμενα. μεταπεμψάμενον οὖν αὐτὸν, ἠξίου παρ᾽ αὐτοῦ πυνθάνεσθαι περὶ τῶν γραμμάτων, καὶ τὴν ἀμαθίαν τὴν τῶν οὐχ εὑρόντων αὐτὰ κατακρίνειν, κἂν σκυθρωπὸν ᾖ τὸ ὑπὸ θεοῦ σημαινόμενον. ταῦτ᾽ ἀκούσας, καλεῖ τὸν Δανιῆλον ὁ Βαλτάσαρος. καὶ διαλεχθεὶς ὡς πύθοιτο περὶ αὐτοῦ καὶ τῆς σοφίας, ὅτι τὸ θεῖον αὐτῷ πνεῦμα συμπάρεστι, καὶ μόνος ἐξευρεῖν ἱκανώτατος ἃ μὴ τοῖς ἄλλοις εἰς ἐπίνοιαν ἔρχεται, φράζειν αὐτῷ τὰ γεγραμμένα, καὶ τί σημαίνει μηνύειν ἠξίου. τοῦτο γὰρ ποιήσαντι πορφύραν δώσειν ἐνδεδύσθαι, καὶ χρύσεον περὶ τὸν αὐχένα στρεπτὸν, καὶ τὸ τρίτον τῆς αὐτοῦ ἀρχῆς μέρος, τιμὴν καὶ γέρας τῆς σοφίας, ὡς ἂν ἐξ αὐτῶν ἐπισημότατος γένοιτο τοῖς ὁρῶσι, καὶ τὴν αἰτίαν ἐφ᾽ ᾗ τούτων ἔτυχε πυνθανομένοις. Δανιῆλος δὲ τὰς μὲν δωρεὰς αὐτὸν ἔχειν ἠξίου, τὸ γὰρ σοφὸν καὶ τὸ θεῖον, ἀδωροδόκητον εἶναι, καὶ προῖκα τοὺς δεομένους ὠφελεῖν. μηνύειν δὲ αὐτῷ τὰ γεγραμμένα, σημαίνοντα καταστροφὴν δὴ αὐτῷ τοῦ βίου. ὅτι μηδ᾽ οἷς ὁ πρόγονος αὐτοῦ διὰ τὰς εἰς θεὸν ὕβρεις ἐκολάσθη, τούτοις ἔμαθεν εὐσεβεῖν, καὶ μηδὲν ὑπὲρ τὴν ἀνθρωπίνην φύσιν μηχανᾶσθαι, ἀλλὰ καὶ Ναβουχοδονοσόρου μεταστάντος εἰς δίαιταν θηρίων ἐφ᾽ οἷς ἠσέβησε, καὶ μετὰ πολλὰς ἱκεσίας καὶ δεήσεις ἐλεηθέντος, ἐπανελθεῖν εἰς τὸν ἀνθρώπινον βίον καὶ τὴν βασιλείαν, καὶ διὰ ταῦτα τὸν θεὸν ὡς τὴν ἅπασαν ἔχοντα δύναμιν καὶ προνοούμενον τῶν ἀνθρώπων μέχρις οὗ καὶ ἐτελεύτησεν ὑμνοῦντος, λήθην αὐτὸς ἔλαβε τούτων. καὶ πολλὰ μὲν ἐβλασφήμησεν εἰς τὸ θεῖον, τοῖς δὲ σκεύεσιν αὐτοῦ μετὰ τῶν παλλακίδων διηκονεῖτο. ταῦτα οὖν ὁρῶντα τὸν θεὸν ὀργισθῆναι αὐτῷ, καὶ διὰ τῶν γεγραμμένων προκαταγγέλλειν, εἰς οἷον αὐτὸν καταστρέψαι δεῖ τέλος. ἐδήλου δὲ τὰ γεγραμμένα τάδε. μανή, τοῦτο δ᾽ ἔλεγεν ἑλλάδι γλώσσῃ σημαίνοιτ᾽ ἂν ἀριθμός, ὥσπερ τῆς ζωῆς σου τοσοῦτον χρόνον, καὶ τῆς ἀρχῆς ἠρίθμηκεν ὁ θεός, καὶ περισσεύειν ἐπὶ σοὶ βραχὺν χρόνον. θεκέλ, σημαίνει τοῦτο σταθμόν, στήσας οὖν σου λέγει τὸν χρόνον τῆς βασιλείας ὁ θεός, ἤδη καταφερομένην δηλοῖ. φαρές, καὶ τοῦτο κλάσμα δηλοῖ κατὰ ἑλλάδα γλῶσσαν. κλάσει τοιγαροῦν σου τὴν βασιλείαν, καὶ Μήδοις αὐτὴν καὶ Πέρσαις διανεμεῖ. Δανιήλου δὲ ταῦτα σημαίνειν τῷ βασιλεῖ φράσαντος τὰ ἐν τῷ τοίχῳ γράμματα, τὸν μὲν Βαλτάσαρον οἷον εἰκὸς ἐφ᾽ οὕτω χαλεποῖς τοῖς δηλουμένοις λύπη καὶ συμφορὰ κατέλαβεν. οὐ μὴν ὡς προφήτῃ κακῶν αὐτῷ γεγενημένῳ τὰς δωρεὰς ἃς ὑπέσχετο δώσειν οὐ δίδωσιν,

magis autem negantibus ſe eius intellectum inuenire, rex ob rei nouitatem mœſtus ac ſolicitus, præconis voce per totam ſuam ditionem publicauit: quicunque mentem earum literarum interpretari poſſet, daturum ſe ei torquem aureum, & purpureæ veſtis vſum, quali Chaldæorum reges vtuntur, atque inſuper tertiam regni ſui partem. Poſt hoc præconium maior etiam fit magorum concurſus, certatim ſenſum literarum ſcrutantibus, nihil tamen proficientibus. Videns autem triſtem hac de cauſa regem eius auia, ſolari eum cœpit, dicens eſſe quendam captiuum Iudæum per Nabuchodonoſorum vaſtatis Hieroſolymis abductum, virum ſapientem, qui poſſit obſcura & ſoli Deo nota perquirere. hunc Nabuchodonoſoro quæ opus erat interpretatum, cùm id eo tempore poſſet alius nemo. rogabátque vt accito illo percontaretur quid ſibi velint hæ literæ, vt coarguta cæterorum inſcitia, etiamſi triſte ſit, prodigium id intelligatur. His auditis Baltaſar accerſit Danielem: & præfatus ſe reſciuiſſe de eius ſapientia, deque ſpiritu diuino quem habeat, & quòd ſolus ſit idoneus interpretandis quæ aliorum cognitionem effugiunt, rogauit vt ſibi enarret quid ſcriptura illa ſignificet, pollicens operæ præmium vſum veſtis purpureæ torquemque aureum, & ditionis ſuæ partem tertiam, vt ſapientia eius inſignita talibus honoribus, illuſtris fiat apud omnes qui honoris cauſam ſciſcitando cognouerint. Daniel autem recuſatis muneribus, quòd his diuinitus conceſſa ſapientia corrumpi nequeat, ſed indigentes gratis iuuare parata ſit, ait ſcripturam hanc vitæ finem prædicere: eo quòd ne proaui quidem calamitate, quam ille incurrit ob contemptum numinis, doctus ſit pietatem colere, & nihil moliri quod ſit ſupra naturam hominis. Nabuchodonoſorum enim ob impietatem damnatum ad victum ferinum, poſt multas preces miſerante Deo reſtitutum ad hominum conuerſationem & priſtinum imperium, ac deinper totam vitam agnouiſſe & laudaſſe Dei virtutem & prouidentiam. hunc verò oblitum domeſtici exempli, voces impias iactaſſe in Deum, & potaſſe è ſacris vaſis vnà cum ſuis pellicibus. Ob hæc iratum Deum per has literas denunciare qualem ſit habiturus vitæ exitum. Sic enim interpretanda ſingula. Mane, hoc eſt numerus, ſignificat dinumeratum eſſe iam dierum tuæ vitæ ac regni numerum, & perbreue tempus ſupereſſe. Thecel, quod eſt pondus, appenſum à Deo regni tui tempus iam ad finem vergere. Phares, quod eſt fragmen, fracturum Deum tuum regnum, & partes eius in Medos ac Perſas diſtribuendas. Hac interpretatione accepta rex non poterat non vehementer triſtari, attamen Danieli ſuam munificentiam non ſubtraxit tanquam malorum prænuncio, ſed dona quæ pollicitus eſt exhibuit,

ſic cogitans, quod non bona audierit, ſui fati culpam eſſe, non prophetæ: imò illum boni viri officio functum eſſe, qui ſic interpretatus ſit vt erat euenturum, tametſi parum lætus euentus ſequeretur. Non multum autem abiit temporis, dum & ipſe & vrbs in Cyri Perſarum regis poteſtatem deuenit. Sub Baltaſare enim capta eſt Babylon, anno regni eius decimoſeptimo. Hic finis fertur poſterorum Nabuchodonoſori. Darius autem cùm extingueret Babyloniorum imperium, adiutus à Cyro ſuo cognato, annum agebat ſexageſimum ſecundum, qui fuit Aſtyagis filius, apud Græcos alio vocatus nomine. Hic etiam Danielem prophetam aſſumptum ſecum duxit in Mediam, cúmque maximo honore apud ſe habuit. erat enim vnus è tribus ſummis ſatrapis, qui ſub ſe habebant alios CCCLX. ſatrapas. tot enim à Dario primùm inſtituti ſunt.

XIIII. *Daniel.6.* Itaque cùm tam charus & honoratus apud regem eſſet, vt qui ei tanquam diuino libenter de quouis negocio conſulenti pareret, non effugit cæterorum inuidiam, quemadmodum fieri ſolet inter eos qui aliquem ſibi à rege præferri non patiuntur æquo animo. cúmque æmuli occaſionem calumniæ contra eum quærerent, nullam vnquam eis præbuit. cùm enim eſſet contemptor pecuniarum & omnium munerum, turpe ſibi ducens etiam pro beneficio licitam gratiam recipere, nullam accuſandi anſam inuenire poterant. nec tamen deſtiterunt quærere quomodo honore deiectum è medio tollerent. & cùm animaduertiſſent Danielem quotidie ter Deo ſupplicare precibus, commenti ſunt occaſionem qua eum poſſent perdere: aditóque Dario renuntiant ei, viſum eſſe ſatrapis eius & principibus, per triginta dies populo dari intermiſſionem: quibus nec ab ipſo, nec à quoquam hominum aut deorum quicquam precari liceat: & ſi quis contra hoc commune decretum faxit, eum in foueam leonum coniici. Rex verò non perſpiciens eorum malitiam, quòd Daniel hoc commento peteretur, ait ſibi placere hoc decretum: pollicitúſque ſe id confirmaturum, edictum propoſuit in publicum quo ſatraparum decretum promulgabatur. Id cùm omnes præ metu ſeruare conarentur, magnum fuit vbique ſilentium. Daniel verò nihil hæc curabat, ſed more ſolito ſtans in conſpectu omnium, adorabat Deum ſuum & deprecabatur. Tum ſatrapæ nacti occaſionem quam dudum captauerant, regem adeunt properè, Danielémque accuſant, quòd contempto edicto ſolus ex omnibus deos precari auſus ſit, ídque non ob pietatem, ſed ob hoc ipſum quòd obſeruari ſe ſciret ab æmulis. Et cùm regem ob nimiam erga Danielem beneuolentiam etiam mandati ſui contemptori facilè veniam daturum crederent,

A ἀλλὰ πάσας παρέχε, τὸ μὲν ἐφ᾽ οἷς ἀχθήσονται λογιζόμενος, ἴδιον αὐτοῦ καὶ τῆς πεπρωμένης ἀλλ᾽ οὐχὶ τοῦ προφητεύσαντος εἶναι. τὰ δὲ ὡμολογημένα κεῖναι ἀνδρὸς ἀγαθοῦ καὶ δικαίου, κἂν ᾖ σκυθρωπὰ τὰ μέλλοντα συμβαίνειν. καὶ ὁ μὲν οὕτως ἔκρινε. μετ᾽ οὐ πολὺν δὲ χρόνον, αὐτός τε ἐλήφθη καὶ ἡ πόλις, Κύρου τοῦ Περσῶν βασιλέως ἐπ᾽ αὐτὸν στρατεύσαντος. Βαλτάσαρος γάρ ἐστιν ἐφ᾽ οὗ τὴν αἵρεσιν τῆς Βαβυ- B λῶνος συνέβη γενέσθαι, βασιλεύσαντος αὐτοῦ, ἔτη ἑπτακαίδεκα. τῶν μὲν οὖν Ναβουχοδονοσόρου τοῦ βασιλέως ἐγγόνων, τὸ τέλος τοιοῦτον παρειλήφαμεν γενόμενον. Δαρείῳ δὲ τῷ καταλύσαντι τὴν Βαβυλωνίων ἡγεμονίαν μετὰ Κύρου τοῦ συγγενοῦς, ἔτος ἦν ἑξηκοστὸν δεύτερον ὅτε τὴν Βαβυλῶνα εἷλεν. ὃς ἦν Ἀστυάγου υἱός. ἕτερον δὲ παρὰ τοῖς Ἕλλησιν ἐκαλεῖτο ὄνομα. ὃς καὶ Δανιῆλον τὸν προφήτην λαβὼν, ἤγαγεν εἰς Μηδίαν πρὸς αὐτὸν, καὶ πάσης αὐτῷ τιμῆς μεταδοὺς, εἶχε σὺν αὐτῷ. C τῶν τριῶν γὰρ σατραπῶν ἦν, οὓς ἐπὶ τῶν ἑξήκοντα καὶ τριακοσίων σατραπειῶν κατέστησε. τοσούτους γὰρ ἐποίησε Δαρεῖος. Δανιῆλος τοίνυν ὢν ἐν τοιαύτῃ τιμῇ, καὶ λαμπρᾷ σπουδῇ παρὰ τῷ Δαρείῳ, καὶ πρὸς ἅπαντα ὑπ᾽ αὐτοῦ μόνος ὡς ἂν ἔχων τὸ θεῖον πεπιστευμένος ἐφθονήθη. βασκαίνουσι γὰρ οἱ μᾶλλον αὐτῶν ἑτέρους ἐν πλείονι τιμῇ παρὰ τοῖς βασιλεῦσι βλέποντες. ζητούντων δὲ ἐπ᾽ αὐτὸν ἀφορμὴν διαβολῆς καὶ κα- D τηγορίας τῶν ἀχθομένων ἐπ᾽ αὐτῷ εὐδοκιμοῦντι παρὰ τῷ Δαρείῳ, παρεῖχεν αἰτίαν οὐδεμίαν. ὢν γὰρ καὶ χρημάτων ἐπάνω καὶ παντὸς λήμματος περιορῶν, αἴσχιστον αὐτῷ δοκῶν, κἂν ὑπὲρ ὧν δοθείη καλῶς πρὸς τὸ λαβεῖν, οὐδ᾽ ἡντιναοῦν τοῖς ζηλοτυποῦσιν αὐτὸν ἐγκλημάτων εὕρεσιν παρεῖχεν. οἱ δὲ ὡς οὐδὲν εἶχον ὃ κατειπόντες αὐτοῦ πρὸς τὸν βασιλέα, ζημιώσουσιν αὐτὸν εἰς τὴν παρ᾽ αὐτοῦ τιμὴν αἰ- E σχύνῃ καὶ διαβολῇ, τρόπον ἄλλον ἐζήτουν καθ᾽ ὃν αὐτὸν ἐκποδὼν ποιήσονται. ὁρῶντες οὖν Δανιῆλον, τρὶς τῆς ἡμέρας προσευχόμενον τῷ θεῷ, πρόφασιν ἔγνωσαν εὑρηκέναι, δι᾽ ἧς ἀπολέσουσιν αὐτόν. καὶ πρὸς τὸν Δαρεῖον ἐλθόντες, ἀπήγγειλαν αὐτῷ ὡς τοῖς σατράπαις αὐτοῦ καὶ ἡγεμόσι δόξειεν ἐπὶ τριάκοντα ἡμέρας ἀνεῖναι τὸ πλῆθος, ὅπως μήτε αὐτῷ τις, μήτε τοῖς θεοῖς δεόμενος αὐτῶν καὶ εὐχόμενος εἴη. τὸν μέντοιγε αὐτῶν παραβάντα ταύτην τὴν γνώμην, εἰς F τὸν λεόντων ἔκρινας ῥίψαι λάκκον ἀπολούμενον. ὁ δὲ βασιλεὺς οὐ συνιδὼν τὴν κακουργίαν αὐτῶν, οὐδ᾽ ἐπὶ τὸν Δανιῆλον ταῦτα κατασκευασαμένους ὑπονοήσας, ἀρέσθαι τοῖς ὑπ᾽ αὐτῶν ἔφη δεδογμένοις. καὶ κυρώσειν τὴν προαίρεσιν αὐτῶν ἐπαγγελλόμενος, προτίθησι πρόγραμμα δηλοῦν τῷ πλήθει τὰ δόξαντα τοῖς σατράπαις. καὶ οἱ μὲν ἄλλοι πάντες φυλαττόμενοι μὴ παραβῆναι τὰ προστάγματα, ἠρέμουν. G Δανιήλῳ δὲ φροντὶς οὐδὲ ποσοῦν τούτων ἦν, ἀλλ᾽ ὡς εἶχεν ἔθος ἱστάμενος ηὔχετο τῷ θεῷ, πάντων ὁρώντων. οἱ δὲ σατράπαι τῆς ἀφορμῆς αὐτοῖς ἣν ἐσπούδαζον λαβεῖν ἐπὶ τὸν Δανιῆλον παραφανείσης, εὐθὺς ἧκον πρὸς τὸν βασιλέα, καὶ κατηγόρουν ὡς παραβαίνοντος μόνου τοῦ Δανιήλου τὰ προστεταγμένα, μηδενὸς τῶν ἄλλων τολμῶντος προσεύχεσθαι τοῖς θεοῖς. καὶ τοῦτ᾽ οὐ δι᾽ εὐσέβειαν ἀλλὰ διὰ φυλακὴν καὶ παρατήρησιν ὑπὸ τοῦ φθόνου. ἀπὸ γὰρ μείζονος ἧς προσεδόκουν εὐνοίας τοῦτο ποιεῖν τὸν Δαρεῖον ὑπολαμβάνοντες, ὡς καὶ καταφρονήσαντι τῶν ἐκείνου προσταγμάτων, συγγνώμην ἑτοίμως νέμειν, καὶ αὐτὸ τοῦτο βασκαίνοντες τῷ Δανιήλῳ, οὐ μετεβάλλοντο πρὸς τὸ ἡμερώτερον,

ῥίπτειν

ῥίπτειν δ' αὐτὸν ἠξίουν κατὰ τὸν νόμον εἰς τὸν λάκκον τῶν λεόντων. ἐλπίσας δ' ὁ δαρεῖος ὅτι ῥύσεται τὸ θεῖον αὐτὸν, καὶ οὐδὲν μὴ πάθῃ δεινὸν ὑπὸ τῶν θηρίων, ἐκέλευσεν αὐτὸν εὐθύμως φέρειν τὰ συμβάντα, καὶ βληθέντος εἰς τὸν λάκκον, σφραγίσας τὸν ἐπὶ τοῦ στομίου κείμενον ἀντὶ θύρας λίθον, ἀνεχώρησεν. καὶ δι' ὅλης ἄσιτος τῆς νυκτὸς καὶ ἄυπνος διῆγε, ἀγωνιῶν περὶ τοῦ δανιήλου. μεθ' ἡμέραν δὲ ἀναστὰς ἐπὶ τὸν λάκκον ἦλθε, καὶ σωζομένην τὴν σφραγῖδα εὑρὼν, ἣ σημηνάμενος τὸν λίθον καταλελοίπει, ἀνοίξας ἀνεβόησε καλῶν τὸν δανίηλον, πυνθανόμενος εἰ σώζεται. τοῦ δ' ὑπακούσαντος τῷ βασιλεῖ, καὶ μηδὲν παθεῖν εἰπόντος, ἐκέλευσεν αὐτὸν ἀνελκυσθῆναι τοῦ λάκκου τῶν θηρίων. οἱ δὲ ἐχθροὶ θεασάμενοι τὸν δανίηλον, μηδὲν πεπονθότα δεινὸν, διὰ μὲν τὸ θεῖον καὶ τὴν τούτου πρόνοιαν, οὐκ ἠξίουν αὐτὸν σώζεσθαι. πεπληρωμένους δὲ τοὺς λέοντας τροφῆς μὴ ἅψασθαι μηδὲ προσελθεῖν τῷ δανιήλῳ νομίζοντες, τοῦτ' ἔλεγον πρὸς τὸν βασιλέα. ὁ δὲ μισήσας αὐτοὺς τῆς πονηρίας, παραβληθῆναι μὲν πολλὰ κελεύει τοῖς λέουσι κρέα, κορεσθέντων δ' αὐτῶν τοὺς ἐχθροὺς τοῦ δανιήλου προσέταξεν εἰς τὸν λάκκον ἐμβληθῆναι, ὅπως εἰ διὰ κόρον αὐτοῖς οὐ προσελεύσονται οἱ λέοντες μάθοι. σαφὲς δ' ἐγένετο δαρείῳ τῶν σατραπῶν παραβληθέντων τοῖς θηρίοις, ὅτι τὸ θεῖον ἔσωσε τὸν δανίηλον. οὐδενὸς γὰρ αὐτῶν ἐφείσαντο οἱ λέοντες, ἀλλὰ πάντας διεσπάραττον ὡσανεὶ σφόδρα λιμώττοντες ἢ τροφῆς ἐνδεεῖς. ἠρέθισε δ' αὐτοὺς οὐ τὸ πεινῆν οἶμαι, μικρὸν ἔμπροσθεν ἀφθόνων κρεῶν ἐμπλησθέντας, ἀλλ' ἡ τῶν ἀνθρώπων κακία. δὴ γὰρ καὶ τοῖς ἀλόγοις ἂν αὐτὴ ζώοις πρὸς τιμωρίαν γένοιτο, τοῦ θεοῦ προαιρουμένου. διαφθαρέντων οὖν τῶν ἐπιβουλευσάντων δανιήλῳ τοῦτον τὸν τρόπον, ὁ βασιλεὺς δαρεῖος καθ' ὅλην ἔπεμψε τὴν χώραν ἐπαινῶν τὸν θεὸν ὃν δανίηλος προσεκύνει, καὶ μόνον αὐτὸν λέγων εἶναι ἀληθῆ, καὶ τὸ πᾶν κράτος ἔχοντα. εἶχε δὲ καὶ τὸν δανίηλον ἐν ὑπερβαλλούσῃ τιμῇ, πρῶτον αὐτὸν ἀποδείξας τῶν φίλων. ὢν δὲ οὕτως ἐπίσημος καὶ λαμπρὸς ὑπὸ δόξης τοῦ θεοφιλὴς εἶναι δανίηλος, ᾠκοδόμησεν ἐν ἐκβατάνοις τοῖς μηδικοῖς βᾶριν, εὐπρεπέστατόν τι κατασκεύασμα καὶ θαυμασίως πεποιημένον. ἣ μέχρι δεῦρο μὲν ἔστι καὶ σώζεται. τοῖς δ' ὁρῶσι δοκεῖ προσφάτως κατεσκευάσθαι, καὶ ἐπ' αὐτῆς ἐκείνης ἧς ἕκαστος αὐτὴν ἡμέρας ἱστορεῖ γεγενῆσθαι. οὕτως νεαρὸν αὐτῆς καὶ ἀκμαῖον τὸ κάλλος, καὶ μηδαμοῦ γεγηρακὸς ὑπὸ τοσούτου χρόνου. πάσχει γὰρ καὶ τὰ κατασκευάσματα ταυτὸν ἀνθρώποις καὶ παλαιοῦται, καὶ τὴν ἰσχὺν λυόμενα ὑπὸ τῶν ἐτῶν, καὶ τὴν εὐπρέπειαν μαραινόμενα. θάπτουσι δ' ἐν τῇ βάρει τούς τε μήδων βασιλεῖς, καὶ περσῶν καὶ παρθῶν ἄχρι τοῦ δεῦρο. καὶ ταύτην πεπιστευμένος, ἰουδαῖος ἐστὶν ἱερεύς, καὶ τοῦτο γίνεται μέχρι τῆς σήμερον ἡμέρας. ἄξιον δὲ τἀνδρὸς τούτου καὶ ὃ μάλιστα θαυμάσαι τις ἂν ἀκούσας, διελθεῖν. ἅπαντα γὰρ αὐτῷ παραδόξως ὡς ἐνί τινι τῶν μεγίστων εὐτυχήθη προφητῶν, καὶ παρὰ τὸν τῆς ζωῆς χρόνον τιμή τε καὶ δόξα παρὰ τῶν βασιλέων καὶ τοῦ πλήθους, καὶ τελευτήσας δὲ μνήμην αἰώνιον ἔχει. τὰ γὰρ βιβλία ὅσα δὴ συγγραψάμενος καταλέλοιπεν,

hoc ipso magis accensi ad inuidiam, inflexibiles ad clementiam, postulauerunt vt iuxta latam legem conijceretur in leonum foueam. Darius autem sperans ope diuina eripiendum à bestiis, hortatus est eum vt præsentem casum æquo ferret animo: & postquam eò coniectus est, cùm obsignasset lapidem qui ori foueæ incumbebat vice ostij, domum reuersus est: totámque eam noctem sine cibo & somno exegit de amici salute solicitus. diluculo autem surgens ad foueam se contulit: & inuento illæso signaculo quo lapidem obsignauerat, per apertam fenestram superne Danielem inclamauit, quærens an adhuc saluus sit. Ad quam vocem cùm ille responderet illæsum se & incolumem, iussit eum è fouea bestiarum extrahi. inimici verò eius videntes ei nihil mali accidisse, noluerunt hoc Dei prouidentiæ tribuere, sed causam referentes in leonum saturitatem, ausi sunt etiam apud regem hoc asserere. at ille offensus eorum malitia, iussit multum carnium obiici leonibus, & illis iam saturatis inimicos Danielis in foueam conijci, vt appareat si propter saturitatem eos non attingat, ac tum demum euidentissimum fuit vatem ope diuina esse seruatum. nam nemini ex eis pepercerunt, sed non secus ac si fuissent famelici, & alimentis caruissent, sine mora eos dilaniauerunt. acuit autem ferarum rabiem non vexatio famis quæ iam eis exempta fuerat, sed obiectorum malitia, Deo sic volente, vt ne bruta quidem eam impunitam sinerent. Cùm igitur ad hunc modum vatis insidiatores perissent, Darius rex per totum suum imperium nuncios dimisit qui Danielis Deum prædicarent, hunc esse solum verum & omnipotentem Deum asseuerando. ipsum deinde vatem in maiore etiam quàm antè honore habuit, primúm inter amicos locum ei tribuens. qui cùm ab omnibus Deo charus existimaretur, & propter hanc de se opinionem esset illustrissimus, ædificauit apud Ecbatana Mediæ turrim, opus pulcherrimum, & singulari admiratione dignum, quod in hodiernum vsque durat, & spectantibus recentissimæ structuræ videtur, ac si ea ipsa die qua spectatur esset absolutum: tantam nouitatis speciem, & tam integram pulchritudinem habet, nihil omnino à tam longo tempore læsam, præter aliorum ædificiorum consuetudinem, quæ æquè atque homines vetustatis iniuriam sentiunt, nec firmitatem solùm, sed etiam decorem sensim deperdunt. Mos autem durat vsque in præsens tempus vt in ea turri sepeliantur Medorum reges & Persarum atque Parthorum: eiúsque custodia sacerdoti Iudaici generis hodiéque concreditur. Quod autem in hoc viro præcipua dignum est admiratione, silentio non prætexibimus. omnis enim eximia felicitas vt prophetæ excellentissimo ei contigit, & viuenti tam apud reges quàm apud populum gratioso, & post obitum sempiternam memoriam consecuto. libri enim eius quos conscriptos reliquit,

etiam nunc apud nos leguntur, qui nobis certam fidem faciunt, quod Deus cum eo colloquia miscuerit. non solùm enim futura prædixit quemadmodum alij prophetæ, verumetiam tempus quo euentura essent præfiniit. & cùm alij prophetæ calamitates prædicerent, ideóque malam gratiam apud reges & multitudinem vulgarem inirent, hic bonarum rerum vates fuit, vt propter faustam ominationem quidem beneuolentiam omnium sibi conciliaret, propter euentuum verò certitudinem fidem sibi apud vniuersum mortalium genus compararet. Extat enim in eius scriptis vnde maximè illius prophetiæ certitudo potest colligi. ait enim se apud Susa primariam Persidis vrbem cum sodalibus prodisse in campum, & ibi terræmotu repentino exorto, diffugientibus metu amicis solum esse derelictum, seipsum quoque consternatum in faciem & manus procidisse. ibi accessisse quendam excitantem se & iubentem vt surgeret ac videret quæ post multa secula euentura essent suis ciuibus. surgenti deinde ostensum esse arietem magnum enata habentem multa cornua, & in his vltimum cæteris celsius. versis deinde ad Occidentem oculis, vidisse se hircum delatum per aërem concurrisse cum ariete, & bis cornibus ictum prostrauisse humi & conculcasse pedibus. deinde vidisse enatum è fronte hirci cornu maximum, quo defracto erupisse pro eo quatuor alia, obuersa in ventos singulos. & ex his etiam aliud minus exortum scripsit, quod postquam esset adultum, Deus qui hæc ostendebat dixit gesturum bellum contra gentem ipsius, & vrbem vi expugnaturum, & ceremonias templi conturbaturum, sacrificiáque vetiturum per dies MCCXCVI. hæc est visio quam in campo apud Susa se vidisse scripsit: cúmque Deum sic interpretatum esse. Arietem significare Persarum & Medorum regna, cornua verò futuros in his reges, & horum vltimum designari per cornu vltimum. hunc enim fore diuitiis & gloria præstantissimum. Per hircum verò indicari, & fore aliquem è Græcorum regibus, qui cum Persa bis congressus cum prælio superet, totúmque eius imperium occupet. Per cornu verò illud magnum ex hirci fronte extans primum regem significari, & per aliorum quatuor pro illo pullulationem, & ad quatuor terræ tractus singulorum versionem, successuros ostendi, post primi regis mortem, & regni inter eos partitionem. hos neque filios eius neque alioqui ad cognationem ipsius pertinentes, multis annis per orbem habitatum regnaturos: ex hísque exoriturum quendam regem, qui bellum gerat cum gente Iudæorum & legibus, & formam institutæ iuxta has reipublicæ auferat: spoliatóque templo victimas in id induci per triennium prohibeat. quæ quidem calamitas genti nostræ sub Antiocho Epiphane accidit, ita vt futurum Daniel ante multos annos scripserat. Eodem autem modo scripsit & de Romanorum imperio,

Daniel. 8.

A ἀναγινώσκεται παρ' ἡμῖν ἔτι καὶ νῦν, καὶ πεπιστεύκαμεν ἐξ αὐτῶν, ὅτι Δανίηλος ὡμίλει τῷ θεῷ. οὐ γὰρ τὰ μέλλοντα μόνον προφητεύων διετέλει καθάπερ καὶ οἱ ἄλλοι προφῆται, ἀλλὰ καὶ καιρὸν ὥριζεν, εἰς ὃν ταῦτα ἀποβήσεται. καὶ τῶν προφητῶν τὰ χείρω προλεγόντων, καὶ διὰ τοῦτο δυσχεραινομένων ὑπὸ τῶν βασιλέων καὶ τοῦ πλήθους, Δανίηλος ἀγαθῶν ἐγίνετο προφήτης αὐτοῖς. ὡς ἀπὸ μὲν τῆς εὐφημίας τῶν προλεγομένων, εὔνοιαν ἐπισπᾶσθαι παρὰ πάντων. B ἀπὸ δὲ τοῦ τέλους αὐτῶν, ἀληθείας πίστιν καὶ δόξαν ὁμοῦ θειότητος, παρὰ τοῖς ἄλλοις ἀποφέρεσθαι. κατέλιπε δὲ γράψας, ὅθεν ἡμῖν τὸ τῆς ἀκριβείας αὐτοῦ προφητείας καὶ ἀπαράλλακτον, ἐποίησε δῆλον. φασὶ γὰρ αὐτὸν γενόμενον ἐν Σούσοις, ἐν τῇ μητροπόλει τῆς Περσίδος, ὡς ἐξῆλθεν εἰς τὸ πεδίον μετὰ ἑταίρων αὐτοῦ, σεισμοῦ καὶ κλόνου τῆς γῆς ἐξαίφνης γενομένου. καὶ καταληφθείη μόνος, φυγόντων τῶν φίλων, καὶ πέσοι C μὲν ἐπὶ στόμα ταραχθεὶς ἐπὶ τὰς δύο χεῖρας, τινὸς δ' ἁψαμένου αὐτοῦ, καὶ μεταξὺ κελεύοντος ἀναστῆναι καὶ τὰ μέλλοντα συμβήσεσθαι τοῖς πολίταις ἰδεῖν μετὰ πολλὰς γενεάς. ἀναστάντι δ' αὐτῷ, δειχθῆναι κριὸν ἐσήμαινε μέγαν, πολλὰ μὲν ἐκπεφυκότα κέρατα, τελευταῖον δ' αὐτῶν ὑψηλότερον ἔχοντα. ἔπειτα ἀναβλέψαι μὲν εἰς τὴν δύσιν, θεάσασθαι δὲ τράγον ἀπ' αὐτῆς δι' ἀέρος φερόμενον, συρράξαντα τῷ κριῷ. καὶ τοῖς κέρασι ἀράξαντα δὶς, καταβαλεῖν αὐτὸν ἐπὶ τὴν D γῆν, καὶ πατῆσαι. εἶτα τὸν τράγον ἰδεῖν, ἐκ τοῦ μετώπου μέγιστον ἀναφύντα κέρας, οὗ κλασθέντος ἀναβλαστῆσαι τέσσαρα, καθ' ἕκαστον τῶν ἀνέμων τετραμμένα. ἐξ αὐτῶν δ' ἀνασχεῖν καὶ ἄλλο μικρότερον ἀνέγραψεν. ὃ αὐξῆσαν ἔλεγεν αὐτῷ ὁ ταῦτα ἐπιδεικνὺς θεὸς, πολεμήσειν αὐτοῦ τὸ ἔθνος, καὶ τὴν πόλιν αἱρήσειν κατὰ κράτος, καὶ συγχεῖν, τὰ περὶ τὸν ναὸν, καὶ τὰς θυσίας κωλύσειν ἐπὶ ἡμέρας ασϟς. E ταῦτα μὲν ἰδεῖν, ἐν τῷ πεδίῳ τῷ ἐν Σούσοις ὁ Δανίηλος ἔγραψε. κρῖναι δ' αὐτῷ τὴν ὄψιν τοῦ φαντάσματος ἐδήλου τὸν θεὸν οὕτως. τὸν μὲν κριὸν, βασιλείας τὰς Περσῶν καὶ Μήδων σημαίνειν ἔφασκε. τὰ δὲ κέρατα, τοὺς βασιλεύειν μέλλοντας. τὸ δὲ ἔσχατον κέρας σημαίνειν τὸν ἔσχατον βασιλέα. τοῦτον γὰρ διοίσειν ἁπάντων πλούτῳ τε καὶ δόξῃ. τὸν δὲ τράγον δηλοῦν ὡς ἐκ τῶν Ἑλλήνων τις βασιλεύων ἔσται, ὃς τῷ Πέρσῃ συμβαλὼν δὶς, κρατήσει τῇ μάχῃ, καὶ F παραλήψεται τὴν ἡγεμονίαν ἅπασαν. δηλοῦσθαι δ' ὑπὸ τοῦ μεγάλου κέρατος τοῦ ἐν τῷ μετώπῳ τοῦ τράγου, τὸν πρῶτον βασιλέα, καὶ τὴν τῶν τεσσάρων ἀνάβλαστησιν ἐκπεσόντος ἐκείνου, καὶ τὴν πρὸς τὰ τέσσαρα κλίματα τῆς γῆς αὐτῶν ἀποστροφὴν ἑκάστου, τοὺς διαδόχους μετὰ τὸν θάνατον τοῦ πρώτου βασιλέως ἐμφανίζεσθαι, καὶ διαμερισμὸν εἰς αὐτοὺς τῆς βασιλείας, οὔτε δὲ παῖδας αὐτοῦ τούτους ὄντας, οὔτε συγγενεῖς, G πολλοῖς ἔτεσι ἄρξειν τῆς οἰκουμένης. γενέσθαι δ' ἐκ τούτων τινὰ βασιλέα, τὸν ἐκπολεμήσοντα τὸ ἔθνος καὶ τοὺς νόμους αὐτῶν, καὶ τὴν κατὰ τούτους ἀφαιρησόμενον πολιτείαν, καὶ συλήσοντα τὸν ναὸν, καὶ τὰς θυσίας ἐπ' ἔτη τρία κωλύσοντα ἐπιτελεσθῆναι. καὶ δὴ ταῦτα ἡμῶν συνέβη τὸ ἔθνος παθεῖν ὑπ' Ἀντιόχου τοῦ Ἐπιφανοῦς, καθὼς εἶδεν ὁ Δανίηλος, καὶ πολλοῖς ἔτεσιν ἔμπροσθεν ἀνέγραψε τὰ γενησόμενα. τὸν αὐτὸν δὲ τρόπον Δανίηλος καὶ περὶ τῆς Ῥωμαίων ἡγεμονίας ἀνέγραψε,

καὶ ὅτι

καὶ ὅτι ὑπ' αὐτῶν ἐρημωθήσεται. ταῦτα πάντα ἐκεῖνος θεοῦ δείξαντος αὐτῷ συγγράψας, κατέλειψεν, ὥς τε τοὺς ἀναγινώσκοντας, καὶ τὰ συμβαίνοντα σκοποῦντας θαυμάζειν ἐπὶ τῇ παρὰ θεοῦ τιμῇ τὸν Δανίηλον, καὶ τοὺς Ἐπικουρείους ἐκ τούτων εὑρίσκειν πεπλανημένους, οἳ τήν τε πρόνοιαν ἐκβάλλουσι τοῦ βίου, καὶ τὸν θεὸν οὐκ ἀξιοῦσιν ἐπιτροπεύειν τῶν πραγμάτων, οὐδ' ὑπὸ τῆς μακαρίας καὶ ἀφθάρτου πρὸς διαμονὴν τῶν ὅλων οὐσίας κυβερνᾶσθαι τὰ σύμπαντα, ἄμοιρον δ' ἡνιόχου καὶ φροντιστοῦ τὸν κόσμον αὐτομάτως φέρεσθαι λέγουσιν. ὃς εἰ τοῦτον ἀπροστάτητος ἦν τὸν τρόπον, καθάπερ καὶ τὰς ναῦς ἐρήμους κυβερνητῶν καταδυομένας ὁρῶμεν ὑπὸ τῶν πνευμάτων, ἢ καὶ τὰ ἅρματα περιτρεπόμενα μὴ ἔχοντα τοὺς ἡνιοχοῦντας συντριβέντα, ὑπὸ τῆς ἀπρονοήτου φορᾶς ἀπωλώλει καὶ διεφθείρετο. τοῖς γοῦν προειρημένοις ὑπὸ Δανιήλου, δοκοῦσί μοι σφόδρα ἀληθοῦς δόξης διαμαρτάνειν, οἱ τῷ θεῷ μηδεμίαν εἶναι περὶ τῶν ἀνθρωπίνων ἀποφαινόμενοι πρόνοιαν. οὐ γὰρ ἂν κατὰ τὴν ἐκείνου προφητείαν συνέβαινεν, εἰ αὐτοματισμῷ τινὶ τὸν κόσμον διάγειν πάντα ὁρῶμεν ἀποβαίνοντα; ἐγὼ μὲν οὖν περὶ τούτων ὡς εὗρον καὶ διέγνων, οὕτως ἔγραψα; εἰ δέ τις ἄλλως δοξάζειν βουλήσεται περὶ αὐτῶν, ἀνέγκλητον ἐχέτω τὴν ἑτερογνωμοσύνην.

& quantam vastitatem illaturi essent nostris hominibus. Hæc omnia diuinitus sibi demonstrata scripto tradidit, & posteris legenda reliquit, vt videntes euentum non discrepare à prædictionibus, Danielem mirentur ob tam insignem honorem illi à Deo habitum: simúlque Epicureorum error coarguatur, qui prouidentiam è vita eiiciunt, & Deo regimen rerum nolunt permittere, nec credunt vniuersitatem à beata illa & immortali essentia vel conseruari vel gubernari, sed sine rectore & curatore mundum suopte impetu ferri asseuerant. qui si ita vt illi autumant careret præside, quemadmodum naues sine gubernatoribus videmus procellis & fluctibus obrui, currúsque aurigis destitutos euerti ac confringi: ita & ipse perderetur immoderato impetu. Quamobrem dum Danielis vaticinia considero, non possum non damnare istorum inscitiam, qui Deo negant curæ esse res mortalium. quî enim fieri potuit vt prophetiis eius responderet euentus, si temere in mundo gererentur omnia? Verùm ego hæc ita vt inueni in literas retuli, quòd si quis mauult diuersam opinionem sequi, id per me quidem erit illi integrum.

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩ ΕΝΔΕΚΑΤΩ ΛΟΓΩ ΤΩΝ Ιωσήπου ἱστοριῶν τῆς ἰουδαϊκῆς ἀρχαιολογίας.

Ὡς κῦρος ὁ περσῶν βασιλεὺς, τοὺς ἰουδαίους ἀπολύσας ἐκ βαβυλῶνος, εἰς τὴν οἰκείαν ἐπέτρεψεν αὐτοῖς οἰκοδομῆσαι τὸν ναὸν δοὺς αὐτοῖς χρήματα. Κεφ. α.

Ὅτι διεκώλυσαν αὐτοὺς οἱ τοῦ βασιλέως ἡγεμόνες κατασκευάσαι τὸ ἱερὸν, ἐμποδὼν γινόμενοι τοῖς ἔργοις. Κεφ. β.

Ὡς κύρου τελευτήσαντος, καμβύσης ὁ παῖς αὐτοῦ παραλαβὼν τὴν ἡγεμονίαν, ἐκ παντὸς ἀπηγόρευσε τοῖς ἰουδαίοις οἰκοδομῆσαι τὸν ναόν. Κεφ. γ.

Ὅτι δαρεῖος ὁ ὑστάσπου βασιλεύσας περσῶν ἐτίμησε τὸ τῶν ἰουδαίων ἔθνος, καὶ τὸν ναὸν ᾠκοδόμησεν. Κεφ. δ.

Ὡς μετ' αὐτὸν ὁ παῖς αὐτοῦ ξέρξης, οἰκείως πρὸς τοὺς ἰουδαίους διετέθη. Κεφ. ε.

Ὅτι βασιλεύοντος ἀρταξέρξου μικροῦ τῶν ἰουδαίων πᾶν τὸ ἔθνος ἐκινδύνευσε δι' ἀμαίου δόλον. Κεφ. ς.

Ὡς βαγώας ὁ ἀρταξέρξου τοῦ νεωτέρου στρατηγὸς, πολλὰ εἰς τοὺς ἰουδαίους ἐξύβρισεν. Κεφ. ζ.

Ὅσα ὁ μακεδόνων βασιλεὺς ἀλέξανδρος εὐηργέτησεν αὐτοὺς, κρατήσας τῆς ἰουδαίας. Κεφ. η.

HÆC IN VNDECIMO IOSEPHI ANTIQVITATVM Iudaicarum libro continentur.

Cyrus Persarum rex Iudæos Babylone dimissos pristinas sedes repetere permittit, collatâ eis in ædificationem templi pecuniâ. Cap. I.

Regij duces & Satrapæ Iudæos ab ædificatione templi prohibent. Cap. II.

Cyro mortuo, Cambyses eius filius & successor Iudæos ab ædificando templo omnino prohibet. Cap. III.

Darius Hystaspis filius Persarum regnum adeptus Iudæorum gentem in honore habet, & templum ædificat. Cap. IV.

Xerxis Darij filij in Iudæorum gentem beneficia. Cap. V.

Quomodo Artaxerxe regnante parum abfuit, quin tota Iudæorum gens Amani dolo extingueretur. Cap. VI.

Bagoses penes quem Artaxerxis iunioris exercitus fuit imperium multis iniuriis Iudæos afficit. Cap. VII.

Quanta Alexander Macedonum rex in Iudæos beneficia contulerit. Cap. VIII.

ΦΛΑΒΙΟΥ

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΙΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ

ΛΟΓΟΣ ΕΝΔΕΚΑΤΟΣ.

FLAVII IOSEPHI ANTIQVITATVM IVDAICARVM

LIBER VNDECIMVS.

Κεφάλαιον α'.

Ὡς κῦρος ὁ περσῶν βασιλεὺς τοὺς ἰουδαίους ἀπολύσας ἐκ βαβυλῶνος εἰς τὴν οἰκείαν, ἐπέτρεψεν αὐτοῖς οἰκοδομῆσαι τὸν ναὸν δοὺς αὐτοῖς χρήματα.

Τῷ δὲ πρώτῳ ἔτει τῆς κύρου βασιλείας, τοῦτο δ' ἦν ἑβδομηκοστὸν ἀφ' ἧς ἡμέρας μεταναστῆναι τὸν λαὸν ἡμῶν ἐκ τῆς οἰκείας εἰς βαβυλῶνα συνέπεσεν, ἐλέησεν ὁ θεὸς τὴν αἰχμαλωσίαν καὶ τὴν συμφορὰν ἐκείνων τῶν ταλαιπώρων. καὶ καθὼς προεῖπεν αὐτοῖς διὰ ἱερεμίου τοῦ προφήτου, πρινὴ κατασκαφῆναι τὴν πόλιν, ὡς μετὰ τὸ δουλεῦσαι ναβουχοδονοσόρῳ καὶ τοῖς ἐκγόνοις αὐτοῦ, καὶ ταύτην ὑπομεῖναι τὴν δουλείαν ἐπὶ ἔτη ἑβδομήκοντα, πάλιν αὐτοὺς εἰς τὴν πάτριον ἀποκαταστήσει γῆν, καὶ τὸν ναὸν οἰκοδομήσουσι, καὶ τῆς ἀρχαίας ἀπολαύσουσιν εὐδαιμονίας, ταῦτ' αὐτοῖς παρέσχε. παρορμήσας γὰρ τὴν κύρου ψυχὴν, ἐποίησεν αὐτὸν γράψαι κατὰ πᾶσαν τὴν ἀσίαν, ὅτι κῦρος ὁ βασιλεὺς λέγει. ἐπεί με ὁ θεὸς ὁ μέγιστος, τῆς οἰκουμένης ἀπέδειξε βασιλέα, πείθομαι τοῦτον εἶναι ὃν τὸ τῶν ἰσραηλιτῶν ἔθνος προσκυνεῖ. καὶ γὰρ τοὐμὸν προεῖπεν ὄνομα διὰ τῶν προφητῶν, καὶ ὅτι τὸν ναὸν αὐτοῦ οἰκοδομήσω ἐν ἱεροσολύμοις ἐν τῇ ἰουδαίᾳ χώρᾳ. ταῦτα δ' ἔγνω κῦρος, ἀναγινώσκων τὸ βιβλίον, ὃ τῆς αὐτοῦ προφητείας ὁ ἡσαΐας κατέλιπε ; πρὸ ἐτῶν σι'. οὗτος γὰρ ἐν ἀπορρήτῳ εἶπεν ταῦτα λέγειν τὸν θεὸν, ὅτι βούλομαι κῦρον ἐγὼ ὃν πολλῶν ἐθνῶν καὶ μεγάλων ἀπέδειξα βασιλέα, πέμψαι μου τὸν λαὸν εἰς τὴν ἰουδαίαν γῆν, καὶ οἰκοδομῆσαι μου τὸν ναόν. ταῦτα ἡσαΐας προεφήτευσεν ἔμπροσθεν ἢ κατασκαφῆναι τὸν ναὸν, ἔτεσιν ρμ'. ταῦτ' οὖν ἀναγνόντα τὸν κῦρον, καὶ θαυμάσαντα τὸ θεῖον, ὁρμή τις ἔλαβε καὶ φιλοτιμία ποιῆσαι τὰ γεγραμμένα. καλέσας τε τοὺς ἐπιφανεστάτους τῶν ἐν βαβυλῶνι ἰουδαίων, συγχωρεῖν αὐτοῖς ἔφη βαδίζειν εἰς τὴν αὐτῶν πατρίδα, καὶ ἀναστῆσαί τε τὴν πόλιν ἱεροσόλυμα,

CAPVT I.

Cyrus Persarum rex Iudæos Babylone dimissos pristinas sedes permittit repetere, collata eis in ædificationem templi pecunia.

Primo autem anno regni Cyri, qui fuit transmigrationis nostræ Babylonicæ septuagesimus, miseratus est Deus captiuitatem & calamitatem ærumnosi illius populi: & sicut illis per Hieremiam prophetam ante dirutam vrbem prædixerat, quòd postquam seruierint Nabuchodonosoro eiúsque posteris per annos septuaginta, rursum eos restituturus esset in patriam, & ædificato templo redituri essent ad felicitatem pristinam, ita eis omnia præstitit. Excitato enim ad id Cyri animo, effecit vt ille in hunc modum per vniuersam Asiam scriberet: Hæc dicit Cyrus rex: Quoniam me Deus maximus orbis regem constituit, hunc illum esse credo quem Israelitarum adorat populus. Is enim meum nomen per suos prophetas prædixit, & quòd templum eius ædificaturus sim Hierosolymis in terra Iudæa. Hoc autem Cyrus cognouit ex lectione libri qui Esaiæ prophetias continet, ducentis & decem annis ante ipsius ætatem conscriptas. Hic enim secretum hoc Deum sibi indicasse dixit, quòd vellet Cyrum, quem multarum ac magnarum gentium regem declaraturus esset, remittere populum suum in terram Iudæam, & templum suum ædificare denuò. Hæc Esaias prædixit centum quadraginta annis antequam templum deuastatum est. Quibus lectis rex admiratus vatis diuinitatem correptus est cupidine exequendi quæ scripta legerat: conuocatisque clarioribus apud Babylonem Iudæis, ait se illis permittere vt proficiscantur in patriam, vrbemque Hierosolyma,

1.Esdr.1. 3.Esdr.2.

& Dei templum ædificent denuò. Nã & ipsum Deum futurum illis auxilio, & se scripturum vicinis Iudææ ducibus ac satrapis, vt conferant eis aurum & argentum ad templi fabricam, & victimas ad sacrificia. Hoc mandato à Cyro accepto, duarum tribuum principes, Iudæ & Beniamiticæ, simulque Leuitæ & sacerdotes, propere Hierosolyma se conferũt: multi enim maluerunt manere apud Babylonem, non sustinẽtes possessiones suas relinquere. Quò cùm peruenissent, omnes amici regij fuerunt eis auxilio, conferebántque ad templi structuram alij aurum, argentum alij, nonnulli pecudum & equorum multitudinem: soluentésque vota quibus damnati fuerant, offerebant solennes victimas, quasi vrbem denuò conderent, & pristinum patrij ritus vsum reciperent. Nam & vasa quibus olim templum spoliauerat Nabuchodonosorus, per Cyrum tunc è Babylone remissa fuerant. ea Mithridati ærarij regij præfecto tradita sunt perferenda ad Abassarem, asseruanda apud eum dum templum ædificaretur: cui mandatum est quàm primum id absolutum esset, mox ea sacerdotibus & magistratibus populi redderet in templum restituenda. quin & epistolam ad Syriæ satrapas in hæc verba scripsit. Rex Cyrus Sisinæ & Sarabasanæ S. Iudæis qui regionem meam habitant permisi, vt quicunq; vellent in propriam patriam reuersi vrbem denuò conderent, & templum Dei Hierosolymis ędificarent eodem quo priùs loco. misi autem eò etiam ærarij mei præfectũ Mithridatem, & Zorobabelem principem Iudeorum, vt fundamentis iactis templũ superstruant altitudine cubitorum LX. & totidem latitudine, faciantque tres ordines è lapide polito, & vnũ ligneum è materie quam fert ea regio: similiter & altare super quo sacrificent Deo: quos sumptus omnes de meo volo fieri. Vasa quoq; quæ Nabuchodonosorus rex de templo prędatus est, mitto per Mithridatem ærarij præfectũ & Zorobabelem Iudæorum principem, vt ea perferant Hierosolyma, & in templum Dei restituant: quorum numerus est hic: psycteres aurei L. argenti CCCC. thericlea pocula aurea L. argentea CCCC. situlæ aureæ L. argenteæ D. libatoria aurea XXX. argenta CCC. phialæ aureæ XXX. argenteę MMCCCC. preterea vasa alia magna mille. Concedo etiam eis eosdem reditus quos maiores eorũ soliti sunt accipere, in precium pecudum, & vini & olei drachmas ducentaquinque millia quingentas, & in similam artabas duo millia quingentas, atque hæc è Samariæ tributis præberi volo. immolabúntque sacerdotes has victimas iuxta Moysis legẽ Hierosolymis, & inter sacra precabũtur Deum pro salute regis eiúsque generis, vt regnum Persarum incolume maneat. Qui verò per inobedientiam hęc mandata nostra irrita habuerint, eos in crucem agi volo, & facultates ipsorum fisco nostro attribui. Atque hoc fuit epistolæ argumentum. Numerus autem eorum qui captiuitate conuenerant Hierosolyma XLII. millia fuêre, & insuper CCCCLXII.

A καὶ τὸν τοῦ θεοῦ ναόν. ἔσεσθαι γὰρ αὐτοῖς καὶ τοῦτον σύμμαχον, αὐτόν τε γράψειν τοῖς γειτονεύουσιν ἐκείνῃ τῇ χώρᾳ τῶν ἰουδαίων, ἡγεμόνων καὶ σατραπῶν, ἵνα συμβάλωνται χρυσὸν αὐτοῖς, καὶ ἄργυρον εἰς τὴν οἰκοδομίαν τοῦ ναοῦ, καὶ πρὸς τούτοις θρέμματα πρὸς τὰς θυσίας. ταῦτα κύρου καταγγείλαντος τοῖς ἰσραηλίταις, ἐξώρμησαν οἱ τῶν δύο φυλῶν ἄρχοντες τῆς ἰούδα καὶ τῆς βενιαμίτιδος, οἵ τε λευῖται καὶ ἱερεῖς, εἰς τὰ ἱεροσόλυμα. πολλοὶ γὰρ κατέμειναν ἐν τῇ βαβυλῶνι, τὰ B κτήματα καταλιπεῖν οὐ θέλοντες. καὶ παραγινομένοις αὐτοῖς οἱ τοῦ βασιλέως φίλοι πάντες ἐβοήθουν καὶ συνεισέφερον εἰς τὴν τοῦ ναοῦ κατασκευήν, οἱ μὲν χρυσὸν, οἱ δὲ ἄργυρον, οἱ δὲ βοσκημάτων πλῆθος σὺν ἵπποις, καὶ τάς τε εὐχὰς ἀπεδίδοσαν τῷ θεῷ, καὶ τὰς νομιζομένας κατὰ τὸ παλαιὸν θυσίας ἐπετέλουν, ὥσπερ ἀνακτιζομένης αὐτοῖς τῆς πόλεως, καὶ ἀναβιούσης τῆς ἀρχαίας περὶ τὴν θρησκείαν συνηθείας. ἀπέπεμψε δὲ αὐτοῖς C κύρος καὶ τὰ σκεύη τοῦ θεοῦ, ἃ συλήσας τὸν ναὸν βασιλεὺς ναβουχοδονόσορος εἰς τὴν βαβυλῶνα ἐκόμισε. παρέδωκε δὲ ταῦτα φέρειν μιθριδάτῃ τῷ γαζοφύλακι αὐτοῦ, προστάξας δοῦναι αὐτὰ ἀβασσάρῳ, ὅπως φυλάττῃ μέχρι τῆς οἰκοδομίας τοῦ ναοῦ. τελεσθέντος δὲ αὐτοῦ, παραδῷ τοῖς ἱερεῦσι καὶ ἄρχουσι τοῦ πλήθους, εἰς τὸν ναὸν ἀποδοθησόμενα. πέμπει δὲ καὶ ἐπιστολὴν πρὸς τοὺς ἐν συρίᾳ σατράπας κύρος, τάδε λέγουσαν. D βασιλεὺς κύρος σισίνῃ καὶ σαραβασάνῃ χαίρειν. ἰουδαίων τῶν ἐν τῇ ἐμῇ χώρᾳ κατοικούντων ἐπέτρεψα τοῖς βουλομένοις εἰς τὴν ἰδίαν ἀπελθοῦσι πατρίδα, τήν τε πόλιν ἀνακτίζειν, καὶ τὸν ναὸν οἰκοδομῆσαι τὸν ἐν ἱεροσολύμοις τοῦ θεοῦ, ἐπὶ τοῦ αὐτοῦ τόπου ἐφ' οὗ καὶ πρότερον. κατέπεμψα δέ μου καὶ τὸν γαζοφύλακα μιθριδάτην, καὶ ζοροβάβηλον τὸν ἄρχοντα τῶν ἰουδαίων, ἵνα θεμελίους βάλωνται τοῦ ναοῦ, καὶ οἰκοδο-E μήσωσιν αὐτὸν, ὕψος μὲν πήχεων ξ'. τὸ δὲ αὐτὸ καὶ τὸ εὖρος. λίθου μὲν ξεστοῦ τρεῖς ποιησάμενοι δόμους: καὶ ἕνα ξύλινον ἐγχώριον. ὁμοίως δὲ καὶ θυσιαστήριον ἐφ' οὗ θύσωσι τῷ θεῷ. τὴν δὲ εἰς ταῦτα δαπάνην, ἐκ τῶν ἐμαυτοῦ γενέσθαι βούλομαι. καὶ τὰ σκεύη δὲ ἃ ἐσύλησεν ἐκ τοῦ ναοῦ ναβουχοδονόσορος ὁ βασιλεὺς, ἔπεμψα παραδοὺς μιθριδάτῃ τῷ γαζοφύλακι, καὶ ζοροβαβήλῳ τῷ ἄρχοντι τῶν ἰουδαίων, ἵνα διακομίσωσιν εἰς ἱεροσό-F λυμα, καὶ ἀποκαταστήσωσιν εἰς τὸν ναὸν τοῦ θεοῦ. ὁ δὲ ἀριθμὸς αὐτῶν ἐστὶ τοσοῦτος. ψυκτῆρες χρύσεοι ν'. ἀργύρεοι υ'. θηρίκλεια χρύσεα ν'. ἀργύρεα υ'. κάδδοι χρύσεοι ν'. ἀργύρεοι φ'. σπονδεῖα χρύσεα λ'. ἀργύρεα τ'. φιάλαι χρύσιναι λ'. ἀργύρεαι βυ'. σκεύη τε ἄλλα μεγάλα χίλια. συγχωρῶ δὲ αὐτοῖς καὶ τὴν ἐκ προγόνων εἰθισμένην τιμὴν, κτηνῶν καὶ οἴνου καὶ ἐλαίου, δραχμὰς εἴκοσι μυριάδας πεντακισχιλίας καὶ πεντακοσίας, καὶ εἰς σεμίδαλιν πυρῶν ἀρτάβας βφ'. κελεύω δὲ τὴν G τούτων χορηγίαν, ἐκ τῶν τῆς σαμαρείας γίνεσθαι φόρων. ἐπιτελοῦσι δὲ τὰ ἱερεῖα ταῦτα κατὰ τοὺς μωσέως νόμους οἱ ἱερεῖς ἐν ἱεροσολύμοις, καὶ προσφέροντες εὔξονται τῷ θεῷ περὶ σωτηρίας τε τοῦ βασιλέως καὶ τοῦ γένους αὐτοῦ, ὅπως ἡ περσῶν βασιλεία διαμένῃ. τοὺς δὲ παρακούσαντας τούτων καὶ ἀκυρώσαντας, ἀνασταυρωθῆναι βούλομαι, καὶ τὰς οὐσίας αὐτῶν εἶναι βασιλικάς. καὶ ἡ μὲν ἐπιστολὴ ταῦτ' ἐδήλου. τῶν δὲ ἐκ τῆς αἰχμαλωσίας συνελθόντων εἰς ἱεροσόλυμα, μυριάδες ἦσαν δ'. καὶ δισχίλιοι υξβ'.

Κεφάλαιον β'.

Ὅτι ἰουδαίους διεκώλυσαν οἱ τοῦ βασιλέως ἡγεμόνες κατασκευάσαι τὸ ἱερὸν, ἐμποδὼν γενόμενοι τοῖς ἔργοις.

Βαλλομένων δὲ τοὺς θεμελίους τοῦ ναοῦ, καὶ περὶ τὴν οἰκοδομίαν αὐτοῦ λίαν ἐσπουδακότων, τὰ πέριξ ἔθνη, καὶ μάλιστα τὸ χουθαίων, οὓς ἐκ τῆς περσίδος καὶ μηδικῆς ἀγαγὼν σαλμανασάρης ὁ τῶν ἀσσυρίων βασιλεὺς κατῴκισεν ἐν σαμαρείᾳ, ὅτε τὸν τῶν ἰσραηλιτῶν λαὸν ἀνάστατον ἐποίησε, παρεκάλουν τοὺς σατράπας καὶ τοὺς ἐπιμελουμένους, ἐμποδίζειν τοὺς ἰουδαίους πρός τε τὴν τῆς πόλεως ἀνάστασιν, καὶ τὴν τοῦ ναοῦ κατασκευήν. οἱ δὲ καὶ χρήμασι διαφθαρέντες ὑπ' αὐτῶν, ἀπημπόλησαν τοῖς χουθαίοις τὸ περὶ τοὺς ἰουδαίους ἀμελὲς καὶ ῥᾴθυμον τῆς οἰκοδομίας. κύρῳ γὰρ περί τε ἄλλους ἀσχοληθέντι πολέμους ἄγνοια τούτων ἦν, καὶ στρατευσαμένῳ ἐπὶ μασσαγέτας εὐθὺς συνέβη τελευτῆσαι τὸν βίον. καμβύσου δὲ τοῦ κύρου παιδὸς τὴν βασιλείαν παραλαβόντος, οἱ ἐν συρίᾳ καὶ φοινίκῃ καὶ ἀμμανίτιδι, καὶ μωαβίτιδι, καὶ σαμαρείᾳ, γράφουσιν ἐπιστολὴν καμβύσῃ δηλοῦσαν τάδε. δέσποτα οἱ παῖδές σου, ῥάθυμος ὁ πάντα τὰ πραττόμενα γράφων, καὶ σεμέλιος ὁ γραμματεὺς, καὶ οἱ τῆς βουλῆς τῆς ἐν συρίᾳ καὶ φοινίκῃ κριταί. γινώσκειν σε δεῖ βασιλεῦ, ὅτι οἱ ἰουδαῖοι οἱ εἰς βαβυλῶνα ἀναχθέντες, ἐληλύθασιν εἰς τὴν ἡμετέραν, καὶ τήν τε πόλιν ἀποστάτιν καὶ πονηρὰν οἰκοδομοῦσι, καὶ τὰς ἀγορὰς αὐτῆς, ἐπισκευάζουσί τε τὰ τείχη καὶ ναὸν ἀνεγείρουσι. ἴσθι μέντοιγε τούτων γενομένων, οὔτε φόρους αὐτοὺς τελεῖν ὑπομενοῦντας, οὔτε δὲ ὑπακούειν ἐθελήσοντας. ἀλλὰ καὶ βασιλεῦσιν ἀντιστήσονται, καὶ ἄρχειν μᾶλλον ἢ ὑπακούειν ἐθελήσουσιν. ἐνεργουμένων οὖν τῶν περὶ τὸν ναὸν καὶ σπουδαζομένων, καλῶς ἔδοξεν ἔχειν ἡμῖν, γράψαι σοι βασιλεῦ, καὶ μὴ περιιδεῖν, ὅπως ἐπισκέψῃ τὰ τῶν πατέρων σου βιβλία. εὑρήσεις γὰρ ἐν αὐτοῖς ἀποστάτας τε τῶν βασιλέων ἐχθροὺς ἰουδαίους, καὶ τὴν πόλιν αὐτῶν, ἣ διὰ τοῦτο καὶ νῦν ἠρημώθη. ἔδοξε δὲ ἡμῖν καὶ τοῦτο σοι δηλῶσαι, ἀγνοούμενον ἴσως, ὅτι τῆς πόλεως οὕτως συνοικισθείσης, καὶ τὸν κύκλον τῶν τειχῶν ἀπολαβούσης, ἀποκλείεταί σοι ἡ ὁδὸς ἡ ἐπὶ κοίλην συρίαν καὶ φοινίκην.

Κεφάλαιον γ'.

Ὡς καμβύσης ὁ κύρου ἐκ παντὸς ἀπηγόρευσε τοῖς ἰουδαίοις οἰκοδομῆσαι τὸν ναόν.

Ἀναγνοὺς δὲ ὁ καμβύσης τὴν ἐπιστολὴν, καὶ φύσει πονηρὸς ὢν, κινεῖται πρὸς τὰ δεδηλωμένα, καὶ γράφει τάδε λέγων. βασιλεὺς καμβύσης ῥαθύμῳ τῷ γράφοντι τὰ προσπίπτοντα, καὶ βελσέμῳ, καὶ σεμελίῳ γραμματεῖ, καὶ τοῖς λοιποῖς τοῖς συντασσομένοις, καὶ οἰκοῦσιν ἐν σαμαρείᾳ καὶ φοινίκῃ, τάδε λέγει. ἀναγνοὺς τὰ πεμφθέντα παρ' ὑμῶν γράμματα, ἐκέλευσα ἐπισκέψασθαι τὰ τῶν προγόνων μου βιβλία. καὶ εὑρέθη ἡ πόλις ἐχθρὰ βασιλεῦσιν ἀεὶ γεγενημένη, καὶ στάσεις καὶ πολέμους οἱ ἐνοικοῦντες πεπραγματευσάμενοι. καὶ βασιλεῖς αὐτῶν ἔγνωμεν δυνατοὺς καὶ βιαίους, φορολογήσαντας κοίλην συρίαν καὶ φοινίκην. ἐγὼ τοίνυν προσέταξα μὴ συγχωρεῖν τοῖς ἰουδαίοις ἀνοικοδομεῖν τὴν πόλιν,

CAP. II.

Regij duces & satrapæ Iudæos ab ædificatione templi prohibent.

II. 1. Esdr. 4.

HIs dum templi fundamenta iaciunt, & in hoc ædificando toti sunt, circùm finitimæ gentes, præcipuè Chuthæi, quibus olim è Perside ac Media traductis Salmanasar Assyriorum rex in Samaria Israelitis inde sublatis nouas sedes dederat, rogabant satrapas & eos quibus commendata erat hæc ædificatio, vt Iudæos impedirent, quo minùs vrbem ac templum instaurare valeant. Illi verò pecuniis etiam corrupti, vendiderunt Chuthæis suam circa demandatum officium cessationem & negligentiam, Cyro nesciente vtpote distracto in alia negocia, qui demum Massagetico bello periit. Cambyse deinde in paternum principatum succedente, ex Syria & Phœnice Ammanitarúmque & Moabitarum ac Samaritarum regionibus redditur ei talis epistola. Domine, serui tui, Rathymus commentariensis, & Semelius scriba, & magistratus Phœnices ac Syriæ. Cognoscere te oportet rex, quòd Iudæi qui Babylonem traducti fuerant, in regionem nostram venerunt, & ciuitatem ob defectionem meritò deletam restituunt, forúmque rerum venalium reparant etiam mœnia & templum extruunt. quòd si ita pergere sinantur, scito eos nec tributa persoluturos amplius, nec imperata facturos. opponentes enim seipsos regibus imperare potius quàm seruire conabuntur. Quando igitur iam feruet templi ædificatio, visum est nostri officij non dissimulare hoc negotium, & admonere vt inspicias maiorum tuorum commentarios, inuenturus in eis Iudæos regum desertores & hostes, vrbémque ipsorum ob hoc crimen desolatam ac dirutam. quin hoc quoque admonendus es, quòd si hæc vrbs incolatur denuo, mœniúmque ambitum absoluat, intercludetur tibi via in Phœnicen & cauam Syriam.

CAP. III.

Cambyses Iudæos ab ædificando templo omnino prohibet.

CAmbyses autem lecta epistola, cùm esset alioquin etiam natus ad malitiam, grauiter commotus rescripsit hoc modo. Rex Cambyses Rathymo commentariensi, & Belsemo, & Semelio scribæ, & reliquis Samariæ ac Phœnices habitatoribus hæc dicit. Lectis quas misistis literis, iussi inspici maiorum meorum commentarios, vbi inuentum est vrbem istam semper inimicam fuisse regibus, habitatorésque eius seditiosos perpetuò studuisse concitandis bellis & rerum nouitatibus. quódque reges habuerint potentes ac violentos, qui cõtinuis tributorum exactionibus, Phœnicem & cauam Syriam vexauerint. Ego igitur iubeo non permitti Iudæos vrbem denuò condere,

ne per hanc occasionem crescat eorum malitia, qua concitati hactenus rebelles fuerunt regibus. His literis perlectis Rathymus & scriba Semelius cum collegis euestigio conscensis equis properarunt Hierosolyma, ducentes secum magnam hominum multitudinem, prohibuerúntque Iudæos ne vrbem & templum ædificare pergerent. Itaque dilatum est id opus per annos IX. vsque in secundum annum regni Darij Persarum regis. Cambyses enim cum per sexennium regnasset, subacta interim Ægypto, reuertens ab ea expeditione, apud Damascum est mortuus.

III. Sublatis deinde Magis qui post eius obitum regnum per integrum annum occupauerant, septem illæ Persarum familiæ Hystaspis filium Darium communibus suffragiis rem declarauerunt.

Cap. IIII.

Darius Hystaspis filius Iudæis templum ædificat.

1. Esdr. 5. 6. IS adhuc priuatus vouerat Deo si regnum adipisceretur, quicquid sacrorum vasorum apud Babylonem esset, remissurum se in templum Hierosolyma: & fortefortuna per illud tempus venerat ad eum à Hierosolymis Zorobabel, qui captiuorum Iudæorum dux declaratus fuerat. nam erat vetus regis amicus. quamobrem inter satellites cum aliis duobus assumptus, speratum honorem consecutus est. Primo autem sui regni anno Darius splendido ac magnifico apparatu excepit tam domesticos suos quàm Medorum ac Persarum satrapas, prouinciarúmque præsides ab Indis vsque ad Æthiopas, & præfectos copiis per CXXVII. satrapias. Cúmque ad satietatem epulati, discessissent cubitum ad suum quisque diuersorium, Darius post breuem in lecto quietem à somno relictus, nec valens redormiscere, cœpit fabulari cum tribus satellitibus: & qui proponendam à se quæstionem verius ac prudentius soluerit, ei præmium fore promisit vsum purpuræ & aurei poculi: in cubatu quoq; ac vectatione vsurum instrumento aureo, & tiara byssina ac torque aureo: & in consessu habiturum locum regi proximum, annumeratum inter gentiles regios. post hæc promissa quærit ex primo nũ vinum maximè polleat, ex secundo num reges, ex tertio num mulieres, an fortè veritas magis quàm hæc omnia. his ad inquirendum propositis siluit. Mane verò accersiuit megistanas & satrapas ac toparchas, residénsque vbi solebat iura reddere, iubet satellitum illorum quenque coram toto cœtu respondere ad quæstionem sibi propositam quid ipsi videatur verius. Tum primus eorum sic exorsus est vini prædicare potentiam. Viri illustrissimi, equidem vino potẽtiæ palmam tribuere haud dubito, dum eius virium hinc coniecturam capio. Animaduerto enim quòd quorumuis potantium mentem subuertit, & vel regis animum sic afficit,

μὴ ἐπὶ πλέον αὐξηθῇ τὰ τῆς κακίας αὐτῶν, ἣ χρώμενοι πρὸς τοὺς βασιλεῖς διατετελέκασι. τούτων ἀναγνωσθέντων τῶν γραμμάτων, ὁ ῥάθυμος καὶ σεμέλιος γραμματεὺς, καὶ οἱ τούτοις συντεταγμένοι παραχρῆμα ἐπιπηδήσαντες ἵπποις, ἔσπευσαν εἰς Ἱεροσόλυμα, πλῆθος ἐπαγόμενοι πολύ. καὶ διεκώλυσαν οἰκοδομεῖν τοὺς Ἰουδαίους τὴν πόλιν καὶ τὸν ναόν. καὶ ταῦτα μὲν ἐπεσχέθη τὰ ἔργα μέχρι τοῦ δευτέρου ἔτους τῆς Δαρείου βασιλείας τῶν Περσῶν ἐπ' ἄλλα ἔτη θ'. Καμβύσης γὰρ ἓξ ἔτη βασιλεύσας, καταστρεψάμενος ἐν τούτοις τὴν Αἴγυπτον, ὑποστρέψας ἐτελεύτησεν ἐν Δαμασκῷ. μετὰ δὲ τὴν τῶν μάγων ἀναίρεσιν, οἳ μετὰ τὸν Καμβύσου θάνατον τὴν Περσῶν ἀρχὴν ἐνιαυτὸν κατέσχον, οἱ λεγόμενοι ἑπτὰ οἶκοι τῶν Περσῶν, τὸν Ὑστάσπου παῖδα Δαρεῖον ἀπέδειξαν βασιλέα.

Κεφάλαιον δ'.

Ὅτι Δαρεῖος ὁ Ὑστάσπου τὸν ναὸν Ἰουδαίοις ᾠκοδόμησεν.

Οὗτος ἰδιώτης ὢν ηὔξατο τῷ θεῷ εἰ γένοιτο βασιλεὺς πάντα τὰ σκεύη τοῦ θεοῦ, ὅσα ἦν ἔτι ἐν Βαβυλῶνι, πέμψειν εἰς τὸν ναὸν τὸν ἐν Ἱεροσολύμοις. ἔτυχε δὲ κατ' ἐκεῖνον τὸν καιρὸν ἀφικόμενος πρὸς Δαρεῖον ἐξ Ἱεροσολύμων Ζοροβάβελος, ὃς τῶν αἰχμαλώτων Ἰουδαίων ἡγεμὼν ἀποδέδεικτο. πάλαι γὰρ ἦν αὐτῷ φιλία πρὸς τὸν βασιλέα. ᾧ δὴ καὶ σωματοφυλακεῖν αὐτὸν μετ' ἄλλων δύο κριθεὶς ἄξιος, ἀπέλαβεν ἧς ἤλπισε τιμῆς. τῷ δὲ πρώτῳ τῆς βασιλείας ἔτει Δαρεῖος ὑποδέχεται λαμπρῶς, καὶ μετὰ πολλῆς παρασκευῆς, τούς τε περὶ αὐτὸν καὶ τοὺς οἴκοι γεγονότας, καὶ τοὺς τῶν Μήδων ἡγεμόνας καὶ σατράπας τῆς Περσίδος, καὶ τοπάρχας τῆς Ἰνδικῆς ἄχρι τῆς Αἰθιοπίας καὶ τοὺς στρατηγοὺς τῶν ρκζ' σατραπειῶν. ἐπεὶ δὲ κατευωχηθέντες ἄχρι κόρου καὶ πλησμονῆς, ἀνέλυσαν κοιμηθησόμενοι παρ' αὐτοῖς ἕκαστοι, Δαρεῖος ὁ βασιλεὺς ἐλθὼν ἐπὶ τὴν κοίτην, καὶ βραχὺ τῆς νυκτὸς ἀναπαυσάμενος, ἔξυπνος γίνεται. καὶ μηκέτι κατακοιμηθῆναι δυνάμενος, εἰς ὁμιλίαν τρέπεται μετὰ τῶν τριῶν σωματοφυλάκων, καὶ τῷ λόγον ἐρῶντι, περὶ ὧν αὐτὸς ἀνακρίνειν μέλλει, τὸν ἀληθέστερον καὶ συνετώτερον, τούτῳ γέρας δώσειν ὑπισχνεῖται νικητήριον πορφύραν ἐνδύσασθαι, καὶ ἐν ἐκπώμασι χρυσοῖς πίνειν, καὶ ἐπὶ χρυσίου καθεύδειν, καὶ ἅρμα χρυσοχάλινον καὶ κίδαριν βυσσίνην, καὶ περιαυχένιον χρυσοῦν. καὶ μετ' αὐτὸν ἕξειν προεδρίαν διὰ τὴν σοφίαν, καὶ συγγενής μου ἐπικληθήσεται. ταύτας ἐπαγγειλάμενος αὐτοῖς παρέξειν τὰς δωρεὰς, ἐρωτᾷ μὲν τὸν πρῶτον εἰ ὁ οἶνος ὑπερισχύει, τὸν δεύτερον δὲ, εἰ οἱ βασιλεῖς, τὸν τρίτον δὲ εἰ αἱ γυναῖκες, ἢ τούτων μᾶλλον ἡ ἀλήθεια. ταῦτα προθεὶς αὐτοῖς ζητεῖν ἡσύχασεν. ὄρθρου δὲ μεταπεμψάμενος τοὺς μεγιστᾶνας καὶ σατράπας καὶ τοπάρχας τῆς Περσίδος καὶ Μηδικῆς, καὶ καθίσας ἐν ᾧ χρηματίζειν εἰώθει τόπῳ, τῶν σωματοφυλάκων ἕκαστον ἐκέλευσε πάντων ἀκουόντων ἀποφαίνεσθαι τὸ δοκοῦν αὐτῷ περὶ τῶν προκειμένων. καὶ ὁ πρῶτος ἤρξατο λέγειν τὴν τοῦ οἴνου δύναμιν, οὕτως αὐτὴν ἐμφανίζων. ἄνδρες γὰρ εἶπεν, ἐγὼ τὴν ἰσχὺν τοῦ οἴνου τεκμαιρόμενος, πάντα ὑπερβάλλουσαν εὑρίσκω τούτῳ τῷ τρόπῳ. σφάλλει γὰρ τῶν πινόντων αὐτὸν καὶ ἀπατᾷ τὴν διάνοιαν, καὶ τὴν τοῦ βασιλέως

τῇ τοῦ

τῇ τοῦ ὀρφανοῦ καὶ δεομένου κηδεμόνος, ὁμοίαν τίθησι, καὶ τὴν τοῦ δούλου διεγείρει πρὸς παρρησίαν τοῦ ἐλευθέρου. ἥτε τοῦ πένητος, ὁμοία γίνεται τῇ τοῦ πλουσίου. μεταποιεῖ γὰρ καὶ μεταγεννᾷ τὰς ψυχὰς ἐν αὐταῖς γενόμενος, καὶ τῶν μὲν ἐν συμφορᾷ καθεστηκότων, σβέννυσι τὸ λυπούμενον, τοὺς δὲ ἀλλότρια χρέα λαβόντας, εἰς λήθην ἄγει, καὶ ποιεῖ δοκεῖν αὐτοῖς ἁπάντων πλουσιωτάτους, ὡς μηδὲν μὲν μικρὸν φθέγγεσθαι, ταλάντων δὲ μεμνῆσθαι καὶ τῶν τοῖς εὐδαίμοσι προσηκόντων ὀνομάτων. ἔτι γε μὴν στρατηγῶν καὶ βασιλέων ἀναισθήτους ἀπεργάζεται, καὶ φίλων καὶ συνήθων ἐξαιρεῖ μνήμην, ὁπλίζει γὰρ τοὺς ἀνθρώπους, καὶ κατὰ τῶν φιλτάτων, καὶ δοκεῖν ποιεῖ πάντων ἀλλοτριωτάτους. καὶ ὅταν νήψαντες τύχωσι καὶ καταλίπῃ διὰ τῆς νυκτὸς αὐτοὺς ὁ οἶνος κοιμωμένους, ἀνίστανται μηδὲν ὧν ἔπραξαν παρὰ τὴν μέθην εἰδότες. τούτοις ἐγὼ τεκμαιρόμενος ἀποφαίνομαι τὸν οἶνον ὑπερκρατοῦντα πάντων καὶ βιαιότατον. ὡς δὲ ὁ πρῶτος ἀποφηνάμενος περὶ τῆς ἰσχύος τοῦ οἴνου τὰ προειρημένα ἐπαύσατο, ὁ μετ' αὐτὸν ἤρξατο λέγειν περὶ τῆς τοῦ βασιλέως δυνάμεως, ταύτην ἀποδεικνὺς τὴν ἰσχυροτάτην καὶ πλέον τῶν ἄλλων δυναμένην, ὅσα βίαν ἔχειν ἢ σύνεσιν δοκεῖ. τὸν δὲ τρόπον τῆς ἀποδείξεως, ἐντεῦθεν ἐλάμβανεν. ἁπάντων μὲν εἶπεν ἀνθρώπους περικρατεῖν, οἳ καὶ τὴν γῆν καταναγκάζουσι καὶ τὴν θάλασσαν εἶναι χρησίμην αὐτοῖς πρὸς ἃ θέλουσι. τούτων δ' ἄρχουσιν οἱ βασιλεῖς, καὶ τὴν ἐξουσίαν ἔχουσιν. οἱ δὲ τοῦ κρατίστου καὶ ἰσχυροτάτου ζώου δεσπόζοντες, ἀνυπέρβλητοι τὴν δύναμιν οὗτοι καὶ τὴν ἰσχὺν εἰκότως ἂν εἶεν. ἀμέλει πολέμοις ἐπιτάττοντες καὶ κινδύνοις τοῖς ἀρχομένοις, ἀκούονται, καὶ πέμποντες αὐτοὺς ἐπὶ τοὺς ἐχθρούς, καταπειθεῖς διὰ τὴν ἰσχὺν τὴν αὐτῶν ἔχουσι, καὶ ὄρη μὲν κατεργάζεσθαι καὶ τείχη διασπᾶν καὶ πύργους κελεύουσι. καὶ κτείνεσθαι δὲ οἱ κελευσθέντες καὶ κτείνειν ὑπομένουσιν, ἵνα μὴ τὰ τοῦ βασιλέως δόξωσι παραβαίνειν προστάγματα. νικήσαντες δὲ τὴν ὠφέλειαν τὴν ἐκ τοῦ πολέμου τῷ βασιλεῖ κομίζουσι. καὶ οἱ μὴ στρατευόμενοι δέ, ἀλλὰ γῆν ἐργαζόμενοι καὶ ἀροῦντες, ὅταν πονήσαντες καὶ πᾶσαν τὴν τῶν ἔργων ταλαιπωρίαν ὑπομείναντες, θερίσωσι καὶ τοὺς καρποὺς συνέλωσι, τοὺς φόρους τῷ βασιλεῖ κομίζουσιν. ὃ δ' ἂν οὗτος εἴπῃ καὶ κελεύσῃ, τοῦτο ἐξ ἀνάγκης οὐδὲν ὑπερβαλλόμενον γίνεται. ἔπειθ' ὁ μὲν τρυφῆς ἁπάσης καὶ ἡδονῆς ἀναπιμπλάμενος καθεύδει, φυλάσσεται δὲ ὑπὸ γρηγορούντων, καὶ ὡσανεὶ δεδεμένων ὑπὸ τοῦ φόβου. καταλιπεῖν γὰρ οὐδεὶς τολμᾷ κοιμώμενον, οὐδὲ τῶν ἰδίων ἀναχωρήσας, ποιεῖσθαι πρόνοιαν. ἀλλ' ἓν ἔργον ἡγούμενος ἀναγκαῖον τὸ φυλάττειν τὸν βασιλέα, τούτῳ προσμένει. πῶς οὖν οὐκ ἂν ὁ βασιλεὺς δόξειεν τὴν πάντων ἰσχὺν ὑπερβάλλειν, ᾧ τοσοῦτο πλῆθος πείθεται κελεύοντι; σιωπήσαντος δὲ καὶ τούτου, περὶ τῶν γυναικῶν καὶ τῆς ἀληθείας ὁ τρίτος Ζοροβάβελος διδάσκειν αὐτοὺς ἤρξατο, λέγων οὕτως. ἰσχυρὸς μὲν καὶ ὁ οἶνος καὶ ὁ βασιλεύς, ᾧ πάντες ὑπακούουσιν, ἀλλὰ κρείττους τῇ δυνάμει τούτων αἱ γυναῖκες. τόν τε γὰρ βασιλέα, γυνὴ παρήγαγεν εἰς τὸ φῶς, καὶ τοὺς φυτεύσαντας ἀμπέλους ὧν ποιοῦσι τὸν οἶνον, γυναῖκες εἰσὶν αἱ τίκτουσαί τε καὶ τρέφουσαι. καθ' ὅλου δ' οὐδέν ἐστιν, ὃ μὴ παρὰ τούτων ἔχομεν. καὶ γὰρ τὰς ἐσθῆτας αὗται ὑφαίνουσιν ἡμῖν, καὶ τὰ κατ' οἶκον διὰ ταύτας ἐπιμελείας καὶ φυλακῆς ἀξιοῦνται. καὶ οὐκ ἔστιν ἡμῖν ἀποζευχθῆναι γυναικῶν. ἀλλὰ χρυσὸν πολὺν κτησάμενοι καὶ ἄργυρον, καὶ ἄλλο τι τῶν πολυτελῶν, καὶ σπουδῆς ἀξίων, ὅταν ἴδωμεν εὔμορφον γυναῖκα,

vt non secus quàm puer aliquis parentibus orbus curatoris egeat: seruum quoque suæ conditionis oblitum ad dicẽdi libertatem cõcitat, & pauperi addit animos diuitis. mutat enim & regenerat animas quas subingreditur. nam & calamitosorum extinguit tristitiam, & ære alieno atque vsuris oppressos facit aliquantisper videri sibi omnium ditissimos, vt obliti sui nihil sonent humile, sed talenta crepent, & alia fortunatorum verba magnifica. præterea tam ducum quàm regum illis sensum ac metum eximit, & omnem amicorũ ac familiarium memoriam. armat enim homines vel aduersus charissimos, cósque facit videri alienissimos. cúmque edormito temeto per noctem sobrij fuerint redditi, surgunt omnino inscij quæ eis per ebrietatem patrata sũt. quo fit vt his argumentis persuas⁹, vinũ ducam rem omniũ lõgè potẽtissimam simul & violẽtissimã. Postquã primus prolata sua de vino sententia dicendi finẽ fecit, tũ secũdus cœpit extollere potestatẽ regiã, huius vires asseuerans esse maximas omniũ quę intellectu ac potẽtia prędita sunt. id conatus est probare his rationibus. Omnium rerum penes homines esse imperium, qui & terras & maria ad quoscũque vsus seruire sibi adigunt. at ipsis hominib⁹ reges imperitare, eísque quidlibet pro suo mãdare arbitrio. proinde qui in fortiss. animalium habent dominium, eorum vim ac virtutẽ meritò existimandã insuperabilem. quid quòd dũ ad bella & pericula subditos mittũt, oẽs eorũ imperata obsequẽter faciunt, siue dũ per eos obiiciũtur hostib. siue dũ cogũtur cũ mœnib. ac turrib. atq. adeo cũ mõtib. ipsáque rerũ natura bellum gerere ipsorũ iussu parati vel occidi vel occidere, dum ne videantur à regiis mandatis vsquẽ digredi? parta deinde victoria, belli commoda vniuersa ad regem redeunt. Iã verò qui alieni à militia dant agris colẽdis operã, post lõgos labores & sudores comparatis fructib⁹ regi tributa persoluunt: & quicquid ille iusserit, hoc necessariò sine mora perficitur. Interim ille expletus omnibus deliciis & voluptatib. dormit in cubiculo, excubantib. ante fores satellitibus, & ceu vinctis metu nusquã discedẽtibus. nemo enim audet dormiente illo relicto abire ad curanda propria negocia, sed vnã hanc curã putans necessariam, in hac vna est assiduus. Et quî fieri potest, vt non is sit omnium potentissimus, cui tanta hominum multitudo paret per omnia? His peroratis successit tertius Zorobabel, dicturus de mulieribus & veritate, quarum vis quanta sit, quamque præpolleat cæteris rebus omnib. sic docere aggressus est. Cõfessũ est & vinũ pollere plurimũ, & regẽ cui omnes obtemperant, maior tamen est potentia mulierum. nam & rex per mulierem in lucem hanc productus est, & eos qui vites colendo vinum nobis afferunt, mulieres & educant & pariunt: nihil est omnino quod non illis acceptũ ferendum sit. nam & vestimenta nobis texũtur harũ opera, & rei domesticæ cura his est concredita: nec vllo pacto possumus carere fœminis. sed licèt argento multo abundemus & auro, precio-

sisque rebus aliis, simul atq. mulierem formosam cōspexerimus, neglectis illis omnibus inhiamus in visę pulchritudinem, & libenter ei bonis cedimus, modò adamata forma frui liceat. Relinquimus etiam parentes ac patriam, & vel amicissimorū sæpenumero propter mulieres obliuiscimur: ac ne commori quidem cū illis refugimus. addam & aliud argumētum earum potentiæ non minimum, quicquid terra maríve longo labore quæsitum nónne totum hoc mulieribus committimus? Ipsum etiam regem tantarum rerum dominum vidi aliquando ab Apame Rapsacis Themasini filia, concubina sua cædi alapis, nec hoc tantùm ferre, sed vt sibi detractum diadema capiti illa suo imponeret, ridentem cum ridēte, & irata illa mœrētem, & adulatoriè se ad affectus illius attemperando humiliter satisfaciētem si quid eam offensam animaduerteret. Interim dum satrapæ mirabundi alij in aliorum vultus inter se mutuò coniiciunt oculos, Zorobabel ad veritatis laudes fecit transitum. Dixi, inquit, & declaraui quantum mulieres polleant, verùm tamen nec hæ, nec rex veritati vllo modo conferendus est. Nam cùm terra sit maxima, cælū item immensæ altitudinis, & sol celeritatis ineffabilis, cúmque hæc Dei voluntas gubernet ac moueat, qui Deus iustus est & verax, consequitur vt veritas sit rerum omnium longè potentissima, contra quā iniustitia nihil omnino valeat. præterea reliqua omnia quantúuis pollere videātur, mortalia sunt, & celeres habent exitus, veritas verò immortalis est atq. sempiterna. Quin & ea quę ab illis percipimus, nec mortalia sūt, nec iniuriæ tēporū aut fortunæ reciprocis vicibus obnoxia, sed iusta & legitima, secretáque ab omni labe iniustitiæ. his dictis Zorobabel sermoni finem imposuit. Acclamāte verò auditorio quòd dixisset optimè, & quòd sola veritas vim omnis senij vel mutationis expertē habeat, iussit eūrex postulare aliquid ex his quæ paulo antè vltro fuerat pollicitus. Libēter. n. se cōcessurū, vt viro sapienti, & qui prudētia vincat cęteros. quare posthac, inquit, assessor meus eris, receptus inter cognatas mihi necessitudines. His auditis admonuit eū voti, quo se obligauerat si adipisceretur potestatē regiā: id aūt erat, denuò cōdere Hierosolyma, & ibi Dei tēplū instaurare, ac deinde sacra vasa olī per Nabuchodonosorū inde sublata, & Babylonē perlata, restituere. Hęc est, inquit, mea postulatio, quā nūc mihi permittis sapiētē me virū iudicās.

IV. Tum rex lętus assurgēs excepit eū osculo, móxq. scripsit toparchis & satrapis, iubēs eos deducere Zorobabelē, eósq. qui vnà ꝓfecturi erāt ad instituēdā & absoluēdā tēpli fabricā. Mandauit etiā per literas Phœnices ac Syriæ magistratib. vt materiā cedrinā in Libano excisā deportarēt Hierosol. & instaurātē eā vrbē adiutarēt: in quib. literis hoc quoq. adscriptū erat, iubere & velle regē liberos esse oēs Iudęos quotquot ex captiuitate Hierosolyma postliminio redierint. & procuratores suos ac satrapas vetuit quicquam in regios vsus à Iudęis exigere: & quantúmque agrorum occupare valeant, permisit eos immunes à tributis colere. Idumæis etiam & Samaritis atque Syriæ Cauę habitatoribus imperauit, vt agros qui aliquādo Iudæorum iuris fuissent antiquis possessoribus

πάντα ἐκεῖνα ἀφέντες, τῷ εἴδει τῆς ἐρασθείσης προσκεχήναμεν, καὶ ὑπομένομεν διαχωρῆσαι τῶν ὄντων ἡμῖν, ἵνα τοῦ κάλλους ἀπολαύσωμεν καὶ μεταλάβωμεν. ἐγκαταλείπομεν δὲ καὶ πατέρα καὶ μητέρα καὶ τὴν θρεψαμένην γῆν, καὶ τῶν φιλτάτων λήθην πολλάκις ἴσχομεν διὰ τὰς γυναῖκας, καὶ τὰς ψυχὰς ἀφιέναι μετ' αὐτῶν καρτεροῦμεν. ὅπως δ' ἂν μάλιστα τὴν ἰσχὺν τῶν γυναικῶν κατανοήσαιτε. οὐχὶ πονοῦντες καὶ πᾶσαν ταλαιπωρίαν ὑπομένοντες καὶ διὰ γῆς καὶ θαλάσσης, ὅταν ἡμῖν περιγένηταί τινα ἐκ τῶν πόνων, αὐτὰ φέροντες, ὡς δεσποίναις ταῖς γυναιξὶ δίδομεν. καὶ τὸν βασιλέα δὲ τὸν τοσούτων κύριον εἶδον ποτὲ ὑπὸ τῆς ῥαβεζάκου τοῦ θεμασίου παιδὸς ἀπάμης, παλλακῆς δ' αὐτοῦ, ῥαπιζόμενον, καὶ τὸ διάδημα ἀφαιρουμένης, καὶ τῇ ἰδίᾳ κεφαλῇ περιτιθείσης ἀνεχόμενον, καὶ μειδιώσης μὲν μειδιῶντα, ὀργιζομένης δὲ σκυθρωπάζοντα, καὶ τῇ τῶν παθῶν μεταβολῇ κολακεύοντα τὴν γυναῖκα, καὶ διαλλάττοντα ἐκ τοῦ σφόδρα ταπεινὸν αὐτὸν ποιεῖν εἴποτε δυσχεραίνουσαν ἔβλεπεν. εἰς ἀλλήλους δὲ ἀφορώντων τῶν σατραπῶν καὶ ἡγεμόνων περὶ τῆς ἀληθείας ἤρξατο λέγειν. ἀπέδειξα μὲν εἰπὼν, ὅσον ἰσχύουσιν αἱ γυναῖκες. ἀσθενέστεραι δὲ ὅμως καὶ αὗται καὶ βασιλεὺς τῆς ἀληθείας ὑπάρχουσιν. εἰ γὰρ ἐστὶν ἡ γῆ μεγίστη καὶ ὑψηλὸς ὁ οὐρανὸς, καὶ ταχὺς ὁ ἥλιος, ταῦτα δὲ πάντα κινεῖται κατὰ βούλησιν τοῦ θεοῦ, ἀληθινὸς δὲ ἐστὶν οὗτος καὶ δίκαιος, ἀπὸ τῆς αὐτῆς αἰτίας δεῖ καὶ τὴν ἀλήθειαν ἰσχυροτάτην ἡγεῖσθαι, καὶ μηδὲν πρὸς αὐτὴν τὸ ἄδικον δυνάμενον. ἔτι γε μὴν τὰ μὲν ἄλλα, θνητὰ καὶ ὠκύμορα εἶναι συμβέβηκε, τῶν ἰσχὺν ἐχόντων. ἡ ἀλήθεια δὲ, ἀθάνατον χρῆμα καὶ ἀΐδιον. παρέχει δὲ ἡμῖν οὐκ ἄλλο χρόνῳ μαραινόμενον, οὐδὲ περιουσίας ἀφαιρετὴν ὑπὸ τύχης, ἀλλὰ τὰ δίκαια καὶ τὰ νόμιμα, διακρίνουσα ἀπ' αὐτῶν ἄδικα καὶ ἀπελέγχουσα. καὶ καταπαύει μὲν ὁ ζοροβάβελος τὸν περὶ τῆς ἀληθείας λόγον. ἐπιβοήσαντος δὲ τοῦ πλήθους ὡς ἄριστα εἰπόντος, καὶ ὅτι τὸ ἀληθὲς ἰσχὺν ἄτρεπτον καὶ ἀγήρω μόνον ἔχοι, προσέταξεν αὐτὸν ὁ βασιλεὺς αἰτήσασθαί τι παρέχειν ὧν αὐτὸς ἦν ὑπεσχημένος. δώσειν γὰρ ὄντι σοφῷ, καὶ τῶν ἄλλων μᾶλλον φανέντι συνετῷ. συγκαθεσθήσῃ δέ μοι φησὶ καὶ κληθήσῃ συγγενὴς ἐμός. ταῦτ' εἰπόντος, ὑπέμνησεν αὐτὸν τῆς εὐχῆς ἣν ἐποιήσατο, εἰ λάβοι τὴν βασιλείαν. αὕτη δ' ἦν ἀνοικοδομῆσαι μὲν ἱεροσόλυμα, κατασκευάσαι δὲ ἐν αὐτοῖς τὸν τοῦ θεοῦ ναὸν, ἀποκαταστῆσαι δὲ καὶ τὰ σκεύη ὅσα συλήσας ναβουχοδονόσορος εἰς βαβυλῶνα ἐκόμισεν. καὶ τοῦτο ἔφη τοὐμὸν αἴτημα ἐστὶν ὅ μοι νῦν ἐπιτρέπεις αἰτήσασθαι, κριθέντι σοφῷ καὶ συνετῷ. ἡσθεὶς ἐπὶ τούτοις ὁ βασιλεὺς, ἀναστὰς κατεφίλησέ τε αὐτὸν, καὶ τοῖς τοπάρχαις καὶ σατράπαις γράφει, κελεύων προπέμψαι τὸν ζοροβάβελον, καὶ τοὺς σὺν αὐτῷ μέλλοντας ἐπὶ τὴν οἰκοδομὴν ἐξιέναι τοῦ ναοῦ. ἐπέστειλε δὲ καὶ τοῖς ἐν συρίᾳ καὶ φοινίκῃ, ξύλα κέδρινα κατακομίζειν ἐκ τοῦ λιβάνου τέμνοντας εἰς ἱεροσόλυμα, καὶ συγκατασκευάζειν αὐτῷ τὴν πόλιν, καὶ πάντας ἔγραψεν ἐλευθέρους εἶναι τοὺς εἰς τὴν ἰουδαίαν τῶν αἰχμαλώτων ἀπελθόντας, καὶ τοὺς ἐπιτρόπους καὶ τοὺς αὐτῶν σατράπας ἐκώλυσεν ἐπιτάττειν τοῖς ἰουδαίοις τὰς βασιλικὰς χρείας, ἀνῆκέ τε πᾶσαν ἣν ἂν κατασχεῖν δυνηθῶσι τῆς χώρας, ἀτελῆ φόρων αὐτοῖς νέμεσθαι. προσέταξε δὲ καὶ τοῖς ἰδουμαίοις καὶ σαμαρείταις καὶ τοῖς ἐκ τῆς κοίλης συρίας ἀφεῖναι τὰς χώρας ἃς τῶν ἰουδαίων

ἰουδαίων κατεῖχον, καὶ προσέτι τάλαντα πεντήκοντα εἰς τὴν οἰκοδομίαν τοῦ ἱεροῦ δοθῆναι, θύειν δὲ αὐτοῖς τὰς νενομισμένας θυσίας ἐπέτρεψε, καὶ τὴν χορηγίαν ἅπασαν καὶ τὴν ἱερὰν στολὴν ᾗ θεραπεύουσι τὸν θεὸν ὅτε ἀρχιερεὺς καὶ οἱ ἱερεῖς ἐκ τῶν ἰδίων γίνεσθαι, καὶ τοῖς λευίταις τὰ ὄργανα οἷς ὑμνοῦσι τὸν θεόν, καὶ τοῖς φύλαξι τῆς πόλεως καὶ τοῦ ναοῦ, προσέταξε κλήρους γῆς δοθῆναι, καὶ κατ' ἕκαστον ἔτος ὡρισμένον τι πρὸς τὴν τοῦ βίου χρείαν ἀργύριον. πέμψας δὲ καὶ τὰ σκεύη καὶ πάντα ὅσα κῦρος πρὸ αὐτοῦ ἐβουλήθη περὶ τῆς τῶν ἰουδαίων ἀποκαταστάσεως, ταῦτα καὶ δαρεῖος διετάξατο. τυχὼν δὲ τούτων παρὰ τοῦ βασιλέως ὁ ζοροβάβελος, ἐξελθὼν ἀπὸ τῶν βασιλείων, καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν, εὐχαριστεῖν ἤρξατο τῷ θεῷ τῆς σοφίας καὶ τῆς ἐπ' αὐτῇ νίκης, ἣν δαρείου παρόντος ἔλαβεν. οὐ γὰρ ἂν τούτων ἀξιωθῆναι, μὴ σοῦ φησι δέσποτα τυχὼν εὐμενοῦς. ταῦτ' οὖν περὶ τῶν παρόντων εὐχαριστήσας τῷ θεῷ, καὶ πρὸς τὰ μέλλοντα δεηθεὶς αὐτὸν παρέχειν ὅμοιον, ἧκεν εἰς βαβυλῶνα. καὶ τοῖς ὁμοφύλοις εὐηγγελίσατο τὰ παρὰ τοῦ βασιλέως. οἱ δὲ ἀκούσαντες, εὐχαριστοῦσι μὲν τῷ θεῷ πάλιν αὐτοῖς ἀποδιδόντι τὴν πάτριον γῆν. εἰς δὲ πότον καὶ κώμους τραπέντες, ἐφ' ἡμέρας ἑπτὰ, διήγαγον εὐωχούμενοι, καὶ τὴν ἀνάκτησιν καὶ παλιγγενεσίαν τῆς πατρίδος ἑορτάζοντες. ἔπειτα τοὺς ἀναβησομένους εἰς τὰ ἱεροσόλυμα ἡγεμόνας ἐκ τῶν πατρίων φυλῶν σὺν γυναιξὶ καὶ τέκνοις, καὶ ὑποζυγίοις ἐπελέξαντο. οἳ δαρείου συμπέμψαντος ἕως τῶν ἱεροσολύμων ὥδευον μετὰ χαρᾶς καὶ τέρψεως, ψαλλόμενοι καὶ καταυλούμενοι καὶ περιψοφούμενοι τοῖς κυμβάλοις. προέπεμψε δὲ αὐτοὺς καὶ τὸ ὑπολειπόμενον τῶν ἰουδαίων πλῆθος μετὰ παιδιᾶς. καὶ οἱ μὲν οὕτως ἀπῄεσαν ἐξ ἑκάστης πατριᾶς ἀριθμὸς ὄντες ὡρισμένοι. ἐμοὶ δὲ οὐκ ἔδοξε τὰ τῶν πατριῶν καταλέγειν ὀνόματα, ἵνα μὴ τὴν τῶν ἀναγινωσκόντων διάνοιαν τῆς συνεχείας τῶν πραγμάτων ἀποσπάσας, δυσπαρακολούθητον αὐτοῖς ποιήσω τὴν διήγησιν. τὸ δὲ κεφάλαιον τῶν ἀπεγραμμένων ἐπὶ ιβ'. τὴν ἡλικίαν γεγονότων, ἐκ τῆς ἰούδα φυλῆς καὶ βενιαμίτιδος ἦν μυριάδες υξβ'. καὶ ὀκτακισχίλιοι. λευῖται δὲ τέσσαρες καὶ ἑβδομήκοντα. γυναικῶν δὲ ἀναμὶξ καὶ παιδίων σώματα ἦν τετρακισμύρια ἑπτακόσια τεσσαράκοντα δύο. πάρεξ δὲ τούτων λευῖται μὲν ἦσαν ὑμνῳδοὶ ρκη'. πυλωροὶ δὲ ρι'. δοῦλοι δὲ ἱεροὶ τιβ'. ἄλλοι τε πρὸς τούτοις λέγοντες μὲν εἶναι τῶν ἰσραηλιτῶν, οὐ δυνάμενοι δὲ ἐπιδεῖξαι τὸ γένος αὐτῶν χνβ'. ἐξεβλήθησαν δὲ καὶ ἐκ τῶν ἱερέων ἐκ τῆς τιμῆς ἠγμένοι γυναῖκας, ὧν οὔτ' αὐτοὶ τὸ γένος εἶχον εἰπεῖν, οὔτ' ἐν ταῖς γενεαλογίαις τῶν λευιτῶν καὶ ἱερέων εὑρέθησαν. ἦσαν δὲ ὡς φκε'. τὸ δὲ τῶν θεραπόντων πλῆθος, εἵπετο τοῖς ἀναβαίνουσιν εἰς ἱεροσόλυμα ἑπτακισχίλιοι τριακόσιοι τριάκοντα ἑπτά. ψάλται δὲ καὶ ψάλτριαι σμε'. κάμηλοι υλε'. ὑποζύγια φκε'. ἡγεμὼν δὲ τῆς κατηριθμημένης πλήθυος ἦν, ὁ σαλαθιήλου παῖς ζοροβάβελος, ἐκ τῶν υἱωνῶν τοῦ δαβίδου, γεγονὼς ἐκ τῆς ἰούδα φυλῆς, καὶ ἰησοῦς υἱὸς ἰωσεδέκου τοῦ ἀρχιερέως, πρὸς τούτοις ὁ μαρδοχαῖος καὶ σερεβαῖος, ἐκ τοῦ πλήθους κεκριμένοι ἄρχοντες ἦσαν, οἳ καὶ συνεβάλλοντο μνᾶς μὲν χρυσίου ρ'. ἀργυρίου δὲ πεντακισχιλίας. οὕτω μὲν οὖν οἵ τε ἱερεῖς καὶ λευῖται καὶ μέρος τι τοῦ παντὸς λαοῦ τῶν ἰουδαίων, ὅσον ἦν ἐν τῇ βαβυλῶνι, κατῳκίσθησαν εἰς τὰ ἱεροσόλυμα. τὸ δὲ ἄλλο πλῆθος,

A redderent, atque inſuper L. talenta in fabricam templi conferrent. ipſis autem iuxta patrias leges ſacra facere permiſit, & quæ in hunc vſum eſſent neceſſaria, factáſque veſtes in quibus pótifex & cæteri ſacerdotes rem diuinam faciũt, de ſuo præberi voluit, necnon etiam organa quibus Leuitæ ſacros hymnos accinunt, & cuſtodibus vrbis atque tẽpli certas terræ portiones aſſignari iuſſit, ac in ſingulos annos pro a- B limentis certam pecuniam. denique de remittendis ſacris vaſis, déque Iudæorum reſtitutione, confirmauit omnia quæ priùs Cyrus decreuerat. Zorobabel autem hanc gratiã à rege conſecutus, quàm primùm egreſſus eſt regiam, ſuſpiciens in cælum gratias agit Deo, quòd coram rege inter concertatores viſus ſit ſapientior cõfitens totum hoc diuini eſſe beneficij: peractáque gratiarum actione, precatus vt & in poſterum propitius eſſe pergeret, Babylonem C profectus eſt, lætum popularibus ſuis nuncium afferens. Quo audito primùm gratias egerunt Deo pro reddita ſibi patria: deinde ad epulas & compotationes verſi, per huiuſmodi hilaritates continuos ſeptem dies exegerunt ob receptam patriam ceu natalitiam feſtiuitatem denuò celebrantes. deinde duces Hieroſolymitanæ profectionis ex ſua quemque tribu elegerunt comparatis & iumentis, quæ vxores ac liberos veherent: deducentibúſque quos Da- D rius ad hoc ipſum miſerat, genialiter viã emetiebantur hilares, perſonantibus omnia tibiis, & cymbalis perſtrepentibus, proſequente per luſum ac lætitiam & reliqua Iudæorum multitudine. nam certus numerus è ſingulis cognationibus ſelectus proficiſcebatur: quas nominatim percenſere non libet, ne interrupta narrationis ſerie lectori tædium afferam. hoc tantùm dicam compendio, fuiſſe pubertatẽ egreſſorum quater mille millia, & ſexcenta viginti E octo millia, duntaxat ex tribu Iudæ & Beniamitica. Leuitarum enim ſequebantur quatuor millia & ſeptuaginta. promiſcuæ verò multitudinis puerorum ac mulierũ numerus erat quadraginta millia DCCXLII. præterea Leuitici generis cantores aderant CXXVIII. ianitores CX. ſacri ſerui CCCXII. ad hæc qui dicebant ſe Iſraelitas, nec tamen poterant approbare genus ſuum ſexcenti quinquaginta duo. reiecti ſunt etiam ex ordine & honore ſacerdo- F tali quotquot duxerant vxores, quarum genus nec ipſi indicare poterant, nec in Leuiticis & ſacerdotalibus genealogiis inueniebatur, erant autem numero DXXV. Sequebatur etiam ſeruitiorum multitudo ſeptem millium CCCXXXVII. cantores etiam & cantatrices CCXLV. cameli CCCCXXXV. iumenta DXXV. Dux autem multitudinis quam modò recẽſui, fuit Salathielis filius Zorobabel, ex tribu Iudæ & ſtirpe Dauidis natus, & cũ eo Ieſus Ioſedeci pontificis filius, & G Mardochęus ac Serebęus: hi duo tribuliũ ſuffragiis adducatũ electi, qui etiam contulerunt in ſumptus huius profectionis minas auri centũ, argenti verò quinquies mille. atque in hũc modum ſaçerdotes ac Leuitæ & pars quędam populi Iudæorum, qui tum apud Babylonem erat ad habitãda Hieroſolyma ſunt deducti, reliqua verò multitudo pauliſper diſcedẽtes proſecuta,

domos quiſque ſuas rediit. Septimo autem mẽſe poſtquam Babylonem exiuerant, Ieſus pontifex & Zorobabel princeps, dimiſſis circum oppida nunciis è tota regione populum Hieroſolyma conuocauerunt, cupidè ad mandatum eorum conuenientem: & ædificauerunt altare in quo priùs fuerat loco, ad offerenda Deo ſacrificia iuxta leges per Moyſem traditas. Quæ dum faciunt, non æquis oculis aſpiciebantur à finitimis gentibus, quibus exoſi erant omnib⁹. Celebrauerunt autem etiam Scenopegiam per idem tempus, iuxta legiſlatoris præſcripta, & poſt hæc oblationes & quotidiana ſacrificia, victimáſque ſabbatorum atque omnium ſanctarum feſtiuitatum. tum qui vota vouerãt, reddebant ea ſacrificantes à nouilunio menſis ſeptimi. Deinde templi ædificationem ſunt aggreſſi, expendentes multas pecunias in cæmentarios & fabros, & multum alimentorum in cibos eorum qui conuehebant materiem. Hoc enim Sidonij facilè ac libenter faciebant, trabes cedrinas de Libano deferentes, quibus mox in rates compactis, in Ioppenſem portum eas perducebant, ita vt primùm à Cyro, & tum iterum à Dario iuſſi fuerant. Hæc fiebant anno à reditu Iudæorum ſecundo, menſe ſecundo, quando iactis templi fundamentis prima die Decembris cœperunt ſuperſtruere: præpoſuerúntque operi curando Leuitarum quotquot vigeſimũ annum attigerant, & Ieſum cum filiis ac tribus fratribus, & Zolimielem Iudæ fratrem, Abinadabi filium, ciúſque filios: quibus ſumma cura & diligentia commiſſum negotium tractantibus, celeriùs opinione creſcebat templi ædificium. Id vbi factum eſt, accedentes ſacerdotes ornatu ſuo cũ tubis, & Leuitæ Aſaphique progenies canebant ſacros hymnos, in Dei laudem à Dauide quondam inſtitutos. Sacerdotes autẽ & Leuitæ cognationúmque principes ętate prouectiores, qui & illud priùs templum videre meminerant magnum & opulentum, & hoc recèns pro præſentium fortunarum tenuitate deterius fieri animaduertebant, reputãtes quãtum ab illa priſca felicitate abeſſet, oborta inde mœſtitia temperare à lacrymis non poterant: vulgus autem contentum erat præſenti templo, vt quod nulla priorum temporum comparatione ſeipſum cruciabat, nec vllum detrimẽtũ factũ quibat animaduertere. cõtrà ſeniorum ac ſacerdotum multo deteriore conditione res ſuas eſſe exiſtimantium gemitus, vix concentu tubarum obſcurari poterat. Samaritæ autem inimici auditis tubis, & lætantium atque dolentium promiſcuis vociferationibus, accurrerunt volentes cauſam diſcere: & cognito quòd Iudæi è captiuitate Babylonia poſtliminio reuerſi templum inſtaurarent, adeunt Zorobabelem ac Ieſum, principeſque cognationum poſtulantes vt eos admitterent ad templum communi ſumptu ædificandum. Nam ſe quoq. aiebant Deum cole, & eius gloriari nomine, religioníſque eius ſtudioſos fuiſſe iam inde ab illo tempore quo Salmanaſar Aſſyriorũ rex è Chuthia & Media gentẽ eam in loca illa trãſtulerat.

A εἰς τὰς ἰδίας ἀνεχώρησαν πατρίδας. ἑβδόμῳ δὲ μηνὶ τῆς ἀπὸ Βαβυλῶνος αὐτῶν ἐξόδου, περιπέμψαντες ὅτε ἀρχιερεὺς αὐτῶν Ἰησοῦς καὶ Ζοροβάβελος ἄρχων, τοὺς ἀπὸ τῆς χώρας συνήγαγον εἰς Ἱεροσόλυμα πανδημεί, μηδὲν προθυμίας ἀπολιπόντας, καὶ κατασκευάσαντες θυσιαστήριον, ἐφ᾽ οὗ καὶ πρότερον ἦν ἀνοικοδομημένον τόπου, ὅπως τὰς νομίμους ἀναφέρωσι θυσίας ἐπ᾽ αὐτοῦ τῷ θεῷ κατὰ τοὺς Μωυσέως νόμους. ταῦτα δὲ ποιοῦντες, οὐκ ἦσαν ἐν ἡδονῇ τοῖς περιχώροις ἔθνεσι, πάντων αὐτοῖς ἀπεχθανομένων. ἤγαγον δὲ καὶ τὴν σκηνοπηγίαν κατ᾽ ἐκεῖνον τὸν καιρόν, ὡς ὁ νομοθέτης περὶ αὐτῆς διετάξατο. καὶ προσφορὰς μετὰ ταῦτα, καὶ τοὺς καλουμένους ἐνδελεχισμούς, καὶ τὰς θυσίας τῶν σαββάτων καὶ πασῶν τῶν ἁγίων ἑορτῶν. οἵ τε πεποιημένοι τὰς εὐχὰς ἀπεδίδοσαν θύοντες ἀπὸ νουμηνίας τοῦ ἑβδόμου μηνός. ἤρξαντο δὲ καὶ τῆς οἰκοδομίας τοῦ ναοῦ, πολλὰ τοῖς τε λατόμοις καὶ τέκτοσι χρήματα δόντες, καὶ τὰ πρὸς τροφὴν τῶν εἰσαγομένων. τοῖς τε Σιδωνίοις ἡδὺ καὶ κοῦφον ἦν, τά τε κέδρινα κατάγουσι ἐκ τοῦ Λιβάνου ξύλα, δήσασιν αὐτὰ καὶ σχεδίαν πηξαμένοις, εἰς τὸν τῆς Ἰόππης κομίζειν λιμένα. τοῦτο γὰρ πρότερον μὲν Κῦρος ἐκέλευσε, τότε δὲ Δαρείου κελεύσαντος ἐγένετο. ἐν τῷ δευτέρῳ ἔτει τῆς εἰς Ἱεροσόλυμα καθόδου, τῶν Ἰουδαίων μηνὶ δευτέρῳ παραγενομένων, συνείχετο ἡ τοῦ ναοῦ κατασκευή, καὶ τοὺς θεμελίους ἀγείραντες τῇ νουμηνίᾳ τοῦ δευτέρου μηνὸς, τοῦ δευτέρου ἔτους ἐπῳκοδόμουν, προστησάμενοι τῶν ἔργων, Λευιτῶν τε τοὺς εἰκοσιέτεις ἤδη γεγονότας, καὶ Ἰησοῦν καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ τοὺς ἀδελφοὺς, καὶ Ζωλιμιὴλ τὸν ἀδελφὸν Ἰούδα τοῦ Ἀμιναδάβου, καὶ τοὺς υἱοὺς αὐτοῦ. καὶ ὁ μὲν ναὸς, πάσῃ χρησαμένων σπουδῇ τῶν τὴν ἐπιμέλειαν ἐγκεχειρισμένων, θᾶττον ἢ προσεδόκησεν αὐτῆς ἔλαβε τέλος. ἀπαρτισθέντος δὲ τοῦ ἱεροῦ, μετὰ σαλπίγγων οἱ ἱερεῖς ταῖς συνήθεσι στολαῖς κεκοσμημένοι, καὶ οἱ Λευῖται, καὶ οἱ Ἀσάφου παῖδες, ἀναστάντες ὕμνουν τὸν θεὸν, ὡς τὴν εἰς αὐτὸν εὐλογίαν Δαβίδης κατέδειξε πρῶτος. οἱ δ᾽ ἱερεῖς καὶ Λευῖται καὶ τῶν πατριῶν οἱ πρεσβύτεροι, τὸν πρότερον ναὸν ταῖς μνήμαις ἀναπολοῦντες μέγιστόν τε καὶ πολυτελέστατον, καὶ τὸν γεγενημένον ὁρῶντες ὑπὸ πτωχείας ἐνδεέστερον τοῦ πάλαι κατασκευαζόμενον, ὅσον εἶεν τῆς ἀρχαίας εὐδαιμονίας ὑποβεβηκότες καὶ τῆς ἀξίας τοῦ ναοῦ λογιζόμενοι, κατήφειαν καὶ τῆς ἐπὶ τούτῳ λύπης κρατεῖν οὐ δυνάμενοι, μέχρι θρήνων καὶ δακρύων προήγοντο. ὁ δὲ λαὸς ἠγάπα τοῖς παροῦσι, καὶ τὸ μόνον οἰκοδομῆσαι τὸ ἱερὸν, τοῦ προτέρου ὄντος οὐδένα λόγον ποιούμενος, οὐδ᾽ ἀνάμνησιν, οὐδὲ πρὸς τὴν σύγκρισιν ἐκείνου βασανίζων αὐτὸν, ὡς ἐπ᾽ ἐλάττωσιν οἷς ὑπέλαβεν. ὑπερεφώνει δὲ τὸν τῶν σαλπίγγων ἦχον, καὶ τὴν τοῦ πλήθους χαρὰν, ἡ τῶν πρεσβυτέρων καὶ ἱερέων ἐφ᾽ οἷς ἐδόκουν ἐλαττοῦσθαι τὸν ναὸν τοῦ κατασκαφέντος, οἰμωγή. τῆς δὲ βοῆς τῶν σαλπίγγων ἀκούσαντες οἱ Σαμαρεῖται, ἐτύγχανον γὰρ ἀπεχθανόμενοι τῇ τε Ἰούδα φυλῇ καὶ τῇ Βενιαμίτιδι, συνέδραμον τὴν αἰτίαν τοῦ θορύβου μαθεῖν θέλοντες. γνόντες δὲ τοὺς αἰχμαλωτισθέντας εἰς Βαβυλῶνα τῶν Ἰουδαίων ἀνακτίζοντας τὸ ἱερὸν, προσίασι τῷ Ζοροβαβέλῳ, καὶ Ἰησοῦ καὶ τοῖς ἡγουμένοις τῶν πατριῶν, ἀξιοῦντες αὐτοῖς ἐπιτραπῆναι συγκατασκευάσαι τὸν ναὸν, καὶ κοινωνῆσαι τῆς οἰκοδομίας. σεβόμεθα γὰρ οὐκ ἔλαττον ἐκείνων τὸν θεὸν ἔφασκον, καὶ τοῦτον ὑπερευχόμεθα. καὶ τῆς θρησκείας ἐσμὲν ἐπιθυμηταὶ ἐξ ἐκείνου τοῦ χρόνου ἀφ᾽ οὗ Σαλμανασάρης ὁ τῶν Ἀσσυρίων βασιλεὺς, ἐκ τῆς Χουθίας ἡμᾶς μετήγαγε καὶ Μηδίας, ἐνθάδε.

ούτους αὐτῶν ποιησαμένων τοὺς λόγους, ζοροβάβελος καὶ ἰησοῦς ὁ ἀρχιερεὺς, καὶ οἱ τῶν πατριῶν ἡγεμόνες τῶν ἰσραηλιτῶν, πρὸς αὐτοὺς ἔφασκον. τῆς μὲν οἰκοδομίας αὐτοῖς ἀδύνατον εἶναι κοινωνεῖν, αὐτῶν προσταχθέντων κατασκευάσαι τὸν ναὸν, πρότερον μὲν ὑπὸ κύρου, νῦν δὲ ὑπὸ δαρείου. προσκυνεῖν δὲ αὐτοῖς ἐφιέναι, καὶ τοῦτο μόνον εἶναι κοινὸν εἰ βούλονται πρὸς αὐτοὺς, καὶ πᾶσιν ἀνθρώποις ἀφικνουμένοις εἰς τὸ ἱερὸν σέβειν τὸν θεόν. ταῦτα ἀκούσαντες οἱ χουθαῖοι, ταύτην γὰρ προσηγορίαν οἱ σαμαρεῖται ταύτην ἔχουσιν, ἠγανάκτησαν καὶ πείθουσι τὰ ἐν συρίᾳ ἔθνη τῶν σατραπῶν δεηθῆναι τὸν αὐτὸν τρόπον ὅν περ ἐπὶ κύρου πρότερον, εἶτ' ἐπὶ καμβύσου μετ' αὐτὸν, ἐπισχεῖν τὴν τοῦ ναοῦ κατασκευὴν, καὶ σπουδάζουσι περὶ αὐτὴν τοῖς ἰουδαίοις ἀναβολὴν καὶ τριβὴν πραγματεύσασθαι. κατὰ δὲ τὸν καιρὸν τοῦτον, ἀναβάντων εἰς ἱεροσόλυμα σισίνου τε τῆς συρίας καὶ φοινίκης ἐπάρχου, καὶ σαραβαζάνου μετὰ καί τινων ἑτέρων, καὶ τοὺς ἡγεμόνας τῶν ἰουδαίων ἐρομένων, τίνος αὐτοῖς συγχωρήσαντος οὕτως οἰκοδομοῦσι τὸν ναὸν, ὡς φρούριον αὐτὸν εἶναι μᾶλλον ἢ ἱερὸν, καὶ τί δήποτε τὰς στοὰς καὶ τὰ τείχη περιβεβλήκασι τὴν πόλιν σφόδρα ὀχυρά, ζοροβάβελος καὶ ὁ ἀρχιερεὺς ἰησοῦς, δούλους μὲν αὐτοῖς ἔφασαν εἶναι τοῦ μεγίστου θεοῦ. τὸν δὲ ναὸν τοῦτον αὐτῷ κατασκευασθέντα ὑπὸ βασιλέως αὐτῶν εὐδαίμονος, καὶ πάντας ὑπερβάλλοντος ἀρετῇ, πολὺν διαμεῖναι χρόνον. ἐπεὶ δὲ τῶν πατέρων ἀσεβησάντων εἰς τὸν θεὸν, ναβουχοδονόσορος ὁ βαβυλωνίων καὶ χαλδαίων βασιλεὺς, ἑλὼν τὴν πόλιν κατὰ κράτος αὐτήν τε καθεῖλε, καὶ τὸν ναὸν συλήσας ἐνέπρησε, καὶ τὸν λαὸν μετῴκησεν αἰχμάλωτον, μεταγαγὼν εἰς βαβυλῶνα, κῦρος ὁ μετ' αὐτὸν τῆς βαβυλωνίας καὶ περσίδος βασιλεὺς, ἔγραψεν οἰκοδομηθῆναι τὸν ναόν. καὶ πάντα ὅσα μετήνεγκεν ἐξ αὐτοῦ ναβουχοδονόσορος ἀναθήματα καὶ σκεύη, ζοροβαβέλῳ παραδοὺς καὶ μιθριδάτῃ τῷ γαζοφύλακι προσέταξε κομίσαι εἰς ἱεροσόλυμα, καὶ πάλιν εἰς τὸν ἴδιον ἀποκαταστῆσαι ναὸν οἰκοδομηθέντα. τοῦτο γὰρ ἐπέστειλεν ἐν τάχει γενέσθαι, ἀβάσσαρον κελεύσας ἀναβάντα εἰς ἱεροσόλυμα, τῆς οἰκοδομίας τοῦ ναοῦ ποιήσασθαι πρόνοιαν. ὃς μετὰ τὸ λαβεῖν παρὰ κύρου γράμματα παραγενόμενος, εὐθὺς τοὺς θεμελίους καταβάλλεται. καὶ ἐξ ἐκείνου τοῦ χρόνου κατασκευαζόμενος μέχρι καὶ τοῦ δεῦρο, διὰ τὴν τῶν ἐχθρῶν κακοήθειαν ἐστὶν ἀτελής. εἰ τοίνυν βούλεσθε καὶ δοκιμάζετε, γράψατε ταῦτα δαρείῳ, ὅπως ἐπισκεψάμενος τὰ τῶν βασιλέων ὑπομνήματα, εὕρῃ μηδὲν ἡμᾶς ὧν λέγομεν καταψευσαμένους. ταῦτα εἰπόντων τοῦ ζοροβαβέλου καὶ τοῦ ἀρχιερέως, ὁ σισίνης καὶ οἱ σὺν αὐτῷ, τὴν μὲν οἰκοδομίαν ἐπισχεῖν οὐ διέγνωσαν, ἕως ἂν ταῦτα δηλωθῇ δαρείῳ. παραχρῆμα δ' αὐτῷ περὶ τούτου ἔγραψαν. τῶν δὲ ἰουδαίων καταπεπληγότων καὶ δεδιότων μὴ μεταδόξῃ τῷ βασιλεῖ περὶ τῆς τῶν ἱεροσολύμων καὶ τοῦ ναοῦ κατασκευῆς, ὄντες κατὰ τὸν καιρὸν ἐκεῖνον δύο προφῆται παρ' αὐτοῖς, ἀγγαῖος καὶ ζαχαρίας, θαρρεῖν αὐτοὺς παρώρμων, καὶ μηδὲν ἐκ τῶν περσῶν ὑφορᾶσθαι δύσκολον, ὡς τοῦ θεοῦ ταῦτα προλέγοντος αὐτοῖς. πιστεύοντες δὲ τοῖς προφήταις, ἐντεταμένως εἴχοντο τῆς οἰκοδομίας, μηδεμίαν ἡμέραν ἀνιέμενοι. δαρείῳ δὲ τῶν σαμαρειτῶν αὐτῷ γραψάντων, κατηγορούντων διὰ τῆς ἐπιστολῆς τῶν ἰουδαίων, ὡς τήν τε πόλιν ὀχυροῦσι, καὶ τὸν ναὸν φρουρίῳ προσεοικότα μᾶλλον ἢ ἱερῷ κατασκευάζουσι, λεγόντων δὲ μὴ συνοίσειν αὐτῷ τὰ γινόμενα, καὶ προσέτι τὰς ἐπιστολὰς ἐπιδεικνύντων τοῦ καμβύσου δι' ὧν ἐκώλυσεν ἐκεῖνος οἰκοδομεῖν τὸν ναόν,

Ad quæ postulata illi de communi sentẽtia responderunt, ad simul ædificandum admitti eos non posse, cùm & priùs Cyrus, & nunc Darius ipsos ædificare iusserint: licere tamen eis ibi adorare. idque facere vetari eorum neminem, ac ne cæterarum quidem gentium quenquam cũ omnibus hominibus eò venientibus templum ad adorandum pateat. His auditis Chuthæi, sic enim nos Samaritas appellamus, indignè tulerunt: & instigauerunt Syriæ gentes, vt Satrapas rogarent quemadmodum sub Cyro primũ ac mox sub Cambyse, vt templi ædificationẽ impedirent, Iudæorúmque conatus & diligentem circa hoc opus operam quoad liceret de industria remorarentur. Per idem tempus ascendit Hierosolyma Sisines Syriæ ac Phœnices præfectus, & Sarabazanes cum quibusdam aliis, rogauerúntque Iudæorum principes, cuius permissu templũ sic ædificarẽt, vt arx potiùs quàm fanum existimari possit: & cur tam firmis mœnibus & porticibus vrbem cinxissent. Responderunt Zorobabel & Iesus, seruos se esse Dei maximi, cui templum hoc extructum à quodá eius gentis rege fortunatissimo & in omni virtute excellentissimo per multas ætates incolume steterit. Deinde ob maiorum suorũ impietatem per Nabuchodonosorum Babyloniorum & Chaldæorum regem expugnata & deleta vrbe, templóque spoliato ac incenso, & populo in captiuitatem Babylonicam abducto, Cyrum qui Persidis & Babyloniæ regno potitus sit, regio diplomate mandasse templi instaurationẽ, & donaria vasaque per Nabuchodonosorũ sublata tradidisse Zorobabeli & Mithridati ærarij sui præfecto, vt ea deportarẽt Hierosolyma, rursúmque in templum instauratum reponerẽt. eiusdem enim regis mandato Abassarum missum ad eam vrbem, vt daret operam vt id templum primo quoque tempore absolueretur. eũ acceptis regiis literis confestim venisse, & fundamenta iecisse. atque ex eo tempore nunquam inimicas gẽtes interturbare ædificationem, atque impedire destitisse. Quare si illis ita videretur, scriberent Dario, vt inspectis regiis cõmẽtariis manifestum fiat vera ipsos omnia dicere. His auditis Sisines & alij cum eo, noluerunt ædificationem inhibere inconsulto Dario, sed confestim ei de hac re scripserunt. Iudæis autẽ solicitis & metuentibus ne regem pœniteat iussisse reparari Hierosolyma, duo prophetæ qui tum erant in populo, Aggeus & Zacharias bono animo eos esse iubebant, nec à Persis quicquam timere: quandoquidem ipsi compertam haberent super hac re Dei voluntatem: quibus credens populus assiduus erat in opere, nulla die id intermittens. Cúmque Samaritæ Dario scripsissent, accusantes Iudæos quòd vrbem muniant, templúmque arci quàm fano similius extruãt: asseuerantes non esse hoc in rem regis, & ostendentes Cambysis epistolá,

per quam eam ædificationem impediuerat & vetuerat, ratus non esse rebus suis tutam aut vtilem: postquam etiam Sisinis & collegarum de eodem negotio literas accepit, iussit regios commentarios super hac re consuli: & inuentus est apud Ecbatana castrum Mediæ liber, in quo hæc scripta continebantur.

Anno primo regni sui Cyrus rex decreuit, vt templum Dei cum altari Hierosolymis ædificaretur altitudine cubitorum LX. & totidem latitudine, quod haberet ordines è lapidib⁹ politis tres, & ligneum vnum è materie quam fert ea regio: & sumptus in hoc ex ærario regis præberentur. Sed & vasa templi quæ Nabuchodonosorus sustulerat, reddantur & reportentur Hierosolyma. Vtque cura eius negotij sit penes Abassarem Syriæ ac Phœnices præfectum eiúsque collegas, qui abstinerent quidem ipsi ab eis locis, seruos verò Dei Iudæos & corũ principes sinerent templum struere: ipsi verò adiutarent eos in hoc opere de tributis suæ prouinciæ, & ad sacrificia quoque suppeditarent, tauros, arietes, agnos, hædos, similam, oleum, vinũ, & cætera quæ sacerdotes postulauerint, qui deprecaturi sint Deum pro salute regis atque Persarum. Quicunque autem contra mandatum hoc facere ausus fuerit, is vt comprehensus in crucẽ agatur, & facultates eius fisco addicãtur. inibi etiam addita erat execratio, vt quicunque eius templi ædificationẽ vetare voluerit, Deus eum feriat, atque hoc modo iniquitatem eius cohibeat. Hæc cùm Darius in Cyri commentariis inuenisset, rescripsit Sicini & collegis eius hoc modo: Rex Dari⁹ Sisini magistro equitum & Sarabazani cæterísque magistratibus S. Mitto ad vos exemplar epistolæ Cyri, quam in ipsius commentariis inueni: volóque vt omnia fiant, quemadmodum in ea continentur. Valete. Ergo cognita ex his literis voluntate regis, Sisines & reliqui decreuerunt eam per omnia sequi. itaque suscepta cura sacræ fabricæ, adiuuabãt Iudæos magistratúsque illorum & principes, & magnis omnium studiis proficiebat templi ædificatio iuxta mandata Cyri & Darij, prophetantibus interim Aggæo & Zacharia: absolutúmque est intra septennium. Anno autem regni Darij nono, vigesimatertia die mensis vndecimi, qui nostris dicitur Adar, Macedonibus Dystrus, sacerdotes ac Leuitę cũ reliqua Israelitarum multitudine obtulerũt sacrificia pro renouata post captiuitatem pristina felicitate próque recepto nouo templo, tauros centum, arietes ducentos, agnos CCCC. hircos XII. pro peccatis totidem tribuum: constituerúntque Leuitæ iuxta Moysis leges ex ordine suo ianitores per singulas portas. ædificauerant enim Iudæi porticus quoque quibus templum circumquaque includebatur. Instante deinde azymorum festo, mense primo, qui Macedonibus est Xanthicus, nobis verò Nisan, confluxit totus populus ex oppidis in vrbem: celebrauerúntque id festum casti ac puri vnà cum coniugibus ac liberis ritu patrio, & victimam paschalem immolantes decimaquarta lu-

A μαθὼν παρ' αὐτῶν οὐκ ἀσφαλῆ τοῖς πράγμασιν αὐτοῦ τὴν τῶν ἱεροσολύμων ἀποκατάστασιν ἔσεσθαι. ἐπεὶ καὶ τὰ παρὰ τοῦ σισίνου καὶ τῶν σὺν αὐτῷ κομισθέντα ἀνέγνω γράμματα, προσέταξεν ἐν τοῖς βασιλικοῖς ὑπομνήμασι ζητηθῆναι τὰ περὶ τούτων. καὶ εὑρέθη ἐν ἐκβατάνοις τῇ βάρει τῇ ἐν μηδίᾳ βιβλίον, ἐν ᾧ τάδε ἦν ἀναγεγραμμένα. ἐν τῷ πρώτῳ τῆς βασιλείας ἔτει κῦρος ὁ βασιλεὺς ἐκέλευσε τὸν ναὸν οἰκοδομηθῆναι τὸν ἐν ἱεροσολύμοις, καὶ τὸ θυσιαστήριον, ὕψος μὲν πηχῶν ἑξήκοντα, εὖρος δὲ τῶν αὐτῶν, διὰ δόμων λιθίνων ξεστῶν τριῶν, B καὶ ξυλίνου δόμου ἑνὸς ἐγχωρίου. καὶ τὴν ἐς ταῦτα δαπάνην ἐκ τῶν τοῦ βασιλέως γίνεσθαι διετάξατο. προσέταξε δὲ καὶ τὰ σκεύη ἃ συλήσας ναβουχοδονόσορος εἰς βαβυλῶνα ἐκόμισεν, ἀποδοθῆναι τοῖς ἱεροσολυμίταις. τὴν δὲ ἐπιμέλειαν τούτων εἶναι ἀβασσάρου τοῦ ἐπάρχου, καὶ τῆς συρίας τε καὶ φοινίκης ἡγεμόνος, καὶ τῶν ἑταίρων αὐτοῦ. ὅπως αὐτοὶ μὲν, ἀφέξωνται τοῦ τόπου. τοῖς δὲ δούλοις τοῦ θεοῦ ἰουδαίοις καὶ ἡγεμόσιν αὐτῶν, ἐπιτρέψωσιν οἰκοδομηθῆναι τὸν ναόν. καὶ συλλαβέσθαι δὲ πρὸς C τὸ ἔργον διετάξατο, κἀκ τοῦ φόρου τῆς χώρας ἧς ἐπιτροπεύοντο, τελεῖν τοῖς ἰουδαίοις εἰς θυσίας λόγον, ταύρους καὶ κριοὺς καὶ ἄρνους καὶ ἐρίφους, καὶ σεμίδαλιν καὶ ἔλαιον καὶ οἶνον, καὶ τ' ἄλλα ὅσα ἂν οἱ ἱερεῖς ὑπαγορεύσωσιν. εὔχωνται δὲ ὑπὲρ σωτηρίας τοῦ βασιλέως καὶ περσῶν. τοὺς δὲ παραβάντας τι τῶν ἐπεσταλμένων, συλληφθέντας ἐκέλευσεν ἀνασταυρωθῆναι, καὶ τὴν οὐσίαν αὐτῶν εἰς τὴν βασιλικὴν καταταχθῆναι κτῆσιν. καὶ κατηύ- D ξατο πρὸς τούτοις τῷ θεῷ, ὅπως εἴ τις ἐπιχειρήσειε διακωλῦσαι τὴν οἰκοδομίαν τοῦ ναοῦ, βαλὼν αὐτὸν ὁ θεὸς, ἐπίσχῃ τῆς ἀδικίας. ταῦθ' εὑρὼν ἐν τοῖς ὑπομνήμασι τοῦ κύρου δαρεῖος, ἀντιγράφει τῷ σισίνῃ, καὶ τοῖς ἑταίροις αὐτοῦ τάδε λέγων. βασιλεὺς δαρεῖος σισίνῃ τῷ ἱππάρχῃ, καὶ σαραβαραζάνῃ καὶ τοῖς ἑταίροις αὐτῶν χαίρειν. τὸ ἀντίγραφον ὑμῖν τῆς ἐπιστολῆς, ἐν τοῖς ὑπομνήμασιν εὑρὼν τοῦ κύρου, ἀπέσταλκα. καὶ βούλομαι γίνεσθαι πάντα, καθὼς ἐν αὐτῷ περιέχεται. ἔρρωσθε. μαθόντες οὖν ἐκ E τῆς ἐπιστολῆς ὁ σισίνης καὶ οἱ σὺν αὐτῷ τὴν τοῦ βασιλέως προαίρεσιν, ταύτῃ τὰ λοιπὰ ἀκόλουθα ποιεῖν διέγνωσαν. ἐπεστάτουν οὖν τῶν ἱερῶν ἔργων συλλαμβανόμενοι τοῖς πρεσβυτέροις τῶν ἰουδαίων, καὶ τῶν γερόντων τοῖς ἄρχουσι. καὶ ἠνύετο μετὰ πολλῆς σπουδῆς ἡ κατασκευὴ τοῦ ναοῦ, προφητευόντων ἀγγαίου καὶ ζαχαρίου, κατὰ τὰ προστάγματα τοῦ θεοῦ καὶ μετὰ βουλήσεως τῆς κύρου τε καὶ δαρείου τῶν βασιλέων. ᾠκοδομήθη δ' ἐν ἔτεσιν ἑ- F πτά. τῷ δ' ἐνάτου τῆς δαρείου βασιλείας ἔτους, εἰκάδι καὶ τρίτῃ μηνὸς ἑνδεκάτου, ὃς καλεῖται παρ' ἡμῖν μὲν ἄδαρ, παρὰ δὲ μακεδόσιν δύστρος, προσφέρουσι θυσίας οἵ τε ἱερεῖς καὶ οἱ λευῖται, καὶ τὸ ἄλλο τῶν ἰσραηλιτῶν πλῆθος, ἀνανεωτικὰς τῶν προτέρων ἀγαθῶν μετὰ τὴν αἰχμαλωσίαν καὶ τὸ ἱερὸν ἀνακαινισθὲν ἀπειληφέναι, ταύροις ρ'. κριοὺς σ'. ἄρνας υ'. χιμάρους ιβ'. κατὰ φυλὴν, τοσαῦται γάρ εἰσιν αἱ τῶν ἰσραηλιτῶν φυλαὶ, ὑπὲρ ὧν G ἡμαρτεν ἑκάστη. ἀνέστησάν τε κατὰ τοὺς μωυσέως νόμους, οἵ τε ἱερεῖς καὶ λευῖται, θυρωροὺς ἐφ' ἑκάστου πυλῶνος. ᾠκοδομήκεσαν γὰρ οἱ ἰουδαῖοι, καὶ τὰς ἐν κύκλῳ τοῦ ναοῦ στοὰς τοῦ ἔνδοθεν ἱεροῦ. ἐνστάσης δὲ τῆς τῶν ἀζύμων ἑορτῆς, μηνὶ τῷ πρώτῳ, κατὰ μὲν μακεδόνας ξανθικῷ λεγομένῳ, κατὰ δὲ ἡμᾶς νισὰν, συνερρύη πᾶς ὁ λαὸς ἐκ τῶν κωμῶν εἰς τὴν πόλιν, καὶ τὴν ἑορτὴν ἦγαγον ἁγνεύοντες μετὰ γυναικῶν καὶ τέκνων τῷ πατρίῳ νόμῳ,

καὶ τὴν

καὶ τὴν πάσχα προσαγορευομένων θυσίαν τῇ τετάρτῃ καὶ δεκάτῃ τοῦ αὐτοῦ μηνὸς ἐπιτελέσαντες κατευωχήθησαν ἐπὶ ἡμέρας ἑπτὰ, μηδεμιᾶς φειδόμενοι πολυτελείας. ἀλλὰ καὶ τὰς ὁλοκαυτώσεις ἐπιφέροντες τῷ θεῷ, καὶ χαριστηρίους θυσίας ἐπιτελοῦντες, ἀνθ' ὧν αὐτοὺς τὸ θεῖον πάλιν εἰς τὴν πάτριον γῆν, καὶ τοῖς ἐν αὐτῇ νόμοις ἤγαγε, καὶ τὴν τοῦ περσῶν βασιλέως διάνοιαν εὐμενῆ κατέστησεν αὐτοῖς. καὶ οἱ μὲν, ὑπὸ τούτων ἐπιδαψιλευόμενοι ταῖς θυσίαις καὶ τῇ περὶ τὸν θεὸν φιλοτιμίᾳ, κατῴκησαν ἐν τοῖς ἱεροσολύμοις, πολιτείᾳ χρώμενοι ἀριστοκρατικῇ μετ' ὀλιγαρχίας. οἱ γὰρ ἀρχιερεῖς προειστήκεισαν τῶν πραγμάτων, ἄχρις οὗ τοῖς ἀσαμωναίου συνέβη βασιλεύειν ἐκγόνοις. πρὸ μὲν γὰρ τῆς αἰχμαλωσίας καὶ τῆς ἀναβάσεως, ἐβασίλευον ἀπὸ σαούλου πρῶτον ἀρξάμενοι καὶ δαβίδου, ἐπὶ ἔτη φλβ', μῆνας ς', ἡμέρας ι'. πρὸ δὲ τῶν βασιλέων τούτων ἄρχοντες αὐτοὺς διεῖπον, οἱ προσαγορευόμενοι κριταὶ καὶ μόναρχοι, καὶ τοῦτον πολιτευόμενοι τὸν τρόπον ἔτεσι πλεῖον ἢ φ' διήγαγον μετὰ μωυσῆν ἀποθανόντα καὶ ἰησοῦν τὸν στρατηγόν. καὶ τὰ μὲν περὶ τῶν ἀνασωθέντων ἐκ τῆς αἰχμαλωσίας ἰουδαίων ἐν τοῖς κύρου καὶ δαρείου χρόνοις, ἐν τούτοις ὑπῆρχεν. οἱ δὲ σαμαρεῖς ἀπεχθῶς πρὸς αὐτοὺς καὶ βασκάνως διακείμενοι, πολλὰ κακὰ τοὺς ἰουδαίους εἰργάσαντο πλούτῳ τε πεποιθότες, καὶ συγγένειαν προσποιούμενοι τῶν περσῶν, ἐπειδήπερ ἐκεῖθεν ἦσαν. ὅσα τε γὰρ ἐκελεύσθησαν ἐκ τῶν φόρων ὑπὸ τοῦ βασιλέως εἰς τὰς θυσίας τελεῖν τοῖς ἰουδαίοις, παρέχειν οὐκ ἤθελον. τούς τε ὑπάρχους σπουδάζοντας εἰς τοῦτο καὶ συνεργοῦντας εἶχον, ἄλλα τε ὅσα βλάπτειν ἢ δι' αὐτῶν ἢ δι' ἑτέρων ἠδύναντο τοὺς ἰουδαίους, οὐκ ἀπώκνουν. ἔδοξεν οὖν πρεσβευσαμένοις τοῖς ἱεροσολυμίταις πρὸς τὸν βασιλέα δαρεῖον, κατηγορῆσαι τῶν σαμαρειτῶν. καὶ πρεσβεύουσι ζοροβάβηλος καὶ ἄλλοι τῶν ἀρχόντων τέσσαρες. ὡς δὲ τὰ ἐγκλήματα καὶ τὰς αἰτίας ἃς κατὰ τῶν σαμαρειτῶν ἐπέφερον, ἔγνω παρὰ τῶν πρέσβεων ὁ βασιλεὺς, δοὺς αὐτοῖς ἐπιστολὴν, κομίζειν πρὸς τοὺς ὑπάρχους τῆς σαμαρείας καὶ τὴν βουλὴν ἀπέπεμψε. τὰ δὲ γεγραμμένα ἦν τοιάδε. βασιλεὺς δαρεῖος, ταγγανᾷ καὶ σαμβαβᾷ τοῖς ὑπάρχοις σαμαρειτῶν, σαδράκῃ καὶ βοβήλωνι, καὶ τοῖς λοιποῖς συνδούλοις αὐτῶν τοῖς ἐν σαμαρείᾳ. ζοροβάβηλος καὶ ἀνανίας καὶ μαρδοχαῖος, ἰουδαίων πρεσβευταὶ ᾐτιῶντο ὑμᾶς ὡς ἐνοχλοῦντας αὐτοῖς πρὸς τὴν οἰκοδομίαν τοῦ ναοῦ, καὶ μὴ χορηγοῦντας ἃ προσέταξα ὑμῖν εἰς τὰς θυσίας τελεῖν αὐτοῖς ἀναλώματα. βούλομαι οὖν ὑμᾶς ἀναγνόντας τὴν ἐπιστολὴν, χορηγεῖν αὐτοῖς ἐκ τοῦ βασιλικοῦ γαζοφυλακίου τῶν φόρων τῆς σαμαρείας, πάνθ' ὅσα πρὸς τὰς θυσίας αὐτοῖς ἐστι χρήσιμα, καθὼς οἱ ἱερεῖς ἀξιοῦσιν, ἵνα μὴ διαλείπωσι καθημέραν θύοντες, καὶ ὑπὲρ ἐμοῦ καὶ περσῶν εὐχόμενοι τῷ θεῷ. καὶ ἡ μὲν ἐπιστολὴ, ταῦτα περιεῖχεν.

Κεφάλαιον ε'.

Ὅτι ξέρξης ὁ δαρείου οἰκείως πρὸς τοὺς ἰουδαίους διετέθη.

Δαρείου δὲ τελευτήσαντος παραλαβὼν τὴν βασιλείαν αὐτοῦ παῖς ὁ ξέρξης, ἐκληρονόμησεν αὐτοῦ καὶ τὴν πρὸς θεὸν εὐσέβειάν τε καὶ τιμήν. ἅπαντα γὰρ ἀκολούθως τῷ πατρὶ τὰ πρὸς τὴν θρησκείαν ἐποίησε, καὶ πρὸς τοὺς ἰουδαίους εἶχε φιλοτιμότατα. κατ' ἐκεῖνον δὲ τὸν καιρὸν ἀρχιερεὺς ἦν ἰησοῦ παῖς, ἰωάκειμος ὄνομα. ὑπῆρχε δὲ καὶ ἐν βαβυλῶνι δίκαιος ἀνὴρ, καὶ δόξης ἀπολαύων ἀγαθῆς παρὰ τῷ πλήθει, πρῶτος ἱερεὺς τοῦ λαοῦ καλούμενος

na epulati sunt per continuos dies septem, nullis sumptibus parcentes, holocautomata etiam offerentes,& agentes gratias Deo,qui eos tandem antiquæ patriæ & eius legibus ac ritibus restituerit,deflexo ad benignitatem ac clementiam regis Persici animo.atque ita summa liberalitate in re diuina vsi incoluerunt Hierosolyma,instituta ea reip. forma, quæ per optimates administratur.penes pōtifices enim fuit summa autoritas, donec Asamonæorum gens mutato rerum statu regnum obtinuit. ante captiuitatem enim iam inde à Sauli & Dauidis tēporib.egerunt sub regibus per annos DXXXII. menses sex,dies decē.& ante hos æquè monarchæ res administrauerunt appellati Iudices,qui reipub.status plus quàm quingentis annis durauit post Moysis & Iesu imperium. Hoc igitur modo habebant se Iudæi in patriam restituti sub Cyro & Dario regibus.Samaritæ autē infensa gens & inuida,multis molestiis eos afficiebant,freti opibus, & affectantes cognati Persarum videri,quod inde essent oriundi.nam quæ iussi erant,ex tributis in sacrificia conferre grauabantur,magistris equitū interim conniuentibus:& quacunque in re vel per se, vel per alios poterant nostram gentem lędere,nullam occasionem prætermittebant.Visum est itaque senatui populoque Hierosolymitano legationem ad regem Darium mittere, & Samaritas accusare:cuius legationis caput fuit Zorobabel,assumptis aliis quatuor collegis.Cæterùm rex cognitis criminibus quę per legatos Samaritis obiiciebantur,dedit eis literas perferendas ad magistros equitum eius prouinciæ, & ad senatum Samaritanum , in quibus hæc continebantur.Rex Darius Tangaræ & Sambabæ magistris equitum apud Samariam , & Sadracæ ac Bobeloni reliquisque eorum conseruis.Zorobabel,Ananias,& Mardochæus Iudęorum legati accusauerunt vos , quòd molesti fueritis templum ædificantibus , quódque non præbeatis impensas in sacrificia , quas me iubente præbere illis debueratis. Volo igitur vt lecta hac epistola præbeatis eis ex regio ęrario in quo tributa Samarię seruantur,quicquid sacrificiorum vsus postulat, vt non desinentes quotidie sacrificare tam pro me,quàm pro Persarum gente deprecentur.

CAP. V.

Xerxis Darij filij in Iudæorum gentem beneficia.

Defuncto autem Dario successit Xerxes filius , sicut regni ita & pietatis paternæ hæres. nihil enim ex patris institutis circa diuinum cultum mutauit , & Iudęos summa beneuolentia prosecutus est. Hoc regnante pontifex erat Ioacimus Iesu filius : apud Babylonem verò degentium Iudæorum primarius sacerdos erat Esdras ,

1. *Esd.* 7.

vir iustus,& de quo optimus rumor fuit apud populum.is cùm esset legum Mosaycarum peritissimus,in regis amicitiam peruenit.& cùm decreuisset proficisci Hierosolyma, secúmque aliquos è Babyloniis Iudæis ducere,petiit à rege cõmendatitias ad Syriæ satrapas literas,quas & impetrauit hoc modo scriptas. Rex regum Xerxes Esdræ sacerdoti,& lectori legis Dei, S. Decretum est à me & septem meis consiliariis, vt quicunque in regno meo de Israelitis & sacerdotibus eorum ac Leuitis voluerit tecũHierosolyma petere,per meam benignitatem hoc ei liceat facere,& inuisere Iudæam iuxtaDei legem:vtque Israelitarum Deo dona perferatis, quæ ego & amici vouimus.præterea facio tibi potestatem auferendi omne aurum & argentũ quantumcumque populus tuus per totam Babyloniam degens offerre voluerit, quo emantur victimæ super altare Dei vestri immolandæ:& fabricandi ex auro ac argento vasa quęcunque tu & fratres tui volueritis. Sacra quoque vasa quæ tibi dantur, Deo tuo dedicabis:& si quid aliud in hunc vsum opus fuerit,pro tua prudentia fieri curabis, & de nostro fisco eos sumptus facies. quin & præfectis ęrarij apud Syriam &Phœnicem te commendaui,scribens eis,vt quicquid Esdras sacerdos & lector legis Dei petierit,sine mora dent.Et vt Deus propitius sit mihi & meis liberis, volo vsque centum coros tritici Deo secundùm legem dari. Vobis quoque magistratibus præcipio,vt à nemine sacerdotum,Leuitarum,sacrorum cantorum, ianitorum, sacrorum seruorum quicquam exigatis, néve vlla onera eis imponatis. Tu verò Esdra iuxta concessam tibi diuinitus sapientiam constitue iudices, qui per Syriã ac Phœnicen iura reddant populo legem tuam scienti:quin & nescientes doce liberè,vt quisquis legem Dei vel legem regiam violauerit, mulctetur pecuniis, aut etiam dãnetur capite, vtpote qui non per ignorantiam, sed per contumaciam peccauerit. Vale. His literis acceptis Esdras gauisus adorauit Deum, & gratias egit,illi benignitatem regiam acceptam referendam, & illum maximè dignum cui gratiæ agantur existimans.Aduocata deinde Iudæorũ concione qui apud Babylonẽ degebant,& perlecta epistola,ipsam quidem retinuit:exemplar verò eius in Mediam ad omnes suæ gentis homines transmisit.qui cognita regis erga Deum pietate,& erga Esdram beneuolẽtia, omnes vehemẽter sunt lętati:multi verò ex eis assumptis suis facultatibus Babylonem venerunt,cupientes reuerti Hierosolyma. reliqua Israelitarum multitudo assuetum iam domiciliũ noluit relinquere.quapropter duæ tantùm tribus per Asiam & Europam sub Romano degunt imperio:decem autem tribus nũc quoque vltra Euphratem sũt,infinita hominum millia, quę vix est numero comprehendere.Cæterùm ad Esdrã magna multitudo cõuenit tã sacerdotũ & Leuitarũ,quã ianitorũ sacrorũq.vel cantorũ vel ministrorũ.Ille verò omnes qui ex captiuitate in patriã reuerti volebãt ad Euphratẽ cõgregauit:

A ἔσδρας. ὃς τῶν μωυσέως νόμων ἱκανῶς ἔμπειρος ὢν, γίνεται φίλος τῷ βασιλεῖ ξέρξῃ. γνοὺς δὲ ἀναβῆναι εἰς τὰ ἱεροσόλυμα, καὶ ἐπαγαγέσθαι τινὰς τῶν ἐν βαβυλῶνι τυγχανόντων ἰουδαίων, παρεκάλεσε τὸν βασισιλέα, δοῦναι αὐτῷ πρὸς τοὺς σατράπας τῆς συρίας ἐπιστολὴν, ἀφ᾽ ἧς αὐτοῖς γνωρισθήσεται τίς εἴη. ὁ δὲ βασιλεὺς γράφει πρὸς τοὺς σατράπας ἐπιστολὴν τοιάνδε. βασιλεὺς βασιλέων ξέρξης, ἔσδρᾳ ἱερεῖ καὶ ἀναγνώστῃ τοῦ θείου νόμου B χαίρειν. τῆς ἐμαυτοῦ φιλανθρωπίας ἔργον εἶναι νομίσας τὸ, τοὺς βουλομένους ἐκ τοῦ τῶν ἰουδαίων ἔθνους, καὶ ἱερέων καὶ λευιτῶν ὄντων ἐν τῇ ἡμετέρᾳ βασιλείᾳ, συναπαίρειν εἰς τὰ ἱεροσόλυμα, τοῦτο προσέταξα. καὶ ὁ βουλόμενος ἀπίτω, καθάπερ ἔδοξέ μοι καὶ τοῖς ἑπτά μου συμβούλοις, ὅπως κατὰ τὴν ἰουδαίαν ἐπισκέψωνται τῷ νόμῳ τοῦ θεοῦ ἀκολούθως, καὶ ἀπενέγκωσι δῶρα τῷ ἰσραηλιτῶν θεῷ, ἅπερ ηὐξάμην ἐγώ τε καὶ οἱ φίλοι, καὶ ἀργύρειον καὶ χρυσίον ὅσον ἂν εὑρεθῇ ἐν τῇ χώρᾳ τῶν βαβυλωνίων ὀνομασμένον τῷ θεῷ τοῦτο πᾶν εἰς ἱεροσόλυμα κομισθῆναι τῷ C θεῷ εἰς τὰς θυσίας. πάντα τε ὅσα βούλῃ ἐξ ἀργύρου καὶ χρυσοῦ κατασκευάσαι, ποιεῖν ἐξέστω σοι μετὰ τῶν ἀδελφῶν. καὶ τὰ δεδομένα σοι ἱερὰ σκεύη ἀναθήσεις. καὶ ὅσων ἂν ἐπίνοιαν λάβῃς, καὶ ταῦτα προσεξεργάσῃ, τὴν εἰς αὐτὰ δαπάνην ἐκ τοῦ βασιλικοῦ ποιούμενος γαζοφυλακίου. ἔγραψα δὲ καὶ τοῖς γαζοφύλαξι, τῆς συρίας καὶ τῆς φοινίκης, ἵνα τῶν ὑπὸ ἔσδρα τοῦ ἱερέως καὶ ἀναγνώστου τῶν τοῦ θεοῦ νόμων ἐπισταλέντων ἐπιμεληθῶσιν. ὅπως δὲ μηδεμίαν ὀργὴν ἐπ᾽ ἐμὲ λάβῃ τὸ θεῖον ἢ τοὺς D ἐμοὺς ἐκγόνους, πάντα ἀξιῶ καὶ μέχρι τοῦ πυροῦ κόρων ἑκατὸν ἐπιτελεῖσθαι τῷ θεῷ κατὰ τὸν νόμον. καὶ ὑμῖν δὲ λέγω ὅπως τοῖς ἱερεῦσι καὶ λευίταις καὶ ἱεροψάλταις καὶ θυρωροῖς καὶ ἱεροδούλοις καὶ γραμματεῦσι τοῦ ἱεροῦ, μήτε φόρους ἐπιτάξητε, μήτε ἄλλο μηδὲν ἐπίβουλον ἢ φορτικὸν εἰς αὐτοὺς γένηται. καὶ σὺ δὲ ἔσδρα κατὰ τὴν τοῦ θεοῦ σοφίαν ἀπόδειξον κριτὰς, ὅπως δικάσωσιν ἐν συρίᾳ καὶ φοινίκῃ πάσῃ, τοὺς ἐπισταμένους σου τὸν νόμον. καὶ τοῖς ἀγνοοῦσι δὲ παρέξεις E αὐτὸν μαθεῖν, ἵν᾽ ἄν τις τῶν ὁμοεθνῶν σου παραβαίνῃ τὸν τοῦ θεοῦ νόμον ἢ τὸν βασιλικὸν, ὑπόσχῃ τιμωρίαν ὡς οὐ κατ᾽ ἄγνοιαν αὐτὸν παραβαίνων, ἀλλ᾽ ὡς ἐπιστάμενος μὲν, τολμηρῶς δὲ παρακούων καὶ καταφρονῶν. κολασθήσονται δὲ ἢ θανάτῳ ἢ ζημίᾳ χρηματικῇ. ἔρρωσο. λαβὼν δὲ ἔσδρας ταύτην τὴν ἐπιστολὴν, ὑπερήσθη καὶ τὸν θεὸν προσκυνεῖν ἤρξατο, τῆς τοῦ βασιλέως πρὸς αὐτὸν F χρηστότητος ἐκεῖνον αἴτιον ὁμολογῶν γεγενῆσθαι, καὶ διὰ τοῦτο τὴν πᾶσαν αὐτῷ χάριν ἔλεγεν εἰδέναι. ἀναγνοὺς δὲ ἐν βαβυλῶνι τὴν ἐπιστολὴν τοῖς αὐτόθι παροῦσιν ἰουδαίοις, αὐτὴν μὲν κατεῖχε. τὸ δὲ ἀντίγραφον αὐτῆς, παρὰ πάντας ἔπεμψε τοὺς ὁμοεθνεῖς, τοὺς κατὰ τὴν μηδίαν ὄντας. μαθόντες δὲ οὗτοι τοῦ βασιλέως καὶ τὴν πρὸς τὸν θεὸν εὐμένειαν, καὶ τὴν πρὸς τὸν ἔσδραν εὔνοιαν, ἅπαντες μὲν ὑπερηγάπησαν. πολλοὶ δὲ αὐτῶν καὶ τὰς κτήσεις ἀναλαβόντες, ἦλθον εἰς βαβυλῶνα, ποθοῦντες τὴν εἰς τὰ ἱεροσόλυμα κάθοδον. ὁ δὲ πᾶς λαὸς τῶν ἰσ-G ραηλιτῶν, κατὰ χώραν ἔμεινε. διὸ καὶ δύο φυλὰς εἶναι συμβέβηκεν ἐπί τε τῆς ἀσίας καὶ τῆς εὐρώπης, ῥωμαίοις ὑπακουούσας. αἱ δὲ δέκα φυλαὶ, πέραν εἰσὶν εὐφράτου ἕως δεῦρο μυριάδες ἄπειροι, καὶ ἀριθμῷ γνωσθῆναι μὴ δυνάμεναι. πρὸς δὲ ἔσδραν ἀφικνοῦνται, ἱερέων καὶ λευιτῶν, καὶ θυρωρῶν, καὶ ἱεροψαλτῶν καὶ ἱεροδούλων, πολλοὶ τὸν ἀριθμόν. συναγαγὼν δὲ τοὺς ἐκ τῆς αἰχμαλωσίας εἰς τὸ πέραν τοῦ εὐφράτου,

καὶ τρεῖς

καὶ τρεῖς ἐπιδιατρίψας ἐκεῖ ἡμέρας, νηστείαν αὐτοῖς παρήγγειλεν, ὅπως εὐχὰς ποιήσωνται τῷ θεῷ περὶ τῆς αὐτῶν σωτηρίας, καὶ τοῦ μηδὲν κατὰ τὴν ὁδὸν παθεῖν ἄτοπον, ἢ πρὸς τῶν πολεμίων, ἢ τινὸς ἄλλου δυσκόλου προσπεσόντος αὐτοῖς. φθάσας γὰρ ὁ ἔσδρας εἶπε τῷ βασιλεῖ, ὅτι διασώσει αὐτοὺς ὁ θεός. καὶ οὐ κατηξίωσεν ἱππεῖς αὐτὸν αἰτῆσαι τοὺς προπέμψοντας. ποιησάμενοι δὲ τὰς εὐχὰς, ἄραντες ἀπὸ τοῦ εὐφράτου δωδεκάτῃ τοῦ πρώτου μηνὸς τοῦ ἑβδόμου ἔτους τῆς ξέρξου βασιλείας, παρεγένοντο εἰς ἱεροσόλυμα μηνὶ πέμπτῳ τοῦ αὐτοῦ ἔτους. καὶ παραχρῆμα τοῖς γαζοφύλαξιν ὁ ἔσδρας (οὖσιν ἐκ τοῦ τῶν ἱερέων γένους) παρέστησε τὰ ἱερὰ χρήματα. ἀργυρίου τάλαντα χν΄. σκεύη ἀργυρᾶ, ταλάντων ρ΄. χρυσᾶ σκεύη ταλάντων κ΄. χαλκᾶ σκεύη χρυσοῦ κρείττονα, σταθμοῦ ταλάντων ιβ΄. ταῦτα γὰρ ἐδωρήσατο ὁ βασιλεὺς καὶ οἱ σύμβουλοι αὐτοῦ, καὶ πάντες οἱ ἐν βαβυλῶνι μένοντες ἰσραηλῖται. παραδοὺς δὲ ταῦτα τοῖς ἱερεῦσιν ὁ ἔσδρας, ἀπέδωκε τῷ θεῷ τὰς ἐκ τῶν ὁλοκαυτώσεων νενομισμένας γίνεσθαι θυσίας, ταύρους ιβ΄. ὑπὲρ κοινῆς τοῦ λαοῦ σωτηρίας. κριοὺς καὶ ἄρνας οβ΄. ἐρίφους εἰς παραίτησιν τῶν ἡμαρτημένων ιβ΄. τοῖς δὲ τοῦ βασιλέως οἰκονόμοις καὶ τοῖς ἐπάρχοις τῆς κοίλης συρίας καὶ φοινίκης, τὰ γράμματα τοῦ βασιλέως ἀπέδωκεν. οἱ δὲ τὸ προσταχθὲν ὑπ᾽ αὐτοῦ ποιεῖν ἀνάγκην ἔχοντες, ἐτίμησάν τε τὸ ἔθνος, καὶ πρὸς πᾶσαν αὐτῷ χρείαν συνήργησαν. ταῦτα μὲν οὖν καὶ αὐτὸς ἐβουλεύσατο ἔσδρας, προεχώρησε δ᾽ αὐτῷ, κρίναντος αὐτὸν ἄξιον οἶμαι τοῦ θεοῦ τῶν βουληθέντων, διὰ χρηστότητα καὶ δικαιοσύνην. χρόνῳ δὲ ὕστερον προσελθόντων αὐτῷ τινῶν καὶ κατηγορούντων ὥς τινες τοῦ πλήθους καὶ τῶν ἱερέων καὶ λευιτῶν παραβεβήκασι τὴν πολιτείαν, καὶ λελύκασι τοὺς πατρίους νόμους, ἀλλοεθνεῖς ἠγμένοι γυναῖκας καὶ τὸ ἱερατικὸν γένος συγκεχύκασι, δεομένων δὲ βοηθῆσαι τοῖς νόμοις, μὴ κοινὴν ἐπὶ πάντας ὀργὴν λαβὼν, πάλιν αὐτοὺς εἰς συμφορὰς ἐμβάλῃ, διέρρηξε μὲν εὐθὺς ὑπὸ λύπης τὴν ἐσθῆτα, καὶ τὴν κεφαλὴν δὲ σπαράσσων, καὶ τὰ γένεια ὑβρίζων, ἐπὶ τὴν γῆν τε ἑαυτὸν ἔρριψεν ἐπὶ τῷ τὴν αἰτίαν ταύτην λαβεῖν τοὺς πρώτους τοῦ λαοῦ. λογιζόμενος δ᾽ ὅτι ἐὰν ἐκβαλεῖν αὐτοὺς τὰς γυναῖκας, καὶ τὰ ἐξ αὐτῶν προστάξῃ τέκνα οὐκ ἀκουσθήσεται), διέμενεν ἐπὶ τῆς γῆς κείμενος. συνέδραμον οὖν πρὸς αὐτὸν οἱ μέτριοι πάντες, κλαίοντες καὶ αὐτοὶ, τῆς ἐπὶ τῷ γεγενημένῳ λύπης συμμεταλαμβάνοντες. ἀναστὰς δὲ ἀπὸ τῆς γῆς ὁ ἔσδρας, καὶ τὰς χεῖρας ἀνατείνας εἰς τὸν οὐρανὸν αἰσχύνεσθαι μὲν ἔλεγεν εἰς αὐτὸν ἀναβλέψαι διὰ τὰ ἡμαρτημένα τῷ λαῷ, ὃς τῆς μνήμης ἐξέβαλε τὰ τοῖς πατράσιν ἡμῶν διὰ τὴν ἀσέβειαν αὐτῶν συμπεσόντα. παρεκάλει δὲ τὸν θεὸν σπέρματι καὶ λείψανον ἐκ τῆς τότε συμφορᾶς αὐτῶν καὶ αἰχμαλωσίας περισώσαντα, καὶ πάλιν εἰς ἱεροσόλυμα καὶ τὴν οἰκείαν γῆν ἀποκαταστήσαντα, λαβεῖν οἶκτον αὐτῶν, καὶ συγγνωμονῆσαι τοῖς νῦν ἡμαρτημένοις, ἄξια μὲν θανάτου πεποιηκόσιν, εἶναι δ᾽ ἐπὶ τῇ τοῦ θεοῦ χρηστότητι καὶ τούτους ἀφεῖναι τῆς κολάσεως. καὶ ὁ μὲν ἐπαύσατο τῶν εὐχῶν. θρηνούντων δὲ πάντων ὅσοι πρὸς αὐτὸν σὺν γυναιξὶ καὶ τέκνοις συνῆλθον, ἀχώνιός τις ὀνόματι, πρῶτος τῶν ἱεροσολυμιτῶν προσελθὼν, αὐτοὺς μὲν ἁμαρτεῖν ἔλεγεν, ἀλλοεθνεῖς ἐνοικησαμένους γυναῖκας. ἔπεισε δ᾽ αὐτὸν ἐξορκίσαι πάντας, ἐκβαλεῖν αὐτὰς, καὶ τὰ ἐξ αὐτῶν γεγενημένα. κολασθήσεσθαι δὲ τοὺς οὐχ ὑπακούσαντας τῷ νόμῳ πεισθεὶς σὺν τούτοις ὁ ἔσδρας, ἐποίησεν ὀμόσαι τοὺς φυλάρχους τῶν ἱερέων καὶ τῶν λευιτῶν καὶ ἰσραηλιτῶν, ἀποπέμψασθαι τὰς γυναῖκας καὶ τὰ τέκνα κατὰ τὴν ἀχωνίου συμβουλήν. λαβὼν δὲ τοὺς ὅρκους, εὐθὺς

vbi peracto triduano ieiunio, votíſque pro incolumitate & felici itinere conceptis (recuſauerat enim deductores equites, dicens Deo ſalutem ſuorum curæ futuram) iter ingreſſi die duodecima primi menſis anno regni Xerxis ſeptimo, peruenerunt Hieroſolyma eiuſdem anni menſe quinto. & continuò ſacerdotibus gazophylacij cuſtodibus Eſdras ſacram pecuniam tradidit, argenti talenta ſexcenta quinquaginta, vaſa argentea talentorum centum, vaſa aurea talentorum viginti, vaſa ærea auro meliora pondo talentorum XII. Hæc enim erant dona regis ciúſque amicorum, & Iſraelitarum Babylone manentium. quo facto obtulit Deo ſecundùm legem holocautomata, tauros XII. pro communi ſalute populi, arietes & agnos LXXII. hircos pro peccatis XII. procuratoribus etiam regiis, & præfectis Phœnices ac Syriæ ſcriptas à rege reddidit epiſtolas: qui cùm eis non parere non poſſent, omni honore gentem noſtram proſecuti ſunt, & in omnibus neceſſitatibus eis fuerunt auxilio. Et conſilium quidem huius migrationis ab Eſdra profectum eſt, ſucceſſum autem felicem Deus addidit, vt equidem reor, viri huius virtutem ac pietatem reſpiciens. Aliquanto deinde pòſt comperit quorundam indicio, quòd quidam è vulgo ſacerdotum & Leuitarum parum ſeruauerint inſtituta & leges patrias, & deductis alienigenis vxoribus ordinem ſacerdotalem confuderint: rogatúſque ab eis vt ferret auxilium legibus, ne Deus propter paucos iratus omnes denuò communi clade feriat, ſcidit veſtem præ triſtitia, vellens capillos & barbam, & humi ſe proſternens, eo quòd primores populi deprehenſi eſſent in tali crimine: & cogitans non eſſe audituros, ſi iuberet eos vxores cum liberis eiicere, nolebat ſe à terra attollere. Itaque concurrerunt ad eum quotquot erant bonæ mentis, & vnà flebant addentes ſe ſocios eius triſtitiæ. Eſdras autem ſublatis ad cælum manibus: Me quidem, inquit, pudet ad cælum oculos attollere, dum cogito quòd populus ne maiorũ quidem ſuorum cladibus admonitus à peccando abſtinet: tu tamen clementiſſimè Deus noſtri miſertus ſeminarium aliquod & reliquias ſuperſtites cõſerua, quas Hieroſolyma in antiquam patriam reducere dignatus es: & da veniam præſentis errati, mortem quidem commeritis, verùm tamen in tua bonitate ſperantibus. Dum ita pius ſacerdos lacrymatur cum eo cœtu qui ad eum conuenerat mixtus ex viris & mulieribus atq; pueris, acceſſit eò quidam primarius Hieroſolymita nomine Achonius, cõfitens illos peccaſſe qui alienigenas vxores duxerint: ſuaſitque ei vt omnes adiuuaret, vt vxores cum nota ex illis prole abiicerent: & ſi quis legi parere nollet, in eum animaduerteret. qui ſecutus viri cõſiliũ, exegit ſuper hac re iuſiurãdũ à principibus Leuitarum & ſacerdotum & tribuum Iſraeliticarum. quo facto exiuit tem-

plū & cōtulit se in domiciliū Ioānis & Eliasibi, ibíque totā eā diē ieiunus præ mœrore exegit. Proposito deinde edicto vt omnes è captiuitate reuersi intra biduum aut triduum Hierosolyma conuenirēt,& quisquis per cōtēptū nō adfuerit intra præscriptū tēpus, vt excommunicetur, bonáque eius sacro ærario addicātur, intra triduum cōuenerūt vtriusq. tribus homines, vigesima die noni mensis, quem Hebræi Thebethum, Macedones Appellæū nominant. cúmque consedissent in superiore parte tēpli præsentibus etiam senioribus,& frigus propter anni temp⁹ esset molestū, surgēs Esdras accusauit eos qui cōtra leges duxissent vxores alienigenas. nūc si velint rē Deo gratā & sibimetipsis vtilem facere, ablegādas esse vxores eiusmodi. acclamatū est facturos id oēs æquo animo, sed esse earū nō paruū numerū,&, tēpus esse hybernū, nec posse rem eam intra vnā aut alterā diē perfici. itaque opus esse vt negociū hoc differatur aliquātisper,& tū demū principes aliquot qui sint alieni ab hac culpa, cū selectis vndecūque senioribus inquisitionē faciāt eorum, qui contra legis præscriptū vxores duxerint. cōsenserūt oēs in eā sententiā,& prima die mēsis decimi cœpta inquisitione, quę durauit vsque primā diē mensis sequētis, inuenerūt multos tā ex Iesu pōtificis cognatione quā ex cæteris sacerdotibus ac Leuitis & aliis Israelitis, qui & vxores & natos ex eis liberos sine mora abiecerunt, pluris faciētes legū obseruantiā, quā naturales affect⁹ quātūuis violentos: móxque ad placādū Deū arietes immolauerūt. quorū nomina recēsere nō est necesse, atq. ita Esdras hoc erratū circa connubia correxit,& malā in hoc consuetudinem emēdauit, vt in posterū hæc reformatio stabilis ac firma pmaneat. Septimo aūt mēse dū scenopegię festū celebratur,& fermè totus populus cōuenit, accedētes ad patentem templi partem quæ Orientalē portā spectat, rogauerunt Esdram vt eis legem Moysis legeret: quod & fecit, stans in medio multitudinis, à mane vsq. meridiē. ex qua lectione non solū in præsens & futurū discebant quid esset iustum, sed etiā præteritorum memoriam retractantes lacrymabantur sic cogitātes, quòd nullas calamitates fuissent perpessi, si præscripta legis diligēter obseruassent. Esdras aūt vidēs eos ad hūc modū affectos, iussit vt domum abirent: esse.n. festum, nec licere ea die flere. quī poti⁹ hortabatur vt ad epulas versi, ita vt festo die decet, hilariter agerēt:& hac anteactorū pœnitētia in futurū se munirēt, ne in similes casus incurrerent. at illi sequentes eius monita cœperūt re vera festū agere, quod cùm per octo dies fecissent, digressi sunt in proprias patrias, magnam gratiam Esdræ habentes ob reformatam rempublicam: quo factum est vt post comparatam sibi apud populum egregiam gloriam senex vita defunctus apud Hierosolyma sit magnificè sepultus. Quo tempore cùm etiam Ioacimus pontifex esset mortuus, filius eius Eliasimus in sacerdotiū ei successit.

1. Esd. 10.

A ὥρμησεν ἐκ τοῦ ἱεροῦ εἰς τὸ παστοφόριον ἰωάννου τοῦ ἐλιασίβου, καὶ μηδενὸς ὅλως διὰ τὴν λύπην γευσάμενος ἐκείνην τὴν ἡμέραν διήγαγεν αὐτόθι. γενομένου δὲ κηρύγματος ὥστε πάντας τοὺς ἀπὸ τῆς αἰχμαλωσίας συνελθεῖν εἰς ἱεροσόλυμα, ὡς τῶν ἐν δυσὶν ἢ τρισὶν ἡμέραις οὐκ ἀπαντησάντων, ἀπαλλοτριωθησομένων τοῦ πλήθους, καὶ τῆς οὐσίας αὐτῶν κατὰ τὴν τῶν πρεσβυτέρων κρίσιν ἀφιερωθησομένης, συνῆλθον οἱ ἐκ τῆς ἰουδαΐκῆς καὶ βενιαμίτιδος ἐν τρισὶν ἡμέραις, εἰκάδι τοῦ ἐνάτου μηνός, ὃς κατὰ μὲν ἑβραίους τεβέθος κατὰ δὲ μακεδόνας ἀπελλαῖος καλεῖται. B καθισάντων δὲ ἐν τῷ ὑπερῴῳ τοῦ ἱεροῦ, παρόντων ἅμα καὶ τῶν πρεσβυτέρων, καὶ ὑπὸ τοῦ κρύους ἀηδῶς διακειμένων, ἀναστὰς ἔσδρας, ᾐτιᾶτο ἐκείνους, λέγων παρανομῆσαι γήμαντας οὐκ ἐξ ὁμοφύλων. νῦν μέντοι γε ποιήσειν αὐτούς, τῷ μὲν θεῷ κεχαρισμένα, συμφέροντα δὲ αὐτοῖς, ἀποπεμψαμένους τὰς γυναῖκας. οἱ δὲ ποιήσειν μὲν τοῦτο πάντες ἐξεβόησαν, τὸ δὲ πλῆθος εἶναι πολύ, καὶ τὴν ὥραν τοῦ ἔτους χειμέριον, καὶ τὸ ἔργον οὐ μιᾶς, C οὐδὲ δευτέρας ὑπάρχειν ἡμέρας. ἀλλ' οἵ τε ἡγεμόνες τούτοις, καὶ οἱ συνοικοῦντες τοῖς ἀλλοφύλοις, παραγενέσθωσαν, λαβόντες χρόνον, καὶ πρεσβυτέρους ἐξ οὗ ἂν θελήσωσι τόπου, τοὺς συνεπισκεψομένους τὸ τῶν γεγαμηκότων πλῆθος. καὶ τοῦτο δόξαν αὐτοῖς, ἀρξάμενοι τῇ νουμηνίᾳ τοῦ δεκάτου μηνὸς ἀναζητεῖν τοὺς συνοικοῦντας ταῖς ἀλλοεθνέσιν, εὗρον ἕως τῆς τοῦ μηνὸς τοῦ ἐχομένου νουμηνίας, ποιησάμενοι τὴν ἔρευναν, πολλοὺς ἔκ τε τῶν τοῦ ἰησοῦ ἐκγόνων τοῦ ἀρχιερέως, καὶ τῶν ἱερέων καὶ λευιτῶν καὶ D ἰσραηλιτῶν, οἳ καὶ τὰς γυναῖκας καὶ τὰ ἐξ αὐτῶν γεγενημένα, τῆς τῶν νόμων φυλακῆς ἢ τῶν πρὸς αὐτὰ φίλτρων ποιούμενοι πλείονα λόγον, εὐθὺς ἐξέβαλον. καὶ θυσίας ἐξευμενίζοντες τὸν θεὸν ἐπήνεγκαν, κριοὺς καταθύσαντες αὐτῷ. τὰ δὲ ὀνόματα αὐτῶν λέγειν, οὐκ ἔδοξεν ἡμῖν ἀναγκαῖον εἶναι. τὸ μὲν οὖν ἁμάρτημα τὸ περὶ τοὺς γάμους τῶν προειρημένων, οὕτως ἐπανορθώσας, ἔσδρας, ἐκαθάρισε τὴν ταύτῃ συνήθειαν, ὡς ταύτην τοῦ λοιποῦ μόνιμον εἶναι. τῷ δὲ ἑβδόμῳ μηνὶ τὴν σκηνοπηγίαν ἑορτάζοντες, καὶ σχεδὸν παντὸς τοῦ λαοῦ συνεληλυθότος E ἐπ' αὐτήν, ἀνελθόντες εἰς τὸ ἀνειμένον τοῦ ναοῦ πρὸς τὴν πύλην τὴν ἐπὶ τὴν ἀνατολὴν ἀποβλέπουσαν, ἐδεήθησαν τοῦ ἔσδρα τοὺς νόμους αὐτοῖς ἀναγνωσθῆναι τοὺς μωυσέως. ὁ δὲ μέσος τοῦ πλήθους σταθεὶς ἀνέγνω, καὶ τοῦτο ἐποίησεν ἀπ' ἀρχομένης ἡμέρας ἕως μεσημβρίας. οἱ δὲ ἀκούσαντες ἀναγινωσκομένων τῶν νόμων, δίκαιοι μὲν πρὸς τὸ παρὸν καὶ τὸ μέλλον ἐδιδάσκοντο εἶναι, περὶ δὲ τῶν παρῳχημένων ἐδυσφόρουν, καὶ μέχρι τοῦ δακρύειν προ- F ήχθησαν, ἐνθυμούμενοι πρὸς ἑαυτούς, ὅτι μηδὲν ἂν τῶν πεπειραμένων κακῶν ἔπαθον εἰ τὸν νόμον διεφύλαττον. ὁ δὲ ἔσδρας οὕτως ὁρῶν αὐτοὺς ἔχοντας, ἐκέλευσεν ἀπιέναι πρὸς αὐτοὺς καὶ μὴ δακρύειν. εἶναι γὰρ ἑορτὴν καὶ μὴ δεῖν ἐν αὐτῇ κλαίειν, οὐ γὰρ ἐξεῖναι. προετρέπετο δὲ μᾶλλον πρὸς εὐωχίαν ὁρμήσαντας, ποιεῖν τὰ πρόσφορα τῇ ἑορτῇ κεχαρισμένα. καὶ μετάνοιαν καὶ λύπην τὴν ἐπὶ τοῖς ἔμπροσθεν ἐξημαρτημένοις, ἀσφάλειάν τε ἕξειν καὶ φυλακὴν τοῦ μηδὲν ὅμοιον συμπεσεῖν. οἱ δὲ ταῦτα ἔσδρα παραινοῦντος ἑορτάζειν ἤρξαντο. καὶ τοῦτο ποιοῦντες ἐφ' ἡμέρας ὀκτὼ ἐν ταῖς σκηναῖς, ἀνεχώρησαν εἰς τὰ οἰκεῖα, μεθ' ὕμνων τοῦ θεοῦ, τῆς ἐπανορθώσεως τῶν περὶ τὸ πολίτευμα παρανομηθέντων ἔσδρα χάριν εἰδότες. ᾧ συνέβη μετὰ τὴν παρὰ τῷ λαῷ δόξαν γηραιῷ τελευτῆσαι τὸν βίον, καὶ ταφῆναι μετὰ πολλῆς φιλοτιμίας ἐν ἱεροσολύμοις. ὑπὸ δὲ τὸν αὐτὸν καιρόν, καὶ ἰωακεὶμ τοῦ ἀρχιερέως ἀποθανόντος, παῖς αὐτοῦ ἐλιάσιμος τὴν ἀρχιερωσύνην διεδέξατο.

τῶν δὲ

τῶν δὲ αἰχμαλωτισθέντων τις ἰουδαίων οἰνοχόος τοῦ βασιλέως ἀρταξέρξου, νεεμίας ὄνομα, περιπατῶν πρὸ τῆς μητροπόλεως περσῶν σούσων, ξένων τινῶν ἀπὸ μακρᾶς ὁδοιπορίας εἰς τὴν πόλιν εἰσιόντων ἐπακούσας ἑβραϊστὶ πρὸς ἀλλήλους ὁμιλούντων, προσελθὼν αὐτοῖς, ἐπυνθάνετο πόθεν εἶεν παραγινόμενοι. ἀποκριναμένων δ' ἥκειν ἐκ τῆς ἰουδαίας, πῶς αὐτῶν ἔχει τὸ πλῆθος καὶ ἡ μητρόπολις ἱεροσόλυμα, πάλιν ἤρξατο πυνθάνεσθαι. κακῶς δ' ἔχειν εἰπόντων, βεβλῆσθαι γὰρ αὐτῶν εἰς ἔδαφος τὰ τείχη, καὶ τὰ πέριξ ἔθνη πολλὰ διατιθέναι κακὰ τοὺς ἰουδαίους, ἡμέρας μὲν καταστρεχόντων τὴν χώραν καὶ διαρπαζόντων, τῆς δὲ νυκτὸς κακῶς ἀπεργαζομένων, ὡς πολλοὺς ἐκ τῆς χώρας καὶ ἐξ αὐτῶν ἱεροσολύμων αἰχμαλώτους ἀπῆχθαι, καὶ τὰς ὁδοὺς πλήρεις εὑρίσκεσθαι καθημέραν νεκρῶν, ἐδάκρυσεν ὁ νεεμίας, ἐλεήσας τὰς συμφορὰς τοὺς ὁμοφύλους. καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν, ἄχρι τίνος εἶπεν ὦ δέσποτα ὑπερόψῃ ταῦτα πάσχον τὸ ἔθνος ἡμῶν, οὕτως ἅρπαγμα πάντων καὶ λάφυρον γεγόναμεν; διατρίβοντος δ' αὐτοῦ πρὸς τῇ πύλῃ καὶ ταῦτ' ἀποδυρομένου, προσελθών τις ἤγγελεν αὐτῷ μέλλειν ἤδη κατακλίνεσθαι τὸν βασιλέα. ὁ δ' εὐθὺς ὡς εἶχε μὴ ἀπολουσάμενος, διακονήσων ἔσπευσε τῷ βασιλεῖ τὴν ἐπὶ τοῦ ποτοῦ διακονίαν. ὡς δὲ μετὰ τὸ δεῖπνον ὁ βασιλεὺς διεχύθη, καὶ ἥδιον αὐτοῦ γινόμενος ἀπέβλεψεν εἰς τὸν νεεμίαν, κατεσκυθρωπακότα θεασάμενος διὰ τί κατηφὴς εἴη ἀνέκρινεν. ὁ δὲ τοῦ θεοῦ δεηθεὶς χάριν τινὰ καὶ πειθὼ παρασχεῖν αὐτῷ λέγοντι. πῶς φησὶν ὦ βασιλεῦ δύναμαί σοι μὴ βλέπεσθαι τοιοῦτος, μηδὲ τὴν ψυχὴν ἀλγεῖν, ὅπου τῆς πατρίδος μου ἱεροσολύμων, ἐν ᾗ τάφοι καὶ μνήματα προγόνων τῶν ἐμῶν εἰσὶν, ἀκούω βεβλῆσθαι κατὰ τῆς γῆς τὰ τείχη, καὶ τὰς πύλας ἐμπεπρησμένας αὐτῆς. ἀλλὰ χάρισαί μοι πορευθέντι τὸ τεῖχος ἀνεγεῖραι, καὶ τοῦ ἱεροῦ τὸ λοιπὸν προσοικοδομῆσαι. ὁ δὲ βασιλεὺς, διδόναι τε αὐτῷ τὴν δωρεὰν κατένευσε, καὶ πρὸς τοὺς σατράπας κομίσαι γράμματα, ὅπως τιμῆς τε αὐτὸν ἀξιώσωσι, καὶ πᾶσαν παράσχωσι χορηγίαν, εἰς ἅπερ βούλεται. πέπαυσο δέ φησι λυπούμενος, καὶ χαίρων ἡμῖν τοῦ λοιποῦ διακόνει. ὁ μὲν οὖν νεεμίας προσκυνήσας τῷ θεῷ, καὶ τῷ βασιλεῖ τῆς ὑποσχέσεως εὐχαριστήσας, τὸ κατηφὲς τοῦ προσώπου καὶ συγκεχυμένον, ἀπεκάθηρε τῇ τῶν ἐπηγγελμένων ἡδονῇ. καλέσας δὲ αὐτὸν τῇ ἐπιούσῃ, δίδωσιν αὐτῷ πρὸς σαδαῖον ἐπιστολὴν κομίσαι τὸν τῆς συρίας καὶ φοινίκης καὶ σαμαρείας ἔπαρχον, ἐν ᾗ περί τε τῆς τιμῆς τοῦ νεεμίου, καὶ χορηγείας τῆς εἰς τὴν οἰκοδομίαν ἐπεστάλκει. γενόμενος οὖν ἐν βαβυλῶνι, καὶ πολλοὺς τῶν ὁμοφύλων ἐθελόντας ἀκολουθοῦντας αὐτῷ παραλαβὼν, ἧκεν εἰς ἱεροσόλυμα, πέμπτον καὶ εἰκοστὸν ἔτος ἤδη βασιλεύοντος ξέρξου. καὶ δείξας τῷ θεῷ τὰς ἐπιστολὰς ἀποδίδωσι τῷ σαδαίῳ καὶ τοῖς ἄλλοις ἐπάρχοις, καὶ συγκαλέσας πάντα τὸν λαὸν εἰς ἱεροσόλυμα, στὰς ἐν μέσῳ τῷ ἱερῷ, τοιούτοις ἐποιήσατο πρὸς αὐτοὺς λόγοις. ἄνδρες ἰουδαῖοι, τὸν μὲν θεὸν ἴστε μνήμῃ τῶν πατέρων ἀβραάμου, καὶ ἰσαάκου, καὶ ἰακώβου, παραμένοντα, καὶ διὰ τῆς ἐκείνων δικαιοσύνης, οὐκ ἐγκαταλείποντα τὴν ὑπὲρ ἡμῶν πρόνοιαν. ἀμέλει συνήργησέ μοι παρὰ τοῦ βασιλέως λαβεῖν ἐξουσίαν ὅπως ἡμῶν τὸ τεῖχος ἀναστήσω, καὶ τὸ λεῖψανον τοῦ ἱεροῦ τελειώσω. βούλομαι δ' ὑμᾶς τὴν τῶν γειτονευόντων ἡμῖν ἐθνῶν δυσμένειαν σαφῶς εἰδότας, καὶ ὅτι πρὸς τὴν οἰκοδομίαν εἰ μάθοιεν ἡμᾶς περὶ ταύτην φιλοτιμουμένους, ἐνστήσονται καὶ πολλὰ πραγματεύσονται πρὸς αὐτὴν ἡμῖν ἐμπόδιον,

A Cæterùm quidam ex captiuis Iudæis, pincerna regis Xerxis, Neemias nomine, deambulans ante primariam Persarum vrbem Susa, cùm hospites quosdam post lõgum iter exactum in vrbem aduentantes Hebraicè inter se confabulari animaduertisset, accedens ad eos rogabat vndénam venirent. & audito quòd è Iudæa, rursum scitatus est, quomodo se haberet ille populus & caput eorum Hierosolyma. B Quibus malè se habere dicentibus, quòd eius mœnia diruta esset, & circunuicinæ gentes multa mala Iudæis inferrent, die noctéque agros excursionib. ac rapinis populãtes, & multos ex ea regione atque adeò ex vrbe ipsa captiuos abducẽtes, ita vt passim per vias reperiantur cadauera: fleuit Neemias motus populariũ suorum miseriis: & sublatis oculis ad cœlum, Quousque, inquit, C patieris Domine gentem nostram tãtis malis opprimi, vt simus præda omnium? cunctante verò illo apud portam & ob hęc lamentãte, & accedens quidam nunciauit ei, regem iam accubitũ ire. ille confestim ita vt erat non abluta facie ad ministerij sui functionem properat. Rex verò post cœnam iam hilarior, videns Neemiam subtristem, rogabat quid esset in causa. tum ille Deum priùs precatus vt suadæ gratiã priùs ver- D bis suis adderet: Quî possum, inquit, rex alium vultum sumere, aut mœrorem è corde ponere, quando audio patriæ meæ Hierosolymorũ, in qua extant sepulchra maiorum meorũ ac monumenta, & portas incẽsas esse & disiecta mœnia? Sed oro hanc vnam gratiam mihi cõcede, permitte mihi vt profectus illò muros eius extruam, & quod deest ad fabricam templi suppleam. At rex petitioni eius annuit, simúlq. li- E teras ad satrapas commendatitias, vt & honorẽ ei haberent, & præberẽt quicquid cuperet, quare desine, inquit, tristari, & posthac libẽs nobis ministra. Ibi Neemias adorato Deo, actisq. regi pro tam ampla pollicitatione gratiis, abstersò à vultu omni mœrore, frontem exporrexit prę lætitia. Sequẽti verò die accitus, accepit literas regias, quas Sadęo Syrio, Phœnices, ac Samariæ præfecto redderet: in quibus mandabatur de honore Neemiæ habendo, & de præben- F dis ei quibus ad ædificandũ opus sit. cùm igitur Babylonẽ venisset, & multos à popularibus vltro se adiungentes comites assumpsisset, tãdem peruenit Hierosolyma, anno regni Xerxis vigesimo quinto: & ostendens priùs suis literas, Sadæo magistro equitũ collegisq. eius reddidit. cõuocato deinde Hierosolyma vniuerso populo, stãs in medio tẽpli sic eos est allocutus: Viri Iudæi scitis quòd Deus optimus maximus memor maiorũ nostrorũ Abrahami, Isaaci & Ia- G cobi, corúmque pietatis, qua illos quõdã, eadem nos quoq. prouidentia dignatur: & ecce illius fauore nũc apud regẽ obtinui, vt mihi permitteret mœnia restituere, & quod superest ad absoluẽdũ tẽplũ perficere. Quaobrẽ nũc ita faciẽdũ cẽseo, vt quoniã non ignoratis quã infensas habeamus gẽtes vicinas, & quòd cognita vestra in ædificando diligẽtia nihil nõ moliẽtur, quo vestros conatus quantum in se erit impediant,

2. Esd. 1.

2. Esd. 2.

primùm forti animo sitis, & omnem fiduciam collocetis in Deo qui facilè resistet illorum importunis inimicitiis:deinde nec die nec noctu operis structuram intermittatis,sed omni cura id opus continuetis,quandoquidem nunc maximè tempestiuum est hoc facere.Hæc locutus continuò iussit magistratus dimetiri mœnia,& operas partiri in populum,attributo certo modo in singulos vicos & oppida:pollicitusque se quoque cū domesticis velle adiutare impigrè, cōcionē dimisit.Iudęi verò eius autoritate permoti ad opus se expediebant:quæ appellatio tū primùm illis & regioni est indita,quādo à Babylonia sunt reuersi,quia Iudę tribus iam olim ea loca occupauerat.Eius rei fama vbi ad Ammanitas & Moabitas Samaritasque & Syriæ Cauæ incolas perlata est,iniquissimè tulerunt, nec vnquam cessauerunt insidiari & conatus ipsorū impedire:interceptisque multis Iudæis, tentauerūt ipsum Neemiam per cōductitios sicarios tollere.crebros etiam terrores eis incutiebant,rumores spargentes quasi magni diuersarum gentium exercitus eos essent inuasuri,ita vt parum abfuerit quin hoc metu ab incepto opere desisterent:Neemiam verò nihil horum ab instituto deterrere potuit , sed stipatus aliquot satellitibus intrepid⁹ pergebat,præ nimio studio nullum laborem sentiens.eam aūt salutis propriæ curam nō ideo habuit,quòd mortē timeret,sed quia certò sciebat se extincto ciues suos non reparaturos mœnia.iussitque in posterum ædificatores accinctos opus facere. & cæmētarius quidem nō sine gladio erat,similiterque qui materiam ei suggerebat:scuta verò nō longè inde in promptu esse voluit,&tubicines interuallo quingentorum passuum,vt sicubi se hostes aperuissent , signa canerent , vt populus arreptis armis resisteret , néve inermis ab hoste posset opprimi.ipse verò noctu circūquaque vrbem obibat, nunquam defessus aut opere aut duritia victus & excubiis, nec cibo nec somno vtens nisi quantum postularet necessitas:atque ad hunc m odū perdurauit duobus annis & tribus mēsibus.tātū. n. tēporis elapsū est donec absoluerētur mœnia,28.regni Xerxis anno,mense 9.Permunita deide vrbe Neemias & populus Deo sacrificauerūt,& 8.dies in epulis trāsegerūt.quæ res vbi Syriæ gentibus est audita,graues indignationes in eis commouit.Neemias aūt videns nō satis magnā in vrbe populi frequētiā,persuasit circūquaq. vicinis sacerdotib.& Leuitis vt migrarēt in vrbē inibi habitaturi,extructis eis de suo domiciliis:&agricolarū plebē decimas in vrbē cōferre iussit,vt esset vnde Sacerdotes ac Leuitæ viuerēt,nec auocarentur à diuino cultu ac cæremoniis : quod quidē illi perlibēter fecerūt:& hoc pacto factū est vt vrbs magis frequētaretur in posterū.Post hęc& alia multa honesta & laude digna opera Neemias iā senex defūct⁹ est,vir ad virtutē & iustitiā natus,& in populares suos beneficētissimus relicto sēpiterno sui monumēto in Hierosl.mœnibus.atq. hæc sūt quæ Xerxe regnāte gesta sūt.

2.Esd.4.6.

A θαῤῥεῖν μὲν τῷ θεῷ πρέπον,ὡς καὶ πρὸς τὴν ἐκείνων ἀπέχθειαν στησομένῳ, μήτε δὲ ἡμέρας μήτε νυκτὸς αὐτοὺς ἀνιέναι τῆς οἰκοδομίας, ἀλλὰ πάσῃ σπουδῇ χρωμένους,συνέχειν τὸ ἔργον,ὡς γε καιρὸς τούτου ἴδιός ἐστι.ταῦτα εἰπὼν,ἐκέλευσεν εὐθὺς τοὺς ἄρχοντας μετρῆσαι τὸ τεῖχος,καὶ διανεῖμαι τὴν ἐργασίαν αὐτοῦ τῷ λαῷ,κατὰ κώμας καὶ πόλεις,κατὰ τὸ ἑκάστοις δυνατόν.ὑποσχόμενος δὲ καὶ αὐτὸς μετὰ τῶν οἰκετῶν συλλήψεσθαι πρὸς τὴν οἰκοδομίαν,διέ-

B λυσε τὴν ἐκκλησίαν.καὶ ἰουδαῖοι πρὸς τὸ ἔργον παρεσκευάζοντο. ἐκλήθησαν δὲ τὸ ὄνομα ἐξ ἧς ἡμέρας ἀνέβησαν ἐκ βαβυλῶνος,ἀπὸ τῆς ἰούδα φυλῆς,ἧς πρώτης ἐλθούσης εἰς ἐκείνους τοὺς τόπους, αὐτοί τε καὶ ἡ χώρα τῆς προσηγορίας αὐτῆς μετέλαβον.ἀκούσαντες δὲ τὴν τῶν τειχῶν οἰκοδομὴν ἀμμανῖται καὶ μωαβῖται καὶ σαμαρεῖται,καὶ πάντες οἱ ἐν τῇ κοίλῃ συρίᾳ νεμόμενοι,χαλεπῶς ἔφερον,καὶ διετέλουν ἐπιβουλὰς αὐτοῖς συντιθέντες τὴν

C προαίρεσιν αὐτῶν ἐμποδίζοντες. πολλούς τε τῶν ἰουδαίων ἀπέκτειναν,καὶ αὐτὸν ἐζήτουν τὸν νεεμίαν διαφθεῖραι μισθούμενοι τινὰς τῶν ἀλλοφύλων, ἵνα αὐτὸν ἀνέλωσιν. εἰς φόβον δὲ καὶ ταραχὴν αὐτοὺς ἐνέβαλον, καὶ φήμας αὐτοῖς διέσπειρον, ὡς πολλῶν ἐπιστρατεύειν αὐτοῖς μελλόντων ἐθνῶν.ὑφ᾽ ὧν ἐκταρασσόμενοι,μικροῦ τῆς οἰκοδομίας ἀπέστησαν. τὸν δὲ νεεμίαν , οὐδὲν τούτων ἐξέστησε τῆς σπουδῆς τῆς περὶ τὸ ἔργον, ἀλλὰ σῖφος τι φυλακῆς ἕνεκα

D τοῦ σώματος περιβαλλόμενος,ἀκμήτως ὑπέμενεν, ὑπὸ τῆς εἰς τὸ ἔργον ἐπιθυμίας ἀναισθητῶν καὶ τῆς ταλαιπωρίας.οὕτως τε συντεταμένως καὶ προνοητικῶς τῆς σωτηρίας εἶχεν,οὐχὶ φοβούμενος τὸν θάνατον,ἀλλὰ πεπεισμένος ὅτι μετὰ τὴν αὐτοῦ τελευτὴν,οὐκ ἔτ᾽ αὐτοῦ τοῖς πολίταις ἀναστήσεται τὰ τείχη. ἐκέλευσε δὲ ἑξῆς τοὺς οἰκοδομοῦντας ὅπλα περιζωννυμένους ἐργάζεσθαι. καὶ ὁ μὲν οἰκοδόμος μάχαιραν εἶχε,καὶ ὁ τὴν ὕλην παρακομίζων.θυρεοὺς δὲ

E ἔγγιστα αὐτῶν ἐκέλευσε κεῖσθαι, καὶ σαλπιγκτὰς ἀπὸ πεντακοσίων ἔστησε ποδῶν,προστάξας ἂν ἐπιφανῶσιν οἱ πολέμιοι,τοῦτο σημᾶναι τῷ λαῷ, ἵνα ὡπλισμένοι μάχωνται,καὶ μὴ γυμνοῖς αὐτοῖς ἐπιπέσωσιν.αὐτὸς δὲ νύκτωρ περιήρχετο τῆς πόλεως τὸν κύκλον, οὐδὲν κάμνων οὐδὲ τοῖς ἔργοις,οὐδὲ τῇ διαίτῃ καὶ τοῖς ὕπνοις,οὐ δι᾽ ἣν τούτων πρὸς ἡδονὴν,ἀλλὰ πρὸς ἀνάγκην ἐχρῆτο.καὶ ταύτην ὑπέμεινε τὴν ταλαιπωρίαν,ἐπ᾽ ἔτη β᾽ καὶ μῆνας δ᾽.ἐν τούτῳ γὰρ

F τῷ χρόνῳ τοῖς ἱεροσολύμοις ἀνῳκοδομήθη τὸ τεῖχος, ὀγδόῳ καὶ εἰκοστῷ τῆς ξέρξου βασιλείας ἔτει,μηνὶ θ᾽. τέλος δὲ τῶν τειχῶν λαβόντων, νεεμίας καὶ τὸ πλῆθος ἔθυσαν τῷ θεῷ ὑπὲρ τῆς τούτων οἰκοδομίας , καὶ ὀκτὼ ἐφ᾽ ἡμέρας ηὐωχούμενοι.τὰ μὲν οὖν ἔθνη τὰ ἐν τῇ συρίᾳ κατοικοῦντα, τὸ τῆς τειχῶν οἰκοδομίας πέρας ἔχειν ἀκουσθείσης,ἐδυσφόρει.νεεμίας δὲ τὴν πόλιν ὁρῶν ὀλιγανθρωπουμένην,τοὺς ἱερεῖς καὶ λευΐτας παρεκάλεσε,τὰ πέ-

G ριξ πόλιν ἐκλιπόντας,μετελθεῖν εἰς τὴν πόλιν καὶ μένειν ἐν αὐτῇ , κατασκευάσας τὰς οἰκίας αὐτοῖς ἐκ τῶν ἰδίων ἀναλωμάτων.τόν τε γεωργοῦντα λαὸν τὰς δεκάτας τῶν καρπῶν ἐκέλευσε φέρειν εἰς ἱεροσόλυμα, ἵνα τρέφεσθαι διηνεκῶς ἔχοντες οἱ ἱερεῖς καὶ λευῖται, μὴ καταλείπωσι τὴν θρησκείαν.καὶ οἱ μὲν, ἡδέως ὑπήκουσαν οἷς ὁ νεεμίας διετάξατο,πολυανθρωποτέραν δὲ τὴν τῆς ἱεροσολυμιτῶν πόλιν οὕτως συνέβη γενέσθαι.πολλὰ δὲ καὶ ἄλλα καλὰ,καὶ ἐπαίνων ἄξια φιλοτιμησάμενος ὁ νεεμίας, ἐτελεύτησεν εἰς γῆρας ἀφικόμενος. ἀνὴρ δὲ ἐγένετο χρηστὸς τὴν φύσιν καὶ δίκαιος,καὶ περὶ τοὺς ὁμοεθνεῖς φιλοτιμότατος, μνημεῖον αἰώνιον αὐτοῦ καταλιπὼν τὰ τῶν ἱεροσολύμων τείχη.ταῦτα μὲν οὖν ἐπὶ ξέρξου βασιλέως ἐγένετο.

Κερά-

Κεφάλαιον ϛ΄.

Ὅτι βασιλεύοντος Ἀρταξέρξου, μικροῦ τῶν Ἰουδαίων πᾶν τὸ ἔθνος ἐκινδύνευσε δι' Ἀμάνου δόλον.

Τελευτήσαντος δὲ τούτου, τὴν βασιλείαν εἰς τὸν υἱὸν Κῦρον ὃν Ἀρταξέρξην Ἕλληνες καλοῦσι, συνέβη μεταβῆναι. τούτου τὴν Περσῶν ἔχοντος ἡγεμονίαν, ἐκινδύνευσε τὸ τῶν Ἰουδαίων γένος ἅπαν σὺν γυναιξὶ καὶ τέκνοις ἀπολέσθαι. τὴν δ' αἰτίαν μετ' οὐ πολὺ δηλώσομεν. ἐπείγει γὰρ τὰ τοῦ βασιλέως διηγήσασθαι πρῶτον, ὡς ἔγημεν Ἰουδαίαν γυναῖκα, τοῦ γένους οὖσαν τοῦ βασιλικοῦ, ἣν καὶ σῶσαι τὸ ἔθνος ἡμῶν λέγουσι. παραλαβὼν γὰρ τὴν βασιλείαν ὁ Ἀρταξέρξης, καὶ καταστήσας ἀπὸ Ἰνδίας ἄχρις Αἰθιοπίας τῶν σατραπειῶν, ἑκατὸν εἰκοσιεπτὰ οὐσῶν ἄρχοντας, τῷ τρίτῳ τῆς βασιλείας ἔτει, τούς τε φίλους καὶ τὰ Περσῶν ἔθνη καὶ τοὺς ἡγεμόνας αὐτῶν ὑποδεξάμενος εἱστία πολυτελῶς, οἷον εἰκὸς παρὰ βασιλεῖ τοῦ πλούτου παρασκευαζομένῳ τὴν ἐπίδειξιν ποιήσασθαι ἐπὶ ἡμέρας ρπ΄. ἔπειτα τὰ ἔθνη καὶ τοὺς πρεσβευτὰς αὐτῶν ἐν Σούσοις ἐπὶ ἡμέρας κατευωχήσεν ἑπτά. τὸ δὲ συμπόσιον ἦν αὐτοῖς τὸν τρόπον τοῦτον γεγενημένον. σκήνωμα πηξάμενος ἐκ χρυσέων καὶ ἀργυρέων κιόνων, ὕφη λίνεα καὶ πορφύρεα κατ' αὐτῶν διεπέτασεν, ὥστε πολλὰς μυριάδας κατακλίνεσθαι. διηκονοῦντο δὲ ἐκπώμασι χρυσέοις καὶ τοῖς διὰ λίθου πολυτελοῖς εἰς τέρψιν ἅμα καὶ θέαν πεποιημένοις. προσέταξε δὲ καὶ τοῖς διακόνοις μὴ βιάζεσθαι πίνειν τὸ ποτὸν αὐτοῖς συνεχῶς προσφέροντας, ὡς καὶ παρὰ Πέρσαις γίνεται, ἀλλ' ἐπιτρέπειν αὐτοῖς, καὶ πρὸς ὃ βούλεται τῶν κατακειμένων ἕκαστος φιλοφρονεῖσθαι. διαπέμψας δὲ καὶ κατὰ τὴν χώραν παρήγγειλεν ἀνεῖσθαι τῶν ἔργων ἀφεμένους, καὶ ἑορτάζειν ὑπὲρ τῆς βασιλείας αὐτοῦ πολλὰς ἡμέρας. ὁμοίως τὸ τῶν γυναικῶν ἡ βασίλισσα Οὐάστη συνήγαγε συμπόσιον ἐν τοῖς βασιλείοις. ἣν ἐπιδεῖξαι βουλόμενος τοῖς ἑστιωμένοις ὁ βασιλεύς, πέμψας ἐκέλευσεν αὐτὴν εἰς τὸ συμπόσιον ἥκειν κάλλει τὰς γυναῖκας ἁπάσας ὑπερβάλλουσαν. ἡ δὲ φυλακῇ τῶν παρὰ Πέρσαις νόμων, οἳ τοῖς ἀλλοτρίοις βλέπεσθαι τὰς γυναῖκας ἀπηγορεύκασιν, οὐκ ἐπορεύετο πρὸς τὸν βασιλέα. καὶ πολλάκις τοὺς εὐνούχους ἀποστείλαντος πρὸς αὐτήν, οὐδὲν ἧττον ἀνέμεινε παραιτουμένη τὴν ἄφιξιν. ὡς εἰς ὀργὴν παροξυνθέντα τὸν βασιλέα, λῦσαι μὲν τὸ συμπόσιον. ἀναστάντα δὲ καὶ τοὺς ἑπτὰ τῶν Περσῶν, οἳ τὴν τῶν νόμων ἐξήγησιν ἔχουσι παρ' αὐτοῖς, καλέσαντα κατηγορεῖν τῆς γυναικὸς καὶ λέγειν, ὡς ὑβρισθείη παρ' αὐτῆς. κληθεῖσα γὰρ πολλάκις ὑπ' αὐτοῦ εἰς τὸ συμπόσιον, ὑπήκουσεν οὐδ' ἅπαξ. προσέταττε δ' οὖν δηλοῦν τίνα κατ' αὐτῆς νόμον ὁρίζουσιν. ἑνὸς δὲ ἐξ αὐτῶν Μουχαίου ὄνομα εἰπόντος, οὐκ αὐτῷ μόνῳ γεγονέναι τὴν ὕβριν, ἀλλὰ πᾶσι Πέρσαις, οἷς κινδυνεύεται καταφρονουμένοις ὑπὸ τῶν γυναικῶν, αἴσχιστα διαγενέσθαι τὸν βίον. οὐδεμία γὰρ τοῦ συνοικοῦντος αἰδῶ ποιήσεται, παράδειγμα τὴν τῆς βασιλίσσης ὑπερηφανίαν πρὸς σὲ τὸν κρατοῦντα ἅπαντα, ἔχουσα. παρακελευομένου τὴν οὕτως ἐνυβρίζουσαν αὐτῷ ζημιῶσαι μεγάλῃ ζημίᾳ, καὶ τοῦτο ποιήσαντα, διαγγεῖλαι τοῖς ἔθνεσι τὰ περὶ τῆς βασιλίσσης κεκυρωμένα, ἔδοξε τὴν Οὐάστην ἐκβαλεῖν, καὶ δοῦναι τὴν ἐκείνης τιμὴν ἑτέρᾳ γυναικί.

A

CAP. VI.

Quomodo Artaxerxe regnante parum abfuit quin tota Iudæorum gens Amani dolo extingueretur.

EO mortuo regnum ad filium eius Cyrum, quem Græci Artaxerxen nominant, peruenit, quo apud Persas regnante in maximum periculum genus Iudæorum adductum est, ne cum vxoribus ac liberis deleretur, ob causam quam paulo pòst referemus. prius enim quædam de ipso rege dicenda sunt, quî factum sit vt vxorem duceret Iudæam fœminam ex regio genere natam, quam etiam nostræ gentis seruatricem fuisse ferunt. Artaxerxes enim post susceptum imperium, & constitutos ab India vsque Æthiopiam CXXVII. satrapas, anno regni tertio amicos & duces gentium Susis accepit epulo sumptuosissimo, vt decebat regem opulentum magnificos centum octoginta dierum apparatus ostentantem: cui plurimæ gentes, & earum legati, per continuos septem dies interfuerunt. id erat instructum in hunc modum. Tabernaculum fixit suffultum aureis & argenteis columellis, prætextum telis linteis & purpureis, multorum millium capax. in eo ministrabatur aureis & gemmeis poculis, ad delectationem simul & miraculum factis. Mandauit etiam ministris, ne quem more Persarum ad bibendum cogerent, sed arbitratu suo quenque appositis frui finerent. dimissis etiam per totam ditionem nunciis edixit vt feriati ab operibus festum pro incolumitate regni diebus aliquot agerent. Regina quoque Vaste pari modo mulierum in regia celebrauit conuiuium: quam rex ostendere conuiuis cupiens ad se accersiuit, pulchritudine omnes mulieres superantem. illa verò volens Persarum leges seruare, quæ vxores vetant ab aliis præter domesticos conspici, non iuit ad regem: & cum non semel ad eam eunuchos ea de causa misisset, nihilominus in negando fuit peruicax. qua obstinatione mulieris offensus rex, dimisso conuiuio septemuiros illos, penes quos apud Persas legum est interpretatio, conuocat: & apud eos vxorem contumaciæ ream peragit, quòd toties vocata ab ipso in conuiuium, ne semel quidem paruisset: iubétque, quid sit iuris, proferre sententiam. Quorum vnus Muchæus cum pro sententia diceret, non ipsi soli factam iniuriam, verumetiam Persis omnibus, quibus periculum instet ne despecti ab vxoribus inhonestam vitam degant in posterum: quando nulla posthac maritorum futura sit reuerentia, dum cæteræ exemplum à reginæ superbia sumunt, nihil veritæ contra omnipotentem regem contumaciter agere: suaderétque tam contumacem erga ipsum mulctari grauissimè, idque decretum per omnes gentes promulgari: visum est repudiari Vasten & honorem transferri in aliam mulierem.

VI. *Esth. 1.*

B C D E F G

Esth. 2.

Rex verò qui vehementer eam amabat, nec disiungi ab ea ferebat, nec tamen retinere propter legem poterat, mœrens quòd volútati suæ non liceret satisfacere. Qua in anxietate videntes eum amici, consulunt vt inutilem mulieris amorem ex animo eiiciat, & facta per totum orbem formosarum virginum perquisitione, quam aliis prætulerit optet sibi coniugem. noua enim inducta prioris aboleri posse desiderium, & eius recenti consuetudine amorem paulatim distractum in totum posse euanescere. Probauit rex consilium, móxque mandauit certis hominibus vt forma celebres virgines ex toto regno selectas ad eum adducerent. id mandatum illis diligenter exequentibus inuenta est Babylone Esther puella vtroque parente orbata, quę apud patruum Mardochæum educabatur. is erat tribus Beniamiticæ, vnus ex Iudæorum primatibus. hæc puella præ cæteris omnibus excellebat pulchritudine, & gratiis vultus in se oculos conuertebat. itaque vni eunuchorum commendata, tractata est apud eum delicatissimè, odoramentis atque vnguentis preciosissimis quibus principes fœminæ corpus curare solent, quotidie delibuta. atque hac tractatione per sex menses vsæ sunt quadringentæ numero virgines. quando verò satis iam curatas existimabat, & regis lecto tempestiuas, vnam singulis diebus mittebat ad eum, qui pòst complexus eam ad eundem eunuchum remittebat. Perducta verò Esthere delectatus eius consuetudine, & amore correptus, legitimam coniugem eam sibi adiunxit, nuptiásque celebrauit anno regni sui septimo, mense XII. qui Ader dicitur: dimisítque quos Angaros vocant, per omnes gentes nuptiale festum eis indicens. Ipse verò Persas & Medos, & primates aliarum gentium accepit conuiuio nuptiali per mensem integrum: & ingressæ regiam vxori diadema imposuit: atque ita cum ea conuixit, nunquam interrogata quónam esset nata genere. patruus verò eius & ipse Babylone Susa migrauit, ibique degens obuersabatur quotidie circa regiam, sciscitans, de puella quomodo se haberet. diligebat enim eam haud secus quàm propriam filiam. Rex autem legem tulit, vt nemo è domesticis, inuocatus eum accederet, tantisper dum sederet in regio solio: adhibitis in hoc etiam lictoribus cum securibus, vt si quis contrà faceret, plecteretur capite. rex interim virgam tenebat auream, quam quoties aliquem ex inuocatis venientibus seruare vellet, porrigebat ad eum: isque virgæ contactu eximebatur periculo. Et de his quidem hactenus dixisse sufficit. Aliquanto deinde post cùm Bagathous & Theodestes eunuchi conspirassent contra regem, Barnabazus alterius seruus genere Iudæus, deprehensas insidias patruo reginæ indicat. at Mardochæus per ipsam regi insidiatores prodidit. rex verò territus, veritatem per quæstiones inuenit:

A διακείμενος δὲ ὁ βασιλεὺς πρὸς αὐτὴν ἐρωτικῶς καὶ μὴ φέρων τὴν διάζευξιν, καταλλαγῆναι μὲν αὐτῇ διὰ τὸν νόμον οὐκ ἐδύνατο. λυπούμενος δὲ ὡς ἐπ' ἀδυνάτοις οἷς ἤθελε διετέλει. βλέποντες δ' αὐτὸν οὕτως ἔχοντα χαλεπῶς οἱ φίλοι συνεβούλευον, τὴν μὲν τῆς γυναικὸς μνήμην καὶ τὸν ἔρωτα μηδὲν ὠφελούμενον ἐκβαλεῖν. ζητῆσαι δὲ περιπέμψαντα καθ' ὅλην τὴν οἰκουμένην, παρθένους εὐπρεπεῖς, ὧν τὴν

B προκριθεῖσαν ἔχειν εἰς γυναῖκα. σβέννυσθαι γὰρ τὸ πρὸς τὴν ἑτέραν φιλόστοργον ἑτέρας ἐπεισαγωγῇ, καὶ τὸ πρὸς ἐκείνην εὔνουν ἀποσπώμενον κατὰ μικρὸν γίνεσθαι τῆς συνουσίας. πεισθεὶς δὲ τῇ συμβουλίᾳ ταύτῃ, προσέταξε τισὶν ἐπιλεξαμένοις τὰς εὐδοκίμους ἐπ' εὐμορφίᾳ τῶν ἐν τῇ βασιλείᾳ παρθένων ἀγαγεῖν πρὸς αὐτόν. συναχθεισῶν δὲ πολλῶν, εὑρέθη τις ἐν Βαβυλῶνι κόρη, τῶν γονέων ἀμφοτέρων ὀρφανὴ παρὰ τῷ θείῳ Μαρδοχαίῳ, τοῦτο γὰρ ἦν ὄνομα αὐτῷ, τρεφο-

C μένη. ἐκ τῆς δ' ἦν ἐκ τῆς Βενιαμίτιδος φυλῆς, τῶν δὲ πρώτων παρὰ τοῖς Ἰουδαίοις. πασῶν δὲ τὴν Ἐσθήρα συνέβαινε, τοῦτο γὰρ ἦν ὄνομα αὐτῇ, τῷ κάλλει διαφέρειν, καὶ τὴν χάριν τοῦ προσώπου τὰς ὄψεις τῶν θεωμένων μᾶλλον ἐπάγεσθαι. παραδοθεῖσα δὲ αὕτη τινὶ τῶν εὐνούχων εἰς ἐπιμέλειαν, πάσης ἐτύγχανε προνοίας, ἀρωμάτων ἀφθονίᾳ καὶ πολυτελείᾳ τῶν ἀλειμμάτων, ὧν χρήζει τὰ σώματα, καταρδομένη. καὶ τούτων ἀπέλαβον ἐπὶ μῆνας ς'. τετρακόσιαι τὸν ἀριθμὸν

D οὖσαι. ὅτε δὲ ἐνόμιζεν ἀποχρώντως τῷ προειρημένῳ τὴν ἐπιμέλειαν ἔχειν τὰς παρθένους, καὶ τοῦ βαδίζειν αὐτὰς ἐπὶ κοίτην βασιλέως ἀξίας ἤδη γενέσθαι, καθ' ἑκάστην ἡμέραν ἔπεμπε τῷ βασιλεῖ συνεσομένην. ὁ δὲ πλησιάζων εὐθὺς ἀπέπεμπε πρὸς τὸν εὐνοῦχον. ἀφικομένης δὲ τῆς Ἐσθήρας πρὸς αὐτὸν ἡσθεὶς αὐτῇ καὶ πεσὼν τῆς κόρης εἰς ἔρωτα, νομίμως αὐτὴν ἄγεται γυναῖκα. καὶ γάμον αὐτῆς ποιεῖ τῷ δωδεκάτῳ μηνὶ

E ἑβδόμου ἔτους τῆς αὐτοῦ βασιλείας Ἀδέρῳ καλουμένῳ. διέπεμψε δὲ τοὺς ἀγγάρους λεγομένους εἰς πᾶν ἔθνος, ἑορτάζειν αὐτοῖς τοὺς γάμους παραγγέλλων. αὐτὸς δὲ Πέρσας καὶ τοὺς Μήδους καὶ τοὺς πρώτους τῶν ἐθνῶν εἱστίᾳ ἐπὶ μῆνα ὅλον ὑπὲρ τῶν γάμων αὐτοῦ. εἰσελθούσης δὲ εἰς τὸ βασίλειον, περιτίθησιν αὐτῇ τὸ διάδημα. καὶ συνῴκησεν οὕτως Ἐσθήρᾳ, μὴ ποιησάσης φανερὸν αὐτῷ τὸ ἔθνος ἐξ οὗπερ εἴη τυγχάνουσα. μεταβὰς δὲ καὶ

F ὁ θεῖος αὐτῆς ἐκ τῆς Βαβυλῶνος εἰς Σοῦσαν τῆς Περσίδος, αὐτόθι διῆγεν ἑκάστης ἡμέρας, πρὸς τοῖς βασιλείοις διατρίβων, καὶ πυνθανόμενος περὶ τῆς κόρης τίνα διάγει τρόπον. ἔστεργε γὰρ αὐτὴν, ὡς αὐτοῦ θυγατέρα. ἔθηκε δὲ καὶ νόμον ὁ βασιλεὺς ὥστε μηδένα τῶν ἰδίων αὐτῷ προσιέναι μὴ κληθέντα, ὁπηνίκα ἐπὶ τοῦ θρόνου καθέζοιτο. περιεστήκεσαν δὲ τὸν θρόνον αὐτοῦ πελέκεις ἔχοντες ἄνθρωποι, πρὸς τὸ κολάζειν

G τοὺς προσιόντας ἀκλήτους τῷ θρόνῳ. καθῆστο μέν τοι ῥάβδον χρυσέαν ἔχων αὐτὸς ὁ βασιλεύς. ἣν ὅταν τινὰ σώζειν ἤθελε τῶν ἀκλήτως προσιόντων, ἐξέτεινε πρὸς αὐτόν. ὁ δὲ, ἁψάμενος αὐτῆς, ἀκίνδυνος ἦν.

καὶ περὶ μὲν τούτων, ἀρκούντως ἡμῖν δεδήλωται. χρόνῳ δὲ ὕστερον ἐπιβουλευσάντων τῷ βασιλεῖ Βαγαθώου καὶ Θεοδέστου, Βαρνάβαζος τῶν εὐνούχων οἰκέτης τοῦ ἑτέρου, τὸ γένος ὢν Ἰουδαῖος, συνεὶς τὴν ἐπιβουλὴν, τῷ θείῳ κατεμήνυσε τῆς γυναικὸς τοῦ βασιλέως. Μαρδοχαῖος δὲ διὰ τῆς Ἐσθήρας, φανεροὺς ἐποίησε τῷ βασιλεῖ τοὺς ἐπιβουλεύοντας. ταραχθεὶς δὲ ὁ βασιλεὺς, τἀληθὲς ἐξεῦρε.

καὶ τοὺς

καὶ τοὺς μὲν εὐνούχους ἀνεσταύρωσε, τῷ δὲ μαρδοχαίῳ τότε μὲν οὐδὲν παρέσχεν ὡς αἰτίῳ τῆς σωτηρίας γεγονότι, μόνον δὲ αὐτοῦ τὸ ὄνομα τοῖς τὰ ὑπομνήματα συγγραφομένοις ἐκέλευσε σημειώσασθαι, καὶ προσμένειν αὐτὸν τοῖς βασιλείοις, ὄντα φίλον ἀναγκαιότατον τῷ βασιλεῖ. ἀμὰν δὲ ἀμαδάθου μὲν υἱὸν, τὸ γένος δὲ ἀμαληκίτην, εἰσιόντα πρὸς τὸν βασιλέα, προσεκύνουν οἵ τε ξένοι καὶ πέρσαι. ταύτην αὐτῷ τὴν τιμὴν ἀρταξέρξου κελεύοντος γίνεσθαι. μαρδοχαίου δὲ διὰ σοφίαν καὶ τὸν οἴκοθεν αὐτοῦ νόμον οὐ προσκυνοῦντος ἄνθρωπον, παραφυλάξας ὁ ἀμάνης, ἐπυνθάνετο πόθεν εἴη. μαθὼν δὲ αὐτὸν ὄντα ἰουδαῖον, ἠγανάκτησε, καὶ πρὸς αὐτὸν εἶπεν. ὡς οἱ μὲν ἐλεύθεροι πέρσαι, προσκυνοῦσιν αὐτὸν, οὗτος δὲ δοῦλος ὢν, οὐκ ἀξιοῖ τοῦτο ποιεῖν. καὶ τιμωρήσασθαι θελήσας τὸν μαρδοχαῖον, αὐτὸν μὲν αἰτήσασθαι πρὸς κόλασιν παρὰ τοῦ βασιλέως μικρὸν ἡγήσατο, τὸ δὲ ἔθνος αὐτοῦ διέγνω πᾶν ἀφανίσαι, καὶ γὰρ φύσει τοῖς ἰουδαίοις ἀπηχθάνετο, ὅτι καὶ τὸ γένος τῶν ἀμαληκιτῶν ἐξ ὧν ἦν αὐτὸς, ὑπ' αὐτῶν διέφθαρτο. προσελθὼν οὖν τῷ βασιλεῖ κατηγόρει λέγων, ἔθνος εἶναί τι πονηρὸν, διεσπάρθαι δὲ τοῦτο κατὰ τὴν ὑπ' αὐτοῦ βασιλευομένην οἰκουμένην, ἄμικτον, ἀσύμφυλον, οὔτε θρησκείαν τὴν αὐτὴν τοῖς ἄλλοις ἔχον, οὔτε νόμοις χρώμενον ὁμοίοις, ἐχθρὸν δὲ καὶ τοῖς ἔθεσι, καὶ τοῖς ἐπιτηδεύμασι τῷ σῷ λαῷ καὶ ἅπασιν ἀνθρώποις. τοῦτο τὸ ἔθνος, εἴ τινα θέλεις τοῖς ὑπηκόοις εὐεργεσίαν καταθέσθαι, κελεύσῃς πρόρριζον ἀπολέσαι, μηδέ τι αὐτοῦ λείψανον καταλιπεῖν, μηδ' εἰς δουλείαν τινῶν φυλαχθέντων, μήτε αἰχμαλωσίαν, ἵνα μέντοι μὴ ζημιωθῇς τοὺς φόρους τοὺς παρ' αὐτῶν γινομένους, ἐκ τῆς ἰδίας οὐσίας αὐτὸς ἐπηγγείλατο μυριάδας δώσειν ταλάντων ἀργυρίου δ'. ὅπου ἂν κελεύσῃ. ταῦτα δὲ τὰ χρήματα παρέχειν ἡδέως ἔλεγεν, ἵν' ἀπὸ τούτων εἰρηνευθῇ τῶν κακῶν ἡ βασιλεία. ταῦτα τοῦ ἀμάνου ἀξιώσαντος, ὁ βασιλεὺς καὶ τὸ ἀργύριον αὐτῷ χαρίζεται, καὶ τοὺς ἀνθρώπους ὥστε ποιεῖν αὐτοὺς ὅτι βούλεται. τυχὼν δὲ ὧν ἐπεθύμει ἀμάνης, παραχρῆμα πέμπει διάταγμα ὡς τοῦ βασιλέως εἰς ἅπαντα τὰ ἔθνη περιέχον τοῦτον τὸν τρόπον. βασιλεὺς μέγας ἀρταξέρξης τοῖς ἀπὸ ἰνδικῆς ἕως τῆς αἰθιοπίας ζ καὶ κ καὶ ρ σατραπειῶν ἄρχουσι, τάδε γράφει. πολλῶν ἐθνῶν ἄρξας, καὶ πάσης ἧς ἐβουλήθην κρατήσας οἰκουμένης, καὶ μηδὲν ὑπὸ τῆς ἐξουσίας ὑπερήφανον μηδὲ σκαιὸν εἰς τοὺς ἀρχομένους ἀναγκασθεὶς ἁμαρτεῖν, ἀλλ' ἐπιεικῆ καὶ πρᾶον ἐμαυτὸν παρασχὼν καὶ προνοησάμενος εἰρήνης καὶ εὐνομίας αὐτοῖς, ἐζήτουν πῶς εἰς ἅπαντα τούτων ἀπολαβεῖν αὐτοῖς γένοιτο. τοῦ δὲ διὰ σωφροσύνην καὶ δικαιοσύνην παρ' ἐμοὶ τὴν πρώτην μοῖραν δόξης καὶ τιμῆς ἔχοντος, καὶ μετ' ἐμὲ δευτέρου διὰ πίστιν καὶ βεβαίαν εὔνοιαν ἀμάνου, κηδεμονικῶς ὑποδείξαντός μοι παντάπασιν ἀνθρώποις ἀναμεμίχθαι δυσμενὲς ἔθνος, καὶ τοῖς νόμοις ἀλλόκοτον, καὶ τοῖς βασιλεῦσιν ἀνυπότακτον, καὶ παρηλλαγμένον καὶ τοῖς ἔθεσι, καὶ τὴν μοναρχίαν μισοῦν, καὶ δύσνουν τοῖς ἡμετέροις πράγμασι, κελεύω τοὺς δηλουμένους ὑπὸ τοῦ δευτέρου μου πατρὸς ἀμάνου, πάντας σὺν γυναιξὶ καὶ τέκνοις ἀπολέσαι, μηδεμίαν φειδὼ ποιησαμένους, μηδ' ἐλέῳ πλέον ἢ τοῖς ἐπεσταλμένοις πεισθέντας παρακοῦσαι τῶν γραμμάτων. καὶ τοῦτο γίνεσθαι βούλομαι τῇ τετάρτῃ καὶ δεκάτῃ τοῦ ιβ' μηνὸς τοῦ ἐνεστῶτος ἔτους. ὅπως οἱ πανταχόθεν ἡμῖν πολέμιοι, μιᾷ ἡμέρᾳ διαφθαρέντες, τοῦ λοιποῦ μετ' εἰρήνης ἡμῖν τὸν βίον διάγειν παρέχωσι

A & illis in crucem suffixis, Mardochæo tunc quidem pro salute sua quam ei debebat præmij nihil persoluit, tantùm nomen eius in commentarios suos referri iussit & annotari, ipsum verò versari in regia, receptum inter amicos regis necessarios. In eam regiam quoties Aman filius Amadathis genere Amalecita (Esth. 3.) ad regem veniebat, adorabant eum omnes tam Persæ quàm exteri, idque ipsius Artaxerxis iussu. B Mardochæo verò propter patriam institutionem non adorante hominem, ille cùm hoc obseruasset, percontatus est cuias esset. & audito esse Iudæum, iratus exclamauit, rem indignam, cùm ingenui Persæ adorarent eum, seruum istum dedignari idem facere: voléns que pœnas de Mardochæo sumere, parum putauit ipsum ad supplicium deposcere, nisi gentem eius vniuersam perderet, quòd esset natura Iudæis infestus: quandoquidem Amalecitarum gens, ex qua ipse erat, à Iudæis victoribus extincta fuerat. C Igitur adito rege orsus est accusationem, esse gentem quandam malam, sparsam per vniuersum ipsius regnum, insociabilem, abhorrentem à cæteris hominibus, diuersis ceremoniis & legibus vtentem, infensam & moribus & studiis reliquorum populorum, & totius mortalium generis. Hanc gentem, inquit, si vis subditis tuis gratum facere, extirpabis funditus, nemine vel captiuo vel seruo superstite relicto. & ne quid inde tuis tribu- D tis decedat, de meis bonis promitto tibi XL. talentorum argenti millia, libenter tanta pecunia cariturus, modò regnum tuum repurgetur ab ista hominum colluuie. Hæc Amane poscente, rex & argentum illud ei se remittere dixit, & homines eos concedere, vt de illis ipse arbitratu suo statueret. Aman autem voto potitus, confestim edictum nomine regis per omnes nationes euulgat in hanc sententiam: E Rex magnus Artaxerxes CXXXII. satrapis qui Indiam inter & Æthiopiam prouinciis præsunt, hæc scribit. Consecutus imperium tot gentium, & orbis quàm latè volui dominio potitus, cùm nihil superbum aut sæuum in subditos admitterem, sed mansueto ac miti moderare eos regimine, & pacem in primis ac iuris tutelam procurarem, cogitaui quomodo hæc bona possent eis manere perpetua. Admonitus igitur ab amico propter prudentiam & iu- F stitiam mihi semper præ cæteris honorato, & ob egregiam fidem secundum post me locum obtinente Amane, esse permixtam hominum generi gentem inimicam, & suis quibusdam legibus vtentem à cæteris diuersis, inobedientem regibus, & deprauatam moribus ac ritibus, nec monarchiam nec negocia nostra probantem, volo ac edico, vt hos ab Amane mihi parentis loco habito indicatos cum vxoribus & liberis perdatis, nemini eorum par- G centes, neque miserationi plus quàm nostro edicto tribuentes: idque fieri iubeo decima tertia die duodecimi mensis præsentis anni: vt vna die deletis in totum nostris hostibus in posterum pace ac securitate frui nos liceat.

Hoc edicto oppidatim per totam regionem sparso, omnes ad Iudæorum internecionem in diem præscriptum sese expediebant, idemque studium erat & Susis in vrbe regia. Rex interim & Aman conuiuiis vacabant & compotationibus, perturbata ciuitate & futuri expectatione suspensa. At Mardochęus re cognita, scissis vestibus, opertus sacco & sparsus cinere ferebatur per vrbem, iniquum facinus clamitans, maximam gentem internecioni esse addictam: & vociferando talia vsque regium palatium delatus, ibi demum constitit. non enim fas erat illum tali habitu in regiam ingredi. nec alius erat Iudæorum habitus aut affectio in cæteris vrbibus quacunque regiæ literæ perlatæ fuerant, omnibus ob denuntiatam sibi cladem lugentibus & lamentantibus. Vt verò reginæ nunciatum est, Mardochæum in tam miserabili habitu stare pro foribus palatij, perturbata hoc rumore misit qui ei vestimenta mutarent. Qui cùm id recusaret facere, quòd nondum cessasset causa propter quam eum habitum sumpserat, vocatum ad se eunuchum Achratheum, qui tum forte aderat, misit ad eum, sciscitatum quid mali accidisset homini, vt talem cultum sumeret, ac ne ipsa quidem rogante vellet deponere. ibi Mardochæus omnem causam eunucho exponit ordine, & quòd edictum regium per vniuersam ditionem esset diuulgatum, & quantam vim pecuniæ pollicitus sit Aman, vt internecionem eius gentis à rege redimeret. ad hæc exemplar edicti Susis propositi ad reginam perferendum ei tradidit, adiectis mandatis, vt supplex regem adiret super hoc negocio, nec grauaretur pro incolumitate suæ gentis ad tempus infra dignitatem sese demittere, & deprecari eius periculum. Amanem enim, cuius secunda sit post regem dignitas, incitare eum crebris contra Iudæos accusationibus. Hoc cognito regina rursum Mardochæo nunciat, nec vocatam se à rege, & capitale esse inuocatum ad eum irrumpere, nisi ipse incolumitatem donare volens, virgam auream protenderet. his enim solis impune esse, quibus hoc forte contingeret. Quibus ille auditis rursum per eundem eunuchum orat eadem, dicens non oportere eam respectum habere salutis propriæ, sed potius vniuersi generis. si enim hoc nunc facere negligat, Deum quidem omnino laturum suis auxilium, ipsam verò cum sua familia daturam pœnas eis quos tunc contemneret. Tum Esther non mutato nuncio iubet patruum Susis concionem Iudæorum aduocare, & pro reginæ salute triduanum ieiunium indicere: se quoque idem facturam pollicita cum ancillis domesticis, ac tum demum vel contra legem adituram regem, & mortem etiam libenter perlaturam si ita vsus veniat. Paruit ille reginę & indicto suis publico ieiunio, ipse quoque supplex Deum precatus est, ne populum suum deleri permitteret, sed quemadmodum antea sæpe saluti eorum prospexisset,

Esth. 4.

τούτου κομισθέντος τοῦ προστάγματος εἰς τὰς πόλεις καὶ τὴν χώραν, ἕτοιμοι πάντες ἐπὶ τὴν τῶν Ἰουδαίων ἀπώλειαν καὶ παντελῆ ἐξολόθρευσιν, εἰς τὴν προειρημένην ἡμέραν, ἐγίνοντο. ἐσπούδαστο δὲ τοῦτο, καὶ ἐν τῇ Σούσῃ. ὁ μὲν σὺν βασιλεὺς καὶ ὁ Ἀμάνης, περὶ εὐωχίαις καὶ πότοις ἦσαν, ἐν ταραχῇ δὲ ἦν ἡ πόλις. ὁ δὲ Μαρδοχαῖος μαθὼν τὸ γινόμενον, περιρρηξάμενος τὴν ἐσθῆτα, καὶ σάκκον ἐνδυσάμενος, καὶ καταχεάμενος σποδίαν, διὰ τῆς πόλεως ἐφέρετο, βοῶν ὅτι μηδὲν ἀδικῆσαν ἔθνος ἀναιρεῖται. καὶ τοῦτο λέγων ἕως τῶν βασιλείων ἦλθεν, καὶ πρὸς αὐτοῖς ἔστη. οὐ γὰρ ἐξῆν εἰσελθεῖν αὐτῷ τοιοῦτον περικείμενον σχῆμα. τὸ δ' αὐτὸ καὶ πάντες ἐποίησαν ἐν ταῖς πόλεσιν Ἰουδαῖοι, ἐν αἷς τὰ περὶ τούτων προετέθη γράμματα, θρηνοῦντες καὶ τὰς κατηγγελμένας αὐτοῖς συμφορὰς ὀδυρόμενοι. ὡς δ' ἀπήγγειλάν τινες τῇ βασιλίσσῃ τὸν Μαρδοχαῖον ἐν οὕτως οἰκτρῷ σχήματι πρὸ τῆς αὐλῆς ἑστῶτα, ταραχθεῖσα πρὸς τὴν ἀκοήν, ἐξέπεμψε τοὺς μεταμφιέσοντας αὐτόν. οὐ πεισθέντος δὲ ἀποδύσασθαι τὸν σάκκον, οὐ γὰρ ἐφ' ᾧ τοῦτον ἀναγκασθείη λαβεῖν δεινὰ πεπαῦσθαι τοῦτο, προσκαλεσαμένη τὸν εὐνοῦχον Ἀχράθεον, καὶ γὰρ ἐτύγχανεν αὐτῇ παρών, ἀπέστειλε πρὸς Μαρδοχαῖον γνωσόμενον τίνος συμβεβηκότος αὐτῷ σκυθρωποῦ πενθεῖ, καὶ τὸ σχῆμα τοῦτο περικείμενος, οὐδ' αὐτῆς παρακαλούσης, ἀπέθετο. ὁ δὲ Μαρδοχαῖος, ἐπέδειξε τῷ εὐνούχῳ τὴν αἰτίαν, τό τε γράμμα τὸ κατὰ τῶν Ἰουδαίων εἰς ἅπασαν τὴν ὑπὸ τῷ βασιλεῖ χώραν διαπεμφθέν, καὶ τὴν χρημάτων ὑπόσχεσιν, ᾗ τὴν ἀπώλειαν τοῦ ἔθνους ὠνήσατο παρὰ τοῦ βασιλέως Ἀμάνης. δοὺς δὲ αὐτῷ καὶ τὸ ἀντίγραφον τῶν ἐν Σούσοις προτεθέντων, κομίσαι τῇ Ἐσθήρᾳ, καὶ περὶ τούτων δεηθῆναι τοῦ βασιλέως ἐνετέλλετο, καὶ σωτηρίας ἕνεκεν τοῦ ἔθνους μὴ ἀδοξῆσαι λαβεῖν σχῆμα ταπεινόν, ᾧ παραιτήσεται τοὺς Ἰουδαίους κινδυνεύοντας ἀπόλλυσθαι. τὸν γὰρ τὴν δευτέραν ἔχοντα τῷ βασιλεῖ τιμὴν Ἀμάνην, κατηγορήσαντα τῶν Ἰουδαίων, παροξυγκέναι κατ' αὐτῶν τὸν βασιλέα. ταῦτα γνοῦσα, πέμπει πάλιν πρὸς Μαρδοχαῖον δηλοῦσα, ὅτι μήτε κληθείη πρὸς τοῦ βασιλέως, καὶ ὁ εἰσερχόμενος πρὸς αὐτὸν ἄκλητος, ἀποθνήσκει, πλὴν εἰ μή τινα σώζειν βουλόμενος προτείνειεν τὴν χρυσέαν ῥάβδον. ᾧ γὰρ ἂν τοῦτο ποιήσειεν ὁ βασιλεὺς ἀκλήτῳ πρὸς αὐτὸν εἰσελθόντι, οὗτος οὐκ ἀποθνήσκει μόνος, ἀλλὰ συγγνώμης τυχὼν σώζεται. Μαρδοχαῖος δὲ τούτους κομίσαντος αὐτῷ τοῦ εὐνούχου παρὰ τῆς Ἐσθήρας τοὺς λόγους, ἀπαγγέλλειν ἐκέλευσεν αὐτῇ, μὴ τὴν ἰδίαν οὕτω σκοπεῖν σωτηρίαν, ἀλλὰ τὴν κοινὴν τοῦ ἔθνους. εἰ γὰρ ἀμελήσειε τοῦτο νῦν, ἔσεσθαι μὲν αὐτοῖς βοήθειαν παρὰ τοῦ θεοῦ πάντως, αὐτὴν δὲ καὶ τὸν πατρῷον οἶκον αὐτῆς ὑπὸ τῶν ὀλιγωρηθέντων διαφθαρήσεσθαι. ἡ δὲ Ἐσθήρα, ἀπέστειλε μὲν τῷ Μαρδοχαίῳ τὸν αὐτὸν πέμψασα διάκονον, εἰς Σοῦσα πορευθέντα, τοὺς ἐκεῖ Ἰουδαίους εἰς ἐκκλησίαν συναγαγεῖν. καὶ νηστεῦσαι πάντων ἀποσχομένους ὑπὲρ αὐτῆς ἐπὶ τρεῖς ἡμέρας. τὸ δ' αὐτὸ ποιήσασα μετὰ τῶν θεραπαινίδων, τό τε προσελεύσεσθαι τῷ βασιλεῖ παρὰ τὸν νόμον ὑπισχνεῖτο, κἂν ἀποθανεῖν δέῃ, τοῦτο ὑπομένειν. καὶ Μαρδοχαῖος μὲν κατὰ τὰς τῆς Ἐσθήρας ἐντολάς, τόν τε λαὸν ἐποίησε νηστεῦσαι, καὶ τὸν θεὸν σὺν αὐτοῖς ἱκέτευσε, μηδὲ νῦν ὑπεριδεῖν αὐτοῦ τὸ ἔθνος ἀπολλύμενον, ἀλλ' ὡς καὶ πρότερον αὐτοῦ πολλάκις προενόησε, καὶ ἀ-

καὶ ἁμαρτάνοντι συγγνῶ, καὶ νῦν αὐτοὺς ῥύσασθαι τῆς κατηγγελμένης ἀπωλείας. οὐδὲ γὰρ ἁμαρτόντα τι κινδυνεύειν ἀκλεῶς ἀποθανεῖν, ἀλλ' αὐτὸν εἶναι τὴν αἰτίαν τῆς ἀμάνου ὀργῆς, ὅτι μὴ προσεκύνησα μηδ' ἣν σοὶ δέσποτα φησὶ τιμὴν παρεῖχον, ταύτην ἐκείνῳ παρασχεῖν ὑπέμεινα, ὀργισθεὶς ταῦτα κατὰ τῶν μὴ παραβαινόντων τοὺς σοὺς νόμους ἐμηχανήσατο. τὰς δ' αὐτὰς ὑφίει καὶ τὸ πλῆθος φωνάς, παρακαλοῦν προνοῆσαί τι τὸν θεὸν τῆς σωτηρίας αὐτῶν, καὶ τοὺς ἐν ἁπάσῃ γῇ ἰσραηλίτας ἐξελέσθαι τῆς μελλούσης συμφορᾶς· καὶ γὰρ πρὸ ὀφθαλμῶν αὐτὴν εἶχον, ἤδη καὶ προσεδόκων. καὶ ἐσθὴρ δὲ ἱκέτευε τὸν θεὸν τῷ πατρίῳ νόμῳ, ῥίψασα κατὰ τῆς γῆς ἑαυτήν, καὶ πενθικὴν ἐσθῆτα περιθεμένη, καὶ τροφῇ καὶ ποτῷ καὶ τοῖς ἡδέσι ἀποταξαμένη, τρισὶν ἡμέραις ᾔτει τὸν θεὸν ἐλεηθῆναι μὲν αὐτήν, δόξαι δ' ὀφθεῖσαν τῷ βασιλεῖ, πιθανὴν μὲν τοὺς λόγους παρακαλοῦσαν, τὸ δὲ εἶδος εὐπρεπεστέραν τῆς προτέρας οὖσαν, ἵνα ἀμφοτέροις καὶ πρὸς τὴν παραίτησιν τῆς ὀργῆς εἴ τι παροξυνθείη πρὸς αὐτὴν ὁ βασιλεὺς χρήσαιτο, καὶ πρὸς τὴν συνηγορίαν τῶν ὁμοεθνῶν, ἐν τοῖς ἐσχάτοις σαλευόντων. μῖσος τε γενέσθαι τῷ βασιλεῖ πρὸς τοὺς ἐχθροὺς τῶν ἰουδαίων, καὶ ἀπώλειαν αὐτοῖς τὴν μέλλουσαν, ἐὰν ὀλιγωρηθῶσιν ὑπ' αὐτοῦ κατασκευάσαντας. ταῦτα ἱκετεύουσα τὸν θεὸν ἐπὶ τρεῖς ἡμέρας, ἀποδύεται μὲν τὴν ἐσθῆτα ἐκείνην, καὶ τὸ σχῆμα μεταβάλλει. κοσμησαμένη δ' ὡς ἐχρῆν τὴν βασίλισσαν, σὺν δυσὶ θεραπαίναις, ὧν ἡ μὲν ἐπερειδομένην αὐτὴν κούφως ἔφερεν, ἡ δὲ ἑπομένη, τὸ βαθὺ τοῦ ἐνδύματος καὶ μέχρι τῆς γῆς κεχυμένον ἄκροις ἀπῃώρει τοῖς δακτύλοις, ἧκε πρὸς τὸν βασιλέα, μεστὴ μὲν τὸ πρόσωπον ἐρυθήματος, προσηνὲς δὲ καὶ σεμνὸν ἐπικειμένη τὸ κάλλος. εἰσῄει δὲ πρὸς αὐτὸν μετὰ δέους. ὡς δὲ κατὰ πρόσωπον αὐτοῦ καθεζομένου ἐπὶ τοῦ θρόνου γίνεται τὸν βασιλικὸν περικειμένου κόσμον, ὃς ἦν ἐκ ποικίλης μὲν ἐσθῆτος, χρυσοῦ δὲ καὶ λίθου πολυτελοῦς, φοβερώτερον καὶ δι' αὐτὰ μᾶλλον θεασαμένη, καί τι κἀκείνου προσιδόντος αὐτὴν ἀπηνέστερον, καὶ διακεκαυμένῳ ὑπὸ τῆς ὀργῆς τῷ προσώπῳ, πάρεσις εὐθὺς αὐτὴν ὑπὸ δέους λαμβάνει, καὶ τοῖς παρὰ πλευρὸν οὖσιν ἀχανὴς ἐπέπεσεν. ὁ δὲ βασιλεὺς κατὰ βούλησιν οἶμαι τοῦ θεοῦ, τὴν διάνοιαν μετέβαλε. καὶ δείσας περὶ τῆς γυναικὸς μὴ καὶ πάθῃ τι τῶν χειρόνων ὑπὸ τοῦ φόβου, ἀνεπήδησεν ἀπὸ τοῦ θρόνου, καὶ ταῖς ἀγκάλαις αὐτὴν ὑπολαβὼν ἀνεκτᾶτο, καταασπαζόμενός τε καὶ προσομιλῶν ἡδέως, καὶ θαρρεῖν παρακαλῶν καὶ μηδὲν ὑποπτεύειν σκυθρωπὸν ὅτι πρὸς αὐτὸν ἄκλητος ἔλθοι. τὸν γὰρ νόμον τοῦτον πρὸς τοὺς ὑπηκόους κεῖσθαι. τὴν δὲ ὁμοίως αὐτῷ βασιλεύουσαν, πᾶσαν ἔχειν ἄδειαν. ταῦτα λέγων, τὸ σκῆπτρον αὐτῆς ἐνετίθει τῇ χειρί, καὶ τὴν ῥάβδον ἐξέτεινεν ἐπὶ τὸν αὐχένα αὐτῆς διὰ τὸν νόμον, εὐλαβείας αὐτὴν ἀπολύων. ἡ δ' ὑπὸ τούτων ἀναζωπυρήσασα, δέσποτα εἶπεν, οὐκ ἔχω σοι τὸ αἰφνίδιον τοῦ συμβεβηκότος μοι ῥᾳδίως εἰπεῖν. ὡς γὰρ εἶδον σε μέγαν καὶ καλὸν καὶ φοβερόν, εὐθὺς ὑπεχώρει μου τὸ πνεῦμα, καὶ κατελειπόμην ὑπὸ τῆς ψυχῆς. μόλις δ' αὐτῆς καὶ ταῦτα φθεγγομένης, καὶ μετὰ ἀσθενείας, αὐτόν τε ἀγωνία καὶ ταραχὴ κατελάμβανε, καὶ τὴν ἐσθῆρα εὐψυχεῖν καὶ τὰ κρείττω προσδοκᾶν παρεθάρρυνεν, ὡς αὐτῇ καὶ τὰ ἡμίση τῆς βασιλείας εἰ δέοιτο τούτων παραχωρήσοντος αὐτῇ. ἡ δὲ ἐσθὴρ ἐπὶ ἑστίασιν αὐτὸν μετὰ ἀμάνου τοῦ φίλου πρὸς αὐτὴν ἐλθεῖν ἠξίωσε. παρεσκευακέναι γὰρ αὐτὴν δεῖπνον ἔλεγεν. ὡς δὲ ἐπένευσε καὶ παρῆσαν, μεταξὺ πίνων,

A & indulsisset peccatorum veniam, tum quoque eos à denunciato liberaret periculo. non enim sua culpa se venisse in discrimen infamis supplicij, sed ideo sæuire Amanem ira percitum, quòd soli Deo debitum adorationis honorem à se non tulerit, & propter diuinarum legum reuerentiam integrè seruatam, vniuerso generi moliri perniciem. Similes erant preces totius populi, rogantis Deum vt eorum saluti prospiciat, & totum genus Israeliticum imminenti B cladi eximat, quam videbantur sibi habere præ oculis. Regina quoque supplicabat more patrio humi in faciem prostrata, & amicta vestitu lugubri, per triduum abdicato cibo & potu & omnibus deliciis: rogabátque miseratus daret ei apud regem quali maximè opus esset facundiam, & maiorem quàm vnquam antea formæ gratiam, vt modo vtroque permotus rex ad clementiam, & in ipsam fiat indulgentior, & popularibus suis in extremo periculo C constitutis patrocinantem æquis oculis aspiciat. Vtque in rege odium inimicorum ingeneret, omniúmque imminentium in eorum perniciem, ni ipse auertat infortunium. *Esth. 5.* His precibus solicitata per triduum diuina miseratione, denuo mutat habitum: & sumpto cultu qui reginam deceat, cum duabus pedisequis, quarum altera sustinebat innixam leniter, altera à tergo sinuosam & fluentem in terram vestem summis attollebat digitis, ad regē D venit, rubore genas suffusa, & maiestate mixtā venustatem præferens, nec omnino à metu libera. Quem vbi conspexit sublimem in solio, insignémque cultu distincto auro & gemmis ac vnionibus, horror quidam eam repente subiit: & fortè toruiùs eam ac subirato vultu inspexerat: móxque attonita fluentibus membris in sustinentem ad latus totam se reiecit. Rex autem non dubium quin voluntate Dei mutatus extimuit, & solicitus ne quid grauius E coniugi accideret, è solio se proripuit: blandéque in vlnas exceptam refouebat suaui alloquio, iubens bono animo esse securam quòd inuocata venerit. legem enim illam latam esse in subditos. ipsi verò vt regni sociæ, licere omnia. Hæc locutus sceptrum in manum eius inseruit, & ceruicem eius virga permulcens aurea, legis metu omnino fecit liberam. Illa hoc pacto refocillata: Domine, F inquit, eloqui non possum, quid mihi repente acciderit. vt enim te conspexi tanta maiestate verendum, continuò refugiens interius defecit me animus. & cùm hæc verba ægrè languida & exili voce protulisset, magis etiam solicitus solari eam cœpit prolixius, paratum se quiduis gratificari pollicens, vel si dimidium regni sibi deposceret. Esther autem hoc tantùm rogauit, vt ad cœnam sibi G paratam conuiua cum Amane amico veniret. Quod cùm annuisset, ambóque venisent,

inter pocula vxorem iubet dicere quidnam peteret. nihil enim non impetraturam, etiamsi regni partem cuperet: illa in crastinum differre se petitionem dixit, si modò liberet ei redire cum Amane ad conuiuium. id verò libēter annuente rege, Aman admodum lætus abiit, quòd solus tali honore dignatus sit, vt cum rege vocaretur à regina ad conuiuium, quod nemini alteri contigerat, & cùm obiter in palatio videret Mardochæum excanduit, quòd nullus ab eo sibi honor exhiberetur: reuersúsq; domum aduocata vxore Zaraza, & amicorum cohorte, apud eos denarrauit honorem, in quo esset tam apud regem quàm apud reginam. nam cùm ea die solus cum rege apud eam cœnasset, in crastinam quoque se vocatum esse. vnum sibi esse permolestum, quòd Mardochæum Iudæum videret in palatio. cúmque Zaraza diceret, oportere eum trabem quinquaginta cubitorum parare, & mane petita à rege potestate Mardochæum in eam crucem tollere: comprobata ea sententia iussit familiares curare vt eiusmodi trabs erigeretur in suo palatio, parata ad Mardochæi supplicium: id quod etiam mox factum est. Deus autem irrisit Amanis spem improbam, cui sciebat euenturum longè aliud. Nam ea ipsa nocte somnum regi ademit: qui nolens vigiliæ tempus perdere: sed malens in aliquod regni negocium id impendere, iussit scribam allatis commentariis res tam à se quàm à maioribus gestas legere. quo legente, intellexit quendam ob rem egregiè gestam donatum amplis possessionibus in regione, cuius nomen erat ascriptum: alium ob fidem munera accepisse precij maximi. tandem ventum est ad eum locum, qui continebat Bagathoi & Theodestis eunuchorum coniurationem, Mardochæi detectam indicio. quo lecto cùm scriba ad aliud deinceps transiret, inhibuit eum rex, percontatus an non sit adscriptum redditum ei aliquod præmium. illo verò negante quicquam tale scriptum, iussit eum desinere, & quota noctis hora esset scitatus est ab eo, cuius hoc erat officium: & audito quòd esset iam diluculum, mandauit vt viserent quisnam amicorum adesset pro palatij foribus, sibíque renunciarent. fortè autem Aman aderat, qui solito citius venerat, rogaturus Mardochæi supplicium. famulis verò renunciantibus Amanem esse pro foribus, iussit eum intro vocari. cui ingresso, Cùm sciam, inquit, amicum te mihi præ cunctis beneuolum, rogo da mihi consilium, quomodo possim pro mea magnificentia honorare quendam mihi admodum carum hominem. tum Aman cogitans quancunque sententiam protulisset, in rem suam fore, quòd ipse præ cæteris regi carus esset: indicauit ei quòd putabat optimum his verbis: Si vis hominem, quem tibi ais dilectum, cumulare insigni gloria, fac vt equo vehatur vestitus sicut tu, & aureo torque ornatus: & vnus aliquis ex intimis tuis amicis præconis specie præcedat, clamans per totam vrbem quòd sic honorabitur quem rex honorare voluerit.

Esth.6.

A τὴν ἑσπέραν ἐκέλευσεν αὐτῷ δηλοῦν τί βούλεται. μηδενὸς γὰρ ἀτυχήσειν, μηδ' ἂν τὸ μέρος τῆς βασιλείας ἐθελήσῃ λαβεῖν. ἡ δὲ εἰς τὴν ἐπιοῦσαν ἀνεβάλλετο φράζειν αὐτῷ τὴν αὑτῆς βούλησιν, εἰ πάλιν ἔλθοι πρὸς αὐτὴν μετὰ Ἀμάνου πρὸς ἑστίασιν. τοῦ δὲ βασιλέως ὑποσχομένου, ὁ Ἀμάνης ἐξῆλθε περιχαρής, ἐπὶ τῷ μόνον ἠξιῶσθαι συνδειπνεῖν τῷ βασιλεῖ παρὰ τῇ ἑσπέρᾳ, καὶ ὅτι μηδεὶς ἄλλος τοσαύτης τυγχάνει παρὰ τοῖς βασιλεῦσι τιμῆς. B ἰδὼν δὲ ἐν τῇ αὐλῇ Μαρδοχαῖον ὑπερηγανάκτησεν, οὐδὲν γὰρ αὐτῷ παρ' αὐτοῦ θεασαμένου πρὸς τιμὴν ἐγίνετο. καὶ παρελθὼν πρὸς αὑτὸν, τὴν γυναῖκα Ζαράζαν ἐκάλεσε καὶ τοὺς φίλους. ὧν παρόντων διηγεῖτο τὴν τιμὴν, ἧς οὐ παρὰ τοῦ βασιλέως ἀπολαύοι μόνου, ἀλλὰ καὶ παρὰ τῆς βασιλίσσης. καὶ γὰρ σήμερον ὡς δειπνήσειε παρ' αὐτῇ μόνος σὺν τῷ βασιλεῖ, κληθείη πάλιν εἰς τὴν ἐπιοῦσαν. ἔλεγέ τε μὴ ἀρέσκεσθαι, Μαρδοχαῖον ὁρῶν- C τα ἐν τῇ αὐλῇ τὸν Ἰουδαῖον. τῆς δὲ γυναικὸς αὐτοῦ Ζαράζας εἰπούσης κελεῦσαι ξύλον κόψαι πηχῶν ν', καὶ πρωῒ παρὰ τοῦ βασιλέως αἰτησάμενον ἀνασταυρῶσαι τὸν Μαρδοχαῖον, ἐπαινέσας τὴν γνώμην, προσέταξε τοῖς οἰκέταις ξύλον ἑτοιμασαμένοις, στῆσαι τοῦτο ἐν τῇ αὐλῇ πρὸς τιμωρίαν Μαρδοχαίου. καὶ τοῦτο μὲν ἦν ἕτοιμον. ὁ δὲ θεὸς κατεγέλα τῆς Ἀμάνου πονηρᾶς ἐλπίδος, καὶ τὸ συμβησόμενον εἰδὼς, ἐτέρ- D πετο τῷ γινομένῳ. τοῦ γὰρ βασιλέως διὰ νυκτὸς ἐκείνης ἀφαιρεῖται τὸν ὕπνον. ὁ δ' οὐ βουλόμενος ἀργῶς ἀπολέσαι τὴν ἀγρυπνίαν, ἀλλ' εἴς τι τῶν ἐν τῇ βασιλείᾳ διαφερόντων αὐτὴν ἀναλῶσαι, τὸν γραμματέα κομίσαντα καὶ τῶν περὶ αὐτοῦ βασιλέων τὰ ὑπομνήματα καὶ τῶν ἰδίων πράξεων, ἀναγινώσκειν αὐτῷ προσέταξεν. κομίσαντος δὲ καὶ ἀναγινώσκοντος, εὑρέθη τις διὰ ἀριστείαν ἔν τινι γέρας εἰληφὼς χώραν, E ἧς καὶ τὸ ὄνομα ἐγέγραπτο. ἕτερον δὲ διὰ πίστιν δωρεᾶς τετυχηκότα μηνύων, ἦλθε καὶ ἐπὶ Βαγαθῶ καὶ Θεοδέστην τοὺς ἐπιβουλεύσαντας εὐνούχους τῷ βασιλεῖ, ὧν Μαρδοχαῖος μηνυτὴς ἦν γενόμενος. φράσαντος δὲ μόνον τοῦτο τοῦ γραμματέως, καὶ μεταβαίνοντος εἰς ἑτέραν πρᾶξιν, ἐπέσχεν ὁ βασιλεὺς, πυθόμενος εἰ μὴ ἔχει γέρας αὐτῷ δοθὲν ἀναγεγραμμένον. ὁ δ' ὡς ἔφη μηδὲν εἶναι, κελεύσας ἡσυχάζειν, τίς εἴη τῆς νυκτὸς F ὥρα παρὰ τῶν ἐπὶ τούτῳ τεταγμένων ἐπυνθάνετο. μαθὼν δὲ, ὡς ὄρθρος ἐστὶν ἤδη, προσέταξε τῶν φίλων ὃν ἂν πρὸ τῆς αὐλῆς εὕρωσιν ἤδη παρόντα, τοῦτον αὐτῷ δηλοῦν. ἔτυχε δὲ ὥστε Ἀμάνην εὑρεθῆναι. θᾶττον γὰρ τῆς συνήθους ὥρας ἐληλύθει, περὶ τοῦ Μαρδοχαίου θανάτου δεησόμενος αὐτοῦ. τῶν οὖν θεραπόντων εἰπόντων, ὅτι Ἀμάνης εἴη πρὸ τῆς αὐλῆς, ἐκέλευσεν αὐτὸν εἰσκαλέσαι. εἰσελθόντος δὲ, φίλον εἶπεν εἰδώς σε ἐμαυτῷ μόνον εὔνουν, συμβουλεῦσαί μοι πα- G ρακαλῶ, πῶς ἂν τιμήσαιμι τινὰ στεργόμενον ὑπ' ἐμοῦ σφόδρα, τῆς ἐμαυτοῦ μεγαλοφροσύνης ἀξίως. ὁ δὲ Ἀμάνης λογισάμενος ἣν ἂν διδῷ γνώμην ταύτην δώσειν ὑπὲρ αὐτοῦ, φιλεῖσθαι γὰρ αὐτὸν ὑπὸ τοῦ βασιλέως μόνον, ἣν ᾤετο ἀρίστην εἶναι, ταύτην φανερὰν ἐποίησεν. εἶπε γὰρ, εἰ βούλοιο τὸν ἄνθρωπον, ὃν φῂς ἀγαπᾶν, δόξῃ περιβαλεῖν, ποίησον ἐφ' ἵππου βαδίζειν, τὴν αὐτὴν ἐσθῆτα σοὶ φοροῦντα, καὶ περιαυχένιον χρυσοῦν ἔχοντα. καὶ προάγοντα τῶν ἀναγκαίων φίλων ἕνα, κηρύσσειν δι' ὅλης τῆς πόλεως ὅτι ταύτης τυγχάνει τῆς τιμῆς, ὃν ἂν ὁ βασιλεὺς τιμήσῃ.

ὁ μὲν

ὁ μὲν οὖν ἀμάνης, ταῦτα συνεβούλευσεν, οἰόμενος εἰς αὐτὸν ἥκειν τοῦτο τὸ γέρας. ὁ δὲ βασιλεὺς ἡσθεὶς τῇ παραινέσει. πορευθεὶς φησὶ, ἔχεις γὰρ καὶ τὸν ἵππον, καὶ τὴν στολὴν, καὶ τὸν στρεπτὸν, ἐπιζήτησον μαρδοχαῖον τὸν ἰουδαῖον, καὶ ταῦτα ἐκείνῳ δοὺς, κήρυττε προάγων αὐτοῦ τὸν ἵππον. σὺ γὰρ ἔφη μοι φίλος ἀναγκαῖος, καὶ ἴσθι διάκονος ὧν χρηστὸς σύμβουλος ἐγένου, ταῦτα δὲ αὐτῷ παρ' ἡμῶν ἔσται σώσαντί μου τὴν ψυχήν. τούτων ἀκούσας παρὰ πᾶσαν ἐλπίδα, τὴν διάνοιαν συνεχύθη, καὶ πληγεὶς ὑπὸ ἀμηχανίας, ἔξεισιν ἄγων τὸν ἵππον, καὶ τὴν πορφύραν, καὶ τὸ χρυσοῦν περιαυχένιον. καὶ τὸν μαρδοχαῖον εὑρὼν πρὸ τῆς αὐλῆς, σάκκον ἐνδεδυμένον, ἐκέλευσεν ἀποθέμενον ἐνδύσασθαι τὴν πορφύραν. ὁ δὲ οὐκ εἰδὼς τἀληθὲς, ἀλλὰ χλευάζεσθαι νομίζων, ὦ κάκιστε πάντων ἀνθρώπων εἶπεν, οὕτως ἡμῶν ταῖς συμφοραῖς ἐπιγελᾷς; πεισθεὶς δὲ ὡς ὁ βασιλεὺς αὐτῷ γέρας τοῦτ' εἴη δεδωκὼς, ἀντὶ τῆς σωτηρίας, ἣν αὐτῷ παρέσχε, τοὺς τότε ἐπιβουλεύσαντας εὐνούχους ἐλέγξας, ἐνδύεται τὴν πορφύραν, ἣν ὁ βασιλεὺς ἀεὶ φορῶν διετέλει, καὶ περιτίθεται τὸ περιαυχένιον, καὶ ἐπιβὰς ἐπὶ τὸν ἵππον, ἐν κύκλῳ περιῄει τὴν πόλιν, ἀμάνου προάγοντος καὶ κηρύσσοντος, ὅτι τοῦτ' ἔσται παρὰ τοῦ βασιλέως, ὃν ἂν στέρξῃ καὶ τιμῆς ἄξιον δοκιμάσῃ. ἐπεὶ δὲ ἐκπεριῆλθον τὴν πόλιν, ὁ μὲν μαρδοχαῖος, εἴσεισι πρὸς τὸν βασιλέα, ἀμάνης δὲ ὑπ' αἰσχύνης πρὸς αὐτὸν οὐ παραγίνεται, καὶ μετὰ δακρύων τῇ γυναικὶ καὶ τοῖς φίλοις τὰ συμβεβηκότα διηγεῖτο. οἱ δὲ οὐκέτ' ἀμύνασθαι τὸν μαρδοχαῖον ἔλεγον δυνήσεσθαι, τὸν γὰρ θεὸν εἶναι σὺν αὐτῷ. ταῦτα δὲ τούτων ἔτι πρὸς ἀλλήλοις ὁμιλούντων, ἧκον οἱ τῆς ἐσθήρας εὐνοῦχοι τὸν ἀμάνην ἐπὶ τὸ δεῖπνον ἐπισπεύδοντες. σαβουχάδας τε τῶν εὐνούχων εἷς, ἰδὼν τὸν σταυρὸν ἐν τῇ ἀμάνου οἰκίᾳ πεπηγότα, ὃν ἐπὶ μαρδοχαῖον παρεσκευάκεισαν, καὶ πυθόμενος παρά τινος τῶν οἰκετῶν ἐπὶ τί τοῦτον ἦσαν ἑτοιμασάμενοι, γνοὺς δὲ ὡς ἐπὶ τὸν τῆς βασιλίσσης θεῖον, τὸν γὰρ ἀμάνην μέλλειν αὐτὸν αἰτεῖσθαι παρὰ τοῦ βασιλέως πρὸς τιμωρίαν, τότε μὲν ἡσυχίαν ἦγεν. ὡς δὲ ὁ βασιλεὺς μετὰ τοῦ ἀμάνου εὐωχηθεὶς, ἠξίου τὴν βασίλισσαν λέγειν αὐτῷ τίνος βούλεται δωρεᾶς ἐπιτυχεῖν ὡς ληψομένην οὗπερ ἂν ἐπιθυμίαν ἔχῃ, τὸν τοῦ λαοῦ κίνδυνον ἀπωδύρετο, καὶ πρὸς ἀπώλειαν ἔλεγε μετὰ τοῦ ἔθνους ἐκδεδόσθαι, διὸ καὶ ποιεῖσθαι περὶ τούτων τοὺς λόγους. οὐ γὰρ ἂν ἠνωχληκέναι αὐτῷ, εἰ πρὸς δουλείαν πικρὰν ἐκέλευσεν αὐτοὺς ἀπεμποληθῆναι. μέτριον γὰρ τοῦτο τὸ κακόν. παρεκάλει τε τούτων ἀπαλλαγῆναι. ἐρωτήσαντος δὲ τοῦ βασιλέως ὑπὸ τίνος εἴη ταῦτα γεγενημένα, κατηγόρει τὸ λοιπὸν ἤδη φανερῶς ἀμάνου, καὶ τοῦτον ὄντα πονηρὸν ἐπ' αὐτοὺς, κατεσκευακέναι τὴν βουλὴν ἔλεγε. ταραχθέντος δὲ πρὸς τοῦτο τοῦ βασιλέως, καὶ ἀναπηδήσαντος εἰς τοὺς κήπους ἐκ τοῦ συμποσίου, τῆς ἐσθήρας ὁ ἀμάνης ἤρξατο δεῖσθαι, καὶ παρακαλεῖν συγγνῶναι τῶν ἡμαρτημένων. συνῆκε γὰρ αὐτὸς ἐν κακοῖς ὤν. ἐπί τε τῆς κλίνης αὐτῆς αὐτοῦ πεσόντος, καὶ τὴν βασίλισσαν παρακαλοῦντος, ἐπεισελθὼν ὁ βασιλεὺς, καὶ τὴν ὄψιν ἔτι μᾶλλον παροξυνθεὶς, εἶπεν ὦ κάκιστε πάντων ἀνθρώπων καὶ βιάζεσθαί μου τὴν γυναῖκα ἐπιχειρεῖς, ἀμάνου δὲ πρὸς τοῦτο καταπλαγέντος, καὶ μηδὲν ἔτι φθέγξασθαι δυνηθέντος, καὶ σαβουχάδας ὁ εὐνοῦχος παρελθὼν κατηγόρει τοῦ ἀμάνου, ὡς εὕροι σταυρὸν ἐπὶ τῆς οἰκίας αὐτοῦ παρεσκευασμένον ἐπὶ μαρδοχαῖον.

A Id consuluit Aman putans hunc honorem non alij deberi quam sibi. Rex verò lætus: Ergo, inquit, vade, & sumpto equo, veste ac torque, Mardochæum Iudæum quære, & sic ornatum equo insidentem ipse præcede, agens præconem interim. nam tu amicus es intimus, & consilium quod dedisti exequeris optimè, debetur enim honor hic meæ vitæ conseruatori. His præter omnem spem auditis vix fuit compos animi, & cùm non haberet quid aliud faceret, exiuit cum equo, purpura & torque au- B reo: inuentúmque ante aulam Mardochæum sacco amictum, iussit eo deposito induere purpuram. Qui veritatem rei nesciens, sed illudi sibi putans: Scelestissime, inquit, adeóne calamitati nostræ insultas? Persuasus tandem quòd rex hoc ei præmium pro accepta salute redderet, próque detectis eunuchorum insidiis, induit purpuram qua rex ipse vti est solitus: & ornatus torque, conscensóque equo vrbem ob- C equitabat, præcedente Amane & clamante: Sic honorabitur quem rex honorare voluerit. Perlustrata deinde vrbe, Mardocheus ad regem ingreditur. Aman verò præ pudore domum se contulit, & cum fletu vxori ac amicis quę contigerant narrauit. Respóderunt illi, ademptam iam ei omnem occasionem vindicandi in Mardochæum, quandoquidem illi manifestè Deus sit propitius. Hæc illis adhuc colloquentibus, D venerunt Estheris eunuchi, Amanem sine mora ad cœnam vocaturi: quorum vnus Sabuchadas visa cruce defixa in ipsius ædibus, quæ parata erat Mardochæo, scitatúsque è quodam famulo in quem vsum parata sit: vt cognouit quòd reginæ patruo, quem Aman volebat à rege ad supplicium deposcere, tûc quidem siluit. *Esth. 7.* Cæterùm postquam rex cum Amane suauiter epulis acceptus, iussit reginam indicare quid- E nam cum sibi largiri cuperet, accepturam quicquid petierit: cœpit deplorare periculũ sui populi, dicens se ad interitum cum tota sua gente deditam, & ideo nunc ea de re verba facere. Neque enim se negotia eius interpellaturã fuisse, si in amaram seruitutem vendi eos iussisset, quòd mediocrem hanc calamitatem duceret: nũc verò orare, vt se ab imminenti clade eripiat. Quęrente autem rege, quisnam hoc moliretur, iam apertè accusando in Amanem inuecta est, di- F cens hunc, quòd pessimè erga eos affectus esset, autorem talis consilij. Tum rex turbatus recepit se in hortos è conuiuio: & Aman paratum sibi iam intelligens infortunium, cœpit apud reginam erratum suum agnoscere, & precari veniam: simúlque in lectum eius procubuit. Interim superueniens rex, & hoc viso magis etiam commotus: Scelestissime, inquit, etiam vim vxori meæ inferre vis? Amane autem ad hanc vocem exterrito, & ne hiscere quidem G valente, ibi verò Sabuchadas eunuchus accedens accusabat Amanem, quòd in ædibus eius inuenisset crucem Mardochæo paratam.

id enim sibi compertum ex ipsius famulo, cùm ad inuitandum eum venisset. esséque eam crucem altam quinquaginta cubitos. Quo audito rex decreuit non alio ipsum afficere supplicio, quàm quod in Mardochæum excogitauerat: iussitque vt confestim in eam crucem sublatus necaretur. Subit hîc mihi admirari diuinam potentiam, iustitiámque ac sapientiam vel ex hoc facto colligere, qui non solùm Amanem merito supplicio tradidit, verumetiam pœnam in alterum excogitatam in caput inuentoris illo inscio conuertit. Atque ita Aman immodicè amicitia regis vsus periit, & facultates eius reginæ donatæ sunt. Mardochæus autem à rege accitus, qui iam cognatum esse coniugis ex ipsa didicerat, annulum accepit ab eo qui priùs Amani fuerat concreditus. regina verò possessiones Amanis ei largita est. rogauit deinde regem vt Iudæis præsentem de vita metum adimeret, docens eum de Amanis Amadathis filij literis, sparsis quàm latè pateret imperium. neque enim se posse viuere, nisi & patria salua, & suis popularibus. rex autem pollicitus est nihil ipsa inuita se mandaturum, neque voluntati eius vlla in re contrà iturum. Permisit etiam vt ipsius nomine quicquid vellet de Iudæis scriberet, & regio sigillo obsignatas literas per omnes prouincias dimitteret. confirmatas enim regio signaculo, autoritatem habituras apud omnes qui eas legerint, & contradicturum eis neminem. Accitis igitur scribis regiis, iussit eos pro Iudæis scribere ad magistratus omnium gentium, quæsitæ sunt Indiam inter & Æthiopiam sub centum XXVII. satrapis. quarum literarum exemplum hoc fuit: Rex magnus Artaxerxes magistratibus nostris fidelibus S. Multi elati magnitudine honoris & beneficiorum quæ ex nimia conferentium bonitate percipiunt, non solùm erga inferiores exercent superbiam, verumetiam contra ipsos autores beneficij non verentur insolescere, quantum in se est tollentes omnem omnino gratitudinem, quæ vsquam est inter homines: & corrupti inopinata felicitate, abutuntur ea contra illos, per quos eam adepti sunt, nec Deum quidem timentes, cuius numen putant se posse fallere. Ex his quidam propter amicitiā præpositi cum potestate administrandis publicis negotiis, priuatis indulgēt odiis: & decipiētes eos quos penes summum est imperium, falsis criminibus ac calumniis efficiunt vt indignentur innoxiis, atq; ita miseros adducunt in salutis periculum: id quod non è priscis exēplis aut fama auditis vobis potest esse perspicuum, sed ex facinore quod sub nostris admissum est oculis: vt posthac non oporteat mentem adhibere qualibuscunque criminibus vel potiùs calumniis, sed de cognitis caussis iudicare: & si quidem peccatū sit, seuerè animaduertere: sin contrà, absoluere: & rebus non verbis credere. Nanq; Aman filius Amadathis, genere Amalecita, & externi non Persici sanguinis,

Esth. 8.

τοῦτο γὰρ αὐτῷ πυνθανομένῳ τὸν οἰκέτην εἰπεῖν, ὅτι καλέσων αὐτὸν ἐπὶ τὸ δεῖπνον ἔλθοι πρὸς αὐτόν. εἶναι δὲ τὸν σταυρὸν ἔλεγε, ν' πήχεων τὸ ὕψος. ὁ δὲ βασιλεὺς ἀκούσας, οὐκ ἄλλῃ τιμωρίᾳ περιβαλεῖν ἔκρινε τὸν ἀμάνην, ἢ τῇ κατὰ μαρδοχαίου νενοημένῃ. καὶ κελεύει παραχρῆμα αὐτὸν ἐξ ἐκείνου σταυροῦ κρεμασθέντα, ἀποθανεῖν. ὅθεν ἐπέρχεταί μοι τὸ θεῖον θαυμάζειν, καὶ τὴν σοφίαν αὐτοῦ καὶ δικαιοσύνην καταμανθάνειν, μὴ μόνον τὴν ἀμάνου κολάσαντος πονηρίαν, ἀλλὰ καὶ τὴν κατ' ἄλλου μεμηχανημένην τιμωρίαν, ταύτην ἐκείνου ποιήσαντος εἶναι. καὶ τοῖς ἄλλοις μαθεῖν οὕτως γνῶναι παρεσχηκότος, ὡς ἃ καθ' ἑτέρου τις παρεσκεύασε, ταῦτα λανθάνει καθ' ἑαυτοῦ πρῶτον ἑτοιμασάμενος. ἀμάνης μὲν οὖν ἀμετρήτῳ παρὰ τοῦ βασιλέως χρώμενος τιμῇ, τοῦτον διεφθάρη τὸν τρόπον. τὴν δὲ οὐσίαν αὐτοῦ, ἐχαρίσατο τῇ βασιλίσσῃ. μαρδοχαῖον δὲ προσκαλεσάμενος, καὶ γὰρ ἐδήλωσεν αὐτῷ τὴν πρὸς αὐτὸν συγγένειαν ἐσθήρα, ὃν ἔδωκεν ἀμάνῃ δακτύλιον, τοῦτον μαρδοχαίῳ δίδωσι. δωρεῖται δὲ καὶ ἡ βασίλισσα μαρδοχαίῳ, τὴν ἀμάνου κτῆσιν, καὶ δεῖται τοῦ βασιλέως, ἀπαλλάξαι τοῦ περὶ τῆς ζωῆς φόβου τὸ τῶν ἰουδαίων ἔθνος, δηλοῦσα τὰ γραφέντα κατὰ πᾶσαν τὴν χώραν ὑπὸ ἀμάνου τοῦ ἀμαδάθου. τῆς γὰρ πατρίδος αὐτῆς διαφθαρείσης, καὶ τῶν ὁμοφύλων ἀπολομένων, οὐκ ἂν ὑπομένειν τὸν βίον. ὁ δὲ βασιλεὺς ὑπέσχετο μηδὲν ἄχαρι αὐτῇ ἐσπουδακέναι, μηδ' οἷς βούλεται ἐναντίον ἔσεσθαι. γράφειν δὲ ἃ βούλεται προσέταξε περὶ τῶν ἰουδαίων ἐκείνην ἐκ τοῦ βασιλέως ὀνόματος, καὶ σημηναμένην αὐτοῦ τῇ σφραγῖδι, πέμπειν εἰς πᾶσαν τὴν βασιλείαν. τοὺς γὰρ ἀναγνωσομένους τὰς ὑπὸ τοῦ βασιλικοῦ σημαντῆρος ἠσφαλισμένας ἐπιστολάς, οὐδὲν περὶ τῶν ἐγγεγραμμένων ἐναντιώσεσθαι. μεταπεμφθέντας οὖν τοὺς βασιλικοὺς γραμματεῖς ἐκέλευσε γράφειν τοῖς ἔθνεσιν ὑπὲρ τῶν ἰουδαίων, τοῖς τε οἰκονόμοις καὶ ἄρχουσιν, ἀπὸ ἰνδικῆς ἕως τῆς αἰθιοπίας, ρκζ σατραπειῶν ἡγουμένοις. τὰ δὲ γραφέντα, τοῦτον εἶχε τὸν τρόπον. βασιλεὺς μέγας ἀρταξέρξης, τοῖς ἄρχουσι καὶ τὰ ἡμέτερα φρονοῦσι, χαίρειν. πολλοὶ διὰ μέγεθος εὐεργεσίας καὶ τιμῆς, ἣν δι' ὑπερβολὴν χρηστότητος τῶν παρεχόντων ἐκαρποῦντο, οὐκ εἰς τοὺς ὑποδεεστέρους μόνον ἐξυβρίζουσιν, ἀλλ' οὐδ' αὐτοὺς ἀδικεῖν ὤκνησαν τοὺς εὐεργετοῦντας, τὸ εὐχάριστον ἐξ ἀνθρώπων ἀναιροῦντες. καὶ δι' ἀπειροκαλίαν τῶν οὐκ ἐξ ὧν προσεδόκησαν ἀγαθῶν, κόρον εἰς τοὺς αἰτίους ἀφέντες, λήσεσθαι τὸ θεῖον ἐπὶ τούτοις νομίζουσι, καὶ τὴν ἐξ αὐτοῦ διαφεύξεσθαι δίκην. ἔνιοι δὲ τούτων προστασίαν πραγμάτων ἐπιτραπέντες παρὰ τῶν φίλων, καὶ μῖσος ἴδιον ἔχοντες πρός τινας, παραλογισάμενοι τοὺς κρατοῦντας ψευδέσιν αἰτίαις καὶ διαβολαῖς ἔπεισαν κατὰ μηδὲν ἀδικηκότων ὀργὴν ἀναλαβεῖν, ὑφ' ἧς ἐκινδύνευσαν ἀπολέσθαι. τοῦτο δὲ οὐκ ἐκ τῶν ἀρχαιοτέρων οὐδ' ἀκοῇ γνωρίμων ἡμῖν, οὕτως ἰδεῖν ἔστιν ἔχον, ἀλλ' ἐκ τῶν παρὰ τὰς ἡμετέρας ὄψεις τετολμημένων, ὡς διαβολαῖς μὲν καὶ κατηγορίαις μὴ προσέχειν ἔτι τοῦ λοιποῦ, μηδ' οἷς ἕτεροι πείθειν ἐπιχειροῦσι, κρίνειν δὲ ὅσα τις αὐτὸς οἶδε πεπραγμένα, καὶ κολάζειν μὲν ἂν ᾖ τοιαῦτα, χαρίζεσθαι δ' ἂν ἑτέρως ἔχῃ, τοῖς ἔργοις αὐτοῖς, ἀλλὰ μὴ τοῖς λέγουσι προστιθέμενον. ὡς μὲν οὖν ἀμάνης, ἀμαδάθου μὲν παῖς, ἀμαληκίτης δὲ τὸ γένος, ἀλλότριος ὢν τοῦ περσῶν αἵματος, ἐπιξενω-

ἐπιξενωθεὶς ἡμῖν ἀπήλαυσε τῆς πρὸς ἅπαντα χρηστότητος, ἐπὶ τοσοῦτον ὡς πατέρα μου τὸ λοιπὸν προσαγορεύεσθαι, καὶ προσκυνούμενον διατελεῖν, καὶ μεθ' ἡμᾶς τὰ δεύτερα τῆς βασιλικῆς παρὰ πάντων τιμῆς ἀποφέρεσθαι, τὴν εὐτυχίαν οὐκ ἤνεγκεν, οὐδὲ σώφρονι λογισμῷ τὸ μέγεθος τῶν ἀγαθῶν ἐταμίευσεν, ἀλλὰ τῆς βασιλείας ἐπεβούλευσέ με καὶ τῆς ψυχῆς τὸν αἴτιον αὐτῷ τῆς ἐξουσίας, ἀφελέσθαι τὸν εὐεργέτην μου καὶ σωτῆρα μαρδοχαῖον, καὶ τὴν κοινωνὸν ἡμῖν τοῦ τε βίου καὶ τῆς ἀρχῆς ἐσθῆραν, κακούργως καὶ μετ' ἀπάτης πρὸς ἀπώλειαν αἰτησάμενος. τούτῳ γάρ με τῷ τρόπῳ τῶν εὐνοούντων ἐρημώσας, ἐβούλετο τὴν ἀρχὴν εἰς ἄλλους μεταβαλεῖν. ἐγὼ δὲ τοὺς ὑπὸ τοῦ ἀλιτηρίου πρὸς ἀπώλειαν ἐκδοθέντας ἰουδαίους, οὐ πονηροὺς κατανοήσας, ἀλλὰ τὸν ἄριστον πολιτευομένους τρόπον, καὶ τῷ θεῷ προσανέχοντας, ὃς ἐμοί τε καὶ τοῖς προγόνοις ἡμῶν τὴν βασιλείαν διεφύλαξεν, οὐ μόνον ἀπολύω τῆς ἐκ τῶν προαπεσταλμένων ὑπὸ ἀμάνου γραμμάτων τιμωρίας, οἷς ποιήσετε καλῶς μὴ προσέχοντες, ἀλλὰ καὶ τιμῆς αὐτοὺς ἁπάσης τυγχάνειν βούλομαι. καὶ τὸν ταῦτα κατ' αὐτῶν μηχανησάμενον, πρὸ τῶν πυλῶν τῶν ἐν σούσοις ἀνεσταύρωσα μετὰ τῆς γενεᾶς, τοῦ πάντα ἐφορῶντος θεοῦ, ταύτην αὐτῷ τὴν δίκην ἐπιβαλόντος. κελεύω δὲ ὑμᾶς τὸ ἀντίγραφον τῆς ἐπιστολῆς ἐκθέντας εἰς ἅπασαν τὴν βασιλείαν, τοὺς ἰουδαίους ἀφεῖσθαι τοῖς ἰδίοις νόμοις χρωμένους, ζῆν μετ' εἰρήνης, καὶ βοηθεῖν αὐτοῖς ὅπως τοὺς ἐν οἷς ἠτύχησαν καιροῖς ἀδικήσαντας αὐτοὺς, ἀμύνωνται, τῇ ιγ' τοῦ ιβ' μηνὸς, ὅς ἐστιν ἀδὰρ, τῇ αὐτῇ ἡμέρᾳ. ταύτην γὰρ αὐτοῖς ὁ θεὸς, ἀντὶ ὀλεθρίας, σωτήριον πεποίηκεν. ἔστω δὲ ἀγαθὴ μὲν τοῖς εὐνοοῦσιν ἡμῖν, ὑπόμνησις δὲ τῆς τῶν ἐπιβουλευσάντων κολάσεως. εἰδέναι μέν τοι γε βούλομαι, καὶ πόλιν καὶ πᾶν ἔθνος, κἂν τῶν γεγραμμένων τινὸς παρακούσῃ, ὅτι καὶ πυρὶ καὶ σιδήρῳ δαπανηθήσεται. τὰ μέν τοι γεγραμμένα, προτιθέντω καθ' ὅλης τῆς ἡμῖν ὑπηκόου χώρας, καὶ παρασκευαζέσθωσαν πάντες εἰς τὴν προγεγραμμένην ἡμέραν, ἵνα τοὺς ἐχθροὺς μετέλθωσιν. οἱ μὲν οὖν ἱππεῖς οἱ τὰς ἐπιστολὰς διακομίζοντες, εὐθὺς ἐξορμήσαντες τὴν προκειμένην ὁδὸν ἤνυον. ὁ δὲ μαρδοχαῖος ὡς ἀναλαβὼν τὴν βασιλικὴν στολὴν, καὶ τὸν στέφανον τὸν χρυσοῦν, καὶ τὸν στρεπτὸν περιθέμενος προῆλθεν, ἰδόντες αὐτὸν οὕτως τετιμημένον ὑπὸ τοῦ βασιλέως οἱ ἐν σούσοις ὄντες ἰουδαῖοι, κοινὴν ὑπέλαβον τὴν εὐπραγίαν αὐτοῦ. χαρὰ δὲ καὶ σωτήριον φέγγος ἐκτιθεμένων τῶν τοῦ βασιλέως γραμμάτων, καὶ τοὺς κατὰ πόλιν τῶν ἰουδαίων, καὶ τοὺς κατὰ χώραν ἐπεῖχεν. ὡς πολλὰ καὶ τῶν ἄλλων ἐθνῶν, διὰ τὸν ἐκ τῶν ἰουδαίων φόβον περιτεμνόμενα τὴν αἰδῶ, τὸ ἀκίνδυνον αὐτοῖς ἐκ τούτου πραγματεύσασθαι. καὶ γὰρ τοῦ ιβ' μηνὸς τῇ ιγ', ὃς κατὰ μὲν ἑβραίους ἀδὰρ καλεῖται, κατὰ δὲ μακεδόνας δύστρος, οἱ κομίσαντες τὰ τοῦ βασιλέως γράμματα ἐδήλουν, ὅπως καθ' ἣν ἡμέραν αὐτοὶ κινδυνεύειν ἔμελλον, ἐν ταύτῃ τοὺς ἐχθροὺς ἀπολέσωσιν. οἱ δὲ ἄρχοντες τῶν σατραπειῶν καὶ οἱ τύραννοι καὶ οἱ βασιλεῖς καὶ γραμματεῖς, εἶχον ἐν τιμῇ τοὺς ἰουδαίους. ὁ γὰρ ἐκ μαρδοχαίου φόβος ἠνάγκαζεν αὐτοὺς σωφρονεῖν. τοῦ δὲ γράμματος τοῦ βασιλικοῦ, διὰ πάσης τῆς ὑπ' αὐτῷ χώρας γινομένου συνέπεσιν,

A hospitij iure primùm receptus, deinde per nostram bonitatem in tanto honore habitus, vt patris appellatione eum dignaremur, & adorari iuberemus, atque secundum post nos locum obtinere, felicitatem suam ferre non potuit, neque sobria mente magnitudinem honoris metiri: sed regno meo struxit insidias, & eo cui vitam & imperium debeo, benefactore ac seruatore Mardochæo priuare me B voluit, simúlque vitæ ac regni socia Esthere, malis artibus petitis ad interitum. Sic enim orbato mihi hominibus amicissimis, imperium postremò voluit adimere. Ego verò quoniam à scelesto homine destinatos neci Iudæos non malos esse compertum habeo, sed optimis institutis viuere, ac Deum colere eum qui & maioribus meis & mihi largitus est & seruat hoc imperium, non solùm absoluo eos à pœna quæ prioribus continetur literis, per C Amanem ad vos transmissis, quibus mentem adhibere non debetis: verumetiam volo vt eos omni honore persequamini, nam eum qui his perniciem molitus est, cum tota familia pro portis Susorum in cruces suffixi, omnipotente Deo iustissimas pœnas à scelesto exigente. Iubeóque vt transcriptis in plurima exempla & per totam nostram ditionem vulgatis his literis, Iudæos sinatis suis legibus in pace viuere, eísque sitis auxilio, vt possint pœnas sumere D de illis qui eorum aduersis temporibus iniurias eis facere ausi sunt: idque decimatertia die mensis duodecimi qui est Adar: quandoquidem Deus eam diem per internecíua salutarem eis esse voluit: quæ quidem felix sit iis qui nobis bene cupiunt, & monumentum vltionis de insidiarum machinatoribus. Notum esse volo omnibus & vrbibus & gentibus, quòd quæcunque aliquid ex his quæ nunc E mandamus per inobedientiam facere neglexerit, ferro & igni vastabitur. atque hę literæ proponantur per vniuersam nostram ditionem, & accingant se vtique in præscriptam diem, vt se de inimicis suis vindicent. Cum his literis continuò veredarij per omnes vias dimissi sunt, Mardochæum verò cultu regio coronáque aurea & torque ornatum è palatio prodeuntem vt videre Iudæi, felicitatem eam sibi quoque communem interpretati sunt. Ingens præterea F gaudium, quasi noua salutis luce oborta, dum per singulas vrbes proponuntur regiæ literæ, Iudæos omnes quotquot vel oppida vel agros habitarent occupauit: ita vt multi aliarum gentium, metu eorum circuncidentes verenda, securitatem sibi hoc pacto quærerent. Nam ad decimamtertiam diem mensis duodecimi, qui Hebræis Adar, Macedonibus Dystrus dicitur, perlatæ literæ regiæ animabant G Iudæos, vt qua die ipsis imminebat exitium, ea in inimicos impune sæuirent. quo factum est vt procuratores, magistratus, satrapæ, tyranni, reges, in precio Iudæos haberent, omnibus modestiam indente metu ex Mardochæo. post diuulgatas enim vbique regias literas,

A etiam apud Susa interfecerunt Iudæi ex inimicis suis circiter D. homines:& cùm rex coniugi indicaret cæsorum inter mœnia numerum: nã incompertum esse quantus sit in aliis ciuitatibus, rogarétque ecquid amplius vellet, potituram enim cupitis: rogauit illa vt permitteret Iudęis sequenti quoque die in reliquias inimicorum ad eundem modum desæuire,& decem Amani filios in crucem agere:& id quoque Iudæis concessum est, rege nolente Estheri in vlla re contradicere. At illi rursum cateruatim B decimaquarta Dystri discurrentes, occiderunt fermè trecentos ex aduersariis, ne minimum quidem attingendo ex eorum facultatibus: per alia verò oppida eodem Iudæorum incursu perierunt LXXV. millia eorum qui pro inimicis sunt habiti: quæ cædes decimatertia die patrata est, sequentem verò festis attribuerunt epulis. apud Susa quoq; quartamdecimam sequentis mensis per festos cœtus celebrauerunt: vnde C hodie quoque per totum orbem Iudæis hi dies festi sunt,& partes de conuiuiis sibi mittũt inuicem. Scripsitque Mardochæus omnibus sub Artaxerxis dominio de gentibus Iudæis, vt vniuersi hos dies festos agerent, & posteritati quoque traderent, vt sempiternum id festum ad perpetuam rei memoriam maneat. Æquum nanque esse, vt cùm per eos dies dolis Amanis in salutis discrimen adducti sint, tam suæ liberationis, quàm de inimicis vindictæ memoriã D celebrẽt,& pro tanto beneficio Deo agant gratias. Quamobrem ea festa per eos dies obseruant, Phuræa vocantes, quasi conseruatoria. Cæterùm Mardochæus illustri loco apud regem fuit, vir præpotens, regi administrationis, reginæ verò etiam vitæ socius: quorum opera Iudæorum res floruerunt suprà quàm vel sperare poterant. Atque hæc ferè sunt quæ sub E hoc rege genti nostræ euenêre memorabilia.

CAP. VII.

Bagoses, penes quem Artaxerxis iunioris exercitus fuit imperium, multis iniuriis Iudæos affecit.

VII. POst Eliasibi autem pontificis obitum, sacerdotium eius Iudas filius iure suscepit hæreditario:& huic quoque defuncto successit F Ioannes filius, qui in causa fuit, vt Bagoses Artaxerxis copiarum imperator templum pollueret. idem dux etiam tributa Iudæis imposuit, vt prius quàm quotidianas hostias offerrẽt, in singulos annos ex publico quinquaginta drachmas penderent: idque ita ob hanc causam accidit. Erat Ioanni frater Iesus. huic quòd amicus esset Bagoses, pontificatum se daturũ est pollicitus. hac fiducia Iesus cùm liberiùs cum fratre in templo altercaretur, re vsq; rixam progressa, tantam bilem mouit fratri vt ab eo per iram G interficeretur. quæ quidem impietas fuit longè maxima, præsertim in homine sacerdote:& quod grauius est, nullum tale impietatis exemplũ extat vel apud Græcos vel apud Barbaros.

ὡς τι καὶ τοὺς ἐν σούσοις ἰουδαίους ἀποκτεῖναι τῶν ἐχθρῶν περὶ πεντακοσίους. τοῦ δὲ βασιλέως τῶν ἀπολωλότων ἐν τῇ πόλει δηλώσαντος τὸν ἀριθμὸν ἐσθήρᾳ, καὶ περὶ τῶν ἐπὶ τῆς χώρας τί ποτ' εἴη γεγονὸς διαπορούντος, κἂν ἔτι πρὸς τούτοις ἐπ' αὐτοὺς γενέσθαι βούλεται πυνθανομένου, παραχθήσεσθαι γὰρ, παρεκάλεσεν ἐπιτρέψαι τοῖς ἰουδαίοις καὶ τὴν ἐπιοῦσαν ἡμέραν οὕτω χρήσασθαι τοῖς ὑπολειπομένοις τῶν ἐχθρῶν, καὶ τοὺς δέκα τοῦ ἀμάνου παῖδας ἀνασταυρῶσαι. καὶ τοῦτο μὲν προσέταξε τοῖς ἰουδαίοις ὁ βασιλεὺς, μηδὲν ἀντιλέγειν ἐσθήρᾳ βουλόμενος. οἱ δὲ πάλιν συστραφέντες τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ δύστρου μηνὸς, ἀπέκτειναν τῶν ἐναντίων ὡς τριακοσίους. καὶ οὐδενὸς τῶν ἐκείνοις ὑπαρχόντων ἥψαντο κτημάτων. ἀπέθανεν δὲ καὶ ὑπὸ τῶν ἐν τῇ χώρᾳ καὶ ταῖς ἄλλαις πόλεσιν ἰουδαίων, τῶν ἐχθρῶν αὐτοῖς, ἑπτακισμύριοι καὶ πεντακισχίλιοι. καὶ τούτους μὲν ἀπέκτειναν τῇ τρισκαιδεκάτῃ τοῦ μηνὸς, τὴν δ' ἐχομένην ἑορτάσιμον ἐποίησαν. ὁμοίως δὲ καὶ οἱ ἐν τοῖς σούσοις ἰουδαῖοι τὴν τεσσαρεσκαιδεκάτην ἐχομένου τοῦ μηνὸς, συναθροισθέντες εὐωχήθησαν. ὅθεν καὶ νῦν πάντες οἱ ἐν τῇ οἰκουμένῃ ἰουδαῖοι τὰς ἡμέρας ταύτας ἑορτάζουσι διαπεμπόμενοι μερίδας ἀλλήλοις. ἔγραψε δὲ μαρδοχαῖος τοῖς ἐν τῇ ἀρταξέρξου βασιλείᾳ ζῶσιν ἰουδαίοις, ταύτας παραφυλάσσειν τὰς ἡμέρας, καὶ ἑορτὴν ἄγειν αὐτὰς, καὶ τοῖς ἐκγόνοις παραδοῦναι, πρὸς πάντα διαμεῖναι τὸν χρόνον τὴν ἑορτὴν, ἕνεκα τοῦ καὶ μὴ λήθῃ παραπολέσθαι. μελλήσαντας γὰρ αὐτοὺς ἐν ταύταις διαφθείρεσθαι ταῖς ἡμέραις ὑπὸ ἀμάνου, δίκαια ποιήσειν, εἰ διαφυγόντες μὲν τὸν κίνδυνον ἐν αὐταῖς, τοὺς δ' ἐχθροὺς τιμωρησάμενοι, παρατηρήσονται αὐτὰς εὐχαριστοῦντες τῷ θεῷ. διὰ ταῦτα μὲν ἰουδαῖοι τὰς προειρημένας ἡμέρας ἑορτάζουσι, προσαγορεύσαντες αὐτὰς φρουραίους. ὁ δὲ μαρδοχαῖος, μέγας τε ἦν καὶ λαμπρὸς παρὰ τῷ βασιλεῖ. καὶ συνδιεῖπεν αὐτῷ τὴν ἀρχήν, ἀπολαύων ἅμα καὶ τῆς κοινωνίας τοῦ βίου τῇ βασιλίσσῃ. ἦν δὲ καὶ τοῖς ἰουδαίοις τὰ πράγματα δι' αὐτοὺς ἀμείνω πάσης ἐλπίδος. καὶ τὰ μὲν τούτοις βασιλεύοντος ἀρταξέρξου συμβαίνοντα τοῦτον εἶχε τὸν τρόπον.

Κεφάλαιον ζ΄.

Ὡς βαγώσης, ὁ ἀρταξέρξου τοῦ νεωτέρου στρατηγὸς, πολλὰ εἰς τοὺς ἰουδαίους ἐξύβρισεν.

ΑΠοθανόντος δὲ τοῦ ἀρχιερέως ἐλιασίβου, τὴν ἀρχιερωσύνην ἰούδας ὁ παῖς αὐτοῦ διεδέξατο. τελευτήσαντος δὲ καὶ τούτου τὴν τιμὴν ὁ ἰωάννης υἱὸς ὢν αὐτοῦ παρέλαβε, δι' ὃν καὶ βαγώσης ὁ στρατηγὸς τοῦ ἄλλου ἀρταξέρξου, τὸν ναὸν ἐμίανε. καὶ φόρους ἐπέταξε τοῖς ἰουδαίοις, πρὶν ἢ τὰς καθημερινὰς ἐπιφέρειν θυσίας, ὑπὲρ ἀρνοῦ ἑκάστου τελεῖν αὐτοὺς δημόσια δραχμὰς πεντήκοντα. τούτου δὲ τὴν αἰτίαν τοιαύτην συνέβη γενέσθαι. ἀδελφὸς ἦν τῷ ἰωάννῃ ἰησοῦς. τούτῳ φίλῳ τυγχάνοντι ὁ βαγώσης ὑπέσχετο τὴν ἀρχιερωσύνην παρέξειν. ἀπὸ ταύτης οὖν τῆς πεποιθήσεως ἰησοῦς ἐν τῷ ναῷ διενεχθεὶς τῷ ἰωάννῃ, παρώξυνε τὸν ἀδελφὸν, ὥς τε αὐτὸν ἀνελεῖν διὰ τὴν ὀργήν. τηλικοῦτον δὲ ἀσέβημα δρᾶσαι κατ' ἀδελφοῦ τὸν ἰωάννην ἱερώμενον, δεινὸν ἦν. καὶ τὸ δεινότερον, ὡς μήτε παρ' ἕλλησι, μήτε παρὰ βαρβάροις ὠμὸν οὕτω καὶ ἀσεβὲς πρᾶγμα γεγονέναι.

τὸ μὴν

τὸ μέντοι θεῖον οὐκ ἠμέλησεν, ἀλλὰ καὶ ὁ λαὸς δι' αὐτὴν τὴν αἰτίαν ἐδουλώθη, καὶ ὁ ναὸς ἐμιάνθη ὑπὸ περσῶν. βαγώσης δὲ ὁ στρατηγὸς ἀρταξέρξου γνοὺς ὅτι ὁ ἀρχιερεὺς τῶν ἰουδαίων ἰωάννης τὸν ἴδιον ἀδελφὸν ἰησοῦν ἐν τῷ ἱερῷ ἐφόνευσεν, εὐθὺς ἐπιστὰς τοῖς ἰουδαίοις, μετὰ θυμοῦ ἤρξατο λέγειν, ἐτολμήσατε ἐν τῷ ὑμετέρῳ ναῷ φόνον ἐργάσασθαι. πειρώμενον δὲ αὐτὸν εἰσελθεῖν εἰς τὸν ναὸν ἐκώλυον αὐτόν. ὁ δὲ πρὸς αὐτοὺς ἔφη, πῶς οὐκ ἐγὼ καθαρώτερος εἰμὶ τοῦ ἀνῃρημένου ἐν τῷ ναῷ; καὶ τούτους ποιησάμενος τοὺς λόγους εἰς τὸν ναὸν εἰσέρχεται. ταύτῃ μὲν οὖν χρησάμενος τῇ ἐπινοίᾳ βαγώσης, τοὺς ἰουδαίους ἔτεσιν ἑπτὰ ὑπὲρ τῆς ἰησοῦ τελευτῆς μετῆλθε. καταστρέψαντος δὲ τοῦ ἰωάννου τὸν βίον, διαδέχεται τὴν ἀρχιερωσύνην ὁ υἱὸς αὐτοῦ ἰαδδοῦς. ἦν δὲ καὶ τούτῳ ἀδελφὸς μανασσῆς ὄνομα, ᾧ σαναβαλλέτης ὁ πεμφθεὶς εἰς σαμάρειαν ὑπὸ δαρείου τοῦ τελευταίου βασιλέως, σατράπης, χουθαῖος τὸ γένος, ἐξ ὧν καὶ οἱ σαμαρεῖς εἰσιν, εἰδὼς λαμπρὰν οὖσαν πόλιν τὰ ἱεροσόλυμα καὶ πολλὰ τοῖς ἀσσυρίοις καὶ τοῖς ἐν τῇ κοίλῃ συρίᾳ κατοικοῦσι τοὺς ἐν αὐτῇ βασιλεῖς πράγματα παρασχόντας, ἀσμένως συνῴκισε τὴν αὐτοῦ θυγατέρα, νικασὼ καλουμένην, οἰόμενος τὴν ἐπιγαμίαν ὅμηρον αὐτῷ γενήσεσθαι, πρὸς τὴν ὑπὸ τοῦ τῶν ἰουδαίων ἔθνους παντὸς εὔνοιαν.

Κεφάλαιον η'.

Ὅσα ὁ μακεδόνων βασιλεὺς ἀλέξανδρος τοὺς ἰουδαίους εὐηργέτησεν.

Κατὰ δὲ τοῦτον τὸν καιρὸν, καὶ φίλιππος ὁ τῶν μακεδόνων βασιλεὺς ἐν αἰγαίαις ὑπὸ παυσανίου τοῦ κεράστου, ἐκ δὲ τοῦ τῶν ὀρεστῶν γένους δολοφονηθεὶς, ἀπέθανε. παραλαβὼν δὲ ὁ παῖς αὐτοῦ τὴν βασιλείαν ἀλέξανδρος, καὶ διαβὰς τὸν ἑλλήσποντον, νικᾷ μὲν τοὺς δαρείου στρατηγοὺς, ἐπὶ γρανικῷ συμβαλὼν αὐτοῖς. ἐπελθὼν δὲ τὴν λυδίαν, καὶ τὴν ἰωνίαν δουλωσάμενος, καὶ τὴν καρίαν ἐπιδραμὼν, τοῖς ἐν παμφυλίᾳ τόποις ἐπέβαλε, καθὼς ἐν ἄλλοις δεδήλωται. οἱ δὲ τῶν ἱεροσολύμων πρεσβύτεροι, δυσπαθοῦντες ἐπὶ τῷ τὸν ἰάδδου τοῦ ἀρχιερέως ἀδελφὸν ἀλλοφύλῳ συνοικοῦντα μετέχειν τῆς ἀρχιερωσύνης, ἐστασίαζον πρὸς αὐτόν. ἡγοῦντο γὰρ τὸν τούτου γάμον, ἐπιβάθραν τοῖς παρανομεῖν περὶ τὰς τῶν γυναικῶν συνοικήσεις βουλησομένοις γενέσθαι. καὶ τῆς πρὸς τοὺς ἀλλοφύλους αὐτοῖς κοινωνίας ἀρχὴν τοῦτο ἔσεσθαι. ὑπάρξαι μέντοι καὶ τῆς προτέρας αἰχμαλωσίας αὐτοῖς καὶ τῶν κακῶν αἴτιον, τὸ περὶ τοὺς γάμους πλημμελῆσαί τινας καὶ ἀγαγέσθαι γυναῖκας οὐκ ἐπιχωρίους. ἐκέλευον οὖν τὸν μανασσῆν διαζεύγνυσθαι τῆς γυναικὸς, ἢ μὴ προσιέναι τῷ θυσιαστηρίῳ. τοῦ δὲ ἀρχιερέως ἀγανακτοῦντος τῷ λαῷ, καὶ εἴργοντος τὸν ἀδελφὸν τοῦ βωμοῦ, παραγενόμενος ὁ μανασσῆς πρὸς τὸν πενθερὸν σαναβαλλέτην, στέργειν μὲν ἔλεγεν αὐτοῦ τὴν θυγατέρα νικασὼ, τῆς μὲν ἱερατικῆς μεγίστης οὔσης ἐν τῷ ἔθνει, καὶ τῷ γένει παραμενούσης, οὐ βούλεσθαι δι' αὐτὴν στέρεσθαι. τοῦ δὲ σαναβαλλέτου μὴ μόνον τηρήσειν αὐτῷ τὴν ἱερωσύνην, ἀλλὰ καὶ τὴν ἀρχιερατικὴν παρέξειν δύναμιν καὶ τιμὴν ὑπισχνουμένου, καὶ πάντων ἀποδείξειν ὧν αὐτὸς ἐπῆρχε τόπων ἡγεμόνα, βουλόμενον συνοικεῖν αὐτοῦ τῇ θυγατρὶ, καὶ λέγοντος οἰκοδομήσειν ναὸν ὅμοιον ὄντα τῷ ἐν τοῖς ἱεροσολύμοις ἐπὶ τοῦ γαριζὶν ὄρους τοῦ κατὰ τὴν σαμάρειαν,

A Deus certè hanc iniuriam non dissimulauit, sed & populus hac de causa libertatem amisit, & templum pollutum est à Persis. Nam Bagoses dux cognito quòd pontifex proprium fratrem in templo intermisset, superueniens Iudæis iratus clamitabat, Ausi estis scelesti in templo vestro cædem perpetrare? & cùm conatus templum ingredi arceretur: Quid, inquit, an me putatis impuriorem quàm cadauer quod iacet in templo? & his dictis ingres- B sus est: atque hac occasione per septennium eius cædis pœnas à Iudæis exegit. Mortuo deinde Ioanne, pontificatum accepit filius eius Iaddus. huic quoque frater fuit Manasses nomine: cui Sanaballetes missus in Samariam à Dario rege vltimo satrapa, Chuthæus genere, vnde & Samaritis origo est, sciens insignem esse vrbem Hierosolyma, regésque eius multa negotia tam Assyriis quàm Syris exhibuisse, libenter nuptam dedit filiam Nicaso, ratus con- C nubium hoc ceu vadem futuræ cum Iudæorum gente amicitiæ.

Cap. VIII.

Quanta Alexander Macedonum rex in Iudæos beneficia contulerit.

PEr idem tempus Philippus Macedonum rex apud Ægæas oppidum à Pausania Cerastæ filio ex Orestarum gente insidiis inter- D ceptus periit. Eius filius Alexander paternum regnum adeptus traiecto Hellesponto congressus ad Granicum flumen cum Darij ducibus vicit egregiè: subacta deinde Lydia & Ionia, ductóque per Cariam exercitu inuasit in Pamphyliam sicut alibi dictum est. Hierosolymorum autem seniores ægreferentes Iaddi pótificis fratrem & quodammodo collegam duxisse externi generis fœminam tumultuaban- E tur, rati gradum factum ad antiquandas patrias leges de connubiis, atque ita fore vt paulatim misceantur profanis gentibus. nam & prioris captiuitatis & malorum quæ secuta sunt causam fuisse, quòd quidam contra legem peccantes duxissent vxores non sui generis. postulabant igitur vt Manasses aut dimitteret vxorem, aut non amplius ad altare accederet. Et cùm pontifex quoque ab altari eum arce- F ret, profectus Manasses ad Sanaballetem socerum, se quidem amare dixit filiam eius Nicaso, nolle tamen propter eam priuari sacerdotio, qui honor & gentilitius sit ipsi, & apud Iudæos semper in maxima existimatione fuerit. Ad hæc cùm Sanaballetes respondisset, se illi non sacerdotium tantùm seruaturum, sed & pontificatum paraturum, & totius suæ prouinciæ principem eum facturum, modò filiā suam vxorem retineat: ædificaturúmque templum G Hierosolymitano simile in monte Garizin, qui imminet Samariæ reliquis montibus celsior:

idque polliceretur ex consensu regis Darij se
factūrum: elatus tali spe Manasses mansit apud
socerum, putans se pontificatum dante rege
consecuturum. Iam enim Sanaballetes erat se-
nior. Cúmque multi sacerdotes & Israelitæ in-
tricati essent eiusmodi coniugiis, non leuiter
turbabatur Hierosolymorum respublica. o-
mnes enim hi defecerunt ad Manassem, Sana-
ballete præbente eis & pecuniam & agros ad
colendum & domicilia, ac modis omnibus ad-
iutante ambitionem generi.

VIII. Quo tempore Da-
rius audito quòd Alexander traiecisset Helle-
spontum, & prælio victis ad Granicum suis sa-
trapis vlterius procederet, contractis tam pe-
destribus quàm equestribus copiis, decreuit
Macedonibus occurrere priusquam totam A-
siam sibi subiicerent. Itaque vltra Euphratem
traducto exercitu, & superato Tauro monte
Ciliciæ, statuit in ea prouincia hostem excipe-
re prælio. Sanaballetes autem lætus descensu
Darij, aiebat se mox præstiturum Manassi pol-
licita, quàm primùm rex reuerteretur post vi-
ctoriam. persuasum enim erat non ipsi tantùm,
sed & omnibus Asiaticis, ne primùm quidem
congressum expectaturos Macedonas, tanto
inferiores numero: sed longè alius fuit euen-
tus quàm ipsorum opinio. Rex enim collatis
cum Macedonibus signis victus est, & magna
exercitus parte amissa, matre etiam & vxore
cum liberis in hostium potestatem redactis,
fugit in Persidem. Alexander verò in Syriam
veniens cepit Damascum, & occupata Sidone
Tyrum quoque oppugnabat: scriptísque ad
Iudæorum pontificem literis petebat auxilium,
& vt forum rerum venalium præberet exerci-
tui: & vt quæ priùs Dario conferre sit solitus,
nunc det Macedonibus, prælata eorum amici-
tia: fore enim vt illum non pœniteat. cúmque
pontifex nunciis respondisset, sacramento se
obligatum Dario, ne arma contra eum sume-
ret, idque ratum fore quàm diu ille vixerit: i-
ratus Alexander Tyri quidem oppugnatio-
nem non omisit, qua breui potiturus videba-
tur: minatus est tamen hac capta mox se ductu-
rum contra pontificem, vt omnes discant, cui
iusiurandum seruari oporteat. quare non par-
cens labori tandem Tyrum expugnauit, &
constitutis in ea rebus Gazam profectus, in ea
Babemesem Persici præsidij præfectum obse-
dit. Interea Sanaballetes ratus iam adesse tem-
pus, à Dario defecit: & assumptis octo mil-
libus de sua prouincia, in Alexandri castra se
contulit, cúmque offendisset eum Tyri oppu-
gnationem aggredientem, & suam prouin-
ciam eius fidei commisit, & hunc pro Dario
dominum libenter agnouit. à quo obuiis ma-
nibus exceptus, liberè iã quid vellet elocutus,
ait se generum habere Manassem, Iaddi Iudæo-
rum pontificis fratrem: eum sequi multos illius
gentis homines, & velle in sua prouincia tem-
plum extruere. idque fore in rem ipsius regis,

A ὃ τῶν ἄλλων ὀρῶν ἐστὶν ὑψηλότατον, καὶ ταῦτα ποιήσειν
ἐπαγγελλομένου μετὰ τῆς Δαρείου γνώμης τοῦ βασιλέως·
ἐπαρθεὶς ταῖς ὑποσχέσεσιν ὁ Μανασσῆς, παρέμενε τῷ
Σαναβαλλέτῃ, τὴν ἀρχιερωσύνην οἰόμενος ἕξειν Δα-
ρείου δόντος. καὶ γὰρ συνέβαινε τὸν Σαναβαλλέτην ἤδη
πρεσβύτερον εἶναι. πολλῶν δὲ ἱερέων καὶ Ἰσραηλιτῶν τοι-
ούτοις γάμοις ἐπιπεπλεγμένων, κατεῖχεν οὐ μικρὰ
ταραχὴ τοὺς Ἱεροσολυμίτας. ἀφίσταντο γὰρ ἅπαντες
B πρὸς τὸν Μανασσῆν, τοῦ Σαναβαλλέτου χορηγοῦντος
αὐτοῖς καὶ χρήματα, καὶ χώραν εἰς γεωργίαν καὶ κα-
τοίκησιν ἀπομερίζοντος, καὶ παντὶ τρόπῳ τῷ γαμ-
βρῷ συμφιλοκαλοῦντος. κατὰ δὲ τοῦτον τὸν καιρὸν Δα-
ρεῖος ἀκούσας, ὅτι τὸν Ἑλλήσποντον διαβὰς Ἀλέξαν-
δρος, καὶ τοὺς σατράπας αὐτοῦ τῇ κατὰ Γρανικὸν μά-
χῃ νικήσας, προσωτέρω χωρεῖ, στρατιὰν ἱππικήν τε
καὶ πεζικὴν συνήθροιζεν, ἀπαντῆσαι διεγνωκὼς τοῖς
Μακεδόσι πρὶν ἢ πᾶσαν αὐτοὺς ἐπιόντας καταστρέ-
C ψασθαι τὴν Ἀσίαν. περαιωσάμενος οὖν τὸν Εὐφρά-
την ποταμὸν, καὶ τὸν Ταῦρον τὸ Κιλίκιον ὄρος ὑπερ-
ελθὼν, εἴσω τῆς Κιλικίας τοὺς πολεμίους ὡς ἐκεῖ μα-
χησόμενος αὐτοῖς, ἐξεδέχετο. ἡσθεὶς δὲ τῇ Δαρείου
καταβάσει ὁ Σαναβαλλέτης, εὐθὺς ἔλεγε τῷ Μανασ-
σῇ τὰς ὑποσχέσεις τελεῖν, ὡς ἂν Δαρεῖος κρατήσας
τῶν πολεμίων ὑποστρέψῃ. πέπειστο γὰρ οὐκ αὐτὸς μό-
νος, ἀλλὰ καὶ πάντες οἱ ἐν τῇ Ἀσίᾳ, μηδ' εἰς χεῖρας
D τοῖς Πέρσαις ἥξειν τοὺς Μακεδόνας διὰ τὸ πλῆθος. ἀ-
πέβη δ' οὐχ ὡς προσεδόκων. συμβαλὼν γὰρ ὁ βασι-
λεὺς τοῖς Μακεδόσιν ἡττήθη, καὶ πολλὴν τῆς στρατιᾶς
ἀπολέσας, ληφθέντων αἰχμαλώτων αὐτοῦ τῆς μητρὸς
καὶ τῆς γυναικὸς καὶ τῶν τέκνων, ἔφυγεν εἰς Πέρσας.
Ἀλέξανδρος δὲ εἰς Συρίαν παραγενόμενος, Δαμασ-
κὸν αἱρεῖ. καὶ Σιδῶνος κρατήσας, ἐπολιόρκει Τύρον.
ἠξίου τε ἀποστείλας γράμματα, πρὸς τὸν τῶν Ἰου-
δαίων ἀρχιερέα, συμμαχίαν τε αὐτῷ πέμπειν, καὶ
E ἀγορὰν τῷ στρατεύματι παρασχεῖν, καὶ ὅσα Δαρείῳ
πρότερον ἐτέλουν δῶρα, τούτῳ διδόναι, τὴν Μα-
κεδόνων φιλίαν ἑλόμενον, οὐ γὰρ μετανοήσειν ἐπὶ
τούτοις. τοῦ δ' ἀρχιερέως ἀποκρινομένου τοῖς γραμ-
ματοφόροις ὡς ὅρκους εἴη Δαρείῳ δεδωκὼς, μὴ βα-
στάζειν ὅπλα κατ' αὐτοῦ, καὶ τούτους ἕως ἂν ἢ Δα-
ρεῖος ἐν τοῖς ζῶσι μὴ παραβήσεσθαι φήσαντος· ἀ-
κούσας Ἀλέξανδρος παρωξύνθη, καὶ τὴν μὲν Τύ-
ρον οὐκ ἔκρινε καταλιπεῖν, ὅσον οὐδέπω μέλλουσαν
F αἱρεῖσθαι. παραστησάμενος δὲ ταύτην, ἠπείλησε
στρατεύειν ἐπὶ τὸν Ἰουδαίων ἀρχιερέα, καὶ διδάξειν
πάντας πρὸς τίνας δεῖ αὐτοῖς φυλακτέον τοὺς ὅρκους.
ὅθεν πονικώτερον χρησάμενος τῇ πολιορκίᾳ, λαμ-
βάνει τὴν Τύρον. καταστησάμενος δὲ τὰ ἐν αὐτῇ, ἐ-
πὶ τὴν Γαζαίων πόλιν ἦλθεν. καὶ τήν τε Γάζαν καὶ τὸν
ἐν αὐτῇ φρούραρχον ὄνομα Βαβημήσην, ἐπολιόρκει.
νομίσας δὲ καιρὸν ἐπιτήδειον ἔχειν ὁ Σαναβαλλέτης
G τῆς ἐπιβολῆς, Δαρείου μὲν ἀπέγνω. καὶ λαβὼν ὀκτακι-
σχιλίους τῶν ἀρχομένων παρ' αὐτῷ, πρὸς Ἀλέξανδρον
ἧκε. καὶ καταλαβὼν αὐτὸν ἀρχόμενον τῆς Τύρου πολιορκίας, ὧν τε αὐτὸς ἄρχει τόπων ἔλεγεν αὐτὸν πα-
ραδιδόναι τούτοις, καὶ δεσπότην αὐτὸν ἔχειν ἡδέως ἀντὶ Δαρείου τοῦ βασιλέως. ἀσμένως δ' αὐτὸν προσδε-
ξαμένου, θαρρῶν ἤδη περὶ τῶν προκειμένων ὁ Σαναβαλλέτης αὐτῷ λόγους προσέφερε, δηλῶν, ὡς γαμβρὸν
μὲν ἔχοι Μανασσῆν, τοῦ τῶν Ἰουδαίων ἀρχιερέως Ἰαδδοῦ ἀδελφόν. πολλοὺς δὲ καὶ ἄλλους αὐτῷ συμπαρόντας τῶν
ὁμοεθνῶν θέλειν ἱερὸν ἐν τοῖς ὑπ' ἐκείνῳ τόποις ἤδη κατασκευάσαι. τοῦτο δ' εἶναι καὶ τῷ βασιλεῖ συμφέρον,
εἰς δύο

εἰς δύο διαιρεῖσθαι τὴν ἰουδαίων δύναμιν, ἵνα μὴ ὁμογνωμονοῦν τὸ ἔθνος, μηδὲ συνεστὸς εἰ νεωτερίσειέ ποτε, χαλεπὸν ᾖ τοῖς βασιλεῦσι, καθὼς καὶ πρότερον τοῖς ἀσσυρίων ἄρξασιν ἐγένετο. συγχωρήσαντος δὲ ἀλεξάνδρου, πᾶσαν εἰσενεγκάμενος σπουδὴν ᾠκοδόμησεν ὁ σαναβαλλέτης τὸν ναόν, καὶ ἱερέα τὸν μανασσῆν κατέστησε, μέγιστον γέρας ἡγησάμενος τοῖς ἐκ τῆς θυγατρὸς γενησομένοις τοῦτ᾽ ἔσεσθαι. μηνῶν δὲ ἑπτὰ τῇ τύρου πολιορκίᾳ διεληλυθότων, καὶ δύο τῇ γάζῃ, ὁ μὲν σαναβαλλέτης ἀπέθανεν. ὁ δὲ ἀλέξανδρος ἐξελὼν τὴν γάζαν, ἐπὶ τὴν τῶν ἱεροσολυμιτῶν πόλιν ἀναβαίνειν ἐσπουδάκει. ὁ δὲ ἀρχιερεὺς ἰαδδοῦς τοῦτο ἀκούσας, ἦν ἐν ἀγωνίᾳ καὶ δέει, πῶς ἀπαντήσῃ τοῖς μακεδόσιν ἀμηχανῶν, ὀργιζομένου τοῦ βασιλέως ἐπὶ τῇ πρότερον ἀπειθείᾳ. παραγγείλας οὖν ἱκεσίας τῷ λαῷ, καὶ θυσίαν μετ᾽ αὐτοῦ τῷ θεῷ προσφέρων, ἐδεῖτο ὑπερασπίσαι τοῦ ἔθνους, καὶ τῶν ἐπερχομένων κινδύνων ἀπαλλάξαι. κατακοιμηθέντι δὲ μετὰ τὴν θυσίαν ἐχρημάτισεν αὐτῷ κατὰ τοὺς ὕπνους ὁ θεὸς θαρρεῖν, καὶ στεφανώσαντας τὴν πόλιν, ἀνοίγειν τὰς πύλας. καὶ τοὺς μὲν ἄλλους λευκαῖς ἐσθῆσιν, αὐτὸν δὲ μετὰ τῶν ἱερέων ταῖς νομίμοις στολαῖς ποιεῖσθαι τὴν ὑπάντησιν, μηδὲν προσδοκῶντας πείσεσθαι δεινὸν, προνοουμένου τοῦ θεοῦ. διαναστὰς δὲ ἐκ τοῦ ὕπνου, ἔχαιρέ τε μεγάλως αὐτὸς, καὶ τὸ χρηματισθὲν αὐτῷ πᾶσι μηνύσας, καὶ ποιήσας ὅσα κατὰ τοὺς ὕπνους αὐτῷ παρηγγέλη, τὴν τοῦ βασιλέως παρουσίαν ἐξεδέχετο. πυθόμενος δὲ αὐτὸν οὐ πόρρω τῆς πόλεως ὄντα, πρόεισι μετὰ τῶν ἱερέων καὶ τοῦ πολιτικοῦ πλήθους, ἱεροπρεπῆ καὶ διαφέρουσαν τῶν ἄλλων ἐθνῶν ποιούμενος τὴν ὑπάντησιν εἰς τόπον τινὰ σαφὰ λεγόμενον, τὸ δὲ ὄνομα τοῦτο μεταφερόμενον εἰς τὴν ἑλληνικὴν γλῶσσαν σκοπὴν σημαίνει, τά τε γὰρ ἱεροσόλυμα καὶ τὸν ναὸν ἐκεῖθεν συνέβαινεν ἀφορᾶσθαι. τῶν δὲ φοινίκων καὶ τῶν ἀκολουθούντων χαλδαίων, ὅσα βασιλέως ὀργὴν εἰκὸς ἐπιτρέψειν αὐτοῖς, τήν τε πόλιν διαρπάσειν, καὶ τὸν ἀρχιερέα μετ᾽ αἰκίας ἀπολέσειν λογιζομένων, τὰ ἐναντία τούτων ἐγένετο. ὁ γὰρ ἀλέξανδρος ἔτι πόρρωθεν ἰδὼν, τὸ μὲν πλῆθος ἐν ταῖς λευκαῖς ἐσθῆσι, τοὺς δὲ ἱερεῖς προεστῶτας ἐν ταῖς βυσσίναις αὐτῶν, τὸν δὲ ἀρχιερέα ἐν τῇ ὑακινθίνῃ καὶ διαχρύσῳ στολῇ, καὶ ἐπὶ τῆς κεφαλῆς ἔχοντα τὴν κίδαριν καὶ τὸ χρυσοῦν ἐπ᾽ αὐτῆς ἔλασμα, ᾧ τὸ τοῦ θεοῦ ἐγέγραπτο ὄνομα, προσελθὼν μόνος, προσεκύνησε τὸ ὄνομα, καὶ τὸν ἀρχιερέα πρῶτος ἠσπάσατο. τῶν δὲ ἰουδαίων πάντων ὁμοῦ μιᾷ φωνῇ τὸν ἀλέξανδρον ἀσπασαμένων, καὶ κυκλωσαμένων αὐτὸν, οἱ μὲν τῆς συρίας βασιλεῖς καὶ οἱ λοιποὶ τοῦτο ποιήσαντος, κατεπλάγησαν καὶ διεφθάρθαι τοῦ βασιλέως τὴν διάνοιαν ὑπελάμβανον. παρμενίωνος δὲ μόνου προσελθόντος αὐτῷ καὶ πυθομένου, τί δήποτε προσκυνούντων αὐτὸν ἁπάντων αὐτὸς προσκυνήσειε τὸν ἰουδαίων ἀρχιερέα; οὐ τοῦτον εἶπε προσεκύνησα, τὸν δὲ θεὸν οὗ τὴν ἀρχιερωσύνην αὐτὸς τετίμηται. τοῦτον γὰρ καὶ κατὰ τοὺς ὕπνους εἶδον ἐν τῷ νῦν σχήματι, ἐν δίῳ τῆς μακεδονίας τυγχάνων, καὶ πρὸς ἐμαυτὸν διασκεπτομένῳ μοι πῶς ἂν κρατήσαιμι τῆς ἀσίας, παρεκελεύετο μὴ μέλλειν, ἀλλὰ θαρσοῦντα διαβαίνειν. αὐτὸς γὰρ ἡγήσεσθαί μοι τῆς στρατιᾶς, καὶ τὴν περσῶν παραδώσειν ἀρχήν. ὅθεν ἄλλον μὲν οὐδένα θεασάμενος ἐν τοιαύτῃ στολῇ, τοῦτον δὲ νῦν ἰδὼν καὶ τῆς κατὰ τοὺς ὕπνους ἐπιμνησθεὶς ὄψεώς τε καὶ παρακελεύσεως, νομίζω θείᾳ πομπῇ τὴν στρατείαν πεποιημένος, δαρεῖον νικήσειν, καὶ τὴν περσῶν καταλύσειν δύναμιν, καὶ πάνθ᾽ ὅσα κατὰ νοῦν ἐστί μοι προχωρήσειν.

A si diuidatur Iudæorum potentia: ne fortè de communi sententia rebellantes multum negotij regibus facessant, quemadmodum soliti sunt Assyriis imperantibus. quod vbi impetratum est omni ope adnitens templum ædificauit, & Manassem eius sacerdotem constituit, amplissimum hunc honorem filiæ suæ posteris relicturum se existimans. Septem autem mensibus in Tyri oppugnatione, & Gazæ duobus absumptis, Sanaballetes fato functus est: Alexãder B verò expugnata Gaza Hierosolyma properè petiit. Iaddus verò pontifex postquam hoc audiuit, solicitus hærebat inops consilij, nec inueniens quomodo regem deberet excipere, iratũ eo, quòd antea neglexisset imperata eius facere. Ergo indictis populo supplicationibus, & immolatis Deo victimis, ad opem eius confugit, illi publicam salutem commendans. Proxima deinde post sacrificiũ nocte, in somnis ei Deus C apparuit, iubens vt bono esset animo, & coronata vrbe portas aperiret: vtque populus in albis vestibus prodiret obuiam, ipse verò cum reliquis sacerdotibus solenni cultu sui ordinis, securi de Dei prouidentia. Experrectus autem è somno lætus ciuibus hoc oraculum indicat, & paratis omnibus vt in somnis præmonitus fuerat, regis aduentum præstolabatur: & cùm renunciatum esset eum iam non procul ab vr- D be abesse, progressus est cum sacerdotib⁹ & vrbana multitudine pompa quadam noua & venerabili vsque ad locum qui dicitur Sapha, quę vox speculam significat, quòd ibi & vrbs & tẽplũ in prospectu sit. Et cùm Phœnices ac Chaldæi sperarent sibi licere quicquid iratus rex posset permittere, direptionem vrbis, & pontificis exquisitum supplicium, planè contrarium euenit. Alexander enim vt vidit è longinquo E candidatum populum, & sacerdotes ante agmẽ in amictu byssino, pontificémque in stola hyacinthina auro distincta, tiaram in capite gestãtem cum præfixa aurea lamina insculpta Dei nomine: solus ad eum accedens nomen illud adorauit, & salutauit pontificem. Iudæis autem omnibus vno ore Alexandrum consalutantib⁹, & in orbem cingentibus, Syrię reges & reliqui obstupuerunt, vix credentes regem mentis cõpotem: solus Parmenio propius accedens roga- F uit familiariter, quid ita cùm ipse adoraretur ab omnibus, nunc adoraret Iudæorum pontificem. At ille non hunc se adorasse respondit, sed Deo, cuius pontifex esset, honorem eũ exhibuisse. hunc enim, inquit, vidi & antea hoc ipso habitu, cùm adhuc essem in Dio Macedonię, qui me deliberantem quomodo Asiam possem subigere, hortatus est forti esse animo, & sine mora exercitum traiicere. nam suo du- G ctu potiturum me Persarum imperio. Quapropter quia nunc primùm talem habitum vidi, agnoscens hunc & visionis memor quæ me ad hanc expeditionem impulit, puto me non sine numine in Darium exercitum ducere, & breui fore victoriæ compotem: & sublato Persarum imperio, cessura mihi omnia ex sententia.

Hæc locutus ad Parmenionem & comiter cō-plexus pontificem, deducentibus ſacerdotibus in vrbem peruenit. & aſcendens in templū immolauit Deo ex ſacerdotis præſcripto, ac pontifici quoque ſuum honorem exhibuit. Oſtenſóque ſibi Danielis libro, in quo Græcum quédam Perſas debellaturum ſignificat, hunc ipsū ſe eſſe interpretatus, lætus dimiſit multitudinē. Sequenti verò die vocatis eis iuſſit vt quicquid vellent peterent. Pontifice autem petente vt patriis legibus viuere ſibi liceat, vtque ſeptimo quoque anno concederetur eis tributorū immunitas, conceſſit omnia. Rogantibus deinde vt eos quoque Iudęos, qui Babyloniam ac Mediam colerēt, fineret vti inſtitutis propriis, hic etiam poſtulatis eorum ſatisfacturū ſe eſt pollicitus. Et cùm feciſſet eis poteſtatem, ſi qui vellent ſaluis ſuis ritibus ſequi eius militiam, multi in eam expeditionem dederunt nomina. Atque his apud Hieroſolyma actis, mouit inde in alias propinquas vrbes exercitum. cúmque ab omnibus amicè exciperetur, Samaritæ quorū tunc caput erat Sicima ſita ad mōtem Garizin, & habitata à deſertoribus gentis Iudaicæ, vidētes quòd Alexander Iudæos tractaret tam magnificè, decreuerunt ſe quoque Iudęos profiteri. Sunt enim Samaritæ hoc ingenio, vt & ante diximus, in rebus Iudæorum afflictis, negant ſe cognatos, veritatem tunc dicendo. cùm verò affulgere eis fortunam viderint, confeſtim in ſocietatem irruunt, attinere ad ſe affirmando, & à Ioſepho eiúſque filiis Manaſſe & Ephræmo ſeriem generis ſui deducendo. Igitur ſplendido paratu & magnam alacritatem præ ſe ferentes, regi occurrunt penè in Hieroſolymitano agro: collaudatíſque ab Alexandro omnibus, Sicimitę eum adeunt, aſſumptis ſecum militibus quos Sanaballetes miſerat: rogantes vt inuiſat ipſorum vrbem, & illud quoque templum præſentia ſua honoret. ille pollicitus eſt hoc in reditu ſe facturum. cúmque poſtularent vt ſeptimi anni tributum ſibi remitteretur, nā ne ſe quidem in eo ſeminare: quæſiuit quinam eſſent qui hoc rogarent. illis verò dicentibus, Hebræos quidem ſe eſſe, ſed Sicimitas vocari à Sidoniis: iterum quæſiuit an Iudęi eſſent. Negantibus illis: equidem, inquit, Iudæis id conceſſi, reuerſus tamen & re diligentiùs cognita faciam quod æquum videbitur, atque hoc pacto Sicimitas dimiſit. Sanaballetis autem milites iuſſit vt ſe in Ægyptum ſequantur: ibi enim ſe agros eis diuiſurum: id quod paulo pòſt fecit in Thebaide, iuſſis ei regioni eſſe præſidio. Poſt obitum autem Alexandri, imperium quidem eius inter ſucceſſores eſt diuiſum: templū verò in Garizin monte ſitum manſit incolume, & ſi quis apud Hieroſolymitas aut illiciti cibi ſumpti, aut violati ſabbati, aut ſimilis criminis reus ageretur, ad Sicimitas cōfugiebat, calūniā ſe paſsū dictitās. Eodē verò tēpore etiā Iaddus pontifex obierat, Onia filio ſucceſſore: atque in eo ſtatu res Hieroſolymitanæ tunc fuère.

A ταῦτ' εἰπὼν πρὸς τὸν Παρμενίωνα, καὶ δεξιωσάμενος τὸν ἀρχιερέα, τῶν ἱερέων παραθεόντων, εἰς τὴν πόλιν παραγίνεται. καὶ ἀνελθὼν ἐπὶ τὸ ἱερὸν, θύει μὲν τῷ θεῷ κατὰ τὴν τοῦ ἱερέως ὑφήγησιν. αὐτὸν δὲ τὸν ἀρχιερέα ἀξιοπρεπῶς ἐτίμησε. δειχθείσης δὲ αὐτῷ τῆς Δανιήλου βίβλου, ἐν ᾗ τινὰ τῶν Ἑλλήνων καταλύσειν τὴν Περσῶν ἀρχὴν ἐδήλου, νομίσας αὐτὸς εἶναι ὁ σημαινόμενος, τότε μὲν ἡσθεὶς ἀπέλυσε τὸ πλῆθος. τῇ δ' ἐπιούσῃ προσκαλεσάμενος, ἐκέλευσεν αὐτοὺς
B αἰτεῖσθαι δωρεὰς ἃς ἂν αὐτοὶ θέλωσι. τοῦ δ' ἀρχιερέως αἰτησαμένου χρήσασθαι τοῖς πατρίοις νόμοις, καὶ τὸ ἕβδομον ἔτος ἀνείσφορον εἶναι, συνεχώρησε πάντα. παρακαλεσάντων δ' αὐτῶν ἵνα καὶ τοὺς ἐν Βαβυλῶνι καὶ Μηδίᾳ Ἰουδαίους τοῖς ἰδίοις ἐπιτρέψῃ νόμοις χρήσασθαι, ἀσμένως ὑπέσχετο ποιήσειν ἅπερ ἀξιοῦσιν. εἰπόντος δ' αὐτοῦ πρὸς τὸ πλῆθος εἴ τινες αὐτῷ βούλονται στρατεύειν τοῖς πατρίοις ἔθεσιν ἐμμένοντες καὶ κατὰ ταῦτα ζῶντες, ἑτοίμως ἔχειν ἐπάγεσθαι, πολλοὶ τὴν σὺν αὐτῷ στρατείαν ἠγά-
C πησαν. ὁ μὲν οὖν Ἀλέξανδρος ταῦτα διοικησάμενος ἐν τοῖς Ἱεροσολύμοις, ἐξεστράτευσεν ἐπὶ τὰς ἐχομένας πόλεις. πάντων δ' αὐτὸν πρὸς οὓς ἀφίκετο φιλοφρόνως ἐνδεχομένων, Σαμαρεῖται μητρόπολιν τότε τὴν Σίκιμα ἔχοντες, κειμένην πρὸς τῷ Γαριζὶν ὄρει, καὶ κατῳκημένην ὑπὸ τῶν ἀποστατῶν τοῦ Ἰουδαίων ἔθνους, ἰδόντες ὅτι τοὺς Ἰουδαίους Ἀλέξανδρος οὕτω λαμπρῶς τετίμηκεν, ἔγνωσαν αὐτοὺς Ἰουδαίους ὁμολογεῖν. εἰσὶ γὰρ οἱ Σαμαρεῖς τοιοῦτοι τὴν φύσιν, ὡς ἤδη που καὶ πρότερον δεδηλώκαμεν. ἐν
D μὲν τῇ συμφορᾷ ὄντας τοὺς Ἰουδαίους, ἀρνοῦνται συγγενεῖς ἔχειν, ὁμολογοῦντες τότε τὴν ἀλήθειαν. ὅταν δέ τι περὶ αὐτοὺς λαμπρὸν ἴδωσιν ἐκ τύχης, ἐξαίφνης ἐπιπηδῶσιν αὐτῶν τῇ κοινωνίᾳ, προσήκειν αὐτοῖς λέγοντες, καὶ ἐκ τῶν Ἰωσήπου γενεαλογοῦντες αὐτοὺς ἐκγόνων Ἐφραίμου καὶ Μανασσοῦ. μετὰ λαμπρότητος οὖν καὶ πολλὴν δεικνύμενοι περὶ αὐτὸν προθυμίαν, ἀπήντησαν τῷ βασιλεῖ, μικροῦ δεῖν ἐγγὺς τῶν Ἱεροσολύμων. ἐπαινέσαντος δὲ αὐ-
E τοὺς Ἀλεξάνδρου, οἱ Σικιμῖται προσῆλθον αὐτῷ πρὸς παραλαβόντες καὶ οὓς Σαναβαλλέτης πρὸς αὐτὸν στρατιώτας ἀπέστειλε. καὶ παρεκάλουν παραγενόμενον πρὸς τὴν πόλιν αὐτῶν, τιμῆσαι καὶ τὸ παρ' αὐτοῖς ἱερόν. ὁ δ' ἐκείνοις μὲν αὖθις ὑποστρέφων ἥξειν ὑπέσχετο πρὸς αὐτούς. ἀξιούντων δ' ἀφεῖναι τὸν φόρον αὐτοῖς τοῦ ἑβδοματικοῦ ἔτους. οὐδὲ γὰρ αὐτοὺς σπείρειν ἐν αὐτῷ, τίνες ὄντες ταῦτα παρακαλοῦσιν ἐπυνθάνετο. τῶν δ' εἰπόντων, Ἑβραῖοι μὲν
F εἶναι, χρηματίζειν δ' οἱ ἐν Σικίμοις Σιδώνιοι, πάλιν αὐτοὺς ἐπηρώτησεν εἰ τυγχάνουσιν Ἰουδαῖοι. τῶν δ' οὐκ εἶναι φαμένων, ἀλλ' ἔγωγε εἶπεν Ἰουδαίοις ταῦτ' ἔδωκα. ὑποστρέψας μέντοι γε καὶ διδαχθεὶς ὑφ' ὑμῶν ἀκριβέστερον, ποιήσω τὰ δόξαντα. τοῖς μὲν οὖν Σικιμίταις οὕτως ἀπετάξατο. τοὺς δὲ τοῦ Σαναβαλλέτου στρατιώτας ἐκέλευσεν ἕπεσθαι εἰς Αἴγυπτον. ἐκεῖ γὰρ αὐτοῖς δώσειν κλήρους γῆς. ὃ καὶ μετ' ὀλίγον ἐποίησεν ἐν τῇ
G Θηβαΐδι φρουρεῖν τὴν χώραν αὐτοῖς προστάξας. τελευτήσαντος δὲ Ἀλεξάνδρου, ἡ μὲν ἀρχὴ εἰς τοὺς διαδόχους ἐμερίσθη. τὸ δ' ἐπὶ τοῦ Γαριζὶν ὄρους ἱερὸν ἔμεινεν. εἰ δέ τις αἰτίαν ἔχοι παρὰ τοῖς Ἱεροσολυμίταις κοινοφαγίας, ἢ τῆς ἐν τοῖς σάββασι παρανομίας, ἤ τινος ἄλλου τοιούτου ἁμαρτήματος, παρὰ τοὺς Σικιμίτας ἔφευγε λέγων ἀδίκως ἐγκεκλῆσθαι. τετελευτήκει δὲ κατ' ἐκεῖνον τὸν καιρὸν καὶ ὁ ἀρχιερεὺς Ἰαδδοῦς, καὶ τὴν ἀρχιερωσύνην Ὀνίας ὁ παῖς αὐτοῦ παρειλήφει. τὰ μὲν δὴ περὶ τοὺς Ἱεροσολυμίτας, ἐν τούτοις ἐτύγχανεν ὄντα.

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩ ΔΩΔΕΚΑΤΩ ΛΟΓΩ ΤΩΝ Ιωσήπου ἱστοριῶν τῆς ἰουδαϊκῆς ἀρχαιολογίας.

Ως πτολεμαῖος ὁ λάγου δόλῳ καὶ ἀπάτῃ παραλαβὼν τὰ ἱεροσόλυμα, καὶ τὴν ἰουδαίαν, πολλοὺς ἐξ αὐτῆς εἰς αἴγυπτον κατῴκησεν. Κεφ. α.

Ως ὁ υἱὸς αὐτοῦ πτολεμαῖος ὁ κληθεὶς φιλάδελφος, τοὺς ἰουδαίων νόμους εἰς τὴν ἑλληνικὴν γλῶσσαν μετέβαλε, καὶ πολλοὺς αἰχμαλώτους ἀπέλυσεν, ἐλεαζάρῳ τῷ ἀρχιερεῖ αὐτῶν χαριζόμενος, καὶ ἀναθήματα πολλὰ ἀνέθηκε τῷ θεῷ. Κεφ. β.

Πῶς ἐτίμησαν οἱ τῆς ἀσίας βασιλεῖς τὸ ἰουδαίων ἔθνος, καὶ πολίτας ἐποίησαν ἐν ταῖς ὑπ᾽ αὐτῶν κτισθείσαις πόλεσιν. Κεφ. γ.

Εκ τῆς γενομένης ἀτυχίας ἐπανόρθωσις ὑπὸ ἰωσήπου τοῦ τωβίου ποιησαμένου φιλίαν πρὸς πτολεμαῖον τὸν ἐπιφανῆ. Κεφ. δ.

Φιλία καὶ συμμαχία λακεδαιμονίων πρὸς ὀνίαν τὸν ἀρχιερέα τῶν ἰουδαίων. Κεφ. ε.

Στάσις τῶν δυνατῶν ἰουδαίων πρὸς ἀλλήλους, καὶ ὡς ἐπεκαλέσαντο, ἀντίοχον τὸν ἐπιφανῆ. Κεφ. ς.

Οτι στρατευσάμενος ἀντίοχος ἐπὶ ἱεροσόλυμα, τήν τε πόλιν παρέλαβε, καὶ τὸν ναὸν ἐσύλησεν. Κεφ. ζ.

Ως ἀντιόχου κωλύσαντος τοῖς πατρώοις νόμοις χρῆσθαι τοὺς ἰουδαίους, μόνος ἀσαμωναίου παῖς ματθίας κατεφρόνησε τοῦ βασιλέως, καὶ τοὺς ἀντιόχου στρατηγοὺς ἐνίκησε. Κεφ. η.

Ματθίου τελευτὴ, γηραιοῦ μὲν ὄντος ἤδη, παραδόντος δὲ τὴν τῶν πραγμάτων προστασίαν τοῖς παισίν. Κεφ. θ.

Ως ἀντιόχου στρατηγὸς ἀπολλώνιος, εἰς τὴν ἰουδαίαν ἐμβαλὼν ἡττηθεὶς ἀπέθανεν. Κεφ. ι.

Η σίλωνος καὶ γοργίου στρατηγία ἐπὶ τὴν ἰουδαίαν καὶ ἧττα, καὶ διαφθορὰ τοῦ στρατοῦ. Κεφ. ια.

Οτι στρατευσάμενοι ἰούδας καὶ σίμων, ὁ μὲν ἐπὶ ἀμμανίτας, καὶ τὴν γαλαδίτην, ὁ δὲ σίμων ὁ ἀδελφὸς αὐτοῦ ἐπὶ τυρίους καὶ πτολεμαεῖς, ἐκράτησαν αὐτῶν. Κεφ. ιβ.

Ως ἀντίοχος ὁ ἐπιφανὴς ἐτελεύτησεν ἐν πέρσαις. Κεφ. ιγ.

Ως ἀντίοχος ὁ ἐπικληθεὶς εὐπάτωρ στρατευσάμενος ἐπὶ ἰουδαίους μετὰ λυσίου, καὶ νικήσας ἐπολιόρκει ἰούδαν εἰς τὸ ἱερὸν ἐγκλείσας. Κεφ. ιδ.

Οτι πολλοῦ χρόνου τῇ πολιορκίᾳ τριβομένου, φιλίαν ποιησάμενος πρὸς ἰούδαν, εὐπρεπῶς ἀνεχώρησεν ἐκ τῆς ἰουδαίας ὁ ἀντίοχος. Κεφ. ιε.

Ως βακχίδης ὁ δημητρίου στρατηγὸς, ἐπιστρατευσάμενος τοῖς ἰουδαίοις, ἄπρακτος ἀνέστρεψε πρὸς τὸν βασιλέα. Κεφ. ις.

Ως νικάνωρ μετὰ τὸν βακχίδην πεμφθεὶς στρατηγὸς, ἀπόλετο σὺν τῷ στρατῷ. Κεφ. ιζ.

Οτι πάλιν ἐπὶ τὴν ἰουδαίαν βακχίδης ἐκπεμφθεὶς, ἐνίκησεν. Κεφ. ιη.

Ως ἰούδας διεφθάρη μαχόμενος. Κεφ. ιθ.

HÆC IN DVODECIMO IOSEPHI HISTORIARVM DE Antiquitate Iudaica libro continentur.

Ptolemæus Lagi filius dolo occupatis Hierosolymis cum reliqua Iudæa, multos inde in Ægyptum traduxit. Cap. I.

Ptolemæus Philadelphus Iudæorum legem in Grǽcam linguam vertit, & multis eius gentis captiuis in gratiam Eleazari sacerdotis dimissis, donaria multa Deo in templo eius dedicat. Cap. II.

Quomodo honor à regibus Asiæ Iudǽorum genti habitus, & in ciuitatibus ab illis conditis ius ciuium eis concessum sit. Cap. III.

Iosephus Tobiæ filius imminētem Iudǽis calamitatem depellit, amicus Ptolemæo regi factus. Cap. IV.

Amicitia & societas Lacedæmoniorum cum Onia Pontifice Iudæorum. Cap. V.

Iudæi seditionibus agitati, Antiochi opem inuocant. Cap. VI.

Quemadmodum Antiochus ducto Hierosolyma exercitu, occupatóque eius vrbis dominio, templum etiam spoliauerit. Cap. VII.

Antiocho vetante Iudæos vti patriis legibus, solus Assamonæi filius Matthias regem contempsit, profligatis etiam eius ducibus. Cap. VIII.

Matthias obit senio confectus, rerum administratione filiis relicta. Cap. IX.

Apollonius Antiochi dux in Iudæa prælio victus occiditur. Cap. X.

Silonis & Gorgiæ contra Iudæos expeditiones & clades. Cap. XI.

Quomodo diuisis copiis Iudas Ammanitas, Simon verò eius frater Tyrios & Ptolemaidenses superarit. Cap. XII.

Antiochi Epiphanis apud Persas interitus. Cap. XIII.

Antiochus Eupator profligato Iudæorum exercitu Iudam in templo obsidet. Cap. XIV.

Quomodo longo tempore in obsidione consumpto, Antiochus cum Iuda fœdus fecerit, & ex Iudǽa discesserit. Cap. XV.

Bachides Demetrij dux cum exercitu contra Iudæos missus infecto negotio ad suum regem reuertitur. Cap. XVI.

Nicanor post Bachidem dux contra Iudam missus, vnà cum vniuerso exercitu perit. Cap. XVII.

Bachidis denuò missi contra Iudæam victoria. Cap. XVIII.

Quomodo Iudas prælio victus occubuerit. Cap. XIX.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΙΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ
ΛΟΓΟΣ ΕΝΔΕΚΑΤΟΣ.

FLAVII IOSEPHI ANTIQVITATVM IVDAICARVM
LIBER DVODECIMVS.

Cap. I.

Ptolemæus Lagi dolo occupatis Hierosolymis cum reliqua Iudæa, multos inde in Aegyptum traduxit.

Alexander Macedonum rex in suam potestatem redacto Persarum imperio, & constitutis vt iam dictũ est Iudæorum rebus, vitam finiit. Imperio verò in multos successores distracto, Antigonus Asiam occupat, Seleucus Babylonem cum vicinis gentibus, Lysimachus Hellespontum, Macedoniam Cassander, Ptolemæus Lagi Ægyptũ. Qui dum seditionibus agitantur, & de imperio contendunt, durante lõgo bello, & vrbes multæ afflictæ sunt, & habitatores earum plurimi per diuersa præliorũ certamina desiderati sunt: id quod tota Syria tum passa est sub Ptolemæo Lagi, quem præter meritum Soterem appellabant. Is & Hierosolyma occupauit, dolo tamen circumuẽta. Ingressus enim vrbem sabbato velut sacrorũ gratia, Iudæis nec arcentibus quòd nihil hostile suspicarentur, & alioquin cum diẽ in ocio & quiete agentib⁹, sine difficultate potitus dominio, acerbè eã & inclemẽter tractauit. Attestatur nobis Agatharchides Cnidius, qui successorum Alexandri res gestas conscripsit, superstitionẽ nobis exprobrans, quòd propter eam libertatẽ amiserimus. Sic.n. scribit: Est gẽs quę Iudęorũ dicitur, vrbẽ incolẽs magnam & bene munitã, nomine Hierosolyma. hãc passi sunt in Ptolemęi potestatẽ peruenire: & dum propter superstitionem grauantur arma sumere, grauem dominum receperunt. Et Agatharchides quidem de nostris hominibus hæc prodidit. Cæterùm Ptolemęus multos captiuos ex montano Iudææ tractu & Hierosolymorũ vicinia, Samariáque & Garizin mõte in Ægyptũ traductos iussit sedes ibi figere: & cùm Hierosolymitas pertinacissimè iurisiurãdi fidẽ seruare cõpertum haberet ex responso quod Alexãdri

Κεφάλαιον α'.

Ὡς πτολεμαῖος ὁ λάγου δόλῳ καὶ ἀπάτῃ παραλαβὼν τὰ ἱεροσόλυμα καὶ τὴν ἰουδαίαν, πολλοὺς ἐξ αὐτῆς εἰς αἴγυπτον κατῴκισεν.

ΑΛΕΞΑΝΔΡΟΣ μὲν οὖν ὁ τῶν μακεδόνων βασιλεύς, καταλύσας τὴν περσῶν ἡγεμονίαν, καὶ τὰ κατὰ τὴν ἰουδαίαν τὸν προειρημένον καταστησάμενος τρόπον, τελευτᾷ τὸν βίον. μεταπεσούσης δὲ εἰς πολλοὺς τῆς ἀρχῆς, ἀντίγονος μὲν τῆς ἀσίας ἐπικρατεῖ, σέλευκος δὲ βαβυλῶνος καὶ τῶν ἐκεῖ ἐθνῶν, λυσίμαχος δὲ τὸν ἑλλήσποντον διεῖπε, τὴν δὲ μακεδονίαν εἶχε κάσανδρος, πτολεμαῖος δὲ ὁ λάγου τὴν αἴγυπτον εἰλήφει. στασιαζόντων δὲ τούτων, καὶ περὶ ἀλλήλους φιλοτιμουμένων ὑπὲρ τῆς ἰδίας ἀρχῆς, πολέμους τε συνεχεῖς καὶ μακροὺς συνέβαινε γίνεσθαι, καὶ τὰς πόλεις κακοπαθεῖν, καὶ πολλοὺς ἐν τοῖς ἀγῶσιν ἀποβάλλειν τῶν οἰκητόρων, ὡς καὶ τὴν συρίαν ἅπασαν ὑπὸ πτολεμαίου τοῦ λάγου, σωτῆρος τότε χρηματίζοντος, τἀναντία παθεῖν αὐτοῦ τῇ ἐπικλήσει. κατέσχε δὲ οὗτος καὶ ἱεροσόλυμα, δόλῳ καὶ ἀπάτῃ χρησάμενος. εἰσελθὼν γὰρ σαββάτοις εἰς τὴν πόλιν ὡς θύσων, μήτε τῶν ἰουδαίων αὐτὸν ἀμυνομένων, οὐδὲ γὰρ ὑπενόουν πολέμιον, καὶ διὰ τὸ ἀνύποπτον καὶ τὴν ἡμέραν ἐν ἀργίᾳ καὶ ῥαθυμίᾳ τυγχανόντων, ἀπόνως ἐγκρατὴς γίνεται τῆς πόλεως, καὶ πικρῶς ἦρξεν αὐτῆς. μαρτυρεῖ δὲ τῷ λόγῳ τούτῳ, καὶ ἀγαθαρχίδης ὁ κνίδιος, ὁ τὰς τῶν διαδόχων πράξεις συγγραψάμενος, ὀνειδίζων ἡμῖν δεισιδαιμονίαν, ὡς δι' αὐτὴν ἀποβαλοῦσι τὴν ἐλευθερίαν, λέγων οὕτως. ἔστιν ἔθνος ἰουδαίων λεγόμενον, οἳ πόλιν ὀχυρὰν καὶ μεγάλην ἔχοντες ἱεροσόλυμα, ταύτην ὑπερεῖδον ὑπὸ πτολεμαίῳ γενομένην, ὅπλα λαβεῖν οὐ θελήσαντες, ἀλλὰ διὰ τὴν ἄκαιρον δεισιδαιμονίαν, χαλεπὸν ὑπέμειναν ἔχειν δεσπότην. ἀγαθαρχίδης μὲν οὖν ταῦτα περὶ τοῦ ἔθνους ἡμῶν ἀπεφήνατο. ὁ δὲ πτολεμαῖος πολλοὺς αἰχμαλώτους λαβὼν, ἀπό τε τῆς ὀρεινῆς ἰουδαίας καὶ τῶν περὶ τὰ ἱεροσόλυμα τόπων, καὶ τῆς σαμαρείτιδος, καὶ τῶν ἐν γαριζὶν, κατῴκισεν ἅπαντας εἰς αἴγυπτον ἀγαγών. ἐγνωκὼς δὲ τοὺς ἀπὸ τῶν ἱεροσολύμων, περί τε τὴν τῶν ὅρκων φυλακὴν καὶ τὰς πίστεις βεβαιοτάτους ὑπάρχοντας, ἐξ ὧν ἀπεκρίναντο ἀλεξάνδρῳ, προσ-

πρεσβεύσασι, μετὰ τὸ κρατῆσαι δαρείου τῇ μάχῃ, πολλοὺς αὐτῶν εἰς τὰ φρούρια καταλοχίσας, καὶ τοῖς μακεδόσιν ἐν ἀλεξανδρείᾳ ποιήσας ἰσοπολίτας, ὅρκους ἔλαβε παρ' αὐτῶν, ὅπως τοῖς ἐκγόνοις τοῦ παραθεμένου τὴν πίστιν διαφυλάξωσιν. οὐκ ὀλίγοι δ' οὐδὲ τῶν ἄλλων ἰουδαίων ἑκουσίως εἰς τὴν αἴγυπτον παρεγίνοντο, τῆς τε ἀρετῆς τῶν τόπων αὐτοὺς, καὶ τῆς τοῦ πτολεμαίου φιλοτιμίας, προσκαλουμένης. στάσεις μέντοι γε τοῖς ἐκγόνοις αὐτῶν πρὸς τοὺς σαμαρείτας, τὴν πάτριον ἀγωγὴν τῶν ἐθῶν ἀποσώζειν προαιρουμένοις ἐγίνοντο. καὶ πρὸς ἀλλήλους ἐπολέμουν. τῶν μὲν ἱεροσολυμιτῶν τὸ παρ' αὐτοῖς ἱερὸν ἅγιον εἶναι λεγόντων, καὶ τὰς θυσίας ἐκεῖ πέμπειν ἀξιούντων. τῶν δὲ σαμαρειτῶν εἰς τὸ γαριζὶν ὄρος κελευόντων.

Κεφάλαιον β'.

Ὡς πτολεμαῖος ὁ φιλάδελφος τοὺς ἰουδαίων νόμους εἰς τὴν ἑλληνικὴν γλῶσσαν μετέβαλεν, καὶ πολλοὺς αἰχμαλώτους ἀπέλυσεν, καὶ ἀναθήματα πολλὰ ἀνέθηκεν τῷ θεῷ.

Ἔπειτα τὴν βασιλείαν τῆς αἰγύπτου παραλαβὼν ὁ φιλάδελφος καὶ κατασχὼν αὐτὴν ἐπ' ἔτη ἑνὸς δέοντος τεσσαράκοντα, τόν τε νόμον ἡρμήνευσε, καὶ τοὺς δουλεύοντας ἐν αἰγύπτῳ τῶν ἱεροσολυμιτῶν ἀπέλυσε τῆς δουλείας, ὄντας δώδεκα μυριάδας, ἐξ αἰτίας τοιαύτης. δημήτριος ὁ φαληρεὺς, ὃς ἦν ἐπὶ τῶν βιβλιοθηκῶν τοῦ βασιλέως, σπουδάζων εἰ δυνατὸν εἴη πάντα τὰ κατὰ τὴν οἰκουμένην συναγαγεῖν βιβλία, καὶ συνωνούμενος, εἴ που μόνον ἀκούσειε σπουδῆς ἄξιον ἢ ἡδὺ, τῇ τοῦ βασιλέως προαιρέσει, μάλιστα γὰρ περὶ τὴν συλλογὴν τῶν βιβλίων εἶχε φιλοκάλως, συνηγωνίζετο. ἐρομένου δ' αὐτὸν ποτὲ τοῦ πτολεμαίου, πόσας ἤδη μυριάδας ἔχει συνειλεγμένας βιβλίων, τῶν μὲν ὑπαρχόντων εἶναι περὶ εἴκοσι, ὀλίγου δὲ χρόνου, εἰς πεντήκοντα συναθροίσειν, μεμηνῦσθαι δ' ἔλεγεν αὐτῷ πολλὰ εἶναι καὶ παρὰ τοῖς ἰουδαίοις τῶν παρ' αὐτοῖς νομίμων συγγράμματα, σπουδῆς ἄξια καὶ τῆς βασιλέως βιβλιοθήκης, ἃ τοῖς ἐκείνων χαρακτῆρσι καὶ τῇ διαλέκτῳ γεγραμμένα, πόνον αὐτοῖς οὐκ ὀλίγον παρέξειν εἰς τὴν ἑλληνικὴν μεταβαλλόμενα γλῶσσαν. δοκεῖ μὲν γὰρ εἶναι τῇ ἰδιότητι τῶν σύρων γραμμάτων ἐμφερὴς ὁ χαρακτὴρ αὐτῶν, καὶ τὴν φωνὴν ὁμοίαν αὐτοῖς ἀπηχεῖν, ἰδιότροπον δὲ αὐτὴν εἶναι συμβέβηκεν. οὐδὲν οὖν ἔλεγε κωλύειν καὶ ταῦτα μεταβαλόντα, δύνασθαι γὰρ τῆς εἰς ταῦτα χορηγίας εὐποροῦντα, ἔχειν ἐν τῇ βιβλιοθήκῃ καὶ τὰ παρ' ἐκείνοις. δόξας οὖν ὁ βασιλεὺς ἄριστα τὸν δημήτριον φιλοτιμούμενον περὶ τὸ πλῆθος αὐτῷ τῶν βιβλίων ὑποτίθεσθαι, γράφει τῷ τῶν ἰουδαίων ἀρχιερεῖ ταῦτα γίνεσθαι. ἀρισταῖος δέ τις φίλος ὢν ἐν τοῖς μάλιστα τῷ βασιλεῖ, καὶ σπουδαζόμενος ὑπ' αὐτοῦ διὰ μετριότητα, πολλάκις μὲν καὶ πρότερον ἔγνω παρακαλέσαι τὸν βασιλέα ὅπως ἀπολύσῃ τοὺς ἰουδαίους, ὅσοι κατὰ τὴν βασιλείαν ἦσαν αὐτοῦ. καιρὸν δ' ἐπιτήδειον εἶναι τοῦτον δοκιμάσας τῆς δεήσεως, πρώτοις περὶ τούτου διαλέγεται τοῖς ἄρχουσι τῶν σωματοφυλάκων, σωσιβίῳ τῷ ταραντίνῳ καὶ ἀνδρέᾳ, συναγωνίσασθαι περὶ ὧν ἐντυγχάνειν μέλλει τῷ βασιλεῖ παρακαλῶν αὐτούς. προσλαβὼν οὖν καὶ τὴν τῶν προειρημένων γνώμην ὁ ἀρισταῖος, προσελθὼν τῷ βασιλεῖ λόγους πρὸς αὐτὸν τοιούτους ἐποιήσατο. οὐ χρὴ ἀπατωμένους ἡμᾶς ὦ βασιλεῦ περιορᾶν, ἀλλὰ τἀληθὲς ἀπελέγχειν. τοὺς γὰρ τῶν ἰουδαίων νόμους οὐ μεταγράψαι μόνον, ἀλλὰ καὶ ἑρμηνεῦσαι διεγνωκότες εἰς τὸ σοὶ κεχαρισμένον

legatis poſt Darij cladem dederant, multa ex eis præſidia diſpoſuit per arces: & cùm eis apud Alexandriam ius ciuitatis pari cum Macedonibus conditione dediſſet, ſacramento omnes deuinxit, ſeruaturos fidem poſteris eius qui tã multa ipſis crediderat. Non pauci præterea reliquorum Iudæorum ſponte in Ægyptum migrauerunt, partim vbertate terrę allecti, partim Ptolemęi erga ſuã gentem liberalitate. Seditiones tamen continuæ fuerunt inter eorum poſteros & Samaritas, inſtituta patria peruicaciter retinẽtes: pugnabántque inter ſe iugiter, dũ Hieroſolymitani ſuum templum ſacroſãctum eſſe affirmant, & victimas à Iudęis nõ aliò mittendas: Samaritæ contrà in montem Garizin eas mitti debere contendunt.

CAP. II.

Ptolemeus Philadelphus Iudæorum legem in Græcam linguam vertit, & multis eius gentis captiuis dimiſsis, donaria multa Deo in templo eius dedicat.

POſt hunc Philadelphus aſſumpto Ægypti regno, quod per annos vndequadraginta tenuit, & legem transferri in Græcam linguam curauit, & Hieroſolymitas in Ægypto ſeruientes liberos dimiſit, numero cẽtum viginti millia, idque ex huiuſmodi cauſa. Demetrius Phalereus regiarum bibliothecarum præfectus, dabat operã, vt, ſi fieri poſſet, omnes totius orbis libros colligeret, coemens quotquot vbicunq. audiſſet cognitu dignos aut cupiditati regis gratos, cuius pręcipuum erat in congerendis codicibus ſtudium. hic rogatus aliquando à rege quàm multa millia iam comparaſſet, ait ſe iam habere circiter ducẽta millia, ſed breui habiturum quingenta millia: præterea compertũ ſibi certis indiciis multos eſſe apud Iudęos, qui leges eorum ſcriptas contineant, dignos cognitu & bibliotheca regia: eſſeque ſcriptos ipſorũ lingua & literis, & exhibituros negotium his qui velint eos in Græcum ſermonẽ vertere. Videri quidem quandam cum Syrorum lingua & charactere ſimilitudinem, habere tamen multa peculiaria. Nihil igitur vetare, quin & illa ex Hebræo traducta, cùm non deſint ſumptus, in bibliothecam ſuã referat. Tum rex collaudato Demetrij circa conquirẽdos libros ſtudio, ſcribit Iudęorum pontifici, vt curet hoc negocium ex ſententia ſua confici. Interea quidam Ariſtęus ex intimis regis amicis, & ob modeſtiam admodum carus, cùm iamdudum animum haberet rogare eum vt Iudęos in ſuo regno libertati reſtitueret: ratus adeſſe iam optimã occaſionẽ ſupplicãdi, primũ cũ pręfectis ſatellitib. Soſibio Tarẽtino & Andrea cõſiliũ hoc cõmunicat, multũ obteſtatus vt preces ſuas apud regẽ quãtũ poſſũt adiuuẽt: & poſtquã intellexit ipſis quoque rẽ cordi eſſe, adito rege ſic eũ allocutus eſt: Quia nõ decet nos rex verũ diſſimulare, ſed ingenuè proloqui: cũ hoc agamꝰ vt Iudęorũ leges non tranſcribantur tãtũ, verũetiã vertãtur, quónam honeſto prætextu id facere poſſumus,

dum tam multi huius hominum generis in regno tuo seruiunt? Quos certè non alienum fuerit à tua bonitate ac magnificentia. liberare à præsenti miseria: quandoquidem is qui tuum gubernat imperium, earum legum autor noscitur, quantum mihi sanè de ea re inquirēti peruestigari potuit. Conditorem enim huius vniuersitatis eundem quem illi nos quoque colimus, Iouem nominantes, nimirum quòd iuuet vitam omnium. Quapropter vel Deum reueritus, quem illi eximio, præ cæteris mortalibus cultu venerantur, redde eis patriam, vt in natali solo liceat eis vitam exigere. Nec est quod suspiceris rex, me vel genere vel tribu eis propinquum has preces offerre in illorum gratiam atque commodum: sed quum omnium hominum idem Deus sit opifex, & sciam illi placere beneficentiam, ideo tibi nunc supplico. Ibi rex libenti ac hilari vultu illum aspiciens, & quot tandem putas millia, quibus opus sit hoc beneficio? Tum Andreas, qui & ipse aderat, dixit esse circiter centum viginti millia. Ad hæc rex, Paruáne igitur tibi Aristæe videtur hæc quam poscis liberalitas? Sosibio verò & cæteris præsentibus, dignum esse ipsius magnificentia dicentibus, pro accepto regno hanc Deo reponere gratiam: lætus hoc eorum consensu iussit, vt quādo militi stipendium numerauerint, pro singulis captiuis qui apud eos sint drachmas centum viginti annumerent, atque hoc suum decretum publico edicto propositurum se est pollicitus, quo tam Aristęi petitio quàm Dei voluntas fiat confirmatior. In eo comprehēdebantur non hi solùm quos pater aut eius exercitus abduxerat, sed illi quoque qui vel antè vel pòst in seruitutem abstracti fuerant, & cùm eam vindictam libertatis dicerent plusquam quadringenta talenta poscere, ne hęc quidem impendere grauatus est. Eius edicti exemplar, quo illustrior fiat regis magnanimitas, libet hoc loco adscribere. Quicunque ex militia patris nostri Syriam ac Phœnicen incursauerunt & subacta Iudæa mancipia inde in regionem nostram eiúsque vrbes abducta diuendiderunt, atque etiam quicunque vel antè vel pòst diuēditi sunt, hos omnes liberos volo fieri, próque singulis mancipiis centum viginti drachmas recipere, milites quidem vnà cū cętero stipendio, reliquos verò à mensariis regiis. Censeo enim hos præter patris mei voluntatem, & præter omnem ęquitatem in captiuitatē abductos militum licentia, qui vastata Iudæa sui commodi causa in Ægyptum abstraxerunt hāc multitudinem. Quapropter iustitię respectu, & commiseratione eorum qui à potentioribus per vim opprimuntur, iubeo Iudęos omnes, qui seruitutem seruiunt, dimitti liberos, iam dicta summa heris eorum pro libertate reddita, & absque dolo malo huic nostro mandato satisfieri. Volo autem hoc edictū proponi per triduum ex quo allatum fuerit, & interim heros profiteri huiusmodi mācipiorū numerū: id enim & mihiipsi profuturū existi-

A τίνι λόγῳ χρώμενοι τοῦτο πράξαιμεν ἄν, πολλῶν ἰουδαίων ἐν τῇ σῇ βασιλείᾳ δουλευόντων; οἷς τῇ σαυτοῦ μεγαλοψυχίᾳ καὶ χρηστότητι ποιῶν ἀκολούθως ἀπόλυσον τῆς ταλαιπωρίας, τὴν βασιλείαν σου διέποντος τοῦ θεμένου τοὺς νόμους αὐτοῖς θεοῦ, καθὼς ἐμοὶ πολυπραγμονήσαντι μαθεῖν ὑπῆρξε. τὸν γὰρ ἅπαντα συστησάμενον θεὸν, καὶ οὗτοι καὶ ἡμεῖς σεβόμεθα, ζῆνα καλοῦντες αὐτὸν ἐτύμως, ἀπὸ τοῦ σύμπασιν ἐμφύειν τὸ ζῆν τὴν ἐπίκλησιν αὐτοῦ νοήσαντες. B ὅθεν εἰς τιμὴν τοῦ θεοῦ, τοῖς ἐξαίρετον τὴν εἰς αὐτὸν θρησκείαν πεποιημένοις, ἀπόδος αὐτοῖς τὴν πατρίδα, καὶ τὸν ἐν αὐτῇ βίον ἀπειληφόσιν. ἴσθι μέντοι γε ὦ βασιλεῦ, ὡς οὔτε γένει προσήκων αὐτοῖς, οὔτε ὁμόφυλος αὐτῶν ὢν ταῦτα περὶ αὐτῶν ἀξιῶ· πάντων δὲ ἀνθρώπων δημιούργημα ὄντων τοῦ θεοῦ, καὶ γινώσκων αὐτὸν ἡδόμενον τοῖς εὐποιοῦσιν, ἐπὶ τούτῳ καὶ σὲ παρακαλῶ. ταῦτα εἰπόντος τοῦ ἀρισταίου, ἀναβλέψας εἰς αὐτὸν ὁ βασιλεὺς ἱλαρῷ καὶ γεγηθότι τῷ προσώπῳ, πόσας εἶπεν ὑπολαμβάνεις τῶν ἀπολυθησομένων ἔσεσθαι C μυριάδας; ὑποτυχόντος δὲ ἀνδρέου, παρειστήκει γὰρ, καὶ φήσαντος ὀλίγου πλείονας ἔσεσθαι τῶν ἕνδεκα μυριάδων. ἦ μικρὰν ἄρα ἡμᾶς εἶπεν ἀρισταῖε δωρεὰν αἰτεῖς, σωσιβίου δὲ καὶ τῶν παρόντων φησάντων ὡς ἄξιον αὐτὸν δεῖ τῆς αὐτοῦ μεγαλοψυχίας τῷ παρεσχηκότι τὴν βασιλείαν θεῷ χαριστήριον ποιήσασθαι. διαχυθεὶς ὑπ' αὐτῶν, ἐκέλευσεν ὅταν τοῖς στρατιώταις ἀποδιδῶσι τὸ μισθοφορικὸν, καὶ ὑπὲρ ἑκάστου τῶν παρ' αὐτοῖς αἰχμαλώτων καταβαλεῖν δραχμὰς ἑκατὸν εἴκοσι. καὶ περὶ ὧν D ἠξίου, προθεῖναι γράμματα ὑπέσχετο μεγαλοπρεπῶς ἔχοντα, καὶ τὴν ἀρισταίου προαίρεσιν βεβαιοῦντα, καὶ πρὸ ταύτης τὴν τοῦ θεοῦ βούλησιν. καθ' ἣν οὐ μόνον τοὺς ὑπὸ τοῦ πατρὸς ἀχθέντας αὐτοῦ καὶ τῆς ἐκείνου στρατείας ἀπολύειν ἔλεγεν, ἀλλὰ καὶ τοὺς προϋπάρχοντας ἐν τῇ βασιλείᾳ, καὶ εἴ τινες αὖθις ἐπεισήχθησαν, πλειόνων δὲ ἢ τετρακοσίων ταλάντων τῆς ἀπολυτρώσεως γενήσεσθαι φαμένων ταῦτα τε συνεχώρει. καὶ τὸ ἀντίγραφον τοῦ προστάγματος, εἰς δήλωσιν τῆς τοῦ βασιλέως μεγαλοφροσύνης ἔγνων διαφυλάξαι, ἦν δὲ τοιοῦτο. ὅσοι τῶν συστρατευσα- E μένων ἡμῶν τῷ πατρὶ, τήν τε συρίαν καὶ φοινίκην ἐπέδραμον, καὶ τὴν ἰουδαίαν καταστρεψάμενοι, σώματα λαβόντες αἰχμάλωτα, διεκόμισαν εἴς τε τὰς πόλεις ἡμῶν καὶ τὴν χώραν, καὶ ταῦτα ἀπημπόλησαν, τούς τε πρὸ αὐτῶν ὄντας ἐν τῇ ἐμῇ βασιλείᾳ καὶ εἴ τινες νῦν εἰσήχθησαν τούτους ἀπολυέτωσαν οἱ παρ' αὐτοῖς ἔχοντες, ὑπὲρ ἑκάστου σώματος λαμβάνοντες δραχμὰς ρκ', οἱ μὲν στρατιῶται μετὰ καὶ τῶν ὀψωνίων, οἱ δὲ λοιποὶ ἀπὸ τῆς βασιλικῆς F τραπέζης κομιζόμενοι τὰ λύτρα. νομίζω γὰρ αὐτοὺς καὶ παρὰ τὴν τοῦ πατρὸς προαίρεσιν καὶ παρὰ τὸ δέον αἰχμαλωτίσθαι. τὴν δὲ χώραν αὐτῶν διὰ τὴν στρατιωτικὴν αὐθάδειαν κεκακῶσθαι. καὶ διὰ τὴν εἰς αἴγυπτον αὐτῶν μεταγωγὴν, πολλὴν ὠφέλειαν ἐκ τούτου τοῖς στρατιώταις γεγονέναι. τὸ δίκαιον οὖν σκοπῶν καὶ τοὺς καταδυναστευομένους παρὰ τὸ προσῆκον ἐλεῶν, ἀπολύειν κελεύω τοὺς ἐν ταῖς οἰκετείαις ὄντας ἰουδαίους, τὸ προγεγραμμένον κομιζομένους ὑπὲρ αὐτῶν κεφάλαιον τοὺς κεκτημένους. καὶ μηδένα περὶ τούτων κακουργεῖν, ἀλλ' ὑπακούειν τοῖς προστεταγμένοις. βούλομαι δὲ τὰς προγραφὰς, ἀφ' ἧς διεπέμφθησαν ἐπὶ τρεῖς ἡμέρας ποιεῖσθαι, πρὸς τοὺς ὑπ' αὐτῶν ὑπάρχοντας, παραδεικνύντας αὐτοῖς καὶ τὰ σώματα. τοῦτο γὰρ καὶ τοῖς ἐμαυτοῦ πράγμασιν ἡγοῦμαι συμφέρειν.

προσα-

προσαγγελλέτω δὲ τοὺς ἀπειθήσαντας ὁ βουλόμενος, ὧν τὰς οὐσίας εἰς τὴν βασιλικὴν κτῆσιν ἀνειλῆφθαι βούλομαι. τούτου δὲ τοῦ προστάγματος ἀνενεχθέντος τῷ βασιλεῖ, καὶ τὰ μὲν ἄλλα ἔχοντος, μόνου δὲ λείποντος τοῦ περὶ τῶν πρότερον καὶ τῶν αὖθις εἰσηγμένων Ἰουδαίων μὴ διεστάλθαι, προσέθηκεν αὐτὸς μεγαλοφρόνως καὶ τὸ περὶ τούτων φιλάνθρωπον. καὶ τὴν τῶν φόρων δόσιν οὖσαν ἀθρόαν ἐκέλευσε τοῖς ὑπηρέταις τῶν ταγμάτων ἀπομερίσαι, καὶ τοῖς βασιλικοῖς τραπεζίταις. γινομένου δὲ τούτου, ταχέως ἐν ζ' ταῖς πάσαις ἡμέραις τέλος εἰλήφει τὰ δοχθέντα τῷ βασιλεῖ. τάλαντα δὲ ὑπὲρ ξ' καὶ υ' τῶν λύτρων ἐγένοντο. καὶ γὰρ ὑπὲρ τῶν νηπίων εἰσέπραττον οἱ δεσπόται τὰς κ' καὶ ρ' δραχμάς, ὡς τοῦ βασιλέως καὶ ὑπὲρ τούτων διδόναι κελεύσαντος ἐν τῷ προσγράψαι ὑπὲρ ἑκάστου σώματος λαμβάνειν τὸ προειρημένον. ἐπειδὴ δὲ ταῦτ' ἐγεγόνει κατὰ τὴν τοῦ βασιλέως βούλησιν μεγαλοπρεπῶς, ἐκέλευσε τὸν Δημήτριον ἐκδοῦναι καὶ τὸ περὶ τῆς τῶν Ἰουδαϊκῶν βιβλίων ἀναγραφῆς δόγμα. οὐδὲν γὰρ εἰκῆ τοῖς βασιλεῦσιν ᾠκονόμητο, πάντα δὲ μετὰ πολλῆς ἐπιμελείας ἐπράττετο, διὸ καὶ τὸ τῆς εἰσδόσεως ἀντίγραφον καὶ τὸ τῶν ἐπιστολῶν κατατέτακται, καὶ τὸ πλῆθος τῶν ἀπεσταλμένων ἀναθημάτων, καὶ τὸ ἐφ' ἑκάστου κατασκευασθέν, ὡς ἀκριβεστάτην εἶναι τὴν τοῦ τεχνίτου τοῖς ὁρῶσι μεγαλουργίαν, καὶ διὰ τὴν τῶν κατασκευασμάτων ἐξοχήν, τὸν ἑκάστου δημιουργὸν εἶναι εὐθέως γνώριμον. τῆς μὲν τοίνυν εἰσδόσεως τὸ ἀντίγραφον, ὑπῆρχε τοιοῦτον. βασιλεῖ μεγάλῳ παρὰ Δημητρίου. προστάξαντός σου ὦ βασιλεῦ, περί τε τῶν ἔτι λειπόντων εἰς ἀναπλήρωσιν τῆς βιβλιοθήκης συγγραμμάτων ὅπως συναχθῇ, καὶ περὶ τῶν διαπεπτωκότων ὅπως τῆς δεούσης ἐπιμελείας τύχῃ, πάσῃ κεχρημένος περὶ ταῦτα σπουδῇ, δηλῶ σοι τὰ τῆς Ἰουδαίων νομοθεσίας βιβλία λείπειν ἡμῖν σὺν ἑτέροις. χαρακτῆρσι γὰρ Ἑβραϊκοῖς γεγραμμένα καὶ φωνῇ τῇ ἐθνικῇ, ἐστὶν ἡμῖν ἀσαφῆ. συμβέβηκε δ' αὐτά, καὶ ἀμελέστερον ἢ ἐχρῆν σεσημάνθαι, διὰ τὸ βασιλικῆς οὔπω τετυχηκέναι προνοίας. ἔστι δὲ ἀναγκαῖον εἶναι καὶ ταῦτα παρὰ σοί, διηκριβωμένα. φιλοσοφωτέραν γὰρ καὶ ἀκέραιον τὴν νομοθεσίαν εἶναι συμβέβηκεν ὡς ἂν οὖσαν θεοῦ. διὸ καὶ τοὺς ποιητὰς αὐτῆς, καὶ συγγραφεῖς τῶν ἱστοριῶν, οὐκ ἐμνησθῆναι φησὶν Ἑκαταῖος ὁ Ἀβδηρίτης, οὐδὲ τῶν κατ' αὐτὴν πολιτευσαμένων ἀνδρῶν, ὡς ἁγνῆς οὔσης, καὶ μὴ δέον αὐτὴν βεβήλοις στόμασι διασαφεῖσθαι. ἐὰν οὖν σοι δοκῇ βασιλεῦ, γράψεις τῷ τῶν Ἰουδαίων ἀρχιερεῖ ὅπως ἀποστείλῃ τῶν πρεσβυτέρων ἓξ ἀφ' ἑκάστης φυλῆς, τοὺς ἐμπειροτάτους τῶν νόμων, ἀφ' ὧν τὸ τῶν βιβλίων σαφὲς καὶ σύμφωνον εὖ μαθόντες, καὶ τὸ κατὰ τὴν ἑρμηνείαν ἀκριβὲς λαβόντες τῶν πραγμάτων, ἀξίως ταῦτα τῆς σῆς προαιρέσεως συναγάγωμεν. τοιαύτης οὖν τῆς εἰσδόσεως γενομένης, ὁ βασιλεὺς ἐκέλευσεν Ἐλεαζάρῳ τῷ ἀρχιερεῖ τῶν Ἰουδαίων γράψαι περὶ τούτων, ἅμα καὶ τὴν ἄφεσιν τῶν δουλευόντων παρ' αὐτοῖς Ἰουδαίων δηλοῦντας αὐτῷ. καὶ πρὸς κατασκευὴν δὲ κρατήρων καὶ φιαλῶν καὶ σπονδείων, ἔπεμψε χρυσοῦ μὲν ὁλκῆς τάλαντα ν'. λίθων δὲ πολυτελῶν ἀσυλλόγιστόν τι πλῆθος. προσέταξε καὶ τοῖς φύλαξι τῶν κιβωτῶν, ἐν αἷς ἐτύγχανον οἱ λίθοι, τὴν ἐκλογὴν τοῖς τεχνίταις αὐτῶν οὗπερ ἂν ἐθελήσωσιν εἴδους ἐπιτρέπειν. διετάξατο δὲ καὶ νομίσματος εἰς θυσίας καὶ τὰς λοιπὰς χρείας πρὸς ἑκατὸν τάλαντα τῷ ἱερῷ δοθῆναι. διηγήσομαι δὲ τὰ κατασκευάσματα, καὶ τὸν τρόπον τῆς δημιουργίας αὐτῶν,

mo. Eum verò qui parere noluerit, cuiuis deferre liceat, mulctandum facultatibus que fisco nostro debẽt cedere. Hoc edictum cùm primum oblatum esset regi, nec tamẽ disertè cautum esset illis quoque, qui vel antè vel pòst capti fuerant, liberaliter & illis indultum est eadem regis beneficentia: iussitque vt ex collectis iam tributis distribueretur pecunia in militem & in mensarios regios. Quo facto, intra septem dies peractum est quicquid rex iusserat, impensis in redemptionem quadringentis sexaginta talentis: quia domini exigebant & pro infantibus illas cẽtum viginti drachmas, quasi regis edictum etiam hos complecteretur, vbi adscriptum erat pro singulis mancipiorum capitibus eam summam numerandam. Hæc vbi ex sententia regis magnificè sunt peracta, iussit Demetrium euulgare decretum de transcribẽdis Iudęorum codicibus. nihil enim temerè fiebat à regibus, sed omnia diligenter præmeditata: quapropter & suggestionis exemplar & epistolarum in commentarios relatum est, & multitudo missorum donariorum, & quòd à quoque factum est, vt primo aspectu pateat ex ipsis operibus tam autorum quàm artificum præstantia. Suggestionis sanè exemplar fuit tale, Regi magno Demetrius. Quia mandasti rex vt quod deest tuæ bibliothecæ suppleamus, & libros qui hactenus nostram inquisitionem effugerunt perquiramus, nihil mihi ad summam circa hoc negocium diligentiam reliquum faciens, scire te velim inter eos quos adhuc desideramus esse Iudæorum legis codices. Hebraicis enim characteribus & vernacula ipsorum lingua scripti cùm sint, intelligi à nobis non possunt. sunt etiam negligentius quàm par est habiti, eo quòd nondum eis regia prouidentia contigit. necesse est autem vt & hos habeas diligenter accuratos. Sapientiorem enim & sinceriorem legislationem continent, vtpote diuinitus proditam. Et hæc est causa, vt Hecatęus Abderita refert, cur nullus vel poëta vel historicus mentionem eius legis faciat, aut virorum qui iuxta eius præscriptum res suas administrauerunt: quod sacrosancta sit, & profano ore tractari non debeat. Itaque si idem tibi videbitur rex, scribes Iudęorum pontifici, vt mittat senos ex singulis tribubus seniores, legum earum peritissimos, ex quorum interpretatione apertum ac consonum sensum eorum librorum accipientes, dignum aliquid tuo desiderio colligamus. Ad hanc igitur suggestionẽ iussit rex suos, vt ad Eleazarum Iudæorum põtificem de hac re scriberent, simúlque per easdem literas certiorem facerent de Iudæis per Ægyptum pristinæ libertati redditis. præterea ad faciendos crateres & phialas ac libatoria, misit auri talenta quinquaginta, & gemmarũ copiosam multitudinem: iussitque custodes arcarum in quibus gemmæ seruabantur, liberam artificibus electionem permittere. mandauit etiam pecuniæ pro sacrificiis & reliquis templi vsibus centum talenta erogari. Dicam autem & opera & eorum ornatum

vbi primùm expoſuero exemplar epiſtolę ſcriptæ ad Eleazarum pontificem, qui hoc ſacerdotij faſtigium hoc modo conſecutus eſt. Onia pontifice defuncto filius ei Simon ſucceſſit, Iuſtus cognominatus, quòd & Deum piè coleret, & ciues ſūma potiretur beneuolentia. Quo mortuo, ſuperſtite vnico filio paruulo, frater eius Eleazarus, de quo nunc eſt mentio, pontificatū aſſumpſit: cui Ptolemæus hoc modo ſcripſit. Rex Ptolemeus Eleazaro pontifici ſalutem. Multis Iudæis in regno meo degentibus, quos Perſæ dum rerum potirentur captiuos eò pertraxerāt, pater meus eos in precio habuit, aliorum opera in militia vſus amplis ſtipendiis conductorū aliis etiam caſtellorum cuſtodia per Ægyptum aſſignata, vt eſſent terrori indigenis. Ego verò poſtquam principatū adeptus ſum, cùm in cæteros benignitate ſum vſus, tū maximè in tuos ciues: quorum ſupra centum millia in libertatem vindicaui, reſtitutis de meo preciis eorum ſupra cētum millia in libertatem vindicaui, reſtitutis de meo preciis eorum poſſeſſoribus. ex his per ętatem idoneos allegi in militiam: nonnullos quorum fides id mereri videbatur, inter aulicos meos accēſui, ratus nullum gratius me Deo poſſe offerre donarium, pro ea prouidentia qua me dignatus eſt rebus pręficere. Ergo vt & his & reliquis per totum orbē Iudęis gratum faciam, viſum eſt mihi legem veſtram in Græcam linguā vertere, & ita verſam in bibliothecam meam reponere. Bene igitur facies, ſi idoneorum delectu per tribus habito, ex vnaquaque ſex viros bonos iam ſeniores ad nos miſeris, qui per ætatem legum periti, poſſint pręſtare bonos interpretes. Spero enim ſi hoc ex ſententia ſucceſſerit, maximam gloriam nos inde acquiſituros. Mitto autem qui tecum de hac re agant, Andream pręfectum ſatellitum, & Ariſtæum, mihi chariſſimos: per quos etiam primitias donariorum templi & victimarum miſimus, talenta argenti centum. Reſcribes autem quicquid volueris, facturus nobis rem gratiſſimam. Hac epiſtola accepta, Eleazarus reſcripſit quàm potuit honorificētiſſimè. Pontifex Eleazarus regi Ptolemęo S. Si vales cum regina Arſinoe communibúſque liberis, noſtrę quoque res ſe habent optimè. Acceptis tuis literis gauiſi ſumus plurimum ob egregiam tuam voluntatem. aduocataque concione eas legimus, teſtes pietatis qua colis Deum maximum. oſtendimus etiam phialas quas miſiſti aureas viginti, argenteas triginta, & crateras quinque, & menſam dedicandam, centúmque illa talenta quæ in victimas & alios templi vſus attulerunt Andreas & Ariſtęus amici tui chariſſimi, viri boni ác docti, tuáque amicitia digniſſimi. quare ſcito nos tibi gratificaturos etiā ſi quid præter ingenium noſtrum facere oporteat. prouocati enim beneficiis in ciues noſtros collatis non debemus ſegnes eſſe ad referendam gratiā. Quamobrem continuò pro te ſororéque tua & liberis & amicis hoſtias obtulimus, & popul⁹ vota fecit pro felici rerum tuarum ſucceſſu, & pro pacato regni tui ſtatu, vtque hæc legis verſio tam felix tibi ſit quàm cupis maximè.

A μετὰ τὸ προεκτεθῆναι τὸ ἀντίγραφον τῆς ἐπιστολῆς τῆς γραφείσης Ἐλεαζάρῳ τῷ ἀρχιερεῖ, ταύτην λαβόντι τὴν τιμὴν διὰ αἰτίας τοιαύτης. τελευτήσαντος Ὀνίου τοῦ ἀρχιερέως, ὁ παῖς αὐτοῦ Σίμων γίνεται διάδοχος ὁ καὶ δίκαιος ἐπικληθεὶς, διά τε τὸ πρὸς θεὸν εὐσεβὲς καὶ τὸ πρὸς τοὺς ὁμοφύλους εὔνουν. ἀποθανόντος δὲ τούτου, καὶ νήπιον υἱὸν καταλιπόντος τὸν κληθέντα Ὀνίαν, ὁ ἀδελφὸς αὐτοῦ Ἐλεάζαρος, περὶ οὗ τὸν λόγον ποιούμεθα, τὴν ἀρχιερωσύνην B παρέλαβεν, ᾧ γράφει Πτολεμαῖος τοῦτον τὸν τρόπον. Βασιλεὺς Πτολεμαῖος Ἐλεαζάρῳ τῷ ἀρχιερεῖ χαίρειν. πολλῶν ἐν τῇ ἐμῇ βασιλείᾳ κατῳκισμένων Ἰουδαίων, οὓς αἰχμαλωτισθέντας ὑπὸ Περσῶν ὅτ' ἐκράτουν, ὁ ἐμὸς πατὴρ ἐτίμησε, καὶ τοὺς μὲν εἰς τὰ στρατιωτικὰ κατέταξεν ἐπὶ μείζοσι μισθοφορίαις, τισὶ δὲ γενομένοις ἐν Αἰγύπτῳ σὺν αὐτῷ, τὰ φρούρια καὶ τὴν τούτων φυλακὴν παρέθετο, ἵνα τοῖς Αἰγυπτίοις ὦσι φοβεροί. τὴν C δὲ ἀρχὴν ἐγὼ παραλαβὼν πᾶσι μὲν φιλανθρώπως ἐχρησάμην, μάλιστα δὲ τοῖς σοῖς πολίταις, ὧν ὑπὲρ δέκα μὲν μυριάδας αἰχμαλώτων δουλευόντων, ἀπέλυσα τοῖς δεσπόταις αὐτῶν ἐκ τῶν ἐμῶν λύτρα καταβαλών. τοὺς δὲ ἀκμάζοντας ταῖς ἡλικίαις, εἰς τὸν στρατικὸν κατάλογον κατέταξα. τινὰς δὲ τῶν περὶ ἡμᾶς καὶ τῆς ἐμῆς αὐλῆς πιστοὺς εἶναι δυναμένων, ταύτης ἠξίωκα νομίζων ἡδὺ τῷ θεῷ τῆς ὑπὲρ ἐμοῦ προνοίας ἀνάθημα τοῦτο καὶ μέγιστον ἀναθήσειν. βουλόμενος δὲ καὶ τούτοις D χαρίζεσθαι, καὶ πᾶσι τοῖς κατὰ τὴν οἰκουμένην Ἰουδαίοις, τὸν νόμον ὑμῶν ἔγνων μεθερμηνεῦσαι, καὶ γράμμασιν ἑλληνικοῖς ἐκ τῶν ἑβραϊκῶν μεταγραφέντα, κεῖσθαι ἐν τῇ ἐμῇ βιβλιοθήκῃ. καλῶς οὖν ποιήσεις ἐπιλεξάμενος, ἄνδρας ἀγαθοὺς ἓξ ἀφ' ἑκάστης φυλῆς ἤδη πρεσβυτέρους πέμψας, οἳ καὶ διὰ τὸν χρόνον ἐμπείρως ἔχουσι τῶν νόμων, καὶ δυνήσονται τὴν ἑρμηνείαν αὐτῶν ἀκριβῆ ποιήσασθαι. νομίζω γὰρ τούτων ἐπιτελεσθέντων, μεγίστην E δόξαν ἡμῖν περιγενήσεσθαι. ἀπέσταλκα δέ σοι περὶ τούτων διαλεξομένους Ἀνδρέαν τὸν ἀρχισωματοφύλακα καὶ Ἀρισταῖον, ἐμοὶ τιμιωτάτους· δι' ὧν καὶ ἀπαρχὰς ἀναθημάτων εἰς τὸ ἱερὸν καὶ θυσιῶν καὶ τῶν ἄλλων ἀπέσταλκα, τάλαντα ἀργυρίου ρʹ. καὶ σὺ δὲ ἡμῖν ἐπιστέλλων, περὶ ὧν ἂν ἐθέλῃς, ποιήσεις κεχαρισμένα. τῆς οὖν ἐπιστολῆς τοῦ βασιλέως κομισθείσης πρὸς Ἐλεάζαρον, ἀντιγράφει πρὸς αὐτὴν ὡς ἐνῆν μάλιστα φιλοτίμως. Ἀρχιερεὺς Ἐλεάζαρος βασιλεῖ Πτολεμαίῳ χαίρειν. ἐρρωμένων F σοῦ τε καὶ τῆς βασιλίσσης Ἀρσινόης καὶ τῶν τέκνων, καλῶς ἡμῖν ἔχει πάντα. τὴν δὲ ἐπιστολὴν λαβόντες, μεγάλως ἥσθημεν ἐπὶ τῇ προαιρέσει σου. καὶ συναθροίσαντες τὸ πλῆθος, ἀνέγνωμεν αὐτὴν, ἐμφανίζοντες αὐτοῖς ἣν ἔχεις πρὸς τὸν θεὸν εὐσέβειαν. ἐπεδείξαμεν δὲ αὐτοῖς καὶ τὰς φιάλας ἃς ἔπεμψας χρυσᾶς κʹ. καὶ ἀργυρᾶς G λʹ. καὶ κρατῆρας εʹ. καὶ τράπεζαν εἰς ἀνάθεσιν. ἃ τε εἰς θυσίαν καὶ εἰς ἐπισκευὴν ὧν ἂν δέηται τὸ ἱερὸν, τάλαντα ρʹ. ἅπερ ἐκόμισαν Ἀνδρέας καὶ Ἀρισταῖος οἱ τιμιώτατοί σου τῶν φίλων, ἄνδρες ἀγαθοὶ καὶ παιδείᾳ διαφέροντες, καὶ τῆς σῆς ἀρετῆς ἄξιοι. ἴσθι δὲ ἡμᾶς τὸ σοὶ συμφέρον κἂν ᾖ τι παρὰ φύσιν, ὑπομενοῦντας. ἀμείβεσθαι γὰρ ἡμᾶς δεῖ τὰς σὰς εὐεργεσίας πολυμερῶς εἰς τοὺς ἡμετέρους πολίτας κατατεθείσας. εὐθὺς οὖν ὑπὲρ σοῦ καὶ τῆς ἀδελφῆς σου καὶ τῶν τέκνων καὶ φίλων προσηγάγομεν θυσίας, καὶ τὸ πλῆθος εὐχὰς ἐποιήσατο γενέσθαι σοι τὰ κατὰ νοῦν, καὶ φυλαχθῆναί σου τὴν βασιλείαν ἐν εἰρήνῃ, τήν τε τοῦ νόμου μεταγραφὴν, ἐπὶ συμφέροντι τῷ σῷ λαβεῖν ὃ προαιρῇ τέλος

ἐπιλέ-

ἐπιλεξάμενοι δὲ καὶ πρεσβυτέρους ἄνδρας ἓξ ἀπὸ φυλῆς ἑκάστης, οὓς πεπόμφαμεν ἔχοντας τὸν νόμον. ἔσται δὲ τῆς σῆς εὐσεβείας καὶ δικαιοσύνης τὸ μεταγραφέντα τὸν νόμον εἰς ἡμᾶς ἀποπέμψαι μετ' ἀσφαλείας τῆς κομιζόντων. ἔρρωσο. ταῦτα μὲν ὁ ἀρχιερεὺς ἀντέγραψεν. ἐμοὶ δ' οὐκ ἀναγκαῖον ἔδοξεν εἶναι τὰ ὀνόματα τῶν ἑβδομήκοντα πρεσβυτέρων, οἳ τὸν νόμον ἐκόμιζον, ὑπὸ Ἐλεαζάρου πεμφθέντες δηλοῦν. ἦν γὰρ ταῦτα ὑπογεγραμμένα ἐν τῇ ἐπιστολῇ. τὴν μέντοιγε τῶν ἀναθημάτων πολυτέλειαν καὶ κατασκευὴν ἣν ἀπέστειλεν ὁ βασιλεὺς τῷ θεῷ, οὐκ ἀνεπιτήδειον ἡγησάμην διελθεῖν, ὅπως ἅπασιν ἡ τοῦ βασιλέως ἐπὶ τὸν θεὸν φιλοτιμία, φανερὰ γένηται. ἄφθονον γὰρ τὴν εἰς ταῦτα δαπάνην χορηγῶν ὁ βασιλεύς, καὶ παρὼν ἀεὶ τοῖς τεχνίταις, καὶ τὰ ἔργα ἐπιβλέπων, οὐδὲν ἀμελῶς οὐδὲ ῥαθύμως εἴα γίνεσθαι τῶν κατασκευασμάτων, ὧν ἑκάστου ὡς οἷόν τε, τὴν πολυτέλειαν διηγήσομαι. τῆς μὲν ἱστορίας ἴσως οὐκ ἀπαιτούσης τὴν ἀπαγγελίαν, τὸ δὲ τοῦ βασιλέως φιλόκαλον καὶ μεγαλόφρον, οὕτως συστήσειν τοῖς ἐντευξομένοις ὑπολαμβάνων. πρῶτον δὲ τὰ περὶ τῆς τραπέζης ἐκθήσομαι. εἶχε μὲν οὖν δι' ἐννοίας ὁ βασιλεύς, ὑπερμεγέθη τοῖς μέτροις ἀπεργάσασθαι τὸ κατασκεύασμα. προσέταξε δὲ μαθεῖν τὸ μέγεθος τῆς ἀνακειμένης ἐν τοῖς Ἱεροσολύμοις τραπέζης, πόσον τέ ἐστιν, καὶ εἰ δύναται μείζων ταύτης κατασκευασθῆναι. μαθὼν δὲ καὶ τὴν οὖσαν ἡλίκη τίς ἦν, καὶ ὅτι αὐτῆς οὐδὲν κωλύει μείζονα γενέσθαι, φήσας καὶ πενταπλασίονα τῆς ὑπαρχούσης τῷ μεγέθει βούλεσθαι κατασκευάσαι, φοβεῖσθαι δὲ μὴ πρὸς τὰς λειτουργίας ἄχρηστος διὰ τὴν ὑπερβολὴν τοῦ μεγέθους γένηται. βούλεσθαι γὰρ οὐκ ἀνακεῖσθαι μόνον εἰς θέαν τὰ ἀναθήματα, ἀλλὰ πρὸς τὰς λειτουργίας εὔχρηστα. καὶ διὰ τοῦτο λογισάμενος σύμμετρον κατεσκευάσθαι τὴν προτέραν τράπεζαν, ἀλλ' οὐ διὰ σπάνιν χρυσοῦ, τῷ μεγέθει μὲν οὐκ ἔγνω τὴν προϋπάρχουσαν ὑπερβαλεῖν, τῇ δὲ ποικιλίᾳ καὶ τῷ κάλλει τῆς ὕλης ἀξιολογωτέραν κατασκευάσαι. δεινὸς δ' ὢν κατιδεῖν πραγμάτων παντοδαπῶν φύσιν, καὶ λαβεῖν ἐπίνοιαν ἔργων καινῶν καὶ παραδόξων, καὶ ὅσα ἦν ἄγραφα τὴν εὕρεσιν αὐτὸς παρέχων διὰ τὴν σύνεσιν, καὶ ὑποδεικνὺς τοῖς τεχνίταις, ἐκέλευσε ταῦτα κατασκευάζεσθαι. καὶ τὰ ἀναγεγραμμένα πρὸς τὴν ἀκρίβειαν αὐτῶν ἀποβλέποντας ὁμοίως ἐπιτελεῖν. ὑποστησάμενοι τοίνυν ποιήσασθαι τὴν τράπεζαν, δύο μὲν καὶ ἡμίσους πηχῶν τὸ μῆκος, ἑνὸς δὲ τὸ εὖρος, τὸ δ' ὕψος ἑνὸς καὶ ἡμίσους, ἐκ χρυσοῦ τὴν ὅλην κατασκευὴν τοῦ ἔργου ποιούμενοι, τὴν μὲν οὖν στεφάνην παλαιστιαίαν εἰργάσαντο. τὰ δὲ κυμάτια στρεπτά, τὴν ἀναγλυφὴν ἔχοντα σχοινοειδῆ, τῇ τορείᾳ θαυμαστῶς ἐκ τῶν τριῶν μερῶν μεμιμημένην. τριγώνων γὰρ ὄντων αὐτῶν, ἑκάστη γωνία τὴν αὐτὴν τῆς ἐκτυπώσεως εἶχε διάθεσιν, ὡς στρεφομένων αὐτῶν, μίαν καὶ μὴ διάφορον τὴν ἰδέαν αὐτοῖς συμπεριφέρεσθαι. τῆς δὲ στεφάνης, τὸ μὲν ὑπὸ τὴν τράπεζαν ἦν κεκλεισμένον, ὡραίαν ἔχον τὴν διατύπωσιν. τὸ δ' ἔξωθεν περιειμένον, ἔτι μᾶλλον τῷ κάλλει τῆς ἐργασίας ἦν ἐκπεπονημένον, ὡς ὑπ' ὄψιν καὶ θεωρίαν ἐρχόμενον. διὸ καὶ τὴν μὲν ὑπεροχὴν ἀμφοτέρων τῶν μερῶν ὀξεῖαν συνέβαινε γίνεσθαι, καὶ μηδὲ μίαν γωνίαν τριῶν οὐσῶν ὡς προειρήκαμεν περὶ τὴν μεταγωγὴν τῆς τραπέζης ἐλάττονα βλέπεσθαι. ἐνδέδεντο δὲ ταῖς χοινίσι τῆς τορείας, λίθοι πολυτελεῖς παράλληλοι, περόναις χρυσαῖς διὰ τρημάτων κατειλημμένοι. τὰ δ' ἐκ πλαγίου τῆς στεφάνης καὶ ὑπ' ὄψιν ἀνατείνοντα, ᾠῶν ἐκ λίθου καλλίστου πεποιημένων θέσει κατακεκόσμηται, ῥάβδοις τὴν ἀναγλυφὴν ἐοικότων πυκναῖς, αἳ περὶ τὸν κύκλον τῆς τραπέζης εἵλιντο. ὑπὸ δὲ τὴν ᾠῶν διατύπωσιν, στέφανον περιήγαγον οἱ τεχνῖται,

A Delegimus etiam senos per tribus presbyteros, quos ad te cum lege misimus. tuę autem pietatis erit ac iustitiæ, vt transcripta lege ad nos eã tutò remittas vnà cum eius deportatoribus. Bene vale. Hæc sunt quæ rescripsit pôtifex. superuacaneum autẽ visum est apponere LXX. seniorum nomina qui cum lege ab Eleazaro missi sunt, licet adscripta fuerint in epistola, donariorum tamen quæ ex Deo misit ornatum & ma- B gnificentiam silentio preterire non possum, vt omnibus nota fiat eius regis erga Deum pietas ac liberalitas. abundè enim sumptus suppeditãs & præsentia sua extimulans artifices, opera eorum assiduè visẽdo, nullam eis segnitiæ aut negligentiæ relinquebat occasionem: quæ nũc recensebo singula, non quòd historiæ contextus hoc admodum postulet, sed quòd digna sit quæ prædicetur regis liberalitas: primúmque mensam conabor describere. Cupiens enim longè C maiorem facere mandauit explorari eius quæ tum Hierosolymis erat magnitudinem, quanta esset, & an maior posset fieri: & comperta eius mensura, quódque maior etiam esse posset: ait se eius vel quincuplam magnitudinem redditurum, ni vereretur, ne per hoc ad quotidiana ministeria minus posthac essetvtilis. Cupere.n. se ea donaria non solùm ad ostentationem, sed ad vsum etiam esse accommoda: itaque volens declarare se non auri penuria vel parsimonia D parem priori facere: quod non erat integrũ addere magnitudini, id compẽsauit varietate ornatus & operis pulchritudine. cùm enim esset ingeniosus in contemplandis rerum naturis, & in excogitandis nouis & inusitatis operibus, pro sua sapientia præscribebat artificibus, exigens ne quid à præscriptis formulis discederent. ac primùm constituto mensę modo in longitudinem cubitorum duorum & semis, in latitudinem vnius, altitudine sesquicubitali, totum o- E pus ex auro facientes loricam ei palmum latã circundederunt: cuius cimæ versatiles sculpturam habebant resticulatam indistincta imitatione per tria latera. cùm enim essent triangulę per singulos angulos eędem erant figurationes vt conuersę non alia, sed eadẽ specie oculis occurrerent. loricę verò pars interior ad mensam vergens egregias sculpturas habebat: sed exterior eius facies longè pulchriores, videlicet quòd hę totę essent conspicuę. quin & cymę il- F lę facilè & citò vertebantur, & quemuis è tribus angulis pari mensura oculis subiiciebant. resticulis autem illis sculptilibus insertę erant gemmæ preciosę paribus interuallis distantes, fibulis aureis per foramina comprehensę. exterior autem loricę facies gẽmis pulchris ouali specie distinguebatur, intercurrente densa sculptura virgarũ, quęper circuitũ mẽsę voluebatur

huic subiecta erat corona per circuitum omne genus fructuum repræsentans, dependentibus racemis,& spicis emergentibus,& malis punicis interfertis:quæ omnia constabant è lapillis etiam colorem natiuum fructuum referentib⁹, & auro circũ totam mẽsam reuinctis. Sub hac corona rursum alia series ouorum priori similis cum virgatis pleræque sculpturis visebatur: vt ex vtraque parte spectaretur eadem operum varietas ac elegantia,etiam in lorica & cymarũ ordine:ac ne inuersis quidem mensæ lateribus vlla sentiretur diuersitas, sed idem artificium vsque imos pedes pertenderet.subdita enim lamina aurea quatuor digitos lata per transuersã mensæ latitudinem,in eam pedes eius inseruerunt,quos fibulis ac clausuris astrinxerunt mẽsæ iuxta loricam,vt his insistens quaqua verteretur,eandem speciem ostenderet.In mensa autem sculptus erat mæander, magni precij gemmis per medium tanquã stellis variegatus, carbunculo & smaragdo suauissimè radiantibus, aliisque generibus quę vbique grata sunt propter preciũ.Propter mæandrum verò resticulati quidam nexus circumquaque discurrebant, rombo circa medium similes,in quo crystallus & succinum per interstitia paria coniunctim cum magna gratia spectabantur.pedum autem capitella liliorum similitudinem referebant, foliis sub mensa se reflectentibus,cùm germen alioquin rectũ videretur,basis autem facta erat è carbunculo palmum lata crepidinis specie, quà verò pedes innitebantur, octo digitorum latitudine:erátque sculpti singuli pedes opere subtilissimo,hederis & palmitibus vnà cum racemis per eos discurrentibus,in discreta verorum similitudine.tanta enim erat artis subtilitas,vt perflante vento agitata, naturę non artis opus viderentur.constabátque totum opus trimembri cõpositione,sed tanto artificio, vt cõmissuræ nec oculis nec cogitatione deprehendi possent. crassitudo autem mensæ erat semicubitalis. tanta fuit in hoc dono regis magnificentia, opulentia materiæ, artis pulchritudo ac varietas ad naturæ imitationem expressa:quandoquidem hoc erat eius studium, vt si non magnitudine hæc priorem illam mensam superaret, certè nouitate commenti & ornamentorum splendore magis esset conspicienda. Crateræ autem aureæ fuerunt duę, squamatæ, à basi vsque præcincturam, spiras habentes variis gemmis distinctas: deinde mæandrum cubitali altitudine ex omnigenis gemmis compositum: & super eum virgatam sculpturam, & deinceps vsquè labrum plexile quiddam reti simile, crebra romborum specie interueniente. addebant gratiam, insertæ gemmæ scutulæ, quatuor digitorum amplitudine. Labrum verò crateris in orbem ornatum erat liliis & floribus, atq; implexis inter se palmitib. vuas ferẽtibus.

παντοίου καρποῦ φύσιν ἐντετορευμένον, ὡς ἀποκρέμασθαί τε βότρυς, καὶ στάχυς ἀνεστηκέναι, καὶ ῥοὰς ἀποκεκλεῖσθαι. τοὺς δὲ λίθους εἰς πᾶν γένος τῶν προειρημένων καρπῶν, ὡς ἑκάστῳ τὴν οἰκείαν τετυπῶσθαι χρόαν ἐξεργασάμενοι, συνέδησαν τῷ χρυσῷ περὶ ὅλην τὴν τράπεζαν. ὑπὸ δὲ τὸν στέφανον ὁμοίως ἡ τῶν ὠῶν διάθεσις πεποίητο, καὶ ἡ τῆς ῥαβδώσεως ἀναγλυφὴ τῆς τραπέζης, ὡς ἐπαμφότερον μέρος ἔχειν τὴν αὐτὴν τῆς ποικιλείας τῶν ἔργων καὶ γλαφυρότητος θέαν κατασκευασμένην, ὡς καὶ τὴν τῶν κυμάτων θέσιν καὶ τὴν τῆς στεφάνης, μηδὲ τῆς τραπέζης ἐφ᾽ ἕτερον μέρος ἐναλλαττομένης γίνεσθαι διάφορον. τὴν δ᾽ αὐτὴν ἄχρι καὶ τῶν ποδῶν ὄψιν τῆς ἐπιτεχνήσεως διατετάσθαι. ἔλασμα γὰρ χρυσοῦ τὸ πλάτος τεσσάρων δακτύλων ποιήσαντες καθ᾽ ὅλου τοῦ τῆς τραπέζης πλάτους, εἰς τοῦτο τοὺς πόδας αὐτῆς ἀνέθεσαν. ἔπειτα περόναις καὶ κατακλείσεσιν αὐτοὺς ἐνέσφιγγον τῇ τραπέζῃ κατὰ τὴν στεφάνην, διὰ τὴν θέαν τῆς καινουργίας καὶ πολυτελείας, ἵν᾽ ἐφ᾽ ᾧ τις ἂν στῇ τὴν τράπεζαν μέρει, παρέχωσι τὴν αὐτήν. ἐπὶ δὲ τῆς τραπέζης, μαίανδρον ἐξέγλυψαν, λίθους αὐτῷ κατὰ μέσον ἀξιολόγους ὥσπερ ἀστέρας, ποικίλης ἰδέας ἐνθέντες, τόν τε ἄνθρακα καὶ τὸν σμάραγδον, ἥδιστον προσαυγάζοντας αὐτῶν ἑκάτερον τοῖς ὁρῶσι, τῶν τε ἄλλων γενῶν ὅσοι περισπούδαστοι καὶ ζηλωτοὶ πᾶσι διὰ τὴν πολυτέλειαν τῆς φύσεως ὑπάρχουσι. μετὰ δὲ τὸν μαίανδρον, πλέγμα τι σχοινοειδὲς περιῆκτο, ῥόμβῳ τὴν κατὰ μέσον ὄψιν ἐμφερές, ἐφ᾽ οὗ κρύσταλλός τε λίθος καὶ ἤλεκτρον ἐνετετύπωτο, τῇ γειτνιάσει παραλλήλῳ τῆς ἰδίας γειτνιάσει, ψυχαγωγίαν θαυμαστὴν παρέχον τοῖς βλέπουσι. τῶν δὲ ποδῶν ἦσαν αἱ κεφαλίδες εἰς κρίνα μεμιμημέναι τὰς ἐκφύσεις, τῶν πετάλων ὑπὸ τὴν τράπεζαν ἀνακλωμένων. εἰς ὀρθὸν δὲ τὴν βλάστησιν ἔνδοθεν παρεχόντων ὁρᾶν. ἡ δὲ βάσις αὐτῶν ἐξ ἄνθρακος λίθου παλαιστιαία πεποιημένη σχῆμα κρηπῖδος ἀποτελοῦσα. τὸ δὲ πλάτος ὀκτὼ δακτύλων ἔχουσα. καθ᾽ οὗ τὸ πᾶν ἔλασμα τῶν ποδῶν ἐρήρειστο. ἀνέγλυψαν δὲ λεπτομερεῖ καὶ φιλοπόνῳ τῇ τορείᾳ τῶν ποδῶν ἕκαστον, κισσὸν αὐτοῖς καὶ κλήματα ἀμπέλων σὺν βότρυσιν ἐκφύσαντες. ὡς εἰκάσαι μηδὲν ἀποδεῖν τῆς ἀληθείας. καὶ γὰρ πρὸς τὸ πνεῦμα διὰ λεπτότητα καὶ τὴν ἐπάνω αὐτῶν ἔκτασιν κινούμενα, φαντασίαν τῶν κατὰ φύσιν μᾶλλον ἢ τέχνῃ μιμητῶν παρεῖχεν. ἐκαινούργησαν δὲ ὥστε τρίπτυχον οἱονεὶ τὸ σχῆμα τῆς ὅλης κατασκευάσαι τραπέζης, τῆς ἁρμονίας πρὸς ἄλληλα τῶν μερῶν οὕτως συνδεδεμένης, ὡς ἀόρατον εἶναι, καὶ μηδ᾽ ἐπινοεῖσθαι τὰς συμβολάς. ἥμισυ δὲ πήχεως οὐκ ἔλαττον τῇ τραπέζῃ τὸ πάχος συνέβαινεν εἶναι. τὸ μὲν οὖν ἀνάθημα τοῦτο κατὰ πολλὴν τοῦ βασιλέως φιλοτιμίαν τοιοῦτο, τῇ τε πολυτελείᾳ τῆς ὕλης, καὶ τῇ ποικιλίᾳ τῆς καλλονῆς, καὶ τῇ μιμήσει τῇ κατὰ τὴν τορείαν τῶν τεχνιτῶν συνετελέσθη. σπουδάσαντος εἰ καὶ μὴ τῷ μεγέθει τῆς προανακειμένης τῷ θεῷ τραπέζης ἔμελλεν ἔσεσθαι διάφορος, τῇ μέντοιγε τέχνῃ, καὶ τῇ καινουργίᾳ καὶ τῇ λαμπρότητι τῆς κατασκευῆς, πολὺ κρείττονα καὶ περίβλεπτον ἀπεργάσασθαι. τῶν δὲ κρατήρων, χρύσεοι μὲν ἦσαν δύο. φολιδωτὴν δ᾽ εἶχον ἀπὸ τῆς βάσεως μέχρι τοῦ διαζώσματος τὴν τορείαν, λίθων ταῖς σπείραις ποικίλαις ἐνδεδυμένων. εἶτα ἐπ᾽ αὐτῆς μαίανδρος πηχυαῖος τὸ ὕψος ἐξείργαστο, κατὰ σύνθεσιν λίθων παντοίων τὴν ἰδέαν. κατ᾽ αὐτοῦ δὲ ῥάβδωσις ἀνεγέγλυπτο. καθ᾽ ἧς πλέγμα ῥομβωτὸν δικτύοις ἐμφερὲς ἕως τοῦ χείλους ἀνείλκυστο. τὰ δὲ μέσα λίθων ἀσπίδια τεσσαροδακτύλων ἀνεπλήρου τὸ κάλλος. περιεστρέφετο δὲ τὰ χείλη τοῦ κρατῆρος κρίνων σμίλαξι καὶ ἀνθεμίσι καὶ βοτρύων σχοινίαις εἰς κύκλον περιηγμέναις. τούτους μὲν οὖν χρυσέους κρατῆρας, δύο φοροῦντας ἑκάτερον

ρον ἀμφορέας τοῦτον κατεσκεύασαν τὸν τρόπον. οἱ δ' ἀργυροῖ τῶν ἐσόπτρων τῇ λαμπρότητι πολὺ διαυγέστεροι γεγόνεισαν, ὡς ἀκριβεστέρας διὰ τούτων τὰς τῶν προσφερομένων ὄψεις ὁρᾶσθαι. προσκατεσκεύασε δὲ τούτοις ὁ βασιλεὺς καὶ φιάλας λ'. ὧν ὅσα χρυσὸς ἦν ἀλλὰ μὴ λίθῳ πολυτελεῖ διείληπτο, σμίλαξι κισσοῦ καὶ πετάλοις ἀμπέλων ἐσκίαστο φιλοτέχνως ἐντετορευμένων. ταῦτα δ' ἐγίνετο μὲν καὶ διὰ τὴν ἐμπειρίαν τῶν ἐργαζομένων θαυμασίων ὄντων περὶ τὴν τέχνην, πολὺ δὲ μᾶλλον ὑπὸ τῆς τοῦ βασιλέως σπουδῆς καὶ φιλοτιμίας διαφερόντως ἀπηρτίζετο. οὐ γὰρ τῆς χορηγίας τὸ ἄφθονον καὶ μεγαλόψυχον τοῖς τεχνίταις παρεῖχε μόνον, ἀλλὰ καὶ τὸ χρηματίζειν τοῖς δημοσίοις προστάγμασιν ἀπειρηκὼς αὐτὸς τοῖς κατασκευάζουσι παρῆν, καὶ τὴν ὅλην ἐργασίαν ἐπέβλεπεν. αἴτιον δ' ἦν τοῦτο τῆς τῶν τεχνιτῶν ἐπιμελείας. οἱ περὶ τὸν βασιλέα καὶ τὴν τούτου σπουδὴν ἀποβλέποντες, φιλοπονώτερον τοῖς ἔργοις προσελιπάρουν. ταῦτα μὲν τὰ πεμφθέντα εἰς Ἱεροσόλυμα, ὑπὸ Πτολεμαίου ἀναθήματα. ὁ δὲ ἀρχιερεὺς Ἐλεάζαρος ἀναθεὶς αὐτά, καὶ τιμήσας τοὺς κομίσαντας, καὶ δῶρα δοὺς τῷ βασιλεῖ κομίζειν, ἀπέλυσε πρὸς τὸν βασιλέα. παραγενομένων δὲ εἰς τὴν Ἀλεξάνδρειαν, ἀκούσας Πτολεμαῖος τὴν παρουσίαν αὐτῶν, καὶ τοὺς ἑβδομήκοντα τῶν πρεσβυτέρων ἐληλυθότας, εὐθὺς μεταπέμπεται τὸν Ἀνδρέαν καὶ τὸν Ἀρισταῖον τοὺς πρέσβεις. οἱ δὲ ἀφικόμενοι, τάς τε ἐπιστολὰς ἃς ἐκόμιζον αὐτῷ παρὰ τοῦ ἀρχιερέως ἀπέδωσαν, καὶ ὅσα φράζειν ἀπὸ λόγων ἐπύθετο, ταῦτα ἐδήλωσαν. σπεύδων δ' ἐντυχεῖν τοῖς ἀπὸ τῶν Ἱεροσολύμων ἥκουσι πρεσβυτέροις ἐπὶ τὴν ἑρμηνείαν τῶν νόμων, τοὺς μὲν ἄλλους ὅσοι χρειῶν ἕνεκα παρεῖναι συνέβαινεν, ἐκέλευσεν ἀπολῦσαι, παράδοξον τοῦτο ποιῶν καὶ παρὰ τὸ ἔθος. οἱ μὲν γὰρ ὑπὸ τοιούτων αἰτιῶν ἀχθέντες, διὰ πέμπτης ἡμέρας αὐτῷ προσῄεσαν, οἱ δὲ πρεσβεύοντες, διὰ μηνός. τότε δὲ τούτους ἀπολύσας ἐκείνους, τοὺς πεμφθέντας ὑπὸ Ἐλεαζάρου περιέμενεν. ὡς δὲ παρῆλθον μετὰ καὶ τῶν δώρων οἱ γέροντες, ἃ τῷ βασιλεῖ κομίσαι ὁ ἀρχιερεὺς αὐτοῖς ἔδωκε, καὶ τῶν διφθερῶν, αἷς ἐγγεγραμμένους εἶχον τοὺς νόμους χρυσοῖς γράμμασιν, ἐπηρώτησεν αὐτοὺς περὶ τῶν βιβλίων. ὡς δὲ ἀποκαλύψαντες τῶν ἐνειλημάτων ἀπέδειξαν αὐτῷ, θαυμάσας ὁ βασιλεὺς τῆς ἰσχνότητος τοὺς ὑμένας, καὶ τῆς συμβολῆς τὸ ἀνεπίγνωστον, οὕτω γὰρ ἥρμοστο, καὶ τοῦτο ποιήσας χρόνῳ πλείονι, χάριν εἶπεν ἔχειν αὐτοῖς τε ἐλθοῦσι, καὶ μείζονα τῷ πέμψαντι, πρὸ δὲ πάντων τῷ θεῷ, οὗ τοὺς νόμους εἶναι συμβέβηκεν. ἐκβοησάντων δ' ὑφ' ἓν τῶν πρεσβυτέρων καὶ τῶν συμπαρόντων γίνεσθαι τὰ ἀγαθὰ τῷ βασιλεῖ, δι' ὑπερβολὴν ἡδονῆς εἰς δάκρυα προέπεσε, φύσει τῆς μεγάλης χαρᾶς παρεχούσης καὶ τὰ τῶν λυπηρῶν σύμβολα. κελεύσας δὲ τὰ βιβλία δοῦναι τοῖς ἐπὶ τῆς τάξεως, τότε τοὺς ἄνδρας ἠσπάσατο. δίκαιον εἰπὼν εἶναι πρότερον περὶ ὧν αὐτοὺς μετεπέμψατο ποιησάμενον τοὺς λόγους, ἔπειτα κἀκείνους προσειπεῖν. τὴν μέντοι γε ἡμέραν καθ' ἣν ἦλθον πρὸς αὐτὸν, ἐπιφανῆ ποιήσειν, καὶ κατὰ πᾶν ἔτος ἐπίσημον εἰς ὅλον τὸν τῆς ζωῆς χρόνον, ἐπηγγέλλετο. ἔτυχε γὰρ ἡ αὐτὴ εἶναι τῆς παρουσίας αὐτῶν, καὶ τῆς νίκης, ἣν Ἀντίγονον ναυμαχῶν ἐνίκησε. συνεστιαθῆναί τε αὐτῷ αὐτοὺς ἐκέλευσε, καὶ καταλύσεις αὐτοῖς προσέταξε δοθῆναι τὰς καλλίστας, πρὸς τῇ ἄκρᾳ. ὁ δὲ ἐπὶ τῆς τῶν ξένων ὑποδοχῆς τεταγμένος Νικάνωρ, Δωρόθεον καλέσας, ὃς εἶχε τὴν περὶ τούτων πρόνοιαν ἐκέλευσεν ἑτοιμάζειν ἑκάστῳ τὰ δέοντα πρὸς τὴν δίαιταν. διετέτακτο δὲ τοῦτον ὑπὸ τοῦ βασιλέως τὸν τρόπον,

A & ornatus quidem vtriusque erat hic, amplitudo verò quæ amphoram caperet. argenteæ verò quęuis specula splendore vincebant, certius etiam reddentes inspectãtium effigies. His addidit rex triginta phialas, in quib⁹ quicquid spatij gemmis erat vacuum, frondibus ederæ & pampinis sculptilibus adumbrabatur. atque hæc omnia non solùm artificum ingeniis ornabantur vsque ad miraculum, sed quadam etiam regis circa hæc ambitione diligentiùs accurabantur: B qui non satis putãs quòd sine parsimonia sumptus pręberet, relictis etiam seriis negotiis sæpe adibat officinas & inuisebat artificum opera, id quod magis etiam accendebat eorum diligentiam. videntes enim quòd cordi sit ei hoc negocium, maiore attentione versabantur in opere. atque hæc sunt donaria ab hoc rege ad Hierosolymitanum templum transmissa. Quibus consecratis pontifex Eleazarus, & honorificè tractatis qui attulerant, nõ C sine muneribus ad regem eos remisit. Hi postquam Alexandriam sunt reuersi, rex cognito eorum simul & septuaginta seniorum aduentu confestim legatos Andream & Aristęum acciuit: ab eisque & epistolam pontificis recepit, & multa præterea sciscitando didicit. Et cùm vehementer cuperet congredi cum septuaginta senioribus qui Hierosolymis ad interpretandã legem venerant, quicunque priuatorũ negotiorum causa expetebant eius colloquium, pręter D morem suum dimitti iussit. hos enim quinto quoque die solebat admittere, sicut legatos semel in mense. tum verò illis dimissis ab Eleazaro missos expectabat. vt verò senes illi venerunt cum muneribus à pontifice missis, & cum membranis quæ legem aureis literis inscriptã continebant, primùm de libris eos rogauit, vt verò ex inuolucris depróptos obtulerunt, multum diúque miratus membranæ subtilitatẽ, & commissuras quæ ita latebant, vt visu discerni E non possent, gratias se illis habere dixit qui venerint, & maiores etiam ei qui miserit, sed lõgè maximas Deo cuius leges attulerint. cúmque seniores corúmque comites vno ore omnia fausta regi acclamassent, præ nimia lætitia lacrymas non continuit, quę quidem mœroris insignia etiam magnum gaudium consequi natura voluit: iussique libros accipere quorũ hoc erat officium tum demum viros salutauit, pręfatus æquum fuisse vt pri⁹ de ea re propter quã F acciti fuerant percontatus, deinde illos quoq. compellaret. diem quidem aduentus eorum tã gratum sibi confessus est, vt quoad viueret, per singulos annos redeuntem eius memoriam colere se velle promitteret. fortè enim eadem erat qua Antigonum nauali prælio vicerat. voluitque vt conuiuæ sibi essent, & diuersoria mandauit eis assignari sub ipsa arce pucherrima. Nicanor autem qui excipiendis hospitibus præe- G rat, Dorotheum eos curare solitum iussit parare cuique ad victum pertinentia. Sic enim rex disposuerat, vt ex eis ciuitatibus quę in ratione

victus aliquid peculiare habent venientibus, more ipsorũ omnia pararentur, vt tractati more consueto suauius viuerent, & nulla in hoc nouitate offenderentur. quod honoris his quoque exhibitũ est, Dorotheo hac cura commissa, quòd his callebat morem quo solerent viuere. quamobrem omnia per se administrauit quæ ad illos accipiendos facerent. Ac primùm duos accubitus strauit, rege ita iubente, qui volebat dimidiam eorum partem ad dextrã suam discumbere, reliquam verò post ipsum ordine, nihil omittens ad honorẽ eorum pertinens. postquam autem discubitum est, iussit Dorotheum illis ministrare, sicut solet hospitibus ad se à Iudæa venientibus. quapropter præconibus & sacrificulis, aliisque id genus quorum est à suis precatiunculis auspicari conuiuium, locus hic non fuit: sed vnum ex conuiuarum numero sacerdotem Elisæum nomine precatione mensã consecrare ipse rex iussit: qui stãs in medio precatus est omnia fausta regi simul atque subditis: applausũmque & acclamatum est ab omnibus libenti ac hilari animo. quo facto fruebantur appositis. cúmque rex siluisset quantum satis visum est, cœpit philosophari, proponens singulis quæstionem aliquam de natura subtili disquisitione dignã. illis verò disertè ad quidlibet respondentibus, delectatus eorum cõsuetudine per duodecim dies instaurauit conuiuium. Si quis autem cupit cognoscere quæstiones agitatas in eo conuiuio, legat Aristæi librũ quem hoc argumento cõscripsit. Quos sermones cùm nõ solùm rex admiratus esset, sed Menedemus etiam philosophus fateretur omnia gubernare prouidentiam, eóque facilius tueri hanc sententiam, finis est huic quæstioni impositus. Rex verò iam tum se vberem ex eorum aduentu fructum percepisse fassus est, per quos didicisset quomodo regnũ administrare oporteat: iussitque datis priùs in singulos ternis talentis, deduci eos in diuersorium. Quarto deinde die Demetrius assumptis eis transiuit aggerem illum septem stadiorum, & pontem qui insulam continenti adiungit: & progressus ad septentrionale littus assignauit eis ibi domum remotam à strepitu, & contemplationi rerum idoneam rogauitque vt quandoquidem ad opus iam ita instructi sint, vt nihil desiderent amplius, ordiantur interpretationem feliciter. illi verò nõ parcẽtes labori quàm poterant accuratissimè interpretabantur, vsque horam nonam assidẽtes operi: reliquũ deinde tẽporis curando corpori dabãt, præter aliam copiam etiã de regi paratis cibis partes afferente Dorotheo ita vt mandatũ ei fuerat. mane aũt regiã ingressi salutato rege in eundem locum ad institutum negocium se referebant: quod marinis aquis ablutis manibus prius mundati aggrediebantur. Versione autem legis intra septuaginta duos dies absoluta, Demetrius aduocatis omnibus Iudæis in locũ vbi versa fuerat, præsentibus etiã interpretibus, perlegit codicẽ. concio verò & seniorum interpretationẽ approbauit,

A καὶ γὰρ πόλιν ἑκάστην, ὅσαι οὐ τοῖς αὐτοῖς χρῶνται περὶ τὴν δίαιταν, ἦν τούτων ἐπιμελούμενος. καὶ τὸ τῶν ἀφικνουμένων πρὸς αὐτὸν ἔθος, πάντ᾽ αὐτοῖς παρεσκεύαζετο, ἵνα τῷ συνήθει τρόπῳ τῆς διαίτης εὐωχούμενοι μᾶλλον ἥδωνται, καὶ πρὸς μηδὲν ὡς ἀλλοτρίως ἔχον δυσχεραίνωσιν. ὃ δὴ καὶ περὶ τούτους ἐγένετο, Δωροθέου διὰ τὴν περὶ τὸν βίον ἀκρίβειαν, ἐπὶ τούτοις καθεστῶτος. συνέστρωσε δὲ B πάντα δι᾽ αὐτοῦ τὰ πρὸς τὰς τοιαύτας ὑποδοχάς. καὶ διμερῆ τὴν κλισίαν ἐποίησεν, οὕτως προστάξαντος τοῦ βασιλέως. τοὺς μὲν γὰρ ἡμίσεις ἐκέλευσεν ἀνὰ χεῖρα κατακλιθῆναι. τοὺς δὲ λοιποὺς, μετὰ τὴν αὐτοῦ κλισίαν, οὐδὲν ἀπολιπὼν τῆς εἰς τοὺς ἄνδρας τιμῆς. ἐπεὶ δ᾽ οὕτω κατεκλίθησαν, ἐκέλευσε τὸν Δωρόθεον οἷς ἔθεσι χρώμενοι διατελοῦσι πάντες οἱ ἀπὸ τῆς Ἰουδαίας πρὸς αὐτὸν ἀφιγμένοι, καὶ ταῦτα ὑπηρετεῖν. διὸ τοὺς ἱεροκήρυκας καὶ θύ- C τας καὶ τοὺς ἄλλους οἳ τὰς κατευχὰς ἐποιοῦντο παρῃτήσατο. τῶν δὲ παραγινομένων ἕνα Ἐλισσαῖον ὄνομα ὄντα ἱερέα παρεκάλεσεν ὁ βασιλεὺς ποιήσασθαι κατευχάς. ὁ δὲ στὰς εἰς μέσον, ηὔξατο τῷ βασιλεῖ τὰ ἀγαθὰ, καὶ τοῖς ἀρχομένοις ὑπ᾽ αὐτοῦ. ἔπειτα κρότος ἐξ ἁπάντων μετὰ χαρᾶς καὶ βοῆς ἤρθη. καὶ παυσάμενοι, πρὸς εὐωχίαν καὶ τὴν ἀπόλαυσιν τῶν παρεσκευασμένων ἐτράπησαν. διαλιπὼν δὲ ὁ βασιλεὺς ἐφ᾽ ὅσον ἔδοξεν ἀποχρῶντα καιρὸν D εἶναι, φιλοσοφεῖν ἤρξατο, καὶ ἕκαστον αὐτῶν, λόγους ἐπηρώτα φυσικούς, καὶ πρὸς τὴν τῶν ζητουμένων θεωρίαν. ἀκριβῶς δ᾽ ἐκείνων παντὸς οὗτινος οὖν ὁ λέγειν αὐτοῖς προβληθείη διασαφούντων, ἡδόμενος, τοιοῦτον ἐφ᾽ ἡμέρας ιβ᾽ συμπόσιον ἐποιήσατο. ὡς τῷ βουλομένῳ τὰ κατὰ μέρος γνῶναι τῶν ἐν τῷ συμποσίῳ ζητηθέντων, ἔστι μαθεῖν, ἀναγνόντι τὸ Ἀρισταίου βιβλίον ὃ συνέγραψε διὰ E ταῦτα. θαυμάζοντος δ᾽ αὐτοὺς, οὐ μόνον τοῦ βασιλέως, ἀλλὰ καὶ Μενεδήμου τοῦ φιλοσόφου προνοίᾳ διοικεῖσθαι πάντα φήσαντος, καὶ διὰ τοῦτ᾽ εἰκὸς καὶ τοῦ λόγου δύναμιν καὶ κάλλος εὑρῆσθαι, παύονται μὲν περὶ τούτων ἐπιζητοῦντες. γεγενῆσθαι δ᾽ αὐτῷ τὰ μέγιστα τῶν ἀγαθῶν ὁ βασιλεὺς ἔλεγεν ἤδη παρόντων αὐτῶν, ὠφελῆσθαι γὰρ παρ᾽ αὐτῶν μεμαθηκότα πῶς δεῖ βασιλεύειν. κελεύει τε αὐτοῖς ἀνὰ τρία δοθῆναι τάλαντα, καὶ τοὺς ἀποκαταστήσοντας ἐπὶ τὴν κατάλυσιν. διελθουσῶν δὲ τριῶν ἡ- F μερῶν, παραλαβὼν αὐτοὺς ὁ Δημήτριος, καὶ διελθὼν τὸ ἑπταστάδιον χῶμα τῆς θαλάσσης πρὸς τὴν νῆσον, καὶ διαβὰς πρὸς τὴν γέφυραν, προσελθὼν ἐπὶ τὰ βόρεια μέρη, συνέδριον ἐποιήσατο ἐν τῷ παρὰ τὴν ἠϊόνα κατεσκευασμένῳ οἴκῳ, πρὸς διάσκεψιν πραγμάτων ἠρεμίας καλῶς ἔχοντι. ἀγαγὼν οὖν αὐτοὺς ἐκεῖ παρεκάλει πάντων, ὧν ἂν δεηθεῖεν εἰς τὴν ἑρμηνείαν τῶν νόμων, παρόντων ἀκωλύτως ἐπιτελεῖν τὸ ἔργον. οἱ δ᾽ ὡς ἔνι G μάλιστα φιλοτίμως, φιλοπόνως τὴν ἑρμηνείαν ἀκριβῆ ποιούμενοι, μέχρι μὲν ὥρας ἐνάτης πρὸς τοῦτο διετέλουν ὄντες. ἔπειτ᾽ ἐπὶ τὴν τοῦ σώματος ἀπηλλάσσοντο θεραπείαν, ἀφθόνως αὐτοῖς τῶν πρὸς τὴν δίαιταν χορηγουμένων, καὶ προσέτι τοῦ Δωροθέου πολλὰ καὶ τῶν παρασκευαζομένων τῷ βασιλεῖ, προσέταξε γὰρ, αὐτοῖς παρέχοντος. πρωῒ δὲ πρὸς τὴν αὐλὴν παραγινόμενοι, καὶ τὸν Πτολεμαῖον ἀσπαζόμενοι, πάλιν ἐπὶ τὸν αὐτὸν ἀπῄεσαν τόπον. καὶ τῇ θαλάσσῃ τὰς χεῖρας ἀπονιπτόμενοι καὶ καθαίροντες αὐτοὺς, οὕτως ἐπὶ τὴν τῶν νόμων ἑρμηνείαν ἐτρέποντο. μεταγραφέντος δὲ τοῦ νόμου καὶ τοῦ κατὰ τὴν ἑρμηνείαν ἔργου τέλος ἐν ἡμέραις ἑβδομήκοντα καὶ δυσὶ λαβόντος, συναγαγὼν ὁ Δημήτριος τοὺς Ἰουδαίους ἅπαντας εἰς τὸν τόπον ἔνθα καὶ μετεβλήθησαν οἱ νόμοι, παρόντων καὶ τῶν ἑρμηνέων, ἀνέγνω τούτοις.

τὸ δὲ

τὸ δὲ πλῆθος ἀπεδέξατο μὲν καὶ τοὺς διασαφήσαντας πρεσβυτέρους τὸν νόμον. ἐπῄνεσαν δὲ καὶ τὸν Δημήτριον τῆς ἐπινοίας, ὡς μεγάλων ἀγαθῶν αὐτοῖς εὑρέτην γεγενημένον. παρεκάλεσάν τε δοῦναι καὶ τοῖς ἡγουμένοις αὐτῶν ἀναγνῶναι τὸν νόμον. ἠξίωσάν τε πάντες, ὅ τε ἱερεὺς καὶ τῶν ἑρμηνέων οἱ πρεσβύτεροι, καὶ τοῦ πολιτεύματος οἱ προεστηκότες, ἐπεὶ καλῶς τὰ τῆς ἑρμηνείας ἀπήρτισται, καὶ διαμεῖναι ταῦθ᾽ ὡς ἔχει καὶ μὴ μετακινεῖν αὐτά. ἁπάντων δὲ αὐτῶν ἐπαινεσάντων τὴν γνώμην, ἐκέλευσαν εἴ τις ἢ περισσόν τι προσγεγραμμένον ὁρᾷ τῷ νόμῳ, ἢ λεῖπον, πάλιν ἐπισκοποῦντα τοῦτο καὶ ποιοῦντα φανερὸν διορθοῦν, σωφρόνως τοῦτο πράττοντες, ἵνα τὸ κριθὲν ἅπαξ ἔχειν καλῶς, εἰς ἀεὶ διαμείνῃ. ἐχάρη μὲν οὖν ὁ βασιλεὺς καὶ ἐπὶ τούτῳ τὴν αὐτοῦ προαίρεσιν εἰς τὸ χρήσιμον ὁρῶν τετελειωμένην. ἤδη δὲ μάλιστα τῶν νόμων ἀναγνωσθέντων αὐτῷ, καὶ τὴν διάνοιαν καὶ τὴν σοφίαν ἐξεπλάγη τοῦ νομοθέτου, καὶ πρὸς τὸν Δημήτριον ἤρξατο ποιεῖσθαι λόγους, πῶς οὕτως θαυμαστῆς οὔσης τῆς νομοθεσίας, οὐδεὶς οὔτε τῶν ἱστορικῶν αὐτῆς, οὔτε τῶν ποιητῶν ἐπεμνήσθη. ὁ δὲ Δημήτριος μηδένα τολμῆσαι τῆς τῶν νόμων τούτων ἀναγραφῆς ἅψασθαι, διὰ τὸ θείαν αὐτὴν εἶναι καὶ σεμνὴν ἔφασκε, καὶ ὅτι βλαβεῖεν ἤδη τινὲς τούτοις ἐπιχειρήσαντες ὑπὸ τοῦ θεοῦ. δηλῶν ὡς Θεόπομπός τε βουληθεὶς ἱστορῆσαί τι περὶ τούτων ἐταράχθη τὴν διάνοιαν, πλείοσιν ἢ τριάκοντα ἡμέραις, καὶ παρὰ τὰς ἀνέσεις ἐξιλάσκετο τὸν θεόν, ἐντεῦθεν αὐτῷ γενέσθαι τὴν παραφροσύνην ὑπονοῶν. οὐ μὴν ἀλλὰ καὶ ὄναρ εἶδεν, ὅτι τοῦτ᾽ αὐτῷ συμβαίη περιεργαζομένῳ τὰ θεῖα, καὶ ταῦτ᾽ ἐκφέρειν ἐπὶ κοινοὺς ἀνθρώπους θελήσαντι. καὶ ἀποσχόμενος κατέστη τὴν διάνοιαν. ἐδήλου δὲ καὶ περὶ Θεοδέκτου τοῦ τῶν τραγῳδιῶν ποιητοῦ ἀναφέρεσθαι, ὅτι βουληθεὶς ἔν τινι δράματι τῶν ἐν τῇ ἱερᾷ βίβλῳ γεγραμμένων μνησθῆναι, τὰς ὄψεις γλαυκωθείη, καὶ συνειδὼς τὴν αἰτίαν ἀπαλλαγείη τοῦ πάθους, ἐξευμενισάμενος τὸν θεόν. παραλαβὼν δὲ ταῦτα ὁ βασιλεὺς παρὰ τοῦ Δημητρίου καθὼς προείρηται, προσκυνήσας αὐτοῖς ἐκέλευσε πολλὴν ποιεῖσθαι τῶν βιβλίων τὴν ἐπιμέλειαν, ἵνα διαμείνῃ ταῦτα καθαρῶς. τούς τε ἑρμηνεύσαντας παρεκάλεσε συνεχῶς πρὸς αὐτὸν ἐκ τῆς Ἰουδαίας παραγίνεσθαι. τοῦτο γὰρ αὐτοῖς καὶ πρὸς τιμὴν τὴν παρ᾽ αὐτοῦ, καὶ πρὸς τὰς ἀπὸ τῶν δωρεῶν ὠφελείας λυσιτελήσειν. νῦν μὲν γὰρ εἶναι δίκαιον αὐτοὺς ἐκπέμπειν ἔλεγεν, ἑκουσίως δὲ πρὸς αὐτὸν ἐλθόντας, τεύξεσθαι πάντων, ὧν ἥ τε αὐτῶν ἐστι σοφία δικαία τυχεῖν, καὶ ἡ ἐκείνου μεγαλοφροσύνη παρασχεῖν ἱκανή. τότε μὲν οὖν ἐξέπεμψεν αὐτούς, δοὺς ἑκάστῳ στολὰς ἀρίστας τρεῖς, καὶ χρυσοῦ τάλαντα δύο. καὶ κυλίκιον ταλάντου, καὶ τὴν τοῦ συμποσίου στρωμνήν. καὶ ταῦτα μὲν ἐκείνοις ἔχειν ἐδωρήσατο. τῷ δ᾽ ἀρχιερεῖ Ἐλεαζάρῳ δι᾽ αὐτῶν ἔπεμψε, κλίνας ἀργυρόποδας δέκα, καὶ τὴν ἀκόλουθον αὐτῶν ἐπισκευήν, καὶ κυλίκιον ταλάντων λ᾽. πρὸς τούτοις δὲ καὶ στολὰς ι᾽ πορφυρᾶς, καὶ στέφανον διαπρεπῆ, καὶ βυσσίνης ὀθόνης ἱστοὺς ἑκατόν. ἔτι δὲ μὴν φιάλας καὶ τρυβλία, καὶ σπονδεῖα, καὶ κρατῆρας χρυσοῦς πρὸς ἀνάθεσιν δύο. παρεκάλεσε δ᾽ αὐτὸν καὶ διὰ τῶν ἐπιστολῶν, ὅπως εἰ τῶν ἀνδρῶν τούτων θελήσειέν τινες πρὸς αὐτὸν ἐλθεῖν, ἐπιτρέψῃ, περὶ πολλοῦ ποιούμενος τὴν μετὰ τῶν ἐν παιδείᾳ τυγχανόντων συνουσίαν, καὶ τὸν πλοῦτον εἰς τοὺς τοιούτους ἡδέως ἔχων κατατίθεσθαι. καὶ τὰ μὲν εἰς δόξαν καὶ τιμὴν τῶν Ἰουδαίων τοιαῦτα παρὰ Πτολεμαίου τοῦ Φιλαδέλφου συνέβη γενέσθαι.

A & Demetrium ipsum collaudauit, cuius suggestionis occasione maxima bona percepissent: rogauerúntque vt etiam optimatibus eorum copia legendi fieret. Deinde & sacerdos & seniores interpretum & magistratus populi postulauerunt, quandoquidem feliciter absoluta esset hæc interpretatio, vt rata permaneat, nihilque ex ea mutari liceat. quæ sententia cùm omnibus placuisset, iusserunt vt priùs si quis aliquid deprehenderet vel superesse legi vel deesse, diligéntiùs B inspectum & indicatum corrigeret, quando consultum esset vt res semel approbata rata esset in perpetuum. Quamobrem rex multum gauisus est, videns hanc quoque suam voluntatem in publicum cessisse commodum: sed maiorem etiam percepit voluptatem dum sibi lex legeretur, non sine admiratione legislatoris sapientiæ: cœpitq; de ea re conferre cum Demetrio, rogans qui factum sit vt tam admirandarum legum nec historicus vllus nec poëta mé- C tionem fecerit. Tum Demetrius respondit neminem ausum eam attingere, quam constaret diuinam esse & omni veneratione dignissimá: & punitos esse quosdam à cœlesti numine, qui illam temerè attrectare non sint veriti. Theopompum enim volentem inde quædá suis scriptis inserere, mente motum fuisse diebus xxx. & per interualla insaniæ precibus Deum placasse, facilè coniicientem quæ morbi causa fuerit. atque etiam in somnis admonitum hæc se eo D pati, quòd fuisset circa res diuinas curiosior, easque voluisset proferre profanis hominibus. quare cùm à cœpto destitisset, sanam mentem ei fuisse redditam. Theodectę etiam poëtę cùm in quadá tragœdia vellet aliquid è sacris libris admiscere, oculos glaucomate suffusos caligasse: & cùm erratú agnouisset, exorato Deo redditá aciem. acceptos deinde à Demetrio libros rex cùm adorasset, asseruari iussit diligenter, vt incorrupti manerét: rogauítque interpretes vt E crebrò è Iudæa venientes ipsum inuiserent. id enim eis non minus cómodum fore quàm honorificum. Nunc enim æquum esse vt remittantur: sed si vltro ad eum venerint, consecuturos quicquid vel ipsorum sapiétia dignum sit, vel regia munificentia. Tum quoque remissi sunt donati ternis vestibus optimis, & binis auri talentis, singulisque vnius talenti calicibus, & toris discubitoriis. præterea pontifici per eosdem misit decem lectos cum argenteis pedibus cum competenti apparatu, & calicem F talentorum triginta: ad hæc decem vestes purpureas, & coronam insignem, & telas byssinas centum, præterea phialas & trullas & libatoria, & crateras duas Deo dicandas. rogauítque eum per literas, vt si quis ex his viris vellet ad ipsum venire, permitteret, quandoquidem plurimi faceret cum doctis consuetudinem, & diuitias libenter in eiusmodi insumeret. Atque hæc sunt in Iudæorum honorem à Philadelpho exhibita.

Cap. III.

Honor à regibus Aſiæ Iudæorum genti habitus, & quòd in ciuitatibus à ſe conditis ius ciuium ei conceſſerint.

III. Sed & ab Aſiæ regibus honorati ſunt, propter nauatam in militia bonam ac fidelem operam. Nam Seleucus cognomento Nicanor in côditis à ſe per Aſiam & inferiorem Syriam vrbibus, in ipſa denique metropoli Antiochia, ius ciuitatis eis dedit, voluítque pari ibi cum Macedonibus ac Græcis côditione degere, quo iure nunc quoque viuunt inter eos homines. Argumento eſt quia Iudæis externo oleo nolentibus vti, certa pecunia pro eo à Gymnaſiarchis penditur: quem morem cùm Antiochenſis populus proximo bello abrogare vellet, non permiſit Mutianus qui tum Syriæ prouinciæ præerat. Deinde imperante Veſpaſiano, & Tito eius filio, Alexandrini & Antiochenſes rogantes adimi Iudæis ius ciuium, impetrare id non potuerunt, manifeſto Romanorum æquitatis & magnanimitatis indicio, ſed præcipuè ipſorum principum: qui cùm eo bello multos labores pertuliſſent, & infenſi eſſent pertinaciter rebellantibus nihil tamen de iure ipſorum diminutum voluerunt: idque nec iræ propriæ, nec duobus maximis populis contra eos licere paſſi ſunt: maiorem rationem habentes veterum gentis meritorum, quàm præſentis offenſionis, aut gratiæ, quam hoc facto apud hos populos inire poterant: dicentes eos qui contra rem Romanam arma tulerant, iam ſatis ſuppliciorum exoluiſſe: eos verò qui nihil peccaſſent, non eſſe æquum ſpoliari ſuis priuilegiis & iuribus. Marcum quoque Agrippam ſimiliter affectum erga Iudæos fuiſſe proditur. Ionibus enim côtra hos ſeditioſè commotis, & rogantibus Agrippam, vt ciuitatis quam eis dederat Antiochus Seleuci nepos, quê Græci Deum cognominant, ſoli eſſent participes: & poſtulátibus vt ſiquidem eiuſdem generis haberi velint Iudæi, eoſdem quoque deos colerent: cùm res ad iudicum cognitionem deueniſſet, vicerunt cauſam Iudæi: obtinuerúntq; vt ſibi liceret ſuis moribus viuere, patrocinio Nicolai Damaſceni adiuti, Agrippa enim pronûciauit, nihil ſibi licere innouare circa hoc negociû. quæ ſi quis volet exactius cognoſcere, legat hiſtoriarum Nicolai libros tertium & quartum ſupra centeſimum vigeſimum. Sed Agrippæ ſententiam mirari non debemus: neque enim tum gens noſtra cum Romanis bellum geſſerat. Veſpaſiani verò & Titi magnanimitatem meritò quis miretur, qui poſt tanta belli certamina nihil immoderatè in nos ſtatuerunt. Nunc vnde digreſſus ſum reuertar. Antiocho Magno in Aſia regnante in continua vexatione tam Iudæa fuit quàm Cœleſyria: quòd eo bellum gerente cum Philopatore Ptolemæo, huiúſque filio qui Epiphanes cognominatus eſt, ſiue vinceret, ſiue vinceretur, malè mulctarentur,

Κεφάλαιον γʹ.

Πῶς ἐτίμησαν οἱ τῆς ἀσίας βασιλεῖς τὸ ἰουδαίων ἔθνος, καὶ πολίτας ἐποίησαν ἐν ταῖς ὑπ᾽ αὐτῶν κτισθείσαις πόλεσιν.

Ἔτυχον δὲ καὶ τῆς παρὰ τῶν βασιλέων τῆς ἀσίας τιμῆς, ἐπειδὴ συνεστράτευσαν αὐτοῖς. καὶ γὰρ σέλευκος ὁ νικάτωρ ἐν αἷς ἔκτισε πόλεσιν ἐν τῇ ἀσίᾳ, καὶ τῇ κάτω συρίᾳ, καὶ ἐν αὐτῇ τῇ μητροπόλει ἀντιοχείᾳ, πολιτείας αὐτοὺς ἠξίωσε, καὶ τοῖς ἐνοικισθεῖσιν ἰσοτίμους ἀπέδειξε μακεδόσι καὶ ἕλλησιν, ὡς τὴν πολιτείαν ταύτην ἔτι καὶ νῦν διαμένειν. τεκμήριον δὲ τοὺς ἰουδαίους μὴ βουλομένους ἀλλοφύλῳ ἐλαίῳ χρῆσθαι, λαμβάνειν ὡρισμένον τι, παρὰ τῶν γυμνασιάρχων εἰς ἐλαίου τιμὴν ἀργύριον. ὃ τοῦ δήμου τῶν ἀντιοχέων ἐν τῷ νῦν πολέμῳ λῦσαι προαιρουμένου, μουκιανὸς ἡγεμὼν ὢν τότε τῆς συρίας ἐτήρησε. καὶ μετὰ ταῦτα κρατήσαντος οὐεσπασιανοῦ καὶ τίτου τοῦ υἱοῦ αὐτοῦ τῆς οἰκουμένης, δεηθέντες οἱ ἀλεξανδρεῖς καὶ ἀντιοχεῖς, ἵνα τὰ δίκαια τῆς πολιτείας μηκέτι μένῃ τοῖς ἰουδαίοις, οὐκ ἐπέτυχον. ἐξ ὧν τις ἂν κατανοήσειεν τὴν ῥωμαίων ἐπιείκειαν καὶ μεγαλοφροσύνην, μάλιστα δὲ τὴν οὐεσπασιανοῦ καὶ τίτου. ὅτι καίτοι πολλὰ πονήσαντες ἐν τῷ πρὸς ἰουδαίους πολέμῳ, καὶ πικρῶς πρὸς αὐτοὺς ἔχοντες ὅτι μὴ παρέδοσαν τὰ ὅπλα αὐτοῖς, μέχρι δὲ ἐσχάτου πολεμοῦντες ὑπέμειναν, οὐδενὸς αὐτοὺς τῶν ὑπαρχόντων κατὰ τὴν προειρημένην πολιτείαν ἀφείλαντο. ἀλλὰ καὶ τῆς προτέρας ὀργῆς καὶ τῆς τῶν ἀλεξανδρέων καὶ ἀντιοχέων δήμων μεγίστων παρακλήσεως ἐκράτησαν. ὡς τι μηδὲν μήθ᾽ ὑπὸ τῆς πρὸς τούτους χάριτος, μήθ᾽ ὑπὸ τῆς πρὸς τοὺς πολεμηθέντας μισοπονηρίας, ἐνδοῦναι πρὸς τὸ λῦσαι τι τῶν ἀρχαίων τοῖς ἰουδαίοις φιλανθρώπων. ἀλλὰ τοὺς ἀνταραμένους αὐτοῖς ὅπλα καὶ χωρήσαντας διὰ μάχης δεδωκέναι τιμωρίαν φήσαντες, τοὺς δ᾽ οὐδὲν ἐξαμαρτόντας, οὐ δίκαιον ἀποστερεῖν τῶν ὑπαρχόντων. ὅμοιον δέ τι τούτων καὶ μάρκον ἀγρίππαν φρονήσαντα περὶ τῶν ἰουδαίων οἴδαμεν. τῶν γὰρ ἰώνων κινηθέντων ἐπ᾽ αὐτούς, καὶ δεομένων τοῦ ἀγρίππα, ἵνα τῆς πολιτείας ἣν αὐτοῖς ἔδωκεν ἀντίοχος ὁ σελεύκου υἱωνός, ὁ παρὰ τοῖς ἕλλησι θεὸς λεγόμενος, μόνοι μετέχωσιν, ἀξιούντων δ᾽ εἰ συγγενεῖς εἰσὶν αὐτοῖς ἰουδαῖοι, σέβεσθαι τοὺς ἰδίους αὐτῶν θεούς, καὶ δίκης περὶ τούτων συστάσης, ἐνίκησαν ἰουδαῖοι τοῖς αὐτοῖς ἔθεσι χρῆσθαι, συνηγορήσαντος αὐτοῖς νικολάου τοῦ δαμασκηνοῦ. ὁ γὰρ ἀγρίππας ἀπεφήνατο, μηδὲν αὐτῷ καινίζειν ἐξεῖναι. τὸ δ᾽ ἀκριβὲς εἴ τις βούλεται καταμαθεῖν, ἀναγνώτω τῶν νικολάου ἱστοριῶν τὴν ἑκατοστὴν εἰκοστὴν τρίτην καὶ τετάρτην. περὶ μὲν οὖν τῶν ὑπ᾽ ἀγρίππου κριθέντων, οὐκ ἔστιν ἴσως θαυμάζειν. οὐ γὰρ ἐπολέμει τότε ῥωμαίοις τὸ ἡμέτερον ἔθνος. οὐεσπασιανοῦ δ᾽ ἄν τις καὶ τίτου τὴν μεγαλοφροσύνην εἰκότως ἐκπλαγείη, μετὰ πόλεμον καὶ τηλικούτους ἀγῶνας οὓς ἔσχον πρὸς ἡμᾶς, μετριοπαθησάντων. ἐπανάξω δὲ τὸν λόγον ὅθεν νῦν ἐπὶ ταῦτ᾽ ἐξέβην. τοῖς γὰρ ἰουδαίοις ἐπ᾽ ἀντιόχου τοῦ μεγάλου βασιλεύοντος τῆς ἀσίας, ἔτυχεν αὐτοῖς τε πολλὰ ταλαιπωρῆσαι τῆς γῆς αὐτῶν κακουμένης, καὶ τοῖς τὴν κοίλην συρίαν νεμομένοις. πολεμοῦντος γὰρ αὐτοῦ πρὸς τὸν φιλοπάτορα πτολεμαῖον, καὶ πρὸς τὸν υἱὸν αὐτοῦ πτολεμαῖον, τὸν κληθέντα ἐπιφανῆ, κακοπαθεῖν συνέβαινεν αὐτοῖς, καὶ νικῶντος καὶ πταίοντος, ταῦτα πάσχειν,

ὥστ᾽ οὐ-

ὡς οὐδὲν ἀπέλειπον χειμαζομένης νεὼς, καὶ πονουμένης ἑκατέρωθεν ὑπὸ τοῦ κλύδωνος μεταξὺ τῆς εὐπραγίας τῆς ἀντιόχου, καὶ τῆς ἐπὶ θάτερον αὐτοῦ τροπῆς τῶν πραγμάτων κείμενοι. νικήσας μέντοι τὸν πτολεμαῖον ὁ ἀντίοχος, τὴν ἰουδαίαν προσάγεται. τελευτήσαντος δὲ τοῦ φιλοπάτορος, ὁ παῖς αὐτοῦ μεγάλην ἐξέπεμψε δύναμιν καὶ στρατηγὸν σκόπαν, ἐπὶ τοὺς ἐν τῇ κοίλῃ συρίᾳ. ὃς πολλάς τε αὐτῶν πόλεις ἔλαβε, καὶ τὸ ἡμέτερον ἔθνος, πολεμούμενον γὰρ αὐτῷ προσέθετο. μετ' οὐ πολὺ δὲ τὸν σκόπαν ἀντίοχος νικᾷ, συμβαλὼν αὐτῷ πρὸς ταῖς πηγαῖς τοῦ ἰορδάνου, καὶ πολλὴν αὐτοῦ τῆς στρατιᾶς διέφθειρεν. ὕστερον δ' ἀντιόχου χειρωσαμένου τὰς ἐν τῇ κοίλῃ συρίᾳ πόλεις, ἃς ὁ σκόπας κατεσχήκει, καὶ τὴν σαμάρειαν, ἑκουσίως αὐτῷ προσέθεντο ἰουδαῖοι. καὶ τῇ πόλει δεξάμενοι, πάσῃ αὐτοῦ τῇ στρατιᾷ καὶ τοῖς ἐλέφασιν ἀφθονίαν παρέχον, καὶ τοὺς ὑπὸ σκόπα καταλειφθέντας ἐν τῇ ἄκρᾳ τῶν ἱεροσολύμων φρουροὺς πολιορκοῦντι, προθύμως συνεμάχησαν. ὁ οὖν ἀντίοχος, δίκαιον ἡγησάμενος τὴν τῶν ἰουδαίων πρὸς αὐτὸν σπουδὴν καὶ φιλοτιμίαν ἀμείψασθαι, γράφει τοῖς τε στρατηγοῖς αὐτοῦ καὶ τοῖς φίλοις, μαρτυρῶν τε τοῖς ἰουδαίοις ὑπὲρ ὧν εὖ πάθοι πρὸς αὐτῶν, καὶ τὰς δωρεὰς, ἃς ὑπὲρ τούτων διέγνω παρασχεῖν αὐτοῖς, ἐμφανίζων. παραθήσομαι δὲ τὰς ἐπιστολὰς τοῖς στρατηγοῖς περὶ αὐτῶν γραφείσας, προδιελθὼν ὡς μαρτυρεῖ τούτοις ἡμῶν τοῖς λόγοις, πολύβιος ὁ μεγαλοπολίτης. ἐν γὰρ τῇ ις' τῶν ἱστοριῶν αὐτοῦ, φησὶν οὕτως. ὁ δὲ τοῦ πτολεμαίου στρατηγὸς σκόπας, ὁρμήσας εἰς τοὺς ἄνω τόπους, κατεστρέψατο ἐν τῷ χειμῶνι τὸ τῶν ἰουδαίων ἔθνος. λέγει δ' ἐν τῇ αὐτῇ βίβλῳ ὡς τοῦ σκόπα νικηθέντος ὑπὸ ἀντιόχου, τὴν μὲν βαταναίαν καὶ σαμάρειαν, καὶ ἄβιλα καὶ γάδαρα παρέλαβεν ἀντίοχος. μετ' ὀλίγον δὲ προσεχώρησαν αὐτῷ καὶ τῶν ἰουδαίων οἱ περὶ τὸ ἱερὸν προσαγορευόμενον ἱεροσόλυμα κατοικοῦντες. ὑπὲρ οὗ καὶ πλεῖον ἔχειν λέγοντες, καὶ μάλιστα διὰ τὴν περὶ τὸ ἱερὸν ἐπιφάνειαν, εἰς ἕτερον καιρὸν ὑπερθήσομεν τὴν διήγησιν. καὶ πολύβιος μὲν ταῦτα ἱστόρηκεν. ἡμεῖς δ' ἐπανάξομεν τὸν λόγον ἐπὶ τὴν διήγησιν, παραθέμενοι πρῶτον τὰς ἐπιστολὰς τοῦ βασιλέως ἀντιόχου. βασιλεὺς ἀντίοχος πτολεμαίῳ χαίρειν. τῶν ἰουδαίων καὶ παραυτίκα μὲν ἡνίκα τῆς χώρας ἐπέβημεν αὐτῶν ἐπιδειξαμένων τὸ πρὸς ἡμᾶς φιλότιμον, καὶ παραγενομένους δ' εἰς τὴν πόλιν αὐτῶν λαμπρῶς ἐκδεξαμένων, καὶ μετὰ τῆς γερουσίας ἀπαντησάντων, ἄφθονον δὲ τὴν χορηγίαν τοῖς στρατιώταις καὶ τοῖς ἐλέφασι παρεσχημένων, συνεξελόντων δὲ καὶ τοὺς ἐν τῇ ἄκρᾳ φρουροὺς τῶν αἰγυπτίων. ἠξιώσαμεν καὶ ἡμεῖς τούτων αὐτοὺς ἀμείψασθαι, καὶ τὴν πόλιν αὐτῶν ἀναλαβεῖν κατεφθαρμένην ὑπὸ τῶν περὶ τοὺς ἀνθρώπους συμπεσόντων, καὶ συνοικίσαι τῶν διεσπαρμένων εἰς αὐτὴν πάλιν συνελθόντων. πρῶτον δ' αὐτοῖς ἐκρίναμεν διὰ τὴν εὐσέβειαν παρασχεῖν τὴν εἰς τὰς θυσίας σύνταξιν, κτηνῶν τε θυσίμων καὶ οἴνου καὶ ἐλαίου, καὶ λιβάνου, ἀργυρίου τιμὴν, μυριάδων β', καὶ σεμιδάλεως ἀρτάβας ἱερὰς κατὰ τὸν ἐπιχώριον νόμον, πυρῶν μεδίμνους αυξ', καὶ ἁλῶν μεδίμνους τοε'. τελεῖσθαι δ' αὐτοῖς ταῦτα βούλομαι καθὼς ἐπέσταλκα, καὶ τὸ περὶ τὸ ἱερὸν ἀπαρτισθῆναι ἔργον, τάς τε στοὰς καὶ εἴ τι ἕτερον οἰκοδομῆσαι δέοι. ἡ δὲ τῶν ξύλων ὕλη, κατακομιζέσθω ἐξ αὐτῆς τῆς ἰουδαίας, καὶ ἐκ τῶν ἄλλων ἐθνῶν, καὶ ἐκ τοῦ λιβάνου, μηδενὸς πρασσομένου τέλους. ὁμοίως καὶ ἐν τοῖς ἄλλοις ἐν οἷς ἂν ἐπιφανεστέραν γίνεσθαι τὴν τοῦ ἱεροῦ ἐπισκευὴν δέοι.

non aliter quàm nauis fluctibus vtrinque oppugnata, inter prosperam & aduersam Antiochi fortunam iactatæ. Tandem victor Antiochus Iudæam suæ ditioni adiecit. Defuncto verò Philopatore, filius eius magnum exercitum duce Scopa misit in Cœlesyriam: qui & multas eius vrbes & nostram gentem vi in potestatem eius retraxit. Aliquanto autem pòst Antiochus ad fontes Iordanis cum Scopa prælio congressus fit superior: cúmque recepisset occupatas à Scopa vrbes Cœlesyriæ simul & Samariæ Iudæi quoque vltrò deditionem fecerunt: receptúmque intra mœnia eius exercitum & elephantos liberaliter aluerunt: & oppugnantibus præsidium in arce à Scopa relictum impigrè auxilium tulerunt. Quamobrem Antiochus æquum ducens aliquam Iudæis pro studio suarum partium referre gratiam, scripsit ad amicos suos & duces literas, testes beneficiorum quæ in ipsum contulerant, in quibus etiam significabat quomodo remunerari eos decreuit. earum exemplar subiiciam, citato priùs Polybij Megalopolitæ testimonio, ex libro historiarum eius XVI. Scopas, inquit, copiarum Ptolemæi dux ad mediterranea verso impetu per hyemem Iudæorum gentem subegit. ac paulo pòst in eodem libro narrat quomodo victo Scopa Antiochus Bataneam, Samariam, Gadara, & Abila recepit: móxque Iudæi qui Hierosolyma & celebre eius loci templum incolunt, ad eum defecerunt: de quo cùm multa essent dicenda, ait se id in aliud tempus differre. & hæc quidem Polybius. nos autem narrationem continuabimus, inserta hîc priùs Antiochi epistola. Rex Antiochus Ptolemæo S. Quoniam Iudæi mox vt regionem eorum sumus ingressi studium erga nos suum declarauerunt, & in vrbem suam venientes splendidè exceperunt senatu obuiam progresso, exercituíque nostro & elephantis copiosè victum præbuerunt, & cum eo simul præsidium Ægyptiorum in arce expugnauerunt: visum est nobis gratiam aliquam eis reponere, & vrbem eorum refouere variis calamitatibus affectam, & in pristinam frequentiam restituere, reuocatis in eam qui nunc dispersi sunt habitatoribus. ac primùm decreuimus pietatis ergò præberi eis in precium pecudum mactandarum, vini, olei, thuris, argenteorum viginti millia, & ad similam secundum prouincialem legem tritici medimnos mille quadringentos sexaginta, & salis medimnos trecentos septuagintaquinque, volóque vt hæc eis præbeantur ita vt mandaui: & quod deest templo absoluatur, siue porticus siue quid aliud ædificare opus fuerit. lignorum autem materies comportetur tam ex ipsa Iudæa quàm ex aliis gentibus & ex Libano, immunis à vectigalibus: quæ immunitas & aliis rebus conceditur ad apparatum atque ornatum, templi pertinentibus.

Permittitur etiam eis vt omnes viuant iuxta leges patrias: & remittitur senatoribus, sacerdotibus, scribis templi atque cantoribus tributum quod penditur pro capite, & aurum coronarium, & si quod est tributum aliud. Et vt eo citius vrbs frequentetur habitatoribus, concedo omnibus qui nunc eam habitant, quíve ante hyperberetæum mensem eò se habitatum contulerint, immunitatem omnium tributorum vsque in triennium: remittimúsque eis in posterum tertiam partem tributorum, in præteritorum damnorum compensationem. Et quotquot ex vrbe abrepti seruiunt, & ipsos & natos eorum volumus esse liberos, ac bona quoque eis restitui iubemus. Vale. Nec contentus hanc epistolam scripsisse, edictum etiam in honorem templi per totum suum regnum proposuit tale: Nemini alienigenæ liceat intra septa templi ingredi contra voluntatem Iudæorum, sed solis hoc facere fas sit, qui iuxta præscriptum legis patriæ purificati priùs fuerint. Nemo etiam in vrbem carnes equinas aut mulinas inferat, nec asini siue feri siue domestici, nec pantheræ aut vulpis aut leporis, aut cuiuscuis omnino ex his animalibus quæ Iudæis vetitum est attingere, ac neque pelles eorum inferre liceat, aut aliquid ex his in vrbe alere: sed tantùm solitas more maiorum mactare victimas, quibus Deus litari sibi vult. qui verò aliquid contra edictum hoc fecerit, trium millium drachmarum argenti mulctam luat sacerdotibus. Idem rex amplum pietatis ac fidei nobis præbuit testimonium, quo tempore quosdam per Phrygiam ac Lydiam nouis rebus studere comperit. Zeuxidem enim amicum præcipuum, in superioribus satrapiis ductantē exercitum, iussit quosdam è nostratibus apud Babylonem degētibus in Phrygiam mittere, scribens in hunc modum. Rex Antiochus Zeuxidi patri salutem. Si vales bene est, ego quoque valeo. Quia quosdam in Phrygia & Lydia res nouas moliri audio, videtur hoc negotium curā meam deposcere. Quapropter consultis de hac re amicis, placuit mihi, ex his Iudæis qui Babyloniam ac Mesopotamiam incolunt duo millia familiarium cum tota supellectili eò traducere, & locis opportunis per præsidia disponere. Persuasum enim habeo illos fore nostrarum rerum custodes beneuolos: tum quia cæleste numen piè colunt, tum quia fides eorum & promptum obsequium etiam maiorū nostrorum comprobatur testimoniis. Volo igitur vt eos, licèt difficile videatur, traducas, pollicitus libertatem viuendi propriis legibus. perductis deinde ad iam dicta loca, tum ad ædificandas domos assignabis areas, tum agros ad colēdum aruis & vinetis idoneos: immunitatémque dabis in decennium, ne quid pendere cogantur ex annuis terrę prouentibus. & donec ipsorum agri fruges protulerint, demensum frumentum accipiant in seruorum alimoniam: ac reliquis quoque tribuatur quantum satis est, vt benignè à nobis habiti alacriores sint in nostris negotiis. Cura autem ne quis molestus sit ei populo. Vale. Atque hactenus de Antiochi magni erga Iudæos beneuolentia dixisse sufficiat.

πολιτευέσθωσαν δὲ πάντες οἱ ἐκ τοῦ ἔθνους κατὰ τοὺς πατρίους νόμους. ἀπολυέσθω δ' ἡ γερουσία καὶ ἱερεῖς καὶ γραμματεῖς τοῦ ἱεροῦ καὶ ἱεροψάλται, ὧν ὑπὲρ τῆς κεφαλῆς τελοῦσι, καὶ τοῦ στεφανίτου φόρου, καὶ τοῦ περὶ τῶν ἄλλων. ἵνα δὲ θᾶττον ἡ πόλις κατοικισθῇ, δίδωμι τοῖς τε νῦν κατοικοῦσι καὶ κατελευσομένοις, ἕως Ὑπερβερεταίου μηνὸς, ἀτελεῖς εἶναι μέχρι τριῶν ἐτῶν. ἀπολύομεν δὲ καὶ εἰς τὸ λοιπὸν αὐτοὺς τοῦ τρίτου μέρους τῶν φόρων, ὥστε αὐτῶν ἐπανορθωθῆναι τὴν βλάβην. καὶ ὅσοι ἐκ τῆς πόλεως ἁρπαγέντες δουλεύουσιν, αὐτούς τε τούτους καὶ τοὺς ὑπ' αὐτῶν γεννηθέντας ἐλευθέρους ἀφίεμεν, καὶ τὰς οὐσίας αὐτοῖς ἀποδίδοσθαι κελεύομεν. ἡ μὲν οὖν ἐπιστολὴ, ταῦτα περιεῖχε. σεμνύνων δὲ καὶ τὸ ἱερὸν, πρόγραμμα κατὰ πᾶσαν τὴν βασιλείαν ἐξέθηκε, περιέχον τάδε. μηδενὶ ἐξὸν εἶναι ἀλλοφύλῳ εἰς τὸν περίβολον εἰσιέναι τοῦ ἱεροῦ, τὸν ἀπηγορευμένον τοῖς ἰουδαίοις, εἰ μὴ οἷς αὖ ἁγνισθεῖσιν ἐστὶν ἔθιμον κατὰ τὸν πάτριον νόμον. μηδ' εἰς τὴν πόλιν εἰσφερέσθω ἵππεια κρέα, μήτε ἡμιόνεια, μήτε ἀγρίων ὄνων καὶ ἡμέρων, παρδάλεών τε καὶ ἀλωπέκων καὶ λαγωῶν, καὶ καθόλου πάντων τῶν ἀπηγορευμένων ζώων τοῖς ἰουδαίοις. μηδὲ τὰς δορὰς εἰσφέρειν ἐξεῖναι, ἀλλὰ μηδὲ τρέφειν τι τούτων ἐν τῇ πόλει. μόνοις δὲ τοῖς προγονικοῖς θύμασιν ἀφ' ὧν καὶ τῷ θεῷ δεῖ καλλιερεῖν, ἐπιτετράφθαι χρῆσθαι. ὁ δὲ τούτων τι παραβὰς, ἀποτιννυέτω τοῖς ἱερεῦσιν, ἀργυρίου δραχμὰς τρισχιλίας. ἔγραψε δὲ μαρτυρῶν ἡμῖν εὐσέβειάν τε καὶ πίστιν ἡνίκα νεωτερίζοντα τὰ κατὰ τὴν φρυγίαν, καὶ λυδίαν ἐπύθετο. καθ' ὃν καιρὸν, ἐν ταῖς ἄνω σατραπείαις κελεύων Ζεῦξιν τὸν αὐτοῦ στρατηγὸν καὶ ἐν τοῖς μάλιστα φίλον πέμψαι τινὰς τῶν ἡμετέρων ἐκ βαβυλῶνος εἰς φρυγίαν, γράφει οὕτως. βασιλεὺς ἀντίοχος Ζεύξιδι τῷ πατρὶ χαίρειν. εἰ ἔρρωσαι εὖ ἂν ἔχοι. ὑγιαίνω δὲ καὶ αὐτός. πυνθανόμενος τοὺς ἐν λυδίᾳ καὶ φρυγίᾳ νεωτερίζοντας, μεγάλης ἐπιστροφῆς ἡγησάμην τοῦτό μοι δεῖσθαι. καὶ βουλευσαμένῳ μοι μετὰ τῶν φίλων τί δεῖ ποιεῖν, ἔδοξεν εἰς τὰ φρούρια καὶ τοὺς ἀναγκαιοτάτους τόπους τῶν ἀπὸ τῆς μεσοποταμίας καὶ βαβυλωνίας ἰουδαίων οἴκους δισχιλίους σὺν ἐπισκευῇ μεταγαγεῖν. πέπεισμαι γὰρ εὔνους αὐτοὺς ἔσεσθαι τῶν ἡμετέρων φύλακας, διὰ τὴν πρὸς τὸν θεὸν αὐτῶν εὐσέβειαν, καὶ μαρτυρουμένους δὲ αὐτοὺς ὑπὸ τῶν προγόνων εἰς πίστιν οἶδα καὶ προθυμίαν εἰς ἃ παρακαλοῦνται. βούλομαι τοίνυν καίπερ ἐργώδους ὄντος τοῦ μεταγαγεῖν, ὑποσχόμενος νόμοις αὐτοὺς χρῆσθαι τοῖς ἰδίοις. ὅταν δ' αὐτοὺς ἀγάγῃς εἰς τοὺς προειρημένους τόπους, εἴς τε οἰκοδομὰς οἰκιῶν δώσεις αὐτοῖς τόπον ἑκάστῳ, καὶ χώραν εἰς γεωργίαν καὶ φυτείαν ἀμπέλων. καὶ ἀτελεῖς τῶν ἐκ τῆς γῆς καρπῶν ἀφήσεις ἐπ' ἔτη δέκα. μετρείσθωσαν δὲ καὶ ἄχρις ἂν τοὺς ἀπὸ τῆς γῆς ἄρτους λαμβάνωσιν, σῖτον εἰς τὰς τῶν θεραπόντων διατροφάς. διδόσθω δὲ καὶ τοῖς εἰς τὰς χρείας ὑπηρετοῦσι τὸ αὔταρκες, ἵνα τῆς παρ' ἡμῶν τυγχάνοντες φιλανθρωπίας, προθυμοτέρους παρέχωσιν αὑτοὺς περὶ τὰ ἡμέτερα. πρόνοιαν δὲ ποιοῦ καὶ τοῦ ἔθνους κατὰ τὸ δυνατὸν, ὅπως ὑπὸ μηδενὸς ἐνοχλῆται. περὶ μὲν οὖν τῆς ἀντιόχου φιλίας τοῦ μεγάλου πρὸς ἰουδαίους ταῦτα ἡμῖν ἀποχρώντως εἰρήσθω.

Μετὰ δὲ ταῦτα φιλίαν καὶ σπονδὰς πρὸς τὸν Πτολεμαῖον Ἀντίοχος ἐποιήσατο, καὶ δίδωσιν αὐτῷ τὴν θυγατέρα Κλεοπάτραν πρὸς γάμον, παραχωρήσας αὐτῷ τῆς κοίλης Συρίας καὶ Σαμαρείας καὶ Ἰουδαίας καὶ Φοινίκης, φερνῆς ὀνόματι. καὶ διαιρεθέντων εἰς ἀμφοτέρους τοὺς βασιλεῖς τῶν φόρων, τὰς ἰδίας ἕκαστοι τῶν ἐπισήμων ὠνούμενοι πατρίδας φορολογεῖν, καὶ συναθροίζοντες τὸ προστεταγμένον κεφάλαιον, τοῖς βασιλεῦσιν ἐτέλουν. ἐν τούτῳ τῷ χρόνῳ Σαμαρεῖς εὖ πράσσοντες πολλὰ τοὺς Ἰουδαίους ἐκάκωσαν, τήν τε χώραν αὐτῶν τέμνοντες, καὶ σώματα διαρπάσαντες. ἐγένετο δὲ ταῦτα ἐπὶ ἀρχιερέως Ὀνίου· τελευτήσαντος γὰρ Ἐλεαζάρου, τὴν ἀρχιερωσύνην ὁ θεῖος αὐτοῦ Μανασσῆς ἔλαβε. μεθ' ὃν καταστρέψαντα τὸν βίον, Ὀνίας τὴν τιμὴν ἐδέξατο, Σίμωνος υἱὸς ὢν τοῦ δικαίου κληθέντος. Σίμων δ' ἦν ἀδελφὸς Ἐλεαζάρου καθὼς προεῖπον. οὗτος ὁ Ὀνίας, βραχὺς ἦν τὴν διάνοιαν, καὶ χρημάτων ἥττων, καὶ διὰ τοῦτο τὸν ὑπὲρ τοῦ λαοῦ φόρον, ὃν τοῖς βασιλεῦσιν οἱ πατέρες αὐτοῦ ἐτέλουν ἐκ τῶν ἰδίων, τάλαντα εἴκοσιν ἀργυρίου μὴ δοὺς, εἰς ὀργὴν ἐκίνησε τὸν βασιλέα Πτολεμαῖον Εὐεργέτην, ὃς ἦν πατὴρ τοῦ Φιλοπάτορος. καὶ πέμψας εἰς Ἱεροσόλυμα πρεσβευτὴν, ᾐτιᾶτο τὸν Ὀνίαν, οὐκ ἀποδιδόντα τοὺς φόρους. καὶ ἠπείλει κληρουχήσειν αὐτῶν τὴν γῆν, οὐκ ἀπολαβών, καὶ πέμψειν τοὺς ἐνοικήσοντας στρατιώτας. ἀκούσαντες δὲ τὰ παρὰ τοῦ βασιλέως οἱ Ἰουδαῖοι συνεχύθησαν, τὸν δ' Ὀνίαν οὐδὲν τούτων ἐδυσώπησε διὰ τὴν φιλοχρηματίαν.

Κεφάλαιον δ'.

Ἐκ τῆς γινομένης ἀτυχίας ἐπανόρθωσις ὑπὸ Ἰωσήπου τοῦ Τωβίου, ποιησαμένου φιλίαν πρὸς Πτολεμαῖον.

Ἰώσηπος δέ τις, νέος μὲν ἔτι τὴν ἡλικίαν, ἐπὶ σεμνότητι δὲ καὶ προνοίᾳ καὶ δικαιοσύνῃ δόξαν ἔχων παρὰ τοῖς Ἱεροσολυμίταις, Τωβίου μὲν πατρὸς, ἐκ δὲ τῆς Ὀνίου τοῦ ἀρχιερέως ἀδελφῆς γεγονὼς, δηλωσάσης αὐτῷ τῆς μητρὸς τὴν τοῦ πρεσβευτοῦ παρουσίαν, ἔτυχε γὰρ αὐτὸς ἀποδημῶν εἰς Φιχόλαν κώμην ἐξ ἧς ὑπῆρχεν, ἐλθὼν εἰς τὴν πόλιν, ἐπέπληττε τῷ Ὀνίᾳ, μὴ προνοουμένῳ τῆς ἀσφαλείας τῶν πολιτῶν, ἀλλ' εἰς κινδύνους τὸ ἔθνος βουλομένῳ περιστήσειν διὰ τὴν τῶν χρημάτων ἀποστέρησιν, δι' ἃ καὶ τοῦ λαοῦ τὴν προστασίαν λαβεῖν αὐτὸν ἔλεγε, καὶ τῆς ἀρχιερατικῆς τιμῆς ἐπιτυχεῖν. εἰ δ' ἐρωτικῶς οὕτως ἔχοι τῶν χρημάτων, ὡς δι' αὐτὰ καὶ τὴν πατρίδα κινδυνεύουσαν ἰδεῖν ὑπομεῖναι, καὶ πᾶν ὁτιοῦν παθόντας αὐτοῦ τοὺς πολίτας, συνεβούλευσεν ἀπελθόντα πρὸς τὸν βασιλέα, δεηθῆναι αὐτοῦ ἢ πάντων αὐτῷ παραχωρῆσαι τῶν χρημάτων ἢ μέρους. τοῦ δὲ Ὀνίου μήτε ἄρχειν θέλειν ἀποκριναμένου, καὶ τὴν ἀρχιερωσύνην δ' εἰ δυνατὸν ἑτοίμως ἔχειν ἀποθέσθαι λέγοντος, μήτε ἀναβήσεσθαι πρὸς τὸν βασιλέα, μέλειν γὰρ οὐδὲν αὐτῷ περὶ τούτων, εἰ πρεσβεύειν αὐτῷ πρὸς τὸν Πτολεμαῖον συγχωρεῖ ὑπὲρ τοῦ ἔθνους, ἐπηρώτησε. φήσαντος δὲ ἐπιτρέπειν, ἀναβὰς εἰς τὸ ἱερὸν ὁ Ἰώσηπος, καὶ συγκαλέσας τὸ πλῆθος εἰς ἐκκλησίαν, μηδὲν ταράττεσθαι μηδὲ φοβεῖσθαι παρῄνει τὴν Ὀνίου τοῦ θείου περὶ αὐτῶν ἀμέλειαν. ἀλλ' ἐν ἀδείᾳ τῶν ἀπὸ τῆς σκυθρωποτέρας ἐλπίδος διάνοιαν αὐτοὺς ἔχειν ἠξίου. πρεσβεύσειν γὰρ αὐτὸς ἐπηγγέλλετο πρὸς τὸν βασιλέα, καὶ πείσειν αὐτὸν ὅτι μηδὲν ἀδικοῦσιν.

Post hæc amicitia Ptolemæo coniunctus est & fœdere, data in matrimonium Cleopatra filia, & concessa dotis nomine Cœlesyria, vnà cum Phœnice, Iudæaque & Samaria: diuisisque inter vtrumque regem vectigalibus, optimates suæ quisque patriæ exactionem eorum redimebant, & collecta quæ imperata esset pecunia, conferebant eam in regium ærarium. Per ea tempora Samaritæ rebus secundis elati, sæpe Iudæos infestabant agros vastando,& abducendo in captiuitatem homines, maximè sub Onia pontifice. Post obitum enim Eleazari Manasses eius patruus pontificatum assumpsit, quo defuncto Onias successit in sacerdotium Simonis Iusti filius, quem Simonem Eleazari fratrem fuisse diximus.

IIII. Is Onias pusillanimis erat, & auarus: quæ causa fuit vt tributum, quod pro populo maiores eius de suo solebant regi pendere, talenta argenti viginti non soluendo, ad iram commouerit Ptolemæum Euergetem patrem Philopatoris. Qui misso Hierosolyma legato incusabat Oniam quòd tributum non redderet: minabatúrque ni faceret regionem eius militibus suis se diuisurum,& nouas colonias eò deducturum. quod audientes Iudæi perterriti sunt, licèt Onias perfricta fronte hæc contemneret, nihil curans præter pecuniam.

Cap. IIII.

Iosephus Tobiæ filius imminentem Iudæis calamitatem depellit, amicus Ptolemæo regi factus.

IOsephus autem quidam ætate iuuenis, sed honestate, prudentia, iustitia inter Hierosolymitas celebris, Tobia patre natus è sorore Oniæ pontificis, cùm indicio matris cognouisset de aduentu legati, fortè enim in Phichola natali vico aberat, veniens in vrbem inuectus est in Oniam, qui non curaret securitatem publicam, sed modò pecuniis parcat, coniiceret in periculum populum, à quo & reipub. administrationem & pontificalem honorem acceperat. Quòd si tanto amore pecuniæ teneretur, vt propter eam sustineat & patriam & ciues in discrimen adduci, iret saltem ad regem, & precibus obtineret ab eo vel totam, vel partem aliquam eius pecuniæ. Onia verò dicente neque principatum se morari,& pontificatum etiam,modò liceat libenter se depositurum: neque iturum ad regem, quum nihil curet hoc negotium: rogauit Iosephus num ipsi permitteret legationem publicam suscipere. Quo annuente ascendit in templum, & aduocata concione, hortatus est eos ne terreantur Oniæ sui auunculi negligentia, sed missa mœstitia meliorem securitatis spem concipiant. Seipsum enim iturum legatum ad regem, & causam eorum bona fide acturum, persuasurúmque ei quòd irascatur immeritò.

Quibus auditis plebs gratias egit iuueni. Ipse verò egressus ex templo legatum regium excepit hospitio, & donatum pretiosis muneribus, lautéque per aliquot dies acceptum, præmisit ad regem, dicens se quoque mox secuturum. Iam enim magis etiam quàm antè accensus erat ad eam profectionem, quia legatus hortatus fuerat vt in Ægyptum veniret, operámque suam obtulerat: effecturum enim se vt quicquid opus haberet, à rege impetraret facilè. Vehementer enim captus est liberalibus honestissimi iuuenis moribus. Cæterùm reuersus in Ægyptum, denarrauit regi Oniæ ingratitudinem, multum interim prædicata Iosephi bonitate: quem breui venturum aiebat, & patrocinaturum populo, cuius curam propter pontificis segnítiem susceperit. Tantis denique iuuenem assiduè ornabat laudibus, vt & rex & regina Cleopatra erga absentem adhuc affecti essent optimè. at Iosephus missis in Samariam qui ab amicis pecuniam mutuo sumerent, satis iam instructus ad profectionem iumentis, vestibus & poculis, impensis in hæc viginti drachmarum millibus, peruenit Alexandriam. Forte fortuna ita accidit, vt illo ipso tempore ad regem venirent omnes Syriæ ac Phœnices vrbium principes ad emenda vectigalia, quæ singulis annis rex vendebat oppidanorum potentioribus. hi videntes Iosephum in itinere, deridebant eius tenuitatem & inopiam. qui cùm apud Alexandriam audisset, Memphi Ptolemæum esse, profectus est illi obuiam. Sedente autem rege in curru vnà cum regina & Athenione amico (is erat qui legatus Hierosolymis hospitio Iosephi vsus fuerat) conspicatus eum Athenio mox regi notum reddidit, dicens hunc esse illum iuuenem, cuius bonitatem ac liberalitatem Hierosolymis reuersus tantopere prædicauerat. Tum Ptolemæus & prior eum salutauit, & currum iussit conscendere. quo facto Oniam accusare cœpit. At Iosephus: Danda est, inquit, senectuti venia. Scis enim quòd senes & pueri eundem habent animum. Nos autem iuuenes officio nostro non deerimus, vt nihil de nobis meritò possis conqueri. Ex hoc primo colloquio rex degustata iuuenis ciuilitate, adeò cœpit eum amare vt iuberet eum diuersari in regia, & quotidie suæ mensæ adhiberet. quod cùm primates Syrorum viderent apud Alexandriam, indignè ferebant. Cúmque dies auctionis venisset, qua addicenda erant vectigalia, licitabantur ea nobiles suæ quisque patriæ: & cùm octo millia talentorum colligerentur è vectigalibus Cœlesyriæ Phœnicésque & Iudææ ac Samariæ, accedens Iosephus culpabat illos licitatores, tanquam de composito tam paruum regi precium promitterent. Se enim paratum duplum numerare, relictis regi damnatorum confiscationibus, quę priùs publicanis solebant accedere. Rege verò libenter hæc audiente,

καὶ τὸ μὲν πλῆθος τούτων ἀκοῦσαν, ηὐχαρίστει τῷ Ἰωσήπῳ. καταβὰς δ' αὐτὸς ἀπὸ τοῦ ἱεροῦ, ξενίᾳ τε ὑποδέχεται τὸν παρὰ τοῦ Πτολεμαίου πεπρεσβευκότα, καὶ δωρησάμενος αὐτὸν πολυτελέσι δωρεαῖς, καὶ ἐπὶ πολλὰς ἑστιάσας φιλοτίμως ἡμέρας, προέπεμψε πρὸς τὸν βασιλέα, φράσας αὐτῷ, καὶ αὐτὸν ἀκολουθήσειν. καὶ γὰρ ἔτι μᾶλλον ἐγεγόνει πρόθυμος πρὸς τὴν ἄφιξιν τὴν παρὰ τὸν βασιλέα, τοῦ πρεσβευτοῦ προτρεψαμένου, καὶ παρορμήσαντος εἰς Αἴγυπτον ἐλθεῖν, καὶ πάντων ὧν ἂν δέηται παρὰ τοῦ Πτολεμαίου τυχεῖν αὐτὸν ποιήσειν ὑποσχομένου. τὸ γὰρ ἐλευθέριον αὐτοῦ καὶ τὸ σεμνὸν τοῦ ἤθους, λίαν ἠγάπησε. καὶ ὁ μὲν πρεσβευτὴς ἐλθὼν εἰς τὴν Αἴγυπτον, ἀπήγγειλε τῷ βασιλεῖ τὴν τοῦ Ὀνίου ἀγνωμοσύνην, καὶ περὶ τῆς τοῦ Ἰωσήπου χρηστότητος ἐδήλου, καὶ ὅτι μέλλει πρὸς αὐτὸν ἥξειν, παραιτησόμενος τῶν ἁμαρτημάτων τὸ πλῆθος. εἶναι γὰρ αὐτοῦ προστάτην. ἀμέλει τοσαύτῃ περὶ τῶν ἐγκωμίων τοῦ νεανίσκου διετέλεσε χρώμενος περιουσίᾳ, ὥστε καὶ τὸν βασιλέα, καὶ τὴν γυναῖκα αὐτοῦ Κλεοπάτραν, προδιέθηκεν οἰκείως ἔχειν πρὸς τὸν Ἰώσηπον οὔπω παρόντα. ὁ δὲ Ἰώσηπος διαπέμψας πρὸς τοὺς φίλους εἰς Σαμάρειαν, καὶ δανεισάμενος ἀργύριον, καὶ τὰ πρὸς τὴν ἀποδημίαν ἑτοιμασάμενος ἐσθῆτάς τε καὶ ἐκπώματα καὶ ὑποζύγια, καὶ ταῦθ' ὡς περὶ δισμυρίας δραχμὰς παρασκευασάμενος, εἰς Ἀλεξάνδρειαν παρεγένετο. ἔτυχε δὲ κατ' ἐκεῖνον τὸν καιρὸν πάντας ἀναβαίνειν τοὺς ἐκ τῶν πόλεων τῶν τῆς Συρίας καὶ Φοινίκης πρώτους καὶ ἄρχοντας, ἐπὶ τὴν τελῶν ὠνήν. κατ' ἔτος γὰρ ταῦτα τοῖς δυνατοῖς τῶν ἐν ἑκάστῃ πόλει ἐπίπρασκεν ὁ βασιλεύς. ὁρῶντες οὖν οὗτοι κατὰ τὴν ὁδὸν τὸν Ἰώσηπον, ἐχλεύαζον ἐπὶ πενίᾳ καὶ λιτότητι. ὡς δ' εἰς τὴν Ἀλεξάνδρειαν ἀφικόμενος, ἐν Μέμφει τὸν βασιλέα Πτολεμαῖον ἤκουσεν ὄντα, ὑπαντησόμενος ἀνέβαινεν αὐτῷ. καθεζομένου δὲ τοῦ βασιλέως ἐπὶ ὀχήματος μετὰ τῆς γυναικός, καὶ μετὰ Ἀθηνίωνος τοῦ φίλου, οὗτος δ' ἦν ὁ πρεσβεύσας εἰς Ἱεροσόλυμα καὶ παρὰ Ἰωσήπου ξενιαθείς, θεασάμενος αὐτὸν ὁ Ἀθηνίων, εὐθὺς ἐποίει τῷ βασιλεῖ γνώριμον, λέγων τοῦτον εἶναι, περὶ οὗ παραγενόμενος ἐξ Ἱεροσολύμων ἀπήγγειλεν ὡς ἀγαθός τε εἴη καὶ φιλότιμος νεανίσκος. ὁ δὲ Πτολεμαῖος, πρῶτός τε αὐτὸν ἠσπάσατο, καὶ ἀναβῆναι ἐπὶ τὸ ὄχημα παρεκάλεσε. καὶ καθεσθέντος περὶ τῶν Ὀνίᾳ πεπραγμένων ἤρξατο ἐγκαλεῖν. ὁ δὲ συγγίνωσκέ φησιν αὐτῷ διὰ τὸ γῆρας. οὐ γὰρ λανθάνει σε πάντως, ὅτι καὶ τοὺς πρεσβύτας καὶ τὰ νήπια τὴν αὐτὴν διάνοιαν ἔχειν συμβέβηκε. παρ' ἡμῶν δὲ ἡμῶν ἔσται σοι τῶν νέων ἅπαντα, ὥστε μηδὲν αἰτιάσασθαι. ἡσθεὶς δὲ ἐπὶ τῇ χάριτι καὶ εὐτραπελίᾳ τοῦ νεανίσκου, μᾶλλον αὐτὸν ὡς ἤδη πεπειραμένος ἀγαπᾷν ἤρξατο, ὡς ἔν τε τοῖς βασιλείοις αὐτὸν κελεύσας ἐνδιαιτᾶσθαι, καὶ καθημέραν ἐπὶ τῆς ἑστιάσεως τῆς ἰδίας ἔχων. γενομένου δ' ἐν Ἀλεξανδρείᾳ τοῦ βασιλέως, ἰδόντες οἱ πρῶτοι τῆς Συρίας συγκαθεζόμενον αὐτῷ τὸν Ἰώσηπον, ἀηδῶς ἔφερον. ἐνστάσης δὲ τῆς ἡμέρας καθ' ἣν ἔμελλε τὰ τέλη πιπράσκεσθαι τῶν πόλεων, ἠγόραζον οἱ τοῖς ἀξιώμασιν ἐν ταῖς πατρίσι διαφέροντες. εἰς ὀκτακισχίλια δὲ τάλαντα συναθροιζομένων τῶν τῆς κοίλης Συρίας τελῶν, καὶ τῶν τῆς Φοινίκης καὶ Ἰουδαίας, σὺν τῇ Σαμαρείᾳ, προσελθὼν ὁ Ἰώσηπος, τοὺς μὲν ὠνουμένους διέβαλλεν ὡς συνθεμένους ὀλίγην αὐτῷ τιμὴν ὑφίστασθαι τῶν τελῶν. αὐτὸς δὲ διπλασίονα δώσειν ὑπισχνεῖται. καὶ τῶν ἁμαρτόντων εἰς τὸν οἶκον αὐτοῦ, τὰς οὐσίας ἐκπέμψειν αὐτῷ. καὶ γὰρ καὶ τοῦτο τοῖς τέλεσι συνεπιπράσκετο. τοῦ δὲ βασιλέως ἡδέως ἀκούσαντος,

καὶ ὡς

A καὶ ὡς αὔξοντι τὴν πρόσοδον αὐτοῦ κατανεύσαντος τὴν ὠνὴν τῶν τελῶν ἐκείνῳ φήσαντος, ἐρομένου δὲ καὶ τοῦτο, εἰ τοὺς ἐγγυησομένους αὐτὸν ἔχει δοῦναι, σφόδρα ἀστείως ἀπεκρίνατο, δώσειν γὰρ εἶπεν ἀνθρώπους ἀγαθούς τε καὶ καλοὺς, οἷς οὐκ ἀπιστήσετε. λέγειν δὲ τούτους οἵτινες εἰσὶν εἰπόντος, σὲ τὸν, εἶπεν, ὦ βασιλεῦ σε, καὶ τὴν γυναῖκα τὴν σὴν, ὑπὲρ ἑκατέρου μέρους ἐγγυησομένους δίδωμί σοι. γελάσας δ' ὁ Πτολεμαῖος, συνεχώρησεν αὐτῷ δίχα τῶν ὁμολογούντων, ἔχειν τὰ τέλη. B τοῦτο σφόδρα τοὺς ἀπὸ τῶν πόλεων εἰς τὴν Αἴγυπτον ἐλθόντας ἐλύπησεν, ὡς παρευδοκιμηθέντας. καὶ οἱ μὲν ἐπανῆκον εἰς τὰς οἰκείας ἕκαστοι πατρίδας μετ' αἰσχύνης. ὁ δὲ Ἰώσηππος λαβὼν παρὰ τοῦ βασιλέως πεζῶν στρατιωτῶν δισχιλίους, ἠξίωσε γὰρ τινὰ βοήθειαν λαβεῖν, ἵνα τοὺς ἐν ταῖς πόλεσι καταφρονοῦντας ἔχῃ βιάζεσθαι. καὶ δανεισάμενος ἐν Ἀλεξανδρείᾳ, παρὰ τῶν τοῦ βασιλέως φίλων τάλαντα πεντακόσια, εἰς Συρίαν C ἐξώρμησε. γενόμενος δ' ἐν Ἀσκάλωνι, καὶ τοὺς φόρους ἀπαιτῶν τοὺς Ἀσκαλωνίτας, ἐπεὶ μηδὲν ἐβούλοντο διδόναι, ἀλλὰ καὶ προσύβριζον αὐτὸν, συλλαβὼν αὐτῶν τοὺς πρωτεύοντας ὡς εἴκοσι, ἀπέκτεινε, καὶ τὰς οὐσίας αὐτῶν εἰς χίλια τάλαντα, ἀθροισθείσας ἔπεμψε τῷ βασιλεῖ, δηλῶν αὐτῷ καὶ τὰ γεγενημένα. θαυμάσας δ' αὐτὸν ὁ Πτολεμαῖος τοῦ φρονήματος, καὶ τῶν πεπραγμένων ἐπαινέσας αὐτὸν, ἐφίησιν αὐτῷ ποιεῖν D ὅτι βούλεται. τοῦτ' ἀκούσαντες οἱ Σύροι κατεπλάγησαν, καὶ παράδειγμα τῆς ἀπειθείας χαλεπὸν ἔχοντες τοὺς τῶν Ἀσκαλωνιτῶν ἄνδρας ἀνῃρημένους, ἀνοίγοντες τὰς πύλας ἐδέχοντο προθύμως τὸν Ἰώσηππον καὶ τοὺς φόρους ἐτέλουν. ἐπιχειρούντων δὲ καὶ Σκυθοπολιτῶν ὑβρίζειν αὐτὸν, καὶ μὴ παρέχειν τοὺς φόρους αὐτῷ, οὓς μηδὲν ἀμφισβητοῦντες ἐτέλουν, καὶ τούτων ἀποκτείνας τοὺς πρώτους, τὰς οὐσίας αὐτῶν E ἀπέστειλε τῷ βασιλεῖ. συναγαγὼν δὲ πολλὰ χρήματα καὶ κέρδη ποιήσας μεγάλα ἐκ τῆς ὠνῆς τῶν τελῶν, εἰς τὸ διαμεῖναι τὴν ὑπάρχουσαν αὐτῷ δύναμιν τοῖς οὖσι κατεχρήσατο, τὴν ἀφορμὴν αὐτῶν καὶ τὴν ὑπόθεσιν τῆς τότε εὐτυχίας τηρεῖν, φρόνιμον ἡγούμενος, ἐξ αὐτῶν ὧν αὐτὸς ἐκέκτητο. πολλὰ γὰρ ὑπὸ χεῖρα τῷ βασιλεῖ καὶ τῇ Κλεοπάτρᾳ δῶρα ἔπεμψε, καὶ τοῖς φίλοις αὐτῶν, καὶ πᾶσι τοῖς περὶ τὴν αὐλὴν δυνατοῖς, F ὠνούμενος διὰ τούτων τὴν εὔνοιαν τὴν παρ' αὐτῶν. ἀπήλαυσε δὲ ταύτης τῆς εὐτυχίας, ἐπ' ἔτη κβ'. πατὴρ μὲν γενόμενος ἐκ μιᾶς γυναικὸς, παίδων ζ'. ποιησάμενος δὲ καὶ ἐκ τῆς τοῦ ἀδελφοῦ Σολυμίου θυγατρὸς ἕνα Ὑρκανὸν ὄνομα. γαμεῖ δὲ ταύτην ἐξ αἰτίας τοιαύτης. σὺν τἀδελφῷ ποτὲ εἰς Ἀλεξάνδρειαν ἐλθὼν ἄγοντι καὶ τὴν θυγατέρα γάμων ὥραν ἔχουσαν, ὅπως αὐτὴν συνοικίσῃ τινὶ τῶν ἐπ' ἀξιώματος Ἰουδαίων, καὶ δειπνῶν παρὰ τῷ βασιλεῖ, ὀρχηστρίδος εἰσελθούσης εἰς τὸ συμπόσιον εὐπρεποῦς, G ἐρασθεὶς τῷ ἀδελφῷ τοῦτο μηνύει, παρακαλῶν αὐτὸν ἐπεὶ καὶ νόμῳ κεκώλυται τοῖς Ἰουδαίοις ἀλλοφύλῳ πλησιάζειν γυναικὶ, συγκρύψαντα τὸ ἁμάρτημα καὶ διάκονον ἀγαθὸν γενόμενον, παρασχεῖν αὐτῷ ὡς τε πληρῶσαι τὴν ἐπιθυμίαν. ὁ δὲ ἀδελφὸς ἀσμένως δεξάμενος τὴν διακονίαν, κοσμήσας τὴν αὐτοῦ θυγατέρα νυκτὸς ἤγαγε πρὸς αὐτὸν, καὶ συγκατεκοίμησεν. ὁ δὲ ὑπὸ μέθης ἀγνοήσας τὸ ἀληθὲς, συνέρχεται τῇ τοῦ ἀδελφοῦ θυγατρί. καὶ τούτου γενομένου πολλάκις, ἠράσθη σφοδρότερον. ἔφη δὲ καὶ πρὸς τὸν ἀδελφὸν ὡς κινδυνεύοι τὸ ζῆν ἐρῶν τῆς ὀρχηστρίδος, ἧς ἴσως οὐκ ἂν αὐτῷ παραχωρήσειν τὸν βασιλέα.

A & vt amplificatori redituum suorum addicturum se promittente, rogante tamen ecquos fideiussores haberet, festiuè respondit, daturum se homines probos & honestos, quibus non grauaretur credere. Quos vt proferret postulatus: Te, inquit, rex dabo, tuámque coniugem, vt alter alteri pro me fideiubeat. Tum rex arridens permisit eum absque fideiussione habere vectigalia. id quod valde molestum fuit his B qui posthabiti fuerant, non sine pudore in patriam reuertentibus. Iosephus autem acceptis à rege duobus militum millibus, quos ideo petierat vt posset contumaces in vrbibus vi cogere, & mutuatus Alexandriæ ab amicis regiis quingenta talenta, profectus est in Syriam. Et cùm venisset Ascalonem, tributúmque à ciuibus exigeret, & non solùm nihil acciperet, sed conuitiis etiam appeteretur: comprehensos circiter viginti eorum pri- C mates affecit supplicio: & redactis ex eorum facultatibus mille talentis, regi eam pecuniam transmisit, indicans quidnam egerit. Ptolemæus autem miratus eius prudentiam, & approbato quod egerat, permisit ei quicquid vellet facere. Hoc audito Syri, exemplo recenti castigatæ in Ascalonitis inobedientiæ territi, patentibus portis Iosephum excipientes tributa soluebant. Cúmque etiam Scythopolitæ per contumaciam detrectarent imperata D more solito tributa dependere, horum quoque necatis primatibus, facultates damnatorum ad regem misit: comparatísque multis pecuniis & multa lucratus ex redemptione vectigalium, his opibus ad constabiliendam præsentem potentiam vsus est, prudenter existimans optimum esse iam partam felicitatem tueri ex ipsius reditibus. multa namque munera regi atque reginæ in manum mittebat, multa etiam horum amicis & omnibus in au- E la potentibus, beneuolentiam eorum hoc pacto sibi concilians. Vsus est autem ea prosperitate per annos XXII. ex vna vxore procreatis septem filiis, suscepto etiam vno ex fratris Solymij filia, nomine Hyrcano: quam hac occasione duxit coniugem. Cùm aliquando venisset Alexandriam cum fratre, ducente secum filiam nubilem, vt eam ibi alicui nobili Iudæo nuptum traderet: cœnans cum rege, ingressam in conuiuium formosam saltatricu- F lam adamauit, solíque fratri hoc indicauit, rogans vt quandoquidem lege vetaretur habere rem cum fœmina alienigena, subseruiret ei vt clàm ea potiri posset. Frater verò libenter operam suam pollicitus, ornatam filiam suam noctu ad eum adduxit, & in lectum eius collocauit: atque ita parum sobrius, per errorem cum fratris filia congressus est: & cùm hoc sæpius fecisset, magis etiam in amorem accensus, conquestus est apud fratrem quòd peri- G culum esset, ne non posset excutere amorem saltatriculæ, quam fortè rex nollet ei cedere.

Tum Solymius ait non esse opus vt hac de re sit anxius, licere enim ei frui amata muliere, atque etiam vxorem eam ducere: falsus quòd maluerit filiæ fieri iniuriam, quàm fratrem tale dedecus in se admittere. Iosephus collaudata tam fraterna beneuolentia, vxorem duxit eius filiam: ex eáque genuit quem diximus, Hyrcanum filium. Is cùm annos natus tredecim adulescens adhuc generosam & prudentem præ se ferret indolem, fratrum in se concitauit odia, quòd eos in omnibus videretur antecellere. Iosephus enim volens cognoscere quisnam ex his ad virtutem esset idoneus maximè, vnumquemque misit ad eos qui tum professione disciplinarum erant celebres: illi verò propter segnitiem & laborum impatientiam indocti domum reuersi sunt. Deinde minimum natu Hyrcanum cum trecentis iugis boum misit itinere septem dierum in solitudinem, vt illic sementem faceret: sed prius subtractis clàm loris, quibus arator boues ad iugum solet astringere. Quò postquàm peruentum est, cùm non haberet lora, contempto bubulcorum consilio, suadentium aliquem ad patrem mittere qui adferret: nolénsque interim expectando eorum reditum tempus perdere, commentus est quiddam veterano duce magis dignum quàm id ætatis homine. Mactatis enim decem iugis carnes quidem in operarios distribuit: sectis autem tergoribus, & loris inde factis, iuga hoc modo bubus aptauit: & hoc modo arata terra quam pater proscindi iusserat, sementéque facta, domum rediit. Pater autem reuersum exosculatus ob prudentiam & acumen ingenij, & quòd excogitata auderet aggredi, vt solum germanum filium, magis etiam posthac amauit, indignè ferentibus reliquis fratribus. Interea venit quidam nuncians quòd regi Ptolemæo natus sit filius: versíque omnes Syriæ magnates cum subditis ad lætitiam, natalem pueri celebrabant, ac deinde Alexandriam gratulatum sunt profecti magno apparatu, Iosepho ob ætatem iam grauantem domi manere coacto. pertentauit tamen filiorum animos, num quis ex his vellet eam profectionem suscipere: & recusantibus cæteris, quòd se negarent scire mores aulicos, quomodo versandum sit cum regibus, suadentibúsque vt Hyrcanum fratrem mitteret: libenter hoc audito, statim eum aduocat: rogátque ecquid liberet, aut idoneum se putaret, qui ad regem salutatum accederet. qui cùm promptè eam profectionem susciperet, & modica pecunia sibi opus fore diceret: velle enim se frugaliter viuere, vt decem drachmarum millia sufficiant, admodum lætatus est filij prudentia. Deinde puer cùm aliquandiu siluisset, suasit patri ne domo quicquam munerum regi mitteret: sed vt ad procuratorem suum Alexandrinum scriberet, vt pecuniam ipsi præberet ad emendum regi id quod inueniret pulcherrimum & pretiosissimum. Ille verò ratus decem fortasse talenta impensurum in munera, & comprobato filij consilio, scripsit procuratori Arioni,

A τοῦ δ' ἀδελφοῦ, μηδὲν ἀγωνιᾷν παρακαλοῦντος, ἀπολαύειν δ' ἧς ἐρᾷ μετ' ἀδείας, καὶ γυναῖκα ἔχειν αὐτὴν φήσαντος, καὶ τἀληθὲς αὐτῷ φανερὸν ποιήσαντος, ὡς ἕλοιτο μᾶλλον τὴν ἰδίαν ὑβρίσαι θυγατέρα, ἢ περιιδεῖν ἐκεῖνον ἐν αἰσχύνῃ γενόμενον. ἐπαινέσας αὐτὸν ὁ Ἰώσηπος τῆς φιλαδελφίας, συνῴκησεν αὐτοῦ τῇ θυγατρὶ, καὶ παῖδα ἐξ αὐτῆς ἐγέννησεν Ὑρκανὸν ὄνομα ὡς προειρήκαμεν. ἐπεὶ δὲ ὢν B ιγ' ἐτῶν οὗτος ὁ παῖς νεώτερος ἐπεδείκνυτο τὴν φυσικὴν ἀνδρείαν καὶ σύνεσιν, ὡς ζηλοτυπηθῆναι δεινῶς αὐτὸν ὑπὸ τῶν ἀδελφῶν, ὄντα πολὺ κρείττονα καὶ φθονηθῆναι δυνάμενον, τοῦ δὲ Ἰωσήπου γνῶναι θελήσαντος τίς αὐτοῦ τῶν υἱῶν πρὸς ἀρετὴν εὖ πέφυκε, καὶ καθ' ἕνα πέμψαντος πρὸς τοὺς παιδεύειν τότε δόξαν ἔχοντας, οἱ λοιποὶ μὲν ὑπὸ ῥαθυμίας καὶ τῆς πρὸς τὸ φιλεργεῖν μαλακίας, ἀνόητοι καὶ ἀμαθεῖς ἐπανῆκον αὐτῷ. μετὰ δ' ἐκείνους τὸν νεώτατον C Ὑρκανὸν δοὺς αὐτῷ τ' ζεύγη βοῶν, ἐξέπεμψεν ὁδὸν ἡμερῶν β' εἰς τὴν ἐρημίαν, σπεροῦντα τὴν γῆν, ἀποκρύψας τοὺς ζευγατῆρας ἱμάντας. ὁ δὲ γενόμενος ἐν τῷ τόπῳ καὶ τοὺς ἱμάντας οὐχ ἔχων, τῆς μὲν τῶν βοηλατῶν γνώμης κατωλιγώρησε, συμβουλευόντων πέμπειν πρὸς τὸν πατέρα κομιοῦντάς τινας τοὺς ἱμάντας. τὸν δὲ καιρὸν ἡγησάμενος μὴ δεῖν ἀπολλύναι περιμένοντα τοὺς ἀποσταλησομένους, ἐπενόησέ τι στρατηγικὸν καὶ τῆς ἡλικίας πρεσ- D βύτερον. κατασφάξας γὰρ δέκα ζεύγη, τὰ μὲν κρέα τοῖς ἐργάταις διένειμε. τεμὼν δὲ τὰς δορὰς αὐτῶν, καὶ ποιήσας ἱμάντας, ἐνέδυσε τούτοις τὰ ζεύγεια, καὶ τοῦτον τὸν τρόπον ἀρόσας, ἣν ὁ πατὴρ αὐτῷ προσέταξε γῆν, ὑπέστρεψε πρὸς αὐτόν. ἐλθόντα δ' ὁ πατὴρ ὑπερηγάπησε τοῦ φρονήματος, καὶ τὴν ὀξύτητα τῆς διανοίας, καὶ τὸ ἐπ' αὐτῇ τολμηρὸν ἐπαινέσας, ὡς μόνον ὄντα γνήσιον, ἔτι μᾶλλον ἔστερ- E γε, ἀχθομένων τῶν ἀδελφῶν ἐπὶ τούτῳ. ὡς δ' ἀπήγγειλέ τις αὐτῷ, κατὰ τοῦτον τὸν καιρὸν υἱὸν τῷ βασιλεῖ Πτολεμαίῳ γεγενῆσθαι, καὶ πάντες οἱ πρῶτοι τῆς Συρίας καὶ τῆς ὑπηκόου χώρας ἑορτάζοντες τὴν γενέσιον ἡμέραν τοῦ παιδίου, μετὰ μεγάλης παρασκευῆς εἰς τὴν Ἀλεξάνδρειαν ἐξώρμων, αὐτὸς μὲν ὑπὸ γήρως κατείχετο. τῶν δ' υἱῶν ἀπεπειρᾶτο εἴ τις αὐτῶν βούλεται ἀπελθεῖν πρὸς τὸν βα- F σιλέα. τῶν δὲ πρεσβυτέρων παραιτησαμένων, καὶ πρὸς τὰς τοιαύτας συνουσίας ἀγροικότερον ἔχειν φησάντων, τὸν ἀδελφὸν δὲ Ὑρκανὸν πέμπειν συμβουλευσάντων, ἡδέως ἀκούσας, καλεῖ τὸν Ὑρκανὸν, καὶ εἰ δύναιτο πρὸς τὸν βασιλέα βαδίσαι, καὶ εἰ πρόθυμός ἐστιν ἀνέκρινεν. ἐπαγγειλαμένου δὲ πορεύσεσθαι, καὶ δεῖσθαι χρημάτων οὐ πολλῶν φήσαντος εἰς τὴν ὁδὸν, ζήσεσθαι γὰρ ἐπιεικῶς, ὥστε ἀρ- G κέσειν αὐτῷ δραχμὰς μυρίας, ἥσθη τοῦ παιδὸς τῇ φρονήσει. διαλιπὼν δ' ὀλίγον ὁ παῖς συνεβούλευσε τῷ πατρὶ, δῶρα μὲν αὐτόθεν μὴ πέμπειν τῷ βασιλεῖ. δοῦναι δ' ἐπιστολὴν πρὸς τὸν Ἀλεξανδρέα οἰκονόμον, ὅπως αὐτῷ παρέχῃ πρὸς ὠνὴν ὧν ἂν εὕρῃ καλλίστων καὶ πολυτελῶν χρήματα. ὁ δὲ νομίζων δέκα ταλάντων ἔσεσθαι τὴν εἰς τὰς δωρεὰς τῷ βασιλεῖ δαπάνην, καὶ τὸν υἱὸν ἐπαινέσας ὡς παραινοῦντα καλῶς, γράφει τῷ οἰκονόμῳ Ἀρίωνι,

ὃς ἀ-

ὃς ἅπαντα τὰ ἐν ἀλεξανδρείᾳ χρήματα αὐτοῦ διῴκει, οὐκ ὄντα ἐλάσσω τρισχιλίων ταλάντων. ὁ γὰρ ἰώσηπος τὰ ἀπὸ τῆς συρίας χρήματα ἔπεμπεν εἰς τὴν ἀλεξάνδρειαν, καὶ προθεσμίας ἐνισταμένης καθ' ἣν ἔδει τῷ βασιλεῖ τοὺς φόρους ἀπαριθμεῖν, ἔγραφε τῷ ἀρίωνι τοῦτο ποιεῖν. πρὸς οὖν τοῦτον ἀπαιτήσας τὸν πατέρα καὶ λαβὼν ἐπιστολὴν, εἰς τὴν ἀλεξάνδρειαν ὥρμησεν. ἐξελθόντος δ' αὐτοῦ, γράφουσιν οἱ ἀδελφοὶ πᾶσι τοῖς τοῦ βασιλέως φίλοις, ἵνα αὐτὸν διαφθείρωσιν. ὡς δὲ παραγινόμενος εἰς τὴν ἀλεξάνδρειαν, ἀπέδωκε τῷ ἀρίωνι τὴν ἐπιστολὴν, ἐπερωτήσαντος αὐτοῦ, πόσα βούλεται τάλαντα λαβεῖν, ἤλπιζεν δ' αἰτήσειν δέκα, ἢ βραχεῖ τούτων πλέον, εἰπόντος χιλίων χρῄζειν, ὀργισθεὶς ἐπέπληττεν αὐτῷ, ὡς ἀσώτως ζῆν διεγνωκότι. καὶ πῶς ὁ πατὴρ αὐτοῦ συναγάγοι τὴν οὐσίαν, ὡς πονῶν καὶ ταῖς ἐπιθυμίαις ἀντέχων ἐδήλου, καὶ μιμητὴν αὐτὸν ἠξίου γενέσθαι τοῦ γεννήσαντος. δώσειν δ' οὐδὲν πλέον ταλάντων δέκα, καὶ ταῦτ' εἰς δωρεὰς τῷ βασιλεῖ. παροξυνθεὶς δὲ ὁ παῖς, εἰς δεσμὰ τὸν ἀρίωνα ἐνέβαλε. τῆς δὲ τοῦ ἀρίωνος γυναικὸς, τοῦτο δηλωσάσης τῇ κλεοπάτρᾳ, καὶ δεηθείσης ὅπως ἐπιπλήξῃ τῷ παιδί, σφόδρα γὰρ ἦν ὁ ἀρίων ἐν τιμῇ παρ' αὐτῇ, φανερὸν τῷ βασιλεῖ τοῦτο ἐποίησεν ἡ κλεοπάτρα. ὁ δὲ πτολεμαῖος πέμψας πρὸς τὸν ὑρκανὸν, θαυμάζειν ἔλεγε πῶς ἀποσταλεὶς πρὸς αὐτὸν ὑπὸ τοῦ πατρὸς, οὔτε ὀφθείη αὐτῷ, καὶ προσέτι δήσειε τὸν οἰκονόμον. ἐλθόντα οὖν τὴν αἰτίαν αὐτῷ μηνύειν ἐκέλευσε. τὸν δὲ φασὶν ἀποκρινάμενον τῷ παρὰ τοῦ βασιλέως λέγειν αὐτῷ, ὅτι νόμος ἐστὶ παρ' αὐτῷ κωλύων τὸν γεννηθέντα γεύσασθαι θυσίας, πρὶν εἰς τὸ ἱερὸν ἔλθῃ καὶ θύσῃ τῷ θεῷ. κατὰ δὴ τοῦτον τὸν λογισμὸν, οὐδ' αὐτὸν ἐλθεῖν πρὸς αὐτὸν, περιμένοντα δῶρα κομίσαι τῷ πατρὸς εὐεργέτῃ γενομένῳ. τὸν δὲ δοῦλον κολάσαι παρακούσαντα ὧν προσέταξε. διαφέρειν γὰρ οὐδὲν, ἢ μικρὸν εἶναι τινὰ δεσπότην ἢ μέγαν. ἂν οὖν μὴ κολάζοιμεν τοὺς τοιούτους, καὶ σὺ προσδόκα ὑπὸ τῶν ἀρχομένων καταφρονηθήσεσθαι. ταῦτ' ἀκούσας ὁ πτολεμαῖος, εἰς γέλωτα ἐξάπτη, καὶ τὴν μεγαλοφροσύνην τοῦ παιδὸς ἐθαύμασε. μαθὼν δὲ ὁ ἀρίων ὅτι τοῦτον ὁ βασιλεὺς διετέθη τὸν τρόπον, καὶ ὅτι μηδεμία βοήθεια ἐστὶν αὐτῷ, δοὺς τὰ χίλια τάλαντα τῷ παιδί, τῶν δεσμῶν ἀπελύθη. καὶ τρεῖς διαλιπὼν ἡμέρας ὁ ὑρκανὸς, ἠσπάσατο τοὺς βασιλεῖς. οἱ δὲ ἀσμένως αὐτὸν εἶδον, καὶ φιλοφρόνως εἱστίασαν διὰ τὴν πρὸς τὸν πατέρα τιμήν. λάθρα δὲ πρὸς τοὺς ἐμπόρους ἐλθὼν, ὠνεῖται παρ' αὐτῶν παῖδας μὲν ἑκατὸν γράμματα ἐπισταμένους καὶ ἀκμαιοτάτους, ἑνὸς ἕκαστον ταλάντου. ἑκατὸν δὲ παρθένους τῆς αὐτῆς τιμῆς ἑκάστην. κληθεὶς δ' ἐφ' ἑστίασιν πρὸς τὸν βασιλέα, μετὰ τῶν πρώτων τῆς χώρας, ὑποκατακλίνεται πάντων, καταφρονηθεὶς ὡς παῖς ἔτι τὴν ἡλικίαν ὑπὸ τῶν τοὺς τόπους κατὰ τὴν ἀξίαν διανεμόντων. τῶν δὲ συγκατακειμένων πάντων τῶν μερῶν τὰ ὀστᾶ, αὐτοὶ γὰρ τὰς σάρκας ἤσθιον, σωρευόντων ἔμπροσθεν τοῦ ὑρκανοῦ, ὡς πληρῶσαι τὴν παρακειμένην αὐτῷ τράπεζαν, τρύφων, ὃς ἦν τοῦ βασιλέως ἄθυρμα, καὶ πρὸς τὰ σκώμματα καὶ τοὺς ἐν τοῖς πότοις γέλωτας ἀποδέδεικτο, παρακαλεσάντων αὐτὸν τῶν κατακειμένων τῇ τραπέζῃ, παριστὰς τῷ βασιλεῖ, ὁρᾷς, εἶπεν, ὦ δέσποτα, τὰ παρακείμενα ὑρκανῷ ὀστᾶ; ἐκ τούτου στόχασαι ὅτι καὶ ὁ πατὴρ αὐτοῦ τὴν συρίαν ἅπασαν περιέδυσεν, ὡς οὗτος ταῦτα τῶν σαρκῶν ἐγύμνωσε.

qui omnem ipsius pecuniam tractabat Alexandriæ, talentorum circiter tria millia. Iosephus enim pecunias in Syria collectas solebat eò mittere, & quoties præstitutum tempus veniret tributa regi adnumerandi, Arionem hoc iubebat facere. Ad hunc igitur acceptis à patre literis, Alexandriam proficiscitur: móxque fratres ad omnes regios amicos scripserunt, vt eum aliquo modo perderent. Vt verò exacto itinere Arioni epistolam reddidit, rogatus quótnam talenta vellet accipere: putabat enim decem petiturum aut non multo amplius: vt respondit mille sibi opus esse, iratus procurator obiurgauit eum acriter, quòd vellet ea per luxum perdere: monebàtque vt sequeretur exemplum patris, qui eam pecuniam laboribus & temperantia parauerat. Se enim non plus quàm decem præbiturum, & ea non in alium vsum quàm vt mercaretur regi munera. Ibi puer iratus Arionem coniecit in vincula. Procuratoris autem vxore reginæ hoc renunciante, & rogante vt puerum compesceret: gratiosus enim apud Cleopatram Arion fuerat: ex regina hoc rex didicit. ac mox per quendam missum ad Hyrcanum mirari se nunciat, cur ad se à patre missus, non modò in conspectum non venerit, sed procuratorem etiam patris sui vinxerit. iubebàtque vt veniret, ac causam eius facti diceret. Ille contrà regi nunciari iubet, legem esse Iudæis ne quis gustaret de sacrificio, priusquàm adito templo mactasset victimas: eáque ratione nec ipsum hactenus regem salutasse, expectantem dona quæ offerret regi de parente suo bene merito. Seruum autem iure se punisse, qui mandata eius contemneret. Nihil enim differre inter maiorem & minorem dominum. Nisi enim tales dent pœnas meritas. expectandum mox ipsi regi vt contemnatur à subditis. His auditis rex risit, miratus tam magnum in puero animum. Arion autem postquam hoc cognouit, nihil sperans à rege præsidij, datis adolescenti mille talentis liberauit se à vinculis. Elapsis deinde tribus diebus, salutaturus reges accessit: à quibus libenti animo exceptus, & mensæ communi est adhibitus, in parentis sui gratiam. móxque clàm aditis negotiatoribus, emit ab eis centum pueros formosissimos, & literarum peritissimos, talento singulos, & totidem puellas eodem pretio. tum vocatus ad conuiuium regium cum principibus, infimo loco iussus est accumbere, propter ętatem posthabitus ab his quorum hoc erat officium. reliquis autem conuiuis ossa partium absumpta carne ante Hyrcanum congerentibus, Tryphon quidam quo plurimum in conuiuiis rex delectabatur, propter scommata & facetias hominis, rogatus à conuiuis ad regem se vertit, & Vidén, inquit, domine, quantum ossium ante Hyrcanum iaceat. Hinc igitur collige quòd & pater eius totam Syriam ita spoliat, quemadmodum hic ossa nudauit carnibus,

Rege verò ad hoc dictum arridente, & rogante Hyrcanum, vnde illa ossium congeries: Nihil mirum, inquit, domine. canum enim est ossa vnà cum carnibus absumere, sicut isti faciunt: vultu commonstrans reliquos, ante quos nihil erat ossium. Homines autem comesis carnibus solent abiicere ossa, quod & ego homo cùm sim, nunc facio. Ibi rex miratus vrbanitatem, iussit omnes conuiuas huic dicto plaudere. Sequenti verò die aditis regis amicis & aulicis potentioribus, ipsos quidem salutauit: ex famulis autem eorum expiscatus est, quidnam oblaturi essent regi in festo natalitio. Illis referentibus hunc daturum talenta duodecim, alium rursum aliud pro suis quemque opibus: simulauit se dolere, quòd non haberet vnde tantundem largiri valeat, nec vltra talenta quinque numero. idque mox famuli renunciauêre dominis. Illis autem gaudentibus, quasi offensurus esset regem Iosephus propter exilitatem muneris, vbi dies statutus aduenit, alij quidem & hi munificentissimi obtulerunt talenta non plus quàm viginti. Hyrcanus autem emptos à se centum pueros, totidémque puellas adduxit, iussos singulos talentum offerre, hos quidem regi, has verò Cleopatræ. Omnibus verò admirantibus tam profusam & insperatam munificentiam, atque ipsis etiam regibus, amicos quoque regis & ministros multorum talentorum donis honorauit, ne quid sibi ab illis nasceretur periculi: ad hos enim fratres scripserant, vt quocunque modo Hyrcanum tollerent. Rex autem delectatus iuuenis munificentia, iussit eum donum quodcunque vellet petere. At ille nihil aliud petiit, quàm vt se rex patri ac fratribus commendaret per literas. Itaque honorificentissimè tractatum, & donatum regiè, scriptis quoque ad patrem, & fratrem, & omnes suos duces atque procuratores commendaticiis literis, dimisit liberaliter. Fratres autem cùm cognouissent tantum honoris ei habitum à regibus, & honoratiorem multo reuerti quàm fuerit antea, decreuerunt obuiam proficisci, & de medio illum tollere, ne patre quidem inscio. Iratus enim ob profusam in munera tam immensam pecuniam, non erat de salute eius solicitus. eam tamen iram metu regis dissimulare coactus est. Sed fratribus adortis eum in itinere, fortiter congressus, & alios non paucos ex eorum comitatu occidit, & duos quoque fratres inter cæteros: reliqui verò fuga euaserunt ad patrem Hierosolyma. Veniens autem ad vrbem cùm exciperetur à nemine, territus secessit trans Iordanem fluuium, & illic vitam egit tributa colligens à barbaris: quo tempore in Asia regnum obtinebat Seleucus cognomine Soter, magni Antiochi filius. Obiit deinde Hyrcani pater Iosephus, vir bonus & magnanimus, qui Iudæis pauperibus tum & inopibus splendidioris vitæ occasionem præbuit,

A γελάσαντος δὲ πρὸς τὸν τοῦ ξύφωνος λόγον τοῦ βασιλέως, καὶ ἐρομένου τὸν ὑρκανὸν ὅτι τοσαῦτα αὐτῷ παράκειται ὀστᾶ, εἰκότως εἶπεν ὦ δέσποτα. τοὺς μὲν γὰρ κύνας τὰ ὀστέα σὺν τοῖς κρέασι κατεσθίειν ὥσπερ οὗτοι, πρὸς τοὺς κατακειμένους ἐπιβλέπων, ὅτι μηδὲν ἔμπροσθεν αὐτῶν ἔκειτο. οἱ δ' ἄνθρωποι, τὰ κρέας ἐσθίουσι, τὰ δὲ ὀστᾶ ῥιπτοῦσιν. ὅπερ ἄνθρωπος ὢν κἀγὼ νῦν πεποίηκα. ὁ δὲ βασιλεὺς θαυμάσας τὴν ἀπόκρισιν αὐτοῦ σοφὴν οὕτω γενομένην, πάντας ἐκέ-
B λευσεν ἀνακροτῆσαι, τῆς εὐτραπελίας ἀποδεχομένους αὐτόν. τῇ δ' ἐπιούσῃ πρὸς ἕκαστον τῶν τοῦ βασιλέως φίλων πορευόμενος, καὶ τῶν περὶ τὴν αὐλὴν δυνατῶν, τοὺς μὲν ἠσπάζετο, παρὰ δὲ τῶν οἰκετῶν ἀπεπυνθάνετο, τί μέλλουσι διδόναι τῷ βασιλεῖ δῶρον ἐν τῇ τοῦ παιδὸς αὐτοῦ γενεθλίῳ. τῶν δὲ τοὺς μὲν, ἀνὰ δώδεκα τάλαντα διδόναι φησάντων, τοὺς δ' ἐν ἀξίᾳ κατὰ τὸ μέγεθος τῆς οὐσίας ἕκαστον αὐτῶν, ὑπε-
C κρίνετο λυπεῖσθαι διὰ τὸ μὴ δύνασθαι τοιαύτην προσενεγκεῖν δωρεάν. πλέον γὰρ πέντε ταλάντων οὐκ ἔχειν. οἱ δὲ θεράποντες ταῦτ' ἀκούοντες ἀπήγγελλον τοῖς δεσπόταις. χαιρόντων δ' αὐτῶν, ὡς καταγνωσθησομένου τοῦ ἰωσήπου, καὶ προσκρούσοντος τῷ βασιλεῖ διὰ τὴν βραχύτητα τῆς δωρεᾶς, ἐνστάσης τῆς ἡμέρας, οἱ μὲν ἄλλοι προσέφερον τῷ βασιλεῖ ταλάντων οἱ λίαν μεγαλοδωρεῖσθαι νομίζοντες, οὐ
D πλεῖον εἴκοσι. ὁ δὲ ὑρκανὸς οὓς ὠνήσατο παῖδας ἑκατὸν, καὶ παρθένους τοσαύτας, ἀνὰ τάλαντον ἑκάστῳ φέρειν δοὺς προσήγαγε, τοὺς μὲν τῷ βασιλεῖ, τὰς δὲ τῇ κλεοπάτρᾳ. πάντων δὲ θαυμασάντων τὴν παρ' ἐλπίδα τῶν δώρων πολυτέλειαν, καὶ τῶν βασιλέων αὐτῶν, καὶ τοῖς φίλοις ἔτι καὶ τοῖς περὶ τὴν θεραπείαν τοῦ βασιλέως οὖσι, πολλῶν ἄξια ταλάντων
E δῶρα ἔδωκεν, ὡς διαφυγεῖν τὸν ἐξ αὐτῶν κίνδυνον. τούτοις γὰρ ἐγεγράφησαν αὐτοῦ οἱ ἀδελφοὶ διαχρήσασθαι τὸν ὑρκανόν. πτολεμαῖος δὲ τὴν μεγαλοψυχίαν ἀσπασάμενος τοῦ μειρακίου, προσέταττεν αὐτῷ δωρεὰν ἣν βούλεται λαμβάνειν. ὁ δ' οὐδὲν πλέον ἠξίωσεν αὐτῷ γενέσθαι παρ' αὐτοῦ, ἢ γράψαι τῷ πατρὶ καὶ τοῖς ἀδελφοῖς περὶ αὐτοῦ. τιμήσας οὖν αὐτὸν φιλοτιμότατα, καὶ δωρεὰς δοὺς λαμπρὰς, καὶ τῷ τε πατρὶ γράψας καὶ τοῖς ἀδελφοῖς, καὶ πᾶσι τοῖς ἡγεμόσιν
F αὐτοῦ καὶ ἐπιτρόποις, ἐξέπεμψεν. ἀκούσαντες δὲ οἱ ἀδελφοὶ τούτων τετυχηκότα τὸν ὑρκανὸν παρὰ τοῦ βασιλέως, καὶ μετὰ μεγάλης ἐπανερχόμενον τιμῆς, ἐξῆλθον ὑπαντησόμενοι, καὶ διαφθεροῦντες αὐτὸν, καὶ τοῦ πατρὸς εἰδότος. ὀργιζόμενος γὰρ αὐτῷ ἕνεκεν τῶν εἰς τὰς δωρεὰς χρημάτων, οὐκ ἐφρόντιζε τῆς σωτηρίας αὐτοῦ. τὴν ὀργὴν μέντοι τὴν πρὸς τὸν υἱὸν ὁ ἰώσηπος ἀπεκρύπτετο, φοβούμενος τὸν βασιλέα. συμβαλόν-
G των δ' αὐτῷ τῶν ἀδελφῶν εἰς μάχην, ἄλλους τε τῶν σὺν αὐτοῖς πολλοὺς ἀπέκτεινε, καὶ δύο τῶν ἀδελφῶν, οἱ δὲ λοιποὶ διεσώθησαν εἰς ἱεροσόλυμα πρὸς τὸν πατέρα. παραγενόμενον δ' αὐτὸν εἰς τὴν πόλιν, ἐπεὶ μηδεὶς ἐδέχετο, δείσας ἀνεχώρησεν εἰς τὴν πέραν τοῦ ἰορδάνου ποταμοῦ, κἀκεῖ διέτριβε φορολογῶν τοὺς βαρβάρους. ἐβασίλευσε δὲ κατ' ἐκεῖνον τὸν καιρὸν τῆς ἀσίας, σέλευκος ὁ σωτὴρ ἐπικαλούμενος, υἱὸς ὢν ἀντιόχου τοῦ μεγάλου. τελευτᾷ δὲ καὶ ὁ τοῦ ὑρκανοῦ πατὴρ ἰώσηπος, ἀνὴρ ἀγαθὸς γενόμενος καὶ μεγαλόφρων, καὶ τὸν τῶν ἰουδαίων λαὸν ἐκ πτωχείας καὶ πραγμάτων ἀσθενῶν, εἰς λαμπροτέρας ἀφορμὰς τοῦ βίου καταστήσας,

εἴκοσι ἔτη καὶ δύο τὰ τῆς συρίας τέλη καὶ φοινίκης καὶ σαμαρείας καταχών. ἀπέθανε δὲ καὶ ὁ θεῖος αὐτοῦ ὀνίας, τὴν ἀρχιερωσύνην σίμωνι τῷ παιδὶ καταλιπών. τελευτήσαντος δὲ καὶ τούτου, ὁ υἱὸς αὐτοῦ διάδοχος τῆς τιμῆς αὐτοῦ ὀνίας γίνεται, πρὸς ὃν ὁ λακεδαιμονίων βασιλεὺς ἄρειος, πρεσβείαν τε ἔπεμπε καὶ ἐπιστολὰς, ὧν τὸ ἀντίγραφόν ἐστι τοιοῦτον.

per duos & viginti annos præpositus exigendis Syriæ ac Phœnices & Samariæ vectigalibus: & eodem ferè tempore patruus quoque eius Onias, relicto successore honoris Simone filio. Deinde vita perfuncto Onia filius successit, ad quem Lacedæmoniorum rex Arius legationem misit cum literis, quarum hoc exemplar extat.

V.

Κεφάλαιον ε'.

Φιλία καὶ συμμαχία λακεδαιμονίων πρὸς ὀνίαν τὸν ἀρχιερέα τῶν ἰουδαίων.

CAP. V.

Amicitia & societas Lacedæmoniorum cum Onia Iudæorum pontifice.

Βασιλεὺς λακεδαιμονίων ἄρειος, ὀνίᾳ χαίρειν. ἐντυχόντες γραφῇ τινὶ, εὕρομεν ὡς ἐξ ἑνὸς εἶεν γένους ἰουδαῖοι καὶ λακεδαιμόνιοι, ἐκ τῆς πρὸς ἀβραὰμ οἰκειότητος. δίκαιον οὖν ἐστὶν ἀδελφοὺς ὑμᾶς ὄντας, διαπέμπεσθαι πρὸς ἡμᾶς περὶ ὧν ἂν βούλησθε. ποιήσομεν δὲ καὶ ἡμεῖς τὸ αὐτὸ, καὶ τά τε ὑμέτερα ἴδια νομιοῦμεν, καὶ τὰ αὐτῶν κοινὰ πρὸς ὑμᾶς ἕξομεν. δημοτέλης ὁ φέρων τὰ γράμματα, διαπέμπει τὰς ἐπιστολάς. τὰ γεγραμμένα ἐστὶ τετράγωνα. ἡ σφραγίς ἐστιν ἀετὸς δράκοντος ἐπειλημμένος. ἡ μὲν οὖν ἐπιστολὴ ἡ πεμφθεῖσα παρὰ τοῦ λακεδαιμονίων βασιλέως, τοῦτον περιεῖχε τὸν τρόπον. ἀποθανόντος δὲ ἰωσήπου τὸν λαὸν συνέβη στασιάσαι διὰ τοὺς παῖδας αὐτοῦ. τῶν γὰρ πρεσβυτέρων πόλεμον ἐξενεγκαμένων πρὸς ὑρκανὸν, ὃς ἦν νεώτατος τῶν ἰωσήπου τέκνων, διέστη τὸ πλῆθος. καὶ οἱ μὲν πλείους τοῖς πρεσβυτέροις συνεμάχουν, καὶ ὁ ἀρχιερεὺς σίμων διὰ τὴν συγγένειαν. ὁ δὲ ὑρκανὸς ἐπανελθεῖν μὲν οὐκ ἔτι διέγνω εἰς ἱεροσόλυμα. προκαθίσας δὲ τοῖς πέραν τοῦ ἰορδάνου, συνεχῶς ἐπολέμει τοὺς ἄραβας, ὡς πολλοὺς αὐτῶν καὶ ἀποκτεῖναι, καὶ λαβεῖν αἰχμαλώτους. ᾠκοδόμησε δὲ βᾶριν ἰσχυρὰν, ἐκ λίθου λευκοῦ κατασκευάσας ἅπασαν μέχρι καὶ τῆς στέγης, ἐγγλύψας ζῶα παμμεγεθέστατα. περιήγαγε δὲ αὐτῇ εὔριπον μέγαν καὶ βαθύν. ἐκ δὲ τῆς κατ' ἀντικρὺ τοῦ ὄρους πέτρας διατεμὼν αὐτῆς τὸ προέχον, σπήλαια πολλῶν σταδίων τὸ μῆκος κατεσκεύασεν. ἔπειτα οἴκους ἐν αὐτῇ, τοὺς μὲν εἰς συμπόσια, τοὺς δὲ εἰς ὕπνον καὶ δίαιταν ἐποίησεν. ὑδάτων δὲ θεόντων πλῆθος, ἃ καὶ τέρψις ἦν καὶ κόσμος τῆς αὐλῆς, εἰσήγαγε. τὰ μέντοι στόμια τῶν σπηλαίων, ὥστε ἕνα δι' αὐτῶν εἰσιέναι καὶ μὴ πλείους, βραχύτερα ἤνοιξε. καὶ ταῦτ' ἐπιτηδὲς ἀσφαλείας ἕνεκα τοῦ μὴ πολιορκηθεὶς ὑπὸ τῶν ἀδελφῶν κινδυνεῦσαι ληφθεὶς, κατεσκεύασε. προσῳκοδόμησε δὲ καὶ αὐλὰς τῷ μεγέθει διαφερούσας, ἃς καὶ παραδείσοις ἐκόσμησε παμμήκεσι. καὶ τοιοῦτον ἀπεργασάμενος τὸν τόπον, τύρον ὠνόμασεν. οὗτος ὁ τόπος ἐστὶ μεταξὺ τῆς τε ἀραβίας καὶ τῆς ἰουδαίας πέραν τοῦ ἰορδάνου, οὐ πόῤῥω τῆς ἐσσεβωνίτιδος. ἦρξε δ' ἐκείνων τῶν μερῶν ἐπὶ ἔτη ζ'. πάντα τὸν χρόνον ὃν σέλευκος τῆς συρίας ἐβασίλευσεν. ἀποθανόντος γὰρ τούτου, μετ' αὐτὸν ὁ ἀδελφὸς ἀντίοχος ὁ κληθεὶς ἐπιφανὴς, τὴν βασιλείαν κατέσχε. τελευτᾷ δὲ καὶ πτολεμαῖος ὁ τῆς αἰγύπτου βασιλεὺς, καὶ αὐτὸς καλούμενος ἐπιφανὴς, καταλιπὼν δύο παῖδας, ἔτι βραχεῖς τὴν ἡλικίαν.

Rex Lacedæmoniorum Arius Oniæ salutem. Incidimus in quandam scripturam antiquam, in qua inuenimus cognationem intercessisse inter nostras origines, & nostrum quoque genus non esse alienum à posteris Abrahæ. Æquum igitur est, vt quum fratres nostri sitis, petatis à nobis quæcunque libuerit. Idem nos quoque faciemus, & res vestras tanquam nostras existimabimus, nostras item vobiscum communes habituri. Demotheles est qui has vobis reddidit literas, in pagina quadrangula scriptas, & obsignatas aquilæ sigillo, draconem tenentis vnguibus. Et epistola quidem hæc continebat. Iosepho autem mortuo, populus seditionibus agitatus est propter eius filios, dum maiores fratres Hyrcano bellum inferunt natu minimo. plerique enim fauebant senioribus, & in his Simon pontifex propter cognationem. Hyrcanus autem Hierosolyma quidem noluit repetere. sed vltra Iordanem habitans assiduum bellum gerebat cum Arabibus, multos eorum interficiens, alios in captiuitatem abstrahens. Ædificauit etiam castrum munitissimum, è marmore candido extructis vsque tectum eius parietibus, habentibus insculptas diuersorum animalium effigies enormi magnitudine: idque ædificium fossa profunda, & aquis plena circumdedit, & oppositi montis prominentem petram perforans, speluncas in ea fecit multorum stadiorum longitudine. aulas etiam in eo castro fecit aptas conuiuiis, diætásque alias & cubicula: salientium etiam aquarum eò tantam induxit copiam, vt loco voluptatem simul & ornamentum adderent. Speluncarum verò ora non amplius aperuit quàm vt vnum caperent: ídque de industria factum est securitatis ac tutelæ gratia, si quando fortè oppugnaretur à fratribus. Ædificauit etiam atria magnæ amplitudinis, eáque hortis spatiosis ornauit, & locum hoc pacto instructum & absolutum vocauit Tyrum, qui est in finibus Arabiæ & Iudææ trans Iordanem sitæ, non procul regione Essebonitide. præfuítque illi tractui per septennium, toto tempore quo Seleucus regnauit in Syria: post cuius obitum Antiochus eius frater in regnum successit, qui cognominatus est Epiphanes. Moritur etiam Ptolemæus & ipse eodem cognomento Epiphanes dictus, superstitibus duobus filiis impuberibus:

quorum grandiori Philometor cognomen inditum, minori verò Physcon. Hyrcanus autem videns præpotentem Antiochum, & veritus ne in potestatem eius redactus pœnas daret eorum quæ contra Arabas ausus fuerat, ipse sibi manus intulit: possessionem verò eius vniuersam occupauit Antiochus.

ὧν ὁ μὲν πρεσβύτερος φιλομήτωρ ἐκαλεῖτο, φύσκων δὲ ὁ νεώτερος. ὑρκανὸς δὲ ὁρῶν μεγάλην δύναμιν ἔχοντα τὸν ἀντίοχον, καὶ δείσας μὴ καὶ συλληφθεὶς ὑπ' αὐτοῦ κολασθῇ διὰ τὰ πρὸς τοὺς ἄραβας αὐτῷ πεπραγμένα, τελευτᾷ τὸν βίον αὐτόχειρ αὑτοῦ γενόμενος. τὴν δ' οὐσίαν αὐτοῦ πᾶσαν ἀντίοχος λαμβάνει.

Cap. VI.

Iudæi seditionibus agitati Antiochi opem inuocant.

VI. 1.Mach.1.

IS defuncto per idem tempus Onia pontifice, fratri eius Iesu id sacerdotium contulit, quòd filius superstes etiam tum esset paruulus, de quo suo loco dicetur. Hic Iesus priuatus est eo sacerdotio per regis indignationem, móxque in Oniam fratrum minimum pontificatus translatus est. Simoni enim hi tres fuerunt filij, ad quos omnes pontificatus peruenit, vt indicauimus. Cæterùm Iesus Iasonem se vocari maluit, sicut alter frater pro Onia Menelaus dictus est. Concitata autem per fratrem contra nouum pontificem Menelaum seditione, & populo in partes scisso, Tobiæ filij steterunt à Menelai partibus: maior autem populi pars factionem Iasonis sequebatur. quorum vim non sustinentes Menelaus & Tobiæ filij secesserunt ad Antiochum, dicentes se velle relictis patriis institutis ac legibus, religionem regis & Græcanicos ritus assumere: rogauerúntque eum vt sibi permitteret gymnasium Hierosolymis extruere. quo impetrato, adduxerunt sibi præputia, vt nudi quoque non essent Græcis dissimiles: & contemptis omnibus patriis ritibus imitabantur mores exterarum gentium. Antiochus autem domi vsus fortuna prospera, expeditionem Ægyptiam tentare statuit, captus eius regionis cupidine, & contempta Ptolemæi filiorum ætate, rebus administrandis nondum idonea. Profectus igitur cum magno exercitu Pelusium, astu circumuento Philometore Ægyptum occupat, & redacta priùs in potestatem Memphi, locísque circumuicinis, ad Alexandriam duxit, & vrbem & regem subiugaturus. Sed omnes eius conatus vnica Romanorum denunciatione repressi sunt, ita vt iam occupata relinqueret, sicut & aliàs diximus. Nunc prolixiùs narrabimus de hoc rege quomodo Iudæam ac templum occupauerit, quod in prioribus commentariis breuiter tantùm perstrinximus, vt necesse sit idem altiùs repetere.

Κεφάλαιον ϛʹ.

Στάσις τῶν δυνατῶν ἰουδαίων πρὸς ἀλλήλους, καὶ ὡς ἐπεκαλέσαντο ἀντίοχον.

ΥΠὸ δὲ τὸν αὐτὸν καιρὸν ἀποθανόντος καὶ ὀνίου τοῦ ἀρχιερέως, τῷ ἀδελφῷ αὐτοῦ ἰησοῦ τὴν ἀρχιερωσύνην δίδωσι, ὁ γὰρ παῖς ὃν ὀνίας καταλελοίπει, νήπιος ἦν ἔτι, δηλώσομεν δὲ τὰ περὶ τοῦ παιδίου τούτου κατὰ χώραν ἕκαστα. ἰησοῦς δὲ, οὗτος γὰρ ἦν ὁ ἀδελφὸς τοῦ ὀνίου, τὴν ἀρχιερωσύνην ἀφῃρέθη, προσοργισθέντος αὐτῷ τοῦ βασιλέως, καὶ δόντος αὐτὴν τῷ νεωτάτῳ αὐτοῦ ἀδελφῷ ὀνίᾳ τοὔνομα. σίμωνι γὰρ οὗτοι τρεῖς ἐγένοντο παῖδες, καὶ εἰς τοὺς τρεῖς ἧκεν ἡ ἀρχιερωσύνη, καθὼς δεδηλώκαμεν. ὁ μὲν οὖν ἰησοῦς, ἰάσονα ἑαυτὸν μετωνόμασε. ὁ δὲ ὀνίας ἐκλήθη μενέλαος. στασιάσαντος οὖν τοῦ προτέρου ἀρχιερέως ἰησοῦ, πρὸς τὸν μετὰ ταῦτα κατασταθέντα μενέλαον, καὶ τοῦ πλήθους διανεμηθέντος εἰς ἑκατέρους, ἐκ τῆς μενελάου μοίρας, οἱ τωβίου παῖδες ἐγένοντο. τὸ δὲ πλεῖστον τοῦ λαοῦ τῷ ἰάσονι συνελάμβανεν. ὑφ' οὗ καὶ πονούμενοι, ὅτε μενέλαος καὶ οἱ τωβίου παῖδες, πρὸς ἀντίοχον ἀνεχώρησαν, δηλοῦντες αὐτῷ ὅτι βούλονται τοὺς πατρίους νόμους καταλιπόντες, καὶ τὴν κατ' αὐτοὺς πολιτείαν, ἕπεσθαι τοῖς βασιλικοῖς, καὶ τὴν ἑλληνικὴν πολιτείαν ἔχειν. παρεκάλεσαν οὖν αὐτὸν ἐπιτρέψαι αὐτοῖς, οἰκοδομῆσαι γυμνάσιον ἐν ἱεροσολύμοις. συγχωρήσαντος δὲ καὶ τὴν τῶν αἰδοίων περιτομὴν ἐπεκάλυψαν, ὡς ἂν εἶεν καὶ τὰ περὶ τὴν ἀπόδυσιν ἕλληνες. τά τε ἄλλα πάνθ' ὅσα ἦν αὐτοῖς πάτρια παρέντες, ἐμιμοῦντο τὰ τῶν ἄλλων ἐθνῶν ἔργα. ἀντίοχος δὲ τῆς βασιλείας αὐτῷ χωρούσης κατὰ τρόπον, ἐπὶ τὴν αἴγυπτον διέγνω στρατεύεσθαι, πόθον αὐτῆς λαβὼν, καὶ διὰ τὸ τῶν πτολεμαίου παίδων καταφρονεῖν, ἀσθενῶν ἔτι τυγχανόντων, καὶ μηδέπω πράγματα τηλικαῦτα διέπειν δυναμένων. γενόμενος οὖν μετὰ πολλῆς δυνάμεως κατὰ τὸ πηλούσιον, καὶ δόλῳ τὸν φιλομήτορα πτολεμαῖον περιελθὼν, καταλαμβάνει τὴν αἴγυπτον. καὶ γενόμενος ἐν τοῖς περὶ μέμφιν τόποις, καὶ κατασχὼν ταύτην ὥρμησεν ἐπὶ τὴν ἀλεξάνδρειαν, ὡς πολιορκίᾳ παραστησόμενος αὐτὴν, καὶ τὸν ἐκεῖ βασιλεύοντα χειρωσόμενος πτολεμαῖον. ἀπεκρούσθη δ' οὐ τῆς ἀλεξανδρείας μόνον, ἀλλὰ καὶ τῆς ὅλης αἰγύπτου, ῥωμαίων αὐτῷ διαγγειλάντων ἀπέχεσθαι τῆς χώρας, καθὼς ἤδη που καὶ πρότερον ἐν ἄλλοις δεδηλώκαμεν. διηγήσομαι δὲ κατὰ μέρος τὰ περὶ τοῦτον βασιλέα, ὃς τὴν ἰουδαίαν ἐχειρώσατο, καὶ τὸν ναόν. ἐν γὰρ τῇ πρώτῃ μου πραγματείᾳ, κεφαλαιωδῶς αὐτῶν ἐπιμνησθεὶς, ἀναγκαῖον ἡγησάμην νῦν εἰς τὴν ἐπ' ἀκριβὲς αὐτῶν ἐπανελθεῖν ὑφήγησιν.

Κεφάλαιον ζ.

Ὅτι στρατευσάμενος Ἀντίοχος ἐπὶ Ἱεροσόλυμα, τήν τε πόλιν παρέλαβε, καὶ τὸν ναὸν ἐσύλησεν.

Ὑποστρέψας ἀπὸ τῆς Αἰγύπτου διὰ τὸ παρὰ Ῥωμαίων δέος ὁ βασιλεὺς Ἀντίοχος, ἐπὶ τὴν Ἱεροσολυμιτῶν πόλιν ἐξεστράτευσε· καὶ γενόμενος ἐν αὐτῇ ἔτει ἑκατοστῷ καὶ τεσσαρακοστῷ καὶ τρίτῳ, μετὰ τοὺς ἀπὸ Σελεύκου βασιλεῖς, ἀμαχητὶ λαμβάνει τὴν πόλιν, ἀνοιξάντων αὐτῷ τὰς πύλας, ὅσοι τῆς ἐκείνου προαιρέσεως ἦσαν. ἐγκρατὴς δ' ἐπὶ τῶν Ἱεροσολύμων γενόμενος, πολλοὺς ἀπέκτεινεν, τῶν ἐναντία φρονούντων. καὶ χρήματα πολλὰ συλήσας, ὑπέστρεψεν εἰς Ἀντιόχειαν. συνέβη δὲ μετὰ ἔτη δύο τῷ ἑκατοστῷ καὶ τεσσαρακοστῷ καὶ πέμπτῳ ἔτει, μηνὸς πέμπτῃ καὶ εἰκάδι, ὃς καλεῖται κατὰ μὲν ἡμᾶς Χασλεῦς, κατὰ δὲ Μακεδόνας Ἀπελλαῖος, ὀλυμπιάδι ρνγ', μετὰ πολλῆς δυνάμεως ἀναβῆναι τὸν βασιλέα εἰς Ἱεροσόλυμα, καὶ προσποιησάμενον εἰρήνην ἀπάτῃ περιγενέσθαι τῆς πόλεως. ἐφείσατο δὲ τότε, οὐδὲ τῶν εἰσδεξαμένων αὐτόν, διὰ τὸν ἐν τῷ ναῷ πλοῦτον, ἀλλ' ὑπὸ πλεονεξίας, χρυσὸν γὰρ ἑώρα πολὺν ἐν τῷ ἱερῷ, καὶ τὸν ἄλλον τῶν ἀναθημάτων κόσμον πολυτελέστατον, ἵνα συλήσῃ τοῦτον, ὑπέμεινε τὰς πρὸς ἐκείνους αὐτῷ σπονδὰς παραβῆναι. περιδύσας οὖν τὸν ναὸν ὡς καὶ τὰ σκεύη τοῦ θεοῦ βαστάσαι, λυχνίας χρυσέας, καὶ βωμὸν χρύσεον, καὶ τράπεζαν καὶ τὰ θυσιαστήρια, καὶ μηδὲ τῶν καταπετασμάτων ἀποσχόμενος, ἅπερ ἦν ἐκ βύσσου καὶ κόκκου πεποιημένα, κενώσας καὶ τοὺς θησαυροὺς τοὺς ἀποκρύφους, καὶ μηδὲν ὅλως ὑπολιπών, εἰς μέγα τοὺς Ἰουδαίους ἐπὶ τούτοις πένθος ἐνέβαλε. καὶ γὰρ τὰς καθημερινὰς θυσίας ἃς προσέφερον τῷ θεῷ κατὰ τὸν νόμον, ἐκώλυσεν αὐτοὺς προσφέρειν, καὶ διαρπάσας πᾶσαν τὴν πόλιν, τοὺς μὲν ἀπέκτεινε, τοὺς δὲ αἰχμαλώτους γυναιξὶν ἅμα καὶ τέκνοις ἔλαβε, ὡς τῶν ζωγρηθέντων περὶ μυρίους γενέσθαι τὸ πλῆθος. ἐνέπρησε δ' αὐτῆς τὰ κάλλιστα, καὶ καταβαλὼν τὰ τείχη, τὴν ἐν τῇ κάτω πόλει ᾠκοδόμησεν ἄκραν. ἦν γὰρ ὑψηλὴ καὶ ὑπερκειμένη τὸ ἱερόν. καὶ διὰ τοῦτ' αὐτὴν ὀχυρώσας τείχεσιν ὑψηλοῖς καὶ πύργοις, φρουρὰν Μακεδονικὴν ἐγκατέστησεν. ἔμενον δ' οὐδὲν ἧττον ἐν τῇ ἄκρᾳ, καὶ τοῦ πλήθους οἱ ἀσεβεῖς καὶ πονηροὶ τὸν τρόπον, ὑφ' ὧν πολλὰ δεινὰ τοὺς πολίτας συνέβη παθεῖν. ἐποικοδομήσας δὲ καὶ τῷ θυσιαστηρίῳ βωμὸν ὁ βασιλεύς, σύας ἐπ' αὐτοῦ κατέσφαξε, θυσίαν οὐ νόμιμον οὐδὲ πάτριον τῇ Ἰουδαίων θρησκείᾳ ταύτην ἐπιτελῶν. ἠνάγκασε δ' αὐτοὺς ἀφεμένους τῆς περὶ τὸν αὐτῶν θεὸν θρησκείας, τοὺς ὑπ' αὐτοῦ νομιζομένους σέβεσθαι, οἰκοδομήσαντας δὲ ἐν ἑκάστῃ πόλει καὶ κώμῃ τεμένη αὐτῶν καὶ βωμοὺς καθιδρύσαντας, θύειν ἐπ' αὐτοῖς σύας καθημέραν. ἐκέλευσε δέ, καὶ μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα, κόλασιν ἀπειλήσας εἴ τις παρὰ ταῦτα ποιῶν εὑρεθείη. κατέστησε δὲ καὶ ἐπισκόπους, οἳ προσαναγκάσουσιν αὐτοὺς τὰ ἐντεταλμένα ποιεῖν. καὶ πολλοὶ μὲν τῶν Ἰουδαίων, οἱ μὲν ἑκόντι, οἱ δὲ καὶ δι' εὐλάβειαν τῆς ἐπηγγελμένης τιμωρίας, κατηκολούθουν οἷς ὁ βασιλεὺς διετέτακτο. οἱ δὲ δοκιμώτατοι, καὶ τὰς ψυχὰς εὐγενεῖς, οὐκ ἐφρόντισαν αὐτοῦ, τῶν δὲ πατρίων ἐθῶν πλείονα λόγον ἔχον, ἢ τῆς τιμωρίας, ἣν οὐ πειθομένοις ἠπείλησεν αὐτοῖς. καὶ διὰ τοῦτο κατὰ πᾶσαν ἡμέραν αἰκιζόμενοι καὶ πικρὰς βασάνους ὑποφέροντες ἀπέθνησκον. καὶ γὰρ μαστιγούμενοι, καὶ

Cap. VII.

Quemadmodum Antiochus ducto Hierosolyma exercitu, occupatóque eius vrbis dominio, tẽplum etiam spoliauerit.

Reuersus ab Ægypto quam metu Romanorum reliquerat rex Antiochus, ad Hierosolymitarum vrbem mouit exercitum: & ingressus eam centesimo quadragesimo tertio anno, ex quo primùm ad Seleuci familiam Syriæ regnum deuenerat, sine vllo negotio dominus eius factus est, admissus apertis portis per suæ factionis homines. quam dominationem crudeliter exercuit, necatis permultis qui diuersarum erant partium: direptísque pecuniis & asportatis Antiochiam. Ea clades accidit anno secundo post vrbem captam, regni eius familiæ centesimo quadragesimo quinto, vigesimaquinta eius mensis qui Chasleus, nostris dicitur, Macedonibus Apellæus, Olympiade centesima quinquagesima tertia, quando ne his quidem est parcitum, qui quasi pacatè venienti portas aperuerant, quo maiore licentia grassatum est in templi diuitias: quæ cùm essent maximi precij, visæ sunt satis amplum violati fœderis præmium. Spoliato igitur templo, & ablatis vasis sacri ministerij, & inter cætera candelabris aureis, altari aureo, mensáque propositionis quam vocant, ac ne aulæis quidem relictis quæ è cocco ac bysso constabant, euacuatis etiam thesauris reconditis, ita vt nihil omnino relinqueret, coniecit Iudæos in luctum maximum. nam & quotidiana sacra iuxta legis præscriptum vetuit eos facere: direptáque tota vrbe, habitatores partim necauit, partim captiuos vnà cum liberis & vxoribus abduxit, vsque ad decem millium numerum. Incendit etiam ædificiorum eius quicquid erat pulcherrimum, & demolitus mœnia, in inferiore vrbe arcem condidit. erat enim editiore loco sita, ipsi templo imminens. quapropter bene prius firmatæ mœnibus ac turribus Macedonicum præsidium imposuit. admixti tamen erant ex impiis Iudæis scelestissimi, à quibus plurimum vexata fuit ciuitas. In templo quoque ara posita porcos mactauit sacrificium à Iudæorum religione alienissimum: & cogebat omnes abrogato veri Dei cultu, ipsius venerari numina: & oppidatim extructis templis atque altaribus, porcinas in eis quotidie iugulare victimas. Comminatus est etiam grauem pœnam, si quis liberos circumcideret, constitutis qui mandata exigerent, atque etiam vi ad ea seruanda detrectantes cogerent. Et maxima quidem Iudæorum pars vel sponte vel metu supplicij parebat edictis regiis. qui verò probatiores erant, & generosæ indolis, maiorem rationem habuerunt moris patrij, quàm pœnæ intentatæ sibi per aduersarios. quamobrem quotidie necabantur excruciati tormentis crudelissimis. Flagris enim cæsi &

VI.

lacerati corpora, viui adhuc & spirantes suffigebantur crucibus. Vxores autem eorū & circumcisos liberos strangulabant iuxta mandatū regium,& suspendebant à crucifixorū parentū ceruicibus. abolebatur etiam vbicunq; repertū esset sacrum volumē aliquod,& ipsi apud quos inuentū esset mali malè peribāt. Samaritæ autē videntes in tali calamitate cōstitutos Iudæos, non amplius profitebātur se cognatos eorum, neq; Garizitanum templum esse Dei maximi, nihil absonum facientes à suo ingenio, de quo antè diximus: sed dicentes se Medorum & Persarum colonos, vt re vera sunt, miserunt legationem ad Antiochum, cum epistola scripta in hūc modum: Regi Antiocho Deo illustri suggestio à Sidoniis in Sicimis habitantibus. Maiores nostri compulsi crebris suæ regionis pestilentiis,& inducti veteri quadam superstitione, morem fecerunt obseruandi eam festiuitatem quæ apud Iudæos vocatur Sabbatū: & extructo in Garizino monte templo innominati numinis, immolauerunt in eo solennes victimas. Nunc autem ex quo tibi visum est in Iudeos, vt eorum malitia dignum est, animaduertere, qui exequuntur mandata regia, existimantes nos hæc propter eorum cognationē facere, volunt nos in cōmunem cum illis causam inuoluere, cùm simus ab origine Sidonij, quemadmodum extat relatum in nostris annalibus. Rogamus igitur te seruatorem ac beneficū, vt mandes Apollonio nostro prẹsidi,& Nicanori procuratori regio, ne quid posthac nobis molesti sint quasi herẹtibus in eodem cum Iudæis crimine, à quibus tam diuersi sumus moribus quàm origine: vtque templum quod hactenus nullius Dei titulum habuit, posthac vocetur Iouis Grẹcanici. hoc enim pacto erimus à molestiis liberi: & securius intendentes priuatis negotiis, maiora tibi poterimus tributa soluere. Post hanc Samaritarum supplicationem rex & ipsam & talem epistolam remisit. Rex Antiochus Nicanori. Sidonij qui sunt apud Sicima miserunt ad nos suggestionem quam his literis adiunximus. Quoniam igitur nobis & amicorum consilio satis approbauerunt qui in hoc missi sunt, quòd alieni sint à Iudæorum criminibus, & placet illis iuxta Grẹcorum instituta viuere, absoluimus eos quantum ad hāc causam & eorum templum attinet, quod posthac appelletur Iouis Græcanici. Eadem autem & Apollonio magistratui scripsimus, anno quadragesimo sexto, mensis Hecatombæonis vndecima.

CAP. VIII.

Antiocho vetante Iudæos uti patriis legibus solus Assamonæi filius Matthias regem cōtempsit, profligatis etiam eius ducibus.

1.Macch.2.

EOdem tempore habitabat in Modim vico Iudeæ quidam Matthias nomine, filius Ioannis, qui fuit Simeonis ex Assamoneo geniti, sacerdos ex vice Ioaribi, Hierosolymita genere: erántque ei filij quinque, Ioannes qui & Gaddis cognominabatur, Simon qui & Matthes, Iudas qui & Maccabæus, Elea.

τὰ σώματα λυμαινόμενοι, ζῶντες ἔτι καὶ ἐμπνέοντες ἀνεσταυροῦντο. τὰς δὲ γυναῖκας καὶ τοὺς παῖδας αὐτῶν, οὓς περιέτεμνον, κατὰ τὴν τοῦ βασιλέως προαίρεσιν ἀπῆγχον, ἐκ τῶν τραχήλων αὐτοὺς τῶν ἀνεσταυρωμένων γονέων ἀπαρτῶντες. ἠφανίζετο δὲ εἴ που βίβλος εὑρεθείη ἱερὰ καὶ νόμος, καὶ παρ' οἷς εὑρεθεῖεν καὶ οὗτοι κακοὶ κακῶς ἀπώλλυντο. ταῦτα δὲ βλέποντες οἱ σαμαρεῖται πάσχοντας τοὺς ἰουδαίους, οὐκέτι ὡμολόγουν αὐτοὺς εἶναι συγγενεῖς αὐτῶν, οὐδὲ τὸν ἐν γαριζεὶν ναὸν τοῦ μεγίστου θεοῦ, τῇ φύσει ποιοῦντες ἀκόλουθα, ἣν δεδηλώκαμεν, καὶ λέγοντες αὐτοὺς μήδων ἀποίκους, καὶ περσῶν, καὶ γάρ εἰσι τούτων ἄποικοι. πέμψαντες οὖν πρὸς τὸν ἀντίοχον πρέσβεις, καὶ ἐπιστολὴν, ἐδήλουν τὰ ὑπογεγραμμένα. Βασιλεῖ ἀντιόχῳ θεῷ ἐπιφανεῖ, ὑπόμνημα παρὰ τῶν ἐν σικίμοις σιδωνίων. οἱ ἡμέτεροι πρόγονοι διά τινας αὐχμοὺς τῆς χώρας λοιμοὺς παρακολουθήσαντες, ἀρχαίᾳ τινὶ δεισιδαιμονίᾳ ἔθος ἐποίησαν σέβειν τὴν παρὰ τοῖς ἰουδαίοις λεγομένην σαββάτων ἡμέραν. ἱδρυσάμενοι δὲ ἀνώνυμον ἐν τῷ γαριζὶν λεγομένῳ ὄρει ἱερὸν, ἔθυον ἐπ' αὐτοῦ τὰς καθηκούσας θυσίας. σοῦ δὲ τοῖς ἰουδαίοις τῆς πονηρίας αὐτῶν ἀξίως χρησαμένου, οἱ τὰ βασιλικὰ διοικοῦντες οἰόμενοι κατὰ συγγένειαν ἡμᾶς ταῦτα ποιεῖν ἐκείνοις, ταῖς ὁμοίαις αἰτίαις περιάπτουσι, ὄντων ἡμῶν τὸ ἀνέκαθεν σιδωνίων, καὶ τοῦτο φανερόν ἐστιν ἐκ τῶν πολιτικῶν ἀναγραφῶν. ἀξιοῦμεν οὖν σε τὸν εὐεργέτην καὶ σωτῆρα, προστάξαι ἀπολλωνίῳ τῷ μεριδάρχῃ, καὶ νικάνορι τῷ βασιλικὰ πράττοντι, μηδὲν ἡμῖν ἐνοχλεῖν προσάπτουσι τὰς τῶν ἰουδαίων αἰτίας, ἡμῶν καὶ τῷ γένει καὶ τοῖς ἔθεσιν ἀλλοτρίων ὑπαρχόντων. προσαγορευθῆναι δὲ τὸ ἀνώνυμον ἱερὸν διὸς ἑλληνίου. γενομένου γὰρ τούτου παυσόμεθα μὲν ἐνοχλούμενοι, τοῖς δ' ἔργοις μετ' ἀδείας προσανέχοντες, μείζονάς σοι ποιήσομεν τὰς προσόδους. ταῦτα τῶν σαμαρειτῶν δεηθέντων, ἀντέπεμψεν αὐτοῖς γράμμασιν ὁ βασιλεὺς τοιάδε. βασιλεὺς ἀντίοχος νικάνορι. οἱ ἐν σικίμοις σιδώνιοι, ἐπέδωκαν τὸ κατακεχωρισμένον ὑπόμνημα. ἐπεὶ οὖν συμβουλευομένοις ἡμῖν μετὰ τῶν φίλων παρέστησαν οἱ πεμφθέντες ὑπ' αὐτῶν, ὅτι μηδὲν τοῖς τῶν ἰουδαίων ἐγκλήμασι προσήκουσιν, ἀλλὰ τοῖς ἑλληνικοῖς ἔθεσιν αἱροῦνται χρώμενοι ζῆν, ἀπολύομέν τε αὐτοὺς τῶν αἰτιῶν, καὶ τὸ παρ' αὐτοῖς ἱερὸν καθάπερ ἠξιώκασι, προσαγορευθήτω διὸς ἑλληνίου. ταῦτα δὲ καὶ ἀπολλωνίῳ τῷ μεριδάρχῃ ἐπέσταλκα. ἔτει ἕκτῳ καὶ τεσσαρακοστῷ, μηνὸς ἑκατομβαιῶνος ιη'.

Κεφάλαιον η'.

Ὡς ἀντιόχου κωλύσαντος τοῖς πατρίοις νόμοις χρῆσθαι τοὺς ἰουδαίους, μόνος ἀσαμωναίου παῖς ματθίας κατεφρόνησε τοῦ βασιλέως, καὶ τοὺς ἀντιόχου στρατηγοὺς ἐνίκησε.

ΚΑτὰ δὲ τὸν αὐτὸν καιρὸν, ἦν τις οἰκῶν ἐν μωδεεὶμ κώμῃ τῆς ἰουδαίας ὄνομα ματθίας υἱὸς ἰωάννου, τοῦ συμεῶνος, τοῦ ἀσαμωναίου, ἱερεὺς ἐξ ἐφημερίας ἰωαρὶβ, ἱεροσολυμίτης. ἦσαν δ' αὐτῷ υἱοὶ ε', ἰωάννης ὁ καλούμενος γάδδης, καὶ σίμων ὁ κληθεὶς ματθῆς, καὶ ἰούδας ὁ καλούμενος μακκαβαῖος, καὶ ἐλεάζαρος

ζαρος ὁ κληθεὶς αὐρὰν, καὶ ἰωνάθης ὁ κληθεὶς ἀπφοῦς. οὗτος οὖν ὁ ματθίας ἀπωδύρετο τοῖς τέκνοις τὴν κατάστασιν τῶν πραγμάτων, καὶ τὴν τῆς πόλεως διαρπαγὴν, καὶ τοῦ ναοῦ τὴν σύλησιν, καὶ τοῦ πλήθους τὰς συμφοράς. ἔλεγέ τε κρεῖττον αὐτοῖς εἶναι ὑπὲρ τῶν πατρίων νόμων ἀποθανεῖν, ἢ ζῆν οὕτως ἀδόξως. ἐλθόντων δὲ εἰς τὴν μωδεεὶμ κώμην τῶν ὑπὸ τοῦ βασιλέως καθισταμένων ἐπὶ τῷ ποιεῖν ἀναγκάζειν τοὺς ἰουδαίους ἃ διετέτακτο, καὶ θύειν τοὺς ἐκεῖ κελευόντων ὡς ὁ βασιλεὺς κελεύσειε, διὰ δὲ τὴν δόξαν, τήν τε διὰ τἆλλα, καὶ διὰ τὴν εὐπαιδίαν, ἀξιούντων τὸν ματθίαν προκατάρχειν τῶν θυσιῶν, κατακολουθήσειν γὰρ αὐτῷ καὶ τοὺς πολίτας, καὶ διὰ τοῦτο τιμηθήσεσθαι πρὸς τοῦ βασιλέως, ὁ ματθίας οὐκ ἔφασκε ποιήσειν, οὐδ᾽ εἰ τἆλλα πάντα ἔθνη τοῖς ἀντιόχου προστάγμασιν ἢ διὰ φόβον, ἢ δι᾽ εὐαρέστησιν ὑπακούοι, πεισθήσεσθαί ποτ᾽ αὐτὸς μετὰ τῶν τέκνων τὴν πάτριον θρησκείαν καταλιπεῖν. ὡς δὲ σιωπήσαντος αὐτοῦ, προσελθών τις τῶν ἰουδαίων εἰς μέσον ἔθυσεν καθ᾽ ἃ προσέταξεν ἀντίοχος, θυμωθεὶς ὁ ματθίας, ὥρμησεν ἐπ᾽ αὐτὸν μετὰ τῶν παίδων, ἐχόντων κοπίδας. καὶ αὐτόν τε ἐκεῖνον διέφθειρε, καὶ τὸν στρατηγὸν τοῦ βασιλέως ἀπελλῆν, ὃς ἐπηνάγκαζε, διεχειρίσατο μετ᾽ ὀλίγων στρατιωτῶν, καὶ τὸν βωμὸν καθελὼν ἀνέκραγεν, εἴτις ζηλωτής ἐστι τῶν πατρίων ἐθῶν, καὶ τῆς τοῦ θεοῦ θρησκείας, ἑπέσθω φησὶν ἐμοί. καὶ ταῦτα εἰπὼν μετὰ τῶν τέκνων εἰς τὴν ἔρημον ἐξώρμησε, καταλιπὼν ἅπασαν τὴν αὐτοῦ κτῆσιν ἐν τῇ κώμῃ. τὸ δ᾽ αὐτὸ καὶ ἄλλοι ποιήσαντες μετὰ τῶν τέκνων καὶ γυναικῶν ἔφυγον εἰς τὴν ἔρημον, καὶ ἐν τοῖς σπηλαίοις διῆγον. ἀκούσαντες δὲ ταῦτα οἱ τοῦ βασιλέως στρατηγοὶ, καὶ τὴν δύναμιν ὅσην εἶχε συνέβαινεν ἐν τῇ ἀκροπόλει τῶν ἱεροσολύμων ἀναλαβόντες ἐδίωξαν εἰς τὴν ἔρημον τοὺς ἰουδαίους. καὶ καταλαβόντες, τὸ μὲν πρῶτον αὐτοὺς ἐπεχείρουν πείθειν, μετανοήσαντας αἱρεῖσθαι τὰ συμφέροντα, καὶ μὴ προσάγειν αὐτοῖς ἀνάγκην ὡς τε αὐτοῖς χρῆσθαι πολέμου νόμῳ. μὴ προσδεχομένων δὲ τοὺς λόγους, ἀλλὰ τἀναντία φρονούντων, συμβάλλουσιν αὐτοῖς εἰς μάχην σαββάτων ἡμέρᾳ. καὶ ὡς εἶχον οὕτως ἐν τοῖς σπηλαίοις αὐτοὺς κατέφλεξαν, οὐδὲν ἀμυνομένους, ἀλλ᾽ οὐδὲ τὰς εἰσόδους ἐμφράξαντας. τοῦ δὲ ἀμύνεσθαι διὰ τὴν ἡμέραν ἀπέσχοντο, μηδ᾽ ἐν κακοῖς παραβῆναι τὴν τοῦ σαββάτου τιμὴν θελήσαντες. ἀργεῖν γὰρ ἡμῖν ἐν αὐτῷ νόμιμόν ἐστιν. ἀπέθανον μὲν οὖν σὺν γυναιξὶ καὶ τέκνοις συμπνιγέντες τοῖς σπηλαίοις, ὡς χίλιοι. πολλοὶ δὲ καὶ διασωθέντες, τῷ ματθίᾳ προσέθεντο, κἀκεῖνον ἄρχοντα ἀπέδειξαν. ὁ δὲ καὶ σαββάτοις αὐτοὺς ἐδίδασκε μάχεσθαι λέγων, ὡς εἰ μὴ ποιήσουσι τοῦτο φυλαττόμενοι τὸ νόμιμον, ἑαυτοῖς ἔσονται πολέμιοι, τῶν μὲν ἐχθρῶν κατ᾽ ἐκείνην τὴν ἡμέραν αὐτοῖς προσβαλλόντων, αὐτῶν δ᾽ οὐκ ἀμυνομένων. κωλύσειν τε μηδὲν, οὕτως ἀμαχητὶ πάντας ἀπολέσθαι. ταῦτ᾽ εἰπὼν, ἔπεισεν αὐτοὺς, καὶ ἄχρι δεῦρο μένει παρ᾽ ἡμῖν, καὶ σαββάτοις εἴποτε δεήσειε μάχεσθαι. ποιήσας οὖν δύναμιν πολλὴν περὶ αὐτὸν ματθίας, τούς τε βωμοὺς καθεῖλε, καὶ τοὺς ἐξαμαρτόντας ἀπέκτεινεν, ὅσους λαβεῖν ὑποχειρίους ἐδυνήθη. πολλοὶ γὰρ δι᾽ εὐλάβειαν διεσπάρησαν εἰς τὰ πέριξ ἔθνη. τῶν τε παίδων τοὺς οὐ περιτετμημένους, ἐκέλευσε περιτέμνεσθαι, τοὺς ἐπὶ τῷ κωλύειν καθισταμένους ἐκβαλών. ἄρξας δ᾽ ἐνιαυτοῦ καὶ καταπεσὼν εἰς νόσον, προσκαλεῖ τοὺς παῖδας, καὶ περιστησάμενος αὐτούς. ἐγὼ μὲν εἶπεν ὦ παῖδες ἄπειμι

zarus qui & Auran, Ionathas qui & Aphus vocabatur. Is Matthias sæpenumero questus est apud filios de tam afflicto rerum statu, direptione vrbis, depredatione templi cæterisque calamitatibus, aiebatque præstare mori eos pro patriis legibus, quàm sic ingloriè viuere. Cúmque venissent in eum vicum in hoc à rege constituti, vt Iudæos ad mandata eius cogerent: & postularent vt Matthias cæteris autoritate potior, ad exemplum aliorum primus profana sacra faceret, ostentantes à rege præmia: negauit se hoc facturum, etiam si omnes gentes Antiochi imperata facerent: ac ne liberis quidem ipsius persuaderi vt patriam religionem deserant. Vt verò silente eo Iudæus quidam in medium progressus cœpit immolare iuxta mandatum regium, non amplius ferens indignitatem rei, irruit in eum cum suis filiis armatus gladiis: nec solùm eum trucidauit, sed etiam Apellem regium ducem cum suis militibus, qui volebant plebem eam cogere: dirutáque ara exclamauit: Si cui est cordi religionis incolumitas, me sequatur. Et cũ dicto comitantibus filiis in desertum se contulit, relictis in vico facultatibus. Id imitata plebs reliqua, & ipsi cum familiis in idem desertum profugerunt, ibique victitabant in speculbus. Quo audito duces regij, præsidio Hierosolymitanæ arcis assumpto, Iudæos in desertum persecuti sunt. quos assecuti, primùm verbis persuadere conati sunt vt ab incepto desisterent, & admittentes rectius consilium, non imponerent sibi necessitatem sæuiendi hostiliter: & cùm nihil proficerent apud obstinatos, aggressi sunt eos die sabbati, & ita vt erant in speluncis exusserunt, non repugnantes, ac ne aditus quidem speluncarum obturantes. Etenim propter religionem diei repugnare nolebant, ac ne in aduersitatibus quidem violare honorem sabbati, quando lex iubet feriari ab omni opere. Itaque perierunt cum vxoribus & liberis suffocati in speluncis circiter mille. multi etiam elapsi adiunxerunt se Matthiæ, cúmque principem sibi elegerunt. At ille docuit eos, pugnandum etiam sabbatis, aut si ita pergant ipsos sibi futuros exitio, hostibus eam occasionem obseruantibus, & non nisi sabbato illos aggredientibus. atque ita fore vt vel sine certamine omnes facilè opprimantur. Hæc locutus persuasit eis: & in hodiernum vsq; mos hic permanet, vt si ita necessitas postulet, pugnẽt etiã sabbatis. Collecta igitur circa se non contemnenda manu, & altaria diruit, & prolapsos in impietatem quotquot adipisci potuit trucidauit. confluebant enim ad eum quos antè metus per circumuicinas gentes sparserat. pueros etiam iussit circuncidere, qui hactenus vetiti fuerant, expulsis qui ad hoc vt vetarent constituti erant ab Antiocho. Exacto autem anno post principatum morbo correptus conuocatis ad se liberis: Equidem, inquit, filij, iã fa-

talem viā ingredior, interim commendo vobis meum propositum, & rogo ne per ignauiam cessetis id exequi: sed potius memores paternæ voluntatis seruate ritus patrios, & rémpublicam tantumnō collapsam restituite: neque illis accedite qui aut sponte aut vi eam prodiderunt hostibus. Præstate vos mihi germanos filios, contemptáque omni vi ac necessitate, parati sitis pro legum tutela vel mortem oppetere, si ita res postulet, cogitantes quòd Deus vos tales non despiciet, sed delectatus vestra virtute in pristinam patriis moribus viuendi libertatem restituet, corpora quidem habemus mortalia, & fatali necessitati obnoxia, sed pręclarè gestorum memoria vice immortalitatis esse poterit. cuius amatores vos aspirare volo ad gloriam, adeò vt nō grauemini vel immori egregiis facinoribus. Prima autem cura sit concordiæ, & quibus quisque præcellit artibus, his vtatur reliquis concedentibus: Simonémque fratrem eximia prudentia virum parentis loco habete, obtemperantes eius consiliis: Maccabæum autem propter fortitudinem exercitui præficite. Hic enim vlciscetur suæ gentis iniurias repulsis hostibus. Ad hoc autem negotium adhibete quotquot vsquam sunt iusti ac pij, & hoc pacto vires vestras augebitis.

Cap. IX.

Matthiæ defuncto Iudas filius succedit.

1.Mach.3.

HÆc locutus filiis, precatúsque Deum adesse illorum conatibus, & populo pristinum viuendi morem restituere, non multò pòst moritur, & in Modim sepelitur: & post exhibitum ei publici luctus honorem, Iudas filius cognomine Maccabæus administrationi rerum pręficitur, anno CXLVI. qui adiutus impigrè à fratribus, eiecto hoste, & impiis tribulibus necatis, totam eam terram lustrauit à pręteritis piaculis

Cap. X.

Apollonius Antiochi dux in Iudæa prælio victus occiditur.

IX. HIs auditis Apollonius præfectus Samariæ raptim cōtra Iudam duxit exercitum. Nec in Iuda mora fuit, sed obuiam ei factus prælio victum cum aliis multis interficit, gladio etiā eius potitus velut opimo spolio, plurimis etiam hostium vulneratis, & castris eorum direptis, ditatus pręda rediit. Seron autem Cœlesyriæ præfectus cognito, quòd Iudas multis vndique ad eum cōfluentibus magnas circa se copias habeat, & ad confligendum cum hoste idoneas, decreuit contra eum ducere, sui putās officij animaduertere in rebelles, & contumaces erga mandata regia. Contractis igitur quibus pręerat militibus, adiunctis etiam Iudęorū perfugis, & impiis, progressus vsq; Bethora vicū Iudeæ, castra eo loco metatus est. Iudas autē

A τὴν τῆς εἱμαρμένης πορείαν. παρατίθεμαι δὲ ὑμῖν, τοὐμὸν φρόνημα, καὶ παρακαλῶ μὴ γένεσθε κακοὺς αὐτοῦ φύλακας. ἀλλὰ μεμνημένους τῆς τοῦ φύσαντος ὑμᾶς καὶ θρεψαμένου προαιρέσεως, ἔθη τε σώζειν τὰ πάτρια, καὶ κινδυνεύουσαν οἴχεσθαι τὴν πάτριον πολιτείαν ἀνακτᾶσθαι. μὴ συμφερομένους τοῖς ἢ κατὰ βούλησιν ἢ δι' ἀνάγκην προδιδοῦσιν αὐτήν, ἀλλ' ἀξίους παῖδας ὄντας ἐμοῦ, καὶ βίας πάσης καὶ ἀνάγκης ἐπάνω γενέσθαι τὰς ψυχὰς οὕτως παρεσκευασμένους, ὥς τε ἀποθανεῖν ὑπὲρ τῶν νόμων ἂν δέῃ. λογιζομένους κἀκεῖθ' ὅτι τὸ θεῖον, τοιούτους ὑμᾶς ὁρῶν, οὐχ ὑπερόψεται. τῆς δ' ἀρετῆς ἀγασάμενον, ἀποδώσει πάλιν ὑμῖν αὐτό, καὶ τὴν ἐλευθερίαν ἐν ᾗ ζήσεσθαι μετ' ἀδείας τῶν ἰδίων ἀπολαύοντες ἐθῶν ἀποκαταστήσει. θνητὰ μὲν γὰρ τὰ σώματα ἡμῶν καὶ ἐπίκηρα, τῇ δὲ τῶν ἔργων μνήμῃ, τάξιν ἀθανασίας λαμβάνει. ἧς ἐρασθέντας ὑμᾶς βούλομαι διώκειν τὴν εὔκλειαν, καὶ C τὰ μέγιστα ὑφισταμένους, μὴ ὀκνεῖν ὑπὲρ αὐτῶν ἀπολιπεῖν τὸν βίον. μάλιστα δ' ὑμῖν ὁμονοεῖν παραινῶ, καὶ πρὸς ὅ τις ὑμῶν πέφυκεν ἀμείνων θατέρου, πρὸς τοῦτ' εἴκοντας ἀλλήλοις, οἰκείαις χρῆσθαι ταῖς ἀρεταῖς. καὶ σίμωνα μὲν τὸν ἀδελφὸν συνέσει προύχοντα, πατέρα ἡγεῖσθαι, καὶ οἷς ἂν οὗτος συμβουλεύῃ, πείθεσθαι, μακκαβαῖον δὲ τῆς στρατιᾶς δι' ἀνδρείαν καὶ ἰσχύν, στρατηγὸν ἕξετε. τὸ γὰρ ἔθνος οὗτος ἐκδικήσει καὶ ἀμυνεῖται D τοὺς πολεμίους. προσίεσθε δὲ καὶ τοὺς δικαίους καὶ θεοσεβεῖς, καὶ τὴν δύναμιν αὐτῶν αὔξετε.

Κεφάλαιον θ'.

Ματθίου τελευτή, καὶ ἰούδα τοῦ υἱοῦ αὐτοῦ διαδοχή.

ΤΑῦτα διαλεχθεὶς τοῖς παισί, καὶ τὸν θεὸν εὐξάμενος σύμμαχον αὐτοῖς γενέσθαι, καὶ τῷ λαῷ τὴν ἰδίαν ἀνασῶσαι πάλιν τοῦ βίου συνήθειαν, μετ' οὐ πολὺ τελευτᾷ, καὶ θάπτεται μὲν ἐν μωδιείμ. πένθος E δ' ἐπ' αὐτῷ μέγα τοῦ λαοῦ παντὸς ποιησαμένου διεδέξατο τὴν προστασίαν τῶν πραγμάτων ὁ παῖς αὐτοῦ ἰούδας, ὁ καὶ μακκαβαῖος ἑκατοστῷ ἔτει καὶ τεσσαρακοστῷ ἕκτῳ. συναραμένων δ' αὐτῷ προθύμως τῶν ἀδελφῶν καὶ τῶν ἄλλων, τούς τε πολεμίους ἐξέβαλεν ἐκ τῆς χώρας, καὶ τοὺς παρανομήσαντας εἰς τὰ πάτρια τῶν ὁμοφύλων διεχειρήσατο, καὶ ἐκαθάρισεν ἀπὸ παντὸς μιάσματος τὴν γῆν.

Κεφάλαιον ι'.

Ὡς ἀντιόχου στρατηγὸς ἀπολλώνιος εἰς τὴν ἰουδαίαν ἐμβαλὼν ἡττηθεὶς ἀπέθανεν.

ΤΑῦτ' ἀκούσας ἀπολλώνιος ὁ τῆς σαμαρείας στρατηγός, ἀναλαβὼν τὴν δύναμιν, ὥρμησεν ἐπὶ τὸν ἰούδαν. ὁ δὲ ἀπήντησεν αὐτῷ, καὶ συμβαλὼν κρατεῖ τῇ μάχῃ. καὶ πολλοὺς μὲν αὐτῶν ἀπέκτεινεν, ἐν οἷς καὶ τὸν στρατηγὸν ἀπολλώνιον, οὗ καὶ τὴν μάχαιραν ᾗ χρήσασθαι συνέβαινεν ἐκεῖνον σκυλεύ- G σας εἶχε. πλείους δὲ τραυματίας ἐποίησε, καὶ πολλὴν λείαν ἐκ τοῦ στρατοπέδου λαβὼν τῶν πολεμίων ἀνεχώρησε. σήρων δὲ ὁ τῆς κοίλης συρίας στρατηγὸς ἀκούσας ὅτι πολλοὶ προσκεχωρήκασι τῷ ἰούδᾳ, καὶ δύναμιν ἤδη περιβέβληται πρὸς ἀγῶνας καὶ πολέμους ἀξιόλογον, ἐπ' αὐτὸν ἔγνω στρατεύσασθαι, προσήκειν ὑπολαμβάνων τοὺς εἰς τὰ τοῦ βασιλέως προστάγματα παρανομοῦντας, πειρᾶσθαι κολάζειν. συναγαγὼν οὖν δύναμιν ὅση παρῆν αὐτῷ, προσκαταλέξας δὲ καὶ τῶν ἰουδαίων τοὺς φυγάδας καὶ ἀσεβεῖς ἐπὶ τὸν ἰούδαν παρεγίνετο. προσελθὼν δὲ ἄχρι βεθωρῶν κώμης τῆς ἰουδαίας, αὐτόθι στρατοπεδεύεται. ὁ δὲ ἰούδας

ἀπαντήσας αὐτῷ καὶ συμβαλεῖν προθυμούμενος, ἐπεὶ τοὺς στρατιώτας ἑώρα πρὸς τὴν μάχην διά τε τὴν ὀλιγότητα καὶ δι' ἀσιτείαν, νενηστεύκεισαν γὰρ, ὀκνοῦντας παρεθάρσυνε λέγων. οὐκ ἐν τῷ πλήθει τὸ νικᾶν εἶναι καὶ τῶν πολεμίων κρατεῖν, ἀλλ' ἐν τῷ πρὸς τὸ θεῖον εὐσεβεῖν. καὶ τούτου σαφέστατον ἔχειν παράδειγμα τοὺς προγόνους, οἳ διὰ δικαιοσύνην καὶ τὸ περὶ τῶν ἰδίων νόμων καὶ τέκνων ἀγωνίζεσθαι, πολλὰς πολλάκις ἥττησαν μυριάδας. τὸ γὰρ μηδὲν ἀδικεῖν ἰσχυρὰ δύναμις. ταῦτ' εἰπὼν πείθει τοὺς σὺν αὐτῷ, καταφρονήσαντας τοῦ πλήθους τῶν ἐναντίων, ὁμόσε χωρῆσαι τῷ Σήρωνι, καὶ συμβαλὼν, τρέπει τοὺς Σύρους. πεσόντος γὰρ τοῦ στρατηγοῦ, πάντες φυγῇ ὥρμησαν, ὡς ἐν τούτῳ τῆς σωτηρίας αὐτοῖς ἀποκειμένης. ἐπιδιώκων δ' ἄχρι τοῦ πεδίου, κτείνει τῶν πολεμίων εἰς ὀκτακοσίους. οἱ δὲ λοιποὶ διεσώθησαν εἰς τὴν παραλίαν.

Κεφάλαιον ια'.

Ἡ Λυσίου καὶ Γοργίου στρατηγία ἐπὶ τὴν Ἰουδαίαν καὶ ἧττα.

Ταῦτ' ἀκούσας ὁ βασιλεὺς Ἀντίοχος, μεγάλως ὠργίσθη τοῖς γεγενημένοις, καὶ πᾶσαν τὴν οἰκείαν δύναμιν ἀθροίσας, καὶ πολλοὺς ἐκ τῶν νήσων μισθοφόρους ἀναλαβὼν, ἡτοιμάζετο περὶ τὴν ἀρχὴν τοῦ ἔαρος εἰς τὴν Ἰουδαίαν ἐμβαλεῖν. ἐπεὶ δὲ τὸ στρατιωτικὸν διανείμας, ἑώρα τοὺς θησαυροὺς ἐπιλείποντας, καὶ χρημάτων ἔνδειαν οὖσαν (οὔτε γὰρ οἱ φόροι πάντες ἐτελοῦντο, διὰ τὰς τῶν ἐθνῶν στάσεις, μεγαλόψυχός τε ὢν καὶ φιλόδωρος οὐκ ἤρκεῖτο τοῖς οὖσιν) ἔγνω πρῶτον εἰς τὴν Περσίδα προελθὼν, τοὺς φόρους τῆς χώρας συναγαγεῖν. καταλιπὼν οὖν ἐπὶ τῶν πραγμάτων, Λυσίαν τινὰ δόξαν ἔχοντα παρ' αὐτῷ, καὶ τὰ μέχρι τῆς Αἰγύπτου ὅρων καὶ τῆς κάτωθεν Ἀσίας ἀπ' Εὐφράτου διήκοντα ποταμοῦ, καὶ μέρος τι τῆς δυνάμεως καὶ τῶν ἐλεφάντων, τρέφειν μὲν τὸν Ἀντίοχον τὸν υἱὸν αὐτοῦ μετὰ πάσης φροντίδος, ἐνετείλατο ἕως ἂν παραγένηται. καταστρεψάμενον δὲ τὴν Ἰουδαίαν, καὶ τοὺς οἰκοῦντας αὐτὴν ἐξανδραποδισάμενον, ἀφανίσαι τὰ Ἱεροσόλυμα, καὶ τὸ γένος αὐτῶν ἀπολέσαι. καὶ ταῦτα μὲν ἐπιστείλας τῷ Λυσίᾳ ὁ βασιλεὺς Ἀντίοχος, ἐξήλασεν εἰς τὴν Περσίδα ρμζ' ἔτει. καὶ περαιωσάμενος τὸν Εὐφράτην, ἀνέβαινε πρὸς τοὺς ἄνω σατράπας. ὁ δὲ Λυσίας ἐπιλεξάμενος Πτολεμαῖον τὸν Δορυμένους καὶ Νικάνορα καὶ Γοργίαν ἄνδρας δυνατοὺς τῶν τοῦ βασιλέως φίλων, καὶ παραδοὺς αὐτοῖς πεζῆς μὲν δυνάμεως μυριάδας δ', ἱππεῖς δὲ ἑπτακισχιλίους, ἐξέπεμψεν ἐπὶ τὴν Ἰουδαίαν. οἱ δ' ἄχρις Ἐμμαοῦς πόλεως ἐλθόντες, ἐν τῇ πεδινῇ κατεστρατοπεδεύοντο. προσγίνονται δὲ αὐτοῖς σύμμαχοι ἀπὸ τῆς Συρίας καὶ τῆς πέριξ χώρας, καὶ πολλοὶ τῶν πεφευγότων Ἰουδαίων. ἔτι γε μὴν καὶ τῶν ἐμπόρων τινὲς ὡς ὠνησόμενοι τοὺς αἰχμαλωτισθησομένους, πέδας μὲν κομίζοντες αἷς δήσουσι τοὺς ληφθησομένους, ἀργύριον δὲ καὶ χρυσὸν τιμὴν αὐτῶν καταθησόμενοι. τὸ δὲ στρατόπεδον καὶ τὸ πλῆθος τῶν ἐναντίων ὁ Ἰούδας κατανοήσας, ἔπειθε τοὺς οἰκείους στρατιώτας θαρρεῖν, καὶ παρεκελεύετο τὰς ἐλπίδας τῆς νίκης ἔχοντας ἐν τῷ θεῷ, τοῦτον ἱκετεύειν τῷ πατρίῳ νόμῳ, σάκκους περιθεμένους, καὶ τὸ συνήθες αὐτοῖς σχῆμα τῆς ἱκετείας παρὰ τοὺς μεγάλους κινδύνους ἐπιδείξαντας, τούτῳ δυσωπῆσαι παρασχεῖν αὐτοῖς τὸ κατὰ τῶν ἐχθρῶν κράτος.

occurrens ei pugnandi animo, vbi vidit milites ſuos parum alacres partim propter hoſtium multitudinem, partim quia ipſi ieiunauerant: hortando addebat illis animos, affirmans non in numero militis ſitam victoriam, ſed in pietate erga Deum & fiducia: idque compertum plurimis maiorum ſuorum exemplis, qui iuſta arma pro legibus ſuis & liberis ferentes, multa ſæpè hoſtium millia profligauerint. Inuictum enim robur eſſe innocentiæ. His dictis perſuaſit vt non detrectarent prælium: & collatis cum Serone ſignis, fudit & fugauit Syrorum exercitum. Proſtrato enim duce omnes in fuga ſpem ſalutis poſuerunt: quos perſequutus vſque ad campum, occidit ex eis octingentos: reliqui euaſerunt in regionem maritimam.

Cap. XI.

Lyſiæ & Gorgiæ contra Iudæos expeditiones & clades.

Auditis his rex Antiochus vehementer iratus, omnes vndique copias contraxit, conducto etiam mercenario ex Græcia milite, parans primo vere in Iudæam irrumpere. Cúmque numerato ſtipendio videret theſauros ſuos exhauſtos deficere: nam neque tributa omnia reddebantur propter crebras rebellationes gétium, & ipſe vir magnanimus ac munificus non erat contentus ea quæ tum aderat pecunia: decreuit adita prius Perſide, regionis eius tributa exigere. Commiſſa igitur rerum adminiſtratione Lyſiæ, amico probatæ fidei, & prouinciis Aſię quę Ægyptum inter & Euphratem ſitæ ſunt curæ eius creditis, relicta ei copiarum quoque & elephantorum parte, iuſſit vt Antiochum filium diligenter educaret vſque in ſuum reditum: eidémque mandauit, vt ſubacta Iudæa, & habitatoribus eius ſub haſta diuenditis, deleret Hieroſolyma, ac totam gentem extingueret. His mandatis profectus eſt in Perſidem CXLVII. anno, & traiecto Euphrate aſcendit ad ſuperiores Satrapias. Lyſias autem delectis ad hoc negotium eximiis ducibus ex amicis regiis, Ptolemæo Dorymenis filio, & Gorgia & Nicanore, attributíſque eis peditum quadraginta millibus, equitum ſeptem millibus, in Iudæam miſit eum exercitum. qui vſque Emauntem vrbem progreſſi, in campeſtribus eius caſtrametati ſunt: vbi conuenerunt ad eos auxilia Syrorum, & ex aliis vicinis regionibus, nec non magnus perfugarum Iudæorum numerus. aderant etiam in eis caſtris negotiatores non pauci empturi mancipia, & inſtructi compedibus, paratis in hoc vt vincirent captiuos numerata pro eis pecunia. Iudas autem animaduerſa hoſtium multitudine, hortatus eſt ſuos milites vt forti eſſent animo, & in Deo collocarent omnem fiduciam, decretis ſupplicationibus, quibus more patrio in magnis periculis induti ſaccos ſolent orare veniam, vt Deus ad miſerationem flexus vires contra hoſtem eis adderet.

Distributis deinde more antiquo gentis in tribunos ac centuriones ordinibus, & ablegatis nouis maritis, qui quíve agros recẽs sibi comparauerant, ne distracti talibus cupiditatibus pugnarent segnius, verbis etiam aggressus est hortari suos ad rem gerendam strenuè: Nullum socij tempus nobis dabitur ad virtutem & periculorum contemptum opportunius. nunc enim fortiter certantibus paratum est libertatis præmium, quam suapte natura desiderabilem hoc magis nos optare decet. quod absque hac ne religionem quidem tueri poterimus. Sic igitur existimate, in hac pugna situm esse, vtrum pristinam felicitatem recipiatis, hoc est vitam iuxta patrias leges rectè institutam: an per summam ignominiam etiam reliquiæ nostri generis intereant, nisi fortes viros præstiteritis, & cum hac cogitatione inite prælium. Cùm igitur tam ignauos quàm fortes mors certa maneat, gloria verò sempiterna propugnatores pietatis, legum, libertatis patriæ, eos animos concipite, qui vobis in crastina pugna possint esse vsui, vel ad victoriam, vel certè gloriam. His suos Iudas hortatus, dum cogitat de futuro prælio certo indice comperit Gorgiam missum cum mille equitibus, peditum quinque millibus, vt ductu perfugarum noctu se inopinum inuaderet: decreuitque & ipse eadem nocte in hostium castra impetum facere, maximè quòd abfutura esset bona pars illorum exercitus. itaque confestim sumpta cœna, relictisque in castris multis ignibus, tota nocte iter fecit ad Emaunti propinqua castra hostium. Interim Gorgias nemine in castris Iudæorum inuento, ratus eos metu cessisse & occultari alicubi in montibus, statuit vbinam essent quærere. Iudas autem sub diluculum peruenit ad castra hostium, ducens tria virorum millia non satis instructa armis propter inopiam: vidénsque hostem armatum egregiè, & castra ex arte disposita, hortatus primùm suos vt non dubitarent vel nudis, si ita opus sit, corporibus in pugnam ruere, quandoquidem Deus delectetur tali fortitudine, eámque suo præsidio contra armatos fulciat: iubet signa canere. Ex improuiso deinde adortus nihil minus expectantes ita terruit, vt cæsis quotquot ausi sunt resistere, cæteros persequeretur vsque Gadara, & vsque campos Idumææ, & Azoti & Iamniæ. Ceciderunt autem ex eis circiter tria millia. Victor Iudas suos à præda cohibuit, Gorgiam adhuc superesse dictitans: quo profligato per ocium deinde posse eos ditari ex spoliis. Adhuc autem eo loquente, ostenderunt se Gorgiani è quodam loco edito: vnde prospicientes suorum cladem, & castra capta ac fumantia, animaduertentésque Iudam se expectantem instructa acie, non ausi manus conserere, trepidè se retro in tutum receperunt. Iudas verò

1. Mach. 4.

διατάξας δὲ τὸν ἀρχαῖον αὐτοὺς τρόπον καὶ πάτριον, κατὰ χιλιάρχους καὶ ταξιάρχους, καὶ τοὺς νεογάμους ἀπολύσας, καὶ τοὺς τὰς κτήσεις νεωστὶ πεποιημένους, ὅπως μὴ διὰ τὴν τούτων ἀπόλαυσιν φιλοζωοῦντες ἀτολμότερον μάχωνται, κατέστησε τοιούτοις παρορμᾷ λόγοις πρὸς τὸν ἀγῶνα τοὺς αὐτοῦ στρατιώτας. καιρὸς μὲν ἡμῖν οὐκ ἄλλος ἀναγκαιότερος τοῦ παρόντος ὦ ἑταῖροι εἰς εὐψυχίαν καὶ κινδύνων καταφρόνησιν καταλέλειπται. νῦν γάρ ἐστιν ἀνδρείως ἀγωνισαμένοις τὴν ἐλευθερίαν ἀπολαβεῖν, ἣν καὶ δι' αὐτὴν ἅπασι ἀγαπητὴν οὖσαν, ἡμῖν ὑπὸ ἐξουσίας τοῦ θρησκεύειν τὸ θεῖον ἐπιποθεινοτέραν εἶναι συμβέβηκεν. ὡς οὖν ἐν τῷ παρόντι κειμένων ὑμῶν, ταύτην ἀπολαβεῖν, καὶ τὸν εὐδαίμονα καὶ μακάριον ἀνακτήσασθαι βίον, οὗτος δ' ἦν ὁ κατὰ τοὺς νόμους, καὶ τὴν πάτριον συνήθειαν, ἢ τὰ αἴσχιστα παθεῖν, καὶ μηδὲ σπέρμα τοῦ γένους ὑμῶν ἀπολειφθῆναι κακῶν ἐν τῇ μάχῃ γενομένων, οὕτως ἀγωνίζεσθε. τὸ μὲν οὖν ἀποθανεῖν καὶ μὴ πολεμοῦσιν ὑμῖν ὑπάρξειν ἡγούμενοι. τὸ δὲ ὑπὲρ τηλικούτων ἐπάθλων ἐλευθερίας, πατρίδος, νόμων, εὐσεβείας, αἰώνιον τὴν εὔκλειαν κατασκευάζειν πεπιστευκότες. ἑτοιμάζεσθε τοιγαροῦν οὕτως τὰς ψυχάς, ὡς αὔριον ἅμ' ἡμέρᾳ συμβαλοῦντες τοῖς πολεμίοις. καὶ ὁ μὲν ἰούδας ταῦτα παραθαρσύνων τὴν στρατιὰν ἔλεγε. τῶν δὲ πολεμίων, πεμψάντων γοργίαν μετὰ πεντακισχιλίων πεζῶν, καὶ χιλίων ἱππέων, ὅπως διὰ τῆς νυκτὸς ἐπιπέσῃ τῷ ἰούδᾳ, καὶ πρὸς τοῦτο ὁδηγοὺς ἔχοντος αὐτοῦ τινὰς τῶν πεφευγότων ἰουδαίων, αἰσθόμενος ὁ τοῦ ματθίου παῖς, ἔγνω καὶ αὐτὸς τοῖς ἐν τῇ παρεμβολῇ τῶν πολεμίων ἐπιπεσεῖν, καὶ ταῦτα διῃρημένης αὐτῶν τῆς δυνάμεως. καθ' ὥραν οὖν δειπνοποιησάμενος, καὶ πολλὰ πυρὰ καταλιπὼν ἐπὶ τοῦ στρατοπέδου, δι' ὅλης ὥδευσε τῆς νυκτὸς ἐπὶ τοὺς ἐν ἐμμαοῦς τῶν πολεμίων. οὐχ εὑρὼν δ' ἐν τῷ στρατοπέδῳ τοὺς ἐχθροὺς ὁ γοργίας, ἀλλ' ὑπονοήσας ἀναχωρήσαντας αὐτοὺς ἐν τοῖς ὄρεσι κεκρύφθαι, πορευθεὶς ἔγνω ζητεῖν ὅπου ποτ' εἶεν. περὶ δὲ τὸν ὄρθρον ἐπιφαίνεται τοῖς ἐν ἐμμαοῦς πολεμίοις ὁ ἰούδας μετὰ τρισχιλίων φαύλως ὡπλισμένων διὰ πενίαν. καὶ θεασάμενος τοὺς ἐχθροὺς ἄριστα πεφραγμένους καὶ μετ' ἐμπειρίας πολλῆς ἐστρατοπεδευμένους, προτρεψάμενος τοὺς ἰουδαίους, ὡς καὶ γυμνοῖς τοῖς σώμασι μάχεσθαι δέοι, καὶ τὸ θεῖον ἤδη πρὸ καὶ τοῖς οὕτως ἔχουσι τὸ κατὰ τῶν πλειόνων καὶ ὡπλισμένων κράτος ἔδωκεν, ἀγασάμενον αὐτοὺς τῆς εὐψυχίας, ἐκέλευσε σημαίνειν τοὺς σαλπιγκτάς. ἐπιπεσὼν δὲ ἀπροσδοκήτως τοῖς πολεμίοις, καὶ ἐκπλήξας αὐτῶν τὴν διάνοιαν καὶ ταράξας, πολλοὺς μὲν ἀπέκτεινεν ἀνθισταμένους, τοὺς δὲ λοιποὺς διώκων ἦλθεν μέχρι γαδάρων, καὶ τῶν πεδίων τῆς ἰδουμαίας καὶ ἀζώτου καὶ ἰαμνείας. ἔπεσον δὲ αὐτῶν ὡς περὶ τρισχιλίους. ἰούδας δὲ τῶν μὲν σκύλων παρεκελεύετο μὴ ἐπιθυμεῖν τοὺς αὐτοῦ στρατιώτας, ἔτι γὰρ αὐτοῖς ἀγῶνά τινα καὶ μάχην εἶναι πρὸς γοργίαν καὶ τὴν σὺν αὐτῷ δύναμιν. κρατήσαντας δὲ καὶ τούτων, τότε σκυλεύσειν ἐπ' ἀδείας ἔλεγεν, τοῦτον μόνον ἔχοντας καὶ μηδένα ἕτερον ἐκδεχομένους. ἔτι δὲ αὐτοῦ διαλεγομένου ταῦτα πρὸς τοὺς στρατιώτας, ὑπερκύψαντες οἱ τοῦ γοργίου τὴν μὲν στρατιάν, ἣν ἐν τῇ παρεμβολῇ κατέλιπον, ὁρῶσι τετραμμένην, τὸ δὲ στρατόπεδον, ἐμπεπρησμένον. ὁ γὰρ καπνὸς αὐτοῖς πόρρωθεν ὢν τοῦ συμβεβηκότος δήλωσιν ἔφερεν. ὡς οὖν ταῦθ' οὕτως ἔχοντα ἔμαθον οἱ σὺν γοργίᾳ, καὶ τοὺς μετὰ ἰούδα πρὸς παράταξιν ἑτοίμους κατενόησαν, καὶ αὐτοὶ δείσαντες εἰς φυγὴν ἐτράπησαν. ὁ δὲ ἰούδας

ὡς ἀμα-

ὡς ἀμαχητὶ τῶν γοργίου στρατιωτῶν ἡττημένων, ὑποστρέψας αἱρεῖται τὰ σκῦλα. πολὺν δὲ χρυσὸν καὶ ἄργυρον καὶ πορφύραν καὶ ὑάκινθον λαβὼν, εἰς τὴν οἰκείαν ὑπέστρεψε, χαίρων, καὶ ὑμνῶν τὸν θεὸν ἐπὶ τοῖς κατορθωμένοις. οὐ μικρὰ γὰρ αὐτοῖς ἡ νίκη πρὸς τὴν ἐλευθερίαν συνεβάλλετο. λυσίας δὲ συγχυθεὶς ἐπὶ τῇ τῶν ἐκπεμφθέντων ἥττῃ, τῷ ἐρχομένῳ ἔτει μυριάδας ἀνδρῶν ἐπιλέκτων συναθροίσας ἕξ, καὶ πεντακισχιλίους λαβὼν ἱππεῖς ἐνέβαλεν εἰς τὴν ἰουδαίαν. καὶ ἀναβὰς εἰς τὴν ὀρεινὴν ἐν βεθσούροις κώμῃ τῆς ἰουδαίας ἐστρατοπεδεύσατο. ἀπήντησε δὲ μετὰ μυρίων ἰούδας, καὶ τὸ πλῆθος ἰδὼν τῶν πολεμίων, σύμμαχον ἔσεσθαι τὸν θεὸν δεξάμενος, συμβαλὼν τοῖς προδρόμοις τῶν πολεμίων, νικᾷ τούτους, καὶ φονεύσας αὐτῶν ὡς πεντακισχιλίους, τοῖς λοιποῖς ἦν ἐπίφοβος. ἀμέλει κατανοήσας ὁ λυσίας τὸ φρόνημα τῶν ἰουδαίων, ὡς ἕτοιμοί εἰσι τελευτᾶν εἰ μὴ ζήσουσιν ἐλεύθεροι, καὶ δείσας αὐτῶν τὴν ἀπόγνωσιν ὡς ἰσχὺν, ἀναλαβὼν τὴν λοιπὴν δύναμιν ὑπέστρεψεν εἰς ἀντιόχειαν, καὶ διέτριβεν ἐκεῖ ξενολογῶν, καὶ παρασκευαζόμενος μετὰ μείζονος στρατοῦ εἰς τὴν ἰουδαίαν ἐμβαλεῖν. τοσαυτάκις οὖν ἡττημένων ἤδη τῶν ἀντιόχου τοῦ βασιλέως στρατηγῶν, ὁ ἰούδας ἐκκλησιάσας ἔλεγε μετὰ πολλὰς νίκας ἃς ὁ θεὸς αὐτοῖς ἔδωκεν, ἀναβῆναι δεῖν εἰς ἱεροσόλυμα, καὶ τὸν ναὸν καθαρίσαι, καὶ τὰς νενομισμένας θυσίας προσφέρειν. ὡς δὲ παραγενόμενος μετὰ παντὸς τοῦ πλήθους εἰς ἱεροσόλυμα, καὶ τὸν ναὸν ἔρημον εὗρε, καὶ καταπεπρησμένας τὰς πύλας, καὶ φυτὰ διὰ τὴν ἐρημίαν αὐτόματα ἐν τῷ ἱερῷ βεβλαστηκότα, θρηνεῖν ἤρξατο μετὰ τῶν ἰδίων, ἐπὶ τῇ ὄψει τοῦ ναοῦ συγχυθείς. ἐπιλεξάμενος δέ τινας τῶν αὐτοῦ στρατιωτῶν, προσέταξε τούτοις ἐκπολεμῆσαι τοὺς τὴν ἄκραν φυλάττοντας, ἄχρι ἂν αὐτὸς τὸν ναὸν αὐτῶν ἁγνίσῃ. καθάρας δ' ἐπιμελῶς αὐτὸν, εἰσεκόμισε καὶ καινὰ σκεύη, λυχνίαν, τράπεζαν, βωμὸν, ἐκ χρυσοῦ πεποιημένα. ἀπήρτησε δὲ καὶ τὰ παραπετάσματα τῶν θυρῶν, καὶ τὰς θύρας αὐτὰς ἐπέθηκε. καθελὼν δὲ καὶ τὸ θυσιαστήριον, καινὸν ἐκ λίθων συμμίκτων ᾠκοδόμησεν, οὐ λελατομημένων ἐκ σιδήρου. πέμπτῃ δὲ καὶ εἰκάδι τοῦ χασλαίου μηνὸς, ὃν οἱ μακεδόνες ἀπελλαῖον καλοῦσι, ἧψαν τὰ φῶτα ἐπὶ τῆς λυχνίας, καὶ ἐθυμίασαν ἐπὶ τοῦ βωμοῦ, καὶ ἄρτους τῇ τραπέζῃ ἐπέθηκαν, καὶ ὡλοκαύτωσαν ἐπὶ τοῦ καινοῦ θυσιαστηρίου. ἔτυχε δὲ ταῦτα κατὰ τὴν ἡμέραν ἐκείνην γίνεσθαι καθ' ἣν καὶ μετέπεσεν αὐτῶν ἡ ἁγία θρησκεία, εἰς βέβηλον καὶ κοινὴν συνήθειαν μετὰ ἔτη τρία. τὸν γὰρ ναὸν ἐρημωθέντα ὑπ' ἀντιόχου διαμεῖναι τοιοῦτον ἔτεσι συνέβη τρισίν. ἔτει γὰρ πέμπτῳ καὶ τεσσαρακοστῷ καὶ ἑκατοστῷ ταῦτα περὶ τὸν ναὸν ἐγένετο, πέμπτῃ καὶ εἰκάδι τοῦ ἀπελλαίου μηνὸς, ἡ κάθαρσις δ' ἐγένετο η' καὶ ρ' καὶ μ' ἔτει, ὀλυμπιάδι ρ' καὶ ν' καὶ δ'. τὴν δ' ἐρήμωσιν τοῦ ναοῦ συνέβη γενέσθαι κατὰ τὴν δανιήλου προφητείαν, πρὸ υ' καὶ η' γενομένην ἐτῶν. ἐδήλωσε γὰρ ὅτι μακεδόνες καταλύσουσιν αὐτόν. ἑόρταζε δὲ ἰούδας μετὰ τῶν πολιτῶν ἀνάκτησιν τῆς περὶ τὸν ναὸν θυσίας ἐφ' ἡμέρας η', μηδὲν ἀπολιπὼν ἡδονῆς εἶδος, ἀλλὰ πολυτελέσι μὲν καὶ λαμπραῖς ταῖς θυσίαις κατευωχῶν αὐτοὺς, ὕμνοις δὲ καὶ ψαλμοῖς

ſine certamine victor, tum demum permiſit ſuos ad prædam diſcurrere: ditatúſque cum ſuis reperto plurimo auro & argento, hyacinthóque & purpura incolumem reduxit exercitum, laudans Deum autorem eius victoriæ, quę haud exiguum momentum ad futuram libertatem eis attulit. Lyſias autem ſequenti anno ad abolendam ignominiam nouum exercitum parauit: contractiſque lectiſſimorum militum ſexaginta millibus, & adiunctis quinque millibus equitum, Iudæam ingreſſus, mõtana eius aſcendit, & ad Bethſura vicum caſtra poſuit. Huic Iudas occurrit cum decem millibus: & cùm videret hoſtem longè præſtare numero, votis pro victoria factis, Deo fretus primam aciem aggreditur tanto impetu, vt eis quinque millia ſterneret: quo facto reliquis tantum terrorem incuſſit, vt Lyſias animaduertens eis certò ſtatutum aut mori aut in libertatem ſe aſſerere, veritus magis deſperationem eorum quàm vires, copias Antiochiam reduceret: vbi mercenarios conducens, & maiores vires colligens, parabat ſe vt ad primam opportunitatem bello Iudæos repeteret. Toties igitur profligatis Antiochi ducibus, Iudas perſuaſit ſuis, vt quandoquidem tam multas victorias Deus conceſſerat, aſcenderẽt Hieroſolyma, & luſtrato templo mactarent ſolennes victimas: vbi cùm inueniſſet templum deſertum, & portas eius incenſas, & in atriis virgulta enata propter ſolitudinem, lamentari cum ſuis cœpit ob tantam deformitatem. deſtinata deinde copiarum parte ad arcis oppugnationem, ipſe interim repurgare templum aggreſſus eſt: quod poſtquam accuratè factum eſt, intulit in illud vaſa noua, candelabrum, menſam, & altare incenſorum ex auro fabrefacta omnia. addidit & vela foribus oppandi ſolita, ac poſtremò fores quoque appoſuit. Diruto etiam holocauſtorum altari quod profanatum fuerat, nouum ex collaticiis ſaxis impolitis conſtruxit. Vigeſima autem & quinta menſis Chaſlei, quem Appellæum Macedones nominant, accenderunt lumina in candelabris, & ſuffitum fecerunt in altari, & panes ſupra menſam propoſuerunt: & in nouo altari holocautomata immolauerunt: idque accidit eadem die qua ante trienium ſacra eorum profanata fuerant. integro enim triennio deſertum fuit templum poſt factam ab Antiocho profanationem. ea enim incidit in annum centeſimum quadrageſimum quintum, & diem Apellęi menſis vigeſimum quintum, in Olympiadem CLIII. renouatum eſt autem eadem die CXLVIII. anno, Olympiade CLIIII. prædixerat autem eam deſolationem propheta Daniel antè anno CCCCVIII. diſertè dicens à Macedonibus profanandum. Celebrauit autem Iudas recepti templi feſtiuitatem per dies octo ſacrificans, in quibus nullum honeſtæ voluptatis genus omiſſum eſt, ſed populo quidem ſumptuoſum ac ſplendidum epulum eſt exhibitum, in Dei verò laudem hymnis & canticis

personabant omnia. Tanta verò lætitia ob reductos ritus patrios & priscam religionem occupauit gentis eius animos, maximè quòd ea felicitas ex insperato obtigerat, vt lex lata sit ad posteros, quę iuberet quotannis hoc festum reparati cum cæremoniis templi per octo dies celebrari: & ex eo tempore mos hic apud nostros obtinuit: vocamúsque hanc festiuitatem luminum, opinor ideo quòd ex insperato nobis illuxerit tanta felicitas. Circundatis deinde vrbi mœnibus, & extructis in eis firmis turribus custodias ad arcendum hostem imposuit: muniuítque Bethsuram oppidum, vt eo tanquam arce vti posset contra conatus hostium.

Quibus operibus perfectis, vicinæ gentes molestè ferētes Iudæorum vires resuscitari, per insidias adoriendo multos oppresserunt: cum quibus Iudas assiduè bellum gerens conabatur eorum incursationes compescere: quo tempore etiam Acrabatenam inuadens multos Idumęos Esau posteros interfecit & deprædatus est: & principis eorum Batanis filiorum castella, vnde Iudęos infestabant, vi capta cęsis propugnatoribus incendit. Quibus perdomitis in Ammanitas arma transtulit, quorum numerosam manum Timotheus ductabat, & his quoque deuictis, Iazorum eorum vrbem expugnauit: abductísque in captiuitatem vxoribus eorum ac liberis, direptam prius incēdit, atque ita domum victor reuersus est.

XII. Sed quàm primùm vicinæ gentes sensēre eius abitum, contractis copiis in Galaditica regione finitimos Iudæos adorti sunt. at illi refugiētes in castrum Dathema, significabant Iudæ per nuncios & literas, quòd oppugnandi essent à Timotheo, rogantes vt se huic periculo eriperet: & interim dum legit has literas superuenerunt Galilęorum nuncij, querentes se infestari à Ptolemaide, Tyro, Sidone, & aliis finitimis populis.

Cap. XII.

Quomodo diuisis copiis, Simon Tyrios & Ptolemaidenses, Iudas Ammanitas superat.

IVdas igitur prospiciens vtrorumque necessitatibus, Simonem fratrem cum tribus selectorum millibus mittit auxilio Iudæis habitātibus Galilæam: ipse assumpto Ionatha altero fratre cum octo militum millibus, in Galaditicam proficiscitur: quod supererat virium Iudææ præsidio reliquit sub Iosepho Zachariæ filio, & Azaria ducibus, quibus mandauit vt abstinerent à pugna tantisper dum ipse ad eos reuerteretur. Simon igitur postquam in Galilæam venit, congressus cum hoste coegit eum terga vertere, & fugientem persequutus vsque portas Ptolemaidis, occidit circiter tria millia: quibus spoliatis, receptos captiuos cum tota supellectile in Iudæam transtulit. Interea Iudas

A τὸν θεὸν μὲν τιμῶν, αὐτοὺς δὲ τέρπων. τοσαύτη δὲ ἐχρήσαντο περὶ τὴν ἀνανέωσιν τῶν ἐθῶν ἡδονῇ, μετὰ χρόνον πολὺν ἀπροσδοκήτως ἐν ἐξουσίᾳ γενόμενοι τῆς θρησκείας, ὡς νόμον θεῖναι τοῖς μετ' αὐτοὺς, ἑορτάζειν τὴν ἀνάκτησιν τῶν περὶ τὸν ναὸν, ἐφ' ἡμέρας ὀκτώ. καὶ ἐξ ἐκείνου μέχρι δεῦρο, τὴν ἑορτὴν ἄγομεν καλοῦντες αὐτὴν φῶτα, ἐκ τοῦ παρ' ἐλπίδας οἶμαι ταύτην ἡμῖν φανῆναι τὴν ἐξουσίαν, τὴν προσηγορίαν θέμενοι τῇ ἑορτῇ. B τειχίσας δὲ ἐν κύκλῳ τὴν πόλιν, καὶ πρὸς τὰς ἐπιδρομὰς τῶν πολεμίων πύργους οἰκοδομησάμενος ὑψηλοὺς, φύλακας ἐν αὐτοῖς ἐγκατέστησε. καὶ τὴν βεθσούραν δὲ πόλιν ὠχύρωσεν, ὅπως αὐτὴ φρουρείῳ αὐτῇ πρὸς τὰς ἀπὸ τῶν πολεμίων ἀνάγκας ἔχῃ χρῆσθαι. τούτων οὕτω γενομένων, τὰ πέριξ ἔθνη πρὸς τὴν ἀναζωπύρησιν καὶ τὴν ἰσχὺν τῶν ἰουδαίων χαλεπῶς διακείμενα, πολλοὺς ἐπισυνιστάμενα διέφθειρεν, ἐνέδραις καὶ ἐπιβουλαῖς αὐτῶν ἐγκρατῆ γενόμενα. C πρὸς τούτοις πολέμοις συνεχεῖς ἐκφέρων ἰούδας, ἐπέχειν αὐτοὺς τῆς καταδρομῆς, καὶ ὧν ἐποίουν κακῶς τοῖς ἰουδαίοις ἐπειρᾶτο. καὶ τοῖς ἠσαύου δὲ υἱοῖς ἰδουμαίοις κατ' ἀκραβετηνὴν ἐπιπεσὼν, πολλοὺς αὐτῶν ἀπέκτεινε καὶ ἐσκύλευσε. συγκλείσας δὲ καὶ τοὺς υἱοὺς τοῦ βαιάνου λοχῶντας τοὺς ἰουδαίους, περικαθίσας ἐπολιόρκει. καὶ τούς τε πύργους αὐτῶν ἐνεπίμπρα, καὶ τοὺς ἄνδρας διέφθειρεν. D ἔπειτ' ἐκεῖθεν ἐπὶ τοὺς ἀμμανίτας ὁρμήσας, δύναμιν μεγάλην καὶ πολυάνθρωπον ἔχοντας, ἧς ἡγεῖτο τιμόθεος, καὶ τούτοις χειρωσάμενος, τὴν ἰαζωρὸν ἐξῄρει πόλιν, καὶ τάς τε γυναῖκας αὐτῶν καὶ τὰ τέκνα λαβὼν αἰχμαλώτους, καὶ τὴν πόλιν ἐμπρήσας, εἰς τὴν ἰουδαίαν ἀνέστρεψε. μαθόντα δὲ αὐτὸν τὰ γειτονεύοντα τῶν ἐθνῶν ἀναστραφέντα, συναθροίζεται εἰς τὴν γαλααδῖτιν ἐπὶ τοὺς ἐν τοῖς ὁρείοις αὐτῶν ἰουδαίους. οἱ δὲ καταφυγόντες εἰς δάE θεμα τὸ φρούριον, πέμψαντες πρὸς ἰούδαν, ἐδήλουν αὐτῷ, ὅτι λαβεῖν ἐσπούδακεν ὁ τιμόθεος τὸ χωρίον εἰς ὃ συνεπεφεύγεσαν. ἀναγινωσκομένων δὲ τῶν ἐπιστολῶν τούτων, κἀκ τῆς γαλιλαίας ἄγγελοι παραγίνονται σημαίνοντες ἐπισυνῆχθαι τοὺς ἐκ πτολεμαΐδος καὶ τύρου καὶ σιδῶνος, καὶ τῶν ἀλλοφύλων τῆς γαλιλαίας.

Κεφάλαιον ιβ'.

F *Ὅτι στρατευσάμενοι ἰούδας καὶ σίμων, ὁ μὲν ἐπὶ ἀμμανίτας καὶ τὴν γαλααδῖτιν, ὁ δὲ σίμων ἐπὶ τυρίους καὶ πτολεμαεῖς, ἐκράτησαν αὐτῶν.*

ΠΡὸς οὖν ἀμφοτέρας τὰς τῶν ἠγγελμένων χρείας σκεψάμενος ὁ ἰούδας ὅ, τι χρὴ ποιεῖν, σίμωνα μὲν τὸν ἀδελφὸν προσέταξεν ὡς τρισχιλίους τῶν ἐπιλέκτων λαβόντα, τοῖς ἐν γαλιλαίᾳ βοηθὸν ἐξελθεῖν ἰουδαίοις. αὐτὸς δὲ καὶ ἰωνάθης ὁ ἕτερος ἀδελφὸς, μετὰ στρατιωτῶν ὀκτακισχιλίων ὥρμησαν εἰς τὴν γαG λααδῖτιν. κατέλιπεν δὲ ἐπὶ τῶν ὑπολοίπων τῆς δυνάμεως, ἰώσηπόν τε τὸν τοῦ ζαχαρίου καὶ ἀζαρίαν, προστάξας αὐτοῖς φυλάττειν ἐπιμελῶς τὴν ἰουδαίαν, καὶ συνάπτειν πόλεμον πρὸς μηδένα, ἕως ἂν αὐτὸς ἐπανέλθῃ. ὁ μὲν οὖν σίμων παραγενόμενος εἰς τὴν γαλιλαίαν, καὶ συμβαλὼν τοῖς ἐχθροῖς, εἰς φυγὴν αὐτοὺς ἔτρεψε. καὶ μέχρι τῶν πυλῶν τῆς πτολεμαΐδος διώξας, ἀπέκτεινεν αὐτῶν ὡς περὶ τρισχιλίους. καὶ τά τε σκῦλα λαβὼν τῶν ἀνῃρημένων καὶ τοὺς ᾐχμαλωτισμένους ὑπ' αὐτῶν ἰουδαίους, καὶ τὴν ἀποσκευὴν αὐτῶν ἐπαγόμενος, εἰς τὴν οἰκείαν ἀνέστρεψεν. ἰούδας δὲ ὁ μακκαβαῖος,

καὶ ὁ

καὶ ὁ ἀδελφὸς αὐτοῦ Ἰωνάθης διαβάντες τὸν Ἰορδάνην ποταμὸν, καὶ ὁδὸν ἀπ' αὐτοῦ τριῶν ἀνύσαντες ἡμερῶν, τοῖς Ναβαταίοις εἰρηνικῶς ὑπαντῶσι περιτυγχάνουσιν. ὧν διηγησαμένων τὰ περὶ τοὺς ἐν Γαλααδίτιδι, ὡς πολλοὶ κακοπαθοῦσιν αὐτῶν ἐν τοῖς φρουρίοις ἀπειλημμένοι, καὶ ταῖς πόλεσι τῆς Γαλααδίτιδος, καὶ παραινεσάντων αὐτῷ σπεύδειν ἐπὶ τοὺς ἀλλοφύλους, καὶ ζητεῖν ἀπ' αὐτῶν σώζειν τοὺς ὁμοεθνεῖς, πεισθεὶς ὑπέστρεψεν εἰς τὴν ἔρημον, καὶ προσπεσὼν πρώτοις τοῖς τὴν Βοσόρραν κατοικοῦσι, καὶ λαβὼν αὐτὴν, καταβαλὼν πᾶν τὸ ἄρρεν καὶ μάχεσθαι δυνάμενον διέφθειρε, καὶ τὴν πόλιν ὑφῆψεν. ἐπιγινομένης δὲ νυκτὸς, οὐδ' οὕτως ἐπέσχεν, ἀλλ' ὁδεύσας δι' αὐτῆς ἐπὶ τὸ φρούριον, ἔνθα τοὺς Ἰουδαίους ἐγκεκλεῖσθαι συνέβαινε, περικαθεζομένου τὸ χωρίον Τιμοθέου μετὰ τῆς δυνάμεως, ἕωθεν ἐπ' αὐτὸ παραγίνεται. καὶ καταλαβὼν ἤδη τοῖς τείχεσι προσβεβληκότας τοὺς πολεμίους, καὶ τοὺς μὲν κλίμακας ὥστε ἀναβαίνειν ἐπ' αὐτὰ, τοὺς δὲ μηχανήματα προσφέροντας, κελεύσας τὸν σαλπικτὴν σημαίνειν, καὶ παρορμήσας τοὺς στρατιώτας ὑπὲρ τῶν ἀδελφῶν καὶ συγγενῶν διακινδυνεῦσαι προθύμως, εἰς τρία διελὼν τὸν στρατὸν ἐπιπίπτει κατὰ νώτου τοῖς πολεμίοις. οἱ δὲ περὶ τὸν Τιμόθεον αἰσθόμενοι, ὅτι Μακκαβαῖος εἴη, πεῖραν ἤδη καὶ πρότερον αὐτοῦ τῆς ἀνδρείας καὶ τῆς ἐν τοῖς πολέμοις εὐτυχίας εἰληφότες, εἰς φυγὴν τρέπονται. ἐφεπόμενος δὲ μετὰ τοῦ στρατεύματος ὁ Ἰούδας, ἀναιρεῖ μὲν αὐτῶν ὀκτακισχιλίους. ἀπονεύσας δ' εἰς Μάλλην πόλιν οὕτω λεγομένην τῶν ἀλλοφύλων, λαμβάνει καὶ ταύτην, καὶ τοὺς μὲν ἄρρενας ἅπαντας ἀποκτείνει, τὴν δὲ πόλιν αὐτὴν ἐμπίπρησιν. ἄρας δ' ἐκεῖθεν τήν τε Χάσφωμα, καὶ Βοσὸρ, καὶ πολλὰς ἄλλας πόλεις τῆς Γαλααδίτιδος καταστρέφεται. χρόνῳ δ' ὕστερον οὐ πολλῷ Τιμόθεος δύναμιν μεγάλην παρασκευασάμενος, καὶ συμμάχους ἄλλους τε παραλαβὼν καὶ Ἀράβων τινὰς μισθῷ πείσας αὐτῷ συστρατεύειν, ἧκεν ἄγων τὴν στρατιὰν πέραν τοῦ χειμάρρου Ῥαφὼν ἀντικρύς. πόλις δ' ἦν αὕτη. καὶ παρεκελεύετο τοὺς στρατιώτας εἰ συμβάλοιεν εἰς μάχην τοῖς Ἰουδαίοις, προθύμως ἀγωνίζεσθαι, καὶ κωλύειν αὐτοὺς διαβαίνειν τὸν χείμαρρον. διαβάντων γὰρ ἡττᾶν αὐτοῖς προὔλεγεν. Ἰούδας δ' ἀκούσας παρασκευάζεσθαι τὸν Τιμόθεον πρὸς μάχην, ἀναλαβὼν πᾶσαν τὴν οἰκείαν δύναμιν, ἔσπευδεν ἐπὶ τὸν πολέμιον. καὶ περαιωσάμενος τὸν χείμαρρον ἐπιπίπτει τοῖς ἐχθροῖς. καὶ τοὺς μὲν αὐτῶν ὑπαντιάζοντας ἀνῄρει, τοὺς δ' εἰς δέος ἐμβαλὼν, ῥίψαντας τὰ ὅπλα φεύγειν ἠνάγκασε. καί τινες μὲν αὐτῶν διέδρασαν. οἱ δ' εἰς τὸ καλούμενον ἐν Καρναῒν τέμενος, συμφυγόντες, ἤλπισαν τεύξεσθαι σωτηρίας. Ἰούδας δὲ τὴν πόλιν καταβαλόμενος, αὐτούς τε ἀπέκτεινε, καὶ τὸ τέμενος ἐνέπρησε, ποικίλῃ χρησάμενος ἰδέᾳ τῆς ἀπωλείας τῶν πολεμίων. ταῦτα διαπραξάμενος, καὶ συναγαγὼν τοὺς ἐν τῇ Γαλααδίτιδι Ἰουδαίους μετὰ τῶν τέκνων καὶ γυναικῶν, καὶ τῆς ὑπαρχούσης αὐτοῖς ἀποσκευῆς, οἷός τε ἦν εἰς τὴν Ἰουδαίαν ἐπαναγαγεῖν. ὡς δ' ἧκεν ἐπί τινα πόλιν Ἔφρων ὄνομα, ἐπὶ τῆς ὁδοῦ κειμένην, καὶ οὔτε ἄλλην αὐτῷ ἐκτραπομένῳ βαδίζειν δυνατὸν ἦν, οὔτε ἀναστρέφειν ἤθελε, πέμψας πρὸς τοὺς ἐν αὐτῇ παρεκάλει τὰς πύλας ἀνοίξαντας ἐπιτρέψαι αὐτῷ διὰ τῆς πόλεως ἀπελθεῖν. τάς τε γὰρ πύλας λίθοις ἐμπεφράκεσαν, καὶ τὴν δίεξοδον ἐπετείνοντο. μὴ πειθομένων δὲ τῶν ἐμφραίων, παρορμήσας τοὺς μεθ' ἑαυτοῦ καὶ κυκλωσάμενος, ἐπολιόρκει. καὶ δι' ἡμέρας καὶ νυκτὸς προσκαθίσας, ἐξαιρεῖ τὴν πόλιν. καὶ πᾶν ὅσον ἄρρεν ἦν ἐν αὐτῇ κτείνας, καὶ καταπρήσας ἅπασαν

A cum fratre Ionatha trium dierum iter emensi, accepti sunt à Nabathæis pacificè: quorum indicio compererunt, quòd multi ex ipsorum fratribus in extremo essent periculo, obsessi ab hoste in castellis & oppidis Galaditicis: monitique vt properè illis succurrerent per desertum illuc festinauerunt. In eo itinere Barasam oppidum oppugnare adorti, vi ceperunt: cæsisque ad vnum puberibus, tecta igni subB iecto concremauerunt. Cúmque interim nox appeteret, nihilominus Iudas iter continuauit vsque castellum, in quo Iudæos obsideri acceperat. quò cùm manè peruenisset, offendit hostem iam scalas & machinas admouere mœnibus: iussóque tubicine canere, & cohortatus suos vt bonam ac fidelem operam præstarent periclitantibus fratribus, diuisis trifariam copiis oppugnatores à tergo aggreditur. Timothei verò milites cognito Maccabæum adC esse, cuius virtutem & felicitatem iam antè suo periculo didicerant, sine mora cœperunt fugere: ex quibus ad octo millia cecidêre, Iudæis acriter insequentibus. Inde ad Mallen barbarorum vrbem flexo itinere, eáque expugnata mares omnes neci tradidit, ædificia incendio sunt consumpta. Eodem impetu & Chaspoma & Bosora cum aliis Galaditicę regionis oppidis euersa sunt. Aliquàtò pòst Timotheus contractis numerosis copiis, & inter cæteros D auxiliares conducta manu Arabum, trans torrentem castra posuit contra oppidum Rafam. ibi hortatus est suos milites vt strenuè pugnarent, arcerénrque Iudæos à torrentis transitu. in hoc enim sitam victoriam, Iudæis futuris superioribus si transire potuerint. Iudas autem audito quòd Timothæus paratus esset ad prælium, properè contra eum duxit exercitum: traiectóque torrente adortus hostes, partim resistentes prostrauit, partim in fugā comE pulit, armis etiam passim abiectis. horum nonnulli celeritate pedum salutem consecuti sunt, quidam verò in fanum quod Carnain dicunt refugientes, tutos se ibi fore sperauerunt. At Iudas & oppidum id occupauit, & incenso templo hostium alios flammis, alios ferro perdidit. His rebus feliciter gestis, & contractis è tota regione Galaditica Iudæis, vnà cum vxoribus & liberis ac facultatibus in Iudæam eos traducebat. In eo itinere cùm venisset ad F Ephronem oppidum, per quod necessariò transeundum erat, nisi retrorsum reuerti mallet, misit ad oppidanos rogans vt patefacerent sibi transitum. nam obstructis portis viam interruperant. quod cùm ab Ephronitis impetrare non posset, cohortatus suos, corona oppugnauit mœnia: & diem ac noctem ibi remoratus vi cepit oppidum: occisísque omnibus maribus per incensi cineres traduxit

G

exercitum. tantus autem erat occisorum numerus vt in trāseundo calcanda essent cadauera. Traiecto deinde Iordane in magnum campum veniunt, quà sita est Bethsana, Græcis dicta Scythopolis. inde in Iudęam reditum est hilariter, canente hymnos & victoriale carmen multitudine: votiuásque hostias mactarūt pro incolumitate exercitus: quādoquidem post tot conflictus ne vnus quidem è Iudæis desideratus est. Interea Iosephus Zachariæ filius & Azarias duces, qui profecto Simone in Galilęam contra Ptolemaidenses, Iuda verò & Ionatha fratre in Galaditicam, præsidio Iudęæ relicti fuerant: volentes & ipsi aliquo memorabili facinore parare sibi gloriam, ad Iamniam venerunt. Vbi armis excepti à Gorgia eius loci præside, amiserūt ad duo millia militum: nec prius destiterunt fugere quàm in Iudęæ finibus. hæc autem clades meritò illis accidit, ob contemptum Iudæ mandatum, qui interdixerat ne se absente manus cum hoste consererent: nā hoc quoque Iudæ prouidentiam commendat, quòd intellexit non impunè fore si à mandatis discesserint. Iudas autem & fratres eius continuabant bellum contra Idumæos, vrgentes eos vndique: expugnatáque Chebrone munitiones eius diruerunt, & turres cremauerunt suppositis ignibus: peruastatisque agris hostium, euerterunt etiam Marissam oppidum, inde Azotum delati eodem impetu, expugnata ea quoque ac direpta, omnes ditati præda reuersi sunt in Iudæam victores & incolumes.

Cap. XIII.

Antiochi Epiphanis apud Persas interitus.

XIIII. *1. Mach. 6.* EOdem tempore Antiochus rex superiores sui regni prouincias obeundo, audiuit esse in Perside vrbem prædiuitem Elimaida nomine, & in ea templum Dianæ opulentum, refertum omne genus donariis: scuta etiam ac thoraces ibi asseruari, quondam relictos ab Alexandro Philippi filio, rege Macedonum. Motus igitur hac fama, admoto exercitu expugnare conatus est. His verò qui inerant nec aduentu eius nec oppugnatione territis, sed fortiter resistentibus, spe sua frustratus est. non contenti enim repulisse illum à mœnibus, recedētem etiam persecuti sunt, ita vt plurimis desideratis fugientis more Babylonem se reciperet. Quam cladē cùm ægrè ferret, nouus insuper accessit nuncius de profligatis quos ad Iudaicum bellum reliquerat ducibus, déq; Iudæorū in dies crescēte potētia. Accedēte igitur alia super alia cura, impar solicitudini morbū sibi cōtraxit: quo magis ac magis inualescente, intelligēs adesse fatale tēpus, amicos conuocat: eísq; & vim morbi & causam indicat: nimirū quòd pœnas ob afflictā Iudæorū gentē lueret, atq; ob spoliatū sacrilegio templum, & cōtemptum cęlestis numinis. atq; his dictis exhalauit animā. Quamobrē demiror Polybiū Megalo-

A αὐτὴν ὁδὸν ἔχει. τοσοῦτο δ᾽ ἦν τὸ τῶν πεφονευμένων πλῆθος ὡς ἐπ᾽ αὐτῶν βαδίζειν τῶν νεκρῶν. διαβάντες δὲ τὸν ἰορδάνην, ἧκον εἰς τὸ μέγα πεδίον, οὗ κεῖται κατὰ πρόσωπον πόλις βεθσαὴ καλουμένη πρὸς ἑλλήνων σκυθόπολις κἀκεῖθεν ὁρμηθέντες εἰς τὴν ἰουδαίαν παρεγένοντο, ψάλλοντές τε καὶ ὑμνῳδοῦντες καὶ τὰς συνήθεις ἐν τοῖς ἐπινικίοις παιδιὰς ἄγοντες. ἔθυσαν δὲ χαριστηρίους θυσίας ὑπέρ τε τῶν κατορθουμένων, B καὶ ὑπὲρ τῆς τοῦ στρατεύματος σωτηρίας. οὐδεὶς γὰρ ἐν τούτοις τοῖς πολέμοις τῶν ἰουδαίων ἀπέθανεν. ἰώσηπος δὲ ὁ ζαχαρίου καὶ ἀζαρίας, οὓς κατέλιπε στρατηγοὺς ὁ ἰούδας καθ᾽ ὃν καιρὸν σίμων μὲν ὑπῆρχεν ἐν τῇ γαλιλαίᾳ πολεμῶν τοὺς ἐν πτολεμαΐδι, αὐτὸς δὲ ὁ ἰούδας καὶ ὁ ἀδελφὸς αὐτοῦ ἰωνάθης ἐν τῇ γαλααδίτιδι, βουληθέντες καὶ αὐτοὶ δόξαν περιποιήσασθαι στρατηγῶν τὰ πολεμικὰ γενναίων, τὴν ὑπ᾽ αὐτοὺς δύναμιν ἀναλαβόντες, ἦλθον εἰς ἰάμνειαν. C γοργίου δὲ τοῦ τῆς ἰαμνείας στρατηγοῦ ὑπαντήσαντος συμβολῆς γενομένης δισχιλίους ἀποβάλλουσι τῆς στρατιᾶς, καὶ φεύγοντες ἄχρι τῶν τῆς ἰουδαίας ὅρων διώκονται. συνέβη δ᾽ αὐτοῖς τὸ πταῖσμα τοῦτο παρακούσασιν ὧν αὐτοῖς ἰούδας ἐπέστειλε, μὴ συμβαλεῖν εἰς μάχην μηδενὶ πρὸ τῆς ἐκείνου παρουσίας. πρὸς γὰρ τοῖς ἄλλοις αὐτοῦ στρατηγήμασι, καὶ τὸ κατὰ τοὺς περὶ τὸν ἰώσηπον καὶ τὸν ἀζαρίαν πταῖσμα θαυμάσειεν ἄν τις, ὃ συνῆκεν εἰ παρακινήσουσί τι τῶν ἐπεσταλμένων αὐτοῖς ἐσόμενον. D ὁ δὲ ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ πολεμοῦντες τοὺς ἰδουμαίους οὐκ ἀνίεσαν, ἀλλ᾽ ἐνέκειντο πανταχόθεν αὐτοῖς, μήν τε χεβρῶνα πόλιν καταλαμβανόμενοι, ὅσον ἦν ὀχυρὸν αὐτῆς καθεῖλον, καὶ τοὺς πύργους ἐμπρήσαντες, ἐδῄουν τὴν ἀλλοφύλων χώραν, καὶ μάρισαν πόλιν. εἰς ἄζωτον ἐλθόντες, καὶ λαβόντες αὐτὴν διήρπασαν, πολλὰ δὲ σκῦλα καὶ λείαν κομίσαντες, εἰς τὴν ἰουδαίαν ὑπέστρεψαν.

E

Κεφάλαιον ιγ᾽.

Ὡς ἀντίοχος ὁ ἐπιφανὴς ἐτελεύτησεν ἐν πέρσαις.

ΥΠὸ δὲ τὸν καιρὸν ἐκεῖνον καὶ ὁ βασιλεὺς ἀντίοχος, τὴν ἄνω χώραν ἐπερχόμενος, ἀκούει πόλιν ἐν τῇ περσίδι πλούτῳ διαφέρουσαν ἐλυμαΐδα τοὔνομα, καὶ πολυτελὲς ἱερὸν ἀρτέμιδος ἐν αὐτῇ, καὶ παντοδαπῶν ἀναθημάτων πλῆρες εἶναι. ἔτι γε μὴν F ὅπλα καὶ θώρακας ἃ καταλιπεῖν ἐπυνθάνετο τὸν υἱὸν τὸν φιλίππου, βασιλέα δὲ μακεδόνων ἀλέξανδρον. κινηθεὶς οὖν ὑπὸ τούτων, ὥρμησεν ἐπὶ τὴν ἐλυμαΐδα, καὶ προσβαλὼν αὐτὴν ἐπολιόρκει. τῶν δ᾽ ἐν αὐτῇ μὴ καταπλαγέντων τὴν ἔφοδον αὐτοῦ, μηδὲ τὴν πολιορκίαν, ἀλλὰ καρτερῶς ἀντισχόντων, ἀποκρούεται τῆς ἐλπίδος. ἀπωσάμενοι γὰρ ἀπὸ τῆς πόλεως καὶ ἐπεξελθόντες ἐδίωξαν. ὥστ᾽ αὐτὸν ἐλθεῖν εἰς βαβυλῶνα φεύγοντα καὶ πολλοὺς ἀποβαλόντα τῆς στρατιᾶς. G λυπουμένῳ δ᾽ ἐπὶ τῇ διαμαρτίᾳ ταύτῃ, προσαγγέλλουσί τινες καὶ τὴν τῶν στρατηγῶν ἧτταν, οὓς πολεμήσοντας τοῖς ἰουδαίοις καταλελοίπει, καὶ τὴν ἰσχὺν ἤδη τὴν τῶν ἰουδαίων. προσγενομένης οὖν, καὶ τῆς περὶ τούτων φροντίδος τῇ προτέρᾳ, συγχυθεὶς ὑπὸ ἀθυμίας εἰς νόσον κατέπεσεν, ἧς μηκυνομένης καὶ αὐξανομένων τῶν παθῶν, συνεὶς ὅτι μέλλει τελευτᾶν, συγκαλεῖ τοὺς φίλους. καὶ τήν τε νόσον αὐτοῖς χαλεπὴν οὖσαν ἐμήνυε, καὶ τοῦθ᾽ ὅτι ταῦτα πάσχει κακώσας τὸ ἰουδαίων ἔθνος παρεδήλου, συλήσας τε τὸν ναόν, καὶ τοῦ θεοῦ καταφρονήσας. καὶ ταῦτα λέγων ἐξέπνευσεν. ὥς τε θαυμάζειν πολύβιον τὸν μεγαλοπολίτην.

λίτην, ὃς ἀγαθὸς ὢν ἀνὴρ, ἀποθανεῖν λέγει τὸν ἀντίοχον, βουληθέντα τὸ τῆς ἐν πέρσαις ἀρτέμιδος ἱερὸν συλῆσαι. τὸ γὰρ μηκέτι ποιῆσαι τὸ ἔργον βουλευσάμενον, οὐκ ἔστι τιμωρίας ἄξιον. εἰ δὲ διὰ τοῦτο πολυβίῳ δοκεῖ καταστρέψαι τὸν βίον ἀντίοχον οὕτως, πολὺ πιθανώτερον διὰ τὴν ἱεροσυλίαν τοῦ ἐν ἱεροσολύμοις ναοῦ τελευτῆσαι τὸν βίον. ἀλλὰ περὶ μὲν τούτου οὐ διαφέρομαι, τὴν ὑπὸ τοῦ μεγαλοπολίτου λεγομένην αἰτίαν, παρὰ τὴν ὑφ' ἡμῶν ἀληθῆ νομίζουσιν.

Κεφάλαιον ιδ'.

Ὡς ἀντίοχος ὁ εὐπάτωρ ἰουδαίους νικήσας, ἐπολιόρκει ἰούδαν εἰς τὸ ἱερὸν ἐγκλείσας.

Ὁ δ' ἀντίοχος πρὶν ἢ τελευτᾶν καλέσας φίλιππον ἕνα τῶν ἑταίρων, τῆς βασιλείας αὐτὸν ἐπίτροπον καθίστησι. καὶ δοὺς αὐτῷ τὸ διάδημα καὶ τὴν στολὴν καὶ τὸν δακτύλιον, ἀντιόχῳ τῷ παιδὶ αὐτοῦ ταῦτα ἐκέλευσε κομίσαντα δοῦναι, δεηθεὶς προνοῆσαι τῆς ἀναστροφῆς, καὶ τηρῆσαι τὴν βασιλείαν ἐκείνῳ. ἀπέθανε δὲ ἀντίοχος θ' καὶ μ' καὶ ρ' ἔτει. λυσίας δὲ αὐτοῦ τὸν θάνατον δηλώσας τῷ πλήθει, τὸν υἱὸν αὐτοῦ ἀντίοχον, αὐτὸς γὰρ εἶχε τὴν ἐπιμέλειαν, ἀποδείκνυσι βασιλέα, καλέσας αὐτὸν εὐπάτορα. ἐν δὲ τούτῳ τῷ καιρῷ οἱ ἐν τῇ ἄκρᾳ τῶν ἱεροσολύμων φρουροὶ καὶ φυγάδες τῶν ἰουδαίων, πολλὰ τοὺς ἰουδαίους εἰργάσαντο. τοὺς γὰρ ἀναβαίνοντας εἰς τὸ ἱερὸν θῦσαι βουλομένους, ἐξαίφνης ἐκτρέχοντες οἱ φρουροὶ, διέφθειραν. ἐπέκειτο γὰρ τῷ ἱερῷ ἡ ἄκρα. τούτων οὖν συμβαινόντων αὐτοῖς, ἰούδας ἐξελεῖν διέγνω τὴν φρουρὰν, καὶ συναγαγὼν τὸν λαὸν ἅπαντα, τοὺς ἐν τῇ ἄκρᾳ καρτερῶς ἐπολιόρκει. ἔτος δ' ἦν τοῦτο τῆς ἀρχῆς τοῖς ἀπὸ σελεύκου ρ' καὶ ν'. κατασκευάσας οὖν μηχανήματα καὶ χώματα ἐγείρας φιλοπόνως προσέκειτο τῇ τῆς ἄκρας αἱρέσει. πολλοὶ δὲ τῶν ἐν αὐτῇ φυγάδων νύκτωρ ἐξελθόντες εἰς τὴν χώραν, καὶ τινὰς τῶν ὁμοίων καὶ ἀσεβῶν συναγαγόντες, ἧκον πρὸς ἀντίοχον τὸν βασιλέα, οὐκ ἀξιοῦντες ἑαυτοὺς ὑπερορᾶσθαι δεινὰ πάσχοντας ὑπὸ τῶν ὁμοφύλων, καὶ ταῦθ' ὑπομένοντας διὰ τὸν πατέρα αὐτοῦ, τὴν μὲν πάτριον αὐτῶν καταλείψαντας θρησκείαν, ἣν δὲ προσέταξε ταύτην ποιουμένους. κινδυνεύειν οὖν ὑπὸ ἰούδα καὶ τῶν σὺν αὐτῷ τὴν ἀκρόπολιν αἱρεθῆναι, καὶ τοὺς φρουροὺς τοὺς ὑπὸ τοῦ βασιλέως κατασταθέντας, εἰ μή τις παρ' αὐτοῦ βοήθεια πεμφθείη. ταῦτ' ἀκούσας ὁ παῖς ἀντίοχος, ὠργίσθη, καὶ τοὺς ἡγεμόνας καὶ φίλους μεταπεμψάμενος, ἐκέλευσε μισθοφόρους συναγαγεῖν, καὶ ἐκ τῆς βασιλείας τοὺς στρατεύσιμον ἡλικίαν ἔχοντας. καὶ συνήχθη στρατὸς πεζῶν μὲν, ὡσεὶ δέκα μυριάδες. ἱππεῖς δὲ δισμύριοι. ἐλέφαντες δὲ β' καὶ λ'. ταύτην οὖν ἀναλαβὼν τὴν δύναμιν, ἐξώρμησεν ἐκ τῆς ἀντιοχείας μετὰ λυσίου πάσης τῆς στρατιᾶς ἔχοντος τὴν ἡγεμονίαν. καὶ παραγενόμενος εἰς τὴν ἰδουμαίαν, ἐκεῖθεν εἰς βεθσούραν ἀναβαίνει πόλιν, σφόδρα ὀχυρὰν καὶ δυσάλωτον, καὶ περικαθίσας ἐπολιόρκει τὴν πόλιν. ἰσχυρῶς δὲ ἀντεχόντων τῶν βεθσουραίων, καὶ τὴν παρασκευὴν αὐτοῦ τῶν μηχανημάτων ἐμπρησάντων, ἐπεξῆλθον γὰρ αὐτῷ, χρόνος ἐτρίβετο πολὺς περὶ τὴν πολιορκίαν. ἰούδας δὲ τὴν ἔφοδον τοῦ βασιλέως ἀκούσας, ἀφίσταται

litanum. qui vir alioqui probus, ait hunc Antiochum periisse, quòd conatus sit Dianę templi thesauros ac donaria diripere. voluisse enim tantùm, ac non etiam perfecisse sacrilegium, non videtur res digna supplicio. quòd si hæc causa Polybio digna videtur, cur Antiochus deberet capite pœnas persoluere, multò verisimilius est ob exhaustum sacrilegiis Hierosolymitanum templum acceleratum esse eius interitum. Si quis tamen magis probat Polybij sententiam, cum eo nunc non libet contendere.

CAP. XIIII.

Antiochus Eupator profligato Iudæorum exercitu Iudam in templo obsidet.

Cæterùm Antiochus prius quàm extremum suum diem obiret, accitum ad se vnum ex purpuratis suis amicis Philippum gubernatorem regni constituit: traditóque ei diademate regiáque stola & anulo, iussit hæc Antiocho filio suo perlata reddere, multum obtestans vt educationis curam haberet, & regnum ei seruaret, vsque dum per ætatem ipse administrationi fieret idoneus. Defunctus est autem Antiochus anno centesimo quadragesimo nono. Lysias autem postea quam populo indicauit regis obitum, filium eius Antiochum sub sua tutela tum positum regem constituit, imposito illi Eupatoris cognomine. Interea qui Hierosolymitanæ arcis præsidium tenebant Macedones cum Iudæorum perfugis, multa Iudæis inferebant incommoda. Excurrentes enim in eos qui sacrorum causa templum adibant: conficiebãt eos non magno negotio, quòd arx ipsi templo esset supra verticem. Quamobrem Iudas necesse habuit, oppugnare id præsidium, aduocatis ad id totius populi viribus. Annus autem is agebatur centesimus quinquagesimus, ex quo primùm ad Seleucum imperium earum regionum peruenerat. Fabricatis igitur machinis, & extructis aggeribus, totus incumbebat huic operi. multi tamen perfugarum noctu elapsi, adiunctis sibi similibus impiis, venerunt ad Antiochum, postulantes ne se in extremum periculum à suis tribulibus redactos despiceret: maximè cùm patris ipsius autoritatem secuti, in eam necessitatem adducti sint, dum malunt patrios ritus quàm regia mandata contemnere. Nunc verò periculum esse ne Iudas arcem cum præsidio vi capiat, nisi ipse maturè suis opem afferat. His auditis Antiochus puer iratus est, accitisque amicis & ducibus, iussit eos mercenarium parare militem, & per totam suam ditionem delectus habere, ita vt breui confectus sit exercitus peditum circiter centum millium, equitum verò viginti millia, atque insuper duo & triginta elephanti. Cum his copiis egressus est Antiochiam cõmissa Lysię administratione vniuersi exercitus: & progressus vsque Idumęã, inde ascendit ad oppidum Bethsura, bene munitum & expugnatu non facile. Bethsuranis autem fortiter resistentibus, & admotas machinas per excursiones igne concremantibus, multum temporis contritum est in hoc obsidio. Iudas autem cognito regis aduentu, omissa

XIIII.

oppugnatione regi cum copiis obuiam profectus castra posuit circa fauces quasdam dictas Bethzacharia, dissitas ab hoste septuaginta stadiis. At rex relictis Bethsuris, exercitum duxit ad eas fauces vbi Iudas castra metauerat: & quàm primum dies illuxit, aciem ceu pugnaturus iussit ire compositam. Cúmque non posset elephantos explicare per aciei latitudinem propter locorum angustias, iussit vt vnus post alium incederent, attributis qui stiparent singulos mille peditibus, & equitibus quingentis. Beluis autem imposita erant celsa propugnacula instructa sagittariis. reliquum autem exercitum ab vtroque latere iussit montes ascendere, præpositis ex amicorum cohorte ducibus. atque ita sublato militari clamore hostem aggreditur, micans aureis & æreis clypeis, ita vt fulgore eorum coruscarent omnia. clamore autem reboabat quicquid erat in circuitu môtium. nec tamen Iudas tali aspectu est territus, sed excepto fortiter impetu hostium, circiter D C. ex eis occidit, qui primi ad manus venerant. Cæterùm Eleazarus eius frater, quem Auranem vocabant, conspicatus excellentem elephantum ornatum phaleris regiis, & ratus in eo regem inuehi, vasto animo in eum fecit impetum. & occisis multis prius quàm ad eum penetraret, cæteris verò metu cedentibus, succedens sub eius ventrem, confodit beluam, & ipse simul pondere eius illabentis oppressus est: atque ita non tamen inultus interiit generosè inter aceruos hostilium cadauerum. Iudas autem animaduertens hostem tanto superiorem numero, Hierosolyma se recepit, volens arcem iterum oppugnatione aggredi. Antiochus verò parte exercitus amissa ad oppugnanda Bethsura, cum reliquo venit Hierosolyma. Bethsuritæ territi apparatu regio, maximè cùm commeatus eos deficeret, deditionem fecerunt, pacti prius vt hostis à se iniuriam omnem abstineat: quod quidem à rege non nisi salute tenus seruatum est: alioqui nudis eiectis oppidanis, suorum præsidium ibi constituit. Sed apud Hierosolyma per multũ tempus cum tenuit templi obsidio, quod fortiter à Iudæis defensum est. nullam enim eis rex intentauit machinam, quam non illi contrariis machinationibus eluderent. tantum laborabatur victus penuria, quòd fruges veteres absumpserant, & annus inciderat septimus, per quem fructus non colliguntur, quòd eum cessare ab agricultura lex nostra iubeat, nec permittat tum vel arare terram, vel serere. quo factum est vt multi se clàm subducerent propter inopiam, vt penes paucos templi tutela remanserit. Cæterùm rex & Lysias imperator cognito quòd Philippus vsurpato sibi regno aduentaret è Perside, decreuerunt soluta obsidione illi occurrere, celantes tamen quantum fieri poterat id consilium, tam militem quàm duces reliquos. Quapropter dissimulato aduentu Philippi, iussit rex Lysiam vt alloqueretur duces & milites, dicens oppugnationem eam non esse modici temporis, quòd locus esset munitissimus, & com-

μὲν τῆς τὴν ἄκραν πολιορκεῖν. ἀπαντήσας δὲ τῷ βασιλεῖ, βάλλεται στρατόπεδον ἐπὶ τῶν στενῶν, ἔν τινι τόπῳ Βεθζαχαρία λεγομένῳ, σταδίους ἀπέχοντι τῶν πολεμίων ο´. ὁ δὲ βασιλεὺς ὁρμήσας ἀπὸ τῆς Βεθσούρας, ἤγαγε τὴν δύναμιν ἐπὶ τὰ στενὰ, καὶ τὸ τοῦ Ἰούδα στρατόπεδον. ἅμα ἡμέρα δὲ πρὸς μάχην διέταξε τὴν στρατιάν. τοὺς μὲν οὖν ἐλέφαντας ἐποίησεν ἀλλήλοις ἕπεσθαι διὰ τὴν στενοχωρίαν, οὐ δυναμένων αὐτῶν ἐπὶ πλάτος τετάχθαι. εἰς δὲ κύκλον ἐλέφαντος ἑκάστου, συμπαρῆσαν πεζοὶ μὲν χίλιοι, ἱππεῖς δὲ πεντακόσιοι. ἔφερον δὲ οἱ ἐλέφαντες, πύργους τε ὑψηλοὺς καὶ τοξότας. τὴν δὲ λοιπὴν δύναμιν ἑκατέρωθεν ἐποίησεν ἀναβαίνειν ἐπὶ τὰ ὄρη, τοὺς φίλους αὐτῆς προστάξας. κελεύσας δὲ ἀλαλάξαι τὴν στρατιὰν, προσβάλλει τοῖς πολεμίοις, γυμνώσας τάς τε χρυσᾶς καὶ χαλκᾶς ἀσπίδας, ὥς τε αὐγὴν ἀπ' αὐτῶν ἀφίεσθαι λαμπράν. συνεπήχει δὲ τὰ ὄρη κεκραγότων αὐτῶν. ταῦτα ὁρῶν ὁ Ἰούδας οὐ κατεπλάγη, δεξάμενος δὲ γενναίως τοὺς πολεμίους, τῶν προδρόμων περὶ ἑξακοσίους ἀναιρεῖ. Ἐλεάζαρος δὲ ὁ ἀδελφὸς αὐτοῦ, ὃν Αὐρὰν ἐκάλουν, ἰδὼν τὸν ὑψηλότατον τῶν ἐλεφάντων ὡπλισμένον θώραξι βασιλικοῖς, καὶ νομίζων ἐπ' αὐτοῦ τὸν βασιλέα εἶναι, παρεβάλλετο σφόδρα εὐκαρδίως ἐπ' αὐτὸν ὁρμήσας. καὶ πολλοὺς μὲν τῶν περὶ τὸν ἐλέφαντα κτείνας, τοὺς ἄλλους διεσκέδασεν. ὑποδὺς δὲ ὑπὸ τὴν γαστέρα καὶ πλήξας, ἀπέκτεινε τὸν ἐλέφαντα. ὁ δ' ἐπικατενεχθεὶς τῷ Ἐλεαζάρῳ, διαφθείρει τὸν ἄνδρα ὑπὸ τοῦ βάρους. καὶ οὗτος μὲν εὐψύχως πολλοὺς τῶν ἐχθρῶν ἀπωλέσας, τῷ τρόπῳ τούτῳ τὸν βίον κατέστρεψεν. ὁ δὲ Ἰούδας ὁρῶν τὴν τῶν πολεμίων ἰσχὺν ἀνεχώρησεν εἰς Ἱεροσόλυμα, καὶ πολιορκίαν παρεσκευάζετο. Ἀντίοχος δὲ, τὸ μὲν τῆς στρατιᾶς εἰς Βεθσούραν ἔπεμψε, πολεμήσον αὐτήν, τῷ δὲ λοιπῷ τῆς δυνάμεως αὐτὸς ἧκεν ἐπὶ τὰ Ἱεροσόλυμα. οἱ μὲν οὖν Βεθσουρῖται τὴν ἰσχὺν καταπλαγέντες, καὶ σπανίζοντα βλέποντες τὰ ἐπιτήδεια, παραδιδόασιν αὐτοὺς, ὅρκους λαβόντες ὑπὲρ τοῦ μηδὲν πείσεσθαι δεινὸν ὑπὸ τοῦ βασιλέως. Ἀντίοχος δὲ λαβὼν τὴν πόλιν, ἄλλο μὲν αὐτοὺς οὐδὲν διέθηκεν, ἢ μόνον γυμνοὺς ἐξέβαλε, φρουρὰν δὲ κατέστησεν ἰδίαν ἐν τῇ πόλει. πολλῷ δὲ χρόνῳ τὸ ἱερὸν πολιορκῶν τὸ ἐν Ἱεροσολύμοις προσεκαρτέρει, καρτερῶς τῶν ἔνδον ἀμυνομένων. πρὸς ἕκαστον γὰρ ὧν ὁ βασιλεὺς ἐπ' αὐτοὺς ἔστησε μηχάνημα, κἀκεῖνοι πάλιν ἀντεμηχανῶντο. τροφὴ δ' αὐτοῖς ἐπιλελοίπει, τοῦ μὲν ὄντος ἀπανηλωμένου καρποῦ, τῆς δὲ γῆς ἐκείνῳ τῷ ἔτει μὴ γεωργηθείσης, ἀλλὰ διὰ τὸ εἶναι τὸ ἕβδομον ἔτος καθ' ὃ νόμος ἐστὶν ἡμῖν ἀργὴν ἐᾶν τὴν χώραν, ἀσπόρου μεμενηκυίας. πολλοὶ τοιγαροῦν τῶν πολιορκουμένων ἀπεδίδρασκον διὰ τὴν τῶν ἀναγκαίων ἀπορίαν ὡς ὀλίγους ἐν τῷ ἱερῷ καταλειφθῆναι. καὶ τοῖς μὲν πολιορκουμένοις ἐν τῷ ἱερῷ, τοιαῦτα συνέβαινεν εἶναι τὰ πράγματα. Λυσίας δὲ ὁ στρατηγὸς, καὶ ὁ βασιλεὺς, ἐπειδὴ ὁ βασιλεὺς Φίλιππος αὐτοῖς ἀπὸ τῆς Περσίδος ἥκων ἐδηλώθη, καὶ τὰ πράγματα εἰς ἑαυτὸν κατασκευάζειν, εἶχον μὲν ὥς τε τὴν πολιορκίαν ἀφέντες, ἐπὶ τὸν Φίλιππον ὁρμᾶν. οὐ μὴν τοῦτο ποιῆσαι φανερὸν τοῖς στρατιώταις καὶ τοῖς ἡγεμόσιν ἔγνωσαν, ἀλλ' ἐκέλευσε τὸν Λυσίαν ὁ βασιλεὺς, αὐτοῖς τε καὶ τοῖς ἡγεμόσιν, ἐν κοινῷ διαλεχθῆναι, μηδὲν μὲν τῶν περὶ Φιλίππου ἐμφανίζοντα, τὴν δὲ πολιορκίαν ὅτι χρονιωτάτη γένοιτ' ἂν δηλοῦντα, καὶ τὴν ὀχυρότητα τοῦ χωρίου, καὶ ὅτι

καὶ τῆς τροφῆς αὐτοῖς ἤδη ἐπιλελοίπει, καὶ ὡς πολλὰ δεῖ καταστῆσαι τῶν ἐν τῇ βασιλείᾳ πραγμάτων, καὶ ὡς δοκεῖ πολὺ κρεῖττον εἶναι σπονδὰς ποιησαμένους πρὸς τοὺς πολιορκουμένους, καὶ φιλίαν πρὸς ὅλον αὐτῶν τὸ ἔθνος, ἐπιτρέψαντας αὐτοῖς χρῆσθαι τοῖς πατρίοις νόμοις ὧν ἀφαιρεθέντες ἐξεπολεμώθησαν, χωρεῖν ἐπὶ τὰ οἰκεῖα. ταῦτα τοῦ Λυσίου φήσαντος, ἠρέσθη τότε στράτευμα καὶ ἡγεμόνες τῇ γνώμῃ.

Κεφάλαιον ιε'.

Ὅτι πολλοῦ χρόνου τῇ πολιορκίᾳ τριβομένου, φιλίαν ποιησάμενος πρὸς Ἰούδαν, συμφερόντως ἀνεχώρησεν ἐκ τῆς Ἰουδαίας ὁ Ἀντίοχος.

Καὶ πέμψας ὁ βασιλεὺς πρὸς τὸν Ἰούδαν καὶ τοὺς σὺν αὐτῷ πολιορκουμένους, εἰρήνην τε ἐπηγγείλατο, καὶ συγχωρεῖν τοῖς πατρίοις νόμοις χρωμένους ζῆν. οἱ δὲ, ἀσμένως δεξάμενοι τοὺς λόγους λαβόντες ὅρκους τε καὶ πίστεις, ἐξῆλθον ἐκ τοῦ ἱεροῦ. εἰσελθὼν δὲ Ἀντίοχος εἰς αὐτὸ, καὶ θεασάμενος ὀχυρὸν οὕτως τὸ χωρίον, παρέβη τοὺς ὅρκους, καὶ κελεύει τὴν δύναμιν περιστᾶσαν, καθελεῖν τὸ τεῖχος εἰς ἔδαφος. καὶ ταῦτα ποιήσας, ἀνέστρεψεν εἰς Ἀντιόχειαν, ἐπαγόμενος Ὀνίαν τὸν ἀρχιερέα, ὃς καὶ Μενέλαος ἐκαλεῖτο. Λυσίας γὰρ συνεβούλευσε τῷ βασιλεῖ, τὸν Μενέλαον ἀνελεῖν, εἰ βούλεται τοὺς Ἰουδαίους ἠρεμεῖν, καὶ μηδὲν ἐνοχλεῖν αὐτῷ. τοῦτον γὰρ ἄρξαι τῶν κακῶν, πείσαντα αὐτοῦ τὸν πατέρα τοὺς Ἰουδαίους ἀναγκάσαι τὴν πάτριον θρησκείαν καταλιπεῖν. πέμψας οὖν τὸν Μενέλαον ὁ βασιλεὺς εἰς Βέρροιαν τῆς Συρίας διέφθειρεν, ἀρχιερατεύσαντα μὲν ἔτη ι'. πονηρὸν δὲ γενόμενον καὶ ἀσεβῆ, καὶ ἵνα αὐτὸς ἄρχῃ, τὸ ἔθνος ἀναγκάσαντα παραβῆναι τοὺς ἰδίους νόμους. ἀρχιερεὺς δ' ἐγένετο μετὰ τὸν τοῦ Μενελάου θάνατον Ἄλκιμος ὁ καὶ Ἰάκειμος κληθείς. ὁ δὲ βασιλεὺς Ἀντίοχος, εὑρὼν ἤδη τὸν Φίλιππον κρατοῦντα τῶν πραγμάτων, ἐπολέμει πρὸς αὐτὸν, καὶ λαβὼν αὐτὸν ὑποχείριον ἀπέκτεινεν. ὁ δὲ τοῦ ἀρχιερέως υἱὸς Ὀνίας, ὃν προείπομεν ἔτι παῖδα τελευτήσαντος ἀφεῖσθαι τοῦ πατρὸς, ἰδὼν ὅτι τὸν θεῖον αὐτοῦ Μενέλαον ὁ βασιλεὺς ἀνελὼν, τὴν ἀρχιερωσύνην Ἀλκίμῳ δέδωκεν οὐκ ὄντι τῆς ἀρχιερέων γενεᾶς, ἀλλ' ὑπὸ Λυσίου πεισθεὶς μεταθεῖναι τὴν τιμὴν ἀπὸ ταύτης τῆς οἰκίας εἰς ἕτερον οἶκον, φεύγει πρὸς Πτολεμαῖον τὸν Αἰγύπτου βασιλέα. καὶ τιμῆς ἀξιωθεὶς ὑπό τε αὐτοῦ καὶ τῆς γυναικὸς αὐτοῦ Κλεοπάτρας, λαμβάνει τόπον ἀξιώσας ἐν τῷ νομῷ τῷ Ἡλιοπολίτῃ. ἐν ᾧ καὶ ὅμοιον τῷ ἐν Ἱεροσολύμοις ᾠκοδόμησεν ἱερόν. περὶ τούτων μὲν οὖν δὲ καιρότερον ἡμῖν ἔσται δηλοῦν.

Κεφάλαιον ις'.

Ὡς Βακχίδης ὁ Δημητρίου στρατηγὸς ἐπιστρατευσάμενος τοῖς Ἰουδαίοις, ἄπρακτος ἀνέστρεψε πρὸς τὸν βασιλέα.

Ὑπὸ δὲ τὸν αὐτὸν καιρὸν φυγὼν Δημήτριος ἀπὸ Ῥώμης ὁ Σελεύκου υἱὸς, καὶ καταλαβόμενος τῆς Συρίας Τρίπολιν, περιτίθησι μὲν αὐτῷ διάδημα. συναγαγὼν δὲ τινὰς περὶ αὐτὸν μισθοφόρους εἰς τὴν βασιλείαν εἰσῆλθε. πάντων δ' αὐτὸν ἡδέως προσδεχομένων καὶ παραδιδόντων αὐτοὺς, συλλαβόντες δὲ καὶ Ἀντίοχον τὸν βασιλέα καὶ Λυσίαν, ζῶντας ἀνάγουσιν αὐτῷ. καὶ οὗτοι μὲν κελεύσαντος παραχρῆμα Δημητρίου διεφθάρησαν, βασιλεύσαντος

meatus eos iam deficerent, & auocarent multa regni negotia quæ opus esset regem componere. Itaque præstare fœdus & amicitiam cum hac gente facere, & sinere eos vti patriis legibus, quibus priuari se non sustinentes rebellauerant, atque ita redituros esse in suam quemque patriam. Quæ sententia per Lysiam apud exercitum exposita, communi omnium suffragio comprobata est.

Cap. XV.

Antiochus omissa oppugnatione cum Iuda fœdus facit & amicitiam.

Tum rex misso caduceatore pacem Iudæ ac cæteris obsessis denunciat, libertatémque viuendi propriis legibus. Illi verò libenter hæc audientes, accepta in hoc fide & iureiurando interposito, exiuerunt è templo. At Antiochus cùm ingressus vidisset locum egregiè munitum, violato sacramento iussit suum exercitum, vt solo æquaret murum quo templum septum fuerat: & hoc facto reuersus est Antiochiam, ducens secum Oniam pontificem, qui Menelaus dicebatur alio nomine. Lysias enim regi consuluit, vt eum interficeret: si vellet Iudæos quiescere, & ipse liber esse ab eorum molestationibus. hunc enim esse malorum omnium autorem & principium, qui persuasisset eius patri, vt Iudæos ab institutis patriis deficere cogeret. Rex igitur Menelaum missum in Berœam Syriæ necauit, post exactum in pontificatu decennium, hominem malum & impium, qui vt sibi principatum adstrueret, totam gentem à religione deficere compulit. ei successit in pótificatum Alcimus, Iacimus alio dictus nomine. Cæterùm Antiochus cùm offendisset Philippum iam occupasse tyrannidem, bello victum, & in potestatem suam redactum affecit supplicio. Filius autem pontificis Onias, quem diximus orbatum patre adhuc puerum, videns quòd rex interfecto ipsius patruo sacerdotium Alcimo dedisset, nihil pertinenti ad cognationem pótificum, Lysia suadente vt transferret eum honorem in aliam familiam, fugit ad Ægypti regem Ptolemæum: apud quem & vxorem eius Cleopatram in precio habitus, impetrauit ab eis locum in præfectura Heliopolitana, in quo templum Hierosolymitano simile extrueret; de quo aliàs dicemus tempestiuiùs.

Cap. XVI.

Bacchides Demetrij dux cum exercitu contra Iudæos missus, infecto negotio ad suum regem reuertitur.

Eodem tempore Demetrius Seleuci filius à Roma profugus Tripolim occupat in Syria: assumptóq; diademate, & contractis quotquot potuit militibus mercenariis regnum inuadit: cúmque certatim ad eum populi deficerent, excipientes eum obuiis manibus, etiam Antiochum regem & Lysiam comprehensos viuos ad eum perduxerunt: qui mox iussu Demetrij necati sunt, post exactum regni

XV. 1.Mach.7.

Antiochi annum alterum, sicut & in aliis commentariis diximus. Ad nouum regem confluxerunt multi Iudęorum ob impietatem profugi, & cum eis Alcimus pontifex: accusabántque totam gentem, præcipuè Iudam cum fratribus, quòd post interfectos omnes amicos & fautores regis, se quoque eiecissent è patria: metu coactos solum vertere: postulabántque vt ex amicis quempiam eò mitteret, qui cognosceret quanta per Iudam patrata fuerint. at ille iratus mittit eò Bacchidem amicum regis Antiochi Epiphanis, virum strenuum, cui tum Mesopotamiæ præfectura credita fuerat: & cõmendato illi Alcimo, traditóque exercitu, iubet vt Iudam & eum sequentes internecione deleat. Ille profectus Antiochia cum his copiis, postquam peruenit in Iudæam, misit ad Iam & fratres, inuitans eos ad pacem & amicitiam. Volebat enim dolo eum circumuenire. Sed ille noluit ei se credere, quòd videret adesse exercitum, quem putabat adductum belli potius quàm pacis gratia. Quidam tamen è populo credentes his quæ Bacchides per præconem denunciauerat, & nihil sibi timentes ab Alcimo propter communem patriam, ad eos se contulerunt. & accepro ab vtroque iureiurando, nihil mali passuros nec se nec eiusdem factionis homines, eorum fidei se commiserunt, Bacchides autem non seruata fide sexaginta interfectis ex eo numero, cæteros cautiores iam factos deterruit, quo minus ad eum accederent. itaque amoto exercitu à Hierosolymis postquam peruenit ad vicum Bethzetho, comprehendit multos perfugas, & quosdam è populo, & occisis omnibus iussit eius regionis homines parere Alcimo, ad cuius præsidium relicta sub eo parte exercitus, Antiochiam ad regem Demetrium reuersus est. Alcimus autem volens principatum sibi constabilire, & intelligens ad hanc rem opus esse popularium beneuolentia, comiter ac blandè appellabat omnes, & loquendo singulis ad gratiam, breui numerosam manum adiunxit ad priorem quàm antè habuerat. horum plerique erant impij & profugi, quorum opera & ministeriis vtendo regionem obibat, occidens eos qui erant Iudæ partium, quotquot in suam potestatem redigere poterat. at Iudas animaduertens tantopere creuisse illis potentiam, & multos probos ac pios homines extinctos eius violentia, ipse quoque obibat regionem, interficiens quotquot in manus eius venirent è studiosis Alcimi. Qui videns se viribus imparem, quo posset diutius resistere, decreuit confugere ad auxilium & opes regis Demetrij. Profectus igitur Antiochiam solicitabat contra Iudam illius animum, accusans quòd plurimas ab eo passus esset iniurias, plures etiã passurus, nisi maturè misso illuc exercitu, vir audax & facinorosus pœnas debitas lueret.

ἀντιόχου ἔτει β', καθὼς ἤδη που καὶ ἐν ἄλλοις δεδήλωται. συνελθόντες δὲ πρὸς αὐτὸν πολλοὶ τῶν ἰουδαίων πονηροὶ καὶ φυγάδες, καὶ μετ' αὐτῶν ἄλκιμος ὁ ἀρχιερεὺς, κατηγόρουν τοῦ ἔθνους παντὸς, καὶ τοῦ ἰούδα καὶ τῶν ἀδελφῶν αὐτοῦ, λέγοντες ὡς τοὺς φίλους αὐτοῦ πάντας ἀπέκτειναν, καὶ ὅσοι τὰ ἐκείνου φρονοῦντες καὶ περιμένοντες αὐτὸν ὑπῆρχον ἐν τῇ βασιλείᾳ, τούτους ἀπολωλέκασιν, αὐτούς τε τῆς οἰκείας γῆς ἐκβαλόντες, ἀλλοτρίας ἐπήλυδας πεποιήκασιν. ἀξιοῦντες πέμψαντα τῶν ἰδίων τινὰ φίλων, γνῶναι δι' αὐτοῦ τὰ ὑπὸ τῶν περὶ τὸν ἰούδαν τετολμημένα. ὁ δὲ δημήτριος παροξυνθεὶς ἐκπέμπει βακχίδην φίλον ἀντιόχου τοῦ ἐπιφανοῦς βασιλέως ἄνδρα χρηστὸν, καὶ τὴν μεσοποταμίαν ἅπασαν πεπιστευμένον, δοὺς αὐτῷ δύναμιν, καὶ τὸν ἀρχιερέα παραθέμενος αὐτῷ ἄλκιμον, ἐντειλάμενος αὐτῷ κτεῖναι ἰούδαν καὶ τοὺς σὺν αὐτῷ. ἐξορμήσας δὲ ἀπὸ τῆς ἀντιοχείας ὁ βακχίδης μετὰ τῆς δυνάμεως, καὶ παραγενόμενος εἰς τὴν ἰουδαίαν, ἔπεμψε πρὸς τὸν ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ περὶ φιλίας καὶ εἰρήνης διαλεγόμενος. δόλῳ γὰρ αὐτὸν ἐβούλετο λαβεῖν. ὁ δ' οὐκ ἐπίστευσεν. ἑώρα γὰρ ὅτι μετὰ στρατιᾶς πάρεστι τοσαύτης, μεθ' ὅσης ἐπὶ πόλεμόν τις, ἀλλ' οὐκ ἐπ' εἰρήνην ἔρχεται. τινὲς μέντοι γε τῶν ἐκ τοῦ δήμου προσέχοντες οἷς ὁ βακχίδης ἐπικηρυκεύσατο, καὶ νομίσαντες οὐδὲν αὐτοὺς ὑπὸ ἀλκίμου πείσεσθαι δεινὸν ὄντος ὁμοφύλου, πρὸς αὐτοὺς ἀνεχώρησαν. καὶ λαβόντες ὅρκους παρ' ἀμφοτέρων, μήτε αὐτοὺς τι παθεῖν, μήτε τοὺς ἐκ τῆς αὐτῆς ὄντας προαιρέσεως, ἐπίστευσαν αὐτοῖς ἐκείνοις. ὁ δὲ βακχίδης ὀλιγωρήσας τῶν ὅρκων, ξ' μὲν αὐτῶν ἀπέκτεινε. τοὺς δὲ ἄλλους, ὅσοι διενοοῦντο πρὸς αὐτὸν ἀναχωρεῖν, ἀπέστρεψε, τοῖς πρώτοις τὴν πίστιν μὴ φυλάξας. ἐπεὶ δ' ἐκ τῶν ἱεροσολύμων ἀπελθὼν, κατὰ κώμην βηθζηθὼ λεγομένην ἐγένετο, πέμψας συλλαμβάνει πολλοὺς τῶν αὐτομόλων καί τινας τοῦ λαοῦ, καὶ πάντας ἀποκτείνας προσέταξε τοῖς ἐν τῇ χώρᾳ πᾶσιν, ὑπακούειν ἀλκίμῳ καὶ μετὰ στρατιᾶς τινὸς ἵν' ἔχῃ τηρεῖν τὴν χώραν αὐτοῦ καταλιπὼν αὐτὸν, εἰς ἀντιόχειαν πρὸς τὸν βασιλέα δημήτριον ὑπέστρεψεν. ἄλκιμος δὲ τὴν ἀρχὴν αὐτοῦ βουλόμενος βεβαιώσασθαι, καὶ συνεὶς ὅτι κατασκευάσας εὔνουν τὸ πλῆθος ἀσφαλέστερον ἄρξει, χρηστοῖς ἅπαντας ὑπήγετο λόγοις. καὶ πρὸς ἡδονὴν ἑκάστῳ καὶ χάριν ὁμιλῶν, ταχὺ δὴ μάλα χεῖρα πολλὴν καὶ δύναμιν περιεβάλλετο. τούτων δ' ἦσαν οἱ πλείους ἐκ τῶν ἀσεβῶν καὶ πεφυγαδευμένων, οἷς ὑπηρέταις καὶ στρατιώταις χρώμενος, ἐπήρχετο τὴν χώραν, καὶ ὅσους ἐν αὐτῇ τὰ ἰούδα φρονοῦντας εὕρισκεν, ἐφόνευεν. ὁρῶν δὲ τὸν ἄλκιμον ἤδη μέγαν ὁ ἰούδας γινόμενον, καὶ πολλοὺς διεφθαρκότα τῶν ἀγαθῶν καὶ ὁσίων τοῦ ἔθνους, καὶ αὐτὸς ἐπιπορευόμενος τὴν χώραν, διέφθειρε τοὺς τὰ αὐτὰ ἐκείνῳ φρονοῦντας. βλέπων δ' αὐτὸν ὁ ἄλκιμος ἀντέχειν τῷ ἰούδᾳ μὴ δυνάμενον, ἀλλ' ἡττώμενον αὐτοῦ τῆς ἰσχύος, ἐπὶ τὴν παρὰ δημητρίου τοῦ βασιλέως συμμαχίαν ἔγνω καταφυγεῖν. παραγενόμενος οὖν εἰς ἀντιόχειαν, παρώξυνεν αὐτὸν ἐπὶ τὸν ἰούδαν, κατηγορῶν ὡς πολλὰ μὲν ὑπ' αὐτοῦ πεπόνθοι κακά. πλείω δὲ γένοιτ' ἂν εἰ μὴ προκαταληφθείη, καὶ δῷ δίκην, δυνάμεως ἰσχυρᾶς ἐπ' αὐτὸν ἀποσταλείσης.

Κεφάλαιον ιζ.

Ὡς Νικάνωρ μετὰ τὸν Βακχίδην πεμφθεὶς στρατηγὸς, ἀπώλετο σὺν τῷ στρατῷ.

Ὁ δὲ Δημήτριος, τὰ τ' ἤδη καὶ τοῖς ἰδίοις αὐτοῦ πράγμασιν ἐπισφαλὲς ἡγησάμενος εἶναι τὸ περιιδεῖν Ἰούδαν ἐν ἰσχύι τοσαύτῃ γενόμενον, ἐκπέμπει Νικάνορα, τὸν εὐνούστατον αὐτῷ καὶ πιστότατον τῶν φίλων. οὗτος γάρ ἐστιν ὁ καὶ ἀπὸ τῆς Ῥωμαίων πόλεως αὐτῷ συμφυγών, καὶ δοὺς δύναμιν ὅσην ἀρκέσειν ὑπέλαβεν αὐτῷ πρὸς τὸν Ἰούδαν, ἐκέλευσεν αὐτῷ μηδεμίαν φειδὼ ποιεῖσθαι τοῦ ἔθνους. ὁ δὲ Νικάνωρ παραγενόμενος εἰς Ἱεροσόλυμα, πολεμεῖν μὲν εὐθὺς οὐ διέγνω τῷ Ἰούδᾳ, δόλῳ δ' ὑποχείριον λαβεῖν ἐκεῖνον, θεραπεύσει λόγοις εἰρηνικοῖς αὐτὸν, μηδεμίαν μὲν ἀνάγκην εἶναι φάσκων πολεμεῖν καὶ κινδυνεύειν, ὅρκους δ' αὐτῷ διδόναι περὶ τοῦ μηδὲν πείσεσθαι δεινόν. ἥκειν γὰρ μετὰ φίλων ἐπὶ τῷ ποιῆσαι φανερὰν αὐτοῖς τὴν Δημητρίου τοῦ βασιλέως διάνοιαν, ὡς περὶ τοῦ γένους αὐτῶν φρονεῖ. ταῦτα διαπρεσβευσαμένου τοῦ Νικάνορος, Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ πεισθέντες, καὶ μηδεμίαν ἀπάτην ὑποπτεύσαντες, διδόασι πίστεις αὐτῷ, καὶ δέχονται τὸν Νικάνορα μετὰ τῆς δυνάμεως. ὁ δὲ ἀσπασάμενος τὸν Ἰούδαν καὶ μεταξὺ προσομιλῶν, δίδωσι τοῖς οἰκείοις τὸ σημεῖον, ὅπως συλλάβωσι τὸν Ἰούδαν. ὁ δὲ συνεὶς τὴν ἐπιβουλὴν, ἐκπηδήσας πρὸς τοὺς ἰδίους συνέφυγε. φανερᾶς δὲ τῆς προαιρέσεως αὐτοῦ καὶ τῆς ἐνέδρας ὁ Νικάνωρ γενομένης, πολεμεῖν ἔκρινε τῷ Ἰούδᾳ. καὶ συγκροτήσας καὶ παρασκευασάμενος πρὸς τὴν μάχην, συμβαλὼν κατά τινα κώμην Καφαρσαλαμᾶ, καὶ νικήσας, ἀναγκάζει τὸν Ἰούδαν ἐπὶ τὴν ἐν τοῖς Ἱεροσολύμοις ἄκραν φυγεῖν. ἐπεὶ δ' αὐτοῦ κατιόντι ἐκ τῆς ἄκρας εἰς τὸ ἱερὸν, ἀπαντήσαντες τῶν ἱερέων τινὲς καὶ πρεσβυτέρων ἠσπάζοντο, καὶ τὰς θυσίας ἐπεδείκνυον, ἃς ὑπὲρ τοῦ βασιλέως ἔλεγον προσφέρειν τῷ θεῷ, ὁ δὲ βλασφημήσας αὐτοὺς ἠπείλησεν, εἰ μὴ παραδῷ τὸν Ἰούδαν ὁ λαὸς αὐτῷ, καθαιρήσειν ὅταν ἐπανέλθῃ τὸν ναόν. καὶ ὁ μὲν ταῦτα ἀπειλήσας ἐξῆλθεν ἀπὸ τῶν Ἱεροσολύμων. οἱ δὲ ἱερεῖς εἰς δάκρυα διὰ τὴν ἐπὶ τοῖς εἰρημένοις λύπην προέπεσον, καὶ τὸν θεὸν ἱκέτευον ῥύσασθαι ἐκ τῶν πολεμίων αὐτούς. ὁ δὲ Νικάνωρ, ὡς ἐκ τῶν Ἱεροσολύμων ἐξελθὼν ἐγένετο κατά τινα κώμην, Βεθωρὼν λεγομένην αὐτόθι στρατοπεδεύεται, προσγενομένης αὐτῷ καὶ ἄλλης ἀπὸ Συρίας δυνάμεως. Ἰούδας δὲ ἐν Ἀδασοῖ, ἑτέρᾳ κώμῃ σταδίους ἀπεχούσῃ τριάκοντα τῆς Βεθωρὼν ἐστρατοπεδεύετο, εἰς χιλίους ἅπαντας ἔχων. τούτους παρορμήσας μὴ καταπλαγῆναι τὸ τῶν ἐναντίων πλῆθος, μηδὲ λογίζεσθαι πρὸς πόσους ἀγωνίζεσθαι μέλλουσιν, ἀλλὰ τίνες ὄντες καὶ περὶ οἵων ἐπάθλων κινδυνεύουσιν ἐνθυμουμένους, εὐψύχως ὁμόσε χωρῆσαι τοῖς πολεμίοις, ἐπὶ τὴν μάχην ἐξάγει. καὶ συμβαλὼν τῷ Νικάνορι, καὶ καρτερᾶς τῆς μάχης γινομένης, κρατεῖ τῶν ἐναντίων. καὶ πολλούς τε αὐτῶν ἀπέκτεινε, καὶ τελευταῖον αὐτὸς ὁ Νικάνωρ λαμπρῶς ἀγωνιζόμενος ἔπεσεν. οὗ πεσόντος, οὐδὲ τὸ στράτευμα ἔμεινεν, ἀλλὰ τὸν στρατηγὸν ἀπολέσαντες, εἰς φυγὴν ἐτράπησαν ῥίψαντες τὰς πανοπλίας. ἐπιδιώκων δὲ ὁ Ἰούδας ἐφόνευε, καὶ ταῖς σάλπιγξι ταῖς πέριξ κώμαις ἐσήμαινεν, ὅτι νικᾷ τοὺς πολεμίους. οἱ δ' ἐν αὐταῖς ἀκούοντες, ἐξεπήδων ὡπλισμένοι, καὶ τοῖς φεύγουσιν ἀπαντῶντες, ἔκτεινον αὐτοὺς γινομε-

CAP. XVIII.

Nicanor post Bacchidem dux contra Iudam missus vnà cum vniuerso exercitu internecione perijt.

XVI. 1.Mach.7.

DEmetrius verò ne suis quidem rebus tutum existimans, si ita Iudæ vires augeri sineret, Nicanorem mittit, amicorum charissimum simul & fidissimum: qui etiam Roma fugienti comes fuerat: attributóque quantum satis contra Iudam putabat exercitu, iussit nemini parcendo cum ea gente bellum gerere. Is profectus Hierosolyma, & primum dissimulans hostem, decreuit specie pacificatoris dolo Iudam intercipere. aiebat enim nihil esse causæ cur belli subire deberent aleam. paratum se illi cauere iureiurando sanctissimo, si quid fortè periculi metuat. In hoc enim tantùm se venisse cum amicorum comitatu, vt mentem sui regis ei notam faceret, quàm propensus sit in fauorem Iudaici generis. hac legatione persuasi fratres, nihil amplius hostile suspicati, data vicissim & accepta fide exceperunt eum hospitaliter cum toto exercitu. Cúmque post primam salutationem colloquerentur cum Iuda familiariter, signum suis quibusdam is dedit vt eum comprehenderent. ille maturè intellectis insidiis properè ad suos refugit: & detecto iam dolo ad apertam vim vterque se vertit. Commisso deinde prælio prope vicum Capharsalamam, inferior inde discedens Iudas in Hierosolymitanam arcem compulsus est. Reuertenti deinde præter templum Nicanori sacerdotes facti sunt obuiam, ostentantes victimas, quas se dicebant oblaturos Deo pro salute regis Demetrij. at Macedo ne à conuiciis quidem in Deum temperans, minatus est nisi populus Iudam sibi traderet, breui se reuersurum, & in templum ipsum sæuiturum, ita vt ad solum vsque id diruat. atque cum his minis reliquit Hierosolyma. at sacerdotes tali denunciatione mœsti cum lacrymis Deo supplicauerunt, vt sacratam sibi ædem vnà cum suis cultoribus tutaretur ab hostium iniuria. Nicanor verò egressus Hierosolyma castris locum optauit apud vicũ Bethoron, vbi se cũ eo coniunxit alia manus recẽs tũ è Syria veniẽs. Iudas quoq; castra posuit ad aliũ vicũ nomine Adaso, triginta modò stadiis distantẽ ab hostibus, habẽs circa se nõ plus mille militum. hos cohortatus ne terreantur hostiũ multitudine, néve cogitẽt cũ quàm multis decernerẽt, sed quales ipsi, & pro qualib. præmiis cõtenderent, iussit forti animo hostem aggredi & pugnam capessere. itaq; edito acri certamine, multi ceciderũt ex hostibus, & inter cæteros Nicanor & ducis & militis strenui perfunctus officio. quo iacẽte ne cętera quidem acies substitit amplius, sed amisso duce verterunt terga, arma iactantes quo expeditiùs fugerẽt. Iudas verò impigrè cũ suis persequens sternebat cędib⁹: & tuba significabat vicinis oppidis & vicis victoriã: moxque vndique armati prosilientes, profligatis inconditè ruẽtib. oc-

currebant infestis gladiis, ita vt ne vnus quidem incolumis euaserit ex nouem millibus: tot.n.in vniuersum fuerant. Ea victoria cōtigit decimatertia die mensis Adar, vt nostri nominant, qui Macedonibus Dystrus dicitur: eaque die festiuitatem nostri per singulos annos renouant ob rei prosperè gestæ memoriam. Post eam victoriam aliquantisper quieuit Iudæorum gens à continuis conflictationibus, pacis ocio perfruens, donec iterum in eadem reuoluta est discrimina. Alcimo autem pontifici volenti demoliri veterem adyti parietem, sanctorum vatum ædificium, morbus diuinitus inflictus est, per quem repentè voce priuatus in terram procidit, & cruciatus non paucis diebus miserè periit, post exactum in sacerdotio quadriennium: quo defuncto pontificatum populus communibus suffragiis Iudæ tradidit. Qui quoniam multa audierat de Romana potentia, quòd deuictis Gallis & Hispanis ac Carthaginensibus Græciam quoque subegerint, & reges Perseum, Philippum, magnúmque Antiochum perdomuerint, decreuit conciliare sibi eorum amicitiam. Missis igitur in hoc Romam duobus ex amicorum numero, Eupolemo Ioannis & Iasone Eleazari filio, rogauit vt in societatem reciperetur & amicitiã, & vt Demetrio scriberent ne posthac Iudæos bello lacesseret. Hanc legationem senatus admisit, & auditis eorum postulatis amicitiam annuit. móxque senatusconsultum de ea re factum inscriptum æreis tabulis relatum est in Capitolium: cuius exemplar in Iudæam missum est. erat autem senatusconsultum de societate & amicitia Iudæorum huiusmodi. Ne cui Romanæ ditionis cum Iudæis bellum gerere liceat, neque prębere hostibus eorum triticum aut naues aut pecuniam. vtque si quis Iudæos inuadat Romani succurrant pro viribus: & vicissim si quis Romanos bello impetat, Iudæi contra eum sint auxilio. Quòd si Iudæi velint in hoc fœdere addi aliquid aut detrahi, id oportere fieri de communi populi Romani sententia: idque ita demum ratum fore. Scriptum est hoc senatusconsultum per Eupolemum Ioannis filium, & Iasonem Eleazari, sub pontifice Iuda, & duce Simone fratre ipsius. Atque hoc fuit primum inter Romanos & Iudæos fœdus societatis ac amicitiæ.

XVII. 1.Mach. 8.

Cap. XVIII.

XVIII. 1.Mach.9.

Bacchidis denuò missi in Iudæam victoria.

Demetrius autem accepto nuncio cladis Nicanoris & exercitus, rursum Bacchidem in Iudæam misit cum aliis copiis: qui ex Antiochia profectus in Iudæam, ad Arbela oppidum Galilęæ castra posuit: & expugnatis illic speluncis ad quas magnus hominum numerus confugerat, properabat inde Hierosolyma. & cognito quòd Iudas in Berzetho vico suũ cōtineret militẽ, raptim contra eũ duxit peditũ viginti, equitũ verò duo millia, cũ Iudas nõ pl⁹ haberet quàm mille milites. ex his quidã territi multitudine Bacchidis militũ, desertis castris diffugerũt, ita vt octingẽti tãtũ reliqui fuerint.

A νοι κατὰ πρόσωπον., ὥς τε ἐκ τῆς μάχης ταύτης οὐδεὶς διέφυγεν, ὄντων ἀριθμὸν τῶν ἐννακισχιλίων. Τὴν δὲ νίκην συνέβη γενέσθαι ταύτην τῇ ιγʹ. τοῦ μηνὸς τοῦ λεγομένου, παρὰ μὲν ἰουδαίοις ἀδάρ, κατὰ δὲ μακεδόνας δύστρου. ἄγουσι δ' ἐν τούτῳ τὰ νικητήρια κατὰ πᾶν ἔτος, καὶ ἑορτὴν νομίζουσι τὴν ἡμέραν. ἐξ ἐκείνου μέν τοι χρόνου πρὸς ὀλίγον τὸ τῶν ἰουδαίων ἔθνος τῶν πολέμων ἀναπαυσάμενον, καὶ εἰρήνης ἀπολαῦον, ἔπειτ' εἰς ἀγῶνας πάλιν καὶ κινB δύνους κατέστη. τῷ δ' ἀρχιερεῖ τῷ ἀλκίμῳ βουληθέντι καθελεῖν τὸ τεῖχος τοῦ ἁγίου, ὂν παλαιὸν καὶ κατασκευασμένον ὑπὸ τῶν ἁγίων προφητῶν, πληγή τις αἰφνίδιος ἐκ τοῦ θεοῦ προσέπεσεν. ὑφ' ἧς ἄφωνός τε ἐπὶ τὴν γῆν κατηνέχθη, καὶ βασανισθεὶς ἐπὶ συχνὰς ἡμέρας ἀπέθανεν, ἀρχιερατεύσας ἔτη δʹ. τελευτήσαντος δὲ τούτου, τὴν ἀρχιερωσύνην ὁ λαὸς τῷ ἰούδᾳ δίδωσιν. ὃς ἀκούσας περὶ τῆς ῥωμαίων δυνάμεως, καὶ ὅτι καταC πεπολεμήκασι τήν τε γαλατίαν καὶ τὴν ἰβηρίαν, καὶ καρχηδόνα τῆς λιβύης, καὶ πρὸς τούτοις τὴν ἑλλάδα κεχείρωνται, καὶ τοὺς βασιλεῖς περσέα τε καὶ φίλιππον, καὶ τὸν μέγαν ἀντίοχον, ἔγνω φιλίαν πρὸς αὐτοὺς ποιήσασθαι. πέμψας οὖν εἰς τὴν ῥώμην τῶν αὐτοῦ φίλων εὐπόλεμον τὸν ἰωάννου υἱόν, καὶ ἰάσονα τὸν ἐλεαζάρου, παρεκάλει δι' αὐτῶν συμμάχους εἶναι, καὶ φίλους, καὶ δημητρίῳ γράψαι ὅπως μὴ πολεμῇ τοῖς D ἰουδαίοις. ἐλθόντας δὲ εἰς τὴν ῥώμην τοὺς παρὰ τοῦ ἰούδα πρεσβευτὰς, ἡ σύγκλητος δέχεται, καὶ διαλεχθεῖσα περὶ ὧν ἐπέμφθησαν, τὴν συμμαχίαν ἐπινεύει. ποιήσασα δὲ περὶ τούτου δόγμα, τὸ μὲν ἀντίγραφον εἰς τὴν ἰουδαίαν ἀπέστειλε. αὐτὸ δ' εἰς τὸ καπετώλιον, εἰς χαλκᾶς ἐγγράψαντες δέλτους ἀνέθεσαν. ἦν δὲ τοιοῦτον δόγμα συγκλήτου, περὶ συμμαχίας καὶ εὐνοίας τῆς πρὸς τὸ ἔθνος τῶν ἰουδαίων. μηδένα τῶν ὑποτεταγμένων ῥωμαίοις πολεμεῖν τῷ ἰουδαίων ἔθνει, μηE δὲ τοῖς πολεμοῦσι χορηγεῖν, ἢ σῖτον ἢ πλοῖα ἢ χρήματα. ἐὰν δὲ ἐπίωσι τινὲς ἰουδαίοις βοηθεῖν ῥωμαίους αὐτοῖς, κατὰ τὸ δυνατόν. καὶ πάλιν ἄν, τῇ ῥωμαίων ἐπίωσι τινὲς, ἰουδαίους αὐτοῖς συμμαχεῖν. ἂν δέ τι πρὸς ταύτην τὴν συμμαχίαν θελήσῃ τὸ τῶν ἰουδαίων ἔθνος ἢ προσθεῖναι ἢ ἀφελεῖν, τοῦτο κοινῇ γίνεσθαι γνώμῃ τοῦ δήμου τῶν ῥωμαίων. ὃ δ' ἂν προστεθῇ τοῦτ' εἶναι κύριον. ἐγράφη τὸ δόγμα ὑπὸ εὐπολέμου τοῦ ἰωάννου παιδὸς, F καὶ ὑπὸ ἰάσονος τοῦ ἐλεαζάρου, ἐπὶ ἀρχιερέως μὲν τοῦ ἔθνους ἰούδα, στρατηγοῦ δὲ σίμωνος τοῦ ἀδελφοῦ αὐτοῦ. καὶ τὴν μὲν πρώτην ῥωμαίοις πρὸς ἰουδαίους φιλίαν καὶ συμμαχίαν, οὕτω συνέβη γενέσθαι.

Κεφάλαιον ιηʹ.

Ὅτι πάλιν ἐπὶ τὴν ἰουδαίαν βακχίδης ἐκπεμφθεὶς ἐνίκησε.

Δημήτριος δ' ἀπαγγελθείσης αὐτῷ τῆς νικάG νορος τελευτῆς, καὶ τῆς ἀπωλείας τοῦ σὺν αὐτῷ στρατεύματος, πάλιν τὸν βακχίδην μετὰ δυνάμεως εἰς τὴν ἰουδαίαν ἐξέπεμψεν. ὃς ἐκ τῆς ἀντιοχείας ἐξορμήσας καὶ παραγενόμενος εἰς ἰουδαίαν ἐν ἀρβήλοις πόλει τῆς γαλιλαίας στρατοπεδεύεται. καὶ τοὺς ἐν τοῖς ἐκεῖ σπηλαίοις ὄντας, πολλοὶ γὰρ εἰς αὐτὰ συμπεφεύγασι, ἐκπολιορκήσας καὶ λαβὼν, ἄρας ἐκεῖθεν ἐπὶ τὰ ἱεροσόλυμα σπουδὴν ἐποιεῖτο. μαθὼν δὲ τὸν ἰούδαν ἔν τινι κώμῃ βηρζηθὼ τοὔνομα κατεστρατοπεδευμένον, ἐπ' αὐτὸν ἠπείγετο μετὰ πεζῶν μὲν δισμυρίων, ἱππέων δὲ δισχιλίων. τῷ ἰούδᾳ δ' ἦσαν οἱ πάντες χίλιοι. οὗτοι τὸ βακχίδου πλῆθος θεωρήσαντες ἔδεισαν, καὶ τὴν παρεμβολὴν καταλιπόντες, ἔφυγον πάντες, πλὴν ὀκτακοσίων.

Ἰούδας δὲ καταλειφθεὶς ὑπὸ τῶν οἰκείων στρατιωτῶν καὶ πολεμίων ἐπικειμένων, καὶ μηδένα καιρὸν αὐτῷ πρὸς συλλογὴν τῆς δυνάμεως ἐπιτρεπόντων, οἷός τε ἦν μετὰ τῶν ω' συμβαλεῖν τοῖς μετὰ τοῦ Βακχίδου. καὶ προτρεπόμενος γε τούτους εὐψύχως ὑφίστασθαι τὸν κίνδυνον, παρεκάλει χωρεῖν ἐπὶ τὴν μάχην. τῶν δὲ λεγόντων ὡς οὐκ εἰσὶ πρὸς τοσοῦτον μέγεθος στρατιᾶς ἀξιόμαχοι, συμβουλευόντων δὲ νῦν μὲν ἀναχωρεῖν καὶ σώζειν αὑτούς, αὖθις δὲ συναγαγόντα τοὺς ἰδίους, τοῖς ἐχθροῖς συμβαλεῖν, μὴ τοῦτ' εἶπεν ἥλιος ἐπίδοι γενόμενον, ἵνα ἐγὼ τὰ νῶτα μου δείξω τοῖς πολεμίοις. ἀλλ' εἰ καὶ τελευτὴν ὁ παρὼν μοι καιρὸς φέρει, καὶ δεῖ πάντως ἀπολέσθαι μαχόμενον, στήσομαι γενναίως πᾶν ὑπομένων τὸ μέλλον, ἢ τοῖς ἤδη κατορθωμένοις καὶ τῇ περὶ αὐτῶν δόξῃ προσβαλὼν τὴν ἐκ τῆς νῦν φυγῆς ὕβριν. καὶ ὁ μὲν ταῦτα πρὸς τοὺς ὑπολειφθέντας παρακαλῶν, τοῦ κινδύνου καταφρονήσαντας ὁμόσε χωρῆσαι τοῖς πολεμίοις ἔλεγεν.

Κεφάλαιον ιθ'.

Ὡς Ἰούδας διεφθάρη μαχόμενος.

Ὁ δὲ Βακχίδης ἐξαγαγὼν ἐκ τοῦ στρατοπέδου τὴν δύναμιν πρὸς μάχην παρετάσσετο. καὶ τοὺς μὲν ἱππεῖς ἐξ ἑκατέρων τῶν κεράτων ἔταξε, τοὺς δὲ ψιλοὺς καὶ τοξότας, προεστήσατο ἁπάσης τῆς φάλαγγος. αὐτὸς δὲ ἦν ἐπὶ τοῦ δεξιοῦ κέρως. οὕτως δὲ συντάξας τὴν στρατιὰν ἐπεὶ προσέμιξε τῷ τῶν πολεμίων στρατοπέδῳ, σημῆναι τὸν σαλπιγκτὴν ἐκέλευσε, καὶ τὴν στρατιὰν ἀλαλάξασαν προσιέναι. τὸ δὲ αὐτὸ ποιήσας ὁ Ἰούδας, συμβάλλει τοῖς πολεμίοις. καὶ καρτερῶς ἀμφοτέρων ἀγωνιζομένων, καὶ τῆς μάχης μέχρι δυσμῶν παρατεινομένης, ἰδὼν ὁ Ἰούδας τὸν Βακχίδην καὶ τὸ καρτερὸν ἐν τῷ δεξιῷ κέρατι τυγχάνον τῆς στρατιᾶς, παραλαβὼν τοὺς εὐψυχοτάτους, ὥρμησεν ἐπ' ἐκεῖνο τὸ μέρος τῆς τάξεως. καὶ προσβαλὼν τοῖς ἐκεῖ, διασπᾷ αὐτῶν τὴν φάλαγγα. ὠσάμενος δὲ εἰς μέσους, εἰς φυγὴν αὐτοὺς ἐβιάσατο, καὶ διώκει μέχρις Ἀζᾶ ὄρους οὕτω λεγομένου. θεασάμενοι δὲ τὴν ῥοπὴν τῶν ἐν τῷ δεξιῷ κέρατι, οἱ τὸ εὐώνυμον ἔχοντες, ἐκυκλώσαντο τὸν Ἰούδαν διώκοντες, καὶ λαμβάνουσι μέσον αὐτὸν κατόπιν γενόμενοι. ὁ δὲ φυγεῖν οὐ δυνάμενος, ἀλλὰ περιεχόμενος ὑπὸ τῶν πολεμίων στὰς ἐμάχετο μετὰ τῶν σὺν αὐτῷ. πολλοὺς δὲ κτείνας τῶν ἀντιπάλων καὶ κατάκοπος γενόμενος, καὶ αὐτὸς ἔπεσεν, ἐπὶ καλοῖς μὲν πρότερον γεγενημένος, ἐφ' ὁμοίοις δὲ ὅτε ἀπέθνησκε τὴν ψυχὴν ἀφείς. πεσόντος δὲ Ἰούδα, πρὸς μηδένα τὸ λοιπὸν ἀφορᾶν ἔχοντες οἱ σὺν αὐτῷ, στρατηγοῦ δὲ τοιούτου στερηθέντες ἔφυγον. λαβόντες δὲ τὸ σῶμα παρὰ πολεμίων ὑπόσπονδον Σίμων καὶ Ἰωνάθης οἱ ἀδελφοὶ τοῦ Ἰούδα, κομίσαντες εἰς τὴν Μωδεὶμ κώμην, ὅπου καὶ ὁ πατὴρ αὐτῶν τέθαπτο, κηδεύουσι, πενθήσαντος ἐπὶ συχνὰς αὐτὸν τοῦ πλήθους ἡμέρας, καὶ τιμήσαντος κοινῇ τοῖς νενομισμένοις. καὶ τέλος μὲν τοιοῦτον κατέσχεν Ἰούδαν, ἄνδρα γενναῖον καὶ μεγαλοπόλεμον γενόμενον, καὶ τῶν τοῦ πατρὸς ἐντολῶν Ματθίου μνήμονα, καὶ πάνθ' ὑπὲρ τῆς τῶν πολιτῶν ἐλευθερίας καὶ δρᾶσαι καὶ παθεῖν ὑποστάντα. τοιοῦτος οὖν τὴν ἀρετὴν ὑπάρξας, μέγιστον αὐτοῦ κλέος καὶ μνημεῖον κατέλιπεν ἐλευθερώσας τὸ ἔθνος, καὶ τῆς ὑπὸ Μακεδόσιν ἐξαρπάσας αὐτὸ δουλείας. καὶ τὴν ἀρχιερωσύνην ἔτος τρίτον κατασχὼν, ἀπέθανεν.

Iudas autem quamuis imminente iam hoste destitueretur milite, tamen quia non erat vnde delectum in supplementum faceret, maximè in tali temporis angustia, decreuit cum octingentis illis Bacchidem aggredi, & cohortatus vt generosè subirent pericula, iussit eos prodire in aciem. quibus consulentibus vt tunc se in tutum reciperet, cùm sit tanto inferior & numero & viribus, ac mox maioribus copiis hostem inuaderet: Absit, inquit, vt me terga obuertentem hostibus sol aspiciat. nam etiam si mori nûc oporteat, nunquam tot res hactenus egregiè gestas, tantámque virtute partam gloriam ignominiosa fuga maculaturus sum. Atque ita suorum reliquias cohortatus, persuasit vt intrepidè expectarent conflictum hostium.

CAP. XIX.

Quomodo Iudas prælio victus occubuit.

Interea Bacchides productis extra castra copiis instruebat aciem, equitum alas hinc & inde in vtroque cornu collocans, in fronte leuem armaturam & sagittarios, & post hos robur phalangis Macedonicæ: ipse in dextro cornu locum sibi optauit. Sic instructa acie postquam venit in conspectum hostium, iussit signa canere, & militem cum clamore eos inuadere. Idem & Iudas fecit, collatísque signis certatum est vtrinque acriter: donec vergente iam sole, Iudas animaduertens Bacchidem cum robore militum pugnam in dextro cornu ciere, cum audacissima manu iuuenû in eum irruit. Perruptáque phalange penetrauit in mediam aciem: & impulsis in fugam aduersariis, persecutus est eos vsque montem qui Aza dicitur: id conspicati qui sinistrum cornu tenebant, à tergo adorti Iudam circumueniunt. qui videns nullum superesse effugium vrgentibus circumquaque hostibus in vestigio cum suis constitit: & cæsis hostium plurimis lassitudine magis quàm vulneribus confectus cecidit non inultus, ad priora præclara facinora extremo hoc mortis decore addito. quo prostrato non habentes amplius quem sequerentur milites orbati tanto imperatore, tum demum in fugam effusi sunt. Simon autem & Ionathas fratres induciis factis recepto Iudæ cadauere, delatum in Modim vicum magnifico funere intulerunt monumento patrio, & publico luctu per aliquammultos dies honorauerunt eius memoriam. Hic finis fuit Iudæ viri generosissimi & bellicosissimi, qui memor mandatorum Matthiæ patris, nullum vnquam pro libertate popularium defugit aut laborem aut periculum. quapropter meritò virtutis sempiternam post se reliquit gloriam, liberata è Macedonum seruitute patria, & per triennium ante obitum administrato pontificali sacerdotio.

ΤΑΔΕ ΕΝΕΣΤΙ ΕΝ ΤΩ ΤΡΙΣΚΑΙΔΕΚΑΤΩ ΛΟΓΩ ΤΩΝ ΙΩσήπου ἱστοριῶν τῆς ἰουδαϊκῆς ἀρχαιολογίας.

Ὡς ἰωνάθης ἀδελφὸς ὢν ἰούδα, τελευτήσαντος αὐτοῦ, τὴν ἡγεμονίαν παρέλαβεν. Κεφ. α

Ὡς πολεμήσας βακχίδην, ἠνάγκασε φιλίαν ποιησάμενον πρὸς αὐτὸν ἀπελθεῖν ἐκ τῆς χώρας. Κεφ. β

Ὅτι ἀλέξανδρος ὁ τοῦ ἐπιφανοῦς ἀντιόχου υἱὸς ἐλθὼν εἰς συρίαν, ἐξήνεγκε πόλεμον πρὸς δημήτριον. Κεφ. γ

Ὡς δημήτριος πρεσβευσάμενος πρὸς ἰωνάθην, ποιεῖται συμμαχίαν πρὸς αὐτὸν πολλοῖς δωρησάμενος. Κεφ. δ

Ὡς ἀλέξανδρος ταῦτ' ἀκούσας καὶ ὑπερβαλὼν τὰ παρὰ δημητρίου, καὶ ἀποδείξας ἰωνάθην ἀρχιερέα, συμμαχεῖν ἔπεισεν αὐτῷ. Κεφ. ε

Ἡ ὀνίου φιλία πρὸς τὸν φιλομήτορα πτολεμαῖον, καὶ ὡς ᾠκοδόμησε τὸν ὀνίου καλούμενον ναὸν πρὸς τὸν ἐν ἱεροσολύμοις ὄντα. Κεφ. ϛ

Ὅτι ἀλέξανδρος ἀποθανόντος δημητρίου, σφόδρα ἐτίμησεν ἰωνάθην. Κεφ. ζ

Ὡς δημήτριος ὁ δημητρίου παῖς πλεύσας εἰς τὴν συρίαν ἀπὸ κρήτης καὶ πολεμήσας τὸν ἀλέξανδρον καὶ κρατήσας, αὐτὸς ἐβασίλευσε, φιλίαν πρὸς ἰωνάθην ποιησάμενος. Κεφ. η

Ὡς τρύφων ὁ ἀπαμεὺς καταπολεμήσας δημήτριον, ἀντιόχῳ τῷ ἀλεξάνδρου υἱῷ παρέδωκε τὴν βασιλείαν, ποιησάμενος καὶ αὐτὸς σύμμαχον ἰωνάθην. Κεφ. θ

Ὡς δημητρίου ὑπὸ πάρθων αἰχμαλώτου ληφθέντος ὁ τρύφων, παρεσπόνδησε τὸν ἰωνάθην, καὶ δόλῳ λαβὼν αὐτὸν ἀπέκτεινε, καὶ πόλεμον ἐξήνεγκε πρὸς τὸν ἀδελφὸν αὐτοῦ σίμωνα. Κεφ. ι

Ὡς σίμωνι τῷ ἀδελφῷ αὐτοῦ τὴν στρατηγίαν ἐνεχείρισε τὸ ἔθνος, καὶ ἀπέδειξεν αὐτὸν ἀρχιερέα. Κεφ. ια

Ὡς ὁ σίμων ἐπολιόρκησεν ἐν δώροις τρύφωνα σύμμαχος γενόμενος ἀντιόχῳ τῷ δημητρίου ἀδελφῷ, τῷ καὶ εὐσεβεῖ ἐπικληθέντι. Κεφ. ιβ

Ὡς τρύφωνος ἀναιρεθέντος, ἀντίοχον ἐπολέμησε σίμων, καὶ κενδεβαῖον τὸν στρατηγὸν αὐτοῦ νικήσας, τῆς ἰουδαίας ἐξέβαλεν. Κεφ. ιγ

Ὅτι ὑπὸ γαμβροῦ πτολεμαίου ἐν συμποσίῳ δολοφονηθεὶς ὁ σίμων ἀπέθανεν. Κεφ. ιδ

Ὅτι πτολεμαῖος τὴν ἀρχὴν ἐπεχείρησε κατασχεῖν, καὶ πῶς ὑρκανὸς τὴν ἡγεμονίαν παρέλαβεν. Κεφ. ιε

Ὡς στρατευσάμενος ἐφ' ὑρκανὸν ἀντίοχος ὁ εὐσεβὴς, καὶ προσκαθίσας τῇ τῶν ἱεροσολυμιτῶν πόλει, διέλυσε τὴν πολιορκίαν, λαβὼν παρὰ ὑρκανοῦ τάλαντα τ', καὶ συμμαχίαν πρὸς αὐτὸν καὶ φιλίαν θέμενος. Κεφ. ιϛ

Ὑρκανοῦ στρατεία ἐπὶ συρίαν. Κεφ. ιζ

Ὡς ἀντίοχος ὁ κυζικηνὸς ἐλθὼν βοηθῆσαι τοῖς σαμαρεῦσι ἡττηθεὶς διέφυγε. Κεφ. ιη

HÆC IOSEPHI DECIMOTERTIO ANTIQVITATVM Iudaicarum libro continentur.

Ionathas defuncto fratri suo Iudæ in principatu succedit. Cap. 1.

Ionathas fessum bello Bacchidem compellit, inito cum Iudæis fœdere exercitum abducere. Cap. 2.

Alexander filius Antiochi Epiphanis regem Demetrium bello aggreditur. Cap. 3.

Demetrius missa legatione ad Ionatham multis muneribus eum ad amicitiam suam pertrahit. Cap. 4.

Alexander maioribus quàm Demetrius pollicitationibus, & delato Pontificatu Ionatham in partes suas traducit. Cap. 5.

Onias in amicitiam à Ptolemæo Philometore receptus templum Oniæ dictum ad Hierosolymitani similitudinem ædificat. Cap. 6.

Quòd Alexander post mortem Demetrij Ionatham in summo honore habuit. Cap. 7.

Demetrius Demetrij filius cùm è Creta in Syriam traiecisset, deuicto Alexandro & occupato regno, in fœdus & amicitiam Ionatham recipit. Cap. 8.

Tryphon Apamenus post deuictum Demetrium Antiocho Alexandri filio regnum asserit, recepto in amicitiam Ionatha. Cap. 9.

Demetrio à Parthis capto Tryphon fœdus violat, & Ionatha dolo capto atque interfecto Simoni eius fratri bellum infert. Cap. 10.

Quòd Simoni Iudæorum gens & Pontificatum simul & copiarum imperium detulit. Cap. 11.

Simon Tryphonem in Dora compulsum oppugnat, inito cum Antiocho, cui Pius cognomen erat, fœdere. Cap. 12.

Postquam Tryphon interfectus esset, bello inter Antiochum & Simonem orto, Cendebæus dux regius è Iudæa profligatur. Cap. 13.

Quòd Simon à genero suo Ptolemæo in conuiuio per dolum occisus est. Cap. 14.

Quomodo frustratis Ptolemæi conatibus, Hyrcanus principatu potitus est. Cap. 15.

Quòd Antiochus cognomento Pius, ducto contra Hyrcanum exercitu, & obsessis Hierosolymis placatus ccc. talentis fœdus cum eo iniit. Cap. 16.

Hyrcani expeditio in Syriam. Cap. 17.

Quòd Antiochus Gyzicenus Samaritis auxilium ferens victus aufugit. Cap. 18.

Ὅτι

Ὅτι παραλαβὼν ἀριστόβουλος τὴν ἀρχὴν, διάδημα πρῶτος ἐπιτίθεται. Κεφ. ιθ
Ἀλεξάνδρου τοῦ ἰουδαίων βασιλέως στρατεῖαι. Κεφ. κ
Πτολεμαίου τοῦ λαθούρου πρὸς αὐτὸν μάχη καὶ νίκη. Κεφ. κα
Ὡς στρατευσάμενος δημήτριος ὁ εὔκαιρος ἐπὶ ἀλέξανδρον, ἐκράτησεν αὐτοῦ. Κεφ. κβ
Ἀντιόχου τοῦ διονύσου λεγομένου, στρατεία ἐπὶ ἰουδαίαν, καὶ ὡς ἐκράτησε τῇ μάχῃ. Κεφ. κγ
Ὡς μετὰ τὴν ἀλεξάνδρου τελευτὴν ἡ γυνὴ αὐτοῦ ἀλεξάνδρα, τὴν βασιλείαν κατέχει. Κεφ. κδ

Quòd Ariſtobulus primus diadema ſibi impoſuit. Cap. 19.
Alexandri Iudæorum regis res geſtæ. Cap. 20.
Ptolemæi Lathuri de Alexandro victoria. Cap. 21.
Demetrius Eucærus Alexandrum prælio ſuperat. Cap. 22.
Antiochi Dionyſij in Iudæam expeditio. Cap. 23.
Alexandro mortuo vxor Alexandra in regnum ſuccedit. Cap. 24.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΙΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ

ΛΟΓΟΣ ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΣ.

FLAVII IOSEPHI ANTIQVITATVM IVDAICARVM

LIBER DECIMVSTERTIVS.

Κεφάλαιον α'.

Ὡς ἰωνάθης μετὰ τὸν ἀδελφὸν ἰούδαν τὴν ἡγεμονίαν παρέλαβεν.

Τίνι μὲν οὖν τρόπῳ τὸ τῶν ἰουδαίων ἔθνος καταδουλωσαμένων αὐτὸ τῶν μακεδόνων ἀνεκτήσατο τὴν ἐλευθερίαν, καὶ δι' ὅσων καὶ πηλίκων ἀγώνων ὁ στρατηγὸς αὐτῶν ἐλθὼν ἰούδας, ἀπέθανεν ὑπὲρ αὐτῶν μαχόμενος, ἐν τῇ πρὸ ταύτης βίβλῳ δεδηλώκαμεν. μετὰ δὲ τὴν τελευτὴν ἰούδα πάλιν ὅσον ἦν τῶν ἀσεβῶν καὶ παραβεβηκότων τὴν πάτριον πολιτείαν, ἐπεφύη τοῖς ἰουδαίοις, καὶ πανταχόθεν αὐτοῖς ἀκμάζον ἐκάκουν. συνελάμβανε δὲ τῇ τούτων πονηρίᾳ καὶ λιμὸς τὴν χώραν καταλαβών. ὡς πολλοὺς διὰ τὴν σπάνιν τῶν ἀναγκαίων, καὶ τὸ μὴ δύνασθαι τοῖς παρ' ἀμφοτέρων ἀπό τε τοῦ λιμοῦ καὶ τῶν ἐχθρῶν δεινοῖς ἀντέχειν, αὐτομολῆσαι πρὸς τοὺς μακεδόνας. βακχίδης δὲ τῶν ἰουδαίων τοὺς ἀποστάντας τῆς πατρίου συνηθείας, καὶ τὸν κοινὸν βίον προῃρημένους συναθροίσας, τούτοις ἐνεχείρισε τὴν τῆς χώρας ἐπιμέλειαν. οἱ δὲ συλλαμβάνοντες τοὺς ἰούδα φίλους, καὶ τὰ ἐκείνου φρονοῦντας, τῷ βακχίδῃ παρέδωσαν. ὁ δὲ, βασανίζων πρῶτον αὐτοὺς, καὶ πρὸς ἡδονὴν αἰκιζόμενος, ἔπειθ' οὕτω διέφθειρε. ταύτης δὲ τῆς συμφορᾶς τοῖς ἰουδαίοις τηλικαύτης γενομένης, ἡλίκης οὐκ ἦσαν πεπειραμένοι μετὰ τὴν ἐκ βαβυλῶνος ἐπάνοδον, οἱ περιλειφθέν-

Cap. I.

Ionathas defuncto fratri ſuo Iudæ in principatu ſuccedit.

Qvemadmodvm libertatem à Macedonibus oppreſſam populus Iudæorum denuò receperit, & quo pacto dux & propugnator eorum Iudas poſt multa exhauſta certamina poſtremo prælio fuerit occiſus, in præcedenti libro ſatis declarauimus. Poſt eius obitum quotquot Iudæorum à pietate deſciuerant, reſumptis animis infeſtant reliquos populares: ita vt accedente etiam fame, quæ tum fortè regionem eam totam occupauerat, multi non ferentes geminatum infortunium, hinc à penuria, inde ab aduerſariis ingruens, coacti ſint adiungere ſe factioni Macedonicæ. Bacchides autem conuocatis ad ſe Iudæorum deſertoribus, qui religioni patriæ profanos ritus prætulerant, his adminiſtrationem regionis commiſit: qui comprehenſis Iudæ amicis & fautoribus, Bacchidæ eos tradiderunt. & is tortos primùm cruciatóſque ad libitum, poſtremò omnes ad vnum enecabat. In hac tanta calamitate cõſtituti Iudęi, quantũ poſt captiuitatẽ Babylonicã nunquã experti fuerant: quotquot

1. Mach. 9

erant reliqui ex Iudæ sociis, veriti gentis interitum adiuerunt Ionatham eius fratrem, rogabántque vt germani æmulus fieret, qui ad extremum halitum libertatem propugnans præclaris conatibus sit immortuus: nec sineret totam gentem sine præside venire in extremum salutis periculum. Tum Ionathas paratum se vel ad mortem obtulit pro tutela populi, & visus dignus qui Iudę fratri suo succederet, communibus Iudæorum suffragiis administrandæ militiæ præfectus est. Quo comperto Bacchides veritus ne Ionathas quoque multum negotiorum exhibeat regi & Macedonibus, quemadmodum antè Iudas fecerat, decreuit eum dolo tollere: sed hoc eius propositum nec ipsum nec Simonem fratrem latuit. quamobrem maturè moniti assumpta sociorum manu in desertum vrbi vicinum celeriter refugerunt: & cùm venissent ad aquam quæ dicitur lacus Asphar, ibi morabantur. Porrò Bacchides sentiens eos timere & in desertis illis latitare, duxit contra eos omnes suas copias, & positis vltra Iordanem castris confluentem illuc militem recipiebat. Ionathas autem cognito illius aduentu, misit fratrem suum Ioannem Gaddin ad Nabathæos Arabas, vt apud eos impedimenta deponeret, donec armis cũ Bacchide decerneret. erant enim amici. sed in itinere inuaserunt eum Medabenses Amaræi filij, direptísque impedimentis & quicquid secum deferebat, comprehensum interfecerunt cum omnibus sociis: cuius facinoris paulò pòst pœnas dederunt eius fratribus, sicut suo loco dicetur. Bacchides autem cognito quòd Ionathas castra haberet in Iordanis palustribus, sabbato illum aggressus est, ratus non repugnaturum propter religionem diei. at ille cohortatus socios, & ostenso periculo quòd nisi viri essent, non possent euadere, clausi à tergo amne, à fronte hostibus: votísque Deo factis pro victoria, impigrè hostem aggreditur: & prostratis non paucis, videns ipsum Bacchidem in se ruere, ferire eum conatus est. sed cùm ille cautè ictum declinasset, Ionathas cum sociis desilientes commiserunt se flumini, & in oppositam ripam enatarunt, hostibus non ausis traiicere, sed ad Hierosolymitanam arcem reuertentibus, desideratis ex eorum numero fermè duobus millibus. post eum conflictum Macedo communiuit aliquot oppida, Hierichuntem, Emmauntem, Bethoron, Bethellam, Thannatham, Pharathonem, Tochoam, Gazara, additis mœnibus & turribus, vt impositis in eas præsidiis, res Iudæorum inde infestaret excursionibus: sed nihil æquè vt Hierosolymitanam arcem muniit, in qua acceptos à Iudęorum primatibus filios obsides inclusit, vt ibi custodirentur. Eodem tempore nunciatum est Ionathæ & Simoni fratribus, quòd Amaræi filij celebraturi essent nuptias, & adducturi sponsã ab

τες τῶν ἑταίρων τοῦ ἰούδα, βλέποντες ἀπολλύμενον πικρῶς τὸ ἔθνος, προσελθόντες αὐτοῦ τῷ ἀδελφῷ ἰωνάθῃ, μιμεῖσθαι τὸν ἀδελφὸν αὐτοῦ, καὶ τὴν ἐκείνου περὶ τῶν ὁμοφύλων πρόνοιαν ἠξίουν ἀποθανόντος ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας, καὶ μὴ περιορᾶν ἀπροστάτευτον τὸ ἔθνος, μηδὲ ἐν οἷς φθείρεται. ὁ δὲ ἰωνάθης φήσας ἑτοίμως ἔχειν ἀποθνήσκειν ὑπὲρ αὐτῶν, καὶ νομισθεὶς κατὰ μηδὲν εἶναι χείρων τοῦ ἀδελφοῦ, στρατηγὸς ἀποδείκνυται τῶν ἰουδαίων. ὁ δὲ βακχίδης ἀκούσας τοῦτο καὶ φοβηθεὶς μὴ παρέχῃ πράγματα τῷ βασιλεῖ καὶ τοῖς μακεδόσιν ὁ ἰωνάθης, ὡς καὶ πρότερον ἰούδας, ἀποκτεῖναι δόλῳ τοῦτον ἐζήτει. ταύτην δὲ ἔχων τὴν προαίρεσιν, οὐκ ἔλαθε τὸν ἰωνάθην, οὐδὲ τὸν ἀδελφὸν αὐτοῦ σίμωνα. ἀλλὰ γὰρ μαθόντες οὗτοι καὶ παραλαβόντες τοὺς ἑταίρους ἅπαντας, εἰς τὴν ἐρημίαν τὴν ἔγγιστα τῆς πόλεως τὸ τάχος ἔφυγον. καὶ παραγενόμενοι ἐπὶ τὸ ὕδωρ τὸ καλούμενον λάκκου ἀσφάρ, αὐτόθι διῆγον. ὁ δὲ βακχίδης αἰσθόμενος αὐτοὺς ἀπειρηκότας, καὶ ἐν ἐκείνῳ τῷ τόπῳ τυγχάνοντας, ὥρμησεν ἐπ᾽ αὐτοὺς μετὰ πάσης τῆς δυνάμεως, καὶ πέραν τοῦ ἰορδάνου στρατοπεδευσάμενος, ἀνελάμβανε τὴν δύναμιν. ἰωνάθης δὲ γνοὺς τὸν βακχίδην ἐπ᾽ αὐτὸν ἥκοντα, πέμπει τὸν ἀδελφὸν ἰωάννην τὸν καὶ γαδδὶν λεγόμενον, πρὸς τοὺς ναβαταίους ἄραβας, ἵνα παρ᾽ αὐτοῖς ἀπόθηται τὴν ἀποσκευὴν ἕως οὗ πολεμήσωσι πρὸς βακχίδην, ἦσαν γὰρ φίλοι. τὸν δὲ ἰωάννην ἀπιόντα πρὸς τοὺς ναβαταίους, ἐνεδρεύσαντες ἐκ μηδάβας πόλεως οἱ ἀμαραίου παῖδες αὐτόν τε συλλαμβάνουσι καὶ τοὺς σὺν αὐτῷ, καὶ διαρπάσαντες ὅσα ἐπεκόμιζε, κτείνουσι καὶ τὸν ἰωάννην καὶ τοὺς ἑταίρους αὐτοῦ πάντας. δίκην μέντοι γε τούτων ὑπέσχον τοῖς ἀδελφοῖς αὐτοῦ τὴν ἀξίαν, ἣν μετ᾽ οὐ πολὺ δηλώσομεν. ὁ δὲ βακχίδης γνοὺς τὸν ἰωνάθην ἐν τοῖς ἕλεσι τοῦ ἰορδάνου κατεστρατοπεδευμένον, παραφυλάξας τὴν τῶν σαββάτων ἡμέραν, ἐπ᾽ αὐτὸν ἧκεν, ὡς οὐ μαχούμενον ἐκείνῃ διὰ τὸν νόμον. ὁ δὲ παρορμήσας τοὺς ἑταίρους, καὶ περὶ τῶν ψυχῶν αὐτοῖς εἶναι τὸν κίνδυνον εἰπὼν μέσοις ἀπειλημμένοις τοῦ τε ποταμοῦ καὶ τῶν πολεμίων, ὡς φυγεῖν οὐκ ἔχουσιν. οἱ μὲν γὰρ ἔμπροσθεν ἐπέκειντο, ὁ ποταμὸς δὲ ἦν κατόπιν αὐτῶν. εὐξάμενος δὲ καὶ τῷ θεῷ νίκην αὐτοῖς παρασχεῖν συνάπτει τοῖς πολεμίοις. ὧν πολλοὺς καταβαλών, ἐπεὶ τολμηρῶς εἶδεν ἐπερχόμενον αὐτῷ τὸν βακχίδην, ἐξέτεινε τὴν δεξιὰν ὡς πλήξων αὐτόν. τοῦ δὲ προειδομένου καὶ τὴν πληγὴν ἐκκλίναντος, ἀποπηδήσας μετὰ τῶν ἑταίρων εἰς τὸν ποταμόν, διενήξατο, καὶ τοῦτον διασώζονται τὸν τρόπον εἰς τὸ πέραν τοῦ ἰορδάνου, τῶν πολεμίων οὐκ ἔτι τὸν ποταμὸν ἐπιδιαβαινόντων, ἀλλ᾽ ὑποστρέψαντος εὐθὺς τοῦ βακχίδου εἰς τὴν ἱεροσολύμοις ἄκραν. ἀπέβαλε δὲ τῆς στρατιᾶς ὡς περὶ δισχιλίους, πολλὰς δὲ τῆς ἰουδαίας καταβαλλομένας πόλεις ὠχύρωσε, καὶ τὴν ἱεριχοῦντα καὶ ἐμμαοῦν, καὶ βεθωρὼν, καὶ βεθήλλαν, καὶ θαμναθᾶ, καὶ φαραθὼ, καὶ τοχόαν, καὶ γάζαρα, καὶ πύργους ἐν ἑκάστῃ τῶν πόλεων οἰκοδομήσας, καὶ τείχη περιβαλὼν αὐταῖς καρτερὰ, καὶ τῷ μεγέθει διαφέροντα, δύναμιν εἰς αὐτὰς κατέστησεν, ὅπως κακοῦν ἐκεῖθεν ὁρμώμενοι τοὺς ἰουδαίους ἔχωσι. μάλιστα δὲ τὴν ἐν ἱεροσολύμοις ἄκραν ὠχύρωσε. λαβὼν δὲ καὶ τοὺς τῶν πρώτων τῆς ἰουδαίας παῖδας ὁμήρους, εἰς τὴν ἄκραν αὐτοὺς ἐνέκλεισε, καὶ τοῦτον ἐφύλαττε τὸν τρόπον. ὑπὸ τὸν αὐτὸν δὴ καιρὸν παραγενόμενός τις πρὸς ἰωνάθην καὶ τὸν ἀδελφὸν αὐτοῦ σίμωνα, τοὺς ἀμαραίου παῖδας ἀπήγγελεν αὐτοῖς γάμον ἐπιτελοῦντας, καὶ τὴν νύμφην ἄγοντας, ἀπὸ γαβα-

γαβαθὰ πόλεως, θυγατέρα τινὸς οὖσαν τῶν ἐπιφανῶν παρὰ τοῖς ἄραψι. μέλλειν δὲ γίνεσθαι παραπομπὴν τῆς κόρης λαμπρὰν καὶ πολυτελῆ. οἱ δὲ περὶ τὸν ἰωνάθην καὶ σίμωνα, καιρὸν ἐπιτηδειότατον εἰς τὴν ἐκδικίαν τἀδελφοῦ νομίσαντες αὐτοῖς παραφαῖναι, καὶ λήψεσθαι τὴν ὑπὲρ ἰωάννου δίκην παρ' αὐτῶν, ἐπὶ πολλῆς ἐξουσίας ὑπολαβόντες, ἐξώρμησαν εἰς μηδάβαν, καὶ τοὺς ἐχθροὺς ἐν τῷ ὄρει λοχῶντες ἔμενον. ὡς δὲ εἶδον αὐτοὺς ἄγοντας τὴν παρθένον, καὶ τὸν νυμφίον, καὶ φίλων σὺν αὐτοῖς οἷον εἰκὸς ἐν γάμοις ὄχλον, ἀναπηδήσαντες ἐκ τῆς ἐνέδρας ἀπέκτειναν ἅπαντας, καὶ τὸν κόσμον καὶ τὴν ἄλλην ὅση τότε εἵπετο λείαν τοῖς ἀνθρώποις, λαβόντες ὑπέστρεψαν. καὶ τιμωρίαν μὲν ὑπὲρ ἰωάννου τἀδελφοῦ παρὰ τῶν υἱῶν ἀμαραίου, τοιαύτην ἀπέλαβον. αὐτοί τε γὰρ οὗτοι καὶ οἱ συνεπόμενοι φίλοι καὶ γυναῖκες αὐτῶν καὶ τέκνα διεφθάρησαν, ὄντες υ΄. σίμων μὲν οὖν καὶ ἰωνάθης εἰς τὰ ἕλη τοῦ ποταμοῦ ὑποστρέψαντες, αὐτόθι κατέμενον. βακχίδης δὲ τὴν ἰουδαίαν ἅπασαν φρουραῖς ἀσφαλισάμενος, ὑπέστρεψε πρὸς τὸν βασιλέα. καὶ τότε μὲν ἐπ' ἔτη δύο τὰ τῶν ἰουδαίων ἠρέμησε πράγματα. οἱ δὲ φυγάδες καὶ οἱ ἀσεβεῖς, ὁρῶντες τὸν ἰωνάθην καὶ τοὺς σὺν αὐτῷ μετὰ πολλῆς ἀδείας ἐνδιατρίβοντας τῇ χώρᾳ διὰ τὴν εἰρήνην, πέμπουσι πρὸς δημήτριον τὸν βασιλέα παρακαλοῦντες, ἀποστεῖλαι βακχίδην ἐπὶ τὴν ἰωνάθου σύλληψιν. ἔδηλου γὰρ αὐτὴν ἀπόνως ἐσομένην, καὶ νυκτὶ μιᾷ μὴ προσδοκῶσιν αὐτοῖς ἐπιπεσόντας, ἀποκτενεῖν ἅπαντας. τοῦ δὲ βασιλέως ἐκπέμψαντος τὸν βακχίδην, γενόμενος οὗτος ἐν τῇ ἰουδαίᾳ, πᾶσιν ἔγραψε τοῖς φίλοις καὶ ἰουδαίοις καὶ συμμάχοις, συλλαβεῖν αὐτῷ τὸν ἰωνάθην. σπουδαζόντων δὲ πάντων καὶ μὴ δυναμένων κρατῆσαι τοῦ ἰωνάθου, ἐφυλάττετο γὰρ τὴν ἐπιβουλὴν ᾐσθημένος, ὁ βακχίδης ὀργισθεὶς τοῖς φυγάσιν, ὡς ψευσαμένοις αὐτόν τε καὶ τὸν βασιλέα, πεντήκοντα αὐτῶν τοὺς ἡγεμόνας συλλαβὼν, ἀπέκτεινεν. ὁ δὲ ἰωνάθης σὺν τἀδελφῷ καὶ τοῖς σὺν αὐτῷ εἰς βηθαλαγὰν ἀναχωρεῖ, κώμην οὖσαν ἐν τῇ ἐρήμῳ, φοβηθεὶς τὸν βακχίδην. καὶ οἰκοδομήσας πύργους, καὶ τείχη περιβαλόμενος, αὐτὸν εἶχεν ἀσφαλῶς πεφρουρημένον. βακχίδης δὲ ταῦτα ἀκούσας, τήν τε μεθ' ἑαυτοῦ στρατιὰν ἄγων, καὶ τῶν ἰουδαίων τοὺς συμμάχους παραλαβὼν, ἐπὶ τὸν ἰωνάθην ἧκε, καὶ προσβαλὼν αὐτοῦ τοῖς ὀχυρώμασιν, ἐπὶ πολλὰς αὐτὸν ἡμέρας ἐπολιόρκει. ὁ δὲ, πρὸς τὴν σπουδὴν τῆς πολιορκίας οὐκ ἐνδίδωσιν, ἀλλὰ καρτερῶς ἀντισχὼν, σίμωνα μὲν τὸν ἀδελφὸν ἐν τῇ πόλει καταλείπει, τῷ βακχίδῃ πολεμήσοντα. λάθρα δὲ αὐτὸς εἰς τὴν χώραν ἐξελθὼν, καὶ συναγαγὼν χεῖρα πολλὴν παρὰ τῶν τὰ αὐτὰ φρονούντων, νυκτὸς ἐπιπίπτει τῷ βακχίδου στρατοπέδῳ. καὶ συχνοὺς αὐτῶν διαφθείρας, φανερὸς καὶ τἀδελφῷ σίμωνι γίνεται τοῖς ἐχθροῖς ἐπιπεσών. καὶ γὰρ οὗτος αἰσθόμενος ὑπ' αὐτοῦ κτεινομένους, ἐπέξεισιν αὐτοῖς, καὶ τά τε μηχανήματα τὰς πρὸς τῆς πολιορκίας ἐνέπρησε τῶν μακεδόνων, καὶ φόνον αὐτῶν ἱκανὸν εἰργάσατο. θεασάμενος δὲ αὐτὸν ὁ βακχίδης ὑπὸ τῶν ἐχθρῶν ἀπειλημμένον, καὶ τοὺς μὲν ἔμπροσθεν αὐτῷ, τοὺς δὲ ὄπισθεν προσκειμένους, εἰς ἀθυμίαν ἅμα καὶ ταραχὴν τῆς διανοίας ἐνέπεσε, τῷ παρ' ἐλπίδας ἀποβαίνειν τῆς πολιορκίας συγχυθείς. τὸν μὲν τοίγε ὑπὲρ τούτων θυμὸν, εἰς τοὺς φυγάδας, οἳ μετεπέμψαντο παρὰ τοῦ βασιλέως αὐτὸν, ἐπέσκηψεν, ὡς ἐξηπατηκότας. ἐβούλετο δὲ τελέσας τὴν πολιορκίαν εὐπρεπῶς, εἰς τὴν οἰκείαν ὑποστρέφειν.

A oppido Gabatha, filiam illustris cuiusdam inter Arabas: cùmque puellam traducendam cum pompa sumptuosa & splendida. Fratres autem existimantes opportunissimum ad vindictam tempus sibi oblatum, & facilè vlturos se iniuriam fratri illatam, versus Medabam properauerunt, & insidiis in monte collocatis expectabant eorum transitum. Vt verò in conspectum venit sponsus cum virgine & amicorum comitatu, vt fieri solet in nuptiis, coorti ex insidiis omnes ad vnum interfecerunt, & B cum ornamentis cæteráque præda reuersi sunt voti compotes, & egregiè vlti germani interitum de Amaræi filiis. ceciderunt enim hi non soli, sed cum vxoribus, liberis & amicis, vsque ad quadringentorum numerum. Atque ita Simon cum Ionatha in palustria Iordanis reuersi, illic commorabantur. Bacchides autem per totam Iudæam præsidiis dispositis, ad regem suum reuersus est: quo tempore per C integrum biennium status rerum Iudaicarum fuit pacatior. Transfugæ autem & vulgus impiorum hominum videntes Ionatham & eius factionem securè versari in Iudæa propter tranquillitatem temporum, per nuncios sollicitauerunt Demetrium, vt Bacchide misso Ionatham in potestatem suam redigeret. fore enim hoc perfacile, & vnica nocte posse omnes eius milites insperato incursu opprimi. qui vbi iussu regis in Iudæam peruenit, ad omnes D eius regionis amicos suos & auxiliares scripsit, darent operam vt comprehenderetur Ionathas. Cúmque omnium insidiis appeteretur, nec tamen quicquam proficerent: cautus enim erat, vt qui dolum præsenserat: iratus Macedo transfugis, putánsque & se & regem ab eis haberi ludibrio, interfecit ex eis quinquaginta præcipuos. Ionathas autem cum fratre & suorum manu metu secessit in vicum Bethalagam, qui in deserto situs est: cúmque E muniuit mœnibus & turribus, vt tutum haberet receptaculum. quo audito Bacchides cum totis suis copiis, adiunctísque Iudæorum suæ factionis auxiliis contra eum profectus est: & aggressus oppugnare munitiones, per aliquot dies in eo conatu perstitit. at ille nihil territus restitit acriter: relictóque ad oppidi tutelam Simone fratre clàm egressus, & collectis in vicina regione suæ factionis hominibus, noctu in Bacchidis castra irruit, & mul- F tis trucidatis effecit vt frater aduentum suum cognosceret. quàm primùm enim tumultum sensit in castris hostium, eruptione facta incendit eorum machinas, cæde etiam non mediocri edita. Bacchides verò videns se à fronte ac tergo inuasum ab hostibus, re inopinata consternatus, ob insperatum obsidionis exitum, vix fuit compos animi. totam autem indignationem effudit in transfugas vt impostores, quorum opera missus à rege fuerat, vnum G cogitãs quomodo ex dignitate sua & regis obsidioni fine imposito, exercitum sine ignominia posset reducere.

Cap. II.

Ionathas fessum bello Bacchidem compellit, inito cum Iudæis fœdere exercitum abducere.

1. Mach. 9

QVa eius voluntate cognita Ionathas, misit ad eum nuncios, petens societatem & amicitiam inter se & eum fieri, captiuis vtrinque redditis. Id Bacchides ratus sibi honorificum, & oblatam occasionem qua posset non inglorius obsidionem soluere, amicitiam cum Ionatha iniit, iureiurando interposito, neutrum arma moturum in alterum: redditisque & receptis captiuis, Antiochiam ad suum regem reuersus est: nec vnquam posthac Iudæam cum exercitu repetiit. Ionathas verò hanc securitatem nactus, & degēs apud Machmam oppidum, administrationi rerum & iuri populis reddendo operam impendit, & seuerè animaduertens in religionis patriæ desertores, repurgabat suam gentem ab huiusmodi contagionibus.

Cap. III.

Alexander filius Antiochi Epiphanis regem Demetrium bello aggreditur.

II. ANno autem sexagesimo supra cētesimum Alexander Antiochi Epiphanis filius veniens in Syriam Ptolemaidem occupauit, proditione militum qui eam tenebant præsidio, moresque Demetrij oderant, vt parum comis & superbi admodum. Inclusus enim in regium quoddam castellum munitum quatuor turribus, non procul situm ab Antiochia, neminem admittebat: & omissa reipublicæ cura degebat in ocio per segnitiem, vnde grauiora etiam odia contra eum exorta sunt, sicut alibi à nobis dictum est. Audito igitur quòd Alexander occupasset Ptolemaidem, cum omnibus copiis contra eum profectus est.

Cap. IV.

Demetrius missa legatione ad Ionatham multis muneribus eum ad amicitiam suam pertrahit.

1. Mach. 10

MIsit etiam legatos ad Ionatham, inuitans eum ad societatem & amicitiam, præuenire Alexandrum cupiens, ne fortè ille prior impetraret illius auxilium, idque eo facilius, quòd odia inter se & Ionatham intercesserant: cui mandabat vt haberet delectum militum, & arma pararet reciperétque Iudæorum obsides, quos Bacchides in Hierosolymitanam arcem incluserat. Talis cōditio cùm offerretur à Demetrio, Ionathas venit Hierosolyma, & legit regias literas audiēte tā populo quā arcis præsidio. quib. lectis impij & transfugæ qui in arce erāt, vehemēter sunt territi, quòd rex Ionathæ & exercitū colligere permitteret, & obsides recipere: quos suis quemque parentibus restituit. Atque ita Ionathas Hierosolymis habitabat, suo arbitratu multa in ea vrbe reparans. nam & mœnia eius iussit saxo quadrato extrui, quo firmiora essent contra assultus hostium. Quod vbi senserunt qui dispersi erant per præsidia, omnes relictis illis receperunt se Antio-

A

Κεφάλαιον β'.

Ὡς Ἰωνάθης πολεμήσας Βακχίδην, ἠνάγκασε φιλίαν ποιησάμενον πρὸς αὐτὸν ἀπελθεῖν ἐκ τῆς χώρας.

ΜΑθὼν δὲ αὐτοῦ τὴν διάνοιαν Ἰωνάθης, πρεσβεύεται πρὸς αὐτὸν περὶ φιλίας καὶ συμμαχίας, ὅπως ἀποδῶσιν ἀλλήλοις οὓς εἰλήφασιν αἰχμαλώτους ἑκάτεροι. νομίσας δὲ ταύτην εὐπρεπεστέραν ὁ Βακχίδης τὴν ἀναχώρησιν, συντίθεται πρὸς τὸν Ἰωνάθην φιλίαν, καὶ ὤμοσαν μὴ στρατεύειν ἔτι κατ' ἀλλήλων. (B) καὶ τούς τε αἰχμαλώτους ἀποδοὺς καὶ τοὺς ἰδίους κομισάμενος, ὑπέστρεψεν εἰς Ἀντιόχειαν πρὸς τὸν βασιλέα. καὶ μετὰ ταύτην τὴν ἀναχώρησιν, οὐκ ἔτι εἰς τὴν Ἰουδαίαν ἐνέβαλεν. ὁ δὲ Ἰωνάθης ταύτης τῆς ἀδείας λαβόμενος, καὶ ποιούμενος ἐν Μαχμᾶ πόλει τὴν δίαιταν, αὐτόθι τοῖς ὄχλοις διεῖπε τὰ πράγματα, καὶ τοὺς πονηροὺς καὶ ἀσεβεῖς κολάζων, ἐκάθηρεν οὕτως ἀπὸ τούτων τὸ ἔθνος.

Κεφάλαιον γ'.

Ὅτι Ἀλέξανδρος ὁ τοῦ Ἐπιφανοῦς ἐξήνεγκε πόλεμον πρὸς Δημήτριον.

(C) ΕΤει δὲ ἑξηκοστῷ καὶ ἑκατοστῷ Ἀλέξανδρον τὸν Ἀντιόχου τοῦ Ἐπιφανοῦς υἱὸν ἀναβάντα εἰς Συρίαν, συνέβη καταλαβέσθαι Πτολεμαΐδα, ἐκ προδοσίας τῶν ἔνδοθεν στρατιωτῶν. ἀπηχθῶς γὰρ εἶχον πρὸς τὸν Δημήτριον διὰ τὴν ὑπερηφανίαν αὐτοῦ καὶ τὸ δυσέντευκτον. ἀποκλείσας γὰρ αὑτὸν εἰς τετραπύργιόν τι βασίλειον, (D) ὃ κατεσκεύασεν αὐτὸς οὐκ ἄποθεν τῆς Ἀντιοχείας, οὐδένα προσίετο, ἀλλὰ καὶ περὶ τὰ πράγματα ῥᾴθυμος ἦν καὶ ὀλίγωρος, ὅθεν αὐτῷ καὶ μᾶλλον τὸ παρὰ τῶν ὑποτεταγμένων μῖσος ἐξήφθη, καθὼς ἤδη καὶ ἐν ἄλλοις δεδηλώκαμεν. γινόμενον οὖν ἐν Πτολεμαΐδι τὸν Ἀλέξανδρον ἀκούσας ὁ Δημήτριος, ἦγεν ἅπασαν ἀναλαβὼν τὴν δύναμιν ἐπ' αὐτόν.

Κεφάλαιον δ'.

Ὡς Δημήτριος πρεσβευσάμενος πρὸς Ἰωνάθην, ποιεῖται συμμαχίαν πρὸς αὐτὸν πολλοῖς δωρησάμενος.

(E) ΕΠεμψε δὲ καὶ πρὸς Ἰωνάθην πρέσβεις περὶ συμμαχίας καὶ φιλίας. φθάσαι γὰρ τὸν Ἀλέξανδρον διέγνω, μὴ προδιαλεχθεὶς ἐκεῖνος αὐτῷ, λάβῃ τὴν παρ' αὐτοῦ βοήθειαν. τοῦτο δὲ ποιεῖ, φοβηθεὶς μὴ μνησικακήσας ὁ Ἰωνάθης αὐτῷ τῆς ἔχθρας συνεπιθῆται. προσέταξεν οὖν αὐτῷ συναθροίζειν δύναμιν, καὶ προκατασκευάζειν ὅπλα, καὶ τοὺς ὁμήρους (F) οὓς τῶν Ἰουδαίων ἐνέκλεισε Βακχίδης ἐν τῇ ἄκρᾳ τῶν Ἱεροσολύμων, ἀπολαβεῖν. τοιούτων οὖν αὐτῷ τῶν παρὰ Δημητρίου προσαπεσόντων, ὁ Ἰωνάθης παραγενόμενος εἰς τὰ Ἱεροσόλυμα, τὴν ἐπιστολὴν ἀνέγνω τοῦ βασιλέως, ἀκουόντων τοῦ τε λαοῦ καὶ τῶν φρουρούντων τὴν ἀκρόπολιν. ἀναγνωσθέντων δὲ τούτων, οἱ ἀσεβεῖς καὶ φυγάδες ἐκ τῆς ἀκροπόλεως λίαν ἔδεισαν, ἐπιτετροφότος Ἰωνάθῃ τοῦ βασιλέως στρατιὰν συλλέγειν καὶ τοὺς ὁμήρους ἀπολαβεῖν. (G) ὁ δὲ τοῖς γονεῦσιν ἑκάστῳ τὸν ἴδιον ἀπέδωκε. καὶ οὕτως μὲν Ἰωνάθης ἐν Ἱεροσολύμοις τὴν μονὴν ἐποιεῖτο, καινίζων τὰ κατὰ τὴν πόλιν, καὶ πρὸς τὴν αὐτοῦ βούλησιν κατασκευάζων ἕκαστον. ἐκέλευσε γὰρ οἰκοδομηθῆναι καὶ τὰ τείχη τῆς πόλεως ἐκ λίθων τετραγώνων, ὡς ἂν ᾖ πρὸς τοὺς πολεμίους ἀσφαλέστερα. ταῦτα δὲ ὁρῶντες οἱ τῶν φρουρίων τῶν ἐν τῇ Ἰουδαίᾳ φύλακες, ἐκλιπόντες αὐτὰ

πάντες

πάντες ἔφυγον εἰς Ἀντιόχειαν, πάρεξ τῶν ἐν Βεθσούρᾳ πόλει, καὶ τῶν ἐν τῇ ἄκρᾳ τῶν Ἱεροσολύμων. οὗτοι γὰρ ἡ πλείων μοῖρα τῶν ἀσεβῶν Ἰουδαίων καὶ προδοτῶν ἦσαν, καὶ διὰ τοῦτο τὰς φρουρὰς οὐκ ἐγκατέλιπον.

Κεφάλαιον ε.

Ὡς Ἀλέξανδρος ταῦτ' ἀκούσας καὶ ὑπερβαλὼν τὰ παρὰ Δημητρίου, καὶ ἀποδείξας Ἰωνάθην ἀρχιερέα, συμμαχεῖν ἔπεισεν αὐτῷ.

Γνοὺς δ' Ἀλέξανδρος τάς τε ὑποσχέσεις ἃς ἐποιήσατο Δημήτριος πρὸς Ἰωνάθην, καὶ εἰδὼς καὶ τὴν ἀνδρείαν αὐτοῦ, καὶ ὁπόσα διέθηκε πολεμῶν τοὺς Μακεδόνας, καὶ πάλιν οἷα πεπονθὼς αὐτὸς εἴη ὑπὸ Δημητρίου καὶ Βακχίδου τοῦ στρατηγοῦ αὐτοῦ, σύμμαχον οὐκ ἂν εὑρεῖν Ἰωνάθου ἀμείνω πρὸς τοὺς φίλους ἔλεγεν ἐν τῷ παρόντι καιρῷ, ὃς καὶ πρὸς τοὺς πολεμίους ἐστὶν ἀνδρεῖος, καὶ μῖσος οἰκεῖον ἔχει πρὸς Δημήτριον, πολλὰ πεπονθὼς ὑπ' αὐτοῦ κακὰ καὶ πεποιηκώς. εἰ τοίνυν δοκεῖ φίλον ποιεῖσθαι αὐτὸν κατὰ Δημητρίου, νῦν ἐστιν οὐκ ἄλλο τι χρησιμώτερον παρακαλεῖν αὐτὸν ἐπὶ τὴν συμμαχίαν. δόξαν οὖν αὐτῷ καὶ τοῖς φίλοις πέμπειν πρὸς τὸν Ἰωνάθην, γράφει τοιαύτην ἐπιστολήν. Βασιλεὺς Ἀλέξανδρος Ἰωνάθῃ τῷ ἀδελφῷ χαίρειν. τὴν μὲν ἀνδρείαν σου καὶ πίστιν ἀκηκόαμεν πάλαι, καὶ διὰ τοῦτο πεπόμφαμεν πρὸς σὲ περὶ φιλίας καὶ συμμαχίας. χειροτονοῦμεν δέ σε σήμερον ἀρχιερέα τῶν Ἰουδαίων, καὶ φίλον ἐμὸν καλεῖσθαι. ἀπέσταλκα δέ σοι καὶ δωρεάς, στολὴν πορφυρᾶν καὶ στέφανον χρύσεον, καὶ παρακαλῶ τιμηθέντα ὑφ' ἡμῶν, ὅμοιον γίνεσθαι περὶ ἡμᾶς. δεξάμενος δὲ τὴν ἐπιστολὴν ὁ Ἰωνάθης, ἐνδύεται μὲν τὴν ἀρχιερατικὴν στολήν, τῆς σκηνοπηγίας ἐνστάσης, μετ' ἔτη τέσσαρα ἢ τὸν ἀδελφὸν αὐτοῦ Ἰούδαν ἀποθανεῖν. καὶ γὰρ οὐδεὶς μετὰ τοῦτον τὸν χρόνον ἀρχιερεύς τις ἐγεγόνει. συνάγει δὲ δύναμιν πολλήν, καὶ πλῆθος ὅπλων ἐχάλκευε. Δημήτριον δὲ ταῦτα ἐλύπησε μαθόντα, καὶ τῆς βραδυτῆτος ἑαυτὸν ἐποίησεν αἰτιᾶσθαι, ὅτι μὴ προλαβὼν Ἀλέξανδρον αὐτὸς ἐφιλανθρωπεύσατο τὸν Ἰωνάθην, ἀλλ' ἐκείνῳ καταλίποι καιρὸν εἰς τοῦτο. γράφει τοίνυν καὶ αὐτὸς ἐπιστολὴν τῷ Ἰωνάθῃ καὶ τῷ δήμῳ δηλοῦσαν τάδε. Βασιλεὺς Δημήτριος Ἰωνάθῃ καὶ τῷ ἔθνει τῶν Ἰουδαίων χαίρειν. ἐπειδὴ διετηρήσατε τὴν πρὸς ἡμᾶς φιλίαν, καὶ πειράσασιν ὑμᾶς τοῖς ἐμοῖς ἐχθροῖς οὐ προσέθεσθε, καὶ ταύτην μὲν ὑμῶν ἐπαινῶ τὴν πίστιν, καὶ παρακαλῶ δὲ τοῖς αὐτοῖς ἐπιμένειν, ἀποληψομένοις ἀμοιβὰς παρ' ἡμῶν καὶ χάριτας. τοὺς γὰρ πλείστους ὑμῶν ἀνήσω τῶν φόρων καὶ τῶν συντάξεων ἃς προσετελεῖτε τοῖς πρὸ ἐμοῦ βασιλεῦσι καὶ ἐμοί. νῦν τε ὑμῖν ἀφίημι τοὺς φόρους οὓς ἀεὶ παρείχετε. πρὸς τούτοις καὶ τιμὴν ὑμῖν χαρίζομαι τῶν ἁλῶν, καὶ τῶν στεφάνων οὓς προσεφέρετε ἡμῖν, καὶ ἀντὶ τῶν τρίτων τῶν τοῦ καρποῦ καὶ τοῦ ἡμίσους τοῦ ξυλίνου καρποῦ τὸ γινόμενον ἐμοὶ μέρος ὑμῖν ἀφίημι, ἀπὸ τῆς σήμερον ἡμέρας. καὶ ὑπὲρ κεφαλῆς ἑκάστης ὃ ἔδει μοι δίδοσθαι τῶν ἐν τῇ Ἰουδαίᾳ κατοικούντων, καὶ τῶν τριῶν τοπαρχιῶν τῶν ἐν τῇ Ἰουδαίᾳ προσκειμένων, Σαμαρείας καὶ Γαλιλαίας καὶ Περαίας, τοῦτό τι παραχωρῶ ὑμῖν ἀπὸ τοῦ νῦν εἰς τὸν ἅπαντα χρόνον. καὶ τὴν Ἱεροσολυμιτῶν πόλιν ἱερὰν καὶ ἄσυλον εἶναι βούλομαι, καὶ ἐλευθέραν ἕως τῶν ὅρων αὐτῆς ἀπὸ τῆς δεκάτης καὶ τῶν τελῶν. τὴν δ' ἄκραν ἐπιτρέπω τῷ ἀρχιερεῖ ὑμῶν Ἰωνάθῃ, οὓς δ' ἂν αὐτὸς δοκιμάσῃ πιστοὺς καὶ φίλους, τούτους ἐν

chiam, exceptis solis qui Bethsuram tenebant & arcem Hierosolymis. nam horum maxima pars constabat ex Iudæis religionis desertoribus, & ideo præ metu non sustinuerunt præsidia relinquere.

CAP. V.

Alexander maioribus quàm Demetrius pollicitationibus & delato pontificatu Ionatham in partes suas traducit.

Alexander autem cognito quid Demetrius Ionathæ promiserit, nec ignorans viri fortitudinem, & quomodo se gesserit contra Macedonas, tum qualiter vexatus sit à Demetrio eiúsque duce Bacchide, apud amicos dictitabat, non posse se eo tempore commodiorem socium inuenire quàm Ionatham: qui & virtute sit eximia, & peculiares odij causas contra Demetrium habeat, quod datis vicissim & acceptis cladibus exacerbatum fuerat. Itaque si idem ipsis videatur, adesse occasionem inuitãdi hominem ad amicitiam. cúmque id purpuratis quoque suis probari animaduerteret, scripsit talem epistolam. Rex Alexander Ionathæ fratri S. Quia iamdudum audiuimus de fide tua simul & fortitudine, mittimus ad te qui de societate agant, & amicitia: & nostro suffragio hodie te pontificem Iudæorum constituimus, & in amicorum nostrorum numerum ascribimus. mitto etiam tibi munera, stolam purpuream, & coronam auream, & rogo vt sic honoratus à nobis, non cedas nobis mutua beneuolentia. His literis acceptis Ionathas pontificiam stolam induit, in ipso scenopegiæ festo, post quadriennium exactum à Iudæ fratris obitu, cùm vacasset interim sacerdotium: móxque contraxit exercitum, & fabricauit magnum armorum numerum. Demetrius verò hoc cognito multum doluit, & damnans suam cunctationem, quòd non præueniens æmulum, eblanditus sit Ionathæ fœdera, sed elabi sibi hanc occasionem, & ab Alexandro arripi passus sit. Scripsit tamen etiam ipse pontifici & populo in hanc sententiam. Rex Demetrius Ionathæ & Iudæorum genti salutem. Quoniam seruastis nostra fœdera, & solicitantibus vos inimicis nostris non accessistis, equidem laudo vestram fidem, hortórque vt constantes sitis in ea, dignam percepturi à nobis gratiam. Remittam enim vobis maximam tributorum partem: & iam nunc remitto quæ pendebatis tam mihi, quàm his qui me præcesserunt regibus: insupérque salis precium & aurum coronarium. & tertiam seminis, dimidiámque partem fructus arborei solitam mihi cedere, ab hodierno in posterum vobis remitto: simúlque quod in singula capita pendebatur ab his qui Iudæam incolunt, & tres attributas ei toparchias, Samariam, Galilæam, & Peræam, vobis concedo in perpetuum. Et Hierosolymitanam vrbem sacram esse volo, & ius asyli habere, immunémque esse cum suis finibus à tributis atq; decimis. Arcem etiam eius permitto pontifici vestro Ionathæ, vt quos ipse fidos & amicos probauerit, in

præsidio eius constituat. Eos quoque Iudæos qui iure belli capti seruitutem in nostra ditione seruiunt, in pristinam libertatem restituo, ac ne iumenta quidem ad angarias adigi permitto. Sabbatis item & festis solennibus, & tribus diebus ea præcedentibus immunitatem concedo. Eodem modo Iudæos qui in mea ditione habitant, liberos, & sine molestia degere volo: & quicunque ex eis mecum militare voluerint permitto, duntaxat vsque triginta millium numerum: idque ea conditione stipendiorum, qua cæteros meos milites. Habebo etiam eos in præsidiis & in meo satellitio, & principes eorum in aulicorum meorum numero. Permitto etiam vt patriis vtantur legibus & ipsi & tres attributæ eis præfecturæ: vtque pontifici curæ sit, ne quis Iudæus aliud templum præter Hierosolymitanum religionis ergô adeat. Præterea do in singulos annos ex meis rationibus in sumptus sacrificiorum quindecim millia siclorum argenti, & quod pecuniæ superfuerit vestrum esse iubeo. & decem illa drachmarum millia, quæ de templo accipiebant reges, sacerdotibus atque ministris templi remitto, ad quos ea pertinere compertum mihi est. Quicunque etiam confugerint in templum Hierosolymitanum, fanúmque contiguum, siue ob debitam regi pecuniam, siue alia de causa, immunes sint ab omni vexatione, tam ipsi quàm eorum facultates. Permitto etiam vt reparetur templum, & operum sumptus de meis pecuniis fieri iubeo: sicut & mœnia & turres altas ęquè de meo volo ædificari. tum si quæ sunt loca per Iudæam apta ad struendas arces, imponendáque præsidia, & hæc meo sumptu muniantur. Atque hæ fuerunt literæ ac pollicitationes Demetrij. Alexander autem rex magnis copiis contractis tam è mercenario milite, quàm eo qui in Syria defecerat à Demetrio, omnes in hostem duxit, collatísque signis sinistrum cornu Demetrij oppositam sibi aciem terga coegit vertere: hærentésque diu fugientium vestigiis etiam castra eorum diripuerunt. at dextrum cornu in quo rex ipse pugnabat, compulsum est loco cedere: & reliquis effusè fugientibus, Demetrius fortiter decertans alios hostium occidit, alios non sustinentes ipsius impetum persequens, abreptus est in cœnum quoddam profundum & transitu difficile: vbi prolapso equo, omni effugio destitutus, ab accurrentibus oppressus est. Circundatum enim corona confixerunt iaculis, at ille etiam pedes generosè repugnabat, donec crebris vulneribus confectus succubuit. Hic fuit finis Demetrij post exactum regni annum undecimum, sicut in aliis commentariis iam ante demonstrauimus.

αὐτῇ φρουροὺς καταστήσαι ἵνα φυλάσσωσιν ὑμῖν αὐτήν. καὶ Ἰουδαίων δὲ τοὺς αἰχμαλωτισθέντας καὶ δουλεύοντας ἐν τῇ ἡμετέρᾳ, ἀφίημι ἐλευθέρους. κελεύω δὲ μηδὲ ἀγγαρεύεσθαι τὰ Ἰουδαίων ὑποζύγια. τὰ δὲ σάββατα καὶ ἑορτὴν ἅπασαν, καὶ τρεῖς αἱ πρὸ τῆς ἑορτῆς ἡμέραι, ἔστωσαν ἀτελεῖς. τὸν αὐτὸν τρόπον καὶ τοὺς ἐν τῇ ἐμῇ κατοικοῦντας Ἰουδαίους ἐλευθέρους καὶ ἀνεπηρεάστους ἀφίημι, καὶ τοῖς στρατεύεσθαι μετ' ἐμοῦ βουλομένοις ἐπιτρέπω, καὶ μέχρι τρισμυρίων ἐξέστω τοῦτο. τῶν δὲ αὐτῶν ὅποι ἂν ἀπίωσι τευξόμενοι ὧν καὶ τὸ ἐμὸν στράτευμα μεταλαμβάνει. καταστήσω δὲ αὐτῶν, οὓς μὲν εἰς τὰ φρούρια, τινὰς δὲ καὶ περὶ τὴν φυλακὴν τοῦ σώματος, καὶ ἡγεμόνας δὲ ποιήσω περὶ τὴν ἐμὴν αὐλήν. ἐπιτρέπω δὲ καὶ τοῖς πατρῴοις χρῆσθαι νόμοις καὶ τούτους φυλάσσειν, καὶ τοῖς τρισὶ τοῖς προσκειμένοις ἐν τῇ Ἰουδαίᾳ νομοῖς, ὑποτάσσεσθαι βούλομαι. καὶ τῷ ἀρχιερεῖ ἐπιμελὲς εἶναι, ἵνα μηδὲ εἷς Ἰουδαῖος ἄλλο ἔχῃ ἱερὸν προσκυνεῖν, ἢ μόνον τὸ ἐν Ἱεροσολύμοις. δίδωμι δὲ ἐκ τῶν ἐμῶν εἰς τὴν δαπάνην τῶν θυσιῶν κατ' ἔτος μυριάδας ιε'. τὰ δὲ περισσεύοντα τῶν χρημάτων ὑμέτερα εἶναι βούλομαι. τὰς δὲ μυρίας δραχμάς, ἃς ἐλάμβανον ἐκ τοῦ ἱεροῦ οἱ βασιλεῖς, ὑμῖν ἀφίημι, διὰ τὸ προσήκειν αὐτὰς τοῖς ἱερεῦσι τοῖς λειτουργοῦσι τῷ ἱερῷ. καὶ ὅσοι δὲ ἂν φύγωσιν εἰς τὸ ἱερὸν τὸ ἐν Ἱεροσολύμοις, καὶ εἰς τὰ ὑπ' αὐτῷ χρηματίζοντα, ἢ βασιλικὰ ὀφείλοντες χρήματα, ἢ δι' ἄλλην αἰτίαν, ἀπολελύσθωσαν οὗτοι, καὶ τὰ ὑπάρχοντα αὐτοῖς, σῶα ἔστω. ἐπιτρέπω δὲ καὶ ἀνακαινίζειν τὸ ἱερὸν καὶ οἰκοδομεῖν, τῆς εἰς ταῦτα δαπάνης ἐκ τῶν ἐμῶν γινομένης, καὶ τὰ τείχη δὲ συγχωρῶ τὰ τῆς πόλεως οἰκοδομεῖσθαι, καὶ πύργους ὑψηλοὺς ἐγείρειν, καὶ ταῦτα ἐκ τῶν ἐμῶν ἀνιστάντας. εἰ δέ τι καὶ φρούριόν ἐστιν ὃ συμφέρει τῇ Ἰουδαίων χώρᾳ ὀχυρὸν εἶναι, καὶ τοῦτ' ἐκ τῶν ἐμῶν κατασκευασθήτω. ταῦτα ὑπισχνούμενος καὶ χαριζόμενος ἔγραψε Δημήτριος τοῖς Ἰουδαίοις. Ἀλέξανδρος δὲ ὁ βασιλεὺς δύναμιν μεγάλην συναγαγὼν μισθοφόρων, καὶ τῶν προσθεμένων ἐκ τῆς Συρίας αὐτῷ στρατιωτῶν, ἐπὶ τὸν Δημήτριον ἐστράτευσε. καὶ μάχης γινομένων, τὸ μὲν εὐώνυμον κέρας τοῦ Δημητρίου, τρέπεται τοὺς ἐναντίους εἰς φυγήν, καὶ ἐδίωξεν ἄχρι πολλοῦ, κτείνει τε συχνοὺς αὐτῶν καὶ διαρπάζει τὸ στρατόπεδον. τὸ δὲ δεξιὸν οὗ συνέβαινεν εἶναι τὸν Δημήτριον, ἡττᾶται. καὶ οἱ μὲν ἄλλοι πάντες ἔφυγον. Δημήτριος δὲ γενναίως μαχόμενος, οὐκ ὀλίγους μὲν ἀναιρεῖ τῶν πολεμίων, διώκων δὲ τοὺς ἄλλους, εἰσελαύνει τὸν ἵππον, εἰς τέλμα βαθὺ καὶ δυσεκπόρευτον. ἔνθα συνέβη πεσόντος αὐτοῦ τοῦ ἵππου, μὴ δυνάμενον διαφυγεῖν ἀναιρεθῆναι. τὸ γὰρ συμβεβηκὸς περὶ αὐτὸν ἰδόντες οἱ πολέμιοι ἀνέστρεψαν, καὶ κυκλωσάμενοι τὸν Δημήτριον, πάντες ἐπ' αὐτὸν ἠκόντιζον. ὁ δέ, πεζὸς ὤν, γενναίως ἀπεμάχετο, καὶ τελευταῖον τραύματα λαβὼν πολλά, καὶ μηκέτ' ἀντέχειν δυνάμενος κατέπεσε. καὶ τέλος μὲν τοιοῦτο τὸν Δημήτριον κατέλαβεν, ἔτη βασιλεύσαντα ια', ὡς καὶ ἐν ἄλλοις δεδηλώκαμεν.

Cap. VI.

De templo Dei ab Onia ædificato.

IIII. Onias aũt põtificis Oniæ filius, qui profugus Alexãdriç degebat apud Ptolemęum Philometorẽ, vt iá antè diximus, vidẽs Iudæam

Κεφάλαιον ϛʹ.

Ἡ ὀνίου [illegible]ιλία πρὸς τὸν φιλομήτορα πτολεμαῖον, καὶ ὡς ᾠκοδόμησε τὸν ἐν ἱου[illegible]ύμενον ναόν.

Ο Δὲ ὀνίου τοῦ ἀρχιερέως υἱὸς ὁμώνυμος δὲ ὢν τῷ πατρί, ὃς ἐν ἀλεξανδρείᾳ φυγὼν πρὸς τὸν πτολεμαῖον τὸν ἐπικαλούμενον φιλομήτορα διῆγεν, ὡς καὶ πρότερον εἰρήκαμεν, ἰδὼν τὴν ἰουδαίαν κακου-

κακουμένην ὑπὸ τῶν μακεδόνων καὶ τῶν βασιλέων αὐτῶν, βουλόμενος αὐτῷ μνήμην καὶ δόξαν αἰώνιον κατασκευάσαι, διέγνω πέμψας πρὸς πτολεμαῖον τὸν βασιλέα καὶ τὴν βασίλισσαν κλεοπάτραν, αἰτήσασθαι παρ' αὐτῶν ἐξουσίαν, ὅπως οἰκοδομήσειε ναὸν ἐν αἰγύπτῳ, παραπλήσιον τῷ ἐν ἱεροσολύμοις, καὶ λευίτας καὶ ἱερεῖς ἐκ τοῦ ἰδίου γένους καταστήσῃ. τοῦτο δ' ἐβούλετο θαρρῶν μάλιστα τῷ προφήτῃ ἡσαΐᾳ, ὃς ἔτεσιν ἔμπροσθεν ἑξακοσίοις πλέον γεγονὼς, προεῖπεν, ὡς δεῖ πάντως ἐν αἰγύπτῳ οἰκοδομηθῆναι ναὸν τῷ μεγίστῳ θεῷ, ὑπ' ἀνδρὸς ἰουδαίου. διὰ ταῦτα οὖν ἐπηρμένος ὁ ὀνίας, γράφει πτολεμαίῳ καὶ κλεοπάτρᾳ τοιαύτην ἐπιστολήν. πολλὰς καὶ μεγάλας ὑμῖν χρείας τετελεκὼς ἐν τοῖς κατὰ πόλεμον ἔργοις μετὰ τῆς τοῦ θεοῦ βοηθείας, καὶ γενόμενος ἔν τε τῇ κοίλῃ συρίᾳ καὶ φοινίκῃ, καὶ εἰς λεόντων δὲ πόλιν τὴν ἡλιουπολίτου σὺν τοῖς ἰουδαίοις, καὶ εἰς ἄλλους τόπους ἀφικόμενος τοῦ ἔθνους, καὶ πλείστους δ' ἱερῶν παρὰ τὸ καθῆκον ἔχοντας ἱερὰ, καὶ διὰ τοῦτο δύσνους ἀλλήλοις, ὃ καὶ αἰγυπτίοις συμβέβηκε διὰ τὸ πλῆθος τῶν ἱερῶν, καὶ τὸ περὶ τὰς θρησκείας οὐχ ὁμόδοξον, ἐπιτηδειότατον εὑρὼν τὸν τόπον ἐν τῷ προσαγορευομένῳ τῆς ἀγρίας βουβάστεως ὀχυρώματι, βρύοντα ποικίλης ὕλης καὶ τῶν ἱερῶν ζώων μεστὸν, δέομαι συγχωρῆσαί μοι τὸ ἀδέσποτον ἀνακαθάραντι ἱερὸν καὶ συμπεπτωκὸς, οἰκοδομῆσαι ναὸν τῷ μεγίστῳ θεῷ, καθ' ὁμοίωσιν τοῦ ἐν ἱεροσολύμοις τοῖς αὐτοῖς μέτροις, ὑπὲρ σοῦ καὶ τῆς βασιλίσσης καὶ τῶν τέκνων, ἵν' ἔχωσιν οἱ τὴν αἴγυπτον κατοικοῦντες ἰουδαῖοι εἰς αὐτὸ συνιόντες κατὰ τὴν πρὸς ἀλλήλους ὁμόνοιαν, ταῖς σαῖς ἐξυπηρετεῖν χρείαις. καὶ γὰρ ἡσαΐας ὁ προφήτης τοῦτο προεῖπε, ἔσται θυσιαστήριον ἐν αἰγύπτῳ, κυρίῳ τῷ θεῷ. καὶ πολλὰ δὲ προεφήτευσεν ἄλλα τοιαῦτα διὰ τὸν τόπον. καὶ ταῦτα μὲν ὁ ὀνίας τῷ βασιλεῖ πτολεμαίῳ γράφει. κατανοήσειε δ' ἄν τις αὐτοῦ τὴν εὐσέβειαν, καὶ κλεοπάτρας τῆς ἀδελφῆς αὐτοῦ καὶ γυναικὸς, ἐξ ἧς ἀντέγραψαν ἐπιστολῆς, τὴν γὰρ ἁμαρτίαν καὶ τὴν τοῦ νόμου παράβασιν, εἰς τὴν ὀνίου κεφαλὴν ἀνέθεσαν. ἀντέγραψε γὰρ οὕτως. βασιλεὺς πτολεμαῖος καὶ βασίλισσα κλεοπάτρα ὀνίᾳ χαίρειν. ἀνέγνωμέν σου τὴν ἐπιστολὴν ἀξιοῦντος ἐπιτραπῆναι σοι τὸ ἐν λεοντοπόλει τοῦ ἡλιοπολίτου ἱερὸν συμπεπτωκὸς ἀνακαθᾶραι, προσαγορευόμενον δὲ τῆς ἀγρίας βουβάστεως. διὸ καὶ θαυμάζομεν εἰ ἔσται τῷ θεῷ κεχαρισμένον τὸ καθιδρυσόμενον ἱερὸν ἐν ἀσελγεῖ τόπῳ, καὶ πλήρει ζώων ἱερῶν. ἐπεὶ δὲ σὺ φὴς ἡσαΐαν τὸν προφήτην ἐκ πολλοῦ χρόνου τοῦτο προειρηκέναι συγχωροῦμέν σοι, εἰ μέλλει τοῦτο ἔσεσθαι κατὰ τὸν νόμον, ὥς τι μηδὲν ἡμᾶς δοκεῖν εἰς τὸν θεὸν ἐξημαρτηκέναι. λαβὼν οὖν τὸν τόπον ὁ ὀνίας, κατεσκεύασεν ἱερὸν καὶ βωμὸν τῷ θεῷ, ὅμοιον τῷ ἐν ἱεροσολύμοις, μικρότερον δὲ καὶ πενιχρότερον. τὰ δὲ μέτρα αὐτοῦ καὶ τὰ σκεύη νῦν οὐκ ἔδοξέ μοι δηλοῦν, ἐν γὰρ τῇ ἑβδόμῃ μου βίβλῳ τῶν ἰουδαϊκῶν πολέμων ἀναγέγραπται. εὗρε δ' ὀνίας καὶ ἰουδαίους τινὰς ὁμοίους αὐτῷ, καὶ ἱερεῖς καὶ λευίτας, τοὺς ἐκεῖ θρησκεύοντας. ἀλλὰ περὶ μὲν τοῦ ἱεροῦ τούτου, ἀρκούντως ἡμῖν δεδήλωται. τοὺς δ' ἐν ἀλεξανδρείᾳ ἰουδαίους καὶ σαμαρεῖς, οἳ τὸ ἐν γαριζὶν προσεκύνουν ἱερὸν, κατὰ τοὺς ἀλεξάνδρου χρόνους, συνέβη στασιάσαι πρὸς ἀλλήλους, καὶ περὶ τῶν ἱερῶν ἐπ' αὐτοῦ πτολεμαίου διε-

A vastatam à Macedonibus corúmque regibus, & sibi æternam memoriam parare volens, decreuit à rege Ptolemæo & regina Cleopatra per literas petere, vt sibi liceat in Ægypto instar illius Hierosolymitani, templum ædificare, & in eo Leuitas & sacerdotes ex suo genere constituere. Hoc autem consilium cepit fretus maximè prophetæ Esaiæ vaticinio, qui ante sexcentos amplius annos prænunciarat B fore omnino vt templum aliquando Deo maximo ædificaretur in Ægypto, idque hominis Iudæi opera. Hoc igitur oraculo excitatus scribit Ptolemæo & Cleopatræ talem epistolam. Dum in bello strenuam vobis operam nauans cum Deo, varias regiones obirem, animaduerti apud Cœlesyriam & Phœnicen & Leontopolim, quæ est in præfectura Heliopolitana, aliisque in locis Iudæos præter decorum habere templa, & ideo male inter C eos conuenire: quod & Ægyptiis vsu venit, propter multitudinem templorum & diuersitatem religionum. Et quia locum idoneũ inueni apud castrum quod agrestis Bubastis dicitur, plenum varia materia sacrísque animalibus, rogo vt mihi permittatis templum, quod illic est nulli sacratum numini, iámque collapsum repurgare, & aliud loco eius Deo maximo extruere ad Hierosolymitani illius similitudinem, pari etiam modo & mensura, pro sa-D lute tua & reginæ atque liberorum vestrorum: vt Iudæi qui Ægyptum incolunt illuc conuenientes, quo magis alant mutuam cõcordiam, eo accommodatiores fiant tuis vsibus. Nam & Esaias vates prædixit, quòd erit domino Deo sacrarium in Ægypto, & alia multa de eo loco cecinit. His Oniæ literis acceptis, rex & soror eius ac coniux Cleopatra declarauerunt suam pietatem per epistolam quam ei rescripserunt. Nam peccatum hoc & præuaricatio-E nem legis à se in Oniæ caput reiecerunt: sic enim rescriptum habet. Rex Ptolemæus & regina Cleopatra Oniæ gaudium. Legimus tuas literas in quibus postulas, vt tibi permittamus illud apud Leontopolim præfecturæ Heliopolitanæ collapsum templum repurgare, quod vocatur agrestis Bubastis: quod sanè miramur, si poterit acceptum esse Deo templum statutum in impuro loco & pleno animalibus. Sed F quoniam ais prophetam Esaiam iam olim hoc prædixisse, permittimus tibi hoc quatenus potest salua legis obseruatione fieri, ne videamur per hoc peccare in Dominum. Onias igitur impetrato loco, extruxit ibi templum & altare Deo ad Hierosolymitani similitudinem, sed minus & non peræquè opulentum. Mensuram verò eius & vasa nunc non libet repetere, commemorata iam antè in septimo belli & captiuitatis Iudaicæ volumine. Nec defuerunt G Oniæ similes ipsius Leuitæ sacerdotes, qui illic diuinum cultum frequentarent & instaurarent ceremonias. Sed de hoc templo hactenus. Apud Alexandriam verò inter Iudæos & Samaritas, qui sub Alexandro magno Garizitani templi religionẽ induxerunt, seditio est exorta de sacris ipsorũ, ita vt res ad regis cognitionẽ

perueniret: dum Iudæi contendunt iuxta Moysi præscripta Hierosolymitanum templum esse legitimum, Samaritæ verò Garizitanum: prouocatúmque est ad regem & amicorum eius consessum, vt ab his causa audiretur, & vtrius partis causidici succumberent, morte mulctarentur. patrocinabatur Samaritis Sabbeus cum Theodosio, Hierosolymitanis Iudæis Andronicus Messalami filius. iurauerúntque per Deum & regem, quòd ex lege probationes allaturi essent, & rogauerunt regem vt necaret eum qui iusiurandum non seruasse deprehenderetur. Itaque rex multis amicis in consilium adhibitis, consedit causam auditurus. Iudæi verò qui Alexandriam habitabant valde erant soliciti pro tuentibus iura Hierosolymitani templi ægrè ferentes autoritatem antiquissimi & nobilissimi in orbe templi vocari in discrimen. Sed cùm Sabbæus & Theodosius cessissent Andronico vt prior diceret, orsus ex lege approbare eius sanctitatem & religionem, ostendénsque per continuas pontificum successiones, sacerdotij vsque in sua tempora propagationem, & ab omnibus Asiæ regibus maiestatem eius loci honoratam donariis: Garizitani verò ac si omnino nullum esset, nunquam ab his habitam rationem: his & talibus rationibus persuasit regi, vt decerneret Hierosolymitanum esse ex sententia Moysis conditum, Sabban verò & Theodosium addiceret supplicio. Atque hæc sunt quæ Alexandrinis Iudæis acciderunt Ptolemæi Philometoris tempore.

CAP. VII.

Quòd Alexander post mortem Demetrij Ionatham in summo honore habuit.

V. 1.Mach.11. CÆso autem in pugna Demetrio, sicut superius dictum est, Alexander assumpto Syriæ principatu scribit Ptolemæo Philometori, filiam eius nuptum sibi dari deposcens, æquum esse dicens vt se affinitate dignetur, post receptum fauente Deo paternum imperium, & Demetrium bello deuictum. Ptolemæus verò libenter eius postulatis admissis, rescripsit & gratulari se ei de recepto regno paterno, & filiam collocaturum in matrimonium: iussitque vt sibi Ptolemaidem occurreret, adducturo illò filiam, & ibi celebraturo eius nuptias. subsecutus deinde literas, ad constitutum locum peruenit cum Cleopatra filia, & reperto ibi Alexandro eam coniunxit, addita in dotem auri & argenti summa, quanta tam potentem regem decuit. Ad has nuptias vocatus est per literas ab Alexādro & Ionathas pontifex, & cùm venisset ad reges, amplísque muneribus vtrunque donasset, ab vtroque in magno honore habitus est. nam Alexander mutare eum vestem coegit, & purpuratum assidere sibi pro tribunali: mandauítque suis ducibus vt in medium vrbis eo producto, præconis voce edicerent, nemini licere accusationem contra

A κρίνοιντο. τῶν μὲν ἰουδαίων λεγόντων κατὰ τοὺς μωυσέως νόμους οἰκοδομεῖσθαι τὸ ἐν ἱεροσολύμοις, τῶν δὲ σαμαρέων, τὸ ἐν γαριζίν· παρεκάλεσάν τε σὺν τοῖς φίλοις καθίσαντα τὸν βασιλέα, τοὺς περὶ τούτων ἀκοῦσαι λόγους, καὶ τοὺς ἡττηθέντας θανάτῳ ζημιῶσαι. τὸν μὲν οὖν ὑπὲρ τῶν σαμαρέων λόγον, σαββαῖος ἐποιήσατο καὶ θεοδόσιος, τοὺς δ' ὑπὲρ τῶν ἱεροσολυμιτῶν καὶ ἰουδαίων, ἀνδρόνικος ὁ μεσσαλάμου. ὤμοσαν δὲ τὸν θεὸν καὶ τὸν βασιλέα, ἦ μὴν ποιήσασθαι τὰς ἀποδείξεις κατὰ τὸν νόμον, παρ-

B εκάλεσάν τε τὸν πτολεμαῖον ὅπως ὃν ἂν λάβῃ παραβαίνοντα τοὺς ὅρκους ἀποκτείνῃ. ὁ μὲν οὖν βασιλεὺς πολλοὺς τῶν φίλων εἰς συμβουλίαν παραλαβὼν, ἐκάθισεν ἀκουσόμενος τῶν λεγόντων. οἱ δ' ἐν τῇ ἀλεξανδρείᾳ τυγχάνοντες ἰουδαῖοι, σφόδρα ἠγωνίων περὶ τῶν ἀνδρῶν οἷς ἀγανακτεῖν περὶ τοῦ ἐν ἱεροσολύμοις ἱεροῦ συνέβαινε. χαλεπῶς γὰρ ἔφερον εἰ τοῦτο τινὲς καταλύσουσι, οὕτως ἀρχαῖον καὶ διασημότατον τῶν κατὰ τὴν οἰκουμένην ὑπάρχον.

C τῶν δὲ σαββαίου καὶ θεοδοσίου συγχωρησάντων τῷ ἀνδρονίκῳ πρώτῳ ποιήσασθαι τοὺς λόγους, ἤρξατο τῶν ἀποδείξεων ἐκ τοῦ νόμου καὶ τῶν διαδοχῶν τῶν ἀρχιερέων, ὡς ἕκαστος παρὰ πατρὸς τὴν τιμὴν ἐκδεξάμενος, ἦρξε τοῦ ναοῦ, καὶ ὅτι πάντες οἱ τῆς ἀσίας βασιλεῖς τὸ ἱερὸν ἐτίμησαν ἀναθήμασι καὶ λαμπροτάταις δωρεαῖς. τοῦ δ' ἐν γαριζὶν ὡς οὐδὲ ὄντος, οὐδεὶς λόγον οὐδ' ἐπιστροφὴν ἐποιήσατο. ταῦτα λέγων ἀνδρόνικος καὶ πολλὰ τούτοις

D ὅμοια, πείθει τὸν βασιλέα κρῖναι μὲν κατὰ τοὺς μωυσέως νόμους οἰκοδομηθῆναι τὸ ἐν ἱεροσολύμοις ἱερὸν, ἀποκτεῖναι δὲ σαββαῖον καὶ θεοδόσιον. καὶ τὰ μὲν γενόμενα τοῖς ἐν ἀλεξανδρείᾳ ἰουδαίοις κατὰ πτολεμαῖον τὸν φιλομήτορα, ταῦτα ἦν.

Κεφάλαιον ζ.

Ὅτι ἀλέξανδρος ἀποθανόντος δημητρίου σφόδρα ἐτίμησεν ἰωνάθην.

E ΔΗμητρίου δ' ἀποθανόντος ἐν τῇ μάχῃ, καθὼς ἐπάνω δεδηλώκαμεν, ἀλέξανδρος τῆς συρίας παραλαβὼν βασιλείαν, γράφει τῷ φιλομήτορι πτολεμαίῳ μνηστευόμενος αὐτοῦ πρὸς γάμον τὴν θυγατέρα. δίκαιον εἶναι λέγων τῷ τὴν πατρῴαν ἀρχὴν κομισαμένῳ, καὶ διὰ τὴν τοῦ θεοῦ πρόνοιαν εἰς αὐτὴν προαχθέντι καὶ κρατήσαντι δημητρίου, καὶ μηδὲ τἆλλα ἐσομένῳ τῆς πρὸς αὐτὸν οἰκειότητος ἀναξίῳ συνάψαι συγγένειαν. πτολεμαῖος δὲ προσδεξάμενος ἡ-

F δέως τὴν μνηστείαν, ἀντιγράφει, χαίρειν τε λέγων ἐπὶ τῷ τὴν ἀρχὴν αὐτὸν πατρῴαν οὖσαν ἀπειληφέναι, καὶ τὴν θυγατέρα δώσειν ὑπισχνεῖται. ἀπαντᾶν δ' αὐτὸν εἰς πτολεμαΐδα τὴν θυγατέρα μέλλοντα ἄγειν ἐκέλευσεν, αὐτὸς γὰρ αὐτὴν μέχρι ταύτης παραπέμψειν ἀπ' αἰγύπτου, κἀκεῖ συνοικίσειν αὐτῷ τὴν παῖδα. καὶ πτολεμαῖος μὲν ταῦτα γράψας παραγίνεται μετὰ σπουδῆς εἰς πτολεμαΐδα, κλεοπάτραν

G ἄγων τὴν θυγατέρα. εὑρὼν δ' ἐκεῖ τὸν ἀλέξανδρον καθὼς ἐπέστειλε προσαπηντηκότα, δίδωσιν αὐτῷ τὴν παῖδα. καὶ φερνὴν, ἀργύριόν τε χρυσὸν ὅσον εἰκὸς ἦν δοῦναι βασιλέα. τῶν δὲ γάμων ἐπιτελουμένων, ἀλέξανδρος ἰωνάθῃ τῷ ἀρχιερεῖ γράψας, ἐκέλευσεν αὐτὸν ἥκειν εἰς πτολεμαΐδα. παραγενόμενος δὲ πρὸς τοὺς βασιλεῖς, καὶ δωρησάμενος αὐτοὺς λαμπρῶς, τῆς παρ' ἀμφοτέρων ἀπήλαυσε τιμῆς. ἀλέξανδρος δὲ αὐτὸν ἠνάγκασε, καὶ ἀποδυσάμενον τὴν οἰκείαν ἐσθῆτα, λαβεῖν πορφύραν καὶ συγκαθεσθῆναι ποιήσας αὐτὸν ἐπὶ τοῦ βήματος, προσέταξε τοὺς ἡγεμόνας εἰς μέσην μετ' αὐτοῦ προελθόντων τὴν πόλιν κηρύξαι, μηδενὶ λέγειν κατ'

αὐτοῦ

αὐτῷ ἐφίεσθαι, μηδὲ παρέχειν αὐτῷ πράγματα. τοῦτο δὲ ποιησάντων τῶν ἡγεμόνων ὁρῶντες τὴν παρὰ τοῦ βασιλέως κεκηρυγμένην Ἰωνάθῃ τιμὴν οἱ κατηγορεῖν παρεσκευασμένοι, καὶ πρὸς αὐτὸν ἀπεχθῶς ἔχοντες, ἀπέδρασαν, μὴ καὶ προσλάβωσί τι κακὸν, δεδιότες. τοσαύτῃ δὲ σπουδῇ πρὸς Ἰωνάθην ὁ βασιλεὺς Ἀλέξανδρος ἐχρήσατο, ὥστε αὐτὸν καὶ πρῶτον ἀναγράψαι τῶν φίλων.

Κεφάλαιον η'.

Ὡς Δημήτριος ὁ Δημητρίου πολεμήσας τὸν Ἀλέξανδρον καὶ κρατήσας αὐτὸς ἐβασίλευσε, φιλίαν πρὸς Ἰωνάθην ποιησάμενος.

Ἔτει δὲ ε', καὶ ξ' πρὸς τοῖς ρ' Δημήτριος ὁ Δημητρίου μετὰ πολλῶν μισθοφόρων, οὓς παρέσχεν αὐτῷ Λασθένης ὁ Κρὴς, ἄρας ἀπὸ τῆς Κρήτης, κατέπλευσεν εἰς Κιλικίαν. τοῦτο δὲ Ἀλέξανδρον ἀκούσαντα, εἰς ἀγωνίαν καὶ ταραχὴν ἐνέβαλε. καὶ παραχρῆμα ἐκ τῆς Φοινίκης, εἰς Ἀντιόχειαν ἔσπευσεν, ἵνα τὰ ἐκεῖ πρὶν Δημήτριον ἐλθεῖν, ἀσφαλῶς θῆται. κατέλιπε δὲ τῆς Κοίλης Συρίας Ἀπολλώνιον τὸν Δάον ἡγεμόνα. ὃς μετὰ πολλῆς δυνάμεως εἰς Ἰάμνειαν ἐλθὼν, ἔπεμψε πρὸς Ἰωνάθην τὸν ἀρχιερέα λέγων ἄδικον εἶναι μόνον αὐτὸν ἐπ' ἀδείας ζῆν καὶ μετ' ἐξουσίας, οὐχ ὑποτασσόμενον τῷ βασιλεῖ. τοῦτο δὲ αὐτῷ παρὰ πάντων ὄνειδος φέρειν, ὅτι μὴ ὑποτάξειεν αὐτὸν τῷ βασιλεῖ. μὴ τοίνυν σαυτὸν ἐν τοῖς ὄρεσι καθήμενος ἐξαπάτα, νομίζων ἰσχὺν ἔχειν. ἀλλ' εἰ θαρρεῖς τῇ σαυτοῦ δυνάμει καταβὰς εἰς τὸ πεδίον, τῇ ἡμετέρᾳ στρατιᾷ συγκρίθητι, καὶ τὸ τέλος τῆς νίκης ἐπιδείξει τὸν ἀνδρειότατον. ἴσθι μέντοι γε τοὺς ἀρίστους ἑκάστης πόλεως ἐμοὶ συστρατεύονται. οἱ γὰρ δὴ τοὺς σοὺς προγόνους ἀεὶ νικῶντες εἰσὶν οὗτοι. ποιήσῃ δὲ τὸν πρὸς ἡμᾶς ἀγῶνα ἐν τοιαύτῃ γῇ, ἐν ᾗ λίθοις οὐκ ἔστιν, ἀλλ' ὅπλοις ἀμύνεσθαι, οὐδὲ τόπος εἰς ὃν ἡττώμενος φεύξῃ. παροξυνθεὶς δὲ ἐπὶ τούτοις ὁ Ἰωνάθης, μυρίους ἐπιλεξάμενος στρατιώτας, ὥρμησεν ἐξ Ἱεροσολύμων, μετὰ καὶ Σίμωνος τοῦ ἀδελφοῦ, καὶ γενόμενος ἐν Ἰόππῃ, στρατοπεδεύεται τῆς πόλεως ἔξω, τῶν Ἰοππηνῶν ἀποκλεισάντων αὐτῷ τὰς πύλας. φρουρὰν γὰρ ἔνδον εἶχον ὑπὸ Ἀπολλωνίου κατασταθεῖσαν. τοῦ δὲ Ἰωνάθου πρὸς πολιορκίαν αὐτῶν παρασκευαζομένου, φοβηθέντες μὴ τὴν πόλιν αὐτῶν ἐξέλῃ κατὰ κράτος, ἀνοίγουσιν αὐτῷ τὰς πύλας. ὁ δὲ Ἀπολλώνιος ἀκούσας τὴν Ἰόππην ὑπὸ Ἰωνάθου κατειλημμένην, τρισχιλίους ἱππεῖς παραλαβὼν, καὶ πεζοὺς ὀκτακισχιλίους εἰς Ἄζωτον ἦλθε. κἀκεῖθεν ἄρας, ἠρέμα καὶ βάδην ἐποιεῖτο τὴν πορείαν. ἀνελθὼν δὲ εἰς τὴν Ἰόππην, ἀναχωρῶν, ἕλκει τὸν Ἰωνάθην εἰς τὸ πεδίον τῷ ἱππικῷ καταφρονῶν, καὶ τὰς τῆς νίκης ἐλπίδας ἔχων ἐν αὐτῷ. προελθὼν δὲ Ἰωνάθης, ἐδίωκεν εἰς τὴν Ἄζωτον τὸν Ἀπολλώνιον. ὁ δὲ ὡς ἐν τῷ πεδίῳ γενέσθαι συνέβη τὸν πολέμιον, ὑποστρέψας εἰς μάχην αὐτῷ συνέβαλε. τοῦ δὲ Ἀπολλωνίου χιλίους ἱππεῖς καθίσαντος εἰς ἐνέδραν ἔν τινι χειμάρρῳ, ὡς ἂν κατόπιν ἐπιφανεῖεν τοῖς πολεμίοις, αἰσθόμενος ὁ Ἰωνάθης οὐ καταπλαγὴ, τάξας δὲ τὴν στρατιὰν ἐν πλινθίῳ, κατ' ἀμφότερα τοὺς πολεμίους ἀμύνεσθαι παρεκελεύσατο, καὶ κατὰ πρόσωπον καὶ κατ' ὄπισθεν ἐπελευσομένοις ἐναντίον ἀντιτάξας. τῆς δὲ μάχης ἕως ἑσπέρας προβαινούσης, δοὺς Σίμωνι τἀδελφῷ μέρος τῆς δυνάμεως, τοῦτον μὲν ἐκέλευσε συμβαλεῖν τῇ φάλαγγι τῶν ἐχθρῶν,

hominem instituere, aut vlla in re exhibere ei negotium. quo facto cùm manifestum esset quanti rex eum faceret, aduersarij qui ad accusandum parati venerant, subduxerunt se, veriti ne ipsis potius mali aliquid accideret. Tanta autem beneuolentia rex hic Ionatham prosecutus est, vt ei primum locum in amicorum suorum numero assignauerit.

CAP. VIII.

Demetrius Demetrij filius deuicto Alexandro & occupto regno, in fœdus & amicitiam Ionatham recepit.

Anno autem centesimo sexagesimo quinto Demetrius Demetrij filius, acceptis multis mercenariis militibus à Lasthene Cretensi, soluens ab ea insula traiecit in Ciliciam: cuius rei nuncio Alexander vehementer est territus: móxque è Phœnice properauit Antiochiam, vt res eius ante Demetrij aduentum in tuto constitueret, interim Cœlesyriæ Apollonio Dauo duce præposito. Is profectus cum exercitu Iamniam, misit ad Ionatham pontificem nuncium, rem indignam dicens: eum solum pro suo arbitrio viuere non subiectum regis imperio: & sibiipsi esse opprobrium, quòd eum sub imperium non redigat. Ne igitur, inquit, in montibus desidens putes te posse aliquid: sed si confidis tuis viribus, in campum descende, vt ferro decernamus, vter nostrûm sit virtute præstantior. Ne sis tamen inscius, quod è singulis vrbibus fortissimi mecum militant, assueti semper tuos maiores vincere. quamobrem prouoco te in eum locum, vbi armis non saxis pugnandum est, & in quo nullum præsto est victis refugium. His verbis irritatus Ionathas, delectis decem millibus militum, vnà cum Simone fratre profectus est Hierosolymis: & cùm peruenisset Ioppen, extra vrbem castra metatus est, exclusus à Ioppensibus, qui intus habebant Apollonij præsidium. Ionatha autem oppugnationem instituente, veriti oppidani ne per vim caperentur, portas ei aperiunt. Apollonius verò postquam accepit Ioppen occupatam à Ionatha, assumptis tribus equitum, octo peditum millibus, Azotum se contulit: & inde profectus lento gradu iter faciebat. Cúmque venisset Ioppen, paulum retrocedens traxit Ionatham in planiciem, fretus equitatu, & in eo victoriæ spem collocans. Ionathas verò progressus insequebatur Azotum versus Apollonium: qui vbi hostem conspexit deuenisse in plana, reuersus est vt prælium committeret. cúmque mille equites in insidiis positi fuissent in quodam torrente, vt se Iudæis à tergo obiicerent, Ionathas qui hoc maturè sensit non est territus: sed instructa in laterculi formam acie, hortatus est suos, vt vtrinque pugnarent in hostem, à tergo & à fronte adorienti resistendo. cúmq; prælium protraheretur vsque vesperam, data parte exercitus Simoni fratri, iussit hunc cum hostium phalãge cõfligere.

Ipse verò suis mandauit vt obiectis scutis exciperent tela immissa ab equitibus. qui cùm hoc fecissent, exhausti sunt telis equites, nec tamen quenquam læserunt. non enim penetrabant ad corpora, sed obiecta scutorum ceu testudine, densitate eorum facilè repellebantur, & cadebant irrita. Vbi verò iaculando à mane vsque post meridiem lassatum hostem animaduertit Simon, phalangem aggreditur, & vsus egregia suorum opera hostem coegit fugere. quo viso equites, ne ipsi quidem locum suum tenuerunt: sed fessi diutina iaculatione, & videntes nihil amplius spei situm in peditibus, nullo ordine confusi fugiebant, dissipati per totam planiciem. Ionathas autem victos Azotum vsque persequens, multis cæsis reliquos desperata salute in templum Dagonis, quod est in ea vrbe, compulit. qua capta eodem impetu, & ipsam & circumuicinos vicos incendit. ac ne Dagonis quidem religione deterritus, & fanum ipsius & quotquot eò confugerant concremauit. fuitque numerus tam eorum qui exusti sunt, quam qui ceciderunt in prælio, octo millia hominum. Deuicto igitur hoc exercitu, ab Azoto profectus ad Ascalonem admouit copias. & cùm extra vrbem castra posuissent, prodierunt ad eum Ascalonitæ cum hospitalibus muneribus. quibus acceptis, & collaudata eorum voluntate, reuersus est illinc Hierosolyma, multam secum ducens prædam, quam abegit deuictis hostibus. Cæterùm Alexander audito quòd victus esset dux eius Apollonius, simulabat se lætum, quandoquidem ille præter animi sui sententiam aggressus esset Ionatham, amicũ & socium: & misit ei virtutis ergô fibulam auream, quod gestamen solis cognatis regis concedebatur, & Accaronis toparchiã ei possidendam in perpetuum addixit. Per idem tempus Ptolemæus Philometor cum naualibus & terrestribus copiis venit in Syriã, Alexandro genero laturus auxilium, alacriter excipientibus ipsius iussu ciuitatibus vsque Azotum, vbi obtundebatur querimoniis deplorantium Dagonis templi incendium: accusabántque populariter Ionatham autorem eius iniuriæ, qui & agros eorum vastasset ferro ac flammis, & plurimos ciuium dedisset exitio, Ptolemæo penè dissimulanter audiente eorum querimonias. Ionathas verò apud Ioppen ei occurrit, exceptus & muneribus & omni honoris genere. deinde cùm vsque Eleutherum fluuium regem deduxisset, reuersus est Hierosolyma. postquam autem Ptolemaidem peruenit, minimum abfuit quin oppressus sit Ptolemæus, Alexandri insidiis per Ammonium eius amicum appetitus. quibus detectis scripsit Alexandro, deposcens Ammonium ad supplicium, quod meritum aiebat, propter structas sibi insidias. qui cùm non dederetur, intellexit ipsum Alexandrum earum fuisse autorem, & cœpit eum magno odio prosequi.

αὐτὸς δὲ τοῖς σὺν αὐτῷ προσέταξε φραξαμένους τοῖς ὅπλοις, ἀποδέχεσθαι τὰ βέλη τὰ παρὰ τῶν ἱππέων. καὶ οἱ μὲν ἐποίησαν τὸ κελευσθέν. οἱ δὲ τῶν πολεμίων ἱππεῖς, ἐπ' αὐτοὺς ἀφέντες τὰ βέλη μέχρι καὶ ἐξεκενώθησαν, οὐδὲν αὐτοὺς ἔβλαπτον. οὐ γὰρ διικνεῖτο τῶν σωμάτων τὰ βαλλόμενα, συμπεφραγμέναις δὲ ταῖς ἀσπίσι συνηνωμέναις ὑπὸ πυκνότητος ἐμπαιόμενα, ῥᾳδίως ἐκρατεῖτο, καὶ ἄπρακτα ἐφέρετο. ὡς δὲ παρείθησαν ἀπὸ πρωῒ μέχρι δείλης ὀψίας ἀκοντίζοντες εἰς αὐτοὺς οἱ πολέμιοι, νοήσας Σίμων κεκμηκότας αὐτούς, συμβάλλει τῇ φάλαγγι, καὶ προθυμίᾳ χρησαμένων πολλῇ τῶν στρατιωτῶν αὐτοῦ, τρέπει τοὺς ἐχθροὺς εἰς φυγήν. θεασάμενοι δὲ τοὺς πεζοὺς φεύγοντας οἱ ἱππεῖς, οὐδ' αὐτοὶ μένουσιν, ἀλλὰ παρεῖτοι μὲν ὄντες αὐτοὶ διὰ τὸ μέχρι δείλης μάχεσθαι, τῆς δὲ παρὰ τῶν πεζῶν ἐλπίδος αὐτοῖς ἀπολωλείας, ἀκόσμως καὶ συγκεχυμένως ἔφευγον, ὡς διαχωρισθέντας αὐτοὺς διὰ παντὸς διασπορηθῆναι τοῦ πεδίου. διώκων δ' αὐτοὺς Ἰωνάθης μέχρι τῆς Ἀζώτου, καὶ πολλοὺς ἀναιρῶν ἀπογνόντας τῆς σωτηρίας ἠνάγκασεν ἐπὶ τὸν τοῦ Δαγῶνος ναὸν καταφυγεῖν, ὃς ἦν ἐν Ἀζώτῳ. λαβὼν δ' ἐξ ἐπιδρομῆς Ἰωνάθης τὴν πόλιν, αὐτήν τε ἐνέπρησε, καὶ τὰς περὶ αὐτὴν κώμας. ἀπέσχετο δὲ οὐδὲ τοῦ Δαγῶνος ἱεροῦ, ἀλλὰ καὶ τοῦτο ἐνέπρησε καὶ τοὺς εἰς αὐτὸ συμφυγόντας διέφθειρε. τὸ δὲ πᾶν πλῆθος τῶν ἐν τῇ μάχῃ πεσόντων καὶ καταφλεγέντων ἐν τῷ ἱερῷ τῶν πολεμίων, ἦσαν ὀκτακισχίλιοι. κρατήσας οὖν τοσαύτης δυνάμεως, ἄρας ἀπὸ τῆς Ἀζώτου εἰς Ἀσκάλωνα παραγίνεται, καὶ καταστρατοπεδεύσαντος ἔξω τῆς πόλεως αὐτοῦ, προσῆλθον εἰς ἀπάντησιν αὐτοῦ οἱ Ἀσκαλωνῖται, ξένια προσφέροντες αὐτῷ καὶ τιμῶντες. ὁ δὲ ἀποδεξάμενος αὐτοὺς τῆς προαιρέσεως, ἀνέστρεψεν ἐκεῖθεν εἰς Ἱεροσόλυμα, πολλὴν ἐπαγόμενος λείαν, ἣν ἤλασεν ἐκεῖθεν νικήσας τοὺς πολεμίους. Ἀλέξανδρος δὲ ἀκούσας ἡττημένον τὸν αὐτοῦ στρατηγὸν Ἀπολλώνιον, προσεποιεῖτο χαίρειν ὅτι παρὰ τὴν αὐτοῦ γνώμην συνέβαλεν Ἰωνάθῃ, φίλῳ ὄντι καὶ συμμάχῳ, καὶ πέμπει πρὸς Ἰωνάθην μαρτυρῶν αὐτοῦ, καὶ γέρα καὶ τιμὰς δίδωσι, πόρπην χρυσέαν ὡς ἔθος ἐστὶ δίδοσθαι τοῖς τῶν βασιλέων συγγενέσι, καὶ τὴν Ἀκκαρῶνα καὶ τὴν τοπαρχίαν αὐτῆς, εἰς κληρουχίαν ἐπιτρέπει. ὑπὸ δὲ τοῦτον τὸν καιρὸν καὶ βασιλεὺς Πτολεμαῖος ὁ Φιλομήτωρ, ναυτικὴν ἄγων δύναμιν, καὶ πεζὴν εἰς Συρίαν ἧκε, συμμαχήσων Ἀλεξάνδρῳ. γαμβρὸς γὰρ ἦν αὐτοῦ, καὶ πᾶσαι προθύμως αἱ πόλεις αὐτὸν Ἀλεξάνδρου κελεύσαντος ἐνδεχόμεναι παρέπεμπον ἕως Ἀζώτου πόλεως, ἔνθα πάντες κατεβόων αὐτοῦ περὶ τοῦ ἐμπεπρησμένου ἱεροῦ αὐτῶν Δαγῶνος, κατηγοροῦντες Ἰωνάθου τοῦτο ἀφανίσαντος, καὶ τὴν χώραν πυρπολήσαντος, καὶ πολλοὺς αὐτῶν ἀποκτείναντος. καὶ Πτολεμαῖος μὲν ταῦτα ἀκούσας ἡσύχασεν. Ἰωνάθης δὲ εἰς Ἰόππην ἀπαντήσας Πτολεμαίῳ, ξενίων τε λαμπρῶν παρ' αὐτοῦ τυγχάνει, καὶ τιμῆς ἁπάσης. εἶτα προπέμψας αὐτὸν ἕως τοῦ Ἐλευθέρου καλουμένου ποταμοῦ, πάλιν ὑπέστρεψεν εἰς Ἱεροσόλυμα. γενόμενος δ' ἐν Πτολεμαΐδι παρὰ πᾶσαν προσδοκίαν μικροῦ διεφθάρη Πτολεμαῖος ἐπιβουλευθεὶς ὑπ' Ἀλεξάνδρου διὰ Ἀμμωνίου, ὃς ἐτύγχανεν αὐτοῦ φίλος ὤν. φανερᾶς δὲ τῆς ἐπιβουλῆς γενομένης, Πτολεμαῖος γράφει τῷ Ἀλεξάνδρῳ, πρὸς κόλασιν ἐξαιτῶν τὸν Ἀμμώνιον ἐπιβουλευθῆναι λέγων πρὸς αὐτοῦ, καὶ δίκην διὰ τοῦτ' αὐτὸν ἀξιῶν ὑπέχειν. οὐκ ἐκδιδόντος δὲ τοῦ Ἀλεξάνδρου, συνεὶς ἐκεῖνον εἶναι τὸν ἐπιβουλεύσαντα, χαλεπῶς πρὸς αὐτὸν διετέθη.

τοῖς

τοῖς δ' ἀντιοχεῦσι καὶ πρότερον ἦν προσκεκρουκὼς ἀλέξανδρος διὰ τὸν ἀμμώνιον. πολλὰ γὰρ ὑπ' αὐτοῦ πεπόνθεσαν κακά. τιμωρίαν μέντοι τῶν τετολμημένων ἀμμώνιος ὑπέσχε, κατασφαγεὶς αἰσχρῶς ὡς γυνὴ, κρύπτειν ἑαυτὸν σπουδάσας στολῇ γυναικείᾳ, καθὼς ἐν ἄλλοις δεδηλώκαμεν. πτολεμαῖος δὲ μεμψάμενος αὑτὸν τῆς τε συνοικίσαι τὴν θυγατέρα ἀλεξάνδρῳ, τῆς τε συμμαχίας τῆς κατὰ δημητρίου, διαλύεται πρὸς αὐτὸν συγγένειαν. ἀποσπάσας γὰρ τὴν θυγατέρα, πέμπει πρὸς δημήτριον εὐθὺς περὶ συμμαχίας καὶ φιλίας, συντιθέμενος τὴν θυγατέρα δώσειν αὐτῷ εἰς γυναῖκα, καὶ καταστήσειν αὐτὸν εἰς τὴν πατρῴαν ἀρχήν. ὁ δὲ δημήτριος ἡσθεὶς τοῖς πρεσβευομένοις, δέχεταί τε τὴν συμμαχίαν καὶ τὸν γάμον. ἓν δέ τι πτολεμαίῳ λοιπὸν ἀγώνισμα ὑπελείπετο, πεῖσαι τοὺς ἀντιοχεῖς δέξασθαι δημήτριον, ἀπεχθῶς πρὸς αὐτὸν διακειμένους ὑπὲρ ὧν ὁ πατὴρ αὐτοῦ δημήτριος εἰς αὐτοὺς παρηνόμησε. κατεπράξατο δὲ καὶ τοῦτο, μισοῦντες γὰρ τὸν ἀλέξανδρον οἱ ἀντιοχεῖς διὰ τὸν ἀμμώνιον ὡς δεδηλώκαμεν, ῥᾳδίως αὐτὸν ἐκ τῆς ἀντιοχείας ἐξέβαλον. καὶ ὁ μὲν ἐκπεσὼν τῆς ἀντιοχείας, ἧκεν εἰς κιλικίαν. ἐλθὼν δὲ πρὸς τοὺς ἀντιοχεῖς πτολεμαῖος, βασιλεὺς ὑπ' αὐτῶν καὶ τῶν στρατευμάτων ἀναδείκνυται. καὶ ἀναγκασθεὶς δύο περιτίθεται διαδήματα, ἓν μὲν τὸ τῆς ἀσίας, ἕτερον δὲ τὸ τῆς αἰγύπτου. χρηστὸς δὲ ὢν φύσει καὶ δίκαιος, καὶ τῶν λαμπρῶν οὐκ ἐφιέμενος, πρὸς δὲ τούτοις καὶ τὰ μέλλοντα λογίσασθαι συνετὸς, φείσασθαι τοῦ μὴ δόξαι εἶναι τοῖς ῥωμαίοις ἐπίφθονος ἔκρινε. καὶ συναγαγὼν τοὺς ἀντιοχεῖς εἰς ἐκκλησίαν, πείθει δέξασθαι τὸν δημήτριον αὐτοὺς, λέγων ὡς οὐδενὸς μνησικακήσειεν αὐτοῖς περὶ τῶν πατρὸς, αὐτὸς εὐεργετηθεὶς, διδάσκαλόν τε ἀγαθὸν αὐτὸν καὶ ἡγεμόνα ἔσεσθαι διωμολογήσατο, καὶ φαύλοις ἐγχειροῦντα πράγμασιν, οὐκ ἐπιτρέψειν ὑπέσχετο, αὐτῷ δ' ἔφασκεν ἀρκεῖν τὴν τῆς αἰγύπτου βασιλείαν. ταῦτ' εἰπὼν, πείθει τοὺς ἀντιοχεῖς δέξασθαι τὸν δημήτριον. τοῦ δ' ἀλεξάνδρου σὺν στρατεύματι πολλῷ καὶ μεγάλῃ παρασκευῇ ὁρμήσαντος ἐκ τῆς κιλικίας εἰς συρίαν, καὶ τὴν ἀντιοχέων γῆν ἐμπρήσαντος καὶ διαρπάσαντος πτολεμαῖος ἐπ' αὐτὸν ἐξεστράτευσε μετὰ τοῦ γαμβροῦ δημητρίου. ἤδη γὰρ αὐτῷ πρὸς γάμον ἐδεδώκει τὴν θυγατέρα. καὶ νικήσαντες, εἰς φυγὴν ἐτρέψαντο τὸν ἀλέξανδρον. ἔφυγε μὲν οὖν εἰς ἀραβίαν φυγῇ. συνέβη δ' ἐν τῇ μάχῃ τὸν ἵππον τοῦ πτολεμαίου φωνῆς ἀκούσαντα ἐλέφαντος ταραχθῆναι, καὶ τὸν πτολεμαῖον ἀποσεισάμενον ἀποβαλεῖν. τοὺς δὲ πολεμίους ἰδόντας ἐπ' αὐτὸν ὁρμῆσαι, καὶ τραύματα πολλὰ δόντας αὐτῷ κατὰ τῆς κεφαλῆς, εἰς κίνδυνον τὸν περὶ θανάτου καταστῆσαι. τῶν γὰρ σωματοφυλάκων αὐτὸν διαρπασάντων, χαλεπῶς οὕτως εἶχεν ὡς ἐφ' ἡμέρας τέσσαρας, μήτε συνιέναι τι, μήτε φθέγγεσθαι δυνηθῆναι. τοῦ δὲ ἀλεξάνδρου τὴν κεφαλὴν ὁ τῶν ἀράβων δυνάστης ἀποτεμὼν ζάβηλος, ἀπέστειλε πτολεμαίῳ. ὃς τῇ πέμπτῃ τῶν ἡμερῶν ἀνενεγκὼν ἐκ τῶν τραυμάτων καὶ φρονήσας, ἥδιστον ἄκουσμα καὶ θέαμα τὴν ἀλεξάνδρου τελευτὴν ἅμα καὶ τὴν κεφαλὴν ἀκούει καὶ θεᾶται. καὶ μετ' οὐ πολὺ πλησθεὶς τῆς ἐπ' ἀλεξάνδρῳ τεθνηκότι χαρᾶς, καὶ αὐτὸς κατέστρεψε τὸν βίον. ἐβασίλευσε δὲ τῆς ἀσίας ἀλέξανδρος ὁ βάλλης λεγόμενος, ἔτη ε', καθὼς ἐν ἄλλοις δεδηλώκαμεν. παραλαβὼν δὲ τὴν βασιλείαν δημήτριος ὁ νικάνωρ ἐπιλεγόμενος, ὑπὸ πονηρίας ἤρξατο διαφθείρειν τὸ τοῦ πτολεμαίου

A Antiochenos autẽ iam antea propter cũ Ammoniũ infensos habebat, à quo plurimis affecti fuerant incommodis. Non tamen effugit pœnã Ammonius, turpiter vt mulier cæsus, dũ amictu fœmineo quærit latebras, quemadmodũ in alio diximus commentario. Ptolemæus autem affinitatis Alexandri pœnitens, & lati aduersus Demetrium auxilij, abstracta à marito filia cõfestim ad Demetrium mittit legatos de societate & amicitia, his conditionibus, vt data ipsi B in matrimonium filia, in paternum regnum cũ restitueret. At ille & amicitiam eius & oblatã coniugem perlibẽter amplexus est. vnus etiam reliquus erat labor Ptolemæo, vt Antiochensibus persuaderet Demetrium recipere, alienatis ab eo propter iniurias à patre eius acceptas. perfecit tamen hoc quoque. nam propter Ammonium habentes exosum & Alexandrum, facilè impulsi sunt, vt cum ex vrbe eiicerent. Atque ita elapsus ex Antiochia venit in Cili- C ciam: Ptolemæus verò vrbem ingressus, & à ciuibus rex consalutatus est & ab exercitu, coactus duo sibi imponere diademata, alterum Asiæ, Ægypti verò alterum. Sed cùm esset natura iustus, & nimiæ potentiæ minimè cupidus, ad hæc prudens, & qui nollet Romanis inuidiosus fieri, aduocata Antiochensium concione, persuasit eis vt Demetrium reciperent, pollicitus eum maiorem rationem habiturum recentis eorum beneficij, quàm odiorum, quæ D illis cum patre eius intercesserant. Se quoque affirmauit monstratorem ei fore vitę rectè instituendæ & administrandæ reipublicæ: nec passurum quicquam tentare, quod non deceat. nam quoad dominationem attineat, contentum se esse Ægypti imperio. atque ita perducti sunt in eam sententiam Antiocheni, vt Demetrium reciperent. Cæterùm cùm Alexander ducens validum exercitum è Cilicia E inuasisset Syriam & Antiochenum agrum vastaret rapinis atque incendiis, occurrit ei Ptolemæus vnà cum genero suo Demetrio: iam enim confectæ erant nuptiæ, & victus Alexãder compulsus est fugere in Arabiam. Fortè accidit in eo prælio, vt equus Ptolemæi cõsternatus barritu elephanti eum excuteret, prostratúmq; aggressi hostes vulneribus in caput inflictis in periculum extremum adducerẽt, ni ereptus esset interuentu satellitum. attamen F per integrum quatriduum sopitis sensibus, nec loqui potuit, nec loquentes intelligere. Alexandri verò caput Zabelus Arabum dynasta recisum misit ad Ptolemæum, qui die quinta demum respirans à vulneribus, & ad se reuersus iucundissimo sibi rumore simul & spectaculo capitis ac mortis Alexandri pauit animum & oculos. nec ita multò pòst exatiatus gaudio percepto ex inimici interitu, & ipse vitam finiit. Alexander autem cognominatus Veles, per quinquennium regnum ob- G tinuit, sicut aliàs indicauimus. Demetrius autẽ cognomine Nicanor, regno potitus cùm esset prauo ingenio malè mulctabat Ptolemæi

milites, oblitus & auxilij & affinitatis, quæ per Cleopatræ nuptias recens intercesserat. Illi verò perosi hominis ingratitudinem receperunt se Alexandriam, elephantis tamen in eius potestate relictis. Interim Ionathas pontifex coactis è tota Iudęa copiis, aggressus est oppugnare arcem Hierosolymis & Macedonicum præsidium, cum desertoribus religionis qui eò confugerant. Hi primùm contemnebant conatus Ionathæ, quòd satis fiderent loci munitionibus: tandem nocte aliquot scelesti elapsi peruenerunt ad Demetrium, arcis oppugnationem nunciantes. Qui iratus mouit exercitum ex Antiochia contra Ionatham: cúmque peruenisset vsque Ptolemaidem, acciuit eum ad se per literas. Ille non intermissa oppugnatione, cum senioribus populi & sacerdotibus aurum, argentum, vestem, aliáque xenia deferens venit ad Demetrium, & hac munificentia mitigauit regis animum: tractatúsque honorificè, confirmatus est in pontificatu, quemadmodum à superioribus regibus. Accusatoribus autem eius transfugis fidem non habuit: verumetiam rogatus vt pro Iudæa vniuersa tribúsque attributis ei toparchiis, Samaria, Ioppe, & Galilæa, trecenta tantùm talenta penderentur, concessit per diploma tale. Rex Demetrius Ionathæ fratri & Iudæorum gēti gaudium. Exemplum epistolæ quam scripsimus Lastheni parenti nostro, misimus ad vos vt sciretis: Rex Demetrius Lastheni patri gaudium. Genti Iudæorum amicis nostris & iura amicitiæ seruantibus, decreui beneuolentiæ gratiam referre. quapropter tres præfecturas, Apherimam, Lyddam, Romatham cum suis finibus, Samaritis ademptas ad Iudæam attribuo: & remitto quicquid solebant ante me reges accipere à sacrificantibus Hierosolymis, aliáque tributa pro fructu terræ atque arborum: præterea salinarum vectigal & aurum coronarium: neque quicquam horum exigetur in posterum. Cura igitur vt huius scripti exemplar mittatur ad Ionatham, & dedicetur in illustri aliquo loco templi sanctissimi. Hactenus diploma. Porrò Demetrius videns ditionem suam pacatam, & nihil timendum periculi, dimisit exercitum, & stipendia militum minuit, solis exteris mercedem soluens, quos secum è Creta aliisque insulis collectos adduxerat. quamobrem odium sibi concitauit apud proprium militem, cui ipse nihil numerabat, solito ab aliis ante eum regibus etiam pacis tempore stipendium accipere, vt hoc pacto alacriores fierent, ad subeunda quoties opus esset pericula.

A στρατιωτικόν, τῆς τε συμμαχίας ἐκλαθόμενος, καὶ ὅτι πενθερὸς ἦν αὐτοῦ, καὶ διὰ τὸν τῆς Κλεοπάτρας γάμον συγγενής. οἱ μὲν οὖν στρατιῶται, φεύγουσιν αὐτοῦ τὴν πονηρίαν εἰς Ἀλεξάνδρειαν, τῶν δὲ ἐλεφάντων Δημήτριος ἐγκρατὴς γίνεται. Ἰωνάθης δ' ὁ ἀρχιερεὺς ἐξ ἁπάσης τῆς Ἰουδαίας στρατιὰν συναγαγὼν, προσβαλὼν ἐπολιόρκει τὴν ἐν Ἱεροσολύμοις ἄκραν, ἔχουσαν Μακεδονικὴν φρουρὰν, καὶ τῶν ἀσεβῶν τινὰς καὶ τῶν πεφευγότων τὴν πάτριον συνήθειαν. οὗτοι δὲ τὸ μὲν
B πρῶτον κατεφρόνουν ὧν Ἰωνάθης ἐμηχανᾶτο περὶ τὴν αἵρεσιν, πεπιστευκότες τῇ ὀχυρότητι τοῦ χωρίου. νυκτὸς δέ τινες τῶν ἐν αὐτῇ πονηρῶν ἐξελθόντες, ἧκον πρὸς Δημήτριον, καὶ τὴν πολιορκίαν αὐτῷ τῆς ἄκρας ἐμήνυον. ὁ δὲ τοῖς ἠγγελμένοις παροξυνθεὶς, ἀναλαβὼν τὴν δύναμιν, ἧκεν ἐκ τῆς Ἀντιοχείας ἐπὶ τὸν Ἰωνάθην. γενόμενος δ' ἐν Πτολεμαΐδι, γράφει κελεύων αὐτὸν σπεῦσαι πρὸς αὐτὸν εἰς Πτολε-
C μαΐδα. ὁ δὲ τὴν μὲν πολιορκίαν, οὐκ ἔπαυσε. τοὺς δὲ πρεσβυτέρους τοῦ λαοῦ παραλαβὼν καὶ τοὺς ἱερεῖς, καὶ χρυσὸν καὶ ἄργυρον καὶ ἐσθῆτα, καὶ πλῆθος ξενίων κομίζων, ἧκε πρὸς τὸν Δημήτριον. καὶ τούτοις δωρησάμενος αὐτὸν, θεραπεύει τὴν ὀργὴν τοῦ βασιλέως. καὶ τιμηθεὶς ὑπ' αὐτοῦ, λαμβάνει βεβαίαν ἔχειν τὴν ἀρχιερωσύνην, καθὼς καὶ παρὰ τῶν πρὸ αὐτοῦ βασιλέων ἐκέκτητο. κατηγορούντων δ'
D αὐτοῦ τῶν φυγάδων, ὁ Δημήτριος οὐκ ἐπίστευσεν. ἀλλὰ καὶ παρακαλέσαντος αὐτὸν ὅπως ὑπὲρ τῆς Ἰουδαίας ἁπάσης, καὶ τῶν τριῶν τοπαρχιῶν, Σαμαρείας καὶ Ἰόππης καὶ Γαλιλαίας, τριακόσια τελῇ τάλαντα, δίδωσι, καὶ περὶ πάντων ἐπιστολὰς αἳ περιεῖχον τὸν τρόπον τοῦτον. Βασιλεὺς Δημήτριος Ἰωνάθῃ τῷ ἀδελφῷ καὶ τῷ Ἰουδαίων ἔθνει χαίρειν. τὸ ἀντίγραφον τῆς ἐπιστολῆς ἧς ἔγραψα Λασθένει τῷ συγγενεῖ ἡμῶν, ἀπεστάλκαμεν ὑμῖν ἵν' εἰδῆτε. Βασιλεὺς Δημή-
E τριος Λασθένει τῷ πατρὶ χαίρειν. τῷ Ἰουδαίων ἔθνει ὄντι φίλῳ, καὶ τὰ δίκαια τὰ πρὸς ἡμᾶς φυλάττοντι, τῆς εὐνοίας ἕνεκα χάριν παρέχειν. καὶ τοὺς τρεῖς νομοὺς Ἀφαιρεμὰ, καὶ Λύδδα, καὶ Ῥαμαθὴ, οἳ τῇ Ἰουδαίᾳ προσετέθησαν ἀπὸ τῆς Σαμαρείτιδος, καὶ τὰ προσκυροῦντα τούτοις, ἔτι τε ὅσα παρὰ τῶν θυόντων ἐν Ἱεροσολύμοις ἐλάμβανον οἱ πρὸ ἐμοῦ βασιλεῖς, καὶ ὅσα ἀπὸ τῶν καρπῶν τῆς γῆς καὶ τῶν φυ-
F τῶν, καὶ τἄλλα τὰ προσήκοντα ὑμῖν, καὶ τὰς λίμνας τῶν ἁλῶν, καὶ τοὺς κομιζομένους ὑμῖν στεφάνους, ἀφίημι αὐτοῖς. καὶ οὐδὲν παραβιασθήσεται τούτων ἀπὸ τοῦ νῦν, οὐδ' εἰς τὸν ἅπαντα χρόνον. φρόντισον οὖν ἵνα τούτων ἀντίγραφον γένηται, καὶ δοθῇ Ἰωνάθῃ, καὶ ἐν ἐπισήμῳ τόπῳ τοῦ ἁγίου ἱεροῦ τεθῇ. τὰ μὲν δὴ γραφέντα ταῦτ' ἦν. ὁρῶν δ' ὁ Δημήτριος εἰρήνην οὖσαν, καὶ μηδένα κίνδυνον μηδὲ πολέμου φόβον ὑπάρχοντα, διέλυσε τὴν στρατείαν. καὶ τὸν μισθὸν αὐτῶν ἐμείωσε. καὶ μόνοις τούτων ἐχορήγει τοῖς ξενολογηθεῖσιν, οἳ συνανέβησαν ἐκ Κρήτης αὐτῷ, καὶ ἐκ τῶν ἄλλων νήσων. ἔχθρα γοῦν αὐτῷ καὶ μῖσος ἐκ τούτου γίνεται παρὰ τῶν στρατιωτῶν, οἷς αὐτὸς μὲν, οὐδὲν οὐκ ἔτι παρεῖχεν. οἱ δὲ πρὸ αὐτοῦ βασιλεῖς καὶ ἐπ' εἰρήνης χορηγοῦντες αὐτοῖς ὁμοίως διετέλουν, ἵν' εὐνοοῦντας ἔχωσιν καὶ ἐν τοῖς ὑπὲρ αὐτῶν ἀγῶσιν εἰ δέησέ ποτε προθύμους.

Ὡς ξύ-

Κεφάλαιον θ'.

Ὡς τρύφων ὁ ἀπαμεὺς καταπολεμήσας Δημήτριον, Ἀντιόχῳ τῷ Ἀλεξάνδρου υἱῷ παρέδωκε τὴν βασιλείαν, ποιησάμενος καὶ αὐτὸς σύμμαχον Ἰωνάθην.

Ἅμα δὲ ταύτην νοήσας τὴν δύσνοιαν τῶν στρατιωτῶν πρὸς Δημήτριον Ἀλεξάνδρου τις στρατηγὸς, Ἀπαμεὺς τὸ γένος, Διόδοτος ὁ καὶ Τρύφων ἐπικληθεὶς, παραγίνεται πρὸς Μάλχον τὸν Ἄραβα ὃς ἔτρεφε τὸν Ἀλεξάνδρου υἱὸν Ἀντίοχον. καὶ δηλώσας αὐτῷ τὴν δυσμένειαν τὴν τῶν στρατευμάτων πρὸς Δημήτριον, ἔπειθεν αὐτῷ δοῦναι τὸν Ἀντίοχον. βασιλέα γὰρ αὐτὸν ποιήσειν, καὶ τὴν ἀρχὴν αὐτῷ τὴν τοῦ πατρὸς ἀποκαταστήσειν. ὁ δὲ τὸ μὲν πρῶτον, ἀντεῖχεν ὑπ' ἀπιστίας. ὕστερον δὲ πολλὰ χρόνῳ προσλιπαρήσαντος τοῦ Τρύφωνος ἐνικᾶται τὴν προαίρεσιν εἰς ἃ Τρύφων παρεκάλει. καὶ τὰ μὲν περὶ τοῦτον τὸν ἄνδρα ἐν τούτοις ὑπῆρχεν. ὁ δ' ἀρχιερεὺς Ἰωνάθης ἐπεξελθεῖν βουλόμενος τοὺς ἐν τῇ ἄκρᾳ τῶν Ἱεροσολύμων καὶ τοὺς Ἰουδαίων φυγάδας καὶ ἀσεβεῖς, καὶ τοὺς ἐν ἅπασι τοῖς ἐν τῇ χώρᾳ φρουρίοις, πέμψας πρὸς Δημήτριον δῶρα καὶ πρεσβευτὰς παρεκάλει τοὺς ἐν τοῖς ὀχυρώμασι τῆς Ἰουδαίας ἐκβαλεῖν. ὁ δ' οὐ ταῦτα μόνον αὐτῷ παρέξειν, ἀλλὰ καὶ μείζω τούτων ὑπισχνεῖται μετὰ τὸν ἐν χερσὶ πόλεμον. τοῦτο γὰρ νῦν ἀσχολεῖν. ἠξίου δ' αὐτὸν καὶ συμμαχίαν πέμψαι, δηλῶν ἀποστῆναι τὴν δύναμιν αὐτοῦ. καὶ Ἰωνάθης μὲν τρισχιλίους ἐπιλεξάμενος στρατιώτας, ἔπεμψεν. Ἀντιοχεῖς δὲ μισοῦντες τὸν Δημήτριον ὑφ' ὧν πεπόνθεσαν ὑπ' αὐτοῦ κακῶς, ἀπεχθανόμενοι δ' αὐτῷ καὶ διὰ τὸν πατέρα Δημήτριον, πολλὰ εἰς αὐτοὺς ἐξαμαρτόντα, καιρὸν ἐπετήρουν λαβεῖν καθ' ὃν ἐπιθοῖντο αὐτῷ. νοήσαντες δὲ συμμαχίαν παροῦσαν παρὰ Ἰωνάθου τῷ Δημητρίῳ, καὶ συμφρονήσαντες ὅτι πολλὴν ἀθροίσει δύναμιν εἰ μὴ φθάσαντες προκαταλάβοιεν αὐτὸν, ἁρπάσαντες τὰ ὅπλα, καὶ περισχόντες τοῖς βασιλείοις αὐτοῦ τρόπῳ πολιορκίας, καὶ τὰς ἐξόδους διαλαβόντες, ἐζήτουν χειρώσασθαι τὸν βασιλέα. ὁ δὲ τὸν δῆμον ὁρῶν τῶν Ἀντιοχέων ἐκπεπολεμωμένον πρὸς αὐτὸν καὶ ἐν ὅπλοις ὄντα, παραλαβὼν τοὺς μισθοφόρους, καὶ τοὺς πεμφθέντας ὑπὸ Ἰωνάθου Ἰουδαίους, συμβάλλει τοῖς Ἀντιοχεῦσι. καὶ βιασθεὶς ὑπ' αὐτῶν, πολλαὶ γὰρ ἦσαν μυριάδες, ἡττᾶται. βλέποντες δὲ τοὺς Ἀντιοχεῖς κρατοῦντας Ἰουδαῖοι, ἐπὶ τὰς στέγας τῶν βασιλείων ἀναβάντες, ἐκεῖθεν ἔβαλλον τοὺς Ἀντιοχεῖς. καὶ τῷ μὲν αὐτοὶ τι πάσχειν ὑπ' αὐτῶν ὄντες πορρωτάτω διὰ τὸ ὕψος, ποιοῦντες δ' αὐτοὺς κακῶς διὰ τὸ ἄνωθεν μάχεσθαι, τῆς συνεγγὺς αὐτοὺς οἰκίας ἀπώσαντο. καὶ ταύταις μὲν εὐθὺς πῦρ ἐνῆκαν. ἡ δὲ φλὸξ ἐφ' ὅλην διατείνουσα τὴν πόλιν, πυκνῶν τῶν οἰκιῶν οὐσῶν, καὶ τὰ πλεῖστα ἐκ ξύλων ᾠκοδομημένων, πᾶσαν αὐτὴν ἐνέμετο. οἱ δ' Ἀντιοχεῖς μὴ δυνάμενοι βοηθῆσαι μηδὲ κρατῆσαι τοῦ πυρὸς, εἰς φυγὴν ἐτράπησαν. τῶν δὲ Ἰουδαίων ἀπὸ δώματος ἐπὶ δῶμα διαπηδώντων, καὶ τὸν τρόπον τοῦτον διωκόντων, παραδοξότατον συνέβη γενέσθαι τὴν δίωξιν. ὁ δὲ βασιλεὺς ὁρῶν τοὺς Ἀντιοχεῖς, σῶσαι τὰ τέκνα καὶ τὰς γυναῖκας ἐσπουδακότας, καὶ διὰ τοῦτο μηκέτι μαχομένους, δι' ἄλλων αὐτοῖς ἐπιτίθεται στενωπῶν. καὶ συμβαλὼν πολλοὺς μὲν αὐτῶν ἀπέκτεινεν, ὡς ἀναγκασθῆναι ῥίψαι τὰς πανοπλίας, καὶ παραδοῦναι αὐτοὺς τῷ Δημητρίῳ. συγγνοὺς δ' αὐτοῖς τῶν τετολμημένων, καταπαύει τὴν στάσιν. δωρησάμενος δὲ τοὺς Ἰουδαίους ταῖς ἐκ τῶν σκύλων ὠφελείαις, καὶ ὡς αἰτίοις αὐτῷ νίκης γεγενημένοις εὐχαριστήσας, ἀπέπεμψεν εἰς Ἱεροσόλυμα πρὸς Ἰωνάθην,

CAP. IX.

Tryphon Apamenus post deuictum Demetrium Antiocho Alexandri filio regnum asserit, recepto in amicitiam Ionatha.

VIII. 1.Mach.11.

Eam alienationem militum à Demetrio animaduertens quidam ex Alexandri ducibus genere Apamenus, Diodotus cognomine Tryphon, venit ad Malchum Arabem, qui educabat Alexandri filium Antiochum: & cùm indicasset ei quàm infensi essent Demetrio milites, suasit vt sibi Antiochum traderet. effecturum enim se, vt is receptus potiretur paterno imperio. At ille primùm difficilem se præbebat, quòd non satis ei fideret: tandem Tryphon euicit assiduis precibus. Interea Ionathas pontifex volens tollere Hierosolymitanæ arcis præsidium, & impios transfugas, reliquósque qui arces tenebant in ea regione, legatione cum muneribus missa ad Demetrium, rogabat eum vt præsidia de Iudeæ castellis eiiceret. Qui non hac tantùm in re, sed maiora etiam gratificaturum se ei pollicitus est, quàm primùm leuatus esset præsenti bello, per cuius negocia non liceret nunc id facere. postulabat etiam vt pro iure amicitiæ mitteret auxilia, quandoquidem sui milites ad hostem deficerent: móxque tria millia delectorum militum Ionathas ad regem misit. Cæterùm Antiochéses exosum habentes Demetrium, tam propter ipsius quàm propter paternas iniurias, cupiebant eum per occasionem aggredi: videntésque auxilium ei venisse à Ionatha, & considerantes breui augendas eius vires nisi maturè præuenirent, correptis armis circumsteterunt regiam velut expugnaturi, & intercepto exitu conabantur illum in potestatem suam redigere. Qui videns populum armatum hostiliter se impetere, assumpto mercenario milite & Iudæis auxiliaribus, conflixit cum Antiochensibus, & superatus numero, compulsus est cedere. Tum Iudæi receperunt se in tectum regiæ, & è superiore loco missilibus feriebant populum: quod cùm tutò facerent propter loci eminentiam, facilè repulerunt eum à propinquis ædibus: & mox iniecto in eas igne, incendium totam vrbem peruagatum est propter densitatem ædificiorum, quæ tota ferè constabant è materia lignea. Antiochenses verò non valentes ædibus flagrantibus succurrere, in fugam se verterunt. Tum Iudæi de vno tecto in aliud transilientes, miris modis eos insectabantur. Rex autem animaduertens Antiochenos occupatos in eripiendis liberis & vxoribus, & ideò intermisisse prælium, per diuersos angiportus eos aggressus, multis occisis reliquos coegit abiectis armis deditionem facere: & concessa audaciæ venia, seditionem compescuit, donatósque Iudæos præda quam ex direptionibus parauerant, & collaudatos quasi autores eius victoriç remisit ad Ionatham

non sine præclaro virtutis eorum testimonio. postea tamen ingratus apparuit, & non seruauit pollicita, bellum etiam minatus, nisi redderet tributa omnia quæ Iudæorum gens solita est prioribus regibus pendere. Fecissetque etiam ni impeditus esset à Tryphone, coactus apparatum contra Ionatham factum in illum potius vertere. reuersus enim ex Arabia in Syriam cum Antiocho etiam tum adolescente, diadema eius capiti imposuit: & deficientibus ad se omnibus militibus, qui fraudati stipendiis fuerant, aperto bello Demetrium adortus est: & vno prælio factus superior, tum elephantos, tum Antiochenam vrbem illi ademit, compulso in Ciliciam cedere. Tum Antiochus adolescens missis literis & legatis ad Ionatham, socium & amicum eum nominat, & pontificatum ei confirmat, concessis & quatuor præfecturis, quæ Iudæorum regioni attributæ fuerant. Ad hæc aurea vasa & pocula vestémque purpuream & ius vtendi misit ei, nec non fibulam auream, cooptato inter amicos primarios. Simonem etiam eius fratrem militibus, quantum eorum esset Tyrum inter & Ægyptum præposuit. Ionathas verò lætus tot collatis in se per Antiochum beneficiis atque honoribus, & ipse suos legatos ad eum simul & Tryphonem misit, amicum se & socium professus, gesturúmque vnà bellum contra communem hostem Demetrium, multa de eius ingratitudine questus, quòd pro beneficio iniuriam sibi reposuisset. cùm igitur permissum esset ei ab Antiocho, collectis etiam è Syria & Phœnice militibus bellum contra Demetrij duces gerere, confestim profectus est ad vicinas vrbes & oppida: à quibus honorificè exceptus, nullis tamen adiutus est militibus. & cùm Ascalonem venisset: hic quoque ab oppidanis cum muneribus ei occursum est: quos & ipsos hortatus est, quemadmodum alias vrbes Cœlesyriæ, vt à Demetrio deficerent ad Antiochum, & pro acceptis iniuriis pœnas ab eo repeterent. esse enim multas causas, cur ad hoc consentire debeant. quibus persuasis vt polliceretur auxilia, ad Gazæos peruenit, vt hos quoque conciliaret Antiocho. hos præter spem inuenit portas sibi clausisse, nolentes deserto Demetrio parti aduersæ se coniungere. quare Ionathas irritatus est, vt & agros vastaret, & vrbem conaretur vi capere: relictáque ad eius obsidionem parte exercitus, cum reliqua manu in vicos sæuiebat incendiis. Tum Gazæi videntes præsentem calamitatem ab hoste, nec vllum interim auxilium à Demetrio, & spem quoque incertam propter locorum distantiam, satius existimauerunt illo omisso necessitati suæ consulere: & missis ad Ionatham nunciis recepti sunt in societatem atque amicitiam. Aliquando enim homines non nisi suo malo docti intelligunt quid sit vtile, cùm deberent sapere ante acceptum incommodum, & vltrò potius

μαρτυρῶν αὐτῷ τῆς συμμαχίας. ὕστερον δὲ πονηρὸς εἰς αὐτὸν ἐγένετο, καὶ τὰς ὑποσχέσεις διεψεύσατο, καὶ πόλεμον ἠπείλησεν εἰ μὴ τοὺς φόρους αὐτῷ πάντας ἀποδώσει, οὓς ὤφειλε τὸ τῶν ἰουδαίων ἔθνος ἀπὸ τῶν πρώτων βασιλέων. καὶ ταῦτα ἐποίησεν ἄν, εἰ μὴ τρύφων αὐτὸν ἐπέσχεν, καὶ τὴν ἐπὶ τὸν ἰωνάθην αὐτοῦ παρασκευὴν ἀντιμετέσπασεν εἰς τὰς περὶ αὐτοῦ φροντίδας. ὑποστρέψας γὰρ ἐκ τῆς ἀραβίας εἰς τὴν συρίαν μετὰ τοῦ παιδὸς ἀντιόχου, μειράκιον δὲ ἦν ἔτι τὴν ἡλικίαν, περιτίθησιν αὐτῷ τὸ διάδημα. καὶ προσχωρήσαντος τοῦ στρατιωτικοῦ παντὸς, ὃ καταλελοίπει τὸν δημήτριον διὰ τὸ μὴ τυγχάνειν μισθοῦ, πόλεμον ἐκφέρει πρὸς τὸν δημήτριον. καὶ συμβαλὼν αὐτῷ, κρατεῖ τῇ μάχῃ, καὶ τούς τ' ἐλέφαντας, καὶ τὴν τῶν ἀντιοχέων πόλιν λαμβάνει. δημήτριος μὲν οὖν ἡττηθεὶς, ἀνεχώρησεν εἰς κιλικίαν. ὁ δὲ παῖς ἀντίοχος πέμψας πρὸς ἰωνάθην πρεσβευτὰς καὶ γράμματα, φίλον τε καὶ σύμμαχον αὐτὸν ποιεῖται, καὶ τὴν ἀρχιερωσύνην ἐξεβαίου, καὶ τῶν τεσσάρων παρεχώρει νομῶν, οἳ τῇ χώρᾳ τῶν ἰουδαίων προσετέθησαν. ἔτι γε μὴν σκεύη χρυσᾶ καὶ ἐκπώματα, καὶ πορφυρᾶν ἐσθῆτα χρῆσθαι τούτοις ἐπιτρέπων ἀπέστειλε. καὶ πόρπῃ δὲ αὐτὸν δωρεῖται χρυσέᾳ, καὶ τῶν πρώτων αὐτοῦ καλεῖσθαι φίλων. τὸν ἀδελφὸν δὲ αὐτοῦ σίμωνα, στρατηγὸν τῆς στρατιᾶς ἀπὸ τῆς κλίμακος τῆς τυρίων, ἕως τῆς αἰγύπτου καθίστησιν. ἰωνάθης δὲ τούτοις παρ' ἀντιόχου γεγενημένοις εἰς αὐτὸν ἡσθεὶς, πέμψας πρὸς αὐτόν τε καὶ τρύφωνα πρεσβευτὰς, εἶναί τε φίλος ὡμολόγει καὶ σύμμαχος, καὶ πολεμήσειν σὺν αὐτῷ πρὸς δημήτριον, διδάσκων ὡς οὐδὲ αὐτῷ χάριτας ἀποδῴη, πολλῶν παρ' αὐτοῦ χρηστῶν ἐν οἷς ἐδεῖτο τυχὼν, ἀλλὰ προσαδικήσειεν ἀνθ' ὧν εὖ πάθοι. συγχωρήσαντος οὖν ἀντιόχου δύναμιν αὐτῷ συναγαγόντι πολλὴν ἔκ τε συρίας καὶ φοινίκης τοῖς δημητρίου πολεμῆσαι στρατηγοῖς, εὐθὺς ὥρμησεν εἰς τὰς πόλεις. αἱ δὲ λαμπρῶς μὲν ἐξεδέξαντο, στρατιὰν δὲ οὐκ ἔδοσαν. παραγενόμενος δ' ἐκεῖθεν εἰς ἀσκάλωνα πόλιν, καὶ τῶν ἀσκαλωνιτῶν φιλοτίμως αὐτῷ μετὰ δώρων ὑπαντησάντων, αὐτούς τε τούτοις παρεκάλει, καὶ τῶν ἐν τῇ κοίλῃ συρίᾳ πόλεων ἑκάστην, ἀποστᾶσαν δημητρίου, προσθέσθαι μὲν ἀντιόχῳ, σὺν αὐτῷ δὲ πολεμούσας πειρᾶσθαι παρὰ δημητρίου δίκην λαμβάνειν ὧν ἁμάρτοι ποτὲ εἰς αὐτούς. εἶναι δ' αὐταῖς βουλομέναις ταῦτα φρονεῖν, πολλὰς αἰτίας. πείσας δὲ ὁμολογῆσαι πρὸς τὸν ἀντίοχον συμμαχεῖν τὰς πόλεις εἰς γάζαν παρεγένετο, προσαξόμενος καὶ τὴν παρὰ τούτων εὔνοιαν ἀντιόχῳ. πολὺ δ' εὗρε τῆς προσδοκίας τοὺς γαζαίους ἀλλοτριωτέρον ἔχοντας. ἀπέκλεισαν γὰρ αὐτῷ τὰς πύλας, καὶ τὸν δημήτριον ἐγκαταλιπόντες, οὐκ ἔγνωσαν ἀντιόχῳ προσχωρῆσαι. τοῦτο παρώξυνεν εἰς πολιορκίαν τὸν ἰωνάθην καὶ τῆς χώρας τὴν κάκωσιν. μέρος γὰρ τῆς στρατιᾶς περικαθίσας τῇ γάζῃ, τῷ λοιπῷ τὴν γῆν αὐτὸς ἐπιὼν διέφθειρε καὶ ἐνεπίμπρα. ταῦτα δὲ πάσχοντας αὐτοὺς ὁρῶντες οἱ γαζαῖοι, καὶ μηδεμίαν ἀπὸ δημητρίου βοήθειαν αὐτοῖς γινομένην, ἀλλὰ τὸ μὲν λυποῦν ἤδη παρὸν, τὸ δὲ ὠφελῆσον μακρὰν ἔτι, καὶ ἄδηλον εἰ παραγένοιτο, στερρὸν ἔκριναν εἶν' αὐτῷ ἀφέντες παραμένειν ἐκεῖνο θεραπεύειν. πέμψαντες οὖν πρὸς τὸν ἰωνάθην, φιλίαν τε ὡμολόγουν καὶ συμμαχίαν. οἱ μὲν γὰρ ἄνθρωποι πρὸ πείρας τῶν δεινῶν, οὐ συνιᾶσι τὸ συμφέρον. ἀλλ' ὅταν ἔν τινι κακῷ γενόμενοι τύχωσι, τότε γνωσιμαχήσαντες ἃ μηδ' ὅλως βλαβέντας

τας ἄμεινον ἦν ποιεῖν, ταῦτα ὕστερον ζημιωθέντες αἱρεθῶσι. ὁ δὲ συνθέμενος πρὸς αὐτοὺς φιλίαν, καὶ λαβὼν ὁμήρους τούτους μὲν ἀπέστειλεν εἰς ἱεροσόλυμα, αὐτὸς δὲ τὴν χώραν ἅπασαν μετῆλθεν ἄχρι δαμασκοῦ. τῶν δὲ δημητρίου στρατηγῶν αὐτῷ προσελθόντων εἰς κέδασαν πόλιν σὺν πολλῇ στρατιᾷ, πλησίον δ' ἐστὶν αὕτη τῆς τυρίων γῆς καὶ τῆς γαλιλαίας, ἀπάξειν γὰρ αὐτὸν ἐκ τῆς συρίας ὑπέλαβον, ἐπὶ τὴν γαλιλαίαν ὡς σύμμαχον. τοὺς γὰρ γαλιλαίους ὄντας αὐτοῦ οὐ περιόψεσθαι πολεμουμένους, ὑπήντησεν αὐτοῖς, τὸν ἀδελφὸν σίμωνα καταλιπὼν ἐν τῇ ἰουδαίᾳ. ὃς τὸν στρατὸν ἐκ τῆς χώρας συναγαγὼν, ὡς ἐνῆν ἱκανώτατον, τὴν βεθσούραν πολιορκῶν προσεκάθητο, χωρίον τῆς ἰουδαίας ὀχυρώτατον. κατεῖχε γὰρ αὐτὸ φρουρὰ δημητρίου. δεδήλωται δὲ ἡμῖν τοῦτο καὶ πρότερον. ὡς δὲ χώματα μὲν ἐγείροντος τοῦ σίμωνος, μηχανήμασι δ' ἐντεῦθεν καὶ πολλῇ σπουδῇ χρωμένου περὶ τὴν τῆς βεθσούρας πολιορκίαν, ἔδεισαν οἱ φρουροὶ, μὴ κατὰ κράτος ἐξαιρεθέντος τοῦ χωρίου διαφθαρῶσι, πέμψαντες πρὸς τὸν σίμωνα, ἠξίουν ὅρκους λαβόντες, ὥστε μηδὲν ὑπ' αὐτοῦ παθεῖν, καταλιπεῖν τὸ χωρίον καὶ πρὸς δημήτριον ἀπελθεῖν. ὁ δὲ δοὺς ταύτας αὐτοῖς τὰς πίστεις ἐκβάλλει μὲν ἐκείνους ἐκ τῆς πόλεως, αὐτὸς δὲ φρουρὰν καθίστησιν ἰδίαν. ἰωνάθης δὲ ἄρας ἐκ τῆς γαλιλαίας ἀπὸ τῶν ὑδάτων τῶν γεννησαρῶν λεγομένων, ἐκεῖ γὰρ ἐτύγχανεν ἐστρατοπεδευκὼς, εἰς τὸ καλούμενον ἀσὼρ πεδίον προῆλθεν, οὐκ εἰδὼς ὄντας ἐν αὐτῷ τοὺς πολεμίους. μαθόντες δὲ πρὸ μιᾶς ἡμέρας οἱ τοῦ δημητρίου μέλλειν ἰωνάθην ἐπ' αὐτοὺς βαδίζειν, ἐνέδρας αὐτῷ καὶ τοὺς λοχήσαντας ἐν τῷ ὄρει καθίσαντες, αὐτοὶ μετὰ τῆς στρατιᾶς ἀπήντων εἰς τὸ πεδίον. οὓς ἰδὼν ὁ ἰωνάθης ἑτοίμους πρὸς μάχην παρεσκεύαζε καὶ αὐτὸς τοὺς ἰδίους στρατιώτας πρὸς τὸν ἀγῶνα ὡς ἠδύνατο. τῶν δὲ εἰς τὴν ἐνέδραν ὑπὸ τῶν δημητρίου στρατηγῶν κατασταθέντων κατὰ νώτου τοῖς ἰουδαίοις γινομένων, δείσαντες μὴ μέσοι ληφθέντες ἀπόλωνται, φυγῇ ὥρμησαν. καὶ οἱ μὲν ἄλλοι πάντες, τὸν ἰωνάθην κατέλιπον. ὀλίγοι δέ τινες ὑπέμειναν ὡς περὶ ν' τὸν ἀριθμὸν, καὶ ματθίας ὁ ἀψαλώμου, καὶ ἰούδας ὁ χαψαίου, τῆς ἁπάσης δυνάμεως ἡγεμόνες ὄντες. τολμηρῶς δὲ καὶ μετ' ἀπογνώσεως εἰς τοὺς πολεμίους ὠσάμενοι, τῷ τε θάρσει κατέπληξαν αὐτοὺς, καὶ ταῖς χερσὶν ἀπέστρεψαν εἰς φυγήν. οἱ δ' ἀναχωρήσαντες τῶν ἰωνάθου στρατιωτῶν, ὡς εἶδον τοὺς πολεμίους τραπέντας, ἐπισυλλεγέντες ἐκ τῆς φυγῆς, ὥρμησαν αὐτοὺς διώκειν, καὶ τοῦτ' ἐποίησαν μέχρι κεδασῶν οὗ τὸ στρατόπεδον ἦν τῶν πολεμίων. κρατήσας οὖν ἰωνάθης τῇ μάχῃ λαμπρῶς, καὶ δισχιλίους τῶν ἐχθρῶν ἀποκτείνας ὑπέστρεψεν εἰς ἱεροσόλυμα. ὁρῶν δ' ὅτι πάντ' αὐτῷ κατὰ νοῦν προνοίᾳ θεοῦ χωρεῖ πρὸς ῥωμαίους πρεσβευτὰς ἀπέστειλεν ἀνανεώσασθαι βουλόμενος τὴν γινομένην τῷ ἔθνει πρὸς αὐτοὺς ἔμπροσθεν φιλίαν. τοῖς δ' αὐτοῖς πρεσβευταῖς ἐπέστειλεν ἀπὸ τῆς ῥώμης ἀναστρέφουσι πρὸς τοὺς σπαρτιάτας ἀφικέσθαι, καὶ τὴν πρὸς αὐτοὺς ὑπομνῆσαι φιλίαν καὶ τὴν συγγένειαν. οἱ δ' ὡς εἰσῆλθον εἰς τὴν ῥώμην παρελθόντες εἰς τὴν βουλὴν αὐτῶν καὶ τὰ παρὰ ἰωνάθου τοῦ ἀρχιερέως εἰπόντες ὡς πέμψειεν αὐτοὺς ἐπὶ τὴν τῆς συμμαχίας βεβαίωσιν, τῆς βουλῆς ἐπικυρωσάσης τὰ πρότερον αὐτῇ περὶ τῆς ἰουδαίων φιλίας ἐγνωσμένα, καὶ δούσης ἐπιστολὰς πρὸς ἅπαντας τοὺς βασιλεῖς τῆς ἀσίας καὶ εὐρώπης, καὶ τῶν πόλεων ἄρχοντας αὐτοῖς κομίζειν, ὅπως ἀσφαλοῦς τῆς εἰς τὴν οἰκείαν κομιδῆς δι' αὐτῶν τύχωσιν, ἀναστρέφοντες εἰς τὴν σπάρτην παρεγένοντο. καὶ τὰς ἐπιστολὰς ἃς ἔλαβον παρὰ ἰωνάθου, αὐτοῖς ἀπέδοσαν. τὸ δ' ἀντίγραφον ἦν τόδε. ἀρχιερεὺς ἰωνάθης τοῦ ἔθνους

quàm coacti imperata facere. Ionathas verò acceptis obsidibus, & missis Hierosolyma, digressus inde, totam regionem vsque Damascum obibat. cúmque Demetrij validus exercitus accessisset ad vrbem Cedasam, quæ propinqua est Tyriorum agro & regioni Galilææ, vellentque Ionatham abstrahere à Syria, laturum opem Galilæis suæ ditionis hominibus, occurrit eò properè Simone fratre ad Iudææ præsidium relicto. Is collectis quotquot poterat eius regionis militibus, Bethsuram oppugnabat, locum totius Iudææ munitissimum, & incessum à Demetrianæ factionis hominibus, vt iam antè diximus. qui cùm aggeribus simul ac machinis vehementer infestarentur, veriti ne occupato per vim loco ad vnum necarentur, per nuncium rogabant Simonem, vt sibi liceret relicta ipsi Bethsura, incolumibus decedere & proficisci ad Demetrium. ille verò data eis in hoc vt postulabant fide, pro Macedonico suum ibi collocauit præsidium. Interim Ionathas in Galilæa, motis à stagno Gennesara castris quæ primùm posuerat, in campum Asor progressus est, nescius hostem esse in eo. Demetriani verò qui ante vnum diem aduentum eius præsenserant, collocatis prius in monte insidiis, ipsi in campo ei se opposuerunt. Quos conspicatus Ionathas paratos ad prælium, & ipse suos pro tempore ad certamen instruit. Sed cùm à tergo se insidiatores Iudæis ostendissent, veriti ne intercepti in medio contrucidarentur, in fugam se dederunt, ita vt penè omnes Ionatham desererent in periculo. Soli duces Matthias Absalomi & Iudas Chapsæi cum quinquaginta virorum fortium manu permanserunt: qui à desperatione sumpta audacia, tanto impetu aduersam hostium frontem impulerunt, vt territi ceu furentibus cederent. Tum verò illi qui Ionatham destituerant, videntes fluctuantem & inclinatam hostium aciem, reuersi in prælium, iam in apertam fugam versos persequebantur, donec ad Cedasa ventum est, vbi intra castra compulsi sunt. Ionathas autem egregia victoria potitus, recepit se Hierosolyma. Et cùm omnia sibi ex sententia Dei fauore videret cedere, misit Romam legatos de renouanda amicitia, quibus dedit mandata, vt in reuertendo obiter inuiserent Lacedæmonios, eósque cognationis admonerent atque fœderis. qui postquam Romam venerunt, expositis ad senatum postulatis Ionathæ pontificis, quòd cuperet renouari fœdera, & impetratis quæ volebant omnibus, acceptísque literis commendatitiis ad reges Europæ & Asiæ, quo tutiùs possent iter facere, in reditu peruenerunt etiam ad Lacedæmonios, & obtulerunt eis literas à Ionatha pontifice, quarum exemplum erat hoc. Ionathas pontifex gen-

tis Iudæorum, & senatus ac populus Iudæorum, Ephoris Lacedæmoniorum, senatuique & populo fratribus suis, Salutem. Si valetis, & res vestræ tam publicè quàm priuatim prosperè cedunt, gaudemus: valemus enim nos quoque. Superioribus temporibus perlata ad Oniam pontificem nostrum, ab Ario rege vestro missa per Demotelem epistola, de cognatione nostra, cuius exemplar subiunximus, & literas eas cupidè accepimus, & Demoteli atque Ario omnem exhibuimus beneuolentiam, quamuis iam ante hoc non ignoraremus, nimirum docti è sacris nostris scripturis. Quòd verò non prius vos cognatos agnouerimus, ideo factum est, ne videremur vobis captandæ amicitiæ occasionem præripere. Interim eo tempore ex quo renouata est nostra necessitudo, in sacris solennitatibus rem diuinam facientes: etiam pro vestra salute ac victoria vota nuncupauimus. Et cùm multis circumquaque bellis vexaremur, propter vicinorum immoderatas cupidines, tamen nec vos nec alios amicos solicitandos duximus. Nunc verò peracto bello, misimus ad Romanos Numenium Antimachi & Antipatrum Iasonis, viros senatores & honoratos: quibus etiam ad vos dedimus literas, vt renouent mutuam nostram amicitiam. Bene igitur facietis, si vos quoque nobis scripseritis, & significaueritis, si qua in re vobis opera nostra possit esse vsui, ad omnia obsequia promptos nos habituri. Itaque Lacedæmonij & legatos comiter acceperunt, & decretum publicum de amicitia atque societate eis tradiderunt. Hoc tempore tres Iudæorum sectæ erant, quæ de rebus humanis inter se dissentiebant: vna Pharisæorum dicta, altera Sadducæorum, tertia Essenorum. Horum Pharisæi, quædam, at non omnia fato tribuunt, quædam verò in sua potestate esse aiūt, vt vel fiat vel nō fiat. Esseni verò omnia in fati potestate esse affirmāt, nec quicquā hominibus præter fati decretū accidere. At Sadducęi fatū omnino negant, & è rebus tollūt, dicentes nihil fataliter euenire hominibus: & omnia in nostra ipsorum potestate esse, vt tam felicitatis nobis ipsi autores simus, quàm infortunij, si deteriora consilia secuti fuerimus. Sed de his diligentiùs tractauimus in secundo de Iudaico bello volumine. Porrò Demetrij duces volentes accepta clade abolere ignominiam, maioribus copiis reparatis duxerunt contra Ionatham. qui comperto eorum aduentu propè in Amathensem agrum occurrit: nolebat enim eos sine impedimento Iudæam inuadere. cúmque ad quinquaginta stadia prope hostem castra posuisset, misit qui res hostium & munitiones perspecularentur. qui cùm explorassent omnia, & quosdam captiuos noctu adduxissent, indicantes quòd ex improuiso hostis vellet eos aggredi, maturè omnia communiit, dispositis etiam extra castra excubiis, & in armis retinens per totam noctem exercitum, ius-

τῶν Ἰουδαίων, καὶ ἡ γερουσία καὶ τὸ κοινὸν τῶν Ἰουδαίων, Λακεδαιμονίων ἐφόροις καὶ γερουσίᾳ καὶ δήμῳ τοῖς ἀδελφοῖς χαίρειν. ἐρρωμένοις ὑμῖν καὶ τὰ κοινὰ καὶ τὰ ἴδια χωρεῖν κατὰ νοῦν, οὕτως ἂν ἔχοι ὡς βουλόμεθα. ἐρρώμεθα δὲ καὶ ἡμεῖς. ἐπὶ τοῖς ἔμπροσθεν χρόνοις κομισθείσης ὀνίᾳ τῷ γενομένῳ ἀρχιερεῖ παρ' ἡμῖν, παρὰ Ἀρείου τοῦ βασιλεύοντος ὑμῶν ἐπιστολῆς διὰ Δημοτέλους, περὶ τῆς ὑπαρχούσης ἡμῖν πρὸς ὑμᾶς συγγενείας, ἧς ὑποτέτακται τὸ ἀντίγραφον, τήν τε ἐπιστολὴν ἐδεξάμεθα προθύμως, καὶ τῷ Δημοτέλει καὶ τῷ Ἀρείῳ εὐνοϊκῶς διετέθημεν, οὐ δεόμενοι τῆς τοιαύτης ἀποδείξεως, διὰ τὸ ἐκ τῶν ἱερῶν ἡμῶν πεπιστεῦσθαι γραμμάτων. τὸ μὲν οὖν προκατάρχειν τῆς ἀναγνωρίσεως, οὐκ ἐδοκιμάζομεν, μὴ καὶ προαρπάζειν δοκῶμεν τὴν παρ' ὑμῶν δεδομένην δόξαν. πολλῶν δὲ χρόνων διαγεγενημένων ἀπὸ τῆς ἐξ ἀρχῆς ἀναποληθείσης ἡμῖν οἰκειότητος, ἐν ταῖς ἱεραῖς καὶ ἐπωνύμοις ἡμέραις θυσίας τῷ θεῷ προσφέροντες, καὶ ὑπὲρ τῆς ὑμετέρας σωτηρίας τε καὶ νίκης αὐτὸν παρακαλοῦμεν. πολλῶν δ' ἡμᾶς πολέμων περιστάντων διὰ τὴν τῶν γειτνιώντων πλεονεξίαν, οὔθ' ὑμῖν οὔτ' ἄλλῳ τῶν προσηκόντων ὑμῖν ἐνοχλεῖν ἐκρίναμεν. καταγωνισάμενοι δὲ τοὺς πολέμους, πέμποντες πρὸς Ῥωμαίους Νουμήνιον τὸν Ἀντιμάχου, καὶ Ἀντίπατρον τὸν Ἰάσονος, τῶν ἀπὸ τῆς γερουσίας ὄντων ἐν τιμῇ, ἐδώκαμεν αὐτοῖς καὶ πρὸς ὑμᾶς ἐπιστολάς, ὅπως ἀνανεώσωνται τὴν πρὸς ὑμᾶς ἡμῖν φιλίαν. καλῶς οὖν ποιήσετε καὶ αὐτοὶ γράφοντες ἡμῖν, καὶ περὶ ὧν ἂν δέησθε ἐπιστέλλοντες, ὡς εἰς ἅπαντα προθυμησομένοις ὑπὲρ τῆς ὑμετέρας προαιρέσεως. οἱ μὲν οὖν Λακεδαιμόνιοι τούς τε πρέσβεις φιλοφρόνως ὑπεδέξαντο, καὶ ψήφισμα ποιησάμενοι περὶ συμμαχίας καὶ φιλίας, πρὸς αὐτοὺς ἀπέστειλαν. κατὰ δὲ τὸν χρόνον τοῦτον τρεῖς αἱρέσεις τῶν Ἰουδαίων ἦσαν, αἳ περὶ τῶν ἀνθρωπίνων πραγμάτων διαφόρως ὑπελάμβανον, ὧν ἡ μὲν Φαρισαίων ἐλέγετο, ἡ δὲ Σαδδουκαίων, ἡ τρίτη δὲ Ἐσσηνῶν. οἱ μὲν οὖν Φαρισαῖοι, τινὰ καὶ οὐ πάντα τῆς εἱμαρμένης εἶναι λέγουσιν ἔργον. τινὰ δ' ἐφ' ἑαυτοῖς ὑπάρχειν συμβαίνειν τε καὶ οὐ γίνεσθαι. τὸ δὲ τῶν Ἐσσηνῶν γένος, πάντων τὴν εἱμαρμένην κυρίαν ἀποφαίνεται, καὶ μηδὲν ὃ μὴ κατ' ἐκείνης ψῆφον ἀνθρώποις ἀπαντᾷ. Σαδδουκαῖοι δὲ, τὴν μὲν εἱμαρμένην ἀναιροῦσιν, οὐδὲν εἶναι ταύτην ἀξιοῦντες, οὔτε κατ' αὐτὴν τὰ ἀνθρώπινα τέλος λαμβάνειν, ἅπαντα δὲ ἐφ' ἡμῖν αὐτοῖς τίθενται, ὡς καὶ τῶν ἀγαθῶν αἰτίους ἡμᾶς αὐτοῖς γινομένους, καὶ τὰ χείρω παρὰ τὴν ἡμετέραν ἀβουλίαν λαμβάνοντας. ἀλλὰ περὶ μὲν τούτων ἀκριβεστέραν πεποίημαι δήλωσιν ἐν τῇ δευτέρᾳ βίβλῳ τῆς Ἰουδαϊκῆς πραγματείας. οἱ δὲ τοῦ Δημητρίου στρατηγοὶ τὴν γεγενημένην ἧτταν ἀναμαχέσασθαι βουλόμενοι, πλείω τῆς προτέρας δύναμιν συναγαγόντες, ἦλθον ἐπὶ τὸν Ἰωνάθην. ὁ δ' ἐπιόντας πυθόμενος, ὀξέως ὑπήντησεν αὐτοῖς εἰς τὴν Ἀμαθῖτιν. οὐ γὰρ ἔγνω σχολὴν αὐτοῖς παρασχεῖν ὥστ' εἰς τὴν Ἰουδαίαν ἐμβαλεῖν. στρατοπεδευσάμενος δὲ τῶν πολεμίων ἄποθεν σταδίοις ν'. πέμπει τοὺς κατοψομένους αὐτῶν τὴν παρεμβολήν, καὶ πῶς εἶεν ἐστρατοπεδευκότες. τῶν δὲ κατασκόπων πάντ' αὐτῷ φρασάντων, καί τινας συλλαβόντων νυκτός, οἳ αὐτῷ μέλλειν ἐπιτίθεσθαι τοὺς πολεμίους ἐμήνυον, προγνοὺς ἠσφαλίσατο, προφυλακάς τε ποιησάμενος ἔξω τοῦ στρατοπέδου, καὶ τὴν δύναμιν δι' ὅλης τῆς νυκτὸς ἐν τοῖς ὅπλοις ἔχων ἅπασαν, καὶ παρηγγελκὼς αὐτοῖς τὰς ψυχὰς ἐρρωμένους εἶναι, καὶ ταῖς δια-

νοίαις

τοίμως ἔπως ἔχειν ὡς καὶ διὰ τῆς νυκτὸς εἰ δεήσειε μαχησομένους, ὥστε μὴ λαθεῖν αὐτῶν τὴν προαίρεσιν. οἱ δὲ τοῦ Δημητρίου στρατηγοὶ, πυθόμενοι τὸν Ἰωνάθην ἐγνωκότα, οὐκ ἔτι τὴν γνώμην ἦσαν ὑγιεῖς, ἀλλ' ἐτάραττεν αὐτοὺς τὸ καταφανεῖς τοῖς ἐχθροῖς γεγονέναι, καὶ μηδενὶ προσδοκοῦντας αὐτῶν ἐπικρατήσειν ἑτέρῳ, τῆς ἐπιβουλῆς διημαρτημένης. ἐκ γὰρ τοῦ φανεροῦ διακινδυνεύοντες, οὐκ ἐνόμιζον εἶναι τοῖς Ἰωνάθου ἀξιόμαχοι· φυγὴν οὖν ἐβουλεύσαντο, καὶ πυρὰ καύσαντες πολλὰ, ὡς ἂν ὁρῶντες οἱ πολέμιοι μένειν αὐτοὺς ὑπολαμβάνωσιν ἀνεχώρησαν. ὁ δὲ Ἰωνάθης ἕωθεν προσμίξας αὐτῶν τῷ στρατοπέδῳ, καὶ καταλαβὼν ἔρημον αὐτὸ, συνεὶς ὅτι πεφεύγασιν ἐδίωκεν. οὐ μέντοι φθάνει καταλαβεῖν. ἤδη γὰρ τὸν Ἐλεύθερον διαβεβηκότες ποταμὸν, ἦσαν ἐν ἀσφαλεῖ. ποιησάμενος οὖν ἐκεῖθεν τὴν ὑποστροφὴν πρὸς Ἀραβίαν, καὶ πολεμήσας τοὺς Ναβαταίους, καὶ πολλὴν αὐτῶν λείαν ἀπελάσας καὶ λαβὼν αἰχμαλώτους, ἐλθὼν εἰς Δαμασκὸν ἐκεῖ πάντα ἀπέδοτο. ὑπὸ δὲ τὸν αὐτὸν καιρὸν καὶ Σίμων ὁ ἀδελφὸς αὐτοῦ τὴν Ἰουδαίαν ἅπασαν ἐπελθὼν, καὶ τὴν Παλαιστίνην ἕως Ἀσκάλωνος, ἠσφαλίσατο φρουρίοις, καὶ ποιήσας ταῦτα καὶ τοῖς οἰκοδομήμασι καὶ ταῖς φυλακαῖς ὀχυρὰ, ἦλθεν εἰς Ἰόππην, καὶ καταλαβόμενος αὐτὴν, εἰσήγαγε μεγάλην φρουράν. ἤκουσε γὰρ τοὺς Ἰοππηνοὺς βουλομένους τοῖς Δημητρίου στρατηγοῖς παραδοῦναι τὴν πόλιν. ταῦτ' οὖν διοικησάμενοι ὅ τε Σίμων καὶ Ἰωνάθης, ἦλθον εἰς Ἱεροσόλυμα. συναγαγὼν δὲ τὸν λαὸν ἅπαντ' εἰς τὸ ἱερὸν Ἰωνάθης, συνεβουλεύετο τῶν Ἱεροσολύμων ἐπισκευάσαι τείχη, καὶ τὸ καθηρημένον τοῦ περὶ τὸ ἱερὸν περιβόλου, πάλιν ἀναστῆσαι, καὶ πύργοις ὑψηλοῖς ἐξοχυρῶσαι τὰ περὶ αὐτό. πρὸς τούτοις δὲ καὶ μέσον τῆς πόλεως ἄλλο τεῖχος ἀνοικοδομήσασθαι, ἀποφράξαι τοῖς ἐν τῇ ἄκρᾳ φρουροῖς τὴν πόλιν, καὶ τῆς εὐπορίας αὐτοὺς τῶν σιτίων ταύτην ἀποκλεῖσαι τὸν τρόπον. ἔτι γε μὴν καὶ τὰ ἐν τῇ χώρᾳ φρούρια ποιῆσαι πολὺ τῆς ὑπαρχούσης αὐτοῖς ἀσφαλείας ἰσχυρότερα. τῆς δὲ γνώμης δοκιμασθείσης καὶ τῷ πλήθει καλῶς ἔχειν, αὐτὸς μὲν τὰ κατὰ τὴν πόλιν ᾠκοδόμει. Σίμωνα δὲ τὰ κατὰ τὴν χώραν ἐξέπεμψεν ἀσφαλισόμενον. ὁ δὲ Δημήτριος διαβὰς εἰς τὴν Μεσοποταμίαν ἧκε, ταύτην βουλόμενος καὶ τὴν Βαβυλῶνα κατασχεῖν, καὶ τῶν ἄνω σατραπειῶν ἐγκρατὴς γενόμενος ἐντεῦθεν ποιεῖσθαι τὰς ὅλης τῆς βασιλείας ἀφορμάς. καὶ γὰρ οἱ ταύτῃ κατοικοῦντες Ἕλληνες καὶ Μακεδόνες, συνεχῶς ἐπρεσβεύοντο πρὸς αὐτὸν, εἰ πρὸς αὐτοὺς ἀφίκοιτο παραδώσειν μὲν αὐτοῖς ὑπισχνούμενοι, συγκαταπολεμήσειν δὲ Ἀρσάκην τὸν Πάρθων βασιλέα. ταύταις ἐπαρθεὶς ταῖς ἐλπίσιν ὥρμησε πρὸς αὐτοὺς, εἰ καταστρέψαιτο τοὺς Πάρθους, καὶ γένοιτο αὐτῷ δύναμις, τὸν Τρύφωνα πολεμῆσαι διεγνὼς, καὶ τῆς Συρίας ἐκβαλεῖν. δεξαμένων δὲ αὐτὸν προθύμως τῶν ἐν τῇ χώρᾳ, συναγαγὼν δύναμιν ἐπολέμησε πρὸς τὸν Ἀρσάκην, καὶ τὴν στρατιὰν ἅπασαν ἀποβαλὼν, αὐτὸς ζῶν ἐλήφθη, καθὼς καὶ ἐν ἄλλοις δεδήλωται.

ssum parato esse animo, etiam si noctu pugnare opus sit, ne quid eos hostium conatus falleret. Demetrij verò duces vt sensère Ionathum præmonitum hærebant inopes consilij, hoc ipso turbati, quòd viderent sibi nihil successurum ab insidiis, nec aperto Marte pares se Ionathæ futuros ducerent. Decreuerunt igitur abire, & relictis multis per tota castra ignibus, quo magis hostem fallerent, noctu discesserunt. At Ionathas mane castra adortus, postquam deprehendit inania, cœpit fugientes persequi, sed frustra. Iam enim transgressi fluuium Eleutherum in tuta loca se receperant. Flexo igitur in Arabiam itinere, & Nabathæis vastatis, abactáque præda & captiuis abductis, Damascum veniens, illic omnia vendidit. Per idem tempus & frater eius Simon obeundo totam Iudæam & Palæstinam vsque Ascalonem, opportuna loca firmabat præsidiis, atque ita communita regione armis & ædificiis, Ioppen contendit: eique occupatæ validum imposuit præsidium, quòd intellexerat Ioppenses velle Demetrio dedere suum oppidum. His igitur ad hunc modum dispositis, Ionathas & Simon reuersi sunt Hierosolyma. Ibi pontifex aduocata in templum concione populi, suasit vt reficerent vrbis mœnia, & murum quo templum septum fuerat rursum reficerent, turribúsque altis additis munitiorem redderent. vtque alium murum excitarent inter arcem & vrbem, atque hoc pacto excluderent eos qui arcem custodiebant, & ad commeatuum penuriam eos adducerent. præterea vt arces hinc inde per regionem dispositas, additis nouis munitionibus firmiores etiam ac tutiores facerent. Qua sententia comprobata suffragiis populi, ipse assumpta sibi muniendæ vrbis cura, Simoni vt idem in cæteris Iudeæ locis curaret, dedit negotium. Cæterùm Demetrius traiecto flumine peruenit in Mesopotamiam, volens hanc & Babylonem simul occupare, vt potitus superioribus satrapiis, sedem belli ibi constitueret. vocabatur enim per crebras legationes ab eorum locorum Græcis atque Macedonibus, pollicentibus deditionem si veniret, atque etiam cõtra Parthorum regem Arsacem auxilia. Qua spe accensus properauit ad illos, cogitans si res aduersus Parthos cessissent prosperè, facilè se inde exturbaturum Tryphonem è regno Syrię. vt verò magna alacritate exceptus est ab eius regionis hominibus, collecto valido exercitu bellũ Arsaci intulit, & superatus prælio, amissóque exercitu, ipse viuus in potestatẽ hostium venit, sicut aliàs narrauimus.

Cap. X.

Demetrio à Parthis capto Tryphon fœdus violat, & Ionatha dolo capto atque interfecto Simoni eius fratri bellum infert.

IX. 1.Mac.12.13.

TRyphon autem cognita calamitate Demetrij, non amplius fidus erat Antiocho, sed cogitabat quónam pacto eo sublato regnum posset ipse inuadere & occupare, nec aliud magis videbatur obstare eius cupiditati, quàm Ionathas amicus Antiocho. Itaque decreuit illum prius è medio tollere, atque ita demum adolescentem aggredi. quamborem ad Bethsan profectus est, quæ Græcis nominatur Scythopolis, inuenit ibi Ionatham cum quadraginta millibus lectissimorum militum, paratum obsistere si quis vim inferre conaretur. Videns igitur hominem non imparatum ad certamen, muneribus & comitate conatus est ei imponere, iussis suis ducibus vt imperata Ionathæ facerent, quo magis fidem beneuolentiæ fictæ astrueret, & omnem illi suspicionem eximeret, atque ita incautum opprimeret faciliùs. postremò suasit vt dimitteret exercitum, cessante bello, & pacatis rebus omnibus. rogabat tamen vt retenta circa se modica manu, comitaretur eum Ptolemaidem, & acciperet in tutelam suam ciuitatem eam arcésque finitimas, dicens se in hoc venisse, vt has ei traderet. Ionathas verò nihil mali suspicatus, credénsque verè & beneuolo animo Tryphonem hęc consulere, dimisit exercitum, exceptis tribus millibus. ex his duo in Galilæa reliquit, mille verò secum duxit, Tryphonem prosecutus Ptolemaidem. Oppidanis verò vrbem confestim ita vt præmoniti fuerant claudentibus, viuus captus est, militibus eius ad vnum contrucidatis. móxque missa est in Galilæam pars exercitus, vt & illa duo millia necopina per dolum opprimeret. Sed quia rumor de Ionatha capto aduentum eorum præuenerat, arreptis armis maturè inde euaserunt. Nam Tryphonis milites non ausi experiri vim, quòd intelligerent paratos pro tuenda vita extremum adire periculum, infecta re vnde venerant retro reuersi sunt.

Cap. XI.

Quòd Simoni Iudæorum gens & pontificatum simul & copiarum imperium detulit.

1.Math.13.

HIerosolymis autem postquam auditum est de Ionathæ captiuitate, & comitatus eius interitu, ingens dolor cepit omnes & tanti viri desiderium, quòd non sine causa timerent, ne destituti eius prudentia simul & fortitudine, infestarentur à finitimis: qui in eam diem metu Ionathæ cohibiti, tum videbantur velut dato signo cooorituri, & adducturi Iudæorum gentem in extremum salutis periculum. nec eos fefellit sua expectatio. quàm primùm enim auditum est necatum esse Ionathã, vndique excitatum est in eos bellum, tanquam non habentes amplius cuius ductu militare possent, & rem grauiter gerere, quin & ipse

Κεφάλαιον ί.

Ὡς δημητρίου ὑπὸ πάρθων αἰχμαλώτου ληφθέντος ὁ τρύφων παρεσπόνδησε τὸν ἰωνάθην, καὶ δόλῳ λαβὼν αὐτὸν ἀπέκτεινε, καὶ πόλεμον ἐξήνεγκε πρὸς τὸν ἀδελφὸν αὐτοῦ σίμωνα.

ΤΡύφων δ᾽ ἐπειδὴ τὰ περὶ τὸν δημήτριον ἔγνω τοιοῦτο λαβόντα τέλος, οὐκ ἔτ᾽ ἦν ἀντιόχῳ βέβαιος. ἀλλ᾽ ἐπεβούλευεν ὡς αὐτὸν ἀποκτείνας, τὴν βασιλείαν αὐτὸς κατασχεῖν. ἐνεπόδιζέ γε μὴν αὐτοῦ τὴν προαίρεσιν ταύτην ὁ παρὰ ἰωνάθου φόβος φίλου τυγχάνοντος ἀντιόχου. καὶ διὰ τοῦτ᾽ ἐκποδὼν ποιήσασθαι τὸν ἰωνάθην πρῶτον ἔγνω, καὶ τότε τοῖς περὶ τὸν ἀντίοχον ἐγχειρεῖν. ἀπάτῃ δ᾽ αὐτὸν καὶ δόλῳ κρίνας ἀνελεῖν, εἰς βέθσαν ἐκ τῆς ἀντιοχείας παραγίνεται, τὴν καλουμένην ὑφ᾽ ἑλλήνων σκυθόπολιν, εἰς ἣν μετὰ τεσσάρων αὐτῷ μυριάδων ἰωνάθης ἀπήντησεν ἐπιλέκτου στρατοῦ, πολεμήσοντα γὰρ αὐτὸν ἥκειν ὑπέλαβεν. ὁ δ᾽ ἕτοιμον εἰς μάχην γνοὺς τὸν ἰωνάθην ὑπέρχεται δώροις αὐτὸν, καὶ φιλοφρονήσει, καὶ τοῖς ἡγεμόσιν αὐτοῦ πειθαρχεῖν ἰωνάθῃ προσέταξε, τούτοις πιστώσασθαι βουλόμενος εὔνοιαν, καὶ πᾶσαν ὑπόνοιαν ἐξελεῖν, εἰς τὸ καταφρονήσαντα λαβεῖν ἀφύλακτον, οὐδὲν προορώμενον. τήν τε στρατιὰν συνεβούλευσεν ἀπολῦσαι. καὶ γὰρ νῦν οὐ δεόντως αὐτὴν ἐπάγεσθαι, πολέμου μὲν οὐκ ὄντος, εἰρήνης δ᾽ ἐχούσης τὰ πράγματα. κατασχόντα μέν τοι γε περὶ αὐτὸν ὀλίγους, εἰς πτολεμαΐδα συνελθεῖν παρεκάλει. παραδώσειν γὰρ αὐτῷ τὴν πόλιν, τά τε ἄλλα πάνθ᾽ ὅσα κατὰ τὴν χώραν εἰσὶν ὀχυρώματα, ποιήσειν ὑπ᾽ αὐτῷ, καὶ γὰρ τούτων ἕνεκα παρεῖναι. ὁ μὲν οὖν ἰωνάθης οὐδὲν τούτων ὑπονοήσας, ἀλλ᾽ ὑπ᾽ εὐνοίας καὶ γνώμῃ ἀληθεῖ τὸν τρύφωνα συμβουλεῦσαι ταῦτα πιστεύσας, τὴν μὲν στρατιὰν ἀπέλυσε. τρισχιλίους δὲ κατασχὼν μόνους, τοὺς μὲν δισχιλίους ἐν τῇ γαλιλαίᾳ κατέλιπεν, αὐτὸς δὲ μετὰ τῶν χιλίων ἦλθεν εἰς πτολεμαΐδα σὺν τρύφωνι. τῶν δ᾽ ἐν τῇ πτολεμαΐδι κλεισάντων τὰς πύλας, τοῦτο γὰρ ἦν αὐτοῖς ὑπὸ τοῦ τρύφωνος προστεταγμένον, τὸν μὲν ἰωνάθην ἐζώγρησε, τοὺς δὲ σὺν αὐτῷ πάντας ἀπέκτεινεν. ἔπεμψε δὲ καὶ ἐπὶ τοὺς ἐν τῇ γαλιλαίᾳ καταλειφθέντας δισχιλίους ὅπως ἂν καὶ τούτους ἀπολέσωσιν. ἀλλ᾽ αὐτοὶ μὲν, ὑπὸ φήμης τῶν περὶ τὸν ἰωνάθην συμβεβηκότων, ἔφθησαν πρὶν ἢ τοὺς ὑπὸ τοῦ τρύφωνος ἀπεσταλμένους ἀφικέσθαι φραξάμενοι τοῖς ὅπλοις, ἐκ τῆς χώρας ἀπελθεῖν. οἱ δ᾽ ἐπ᾽ αὐτοὺς πεμφθέντες ἰδόντες ἑτοίμους ὑπὲρ τῶν ψυχῶν ἀγωνίζεσθαι, μηδὲν αὐτοῖς ἐνοχλήσαντες, πρὸς τὸν τρύφωνα ὑπέστρεψαν.

Κεφάλαιον ια´.

Ὡς σίμωνι τὴν στρατηγίαν ἐνεχείρισε τὸ ἔθνος καὶ ἀπέδειξεν αὐτὸν ἀρχιερέα.

ΟΙ δ᾽ ἐν τοῖς ἱεροσολύμοις ἀκούσαντες τὴν ἰωνάθου σύλληψιν, καὶ τὴν τῶν σὺν αὐτῷ στρατιωτῶν ἀπώλειαν, αὐτόν τε ἐκεῖνον ἐπὶ τοῖς συμβεβηκόσιν ὠλοφύροντο. καὶ δεινὴ τἀνδρὸς ἐπιζήτησις παρὰ πᾶσιν ἦν, δέος τε μέγα καὶ κατὰ λόγον ἐμπεσὸν ἐλύπει, μὴ τῆς ἰωνάθου ἀνδρείας ἅμα καὶ προνοίας ἀφῃρημένοι, τὰ πέριξ ἔθνη χαλεπῶς ἔχοντα πρὸς αὐτοὺς, καὶ διὰ ἰωνάθην ἠρεμοῦντα, νῦν αὐτοῖς ἐπισυστῇ, καὶ πολεμοῦντες εἰς τοὺς περὶ τῶν ἐσχάτων κινδύνους ἀναγκάζωνται καθίστασθαι. καὶ δὴ τοῦτ᾽ αὐτοῖς ὡς ὑπενόουν συνέπεσε. τὸν γὰρ ἰωνάθου ἀκούσαντες θάνατον οἱ ἐκ τῶν ἐθνῶν, πολεμεῖν ἤρξαντο τοῖς ἰουδαίοις ἀποροῦσιν ἡγεμόνος. αὐτὸς δὲ

ὁ τρύφων

ὁ τρύφων δύναμιν συναγαγὼν, γνώμην εἶχεν, ἀναβὰς εἰς τὴν ἰουδαίαν πολεμεῖν τοῖς ἐν αὐτῇ. σίμων δὲ ὁρῶν πρὸς ταῦτα τοὺς ἱεροσολυμίτας καταπεπληγότας, βουλόμενος αὐτοῖς εἰς τὸ ὑποστῆναι προθύμως ἐπιόντα τὸν τρύφωνα θαρραλεωτέροις ποιῆσαι τῷ λόγῳ, συγκαλέσας τὸν δῆμον εἰς τὸ ἱερὸν, ἐντεῦθεν αὐτοῖς παρακαλεῖν ἤρξατο. τὸ μὲν ὑπὲρ τῆς ἡμετέρας ἐλευθερίας ὁμόφυλοι μετὰ τοῦ πατρὸς ἐγώ τε καὶ οἱ ἀδελφοί μου ὡς ἑτολμήσαμεν ἀσμένως ἀποθανεῖν, οὐκέτ' ἀγνοεῖτε. παραδειγμάτων δὲ τοιούτων εὐποροῦντός μου καὶ κατὰ τὸ θνήσκειν ὑπὲρ τῶν νόμων καὶ τῆς θρησκείας ἐκ τῆς ἡμετέρας οἰκίας δεδογμένου, φόβος οὐδεὶς ἔσται τηλικοῦτος, ὃς ταύτην ἡμῶν τὴν διάνοιαν ἐκβάλῃ τῆς ψυχῆς, ἀντεισάξῃ δὲ εἰς αὐτὴν φιλοζωΐαν, καὶ δόξης καταφρόνησιν. ὅθεν οὐκ ἀποροῦντες ἡγεμόνος, οἵου τε καὶ πάσχειν ὑπὲρ ὑμῶν τὰ μέγιστα καὶ δρᾶν, ἕπεσθέ μοι προθύμως ἐφ' οἷς ἂν ἡγῶμαι. οὔτε γὰρ κρείττων ἐγὼ τῶν ἐμῶν ἀδελφῶν ἵνα φείδωμαι τῆς ἐμαυτοῦ ψυχῆς, οὔτε χείρων ἵνα ὃ κάλλιστον ἐκείνοις ἔδοξε τὸ τελευτᾶν ὑπὲρ τῶν νόμων καὶ τῆς τοῦ θεοῦ θρησκείας ὑμῶν, τοῦτ' ἐγὼ φύγω καὶ καταλίπω. οἷς δὲ με δεῖ γνήσιον ἀδελφὸν ἐκείνων φανῆναι, τούτοις ἐμαυτὸν δείξω. θαρρῶ γὰρ ὡς καὶ δίκην ληψόμενος παρὰ τῶν πολεμίων, καὶ πάντας ὑμᾶς μετὰ γυναικῶν καὶ τέκνων, τῆς ἐξ αὐτῶν ὕβρεως ῥυσόμενος, καὶ τὸ ἱερὸν ἀπόρθητον μετὰ τοῦ θεοῦ διαφυλάξων. τὰ γὰρ ἔθνη βλέπω καταφρονήσαντα ὑμῶν ὡς οὐκ ἐχόντων ἡγεμόνα πρὸς τὸ πολεμεῖν ὡρμηκέναι. τούτους ποιησαμένου τοῦ σίμωνος τοὺς λόγους ἀνεθάρρησε τὸ πλῆθος, καὶ τὰς ψυχὰς ἐνδεδωκὸς ὑπὸ δειλίας, ἀνηγέρθη πρὸς τὰ ἀμείνω καὶ ἀγαθὰς ἐλπίδας. ὡς ἀθρόως πάντα τὸν λαὸν ἐκβοῆσαι τὸν σίμωνα αὐτῶν ἡγεῖσθαι, καὶ ἀντὶ τοῦ ἰούδα καὶ ἰωνάθου τῶν ἀδελφῶν αὐτοῦ τὴν προστασίαν ἔχειν. ἔσεσθαι γὰρ πρὸς ὅτι κελεύσοι, πειθηνίους. συναθροίσας δὲ πᾶν εὐθὺς ὅσον ἦν τὸ πολεμικὸν τῆς οἰκείας ἰσχύος, ἔσπευδε τὰ τείχη τῆς πόλεως ἀνοικοδομῆσαι. καὶ πύργοις αὐτὴν ὑψηλοῖς τε καὶ καρτεροῖς ἀσφαλισάμενος, ἀπέστειλε μὲν ἰωνάθην τινὰ φίλον ἀψαλώμου παῖδα μετὰ στρατιᾶς εἰς ἰόππην, προστάξας αὐτῷ τοὺς οἰκήτορας ἐκβαλεῖν. ἐδεδίει γὰρ μὴ παραδῶσιν οὗτοι τὴν πόλιν τῷ τρύφωνι, αὐτὸς δὲ ὑπομείνας ἐφύλαττε τὰ ἱεροσόλυμα. ὁ δὲ τρύφων ἄρας ἐκ πτολεμαΐδος μετὰ στρατιᾶς πολλῆς, εἰς τὴν ἰουδαίαν παραγίνεται, καὶ τὸν ἰωνάθην δέσμιον ἄγων. ἀπήντησε δὲ αὐτῷ καὶ σίμων μετὰ τῆς αὐτοῦ δυνάμεως, εἰς ἀδίδα πόλιν, ἥτις ἐπ' ὄρους κειμένη τυγχάνει, ὑφ' ἧς ὑπόκειται τὰ τῆς ἰουδαίας πεδία. γνοὺς δὲ τρύφων ἡγεμόνα τὸν σίμωνα ὑπὸ τῶν ἰουδαίων καθεστῶτα, ἔπεμψε πρὸς αὐτὸν, καὶ τοῦτον ἀπάτῃ καὶ δόλῳ περιελθεῖν βουλόμενος. κελεύων αὐτὸν, εἰ θέλει λυθῆναι τὸν ἀδελφὸν ἰωνάθην, πέμψαι τάλαντα ρ' ἀργυρίου, καὶ δύο τῶν παίδων ἰωνάθου ὁμήρους, ὅπως μὴ ἀφεθεὶς ἀποστήσῃ τὴν ἰουδαίαν βασιλέως. ἄρτι γὰρ αὐτὸν διὰ τὸ ἀργύριον ὃ τῷ βασιλεῖ χρησάμενος ὤφειλε, φυλάττεσθαι δεδεμένον. ὁ δὲ σίμων τὴν τέχνην τὴν τοῦ τρύφωνος οὐκ ἠγνόησεν. ἀλλὰ συνεὶς ὅτι καὶ τὸ ἀργύριον ἀπολέσει δοὺς καὶ τὸν ἀδελφὸν οὐ λύσει, μετ' αὐτοῦ δὲ καὶ τοὺς παῖδας ἐκδώσει τοῖς πολεμίοις, φοβούμενος δὲ μὴ διαβληθῇ πρὸς τὸ πλῆθος ὡς αἴτιος αὐτὸς τἀδελφῷ θανάτου γενόμενος,

A Tryphon collecto exercitu, in animo habebat Iudæam inuadere. Simon autem videns Hierosolymitanos metu nouorum motuum attonitos, & volens eis contra Tryphonis conatus addere animum, conuocato in templum populo, sic exorsus est ad eos verba facere: Non ignoratis viri tribules, quàm grauiter ac intrepidè ego & pater ac fratres pro libertate mortis periculis nos exposuerimus: quibus do- B mesticis exemplis excitatus, cùm non nouum sit in nostra familia, legibus patriis & religioni propugnandæ vitam impendere, nullo terrore adigi potero, vt vitam gloriæ præferam. Quapropter cùm non desit vobis dux paratus, pro vobis quiduis quantumuis magnum vel pati vel facere, sequimini alacriter quocunque duxero. neque enim ego melior sum meis fratribus vt vitæ parcere debeam: neque ita degener vt quod illis semper visum est longè pul- C cherrimum, scilicet pro religione atque legibus vitam profundere, ipse per ignauiam subterfugiam: quin potiùs certum est germanum me illorum fratrem egregiis approbare facinoribus. Confido enim in Deo quòd pœnas ab hostibus exigere dabitur, vósque vnà cum vxoribus & liberis ab eorum iniuriis eripere, & insuper templi sanctimoniam tutam præstare ab illorum impia violentia. Video enim profanas gentes non ob aliud in vos cooriri, nisi D quòd existimant destitutos ducis prouidentia. His Simonis verbis accensa multitudo recepit animos & fiduciã, & posita formidine ausa est meliores spes cõcipere: ita vt vno ore totus populus acclamauerit, placere Simonẽ imperium accipere, & in locũ fortissimorum fratrum Iudæ ac Ionathæ succedere, numquã enim se detracturos iussa illius. Itaque collectis mox omnibus quotquot ex suis ad militiam essent idonei, aggressus est vrbẽ mœnib. cingere, cõmu- E niréq; celsis & validis turribus. quo opere perfecto, misit Ioppẽ vnũ ex amicis Ionatham Absalomi filium, iussum habitatores eius populariter inde eiicere, veritus ne vrbem Tryphoni traderent. ipse interim mansit Hierosolymis ad vrbis custodiam. Tryphon autem Ptolemaide profectus cum magno exercitu, venit in Iudæam ducens secum vinctum Ionatham. ei Simon occurrit cum suis copiis iuxta oppidum Addida, situm in monte cui Iudæorum F campi subiecti sunt: Tryphon verò cognito, quòd Simon Iudæorum princeps sit constitutus, misit ad eum nuncios, & hunc dolo circumuenire cupiens: mandabátque vt si vellet dimitti fratrem Ionatham, centum argenti talenta persolueret, & cum eis duos Ionathæ filios mitteret ad se obsides futuros, quòd ille dimissus non alienaturus sit Iudæam à regis imperio. nunc enim eum tantisper seruari in vin- G culis, dum debitam regi pecuniam redderet, At Simonem technæ eius non latuerunt: sed intelligens quòd & pecuniam perditurus esset, nec fratrem liberaturus, quin & filios eius insuper hosti dediturus, tamen timens criminationem suorum, ne negatis pecuniis & filiis, videretur fuisse fratri causa interitus,

aduocato in concionē exercitu, postulata Tryphonis ad eos retulit, admonitis prius quòd subessent insidiæ: præstabilius tamen esse & pecunias & filios mittere, quàm contemptis Tryphonis conditionibus suspicionem incurrere, quasi fratrem seruare noluerit: atq; ita placuit & Ionathæ pueros mitti & pecuniam. quibus acceptis Tryphon non seruauit fidem, nec dimisit Ionatham, sed cum exercitu peragrabat regionem, volens per Idumæam ascendere Hierosolyma, peruenitq; vsque Dora Idumææ oppidum. At Simon cum perpetuò consectabatur, castra castris illius opponens. interim qui in arce erant vrgentibus Tryphonem, vt properè sibi commeatus mitteret, iussit paratum esse equitatū, quasi eadem nocte venturus Hierosolyma. sed quia per eam noctem multa nix delapsa, viam opertam difficilē maximè equis reddiderat, irritum factum est eius propositum, & motis inde castris, in Cœlesyriam rediit properè: obiterque in Galaditica regione interfecto & sepulto Ionatha, ipse Antiochiam se contulit. Simon autem à Basca oppido fratris ossa in Modim & paternum sepulchrum transtulit, publico luctu honorati: vbi amplissimum monumentum extruxit patri simul & fratribus suis è marmore polito & candido. excitato enim in latè conspicuam celsitudinem, porticus circumdedit & columnas singulas è singulis lapidibus, opus admiratione dignissimum. ad hæc pyramides septem parentibus & fratribus, cuique vnam erexit, mira tam magnitudine quàm pulchritudine, quæ durant vsque ad nostra tempora. tanta fuit Simonis cura, vt Ionathas cæteriq; domestici quàm magnificentissimo sepulchro essent cōditi: qui defunctus est, exacto pōtificatus simul & imperij anno quarto. Cuius successor Simō constitutus suffragio populi, primo sui principatus anno suis immunitatem tributorum peperit, quæ hactenus Macedonibus erant soliti pendere: idque accidit post annum centesimum septuagesimum, ex quo Seleucus Nicanor Syriæ regno potitus est. Tanto autem in honore apud populum fuit Simon, vt tam in priuatis instrumentis quàm in scripturis publicis adiiceret, actum esse anno primo Simonis Iudæorum ethnarchæ, optimè de gente sua meriti. nam huius principatu res eorum magnis accessionibus auctæ sunt, & multas de finitimis hostibus retulēre victorias. Deuastauit enim Gazarā & Ioppen & Iamniam, expugnatáque Hierosolymorum arce, solo eam æquauit, ne posthac esse posset hostibus receptaculum, néve inde vrbi aliquod inferretur incommodum. quo facto visum est ei operæ pretium, si mons quoque in quo sita fuerat complanaretur, vt solum templum emineret: effecítque id commemoratis pro concione malis, quæ à præsidiariis in eā diem Iudæi passi fuerāt queq; etiā in posterū ferre cogerētur, si extern⁹

A ὅτι μηδὲ τὰ χρήματα μήτε τοὺς υἱοὺς ἔδωκεν ὑπὲρ αὐτοῦ, συναγαγὼν τὴν στρατιὰν, ἐδήλωσεν αὐτῇ τὰ τοῦ τρύφωνος, εἰπὼν ὅτι ταῦτα καὶ ἐνέδρας καὶ ἐπιβουλὴν ἔχει, ὅμως αἱρετώτερον ἔχει πέμψαι τὰ χρήματα αὐτῷ, καὶ τοὺς υἱοὺς, ἢ τοῖς ὑπὸ τρύφωνος προβαλλομένοις μὴ ὑπακούσαντα, λαβεῖν αἰτίαν ὡς τὸν ἀδελφὸν σῶσαι μὴ θελήσας. καὶ σίμων μὲν, τούς τε ἰωνάθου παῖδας ἐξέπεμψε καὶ τὰ χρήματα. λαβὼν δὲ ὁ τρύφων οὐκ ἐτήρησε τὴν πίστιν, οὐδὲ ἀπέλυσε τὸν ἰωνάθην,

B ἀλλὰ τὴν στρατιὰν ἀναλαβὼν ἐπεξῄει τὴν χώραν, καὶ διὰ τῆς ἰδουμαίας ἀναβαίνειν διεγνώκει τὸ λοιπὸν εἰς ἱεροσόλυμα. καὶ παραγενόμενος ἧκεν εἰς δῶρα πόλιν τῆς ἰδουμαίας. ἀντιπαρῄει δ' ὁ σίμων μετὰ τῆς στρατιᾶς ἀεὶ καταστρατοπεδευόμενος ἐξεναντίας αὐτοῦ. τῶν δ' ἐν τῇ ἄκρᾳ πεμψάντων πρὸς τρύφωνα, καὶ παρακαλούντων σπεῦσαι πρὸς αὐτοὺς, καὶ τροφὰς αὐτοῖς πέμψαι, παρεσκεύασε τὴν ἵππον ὡς

C διὰ τῆς νυκτὸς ἐκείνης ἐν ἱεροσολύμοις ἐσόμενος. ἀλλὰ χιὼν διὰ τῆς νυκτὸς πολλὴ πεσοῦσα, καὶ τάς τε ὁδοὺς καλύψασα, καὶ ἄπορον ἵπποις μάλιστα ὁδεύειν ὑπὸ βάθους τὴν πορείαν παρέχουσα διεκώλυσεν αὐτὸν ἐλθεῖν εἰς τὰ ἱεροσόλυμα. διόπερ ἐκεῖθεν ἄρας ὁ τρύφων, εἰς τὴν κοίλην ἀφικνεῖται συρίαν. σπουδῇ δὲ εἰς τὴν γαλααδῖτιν ἐμβαλὼν, τόν τε ἰωνάθην ἀποκτείνας αὐτόθι καὶ ταφῆναι κελεύσας, αὐτὸς εἰς τὴν

D ἀντιόχειαν ὑπέστρεψεν. ὁ δὲ σίμων πέμψας εἰς βασκὰ πόλιν μετακομίζει τὰ τοῦ ἀδελφοῦ ὀστᾶ, καὶ κηδεύει μὲν ταῦτα ἐν μωδεεὶν τῇ πατρίδι, πένθος δ' ἐπ' αὐτῷ μέγα πᾶς ὁ λαὸς ἐποιήσατο. σίμων δὲ καὶ μνημεῖον μέγιστον ᾠκοδόμησε τῷ πατρὶ καὶ τοῖς ἀδελφοῖς αὐτοῦ ἐκ λίθου λευκοῦ καὶ ἀνεξεσμένου, εἰς πολὺ δ' αὐτὸ καὶ περίοπτον ἀναγαγὼν ὕψος, στοὰς περὶ αὐτὸ βάλλεται καὶ στύλους μονολίθους, θαυμαστὸν τὸ ἰδεῖν χρῆμ' ἀνίστησι, πρὸς τούτοις δὲ καὶ πυραμί-

E δας ἑπτὰ, τοῖς τε γονεῦσι καὶ τοῖς ἀδελφοῖς ἑκάστῳ μίαν ᾠκοδόμησεν εἰς ἔκπληξιν μεγέθους τε ἕνεκα καὶ κάλλους πεποιημένας, αἳ καὶ μέχρι δεῦρο σώζονται. καὶ περὶ μὲν τῆς ἰωνάθου ταφῆς καὶ τῆς τῶν μνημείων οἰκοδομίας, τοῖς οἰκείοις σίμωνος, τοσαύτην σπουδὴν οἴδαμεν γενομένην. ἀπέθανε δὲ ἰωνάθης, ἀρχιερατεύων ἔτη τέσσαρα πρὸς τῷ γένους. καὶ τὰ μὲν περὶ τῆς τούτου τελευτῆς, ἐν τούτοις

F ἦν. σίμων δὲ κατασταθεὶς ἀρχιερεὺς ὑπὸ τοῦ πλήθους, τῷ πρώτῳ τῆς ἀρχιερωσύνης ἔτει τῆς ὑπὸ μακεδόσι δουλείας, τὸν λαὸν ἠλευθέρωσεν, ὡς μηκέτι φόρους αὐτοὺς τελεῖν. ἡ δὲ ἐλευθερία καὶ τὸ ἀνείσφορον τοῖς ἰουδαίοις μετὰ ο' καὶ ρ' ἔτη τῆς ἀσσυρίων βασιλείας, ἐξ οὗ χρόνου σέλευκος ὁ νικάνωρ ἐπικληθεὶς κατέσχε συρίαν, ὑπῆρξε. τοσαύτη δ' ἦν ἡ τοῦ πλήθους περὶ τὸν σίμωνα φιλοτιμία, ὡς τ' ἐν τοῖς πρὸς ἀλλήλους

G συμβολαίοις, καὶ τοῖς δημοσίοις γράμμασιν ἐπὶ τοῦ πρώτου ἔτους γράφειν σίμωνος τοῦ εὐεργέτου ἰουδαίων καὶ ἐθνάρχου. εὐτύχησαν γὰρ ἐπ' αὐτοῦ σφόδρα, καὶ τῶν ἐχθρῶν τῶν περιοίκων ἐκράτησαν. κατεστρέψατο γὰρ σίμων, γάζαρά τε πόλιν καὶ ἰόππην καὶ ἰάμνειαν. ἐκπολιορκήσας δὲ καὶ τὴν ἐν τοῖς ἱεροσολύμοις ἄκραν, εἰς ἔδαφος αὐτὴν καθεῖλεν, ὥστ' ἂν μὴ τοῖς ἐχθροῖς ὁρμητήριον ἢ καταλαμβανομένοις αὐτὴν τῶν κακῶς ποιεῖν ὡς καὶ τότε. καὶ τοῦτο ποιήσας, ἄριστον ἐδόκει καὶ συμφέρον εἶναι, καὶ τὸ ὄρος ἐφ' ᾧ τὴν ἄκραν εἶναι συνέβαινε, καθελεῖν, ὅπως ὑψηλότερον ᾖ τὸ ἱερόν. καὶ δὴ τοῦτο ἔπειθεν εἰς ἐκκλησίαν καλέσας τὸ πλῆθος ὑπ' αὐτοῦ γίνεσθαι, ὧν τε ἔπαθον ὑπὸ τῶν φρουράρχων καὶ τῶν φυγάδων ἰουδαῖοι ὑπομιμνήσκων, ἅ τε πάθοιεν ἄν, εἰ πάλιν κατάσχοι τὴν βασιλείαν ἀλλό-

ἀλλόφυλος, φρουρᾶς ἐν αὐτῇ κατασταθείσης. ταῦτα λέγων πείθει τὸ πλῆθος παραινῶν αὐτοῖς τὰ ἀμφότερα, καὶ πάντες προσβαλόντες, καθῄρουν τὸ ὄρος, καὶ μήτε ἡμέρας μήτε νυκτὸς ἀπολυόμενοι τοῦ ἔργου, τρισὶν αὐτὸ τοῖς πᾶσιν ἔτεσι κατήγαγον εἰς ἔδαφος καὶ πεδινὴν λειότητα. καὶ τὸ λοιπὸν ἐξεῖχεν ἅπαν τὸ ἱερὸν, τῆς ἄκρας καὶ τοῦ ὄρους ἐφ᾽ ᾧ ἦν ἀνῃρημένων. καὶ τὰ ἐπὶ Σίμωνος πραχθέντα, τοῦτον εἶχε τὸν τρόπον.

Κεφάλαιον ιβ'.

Ὡς ὁ Σίμων ἐπολιόρκησεν ἐν Δώροις Τρύφωνα, σύμμαχος γενόμενος Ἀντιόχῳ τῷ Εὐσεβεῖ.

Μετ' οὐ πολὺ δὲ τῆς αἰχμαλωσίας τοῦ Δημητρίου, τὸν Ἀλεξάνδρου υἱὸν Ἀντίοχον, ὃς καὶ Θεὸς ἐπεκλήθη, Τρύφων διέφθειρεν ἐπιτροπεύων αὐτοῦ τέσσαρα βασιλεύσαντος ἔτη. καὶ τὸν μὲν, ὡς χειριζόμενος ἀποθάνοι διήγγελε, τοὺς δὲ φίλους καὶ τοὺς οἰκειοτάτους διέπεμπε πρὸς τοὺς στρατιώτας, ἐπαγγελλόμενος αὐτοῖς χρήματα πολλὰ δώσειν εἰ βασιλέα χειροτονήσουσιν αὐτὸν, Δημήτριον μὲν ὑπὸ Πάρθων αἰχμάλωτον γεγονέναι μηνύων, τὸν δ' ἀδελφὸν αὐτοῦ Ἀντίοχον παρελθόντα εἰς τὴν ἀρχὴν πολλὰ ποιήσειν αὐτοῖς κακὰ τῆς ἀποστάσεως ἀμυνόμενον. οἱ δ' ἐλπίσαντες εὐπορίαν ἐκ τῆς Τρύφωνι δοθησομένης βασιλείας, ἀποδεικνύουσιν αὐτὸν ἄρχοντα. γενόμενος δὲ τῶν πραγμάτων ἐγκρατὴς ὁ Τρύφων, διέδειξε τὴν αὐτοῦ φύσιν οὖσαν πονηράν. ἰδιώτης μὲν γὰρ ὢν, ἐθεράπευε τὸ πλῆθος, καὶ μετριότητα ὑπεκρίνετο, δελεάζων αὐτὸ τούτοις εἰς ἅπερ ἐβούλετο. τὴν δὲ βασιλείαν λαβὼν, ἀπεδύσατο τὴν ὑπόκρισιν, καὶ ὁ ἀληθὴς Τρύφων ἦν. τοὺς οὖν ἐχθροὺς διὰ ταῦτα ἐποίει κρείττονας. τὸ μὲν γὰρ στρατιωτικὸν αὐτοῦ μισοῦν ἀφίστατο πρὸς Κλεοπάτραν τὴν Δημητρίου γυναῖκα, τότε ἐν Σελευκείᾳ μετὰ τῶν τέκνων ἐγκεκλεισμένην. ἀλωμένου δὲ καὶ Ἀντιόχου τοῦ Δημητρίου ἀδελφοῦ, ὃς ἐπεκαλεῖτο Σωτὴρ, καὶ μηδεμιᾶς αὐτὸν πόλεως δεχομένης διὰ Τρύφωνα, πέμπει πρὸς αὐτὸν Κλεοπάτρα, καλοῦσα πρὸς αὐτὴν ἐπί τε γάμῳ καὶ βασιλείᾳ. ἐκάλει δὲ τὸν Ἀντίοχον ἐπὶ τούτοις, ἅμα μὲν τῶν φίλων αὐτὴν ἀναπεισάντων, ἅμα δὲ καὶ τὴν πόλιν διδόντων τινῶν ἐκ τῆς Σελευκείας τῷ Τρύφωνι δείσασα. γενόμενος δὲ ἐν τῇ Σελευκείᾳ ὁ Ἀντίοχος, καὶ τῆς ἰσχύος αὐτοῦ καθ' ἡμέραν πᾶσαν αὐξομένης, ὥρμησε πολεμήσων τὸν Τρύφωνα. καὶ κρατήσας αὐτοῦ τῇ μάχῃ, τῆς ἄνω Συρίας ἐξέβαλεν εἰς τὴν Φοινίκην διώξας ἄχρι ταύτης, εἰς τὴν Δῶραν φρούριόν τι δυσάλωτον ἐπολιόρκει συμφυγόντα. πέμπει δὲ καὶ πρὸς Σίμωνα τὸν τῶν Ἰουδαίων ἀρχιερέα περὶ φιλίας καὶ συμμαχίας πρέσβεις. ὁ δὲ προσδέχεται προθύμως αὐτοῦ τὴν ἀξίωσιν, καὶ χρήματά τε πολλὰ καὶ τροφὴν, τοῖς τὴν Δῶραν πολιορκοῦσι στρατιώταις, πέμψας πρὸς Ἀντίοχον, ἀφθόνως ἐχορήγησεν, ὡς τῶν ἀναγκαιοτάτων αὐτὸν πρὸς ὀλίγον καιρὸν κριθῆναι φίλων. ὁ μὲν γὰρ Τρύφων ἐκ τῆς Δώρας φυγὼν εἰς Ἀπάμειαν καὶ ληφθεὶς ἐν αὐτῇ τῇ πολιορκίᾳ διεφθάρη, βασιλεύσας ἔτη τρία.

Κεφάλαιον ιγ'.

Ὡς Τρύφωνος ἀναιρεθέντος Ἀντίοχος ἐπολέμησε Σίμωνα, καὶ Κενδεβαῖον τὸν στρατηγὸν αὐτοῦ νικήσας τῆς Ἰουδαίας ἐξέβαλεν.

Ὁ δ' Ἀντίοχος ὑπὸ πλεονεξίας καὶ φαυλότητος, λήθην τῶν ἐκ Σίμωνος αὐτῷ πρὸς τὰς χρείας ὑπηρετηθέντων ἐποιήσατο, καὶ δύναμιν στρατιωτικὴν Κενδεβαίῳ παραδοὺς τῷ φίλῳ, ἐπὶ τῆς Ἰουδαίας πόρθησιν καὶ

aliquis princeps ei loco imponeret præsidium. adeoque permotus est eius exhortatione populus vt non intermisso per triennium neque die neque noctu opere, tandem ad planiciem eum locum indefesso labore, per vices sibi succedentes redegerint, atque ita nihil reliquerint quod obstaret, quo minus templum omnibus in vrbe locis esset longè celsius.

Cap. XII.

Simon Tryphonem in Dora compulsum oppugnat, inito cum Antiocho cui Pius cognomen erat, fœdere.

X. NON multo autem post quàm Demetrius captus est, Alexandri filius cognomine Deus à Tryphone est necatus, anno quarto postquam eius tutelam susceperat: sparsóque rumore, quod iner exercendum se esset extinctus, per intimos amicos solicitauit milites magnis pollicitationibus, vt sibi regnũ deferrent, captum à Parthis Demetrium dictitans, Antiochum fratrem si poriretur imperio, vltorem fore defectionis qua fratrem eius deseruerint, illi adducti in spem maximam, quasi ditandi hoc principe, imperiũ ei continuo deferunt. Tum verò adeptus iam concupitã potestatem, non amplius dissimulare prauum ingenium valuit, quod priuatus tegere conatus est, quo magis animos hominũ sibi conciliaret. quàm primùm enim rex declaratus est, absque persona Tryphonẽ agere cœpit, id quod aduersariorum partibus non mediocriter profuit. Milites enim pertęsi eius mores, defecerũt ad Cleopatrã vxorẽ Demetrij, quę tũ in Seleuciã cũ liberis se incluserat. Et cũ Demetrij frater Antiochus cognomine Soter oberraret, nec ab vlla vrbe reciperetur metu Tryphonis, misit ad eum Cleopatra, coniugium suum & regnum ei offerens. fecit autem hoc partim amicorum suasu, partim quòd timeret, ne quidam Seleucenses vrbem Tryphoni traderent. Quo post-XI. quam venit Antiochus affluente ad eum quotidie multitudine, & crescentibus viribus, bellum Tryphoni intulit: quem prælio victum eiecit è superiore Syria, & vsque Phœnicen persequens compulsum in Doram castrum munitissimum obsidione cinxit. Misit etiam legatos ad Simonem Iudæorum pontificem, qui de amicitia & societate agerent, qui & postulata eius libenter admisit, & mox misso commeatu ac pecuniis ad oppugnãtes Doram milites, Antiochum ita demeruit, vt inter intimos amicos ab eo reciperetur. at Tryphon elapsus è Dora cum perfugisset Apamiam, vrbe vi capta interfectus est, triennio postquam regno potitus fuerat.

1. Mach. 15.

Cap. XIII.

Bello inter Antiochum & Simonem orto, Cendebæus dux regius è Iudæa profligatur.

XII. CAETERVM Antiochus ob innatam auaritiam beneficiorum immemor traditis amico Cendebæo copiis, misit eum vt vastata Iudęa Simonem in potestatem

redigeret. qui audita eius iniquitate, quamuis iam senior, tamen indignitate rei permotus, iuueniliter hosti cum exercitu fit obuiam: præmissisq; cum fortissimo quoque filiis, ipse cum reliquis copiis subsequebatur diuerso itinere: positisque compluribus locis inter angustias insidiis, nusquam non rem gessit ex sententia: & in omnibus congressibus factus superior, reliquum vitæ in pace exegit, cùm & ipse renouasset cum Romanis amicitiam.

CAP. XIIII.

Quòd Simon à genero suo Ptolemæo in conuiuio per dolum occisus est.

XIII. 1. Mac. 16. IS per octo annos Iudæis præfuit, postremò in conuiuio cæsus, insidiis generi sui Ptolemæi: qui vxore etiam eius & duobus filiis comprehensis ac coniectis in vincula, misit quosdam vt tertium quoque Ioannem, cui & Hyrcano fuit nomen, interficerent. adolescens autem hoc præsentiens maturè in vrbem refugit, fretus fauore multitudinis conciliato per paterna beneficia, simúlq; odio, quo Ptolemæum prosequebatur populus. Is enim volentem eum ingredi per portam aliam fortiter repulit, eo quòd iam Hyrcanum receperat.

CAP. XV.

Quomodo frustratis Ptolemæi conatibus, Hyrcanus principatu potitus est.

XIIII. 1. Mach. 16. ILle igitur recepit se in quandam arcem supra Hierichunta sitam, quæ Dagon dicitur. Hyrcanus verò accepto paterno pontificatu, & sacris operatus, cùm litatum esset, eduxit cótra Ptolemæum exercitum: & oppugnando locum cætera quidem erat superior, vincebatur autem sola pietate erga matrem, & erga germanos misericordia. hos enim Ptolemæus productos in mœnia flagris cædebat in loco omnibus conspicuo, minitans se præcipitaturũ eos, nisi frater ab oppugnando desisteret. at ille putans quantum de oppugnatione remitteret, tantum se gratificari suis charissimis, statim in primo conatu elanguescebat. Mater tamen ad eum manus tendens supplicabat ne molliretur affectibus, sed potius indignitate rei motus, daret operam vt redactum in potestatem inimicum afficeret pœna, & vlcisceretur homines sibi natura coniunctissimos. gratum enim sibi fore inter tormenta emori, modò nefarius homo scelerum suorum supplicium lueret. Hyrcanus verò talibus verbis accendebatur ad assultum maiore impetu faciendum, sed quàm primùm verberari & lacerari matrem videbat, refrigescebat statim oppugnationis feruor, & vincebatur filius maternis affectibus. cúmque hoc pacto traheretur diutius obsidio, superuenit annus ille quo solenne est Iudæis cessare ab operibus, recurrente anno septimo. atque ita liberatus à bello Ptolemæus occisis Hyrcani matre ac fratribus, fugit ad Zenonem cognomine Cotylam, qui tum apud Philadelphenses inuaserat tyrannidem.

Historiarũ Biblicarũ finis.

A τὴν σίμωνος ἄλωσιν ἐξαπέστειλε. σίμων δ' ἀκούσας τὴν ὑπ' ἀντιόχου παρανομίαν, καὶ πρεσβύτερος ὢν ἤδη, ὅμως ὑπὸ τοῦ μὴ δικαίων τῶν παρ' ἀντιόχου γινομένων τυγχάνειν παρορμηθεὶς, καὶ τῆς ἡλικίας φρόνημα κρεῖττον λαβὼν, νεανικῶς ἐστρατήγει τοῦ πολέμου, καὶ τοὺς μὲν υἱοὺς μετὰ τῶν μαχιμωτέρων προεκπέμπει στρατιωτῶν, αὐτὸς δὲ κατ' ἄλλο μέρος προῄει μετὰ τῆς δυνάμεως, καὶ πολλοὺς ἐν τοῖς φάραγξιν ἐσὶ τῶν ὀρῶν τάττων εἰς ἐνέδραν κατασήσας, διαμαρτάνει μὲν οὐδεμιᾶς τῶν ἐπιχειρήσεων, κρατήσας δὲ διὰ πάσης τῶν πολεμίων, ἐν εἰρήνῃ τὸν λοιπὸν διήγαγε χρόνον, ποιησάμενος καὶ αὐτὸς πρὸς ῥωμαίους συμμαχίαν.

Κεφάλαιον ιδ'.

Ὅτι ὁ σίμων ὑπὸ γαμβροῦ πτολεμαίου ἐν συμποσίῳ δολοφονηθεὶς ἀπέθανεν.

C ΗΡξεν οὖν ἡ τὰ πάντα τῶν ἰουδαίων ἔτη, τελευτᾷ δὲ ἐξ ἐπιβουλῆς ἐν συμποσίῳ, πτολεμαίου τοῦ γαμβροῦ ταύτην αὐτῷ συσκευασαμένου. ὃς καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τοὺς δύο παῖδας συλλαβὼν καὶ δεδεμένους ἔχων, ἔπεμψε καὶ ἐπὶ ἰωάννην τὸν τρίτον, τούτῳ δὲ καὶ ὑρκανὸς ἦν ὄνομα, τοὺς διαφθεροῦντας. αἰσθόμενος δὲ τοὺς ἐλθόντας ὁ νεανίσκος, διαφυγὼν τὸν ἐξ αὐτοῦ κίνδυνον εἰς τὴν πόλιν ἠπείγετο, θαῤῥῶν τῷ πλήθει διὰ τὰς τοῦ πατρὸς εὐεργεσίας, καὶ διὰ τὸ D πτολεμαίου τοῖς ὄχλοις μῖσος. σπουδάσαντα δὲ καὶ πτολεμαῖον εἰσελθεῖν δι' ἄλλης πύλης, ὁ δῆμος ἀπώσατο, τὸν ὑρκανὸν ἤδη προσδεδεγμένος.

Κεφάλαιον ιε'.

Ὅτι πτολεμαῖος τὴν ἀρχὴν ἐπιχειρεῖ κατασχεῖν, καὶ πῶς ὑρκανὸς τὴν ἡγεμονίαν παρέλαβεν.

ΚΑὶ ὁ μὲν εἰς τι τῶν ὑπὲρ ἱεριχοῦντα ἐρυμάτων ἀνεχώρησεν, δαγὼν λεγόμενον. ἀπολαβὼν δὲ τὴν E πάτριον ἀρχιερωσύνην ὑρκανὸς, καὶ τὸν θεὸν πρώταις θυσίαις παραστησάμενος, ἐπὶ τὸν πτολεμαῖον ἐξεστράτευσε, καὶ προσβαλὼν τῷ χωρίῳ τοῖς μὲν ἄλλοις περιῆν αὐτοῦ, ἡττᾶτο δὲ μόνῳ τῷ πρὸς τὴν μητέρα καὶ τοὺς ἀδελφοὺς οἴκτῳ. τούτους γὰρ ὁ πτολεμαῖος ἀνάγων ἐπὶ τὸ τεῖχος, ἐξ ἀπόπτου ᾐκίζετο, καὶ κατακρημνίσειν οὐκ ἀφισταμένου τῆς πολιορκίας ἠπείλει. ὁ δ' ὅσον ἂν ἐνδῷ τῆς περὶ τὴν αἵρεσιν τοῦ χωρίου σπουδῆς, τοῦτο χαρίζεσθαι τοῖς φιλτάτοις ἡγούμενος πρὸς τὸ μὴ κα- F κῶς πάσχειν, ἐξέλυε τὸ πρόθυμον. ἡ μέντοι μήτηρ ὀρέγουσα τὰς χεῖρας, ἱκέτευε μὴ μαλακίζεσθαι δι' αὐτὴν, ἀλλὰ πολλῇ πλέον ὀργῇ χρώμενον, ἑλεῖν σπουδάσαι τὸ χωρίον, καὶ τὸν ἐχθρὸν ὑπ' αὐτῷ ποιήσαντα, τιμωρῆσαι τοῖς φιλτάτοις. ἡδὺν γὰρ αὐτῇ τὸν μετ' αἰκίας εἶναι θάνατον, εἰ δίκην ὑπόσχοι τῆς εἰς αὐτοὺς παρανομίας ὁ ταῦτα ποιῶν πολέμιος. τὸν δ' ὑρκανὸν, ταῦτα μὲν λεγούσης τῆς μητρὸς, ὁρμή τις ἐλάμβανε πρὸς τὴν αἵρεσιν G τοῦ φρουρίου. ἡνίκα δὲ αὐτὴν τυπτομένην ἴδοι καὶ σπαραττομένην, ἐξελύετο καὶ τοῖς ἐπὶ τοῖς εἰς τὴν μητέρα πραττομένοις συμπαθείας ἥττων ἐγίνετο. ἑλκομένης δὲ οὕτως εἰς χρόνον τῆς πολιορκίας ἐνίσταται τὸ ἔτος ἐκεῖνο καθὸ συμβαίνει τοῖς ἰουδαίοις ἀργεῖν. κατὰ δὲ ζ' ἔτη τοῦτο παρατηροῦσιν ὡς ἐν ταῖς ἐν ἑβδομάσιν ἡμέραις. καὶ πτολεμαῖος ὑπὸ ταύτης ἀνεθεὶς τῆς αἰτίας τοῦ πολέμου, ἀποκτείνει τοὺς ἀδελφοὺς τοῦ ὑρκανοῦ καὶ τὴν μητέρα. καὶ τοῦτο δράσας πρὸς ζήνωνα φεύγει τὸν ἐπικληθέντα κοτύλαν, τυραννοῦντα τῆς φιλαδελφέων πόλεως.

Ὡς στρα-

Κεφάλαιον ις'.

Ὡς στρατευσάμενος ἐφ' ὑρκανὸν ἀντίοχος ὁ εὐσεβὴς, λαβὼν τάλαντα τ' συμμαχίαν πρὸς αὐτὸν ἐποίησεν.

Ἀντίοχος δὲ χαλεπῶς ἔχων ἐφ' οἷς ὑπὸ σίμωνος ἔπαθεν, εἰς τὴν ἰουδαίαν ἐνέβαλε, δ' μὲν ἔτει τῆς βασιλείας αὐτοῦ, α' δὲ τῆς ὑρκανοῦ ἀρχῆς. ὀλυμπιάδος ρ' καὶ ξ' καὶ β'. δῃώσας δὲ τὴν χώραν, τὸν ὑρκανὸν εἰς αὐτὴν ἐνέκλεισε τὴν πόλιν, ἣν ἑπτὰ στρατοπέδοις περιλαβὼν, ἤνυε μὲν οὐδὲν ὅλως τὸ πρῶτον, διά τε τὴν τῶν τειχῶν ὀχυρότητα, καὶ διὰ τὴν ἀρετὴν τῶν ἐκπολιορκουμένων. ἔτι γε μὴν ὕδατος ἀπορίαν, ἧς αὐτοὺς ἀπέλυσεν ὄμβρος κατενεχθεὶς πολὺς δυομένης πλειάδος. κατὰ δὲ τὸ βόρειον μέρος τοῦ τείχους καθὸ συνέβαινεν αὐτὸ καὶ ἐπίπεδον εἶναι, πύργους ἀναστήσας ρ' τριωρόφους, ἀνεβίβασεν ἐπ' αὐτοὺς στρατιωτικὰ τάγματα, καὶ προσβολὰς ὁσημέραι ποιησάμενος, τάφρον τε βαθεῖαν καὶ πολλὴν τὸ εὖρος καὶ διπλῆν τεμόμενος ἀπετείχισε τοὺς ἐνοικοῦντας. οἱ δὲ πολλὰς ἐκδρομὰς ἀντεπινοοῦντες, εἰ μὲν ἀφυλάκτοις που προσπέσοιεν τοῖς πολεμίοις πολλὰ ἔδρων αὐτοὺς, αἰσθομένους δὲ ἀνεχώρουν δυσχερῶς. ἐπεὶ δὲ βλαβερὰν κατενόησεν ὑρκανὸς τὴν πολυανθρωπίαν ἀναλισκομένων τε τῶν ἐπιτηδείων τάχιον ὑπ' αὐτῆς, καὶ μηδενὸς οἷον εἰκὸς ἐκ πολυχειρίας ἔργου γινομένου, τὸ μὲν ἀχρεῖον αὐτῆς ἀποκρίνας ἐξέβαλεν, ὅσον δ' ἦν ἀκμαῖον καὶ μάχιμον τοῦτο μόνον κατέσχεν. ἀντίοχος μὲν οὖν τοὺς ἀποκριθέντας, ἐξελθεῖν ἐκώλυεν. οἱ δὲ ἐν τοῖς μεταξὺ τείχεσι πλανώμενοι καὶ περιαναλούμενοι τῷ λιμῷ, ἀπέθνησκον οἰκτρῶς. ἐπιστάσης γε μὴν τῆς σκηνοπηγίας ἑορτῆς, ἐλεήσαντες αὐτοὺς οἱ ἐντὸς πάλιν εἰσεδέξαντο. πέμψαντος δὲ ὑρκανοῦ πρὸς ἀντίοχον, καὶ σπονδὰς ἡμερῶν ἑπτὰ διὰ τὴν ἑορτὴν ἀξιώσαντος γενέσθαι, τῇ πρὸς τὸ θεῖον εὐσεβείᾳ εἴκων σπένδεται, καὶ προσέτι θυσίαν εἰσέπεμψε μεγαλοπρεπῆ ταύρους χρυσοκέρωτας. καὶ μετὰ παντοίων ἀρωμάτων ἐκπώματα, χρύσεά τε καὶ ἀργύρεα. καὶ τὴν μὲν θυσίαν δεξάμενοι παρὰ τῶν κομιζόντων, οἱ πρὸς ταῖς πύλαις ὄντες ἄγουσιν εἰς τὸ ἱερὸν, ἀντίοχος δὲ τὴν στρατιὰν εἱστία, πλεῖστον ἀντιόχου τοῦ ἐπιφανοῦς διενέγκας, ὃς τὴν πόλιν ἑλὼν, ὗς μὲν κατέθυεν ἐπὶ τὸν βωμὸν, τὸν νεὼν δὲ τῷ ζωμῷ τούτων περιέρραινε, συγχέας τὰ ἰουδαίων νόμιμα καὶ τὴν πάτριον αὐτῶν εὐσέβειαν, ἐφ' οἷς ἐξεπολεμώθη τὸ ἔθνος, καὶ ἀκαταλλάκτως εἶχε. τοῦτον μέντοι τὸν ἀντίοχον διὰ τὴν ὑπερβολὴν τῆς θρησκείας εὐσεβῆ πάντες ἐκάλεσαν. ἀποδεξάμενος δὲ αὐτοῦ τὴν ἐπιείκειαν ὑρκανὸς, καὶ μαθὼν τὴν περὶ τὸ θεῖον σπουδὴν, ἐπρεσβεύσατο πρὸς αὐτὸν ἀξιῶν τὴν πάτριον αὐτοῖς πολιτείαν ἀποδοῦναι. ὁ δὲ ἀπωσάμενος τὴν συμβουλὴν τῶν παραινούντων ἐξελεῖν τὸ ἔθνος διὰ τὴν πρὸς ἀλλήλους αὐτῶν τῆς διαίτης ἀμιξίαν, οὐκ ἐφρόντιζε. πειθόμενος δὲ κατ' εὐσέβειαν πάντα ποιεῖν, τοῖς πρέσβεσιν ἀπεκρίνατο, παραδοῦναι μὲν τὰ ὅπλα τοὺς πολιορκουμένους, καὶ δασμὸν αὐτῷ τελεῖν ἰόππης, καὶ τῶν ἄλλων πόλεων, πάρεξ τῆς ἰουδαίας, φρουρὰν τε δεξαμένους ἐπὶ τούτοις ἀπηλλάχθαι τοῦ πολέμου. οἱ δὲ τὰ ἄλλα μὲν ὑπέμειναν. τὴν δὲ φρουρὰν οὐχ ὡμολόγουν, διὰ τὴν ἀμιξίαν οὐκ ἐφικνούμενοι πρὸς ἀλλήλους. ἀντὶ μέντοι γε τῆς φρουρᾶς, ὁμήρους ἐδίδοσαν καὶ τάλαντα ἀργυρίου πεντακόσια. ὧν εὐθὺς τὰ τ', καὶ τοὺς ὁμήρους προσδεξάμενοι τοῦ βασιλέως ἔδοσαν, ἐν οἷς ἦν καὶ ὑρκανοῦ ἀδελφός. καθεῖλε δὲ καὶ τὴν στεφάνην τῆς πόλεως. ἐπὶ τούτοις μὲν οὖν

Cap. XVI.

Quòd Antiochus cognomento Pius duЄto contra Hyrcanum exercitu, placatus CCC. talentis fœdus cum eo iniit.

A Ntiochus autẽ memor incõmodorũ quę à Simone acceperat, Iudæã aggressus est, ex quo regnare cœperat anno IIII. principatus verò Hyrcani primo, sexagesima secũda supra centesimã Olympiade: vastatisq; agris Hyrcanum in vrbem ipsam compulit. eam septenis castris cùm cinxisset, primũ nihil proficiebat, propter firmitatem mœnium & virtutem propugnantium, accedente etiã aquarum penuria, cui tandem sub occasum Pleiadis delati imbres fuerunt remedio. postremò ad septentrionalem muri partem, quà planior erat aditus, excitatis centum turribus quæ surgebant vsque tertiam contignationem, impositisque in eas cohortibus. quotidie tentabat mœnia: duplicique fossa longa simul & lata cinctis Iudæis præclusit omnem exitum. illi contrà crebrò excursantes, si fortè negligentiùs custodiri castra offenderent, afficiebant hostem clade aliqua: quòd si paratos ad resistendum inuenirent, recipiebant se in tutiora facilè. Hyrcanus autem postquam cognouit sibi obesse suorum multitudinem, quòd inutiliter absumerentur ad victum necessaria, secretam infirmiorem turbam eiecit extra mœnia, solis retentis qui ob vigorem ætatis ad pugnam erant idonei. Antiochus autem exclusos vetabat progredi, ita vt miserabiliter oberrantes mœnibus conficerẽtur inedia. sed cùm superuenisset festum scenopegiæ, miseratione suorum rursus in vrbem recepti sunt. Rex etiam rogatus vt gratia festi inducias septem dierum concederet, religione motus impetrari eas passus est: nec hoc contentus victimas misit magnificè, tauros auratis cornibus, & pocula tam aurea quàm argentea, referta omne genus aromatibus & exercitui præbuit epulum, longè diuersus ab Antiocho Epiphane, qui capta vrbe porcos super altari mactauerat, & iure carnium illarum templum asperserat, violatis Iudæorum legibus simul & ceremoniis: vnde acerbissima exorta sunt eius gentis contra eum odia. at hic Antiochus propter religionem Pius cognominatus est ab omnibus. Hyrcanus verò cognita eius æquitate & pietate delectatus, legatos ad eum misit, rogantes vt liceat sibi patriis viuere legibus. tum rex repulsis qui suadebant internecione delendam gentem insociabilem, & discretam instituto a reliquis omnibus, & approbata Iudæorum pietate, imperauit vt obsessi arma sibi traderent, & vectigalia Ioppes, cæterarúmque extra Iudæam vrbium concederent, & insuper presidium reciperent, promittens pacem eis se daturũ his conditionibus. Assenserunt illi ad omnia excepto præsidio, quòd vitarent exterorũ consuetudinem: quod ne reciperent maluerunt regi dare obsides & D. talenta insuper: quorum CCC. mox repræsentata sunt, & inter obsides fuit etiam ipsius Hyrcani frater: deiectáque mox lorica quę im-

posita erat mœnibus, soluta est obsidio. Cæterùm Hyrcanus aperto monumento Dauidis, qui olim regum omnium fuerat ditissimus, tria millia talentorum inde protulit: quibus pecuniis fretus, primus omnium cœpit externum militem alere: & inito cum rege fœdere, exceptum in vrbe cum exercitu tractauit liberalissimè: quin & profectum in expeditionem Parthicam secutus est vnà cum auxiliis. Testis est nobis Nicolaus Damascenus sic scribens: Antiochus erecto trophæo ad Lycum fluuium, vbi Indatem Parthorum ducem profligauerat, hęsit ibi per biduum ad preces Hyrcani Iudæi, quòd in id tempus fortè quædam Iudæorum festiuitas incurrerat, per quam non licebat eis iter facere. Et verum est quod ille scripsit: nam Pentecoste instabat post sabbatum, quo tempore nostris iter facere nefas habetur. Deinde cum Arsace Partho Antiochus signa contulit. quo prælio victus, & vitam simul amisit & exercitum. Syrorum autem regnum frater eius recepit Demetrius, dimissus ab Arsace quo tempore Parthorum regionem inuaserat Antiochus, sicut iam antè in aliis commentariis diximus.

ἀντίοχος τὴν πολιορκίαν λύσας ἀνεχώρησεν. ὑρκανὸς δὲ τὸν δαβίδου τάφον ἀνοίξας, ὃς πλούτῳ τοὺς πώποτε βασιλεῖς ὑπερέβαλλε, τρισχίλια μὲν τάλαντα ἐξεκόμισεν, ὁρμώμενος δὲ ὑπὸ τούτων πρῶτος ἰουδαίων ξενοτροφεῖν ἤρξατο. γίνεται δὲ αὐτῷ καὶ πρὸς ἀντίοχον φιλία καὶ συμμαχία, καὶ δεξάμενος αὐτὸν εἰς τὴν πόλιν, ἀφθόνως πάντα τῇ στρατιᾷ, καὶ φιλοτίμως παρεῖχε. καὶ ποιουμένῳ τὴν ἐπὶ πάρθους αὐτῷ στρατείαν συνεξώρμησεν ὑρκανός. μάρτυς δὲ τούτων ἡμῖν ἐστὶ καὶ νικόλαος ὁ δαμασκηνὸς οὕτως ἱστορῶν. τρόπαιον δὲ στήσας ἀντίοχος ἐπὶ τῷ λύκῳ ποταμῷ, νικήσας ἰνδάτην τὸν πάρθων στρατηγὸν, αὐτόθι ἔμεινεν ἡμέρας δύο, δεηθέντος ὑρκανοῦ τοῦ ἰουδαίου διά τινα ἑορτὴν πάτριον, ἐν ᾗ τοῖς ἰουδαίοις οὐκ ἦν νόμιμον ἐξοδεύειν. καὶ ταῦτα μὲν οὐ ψεύδεται λέγων. ἐνέστη γὰρ ἡ πεντηκοστὴ ἑορτὴ μετὰ τὸ σάββατον. οὐκ ἔστι δὲ ἡμῖν οὔτε ἐν τοῖς σάββασιν, οὔτε ἐν τῇ ἑορτῇ ὁδεύειν. συμβαλὼν δὲ ἀντίοχος ἀρσάκῃ τῷ πάρθῳ, πολλήν τε τῆς στρατιᾶς ἀπέβαλε, καὶ αὐτὸς ἀπόλλυται. τὴν δὲ τῶν σύρων βασιλείαν ὁ ἀδελφὸς αὐτοῦ διαδέχεται δημήτριος, ἀρσάκου αὐτὸν ἐκ τῆς αἰχμαλωσίας ἀπολύσαντος, καθ' ὃν χρόνον ἀντίοχος εἰς τὴν παρθυηνὴν ἐνέβαλεν, ὡς καὶ πρότερον ἐν ἄλλοις δεδήλωται.

CAP. XVII.

Hyrcani expeditio in Syriam.

XV. CÆterùm Hyrcanus audita morte Antiochi, confestim ad vrbes Syriæ duxit exercitum, ratus id quod erat, inuenturum se eas vacuas propugnatoribus. Medabam igitur non sine labore sexto demum mense vi cepit: deinde Samegam cum vicinis oppidis, & insuper Sicima atque Garizim cum gente Chuthæorum, quæ accolebat templum instar Hierosolymitani extructum, permissu Alexandri à Sanaballete duce in gratiam generi ipsius Manassis, qui fuerat frater Iaddi pontificis, vt antè dictum est. incidit autem huius templi desolatio post annum ducentesimum. Hyrcanus verò etiam Idumææ vrbes cepit, Adora & Marissam, subiugatisque omnibus Idumæis edixit vt circunciderentur, nisi mallent è propriis pelli sedibus. at illi amore patriæ admiserunt & circuncisionem & reliquam iuxta Iudaicos ritus viuendi formulam: atque ex eo primùm tempore inter Iudæos censeri cœpti sunt. Cæterùm Hyrcanus pontifex renouaturus cum Romanis amicitiam, misit legatos ad senatum: vbi recitatis eius literis, amicitia impetrata est his conditionibus. Fanius Marci filius Pr. indixit senatum in campum octauo Idus Februarias, præsente Lucio Manlio Lucij filio Mentina, & Caio Sempronio Caij filio Falerna, propter eas res quas legati retulerunt, Simon Dosithei, Apollonius Alexandri, Diodorus Iasonis, viri honesti ac probi, missi à populo Iudæorum: qui etiam egerunt de amicitia & societate, quæ eis intercedit cum populo Romano, & de negotiis publicis, vt Ioppe & portus, Gazaráque & fontes atque vrbes reliquæ per Antiochum ablatæ prȩter senatus decretum, restituantur hæc omnia. néve mi-

Κεφάλαιον ιζ.

Ὑρκανοῦ στρατεία ἐπὶ συρίαν.

Ὑρκανὸς δὲ ἀκούσας τὸν ἀντιόχου θάνατον, εὐθὺς ἐπὶ τὰς ἐν συρίᾳ πόλεις ἐξεστράτευσεν, οἰόμενος αὐτὰς εὑρεῖν ὅπερ ἦν ἐρήμους τῶν μαχίμων καὶ ῥύεσθαι δυναμένων. μήδαβαν μὲν οὖν πολλὰ τῆς στρατιᾶς αὐτῷ ταλαιπωρηθείσης ἕκτῳ μηνὶ εἷλεν. ἔπειτα καὶ σαμεγὰν καὶ τὰ πλησίον αὐτῆς αἱρεῖ, σίκιμά τε πρὸς τούτοις καὶ γαριζεὶν τό τε χουθαίων γένος, ὅπερ ᾤκει τὸν εἰκασθέντα τῷ ἐν ἱεροσολύμοις ἱερῷ ναὸν, ὃν ἀλέξανδρος ἐπέτρεψεν οἰκοδομῆσαι σαναβαλλέτῃ τῷ στρατηγῷ διὰ τὸν γαμβρὸν μανασσῆν τὸν ἰαδδοῦ τοῦ ἀρχιερέως ἀδελφὸν, ὡς καὶ πρότερον δεδηλώκαμεν. συνέβη δὲ τὸν ναὸν τοῦτον ἔρημον γενέσθαι μετὰ ἔτη σ΄. ὑρκανὸς δὲ καὶ τῆς ἰδουμαίας αἱρεῖ πόλεις ἄδωρα, καὶ μάρισσαν. καὶ ἅπαντας τοὺς ἰδουμαίους ὑποχειρίους ποιησάμενος, ἐπέτρεψεν αὐτοῖς μένειν ἐν τῇ χώρᾳ εἰ περιτέμνοιντό τε τὰ αἰδοῖα καὶ τοῖς ἰουδαίοις νόμοις χρῆσθαι θέλοιεν. οἱ δὲ πόθῳ τῆς πατρίου γῆς καὶ τὴν περιτομὴν καὶ τὴν ἄλλην τοῦ βίου δίαιταν ὑπέμειναν τὴν αὐτὴν ἰουδαίοις ποιήσασθαι. κἀκείνοις αὐτοῖς χρόνος ὑπῆρχεν, ὥστε εἶναι τὸ λοιπὸν ἰουδαίους. ὑρκανὸς δὲ ὁ ἀρχιερεὺς ἀνανεώσασθαι τὴν πρὸς ῥωμαίους φιλίαν βουλόμενος, πέμπει πρὸς αὐτοὺς πρεσβείαν. καὶ ἡ σύγκλητος δεξαμένη τὰ παρ' αὐτοῦ γράμματα, ποιεῖται πρὸς αὐτὸν φιλίαν τούτῳ τῷ τρόπῳ. φάννιος μάρκου υἱὸς στρατηγὸς βουλὴν συνήγαγε πρὸ ὀκτὼ εἰδῶν φεβρουαρίων ἐν κομιτίῳ, παρόντος λουκίου μαννίου λουκίου υἱοῦ μεντίνα, καὶ γαΐου σεμπρωνίου γαΐου υἱοῦ φαλέρνα, περὶ ὧν ἐπρέσβευσε σίμων δοσιθέου, καὶ ἀπολλώνιος ἀλεξάνδρου, καὶ διόδωρος ἰάσωνος, ἄνδρες καλοὶ κἀγαθοὶ, πεμφθέντες ὑπὸ δήμου τοῦ ἰουδαίων, οἳ καὶ διελέχθησαν περὶ φιλίας τῆς ὑπαρχούσης τούτοις καὶ συμμαχίας πρὸς ῥωμαίους, καὶ τῶν δημοσίων πραγμάτων, ὅπως τε ἰόππη καὶ λιμένες καὶ γάζαρα, καὶ πηγαὶ, καὶ ὅσας πόλεις αὐτῶν ἄλλας καὶ χώρας πολεμῶν ἔλαβεν ἀντίοχος παρὰ τὸ τῆς συγκλήτου δόγμα, ταῦτα ἀποκατασταθῇ, ἵνα τε τοῖς στρα-

τιώταις

τιώταις τοῖς βασιλικοῖς μὴ ἐξῇ διὰ τῆς χώρας τῆς αὐτῶν καὶ τῶν ὑπηκόων αὐτῶν διέρχεσθαι. καὶ ὅπως τὰ κατὰ τὸν πόλεμον ἐκεῖνον ψηφισθέντα ὑπὸ Ἀντιόχου παρὰ τὸ τῆς συγκλήτου δόγμα, ἄκυρα γένηται, ἵνα τε πρέσβεις πέμψαντες ἀποδοθῆναι τοῖς αὐτοῖς ποιήσωσι τὰ ὑπ' Ἀντιόχου ἀφαιρεθέντα, καὶ τὴν χώραν διατιμήσωνται, τὴν ἐν τῷ πολέμῳ διεφθαρμένην, ὅπως τε αὐτοῖς πρὸς τε βασιλεῖς καὶ δήμους ἐλευθέρους γράμματα δῶσιν εἰς ἀσφάλειαν τῆς εἰς οἶκον ἐπανόδου. ἔδοξεν οὖν περὶ τούτων ταῦτα, ἀνανεώσασθαι φιλίαν καὶ συμμαχίαν πρὸς ἄνδρας ἀγαθοὺς, καὶ ὑπὸ δήμου πεμφθέντας ἀγαθοῦ καὶ φίλου. περὶ μέντοι γραμμάτων, ἀπεκρίναντο βουλεύσεσθαι ὅταν ἀπὸ τῶν ἰδίων ἡ σύγκλητος εὐσχολήσῃ, σπουδάσειν τε τοῦ λοιποῦ μηδὲν εἰς αὐτοὺς ἀδίκημα τοιοῦτο γενήσεσθαι, δοῦναί τε αὐτοῖς τὸν στρατηγὸν Φάνιον χρήματα ἐκ τοῦ δημοσίου, ὅπως ἂν εἰς τὴν οἰκίαν ἐπανέλθοιεν. Φάνιος μὲν οὖν οὕτως ἀποπέμπει τοὺς τῶν Ἰουδαίων πρέσβεις, χρήματα δοὺς αὐτοῖς ἐκ τοῦ δημοσίου, καὶ δόγμα συγκλήτου πρὸς τοὺς διαπέμψαντας, καὶ ἀσφαλῆ παρεξομένους τὴν οἴκαδε παρουσίαν. τὰ μὲν οὖν περὶ Ὑρκανὸν τὸν ἀρχιερέα ἐν τούτοις ὑπῆρχε. Δημητρίῳ δὲ τῷ βασιλεῖ προθυμουμένῳ στρατεύειν ἐπὶ Ὑρκανὸν, οὐκ ἐξεγένετο καιρὸς οὐδ' ἀφορμὴ, τῶν τε Σύρων καὶ τῶν στρατιωτῶν πρὸς αὐτὸν ἀπεχθανομένων. πονηρὸς γὰρ ἦν. καὶ πεμψάντων πρὸς Πτολεμαῖον τὸν Φύσκωνα ἐπικληθέντα πρέσβεις, ὅπως τινὰ τῶν ἐκ τοῦ Σελεύκου γένους παράσχῃ αὐτοῖς ἀποληψόμενον τὴν βασιλείαν. τοῦ δὲ Πτολεμαίου πέμψαντος Ἀλέξανδρον μετὰ στρατοῦ τὸν Ζεβινᾶν ἐπιλεγόμενον, καὶ μάχης πρὸς τὸν Δημήτριον γενομένης, ὁ μὲν ἡττηθεὶς τῇ μάχῃ, φεύγει πρὸς Κλεοπάτραν τὴν γυναῖκα εἰς Πτολεμαΐδα. καὶ μὴ δεξαμένης αὐτὸν τῆς γυναικὸς, ἐκεῖθεν εἰς Τύρον ἀπελθὼν, ἁλίσκεται, καὶ πολλὰ παθὼν ὑπὸ τῶν μισούντων ἀπέθανεν. Ἀλέξανδρος δὲ τὴν βασιλείαν παραλαβὼν, φιλίαν ποιεῖται πρὸς Ὑρκανὸν τὸν ἀρχιερέα. ἔπειτα πολεμήσαντος αὐτῷ τοῦ Δημητρίου παιδὸς Ἀντιόχου τοῦ Γρυποῦ ἐπικληθέντος, ἡττηθεὶς τῇ μάχῃ διαφθείρεται. παραλαβὼν δὲ τὴν τῆς Συρίας βασιλείαν Ἀντίοχος, ἐπὶ μὲν τὴν Ἰουδαίαν στρατεύειν εὐλαβὴς ἦν, τὸν ἀδελφὸν ἀκούων τὸν ὁμομήτριον, Ἀντίοχος δὲ κἀκεῖνος ἐκαλεῖτο, δύναμιν ἐπ' αὐτὸν ἀπὸ Κυζίκου συλλέγειν. μένων δὲ κατὰ χώραν, ἔγνω παρασκευάζειν αὐτὸν ἐπὶ τὴν ἔφοδον τὴν τἀδελφοῦ, ὃς Κυζικηνὸς μὲν ἐπεκλήθη, διὰ τὸ τραφῆναι ἐν ταύτῃ τῇ πόλει, πατρὸς δ' ἦν Ἀντιόχου τοῦ Σωτῆρος ἐπικληθέντος, ὃς ἐν Πάρθοις ἀπέθανεν. οὗτος δ' ἀδελφὸς ἦν Δημητρίου τοῦ Γρυποῦ πατρός. συνέβη μέντοι μίαν τοῖς δυσὶν ἀδελφοῖς γῆμαι Κλεοπάτραν, ὡς καὶ ἐν ἄλλοις ἱστορήκαμεν. ὁ δὲ Κυζικηνὸς Ἀντίοχος παραγενόμενος εἰς Συρίαν, πολλοῖς ἔτεσι πρὸς τὸν ἀδελφὸν πολεμῶν διετέλει. Ὑρκανὸς δὲ πάντα ἐκεῖνον τὸν χρόνον ἐν εἰρήνῃ διῆγε, καὶ γὰρ αὐτὸς μετὰ τὴν Ἀντιόχου τελευτὴν τῶν Μακεδόνων ἀπέστη, καὶ οὔτε ὡς ὑπήκοος, οὔτε ὡς φίλος αὐτοῖς οὐδὲν ἔτι παρεῖχεν, ἀλλ' ἦν αὐτῷ τὰ πράγματα ἐν ἐπιδόσει πολλῇ καὶ ἀκμῇ κατὰ τοὺς Ἀλεξάνδρου τοῦ Ζαβινᾶ καιροὺς, καὶ μάλιστ' ἐπὶ τούτοις τοῖς ἀδελφοῖς. ὁ γὰρ πρὸς ἀλλήλους αὐτοῖς πόλεμος, σχολὴν Ὑρκανῷ καρποῦσθαι Ἰουδαίαν ἐπ' ἀδείας παρέχεν, ὡς ἄπειρόν τι πλῆθος χρημάτων συναγαγεῖν. τοῦ μέντοιγε Κυζικηνοῦ τὴν γῆν κακοῦντος, φανερῶς καὶ αὐτὸς τὴν ἑαυτοῦ προαίρεσιν ἐπεδείκνυτο. καὶ τῶν ἀπ' Αἰγύπτου

A litibus regiis liceat per regionem ipsorum aut subditorum iter facere. & vt eo bello per Antiochum attentata præter decretum senatus, fiant irrita: vtque legati à senatu missi, curent reddi quicquid Antiochus abstulerat, & precium agrorum æstiment qui eo bello vastati sunt. & vt literæ commendaticiæ legatis dentur ad reges & liberos populos, quo tutius possint reuerti in patriam. Quibus de rebus visum est senatui renouare societatem & amicitiam B cum viris bonis, & missis à bono atque amico populo. De literis autem scribendis responsum est curæ futurum senatui, quàm primùm ab aliis negotiis vacauerit, & daturum operam ne vlla posthac eis inferatur iniuria, mandatúmque est prætori Fanio, vt ex publica pecunia legatis numeraret viaticum, quo commodiùs se referre possent in patriam. atque ita publico sumptu legatos prætor domum remisit, cum commendaticiis ad eos per C quorum loca erant transituri. Et Hyrcani quidem pontificis rerum status sic fuit. Demetrius autem rex cupiens bellum Hyrcano inferre, opportunitatem non habuit, inuisus ex æquo tam Syris quàm militibus, propter mores improbos, ita vt miserint ad Ptolemæum Physconem, rogantes vt aliquem ex Seleuci genere eis daret, quem possent regem sibi constituere. cúmque is misisset Alexandrum Zebinam, commisso prælio Demetrius vincitur, D & refugiens è pugna ad Cleopatram vxorem in Ptolemaidem exclusus est ab ea: delatúsque inde Tyrum ab inimicis capitur. & diu miserè vexatus tandem interficitur. XVII. Alexander autem regnum adeptus fœdus ferit cum Hyrcano pontifice, deinde petitus bello ab Antiocho Grypo Demetrij filio, in prælio cæsus occubuit. At Antiochus regnum Syriæ consecutus non ausus est expeditionem contra Iudæos suscipere, audito quòd frater ipsius E germanus, eodem nomine dictus Antiochus, copias contra se apud Cyzicum colligeret. Quapropter nihil in Iudæos mouens, decreuit parare se contra fratris aduentum, cognominati Cyziceni, eo quòd in illa vrbe educatus sit. patre autem genitus fuerat Antiocho Sotere, qui à Parthis occisus est. acciderat enim vt Cleopatra duobus fratribus alteri post alterum nuberet, sicut aliàs diximus. Porrò Antiochus Cyzicenus vbi peruenit in Syriam, F multis annis cum fratre conflictatus est, Hyrcano interim per totum illud tempus agente in pace continua. mox enim post Antiochi cædem defecerat à Macedonibus: iámque nec vt subditus, nec vt amicus vllam illis ferebat opem amplius: sed maximis successibus res eius auctæ sunt Alexandri Zebinæ tempore, & maioribus etiam, regnantibus his duobus fratribus. bellum enim quo se atterebant mutuo, occasionem Hyrcano præbuit, vt securè G frueretur Iudææ prouentibus, & ingentem pecuniarum vim inde congereret. Et Cyziceno vastante fratris regionem, non dissimulauit & ipse quid moliretur: vidénsque Antiocho

nihil esse ab Ægypto præsidij, sed tam ipsum A quàm eius fratrem multas clades accipere ex continuis inter se certaminibus, vtrunque facilè despexit.

Cap. XVIII.

Quòd Antiochus Cyzicenus Samaritis auxilium ferens, victus aufugit.

QVapropter duxit exercitum ad Samariam vrbem munitissimam, quæ quòd nunc Sebaste vocetur ab Herode condita, cùm erit opportunum dicemus. hanc adortus oppugnabat nullis parcens laboribus, infensus ei propter iniurias illatas Marissenis, colonis Iudæorum & sociis, sed Syriæ regi subditis. Cùm itaque vrbem fossa & duplici muro cinxisset per octoginta stadia, obsidioni præfecit filios Antigonum & Aristobulum: quibus vrgentibus & fame premente eò necessitatis adducti sunt Samaritæ, vt coacti vesci cibis insuetis homini, postremò Antiochi Cyziceni opem implorauerint. qui cùm venisset properè victus est ab Aristobuli militibus: & insequentibus eum fratribus vsque Scythopolim, ægrè euasit. at illi reuersi contra Samaritas, rursum eos compellunt intra mœnia, & cogunt iterum ab eodem Antiocho auxilium petere. Is accitis à Ptolemæo Lathuro circiter sex armatorum millibus, quos ille inuita matre & tantùm non imperio per eam deturbatus miserat, primùm vagabatur per ditionem Hyrcani latrocinabundus cum Ægyptiis, non audens quidem aperto Marte decernere, quòd esset impar viribus, existimans tamen se vastandis agris effecturum vt Hyrcanus obsidionem Samariæ solueret. Sed postquam multos è suis amisit exceptos hostium insidiis, profectus est inde Tripolim, Callimandro & Epicrati ducibus demandato bello Iudaico. ex his Callimander audaciùs quàm prudentiùs cum hoste congressus, profligatis suis & ipse inter alios cecidit. Epicrates autem pecunia corruptus, Scythopolim & alia quædam oppida manifestè Iudæis prodidit: nec quicquam Samaritis obsessis profuit. atque ita Hyrcanus integro anno in oppugnatione exacto, non contentus vrbem capere, etiam solo eam æquauit, ductis illò torrentibus: quorum eluuie ita cuncta fœdata sunt, vt ne vestigium quidem superesset eius oppidi. Incredibile autem quiddam narratur de Hyrcano pontifice, dignatum eum esse diuino colloquio. Fertur enim quòd illa ipsa die qua eius filij conseruerunt cum Cyziceno prælium, pontifex ipse solus in templo odoramenta adolens vocem audierit, nunciantem filiorum recentem de Antiocho victoriam: idque mox progressus renunciauit multitudini, & paulò pòst certiùs comprobatum est eius oraculum. Et Hyrcani quidem res gestæ sic se habuerunt. Accidit autem hoc tempore vt non Hierosolymis solùm, sed & apud Alexandriam reliquámque Ægyptum & Cyprum fortuna aspiraret Iudæorum successibus. Cleopatra enim regina à filio Ptolemæo Lathuro diffidens, copiis suis duces præposuit Chelciam & Ananiã filio Oniæ, qui templum

συμμάχων ἔρημον ὁρῶν τὸν ἀντίοχον, καὶ αὐτόν τε πράττοντα κακῶς καὶ τὸν ἀδελφὸν αὐτοῦ ἐν τοῖς πρὸς ἀλλήλους ἀγῶσιν, ἀμφοτέρων κατεφρόνησε.

Κεφάλαιον ιη'.

Ὡς ἀντίοχος ὁ κυζικηνὸς ἐλθὼν βοηθῆσαι τοῖς σαμαρεῦσι, ἡττηθεὶς διέφυγε.

ΚΑὶ στρατεύει μὲν ἐπὶ σαμάρειαν πόλιν ὀχυρωτάτην, περὶ ἧς ὅτι καλεῖται νῦν σεβαστὴ κτισθεῖσα ὑπὸ ἡρώδου, κατὰ χώραν δηλώσομεν. προσβαλὼν δὲ αὐτῇ φιλοπόνως ἐπολιόρκει, μισοπονηρῶν τοῖς σαμαρεῦσιν, ὑπὲρ ὧν μαρισηνοὺς ἀποίκους ὄντας ἰουδαίων καὶ συμμάχους ἠδίκησαν, ὑπακούοντες τοῖς τῆς συρίας βασιλεῦσι. περιβαλὼν οὖν τάφρον πανταχόθεν τῇ πόλει, καὶ διπλοῦν τεῖχος ἀπὸ σταδίων π', τοὺς υἱοὺς ἐφίστησιν, ἀντίγονον καὶ ἀριστόβουλον, ὧν ἐπικειμένων, εἰς τοῦτο ἀνάγκης ὑπὸ λιμοῦ προαχθῆναι τοὺς σαμαρεῖς συνέπεσεν, ὡς ἅψασθαι μὲν τῶν ἀήθων, ἐπικαλέσασθαι δὲ βοηθὸν ἀντίοχον τὸν κυζικηνόν. ὃς ἑτοίμως ἐπὶ τὴν συμμαχίαν ἀφικόμενος, ὑπὸ τῶν περὶ ἀριστόβουλον ἡττᾶται. διωχθεὶς δὲ ἄχρι σκυθοπόλεως ὑπὸ τῶν ἀδελφῶν, διέφυγεν. οἱ δ' ἐπὶ τοὺς σαμαρεῖς ὑποστρέψαντες, συγκλείουσι πάλιν εἰς τὸ τεῖχος αὐτούς, ὡς καὶ δεύτερον ἐπικαλέσασθαι σύμμαχον, πέμψαντας, τὸν αὐτὸν ἀντίοχον. ὃς παρὰ πτολεμαίου τοῦ λαθούρου μεταπεμψάμενος ἄνδρας εἰς ἑξακισχιλίους, οὓς ἀκούσης τῆς μητρὸς ἐκεῖνος καὶ ὅσον οὔπω τῆς ἀρχῆς αὐτὸν ἐκβεβληκυίας ἐξαπέστειλε, τὸ μὲν πρῶτον ἐπιὼν, ἐπόρθει τὴν ὑρκανοῦ χώραν μετὰ τῶν αἰγυπτίων λῃστρικῶς, μάχεσθαι μὲν αὐτῷ κατὰ πρόσωπον οὐ τολμῶν, οὐ γὰρ ἦν ἀξιόχρεως ἡ δύναμις αὐτοῦ, νομίζων δὲ τῇ κακώσει τῆς γῆς, ἀναγκάσειν ὑρκανὸν λῦσαι τὴν ἐπὶ τῆς σαμάρειαν πολιορκίαν. ἐπεὶ δὲ πολλοὺς τῶν στρατιωτῶν ἀπώλλυεν ἐνέδραις περιπίπτων, ἀπῆρεν εἰς τρίπολιν, καλλιμάνδρῳ καὶ ἐπικράτει τὸν πρὸς τοὺς ἰουδαίους πόλεμον ἐπιτρέψας. καλλίμανδρος μὲν οὖν θρασύτερον τοῖς πολεμίοις προσενεχθεὶς, εἰς φυγὴν τραπόμενος διεφθάρη. ἐπικράτης δὲ ὑπὸ φιλοχρηματίας, τήν τε σκυθόπολιν καὶ τἆλλα πρὸς ταύτῃ χωρία, προὔδωκε φανερῶς τοῖς ἰουδαίοις, τὴν δὲ σαμαρείας πολιορκίαν, διαλύειν οὐκ ἠδυνήθη. ὑρκανὸς μὲν οὖν τὴν πόλιν ἑλὼν, ἐνιαυτῷ πολιορκήσας, οὐκ ἠρκέσθη μόνῳ τούτῳ, ἀλλὰ καὶ πᾶσαν αὐτὴν ἠφάνισεν, ἐπίκλυστον τοῖς χειμάρροις ποιήσας. διασκάψας γὰρ αὐτὴν ὥστε εἰς χαράδρας μεταπεσεῖν, τὰ σημεῖα τοῦ γενέσθαι ποτὲ πόλιν αὐτὴν ἀφείλατο. παράδοξον δέ τι περὶ τοῦ ἀρχιερέως ὑρκανοῦ λέγεται, τίνα τρόπον αὐτῷ τὸ θεῖον εἰς λόγους ἦλθε. φασὶ γὰρ ὅτι κατ' ἐκείνην τὴν ἡμέραν, καθ' ἣν οἱ παῖδες αὐτοῦ τῷ κυζικηνῷ συνέβαλον, αὐτὸς ἐν τῷ ναῷ θυμιῶν, μόνος ὢν ὁ ἀρχιερεὺς ἀκούσειε φωνῆς ὡς οἱ παῖδες αὐτοῦ νενικήκασιν ἀρτίως τὸν ἀντίοχον. καὶ τοῦτο προελθὼν ἐκ τοῦ ναοῦ, παντὶ τῷ πλήθει φανερὸν ἐποίησε, καὶ συνέβη οὕτως γενέσθαι. καὶ τὰ μὲν περὶ ὑρκανὸν, ἐν τούτοις ἦν. κατὰ δὲ τοῦτον ἔτυχε τὸν καιρὸν μὴ μόνον τοὺς ἐν ἱεροσολύμοις καὶ τῇ χώρᾳ ἰουδαίους εὐπραγεῖν, ἀλλὰ καὶ τοὺς ἐν ἀλεξανδρείᾳ κατοικοῦντας καὶ ἐν αἰγύπτῳ καὶ κύπρῳ. κλεοπάτρα γὰρ ἡ βασίλισσα πρὸς τὸν υἱὸν στασιάζουσα πτολεμαῖον τὸν λάθουρον ἐπιλεγόμενον, κατέστησεν ἡγεμόνας, χελκίαν καὶ ἀνανίαν υἱοὺς ὄντας ὀνίου τοῦ οἰκοδομήσαντος τὸν ναὸν

ἐν τῷ

ἐν τῷ Ἡλιοπολίτῃ νομῷ πρὸς τὸν ἐν Ἱεροσολύμοις, ὡς καὶ ἐν ἄλλοις δεδηλώκαμεν. παραδοῦσα δὲ τούτοις ἡ Κλεοπάτρα τὴν στρατιὰν, οὐδὲν δίχα τῆς τούτων γνώμης ἔπραττεν, ὡς μαρτυρεῖ καὶ Στράβων ἡμῖν ὁ Καππάδοξ, λέγων οὕτως. οἱ γὰρ πλείους οἵ τε συνελθόντες ἡμῖν καὶ οἱ ὕστερον ἐπιπεμπόμενοι παρὰ τῆς Κλεοπάτρας εἰς Κύπρον, μετεβάλλοντο παραχρῆμα πρὸς τὸν Πτολεμαῖον. μόνοι δὲ οἱ ἐκ τῆς Ὀνίου λεγόμενοι συνέμενον Ἰουδαῖοι, διὰ τὸ τοὺς πολίτας αὐτῶν εὐδοκιμεῖν μάλιστα παρὰ τῇ βασιλίσσῃ Χελκίαν τε καὶ Ἀνανίαν. ταῦτα μὲν οὖν ὁ Στράβων φησί. Ὑρκανῷ δὲ φθόνον ἐκίνησεν ἡ εὐπραγία παρὰ τῶν Ἰουδαίων. μάλιστα δὲ οἱ Φαρισαῖοι κακῶς πρὸς αὐτὸν εἶχον, αἵρεσις ὄντες μία τῶν Ἰουδαίων, ὡς καὶ ἐν τοῖς ἐπάνω δεδηλώκαμεν. τοσαύτην δὲ ἔχουσι τὴν ἰσχὺν παρὰ τῷ πλήθει, ὡς καὶ κατὰ βασιλέως τι λέγοντες καὶ κατ᾽ ἀρχιερέως, εὐθὺς πιστεύεσθαι. μαθητὴς δ᾽ αὐτῶν ἦν καὶ Ὑρκανὸς, καὶ σφόδρα ὑπ᾽ αὐτῶν ἠγαπᾶτο. καὶ δὴ καλέσας αὐτοὺς πρὸς ἑστίασιν, καὶ φιλοφρόνως ὑποδεξάμενος, ἐπεὶ σφόδρα ἡδομένους ἑώρα, λέγειν ἤρξατο πρὸς αὐτοὺς, ὡς ἴσασι μὲν αὐτὸν βουλόμενον εἶναι δίκαιον, καὶ πάντα ποιοῦντα ἐξ ὧν ἀρέσειεν ἂν τῷ θεῷ, καὶ αὐτοὶ δὲ Φαρισαῖοι φιλοσοφοῦσιν. ἠξίου γε μὴν εἰ βλέπουσιν αὐτὸν ἁμαρτάνοντα, καὶ τῆς ὁδοῦ τῆς δικαίας ἐκτρεπόμενον, εἰς αὐτὴν ἐπανορθοῦν. τῶν δὲ μαρτυρησάντων αὐτῷ πᾶσαν ἀρετὴν, ὁ μὲν ἥδετο τοῖς ἐπαινοῦσιν. εἷς δέ τις τῶν κατακειμένων Ἐλεάζαρος ὄνομα, κακοήθης ὢν φύσει καὶ στάσει χαίρων, ἐπεί φησιν ἠξίωσας γνῶναι τὴν ἀλήθειαν, εἰ θέλεις εἶναι δίκαιος, τὴν ἀρχιερωσύνην ἀπόθου, καὶ μόνον ἀρκείτω σοι τὸ ἄρχειν τοῦ λαοῦ. τὴν δ᾽ αἰτίαν αὐτοῦ πυθομένου, δι᾽ ἣν ἀπόθοιτο τὴν ἀρχιερωσύνην, ὅτι φησὶ ἀκούομεν παρὰ τῶν πρεσβυτέρων αἰχμάλωτόν σε γεγονέναι τὴν μητέρα βασιλεύοντος Ἀντιόχου τοῦ Ἐπιφανοῦς. ψευδὴς δὲ ὁ λόγος ἦν. καὶ πρὸς αὐτὸν Ὑρκανὸς παρωξύνθη, καὶ πάντες δ᾽ οἱ Φαρισαῖοι, σφοδρῶς ἠγανάκτησαν. τῶν δ᾽ ἐκ τῆς Σαδδουκαίων αἱρέσεως οἳ τὴν ἐναντίαν τοῖς Φαρισαίοις προαίρεσιν ἔχουσιν, Ἰωνάθης τις ἐν τοῖς μάλιστα φίλος ὢν Ὑρκανῷ, τῇ κοινῇ πάντων Φαρισαίων γνώμῃ ποιήσασθαι τὰς βλασφημίας τὸν Ἐλεάζαρον ἔλεγε, καὶ τοῦτο ἔσεσθαι φανερὸν αὐτῷ πυθομένῳ παρ᾽ ἐκείνων, τίνος ἄξιός ἐστιν ἐπὶ τοῖς εἰρημένοις κολάσεως. τοῦ δ᾽ Ὑρκανοῦ τοὺς Φαρισαίους ἐρομένου τίνος αὐτὸν ἄξιον ἡγοῦνται τιμωρίας, πεισθήσεσθαι γὰρ οὐ μετὰ τῆς ἐκείνων γνώμης γεγονέναι τὰς βλασφημίας, τιμησαμένων αὐτὸν τῷ μέτρῳ τῆς δίκης, πληγῶν ἔφασαν καὶ δεσμῶν. οὐ γὰρ ἐδόκει λοιδορίας ἕνεκα θανάτῳ ζημιοῦν, ἄλλως τε καὶ φύσει πρὸς τὰς κολάσεις ἐπιεικῶς ἔχουσιν οἱ Φαρισαῖοι. πρὸς τοῦτο λίαν ἐχαλέπηνε, καὶ πρὸς τὸ δοκοῦν ἐκείνοις ποιήσασθαι τὰς βλασφημίας τὸν ἄνθρωπον ἐνόμισε. μάλιστα δὲ αὐτὸν ἐπιπαρώξυνεν Ἰωνάθης, καὶ διέθηκεν οὕτως, ὥστε τῇ Σαδδουκαίων ποιῆσαι προσθέσθαι μοίρᾳ, τῶν Φαρισαίων ἀποστάντα, καὶ τά τε ὑπ᾽ αὐτῶν κατασταθέντα νόμιμα τῷ δήμῳ καταλῦσαι, καὶ τοὺς φυλάττοντας αὐτὰ κολάσαι. μῖσος οὖν ἐντεῦθεν αὐτῷ τε καὶ τοῖς υἱοῖς παρὰ τοῦ πλήθους ἐγένετο. περὶ μέντοι τούτων αὖθις ἐροῦμεν. νῦν δὲ δηλῶσαι βούλομαι ὅτι νόμιμά τινα παρέδοσαν τῷ δήμῳ οἱ Φαρισαῖοι ἐκ πατέρων διαδοχῆς, ἅπερ οὐκ ἀναγέγραπται ἐν τοῖς Μωυσέως νόμοις, καὶ διὰ τοῦτο

in Heliopolitana præfectura, ædificauerat Hierosolymitano simile, vt alias diximus. ex horum sententia regina gerebat omnia, sicut & Strabo Cappadox testatur his verbis: Plerique enim qui prius nobiscum venerunt in Cyprum, quive post à Cleopatra illò missi sunt, confestim deficiebant ad Ptolemæum. soli vero ex Oniæ factione Iudæi constanter manserunt in officio, eo quòd ciues eorum Chelcias & Ananias apud reginam essent in precio. Hæc Strabo. Hyrcano autem apud Iudæos felicitas inuidiam peperit. sed præcipuè Pharisæorum secta malè ei volebat, de qua suprà mentionem fecimus tanta autem eorum autoritas est apud populum, vt etiamsi regi obloquantur aut pontifici, fidem tamen eis vulgus habeat. Horum discipulus & Hyrcanus fuerat, in primis charus huic hominum generi. quos cùm aliquando vocasset ad conuiuium, & accepisset comiter, postquam animaduertit eos exhilaratos, sic illos affatus est: Scire eos suam voluntatem, quòd nihil magis cuperet quàm iustus esse & omnia iuxta Dei placita facere, quemadmodum & ipsi doceant. attamen si quid in ipso desiderarent, & aliqua in re à iustitiæ præscriptis aberrantem deprehenderent, officij illorum esse vt admonitione corrigant, cùm verò omnes eius virtutem comprobarent, vehementer gauisus est eorum testimonio. tandem vnus è conuiuis Eleazarus, vir malus & seditiosus: Quandoquidem, inquit, ais te cupere audire veritatem, si vis esse iustus, abdica te pontificatu, & contentus esto principatu populi. Illo verò causam rogante cur ita hoc postularet: Quia, inquit, audiuimus à natu grandioribus, matrem tuam captiuam fuisse, regnante Antiocho Epiphane. Falsus autem erat is rumor, & ideo grauiter his verbis Hyrcanus offensus est, nec minùs Pharisæi cæteri. Tum Ionathas quidam è Sadducæorum secta, quæ est Pharisæis contraria, præcipuus Hyrcani amicus, dicebat de communi Pharisæorum sententia conuitiatū Eleazarum: quod si dubium videatur, manifestum fore interrogatis illis qua pœna hominem dignum censeant. Quod postquam Hyrcanus rogauit, dicens ex pronunciata ab illis sententia se cogniturum an ex eorum consensu factum sit sibi conuitium, & illi satis putarunt si vinculis castigaretur & verberibus, quòd iniquum videretur capite hominem plecti ob maledicentiam, & alioqui hoc genus clemens sit in animaduersionibus vehementer exacerbatus est, quasi iam compertum haberet eos esse autores opprobratæ sibi generis infamiæ. Nec destitit Ionathas furenti calcar addere, intantum vt desertis Pharisæis ad Sadducæos deficeret, & abrogatis illorum constitutionibus earum obseruatores pœnis afficeret: atque hinc factum est vt ipse & eius filij parum gratiosi apud vulgum fuerint: quemadmodum alias opportuniùs dicetur. Nunc enim indicandum est, quòd multas constitutionum à maioribus per manus acceptas Pharisæi tradiderint populo, quæ non sunt scriptæ inter leges Mosaicas: & ideo

Sadducæi his autoritatem abrogant, dicentes A oportere eas tantùm seruari quæ scripto continentur. atque hinc magna inter vtrosque exorta est controuersia, dum ditiores stant à Sadduceorum partibus, Pharisæi cæteræ multitudinis vtuntur fauoribus. Sed de his duabus sectis & Essennorum tertia satis docuimus in secundo de Iudaico bello volumine. Hyrcanus autem seditione sedata, & post hanc exacta vita feliciter, elapsisque vno & triginta annis eius imperij moritur, relictis quinque filiis B superstitibus, tribus maximis à Deo habitus dignus honoribus, principatu gentis Iudæorum, & pontificatu, & prophetia. fruebatur enim diuinis colloquiis. vnde tantam nactus est futurorum præscientiam, vt prædixerit duos maiores natu è suis liberis, non diu fore paterni principatus cōpotes: quorum exitium operę precium est cognoscere, quo magis patris eluceat diuinatio. C

Cap. XIX.

Aristobulus primus diadema sibi imposuit.

XVIII. **D**Efuncto enim eorum patre, Aristobulus natu maximus volens principatum in regni formam vertere, diadema sibi primus imposuit, post CCCCLXXXI. annos, & menses tres, ex quo de captiuitate Babylonica liberatus populus, ad pristinas sedes postliminio reuersus est. D cúmque fratrem suum secundum Antigonum amaret, in societatem dominationis eū assumpsit, ceteros verò in vinculis habuit. matrem etiam cōiecit in carcerē principatus æmulam (nam illam Hyrcanus dominam rerum reliquerat) atque eò crudelitatis processit, vt fame necaret in vinculis. post matrem verò interfecit fratrem quoque, quem prę aliis diligere videbatur, & in regni societatem admiserat, alienatus ab eo per calumnias, E quas primò quidem reiecit, partim quòd eum diligeret, partim quòd per inuidiam confictas putaret. Sed cùm aliquando Antigonus magnificè reuerteretur è bello, quo tempore populus solenne scenopegiæ festum celebrat, accidit vt Aristobulus ægrotans decumberet, frater verò interfuturus sacris, splendidissimè ornatus in templum ascenderet cum armatorum comitatu, potissimum pro salute regis vota facturus. F Tum hi quibus studium erat excitare inter fratres discordiam, nacti occasionem è rebus prosperè gestis Antigoni, & pompa quam adornauerat, venerunt ad regem & omnia exaggerauerunt, dicentes hæc iam esse supra priuati hominis conditionem, & affectati regni manifesta indicia: aiebántque venturum breui cum valida armatorum manu ad occidēdum regē, quòd stultum existimet cùm regno solum potiri liceat, communicato honore cōtentum esse. G Aristobulus autem quamuis non omnino his crederet, tamen prospiciens quomodo posset & suspicionem vitare, & securitati suæ consulere, collocauit satellites in loco quodam obscuro & subterraneo (decumbebat aūt in turri quæ pòst mutato nomine Antonia

A ταῦτα τὸ σαδδουκαίων γένος ἐκβάλλει, λέγον ἐκεῖνα δεῖν ἡγεῖσθαι νόμιμα τὰ γεγραμμένα, τὰ δ᾽ ἐκ παραδόσεως τῶν πατέρων μὴ τηρεῖν. καὶ περὶ τούτων ζητήσεις αὐτοῖς καὶ διαφορὰς γίνεσθαι συνέβαινε μεγάλας. τῶν μὲν σαδδουκαίων, τοὺς εὐπόρους μόνον πειθόντων, τὸ δὲ δημοτικὸν οὐχ ἑπόμενον αὐτοῖς ἐχόντων, τῶν δὲ φαρισαίων τὸ πλῆθος σύμμαχον ἐχόντων. ἀλλὰ περὶ μὲν τούτων τῶν δύο καὶ τῶν ἐσσηνῶν ἐν τῇ δευτέρᾳ μου τῶν ἰουδαϊκῶν, ἀκριβῶς δεδηλώκαμεν. B ὑρκανὸς δὲ παύσας τὴν στάσιν, καὶ μετ᾽ αὐτὴν βιώσας εὐδαιμόνως καὶ τὴν ἀρχὴν διοικησάμενος τὸν ἄριστον τρόπον ἔτεσιν ἑνὶ καὶ λ᾽ τελευτᾷ, καταλιπὼν υἱοὺς ε᾽. τριῶν τῶν μεγίστων ἄξιος ὑπὸ τοῦ θεοῦ κριθεὶς, ἀρχῆς τοῦ ἔθνους, καὶ τῆς ἀρχιερατικῆς τιμῆς, καὶ προφητείας. συνῆν γὰρ αὐτῷ τὸ θεῖον καὶ τὴν τῶν μελλόντων πρόγνωσιν παρεῖχεν αὐτῷ τε εἰδέναι, καὶ προλέγειν οὕτως, ὥστε καὶ περὶ τῶν δύο τῶν πρεσβυτέρων αὐτοῦ παίδων, ὅτι μὴ μενοῦσι τῶν πραγμάτων κύριοι C προεῖπεν. ὧν τὴν καταστροφὴν εἰς τὸ μαθεῖν ὅσον τῆς τοῦ πατρὸς ὑπέβησαν εὐτυχίας, ἄξιον ἀφηγήσασθαι.

Κεφάλαιον ιθ᾽.

Ως παραλαβὼν ἀριστόβουλος τὴν ἀρχὴν, διάδημα πρῶτος ἐπιτίθεται.

TΕλευτήσαντος γὰρ αὐτοῖς τοῦ πατρὸς, ὁ πρεσβύτατος ἀριστόβουλος, τὴν ἀρχὴν εἰς βασιλείαν μεταθεῖναι δόξας, ἐκέλευε γὰρ οὕτως, διάδημα πρῶτος D ἐπιτίθεται μετὰ υ᾽ ἀριθμὸν ἐτῶν, καὶ π᾽ καὶ α᾽, καὶ μηνῶν γ᾽, ἀφ᾽ οὗ τῆς ἀπὸ βαβυλῶνος δουλείας ἀπαλλαγεὶς ὁ λαὸς, εἰς τὴν οἰκείαν ἐπανῆλθε. στέργων δὲ τῶν ἀδελφῶν τὸν μετ᾽ αὐτὸν ἀντίγονον, τοῦτον μὲν, τῶν ὁμοίων ἠξίου, τοὺς δ᾽ ἄλλους εἶχεν ἐν δεσμοῖς. εἶρξε δὲ καὶ τὴν μητέρα περὶ τῆς ἀρχῆς αὐτῷ διενεχθεῖσαν. ἐκείνην γὰρ ὑρκανὸς, τῶν ὅλων κυρίαν καταλελοίπει. καὶ μέχρι τοσαύτης ὠμότητος προῆλθεν, ὥς αὐτὴν καὶ λιμῷ διαφθεῖραι δεδεμένην. προστίθησι δὲ τῇ μητρὶ καὶ τὸν E ἀδελφὸν ἀντίγονον, ὃν στέργειν ἐδόκει, μάλιστα δὲ καὶ κοινωνὸν εἶχε τῆς βασιλείας, ἐκ διαβολῶν ἀπαλλοτριωθεὶς πρὸς αὐτόν. αἷς τὸ μὲν πρῶτον, οὐκ ἐπίστευε, τὰ μὲν ὑπὸ τοῦ φιλεῖν αὐτὸν οὐ προσέχων τοῖς λεγομένοις, τὰ δὲ καὶ φθονούμενον ἡγούμενος διαβάλλεσθαι. τοῦ δὲ ἀντιγόνου ποτὲ λαμπρῶς ἀπὸ στρατιᾶς ἐπανελθόντος, καὶ τῆς ἑορτῆς καθ᾽ ἣν σκηνοπηγοῦσι τῷ θεῷ, κατ᾽ ἐκεῖνον τὸν καιρὸν ἐνστάσης, ἔτυχε τὸν μὲν ἀριστόβουλον εἰς F νόσον καταπεσεῖν, τὸν δὲ ἀντίγονον ἐπὶ τελευτῇ τῆς ἑορτῆς ἀναβῆναι λαμπρῶς σφόδρα κεκοσμημένον, μετὰ τῶν περὶ αὐτὸν ὁπλιτῶν εἰς τὸ ἱερὸν, καὶ τὰ πλείω περὶ τοῦ ἀδελφοῦ σωτηρίας εὔχεσθαι. τοὺς δὲ πονηροὺς καὶ διαστῆσαι τὴν ὁμόνοιαν αὐτῶν ἐσπουδακότας, ἀφορμῇ χρησαμένους τῇ τε πρὸς τὴν πομπὴν τοῦ ἀντιγόνου φιλοτιμίᾳ, καὶ τοῖς ὑπ᾽ αὐτοῦ κατορθωμένοις, ἐλθεῖν πρὸς τὸν βασιλέα, καὶ κακοήθως ἐπὶ τὸ μεῖζον ἐξαίρειν τὰ περὶ τὴν πομπὴν τὴν ἐν τῇ ἑορτῇ, καὶ ὡς οὐ κατ᾽ ἰδιώτην G ἕκαστον ἦν τῶν γινομένων, ἀλλὰ φρονήματος ἔνδειξιν ἔχειν βασιλικοῦ τὰ πραττόμενα, καὶ ὡς κτενεῖν αὐτὸν μέλλοι μετὰ στίφους ἐληλυθὼς καρτεροῦ. λογιζόμενον εὐήθως αὐτὸν βασιλεύειν ἐνὸν, τιμῆς μεταλαμβάνοντα δοκεῖν μεγάλων τυγχάνειν. ἀριστόβουλος δὲ τούτοις ἀπίστων πειθόμενος, καὶ τοῦ ἀνύποπτος εἶναι τὸν ἀδελφὸν προνοῶν, καὶ τῆς ἀσφαλείας ἅμα φροντίζων, ἵστησι τοὺς σωματοφύλακας ἔν τινι τῶν ὑπογείων ἀφωτίστῳ. κατέκειτο δὲ ἐν τῇ βάρει, μετονομασθείσῃ δὲ ἀντωνίᾳ, καὶ προσ-

καὶ προσέταξεν ἄνοπλον μὲν ἀπελθεῖν μηδένα. κτείνειν δὲ τὸν ἀντίγονον ἂν ὡπλισμένος πρὸς αὐτὸν εἰσίοι. πέμπει μέντοι πρὸς τὸν ἀντίγονον αὐτὸς ἄνοπλον αὐτὸν ἀξιῶν ἥκειν. ἡ δὲ βασίλισσα καὶ συνεπιβουλεύοντες αὐτῇ κατ' ἀντιγόνου, πείθουσι τὸν πεμφθέντα τὰ ἐναντία λέγειν, ὡς ἀδελφὸς ἀκούσας ὅτι κατασκευάσαιτο ὅπλα καὶ κοσμὸν πολεμικὸν, παραγενέσθαι πρὸς αὐτὸν παρακαλεῖ ὡπλισμένον, ὅπως ἤδη τὴν κατασκευὴν. ὁ δ' ἀντίγονος μηδὲν ὑπειδόμενος κακοῦργον, ἀλλὰ θαῤῥῶν τῇ παρὰ τἀδελφοῦ διαθέσει, ὡς εἶχεν ἐνδεδυμένος τὴν πανοπλίαν παραγίνεται πρὸς τὸν ἀριστόβουλον ἐπιδείξων αὐτῷ τὰ ὅπλα. γενόμενον δ' αὐτὸν κατὰ τὸν στράτωνος καλούμενον πύργον οὗ συνέβαινεν ἀφώτιστον εἶναι σφόδρα τὴν πάροδον, ἀποκτείνουσιν οἱ σωματοφύλακες. διέδειξέ γε μὴν ὁ τούτου θάνατος ὅτι μηδὲν φθόνου μήτε διαβολῆς ἰσχυρότερον, μηδ' ὅτι μᾶλλον εὔνοιαν καὶ φυσικὴν οἰκειότητα διίστησιν ἢ ταῦτα τὰ πάθη. μάλιστα δ' ἄν τις θαυμάσειε καὶ ἰούδαν τινὰ, ἐσσηνὸν μὲν τὸ γένος, οὐδέποτε δ' ἐν οἷς προεῖπε διαψευσάμενον τἀληθές. οὗτος ἰδὼν τὸν ἀντίγονον παριόντα τὸ ἱερὸν ἀνεβόησεν ἐν τοῖς ἑταίροις αὐτοῦ καὶ γνωρίμοις, οἳ διδασκαλίας ἕνεκα τοῦ προλέγειν τὰ μέλλοντα παρέμενον, ὡς ἀποθανεῖν αὐτῷ καλὸν, διεψευσμένῳ ζῶντος ἀντιγόνου, ὃν σήμερον τεθνήξεσθαι προειπὼν ἐν τῷ καλουμένῳ στράτωνος πύργῳ παριόντα ὁρᾷ, καὶ τοῦ χωρίου μὲν σταδίους ἀπέχοντα νῦν χ', ὅπου φονευθήσεσθαι προεῖπεν αὐτὸν, τῆς δὲ ἡμέρας ἤδη τοῦ πλείονος ἠνυσμένου, ὡς αὐτῷ κινδυνεύειν τὸ μάντευμα ψευδὲς εἶναι. ταῦτ' οὖν λέγοντος αὐτοῦ καὶ κατηφοῦντος, ἀγγέλλεται τεθνεὼς ἀντίγονος ἐν τῷ ὑπογείῳ, ὃ καὶ αὐτὸ στράτωνος πύργος ἐκαλεῖτο, ὁμώνυμον τῇ παραλίῳ καισαρείᾳ. τὸν μὲν οὖν μάντιν, τοῦτο διετάραξεν. ἀριστόβουλον δὲ τῆς ἀδελφοκτονίας εὐθὺς εἰσῆλθε μετάνοια, καὶ νόσος ἐπ' αὐτῇ, τῆς διανοίας ὑπὸ τοῦ μύσους κεκακωμένης, ὡς διαφθαρέντων αὐτοῦ ὑπὸ ἀκράτου τῆς ὀδύνης τῶν ἐντὸς, αἷμα ἀναφέρειν, ὃ τῶν διακονουμένων τις παίδων κατὰ δαιμόνιον οἶμαι πρόνοιαν εἰς τὸν αὐτὸν τόπον οὗ σφαγέντος ἀντιγόνου σπίλοι ἔτι τοῦ αἵματος ἐκείνου συνέβαινεν εἶναι, κομίζων, ὀλισθὼν ἐξέχεε. γενομένης δὲ βοῆς παρὰ τῶν ἰδόντων ὡς τοῦ παιδὸς ἐξεπίτηδες ἐκχέαντος ἐκεῖ τὸ αἷμα, ἀκούσας ἀριστόβουλος, τὴν αἰτίαν ἐπύθετο. καὶ μὴ λεγόντων, ἔτι μᾶλλον ἐπετείνετο μαθεῖν, φύσει τῶν ἀνθρώπων ὑπονοούντων ἐν τοῖς τοιούτοις εἶναι χείρονα τὰ σιγώμενα. ὡς δὲ ἀπειλοῦντος καὶ βιαζομένου τοῖς φόβοις, τἀληθὲς εἶπον, περιχεῖται μὲν αὐτῷ πλήρη τὴν διάνοιαν ὑπὸ τοῦ συνειδότος πολλὰ δάκρυα, βύθιον δὲ ἀνοιμώξας οὐκ ἄρ' εἶπε λήσειν ἐπ' ἀσεβέσιν οὕτω καὶ μιαροῖς τολμήμασι τὸν θεὸν ἔμελλον, ἀλλά με ταχεῖα ποινὴ συγγενοῦς φόνου μετελήλυθε. καὶ μέχρι τίνος ὦ σῶμα ἀναιδέστατον ψυχὴν ὀφειλομένην ἀδελφῶν καὶ μητρὸς καθέξεις δαίμοσι. τί δ' οὐκ ἀθρόαν αὐτὴν ταύτην ἀποδίδως, κατὰ μέρος δ' ἐπισπένδω τοὐμὸν αἷμα τοῖς μιαιφονηθεῖσι; ταῦτ' εἰπὼν ἐπαποθνήσκει τοῖς λόγοις, βασιλεύσας ἐνιαυτὸν, χρηματίσας μὲν

A mandauitque vt si quidem sine armis frater veniret, nemo eum attingeret: quòd si armatus aduentaret, vt trucidaretur, præmisit tamen ad eum qui rogaret, vt inermis, veniat. At regina & reliqui insidiatores, persuaserunt nuncio vt contraria diceret, audisse fratrem quòd armaturam eximiam sibi comparasset, cupereque ita armatum contemplari. Antigonus verò nihil mali suspicans, & fretus fratris beneuolentia, ita vt erat cum tota armatura venit ad B Aristobulum, contemplandum se præbiturus. cúmque peruenisset ad turrim Stratonis, qua valde obscurus erat transitus, à satellitibus interfectus est. Huius autem casus facile ostendit quantum possint liuor & calumnia, & quam sint efficaces ad subuertendam etiam naturalem beneuolētiam. Sed illud maximè admiratu dignum est, quòd Iudas quidam, cuius prædictiones nunquam fefellerunt, vaticinatus est. Is cùm videret Antigonum accedentem ad C templum, apud discipulos, qui eum ob hanc scientiam affectabantur, exclamauit: pœnitere se iam vitæ, quandoquidem eius vanitatem coarguet incolumis Antigonus, quem ea die apud Stratonis turrim moriturum prędixerat; quoniam locus ille abesset D C. stadiis & diei pars maior exacta esset: atque ita periculum esse ne mentiatur suum oraculum. Ad hunc modum solicito nunciatur Antigonum cæsum ad cellam subterraneam turris, quæ & ipsa D Stratonis vocabatur, sicut & illa maritima quę pòst Cæsarea nominata est, quæ ambiguitas vatem perturbauerat. Aristobulum autem continuo cœpit fraternæ necis pænitentia: quę res morbum eius aggrauauit, dum factum suum continenter detestaretur, ita vt postremò crescentibus doloribus sanguinem vomeret, cum quidam è minstris efferens, diuina opinor ita volente prouidentia, prolapsus in eo ipso loco effudit, qui Antigoni cædis cruenta E habebat vestigia. quo facto ingens eorum qui viderant clamor exoritur, quasi data opera puer illic effudisset sanguinem, ita vt clamoris causam sciscitaretur Aristobulus, omnib. autem dicere tergiuersantibus, tanto magis contendebat cognoscere, quòd natura ita comparatum sit, vt suspecta nobis sint quæ dissimulantur silentio, tandem vbi minis ac terroribus expressit vt faterentur veritatem, conscientia grauiter ictus animū, plurimas effudit lacry- F mas, & gemitum eximo pectore ducens. Ergo non latet Deum, inquit, meum impium ac sceleratum facinus, quādo tam cito reposcor pœnas cognati sanguinis, ô corpus impudens, quousque retinebis animam, quam materni simul ac fraterni manes flagitant? cur non semel eam reddis, ne sic per partes opus sit libare meum sanguinem, atq; ita parentare oppressis G per nefas & parricidium, vix ea fatus erat cùm exalauit animam, vno tantum anno in regno exacto, cognominatus Philellen, id est Græcorum amator, post auctam multis beneficiis patriam, illato bello Ituręæ, magnáque eius parte attributa ad Iudæę limites: cuius habitatores cōminatione exilij coegit circuncisionē

φιλέλλην. πολλὰ δ' εὐεργετήσας τὴν πατρίδα, πολεμήσας ἰτουραίαν, καὶ πολλὴν αὐτῶν τῆς χώρας τῇ ἰουδαίᾳ προσκτησάμενος, ἀναγκάσας τε τοὺς ἐνοικοῦντας εἰ βούλονται μένειν ἐν τῇ χώρᾳ περιτέμνεσθαι,

cæteróſque Iudaicos ritus admittere. Alioqui natura æquus erat & modeſtus, vt atteſtatur Strabo ex autoritate Timagenis ſic dicens: Hic vir æquus fuit & Iudæis multis in rebus commodus. nam & ditionem eorum auxit, & partem Ituræorum eis attribuit, deuictam circũciſionis fœdere.

Cap. XX.

Alexandri Iudæorum regis res geſtæ.

XIX. POſt Ariſtobuli obitum Salome eius vxor quam Græci Alexandram nominant, ſolutis eius fratribus, quos ipſe vt diximus vinxerat Iannæum qui & Alexander eſt regem conſtituit, ætate cæteros præcedentem atque modeſtia: cui accidit vt mox natus, exoſus patri factus ſit, nec vnquam dum ille viueret in eius conſpectum admiſſus. eius odij cauſam ferunt hanc. Cùm aliquando in ſomnis ei Deus apparuiſſet, rogauit de ſucceſſore, ſolicitus de Ariſtobulo & Antigono quos præ cæteris diligebat fratribus. Sed cùm Deus huius effigiem deſignaſſet contriſtatus quòd is in omnes fortunas eſſet ſucceſſurus, in Galilæa educari cum voluit. Sed oraculi fidem euentus approbauit. Potitus enim hic regno poſt defunctum Ariſtobulum, alterum fratrum inſidiantem ſibi interfecit, alterum contentum priuata & otioſa vita in honore habuit. Conſtitutis deinde rebus imperij, prout ſibi viſum eſt conducere, ad Ptolemaidem duxit exercitum: & cùm proſperè pugnaſſet victos intra mœnia compulit, eóſque obſeſſos oppugnare adortus eſt. Solæ enim è maritimis Ptolemais & Gaza expugnandæ ſupererant, & præter has Zoilus, qui tyrannidem apud Stratonis turrim, & Dora occupauerat. Sed cùm Antiochus Philometor & frater eius Antiochus Cyzicenus mutuis cladibus ſuas vires attererent, nihil præſidij ab eis expectandum erat Ptolemaidenſibus: verùm Zoilus tyrannus cum iis quos alebat militibus eorum quoque dominationi propter diſcordiam regum inhians, nonnihil opis attulit. Nam reges negligere videbantur illorum periculum, athletis ſimiles, quos cùm defeſſi ſint certamine, pudet tamen aduerſario manus dare, ſed per interualla ſe ad inſtaurandum certamen refouent. Supererat vna ſpecies ab Ægypti regibus & Ptolemæo Lathuro, qui à matre Cleopatra à regno eiectus Cyprum obtinebat. ad hunc igitur miſſis legatis, orabant vt auxilio veniens ex Alexandri manibus periclitantes eriperet. qui cùm ei ſpem feciſſent quòd delatus in Syriam habiturus eſſet Gazęos & Ptolemaidenſes in ſuis partibus, ſimúlque Zoilum & Sidonios multóſque alios adiutaturos, elatus promiſſis nauigationem parabat. Interim Demænetus, qui plurimum apud ſuos ciues autoritate pollebat, perſuaſit Ptolemaidenſibus vt mutarent ſententiam, conducibilius dicens incertam cum Iudæis belli aleam ſubire, quàm in

καὶ κατὰ τοὺς ἰουδαίων νόμους ζῆν. φύσει δ᾽ ἐπιεικείᾳ κέχρητο, καὶ σφόδρα αἰδοῦς κρείττων, ὡς μαρτυρεῖ τοῦτο καὶ στράβων ἐκ τοῦ τιμαγένους ὀνόματος λέγων οὕτως, ἐπιεικής τε ἐγένετο οὗτος ὁ ἀνὴρ, καὶ πολλὰ τοῖς ἰουδαίοις χρήσιμος. χώραν τε γὰρ αὐτοῖς προσεκτήσατο, καὶ τὸ μέρος τοῦ τῶν ἰτυραίων ἔθνους οἰκειώσατο, δεσμῷ συνάψας τῇ τῶν αἰδοίων περιτομῇ.

Κεφάλαιον κ΄.

Ἀλεξάνδρου τοῦ ἰουδαίων βασιλέως στρατεῖαι.

ΤΕλευτήσαντος δὲ ἀριστοβούλου, σαλώμη ἡ γυνὴ αὐτοῦ, λεγομένη δὲ ὑπὸ ἑλλήνων ἀλεξάνδρα λύσασα τοὺς ἀδελφοὺς αὐτοῦ, δεδεμένους γὰρ αὐτοὺς εἶχεν ἀριστόβουλος, ὡς προειρήκαμεν, ἰανναῖον τὸν ἀλέξανδρον βασιλέα καθίστησι, τὸν καθ᾽ ἡλικίαν προύχοντα καὶ μετριότητα, ᾧ καὶ συνέβη γεννηθέντι εὐθὺς μισηθῆναι ὑπὸ τοῦ πατρὸς, καὶ μέχρι τῆς τελευτῆς αὐτοῦ μηδέποτ᾽ εἰς ὄψιν ἀφικέσθαι. τὸ δ᾽ αἴτιον τοῦ μίσους τοιόνδε λέγεται γενέσθαι. στέργων μάλιστα τῶν παίδων ὑρκανὸς τοὺς πρεσβυτέρους, ἀντίγονον καὶ ἀριστόβουλον, φανέντα κατὰ τοὺς ὕπνους αὐτῷ τὸν θεὸν ἐπηρώτα, τίς αὐτοῦ τῶν παίδων μέλλει ἔσεσθαι διάδοχος. τοῦ δὲ θεοῦ τοὺς τούτου χαρακτῆρας δείξαντος, λυπηθεὶς, ὅτι τῶν ἀγαθῶν αὐτοῦ πάντων οὗτος ἔσται κληρονόμος, γενόμενον εἴασε ἐν τῇ γαλιλαίᾳ τρέφεσθαι. ὁ μέντοι θεὸς οὐ διεψεύσατο τὸν ὑρκανόν. τὴν δὲ βασιλείαν μετὰ τὴν ἀριστοβούλου τελευτὴν, οὗτος παραλαβὼν, τὸν μὲν τῶν ἀδελφῶν ἐπιχειροῦντα τῇ βασιλείᾳ διεχρήσατο, τὸν δ᾽ ἕτερον, ἀπραγμόνως ζῆν προαιρούμενον, εἶχεν ἐν τιμῇ. καταστησάμενος δὲ τὴν ἀρχὴν ὃν ᾤετο συμφέρειν αὐτῷ τρόπον, στρατεύει ἐπὶ πτολεμαΐδα, τῇ δὲ μάχῃ κρατήσας, ἐνέκλεισε τοὺς ἀνθρώπους εἰς τὴν πόλιν, καὶ περικαθίσας αὐτοὺς ἐπολιόρκει. τῶν γὰρ ἐν τῇ παραλίᾳ πτολεμαῒς αὐτῷ καὶ γάζα μόναι χειρωθῆναι ὑπελείποντο, καὶ ζωΐλος δὲ ὁ κατασχὼν τὸν στράτωνος πύργον τύραννος καὶ δῶρα. τοῦ δὲ φιλομήτορος ἀντιόχου, καὶ τοῦ ἀδελφοῦ αὐτοῦ ἀντιόχου, ὃς ἐπεκαλεῖτο κυζικηνὸς πολεμούντων ἀλλήλοις καὶ τὴν αὐτῶν δύναμιν ἀπολλύντων, ἦν οὐδεμία τοῖς πτολεμαεῦσι βοήθεια παρ᾽ αὐτῶν, ἀλλὰ πονουμένοις τῇ πολιορκίᾳ, ζωΐλος ὁ τὸν στράτωνος πύργον κατεσχηκὼς καὶ τὰ δῶρα, παρὼν σύνταγμα τρέφων στρατιωτικὸν, καὶ τυραννίδι ἐπιχειρῶν διὰ τὴν τῶν βασιλέων πρὸς ἀλλήλους ἅμιλλαν, μικρὰ τοῖς πτολεμαεῦσι παρεβοήθει. οὐδὲ γὰρ οἱ βασιλεῖς οὕτως οἰκείως εἶχον πρὸς αὐτοὺς, ὥστ᾽ ἐλπίσαι τινὰ παρ᾽ αὐτῶν ὠφέλειαν. ἑκάτεροι γὰρ ταυτὸ τοῖς ἀθληταῖς ἔπασχον, οἳ τῇ δυνάμει μὲν ἀπηγορευκότες, αἰσχυνόμενοι δὲ παραχωρῆσαι διετέλουν, ἀργίᾳ καὶ ἀναπαύσει διαφέροντες τὸν ἀγῶνα. λοιπὴ δ᾽ αὐτοῖς ἐλπὶς ἦν ἡ παρὰ τῶν αἰγύπτου βασιλέων, καὶ τοῦ κύπρον ἔχοντος πτολεμαίου τοῦ λαθούρου, ὃς ὑπὸ τῆς μητρὸς κλεοπάτρας τῆς ἀρχῆς ἐκπεσὼν εἰς κύπρον παρεγένετο. πέμψαντες οὖν πρὸς τοῦτον οἱ πτολεμαεῖς, παρεκάλουν ἐλθόντα σύμμαχον, ἐκ τῶν ἀλεξάνδρου χειρῶν αὐτοὺς ῥύσασθαι κινδυνεύοντας. ἐπελπισάντων δ᾽ αὐτὸν τῶν πρέσβεων ὡς διαβὰς εἰς συρίαν ἕξει γαζαίους ἑστῶτας μετὰ τῶν πτολεμαέων καὶ ζωΐλον, ἔτι γε μὴν σιδωνίους καὶ πολλοὺς ἅμα αὐτῷ συλλήψεσθαι λεγόντων, ἐπαρθεὶς πρὸς τὸν ἔκπλουν ἔσπευδεν. ἐν τούτῳ δὲ τοῖς πτολεμαεῦσι δημαίνετος πιθανὸς ὢν αὐτοῖς τότε καὶ δημαγωγῶν μεταβάλλεσθαι τὰς γνώμας ἐποίησεν, ἄμεινον εἶναι φήσας ἐπ᾽ ἀδήλῳ τῷ γενησομένῳ διακινδυνεύειν πρὸς τοὺς ἰουδαίους, μᾶλλον ἢ

φαν-

φανερὰν ἐνδείξασθαι δουλείαν δεσπότῃ παραδόντας αὐτούς, καὶ πρὸς τούτῳ μὴ τὸν παρόντα μόνον ἔχειν πόλεμον, ἀλλὰ καὶ πολὺ μείζονα τὸν ἀπ' αἰγύπτου. τὴν γὰρ κλεοπάτραν οὐ περιόψεσθαι δύναμιν αὐτῷ κατασκευαζόμενον πτολεμαῖον ἐκ γειτόνων, ἀλλ' ἥξειν ἐπ' αὐτοὺς μετὰ μεγάλης στρατιᾶς. σπουδάσειν γὰρ αὐτὴν ὥστε καὶ τῆς κύπρου τὸν υἱὸν ἐκβαλεῖν. εἶναι δὲ πτολεμαίῳ μὲν διαμαρτόντι τῆς ἐλπίδος ἀποφυγεῖν πάλιν εἰς τὴν κύπρον, αὐτοῖς δὲ κίνδυνον τὸν ἔσχατον. ὁ μὲν οὖν πτολεμαῖος κατὰ τὸν πόρον μαθὼν τὴν τῶν πτολεμαιέων μεταβολήν, οὐδὲν ἧττον ἔπλευσε, καὶ καταχθεὶς εἰς τὴν λεγομένην συκάμινον, ἐνταυθοῖ τὴν δύναμιν ἐξεβίβασεν, ἣν δὲ ὁ πᾶς στρατὸς αὐτοῦ πεζοῖς τε ἅμα καὶ ἱππεῦσι περὶ τρισμυρίους, οὓς προαγαγὼν πλησίον τῆς πτολεμαΐδος, καὶ στρατοπεδευσάμενος, ἐπεὶ μήτε τοὺς παρ' αὐτοῦ πρέσβεις ἐδέχοντο, μήτε τῶν λόγων ἠκροῶντο, μεγάλως ἐφρόντιζεν. ἐλθόντων δὲ πρὸς αὐτὸν ζωΐλου τε καὶ τῶν γαζαίων, καὶ δεομένων συμμαχεῖν αὐτοῖς πορθουμένης αὐτῶν τῆς χώρας ὑπὸ τῶν ἰουδαίων καὶ ἀλεξάνδρου, λύει μὲν τὴν πολιορκίαν δείσας τὸν πτολεμαῖον ὁ ἀλέξανδρος. ἀπαγαγὼν δὲ τὴν στρατιὰν εἰς τὴν οἰκείαν ἐστρατήγει τὸ λοιπόν, λάθρα μὲν τὴν κλεοπάτραν ἐπὶ τὸν πτολεμαῖον μεταπεμπόμενος, φανερῶς δὲ φιλίαν καὶ συμμαχίαν πρὸς αὐτὸν ὑποκρινόμενος. καὶ τετρακόσια δὲ ἀργυρίου τάλαντα δώσειν ὑπέσχετο, χάριν ἀντὶ τούτων αἰτῶν ζωΐλον ἐκποδὼν ποιήσασθαι τὸν τύραννον, καὶ τὴν χώραν τοῖς ἰουδαίοις προσνεῖμαι. τότε μὲν οὖν ὁ πτολεμαῖος ἡδέως τὴν πρὸς ἀλέξανδρον ποιησάμενος φιλίαν χειροῦται τὸν ζωΐλον. ὕστερον δὲ ἀκούσας λάθρα διαπεμπόμενον αὐτὸν πρὸς τὴν μητέρα αὐτοῦ κλεοπάτραν, λύει τοὺς γεγενημένους πρὸς αὐτὸν ὅρκους, καὶ προσβαλὼν ἐπολιόρκει τὴν πτολεμαΐδα, μὴ δεξαμένην αὐτόν. καταλιπὼν δὲ ἐπὶ τῆς πολιορκίας στρατηγοὺς καὶ μέρος τι τῆς δυνάμεως, αὐτὸς τῷ λοιπῷ τὴν ἰουδαίαν καταστρεψόμενος ὥρμησεν. ὁ δὲ ἀλέξανδρος τὴν τοῦ πτολεμαίου διάνοιαν μαθὼν συνήθροισε καὶ αὐτὸς περὶ πέντε μυριάδας τῶν ἐγχωρίων. ὡς δὲ ἔνιοι συγγραφεῖς εἰρήκασιν ὀκτώ. καὶ ἀναλαβὼν τὴν δύναμιν ἀπήντα τῷ πτολεμαίῳ. πτολεμαῖος δὲ ἐξαίφνης ἐπιπεσὼν ἀσώχει τῇ τῆς γαλιλαίας πόλει σάββασιν αἱρεῖ κατὰ κράτος αὐτήν, καὶ περὶ μυρία σώματα καὶ πολλὴν ἑτέραν ἔλαβε λείαν.

Κεφάλαιον κα'.

Πτολεμαίου τοῦ λαθούρου πρὸς ἀλέξανδρον μάχη καὶ νίκη.

Πειράσας δὲ καὶ σεπφώρεω μικρὸν ἄπωθεν τῆς πεπορθημένης πολλοὺς ἀποβαλὼν ᾔει πολεμήσων ἀλεξάνδρῳ. ἠπήντησε δ' αὐτῷ πρὸς τῷ ἰορδάνῃ ποταμῷ ἀλέξανδρος, περί τινα τόπον λεγόμενον ἀσωφὼν οὐ πόρρωθεν τοῦ ἰορδάνου ποταμοῦ, καὶ βάλλεται στρατόπεδον πλησίον τῶν πολεμίων. εἶχε μέντοι τοὺς προμαχομένους ὀκτακισχιλίους, οὓς ἑκατοντομάχους προσηγόρευσεν ἐπιχάλκοις χρωμένους τοῖς θυρεοῖς. ἦσαν δὲ καὶ τοῖς τοῦ πτολεμαίου προμαχοῦσιν ἐπίχαλκοι αἱ ἀσπίδες. τοῖς μέντοι γε ἄλλοις ἔλαττον ἔχοντες οἱ τοῦ πτολεμαίου εὐλαβέστερον συνῄεσαν εἰς τὸν κίνδυνον, θάρσος δὲ αὐτοῖς οὐκ ὀλίγον ἐποίησεν ὁ τακτικὸς φιλοστέφανος, διαβῆναι κελεύσας τὸν ποταμόν, οὗ μεταξὺ ἦσαν ἐστρατοπεδευκότες. ἀλεξάνδρῳ δὲ κωλύειν αὐτῶν τὴν διάβασιν οὐκ ἔδοξεν.

certiſſimam ſeruitutem accito domino ſe dedere, & inſuper non præſens ſolùm bellum ſuſtinere, ſed maius etiam ab Ægypto imminẽs. Cleopatram enim non permiſſuram Ptolemæum vires ſibi parare è vicinia, ſed contra eos venturam cum valido exercitu. dare enim reginam operam, vt illum etiam è Cypro eiiciat. futurum autem vt ſi Ptolemæum ſua ſpes fruſtretur, ipſe in Cyprum retrorſum fugiat, miſeri verò ciues in extremo deſerantur periculo. Igitur Ptolemæus cognita in itinere Ptolemaidenſium mutatione, nihilominus curſum continuauit, & cùm appuliſſet ad Sycaminum, eò loci copias expoſuit, quæ conſtabant connumeratis peditibus & equitibus circiter xxx. millibus. His adductis ad Ptolemaidem, & caſtris ibi poſitis, cùm neque legatos eius admittere, neque verba audire vellent, in magnam coniectus eſt ſolicitudinem. Poſtquam verò Zoilus ad eum & Gazæi venerunt, petentes auxilium contra Iudæos & Alexandrum agros ipſorum vaſtantem, obſidio quidem vrbis metu Ptolemæi ſoluta eſt. Cæterùm reducto domum exercitu Alexander cœpit aſtu agere, clàm Cleopatram contra Ptolemæum vocans, apertè verò amicum eius & ſocium ſe ſimulans. quin & cccc. argenti talenta daturum ſe pollicitus eſt, ſi ille viciſſim in gratiã ipſius Zoilum tyrannum tolleret, & agros eius Iudæis attribueret. Tum igitur Ptolemæus libenter Alexandri amicitiam admittens, Zoilũ capit: deinde verò comperto quòd ille clàm ad matrem ipſius Cleopatram nuncios mitteret, diſſoluto cum eo fœdere, profectus eſt oppugnatum Ptolemaidem, quæ portas ei clauſerat. Vbi relictis ad continuandã oppugnationem ducibus cum parte exercitus, ipſe cum reliquis copiis ad vaſtandam ac domandam Iudæam ſe contulit. At Alexander poſtquam intellexit eius propoſitũ, & ipſe ex ſua ditione collegit circiter L. millia, vel vt quidã ſcriptores malũt, LXXX. millia, & cũ his hoſti iuit obuiam. Ptolemæus verò ex improuiſo adortus ſabbato Aſochim Galilææ oppidum vi cœpit, & circiter decem captiuorum millia, præter aliam multam prædam abduxit.

Cap. XXI.

Ptolemæi Lathuri de Alexandro victoria.

Deinde aggreſſus & Sephorim non longè inde diſtantem, multis deſideratis abiit conflicturus cum Alexandro: cui occurrit ad Iordanem fluuium, iuxta Aſophon, qui non multum diſſitus eſt à flumine: & caſtra ex aduerſo hoſtium metatus eſt. habebat autem Alexander in prima acie pugnare ſolitos octies mille, quos hecatontamachos appellabat, geſtantes æratos clypeos, ſed & Ptolemæi prima acies æquè æratis ſcutis vtebatur: Et cætera quidem inferiores, ſibi viſi cunctantiores erãt ad prælium: confirmabat autem eos non parũ Philoſtephanus aciei ſtruendæ artifex, iubens tranſire fluuiũ ſupra quem caſtra habebãt, nec Alexandro tranſitũ eorum impedire placuit, rato faciliorẽ ſibi forevictoriã, ſi hoſtis à tergo haberet fluuiũ, & è pugna nõ poſſet refugere.

& primùm quidem æquo Marte certabatur, multis vtrinque cadentibus: deinde cùm iam Alexandri milites ſuperiores fieri inciperent, Philoſtephanus cum parte ſuorum maturè cedentibus opem attulit, cúmque inclinato Iudæorum cornu nullus ferret ſuppetias, deſtituti ope proximorum fecerũt fugæ initium, cæteróſque exemplo ſuo traxerunt. contra Ptolemæi milites acriter inſtando Iudæos fugientes cædebant, & tandem profligatos eouſque inſecuti ſunt interficiendo, donec laſſatis manibus ferrum quoque hæbeſceret. Ferunt xxx. millia cecidiſſe in eo prælio. Timagenes autẽ L. millia in ſuis ſcriptis retulit: cæteros partim captos, partim fuga ſeruatos incolumes. Ptolemæus verò cùm poſt victoriam longè latéque excurriſſet, ſerò tandem in quoſdam Iudæorũ vicos ſe recepit, quos vbi vidit refertos pueris & mulieribus, mandauit militi vt promiſcuè iugulatos & in fruſta conciſos, in lebetes feruentes membratim conijcerent, vt qui effugerant è prælio hoſtem crederent humanis veſci viſceribus, & eo maior terror incuteretur reliquis: & huius crudelitatis tam Strabo quàm Nicolaus meminit. Iidem etiam Ptolemaidem vi expugnauerunt, ſicut aliàs indicauim⁹. Porro Cleopatra videns augeri filij potentiam, ſubiecta Gazæorum vrbe, & Iudęorum regione impune peruaſtata, non permittendum duxit vt ille magis creſceret, maximè cùm circa Ægypti portas obuerſaretur, & immineret ei⁹ imperio. quapropter continuò tam nauales quàm terreſtres exciuit copias, quarum ſupremum regimen pænes Chelciam & Ananiam Iudæos eſſe voluit: bonam etiam diuitiarum ſuarum partem cum nepotibus, & teſtamento apud Coum inſulam depoſuit. Iuſſóque Alexandro filio cum magna claſſe Phœnicen appellere, & deficientibus ad ſe eius regionis incolis, peruenit Ptolemaidem: vnde excluſa oppugnationem eius vrbis inſtituit. Tum Ptolemæus relicta Syria properauit in Ægyptum, ſperans ex improuiſo occupaturum ſe præſidiis vacuam, ſed opinione ſua fruſtratus eſt. Per idem tempus alterum è Cleopatræ ducibus Chelciam mori contigit, dum circa Cœleſyriam Ptolemæum perſequitur. At Cleopatra auditis filij conatibus, & quòd ei tentanti Ægyptum non ex ſententia ſucceſſerat, miſſa eò parte exercitus omnino eum ex ea regione expulit. atque ita rurſum ex Ægypto eiectus, apud Gazam exegit eam hyemem. Interim Cleopatra Ptolemaidem, ſimul cum præſidiariis expugnat. Quò cùm veniſſet Alexander cum muneribus: & ita exceptus tractaretur, vt dignum erat hominem afflictum à Ptolemæo, nec aliud habentem refugium: cúmque quidam amicorum reginę ſuaderent, vt illã quoque regionẽ occuparet, nec ſineret tantam bonorum Iudęorũ multitudinẽ vnius viri parere nutib⁹: Ananias contrariũ conſuluit, iniquum facinus

ἐνόμισε γὰρ εἰ κατὰ νώτου λάβοιεν τὸν ποταμὸν, ῥᾷον αἱρήσειν τοὺς πολεμίους, φυγὴν ἐκ τῆς μάχης οὐ δυναμένους. κατ' ἀρχὰς μὲν οὖν παρ' ἀμφοτέρων ἦν ἔργα χειρῶν καὶ προθυμίας παραπλήσια, καὶ πολὺς ἐγίνετο φόνος ἐξ ἑκατέρων στρατευμάτων. ὑπερτέρων δὲ τῶν ἀλεξάνδρου γινομένων, φιλοστέφανος διελὼν τὴν δύναμιν δεξιῶς τοῖς ἐνδιδοῦσιν ἐπικουρεῖ. μηδενὸς δὲ τῷ κλιθέντι μέρει τῶν ἰουδαίων προσβοηθοῦντος, τούτοις μὲν συνέβαινε φυγὴν, μὴ βοηθούντων τῶν πλησίον, ἀλλὰ κοινωνούντων τῆς φυγῆς. οἱ δὲ τοῦ πτολεμαίου τἀναντία τούτων ἔπραττον, ἑπόμενοι γὰρ ἔκτεινον τοὺς ἰουδαίους, καὶ τὸ τελευταῖον τρεψάντες αὐτοὺς ἅπαντας ἐδίωκον οἱ φονεύοντες, ἕως οὗ καὶ ὁ σίδηρος αὐτοῖς ἠμβλύνθη κτείνουσι, καὶ αἱ χεῖρες παρείθησαν. τρισμυρίους γοῦν ἔφασαν αὐτῶν ἀποθανεῖν. τιμαγένης δὲ, πεντακισμυρίους εἴρηκε. τῶν δὲ ἄλλων, τοὺς μὲν αἰχμαλώτους ληφθῆναι, τοὺς δ' εἰς τὰ οἰκεῖα διαφυγεῖν χωρία. πτολεμαῖος δὲ μετὰ τὴν νίκην προσκαταδραμὼν τὴν χώραν, ὀψίας γενομένης ἔν τισι κώμαις τῆς ἰουδαίας κατέμεινεν, ἃς γυναικῶν εὑρὼν μεστὰς καὶ νηπίων ἐκέλευσε τοὺς στρατιώτας, ἀποσφάττοντας αὐτοὺς καὶ κρεουργοῦντας, ἔπειτα εἰς λέβητας ζέοντας ἐνιέντας τὰ μέλη ἀπάρχεσθαι. τοῦτο δὲ προσέταξεν, ἵν' οἱ διαφυγόντες ἐκ τῆς μάχης καὶ πρὸς αὐτοὺς ἐλθόντες, σαρκοφάγους ὑπολάβωσιν εἶναι τοὺς πολεμίους, καὶ διὰ τοῦτο ἔτι μᾶλλον αὐτοὺς καταπλαγοῦσι ταῦτ' ἰδόντας. λέγει δὲ καὶ στράβων καὶ νικόλαος, ὅτι τοῦτον αὐτοῖς ἐχρήσαντο τὸν τρόπον καθὼς κἀγὼ προείρηκα. ἔλαβον δὲ καὶ τὴν πτολεμαΐδα κατὰ κράτος, ὡς καὶ ἐν ἄλλοις φανερὸν πεποιήκαμεν. κλεοπάτρα δ' ὁρῶσα τὸν υἱὸν αὐξανόμενον, καὶ τήν τε ἰουδαίαν ἀδεῶς πορθοῦντα, καὶ τὴν γαζαίων πόλιν ὑπήκοον ἔχοντα, περιϊδεῖν οὐκ ἔγνω τοῦτον ἐπὶ ταῖς πύλαις ὄντα καὶ ποθοῦντα τὴν τῶν αἰγυπτίων ἀρχὴν μείζω γενόμενον, ἀλλὰ παραχρῆμα καὶ μετὰ ναυτικῆς καὶ πεζικῆς δυνάμεως ἐπ' αὐτὸν ἐξώρμησεν, ἡγεμόνας τῆς ὅλης στρατιᾶς ἀποδείξασα χελκίαν καὶ ἀνανίαν τοὺς ἰουδαίους. τὰ δὲ πολλὰ τοῦ πλούτου, καὶ τοὺς υἱωνοὺς καὶ διαθήκας πέμψασα κώοις παρέθηκεν. κελεύσασα δὲ τὸν υἱὸν ἀλέξανδρον στόλῳ μεγάλῳ περιπλεῖν εἰς φοινίκην ἡ κλεοπάτρα, μεταστάσης αὐτῆς ἧκεν εἰς πτολεμαΐδα, μὴ δεξαμένων δὲ αὐτὴν τῶν πτολεμαιέων ἐπολιόρκει τὴν πόλιν. πτολεμαῖος δ' ἀπελθὼν ἐκ τῆς συρίας εἰς αἴγυπτον ἔσπευσεν, αἰφνιδίως αὐτὴν οἰόμενος κενὴν οὖσαν στρατείας καθέξειν. ἀλλὰ διαμαρτάνει τῆς ἐλπίδος. κατὰ τοῦτον δὴ τὸν χρόνον συνέβη καὶ χελκίαν τὸν ἕτερον τῶν τῆς κλεοπάτρας ἡγεμόνων ἀποθανεῖν περὶ κοίλην συρίαν διώκοντα πτολεμαῖον. ἀκούσασα δ' ἡ κλεοπάτρα τὴν ἐπιχείρησιν τὴν τοῦ υἱοῦ, καὶ ὅτι τὰ περὶ τὴν αἴγυπτον οὐχ ὃν προσεδόκα τρόπον προκεχώρηκεν αὐτῷ, πέμψασα μέρος τῆς στρατιᾶς ἐξέβαλεν αὐτὸν ἀπὸ τῆς χώρας. καὶ ὁ μὲν ἐκ τῆς αἰγύπτου πάλιν ὑποστρέψας, τὸν χειμῶνα διέτριψεν ἐν γάζῃ. κλεοπάτρα δ' ἐν τούτῳ τὴν ἐν πτολεμαΐδι φρουρὰν λάβει ἐκ πολιορκίας καὶ τὴν πόλιν. ἀλεξάνδρου δ' αὐτῇ μετὰ δώρων προσελθόντος, καὶ θεραπείας ὁποίας ἄξιον ἦν πεπονθότος μὲν κακῶς ὑπὸ πτολεμαίου, καταφυγῆς δ' οὐκ ἄλλης ἢ ταύτης εὐποροῦντος, τινὲς μὲν τῶν φίλων καὶ ταῦτα συνεβούλευον αὐτὴν λαβεῖν, καὶ τὴν χώραν ἐπελθοῦσαν κατασχεῖν, καὶ μὴ περιιδεῖν ἐπὶ ἑνὶ ἀνδρὶ τοσοῦτον πλῆθος ἀγαθῶν ἰουδαίων κείμενον. ἀνανίας δὲ συνεβούλευε τούτοις ἐναντία, λέγων ἄδικα

ποιήσειν

ποιήσειν αὐτὴν, εἰ σύμμαχον ἄνθρωπον ἀφαιρήσεται τῆς ἰδίας ἐξουσίας, καὶ ταῦτα συγγενῆ ἡμέτερον. οὐ γὰρ ἀγνοεῖν σε βούλομαι φησὶν ὅτι τὸ πρὸς τοῦτον ἄδικον ἐχθροὺς ἅπαντας ἡμᾶς σοι τοὺς ἰουδαίους καταστήσει. ταῦτα δὲ ἀνανίου παρακαλέσαντος, ἡ κλεοπάτρα πείθεται μηδὲν ἀδικῆσαι τὸν ἀλέξανδρον, ἀλλὰ συμμαχίαν πρὸς αὐτὸν ἐποιήσατο ἐν σκυθοπόλει τῆς κοίλης συρίας. ὁ δὲ τῶν ἐκ πτολεμαίου φόβων ἐλευθερωθεὶς, στρατεύεται μὲν εὐθὺς ἐπὶ τὴν κοίλην συρίαν. αἱρεῖ δὲ γάδαρα πολιορκήσας δέκα μησίν. αἱρεῖ δὲ καὶ ἀμαθοῦντα μέγιστον ἔρυμα τῶν ὑπὲρ τοῦ ἰορδάνου κατῳκημένων, ἔνθα καὶ τὰ κάλλιστα καὶ σπουδῆς ἄξια, θεόδωρος ὁ ζήνωνος εἶχεν. ὃς οὐ προσδοκῶσιν ἐπιπεσὼν τοῖς ἰουδαίοις, μυρίους αὐτῶν ἀποκτείνει, καὶ τὴν ἀποσκευὴν ἀλεξάνδρου διαρπάζει. ταῦτα μὲν οὖν οὐ καταπλήττει τὸν ἀλέξανδρον, ἀλλὰ ἐπιστρατεύει τοῖς ἐπιθαλαττίοις μέρεσι, ῥαφίᾳ καὶ ἀνθηδόνι, ἣν ὕστερον ἡρώδης ὁ βασιλεὺς ἀγριππιάδα μετωνόμασε, καὶ κατὰ κράτος εἷλε καὶ ταύτην. ὁρῶν δὲ τὸν πτολεμαῖον ἐκ τῆς γάζης εἰς κύπρον ἀνακεχωρηκότα, τὴν δὲ μητέρα αὐτοῦ κλεοπάτραν εἰς αἴγυπτον, ὀργιζόμενος δὲ τοῖς γαζαίοις ὅτι πτολεμαῖον ἐπεκαλέσαντο βοηθὸν, ἐπολιόρκει τὴν πόλιν καὶ τὴν χώραν αὐτῶν περιενόμευσεν. ἀπολλοδότου δὲ τοῦ στρατηγοῦ τῶν γαζαίων, μετὰ δισχιλίων ξένων καὶ χιλίων οἰκετῶν, νύκτωρ ἐπιπεσόντος τῷ τῶν ἰουδαίων στρατοπέδῳ, ἐφ' ὅσον μὲν ὑπῆρχεν ἡ νὺξ, ἐνίκων οἱ γαζαῖοι, δόκησιν παρέχοντες τοῖς πολεμίοις ὡς ἐπεληλυθότος αὐτοῖς πτολεμαίου. γενομένης δ' ἡμέρας καὶ τῆς δόξης ἐλεγχθείσης, μαθόντες οἱ ἰουδαῖοι τἀληθὲς, ἐπισυστρέφονται, καὶ τοῖς γαζαίοις προσβαλόντες ἀναιροῦσιν αὐτῶν περὶ χιλίους. τῶν δὲ γαζαίων ἀντεχόντων, καὶ μήτε ὑπὸ τῆς ἐνδείας, μήτε ὑπὸ τοῦ πλήθους τῶν ἀναιρουμένων ἐνδιδόντων. (πᾶν γὰρ ὁποιοῦν ὑπέμενον παθεῖν, ἢ ὑπὸ τῶν πολεμίων γενέσθαι) προσεπέγειρε δ' αὐτῶν τὴν προθυμίαν καὶ ἀρέτας ὁ ἀράβων βασιλεὺς ἐπίδοξος ὢν ἥξειν αὐτοῖς σύμμαχος ἐπαγγελλόμενος. ἀλλὰ συνέβη πρότερον τὸν ἀπολλόδοτον διαφθαρῆναι. λυσίμαχος ὁ ἀδελφὸς αὐτοῦ, ζηλοτυπῶν αὐτὸν ἐπὶ τῷ παρὰ τοῖς πολίταις εὐδοκιμεῖν, κτείνας αὐτὸν καὶ στρατιωτικὸν συγκροτήσας, ἐκδίδωσιν ἀλεξάνδρῳ τὴν πόλιν. ὁ δ' εὐθὺς μὲν εἰσῆλθεν ἠρέμα, μετὰ δὲ ταῦτα τὴν δύναμιν ἐπαφῆκε τοῖς γαζαίοις, ἐπιτρέψας τιμωρεῖν αὐτούς. οἱ δὲ ἄλλοι ἀλλαχῇ τρεπόμενοι, τοὺς γαζαίους ἀπέκτειναν. ἦσαν δ' οὐδ' ἐκεῖνοι τὰς ψυχὰς ἀγεννεῖς, ἀλλὰ καὶ τοῖς παρεμπίπτουσιν ἀμυνόμενοι τοὺς ἰουδαίους οὐκ ἐλάττονας αὐτῶν διέφθειραν. ἔνιοι δὲ μονούμενοι τὰς οἰκείας ἐνεπίμπρασαν ὡς μηδὲν αὐτῶν λάφυρον ἔστι τοὺς πολεμίους λαβεῖν. οἱ δὲ καὶ τῶν τέκνων καὶ γυναικῶν αὐτόχειρες ἐγίνοντο, τῆς ὑπὸ τοῖς ἐχθροῖς αὐτοὺς δουλείας οὕτως ἀπαλλάττειν ἠναγκασμένοι. τῶν δὲ βουλευτῶν ἦσαν οἱ πάντες φ', συμφυγόντες εἰς τὸ τοῦ ἀπόλλωνος ἱερόν. συνεδρευόντων γὰρ τὴν ἐπίθεσιν συνέβη γενέσθαι. ὁ δ' ἀλέξανδρος τούτους τε ἀναιρεῖ, καὶ τὴν πόλιν αὐτοῖς ἐπικατασκάψας ὑπέστρεψεν εἰς ἱεροσόλυμα ἐνιαυτῷ πολιορκήσας. ὑπὸ τὸν αὐτὸν δὲ τοῦτον καιρὸν καὶ ἀντίοχος ὁ γρυπὸς ἐπικληθεὶς, ἀποθνήσκει ὑπὸ ἡρακλέωνος ἐπιβουλευθεὶς, βιώσας μὲν ἔτη με'. βασιλεύσας δ' ἐννέα καὶ κ'. διαδεξάμενος δὲ τὴν βασιλείαν ὁ παῖς αὐτοῦ σέλευκος, ἐπολέμει μὲν

dictitans, si hominem in societatem receptum suis facultatibus exueret, præsertim suum cognatum. Sic enim fore vt illata huic iniuria, omnes vbique gentium Iudæos à se alienaret. His rationibus Ananiæ regina inducta, abstinuit ab Alexandro iniuriam, & fœdus cum eo renouauit apud Cœlesyriæ vrbem Scythopolim. Tum verò liberatus metu periculi quod à Ptolemæo hactenus impendere visum est, expeditionem suscepit in Cœlesyriam, vbi Gadara post decem mensium obsidionem cepit, & paulo post potitus est Amathunte, quod est castrum omnium quæ ad Iordanem sita sunt munitissimum, vbi Theodorus Zenonis filius res suas carissimas deposuerat, qui ex inopinato Iudæos aggressus, interfectis ex eis decem millibus, impedimenta Alexādri diripuit. Nec tamen hac clade rex absterritus est quo minus in maritimo tractu Raphiam bello aggrederetur, & Anthedonem, cui postea Hærodes rex mutauit nomen in Agrippiadem quam & ipsam armis in potestatem suam redegit, & cū animaduertisset Ptolemæum Gaza relicta in Cyprum recessisse, & matrem eius Cleopatrā in Ægyptum, infensus Gazæis quòd acciuisset illum contra se in auxilium, & vrbem eorum oppugnauit, & agrum depopulatus est. interim Apollodotus eorum dux noctu cum duobus millibus conductitiorum militum, & decem millibus quæ ex oppidanis armauerat, erupit in castra Iudæorum: & quàm diu nocturna erat pugna superiores erant Gazæi, hostibus aduentum Ptolemęi suspicantibus, sed quàm primùm dies illuxit, & rei veritas apparuit, Iudęi se conglomerarunt, & impetu facto in oppidanos circiter mille ex eis interfecerunt. Attamē ne sic quidem quamuis grauante inopia voluerunt cedere, parati quiduis potius præferre, quàm ab hoste subigi: & addebat illis animum Aretas rex Arabum, auxilij spem ostentās. Sed priusquam ille veniret, Apollodoto perempto ciuitas capta est. Nam Lysimachus ipsius frater inuidens ei, quòd tam gratiosus esset apud populum, occiso eo collegit manum militum, atque ita vrbem Alexandro tradidit. qui primò pacatus introgressus est, deinde immisit in oppidanos militem, permissa sæuiendi licentia, ac passim Gazæi trucidabantur. nec tamē illi moriebantur inulti, sed repugnantes inuasoribus, non pauciores Iudæos interimebant. alij verò desolatas prius ædes incendebant, ne hostis præda potiri posset. quidam etiam suismet manibus vxores ac liberos contrucidabant, ne in captiuitatem abstraherentur. Senatores autem numero D. in Apollinis cōfugerāt: fortè enim senatus habebatur cum hostis intromissus est. Alexander verò etiam his iugulatis, & dirupta insuper vrbe, reuersus est Hierosolyma, anno pòst quàm castra ad Gazam admouerat. Eodem tēpore etiā Antiochus Grypus occisus est Heracleonis insidiis, anno ætatis suæ quinto & quadragesimo, regni verò nono supra vigesimum. cui succedens Seleucus filius bellū gessit

cum Antiocho patruo, cui Cyziceno fuit cognomen, quem deinde in prælio captum neci tradidit. Nec ita multo pòst Cyziceni filius Antiochus cognomento Eusebes peruenit Aradum, & imposito sibi diademate Seleuco bellum intulit, quem vno prælio victum è tota Syria expulit. at ille fuga delatus in Ciliciam, postquam à Mopseatis receptus est, cœpit ab eis tributa exigere: qui non ferentes exactionem, vnà cum regia & ipsum & amicos concremauerunt. Regnante verò apud Syros Antiocho Cyziceni filio, Antiochus Seleuci frater bello eum aggreditur, & victus vitam simul amisit atque exercitum: post quem frater eius Philippus assumpto diademate regnauit in parte Syriæ. Interim Ptolemæus Lathurus quartum eius fratrem Eucærum cognomine accitum à Gnido, regem apud Damascum constituit. His duobus fratribus strenuè resistens Antiochus, breui extinctus est, vocatus enim in auxilium Laodices Galadenorum reginæ, cum Parthis bellum gerentis, fortiter in prælio dimicans occubuit: quo facto Syriæ regnũ remansit pænes duos fratres. Philippum atque Demetrium, sicut alias narratum est. Porrò in Alexandrum domi seditio coorta est, cùm per scenopegiæ celebritatem in parantem sacrificare coniecta sunt citrea: nam hoc festo nostris morem esse, palmeos & citreos thyrsos gestare indicauimus. quin & conuitiis impetitus est populariter, exprobrantibus captiuitatem, & indignum qui sacris operetur iactantibus. quibus iniuriis exacerbatus, occidit eorum circiter sex millia: & extructo circa fanum & altare septo ligneo pertinente vsque ea loca ad quę solis sacerdotibus patet aditus, hoc pacto arcebat à se vim multitudinis. Sed & mercenarios milites alebat Pisidas & Cilicas. nam Syris infensus, non vtebatur eorum opera. Deuictis deinde Arabibus, tributa, Moabitis & Galaditis imperauit, & Amathuntem diruit, non audente Theodoro manus conserere. Congressus etiam cum Arabum rege Obeda, & pertractus in insidias, cùm camelorum multitudine protrusus esset in fauces asperas & accessu difficiles iuxta Gadara vicum Galaditidis, ægrè euasit ipse incolumis: delatúsque fuga Hierosolyma, super acceptam cladem per sex annos à sua gente bello vexatus, non minus quàm L. millia Iudæorum occidit. & cùm eos hortaretur ad reconciliationem, adhuc magis accendit eorum odia: dum roganti quid se vellent facere, ore vno respõsum est, vt seipsum

XX. interficiat: móxque miserunt ad Demetrium Eucærum, qui ab illo auxilia peterent.

Cap. XXII.

Demetrius Eucærus Alexandrum prælio superat.

Ille veniens cum exercitu, coniunxit se cũ eis qui se acciuerant, & circa Sicima castra posuit. Alexander verò cum mercenariorum sex millibus & ducentis insuper, Iudæorúmq; suæ factionis viginti millibus illi

τῷ τοῦ πατρὸς ἀδελφῷ ἀντιόχῳ, ὃς ἐπεκαλεῖτο κυζικηνός, νικήσας δ' αὐτὸν, καὶ λαβὼν ἀπέκτεινε. μετ' οὐ πολὺ δὲ τοῦ κυζικηνοῦ παῖς ἀντίοχος καὶ ἀντωνῖνος ὁ εὐσεβὴς καλούμενος παραγενηθέντες εἰς ἄραδον, καὶ περιθέμενοι διαδήματα πολεμοῦσι τῷ σελεύκῳ, καὶ κρατήσαντες ἐξήλασαν αὐτὸν ἐξ ἁπάσης συρίας. ὁ δὲ φυγὼν εἰς κιλικίαν, καὶ γενόμενος ἐν τῇ μόψου ἑστίᾳ πάλιν αὐτοὺς εἰσέπραττε χρήματα. ὁ δὲ τῶν μοψοεστέων δῆμος, ἀγανακτήσας, ὑφῆψεν αὐτοῦ βασίλεια, καὶ διέφθειρεν αὐτὸν μετὰ τῶν φίλων. ἀντιόχου δὲ τοῦ κυζικηνοῦ παιδὸς βασιλεύσαντος τῆς συρίας, ἀντίοχος ὁ σελεύκου ἀδελφὸς, ἐκφέρει πόλεμον πρὸς αὐτὸν, καὶ νικηθεὶς ἀπόλλυται μετὰ τῆς στρατιᾶς. μετὰ δ' αὐτὸν ὁ ἀδελφὸς αὐτοῦ φίλιππος ἐπιθέμενος διάδημα, μέρους τινὸς τῆς συρίας ἐβασίλευσε. πτολεμαῖος δὲ ὁ λάθουρος τὸν τέταρτον αὐτοῦ ἀδελφὸν δημήτριον, τὸν εὔκαιρον λεγόμενον, ἐκ κνίδου μεταπεμψάμενος κατέστησεν ἐν δαμασκῷ βασιλέα. τούτοις δὲ τοῖς δυσὶν ἀδελφοῖς καρτερῶς ἀνθιστάμενος ἀντίοχος, ταχέως ἀπέθανεν. ἐν λαοδικίᾳ γὰρ ἐλθὼν σύμμαχος τῇ τῶν γαλαδηνῶν βασιλίσσῃ πάρθοις πολεμούσῃ, μαχόμενος ἀνδρείως ἔπεσε. τὴν δὲ συρίαν κατεῖχον οἱ δύο ἀδελφοὶ δημήτριος καὶ φίλιππος, καθὼς ἐν ἄλλοις δεδήλωται. ἀλέξανδρος δὲ τῶν οἰκείων πρὸς αὐτὸν στασιασάντων, ἐπανέστη γὰρ ἐπ' αὐτὸν τὸ ἔθνος, τῆς ἑορτῆς ἀγομένης, καὶ ἑστῶτος αὐτοῦ ἐπὶ τοῦ βωμοῦ καὶ θύειν μέλλοντος, κιτρίοις αὐτὸν ἔβαλλον, νόμου ὄντος παρὰ τοῖς ἰουδαίοις ἐν τῇ σκηνοπηγίᾳ, ἔχειν ἕκαστον θύρσους ἐκ φοινίκων καὶ κιτρίων. δεδηλώκαμεν δὲ καὶ ταῦτα ἐν ἄλλοις. προσελοιδόρησαν δ' αὐτὸν ὡς αἰχμαλώτου γεγονότα, καὶ τῆς τιμῆς καὶ τοῦ θύειν ἀνάξιον. ἐπὶ τούτοις ὀργισθεὶς, κτείνει μὲν αὐτῶν περὶ ἑξακισχιλίους, δρύφακτον δὲ ξύλινον περὶ τὸν βωμὸν καὶ τὸ ναὸν βαλλόμενος μέχρι τοῦ θριγκοῦ, εἰς ὃν μόνοις ἐξῆν τοῖς ἱερεῦσιν εἰσιέναι, τούτῳ τὴν τοῦ πλήθους ἐπ' αὐτὸν ἀπέφραττεν εἴσοδον. ἔτρεφε δὲ καὶ ξένους πισίδας καὶ κίλικας. σύροις γὰρ πολέμιος ὢν οὐκ ἐχρῆτο. καταστρεψάμενος δὲ τῶν ἀράβων μωαβίτας καὶ γαλααδίτας, εἰς φόρου ἀπαγωγὴν, κατέρριψε καὶ ἀμαθοῦντα, θεοδώρου μὴ τολμῶντος αὐτῷ συμβαλεῖν. συνάψας δὲ μάχην πρὸς ὀβέδαν τῶν ἀράβων βασιλέα, καὶ πεσὼν εἰς ἐνέδραν ἐν χωρίοις τραχέσι καὶ δυσβάτοις, ὑπὸ πλήθους καμήλων εἰς βαθεῖαν κατερράχθη φάραγγα κατὰ γάδαρα κώμην τῆς γαλααδίτιδος, καὶ μόλις αὐτὸς διασώζεται. φυγὼν δ' ἐκεῖθεν εἰς ἱεροσόλυμα παραγίνεται, καὶ πρὸς τὴν κακοπραγίαν αὐτοῦ ἐπιθεμένου τοῦ ἔθνους, πολεμήσας πρὸς αὐτὸ ἔτη ϛ', ἀναιρεῖ τῶν ἰουδαίων οὐκ ἔλαττον ε' μυριάδας. παρακαλοῦντος δὲ παύσασθαι τὴν πρὸς αὐτὸν δυσμένειαν, ἔτι μᾶλλον ἐμίσουν αὐτὸν διὰ τὰ συμβεβηκότα. πυνθανομένου δ' αὐτοῦ τὸ ὀφεῖλον γενέσθαι, πάντες ἐβόησαν ἀποθανεῖν αὐτὸν, καὶ πρὸς δημήτριον τὸν εὔκαιρον ἔπεμψαν παρακαλοῦντες ἐπὶ συμμαχίαν.

Κεφάλαιον κβ'.

Ὡς στρατευσάμενος δημήτριος ὁ εὔκαιρος ἐπὶ ἀλέξανδρον ἐκράτησεν αὐτοῦ.

Ὁ δὲ, μετὰ στρατοῦ ἐλθὼν, καὶ παραλαβὼν τοὺς ἐπικαλεσαμένους, περὶ σίκιμα πόλιν ἐστρατοπέδευσεν. ἀλέξανδρος δὲ, μετὰ μισθοφόρων ἑξακισχιλίων καὶ διακοσίων, ἰουδαίων τε περὶ δισμυρίους οἳ ἐφρόνουν τὰ ἐκείνου παρα-

παραλαβὼν, ἀντεπῄει τῷ δημητρίῳ. τούτῳ δ᾽ ἦσαν ἱππεῖς μὲν τρισχίλιοι, πεζῶν δὲ, μυριάδες δ΄. πολλὰ μὲν οὖν ἑκατέροις ἐπεράχθη, τοῦ μὲν ἀποστῆσαι τοὺς μισθοφόρους ὡς ὄντας ἕλληνας πειρωμένου, τοῦ δὲ, τοὺς σὺν δημητρίῳ ἰουδαίους. μηδετέρου δὲ πεῖσαι δυνηθέντος, ἀλλ᾽ εἰς μάχην συμβαλόντων, νικᾷ δημήτριος, καὶ ἀποθνήσκουσι μὲν οἱ ἀλεξάνδρου μισθοφόροι πάντες, πίστεώς τε ἅμα καὶ ἀνδρείας ἐπίδειξιν ποιησάμενοι. πολλοὶ δὲ καὶ τῶν δημητρίου στρατιωτῶν. φυγόντος δ᾽ ἀλεξάνδρου εἰς τὰ ὄρη, κατ᾽ οἶκτον τῆς μεταβολῆς συλλέγονται παρ᾽ αὐτῷ ἰουδαῖοι ἑξακισχίλιοι. καὶ τότε μὲν δείσας, ὑπεχώρει δημήτριος. μετὰ δὲ ταῦτα ἰουδαῖοι ἐπολέμουν ἀλεξάνδρῳ, καὶ νικώμενοι, πολλοὶ ἀπέθνησκον ἐν ταῖς μάχαις. καταклείσας δὲ τοὺς δυνατωτάτους αὐτῶν ἐν βεθόμῃ πόλει, ἐπολιόρκει. λαβὼν δὲ τὴν πόλιν, καὶ γενόμενος ἐγκρατὴς αὐτῶν, ἀπήγαγεν εἰς ἱεροσόλυμα, καὶ πάντων ὠμότατον ἔργον ἔδρασεν. ἑστιώμενος γὰρ ἐν ἀπόπτῳ μετὰ τῶν παλλακίδων, ἀνασταυρῶσαι προσέταξεν αὐτῶν ὡς ω΄. τοὺς δὲ παῖδας αὐτῶν καὶ τὰς γυναῖκας ἔτι ζώντων, παρὰ τὰς ἐκείνων ὄψεις ἐπέσφαττεν, ὑπὲρ μὲν ὧν ἠδίκητο ἀμυνόμενος, ἄλλως δὲ ὑπὲρ ἄνθρωπον ταύτην εἰσπραττόμενος τὴν δίκην, εἰ καὶ τὰ μάλιστα ὅπερ ἦν εἰκὸς ἐταλαιπωρήθη τοῖς πρὸς αὐτὸν πολέμοις, καὶ εἰς τοὔσχατον ἦλθε κινδύνου ψυχῆς τε πέρι καὶ βασιλείας, οὐκ ἀρκουμένων ἀγωνίζεσθαι καθ᾽ σφᾶς αὐτοὺς, ἀλλὰ καὶ ἀλλοφύλους ἐπαγόντων, καὶ τὸ τελευταῖον εἰς τοῦτο ἀνάγκης ἀγόντων, ὥστε ἣν κατεστρέψατο γῆν ἐν μωαβίτιδι καὶ γαλααδίτιδι καὶ τὰ ἐν αὐτῇ χωρία τῶν ἀράβων τῷ βασιλεῖ παραδοῦναι, ὅπως ἂν μὴ συναρῆται σφίσιν εἰς τὸν κατ᾽ αὐτοῦ πόλεμον, ἄλλα τε μυρία εἰς ὕβριν αὐτοῦ καὶ ἐπήρειαν πραξάντων. ἀλλ᾽ οὖν οὐκ ἐπιτηδείως δοκεῖν ταῦτα δρᾶσαι, ὥστε διὰ τὴν τῆς ὠμότητος ὑπερβολὴν, ἐπικληθῆναι αὐτὸν παρὰ τῶν ἰουδαίων, θρακίδαν. οἱ δ᾽ ἀντιστρατιῶται αὐτοῦ τὸ πλῆθος ὄντες περὶ ὀκτακισχιλίους, φεύγουσι νυκτὸς, καὶ παρ᾽ ὃν ἔζη χρόνον ἀλέξανδρος, ἦσαν ἐν τῇ φυγῇ. καὶ οὗτος μὲν ἀπηλλαγμένος τῆς ἐκ τούτων ταραχῆς, μετὰ πάσης τὸ λοιπὸν ἠρεμίας ἐβασίλευσε. δημήτριος δ᾽ ἐκ τῆς ἰουδαίας ἀπελθὼν εἰς βέῤῥοιαν, ἐπολιόρκει τὸν ἀδελφὸν αὐτοῦ φίλιππον, ὄντων αὐτῷ πεζῶν μὲν μυρίων, χιλίων δὲ ἱππέων. στράτων δ᾽ ὁ τῆς βεῤῥοίας τύραννος φιλίππῳ συμμαχῶν, ζίζον τὸν ἀράβων φύλαρχον ἐπεκαλεῖτο, καὶ μιθριδάτην τὸν σινάκην, τὸν παρθικῶν ὕπαρχον. ὧν ἀφικομένων μετὰ πολλῆς δυνάμεως καὶ πολιορκούντων δημήτριον ἐντὸς τοῦ χαρακώματος, εἰς ὃ τοῖς τε τοξεύμασι καὶ τῇ δίψῃ συνέχοντες αὐτὸν, ἠνάγκασαν τοὺς σὺν αὐτῷ σφᾶς παραδοῦναι. λαφυραγωγήσαντες δὲ τὰ ἐν τῇ χώρᾳ καὶ τὸν δημήτριον παραλαβόντες, τὸν μὲν, τῷ μιθριδάτῃ τῷ τότε βασιλεύοντι πάρθων, ἔπεμψαν. τῶν δ᾽ ἀντιοχέων ὅσους αἰχμαλώτους εἶναι συνέβαινε, τούτους προῖκα τοῖς ἀντιοχεῦσιν ἀπέδωκαν. μιθριδάτης δ᾽ ὁ τῶν πάρθων βασιλεὺς τὸν δημήτριον εἶχεν ἐν τῇ τιμῇ τῇ πάσῃ, μέχρι νόσῳ κατέστρεψε δημήτριος τὸν βίον. φίλιππος δὲ, ἀπὸ τῆς μάχης εὐθὺς, ἐπὶ ἀντιόχειαν ἐλθὼν, καὶ κατασχὼν αὐτὴν, ἐβασίλευσε τῆς συρίας.

occurrit. habebat autem ille equitum tria millia, peditum verò quadraginta. Itaque multa vtrinque tentata ſunt, dum hic mercenarios vtpote Græcos ad defectionem ſolicitat: ille verò ſtantes cum Demetrio Iudæos. Sed quia neuter his artibus quicquam proficiebat, poſtquam viſum eſt armis decernere, victoria fuit penes Demetrium: in quo prælio miles Alexandri conductitius ad vnum cæſus eſt, nauata priùs forti ac fideli opera. Sed & ex Demetrianis multi deſiderati ſunt. Cęterùm poſtquã Alexander ad montes perfugit, miſerati eius fortunam confluxerunt ad eum circiter ſex millia, quorum metu Demetrius retrò abiit. Poſt hęc Iudęi propriis viribus bellum geſſerunt aduerſus Alexandrum, ſed ſemper victi multos amittebant è ſuorum numero. tandem potentiſſimos eorum compulſos in Bethoma oppugnauit, & capto oppido redactos in poteſtatem abduxit Hieroſolyma, vbi facinus cõmiſit longè immaniſſimum. epulans enim cũ pallacis excelſiore loco, vnde proſpectus patebat, ad DCCC. iuſſit ſuffigi crucibus: in conſpectu adhuc viuentium iugulauit vxores eorum & liberos, pœnas exigens pro acceptis iniuriis, quæ tamen inhumaniores fuerunt, licèt ſępe ab inimicis afflictus, in extremum vitę & regni periculum adductus fuerit dum non contenti propriis eum impugnare viribus, externa etiam auxilia conciunt: & poſtremo in eam neceſſitatem eum compellunt, vt quę loca in Moabitica & Galaditica regione ſubegerat, reſtitueret Arabibus, ne & ipſi arma ſua aduerſus eum cum inimicis coniungerent: preter alia quę in eius contumeliam geſta ſunt innumerata. Iniqua tamen fuit talis animaduerſio, ita vt propter hanc crudelitatẽ Thracidę cognomen apud Iudeos inuenerit. Cęterùm aduerſariorum exercitus ad octo millium numerum noctu in tutum euaſerunt: & toto tempore quo vixit Alexander, egerunt in exilio: atque ita demum liberatus à tumultibus, ſecurè adminiſtrauit regnum in poſterum. Demetrius autem relicta Iudæa profectus Berœam, Philippum fratrem ſuum oppugnauit in ea, habens ſecum decem millia peditum, & mille equites. Straton verò Berœę tyrannus & Philippi ſocius Zizum principem Arabum exciuit, & Mithridatem Sinarem prefectum Parthorum, qui poſtquam venerunt cum magno exercitu, Demetrij caſtra oppugnauerunt, & tam ſiti quàm miſſilium telorum multitudine deditionem cum ſuis facere coegerunt: abductáque ex ea regione præda maxima, Demetrium captiuum ad Mitridatem Parthorum regem miſerunt. Antiochenſes verò quotquot in caſtris inuenti ſunt, gratis dimiſſos redire Antiochiam paſſi ſunt. Parthus verò rex Demetrium apud ſe in omni honore habuit, donec ibi morbo abſumptus eſt. at Philippus poſt hanc pugnam ſtatim profectus Antiochiam, totius Syriæ regno potitus eſt.

Cap. XXIII.

Antiochi Dionysii in Iudæam expeditio.

XXI. DEinde Antiochus cognomine Dionysus, frater ipsius, Damascum principatum ambiens peruenit, & ibi rerum potitus rex factus est, qui cùm exercitum duxisset contra Arabas, Philippus eius frater hoc audito Damascum aduolat: & cùm opera Milesij arcis præfecti, vrbe Damascenorum potitus esset, per ingratitudinem non remunerauit eum, quòd vellet videri terrore vrbem, non proditione cepisse. quapropter suspectus ei redditus, rursum Damascum amisit, progressum enim in circum animi gratia Milesius exclusit, & vrbem seruauit Antiocho. at ille auditis de Philippo rumoribus, confestim rediit ex Arabia: móxque duxit in Iudæam exercitum octo millium peditum, & equitum octingentorum. Cuius inuasionem Alexander metuens, fossam profundam duxit à Caparsabe, quæ nunc Antipatris dicitur, vsque ad Ioppense mare, qua solum patebat accessus: excitatóque muro, & per interualla castellis ligneis per C L. stadia, præstolabatur Antiochum. at ille omnibus his incensis traduxit hac exercitum in Arabiam. & cùm Arabs primùm cessisset, deinde cum X. equitum millibus apparuisset, occurrēs ei Antiochus, præliatus est acriter, iámque de victoria certus occisus est, dum alterū suorum cornu laborans vult in integrum restituere. post eius casum exercitus refugit in vicum Cana, vbi maxima eius pars fame absumpta est. Post hunc Cœlesyriæ regnum Aretas adipiscitur, vocatus ad imperium à Damascenis propter odium, quo persequebantur Ptolemæum Mennæum. Is quoque in Iudæam profectus cum exercitu, deuicto Alexandro apud Adida, certis conditionibus reduxit suos vnde venerat. Alexander verò ad Dion oppidum admoto milite, eóque vi capto, ad Essam inde duxit, vbi erant Zenonis res preciosissimæ: & primum triplici muro eum locum circumdedit, dein expugnato oppido ad Caulanam duxit & Seleuciam: & subactis his quoque, redegit in suā potestatem vallem quæ Antiochi dicitur, & castellum Gamala. Obiectísque multis criminibus Demetrio locorum eorum domino principatu suo illum exuit, & tertio demum huius expeditionis anno domum reduxit exercitum, magna alacritate Iudæis eum ob res prosperè gestas excipientibus. Per hæc tempora iam & Syrorum & Idumæorum & Phœnicum vrbes tenebant Iudæi, ad mare Stratonis turrim, Appoloniam, Ioppen, Iamniam, Azotū, Gazam, Anthedona, Raphiam, Rhinocuram, in mediterraneis per Idumæā regionem Adora & Marissam, totámq; Samariam & montes Carmelum ac Itabyrium. ad hæc Scythopolim, Gadata, Gaulanitidem, Seleuciam, Gabala, & Moabiticas vrbes, Esebonem, Medabam, Lempam, Oronas, Telithonē, Zaram, Aulonē Ciliciū, Pellam, hanc vltimā diruerunt, quod incolæ recusarent Iudaicos ritus recipere possidebant & alia Syriæ non obscura opida, quæ imperio suo nouiter adiecerant. Post hæc Alexander

Κεφάλαιον κγ'.

Ἀντιόχου τοῦ Διονύσου στρατεία ἐπὶ Ἰουδαίαν.

ΕΠειτα Ἀντίοχος ὁ κληθεὶς Διόνυσος, ἀδελφὸς ὢν Φιλίππου, τῆς ἀρχῆς ἀντιποιούμενος εἰς Δαμασκὸν παραγίνεται, καὶ τῶν ἐκεῖ πραγμάτων ἐγκρατὴς γενόμενος ἐβασίλευσεν. ἐκστρατεύσαντος δ' αὐτοῦ ἐπὶ τοὺς Ἄραβας, Φίλιππος ὁ ἀδελφὸς ταῦτα ἀκούσας, ἐπὶ Δαμασκὸν ἦλθε. Μιλησίου δ' ὃς καταλέλειπτο τῆς ἄκρας φύλαξ, καὶ τῶν Δαμασκηνῶν παραδόντος αὐτῷ τὴν πόλιν, ἀχάριστος εἰς αὐτὸν γενόμενος, καὶ μηδὲν ὧν ἐλπίσας ἐδέξατο αὐτὸν παρασχὼν, ἀλλὰ τῷ παρ' αὐτοῦ φόβῳ βουληθεὶς δοκεῖν παραλαβεῖν τὴν πόλιν ἢ τῇ χάριτι τῇ Μιλησίου, δυσφορούμενος αὐτὸν οἷς ἐχρῆν ὑπωπτεύετο, καὶ πάλιν ἐκπίπτει τῆς Δαμασκοῦ. ἐξορμήσαντα γὰρ αὐτὸν εἰς ἱππόδρομον, ἀπέκλεισεν ὁ Μιλήσιος, καὶ τὴν Δαμασκὸν Ἀντιόχῳ διεφύλαξεν. ὁ δὲ ἀκούσας τὰ περὶ τὸν Φίλιππον ὑπέστρεψεν ἐκ τῆς Ἀραβίας. στρατεύεται δὲ εὐθὺς, ἐλθὼν ἐπὶ τὴν Ἰουδαίαν ὁπλίταις μὲν ὀκτακισχιλίοις, ἱππεῦσι δὲ ὀκτακοσίοις. δείσας δὲ Ἀλέξανδρος τὴν ἔφοδον αὐτοῦ, τάφρον ὀρύττει βαθεῖαν, ἀπὸ τῆς Χαβαρζαβᾶ καταρξάμενος, ἣ νῦν Ἀντιπατρὶς καλεῖται, ἄχρι τῆς εἰς Ἰόππην θαλάσσης, ᾗ καὶ μόνον ἦν ἐπίμαχον. τεῖχός τε ἐγείρας καὶ πύργους ἀναστήσας ξυλίνους, καὶ μεσοπύργια, ἐπὶ σταδίους ρν', τὸν Ἀντίοχον ἐξεδέχετο. ὁ δὲ ταῦτα πάντα ἐμπρήσας, διεβίβαζε ταύτῃ τὴν δύναμιν ἐπὶ τὴν Ἀραβίαν. ἀναχωροῦντος δὲ τοῦ Ἄραβος τὰ πρῶτα, ἔπειτα μετὰ μυρίων ἱππέων ἐξαίφνης ἐπιφανέντος ὑπαντήσας τούτοις Ἀντίοχος, καρτερῶς ἐμάχετο. καὶ δὴ νικῶν ἀπέθανε παραβοηθῶν τῷ πονοῦντι μέρει. πεσόντος δὲ Ἀντιόχου, καὶ τὸ στράτευμα φεύγει εἰς Κανὰ κώμην, ἔνθα τὸ πλεῖστον αὐτῶν λιμῷ φθείρεται. βασιλεύει δὲ μετὰ τοῦτον τῆς κοίλης Συρίας Ἀρέτας, κληθεὶς εἰς τὴν ἀρχὴν ὑπὸ τῶν τὴν Δαμασκὸν ἐχόντων, διὰ τὸ πρὸς Πτολεμαῖον τὸν Μενναίου μῖσος. στρατεύσας δ' ἐκεῖθεν ἐπὶ τὴν Ἰουδαίαν, καὶ περὶ Ἄδιδα χωρίον μάχῃ νικήσας Ἀλέξανδρον ἐπὶ συνθήκαις ἀνεχώρησεν ἐκ τῆς Ἰουδαίας. Ἀλέξανδρος δὲ ἐλάσας αὖθις ἐπὶ Δίαν πόλιν, αἱρεῖ ταύτην. καὶ στρατεύεται ἐπὶ Ἔσαν, οὗ τὰ πλείστου ἄξια Ζήνωνι συνέβαινεν εἶναι. καὶ τρισὶ μὲν περιβάλλει τείχεσι τὸ χωρίον. μάχῃ δὲ λαβὼν τὴν πόλιν, ἐπὶ Γαυλάναν καὶ Σελεύκειαν ἐξώρμησε. παραλαβὼν δὲ καὶ ταύτας, προσεξεῖλε καὶ τὴν Ἀντιόχου λεγομένην φάραγγα καὶ Γάμαλα τὸ φρούριον. ἐγκαλῶν δὲ Δημητρίῳ πολλὰ τῷ τῶν τόπων ἄρχοντι, περιέδυσεν αὐτὸν, καὶ τρίτον ἤδη πεπληρωκὼς ἔτος τῆς στρατείας εἰς τὴν οἰκείαν ὑπέστρεψε, προθύμως αὐτὸν τῶν Ἰουδαίων διὰ τὴν εὐπραγίαν δεχομένων. κατὰ τοῦτον τὸν καιρὸν ἤδη τῶν Σύρων καὶ Ἰδουμαίων καὶ Φοινίκων, πόλεις εἶχον Ἰουδαῖοι. πρὸς θαλάσσῃ μὲν Στράτωνος πύργον, Ἀπολλωνίαν, Ἰόππην, Ἰάμνειαν, Ἄζωτον, Γάζαν, Ἀνθηδόνα, Ῥαφίαν, Ῥινοκούραν. ἐν δὲ τῇ μεσογείᾳ κατὰ τὴν Ἰδουμαίαν, Ἄδωρα, καὶ Μάρισαν, καὶ Σαμάρειαν. Καρμήλιον ὄρος, καὶ τὸ Ἰταβύριον ὄρος, Σκυθόπολιν, Γάδαρα, Γαυλανῖτιδα, Σελεύκειαν, Γάβαλα, Μωαβίτιδας Ἐσεβὼν, Μήδαβα, Λέμβα, Ὀρωνας, Τελίθωνα, Ζαρᾶ, Κιλίκιον αὐλῶνα, Πέλλαν. ταύτην δὲ κατέσκαψαν, οὐχ ὑποσχομένων τῶν ἐνοικούντων εἰς τὰ πάτρια τῶν Ἰουδαίων ἔθη μεταβαλεῖσθαι. ἄλλας τε πόλεις πρωτευούσας τῆς Συρίας, αἳ ἦσαν κατεστραμμέναι. μετὰ δὲ ταῦτα Ἀλέξανδρος

ξανδρος ὁ βασιλεὺς, ἐκ μέθης εἰς νόσον καταπεσὼν, καὶ τρισὶν ἔτεσι τεταρταίῳ πυρετῷ συσχεθεὶς, οὐκ ἀπέστη τῶν στρατειῶν ἕως οὗ τοῖς πόνοις ἐξαναλωθεὶς, ἀπέθανεν ἐν τοῖς γερασηνῶν ὅροις, πολιορκῶν ῥαγαβᾶ φρούριον πέραν τοῦ ἰορδάνου. ὁρῶσα δ᾽ αὐτὸν ἡ βασίλισσα πρὸς τὸ τελευτᾶν ὄντα, καὶ μηδεμίαν ὑπογράφοντα μηκέτι σωτηρίας ἐλπίδα, κλαίουσα καὶ κοπτομένη, τῆς μελλούσης ἐρημίας αὐτήν τε καὶ τοὺς παῖδας ἀπωδύρετο, καὶ τίνι καταλείπεις οὕτως ἐμέ τε καὶ τὰ τέκνα παρ᾽ ἀλλήλων βοηθείας δεόμενα πρὸς αὐτὸν ἔλεγε, καὶ ταῦτ᾽ εἰδὼς πῶς διάκειται πρὸς σὲ δυσμενῶς τὸ ἔθνος. ὁ δὲ συνεβούλευεν αὐτῇ, πείθεσθαι μὲν οἷς ὑποθήσεται, πρὸς τὸ τὴν βασιλείαν ἀσφαλῶς κατέχειν μετὰ τῶν τέκνων. κρύψαι δὲ τὸν θάνατον αὐτοῦ πρὸς τοὺς στρατιώτας, ἕως ἂν ἐξέλῃ τὸ χωρίον. ἔπειτα ὡς ἂν νικήσῃ λαμπρῶς εἰς τὰ ἱεροσόλυμα παραγενομένη, τοῖς φαρισαίοις ἐξουσίαν τινὰ παρασχεῖν. τούτους γὰρ ἐπαινοῦντας αὐτὴν ἀντὶ τῆς τιμῆς, εὔνουν καταστήσειν αὐτῇ τὸ ἔθνος. δύνασθαι δὲ πολὺ παρὰ τοῖς ἰουδαίοις τούτους ἔφασκε, βλάψαι τε μισοῦντας, καὶ φίλους διακειμένους ὠφελῆσαι. μάλιστα γὰρ πιστεύεσθαι παρὰ τῷ πλήθει περὶ ὧν ἂν καὶ φθονοῦντες, τι χαλεπὸν λέγωσιν, αὐτόν τε προσκρούσαι τῷ ἔθνει διὰ τούτους ἔλεγεν, ὑβρισθέντας παρ᾽ αὐτοῦ. σὺ τοίνυν εἶπεν ἐν τοῖς ἱεροσολύμοις γενομένη, μετάπεμψαι μὲν τοὺς προστεύοντας αὐτῶν. ἐπιδείξασα δὲ τὸ σῶμα τοὐμὸν ἐκείνοις, ὅπως μοι βούλονται χρῆσθαι μετὰ πολλῆς ἀξιοπιστίας ἐπίτρεπε. εἴτε καθυβρίζειν ἀταφίᾳ μου θελήσουσι τὸν νεκρὸν, ὡς πολλὰ πεπονθότες ἐξ ἐμοῦ, εἴτ᾽ ἄλλην τινὰ κατ᾽ ὀργὴν αἰκίαν τῷ σώματι προσφέρειν βούλονται· καὶ μηδὲν δίχα τῆς ἐκείνων γνώμης ἐν τῇ βασιλείᾳ διαπράξασθαι ὑπίσχνου. ταῦτά σου πρὸς αὐτοὺς εἰπούσης, ἐγώ τε λαμπροτέρας ἀξιωθήσομαι πρὸς αὐτῶν κηδείας, ἧς ἂν ἔτυχον ἐκ σοῦ, μηδὲν διὰ τὸ ἐξεῖναι ποιεῖν μου κακῶς τὸν νεκρὸν διαθῆναι θελησάντων. σὺ δὲ βεβαίως ἄρξεις. ταῦτα παραινέσας τῇ γυναικὶ τελευτᾷ βασιλεύσας ἔτη ζ καὶ κ΄, βιώσας δ᾽ ἑνὸς δέοντος ν΄.

Κεφάλαιον κδ΄.

Ὡς μετὰ τὴν ἀλεξάνδρου τελευτὴν ἡ γυνὴ αὐτοῦ ἀλεξάνδρα τὴν βασιλείαν κατέχει.

Ἡ δὲ ἀλεξάνδρα τὸ φρούριον ἐξελοῦσα, κατὰ τὰς τοῦ ἀνδρὸς ὑποθήκας, τοῖς τε φαρισαίοις διελέχθη, καὶ πάντα ἐπ᾽ ἐκείνοις θεμένη, τά τε περὶ τοῦ νεκροῦ, καὶ τὰ περὶ τῆς βασιλείας, τῆς μὲν ὀργῆς αὐτοὺς τῆς πρὸς ἀλέξανδρον ἔπαυσεν. εὔνους δ᾽ ἐποίησε καὶ φίλους. οἱ δ᾽ εἰς τὸ πλῆθος παρελθόντες, ἐδημηγόρουν, τὰς πράξεις τοῦ ἀλεξάνδρου διηγούμενοι, καὶ ὅτι δίκαιος αὐτοῖς ἀπόλοιτο βασιλεὺς, καὶ τὸν δῆμον εἰς πένθος, καὶ τὴν ὑπὲρ αὐτοῦ κατήφειαν ἐξεκαλέσαντο τοῖς ἐπαίνοις, ὥς τε καὶ λαμπρότερον ἤ τινα τῶν βασιλέων, αὐτὸν ἐκήδευσαν. δύο μέντοι υἱοὺς ἀλέξανδρος κατέλιπεν, ὑρκανὸν καὶ ἀριστόβουλον, τὴν δὲ βασιλείαν εἰς τὴν ἀλεξάνδραν διέθετο. τῶν δὲ παίδων, ὑρκανὸς ἦν ἀσθενὴς πράγματα διοικεῖν, καὶ βίον ἡσύχιον μᾶλλον ἠγαπηκώς. ὁ δὲ νεώτερος ἀριστόβουλος, δραστήριός τε ἦν καὶ θαρσαλέος. ἐστέργετο μὲν οὖν ὑπὸ τοῦ πλήθους ἡ γυνὴ, διὰ τὸ δοκεῖν, ἐφ᾽ οἷς ὁ ἀνὴρ αὐτῆς ἐξήμαρτε, δυσχεραίνειν. ἡ δὲ, ἀρχιερέα μὲν ἀποδείκνυσιν ὑρκανὸν, διὰ τὴν ἡλικίαν, πολὺ μέντοι πλέον διὰ τὸ ἀπράγμον αὐτοῦ, καὶ πάντα τοῖς φαρισαίοις ἐπιτρέπει

xander ex temulentia morbo contracto, & triennio integro quartana laborans, nec tamen abstinens à castrensibus officiis, tandem exhaustis viribus fato concessit in Gerasenorum finibus, obsidens Ragaba castellum quod vltra Iordanem situm est. Quem videns regina iam morti vicinum, & nullam salutis spem præ se ferentem, flens & seipsam plangens, suam simul & liberorum desolationem lamentabatur: Cui me, inquit, & hos filios relinquis, alieno indigentes auxilio? præcipuè cùm nō ignores quàm infensus sit tibi totus populus. Tum ille consuluit ei vt suis monitis pareat, si velit securè cum filiis regnum obtinere. primùm vt apud milites celet suam mortem, tantisper dū castellum illud capiat. deinde postquā victrix magnificè Hierosolyma reuersa fuerit, Pharisæis nonnihil licentiæ permittat. hos enim pro habito sibi honore laudaturos eam, & commendaturos apud populum. posse enim plurimum apud Iudæos, siue exosum aliquem cupiant lædere, siue amicum iuuare. Valde enim his fidem habere vulgus, etiamsi per inuidiam de quopiam malè loquantur, nec se ob aliam causam incurrisse totius gentis odium, quàm quia hoc genus offenderit. Ergo, inquit, vbi Hierosolyma perueneris, accersitis eorum primoribus, ostende illis meum corpus, & verbis quàm proximè veritatem simulatis, permitte vt eo vtantur arbitratu suo, siue insepulto & proiecto cadaueri velint illudere propter antiquas iniurias, siue alio quolibet modo in id sęuire: & pollicere nihil te nisi ex illorum sentētia gesturam in administrando imperio, his verbis si apud eos vsa fueris, & mihi magnificentior quàm à te sepultura continget, contentis illis permissa potestate, & tu securè dominaberis; post hæc monita vxori data moritur, anno regni sui XXVII. vitæ verò vndequinquagesimo.

CAP. XXIIII.

Alexandro mortua vxor Alexandra in regnum succedit.

ALEXANDRA verò capto castello iuxta mariti monita Pharisæos allocuta est, & omnia illorum arbitrij faciens, quæ ad cadauer vel ad regnum pertinerent, ex infensis beneuolos eos sibi reddidit: tum illi progressi ad plebem concionabantur, res gestas Alexandri celebrantes, & regem iustum se amisisse conquerentes, populum ad eum luctum ac mœstitiam prouocauerunt, vt nullum antehac regē funerauerint sumptuosiùs. Cæterùm Alexander duos quidem reliquit filios, Hyrcanum & Aristobulum, regni tamen administrationem Alexandræ testamento reliquit. è filiis autem Hyrcanus erat rebus administrandis parum idoneus, & amator otij: minor verò natu Aristobulus audax & industrius. sed mulier gratiosa erat apud populum, eo quòd semper visa sit ægrè tulisse ea, quæ maritus præter officium faceret. illius consilio pontificatus Hyrcano obuenit, non tam ætatis prærogatiua, quàm propter innatam segnitiem: alioqui ex Pharisæorum sententia permissu reginæ gere-

XXII.

bantur omnia: quibus etiam plebs parere A iussa est: & si quid constitutionum Hyrcanus socer abrogauerat quas Pharisæi iuxta maiorũ traditiones induxerant, id totum sancitum est denuo. Nomen igitur regni erat penes reginã, penes Pharisæos verò administratio. nam hi & exulibus reditum, & vinctis solutionem procurabant. quædam tamen etiam per se prouidebat mulier & magnum mercede conductorum militum alebat numerum, virésque suas ita augebat vt terrori esset circumuicinis tyrãnis B & obsides ab eis acciperet. Et quod ad reliqua attinet, quieta erat eius ditio, soli Pharisæi turbas excitabant, incitantes reginam vt necaret illos qui Alexandro autores fuerunt sumendi de DCCC. simul viris supplicij: móxq; vnum ex his iugulãt Diogenem, deinde alium post alium donec potentiores conuenientes in regiam, & cum his Aristobulus præ se ferẽs non placere sibi quæ fierent, & si occasio daretur non permissurus tantam licentiam ma- C tri, commemorabant ei quantis rebus gestis & quantis exhaustis periculis fidem suam domino approbauerint, quódque hac de causa magnis præmiis eos dignatus sit: rogabántque eam ne omnino in contrarium spes suas verteret. nunc enim qui periculum ab hostibus euasissent, domi ab inimicis mactari more pecudum, nemine opem ferente. aiebántque si quidem cõtẽti sint iam occisis aduersarij propter innatum affectum quo dominos prose- D quantur, patienter se laturos hanc calamitatẽ. quòd si illi sæuire pergerent, petebant sibi dari discedendi veniam, neque enim nisi ipsius reginæ permissu quæsituros sibi incolumitatem, alioqui laturos vt ibidem in ipsa interficiantur regia. Sed turpe esse tum sibi, tum reginæ, si illa dissimulante à mariti inimicis vexentur. nihil enim libentius auditurum Aretam Araben & reliquos tyrannos, quàm si ipsa se priuaret talibus viris, quorum illis olim E vel nomen auditum terrori fuerit. quod si ne hoc quidem velit concedere, & malit indulgere Pharisæorum cupiditatibus, saltem per castella se distribueret. se enim quandoquidem fortuna ita persequatur Alexandri familiares, contentos esse in humili statu vitæ reliquum exigere. Hæc & alia multa cùm dicerent, & ad miserationem tam cæsorum quàm periclitantium manes Alexandri inuocarent, omnibus circumstantibus commotæ sunt lacrymæ: sed F maximè Aristobulus mentem suam declarabat, multis verbis matrem corripiens. Verùm illi sibiipsis causa fuerunt horum malorum, qui fœminę ambitione imperande præter æquum commiserunt regi habenas, quasi verò deessent posteri. Tum illa inops melioris consilij, custodiam castellorum eis credidit, exceptis Hyrcania, Alexandrio & Machærunte, in quib. res sibi charissimas recondiderat. Nec G multo pòst Aristobulum filium cum exercitu misit versus Damascum, contra Ptolemæum Mennæum, qui grauis erat vbi vicinus. Sed ille nulla re memorabili gesta domũ rediit. Per idẽ tẽpus nũciatũ est, Tigranẽ Armeniorũ regẽ cũ D. militu millibus inuasisse Syriã, & breui in Iudæam esse venturũ. ea fama nõ immeritò

ἐμβεβληκὼς εἰς τὴν συρίαν, καὶ ἐπὶ τὴν ἰουδαίαν

A ποιεῖν, οἷς καὶ τὸ πλῆθος ἐκέλευσε, πειθαρχεῖν, καὶ εἴτι δὲ καὶ τῶν νομίμων ὑρκανὸς ὁ πενθερὸς αὐτῆς κατέλυσεν, ὡς εἰσήνεγκαν οἱ φαρισαῖοι κατὰ τὴν πατρῴαν παράδοσιν, τοῦτο πάλιν ἀποκατέστησε. τὸ μὲν οὖν ὄνομα τῆς βασιλείας εἶχεν αὐτή, τὴν τε δύναμιν οἱ φαρισαῖοι. καὶ γὰρ φυγάδας οὗτοι κατῆγον, καὶ δεσμώτας ἔλυον, καὶ καθάπαξ οὐδὲν δεσποτῶν διέφερον. ἐποιεῖτο μέντοι καὶ ἡ γυνὴ τῆς βασιλείας πρόνοιαν. καὶ πολὺ μισθοφορικὸν συνίστησι, καὶ τὴν ἰδίαν δύναμιν ἀπέδειξε πλείονα, ὡς καταπλῆξαι τοὺς πέριξ τυράννους, καὶ λαβεῖν ὅμηρα αὐτῶν. ἠρέμει δὲ ἡ χώρα πᾶσα παρὲξ τῶν φαρισαίων. οὗτοι γὰρ ἐπετάραττον τὴν βασίλισσαν, πείθοντες ὡς κτείνοιεν τοὺς ἀλεξάνδρῳ παραινέσαντας ἀνελεῖν τοὺς ω΄. εἶτα αὐτοὶ τούτων ἕνα σφάττουσι διογένην, καὶ μετ' αὐτὸν ἄλλους ἐπ' ἄλλοις, ἕως οἱ δυνατοὶ παρελθόντες εἰς τὸ βασίλειον, καὶ μετ' αὐτῶν ἀριστόβουλος, ἐῴκει γὰρ τοῖς γινομένοις δυσαναχετῶν, καὶ δῆλος ἦν καθάπαξ εἰ ἀφορμῆς γένοιτο μὴ ἐπιτρέψων τῇ μητρί, ἀνεμίμνησκον ὅσα κατορθώσαντο τοῖς κινδύνοις, δι' ὧν τὸ σφίσι βέβαιον τῆς πίστεως, πρὸς τὸν δεσπότην ἐπεδείξαντο, ἀνθ' ὧν ὑπ' αὐτοῦ μεγίστων ἠξιώθησαν. καὶ ἐδέοντο μὴ ἄχρι τοῦ παντὸς ἔμπαλιν τρέψαι σφίσι τὰς ἐλπίδας. ἀποφυγόντας γὰρ τὸν ἐκ πολεμίων κίνδυνον, ἐν τῇ οἰκίᾳ ὑπὸ ἐχθρῶν δίκην βοσκημάτων κόπτεσθαι, μηδεμιᾶς τιμωρίας οὔσης. ἔλεγόν τε, ὡς εἰ μὲν ἀρκεσθεῖεν τοῖς ἀνῃρημένοις οἱ ἀντίδικοι, διὰ τὸ πρὸς τοὺς δεσπότας γνήσιον μετρίως οἴσειν τὰ ξυμβάντα. εἰ δ' αὖ μέλλοιεν ταῦτα μετιέναι, ἠξίουν μάλιστα μὲν δοθῆναι σφίσιν ἀπαλλαγήν. οὐ γὰρ ἂν ὑπομεῖναι χωρὶς αὐτῆς πορίσασθαί τι σωτήριον, ἀλλ' ἀσμενίζειν θνήσκοντες πρὸς τοῖς βασιλείοις ὡς μὴ συγγνῶσιν αὐτοῖς. αἶσχός τε εἶναι σφίσι καὶ τῇ βασιλίσσῃ εἰ πρὸς αὐτῆς ἀμελούμενοι, ὑπὸ τῶν ἐχθρῶν τοῦ ἀνδρὸς ἐκδεχθείησαν. ἀντὶ παντὸς γὰρ ἂν τιμήσασθαι ἀρέταν τε τὸν ἄραβα, καὶ τοὺς μονάρχας, εἰ ἀποξενολογήσαιεν τοιούσδε ἄνδρας, οἷς ἦν τάχα φρικῶδες καὶ τοὔνομα πρὶν ἀκουσθῆναι. εἰ δὲ μή, τό γε δεύτερον, εἰ τοὺς φαρισαίους αὐτῇ προτιμᾶν ἔγνωσαι, καταστῆσαι ἕκαστον αὐτῶν ἐν τοῖς φρουρίοις. εἰ γὰρ ὧδε δαίμων τις ἐνεμέσησεν τῷ ἀλεξάνδρου οἴκῳ, αὐτοῖς γε μὴν ἂν ἐπιδεῖξαι καὶ ἐν ταπεινῷ σχήματι βιοτεύοντας. πολλὰ δὲ λεγόντων αὐτῶν, καὶ εἰς οἶκτον τῶν τεθνεώτων, καὶ τῶν κινδυνευόντων τοὺς ἀλεξάνδρου δαίμονας ἐπικαλουμένων, ἅπαντες οἱ παρεστῶτες ὥρμησαν εἰς δάκρυα. μάλιστα δὲ ἀριστόβουλος ὅπως ἔχοι γνώμην ἐδήλου, πολλὰ τὴν μητέρα κακίζων. ἀλλὰ γὰρ ἐκεῖνοι μὲν αἴτιοι σφίσιν αὐτοῖς τῆς συμφορᾶς ἐγένοντο, καὶ φιλαρχίαν ἐκλελυσσηκυίᾳ γυναικὶ παρὰ τὸ εἰκὸς βασιλεύειν γενεᾶς ἕνεκα μὴ οὔσης ἐπιτρέψαντες. ἡ δέ, οὐκ ἔχουσα ὅτι πράξει μετὰ τοῦ εὐπρεποῦς, τὴν φυλακὴν τῶν χωρίων σφίσιν ἐπίστευσεν, ὅτι μὴ ὑρκανίας καὶ ἀλεξανδρείου, καὶ μαχαιροῦντος, ἔνθα τὰ πλείστου ἄξια ἦν αὐτῇ. καὶ μετ' οὐ πολὺ τὸν υἱὸν ἀριστόβουλον, μετὰ στρατιᾶς ἐξέπεμψεν ἐπὶ δαμασκόν, κατὰ πτολεμαίου τοῦ μενναίου τοῦ λεγομένου, ὃς βαρὺς ἦν τῇ πόλει γείτων. ἀλλ' ὁ μὲν οὐδὲν ἐργασάμενος σπουδῆς ἄξιον ὑπέστρεψε. κατὰ δὲ τοῦτον τὸν καιρὸν ἀγγέλλεται τιγράνης ὁ τῶν ἀρμενίων βασιλεύς, ἅμα μυριάσι στρατιωτῶν ν', ἀφιξόμενος. τοῦτο ὥσπερ εἰκὸς ἐφόβησε τὴν βασίλισσαν καὶ

σαν καὶ τὸ ἔθνος, καὶ δῶρα δὲ πολλὰ καὶ λόγου ἄξια πέμ-
πουσιν αὐτῷ καὶ πρέσβεις, πολιορκοῦντι τὴν Πτολεμαΐδα.
βασίλισσα γὰρ Σελήνη, ἡ καὶ Κλεοπάτρα καλουμένη, τῶν ἐν
τῇ Συρίᾳ κατῆρχεν, ἣ καὶ συνῆγε τοὺς ἐνοικοῦντας ἀποκλεῖ-
σαι Τιγράνην. συνετύγχανον οὖν αὐτῷ, καὶ ἐδέοντο χρηστὰ πε-
ρὶ τῆς βασιλίσσης καὶ τοῦ ἔθνους συγγινώσκειν. ὁ δὲ ἀποδε-
ξάμενος αὐτοὺς τῆς ἐκ διαστήματος θεραπείας, ἐλπίδας
ὑπέθετο χρηστάς. ἄρτι δὲ τῆς Πτολεμαΐδος ἑαλωκυίας, ἀγ-
γέλλεται Τιγράνῃ, Λεύκολλον διώκοντα Μιθριδάτην,
ἐκείνου μὲν διαμαρτεῖν, εἰς τοὺς Ἴβηρας ἀναφυγόντος, τὴν
δὲ Ἀρμενίαν πορθήσαντα πολιορκεῖν. Τιγράνης δὲ ταῦτα
ἐπιγνοὺς, ἀνεχώρει τὴν ἐπ' οἴκου. μετὰ δὲ τοῦτο τῆς βασιλίσ-
σης εἰς νόσον χαλεπὴν ἐμπεσούσης, δόξαν Ἀριστοβούλῳ
τοῖς πράγμασιν ἐπιτίθεσθαι, τῆς νυκτὸς ὑπεξελθὼν μεθ'
ἑνὸς τῶν θεραπόντων, ᾔει ἐπὶ τὰ φρούρια, ἵνα οἱ πατρῷοι
κατετάχθησαν αὐτῷ φίλοι. πάλαι γὰρ ἀχθόμενος, οἷς ἐ-
πραττεν ἡ μήτηρ, πολὺ μᾶλλον ἔδεισε μὴ ἀποθανού-
σης, ἐπὶ τοῖς Φαρισαίοις τὸ πᾶν γένος αὐτῶν ὑπάρξειν.
ἑώρα γὰρ τὸ ἀδύνατον τοῦ μέλλοντος διαδέχεσθαι τὴν
ἀρχὴν ἀδελφοῦ. ξυνῄδει δ' ἡ γυνὴ τῇ πράξει μόνη, ἣν
κατέλιπεν αὐτόθι μετὰ τῶν τέκνων. καὶ πρῶτον ἀφικόμενος
εἰς Ἄγαβα, ἔνθα Γαλαίστης ἦν τῶν δυνατῶν, ὑπεδέχθη
πρὸς αὐτοῦ. μεθ' ἡμέραν δὲ τῇ βασιλίσσῃ αἴσθησις γίνε-
ται τῆς Ἀριστοβούλου φυγῆς, καὶ μέχρι τινὸς ᾤετο γεγονέ-
ναι τὴν ἀναχώρησιν οὐκ ἐπὶ νεωτερισμῷ. ὡς μέντοι ἧκον
ἀπαγγέλλοντες ἄλλοι ἐπ' ἄλλοις ὅτι κατειλήφει τὸ
πρῶτον χωρίον καὶ τὸ δεύτερον, καὶ ξύμπαντα, εὐθὺς γὰρ
ἑνὸς ἀρξαμένου πάντα ὑπήγετο πρὸς τὸ ἐκείνου βούλη-
μα, τότε δὴ ἐν μεγίσταις ταραχαῖς ὑπῆρχεν ἥτε βασί-
λισσα καὶ τὸ ἔθνος. ἤδεισαν γὰρ οὐ πόρρω τοῦ δύνασθαι
τὴν ἀρχὴν αὐτῷ κρατῦναι τὸν Ἀριστόβουλον ὄντα. μάλιστα
δ' ἔδεισαν μὴ ποινὴν εἰσπράξηται ὧν παρῴνησαν αὐ-
τοῦ τὸν οἶκον. δόξαν οὖν τὴν γυναῖκα αὐτοῦ καὶ τέκνα εἰς τὸ
ὑπὸ τοῦ ἱεροῦ φρούριον κατέθεσαν. Ἀριστοβούλῳ δὲ ὥσαν ἐκ
πολλῶν συνανελέχθη, ἀφ' ὧν δὴ καὶ κόσμος ἤδη βασι-
λείος περὶ αὐτὸν ἦν. σχεδὸν γὰρ ἐν ἡμέραις ιε', χωρίων ἐκρά-
τησεν κβ', ὅθεν ἀφορμὰς ἔχων, στρατιὰν ἤθροιζεν ἀπό τε
Λιβάνου καὶ Τράχωνος, καὶ τῶν μοναρχῶν. οἱ γὰρ ἄνθρωποι τῷ
πλείονι ὑπαγόμενοι, ῥᾳδίως ὑπήκουον, ἄλλως δὲ νομί-
ζοντες εἰ ξυλλάβοιεν αὐτῷ τῶν μὴ προσδοκωμένων, οὐκ
ἧσσον καρπώσεσθαι τὴν βασιλείαν, ὡς αὐτοὶ τοῦ κρατῆ-
σαι πρόφασις γενηθέντες. τῶν δὲ Ἰουδαίων οἱ πρεσβύ-
τεροι καὶ Ὑρκανὸς, εἰσῄεσαν ὡς τὴν βασίλισσαν, καὶ ἐδέοντο
ὑποθέσθαι γνώμην περὶ τῶν ἐνεστώτων. τὸν γὰρ Ἀριστόβου-
λον, τῶν πάντων σχεδὸν ἤδη κυριεύειν, ὁπότε χωρίων το-
σούτων κρατήσειεν. ἄτοπον δὲ εἰ καὶ τὰ μάλιστα κάμνοι
περιούσης αὐτῆς καθ' σφᾶς βουλεύεσθαι. παρεστάναι δὲ τὸν
κίνδυνον οὐ διὰ μακροῦ σφίσιν. ἡ δὲ αὐτοὺς ἐκέλευσε
πράττειν ὅτι δοκοῦσι χρήσιμον εἶναι, πολλὰς δὲ αὐτοῖς ἀ-
φορμὰς λείπεσθαι, τὸ ἔθνος ἐρρωμένον, καὶ δύναμιν,
καὶ τὰ ἐν τοῖς γαζοφυλακίοις χρήματα. αὐτῇ γὰρ μικρὸν
ἐπιμέλειν τῶν πραγμάτων, ὡς ἀπολείποντος ἤδη τοῦ
σώματος. ταῦτ' εἰποῦσα μετ' οὐ πολὺ ἐτελεύτησε,
βασιλεύσασα ἔτη θ'. τὰ δὲ σύμπαντα βιώσασα γ' καὶ
ο'. γυνὴ τῷ ἀσθενεῖ τοῦ φύλου κατ' οὐδὲν χρησαμένη.
δεινὴ γὰρ εἰς τὸ φίλαρχον ἐν τοῖς μάλιστα γενομένη διή-
λεγξεν ἔργοις τότε πρακτικὸν τῆς ἐν αὐτῇ γνώμης, καὶ τὸ
ἀσύνετον τῶν ἀεὶ πταιόντων περὶ τὰς δυναστείας ἀνδρῶν.

A reginam & totam gentem terruit miserúntq;
ad eum legatos cum magni precij muneribus,
obsidentem tunc Ptolemaidē. Regina enim Se-
lene, aliàs Cleopatra dicta, imperabat in Syria,
& incolis eius autor erat vt Tigranem exclu-
derēt. Ibi inuentum regem legati rogauerūt, vt
bene sibi de regina sua déq; tota Iudæorū gēte
polliceretur. Ille verò collaudatos quòd è lon-
ginquo venisset ad exhibēdū sibi officiū, iussit
oīa bona spare. Capta verò Ptolemaide nūcia-
B tur Tigrani, Lucullū dū persequitur Mithrida-
tē, illū quidē non assecutū, qui iā in Iberiā eua-
serat, sed Armeniā ingressū vastare eā regionē:
quo cognito ille statim domū reuersus est. Post
hæc cùm regina in morbū difficilē incidisset,
& visum est Aristobulo iā adesse tēpus aggre-
diendi negotiū, noctu egress⁹ vno comitante
famulo contulit se ad ea castella, quib. paterni
amici erant præpositi. Iā dudū.n. moleste ferens
quæ mater gerebat, tum verò lōgè magis time-
C bat, ne illa mortua totū suum genus veniret in
potestatē Pharisæorū: & videbat quàm ineptus
esset administrationi frater, ad quem spectabat
successio. Cōscia verò fuit ei⁹ conat⁹ sola vxor
quā domi reliquit cū liberis. ac primū venit A-
gaba, vbi Galæstes erat vnus è potētibus, à quo
perlibēter exceptus est. Sequēti verò luce regi-
na sensit Aristobuli absētiā: nec tamē statim su-
spicata est illū ad res nouādas esse ꝓfectū. Verū
posteaquā venerūt nuncij alij super alios, ꝙ iā
D hoc, iā illud castellum occupasset: nā vno inci-
piēte statim reliqua oīa in ei⁹ potestatē se dedi-
derūt: tū demū in magna cōsternatione fuit &
ipsa regina & vniuersa gēs. sciebāt enī nō mul-
tū abesse Aristobulū, quin sibi vsurparet gētis
īperiū: & vehemēter timebāt ne pœnas exige-
ret ab illis, qui in ipsius familiares debacchati
fuerāt. placuit igitur vt vxor ei⁹ cū liberis cu-
stodiretur in castello quod tēplo erat appositū.
ad Aristobulū autē magn⁹ fiebat cōflux⁹, vt iā
E nec strepitus deesset, nec ornatus regius. nam
intra quindecim fermè dies occupauit castella
vigintiduo. in quib. habēs receptaculum, col-
ligebat exercitū à monte Libano & Trachoni-
tide & à tyrānis. homines enim semper plurib.
se agglomerantes libēter obtēperabāt, sperātes
etiam nonnihil vtilitatis se percepturos ex eo,
quem ipsi ex insperato res nouas moliētē eue-
xissent ad dignitatis regiæ fastigiū. Iudæorum
autem seniores & Hyrcanus reginā conuene-
F runt, & rogabant vt præsentibus reb. aliquod
expediret consiliū. Aristobulū enim iam penè
totam dominationem ad se traxisse, occupatis
tot locorū opportunitatib. se autem non dece-
re, etiamsi maximè ipsa ægrotet, ea superstite
cōsultare absque illius conscientia. periculum
autē iam esse penè pro foribus. at illa iubebat
eos facere quicquid putarent reipub. conduce-
re. habere eos magnā facultatē, vires gentis, mi-
lites, & in ærario multā pecuniā: sibi enim iam
G non admodum curæ esse rerum administratio-
nē, nimirū deficiēte corpusculo. his dictis non
multo post extremū halitū reddidit, exacto an-
no regni IX. vitę tertio supra septuagesimū mu-
lier supra sexū suū egregia, vt quæ mirū in mo-
dū honorū & imperandi cupida, operibus de-
clarauit suā industriā, quasi exprobrās viris in-
scitiā, qui parū feliciter administrāt respublicas

ſemper enim præſentibus magis quàm futuris intenta, & omnia poſt habendo moderatæ gubernationi, neque ab honeſtate neque à iuſtitia deduci voluit. Familia tamen eius in tale incurrit infortunium, vt potentiam quam ſibi multis ſudoribus & periculis parauerat, propter huius non muliebres cupiditates paulo pòſt amiſerit: quia & cum inimicis familiæ ſuę ſenſiſſe videtur, & rempublicam orbaſſe præſidibus: quin & poſt obitum eius ex reliquiis malæ ipſius adminiſtrationis, multæ turbelæ originem duxerunt in domo regia, attamen quàm diu rebus præfuit, gentem in pace continuit. atque hic fuit rerum Alexandræ reginæ exitus.

A τὸ γὰρ παρὸν κρεῖττον ἀξιοῦσα τοῦ μέλλοντος, καὶ πάντα δεύτερα τιθεμένη τοῦ ἐγκρατῶς ἄρχειν, οὔτε καλοῦ, οὔτε δικαίου ἕνεκά γε τούτων ἐπεστρέφετο. εἰς γοῦν τοῦτο τὸν οἶκον ἀτυχίας τὰ πράγματα περιέστησεν, ὥστε ἣν μετὰ πλείστων κινδύνων καὶ ταλαιπωριῶν περιεκτήσατο δυναστείαν, ἐπιθυμίᾳ τῶν μὴ προσηκόντων γυναικὶ, χρόνοις οὐ πολλοῖς ὕστερον ἀφαιρεθῆναι, τοῖς μὲν δυσμενῶς ἔχουσι πρὸς τὸ γένος αὐτῶν τὴν αὐτῆς γνώμην προσθεῖσα, τὴν δὲ ἀρχὴν ἔρημον τῶν προηγουμένων ποιησαμένη. καὶ ξυμ- B φορῶν δὲ ἐνέπλησε καὶ ταραχῆς ἐξ ὧν ζῶσα ἐπολιτεύσατο καὶ μετὰ τὴν τελευτὴν τὸ βασίλειον. οὐ μὴν ἀλλὰ καίπερ οὕτως ἄρξασα, ἐν εἰρήνῃ τὸ ἔθνος διεφύλαξεν. τὰ μὲν οὖν περὶ Ἀλεξάνδραν, τοῦτο εἶχε τέλος.

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩ ΤΕΤΑΡΤΩ ΚΑΙ ΔΕΚΑΤΩ
λόγῳ τῶν Ἰωσήπου ἱστοριῶν τῆς ἰουδαϊκῆς ἀρχαιολογίας.

Ἀριστοβούλου καὶ ὑρκανοῦ περὶ τῆς βασιλείας πόλεμος, καὶ ὡς συμβάντες ἔκριναν βασιλεύειν μὲν ἀριστόβουλον, ὑρκανὸν δὲ ἰδιωτεύειν. Κεφ. α.

Περὶ ἀντιπάτρου καὶ γένους αὐτοῦ, καὶ τίνα τρόπον εἰς λαμπρότητα καὶ δύναμιν ἅμα τοῖς παισὶ προήχθη, καὶ ὑρκανοῦ φυγὴ πρὸς ἀρέταν τὸν τῶν ἀράβων βασιλέα. Κεφ. β.

Ὡς ἀριστόβουλος μάχῃ ἡττηθεὶς συνδιώκεται ἐπὶ ἱεροσόλυμα. Κεφ. γ.

Ὑρκανοῦ καὶ ἀριστοβούλου πρεσβεῖαι πρὸς σκαῦρον περὶ συμμαχίας. Κεφ. δ.

Ὡς ἀριστόβουλος καὶ ὑρκανὸς πρὸς πομπήϊον ἦλθον περὶ τῆς βασιλείας δικαιολογούμενοι. Κεφ. ε.

Ὡς πομπήϊος στρατηγήματι χρησάμενος τὰ φρούρια παρέλαβεν. Κεφ. ϛ.

Ὡς ἱεροσολυμῖται τὰς πύλας ἀπέκλεισαν τοῖς ῥωμαίοις. Κεφ. ζ.

Ὡς πομπήϊος αἱρεῖ κατὰ κράτος τὸ ἱερὸν, καὶ τὴν κάτω πόλιν, καὶ περὶ τῆς θεοσεβείας αὐτοῦ. Κεφ. η.

Ὅτι σκαύρου στρατεύσαντος ἐπὶ πέτραν βασίλειον οὖσαν τῶν ἀράβων, ἀντίπατρος πείθει τὸν ἄραβα συμμαχίαν πρὸς αὐτὸν ποιήσασθαι. Κεφ. θ.

Ὡς ἀλέξανδρος ὑπὸ γαβινίου κρατηθεὶς τῇ μάχῃ καὶ εἰς φρούριόν τι κατακλεισθεὶς πολιορκεῖται. Κεφ. ι.

Ὡς φυγόντα ἐκ ῥώμης ἀριστόβουλον εἰς ἰουδαίαν λαβὼν γαβίνιος αἰχμάλωτον πάλιν ἀνέστρεψεν εἰς ῥώμην. Κεφ. ια.

Κράσσου κατὰ τὴν ἐπὶ πάρθους στρατείαν εἰς τὴν ἰουδαίαν ἀνάβασις, καὶ σύλησις τῶν ἱερῶν χρημάτων. Κεφ. ιβ.

Φυγὴ πομπηΐου εἰς ἤπειρον, καὶ σκιπίωνος εἰς συρίαν ἄφιξις. Κεφ. ιγ.

Καίσαρος ἐπ' αἴγυπτον στρατεία, καὶ ὡς ἰουδαῖοι αὐτῷ συνεμάχησαν. Κεφ. ιδ.

Ἀντιπάτρου ἀριστεία καὶ φιλία πρὸς καίσαρα. Κεφ. ιε.

HÆC CONTINENTVR IN IOSEPHI LIBRO DECImoquarto Antiquitatum Iudaicarum.

Poſt contentionem de regno inter Ariſtobulum & Hyrcanum, conuentum eſt vt Ariſtobulus regnaret: Hyrcanus priuatam vitam degeret. Cap. I.

Antipatri genus, & quomodo claritatem ac potentiam ſibi & ſuis liberis parauerit: & fuga Hyrcani ad Aretam regem Arabum. Cap. II.

Ariſtobulus prælio victus compellitur Hieroſolyma. Cap. III.

Hyrcani & Ariſtobuli legationes à Scauro petentes auxilium. Cap. IV.

Quomodo Hyrcanus & Ariſtobulus apud Pompeium de regno diſceptauerint. Cap. V.

Quo ſtratagemate Pompeius caſtella occupauerit. Cap. VI.

Hyeroſolymitani portas Romanis claudunt. Cap. VII.

Pompeius templum cum inferiore vrbis parte vi expugnat. Cap. VIII.

Scaurus bello aggreſſus Aretam, fœdus Antipatri ſuaſu cum eo feriit. Cap. IX.

Alexander à Gabinio victus in quodam caſtello oppugnatur. Cap. X.

Ariſtobulus Romæ vinculis elapſus, rurſum in Iudæa captus, à Gabinio Romam remittitur. Cap. XI.

Craſſi contra Parthos ducentis per Iudæam iter & ſacrilegium. Cap. XII.

Pompeij in Epirum, & Scipionis in Syriam aduentus. Cap. XIII.

Cæſaris in Ægyptum expeditio, & quàm fideli Iudæorum opera adiutus ſit. Cap. XIV.

Antipatri res geſtæ, & cum Cæſare amicitia. Cap. XV.

Καίσαρος ἐπιστολαὶ καὶ δόγματα συγκλήτου περὶ τῆς πρὸς ἰουδαίους φιλίας. Κεφ. ις.
Ὅτι ἀντίπατρος τοῖς παισὶ ἡρώδῃ μὲν τῆς γαλιλαίας πρόνοιαν, φασαήλῳ δὲ ἐπέτρεψε τὴν ἱεροσολύμων. καὶ ὡς σέξτος καῖσαρ μέγαν καὶ ἔνδοξον τὸν ἡρώδην ἐποίησεν. Κεφ. ιζ.
Ὡς κάσσιος τήν τε ἰουδαίαν ἐκάκωσε, καὶ τάλαντα ὠ παρ' αὐτῶν εἰσεπράξατο. Κεφ. ιη.
Ὡς μάλιχος ἐπιβουλεύων, ἀντίπατρον ἀνεῖλε φαρμάκῳ. Κεφ. ιθ.
Ὡς ἡρώδης ἐπιστείλαντος αὐτῷ κασσίου τὸν μάλιχον ἐδολοφόνησεν. Κεφ. κ.
Ὡς ἀντίγονον τὸν ἀριστοβούλου βοηθούμενον παρὰ τῶν τυρίων τυράννου ἡρώδης ἀπαντήσας τρέπει τε καὶ τῆς ἰουδαίας ἐκβάλλει. Κεφ. κα.
Ὅτι ἡρώδης ἐν βιθυνίᾳ παραγεγονότα πολλοῖς χρήμασιν ἐθεράπευσεν ἀντώνιον, διὰ τοῦτο τοὺς κατηγορεῖν αὐτοῦ ἐθελήσαντας οὐκ ἐδέξατο. Κεφ. κβ.
Πῶς ἀντώνιος εἰς συρίαν παραγενόμενος ἡρώδην καὶ φασάηλον τετράρχας κατέστησεν. Κεφ. κγ.
Στρατεία πάρθων εἰς συρίαν, καθ' ἣν τὸν ἀριστοβούλου υἱὸν ἀντίγονον εἰς τὴν βασιλείαν κατήγαγον. Κεφ. κδ.
Ὡς οἱ πάρθοι ὑρκανὸν καὶ φασάηλον αἰχμαλώτους ἔλαβον. Κεφ. κε.
Ὡς ἡρώδης εἰς τὴν ῥώμην παραγενόμενος ἀπεδείχθη ὑπὸ τῆς συγκλήτου βασιλεὺς τῆς ἰουδαίας. Κεφ. κς.
Ἔκπλους ἡρώδου ἀπὸ ῥώμης καὶ μάχη πρὸς ἀντίγονον. Κεφ. κζ.
Πῶς ὑπὸ σοσίου καὶ ἡρώδου ἀντίγονος διεφθάρη. Κεφ. κη.

Cæſaris literæ,& ſenatuſconſulta de Iudæorum amicitia. CAP. XVI.
Antipater ex filiis ſuis Herodi Galilææ, Phaſaëlo Hieroſolymorum regimẽ committit:& quòd Sextus Cæſar Herodem magnum ac illuſtrem reddidit. CAP. XVII.
Caſſius afflictis Iudæis inſuper octingenta talenta ab eis exigit. CAP. XVIII.
Malichus per inſidias Antipatrum veneno tollit. CAP. XIX.
Herodes iuſſu Caſſij Malichum dolo interficit. CAP. XX.
Antigonum Ariſtobuli filium auxilio Tyriorum tyranni paternum regnum repetentem,Herodes profligatum è Iudæa pellit. CAP. XXI.
Herodes in Bithynia occurrens Antonio, pecuniis eum ſibi conciliat, quo factum eſt,vt ille accuſatores eius non admiſerit. CAP. XXII.
Antonius in Syriam prouinciam veniens Herodem cum Phaſaëlo tetrarchas conſtituit. CAP. XXIII.
Parthi Antigonum Ariſtobuli filium in regnum reducunt. CAP. XXIV.
Parthi Hyrcanum & Phaſaëlum captiuos abducunt. CAP. XXV.
Herodes Romæ à Senatu Iudææ rex declaratur. CAP. XXVI.
Herodis ex Italia nauigatio & pugna aduerſus Antigonum. CAP. XXVII.
Antigonus à Soſio & Herode opprimitur. CAP. XXVIII.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΙ-ΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ ΚΑΙ ΔΕΚΑΤΟΣ.

FLAVII IOSEPHI ANTIQVITATVM IVDAICARVM

LIBER DECIMVSQVARTVS.

Cap. I.

Post contentionem de regno inter fratres conuentum est vt Aristobulus regnaret, Hyrcanus priuatam vitam degeret.

De Alexandræ reginæ rebus & obitu in præcedenti volumine diximus, nunc quę deinceps consecuta sunt, dicturi sumus, nihil magis studentes quàm ne quid vel per ignorantiam vel per obliuionem prætermittamus. Nam qui historiam & rerum propter antiquitatem obscurarum expositionem scribere se profitentur, debent quidem non negligere orationis cultum, & elegantem compositionem, tum quicquid lectioni gratiam conciliat, & adimit tædium: sed præcipua cura impendenda est veritatis studio, ne suam fidem sequentes fallant & inducant in errorem aliquem. Cùm igitur pontificatum accepisset Hyrcanus anno tertio septimæ & septuagesimæ supra centesimam Olympiadis, Q. Hortensio, Q. Metello Cretico Coss. statim bellum ei Aristobulus intulit: & commisso ad Hierichuntem prælio, multi ex eius militibus ad fratrem transfugerunt. quo facto Hyrcanus in arcem confugit. in quam custodiendi filij & vxor Aristobuli à matre eius depositi fuerant, vt antè diximus. reliqui etiam eius factionis homines cùm victoris metu intra septum fani se recepissent, breui deditionem fecerunt. Cœptum est deinde agi inter fratres de pacis conditionibus, in quibus obtinuit Aristobulus vt regnaret, & fratrem sineret in otio frui quæ illi obuenerant facultatibus, & priuatam vitam agere. Hoc fœdus ictum est in ipso templo, & data acceptáque fide, iunctísque dexteris sancitum: & post mutuos complexus in conspectu populi factos digressi sunt, alter in regiam, alter priuatus in ædes Aristobuli.

Κεφάλαιον α'.

Ἀριστοβούλου καὶ ὑρκανοῦ περὶ τῆς βασιλείας πόλεμος, καὶ ὡς συμβάντες ἐκεῖναι βασιλεύειν μὲν ἀριστόβουλον, ὑρκανὸν δὲ ἰδιωτεύειν.

Τὰ μὲν οὖν περὶ ἀλεξάνδραν τὴν βασίλισσαν καὶ τὸν θάνατον αὐτῆς, ἐν τῇ πρὸ ταύτης ἡμῖν βίβλῳ δεδηλώκαμεν. τὰ δὲ τούτοις ἀκόλουθα νῦν ἐροῦμεν, οὐκ ἄλλου τινός, ἢ τοῦ μηδὲν παραλιπεῖν τῶν πραγμάτων ἢ δι' ἄγνοιαν ἢ διὰ κάματον τῆς μνήμης, προμηθούμενοι. τὴν γὰρ ἱστορίαν καὶ τὴν μήνυσιν τῶν ἀγνοουμένων τοῖς πολλοῖς πραγμάτων διὰ τὴν ἀρχαιότητα δεῖ μὲν, καὶ τὸ τῆς ἐπαγγελίας κάλλος, ὅσον δὴ τοῦτ' ἐστὶν ἔκ τε τῶν ὀνομάτων καὶ τῆς τούτων ἁρμονίας, καὶ ὅσα πρὸς τούτοις συμβάλλεται κόσμον τῷ λόγῳ τοῖς ἀναγνωσομένοις ἔχειν, ὥστ' ἂν μετὰ χάριτός τινος, καὶ ἡδονῆς τὴν ἐμπειρίαν παραλαμβάνοιεν. πάντων δὲ μᾶλλον, τῆς ἀκριβείας τοὺς συγγραφεῖς στοχάζεσθαι δεῖ, καὶ τοῦ τἀληθῆ λέγειν τοῖς περὶ ὧν οὐκ ἴσασιν αὐτοί, πιστεύειν αὐτοῖς μέλλουσι. ἀρξαμένου τοίνυν τῆς ἀρχιερωσύνης ὑρκανοῦ τῷ γ' ἔτει τῆς ζ' καὶ ο' πρὸς ταῖς ρ' ὀλυμπιάδος, ὑπατεύοντος ῥωμαίων κοΐντου ὀρτησίου, καὶ κοΐντου μετέλλου, ὃς δὴ καὶ κρητικὸς ἐπεκαλεῖτο, πόλεμον εὐθὺς ἐκφέρει πρὸς αὐτὸν ἀριστόβουλος, καὶ τῆς μάχης αὐτῷ γενομένης πρὸς ἱεριχοῦντι, πολλοὶ τῶν στρατιωτῶν αὐτοῦ πρὸς τὸν ἀδελφὸν αὐτομολοῦσιν, οὗ γενομένου, φεύγει πρὸς τὴν ἀκρόπολιν ὑρκανός, ἔνθα συνέβαινε κατεῖρχθαι τὴν ἀριστοβούλου γυναῖκα, καὶ τοὺς παῖδας αὐτοῦ ὑπὸ τῆς μητρὸς καθὰς προειρήκαμεν. καὶ τοὺς ἀντιστασιώτας δὲ καταφυγόντας εἰς τὸν τοῦ ἱεροῦ περίβολον, αἱρεῖ προσβαλών. καὶ λόγους ποιησάμενος πρὸς τὸν ἀδελφὸν περὶ συμβάσεως, καταλύεται τὴν ἔχθραν ἐπὶ τῷ βασιλεύειν μὲν ἀριστόβουλον, αὐτὸν δὲ ζῆν ἀπραγμόνως καρπούμενον ἀδεῶς τὴν ὑπάρχουσαν αὐτῷ κτῆσιν. ταῦτα ἐπὶ τοῖς ἐν τῷ ἱερῷ συνθέμενοι, καὶ ὅρκοις καὶ δεξιαῖς πιστωσάμενοι τὰς ὁμολογίας, καὶ κατασπασάμενοι τοῦ πλήθους παντὸς ὁρῶντος ἀλλήλους, ἀνεχώρησαν ὁ μὲν, εἰς τὰ βασίλεια, ὑρκανὸς δὲ ὡς ἰδιώτης, εἰς τὴν οἰκίαν τοῦ ἀριστοβούλου.

Περὶ

Κεφάλαιον β'.

Περὶ ἀντιπάτρου καὶ γένους αὐτοῦ, καὶ τίνα τρόπον εἰς λαμπρότητα καὶ δύναμιν ἅμα τοῖς παισὶ προήχθη, καὶ ὑρκανοῦ φυγὴ πρὸς ἀρέταν τὸν τῶν ἀράβων βασιλέα.

Φίλος δέ τις ὑρκανοῦ ἰδουμαῖος ἀντίπατρος λεγόμενος, πολλῶν μὲν εὐπορῶν χρημάτων, δραστήριος δὲ τὴν φύσιν ὢν καὶ στασιαστὴς, ἀλλοτρίως εἶχε πρὸς τὸν ἀριστόβουλον καὶ διάφορος, διὰ τὴν πρὸς ὑρκανὸν εὔνοιαν. νικόλαος μέντοι φησὶν ὁ δαμασκηνὸς, τοῦτον εἶναι γένος ἐκ τῶν πρώτων ἰουδαίων, τῶν ἐκ βαβυλῶνος εἰς τὴν ἰουδαίαν ἀφικομένων. ταῦτα δὲ λέγει χαριζόμενος ἡρώδῃ τῷ παιδὶ αὐτοῦ, βασιλεῖ τῶν ἰουδαίων ἐκ τύχης τινὸς γενομένῳ. περὶ οὗ κατὰ καιρὸν δηλώσομεν. οὗτος τοίνυν ὁ ἀντίπατρος, ἀντίπας τὸ πρῶτον ἐκαλεῖτο, καὶ τῷ πατρὶ αὐτοῦ τοῦτο ἦν τοὔνομα, ὃν ἀλεξάνδρου τοῦ βασιλέως καὶ τῆς γυναικὸς αὐτοῦ στρατηγὸν ἀποδειξάντων ὅλης τῆς ἰδουμαίας, ποιήσασθαι φιλίαν πρὸς τοὺς ὁμοροῦντας αὐτῷ ἄραβας καὶ γαζαίους, καὶ ἀσκαλωνίτας λέγουσι, πολλαῖς αὐτοὺς καὶ μεγάλαις ἐξιδιωσάμενον δωρεαῖς. τὴν οὖν τοῦ ἀριστοβούλου δυναστείαν ὁ νεώτερος ἀντίπατρος ὑφορώμενος καὶ δεδιὼς μή τι πάθῃ διὰ τὸ πρὸς αὐτὸν μῖσος, ἐπισυνίστησι κρύφα κατ᾽ αὐτοῦ διαλεγόμενος τῶν ἰουδαίων τοῖς δυναστεύοντας, ἄδικον εἶναι λέγων περιορᾶν ἀριστόβουλον ἀδίκως ἔχοντα τὴν ἀρχὴν, καὶ τὸν μὲν ἀδελφὸν ταύτης ἐκβεβληκότα, πρεσβύτερον ὄντα, κατέχοντα δ᾽ αὐτὴν οὖσαν ἐκείνου διὰ τὸ πρεσβεῖον. τούτοις τε συνεχῶς πρὸς τὸν ὑρκανὸν ποιούμενος διετέλει τοὺς λόγους, καὶ ὅτι κινδυνεύσει περὶ ζωῆς, εἰ μὴ φυλάξαιτο ποιήσας αὑτὸν ἐκποδών. τοὺς γὰρ φίλους τοῦ ἀριστοβούλου μηδένα παραλιπεῖν καιρὸν ἔλεγε συμβουλεύοντας αὐτὸν ἀνελεῖν, ὡς τότε βεβαίως ἕξοντα τὴν ἀρχήν. τούτοις ὑρκανὸς ἠπίστει τοῖς λόγοις, φύσει χρηστὸς ὢν, καὶ διαβολὴν δι᾽ ἐπιείκειαν οὐ προσιέμενος ῥᾳδίως. ἐποίει δὲ αὐτὸν τὸ ἀπράγμον καὶ τὸ παρειμένον τῆς διανοίας, τοῖς ὁρῶσιν ἀγεννῆ καὶ ἄνανδρον δοκεῖν. τῆς δ᾽ ἐναντίας φύσεως ἦν ἀριστόβουλος, δραστήριος καὶ διεγηγερμένος τὸ φρόνημα. ἐπεὶ δὴ τοίνυν ὁ ἀντίπατρος οὐ προσέχοντα ἑώρα τοῖς λόγοις τὸν ὑρκανὸν, οὐ διέλιπεν ἑκάστης ἡμέρας πλαττόμενος καὶ διαβάλλων πρὸς αὐτὸν ἀριστόβουλον, ὡς κτεῖναι θέλοντα, καὶ μόλις ἐγκείμενος πείθει, πρὸς ἀρέταν αὐτῷ συμβουλεύσας φυγεῖν, τὸν ἀράβων βασιλέα. πεισθέντι γὰρ καὶ αὐτὸς ἔσεσθαι σύμμαχος ὑπισχνεῖται. ὁ δὲ ταῦτ᾽ ἀκούων ἔλεγε, συμφέρον εἶναι τὸ πρὸς τὸν ἀρέταν ἀποδρᾶναι. ἔστι δὲ ὅμορος τῇ ἰουδαίᾳ ἡ ἀραβία. καὶ δὴ πέμπει πρῶτος ὑρκανὸς πρὸς τὸν ἀράβων βασιλέα, τὸν ἀντίπατρον, ληψόμενον πίστεις, ὡς οὐκ ἐκδώσει τοῖς ἐχθροῖς ἱκέτην αὐτοῦ γενόμενον. λαβὼν δὲ τὰς πίστεις ὁ ἀντίπατρος, ὑπέστρεψε πρὸς ὑρκανὸν εἰς ἱεροσόλυμα. καὶ μετ᾽ οὐ πολὺ παραλαβὼν αὐτὸν, καὶ τῆς πόλεως ὑπεξελθὼν νύκτωρ, καὶ πολὺν ἀνύσας ὁδὸν, ἧκεν ἄγων αὐτὸν εἰς τὴν καλουμένην πέτραν, ὅπου τὰ βασίλεια ἦν τοῦ ἀρέτα. μάλιστα δὲ ὢν φίλος τῷ βασιλεῖ, κατάγειν τὸν ὑρκανὸν εἰς τὴν ἰουδαίαν παρεκάλει, καὶ τοῦθ᾽ ἑκάστης ἡμέρας ποιῶν καὶ οὐκ ἀνιεὶς, ἀλλὰ καὶ δωρεὰς προϊέμενος, πείθει τὸν ἀρέταν. οὐ μὴν ἀλλὰ καὶ ὑρκανὸς ὑπέσχετο αὐτῷ καταχθεὶς, καὶ τὴν βασιλείαν κομισάμενος, ἀποδώσειν τήν τε χώραν καὶ τὰς δώδεκα πόλεις, ἃς ἀλέξανδρος ὁ πατὴρ αὐτοῦ τῶν ἀράβων ἀφείλετο. ἦσαν δ᾽ αὗται, μήδαβα, ναβαλλὼ, λιβιὰς, θαραβασὰ,

CAP. II.

Antipatri genus, & quomodo claritatem ac potentiam sibi & suis liberis parauerit, & fuga Hyrcani ad Aretam regem Arabum.

II. Amicus autem quidam Hyrcani Idumæus nomine Antipater, vir pecuniosus, natura factiosus & industrius, infensus erat Aristobulo, eo quòd ipse studeret Hyrcani partibus: quamuis Nicolaus Damascenus huius genus deducat à primatibus Iudæorum, qui in Iudæam venerunt è Babylonia. Sed hoc dicit in gratiam Herodis eius filij, quem fortuna ad Iudæorum regnum euexit, sicut suo loco dicetur. Hic igitur Antipater primùm vocabatur Antipas, eodem quo pater ipsius nomine: qué ab Alexandro rege & eius vxore constitutum ducem totius Idumææ, ferunt amicitias Arabum & Gazæorum & Ascalonitarum coluisse, multisque eos sibi conciliasse muneribus. Itaque minor Antipater suspectam habens Aristobuli potentiam, & timens eum propter mutuam simultatem, clancularijs obtrectationibus effecit vt contra illum potentiores Iudæorum conspirarent, iniquum esse dictitans sinere Aristobulum incubare vsurpato per iniuriam imperio, ex quo eiecisset fratrem natu maiorem, cúmque ætatis prærogatiua spoliasset. eisdem verbis etiam Hyrcanum obtundebat assiduè, addens ne vitam quidem illi esse in tuto, nisi matura fuga saluti suæ prospiceret. amicos enim Aristobuli nunquam non consultare, quomodo eo sublato de medio, dominationem alteri constabiliant. His sermonibus Hyrcanus nolebat credere, quòd esset natura bonus, & calumnias non libenter admitteret. quæ quidem animi lenitas & quietis amor parauit ei opinionem ignauiæ. at Aristobulus planè contrario fuit ingenio, industrius simul & magnanimus. Cùm igitur Antipater videret Hyrcanum nihil moueri suis monitis, non destitit tamen quotidie nouas de fratre criminationes fingere, quasi insidiaretur vitæ illius. tandem vrgendo ægrè obtinuit, vt assentiret fugere ad Aretam regem Arabum, suum quoque pollicitus auxilium: idque eo facilius impetrauit, quòd Iudææ confinis sit Arabia. præmittitur itaque Antipater ad regem, accepturus ab eo fidem, quòd inimicis non dediturus esset suum supplicem: quod vbi ille interposita fide promisit, Antipater ad Hyrcanum reuersus est Hierosolyma: & non multò pòst assumpto eo noctu vrbem egressus, magnis itineribus peruenit in vrbem quæ Petra dicitur, apud quàm erat Aretæ regia: & quòd esset regi amicissimus, rogabat eum vt Hyrcanum in Iudæam restitueret, & instando quotidie dandóque munera tandem persuasit. III. Hyrcanus quoque pollicitus est si ope eius reductus regnum reciperet, redditurum se ei regionem cum duodecim oppidis, quæ pater ipsius Alexander de Arabibus ceperat. erant autem hæc: Medaba, Naballo, Liuias, Tharabasa,

Agalla, Athone, Zoara, Oronæ, Mariſſa, Rydda, Luſa, Oryba.

Cap. III.

Ariſtobulus prælio victus compellitur Hieroſolyma.

Talibus promiſſis permotus Aretas expeditionem ſuſcepit contra Ariſtobulum, ducens quinquaginta millia pedeſtris ſimul & equeſtris exercitus, móxque vicit prælio. poſt eam victoriam multis ad Hyrcanum transfugientibus, deſolatus Ariſtobulus confugit Hieroſolyma. Arabs autem adducto ſecum toto exercitu, oppugnabat eum in templo adiuuante Hyrcanum etiam populo, ſolis ſacerdotibus non deſerentibus Ariſtobulum. ſed Aretas admotis tam Iudæorum quàm Arabum exercitibus acriter oppugnationi inſtabat. Dum hæc ita geruntur inſtante azimorum feſto quod Paſcha vocamus, optimates Iudæorum relicta ſua regione fugerunt in Ægyptum. Quidam autem Onias vir iuſtus & Deo carus, qui aliquando ſiccitatis tempore impetrauerat piis precibus pluuiam, tunc in latebras ſe abdidit. ciuile bellum præſentiens, húc in caſtra adductum Iudæi rogabant, vt quemadmodum olim ſterilitati attulerat remedium, ita tunc deuoueret diris Ariſtobulum, & quotquot eius factionem ſequebantur: id cùm diu recuſans cogeretur à turba, ſtans in medio eorum ſic precatus eſt: Deus vniuerſi huius mundi rex, quoniam & hi qui mecum ſtant tuus ſunt popul⁹, & qui oppugnantur tui ſacerdotes ſunt, precor vt neque hos contra illos, neque illos contra hos, orantes exaudias. Poſt hæc vota circumſteterunt eum quidam ex Iudæis viri perditi, & obruerunt lapidibus, quam crudelitaté Deus vltus eſt continuo, cædíſque Oniæ pœnas exegit in hunc modum. Dum Ariſtobulus oppugnatur cum ſacerdotibus, ſuperuenit Paſcha, in quo feſto nobis mos eſt multis Deum honorare ſacrificiis. quibus quia carebant obſeſſi, rogauerunt ſuos tribules vt accepta quantam poſtularent pecunia, victimarum copiam ſibi facerent. illis verò pactis mille drachmas in ſingula capita, & repræſentari ſibi iubentibus, Ariſtobulus & ſacerdotes libenter id fecerunt, & per funem è muro demiſerunt precium. at illi accepta pecunia non reddiderunt victimas: ſed eo progreſſi ſunt impietatis, vt non ſeruata fide hominibus, Deum etiam fraudarent debitis honoribus. ſacerdotes autem quibus per pactorum ſpeciem illuſum fuit, orauerunt Deum vt pœnas de tribulibus ſuis ſumeret: nec dilata eſt vindicta: ſed procella vehemens immiſſa fecit per totam eam regionem magnam vaſtationem fructuum, ita vt tritici modius veniret drachmis quindecim.

ἄγαλλα, ἀθώνη, ζώαρα, ὀρώναι, μάρισα, ῥύδδα, λούσα, ὄρυβα.

Κεφάλαιον γʹ.

Ὡς ἀριστόβουλος μάχῃ ἡττηθεὶς συνδιώκεται ἐπὶ ἱεροσόλυμα.

Τούτων αὐτῷ τῶν ὑποσχέσεων γενομένων, ἀρέτας ἐστράτευσεν ἐπὶ τὸν ἀριστόβουλον, μετὰ ε μυριάδων ἱπποτῶν ἅμα καὶ πεζῆς στρατιᾶς, καὶ νικᾷ τῇ μάχῃ. πολλῶν δὲ μετὰ τὴν νίκην πρὸς ὑρκανὸν αὐτομολησάντων, μονωθεὶς ὁ ἀριστόβουλος, ἔφυγεν εἰς ἱεροσόλυμα. ὁ δὲ τῶν ἀράβων βασιλεὺς πᾶσαν τὴν στρατιὰν ἀγαγὼν, καὶ προσβαλὼν τῷ ἱερῷ τὸν ἀριστόβουλον ἐπολιόρκει, προστιθεμένου καὶ τοῦ δήμου τῷ ὑρκανῷ, καὶ συμπολιορκοῦντος αὐτῷ, μόνων δὲ τῶν ἱερέων ἀριστοβούλῳ προσμενόντων. ὁ μὲν οὖν ἀρέτας ἐξῆς βαλλόμενος τὰ στρατόπεδα τῶν ἀράβων καὶ τῶν ἰουδαίων, ἰσχυρῶς ἐνέκειτο τῇ πολιορκίᾳ. τούτων δὲ γενομένων κατὰ τὸν καιρὸν τῆς τῶν ἀζύμων ἑορτῆς ἣν φάσκα λέγομεν, οἱ δοκιμώτατοι τῶν ἰουδαίων ἐκλιπόντες τὴν χώραν, εἰς αἴγυπτον ἔφυγον. ὀνίας δέ τις ὄνομα, δίκαιος ἀνὴρ καὶ θεοφιλὴς, ὃς ἀνομβρίας ποτὲ οὔσης ηὔξατο τῷ θεῷ λῦσαι τὸν αὐχμὸν, καὶ γενόμενος ἐπήκοος ὁ θεὸς ὗσεν, ἔκρυψε αὐτὸν διὰ τὸ τὴν στάσιν ὁρᾶν ἐπιμένουσαν. ἀναχθέντα δὲ εἰς τὸ στρατόπεδον τῶν ἰουδαίων, ἠξίουν ὡς ἔπαυσε τὴν ἀνομβρίαν ὀξάμενος, ἵν' οὕτως ἀρὰς κατὰ ἀριστοβούλου καὶ τῶν συστασιαστῶν αὐτοῦ ἐπιθῆται. ἐπεὶ δὲ ἀντιλέγων καὶ παραιτούμενος ἐβιάσθη ὑπὸ τοῦ πλήθους, στὰς μέσος αὐτῶν εἶπεν. ὦ θεὸς βασιλεῦ τῶν ὅλων, ἐπεὶ οἱ μετ' ἐμοῦ νῦν ἑστῶτες σὸς δῆμός ἐστι, καὶ οἱ πολιορκούμενοι δὲ ἱερεῖς σοὶ, δέομαι μήτε κατὰ τούτων ἐκείνοις ἀκοῦσαι, μήτ' ἐκείνων ἃ οὗτοι παρακαλοῦσιν εἰς τέλος ἀγαγεῖν. καὶ τὸν μὲν ταῦτ' εὐξάμενον περιστάντες οἱ πονηροὶ τῶν ἰουδαίων κατέλευσαν. ὁ δὲ θεὸς ταύτης αὐτοὺς παραχρῆμα ἐτιμωρήσατο τῆς ὠμότητος, καὶ δίκην εἰσεπράξατο τοῦ ὀνίου φόνου τούτῳ τῷ τρόπῳ. πολιορκουμένων γὰρ τῶν ἱερέων καὶ τοῦ ἀριστοβούλου, συνέβη τὴν ἑορτὴν ἐπιστῆναι τὴν καλουμένην φάσκα, καθ' ἣν ἔθος ἐστὶν ἡμῖν πολλὰ θύειν τῷ θεῷ. ἀποροῦντες δὲ θυμάτων οἱ περὶ τὸν ἀριστόβουλον, ἠξίωσαν αὐτοῖς τοὺς ὁμοφύλους παρασχεῖν, χρήματα λαβόντας ἀντὶ τῶν θυμάτων ὅσα θέλουσι. τῶν δὲ, εἰ βούλονται λαβεῖν χιλίας δραχμὰς ὑπὲρ ἑκάστης κεφαλῆς καταβαλεῖν κελευόντων, προθύμως ὅ τε ἀριστόβουλος καὶ οἱ ἱερεῖς ὑπέστησαν, καὶ διὰ τῶν τειχῶν καθιμήσαντες, ἔδωκαν αὐτοῖς τὰ χρήματα. κἀκεῖνοι λαβόντες, οὐκ ἀπέδωκαν τὰ θύματα, ἀλλ' εἰς τοῦτο πονηρίας ἦλθον ὥς τε παραβῆναι τὰς πίστεις καὶ ἀσεβῆσαι εἰς τὸν θεὸν τὰ πρὸς τὴν θυσίαν μὴ παρασχόντες τοῖς δεομένοις. παρασπονδηθέντες δὲ οἱ ἱερεῖς, ηὔξαντο τῷ θεῷ, δίκην αὐτῶν εἰσπράξασθαι παρὰ τῶν ὁμοφύλων. ὁ δὲ οὐκ ἀνεβάλετο τὴν τιμωρίαν, ἀλλὰ πνεῦμα πολὺ καὶ βίαιον ἐπιπέμψας, τὸν καρπὸν ἁπάσης τῆς χώρας διέφθειρεν, ὡς τὸν μόδιον τοῦ σίτου τότ' αὐτοῖς ἐξωνεῖσθαι δραχμῶν ἕνδεκα.

Κεφά-

Κεφάλαιον δ´.

Ὑρκανοῦ καὶ Ἀριστοβούλου πρεσβεῖαι πρὸς Σκαῦρον περὶ συμμαχίας.

ΕΝ τούτῳ πέμπει καὶ Σκαῦρον εἰς Συρίαν Πομπήιος, αὐτὸς ὢν ἐν Ἀρμενίᾳ καὶ πολεμῶν ἔτι Τιγράνῃ. ὁ δὲ ἀφικόμενος εἰς Δαμασκόν, Λόλλιον μὲν καὶ Μέτελλον νεωστὶ τὴν πόλιν ᾑρηκότας εὗρεν, αὐτὸς εἰς τὴν Ἰουδαίαν ἠπείγετο. παραγενομένου δὲ πρέσβεις ἧκον παρ᾽ αὐτὸν τε Ἀριστοβούλου πρὸς αὐτόν, καὶ Ὑρκανοῦ, συμμαχεῖν ἀξιοῦντες ἑκατέρῳ. ὑπισχνουμένων δὲ, Ἀριστοβούλου μὲν υ´ δώσειν τάλαντα, τοῦ δὲ Ὑρκανοῦ τούτων οὐκ ἐλάττονα παρέξειν, προσδέχεται τὴν Ἀριστοβούλου ὑπόσχεσιν· καὶ γὰρ εὔπορος χρημάτων, καὶ μεγαλόψυχος ἦν, καὶ μετριωτέρων ἠξίου τυγχάνειν. ὁ δὲ καὶ πένης ἦν, καὶ γλίσχρος καὶ ὑπὲρ μειζόνων τὴν ἄπιστον προύτεινεν ἐπαγγελίαν. οὐ γὰρ ἴσον ἦν βίᾳ πόλιν ἑλεῖν, ἐν τοῖς μάλιστα ὀχυρὰν καὶ δυνατήν, ἢ φυγάδας ἐκβαλεῖν μετὰ τοῦ Ναβαταίων πλήθους, οὐκ εὖ πρὸς πόλεμον διακειμένους. τούτῳ τοίνυν προσθέμενος διὰ τὰς προειρημένας αἰτίας, λαβὼν τὰ χρήματα λύει τὴν πολιορκίαν, κελεύσας ἀναχωρεῖν τὸν Ἀρέταν, ἢ πολέμιον αὐτὸν Ῥωμαίων ἀποδειχθήσεσθαι. καὶ Σκαῦρος μὲν εἰς Δαμασκὸν πάλιν ἀνεχώρησεν. Ἀριστόβουλος δὲ μετὰ πολλῆς δυνάμεως, ἐπὶ τὸν Ἀρέταν καὶ Ὑρκανὸν ἐστράτευσε. καὶ συμβαλὼν αὐτοῖς ἐπὶ τὸν καλούμενον Παπυρῶνα, νικᾷ τῇ μάχῃ, καὶ κτείνει περὶ ἑπτακισχιλίους τῶν πολεμίων, μεθ᾽ ὧν ἔπεσε Κηφαλίων ὁ Ἀντιπάτρου ἀδελφός.

Κεφάλαιον ε´.

Ὡς Ἀριστόβουλος καὶ Ὑρκανὸς πρὸς Πομπήιον ἦλθον περὶ τῆς βασιλείας δικαιολογούμενοι.

ΜΕτ᾽ οὐ πολὺ δὲ Πομπηίου εἰς Δαμασκὸν ἀφικομένου, καὶ Κοίλην Συρίαν ἐπιόντος, ἧκον παρ᾽ αὐτὸν πρέσβεις ἐξ ὅλης Συρίας καὶ Αἰγύπτου, καὶ ἐκ τῆς Ἰουδαίας. ἔπεμψε γὰρ αὐτῷ μέγα δῶρον Ἀριστόβουλος ἄμπελον χρυσῆν ἐκ πεντακοσίων ταλάντων. μέμνηται δὲ τοῦ δώρου καὶ Στράβων ὁ Καππάδοξ λέγων οὕτως, ἦλθε δὲ καὶ ἐξ Αἰγύπτου πρεσβεία, καὶ στέφανος ἐκ χρυσῶν τετρακισχιλίων. καὶ ἀπὸ τῆς Ἰουδαίας εἴτε ἄμπελος, εἴτε κῆπος, τερπωλὴν ὠνόμαζε τὸ δημιούργημα. τοῦτο μέντοι τὸ δῶρον ἱστορήκαμεν καὶ ἡμεῖς ἀνακείμενον ἐν Ῥώμῃ, ἐν τῷ ἱερῷ τοῦ Διὸς τοῦ Καπετωλίου, ἐπιγραφὴν ἔχον Ἀλεξάνδρου τοῦ τῶν Ἰουδαίων βασιλέως. ἐτιμήθη δὲ εἶναι, πεντακοσίων ταλάντων. Ἀριστόβουλον μὲν οὖν τοῦτο λέγεται πέμψαι τῶν Ἰουδαίων δυνάστην. μετ᾽ οὐ πολὺ δὲ ἧκον πάλιν πρέσβεις πρὸς αὐτόν, Ἀντίπατρος μὲν ὑπὲρ Ὑρκανοῦ, Νικόδημος δὲ ὑπὲρ Ἀριστοβούλου. ὃς δὴ καὶ κατηγόρει τῶν λαβόντων χρήματα, Γαβινίου μὲν πρότερον, Σκαύρου δὲ ὕστερον, τοῦ μὲν τριακόσια, τοῦ δὲ τετρακόσια τάλαντα, πρὸς τοῖς ἄλλοις, ἐχθροὺς καὶ τούτους αὐτῷ κατασκευάζων. κελεύσας δὲ ἥκειν τοὺς διαμφισβητοῦντας, ἐνισταμένου τοῦ ἔαρος, ἀναλαβὼν τὴν δύναμιν ἐκ τῶν χειμαδίων, ὥρμησεν ἐπὶ τὴν Δαμασκηνήν, καὶ τήν τε ἄκραν ἐν παρόδῳ τὴν ἐν Ἀπαμείᾳ κατέσκαψεν, ἣν ὁ Κυζικηνὸς ἐπεῖχεν Ἀντίοχος. καὶ τὴν Πτολεμαίου τοῦ Μενναίου χώραν κατενόησεν ἀνδρὸς πονηροῦ, καὶ οὐδὲν ἐλάττονος Διονυσίου τοῦ Τριπολίτου τοῦ πελεκισθέντος, οὗπερ καὶ κηδεύων ἐτύγχανεν αὐτῷ,

CAP. IV.

Hyrcani & Aristobuli legationes à Scauro petentes auxilium.

INterea Pópeius Scaurum misit in Syriam, ipse in Armenia distentus bello, quod adhuc gerebat contra Tigranem. ille verò vbi Damascum venit, recèns captam à Metello & Lollio, properauit in Iudæam continuato itinere. huic legati facti sunt obuiam, tã ab Hyrcano quàm ab Aristobulo, vtrique petentes societatem & auxilium. & cùm Aristobulus polliceretur cccc. talenta, nec pauciora Hyrcanus, Scaurus Aristobuli promissa prætulit. is enim liberalis erat, & abundans pecuniis, & rogabat officium præstari facilius. alter verò pauper erat ac tenax, & cùm maiora quàm frater impetrare cuperet, tamen non satis bona fide polliceri videbatur. Nam difficilius erat expugnare vrbem adeò munitam & validam, quàm profugos repellere & Nabathæorum turbam, præsertim non valde ad id bellum gerendum animatam. Ob has igitur caussas accepta ab hoc pecunia obsidionem soluit, denuncians Aretæ vt recederet, ni pareat declarandus hostis Rom. populi. Et Scaurus quidem Damascum reuersus est: Aristobulus verò cum magno exercitu contra Aretam & Hyrcanum profectus est: & congressus cum eis apud locum quem Papyronem nominant, prælio vicit cæsis circiter septem millibus hostium, inter quos etiam Cæphalio frater Antipatri cecidit.

CAP. V.

Quomodo Aristobulus & Hyrcanus apud Pompeium de regno disceptauerant.

NOn multo autem post cùm Pompeius Damascum venisset, & obiret Cœlesyriam præsto fuerunt ei legati ex vniuersa Syria & Ægypto atq; Iudæa. misit enim ad eum insigne donum Aristobulus, vitem auream D. talentorum. meminit autem huius muneris etiam Strabo Cappadox his verbis: venit & ex Ægypto legatio, cum corona facta ex aureorum quatuor millibus: & ex Iudæa siue vitis, siue hortus, quod opus τερπωλή, id est delectamentum vocabatur. hoc donum vidimus etiã nos Romæ dedicatum in Iouis Capitolini templo, cum inscriptione Alexandri regis Iudæorum: extimabatúrque quingentis talentis. fertur autem missum à dynasta Iudæorum Aristobulo. Paulo pòst iterum venerunt ad eum legati, Antipater pro Hyrcano, Nicodemus pro Aristobulo, qui etiam accusabat eos qui acceperant pecuniam, primùm Gabinius, deinde Scaurus, ille ccc. hic quadringenta talenta, hos quoque inimicos ei faciens. qui cùm iussisset eis ad se disceptatorem venire; ineunte verè copiis ex hybernis reuocatis in Damascenum agrum profectus est: obitérque arcem in Apamia diruit, quàm Antiochus Cyzicenus munierat: & Ptolemæi Mennæi ditionem considerauit, viri noxij non minus quàm fuerat Dionysius Tripolitanus, qui securi percussus est, affinitate etiam ei coniunctus

mille tamen talentis iste redemit se à supplicio, quæ Pompeius erogauit in stipendia militum. excidit etiam castellum Lysiada, cuius tyrannus erat Silas Iudæus: transiens deinde per Heliopolim & Chalcidem, superatóque medio monte in Cœlesyriam veniens, à Pella Damascum se contulit. ibi & Iudæos audiuit, & eorum principes: qui inter se dissidebant Hyrcanus & Aristobulus, sicut gens ipsa ab vtroque. Aiebant enim se nolle esse sub regibus, quòd patrium institutum habeant, vt sui Dei pareant sacerdotibus. hos autem duos esse quidem è sacerdotum genere, sed velle principatum gentis in aliam formam traducere, vt eam in seruitutem subigant. Hyrcanus autem querebatur, quòd cùm maior natu esset, priuaretur prærogatiua ab Aristobulo: & minimam portionem regionis sibi relictam, cætera à fratre vsurpata per vim omnia. hunc etiam & terra incursare finitimos, & in mari habere piratarum receptacula. nec enim impulsurum fuisse gentem ad defectionem, nisi turbarum concitator esset, atque natus ad violentiam. Attestabantúrque illi hæc dicenti plus quàm mille ex Iudæorum optimatibus, quos Antipater ad hoc induxerat. Alter contrà excidisse eum è principatu aiebat propter ignauiam, quòd natura ad nihil esset minus idoneus quàm ad obeunda negotia, & ideo venisse eum in publicum contemptum apud suę gentis homines. Se verò necessario principatum assumpsisse, metuentem, ne is migraret in aliam familiam. appellatione verò vti, qua & pater ipsius Alexander vsus sit. & in testimoniũ citabat quosdam iuuenes fastuosos, exosos omnibus propter purpureas vestes, capillitij curam, & phaleras ornamantáque cætera: qui hoc cultu tanquam ad pompam & non ad iudicium venerant. Pompeius verò his cognitis, & improbata Aristobuli violẽtia dimisit eos placidè: promittens se venturum in eorum ditionem, quàm primum inspexisset res Nabathęorum. interim iussit eos quietos esse, comiter habens Aristobulum, ne is alienatus intercluderet ei transitus. nec tamen vllam apud eum iniuit gratiam. non expectatis enim Pompeij promissis profectus est ad oppidum Delium, & inde in Iudæam se contulit.

VI.

Cap. VI.

Quo stratagemate castella occupauerit.

QVa re offensus Pompeius, assumpto exercitu quem in Nabathæos parauerat, & excitis à Damasco cæteráque Syria copiis auxiliaribus, aliísque Romanis legionibus quæ ductum eius sequebantur, contra Aristobulum mouit. Vt verò præterita Pella & Scythopoli peruenit Coreas, vbi Iudææ mediterranea versus est initium, inuenit elegantem arcem in montis vertice sitam Alexandrium. cò quia refugisse Aristobulum intellexerat, accersiuit illum ad se per nuncios. ille verò multis suadentibus vt caueret bellum à Romanis, descendit: & cùm de iure principatus cum fratre disceptasset, permissu Pópeij rursum in arcem se recepit. idque iterum & tertiò fecit, simul

χιλίοις μέντοι ταλάντοις ἐξωνησάμενος τὴν ὑπὲρ τῶν ἁμαρτημάτων τιμωρίαν, οἷς πομπήϊος τοὺς στρατιώτας ἐμισθοδότησεν. ἐξεῖλε δὲ καὶ λυσιάδα χωρίον, οὗ τύραννος ἦν σίλας ὁ ἰουδαῖος. διελθὼν δὲ τὰς πόλεις, τήν τε ἡλίου πόλιν καὶ τὴν χαλκίδα, καὶ τὸ διεῖργον ὄρος, ὑπερβαλὼν τὴν κοίλην προσαγορευομένην συρίαν, ἀπὸ τῆς πέλλης εἰς δαμασκὸν ἧκεν. ἔνθα δὴ καὶ τῶν ἰουδαίων διήκουσε καὶ τῶν ἡγουμένων αὐτῶν, οἳ πρός τε ἀλλήλους διεφέροντο ὅ τε ὑρκανὸς καὶ ἀριστόβουλος, καὶ τὸ ἔθνος πρὸς ἀμφοτέρους. τὸ μὲν οὐκ ἀξιοῦν βασιλεύεσθαι, πάτριον γὰρ εἶναι τοῖς ἱερεῦσι τοῦ τιμωμένου παρ' αὐτοῖς θεοῦ πειθαρχεῖν. ὄντας δὲ τούτους ἀπογόνους τῶν ἱερέων εἰς ἄλλην μετάγειν ἀρχὴν τὸ ἔθνος ζητῆσαι, ὅπως καὶ δοῦλοι γένοιντο. ὑρκανὸς δὲ κατηγόρει, ὅτι πρεσβύτερος ὢν ἀφαιρεθείη τὸ πρεσβεῖον ὑπ' ἀριστοβούλου, καὶ μικρὸν ἔχοι μέρος τῆς χώρας ὑφ' αὑτῷ, τὴν δὲ ἄλλην βίᾳ λαβὼν ἀριστόβουλος. τάς τε καταδρομὰς τὰς ἐπὶ τοὺς ὁμόρους, καὶ τὰ πειρατήρια τὰ ἐν τῇ θαλάττῃ, τοῦτον εἶναι τὸν συστήσαντα διέβαλεν. οὐκ ἂν οὐδ' ἀποστῆναι λέγων τὸ ἔθνος, εἰ μὴ βίαιός τε καὶ ταραχώδης ὑπῆρχεν. συνηγόρουν δὲ αὐτῷ ταῦτα λέγοντες πλείους ἢ χίλιοι τῶν δοκιμωτάτων ἰουδαίων ἀντιπάτρου παρασκευάσαντος. ὁ δὲ τοῦ μὲν ἐκπεσεῖν αὐτὸν τῆς ἀρχῆς, τὴν ἐκείνου φύσιν ᾐτιᾶτο ἄπρακτον οὖσαν, καὶ διὰ τοῦτ' εὐκαταφρόνητον. αὐτὸν δὲ ἔλεγε φόβῳ τοῦ μὴ πρὸς ἄλλους μεταστῆναι τὴν ἀρχὴν, ἐξ ἀνάγκης αὐτὴν ὑπελθεῖν. προσαγορεύεσθαι δὲ αὐτὸν, τοῦθ' ὅπερ καὶ ἀλέξανδρον τὸν πατέρα. καὶ δὴ μάρτυρας τούτων ἐκάλει τοὺς νέους καὶ σοβαρωτέρους, ὧν ἐβδελύττοντο τὰς πορφυρίδας καὶ τὰς κόμας καὶ τὰ φάλαρα, καὶ τὸν ἄλλον κόσμον, ὃν ὥσπερ οὐ δίκην ὑφέξοντες, ἀλλ' ὡς εἰς πομπὴν προϊόντες ὑπέκειντο. πομπήϊος δὲ τούτων ἀκούσας, καὶ καταγνοὺς ἀριστοβούλου βίαν, τότε μὲν αὐτοὺς ἀπέπεμψε διαλεχθεὶς πρᾴως, ἐλθὼν δ' εἰς τὴν χώραν αὐτῶν, ἔλεγε διατάξειν ἕκαστα, ἐπειδὰν τὰ τῶν ναβαταίων πρῶτον ἴδοι. τέως δ' ἐκέλευσεν ἡσυχίαν ἄγειν, θεραπεύων ἅμα τὸν ἀριστόβουλον, μὴ τὴν χώραν ἀποστήσῃ καὶ διακλεισθείη τῶν παρόδων. ἔτυχε μέντοι τοῦτο ἐξ ἀριστοβούλου γενόμενον. οὐ γὰρ ἀναμείνας οὐδὲν ὧν διελέχθη πρὸς αὐτὸν ὁ πομπήϊος, εἰς δήλιον πόλιν ἦλθε, κἀκεῖθεν εἰς τὴν ἰουδαίαν ἀπῆρεν.

Κεφάλαιον ϛ'.

Ὡς πομπήϊος στρατηγήματι χρησάμενος τὰ φρούρια παρέλαβεν.

ΟΡγίζεται δὲ ἐπὶ τούτοις πομπήϊος, καὶ τὴν ἐπὶ τοὺς ναβαταίους ἀναλαβὼν στρατιὰν, ἔκ τε δαμασκοῦ καὶ τῆς ἄλλης συρίας ἐπικουρίαν, σὺν τοῖς ἄλλοις τοῖς ὑπάρχουσιν αὐτῷ ῥωμαίων τάγμασιν, ἐστράτευσεν ἐπὶ τὸν ἀριστόβουλον. ὡς δὲ παραμειψάμενος πέλλαν καὶ σκυθόπολιν εἰς κορέας ἧκεν, ἥπερ ἐστὶν ἀρχὴ τῆς ἰουδαίας διεξιόντι τὴν μεσόγειον, ἐνταῦθα ἔστι περικαλλὲς ἔρυμα, ἐπ' ἄκρου τοῦ ὄρους ἱδρυμένον ἀλεξάνδρειον. εἰς ὃ ἀριστοβούλου συμπεφευγότος, πέμψας ἐκέλευσεν ἥκειν πρὸς αὐτόν. ὁ δὲ παραινούντων πολλῶν μὴ πολεμεῖν ῥωμαίοις κάτεισι, καὶ δικαιολογησάμενος πρὸς τὸν ἀδελφὸν περὶ τῆς ἀρχῆς, πάλιν εἰς τὴν ἀκρόπολιν ἀναβαίνει πομπηΐου συγχωρήσαντος. καὶ τοῦτ' ἐποίησε δὶς καὶ τρὶς, ἅμα

μὲν

μὲν τὸ κολακεύων ὑπ' αὐτῷ περὶ τῆς βασιλείας ἐλπίδα, καὶ πρὸς ἕκαστον ὧν ἐκέλευσε Πομπήϊος ὑπακούειν ὑποκρινόμενος. ἅμα δ' ἀναχωρῶν εἰς τὸ ἔρυμα ὑπὲρ τοῦ μὴ καταλύειν αὐτὴν, καὶ πρὸς τὸ πολεμεῖν ἀφορμὴν αὐτῷ παρασκευαζόμενος, δεδιὼς μὴ τὴν ἀρχὴν εἰς Ὑρκανὸν περιστήσῃ. κελεύοντος δὲ Πομπηΐου παραδιδόναι τὰ ἐρύματα, καὶ τοῖς φρουράρχαις ἐπιστέλλειν τῇ ἑαυτοῦ χειρὶ, παραδέχεσθαι δὲ ἄλλως ἀφείρετο, πείθεται μὲν, δυσαναχετῶν δὲ ἀνεχώρησεν εἰς Ἱεροσόλυμα, καὶ ἐν παρασκευῇ τοῦ πολεμεῖν ἐγίνετο. καὶ μετ' οὐ πολὺ Πομπηΐῳ στρατιὰν ἐπ' αὐτὸν ἄγοντι, καθ' ὁδὸν ἀφικόμενοί τινες ἐκ Πόντου, τὴν Μιθριδάτου τελευτὴν ἐμήνυον, διὰ Φαρνάκου τοῦ παιδὸς αὐτοῦ γενομένην.

spe regni Pompeio obsecundâs, & omnia eius imperata se facturum simulans, simul redeundo in arcem se muniens, & apparatus bellicos faciens, metu ne ad Hyrcanum transferretur dominium. Iubente autem Pompeio vt traderet sibi castella, & præfectis de ea re propria manu scriberet, non tradituris alioquin: paruit quidem, sed ægrè ferens secessit Hierosolyma quasi ad certum bellum se praeparaturus. nec multo pòst Pompeio ducenti contra eum exercitum in itinere venit nuncius è Pōto, Mithridatem à filio suo Pharnace occisum esse significans.

Κεφάλαιον ζʹ.

Ὡς Ἱεροσολυμῖται τὰς πύλας ἀπέκλεισαν τοῖς Ῥωμαίοις.

Στρατοπεδευσάμενος δὲ ἐπὶ Ἱεριχοῦντα, οὗ τὸν φοίνικα τρέφεσθαι συμβέβηκε, καὶ τὸ ὀποβάλσαμον μύρον ἀκρότατον, ὃ τῶν θάμνων τεμνομένων ὀξεῖ λίθῳ ἀναπιδύει ὥσπερ ὀπὸς, ἕωθεν ἐπὶ Ἱεροσόλυμα ἐχώρει. καὶ μετανοήσας Ἀριστόβουλος, ἀφικνεῖται πρὸς Πομπήϊον, καὶ χρήματα διδοὺς, καὶ τοῖς Ἱεροσολύμοις αὐτὸν εἰσδεχόμενος, παρεκάλει παύσασθαι τοῦ πολέμου, καὶ πράττειν μετ' εἰρήνης ὅτι βούλεται. συγγνοὺς δὲ Πομπήϊος αὐτῷ δεομένῳ, πέμπει Γαβίνιον καὶ στρατιώτας, ἐπί τε τὰ χρήματα καὶ τὴν πόλιν, οὐ μὴν ἐπεράχθη τι τούτων, ἀλλ' ἐπανῆλθεν ὁ Γαβίνιος τῆς τε πόλεως ἀποκλεισθεὶς, καὶ τὰ χρήματα μὴ λαβὼν τῶν Ἀριστοβούλου στρατιωτῶν οὐκ ἐπιτρεψάντων τὰ συγκείμενα γενέσθαι. ὀργῇ δὲ ἐπὶ τούτοις Πομπήϊον λαμβάνει, καὶ τὸν Ἀριστόβουλον ἐν φυλακῇ καταστήσας, αὐτὸς ἐπὶ τὴν πόλιν ἔρχεται, τὰ μὲν ἄλλα πάντα οὖσαν ὀχυρὰν, μόνῳ δὲ τῷ βορείῳ μέρει φαύλως ἔχουσαν. περιέρχεται γὰρ αὐτὴν φάραγξ εὐρεῖά τε καὶ βαθεῖα ἐντὸς ἀπολαμβάνουσα τὸ ἱερὸν, λιθίνῳ περιβόλῳ καρτερῶς πάνυ τετειχισμένον.

Cap. VII.

Hierosolymitani portas Romanis claudunt.

ET cùm prima castra habuisset apud Hierichuntem, vbi palmeta sunt præstantissima & opobalsamum prouenit inter vnguēta præcipuū, incisis acuto scrupo fruticibus succi in modū scatens, mane sequenti mouit inde versus Hierosolyma. Tum verò Aristobulus antè actorū pœnitēs obuiā ei venit, & oblatis pecuniis etiā intra Hierosolyma cū admittēs, rogabat vt omisso bello quicquid vellet pacatè ageret. Pōpeius verò data petenti venia, mittit Gabinium cum militibus in vrbem ad accipiendam pecuniam: qui tamen re infecta rediit, exclusus & vacuis manibus, militibus Aristobuli pactum irritum facientibus. Ea res vehemēter Pompeio mouit stomachum, & additis Aristobulo custodibus ipse ad vrbem properat, cætera quidem probè munitam, tantùm è septentrionali latere iniuriis expositam. Circuit enim ea parte vallis lata & profunda templum ambiens, quod muro valido è saxo structo cingitur.

Κεφάλαιον ηʹ.

Ὡς Πομπήϊος αἱρεῖ κατὰ κράτος τὸ ἱερὸν καὶ τὴν κάτω πόλιν, καὶ περὶ τῆς θεοσεβείας αὐτοῦ.

ΗΝ δὲ τῶν ἀνθρώπων ἔνδον στάσις, οὐχ ὁμονοούντων περὶ τῶν ἐνεστώτων, ἀλλὰ τοῖς μὲν ἐδόκει παραδιδόναι Πομπηΐῳ τὴν πόλιν, οἱ δὲ τὰ Ἀριστοβούλου φρονοῦντες ἀποκλείειν τε καὶ πολεμεῖν παρῄνουν, τῷ κἀκεῖνον ἔχεσθαι δεδεμένον. φθάσαντες δὲ οὗτοι τὸ ἱερὸν καταλαμβάνουσι, καὶ τὴν τείνουσαν ἀπ' αὐτοῦ γέφυραν εἰς τὴν πόλιν ἔκοψαν, εἰς πολιορκίαν εὐτρεπιζόμενοι. οἱ δὲ ἕτεροι δεξάμενοι τὴν στρατιὰν, ἐνεχείρισαν Πομπηΐῳ τὴν τε πόλιν καὶ τὰ βασίλεια. Πομπήϊος δὲ Πείσωνα τὸν στρατηγὸν πέμψας σὺν στρατιᾷ, τήν τε πόλιν καὶ τὰ βασίλεια ἐφρούρει, καὶ τὰς οἰκίας τὰς πρὸς τὸ ἱερὸν, καὶ ὅσα ἦν ἔξω, περὶ τὸ ἱερὸν ὠχύρου. καὶ τὸ μὲν πρῶτον, λόγους συμβατηρίους τοῖς ἐντὸς προσέφερεν. οὐχ ὑπακουόντων δὲ εἰς ἃ προσεκαλεῖτο, τὰ πέριξ ἐτείχισε χωρία, πρὸς ἅπαντα Ὑρκανοῦ προθύμως ὑπηρετοῦντος. Πομπήϊος δὲ ἔσωθεν στρατοπεδεύεται, κατὰ τὸ βόρειον τοῦ ἱεροῦ μέρος, ὅθεν ἦν ἐπίμαχον. ἀνειστήκεσαν δὲ καὶ ἐνταῦθα μεγάλοι πύργοι, καὶ τάφρος δὲ ὀρώρυκτο, καὶ βαθείᾳ περιείχετο φάραγγι. ἀπόρρωγα γὰρ καὶ τὰ πρὸς τὴν πόλιν, τῆς γεφύρας ἀνατετραμμένης

Cap. VIII.

Pompeius templum cum inferiore vrbis parte vi expugnat.

INtus autem erat dissidium, vrbanis quid opus esset facto non consentientibus. nam quidam cēsebant vrbem Pompeio dedendam: Aristobuli verò factio excludi eum iubebat & bellum parari, eo quòd illum haberet in vinculis. hi præuenientes alteros templum occupant, & præciso ponte qui in vrbem ferebat, ad bellum se expediunt. at illi intromisso exercitu tradiderunt Pompeio vrbem & regiam. ille Pisoni legato suo misso eò cum parte exercitus & vrbis & regiæ commisit custodiam: ipse vicinas templo domos aliáque propinqua ędificia muniebat. & primùm conditiones pacis eis obtulit: quas cùm non admitterent, omnia quæ circum erant oppugnationi parauit, Hyrcano alacriter suppeditante quicquid vsus posceret. Pompeius verò à septentrionali templi latere, quod maximè erat oppugnationi obnoxium, admouit milites. erant autem hac quoque parte turres altæ, & fossa manu facta, præter profundam vallem quæ templum cingebat. nam etiam versus vrbem abrupta erant omnia, sublato pōte,

qua parte Pompeius erat cum ſuo contubernio. erigebántque quotidie magno labore aggerem Romani, cędentes circumquaque arbores, quod opus vbi perfectum eſt, ægrè completa foſſa propter immenſam altitudinem, admotis machinis à Tyro aduectis, quatiebat templum ſaxis miſſilibus. ſed niſi patrius nobis mos eſſet per otium ſeptimum quemque diem exigere, non potuiſſent abſoluere aggerem vetantibus aduerſariis. prohibere enim vim inferentes lex permittit, ſed opus facientem hoſtem impedire nos nō ſinit. quod vbi animaduerterunt Romani, ſabbatis neque eminus inceſſebant telis Iudæos, neque manus cum eis conſerebant: tantùm erigebāt aggerem & turres, machináſque admouebāt, vt eius poſtridie aduerſus nos vti poſſent. Facile eſt autem vel hinc diſcere, quanta pietate Deum colamus, & quàm obſeruantes legum ſimus, quandoquidē oppugnationis terror nihil obfuit, quo minus ſolemnia peragerentur ſacrificia, bis per ſingulos dies mane & circa nonam horam ſuper altari immolantibus noſtris ſacerdotibus, ac ne in extremo quidem diſcrimine ſacra intermittentibus. etenim capto templo tertio demum menſe, die ieiunij, CLXXIX. Olympiade. C. Antonio, M. Tullio Cicerone Coſſ. hoſtis quidem irrupens iugulabat omnes obuios: illi verò nihilominus ſacris operabantur, neque metu mortis, neque iam cæſorum multitudine abſterriti, paſſuri quicquid liberet victori potius quàm deſerturi altaria, aut aliquid omiſſuri præſcriptum patriis legibus. quòd autem hæc non famula ſit in pietatis laudem conficta, ſed rei veritas, atteſtantur omnes qui res à Pompeio geſtas conſcripſerunt, & in his Strabo, ac Nicolaus, Romanæque conditor hiſtoriæ T. Liuius. Nam concuſſà turri maxima crebris arietis ictibus, collapſáq; & ſecum ruinam trahente muri proximi, certatim infuderunt ſe hoſtium agmina. ſed primus euaſit per ruinas Cornelius Fauſtus Syllæ filius, ſequēte cohorte militum. mox alia parte Furius centurio cū ſuis manipularibus: & inter vtrumque Fabius & ipſe centurio cum manu ſuorum valida. Omnia autem erant plena cædibus, & Iudæorum alij à Romanis confoſſi cadebant, alij mutuis vulneribus, nonnulli per abrupta ſemetipſos iactabant, aut ſubiectis in ædes ignibus concremabantur, non ſuſtinentes ſpectare quæ patrabantur ab hoſtibus. ceciderunt è Iudæis duodecim millia. Romanorum perpauci deſiderati ſunt. Captus eſt Abſalom⁹, patruus ſimul & ſocer Ariſtobuli. Læſa etiam eſt non mediocriter templi religio, humanis antehac nec veſtigiis, penetrati, nec oculis. Introgreſſ⁹ eſt enim in illud Pompeius, & vnà cum eo nō pauci alij, & inſpexerunt quę nefas eſt videre niſi ſolis ſacerdotibus. cúmque intus eſſent ex auro menſa & candelabrum & pocula, & odoramentorum magna copia, præterea in theſauris ſacræ pecuniæ circiter talentorum duo millia, nihil horum præ pietate attigit, ſed hic quoque ſui ſimilis fuit, & nihil cōmiſit

A ἐφ' οὗ δὴ ἦγε πομπήιος. καὶ τὸ χῶμα ὁσημέραι ταλαιπωρουμένων ἠγήγερτο, τεμνόντων τὴν πέριξ ὕλην ῥωμαίων. καὶ ἐπειδὴ τοῦτ' εἶχεν ἱκανῶς, μόλις πληρωθείσης τῆς τάφρου διὰ βάθος ἄπειρον, προσβαλὼν μηχανὰς καὶ ὄργανα ἐκ τύρου κομισθέντα, ἐπιστήσας κατέσειε τὸ ἱερὸν τοῖς πετροβόλοις. εἰ δὲ μὴ πάτριον ἦν ἡμῖν ἀργεῖν τὰς ἑβδομάδας ἡμέρας, οὐκ ἂν ἠνύσθη τὸ χῶμα, κωλυόντων ἐκείνων. ἄρχοντας γὰρ μάχης καὶ τύπτοντας ἀμύνασθαι δίδωσιν ὁ νόμος, ἄλλο δέ τι δρῶντας τοὺς B πολεμίους οὐκ ἐᾷ. ὃ δὴ καὶ ῥωμαῖοι συνιδόντες, κατ' ἐκείνας τὰς ἡμέρας ἃς δὴ σάββατα καλοῦμεν, οὔτ' ἔβαλλον τοὺς ἰουδαίους, οὔτ' εἰς χεῖρας αὐτοῖς ἀπήντων. χοῦν δὲ καὶ πύργους ἀνίστασαν, καὶ τὰ μηχανήματα προσῆγον, ὥς τε αὐτοῖς εἰς τὴν ἐπιοῦσαν ἐνεργὰ ταῦτα εἶναι. μάθοι δ' ἄν τις ἐντεῦθεν τὴν ὑπερβολὴν ἧς ἔχομεν περὶ τὸν θεὸν εὐσεβείας, καὶ τὴν φυλακὴν τῶν νόμων, μηδὲν ὑπὸ τῆς πολιορκίας διὰ φό-C βον ἐμποδιζομένων πρὸς τὰς ἱερουργίας, ἀλλὰ δὶς τῆς ἡμέρας πρωΐ τε καὶ περὶ ἐνάτην ὥραν, ἱερουργούντων ἐπὶ τοῦ βωμοῦ, καὶ μηδ' εἴ τι περὶ τὰς προσβολὰς δύσκολον εἴη, τὰς θυσίας παριέντων. καὶ γὰρ ἁλούσης τῆς πόλεως περὶ τρίτον μῆνα τῆς νηστείας ἡμέρᾳ κατὰ τὴν ἐνάτην καὶ ἑβδομηκοστὴν καὶ ἑκατοστὴν ὀλυμπιάδα, ὑπατευόντων γαΐου ἀντωνίου, καὶ μάρκου τυλλίου κικέρωνος, οἱ πολέμιοι μὲν εἰσπεσόντες, ἔσφαττον τοὺς ἐν τῷ ἱερῷ. οἱ δὲ D πρὸς ταῖς θυσίαις οὐδὲν ἧττον ἱερουργοῦντες διετέλουν, οὔτε ὑπὸ τοῦ φόβου τοῦ περὶ τῆς ψυχῆς, οὔτε ὑπὸ τοῦ πλήθους τῶν ἤδη φονευομένων ἀναγκασθέντες ἀποδρᾶναι. πᾶν δ' ὅτι δέοι παθεῖν τοῦτο παρ' αὐτοῖς ὑπομεῖναι τοῖς βωμοῖς κρεῖττον εἶναι νομίζοντες, ἢ παρελθεῖν τι τῶν νομίμων. ὅτι δὲ οὐ λόγος ταῦτα μόνον ἐστὶν ἐγκώμιον ψευδοῦς εὐσεβείας ἐμφανίζων, ἀλλ' ἀλήθεια, μαρτυροῦσι πάντες οἱ τὰς κατὰ πομ-E πήιον πράξεις ἀναγράψαντες. ἐν οἷς καὶ στράβων καὶ νικόλαος, καὶ πρὸς τούτοις, τίτος λίβιος, ὁ τῆς ῥωμαϊκῆς ἱστορίας συγγραφεύς. ἐπεὶ δὲ τοῦ μηχανήματος προσαχθέντος, σεισθεὶς ὁ μέγιστος τῶν πύργων κατηνέχθη, καὶ παρέρρηξέ τι χωρίον, εἰσεχέοντο μὲν οἱ πολέμιοι. πρῶτος δὲ αὐτῶν κορνήλιος φαῦστος σύλλα παῖς σὺν τοῖς ὑπ' αὐτοῦ στρατιώταις ἐπέβη τοῦ τείχους. μετὰ δὲ αὐτὸν, φούριος ἑκατοντάρχης, ἅ-F μα τοῖς ἑπομένοις κατὰ θάτερον μέρος. διὰ μέσων δὲ φάβιος καὶ αὐτὸς ἑκατοντάρχης σὺν στίφει καρτερῷ. φόνου δ' ἦν πάντα ἀνάπλεω. καὶ τῶν ἰουδαίων, οἱ μὲν ὑπὸ ῥωμαίων, οἱ δ' ὑπ' ἀλλήλων ἀνῃροῦντο. εἰσὶ δὲ οἳ καὶ κατὰ κρημνῶν ἑαυτοὺς ἔρριπτον, καὶ πῦρ ἐνιέντες εἰς τὰς οἰκίας ἐνεπίμπρασαν, τὰ γινόμενα καρτερεῖν οὐχ ὑπομένοντες. ἔπεσον δὲ, τῶν μὲν ἰουδαίων, εἰς μυρίους καὶ δισχιλίους, ῥωμαίων δὲ πάνυ ὀλίγοι. ἐλή-G φθη δὲ αἰχμάλωτος καὶ ἀψαλώμος, θεῖος ἅμα καὶ πενθερὸς ἀριστοβούλου. παρηνομήθη δὲ οὐ μικρὰ περὶ τὸν ναὸν, ἄβατόν τε ὄντα ἐν τῷ πρὶν χρόνῳ καὶ ἀόρατον. παρῆλθε γὰρ εἰς τὸ ἐντὸς ὁ πομπήιος, καὶ τῶν περὶ αὐτὸν οὐκ ὀλίγοι, καὶ εἶδον ὅσα μὴ θεμιτὸν ἦν τοῖς ἄλλοις ἀνθρώποις, ἢ μόνοις τοῖς ἀρχιερεῦσιν. ὄντων δὲ τραπέζης τε χρυσῆς καὶ λυχνίας ἱερᾶς, καὶ σπονδείων, καὶ πλήθους ἀρωμάτων, χωρὶς δὲ τούτων ἐν τοῖς θησαυροῖς ἱερῶν χρημάτων εἰς δύο χιλιάδας ταλάντων, οὐδενὸς ἥψατο δι' εὐσέβειαν, ἀλλὰ κἀν τούτῳ τῆς περὶ αὐτὸν ἀξίως

ἔπραξεν

ἔπραξεν ἀρετῆς. τῇ τε ὑστεραίᾳ καθαίρειν παραγγείλας τὸ ἱερὸν τοῖς ναοπόλοις, καὶ τὰ νόμιμα ἐπιφέρειν τῷ θεῷ, τὴν ἀρχιερωσύνην ἀπέδωκεν Ὑρκανῷ, διά τε τἄλλα ὅσα χρήσιμος ὑπῆρξεν αὐτῷ, καὶ ὅτι τοὺς κατὰ τὴν χώραν Ἰουδαίους Ἀριστοβούλῳ συμπολεμεῖν ἐκώλυσε, καὶ τοὺς αἰτίους τοῦ πολέμου, τῷ πελέκει διεχρήσατο. τὸν δὲ Φαῦστον καὶ τοὺς ἄλλους ὅσοι τὸ τεῖχος προθύμως ἐπέβησαν, τῶν πρεπόντων ἀριστείων ἠξίωσε, καὶ τὰ μὲν Ἱεροσόλυμα ὑποτελῆ φόρου Ῥωμαίοις ἐποίησεν. ἃς δὲ οἱ ἔνοικοι πρότερον πόλεις ἐχειρώσαντο τῆς κοίλης Συρίας ἀφελόμενος, ὑπὸ τῷ σφετέρῳ στρατηγῷ ἔταξε, καὶ τὸ σύμπαν ἔθνος ἐπὶ μέγα πρότερον αἰρόμενον, ἐντὸς τῶν ἰδίων ὅρων συνέστειλεν. καὶ Γάδαρα μὲν μικρὸν ἔμπροσθεν κατασκαφεῖσαν, ἀνέκτισε, Δημητρίῳ χαριζόμενος τῷ Γαδαρεῖ, ἀπελευθέρῳ ἑαυτοῦ, τὰς δὲ λοιπὰς Ἵππον καὶ Σκυθόπολιν, καὶ Πέλλαν, καὶ Δῖον, καὶ Σαμάρειαν, ἔτι τε Μάρισσαν, καὶ Ἄζωτον, καὶ Ἰάμνειαν, καὶ Ἀρέθουσαν τοῖς οἰκήτορσιν ἀπέδωκε. καὶ ταύτας μὲν ἐν τῇ μεσογείῳ, χωρὶς τῶν κατεσκαμμένων. Γάζαν τε πρὸς τῇ θαλάσσῃ καὶ Ἰόππην καὶ Δῶρα, καὶ Στράτωνος τὸν πύργον, ἣ κτίσαντος αὐτὴν Ἡρῴδου μεγαλοπρεπῶς, καὶ λιμέσι τε καὶ ναοῖς κοσμήσαντος, μετωνομάσθη Καισάρεια, πάσας ὁ Πομπήϊος ἀφῆκεν ἐλευθέρας καὶ προσένειμε τῇ ἐπαρχίᾳ. τούτου τοῦ πάθους τοῖς Ἱεροσολύμοις αἴτιοι κατέστησαν Ὑρκανὸς καὶ Ἀριστόβουλος, πρὸς ἀλλήλους στασιάσαντες. τήν τε γὰρ ἐλευθερίαν ἀπεβάλλομεν, καὶ ὑπήκοοι Ῥωμαίων κατέστημεν. καὶ τὴν χώραν ἣν τοῖς ὅπλοις ἐκτησάμεθα τοὺς Σύρους ἀφελόμενοι, ταύτην ἠναγκάσθημεν ἀποδοῦναι τοῖς Σύροις. καὶ προσέτι πλείω ἢ μύρια τάλαντα Ῥωμαῖοι ἐν βραχεῖ χρόνῳ παρ' ἡμῶν εἰσεπράξαντο, καὶ βασιλεία ἡ πρότερον τοῖς κατὰ γένος ἀρχιερεῦσι διδομένη τιμή, δημοτικῶν ἀνδρῶν ἐγένετο. καὶ περὶ μὲν τούτων κατὰ χώραν ἐροῦμεν. Πομπήϊος δὲ τὴν κοίλην Συρίαν ἕως Εὐφράτου ποταμοῦ καὶ Αἰγύπτου Σκαύρῳ παραδοὺς καὶ δύο τάγματα Ῥωμαίων, ἐπὶ Κιλικίαν ᾤχετο, ἐπειγόμενος εἰς Ῥώμην. ἐπήγετο δὲ, μετὰ τῆς γενεᾶς καὶ Ἀριστόβουλον δεδεμένον. δύο γὰρ ἦσαν αὐτῷ θυγατέρες, καὶ τοσοῦτοι υἱεῖς. ὧν εἷς Ἀλέξανδρος μὲν ἀπέδρα, ὁ δὲ νεώτερος Ἀντίγονος, συνεκομίζετο εἰς Ῥώμην ἅμα ταῖς ἀδελφαῖς.

Κεφάλαιον θ'.

Ὅτι Σκαύρου στρατεύοντος ἐπὶ Πέτραν βασίλειον οὖσαν τῶν Ἀράβων, Ἀντίπατρος πείθει τὸν Ἄραβα συμμαχίαν πρὸς αὐτὸν ποιήσασθαι.

Σκαύρου δὲ ἐπὶ Πέτραν τῆς Ἀραβίας στρατεύσαντος, καὶ διὰ τὸ δυσεμβολωτάτην εἶναι τὰ ἐν κύκλῳ δῃοῦντος αὐτῆς, καὶ τοῦ στρατεύματος λιμώττοντος, Ἀντίπατρος κατ' ἐντολὴν Ὑρκανοῦ σῖτον ἐκ τῆς Ἰουδαίας καὶ τἄλλα ὅσων ἐνέδει παρείχετο. πεμφθεὶς τε πρὸς Ἀρέταν πρεσβευτὴς ὑπὸ Σκαύρου, διὰ τὴν ὑποῦσαν ξενίαν, πείθει τε αὐτὸν ἀργύριον ὑπὲρ τοῦ μὴ δῃωθῆναι τὴν χώραν δοῦναι. καὶ αὐτὸς ἐγγυητὴς τριακοσίων ταλάντων γίνεται. καὶ ἐπὶ τούτοις ἔλυσε τὸν πόλεμον Σκαῦρος, οὐχ ἧττον αὐτὸς ἢ συνέβαινεν Ἀρέταν ἐπιθυμεῖν τοῦτο γενέσθαι βουλόμενος.

A indignum cæteris virtutibus. Sequēti verò die iussis purgare templum ædituis: & instauratis legitimis sacrificiis pontificatum Hyrcano reddidit, tum propter alia ipsius officia, tum quia tota regione habitantibus Iudæis autor fuit, ne arma pro Aristobulo sumerent. deinde belli concitatores securi percussit: Faustóque & aliis qui primi murum cōscenderunt, digna præmia persoluit. Et Hierosolyma quidē pop. Rom. fecit stipendiaria, B vrbes verò quas eorū ciues sibi subiugauerant in Cœlesyria, ademptas illis iussit proprio parere præsidi: & totam gentem priùs elatam rebus prosperis, contraxit intra veteres terminos. Gadara deinde paulò antè dirupta instaurauit in gratiam liberti sui Gadarensis Demetrij. reliquas verò, Hippon, Scytopolim, Pellam, Dion, Samariā, Marissam, Azotum, Iamniam, Arethusam suis restituit habitatoribus: eásque in mediterraneis, præter variis bellis dirutas. Maritimas ve- C rò, Gazam, Ioppen, Dora, Stratonis turrim, quæ ab Herode magnificè condita, & portubus atque templis exornata, Cæsarea mutato nomine appellata est: has omnes Pompeius liberas esse iussas prouinciæ contribuit. Quorū omniū malorū causa fuêre Hierosolymitanis Hyrcanus & Aristobulus inter se dissidentes inuicem. nam tum primùm libertatem amisimus, subiecti Romanorum imperio: & regionem de Syris bello captam reddere ipsis D coacti sumus: & insuper plus quàm decem millia talentorum breui tempore à nobis Romani exegerunt: & regnum quo prius pontificale genus honestabatur, ad plebeios translatum est homines. Sed de his suo loco dicemus. Cæterùm Pompeius Cœlesyria vsque ad Euphratem amnem & Ægypti terminos Scauro tradita, cum duabus Romanis legionibus, ipse in Ciliciam abiit, Romam properans: abduxítque secum Aristo- E bulum vinctum cum duabus filiabus & totidem filiis.

CAP. IX.

Scaurus bello aggressus Aretam, fœdus Antipatri suasu cum eo feriit.

IX. F SCauro autem ad Arabiæ Petram profecto cum exercitu, & quia difficilis ad eam aditus esset, circumuicinos agros populante, militibúsque fame laborantibus, Antipater iussu Hyrcani frumentum ex Iudæa & alia necessaria eis præbebat: missúsque ad Aretam legatus à Scauro, eo quòd hospes esset, persuasit etiam illi pecunia numerata vastationem agrorum redimere, sponsor factus pro trecentis talentis. atque his conditionibus hoc bellum finitum est, non minus è Scauri quàm ex Aretæ sententia.

CAP. X.

Alexander à Gabinio victus, in quodam caſtello oppugnatur.

X. Aliquanto autem pòſt Alexandro Ariſtobuli filio Iudæam incurſionibus vexante, imperator Gabinius è Roma venit in Syriam. is & alia multa memoratu digna geſſit, & contra Alexandrum expeditionem ſuſcepit, Hyrcano iam non valente ei reſiſtere, & de muris Hieroſolymorum reficiendis cogitante, quos Pompeius deiecerat. ſed ab hoc conatu per Romanos cohibitus eſt. At Alexander peruagando regionem multos Iudæos armauit: collectiſque properè decem armatorum millibus, & mille quingentis equitibus, munitionibus firmauit Alexandrium caſtellum iuxta Coreas ſitum, & Machæruntem in finibus Arabũ. contra eum venit Gabinius, præmiſſo M. Antonio cum aliis ducibus. atque ita Romani cõiuncti cum Iudæis in officio manentibus, quorum duces erant Pitholaus & Malichus, aſſũptis etiam Antipatri auxiliis, occurrerunt Alexandro, ſequente cum reliquo exercitu Gabinio. tum ille recepit ſe propius Hieroſolyma, vbi conſerto prælio Romani occiderunt hoſtium circiter tria millia: nec pauciores capti ſunt. tum Gabinius veniens ad Alexandriũ inuitabat concluſos ad pacem, veniam præteritorum pollicendo. & cùm multi hoſtium extra caſtellum ſtationem haberent, Romani eos adorti ſunt, vbi multis cæſis egregiam operam nauauit M. Antonius. Itaque Gabinius relicta ad oppugnationem parte exercitus, ipſe reliquam Iudæam perluſtrabat: & quotquot inueniebat vrbes dirutas, ædificari iubebat, atque hoc pacto inſtauratæ ſunt, Samaria, Azoius, Scythopolis, Antedon, Raphia, Dora, Mariſſa, Gaza, & aliæ non paucæ: ídque mandante Gabinio, quarum poſthac habitatio tuta permanſit, cùm antè longo tempore deſertæ fuiſſent.

XI. His ita per regionem diſpoſitis, reuertitur ad Alexandrium: & cùm intenderetur oppugnatio, per legatos veniam petiit Alexander, offerens caſtella Hyrcaniam & Machæruntẽ, & poſtremò Alexandrium: quæ Gabinius diruit. Cúmque Alexandri mater ad eum veniſſet, quæ Romanis fauebat, marito eius & reliquis liberis Romæ aſſeruatis, impetrauit ab eo quicquid petiit. móxque diſpoſitis eius rebus, deduxit Hyrcanum Hieroſolyma, curaturum templum, & ſuum ſacerdotium. deinde conſtitutis quinque iuridicis conuentibus, in totidem æquales partes totam prouinciam diſtribuit: ita vt alij iure peterent Hieroſolyma, alij Gadara, Amathuntem alij: quarti verò Hieruntem, quinti Saphoram, quod eſt Galilææ oppidum, ſicque liberati dominis ſub optimatum gubernatione degebant.

Κεφάλαιον ί.

Ὡς ἀλέξανδρος ὑπὸ γαβινίου κρατηθεὶς τῇ μάχῃ καὶ εἰς φρούριόν τι κατακλεισθεὶς πολιορκεῖται.

Χρόνῳ δὲ ὕστερον ἀλεξάνδρου τὴν ἰουδαίαν κατατρέχοντος τοῦ ἀριστοβούλου παιδὸς, στρατηγὸς γαβίνιος ἐκ ῥώμης εἰς συρίαν ἧκεν, ὃς ἄλλα τε λόγου ἄξια διεπράξατο, καὶ ἐπὶ ἀλέξανδρον ἐστράτευσε μηκέτι ὑρκανοῦ πρὸς τὴν ἐκείνου ῥώμην ἀντέχειν δυναμένου, ἀλλ' ἀνεγείρειν ἤδη καὶ τὸ τῶν ἱεροσολύμων τεῖχος ἐπιχειροῦντος ὅπερ εἷλε πομπήιος. ἀλλὰ τούτου μὲν αὐτὸν ἐπεῖχον οἱ ἐνταῦθα ῥωμαῖοι. περιιὼν δὲ ἐν κύκλῳ τὴν χώραν, πολλοὺς ὥπλιζε τῶν ἰουδαίων, καὶ συνέλεξε ταχὺ μυρίους μὲν ὁπλίτας, πεντακοσίους δὲ πρὸς τοῖς χιλίοις ἱππεῖς, ἀλεξάνδρειόν τε ὠχύρου, τὸ πρὸς ταῖς κορέαις ἔρυμα, καὶ μαχαιροῦντα πρὸς τοῖς ἀραβίοις ὄρεσιν. ἔρχεται οὖν ὑπ' αὐτὸν γαβίνιος, μάρκον ἀντώνιον προπέμψας σὺν ἄλλοις ἡγεμόσιν. οἱ δὲ ὁπλίσαντες ῥωμαίων τοὺς ἑπομένους καὶ σὺν τούτοις τοὺς ὑπηκόους ἰουδαίους, ὧν πειθόλαος ἡγεῖται καὶ μάλιχος, προσλαβόντες δὲ καὶ τὸ ἀντιπάτρου ἑταιρικὸν ὑπαντῶν ἀλεξάνδρῳ, ἠκολούθει δὲ καὶ γαβίνιος σὺν τῇ φάλαγγι, καὶ ἀναχωρεῖ μὲν ἐγγὺς ἱεροσολύμων ἀλέξανδρος. συμπεσόντων δὲ ἀλλήλοις ἐκεῖ, καὶ μάχης γενομένης, κτείνουσι μὲν οἱ ῥωμαῖοι τῶν πολεμίων περὶ τρισχιλίους, ζωγροῦσι δὲ, οὐκ ἐλάττους. ἐν τούτῳ γαβίνιος ἐπὶ τὸ ἀλεξάνδρειον ἐλθὼν, προυκαλεῖτο τοὺς ἔνδον εἰς διαλύσεις, συγγνώσεσθαι περὶ τῶν πρόσθεν αὐτοῖς ἡμαρτημένων ὁμολογῶν. στρατοπεδευομένων δὲ πολλῶν πρὸ τοῦ ἐρύματος πολεμίων, ἐφ' οὓς ἀνῄεσαν οἱ ῥωμαῖοι, μάρκος ἀντώνιος ἐπιφανῶς ἀγωνισάμενος, καὶ πολλοὺς ἀποκτείνας, ἔδοξεν ἠριστευκέναι. γαβίνιος μὲν οὖν μέρος τῆς στρατιᾶς ἐνταῦθα καταλιπὼν, ὡς ἂν ἐκπολιορκηθείη τὸ χωρίον, αὐτὸς ἐπῄει τὴν ἄλλην ἰουδαίαν, καὶ ὅσαις γε ἐνετύγχανε καθῃρημέναις τῶν πόλεων, κτίζειν παρεκελεύετο, καὶ ἀνεκτίσθησαν σαμάρεια καὶ ἄζωτος, καὶ σκυθόπολις, καὶ ἀνθηδὼν, καὶ ῥαφία, καὶ δῶρα, μάρισά τε καὶ γάζα, καὶ ἄλλαι οὐκ ὀλίγαι. τῶν δὲ ἀνθρώπων πειθομένων οἷς ὁ γαβίνιος προσέταττε, βεβαίως οἰκηθῆναι συνέβαινε τότε τὰς πόλεις, πολὺν χρόνον ἐρήμους γενομένας. ταῦτα δὲ διαπραξάμενος κατὰ τὴν χώραν ἐπάνεισιν εἰς τὸ ἀλεξάνδρειον. καὶ τὴν πολιορκίαν αὐτοῦ κρατύναντος διαπρεσβεύεται πρὸς αὐτὸν ἀλέξανδρος, συγγινώσκειν τε αὐτῷ τῶν ἡμαρτημένων δεόμενος, καὶ παραδιδοὺς τῶν ἐρυμάτων ὑρκανίαν τε καὶ μαχαιροῦντα, ὕστερον δὲ καὶ ἀλεξάνδρειον, καὶ ταῦτα μὲν γαβίνιος κατέσκαψε. τῆς ἀλεξάνδρου δὲ μητρὸς πρὸς αὐτὸν ἐλθούσης, ἣ ἐφρόνει τὰ ῥωμαίων, τοῦ τε ἀνδρὸς αὐτῆς καὶ τῶν ἄλλων τέκνων ἐν ῥώμῃ ἐχομένων, συνεχώρησεν αὐτῇ πάνθ' ἅπερ ἠξίου. καὶ διοικησάμενος τὰ πρὸς αὐτὴν, ὑρκανὸν κατῆγεν εἰς ἱεροσόλυμα, ἕξοντα τὴν τοῦ ἱεροῦ ἐπιμέλειαν. πέντε δὲ συνέδρια καταστήσας εἰς ἴσας μοίρας διένειμε τὸ ἔθνος. καὶ ἐπολιτεύοντο οἱ μὲν ἐν ἱεροσολύμοις, οἱ δὲ ἐν γαδάροις, οἱ δ' ἐν ἀμαθοῦντι, τέταρτοι δὲ ἦσαν οἱ ἐν ἱεριχοῦντι, καὶ τὸ πέμπτον ἐν σαμφώροις τῆς ἰουδαίας. καὶ οἱ μὲν ἀπηλλαγμένοι τῆς δυναστείας, ἐν ἀριστοκρατείᾳ διῆγον.

Κεφάλαιον ια.

Ὡς φυγόντα ἐκ ῥώμης ἀριστόβουλον εἰς ἰουδαίαν λαβὼν γαβίνιος αἰχμάλωτον πάλιν ἀνέπεμψεν εἰς ῥώμην.

Αριστοβούλου δὲ διαδράντος ἐκ ῥώμης εἰς τὴν ἰουδαίαν, καὶ τὸ ἀλεξάνδρειον ὅπερ ἦν νεωστὶ κατεσκαμμένον, ἀνατειχίζειν πραγματευομένου, πέμπει γαβίνιος πρὸς αὐτὸν στρατιώτας καὶ ἡγεμόνας, σισένναν τε καὶ ἀντώνιον καὶ σερουΐλιον, κωλύσοντάς τε τὸ χωρίον αὐτὸν καταχεῖν, καὶ συλληψομένους αὐτόν. πολλοὶ δ' ἀριστοβούλῳ τῶν ἰουδαίων κατὰ τὴν παλαιὰν εὔκλειαν προσέρρεον, καὶ δὴ καὶ νεωτέροις χαίροντες πράγμασι. πειθόλαος γοῦν τις ὑποστράτηγος ἐν ἱεροσολύμοις ὤν, μετὰ χιλίων ηὐτομόλησε πρὸς αὐτὸν, πολλοὶ δὲ τῶν προστιθεμένων ἦσαν ἄνοπλοι. διεγνωκὼς δὲ εἰς μαχαιροῦντα ἀπανίστασθαι ἀριστόβουλος, τούτους μὲν ἀπέλυσεν ἀπόρους ὄντας. οὐ γὰρ ἐγίνοντο αὐτῷ χρήσιμοι πρὸς τὰ ἔργα, τοὺς δὲ ὡπλισμένους περὶ ὀκτακισχιλίους ὄντας ἀναλαβὼν ᾤχετο. καὶ προσπεσόντων αὐτοῖς τῶν ῥωμαίων καρτερῶς, ἡττῶνται τῇ μάχῃ γενναίως οἱ ἰουδαῖοι. καὶ προθύμως ἀγωνισάμενοι, βιασαμένων τε τῶν πολεμίων, εἰς φυγὴν τρέπονται. καὶ φονεύονται μὲν αὐτῶν εἰς πεντακισχιλίους, οἱ δὲ λοιποὶ σκεδασθέντες, ὡς ἐδύναντο σώζειν αὐτοὺς ἐπειρῶντο. χιλίων μέντοι πλείονας ἔχων ἀριστόβουλος εἰς μαχαιροῦντα διέφυγε, ὠχύρου τε τὸ χωρίον, καὶ πράττων κακῶς οὐδὲν ἧττον ἐλπίδος ἀγαθῆς εἴχετο. δύο δ' ἡμέρας ἀντισχὼν τῇ πολιορκίᾳ, καὶ πολλὰ τραύματα λαβὼν, αἰχμάλωτος μετ' ἀντιγόνου τοῦ παιδὸς, ὃς δὴ καὶ συνέφυγεν ἐκ ῥώμης αὐτῷ πρὸς γαβίνιον ἄγεται. καὶ τοιαύτῃ μὲν ἀριστόβουλος χρησάμενος τύχῃ, πάλιν εἰς ῥώμην ἀναπέμπεται, καὶ δεθεὶς αὐτοῦ κατείχετο. βασιλεύσας μὲν καὶ ἀρχιερατεύσας ἔτη γ' καὶ μῆνας ς', ἀνὴρ δὲ λαμπρὸς καὶ μεγαλόψυχος γενόμενος. τὰ μέντοι τέκνα αὐτοῦ ἀνῆκεν ἡ σύγκλητος, γαβινίου γράψαντος τοῦθ' ὑποσχέσθαι τῇ μητρὶ παραδούσῃ τὰ ἐρύματα, καὶ τότε μὲν εἰς τὴν ἰουδαίαν ἐπανέρχονται. γαβινίῳ δ' ἐπὶ πάρθους στρατεύοντι, καὶ τὸν εὐφράτην πεπεραιωμένῳ μετέδοξεν εἰς αἴγυπτον ὑποστρέψαντα, καταστῆσαι πτολεμαῖον εἰς αὐτήν. καὶ ταῦτα μὲν καὶ ἐν ἄλλοις δεδήλωται. γαβινίῳ μέντοι κατὰ τὴν στρατιὰν ἣν ὑφ' ὑρκανὸν ἐστείλατο, ἀντίπατρος ὑπηρέτησε σῖτον καὶ ὅπλα καὶ χρήματα, καὶ τοὺς ὑπὲρ πηλούσιον τῶν ἰουδαίων σὺν αὐτῷ προσηγάγετο καὶ συμμάχους ἐποίησε, φύλακας ὄντας τῶν εἰς τὴν αἴγυπτον ἐμβολῶν. ἐπανελθὼν δ' ἐκ τῆς αἰγύπτου καταλαμβάνει τὴν συρίαν στάσει καὶ ταραχῇ νοσοῦσαν. ὁ γὰρ ἀριστοβούλου παῖς ἀλέξανδρος, παρελθὼν ἐξ ὑστέρου πάλιν ἐπὶ τὴν ἀρχὴν κατὰ βίαν, πολλοὺς μὲν τῶν ἰουδαίων ἀπέστησεν. στρατεύματι δὲ μεγάλῳ τὴν χώραν ἐπερχόμενος, ἔκτεινε πάντας ὅσους ἐπιτύχοι τῶν ῥωμαίων, εἰς τὸ ὄρος τὸ καλούμενον γαριζὶν συμφυγόντας, καὶ προσέκειτο πολιορκῶν. ὁ δὲ γαβίνιος τοιαῦτα κατὰ τὴν συρίαν καταλαβὼν, ἀντίπατρον, συνετὸς γὰρ ἦν, προπέμπει πρὸς τοὺς νενοσηκότας, εἰ παύσαι δυνηθείη τῆς παραφροσύνης αὐτοὺς, καὶ πεῖσαι πρὸς τὸν ἀμείνω λογισμὸν ἐπανελθεῖν. ὁ δ' ἐλθὼν πολλοὺς μὲν ἐσωφρόνισε καὶ προσηγάγετο τῷ δέοντι, τὸν δὲ ἀλέξανδρον οὐκ ἠδυνήθη καταχεῖν. στρατὸν γὰρ τρεῖς σὺν αὐτῷ ἔχων μυριάδας ἰουδαίων,

A

CAP. XI.

Aristobulus Romæ vinculis elapſus, rurſum in Iudæa captus à Gabinio, Romam remittitur.

XII.

CÆterùm cùm Ariſtobulus Roma profugus, reuerſus eſſet in Iudæam: & conaretur Alexandrium recèns dirutum denuò munire, Gabinius miſit eò milites ducibus Siſenna, Antonio, & Seruilio, qui eum locum occupari non ſinerent, & darent operam vt ipſum comprehenderent. nam multi Iudæorum ad eum propter nominis celebritatem confluebant, nouarum rerum auidi: ſiquidem & Pitholaus Hieroſolymorum præfectus cum mille armatis ad eum transfugit. alioqui in eo cõfluxu multi fuêre non ſatis armis inſtructi. Ariſtobulus verò volens occupare Machæruntem, tales dimiſit vt inutiles ad moliendum aliquid, aſſumptíſque tantùm armatorum octo millibus, illuc contendit. quos aſſecuti Romani vicerunt egregiè. quamuis enim repugnantes aliquantiſper, impreſſione facta coegerunt terga vertere, occiſis eorum circiter quinque millibus. reliqui verò diſſipati, vt quiſque potuit ſalutem ſibi quæſiuerunt. Ariſtobulus tamen plus mille ſecum trahens perfugit Machæruntem: muniebátque id caſtrum, & quamuis rebus afflictis, bene ſperare non deſtitit. Sed non vltra biduum ſuſtinere potuit oppugnationem, & multis acceptis vulnerib⁹ captiuus cum Antigono filio, qui ei fugæ comes fuerat, ad Gabinium adductus eſt. atque ita reflante fortuna rurſum remiſſus Romam, in vinculis eſt habitus, poſtquam regno & põtificatu potitus eſt annis tribus cum dimidio, vir in ea dignitate magnificus & magnanim⁹. Liberos tamen eius dimiſit ſenatus, cũ ex Gabinij literis cognouiſſet, promiſſum hoc eorũ matri, dum caſtella traderet: qui mox in Iudæã reuerſi ſunt. Porrò Gabinio paranti expeditionem in Parthos, & iam Euphratem traiicienti, mutata ſententia viſum eſt Ptolemæum in Ægyptum reducere, ſicut aliàs indicatum eſt. In hac quoque expeditione ab Antipatro adiutus eſt frumento, armis & pecuniis: & illius conſilio Iudæi qui Peluſium accolunt, ceu cuſtodes Ægypti aditus, in ſocietatem pertracti ſunt. Cæterùm reuerſus ex Ægypto, deprehendit Syriam laborare diſſidiis & tumultibus. Ariſtobuli enim filius Alexander, denuò inuaſo per vim principatu, multos Iudæorum ad defectionem impulit. collectóque magno exercitu regionem obeundo, interficiebat Romanos quotquot adipiſci potuit, reliquos in montem Garizim compulſos obſedit. Gabinius verò hoc in ſtatu Syriam offendens, Antipatrum propter notam viri prudentiam præmittit ad tumultuatores, ſi fortè poſſet ad ſaniorem mentem reductis perſuadere vt meliora ſequantur conſilia: quod ille ſedulò fecit, & multos reduxit ad officiũ. Alexãdro verò potiri nõ potuit. is. n. habẽs ſecũ xxx. Iudæorum millia,

A ausus est occurrere Gabinio, & collatis signis decernere ad montem Itabyrium: quo prælio desiderata sunt ex acie Iudaica x. millia. Tum victor constitutis Hierosolymitanis rebus ex Antipatri sententia, contra Nabathæos profectus, hos quoque profligat vno prælio. nobiles etiam Parthos Mithridatem & Orsanem ad se profugos remisit, sparso rumore quòd aufugissent in patriam: tantisque rebus gestis Romam reuertens Crasso prouinciam tradidit. B De his autem Pompeij & Gabinij contra Iudæos expeditionibus scribit Nicolaus Damascenus & Strabo Cappadox, nihil ab altero discrepans.

Cap. XII.

Crassi contra Parthos ducentis per Iudæam iter, & sacrilegium.

XIII. Crassus autem expeditionem contra Parthos parans in Iudæam peruenit, & pecuniam sacram quàm Pompeius non attigerat, C duo millia talentorum abstulit, totóque reliquo auro, cuius summa accedebat ad octo talentorum millia, templum spoliauit. Tulit etiam trabem ex auro solidam, trecentas minas pendentem. Mina autem apud nos cōstat duabus libris cum dimidia. Hanc trabem ei tradidit sacerdos sacri thesauri custos Eleazarus, non præ malitia (nam erat vir bonus & iustus) sed cùm concreditam haberet aulæorum templi custodiam, ex hac trabe pendentium, D quorum admiranda pulchritudo erat & apparatus preciosissimus: viderétque Crassum totum esse in colligendo auro, timens omnibus templi ornamentis, trabem hanc redemptionem pro omnibus ei dedit: cùm prius eum iureiurando obstrinxisset, nihil aliud loco moturum, contentum eo quod ipse traderet, æstimatum plurimis aureorum millibus. Hæc trabs inserta erat trabi cauæ ligneæ, quod cæteris omnibus ignotum solus sciebat Eleazarus. E Crassus tamen & hanc pro reliquo templi auro accepit, & mox violato iureiurando totum quantum intus erat egessit. Nec est mirandum tantas diuitias in nostro templo fuisse, cuius Deum cùm omnes vbique terrarum Iudæi venerentur ac colant, tam ex Europa quàm ex Asia longo tempore huc eas contulerant. Nec ad iactationem conficta est prædicta summa, nec caret testibus: sed cùm alij multi, tū Strabo Cappadox attestatur nobis his verbis: F Mithridates autem misit in Coum insulam qui afferrent sibi inde pecuniam, quam Cleopatra regina ibi deposuerat, & Iudæorum octingenta talenta. Nobis autem nulla est publica pecunia, præter hanc Deo sacram: & satis apparet, quòd hanc Iudæi ex Asia in Coum deportauerant metu belli Mithridatici. Non est enim verisimile, eos qui Iudæam habitabant, habentes vrbem adeò munitā & templū, pecunias in Coū misisse. G Sed nec Alexandrinos Iudæos hoc fecisse est credibile, quib. nihil erat à Mithridate periculi. Idē Strabo alibi testatur Syllā quo tēpore in Græciam traiecit, gesturus bellum cōtra Mithridatem & Lucullum, misisse Cyrenē

A ἀπήντησε γαβινίῳ καὶ συμβαλὼν ἡττᾶται, πεσόντων αὐτοῦ μυρίων περὶ τὸ ἰταβύριον ὄρος. καταστησάμενος δὲ γαβίνιος τὰ κατὰ τὴν ἱεροσολυμιτῶν πόλιν, ὡς ἦν ἀντιπάτρῳ θέλοντι, ἐπὶ ναβαταίους ἔρχεται. καὶ κρατεῖ μὲν τούτων τῇ μάχῃ. πάρθων δὲ μιθριδάτην καὶ ὀρσάνην φυγάδας πρὸς αὐτὸν ἐλθόντας, προύπεμψε, τῷ δὲ λόγῳ, ἀπέδρασαν αὐτόν. καὶ γαβίνιος μὲν, ἔργα μεγάλα καὶ λαμπρὰ κατὰ τὴν στρατείαν δράσας, ἀπῄει εἰς ῥώμην, κράσσῳ παραδοὺς τὴν ἀρχήν. B περὶ δὲ τῆς πομπηΐου καὶ γαβινίου στρατείας ἐπὶ ἰουδαίους, γράφει νικόλαος ὁ δαμασκηνὸς καὶ στράβων ὁ καππάδοξ, οὐδὲν ἑτέρου καινότερον λέγων.

Κεφάλαιον ιβ'.

Κράσσου κατὰ τὴν ἐπὶ πάρθους στρατείαν εἰς τὴν ἰουδαίαν ἀνάβασις, καὶ σύλησις τῶν ἱερῶν χρημάτων.

Κράσσος δὲ ἐπὶ πάρθους μέλλων στρατεύειν ἧκεν C εἰς τὴν ἰουδαίαν. καὶ τὰ ἐν τῷ ἱερῷ χρήματα ὁ πομπήϊος καταλελοίπει, δισχίλια δ' ἦν τάλαντα, βαστάσας, οἷός τε ἦν καὶ τὸν χρυσὸν ἅπαντα, τάλαντα δὲ καὶ ὀκτὼ ἦν, περιδύειν τὸν ναόν. λαμβάνει δὲ καὶ δοκὸν ὁλοσφυρήλατον χρυσῆν, ἐκ μνῶν τριακοσίων πεποιημένην. ἡ δὲ μνᾶ παρ' ἡμῖν ἰσχύει λίτρας β' καὶ ἥμισυ. παρέδωκε, αὐτῷ ταύτην τὴν δοκὸν ὁ τῶν θησαυρῶν φύλαξ ἱερεὺς ἐλεάζαρος ὄνομα, οὐ διὰ πονηρίαν, ἀγαθὸς γὰρ ἦν καὶ δίκαιος, ἀλλὰ πεπιστευμένος τὴν τῶν καταπετασμάτων D τοῦ ναοῦ φυλακὴν, ὄντων θαυμασίων τὸ κάλλος καὶ πολυτελῶν τὴν κατασκευὴν, ἐκ δὲ τῆς δοκοῦ ταύτης ἐκκρεμαμένων, ἐπεὶ τὸν κράσσον ἑώρα περὶ τὴν τοῦ χρυσοῦ γινόμενον συλλογὴν, δείσας περὶ τῷ παντὶ κόσμῳ τοῦ ναοῦ, τὴν δοκὸν αὐτῷ τὴν χρυσῆν, λύτρον ἀντὶ πάντων ἔδωκεν, ὅρκους παρ' αὐτοῦ λαβὼν μηδὲν ἄλλο κινήσειν τῶν ἐκ τοῦ ναοῦ, μόνῳ δὲ ἀρκεσθήσεσθαι τῷ ὑπ' αὐτοῦ δοθησομένῳ, πολλῶν ὄντι μυριάδων ἀξίῳ. ἡ δὲ δοκὸς E αὕτη ἦν ἐν ξυλίνῃ δοκῷ κενῇ. καὶ τοῦτο, τοὺς μὲν ἄλλους ἐλάνθανεν ἅπαντας, ὁ δὲ ἐλεάζαρος μόνος ἠπίστατο. ὁ μέντοι κράσσος καὶ ταύτην ὡς οὐδενὸς ἀψόμενος ἄλλου τῶν ἐν τῷ ἱερῷ λαμβάνει, καὶ παραβὰς τοὺς ὅρκους ἅπαντα τὸν ἐν τῷ ναῷ χρυσὸν ἐξεφόρησε. θαυμάσῃ δὲ μηδεὶς εἰ τοσοῦτος ἦν πλοῦτος ἐν τῷ ἡμετέρῳ ἱερῷ, πάντων τῶν κατὰ τὴν οἰκουμένην ἰουδαίων καὶ σεβομένων τὸν θεὸν, ἔτι δὲ καὶ τῶν ἀπὸ τῆς ἀσίας καὶ τῆς εὐρώπης, εἰς F αὐτὸ συμφερόντων ἐκ πολλῶν πάνυ χρόνων. οὐκ ἔστι δὲ ἀμάρτυρον τὸ μέγεθος τῶν προειρημένων χρημάτων οὐδὲ ὑπὸ ἀλαζονείας ἡμετέρας καὶ περιττολογίας, ἐπὶ τοσοῦτον ἐξαίρεται πλῆθος. ἀλλὰ πολλοί τε ἄλλοι τῶν συγγραφέων ἡμῖν μαρτυροῦσι, καὶ στράβων ὁ καππάδοξ οὕτω λέγων. πέμψας δὲ μιθριδάτης εἰς κῶ, ἔλαβε τὰ χρήματα ἅπερ ἔθετο ἐκεῖ κλεοπάτρα ἡ βασίλισσα, καὶ τὰ τῶν ἰουδαίων ω' τάλαντα. ἡμῖν δὲ δημόσια χρήματα οὐκ ἔστιν, ἢ τὰ τοῦ θεοῦ μόνα. καὶ δῆλον ὅτι G ταῦτα μετήνεγκαν εἰς κῶ τὰ χρήματα, οἱ ἐν τῇ ἀσίᾳ ἰουδαῖοι, διὰ τὸν ἐκ μιθριδάτου φόβον. οὐ γὰρ εἰκὸς τοὺς ἐν τῇ ἰουδαίᾳ πόλιν τε ὀχυρὰν ἔχοντας, καὶ τὸν ναὸν, πέμπειν χρήματα εἰς κῶ. ἀλλ' οὐδὲ τοὺς ἐν ἀλεξανδρείᾳ κατοικοῦντας ἰουδαίους πιθανὸν τοῦτ' ἐστὶ ποιῆσαι, μηδὲν μιθριδάτην δεδιότας. μαρτυρεῖ δὲ καὶ ἐν ἑτέρῳ τόπῳ αὐτὸς ὁ στράβων, ὅτι κατὰ ὃν καιρὸν διέβη σύλλας εἰς τὴν ἑλλάδα πολεμήσων μιθριδάτην, καὶ λούκουλλον πέμψαι ἐπὶ τὴν ἐν κυρήνῃ

στάσιν τοῦ ἔθνους ἡμῶν, ὧν οἰκουμένην πεπλήρωται λέγων οὕτως. τέτταρες δ' ἦσαν ἐν τῇ πόλει τῶν κυρηναίων, ἥ τε τῶν πολιτῶν, καὶ ἡ τῶν γεωργῶν, τρίτη δ' ἡ τῶν μετοίκων, καὶ τετάρτη ἡ τῶν ἰουδαίων. αὕτη δ' εἰς πᾶσαν πόλιν ἤδη παρεληλύθει, καὶ τόπον οὐκ ἔστι ῥαδίως εὑρεῖν τῆς οἰκουμένης, ὃς οὐ παραδέδεκται τοῦτο τὸ φῦλον, μηδ' ἐπικρατεῖται ὑπ' αὐτοῦ. τήν τε αἴγυπτον καὶ τὴν κυρηναίαν, ἅτε τῶν αὐτῶν ἡγεμόνων τυχοῦσαν, τῶν τε ἄλλων συχνὰ ζηλῶσαι συνέβη. καὶ δὴ τὰ συντάγματα τῶν ἰουδαίων θρέψαι διαφερόντως, καὶ συναυξῆσαι χρώμενα τοῖς πατρίοις τῶν ἰουδαίων νόμοις. ἐν γοῦν αἰγύπτῳ κατοικία τῶν ἰουδαίων ἐστὶν ἀποδεδειγμένη, χωρὶς καὶ τῆς ἀλεξανδρέων πόλεως ἀφώρισται μέγα μέρος τῷ ἔθνει τούτῳ. καθίσταται δὲ καὶ ἐθνάρχης αὐτῶν, ὃς διοικεῖ τε τὸ ἔθνος καὶ διαιτᾷ κρίσεις, καὶ συμβολαίων ἐπιμελεῖται καὶ προσταγμάτων, ὡσὰν πολιτείας ἄρχων αὐτοτελοῦς. ἐν αἰγύπτῳ μὲν οὖν ἴσχυσε τὸ ἔθνος, διὰ τὸ αἰγυπτίους εἶναι ἐξ ἀρχῆς ἰουδαίους, καὶ διὰ τὸ πλησίον ἵδρυσθαι τὴν κατοικίαν, τοὺς ἀπελθόντας ἐκεῖθεν. εἰς δὲ τὴν κυρηναίαν μετέβη, διὰ τὸ καὶ ταύτην ὅμορον εἶναι τῇ τῶν αἰγυπτίων ἀρχῇ, καθάπερ τὴν ἰουδαίαν, μᾶλλον δὲ τῆς ἀρχῆς ἐκείνης πρότερον. στράβων δὴ οὖν ταῦτα λέγει. κράσσος δὲ πάντα διοικήσας ὃν αὐτὸς ἐβούλετο τρόπον, ἐξώρμησεν ἐπὶ τὴν παρθυαίαν. καὶ αὐτὸς μὲν δὴ σὺν παντὶ διεφθάρη τῷ στρατῷ, ὡς καὶ ἐν ἄλλοις δεδήλωται. κάσσιος δὲ εἰς συρίαν φυγὼν καὶ περιποιησάμενος αὐτὴν πάρθοις ἐμποδὼν ἦν, ἐκτρέχουσιν ἐπ' αὐτὴν διὰ τὴν κατὰ κράσσου νίκην. αὖθις δὲ εἰς τύρον ἀφικόμενος, ἀνέβη καὶ εἰς τὴν ἰουδαίαν. ταριχαίας μὲν οὖν εὐθέως προσπεσὼν αἱρεῖ, καὶ περὶ τρισμυρίους ἀνθρώπους ἀνδραποδίζει, πειθόλαόν τε τὸν τὴν ἀριστοβούλου στάσιν διαδεχόμενον κτείνει, πρὸς τοῦτο αὐτὸν ἀντιπάτρου παραινοῦντος, ὃν πολὺ καὶ παρ' αὐτῷ συνέβαινε δύνασθαι, καὶ πλείστου τότε ἄξιος ἦν, καὶ παρὰ ἰδουμαίοις, παρ' ὧν ἄγεται γυναῖκα τῶν ἐπισήμων ἐξ ἀραβίας, κύπρον ὄνομα, ἐξ ἧς αὐτῷ τέσσαρες ἐγένοντο παῖδες, φασάηλος, καὶ ἡρώδης, ὃς ὕστερον βασιλεὺς γίνεται, ἰώσηπός τε καὶ φερώρας, θυγάτηρ δὲ σαλώμη. οὗτος ὁ ἀντίπατρος ἐπεποίητο καὶ πρὸς τοὺς ἄλλους δυνάστας φιλίαν καὶ ξενίαν, μάλιστα δὲ πρὸς τὸν ἄραβα, ᾧ καὶ τὰ τέκνα πολεμῶν πρὸς ἀριστόβουλον παρέθετο. κάσσιος μὲν οὖν ἀναστρατοπεδευσάμενος, ἐπὶ τὸν εὐφράτην ἠπείγετο, ὑπαντιάσων τοῖς ἐκεῖθεν ἐπιοῦσιν, ὡς καὶ ὑπ' ἄλλων δεδήλωται.

agitatam seditionibus gentis nostræ, quæ orbem terrarum repleuerit. sic enim scribit: Quatuor erant genera in Cyrenensium vrbe, ciues, agricolæ, inquilini, & quarti Iudæi. hoc iam in omnes vrbes subrepsit. nec est facile inuenire locum in orbe habitabili, quem recepta semel non obtineat. nam & Ægyptus & Cyrene, vtpote eisdem solitæ parere dominis, aliæque multæ regiones horum ritus admiserunt: alúntque congregationes Iudæorum maximas, tempore coalitas, & vtentes institutis domesticis. Per Ægyptum sanè etiam coloniæ sunt eius gentis, absque eo quòd Alexandrinæ vrbis magna pars eis assignata est. habet etiam proprium magistratum qui suæ gentis res administret, & controuersias ex iure dirimat, & contractus atque pacta rata habeat, non aliter quàm fit in absoluta republica. Inualuit itaque hæc gens in Ægypto, eo quòd antiquitus originem inde habeat, & facile migretur eò propter vicinitatem. In Cyreniacam verò regionē inde transiit vt conterminam, quemadmodum etiam Iudæa est, vel potius partem olim regni Ægyptij. Hæc Strabo. Cæterùm Crassus rebus arbitratu suo compositis, Parthorum ditionē inuasit: vbi cum omnibus copiis periit: sicut alìas narratum est. Cassius autem in Syriam refugiens occupata ea resistebat Parthis, propter recentem victoriam excursantibus: & cùm venisset Tyrum, inuisit etiam Iudæam. vbi Tarichæas primo impetu cepit, & fermè xxx. millia captiuorum abduxit. Pitholaum quoque qui Aristobuli partes fouebat interfecit hortante Antipatro, qui plurimum apud eum poterat, & maximam inter Idumæos autoritatem habuit. apud quos duxit vxorem illustri inter Arabas loco natā, Cypron nomine, ex qua quatuor ei nati sunt filij, Phasaelus, & Herodes qui postea regnauit, & Iosephus atque Pheroras, & filia Salome. Hic Antipater etiam alios dynastas hospitio sibi cōiunxit & amicitia, sed maxime Arabem, apud quem & liberos deposuit, dum bellum contra Aristobulum gereret. At Cassius reparatis copiis ad Euphratem se contulit, ibique Parthis se opposuit, quemadmodum & ab aliis scriptoribus est memoriæ proditum.

Κεφάλαιον ιγ'.

Φυγὴ πομπηΐου εἰς ἤπειρον, καὶ σκιπίωνος εἰς συρίαν ἄφιξις.

Χρόνῳ δὲ ὕστερον καῖσαρ κατασχὼν ῥώμην μετὰ τὸ πομπήϊον καὶ τὴν σύγκλητον φυγεῖν πέραν τοῦ ἰονίου, παραλύσας τῶν δεσμῶν ἀριστόβουλον εἰς συρίαν διεγνώκει πέμπειν, δύο παραδοὺς αὐτῷ τάγματα, ὡς ἂν εὐτρεπίζοι τὰ κατὰ ταύτην δυνατὸς ὤν. ἀριστόβουλος δὲ οὐκ ἀπώνατο τῶν ἐλπίδων, ἐφ' αἷς ἔτυχε τῆς παρὰ καίσαρος ἐξουσίας, ἀλλ' αὐτὸν φθάσαντες οἱ τὰ πομπηΐου φρονοῦντες φαρμάκῳ διαφθείρουσιν, θάπτουσι δ' αὐτὸν οἱ τὰ καίσαρος θεραπεύοντες πράγματα. καὶ ὁ νεκρὸς [αὐτοῦ] ἔκειτο ἐν μέλιτι κεκηδευμένος ἐπὶ χρόνον πολὺν, ἕως ἀντώνιος αὐτὸν ὕστερον ἀποπέμψας εἰς τὴν ἰουδαίαν ἐν ταῖς βασιλικαῖς θήκαις ἐποίησε τεθῆναι. σκιπίων δὲ ἐπιστείλαντος αὐτῷ πομπηΐου ἀποκτεῖναι ἀλέξανδρον τὸν ἀριστοβούλου,

Cap. XIII.

Pompeij fuga in Epirum, & Scipionis aduentus in Syriam.

XIV. Aliquanto autem pòst Cæsar occupata Roma, & Pompeio vnà cum senatu vltra mare Ionium fugato, solutum vinculis Aristobulum decreuit in Syriam mittere, additis ei duabus legionibus quo facilius ordinaret prouinciam, sed is breui frustratus est sua spe, quam ex accepta à Cæsare potestate conceperat, à Pompeianis veneno sublatus, & à Cæsarianis funeratus. Corpus autem eius diu melle curatum iacuit, donec Antonius id in Iudæam remissum mandauit reponi in regum conditoriis. XV. Scipio verò iussu Pompeij securi percussit Alexandrū Aristobuli filiū

eo quòd aliquando contra Romanos rebellauerat,& hic quidem apud Antiochiam affectus est supplicio.fratres verò eius ad se recepit Ptolemæus Mennæus dynasta Chalcidis, quæ sita est in monte Libano. nam misso Philippione filio Ascalonem ad vxorem Aristobuli,iussit eam cum eo mittere ad se Antigonum filium & filias,quarum alterius Alexandræ amore captus Philippio duxit eam coniugem.deinde verò occiso prius eò Ptolemæus ipse duxit Alexandram, & germanorum eius curam habere non destitit.

Cap. XIIII.

Cæsaris in Aegyptum expeditio, & quàm fideli Iudæorum opera adiutus sit.

XVI. POst Pompej autem obitum & victoriam Cæsaris,bellum ei gerenti in Ægypto multis in rebus vsui fuit Antipater Iudæorum gubernator,idque mandato Hyrcani. Mithridate enim Pergameno adducente auxilia, nec valente transire per Pelusium, & circa Ascalonē hærente, Antipater ei se adiunxit cum armatis Iudæorum tribus millibus, egitque cum Arabum primatibus vt & ipsi venirent auxilio, eiusque potissimum opera è tota Syria auxilia contracta sunt.nam certatim opem tulerunt Cæsari Iamblichus dynasta & Ptolemæus eius filius & Tholomæus Sohemi filius Libanum montem incolens,& vrbes penè vniuersæ.Mithridates verò motis è Syria castris peruenit Pelusium,& non receptus ab eius loci hominib. vrbem oppugnauit. Vbi præcipuam operam nauauit Antipater, primúsque deiecta quadam muri parte,aditum cæteris irrumpentibus in vrbem aperuit. & Pelusium quidem sic captum est.Antipatrum autem & Mithridatem properantes ad Cæsarem transitu arcebant Iudæi Ægyptij,qui regionem quæ Oniæ dicitur incolunt. Hos Antipater vt tribules in partes suas traduxit,maximè cum ostendisset Hyrcani pontificis literas.in quibus rogabantur,vt amicos se præberent Cæsari, eúmque commeatibus iuuarent & rebus exercitui necessariis. Qui moti autoritate Antipatri ac pontificis libenter paruerunt. quod vbi audiuerunt qui Memphim accolunt, & ipsi Mithridatem accersiuerunt, & ille eò profectus hos quoque adiunxit suis partibus.

Cap. XV.

Antipatri res gestæ & cum Cæsare amicitia.

POstquam autem ventum est ad Delta quod vocant, conflixit cum hoste circa locum qui Castra Iudæorum dicitur. Curabat autem dextrum cornu Mithridates,sinistrum Antipater.In ea pugna Mithridatis cornu inclinatum est,videbatúrq; cladem accepturum,nisi maturè præter fluminis ripam accurrens cum suis Antipater,qui iam aduersarios profligauerat, exemptis sociis periculo, Ægyptios iam vincentes coegisset terga vertere: qui adeò fugientibus institit, vt castra quoque hostium caperet: aduocato etiam in prædæ partem Mithridate, quem insectando hostem longè à tergo reliquerat. Is ex suis octingẽtos deside-

A ἀγανακτήσαντος πρὸς τὸν νεανίσκον ἐπὶ τοῖς τὸ πρῶτον εἰς ῥωμαίους ἐξημαρτημένοις, τῷ πελέκει διεχρήσατο. καὶ ὁ μὲν οὕτως ἐν ἀντιοχείᾳ τελευτᾷ, τοὺς δὲ ἀδελφοὺς αὐτοῦ πτολεμαῖος ὁ μενναίου παρέλαβε, δυναστεύων χαλκίδος τῆς ὑπὸ τῷ λιβάνῳ ὄρει, καὶ πέμψας τὸν υἱὸν φιλιππίωνα εἰς ἀσκάλωνα παρὰ τὴν ἀριστοβούλου γυναῖκα, ἐκέλευσεν αὐτὴν συναποστέλλειν τὸν υἱὸν ἀντίγονον, καὶ τὰς θυγατέρας, ὧν τῆς ἑτέρας ἀλεξάνδρας ἐρασθεὶς φιλιππίων ἄγεται γυναῖ-
B κα. μετὰ δὲ ταῦτα ἀνελὼν αὐτὸν ὁ πατὴρ πτολεμαῖος γαμεῖται τὴν ἀλεξάνδραν, καὶ τῶν ἀδελφῶν αὐτῆς πρόνοιαν ποιούμενος διετέλει.

Κεφάλαιον ιδ'.

καίσαρος ἐπ' αἴγυπτον στρατεία, καὶ ὡς ἰουδαῖοι αὐτῷ συνεμάχησαν.

ΜΕτὰ δὲ τὸν πομπηΐου θάνατον καὶ τὴν νίκην τὴν ἐπ' αὐτῷ, καίσαρι πολεμοῦντι κατ' αἴγυπτον εἰς πολλὰ χρήσιμον αὑτὸν παρέσχεν ἀντίπατρος ὁ τῶν ἰου-
C δαίων ἐπιμελητὴς ἐξ ἐντολῆς ὑρκανοῦ. μιθριδάτῃ γὰρ τῷ περγαμηνῷ κομίζοντι ἐπικουρικὸν καὶ ἀδυνατοῦντι ἔχοντι διὰ πηλουσίου ποιήσασθαι τὴν πορείαν, περὶ δὲ ἀσκάλωνα διατρίβοντι, ἧκεν ἀντίπατρος ἄγων ἰουδαίων ὁπλίτας τρισχιλίους, ἐξ ἀραβίας τε συμμάχους ἐλθεῖν ἐπραγματεύσατο τοὺς ἐν τέλει, καὶ δι' αὐτὸν οἱ κατὰ τὴν συρίαν ἅπαντες ἐπεκούρησαν, ἀπολείπεσθαι τῆς περὶ καίσαρος προθυμίας οὐ θέλοντες, ἰάμβλιχός τε ὁ δυ-
D νάστης καὶ πτολεμαῖος ὁ υἱὸς αὐτοῦ, καὶ θολομαῖος ὁ σοέμου λίβανον ὄρος οἰκῶν, αἵ τε πόλεις σχεδὸν ἅπασαι. μιθριδάτης δὲ ἄρας ἐκ συρίας εἰς πηλούσιον ἀφικνεῖται. καὶ μὴ δεχομένων αὐτὸν τῶν ἀνθρώπων ἐπολιόρκει τὴν πόλιν. ἠρίστευε δὲ ἀντίπατρος, καὶ πρῶτος καταρρήξας τι τοῦ τείχους ὁδὸν εἰς πεσεῖν παρέσχετο τοῖς ἄλλοις εἰς τὴν πόλιν. καὶ τὸ μὲν πηλούσιον οὕτως εἶχεν. τοὺς δὲ περὶ ἀντίπατρον καὶ μιθριδάτην ἀπιόντας πρὸς καίσαρα, διεκώλυον οἱ ἰουδαῖοι αἰγύπτιοι, οἱ τὴν
E ὀνίου λεγομένην χώραν κατοικοῦντες. πείθει δὲ καὶ τούτους τὰ αὐτῶν φρονῆσαι κατὰ τὸ ὁμόφυλον ἀντίπατρος, καὶ μάλιστα ἐπιδείξας αὐτοῖς τὰς ὑρκανοῦ τοῦ ἀρχιερέως ἐπιστολάς, ἐν αἷς αὐτοὺς φίλους εἶναι καίσαρος παρεκάλει, καὶ ξένια καὶ πάντα τὰ ἐπιτήδεια χορηγεῖν τῷ στρατῷ. καὶ οἱ μὲν ὡς ἑώρων τὸν ἀντίπατρον καὶ τὸν ἀρχιερέα συνεληθόντας ὑπήκουον. τούτους δὲ προσθεμένους ἀκούσαντες οἱ περὶ μέμφιν, ἐκάλουν
F καὶ αὐτοὶ τὸν μιθριδάτην πρὸς αὐτούς, κἀκεῖνος ἐλθὼν καὶ τούτους παραλαμβάνει.

Κεφάλαιον ιε'.

Αντιπάτρου ἀριστεία, καὶ φιλία πρὸς καίσαρα.

ΕΠεὶ δὲ τὸ καλούμενον δέλτα ὡς ἤδη παρεληλύθει, συμβάλλει τοῖς πολεμίοις περὶ τὸ καλούμενον ἰουδαίων στρατόπεδον. εἶχε δὲ, τὸ μὲν δεξιὸν κέρας μιθριδάτης, τὸ δὲ εὐώνυμον, ἀντίπατρος. συμπεσόντων δὲ εἰς μάχην, κλίνεται τὸ τοῦ μιθριδάτου κέρας, καὶ παθεῖν ἂν ἐκινδύνευσε τὰ δεινότατα, εἰ μὴ παρὰ τὴν
G ἠιόνα τοῦ ποταμοῦ σὺν τοῖς οἰκείοις στρατιώταις ἀντίπατρος παραθέων νενικηκὼς ἤδη τοὺς πολεμίους, τὸν μὲν ῥύεται, τρέπει δὲ εἰς φυγὴν τοὺς νενικηκότας αἰγυπτίους. αἱρεῖ δὲ αὐτῶν καὶ τὸ στρατόπεδον, ἐπιμείνας τῇ διώξει, τόν τε μιθριδάτην ἀνεκάλει πλεῖστον ἐν τῇ τροπῇ διαλλαχόντα. ἔπεσον δὲ τούτων μὲν περὶ ἑξακοσίους,

τῶν δὲ ἀντιπάτρου πεντήκοντα. μιθριδάτης δὲ περὶ τούτων ἐπιστέλλει καίσαρι, τῆς τε νίκης αὐτοῖς ἅμα καὶ τῆς σωτηρίας αἴτιον τὸν ἀντίπατρον ἀποφαίνων, ὥστε τὸν καίσαρα τότε μὲν ἐπαινεῖν αὐτὸν, κεχρῆσθαι δὲ παρὰ πάντα τὸν πόλεμον εἰς τὰ κινδυνωδέστατα τῷ ἀντιπάτρῳ, καὶ δὴ καὶ τραυματισθῆναι συνέβη παρὰ τοὺς ἀγῶνας αὐτῷ. καταλύσας μὲν τοι καῖσαρ μετὰ χρόνον τὸν πόλεμον, καὶ εἰς συρίαν ἀποπλεύσας, ἐτίμησε μεγάλως, ὑρκανῷ μὲν τὴν ἀρχιερωσύνην βεβαιώσας, ἀντιπάτρῳ δὲ πολιτείαν ἐν ῥώμῃ δοὺς καὶ ἀτέλειαν πανταχοῦ. λέγεται δὲ ὑπὸ πολλῶν ὑρκανὸν ταύτης κοινωνῆσαι τῆς στρατείας, καὶ ἐλθεῖν εἰς αἴγυπτον. μαρτυρεῖ δὲ μου τῷ λόγῳ στράβων ὁ καππάδοξ λέγων ἐξ ἀσινίου ὀνόματος οὕτως, μετὰ δὲ τὸν μιθριδάτην εἰσβάλλειν εἰς τὴν αἴγυπτον, καὶ ὑρκανὸν τὸν τῶν ἰουδαίων ἀρχιερέα. ὁ δ᾽ αὐτὸς οὗτος στράβων καὶ ἐν ἑτέρῳ πάλιν ἐξ ὑψικράτους ὀνόματος λέγει οὕτως, τὸν μὲν μιθριδάτην ἐξελθεῖν μόνον, κληθέντα δ᾽ εἰς ἀσκάλωνα ἀντίπατρον, ὑπ᾽ αὐτοῦ τὸν τῆς ἰουδαίας ἐπιμελητὴν τρισχιλίους αὐτῷ στρατιώτας συμπαρασκευάσαι, καὶ τοὺς ἄλλους δυνάστας προτρέψαι, κοινωνῆσαι δὲ τῆς στρατείας, καὶ ὑρκανὸν τὸν ἀρχιερέα. ταῦτα μὲν στράβων φησίν. ἐλθὼν δὲ καὶ ἀντίγονος ὁ ἀριστοβούλου τότε πρὸς καίσαρα, τὴν τε τοῦ πατρὸς ἐπωδύρετο τύχην, καὶ ὡς δι᾽ αὐτὸν ἀποθάνοι φαρμάκοις ἀναιρεθεὶς ἀριστόβουλος, καὶ ὁ ἀδελφὸς αὐτοῦ κτείναντος πελέκει σκιπίωνος. ἐδεῖτό τε λαβεῖν οἶκτον αὐτοῦ τῆς ἀρχῆς ἐκβεβλημένου. ὑρκανοῦ δὲ ἐπὶ τούτοις καὶ ἀντιπάτρου κατηγόρει βιαίως ἐξηγουμένων τοῦ ἔθνους, καὶ εἰς αὐτὸν παρανομησάντων. παρὼν δὲ ἀντίπατρος ἀπελογεῖτο μὲν ὑπὲρ ὧν ἑώρα κατ᾽ αὐτοῦ τὴν κατηγορίαν γινομένην, νεωτεριστὰς δὲ ἀπέφαινε τοὺς περὶ τὸν ἀντίγονον καὶ στασιώδεις, ὅσα τε πονήσειεν αὐτὸς καὶ συνεργήσειεν ὑπεμίμνησκεν ἐπὶ τοῖς στρατηγήμασι, ποιούμενος τοῖς λόγοις, ὧν αὐτὸς ἦν μάρτυς. δικαίως δὲ ἔλεγεν ἀριστόβουλον μὲν εἰς ῥώμην ἀνάρπαστον γεγονέναι πολέμιον ἀεὶ καὶ μηδέποτε εὔνουν ὑπάρξαντα ῥωμαίοις. τὸν δὲ ἀδελφὸν αὐτοῦ κρατηθέντα ἐπὶ λῃστείᾳ ὑπὸ σκιπίωνος τυχεῖν ὧν ἄξιος ἦν, ἀλλ᾽ οὐ κατὰ βίαν καὶ ἀδικίαν τοῦ το παθεῖν τοῦ δράσαντος. τούτους ἀντιπάτρου ποιησαμένου τοὺς λόγους, καῖσαρ ὑρκανὸν μὲν ἀποδείκνυσιν ἀρχιερέα, ἀντιπάτρῳ δὲ δίδωσι δυναστείαν, ἣν αὐτὸς προαιρεῖται, τοῦτον ἐπ᾽ αὐτῷ ποιησάμενος τὴν κρίσιν, ἐπίτροπον αὐτὸν ἀποδείκνυς τῆς ἰουδαίας.

A Antipater non plus quinquaginta. Mithridates verò de his Cæsarem per literas certiorem reddidit, ingenuè fassus Antipatrum & salutis sibi causam fuisse & victoriæ: ita vt Cæsar & tūc eum collaudauerit, & postea toto eo bello in rebus periculosissimis eius forti opera vsus sit: in quibus certaminib⁹ etiam vulnera accepit. Quamobrem finito tandem bello classe deuectus in Syriam Cæsar, magnos honores contulit, tum in Hyrcanum quem confirmauit in B pontificatu, tum in Antipatrum quem ciuitate Romana & immunitate donauit. Nonnulli verò aiunt Hyrcanum ipsum huic expeditioni interfuisse, & in Ægyptum venisse. Attestatur mihi Strabo Cappadox, ex autoritate Asinij sic scribens: postquam Mithridates Ægyptum inuasit, & cum eo Hyrcan⁹ Iudæorum pontifex. Idem Strabo alibi ex autoritate Hypsicratis sic scribens: Mithridatē primò solum venisse, accitum deinde ab eo Ascalonem gubernatorem C Iudææ Antipatrum tria millia militum ei adiunxisse, & eiusdem hortatu cæteros dynastas socia arma contulisse. in hísque Hyrcanum pōtificem. Hæc Strabo. Eodem tempore etiam Antigonus Aristobuli filius ad Cęsarē veniēs, questus est de patris infortunio, quòd propter ipsum veneno extinctus esset Aristobul⁹, & frater suus à Scipione securi percussus. rogabátque vt sui misereretur, paterno principatu eiecti. Præterea Hyrcanū accusabat & An- D tipatrum, quòd per vim principatum gētis gererent, nec abstinerent ab ipsius iniuriis. Antipater verò causam suam egit diluens obiecta crimina: Antigonúmque seditionis & nouarū rerum studiosum esse coarguit. commemorabat etiam quantum proximo bello laborasset pro Cæsare, ipsum verborum suorum testem adducens. Aristobulum autem meritò Romā vinctum pertractum, perpetuum hostem & inimicum popul. Romani. Fratrem verò huius E conuictum latrocinij debitas pœnas Scipioni dedisse: & non per iniuriam oppressum. Tum Cæsar oratione Antipatri motus, Hyrcanum pontificem declarauit, Antipatro dynastiam quamcunque ipse optaret obtulit, & procuratorem insuper Iudææ declarauit.

Κεφάλαιον ις΄.

Καίσαρος ἐπιστολαὶ καὶ δόγματα συγκλήτου περὶ τῆς πρὸς ἰουδαίους φιλίας.

Ἐπιτρέπει δὲ καὶ ὑρκανῷ τὰ τῆς πατρίδος ἀναστῆσαι τείχη, ταύτην αἰτησαμένῳ τὴν χάριν. ἐρρίπτο δὲ ἔτι πομπηίου καταβαλόντος. καὶ τοῖς τ᾽ ἐπιστέλλει τοῖς ὑπάτοις εἰς ῥώμην, ἀναγράψαι ἐν τῷ καπετωλίῳ, καὶ τὸ γινόμενον ὑπὸ τῆς συγκλήτου δόγμα τοῦτον ἔχει τὸν τρόπον. λούκιος οὐαλέριος λουκίου υἱὸς στρατηγὸς, συνεβουλεύσατο τῇ συγκλήτῳ εἰδοῖς δεκεμβρίαις ἐν τῷ τῆς ὁμονοίας ναῷ γραφομένῳ τῷ δόγματι, παρῆσαν δὲ λούκιος κωπώνιος, λουκίου υἱὸς, καὶ παπίριος κυρινᾶς, περὶ ὧν ἀλέξανδρος ἰάσονος, καὶ νεμούνιος ἀντιόχου, καὶ ἀλέξανδρος δωροθέου, ἰουδαίων πρεσβευταὶ ἄνδρες ἀγαθοὶ καὶ σύμμαχοι

CAP. XVI.

Cæsaris literæ & senatusconsulta de Iudæorum amicitia.

F

XVII. Hyrcano verò etiam patriæ mœnia restituere permisit, roganti hanc gratiam iacebant enim vsque ad id tempus, ex quo à Pōpeio fuerant diruta. deditque hac de re in vrbē literas ad consules, vt decretum hoc scriberetur in Capitolio: cuius senatusconsulti exemplum sic habet: L. Valerius L. F. Pr. retulit ad se- G natum idib⁹ Decembribus in æde Concordiæ. præsente L. Coponio L. F. & C. Papirio Quirino, de his quæ Alexander Iasonis, Numenius Antiochi, Alexander Dorothei, legati Iudæorum, viri optimi & socij nostri

petierunt, renouantes veterem erga populum Rom. beneuolentiam: qui phialam & clypeum ex auro argumentum societatis attulerunt, æstimationis aureorum L. millium. & literas petierunt ad liberas ciuitates ac reges, vt per regiones eorum atque portus securè possint iter facere. Placuit igitur senatui eos in amicitiam & societatem recipere, & omnia quæ petierunt concedere, & allatum clypeum accipere. Hæc acta sunt Hyrcani pontificatus & principatus anno nono, mense panemo. Quin & ab Atheniensibus honor habitus est Hyrcano, quæsitus beneficiis: miserúntque ad eum decretum scriptum in hanc sententiam. Sub iudice & sacerdote Dionysio Asclepiadis, panemi mensis luna vigesima, oblatum est ducibus decretum Atheniensium, Agathocle principe: de quo Eucles Menandri Alimusius scriba retulit Munychionis vndecima, concilio iudicum facto in theatro: suffragia collegit Dorotheus summus sacerdos, & assessores ex populo. Dionysius Dionysij dixit: Quoniam Hyrcanus Alexandri pontifex Iudæorum ac ethnarcha perpetua tam publicè quàm priuatim ciues nostros beneuolentia prosequitur, nullam bene merendi occasionem prætermittens: & quotquot Atheniensium vel propter legationes, vel propter priuata negotia illuc deueniunt, acceptos comiter, deducendos etiã curat in reditu, idque multorum constat testimoniis: visum est nunc Theodosio Theodori referente, & populum de huius viri virtute commonefaciente, quàm propensus sit ad benemerendum de nostris ciuibus, honorare hunc virum virtutis ergô corona aurea iuxta legem, ponere ei effigiem auream in templo Demi & Charitum: & præconis voce promulgari eam coronam in theatro Liberalibus dum nouæ tragœdiæ aguntur, & Panathenæis & Eleusiniis, & in gymnicis certaminibus. Curæque esse nostris ducibus, vt dum ille in amicitia nostra perseuerat, vt quicquid in honorem eius & gratiam pro fauore & meritis excogitauerimus, exequantur sedulò: quo perspicua sit omnibus populi nostri erga bonos viros gratitudo ac beneuolentia, & huiusmodi honoribus plures ad benemerendum de nobis inuitentur. Eligi etiam legatos idoneos ex omni Atheniensium numero, qui ad illum decretum hoc perferant, hortentúrque vt acceptis his honoribus certet nobiscum beneficiis. & hactenus de collatis à populo Rom. & Atheniensi in Hyrcanum honoribus.

XVIII. Porrò Cæsar ordinatis rebus Syriæ cum classe profectus est. Antipater autem deducto Cæsare in Syriam reuersus, ante omnia disiecta per Pompeium mœnia restituit, & obeundo prouinciam nouarum rerum cupidos compescuit, tũ minis agens tum cõsiliis. Fore enim, vt si Hyrcano contenti sint principe, feliciter degant fruẽdo suis quisq; possessionib. Sin nouas sibi spes polliceantur, & lucra ex reb. turbatis captent, se quidẽ pro præside habituros dominũ,

διελέχθησαν, ἀνανεούμενοι τὰς προϋπηργμένας πρὸς ῥωμαίους χάριτας. καὶ τὴν φιάλην, καὶ ἀσπίδα χρυσῆν σύμβολον τῆς συμμαχίας γενομένην, ἀνήνεγκαν ἀπὸ χρυσῶν μυριάδων πέντ', καὶ γράμματ' αὐτοῖς ἠξίωσαν δοθῆναι, πρός τε τὰς αὐτονομουμένας πόλεις καὶ πρὸς βασιλεῖς, ὑπὲρ τοῦ τήν τε χώραν αὐτῶν καὶ τοὺς λιμένας ἀδείας τυγχάνειν, καὶ μηδὲν ἀδικεῖσθαι. ἔδοξεν οὖν συνθέσθαι φιλίαν καὶ χάριτας πρὸς αὐτοὺς, καὶ ὅσων ἐδεήθησαν τυχεῖν ταῦτ' αὐτοῖς παρασχεῖν, καὶ τὴν κομισθεῖσαν ἀσπίδα προσδέξασθαι. ταῦτα ἐγένετο ἐπὶ ὑρκανοῦ ἀρχιερέως καὶ ἐθνάρχου, ἔτους ἐνάτου μηνὸς πανέμου. ηὔξατο δὲ καὶ παρὰ τοῦ τῶν ἀθηναίων δήμου τιμὰς ὑρκανὸς, πολλὰ χρήσιμος γενόμενος εἰς αὐτούς. ἔπεμψαν τε ψήφισμα γράψαντες αὐτῷ, τοῦτον ἔχον τὸν τρόπον. ἐπὶ πρυτανέως καὶ ἱερέως διονυσίου τοῦ ἀσκληπιάδου μηνὸς πανέμου πέμπτῃ ἀπιόντος, ἐπεδόθη τοῖς στρατηγοῖς ψήφισμα ἀθηναίων, ἐπὶ ἀγαθοκλέους ἄρχοντος. εὐκλῆς μενάνδρου ἁλιμούσιος ἐγραμμάτευε μουνυχιῶνος ἑνδεκάτῃ τῆς πρυτανείας, ἐκκλησίας γενομένης ἐν τῷ θεάτρῳ τῶν προέδρων. ἐπεψήφισε δωρόθεος ἀρχιερεὺς καὶ οἱ συμπρόεδροι τοῦ δήμου. διονύσιος διονυσίου εἶπεν, ἐπειδὴ ὑρκανὸς ἀλεξάνδρου ἀρχιερεὺς καὶ ἐθνάρχης τῶν ἰουδαίων διατελεῖ κοινῇ τε τῷ δήμῳ καὶ ἰδίᾳ τῶν πολιτῶν ἑκάστῳ εὔνοιαν, καὶ πάσῃ χρώμενος περὶ αὐτοὺς σπουδῇ, καὶ τοὺς παραγινομένους ἀθηναίων, ἢ κατὰ πρεσβείαν, ἢ κατ' ἰδίαν πρόφασιν ὡς αὐτὸν ὑποδέχεται φιλοφρόνως, καὶ προπέμπει τῆς ἀσφαλοῦς αὐτῶν ἐπανόδου προνοούμενος, ἐμαρτυρήθη μὲν καὶ πρότερον περὶ τούτων. δέδοκται δὲ καὶ νῦν θεοδοσίου τοῦ θεοδώρου σουνιέως εἰσηγησαμένου καὶ περὶ τῆς ἀνδρὸς ἀρετῆς ὑπομνήσαντος τὸν δῆμον, καὶ ὅτι προαίρεσιν ἔχει ποιεῖν ἡμᾶς ὅ τι ποτ' ἂν δύναται ἀγαθὸν, τιμῆσαι τὸν ἄνδρα χρυσῷ στεφάνῳ ἀριστείῳ κατὰ τὸν νόμον, καὶ στῆσαι αὐτοῦ εἰκόνα χαλκῆν ἐν τῷ τεμένει τοῦ δήμου καὶ τῶν χαρίτων, ἀνειπεῖν δὲ τὸν στέφανον ἐν τῷ θεάτρῳ, διονυσίοις τραγῳδῶν τῶν καινῶν ἀγομένων, καὶ παναθηναίων καὶ ἐλευσινίων, καὶ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν. ἐπιμεληθῆναι δὲ τοὺς στρατηγοὺς διαμένοντί τε αὐτῷ, καὶ διαφυλάσσοντι τὴν πρὸς ἡμᾶς εὔνοιαν, εἶναι πᾶν ὅ τι ἂν ἐπινοήσωμεν εἰς τιμὴν, καὶ χάριν τῆς τἀνδρὸς σπουδῆς καὶ φιλοτιμίας, ἵνα τούτων γινομένων φαίνηται ὁ δῆμος ἡμῶν ἀποδεχόμενος τοὺς ἀγαθοὺς, καὶ τῆς προσηκούσης ἀμοιβῆς ἀξιῶν, καὶ ζηλώσῃ τὴν περὶ ἡμᾶς σπουδὴν ἐκ τῶν ἤδη τετιμημένων. ἑλέσθαι δὲ καὶ πρέσβεις ἐξ ἁπάντων ἀθηναίων, οἵτινές τε αὐτῷ κομιοῦσι τὸ ψήφισμα, καὶ παρακαλέσουσι προσδεξάμενον τὰς τιμὰς πειρᾶσθαί τι ποιεῖν ἀγαθὸν ἡμῶν τὴν πόλιν. αἱ μὲν οὖν παρὰ ῥωμαίων καὶ τοῦ δήμου καὶ τῶν ἀθηναίων τιμαὶ πρὸς ὑρκανὸν ἡμῖν δεδήλωνται ἱκανῶς. ὁ καῖσαρ δὲ διοικήσας τὰ κατὰ τὴν συρίαν ἀπέπλευσεν. ὡς δὲ καίσαρα προπέμψας ἐκ τῆς συρίας ἀντίπατρος εἰς τὴν ἰουδαίαν ὑπέστρεψεν, ἀνήγειρε μὲν εὐθὺς τὸ τεῖχος, ὑπὸ πομπηίου καθῃρημένον, καὶ τὸν κατὰ τὴν χώραν θόρυβον ἐπιὼν κατέστελλεν, ἀπειλῶν τε ἅμα καὶ συμβουλεύων ἠρεμεῖν. τὰ μὲν γὰρ ὑρκανοῦ φρονοῦντας, ἐν εὐδαιμονίᾳ διάξειν, καὶ βιώσεσθαι τῶν ἰδίων ἀπολαύοντας κτημάτων ἀταράχως. προστιθεμένους δὲ ταῖς ἐκ τοῦ νεωτερίζειν ἐλπίσι, καὶ τοῖς ἀπ' αὐτῶν κέρδεσι προσανέχοντας, αὐτὸν μὲν ἕξειν ἀντὶ προστάτου δεσπότην,

Ὑρκανὸν δὲ ἀντὶ βασιλέως, τύραννον, Ῥωμαίους δὲ καὶ Καίσαρα πικροὺς ἀνθ' ἡγεμόνων πολεμίους. οὐ γὰρ ἀνέξεσθαι μετακινούμενον ὃν αὐτοὶ κατέστησαν. ταῦτα λέγων καθίστα δι' ἑαυτοῦ τὰ κατὰ τὴν χώραν.

Κεφάλαιον ιζ'.

Ὅτι Ἀντίπατρος τοῖς παισὶ Ἡρώδῃ μὲν τὴν τῆς Γαλιλαίας στρατηγίαν, Φασαήλῳ δ' ἐπέτρεψε τὴν Ἱεροσολύμων, καὶ ὡς Σέξτος Καῖσαρ μέγαν καὶ ἔνδοξον τὸν Ἡρώδην ἐποίησεν.

Βραδὺν δ' ὁρῶν καὶ νωθῆ τὸν Ὑρκανὸν, Φασάηλον μὲν τὸν πρεσβύτατον αὐτοῦ τῶν παίδων, Ἱεροσολύμων καὶ τῶν πέριξ, στρατηγὸν ἀποδείκνυσι, τὸν δὲ μετ' αὐτὸν Ἡρώδη τὴν Γαλιλαίαν ἐπέτρεψε, νέῳ παντάπασιν ὄντι, ιε' γὰρ αὐτοῦ ἐγεγόνει μόνα ἔτη. βλάπτει δὲ οὐδὲν αὐτὸν ἡ νεότης, ἀλλ' ὢν τὸ φρόνημα γενναῖος ὁ νεανίας, ἀφορμὴν εὑρίσκει παραχρῆμα εἰς ἐπίδειξιν τῆς ἀρετῆς. καταλαβὼν γὰρ Ἐζεκίαν τὸν ἀρχιληστὴν, τὰ προσεχῆ τῆς Συρίας καταθέοντα σὺν μεγάλῳ στίφει, τοῦτον καταχὼν, κτείνει, καὶ πολλοὺς τῶν σὺν αὐτῷ λῃστῶν. σφόδρα δ' αὐτοῦ τὸ ἔργον τοῦτο ἠγάπησαν οἱ Σύροι, ποθοῦσι γὰρ αὐτοῖς ἀπηλλάχθαι τοῦ λῃστηρίου τὴν χώραν, ἐκαθάρευσεν. ὕμνουν γοῦν αὐτὸν ἐπὶ τούτῳ κατὰ κώμας καὶ πόλεις, ὡς εἰρήνην αὐτοῖς παρεσχηκότα, καὶ ἀσφαλῆ τῶν κτημάτων ἀπόλαυσιν. ἐγένετο δὲ διὰ τοῦτο καὶ Σέξτῳ Καίσαρι γνώριμος, ὄντι συγγενεῖ τοῦ μεγάλου Καίσαρος, καὶ διέποντι τὴν Συρίαν. ζῆλος δ' ἐμπίπτει τῶν Ἡρώδη πεπραγμένων, Φασαήλῳ τῷ ἀδελφῷ, καὶ πρὸς τὴν εὐδοκίμησιν αὐτοῦ κινηθεὶς, ἐφιλοτιμήσατο μὴ ἀπολειφθῆναι τῆς ὁμοίας εὐφημίας. καὶ τοὺς ἐν τοῖς Ἱεροσολύμοις, εὐνουστάτους ἐποιεῖτο, δι' αὐτοῦ μὲν ἔχων τὴν πόλιν, οὔτε δ' ἀπειροκάλως τοῖς πράγμασι προσφερόμενος, οὔτ' ἐξυβρίζων εἰς τὴν ἐξουσίαν. ταῦτ' Ἀντίπατρον ἐποίει θεραπείας παρὰ τοῦ ἔθνους τυγχάνειν βασιλικῆς καὶ τιμῆς οἵων ἄν τις μεταλαμβάνοι τῶν ὅλων ὢν δεσπότης. ὑπὸ μέντοι τῆς ἐκ τούτων λαμπρότητος, οἷα φιλεῖ συμβαίνειν πολλάκις, οὐδὲν τῆς πρὸς Ὑρκανὸν εὐνοίας καὶ πίστεως παρέβη. οἱ δ' ἐν τέλει τῶν Ἰουδαίων, ὁρῶντες τὸν Ἀντίπατρον καὶ τοὺς υἱοὺς αὐτοῦ μεγάλως αὐξανομένους, εὐνοίᾳ τε τῇ παρὰ τοῦ ἔθνους καὶ προσόδῳ τῇ τε παρὰ τῆς Ἰουδαίας καὶ τῶν Ὑρκανοῦ χρημάτων, κακονόως εἶχον πρὸς αὐτόν. καὶ γὰρ φιλίαν Ἀντίπατρος ἦν πεποιημένος πρὸς τοὺς Ῥωμαίων αὐτοκράτορας, καὶ χρήματα πείσας πέμψαι τὸν Ὑρκανὸν, αὐτὸς λαβὼν νοσφίζεται τὴν δωρεὰν, ὡς γὰρ ἰδίαν, ἀλλ' οὐχ ὡς Ὑρκανοῦ διδόντος ἔπεμψε. ταῦθ' Ὑρκανὸς ἀκούων οὐκ ἐφρόντιζεν, ἀλλὰ καὶ σφόδρα ἔχαιρεν. ἐν δέει δὲ ἦσαν οἱ πρῶτοι τῶν Ἰουδαίων, ὁρῶντες τὸν Ἡρώδην βίαιον καὶ τολμηρὸν, καὶ τυραννίδος γλιχόμενον. καὶ προσελθόντες Ὑρκανῷ, φανερῶς ἤδη κατηγόρουν Ἀντιπάτρου, καὶ μέχρι πότ' ἔφασαν ἐπὶ τοῖς πραττομένοις ἡσυχάζεις; ἢ οὐχ ὁρᾷς Ἀντίπατρον μὲν καὶ τοὺς παῖδας αὐτοῦ τὴν ἀρχὴν διεζωσμένους, σαυτὸν δὲ τῆς βασιλείας ὄνομα μόνον ἀκούοντα. ἀλλὰ μὴ λανθανέτωσέ ταῦτα, μηδὲ ἀκίνδυνον εἶναι νόμιζε, ῥαθυμῶν περί τε σαυτοῦ καὶ τῇ βασιλείᾳ. οὐ γὰρ ἐπίτροποί σου

A Hyrcanum verò pro rege tyrannum, tum Romanos atque Cæsarē acerbos hostes pro principibus. Hos enim nequaquam laturos mutari aliquid ex his quæ ipsi constituerint. atque his monitis ille regionem totam composuit.

Cap. XVII.

Antipater ex filiis suis Herodi Galilæa, Phasaëlo Hierosolymorum regimen committit, & quòd Sex. Cæsar Herodem magnum ac illustrem reddidit.

B

Cæterùm cùm Hyrcanum stupidum ac segnem animaduerteret, Phasaëlum è liberis suis natu maximum Hierosolymis & circumuicinæ regioni ducem constituit, Herodi secundo Galilæam curandam commisit, etiam tum admodum adolescenti, nec excedenti an- C num quintumdecimum. quod tamen illi nihil obfuit, sed quia fuit generoso ingenio præditus, confestim occasionem inuenit quomodo posset virtutem suam ostendere. Comprehensum enim Ezeciam primarium latronem, & cæterorum ducem, Syriæ fines incursare ac prædari solitum, affecit supplicio cum multis latrocinij sociis. quod eius factum magnam ei apud Syros conciliauit gratiam, nihil magis cupientes quàm repurgari tandem regionem à D prædonibus. Decantabant igitur eum hoc nomine per vicos & oppida, vt autorem pacis & fruendi securè possessionibus. Quin & Sex. Cęsari per hoc factum innotuit, cognato magni Cæsaris & tum administranti Syriam. quapropter etiam Phasaëlus excitatus est ad æmulationem fraternæ gloriæ, nolens virtutis laude haberi inferior: nihilque magis studuit quàm gratiosus esse apud Hierosolymitanum populum, omnia negotia publica per se obeundo, E & in eis cum magna gratia versando, nec abutendo potestate ad cuiusquam iniuriam. quo factum est vt Antipater haud secus quàm si rex esset, à tota gente coleretur, & in tali haberetur honore, qualis non dedeceret dominum. nec tamen rebus tam secundis more cæterorū hominum deprauatus est, quo minus Hyrcano fidem seruaret atque amicitiam. Cæterùm optimates Iudæorum videntes eum cum filiis tantopere crescere, tam fauore gentis, quàm F Hyrcani pecunis & percipiendis ex Iudæa reditibus, malignè erga eum affecti erant. iam enim amicitiam contraxerat cum Romanis imperatoribus, & persuaso Hyrcano vt pecuniam eis mitteret, ipse huius muneris sibi vsurpauit gratiam. Misit enim tanquam de proprio, & non quasi ab Hyrcano acceptam. Hæc Hyrcanus audiens adeò nihil curabat, vt gaudere etiam facto videretur. Sed maximè terrebat Iudæorum primates violentum ac audax G Herodis ingenium & tyrannidis cupidum, adeuntésque Hyrcanum apertè iam incusabant Antipatrum. Quousque tandem dissimulabis quæ geruntur quotidie? an non vides Antipatrum cum filiis succinctos principatus opibus, tibi verò præter inane regni nomen nihil fieri reliquum? Sed caue ista nescias, néve te securum putes, incolumitatis tuæ atque regni iuxtà negligens. neq; enim procuratores tuos

amplius agunt. noli falli hac opinione: sed iam ex professo dominationem exercent. nam Herodes Ezeciam cum plerisque aliis interfecit, contemptis nostris legibus, quæ hominem quantumuis sceleſtum non sinunt affici supplicio, nisi priùs damnatum ex sententia iudicum. iste verò hoc ausus est, priùs quàm à te potestatem hanc acciperet. Tandem Hyrcanus his auditis motus est. accenderunt autem eius iram matres etiam eorum quos Herodes necauerat. nam hæ per singulos dies in templo non desinebant precibus suis tum regem tum populum obtundere, rogantes vt Herodes coram concessu iudicium facti sui rationem cogeretur reddere. Permotus igitur his hominem ad iudicium & dicendam causam euocat. at ille prestò fuit, præmonitus tamen à patre, vt non priuati more, sed cum comitatu ad se tuendum idoneo veniret. Ergo ordinatis Galilææ rebus, quemadmodum existimabat sibi conducere, mediocrem, sed tamen sufficiétem sibi manum adiunxit in itinere, ne vel Hyrcanum terreret si plures adduceret, vel ipse sine tutela subiret iudicij periculum. Quin & Sex. Cæsar præses Syriæ scripsit ad Hyrcanum vt eum absolueret, minis si contrà fecisset additis. Quod quidem facilè ab illo impetratum est, nequa tristiore iudicum sententia feriretur, quandoquidem amabat eúm non secus atque filium. Cúmque constitisset ante iudicium vnà cum suis, omnes sunt attoniti, nec quisquam eorum qui absentem accusauerant, ausus est hiscere: sed hærebant inopes consilij. Tum vnus quispiam Sameas nomine, vir iustus, & ob hoc inuictus terroribus, assurgens sic exorsus est: Equidem iudices, túque rex, nec ipse vnquam vidi quenquam qui ad causam apud nos dicendam vocatus ad hunc modum compatuerit, nec vos puto posse proferre huiusmodi quempiam, sed quisquis hactenus apud húc concessum iudicandú se præbuit, humilis venit & habitu timentis periculú ac captantis misericordiam, atratus & promisso capillitio. at bonus iste Herodes cædis reus, & tam graui obnoxius crimini, adstat hìc purpuratus & crine bellè composito, cum armatis stipatoribus: vt si capitalem iuxta leges sententiam in eum tulerimus, nobis mactatis ipse euadat illata vi legibus. Verùm isti non succenseo quòd maiorem incolumitatis suæ quàm legum rationem habeat, sed vobis magis & regi qui hanc ei concessistis licentiam. Scitote tamen potentem esse Deum, & quòd iste quem nunc in Hyrcani gratiam legibus eripitis, & vos aliquádo & regem ipsum puniet. Nec vanus fuit vates. nam Herodes regnum adeptus omnes illos iudices & regem quoque sustulit, excepto vno Samea. hunc enim in honore habuit propter iustitiam, & quia pòst obsessa vrbe ab Herode ac Sosio, admittendi Herodem autor fuit populo, negans propter peccata eos posse dominationem illius effugere: sicut suo loco dicetur. Porrò Hyrcanus animaduertens iudices propensiores

A τῶν πραγμάτων ἀντίπατρος, καὶ οἱ παῖδες αὐτοῦ νῦν εἰσι, μὴ δὲ ἀπάτα σαυτὸν τοῦτο οἰόμενος, ἀλλὰ δεσπόται φανερῶς ἀνωμολόγηνται. καὶ γὰρ ἡρώδης ὁ παῖς αὐτοῦ, ἐζεκίαν ἀπέκτεινε καὶ τοὺς σὺν αὐτῷ, παραβὰς τὸν ἡμέτερον νόμον, ὃς κεκώλυκεν ἄνθρωπον ἀναιρεῖν καὶ πονηρὸν ὄντα, εἰ μὴ πρότερον κατακριθείη τοῦτο παθεῖν, ὑπὸ τοῦ συνεδρίου, μὴ λαβὼν δὲ ἐξουσίαν παρὰ σοῦ ταῦτα ἐτόλμησεν. ὑρκανὸς δὲ ἀκούσας ταῦτα, πείθεται. προσεξῆψαν δὲ αὐτοῦ τὴν ὀργὴν καὶ
B αἱ μητέρες τῶν ὑπὸ ἡρώδου πεφονευμένων. αὗται γὰρ καθ' ἑκάστην ἡμέραν ἐν τῷ ἱερῷ παρακαλοῦσαι τὸν βασιλέα καὶ τὸν δῆμον ἵνα δίκην ἡρώδης ἐν τῷ συνεδρίῳ τῶν πεπραγμένων ὑπόσχῃ διετέλουν. κινηθεὶς οὖν ὑπὸ τούτων ὑρκανὸς ἡρώδην ἐκάλει δικασόμενον, ὑπὲρ ὧν διεβάλλετο. ὁ δὲ ἧκε, τοῦ πατρὸς αὐτῷ παραινέσαντος, μὴ ὡς ἰδιώτης, μετὰ δὲ ἀσφαλείας προσελθεῖν, καὶ φυλακῆς τῆς περὶ τὸ σῶμα. τά
C τε κατὰ τὴν γαλιλαίαν ὃν ἐνόμιζεν αὐτὸς συμφέρειν τρόπον ἁρμοσάμενος, καὶ μετὰ στίφους ἀποχρῶντος αὐτῷ πρὸς τὴν ὁδὸν, ὡς μήτε ἐπίφοβος ὑρκανῷ δόξειε μετὰ μείζονος παραγινόμενος τάγματος, μήτε γυμνὸς καὶ ἀφύλακτος ἴῃ πρὸς τὴν δίκην. σέξτος μέντοι ὁ τῆς συρίας ἡγεμὼν, γράφει παρακαλῶν ὑρκανὸν ἀπολῦσαι τὸν ἡρώδην ἐκ τῆς δίκης, καὶ προσαπειλῶν παρακούσαντι. τὸ δ' ἦν ἀφορμὴ καὶ τὰ παρὰ τοῦ σέξτου γράμματα, πρὸς τὸ μηδὲν ἐκ τοῦ συνεδρίου
D παθόντα ἀπολῦσαι τὸν ἡρώδην, ἠγάπα γὰρ αὐτὸν ὡς υἱόν. καταστὰς δὲ ἐν τῷ συνεδρίῳ μετὰ τοῦ σὺν αὐτῷ τάγματος ἡρώδης, κατέπληξεν ἅπαντας, καὶ κατηγορεῖν ἐθάρρει τὸ λοιπὸν οὐδεὶς, τῶν πρὶν ἀφικέσθαι διαβαλλόντων, ἀλλ' ἦν ἡσυχία, καὶ τοῦ τί χρὴ ποιεῖν ἀπορία. διακειμένων δ' οὕτως, εἷς τις σαμέας τοὔνομα, δίκαιος ἀνὴρ, καὶ διὰ τοῦτο τοῦ δεδοικέναι κρείττων, ἀναστὰς εἶπεν. ἄνδρες σύνεδροι καὶ βασιλεῦ, εἰς
E δίκην μὲν οὔτ' αὐτὸς οἶδά τινα τῶν πώποτε ὑπ' αὐτῆς εἰς ἡμᾶς κεκλημένων οὕτω παραστάντα. οὔτε ὑμᾶς ἔχειν εἰπεῖν ὑπολαμβάνω. ἀλλὰ πᾶς ὅστις δήποτ' οὖν ἀφῖκται εἰς τοῦτο τὸ συνέδριον κριθησόμενος, ταπεινὸς παρίσταται, καὶ σχήματι δεδοικότος, καὶ ἔλεον θηρωμένου παρ' ἡμῶν, κόμην τε ἐπιξύσας καὶ ἐσθῆτα μέλαιναν ἐνδεδυμένος. ὁ δὲ βέλτιστος ἡρώδης φόνου δίκην φεύγων καὶ ἐπ' αἰτίᾳ τοιαύτῃ κεκλη-
F μένος, ἕστηκε τὴν πορφύραν περικείμενος, καὶ τὴν κεφαλὴν κεκοσμημένος τῇ συνθέσει τῆς κόμης, καὶ περὶ αὐτὸν ἔχων ὁπλίτας, ἵν' ἂν κατακρίνωμεν αὐτὸν κατὰ τὸν νόμον, κτείνῃ μὲν ἡμᾶς, αὐτὸς δὲ σωθῇ βιασάμενος τὸ δίκαιον. ἀλλ' ἡρώδην μὲν ἐπὶ τούτοις οὐκ ἂν μεμψαίμην, εἰ τὸ αὐτοῦ συμφέρον ποιεῖται περὶ πλείονος ἢ τὸ νόμιμον, ὑμᾶς δὲ καὶ τὸν βασιλέα τοσαύτην ἄδειαν αὐτῷ παρασχόντας. ἴστε μέντοι μέγαν τὸν θεὸν, καὶ οὗτος ὃν νῦν δι' ὑρκανὸν ἀπολῦσαι βούλε-
G σθε, κολάσει ὑμᾶς ποτὲ καὶ αὐτὸν τὸν βασιλέα. διήμαρτε δ' οὐδὲν τῶν εἰρημένων. ὁ γὰρ ἡρώδης τὴν βασιλείαν παραλαβὼν, πάντας ἀπέκτεινε τοὺς ἐν τῷ συνεδρίῳ, καὶ ὑρκανὸν αὐτὸν, χωρὶς τοῦ σαμέου. σφόδρα γὰρ αὐτὸν διὰ τὴν δικαιοσύνην ἐτίμησε. καὶ ἔτι τῆς πόλεως μετὰ ταῦτα πολιορκουμένης ὑπό τε ἡρώδου καὶ σοσίου, παρῄνεσε τῷ δήμῳ δέξασθαι τὸν ἡρώδην, εἰπὼν, διὰ τὰς ἁμαρτίας οὐ δύνασθαι φυγεῖν αὐτόν. καὶ περὶ μὲν τούτων κατὰ χώραν ἐροῦμεν. ὑρκανὸς δὲ ὁρῶν ὡρμημένους πρὸς τὴν ἀναίρεσιν

ἡρώδου

ἡρώδου τῆς ἐν τῷ συνεδρίῳ, τὴν δίκην εἰς ἄλλην ἡμέραν ἀνεβάλλετο. καὶ πέμψας κρύφα πρὸς ἡρώδην, συνεβούλευσεν αὐτῷ φυγεῖν ἐκ τῆς πόλεως. οὕτω γὰρ τὸν κίνδυνον διαφεύξεσθαι. καὶ ὁ μὲν, ἀνεχώρησεν εἰς δαμασκὸν ὡς φεύγων τὸν βασιλέα. καὶ παραγενόμενος πρὸς σέξτον καίσαρα, καὶ τὰ καθ' αὑτὸν ἀσφαλισάμενος, οὕτως εἶχεν, ὡς εἰ καλοῖτο πάλιν εἰς τὸ συνέδριον ἐπὶ δίκην οὐχ ὑπακουσόμενος. ἠγανάκτουν δ' οἱ ἐν τῷ συνεδρίῳ, καὶ τὸν ὑρκανὸν ἐπειρῶντο διδάσκειν, ὅτι πάντα ταῦτ' εἴη κατ' αὐτοῦ. τὸν δ' οὐκ ἐλάνθανε μὲν, πράττειν δ' οὐδὲν εἶχεν ὑπὸ ἀνανδρίας καὶ ἀνοίας. σέξτου δὲ ποιήσαντος ἡρώδην στρατηγὸν τῆς κοίλης συρίας, χρημάτων δ' αὐτῷ τοῦτο ἀπέδοτο, ὑρκανὸς ἦν ἐν φόβῳ μὴ στρατεύσηται ἡρώδης ἐπ' αὐτόν. οὐ πολὺ δὲ τούτου τοῦ δέους ἐβράδυνεν, ἀλλ' ἧκεν ἄγων ὁ ἡρώδης στρατὸν ἐπ' αὐτὸν, ὀργιζόμενος τῆς δίκης αὐτῷ καὶ τοῦ κληθῆναι πρὸς τὸν λόγον ὑπέχειν ἐν τῷ συνεδρίῳ. διεκώλυσαν δ' αὐτὸν προσβαλεῖν τοῖς ἱεροσολύμοις ὑπαντήσαντες, ὅτε πατὴρ ἀντίπατρος καὶ ὁ ἀδελφὸς, καὶ τὴν ὁρμὴν αὐτοῦ καταπαύσαντες καὶ παρακαλέσαντες, ἔργῳ μὲν ἐγχειρεῖν μηδενὶ, καταπλήξαντα μόνον δὲ ἀπειλῇ μόνον, μὴ χωρῆσαι περαιτέρω κατὰ τοῦ παρασχόντος αὐτὸν εἰς τοῦτο παρελθεῖν τὸ ἀξίωμα. ἠξίουν τε περὶ τοῦ κληθέντα ἐπὶ δίκην ἐλθεῖν ἀγανακτοῦντα, μεμνῆσθαι καὶ τῆς ἀφέσεως, καὶ χάριν αὐτῆς εἰδέναι, καὶ μὴ πρὸς μὲν τὸ σκυθρωπότερον ἀπαντᾶν, περὶ δὲ τῆς σωτηρίας ἀχαριστεῖν. λογίζεσθαι δὲ ὡς εἰ καὶ πολέμου ῥοπὰς βραβεύει τὸ θεῖον, πλέον ἐστὶ τῆς στρατείας τὸ ἄδηλον. διὸ καὶ τὴν νίκην μὴ πάντη προσδοκᾶν μέλλοντα πολεμεῖν βασιλεῖ καὶ συντρόφῳ, καὶ πολλὰ μὲν εὐεργετήσαντι, μηδὲν δὲ χαλεπὸν αὐτὸν εἰργασμένῳ, περὶ δὲ ὧν ἐγκαλοίη διὰ πονηροὺς συμβούλους, ἀλλὰ μὴ δι' αὐτὸν, ὑπόνοιαν αὐτῷ καὶ σκιὰν δυσκόλου τινὸς παρεσχημένῳ. πείθεται τούτοις ἡρώδης, ὑπολαβὼν εἰς τὰς ἐλπίδας ἀποχρῆναι αὐτῷ καὶ τὴν ἰσχὺν ἐπιδείξασθαι τῷ ἔθνει μόνον. καὶ τὰ μὲν κατὰ τὴν ἰουδαίαν οὕτως εἶχεν. ὁ δὲ καῖσαρ διελθὼν εἰς ῥώμην, ἕτοιμος ἦν πλεῖν ἐπ' ἀφρικῆς πολεμήσων σκιπίωνι καὶ κάτωνι. πέμψας δ' ὑρκανὸς πρὸς αὐτὸν παρεκάλει βεβαιώσασθαι τὴν πρὸς αὐτὸν φιλίαν καὶ συμμαχίαν. ἔδοξε δ' ἀναγκαῖον εἶναι μοι πάσας ἐκθέσθαι τὰς γεγενημένας ῥωμαίοις καὶ τοῖς αὐτοκράτορσιν αὐτῶν τιμὰς καὶ συμμαχίας πρὸς τὸ ἔθνος ἡμῶν, ἵνα μὴ λανθάνῃ τοὺς ἄλλους ἅπαντας, ὅτι καὶ οἱ τῆς ἀσίας καὶ τῆς εὐρώπης βασιλεῖς διὰ σπουδῆς ἔσχον ἡμᾶς, τήν τε ἀνδρείαν ἡμῶν καὶ τὴν πίστιν ἀγαπήσαντες. ἐπεὶ δὲ πολλοὶ διὰ τὴν πρὸς ἡμᾶς δυσμένειαν ἀπιστοῦσι τοῖς ὑπὸ περσῶν καὶ μακεδόνων ἀναγεγραμμένοις περὶ ἡμῶν, τῷ μὴ καὶ ταυτὰ πανταχοῦ μηδ' ἐν τοῖς δημοσίοις ἀποκεῖσθαι τόποις, ἀλλὰ παρ' ἡμῖν τε αὐτοῖς, καὶ τισιν ἄλλοις τῶν βαρβάρων, πρὸς δὲ τὰ ὑπὸ ῥωμαίων δόγματα οὐκ ἔστιν ἀντειπεῖν. ἔν τε γὰρ δημοσίοις ἀνάκειται τόποις τῶν πόλεων, καὶ ἔτι νῦν ἐν τῷ καπετωλίῳ, ἀλλὰ καὶ στήλαις ἀναγέγραπται χαλκαῖς. οὐ μὴν ἀλλὰ καῖσαρ ἰούλιος τοῖς ἐν ἀλεξανδρείᾳ ἰουδαίοις, ποιήσας χαλκῆν στήλην ἐδήλωσεν, ὅτι ἀλεξανδρέων πολῖταί εἰσιν. ἐκ τούτων ποιήσομαι καὶ τὴν ἀπόδειξιν. παραθήσομαι δὲ καὶ τὰ γενόμενα, ὑπό τε τῆς συγκλήτου δόγματα, καὶ ἰουλίου καίσαρος, πρὸς τὸν ὑρκανὸν καὶ τὸ ἔθνος ἡμῶν. γάϊος ἰούλιος καῖσαρ αὐτοκράτωρ καὶ ἀρχιερεὺς δικτάτωρ τὸ δεύτερον,

A ad damnandum Herodem, rem in sequentem diem distulit, & clàm eum admonuit, vt fuga sibi consuleret. non enim esse remedium aliud. atque ita ille secessit Damascum quasi regem fugiens: cúmque conuenisset Sex. Cæsarem, & res suas in tuto collocasset, palàm præ se tulit quòd non esset comparitururus si denuò citaretur ad iudices. Illi verò indignabantur, & conabantur Hyrcanum docere, quòd in ipsius perniciem hæc omnia tenderent: qui non ignorabat quidem eos vera monere, sed nihil expe-
B dire poterat per ignauiam & amentiam. Cæterùm cùm Sex. Cæsar accepta pecunia Herodē præfecisset Cœlesyriæ, vehementer timuit ne ille contra se duceret. nec eum sua fefellit opinio. Iratus enim quòd iussus sit causam dicere, veniebat cum exercitu: sed patris ac fratris occursu & precibus cohibitus est quo minus inuaderet Hierosolyma, placantium eum & rogantium, vt terruisse contentus, re ipsa læ-
C deret neminem, néve vlterius aduersus autorē suæ dignitatis procederet. Debere etiam eum non tam meminisse quòd citatus sit, quàm quòd absolutus etiam, & gratiam habere, quòd nihil triste passus abierit incolumis. Cogitandum quoque quàm periculosa sit belli alea, & quòd Deus arbitratu suo his vel illis annuat victoriam: atque eo minus tum eam esse sperandam, quando non solùm contra regem suū & altorem bellum moueat, verùm etiam bene-
D meritum: ipse nulla affectus iniuria: nā si quid illi nunc obiiciat, non ipsius esse culpam, sed consultorum non bonorum, qui ei opinionem crudelitatis concilient. Paruit his monitis Herodes, ratus sufficere sibi ad futuras spes quòd potentiam genti declarauerit, atque eo tum in statu res fuerunt Iudaicæ. Cæterùm XIX. Cæsar Romam reuersus expeditionem parabat in Africam contra Scipionem, Catonem. tum Hyrcanus per legatos eum rogauit, vt cō-
E firmaret cœptā societatem & amicitiam. Nūc videtur mihi operæprecium percensere omnes honores genti nostræ à Roman. Imp. habitos, & inita cum eis fœdera, vt vniuersis notum sit, quòd tam ab Europæ quàm ab Asiæ regibus obseruati fuerimus propter fidem ac fortitudinem. Quoniam autem multi nos odio habentes non credunt de nobis Persicarum vel Macedonicarum rerum scriptoribus, quòd ea monumenta non ita peruulgata sint, apud
F nostrates seruata & alios quosdam barbaros, certè Romanorum decretis contradicere non poterunt. nam hæc & publicè dedicata sunt in vrbibus atque etiam in Capitolio, & columnis insculpta sunt æreis. Quin & Iul. Cæsar apud Alexandriam attestatus est Iudæis inscriptione columnæ æreæ, quòd Alexandrinæ ciuitatis ius habeant. quare his argumentis vsurus sum. apponam etiam senatusconsulta & decreta Iulij Cæsaris, quæ ad
G Hyrcanum & nostram gentem attinent. C. Iulius Cæsar, Imp. & pont. max. dictator iterū,

Sidoniorum magiſtratibus, ſenatui & pop. ſalutem. Si valetis bene eſt, ego quidem & exercitus valemus. Mitto vobis exemplum tabulæ, quæ ad Hyrcanum Alexandri filium, Iudæorum ethnarcham ac pontificem attinet, vt in publicis veſtris monumētis reponatur, inſcriptum Græcis & latinis literis in ærea tabula. Eſt autem hoc: Iulius Cæſar, Imp. iterum & pont. max. de conſilij ſententia decreui. Quoniam Hyrcanus Alexandri filius Iudeus & nūc & præteritis temporibus, tam pace quàm bello bonam ac fidelem operam in noſtris negotiis præſtitit, ſicut ei multi Imperatores atteſtati ſunt, & in proximo Alexandrino bello in auxilium venit cum M D. militibus, & ad Mithridatem à me miſſus virtute ceſſit nemini: has ob cauſas Hyrcanum filium Alexandri & eius liberos ethnarchas Iudæorum eſſe iubeo, & pontificatum Iudæorum perpetuò retinere more patrio, eſſeque ipſum & filios eius noſtros ſocios, & in amicorum noſtrorum recipi numerum. Iura quoque omnia pontificialia habere ipſum & filios decerno. & ſi qua controuerſia exorta fuerit de Iudaica diſciplina, iudicium penes ipſum eſſe. ad hæc nec hyberna militi debere, nec pecunias ab eo exigi. C. Cæſaris conſulis, placita, conceſſa, decreta, ſic habent: vt filij principatum gentis Iudæorum, & donata ſibi loca poſſideant: vt pontifex ipſe ac ethnarcha Iudæorum in iniuriarum paſſis adſit: vtque ad Hyrcanum Alexandri filium Iudæorum pontificem mittantur legati acturi de ſocietate & amicitia. dedicaríque æream tabulam hæc continentem in Capitolio, & apud Tyrum, Sidonem, Aſcalonem, in templis, inſcriptam Romanis atque Græcis literis: vtque hoc decretum apud omnes omnium vrbium queſtores ac magiſtratus publicetur, quo pro amicis habeantur, & legatis eorum hoſpitia præbeantur, & decreta hæc ad omnia loca mittantur. C. Cæſar, Imp. dictator, conſul honoris, virtutis & benignitatis cauſa, conceſſit in commodum S. P. Q. Romani, Hyrcanum Alexandri filium eiúſque filios pontifices ac ſacerdotes eſſe Hieroſolymorum totiúſque gentis, iure quo & maiores eorum hoc ſacerdotium geſſerunt. C. Cæſar quintùm C o s. decreuit habere & munire Hieroſolymorum vrbem, & gubernare eam Hyrcanum filium Alexandri pontificem Iudæorum ac ethnarcham ſecundum ſuam voluntatem, & vt Iudæis ſecundo locationis anno de reditibus eorum ſubducant, immunéſque ſint ab angariis & vectigalibus. C. Cæſar Imper. iterum ſtatuit vt ſingulis annis tributa pendant Hieroſolymitani pro ſua ciuitate, Ioppe excepta, abſque anno ſeptimo quem Sabbaticum nominant, quoniam in eo neque fructus arborum colligunt neque ſeminant: vtq; in Sidone ſecundo quoq; anno tributum reddant quartam partem ſatorum:

A σιδωνίων ἄρχουσι, βουλῇ, δήμῳ, χαίρειν. εἰ ἔρρωσθε εὖ ἂν ἔχοι, κἀγὼ δὲ ἔρρωμαι σὺν τῷ στρατοπέδῳ. τῆς γενομένης ἀναγραφῆς ἐν τῇ δέλτῳ πρὸς ὑρκανὸν υἱὸν ἀλεξάνδρου, ἀρχιερέα καὶ ἐθνάρχην ἰουδαίων, πέπομφα ὑμῖν τὸ ἀντίγραφον, ἵνα ἐν τοῖς δημοσίοις ὑμῶν ἀνακέηται γράμμασι. βούλομαι δὲ καὶ ἑλληνιστὶ καὶ ῥωμαϊστὶ ἐν δέλτῳ χαλκῇ τοῦτο ἀνατεθῆναι. ἔστι δὲ τοῦτο. ἰούλιος καῖσαρ, αὐτοκράτωρ τὸ δεύτερον καὶ ἀρχιερεὺς μετὰ συμβουλίου γνώμης ἐπέκρινα. ἐπεὶ ὑρκανὸς ἀλεξάνδρου ἰουδαῖος, B καὶ νῦν καὶ ἐν τοῖς ἔμπροσθεν χρόνοις ἔν τε εἰρήνῃ καὶ πολέμῳ πίστιν τε καὶ σπουδὴν περὶ τὰ ἡμέτερα πράγματα ἐνεδείξατο, ὡς αὐτῷ πολλοὶ μεμαρτυρήκασιν αὐτοκράτορες, καὶ ἐν τῷ ἐγγίστα ἐν ἀλεξανδρείᾳ πολέμῳ μετὰ χιλίων πεντακοσίων στρατιωτῶν ἧκε σύμμαχος, καὶ πρὸς μιθριδάτην ἀποσταλεὶς ὑπ᾽ ἐμοῦ, πάντας ἀνδρείᾳ τοὺς ἐν τάξει ὑπερέβαλε, διὰ ταύτας τὰς αἰτίας ὑρκανὸν ἀλεξάνδρου καὶ τὰ τέκνα αὐτοῦ ἐθνάρ- C χας ἰουδαίων εἶναι βούλομαι, ἀρχιερωσύνην τε ἰουδαίων, διὰ παντὸς ἔχειν κατὰ πάτρια ἔθη, εἶναί τε αὐτὸν καὶ τοὺς παῖδας αὐτοῦ συμμάχους ἡμῖν, ἔτι τε καὶ ἐν τοῖς κατ᾽ ἄνδρα φίλοις ἀριθμεῖσθαι. ὅσα τε κατὰ τοὺς ἰδίους αὐτῶν νόμους ἐστὶν ἀρχιερατικὸς ἢ φιλάνθρωπος, ταῦτα κελεύω κατέχειν αὐτὸν καὶ τὰ τέκνα αὐτοῦ. ἂν δὲ μεταξὺ γένηταί τις ζήτησις περὶ τῆς ἰουδαίων ἀγωγῆς, ἀρέσκει μοι κρίσιν γίνεσθαι παρ᾽ D αὐτοῦ. παραχειμασίαν δὲ, ἢ χρήματα πράσσεσθαι οὐ δοκιμάζω. Γαΐου καίσαρος ὑπάτου, δεδογμένα, συγκεχωρημένα, προσκεκριμένα, ἐστὶν οὕτως ἔχοντα. ὅπως τὰ τέκνα αὐτοῦ τοῦ ἰουδαίων ἔθνους ἄρχῃ, καὶ τοὺς δεδομένους τόπους καρπίζωνται. καὶ ὁ ἀρχιερεὺς αὐτὸς καὶ ἐθνάρχης τῶν ἰουδαίων προΐστηται τῶν ἀδικουμένων. πέμψαι δὲ πρὸς ὑρκανὸν ἀλεξάνδρου υἱὸν ἀρχιερέα τῶν ἰουδαίων, πρεσβευτὰς τοὺς περὶ φιλίας, καὶ συμμαχίας διαλεξομένους. ἀνατεθῆναι δὲ καὶ χαλκῆν δέλτον ταῦ- E τα περιέχουσαν, ἔν τε τῷ καπετωλίῳ, καὶ σιδῶνι καὶ τύρῳ, καὶ ἐν ἀσκάλωνι καὶ ἐν τοῖς ναοῖς, ἐγκεχαραγμένην γράμμασι ῥωμαϊκοῖς τε καὶ ἑλληνικοῖς. ὅπως τε τὸ δόγμα τοῦτο πᾶσι τοῖς κατὰ πόλιν ταμίαις καὶ τοῖς τούτων ἡγουμένοις, εἴς τε τοὺς φίλους ἀνενέγκωσι, καὶ ξένια τοῖς πρεσβευταῖς παρασχεῖν, καὶ διατάγματα πέμψαι πανταχοῦ. Γάιος καῖσαρ αὐτοκράτωρ, δικτάτωρ ὕπατος, τιμῆς καὶ ἀρετῆς καὶ φιλανθρωπίας ἕνεκεν, συνε- F χώρησεν ἐπὶ συμφέροντι τῆς συγκλήτου καὶ τοῦ δήμου τῶν ῥωμαίων, ὑρκανὸν ἀλεξάνδρου υἱὸν, αὐτόν τε καὶ τὰ τέκνα αὐτοῦ, ἀρχιερεῖς τε καὶ ἱερεῖς ἱεροσολύμων καὶ τοῦ ἔθνους εἶναι ἐπὶ τοῖς δικαίοις καὶ τοῖς νομίμοις, οἷς καὶ οἱ πρόγονοι αὐτῶν τὴν ἱερωσύνην κατέχον. Γάϊος καῖσαρ ὕπατος τὸ πέμπτον ἔκρινε, τούτους ἔχειν καὶ τειχίσαι τὴν ἱεροσολυμιτῶν πόλιν, καὶ κατέχειν αὐτὴν, ὑρκανὸν ἀλεξάνδρου, ἀρχιερέα ἰουδαίων καὶ ἐθνάρχην, ὡς ἂν αὐτὸς προ- G αιρεῖται. ὅπως τε ἰουδαίοις ἐν τῷ δευτέρῳ τῆς μισθώσεως ἔτει τῆς προσόδου κόρον ὑπεξέλωνται, καὶ μήτε ἐργολαβῶσί τινες, μήτε φόρους τοὺς αὐτοὺς τελῶσι. Γάϊος καῖσαρ, αὐτοκράτωρ τὸ δεύτερον, ἔστησε κατ᾽ ἐνιαυτὸν ὅπως τελῶσιν ὑπὲρ τῆς ἱεροσολυμιτῶν πόλεως, ἰόππης ὑπεξαιρουμένης, χωρὶς τοῦ ἑβδόμου ἔτους, ὃν σαββατικὸν ἐνιαυτὸν προσαγορεύουσιν, ἐπειδὴ ἐν αὐτῷ μήτε ἀπὸ τῶν δένδρων καρπὸν λαμβάνουσι μήτε σπείρουσι. καὶ ἵνα ἐν σιδῶνι τῷ β′ ἔτει τὸν φόρον ἀποδίδωσι, τὸ τέταρτον τῶν σπειρομένων, πρὸς

πρὸς τούτοις ἔτι καὶ Ὑρκανῷ καὶ τοῖς τέκνοις αὐτοῦ τὰς δεκάτας τελῶσιν, ἃς ἐτέλουν καὶ τοῖς προγόνοις αὐτῶν. καὶ ὅπως μηδεὶς μήτε ἄρχων μήτε στρατηγὸς ἢ πρεσβευτὴς ἐν τοῖς ὅροις τῶν Ἰουδαίων ἀνιστᾷ συμμαχίαν, καὶ στρατιώτας ἐξῇ, ἢ τὰ χρήματα τούτων εἰσπράττεσθαι, ἢ εἰς παραχειμασίαν, ἢ ἄλλῳ τινὶ ὀνόματι, ἀλλ' εἶναι πανταχόθεν ἀνεπηρεάστους. ὅσα τε μετὰ ταῦτα ἔσχον, καὶ ἐνεθυμήθησαν, ἢ ἐπρίαντο, ταῦτα πάντα αὐτοὺς ἔχειν. Ἰόππην δὲ πόλιν ἣν ἀπ' ἀρχῆς ἔσχον Ἰουδαῖοι ποιούμενοι τὴν πρὸς Ῥωμαίους φιλίαν, αὐτῶν εἶναι καθὼς καὶ τὸ πρότερον ἡμῖν ἀρέσκειν, φόρους τε ὑπὲρ ταύτης τῆς πόλεως, Ὑρκανὸν ἔχειν Ἀλεξάνδρου υἱόν, καὶ παῖδας αὐτοῦ, παρὰ τῶν τὴν γῆν νεμομένων, χώρας, καὶ λιμένος ἐξαγωγίου κατ' ἐνιαυτὸν Σιδῶνι μοδίους δισμυρίους χοε΄. ὑπεξαιρουμένου τοῦ ἑβδόμου ἔτους ὃ σαββατικὸν καλοῦσι, καθ' ὃ οὔτε τὸν ἀπὸ τῶν δένδρων καρπὸν λαμβάνουσι. τάς τε κώμας τὰς ἐν τῷ μεγάλῳ πεδίῳ, ἃς Ὑρκανὸς καὶ οἱ πρόγονοι αὐτοῦ πρότερον διακατέσχον, ἀρέσκει τῇ συγκλήτῳ ταῦτα Ὑρκανὸν ἔχειν καὶ Ἰουδαίους ἐπὶ τοῖς δικαίοις οἷς καὶ πρότερον εἶχον. μένειν δὲ καὶ τὰ ἀπ' ἀρχῆς δίκαια, ὅσα πρὸς ἀλλήλους Ἰουδαίοις καὶ τοῖς ἀρχιερεῦσιν ἦν, τά τε φιλάνθρωπα, ὅσα τοῦ τε δήμου ψηφισαμένου καὶ τῆς συγκλήτου ἔσχον. ἐπὶ τούτοις τε τοῖς δικαίοις χρῆσθαι αὐτοῖς ἐξεῖναι ἐν Λύδδοις. τούς τε τόπους καὶ χώρας καὶ ἐποίκια ὅσα βασιλεῦσι Συρίας καὶ Φοινίκης συμμάχοις οὖσι Ῥωμαίων κατὰ δωρεὰν ὑπῆρχε, καρποῦσθαι. ταῦτα δοκιμάζει ἡ σύγκλητος Ὑρκανὸν τὸν ἐθνάρχην καὶ Ἰουδαίους ἔχειν. δεδόσθαι τε Ὑρκανῷ, καὶ παισὶ τοῖς αὐτοῦ καὶ πρεσβευταῖς τοῖς ὑπ' αὐτοῦ πεμφθεῖσιν, ἔν τε πυγμῇ μονομάχων καὶ θηρίων καθεζομένους, μετὰ τῶν συγκλητικῶν θεωρεῖν. αἰτησαμένους παρὰ δικτάτορος ἢ παρὰ ἱππάρχου παρελθεῖν ὅταν εἰς τὴν σύγκλητον εἰσάγωσι. καὶ τὰ ἀποκρίματα αὐτοῖς ἀποδιδῶσιν ἐν ἡμέραις ι΄ ταῖς ἁπάσαις, ἀφ' οὗ τὸ δόγμα γένηται. Γάϊος Καῖσαρ αὐτοκράτωρ δικτάτωρ τὸ τέταρτον, ὕπατός τε τὸ ε΄. δικτάτωρ ἀποδεδειγμένος διὰ βίου. λόγους ἐποιήσατο περὶ τῶν δικαίων τῶν Ὑρκανοῦ τοῦ Ἀλεξάνδρου, ἀρχιερέως Ἰουδαίων καὶ ἐθνάρχου τοιούτους. τῶν πρὸ ἐμοῦ αὐτοκρατόρων ἐν ταῖς ἐπαρχίαις μαρτυρησάντων Ὑρκανῷ ἀρχιερεῖ Ἰουδαίων καὶ Ἰουδαίοις ἐπί τε συγκλήτου καὶ δήμου Ῥωμαίων, εὐχαριστήσαντός τε τοῦ δήμου καὶ τῆς συγκλήτου αὐτοῖς, καλῶς ἔχει καὶ ἡμᾶς ἀπομνημονεύειν καὶ προνοεῖν ὅπως Ὑρκανῷ καὶ τῷ ἔθνει τῶν Ἰουδαίων καὶ τοῖς Ὑρκανοῦ παισὶν ὑπὸ συγκλήτου, καὶ δήμου Ῥωμαίων ἀξία τῆς πρὸς ἡμᾶς εὐνοίας αὐτῶν, καὶ ὧν εὐηργέτησαν ἡμᾶς χάρις ἀνταποδοθῇ. Ἰούλιος Γάϊος, στρατηγὸς ὕπατος Ῥωμαίων. Παριανῶν ἄρχουσι, βουλῇ, δήμῳ χαίρειν. ἐνέτυχόν μοι Ἰουδαῖοι ἐν Δήλῳ, καί τινες τῶν παροίκων Ἰουδαίων, παρόντων καὶ τῶν ὑμετέρων πρέσβεων. καὶ ἐνεφάνισαν ὡς ὑμεῖς τε ψηφίσματι κωλύετε αὐτούς, τοῖς πατρίοις ἔθεσι καὶ ἱεροῖς χρῆσθαι. ἐμοὶ τοίνυν οὐκ ἀρέσκει κατὰ τῶν ἡμετέρων φίλων καὶ συμμάχων τοιαῦτα γίνεσθαι ψηφίσματα, καὶ κωλύεσθαι αὐτοὺς ζῆν κατὰ τὰ αὐτῶν ἔθη, καὶ χρήματα εἰς σύνδειπνα, καὶ τὰ ἱερὰ εἰσφέρειν, τοῦτο ποιεῖν αὐτῶν μηδ' ἐν Ῥώμῃ κεκωλυμένων. καὶ γὰρ Γάϊος Καῖσαρ, ὁ ἡμέτερος στρατηγὸς καὶ ὕπατος, ἐν τῷ διατάγματι κωλύων θιάσους συνάγεσθαι κατὰ πόλιν, μόνους τούτους οὐκ ἐκώλυσεν, οὔτε χρήματα συνεισφέρειν, οὔτε σύνδειπνα ποιεῖν. ὁμοίως δὲ κἀγὼ τοὺς ἄλλους θιάσους κωλύων, τούτοις μόνοις ἐπιτρέπω

A & ad hęc Hyrcano eiúsque filiis decimas persoluant, sicut hactenus eorum maioribus. Vtq; nullus vel præses vel dux vel legatus in finibus Iudæorum auxilia colligat: néve militibus liceat pecunias ab his exigere, vel hybernorum vel quocunque alio nomine: sed sint immunes ab omnibus molestationibus. Quęcunque etiam postea parauerunt vel emerunt, his omnibus fruantur. Ioppen præterea quam ab initio habuerunt Iudæi dum in populi Rom. B amicitiam reciperentur, placere ipsorum esse quemadmodum antea. Tributa quoque eius oppidi habere Hyrcanum Alexandri filium cũ suis filiis, tam ab eius agri aratoribus, quàm vectigalium portus nomine, & eorum quæ Sidonem exportantur, annua modiorum XXMDCLXXV. excepto anno septimo quẽ vocãt Sabbaticum, in quo neque arant, neque de arboribus fructus colligunt. Vicos item quos in Magno campo Hyrcanus & sui maiores an- C te eum possederunt, placet senatui eundẽ Hyrcanum & Iudæos etiam nunc habere, iure quo & antea habuerunt. Manere etiam iura quæ ab initio inter Iudæos & eorum pontifices fuerãt, & quæcunque beneficia à S. P. Q. R. concessa. Præterea eodem iure licere illis vti & in Lydda. Loca etiam, agros, habitationes. quas pro amicitia reges Syriæ ac Phœnices per donationem populi Rom. possederant, placere senatui vt Hyrcanus Iudæorum ethnarcha habeat. es- D séque ius Hyrcano eiúsque filiis & legatis ab eo missis ludos & gladiatores spectandi inter senatores sedentibus. Vtque quotiescunque postulauerint à dictatore aut magistro equitum in senatum introducantur, & responsum eis omnibus intra decem dies reddatur, si quid à senatu decretum fuerit. C. Cæsar. Imper. IIII. Cos. V. perpetuus dictator, huiusmodi verba fecit de iure Hyrcani Alexandri filij pontificis Iudæorum ac ethnarchæ. E Quandoquidem mei antecessores Imperatores testimonium reddiderunt Hyrcano Iudæorum pontifici Iudæísque tam in prouinciis quàm apud S. P. Q. R. & hoc homine S. P. Q. R. ei gratias egit, æquum est nos quoque horum meminisse, & dare operam vt Hyrcano ac Iudæorum genti filiísque Hyrcani à S. P. Q. R. pro suo erga nos fauore gratiæ referantur. C. Iul. Cos. Parianorum magistratibus S. P. Q. R. Sal. Accesserunt me in De- F lo Iudæi & quidam de coloniis Iudæorum, præsentibus etiam vestris legatis, & indicauerunt mihi decretum, quo vetatis eos vti patriis sacrificiis & ritibus. mihi verò non placet talia decreta aduersus amicos nostros & socios fieri, vetatíque eos viuere suis moribus, & conferre pecunias in epulas ac sacrificia, quandoquidem nec Romæ hæc facere vetantur. Nam C. Cæsar Cos. in edicto quo interdixit in vr- G be sodalitia, hos solos neque pecunias conferre, neque conuiuia parare vetuit. Ego quoque cùm alia sodalitia interdixerim, hos solos sino

iuxta patrios mores ac leges conuenire. Quapropter æquum est etiam vos si quod decretum fecistis contra amicos nostros & socios, id abrogare propter eorum virtutem, & erga nos beneuolentiam. Post mortem autem Cæsaris M. Antonius, P. Dolabella Coss. aduocato senatu & introductis Hyrcani legatis, retulerunt de eorum postulatis, & amicitiam cum eis renouauerunt, & quicquid petierunt senatusconsulto eis decretum est. Dolabella etiam acceptis ab Hyrcano literis scripsit per vniuersam Asiam, & primæ eius prouinciæ ciuitati Ephesiorum, in hunc modum. Dolabella Imperator Ephesiorum magistratibus s. p. q. Sal. Alexander filius Theodori, legatus Hyrcani pontificis ac ethnarchæ Iudæorum, mihi retulit de ciuibus suis quòd militare non possint, eo quòd neque arma gestare, neque iter facere eis fas sit diebus sabbatis, neq; victum more patrio possent sibi quærere. Quamobrem ego quoque quemadmodum alij ante me Imperatores immunes eos volo à militia, permittóque vt patriis vtantur moribus, conuenientes sacrorum causa sicut leges eorum postulant, & conferentes in offerenda templo sacrificia. volóque vt hæc ipsa scribatis per vrbes prouinciæ singulas. Atque ita Dolabella Hyrcano per literas roganti gratificatus est. L. autem Lentulus Cos. pro sententia dixit: Iudæos ciues Romanos templa Iudaica habentes & facientes, Ephesi pro tribunali religionis ergò esse immunes à militia pronunciaui duodecimo calendas Octobreis. Multa itaque extant & alia huiusmodi senatusconsulta & Imperatorum decreta ad Hyrcanum & gentem nostram aliásque vrbes, & rescripta de iure nostro ad prouinciarum præsides, de quibus propter hæc quæ hoc loco inseruimus credere facile est his, qui nostra scripta candidè lecturi sunt. Quando enim tam manifesta argumenta exhibuimus nostræ cum populo Romano amicitiæ, ostensis æreis columnis & tabulis in Capitolio nunc vsque durantibus, duraturísque in posterum, omnia hîc apponere superuacaneum ac molestum duximus, existimantes neminem fore tam difficilem, vt de re tot decretis comprobata dubitet, ac non potius ex his etiam de cæteris coniecturam faciat nos vera dicere. Satis ergo iam declarata sit, quæ per ea tempora nobis cum populo Romano intercessit amicitia & societas. Incidit autem eisdem temporibus tumultus in Syria ex causa huiusmodi. Cecilius Bassus vnus è Pompeianis per insidias interfecto Sexto Cæsare ipse occupauit prouinciam cum legionibus. Quo facto magnum bellum exortum est circa Apamiam, Cæsarianis ducibus contra eum venientibus cum equestribus ac pedestribus copiis: ad quos & Antipater misit auxilia cum filiis, memor beneficiorum acceptorum à Cæsare, idcóque repetendas pœnas ab eius interfectore iustum existimans.

κατὰ τὰ πάτρια ἔθη καὶ νόμιμα συνάγεσθαι τῶν καὶ ἱερῶν. καὶ ὑμᾶς οὖν καλῶς ἔχει, εἴτι κατὰ τῶν ἡμετέρων φίλων καὶ συμμάχων ψήφισμα ἐποιήσατε, τοῦτο ἀκυρῶσαι διὰ τὴν περὶ ἡμᾶς αὐτῶν ἀρετὴν καὶ εὔνοιαν. μετὰ δὲ τὸν γαΐου θάνατον, μάρκος ἀντώνιος καὶ πόπλιος δολοβέλλας, ὕπατοι ὄντες τήν τε σύγκλητον συνήγαγον, καὶ τοὺς ὑρκανοῦ πρέσβεις παραγαγόντες, διελέχθησαν περὶ ὧν ἠξίουν, καὶ φιλίαν πρὸς αὐτοὺς ἐποίησαν, καὶ πάντα συγχωρεῖν αὐτοῖς ἡ σύγκλητος ἐψηφίσατο, ὅσων τυγχάνειν ἐβούλοντο. καὶ δολοβέλλας δὲ λαβὼν παρὰ ὑρκανοῦ γράμματα, ἐπιστέλλει τοῖς κατὰ τὴν ἀσίαν ἅπασαν, καὶ τῇ ἐφεσίων πόλει, πρωτευούσῃ τῆς ἀσίας οὕτως. Δολοβέλλας αὐτοκράτωρ ἐφεσίων ἄρχουσι, βουλῇ, δήμῳ χαίρειν. ἀλέξανδρος θεοδώρου πρεσβευτὴς ὑρκανοῦ, ἀρχιερέως καὶ ἐθνάρχου τῶν ἰουδαίων, ἐνεφάνισέ μοι περὶ τοῦ μὴ δύνασθαι στρατεύεσθαι τοὺς πολίτας αὐτοῦ, διὰ τὸ μήτε ὅπλα βαστάζειν δύνασθαι, μήτε ὁδοιπορεῖν αὐτοὺς ἐν ταῖς ἡμέραις τῶν σαββάτων, μήτε τροφῶν τῶν πατρίων καὶ συνήθων κατ᾽ αὐτοὺς εὐπορεῖν. ἐγώ τε οὖν αὐτοῖς καθὼς καὶ οἱ πρὸ ἐμοῦ ἡγεμόνες δίδωμι τὴν ἀστρατείαν, καὶ συγχωρῶ χρῆσθαι τοῖς πατρίοις ἔθεσι, ἱερῶν ἕνεκα καὶ ἁγίων συναγομένοις καθὼς αὐτοῖς νόμιμον καὶ τῶν πρὸς τὰς θυσίας ἀφαιρεμάτων. ὑμᾶς τε βούλομαι ταῦτα γράψαι κατὰ πόλεις. καὶ ταῦτα μὲν δολοβέλλας ὑρκανῷ πρεσβευσαμένῳ πρὸς αὐτὸν ἐχαρίσατο. λεύκιος δὲ λέντλος ὕπατος εἶπε, πολίτας ῥωμαίων ἰουδαίοις ἱερὰ ἰουδαϊκὰ ἔχοντας καὶ ποιοῦντας ἐν ἐφέσῳ πρὸ τοῦ βήματος δεισιδαιμονίας ἕνεκα στρατείας ἀπέλυσε, πρὸ δώδεκα καλανδῶν ὀκτωβρίων. πολλὰ οὖν ἐστι καὶ ἄλλα τοιαῦτα τῇ συγκλήτῳ καὶ τοῖς αὐτοκράτορσι ῥωμαίων δόγματα, πρὸς ὑρκανὸν καὶ τὸ ἔθνος ἡμῶν γεγενημένα, καὶ πόλεσι ψηφίσματα, καὶ γράμματα πρὸς τὰς τῶν ἡμετέρων δικαίων ἐπιστολὰς ἀντιπεφωνημένα τοῖς ἡγεμόσι, περὶ ὧν ἁπάντων, ἐξ ὧν παρατιθέμενα, πιστεύειν τοῖς ἀναγνωσομένοις οὐ βασκαίνως ἡμῶν τὴν συγγραφὴν πάρεστιν. ἐπεὶ γὰρ ἐναργῆ καὶ βλεπόμενα τεκμήρια παρεχόμεθα τῆς πρὸς ῥωμαίους ἡμῖν φιλίας γενομένης, ἐπιδεικνῦντες αὐτὰ χαλκαῖς στήλαις καὶ δέλτοις ἐν τῷ καπετωλίῳ μέχρι νῦν διαμένοντα, καὶ διαμενοῦντα, τὴν μὲν πάντων παράθεσιν ὡς περιττήν τε ἅμα, καὶ ἀτερπῆ παρῃτησάμην. οὐδένα δ᾽ οὕτως ἡγησάμην σκαιὸν, ὃς οὐχὶ περὶ τῆς ῥωμαίων ἡμῖν πιστεύσῃ φιλίας, ὅτι ταύτην καὶ διὰ πλειόνων ἐπεδείξαντο πρὸς ἡμᾶς δογμάτων, καὶ ἡμᾶς οὐχ ὑπολήψεται περὶ ὧν εἶναι φαμὲν ἀληθεύειν ἐξ ὧν ἐπιδείξαμεν. τὴν μὲν οὖν πρὸς ῥωμαίους φιλίαν καὶ συμμαχίαν κατ᾽ ἐκείνους τοὺς καιροὺς γενομένην, δεδηλώκαμεν. συνέβη δ᾽ ὑπὸ τὸν αὐτὸν καιρὸν, ταραχθῆναι τὰ κατὰ τὴν συρίαν ἐξ αἰτίας τοιαύτης. βάσσος κεκίλιος, εἷς τῶν τὰ πομπηΐου φρονούντων, ἐπιβουλὴν συνθεὶς ἐπὶ σέξτον καίσαρα, κτείνει μὲν ἐκεῖνον. αὐτὸς δὲ τὸ στράτευμα αὐτοῦ παραλαβὼν, ἐκράτει τῶν πραγμάτων. πόλεμός τε μέγας περὶ ἀπάμειαν συνέστη, τῶν καίσαρος στρατηγῶν ἐπ᾽ αὐτὸν ἐλθόντων μετὰ ἱππικῆς καὶ πεζῆς δυνάμεως. τούτοις δὲ καὶ ἀντίπατρος συμμαχίαν ἔπεμψε μετὰ τῶν τέκνων, κατὰ μνήμην ὧν εὐεργετήθησαν ὑπὸ καίσαρος, καὶ διὰ τοῦτο τιμωρεῖν αὐτῷ καὶ δίκην παρὰ τοῦ πεφονευκότος εἰσπράξασθαι δίκαιον ἡγούμενος.

φρονι-

χρονιζομένου δὲ τοῦ πολέμου, μάρκος μὲν ἦλθεν εἰς τὴν ἀρχὴν τοῦ σέξτου. καῖσαρ δ' ὑπὸ τῶν περὶ κάσσιον καὶ βροῦτον ἐν τῷ βουλευτηρίῳ κτείνεται, κατασχὼν τὴν ἀρχὴν ἔτη γ' καὶ μῆνας ς'. τοῦτο μὲν οὖν καὶ ἐν ἄλλοις δεδήλωται.

Κεφάλαιον ιη'.

Ὡς κάσσιος τήν τε ἰουδαίαν ἐκάκωσε, καὶ τάλαντα ω' παρ' αὐτῶν εἰσεπράξατο.

Τοῦ δ' ἐπὶ τῷ καίσαρος θανάτῳ πολέμου συνερρωγότος, καὶ τῶν ἐν τέλει πάντων ἐπὶ στρατιᾶς συλλογὴν ἄλλων ἄλλῃ διεσπαρμένων, ἀφικνεῖται κάσσιος εἰς συρίαν, παραληψόμενος τὸ περὶ τὴν ἀπάμειαν στρατόπεδον, καὶ λύσας τὴν πολιορκίαν, ἀμφοτέρους προσάγεται τόν τε βάσσον καὶ τὸν μάρκον, τάς τε πόλεις ἐπερχόμενος, ὅπλα τε καὶ στρατιώτας συνήθροιζε, καὶ φόρους αὐταῖς μεγάλους ἐπετίθει. μάλιστα δὲ τὴν ἰουδαίαν ἐκάκωσεν, ἑπτακόσια τάλαντα ἀργυρίου εἰσπραττόμενος. ἀντίπατρος δ' ὁρῶν ἐν μεγάλῳ φόβῳ καὶ ταραχῇ τὰ πράγματα, μερίζει τὴν τῶν χρημάτων εἴσπραξιν, καὶ ἑκατέρῳ τῶν υἱῶν συνάγειν δίδωσι, τὰ δὲ μαλίχῳ κακονόως πρὸς αὐτὸν διακειμένῳ, τὰ δὲ ἄλλοις προσέταξεν εἰσπράττεσθαι. καὶ πρῶτος ἡρώδης ἀπὸ τῆς γαλιλαίας εἰσπραξάμενος ὅσα ἦν αὐτῷ προστεταγμένα, φίλος ἦν εἰς τὰ μάλιστα κασσίῳ. σῶφρον γὰρ ἔδοξεν αὐτῷ ῥωμαίους ἤδη θεραπεύειν, καὶ παρ' αὐτῶν κατασκευάζειν εὔνοιαν ἐκ τῶν ἀλλοτρίων πόνων. ἐπιπράσκοντο δ' αὐτάνδροι ὅσοι τῶν ἄλλων πόλεων ἐπιμεληταί. καὶ τέσσαρες πόλεις ἐξανδραποδίζεται κάσσιος. ὧν ἦσαν αἱ δυνατώταται, γόφνα τε καὶ ἐμμαοῦς, πρὸς ταύταις δὲ λύδδα καὶ θαμνά. ἐπῆλθε δ' ἂν ἐπ' ὀργῆς κάσσιος ὥστε καὶ μάλιχον ἀνελεῖν, ὥρμητο γὰρ ἐπ' αὐτὸν, εἰ μὴ ὑρκανὸς δι' ἀντιπάτρου ἑκατὸν τάλαντα ἐκ τῶν ἰδίων αὐτῷ πέμψας ἐπέσχε τῆς ὁρμῆς. ἐπεὶ δὲ κάσσιος ἐκ τῆς ἰουδαίας ἀπῆρε, μάλιστα ἐπιβουλεύει ἀντιπάτρῳ, τὴν τούτου τελευτὴν, ἀσφάλειαν ὑρκανοῦ τῆς ἀρχῆς ἔσεσθαι νομίζων. οὐ μὴν ἔλαθε τὸν ἀντίπατρον ταῦτα φρονῶν. αἰσθόμενος γὰρ ἐκεῖνος, ἐχώρει πέραν ἰορδάνου, καὶ στρατὸν ἀράβιον ἅμα καὶ ἐγχώριον συνήθροιζε. δεινὸς μέντοι ὢν ὁ μάλιχος, ἠρνεῖτο τὴν ἐπιβουλὴν, ἀπολογούμενος μεθ' ὅρκων αὐτῷ τε καὶ τοῖς παισὶ, καὶ ὡς φασαήλου μὲν τὰ ἱεροσόλυμα φρουροῦντος, ἡρώδου δὲ ἔχοντος τὴν φυλακὴν τῶν ὅπλων, οὐδ' ἂν εἰς νοῦν ἔβαλε τοιοῦτον οὐδέν. ὁρῶν δὲ τὴν ἀπορίαν καταλλάσσεται πρὸς τὸν ἀντίπατρον, καὶ συνέβησαν, μάρκου κατὰ συρίαν στρατηγοῦντος. ὃς αἰσθόμενος νεωτεροποιοῦντα κατὰ τὴν ἰουδαίαν τὸν μάλιχον, ἦλθε μὲν ὥστε παρὰ μικρὸν αὐτὸν ἀνελεῖν, ἀντιπάτρου δὲ παρακαλέσαντος περιέσωσεν.

Κεφάλαιον ιθ'.

Ὡς μάλιχος ἐπιβουλεύων, ἀντίπατρον ἀνεῖλε φαρμάκῳ.

Ἔλαθε δ' ἄρα φονέα περισώσας ἀντίπατρος αὐτοῦ τὸν μάλιχον. κάσσιος μὲν γὰρ καὶ μάρκος στρατὸν ἀθροίσαντες, τὴν ἐπιμέλειαν ἅπασαν ἐνεχείρισαν ἡρώδῃ, καὶ στρατηγὸν αὐτὸν κοίλης συρίας ἐποίησαν, πλοῖα δόντες καὶ δύναμιν ἱππικήν τε καὶ πεζικὴν, ὑπισχνούμενοι δὲ καὶ βασιλέα τῆς ἰουδαίας ἀναδείξειν μετὰ τὸν πόλεμον, συνειστήκει γὰρ τότε πρὸς τὸν ἀντώνιον καὶ τὸν νέον καίσαρα. μάλιχος δὲ τότε δείσας μάλιστα τὸν ἀντίπατρον,

Id bellum dum trahitur, Marcus venit Sexti successor, & interim Cæsar ab his qui cum Cassio & Bruto coniurauerant in senatu occiditur, exactis in principatu suo tribus annis cum dimidio, sicut & ab aliis scriptoribus memoriæ proditum est.

Cap. XVIII.

Cassius afflictis Iudæis insuper octingenta talenta ab eis exigit.

Bello deinde ciuili post cædem Cæsaris exorto, consularibus aliis aliò discurrentibus ad parandos exercitus, Cassius in Syriam venit, occupaturus eum qui circa Apamiam erat exercitum: solutáque obsidione tam Marcum quàm Bassum in suas partes pertraxit: obeundóque ciuitates comparabat arma & milites, tributa etiam exigendo grauia. sed maximè Iudæam afflixit, plus quàm septingentis argenti talentis imperatis. Tum Antipater res vbique turbatas videns, partem eius pecuniæ duobus filiis exigendam committit, partem Malicho sibi parum amico, partẽ quibusdam aliis: & primus Herodes ex Galilæa quantum imperatum erat afferens, maximam apud Cassium gratiam iniit. prudens enim illi videbatur consilium, iam tum Romanorum alieno sumptu captare beneuolentiam. Sub aliis autem procuratoribus ipsæ ciuitates venum dabantur vnà cum suis habitatoribus: quarum quatuor erant præcipuæ, Gophna, Emaus, Lydda, Thamna. nam earum plebes Cassius hastæ subiecit. adeò autem exacerbatus erat, vt etiam Malichum interfecturus fuerit, nisi Hyrcanus per Antipatrum centum talentis de suo missis, furorem eius leniisset. At ille post Cassij discessum maximè insidiatus est Antipatro, per huius mortem Hyrcani dominationi securitatẽ se paraturum existimans. nec tamen latuerunt Antipatrum eius consilia. nam cùm hoc sensisset, vltra Iordanem profectus copias colligebat tum ex indigenis, tum ex Arabibus. Verùm Malichus vir callidus inficiabatur insidias, deierans apud Antipatrum & filios, quòd Phasaelo Hierosolymorum præsidium tenente, Herode verò habente armorum custodiam, ne in mentem quidem sibi vnquam tale aliquid venerit. & videns non succedere quod proposuerat, reconciliatus est Antipatro Marco Syriæ præsidẽte, qui postquam intellexit res nouas in Iudæa molitum Malichum, minimum abfuit, quin eum interficeret, quem tamẽ Antipatri precibus donauit incolumem.

Cap. XIX.

Malichus per insidias Antipatrum veneno tollit.

Sed Antipater imprudens seruauit Malichum vt se perderet. nam Cassius & Marcus coacto exercitu Herodem totius Cœlesyriæ ducem fecerunt, attributis ei naualibus, equestribus, & pedestribus copiis, regnum etiã polliciti post finitum bellum, quod tum gerebant contra Antonium & iuniorem Cęsarem. Malichus verò tũ maximè timens Antipatrũ,

decreuit è medio tollere. corruptóque pincerna Hyrcani, apud quem ambo epulabantur, veneno necauit hominem, & assumpta armatorum manu suscepit ciuitatis gubernacula. Ceterùm postquam Herodi ac Phasaëlo innotuerunt structæ in parentem insidiæ, indignantibus illis Malichus strenuè pernegauit omnia. atque hic fuit finis Antipatri, viri iusti ac pij, & patriæ amantissimi. Ex filiis autem alter Herodes confestim volebat patris mortem vlcisci, & cum exercitu aggredi Malichum: sed Phasaelo grandiori magis placuit dolo circumuenire hominem, ne videretur ciuile bellum incipere. itaque accepta Malichi satisfactione simulauit se credere, non esse illum paternæ necis conscium: séque vertit ad excolendum monumentum quod patri struxerat. Interim Herodes veniens Samariam, eámq; nimis afflictam offendens, refouere eam cœpit, & iura reddendo controuersias ciuium dirimere. non multo autem pòst instante Hierosolymis festo, & ipse venit in vrbem cum militibus: quem Malichus metuens Hyrcano suasit ne eum intrare permitteret: id quod Hyrcanus fecit, nefas esse sanctis populi ceremoniis profanam turbam superinducere. at Herodes contempta obnunciatione noctu vrbem ingressus est, & Malichum vehementer perterruit. at ille solitarum artium non immemor, palam lacrymabundus conquerebatur de Antipatri tanquam amici interitu, clàm verò parabat sibi satellitium. quare visum est Herodis amicis simulationem hanc non coarguere, sed ad vitandam suspicionē vicissim comiter tractare Malichum.

Cap. XX.

Herodes iussu Caßij Malichum dolo interficit.

ATtamen Cassio de patris obitu significauit per literas: & ille qui non ignorabat mores Malichi, rescripsit vt vlcisceretur parētis iniuriam: clàm etiam mandauit Tribunis apud Tyrum agentibus, vt adessent Herodis iustis conatibus. Cúmque capta à Cassio Laodicia, simul ad eum iter facerent afferentes coronas & pecuniam, Herodes expectabat daturum esse illic pœnas Malichum. at ille circa Tyrum Phœnices suspicione concepta, maiora moliri cogitauit: & quia filius eius obses in ea vrbe seruabatur, decreuit eam ingredi, & furtim illū in Iudæam abducere: & occupato contra Antonium Cassio, gente ad defectionem concitata, sibiipsi principatum eius acquirere. Sed cōsiliis eius fortuna aspirare noluit, & Herodes homo callidus intellecto eius proposito, præmisso famulo quasi ad parandam cœnam, quia comites omnes inuitauerat, re autem vera ad tribunos, iussit eos Malicho cum pugionibus occurrere. illi verò egressi, & nacti eum prope vrbem in littore, confoderunt hominem: quo facto Hyrcanus adeò est attonitus vt obmutuerit. tandem ęgrè ad se reuersus percontabatur Herodem quid hoc rei esset, & quis interfecisset Malichum. & audito factum

ἐκποδὼν ἐποιεῖτο. καὶ πείσας ἀργυρίῳ τὸν ὑρκανοῦ οἰνοχόον, παρ' ᾧ ἑκάτεροι εἱστιῶντο, φαρμάκῳ κτείνει τὸν ἄνδρα, καὶ ὁπλίτας ἔχων ἠυτρέπιζε τὰ κατὰ τὴν πόλιν. γνόντων δὲ τὴν ἐπιβουλὴν τὴν κατὰ πατρὸς ἡρώδου καὶ φασαήλου, καὶ χαλεπῶς ἐχόντων, ἠρνεῖτο πάντα ὁ μάλιχος, καὶ ἔξαρνος ἦν τοῦ φόνου. καὶ ἀντίπατρος μὲν εὐσεβείᾳ καὶ δικαιοσύνῃ διενεγκὼν, καὶ τῇ περὶ τὴν πατρίδα σπουδῇ, τοῦτον ἐτελεύτησε τὸν τρόπον. τῶν δὲ παίδων αὐτοῦ ἡρώδης μὲν εὐθὺς ἔγνω τιμωρεῖν τῷ πατρὶ, μετὰ στρατιᾶς ἐπὶ μάλιχον ἐλθών. φασαήλῳ δὲ τῷ πρεσβυτέρῳ δόλῳ μᾶλλον ἐδόκει περιγίνεσθαι τἀνδρὸς, μὴ πολέμου κατάρχειν νομισθῶσιν ἐμφυλίου. τήν τε οὖν ἀπολογίαν μαλίχου προσδέχεται, καὶ πιστεύειν ὑποκρίνεται, μηδὲν αὐτὸν περὶ τὸν ἀντιπάτρου κακουργῆσαι θάνατον, τάφον δὲ ἐκόσμει τῷ πατρὶ, καὶ παραγενόμενος ἡρώδης εἰς σαμάρειαν καὶ καταλαβὼν αὐτὴν κεκακωμένην, ἀνακτᾶ τε καὶ τὰ νείκη διέλυσε τοῖς ἀνθρώποις. μετ' οὐ πολὺ δ' ἐνστάσης τῆς ἐν ἱεροσολύμοις ἑορτῆς παραγίνεται σὺν τοῖς στρατιώταις εἰς τὴν πόλιν. καὶ δείσας μάλιχος, ἔπεισεν ὑρκανὸν μὴ ἐπιτρέπειν αὐτῷ εἰσιέναι. καὶ πείθεται μὲν ὑρκανὸς, προβέβληται δ' αἰτίαν τῆς ἀποκωλύσεως τὸ μὴ δεῖν ὄχλον ἀλλοδαπὸν ἁγνεύοντος εἰσδέχεσθαι τοῦ πλήθους. ὀλίγον δὲ φροντίσας ἡρώδης τῶν ἀγγέλων, νύκτωρ εἴσεισιν εἰς τὴν πόλιν, καὶ φοβερὸς μὲν ἦν τῷ μαλίχῳ, ὁ δ' οὐκ ἀνίησι τῆς ὑποκρίσεως, ἀλλ' ἐδάκρυε τὸν ἀντίπατρον καὶ ἀνεκαλεῖτο φανερῶς ὡς φίλος, κρύφα δὲ φυλακὴν τοῦ σώματος ἐποιεῖτο. ἔδοξε δὲ καὶ τοῖς περὶ ἡρώδην μὴ ἀπελέγχειν αὐτοῦ τὴν προσποίησιν, ἀλλὰ καὶ αὐτοὺς εἰς τὸ ἀνύποπτον, ἀντιφιλοφρονεῖσθαι τὸν μάλιχον.

Κεφάλαιον κ'.

Ὡς ἡρώδης ἐπιστείλαντος αὐτῷ κασσίου τὸν μάλιχον ἐδολοφόνησεν.

ΚΑσσίῳ μέντοι περὶ τῆς τελευτῆς πατρὸς ἡρώδης ἐπέσταλκε. κἀκεῖνος εἰδὼς οἷος εἴη τὸν τρόπον μάλιχος, ἀντεπέστειλε τιμωρεῖν τῷ πατρὶ, καὶ λάθρα διαπέμπει πρὸς τοὺς ἐν τύρῳ χιλιάρχους κελεύων αὐτοὺς συμπράττειν ἡρώδῃ, δίκαια μέλλοντι πράξειν. ὡς δὲ λαοδίκειαν ᾑρηκότος κασσίου, πρὸς αὐτὸν ἀπῄεσαν κοινῇ, στεφάνους τε αὐτῷ καὶ χρήματα κομίζοντες, ἡρώδης μὲν προσεδόκα δώσειν τὸν μάλιχον τιμωρίαν ἐκεῖ γενόμενον. ὁ δὲ περὶ τύρον τῆς φοινίκης ὑπειδόμενος τὸ πρᾶγμα, μειζόνων ἐφήπτετο. καὶ τοῦ παιδὸς αὐτοῦ ὁμηρεύοντος ἐν τύρῳ, παρελθὼν εἰς τὴν πόλιν, ἔγνω τοῦτον τε ὑπεκκλέψαι, καὶ εἰς τὴν ἰουδαίαν ἀπαίρειν, σπεύδοντός τε ἐπ' ἀντώνιον κασσίου, τὸ ἔθνος ἀποστήσας, αὐτὸς τὴν ἀρχὴν καθέξειν. τοῖς δὲ βεβουλευμένοις, ὅτι δαίμων ἀντέπραξε, καὶ δεινὸς ὢν ἡρώδης, τὴν προαίρεσιν αὐτοῦ κατανοήσας, προεισπέμψας θεράποντα, τῷ μὲν δοκεῖν ἐπὶ δεῖπνον παρασκευήν, καὶ γὰρ ἑστιάσειν αὐτοὺς ἅπαντας προειρήκει, ταῖς δὲ ἀληθείαις πρὸς τοὺς χιλιάρχους, ἐξελθεῖν ἐπὶ μάλιχον πείθει μετὰ ξιφιδίων. οἱ δ' ἐξελθόντες, καὶ πλησίον τῆς πόλεως αὐτῷ περιτυχόντες ἐπὶ τοῦ αἰγιαλοῦ, κατακεντοῦσι τὸν ἄνδρα. ὑρκανὸς μὲν οὖν, ὑπ' ἐκπλήξεως τοῦ γεγονότος εἰς ἀφωνίαν ἐτράπη. μόλις δ' ἀνενεγκὼν, ἐπυνθάνετο τῶν περὶ τὸν ἡρώδην, τί ποτ' εἴη τὸ γεγενημένον καὶ τίς ὁ μαλίχου ἀνῃρηκώς; εἰπόντων δὲ κάσσιον

τοῦτο

τοῦτο πρᾶξαι, ἐπῄνεσε τὸ ἔργον. πονηρὸν γὰρ εἶναι πάνυ, καὶ τῆς πατρίδος ἐπίβουλον. καὶ Μάλιχος μὲν ταύτην ὑπὲρ τῆς εἰς Ἀντίπατρον παρανομίας δίκην ἐξέτισε. Κασσίου δὲ ἐκ Συρίας ἀπάραντος ταραχὴ γίνεται κατὰ τὴν Ἰουδαίαν. Ἕλιξ γὰρ ὑπολειφθεὶς ἐν Ἱεροσολύμοις μετὰ στρατιᾶς, ὥρμησεν ἐπὶ Φασάηλον. ὅ τε δῆμος ἐν ὅπλοις ἦν. Ἡρώδης δὲ παρὰ Φάβιον ἐπορεύετο ἐν Δαμασκῷ στρατηγοῦντα, καὶ βουλόμενος προσδραμεῖν πρὸς τὸν ἀδελφὸν, ὑπὸ νόσου κωλύεται. ἕως οὗ Φασάηλος δι' αὑτοῦ, Ἕλικος κρείττων γενόμενος, κατακλείει μὲν αὐτὸν εἰς πύργον, εἶτα δὲ ὑπόσπονδον ἀφίησι. τόν τε Ὑρκανὸν ἐμέμφετο, ὡς πολλὰ μὲν εὖ παθόντα ὑπ' αὐτῶν, συμπράττοντα δὲ τοῖς ἐχθροῖς. ὁ γὰρ ἀδελφὸς Μαλίχου τότε ἀποστήσας οὐκ ὀλίγα χωρία ἐφρούρει, καὶ Μασάδαν τὸ πάντων ἐρυμνότατον. ἐπὶ μὲν οὖν τούτων ῥαΐσας ὁ Ἡρώδης ἐκ τῆς νόσου παραγίνεται, καὶ ἀφελόμενος αὐτὸν πάντα ὅσα εἶχε χωρία, ὑπόσπονδον ἀπέλυσεν.

Κεφάλαιον κα'.

Ὡς Ἀντίγονον τὸν Ἀριστοβούλου βοηθούμενον παρὰ τοῦ Τυρίων τυράννου, Ἡρώδης ἀπαντήσας τρέπεταί τε καὶ τῆς Ἰουδαίας ἐκβάλλει.

Ἀντίγονον δὲ τὸν Ἀριστοβούλου, στρατιὰν ἀθροίσαντα, καὶ Φάβιον πεπεικότα χρήμασι, κατάγει Πτολεμαῖος ὁ Μενναίου διὰ τὸ κῆδος. συνεμάχει δὲ αὐτῷ καὶ Μαρίων, ὃν Τυρίων καταλελοίπει Κάσσιος τύραννον. τυραννίσι γὰρ λαβὼν τὴν Συρίαν οὗτος ὁ ἀνὴρ, ἐφρούρησεν. ὁ δὲ Μαρίων καὶ εἰς τὴν Γαλιλαίαν, ὅμορον οὖσαν ἐνέβαλε, καὶ τρία καταλαβὼν ἐρύματα, διὰ φρουρᾶς εἶχεν. ἐλθὼν δὲ καὶ ἐπὶ τοῦτον Ἡρώδης, ἅπαντα μὲν αὐτοῦ ἀφείλατο. τοὺς δὲ Τυρίων φρουροὺς, φιλανθρώπως ἀπέλυσεν, ἔστιν οἷς καὶ δωρεὰς δοὺς διὰ τὸ πρὸς τὴν πόλιν εὔνουν. ταῦτα διαπραξάμενος ὑπήντησεν Ἀντιγόνῳ, καὶ μάχην αὐτῷ συνάψας νικᾷ, καὶ ὅσον οὔπω τῶν ἄκρων ἐπιβάντα τῆς Ἰουδαίας ἐξέωσεν. εἰς Ἱεροσόλυμα δὲ παραγινόμενον, στεφάνοις ἀνέδει Ὑρκανός τε καὶ ὁ δῆμος. ἐγγαμβρεύετο δὲ ἤδη καθ' ὁμολογίαν τῷ Ὑρκανοῦ γένει, καὶ διὰ τοῦτο μᾶλλον αὐτοῦ προειστήκει, μέλλων ἄγεσθαι τὴν Ἀλεξάνδρου τοῦ Ἀριστοβούλου θυγατέρα, Ὑρκανοῦ δὲ θυγατριδῆν, ἐξ ἧς πατὴρ γίνεται, τριῶν μὲν ἀρρένων, δύο δὲ θηλειῶν. ἤκτο δὲ καὶ πρότερον γυναῖκα δημότιν, Δωρὶν ὄνομα ἐκ τοῦ ἔθνους, ἐξ ἧς αὐτῷ πρεσβύτατος γίνεται παῖς, Ἀντίπατρος.

Κεφάλαιον κβ'.

Ὅτι Ἡρώδης ἐν Βιθυνίᾳ παραγενόμενον πολλοῖς χρήμασιν ἐθεράπευσεν Ἀντώνιον, διὰ τοῦτο τοὺς κατηγορεῖν αὐτοῦ βουληθέντας οὐκ ἐδέξατο.

Κάσσιον μὲν οὖν χειροῦνται Ἀντώνιός τε καὶ Καῖσαρ περὶ Φιλίππους. μετὰ δὲ τὴν νίκην Καῖσαρ ἐπὶ Γαλλίας ἐχώρει, Ἀντώνιος δὲ εἰς τὴν Ἀσίαν ἀπῄρε. γενομένῳ δ' ἐν τῇ Βιθυνίᾳ αἱ πανταχόθεν ἀπήντων πρεσβεῖαι. παρῆσαν δὲ καὶ Ἰουδαίων οἱ ἐν τέλει, κατηγοροῦντες τῶν περὶ Φασάηλον καὶ Ἡρώδην, πρόσχημα μὲν εἶναι λέγοντες τῆς βασιλείας Ὑρκανὸν, τούτους δὲ τὴν πᾶσαν ἔχειν ἐξουσίαν. Ἡρώδην δὲ Ἀντώνιος διὰ πολλῆς

A esse iussu Cassij, laudauit facinus. malum enim virum fuisse, & insidiatorem patriæ. atque ita Malichus pro oppresso Antipatro pœnam persoluit debitam. Porrò Cassio profecto è Syria, apud Iudæam tumultus exoritur. Felix enim relictus cum militibus Hierosolymis, in Phasaelum fecit impetum, & populus arma corripuit. Herodes verò ad Fabium profectus est Damasci præsidem, & volens fratri succurrere, morbo præpeditus est. donec Phasaelus per se B superato Felice, in turrim primùm compulsũ, incolumitatem deinde pactum abire passus est. quamobrem mox cum Hyrcano expostulauit grauiter, quòd post accepta à se multa beneficia, inimicis suis fauorem impēderet. nam frater Malichi tunc non pauca castella occupauerat, & inter cætera Masadam longè munitissimum. Vt igitur conualuit Herodes cōtra hunc profectus, receptis omnibus castellis pactum incolumitatem dimisit. C

Cap. XXI.

Antigonum Aristobuli filium auxilio Tyriorum tyranni paternum regnum repetentem Herodes profligatum è Iudæa pellit.

Aristobuli autem filium Antigonum, qui conciliato sibi pecuniis Fabio exercitum cōparauerat, Ptolemæus Mēnæus adoptat propter affinitatē. hunc etiā Marion adiuuabat, a- D pud Tyrios ope Cassij tyrannidem adeptus, per Syriam quoque tyrannidem exercens, dispositis in ea præsidiis, atque etiam in Galilæa contermina occupatis tribus arcibus. Sed has omnes Herodes illò profectus recepit, & præsidiarios Tyrios clementer dimisit: donatis ex his nonnullis propter beneuolentiam qua ciuitatem eorum prosequebatur. His peractis occurrit Antigono, eúmque prælio superat, & vix extremos Iudææ fines ingressum inde profli- E gat. Quamobrem reuertentem Hierosolyma coronis tam Hyrcanus honorauit quàm populus. Iam enim gener per sponsionem ascitus erat in Hyrcani familiam, quo libentiùs eius tutelam suscepit, ducturus Alexandri Aristobulo geniti filiam, Hyrcani verò ex filia neptem, ex qua postea pater factus est filiorum trium, & duarum filiarum. Duxerat autem etiam antè vxorem è suis popularibus Dorem nomine, ex qua suscepit Antipatrum filiorum F natu maximum.

Cap. XXII.

Herodes in Bithynia occurrens Antonio, pecuniis eum sibi conciliat: quo factum est vt ille accusatores eius non admiserit.

Cæterùm Cassio apud Philippos ab Anto- G nio & Cæsare deuicto, Cæsar inde in Gallias, Antonius in Asiam proficiscitur. qui vbi peruenit in Bithyniam, omnium gentium legationes habuit obuiam. Aderant & Iudęorum primates, Phasaëlum & Herodem accusaturi: quasi in speciem solùm regnaret Hyrcanus, re autem vera tota potestas esset pænes hos fratres. Herodem verò Antonius in magno

honore habuit, qui ad obiecta diluenda venerat: quo factum est vt ne ad colloquium quidē aduersarios eius admiserit. id enim data pecunia Herodes impetrauerat. Progresso autem Ephesum præstò fuit legatio missa Hyrcani pontificis & gentis nostræ publico nomine, afferens coronam auream, & rogans vt quos Iudæos Cassius præter ius belli captiuos abduxerat, scriptis per prouincias literis in libertatē vindicaret: & agros per Cassium ademptos gēti restitueret. Quorum postulata Antonius ęqua existimans, confestim scripsit Hyrcano & Iudæis, simúlque ad Tyrios misit decretum hanc sentiam continens. M. Antonius Imper. Hyrcano pōtifici ac ethnarchæ Iudæorum salutem. Si valetis bene est, ego & exercitus valemus. Lysimachus Pausaniæ, Iosephus Mennæi, Alexander Theodori, legati apud Ephesum me conuenientes, eandem quam priùs Romæ legationem mihi exposuerunt, & noua hac tuo ac gentis nomine diligenter perfuncti sunt, declarantes quanta nos prosequaris beneuolentia. quare cognitam non tam ex verbis quàm ex operibus vestram amicitiam, & mores cōpositos ac pios non complecti non possum. Ergo quoniam totam Asiam aduersarij nostri ac pop. Rom. incursauerunt, nec sacratis locis nec ciuitatibus parcentes, neque iusiurandum præstitum seruantes: non tam priuatum nostrū negotium agentes, quàm suspecta defensione reipublicę in diuini simul ac humani iuris violatores vindicauimus. Eorum enim facinus sol ipse auersatus videtur, & inuitis oculis spectasse perpetratum scelus in Cæsarem. Sed postquam impios eorum conatus excepit Macedonia, renouantes in eis locis priscam gigantum audaciam, & agitatam furoribus maleficentiam quam circa Philippos exercuerunt, occupatis oportunis locis & vsque ad mare montium vallo permunitis, vt per vnicam ceu portam pateret aditus, diis ipsis eorum iniusta molimina damnantibus vicimus. & Brutus compulsus intra mœnia Philippensium, obsessúsque à nobis, addidit se Cassio socium exitij. qui postquam meritas pœnas dederunt, pace nos in posterum fruituros speramus, & Asiā conquieturam à bellorum tumultibus. Iam enim nostra opera vniuersum Asiæ corpus velut è graui morbo colligere se incipit. Cùm igitur etiam de te cum tua gente agendo ornādoque cogitem; curæ mihi erit quicquid in rē vestram fuerit. edictum etiam oppidatim proposuit, vt quotquot vel liberi vel serui sub hasta à C. Cassio Cassianísve venundati sunt, liberè dimittantur. Volóque vt quæ mea & Dolabellæ benignitate vobis concessa sunt, ea perpetuò rata sint. Tyrios quoque iubeo vt iniuriam à vobis abstineant, & quicquid de Iudæorum finibus occupant, id totum restituant. Coronam autem quam misisti accepimus. Marcus Antonius Imperator Tyriorum magistratibus s. p. q. Sal. Renunciatum est mihi Ephesi ab Hyrcani pontificis

εἶχε τιμῆς, ἐλθόντα πρὸς αὐτὸν ἐπ' ἀπολογίᾳ τῶν κατηγορούντων, καὶ διὰ τοῦτο συνέβη μηδὲ λόγου τυχεῖν τοὺς ἀντιστασιώτας. διεπέπρακτο δὲ τοῦτο χρήμασιν Ἡρώδης παρ' Ἀντωνίου. ἐπεὶ δ' εἰς Ἔφεσον ἧκεν Ἀντώνιος, ἔπεμψεν Ὑρκανὸς ὁ ἀρχιερεὺς καὶ τὸ ἔθνος τὸ ἡμέτερον πρεσβείαν πρὸς αὐτόν, στέφανόν τε κομίζουσαν χρυσοῦν, καὶ παρακαλοῦσαν τοὺς αἰχμαλωτισθέντας ὑπὸ Κασσίου Ἰουδαίους οὐ νόμῳ πολέμου, γράψαντα τοῖς κατὰ τὰς ἐπαρχίας ἐλευθέρους ἀπολῦσαι, καὶ τὴν χώραν ἣν ἐν τοῖς Κασσίου καιροῖς ἀφῃρέθησαν, ἀποδοῦναι. ταῦτα κρίνας Ἀντώνιος δίκαια τοὺς Ἰουδαίους ἀξιοῦν, παραχρῆμα ἔγραψεν Ὑρκανῷ καὶ τοῖς Ἰουδαίοις, ἐπέστειλε δὲ ἅμα καὶ Τυρίοις, διάταγμα περιέχον ταῦτα. Μάρκος Ἀντώνιος αὐτοκράτωρ, Ὑρκανῷ ἀρχιερεῖ καὶ ἐθνάρχῃ τῶν Ἰουδαίων χαίρειν. εἰ ἔρρωσθε, εὖ ἂν ἔχοι. ἔρρωμαι δὲ καὶ αὐτὸς μετὰ τοῦ στρατεύματος. Λυσίμαχος Παυσανίου, καὶ Ἰώσηππος Μνηναίου, καὶ Ἀλέξανδρος Θεοδώρου πρέσβεις ἐν Ἐφέσῳ μοι συντυχόντες, τήν τε ἔμπροσθεν ἐν Ῥώμῃ τελεσθεῖσαν αὐτοῖς πρεσβείαν ἀνανεώσαντο, καὶ τὴν νῦν ὑπὲρ σοῦ καὶ τοῦ ἔθνους σπουδαίως διέθεντο, ἣν ἔχεις εὔνοιαν πρὸς ἡμᾶς ἐμφανίσαντες. πεπεισμένος οὖν καὶ ἐκ τῶν πραγμάτων, καὶ ἐκ τῶν λόγων ὅτι οἰκειότατα ἔχετε πρὸς ἡμᾶς, καὶ τὸ ἀραρὸς ὑμῶν ἦθος καὶ τὸ θεοσεβὲς κατανοήσας, ἴδιον ἡγήσομαι. καταδραμόντων δὲ τὴν Ἀσίαν ἅπασαν τῶν ἐναντιωθέντων ἡμῖν τε καὶ τῷ δήμῳ τῷ Ῥωμαίων, καὶ μήτε πόλεων μήτε ἱερῶν ἀποσχομένων, μήτε ὅρκους οὓς ἐποιήσαντο φυλαξάντων, ἡμεῖς, ὡς οὐχ ὑπὲρ ἰδίου μόνον ἀγῶνος, ἀλλ' ὑπὲρ ἁπάντων κοινοῦ, τοὺς αἰτίους καὶ τῶν εἰς ἀνθρώπους παρανομιῶν, καὶ τῶν εἰς θεοὺς ἀνομημάτων, ἠμυνάμεθα. δι' ἃ καὶ τὸν ἥλιον ἀποστραφῆναι δοκοῦμεν, ὃς καὶ αὐτὸς ἀηδῶς ἐπεῖδε τὸ ἐπὶ Καίσαρι μῦσος. ἀλλὰ τὰς ἐπιβουλὰς αὐτῶν τὰς θεομάχους, ἃς ὑπεδέξατο ἡ Μακεδονία, καθάπερ ἴδιος αὐτοῖς τῶν ἀνοσίων τολμημάτων ἀήρ, καὶ τὴν σύγχυσιν τῆς ἡμιμανοῦς κακοήθως γνώμης, ἣν κατὰ Φιλίππους τῆς Μακεδονίας συνεκρότουν, καὶ τόπους εὐφυεῖς καταλαμβανόμενοι μέχρι θαλάσσης ἀποτετειχισμένους ὄρεσιν, ὡς πύλῃ μιᾷ τὴν πάροδον ταμιεύεσθαι, τῶν θεῶν αὐτοὺς ἐπὶ ἀδίκοις ἐγχειρήμασι κατεψηφισμένων, ἐκρατήσαμεν. καὶ Βροῦτος συμφυγὼν εἰς Φιλίππους, καὶ συγκλεισθεὶς ὑφ' ἡμῶν, ἐκοινώνησε Κασσίῳ τῆς αὐτῆς ἀπωλείας. τούτων κεκολασμένων, εἰρήνης τὸ λοιπὸν ἀπολαύειν νομίζομεν, καὶ ἀναπαῦσαι τὴν Ἀσίαν ἐκ τοῦ πολέμου. κοινὴν οὖν ποιούμεθα καὶ τοῖς συμμάχοις τὴν ὑπὸ θεοῦ δοθεῖσαν ἡμῖν εἰρήνην. ὥσπερ οὖν ἐκ νόσου μεγάλης τὸ τῆς Ἀσίας σῶμα νῦν διὰ τὴν ἡμετέραν νίκην ἀναφέρεται. ἔχων τοίνυν καὶ σὲ διὰ μνήμης καὶ τὸ ἔθνος αὔξειν, φροντίσω τῶν ὑμῖν συμφερόντων. ἐξέθηκα δὲ καὶ γράμματα κατὰ πόλεις, ὅπως εἴ τινες ἐλεύθεροι ἢ δοῦλοι ὑπὸ δόρυ ἐπράθησαν ὑπὸ Γαΐου Κασσίου ἢ τῶν ὑπ' αὐτῷ τεταγμένων, ἀπολυθῶσιν οὗτοι, τοῖς τε ὑπ' ἐμοῦ δοθεῖσι καὶ Δολοβέλλα φιλανθρώπως χρῆσθαι ὑμᾶς βούλομαι. Τυρίους τε κωλύω βιαίους εἶναι περὶ ὑμᾶς, καὶ ὅσα κατέχουσιν Ἰουδαίων, ταῦτα ἀποκαταστῆσαι κελεύω, τὸν δὲ στέφανον ὃν ἔπεμψας ἐδεξάμην. Μάρκος Ἀντώνιος αὐτοκράτωρ, Τυρίων ἄρχουσι, βουλῇ, δήμῳ, χαίρειν. ἐμφανισάντων μοι ἐν Ἐφέσῳ, Ὑρκανοῦ τοῦ ἀρχιερέως καὶ ἐθνάρ-

ἐθνάρχου πρεσβευτῶν χώραν αὐτῶν ὑμᾶς κατέχειν λεγόντων, εἰς ἣν ἐνέβητε, κατὰ τῶν ἐναντιουμένων ἡμῖν ἐπικράτειαν, ἐπεὶ τὸν περὶ τῆς ἡγεμονίας πόλεμον ἀνεδεξάμεθα, καὶ τῶν εὐσεβῶν καὶ δικαίων ποιούμενοι πρόνοιαν ἠμυνάμεθα τοὺς μήτε χάριτος ἀπομνημονεύσαντας, μήτε ὅρκοις φυλάξαντας, βούλομαι καὶ τὴν ἀφ' ὑμῶν εἰρήνην τοῖς συμμάχοις ἡμῶν ὑπάρχειν. καὶ ὅσα παρὰ τῶν ἡμετέρων ἐλάβετε ἀνταγωνιστῶν, μὴ συγχωρεῖν, ἀλλὰ ταῦτ' ἀποδοῦναι τοῖς ἀφῃρημένοις. οὔτε γὰρ ἐπαρχίας ἐκείνων οὐθεὶς οὔτε στρατόπεδα τῆς συγκλήτου δούσης ἔλαβεν, ἀλλὰ βίᾳ καθαρπάσαντες, ἐχαρίσαντο βιαίως τοῖς περὶ ἃ ἠδίκουν χρησίμοις αὐτοῖς γενομένοις. δίκην αὐτῶν οὖν δεδωκότων τοὺς τε συμμάχους τοὺς ἡμετέρους ὅσα ποτ' εἶχον ἀξιοῦμεν ἀκωλύτως διακατέχειν, καὶ ὑμᾶς εἴ τινα χωρία ὑρκανοῦ ὄντα τοῦ ἐθνάρχου ἰουδαίων, πρὸ μιᾶς ἡμέρας ἢ γάϊον κάσσιον πόλεμον οὐ συγκεχωρημένον ἐπάγοντα, ἐπιβῆναι τῆς ἐπαρχίας ἡμῶν, νῦν ἔχετε, ἀποδοῦναι αὐτῷ, βίαν τε αὐτοῖς μηδεμίαν προσφέρειν ἐπὶ τῷ ἀσθενεῖς αὐτοὺς ποιεῖν τῶν ἰδίων διασώζειν. εἰ δέ τινα ἔχετε πρὸς αὐτὸν δικαιολογίαν, ὅταν ἔλθωμεν ἐπὶ τοὺς τόπους, ἐξέσται ὑμῖν ταύτῃ χρῆσθαι, ἡμῶν ἕκαστα τοῖς συμμάχοις ὁμοίως τοῖς κρίμασι φυλασσόντων. Μάρκος ἀντώνιος αὐτοκράτωρ τυρίων ἄρχουσι βουλῇ δήμῳ χαίρειν. διάταγμα ἐμὸν ἀπέσταλκα πρὸς ὑμᾶς. περὶ οὗ βούλομαι ὑμᾶς φροντίσαι, ἵν' αὐτὸ εἰς τὰς δημοσίους ἐντάξητε δέλτους, γράμμασι ῥωμαϊκοῖς καὶ ἑλληνικοῖς, καὶ ἐν τῷ ἐπιφανεστάτῳ ἔχητε αὐτὸ γεγραμμένον, ὅπως ὑπὸ πάντων ἀναγινώσκεσθαι δυνήσεται. Μάρκος ἀντώνιος αὐτοκράτωρ, τυρίων ἀνδρῶν καταστάντων περὶ τῶν δημοσίων πραγμάτων εἶπεν. ἐπεὶ γάϊος κάσσιος, ταύτῃ τῇ ἀποστάσει ἀλλοτρίαν ἐπαρχίαν κατεχομένην ὑπὸ στρατοπέδων καὶ συμμάχους ὄντας διήρπασε, καὶ ἐξεπολιόρκησε τὸ ἰουδαίων ἔθνος, φίλον ὑπάρχον τοῦ ῥωμαίων δήμου, τὴν ἀπόνοιαν τὴν ἐκείνου τοῖς ὅπλοις κρατήσαντες, διατάγμασι καὶ κρίμασιν ἐπανορθούμεθα τὰ ὑπ' αὐτοῦ διηρπασμένα, ὥστε ἀποκατασταθῆναι ταῦτα τοῖς συμμάχοις ἡμῶν. καὶ ὅσα ἐπράθη ἰουδαίων, ἤτοι σώματα ἢ κτήσεις, ταῦτα ἀφεθήτω, τὰ μὲν σώματα ἐλεύθερα, ὡς ἦν ἀπ' ἀρχῆς, ἡ δὲ κτῆσις, τοῖς προτέροις κυρίοις. τὸν δ' οὐχ ὑπακούσαντα τῷ ἐμῷ διατάγματι, δίκην συστήσασθαι βούλομαι. κἂν ἁλῷ, τότε κατὰ τὴν τοῦ πράγματος ἀξίαν μελήσει μοι ὑπεξελθεῖν τὸν οὐχ ὑπακούσαντα. τὸ δ' αὐτὸ τοῦτο καὶ σιδωνίοις καὶ ἀντιοχεῦσι καὶ ἀραδίοις ἔγραψε. παρεθέμεθα οὖν καὶ ταῦτα εὐκαίρως, τεκμήρια γενησόμενα ἧς φαμὲν ῥωμαίους ποιήσασθαι προνοίας ὑπὲρ τοῦ ἡμετέρου ἔθνους.

Κεφάλαιον κγ'.

Πῶς ἀντώνιος εἰς συρίαν παραγενόμενος ἡρώδην καὶ φασάηλον τετράρχας κατέστησεν.

Μετὰ δὲ ταῦτα εἰς συρίαν ἀντωνίου παραγενομένου, κλεοπάτρα περὶ κιλικίαν ἐντυχοῦσα, δι' ἔρωτος αὐτὸν ἐνεχείρετο. καὶ δὴ πάλιν ἰουδαίων ἑκατὸν οἱ δυνατώτατοι, παραγίνονται πρὸς αὐτὸν κατηγοροῦντες ἡρώδου, καὶ τῶν περὶ αὐτόν, προστησάμενοι σφῶν αὐτῶν τοὺς δεινοτάτους λέγειν. ἀντέλεγε δ' αὐτοῖς μεσσάλας ὑπὲρ τῶν νεανίσκων, παρόντος καὶ ὑρκανοῦ.

Renunciatum est mihi Ephesi ab Hyrcani pontificis ac ethnarchæ legatis, agros ipsorum ditionis vos occupasse, idque factum quo tempore nostri aduersarij tenuerunt eam prouinciam. Quoniam igitur pro imperio bello suscepto, iustitiæ pietatique prospicientes vindicauimus in ingratos ac perfidos, volo etiā vobis pacem esse cum nostris sociis; & quicquid ab aduersariis nostris accepistis, habere vos non permittimus, sed iubemus vos prioribus dominis reddere. nemo enim eorum neque prouinciam a Senatu accepit, neque exercitum, sed quæ per vim corripuerunt, largiti sunt ministris suæ violentiæ, quando igitur illi meritas pœnas dederunt, æquum censemus vt socij nostri ea quæ antè habuerunt, nemine vetante, retineant: vósque si quos Hyrcani Iudæorum ethnarchæ agros, postquam C. Cassius bellum illicitum in nostra prouincia mouit, occupastis, eos reddatis: néve vllam vim interponatis quo minus ad pristinos dominos redeant, quòd si aliquid iuris in eos prætenditis, quàm primùm ad ea loca venero, integrum vobis erit ius vestrum repetere, id quod etiam sociis nostris peræquè integrum seruabimus. M. Antonius imperator Tyriorum magistratibus s. p. q. Salutem. Edictum meum ad vos misi, quod volo curetis referri in publicas tabulas literis Græcis & Latinis: & in loco aliquo conspicuo proponi, vt legi possit ab omnibus. M. Antonius Imper. ac triumuir dixit: Quoniam C. Cassius hoc perturbato rerum statu alienam prouinciam & militem præsidiarium inuasit, & sociorum nostrorum facultates diripuit, & vastauit Iudæorum gentem amicam populo Rom. insolentia eius armis nostris perdomita, iudiciis atque edictis quæ ille perpetrauit corrigimus, vt ablata restituantur nostris sociis. & siue corpora Iudæorum siue bona diuendita sint, illa in libertatem hæc ad pristinos reuertētur dominos. qui verò contra edictum hoc nostrum fecerit, pœnas daturus est: & qui inobedientiæ conuicti fuerint, in eos pro rei dignitate animaduertere curabimus. Eodem ferè exemplo Sidoniis, Antiochensibus & Aradiis scripsit: visúmque est hoc loco etiam hæc inserere, argumento futura quanta prouidentia nos dignatus sit Romanus populus.

Cap. XXIII.

Antonius in Syriam prouinciam veniens Herodem cum Phasaelo tetrarchas constituit.

XXI.

Post hæc autem in Syriam aduentante Antonio, Cleopatra in Cilicia facta illi obuiā, amoribus suis eum implicuit: quo tempore rursum centum è Iudæorum gente potentissimi venerunt ad eum vt accusarent Herodem vnà cū suis, electo ad hoc eloquētissimo quoq; è suo numero. Iuuenē autē causā defendendam Messala suscepit, assistente sibi etiam Hyrcano,

qui iam ſocer factus fuerat. Antonius verò audita vtraque parte apud Daphnen, ſciſcitatus eſt ex Hyrcano, vtra pars melius adminiſtraret rempublicam. Qui cùm reſpondiſſet Herodem in hoc præſtantiorem eſſe, Antonius qui iam antè familiariter diligebat iuuenes propter paternum hoſpitium, quo tempore cum Gabinio agens patris eorum contraxerat amicitiam, hos ambos tetrarchas conſtituit, & Iudæorum eis committit gubernacula. Literas quoq; in hoc ſcripſit, & ex eorum aduerſariis xv. coniecit in vincula, occiſurus etiam niſi interceſſiſſet Herodis deprecatio: quamuis ne ſic quidem ceſſarunt à legatione reuerſi. Sed rurſum mille venerunt Tyrium, Antonium ibi præſtolaturi, qui magna pecunia iam corruptus à fratribus, imperauit eius loci magiſtratui, vt in Iudæorum legatos nouatores rerũ animaduerteret: & Herodi adiutor eſſet ad principatũ parandum. Herodes verò ante vrbem diuerſãtes in littore accedens, hortatus eſt eos vt ſe ſubducerent: nam & Hyrcanus cum eis aderat: admonens quantum inſtaret periculum ſi cõtendere pergerent: quod illi contempſerunt. móxque erumpentes in eos Iudæi cum indigenis, partim trucidauerunt eos, partim ſauciauerunt: reliqui verò domum refugientes poſthac quieuerunt. Populo verò clamoribus agente contra Herodem, commotus ad iram Antonius iuſſit quos vinxerat interfici. Altero deinde anno Syriam occupauerunt Pacorus regis filius & Barzapharnes Parthorum ſatrapa: quo tempore Ptolemæus Mennæi defunctus eſt. cuius in principatu ſucceſſor filius Lyſanias amicus factus eſt Antigono Ariſtobuli filio, conciliante ſatrapa qui multũ apud eum poterat.

Cap. XXIV.

Parthi Antigonum Ariſtobuli filium in regnum reducunt.

XXII. Antigonus deinde mille talenta & quingentas mulieres daturum ſe Parthis eſt pollicitus, ſi ab Hyrcano in illum regnum transferrent, & Herodem vnà cum ſuis interficerent. quæ tamen non dedit, ſed Parthi nihilominus aſſerturi regnum Antigono, duxerunt verſus Iudæam exercitum, Pacorus per maritima, ſatrapa per mediterranea. Pacorum excluſerunt Tyrij, ſed Sidonij ac Ptolemaidenſes intromiſerunt. Ille alam equitum in Iudæam ſpeculatum præmiſit, iuſſam etiam adiutare Antigonum. eos ducebat pincerna regius, & ipſe Pacorus nomine. Adiungentibus autem ſe Antigono Iudæis Carmelum montem incolentibus, & paratis cum eo in hoſticum inuadere, ille ſpem concepit poſſe ſe horum opera partem quandam regionis in poteſtatem redigere, quæ Drymœ vocabatur: & quibuſdam eis occurrentibus peruaſerunt vſque Hieroſolyma. Vbi adiungentibus ſe aliis iam multum aucti numero, aggreſſi ſunt oppugnare regiam. móxque ferentibus opem his qui fratrum partes ſequebantur, & pugna in foro conſerta, repulerunt hoſtem iuuenes: eóq; in templo cõpulſo,

A ὃς κηδεστὴς ἐτύγχανεν ἤδη γενόμενος. ἀκροασάμενος δὲ ἀμφοτέρων Ἀντώνιος ἐπὶ Δάφνης, πυνθάνεται Ὑρκανοῦ, πότεροι τοῦ ἔθνους ἄμεινον προΐστανται. φήσαντος δὲ τοὺς περὶ Ἡρώδην, Ἀντώνιος καὶ πάλαι οἰκείως ἔχων πρὸς αὐτοὺς, διὰ τὴν πατρῴαν ξενίαν, ἣν ἡνίκα σὺν Γαβινίῳ παρὼν ἐπεποίητο πρὸς τὸν πατέρα αὐτῶν, τούτους μὲν ἀμφοτέρους, τετράρχας καθίστησι, καὶ τῶν Ἰουδαίων αὐτοῖς ἐπιτρέπει πράγματα. γράφει δὲ καὶ γράμματα, καὶ ιεʹ τῶν ἀντιστασιαστῶν ἔδησε. μέλλον-B τος δὲ καὶ κτείνειν αὐτοὺς, παρῃτήσαντο οἱ περὶ Ἡρώδην. ἠρέμουν δὲ οὐδ᾽ οὕτως ἐπανελθόντες ἐκ τῆς πρεσβείας, ἀλλ᾽ ἀπήντων πάλιν Ἀντωνίῳ χίλιοι εἰς Τύρον, ἐκεῖ δόξαντι ἀφικέσθαι. καὶ ὁ Ἀντώνιος πολλοῖς διεφθαρμένος ἤδη χρήμασι, ὑπό τε Ἡρώδου καὶ τοῦ ἀδελφοῦ αὐτοῦ, τῷ κατὰ τόπον ἄρχοντι προσέταξε κολάσαι τοὺς πρεσβευτὰς τῶν Ἰουδαίων, νεωτέρων ἐπιθυμοῦντας πραγμάτων, καὶ τοῖς περὶ Ἡρώδην C συγκαθιστάναι τὴν ἀρχήν. ταχὺ δὲ Ἡρώδης, ἵδρυντο γὰρ ἐπὶ τῆς ψάμμου πρὸ τῆς πόλεως, προϊὼν ἀπιέναι παρεκελεύετο, συνὼν δὲ αὐτοῖς καὶ Ὑρκανὸς, ὡς μεγάλου κακοῦ, εἰ προέλθοιεν εἰς φιλονεικίαν ἐσομένου. καὶ οἱ μὲν οὐκ ἐπείθοντο. παραχρῆμα δὲ ἐκδραμόντες Ἰουδαῖοι σὺν ἐγχωρίοις, τοὺς μὲν αὐτῶν ἀπέκτειναν. πλείους δὲ κατέτρωσαν. οἱ δὲ λοιποὶ διαφυγόντες ἐποίκου περιδεεῖς ἡσύχαζον. τοῦ δὲ δήμου καταβοῶν-D τος Ἡρώδου, παροξυνθεὶς Ἀντώνιος τοὺς δεδεμένους ἀπέκτεινε. δευτέρῳ δὲ ἔτει Συρίαν κατέσχον, Πάκορός τε ὁ βασιλέως παῖς, καὶ Βαρζαφάρνης σατράπης ὢν Πάρθων. τελευτᾷ δὲ καὶ Πτολεμαῖος ὁ Μενναίου, καὶ τὴν ἀρχὴν αὐτοῦ ὁ παῖς Λυσανίας παραλαβὼν, διαπράττεται φιλίαν πρὸς Ἀντίγονον τὸν Ἀριστοβούλου, πρὸς τοῦτο χρήσιμον τὸν σατράπην παραλαβὼν, μέγα παρ᾽ αὐτῷ δυνάμενον.

Κεφάλαιον κδʹ.

E *Στρατεία Πάρθων εἰς Συρίαν, καθ᾽ ἣν τὸν Ἀριστοβούλου υἱὸν Ἀντίγονον εἰς τὴν βασιλείαν κατήγαγον.*

Ἀντίγονος δὲ ὑπισχνεῖται χίλια τάλαντα καὶ πεντακοσίας γυναῖκας δώσειν Πάρθοις, εἰ τὴν ἀρχὴν Ὑρκανὸν ἀφελόμενοι παραδώσουσιν αὐτῷ, καὶ τοὺς περὶ τὸν Ἡρώδην ἀνέλοιεν. οὐ μὴν ἔδωκεν, ἀλλ᾽ οἱ μὲν Πάρθοι, διὰ τοῦτο ἐπὶ τὴν Ἰουδαίαν ἐστράτευσαν, κατάγοντες Ἀντίγονον. Πάκορος μὲν διὰ τῆς πα-F ραθαλαττίου, ὁ δὲ σατράπης διὰ τῆς μεσογείου. Τύριοι μὲν οὖν ἀποκλείουσι Πάκορον, Σιδώνιοι δὲ καὶ Πτολεμαεῖς, ἐδέξαντο. ἴλην μέντοι Πάκορος ἱππέων εἰς τὴν Ἰουδαίαν ἐξέπεμψε, κατασκεψομένην τε τὰ κατὰ τὴν χώραν, καὶ Ἀντιγόνῳ συμπράξουσαν, ἡγεμόνα τε ὁμώνυμον τοῦ βασιλέως οἰνοχόον. ἐκ δὲ τῶν περὶ Κάρμηλον τὸ ὄρος Ἰουδαίων πρὸς Ἀντίγονον ἐλθόντων, καὶ συνεισβαλεῖν ἑτοίμως ἐχόντων, προσεδόκα G διὰ τῆς χώρας μέρος τι λαβεῖν ὁ Ἀντίγονος, Δρυμοὶ δὲ τὸ χωρίον καλεῖται. καί τινων ὑπαντιασάντων αὐτοῖς, διεκπίπτουσιν εἰς Ἱεροσόλυμα οἱ ἄνθρωποι. προσγενομένων δέ τινων, πολλοὶ συστραφέντες, ἐπὶ τὰ βασίλεια ἧκον, καὶ ταῦτα ἐπολιόρκουν. προσβοηθούντων δὲ τῶν περὶ Φασάηλον καὶ Ἡρώδην, καὶ μάχης γενομένης κατὰ τὴν ἀγορὰν, νικῶσιν οἱ νεανίσκοι τοὺς πολεμίους. καὶ συνδιώξαντες εἰς τὸ ἱερὸν, πέμπου-

πέμπουσιν ὁπλίτας τινὰς εἰς τὰς πλησίον οἰκίας, φρουρήσοντας αὐτάς, οὓς ἐπαναστὰς ὁ δῆμος συμμάχων ὄντας ἐρήμους, σὺν αὐτοῖς οἴκοις κατέπρησεν. ὑπὲρ μὲν οὖν τῆς ἀδικίας ταύτης ἡρώδης, μετ' ὀλίγον τιμωρίαν παρὰ τῶν ἀντιστασιωτῶν λαμβάνει, συμβαλὼν αὐτοῖς εἰς μάχην, καὶ πολλοὺς αὐτῶν ἀποκτείνας. γινομένων δὲ ὁσημέραι ἀκροβολισμῶν αὐτοῖς, ἀνέμενον οἱ πολέμιοι τὸν ἐκ τῆς χώρας ὄχλον εἰς τὴν καλουμένην πεντηκοστήν, ἑορτὴ δ' ἐστὶν αὕτη, μέλλοντα ἥξειν. τῆς δ' ἡμέρας ἐνστάσης πολλαὶ περὶ τὸ ἱερὸν ἀθροίζονται μυριάδες ἀνθρώπων, ὡπλισμένων τε καὶ ἀνόπλων. κατεῖχον δὲ τὸ ἱερὸν καὶ τὴν πόλιν οἱ παρόντες, πλὴν τῶν περὶ τὰ βασίλεια. ταῦτα γὰρ σὺν ὀλίγοις στρατιώταις οἱ περὶ ἡρώδην ἐφρούρουν. φασάηλος μὲν οὖν τὸ τεῖχος ἐφύλασσεν. ἡρώδης δὲ λόχον ἔχων, ἐπέξεισι τοῖς πολεμίοις κατὰ τὸ προάστειον. καὶ καρτερᾶς μάχης πολλὰς τῶν μυριάδας τρέπει, τῶν μὲν εἰς τὴν πόλιν φευγόντων, τῶν δὲ εἰς τὸ ἱερόν, ἔστι δ' ὧν εἰς τὸ ἔξω χαράκωμα. ἦν γάρ τι αὐτόθι, παρεβοήθει δὲ καὶ φασάηλος. πάκορος δὲ ὁ πάρθων στρατηγὸς σὺν ἱππεῦσιν ὀλίγοις ἀντιγόνου δεηθέντος εἰς τὴν πόλιν ἔρχεται, λόγῳ μὲν ὡς καταπαύσων τὴν στάσιν, τὸ δ' ἀληθὲς συμπράξων ἐκείνῳ τὴν ἀρχήν. φασαήλου δ' ὑπαντήσαντος καὶ δεξαμένου ξενίᾳ, πάκορος πείθει πρεσβεύσασθαι παρὰ βαρζαφάρνην αὐτόν, δόλον τινὰ τούτων συνθείς. καὶ φασάηλος οὐδὲν ὑποπτευόμενος πείθεται, μὴ ἐπαινοῦντος ἡρώδου τοῖς πραττομένοις, διὰ τὸ τῶν βαρβάρων ἄπιστον, ἀλλὰ καὶ πακόρῳ καὶ τοῖς ἥκουσιν ἐπιτίθεσθαι κελεύοντος. ᾤχοντο μὲν πρεσβεύοντες, ὑρκανός τε καὶ φασάηλος. πάκορος δὲ καταλιπὼν ἡρώδῃ διακοσίους ἱππεῖς καὶ δέκα τῶν ἐλευθέρων λεγομένων, προύπεμψεν αὐτούς. γενομένοις δ' ἐν τῇ γαλιλαίᾳ, μεθ' ὅπλων ὑπαντῶσιν οἱ ταύτῃ τῶν πόλεων ἐφεστῶτες. καὶ βαρζαφάρνης τὸ μὲν πρῶτον αὐτοὺς ὑποδέχεται προθύμως καὶ δῶρα δίδωσιν, εἶτα ἐπιβουλεύει. πλησίον δὲ μεθ' ἱππέων ὑπὲρ θαλάττης οἱ περὶ φασάηλον κατάγονται. κἀνταῦθα ἀκούσαντες, ὡς ἀντίγονος ὑπόσχοιτο χίλια τάλαντα καὶ γυναῖκας φ' τοῖς πάρθοις κατ' αὐτῶν, δι' ὑποψίας εἶχον ἤδη τοὺς βαρβάρους. οὐ μὴν ἀλλὰ καὶ νύκτωρ ἐπιβουλευομένοις αὐτοῖς ἀπήγγελλέ τις, φυλακῆς αὐτοῖς ἐκ τοῦ ἀφανοῦς περιϊσταμένης. καὶ συνελήφθησαν ἂν εἰ μὴ περιέμενον ἕως ἂν οἱ περὶ ἱεροσόλυμα πάρθοι ἡρώδην συλλάβοιεν, μὴ προανῃρημένων τούτων ἐκεῖνος αἰσθόμενος διαφύγῃ. καὶ ταῦτα οὕτως εἶχε, καὶ οἱ φύλακες αὐτῶν ἑωρῶντο. φασαήλῳ μὲν οὖν παρῄνουν τινὲς εὐθὺς ἀφιππάσασθαι καὶ μὴ περιμένειν. μάλιστα μέντοι πρὸς ταῦτα αὐτὸν ὀφέλλιος ἐνῆγεν, ὃς ἀκηκόει παρὰ σαραμάλλα τοῦ πλουσιωτάτου τῶν ἐν συρίᾳ τότε, καὶ πλοῖα πρὸς τὴν φυγὴν ὑπισχνεῖτο. ἐγγὺς γὰρ ἦν ἡ θάλασσα. ὁ δὲ ὑρκανὸν ἀπολιπεῖν οὐκ ἠξίου, οὐδὲ παρακινδυνεύειν τῷ ἀδελφῷ. προσελθὼν δὲ πρὸς τὸν βαρζαφάρνην, οὐ δίκαια ποιεῖν αὐτὸν ἔλεγε, τοιαῦτα βουλευόμενον περὶ αὐτῶν. χρημάτων τε γὰρ δεομένῳ, πλείονα ἔσεσθαι παρ' αὐτοῦ ὧν ἀντίγονος δίδωσι. καὶ ἄλλως, δεινὸν εἶναι πρὸς αὐτὸν ἐπὶ πίστει συνελθόντας πρεσβευτὰς ἀποκτεῖναι μηδὲν ἀδικοῦντας. ὁ δὲ βάρβαρος ταῦτα λέγοντος, ὤμνυε μηδὲν ἀληθὲς εἶναι τῶν ὑπονοουμένων, ἀλλὰ ψευδέσιν αὐτὸν ὑποψίας ταράξαι, ἄπεισί τε πρὸς τὸν πάκορον.

A miserunt armatos quosdam in propinquas ædes vt eis essent præsidio. in quos coortus populus, destitutos auxilio cum ipsis concremauit ædibus: quam iniuriam populo pòst Herodes vltus est, aduersarios adortus prælio, & multis interfectis ex illorum numero. Cúmque quotidianæ velitationes inter eos fierent, hostes expectabant conuenturas è tota regione turbas ad Pentecosten, quam vocant, festiuitatem. Quæ dies postquam illuxit, multa homi- B num millia circa templum congregata sunt, tam armatorum quàm inermium: qui & templum & vrbem occupauerunt, excepta regia. hanc enim Herodes seruabat cũ paucis militibus eius murum Phasaelus custodiebat: Herodes verò cum suorum cohortibus erupit in hostem agentem in suburbio: & egregia pugna edita coegit multa millia terga vertere, fugientia partim in vrbem, partim in templũ, partim etiam intra vallum quoddã in propinquo po- C situm. in ea pugna & Phasaelus adiuuit nonnihil. Pacorus autem Parthorum dux cum paucis equitibus rogante Antigono in vrbem ingressus est, prætextu quidem quasi seditionis compescendæ gratia, sed reuera principatum illi astruere cupiens. quin postquam à Phasaelo occurrente exceptus est hospitio, suasit ei vt legatus iret ad Barzapharnẽ, insidias hoc pacto instruens. ille nihil suspicatus paruit, non probãte hoc factum Herode propter Barbarorũ per- D fidiam, hortantéq; vt potius Pacorum & alios ad se venientes opprimeret. Itaque profecti sũt in eam legationem Hyrcanus atque Phasaelus: & Pacorus relictis apud Herodem ducentis equitibus, ac decem liberis quos vocant, legatos deduxit. Vt verò in Galilæam vẽtum est, armati eis occurrunt qui illis oppidis præerant: & Barzapharnes primùm alacriter eos excipit donátque muneribus: deinde struere insidias incipit. Phasaelus verò cum suo comitatu dedu- E ctus est in propinquum iuxta mare diuersoriũ. Vbi audito quod Antigonus mille talenta & quingentas mulieres Parthis esset pollicitus, suspectos iam habuerunt barbaros. quidam etiam nunciauit, noctu illis parari insidias, & clàm adhiberi custodiam. Et certè cepissent eos, nisi expectassent donec relicti Hierosolymis Parthi Herodem caperent, ne his sublatis ille præsentiens effugeret. id quod verum essẽ mox apparuit, conspectis custodibus. quare nõ F defuerunt qui hortarentur Phasaelum, vt nihil amplius expectans conscẽso equo se inde proriperet, præcipuè Ofilius. qui id secretum cognouerat è Saramalla Syrorum tũc ditissimo, & naues ad fugam offerebat. nam non longè mare aberat. at ille Hyrcanum & fratrem Herodem nolebat in periculo relinquere: sed accedens Barzapharnem negabat eum rectè facere, qui agitaret eiusmodi cõsilia. Si enim pecuniis opus habeat, plures accepturũ à se quàm G ab Antigono: & alioquin turpe esse legatos suam fidem secutos insontes interficere. At barbarus hæc audiens deierebat non esse vera, & inanibus eum turbari suspicionibus: móxque ad Pacorum abiit.

Cap. XXV.

Parthi Hyrcanum & Phasaëlum captiuos adducunt.

QVo profecto statim Parthorum quidam iniecerunt vincula Hyrcano & Phasaëlo, multum detestanti eorum periurium. ad Herodem autem missus eunuchus mandatum habebat, vt productum extra muros comprehenderet. Phasaelus verò miserat nuncios, qui indicarent Parthorum perfidiam: quos quoniá hostes interceperant, Herodes re cognita Pacorum adiit & Parthorum potentissimos, quasi aliorum dominos. qui cùm scirent omnia dolosè dissimulabant: aiebántque oportere eum cum ipsis progressum extra regiam occurrere literarum latoribus: nondum enim eos esse cóprehensos ab aduersariis, sed aduentare significaturos quàm benè Phasaelo successerit. id Herodes nó credidit, vt qui ex aliis de fratre capto audierat. quá eius suspicioné augebat Hyrcani filia, cuius filia ipsi despósa erat: huius monitis, licet aliis contemnentibus libenter parebat, vtpote mulieris cordatissimæ. Interim dum Parthi quid faciendum sit consultant, quòd nó placeret apertè tantum virum aggredi, & rem in sequentem diem differunt, Herodes animaduersa eorum trepidatione, & magis etiam permotus nuncio de intercepto à Parthis fratre, vtcunque negarent alij, appetente vespera decreuit ad fugam vti hac opportunitate temporis, neque diutius inter hostes cunctari in rebꝰ tam dubiis. Assumpto igitur armatorum quos circa se habebat subsidio, & impositis in iuméta mulieribus, matre & sorore, & sponsa sua Alexandri filia nepte Aristobuli, matréque sponsæ Hyrcani filia, & fratre natu minimo, famulitióque ac reliqua turba comitum, properabat versus Idumæam insciis hostibus: ex quibus nemo erat tam ferreus, qui non tali rerum facie commotus fuisset ad misericordiam, fœminis infantulos suos trahentibus, & cum lacrymis ac eiulatu relinquentibus patriam, & vinctos amicos, nec de se meliora sperantibus. Verùm Herodes obdurato contra sæuientem fortunam pectore, & ipse præsenti erat animo, & comites inter eundem singillatim accedens hortabatur ne mœrori succumberent. hunc enim fugæ officere, in qua sola salutis spes sit reposita: quibus verbis accensi conabantur calamitati resistere. interim minimum abfuit quin ipse sibi manꝰ inferret, euerso vehiculo & matre adducta in mortis periculum: adeò & casus hic eum terruit, & metus ne inter has moras superueniret hostis insequens. iámque gladiú strinxerat volens se percutere, cum interuentu proximorum est prohibitus, obtestantium ne suos inimicorum iniuriis relinqueret. neque enim esse viri fortis, se vno in libertatem asserto amicos contemnere. partim igitur vi, partim pudore coactꝰ desistere ab incepto facinore, refota matre & pro tempore adhibitis remediis,

Κεφάλαιον κέ.

Ὡς οἱ πάρθοι ὑρκανὸν καὶ φασάηλον αἰχμαλώτους ἔλαβον.

ΟἹ μὲν οὖν τῶν πάρθων ἐδέσμευον τινὲς ὑρκανὸν καὶ φασάηλον, πολλὰ τῆς ἐπιορκίας κακίζοντας τοὺς πάρθους. ὁ δ' ἐπὶ τὸν ἡρώδην ἀποσταλμένος εὐνοῦχος, ἐντολὰς εἶχε προαγαγὼν αὐτὸν ἔξω τοῦ τείχους συλλαμβάνειν. ἔτυχον δὲ ἄγγελοι παρὰ φασαήλου πεμφθέντες ἐπὶ δηλώσει τῆς πάρθων ἀπιστίας. οὓς τῶν πολεμίων συλλαβόντων, γνοὺς ἡρώδης πρόσεισι πακόρῳ καὶ τῶν πάρθων τοῖς δυνατωτάτοις, ὡς οὖσι τῶν ἄλλων δεσπόταις. οἱ δὲ τὸ πᾶν εἰδότες, ὑπεκρίνοντο δολίως. καὶ δεῖν αὐτὸν ἔφασαν μετὰ σφῶν ἐξελθόντα πρὸ τοῦ τείχους ὑπαντᾶν τοῖς τὰ γράμματα κομίζουσιν. οὐδέπω γὰρ αὐτοὺς εἰλῆφθαι πρὸς τῶν ἀντιστασιωτῶν, ἥκειν δὲ μέντοι δηλοῦντας ὅσα κατώρθωσε φασάηλος. τούτοις ἡρώδης οὐκ ἐπίστευεν. ἠκηκόει γὰρ τὴν σύλληψιν τἀδελφοῦ παρ' ἑτέρων. καὶ παραινούσης δὲ τῆς ὑρκανοῦ θυγατρός, ἧς ἐνεγγύητο τὴν θυγατέρα, ἔτι μᾶλλον ὑπώπτευσε τοὺς πάρθους. οἱ μὲν οὖν ἄλλοι αὐτῇ οὐ προσεῖχον, αὐτὸς δ' ἐπίστευε λίαν ἔμφρονι γυναικί. βουλευομένων δὲ τῶν πάρθων τί χρὴ ποιεῖν. οὐ γὰρ ἤρεσκεν αὐτοῖς ἐκ τοῦ φανεροῦ ἐπιχειρεῖν ἀνδρὶ τηλικούτῳ, καὶ ὑπερθεμένων εἰς τὴν ὑστεραίαν, ἐν τοιαύταις ταραχαῖς ἡρώδης γενόμενος, καὶ μᾶλλον οἷς ἤκουσε περὶ τἀδελφοῦ καὶ τῆς πάρθων ἐπιβουλῆς, ἢ τοῖς ἐναντίοις προσθέμενος, ἑσπέρας ἐπελθούσης ἔγνω ταύτῃ πρὸς φυγὴν χρήσασθαι, καὶ μὴ διαμέλλειν ὡς ἐπ' ἀδήλοις τοῖς περὶ τῶν πολεμίων κινδύνοις. ἄρας οὖν σὺν οἷς εἶχεν ὁπλίταις, καὶ τὰς γυναῖκας τοῖς ὑποζυγίοις ἐπιθέμενος, μητέρα τε αὐτοῦ καὶ ἀδελφὴν, καὶ ἣν ἔμελλεν ἄγεσθαι πρὸς γάμον ἀλεξάνδρου θυγατέρα τοῦ ἀριστοβούλου παιδὸς, τήν τε ταύτης μητέρα, ὑρκανοῦ δ' ἣν θυγάτηρ, καὶ τὸν νεώτατον ἀδελφὸν, τήν τε θεραπείαν, καὶ τὸν ἄλλον ὄχλον τὸν σὺν αὐτοῖς, ἐξῄει τὴν ἐπὶ ἰδουμαίας, λαθὼν τοὺς πολεμίους. ὧν οὐδεὶς ἂν οὕτω στερρὸς τὴν φύσιν εὑρέθη, ὃς τότε παρὼν τοῖς πραττομένοις, οὐκ ἂν ᾤκτειρεν αὐτοὺς τῆς τύχης, γυναικῶν ἐπαγομένων νήπια τέκνα, καὶ μετὰ δακρύων καὶ οἰμωγῆς ἀπολειπουσῶν τὴν πατρίδα, καὶ φίλους ἐν δεσμοῖς, καὶ περὶ αὑτῶν οὐδὲν ἔτι χρηστὸν προσδεχομένων. ἀλλ' ἡρώδης ἐπάνω τῆς ἐκ τοῦ δεινοῦ πληγῆς τὸ φρόνημα ποιησάμενος, αὐτός τε ἦν πρὸς τὸ δεινὸν εὔψυχος, καὶ παριὼν κατὰ τὴν ὁδὸν θαρρεῖν ἕκαστον παρεκελεύετο, καὶ μὴ παρέχειν αὑτὸν ἔκδοτον τῇ λύπῃ. τοῦτο γὰρ αὐτοὺς βλάπτειν πρὸς τὴν φυγήν, ἐν ᾗ τὴν σωτηρίαν αὐτοῖς μόνῃ κεῖσθαι συμβέβηκε. καὶ οἱ μὲν ὡς ἡρώδης παρῄνει, φέρειν τὴν συμφορὰν ἐπειρῶντο. μικροῦ δὲ αὐτὸν διεχρήσατο τοῦ ζεύγους περιτραπέντος, καὶ τῆς μητρὸς αὐτοῦ κινδυνευσάσης ἀποθανεῖν, διά τε τὸ ἐπ' αὐτῇ πάθος, καὶ διὰ τὸ φοβεῖσθαι μὴ καταλάβωσιν αὐτὸν οἱ πολέμιοι διώκοντες, βραδυνούσης περὶ τὸ πρᾶγμα γενομένης. σπασάμενον γοῦν αὐτοῦ τὸ ξίφος καὶ μέλλοντα πλήττειν αὑτόν, κατέσχον οἱ παρόντες, τῷ τε πλήθει κατισχύσαντες, καὶ ὡς οὐκ ἐχρῆν αὐτοὺς ἐγκαταλιπεῖν ἐπὶ τοῖς ἐχθροῖς ἐσομένους λέγοντες. οὐ γὰρ εἶναι γενναίου, τῶν δεινῶν αὐτὸν ἐλευθερώσαντα, τοὺς φίλους ἐν αὐτοῖς ὑπεριδεῖν. βιασθεὶς οὖν ἀποσχέσθαι τοῦ κατ' αὐτὸν τολμήματος, αἰδοῖ τε τῶν λεγομένων, καὶ πλήθει τῶν οὐκ ἐπιτρεπόντων αὐτοῦ τῇ χειρὶ διακονεῖν οἷς ἐνεθυμήθη, ἀνακτησάμενος τὴν μητέρα, καὶ θεραπείας ἧς ὁ καιρὸς ἠπείγεν ἀξιώσας ἐβάδιζε

ἐβάδιζε τὴν προκειμένην ὁδὸν, συντονωτέραν ποιούμενος τὴν πορείαν εἰς μάσαδαν τὸ ἔρυμα. πολλὰς δὲ μάχας πρὸς τοὺς ἐπεξελθόντας καὶ διώκοντας τῶν πάρθων μαχεσάμενος ἐνίκησε πάσας. [illegible] δ' αὐτῷ παρὰ τὴν φυγὴν, οὐδὲ τὰ παρὰ τῶν ἰουδαίων ἀσφαλῆ. συνεπέθεντο δὲ καὶ οὗτοι γενομένοις ἀπὸ σταδίων ἑξήκοντα τῆς πόλεως, προσβαλόντες τε καὶ εἰς χεῖρας ἐρχόμενοι κατὰ τὴν ὁδόν. οὓς δὴ καὶ τρεψάμενος καὶ κρατήσας οὐχ ὡς ἐν ἀπορίᾳ καὶ ἀνάγκῃ τῆς τοιαύτης καθεστὼς, ἀλλ' ὡς κάλλιστα καὶ μετὰ πολλοῦ τοῦ περιόντος, πρὸς πόλεμον παρασκευασάμενος, ἐν ἐκείνῳ τῷ χωρίῳ, ἐν ᾧ τῶν ἰουδαίων ἐκράτησε μετὰ χρόνον βασιλεύσας, ἔκτισε, καὶ βασίλειον κατεσκεύασεν ἀξιολογώτατον, καὶ πόλιν περὶ αὐτὸ, ἡρωδίαν προσαγορεύσας. γενομένῳ δὲ τῆς ἰουδαίας ἐν θρήσα χωρίῳ οὕτω καλουμένῳ, ὁ ἀδελφὸς ἰώσηπος ὑπήντησε, καὶ βουλὴν περὶ τῶν ὅλων ἦγε, τί χρὴ ποιεῖν πολλοῦ μὲν πλήθους ἑπομένου, καὶ δίχα τῶν μισθοφορούντων αὐτοῖς, τοῦ δὲ χωρίου τῆς μασάδας, εἰς ὃ προὔκειται συμφυγεῖν, ἐλάττονος ὄντος ὑποδέξασθαι τοσοῦτον ὄχλον. τοὺς μὲν οὖν πλείους ἀπέλυσεν ὑπὲρ ἐννέα χιλιάδας ὄντας, ἄλλον ἀλλαχοῦ κελεύσας διὰ τῆς ἰδουμαίας σώζειν αὐτοὺς, δοὺς ἐφόδια. ὅσοι δ' ἦσαν κοῦφοι, καὶ τοὺς ἀναγκαιοτάτους παραλαβὼν εἰς τὸ ἔρυμα παραγίνεται. καὶ καταθέμενος αὐτόθι, τάς τε γυναῖκας καὶ τοὺς ἑπομένους, ἦσαν δ' ὡς ὀκτακόσιοι, σίτου τε ὄντος ἐν τῷ χωρίῳ καὶ ὕδατος καὶ τῶν ἄλλων ἐπιτηδείων ἀπάντων διαρκούντως, ἐξώρμησεν αὐτὸς ἐπὶ πέτρας τῆς ἀραβίας. ἅμα δ' ἡμέρᾳ τὰ μὲν ἄλλα πάντα τῶν ἱεροσολυμιτῶν, διήρπαζον οἱ πάρθοι καὶ τὸ βασίλειον, μόνων δὲ ἀπείχοντο τῶν ὑρκανοῦ χρημάτων. τὰ δ' ἦν εἰς τὰ τριακόσια τάλαντα. πολλὰ δὲ τῶν ἡρώδου διέφυγον, καὶ μάλιστα ὅσα καὶ προκεκόμιστο κατὰ προμήθειαν τἀνδρὸς εἰς τὴν ἰδουμαίαν ἐφθάκει. τὰ μὲν οὖν κατὰ τὴν πόλιν οὐκ ἀπέχρησε τοῖς πάρθοις, ἀλλὰ καὶ τὴν χώραν αὐτῶν ἐξιόντες ἐκάκουν, μάρεισαν τὴν πόλιν δυνατὴν ἀνέστησαν. καὶ ἀντίγονος μὲν οὕτω καταχθεὶς εἰς τὴν ἰουδαίαν ὑπὸ τοῦ πάρθων βασιλέως, ὑρκανὸν καὶ φασάηλον δεσμώτας παραλαμβάνει. σφόδρα δ' ἦν ἄθυμος τῶν γυναικῶν αὐτὸν διαφυγουσῶν, ἃς τοῖς πολεμίοις ἐνεθυμεῖτο δώσειν, τούτων αὐτοῖς μετὰ τῶν χρημάτων τὸν μισθὸν ὑπεσχόμενος. φοβούμενος δὲ τὸν ὑρκανὸν, μὴ τὸ πλῆθος αὐτῷ τὴν βασιλείαν ἀποκαταστήσῃ παρασὰν, ἐτηρεῖτο δὲ ὑπὸ τῶν πάρθων, ἀποτέμνει αὐτοῦ τὰ ὦτα, πραγματευόμενος μηκέτ' αὖθις εἰς αὐτὸν ἀφικέσθαι τὴν ἀρχιερωσύνην διὰ τὸ λελωβῆσθαι, τοῦ νόμου τῶν ὁλοκλήρων εἶναι τὴν τιμὴν ἀξιοῦντος. φασάηλον δ' αὖ τῆς θαυμάσειε τῆς εὐψυχίας, ὃς γνοὺς αὐτὸν ἀποσφάττεσθαι μέλλοντα οὐχὶ τὸν θάνατον ἡγήσατο δεινὸν, τὸ δ' ὑπ' ἐχθροῦ τοῦτο παθεῖν οἰκτρότατον καὶ αἴσχιστον ὑπολαβὼν, τὰς χεῖρας οὐκ ἔχων ἐλευθέρας ὑπὸ δεσμῶν πρὸς ἀναίρεσιν, πέτρᾳ προσρήξας τὴν κεφαλὴν, ἐξήγαγε μὲν ἑαυτὸν τοῦ ζῆν, ὡς ἐδόκει κάλλιστα παρὰ τοιαύτην ἀπορίαν, τὴν δ' ἐξουσίας τοῦ κτεῖναι πρὸς ἡδονὴν αὐτὸν, ἀφείλετο τὸν πολέμιον. λέγουσι δ' ὡς τραύματος μεγάλου γενομένου, φαρμάκοις αὐτὸν ὑποπέμψας ἰατροὺς ἀντίγονος, ὡς ἐπὶ θεραπείᾳ διέφθειρε, θανασίμοις χρησαμένων εἰς τὸ τραῦμα. πρὶν μέντοι τοῦ τελέως ἀφεῖναι τὴν ψυχὴν ὁ φασάηλος, ἀκούσας παρά τινος γυναίου τὸν ἀδελφὸν ἡρώδην

A pergebat institutum cursum petens castellum Massadam quàm maximis compendiis. in quo itinere non semel impugnatus à Parthis persecutoribus, semper victor discessit. Imò ne Iudæi quidem eo fugiente quieuerunt. sed sexagesimo ab vrbe stadio illum aggressi in pugnā pertraxerunt. quibus victis & profligatis, quasi non ex necessitate, sed multò antè præparatus conflixisset: in eo loco vbi Iudæos vixit, postquā regno potitus est regiam cōdidit cum primis memorabilē, adiuncto etiam oppido, quod B Herodium vocari voluit. Postea verò quàm ad Ressam vicum Idumææ peruenit, occurrit ei frater Iosephus, vbi consultatum est inter eos quid facto opus esset, cùm tantam turbam secum traherent, etiam absque milite conductitio: Massada verò, ad quod castellum decretum erat confugere, tantam multitudinem nō caperet. Maiorē igitur partem dimisit, numero supra nouē millia, iussis aliis aliàs per Idu- C mæam salutem sibi quærere, additóque viatico: expeditioribus autem quibusque, & suis intimis necessitudinibus assumptis in castellum ingressus est: depositísque ibi cum suo comitatu mulieribus, quorum omnium numerus ad octingentos pertingebat, quod ibi & frumentum & aqua & reliqua omnia necessaria suppeterent, ipse properauit ad Petrā Arabiæ. Cæterùm vbi dies illuxit, reliqua quidem omnia Hierosolymitanorum bona direpta sunt D per Parthos vnà cum ipsa regia, sola Hyrcani pecunia, circiter trecenta talenta, intacta remansit. Herodis etiam facultatum magna pars euasit, præsertim quas ille maturè prouidens in Idumeam deportandas curauerat. Nec contenti Parthi vrbis direptione, egressi agrum quoque latè populati sunt, & Marisam vrbem opulentam euerterunt. atque ita Antigonus in Iudæam à rege Parthorum reductus, Hyrcanum & Phasaelum vinctos accepit. Vehemen- E ter autem tristatus est, quod mulieres effugissent, quas Pharthis tradere constituerat, & vnà cum pecunia daturum se promiserat. Veritus deinde, ne populi fauore Hyrcanus in regnum restitueretur, qui à Parthis asseruabatur, amputauit ei auriculas, hoc agens, ne ille propter hoc vitium ad recipiendum pontificatum esset idoneus, quando lex hunc honorem non conconcedit, nisi ei qui integro sit corpore. Sed maximè miranda est Phasaëli generositas, qui F vbi neci se destinatum cognouit, nō tam mortem indignè ferens, quàm miserabile ac turpe ducens inimici arbitratu cadere, cùm manus sibi inferre non posset propter vincula, alliso ad saxum capite vitam abrupit, quod illi tum in tali necessitate constituto, visum est honestissimum, adempta inimico potestate sæuiendi in se pro libidine. Fertur autem quòd sauciato vehementer capite, Antigonus submissis medicis, pro remedio venenū in vulnus G indiderit. antè tamē quā exhalaret animam, audito ex quadā muliercula quòd Herodes frater

hoſtem euaſiſſet, valde tranquillo animo mortem tulit, vltorem ſuæ necis poſt ſe relinqués, qui poſſet ab inimicis pœnas exigere. At Herodes non fractus malorum ſe circumſtantiũ magnitudine, expediebat conſilium ad moliẽdas res arduas. ad Arabum enim regem Malchum, multis ſuis beneficiis iam antè obligatum proficiſcitur, cùm maximè opus haberet mutuam operam poſtulaturus, & accepturus pecuniam vel munere vel fœnore ab homine ſibi obnoxio. nondum enim certior factus de fratris interitu, dabat operam vt cum quàm primùm ab hoſte redimeret, vel trecenta talenta paratus expendere. qua de cauſa etiam Phaſaëli filium ſeptennem ſecum ducebat, oppigneraturus eum apud Arabas. Sed cùm occurriſſent ei miſſi à Malcho qui denunciarent vt finibus eius regni excederet, ſic Parthis iubentibus (prætexebat autem hoc ſuaſu optimatum ſuorum ne debitam pecuniam redderet, vtque ille fraudaretur rebus quas Antipater pænes eos depoſuerat) reſpondit ſe non veniſſe vt moleſtus eſſet cuiquam, ſed vt colloqueretur cum rege de rebus neceſſariis. deinde cùm cõſultiùs videretur diſcedere, valde moleſtè abiit Ægyptum verſus iter ingreſſus. & tunc quidẽ in quoddam templum diuertit, vbi multos ex comitatu reliquerat. Sequenti verò die cùm veniſſet Rhinocura, ibi cognouit de fratris obitu. Malchus autem pœnitentia motus, & curſim inſecutus Herodem, nihil profecit. iam enim ille procul aberat verſus Peluſium properans. quò poſtquam peruenit, non recipientibus eum nautis qui nauigaturi erant Alexandriam, magiſtratus eius loci conuenit: à quibus ob priſtinæ fortunæ reuerentiam honorificè in eam vrbem deductus, à Cleopatra detinebatur. quæ tamen efficere non potuit ne Romam properaret, licet hyberno tempore, & parum tranquillis, vt nunciabatur, rebus Italiæ. Soluens igitur inde verſus Pamphyliam, & cum graui tempeſtate conflictatus, ægrè in Rhodum euaſit, iactura etiam ſarcinarum facta. Vbi duo ex amicorum cohorte ei præſtò fuerunt, Sappinas & Ptolemeus. Et cùm inueniſſet eam ciuitatem grauiter afflictam bello, quod contra Caſſium geſtum eſt, ne præſenti quidem inopia cohiberi potuit, quo minus vel ſupra vires eam refoueret: inſtructáq; triremi & cum amicis conſcenſa, in Italiam Brunduſium appulit. Inde Romam profectus, ante omnes Antonio denarrauit ea quæ ſibi in Iudæa contigerant: & quòd frater Phaſaelus à Parthis captus occiſus ſit, & Hyrcanus apud eoſdem captiuus detineatur. quòdque Antigonum regem conſtituiſſent, pollicitum eis mille talenta, & quingentas mulieres, quas ex ipſius familia ſeligere deſtinauerat. & quòd eas noctu aſportaſſet non ſine labore, & ægrè manus hoſtium euaſiſſet. & poſt hæc omnia, familiam in extremo periculo relictam oppugnari, ipſo per medias tempeſtates contemptis omnibus difficultatibus properante ad vnicum ſubſidium, quod in illo haberet repoſitum.

τοὺς πολεμίους διαπεφευγότα, σφόδρα τὴν τελευτὴν εὐθύμως ὑπέμεινε, καταλιπὼν τὸν ἐκδικήσοντα τὸν θάνατον αὐτοῦ, καὶ τοὺς ἐχθροὺς τιμωρήσασθαι δυνάμενον. Ἡρώδην δὲ τὸ μέγεθος τῶν περιεστηκότων αὐτὸν κακῶν, οὐ κατέπληττεν, ἀλλ' ἐποίει δεινὸν εὑρίσκειν ἐπιβολὰς ἔργων παραβόλων. πρὸς γὰρ Μάλχον τὸν Ἀράβων βασιλέα, πολλὰ πρόσθεν εὐεργετημένον ἀπῄει τὴν ἀμοιβὴν κομιούμενος ὅτε μάλιστα ἐδεῖτο, χρήματα ληψόμενος, εἴτε δάνειον εἴτε δωρεάν, ὡς παρὰ πολλὰ ἐξ αὐτοῦ τετυχηκότος. οὐ γὰρ εἰδὼς τὰ κατὰ τὸν ἀδελφόν, ἔσπευδε λυτρώσασθαι τῶν πολεμίων αὐτόν, λύτρον ὑπὲρ αὐτοῦ καταβαλὼν νόμισμα, ἕως τριακοσίων ταλάντων. ἐπήγετο δὲ καὶ τὸν Φασαήλου παῖδα διὰ ταύτην τὴν αἰτίαν, ἑπταέτη τυγχάνοντα, παρέξων αὐτὸν ἐνέχυρον τοῖς Ἄραψι. ἀγγέλων δ' αὐτῷ ὑπαντησάντων παρὰ τοῦ Μάλχου, δι' ὧν ἐκέλευσεν αὐτὸν ἀναχωρεῖν, παρηγγελκέναι γὰρ αὐτῷ Πάρθους Ἡρώδην μὴ δέχεσθαι. ταύτῃ δ' ἐχρῆτο προφάσει ὑπὲρ τοῦ μὴ ἀποδοῦναι τὰ χρέα, καὶ τῶν ἐν τέλει παρὰ τοῖς Ἄραψιν εἰς τοῦτο ἐναγόντων, ὅπως ἀποστερήσωσι τὰς παρακαταθήκας, ἃς παρὰ τοῦ Ἀντιπάτρου λαβόντες ἔτυχον. ἀπεκρίνατο αὐτοῖς μηδὲν ἐνοχλήσων ἀφῖχθαι πρὸς αὐτούς, μόνον δὲ διαλεξόμενος περὶ τῶν ἀναγκαιοτάτων αὐτῷ πραγμάτων. ἐπεί τε δόξαν ἀναχωρεῖν, ἀπῄει μάλα σωφρόνως τὴν ἐπ' Αἴγυπτον. καὶ τότε μὲν ἔν τινι ἱερῷ κατάγεται. καταλελοίπει γὰρ αὐτόθι πολλοὺς τῶν ἑπομένων. τῇ δ' ὑστεραίᾳ παραγενόμενος εἰς Ῥινόκουρα, ἐκεῖ καὶ τὰ περὶ τὸν ἀδελφὸν ἤκουσε. Μάλχῳ δὲ μεταγνόντι καὶ μεταθέοντι τὸν Ἡρώδην, οὐδὲν τούτου περισσότερον ἐγένετο. πορρωτάτω γὰρ ἦν ἤδη σπεύδων τὴν ἐπὶ Πηλουσίου. ἐπεὶ δ' αὐτὸν ἐλθόντα νῆες ὁρμοῦσαι αὐτόθι εἶργον τοῦ ἐπ' Ἀλεξανδρείας πλοῦ, τοῖς ἡγεμόσιν ἐντυγχάνει. ὑφ' ὧν κατ' αἰδῶ καὶ πολλὴν ἐντροπὴν προπεμφθεὶς εἰς τὴν πόλιν, ὑπὸ Κλεοπάτρας κατείχετο. πεῖσαι μέντοι μένειν αὐτὸν οὐκ ἠδυνήθη, εἰς Ῥώμην ἐπειγόμενον, χειμῶνός τε ὄντος, καὶ τῶν κατὰ τὴν Ἰταλίαν ἐν ταραχῇ καὶ σάλῳ πολλῷ δηλουμένων. ἀναχθεὶς οὖν ἐκεῖθεν ἐπὶ Παμφυλίας, καὶ χειμῶνι σφοδρῷ περιπεσών, μόλις εἰς Ῥόδον διασώζεται, φορτίων ἀποβολῆς γενομένης. καὶ δύο μὲν ἐνταυθοῖ τῶν φίλων αὐτῷ συνήντησαν, Σαππίνας τε καὶ Πτολεμαῖος. εὑρὼν δὲ τὴν πόλιν ὑπὸ τοῦ πρὸς Κάσσιον πολέμου κεκακωμένην, οὐδ' ἄπορος ὢν εὖ ποιεῖν αὐτὴν ὤκνησεν, ἀλλὰ καὶ παρὰ δύναμιν αὐτὴν ἀνεκτᾶτο. τριήρη τε κατασκευάσας, καὶ ἀναχθεὶς ἐντεῦθεν σὺν τοῖς φίλοις ἐπὶ Ἰταλίαν εἰς Βρεντήσιον κατάγεται. κἀκεῖθεν εἰς Ῥώμην ἀφικόμενος, πρώτῳ μὲν Ἀντωνίῳ φράζει τὰ συμβάντα αὐτῷ κατὰ τὴν Ἰουδαίαν, καὶ πῶς ὁ ἀδελφὸς αὐτοῦ Φασάηλος ὑπὸ Πάρθων ἀπόλλυτο συλληφθείς, καὶ Ὑρκανὸς ὑπ' αὐτῶν αἰχμάλωτος ἔχοιτο. καὶ ὡς Ἀντίγονον καταστήσειαν βασιλέα, χρήματα δώσειν ὑπισχνούμενον χίλια τάλαντα. καὶ γυναῖκας φ', αἳ τῶν πρώτων καὶ τοῦ γένους τῶν αὐτῶν ἔμελλον ἔσεσθαι. καὶ ὅτι ταύτας νυκτὸς ἐκκομίσειε, καὶ διαφύγοι τὰς τῶν ἐχθρῶν χεῖρας πολλὰς ὑπομείνας ταλαιπωρίας. εἶτα ἐπὶ διακινδυνεύειν αὐτῷ τοὺς οἰκείους αὐτοῦ πολιορκουμένους, καὶ ὡς πλεύσειέ τε διὰ χειμῶνος, καὶ παντὸς καταφρονήσειε δεινοῦ, σπεύδων ἐπὶ τὰς ἐλπίδας τὰς παρ' αὐτοῦ καὶ τὴν μόνην βοήθειαν.

Κεφάλαιον κϛ΄.

Ὡς ἡρώδης εἰς τὴν ῥώμην παραγενόμενος ἀπεδείχθη ὑπὸ τῆς συγκλήτου βασιλεὺς τῆς ἰουδαίας.

Ἀντώνιον δὲ οἶκτος εἰσέρχεται τῆς ἡρώδου μεταβολῆς, καὶ τῷ κοινῷ χρησάμενος λογισμῷ περὶ τῶν ἐν ἀξιώματι τοσούτῳ καθεστηκότων, ὡς κἀκείνων ὑποκειμένων τῇ τύχῃ, τὰ μὲν κατὰ μνήμην τῆς ἀντιπάτρου ξενίας, τὰ δὲ καὶ ὑπὸ χρημάτων ὧν αὐτῷ ἡρώδης ὑπέσχετο δώσειν εἰ γένοιτο βασιλεὺς, καθὼς καὶ πρότερον ὁ τετράρχης ἀποδέδεικτο, πολὺ μέντοι μᾶλλον διὰ τὸ πρὸς ἀντίγονον μῖσος, στασιαστὴν γὰρ καὶ ῥωμαίοις ἐχθρὸν αὐτὸν ὑπελάμβανε, πρόθυμος ἦν οἷς ἡρώδης παρεκάλει συλλαμβάνεσθαι. καῖσαρ μὲν οὖν καὶ διὰ τὰς ἀντιπάτρου στρατείας, ἃς κατ᾽ αἴγυπτον αὐτοῦ τῷ πατρὶ συνδιήνεγκε, καὶ τὴν ξενίαν καὶ τὴν ἐν ἅπασιν εὔνοιαν, χαριζόμενος δὲ καὶ ἀντωνίῳ, σφόδρα περὶ τὸν ἡρώδην ἐσπουδακότι, πρὸς τὴν ἀξίωσιν καὶ τὴν ὧν ἐβούλετο ἡρώδης συνεργίαν, ἑτοιμότερος ἦν. συναγαγόντες τε τὴν βουλὴν μεσσαλᾶς καὶ μετ᾽ αὐτὸν ἀτρατῖνος, παραστησάμενοι τὸν ἡρώδην, τάς τε τοῦ πατρὸς αὐτοῦ εὐεργεσίας διεξῄεσαν, καὶ ἣν αὐτὸς πρὸς ῥωμαίους εἶχεν εὔνοιαν ὑπεμίμνησκον, κατηγοροῦντες ἅμα καὶ πολέμιον ἀποφαίνοντες ἀντίγονον, οὐκ ἐξ ὧν τὸ πρῶτον προσέκρουσεν αὐτοῖς μόνον, ἀλλ᾽ ὅτι καὶ παρὰ πάρθων τὴν ἀρχὴν λάβοι, ῥωμαίους ὑπεριδών. τῆς δὲ βουλῆς ἐπὶ τούτοις παρωξυμμένης, παρελθὼν ἀντώνιος ἐδίδασκεν αὐτοὺς, ὡς καὶ πρὸς τὸν κατὰ πάρθων πόλεμον, ἡρώδην βασιλεύειν συμφέρει. καὶ δόξαν τοῦτο πᾶσι ψηφίζονται. καὶ τοῦτο μέγιστον ἦν τῆς ἀντωνίου περὶ τὸν ἡρώδην σπουδῆς, ὅτι μὴ μόνον αὐτῷ τὴν βασιλείαν οὐκ ἐλπίζοντι περιεποιήσατο. οὐ γὰρ εἰς ἑαυτὸν ἀνέβη ταύτην αἰτησόμενος. οὐ γὰρ ἐνόμιζεν αὐτῷ τοὺς ῥωμαίους παρέξειν, τοῖς ἐκ τοῦ γένους ἔθος ἔχοντας αὐτὴν διδόναι, ἀλλὰ διὰ τὸ τῆς γυναικὸς ἀδελφῷ λαβεῖν ἀξιώσων ἀλεξάνδρῳ, υἱωνῷ τυγχάνοντι πρὸς μὲν πατρὸς ἀριστοβούλου, πρὸς δὲ μητρὸς ὑρκανοῦ. ἀλλ᾽ ὅτι καὶ ἐν ἑπτὰ ταῖς πάσαις ἡμέραις παρέσχεν αὐτῷ τυχόντι τῶν οὐδὲ προσδοκηθέντων ἀπελθεῖν ἐκ τῆς ἰταλίας. τοῦτον μὲν οὖν τὸν νεανίσκον ἡρώδης ἀπέκτεινεν, ὡς κατὰ καιρὸν δηλώσομεν. λυθείσης δὲ τῆς βουλῆς, μέσον ἔχοντες ἡρώδην ἀντώνιος καὶ καῖσαρ ἐξῄεσαν, προαγόντων ἅμα ταῖς ἄλλαις ἀρχαῖς τῶν ὑπάτων, θύσοντές τε καὶ τὰ δόγματα καταθησόμενοι εἰς τὸ καπετώλιον. εἱστία δὲ τὴν πρώτην ἡμέραν ἡρώδην τῆς βασιλείας ἀντώνιος. καὶ ὁ μὲν οὕτως τὴν βασιλείαν παραλαμβάνει, τυχὼν αὐτῆς ἐπὶ τῆς ρ΄ καὶ π΄ καὶ δ΄ ὀλυμπιάδος, ὑπατεύοντος γαΐου δομετίου καλβίνου τὸ δεύτερον, καὶ γαΐου ἀσινίου πωλίωνος. τοῦτον δὲ ἅπαντα τὸν χρόνον ἀντίγονος ἐπολιόρκει τοὺς ἐν μασάδῃ, τῶν μὲν ἄλλων αὐτοῖς ἐπιτηδείων ὑπαρχόντων, μόνου δὲ σπανίζοντος ὕδατος, ὡς καὶ διὰ τοῦτο καὶ τὸν ἀδελφὸν ἡρώδου ἰώσηπον σὺν διακοσίοις τῶν οἰκείων ἀποδρᾶναι βουλεύσασθαι πρὸς ἄραβας. ἠκηκόει γὰρ καὶ μάλχον τῶν εἰς ἡρώδην ἁμαρτημάτων μετανοεῖν. κατέσχε δ᾽ αὐτὸν ὕσας διὰ τῆς νυκτὸς ὁ θεός. τῶν γὰρ ἐκδοχείων πληρωθέντων τοῦ ὕδατος, οὐκ ἔτι τῆς φυγῆς ἐδεῖτο, ἀλλὰ τεθαρρηκότες ἤδη, καὶ πλέον κατὰ τὴν εὐπορίαν τοῦ σπανίζοντος ὡς ἐκ θεοῦ προνοίας ταύτης αὐτοῖς γεγενημένης ἐπεξιόντες, καὶ συμπλεκόμενοι τοῖς περὶ τὸν ἀντίγονον τοῖς

A

CAP. XXVI.

Herodes Romæ à senatu Iudææ rex declaratur.

XXIII.

Antonium verò mutatæ Herodis fortunæ commiseratio subiit, reputantem quòd etiam ab illo fastigio deuoluantur homines, non mediocriter mouente eum cùm paterni hospitij memoria, tum pecunia quam Herodes pollicebatur, si eius ope rex fieret, quemadmodum ante potestatem tetrachæ consecutus fuerat. sed præcipuè huc impellebat odium Antigoni, quem quòd pro turbulento haberet ac Romanis infestissimo, ad iuuandum Herodem erat propensior. Cęsar quoq; partim propter Antipatri militiam in Ægypto cum patre ipsius toleratam, & hospicij ius ac reliquā beneuolentiam, partim vt Antonio gratificaretur, quem valde studiosum Herodis sciebat, ad dignitatem ipsius tuendam & conatus promouendos erat paratissimus, conuocatóque senatu Messala ac deinde Atratinus, commendarunt productum Herodem, tam patris quā ipsius beneficia & studium Romani nominis commemorantes: simúlque accusauerunt & hostem declarauerunt Antigonum, nō solùm ob vetera crimina, verùm etiam quòd contēptis Romanis à Parthis accepisset imperium. quibus rebus cùm senatus esset offensus, tum Antonius eum docuit quòd etiam ad Parthicum bellum plurimum conduceret regnare Herodem: ídque mox omnium suffragiis approbatum est. Quo insignius fuit Antonij erga illum studium, non solùm quia præter ipsi° spem regnum ei parauit: nunquàm enim putabat Romanos hoc sibi concessuros, solitos hunc honorem regio seruare generi: & ideò coniugis suæ fratri id petiturus erat Alexandro, nepoti ex patre Aristobuli, ex matre Hyrcani: sed etiam quia intra septem dies insperata felicitate ornatum dimisit ex Italia. Hunc adolescentem postea Herodes interfecit, vt suo loco indicabimus. Cæterùm dimisso senatu, Antonius & Cęsar medium habentes Herodem exiuerunt, consulibus cæterísque magistratibus deducentibus, ascenderúntque in Capitolium sacra ibi facturi, & senatusconsulta deposituri: & nouus rex primo regni sui die conuiuio acceptus est ab Antonio. atque hoc pacto ille regium fastigium adeptus est CLXXXIIII. Olympiade, C. Domitio Caluino iterum, C. Asinio Pollione Coss. Tota autem eius absentiæ tempore Antigonus familiam eius oppugnabat in Masada, abundantem quidem cætero commeatu, sed laborantem aquarum inopia, ita vt hac de causa Iosephus frater cum ducentis familiaribus ad Arabas inde fugere decreuerit. Audierat enim Malchum iam pœnitere, quòd parum officiosus in Herodem fuisset. id consilium mutauit imbre noctu de cælo demisso. cisternis enim aqua repletis, non amplius fuga opus habuit: sed haud secus quàm diuina ope hac difficultate leuati, magno animo excurrebant, & conferentes manus cum Antigonianis, modò

aperte, modò clàm multos trucidabant. Interea Ventidius Romanorum dux, missus vt Parthos è Syria pelleret, post illorum abscessum in Iudæam venit, eo prætextu, quasi Iosepho laturus auxilium: sed re vera hoc consilio, vt pecuniam extorqueret ab Antigono. Positis igitur castris prope Hierosolyma, satis magnam pecuniæ vim exegit ab eo. Quo facto ipse quidē cum maiore copiarum parte recessit: ne tamen fraus deprehenderetur, Silonem cum quadam militum parte ibi reliquit: quem & ipsum placandum habuit Antigonus, ne quid interim molestus esset, dum Parthi, vt ipse sperabat, succurrerent.

A μὲν φανερῶς, τοὺς δὲ καὶ λαθραίως, πολλοὺς αὐτῶν διέφθειραν. κἀν τούτῳ Βεντίδιος ὁ Ῥωμαίων στρατηγὸς, πεμφθεὶς ἐκ Συρίας ὡς τοὺς Πάρθους ἀνείργειν, μετ' ἐκείνους εἰς Ἰουδαίαν παρέλαβε, τῷ λόγῳ μὲν Ἰωσήπῳ συμμαχήσων, τὸ δὲ ὅλον ἦν αὐτῷ στρατήγημα, χρήματα παρ' Ἀντιγόνου λαβεῖν. ἔγγιστα γοῦν Ἱεροσολύμων στρατοπεδευσάμενος, ἀποχρώντως ἠργυρίσατο τὸν Ἀντίγονον. καὶ αὐτὸς μὲν ἀνεχώρησεν σὺν τῇ πλείονι δυνάμει. ἵνα δὲ B μὴ κατάφωρον γένηται τὸ τέχνημα, Σίλωνα μετὰ μέρους τινὸς στρατιωτῶν κατέλιπεν. ὃν καὶ αὐτὸν ἐθεράπευσεν Ἀντίγονος, ὅπως μηδὲν ἐνοχλείη, προσδοκῶν καὶ πάλιν αὐτῷ Πάρθους ἐπαμυνεῖν.

Cap. XXVII.

Herodis ex Italia nauigatio & pugna aduersus Antigonum.

Κεφάλαιον κζ.

Ἔκπλους Ἡρώδου ἀπὸ Ῥώμης καὶ μάχη πρὸς Ἀντίγονον.

XXIV. Interim Herodes ex Italia reuersus Ptolemaidem, collectis non mediocribus copiis tum ex conductitio, tum ex suæ gentis milite, properabat per Galilæam contra Antigonum, adiutus à Silone ac Ventidio, ad quos Gellius ab Antonio missus fuerat cum mandatis, vt Herodem in suum regnum deducerent: quamuis Ventidius tum fortè distinebatur componendis ciuitatum tumultibus quos irruptio Parthorum excitauerat, Silo verò in Iudæa erat, sed pecunia corruptus ab Antigono. Attamen Herodis vlterius procedentis copiæ augebantur indies, & tota Galilæa paucis exceptis stabat ab eius partibus. ducenti autem ei versus Masadam, quod necesse esset seruare cognationem in eo castello obsessam, impedimēto fuit Ioppe: quā occupatam ab hoste opus erat primùm capere, ne quam hostilem munitionem à tergo relinqueret petiturus Hierosolyma. qua occasione arrepta Silo mouit exercitum: quem cùm Iudæi persequerentur, Herodes cum modica manu eis occurrit, & Iudæis profligatis Silonem ægrè repugnantem seruauit. Capta deinde Ioppe properauit Masadam ad liberandos obsidione domesticos. Ex indigenis autem alij propter paternam amicitiam illi se adiungebant. alij propter ipsius gloriam, nōnulli quòd amborum deuincti essent beneficiis: sed maxima pars ob spes quas de confirmato iam rege conceperant. Augebatur autem valde exercitus, cui Antigonus in transitu locis opportunis struebat insidias, & tamen nihil aut parum hostem lædebat his artibus. nam Herodes receptis è Masada domesticis, & capto Ressa castello, petebat Hierosolyma, sequentibus Silonis militibus: & multis Hierosolymitanis eius potentia perterritis. Cúmque ad Occidentalem vrbis tractum castra posuisset, qui hac parte dispositi erant custodes, sagittis eum impetebant, & missilibus deinde quibusdam cateruatim excurrentibus & stationes hostium infestantibus, Herodes caduceatorem clarigare iussit circa mœnia, se bono publico venisse & ad salutem vrbis, ne apertorum quidem inimicorum retaliaturum iniurias, sed etiam inimicissimorum in se peccata obliuioni traditurū. ad hæc Antigon⁹ ita respōdebat verso sermone ad Silonē ac Rom. milites,

Ἡρώδης δὲ ἐκ τῆς Ἰταλίας ἤδη καταπεπλευκὼς C εἰς τὴν Πτολεμαΐδα, καὶ συναγηοχὼς δύναμιν οὐκ ὀλίγην ξένων τε ἅμα καὶ ὁμοφύλων, ἤλαυνε διὰ τῆς Γαλιλαίας ἐπ' Ἀντίγονον. συνελάμβανον δὲ αὐτῷ, Σίλων τε καὶ Βεντίδιος, πεισθέντες ὑπὸ Δελλίου συγκαταγαγεῖν Ἡρώδην, τοῦ πεμφθέντος ὑπ' Ἀντωνίου. Βεντίδιος μὲν οὖν ἐτύγχανε τὰς ταραχὰς τὰς διὰ Πάρθους ἐν ταῖς πόλεσιν οὔσας καθιστάμενος, Σίλων δὲ ἐν Ἰουδαίᾳ, χρήμασιν ὑπ' Ἀντιγόνου διεφθαρμένος. Ἡρώδῃ μέντοι προϊόντι κατὰ πᾶσαν ἡμέραν δύναμις ηὔξατο, καὶ πᾶσα Γαλι- D λαία, πλὴν ὀλίγων αὐτῷ προσετίθετο. ὡρμηκότι δὲ αὐτῷ ἐπὶ τοὺς ἐν Μασάδῃ, ἀναγκαῖον γὰρ ἦν τὸ σῶσαι τοὺς ἐν τῷ φρουρίῳ πολιορκουμένους συγγενεῖς ὄντας, ἐμποδὼν Ἰόππη γίνεται. πολεμίαν γὰρ οὖσαν αὐτὴν, ἐχρῆν ἐξελεῖν πρότερον, ὅπως μηδὲν ὑπολίπηται κατὰ νώτου τοῖς ἐχθροῖς ἔρυμα, χωροῦντος ἐπὶ Ἱεροσολύμων. ποιησαμένου δὲ καὶ Σίλωνος ταύτην πρόφασιν τῆς ἀναστάσεως, καὶ τῶν Ἰουδαίων διωκόντων αὐτὸν, Ἡρώ- E δης μετ' ὀλίγου στίφους ἐπέξεισι. καὶ τρέπεται μὲν τοὺς Ἰουδαίους, Σίλωνα δὲ σώζει κακῶς ἀμυνόμενον. ἑλὼν δὲ τὴν Ἰόππην, ἔσπευδε ῥυσόμενος τοὺς ἐν Μασάδῃ οἰκείους. τῶν δὲ ἐπιχωρίων, οἱ μὲν αὐτῷ διὰ τὴν πατρῴαν προσεχώρουν φιλίαν, οἱ δὲ διὰ τὴν αὐτοῦ δόξαν. ἄλλοι δὲ κατὰ ἀμοιβὴν τῆς παρ' ἀμφοτέρων εὐεργεσίας. οἱ πλείους δὲ διὰ τὰς ἐλπίδας, ἃς ἐπὶ βασιλεῖ βεβαίῳ τὸ λοιπὸν εἶχον. ἠθροίζετο δὲ ἡ δύναμις βαρεῖα, καὶ προϊόντος Ἀντίγονος τῆς παρόδου τοὺς ἐπιτηδείους τόπους F ἐνέδραις καὶ λόχοις κατελάμβανε. καὶ καθάπαξ οὐδὲν ἐκ τούτου τοὺς πολεμίους ἢ μικρὸν παντάπασιν ἔβλαπτεν. Ἡρώδης δὲ τοὺς ἐκ Μασάδας οἰκείους ἐπαναλαβὼν, καὶ ῥήσας τὸ φρούριον, ἤει πρὸς τὰ Ἱεροσόλυμα, συνείπετο δὲ αὐτῷ τὸ μετὰ Σίλωνος στρατιωτικὸν, καὶ πολλοὶ τῶν ἐκ τῆς πόλεως τὴν ἰσχὺν καταπλαγέντες. στρατοπεδευσαμένου δὲ κατὰ τὸ πρὸς δύσιν τῆς πόλεως κλίμα, οἱ κατὰ τοῦτο τεταγμένοι φύλακες, ἐτόξευόν τε G καὶ ἠκόντιζον πρὸς αὐτόν. ἐνίων δὲ καὶ κατὰ στῖφος ἐκθεόντων, καὶ τοῖς προτεταγμένοις εἰς χεῖρας ἐρχομένων, Ἡρώδης τὸ πρῶτον ἐκέλευσε κηρύσσειν περὶ τὸ τεῖχος, ὡς ἐπ' ἀγαθῷ τε παρείη τοῦ δήμου καὶ σωτηρίᾳ τῆς πόλεως, μηδὲν μηδὲ τοῖς φανεροῖς τῶν ἐχθρῶν μνησικακήσων, ἀλλὰ παρέξων καὶ τοῖς διαφορωτάτοις ἀμνηστίαν τῶν εἰς αὐτὸν ἁμαρτημάτων. τοῦ δὲ Ἀντιγόνου πρὸς τὰ ὑπὸ τοῦ Ἡρώδου κηρυχθέντα λέγοντος, πρὸς τε Σίλωνα καὶ τὸ τῶν Ῥωμαίων στράτευμα ὡς παρὰ

ὡς παρὰ τὴν αὐτῶν δικαιοσύνην Ἡρώδῃ δώσουσι τὴν βασιλείαν, ἰδιώτῃ τε ὄντι καὶ Ἰδουμαίῳ τουτέστιν ἡμιιουδαίῳ, δέον τοῖς ἐκ τοῦ γένους οὖσι παρέχειν ὡς ἔθος ἐστὶν αὐτοῖς. καὶ γὰρ εἰ νῦν πρὸς αὐτὸν ἔχουσι χαλεπῶς, καὶ τὴν βασιλείαν ὡς λαβόντα παρὰ Πάρθων, ἀφελέσθαι διεγνώκασιν, εἶναί γε πολλοὺς ἐκ τοῦ γένους αὐτοῦ τοὺς ληψομένους κατὰ νόμον τὴν βασιλείαν, οἳ μηδὲν ἐξημαρτηκότες πρὸς Ῥωμαίους καὶ ἱερεῖς ὄντες, οὐκ ἂν εἰκότα πάσχοιεν τῆς τιμῆς στερούμενοι. ταῦτα πρὸς ἀλλήλους αὐτῶν λεγόντων, καὶ προελθόντων εἰς βλασφημίας Ἀντίγονος ἀμύνασθαι τοὺς ἀπὸ τοῦ τείχους ἐπέτρεπε, τοῖς ἰδίοις. οἱ δὲ, τοξεύοντες καὶ πολλῇ προθυμίᾳ κατ' αὐτῶν χρώμενοι ῥᾳδίως αὐτοὺς ἀπὸ τῶν πύργων ἐξέφαντο. τότε καὶ Σίλων ἀπεκαλύψατο τὴν δωροδοκίαν. καθῆκε γὰρ τῶν οἰκείων στρατιωτῶν οὐκ ὀλίγους, ἀπαιτεῖν τῶν ἐπιτηδείων καταβοᾶν, καὶ χρήματα εἰς τροφὰς αἰτεῖν, καὶ χειμάσοντας ἀπαγαγεῖν εἰς τοὺς ἐπιτηδείους τόπους, τῶν περὶ πόλιν ὄντων ἐρήμων, διὰ τὸ ὑπὸ τῶν Ἀντιγόνου στρατιωτῶν ἀνεσκευάσθαι. ἐκίνει τε τὸ στρατόπεδον, καὶ ἀναχωρεῖν ἐπειρᾶτο. Ἡρώδης δ' ἐνέκειτο παρακαλῶν τούς τε ὑπὸ τῷ Σίλωνι ἡγεμόνας, καὶ στρατιώτας μὴ καταλιπεῖν αὐτόν, Καίσαρός τε καὶ Ἀντωνίου καὶ τῆς συγκλήτου προπεμψάντων αὐτόν. προνοήσειν γὰρ αὐτῶν τῆς εὐπορίας, καὶ παρέξειν αὐτοῖς ἀφθονίαν ὧν ἐπιζητοῦσι ῥᾳδίως. καὶ μετὰ τὴν δέησιν εὐθὺς ἐξορμήσας εἰς τὴν χώραν, οὐκ ἔτ' οὐδεμίαν Σίλωνι τῆς ἀναχωρήσεως πρόφασιν ὑπελείπετο. πλῆθος γὰρ ὅσον οὐδ' ἤλπισέ τις τῶν ἐπιτηδείων ἐκόμισε, τοῖς τε περὶ Σαμάρειαν ᾠκειωμένοις πρὸς αὐτόν, ἐπέστελλε σῖτον καὶ οἶνον καὶ ἔλαιον καὶ βοσκήματα, τά τε ἄλλα πάντα καταγαγεῖν εἰς Ἱεριχοῦντα, τοῦ μηδὲ τὰς ἑξῆς ἡμέρας τὴν χορηγίαν τοὺς στρατιώτας ἐπιλιπεῖν. οὐκ ἐλάνθανε δὲ ταῦτ' Ἀντίγονον, ἀλλ' εὐθὺς ἀπέπεμψε κατὰ τὴν χώραν τοὺς εἴρξοντας καὶ λοχήσοντας τοὺς σιτηγοῦντας. οἱ δὲ πειθόμενοι τοῖς Ἀντιγόνου προστάγμασι, καὶ πολὺ πλῆθος ὁπλιτῶν περὶ Ἱεριχοῦντα συναθροίσαντες, παρεφύλασσον ἐπὶ τῶν ὀρῶν καθεζόμενοι τοὺς τὰ ἐπιτήδεια κομίζοντας. οὐ μὴν Ἡρώδης τούτων περιορώμενος ἠρέμει. δέκα δὲ σπείρας ἀναλαβών, ὧν πέντε μὲν Ῥωμαίων, πέντε δὲ Ἰουδαίων ἦσαν, καὶ μισθοφόρους μιγάδας πρὸς οἷς ὀλίγους τῶν ἱππέων, ἐπὶ τὴν Ἱεριχοῦντα παραγίνεται. καὶ τὴν μὲν πόλιν ἐκλελειμμένην καταλαβών, φ' δὲ τὰ ἄκρα κατειληφότας σὺν γυναιξὶ καὶ γενεαῖς, τούτους μὲν ἀπέλυσε λαβών. Ῥωμαῖοι δὲ εἰσπεσόντες διήρπασαν τὴν πόλιν μεσταῖς ἐπιτυχόντες παντοίων κειμηλίων ταῖς οἰκίαις. Ἱεριχοῦντος μὲν ἐν φρουρᾷ ὁ βασιλεὺς καταλιπὼν ὑπέστρεψε. καὶ χειμάσουσαν τὴν Ῥωμαίων στρατιὰν εἰς τὰς προσκεχωρηκυίας ἐξαφῆκεν, Ἰδουμαίαν, Γαλιλαίαν καὶ Σαμάρειαν. ἔτυχε δὲ καὶ Ἀντίγονος παρὰ Σίλωνος αἰτίᾳ τῆς δωροδοκίας, ὥστε ὑποδέξασθαι τοῦ στρατοῦ μοῖραν ἐν Λύδδοις, θεραπεύων Ἀντώνιον. καὶ Ῥωμαῖοι μὲν ἐν ἀφθόνοις διῆγον, ἀνειμένοι τῶν ὅπλων. Ἡρώδη δ' οὐκ ἐδόκει μένειν ἐφ' ἡσυχίας, ἀλλ' ἐπὶ τὴν Ἰδουμαίαν τὸν ἀδελφὸν Ἰώσηπον σὺν τοῖς χιλίοις ὁπλίταις, καὶ υ' ἱππεῦσιν, ἐξέπεμψεν. αὐτὸς δ' εἰς Σαμάρειαν παραγενόμενος, καὶ καταθέμενος αὐτόθι τήν τε μητέρα καὶ τοὺς ἄλλους συγγενεῖς ἐξεληλυθότας ἤδη ἐκ τῆς Μασάδας, ἐπὶ Γαλιλαίας ᾤχετο, ἐξαιρήσων τινὰ τῶν χωρίων ὑπὸ Ἀντιγόνου φρουραῖς κατειλημμένα

A iniquum eos facere qui Herodi regnũ astruãt, homini priuato & Idumæo, hoc est semiiudæo, cùm id more gentis debeatur successioni generis. nam si offensi quòd ipse à Parthis regnum accepisset, ideò velint hoc auferre, non deesse multos ex eo genere qui legitimè possint id accipere, nihil de pop. Rom. male meriti, & sacerdotes insuper, quos iniquum sit priuari debitis honoribus. Ad hunc modum ambobus inter se contendentibus, & vsque con- B uitia prorumpentibus Antigonus permisit suis vt arcerent hostes à mœnibus, qui cùm strenuè iacularentur è turribus, facilè eos fugauerunt. Tum verò Silonem largitione corruptum esse patuit. subornatis enim aliquot militibus è suis familiaribus, qui clamoribus largiores commeatus & pecuniam in alimenta flagitarẽt, abducíque se in hyberna ad commodiora loca postularent, vastatis circa vrbem omnibus, quòd Antigoniani amoliti essent vi- C tæ necessaria: turbari cœpit exercitus & parare abitum. contrà Herodes rogabat Silonis tam duces quàm milites ne se desererent, missum tum à Cæsare & Antonio, tum à senatu reliquo, sibi curæ futurum ne quid exercitus desideret, atque etiam vt abundè adsint quæcunque requirerent. post quas preces continuò dimissis suis per agros, nullam Siloni discedendi ansam reliquam fecit. maior enim quàm quisquam speraret rerum necessaria- D rum allata est copia: familiaribus etiam suis apud Samariam agentibus imperauit, vt frumentum, vinum, oleum, pecora, & reliqua necessaria Hierichuntem comportarent, vt & in posterum inde suggeri possent militibus. Ea res non fefellit Antigonum, sed continuò dimisit per agros qui per insidias frumentatores interciperent. qui sicut iussi sunt comparata circa Hierichuntem armatorum multitudine, insessisque montibus, intenti obseruabant eos, E qui commeatus conueherent. Nec Herodes interim segnis erat; sed assumptis x. cohortibus, quarum v. è Roman. totidem è Iudæis constabant, adiunctisque mixti generis conductitiis & equitatu modico, Hierichuntem petiit: offendénsque vrbem relictam ab habitatoribus, & D. ex his ad montium vertices confugisse cum familiis, hos quidem captos dimisit. Romani verò inuadentes vrbem diripuerunt, repertis intra ædes omne genus re- F bus preciosissimis. Rex igitur relicto in ea præsidio reuersus est, & Rom. exercitum hybernatum in recens deditas regiones dimisit, Idumæam, Galilæam & Samariam. Antigonus quoque pro largitione obtinuit à Silone vt partem Roman. exercitus intro Lyddam acciperet, captans Antonij gratiam. atque ita Roman. degebant in magna rerum copia, ab armis tantisper vacantes. Herodi verò otiari non libuit, sed misso in Idumæam Io- G sepho fratre cum mille peditibus & quadringentis equitibus, ipse in Samariam profectus, & deposita ibi matre cognatisque aliis quos è Masada eduxerat, in Galilæam duxit, expugnaturus quædã loca ab Antigono insessa presidiis

cúmque Sephorim cælo ningente peruenisset, Antigonianis inde refugientibus magnam nactus est rerum necessariarum copiam. Inde in latrones quosdam speluncarum recessus habitantes equitum alam immisit, cum peditum tribus cohortibus, vt eos cohiberet à maleficiis. aberant autem non longè à vico, qui Arbela dicitur. Quadragesimo deinde die venit cum toto exercitu, & magna audacia hoste occurrente, in sinistro aciei cornu laborari cœptum est, donec ipse armatorum manu stipatus succurrit, & hostes iam vincentes coegit terga vertere, suos verò fugientes gradum sistere. nec hoc contentus profligatos & palantes vsque Iordanem persecutus est. atque ita vniuersam Galilæam in partes suas traduxit, præter eos qui erant in speluncarum receptaculis, numeratisque viritim CL. drachmis, & pro portione centurionibus, suos in hyberna dimisit. Interea Silo ad eum venit cum suis ducibus qui apud Antigonum in hybernis fuerant, illo nolente eos post vnum mensem exactum amplius alere. nam & ad circumuicinos miserat, qui iuberent eos sublatis omnibus rebus ad victum necessariis in montes refugere, vt Romani præ inopia fame perirent. at Herodes Pheroræ fratrum minimo commeatuum curam commisit, iusso instaurare Alexandrium. Ille verò breui & militibus magnam necessariarum rerum abundantiam præbuit, & castellum illud prius desertum denuò condidit. Eodem tempore Antonius morabatur Athenis. In Syria verò Ventidius Silonem accersens contra Parthos, iussit primùm Herodi nauare operam, deinde ad proprium bellum exire prouinciales auxiliarios. At ille Silone ad eum misso, ipse contra latrones in speluncis degentes duxit militem. Erant autem hæ speluncæ sitæ in præruptis montib⁹, angustis tramitibus accessibiles, & acutis cinctæ rupibus, in harum cauernis illi cum totis habitabant familiis. Rex autem arcas in hunc vsum compactas de vertice montis per machinas dimittebat catenis ferreis: eo quòd nec infernè propter asperitatem mōtis ascendere daretur nec supernè contra eos derepere. hæ arcæ complete erant militibus hastas falcatas gestātibus, ad attrahendos repugnātes & deturbandos per præceps. hæc tamen arcarum demissio periculosa erat propter immēsam altitudinem: & in speluncis non deerant victui necessaria. vt verò demissæ sunt arcæ ad earum ostia, & nemo præ metu audebat progredi, quidam scutatus accinctus gladio, manu vtraque apprehensa catena qua arca sustinebatur, demisit se intra fauces more impatiens, illis exire cunctantib. & ad quandam cauernam accedens, primùm iaculis multos intus confecit: deinde resistere conatos falcata hasta attractos dabat in præceps, deinde penitius reconditos inuadens iugulauit multos, ac tum demum in arcam se recepit: cæteros verò eiulatum audientes pauor corripuit, & salutis desperatio.

ἐλθὼν δ' εἰς Σέπφωριν νίφοντος τοῦ θεοῦ, καὶ τῶν Ἀντιγόνου φρουρῶν ὑπεξελθόντων, ἐν ἀφθόνοις ἦν τοῖς ἐπιτηδείοις. εἶτ' ἐκεῖθεν λῃστῶν τινῶν ἐν σπηλαίοις κατοικούντων, ἱππέων ἴλην ἐπ' αὐτοὺς ἐκπέμπει, καὶ ὁπλιτικοῦ τρία τέλη, παῦσαι κακουργοῦντας ἐγνωκώς. ἐγγίστα δ' ἦν ταῦτα κώμης Ἀρβήλων λεγομένης. εἰς δὲ τεσσαρακοστὴν ἡμέραν αὐτὸς ἧκε πανστρατιᾷ, καὶ θρασέως ἐξελθόντων τῶν πολεμίων, κλίνεται μὲν τὸ εὐώνυμον αὐτῶν κέρας τῆς φάλαγγος. ἐπιφανεὶς δ' αὐτὸς μετὰ στίφους, τρέπει μὲν εἰς φυγὰς τοὺς πάλαι νικῶντας. ἀναστρέφει δὲ τοὺς φεύγοντας. ἐνέκειτο δὲ διώκων τοὺς πολεμίους ἄχρις Ἰορδάνου τοῦ ποταμοῦ, φεύγοντας κατ' ἄλλας ὁδούς. καὶ προσάγεται μὲν πᾶσαν τὴν Γαλιλαίαν, πλὴν τῶν ἐν τοῖς σπηλαίοις κατοικούντων. διανέμει δὲ καὶ ἀργύριον κατ' ἄνδρα δοὺς ρν' δραχμάς, τοῖς δ' ἡγεμόσι πολὺ πλεῖον, καὶ εἰς τὰ χειμάδια διέπεμψε. καὶ ἐν τούτῳ Σίλων ἧκε παρ' αὐτὸν καὶ ἡγεμόνες τῶν ἐν τοῖς χειμαδίοις, Ἀντιγόνου τροφὰς παρέχειν οὐ θέλοντος. μῆνα γὰρ οὐ πλέον ὁ ἀνὴρ αὐτοὺς ἔθρεψε. διέπεμψε δὲ καὶ πρὸς τοὺς κύκλῳ κελεύων, τὰ κατὰ τὴν χώραν ἀνασκευάσασθαι, καὶ εἰς τὰ ὄρη φυγεῖν, ὡς μηδὲν ἔχοντες Ῥωμαῖοι τῶν ἀναγκαίων, λιμῷ διαφθαρεῖεν. Ἡρώδης δὲ τὴν μὲν τούτων πρόνοιαν, Φερώρᾳ τῷ νεωτάτῳ τῶν ἀδελφῶν ἐπιτρέπει, κελεύσας αὐτὸν ἀνατειχίζειν καὶ Ἀλεξάνδρειον. ὁ δὲ ταχέως τε τοὺς στρατιώτας ἐν ἀφθονίᾳ πολλῇ τῶν ἀναγκαίων ἐποίησε, τό τε Ἀλεξάνδρειον ἠρημωμένον ἀνέκτισεν. ὑπὸ δὲ τὸν αὐτὸν χρόνον, Ἀντώνιος μὲν ἔτριβεν ἐν Ἀθήναις. κατὰ δὲ Συρίαν Οὐεντίδιος Σίλωνα μεταπεμπόμενος ἐπὶ τοὺς Πάρθους, ἐπέστειλε πρῶτα μὲν Ἡρώδῃ συλλαμβάνεσθαι τοῦδε τοῦ πολέμου, ἔπειτα δὲ καὶ ἐπὶ τὸν σφέτερον καλεῖν τοὺς συμμάχους. ὁ δ' ἐπὶ τοὺς ἐν τοῖς σπηλαίοις λῃστὰς ἐπειγόμενος, Σίλωνα μὲν ἐξέπεμψεν εἰς Οὐεντίδιον. αὐτὸς δ' ἐπ' ἐκείνους ἐξώρμησεν. ἦν δ' ἐν ὄρεσι τὰ σπήλαια τελέως ἐξερρωγόσι, καὶ κατὰ τὸ μεσαίτατον ἀποκρήμνοις ἔχοντα τὰς παρόδους, καὶ πέτραις ὀξείαις ἐμπεριεχόμενα. ἐν δὲ τούτοις μετὰ πάντων τῶν οἰκείων ἐφώλευον. ὁ δὲ βασιλεὺς λάρνακας ἐπ' αὐτοὺς πηξάμενος καθίει ταύτας σιδηραῖς ἁλύσεσιν ἐκδεδεμένας διὰ μηχανῆς ἀπὸ κορυφῆς τοῦ ὄρους, μήτε κάτωθεν ἀνιέναι διὰ τὴν ὀξύτητα τοῦ ὄρους δυναμένων, μήτε ἄνωθεν καθέρπειν ἐπ' αὐτούς. αἱ δὲ λάρνακες πλήρεις ὁπλιτῶν ἦσαν, ἅρπας μεγάλας ἐχόντων, αἷς ἔμελλον τοὺς ἀνθεστῶτας ἐπισπώμενοι κτείνειν καταφερομένους. τὴν μέντοι κατάθεσιν τῶν λαρνάκων σφαλερὰν εἶναι συνέβαινε, κατὰ βάθους ἀπείρου γινομένην. ἔνδον μέντοι παρῆν αὐτοῖς καὶ τὰ ἐπιτήδεια. ὡς δὲ καθιμήθησαν μὲν αἱ λάρνακες, ἐτόλμα δ' οὐδεὶς προσελθεῖν τῶν ἐπὶ τῶν στομίων, ἀλλ' ὑπὸ δέους ἠρέμουν, μάχαιράν τις περιζωσάμενος τῶν ὁπλοφόρων, καὶ ταῖν χεροῖν ἀμφοτέραιν δραξάμενος ἁλύσεως ἀφ' ἧς ἤρτητο ἡ λάρναξ, καθίει ἐπὶ τὰ στόμια, δυσχεράνας τὴν τριβὴν τῶν ἐπεξιέναι μὴ τολμώντων. καὶ γενόμενος κατά τι στόμιον, πρῶτα μὲν πάλτοις ἀνακόπτει τοὺς πολλοὺς τῶν ἐπὶ τοῦ στομίου. ἔπειτα ἅρπῃ τοὺς ἀνθεστῶτας ἐπισπώμενος ὠθεῖ κατὰ τοῦ κρημνοῦ, καὶ τοῖς ἔνδον ἐπεισελθὼν, ἀποσφάττει πολλοὺς, καὶ εἰσελθὼν εἰς τὴν λάρνακα ἡσύχασε. φόβος δὲ εἶχε τοὺς ἄλλους τῆς οἰμωγῆς ἀκούοντας, καὶ τῆς σωτηρίας ἀπόγνωσις.

τὸ μέν-

τὸ μέντοιγε πᾶν ἔργον ὑπέσχεν ὑπεξῆλθοῦσι. καὶ πολλοὶ συγχωρήσαντος τοῦ βασιλέως ἐπικηρυκευσαμένου παρέδοσαν σφᾶς ὑπηκόους. τῷ δὲ αὐτῷ τρόπῳ καὶ κατὰ τὴν ἐπιοῦσαν ἐχρήσαντο τῇ προσβολῇ, μᾶλλον ἔτι τῶν ἐν τοῖς πλέγμασιν ἐπεξιόντων αὐτοῖς καὶ κατὰ θύρας μαχομένων, πῦρ τε ἐνιέντων, ἐξαφθέντων τε τῶν ἄντρων. πολλὴ γὰρ ἦν ἐν αὐτοῖς ὕλη. πρεσβύτης δέ τις ἀπειλημμένος ἔνδον σὺν ἑπτὰ τέκνοις καὶ γυναικὶ, δεομένων τούτων ἐᾶσαι σφᾶς ὑπεξελθεῖν πρὸς τοὺς πολεμίους, στὰς ἐπὶ τοῦ στομίου, τὸν ἀεὶ πρῶτον ἐξιόντα τῶν παίδων ἀπέσφαττεν, εἰς ὃ πάντας διεχρήσατο. ἔπειτα δὲ καὶ τὴν γυναῖκα, καὶ ῥίψας κατὰ τοῦ κρημνοῦ τοὺς νεκροὺς, ἐπικατέβαλεν ἑαυτὸν θάνατον πρὸ δουλείας ὑπομένων. πολλὰ δὲ πρῶτον ὠνείδισεν τὸν ἡρώδην εἰς ταπεινότητα, καίτοι τοῦ βασιλέως, ἦν γὰρ αὐτῷ ἄποπτα τὰ γινόμενα, δεξιάν τε προτείνοντος καὶ πᾶσαν ἄδειαν. τὰ μὲν οὖν σπήλαια τούτων γινομένων ἤδη πάντα ἐκεχείρωτο. καταστήσας δὲ ὁ βασιλεὺς τοῖς αὐτόθι στρατηγὸν πτολεμαῖον εἰς τὴν σαμάρειαν ᾤχετο σὺν ἱππεῦσιν ἑξακοσίοις, ὁπλίταις δὲ τρισχιλίοις ὡς μάχῃ κριθησόμενος πρὸς ἀντίγονον. οὐ μὴν τῷ πτολεμαίῳ προὐχώρησε τὰ κατὰ τὴν στρατηγίαν, ἀλλ' οἱ καὶ πρότερον τὴν γαλιλαίαν ταράξαντες, ἐπεξελθόντες αὐτὸν διεχρήσαντο. καὶ τοῦτο δράσαντες συμφεύγουσιν εἴς τε τὰ ἕλη καὶ τὰ δύσβατα τῶν χωρίων, ἄγοντες καὶ διαρπάζοντες τὴν αὐτόθι πᾶσαν. τιμωρεῖται δὲ τούτους ἡρώδης ἐπανελθών. τοὺς μὲν γὰρ ἀναιρεῖ τῶν ἀποστάντων, τοὺς δὲ ἀναφυγόντας εἰς ἐρυμνὰ χωρία, πολιορκίᾳ παραστησάμενος, αὐτούς τε ἀπέκτεινε, καὶ τὰ ἐρύματα κατέσκαψεν. ἐζημίωσε δὲ παύσας οὕτως τὴν νεωτεροποιΐαν, καὶ τὰς πόλεις ρ' ταλάντοις. ἐν δὲ τῷ μεταξὺ πακόρου πεσόντος ἐν μάχῃ, καὶ τῶν πάρθων πταισάντων, πέμπει βοηθὸν ὁ βεντίδιος ἡρώδῃ μαχαιρᾶν σὺν δυσὶ τάγμασι καὶ χιλίοις ἱππεῦσιν, ἐπιστείλαντος ἀντωνίου. μαχαιρᾶς μὲν οὖν ἀντιγόνου καλοῦντος αὐτὸν, παρὰ τὴν ἡρώδου γνώμην, χρήμασι διεφθαρμένος, ἀπῄει ὡς κατασκεψόμενος αὐτοῦ τὰ πράγματα. τὴν δὲ διάνοιαν ὑφειδόμενος αὐτοῦ τὴν τῆς ἀφίξεως ἀντίγονος οὐδὲ προσεδέξατο, ἀλλὰ σφενδόναις βαλὼν αὐτὸν ἀνεῖργε καὶ διεδήλου τὴν αὐτοῦ προαίρεσιν. αἰσθόμενος δὲ τὰ βέλτιστα ἡρώδην αὐτῷ παραινοῦντα καὶ ἑαυτὸν διημαρτηκότα, παρακούσαντα τῆς ἐκείνου συμβουλίας ἀνεχώρει μὲν εἰς ἐμμαοῦν πόλιν. οἷς δὲ κατὰ τὴν ὁδὸν ἰουδαίοις περιετύγχανε, τούτους ἀπέσφαττεν ἐχθροὺς τε καὶ φίλους, ὀργιζόμενος ὑφ' ὧν πεπόνθοι. παροξυνθεὶς δὲ ἐπὶ τούτοις ὁ βασιλεὺς ἐπὶ σαμαρείας ᾔει. πρὸς γὰρ ἀντώνιον ἔγνω περὶ τούτων ἀφικέσθαι, δεῖσθαι γὰρ οὐχὶ τοιούτων συμμάχων, οἳ βλάψουσιν αὐτὸν μᾶλλον, ἢ τοὺς πολεμίους. ἐξαρκεῖν δὲ καὶ αὐτὸν πρὸς τὴν ἀντιγόνου καθαίρεσιν. παρακολουθῶν δὲ ὁ μαχαιρᾶς, ἐδεῖτο μένειν. εἰ δὲ οὕτως ὥρμηκεν, ἀλλὰ τόν γε ἀδελφὸν αὐτοῦ ἰώσηπον παρακαθιστάνειν σφίσιν προσπολεμοῦσιν ἀντιγόνῳ. καὶ διαλλάττεται μὲν τοῦ μαχαιρᾶ πολλὰ δεηθέντος. καταλιπὼν δὲ τὸν ἰώσηπον αὐτόθι σὺν στρατῷ, παρῄνεσε μὴ ἀποκινδυνεύειν, μηδὲ τῷ μαχαιρᾷ διαφέρεσθαι. αὐτὸς δὲ πρὸς ἀντώνιον ἔσπευδε, ἐτύγχανε δὲ πολιορκῶν σαμόσατα τὸ πρὸς τῷ εὐφράτῃ χωρίον, σὺν ἱππόταις τε καὶ πεζοῖς κατὰ συμμαχίαν αὐτῷ παροῦσι. παραγενόμενος δὲ εἰς ἀντιόχειαν,

A eos tamen conatus impediuit nox interueniẽs, multíque rege per præconem pollicente veniã deditionem fecerunt. Sequenti verò luce eodẽ vſi ſunt oppugnationis genere, magis etiam ex arcis exeundo & pugnando in foribus, & ſubiecto igne antra incendendo. inerat enim intus multa materies. Senex autem quidam deprehenſus intus cum vxore ac ſeptem filiis, rogatus ab eis vt ſe fugere hoſtem permitteret, ſtans ante oſtium, primùm quemq; exeuntem B iugulabat, donec ad vnum omnes confecit, & vxorem vltimam: deinde præcipitatis cadaueribus, poſtremò ſeipſum ſuperiecit, mortem ſeruituti præferens. primò tamen in obſcuritatem Herodis multa eiecit conuitia, licèt rex è ſpecula quadam dextram porrigeret, & polliceretur veniam. Speluncæ igitur omnes hoc modo expugnatæ ſunt. Rex autem Ptolemæo præpoſito ei regioni, in Samariam profectus eſt cum ſexcentis equitibus, & tribus millibus C peditum, vt armis cum Antigono rem decerneret. Sed Ptolemæo ſua præfectura non bene ceſſit: nam inuaſus ab his qui & antè Galilæam turbauerant, interfectus eſt. quo facto receperunt ſe in paludes & loca inacceſſibilia, totum eum tractum rapinis infeſtantes & excurſionibus. Herodes autem reuerſus pœnas ab eis exegit latrocinij: & ex defectoribus alios mox interfecit, alios refugiẽtes in loca munita expugnatos ſupplicio tradidit, & arces ipſas diruit: D atque ita ſublatis rerum nouarum autoribus, ciuitates centum talẽtis mulctauit. Interea cæſo in pugna Pacoro, & Parthis profligatis, Vẽtidius Herodi in auxilium mittit Machæram cum duabus legionibus & mille equitibus, iubente hoc Antonio. Ille vocatus ab Antigono & pecuniis corruptus, inuito Herode ad eum ſe contulit, tanquam inſpecturus eius negotia. At Antigonus ſuſpectum habens eius aduentum, non admiſit hominem, ſed per E funditores glandibus impetitum arcuit, ſatis declarans ſuum animum. ille tum demum Herodem bene monuiſſe, & ſe non obtemperantem erraſſe intelligens, in Emauntem vrbem ſe recepit: & in eo itinere quotquot Iudæorum ad manus ei venerunt, interfecit nullo amici aut hoſtis diſcrimine, iratus ob ea quæ ſibi acciderant. quo facto rex exacerbatus petebat Samariam. nam decreuerat ea de cauſa adire Antonium, aliis ſibi opus dicti- F tans, quàm his qui ſe magis quàm hoſtem læderent. alioqui ſufficere vel ſeipſum ad opprimendum Antigonum. Machæra verò conſecutus eum rogabat vt maneret: aut ſi certum eſſet pergere, ſaltem Ioſephum fratrem ſibi attribueret, gerenti bellum contra Antigonum. Itaque reconciliatus Machæræ multum roganti, relicto ibi Ioſepho cum exercitu, præcepit ei ne rem totam in diſcrimen adduceret, néve cum Machæra con- G tenderet. Ipſe verò properauit ad Antonium oppugnantem Samoſatam ſitam ad Euphratẽ fluuium, ducens auxiliares tam pedites quàm equites. poſtquam autem peruenit Antiochiã,

repertis ibi multis collectis qui cupientes adire Antonium non audebant se committere itineri propter obsidentes vias barbaros & sæuientes cædibus, bono animo esse iussis ducem se præbuit. statione autem altera procul à Samosata insidiabatur barbarorum turma commeantibus ad Antonium: vbi quà exitus erat in campestria occultauerant se non pauci equites, non moturi se loco, donec viatorum agmé perueniret in planiciem. Cúmque iam primi pertransiuissent, Herodes qui præsidio erat extremo agmini inuaditur à fermè quingentis equitibus: qui cùm primos sibi occurrentes in fugam vertissent, rex cum suis stipatoribus magno impetu in eos illatus hostem repulit, & excitatis suorum animis pugnam redintegrauit, reuertentibus qui paulo antè fugerant, ita vt vbique cæderentur barbari. Rex autem sæuire ferro non destitit, nec nisi receptis iumentis quæ non pauca gerebant sarcinas, simúlque mancipiis, cœptum iter prosecutus est. Et cùm plures alij in propinquo campis saltu insidiantes in illos coorirentur, hos quoque cum valida suorum manu aggressus in fugam compulit: multísque ex eorum numero cæsis securum sequentibus se iter præstitit. illi verò seruatorem eum & protectorem suum appellabant. Postquam autem prope Samosata ventum est, exercitum instructum & ornatum ei honoris causa misit obuiam Antonius, propter adducta auxilia & quia profligatos ab eo barbaros audierat: multúmque gauisus eius aduentu, & cognitis quæ obiter gesserat, collaudata viri virtute, complexus est eum & salutauit comiter, in summóque honore habuit vt regem recèns à se declaratum. Antiocho autem paulo pòst id castrum dedente, & hoc pacto finito bello, Sosio prouinciam Antonius cum exercitu tradidit: commendatóque ei Herodis negotio, in Ægyptum ipse profectus est. Tum Sosius duas legiones cum rege præmisit in Iudæam, ipse cum reliquo exercitu sequebatur. Interim absente fratre Iosephus in Iudæa perierat hoc modo. Immemor mandatorum fratris quæ illi Antonium aditurus dederat, assumptis & à Machæra quinque cohortibus versus Hierichuntem profectus ad demetendas eius agri fruges, in montibus castris locum cepit: & quia Rom. cohortes cóstabant è tyronibus non admodú rei militaris peritis, quòd plerique è Syria delecti essent, circumuentus ab hoste inter locorum difficultates, amisso exercitu & ipse fortiter pugnans occubuit. sex enim cohortes desideratæ sunt. Antigonus verò potitus cadaueribus, Iosepho præcidit caput, quinquaginta talentis à Pherora fratre redimendum. quo facto Galilæi à suis præfectis deficientes, factionem Herodis in lacum demersam necauerunt: & apud Iudæam multa nouata sunt. Machera autem Githam castellum muniebat. Regi verò apud Daphnen Antiochiæ suburbium fratris casus renunciatus est, iam antè tale aliquid expectanti propter quædam insomnia, quib. nó obscurè

A καὶ πολλοῖς ἐπιτυχὼν ἠθροισμένοις, καὶ πρὸς Ἀντώνιον μὲν βαδίζειν ἔχουσι σπουδὴν, ὑπὸ δέους δὲ διὰ τὸ κατὰ τὰς ὁδοὺς ἐπιτίθεσθαι τοὺς βαρβάρους καὶ πολλοὺς ἀναιρεῖν, οὐ τολμῶντας ἐξορμᾶν, παραθαρρύνας αὐτοὺς ἡγεμὼν γίνεται τῆς ὁδοῦ. κατὰ δὲ σταθμὸν δεύτερον τῶν σαμοσάτων, ἐλόχα μὲν αὐτόθι τῶν βαρβάρων ἐνέδρα τοὺς φοιτῶντας πρὸς ἀντώνιον. δρυμῶν δὲ τὰς εἰσβολὰς εἰς τὰ πεδία διαλαμβανόντων, προλοχίζουσιν αὐτόθι τῶν ἱππέων οὐκ ὀλίγους ἠρεμήσοντας ἕως ἂν εἰς τὸ B ἱππήλατον οἱ διεξιόντες ἔλθοιεν. ὡς δ' οἱ πρῶτοι διεξῆλθον, ὀπισθοφυλάκει μὲν ἡρώδης, προσπίπτουσι δ' ἐξαπιναίως οἱ ἐκ τῆς ἐνέδρας, ὄντες εἰς φ'. καὶ τρεψαμένων τοὺς πρώτους, ἐπιδραμὼν ὁ βασιλεὺς τῇ ῥύμῃ τῇ περὶ αὐτὸν παραχρῆμα μὲν ἀνακόπτει τοὺς πολεμίους. ἐπεγείρει δὲ τὸ τῶν οἰκείων φρόνημα, καὶ θαρραλέους ἀπεργάζεται, καὶ τῶν πάλαι φευγόντων, ἐξ ὑποστροφῆς μαχομένων, ἐκτείνοντο C πανταχόθεν οἱ βάρβαροι. ἐπέκειτο δ' ὁ βασιλεὺς ἀναιρῶν, καὶ τὰ διηρπασμένα, πολλὰ δ' ἦν σκευοφόρα καὶ ἀνδράποδα, πάντα ἀνασωσάμενος προῄει. καὶ πλειόνων αὐτοῖς ἐπιτιθεμένων τῶν ἐν τοῖς δρυμοῖς, οἳ πλησίον τῆς εἰς τὸ πεδίον ἐκβολῆς ἦσαν, καὶ τούτοις προσμίξας αὐτὸς μετὰ στίφους καρτεροῦ τρέπεται, καὶ πολλοὺς αὐτῶν ἀποκτείνας, ἀδεᾶ τοῖς ἑπομένοις ὁδὸν παρεῖχεν. οἱ δὲ σωτῆρα καὶ προστάτην αὐτὸν ἀπεκάλουν. D ἐπεὶ δὲ πλησίον τῶν σαμοσάτων ἐγεγόνει, πέμπει τὸ στράτευμα ὑπαντησόμενον ἀντώνιος σὺν τῷ οἰκείῳ κόσμῳ, τιμὴν ἡρώδῃ ταύτην ἀπονέμων, καὶ ἐπικουρίας ἕνεκα. τὴν γὰρ τῶν βαρβάρων ἠκηκόει κατ' αὐτῶν ἐπίθεσιν. καὶ δὴ παρόντα τε εἶδεν ἀσμένως, καὶ τὰ κατὰ τὴν ὁδὸν αὐτῷ πεπραγμένα μαθὼν, ἐδεξιοῦτο καὶ τῆς ἀρετῆς ἐθαύμαζεν, αὐτός τε περιλαβὼν αὐτὸν ἀντώνιος ὡς εἶδεν ἀσμένως ἠσπάζετο. προὐτίμα τε ὡς νεωστὶ βασιλέα ἀποδείξας. ἀντιόχου δὲ E μετ' οὐ πολὺ τὸ ἔρυμα παραδόντος, καὶ διὰ τοῦτο παυσαμένου τοῦ πολέμου, σοσσίῳ μὲν ἀντώνιος παραδίδωσι, παρακελευσάμενος δ' ἡρώδῃ συμμαχεῖν, αὐτὸς ἐπ' αἴγυπτον ἐχώρει. καὶ σόσσιος μὲν δύο τάγματα ἐπικουρήσοντα ἡρώδῃ, προὔπεμψεν εἰς τὴν ἰουδαίαν, αὐτὸς δὲ μετὰ τοῦ πλείονος στρατοῦ ἠκολούθει. ἔτυχε δ' ἤδη κατὰ τὴν ἰουδαίαν τεθνεὼς ἰώσηπος τρόπῳ τούτῳ. λήθην μὲν ὧν αὐτῷ παρήγγειλεν ὁ ἀδελφὸς πρὸς F ἀντώνιον ἀπερχόμενος λαμβάνει. στρατοπεδευσάμενος δ' ἀνὰ τὰ ὄρη (ε' γὰρ αὐτῷ σπείρας μαχαιρᾶ δόντος, ἐπὶ ἱεριχοῦντι ἠπείγετο βουλόμενος ἐκθερίσαι τὸν σῖτον αὐτῶν) καὶ νεοσυλλέκτου τοῦ ῥωμαίου στρατεύματος ὄντος, καὶ πολέμων ἀπείρως ἔχοντος, καὶ γὰρ πολὺ ἐκ συρίας ἦν καταλελεγμένον, ἐπιθεμένων αὐτόθι τῶν πολεμίων, ἀποληφθεὶς ἐν δυσχωρίαις, αὐτός τε G ἀποθνήσκει γενναίως μαχόμενος, καὶ τὸ στράτευμα πᾶν ἀπέβαλεν. ϛ' γὰρ σπεῖραι διεφθάρησαν. κρατήσας δὲ τῶν νεκρῶν ἀντίγονος, ἀποτέμνει τὴν ἰωσήπου κεφαλὴν ν' ταλάντων αὐτὴν ῥυσαμένου φερώρα τἀδελφοῦ. καὶ μετὰ τοῦτο ἀποστάντες γαλιλαῖοι τῶν παρὰ σφίσι δυνατῶν, τοὺς τὰ ἡρώδου φρονοῦντας ἐν τῇ λίμνῃ κατεπόντωσαν, καὶ τῆς ἰουδαίας πολλὰ ἐνεωτερίσθη. μαχαιρᾶς δὲ γιτθὰν χωρίον ἐξώχυρου. παρῆσαν δ' ἄγγελοι τῶν πεπραγμένων πρὸς τὸν βασιλέα. καὶ ἐν δάφνῃ τῆς ἀντιοχείας ἐδήλωσαν αὐτῷ τὴν κατὰ τὸν ἀδελφὸν τύχην, προσδεχομένῳ μέντοι καὶ αὐτῷ διά τινας ὀνείρων ὄψεις, τρανῶς

προφαι-

προεφανέντας τὸν τοῦ ἀδελφοῦ θάνατον. ἐπειχθεὶς A οὖν κατὰ τὴν πορείαν, ὡς κατὰ Λίβανον τὸ ὄρος γίνεται, ὡς ω' μὲν τῶν αὐτόθι προσλαμβάνων, ἔχων δὲ καὶ ῥωμαϊκὸν ἓν τάγμα, εἰς πτολεμαΐδα παραγίνεται, κἀκεῖθεν νυκτὸς ἀναστὰς μετὰ τοῦ στρατοῦ, προῄει διὰ τῆς γαλιλαίας. ὑπήντων δὲ οἱ πολέμιοι. καὶ κρατηθέντες τῇ μάχῃ, κατεκλείσθησαν εἰς χωρίον, ὅθεν ἦσαν ὡρμηκότες τῇ προτεραίᾳ. προσβολὰς δὴ τοιοῦτεῦθεν ἕωθεν ἐποιεῖτο, καὶ πολλοῦ χειμῶνος καταρραγέντος οὐδὲν B ποιεῖν δυνάμενος, ἀπάγει τὴν στρατιὰν εἰς τὰς πλησίον κώμας. ἐλθόντος δὲ αὐτῷ παρ' ἀντωνίου καὶ δευτέρου τάγματος, οἱ τὸ χωρίον ἔχοντες φοβηθέντες νυκτὸς ἐξέλειπον αὐτό. καὶ ὁ βασιλεὺς ἠπείγετο ἐπὶ ἱεριχοῦντος, τιμωρήσασθαι κατὰ νοῦν ἔχων αὐτοὺς ὑπὲρ τἀδελφοῦ. ἐπεὶ δὲ κατέζευξεν, εἱστία μὲν τοὺς ἐν τέλει, μετὰ δὲ τὴν συνουσίαν παρῆλθεν εἰς τὸ δωμάτιον ἀπολύσας τοὺς παρόντας. ἐνταῦθα ἴδοι τις ἂν τοῦ βασιλέως τὴν ἐκ τοῦ θεοῦ εὔνοιαν. πίπτει μὲν γὰρ C ἡ στέγη τοῦ οἰκήματος, οὐδένα δὲ ἀπολαβοῦσα διέφθειρεν, ὥς τε πάντας πιστεῦσαι τὸν ἡρώδην εἶναι θεοφιλῆ, μέγαν οὕτω καὶ παράδοξον διαφυγόντα κίνδυνον. τῇ δὲ ὑστεραίᾳ τῶν πολεμίων ἑξακισχίλιοι, ἀπ' ἄκρων κατιόντες τῶν ὀρῶν εἰς μάχην ἐφόβουν τοὺς ῥωμαίους. οἱ δὲ γυμνῆται προσιόντες, τοῖς πελτοῖς ἔβαλλον καὶ λίθοις τοὺς περὶ τὸν βασιλέα ἐξεληλυθότας, αὐτόν τε παλτῷ τις παρὰ τὴν λαπάραν D ἔβαλεν. ἀντίγονος δὲ ἐπὶ τὴν σαμάρειαν πέμπει στρατηγὸν, πάππον ὄνομα, σὺν δυνάμει τινὶ, βουλόμενος παρέχειν τοῖς πολεμίοις δόξαν πολεμοῦντος ἐκ περιουσίας. ἀλλ' ὁ μὲν μαχαιρᾷ τῷ στρατηγῷ παρεκάθητο. ἡρώδης δὲ ε' πόλεις παραλαβὼν τοὺς ἐγκαταλειφθέντας περὶ δισχιλίους ὄντας ἐφόνευσεν, αὐτάς τε τὰς πόλεις ἐμπρήσας ἐπανῆλθεν ἐπὶ τὸν πάππον. ἐστρατοπεδεύετο δὲ οὗτος ἐπὶ κώμην ἰσάνας καλουμένην, καὶ πολλῶν αὐτῷ προσρεόντων E ἐκ τῆς ἱεριχοῦς καὶ τῆς ἰουδαίας, ἐπεὶ πλησίον γίνεται τῶν πολεμίων ἐπεξελθόντων αὐτοῖς ὑπὸ θάρσους, συμβαλὼν κρατεῖ τῇ μάχῃ, καὶ τιμωρῶν τἀδελφῷ, φεύγουσιν εἰς τὴν κώμην ἐπέκειτο κτείνων. πεπληρωμένων δὲ τῶν οἰκιῶν ὁπλιτῶν καὶ πολλῶν ἀναφευγόντων ἐπὶ τὰς στέγας, κρατεῖ τούτων, καὶ τῶν ὀρόφων τοὺς οἴκους ἀνασκάπτων, ἔμπλεα ταῦτα τῶν στρατιωτῶν ἑώρα ἀθρόων ἀπειλημμένων. τούτοις μὲν οὖν πέτραις ἄνωθεν βάλλοντες σωρηδὸν ἐπ' ἀλλήλοις F ἀνῄρουν. καὶ θέαμα τοῦτο δεινότατον ἦν κατὰ τόνδε τὸν πόλεμον, νεκρῶν τὸ πλῆθος ἄπειρον ἐντὸς τῶν τειχῶν ἐπ' ἀλλήλοις κειμένων, τοῦτο τὸ ἔργον μάλιστα τὰ φρονήματα τῶν πολεμίων ἔκλασεν, καραδοκούντων τὸ μέλλον. ἑωρῶντο γὰρ παμπληθεῖς πόῤῥωθεν συγγινόμενοι περὶ τὴν κώμην, οἳ τότε ἔφευγον. καὶ εἰ μὴ χειμὼν ἐπέσχε βαθὺς, ἧκεν ἂν καὶ ἐπὶ ἱεροσόλυμα ἡ βασιλέως στρα- G τιὰ, θαῤῥοῦσα τῷ νενικηκέναι, καὶ τὸ πᾶν ἦν ἂν εἰργασμένη. καὶ γὰρ ἀντίγονος ἤδη τὴν παντελῆ φυγὴν ἐσκόπει καὶ ἀπανάστασιν ἐκ τῆς πόλεως. τότε μὲν οὖν ὁ βασιλεὺς, ὀψίας γὰρ ἦν, δειπνοποιεῖσθαι κελεύσας τοὺς στρατιώτας, αὐτός τε ἐκεκμήκει γὰρ, εἰσελθὼν εἴς τι δωμάτιον, περὶ λουτρὸν ἦν. ἔνθα καὶ κίνδυνος αὐτῷ μέγιστος συνέπεσεν, ὃν κατὰ θεοῦ πρόνοιαν διέφυγε. γυμνοῦ γὰρ ὄντος αὐτοῦ, καὶ μετὰ παιδὸς ἑνὸς ἀκολούθου λουομένου, ἐν τῷ ἐντὸς οἰκήματι τῶν πολεμίων τινὲς ὡπλισμένοι συμπεφευγότες αὐτόθι διὰ φόβον ἦσαν. καὶ μεταξὺ λουομένου, ὁ πρῶτος ἐπεξέρχεται

A de fratris morte præmonitus fuerat. Accelerato igitur itinere postquam ad Libanum montem peruenit, assumptis octingentis eius loci hominibus, ducens etiam vnam Romanam legionem, Ptolemaidem petiit: vnde noctu profectus cum exercitu, per Galilæam progrediebatur. cui occurrentes prælio victi compulsi sunt in castellum vnde exiuerant pridie. quod primo mane oppugnare adortus, vi repentinæ tempestatis coactus est infe- B cta re inde exercitum in proximos vicos abducere. Superueniente autem ab Antonio legione altera, qui castellum tenebant territi noctu id deseruerunt. Rex quoque properauit Hierichuntem, volens vlcisci fratris interitum. quò postquam venit, honoratissimum quemque adhibuit ad conuiuium: peractáque cœna dimissis conuiuis recepit se in cubiculum. Hîc videre licuit res regis à Deo non negligi. Triclinium enim illud in quo C cœnatum fuerat, iam vacuum sine cuiusquam noxa concidit: quo factum est vt omnes Herodem Deo charum crederent, vt qui miraculosè seruatus videretur è tanto periculo. Sequenti verò die cùm hostium sex millia ad pugnam descendissent à montium verticibus, Romanos terruerunt: eorúmque velites procursando iaculis & saxis feriebant regios, adeò vt ipsi quoque regi quidam vulnus in latus inflixerit. Porrò Antigonus misit Samariam D ducem quendam nomine Pappum, volens videri ita abundare copiis, vt foris quoque posset bellum gerere. Sed ille Machæræ se opposuit. Herodes verò occupatis quinque oppidis, præsidiariorum circiter MM. in eis interfecit, & incensis oppidis cõtra Pappum reuersus est, qui castra habebat ad vicum Isanas nomine: & confluentibus ad se multis à Hierichunte ac Iudæa, vbi animaduertit hostem pre audacia venire ad pugnam, collatis cum eo si- E gnis vicit egregiè, & accensus vlciscẽdi fratris cupidine, sequiendo instabat in vicum fugientibus. Repletis autem ædibus milite, & quibusdam in tecta confugientibus, his superatis & tectis dirutis vidit omnia referta & constipata militibus. hos igitur saxis supernè impetentes aceruatim conficiebant: nec fuit toto hoc bello spectaculum miserabilius, quàm videre innumera cadauera cumulata intra parietes. & hoc facinus maximè fregit hostiũ audaciam, F ita vt non amplius sperarent aliquid lætius. Videre enim erat eos agminatim diffugere, & nisi repente valida tẽpestas interuenisset, regij victores petiissent confestim Hierosolyma, & bello finem imposuisset. Iam enim Antigonus de fuga dispiciebat, cogitãs vrbem deserere. At rex iam vespere iussis parare cœnã militibus, ipse pugna lassatus in quoddam cubiculum lauatum abiit: vbi maximum discrimen adiit, G quod tamen euasit Dei prouidẽtia. Cùm enim esset nudus, & vnius tantũ pueri ministerio lauaret, intus in eisdem ædibus latebãt quidam hostium armati, quos metus eò compulerat. dúmque ille se abluit, primus prodiens stricto

gladio per fores se proripit, deinde alter & tertius, armati similiter, adeo attoniti, vt illæso rege contenti essẽt sibiipsis fuga salutem quærere. Sequenti verò die præciso Pappi inter reliquos occisi capite, misit illud Phæroræ in vltionem fratris. nam is eum sua manu interfecerat. Post hęc vbi tempestas deseuit, moto inde exercitu venit Hierosolyma, & castra prope vrbem metatus est, anno tertio postquàm Romæ declaratus rex fuerat: quib. mox propius admotis quà maximè oppugnationi obnoxia putabat mœnia, ante templum fixit tentoria, volens sic ea quemadmodum olim Pompeius aggredi. & tribus aggeribus ei loco circumdatis, turres erexit adiutus operarum multitudine: & cæsa circumquaque materie, præpositísque huic operi viris idoneis, durãte etiam tum obsidione Samariam ad nuptias profectus est, ducturus filiam Alexãdri, neptem Aristobuli, quam ei desponsam fuisse iam diximus.

Cap. XXVIII.

Antigonus à Sosio & Herode opprimitur.

XXVI. Peractis verò nuptiis venit per Phœnicem Sosius, pręmissísque per mediterranea copiis, mox & ipse affuit habens secum multos tam pedites quàm equites. venit etiam rex à Samaria, ad veterem exercitum non mediocrem accessionem adducens. erant enim circiter xxx. millia. omnes autem confluebant ad Hierosolymorum mœnia, & assidebant septentrionali vrbis lateri, ad vndecim legiones peditum, & sex equitum millia, præter auxiliares Syrorum copias. Præerant autem duo cum imperio, Sosius ab Antonio missus in auxilium, & Herodes pro seipso bellum gerens, vt deiecto Antigono hoste pop. Rom. ipse pro eo ex senatusconsulto regnum acciperet. Intus autem certatim resistebant Iudæi ex tota ea regione collecti & conclusi intra mœnia, templum Domini iactantes, & fausta populo ominantes, non deserturum Deum suos in periculo: direptísq; extra vrbem tam hominum quàm equorum alimentis, per clancularia etiam latrocinia difficultatem annonæ augebant obsessoribus. Cui rei Herodes ita prospexit, vt contra latrocinãtes opportuna loca præoccuparet insidiis, & commeatus additis præsidiis etiam è longinquo conueheret, vt breui necessaria victui abũdarent in exercitu. adhæc operarum frequentia facilè absoluti sunt tres illi aggeres. æstas enim erat, & opus feruebat, nulla interturbatũ aëris intẽperie. Machinis etiam murum quatiebant, & nihil intentatum relinquebant. at obsessi intrepidè repugnabant, conatus eorum eludentes variis artibus. excurrentes enim crebrò incepta, modò iam perfecta opera incendebant: & conferentes pugnam cum Romanis nihilo erant inferiores audacia, peritia tantùm rei militaris cedebant. Tum pro disiecto machinis muro intus recentẽ extruebãt,

ξίφος ἔχων γυμνὸν καὶ διὰ θυρῶν χωρεῖ, καὶ μετ' αὐτὸν δεύτερος καὶ τρίτος ὁμοίως ὡπλισμένοι, οὐδὲν βλάψαντες τὸν βασιλέα ὑπὸ ἐκπλήξεως, ἀγαπῶντες δὲ τὸ μηδὲν αὐτοὶ παθόντες εἰς τὸ πρόσθεν διεκπεσεῖν. τῇ δ' ὑστεραίᾳ, τὴν μὲν Πάππου κεφαλὴν, ἀνῄρητο γὰρ, ἀποκόψας Φερώρᾳ ἔπεμψε, ποινὴν ἀνθ' ὧν ὁ ἀδελφὸς αὐτῶν πάθοι, ἐκεῖνος γὰρ ἦν αὐτόχειρ ἐκείνου γεγενημένος. λήξαντος δὲ τοῦ χειμῶνος, ἄρας ἐκεῖθεν ἐγγὺς Ἱεροσολύμων ἔρχεται, καὶ πλησίον στρατοπεδεύεται τῆς πόλεως. τρίτον δὲ αὐτῷ τοῦτο ἔτος ἦν ἐξ οὗ βασιλεὺς ἐν Ῥώμῃ ἀποδέδεικτο. ἀναστρατοπεδευσάμενος δὲ, καὶ πλησίον ἐλθὼν τοῦ τείχους ᾗ τὸ ἐπιμαχώτατον, πρὸ τοῦ ἱεροῦ καταστρατοπεδεύεται, προσβαλεῖν διεγνωκὼς ὡς καὶ πρότερον ποτὲ Πομπήιος. τρισὶ δὲ διαλαβὼν χώμασι τὸν τόπον πύργους ἀνίστησι, πολλῇ τε χειρὶ πρὸς τὸ ἔργον χρώμενος, καὶ τέμνων τὴν πέριξ ὕλην. παρακαταστήσας δὲ τοῖς ἔργοις τοὺς ἐπιτηδείους, ἱδρυμένης ἔτι τῆς στρατιᾶς, αὐτὸς εἰς Σαμάρειαν ἐπὶ τὸν γάμον ᾤχετο ἀξόμενος τὴν Ἀλεξάνδρου τοῦ Ἀριστοβούλου θυγατέρα. ταύτην γὰρ ἦν ἠγγυημένος, ὥς μοι καὶ πρότερον εἴρηται.

Κεφάλαιον κη'.

Πῶς ὑπὸ Σοσίου καὶ Ἡρώδου Ἀντίγονος διεφθάρη.

Μετὰ δὲ τοὺς γάμους, ἦλθε μὲν διὰ Φοινίκης Σόσιος, προεκπέμψας τὴν δύναμιν διὰ τῆς μεσογείας. ἦλθε δὲ καὶ ὁ στρατηγὸς, πλῆθος ἔχων ἱππέων τε καὶ πεζῶν. παρεγένετο δὲ καὶ ὁ βασιλεὺς ἐκ τῆς Σαμαρείτιδος, οὐκ ὀλίγον πρὸς τὸν πάλαι στρατὸν ἄγων, περὶ τρισμυρίους γὰρ ἦσαν. πάντες δὲ ἐπὶ τὸ Ἱεροσολύμων ἠθροίζοντο τεῖχος, καὶ διεκάθηντο πρὸς τῷ βορείῳ τείχει τῆς πόλεως, στρατιὰ ἕνδεκα μὲν ὅσα τέλη ὁπλιτικῶν, ἓξ δὲ χιλιάδες ἱππέων, ἄλλα τὰ ἐπικουρικὰ ἀπὸ τῆς Συρίας. δύο δ' ἡγεμόνες, Σόσιος μὲν ὑπ' Ἀντωνίου σταλεὶς σύμμαχος, Ἡρώδης δ' ὑπὲρ αὑτοῦ, ὡς Ἀντίγονον ἀφελόμενος τὴν ἀρχὴν ἀποδειχθέντα ἐν Ῥώμῃ πολέμιον, αὐτὸς ἀντ' ἐκείνου βασιλεύσῃ κατὰ τὸ συγκλήτου δόγμα. μετὰ πολλῆς δὲ προθυμίας καὶ ἔριδος, ἅτε σύμπαντος ἠθροισμένου τοῦ ἔθνους, οἱ Ἰουδαῖοι τοῖς περὶ τὸν Ἡρώδην ἀντεπολέμουν, καταλειφθέντες ἐντὸς τοῦ τείχους, πολλά τε ἐπεφήμιζον περὶ τὸ ἱερὸν, καὶ πολλὰ ἐπ' εὐφημίᾳ τοῦ δήμου, ὡς ῥυσομένου τῶν κινδύνων αὐτοὺς τοῦ θεοῦ, τά τε ἐκτὸς τῆς πόλεως ἀπεσκευάσαντο, ὡς μηδ' ὅσα τροφὴ δύναιτο εἶναι ὑπολιπεῖν ἢ ἀνθρώποις ἢ ὑποζυγίοις, λῃστείαις τε λάθρα χρώμενοι, ἀπορίαν παρεῖχον. ταῦτα δ' Ἡρώδης συνιδὼν, πρὸς μὲν τὰς λῃστείας, τοὺς ἐπικαιροτάτους τόπους προελόχιζε. πρὸς δὲ τὰ ἐπιτήδεια, πέμπων ὁπλιτικὰ τέλη πόρρωθεν ἀγορὰν συνεκόμιζεν, ὡς ὀλίγου χρόνου πολλὴν ἀφθονίαν αὐτοῖς γενέσθαι τῶν ἀναγκαίων. ἤρτο δὲ συχνῶς ἤδη πολλῆς χειρὸς ἐργαζομένης καὶ τὰ τρία χώματα ῥᾳδίως, θέρος τε γὰρ ἦν, καὶ οὐδὲν ἐμποδὼν πρὸς τὴν ἀνάστασιν, οὔτ' ἀπὸ τοῦ ἀέρος, οὔτ' ἀπὸ τῶν ἐργαζομένων. τά τε μηχανήματα προσάγοντες, κατέσειον τὸ τεῖχος, καὶ πάσαις ἐχρῶντο πείραις. οὐ μὴν ἐξέπληττον τοὺς ἔνδον, ἀλλ' ἀντετεχνῶντο κἀκεῖνοι πρὸς τὰ παρὰ τούτων γινόμενα οὐκ ὀλίγα. ἐπεκθέοντές τε, τὰ μὲν ἡμίεργα ἐνεπίμπρασαν, τὰ δὲ ἐξειργασμένα, εἴς τε χεῖρας ἰόντες, οὐδὲν κακίους Ῥωμαίων ἦσαν τὰς τόλμας. ἐπιστήμῃ δ' ἐλείποντο,

πρός τε

πρὸς τὰς μηχανὰς ἀντετείχιζον ἐρειπομένων τῶν προτέρων οἰκοδομημάτων, ὑπὸ γῆν τε ἀπαντῶντες μεταλλεύσει διεμάχοντο. ἀπονοίᾳ δὲ τὸ πλέον ἢ προθυμίᾳ χρώμενοι καὶ προσελιπάρεσιν τῷ πολέμῳ εἰς τοὔσχατον, καὶ ταῦτα μεγάλου στρατοῦ περικαθεζομένου σφᾶς καὶ λιμῷ ταλαιπωρούμενοι καὶ ἀπορίᾳ τῶν ἐπιτηδείων. τὸν γὰρ ἑβδοματικὸν ἐνιαυτὸν συνέβη κατὰ ταῦτ' εἶναι. ἀναβαίνουσι δὲ ἐπὶ τὸ τεῖχος πρῶτον μὲν λογάδες κ'. ἔπειτα ἑκατοντάρχης Σοσσίου. ᾑρέθη γὰρ τὸ μὲν πρῶτον τεῖχος, ἡμέραις μ'. τὸ δὲ δεύτερον, ιε'. καί τινες τῶν περὶ τὸ ἱερὸν ἐνεπρήσθησαν στοῶν, ἃς Ἡρώδης Ἀντίγονον ἐμπρῆσαι διέβαλλε, μῖσος αὐτῷ πραγματευόμενος παρὰ τῶν Ἰουδαίων γενέσθαι. ᾑρημένου δὲ τοῦ ἔξωθεν ἱεροῦ καὶ τῆς κάτω πόλεως, εἰς τὸ ἔσωθεν ἱερὸν καὶ τὴν ἄνω πόλιν Ἰουδαῖοι συνέφυγον. δείσαντές τε μὴ διακωλύσωσιν αὐτοὺς οἱ Ῥωμαῖοι τὰς καθημερινὰς θυσίας ἐπιτελεῖν τῷ θεῷ, πρεσβεύονται ἐπιτρέψαι καλοῦντες θύματα αὐτοῖς μόνον εἰσκομίζεσθαι. ὁ δὲ ὡς ἐνδωσόντων αὐτῶν συνεχώρει ταῦτα, καὶ ἐπεὶ μηδὲν ἑώρα γινόμενον παρ' αὐτῶν ὧν ὑπενόει, ἀλλ' ἰσχυρῶς ἀντέχοντας ὑπὲρ τῆς Ἀντιγόνου βασιλείας, προσβαλὼν κατὰ κράτος εἷλε τὴν πόλιν, καὶ πάντα εὐθὺς ἦν φόνων ἀνάπλεα. τῶν μὲν Ῥωμαίων ἐπὶ τῇ τριβῇ τῆς πολιορκίας διωργισμένων, τῶν δὲ περὶ Ἡρώδην Ἰουδαίων μηδὲν ὑπολιπεῖν σπεύδοντος ἀντίπαλον. ἐσφάττοντο δὲ συνεχῶς ἔν τε τοῖς στενωποῖς καὶ κατὰ τὰς οἰκίας συνωθούμενοι, καὶ τῷ ναῷ προσφεύγοντες. ἦν τε οὔτε νηπίων οὔτε γήρως ἔλεος, οὔτε γυναικῶν ἀσθενείας φειδώ, ἀλλὰ καίτοι περιπέμποντος τοῦ βασιλέως καὶ φείδεσθαι παρακαλοῦντος οὐδεὶς ἐκράτησε τῆς δεξιᾶς, ἀλλ' ὥσπερ μεμηνότες, πᾶσαν ἡλικίαν ἐπεξῄεσαν. ἔνθα καὶ Ἀντίγονος μήτε τῆς πάλαι μήτε τῆς τότε τύχης ἔννοιαν λαβών, κάτεισι μὲν ἀπὸ τῆς βάρεως, προσπίπτει δὲ τοῖς Σοσσίου ποσί. κἀκεῖνος μηδὲν αὐτὸν οἰκτείρας πρὸς τὴν μεταβολήν, ἐπεκρότησε μὲν ἀκρατῶς, καὶ Ἀντιγόνην ἐκάλεσεν. οὐ μὴν ὡς γυναῖκά γε φρουρᾶς ἐλεύθερον ἀφῆκεν. ἀλλ' ὁ μὲν δεθεὶς ἐφυλάττετο. πρόνοια δ' ἦν Ἡρώδῃ κρατεῖν τῶν πολεμίων, τὸ κρατῆσαι καὶ τῶν ἀλλοφύλων συμμάχων. ὥρμητο γὰρ τὸ ξενικὸν πλῆθος, ἐπὶ θέαν τοῦ τε ἱεροῦ καὶ τῶν κατὰ τὸν ναὸν ἁγίων. ὁ δὲ βασιλεὺς τοὺς μὲν παρακαλῶν, τοῖς δ' ἀπειλῶν, ἔστι δ' οὓς καὶ τοῖς ὅπλοις ἀνέστειλεν, ἥττης χαλεπωτέραν ἡγούμενος τὴν νίκην, εἴ τι τῶν ἀθεάτων παρ' αὐτῶν ὀφθείη. διεκώλυε δὲ καὶ τὰς κατὰ τὴν πόλιν ἁρπαγὰς, πολλὰ διατεινόμενος πρὸς Σόσσιον, εἰ χρημάτων τε καὶ ἀνδρῶν Ῥωμαῖοι τὴν πόλιν κενώσαντες καταλείψουσιν αὐτὸν ἐρημίας βασιλέα, καὶ ὡς ἐπὶ τοσούτῳ πολιτῶν φόνῳ, βραχὺ καὶ τὴν τῆς οἰκουμένης ἡγεμονίαν ἀντάλλαγμα κρίνει. τοῦ δὲ ἀντὶ τῆς πολιορκίας τὰς ἁρπαγὰς δικαίως τοῖς στρατιώταις ἐπιτρέπειν φαμένου, αὐτὸς ἔφη διανέμειν ἐκ τῶν ἰδίων χρημάτων τοὺς μισθοὺς ἑκάστοις. οὕτω τε τὴν λοιπὴν ἐξωνησάμενος πόλιν, τὰς ὑποσχέσεις ἐπλήρωσε. λαμπρῶς μὲν γὰρ ἕκαστον στρατιώτην, ἀναλόγως δὲ τοὺς ἡγεμόνας, βασιλικώτατα δ' αὐτὸν ἐδωρήσατο Σόσσιον, ὡς πάντας ἀπελθεῖν χρημάτων εὐποροῦντας. τοῦτο τὸ πάθος συνέβη τῇ Ἱεροσολυμιτῶν πόλει, ὑπατεύοντος ἐν Ῥώμῃ Μάρκου Ἀγρίππα, καὶ Κανιδίου Γάλλου, ἐπὶ τῆς ρπε'

& cuniculis obuios agebant alios cuniculos, vt nonnunquam sub terra manus consererent, vrentésque desperatione pro fortitudine ad extremum perdurabant, idque obsessi à tam numeroso exercitu, ipsi fame simul laborantes & inopia. nam in sabbaticum annum inciderat oppugnatio. Tandem euaserunt in mœnia primùm lectissimi viginti milites, deinde Sosij centurio. captus est enim primus murus die quadragesima, secundus verò quintadecima: & quædam porticus circa templum exustæ sunt quas Herodes Antigonum incendisse calumniabatur, volens in eum concitare inuidiam populi. Capta verò exteriore templi parte & ima vrbe, Iudæi ad interiora templi & superiorem vrbem refugerunt: timentésque ne à Romanis impedirentur mactare Deo quotidianas victimas, per legatos petierunt vt has tantùm sinerentur introducere. Rex verò annuit, sperans remissa tandem obstinatione cessuros. Vt verò spem suam frustratam vidit pertinaciter pro Antigoni regno contendentibus, totis viribus adortus vrbem expugnauit: móxque omnia repleta sunt cędibus, Romanis longa oppugnatione exacerbatis, Herodianis Iudæis conantibus aduersam factionem extirpare funditus: erátque continua cædes per angiportus & domos, ne religione quidem templi tuente supplices. non ætati vlli parcebatur, non sexui, ne imbelli quidem: & quamuis obstante rege, & precibus intercedente, nemo tamen temperabat à manibus, sed veluti furore perciti sæuiebant nullo ætatis discrimine. Antigonus quoque neque veteris neque recentis suæ fortunæ ratione satis habita descendit è turri, Sosióque ad genua procidit. & ille nihil miseratus mutatam eius fortunam insultauit homini Antigonam appellans. non tamen incustoditum reliquit tanquam fœminam, sed vincto custodes addidit. Cæterũ Herodes deuictis hostibus, non minus negotij habuit in cõpescendis alienigenarum auxiliis. ruebãt enim multitudo conductitiorum ad viscendum non fanum solùm, sed intimum etiam adytum. Rex verò alios precibus, alios minis, nonnullos & armis reprimebat, molestiorem clade victoriam existimans, si quid eorum quæ videri fas non est, veniret in conspectum profanæ multitudinis. Prohibebat etiam rapinas per vrbem fieri, identidem Sosium rogitans, solitudinísne se regem Romani facturi essent, exhausta vrbe rapinis simul ac cædibus: exiguúmque dicens sibi videri tantæ ciuium cædis precium, etiam si totius orbis dominium contingeret. Illo verò referente pro expugnatione vrbis direptionem meritò permitti militi, promisit se de suo mercedem numeraturum singulis. atque ita redempta ciuitate ab vlteriore vexatione, promissa persoluit. Liberaliter enim militibus, & pro portione ducibus, Sosio verò etiam regiè dedit munera, ita vt omnes bene nummati discederent. Ea clades Hierosolymorum incidit in consulatum M. Agrippæ & Canidij Galli, CLXXXV.

Olympiade, mense tertio, feriis quibus solenne fit ieiunium, tanquam recurrente in idem temporis monumentum illata Iudæis à Pompeio calamitate. Nam & ab illo eadem die vrbs capta fuerat ante annos vigintiseptem. Sosius autem consecrata Deo corona aurea profectus est Hierosolymis, Antigonum vinctum ducens ad Antonium. Herodes autem veritus ne asseruatus Antigonus, & Romam perductus ab Antonio, apud senatum iure secum contenderet, docens se regio natum sanguine, Herodem verò plebeium, & quòd si ipse propter offensum Rom. pop. indignus esset qui regnet, certè filiis eius insontibus regnum debeatur: hæc inquam timens multis pecuniis induxit Antonium vt Antigonum tolleret. quo facto tum demum Herodes metu liberatus est. atque ita Assamonæi principatus desiit post annum centesimum vigesimumsextum: quæ domus illustris fuit, & celebrata propter continuatum in ea gente honorem sacerdotij, facinoráque maiorum egregia, quibus propugnauerũt Iudæorum rempublicam. Verùm hæc familia intestinis seditionibus agitata amisit imperium. Administratio autem rerum peruenit ad Herodem Antipatri filium, plebeio natum genere, & subiecto regibus. Atque hunc Assamonæorum exitum à maioribus traditum accepimus.

A ὀλυμπιάδος, τῷ γʹ μηνὶ, τῇ ἑορτῇ τῆς νηστείας, ὥσπερ ἐκ περιτροπῆς τῆς γενομένης ἐπὶ πομπηΐου τοῖς ἰουδαίοις συμφορᾶς, καὶ γὰρ ὑπ' ἐκείνου τῇ αὐτῇ ἑάλωσαν ἡμέρᾳ, μετὰ ἔτη κζʹ. σόσσιος δὲ χρυσοῦν ἀναθέμενος τῷ θεῷ στέφανον, ἀνέζευξεν ἀπὸ ἱεροσολύμων ἀντίγονον ἄγων δεσμώτην ἀντωνίῳ. δείσας δὲ ἡρώδης, μὴ φυλαχθεὶς ἀντίγονος ὑπ' ἀντωνίου, καὶ κομισθεὶς εἰς ῥώμην ὑπ' αὐτοῦ δικαιολογήσηται πρὸς τὴν σύγκλητον, ἐπιδεικνὺς αὐτὸν μὲν ἐκ βασιλέων, B ἡρώδην δὲ ἰδιώτην, καὶ ὅτι προσῆκεν αὐτοῦ βασιλεύειν τοὺς παῖδας διὰ τὸ γένος, εἰ καὶ αὐτὸς εἰς ῥωμαίους ἐπεξήμαρτε. ταῦτα φοβούμενος, πολλοῖς χρήμασι πείθει τὸν ἀντώνιον ἀνελεῖν τὸν ἀντίγονον. οὗ γενομένου, τοῦ δέους μὲν ἡρώδης ἀπαλλάσσεται. παύεται δ' οὕτως ἡ τοῦ ἀσαμωναίου ἀρχὴ, μετὰ ἔτη ρκϛʹ. οἶκος λαμπρὸς οὗτος ἦν, καὶ διάσημος γένους ἕνεκα καὶ τῆς ἱερατικῆς τιμῆς, ὧν τε ὑπὲρ τοῦ ἔθνους οἱ γο- C νεῖς αὐτοῦ διεπράξαντο. ἀλλ' οὗτοι μὲν διὰ τὴν πρὸς ἀλλήλους στάσιν, τὴν ἀρχὴν ἀπέβαλον. μετέβη δ' εἰς ἡρώδην τὸν ἀντιπάτρου, οἰκίας ὄντα δημοτικῆς, καὶ γένους ἰδιωτικοῦ, καὶ ὑπακούοντος τοῖς βασιλεῦσι. καὶ τοῦτο μὲν τὸ τέλος τοῦ ἀσαμωναίων γένους παρειλήφαμεν.

ΤΑΔΕ ΕΝΕΣΤΙ ΕΝ ΤΩ ΠΕΝΤΕ ΚΑΙ ΔΕΚΑΤΩ ΛΟΓΩ
τῆς ἰωσήπου ἱστοριῶν τῆς ἰουδαϊκῆς ἀρχαιολογίας.

Ὡς ληφθείσης τῆς ἱεροσολυμιτῶν πόλεως ὑπὸ σοσίου καὶ ἡρώδου, ἀντώνιος μὲν ἀντίγονον ἐπελέκισεν ἐν ἀντιοχείᾳ, ἡρώδης δὲ μεʹ τῶν ἐκείνου φίλων πρώτους ἱεροσολυμιτῶν ἐπανελθὼν ἀνείλετο, καὶ τὴν πόλιν ἠργυρολόγησεν. Κεφ. α.

Ὃν τρόπον ὑρκανὸς, πρότερος βασιλεὺς ἰουδαίων καὶ ἀρχιερεὺς, ἀφεθεὶς ὑπὸ τοῦ τῶν πάρθων βασιλέως ἀρσάκου, πρὸς ἡρώδην ὑπέστρεψεν. Κεφ. β.

Ὡς ἡρώδης ἀριστόβουλον τὸν τῆς γυναικὸς μαριάμμης ἀδελφὸν ἀρχιερέα καταστήσας, μετ' οὐ πολὺ διαφθαρῆναι παρεσκεύασεν. Κεφ. γ.

Ὡς κλεοπάτρα τῇ τῶν ἰουδαίων καὶ ἀράβων ἐπιβουλεύουσα βασιλείᾳ, μέρη λαβεῖν αὐτῶν ἴσχυσεν παρ' ἀντωνίου. Κεφ. δ.

Κλεοπάτρας εἰς τὴν ἰουδαίαν παρουσία. Κεφ. ε.

Ὡς ἡρώδης ἐπολέμησεν ἀρέταν, καθ' ὃν καιρὸν ἀντώνιος ὑπὸ καίσαρος ἐν τῇ κατ' ἄκτιον νικᾶται μάχῃ. Κεφ. ϛ.

Περὶ τοῦ γενομένου σεισμοῦ κατὰ τὴν ἰουδαίαν, καὶ τῆς φθορᾶς τῶν ἀνθρώπων καὶ βοσκημάτων. Κεφ. ζ.

Λόγος ἡρώδου πρὸς τοὺς ἰουδαίους ἀθυμοῦντας πρὸς τὰ πάθη, καὶ τὴν ἧτταν γενομένην. Κεφ. η.

HÆC IN IOSEPHI DECIMOQVINTO ANTIQVITATVM
Iudaicarum libro continentur.

Expugnatis à Sosio & Herode Hierosolymis Antigonus ab Antonio securi percutitur, Herodes verò XLV. ex primatibus Hierosolymitanis de factione Antigoni interimit, & ciuibus pecuniam extorquet. Cap. I.

Quomodo Hyrcanus antea Iudæorum rex & Pontifex à Parthis dimissus ad Herodem reuersus est. Cap. II.

Herodes Aristobulum coniugis suæ Mariammes fratrem Pontificem declaratum non multò post necandum curauit. Cap. III.

Cleopatra Iudæorum & Arabum regnis inhians partem eorum ab Antonio impetrare conatur. Cap. IV.

Cleopatræ Reginæ in Iudæam aduentus. Cap. V.

Herodes bellum Aretæ infert, quo tempore Antonius à Cæsare Actiaco prælio victus est. Cap. VI.

De terræmotu qui Iudæam, multis hominum & pecorum millibus peremptis, afflixit. Cap. VII.

Herodis concio ad exercitum aduersis casibus territum. Cap. VIII.

Ὡς

Ὡς ἀνάγκην ἔχων ἡρώδης ἀπεῖναι πρὸς καίσαρα νενικηκότα, διέφθειρεν ὑρκανόν. Κεφ. θ.
Ὡς ἡρώδης ἔσχεν καὶ παρὰ καίσαρος τὴν βασιλείαν. Κεφ. ι.
Ὡς ἐπανελθὼν ὑφ' ὧν δέοι διαβολαῖς παρωξύνθη τὴν γυναῖκα μαριάμμην ἀποκτεῖναι. Κεφ. ια.
Περὶ τοῦ λιμοῦ κατὰ τὴν ἰουδαίαν καὶ συρίαν γεγονότος, καὶ ὡς διέσωσε τὰ πλήθη καὶ τὰς πόλεις ἡρώδης. Κεφ. ιβ.
Κτίσις καισαρείας. Κεφ. ιγ.
Ὡς καθελὼν ἐν ἱεροσολύμοις τὸν ἀρχαῖον ναὸν, ἄλλον ἀνέστησε. Κεφ. ιδ.

Herodes ad Cæſarem, neceſſariò profecturus Hyrcanum interficit. CAP. IX.
Quomodo Herodes regnum etiam à Cæſare obtinuit. CAP. X.
Herodes reuerſus Mariammem calumniis oppreſſam interficit. CAP. XI.
De fame quæ Iudæam & Syriam afflixit, & quomodo Herodes multis ciuitatibus ſaluti fuit. CAP. XII.
Cæſaræ conditus. CAP. XIII.
Herodes nouum templum Hieroſolymis ædificat. CAP. XIV.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΙ-ΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ

ΛΟΓΟΣ ΠΕΝΤΕ ΚΑΙ ΔΕΚΑΤΟΣ.

FLAVII IOSEPHI ANTI-QVITATVM IVDAICARVM

LIBER DECIMVSQVINTVS.

Cap. I.

Expugnatis à Sosio & Herode Hierosolymis, Antigonus ab Antonio securi percutitur, Herodes verò præcipuum quemque ex amicorum eius cohorte interimit.

HIEROSOLYMORVM expugnationem Sosij ductu atque Herodis, & captiuitatem Antigoni superiore volumine diximus: nunc quæ deinceps consecuta sunt dicemus. Postquam tota Iudæa potitus est Herodes, quantum vrbanæ plebis etiam nondum regnum adepto fauerat, eos vicissim promouebat: aduersæ autem factionis homines quotidianis absumebat suppliciis. in præcipuo honore apud eum erat Pollio Pharisæus, & Sameas huius discipulus. dum enim obsiderentur Hierosolyma, hi consulebant ciuibus vt Herodem in vrbem reciperent, eámque ob rem gratiam illis habuit. Pollio verò hic olim capitis reo Herode, Hyrcano cæterísque iudicibus prædixit opprobrans, quòd absolutus eorum sententiis ab omnibus illis pœnas exigeret, quam prædictionem procedente tempore Deus euentu comprobauit. Tunc verò captis Hierosolymis, omnem regiam suppellectilem in vnum congessit: à diuitibus quoque ablata & collecta magna vi auri ac argenti, totum id Antonio eiúsque amicis donauit. Interfecit etiam XLV. primates ex factione Antigoni appositis ad portas custodibus, qui etiam cadauera scrutabantur ne quis eorum efferretur pro mortuo. Et quicquid auri aut argenti inueniebatur, id totum ad regem referebatur, nec vllus finis malorum aderat. nam bona eorum auaritia domini egentis absumebat: & agri inculti manebant propter tempus anni sabbatici, quo nobis nõ est fas serere. Cæterùm Antonius accepto Antigono volebat eũ vinctum seruare ad triumphum: sed vbi audiuit gentem ad res nouas spectare, & odio Herodis fauere Antigono, magis placuit apud Antiochiam

Κεφάλαιον α'.

Ὡς ληφθείσης τῆς ἱεροσολυμιτῶν πόλεως ὑπὸ σοσίου καὶ ἡρώδου, ἀντώνιος μὲν ἀντίγονον ἐπελέκισεν, ἡρώδης δὲ τῶν ἐκείνου φίλων τοὺς πρώτους ἀνείλετο.

ΣΟΣΙΟΣ μὲν οὖν καὶ ἡρώδης ὡς κατὰ κράτος ἔλαβον ἱεροσόλυμα, καὶ πρὸς τούτοις αἰχμάλωτον ἀντίγονον, ἡ πρὸ ταύτης ἡμῖν ἐδήλωσε βίβλος. τὰ δὲ ἐκείνης συνεχῆ, νῦν ἐροῦμεν. ἐπειδὴ γὰρ τῆς ὅλης ἰουδαίας ἐνεχειρίσθη τὴν ἀρχὴν ἡρώδης, τοῦ κατὰ τὴν πόλιν πλήθους, ὅσον μὲν ἦσαν ἰδιωτεύοντες ἔτι τὰ ἐκείνου φρονοῦντες, ἐν προαγωγῇ τούτους ἐποιεῖτο. τοὺς δὲ τὰ τῶν ἐναντίων ἑλομένους, οὐκ ἐπέλιπε τιμωρούμενος καὶ κολάζων καθ' ἑκάστην ἡμέραν. ἐτιμᾶτο δὲ μάλιστα παρ' αὐτῷ πολλίων φαρισαῖος καὶ σαμέας ὁ τούτου μαθητής. πολιορκουμένων γὰρ τῶν ἱεροσολύμων οὗτοι συνεβούλευον δέξασθαι τοῖς πολίταις τὸν ἡρώδην, ἀνθ' ὧν καὶ τὰς ἀμοιβὰς ἀπελάμβανον. ὁ δὲ πολλίων οὗτος καὶ κρινομένου ποτὲ ἡρώδου, τὴν ἐπὶ θανάτῳ, προεῖπεν ὀνειδίζων ὑρκανῷ καὶ τοῖς δικάζουσιν ὡς περισωθεὶς ἡρώδης ἅπαντας αὐτοὺς ἐπελεύσεται, καὶ τοῦτο χρόνῳ προὔβη, τοῦ θεοῦ τοὺς λόγους αὐτοῦ τελειώσαντος. ἐν δὲ τῷ τότε κρατήσας τῶν ἱεροσολύμων, πάντα συνεφόρει τὸν ἐν τῇ βασιλείᾳ κόσμον. ἔτι καὶ τοὺς εὐπόρους ἀφαιρούμενος, καὶ συναγαγὼν πλῆθος ἀργυρίου καὶ χρυσίου, παντὶ τούτῳ τὸν ἀντώνιον ἐδωρεῖτο, καὶ τοὺς περὶ αὐτὸν φίλους. ἀπέκτεινε δὲ μὲ τοὺς πρώτους ἐκ τῆς αἱρέσεως ἀντιγόνου, φύλακας περιστήσας ταῖς πύλαις τῶν τειχῶν, ἵνα μή τις συνεκκομισθῇ τοῖς τεθνεῶσι, καὶ τοὺς νεκροὺς ἠρεύνουν, καὶ πᾶν τὸ εὑρισκόμενον ἀργύριον ἢ χρυσίον ἢ τι κειμήλιον ἀνεφέρετο τῷ βασιλεῖ, πέρας τε κακῶν οὐδὲν ἦν. τὰ μὲν γὰρ ἡ πλεονεξία τοῦ κρατοῦντος διεφόρει ἐν χρείᾳ γινομένου, τὴν δὲ χώραν μένειν ἀγεώργητον, τὸ ἑβδοματικὸν ἠνάγκαζεν ἔτος. ἐνειστήκει γὰρ τότε, καὶ σπείρειν ἐν ἐκείνῳ τὴν γῆν ἀπηγορευμένον ἐστὶν ἡμῖν. ἀντώνιος δὲ λαβὼν αἰχμάλωτον τὸν ἀντίγονον, δέσμιον ἔγνω μέχρι τοῦ θριάμβου φυλάττειν. ἐπεὶ δ' ἤκουσε νεωτερίζειν τὸ ἔθνος, κἀκ τοῦ πρὸς ἡρώδην μίσους εὔνουν ἀντιγόνῳ διαμένον, ἔγνω τοῦτον ἐν ἀντιοχείᾳ πελε-

πελεκίσαι. σχεδὸν γὰρ οὐδαμῶς ἠρεμεῖν ἠδύναντο ἰουδαῖοι. μαρτυρεῖ δέ μου τῷ λόγῳ στράβων ὁ καππάδοξ λέγων οὕτως. ἀντώνιος μὲν ἀντίγονον τὸν ἰουδαῖον ἀχθέντα εἰς ἀντιόχειαν πελεκίζει, καὶ ἔδοξε μὲν οὗτος πρῶτος ῥωμαίων βασιλέα πελεκίσαι, οὐκ οἰηθεὶς ἕτερον τρόπον μεταθεῖναι ἂν τὰς γνώμας τῶν ἰουδαίων ὥστε δέξασθαι τὸν ἀντ᾽ ἐκείνου καθεσταμένον ἡρώδην. οὐδὲ γὰρ βασανιζόμενοι βασιλέα αὐτὸν ἀναγορεύειν ὑπέμειναν, οὕτως μέγα τι ἐφρόνουν περὶ τοῦ πρώτου βασιλέως. τὴν οὖν ἀτιμίαν ἐνόμισε μειώσειν τῆς πρὸς αὐτὸν μνήμης, μειώσειν δὲ τὸ πρὸς ἡρώδην μῖσος. ταῦτα μὲν ὁ στράβων. κατασχόντος δὲ τὴν βασιλείαν ἡρώδου, πυθόμενος ὑρκανὸς ὁ ἀρχιερεὺς, ὢν δὲ παρὰ πάρθοις αἰχμάλωτος, ἀφικνεῖται πρὸς ἡρώδην τῆς αἰχμαλωσίας ἀπολυθεὶς τρόπῳ τοιούτῳ. βαρζαφάρνης καὶ πάκορος οἱ τῶν πάρθων στρατηγοὶ, λαβόντες αἰχμαλώτους, ὑρκανὸν τὸν πρῶτον ἀρχιερέα γενόμενον εἶτα βασιλέα, καὶ τὸν ἀδελφὸν ἡρώδου φασάηλον, εἰς πάρθους ἀνῆγον. ὁ φασάηλος μὲν οὐ φέρων τὴν ἐν τοῖς δεσμοῖς αἰσχύνην, πάσης δὲ ζωῆς κρείττονα τὸν μετὰ δόξης ἡγούμενος θάνατον, αὐτὸς ἑαυτοῦ γίνεται φονεὺς, καθὼς προεῖπον.

Κεφάλαιον β'.

Ὃν τρόπον ὑρκανὸς ἀφεθεὶς ὑπὸ τῶν πάρθων πρὸς ἡρώδην ὑπέστρεψεν.

Ὑρκανῷ δ᾽ ἀναχθέντι, φραάτης ὁ τῶν πάρθων βασιλεὺς, ἐπ᾽ αὐτὸν ἐπιεικέστερον προσηνέχθη τὸ τῆς εὐγενείας αὐτοῦ διάσημον προπυθόμενος. διὰ τοῦτο δεσμῶν μὲν ἀφῆκεν, ἐν βαβυλῶνι δὲ καταγέσθαι παρεῖχεν, ἔνθα καὶ πλῆθος ἦν ἰουδαίων. οὗτοι τὸν ὑρκανὸν ἐτίμων ὡς ἀρχιερέα καὶ βασιλέα, καὶ πᾶν τὸ μέχρις εὐφράτου νεμόμενον ἰουδαίων ἔθνος, τῷ δ᾽ ἦν ἀγαπητὰ ταῦτα. πυθόμενος δὲ τὸν ἡρώδην παρειληφέναι τὴν βασιλείαν, ἀντιμεταχωρεῖ ταῖς ἐλπίσιν ἐξ ἀρχῆς τε φιλοστόργως διακείμενος, καὶ τῆς χάριτος ὑπομνησθήσεσθαι προσδοκῶν, ὅτι κρινόμενον καὶ μέλλοντα θανάτῳ ζημιοῦσθαι, τοῦ κινδύνου καὶ τῆς κολάσεως ἐρρύσατο. λόγους οὖν προσεφέρετο τοῖς ἰουδαίοις, ἵναι παρ᾽ αὐτὸν ἐσπουδακόσι. οἱ δὲ περιείχοντο καὶ μένειν ἠξίουν, τὰς ὑπουργίας ἅμα καὶ τὰς τιμὰς λέγοντες, ὡς οὐδὲν ἐνδεὲς αὐτῷ τῆς εἰς τοὺς ἀρχιερεῖς ἢ βασιλεῖς τιμῆς ἐξ αὐτῶν εἴη, καὶ τὸ μεῖζον ὅτι μηδὲ ἐκεῖ τούτων μεταλαβεῖν δύναται, κατὰ λώβην τοῦ σώματος ἣν ὑπ᾽ ἀντιγόνου πάθοι, τάς τε χάριτας οὐχ ὁμοίως ἀποδίδοσθαι παρὰ τῶν βασιλέων ἃς ἔλαβον ἰδιωτεύοντες, ἐξαλλαττούσης αὐτοὺς οὐκ ὀλίγως τῆς τύχης. τοιαῦτα καὶ τὸ συμφέρον ὑποτεινόντων, ὑρκανὸς πόθον εἶχεν ἀπιέναι. καὶ καὶ γράφων ἡρώδης παρεκάλει δεῖσθαι φραάτου καὶ τῶν ἐκεῖ ἰουδαίων, μὴ φθονῆσαι δυνάμεως κοινὴν ἕξοντι τὴν βασιλείαν. ἄρτι γὰρ εἶναι καιρὸν αὐτῷ μὲν ἐκτῖσαι τὰς χάριτας ὧν εὖ πάθοι, καὶ τραφεὶς ὑπ᾽ αὐτοῦ καὶ περισωθεὶς, ἐκείνῳ δὲ κομίζεσθαι. τοιαῦτα γράφων ὑρκανῷ, πέμπει καὶ παρὰ τὸν φραάτην πρεσβευτὴν σαραμάλλαν, καὶ δῶρα πλείω, μὴ διακωλῦσαι τὰς εἰς τὸν εὐεργέτην αὐτοῦ χάριτας, ὁμοίως φιλανθρωπευόμενος. ἦν δ᾽ οὐκ ἐντεῦθεν ἡ σπουδὴ, διὰ δὲ τὸ μὴ κατ᾽ ἀξίαν αὐτὸς ἄρχειν, ἐδεδοίκει τὰς ἐκ λόγων μεταβολὰς, καὶ τὸν ὑρκανὸν ὑποχείριον ἔχειν ἐσπούδαζεν, ἢ καὶ παντάπασιν ἐκποδὼν ποιήσασθαι.

eum securi percutere. vix enim Iudæi contineri poterant in officio. Testis est Strabo sic scribens. Antonius Antigonum Iudæum perductum Antiochiam securi subiecit: Romanorúmque primus affecit regem hoc supplicio, ratus non aliter posse adduci Iudæos vt Herodem pro illo regem constitutum admitterent. nam ne tormentis quidem adigi poterant vt appellatione regis eum dignarentur: tanta apud eos fuit prioris regis existimatio. quare visum est ignominiosa morte obscurare eius memoriam, & lenire publicum Herodis odium. Hæc Strabo. Hyrcanus autem pontifex captiuus apud Parthos cognito quòd Herodes regnum assecutus sit, reuersus est ad eũ, in hunc modum dimissus. Barzapharnes & Pacorus Parthorum duces, Hyrcanum qui primò pontifex, deinde rex fuit, & fratrem Herodis Phasaëlum, captiuos abduxerãt: quorum Phasaëlus non ferens captiuitatis dedecus, & turpi vitæ honestam mortem præferens, seipse interfecit, sicut suprà diximus.

Cap. II.

Quomodo Hyrcanus à Parthis dimissus ad Herodem reuersus est.

Hyrcanum autem ad se perductum Phraates Parthorum rex propter claritatem generis comiter habuit: & vinculis solutum permisit Babylone degere, vbi magna erat Iudæorum frequentia. hi non aliter quàm pontifici ac regi Hyrcano honorem habebant, nec hi solùm, sed quantum Iudæorum vltra Euphratem habitat: ita vt non admodum præsentis fortunæ pœniteret hominem. Sed postquã resciuit Herodem ad regiam dignitatem euectum, ad nouas se spes transtulit, natura suorum amans, & gratiam ab eis expectans, quòd aliquando de capite periclitantem seruasset in iudicio. Cœpit igitur de profectione consultare cum Iudæis, officij causa inuisere illum solitis: qui tamen vt maneret ei suadebant, commemorantes obsequia sua & honores quos exhiberent non aliter quàm vel regi vel pontifici: imò ne in patria quidem talem dignitatem eum obtinere posse, propter corpus mutilatum ab Antigono. nec reges solere meminisse accepti in priuata vita beneficij, quandoquidem mores cum fortuna sint mutabiles. nec tamen his monitis Hyrcano potuerunt eximere patriæ desiderium. Herodes quoque ei scripsit, rogaret Phraatem & eius regni Iudæos, ne sibi inuiderent communem cum genero futuram potestatem, nunc enim adesse tempus referendæ suo quondam & altori & seruatori gratiæ. Simúlque etiam ad ipsum Phraatem legatum misit Saramallam cũ multis muneribus, eblanditurum ne obstaret cupienti referre gratiam homini de se optimè merito. Nec tamen re vera hoc agebat: sed quia ipse grauis esset princeps, cauens mutationis occasiones, quærebat Hyrcanum in potestatem suam redigere, aut etiam omnino tollere:

id quod postea fecit. Tunc autem dimissum à Partho, & ab illis Iudæis honorificè adiutum viatico, cùm excepisset, in summo honore habuit: primúmque in conuentibus locum ei tribuendo, & in conuiuiis semper honoratiorem cedendo, patrémque appellitando, lactabat hominem quo minus suspicaretur insidias: quin & aliis artibus procurabat quicquid putaret sibi ad stabiliendum principatum conducibile, vnde tamen domesticæ seditionis enata est occasio. Cauens enim ne quis illustrium crearetur pontifex, accito Babylone obscuri generis sacerdote Ananelo, huic summum sacerdotium dedit. Mox igitur Alexandra non tulit hanc contumeliam, Hyrcani filia vxor Alexandri Aristobuli regis filij, ex quo liberos habebat, alterum formosissimum, nomine Aristobulum, alteram Mariamnen Herodis coniugem, insignis pulchritudine fœminam. Hæc iniquissimè ferebat contemptum filium, quòd eo superstite aliunde vocatus pontificatum vsurparet. Scribit igitur Cleopatræ per quendam fidicinem, vt pontificatum filio suo petat ab Antonio. Sed Antonio rem negligente, amicus eius Gellius ob quædam negotia in Iudæam profectus, vt vidit Aristobulum, delectatus est eius forma, admiratus staturam adolescentis simul & pulchritudinē, nec minus Mariamnem regiam coniugem, felicémque prole Alexandram prædicans. cum qua collocutus persuasit vt depictas amborum effigies ad Antonium mitteret. fore enim vt his conspectis ille nihil non à se impetrari patiatur. his verbis excitata mulier eas effigies ad eum transmisit. Gellius quoque rem exaggerabat, affirmans eos sibi visos non mortali, sed planè diuino natos genere, volens Antonium in amores pellicere. qui indecorum sibi ratus puellam Herodi nuptam accersere, atque etiam Cleopatræ suspiciones vitans, scripsit vt aliquo honesto prætextu filium ad se mitteret, addens nisi molestum videatur. Quæ postquam relata sunt Herodi, non putauit tutum Aristobulum in ipso flore ætatis, videlicet decimumsextum agentem annum, adhæc genere nobilissimum mittere ad Antonium, primùm Romanorum nemini cedentem, deinde procliuem ad libidines, & huiusmodi voluptates vndecunque venantem impune propter potentiam. Rescripsit igitur, si vel pedem è regno suo moueat adolescens, fore vt cuncta compleantur bellicis tumultibus, Iudæis nouationem rerum sub alio rege sperantibus. hoc pacto cùm satisfecisset Antonio, decreuit non omnino adolescentem & Alexandram spernere, vxore etiam Mariamne assiduis precibus obtundente vt fratri debitum pontificatum redderet, dicentéque ipsi quoque id fore commodum, adempta per honorem adolescenti peregrinandi facultate. Aduocato igitur amicorum concilio, multis verbis in Alexandrá inuectus est: cá & clàm regno suo insidiatá, & per Cleopatrá id agere vt ope Antonij à se regimen transferatur

τοῦτο γὰρ ἔπραξεν ἐν ὑστέρῳ. τότε μέντοι γε ἐπειδὴ παρῆν πεπεισμένος, ἀφέντος τε τοῦ πάρθου καὶ τῶν ἰουδαίων χρήματα παρεχομένων, ἁπάσῃ τιμῇ διαδεξάμενος αὐτὸν, ἔν τε τοῖς συλλόγοις τὸ πρῶτον ἔνεμε πέπον, καὶ παρὰ τὰς ἑστιάσεις προκατακλίνων ἐξηπάτα, πατέρα καλῶν, καὶ παντελῶς τὸ τῆς ἐπιβουλῆς ἀνύποπτον πραγματευόμενος. ὑποκαθίστατο δὲ καὶ τἄλλα πρὸς τὸ συμφέρον τῆς ἀρχῆς, ἐξ ὧν αὐτῷ καὶ τὰ περὶ τὴν οἰκίαν ἐστασιάσθη. φυλαττόμενος γάρ τινα τῶν ἐπισήμων ἀποδεικνύειν ἀρχιερέα τοῦ θεοῦ, μεταπεμψάμενος ἐκ τῆς βαβυλῶνος ἱερέα τῶν ἀσημοτέρων ἀνάνηλον ὀνόματι, τούτῳ τὴν ἀρχιερωσύνην δίδωσιν. εὐθὺς οὖν οὐκ ἤνεγκεν ἀλεξάνδρα τὴν ἐπήρειαν. θυγάτηρ μὲν ὑρκανοῦ, γυνὴ δὲ ἀλεξάνδρου τοῦ ἀριστοβούλου βασιλέως, ἐξ ἀλεξάνδρου παῖδας ἔχουσα, τὸν μὲν ἀρα κάλλιστον, ἀριστόβουλον καλούμενον, τὴν δὲ ἡρώδῃ συνοικοῦσαν μαριάμμην, εὐμορφίᾳ διάσημον. ἐπετάρακτο δὲ καὶ χαλεπῶς ἔφερε τὴν ἀτιμίαν τοῦ παιδὸς, εἰ περιόντος ἐκείνου, τῶν ἐπικλήτων τις ἀξιοῦται τῆς ἀρχιερωσύνης. καὶ γράφει κλεοπάτρᾳ μουσουργοῦ τινὸς αὐτῇ συμπραγματευομένου τὰ περὶ τὴν κομιδὴν τῶν γραμμάτων, αἰτεῖσθαι παρ᾽ ἀντωνίου τῷ παιδὶ τὴν ἀρχιερωσύνην. ἀντωνίου δὲ ῥαθυμότερον ὑπακούοντος ὁ φίλος αὐτοῦ δέλλιος εἰς ἰουδαίαν ἐλθὼν ἐπί τινας χρείας, ὡς εἶδε τὸν ἀριστόβουλον, ἠράσθη τε τῆς ὥρας, καὶ τὸ μέγεθος καὶ κάλλος ἐθαύμασε τοῦ παιδὸς, οὐχ ἧττον δὲ τὴν μαριάμμην συνοικοῦσαν τῷ βασιλεῖ. καὶ δῆλος ἦν καλλίπαιδά τινα τὴν ἀλεξάνδραν διειληφώς. ἐκείνης δὲ εἰς λόγους ἐλθούσης αὐτῷ, πείθει γραψαμένην ἀμφοτέρων εἰκόνας, ἀντωνίῳ διαπέμψασθαι. θεασάμενον γὰρ οὐδενὸς ἀτυχήσειν ὧν ἀξιοῖ. τούτοις ἐπαρθεῖσα τοῖς λόγοις ἀλεξάνδρα, πέμπει τὰς εἰκόνας ἀντωνίῳ. καὶ δέλλιος ἐτερατεύετο λέγων οὐκ ἐξ ἀνθρώπων αὐτῷ δοκεῖν, ἀλλά τινος θεοῦ γενέσθαι τοὺς παῖδας, ἐπραγματεύετο δὲ δι᾽ αὐτοῦ πρὸς ἡδονὰς ἑλκύσαι τὸν ἀντώνιον. ὁ δὲ, τὴν μὲν κόρην ᾐδέσθη μεταπέμπεσθαι, γεγαμημένην ἡρώδῃ, καὶ τὰς εἰς κλεοπάτραν διαβολὰς ἐκ τοῦ τοιούτου φυλαττόμενος. ἐπέστειλε δὲ πέμπειν τὸν παῖδα σὺν εὐπρεπείᾳ, προστεθεὶς, εἰ μὴ βαρὺ δοκοίη. τούτων ἀπενεχθέντων πρὸς ἡρώδην, οὐκ ἀσφαλὲς ἔκρινεν, ὥρᾳ τε κάλλιστον ὄντα τὸν ἀριστόβουλον, ἑκκαιδεκαέτης γὰρ ὢν ἐτύγχανε, καὶ γένει προύχοντα, πέμπει παρὰ τὸν ἀντώνιον, ἰσχύοντα μὲν ὡς οὐκ ἄλλος τότε ῥωμαίων, ἕτοιμον δὲ τοῖς ἐρωτικοῖς αὐτὸν ὑποθεῖναι, καὶ τὰς ἡδονὰς ἀπαρακαλύπτως ἐκ τοῦ δύνασθαι πορίζόμενον. ἀντέγραψεν οὖν, ὡς εἰ μόνον ἐξέλθοι τῆς χώρας τὸ μειράκιον, ἅπαντα πολέμου καὶ ταραχῆς ὑποπλησθήσεται, ἰουδαίων ἐλπισάντων μεταβολὴν καὶ νεωτερισμὸν ἐπ᾽ ἄλλῳ βασιλεῖ. τούτοις δὲ παραιτησάμενος τὸν ἀντώνιον, ἔγνω μὴ μέχρι παντὸς ἀτιμάζειν τὸν παῖδα καὶ τὴν ἀλεξάνδραν, ἀλλὰ καὶ τῆς γυναικὸς μαριάμμης ἐγκειμένης λιπαρῶς ἀποδοῦναι τἀδελφῷ τὴν ἀρχιερωσύνην, καὶ συμφέρειν αὐτῷ κρίνων, ἵνα μηδ᾽ ἀποδημῆσαι δυνατὸν ᾖ τετιμημένῳ, σύλλογον ποιήσας τῶν φίλων, ᾐτιᾶτο πολλὰ τὴν ἀλεξάνδραν, κρύφα τε ἐπιβουλεῦσαι λέγων τῇ βασιλείᾳ, καὶ διὰ τῆς κλεοπάτρας πράττειν ὅπως αὐτὸς μὲν ἀφαιρεθῇ τὴν ἀρχὴν, τὸ δὲ μειράκιον ἀντ᾽ αὐτοῦ παραλάβοι τὰ πράγματα δι᾽ ἀν-

δι' Ἀντωνίου. καὶ ταῦτα βούλεσθαι μὲν ἐκείνην οὐ δικαίως, ὁπότε καὶ τὴν θυγατέρα συναποστερεῖ τῆς οὔσης αὐτῇ τιμῆς, καὶ ταραχὰς ἐπὶ τῇ βασιλείᾳ πραγματεύοιτο, πολλὰ πονήσαντος αὐτοῦ, καὶ κτησαμένου κινδύνοις τοῖς οὐ τυχοῦσιν. οὐ μὴν ἀπομνημονεύσας αὐτὸς ὧν οὐ καλῶς ἐκείνη πράξειεν, ἀποστήσεσθαι τοῦ δίκαιος εἶναι περὶ αὐτούς, ἀλλὰ καὶ νῦν ἔφη διδόναι τῷ παιδὶ τὴν ἀρχιερωσύνην, καὶ πάλαι προκαταστήσασθαι τὸν Ἀνάνηλον, παιδίου παντάπασιν ὄντος Ἀριστοβούλου. τοιαῦτα λέγοντος οὐκ ἀσκέπτως, ἀλλ' ὅπερ ἠξίου μάλιστα πεφροντισμένως, εἰς ἀπάτην γυναικῶν καὶ τῶν συμπαραληφθέντων φίλων, περιπαθὴς ἅμα, καὶ χαρᾷ τῶν οὐ προσδοκηθέντων, καὶ δέει τῆς ὑποψίας, Ἀλεξάνδρα μετὰ δακρύων ἀπελογεῖτο. περὶ μὲν τῆς ἱερωσύνης φαμένη, πᾶν ὁτιοῦν ὑπ' ἀδοξίας σπουδάσαι. βασιλείᾳ δὲ μήτε ἐπιτίθεσθαι, μήτ' ἂν εἰ καὶ προσίοι, βούλεσθαι λαβεῖν καὶ νῦν ἀποχρώντως τιμῆς ἔχουσα, διὰ τὴν ἀρχὴν τὴν ἐκείνου, καὶ τὴν ἀσφάλειαν τὴν ἐκ τοῦ δύνασθαι μᾶλλον ἑτέρων ἄρχειν αὐτὸν, ἅπαντι τῷ γένει προσοῦσαν. νῦν τε νενικημένη ταῖς εὐεργεσίαις, δέχεσθαι μὲν εἰς τὸν υἱὸν τὴν τιμήν. ἔσεσθαι δὲ πρὸς πᾶν ὑπήκοος, παραιτεῖσθαι δὲ κἂν εἴ τι διὰ τὸ γένος καὶ τὴν οὖσαν αὐτῇ παρρησίαν προπετέστερον ὑπ' ἀναξιοπαθείας δράσειεν. οὕτως ἀλλήλοις ὁμιλήσαντες καὶ σπουδαιότερον ἢ θᾶττον ἐνδεξιαῖς διελύοντο, πάσης ὑποψίας ὡς ἐδόκουν ἐξῃρημένης.

Κεφάλαιον γ'.

Ὡς Ἡρώδης Ἀριστόβουλον τὸν τῆς γυναικὸς Μαριάμμης ἀδελφὸν ἀρχιερέα καταστήσας, μετ' οὐ πολὺ διαφθαρῆναι παρεσκεύασεν.

Ὁ δὲ βασιλεὺς Ἡρώδης, εὐθὺς μὲν ἀφαιρεῖται τὴν ἀρχιερωσύνην Ἀνάνηλον, ὄντα μὲν ὡς καὶ πρότερον εἴπομεν οὐκ ἐπιχώριον, ἀλλὰ τῶν ὑπὲρ Εὐφράτην ἀπῳκισμένων Ἰουδαίων. οὐ γὰρ ὀλίγαι μυριάδες τοῦδε τοῦ λαοῦ περὶ τὴν Βαβυλωνίαν ἀπῳκίσθησαν, ἔνθεν ἦν Ἀνάνηλος, ἀρχιερατικοῦ γένους, καὶ πάλαι κατὰ συνήθειαν Ἡρώδῃ σπουδαζόμενος. τοῦτον αὐτὸς μὲν ἐτίμησεν, ὅτε τὴν βασιλείαν παρέλαβεν. αὐτὸς δὲ κατέλυσεν, ἐπὶ τῷ παῦσαι τὰς οἰκείας ταραχὰς παράνομα ποιῶν. οὐ γὰρ ἄλλος γέ τις ἀφῃρέθη τὴν τιμὴν ἅπαξ παραλαβών. ἀλλὰ πρῶτος μὲν Ἀντίοχος ὁ Ἐπιφανὴς ἔλυσε τὸν νόμον, ἀφελόμενος μὲν Ἰησοῦν, καταστήσας τὸν ἀδελφὸν Ὀνίαν. δεύτερος δὲ Ἀριστόβουλος Ὑρκανὸν ἀφείλετο τὸν ἀδελφόν. Ἡρώδης δὲ τρίτος ἀντιπαρέδωκε τὴν ἀρχὴν Ἀριστοβούλῳ τῷ παιδί. καὶ τότε μὲν ἐδόκει τεθεραπευκέναι τὰ περὶ τὴν οἰκίαν. οὐ μὴν ὅπερ εἰκὸς ἐν διαλλαγαῖς ἀνυπόπτως διετέλει. τὴν Ἀλεξάνδραν ἐπί τε τοῖς ἐγχειρισθεῖσιν ἤδη, καὶ καιρὸν εἰ λάβοι νεωτέρων πραγμάτων ἠξιωκὼς δεδοικέναι. προσέταττεν οὖν ἐν τοῖς βασιλείοις διατρίβειν, καὶ μηδὲν ἐπ' ἐξουσίας δρᾶν. ἐπιμελεῖς τε ἦσαν αἱ φυλακαί, λανθάνοντος οὐδ' ἔτι πρὸς τὴν καθ' ἡμέραν δίαιταν ἐπιτηδεύοιτο. ταῦτα πάντα κατὰ μικρὸν αὐτὴν ἐξηγρίου, καὶ μῖσος ὑπέφυε. φρονήματος γὰρ ἐμπλέως οὖσα γυναικείου, ἐκ τῆς ὑπόπτου ἐπιμελείας ἠναξιοπάθει, παντὸς οὖν τινος ἀξιοῦσα μᾶλλον, ἢ τῆς παρρησίας στερομένη, τιμῆς εὐπρεπείᾳ, μετὰ δουλείας

in puerum: idque tanto iniustius eam moliri, quod & filiam suam interim honore parto priuare conetur, & regnum perturbatione reipublicę aliis parare, quod ipse quæsisset multis sudoribus ac periculis, se tamen præteritorum libenter obliuisci, nec desinere pietatem erga eā cæterásque necessitudines colere: & nunc eius filio pontificatū reddere, cui Ananelus hactenus propter ætatem immaturam prælatus sit. Hæc postquam elocutus est verbis meditatis, quo magis fucum faceret mulieribus & amicorum consistorio, Alexandra vix sui compos tum præ gaudio tū quòd se suspectam intelligeret, cœpit cū lacrymis pro se verba facere. fassa pro sacerdotio nihil non tentasse indignitatis & contemptus impatientia: regnum autem negans se vel ambisse vnquam, vel etiam si vltro offerretur, admissuram fuisse. Satis honoris sibi videri, quòd filiam cū ipso regnare videat, satisque ita consultum securitati totius familiæ. Victam igitur beneficiorum magnitudine accipere se honorem filij, futurámque posthac regi obsequentissimam: veniámque præteritorum petere, si quid fiducia generis & necessitudinis propter indignitatem rei egisset immodestius. Post hoc colloquium ad reconciliationis fidem datis vicissim dexteris discesserunt, omni vt tum videbatur suspicione sublata.

Cap. III.

Herodes Aristobulum coniugis suæ Mariammes fratrem pontificem declaratum non multo pòst necandum curauit.

TVm rex confestim pontificatum abrogat Ananelo, viro peregrini generis, vtpote nato ex Iudæis olim vltra Euphratē traductis per Assyrios, vt antè diximus. Multa enim millia huius gentis Babyloniam incolunt, vnde & hic erat, à pontificibus alioquin oriundus, & Herodi iamdudum notus familiariter. Eum adeptus regnum cum autoritate sua pontificem fecisset, ipse postea deposuit quo familiam suā componeret perturbatam, propter neglectas leges patrias. alioquin honor hic semel assumptus solet esse perpetuus. primus Antiochus Epiphanes eam legem violauit, pro Iesu subrogato in hoc sacerdotiū fratre ipsius Onia. Secundò Aristobulus ab Hyrcano fratre eum honorem in se transtulit. Tertius Herodes Aristobulum adolescentem viuo adhuc pontifici successorem dedit. atque ita tum visus est discordiæ domesticæ attulisse remedium. nec tamen vt decebat post reconciliationem vacauit suspicionibus, veritus Alexandram ne in posterū quidem quieturam, si daretur rerum nouandarum occasio. Iussit igitur eam continere se intra regiam, & nihil pro potestate agere. ad hæc obseruabatur assiduè, ita vt nihil regem lateret, ne eorum quidem quæ ad quotidianam viuendī rationem attinent: quæ omnia exasperabant eam, & incitabant ad odium. plena enim muliebri superbia suspectam se obseruari indignissimè ferebat, malens quiduis potius pati, quā amissa licentia, honoris specie in seruitute

& timore vitam degere. misit ad Cleopatram literas, præsentem rerum suarum statum deplorans, & rogans vt opem aliquam sibi afferat. Illa iussit eam vnà cum filio clàm in Ægyptum ad se confugere. quod consilium placuit, móxque tale quiddam comminiscitur. Paratis duabus sandapalis in has se & filium inclusit, iussis famulis consciis, vt noctu has afferrent. erat autem mare petendum, vbi paratum stabat nauigium quod eos in Ægyptum deueheret. hæc apud Sabbionem amicum mulieris Æsopus ipsius seruus effutiuit, putans eum non inscium eius consilij. quo cognito Sabbion, qui hactenus inimicus Herodis erat, suspectus quasi socius insidiarum quibus Antipater veneno sublatus est, arripuit occasionem conciliandæ sibi per hoc indicium regiæ beneuolentiæ: & ad eum insidias Alexandræ detulit. at ille passus eam tentare negotium, in ipsa fuga deprehensam retraxit. Veniam tamen erroris dedit, non ausus ei mali quicquam facere. Verebatur enim non cessaturam Cleopatram, odij tali ansa præbita. quare simulata magnanimitate, volebat per clementiam videri indulgentior. statuit tamen modis omnibus adolescentem tollere. sed interponenda erat mora, quo magis laterent insidiæ. Iámque instabat Scenopegia, festum apud nos cum primis celebre, cuius solennitatis dies decreuerat cum reliquo populo per hilaritatem exigere. attamen hinc quoque data est occasio per inuidiam, quo magis accelerarret quod semel statuerat. Postquam enim adolescens annum tum egressus decimumseptimum, sacris iuxta legem operaturus ad altare ascendit ornatu pontificali, ceremoniásque decenter tractabat ipse, eximia forma & statura quàm pro ætate procerior, tota facie generis dignitatem præferens, conuertit in se multitudinis oculos simul & studia, reputantis secum etiam aui Aristobuli memoria digna facinora. Victi igitur affectu paulatim se aperiebant, confusi nimio gaudio, nec continentes faustas voces ac comprecationes, licentius, quàm sub tali rege decebat, proferentes debitam familiæ beneficiorum tum memoriam tum gratiam. Hæc omnia perpulerunt Herodem, vt quod de adolescente decreuerat, perficeret. Itaque peracta festiuitate dum apud Alexandram accipitur conuiuio, comitate pertracto in opportunum locum adolescente, ostendebat se paratum in eius gratiam iuueniliter colludere. cúmque loci eius natura esset æstuosior, citò defessi relicto lusu, magnis piscinis quæ ibi circa aulam erant, imminentes frigus captabant meridiano tempore. ac primùm spectabant natantes quosdam è sociis & famulis: deinde postquam prouocante Herode adolescens quoque eis se miscuit, amicorum quibus hoc datum erat negotium, deprimentes eum natantẽ, & quasi per lusum ac petulentiã mergentes non priùs destiterũt quàm

καὶ φόβῳ καταζῆν. ἔπεμπεν οὖν παρὰ τὴν Κλεοπάτραν, ἐν οἷς εἴη συνεχῶς ὀδυρομένη, καὶ παρακαλοῦσα προσβοηθεῖν αὐτῇ κατὰ δύναμιν. ἡ δὲ λαθοῦσαν ἐκέλευσεν ἐπ' Αἴγυπτον σὺν τῷ παιδὶ πρὸς αὐτὴν ἀποδιδράσκειν. ἔδοξε ταῦτα, καὶ τεχνάζεται τοιάδε. δύο λάρνακας, ὡς εἰς ἐκκομιδὴν νεκρῶν παρασκευασαμένη, ταύταις αὐτήν τε καὶ τὸν υἱὸν ἐνέβαλεν, ἐπιτάξασα τῶν οἰκετῶν τοῖς συνειδόσι, διὰ νυκτὸς ἐκφέρειν. ἦν δὲ τὐντεῦθεν ἐπὶ θάλατταν ὁδὸς αὐτοῖς, καὶ πλοῖον ὃ διαπλεύσειν εἰς τὴν Αἴγυπτον ἔμελλε παρεσκευασμένον. Ταῦτα Σαββίωνι τῶν ἐκείνης φίλων Αἴσωπος οἰκέτης αὐτῆς ἀπαγγέλλει προσπεσών, ὡς εἰδότι φράσας. πυθόμενος δὲ Σαββίων, καὶ γὰρ ἦν ἐχθρὸς Ἡρώδῃ πρότερον, ὅτι τῶν ἐπιβουλευσάντων Ἀντιπάτρῳ κατὰ τὴν φαρμακείαν εἷς ἐνομίζετο, τὸ μῖσος ὑπαλλάξεσθαι τῆς περὶ τὴν μήνυσιν εὐνοίας προσεδόκησε. καὶ καταλέγει τῷ βασιλεῖ τὴν τῆς Ἀλεξάνδρας ἐπιβουλήν. ὁ δὲ, τὴν μὲν ἕως τῆς ἐγχειρήσεως ἐάσας προελθεῖν, ἐπ' αὐτοφώρῳ τῷ δρασμῷ συνέλαβε. παρῆκε δὲ τὴν ἁμαρτίαν, χαλεπὸν μὲν οὐδὲν, εἰ καὶ σφόδρα βουλόμενον ἦν αὐτῷ διαθεῖναι, τολμήσας. οὐ γὰρ ἀνασχέσθαι Κλεοπάτραν, αἰτίαν ἐπὶ τῷ πρὸς αὐτὸν μίσει λαβοῦσαν. ἐμφαίνων δὲ μεγαλοψυχίαν μᾶλλον ἐξ ἐπιεικείας αὐτοῖς συνεγνωκέναι. περιέκειτο μέντοι παντάπασιν αὐτῷ τὸ μειράκιον ἐκποδὼν ποιεῖσθαι. τὸ δὲ μὴ ταχὺ μηδ' ἅμα τοῖς πεπραγμένοις, ἐδόκει πιθανώτερον εἰς τὸ λανθάνειν. καὶ τῆς σκηνοπηγίας ἐνστάσης, ἑορτὴ δ' ἐστὶν αὕτη παρ' ἡμῖν εἰς τὰ μάλιστα τηρουμένη, ταύτας τὰς ἡμέρας ὑπερεβάλλετο, καὶ πρὸς εὐφροσύνας αὐτός τε καὶ τὸ λοιπὸν πλῆθος ἦν. ἐκίνησε δ' αὐτὸν ὅμως κἀκ τῆς τοιούτων ἐπιταχῦναι τὰ περὶ τὴν προαίρεσιν ἐμφανῶς παρεξιὼν ὁ φθόνος. τὸ γὰρ μειράκιον Ἀριστόβουλος, ἑβδόμην ἐπὶ τοῖς δέκα γεγονὼς ἔτος, ἐπειδὴ κατὰ νόμον ἀνῆλθεν ἐπὶ τὸν βωμὸν συντελέσων τὰ θύματα, τόν τε κόσμον ἔχων τὸν τῶν ἀρχιερέων, καὶ τὰ πρὸς τὴν θρησκείαν ἐκτελῶν, κάλλει τε κάλλιστος καὶ μεγέθει πλέον ἢ πρὸς τὴν ἡλικίαν ὑπεράγων, τό γε μὴν περὶ τοῦ γένους ἀξιώματος πλεῖστον ἐν τῇ μορφῇ διαφαίνων, ὁρμή τε τῷ πλήθει πρὸς αὐτὸν εὐνοίας ἐγένετο, καὶ τῶν Ἀριστοβούλῳ τῷ πάππῳ πεπραγμένων ἐναργὴς μνήμη παρέστη. νικώμενοί τε κατὰ μικρὸν ἐξηλέγχοντο τὰς διαθέσεις, χαίροντες ὁμοῦ καὶ συγχεόμενοι, καὶ φωνὰς εὐφήμους εἰς αὐτὸν ἀφιέντες εὐχαῖς μεμιγμένας, ὡς ἐμφανῆ γίνεσθαι τὴν εὔνοιαν τῶν ὄχλων, καὶ προπετεστέραν ἐν βασιλείᾳ δοκεῖν τὴν ὧν εὖ πεπόνθεσαν ὁμολογίαν. ἐπὶ τούτοις πᾶσιν Ἡρώδης ἔγνω τὴν προαίρεσιν ἣν εἶχεν εἰς τὸ μειράκιον ἐξεργάσασθαι. καὶ τῆς ἑορτῆς παρελθούσης, εἱστιᾶτο μὲν ἐν Ἱεριχοῦντι, δεχομένης αὐτοὺς τῆς Ἀλεξάνδρας. φιλοφρονούμενος δὲ τὸ μειράκιον καὶ προέλκων εἰς ἀδεῆ τόπον, ἕτοιμος ἦν συμπαίζειν καὶ νεανιεύεσθαι κεχαρισμένως ἐκείνῳ. τοῦ δὲ περὶ τὸν τόπον ἰδιώματος θερμοτέρου τυγχάνοντος συνειλεγμένοι τάχιον ἐξῆλθον ἀλύοντες, καὶ ταῖς κολυμβήθραις ἐπιστάντες, αἳ μεγάλαι περὶ τὴν αὐλὴν ἐτύγχανον, ἀνέψυχον τὸ θερμότατον τῆς μεσημβρίας. καὶ πρῶτον μὲν ἑώρων τοὺς νέοντας τῶν οἰκετῶν καὶ φίλων. ἔπειτα προαχθέντος καὶ τοῦ μειρακίου τῷ καὶ τὸν Ἡρώδην παρεξιῶναι, τῶν φίλων οἷς ταῦτα ἐπιτέτακτο, σκότους ἐπέχοντος, βαροῦντες ἀεὶ καὶ βαπτίζοντες ὡς ἐν παιδιᾷ νηχόμενον, οὐκ ἀνῆκαν ἕως καὶ παντά-

παντάπασιν ἀποπνίξαι. καὶ διεφθάρη μὲν οὕτως ἀριστόβουλος, ὀκτωκαίδεκα μὲν ἅπαντα βιοὺς ἔτη, τὴν δ' ἱερωσύνην κατασχὼν ἐνιαυτὸν, ἣν ἀνάνηλος ἐκομίσατο πάλιν. ἐξαγγελθέντος δὲ τοῦ πάθους ταῖς γυναιξὶν εὐθὺς μὲν ἐκ μεταβολῆς θρῆνος ἦν ἐπὶ προκειμένῳ τῷ νεκρῷ, καὶ πένθος ἄσχετον, ἥ τε πόλις τοῦ λόγου διαδοθέντος ὑπερήλγει, πάσης ἑστίας οἰκειουμένης τὴν συμφορὰν ὡς οὐκ ἐπ' ἀλλοτρίῳ γενομένην. ἀλεξάνδρα δὲ καὶ μᾶλλον ἐκπαθὴς ἦν συνέσει τῆς ἀπωλείας. τὸ μὲν ἀλγοῦν ἐκ τοῦ γινώσκειν ὅπως ἐπράχθη πλεῖον ἔχουσα, τὸ δὲ καρτερεῖν ἀναγκαῖον ἐπὶ μείζονος κακοῦ προσδοκίᾳ ποιουμένη. καὶ πολλάκις μὲν ἦλθεν αὐτοχειρίᾳ διαχρήσασθαι βίον, ἐπέσχε δ' ὅμως εἰ δύναιτο ζῶσα προσαρκέσαι τῷ κατ' ἐπιβουλὴν ἀνόμως διεφθαρμένῳ, τό τε πλέον ἐντεῦθεν αὐτῇ παρεκρότει τὸν βίον, καὶ τὸ μηδεμίαν ὑποψίαν ἐπιδοῦναι τοῦ κατὰ πρόνοιαν ἀπολέσθαι τὸν υἱὸν ἱκανὸν εἰς εὐκαιρίαν ἀμύνης ἐνομίζετο. κἀκείνη μὲν ἐγκρατῶς ἔφερε τὴν ὑποψίαν. ἡρώδης δὲ πᾶσι τοῖς ἔξωθεν πιθανῶς ἐπισπουδάζετο, μὴ μετὰ προνοίας γενέσθαι τῷ παιδὶ τὸν θάνατον, οὐχ ὅσα πρὸς πένθος ἐπιτηδεύων μόνον, ἀλλὰ καὶ δάκρυσι χρώμενος, καὶ σύγχυσιν τῆς ψυχῆς ἐμφαίνων ἀληθινήν. τάχα μὲν καὶ τοῦ πάθους ἀπονικῶντος αὐτὸν, ἐν ὄψει τῆς τε ὥρας καὶ τοῦ κάλλους, εἰ καὶ πρὸς ἀσφάλειαν ὁ θάνατος τοῦ παιδὸς ἐνομίζετο, δῆλον δ' ὡς ἀπολογίαν αὐτὰ πραγματευόμενος. τά γε μὴν εἰς τὴν πολυτέλειαν τῆς ἐκφορᾶς καὶ μᾶλλον ὑπερεδείξατο, πολλὴν μὲν τὴν παρασκευὴν περί τε τὰς θήκας καὶ τὸ πλῆθος τῶν θυμιαμάτων ποιησάμενος, πολὺν δὲ συγκαταθάπτων κόσμον, ὡς ἐκπλῆξαι τὸ λυπηρὸν τῆς ἐν ταῖς γυναιξὶν ἀλγηδόνος, καὶ παραμυθήσασθαι τούτῳ τῷ μέρει.

Κεφάλαιον δ'.

Ὡς κλεοπάτρα τῇ τῶν ἰουδαίων καὶ ἀράβων ἐπιβουλεύουσα βασιλείᾳ, μέρη λαβεῖν αὐτῶν ἴσχυσεν παρ' ἀντωνίου.

Τὴν δ' ἀλεξάνδραν ἤτλησε μὲν οὐδὲν τῶν τοιούτων. ἀεὶ δὲ καὶ μᾶλλον ἡ μνήμη τοῦ κακοῦ παρέχουσα τὴν ὀδύνην ὀδυρτικὴν ἐποίει καὶ φιλόνεικον. καὶ γράφει τὴν ἐπιβουλὴν ἡρώδου τῇ κλεοπάτρᾳ, καὶ τὴν ἀπώλειαν τοῦ παιδός. ἡ δὲ, καὶ πάλαι σπεύδουσα προσαρκέσαι δεομένῃ, καὶ τὰς ἀτυχίας οἰκτείρουσα τῆς ἀλεξάνδρας, αὐτῆς ἐποιεῖτο τὸ πᾶν πρᾶγμα. καὶ ἀντώνιον οὐκ ἀνίει τίσασθαι τὸν φόνον τοῦ παιδὸς παροξύνουσα. οὐ γὰρ ἄξιον ἡρώδην δι' αὐτοῦ καταστάντα βασιλέα τῆς οὐδὲν προσηκούσης ἀρχῆς, εἰς τοὺς ὄντως βασιλεῖς τοιαύτας ἐπιδείκνυσθαι παρανομίας. τούτοις ἀναπειθόμενος ἀντώνιος, ὡς ἐπὶ λαοδικείας ἐστάλη, πέμπει κελεύων ἡρώδην ἐλθόντα τῶν εἰς ἀριστόβουλον ἀπολογήσασθαι. πεπρᾶχθαι γὰρ οὐκ ὀρθῶς τὴν ἐπιβουλὴν, εἰ δι' αὐτοῦ γέγονεν. ὁ δὲ, τήν τε αἰτίαν δεδοικὼς καὶ τὴν κλεοπάτρας δυσμένειαν, ὡς οὐκ ἀνίηκεν ἐξεργαζομένη κακοήθως αὐτῷ τὸν ἀντώνιον ἔχειν, ἔγνω μὲν ὑπακούειν, οὐδὲ γὰρ ἄλλο τι πράττειν ἐνῆν, καταλιπὼν δὲ τὸν θεῖον αὐτοῦ ἰώσηπον ἐπίτροπον τῆς ἀρχῆς καὶ τῶν ἐκεῖ πραγμάτων, ἐνετείλατο λεληθότως εἰ πάθῃ τι παρ' ἀντωνίῳ, διαχρήσασθαι καὶ τὴν μαριάμμην ἀνελεῖν. οὕτως τε γὰρ ἔχειν φιλοστόργως πρὸς τὴν γυναῖκα,

omnino aqua præfocatus ſit. Hic fuit Ariſtobuli exitus anno ætatis decimooctauo, pontificatus primo, qui mox ad Ananelum rediit. hic caſus vbi mulieribus renunciatus eſt, verſa repente rerum facie lamentatio exoritur ſupra cadauer iuuenis & luctus inconſolabilis: totámque vrbem rumore ſparſo mœror occupat, nulla non domo calamitatem deflente tanquam propriam. ſed præcipuus fuit dolor Alexandræ, quam & ſi dolus non fefellit, perpeti tamen metu maioris mali neceſſe habuit: & ſæpè ad inferendam ſibi manum pronior, impetum tamen hunc animi repreſſit, ſi fortè ſupereſſe poſſet extincto per ſummum nefas filio, & retenta diutius vita nullam ſignificationem dare quòd data opera necatum ſenſiſſet, donec aliquando ſe offerret vltionis facultas. quapropter diſſimulanter hoc tulit, nullam ſuſpicionem præ ſe ferens. At Herodes modis omnibus curabat fidem facere, ſe inſcio caſum hunc contigiſſe, non luctum ſolùm fingens, ſed & lacrymas & mœſtitiã veræ ſimillimam. ac fortaſſe veræ etiam miſerationis nonnihil ſentiebat ad conſpectum extincti in ipſo flore ætatis ac pulchritudinis, tametſi mortem eius plurimum ad ſecuritatem ſuam exiſtimaret conducere: ſed potiſſimum hoc agebat vt alienus videretur ab hoc crimine. Cæterùm quod ad magnificentiſſimum funeris apparatum attinet, nihil ſibi ad ſummam liberalitatem fecit reliquum, tam in exornando conditorio, quàm in congerendis eò aromatibus & aliis rebus preciofiſſimis, quo maius miſeris mulieribus hoc pacto afferret ſolatium.

Cap. IV.

Cleopatra Iudæorum & Arabum regnis inhians, partem eorum ab Antonio impetrare conatur.

ALexandra tamen nullo modo emolliri potuit, ſed in dies magis ac magis exacerbante mœſtitia, per luctum accendebatur ad vindictæ deſiderium. Per literas igitur inſidias Herodis Cleopatræ indicat, ſimúlque filij ſui miſerabilem interitum. Illa verò iamdudum adiuuandi eam cupida, & tum etiam miſerata mulieris infortunium, non ſecus quàm proprium curauit hoc negotium: nec vnquam deſtitit incitare Antonium ad vlciſcendam necem iuuenis: indignum facinus dictitans, Herodem ope eius alieni iuris regno potitum, in legitimam regum ſtirpem tam inſolenter debacchari. His permotus Antonius poſtquam Laodiceam peruenit, accerſiuit ad ſe Herodem dicturum cauſam de obiecto necis Ariſtobuli crimine: factum enim improbabat, ſi quidem ipſe Herodes autor eius fuiſſet. At ille nec cauſæ ſuæ ſatis fidens, & Cleopatræ odia metuens, indeſinenter Antonium contra ſe irritantis, decreuit quidem parere: neque enim aliter facere poterat, ſed commiſſa regni cura Ioſepho patruo, clàm ei mãdauit, vt ſi Antonius in ſe grauius aliquid ſtatuiſſet, confeſtim Mariamnen interficeret. ſic enim ſe affectum erga vxorem,

vt etiam si post ipsius mortem aliquem potiri contingat illius pulchritudine, ad suam id iniuriam pertinere existimet. aiebátque totum hoc negotiũ exhiberi sibi propter eius fœminæ formam, in quam ille iam pridem fama cognitam accensus sit. atque his mandatis, non admodum læta sperans de rerum suarum exitu, proficiscitur ad Antonium. Porrò Iosephus creditum sibi regimen administrans, & sæpissimè Mariamnem conueniens, partim propter negotia, partim honoris causa, dum crebra mẽtio fit coniugalis amoris quo eam Herodes prosequeretur: irridentibus hanc eius asseuerationem mulieribus, præsertim Alexandra, ille nimio studio approbandi eis affectum regis eò prouectus est: vt mandatum illud proderet, ratus id certissimum amoris argumentum, quòd neque sine ea viuere substineret, neq; vel morte ipsa ab ea disiungi. quæ Iosephi verba mulieres non tam indubitatum Herodis amoris signum interpretatæ sunt, quàm exhorruerunt illius tyrannicum animum, si vel mortuus sæuiret in earum capita. Interea per ciuitatem rumor ab inimicis regis sparsus est, excruciatum eum ab Antonio neci traditum: qui cùm reliquam regiam turbauit, tum mulieres maximè. Alexandra verò etiam Iosephum hortata est, vt assumens eas ad signa legionis Romanæ confugeret, quæ tum ad regni custodiam circa vrbem tendebat sub tribuno Iulio. sic enim primum si quid turbarum in aulam incideret, ipsas in tuto fore propter Romanorum beneuolentiam. Deindè sperandum esse consequuturam quiduis Mariamnen, si in Antonij conspectum venerit, atque etiam regnum recepturam & quicquid debetur regio generi. Tenente adhuc ea consultatione, literæ ab Herode superuenerunt rumori contrariæ. quamprimùm enim venit ad Antonium, muneribus eum placauit quę in hoc Hierosolymis attulerat: & crebris colloquiis indignationem viri leniit, vt minus posthac ponderis apud eum haberet Cleopatræ instigatio. negabat enim Antonius oportere regem facti sui rationem reddere, alioqui ne regem quidem futurum. sed dato illi semel honore, etiam liberam potestatem permittendam esse. idque ipsum etiam Cleopatræ aiebat conducibile, si non multum se misceret alienis imperiis. Hæc significabant Herodis literæ, reliquúmque honorem quo se dignaretur Antonius, ad consessum adhibens & ad quotidiana conuiuia, idq; non cessante à criminationib. Cleopatra: quæ capta eius regionis cupidine, quo regnũ id sibi vsurparet, omnib. modis quærebat illũ perdere. Sed quia iustũ se præberet Antonius, nihil posthac expectandum grauius, venturúmq; breui constabilito tã regno quàm amicitia. nec relictã Cleopatrę cupiditati vllã spẽ,

A καὶ δεδοικέναι τὴν ὕβριν, εἰ καὶ τεθνηκότος ἐκείνη κατ᾽ εὐμορφίαν ἄλλῳ τινὶ σπουδάζοιτο. τὸ δὲ σύμπαν ἐνέφαινεν ὁρμὴν ἀντωνίου περὶ τὴν ἄνθρωπον, ὅτι καὶ πάλαι παρακηκοὼς ὑπὲρ τῆς εὐμορφίας ἐτύγχανεν. ἡρώδης μὲν οὖν ἐπιστείλας ταῦτα, καὶ τὰς ἐλπίδας οὐκ ἀσφαλεῖς ἔχων, ὑπὲρ τῶν ὅλων ἀπήει πρὸς ἀντώνιον. ὁ δὲ ἰώσηπος ἐπὶ τῆς διοικήσεως ὢν ἐν τῇ βασιλείᾳ πραγμάτων, καὶ διὰ τοῦτο συνεχῶς ἐντυγχάνων τῇ μαριάμμῃ, περί τε πραγ- B ματείας, καὶ τιμῆς ἕνεκεν ἣν ἔδει βασιλευούσῃ παρ᾽ αὐτοῦ γίνεσθαι, καθιεὶς συνεχεῖς ὁμιλίας ὑπὲρ τῆς ἡρώδου πρὸς αὐτὴν εὐνοίας, καὶ φιλοστοργίας, ἐξειρωνευομένων δὲ γυναικείως τοὺς λόγους, καὶ μάλιστα τῆς ἀλεξάνδρας, ὑπερεσπουδακὼς ὁ ἰώσηπος ἐπιδεῖξαι τὴν διάνοιαν τοῦ βασιλέως, προήχθη, καὶ τὰ περὶ τὴν ἐντολὴν εἰπεῖν, πίστιν αὐτὰ ποιούμενος, ὡς οὐδὲ χωρὶς ἐκείνης ζῆν δύναται, C κἂν εἰ πάσχοιτο δεινὸν οὐκ ἀξιοῦντος οὐδὲ θανάτῳ διαζευχθῆναι. ταῦτα μὲν ὁ ἰώσηπος. αἱ δὲ γυναῖκες ὡς εἰκὸς, οὐ τὸ φιλόστοργον τῆς περὶ τὸν ἡρώδην διαθέσεως, τὸ δὲ χαλεπὸν, εἰ μηδ᾽ ἀποθνήσκοντος ὑστερήσαιεν ἀπωλείας, καὶ θανάτου τυραννικοῦ προσλαμβάνουσαι χαλεπὴν τὴν ὑπόνοιαν τοῦ ῥηθέντος εἶχον. ἐν δὲ τούτῳ καὶ λόγος ἐγένετο κατὰ τὴν πόλιν τῶν ἱεροσολυμιτῶν παρὰ τῶν ἐν ἔχθει τὸν D ἡρώδην ἐχόντων ὡς ἀντώνιος αἰκισάμενος αὐτὸν ἀποκτείνειεν. ἡ δὲ φήμη, πάντας μὲν ἐτάραττεν ὡς εἰκὸς τοὺς περὶ τὸ βασίλειον, μάλιστα δὲ τὰς γυναῖκας. ἀλεξάνδρα δὲ καὶ τὸν ἰώσηπον ἀναπείθει τῶν βασιλείων ἐξελθόντα, σὺν αὐταῖς συμφυγεῖν τοῖς σημείοις τοῦ ῥωμαϊκοῦ τάγματος, ὃ τότε περὶ τὴν πόλιν ἐπὶ φρουρᾷ τῆς βασιλείας ἐστρατοπέδευεν ἡγουμένου ἰουλίου. διὰ γὰρ τοῦτο πρῶτον μὲν εἰ καί τις ἀπαντήσειεν ταραχὴ περὶ τὴν αὐλὴν ἐν ἀσφαλεστέ- E ρῳ διάξειν αὐτοὶ ῥωμαίους εὐμενεῖς ἔχοντες. ἔπειτα καὶ τεύξεσθαι παντὸς ἠλπικέναι τὴν μαριάμμην ἀντωνίου θεασαμένου, δι᾽ οὗ καὶ τὴν ἀρχὴν ἀναλήψεσθαι καὶ μηδενὸς ὑστερήσειν, ὧν εἰκὸς τοῖς ἐν εὐγενείᾳ βασιλικῇ γεγονόσιν. ἐπὶ τούτων δὲ τῶν λογισμῶν τετυχηκόσιν αὐτοῖς, γράμματα παρ᾽ ἡρώδου περὶ τῶν ὅλων ἀφίκετο τῆς φήμης ἐναντία, καὶ τῶν προληφθέντων. ἐπειδὴ γὰρ ἐγένετο παρ᾽ ἀντωνίῳ, F ταχὺ μὲν αὐτὸν ἀνεκτήσατο τοῖς δώροις, ἃ φέρων ἧκεν ἐκ τῶν ἱεροσολύμων. ταχὺ δὲ ταῖς ὁμιλίαις παρεστήσατο μὴ χαλεπῶς ἔχειν εἰς αὐτὸν, οἵ τε τῆς κλεοπάτρας λόγοι πρὸς τὴν ἐξ ἐκείνων θεραπείαν ἧττον ἐδυνήθησαν. οὐ γὰρ ἔφη καλῶς ἔχειν ἀντώνιος βασιλέα περὶ τῶν κατὰ τὴν ἀρχὴν γεγενημένων εὐθύνας ἀπαιτεῖν. οὕτως γὰρ ἂν οὐδὲ βασιλεὺς εἴη, G δόντας δὲ τὴν τιμὴν, καὶ τῆς ἐξουσίας καταξιώσαντας, ἐᾶν αὐτῇ χρῆσθαι. τὸ δ᾽ αὐτὸ καὶ τῇ κλεοπάτρᾳ μὴ πολυπραγμονεῖσθαι περὶ τὰς ἀρχὰς ἔλεγεν συμφέρειν. ὑπὲρ τούτων ἔγραφεν ἡρώδης, καὶ τὰς ἄλλας διεξῄει τιμὰς, ἃς ἔχοι παρ᾽ ἀντωνίῳ συνθωκῶν ἐν ταῖς διαγνώσεσιν, καὶ συνεστιώμενος ἐφ᾽ ἑκάστης ἡμέρας, καὶ τούτων ὅμως τυγχάνοι χαλεπῆς εἰς τὰς διαβολὰς αὐτῷ τῆς κλεοπάτρας οὔσης, ἣ πόθῳ τῆς χώρας ἐξαιτουμένη τὴν βασιλείαν αὐτῇ προσγενέσθαι, πάντα τρόπον ἐκποδὼν ποιεῖσθαι. δικαίου μέντοι τυγχάνων ἀντωνίου, μηδὲν ἔτι προσδοκᾷν δυσχερὲς, ἀλλὰ καὶ θᾶττον ἥξειν βεβαιοτέραν τὴν εὔνοιαν τὴν παρ᾽ αὐτοῦ προσειληφὼς τῇ βασιλείᾳ, καὶ τοῖς πράγμασιν, καὶ τῇ κλεοπάτρᾳ μηκέτι προσεῖναι τὴν ἐλπίδα τῆς

πλεονε-

πλεονεξίας, δόντος Ἀντωνίου αὐτῇ ὧν ἠξίου τὴν κοίλην συρίαν, καὶ διὰ τοῦτο παρηγορήσαντος ὁμοῦ καὶ ἀποσκευασαμένου τὰς ἐντεύξεις, ἃς ὑπὲρ τῆς ἰουδαίας ἐποιεῖτο. τούτων τῶν γραμμάτων ἀπενεχθέντων, ἐπαύσαντο μὲν ἐκείνης τῆς ὁρμῆς, ἣν ὡς ἀπολωλότος εἶχον καταφυγεῖν ἐπὶ τοὺς ῥωμαίους. οὐ μὴν ἔλαθεν αὐτὸν ἡ προαίρεσις, ἀλλ' ἐπεὶ προπέμψας ὁ βασιλεὺς ἀντώνιον ἐπὶ πάρθους εἰς τὴν ἰουδαίαν ὑπέστρεψεν, εὐθὺ μὲν ἥτε ἀδελφὴ σαλώμη, καὶ ἡ μήτηρ αὐτοῦ τὴν διάνοιαν, ἣν ἔσχον οἱ περὶ τὴν ἀλεξάνδραν, ἀπεσήμαιναν. ἡ δὲ σαλώμη καὶ κατ' ἀνδρὸς ἰωσήπου λόγον εἶπεν, ἐν διαβολῇ ποιοῦσα, καὶ τῇ μαριάμμῃ συγγινόμενον διατελεῖν. ἔλεγε δὲ ταῦτα χαλεπῶς ἔχουσα πρὸς αὐτὴν ἐκ πλείονος, ὅτι καὶ τὰς διαφορὰς φρονήματι χρωμένη μείζονι, τὴν ἐκείνων ἐξωνείδιζε δυσγένειαν. ἡρώδης δὲ θερμῶς ἀεὶ, καὶ λίαν ἐρωτικῶς πρὸς τὴν μαριάμμην ἔχων, εὐθὺ μὲν ἐξετετάρακτο, καὶ τὴν ζηλοτυπίαν οὐκ ἔφερεν. ἐπικρατούμενος δὲ, τοῦ μὴ προπετῶς τι ποιῆσαι διὰ τὸν ἔρωτα, συντόνῳ τῷ πάθει, καὶ τῷ ζήλῳ παροξυμμένος, ἰδίᾳ τὴν μαριάμμην ἀνέκρινεν ὑπὲρ τῶν πρὸς τὸν ἰώσηπον. ἀπομνυμένης δ' ἐκείνης, καὶ πάνθ' ὅσα μηδὲν ἁμαρτούσῃ προσῆν, εἰς ἀπολογίαν καταλογιζομένης, ἀνεπείθετο κατὰ μικρὸν ὁ βασιλεὺς, καὶ μετέβαινεν ἐκ τῆς ὀργῆς, ἡττώμενος τῆς περὶ τὴν γυναῖκα φιλοστοργίας, ὡς ἀπολογεῖσθαι περὶ ὧν ἔδοξεν ἀκούσας πεπιστευκέναι, καὶ περὶ τῆς κοσμιότητος αὐτῇ πολλὴν ὡμολόγει χάριν, αὐτός τε ὅπως ἔχοι στοργῆς, καὶ εὐνοίας πρὸς αὐτὴν ἀνωμολόγει. καὶ τέλος, ὡς ἐν τοῖς ἐρωτικοῖς φιλεῖ, προὔπιπτον εἰς δάκρυα μετὰ πολλῆς σπουδῆς ἐμπεφυκότες ἀλλήλοις. ἀεὶ δὲ μᾶλλον τοῦ βασιλέως ἀπιστουμένου, καὶ ἐπὶ τὴν αὐτοῦ διάθεσιν ἕλκοντος, οὐ φιλοῦντος εἶπεν ἡ μαριάμμη, τὸ κατὰ τὴν ἐντολὴν εἰ πάσχοι τι χαλεπὸν ὑπ' ἀντωνίου, κἀμὲ συναπολέσθαι τὴν οὐδενὸς αἰτίαν. τούτου προσπεσόντος τοῦ λόγου, περιπαθήσας ὁ βασιλεὺς, εὐθὺ μὲν ἐκ τῶν χειρῶν αὐτὴν ἀφῆκεν, ἐβόα δὲ, καὶ τῶν αὐτοῦ τριχῶν αὐτὸς ἐδράττετο, περιφανὲς φάσκων ἔχειν τῆς τοῦ ἰωσήπου πρὸς αὐτὴν κοινωνίας λέγων. οὐ γὰρ ἂν ἐξειπεῖν ἃ κατιδίαν ἤκουσεν, μὴ μεγάλης αὐτοῖς πίστεως ἐγγεγενημένης. οὕτως δ' ἔχων, ὀλίγου μὲν ἀπέκτεινε τὴν γυναῖκα. νικώμενος δὲ τῷ πρὸς αὐτὴν ἔρωτι, ταύτην μὲν τὴν ὁρμὴν ἐκράτησεν, ἑαυτοῦ διακαρτερήσας ὀδυνηρῶς καὶ δυσχερῶς. τὸν μὲν τοι ἰώσηπον οὐδ' εἰς ὄψιν ἐλθόντα διαχρήσασθαι προσέταξεν, καὶ τὴν ἀλεξάνδραν ὡς ἁπάντων παραιτίαν, δήσας ἐφύλαττεν. ἐν δὴ τούτῳ καὶ τὰ περὶ τὴν συρίαν ταραχὰς εἶχεν, οὐκ ἀνιείσης τῆς κλεοπάτρας τὸν ἀντώνιον μὴ πᾶσιν ἐπιχειρεῖν. ἔπειθε γὰρ ἀφαιρούμενον ἑκάστων τὰς δυναστείας αὐτῇ διδόναι, καὶ πλεῖστον ἴσχυσεν ἐκ τῆς ἐκείνου πρὸς αὐτὴν ἐπιθυμίας, φύσει δὲ πλεονεξίᾳ χαίρουσα, παρανομίας οὐδὲν ἔλιπε, τὸν μὲν ἀδελφὸν, ᾧ τὴν βασιλείαν ᾔδει γενησομένην, προανελοῦσα φαρμάκοις, ιε' ἔτος ἔχοντα, τὴν δ' ἀδελφὴν ἀρσινόην ἱκετεύουσαν, ἐν ἐφέσῳ πρὸς τὸ τῆς ἀρτέμιδος ἀποκτείνασα δι' ἀντωνίου. χρημάτων μὲν γὰρ ἕνεκεν εἴπου μόνον ἐλπισθείη, καὶ ναοὶ καὶ τάφοι παρενομήθησαν, οὐθ' ἱεροῦ τινὸς οὕτως ἀσύλου δόξαντος ὡς μὴ παραιρεθῆναι τὸν ἐν αὐτῷ κόσμον, οὔτε βεβήλου, μὴ πᾶν ὅπερ τῶν ἀπηγορευμένων παθόντος, εἰ μέλλοι μόνον πρὸς εὐπορίαν

quando Antonius pro eius postulatis Cœlesyriam ei concessisset, hac conditione, ne posthac Iudæam peteret, & vt molesta esse desineret: His literis redditis voluntas confugiendi ad Romanos euanuit. non tamen latuit id consilium, sed quàm primùm deducto aliquátisper Antonio contra Parthos eunte, Herodes in Iudæã reuersus est, statim soror Salome & eius mater indicauerunt quid Alexandra cum suis voluerit. nec hoc contenta Salome etiam maritum suum Iosephum criminata est, Mariamnes consuetudinem obiiciens. hoc autem fecit propter simultatẽ veterem, quod regina elati animi fœmina inter muliebres contẽtiones exprobraret ei obscuritatem generis. Porrò Herodes qui semper ardenter amauit Mariamnen coniugem, statim perturbatus est, non ferens zelotypiæ stimulos. ægrè tamen se continens, ne à recta ratione transuersum raperetur insanis affectibus, seorsim Mariamnen percunctatus est, ecquid haberet cum Iosepho commercij. illa verò pernegante factum cum deierationibus, & quicquid insons fœmina posset in defensionem adducente, rex paulatim assentiendo placari se sinebat victus amore vxorio, ita vt postremò veniam peteret, quòd temerè fidem habuisset rumoribus: agebátque ei gratias pro seruata pudicitia, suum vicissim amorem commemorans tandem vt mos est amantium prorumpentibus lacrymis ruunt in complexus mutuos. cùm tamen nondum vxori amoris sui fidem faceret, tantóque magis conaretur id efficere: tum illa, Non est, inquit, amantis mandare si quid humanitus accidat, vxorem innoxiam addi fati comitem. Hoc verbo rex velut ictus præ dolore confestim eam è complexu dimisit: vociferabatúrque cappillos sibi lacerans, tenere se manifestò deprehensam constupratam à Iosepho coniugem. nunquam enim proditurum fuisse data sibi priuatim ac secreto mandata, nisi obstricta mutuum fide per stupri consuetudinem. atque ita parum abfuit quin eam interficeret. Sed amore victus licet ægrè cohibuit se tamen. Veruntamẽ Iosephum ne in conspectum quidem admissum iussit interimi, & Alexandram vt malorum omnium causam, vinctam coniecit in custodiam.

IV. Interea turbabantur res Syriæ, Cleopatra nõ desinente in omnes incitare Antonium: quem hortabatur vt auferens cuique suam dynastiam ipsi contribueret: multúmque apud eum poterat irretitum suis amoribus. cúmque natura esset alieni appetens, nihil sibi putabat illicitum. primò fratrem cui debebatur regni successio, veneno sustulit, agentem annum XV. deinde Arsinoen sororem suam Ephesi in templo Dianæ supplicem, interfecit per Antonium. Pecuniarum etiam vbicunque spes affulgeret, neque templum, neque sepulchrum, neque asylũ vllũ vnquã violare dubitauit, modò ad illã redirẽt spolia quæsita vel sacrilegio, miscebátq; sacra profanis, fas nefas, vt augere-

tur lucris vel iniquissimis. ad summam nihil A satis erat mulieri sumptuosæ & voluptatibus deditæ, cuius cupiditates vix totius orbis expleri possent opibus. quamobrem & Antonium continuo solicitabat, vt aliis ablata ipsi largiretur: & ingressa cum illo Syriam, statim cogitauit quomodo eam possessionem suam faceret. Nam Lysaniam Ptolemæi filium interfecit, causata eum studere rebus Parthicis. flagitabat etiam ab Antonio Iudæam simul & Arabiam sibi dari, ademptas suis regibus. Verùm ille erat quidem adeò deditus ei mulieri, B vt non illecebris solùm, sed etiam beneficiis eius captus videretur: puduit tamen eum tam insignis iniustitiæ, ne videretur ad procacis fœminæ nutum libenter peccare etiam in rebus maximis. ne igitur vel negando eam contristaret, vel imperata illius omnia faciens videretur mortalium omnium nequissimus, partes de vtriusque regione ablatas ei largitus est: ad hæc vrbes quotquot sunt intra fluuium Eleutherum vsque Ægyptum: præter Tyrum & C Sidonem, quas iam inde à maiorum ætate sciebat liberas, quamuis has quoque illa multis precibus impetrare conata fuerat.

Cap. V.

Cleopatra regina in Iudæam aduentus.

HÆc assecuta Cleopatra, & Antonium in D Armeniam cum exercitu profectum vsque Euphratem prosecuta, reuertitur: obiterq; adita Apamia & Damasco, etiam Iudæam ei libuit inuisere: vbi excepta ab Herode, concessã sibi Arabiæ partem & Hierichuntini agri reditus ei locauit. Is & balsamum fert, quod vnguentorum longè preciosissimum ibi tantùm prouenit, & eximiarum palmularum vim maximam. per hæc negotia contracta maiore cum rege familiaritate concubitum eius appetiit, mulier natura intemperans, & dedita libidini, ac fortè etiam amore tacta nonnihil: E quamuis verisimile sit per stuprum quæsitam occasionem struendis insidiis. Sed illa amorẽ prætexebat. Herodes autem iam antè ei parum amicus, quòd nosset infestam ex æquo omnibus: tum verò etiam abhorrens tam prostratã impudentiam, & reiecturus si petulantiùs pergeret, renuit. deinde cum amicis consultauit, num habens eam in sua potestate deberet occidere. sic enim multis molestiis leuare posse F eos quibus vel hactenus infensa fuerit, vel in posterum futura sit. quin & ipsi Antonio id fore vtile, quandoquidem nec illi fida futura sit, si in quam temporum difficultatem delapsus opera eius opus habeat. Huc procliuiorẽ cohibuerunt amici, indignum censentes, hominem in magnis versantẽ negotiis in manifestum se periculum coniicere, & obsecrantes G ne quid ageret temerè. non enim hoc laturum Antonium, quantumuis ei hoc approbetur vtile. quin hoc ipso augendum eius desideriũ, quòd per vim atque insidias amisisse eam videbitur. nec superesse vel mediocrem excusationem, quin mulier sit omnium eius ætatis lõgè

τῇ δ' ἀδικούσῃ πλεονεξίᾳ. τὸ δ' ὅλον οὐδὲν αὔταρκες ἦν γυναικὶ πολυτελεῖ καὶ δουλευούσῃ τῆς ἐπιθυμίας, μὴ καὶ τὰ πάντα πρὸς τὴν ἐπίνοιαν ἐνδεῖν ὧν ἐσπουδάκει. διὰ ταῦτα καὶ τὸν Ἀντώνιον ἐπῆγεν ἀεί τι τῶν ἄλλων ἀφαιρούμενον αὐτῇ χαρίζεσθαι, καὶ διαβᾶσα σὺν ἐκείνῳ τὴν Συρίαν ἐπενόει κτῆμα ποιήσασθαι. Λυσανίαν μὲν τὸν Πτολεμαίου πάρθοις αἰτιασαμένη τοῖς πράγμασιν ἐπάγειν, κτίννυσιν. ᾔτει δὲ παρ' Ἀντωνίου τήν τε Ἰουδαίαν, καὶ τὴν Ἀράβων ἀξιοῦσα τοὺς βασιλεύοντας αὐτὸν ἀφελέσθαι. τῷ δ' Ἀντωνίῳ τὸ μὲν ὅλον ἡττᾶσθαι συνέβαινε τῆς γυναικός, ὡς μὴ μόνον ἐκ τῆς ὁμιλίας, ἀλλὰ καὶ φαρμάκοις δοκεῖν, ὑπακούειν εἰς ὅτι ἂν ἐκείνη θέλει. τὸ μέντοι περιφανὲς τῆς ἀδικίας ἐξεδυσώπει, μὴ μέχρι τοσούτου κατήκοον γενόμενον, ἐπὶ μεγίστοις ἁμαρτάνειν. ἵν' οὖν μήτ' ἀρνηθῇ παντάπασι, μήθ' ὅσα προσέταττεν ἐκείνη διαπραξάμενος ἐκφανέστερον δόξῃ κακός, μέρη τῆς χώρας ἑκατέρας παρελόμενος, τούτοις αὐτὴν ἐδωρήσατο. δίδωσι δὲ καὶ τὰς ἐντὸς Ἐλευθέρου ποταμοῦ πόλεις ἄχρις Αἰγύπτου, χωρὶς Τύρου καὶ Σιδῶνος, ἐκ προγόνων εἰδὼς ἐλευθέρας, πολλὰ λιπαρούσης αὐτῇ δοθῆναι.

Κεφάλαιον ε'.

Κλεοπάτρας εἰς τὴν Ἰουδαίαν παρουσία.

ΤΟύτων ἡ Κλεοπάτρα τυχοῦσα, καὶ παραπέμψασα μέχρις Εὐφράτου τὸν Ἀντώνιον, ἐπ' Ἀρμενίαν στρατευόμενον, ἀνέστρεψε, καὶ γίνεται μὲν ἐν Ἀπαμείᾳ καὶ Δαμασκῷ, παρῆλθε δὲ καὶ εἰς τὴν Ἰουδαίαν Ἡρώδου συντυχόντος αὐτῇ, καὶ τῆς τε Ἀραβίας τὰ δοθέντα, καὶ τὰς περὶ τὴν Ἱεριχοῦντα προσόδους Ἡρώδου μισθωσαμένου. φέρει δ' ἡ χώρα τὸ βάλσαμον, ὃ τιμιώτατον τῶν ἐκεῖ, καὶ παρὰ μόνοις φύεται, τόν τε φοίνικα πολὺν καὶ καλόν. ἐν τούτοις οὖσα, καὶ πλείστης αὐτῆς συνηθείας περὶ τὸν Ἡρώδην γινομένης, διεπείραζεν εἰς συνουσίαν ἐλθεῖν τῷ βασιλεῖ, φύσει μὲν ἀπαρακαλύπτως ταῖς ἐντεῦθεν ἡδοναῖς χρωμένη, τάχα δέ τι καὶ παθοῦσα πρὸς αὐτὸν ἐρωτικόν, ἢ καὶ τὸ πιθανώτερον ἐνέδρας ἀρχὴν τὴν ἐπ' αὐτὴν γενησομένην ὕβριν ὑποκατασκευάζουσα. τὸ δὲ σύμπαν ἐξ ἐπιθυμίας ἡττᾶσθαι διέφαινεν. Ἡρώδης δὲ καὶ πάλαι μὲν οὐκ εὔνοις ἦν τῇ Κλεοπάτρᾳ, χαλεπὴν εἰς ἅπαντας ἐπιστάμενος, τότε δὲ καὶ μισεῖν ἀξιῶν εἰ δι' ἀσέλγειαν εἰς τοῦτο πρόεισι, καὶ φθάσαι τιμωρούμενος, εἰ συνεδρεύουσα τοιούτοις ἐγχειρῶν, τοὺς μὲν λόγους αὐτῆς διεκρούσατο. βουλὴν δ' ἐποιήσατο σὺν τοῖς φίλοις, ὑποχείριον ἔχων ἀποκτεῖναι. πολλῶν γὰρ ἀπαλλάξειν κακῶν ἅπαντας, οἷς ἐγένετο τε ἤδη χαλεπὴ καὶ προσεδοκᾶτο. τὸ δ' αὐτὸ τοῦτο καὶ Ἀντωνίῳ λυσιτελήσειν, οὐδ' ἐκείνῳ πιστῆς ἐσομένης, εἴ τις αὐτὸν καιρὸς ἢ χρεία καταλάβοι, τοιούτων δεησόμενον. ταῦτα βουλόμενον, ἐκώλυον οἱ φίλοι, πρῶτον μὲν διδάσκοντες ὡς οὐκ ἄξιον μείζω πράττοντα, κίνδυνον φανερώτατον ἀναλαμβάνειν, ἐγκείμενοι δὲ καὶ δεόμενοι μηδὲν ἐκ προπετείας ἐπιτηδεύειν. οὐ γὰρ ἀνέξεσθαι τὸν Ἀντώνιον, οὐδ' εἰ σφόδρα τις αὐτῷ τὸ συμφέρον στήσειε πρὸ τῶν ὀμμάτων. τόν τε γὰρ ἔρωτα μᾶλλον ὑπεκκαύσειν, τὸ δοκεῖν βίᾳ καὶ ἐπιβουλῇ αὐτὸν αὐτῆς στέρεσθαι, μέτριόν τε οὐδὲν εἰς τὴν ἀπολογίαν φαίνεσθαι, τοῦ μὲν ἐπιχειρήματος εἰς γυναῖκα γεγονημένου, μέγιστον ἀξίωμα τῶν κατ' ἐκεῖνον ἐχη-

ἐπικνίας τὸν χρόνον, τὸ δ' ὠφελείας εἰ καὶ ταύτην τις οἰηθείη, σὺν αὐθαδείᾳ καὶ καταγνώσει τῆς ἐκείνου διαθέσεως φανησομένης. ἐξ ὧν οὐκ ἄδηλον ὡς μεγάλων καὶ ἀπαύστων κακῶν ἀναπλησθήσεται τὰ περὶ τὴν ἀρχὴν αὐτοῦ καὶ τὸ γένος, ἐξὸν ἀποκρουσάμενον τὴν ἁμαρτίαν, εἰς ἣν ἐκείνη παρακαλεῖ, διαθέσθαι τὸ καιρὸν εὐσχημόνως. τοιαῦτα δεδιττόμενοι καὶ τὸ κινδυνῶδες ἐξ εἰκότος παραδηλοῦντες, ἐπέσχον αὐτὸν τῆς ἐπιχειρήσεως. ὁ δὲ, τὴν Κλεοπάτραν δωρεαῖς θεραπεύσας, ἐπ' Αἰγύπτου προύπεμψεν. Ἀντώνιος δὲ, τὴν Ἀρμενίαν καταλαβὼν, Ἀρταβάζην τὸν Τιγράνου σὺν τοῖς παισὶ σατράπαις, δέσμιον εἰς Αἴγυπτον ἀποπέμπει, δωρούμενος τούτοις τὴν Κλεοπάτραν, καὶ τῷ παντὶ κόσμῳ τῆς βασιλείας ὃν ἐξ αὐτῆς ἔλαβεν. Ἀρμενίας δ' ἐβασίλευσεν Ἀρταξίας ὁ πρεσβύτατος τῶν ἐκείνου παίδων, διαδρὰς ἐν τῷ τότε. καὶ τοῦτον Ἀρχέλαος καὶ Νέρων Καῖσαρ ἐκβαλόντες, Τιγράνην τὸν νεώτερον ἀδελφὸν, ἐπὶ τὴν βασιλείαν κατήγαγον. ταῦτα μὲν οὖν ἐν ὑστέρῳ. περὶ δὲ τοὺς φόρους οὓς ἔδει τελεῖν, τῆς ὑπ' Ἀντωνίου δοθείσης χώρας, ὁ μὲν Ἡρώδης δίκαιος ἦν, οὐκ ἀσφαλὲς ἡγούμενος διδόναι τῇ Κλεοπάτρᾳ μίσους αἰτίαν. ὁ δ' Ἄραψ, Ἡρώδου τὴν φορὰν ἐπιδεξαμένου, χρόνον μέν τινα παρεῖχεν ἐκείνῳ τὰ διακόσια τάλαντα. μετὰ ταῦτα δὲ κακοήθης ἦν καὶ βραδὺς εἰς τὰς δόσεις, καὶ μόλις εἰ καὶ μέρη τινὰ διαλύσειεν, οὐδὲ ταῦτα διδόναι δοκῶν ἀζημίως.

Κεφάλαιον ς'.

Ὡς Ἡρώδης ἐπολέμησεν Ἀρέταν, καθ' ὃν καιρὸν Ἀντώνιος ὑπὸ Καίσαρος ἐν τῇ κατ' Ἄκτιον νικᾶται μάχῃ.

Ἡρώδης δὲ τοῦτον τὸν τρόπον ἀγνωμονοῦντος, καὶ τελευταῖον οὐδὲν ἐπὶ τῶν δικαίων ποιεῖν ἐθέλοντος, εἶχε μὲν ὡς ἐπελευσόμενος, περιδιεσμία δὲ ἐχρήσατο Ῥωμαϊκοῦ πολέμου. τῆς γὰρ ἐπ' Ἀκτίῳ μάχης προσδοκωμένης, ἣν ἐπὶ τῆς ζ' καὶ π' καὶ ρ' Ὀλυμπιάδος γενέσθαι συνέβη, Καῖσαρ μὲν Ἀντωνίῳ περὶ τῶν ὅλων ἔμελλεν ἀγωνιεῖσθαι πραγμάτων. Ἡρώδης δὲ καὶ τῆς χώρας εὐβότου μενούσης αὐτῷ πολὺν ἤδη χρόνον, καὶ προσόδων καὶ δυνάμεων εὐρημένων, Ἀντωνίῳ συμμαχίαν κατέλεξεν ἐπιμελεστάταις ταῖς παρασκευαῖς χρησάμενος. Ἀντώνιος δὲ, τῆς μὲν ἐκείνου συμμαχίας οὐδὲν ἔφη δεῖσθαι, τὸν δὲ Ἄραβα, καὶ γὰρ ἠκηκόει παρά τε αὐτοῦ καὶ τῆς Κλεοπάτρας τὴν ἀπιστίαν, ἐπεξελθεῖν προσέταττε. ἠξίου γὰρ ἡ Κλεοπάτρα ταῦτα λυσιτελεῖν αὐτῇ, τὸ ἕτερον ὑπὸ θατέρου κακῶς πάσχειν ἡγουμένη. τούτων αὐτῷ παρ' Ἀντωνίου λεχθέντων, ὑποστρέψας Ἡρώδης συνεῖχε τὸ στρατιωτικόν. καὶ εὐθὺς εἰς τὴν Ἀραβίαν ἐμβαλὼν, καὶ παρασκευασθέντος ἱππικοῦ καὶ πεζῆς δυνάμεως, εἰς Διόσπολιν ἀφικνεῖται τῶν Ἀράβων ἐκεῖ συναντώντων. οὐ γὰρ ἐλελήθει τὰ περὶ τὸν πόλεμον αὐτούς, καὶ μάχης καρτερᾶς γενομένης, ἐκράτησαν οἱ Ἰουδαῖοι. μετὰ δὲ ταῦτα πολλὴ στρατιὰ τῶν Ἀράβων εἰς Κανὰ συνῄει, χωρία δ' ἐστὶ ταῦτα τῆς κοίλης Συρίας. Ἡρώδης δὲ προπεπυσμένος, ἧκεν ἄγων ἐπ' αὐτοὺς τὸ πλεῖστον ἧς εἶχε δυνάμεως. καὶ πλησιάσας ἐν Κανὰ στρατοπεδεύεσθαι διεγνώκει, χάρακά τε βαλλόμενος ἐξ εὐκαίρου ταῖς μάχαις ἐπιχειρεῖν. ταῦτα δὲ αὐτοῦ διατάττοντος, ἐβόα τὸ πλῆθος τῶν Ἰουδαίων, παρελόμενον τὰς τριβὰς, ἄγειν ἐπὶ τοὺς Ἄραβας. ὥρμηντο δὲ καὶ τῇ συντετάχθαι πιστεύειν καλῶς, καὶ ταῖς προθυμίαις

A honoratissima, & si quid vtilitatis ex eius necessitate possit existere, coniunctum sit cum Antonij iniuria. vnde facilè apparere quàm magna & immedicabilia mala exoritura sint in regno & familia regis ipsius, cùm nihil vetet recusata illius illicita postulatione, res pro præsenti statu rectè disponere. his deterrentes, & periculum probabilibus rationibus ostendentes, cohibuerunt eum à tanto facinore. Ille placata muneribus regina, versus Ægyptum eam deduxit. Cæ-
B terùm Antonius subiugata Armenia Artabazē Tigranis filium cum filiis suis satrapis vinctum in Ægyptum misit, munus Cleopatræ, & quicquid preciosum de eo regno ceperat. Regno autem Armeniæ potitus est Artaxias filiorum illius natu maximus, qui in eo tumultu effugerat: cui pòst Archelaus & Nero Cæsar per vim à se pulso iuniorem ipsius fratrem successorem dederunt. Quod autem attinet ad tributa regionum quas regina ab Antonio dono
C acceperat, Herodes ea iustè reddebat, parum tutum putans præbere Cleopatræ occasionem maleuolentiæ. Arabs verò postquam eorum exactio ad Herodem spectare cœpit aliquandiu soluebat ei ducenta talenta annua: deinde malignior factus & ad dandum segnior, vix partes quasdam reddebat, ac ne eas quidem integras.

CAP. VI.

D

Herodes bellum Aretæ infert, quo tempore Antonius à Cæsare Actiaco prælio victus est.

QVam eius iniquitatem & iuris contemptum non ferens Herodes illaturus erat bellum, ni remoratus esset Romanorum contentionibus. cùm enim expectaretur pugna Actiaca, quæ in CLXXXVII. Olympiadem incidit, Cæsar de imperij summa decertaturus erat
E cum Antonio. Herodes verò multorum iam annorum possessor regionis pacatæ & refertæ pascuis ac pecoribus, nouis quoque abundans reditibus & opibus, delectus habendo magno apparatu expediebat auxilium Antonio. Sed ille hanc operam ei remisit, negans sibi opus esse. verùm quia tam ex ipso quàm ex Cleopatra audierat de Arabis perfidia, iussit in illum bellum vertere. nā & regina hoc in rē suā fore existimabat, si alter ab altero mutuis attere-
F retur cladib. Igitur Antonij iussu reuersus Herodes domi continuit exercitum, cum quo mox inuasit Arabiam equitatu simul & pedestribus copiis instructissimus, Diospolim petens quò occursuri erant Arabes. non enim eos latuit hæc expeditio. Post acerrimum igitur conflictum penes Iudæos fuit victoria. Post hæc rursum magnus Arabum exercitus confluxit ad Cana, qui locus est in Cœlesyria: quod præsentiens Herodes duxit contra eos maxi-
G mam exercitus sui partem. cúmque vellet munitis vallo castris per occasionem deinde prælium committere, imperanti hæc reclamabat multitudo, mitteret moras & cōfestim in Arabas duceret. Faciebat autē eis animos, tū quòd pulchrè instructam aciem habere se crederent,

tum recens memoria prioris pugnæ in qua egregiè vicerant. cùm igitur ardor eorum vix cohiberi posse videretur, decreuit rex vti alacritate militum, & professus se non cessurum illis virtute, armatus ante agmen ibat in hostē, subsequente instructa acie. quæ res attonitos reddidit Arabas, paulisper enim repugnare conati, vt viderunt non posse ferri eorum audaciam, maiore ex parte in fugam versi sunt. actúmque de eis fuisset, ni Athenio Herodem inuasisset, eiúsque exercitum. Hic Cleopatræ dux erat in ea regione: & quia Herodem oderat, nō imparatus pugnæ euentum expectabat, quieturus si Arabes vincerent: Vbi verò vinci eos animaduertit, cum collectitia manu indigenarum fessos iam, & victoriam suam putantes ex improuiso adortus magnam stragem edebat. Nā Iudæi viribus in professos hostes absumptis, tum verò etiam ob victoriam dissolutiores, facile hosti cedebant, multáque vulnera accipiebant in locis asperis & inæqualibus, quorum peritiores erant aduersarij. His igitur vehemēter laborantibus Arabes resumptis animis reuersi in prælium trucidabant iam fugientes. nec vna erat exitij facies, paucísque in castra euaserunt. Rex verò videns eos viribus impares, citato equo profectus est ad euocādos qui illis succurrerēt. nec tamē licet festinus, affuit in tēre, sed Iudæorū castra capta sunt. Arabibus autē non mediocris felicitas ex insperato contigit, dum & victoriam potiuntur, à qua plurimùm aberant, & hostium validum exercitum opprimūt. Ex illo tempore Herodes latrociniis cœpit agere & excursionibus in Arabiā castra ponendo in montibus: & cauebat quidem totum exercitum prælio committere, sed interim non mediocriter proficiebat suos labori assuefaciēs & continuis exercitiis præparans ad abolendā tandem ignominiam.

Cap. VII.

De terræmotu qui Iudæam concussit.

QVo tempore dum maximè apud Actium Antonius cōflictatur cum Cæsare septimo regni Herodis anno, Iudæa terra quali nūquam ante motu concussa, magnam per totam eam regionem iacturam fecit pecudum: quin & hominum oppressa sunt ruinis ædium circiter decem millia militaris tamen multitudo nihil detrimenti accepit, vt pote sub diuo agitans. Hæc clades in maius etiam aucta rumoribus, quos nuncij gentilium odiorum non ignari dabant auribus Arabum, immane quantum extulit hostium animos, quasi subuersis Iudæorum vrbibus, & extinctis hominib. nulli iam superessent aduersarij. ligatos itaque gentis, qui rebus afflictis pacem petituri venerant, comprehensos necauerunt, móxque magna alacritate properauerunt ad hostilem exercitū.

A ἄμφον ἐχόντων ὅσοι τὴν πρώτην μάχην νενικήκεσαν οὐδ' εἰς χεῖρας ἐλθεῖν ἐπιδείξαντες τοῖς πολεμίοις. θορυβούντων οὖν καὶ πᾶσαν ἐπιδεικνυμένων σπουδὴν, ἔγνω τῇ προθυμίᾳ τοῦ πλήθους ὁ βασιλεὺς ἀποχρήσασθαι, καὶ προφήνας ὡς οὐ λέλειπται τῆς ἐκείνων ἀρετῆς πρῶτος ἐν τοῖς ὅπλοις ἡγήσατο, πάντων κατὰ τὰ οἰκεῖα τέλη συνακολουθησάντων. ἔκπληξις δὲ εὐθὺς ἐμπίπτει τοῖς Ἄραψιν, ἀντιστάντες γὰρ εἰς ὀλίγον, ὡς ἑώρων ἀμάχους ὄντας, καὶ B μεστοὺς φρονήματος, ἔφυγον οἱ πλείους ἐκκλίναντες. κἂν διεφθάρησαν, εἰ μὴ Ἀθηνίωνος κακώσαντος Ἡρώδην καὶ τοὺς Ἰουδαίους. οὗτος γὰρ ὢν στρατηγὸς μὲν Κλεοπάτρας ἐπὶ τῶν ἐκεῖ, διάφορος δὲ Ἡρώδῃ, τὸ μέλλον οὐκ ἀπαρασκεύως ἐσκόπει, δρασάντων μέν τι λαμπρὸν τῶν Ἀράβων ἐγνωκὼς ἡσυχίαν ἄγειν. ἡττωμένων δὲ ὃ καὶ συνέβη, τοῖς ἀπὸ τῆς χώρας συνεληλυθόσι τῶν οἰκείων παρεσκευασμένος ἐπιτίθεσθαι τοῖς Ἰουδαίοις. καὶ τότε κεκμη-C κόσι τε καὶ νικᾶν οἰομένοις ἀπροσδοκήτως ἐπιπεσὼν, πολὺν ἐποίει φόνον. τάς τε γὰρ προθυμίας εἰς τοὺς ὁμολογουμένους ἐχθροὺς ἐκδαπανήσαντες Ἰουδαῖοι, καὶ τῷ νικᾶν ἐπ' ἀδείας χρώμενοι, ταχὺ τῶν ἐπιχειρησάντων ἡττῶντο, καὶ πολλὰς ἐλάμβανον πληγὰς ἐν χωρίοις ἀφίπποις καὶ πετρώδεσιν, ὧν πλείω τὴν ἐμπειρίαν εἶχον οἱ τὴν ἐπίθεσιν ποιησάμενοι. κακῶς δὲ πασχόντων οἵ τε Ἄραβες αὐτοὺς ἀνειλήφεσαν, καὶ πάλιν ὑποστρέψαντες, ἔκτεινον ἤδη τετραμμένους. γί-D νοντο δὲ παντοδαπαὶ κτεινομένων ἀπώλειαι, καὶ τῶν διαπιπτόντων, οὐ πολλοὶ συνέφυγον εἰς τὸ στρατόπεδον. ὁ δὲ βασιλεὺς Ἡρώδης, ἀπεγνωκὼς τὰ κατὰ τὴν μάχην, ἀφιππάζεται βοήθειαν ἄξων, οὐ μὴν ἔφθη καίπερ ἐσπουδακὼς ἐπαρκεῖν, ἀλλὰ τὸ μὲν στρατόπεδον ἥλω τῶν Ἰουδαίων. οἱ δὲ Ἄραβες, οὐ μετρίως εὐτυχήκεσαν ἐκ παραλόγου, νίκην τε ἧς πλεῖστον ἀπεδέησαν ἀνειληφότες, καὶ πολλὴν τῶν ἐναντίων ἀφῃρη-E μένοι δύναμιν. τοὐντεῦθεν, ὁ μὲν Ἡρώδης λῃστείαις ἐχρῆτο, καὶ τὰ πολλὰ κατατρέχων τὴν τῶν Ἀράβων ἐκάκου ταῖς ἐπιδρομαῖς στρατοπεδευόμενος ἐπὶ τῶν ὀρῶν, καὶ τὸ μὲν σύμπαν ἐξίστατο κατὰ τὸ ἐμφανὲς εἰς χεῖρας ἐλθεῖν, οὐκ ἀζημίως δὲ γινόμενος τῇ συνεχείᾳ, καὶ τῷ φιλοπόνῳ, τῶν τε οἰκείων ἐπιμελεῖτο παντὶ τρόπῳ τὸ πταῖσμα διορθούμενος.

Κεφάλαιον ζ'.

F

Περὶ τοῦ γινομένου σεισμοῦ κατὰ τὴν Ἰουδαίαν.

ΕΝ τούτῳ καὶ τῆς ἐπ' Ἀκτίῳ μάχης συνεσταμένης Καίσαρι πρὸς Ἀντώνιον ἑβδόμου ὄντος Ἡρώδῃ τῆς βασιλείας ἔτους, σεισθεῖσα ἡ γῆ τῶν Ἰουδαίων, ὡς οὐκ ἄλλοτ' ἐδόκει, τῶν ἐν τῇ χώρᾳ κτηνῶν πολλὴν φθορὰν ἐποίησεν, ἐφθάρησαν δὲ καὶ τῶν G ἀνθρώπων ὑπὸ ταῖς πεπτωκυίαις οἰκίαις, περὶ μυρίους. τὸ μέντοι στρατιωτικὸν ἐν ὑπαίθρῳ διαιτώμενον, οὐδὲν ὑπὸ τοῦ πάθους κατεβλάβη. ταῦτα πυνθανομένοις τοῖς Ἄραψιν, καὶ μᾶλλον ἢ κατὰ ἀλήθειαν ἐξαγγελλόντων αὐτοῖς, ὅσοι τοὺς ὑπὲρ τῶν γεγονότων λόγους τῷ μίσει τῶν ἀκουσομένων ἐχαρίζοντο, μεῖζον ἐπῄει φρονεῖν, ὡς τῆς τε χώρας ἀνατετραμμένης τοῖς πολεμίοις, καὶ διεφθορότων τῶν ἀνθρώπων, μηδὲν ἔτι μηδ' εἰς αὐτοὺς ἀντίπαλον καταλελεῖφθαι δοκεῖν. καὶ τῶν τε Ἰουδαίων τοὺς πρέσβεις, ἧκον γὰρ ἐπὶ τοῖς γεγενημένοις εἰρήνην ποιησόμενοι, συλλαβόντες ἀπέκτειναν, καὶ μετὰ πάσης προθυμίας ἐχώρουν ἐπὶ τὸ στρατιωτικὸν αὐτῶν.

οἱ δ'

εἰ δ' ἔτι τὴν ἔφοδον ἐξεδέξαντο, καὶ πρὸς τὰς συμφορὰς ἀθύμως διακείμενοι, προΐεντο τὰ πράγματα πλεῖστον ἀπογνώσεως ἐπ' αὐτοῖς πεπονθότες. οὐ γὰρ ἦν οὐδὲ ἰσοτιμίας ἐλπὶς περιεντετμημένοις ἐν ταῖς μάχαις, οὔτε βοηθείας κεκακωμένων αὐτοῖς τῶν οἴκοι πραγμάτων. οὕτως οὖν ἐχόντων, ἐπῄει ὁ βασιλεὺς λόγῳ τε πείθων τοὺς ἡγεμόνας, καὶ πειρώμενος ἀναλαμβάνειν αὐτῶν πεπτωκότα τὰ φρονήματα. προδιακινήσας δὲ καὶ παραθαρρύνας τινὰς τῶν ἀμεινόνων, ἐτόλμησεν ἤδη καὶ τῷ πλήθει διαλέγεσθαι, πρότερον ὀκνῶν αὐτὸ μὴ καὶ χαλεπῶς χρήσηται διὰ τὰς ἀτυχίας. παρεκάλει δὲ τοιούτοις ποιούμενος εἰς τὸν ὄχλον τοὺς λόγους.

Κεφάλαιον η'.

Λόγος ἡρώδου πρὸς τοὺς ἰουδαίους.

ΟΥκ ἀγνοοῦμεν ὦ ἄνδρες, ὅτι πολλὰ περὶ τόνδε τὸν καιρὸν γεγένηται πρὸς τὰς πράξεις ἡμῖν ἐναντιώματα, καὶ θαρρεῖν εἰκὸς ἐν τοῖς τοιούτοις, οὐδὲ τοὺς πλεῖστον ἀνδραγαθίᾳ διενηνοχότας. ἀλλ' ἐπειδὴ κατεπείγει τὸ πολεμεῖν, καὶ τῶν γεγονότων οὐδέν ἐστι τοιοῦτον, ὃ μηδενὸς ἔργου καλῶς πραχθέντος ἐπανορθώσεται, παρακαλέσαι προειλόμην ὑμᾶς ἅμα, καὶ διδάξαι, δι' ὧν ἂν ἐμμένητε τοῖς οἰκείοις φρονήμασιν. βούλομαι δὲ πρῶτον μὲν ὑπὲρ τοῦ πολεμεῖν ὡς δικαίως αὐτὸ ποιοῦμεν ἐπιδεῖξαι, διὰ τὴν ὕβριν τῶν ἐναντίων ἠναγκασμένοι. μέγιστον γὰρ εἰ μάθοιτε τοῦτο, προθυμίας αἴτιον ὑμῖν ἔσται. μετὰ δὲ τὸ ὑποδεῖξαι διότι καὶ τῶν ἐν ἡμῖν δεινῶν οὐδέν ἐστιν, καὶ πλείστας εἰς τὸ νικᾶν ἔχομεν τὰς ἐλπίδας. ἄρξομαι δὲ ἀπὸ τοῦ πρώτου, μάρτυρας ὑμᾶς ποιούμενος ὧν λέγω. τὴν γὰρ τῶν ἀράβων παρανομίαν ἴστε μὲν δήπου καὶ πρὸς τοὺς ἄλλους ἅπαντας οὕτως ἀπίστως διακειμένην, ὡς εἰκὸς ἔχειν τὸ βάρβαρον καὶ ἀνεννόητον θεοῦ, πλεῖστα μέντοι προσέκρουσαν ἡμῖν πλεονεξίᾳ, καὶ φθόνῳ, καὶ τὰς ταραχὰς ἐφεδρεύοντες ἐξ ὑπογύου. καὶ τὰ μὲν πολλά, τί δεῖ λέγειν; ἀλλὰ κινδυνεύοντας αὐτοὺς τῆς οἰκείας ἀρχῆς ἐκπεσεῖν, καὶ δουλεύειν κλεοπάτρᾳ, τίνες ἄλλοι τοῦ δέους ἀπήλλαξαν, ἡ γὰρ ἐμὴ πρὸς ἀντώνιον φιλία, κἀκείνου πρὸς ὑμᾶς διάθεσις αἰτία γεγένηται, μηδὲ τούτους ἀνήκεστόν τι παθεῖν, φυλαττομένου τἀνδρὸς μηδὲν ἐπιτηδεύειν, ὃ δύναιτ' ἂν ὕποπτον ἡμῖν γενέσθαι. βουληθέντος δ' ὅμως κλεοπάτρα μέρη τινὰ παρασχεῖν ἀφ' ἑκατέρας τῆς ἀρχῆς, καὶ τοῦτο διῳκησάμην ἐγώ. καὶ πολλὰ δῶρα δοὺς ἴδια, τὸ μὲν ἀσφαλὲς ἀμφοτέροις ἐπορισάμην, τὰς δὲ δαπάνας αὐτὸς ἀνέλαβον, διακόσια μὲν διδοὺς τάλαντα, διακοσίων δὲ ἐγγυητὴς γενόμενος, ἃ τῇ μὲν γῇ προσοδευομένῃ γεγόνει, αὐτοὶ δὲ ὑπὸ τούτων ἀπεστερήμεθα. καίτοι γε ἄξιον μὲν ἦν μηδενὶ τῶν ὄντων ἰουδαίους φόρον, ἢ τῆς χώρας ἀπόμοιραν τελεῖν. εἰ δ' οὖν, ἀλλ' οὐχ ὑπέρ γε τούτων οὓς αὐτοὶ σεσώκαμεν, οὐδὲ τοὺς ἄραβας ὁμολογήσαντας μετὰ πολλῆς ἐντεύξεως καὶ χάριτος, ὅτι τὴν ἀρχὴν ἐδόκουν τυγχάνειν, ἀδικεῖν ἡμᾶς ἀποστεροῦντας, καὶ ταῦτα οὐ πολεμίους ὄντας, ἀλλὰ φίλους. ὡς ἥ γε πίστις ἔχουσα καὶ πρὸς τοὺς πολεμιωτάτους τόπον, τοῖς γε φίλοις ἀναγκαιοτάτη τετηρῆσθαι. ἀλλ' οὐ παρὰ τούτοις οἳ τὸ μὲν κερδαίνειν ἐκ παντὸς τρόπου, κάλλιστον ὑπειλήφασιν, τὸ δ' ἀδικεῖν οὐκ ἐπιζήμιον, εἰ μόνον κερδαίνειν δυνηθεῖεν. ἔστιν οὖν ἔτι ζήτησις ὑμῖν εἰ δεῖ

at illi non ausi aduentum eorum prestolari, vtpote deiecti animis ob calamitatem, rempub. negligere, nec multùm à desperatione abesse videbantur. quos ita affectos rex excitabat, duces eorum appellando, & quantum in se erat conando animum illis addere. cúmque generosiores quosdam in meliorem spem restituisset, tum demum ausus est etiam exercitum alloqui, quem priùs viderat in recentibus cladibus nullam orationem admittere. eos igitur his verbis consulatus simul & cohortatus est.

Cap. VIII.

Herodis concio ad exercitum.

NOn ignoramus, viri fortissimi, multa hoc tempore nostros conatus remorata infortunia, quibus quantumuis audaces perterreri nil mirum fuerit. Sed quoniam bellum est pro foribus, & quę hactenus acciderũt talia sunt vt vestra virtute possint corrigi, cohortandi mihi estis, & monendi quo pacto retinere possitis pristinum robur animi. ac primùm de bello verba faciam, declaraboque nos id iustissimis de causis gerere, coactos inimicorum iniuriis: id quod vel præcipuè debet acuere vestram fortitudinem. deinde ostendam, nec hæc quæ nos contristant, esse tam grauia quàm videntur, & magnam nobis superesse spem victoriæ. ac primùm de eo disseram quod priùs proposui, vósque ipsos testes eorum quæ dicturus sum faciam. Nostis enim ipsi Arabum iniustitiam, & quàm sint erga alios quoque omnes perfidi, nimirum genus hominum impium, ac barbarum: sed nos præcipuè infestauerunt, ob auaritiam & inuidiam, perpetuis iniuriis nos lacessentes. Et tamen ne alia beneficia nostra in eam gentem collata commemorem, qui eos imminente Cleopatra de libertate periclitantes eripuit nisi nos? Mea enim cum Antonio coniunctio, & illius erga me beneuolentia in causa fuit ne quid isti grauius paterentur, dum ille cauet committere quòd & nobis suspectum esse posset: deinde postquam precibus illa euicit vt de vtraque regione portiones quædam ei deciderentur, in his quoque dispensandis non cessauit mea industria: & datis de meo magnis muneribus securitatem ambobus acquisiui meo vnius sumptu, dum cc. talenta expendo, & pro aliis ducentis fideiubeo, pro reditibus eius ipsius terræ, quam isti olim nostram occupant. atqui æquum erat nos Iudęos & à tributis immunes esse, nec cuiquam vllam agrorum partem decidere. certè in Arabum gratiam, qui nobis salutem suã debẽt, indignũ erat quicquã expendere. Sed multò iniquius est, eos qui negare non possunt suã libertatẽ nostrum esse beneficiũ, & eam ob rem gratias nobis egerũt, fraudare nos debitis, præsertim amicos & pacis tempore: quandoquidem fides etiã hosti seruanda, multò magis inter amicos locum habeat necesse est. at non inter tales quales isti sunt, qui nihil honestum putant nisi cum lucro coniunctũ, & iniuriã impunitã esse debere, quæ lucri gratia cõmittitur. Dubiúmne igitur est, nostri officij

esse iniustos iusto bello persequi, quod Deus ipse fieri vult, iubétque nos semper vlcisci vim & iniuriam, maximè in bello non solùm iusto, verùm etiam necessario. quod enim confessione omnium tam Græcorum quàm Barbarorum est crudelissimum, hoc cæsis nostris legatis perpetrauerunt. Nam & Græci caduceatores sacros ac inuiolabiles esse volunt, & nostri honestissima sanctissimáque legis præcepta per angelos, hoc est nuncios à Deo acceperunt. hoc enim nomen & Deum in hominum notitiam adducere,& hostes hostib. conciliare potest. Quid igitur magis nefariũ, quàm legatos de iure agentes interficere? aut quæ illis post hoc facinus expectanda vel in bello prosperitas, vel in reliqua vita felicitas? ego sanè non video. Dixerit fortè aliquis: ius quidem & fas penes nos est, sed penes illos vires & maiores copiæ: verũ isthæc oratio indigna est nostris hominib. cũ quib. enim iustitia est, cũ illis etiam Deus. vbi autem Deus est, ibi nec multitudo neç fortitudo deesse potest. Sed age etiam per se vires nostras expendamus. Prima pugna vicimus, in secunda primo congressu eos profligauimus, non ferentes nostram impressionẽ. victores deinde nos Athenio non indicto bello ex insidiis aggressus est. verùm hæc fortitudo eorum dicenda est, an insidiæ potius & secunda iniquitas. Cur igitur nobis minus sit animi, quibus oportebat esse plus spei? aut cur nobis timendi sint qui quoties absque dolo certandum est, semper succumbunt, quando verò vincere videntur per iniustitiam hoc faciũt? Quid quòd etiam si fortes quis eos existimet, hoc ipso magis ad virtutem excitari debet? non est enim generosi laus infirmissimum quemq; aggredi, sed posse etiã fortes deuincere. Quòd si quem domesticæ clades terrent & terræmotus proximus, primùm cogitet hoc ipsum esse quod Arabas decipit, putantes grauiorem quã se vera fuit: deinde non decere vt illis audaciæ, nobis timiditatis, eadẽ causa sit. Illi enim nũc audent non quòd alicuius boni sibi sint conscij. sed quia nos afflictos credũt calamitatib. vbi autem nos viderint occurrere, collabetur eorum fiducia,& nobis hoc ipso crescent animi, quòd iam cum non ita ferocientibus pugnabimus. nã neque admodum afflicti sumus, neque, vt quidam putãt, irato Deo nobis hoc accidit, sed casus hi sunt fortuiti. Quòd si Dei voluntate hoc factum est, mirũ ni eiusdem voluntate cessauit calamitas, & hac castigatione contentus est. Quòd verò præsens bellum ei probetur vt iustum, ipse euidenter declarauit. Nonnullis enim per totam regionem terræmotu oppressis, vestrum qui arma gestatis nemini quicquam mali contigit, sed omnes estis incolumes, manifesto diuinæ voluntatis indicio, quòd si populariter militassetis vnà cum liberis & vxoribus, neminẽ vestrum desideraretis. Hæc cogitantes:& quòd maius est, habere vos Deum protectorem omni tempore, persequimini iusto bello gentem impiam nec amicitiæ iura, nec fœderum fidem seruantem,

τοὺς ἀδίκους τιμωρήσασθαι, τοῦτο καὶ τοῦ θεοῦ βουλομένου, καὶ παραγγέλλοντος ἀεὶ μισεῖν τὴν ὕβριν, καὶ τὴν ἀδικίαν, καὶ ταῦτα οὐ μόνον δίκαιον, ἀλλὰ καὶ ἀναγκαῖον πόλεμον ἐπεξιόντων. ἃ γὰρ ὁμολογεῖται παρανομώτατα τοῖς τε Ἕλλησι, καὶ τοῖς βαρβάροις, ταῦτα ἔπραξαν εἰς τοὺς ἡμετέρους πρέσβεις ἀποσφάξαντες αὐτούς, τῶν μὲν Ἑλλήνων ἱεροὺς καὶ ἀσύλους εἶναι τοὺς κήρυκας φαμένων, ἡμῶν δὲ τὰ κάλλιστα τῶν δογμάτων, καὶ τὰ ὁσιώτατα τῶν ἐν τοῖς νόμοις δι᾽ ἀγγέλων παρὰ τοῦ θεοῦ μαθόντων. τοῦτο γὰρ τὸ ὄνομα, καὶ ἀνθρώποις θεὸν εἰς ἐμφάνειαν ἄγειν, καὶ πολεμίους πολεμίοις διαλλάττειν δύναται. ποῖον οὖν μεῖζον ἂν γένοιτο ἀσέβημα, ἢ πρέσβεις ἀποκτεῖναι, τοὺς ὑπὲρ τοῦ δικαίου διαλεγομένους; πῶς δ᾽ ἂν ἔτι δύναιντο, ἢ περὶ τὸν βίον εὐσταθεῖν, ἢ περὶ τὸν πόλεμον εὐτυχεῖν τοιούτων αὐτοῖς πεπραγμένων; ἐμοὶ μὲν οὐδαμῶς δοκοῦσιν. ἴσως τοίνυν ἐρεῖ τις, τὸ μὲν ὅσιον καὶ δίκαιον μεθ᾽ ἡμῶν, ἀνδρειότεροι δὲ ἢ πλείους ἐκεῖνοι τετυχήκασιν. ἀλλὰ πρῶτον μὲν ἀνάξιον ὑμῖν ταῦτα λέγειν. μεθ᾽ ὧν γὰρ τὸ δίκαιόν ἐστιν, μετ᾽ ἐκείνων ὁ θεός. θεοῦ δὲ παρόντος, καὶ πλῆθος, καὶ ἀνδρεία πάρεστιν. ἵνα δὲ καὶ τὰ καθ᾽ ἑαυτοὺς ἐξετάσωμεν, ἐνικήσαμεν τῇ πρώτῃ μάχῃ, συμβαλόντες τὴν δευτέραν, οὐδὲ ἀντέσχον ἡμῖν, ἀλλ᾽ ἔφυγον εὐθὺς οὐχ ὑπομείναντες τὴν ἔφοδον, καὶ τὰ φρονήματα. νικῶσιν δ᾽ ἡμῖν Ἀθηνίων ἐπέθετο πόλεμον ἀκήρυκτον ἐπάγων. πότερον ἀνδραγαθία τοῦτ᾽ ἐστιν ἐκείνων, ἢ δευτέρα παρανομία, καὶ ἐνέδρα; τί οὖν ἔλαττον φρονοῦμεν, ἐφ᾽ οἷς μείζους ἔχειν δεῖ τὰς ἐλπίδας; πῶς δ᾽ ἂν καταπλαγείημεν, τοὺς ὅταν μὲν ἐξ ἀληθείας ἀγωνίζωνται πάντοτε νικωμένους, ὅταν δὲ κρατεῖν νομισθῶσιν ἐξ ἀδικίας αὐτὸ ποιοῦντας; πῶς δ᾽ ἂν εἰ καὶ γενναίους ἡγηταί τις αὐτούς, οὐ παρ᾽ αὐτὸ τοῦτο καὶ μᾶλλον ὁρμηθείη; τὸ γὰρ εὔψυχον, οὐκ ἐν τῷ τοῖς ἀσθενεστάτοις ἐπιχειρεῖν, ἀλλ᾽ ἐν τῷ δύνασθαι καὶ τῶν ἰσχυροτέρων κρατεῖν. εἰ δέ τινα καταπλήττεται τὰ οἰκεῖα πάθη, καὶ τὰ περὶ τὸν σεισμὸν συμβεβηκότα, πρῶτον μὲν ἐννοηθήτω, ὅτι τοῦτ᾽ αὐτὸ καὶ τοὺς Ἄραβας ἐξαπατᾷ, μείζω τὰ γενόμενα τῆς ἀληθείας ὑπειληφότας. ἔπειτα, ὡς οὐ καλὸν ἐκείνοις τε τόλμης καὶ ἡμῖν δειλίας τὴν αὐτὴν αἰτίαν γενέσθαι. οἱ μὲν γὰρ, οὐκ ἐξ οἰκείου τινὸς ἀγαθοῦ τὸ εὔψυχον ἔχουσιν, ἀλλ᾽ ἐκ τῆς περὶ ἡμᾶς ὡς κάμνοντας ἤδη τοῖς κακοῖς ἐλπίδος. ἡμεῖς δὲ χωρήσαντες ἐπ᾽ αὐτούς, παραιρησόμεθα μὲν ἐκείνων τὸ μεῖζον φρονεῖν, ἀναληψόμεθα δ᾽ αὐτοί, τὸ μηκέτι θαρσοῦσι μάχεσθαι. καὶ γὰρ οὔτε κεκακώμεθα τοσοῦτον, οὐθ᾽ ὅπερ οἴονταί τινες ὀργὴν θεοῦ παρέχειν τὸ γεγονός, ἀλλὰ ταῦτα συμπτώματα γίνεται καὶ πάθη τινά. καὶ εἰ κατὰ θεοῦ γνώμην πέπρακται, δῆλον ὡς καὶ πέπαυται κατὰ τὴν ἐκείνου γνώμην ἀρκουμένου τοῖς γεγονόσι. βουλόμενος γὰρ ἔτι μᾶλλον ἀδικεῖν, οὐκ ἂν μετεβάλλετο. τὸν δὲ πόλεμον, ὅτι καὶ θέλει τοῦτον ἀνεργεῖσθαι, καὶ δίκαιον οἶδεν, δεδήλωκεν αὐτός. ἐνίων γὰρ ἐν τῷ σεισμῷ περὶ τὴν χώραν ἀπολομένων, οὐδεὶς οὐδὲν ἔπαθεν τῶν ἐν τοῖς ὅπλοις, ἀλλὰ πάντες ἐσώθητε, φανερὸν ποιοῦντος τοῦ θεοῦ, διότι κἂν εἰ πανδημεὶ μετὰ τέκνων καὶ γυναικῶν ἐστρατεύεσθε, περιῆν ἂν ὑμῖν μηδὲν ἀνήκεστον παθεῖν. ταῦτα ἐνθυμηθέντες, καὶ τὸ μεῖζον ὅτι περὶ πάντα καιρὸν προεστάμενον ἔχετε τὸν θεόν, ἐπεξέλθετε δικαίαις ἀνδραγαθίαις, τοὺς ἀδίκους μὲν πρὸς φιλίαν, ἀσπόνδους δὲ ἐν ταῖς μάχαις,

ἀνοσίους

ἀνοσίους δὲ εἰς πρέσβεις, ἀεὶ δὲ τῆς ὑμετέρας ἀρετῆς ἡττημένοις. ταῦτα ἀκούσαντες οἱ Ἰουδαῖοι, πολὺ τὰς ψυχὰς ἀμείνους ἐγένοντο πρὸς τὴν μάχην. Ἡρώδης δὲ θυσίας κατὰ τὰ νομιζόμενα ποιήσας, καὶ μετὰ σπουδῆς ἀναλαβὼν αὐτοὺς ἦγεν ἐπὶ τοὺς Ἄραβας, διαβὰς τὸν Ἰορδάνην ποταμόν. καὶ τῶν μὲν πολεμίων στρατοπεδεύεται πλησίον, ἐδόκει δὲ αὐτῷ φρούριον ἐν μέσῳ κείμενον καταλαβεῖν. οὕτως γὰρ αὐτὸς μὲν ὠφεληθήσεσθαι, καὶ πρὸς τὸ θᾶττον συνάψαι τὴν μάχην, κἂν εἰ παρελθεῖν δέον, ἐρυμνὸν αὐτῷ πεποιησμένος τὸ στρατόπεδον. τὸ δὲ αὐτὸ καὶ τῶν Ἀράβων προνοούντων, ἅμιλλα γίνεται περὶ τοῦ χωρίου. καὶ πρῶτος μὲν ἀκροβολισμὸς, εἶτ' ἤδη καὶ πλείους εἰς χεῖρας ἐρχόμενοι, παρ' ἀμφοτέρων ἔπιπτον, ἕως ἡττηθέντες οἱ τῶν Ἀράβων ἀπεχώρησαν. τοῦτο εὐθὺς εἰς ἐλπίδας τοῖς Ἰουδαίοις οὐ μικρὸν ἐγεγόνει, καὶ τὴν δύναμιν αὐτῶν ἕτοιμον πάντα μᾶλλον ἢ πρὸς μάχην ἰέναι βουλόμενον, θρασύτερον ἐπεχείρησεν αὐτὸν τὸν χάρακα διασπᾶν, καὶ τοῦ στρατοπέδου προσάγων ἅπτεσθαι. τούτοις γὰρ ἐκβιασθέντες, προσῄεσαν ἄτακτοι, καὶ προθυμίας ἢ τῆς εἰς τὸ νικᾶν ἐλπίδος οὐδ' ὁποιασοῦν ἐσχηκότες, ὅμως δ' οὖν εἰς χεῖρας ᾔεσαν, πλείους τε ὄντες καὶ διὰ τὸ κατεπεῖγον ἐπὶ τὸ τολμηρὸν ὑπὸ τῆς ἀνάγκης στρατηγούμενοι. καὶ μάχη γίνεται καρτερὰ, πιπτόντων ἑκατέρωθεν οὐκ ὀλίγων. τέλος τραπέντες οἱ Ἄραβες ἔφυγον. ἦν δὲ τοσοῦτος φόνος ἐκκλινάντων, ὡς μὴ μόνον ὑπὸ τῶν πολεμίων θνήσκειν, ἀλλὰ σφίσιν αὐτοῖς παραιτίους γίνεσθαι τῶν κακῶν, ὑπό τε πλήθους καὶ φορᾶς ἀτάκτου συμπατουμένων, καὶ περιπιπτόντων τοῖς οἰκείοις ὅπλοις. πεντακισχίλιοι γοῦν αὐτῶν ἐγένοντο νεκροί. τὸ δ' ἄλλο πλῆθος, ἔφθη μὲν εἰς τὸ χαράκωμα συμφυγεῖν. εἶχεν δ' οὐκ ἐν βεβαίῳ τὴν ἐλπίδα τῆς σωτηρίας, ἀπορίᾳ τῶν ἐπιτηδείων, καὶ μᾶλλον ὕδατος. οἵ τε Ἰουδαῖοι διώκοντες συνεισπεσεῖν μὲν οὐ κατίσχυσαν, περικαθεζόμενοι δὲ τὸν χάρακα, καὶ παρατηροῦντες εἰσόδοις τε τοὺς ἐπαρκοῦντας καὶ ἐξόδοις φυγεῖν βουλομένους εἶργον. ἐν τούτοις οὖν ὄντες οἱ Ἄραβες, ἐπρεσβεύοντο παρὰ τὸν Ἡρώδην, τὸ μὲν πρῶτον, ὑπὲρ διαλύσεως. ἔπειτα, τὸ γὰρ δίψος ἤπειγεν, πᾶν ὁποιοῦν ὑφίστασθαι, καὶ τυχεῖν εἰς τὸ παρὸν ἀδείας ἠξιωκότες. ὁ δὲ οὔτε πρέσβεις, οὔτε λύτρα τῶν ἡλωκότων, οὔτ' ἄλλο τι μέτριον προσίετο, φιλόνεικος ὢν ἐκδικῆσαι τὰς παρανομίας τὰς εἰς αὐτοὺς ἐξ ἐκείνων γεγενημένας. καταναγκαζόμενοι οὖν τοῖς τε ἄλλοις, καὶ τῷ δίψει, προσιόντες αὐτοὺς ἐνεχείριζον ἄγειν καὶ δεῖν. καὶ πέντε μὲν ἡμέραις, τετρακισχίλιοι τὸ πλῆθος ἑάλωσαν. τῇ δὲ ἕκτῃ, πάντες οἱ λοιποὶ, διέγνωσαν ἐξεῖναι πολέμου νόμῳ χωρήσαντες ἐπὶ τοὺς ἐναντίους ἐγχειρεῖν, εἰ καὶ δέοι τι πάσχειν αἱρούμενοι, καὶ μὴ διαφθείρεσθαι κατ' ὀλίγους ἀδόξως. ταῦτα δὲ γνόντες, ἐξῆλθον μὲν τοῦ χαρακώματος, διήρκεσαν δ' οὐδαμῶς τῇ μάχῃ, λαμπρῶς μὲν ἀγωνίσασθαι κεκμηκωμένοι καὶ τὰς ψυχὰς καὶ τὰ σώματα τόπον οὐκ ἔχοντες. κέρδος δ' εἰ θνήσκοιεν τὴν συμφορὰν τοῦ ζῆν ποιούμενοι, καὶ πίπτουσιν αὐτῶν ἐν τῇ προτεραίᾳ μάχῃ περὶ ἑπτακισχιλίους. τοιαύτῃ δὲ πληγῇ χρησαμένων, φρονήματος μὲν ὅσον ἦν αὐτοῖς πρότερον ἀφῄρητο. τεθαυμακότες δὲ ἐν ταῖς οἰκείαις συμφοραῖς τὴν Ἡρώδου στρατηγίαν, εἴς τε τὸ λοιπὸν εἶξαν, καὶ προστάτην ἀπέφηναν τοῦ ἔθνους.

in occidendis legatis fortem, cum virtute gerenda res est, semper fugacem. His verbis Iudæorum animi non mediocriter accensi sunt ad prelium. Herodes autem sacris de more peractis, properè duxit eos vltra Iordanem contra Arabas: metatúsque castra non procul hostibus, decreuit castellum intra vtrosque situm occupare: commodum sibi id ratus, siue pugnandum esset, siue castra in tutiorem locum transferenda. cúmque idem esset Arabum quoque consilium, circa eum locum certamē contractum est. ac primùm telis velitati eminus, deinde manus conserunt, vtrinque nonnullis cadentibus, donec Arabes victi discesserunt. Ea pugna Iudæis tantum momentum ad bene sperandum fuit, vt quia hostes certamen detrectabant, ausi sint vallum eorum diuellere ipsa castra expugnaturi. atque ita coacti processerunt non satis bene structa acie, ne tãtillum quidem alacritatis aut spei ad pugnam afferentes: cõseruerunt tamen manus vel quia plures numero, vel quia necesse erat lacessenti hosti resistere. post diutinum igitur conflictum non paucis vtrinque cæsis, tandem Arabes in fugam versi sunt. Tanta autem strages impulsis semel edebatur, vt non solùm hostium gladiis conficerentur, sed præ impetu fugientis inconditæ multitudinis alij proculcarentur, alij suis ipsorum telis se inducerent, itaque quinq; millia desiderata sunt. cætera turba refugit quidem intra castra, sed nulla certa salutis spe, non tam commeatus quàm aquæ penuria. Porrò Iudæi quia non potuerunt vnà cum fugientibus irrumpere, obsidione eos cinxerunt, & auxiliis aditus, & fugam obsessis intercludendo. In hac rerum difficultate Arabes legatos ad Herodem miserunt, primùm pacem petentes, deinde quia sitis vrgebat, præsenti necessitati remedium. At ille non legatos, non pecuniam pro captiuis, nihil denique æquum admittebat, enixè cupiens facinorum in suos patratorum pœnas ab eis exigere. Itaq; coacti siti inter alia mala prægrauante, progressi præbuerunt se vinciendos, & in captiuitatem abigendos, ita vt intra quintam diem capti sint ad quatuor millia. Sexta verò omnes reliqui decreuerunt prodire, & hostem aggredi, vel certam cladem malentes, quàm paulatim ignominiosè opprimi. Quæ sententia postquàm placuit, eruperunt è castris, sed parum idonei ad prælium, fractis tã viribus quàm animis, propter extremum infortunium mortem in lucro reputantes. Quare primo conflictu circiter septem millia ceciderunt: domitáque per hanc cladem gentis ferocia, in Herodis, quem suo malo bellatorem egregium experti sunt clientelam se dederunt.

CAP. IX.

Herodes ad Cæsarem profecturus necessario Hyrcanum interfecit.

QVa felicitate ille multùm elatus domum reuertitur, aucta ob rē bene gestam existimatione. Sed dum maximè res suas constabilisse videtur, summū discrimen adiit, Antonio apud Actium deuicto armis Cæsaris. Tum enim actum de se putauit, non ipse solus, sed & amici eius omnes & inimici. nemo enim credebat impune fore tantam Antonij amicitiam. quo factum est vt amici quidem nihil dissimularent desperationem, inimici verò condolere se fingentes, clàm gauderent, pollicentes sibi in futurum meliorem statum reipublicæ. Ibi Herodes videns præter Hyrcanum neminem superesse regij generis, statuit eum è medio tollere: siue euasurus esset periculum, tutiùs ratus neminem extare digniorem imperio: siue opprimendus esset à Cæsare, successionem illi inuidens. Hæc secum volutanti, ab ipsius Hyrcani familia præbita est occasio. qui quòd esset miti ingenio, toto vitæ suæ tempore nullis se admiscuit negotiis, omnia fortunæ permittens & quamcunque illa conditionem attulisset, ea bene contentus. Verum Alexandra ambitiosa fœmina, & mutationis spem modestè ferre nesciens, solicitauit patrem ne vlterius ferret Herodem afflictorem suæ familiæ, sed potiùs sibi quoque caueret, séque speratæ fortunæ seruaret. consuluit deinde vt Malcho Arabiam ditione tenenti scriberet, peterétque ab eo tutelam & hospitium. Si enim contingat Herodē malè mulctari ab offenso Cæsare, dubio procul ad ipsum rediturum imperium, propter nobilitatem generis, & fauorem populi. Talia suadentem Hyrcanus primò repulit, deinde victus importunitate mulieris, interdiu noctúque eādem cantilenam de futurorum spe, déque Herodis insidiis occinentis: ad Arabem literas dat amico cuidam Dositheo: in quibus scriptum erat, vt equites mitteret, qui eum ad Asphaltitem lacum deducerent. Distat à Hierosolymitanis finibus per trecenta stadia. Hæ literæ ideò Dositheo potissimùm creditæ sūt, quòd & Hyrcani cliens erat & filiæ: & exosum ei Herodem non vna de causa videbatur verisimile. nā Iosephi ab eo necati cognatus erat, & aliquanto antè fratres eius apud Tyrum inter alios ab Antonio interfecti fuerant. nihilo tamen magis ob hæc Hyrcano fides seruata est. Pluris enim ille faciens præsentis regis gratiam, ostendit ei epistolam. qui actis primùm gratiis, vnū etiam ab eo postulauit ministerium: vt complicata epistola, & obsignata Malcho eam redderet, & responsum ab illo reciperet. multùm enim sua referre, si etiā illius mentem intelligat. Quod vbi Dositheus sedulò executus est, Arabs rescripsit paratum se & ipsum

Κεφάλαιον θ'.

Πῶς ἀνάγκην ἔχων Ἡρώδης ἀπιέναι πρὸς Καίσαρα, διέφθειρεν Ὑρκανόν.

Ὁ Δὲ πλεῖστον ἐπὶ τοῖς εὐημερήμασιν ἠξιωκὼς φρονεῖν, ἀνέστρεφεν εἰς τὴν οἰκείαν, μέγα προσειληφὼς ἀξίωμα, καὶ διὰ ταύτην τὴν ἀνδραγαθίαν. τὰ μὲν οὖν ἄλλα, καλῶς εἶχεν αὐτῷ, δυσεπιχειρήτῳ κατὰ πάντα γεγενημένῳ. κίνδυνος δὲ ἐμπίπτει τὸν περὶ τῶν ὅλων κρίσιν ἐπάγων, Ἀντώνιον Καίσαρος ἐν τῇ κατ' Ἄκτιον μάχῃ νενικηκότος. τότε γὰρ ἀπέγνωσαν αὐτὸν τὸ Ἡρώδου τὰ πράγματα, καὶ τοῖς περὶ αὐτὸν ὁμοίως ἐχθροῖς τε καὶ φίλοις. οὐ γὰρ εἶναι εἰκὸς ἀτιμώρητον μένειν τοσαύτης αὐτῷ πρὸς Ἀντώνιον φιλίας γεγενημένης. ἦν μὲν οὖν τοῖς μὲν φίλοις, ἀπόγνωσις τῶν κατ' αὐτὸν ἐλπίδων. ὅσοι δ' ἐχθρῶς εἶχον, ἐδόκουν μὲν ἐξ ἐμφανοῦς συνάχθεσθαι. πάθος δὲ λεληθὸς ἐφηδομένων εἶχον, ὡς ἀμείνονος τευξόμενοι τῆς μεταβολῆς. αὐτός τε Ἡρώδης τὸν Ὑρκανὸν ὁρῶν μόνον ἐπ' ἀξιώματος βασιλικοῦ, συμφέρειν ᾤετο μηκέτ' ἐμποδὼν ἐᾶν. εἰ μὲν περισωθείη καὶ διαφύγῃ τὸν κίνδυνον, ἀσφαλὲς ἡγούμενος, πρὸς τὸ μὴ τοῖς τοιούτοις αὐτοῦ καιροῖς ἐφορμᾶν, ἄνδρα τυχεῖν τῆς βασιλείας ἀξιολογώτερον. εἰ δὲ καὶ πάσχοι τι διὰ Καίσαρος, φθόνῳ τὸν μόνον ἐπὶ τῆς βασιλείας γενησόμενον ἐπιθυμῶν ἐξελεῖν. ταῦτα δὲ αὐτοῦ δι' ἐννοίας ἔχοντος, ἐνεδόθη τι καὶ παρ' ἐκείνων. ὁ μὲν γὰρ Ὑρκανὸς ἐπιεικείᾳ τρόπου καὶ τότε καὶ τὸν ἄλλον χρόνον, οὐκ ἠξίου πολυπραγμονεῖν οὐδὲ νεωτέρων ἅπτεσθαι, συγχωρῶν τῇ τύχῃ, πᾶν τὸ δι' ἐκείνην γινόμενον ἠγαπηκέναι. φιλόνεικος δ' ἦν Ἀλεξάνδρα καὶ τὴν ἐλπίδα τῆς μεταβολῆς ἀκρατῶς φέρουσα, λόγους ἐποιεῖτο πρὸς τὸν πατέρα, μὴ μέχρι παντὸς ἀναμεῖναι τὴν Ἡρώδου παρανομίαν εἰς τὸν αὐτοῦ οἶκον, ἀλλὰ προλαβεῖν ἀσφαλείᾳ τὰς αὖθις ἐλπίδας. ἠξίου τε περὶ τούτων Μάλχῳ γράφειν τῷ τὴν Ἀραβίαν ἔχοντι, δέξασθαί τε αὐτοὺς, καὶ δι' ἀσφαλείας ἄγειν. ὑπεξελθόντων γὰρ εἰ τὰ περὶ Ἡρώδου οὕτως χωρήσειεν ὡς εἰκὸς ἐν ἔχθρᾳ Καίσαρος, αὐτοὺς ἔσεσθαι τοὺς τὴν ἀρχὴν ἀπολαμβάνοντας μόνους, καὶ διὰ τὸ γένος καὶ διὰ τὴν εὔνοιαν τῶν ὄχλων. ταῦτα πειθούσης, ὁ μὲν Ὑρκανὸς διωθεῖτο τοὺς λόγους. φιλόνεικον δέ τι καὶ γυναικεῖον αὐτῆς πεπονθυίας, καὶ μήτε νύκτα μήθ' ἡμέραν ἀπολειπομένης, ἀλλ' ἀεὶ περὶ τούτων, καὶ τῆς Ἡρώδου πρὸς αὐτοὺς ἐπιβουλῆς διαλεγομένης, ἀνεπείσθη τέλος ἐπιστολὴν δοῦναι Δοσιθέῳ τινὶ τῶν περὶ αὐτὸν φίλων, ἐν ᾗ συντέτακτο πέμψειν αὐτῷ τὸν Ἄραβα τοὺς ἀναληψομένους καὶ παραπέμψοντας ἱππέας ἐπὶ τὴν Ἀσφαλτῖτιν λίμνην. αὕτη δὲ ἀπέχει τῶν Ἱεροσολυμιτῶν ὅρων, σταδίους τ'. ἐπίστευε δὲ τῷ Δοσιθέῳ, θεραπεύοντος αὐτοῦ καὶ αὐτὸν καὶ τὴν Ἀλεξάνδραν, καὶ τῆς πρὸς Ἡρώδην δυσνοίας οὐ μικρὰς αἰτίας ἔχοντος. Ἰωσήπου τε γὰρ, ὃν ἐκεῖνος ἀνῃρήκει, συγγενὴς ἦν, καὶ τῶν ἐν Τύρῳ φονευθέντων ὑπ' Ἀντωνίου πρότερον ἀδελφός. οὐ μὴν ἀπήγαγε ταῦτα τὸν Δοσίθεον Ὑρκανῷ πιστὸν εἰς τὴν ὑπηρεσίαν γενέσθαι. προτιμήσας δὲ τὰς ἐκείνου τὰς ἐκ τοῦ βασιλεύοντος ἐλπίδας, ἐπιδίδωσιν Ἡρώδῃ τὴν ἐπιστολήν. ὁ δὲ τῆς εὐνοίας ἀποδεξάμενος, ἔτι καὶ τοῦτο προσυπουργῆσαι παρεκελεύετο. πτύξαντα τὴν ἐπιστολὴν, καὶ κατασημηνάμενον ἀποδοῦναι τῷ Μάλχῳ. καὶ τὰ παρ' ἐκείνου γράμματα λαβεῖν. οὐ γὰρ μικρὸν τὸ διάφορον, καὶ τὴν ἐκείνου γνώμην αὐτὸν εἰδέναι. ταῦτα δὲ τοῦ Δοσιθέου προθύμως προσυργήσαντος, ὁ μὲν Ἄραψ ἀντεπέστελλεν αὐτὸν τὸν Ὑρκανὸν δέχε-

δέχεσθαι καὶ τοὺς σὺν αὐτῷ πάντας, ἢ καὶ ἰουδαίων ὅσοι τὰ ἐκείνου φρονοῦσι, δύναμίν τε πέμψειν τὴν μετ᾽ ἀσφαλείας αὐτοὺς κομίσουσαν, καὶ πρὸς μηδὲν ἐνδεήσειν ὧν ἠξίου. ὡς δὲ καὶ ταύτην ἡρώδης ἐδέξατο τὴν ἐπιστολήν, μεταπέμπεται τὸν ὑρκανόν, καὶ περὶ τῶν γενομένων αὐτῷ συνθηκῶν πρὸς τὸν μάλχον ἀνέκρινεν. ἀρνησαμένου δέ, τὰς ἐπιστολὰς δείξας τῷ συνεδρίῳ, διεχειρίσατο τὸν ἄνδρα. ταῦτα δὲ γράφομεν ἡμεῖς ὡς ἐν τοῖς ὑπομνήμασι τοῖς τοῦ βασιλέως ἡρώδου περιείχετο. τοῖς δ᾽ ἄλλοις, οὐ κατὰ ταῦτα συμφωνεῖ. τὸν γὰρ ἡρώδην οὐκ ἐπὶ τοιούτοις δοκοῦσιν, ἀλλ᾽ ἐπιβουλῆς μᾶλλον ὑρκανῷ τὴν αἰτίαν ἐπαγαγόντα, κατὰ τὸν αὐτὸν τρόπον ἀποκτεῖναι. γράφουσι γὰρ οὕτως. ἐν συμποσίῳ τινὶ μηδὲν ὑποψίας ἐνδιδόντα, λόγον ὑρκανῷ προσφέρειν, εἴ τινας ἐπιστολὰς παρὰ τοῦ μάλχου λάβοι. καὶ τὸν μέν, ὁμολογῆσαι προσαγορευτικὰ γράμματα κομίσασθαι. τὸν δ᾽ εἰ καί τινα δωρεὰν εἰληφὼς εἴη, πάλιν ἐπέρεσθαι; τοῦ δέ, μηδὲν πλέον ἢ κτηνῶν ἀναβατικῶν τέσσαρα πέμψαντος αὐτῷ λαβεῖν, εἰς αἰτίαν τὸ τοιοῦτον ἐπαναφέροντα δωροδοκίας καὶ προδοσίας, ἀπάγχειν προστάξαι τὸν ἄνδρα. τεκμήρια δὲ τοῦ μηδὲν ἁμαρτόντα τοιούτῳ τέλει περιπεσεῖν, καταλογίζονται τὴν ἐπιείκειαν τοῦ τρόπου, καὶ τὸ μηδ᾽ ἐν νεότητι θράσους ἢ προπετείας ἐπίδειξιν πεποιῆσθαι, μηδ᾽ ὅτε τὴν βασιλείαν αὐτὸς εἶχεν, ἀλλὰ κἂν ταύτῃ τὰ πλεῖστα τῆς κατὰ τὴν διοίκησιν, ἀντιπάτρῳ παρακεχωρηκέναι. τότε δὲ πλείω μὲν ἢ π΄ γεγονὼς ἐτύγχανεν ἔτη, κρατοῦντα δὲ μετὰ πάσης ἀσφαλείας τὸν ἡρώδην ἠπίστατο. διαβεβήκει δὲ καὶ τὸν εὐφράτην, τοὺς ἐν τῷ πέραν τιμῶντας αὐτόν, καταλιπὼν ὅλως, ὑπ᾽ ἐκείνων τε γενησόμενος· ἐγχειρεῖν τι καὶ καινότερον ἅπτεσθαι πάντων ἀπιθανώτατον, καὶ οὐ πρὸς τῆς ἐκείνου φύσεως, ἀλλὰ ταῦτα σκῆψιν ἡρώδου γενέσθαι. τοῦτο μὲν τὸ τέλος ὑρκανῷ συνέπεσε τοῦ βίου, ποικίλαις καὶ πολυτρόποις χρησαμένῳ τῆς ἐν τῷ ζῆν τύχαις. εὐθὺς μὲν ἐν ἀρχῇ βασιλευούσης αὐτοῦ τῆς μητρὸς ἀλεξάνδρας, ἀρχιερεὺς κατασταθεὶς τοῦ ἰουδαίων ἔθνους, ἔτεσιν θ΄ τὴν τιμὴν κατέσχε. παραλαβὼν δὲ τὴν βασιλείαν ἀποθανούσης τῆς μητρὸς αὐτοῦ, καὶ ταύτην κατασχὼν γ΄ μῆνας, ἐκπίπτει μὲν ὑπὸ ἀριστοβούλου τοῦ ἀδελφοῦ. κατάγεται δ᾽ αὖθις ὑπὸ πομπηίου. καὶ πάσας τὰς τιμὰς ἀπολαβών, ἔτη μ΄ διετέλεσεν ἐν αὐτοῖς. ἀφαιρεθεὶς δὲ τὸ δεύτερον ὑπ᾽ ἀντιγόνου, καὶ λωβηθεὶς τὸ σῶμα παρὰ πάρθοις αἰχμάλωτος ἐγένετο. κἀκεῖθεν εἰς τὴν οἰκίαν ἐπανήει χρόνῳ, διὰ τὰς ἐξ ἡρώδου προσγενομένας ἐλπίδας. ὧν οὐδὲν αὐτῷ κατὰ προσδοκίαν ἀπήντα, πολυπαθείᾳ βίου χρησαμένῳ. τὸ δυσχερέστατον δὲ ὡς προειρήκαμεν ἐν γήρᾳ τέλους οὐκ ἀξίου τυχεῖν. δοκεῖ γὰρ ἐπιεικὴς καὶ μέτριος ἐν πᾶσι γενέσθαι. καὶ τὰ πλεῖστα τῆς ἀρχῆς, ὑπὸ διοικηταῖς ἄγειν, οὐ πολυπράγμων, οὐδὲ δεινὸς ὢν βασιλείας ἐπιστατεῖν. ἀντιπάτρῳ τε καὶ ἡρώδῃ μέχρι τοῦδε προελθεῖν ἐγένετο, διὰ τὴν ἐπιείκειαν τὴν ἐκείνου. καὶ τὸ πέρας οὔτε δίκαιον, οὔτε εὐσεβὲς ἐξ αὐτῶν εὕρατο τοιούτου τέλους. ὁ δὲ ἡρώδης ὡς καὶ τὸν ὑρκανὸν ἐκποδὼν ἐποιήσατο σπεύδων πρὸς καίσαρα, καὶ μηδὲν ἐλπίσαι περὶ τῶν αὐτοῦ πραγμάτων δυνάμενος χρηστὸν ἐκ τῆς γενομένης αὐτῷ πρὸς ἀντώνιον φιλίας, ὕποπτον μὲν εἶχε τὴν ἀλεξάνδραν, μὴ τῷ καιρῷ συνεπιθεμένη τὸ πλῆθος ἀποστήσῃ καὶ στα-

A & familiam recipere, atque etiam omnes illius factionis Iudæos: missurúmque instructam manum quæ eos tutò deducere valeat, & voluntati eius obsecuturum per omnia. Postquam autem etiam hanc epistolam Herodes accepit, accito Hyrcano, rogauit eum, ecquid haberet cum Malcho fœderis. quo inficiante, prolatis in consistorio literis, occidi eum imperauit. Atque hæc ita in ipsius Herodis commentariis scripta habentur: nam ab aliis tra- B duntur aliter, videlicet non ob hoc crimen, sed quasi regi insidiatum, necatum esse. Scribunt enim sic: In quodam conuiuio dissimulata suspicione quæsiuisse ex Hyrcano, num quas literas à Malcho accepisset. respondisse illum, accepisse quidem, sed nihil præter officiosam salutationem continentes. Alterum ampliùs interrogasse, num quod etiam munus accepisset. cúmque respondisset, nihil præter quatuor iumenta quibus vectaretur: regem C traxisse hoc in crimen corruptelæ ac proditionis, móxque hominem duci iussisse. Insontem autem perisse argumentum afferunt mitissimum ipsius ingenium, vt qui ne iuuenis quidem vnquam vllam temeritatis aut audaciæ significationem dederit, ac ne tum quidem cùm ipse principatu potiretur: sed tum quoque pleraque omnia ex Antipatri administrauerit sententia. Tunc verò iam octogesimum annum excesserat, sciebátque opes Herodis D in tuto esse: Euphrate etiam traiecto, relictísque qui trans eum amnem in summo honore habuerant, in patriam postliminio rediit, vt sub illius potestate viueret, quo minus verisimile est eum molitum facinus à sua natura alienissimum, confictáque videntur hæc ab Herode omnia. Hic finis fuit Hyrcani post variam fortunam qua tota vita circumactus est. nam viuente etiam tum matre Alexandra pontifex Iudæorum creatus, per nouem annos eum E honorem obtinuit: cui defunctæ cùm in regũ successisset, elapsis tribus mensib. ab Aristobulo fratre pulsus est, ac deinde Pópeij ope restitutus. receptísq; omnibus honoribus quadraginta annos in eis exegit. deinde iterum ab Antigono pulsus, & mutilato corpore, captiuus apud Parthos vixit. vnde aliquãto pòst domum reuersus, quamuis multa sibi de Herode polliceretur, nihil tamen eorum consecutus est post tantam fortunæ varietatem: & quod om- F nium est maximè miserabile, vt modò diximus, in extrema senectute indigno fine absumptus est. Fuit enim æqui amantissimus & perpetua modestia, imperiúmque maxima ex parte per alios administrabat, amore otij, & imperitiæ sibi conscius. Antipater certè atque Herodes huius bonitate ad tantas opes prouecti sunt: pro quibus meritis contra ius ac fas occisus est. Cæterùm Herodes Hyrcano sublato ad Cæsarem properans, G & nihil boni de se sperans propter amicitiam Antonij, suspectam habebat Alexandram, ne vsa hac temporis opportunitate ad defectionem cõcitaret populum, & intestinis sedi-

tionibus regnum perturbaret. quare mandata regni cura Phærora suo fratri, & matrem Cypron, & sororem, & totam denique cognationem in Masada deposuit: iussitque fratrem, si quid sibi accidisset durius, habenas regni retinere, Mariamnen verò vxorem, quia propter simultatem cum matre eius & sorore degere nō poterat, in Alexandrio cum Alexandra matre collocauit, commissa quæstori suo Iosepho & Sohemo Ituræo castelli custodia, viris & antè semper fidissimis, & tunc honoris causa his mulieribus regiis adhibitis. Verùm his quoque mandatum dederat, vt si quid quod nollet accidisse sibi cognoscerent, confestim ambas interficerent, regnúmque pro viribus liberis eius ac Phærora fratri conseruarent.

πάσῃ τὰ περὶ τὴν βασιλείαν πράγματα. παρετίθετο δὲ πάντα Φερώρᾳ τἀδελφῷ, καὶ τὴν μητέρα Κύπρον καὶ τὴν ἀδελφὴν καὶ γενεὰν ἅπασαν ἐν Μασάδοις κατέστησε, παρακελευσάμενος, εἴ τι περὶ αὐτοῦ ἀκούσῃ δυσχερές, ἔχεσθαι τῶν πραγμάτων. Μαριάμμην δὲ τὴν αὐτοῦ γυναῖκα, δυνατὸν γὰρ οὐκ ἦν ἐν διαφορᾷ τῇ πρὸς τὴν ἀδελφὴν καὶ μητέρα τὴν ἐκείνης δίαιταν αὐτὴν ἔχειν, ἐν Ἀλεξανδρείῳ σὺν Ἀλεξάνδρᾳ τῇ μητρὶ κατέστησε, Ἰώσηπον τὸν ταμίαν καὶ τὸν Ἰτουραῖον Σόεμον ἐπ' αὐτοῖς καταλιπών, πιστοτάτους μὲν ἐξ ἀρχῆς γενομένους αὐτῷ, τότε δὲ προφάσει τιμῆς, φρουρεῖν ἀπολειφθέντας τὰς γυναῖκας. ἦν δὲ κἀκείνοις ἐντολή, μαθόντας τι περὶ αὐτοῦ δυσχερὲς ἐξ αὐτῆς ἀμφοτέρας διαχειρίσασθαι, τὴν τε βασιλείαν εἰς δύναμιν τοῖς παισὶν αὐτοῦ σὺν τἀδελφῷ Φερώρᾳ διατηρεῖν.

Cap. X.

Quomodo Hærodes etiam regnum à Cæsare obtinuit.

Κεφάλαιον ι΄.

Ὡς Ἡρώδης ἔσχεν καὶ παρὰ Καίσαρος τὴν βασιλείαν.

His mandatis properauit Rhodum vt illic Cæsari occurreret. Quò postquam appulit, posito tantùm diademate, de cætero paratu regio nihil mutauit: admissúsq; ad colloquium tum maximè ostendit animi sui magnitudinē, neque ad supplicationes (vt in tali fortuna mos est) versus, neque preces adhibens quasi rogando veniam, sed facti sui rationem reddēs intrepidè. Fatebatur enim apud Cæsarem & amicitiam sibi intercessisse maximam cum Antonio, & totis viribus se conatum vt penes illum esset rerum imperium: non armis quidem coniūctis quòd tum distineretur bello Arabico, sed misso ad illum frumento simul atque pecuniis. nec tamen se hac parte sibiipsi satisfecisse. professum enim amicum pro benè de se merito non opes solùm, sed caput etiam & salutem debere obiectare periculis. Id quia non licuerit, certè hanc laudem suam esse, quòd ne post Actiacam quidem cladem illum deseruerit, neque fortuna iam apertè mutata ad nouas spes se transtulerit. quo tempore si non auxilio, at consilio à se adiutum hominem, commonstrando quo vno modo seruari posset, nec omnino in ordinem redigi, videlicet si Cleopatram interficeret. hoc enim maturæ perpetrato, licebat illi in eius opes succedere, atque ita faciliores à te pacis conditiones impetrare. ille verò per incogitantiam consilium meum aspernatus est: atq; hoc pacto tibi magis quàm sibi consuluit. Nunc igitur si odio Antonij meum quoque studium damnas, non negauerim ea quæ feci, neque vereor ingenuè fateri quanto illum amore prosecutus sim. quòd si amoto personarū respectu, hoc tantùm in disquisitionem vocas, qualis sim amicus, & quā memor beneficiorum, licet tibi quoq; hoc experiri. mutato enim nomine nihilominus manebit amicitia, & laudē suā merebitur. His verbis cùm magnam generositatem prę se ferret, non mediocriter allexit Cæsarem, virum liberalem ac magnificum: vt occasione dicendę causæ paulatim insinuaret se in illius amicitiam.

Ταῦτα ἐντειλάμενος, εἰς Ῥόδον ἠπείγετο Καίσαρι συντυχεῖν, κἀπειδὴ κατέπλευσεν εἰς τὴν πόλιν, ἀφῄρητο μὲν τὸ διάδημα, τοῦ δὲ ἄλλου περὶ αὐτὸν ἀξιώματος οὐδὲν ὑφεικάει. ὅτε δὲ καὶ κοινωνῆσαι λόγου κατὰ τὴν συντυχίαν ἠξιώθη, πολὺ μᾶλλον ἐνέφηνε τὸ μεγαλεῖον τοῦ κατ' αὐτὸν φρονήματος, οὔτε εἰς ἱκεσίας ὡς εἰκὸς ἐπὶ τοιούτοις τραπόμενος, οὔτε δέησίν τινα προτείνων, ὡς ἐφ' ἁμαρτήμασιν, ἀποδοὺς δὲ τὸν λογισμὸν τῶν πεπραγμένων ἀνυποτιμήτως. ἔλεγε γὰρ τῷ Καίσαρι, καὶ φιλίας αὐτῷ μεγίστην γενέσθαι πρὸς Ἀντώνιον, καὶ πάντα πρᾶξαι κατὰ τὴν δύναμιν, ὡς ἐπ' ἐκείνου γενήσεται τὰ πράγματα, στρατείας μὲν οὐ κοινωνήσας κατὰ περιολκὰς τῶν Ἀράβων, πέμψας δὲ καὶ χρήματα καὶ σῖτον ἐκείνῳ. καὶ ταῦτ' εἶναι μετριώτερα τῶν ἐπιβαλλόντων αὐτῷ γενέσθαι. τὸν γὰρ ὁμολογοῦντα μὲν εἶναι φίλον, εὐεργέτην δὲ ἐκεῖνον ἐπιστάμενον, παντὶ μέρει καὶ ψυχῆς καὶ σώματος καὶ περιουσίας συγκινδυνεύειν δεῖν, ὧν αὐτὸς ἔλαττον ἢ καλῶς εἶχεν ἀναστραφείς, ἀλλ' ἐκεῖνό γε συνειδέναι καλῶς ἑαυτῷ πεποιηκότι, τὸ μηδ' ἡττηθέντα τὴν ἐν Ἀκτίῳ μάχην καταλιπεῖν, μηδὲ συμμεταβῆναι ταῖς ἐλπίσι φανερῶς ἤδη μεταβαινούσης τῆς τύχης. φυλάξαι δ' αὐτὸν εἰ καὶ μὴ συναγωνιστὴν ἀξιόχρεων, ἀλλὰ σύμβουλόν τε ἀξιώτατον Ἀντωνίου, τὴν μίαν αἰτίαν τοῦ καὶ σώζεσθαι, καὶ μὴ τῶν πραγμάτων ἐκπεσεῖν, προδεικνυότα Κλεοπάτραν ὑπανελέσθαι. πρὸς ἀνῃρημένης γὰρ ἐκείνης, αὐτῷ τε τῶν πραγμάτων ἄρχειν ὑπεῖναι, καὶ τὰς πρὸς σὲ συμβάσεις ῥᾷον εὑρίσκεσθαι τῆς ἔχθρας. ὧν οὐδὲν ἐκεῖνος ἐννοηθείς, ἀλυσιτελῶς μὲν αὐτῷ, συμφερόντως δὲ σοὶ προετίμησε τὴν ἀβουλίαν. νῦν οὖν εἰ μὲν τῇ πρὸς Ἀντώνιον ὀργῇ κρίνεις καὶ τὴν ἐμὴν προθυμίαν, οὐκ ἂν εἴη μοι τῶν πεπραγμένων ἄρνησις, οὐδ' ἀπαξιώσω τὴν ἐμαυτοῦ πρὸς ἐκεῖνον εὔνοιαν ἐκ τοῦ φανεροῦ λέγειν. εἰ δὲ τὸ πρόσωπον ἀνελών, τίς εἰμι πρὸς τοὺς εὐεργέτας, καὶ ποῖος φίλος ἐξετάζοις, ἔσται σοι πεῖρα τῶν ἤδη γεγενημένων ἡμᾶς εἰδέναι. τοῦ γὰρ ὀνόματος ὑπαλλαγέντος, οὐδὲν ἔλαττον αὐτὸ τὸ τῆς φιλίας βέβαιον ἐν ἡμῖν εὐδοκιμεῖν δυνήσεται. τοιαῦτα λέγων, καὶ παρ' αὐτοῦ ἐμφαίνων τὸ τῆς ψυχῆς ἐλευθέριον, οὐ μετρίως ἐπεσπάσατο τὸν Καίσαρα φιλότιμον ὄντα καὶ λαμπρόν, ὥστε τὰς αὐτοῦ τῶν ἐγκλημάτων αἰτίας, σύστασιν ἤδη τῆς πρὸς ἐκεῖνον εὐνοίας πραγματεύεσθαι.

καὶ τότε

καὶ τό τε διάδημα πάλιν ἀποκαταστήσας αὐτῷ, καὶ προτρεψάμενος μηδὲν ἐλάττω περὶ αὐτὸν ἢ πρότερον τὴν περὶ τὸν Ἀντώνιον φαίνεσθαι, διὰ πάσης ἦγε τιμῆς, προσθεὶς ὅτι Καπίδιος γράφειν, ἁπάσῃ προθυμίᾳ τὰ πρὸς τοὺς μονάρχας αὐτῷ συλλαβέσθαι τὸν Ἡρώδην. τοσαύτης ἀποδοχῆς ἀξιωθεὶς καὶ παρ' ἐλπίδας ὁρῶν αὐτῷ πάλιν ἐξ ὑπαρχῆς βεβαιοτέραν τὴν βασιλείαν, δόσει Καίσαρος καὶ δόγματι Ῥωμαίων, ὅπερ ἐκεῖνος αὐτῷ πρὸς τὸ βέβαιον ἐπραγματεύσατο, παρέπεμψεν ἐπ' Αἴγυπτον Καίσαρα δωρησάμενος ὑπὲρ δύναμιν αὐτόν τε καὶ τοὺς φίλους, καὶ πᾶσαν ἐμφαίνων μεγαλοψυχίαν. ᾐτεῖτο δὲ καὶ τῶν Ἀντωνίῳ συνήθων Ἀλέξανδρον, ὡς μηδὲν ἀνήκεστον παθεῖν. ἀλλὰ τούτου μὲν οὐκ ἔτυχεν, ὅρκῳ προκατειλημμένου Καίσαρος. ἐπανῄει δὲ πάλιν εἰς τὴν Ἰουδαίαν πλείονί τε τιμῇ καὶ παρρησίᾳ, καὶ τοῖς τὰ ἐναντία προσδοκήσασιν ἔκπληξιν παρέχων, ὡς ἀεὶ τὸ λαμπρότερον ἐκ τῶν κινδύνων κατ' εὐμένειαν τοῦ θεοῦ προσεπικτώμενος. εὐθὺς μὲν οὖν περὶ τὴν ὑποδοχὴν ἐγεγόνει Καίσαρος ἀπὸ Συρίας εἰς Αἴγυπτον εἰσβαλεῖν μέλλοντος. κἀπειδὴ παρῆν, δέχεται μὲν αὐτὸν ἐν Πτολεμαΐδι πάσῃ τιμῇ βασιλικῇ, παρέσχε δὲ καὶ τῷ στρατεύματι ξένια καὶ τῶν ἐπιτηδείων ἀφθονίαν, κἂν τοῖς εὐνουστάτοις ἐξητάζετο, τάς τε δυνάμεις ἐπιτάττοντι συνιππαζόμενος, καὶ δεξάμενος αὐτὸν καὶ φίλους ἀνδράσιν ρ' καὶ ν' πᾶσιν εἰς πολυτέλειαν καὶ πλοῦτον ὑπηρεσίας ἠσκημένοις. παρέσχε δὲ καὶ τὴν ἄνυδρον διερχομένοις, τὴν τῶν ἐπιτηδείων χορηγίαν ὡς μήτε οἴνου, μήτε ὕδατος, ὃ καὶ μᾶλλον ἦν ἐν χρείᾳ στρατιώταις, ὑστερηθῆναι. αὐτόν γε μὴν Καίσαρα ταλάντοις ω' ἐδωρήσατο, καὶ παρέστησεν ἅπασιν ἔννοιαν λαβεῖν ὅτι τῆς βασιλείας ἧς ἔτυχε πολὺ μείζω καὶ λαμπρότερα τὰ κατὰ τὰς ὑπουργίας ἐνεδείξατο. τοῦτ' αὐτὸν καὶ μᾶλλον εἰς πίστιν εὐνοίας καὶ προθυμίας ἐπισυνίστη, καὶ πλεῖστον ὠνήσατο τῇ χρείᾳ τοῦ καιροῦ τὸ μεγαλόψυχον ἁρμόσας. ὁ δὲ καὶ πάλιν ἐπανιόντων ἀπ' Αἰγύπτου τῶν πρώτων οὐδενὸς τὰς ὑπηρεσίας ἥττων ἐφάνη.

Κεφάλαιον ια'.

Ὡς Ἡρώδης ψευδέσι διαβολαῖς παροξυνθεὶς τὴν γυναῖκα Μαριάμμην ἀπέκτεινε.

Τότε μέντοι γενόμενος ἐν τῇ βασιλείᾳ, τεταραγμένην αὐτῷ τὴν οἰκίαν καταλαμβάνει, καὶ χαλεπῶς ἐχούσας τὴν γυναῖκα Μαριάμμην καὶ τὴν μητέρα τὴν ἐκείνης Ἀλεξάνδραν. οἰηθεῖσαι γὰρ ὅπερ ἦν ὕποπτον, οὐκ εἰς ἀσφάλειαν τῶν σωμάτων εἰς ἐκεῖνο κατατεθῆναι τὸ χωρίον, ἀλλ' ὡς εἰς φρουράν, μήθ' ἑνὸς μήτε τῶν ἄλλων μήθ' αὑτῶν ἐξουσίαν ἔχειν, χαλεπῶς ἔφερον. ἥ τε Μαριάμμη τὸν μὲν ἔρωτα τοῦ βασιλέως, ὑπόκρισιν ἄλλως καὶ πρὸς τὸ συμφέρον αὐτῷ γινομένην ἀπάτην ὑπελάμβανεν. ἤχθετο δὲ τῷ μηδ' εἰ πάσχοι τι δεινὸν ἐκεῖνος ἐλπίδα τοῦ βιώσεσθαι δι' αὐτὸν ἐσχηκέναι. καὶ τὰς Ἰωσήπῳ δοθείσας ἐντολὰς ἀπεμνημόνευεν, ὥστ' ἤδη διὰ θεραπείας εἶχε τοὺς φρουροὺς καὶ μάλιστα τὸν Σόαιμον, ἐν ἐκείνῳ τὸ πᾶν ἐπισταμένη. Σόαιμος δὲ κατὰ μὲν τὰς ἀρχὰς πιστὸς ἦν, οὐδὲν ὧν Ἡρώδης ἐνετείλατο παρείς. λόγοις δὲ καὶ δωρεαῖς λιπαρέσι τῶν γυναικῶν ἐκθεραπευουσῶν αὐτόν, ἡττᾶτο κατὰ μικρὸν ἤδη, καὶ τέλος ἐξεῖπεν ἁπάσας

Quare diademate restituto hortatus eum, vt nō minus suam quàm, quondam Antonij amicitiam coleret, in summo honore habuit, addens scripsisse Capidium, quantum apud monarchas fauore Herodis adiut⁹ sit. Ergo vbi præter spē acceptum se vidit Cæsari, & ope eius denuò confirmatum in regno, senatusconsulto quoque per illum impetrato, deduxit eum in Ægyptum, donatum plurimis muneribus, quibus etiam amicos eius sibi conciliauit, & animi declarauit magnitudinem. Conatus est etiā Alexandro Antonij amico impetrare veniam, quod tamen non potuit, quia Cæsar animaduersurum se in illum iurauerat. Reuersus deinde in Iudæam auctus honore ac potestate, omnes qui contrà expectauerant attonitos reddidit, quasi Dei benignitate semper illustrior è periculis euaderet. Mox igitur parauit se ad excipiēdum redeuntem ex Ægypto Cæsarem, qui postquam venit, omni regia magnificentia eum accepit apud Ptolemaidem: exercitui quoque omnem hospitalitatem exhibuit, & rerum ad victum accommodarum copiam: quo factum est vt in intimam familiaritatem reciperetur, vnà obequitare solitus dum traducuntur copiæ, tractánsque tum ipsum tum amicos ministerio virorum CL. ditissimo & sumptuosissimo cultu insignium. quin & squalida ac inaquosa loca trāseuntibus nihil deesse passus est, non vinum, non aquam, qua miles tum magis etiam delectabatur. Ipsum quidem Cæsarem talentis DCCC. donauit: adeóque satisfactum est omnibus, vt luculentius etiam quàm pro eius regni facultatibus tractatos se faterentur. quo magis amicitiæ promptæque ad benemerendum voluntatis fidem fecit, & vsus opportunitate temporis egregiam opinionem magnanimitatis sibi parauit. rursúmque ab Ægypto redeuntes alios Romanorum primates tot officiis prosecutus est, vt nemini mortalium hac parte cederet.

Cap. XI.

Herodes Mariamnen calumniis oppressam interficit.

Sed cùm primùm in regnum reuersus est, perturbatam familiam inuenit, infensámque sibi vxorem Mariamnen & socrum Alexandram. ratæ enim, id quod non immeritò suspicabantur, non securitatis causa se in id castellum conclusas, sed quasi in carcerem, ita vt nec suis nec alienis bonis frui possent, egerrimè ferebant. Mariamne quoque maritum simulare amorem credebat, quòd ei bonum esset atque commodum. sed nihil molestius ferebat, quàm quòd ne illo quidem defuncto spes relinquebatur ipsam fore superstitem: nec vnquam excidebant mandata olim Iosepho data, ita vt omnibus modis demereri conaretur custodes, precipuè Sohemū, nō ignara inçolumitatē suā sitā in ei⁹ manib⁹. ille verò principio fid⁹ erat, nō discedēs ab Herodis præscripto: deinde munusculis ac blāditiis mulibribus paulatim mollitus est: postremò effutiit ōnia

mandata regia, præsertim quòd non speraret eum cum eadem potestate reuersurum. eam ob rem sic existimabat, nec ab illo sibi esse periculum, & à mulieribus paratam gratiam, præsentem dignitatem & in posterum facilè retenturis. Quòd si Herodem rebus ex sententia cõfectis redire contingeret, nihil eum nisi vxoris arbitratu acturum. sciebat enim quàm impotenter eam rex amaret. His ille de causis à mãdatis discessit. Mariamne verò iniquissimo animo tulit noua sibi semper alia ex aliis ab Herode nasci pericula: votáque faciebat ne ille vnquam saluus reuerteretur, cogitans vitam sibi cum eo fore intolerabilem: id quod postea nec dissimulauit, apertè falsa quid se vreret. Ille enim cùm præter spem magna ornatus fortuna appulisset, primò vt par erat vxori lætum de hac re attulit nuncium: eámque solam præ aliis vxoribus ob amorem ac iucundissimam cõsuetudinem salutauit & complexus est. Mulier verò narrante eo suos successus, súsque déque ferre videbatur, nec bellè suum affectum occultabat: sed vt erat ingenuis miniméque fucatis moribus, ad illius blandas appellationes ingemiscebat: narrationéque eius contristari magis quàm gaudere videbatur: vt iam Herodes non tam suspicionibus quàm manifestis signis turbaretur. angebatur enim videns inexpectatam & apertam vxoris auersationem: quam molestiam præ amore ferre non valens, nec in ira nec in reconciliatione perdurare poterat, & sibi ipse non constans iam hoc iam illo affectu distrahebatur. adeò animus inter amorem, & odium ambigebat, vt cùm sæpe cuperet punire mulieris superbiam, intercedente amore vetaretur. Nihil autem magis timebat quàm ne sumto de ea supplicio, seipsum hoc pacto grauius læderet ob defunctæ desiderium. Talibus curis æstuantem & sic erga Mariamnẽ affectũ vt videre soror eius & mater, oportunissimum tempus se nactas putauerunt: móxq; assiduis calumniis concitabat hominẽ accẽdẽtes eius odiũ ac zelotypiã: quas ille nec reiiciebat, nec tamen libebat credere, & sęuire in dilectam coniugem. peius tamen indies erga eam afficiebatur, magísq; ac magis exasperabatur, dũ nec illa curas suas occultat, & ipse amorẽ vertit in odium. Ac fortasse iam tum sęuius in eam aliquid statuisset, ni commodum nunciatum esset extinctis Antonio & Cleopatra Cæsarem Ægypto potiri: cui obuiam properans familiam sic vt erat reliquit. Discedenti Mariamne commendauit Sohemum, plurimum ei se debere propter habitam sui curam profitens, & cuiusdam Iudææ partis ei dominium impetrauit.

IX. Cæterùm Herodes in Ægypto cum Cæsare congressus, liberiùs iam cum illo egit amicitia fretus, & magnis ab eo beneficiis ornatus est. quadringentorum enim Gallorum Cleopatræ satellitium ei donauit, & regionis partem reddidit, quam illa prius occupauerat. attribuit etiã eius regno Gadara,

τὰς ἐντολὰς τοῦ βασιλέως, μάλιστα μὲν οὐδ' ἐλπίσας αὐτὸν ἐπὶ τῆς αὐτῆς ἐπιστρέψειν ἐξουσίας. ἐν ᾧ καὶ μᾶλλον ἐκφεύγων τὸν ἀπ' αὐτοῦ κίνδυνον, οὐ μικρὰ χαρίσασθαι ταῖς γυναιξὶν ὑπελάμβανεν, ἃς ἦν εἰκὸς οὐκ ἀπολείψεσθαι τοῦ παρόντος ἀξιώματος, ἀλλὰ καὶ πλέον εἰς τὴν ἀμοιβὴν ἐξεῖναι βασιλευούσης ἢ τοῦ βασιλεύοντος ἄγχου γενομένης. ἐπήλπιζε δὲ αὐτὸν οὐχ ἧττον εἰ καὶ πάντα κατὰ νοῦν πράξας ὑποστρέψειεν Ἡρώδης, μηδὲν ὅτι τῇ γυναικὶ δυνήσεσθαι βουλομένῃ γε ἀντειπεῖν. ἠπίστατο γὰρ τὸν πρὸς τὴν Μαριάμμην ἔρωτα, μείζονα λόγου τῷ βασιλεῖ. ταῦτα τὰ προσεκλύσαντα τὰς ἐντολὰς ἐξαγγεῖλαι. Μαριάμμη δὲ χαλεπῶς μὲν ἤκουσε, εἰ μηδὲν πέρας αὐτῇ τῶν ἐξ Ἡρώδου κινδύνων ἔσται. χαλεπῶς δὲ διέκειτο, μηδενὸς μὲν τυχεῖν αὐτὸν τῶν ἴσων εὐχομένη, δυσοίσιστον δὲ εἰ τύχῃ τὸν μετ' αὐτοῦ βίον κρίνουσα. καὶ τοῦτο διέδειξεν ἐν ὑστέρῳ, μηδὲν ἐπικρυψαμένη τοῦ κατ' αὐτὴν πάθους. ὁ μὲν γὰρ ἐπὶ μεγάλοις οἷς παρ' ἐλπίδας εὐτυχήκει καταπεπλευκὼς, πρώτῃ μὲν ὡς εἰκὸς τῇ γυναικὶ περὶ τούτων εὐηγγελίζετο. μόνην δ' ἐκ πάντων διὰ τὸν ἔρωτα καὶ τὴν οὖσαν αὐτῷ συνήθειαν προτιμῶν ἠσπάζετο. τῇ δ' οὔτε τὰς εὐπραγίας διηγουμένου χαίρειν μᾶλλον ἢ χαλεπῶς φέρειν συνέβαινεν, οὔτ' ἐπικρύπτεσθαι τὸ πάθος δυνατὸν ἦν, ἀλλ' ὑπ' ἀξίας καὶ τῆς προυπούσης εὐγενείας, πρὸς μὲν τοὺς ἀσπασμοὺς ἀνέστενε, τοῖς δὲ διηγήμασιν ἄχθεσθαι μᾶλλον ἢ συγχαίρειν ἐνέφαινεν, ὡς οὐχ ὕποπτα μόνον, ἀλλὰ καὶ καταφανῆ γινόμενα τὸν Ἡρώδην ἐπιταράττειν. ἠδημόνει μὲν γὰρ ὁρῶν τὸ παράλογον τῆς γυναικὸς πρὸς αὐτὸν μῖσος οὐκ ἀποκεκρυμμένον. ἤχθετο δὲ τῷ πράγματι καὶ τὸν ἔρωτα φέρειν ἀδυνατῶν, ταῖς τε ὀργαῖς καὶ ταῖς διαλλαγαῖς οὐκ ἐνέμενεν, ἀεὶ δὲ ἀπὸ θατέρου μεταβαίνων εἰς θάτερον ἐφ' ἑκατέρῳ πολλὴν εἶχεν ἀπορίαν. οὕτως ἦν ἐν μέσῳ τοῦ στυγεῖν καὶ στέργειν ἀποληφθεὶς, καὶ πολλάκις ἕτοιμος ὢν ἀμύνασθαι τῆς ὑπερηφανίας αὐτὴν, διὰ τὸ προκατειλῆφθαι τὴν ψυχὴν ἀσθενέστερος εἰς τὸ μεταστῆσαι τὴν ἄνθρωπον ἐγίνετο. τὸ δὲ σύμπαν ἡδέως ἂν ἐκείνην κολάσας, ἐδεδοίκει μὴ λάθῃ παρ' αὐτοῦ μείζονα τὴν τιμωρίαν ἀποθανούσης εἰσπραττόμενος. συνιδοῦσαι δὲ αὐτὸν οὕτως ἔχοντα πρὸς τὴν Μαριάμμην ἥ τε ἀδελφὴ καὶ ἡ μήτηρ, κάλλιστον ᾠήθησαν τὸν καιρὸν τοῦ πρὸς ἐκείνην μίσους εἰληφέναι. καὶ διελάλουν οὐ μικραῖς παροξύνουσαι τὸν Ἡρώδην διαβολαῖς, μῖσος ὁμοῦ καὶ ζηλοτυπίαν ἐμποιεῖν δυνησομέναις. ὁ δ' οὔτε τῶν τοιούτων ἀηδῶς ἤκουε λόγων, οὔτε δρᾶν τι κατὰ τῆς γυναικὸς ὡς πεπιστευκὼς ἐπεθάρρει. χεῖρον μέντοι πρὸς αὐτὴν εἶχεν ἀεὶ, καὶ τὸ πάθος αὐτῷ ἐξήπτετο, τῆς μὲν οὐκ ἀποκρυπτομένης τὴν διάθεσιν, τοῦ δὲ τὸν ἔρωτα πρὸς ὀργὴν ἀεὶ μεταβάλλοντος, κἂν εὐθὺς ἐπράχθη τι τῶν ἀνηκέστων. νῦν δὲ Καίσαρος ἀγγελθέντος κρατεῖν τῷ πολέμῳ, καὶ τεθνηκότων Ἀντωνίου καὶ Κλεοπάτρας ἔχειν Αἴγυπτον, ἐπειγόμενος εἰς τὸ Καίσαρι ἀπαντᾶν, κατέλιπεν ὡς εἶχε τὰ περὶ τὴν οἰκίαν. ἐξιόντι δὲ Μαριάμμη παραδησαμένη τὸν Σόεμον, πολλήν τε χάριν ἐπιμελείας ὡμολόγει, καὶ μεριδαρχίαν αὐτῷ παρὰ τοῦ βασιλέως ᾐτήσατο. κἀκεῖνος μὲν τυγχάνει τῆς τιμῆς. Ἡρώδης δὲ γενόμενος ἐν Αἰγύπτῳ, Καίσαρί τε μετὰ πλείονος συντυγχάνει τῆς παρρησίας, ὡς ἤδη φίλος, καὶ μεγίστων ἠξιώθη. τὴν τε γὰρ Κλεοπάτρας δορυφορούντων Γαλατῶν αὐτῷ ἐδωρήσατο, καὶ τὴν χώραν ἀπέδωκεν αὐτῷ πάλιν, ἣν δι' ἐκείνης ἀφῃρέθη. προσέθηκε δὲ καὶ τῇ βασιλεία

λεῖα, Γάδαρα καὶ Ἵππον καὶ Σαμάρειαν, ἔτι δὲ τῆς παραλίας Γάζαν καὶ Ἀνθηδόνα καὶ Ἰόππην, καὶ Στράτωνος πύργον. ἐπιτυχὼν δὲ καὶ τούτων λαμπρότερος ἦν. καὶ τὸν μὲν Καίσαρα, παρέπεμψεν ἐπ' Ἀντιοχείας. αὐτὸς δ' ἐπανελθὼν ὅσον ᾤετο τὰ πράγματα αὐτῷ διὰ τῆς ἔξωθεν ἐπιδιδόναι πρὸς εὐδαιμονίαν, τοσοῦτον ἔκαμνε τοῖς οἰκείοις καὶ μάλιστα περὶ τὸν γάμον, ἐν ᾧ καὶ μᾶλλον εὐτυχεῖν ἐδόκει πρότερον. ἤρα γὰρ οὐδενὸς ἔλαττω τῶν ἱστορουμένων ἐπεπόνθει μετὰ τοῦ δικαίου τῆς Μαριάμμης. ἡ δὲ, τὸ μὲν ἄλλο σώφρων καὶ πιστὴ πρὸς αὐτὸν ἦν, εἶχε δέ τι καὶ γυναικεῖον ὁμοῦ καὶ χαλεπὸν ἐκ φύσεως, ἱκανῶς μὲν ἐντρυφῶσα δεδουλωμένῳ διὰ τὴν ἐπιθυμίαν. καὶ τὸ βασιλεύειν καὶ κρατεῖν ἄλλων αὐτῆς οὐ συγκαταλογιζομένη τῷ καιρῷ, πολλάκις μὲν ὑβριστικῶς αὐτῷ προσηνέχθη, καὶ τοῦτ' ἐκεῖνος διαφερόμενος ἔφερεν ἐγκρατῶς καὶ μειζόνως. ἀναφανδὸν δὲ τὴν μητέρα καὶ τὴν ἀδελφὴν, ἐπὶ δυσγενείᾳ διεχλεύαζε, καὶ κακῶς ἔλεγεν, ὡς ἤδη στάσιν ἐν ταῖς γυναιξὶν εἶναι καὶ μῖσος ἄσπονδον, οὐδὲ τῷ τότε καὶ διαβολὰς μείζονας. ἥ τε ὑποψία φερομένη παρέτεινεν ἐνιαυτοῦ μῆκος, ἐξ οὗ παρὰ Καίσαρος Ἡρώδης ὑπεστρόφει. τέλεον μέν τοι προοικονομούμενον ἐκ πλείονος διερράγη, τοιαύτης ἀφορμῆς ἐνσχομένης. κατακλινόμενος ὁ βασιλεὺς ἀναπαύσασθαι μεσημβρίας οὔσης, ἐκάλει τὴν Μαριάμμην ὑπὸ φιλοστοργίας ἧς ἀεὶ περὶ αὐτὴν εἶχεν. ἡ δὲ, εἰσῆλθε μὲν, οὐ μὴν καὶ κατεκλίθη, προσδεομένου ἐκφαυλίσασα καὶ προσλοιδορηθεῖσα, τόν τε πατέρα καὶ τὸν ἀδελφὸν αὐτῆς ὡς ἀπεκτόνοι. χαλεπῶς δ' ἐκείνου τὴν ὕβριν ἐνεγκόντος, καὶ γενομένου εἰς προπέτειαν ἑτοίμου, τὴν ταραχὴν αἰσθομένη μείζονος ἡ τοῦ βασιλέως ἀδελφὴ Σαλώμη παρεσκευασμένον ἐκ πλείστου τὸν οἰνοχόον ἐκπέμπει, κελεύουσα λέγειν ὡς πείθοι Μαριάμμη φίλτρον αὐτῇ συγκατασκευάσαι τῷ βασιλεῖ. κἂν ταραχθῇ καὶ πυνθάνηται τί ποτε τοῦτ' ἦν, λέγειν ὅτι φάρμακον μὲν ἐκείνης ἐχούσης, αὐτοῦ δὲ διακονῆσαι παρακαλουμένου, μὴ κινηθέντος δὲ ἐπὶ τὸ φίλτρον, τὸν λόγον ἀργὸν ἐᾶν, οὐδένα γὰρ αὐτῷ κίνδυνον φέρειν. τοιαῦτα προδιδάξασα κατ' ἐκεῖνον τὸν καιρὸν εἰσπέμπει διαλεξόμενον. ὁ δὲ πιθανὸς ἅμα καὶ μετὰ σπουδῆς εἰσῄει, δῶρα μὲν αὐτῷ τὴν Μαριάμμην παρεσχῆσθαι λέγων, ἀναπείθειν δὲ φίλτρον αὐτῷ διδόναι. πρὸς τοῦτο διακινηθέντος, τὸ φίλτρον ἔλεγεν εἶναι φάρμακον ὑπ' ἐκείνης διδόμενον, οὗ τὴν δύναμιν, αὐτὸς οὐκ εἰδείη, διὸ καὶ προσαγγεῖλαι, τοῦτ' ἀσφαλέστερον αὐτῷ καὶ τῷ βασιλεῖ διακληρῶσα. τούτων ἀκούσας ὁ Ἡρώδης λόγων, καὶ πρότερον κακῶς διακείμενος, ἔτι μᾶλλον ἠρεθίσθη, τόν τ' εὐνοῦχον ὃς ἦν τῇ Μαριάμμῃ πιστότατος ἐβασάνιζεν περὶ τοῦ φαρμάκου, γινώσκων ὡς χωρὶς ἐκείνου οὐ δυνατὸν ἦν οὔτε μεῖζον οὔτ' ἔλαττόν τι πεπρᾶχθαι. γενόμενος δ' ἐν ταῖς ἀνάγκαις ὁ ἄνθρωπος, οὐδὲν μὲν ὧν ἕνεκεν ἐβασανίζετο λέγειν εἶχε, τὸ μὲν τὰ τῆς γυναικὸς ἔχθος εἰς αὐτὸν ἔφη γενέσθαι, διὰ τοὺς λόγους οὓς ὁ Σόεμος αὐτῇ φράσαι. ταῦτα δ' ἔτι λέγοντος μέγα βοήσας ὁ βασιλεὺς οὐκ ἂν ἔφη Σόεμον πιστότατον ὄντα τὸν ἄλλον χρόνον αὐτῷ τε καὶ τῇ βασιλείᾳ καταπροδοῦναι τὰς ἐντολὰς, εἰ μὴ καὶ περαιτέρω προσῳκειώθη τῆς πρὸς τὴν Μαριάμμην κοινωνίας. καὶ τὸν μὲν Σόεμον εὐθὺς ἐκέλευσεν ἀποκτεῖναι συλλαβόντας, τῇ δὲ γυναικὶ, κρίσιν ἀπεδίδου, συναγαγὼν τοὺς οἰκειοτάτους αὐτῷ, καὶ τὴν

Hippon, & Samariam, in maritimis Gazam, Anthedonem, Ioppen, Stratonisque turrim: quæ illi non mediocris fuit ad regium splendorē accessio. Deducto deinde vsq; Antiochiā Cæsare, in regnum reuersus sensit fortunam quàm foris propitiam, tam domi aduersam, maximè quod ad coniugium attinet, qua parte sibi antè videbatur felicissimus. Flagrabat enim legitimo coniugis Mariamnes amore quā qui ardentissimè, ne illis quidem exceptis, de quibus à scriptoribus proditur. ea fœmina cętera pudica & inuiolatæ fidei, innatam habebat muliebrem quandam morositatem, improbius illudens obnoxij mariti patientiæ, ita vt non habita regiæ potentiæ ratione, non raro contumeliosius eum tractaret, quam tamen ille dissimulanter & moderatè ferebat, licèt solitam apertè & sorori eius & matri exprobrare humilitatem generis. quæ causa fuit implacabilis inter eas mulieres odij, atque etiam calumniarum quoties daretur occasio: eæque suspiciones paulatim crescētes durauerunt integrum annum post Herodis à Cæsare reditum, tandem diu præmeditatū odium in hunc modum erupit. cùm meridiano tempore quietis causa in cubiculum se rex contulisset, pro coniugali affectu Mariamnen accersiit. hæc autem introgressa quidem est, sed vnà cubare noluit, rogantem contemnens, & insuper patris ac fratris sui necem opprobrās. quo indignè ferente, & vix ab inferendis mulieri manibus temperante, postquam ex strepitu commotiorem eum sensit soror, submittit iamdudum subornatum pincernā, qui indicaret solicitam se à Mariamne vt ei operam cōmodaret in propinando regi amatorio poculo: & si amplius sciscitaretur qualénam id esset, diceret pharmacum penes ipsam esse, à se requisitum tantum ministerium. quòd si rex mentione amatorij nihil moueretur, tum & ipse sileret. nihil enim illi fore periculi. hæc prædoctum illo ipso temporis articulo intromittit ad eum alloquendum. atque is composito vultu ingreditur, & quasi rem valde seriam afferens, ait se largitione à Mariamne solicitatum, vt amatorium regi misceret. quo audito cùm ille perturbaretur, ait pharmacum quoddam sibi oblatum, cuius ipse vim ignoret: ideóque id renunciare, quòd hoc & regi & sibi tutius existimet. Ad hæc verba Herodes, iam antè satis commotus, cùm magis etiam exasperatus esset, eunuchum Mariamnes fidissimum tormentis examinauit, sciens quòd sine illo nihil nec magnum nec paruum tentatum sit. qui cruciatus non ferens ad interrogata quidem nihil respondit, hoc tantùm prodidit, offensam esse mulierem propter ea quæ Sohemus indicauerat. adhuc eo loquente exclamat rex, Sohemum & sibi antehac & regno fidissimum non fuisse hæc proditurum, nisi aliquid commercij secretioris inter ipsos intercessisset. móxque Sohemum comprehensum imperat interfici, vxorem verò causam suam iubet agere aduocato intimorū amicorū cōsilio, accusationē

accuratam exorsus, & cōflictum veneficij crimen intentans. erat autem verbis immodicus, & iratior quàm decorum iudicij postulat: quo factum est, vt cùm eum ita velle viderent, omnium qui aderant suffragiis damnata sit, qua sententia prolata, visum tamen est tam ipsi quàm aliis quibusdam præsentibus, non esse eius supplicium præcipitandum, sed includendam in aliquem regiæ carcerem. at Salome cum sua factione modis omnibus dedit operam vt mulier sine mora necaretur: quò tanto facilius regem perpulerunt, quòd dicerent timendum esse aliquem motum in populo, si sciretur viuam asseruari in carcere. atque ita Mariamne ducta est ad supplicium. Id conspicata Alexandra, & intelligens similem exitum sibi expectandum ab Herode, omissa pristina ferocia valde indecorè mutata est. Volens enim ostendere se non esse consciam eius criminis, cœpit filiæ conuicium facere omnibus audientibus scelestissimam & ingratam erga virum clamitans, dignámque tali exitio, quæ ausa sit tam immane facinus. nō enim pro merito tractatum maritum amantissimum. Hæc illa turpiter fingente, & inuolutura vt videbatur capillos miseræ, etiam alij meritò damnabant ineptam eius simulationem, sed in nemine hoc magis apparuit, quàm in ipsa quæ ducebatur ad interitum. nam neque verbo vllo eam dignata est, neque vel tantillum intemperiis eius perturbata, excelso animo improbare se illius turpem dementiam vultu significabat. ipsa intrepida specie, ac ne colore quidem metu mortis mutato ibat, generosam indolem extremo quoque suo tempore præferens. Ad hunc modum periit mulier & temperans & magnanima, sed non satis modesta, & paulo contentiosor. Cæterùm formæ venustate, & comitate cum maiestate coniuncta dici non potest, quantum omnes ætatis suæ fœminas superauerit, quæ potissima causa fuit quo minus iucundè cùm rege vitam degeret. Obsequiis enim ob amorem ab eo culta & nihil molestum expectans, licentiosius æquo se gerebat. molestè etiam ferebat suorum casus. idque apud ipsum quoque fatebatur. Tandem effecit vt exosa esset regis & matri & sorori, atque etiam illi ipsi, à quo solo nihil timebat. Ea perempta impotentius etiam flagrare cœpit rex, iam antè miserè affectus sicut diximus. neque enim vulgari coniugum more amabat, sed cùm penè ad insaniā vsq; indulgeret huic cupidini, ne licentioribus quidem vxoris morib. effici potuit ne indies magis ac magis eam diligeret. Tum verò maximè sibi visus est irato Deo necasse Mariamnen. sæpe inuocabat eius nomen, sæpe etiam indecorè lamentabatur. excogitabat autem oblectamēta quæcunque poterat, apparandis conuiuiis ac compotationibus, nihil tamen proficiebat: quare & regni curam reliquit. adeóq; dolori succubuit, vt sæpe ministros iuberet vocare Mariamnen, quasi illa adhuc viueret. Sic affecto superuenit

κατηγορίαν ἐσπουδασμένην ποιούμενος, ὑπὲρ τῶν κατὰ τὰς διαβολὰς φίλτρων καὶ φαρμάκων. ἦν δὲ ἀκρατὴς ἐν τῷ λόγῳ καὶ κρίσεως ὀργιλώτερος, καὶ τέλος οὕτως ἔχοντα γινώσκοντες αὐτὸν οἱ παρόντες θάνατον αὐτῆς κατεψηφίσαντο. διενεχθείσης δὲ τῆς γνώμης, ἐπῄει μέν τι καὶ τοιοῦτον, αὐτῷ τε καί τισι τῶν παρόντων, μὴ προπετῶς οὕτως ἀναιρεῖν. καταθέσθαι δὲ εἴς τι τῶν ἐν τῇ βασιλείᾳ φρουρίων. ἐσπουδάσθη δὲ ταῖς περὶ τὴν Σαλώμην, ἐκποδὼν ποιήσασθαι τὴν ἄνθρωπον. καὶ μᾶλλον ἔπεισαν τὸν βασιλέα τὰς ταραχὰς τοῦ πλήθους εἰ ζῶσα τύχῃ φυλάξασθαι συμβουλεύουσαι. Μαριάμμη μὲν οὕτως ἤγετο τὴν ἐπὶ θανάτῳ. συνθεωρήσασα δὲ τὸν καιρὸν ἡ Ἀλεξάνδρα, καὶ ὅτι μικρὰς ἐλπίδας ἔχει μὴ καὶ αὐτὴ τῶν ὁμοίων ἐξ Ἡρώδου τύχοι, ἐναντίως πρὸς τὸ πρόσθεν θράσος καὶ λίαν ἀπρεπῶς μετεβάλλετο. βουλομένη δὲ ἐμφῆναι τὴν ἄγνοιαν ὧν ἐκείνη τὰς αἰτίας εἶχε, ἐκπηδήσασα καὶ λοιδορουμένη τῇ θυγατρὶ πάντων ἀκουόντων ἐβόα κακὴν καὶ ἀχάριστον πρὸς τὸν ἄνδρα γενέσθαι, καὶ δίκαια πάσχειν ἐπὶ τοῖς τοιούτοις τολμήμασιν. οὐ γὰρ ἀμείψασθαι δεόντως τὸν πάντων αὐτῶν εὐεργέτην. τοιαῦτα μεταξὺ καθυποκρινομένης ἀσχημόνως, καὶ τολμώσης ἐφάπτεσθαι καὶ τῶν τριχῶν, πολλὴ μὲν ὡς εἰκὸς καὶ παρὰ τῶν ἄλλων ἡ κατάγνωσις ἦν τῆς ἀπρεποῦς προσποιήσεως, μᾶλλον δὲ ἐνεφαίνετο παρ' αὐτῆς τῆς ἀπολλυμένης. οὔτε γὰρ λόγον δοῦσα τὴν ἀρχήν, οὔτε ταραχθεῖσα πρὸς τὴν ἐκείνης δυσχέρειαν ἐπέβλεπε, ἀλλ' ὡς ὑπὸ φρονήματος τὴν ἁμαρτίαν καὶ μᾶλλον ἄχθεσθαι περιφανῶς ἀσχημονούσης ἐνέφηνεν. αὐτή γε μὴν ἀτρεμαίῳ τῷ καταστήματι, καὶ τῇ χρόᾳ τῆς σαρκὸς ἀμεταβλήτῳ πρὸς τὸν θάνατον ἀπῄει, τὴν εὐγένειαν οὐδ' ἐν τοῖς ἐσχάτοις ἄδηλον τοῖς ἐπιθεωροῦσιν αὐτὴν ἐμφαίνουσα. κἀκείνη μὲν οὕτως ἀπέθανε, γυνὴ καὶ πρὸς ἐγκράτειαν καὶ πρὸς μεγαλοψυχίαν ἄριστα γεγενημένη. τὸ δ' ἐπιεικὲς ἔλειπεν αὐτῇ, καὶ πλεῖον ἐν τῇ φύσει τὸ φιλόνεικον. κάλλει δὲ σώματος καὶ τῷ περὶ τὰς ἐντεύξεις ἀξιώματι μειζόνως ἢ ὡς φράσαι, τὰς κατ' αὐτὴν ὑπερῆγεν, ἥ τε πλείων ἀφορμὴ τοῦ μὴ κεχαρισμένως τῷ βασιλεῖ μηδὲ πρὸς ἡδονὴν ζῆν, ἐντεῦθεν ἐγεγόνει. θεραπευομένη γὰρ διὰ τὸν ἔρωτα, καὶ δυσχερὲς οὐδὲν ἐξ ἐκείνου προσδοκῶσα τὴν παρρησίαν ἀσύμμετρον εἶχεν. ἠνία δ' αὐτὴν καὶ τὰ περὶ τοὺς οἰκείους, καὶ ταῦτα πρὸς ἐκεῖνον ὡς ἐπεπόνθει λέγειν ἠξίου. καὶ πέρας ἐξεκίνησεν ἐχθρὰς αὐτῇ γενέσθαι τήν τε μητέρα καὶ τὴν ἀδελφὴν τοῦ βασιλέως, κἀκεῖνον αὐτὸν ᾧ μόνῳ τὸ μὴ παθεῖν τι δυσχερὲς ἀπεπίστευεν. ἀναιρεθείσης δὲ τότε καὶ μᾶλλον ἐξήφθη τὰ περὶ τὴν ἐπιθυμίαν τοῦ βασιλέως, ἔχοντος μὲν οὕτως ὡς καὶ πρότερον ἐδηλώσαμεν. οὐ γὰρ ἀπαθὴς οὐδ' οἷος ἂν ἐκ συνηθείας ἦν ὁ πρὸς αὐτὴν ἔρως. ἀλλὰ καὶ πρότερον ἦρξεν ἐνθουσιαστικῶς, καὶ τῇ παρρησίᾳ τῆς συμβιώσεως οὐκ ἀπενικήθη μὴ πλείων ἀεὶ γίνεσθαι. τότε μέντοι καὶ μᾶλλον ἐδόκει κατὰ νέμεσίν τινα τῆς κατὰ τὴν Μαριάμμην ἀπωλείας ἐπιθέσθαι. καὶ πολλάκις μὲν ἀνακλήσεις ἦσαν αὐτῆς, πολλάκις δὲ καὶ θρῆνος ἀσχήμων. ἐπενόει δὲ πᾶν ὅτι δυνατὸν εἰς ψυχαγωγίαν πότους καὶ συνουσίας αὐτῷ πραγματευόμενος, καὶ τούτων οὐδὲν ἤρκει. τὰς οὖν διοικήσεις τὰς κατὰ τὴν βασιλείαν παρῃτεῖτο. καὶ τοσοῦτον ἡττῆτο τοῦ πάθους, ὥστ' αὐτὸς ἤδη καὶ καλεῖν τὴν Μαριάμμην προστάξαι τοῖς ὑπηρέταις, ὡς ζῶσαν ἔτι καὶ δυναμένην ὑπακούειν. οὕτως δὲ ἔχοντος, ἐπιγίνεται λοιμώ-

λοιμώδης νόσος, ἣ τοῦ τε ὄχλου καὶ τῶν φίλων τοὺς πλείους καὶ ἐντιμοτάτους διέφθειρε, καὶ παρεῖχεν ἅπασιν ὑπόνοιαν κατὰ μῆνιν τοῦτο θεοῦ συμβεβηκέναι, διὰ τὴν γεγενημένην παρανομίαν ἐπὶ τῇ Μαριάμμῃ. χεῖρον οὖν διετίθει καὶ τὸν αὐτὸν τοῦ βασιλέα, καὶ τέλος εἰς τὰς ἐρημίας αὐτὸν ἐδίδου, καὶ προφάσει κυνηγεσίων ταύταις ἐναδημονῶν, οὐκ ἔφθη πλείους διενεγκεῖν ἡμέρας, καὶ περιπίπτει νόσῳ δυσχερεστάτῃ. φλόγωσις γὰρ ἦν καὶ πίεσις τοῦ ἰνίου, καὶ τῆς διανοίας παραλλαγή. τῶν τε θεραπευμάτων οὐδὲν ὅτι καὶ πρὸς ὠφέλειαν ἐξήνυεν, ἀλλ' ἐναντιουμένων τέλος εἰς ἀπόγνωσιν ἤγετο. ὅσοι τε περὶ αὐτὸν ἦσαν ἰατροί, τὰ μὲν οἷς αὐτοὶ προσέφερον βοηθήμασιν, οὐδὲν ὑπακουούσης τῆς νόσου, τὰ δὲ καὶ τοῦ βασιλέως οὐκ ἔχοντος ἄλλως ἢ κατὰ τὸ βιαζόμενον τῆς ἀρρωστίας διαιτᾶσθαι, πάνθ' οἷς ἐκεῖνος ἐπενεχθείη παρέχειν ἠξίουν, τὸ δύσελπι τῆς σωτηρίας ἐν ἐξουσίᾳ τῆς διαίτης ἀνατιθέντες τῇ τύχῃ. κἀκεῖνος μὲν ἐν Σαμαρείᾳ τῇ κληθείσῃ Σεβαστῇ, τοῦτον τὸν τρόπον ἐνοσηλεύετο. διατρίβουσα δὲ ἐν τοῖς Ἱεροσολύμοις Ἀλεξάνδρα, καὶ πυθομένη τὰ κατ' αὐτόν, ἐσπουδάκει τῶν περὶ τὴν πόλιν φρουρίων ἐγκρατὴς γενέσθαι. δύο δ' ἦν, ἓν μὲν αὐτῆς τῆς πόλεως, ἕτερον δὲ τοῦ ἱεροῦ. καὶ τούτων οἱ κρατοῦντες, ὑποχείριον τὸ πᾶν ἔθνος ἐσχήκασι. τὰς μὲν γὰρ θυσίας οὐκ ἄνευ τούτων οἷόν τε γενέσθαι, τὸ δὲ μὴ ταῦτα συντελεῖν οὐδενὶ Ἰουδαίων δυνατόν, τοῦ ζῆν ἑτοιμότερον ἂν παραχωρησάντων ἢ τῆς θρησκείας ἣν εἰς τὸν θεὸν εἰώθασι συντελεῖν. τοῖς οὖν ἐπὶ τούτων τῶν φυλακτηρίων Ἀλεξάνδρα προσήνεγκε τοὺς λόγους, ὡς δέον αὐτῇ καὶ τοῖς ἐξ Ἡρώδου παραδοῦναι παιδίοις, μὴ καὶ φθῇ τις ἐκείνου μεταλλάξαντος, ἕτερος ἀντιλαμβάνεσθαι τῶν πραγμάτων. ῥᾳσαντι μὲν γὰρ, οὐδεὶς ἀσφαλέστερον τῶν οἰκείων διατηρήσει. τούτους τοὺς λόγους αὐτῆς οὐκ ἐπιεικῶς ἤνεγκαν, ἀλλὰ καὶ τὸν ἔμπροσθεν χρόνον πιστοὶ ὄντες, ἔτι μᾶλλον ἐν τῷ τότε διέμειναν, μίσει τε τῆς Ἀλεξάνδρας καὶ τῷ μηδ' ὅσιον ὑπολαμβάνειν ζῶντα τὸν Ἡρώδην ἀπεγνωκέναι. φίλοι γὰρ ἄνωθεν ἦσαν, εἷς δ' αὐτῶν καὶ ἀνεψιὸς τοῦ βασιλέως Ἀχίαβος ἦν. εὐθὺς οὖν ἐξήγγελλον πέμψαντες ἐκείνῳ τὴν γνώμην τῆς Ἀλεξάνδρας. ὁ δὲ τῶν μὲν οὐδὲν ἀναβαλλόμενος ἀποκτεῖναι προσέταξεν. αὐτὸς δὲ μόλις καὶ σὺν κακοπαθείᾳ διαφυγὼν τὴν νόσον, χαλεπὸς ἦν ψυχῇ καὶ σώματι κεκακωμένος ὁμοῦ πρὸς τὸ δυσάρεστον, καὶ πάσαις ταῖς αἰτίαις ἑτοιμότερος εἰς τιμωρίαν τῶν ὑποπεσόντων ἐγένετο. φονεύει δὲ καὶ τοὺς ἀναγκαιοτάτους αὐτῷ φίλους Κοστόβαρον καὶ Λυσίμαχον, καὶ τὸν Γαδίαν καλούμενον Ἀντίπατρον, ἔτι δὲ Δοσίθεον ἐξ αἰτίας τοιᾶσδε. Κοστόβαρος ἦν γένει μὲν Ἰδουμαῖος, ἀξιώματος τῶν πρώτων παρ' αὐτοῖς, καὶ προγόνων ἱερατευσάντων τῷ Κοζέ, θεὸν δὲ τοῦτον Ἰδουμαῖοι νομίζουσιν. Ὑρκανοῦ δὲ τὴν πολιτείαν αὐτῶν εἰς τὰ Ἰουδαίων ἔθη καὶ νόμιμα μεταστήσαντος, Ἡρώδης τὴν βασιλείαν παραλαβών, ἄρχοντα τῆς Ἰδουμαίας καὶ Γάζης ἀποδείκνυσι τὸν Κοστόβαρον, καὶ δίδωσιν αὐτῷ τὴν ἀδελφὴν Σαλώμην, Ἰώσηπον ἀνελὼν τὸν εἰληφότα πρότερον αὐτήν, ὡς ἐδηλώσαμεν. Κοστόβαρος δὲ τούτων τυχὼν ἀσμένως καὶ παρὰ δόξαν, ἤρθη μᾶλλον ὑπὸ τῆς εὐτυχίας, καὶ κατὰ μικρὸν ἐξέβαινεν, οὔθ' αὑτῷ καλὸν ἡγούμενος, ἄρχοντος Ἡρώδου τὸ προστασσόμενον ποιεῖν, οὔτε τοῖς Ἰουδαίοις ἔθεσι τοὺς Ἰδουμαίους χρωμένους ὑπ' ἐκείνοις εἶναι. καὶ διαπέμπεται πρὸς Κλεοπάτραν, τὴν Ἰδουμαίαν φάμενος ἀεὶ τῶν ἐκείνης προγόνων γεγονέναι, καὶ διὰ τοῦτ' εἶναι δίκαιον αἰτεῖσθαι παρ' Ἀντωνίῳ τὴν χώραν. αὐτὸς γὰρ ἕτοιμος εἶναι

A pestilentia, quæ & plebis & purpuratorum maiorem partem abstulit, omnibus irato Deo hanc immissam interpretantibus propter iniustum reginæ supplicium. ita aucta regis ægritudine postremò in solitudines se abdidit prætextu venationis, vbi affligtans se intra paucos dies grauem morbum contraxit. Is erat inflammatio & dolor ceruicis, mente etiam mota nõnihil. nec remedia quicquam proderant, sed cùm exacerbare potiùs malum viB detentur, res minimùm à se desperatione abfuit. itaque medici partim propter morbi contumaciam, partim quia in tanta difficultate non erat libera diætæ electio, permittebant ei quicquid appeteret: in incertum euentum salutem fortunæ committentes. quo sic apud Samariam, nunc Sebasten, decumbente, Alexandra habitans tum Hierosolymis, re cognita conata est vrbis arces in suam potestatem redigere, alteram templo contiguam, alC teram in ipsa vrbe sitam. nam qui has obtinẽt, totam gentem habent obnoxiam: quia nec sine his sacrificia quotidiana possunt peragi, neque Iudæi sine sacrificiis degere, quibus vita citius contemnatur quàm religio. præfectos igitur tentat, vt sibi & genitis ex Herode ac filia pueris eas traderent, ne fortè illo defuncto occuparentur ab aliis. quòd si contingat eum sanitatem recipere, interim à nemine tutius eas seruari quàm à domesticis. Hæc solicitaD tio non est æquis auribus accepta, sed cùm essent alioquin etiam fidi, tum eo magis manebant in officio, quòd & Alexandram oderant, nec fas putabant desperare de salute principis. amici enim erant veteres, vnus etiam nepos regis, Achiabus nomine. quare continuò per nuncios de Alexandra significauerunt. ille sine mora eam iussit interfici: superatóque tandẽ morbo refectis & corporis viribus & animi sic efferatus est, vt quauis ex causa ad sæE uiendum esset propensissimus. quamobtem ne ab intimis quidẽ amicis sanguinarias manus abstinuit, Costobaro videlicet, Lysimacho, Antipatro cognomine Gadia, & Dositheo, occasione arrepta huiusmodi. Erat Costobarus vnus inter primates Idumæorũ, penes cuius maiores olim fuerat sacerdotium Coze numinis, quod tum religiosè ab ea gente colebatur, priusquam sub Hyrcani principatu Iudaicos ritus acciperet. hunc Herodes quàm F primùm regnum adeptus est, Idumææ ac Gazæ præposuit, data in matrimonium Salome sua sorore, cuius maritum Iosephum interfecerat, vt iam dictum est. ea felicitate præter spem oblata inflatus ille, paulatim ad tantam insolentiam progressus est, vt regis imperata detrectaret, indignum ratus Idumæos sequire hominibus quorum sacra & religionem acceperant: misitque legationem ad Cleopatram, docens Idumæam semper maioribus eius reG giniæ paruisse. proinde nunc quoque impetrãdã esse regionem ab Antonio. Se enim paratũ

illi potius obsequi. Hæc autem moliebatur non quòd Cleopatram mallet habere dominā, sed vt accisis Herodis opibus, eo facilius ipse Idumæorum dominationem inuaderet. nam spem ei faciebat tam generis claritas quàm pecuniarum copia, quibus parandis ille nunquam non intentus ne à turpibus quidem lucris abstinebat, nimirum nihil mediocre volutans in animo. Sed Cleopatra frustra tentato precibus Antonio, nihil impetrare potuit: & Herodes re cognita interfecturus erat hominem, nisi intercessissent pro eo tam mater quàm soror: ita tamen eum donauit illarum precibus, vt nūquam posthac illi fideret. orto deinde inter coniuges dissidio, Salome libellum repudij marito mittit præter legitimum morem patriæ. lex enim nostra solis maritis hoc ius permittit, mulieribus autem ne dimissis quidem fas est nubere, nisi prioris viri permissu. Verùm illa magis ex propria licentia quàm communi iure fecit diuortiū, & ad fratrem se conferens ait se prætulisse fraternam beneuolentiam coniugali fœderi. conspirasse enim eum ad res nouas moliendas cum Lysimacho, Antipatro & Dositheo: suisque rebus fidē astruebat per Babæ liberos, quos ille iam per duodecim annos seruasset incolumes. erat autem hoc verum, & tum præter omnem opinionem à rege auditum vehementer eius animum perculit. Quod enim ad Babæ liberos attinet, decreuerat eos aliquādo tollere, aduersatos semper suis conatibus, sed procedente tempore per obliuionem hoc omiserat. causa verò odiorum hæc fuit. Regnante Antigono dum Herodes obsideret Hierosolyma, in tantis rerum difficultatibus maior populi pars fessa, propensa erat ad accipiendum Herodem intra mœnia. sed obsistebant Babæ liberi pollentes autoritate ac opibus & fidi Antigono, quòd putarent eum regem magis esse è republica. Tandem capta vrbe per Herodem, Costobarus destinatus ad obseruādos vrbis exitus, ne quis aduersæ factionis elaberetur, sciens magnam esse Babæ filiorum apud vulgus autoritatem, & cogitās illos mutato rerum statu magnum momentum afferre posse suis conatibus, subtractos clàm in suis agris habuit. Ac tunc quidem licet suspectus Herodem periurio fefellit, negans se quicquam scire quò illi deuenerint: rege deinde per edicta præmium promittente indicij, & modis omnibus eos perquirente, ne tum quidem fateri voluit. veritus enim non impune sibi hoc fore post primam negationē, pergebat eos occultare, iam necessitate etiam non modo beneuolentia. Hoc postquam sororis indicio rex comperit, missis quibusdam ad loca latebrarum, & illos interfecit, & quotquot in eodem hærebant crimine: vt nihil iā reliquū esset ex Hyrcani cognatione, sed sublatis omnibus quorum excellebat dignitas, arbitratu suo posset quicquid vellet agere,

μεταφέρειν τὴν εὔνοιαν εἰς ἐκείνην. ἔπραττε δὲ ταῦτα τῇ Κλεοπάτρᾳ μὲν οὐδέν τι μᾶλλον εἰς τὴν ἀρχὴν ἀρεσκόμενος. εἰ δὲ παρεθείη τῶν πλειόνων Ἡρώδης, εὐεπιχείρητον εἶναι νομίζων καθ' αὑτὸν ἄρξαι τὸν τῶν Ἰδουμαίων ἔθνους, καὶ μεῖζον προάξειν. ἐπιδιέβαινε γὰρ ταῖς ἐλπίσιν, οὐκ ὀλίγας ἀφορμὰς ἔχων καὶ γένους καὶ χρημάτων, ἃ μετὰ διηνεκοῦς αἰσχροκερδίας ἐπεπόριστο, καὶ μικρὸν οὐδὲν ἐπενόει. Κλεοπάτρα μὲν οὖν Ἀντωνίου δεηθεῖσα περὶ τῆς χώρας ταύτης ἀποτυγχάνει. λέγονται δὲ πρὸς Ἡρώδην οἱ λόγοι, κἀκεῖνος ἕτοιμος ὢν ἀποκτεῖναι τὸν Κοστόβαρον, ὅμως τῆς ἀδελφῆς αὐτοῦ δεηθείσης καὶ τῆς μητρὸς, ἀφίησι καὶ συγγνώμης ἠξίωσεν, οὐκ ἀνύποπτον αὐτὸν εἰς τὸ λοιπὸν ἔχων τῆς ἐπιχειρήσεως. τοῦ χρόνου δὲ διελθόντος, ἐπεὶ συνέβη τὴν Σαλώμην στασιάσαι πρὸς Κοστόβαρον, πέμπει μὲν εὐθὺς αὐτῷ γραμμάτιον ἀπολυομένη τὸν γάμον οὐ κατὰ τοὺς Ἰουδαίων νόμους. ἀνδρὶ μὲν γὰρ ἔξεστι παρ' ἡμῖν τοῦτο ποιεῖν, γυναικὶ δὲ οὐδὲ διαχωρισθείσῃ καθ' αὑτὴν γαμηθῆναι μὴ τοῦ πρότερον ἀνδρὸς ἀφιέντος. οὐ μὴν ἡ Σαλώμη τὸν ἐν γένει νόμον, ἀλλὰ τὸν ἐπ' ἐξουσίᾳ ἑλομένη, τήν τε συμβίωσιν προαπηγόρευσε, καὶ πρὸς τὸν ἀδελφὸν Ἡρώδην ἔλεγεν ὑπὸ τῆς εἰς ἐκεῖνον εὐνοίας ἀποστῆναι τἀνδρός, ἐγνωκέναι γὰρ αὐτὸν μετ' Ἀντιπάτρου καὶ Λυσιμάχου, καὶ Δοσιθέου, νεωτέρων ἐφιέμενον. καὶ πίστιν παρεῖχε τοῦ λόγου, τοὺς Βάβα παῖδας, ὅτι διασώζοιντο παρ' αὐτῷ χρόνον ἐνιαυτῶν ἤδη δώδεκα. τοῦτο δὲ εἶχεν οὕτως. καὶ πολλὴν ἔκπληξιν ἐποίησε τῷ βασιλεῖ παρ' ἐλπίδας ἀκουσθέν, ἐκεκίνητό τε μᾶλλον ἐπὶ τῷ παραδόξῳ τοῦ λόγου. τὰ γὰρ περὶ τοὺς Βάβα παῖδας ἐσπούδασε πρότερον ἐπεξελθεῖν αὐτούς, δυσμενεῖς γινομένους τῇ διαθέσει. τότε δὲ διὰ τὸ μῆκος τοῦ χρόνου καὶ τῆς μνήμης ἐξεληλύθεσαν. ἡ δ' ἔχθρα πρὸς αὐτοὺς καὶ τὸ μῖσος ἀπὸ τοιούτων ἦν. Ἀντιγόνου τὴν βασιλείαν ἔχοντος, Ἡρώδης μὲν ἐπολιόρκει δυνάμει τὴν τῶν Ἱεροσολυμιτῶν πόλιν· ὑπὸ δὲ χρείας καὶ κακῶν ὅσα πολιορκουμένοις περιίσταται, πλείους ἦσαν οἱ τὸν Ἡρώδην ἐπικαλούμενοι, καὶ πρὸς ἐκεῖνον ἀπονεύοντες ἤδη ταῖς ἐλπίσιν. ὄντες δ' ἐπ' ἀξιώματος οἱ τοῦ Βάβα παῖδες, καὶ παρὰ τῷ πλήθει δυνατοί, πιστοὶ διετέλουν Ἀντιγόνῳ. τόν τε Ἡρώδην διέβαλλον ἀεί, καὶ συμφυλάττειν τοῖς βασιλεῦσιν τὴν ἐκ γένους ἀρχὴν προὔτρεπον. ἐκεῖνοι μὲν οὖν ἅμα καὶ συμφέρειν αὐτοῖς νομίζοντες, ἐπὶ τοιούτων ἐπολιτεύοντο. τῆς δὲ πόλεως ἁλισκομένης, καὶ κρατοῦντος τῶν πραγμάτων Ἡρώδου, Κοστόβαρος ἀποδειχθεὶς τὰς διεκβολὰς ἀναφράττειν καὶ φρουρεῖν τὴν πόλιν, ὡς μὴ διαπίπτειν ἐξ αὐτῆς τοὺς ὑπόχρεως τῶν πολιτῶν καὶ τἀναντία τῷ βασιλεῖ πολιτευομένους, εἰδὼς ἐν ὑπολήψει καὶ τιμῇ τοὺς τοῦ Βάβα τῷ παντὶ πλήθει, καὶ νομίζων μέγα μέρος αὐτῷ γενήσεσθαι πρὸς τὰς μεταβολὰς τῶν πραγμάτων τὴν ἐκείνων σωτηρίαν, ὑπεξέθετο καὶ κατέκρυψεν ἐν οἰκείοις χωρίοις. καὶ τότε μὲν Ἡρώδην, διεληλύθει γὰρ τις τῆς ἀληθείας ὑποψία, πιστωσάμενος ὅρκοις, ἦ μὴν οὐδὲν εἰδέναι τῶν κατ' ἐκείνους, ἀφεῖτο τῆς ὑπονοίας. αὖθις γὰρ μηνύτρα καὶ κηρύγματα τοῦ βασιλέως ἐκτιθέντος, καὶ πάντα τρόπον ἐρεύνης ἐπινοοῦντος, οὐκ ἦλθεν εἰς ὁμολογίαν, ἀλλὰ τῷ τὸ πρῶτον ἔξαρνος γενέσθαι τὸ φωραθῆναι τοὺς ἄνδρας ἀνυποτίμητον αὐτῷ πεπεισμένος, οὐ μόνον ἐκ τῆς εὐνοίας, ἀλλὰ καὶ ἐκ τῆς ἀνάγκης ἤδη τοῦ λανθάνειν αὐτοὺς περιείχετο. περὶ τούτων ἐξαγγελθέντων αὐτῷ διὰ τῆς ἀδελφῆς, ὁ βασιλεὺς πέμψας εἰς τοὺς τόπους ἐν οἷς διατρίβειν ἐμηνύθησαν, ἐκείνους τε καὶ τοὺς συγκαταιτιαθέντας ἀπέκτεινεν, ὥστε εἶναι μηδὲν ὑπόλοιπον ἐκ τῆς Ὑρκανοῦ συγγενείας, ἀλλὰ τὴν βασιλείαν αὐτεξούσιον αὐτῷ, μηδε-

μηδενὸς ὄντος ἐπ' ἀξιώματος ἐμποδὼν ἰσαῦθις τοῖς παρανομουμένοις. διὰ τοῦτο καὶ μᾶλλον ἐξέβαινε τῶν πατρίων ἐθῶν, καὶ ξενικοῖς ἐπιτηδεύμασιν ὑποδιέφθειρε τὴν πάλαι κατάστασιν, ἀπαρεγχείρητον οὖσαν, ἐξ ὧν οὐ μικρὰ καὶ πρὸς τὸν αὖθις χρόνον ἠδικήθημεν, ἀμεληθέντων ὅσα πρότερον ἐπὶ τὴν εὐσέβειαν ἦγε τοὺς ὄχλους. πρῶτον μὲν γὰρ ἀγῶνα πενταετηρικὸν ἀθλημάτων κατεστήσατο Καίσαρι, καὶ θέατρον ἐν Ἱεροσολύμοις ᾠκοδόμησεν. αὖθις τ' ἐν τῷ πεδίῳ μέγιστον ἀμφιθέατρον, περίοπτα μὲν (B) ἄμφω τῇ πολυτελείᾳ, τοῦ δὲ κατὰ τοὺς Ἰουδαίους ἔθους ἀλλότρια. χρῆσις τε γὰρ αὐτῶν, καὶ θεαμάτων τοιούτων ἐπίδειξις, οὐ παραδέδοται. τὴν μέντοι πανήγυριν ἐκεῖνος ἐπιφανεστάτην τὴν τῆς πενταετηρίδος συνετέλει, καταγγείλας τοῖς πέριξ, καὶ συγκαλῶν ἀπὸ τοῦ παντὸς ἔθνους. οἱ δ' ἀθληταὶ καὶ τὰ λοιπὰ τῶν ἀγωνισμάτων ἀπὸ πάσης γῆς ἐκαλοῦντο κατ' ἐλπίδα τῶν προκειμένων, καὶ τῆς νίκης εὐδοξίαν. συνελέγησάν τε οἱ κορυφαιότατοι τῶν ἐν τοῖς ἐπιτηδεύμασιν. οὐ γὰρ μόνον τοῖς περὶ τὰς γυμνικὰς ἀ- (C) σκήσεις, ἀλλὰ καὶ τοῖς ἐν τῇ μουσικῇ διαγωνιζομένοις καὶ θυμελικοῖς καλουμένοις, προὐτίθει μέγιστα νικητήρια, καὶ διεσπούδαστο πάντας τοὺς ἐπισημοτάτους ἐλθεῖν ἐπὶ τὴν ἅμιλλαν. προὔθηκε δὲ καὶ τεθρίπποις καὶ συνωρίσι καὶ κέλησιν οὐ μικρὰς δωρεάς. καὶ πάνθ' ὅσα κατὰ πολυτέλειαν ἢ σεμνοπρέπειαν παρ' ἑκάστοις ἐσπούδαστο, φιλοτιμίᾳ τοῦ διάσημον αὐτοῦ γενέσθαι τὴν ἐπίδειξιν ἐξεμιμήσατο. τό γε μὴν θέατρον (D) ἐπιγραφαὶ κύκλῳ περιεῖχον Καίσαρος, καὶ τρόπαια τῶν ἐθνῶν ἃ πολεμήσας ἐκεῖνος ἐκτήσατο, χρυσοῦ τε ἀπέφθου καὶ ἀργύρου πάντων αὐτῷ πεποιημένων. τὰ δ' εἰς ὑπηρεσίαν οὐδὲν οὕτως ἦν, οὔτ' ἐσθῆτος τίμιον, οὔτ' σκευῆς λίθων, ὃ μὴ τοῖς ὁρωμένοις ἀγωνίσμασι συνεπεδείκνυτο. παρασκευὴ δὲ καὶ θηρίων ἐγεγόνει, λεόντων τε πλείστων αὐτῷ συναχθέντων καὶ τῶν ἄλλων ὅσα καὶ τὰς ἀλκὰς ὑπερβαλλούσας ἔχει καὶ τὴν φύσιν ἐπὶ σπανιώτερα. τούτων (E) αὐτῶν τε πρὸς ἄλληλα συμπλοκαὶ καὶ μάχαι πρὸς αὐτὰ τῶν κατεγνωσμένων ἀνθρώπων ἐπετηδεύοντο. τοῖς μὲν ξένοις, ἔκπληξις ὁμοῦ τῆς δαπάνης καὶ ψυχαγωγία τῶν περὶ τὴν θέαν κινδύνων, τοῖς δ' ἐπιχωρίοις φανερὰ κατάλυσις τῶν τιμωμένων παρ' αὐτοῖς ἐθῶν. ἀσεβὲς μὲν γὰρ ἐκ προδήλου κατεφαίνετο, θηρίοις ἀνθρώπους ὑπορρίπτειν, ἐπὶ τέρψει τῆς ἀνθρώπων θέας. ἀσεβὲς δὲ ξενικοῖς ἐπιτηδεύμασιν ἐξαλλάττειν τοὺς θεσμούς. πάντων δὲ μᾶλλον ἐλύπει τὰ τρόπαια, δο- (F) κοῦντες γὰρ εἰκόνας εἶναι τὰς τοῖς ὅπλοις περιειλημμένας, ὅτι μὴ πάτριον ἦν αὐτοῖς τὰ τοιαῦτα σέβειν, οὐ μετρίως ἐδυσχέραινον. ἐλάνθανον δὲ οὐδὲ τὸν Ἡρώδην ἐκταραττόμενοι, καὶ βίᾳ μὲν ἐπάγειν ἄκαιρον ᾤετο. καθωμίλει δ' ἐνίους καὶ παρηγόρει, τῆς δεισιδαιμονίας ἀφαιρούμενος. οὐ μὴν ἔπειθεν. ἀλλ' ὑπὸ δυσχερείας ὧν ἐδόκουν ἐκεῖνον πλημμελεῖν, ὁμοθυμαδὸν ἐξεβόων, εἰ καὶ πάντα δοκεῖεν οἰστά, μὴ φέρειν εἰκόνας ἀνθρώπων ἐν τῇ πόλει, τὰ τρόπαια λέγοντες. οὐ γὰρ εἶναι πάτριον αὐτοῖς. Ἡρώ- (G) δης δὲ ταραττομένους ὁρῶν καὶ μὴ ῥᾳδίως ἂν μεταπεσόντας, εἰ μὴ τύχοιεν παρηγορίας, καλέσας αὐτῶν τοὺς ἐπιφανεστάτους, εἰς τὸ θέατρον παρήγαγε, καὶ δείξας τὰ τρόπαια, τί ποτ' δοκεῖ αὐτοῖς ταῦτα εἶναι ἐπύθετο. τῶν δ' ἐκβοησάντων ἀνθρώπων εἰκόνας, ἐπιτάξας ἀφαιρεθῆναι τὸν περιθέσιμον κόσμον, ἐπιδείκνυσιν αὐτοῖς γυμνὰ τὰ ξύλα. τὰ δ' εὐθὺς ἦν ἀπολυθέντα, γέλως καὶ πλεῖστον εἰς διάχυσιν ἐκινήθη, τῷ καὶ πρότερον αὐτοὺς ἐν εἰρωνείᾳ τίθεσθαι τὰς κατασκευὰς τῶν ἀγαλμάτων. τὸν δὲ τρόπον αὐτῶν παρακρουσαμένου

nemine amplius resistente. Quo factum est vt magis ac magis discederet à patriis ritibus, & peregrinis studiis veterum instituta corrumperet inuiolabilia: quo tempore permagna facta est bonorum morum in deterius inclinatio, labante disciplina qua antehac populus solebat contineri in officio. Ac primùm athletica certamina quinto quoque anno in honorem Cæsaris instituit, theatro Hierosolymis extructo: deinde in campo amphitheatrum vtrumque sumptuoso opere conspicuum, sed alienum à Iudaicis moribus, apud quos nullus est horum vsus, nulla spectaculorum ostentatio. Ille tamen celebritatem hanc nobilissimam esse voluit, denunciatam circunuicinis atque etiam longinquis gentibus, propositisque præmiis magnus vndique athletarum cæterorúmque certatorum concursus factus est; confluxeruntq; exercitatissimi quique in hoc genere. euocabantur enim magnis præmiis non hi tantùm qui gymnicis certaminibus dant operam, sed musici etiam præstantes, & qui vocantur thymelici: necnon quadrigarij ac trigarij, & qui singulis equis celetizontes cursum peragunt: magna contentione regis, ne quid desideraretur, quod vsquam in hoc genere sit spectabile. Theatrum ipsum per circuitum titulis erat ornatum Cæsaris; & trophæis deuictarum ab illo gentium, auro atque argento collucentibus. quod verò ad instrumentum & apparatum attinet, non vestes pretiosissimæ, non gemmæ raritate insignes deerant in his spectaculis: conquisitis etiam feris plurimis, leonibus, cæterísque vel robore spectandis, vel aliquo naturæ miraculo. hæ modò inter se modò cum damnatis hominibus committebantur: quæ peregrinis quidem spectatoribus plurimum admirationis simul atque delectationis afferebant, indigenis verò prorsus ad dissolutionem patriæ disciplinæ tendere videbantur. nihil enim magis impium existimabant, quàm ex spectandis hominibus cum bestiis comparatis voluptatem crudelem captare homines: absurdum æquè peregrinis artibus mutare instituta domestica. Sed nihil tam molestum fuit quàm trophæa: quæ cùm putarent armis contectas imagines, quarum vsus interdictus est nostris legibus, indignissimè eas ferebant. à quibus cùm eos sic abhorrere Herodes animaduerteret, per vim nihil agere voluit, sed blandis alloquiis conabatur hanc superstitionem eximere. nihil tamen mouebantur, sed credentes eum grauiter peccare, vno ore exclamant: etiam si reliqua omnia ferre oporteat, non laturos se intra vrbem hominum imagines: sic trophæa vocabant: hoc enim nefas esse. Herodes verò videns eos turbatos, & sine satisfactione non facile cessuros, accitis ad se præcipuis ex illo numero, in theatrum adductis, rogabat eos, ostẽsis trophæis, quidnam hoc esse putarent. cúmq; reclamasset, hominũ esse imagines, iubet detrahi ornatũ apposititiũ, & ostẽdit nudos stipites. quo facto in risum vertitur indignatio cõcepta ex suspicione imaginum. atque ita sedato mul-

titudinis tumultu, plerique iam mutati æquo animo ferebant omnia. quidam tamen ne ſic quidem deſtiterunt externos mores abominari, veriti ne ex hac mutatione ſequeretur magnum aliquod reipublicæ incommodum: putaueruntque ſui officij, labanti diſciplinæ publicæ vel capitis periculo ſuccurrere, nec pati Herodem quicquam contra receptos mores inducere, & pro rege hoſtem agere. ex his x. ciues coniurauerunt contempto periculo, ſicáſque veſtibus texerunt: & in his vnus cæcus, ob indignitatem eorum quæ audierat non tam paratus ad agendum aliquid, quàm ad patiendum ſi quid aſſertoribus patrij moris accideret, cuius exemplo non mediocriter confirmati ſunt cæteri. Hi communicatis conſiliis in theatrum vadunt, ſperante nec ipſum regem improuiſum impetum ſuum euaſurum, aut certè multos ex aulicis eius ſtipatoribus opprimendos: & vel hoc ſibi fore mortis ſolatium, ſi illum violatæ religionis ergô in populi inuidiam adducerent. Et illi quidem quaſi duces ſe cæteris præbentes hæc facere ſtatuerant. quidam verò ex his quos Herodes ad perſcrutanda & indicanda talia diſpoſuerat, rem totam expiſcatus, regi theatrum ingreſſuro aperit. is non ignarus quantum odiorum ſibi quotidie concitaret, recipit ſe in regiam, & nominatim coniuratos accerſit: qui comprehenſi in ipſo facinore, & ſcientes nullum eſſe effugium, decreuerunt præſentem neceſſitatẽ ferre forti animo. nihil enim inficiati interrito vultu ſicas protulerunt, profitentes ſe rectè ac piè coniuraſſe, non propter priuatos affectus, aut ſui commodi gratia, ſed pro diſciplina publica, quam nemo bonus violare ne morte quidem ſibi intentata ſuſtineat. hæc illi cùm magna confidentia pro ſe attuliſſent, à regiis abducti per omnes cruciatus necati ſunt. nec multo pòſt delator eorum inuiſus omnibus, à quibuſdam interfectus fruſtatim conciſus eſt & obiectus canibus, idque multis inſpectantibus: nemo tamen hoc factum prodidit, donec poſt longas ac moleſtas Herodis inquiſitiones à conſciis quibuſdam mulierculis per tormenta expreſſa eſt confeſſio. tum verò autores eius facinoris cum totis familiis plectebantur, plebe nihilominus interrita, & parata leges defendere, ni maiore cohiberetur potentia. quod animaduertens rex omni ope obuiam iuit eorum conatibus, ne fortè hac rerum nouitate ad apertam defectionem adducerentur. cùm igitur duas arces munitas in vrbe haberet, vnam in qua ipſius erat regia, alteram verò iuxta templum Antoniam à ſe nominatam, viſum eſt tertiam quoque munire Samariam, mutato nomine Sebaſten, quæ foris totam gentem contineret in officio, abeſt à Hieroſolymis itinere vnius diei, ad vrbanos etiã tumul-

A τὸ πλῆθος, καὶ τὴν ὁρμὴν ἣν ἐπεπόνθεσαν ἐξ ὀργῆς διαχέαντες, οἱ πλείους μὲν εἶχον ὡς μεταβεβλῆσθαι, καὶ μὴ χαλεπαίνειν ἔτι. τινὲς δ' αὐτῶν, ἐπέμενον τῇ δυσχερείᾳ τοῦ οὐκ ἐξ ἔθους ἐπιτηδευμάτων, καὶ τὸ καταλύεσθαι τὰ πάτρια μεγάλων ἡγούμενοι ἀρχὴν κακῶν. ὅσιον δὲ ᾠήθησαν ἀποκινδυνεῦσαι μᾶλλον, ἢ δοκεῖν ἐξαλλαττομένης αὐτοῖς τῆς πολιτείας, περιορᾶν Ἡρώδην πρὸς βίαν ἐπεισάγοντα τὰ μὴ δι' ἔθους ὄντα, καὶ λόγῳ μὲν βασιλέα, τῷ δ' ἔργῳ πολέμιον φαινόμενον τοῦ παντὸς ἔθνους. B ἐκ δὲ τούτου συνωμοσάμενοι πάντα κίνδυνον ὑποδύεσθαι δέκα τῶν πολιτῶν ἄνδρες, καὶ ξιφίδια τοῖς ἱματίοις ὑπολαβόντες. ἦν δ' αὐτοῖς δι' ἀναξιοπάθειαν ὧν ἤκουσαν καὶ τῶν διεφθορότων τις τοὺς ὀφθαλμοὺς συνωμοσμένος, οὐχ ὡς συνεργῆσαί τι καὶ λίαν εἰς τὴν ἐπιχείρησιν ἱκανός, ἀλλ' ἐν ἑτοίμῳ κατατιθεὶς αὐτὸν παθεῖν εἴ τι κἀκείνοις συμβαίνῃ δυσχερές. ὡς τὴν μὴ μετρίαν τὴν ὁρμὴν τοῖς ἐπιχειροῦσι δι' αὐτὸν γίνεσθαι. ταῦτα γνόντες ἀπὸ συνθήματος εἰς τὸ θέατρον ἐχώρουν. C ἐλπίσαντες μὲν οὐδ' αὐτὸν Ἡρώδην διαφεύξεσθαι προσπεσόντων δι' ἀφανοῦς, πολλοὺς δ' εἰ καὶ μὴ τυγχάνοιεν ἐκείνου, τῶν περὶ αὐτὸν ἀναιρήσειν οἰόμενοι. καὶ τοῦτ' αὐτοῖς ἀρκέσειν εἰ καὶ θνήσκοιεν, εἰς ἔννοιαν ὧν ὁ βασιλεὺς ἐξυβρίζειν ἐδόκει τὸ πλῆθος, καὶ αὐτὸν ἐκεῖνον ἀγαγεῖν. ἐκεῖνοι μὲν προκατεστάντες, ἐπὶ τοιαύτης ἦσαν προθεσμίας. εἷς δὲ τῶν ἐφ' Ἡρώδου πολυπραγμονεῖν καὶ διαγγέλλειν τὰ τοιαῦτα τεταγμένων D ἐξευρηκὼς ὅλην τὴν ἐπίθεσιν, εἰς τὸ θέατρον εἰσιέναι μέλλοντι τῷ βασιλεῖ κατεμήνυσεν. ὁ δ' οὐ γὰρ ἀνοίκειον ᾠήθη τὸν λόγον, εἴς τε τὸ μῖσος ἀφορῶν ὃ συνῄδει παρὰ τῶν πλειόνων αὐτῷ, καὶ τὰς ταραχὰς τὰς ἐπὶ τοῖς καθέκαστα γινομένας, ἀναχωρήσας εἰς τὸ βασίλειον, ὀνομαστὶ τοὺς ἐν ταῖς αἰτίαις ἐκάλει. προσπιπτόντων δ' αὐτοῖς τῶν ὑπηρετῶν αὐτόφωροι λαμβανόμενοι, τὸ μὲν ὡς οὐκ ἂν διαφύγοιεν ᾔδεσαν, ἐπεκόσμησαν δὲ τὴν ἀναγκαίαν καταστροφὴν τοῦ τέλους, E τῷ μηδὲν ὑφεῖναι τοῦ φρονήματος. οὐ γὰρ ἐντραπέντες οὐδ' ἀρνησάμενοι τὴν πρᾶξιν, ἀνέδειξαν ἤδη κρατούμενοι τὰ ξίφη. διωμολογήσαντες δὲ καλῶς καὶ σὺν εὐσεβείᾳ τὴν συνωμοσίαν αὐτοῖς γίνεσθαι, κέρδους μὲν οὐδενὸς, οὐδ' οἰκείων ἕνεκεν παθῶν, τὸ δὲ πλέον ὑπὲρ τῶν κοινῶν ἐθῶν, ὃ καὶ πᾶσι φυλάττειν ἢ θνήσκειν ὑπὲρ αὐτῶν ἄξιον. τοιαῦτα μὲν ἐκεῖνοι, τῇ προαιρέσει τῆς ἐπιβουλῆς ἐμπαρρησιασάμενοι, περι- F στάντων αὐτοῖς τῶν βασιλικῶν ἤγοντο, καὶ πᾶσαν αἰκίαν ὑπομείναντες διεφθάρησαν. μετ' οὐ πολὺ δὲ καὶ τὸν ταῦτα μηνύσαντα κατὰ μῖσος ἁρπασάμενοί τινες οὐκ ἀπέκτειναν μόνον. ἀλλὰ καὶ μελιστὶ διελόντες, προὔθεσαν κυσίν. ἑωρᾶτο δὲ πολλοῖς τῶν πολιτῶν τὰ γινόμενα, καὶ κατεμήνυσεν οὐδεὶς, ἕως Ἡρώδου πικρότερον καὶ φιλόνεικον ποιουμένου τὴν ἔρευναν, ἐκβασανισθεῖσαι γυναῖκές τινες ὡμολόγησαν ἃ προαχθέντα εἶδον. καὶ τῶν μὲν ἐνεργησάντων, ἐγίνετο τιμωρία πανοικὶ τῶν προπετειῶν αὐτῶν ἐπεξιόντος. ἡ δ' ἐπιμονὴ τοῦ πλήθους καὶ τὸ τῆς ὑπὲρ τῶν νόμων πίστεως ἀκατάπληκτον, οὐ ῥᾴδιον ἐποίει τὸν Ἡρώδην, εἰ μὴ μετὰ πλείονος ἀσφαλείας κρατοίη. καὶ διέγνω πάντοθεν περιειληφέναι τὸ πλῆθος, ὡς μὴ νεωτεριζόντων, φανερὰν γίνεσθαι τὴν ἀπόστασιν. ἐξωχυρωμένης οὖν αὐτῷ τῆς πόλεως μὲν ὑπὸ τῆς αὐλῆς ἐν ᾗ διῃτᾶτο, τοῦ δὲ ἱεροῦ τῇ περὶ τὸ φρούριον ὀχυρότητι τὸ καλούμενον Ἀντωνίαν τὸ κατασκευασθὲν ὑπ' αὐτοῦ, τρίτον παντὶ τῷ λαῷ τὴν Σαμάρειαν ἐνενόησεν ἐπιτείχισμα, καλέσας μὲν αὐτὴν Σεβαστὴν, οἰόμενος δὲ κατὰ τῆς χώρας οὐδὲν ἔλαττον ἰσχυροποιεῖν τὸν τόπον, ἀπέχοντα μὲν Ἱεροσολύμων μιᾶς ὁδὸν ἡμέρας, εὔχρηστον δ' ὄντα καὶ

κοινὸν

κοινὸν ἐπί τε τοῖς ἐν τῇ χώρᾳ καὶ τῇ πόλει γινομένων. A τῷ δὲ ἔθνει παντὶ φρούριον ἐνῳκοδόμησεν, τὸ πάλαι μὲν καλούμενον Στράτωνος πύργον, Καισάρειαν δ' ὑπ' αὐτοῦ προσαγορευθέν. ἔν τε τῷ μεγάλῳ πεδίῳ τῶν ἐπιλέκτων ἱππέων περὶ αὐτὸν ἀποκληρώσας, χωρίον συνέκτισεν ἐπί τε τῇ Γαλιλαίᾳ Γάβαλα καλούμενον. καὶ τῇ περαίᾳ τὴν Ἐσθμωνῖτιν. ταῦτα μὲν οὖν ἐν τοῖς κατὰ μέρος ἀεί τι πρὸς ἀσφάλειαν ἐξευρίσκων, καὶ ἐκλαμβάνων φυλακαῖς τὸ πᾶν ἔθνος, B ὡς ἥκιστα μὲν ἀπ' ἐξουσίας, εἰς τὰς ταραχὰς προπίπτειν, ὥς καὶ μικροῦ κινήματος ἐγγινομένου συνεχῶς ἐχρῶντο, λανθάνειν δὲ μηδ' εἰ διακινοῖεν, ἐφεστηκότων ἀεί τινῶν πλησίον οἳ καὶ γινώσκειν καὶ κωλύειν ἐδύναντο. τότε δὲ τὴν Σαμάρειαν ὡρμημένος τειχίζειν, πολλοὺς μὲν τῶν συμμαχησάντων κατὰ τοὺς πολέμους, πολλοὺς δὲ τῶν ὁμόρων συμπολίζειν ἐπιτήδευεν, ὑπό τε φιλοτιμίας τοῦ νέον ἐγείρειν, καὶ C διὰ τὸ πρότερον οὐκ ἐν ταῖς ἐπισήμοις οὖσαν, καὶ μᾶλλον ὅτι πρὸς ἀσφάλειαν αὐτῷ τὸ φιλότιμον ἐπιτηδεύετο. τήν τε προσηγορίαν ὑπήλλαττε, Σεβαστὴν καλῶν, καὶ τῆς χώρας ἀρίστην οὖσαν τὴν πλησίον, κατεμέριζε τοῖς οἰκήτορσιν, ὡς εὐθὺς ἐν εὐδαιμονίᾳ συνιόντες οἰκεῖν. καὶ τείχει καρτερῷ τὴν πόλιν περιέβαλε, τότε τοῦ χωρίου προσάντες εἰς ἐρυμνότητα κατασκευαζόμενος, καὶ μέγεθος οὐχ ὡς τὸ πρῶτον, ἀλλ' ὥστε μηδὲν ἀποδεῖν τῶν ἐλλογιμωτάτων D πόλεων περιλαμβάνων. στάδιοι γὰρ ἦσαν κ'. ἐντὸς δὲ καὶ κατὰ μέσην, ξ' ἰαν ἡμισταδίων τέμενος ἀνῆκε, παντοίως κεκοσμημένον, καὶ ναὸν ἐν αὐτῷ μεγέθει καὶ κάλλει τῶν ἐλλογιμωτάτων ἤγειρεν, ἔν τε τοῖς κατὰ μέρος διὰ πάντων ἐκράτει κοσμῶν τὴν πόλιν. τὸ μὲν ἀναγκαῖον τῆς ἀσφαλείας ὁρῶν, καὶ τῇ τῶν περιβόλων ἐρυμνότητι φρούριον αὐτὴν ποιούμενος ἐπὶ τῇ μείζονι. τὸ δ' εὐπρεπὲς, ὡς ἂν ἐκ τοῦ φιλοκαλεῖν, καὶ μνημεῖα φιλανθρωπίας καταλιπεῖν ἐν ὑστέρῳ. E

Κεφάλαιον ιβ'.

Περὶ τοῦ λιμοῦ τοῦ κατὰ τὴν Ἰουδαίαν γεγονότος.

Κατὰ τοῦτον μὲν οὖν τὸν ἐνιαυτὸν ιγ' ὄντα τῆς Ἡρώδου βασιλείας, πάθη μέγιστα τὴν χώραν ἐπέβαλεν. εἴτ' οὖν τοῦ θεοῦ μηνίσαντος, ἢ καὶ κατὰ περιόδους ἀπαντήσαντος τοῦ κακοῦ. πρῶτον μὲν γὰρ αὐχμοὶ διηνεκεῖς ἐγίνοντο. καὶ διὰ τὸ τοιοῦτον ἄκαρπος ἡ γῆ, μηδ' ὅσους κατ' αὐτὴν εἴωθεν ἀναβλαστάνειν φέρουσα. ἔπειτα F καὶ τῆς διαίτης κατὰ τὴν ἔνδειαν τῶν σιτίων ἐξαλλαττομένης, νόσοι τῶν σωμάτων καὶ πάθος ἤδη λοιμικὸν ἐκράτει διηνεκῶς ἀντεφοδιαζομένων αὐτοῖς τῶν κακῶν. τότε γὰρ ἡ ἀπορία θεραπείας καὶ τροφῆς, ἐπέτεινεν εἰς πλέον ἀρξαμένην ἰσχυρῶς τὴν λοιμώδη νόσον, ἥ τε φθορὰ τῶν οὕτως ἀπολλυμένων, ἀφῃρεῖτο καὶ τοὺς περιόντας εὐθυμίας, ἐπεὶ προσαρκεῖν ταῖς ἀπορίαις ἐξ ἐπιμελείας οὐκ ἦν. φθαρέντων γε μὴν τῶν ἐν ἔτει καρπῶν, καὶ τῶν ὅσοι πρότερον ἀπέκειντο G δεδαπανημένων, οὐδὲν εἰς ἐλπίδα χρηστὸν ὑπελείπετο, μᾶλλον ἢ κατὰ προσδοκίαν ἐπιτείνοντος τοῦ κακοῦ, καὶ οὐδὲ κατ' ἐκεῖνον τὸν ἐνιαυτὸν μόνον. ὡς αὐτοῖς εἶναι μὲν οὐδὲν ὑπόλοιπον, ἀπολωλέναι δὲ καὶ τῶν περιόντων τὰ σπέρματα, μηδ' ἕτερον ἀνείσης τῆς γῆς. ἦν τε ἀνάγκη, πολλὰ διὰ τὰς χρείας ἐπανευρεῖν. καὶ τὰς ἀπορίας οὐκ ἐλάττους εἶναι συνέβαινεν αὐτῷ τῷ βασι-

tus compeſcendos opportunā. Aliam etiam toti genti ceu arcem impoſuit, olim Stratonis turrim dictam: ipſe Cæſareā appellari maluit. In magno etiam quem vocant campo, ſorte lectis equitibus caſtellum condidit, & in Galilæa Gabalam, Eſthmonitim in Perea. His arcibus ad tutelam regni per totam regionem opportunè diſpoſitis, adempta eſt vulgo leuiſſimis quibuſque cauſis mobili, tumultuandi materia: parato ad quoſcunque clancularios conatus remedio, dum in propinquo ſemper ſunt qui vel præcaueant, vel recèns ortos cōpeſcant. In primis autem Samariam cincturus mœnibus, dedit operam vt tam è milite auxiliari, quam è finitimis gentibus plurimos in eius ciuitatis corpus congregaret, partim propter templum quod ibi dedicare ſtatuerat, partim quo illuſtriorem eam faceret, ſed maximè quia prætextu magnificentiæ ſecuritatē rebus ſuis hoc pacto procurabat. Vrbi abrogato vetere, nouum nomen Sebaſtes impoſuit, agroſque eius natura feraces habitatoribus diuiſit, vt mox ab initiis eſſent locupletes: firmiſſimum deinde murum circumdedit, natura etiam loci accliuioris adiutus, & præter veterem ambitum tantum ſpatij complexus, vt nulli celebrium vrbium cederet. erat enim xx. ſtadiorum circuitus. in eius meditullio fanum ſeſquiſtadij amplitudine eſſe voluit, modis omnibus ornatiſſimum, in quo templum extruxit cum quouis alio pulchritudine & magnitudine conferendum: reliquas etiam vrbis partes procedente tempore magis ac magis excolere ſtuduit, ſecuritatem captans ex firmitate loci, quo pro arce vti voluit, pulchritudine verò loci ſuæ liberalitatis ac magnificentiæ monumentum relicturus ad poſteros.

CAP. XII.

De fame quæ in terram Iudæam incubuit.

Eodem anno qui fuit regni Herodis decimustertius, maximæ calamitates in eam regionem ingruerunt, ſiue ea fuit vindicta irati numinis, ſiue ita ferebant ſtatæ temporū viciſſitudines. Primùm ſiccitas diuturna obtinuit, inde inſecuta eſt ſterilitas, ne illis quidem fructibus prouenientibus quos ſponte ſua terra ſolet edere: Poſtea per inopiam mutata victus ratione morbi iam inualuerūt & peſtilentia, ſuccedentibus aliis poſt alias calamitatibus. Nam hoc ipſum peſtem exacerbabat, quòd ægroti in tanta penuria nec curam ſibi conuenientem, nec alimentum congruum habere poterant: & quotidie multis morientib. etiam ſuperſtites per deſperationē curam ſuorum relinquebant, nō profuturā in tantis rerū difficultatibus. itaq; abſumptis veteribus frugibus, & nullis in earū vicem ſubnaſcentibus, nihil ſpei reliquum erat, malo præter opinionem indies creſcente, dum non vno anno etiam ſemina ipſa pereunt, terra non reddente debitum. quapropter neceſſitas multa ad præſentem vſum excogitare cogebat: ac ne Herodi quidem amplæ facultates ſuppetebant,

dum fraudatur agrorum reditibus, absumpta in ędificationem vrbium vetere pecunia: adcóque omnia variis malis vastabantur, vt vix esset cui succurri posset. ad hæc accedebat populare in regem odium, quod ferè soleat calamitatum culpa in eos reiici, penes quos est regimen reipublicæ. Cogitabat tamen aliquam medelam afferre tam difficili tempori, sed modum vix expediebat, quod nec finitimi res ad victum necessarias venderent, eadem pressi inopia, nec pecuniarum tantum superesset, quãtum posset omnibus sufficere. attamen videns opus esse vt omnes ad ferendam opem consilia conferrent, quicquid erat in regia supellectilis tam aureæ quàm argenteæ, id totum concidit, nec laudatorum artificum parcens operibus, nec vasis ad vsum necessariis. inde confectam pecuniam mittebat in Ægyptum quam tum Petronius obtinebat pro Cæsare. is licèt obrutus multitudine ob talem necessitatem ad se confugientium, tamen quia priuatim amicus erat Herodi, & seruatos cupiebat eius subditos, præ aliis eis concessit frumenti exportationem, tam in emendo quàm in euehendo adiuuans, ita vt maximum momentum ad gentis salutem in eo fuerit. Porrò Herodes aduecto fruméto, & approbata populo sua diligentia, nõ solùm mutauit auersorum à se animos, verùm etiam eximiam laudem beneficentiæ & prouidentiæ retulit. Nam primùm his qui sibiipsis frumentum quærere non poterant, diuisit omnibus accuratissimè dispensans. Deinde quia multi erant qui propter senium vel aliam debilitatem cibos parare non valebant, his quoque prouidit adhibitis pistoribus, vt in promptu alimenta haberent. Quin & aduersus hyemis asperitatem prouidit, ne qui periclitarentur inopia vestium absumptis pecoribus, & lanis aliisque tegmentis deficientibus. Vbi verò etiam huic necessitati prospectum est, propinquis quoque Syrorum vrbibus solicitudinem impendit, distributis ad sementem faciendam frugibus. quod sanè & ipsi fuit commodũ, terra mox vberem referente gratiam, vt omnibus alimenta suppeterent. & quamprimùm segetes messi maturæ factæ sunt, ad L M. hominum quos ipse aluerat dimisit per agros: atqua ita res penè perditas restituit sua diligentia, non mediocriter subleuatis etiam finitimis qui eisdem laborabant difficultatibus. nemo enim eius opem implorauit, quem nõ pro ipsius dignitate adiuuerit: sed & castella & vrbes, & ex plebe qui grauabantur numerosiore familia, ad illum confugientes necessitati inueniebant remediũ: ita vt reuocatis ad rationem quæ in exteros tantum insumpserat, reperta sint frumenti corotũ x. millia. corus autem capit x. medimnos Atticos. intra regni verò sui pomœria LXXX. millia corotũ expensa sunt. quæ quidem eius cura & tam opportunè collata gratia, tantum apud Iudæos valuit omnium sermone celebrata, vt positis odiis quicquid hactenus vel administrando regno, vel transgrediendis patriis ritibus peccauerat, li-

A λεῖ, τῶν τε φόρων οὓς ἐλάμβανεν ἀπὸ τῆς γῆς ἀφῃρημένῳ, καὶ τὰ χρήματα δεδαπανηκότι πρὸς φιλοτιμίαν ὧν τὰς πόλεις ἐπεσκεύαζεν, ἦν τε οὐδὲν ὅτι καὶ βοηθείας ἄξιον ἐδόκει, προσκατειληφότος τοῦ κακοῦ καὶ μῖσος εἰς αὐτὸν ἐκ τῶν ἀρχομένων. τὸ γὰρ οὐκ εὖ πράττειν, φιλαίτιον ἀεὶ τοῖς προεστηκόσιν. ἐν τούτοις διενοεῖτο βοηθεῖν τῷ καιρῷ, χαλεπὸν δ' ἦν, οὔτε τῶν πλησίον ἐχόντων ἀποδίδοσθαι σιτία, τῷ μηδ' αὐτοῖς ἔλαττω πεπονθέναι, χρημάτων τε οὐκ ὄντων, εἰ καὶ δυνατὸν ὀλίγον B ἐπὶ πολλοῖς εὐπορηθῆναι. καλῶς μέντοι νομίζων ἔχειν πάντας εἰς τὴν βοήθειαν μὴ ἀμελεῖν, τὸν ὄντα κόσμον ἐν τοῖς βασιλείοις αὐτοῦ συνέκοψεν ἀργυρίου καὶ χρυσίου, μήτε τῆς ἐν ταῖς κατασκευαῖς ἐπιμελείας, μήτ' εἴ τι τέχνῃ τίμιον ἦν, τούτου φεισάμενος. ἐπιπέμπει δ' εἰς Αἴγυπτον τὰ χρήματα, Πετρωνίου τὴν ἀρχὴν ἀπὸ Καίσαρος εἰληφότος. ἐπεὶ δ' οὐκ ὀλίγων ἐπ' αὐτὸν καταφευγόντων διὰ τὰς αὐτὰς χρείας, ἰδίᾳ τε C φίλος ὢν Ἡρώδῃ, καὶ διασώσασθαι θέλων τοὺς ὑπ' αὐτὸν, πρώτοις μὲν ἔδωκεν ἐξαγωγὴν τὸν σῖτον, εἰς ἅπαντα δὲ κατὰ τὴν ὠνὴν καὶ τὸν ἔκπλουν συνήργησεν, ὡς μέγα μέρος ἢ τὸ πᾶν γενέσθαι ταύτης τῆς βοηθείας. ὁ γὰρ Ἡρώδης τούτων ἀφικομένων, ἐν ἀφορμῇ τὴν ἐπιμέλειαν τὴν αὐτοῦ προσθεὶς, οὐ μόνον αὐτοῦ μετέστησε τὰς γνώμας τῶν πρότερον χαλεπῶς ἐχόντων, ἀλλὰ καὶ μεγίστην ἐποιήσατο τὴν ἐπίδειξιν τῆς D εὐνοίας, καὶ τῆς προστασίας. πρῶτον μὲν γὰρ ἔσοις οἷόν τε καὶ δι' αὐτῶν τὰς τροφὰς ἐκπονεῖν, ἔνειμε τοῦ σίτου τὴν ἔνταξιν ἀκριβεστάτην ποιούμενος. ἔπειτα πολλῶν ὄντων οἳ κατὰ γῆρας ἤ τινα προσοῦσαν ἄλλην ἀσθένειαν οὐχ ἱκανοὶ εἶχον αὐτοῖς παρασκευάζειν τὰ σιτία, προυνόει καταστήσας ἀρτοποιοὺς, καὶ παρέχων ἑτοίμας τροφάς. ἐπιμέλειαν δὲ καὶ τοῦ μὴ διαχειμάσαι μετὰ κινδύνων αὐτοὺς ἐποιήσατο, συγκατειληφυίας καὶ τῆς περὶ τὰς ἐσθῆτας ἀπορίας, ἐφθαρ- E μένων καὶ παντάπασι ἐξαναλωθέντων τῶν βοσκημάτων, ὡς οὔτε ἐρίων εἶναι χρῆσιν, οὔτε τῶν ἄλλων σκεπασμάτων. ἐκποριεθέντων δ' αὐτῷ καὶ τούτων, ταῖς πλησίον ἤδη πόλεσιν ἐπεβάλλετο τὰς ὠφελείας παρέχειν, σπέρματα τοῖς ἐν Συρίᾳ διδούς. καὶ τοῦτ' ὤνησεν οὐχ ἧττον αὐτῷ, εὐθύς τε χυθείσης εἰς εὐφορίαν τῆς χάριτος, ὡς ἅπασιν ἱκανὰ τὰ περὶ τὰς τροφὰς γενέσθαι. τὸ δὲ σύμπαν ἅμα τοῦ περὶ τὴν γῆν ἐπιφανέν- F τος, οὐκ ἔλαττον ἢ ἑ μυριάδας ἀνθρώπων, οὓς αὐτὸς ἔθρεψεν εἰς τὴν χώραν διέπεμψε, καὶ τούτῳ τῷ τρόπῳ κακωθεῖσαν αὐτοῦ τὴν βασιλείαν, ὑπὸ πάσης σπουδῆς ἀναλαβών, οὐχ ἥκιστα καὶ τοὺς πέριξ ἐν ταῖς αὐταῖς κακοπαθείαις ὄντας, ἐπεκούφισεν. οὐ γὰρ ἔσθ' ὅστις ὑπὸ χρείας ἐντυχὼν, ἀπελείφθη μὴ βοηθείας εὑρέσθαι κατὰ τὴν ἀξίαν. ἀλλὰ καὶ δῆμοι καὶ πόλεις, καὶ τῶν ἰδιωτῶν ὅσοις ἀπορία διὰ τὸ πλειόνων προΐστασθαι συνετύγχανεν, ἐπ' αὐτὸν καταφεύγον- G τες, εἶχον ὧν ἐδεήθησαν. ὥστε γενέσθαι λογιζομένῳ, τοὺς μὲν ἔξω τῆς ἀρχῆς δοθέντας, σίτου κόρους μυρίους. ὁ δὲ κόρος δύναται μεδίμνους Ἀττικοὺς ί. τοὺς δ' εἰς αὐτὴν τὴν βασιλείαν περὶ ὀκτάκις μυρίους. ταύτην δὲ αὐτοῦ τὴν ἐπιμέλειαν καὶ τὴν τῆς χάριτος εὐκαιρίαν, οὕτως ἐν αὐτοῖς τε τοῖς Ἰουδαίοις ἰσχῦσαι συνέβη, καὶ διαβοηθῆναι τοῖς ἄλλοις, ὥστε τὰ μὲν πάλαι μίση κινηθέντα διὰ τὸ παραχαράττειν ἔνια τῶν ἐθῶν καὶ τῆς βασιλείας, ἐξαιρεθῆναι τοῦ παντὸς ἔθνους,

αὐτίκα

φέρειν κατάλλαγμα. ἐφάνη δὲ ἔν τε τῇ βοηθείᾳ τῶν δυσχερεστάτων φιλοτιμίας, οὐκ ἐλάττω δὲ καὶ παρὰ τῶν ἔξωθεν ἦν. καὶ δοκεῖ τὰ δυσχερῆ συμβῆναι μὲν αὐτῷ μείζω λόγου, κατασταλῆναι δὲ τῆς βασιλείας, οὐχ ἥκιστα πρὸς εὐδοξίαν ὠφελῆσαι. τὸ γὰρ ἐν τῇ ἀπορίᾳ μεγαλόψυχον παρὰ δόξαν ἐπιδεικνύμενος, μετέστησε τοὺς ὄχλους, ὡς ἐξ ὑπαρχῆς δοκεῖν οὐχ οἷον ἡ πεῖρα τῶν πάλαι γεγενημένων, ἀλλ' οἷον ἡ μετὰ τῆς χρείας ἐπιμέλεια παρέστησε. περὶ δὲ τὸν χρόνον ἐκεῖνον, καὶ συμμαχικὸν ἔπεμψε Καίσαρι φ' ἐπιλέκτους τῶν σωματοφυλάκων. οὓς Γάλλος Αἴλιος ἐπὶ τὴν ἐρυθρὰν θάλασσαν ἦγεν, εἰς πολλὰ χρησίμους αὐτῷ γενομένους. πάλιν οὖν αὐτῷ τῶν πραγμάτων πρὸς ἐπίδοσιν εὐθυνομένων βασίλειον ἐξῳκοδόμει περὶ τὴν ἄνω πόλιν, ὑπερμεγέθεις οἴκους ἐγείρων καὶ κόσμῳ κατασκευάζων πολυτελεστάτῳ χρυσοῦ καὶ λίθων καὶ κατακλιμάτων, ὡς ἑκάστου αὐτῶν κλισίας μὲν ἔχειν παμπόλλους ἄνδρας ὑποδέχεσθαι, κατὰ μέγεθος δὲ καὶ τὰς προσηγορίας, ὁ μὲν γὰρ Καίσαρος, ὁ δὲ Ἀγρίππα ἐκέκλητο. προσελάμβανε δὲ καὶ γάμον αὐτῷ, κινηθεὶς ἐξ ἐρωτικῆς ἐπιθυμίας, μηδένα τῶν κατὰ τὴν οἰκείαν ἡδονὴν ζῆν ὑπολογισμὸν ποιούμενος. ἀρχὴ δ' αὐτῷ τῶν γάμων ἐγένετο τοιάδε. Σίμων ἦν Ἱεροσολυμίτης, υἱὸς Βοηθοῦ τινὸς, Ἀλεξανδρέως, ἱερεὺς ἐν τοῖς γνωρίμοις. εἶχε δὲ θυγατέρα καλλίστην τῶν τότε νομιζομένων. ἐνδόξου λόγου παρὰ τοῖς Ἱεροσολυμίταις περὶ αὐτῆς, τὸ μὲν πρῶτον ὑπὸ τῆς ἀκοῆς κεκινῆσθαι τὸν Ἡρώδην συνέβαινεν. ὡς δὲ καὶ θεασάμενον ἡ τῆς παιδὸς ἐξέπληττεν ὥρα, τὸ μὲν ἀπ' ἐξουσίας χρώμενος διαπλεῖν ἅπαν ἀπεδοκίμαζεν, ὑποπτεύων ὅπερ ἦν, εἰς βίαν καὶ τυραννίδα διαβληθήσεσθαι. βέλτιον δ' ᾤετο γαμῶν τὴν κόρην λαβεῖν. καὶ τοῦ Σίμωνος ὄντος ἀδοξοτέρου μὲν ἢ πρὸς οἰκειότητα, μείζονος δὲ ἢ καταφρονεῖσθαι, τὸν ἐπιεικέστερον τρόπον μετῄει τῆς ἐπιθυμίας, αὔξων αὐτοὺς καὶ τιμιωτέρους ἀποφαίνων. αὐτίκα γοῦν Ἰησοῦν τὸν τοῦ Φαβητος ἀφαιρεῖται τὴν ἀρχιερωσύνην, Σίμωνα δὲ καθίστησιν ἐπὶ τῆς τιμῆς, καὶ τὸ κῆδος πρὸς αὐτὸν συνάπτεται. τελεσθέντος δὲ αὐτῷ τοῦ γάμου, προσκατεσκεύασε φρούριον ἐπὶ τῶν τόπων ἐν οἷς ἐνίκα Ἰουδαίους, ὅτε τὴν ἀρχὴν ἐκπεσόντος Ἀντίγονος ἐπὶ τῶν πραγμάτων ἦν. τοῦτο δὲ τὸ φρούριον ἀπέχει μὲν Ἱεροσολύμων περὶ ξ' σταδίους, φύσει δὲ ὀχυρὸν, καὶ πρὸς κατασκευὴν ἐπιτηδειότατον. ἔστι γὰρ ἐγγὺς ἐπιεικὴς κολωνὸς, εἰς ὕψος αἰρόμενος χειροποίητον, ὡς εἶναι μαστοειδῆ τὴν περιφοράν. διείληπται δὲ κυκλοτερέσι πύργοις, ὀρθίαν ἔχων ἄνοδον, ἐξ ἀναβαθμῶν ἐξῳκοδομημένων εἰς σ'. ἐντὸς δ' αὐτοῦ καταγωγαὶ βασίλειοι πολυτελεῖς, εἰς ἀσφάλειαν ὁμοῦ καὶ κόσμον πεποιημέναι. περὶ δὲ τὴν βάσιν τοῦ λόφου, διατριβαὶ κατασκευῆς ἀξιοθεάτου, τά τε ἄλλα καὶ τῆς εἰσαγωγῆς τῶν ὑδάτων, οὐ γὰρ ἔστιν ὁ τόπος ἔχηκεν, ἐκ μακροῦ δὲ καὶ διὰ πλειόνων ἀναλωμάτων πεποιημένης. τὰ δ' ἐπίπεδα περιῳκοδόμηται, πόλεως οὐδεμιᾶς ἐλάσσω, τὸν λόφον ἀκρόπολιν ἔχουσα τῆς ἄλλης οἰκήσεως. πάντων δὲ αὐτῷ προκεχωρηκότων εἰς δέον ὧν ἤλπικει, τὰς μὲν ἐν αὐτῇ τῇ βασιλείᾳ ταραχὰς οὐδ' ὁπωσοῦν δι' ὑποψίας εἶχεν, ἑκατέρωθεν ὑπηκόους παρασκευασάμενος, φόβῳ μὲν ὢν ἀπαραίτητος εἰς τὰς τιμωρίας, τὴν ἐπιμέλειαν δὲ μεγαλόψυχος ἐν ταῖς περιπετείαις εὐείσκετο. περιεβάλλετο δὲ τὴν ἀσφάλειαν, ὥσπερ ἐπιτείχισμα αὐτῷ, καὶ τοῖς ἀρχομένοις τοῦτο ποιούμενος. πόλεσι μὲν γὰρ ὁμιλεῖ δεξιῶς

A benter obliuiscerentur, bene compensatum putantes eius liberalitate, qua vsi sunt hoc difficillimo tempore. nec minor vel gratia vel gloria parta est apud exteros, vt per hæc mala non mediocriter nomen regis illustratum sit, & quantum damni domi acceptum est, tantum foris ad celebritatem nominis accreuerit. Cùm enim in alienis necessitatibus tantam ostendisset magnanimitatem, omnes non qualis antè fuisset reputabant, sed qualem tum recèns experti fuerint. B Eodem tempore & auxilia misit Cæsari, quingentos selectos è suo satellitio, quos Ælius Gallus duxit in expeditionem Arabicam, eorúmque sæpe forti opera vsus est. Rebus igitur in pristinam felicitatem restitutis, regiam in superiori vrbis parte ędificauit, extructis ædibus amplissimis, exornatisque auro & marmoribus & subselliis, vt magnum virorum numerum possent capere: domibus etiam pro cuiusque dignitate appel- C latione indita, vt vna diceretur Cæsaris, Agrippæ altera. Coniugem deinde duxit amore correptus, ne distraheretur vagis voluptatibus. XII. occasio autem nouarum nuptiarum fuit hęc. Erat inter Hierosolymitanos ciues Simon Boethi Alexandrini filius, sacerdos cum primis nobilis, habebátque filiam omnium eius ætatis pulcherrimam: cuius forma cùm vulgi sermonibus celebraretur, primùm fama illius Herodes permotus est, deinde conspectæ a- D more captus noluit vti sua potentia, ne tyrannicè videretur agere, maluítque in legitimum thorum puellam introducere. Cúmque Simon nec affinitate tali, nec tamen contemptu dignus videretur, quo cupiditati suæ satisfaceret, id quod æquius visum est elegit, vt videlicet honoris accessione eum ornaret. mox igitur Iesu Phabetis filio pontificatum abrogat, & successorem ei dat Simonem, atque ita affinitatem cum illo contrahit. Peractis deinde E nuptiis nouum castellum condit, quo loco Iudæos olim profligauit, dum pelleretur armis Antigoni. distat autem à Hierosolymis circiter LX. stadiis, natura firmum, & ad excolendum idoneum. collis enim est leniter accliuis, attollens se in manufactam altitudinem, habens mammæ specie circumferentiam: estque distinctus teretibus turribus: ascensu arduo, qui per CC. gradus lapideos F scanditur. intus autem diuersoria sunt regia, magnis impensis structa, tam ad firmitatem, quàm ad pulchritudinem: & in pede collis habitationes spectatu dignissimæ, tum propter alia, tum propter aquæductus egregios, magno sumptu è longinquo perductos. circumiacens planicies ædificiis referta est ad iustæ vrbis magnitudinem, cui collis ille vice arcis imminet. G Ita omnibus ordinatis ex sententia, nullos amplius in regno suo motus timuit, duobus potissimum modis subditos in officio continens: timore suppliciorum quę nemini remittebat, & liberalitate qua prouidebat publicis necessitatibus: cōmuniebátq; se accuratissimè, quasi incolumitas sua pertineret etiā ad rempublicā. Ciuitatibus se comē

& humanum præbebat, dynastas per occasionem colebat, ad conciliandam sibi eorum gratiam munificentissimus, quòd innatam haberet magnanimitatem regiam. Ita factum est vt cùm apud omnes esset gratiosus, magnis rerum suarum incrementis augeretur. Hæc tamen ambitio studiúmque demerendi Cæsarem cum Romanis potentioribus causa fuit, vt multum à patriis institutis decederet, & leges diuinas violaret, dum in honorem eorum vrbes condit, & templa extruit, licèt non in solo Iudaico. hoc enim illi nequaquam laturi erant, quòd nefas sit nostras statuas ac effigies more Græcorum colere. Quapropter extra eorum regionem tales vrbes collocabat, excusans se Iudæis, quòd non sponte, sed potentiorum iussu hæc faceret: & interim Cęsarem Romanósque tanto magis sibi deuinciés, quòd in eorum honorem à patriis consuetudinibus sustineret discedere. Sed præcipuus scopus erat vtilitas propria, & studium memoriæ propagandæ ad posteros, ita vt in condendis & exornandis vrbibus nullis sumptibus parceret.

Cap. XIII.

Cæsarea conditur.

Ergo quum animaduertisset in maritimis locum condendæ vrbi opportunissimum, cui pridem Stratonis turris nomen fuerat, & formam eius magnificè descripsit, & ædificiis marmoreis totam exornauit accuratissimè, tã regiis palatiis, quàm priuatorum ciuium ædibus. & quod fuit omnium operosissimum, portum à tempestatibus tutum addidit, magnitudine Piræo parem, stationibus instructum & diuersoriis, admirandum structura, eo quòd propter loci naturam omnis materia tantæ fabricæ aliunde magno sumptu conuehenda fuerit. Sita est hæc vrbs in Phœnice, quà in Ægyptum prænternauigatur, Dora inter & Ioppen, littorales vrbeculas, non satis portuosas, quòd Africo sint oppositæ. hic enim procellosis flatibus arenas in littus prouoluens, nullam stationem quietam esse patitur, ita vt plerunque naues mercibus onustæ, in salo ancoras iacere necesse habeant. Hanc locorum incommoditatem correcturus, circulum portus circumduxit, quantum putaret magnæ classi recipiendæ sufficere: & in viginti vlnarum profundum prægrandia saxa demisit, quorum pleraque pedum quinquagenta longitudinis, latitudinis verò octodecim, altitudine nouempedali fuerunt, quædam etiam maiora alia. Hæc moles in mare iacta brachium ducentos pedes longum efficit, cuius spatij dimidium oppositum est frangendis fluctibus: inde procymation Græcè dictum: reliquum sustinebat murum lapideum distinctum turribus, quarum maximę & pulcherrimę nomen Drusus à Druso Cæsaris priuigno, immaturo fato defuncto. Inerant & crebri fornices, nautarum diuersoria. Excensus deinde lato ambitu totum portum cingebat, locus ad inambulandum animi causa iucundissimus. Os autem portus patet versus septentrionem

καὶ φιλανθρώπως, καὶ τοὺς δυνάστας ἐθεράπευεν ἐν εὐεργεσίαις, ὧν ἑκάστοις ἐδωρεῖτο, μείζους τὰς χάριτας ἐμποιῶν καὶ τὸ μεγαλόψυχον φύσει πρὸς τὴν βασιλείαν εὐπρεπῶς ἔχων. ὡς αὐτῷ πάντα διὰ πάντων αὔξεσθαι πρὸς τὸ πλέον ἀεὶ προχωρούντων. ὑπὸ δὲ τῆς εἰς τοῦτο φιλοτιμίας καὶ τῆς θεραπείας, ἣν ἐθεράπευε καίσαρα καὶ ῥωμαίων τοὺς πλεῖστον δυναμένους, ἐκβαίνειν τῶν ἐθῶν ἠναγκάζετο, καὶ πολλὰ τῶν νομίμων παραχαράττειν, πόλεις τε κτίζων ὑπὸ φιλοτιμίας καὶ ναοὺς ἐγείρων, οὐκ ἐν τῇ τῶν ἰουδαίων. οὐδὲ γὰρ ἂν ἠνέχοντο τῶν τοιούτων ἀπηγορευμένων ἡμῖν, ὡς ἀγάλματα καὶ τύπους μεμορφωμένους τιμᾶν πρὸς τὸν ἑλληνικὸν τρόπον. τὴν δ' ἔξω χώραν καὶ τὰς πόλεις οὕτως κατεσκευάζετο. ἰουδαίοις μὲν ἀπολογούμενος, μὴ καθ' αὑτὸν, ἀλλ' ἐξ ἐντολῆς καὶ προσταγμάτων ταῦτα ποιεῖν. καίσαρι δὲ καὶ ῥωμαίοις, τὸ μηδὲν τῶν οἰκείων ἐθῶν ὅσον τῆς ἐκείνων τιμῆς ἐστοχάσθαι χαριζόμενος. αὐτὸς μέντοι τὸ σύμπαν αὐτοῦ στοχαζόμενος, ἢ καὶ φιλοτιμούμενος μείζω τὰ μνημεῖα τῆς ἀρχῆς τοῖς αὖθις ὑπολείπεσθαι. ὅθεν καὶ περὶ τὰς ἐπισκευὰς τῶν πόλεων ἐκεκίνητο, καὶ πλείστας εἰς τοῦτο δαπάνας ἐποιεῖτο.

Κεφάλαιον ιγ'.

Κτίσις καισαρείας.

Κατιδὼν δὲ πρὸς τῇ θαλάττῃ χωρίον ἐπιτηδειότατον δέξασθαι πόλιν, ὃ πάλαι στράτωνος ἐκαλεῖτο πύργος, τῇ τε διαγραφῇ μεγαλοπρεπῶς ἐπεβάλλετο, καὶ τοῖς οἰκοδομήμασιν ἐγείρας ἅπασαν οὐ παρέργως, ἀλλ' ἐκ λευκῆς πέτρας, καὶ διακόσμων βασιλείοις τε πολυτελεστάτοις, καὶ διαίταις πολιτικαῖς. τὸ δὲ μέγιστον καὶ πλείστην ἐργασίαν παρασχὸν, ἀκλύστῳ λιμένι, μέγεθος μὲν κατὰ τὸν πειραιᾶ, καταγωγὰς δ' ἔνδον ἔχοντι καὶ δευτέρους ὑφόρμους, τῇ δὲ δομήσει περίβλεπτον ὅτι μηδ' ἐκ τοῦ τόπου τὴν ἐπιτηδειότητα τῆς μεγαλουργίας εἶχεν, ἀλλ' ἐπεισάκτοις καὶ πολλαῖς ἐξετελειώθη ταῖς δαπάναις. κεῖται μὲν γὰρ ἡ πόλις ἐν τῇ φοινίκῃ, κατὰ τὸν εἰς αἴγυπτον παράπλουν, ἰόππης μεταξὺ καὶ δώρων. πολισμάτια ταῦτ' ἐστὶ παράλια, δύσορμα διὰ τὰς κατὰ λίβα προσβολὰς, αἳ τὰς ἐκ τοῦ πόντου θῖνας ἐπὶ τὴν ἠϊόνα σύρουσαι, καταγωγὴν οὐ μειλίχιον διδόασιν, ἀλλ' ἐστὶν ἀναγκαῖον ἀποσαλεύειν τὰ πολλὰ τοὺς ἐμπόρους ἐπ' ἀγκύραις. τοῦτό τε δύσθετον τῆς χώρας διορθούμενος, καὶ περιέγραψε τὸν κύκλον τοῦ λιμένος ἐφ' ὅσον ἦν αὐτάρκης πρὸς τῇ χέρσῳ μεγάλοις στόλοις ἐνορμεῖσθαι, λίθους ὑπερμεγέθεις καθιεὶς τὸ βάθος εἰς ὀργυιὰς εἴκοσι, οἳ πλείους ν' ποδῶν ἦσαν τὸ μῆκος, καὶ πλάτος οὐκ ἔλαττον ιη', τὸ βάθος δὲ θ'. τούτων οἱ μὲν μείζους, οἱ δὲ ἐλάττους. ἡ δὲ ἐνδόμησις ὅσην ἐνεβάλετο κατὰ τῆς θαλάττης σ' πόδας. τούτων τὸ μὲν ἥμισυ προβέβλητο τῆς κυματωγίαις ὡς ἀπομάχεσθαι περικλώμενον ἐκεῖ τὸν κλύδωνα. προκυμάτια γοῦν ἐκαλεῖτο. τὸ δὲ λοιπὸν, περιεῖχε λίθινον τεῖχος πύργοις διειλημμένον, ὧν ὁ μέγιστος δροῦσος ὀνομάζεται πάνυ καλόν τι χρῆμα, τὴν προσηγορίαν εἰληφὼς ἀπὸ δρούσου τοῦ καίσαρος προγόνου τελευτήσαντος νέου. ψαλίδες δὲ ἐνεπεποίηντο συνεχεῖς καταγωγαὶ τοῖς ναυτίλοις. τὸ δὲ πρὸ αὐτοῦ ἀπόβασις πλατεῖ κύκλῳ περιεστεφάνωκε τὸν πάντα λιμένα, περίπατος τοῖς θέλουσιν ἥδιστος. ὁ δὲ εἴσπλοις, καὶ τὸ στόμα πεποίηται πρὸς βορρᾶν, ὃς αἰ-

ὃς ἀνέμων αἰθριώτατος. βάσις δὲ τοῦ περιβόλου παντός, ἐν ἀριστερᾷ μὲν εἰσπλεόντων, πύργος περιλελεγμένος ἐπὶ πολὺ στερρῶς ἀντέχειν. κατὰ δεξιὰν δὲ δύο λίθοι μεγάλοι. καὶ τοῦ καθ' ἑκάτερα πύργου μείζους, ὀρθοὶ δὲ καὶ συνεζευγμένοι. περίκεινται δὲ κύκλῳ τοῦ λιμένα, λευκοτάτου λίθου κατασκευῇ, συνεχεῖς οἰκήσεις, κἀν τῷ μέσῳ κολωνός τις, ἐφ' οὗ νεὼς Καίσαρος ἄποπτος τοῖς εἰσπλέουσιν, ἔχων ἀγάλματα, τὸ μὲν, Ῥώμης, τὸ δὲ, Καίσαρος, ἥ τε πόλις αὐτὴ, Καισάρεια καλεῖται, καλῆς τε ὕλης καὶ κατασκευῆς τετυχηκυῖα. τὰ δ' ὑπ' αὐτὴν ὑπόνομοί τε καὶ λαῦραι, πραγματείας οὐκ ἐλάττω τῶν ὑπερῳκοδομημένων ἔχουσαι. τούτων αἱ μὲν, κατὰ σύμμετρα διαστήματα, φέρουσιν εἰς τὸν λιμένα καὶ τὴν θάλατταν. μία δὲ ἐγκαρσία πάσας ὑπέζωκεν, ὡς τούς τε ὄμβρους εὐμαρῶς καὶ τὰ λύματα τῶν οἰκητόρων συνεκδίδοσθαι, τήν τε θάλατταν ὅταν ἔξωθεν ἐπιφέρηται διαρρεῖν, καὶ τὴν σύμπασαν ὑποκλύζειν πόλιν. κατεσκεύασε δ' αὐτῇ καὶ θέατρον ἐκ πέτρας, καὶ πρὸς τῷ νοτίῳ τοῦ λιμένος ὄπισθεν ἀμφιθέατρον, πολὺν ὄχλον ἀνθρώπων δέχεσθαι δυνάμενον, καὶ κείμενον ἐπιτηδείως, ἀποπτεύειν εἰς τὴν θάλατταν. ἡ μὲν δὴ πόλις, οὕτως ἐξετελέσθη δωδεκαετεῖ χρόνῳ, καὶ ταῖς ἐργασίαις οὐκ ἐγκάμνοντος καὶ ταῖς δαπάναις ἐπαρκέσαντος τοῦ βασιλέως. ἐπὶ τοιούτοις δὲ ὢν καὶ τῆς Σεβαστῆς ἤδη πεπολισμένης, ἔγνω τοὺς παῖδας αὐτοῦ πέμπειν εἰς Ῥώμην Ἀλέξανδρον καὶ Ἀριστόβουλον συντευξομένους Καίσαρι. τούτοις ἀνελθοῦσι καταγωγὴ μὲν ἦν ὁ Πολλίωνος οἶκος, ἀνδρὸς τῶν μάλιστα σπουδασάντων περὶ τὴν Ἡρώδου φιλίαν, ἐφεῖτο δὲ κἀν τοῖς Καίσαρος καταγίνεσθαι. καὶ γὰρ ἐδέξατο μετὰ πάσης φιλανθρωπίας τοὺς παῖδας, καὶ δίδωσιν Ἡρώδῃ τὴν βασιλείαν ὅτῳ βούλεται βεβαιοῦν τῶν ἐξ αὐτοῦ γεγονότων, καὶ χώραν ἔτι τόν τε Τράχωνα καὶ Βαταναίαν καὶ Αὐρανῖτιν. ἔδωκε δὲ διὰ τοιαύτην αἰτίαν. Ζηνόδωρός τις ἐμεμίσθωτο τὸν οἶκον τοῦ Λυσανίου. τούτῳ τὰ μὲν κατὰ τὰς προσόδους οὐκ ἤρκει. λῃστήρια δὲ ἔχων ἐν τῷ Τράχωνι, πλείω τὴν πρόσοδον ἔφερεν. οἰκοῦσι γὰρ ἄνδρες ἐξ ἀπονοίας ζῶντες τοὺς τόπους, οἳ τὰ Δαμασκηνῶν ἐλῄζοντο. καὶ Ζηνόδωρος οὔτ' εἶργε, καὶ αὐτὸς τῶν ὠφελειῶν ἐκοινώνει. κακῶς δὲ πάσχοντες οἱ πλησιόχωροι, Οὐάρωνος κατεβόων τοῦ ἡγεμονεύοντος, καὶ γράφειν ἠξίουν Καίσαρι τοῦ Ζηνοδώρου τὴν ἀδικίαν. Καῖσαρ δὲ, ἀνενεχθέντων τούτων, ἀντέγραφεν ἐξελεῖν τὰ λῃστήρια, τὴν δὲ χώραν Ἡρώδῃ προσνέμειν, ὡς διὰ τῆς ἐπιμελείας τῆς ἐκείνου, μηκέτ' αὖ ὀχληρῶν τῶν περὶ τὸν Τράχωνα γινομένων τοῖς πλησίον. οὐδὲ γὰρ ῥᾴδιον ἦν ἐπισχεῖν αὐτοὺς, ἐν ἔθει τὸ λῃστεύειν πεποιημένους, καὶ βίον οὐκ ἄλλοθεν ἔχοντας. οὔτε γὰρ πόλις αὐτοῖς, οὔτε κτῆσις ἀγρῶν ὑπῆρχε, φυγαὶ δὲ κατὰ τῆς γῆς καὶ σπήλαια, καὶ κοινὴ μετὰ τῶν βοσκημάτων δίαιτα. μεμηχάνηνται δὲ καὶ συναγωγὰς ὑδάτων καὶ παρασκευὰς σιτίων, καὶ δύνανται πλεῖστον ἐξ ἀφανοῦς ἀντέχειν. αἵ γε τὴν εἴσοδον στεναὶ καθ' ἕνα παρερχομένων, τὰ δ' ἔνδον ἀπίστως μεγάλα, καὶ πρὸς εὐρυχωρίαν ἐξειργασμένα, τὸ δ' ὑπὲρ τὰς οἰκήσεις ἔδαφος οὐχ ὑψηλὸν, ἀλλ' οἷον ἐξ ἐπιπέδου. πέτρα δὲ τὸ σύμπαν σκληρὰ καὶ δύσοδος, εἰ μὴ τριβῷ χρῷτό τις ἐξ ὁδηγίας. οὐδὲ γὰρ αὗται κατ' ὀρθὸν, ἀλλὰ πολλὰς ἕλικας ἐξελίττονται. τούτοις ἐπειδὴ τῶν εἰς τοὺς πλησίον

ventorum ſereniſſimum. crepido verò totius ambitus, à ſiniſtra quidem portum intrantibus turris eſt lato margini inſiſtens, ad firmius reſiſtendum fluctibus: à dextra autem duæ columnæ lapideæ coniunctæ turri ex aduerſo ſitæ pares celſitudine. Circum portum ædes continuata ſerie marmore politiſſimo extructæ ſunt, extante in medio tumulo, in quo templum Cæſaris à longè conſpicuum adnauigantibus, & in eo ſtatuæ, Romæ altera, altera Cæſaris, vnde nomen Cæſareæ, vrbi tam materia quàm artificio ſtructuræ conſpicuæ, cloacis etiam ſubterraneis non minus mirandæ: quæ paribus diſtantes interſtitiis in mare exeunt, vna tranſuerſa dirimente, vt imbrium & purgamentorum proluuies faciliùs in mare deferatur, & marini æſtus, quoties accedunt ſubintrare poſſint, & totam vrbem ſubluere. Extruxit etiam theatrum è ſaxo, & à meridionali portus latere amphitheatrum capaciſſimum, vnde latè proſpectus patet in maria. Atque hæc omnia duodecim annorum ſpatio ſunt abſoluta, rege nec labori parcente nec ſumptibus. Hac iam altera vrbe poſt Sebaſten condita, decreuit Romam mittere filios Alexandrum & Ariſtobulum, vt ſalutarent Cæſarem: erátque eis paratum hoſpitium apud Pollionem Herodis ſtudioſiſſimum, licebat tamē etiam Cæſaris vti hoſpitio. Excepit enim adoleſcentes ſumma humanitate, fecítque Herodi poteſtatem, vt arbitratu ſuo è filiis quemcunque vellet hæredem regni deſignaret, aucto prius noua acceſſione Trachonitidis, Batanææ, & Auranitidis, tali de cauſa. Zenodorus quidam conduxerat ditionem Lyſaniæ, nec contentus his prouentibus in Trachone fouebat latrocinia, inde quoque captans compendium. incolæ enim locorum eorum libenter rapto viuunt, aſſueti prædas ex Damaſcenis agere. eos Zenodorus adeò non vetabat, vt lucrorum etiam eſſet particeps. ab his malè vexati propinquorum agrorum coloni, Varum prouinciæ præſidem querelis obtundebant, poſtulantes vt Zenodori iniurias per literas ſignificaret Cæſari. Ille reſcripſit expugnanda eſſe latronum receptacula, & regionem eam ditioni Herodis contribuendam: ſic enim fore vt eius prouidentia caueretur in poſterum, ne Trachonitæ vicinis vllas exhiberent moleſtias. alioquin difficile erat eos compeſcere iam aſſuetos his artibus victum quærere: vt qui nec oppida haberent, nec agros, ſed in ſpeluncas ac cuniculos more ferarum refugia. habebant autem paratam aquæ & cibariorum copiam, vt externa vi petiti poſſent ſatis diu bellum in latebris trahere. Specus enim illi aditus habent anguſtos, nec niſi vnum poſt alium hominem admittentes, ſed intus ſunt ampliſſimi & ſupra quàm credas capaces, plano ſolo deſuper tecti. nam totus is locus conſtat petra aſpera, & non facile meabili, niſi aliquo ducente per ſemitas: quę non per directum feruntur, ſed multis mæandris flexuoſæ ſunt. incolæ quoties propinquos

popularí non datur, ipſi inter ſe exercent latrocinia, nihil ſibi non permittentes. Eam regionem poſtquam Herodes accepit à Cæſare, adhibitis ducibus ad eos penetrans maleficia coercuit, & circumuicinis ſecuritatem peperit. Zenodorus autem partim inuidia, partim dolore ademptæ poſſeſſionis permotus, Romam ad accuſandum Herodem profectus eſt: nihil tamen efficere potuit.

XIII. Interea in Aſiam Agrippa mittitur, adminiſtraturus transmarinas prouincias pro Cęſare. cum quòd eſſet amiciſſimus, Herodes apud Mytilenen cùm ſalutaſſet, in Iudæam reuerſus eſt. Cęterùm Gadarenſes quidam Agrippam adeunt, Herodem accuſaturi, quos ille ne auditos quidem ad regem vinctos remiſit. Arabes etiam iamdudum infenſi Herodi, tum aperire cœperunt inimicitias, idque de cauſa, vt tum videbatur ſatis probabili. Zenodorus enim deſperatis rebus ſuis Auranitidem ditionis ſuæ partem illis elocauerat L. talentis annuis: quam quia donatio Cæſaris complectebatur, non patiebantur auferri, modò excurſionibus ac vi eam ſibi vindicantes, modò contendentes de iure poſſeſſionis apud iudices pelliciebant etiam ad ſe egenos milites, qui miſerorum more meliora ſperant ex rerum nouitatibus. Hæc cùm maturè Herodes cognouiſſet, maluit tamen bonis rationibus occurrere quàm hoſtiliter, ne daret occaſionem nouis motibus. Decimoſeptimo demum eius regni anno Cæſar venit in Syriam: móxque Gadarenſium plurimi cœperunt clamare in Herodem, grauem eum dictitantes ac tyrannicum, inſtigati huc potiſſimum Zenodori criminationibus: qui interpoſito iureiurando pollicitus erat, non prius ſe deſtiturum quàm quouis modo efficeret, vt illi à dominatione regia liberati attribuerentur ad prouinciam Cæſaris. ab hoc perſuaſi clamitabant, idque aliquanto audacius, quia ne illos quidem pœnas dediſſe videbant, quos rex deditos ab Agrippa acceperat. erat enim ſi quis alius erga ſuos inexorabilis, ab alienis verò acceptas iniurias libenter contemnebat ac remittebat. Cùm igitur de vi & rapinis eius, violatiſque ac dirutis templis quererentur, Herodes quidem nihil territus, paratus erat cauſam ſuam dicere: Cæſar verò comiter illum tractabat, nihilo alienatior propter tumultuantem multitudinē. & prima quidem die qua cōgreſſi ſunt, facta eſt horum mētio, deinde verò interruptum eſt hoc negotiū. Gadarenſes enim videntes quorſum Cæſar & amici eius tenderent, & certis coniecturis timentes ne dederentur Herodi, ſequenti nocte alij ſe iugulauerunt, alij præcipitauerunt tormentorum metu: quidam etiam in flumen ſe iacientes neçauerunt: atque ita cùm ſeipſi prædamnare viderentur, ſine mora Cæſar Herodem abſoluit. acceſſit huic & alia non mediocris felicitas. Zenodorus enim præcordiis ruptis ſanguine multo per ſeceſſum profluente apud An-

κακουργημάτων ἐκωλύοντο, καταλλήλων ἦν ὁ τῆς λῃστείας τρόπος, ὡς μηδὲν ἀνομίας ἐν τούτῳ λελῆφθαι. λαβὼν δὲ τὴν χάριν Ἡρώδης παρὰ Καίσαρος, καὶ παρελθὼν εἰς τὴν χώραν, ὁδηγῶν ἐμπειρίᾳ, τούς τε πονηρευομένους αὐτόθι κατέπαυσε, καὶ τοῖς περιξ ἄδειαν τὴν εἰρήνην παρέχεν. ὁ δὲ Ζηνόδωρος ἀχθόμενος, πρῶτον μὲν ἐπὶ τῇ τῆς ἐπαρχίας ἀφαιρέσει, μᾶλλον δὲ καὶ φθόνῳ τὴν ἀρχὴν Ἡρώδου μετειληφότος, ἀνῆλθεν εἰς Ῥώμην κατηγορήσων αὐτοῦ. κἀκεῖνος μὲν ἄπρακτος ἀναστρέφει. πέμπεται δὲ Ἀγρίππας τῆς πέραν Ἰονίου διάδοχος Καίσαρι. καὶ τούτῳ περὶ Μιτυλήνην χειμάζοντι συντυχὼν Ἡρώδης, ἦν γὰρ ἐς τὰ μάλιστα φίλος καὶ συνήθης, εἰς τὴν Ἰουδαίαν πάλιν ἀναστρέφει. Γαδαρέων δέ τινες ἐπ᾽ Ἀγρίππαν ἦλθον κατηγοροῦντες Ἡρώδου, καὶ τούτους ἐκεῖνος οὐδὲ λόγον αὐτοῖς δοὺς, ἀναπέμπει τῷ βασιλεῖ δεσμίους. οἵ τε Ἄραβες καὶ πάλαι δυσμενῶς ἔχοντες πρὸς τὴν ἀρχὴν τὴν Ἡρώδου διεκεκίνηντο, καὶ στασιάζειν ἐπεχείρουν αὐτῷ τὰ πράγματα τότε, καὶ μετ᾽ αἰτίας ὡς ἐδόκουν εὐλογωτέρας. ὁ γὰρ Ζηνόδωρος ἀπογινώσκων ἤδη τῶν καθ᾽ αὐτὸν, ἔφθη τῆς ἐπαρχίας μέρος τι τὴν Αὐρανῖτιν αὐτοῖς ἀποδόσθαι ταλάντων πεντήκοντα. ταύτης ἐμπεριεχομένης τῇ δωρεᾷ Καίσαρος ὡς μὴ δικαίως ἀφαιρούμενοι, διημφισβήτουν, πολλάκις μὲν ταῖς καταδρομαῖς, καὶ τῷ βιάζεσθαι θέλειν, ἄλλοτε δὲ καὶ πρὸς δικαιολογίαν ἰόντες. ἀνέπειθον δὲ καὶ τοὺς ἀπόρους τῶν στρατιωτῶν, καὶ δυσμενεῖς ἦσαν, ἐλπίζοντες ἀεὶ καὶ πρὸς τὸν νεωτερισμὸν ἐνδιδόντες, ᾧ μάλιστα χαίρουσιν οἱ κακῶς πράττοντες τοῦ βίου. ταῦτα ἐκ μακροῦ γινώσκων Ἡρώδης, ὅμως οὐκ εἰς τὸ δυσμενὲς, ἀλλ᾽ ἐξ ἐπιλογισμοῦ παρηγόρει, ταῖς ταραχαῖς οὐκ ἀξιῶν ἀφορμὰς ἐνδιδόναι. ἤδη δ᾽ αὐτοῦ τῆς βασιλείας ιζ´ παρελθόντος ἔτους, Καῖσαρ εἰς Συρίαν ἀφίκετο. καὶ τότε τῶν Γάδαρα κατοικούντων οἱ πλεῖστοι, κατεβόων Ἡρώδου, βαρὺν αὐτὸν ἐν τοῖς ἐπιτάγμασι καὶ τυραννικὸν εἶναι. ταῦτα δὲ ἀπετόλμων, μάλιστα μὲν ἐγκειμένου καὶ διαβάλλοντος αὐτὸν Ζηνοδώρου. καὶ παρασχόντος ὅρκους, ὡς οὐκ ἐγκαταλείψει μὴ πάντα τρόπον ἀφελέσθαι μὲν τῆς Ἡρώδου βασιλείας, προσθήσειν δὲ τῇ διοικήσει τοῦ Καίσαρος. τούτοις ἀναπεισθέντες οἱ Γαδαρηνοὶ μικρὰν καταβοὴν ἐποιήσαντο, θάρσει τοῦ μηδὲ τοὺς ὑπ᾽ Ἀγρίππα παραδοθέντας ἐν τιμωρίᾳ γενέσθαι, διαφέντος Ἡρώδου καὶ μηδὲν κακὸν εἰργασμένου. καὶ γὰρ εἴ τις ἄλλος ἐδόκει δυσπαραίτητος μὲν ἐπὶ τοῖς οἰκείοις, μεγαλόψυχος δὲ ἐπὶ τοῖς ἀλλοτρίοις ἁμαρτίας ἀφιέναι. κατηγορούντων οὖν ὕβρεις, καὶ ἁρπαγὰς καὶ κατασκαφὰς ἱερῶν, ὁ μὲν Ἡρώδης ἀκαταπλήκτως ἕτοιμος ἦν εἰς τὴν ἀπολογίαν. ἐδεξιοῦτο δὲ Καῖσαρ αὐτὸν, οὐδὲν ὑπὸ τῆς ταραχῆς τοῦ πλήθους μεταβαλὼν τῆς εὐνοίας. καὶ κατὰ μὲν τὴν πρώτην ἡμέραν, οἱ περὶ τούτων ἐρρέθησαν λόγοι, ταῖς δ᾽ ἑξῆς οὐκέτι προσῆλθε διάγνωσις. οἱ γὰρ Γαδαρεῖς ὁρῶντες τὴν ῥοπὴν αὐτοῦ τε Καίσαρος καὶ τοῦ συνεδρίου, καὶ προσδοκήσαντες ὅπερ ἦν εἰκὸς ἐκδοθήσεσθαι τῷ βασιλεῖ, κατὰ φόβον αἰκίας, οἱ μὲν ἀπέσφαττον αὐτοὺς ἐν τῇ νυκτὶ, τινὲς δὲ καθ᾽ ὕψους ἀφίεσαν, ἄλλοι δ᾽ εἰς τὸν ποταμὸν ἐμπίπτοντες, ἑκόντι διεφθείροντο. ταῦτα δὲ ἐδόκει κατάγνωσις εἶναι τῆς προπετείας καὶ ἁμαρτίας, ὅθεν οὐδὲ μελλήσας ὁ Καῖσαρ ἀπέλυε τῶν αἰτιῶν Ἡρώδην. ἐπισυμπίπτει δ᾽ οὐ μεῖον εὐτύχημα τοῖς ἤδη γεγονόσιν. ὁ γὰρ Ζηνόδωρος ῥαγέντος αὐτῷ τοῦ σπλάγχνου, καὶ πολλοῦ κατὰ τὴν ἀσθένειαν ὑποχωροῦντος αἵματος, ἐν Ἀντιο-

ἐν ἀντιοχείᾳ τῆς συρίας ἐκλείπει τὸν βίον. καῖσαρ δὲ καὶ τὴν τούτου μοῖραν οὐκ ὀλίγην οὖσαν, ἡρώδῃ δίδωσιν, ἣ μεταξὺ τοῦ τράχωνος καὶ τῆς γαλιλαίας ἦν, οὐλάθαν καὶ πανιάδα καὶ τὴν πέριξ χώραν. ἐγκαταμίγνυσι δ᾽ αὐτὸν καὶ τοῖς ἐπιτροπεύουσι τῆς συρίας, ἐντειλάμενος μετὰ τῆς ἐκείνου γνώμης τὰ πάντα ποιεῖν. τότε συνόλως εἰς τοῦτο προῆλθεν εὐτυχίας, ὥς τε δύο τούτων τὴν ῥωμαίων ἀρχὴν διεπόντων, τοσήνδε τὸ μέγεθος οὔσαν, καίσαρός καὶ μετ᾽ αὐτὸν ἀγρίππα, κατὰ τὴν πρὸς αὐτὸν εὔνοιαν, καῖσαρ μὲν οὐδένα μετ᾽ ἀγρίππαν ἡρώδου προετίμησεν, ἀγρίππας δὲ μετὰ καίσαρα. τοσαύτης δὲ ἐχόμενος παρρησίας, τῷ μὲν ἀδελφῷ φερώρᾳ παρὰ καίσαρος ἠτήσατο τετραρχίαν, αὐτὸς ἀπονείμας ἐκ τῆς βασιλείας, πρόσοδον ρ᾽ ταλάντων, ὡς εἰ κἂν πάθοι, τὰ κατ᾽ ἐκεῖνον ἀσφαλῶς ἔχειν, καὶ μὴ τοὺς υἱοὺς αὐτοῦ κρατεῖν. καίσαρα δ᾽ ἐπὶ θάλατταν προπέμψας, ὡς ἐπανῆκεν, ἐν τῇ ζηνοδώρου περικαλλέστατον αὐτῷ ναὸν ἐγείρει πέτρας λευκῆς, πλησίον τοῦ πανίου καλουμένου. σπήλαιον ἐν ὄρει περικαλλές ἐστιν, ὑπ᾽ αὐτῷ δὲ γῆς ὀλίσθημα, καὶ βάθος ἀπέρρωγος ἄβατον, ὕδατος ἀκινήτου πλέον. καθύπερθεν δ᾽ ὄρος παμμέγεθες. ὑπὸ δὲ τὸ σπήλαιον ἀνατέλλουσιν αἱ πηγαὶ τοῦ ἰορδάνου ποταμοῦ. τοῦτον ἐπισημότατον ὄντα τὸν τόπον, καὶ τῷ ναῷ προσεκόσμησεν ὃν ἀφιέρωσε καίσαρι. τότε καὶ τὸ τρίτον μέρος ἀφῆκε τῶν φόρων τοῖς ἐν τῇ βασιλείᾳ, πρόφασιν μὲν ὡς ἀναλάβοιεν ἐκ τῆς ἀφορίας, τὸ δὲ πλέον ἀνακτώμενος ἔχοντας δυσμενῶς. κατὰ γὰρ τὴν ἐξεργασίαν τῶν τοιούτων ἐπιτηδευμάτων ὡς ἂν λυομένης αὐτοῖς τῆς εὐσεβείας, καὶ μεταπιπτόντων τῶν ἐθῶν, χαλεπῶς ἔφερον, καὶ λόγος δὲ πάντων ἐγίνετο παροξυνομένων ἀεὶ καὶ ταραττομένων. ὁ δὲ καὶ πρὸς τὸ τοιοῦτον πολλὴν ἐπιμέλειαν ἐπῆγεν, ἀφαιρούμενος μὲν τὰς εὐκαιρίας, ἐπιτάττων δ᾽ ἀεὶ γίνεσθαι πρὸς τοῖς πόνοις. ἦν δ᾽ οὔτε σύνοδος ἐφιεμένη τοῖς περὶ τὴν πόλιν, οὔτε κοινωνία περιπάτου καὶ διαίτης, ἀλλ᾽ ἐτετήρητο πάντα, καὶ χαλεπαὶ τῶν φωραθέντων ἦσαν αἱ κολάσεις. πολλοί τε καὶ φανερῶς καὶ λεληθότως, εἰς τὸ φρούριον ἀναγόμενοι τὴν ὑρκανίαν ἐκεῖ διεφθείροντο. κἂν τῇ πόλει, κἂν ταῖς ὁδοιπορίαις ἦσαν οἱ τοὺς συνιόντας εἰς ταυτὸν ἐπισκοποῦντες. ἤδη δέ φασιν οὐδ᾽ αὐτὸν ἀμελεῖν τοῦ τοιούτου μέρους, ἀλλὰ πολλάκις ἰδιώτου σχῆμα λαμβάνοντα καταμίγνυσθαι νύκτωρ εἰς τοὺς ὄχλους, καὶ πεῖραν αὐτοῦ ἣν ἔχουσιν οἱ περὶ τῆς ἀρχῆς λαμβάνειν. τοὺς μὲν οὖν παντάπασιν ἐξαυθαδιαζομένους, πρὸς τὸ μὴ συμπαραφέρεσθαι τοῖς ἐπιτηδεύμασι, πάντας ἐπεξῄει τοῖς τρόποις, τὸ δ᾽ ἄλλο πλῆθος, ὅρκοις ἠξίου πρὸς τὴν πίστιν ὑπάγεσθαι, καὶ συνηνάγκασεν αὐτῷ ἐνωμότους τὴν εὔνοιαν ἦ μὴν διαφυλάξειν ἐπὶ τὴν ἀρχὴν ὁμολογεῖν. οἱ μὲν οὖν πολλοί, κατὰ θεραπείαν καὶ δέος, εἶκον οἷς ἠξίου. τοὺς δὲ φρονήματος μεταποιουμένους καὶ δυσχεραίνοντας ἐπὶ τῷ καταναγκάζεσθαι, παντὶ τρόπῳ ἐκποδὼν ἐποιεῖτο. συνέπειθε δὲ καὶ τοὺς περὶ πολλίωνα τὸν φαρισαῖον καὶ σαμέαν καὶ τῶν ἐκείνοις συνδιατριβόντων τοὺς πλείστους ὀμνύειν. οἱ δ᾽ οὔτε συνεχώρησαν, οὔθ᾽ ὁμοίως τοῖς ἀρνησαμένοις ἐκολάσθησαν, ἐντροπῆς διὰ τὸν πολλίωνα τυχόντες. ἀφείθησαν δὲ ταύτης τῆς ἀνάγκης καὶ οἱ παρ᾽ ἡμῖν ἐσσαῖοι καλούμενοι. γένος δ᾽ οὗτ᾽ ἐστὶ διαίτῃ χρώμενον τῇ παρ᾽ ἕλλησιν ὑπὸ πυθαγόρου καταδεδειγμένῃ. περὶ τούτων μὲν οὖν ἐν ἄλλοις σαφέστερον διέξειμι. τοὺς δὲ ἐσσηνοὺς ἀφ᾽ οἵας αἰτίας ἐτίμα μεῖζόν τι φρονῶν ἐπ᾽ αὐτοῖς, ἢ κατὰ τὴν θνητὴν φύσιν, εἰπεῖν ἄξιον,

A Syriæ periit. Cæsar verò & huius portionem, sanè non contemnendam, donauit Herodi: quę sita Galilæam inter & Trachonem, complectitur Vlatham, Paneadem, & agros finitimos: adiunxit eum deinde rectoribus Syriæ, mandauítque vt omnia ex eius sententia fierēt. Denique eò tum felicitatis prouectus est Herodes vt cùm in toto quàm latè patet Romano imperio duo essent omnium potentissimi Cæsar & Agrippa, Cæsar post Agrippam nemini B maiorem quàm illi honorem haberet, Agrippa item post Cæsarem nemini. qua mutua beneuolentia fretus Pheroræ suo fratri tetrarchiam impetrauit, de suo regno decisis centum talentorum reditibus, vt etiam si quid fatale sibi accideret, in tuto essent res illius, neque subiiceretur Herodis filiorum imperio. Deducto inde ad mare Cæsare in regnum reuersus, in terra Zenodori elegantissimum ei templum construxit è marmore candido, pro- C pe Panium quod vocant. id spelunca est in monte amœnissima, eíque subiecta in immensum hians terræ deuexitas, plena aquis stagnantibus, ei mons valde magnus imminet: sub spelunca autem scatent fontes Iordanis fluminis. hunc locum alioquin etiam celebrem ornauit templo extructo in honorē Cæsaris. Tunc etiam tertiam tributorum partem remisit regni sui subditis, prætextu quidē vt post sterilitatem se reficerent, re autem ve- D ra vt placaret eorum animos, offensos talibus regis operibus, quæ videbantur planè ad religionis & bonorum morum perniciem tendere: vt omnium iactabatur sermonibus. cui rei & aliud ille remedium attulit, occasiones turbelarum auferens, & iubens sua quemque agere negotia, vetitis per vrbem conuenticulis & frequentioribus conuiuiis, appositísque etiam speculatoribus, & grauissimis pœnis qui contrà facerent propositis. nam multi clā E & propalàm abducebantur in castellum Hyrcaniam, ibíque dabant supplicium: & dispositi erant tam in vrbe quàm per itinera qui obseruarent conuenientes cuiuscúque rei gratia, adeò enim hanc curam non negligebat, vt sæpe ipse plebeio cultu noctu misceret se vulgo, & experiretur quid de se sentiret populus: & quotcunque pertinaciter improbarent eius studia, in omnes inclementer animaduertebat: reliquam verò multitudinem sacra- F mento obstringebat, iusiurandum exigens quòd nō discessuri essent à fide & officio. atq; ita maior pars metu cedebat & obsecundabat: qui verò liberius stomachabantur & cogi se indignabantur, eos quocunq; pacto poterat tollebat de medio. Requisiuit etiam iusiurandum à Pollionis Pharisæi Sameæque sectatoribus plerisq;: quod cùm nō impetrasset, non tamen in eos vt in cæteros tales sæuit, Pollio- G nis reuerentia. remisit etiam hanc necessitatem his qui Essæi apud nos vocantur, genus hominum Pythagoreis Græcorum non absimile, de quibus alibi narraui prolixiùs.

nunc prætereundem non videtur, nec alienum à proposita historia, cur religiosam de his opinionem rex habuerit. Erat quidam Essenus Manahemus nomine, cùm alias vitæ honestę & probatæ hominum testimonio, tum verò diuinitus etiam concessum habens donum fatidici spiritus. hic conspicatus Herodem etiam tum cum cæteris pueris ludum literarium frequentantem, regem Iudæorum salutauit. ille putans se aut rideri, aut non satis notum esse homini, correxit eius verba, vnum de plebe se profitēs. Tum Manahemus subridens, & blando plausu posteriora eius permulcens verius quàm feriens, Imò regnabis, inquit, & feliciter dominaberis: sic enim Deus vult: & memor esto Manahemi verberum, quæ te fortunæ mutabilis admoneant. Nihil enim te magis cogitare decet, quàm de iustitia & pietate, & æquitate erga ciues subditos. sed scio te hoc non facturum, futuri præscius. eris enim tam diuini quàm humani iuris immemor, licèt alioqui fortunatissimus, & sempiterna dignus gloria. Nec tamen Deum latebis, qui te extremo vitæ tempore graui castigatione reprehensurus est. Hæc verba non magni fecit Herodes, qui tum nihil tale sperabat: prosperis deinde successibus ad regnum & tantam felicitatem elatus, cùm maximè vigeret, Manahemum accersitum rogat de diuturnitate imperij. Ille nihil certi respondit, sed scitante rege nū decem annos duraturum sit, & viginti: inquit, & triginta: atque ita indeterminatum fatalem finem reliquit. Herodes verò vel hoc contentus Manahemum data dextera dimisit. & ex eo semper Essenos in pretio habuit. Hæc tametsi fidem excedere videntur, visum est tamen lectori indicare, quòd multi sint in eo genere quibus ob morum probitatem diuinitas aperire dignatur sua decreta & consilia.

Cap. XIIII.

Herodes nouum templum Hierosolymis ædificat.

Decimo octauo autem sui regni anno Herodes post tot præclara facinora, post absoluta tot admiranda opera, eximium aliud concepit animo, Dei templum denuò construere, ampliore ambitu & huic conuenienente celsitudine, ratus, id quod res erat, id fore omnium celeberrimum etiam ad posteritatis sempiternam memoriam. Cæterùm veritus ne populum difficultate deterritum minus ad hoc obsequentem haberet, aduocata cōcione sic eum allocutus est: Non habeo necesse, viri tribules, vt vel gesta vel opera mea commemorem, quę ex quo regnare cœpi, plus vobis vtilitatis & securitatis quàm mihi ornaméti & laudis attulerunt. scitis enim ipsi quòd in maximis vestris difficultatibus nulla priuati commodi ratione vobis prospexi: & quæ hactenus opera Deo iuuante absolui, vobis potissimū seruiūt per quæ factū est vt res Iudaicę nūc magis quā vnquā ātea floreāt. quare vt dicere cœpi, non opus est singulatim percensere

A οὐ γὰρ ἀπρεπὴς ὁ λόγος φανεῖται τῷ τῆς ἱστορίας γένει, παραδηλῶν καὶ τὴν ὑπὲρ τούτων ὑπόληψιν. ἦν τις τῶν ἐσσηνῶν μανάημος ὄνομα, καὶ τἄλλα κατὰ τὴν προαίρεσιν τοῦ βίου καλοκαγαθίᾳ μαρτυρούμενος, καὶ πρόγνωσιν ἐκ θεοῦ τῶν μελλόντων ἔχων. οὗτος ἔτι παῖδα τὸν ἡρώδην εἰς διδασκάλου φοιτῶντα κατιδὼν, βασιλέα ἰουδαίων προσηγόρευσεν. ὁ δ᾽ ἀγνοεῖν ἢ κατειρωνεύεσθαι νομίζων αὐτὸν, ἀνεμίμνησκεν ἰδιώ- B της ὤν. μανάημος δὲ μειδιάσας ἠρέμα καὶ τύπτων τῇ χειρὶ κατὰ τὸν γλουτὸν, ἀλλά τοι καὶ βασιλεύσεις ἔφη, καὶ τὴν ἀρχὴν εὐδαιμόνως ἀπάρξεις. ἠξίωσαι γὰρ ἐκ θεοῦ, καὶ μέμνησο τῶν μαναήμου πληγῶν, ὥστε καὶ τοῦτό σοι σύμβολον εἶναι τῶν κατὰ τὴν τύχην μεταπλάσεων. ἄριστος γὰρ ὁ τοιοῦτος λογισμὸς, εἰ δικαιοσύνην ἀγαπήσαις, καὶ πρὸς τὸν θεὸν εὐσέβειαν, ἐπιείκειάν τε πρὸς τοὺς πολίτας. ἀλλ᾽ οὐ γὰρ οἶδά σε τοιοῦτο. ἔσεσθαι, τὸ πᾶν ἐπιστάμενος. εὐτυχίᾳ μὲν γὰρ C ὅσον οὐκ ἄλλος διοίσεις, καὶ τεύξῃ δόξης αἰωνίου, λήθην δ᾽ εὐσεβείας ἕξεις καὶ τοῦ δικαίου. ταῦτα δ᾽ οὐκ ἂν λάθοι τὸ θεῖον ἐπὶ καταστροφῇ τοῦ βίου τῆς ἀντ᾽ αὐτῶν ὀργῆς ὑπομνημονευομένης. τούτοις αὐτίκα μὲν ἥκιστα τὸν νοῦν προσεῖχεν ἐλπίδι λειπόμενος αὐτῶν ἡρώδης. κατὰ μικρὸν δὲ ἀρθεὶς, ἕως καὶ τοῦ βασιλεύειν καὶ εὐτυχεῖν, ἐν τῷ μεγέθει τῆς ἀρχῆς μεταπέμπει τὸν μανάημον, καὶ περὶ τοῦ χρόνου πό- D σον ἄρξει, ἐπυνθάνετο. μανάημος δὲ, τὸ μὲν σύμπαν οὐκ εἶπεν. ὡς δὲ σιωπῶντος αὐτοῦ, μόνον εἰ δέκα γενήσονται τῆς βασιλείας ἐνιαυτοὶ, προσεπύθετο, καὶ εἴκοσιν καὶ λ᾽ εἰπὼν, ὅρον οὐκ ἐπέθηκε τῷ τέλει τῆς προθεσμίας. ἡρώδης δὲ καὶ τούτοις ἀρκεσθεὶς, τόν τε μανάημον ἀφῆκε δεξιωσάμενος, καὶ πάντας ἀπ᾽ ἐκείνου τοὺς ἐσσηνοὺς τιμῶν διετέλει. ταῦτα μὲν οὖν εἰ καὶ παράδοξα, δηλῶσαι τοῖς ἐντυγχάνουσιν ἠξιώσαμεν καὶ περὶ τῶν παρ᾽ ἡμῖν ἐμφῆναι, διότι πολλοὶ διὰ τοιούτων E ὑπὸ καλοκαγαθίας καὶ τῆς τῶν θείων ἐμπειρίας ἀξιοῦνται.

Κεφάλαιον ιδ᾽.

Ὡς ἡρώδης καθελὼν τὸν ἐν ἱεροσολύμοις ναὸν, ἄλλον ἀνέστησε.

Τότε γοῦν ιη᾽ τῆς ἡρώδου βασιλείας γεγονότος ἐνιαυτοῦ μετὰ τὰς προειρημένας πράξεις, ἔργον οὐ τὸ τυχὸν ἐπεβάλετο, τὸν νεὼν τοῦ θεοῦ δι᾽ αὐτοῦ κα- F τασκευάσαι, μείζω τε τὸν περίβολον, καὶ πρὸς ὕψος ἀξιοπρεπέστατον ἐγείρειν, ἡγούμενος ἁπάντων αὐτῷ τῶν πεπραγμένων, ἐπισημότερον ὥσπερ ἦν ἐκτελεσθήσεσθαι τοῦτο, καὶ πρὸς αἰώνιον μνήμην ἀρκέσειν. οὐχ ἕτοιμον δὲ τὸ πλῆθος ἐπιστάμενος, οὐδὲ ῥᾴδιον ἔσεσθαι πρὸς τὸ μέγεθος τῆς ἐπιχειρήσεως, ἠξίου λόγῳ προκαταστησάμενος ἐγχειρῆσαι τῷ παντὶ, καὶ συγκαλέσας αὐτοὺς ἔλεγε τοιάδε. τὰ μὲν ἄλλα μοι τῶν κατὰ τὴν βασιλείαν πραγμάτων ἄνδρες ὁμόφυλοι, πε- G ρισσὸν ὑπολαμβάνω λέγειν, καί τοι τοῦτον ἐγένετο τὸν τρόπον, ὡς ἐλάττω μὲν ἐμοὶ τὸν ἀπ᾽ αὐτῶν κόσμον, πλείω δὲ ὑμῖν τὴν ἀσφάλειαν φέρειν. οὔτε γὰρ ἐν τοῖς δυσχερεστάτοις ἀμελήσας τῶν εἰς τὰς ὑμετέρας χρείας διαφερόντων, οὔτε ἐν τοῖς κατασκευάσμασιν ἐπιτηδεύσας ἐμαυτῷ μᾶλλον ἢ καὶ πᾶσιν ὑμῖν ἀνεπηρέαστον, οἶμαι σὺν τῇ θεοῦ βουλήσει, πρὸς εὐδαιμονίαν ὅσον οὐ πρότερον ἀγηοχέναι τὸ ἰουδαίων ἔθνος. τὰ μὲν οὖν κατὰ μέρος ἐξειργασθέντα περὶ τὴν

χώραν

χώραν καὶ πόλεις, ὅσας ἐν αὐτῇ καὶ τοῖς ἐπικτήτοις ἐγείραντες κόσμῳ τῷ καλλίστῳ, τὸ γένος ὑμῶν ηὐξήσαμεν, περιέργα μοι δοκεῖ λέγειν εἰδόσι. τὸ δὲ τῆς ἐπιχειρήσεως ἧς νῦν ἐπιχειρεῖν βούλομαι, παντὸς εὐσεβέστατον καὶ κάλλιστον ἐφ' ἡμῶν γενέσθαι νῦν ἐκφανῶ. τὸν γὰρ ναὸν τοῦτον ᾠκοδόμησαν μὲν τῷ μεγίστῳ θεῷ πατέρες ἡμέτεροι, μετὰ τὴν ἐκ Βαβυλῶνος ἀνάστασιν. ἐνδεῖ δ' αὐτῷ πρὸς τὸ μέγεθος εἰς ὕψος ἑξήκοντα πήχεις. τοσοῦτον γὰρ ὑπερεῖχεν ὁ πρῶτος ἐκεῖνος ὃν Σολομὼν ἀνῳκοδόμησε. καὶ μηδεὶς ἀμελείᾳ εὐσεβείας τῶν πατέρων καταγνώτω. γέγονε γὰρ οὐ παρ' ἐκείνους ἐλάττων ὁ ναός, ἀλλὰ ταῦτα καὶ Κῦρος καὶ Δαρεῖος ὁ Ὑστάσπου, τὰ μέτρα τῆς δομήσεως ἔδοσαν. οἷς ἐκεῖνοι καὶ τοῖς ἀπογόνοις δουλεύσαντες, καὶ μετ' ἐκείνους Μακεδόσιν, οὐκ ἔσχον εὐκαιρίαν τὸ πρῶτον τῆς εὐσεβείας ἀρχέτυπον εἰς ταυτὸ ἀναγαγεῖν μέγεθος. ἐπειδὴ δὲ νῦν ἐγὼ μὲν ἄρχω θεοῦ βουλήσει, περίεστι δὲ καὶ μῆκος εἰρήνης, καὶ κτῆσις χρημάτων, καὶ μέγεθος προσόδων, τὸ δὲ μέγιστον, φίλοι καὶ δι' εὐνοίας οἱ πάντων ὡς ἔπος εἰπεῖν κρατοῦντες Ῥωμαῖοι, πειράσομαι τὸ παρημελημένον ἀνάγκῃ καὶ δουλείᾳ τῶν πρότερον χρόνων διορθούμενος, τελείαν ἀποδοῦναι τῷ θεῷ τὴν ἀνθ' ὧν ἔτυχον τῆσδε τῆς βασιλείας εὐσέβειαν. ὁ μὲν Ἡρώδης ταῦτ' εἶπεν, ἐξέπληττε δὲ τοὺς πολλοὺς ὁ λόγος παρὰ δόξαν ἐμπεσών. καὶ τὸ μὲν τῆς ἐλπίδος ἄπιστον, οὐκ ἐπήγειρεν αὐτούς. ἠδημόνουν δὲ μὴ φθάσας καταλῦσαι τὸ πᾶν ἔργον, οὐκ ἐξαρκέσῃ πρὸς τέλος ἀγαγεῖν τὴν προαίρεσιν. ὅτι κίνδυνος αὐτοῖς μείζων ἐφαίνετο, καὶ δυσεγχείρητον ἐδόκει τὸ μέγεθος τῆς ἐπιβολῆς. οὕτω δ' αὐτῶν διακειμένων, παρεθάρρυνεν ὁ βασιλεύς, οὐ πρότερον καθαιρήσειν φάμενος τὸν νεὼν ἢ πάντων αὐτῷ τῶν εἰς τὴν συντέλειαν παρεσκευασμένων. καὶ ταῦτα προειπὼν οὐκ ἐψεύσατο. χιλίας γὰρ εὐτρεπίσας ἁμάξας, αἳ βαστάσουσι τοὺς λίθους, ἐργάτας δὲ μυρίους τοὺς ἐμπειροτάτους ἐπιλεξάμενος, καὶ ἱερεῦσι τὸν ἀριθμὸν χιλίοις ἱερατικὰς ὠνησάμενος στολάς, καὶ τοὺς μὲν διδάξας οἰκοδόμους, ἑτέρους δὲ τέκτονας, ἥπτετο τῆς κατασκευῆς, ἁπάντων αὐτῷ προθύμως προευτρεπισμένων. ἀνελὼν δὲ τοὺς ἀρχαίους θεμελίους, καὶ καταβαλόμενος ἑτέρους, ἐπ' αὐτῶν τὸν ναὸν ἤγειρε. μήκει μὲν ρ' ὄντα πηχῶν, τὸ δ' ὕψος κ' περιττοῖς, οὓς τῷ χρόνῳ συνιζησάντων τῶν θεμελίων ὑπέβη. καὶ τοῦτο μὲν ἦν τοῖς Νέρωνος καιροῖς ἐπεγείρειν ἐγνώκειμεν. ᾠκοδομήθη δὲ ὁ ναός, ἐκ λίθων μέν, λευκῶν τε καὶ κρατερῶν, τὸ μέγεθος ἑκάστων περὶ ε' καὶ κ' πηχῶν ἐπὶ μῆκος, η' δὲ ὕψος. εὖρος δὲ περὶ ιβ'. καὶ παντὸς αὐτοῦ καθότι καὶ τῆς βασιλικῆς στοᾶς, τὸ μὲν ἔνθεν καὶ ἔνθεν ταπεινότατον, ὑψηλότατον δὲ τὸ μεσαίτατον, ὡς περιόπτον ἐκ πολλῶν σταδίων εἶναι τοῖς τὴν χώραν νεμομένοις, μᾶλλον δ' εἴ τινες κατ' ἐναντίον οἰκοῦντες ἢ προσιόντες τύχοιεν. θύρας δὲ ἐπὶ τοῖς εἰσόδοις σὺν τοῖς ὑπερθυρίοις, ἴσον ἐχούσας τῷ ναῷ, ποικίλοις ἐμπετάσμασι κεκόσμητο, τὰ μὲν ἄνθη ἁλουργῆσι, κίονας δ' ἐνυφασμένοις. καθύπερθεν δ' αὐτῶν ὑπὸ τοῖς θριγχώμασιν, ἄμπελος διετέτατο χρυσῆ, τοὺς βότρυς ἀπῃωρημένους ἔχουσα, θαῦμα καὶ τοῦ μεγέθους καὶ τῆς τέχνης τοῖς ἰδοῦσιν, οἷον ἐν πολυτελείᾳ τῆς ὕλης τὸ κατασκευασθὲν ἦν. περιελάμβανε δὲ καὶ στοαῖς μεγίσταις τὸν ναὸν ἅπαντα πρὸς τὴν ἀναλογίαν ἐπιτηδεύων, καὶ ταῖς δαπάναις τοὺς πρὶν ὑπερβαλλόμενος, ὡς οὐκ ἄλλος τις ἐδόκει ἐπικεκοσμηκέναι τὸν ναόν. ἄμφω δ' ἦσαν μεγάλου τείχους, αὐτὸ δὲ τὸ τεῖχος, ἔργον μέγιστον ἀνθρώποις ἀκουσθῆναι. λόφος ἦν πετρώδης, ἀνάντης, ἠρέμα πρὸς τοῖς ἑῴοις μέρεσι τῆς πόλεως ὑποπιούμενος ἐπὶ τὴν κορυφὴν ἄκραν.

A vel vrbes vel alia ædificia quibus tum Iudæam ipsam, tū alias huic contributas regiones excoluimus: sed illud potius vobis nūc proponam, quod maximè vel ad religionis cultū, vel ad regionis ornatū attinet. Tēplo huic quod postliminio reuersi à captiuitate Babylonica patres nostri instaurauerūt, desunt ad priscā altitudinem sexaginta cubita. tāto enim celsius erat vetus illud Solomonis ædificium. nec hoc culpa maiorum nostrorum accidit, per quos nō stetit B quin par illi pristinę structura surgeret: sed hāc mensuram præscripserūt Cyrus & Darius Hystaspis filius: sub quorū imperio, quia illi tū vixerunt, sicut postea Macedonum, nō potuerunt assequi primū illud pietatis archetypum. Nunc quoniam Deo volente ego rerum potior, cui otium, pecunia prompta, magni reditus suppetunt, & quod maximum est, Romanorum orbis dominorum amicitia, dabo operā, vt quod maiores sub alieno nutu viuentes non satis C accurauerunt supplēā, & quicquid deest ad honorem Dei, memor acceptorū beneficiorū, gratè ac piè persoluam. Hac tam inopinata oratione omnium animi sunt attoniti, quòd suprà spē polliceri videretur: & angebātur magna solicitudine, ne fortè demolitus vetus ædificium, nouū non posset absoluere. quare periculosum videbatur consilium, & conatus perdifficilis. Quod vbi animaduertit rex, iussit eos bono animo esse. mansurū enim vetus tēplū integrū, D nec demoliēdū tantisper dū omnis materia cōparetur, quæ sit ad futuram fabricam necessaria. neq; eos fefellit. Mille enim plaustra parauit quæ lapides conueherēt: & ex omni artificū copia peritissimos selegit ad decē millia, & insuper mille sacerdotes stolis sacerdotalib. suo sumptu vestitos, partim cæmētariæ, partim lignariæ fabricæ nō imperitos: hósq; omnes adhibuit operi, materia iā ante conuecta. Sublatis deinde veteribus fundamentis, & nouis reposi- E tis, desuper templum extruebat, lōgitudine cētum cubitorum, altitudine totidem & viginti amplius. qui viginti cubiti aliquantò pòst sidētibus fundamentis decesserūt, eósq; denuò addere decreuerūt nostri Neronis tēporibus. Cōstabat autem structura è lapidibus candidis firmissimis, magnitudine vigintiquinq; cubitorū in longū, octo in altū, latitudine verò cubitorū duodecim. habebátq; basilicæ similitudinem, hinc & inde humilius, media sui parte excel- F sum, à multis stadiis conspicuū, maximè ex aduerso habitantibus aut aduētātibus. Ianua verò penè ipsi templo par, & superliminare aulæis variegatis ornabatur, floribus purpureis distinctis, & habētibus columnas intextas, sub quarū capitibus vitis expandebatur aurea dependentibus botryonibus, mirandum sanè opus tam manus quàm materiæ precio. Cinxit etiā totū templum amplissimis porticibus, quæ respōderent reliquæ magnificētiæ, & priores illas pul- G chritudine vincerent. harum duæ validis muris fulciebantur, opere vel in primis memorabili. Tumulus erat petricosus, arduus à vertice sēsim versus Oriētale vrbis latus resupin⁹;

huius verticem primus Solomon rex noster instinctu Dei muro circumdedit. Radices quoque eius alio muro cinxit, cui versus austrum subiecta est vallis profunda. hic murus constat saxis grandibus plumbo inter se vinctis, complectens interius spacium, & in profundum descendens, vt miranda sit magnitudo & altitudo structuræ forma quadrangulari. Saxorum enim magnitudo à fronte est conspicua, interiora ferro vincta iuncturas continent contra omnium temporum iniurias firmissimas. Hoc opus postquam æquatum est vertici, cauitas quæ intererat murum inter & tumultum expleta est, vt complanatis omnibus fieret area, & circũ quadriporticus quatuor stadiorũ circuitu, singulis lateribus inter duos angulos per stadia singula patentibus. interius deinde ipsum verticem ambit alius murus lapideus: cuius Orientale latus quàm longum est duplicem habet porticum, spectantem ianuam templi siti in meditullio. Eam porticum priores reges adornauerant. Circum templum affixa erant spolia barbarica, quæ omnia Herodes denuò dedicauit, additis etiam recentibus Arabicis. In septentrionalis lateris angulo arx erat firma & bene munita, opus Asamonæorum qui gentis sacerdotium simul & principatum tenuerunt, & turrim id vocauerunt, repositorium stolæ pontificiæ, quæ non promebatur, nisi pontifice sacris operaturo. hanc Herodes in eo loco asseruauit, post cuius obitum in Romanorum potestate fuit, vsque Tiberij Cæsaris tempora. Eius principatu Vitellius Syriæ præses à Hierosolymitis honorificentissimo hospitio receptus, quò gratiam eis referret, vt iuxta sua postulata ipsi haberent sacræ stolæ custodiam: fuerúntque Iudæi eius custodes vsque Agrippæ regi obitum. post quem Cassius Longinus præses Syriæ, & Cuspius Fadus Iudææ procurator, iusserunt eos denuò stolam in Antoniam deponere, dictitantes debere eam in Romanorum potestate esse, quemadmodum & antea. Missi sunt hac de causa legati ad Claudium Cæsarem, deprecaturi talem necessitatem: vbi inuenerunt iuniorem Agrippam, cui petenti concessa est stolæ custodia, scriptis de hac re ad Vitellium literis. Olim autem fuerat sub sigillo pontificis & præfectorum gazophylacio, qui pridie solennis festiuitatis adibant arcis & præsidij Romani præfectum, & recognito prius sigillo stolam accipiebant: ac mox peracto festo, reportatam in eundem locum, & in conspectu arcis præfecti obsignatam deponebant: quod quidem hoc loco propter toties variatum morem admonere visum est. Sed tum Herodes hanc quoque turrim munitiorem reddidit ad tutelam templi: & in memoriam amici sui Romanorum imperatoris Antonij vocauit Antoniam. Occidentalis autem porticus quatuor

A τοῦτον ὁ πρῶτος ἡμῶν βασιλεύσας Σολομὼν κατ' ἐπιφροσύνην τοῦ θεοῦ, μεγάλαις ἐργασίαις ἀπετείχιζεν ἄνωθεν τὰ περὶ τὴν ἄκραν. ἀπετείχιζε δὲ κάτωθεν ὑπὸ τῆς ῥίζης ἀρχόμενος, ἣν βαθεῖα περιθεῖ φάραγξ κατὰ λίβα ταῖς πέτραις μολίβδῳ δεδεμέναις πρὸς ἀλλήλας ἀπολαμβάνων ἀπὸ τῆς ἔσω χώρας, καὶ προβαίνων εἰς βάθος, ὡς ἄτοπον εἶναι τότε μέγεθος τῆς οἰκοδομῆς, καὶ τὸ ὕψος τετραγώνου γινομένης, ὡς τὰ μὲν μεγέθη τῶν λίθων ἀπὸ μετώπου κατὰ τὴν ἐπιφάνειαν ὁρᾶσθαι, B τὰ δ' ἐντὸς σιδήρῳ διησφαλισμένα συνέχειν τὰς ἁρμογὰς ἀκινήτους τῷ παντὶ χρόνῳ. τῆς δ' ἐργασίας οὕτω συναπτούσης εἰς ἄκρον τὸν λόφον ἀπεργασάμενος αὐτοῦ τὴν κορυφὴν, καὶ τὰ κοῖλα τῶν περὶ τὸ τεῖχος ἐμπλήσας, ἰσόπεδον τοῖς κατὰ τὴν ἐπιφάνειαν τὴν ἄνω καὶ λεῖον ἐποίησε. τοῦτο δὲ ἦν τὸ πᾶν περίβολος τεττάρων σταδίων τὸν κύκλον ἔχων, ἑκάστης γωνίας στάδιον μῆκος ἀπολαμβανούσης. ἐνδοτέρω δὲ τούτου καὶ παρ' αὐτὴν C τὴν ἄκραν ἄλλο τεῖχος ἄνω λίθινον περιθεῖ, κατὰ μὲν ἑῴαν ῥάχιν, ἰσομήκη τῷ τείχει στοὰν ἔχον διπλῆν ἐν μέσῳ τοῦ νεὼ τετυχηκότος, ἀφορῶσαν εἰς τὰς θύρας αὐτοῦ. ταύτην πολλοὶ βασιλεῖς οἱ πρόσθεν κατεσκεύασαν. τοῦ δ' ἱεροῦ παντὸς ἦν ἐν κύκλῳ πεπηγμένα σκῦλα βαρβαρικὰ, καὶ ταῦτα πάντα βασιλεὺς Ἡρώδης ἀνέθηκε, προσθεὶς ὅσα καὶ τῶν Ἀράβων ἔλαβε. κατὰ δὲ τὴν βόρειον πλευρὰν, ἀκρόπολις ἐγγώ- D νιος εὐερκὴς ἐπιτετείχιστο, διάφορος ὀχυρότητι. ταύτην οἱ πρὸ Ἡρώδου τοῦ Ἀσαμοναίων γένους βασιλεῖς καὶ ἀρχιερεῖς ᾠκοδόμησαν, καὶ βάριν ἐκάλεσαν, ὡς ἐκεῖ τὴν ἱερατικὴν αὐτοῖς ἀποκεῖσθαι στολὴν, ἣν ὅταν δέῃ θύειν, τότε μόνον ὁ ἀρχιερεὺς ἀμφιέννυται. ταύτην ὁ βασιλεὺς Ἡρώδης ἐφύλαξεν ἐν τῷ τόπῳ, καὶ μετὰ τὴν ἐκείνου τελευτὴν ὑπὸ Ῥωμαίοις ἦν, μέχρι τῶν Τιβερίου καίσαρος χρόνων. ἐπὶ τούτου δὲ Οὐϊτέλλιος ὁ τῆς Συρίας ἡγεμὼν ἐπιδημήσας τοῖς E Ἱεροσολύμοις, δεξαμένου τοῦ πλήθους αὐτὸν λαμπρότατα πάνυ, θέλων αὐτοὺς τῆς εὐποιΐας ἀμείψασθαι, ἐπεὶ παρεκάλεσαν τὴν ἱερὰν στολὴν ὑπὸ τὴν αὐτῶν ἐξουσίαν ἔχειν, ἔγραψε περὶ τούτων Τιβερίῳ καίσαρι, κἀκεῖνος ἐπέτρεψε. καὶ παρέμεινεν ἡ ἐξουσία τῆς ἱερατικῆς στολῆς τοῖς Ἰουδαίοις, μέχρι ἐτελεύτησεν ὁ βασιλεὺς Ἀγρίππας. μετὰ τοῦτον δὲ Κάσσιος Λογγῖνος, ὁ τὴν Συρίαν τότε διοικῶν, καὶ Κούσπιος Φάδος ὁ τῆς Ἰουδαίας ἐπίτροπος, κελεύουσι τοὺς Ἰουδαί- F ους εἰς τὴν Ἀντωνίαν καταθέσθαι τὴν στολήν. Ῥωμαίους γὰρ αὐτῆς εἶναι δεῖν κυρίους, καθὼς καὶ πρότερον ἦσαν. πέμπουσιν οὖν Ἰουδαῖοι πρέσβεις πρὸς Κλαύδιον καίσαρα περὶ τούτων παρακαλέσοντας. ὧν ἀναβάντων ὁ νεώτερος βασιλεὺς Ἀγρίππας ἐν Ῥώμῃ τυγχάνων, αἰτησάμενος παρὰ τοῦ αὐτοκράτορος τὴν ἐξουσίαν ἔλαβεν, ἐντειλαμένου Οὐϊτελλίῳ τῷ τῆς Συρίας ὄντι στρατηγῷ. πρότερον δ' ἦν ὑπὸ σφραγῖδος G τοῦ ἀρχιερέως καὶ τῶν γαζοφυλάκων, καὶ πρὸ μιᾶς ἡμέρας τῆς ἑορτῆς, ἐπὶ τὸν Ῥωμαίων φρούραρχον ἀναβαίνοντες οἱ γαζοφύλακες, καὶ καταμανθάνοντες τὴν ἑαυτῶν σφραγῖδα, τὴν στολὴν ἐλάμβανον. εἶτ' αὖθις τῆς ἑορτῆς παρελθούσης, εἰς τὸν αὐτὸν κομίσαντες τόπον, καὶ τῷ φρουράρχῳ δείξαντες σύμφωνον τὴν σφραγῖδα κατετίθεντο. ταῦτα μὲν οὖν ὑπὸ τοῦ πάθους τῶν ἐπισυμβεβηκότων παρεδηλώθη. τότε δ' οὖν ὁ τῶν Ἰουδαίων βασιλεὺς Ἡρώδης καὶ ταύτην τὴν βάριν ὀχυρωτέραν κατασκευάσας, ἐπ' ἀσφαλείᾳ καὶ φυλακῇ τοῦ ἱεροῦ, χαριζόμενος Ἀντωνίῳ, φίλῳ μὲν αὐτοῦ Ῥωμαίων δὲ ἄρχοντι, προσηγόρευσεν Ἀντωνίαν. ἐν δὲ τοῖς ἑσπερίοις μέρεσι τοῦ περιβόλου,

πύλας

A πύλας δ' ἐφέστασαν. ἡ μὲν, εἰς τὰ βασίλεια τείνουσα, τῆς ἐν μέσῳ φάραγγος εἰς δίοδον ἀπειλημμένης. αἱ δὲ β', εἰς τὸ προάστειον, ἡ λοιπὴ δὲ, εἰς τὴν ἄλλην πόλιν, βαθμοῖσι πολλαῖς κάτω τε εἰς τὴν φάραγγα διειλημμένη, καὶ ἀπὸ ταύτης ἄνω πάλιν ἐπὶ τὴν πρόσβασιν. ἀντικρὺ γὰρ ἡ πόλις ἔκειτο τοῦ ἱεροῦ, θεατροειδὴς οὖσα, περιεχομένη βαθείᾳ φάραγγι κατὰ πᾶν τὸ νότιον κλίμα. τὸ δὲ τέταρτον μετώπου τὸ πρὸς μεσημβρίαν, εἶχε μὲν καὶ αὐτὸ πύλας κατὰ μέσον. ἐπ' B αὐτοῦ δὲ τὴν βασιλικὴν στοὰν, τριπλῆν κατὰ μῆκος διήκουσαν ἀπὸ τῆς ἑώας φάραγγος ἐπὶ τὴν ἑσπέριον. οὐ γὰρ ἦν ἐκτεῖναι προσωτέρω δυνατόν. ἔργον δ' ἦν ἀξιαφηγητότατον τῶν ὑφ' ἡλίῳ. μεγάλου γὰρ ὄντος τοῦ τῆς φάραγγος ἀναλήμματος, καὶ οὐ δυνατοῦ κατιδεῖν εἴ τις ἄνωθεν εἰς τὸν βυθὸν εἰσκύπτοι, παμμέγεθες ὕψος ἐν αὐτῷ τὸ τῆς στοᾶς ἐφειστήκει. ὡς εἴ τις ἀπ' ἄκρου τοῦ ταύτης τέγους ἄμφω συντιθεὶς τὰ βάθη διοπτεύοι, σκοτοδινιᾶν, οὐκ ἐξικνουμένης τῆς ὄψεως εἰς ἀμέτρητον τὸν C βυθόν. κίονες δ' ἐφέστασαν κατ' ἀντίστοιχον ἀλλήλοις ἐπὶ μῆκος τέτραχα. συνεδέδετο γὰρ ὁ τέταρτος τοῖχος λιθοδομήτῳ τείχει. τὸ πάχος ἦν ἑκάστου κίονος, ὡς τρεῖς ἐπισυναπτόντων ἀλλήλοις τὰς ὀργυιὰς περιλαβεῖν. μῆκος δὲ ποδῶν κζ' διπλῆς σπείρας ὑπειλημμένης. πλῆθος δὲ συμπάντων ρξβ', κιονοκράνων αὐτοῖς κατὰ τὸν κορίνθιον τρόπον ἐπεξειργασμένων γλυφαῖς ἔκπληξιν ἐμποιούσαις διὰ τὴν τοῦ D παντὸς μεγαλουργίαν. τεσσάρων δὲ στίχων ὄντων, τρεῖς ἀπολαμβάνουσι τὰς διὰ μέσου χώρας ταῖς στοαῖς. τῶν δὲ αἱ β' παράλληλοι, τὸν αὐτὸν γεγόνασι τρόπον, εὖρος ἑκατέρας, πόδας λ', μῆκος δὲ στάδιον, ὕψος δὲ πόδας ὑπὲρ ν'. τῆς δὲ μέσης, εὖρος μὲν ἡμιόλιον, ὕψος δὲ διπλάσιον. ἀνεῖχε γὰρ πλεῖστον παρὰ τὰς ἑκατέρωθεν. αἱ δὲ ὀροφαὶ βαθυξύλοις ἐξήσκηντο γλυφαῖς, πολυτρόποις σχημάτων ἰδέαις. καὶ τὸ τῆς μέσης βάθος ἐπὶ μεῖζον ἤγερτο, περιτετμημένου τοῖς E ἐπιστυλίοις προμετωπιδίου τείχου, κίονας ἔχοντος ἐνδεδομημένους, καὶ ξεστοῦ παντὸς ὄντος, ὡς ἄπιστόν τε τοῖς οὐκ εἰδόσι καὶ σὺν ἐκπλήξει θεατὰ τοῖς ἐντυγχάνουσιν εἶναι. τοιοῦτος καὶ ὁ πρῶτος περίβολος ἦν. ἐν μέσῳ δὲ ἀπέχων οὐ πολὺ δεύτερος, προσβατὸς βαθμοῖσιν ὀλίγαις. ὃν περιεῖχε ἑρκίον λιθίνου δρυφάκτου, γραφῇ κωλύων εἰσιέναι τὸν ἀλλοεθνῆ, θανατικῆς ἀπειλουμένης τῆς ζημίας. εἶχε δ' ὁ μὲν ἐντὸς περίβολος, F κατὰ μὲν τὸ νότιον καὶ βόρειον κλίμα, τριστίχους πυλῶνας, ἀλλήλων διεστῶτας. κατὰ δὲ ἡλίου βολὰς, ἕνα τὸν μέγαν, δι' οὗ παρῄεσαν ἁγνοὶ μετὰ γυναικῶν. ἐσωτέρω δὲ κἀκείνου γυναιξὶν ἄβατον ἦν τὸ ἱερόν. ἐκείνου δ' ἐνδοτέρω τρίτον, ὅπου τοῖς ἱερεῦσιν εἰσελθεῖν ἐξὸν ἦν μόνοις. ὁ ναὸς ἐν τούτῳ καὶ πρὸ αὐτοῦ βωμὸς ἦν, ἐφ' οὗ τὰς θυσίας ὁλοκαυτοῦμεν τῷ θεῷ. τούτων εἰς οὐδένα τῶν τριῶν ὁ βασιλεὺς ἡρώδης παρῆλθεν. ἐκεκώλυτο G γὰρ οὐκ ὢν ἱερεύς. ἀλλὰ κἀν τοῖς ἱερεῦσι τὰ περὶ τὰς στοὰς καὶ τοὺς ἔξω περιβόλους ἐπραγματεύετο, καὶ ταῦτα ᾠκοδόμησεν ἔτεσιν η'. τοῦ δὲ ναοῦ διὰ τῶν ἱερέων οἰκοδομηθέντος, ἐνιαυτῷ καὶ μησὶν ς', ἅπας ὁ λαὸς ἐπληρώθη χαρᾶς καὶ τοῦ τάχους πρῶτον μὲν τῷ θεῷ τὰς εὐχαριστίας ἐποιοῦντο, μετὰ δὲ καὶ τῇ προθυμίᾳ τοῦ βασιλέως, ἑορτάζοντες καὶ κατευφημοῦντες τὴν ἀνάκτισιν. ὁ δὲ βασιλεὺς, τριακοσίους ἔθυσε τῷ θεῷ βόας,

portas habebat: harum ab vna transitus erat in regiam per vallem in medio interiectam: duæ ferebant in suburbia, postrema in vrbem, gradibus multis vsq; Imam vallem dispositis, & inde aliis sursum per accliue tendentibus: Vrbs enim sita erat è regione templi, theatrali specie, toto australi tractu in profundam vallem desinens. Quarum autem latus meridianum etiam ipsum habebat portam ab vtroque angulo æquè distantem, & triplicem porticum basilicam lõgitudine ab Orientali valle ad Occidentalem pertinentem. Nec enim vlterius poterat. Ibi pectaculum erat, si vllum alium sub sole, memorabile. Nam quum vallis in immensum dehisceret, ita vt calligarent despicientium oculi, desuper extructa erat præalta porticus: cuius tecto conscenso si quis vtramque altitudinem coniunctam cõtemplaretur, absque vertigine id non poterat, visu deficiente ob nimiam profunditatem, priusquam ad imum pertingeret. In eius porticibus stabãt paribus interuallis quatuor columnarum ordines, quorum quartus intertextum habebat lapideum parietem. Crassitudo autem cuiusque columnæ, quantam possent tres homines consertis inter se complecti brachiis: longitudo vigintiseptem pedum, subiecta spira duplici. Numerus vniuersarum fuit centum sexagintaduo, capitellis sculptis opere Corinthio pulchris vsque ad miraculum. His quaternis ordinib. fiunt per interualla ternę porticus, ita vt in vno quoque latere duę pariles, triginta pedum latitudinis, plus quinquaginta altitudinis, stadij longitudine, claudant inter se mediam, cuius latitudo sesquialtera, altitudo verò duplicata, tanto superabat vtranque. Earum lacunaria lignea, sculpturata figuris variis. Mediæ verò connexitas altius surgebat, excitato super epistylia pariete lapideo politissimo, columnis insertis distincto, mirabili artificio commissuris oculos fallentibus. Atque hoc modo se habebat primus ambitus. Interius verò non longo interstitio secundus, paucis gradibus scansilis septum habebat lapideum, cũ inscriptione quæ vetaret transgredi alienigenam, sub interminatione pœnæ capitis. hoc interitus septum tam austrino quàm septẽtrionali latere patebat ternis ianuis ęquidistantibus, ab Oriẽte verò vna magna, per quam intrarent casti vnà cum vxoribus. Interiora autem fani mulieribus nefas erat ingredi. Tertium verò spatium intimum, solis sacerdotibus accessibile. In eo templum erat & ante illud altare, in quo hostias immolare Deo soliti. Herodes autem interiora à quib. profani lege arcebantur non ausus ingredi, per sacerdotes curabat fabricam intimarum porticuum: absolutóque octo annis reliquo ædificio, tandem etiam templum ipsum eorundẽ sacerdotum opera sesquiãno perfecit. Quo facto ingens gaudiũ exortum est in populo, omnibus gratias agentibus Deo pro tam celeriter finito opere, & regi pro accurato tam alacriter negotio fausta ominantibus, & instaurationem templi magna festiuitate concelebrantibus. Ibi rex trecentos boues Deo mactauit,

& alij pro suis quisque facultatibus tantum victimarum, quantum vix comprehendi possit numero, fallente veram æstimationem earum multitudine. Incidit enim in hanc celebritatem absolutæ templi fabricæ etiam natalis regni, quem Herodes anniuersaria hilaritate solitus est colere, vt hoc pacto conduplicaretur lætitia publica. Cæterùm rex inter alia templi opera etiam cryptam fecit subterraneam, ab Antonia ferentem ad Orientalem portam templi, cui turrim etiam imposuit, in eum vsum vt occultè illuc posset ascendere, si quid per tumultum contra regem vellet nouare populus. Fertur toto tempore quo templum struebatur nunquam interdiu pluisse, noctu tantùm imbribus descendentibus ne interrumperetur ædificatio: eàque fama quasi per manus tradita ad nos peruenit à maioribus. nec est veri absimile, si quis diuinam prouidentiam respiciat. Et de templo instaurato hactenus.

καὶ τῶν ἄλλων οἱ κατὰ δύναμιν, ὧν οὐχ οἷόν τε τὸν ἀριθμὸν εἰπεῖν. ἐκφεύγει γὰρ τὸ δύνασθαι πρὸς ἀλήθειαν εἰπεῖν. συνεκπεπτώκει γὰρ τῇ προθεσμίᾳ τοῦ περὶ τὸν ναὸν ἔργου, καὶ τὴν ἡμέραν τῷ βασιλεῖ τῆς ἀρχῆς ἣν ἐξ ἔθους ἑορτάζειν, εἰς ταυτὸν ἐλθεῖν, καὶ περισημοτάτην δι' ἀμφοῖν τὴν ἑορτὴν γενέσθαι. κατεσκευάσθη δὲ καὶ κρυπτὴ διῶρυξ τῷ βασιλεῖ, φέρουσα μὲν ἀπὸ τῆς ἀντωνίας μέχρι τοῦ ἔσωθεν ἱεροῦ πρὸς τὴν ἀνατολικὴν θύραν, ἐφ' ἧς αὐτῷ καὶ πύργον κατεσκεύασεν, ἵνα ἔχῃ διὰ τῶν ὑπογαίων εἰς αὐτὸν ἀνιέναι, τὸν ἐκ τοῦ δήμου νεωτερισμὸν ἐπὶ τοῖς βασιλεῦσι φυλαττόμενος. λέγεται δὲ, κατ' ἐκεῖνον τὸν καιρὸν οἰκοδομουμένου τοῦ ναοῦ, τὰς μὲν ἡμέρας οὐχ ὕειν, ἐν δὲ ταῖς νυξὶ, γίνεσθαι τοὺς ὄμβρους ὡς μὴ κωλῦσαι τὸ ἔργον. καὶ τοῦτον τὸν λόγον οἱ πατέρες ἡμῖν παρέδωκαν, οὐδ' ἔστιν ἄπιστον, εἰ καὶ πρὸς τὰς ἄλλας ἐπίδοι τις ἐμφανείας τοῦ θεοῦ. τὰ μὲν οὖν περὶ τὸν ναὸν, ἐξῳκοδομήθη τοῦτον τὸν τρόπον.

ΤΑΔΕ

ΤΑΔΕ ΕΝΕΣΤΙ ΕΝ ΤΩ ΕΞΚΑΙΔΕΚΑΤΩ ΛΟΓΩ ΤΩΝ Ιωσήπου ἱστοριῶν τῆς ἰουδαϊκῆς ἀρχαιολογίας.

Ον τρόπον ἀλέξανδρος καὶ ἀριστόβουλος ἀπὸ ῥώμης ὑπέστρεψαν πρὸς τὸν πατέρα, καὶ ὡς σαλώμη καὶ φερώρας οἱ τοῦ βασιλέως ἀδελφοὶ τῇ κατ᾽ αὐτῶν διαβολαῖς ἐχρῶντο. Κεφ. α.
Ως γυναῖκας δοὺς τοῖς περὶ ἀλέξανδρον, ἡρώδης πρὸς ἀγρίππαν ἐξέπλευσεν. Κεφ. β.
Ως ἡρώδης τὸ δεύτερον ἐξέπλευσεν πρὸς ἀγρίππαν, εἰς τὸν βόσπορον. Κεφ. γ.
Εντευξις τῶν κατὰ ἰωνίαν ἰουδαίων ἀγρίππα παρόντος ἡρώδου, περὶ ὧν ἠτιῶντο τοὺς ἕλληνας. Κεφ. δ.
Ως ἀγρίππας ἐβεβαίωσε μὲν αὐτοῖς τοὺς νόμους, ἡρώδης δὲ εἰς ἰουδαίαν ὑπέστρεψεν. Κεφ. ε.
Ως ἐστασιάσθη τὰ περὶ τὴν οἰκίαν ἡρώδῃ, προτιμῶντι μὲν ἀντίπατρον τὸν πρεσβύτατον υἱὸν, χαλεπῶς δὲ τῶν περὶ ἀλέξανδρον φερόντων τὴν ὕβριν. Κεφ. ς.
Ως ἀντιπάτρου διατρίβοντος ἐν ῥώμῃ, τοὺς περὶ ἀλέξανδρον ἡρώδης ἄγων ἐπὶ καίσαρος αὐτῶν κατηγόρησεν. Κεφ. ζ.
Αλεξάνδρου ἀπολογία ἐπὶ καίσαρος, καὶ διαλλαγαὶ πρὸς τὸν πατέρα. Κεφ. η.
Ως ἀγῶνας ἤγαγε πενταετηρικοὺς ἡρώδης ἐπὶ καισαρείας κτίσει. Κεφ. θ.
Πρεσβεία τῶν ἀπὸ κυρήνης καὶ ἀσίας ἰουδαίων, ὡς καίσαρα περὶ ὧν ἠτιῶντο τοὺς ἕλληνας, καὶ ἀντίγραφα ἐπιστολῶν, ἃς καῖσαρ καὶ ἀγρίππας ἔγραψεν ὑπὲρ αὐτῶν ταῖς πόλεσιν. Κεφ. ι.
Ως ἀπορῶν χρημάτων ἡρώδης, κατῆλθεν εἰς τὸν δαβίδου τάφον. Κεφ. ια.
Ως ἀρχέλαος ὁ καππαδοκῶν βασιλεὺς, ἀλέξανδρον τῷ πατρὶ διήλλαξεν. Κεφ. ιβ.
Απόστασις τῆς ἡρώδου βασιλείας τῶν τὸν τράχωνα οἰκούντων. Κεφ. ιγ.
Στρατεία ἡρώδου εἰς τὴν ἀραβίαν. Κεφ. ιδ.
Ως κατηγόρησε σύλλαιος ὁ ἄραψ ἐπὶ καίσαρος, ὑπὲρ τῆς ἐμβολῆς τῆς εἰς τὴν ἀραβίαν τοῦ ἡρώδου. Κεφ. ιε.
Διαβολαὶ εὐρυκλέους κατὰ τῶν παίδων πρὸς ἡρώδην. Κεφ. ις.
Ως καίσαρος ἐξουσίαν δόντος, ἐν βηρυτῷ παρὰ τῷ συνεδρίῳ κατηγόρησε τῶν παίδων ἡρώδης, καὶ θάνατος τῶν νεανίσκων. Κεφ. ιζ.

HÆC IN IOSEPHI DECIMOSEXTO ANTIQVITATVM Iudaicarum libro continentur.

Alexander & Ariſtobulus ad patrem Roma reuerſi Salomes ac Pheroræ calumniis appetuntur. Cap. I.
Quomodo Herodes vxores filiis ſuis dederit,& ad Agrippam nauigarit. Cap. II.
Herodes rurſus ad Agrippam nauigat Boſphorum petens. Cap. III.
Ionici Iudæi Gentiles apud Agrippam præſente Herode accuſant. Cap. IV.
Agrippa priuilegia Iudæis conceſſa confirmat,Herodes verò in Iudæam reuertitur. Cap. V.
Diſſidium domeſticum inter Herodem & filios,dum is Antipatrum maximum natu filium honoribus euehit,& filij Mariamnes contumeliam grauiter ferunt. Cap. VI.
Antipatro Romæ degente Herodes Alexandrum & fratrem adductos ad Cæſarem accuſat. Cap. VII.
Alexandri defenſio & cum parente reconciliatio. Cap. VIII.
Herodes quinquennale certamen ob abſolutam Cæſaream celebrat. Cap. IX.
Iudæorum Cyrenenſium & Aſiaticorum ad Cæſarem legatio aduerſus Gentiles, & Cæſaris ac Agrippæ reſcripta ad ciuitates. Cap. X.
Herodes opus habens pecunia ſepulchrum Dauidis ſubiit. Cap. XI.
Archelaus Cappadocum rex Alexandrum patri reconciliat. Cap. XII.
Trachonitarum defectio. Cap. XIII.
Expeditio Herodis in Arabiam. Cap. XIV.
Syllæus Herodem accuſat apud Cæſarem ob impreſſionem in Arabiam factam. Cap. XV.
Euryclis calumniæ contra Herodis filios. Cap. XVI.
Conceſſa Herodi à Cæſare in filios poteſtate, accuſantur à patre in concilio apud Berytum & morte afficiuntur. Cap. XVII.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΙΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ

ΛΟΓΟΣ ΕΞΚΑΙΔΕΚΑΤΟΣ.

FLAVII IOSEPHI ANTIQVITATVM IVDAICARVM

LIBER DECIMVSSEXTVS.

Cap. I.

Alexander & Aristobulus ad patrem reuersi, Salomes ac Pheroræ calumniis appetuntur.

INTER cæteras reipublicæ curas ad se pertinere existimans rex etiam priuatas iniurias tam in vrbe quàm in agris compescere, nouam legẽ tulit priorib. dissimilem, quam ipse sanciit, vt perfossores parietum liceret vendere in seruitutem extra regni terminos: quod videbatur non tam ad pœnam maleficorum tendere, quàm ad dissolutionem patriarum consuetudinem. Seruire enim apud exteros, & diuersam viuendi rationem habentes, & cogi ad faciendum quicquid illis imperare libuerit, religionem magis lædebat, quàm ipsos conuictos sceleris. Qua de re satis cautũ erat in pristinis legum sanctionibus: videlicet furẽ quadruplum reddere: quòd si non sit soluendo, vendi, non tamen exteris, nec in seruitutem perpetuam, sed vindicandum in libertatem anno septimo. Quamobrem sic vulgò interpretabantur, nouam illam legem iniquam pœnam statuere, & tyrannicum quiddam magis quàm regium sapere, non sine contemptu inueterati iam moris publici: traducebatúrque hoc nomine rex omnium criminationibus inuidiosissimis. Per idem tẽpus nauigauit in Italiam, salutatum Cæsarẽ, & ad inuisendos Romæ suos liberos. Ibi Cæsar humanissimè tractato filios reducendos domum reddidit, satis iã instructos disciplinis liberalibus. Qui postquam reuersi sunt in patriam, statim excepti sunt magnis studiis multitudinis, quòd essent conspicui tum statura, tum multis ornamentis animi, & modis omnibus regium quiddam præ se ferrent ipsa specie. Mouerunt hęc ad inuidiam Salomẽ sororem regis, cęterósq; quorum calumniis Mariamne oppressa fuerat, metuentes suæ potentiæ, quũ viderent nõ defore vltores materni interit⁹. Hinc igitur occasione

Κεφάλαιον α'.

Ὃν τρόπον Ἀλέξανδρος καὶ Ἀριστόβουλος ἀπὸ Ῥώμης ὑπέστρεψαν πρὸς τὸν πατέρα καὶ ὡς Σαλώμη καὶ Φερώρας ταῖς κατ' αὐτῶν διαβολαῖς ἐχρῶντο.

ΕΝ δὲ τῇ διοικήσει τῶν ὅλων πραγμάτων ἐσπουδακὼς ὁ βασιλεὺς τὰς κατὰ μέρος ἀδικίας ἀναστεῖλαι, τῶν περὶ τὴν πόλιν καὶ τὴν χώραν ἁμαρτανομένων, τίθησιν νόμον οὐδὲν ἐοικότα τοῖς πρώτοις, ὃν αὐτὸς ἐβεβαίου, τοὺς τειχωρύχους ἀποδιδόμενος ἐπ' ἐξαγωγῇ τῆς βασιλείας, ὅπερ ἦν οὐκ εἰς τιμωρίαν μόνον τῶν παθόντων φορτικὸν, ἀλλὰ καὶ κατάλυσιν περιέχον τῶν πατρῴων ἐθῶν. τὸ γὰρ ἀλλοφύλοις καὶ μὴ τὴν αὐτὴν ἔχουσιν δίαιταν τοῦ ζῆν δουλεύειν, καὶ βιάζεσθαι πάνθ' ὅσα προστάττοιεν ἐξ ἀνάγκης ἐκεῖνοι ποιεῖν, ἁμαρτία πρὸς τὴν θρησκείαν ἦν, οὐ κόλασις τῶν ἁλισκομένων, πεφυλαγμένης ἐν τοῖς πρώτοις τῆς τοιαύτης τιμωρίας. ἐκέλευον γὰρ οἱ νόμοι τετραπλάσιον καταβαλεῖν τὸν κλέπτην, οὐκ ἔχοντα δὲ πιπράσκεσθαι μὲν, ἀλλ' οὔτι γε τοῖς ἀλλοφύλοις, οὐδ' ὥστε διηνεκῆ τὴν δουλείαν ὑπομένειν. ἔδει γὰρ ἀφεῖσθαι μετὰ ἑξαετίαν. τὸ δ' ὥσπερ ὡρίσθη τότε χαλεπὴν καὶ παράνομον γενέσθαι τὴν κόλασιν, ὑπερηφανίας ἐδόκει μέρος, οὐ βασιλικῶς, ἀλλὰ τυραννικῶς αὐτοῦ, καὶ πρὸς τὰ κοινὰ τῶν ἀρχομένων ὀλιγώρως θεῖναι τὴν τιμωρίαν νενοηκότος. ταῦτα μὲν οὖν καθ' ὁμοιότητα τοῦ κοινοῦ τρόπου γινόμενα, μέρος ἦν τῶν διαβολῶν, καὶ τῆς ἐπ' αὐτῷ δυσνοίας. ἐν δὲ τούτῳ τῷ καιρῷ, καὶ τὸν εἰς τὴν Ἰταλίαν πλοῦν ἐποιήσατο, Καίσαρί τε συντυχεῖν ὁρμηθεὶς, καὶ θεάσασθαι τοὺς παῖδας ἐν τῇ Ῥώμῃ διατρίβοντας. Καῖσαρ δὲ τά τε ἄλλα, φιλοφρόνως αὐτὸν ἐδέξατο, καὶ τοὺς παῖδας ὡς ἤδη τελειωθέντας ἐν τοῖς μαθήμασιν, ἀπέδωκεν ἄγειν εἰς τὴν οἰκείαν. ὡς δ' ἧκον ἀπὸ τῆς Ἰταλίας, σπουδὴ περὶ τὰ μειράκια τῶν ὄχλων ἦν, καὶ περίοπτοι πᾶσιν ἐγεγόνεισαν, τῷ τε μεγέθει τῆς περὶ αὐτοὺς τύχης κοσμούμενοι, καὶ βασιλικοῦ κατὰ τὰς μορφὰς ἀξιώματος οὐκ ἀποδέοντες. ἐπίφθονοι δὲ εὐθὺς ἐδόκουν, Σαλώμῃ τε τῇ τοῦ βασιλέως ἀδελφῇ, καὶ τοῖς Μαριάμμην ταῖς διαβολαῖς κατηγωνισμένοις. οὕτω γὰρ ᾤοντο [illegible] δεῖν, εἰ μὴ δίκην δώσειν τῶν εἰς τὴν μητέρα τὴν ἐκείνων παρανομηθέντων. τὴν αὐτὴν οὖν

ταύτην

ταύτην ὑπόθεσιν τοῦ δέους, εἰς τὴν κατ᾽ ἐκείνων διαβολὴν μετέφερον, λογοποιοῦντές τινες οὐ καθ᾽ ἡδονὰς συνεῖναι τῷ πατρὶ, διὰ τὸν τῆς μητρὸς θάνατον, ὡς μὴ δὲ ὅσιον εἶναι δοκεῖν ἐπὶ ταυτὸν συνεῖναι τῷ τῆς τεκούσης φονεῖ. ταῦτα γὰρ ἀπὸ τῆς ἀληθείας ἄλλης αἰτίας φέροντες, κακοῦν ἐδύναντο, καὶ τῆς εὐνοίας ἧς εἶχεν εἰς τοὺς παῖδας ἀφαιρεῖν. οὐδὲ γὰρ πρὸς αὐτὸν ἄντικρυς ἔλεγον, ἀλλ᾽ εἰς τὸ λοιπὸν πλῆθος ἐσκόρπιζον τοὺς τοιούτους λόγους, ἐξ ὧν πρὸς Ἡρώδην ἀναφερομένων ὑποκατεσκευάζετο μῖσος οὐδὲ αὐτῇ τῇ φύσει χρόνῳ νικώμενον.

arrepta, illos quoque calumniis appetunt, dictitantes parum iucundam eis esse patris consuetudinem, memoria supplicij de genitrice sumpti, quasi auersantibus pollutum materno sanguine. Videbant enim calumniatores esse causam odij, & hac vna via expugnare se posse & abolere paternam beneuolentiam. Nec hæc ad ipsum regem perferebant, contenti in vulgum tales rumores spargere quibus tandem ad illum perlatis, facile diuinabat exoriturum tantum odium, vt ne naturalibus quidem vinceretur affectibus.

Κεφάλαιον β΄.

Ὡς γυναῖκας δοὺς τοῖς περὶ Ἀλέξανδρον Ἡρώδης πρὸς Ἀγρίππαν ἐξέπλευσε.

ΕΝ μέντοι τῷ τότε πάσης ὑποψίας καὶ διαβολῆς μείζονι χρώμενος ὁ βασιλεὺς τῇ τοῦ γεγεννηκέναι φιλοστοργίᾳ, καὶ τιμῆς ἧς ἔδει μετεδίδου, καὶ γυναῖκας ἐν ἡλικίᾳ γεγονόσιν ἐζεύγνυεν, Ἀριστοβούλῳ μὲν τὴν Σαλώμης θυγατέρα Βερνίκην, Ἀλεξάνδρῳ δὲ τὴν Ἀρχελάου τοῦ Καππάδοκος βασιλέως Γλαφύραν. ταῦτα διοικήσας ἐπειδὴ καὶ Μάρκον Ἀγρίππαν ἐπύθετο καταπεπλευκέναι πάλιν ἐκ τῆς Ἰταλίας εἰς τὴν Ἀσίαν, ἐπειχθεὶς πρὸς αὐτὸν, ἠξίωσεν εἰς τε τὴν βασιλείαν αὐτοῦ παρελθεῖν, καὶ τυχεῖν ὧν ἔδει παρὰ ἀνδρὸς ξένου, καὶ φίλου. κἀκεῖνος μὲν εἴξας λιπαρῶς ἐγκειμένου, ἧκεν εἰς τὴν Ἰουδαίαν. Ἡρώδης δὲ οὐδὲν ἀρεσκείας ἀπέλειπεν, ἔν τε ταῖς νεοκτίστοις πόλεσιν ὑποδεχόμενος αὐτὸν, καὶ μετ᾽ αὐτοῦ τὰς κατασκευὰς ἐπιδεικνὺς, πάσαις ἀπολαύσεσι διαίτης, καὶ πολυτελείας ἐξαλλάττων αὐτὸν καὶ τοὺς φίλους, ἔν τε τῇ Σεβαστῇ, καὶ Καισαρείᾳ περὶ τὸν λιμένα τὸν ὑπ᾽ αὐτοῦ κατεσκευασμένον, κἂν τοῖς ἐρύμασιν, ἃ πολλαῖς δαπάναις ἐξῳκοδόμησεν, τό τε Ἀλεξάνδρειον καὶ Ἡρώδειον, καὶ τὴν Ὑρκανίαν. ἦγεν δὲ καὶ εἰς τὴν πόλιν τῶν Ἱεροσολυμιτῶν, ὑπαντῶντος τοῦ τοῦ δήμου παντὸς ἐν ἑορτώδει στολῇ, καὶ δεχομένου τὸν ἄνδρα σὺν εὐφημίαις. Ἀγρίππας δὲ τῷ θεῷ μὲν ἑκατόμβην κατέθυσεν, εἱστία δὲ τὸν δῆμον οὐδενὸς τῶν μεγίστων πλήθει λειπόμενος. αὐτὸς δὲ ὅσον ἐπὶ τῷ καθ᾽ ἡδονὴν κἂν ἔτι πλείους ἐπιμείνας ἡμέρας, διὰ τὴν ὥραν ἠπείγετο. τὸν γὰρ πλοῦν ἐπιβαίνοντος τοῦ χειμῶνος, οὐκ ἐνόμιζεν ἀσφαλῆ κομιζομένῳ πάλιν ἐξ ἀνάγκης εἰς τὴν Ἰωνίαν. ἐκεῖνος μὲν οὖν ἀπέπλει, πολλαῖς αὐτὸν δωρεαῖς τετιμηκότος Ἡρώδου, καὶ σὺν αὐτῷ τοὺς ἐπισημοτάτους.

CAP. II.

Herodes dat Alexandro & Aristobulo coniuges.

SEd tum nondum frigescente paterna pietate, rex nihil mali suspicans in eo quo par erat honore illos habuit, & quòd iam essent adulti, vxores eis coniunxit, Aristobulo Salomes filiam Bernicē, Alexandro Archelai Cappadocum regis filiam Glaphyram. Post hæc audito quòd Marcus Agrippa ex Italia redisset in Asiam, profectus illo inuitauit eum in regnum suum, vt venire dignaretur ad amicum & hospitem: quo impetrato, nihil prætermisit quod illi voluptatem afferre posse crederet, excipiens eum in recens conditis vrbibus, & ostendens ædificia, ad hæc omne genus deliciarum & magnificentiæ tam ipsi quàm amicis exhibens, apud Sebasten & Cæsariensem portum, & in extructis à se arcibus, Alexandrio, Herodio, Hyrcania. In vrbem quoque Hierosolymitanam eum perduxit, occurrentibus populariter omnibus amictu & cultu festiuo cum faustis acclamationibus. Agrippa autem Deo hecatombe immolata populo epulum præbuit: & quamuis libenter ibi diutius fuisset commoratus, appetente tamen hyeme tempestatum metu maturiùs abnauigauit in Ioniam, vnà cum amicis maximis honoratus muneribus.

Κεφάλαιον γ΄.

Ὡς Ἡρώδης τὸ δεύτερον ἐξέπλευσεν πρὸς τὸν Ἀγρίππαν.

Ο Δὲ βασιλεὺς χειμάσας ἐν τοῖς οἰκείοις, ἔαρος ἠπείγετο συντυχεῖν αὐτῷ, τὴν εἰς Βόσπορον εἰδὼς στρατιὰν προῃρημένον. καὶ πλεύσας διὰ Ῥόδου, καὶ Κῶ προσέσχεν περὶ Λέσβον, οἰόμενος ἐκεῖ καταλήψεσθαι τὸν Ἀγρίππαν. ἐκεῖ δὲ αὐτὸν ἀπολαμβάνει πνεῦμα βόρειον εἶργον τὴν ἀναγωγὴν τῶν νηῶν. ὁ δὲ ἐπιδιέτριβεν ἡμέρας πλείους ἐν τῇ Χίῳ. καὶ πολλοὺς μὲν τῶν προσιόντων αὐτῷ δεξιούμενος ἀνελάμβανεν βασιλικαῖς δωρεαῖς. αὐτῆς δὲ τῆς πόλεως ἰδὼν πεπτωκυῖαν στοὰν, ἣν ἐν τῷ Μιθριδατικῷ πολέμῳ καθαιρεθεῖσαν, οὐχ ὥσπερ τὰ ἄλλα διὰ μέγεθος καὶ κάλλος ἀναστῆναι ῥᾴδιον ἦν, χρήματα δοὺς ὅσον μὴ μόνον ὑπαρχεῖν, ἀλλὰ καὶ περιττεύειν ἐδύνατο πρὸς τὴν συντέλειαν τοῦ κατασκευάσματος, ἐνετέλλετο μὴ περιορᾶν, ἀλλὰ θᾶττον ἐγείρειν, ἀποκαθιστάντας τῇ πόλει

CAP. III.

Herodes ad Agrippam nauigat.

REx autem exacta domi hyeme, instante vere rursum ad illum properauit, audito quòd cum exercitu Bosphorum peteret: factáque præter Rhodum ac Coum nauigatione, Lesbum petit, ratus se ibi eum inuenturum. Sed repulsus aduersis Boreæ flatibus, aliquot diebus apud Chium hæsit: vbi & priuatim multos salutatum venientes regiis honorauit muneribus: & quum animaduertisset porticum vrbis dirutam bello Mithridatico iacentē adhuc, quòd propter inopiam reparari non posset ad pristinam pulchritudinem & amplitudinem, tantum pecuniarum contulit in eius fabricam, quantum abundè ad absoluendam sufficeret, hortatus vt quàm primū veterē

ornatum vrbi redderent. Mutato deinde vento primùm Mitylenen, deinde Byzantium allatus, vt audiuit Agrippam. Iam vltra Cyaneos scopulos prouectum, quanta potuit contentione secutus, apud Sinopen Ponticam vrbem eum offendit, ex insperato visus cum classe appellere: fuitque gratissimus eius aduentus, & singulari affectu se inuicem complexi sunt: quòd euidens esset argumentum fidei & amicitiæ, regem intermissis propriis negotiis præsto factum Agrippæ opportunissimo tempore. Quamobrem indiuulsus ei hærebat Herodes in exercitu, laborum socius, & consiliorum particeps. Nec minus aderat quũ remittendus esset animus, solus adhibitus ex æquo & in difficilibus propter beneuolentiã, & in iucundis honoris gratia. Confectis deinde Ponticis negotiis, quorum causa illuc Agrippa venerat, placauit non reuerti nauigio: sed per Paphlagoniam, Cappadociam, ac maiorem Phrygiam terrestri itinere peruenerunt Ephesum: & inde rursum Samum traiecerunt nauibus. Toto autem eo itinere ferè per singulas ciuitates in multis Herodi gratificatus est, ad eius preces multorum subueniens necessitatibus. Solitus est enim non solùm pecunia largiter adiuuare petentes, & magnos sumptus facere in hospites: verùm etiam si cui mediatore opus erat apud Agrippam, per neminem aliũ facilius voti compos factus est. Cúmque etiam ipse magnanimus esset, ac facilis ad concedendum ea quę neminem læderet, non leue erat momentum & in rege, incitante vel sponte currentem ad beneficentiam. Primùm enim iratum Iliensibus reconciliauit; & pro Chiis debitam Cæsaris procuratoribus pecuniam persoluit, immunitate impetrata: & aliis item, quacunque in re singulis opus esset, affuit.

Cap. IIII.

Ionici Iudæi Gentiles apud Agrippam accusant, conatos sibi adimere priuilegia per Romanos concessa.

POstquam autem ventum est in Ioniam, præstò fuit magna multitudo Iudæorum, eius regionis vrbes incolentium: qui nacti opportunitatem questi sunt de indigenarum iniuriis, quòd nec legibus suis eos viuere sinerent, & festis diebus traherent ad tribunalia, & sacram pecuniam Hierosolyma mittere vetarent, adigeréntque se ad expeditiones & munia publica conuertendámque in eos sumptus sacram pecuniam, contra concessa per Romanos priuilegia. Has querelas vt Agrippa audiret, Herodes dedit operam, addito eis vno ex amicorum cohorte Nicolao, qui causam eorum ageret, qui coram Agrippa, assidentibus Romanorum honoratioribus, & regibus aliquot ac dynastis, in hunc modum pro eis verba fecit. Omnibus quidem qui aliquam iniuriam patiuntur, Agrippa præstantissime, confugiendi ad potestatum maiorum opem incumbit necessitas: nobis verò etiam

A τὸν ἴδιον κόσμον. αὐτὸς δὲ λήξαντος τοῦ πνεύματος, εἰς μιτυλήνην, κἀκεῖθεν εἰς βυζάντιον παρακομισθεὶς, ὡς ἤκουσεν ἐντὸς κυανέων ἤδη πεπλευκέναι τὸν ἀγρίππαν, μετέσπευδεν ὡς εἶχεν. καὶ περὶ σινώπην τὴν ἐν τῷ πόντῳ καταλαβὼν, ἀπροσδόκητος μὲν ὤφθη ταῖς ναυσὶ προσπλέων. ἀσμένως δὲ ἐφάνη, πολλαί τε φιλοφρονήσεις ἦσαν, ἅτε καὶ μεγίστην πίστιν εἰληφέναι δοκοῦντος, εὐνοίας καὶ φιλοστοργίας τῆς εἰς τὸν αὐτὸν ἀγρίππαν, τοσοῦτον μὲν πλοῦν ἀνύ-
B σαντος τοῦ βασιλέως, οὐκ ἀπολειφθέντος δὲ τῆς ἐκείνου χρείας, ἣν μετὰ τοῦ καταλιπεῖν ἀρχὴν καὶ διοίκησιν οἰκείων πραγμάτων προυργιαιτέραν ἔθετο. πάντα γοῦν ἦν αὐτῷ κατὰ τὴν στρατείαν ἡρώδης, ἔν τε τοῖς πραγματικοῖς συναγωνιστὴς, καὶ τοῖς κατὰ μέρος σύμβουλος. ἡδὺς δὲ κἀν ταῖς ἀνέσεσιν, καὶ μόνος ἁπάντων κοινωνὸς, ἐν χαλεποῖς μὲν διὰ τὴν εὔνοιαν, ἡδίων δὲ διὰ τὴν τιμήν. ὡς δ' αὐτοῖς κατείργαστο καὶ τὰ περὶ τὸν
C πόντον, ὧν ἕνεκεν ἀγρίππας ἐστάλη, τὴν ἀνακομιδὴν οὐκ ἔτ' ἐδόκει ποιεῖσθαι πλέουσιν. ἀλλὰ διαμειψάμενοι τήν τε παφλαγονίαν καὶ καππαδοκίαν, κἀκεῖθεν ἐπὶ τῆς μεγάλης φρυγίας ὁδεύσαντες, εἰς ἔφεσον ἀφίκοντο. πάλιν δὲ ἐξ ἐφέσου διαπλεύσαντες εἰς σάμον. πολλαὶ μὲν οὖν καὶ καθ' ἑκάστην πόλιν εὐεργεσίαι τῷ βασιλεῖ κατὰ τὰς χρείας τῶν ἐντυγχανόντων ἐγίνοντο. καὶ γὰρ αὐτὸς ὅσα διὰ χρημάτων ἦν ἢ δεξιώ-
D σεως, οὐ παρέλειπεν ἐξ αὐτοῦ τὰς δαπάνας ποιούμενος. καὶ τῶν παρ' ἀγρίππα τινῶν ἐπιζητουμένων μεσίτης ἦν, καὶ διεπράττετο μηδενὸς ἀτυχῆσαι τοὺς δεομένους. ὄντος δὲ κἀκείνου χρηστοῦ, καὶ μεγαλοψύχου, πρὸς τὸ παρέχειν ὅσα τοῖς ἠξιωκόσιν ὠφέλημα ὄντα μηδένα τῶν ἄλλων ἐλύπει, πλεῖστον ἡ τοῦ βασιλέως ἐποίει ῥοπὴ, προτρέπουσα πρὸς τὰς εὐεργεσίας οὐ βραδύνοντα τὸν ἀγρίππαν. ἰλιεῦσι μὲν γὰρ αὐτὸν διήλλαξεν ὀργιζόμενον, διέλυσεν δὲ χίοις τὰ πρὸς τοὺς
E καίσαρος ἐπιτρόπους χρήματα, καὶ τῶν εἰσφορῶν ἀπήλλαξεν. τοῖς δὲ ἄλλοις καθὸ δεηθεῖεν ἑκάστοις παρείσατο.

Κεφάλαιον δ'.

Εντευξις τῶν κατὰ ἰωνίαν ἰουδαίων ἀγρίππα, περὶ ὧν ἠπῶντο ἕλληνας.

TΌ τε περὶ τὴν ἰωνίαν αὐτῶν γινομένων, πολὺ πλῆθος ἰουδαίων ὃ τὰς πόλεις ᾤκει προσῄει,
F καιροῦ καὶ παῤῥησίας ἐπειλημμένοι. καὶ τὰς ἐπηρείας ἔλεγον ἃς ἐπηρεάζοντο, μήτε νόμοις οἰκείοις ἐώμενοι χρῆσθαι, δίκας τε ἀναγκαζόμενοι διδόναι κατ' ἐπήρειαν τῶν εὐθυνούντων ἐν ἱεραῖς ἡμέραις, καὶ τῶν εἰς ἱεροσόλυμα χρημάτων ἀνατιθεμένων ἀφαιρούμενοι, στρατειῶν καὶ λειτουργιῶν ἀναγκαζόμενοι κοινωνεῖν, καὶ πρὸς ταῦτα δαπανᾶν τῶν ἱερῶν χρημάτων ὧν ἀφείθησαν ἀεὶ ῥωμαίων αὐτοῖς ἐπιτρεψάντων,
G κατὰ τοὺς οἰκείους ζῆν νόμους. τοιαῦτα καταβοώντων, παρεσκεύασε μὲν ὁ βασιλεὺς ἀκοῦσαι τὸν ἀγρίππαν αὐτῶν διαλεγομένων. νικόλαον δέ τινα τῶν αὐτοῦ φίλων, ἔδωκεν εἰπεῖν ὑπὲρ αὐτῶν τὰ δίκαια. τοῦ δὲ ἀγρίππα ῥωμαίων τε τοὺς ἐν τέλει, καὶ βασιλέων καὶ δυναστῶν τοὺς παρόντας αὐτῷ συνέδρους ποιησαμένου, καταστὰς ὁ νικόλαος, ὑπὲρ τῶν ἰουδαίων ἔλεξεν. ἅπασι μὲν ὦ μέγιστε ἀγρίππα τοῖς ἐν χρείᾳ γεγενημένοις, ἀνάγκη καταφεύγειν ἐπὶ τοὺς ἀφελέσθαι τὰς ἐπηρείας αὐτῶν δυνησομένους, τοῖς δὲ νῦν ἐντυγ-

ἐντυγχάνουσιν καὶ παρρησία. τυχόντες γὰρ πρότερον οἷς ηὔξαντο πολλάκις, τὸ μὴ τὰς χάριτας ἀφαιρεῖσθαι δι' ὑμῶν αἰτοῦντες τῶν δεδωκότων, καὶ ταῦτα εἰληφότες μὲν αὐτὰς παρὰ τούτων, οἷς μόνοις δίδοσθαι δυνάμεις, ἀφαιρούμενοι δ' ὑπ' οὐδενὸς κρείττονος, ἀλλ' οὓς ἴσον ἔχειν αὐτοῖς ἀρχομένους ὁμοίως ὑμῶν ἴσασιν. καίτοιγε εἰ μεγάλων ἠξιώθησαν, ἔπαινος ἐστὶ τῶν τετυχηκότων, ὅτι τοσούτων παρέσχον αὐτοὺς ἀξίους, εἴτε μικρῶν αἰσχρὸν μὴ καὶ ταῦτα βεβαιοῦν τοὺς δεδωκότας. οἵγε μὴν ἐμποδὼν ὄντες καὶ πρὸς ἐπήρειαν χρώμενοι Ἰουδαίοις, εὔδηλον ὡς ἐφ' ᾧ ἀδικοῦσι τοὺς εἰληφότας, εἰ μὴ νομίζοιεν ἀγαθούς, οἷς οἱ κράτιστοι ἐμαρτύρησαν ἐν τῷ καὶ τοιαῦτα δεδωκέναι, καὶ τοὺς δεδωκότας εἰ τὰς χάριτας αὐτῶν ἀβεβαίους ἀξιοῦσι γίνεσθαι. εἴ τις αὐτοὺς ἔροιτο δυοῖν τούτοιν θάτερον ἐθέλοιεν ἂν ἀφαιρεθῆναι, τὸ ζῆν, ἢ τὰ πάτρια ἔθη, τὰς πομπάς, τὰς θυσίας, τὰς ἑορτάς, ἃς τοῖς νομιζομένοις προσάγουσι θεοῖς, εὖ οἶδ' ὅτι πάντα μᾶλλον αἱρήσονται παθεῖν, ἢ καταλῦσαί τι τῶν πατρίων. καὶ γὰρ τοὺς πολέμους οἱ πολλοὶ διὰ ταῦτα αἱροῦνται, φυλαττόμενοι μὴ παραβαίνειν αὐτά, καὶ τὴν εὐδαιμονίαν, ἣν νῦν τὸ σύμπαν τῶν ἀνθρώπων γένος δι' ὑμᾶς ἔχει, τούτῳ μετροῦμεν, τῷ ἐξεῖναι κατὰ χώραν ἑκάστοις τὰ οἰκεῖα τιμῶσιν ἄγειν, καὶ διαζῆν. τοῦτο μὲν οὖν οὐκ ἂν αὐτοὶ παθεῖν ἑλόμενοι βιάζοιται δρᾶν κατ' ἄλλων, ὥσπερ οὐχ ὁμοίως ἀσεβοῦντες, εἴτε τῶν οἰκείων εἰς θεοὺς ὁσίους ἀμελοῖεν, εἴτε τὰ οἰκεῖα τισὶν ἀνοσίως καταλύοιντο. τὸ δ' ἕτερον ἤδη σκοπήσωμεν. ἔστι τις δῆμος ἢ πόλις ἢ κοινὸν ἔθνος ἀνθρώποις, οἷς οὐ μέγιστον ἀγαθὸν πέφηνεν ἡ προστασία τῆς ὑμετέρας ἀρχῆς, καὶ τὸ ῥωμαϊκὸν κράτος; ἐθέλοι δ' ἄν τις ἀκύρους τὰς ἐντεῦθεν εἶναι χάριτας; οὐδεὶς οὐδὲ μαινόμενος. οὐδὲ γὰρ εἰσὶν οἱ μὴ μετέχοντες αὐτῶν ἰδίᾳ καὶ κοινῇ. καὶ μὴν οἵτινες ὧν ὑμεῖς ἔδοτε παραιρούμενοι, βέβαιον οὐδ' αὐτοῖς οὐδὲν ὧν δι' ὑμᾶς ἔχουσιν ὑπολείπονται. καί τοι τὰς μὲν τούτων χάριτας, οὐδὲ μετρῆσαι δυνατόν ἐστιν. εἰ γὰρ ἐκλογίσαιντο τὴν πᾶσαν βασιλείαν, καὶ τὴν νῦν ἀρχὴν πολλῶν ὄντων ἅ σφισι πρὸς εὐδαιμονίαν αὐτοῖς ἐπιδέδωκεν, ἐπὶ κατὰ πάντων ἀρκεῖ τὸ μηκέτι δούλους, ἀλλὰ ἐλευθέρους φαίνεσθαι. τὰ δ' ἡμέτερα, καὶ λαμπρᾶς πραττόντων, οὐκ ἔστιν ἐπίφθονα. δι' ὑμᾶς γὰρ καὶ μετὰ πάντων εὐτυχοῦμεν, καὶ τούτου μόνου μετέχειν ἠξιώσαμεν ἀκωλύτως τὴν πάτριον εὐσέβειαν διαφυλάττειν, ὃ καὶ καθ' αὑτὸ δόξειεν οὐκ ἐπίφθονον, καὶ πρὸς τῶν συγχωρούντων εἶναι. τὸ γὰρ θεῖον ἀεὶ χαίρει τιμώμενον, χαίρει τοῖς ἐπιτρέπουσιν τιμᾶν. ἐθῶν τε τῶν ἡμετέρων, ἀπάνθρωπον μὲν οὐδέν ἐστιν, εὐσεβῆ δὲ πάντα, καὶ τῇ σωζούσῃ δικαιοσύνῃ συγκαθωσιωμένα. καὶ οὔτ' ἀποκρυπτόμεθα τὰ παραγγέλματα, οἷς χρώμεθα πρὸς τὸν βίον ὑπομνήμασιν τῆς εὐσεβείας, καὶ τῶν ἀνθρωπίνων ἐπιτηδευμάτων, τήν τε ἑβδόμην τῶν ἡμερῶν ἀνίεμεν τῇ μαθήσει τῶν ἡμετέρων ἐθῶν καὶ νόμων, μελέτην ὥσπερ ἄλλου τινός, καὶ τούτων ἀξιοῦντες εἶναι ὧν οὐχ ἁμαρτησόμεθα. καλὰ μὲν οὖν ἐὰν ἐξετάζῃ τις καὶ καθ' αὑτὰ τὰ ἔθη, παλαιὰ δὲ ἡμῖν κἂν μή τισιν δοκεῖ, ὥστε αὐτῶν καὶ τὴν τοῦ χρόνου τιμὴν τὸ δυσαπόδεικτον εἶναι τοῖς ὁσίως παρειληφόσιν, καὶ διαφυλάττουσιν. τούτων ἡμᾶς ἀφαιροῦνται κατ' ἐπήρειαν, χρήματα μὲν ἃ τῷ θεῷ συμφέρομεν ἐπώνυμα, διαρπάζοντες, καὶ φανερῶς ἱεροσυλοῦντες, τέλη δὲ ἐπιθέντες, καὶ τὴν ἑορτὴν ἄγοντες ἐπὶ δικασ-

A impetrandi quæ petimus adest fiducia. Neque enim aliud postulamus, quàm quod iam antè vestra beneficentia concessum est: quódque hi nobis adimere conantur, qui æquè ac nos vestro subiecti sunt imperio: Atqui si magnum est vestrum beneficium, digni sumus qui id retineamus, hoc ipso quòd nos dignos eo iudicastis. sin paruum, turpe fuerit, ne parua quidem vos posse concedere. Quamobrem satis apparet nobis illatam iniuriam ad vos quoque pertinere, quorum isti & iudicia B contemnere non verentur, & gratiam irritam reddere. Quòd si ipso aliquis interroget, malíntne vita carere, an patriis institutis, pompis, sacrificiis, festiuitatibus, quibus honores deorum suorum concelebrant: sat scio quiduis potius passuros quàm diuelli à patriis ritibus. Nam & bella pro religionibus vindicandis sæpenumero suscipiuntur, & huius (qua per vos fruimur) tranquillitatis ac C felicitatis hoc maximum habetur præmium, quod cuique licet suo more viuere, & pietatem colere. Quod igitur ipsi nullo pacto sustinuerint, hoc aliis inferre conantur: quasi verò non perinde sit, vel tuam vel alienam pietatem impedire ac lædere. Quin & aliud consideremus. Estne vlla gens aut ciuitas aut populus, qui non summam suæ felicitatis in vestro principatu & Romana potentia collocet? ést ne qui vestram gratiam velit esse irritã? D Nemo sanè, qui modò sapiat. Nemo enim est, cuius id vel priuatim vel publicè non referat. Atqui isti dum vestra nobis beneficia conantur auferre, ne sibi quidem ipsis vllum ius saluum relinquunt, eorum quæ vestra benignitas concessit, quæ tamen sunt inæstimabilia. Quale enim vel illud est, quòd quum multæ aliæ gentes regibus pareant, hi sub tutela Romanorum principum in libertate felicissimam vitam exigunt? Nostræ autem res, etiamsi ne- E mo sit molestus, nullam tamen merentur inuidiam. Cætera enim communi cum reliquis vestris subditis felicitate fruentes, nihil nobis eximium poscimus, nisi vt liceat patriam pietatem colere: quod nec per seipsum est inuidendum & permittentibus etiam conducibile. Nam Deus & cultores suos semper amat, & eos qui talem cultum non prohibent. Quid enim est in nostris ritibus quo quisquam merito offendi debeat? imò quid non coniun- F ctum cum omni pietate ac iustitia? Neque enim celamus præcepta vitæ quæ sequimur, aut studia quæ exercemus: sed septimo quoque die ab omnibus aliis negotiis vacantes, perdiscẽdis legibus operam damus, iudicantes hanc disciplinam plurimum conferre corrigendis moribus. Hi ritus nostri cùm per se quoque in disquisitionem vocati, nihil habeant reprehensibile, nunc vetustate etiam, contra quam multi opinantur, consecrati sunt: vt non G possit non esse religio, tot seculis sancita deserere. Hæ sunt iniuriæ quas isti nobis per vim inferunt, Deo dicatam pecuniam per sacrilegium diripientes, immunibus tributa imponẽtes, festis dieb[us] ad lites & negotia

profana pertrahentes, nulla necessitate exigente, sed tantùm in religionis nostræ contumelia, quam ipsi sciunt immeritò se iniustis atque illicitis odiis prosequi. Vestrum enim imperium omnibus ex æquo consulens, & beneuolentiam mutuam subditorum alit, & obsistit odiis. Has iniurias, Agrippa præstantissime, rogamus vt à nobis prohibeas, vtque in posterum quoque detur nostris viuere moribus, quemadmodum antea, nec aduersariis plus in nos liceat, quàm nobis in illos. Id enim non solùm iustum est, sed concessum etiam vestra clementia: & extant de hac re multa senatusconsulta, in Capitolio æreis tabulis consecrata, quæ hodiéque leguntur, dubio procul propter expertam nostram fidem atque beneuolentiam, & alioqui sacrosancta etiamsi nullum præcessisset meritum: quandoquidem non solis nobis, sed fermè omnibus mortalibus, adeò nihil de pristinis beneficiis detrahitis, vt ea potius indies præter omnem spē reddatis cumulatiora: quæ quidem omnia percensere præsentis temporis angustia non patitur. Sed ne vanè iactare videamur nostra officia, omissis præteritis, satis testari potest vel rex noster qui tibi assidet. quod enim ille beneuolentiæ aut officij genus familiæ vestræ nō exhibuit? vbi fides eius desiderata est? quod non in honorem vestrum excogitauit? ad quā necessitatem non primus præsto affuit? Quid igitur prohibet nos quoque nonnihil gratiæ pro huius meritis accipere? Nec prætereunda est patris huius Antipatri fortitudo, qui bello quod Cæsar in Ægypto gessit cum MM. militū auxiliariorum affuit: in quo ita se gessit, vt tam terrestribus quàm naualibus præliis nulli virtute cederet. nec libet commemorare quantum tūc rebus eius momentum attulerit, qualibus ac quantis ab eo muneribus auctus sit: cùm potius à principio adducere debuerim literas, quas ea de re Imperator scripsit senatui, quibus à populo Romano honores & ius ciuitatis impetrauit Antipatro. poterat enim hoc solum argumentum sufficere ad declarandum non immeritò nos dignatos tanta gratia, & à te confirmationem eius petere: à quo vel nouam sperare debuimus, videntes tantùm tibi cum rege nostro amicitiam intercedere: quandoquidem & à Iudæam habitantibus renunciatum est nobis, quantum victimarum obtuleris Deo, quibúsve votis illum honoraueris: vtque populum epulo exceperis, & mutuis hospitalitatis officiis delectatus sis: quæ quidem omnia debent argumenta haberi amicitiæ Iudæorum gentis & tanti Romanorum principis, confirmatæ coram ipsis Herodis penatibus. Per hæc te obtestamur in ipsius regis pręsentia, nihil aliud quàm vt quæ ipsi concessistis Iudæorum generi, aliorum fraude intercipi non patiamini. His Nicolai verbis nemo Grę-cœrum se opposuit: quia non de iure contendebatur apud iudices, sed supplicatio tantùm offerebatur iniuriam deprecans. Nec illi inficiabantur, sed hoc solum facto prætexebant, quòd onerosi sibi essent inquilini Iudæi.

εια, καὶ πραγματείας ἄλλας, οὐ κατὰ χρείαν τῶν συναλλαγμάτων, ἀλλὰ κατ' ἐπήρειαν τῆς θρησκείας, ἣν καὶ συνίσασιν ἡμῖν, μῖσος οὐ δίκαιον οὐδ' αὐτεξούσιον αὐτοῖς πεποιθότες. ἡ γὰρ ὑμετέρα κατὰ πάντων ἀρχὴ γενομένη μία, τὴν μὲν εὔνοιαν ἐνεργὸν, τὴν δύσνοιαν ἀργὸν ποιεῖ τοῖς τοιοῦτον ἀντ' ἐκείνου προαιρουμένοις. ταῦτ' οὖν ἀξιοῦμεν ὦ μέγιστε Ἀγρίππα, μὴ κακῶς πάσχειν, μηδὲ ἐπηρεάζεσθαι μηδὲ κωλύεσθαι τοῖς ἔθεσι χρῆσθαι τοῖς ἡμετέροις, μηδ' ἀφαιρεῖσθαι τῶν ὄντων, μηδ' ἃ μὴ βιαζόμεθα τούτους, ὑπὸ τούτων βιάζεσθαι. καὶ γὰρ οὐ δίκαια μόνον ἐστὶν, ἀλλὰ καὶ ὑφ' ὑμῶν δεδομένα πρότερόν ἐστι, καὶ δυνάμεθα καὶ πολλὰ δόγματα τῆς συγκλήτου, καὶ τὰς ἐν τῷ καπετωλίῳ κειμένας δέλτους, ὑπὲρ τούτων ἀναγινώσκειν. ἃ δῆλον μὲν ὡς μετὰ πεῖραν τῆς ἡμετέρας εἰς ὑμᾶς πίστεως ἐδόθη, κύρια δὲ κἂν εἰ μηδενὸς ὑπάρξαντος ἐχαρίσασθε. σχεδὸν γὰρ οὐ μόνοις ἡμῖν, ἀλλὰ πᾶσιν ἀνθρώποις, τὰ μὲν ὄντα ἐφυλάξατε, μείζω δὲ τῶν ἐλπισθέντων προσθέντες, εὐεργετεῖτε τῷ κρατεῖν. καὶ δύναιτ' ἄν τις ἐπεξιὼν τὰς ἑκάστων εὐτυχίας, ἃς δι' ὑμῶν ἔχουσιν, ἀπερίληπτον ποιῆσαι τὸν λόγον. ἵνα μέν τοι καὶ δικαίως ἁπάντων αὐτῶν τυγχάνοντας ἑαυτοὺς ἐπιδείξωμεν, ἀρκεῖ πρὸς παρρησίαν ἡμῖν τὰ πρότερον σιωπήσασιν τὸν βασιλεύοντα νῦν ἡμῶν, καὶ σοὶ παρακαθεζόμενον εἰπεῖν. ὁποία μὲν εὔνοια πρὸς τὸν ὑμέτερον οἶκον παραλέλειπται; ποία δὲ πίστις ἐνδεής ἐστιν; τίς δ' οὐ νενόηται τιμή; ποία δὲ χρεία μὴ εἰς πρῶτον ὁρᾷ; τί δὴ κωλύει, καὶ τὰς ἡμετέρας χάριτας τῶν εἰς τοσοῦτον εὐεργεσιῶν ἀριθμὸν εἶναι. δίκαιον δ' ἴσως μηδὲ τὴν τοῦ πατρὸς Ἀντιπάτρου παραλιπεῖν ἀνδραγαθίαν ἀμνημόνευτον, ὃς Αἴγυπτον εἰσβεβληκότος Καίσαρος δισχιλίοις ὁπλίταις βοηθήσας, οὔτ' ἐν τοῖς κατὰ γῆν ἀγῶσιν, οὔθ' ὅτε νεῶν ἔδει δεύτερος ἐξητάζετο. καὶ τί δεῖ λέγειν ὅσην ἐκεῖνοι παρεῖχον ῥοπὴν τῷ τότε καιρῷ, καὶ πόσων καὶ τινῶν δωρεῶν ὑπὸ Καίσαρος ἠξιώθησαν; ἄνωθεν δέον ὑπομνῆσαι τῶν ἐπιστολῶν, ἃς ἔγραψε τότε Καῖσαρ τῇ συγκλήτῳ, καὶ ὡς δημοσίᾳ τιμὰς καὶ πολιτείαν ἔλαβεν Ἀντίπατρος. ἀρκέσει γὰρ ταῦτα τεκμήρια τοῦ καὶ τὰς χάριτας ἡμᾶς κατ' ἀξίαν ἔχειν, καὶ παρὰ σοῦ τὸ βέβαιον αὐτῶν αἰτεῖν, παρ' οὗ καὶ πρότερον μὴ δοθείσης ἦν ἐλπίσαι, τὴν τοῦ βασιλέως πρὸς ὑμᾶς διάθεσιν καὶ τὴν ὑμετέραν πρὸς αὐτὸν ὁρῶσιν. ἀπαγγέλλεται δὲ ἡμῖν ὑπὸ τῶν ἐκεῖ Ἰουδαίων ὡς μὲν ἐπέβης τῆς χώρας εὐμενής, ὡς δὲ ἀπέδωκας τῷ θεῷ τέλεια θύματα, τιμῶν αὐτὸν ἐπιτελείαις εὐχαῖς, ὡς δὲ τὸν δῆμον ἑστιάσας, καὶ τὰ παρ' ἐκείνου ξένια προσήκω. ταῦτα γὰρ πάντα καὶ ἔθνει καὶ πόλει πρὸς ἄνδρα τοσούτων ἐπιστατοῦντα πραγμάτων δεξιώματα, καὶ σύμβολα φιλίας χρὴ δοκεῖν, ἣν ἀπέδωκας τῷ Ἰουδαίων ἔθνει, τῆς Ἡρώδου προξενούσης αὐτὴν ἑστίας. τούτων ὑπομιμνήσκοντές σε, καὶ αὐτοῦ τοῦ παρόντος καὶ συγκαθεζομένου βασιλέως, ἠξιώκαμεν περιττὸν οὐδὲν, ἃ δ' αὐτοὶ δεδώκατε, ταῦθ' ὑπ' ἄλλων μὴ περιιδεῖν ἀφαιρουμένους. τοιαῦτα δὲ τοῦ Νικολάου διελθόντος, ἐγένετο μὲν οὐδεμία τῶν Ἑλλήνων ἀντικατάστασις. οὐδὲ γὰρ ὡς ἐν δικαστηρίῳ, περὶ τῶν προκειμένων διελάμβανον, ἀλλ' ἡ ἔντευξις ὧν ἐβιάζοντο. κἀκείνων ἀπολογία μὲν οὐδεμία, τοῦ μὴ ταῦτα ποιεῖν. πρόφασις δὲ ὡς τὴν χώραν αὐτῶν νεμόμενοι, πάντα νῦν ἀδικοῖεν.

οἱ δὲ

οἱ δὲ εὐγενεῖς τε αὐτοὺς ἐδείκνυσαν, κἂν τῷ τὰ οἰκεῖα A τιμᾶν, μηδὲν λυποῦντες οἰκεῖν.

Κεφάλαιον ε΄.

Ὡς Ἡρώδης εἰς Ἰουδαίαν ὑπέστρεψεν.

Συνιδὼν οὖν Ἀγρίππας βιαζομένους, ἀπεκρίνατο ταῦτα, διὰ μὲν τὴν Ἡρώδου πρὸς αὐτὸν εὔνοιαν τε καὶ φιλίαν, ἕτοιμος εἶναι πᾶν ὁποιοῦν χαρίζεσθαι Ἰουδαίοις ἀξιοῦσιν, καὶ καθ' αὑτὰ δὲ δίκαια δοκεῖν, ὡς εἰ μὲν ἐδέοντο καὶ πλειόνων, οὐκ ἂν ὀκνῆσαι, τάγε μὴ λυποῦντα τὴν Ῥωμαίων ἀρχὴν παρασχεῖν. ἐπεὶ δὲ ἃ καὶ B πρότερον εἰλήφασιν ἄκυρα μὴ γενέσθαι, βεβαιοῦν αὐτοῖς ἀνεπηρεάστοις ἐν τοῖς οἰκείοις διατελεῖν ἔθεσι. τοιαῦτα εἰπὼν, διέλυσεν τὸν σύλλογον. Ἡρώδης δὲ προσιὼν κατησπάζετο, καὶ τῆς πρὸς αὐτὸν διαθέσεως ὡμολόγει χάριν. ὁ δὲ καὶ εἰς ταῦτα φιλοφρονούμενος, ἴσον αὐτὴν παρεῖχεν ἀντεμπλεκόμενος, καὶ κατασπαζόμενος. καὶ τότε μὲν ἀνεχώρησεν ἀπὸ Λέσβου. πλεῖν δὲ ὁ βασιλεὺς ἐπ' οἴκου διέγνω, καὶ τὸν Ἀγρίππαν παραιτησάμενος C ἀνήχθη. καταίρεται δὲ εἰς Καισάρειαν, οὐ πολλαῖς ὕστερον ἡμέραις πνευμάτων ἐπιτηδείων τυχών. κἀκεῖθεν ἐλθὼν εἰς Ἱεροσόλυμα, συνήγαγεν ἐκκλησίαν πάνδημον. ἦν δὲ πολὺς καὶ τῆς χώρας ὄχλος. ὁ δὲ παρελθὼν, ἀπολογισμόν τε τῆς ὅλης ἀποδημίας ἐποιήσατο, καὶ τὰ περὶ τοὺς Ἰουδαίους ὅσοι κατὰ τὴν Ἀσίαν ἦσαν, ὡς δι' αὐτὸν ἀνεπηρεάστως εἰς τὸ λοιπὸν ἕξουσιν, διηγήσατό τε σύμπαν ἐπὶ ταῖς εὐτυχίαις, καὶ τῇ διοικήσει τῆς ἀρ- D χῆς, ὡς οὐδενὸς παραλείποιτο τῶν ἐκείνοις συμφερόντων, ἀγαλλόμενός τε τὸ τέταρτον τῶν φόρων ἀφίησιν αὐτοῖς τοῦ παρεληλυθότος ἔτους. οἱ δὲ καὶ τῇ χάριτι, καὶ τῷ λόγῳ δεδημαγωγημένοι, μετὰ πλείστης ἀπῄεσαν χαρᾶς, πολλὰ ἀγαθὰ συνευχόμενοι τῷ βασιλεῖ.

Κεφάλαιον ϛ΄.

Ὡς ἐστασιάσθη τὰ περὶ τὴν οἰκίαν Ἡρώδου, προτιμῶντι μὲν Ἀντίπατρον τὸν πρεσβύτατον υἱὸν, χαλεπῶς δὲ τῶν περὶ Ἀλέξανδρον φερόντων τὴν ὕβριν. E

Προέβαινε δὲ ἀεὶ τὰ κατὰ τὴν στάσιν τῆς οἰκίας, καὶ χαλεπωτέραν ἐλάμβανε τὴν ἐπίδοσιν, ἀντιμεταλαβούσης μὲν ὥσπερ ἐκ κληρονομίας τὸ κατὰ τῶν νεανίσκων μῖσος τῆς Σαλώμης, καὶ πᾶν ὅσον εὐδοκιμήκει κατὰ τῆς μητρὸς αὐτῶν εἰς ἐπίνοιαν καὶ θράσους λαμβανούσης, μηδένα τῶν ἐξ ἐκείνης καταλιπεῖν, ὃς δυνήσαιτο τιμωρῆσαι τῷ θανάτῳ τῆς ἀνῃρημένης. ἐχόντων δέ τι καὶ τῶν νεανίσκων θρασὺ καὶ δύσνουν εἰς τὸν F γεγεννηκότα, μνήμη τε τῆς μητρὸς οἷα πάθοι παρὰ τὴν ἀξίαν, καὶ τῇ τοῦ κρατεῖν ἐπιθυμίᾳ, πάλιν τε τὸ κακὸν ὅμοιον ἐγεγόνει τοῖς πρώτοις, βλασφημίαι μὲν ἐξ ἐκείνων εἴς τε τὴν Σαλώμην, καὶ τὸν Φερώραν, κακοήθειαι δὲ τούτων εἰς τὰ μειράκια, καὶ μετὰ πραγματείας ἐπιβουλή. τὸ μὲν γὰρ μῖσος ἴσον ἦν ἐξ ἀλλήλων, ὁ δὲ τρόπος τοῦ μισεῖν οὐχ ὅμοιος. ἀλλ' οἱ μὲν ἐν τῷ φανερῷ λοιδορηθῆναι, καὶ προσονειδίσαι προπετεῖς εὐγενεῖς ὑπὸ τῆς ἀπειρίας οἰόμενοι τὸ τῆς ὀργῆς ἀνυπόστο- G λον. οἱ δὲ οὐ τοιοῦτον τρόπον, ἀλλὰ πραγματικῶς, καὶ κακοήθως ἐχρῶντο ταῖς διαβολαῖς, προσέλκοντες ἀεὶ τὰ μειράκια, καὶ τὸ θρασὺ καταλογιζόμενοι βίαιον ἔσεσθαι πρὸς τὸν γεγεννηκότα. τὸ γὰρ οὐκ αἰδεῖσθαι ταῖς τῆς μητρὸς ἁμαρτίαις, οὐδ' οἴεσθαι δίκαια παθεῖν, ἐκείνην, ἄχετον εἶναι πρὸς τὸ μὴ τὸν αἴτιον δοκοῦντα τιμωρήσεσθαι καὶ δι' αὐτοχειρίας. τέλος οὖν ἀνεπλήσθη

At illi & ingenuos ciues se approbauerunt, & sine cuiusquam iniuria patriis legibus viuere.

CAP. V.

Herodes in Iudæam reuertitur.

Qvamobrem Agrippa intellecto quòd vim paterentur, sic respondit: se non solùm propter Herodem amicum illis gratificari paratum, sed etiam quia æquum postulare videantur. quare etiamsi plura petiissent, concessurum se fuisse quicquid saluis populi Rom. commodis concedi posset: nunc quia id tantùm postulent, vt quæ priùs concessa sint rata maneant, confirmaturum se populi Romani beneficium, & daturum operam ne quis illis molestus sit amplius, iuxta instituta patria viuentibus. Hæc locutus dimisit conuentum. Tum Herodes assurgens ei gratias egit omnium nomine. Deinde post mutuos complexus vale dicto à Lesbo digressi sunt. Rex igitur paucis pòst diebus secunda nauigatione vsus Cæsaream appulit, & inde Hierosolyma petiit: ibi aduocata in concionem tam vrbana multitudine, quàm reliquis Iudæis qui tum fortè aderant, rationem eis suæ peregrinationis exposuit, & impetratam immunitatem Iudæis per Asiã degentibus. Commemorauit deinde quãtum felicitatis eis suus principatus attulisset, dum ipse nihil magis curaret, quàm ne quid deesset subditis: & quo magis eos exhilararet, professus est quartam tributorum partem se remittere. Illi verò simul oratione, simúlque munificentia regis deliniti, cum maxima lætitia discesserunt, omnia fausta regi comprecati.

CAP. VI.

Domesticum dissidium inter Herodem & filios.

III. Interim domesticum dissidium indies augebatur, Salome tanquam hæreditario odio adolescentes prosequente, atque ex præterito facinore quo matrem eorum oppresserat, audaciam assumente, & hoc agente ne quis superesset, qui posset vlcisci mortem immeritæ. Nec deerat occasio, quòd adolescentes non optimè erga patrem affecti viderentur, partim memoria materni interitus, partim dominandi cupidine. Rursum igitur vetera mala renouabantur, his in Salomen ac Pheroram conuitia iactantibus illis vicissim odia & insidias contra adolescentes exercẽtibus & cùm esset odium mutuum, non erat tamen simile: dum hi vel propter genus & mores ingenuos, vel propter ætatis imperitiam procaci lingua iram non dissimulant: illi contrà maleuolè ac astutè calumniis viam præstruunt, prouocantes adolescentum ferociam, quam mox erant apud patrem eorum in suspicionem vocaturi: voluntatem vindicandi maternam necem vel propria manu non deesse illis, hoc argumento colligẽtes, quòd nec puderet eos talis matris, & iniustè interfectã cõtẽderẽt. Itaq; fabula erat

totius ciuitatis, cunctis simplicitatem adolescentum miserantibus, nec cessante Salome occasiones verisimilis criminationis ex ipsis sumere: qui impatienter ferentes matris mortem, & iuueniliter contentiosi, non illius modò vicem, sed suam quoque sortem miserabantur, quòd necesse haberent cum infelicis parentis interfectoribus vitam degere, & se quodammodo contaminare illorum contubernio. atque huic dissidio magnum incrementum absentia regis addidit.

IIII. Qui postquam reuersus est, & concionem illam apud populum habuit, mox tum à Pherora tū à Salome est monitus, imminere magnum periculum ab adolescentibus palàm iactantibus non impunè laturos qui matrem interfecissent. his affinxerūt, Archelaum Cappadocem eis spem facere, quòd ope illius peruenturi sint ad Cæsarem, & patrem accusaturi. quibus auditis Herodes turbatus est, tanto magis quòd eadem & ab aliis renunciabantur: & per hęc anteactorum admonebatur, quòd propter domesticorum dissidia nec amicis nec dilectissima coniuge diu frui potuerit: futuráq; ex præteritis colligens, & maiorem aliquā calamitatem secuturam timens, planè confusus erat animo. Reuera enim quemadmodum foris supra spē fortuna vtebatur propitia, sic domi præter opinionem omnia malè cedebant; vt meritò ambigēdum sit, posśitne pensari tāta felicitate externa eius calamitas domestica, an satius esset carere ex æquo vtraque, & intra priuatam fortunam consistere. Dum talibus curis intra se fluctuat, visum est alium filium qui etiamnum priuatus erat accersere, comprimendísque adolescentum ferocibus animis illum opponere, & honoribus euehere: is dicebatur Antipater: nō quòd vellet sicut postea victus affectu nimio fecit, omnia in illum conferre, sed ratus se filios Mariamnes hoc pacto castigatiores redditurum, & minuendam eorum arrogantiam, si viderent non esse necesse vt sibi solis seruetur tanti regni successio. quapropter hunc quasi succedaneum in domum induxit, putans se iam prospexisse adolescentibus vt posito fastu tractabiliores se patri prębeant. sed longè aliter euenit. nam & illi factum hoc iniuriam summam interpretabātur: & Antipater tali erat ingenio, vt præter spem nactus ampliorem libertatem, in hoc omni ope incumberet, ne fratribus primo loco apud patrem cederet, & alienatum iam ab illis per calumnias, & propensum ad hoc, vt (quod iste vehementer cupiebat) infensior etiam indies fieret. Quamobrem nihil aliud cogitabat, hoc tantùm cauens, ne ipse videretur fratrum delator, sed per alios cōsiliorum socios rem ageret, qui neque suspecti essent regi, & fidem etiam propter amicitiam verbis suis possent adstruere. Iam enim complures ad hunc noua spe inflatum colendum se contulerant, & Herodem fucata specie beneuolentiæ

A πᾶσα ἡ πόλις τῶν τοιούτων λόγων, καὶ καθάπερ ἐν τοῖς ἀγωνίσμασιν, ἠλέητο μὲν ἡ τῶν μειρακίων ἀπειρία, κατίσχυε δὲ ἡ τῆς Σαλώμης ἐπιμέλεια, καὶ παρ' αὐτῶν ἐκείνων τὰς ἀφορμὰς τοῦ μὴ ψευδῆ λέγειν ἐλάμβανε. οἱ γὰρ οὕτως ἀχθόμενοι τῷ θανάτῳ τῆς μητρὸς, ἐπειδὴ κἀκείνην, καὶ σφᾶς αὐτοὺς κακῶς ἔλεγον, ἐφιλονείκουν. ἐλεεινὴν μὲν ὥσπερ ἦν ἀποφαίνειν τὴν καταστροφὴν τῆς μητρὸς, ἐλεεινοὺς δ' αὐτοὺς οἳ τῆς ἐκείνης φονεῦσιν ἀναγκάζονται συζῆν, καὶ τῶν αὐτῶν B μεταλαμβάνειν. ταῦτα προϊὼν μειζόνως ηὐξάνετο, ἐχούσης τῆς στάσεως ἐν ἀποδημίᾳ τοῦ βασιλέως. ὡς δ' ἐπανῆλθεν Ἡρώδης, καὶ τῷ πλήθει διελέξατο καθὼς προειρήκαμεν, προσέπιπτον εὐθὺς οἱ λόγοι, παρά τε τοῦ Φερώρα, καὶ τῆς Σαλώμης μέγαν αὐτῷ τὸν κίνδυνον εἶναι, τὸν παρὰ τῶν νεανίσκων ἀναφανδὸν διαπειλουμένων, ὡς οὐκ ἀνέξονται μὴ τισάμενοι τῆς μητρὸς τὸν φόνον. προσετίθεσαν δέ τι καὶ ὡς ταῖς παρ' ἀρC χελάου τοῦ καππάδοκος ἐλπίσιν ἐπανέχοιεν, ὡς δι' ἐκείνου πρός τε Καίσαρα ἀφιξόμενοι, καὶ κατηγορήσοντες τοῦ πατρός. Ἡρώδης δὲ, τετάρακτο μὲν εὐθὺς ἀκούσας τοιούτων, ἐξεπέπληκτο δὲ μᾶλλον ἔτι καὶ τῶν ἄλλων τινὲς ἀπήγγελλον. καὶ ἀνέκαμπτε τῇ συμφορᾷ τὰ πρόσθεν ἀναλογιζόμενος, ὡς οὔτε τῶν φιλτάτων, οὔτε τῆς στεργομένης αὐτῷ γυναικὸς ὤνατο, διὰ τὰς ἐγγινομένας ταραχὰς κατὰ τὴν οἰκίαν. τό τε μέλλον τοῦ D προσπεπτωκότος ἤδη βαρὺ καὶ μεῖζον ἐκείνων ὑπολαμβάνων, ἐν συγχύσει τῆς ψυχῆς ἦν. τῷ γὰρ ὄντι πλεῖστα μὲν τῶν ἔξωθεν, καὶ παρ' ἐλπίδας εἰς εὐτυχίαν αὐτῷ τὸ δαιμόνιον προσετίθει. μέγιστα δὲ τῶν οἴκοι, καὶ μηδὲ προσδοκώμενα, δυστυχεῖν αὐτῷ συνέβαινεν, ἑκατέρου προσιόντος ὡς οὐκ ἄν τις ᾠήθη, καὶ παρέχοντος ἀμφήριστον τὴν ὑπερβολὴν, εἰ δέον τὴν τοσαύτην εὐτυχίαν τῶν ἔξωθεν πραγμάτων, ἀλλάξαι τῶν οἴκοι κακῶν, ἢ τοιοῦτο μέγεθος τῶν περὶ E τοὺς οἰκείους συμφορῶν διαφυγεῖν ἐν τῷ μηδὲ τὰ βασίλεια θαυμαζόμενα κτήσασθαι. ταρασσόμενος δὲ καὶ διακείμενος τὸν τρόπον τοῦτον ἐπὶ καθαιρέσει τῶν μειρακίων, ἕτερον αὐτῷ γενόμενον ἰδιώτῃ ὄντι παῖδα προσήγετο, καὶ τοῦτον ἐδόκει τιμᾶν. ἐκαλεῖτο δὲ Ἀντίπατρος. οὐχ ὥσπερ ἐν ὑστέρῳ καὶ τελέως ἡττηθεὶς αὐτοῦ, καὶ πάντ' εἰς ἐκεῖνον ἀναφέρων, οἰόμενος δὲ περιαιρεῖσθαι τοῦ θράσους τοὺς ἐκ Μαριάμμης, καὶ μᾶλF λον εἰς νουθεσίαν τὴν ἐκείνων οἰκοδομεῖν αὐτόν. τὸ γὰρ αὔθαδες οὐκ ἂν εἴη παρ' αὐτοῖς εἰ τοῦτο πεισθεῖεν, ὅτι μὴ μόνοις, μηδὲ ἐξ ἀνάγκης ἡ διαδοχὴ τῆς βασιλείας ὀφείλεται. διὸ καὶ καθάπερ ἔφεδρον τινὰ τὸν Ἀντίπατρον εἰσήγαγεν, οἰόμενος ὀρθῶς προνοεῖν, καὶ καταστελλόντων τῶν μειρακίων ἐξεῖναι εὐκαίρως χρῆσθαι βελτίοσιν. τὸ δ' οὐχ ὥσπερ ἐνόησεν ἀπέβη. τοῖς τε γὰρ παισὶν οὐ μετρίως ἐδόκει κεχρῆσθαι τῇ πρὸς αὐτοὺς ἐπηρείᾳ, καὶ δεινὸς ὢν τὸν τρόπον Ἀντίπατρος, ἐπειG δὴ παρρησίας τινὸς τῆς οὐ πρότερον οὔσης ἐλπίδος ἀντεποιήσατο, μίαν εἶχεν ὑπόθεσιν κακοῦ, τοῖς ἀδελφοῖς μὴ παραχωρεῖν τῶν πρωτείων, ἀλλ' ἐνέχεσθαι τοῦ πατρὸς, ἤδη μὲν ἠλλοτριωμένου ταῖς διαβολαῖς, εὐμεταχειρίστου δ' ὄντος εἰς ὅπερ ἐσπουδάκει πολὺ χαλεπώτερον ἀεὶ γενέσθαι τοῖς διαβεβλημένοις. ἦσαν οὖν οὗτοι παρ' αὐτοῦ μόνου οἱ λόγοι, φυλαττομένου δι' αὐτοῦ δόξαι τὰ τοιαῦτα καταμηνύειν, ἀλλὰ μᾶλλον ἐχρῆτο συνεργοῖς τοῖς ἀνυπόπτοις, καὶ διὰ τὴν εὔνοιαν τῆς πρὸς τὸν βασιλέα πιστευθησομένοις αὐτὸ ποιεῖν. ἤδη δὲ πλείους γεγόνεισαν οἱ κἀκεῖνον ἐφ' οἷς ἠλπίκει θεραπεύοντες, καὶ τὸν Ἡρώδην ἐκ τοῦ δοκεῖν κατ' εὔνοιαν

τὰ τοιαῦ-

τὰ τοιαῦτα λέγειν ὑπαγόμενοι. καὶ τούτων πολυπραγμόνως καὶ πιστῶς ἀλλήλοις συναγωνιζομένων, ἔτι καὶ μᾶλλον αἱ παρὰ τῶν μειρακίων ἀφορμαὶ προσεγίνοντο. καὶ γὰρ τὰ δάκρυα πολλάκις ἦν κατ' ἐπήρειαν ὧν ἠτιμάζοντο, καὶ τῆς μητρὸς ἀνάκλησις, καὶ τὸν πατέρα φανερῶς ἤδη πρὸς τοὺς φίλους οὐ δίκαιον ἐλέγχειν ἐπειρῶντο. ἅπερ ἅπαντα κακοήθως ὑπὸ τῶν περὶ τὸν Ἀντίπατρον καιροφυλακτούμενα, καὶ μειζόνως πρὸς τὸν Ἡρώδην ἐξαγγελλόμενα, προὔβαινεν οὐ μικρὰν ἀπεργαζόμενα τὴν τῆς οἰκίας στάσιν. ἀχθόμενος γὰρ ὁ βασιλεὺς ταῖς διαβολαῖς, καὶ ταπεινῶσαι βουλόμενος τοὺς ἐκ τῆς Μαριάμμης, μείζονα ἀεὶ πρὸς τιμὴν Ἀντιπάτρῳ παρεῖχε. καὶ τέλος ἡττηθεὶς ἐπεισήγαγε τὴν ἐκείνου μητέρα. καίσαρι δὲ πολλάκις γράφων ὑπὲρ αὐτοῦ καὶ ἰδίᾳ συνίστη προθυμότερον. ἀγρίππᾳ μὲν οὖν ἀπιόντι εἰς τὴν ῥώμην, μετὰ τὴν διοίκησιν τῶν ἐπὶ τῆς ἀσίας δεκαετῆ γεγενημένην, πλεύσας ἀπὸ τῆς ἰουδαίας, καὶ συντυγχάνων μόνον τε τὸν ἀντίπατρον ἐπηγάγετο, καὶ παρέδωκεν εἰς ῥώμην ἀνάγειν μετὰ πολλῶν δώρων, καίσαρι φίλον ἐσόμενον, ὥς τε ἤδη πάντα δοκεῖν ἐπ' ἐκείνῳ, καὶ παρεῶσθαι παντάπασιν ἐκ τῆς ἀρχῆς τὰ μειράκια.

captabant: cúmque per multas eásque inter se fidas personas hæc ageretur fabula, adolescentes magis etiam quàm antè occasionem illis præbebant. nã & lacrymæ sæpe eis prorumpebant, non ferentibus iniurias ac contumelias, & matrem interdum inuocabant, patrémque iam apertè vt parum æquum amicis incusabant. quæ omnia malitiosè ab Antipatri coniuratis obseruabantur, móxque affingentes etiam nonnihil Herodi renunciabant, fouentes domesticum dissidium. Rex enim ægrè hæc ferens, & volens humiliare Mariamnes filios, maioribus semper Antipatrum augebat honoribus: cuius precibus postremò victus, matrem eius in regiam induxit. Cæsari etiam sæpè pro eo scribens, priuatim hunc diligentiùs commendabat: & cùm nauigaret ad salutandum Agrippam, post decennalem administrationem Asia decessurum, solum ex filiis Antipatrum secum duxit: quem ei cum multis muneribus tradidit Romam ducendum, & recipiendum in Cæsaris amicitiam: vt iam viderentur omnia per hunc agi, protrusis à principatu adolescentibus.

Κεφάλαιον ζ'.

Ὡς ἀντιπάτρου διατρίβοντος ἐν ῥώμῃ τοὺς περὶ ἀλέξανδρον ἡρώδης ἄγων ἐπὶ καίσαρος αὐτῶν κατηγόρησεν.

Πρὸς μὲν οὖν τιμήν, καὶ τὸ πρωτεύειν ἐδόκει ἀντιπάτρῳ προὐχώρει τὰ κατὰ τὴν ἀποδημίαν. καὶ γὰρ ἐν τῇ ῥώμῃ πᾶσιν ἐπεσταλκότος ἡρώδου, τοῖς φίλοις διάσημος ἦν. ἤχθετο δὲ τῷ μὴ παρεῖναι μηδὲ ἔχειν ἐξ ὑπαρχῆς διαβάλλειν ἀεὶ τοὺς ἀδελφούς, καὶ μᾶλλον ἐδεδοίκει μεταβολὴν τοῦ πατρὸς ἐπὶ καὶ καθ' αὑτὸν ἀξ. ὥσπερ ἐπιεικέστερον εἰς τοὺς ἐκ τῆς μαριάμμης φρονεῖν. ταῦτα δὲ διανοίας ἔχων, οὐκ ἀφίστατο τῆς ἑαυτοῦ προαιρέσεως, ἀλλὰ κἀκεῖθεν ἐπεὶ ἀνιάσειν τι καὶ παροξυνεῖν ἤλπιζε τὸν πατέρα κατὰ τῶν ἀδελφῶν, συνεχῶς ἐπέστελλεν. προφάσει μέν, ὡς ὑπεραγωνιῶν αὐτοῦ. τὸ δὲ ἀληθές, ἀφ' ἧς εἶχεν ἐν φύσει κακοηθείας, τὴν ἐλπίδα μεγάλην καθ' ἑαυτὸν οὖσαν ἐμπορευόμενος, ἕως εἰς τοῦτο προήγαγε τὸν ἡρώδην ὀργῆς καὶ δυσφημίας, ὡς ἤδη μὲν ἔχειν δυσμενῶς τοῖς μειρακίοις. ἐν δὲ τῷ κατοκνεῖν εἰς τοιοῦτον ἐκβῆναι πάθος, ὡς μήτ' ἀμελῶν, μήτ' ἐκ προπετείας ἁμαρτάνοι, κρεῖττον ἡγήσατο πλεύσας εἰς ῥώμην, ἐκεῖ τῶν παίδων κατηγορεῖν παρὰ καίσαρι, ὡς μηδὲν αὐτῷ τοιοῦτον ἐμβαίνῃ πάθος, ὃ καὶ διὰ μέγεθος τῆς ἀσεβείας ὕποπτον ἦν. ὡς δὲ ἀνῆλθεν εἰς τὴν ῥώμην ἐλαύνετο μὲν μέχρι τῆς ἀκυλίας πόλεως καίσαρι συντυχεῖν ἐπειγόμενος. ἐλθὼν δ' εἰς λόγους, καὶ καιρὸν αἰτησάμενος ἐπὶ μεγάλοις οἷς ἐδόκει δυστυχεῖν, παρεστήσατο μὲν τοὺς παῖδας, ᾐτιᾶτο δὲ τῆς ἀπονοίας, καὶ τῆς ἐπιχειρήσεως, ὡς ἐχθρὸς ἔχουσιν ἅπαντα τρόπον ἐσπουδακότες μισεῖν τὸν ἑαυτῶν πατέρα, καὶ μεταχειρίσασθαι τὴν βασιλείαν ὠμοτάτῳ τρόπῳ παραλαβεῖν. ὁ δ' οὐδὲ θνήσκων ἐξ ἀνάγκης μᾶλλον ἢ κρίσει παραδοῦναι τῷ διαμείναντι πρὸς αὐτὸν εὐσεβεστέρῳ παρὰ καίσαρος ἐξουσίαν ἔχοι. τοῖς δ' οὐχ ὑπὲρ τῆς ἀρχῆς τὸ πλέον, ἀλλ' εἰ καὶ ταύτης στεροῖντο καὶ τοῦ ζῆν ἔλαττον λόγος, εἰ μόνον ἀποκτεῖναι τὸν πατέρα δυνηθεῖεν. οὕτως ἄγριόν τι καὶ μιαρὸν ἐμπεπτωκέναι ταῖς ψυχαῖς αὐτῶν μῖσος. καὶ ταύτην τὴν ἀτυχίαν αὐτὸς ἐκ μακροῦ φέρων ἀναγκασθῆναι

CAP. VII.

Antipatro Romæ degente Herodes Alexandrum & fratrem adductos ad Cæsarem accusat.

EA peregrinatio non mediocriter Antipatro profuit ad honorem & primatum inter regios liberos. Illustris enim factus est Romæ, paternis literis commendatus amicis omnibus. Vnum molestè ferebat, quòd non poterat fratres continuis vexare calumniis, & verebatur ne patris animus mutatus, æquiorem se præberet erga Mariamnes filios. Hæc assiduè cogitans non desistebat à proposito: & absens quoque per literas exacerbabat patrem in eos, quasi de incolumitate ipsius solicitus, sed reuera ad speratam regni successionem malis artibus viam sibi præmuniens: donec ad tantam iram Herodem perduxit, vt inimicus esset adolescentibus. Sed cùm repugnaret huic affectui, timerétque ne quid per iram ageret temerè, decreuit Romam nauigare, & ibi filios accusare apud Cæsarem, ne propter indignationem videretur parum pius erga filios. quò postquam peruenit, non inuentum ibi Cæsarem Aquileiam vsque persecutus est: & cùm venisset in colloquium, rogassétque vt de infortunio suo vellet cognoscere, adductos coràm filios accusauit insolentiæ tentatíque veneficij, conquerens eò processisse illorum odia, vt per immane facinus paterno regno potiri cuperent: cùm sibi per Cæsarem libera potestas permissa sit relinquendi eum successorem, qui in pietate erga patrem sit constantior: illos verò etiamsi principatus non accedat, cõtentos esse patris exitio, idque etiam cum suæ vitæ periculo quærere: tam immane ac scelestũ odium inueteratũ esse in eorũ animis. Eá calamitatem diu toleratam nunc demum se cogi

aperire Cæsari, & aures eius talibus inquinare sermonibus. & quo tandem suo merito? quáve iniuria? aut quomodo eos æquùm putare, vt quem ipse principatum longo tempore per multa pericula quæsisset, eius non sinant esse dominum, nec liberam potestatem permittant relinquendi eius cuicunque per pietatem hunc honorem pro merito, vt ad hoc præmium spectantibus maior fiat de pietatis officiis contentio: maximè cùm saluo naturæ iure ne fas quidem sit illis cogitare tale aliquid. neminem enim posse affectare parentis regnum, nisi qui eiusdē optet interitum, quandoquidem viuo non detur succedere. Se quidem nihil passum illis deesse eorum quę regiis liberis ab amantissimo patre præstari conueniat, non ornamenta, non ministerium, non delicias, coniugia quoque procurasse illustrissima, alteri suæ sororis. alteri Alexandro Archelai regis filia collocata. Et quod maximum sit, ne post talia quidem ausa patria se potestate in eos vsum, sed ad communem benefactorem Cæsarem adduxisse, & decedentem ex iure vel patris violati, vel regis per insidias appetiti, ex æquo se cum eis apud talem arbitrum disceptare, rogare tamen ne impune sit illis tantum facinus, néve ipse cogatur in perpetuo metu vitam degere: quando ne illis quidem expediat post tam nefarios conatus solem inspicere, & impunitatem auferre post proculcata pietatis ac humanitatis iura omnia. Hæc crimina postquam Herodes magna vehementia filiis obiecit coram Cæsare, adolescentes qui ne loquente quidem illo continere lacrymas poterant, tum verò perorata causa toti in fletus effusi sunt, nullius quidem tantæ impietatis sibi conscij, grauem tamen accusatorem patrem sustinentes: quòd neque decorum esset contra eum liberè dicere, neque tutum causam suam deserere. Quamobrem hærebant ancipites lacrymis ac gemitibus miserationem sibi quærentes, & hoc ipso soliciti, ne viderentur perturbante conscientia, defensionem sui expedire non posse, cùm potius iuuenili imperitia & consternatione impedirentur: quod tamen Cæsaris prudentiam non latuit. adeóque omnium quotquot aderant mouebant misericordiam, vt ne pater quidem accusator immotus hoc affectu perdurare potuerit.

Cap. VIII.

Alexandri defensio & cum parente reconciliatio.

TVm iuuenes vbi obseruauerunt & illum iam flecti & Cæsarem, cæterósque partim condolentes sibi, partim etiam non temperantes à lacrymis, alter illorum Alexander versa ad ipsum patrem oratione, sic aggressus est obiecta diluere: Pater, quàm beneuolo sis erga nos animo, satis declarat hoc ipsum iudicium. Si enim aliquid triste de nobis statuisses, nunquam ad omnium seruatorem nos adduxisses. poteras enim vel pro regia, vel pro patria potestate insontes animaduertere. cæterùm adducere nos Romam, & hunc testem ac arbitrum facere, seruare volentis argumentum est. nemo enim

νῦν ἐξηγεῖσθαι καίσαρι, καὶ μιαίνειν αὐτοῦ τὰς ἀκοὰς τοιούτοις λόγοις. καίτοι τί μὲν εἴπωσαν παθόντες ἐξ αὐτοῦ δυσχερές; ἐπὶ τίνι δὲ μέμφονται βαρύνονται; πῶς δὲ οἴονται καὶ δίκαιον ἣν αὐτὸς ἐκτήσατο πολλοῖς χρόνοις καὶ κινδύνοις ἀρχήν, ταύτης οὐκ ἐᾶν κύριον εἶναι, κρατεῖν τι, καὶ διδόναι τῷ κατ' ἀξίαν; ὡς τοῦτό γε μετὰ τῶν ἄλλων ἄθλων εὐσεβείας ἐκτίθεται τῷ μέλλοντι ποτὲ χρήσεσθαι τοιούτῳ τῆς ἐπιμελείας τε καὶ τῆς ἀμοιβῆς τοσῆσδε οὔσης ἐπιτυγχάνειν. ὅτι δὲ μηδὲ εὐσεβὲς αὐτοῖς ὑπὲρ τούτου πολυπραγμονεῖν, εὔδηλον. ὁ γὰρ ἀεί τι περὶ τῆς βασιλείας ἐνθυμούμενος, συγκαταλογίζεται τὸν θάνατον τοῦ γεγεννηκότος, μεθ' ὃν ἄλλως οὐκ ἔστιν τὴν ἀρχὴν παραλαβεῖν. αὐτὸς δὲ οὖσι βασιλευομένοις, καὶ βασιλέως παισὶν οὐχ ὑστέρησεν, μέχρι νῦν ἀποδιδούς, οὐ κόσμον, οὐχ ὑπηρεσίαν, οὐ τρυφήν, ἀλλὰ καὶ γάμους τοὺς ἐπισημοτάτους παρέχεσθαι, τῷ μὲν ἐκ τῆς ἀδελφῆς, ἀλεξάνδρῳ δὲ τὴν ἀρχελάου τοῦ βασιλέως θυγατέρα συνοικίσας. τὸ δὲ μέγιστον οὐδὲ ἐπὶ τοιούτοις ἣν εἶχεν ἐξουσίαν ταύτῃ κατ' αὐτῶν χρησάμενος, ἀγαγεῖν ἐπὶ τὸν κοινὸν εὐεργέτην καίσαρα, καὶ παρελόμενον αὐτοῦ πᾶν ὅσον ἢ πατὴρ ἀσεβούμενος ἢ βασιλεὺς ἐπιβουλευόμενος δύναται, κρίσεως ἰσοτιμίᾳ παρεστακέναι. δεῖσθαι μέντοι μὴ παντάπασιν αὐτὸν ἀτιμώρητον γενέσθαι, μηδὲ ἐν τοῖς μεγίστοις φόβοις καταζῆν, οὐδὲ ἐκείνοις λυσιτελοῦντος ἐφ' οἷς ἐνεθυμήθησαν ὁρᾶν τὸν ἥλιον, εἰ νῦν διαφεύγοιεν ἔργῳ μέγιστα τῶν ἀθεμιτείων καὶ δράσαντας καὶ πεισομένους. Ταῦτα ἡρώδης ἐμπαθῶς ᾐτιάσατο παρὰ καίσαρι τοὺς αὐτοῦ παῖδας. τῶν δὲ νεανίσκων ἤδη μὲν καὶ λέγοντος δάκρυα καὶ σύγχυσις ἦν, μᾶλλον δὲ ἐπεὶ κατέπαυσεν ἡρώδης τὸν λόγον. τὸ μὲν γὰρ ἔξω τῆς τοιαύτης ἀσεβείας γενέσθαι, τινὰ λόγον πιστὸν εἶδον ἐν τῷ συνειδότι, τὸ δὲ ἐκ τοῦ πατρὸς ἐπιφέρεσθαι τὰς διαβολάς, δυσαπολόγητον, ὥσπερ ἦν ἤδεσαν, οὐκ εὐσχημονοῦντος οὐδὲ τοῦ κατὰ παρρησίαν λόγου τοῦ πρὸς τὸν καιρόν, εἰ μέλλοιεν ἐκ βίας ἀεὶ καὶ κατὰ σπουδὴν ἐλέγχειν πεπλανημένον. ἦν οὖν ἀπορία τοῦ δύνασθαι λέγειν, καὶ δάκρυα, καὶ τέλος οἰμωγὴ συμπαθεστέρα, δεδοικότων μὲν εἰ δόξουσιν ἐκ τοῦ συνειδότος ἠπορῆσθαι, ῥᾳδίαν δὲ οὐχ εὑρισκομένων τὴν ἀπολογίαν ὑπὸ νεότητος καὶ ταραχῆς ἧς ἐπεπόνθησαν. οὐ μὴν ὅγε καῖσαρ ἐπιβλέπων αὐτοὺς ὡς εἶχον ἀσύνετον ἐποιεῖτο τὸ μὴ κατὰ συνείδησιν ἀτοπώτερον, ἀλλὰ ἐξ ἀπειρίας, καὶ μετριότητος ὀκνεῖν. ἐλεεινοί τε ἐγεγόνεσαν τοῖς παροῦσιν ἰδίᾳ, καὶ τὸν πατέρα διεκίνησαν ἀληθινῷ τι πάθει συνεχόμενον.

Κεφάλαιον η'.

Ἀλεξάνδρου ἀπολογία, καὶ διαλλαγαὶ πρὸς τὸν πατέρα.

ΕΠεὶ δὲ συνεῖδον εὐμενέστερόν τινα, καὶ παρ' ἐκείνῳ, καὶ παρὰ τῷ καίσαρος, καὶ τῶν ἄλλων δὲ ἕκαστον, τοὺς μὲν συνδακρύοντας, ἅπαντας δὲ συναλγοῦντας, θάτερος αὐτῶν ἀλέξανδρος, ἐπικαλεσάμενος αὐτὸν, ἐπεχείρει διαλύειν τὰς αἰτίας. καὶ πάτερ εἶπεν, ἡ μὲν σὴ πρὸς ἡμᾶς εὔνοια δήλη, καὶ παρ' αὐτὴν τὴν κρίσιν. οὐκ ἂν γὰρ εἴ τι δυσχερὲς ἐνενόεις ἐφ' ἡμῖν, ἐπὶ τὸν πάντα σώζοντα προήγαγες. καὶ γὰρ ἐξῆν, παρούσης μὲν ἐξουσίας ὡς βασιλεῖ, παρούσης δὲ ὡς πατρὶ τοὺς ἀδικοῦντας ἐπεξιέναι. τὸ δὲ εἰς ῥώμην ἄγειν, καὶ τοῦτον ποιεῖσθαι μάρτυρα, σώζοντος ἦν. οὐδεὶς γὰρ ἀπο-

ἀποκλείεται τινὰ προσαγόμενος, εἰς ἱερὰ καὶ ναοὺς ἄγει.
τὸ δ' ἡμέτερον ἤδη χεῖρον. οὐ γὰρ ἂν ὑπομείναιμεν ἔτι
ζῆν, εἰ τοιοῦτον ἠδικηκέναι πατέρα πεπιστεύμεθα. καὶ
μήποτε τοῦτο ἐκείνου χεῖρον, αἰτίῳ τοῦ τεθνάναι μηδὲν ἀ-
δικοῦντας, τὸ ζῆν ἀδικεῖν ὑποπτευομένους. εἰ μὲν ἐν
ὑμῖν ἐστι λόγον τῆς ἀληθείας ἡ παρρησία, μακάριον καὶ σὲ
πεῖσαι, καὶ τὸν κίνδυνον διαφυγεῖν. εἰ δ' οὕτως ἡ δια-
βολὴ κρατεῖ, περιττὸς ἡμῖν ὁ νῦν ἥλιος. ὃν τί δεῖ βλέ-
πειν μετὰ τῆς ὑποψίας; τὸ μὲν οὖν φαίη βασιλείας
ἐπιθυμεῖν, δυσχερὲς εἰς νέους αἰτία, καὶ τὸ προσθεῖναι
τὴν τῆς ἀθλίας μητρὸς ἱκανὸν ἐκ τῆς πρώτης τὴν νῦν
ἀτυχίαν ἐξεργάζεσθαι. βλέπε δὲ εἰ μὴ κοινὰ ταῦτα
καὶ πᾶσιν ὁμοίως λέγεσθαι δυνησόμενα. κωλύσει γὰρ
οὐδὲν τῷ βασιλεύοντι, παῖδες εἰ εἰσὶν νέοι καὶ μήτηρ
αὐτῶν ἀποθανοῦσα, πάντας ὑπόπτους εἶναι τοῦ πατρὸς
ἐπιβούλους δοκεῖν. ἀλλ' οὐ τὸ ὕποπτον πρὸς τοιαύ-
την ἀσέβειαν ἀρκετόν. εἰπάτω δή τις ἡμῖν εἰ τετόλμη-
ται τοιοῦτον, ᾧ καὶ τὰ μὴ πιστὰ πίστιν εἴωθεν ὑπὸ συν-
εργίας λαμβάνειν; φαρμάκου παρασκευὴν ἐλέγχειν
δύναταί τις, ἢ συνωμοσίαν ἡλικιωτῶν, ἢ διαφθορὰν
οἰκετῶν, ἢ γράμματα κατὰ σοῦ γεγραμμένα; καίτοι τού-
των ἕκαστον ἔσθ' ὅτε καὶ μὴ γινόμενον ἐκ διαβολῆς ἐ-
πλάσθη. χαλεπὸν γὰρ οὐχ ὁμονοοῦν οἶκος ἐν βασιλείᾳ
καὶ τὴν ἀρχὴν ἣν σὺ φῂς ἔπαθλον εὐσεβείας, συμβαίνει,
πολλάκις αἰτίαν γίνεσθαι τοῖς πονηροτάτοις ἐλπίδων,
δι' ἃς οὐδὲ μίαν ὑποστολὴν ποιοῦνται κακοηθείας. ἀδίκη-
μα μὲν οὖν, οὐδεὶς ἐρεῖ καθ' ἡμῶν. τὰς δὲ διαβολάς, πῶς
ἂν λύσειεν, ὁ ἀκούσαι μὴ θέλων; ἐλαλήσαμέν τι μετὰ
παρρησίας; οὐκ εἰς σέ, τοῦτο γὰρ ἦν ἄδικον, ἀλλ' εἰς τοὺς
οὐδ' ὅτι λελάληται μὴ σιωπῶντας. τὴν μητέρα τις
ἡμῶν ἔκλαυσεν; οὐχ ὅτι τέθνηκεν, ἀλλ' ὅτι καὶ νεκρὰ
κακῶς ἤκουσεν ὑπὸ τῶν οὐκ ἀξίων. ἀρχῆς ἐπιθυμοῦ-
μεν, ἧς εἴσμεν ἔχοντα τὸν πατέρα; τί καὶ θέλοντες; εἰ μὲν
εἰσὶν ἡμῖν τιμαὶ βασιλέων ὥσπερ εἰσίν, οὐ κενοσπουδοῦ-
μεν; εἰ δ' οὐκ εἰσίν, οὐκ ἐλπίζομεν; ἢ σὲ διαχειρισά-
μενοι κρατήσειν τὴν βασιλείαν προσεδοκήσαμεν, οἷς
οὔτε γῆ βάσιμος, οὔτε πλωτὴ θάλαττα μετὰ τοιοῦτον
ἔργον. ἡ δὲ τῶν ἀρχομένων εὐσέβεια, καὶ θρησκεία τοῦ παν-
τὸς ἔθνους, ἠνέσχετο ἂν πατροκτόνους ἐπὶ τῶν πραγμά-
των, καὶ εἰς τὸν ἁγιώτατον ὑπὸ σοῦ κατασκευασθέντα να-
ὸν εἰσιέναι; τί δ' εἰ καὶ τῶν ἄλλων καταφρονήσαιμεν, ἐ-
δύνατό τις φονεύσας, ἀτιμώρητος μένειν, ζῶντος
καίσαρος; οὔτ' ἀσεβεῖς οὕτως ἐγέννησας, οὔτε ἀλο-
γίστους, ἀτυχεστέρους δ' ἴσως ἢ σοὶ καλῶς εἶχεν. εἰ δὲ
μήτ' αἰτίας ἔχεις, μήτ' ἐπιβουλὰς εὑρίσκεις, τί σοι
πρὸς πίστιν αὐτάρκες τοιαύτης δυσσεβείας; ἡ μήτηρ
τέθνηκεν. ἀλλά τοι τὰ κατ' ἐκείνην, οὐ παροξύνειν ἡμᾶς
ἀλλὰ νουθετεῖν ἐδύνατο. πλείω μὲν ἀπολογεῖσθαι βου-
λόμεθα, λόγον δ' οὐκ ἐπιδέχεται τὰ μὴ γινόμενα,
διόπερ ἐπὶ τῷ πάντων δεσπότῃ καίσαρι μεσιτεύοντι
τὸν παρόντα καιρὸν, συντιθέμεθα ταύτην τὴν συνθήκην, εἰ
μὲν ἀνύποπτον ἐξ αὐτῆς τῆς ἀληθείας τὴν πρὸς ἡμᾶς διά-
θεσιν ἀπολαμβάνοις ὦ πάτερ ζήσωμεν, οὐδ' οὕτως μὲν
εὐτυχῶς. δεινὸν γὰρ τῶν μεγάλων κακῶν καὶ ψευδὴς αἰ-
τία. παρούσης δέ τινος ὀρρωδίας, σὺ μὲν ἐν τῇ κατὰ σαυτὸν
εὐσεβείᾳ μένε, δώσομεν δὲ λόγον ἡμεῖς ἑαυτοῖς. οὐχ οὕτως
ὁ βίος ἡμῖν τίμιος, ὡς ἔχειν αὐτὸν ἐπ' ἀδικίᾳ τοῦ δεδω-
κότος. τοιαῦτα δὲ λέγοντος, ὅ τε καῖσαρ οὐδὲ πρότερον

A ad fana ac templa adducit quem velit perdere:
quod sanè causam nostram aggrauat, qui quidem ipsi nos indignos vita censemus, si sustinenda sit læsæ erga talem parentem pietatis opinio. quanto enim satius mori innoxios, quã tanti sceleris suspectos viuere? Quare si veritati satis patrocinari poterimus, felices nos vel tuo iudicio, vel euaso discrimine. Quod si vincit calumnia, superuacaneum fuerit nos solem hunc cernere. quid enim hoc non amo-
B ta suspicione profuerit? Videtur quidem in nostram ætatem affectati regni crimen competere, & probabilius hoc facit infelicis matris calamitas. Sed vide obsecro, an non idem crimen in quemuis nostri similem torqueri possit. Nihil enim prohibet quicunque rex habeat liberos defunctæ matri superstites, eos in suspicionem vocare, quasi patri struant insidias. Sed suspicio non sufficit in impietatis crimine. age proferat qui potest argumentum
C tentati facinoris, quod aliquam fidem calumniæ valeat astruere. Potéstne quisquam indicare venenum paratum, aut coniurationem cum æqualibus, aut corruptos precio famulos, aut scriptas contra te literas? cùm tamen horum singula interdum de nihilo fingat calumnia. Grauis enim res est dissidens inter se regia: & spes principatus, quem tu ais pietatis præmium, sæpe ad nefarios conatus praua ingenia perpulit. Nos certè nullius facinoris conuin-
D ci possumus. calumnias autem refellere apud obturatas aures quî possumus? Sed liberius quasdam voces iecimus. At non in te pater, quod nefas esset, sed in eos qui quicquid audiunt, effutiunt. Matrem aliquis nostrum defleuit. at non quia mortua sit, sed quia etiam post mortem, à quibus minimè debuit, malè audiat. Principatum affectamus quem pater obtinet. Quid ita? Si nobis honores regij contigerunt, sicut re vera contigerunt, an non co-
E natus noster est superuacuus? Sin minus, certè sperare licet. An te interfecto ab his expectari posset successio, quos post tam atrox facinus nec terræ laturæ sint, nec maria? Quid subditorum pietas, & totius gentis religio, tulisset scilicet patricidas scelere parto regno potiri, & sanctissimum à te instauratum tẽplum ingredi? Quid, si cęteros contemneremus, posséte ne quicunque interfector tuus pœnam euadere incolumi Cæsare? Non tam impios genuisti
F neque tam stultos, sed infortuniores fortè quã tuis etiam rebus est conducibile. Quòd si neq; quod accuses, habes, neque quicquam deprehendisti, quid tibi potest tantæ impietatis fidem facere? Quia mater periit. Sed illius fatum cautiores nos potius quàm irritatiores debuit reddere. Potueramus plura pro nobis afferre, sed quid opus est excusare quæ nunquã facta sunt? Quare ab omnium domino Cęsare, & nunc nostro arbitro, hoc tantum peti-
G mus, vt si re vera de nobis suspiciones potes ponere mi pater, viuamus quantumuis infelices. quid enim miserius quàm temerè insimulari criminis grauissimi? Sin à nobis timere tibi pergis, tua pietate salua: nostramet sẽtẽtia dãnemur. nec enim vsq; adeò chara nobis est vita, vt eã cum autoris molestia retinere velimus. His verbis & Cæsar ne antè quidem

ad credendum calumniæ facilis, magis etiam A flexus est, quòd intentis in Herodem oculis ipsum quoque permoueri animaduerteret: & quotquot præsentes aderant solicitudo cepit de iuuenibus non sine regis inuidia apud omnes aulicos. nam absurditas calumniæ, iuuenúmque in ipso flore ætatis periclitantium miseratio, ad ferendam opem concitabat animos omnium: sed multo magis postquam tam cordatè Alexander accusationi patris respondit: manentibus reis in eodem habitu, & B pre mœstitia humetes oculos in terram demittentibus. Tandem alluxit spei nonnihil, vt videretur rex ipse excusationis egere, qui sine vllis certis argumentis tam temerè criminationem aggressus sit. Postremò Cæsar aliquantisper deliberabundus, hoc ipso iuuenes alioqui insontes peccasse pronunciauit, quòd non tales se parenti præstitissent, vt nulla posset in eos hærere suspicio. Herodem autem rogauit vt suspicari desineret, ac reconciliaretur filiis. C Periniquum enim esse habere eum fidem talibus calumniis: & posse illos in posterum mederi offensis prioribus & redintegrare mutuũ amorem pristinum, si ad abolendas suspiciones veteres vtrinque diligentius coleretur pietas. Post hãc admonitionem iuuenibus innuit. Quibus iam preces parantibus pater has non expectans prior flentes vnum post alium complectitur, compatientibus omnibus qui aderãt tam ingenuis quàm famulis. Tum igitur post D actas Cæsari gratias vnà discesserunt, & cum eis Antipater simulans se gratulari reuersis in gratiam. Sequentibus deinde diebus Herodes c c c. talentis Cæsarem donauit, munera edentem Romæ, & congiarium diuidentem populo. Cæsar vicissim ei donauit dimidium redituum è metallis Cypriis, & reliquum dimidium procurationi eius commisit: aliisque hospitalibus officiis honorato, liberam po- E testatem permisit eligendi successorem quemcunque è filiis, aut si mallet distribuendi regni in singulos. quod cùm ille iam pararet facere, negauit se commissurum quin ille quàm diu viueret tam regnum haberet in potestate quàm filios. His ita peractis rex rursum Iudæam repetit. Quo absente Trachonitæ, non parua ditionis pars ab eo defecerant, sed opera ducum quos in regno reliquerat perdomiti, rursum coacti sunt imperata facere. Cæterùm Herodes & filij nauigãtes cùm appulissét F Eleusam oppidum Ciliciæ, quod Sebaste mutato nomine dicitur, offendunt ibi Archelaum regem Cappadocum. Is excepto rege perhumaniter, multum gauisus est ob reconciliatos filios, & quòd Alexander eius gener egregiè refellisset obiecta crimina: datísque vicissim regiis muneribus digressi sunt. Post hæc Herodes in Iudæam reuersus aduocata in templum concione quid ea in peregrina- G tione egisset exposuit: denarratáque humanitate Cæsaris, & aliis rebus quas illos quoque scire voluit, extremam orationem vertit ad filios: aulicósque & cæteram multitudinem ad concordiam adhortatus est, pro-

A πιστεύων τῷ μεγέθει τῆς διαβολῆς, ἔτι μᾶλλον ἐξηλλάττετο, καὶ συνεχὲς εἰς τὸν ἡρώδην ἀπέβλεπεν ὁρῶν κἀκεῖνον ὑποσυγχεόμενον. ἀγωνία τε τοῖς παροῦσιν ἐνεπεπτώκει, καὶ περὶ τὴν αὐλὴν ὁ λόγος διαδοθεὶς ἐπίφθονον ἐποίει τὸν βασιλέα. τὸ γὰρ ἄπιστον τῆς διαβολῆς καὶ τὸ περὶ τοὺς νεανίσκους ἐν ἀκμῇ καὶ κάλλει σωμάτων ἐλεεινὸν, ἐπεσπᾶτο βοήθειαν. ἔτι δὲ μᾶλλον ἐπεὶ δὴ καὶ τῷ λόγῳ δεξιᾶς καὶ μετὰ φρονήσεως ἀπήντησεν ἀλέξανδρος. B οἱ δὲ οὐδὲ ἐκείνοις ἔτι ταυτὸν σχῆμα, κλαίουσι μὲν ὅμως καὶ σὺν κατηφείᾳ πρὸς τὴν γῆν νενευκόσιν. ἡ δὲ ἐλπὶς ἀμείνων ὑπεφαίνετο, καὶ δόξας ὁ βασιλεὺς ἐξ ὧν αὐτὸς ἐπ᾽ ἴσης εὔλογα κατηγορηκέναι, διὰ τὸ μηδὲν ἔχειν αὐτὸν ἐξελέγχειν, ἀπολογίας τινὸς ἐδεῖτο. καῖσαρ δὲ μικρὸν ἐπισχὼν, τοὺς μὲν νεανίσκους, εἰ καὶ πόρρω τῆς ἐπ᾽ αὐτοῖς διαβολῆς δοκοῦσιν, αὐτόγε τοῦτο ἁμαρτεῖν ἔφη, τὸ μὴ τοιούτους αὐτοὺς παρασχεῖν τῷ πατρὶ, ὡς μηδὲ γίνεσθαι τὸν ἐπ᾽ αὐτοῖς λόγον. ἡρώ- C δην δὲ παρεκάλει πᾶσαν ὑπόνοιαν ἀφελόντα, διαλλάττεσθαι τοῖς παισίν. οὐ γὰρ εἶναι δίκαιον, οὐδὲ πιστεύειν τὰ τοιαῦτα κατὰ τῶν ἐξ αὐτοῦ. δύνασθαι δὲ τὴν μετάνοιαν ἀμφοτέροις οὐ μόνον ἰάσασθαι τὰ συμβεβηκότα, παρέξειν δὲ τὴν εὔνοιαν, ἐν ᾧ τὸ προπετὲς ἑκάτεροι τῆς ὑποψίας ἀπολογούμενοι, πλείονι περὶ ἀλλήλους ἀξιώσουσι κεχρῆσθαι. τοιαῦτα νουθετήσαντος, ἐν δὲ τοῖς νεανίσκοις ἐκείνων δὲ βουλομένων ὑποπεσεῖν ἐπὶ δέησιν, προκαταλαβὼν D αὐτοὺς ὁ πατὴρ δακρύοντας, ἠσπάζετο παρέκασον ἐν μέρει περιπτύσσων, ὡς μηδένα τῶν παρατυγχανόντων, ἐλεύθερον ἢ δοῦλον, ἀπαθῆ γίνεσθαι. τότε μὲν οὖν εὐχαριστήσαντες καίσαρι, μετ᾽ ἀλλήλων ἀπῄεσαν, καὶ σὺν αὐτοῖς ἀντίπατρος ὑποκρινόμενος ἥδεσθαι ταῖς διαλλαγαῖς. ἐν δὲ ταῖς ὑστέραις ἡμέραις ἡρώδης μὲν ἐδωρεῖτο καίσαρα τριακοσίοις ταλάντοις, θέας τε καὶ διανομὰς ποιούμενον τῷ ῥωμαίων δήμῳ. καῖσαρ δὲ αὐτῷ τε μετάλλου τοῦ E κυπρίων χαλκοῦ τὴν ἡμίσειαν πρόσοδον καὶ τῆς ἡμισείας τὴν ἐπιμέλειαν ἔδωκεν, καὶ τἄλλα ξενίαις, καὶ καταγωγαῖς ἐτίμησεν, καὶ περὶ τῆς βασιλείας αὐτῷ τὴν ἐξουσίαν ἐφῆκεν, ὃν ἂν αἱρῆται τῶν παίδων διάδοχον καθιστάνειν, ἢ καὶ διανέμειν μέρος ἑκάστῳ τῆς τιμῆς εἰς πάντας διελθουσομένης. ἐκείνῳ δὲ ἤδη θέλοντος αὐτὸ ποιεῖν, οὐκ ἐπιτρέψειν ἔφη ζῶντι μὴ καὶ τῆς βασιλείας καὶ τῶν παίδων κρατεῖν. ἐπὶ τούτοις ἐπανῄει F πάλιν εἰς τὴν ἰουδαίαν. ἀποδημοῦντος δὲ, οὐ μικρὸν μέρος ἀπέστη τῆς ἀρχῆς, τὸ περὶ τὸν τραχῶνα, καὶ τούτους οἱ καταλειφθέντες στρατηγοὶ χειρωσάμενοι, πάλιν ὑπακούειν ἠνάγκασαν. ἡρώδης δὲ πλέων σὺν τοῖς παισὶν, ὡς ἐγένετο κατὰ κιλικίαν ἐν ἐλεούσῃ, τῇ μετωνομασμένῃ νῦν σεβαστῇ, καταλαμβάνει τὸν βασιλέα τῆς καππαδοκίας ἀρχέλαον. ὃς αὐτὸν ἐκδέχεται φιλοφρόνως, ἡδόμενος ἐπὶ ταῖς τῶν παίδων διαλλαγαῖς, καὶ τῷ τὸν ἀλέξανδρον, ὃς εἶχεν G αὐτοῦ τὴν θυγατέρα τὰς αἰτίας ἀπολελύσθαι. δωρεάς τε ἀντέδοσαν ἀλλήλοις, ἃς εἰκὸς βασιλεῖς. ἐντεῦθεν ἡρώδης ἐπὶ ἰουδαίας ἐλθὼν, καὶ γενόμενος ἐν τῷ ἱερῷ, περὶ τῶν πεπραγμένων κατὰ τὴν ἀποδημίαν διελέγετο, τὴν καίσαρος εἰς αὐτὸν φιλοφροσύνην, καὶ τἄλλα διεξιὼν ὅσα κατὰ μέρος αὐτῷ πραχθέντα συμφέρειν ἡγεῖτο καὶ τοὺς ἄλλους εἰδέναι, τέλος ἐπὶ νουθεσίᾳ τῶν παίδων κατέστρεψε τὸν λόγον τοὺς περὶ τὴν αὐλὴν, καὶ τὸ λοιπὸν πλῆθος εἰς ὁμόνοιαν παρακαλῶν,

καὶ τοὺς υἱοὺς μετ' αὐτὸν ἀποδεικνύων βασιλέας γενέσθαι, πρῶτον μὲν ἀντίπατρον, εἶτα καὶ τοὺς ἐκ μαριάμμης ἀλέξανδρον, καὶ ἀριστόβουλον. ἐν δὲ τῷ τότε πάντας ἀποβλέπειν εἰς αὐτὸν ἀξιῶν, καὶ βασιλέα καὶ δεσπότην ἁπάντων δοκεῖν, μήτε γήρᾳ παραποδιζόμενον, ἐν ᾧ τῷ χρόνου τὸ πρὸς ἀρχὴν ἐμπειρότατον ἔχειν, οὔτε τοῖς ἄλλοις ἐπιτηδεύμασιν ἐλαττούμενον, ἃ δύναται καὶ βασιλείας κρατεῖν, καὶ παίδων ἄρχειν. τούς τε ἡγεμόνας καὶ τὸ στρατιωτικὸν, εἰ πρὸς ἕνα βλέποιεν αὐτὸν, ἀτάραχον ἔφη τὸν βίον ἕξειν, καὶ πᾶσαν ἀφορμὴν εὐδαιμονίας ἐξ ἀλλήλων ἔσεσθαι. ταῦτ' εἰπὼν, ἀφίησιν τὴν ἐκκλησίαν τοῖς πλείστοις μὲν ἀρεστὰ διειλεγμένος, ἐνίοις δ' οὐχ ὁμοίως. ἤδη γὰρ ὑπὸ τῆς ἁμίλλης καὶ τῶν ἐλπίδων ἃς ἐδεδώκει τοῖς παισὶν, ἐνεωτέριστο πολλὰ, καὶ νεωτέρων ἐφιέμενα.

Κεφάλαιον θ'.

Ὡς ἀγῶνας ἤγαγε πενταετηρικοὺς ἡρώδης ἐπὶ καισαρείας κτίσει.

Περὶ δὲ τὸν χρόνον τοῦτον, συντελείαν ἔλαβεν ἡ καισάρεια σεβαστὴ ἣν ᾠκοδόμει, δεκάτῳ μὲν ἔτει πρὸς τέλος ἐλθούσης αὐτῷ τῆς ὅλης κατασκευῆς, ἐκπεσούσης δὲ τῆς προθεσμίας εἰς ὄγδοον καὶ εἰκοστὸν ἔτος τῆς ἀρχῆς, ἐπὶ ὀλυμπιάδος δευτέρας καὶ ἐνενηκοστῆς πρὸς ταῖς ἑκατόν. ἦν οὖν εὐθὺς πρὸς τῇ καθιερώσει μείζων ἑορτὴ, καὶ παρασκευαὶ πολυτελέσταται. κατηγγέλκει μὲν γὰρ ἀγῶνα μουσικῆς, καὶ γυμνικῶν ἀθλημάτων. παρεσκευάκει δὲ πολὺ πλῆθος μονομάχων καὶ θηρίων, ἵππων τε δρόμον, καὶ τὰ πολυτελέστερα τῶν ἐν τῇ ῥώμῃ, καὶ παρ' ἄλλοις τισὶν ἐπιτηδευμάτων. ἀνετίθει δὲ καὶ τοῦτον τὸν ἀγῶνα καίσαρι, κατὰ πενταετηρίδα παρεσκευασμένος ἄγειν αὐτόν. ὁ δ' αὐτῷ πᾶσαν τὴν εἰς τὰ τοιαῦτα παρασκευὴν, ἀπὸ τῶν οἰκείων διεπέμπετο τὴν φιλοτιμίαν ἐπικοσμῶν. ἰδίᾳ δὲ καὶ ἡ γυνὴ καίσαρος ἰουλία, τὰ πολλὰ τῶν ἐκεῖ πολυτελεστάτων ἀπέστειλεν, ὡς μηδὲν ὑστερεῖν τὰ πάντα συντιμώμενα, ταλάντων πεντακοσίων. συνελθόντος δὲ εἰς τὴν πόλιν ὄχλου πλείονος κατὰ θεωρίαν, καὶ πρεσβείας, ἃς ἔπεμπον οἱ δῆμοι, δι' ἃς ἐπεπόνθεισαν εὐεργεσίας, ἅπαντας ἐξεδέξατο καταγωγαῖς, καὶ τραπέζαις, καὶ διηνεκέσιν ἑορταῖς τῆς πανηγύρεως ἐν μὲν ταῖς ἡμέραις ἐχούσης τὰς ἀπὸ τῶν θεαμάτων ψυχαγωγίας, ἐν δὲ ταῖς νυξὶν τὰς εὐφροσύνας, καὶ τὴν εἰς τοῦτο πολυτέλειαν, ὡς ἐπίσημον γενέσθαι τὴν μεγαλοψυχίαν αὐτοῦ. εἰς πάντα γὰρ ἅπερ ἂν ἐπιτηδεύσειεν, ἐφιλονείκει τὴν τῶν ἤδη γεγενημένων ἐπίδειξιν ὑπερβάλλεσθαι. καί φασιν αὐτόν τε καίσαρα καὶ ἀγρίππαν πολλάκις εἰπεῖν, ὡς ὑποδέοι τὰ τῆς ἀρχῆς ἡρώδῃ τῆς οὔσης ἐν αὐτῷ μεγαλοψυχίας, ἄξιον γὰρ εἶναι καὶ συρίας ἁπάσης, καὶ αἰγύπτου τὴν βασιλείαν ἔχειν. μετὰ δὲ τὴν πανήγυριν ταύτην, καὶ τὰς ἑορτὰς, πόλιν ἄλλην ἀνήγειρεν ἐν τῷ πεδίῳ τῷ λεγομένῳ καφαρσαβᾶ, τόπον ἔνυδρον καὶ χώραν ἀρίστην φυτοῖς ἐκλέξας, ποταμοῦ τε περιρρέοντος τὴν πόλιν αὐτὴν, καὶ καλλίστου κατὰ μέγεθος τῶν φυτῶν περιειληφότος ἄλσους. ταύτην ἀπὸ ἀντιπάτρου τοῦ πατρὸς, ἀντιπατρίδα προσηγόρευσεν. ἐπώνυμον δὲ καὶ τῇ μητρὶ χωρίον ὑπὲρ ἱεριχοῦντα οἰκοδομήσας, ἀσφαλείᾳ τε διάφορον, καὶ καταγωγαῖς ἥδιστον, ἐκάλεσεν κύπρον. φασαήλῳ τε τῷ ἀδελφῷ

A nuncians filios post se regnaturos. primùm Antipatrum, deinde ex Mariamne natos Alexandrum & Aristobulum. Interim debere omnes se vnum respicere, & pro rege habere atque domino, non obstante senectute, quæ ad regendum propter longam experientiam magis est idonea, præsertim non deficientibus aliis facultatibus quibus & subditi in officio continentur, & liberi. milites quoque cum suis ducibus si se vnum respiciant, felicem vitam acturos absque vllis perturbationibus. His peroratis dimisit concionem, quibusdam rectè visus dixisse, quibusdam secius. iniecta enim æmulatione inter filios, res omnino spectare ad aliquam mutationem videbantur.

B

Cap. IX.

Herodes quinquennale certamen ob absolutam Cæsaream celebrat.

C Per idem tempus perfecta est Cæsarea, decimo anno postquam ædificari cœpta est, regni verò anno VIII. supra vigesimum, Olympiade centesima nonagesima secunda, in eius dedicatione magna fuit celebritas, & apparatus facti sunt sumptuosissimi. exciti enim sunt ad certamen artifices musici, & athletæ gymnicorum certaminum. ad hæc gladiatorum ac ferarũ comparatus magnus numerus, & quicquid huius generis in precio est tam Romæ

D quàm apud gentes cæteras. Consecratum est autem hoc quoque certamen Cæsari, instaurandum per singula quinquennia. Hunc omnem apparatũ rex suo sumptu magna ambitione vndecunq; curauit conuehi, multa in hoc conferente etiam vxore Cæsaris Iulia, & mittente permulta preciosa ex Italia, vt omnibus computatis sumptus ad D. talenta accederet. Congregata igitur ingenti multitudine spectaculorum gratia, legationes quæ à di-

E uersis populis mittebantur ob accepta beneficia, omnes excepit diuersoriis & mensis & continuis hilaritatibus dum hominum frequentia spectaculis se totos dies oblectat, noctu verò conuiuiis & ostentatione magnificentiæ, cum insigni laude magnanimitatis regiæ. in omnibus enim studebat vt posteriora quæque maiorem admirationem sui facerent: fertúrque ipsum sæpe Cæsarem & Agrip-

F pam dixisse, quòd maior quàm pro præsenti ditione esset Herodis magnanimitas, qui dignus videretur totius Syriæ atque Ægypti imperio. Post hanc celebritatem & festos dies aliud oppidũ extruxit in cãpo qui dicitur Capharsaba, electo ad hoc agro aquoso & plãtis idoneo, amne circumfluente ipsum oppidũ, & luco circundante pulcherrimarũ arborũ. hãc à suo patre Antipatro denominauit Antipatrida. deinde castellũ matrẽ suã nomine referens supra Hierichuntem condidit, cui Cypron vocabulũ imposuit, communito egregiè, & in-

G structo amœnis domiciliis. nec fraterni affect⁹

V.

oblitus memoriæ illius dedicauit ædificia pulcherrima, primùm turrim Pharo non minorem in ipsa vrbe, in defuncti monumentum Phasaelum vocatam, propugnaculum vrbis munitissimum. deinde eiusdem nominis oppidum circa vallem Hierichûtinam condidit, quà itur ad septentrionalia: quo factum est, vt circumquaque situs ager antea penè desertus diligentius coleretur ab habitatoribus, Phaseliticus inde appellatus. Quin & reliquam eius beneficentiam enarrare perdifficile fuerit, quanta contulit in vrbes tam Syriæ quàm Græciæ, & vbicunque illum peregrinari contigit. plurimas enim adiuuit, aut extructis publicis operibus, aut sicubi incepta pendebant propter inopiam, pecuniis in absolutionem eorum erogatis. Inter hæc præcipua sunt quòd Rhodiis Pythium templum suo sumptu exædificauit, & ad compingendas naues multa argenti talenta præbuit. Nicopolitanis vrbem ad Actium à Cæsare conditam habitantibus maiorem partem publicorum operum suis perfecit impendiis. Antiochensibus vrbem maximam habitantibus secante mediam eius longitudinem platea, hanc ipsam vtroque latere ornauit porticibus, & viam eius subdiualem lapide polito strauit, non tam ad ornamentum vrbis quàm ad incolarum commoda. Ludos etiam Olympios non satis respondentes suæ celebritati propter inopiam, adiuuit attributis annuis reditibus quo splendidius & sacrificia fierent, & alia quæ ad decorandum tam frequentem conuentum pertinent: pro qua munificentia perpetuus agonotheta declaratus est. Hic alius quispiam miretur in vno homine tantam diuersitatem ingenij. Si enim spectemus eius liberalitatem ac beneficentiam qua erga omnes vsus est, non possumus non dicere eum natura beneficentissimum. ediuerso si iniurias eius & sæuitiam in subditos etiam coniunctissimos consideremus, fateri cogemur hominem fuisse durum, inexorabilem, & ab omni alienum modestia. atque ita pugnantes inter se voluntates habuisse videbitur. Ego verò aliter credo, & vtrunque ab vna causa profectum existimo. Eo enim quòd honoris esset cupidissimus, & totus huic affectui deditus, incitabatur ad magnificentiam, sicubi spes esset aut in præsens laudis, aut in posterum memoriæ: quare quod esset supra facultates sumptuosus, cogebatur molestus esse subditis. nam cùm in alios erogaret plurimum pecuniæ, necesse erat eam aliquando malè quærere. Deinde sciens se ob eas iniurias inuisum subiectis, eas offensas lenire videbat difficile, neque enim poterat nisi vellet reditus minuere. itaque abutebatur suorum odio in suum commodum. nam si quis illorum non per omnia seruitutem tolleraret, aut videretur velle dominationem eius excutere, in tales impotenter sæuiebat nõ aliter quã in hostes, nullo cognatorũ aut amicorum discrimine, quòd

μνημεῖα διὰ τὴν γεγενημένην πρὸς αὐτὸν φιλοστοργίαν ἀνετίθει τὰ κάλλιστα, πύργον ἐπ' αὐτῆς τῆς πόλεως ἀναστήσας, οὐδὲν ἐλάττω τοῦ κατὰ τὴν φάρον, ὃν προσηγόρευσε Φασάηλον, ἀσφαλείας τε τῇ πόλει μέρος ὄντα, καὶ μνήμης τῷ τετελευτηκότι διὰ τὴν προσηγορίαν. ὁμώνυμον δὲ αὐτῷ, καὶ πόλιν περὶ τὸν αὐλῶνα τῆς Ἱεριχοῦντος ἔκτισεν, ἀπιόντων κατὰ βορρᾶν ἄνεμον, δι' ἧς καὶ τὴν πέριξ χώραν ἔρημον οὖσαν ἐνεργοτέραν ἐποίησεν ταῖς ἐπιμελείαις τῶν οἰκητόρων, Φασαηλίδα καὶ ταύτην ἐκάλει. τὰς δὲ ἄλλας εὐεργεσίας ἄπορον εἰπεῖν, ὅσας ἀπέδωκεν ταῖς πόλεσιν, ἔν τε Συρίᾳ, καὶ κατὰ τὴν Ἑλλάδα, καὶ παρ' οἷς ποτ' ἂν ἀποδημήσας τύχοι. καὶ γὰρ πλείοις λειτουργίας, καὶ δημοσίων ἔργων κατασκευάς, καὶ χρήματα τοῖς δεομένοις ἔργοις εἰς ἐπιμέλειαν τῶν προτέρων ἐκλελοιπότων, ἄφθονα χαρίσασθαι δοκεῖ. τὰ δὲ μέγιστα, καὶ διασημότατα τῶν πεπραγμένων αὐτῷ, Ῥοδίοις μὲν τό τε Πύθιον ἀνέστησεν οἰκείοις ἀναλώμασιν, καὶ παρέσχεν ἀργυρίου πολλὰ τάλαντα πρὸς ναυπηγίαν. Νικοπολίταις δὲ τοῖς ἐπ' Ἀκτίῳ κτισθεῖσιν ὑπὸ Καίσαρος τὰ πλεῖστα τῶν δημοσίων συγκατεσκεύασεν. Ἀντιοχεῦσι δὲ τοῖς ἐν Συρίᾳ, μεγίστην πόλιν οἰκοῦσιν, ἣν κατὰ μῆκος τέμνει πλατεῖα, ταύτην αὐτὴν στοαῖς παρ' ἑκάτερα, καὶ λίθῳ τὴν ὕπαιθρον ὁδὸν ξεστῷ καταστορέσας, πλεῖστον εἰς κόσμον, καὶ τὴν τῶν οἰκούντων εὐχρηστείαν ὠφέλησεν. τόν γε μὴν Ὀλυμπιᾶσιν ἀγῶνα, πολὺ τῆς προσηγορίας ἀδοξότερον ὑπ' ἀχρηματίας διατεθειμένον, τιμιώτερον ἐποίει, χρημάτων προσόδους καταστήσας, καὶ πρὸς θυσίας, καὶ τὸν ἄλλον κόσμον ἐκσεμνοποίησεν τὴν πανήγυριν. διὰ δὴ ταύτην τὴν φιλοτιμίαν διηνεκὴς ἀγωνοθέτης παρὰ τοῖς πλείστοις ἀνεγράφη. τοῖς μὲν οὖν ἄλλοις, ἐπέρχεται θαυμάζειν τὸ διεστὼς τῆς ἐν τῇ φύσει προαιρέσεως. ὅταν μὲν γὰρ εἰς τὰς φιλοτιμίας, καὶ τὰς εὐεργεσίας ἀπίδωμεν, αἷς ἐκέχρητο πρὸς ἅπαντας ἀνθρώπους, οὐκ ἔστιν ὅπως οὐκ ἄν τις αὐτὸν καὶ τῶν ἔλαττον τετιμηκότων ἠρνήθη μὴ συνομολογεῖν εὐεργετικωτάτῃ κεχρῆσθαι τῇ φύσει. ὅταν δὲ εἰς τὰς τιμωρίας, καὶ ἀδικίας, ἃς εἰς τοὺς ἀρχομένους, καὶ τοὺς οἰκειοτάτους ἐπεδείξατο βλέψῃ, καὶ καταμάθῃ τὸ σκληρὸν καὶ τὸ δυσπαραίτητον τοῦ τρόπου, νικηθήσεται θηριώδη δοκεῖν, καὶ πάσης μετριότητος ἀλλότριον. ἔνθεν καὶ διάφορόν τινα καὶ μαχομένην ἐπ' αὐτῷ νομίζουσι γενέσθαι τὴν προαίρεσιν. ἐγὼ δ' οὐχ οὕτως ἔχων, μίαν αἰτίαν ἀμφοτέρων τούτων ὑπολαμβάνω. φιλότιμος γὰρ ὤν, καὶ τούτου τοῦ πάθους ἡττημένος ἰσχυρῶς, προσήγετο μὲν εἰς μεγαλοψυχίαν, εἴπου μνήμης εἰς αὖθις ἢ κατὰ τὸ παρὸν εὐφημίας ἐλπὶς ἐμπέσοι. ταῖς δὲ δαπάναις ὑπὲρ δύναμιν χρώμενος, ἠναγκάζετο χαλεπὸς εἶναι τοῖς ὑποτεταγμένοις. τὰ γὰρ εἰς οὓς ἐδαπάνα πολλὰ γινόμενα, κακὸν ποριστὴν ἐξ ὧν ἐλάμβανε ἐποίει. καὶ συνειδὼς ἐφ' οἷς ἠδίκει τοὺς ὑποτεταγμένους μισούμενον ἑαυτόν, τὸ μὲν ἐπανορθοῦσθαι τὰς ἁμαρτίας οὐ ῥᾴδιον ἐνόμιζεν. οὐδὲ γὰρ εἰς τὰς προσόδους λυσιτελὲς ἦν. ἀντεφιλονείκει δὲ τὴν δύσνοιαν αὐτὴν εὐπορίας ἀφορμὴν ποιούμενος. περὶ μὲν οὖν τοὺς οἰκείους εἴ τις λόγῳ μὴ θεραπεύοιτο δοῦλον ἐξομολογούμενος, ἢ δόξειεν εἰς τὴν ἀρχήν τι παρακινεῖν, οὐχ ἱκανὸς ἑαυτοῦ κρατεῖν ἐγίνετο, καὶ διεξῆλθον ὁμοῦ συγγενεῖς, καὶ φίλους, ἴσα πολε-

πολεμίους τιμωρούμενος, ἐκ τοῦ μόνος θέλειν τετιμῆσθαι τὰς τοιαύτας ἁμαρτίας ἀναλαμβάνων. μαρτύριον δέ μοι τούτου τοῦ πάθους ὅτι μέγιστον περὶ αὐτὸν ἦν, καὶ τὰ γινόμενα κατὰ τὰς καίσαρος καὶ ἀγρίππα καὶ τῶν ἄλλων φίλων τιμάς. οἷς γὰρ ἐθεράπευεν τοὺς κρείττονας, τούτοις καὶ αὐτὸς ἠξίου θεραπεύεσθαι, καὶ τὸ κάλλιστον ὧν ᾤετο παρέχειν, τὴν ὁμοίων ἐπιθυμίαν ἐδήλου. τό γε μὴν ἰουδαίων ἔθνος ἠλλοτρίωται νόμῳ πρὸς πάντα τὰ τοιαῦτα, καὶ συνείθισται τὸ δίκαιον ἀντὶ τοῦ πρὸς δόξαν ἠγαπηκέναι, διόπερ οὐκ ἦν αὐτῷ κεχαρισμένον ὅτι μὴ δυνατὸν εἰκόσιν, ἢ ναοῖς, ἢ τοιούτοις ἐπιτηδεύμασιν, κολακεύειν τοῦ βασιλέως τὸ φιλότιμον. αἰτία μὲν αὕτη μοι δοκεῖ τῆς ἡρώδου περὶ μὲν τοὺς οἰκείους, καὶ συμβούλους ἁμαρτίας, περὶ δὲ τοὺς ἔξω, καὶ μὴ προσήκοντας εὐεργεσίας.

solus vellet honorari ab omnibus. Quàm autem honoris cupidus fuerit, colligere licet ex his ipsis honoribus quos ille Cæsari & Agrippæ cæterisque eius amicis exhibuit. volebat enim exemplo esse suis, vt quemadmodum ipse præstantiores coleret, sic etiam coleretur ab omnibus, & hoc pacto satis declarabat cuius rei natura esset appetentissimus. Sed Iudæis per leges patrias non licet hoc modo potentiores colere, quos necesse est maiorem rationem iusti & æqui habere quàm officiorum talium: quibus satis incommodum erat, quòd non possent statuis & templis demereri regis gratiam, & similibus adulationibus explere insanam cupiditatem gloriosi hominis. Atque hæc mihi causa videtur cur Herodes erga familiares & consiliorum participes iniquior, erga exteros & alienos tanto beneficentior fuerit.

Κεφάλαιον ι'.

Πρεσβεία τῶν ἀπὸ κυρήνης καὶ ἀσίας ἰουδαίων πρὸς καίσαρα.

Τοὺς δὲ κατὰ τὴν ἀσίαν ἰουδαίους, καὶ ὅσοι ἡ πρὸς κυρήνῃ λιβύην κατέχειν ἐκάκουν αἱ πόλεις, τῶν μὲν πρότερον βασιλέων ἰσονομίαν αὐτοῖς παρεσχημένων, ἐν δὲ τῷ τότε δι' ἐπηρείας ἐχόντων τῶν ἑλλήνων αὐτούς, ὡς καὶ χρημάτων ἀφαίρεσιν ποιεῖσθαι, καὶ καταβλάπτειν ἐν τοῖς ἐπὶ μέρους. πάσχοντες δὲ κακῶς, καὶ πέρας οὐδὲν εὑρίσκοντες τῆς τῶν ἑλλήνων ἀπανθρωπίας, ἐπρεσβεύσαντο πρὸς καίσαρα, καὶ περὶ τούτων. ὁ δὲ αὐτοῖς τὴν αὐτὴν ἰσοτέλειαν ἔδωκεν, γράψας τοῖς κατὰ τὰς ἐπαρχίας, ὧν ὑποτάξαμεν τὰ ἀντίγραφα μαρτύρια τῆς διαθέσεως ἣν ἔχοντες πρὸς ἡμᾶς ἄνωθεν οἱ κρατοῦντες. Καῖσαρ σεβαστὸς ἀρχιερεὺς, δημαρχικῆς ἐξουσίας λέγει. ἐπειδὴ τὸ ἔθνος τὸ τῶν ἰουδαίων εὐχάριστον εὑρέθη, οὐ μόνον ἐν τῷ ἐνεστῶτι καιρῷ, ἀλλὰ καὶ ἐν τῷ προγεγενημένῳ, καὶ μάλιστα ἐπὶ τοῦ ἐμοῦ πατρὸς αὐτοκράτορος καίσαρος πρὸς τὸν δῆμον τῶν ῥωμαίων, ὅτε ἀρχιερεὺς αὐτῶν ὑρκανός, ἔδοξέ μοι καὶ τῷ ἐμῷ συμβουλίῳ μετὰ ὁρκωμοσίας γνώμῃ δήμου ῥωμαίων, τοὺς ἰουδαίους χρῆσθαι τοῖς ἰδίοις θεσμοῖς κατὰ τὸν πάτριον αὐτῶν νόμον, καθὼς ἐχρῶντο ἐπὶ ὑρκανοῦ ἀρχιερέως θεοῦ ὑψίστου, τά τε ἱερὰ εἶναι ἐν ἀσυλίᾳ, καὶ ἀναπέμπεσθαι εἰς ἱεροσόλυμα, καὶ ἀποδίδοσθαι αὐτὰ τοῖς ἀποδοχεῦσιν ἱεροσολύμων, ἐγγύας τε μὴ ὁμολογεῖν αὐτοὺς ἐν σάββασιν, ἢ τῇ πρὸ ταύτης παρασκευῇ, ἀπὸ ὥρας ἐνάτης. ἐὰν δέ τις φωραθῇ κλέπτων τὰς ἱερὰς βίβλους, ἢ τὰ ἱερὰ χρήματα, ἔκ τε σαββατείου, ἔκ τε ἀνδρῶνος, εἶναι αὐτὸν ἱερόσυλον, καὶ τὸν βίον αὐτοῦ ἐνεχθῆναι εἰς τὸ δημόσιον τῶν ῥωμαίων. τό τε ψήφισμα τὸ δοθέν μοι ὑπ' αὐτῶν, ὑπὲρ τῆς ἐμῆς εὐσεβείας, ἧς ἔχω πρὸς πάντας ἀνθρώπους, καὶ ὑπὲρ γαΐου μαρκίου κηνσωρίνου, καὶ τοῦτο τὸ διάταγμα, κελεύω ἀνατεθῆναι ἐν ἐπισημοτάτῳ τόπῳ γενηθέντι μοι ὑπὸ τοῦ κοινοῦ τῆς ἀσίας ἐν ἀργύρῃ. ἐὰν δέ τις παραβῇ τι τῶν προειρημένων, δώσει δίκην οὐ μετρίαν. ἐστηλογραφήθη ἐν τῷ καίσαρος ναῷ. Καῖσαρ νορβανῷ φλάκκῳ χαίρειν. ἰουδαῖοι ὅσοι ποτ' οὖν εἰσίν, οἳ δι' ἀρχαίαν συνήθειαν εἰώθασιν χρήματά τε ἱερὰ φέροντες, ἀναπέμπειν εἰς ἱεροσόλυμα, ἀκωλύτως τοῦτο ποιείτωσαν. καὶ ταῦτα καῖσαρ. ἀγρίππας δὲ καὶ αὐτὸς ἔγραψεν ὑπὲρ τῶν ἰουδαίων τὸν τρόπον τοῦτον. Ἀγρίπ-

CAP. X.

Iudæorum Cyrenensium & Asiaticorum ad Cæsarem legatio.

VI. Asiatici autem & Cyrenenses Iudæi multum affligebantur ab earũ regionum ciuitatibus, qui cùm à priscis regibus accepissent ius ciuitatis ex æquo cum cæteris, tunc multas iniurias à Græcis patiebantur, quasi exportarent pecunias, & essent noxij reliquis ciuibus. Cúmque Græci nec finem nec modum iniuriarum facerent, coacti sunt per legatos de eis apud Cæsarem conqueri. is rescripsit ad prouincias, placere vt Iudæis seruetur æquale ius cum aliis. cuius rescripti exemplar subiicimus, quo testatius fiat quomodo erga nos affecti fuerint imperatores veteres. Cęsar Aug. Pont. Max. Trib. potestatis ita censet: Quoniam Iudæorum gens semper fida & grata fuit pop. Rom. non nunc tantum, sed superiori etiam tempore præcipuè patri meo Imp. Cæsari, sub Hyrcano pontifice: placet mihi de communi iurati senatus sententia, Iudæos vti propriis ritibus ac legibus sicut vtebantur tempore Hyrcani Pon. Dei Max. & fanis eorum ius asyli manere: licereque eis votiuam pecuniam per certos homines mittere Hierosolyma: neq; cogi ad præstanda vadimonia sabbatis, aut pridie sabbatorum post horam IX. in parasceue. Quòd si quis deprehendatur furari sacros libros aut sacram pecuniam ex locis eorum religiosis, hunc teneri sacrilegij, & bona eius addici ærario Rom. popu. Suggestionem etiam eorum oblatam mihi per C. Martium Censorinum, pro ea pietate qua omnes homines complector, iubeo cum hoc decreto dedicari in illustri loco, quem vniuersa Asia meo nomini consecrauit apud Argyram. quòd si quis cõtra decretũ ausus fuerit, non mediocri pœna mulctabitur. Inscriptum est columnæ in templo Cæsaris. Cæsar Norbano Flacco S. Iudæis vbicunque gentium degentibus sacram pecuniam ex veteri instituto Hierosolyma mittere nemine prohibẽte liceat. Hæc Cęsar. Agrippa quoq; pro Iudæis scripsit in hũc modũ. Agrip-

pa Ephesiorum magistratibus senatui & pop. S. Pecuniæ sacræ quæ Hierosolyma mitti solet more patrio, procurationem ac tutelam penes Iudæos esse volo in Asia: & si quis sacram Iudæorum pecuniam furatus ad asyla confugerit, eum inde abstractum dedi ad pœnam Iudæis quo iure abstrahuntur sacrilegi. Syllano etiam magistratui scripsit, ne Iudæis sabbatis cogantur ad præstanda vadimonia. M. Agrippa Cyrenæorum magistratibus & senatui S. Iudæi Cyrenenses, pro quibus iam Augustus scripsit Flauio Libyæ præsidi, aliisque eius prouinciæ magistratibus non esse vetandos mittere ex more sacram pecuniam Hierosolyma: conquesti sunt nūc apud me, vexari se improborum quorundam sycohpantiis, & vetari hoc facere prætextu quorundam tributorum quæ tamen non debentur. Hos ego suo iuri suísque moribus relinqui iubeo. & si qua in vrbe pecunia sacra intercepta est, eam per delectos ad hoc idoneos Iudæis restitui. C. Norbanus Flaccus procos. Sardinorum magistratibus Sal. Cæsar mihi scripsit, iubere se neminem Iudæorum vetari iuxta patrium moré collectas pecunias Hierosolyma mittere. quare ego quoque vobis scribo de hac re, ne vos lateat tam mea voluntas quàm Cæsaris. Nec aliter Iul. Antonius procos. rescripsit. Ephesiorum magistratibus senatui ac pop. S. Asiam habitantes Iudęi Febr. Idib. reddenti mihi ius apud Ephesum indicauerunt, Cæsarem Aug. & Agrippam concessisse sibi vti patriis legibus & moribus, primitiásque suo quemque arbitratu pietatis ergô conferre, deportandas absque impedimento ad templum Dei maximi: rogauerúntque vt ab illis concessa meo consensu rata habeam. Quare scire vos volo, me quoque iuxta Cæsaris & Agrippæ decreta permittere, vt quicquid volunt iuxta patrium morem nemine prohibente faciant. Hæc decreta in hoc apposuimus, vt quoniá scripta nostra in Græcorum manus peruentura sunt, ostendere eis iam inde maiorum ętate hunc honorem nobis habitum, ne prohiberemur per potestates publicas vti patriis moribus, imò illorum consensu, religione concessa Deum coleremus. quæ quidem eo crebriùs inculco, vt flectam gentes exteras, & odium nostri, cuius nullam rationem habent idoneam, eorum animis eximam. nam moribus nulla gens eisdem vtitur perpetuò, sed oppidatim ferè in his fit mutatio. Iustitia verò omnibus hominibus ex æquo competit, res vtilissima tam Gręcis quàm barbaris, cuius maxima in nostris legibus habetur ratio, nósque omnibus modò eas inuiolatas seruemus, caros ac amicos potest reddere. quamobrem rogatos omnes volumus, vt non tam nos ob diuersum vitæ genus horreant, quàm complectantur ob virtutis studia. Hæc enim communis est omnibus & sine hac non potest humana vita consistere. nunc ad historiæ contextum redeo.

A πας ἐφεσίων ἄρχουσιν, βουλῇ, δήμῳ, χαίρειν. τῶν εἰς τὸ ἱερὸν τὸ ἐν ἱεροσολύμοις ἀναφερομένων ἱερῶν χρημάτων, τὴν ἐπιμέλειαν, καὶ φυλακὴν, βούλομαι τοὺς ἐν ἀσίᾳ ἰουδαίους ποιεῖσθαι κατὰ τὰ πάτρια. τούς τε κλέπτοντας ἱερὰ χρήματα τῶν ἰουδαίων καταφεύγοντας τε εἰς τὰς ἀσυλίας βούλομαι ἀποσπᾶσθαι, καὶ παραδίδοσθαι τοῖς ἰουδαίοις, ᾧ δικαίῳ ἀποσπῶνται οἱ ἱερόσυλοι. ἔγραψε δὲ καὶ σιλουανῷ τῷ στρατηγῷ, ἵνα σάββασιν μηδεὶς ἀναγκάζῃ ἰουδαῖον, ἐγγύας ὁμολογεῖν. B Μάρκος ἀγρίππας κυρηναίων ἄρχουσιν, βουλῇ, χαίρειν. οἱ ἐν κυρήνῃ ἰουδαῖοι ὑπὲρ ὧν ἤδη ὁ σεβαστὸς ἔπεμψεν πρὸς τὸν ἐν λιβύῃ στρατηγὸν τότε ὄντα φλάβιον, καὶ πρὸς τοὺς ἄλλους τοὺς τῆς ἐπαρχίας ἐπιμελουμένους ἵνα ἀνεπικωλύτως ἀναπέμπηται τὰ ἱερὰ χρήματα εἰς ἱεροσόλυμα, ὡς ἐστὶν αὐτοῖς πάτριον, ἐνέτυχόν μοι νῦν ὡς ὑπό τινων συκοφαντῶν ἐπηρεάζοιντο, καὶ ὡς ἐν προφάσει τελῶν μὴ ὀφειλομένων κωλύοιντο. οἷς ἀποκαθιστάνειν κατὰ μηδένα τρόπον ἐνοχλουμένοις, C καὶ εἴ τινων ἱερὰ χρήματα ἀφῄρηνται τῶν πόλεων τοὺς εἰς ταῦτα ἀποκεκριμένους, καὶ ταῦτα διορθώσασθαι τοῖς ἐκεῖ ἰουδαίοις κελεύω. Γάϊος νορβανὸς φλάκκος ἀνθύπατος σαρδιανῶν ἄρχουσιν χαίρειν. καῖσάρ μοι ἔγραψεν κελεύων μὴ κωλύεσθαι τοὺς ἰουδαίους, ὅσοι ἂν ὦσιν κατὰ τὸ πάτριον αὐτοῖς ἔθος συναγαγόντες χρήματα, ἀναπέμπειν εἰς ἱεροσόλυμα. ἔγραψα οὖν ὑμῖν ἵν᾽ εἰδῆτε ὅτι καῖσαρ κἀγὼ οὕτως θέλομεν γίνεσθαι. D οὐδὲν ἧττον καὶ ἰούλιος ἀντώνιος ἀνθύπατος ἔγραψεν. ἐφεσίων ἄρχουσιν, βουλῇ, δήμῳ χαίρειν. οἱ ἐν τῇ ἀσίᾳ κατοικοῦντες ἰουδαῖοι ἰδοῖς φεβρουαρίοις δικαιοδοτοῦντί μοι ἐν ἐφέσῳ ὑπέδειξαν καίσαρα τὸν σεβαστὸν καὶ ἀγρίππαν συγκεχωρηκέναι αὐτοῖς χρῆσθαι τοῖς ἰδίοις νόμοις καὶ ἔθεσιν, ἀπαρχάς τε ἃς ἕκαστος αὐτῶν ἐκ τῆς ἰδίας προαιρέσεως εὐσεβείας ἕνεκα τῆς πρὸς τὸ θεῖον ἀνακομιδῆς συμπορευομένοις, ποιεῖν ἀνεμποδίστως. E ἠξίουν τε ὅπως κἀγὼ ὁμοίως τοῖς ὑπὸ τοῦ σεβαστοῦ καὶ ἀγρίππα δοθεῖσιν τὴν ἐμὴν γνώμην βεβαιώσω. ὑμᾶς οὖν βούλομαι, εἰδέναι ἐν τοῖς τοῦ σεβαστοῦ καὶ ἀγρίππα βουλήμασιν, συνεπιτρέπειν αὐτοῖς χρῆσθαι καὶ ποιεῖν κατὰ τὰ πάτρια χωρὶς ἐμποδισμοῦ. ταῦτα μὲν οὖν παρεθέμην ἐξ ἀνάγκης, ἐπειδὴ μέλλουσιν αἱ τῶν ἡμετέρων πράξεων ἀναγραφαὶ τὸ πλέον εἰς τοὺς ἕλληνας ἰέναι, δεικνὺς αὐτοῖς ὅτι πάσης τιμῆς ἄνωθεν ἐπιτυγχάνοντες, οὐδὲν τῶν πατρίων ἐκωλύθημεν ὑπὸ τῶν ἀρχόντων πράττειν, F ἀλλὰ καὶ συνεργοὺς μαθημάτων τῆς θρησκείας ἔχοντες καὶ τῶν εἰς τὸν θεὸν τιμῶν. ποιοῦμαι δὲ πολλάκις αὐτῶν τὴν μνήμην ἐπιδιαλλάττων τὰ γένη, καὶ τὰς ἐμπεφυκυίας ἀλογίστοις ἡμῶν τε κἀκείνου μίσους αἰτίας ὑπεξαιρούμενος. ἔθεσιν μὲν γὰρ οὐδὲν ἐστι γένος, ὃ τοῖς αὐτοῖς ἀεὶ χρῆται κατὰ πόλεις, ἔσθ᾽ ὅπη πολλῆς γινομένης τῆς διαφορᾶς. τὸ δίκαιον δὲ πᾶσιν ἀνθρώποις ὁμοίως ἐπιτηδεύειν λυσιτελέστατον, G ὃν ἕλλησίν τε καὶ βαρβάροις οὗ πλεῖστον οἱ παρ᾽ ἡμῖν νόμοι λόγον ἔχοντες ἅπασιν ἡμᾶς εἰ καθαρῶς ἐμμένοιμεν αὐτοῖς, εὔνους καὶ φίλους ἀπεργάζονται. διὸ καὶ ταῦτα παρ᾽ ἐκείνων ἡμῖν ἀπαιτητέον, καὶ δέον οὐκ ἐν τῇ διαφορᾷ τῶν ἐπιτηδευμάτων οἴεσθαι τὸ ἀλλότριον, ἀλλ᾽ ἐν τῷ πρὸς καλοκαγαθίαν ἐπιτηδείως ἔχειν. τοῦτο γὰρ κοινὸν ἅπασιν, καὶ μόνον ἱκανὸν διασώζειν τὸν τῶν ἀνθρώπων βίον. ἐπάνειμι δὲ ἐπὶ τὰ συνεχῆ τῆς ἱστορίας.

Κεφά-

Κεφάλαιον ια'.

Ὡς ἀπορῶν χρημάτων Ἡρώδης κατῆλθεν εἰς τὸν Δαβίδου τάφον.

Ὁ γὰρ Ἡρώδης πολλοῖς τοῖς ἀναλώμασιν, εἴς τε τὰς ἔξω, καὶ τὰς ἐν τῇ βασιλείᾳ χρώμενος, ἀκηκοὼς ἔτι τάχιον ὡς Ὑρκανὸς ὁ πρὸ αὐτοῦ βασιλεὺς, ἀνοίξας τὸν Δαβίδου τάφον ἀργυρίου λάβοι τρισχίλια τάλαντα, κειμένων πολὺ πλειόνων, καὶ ἔτι δυναμένων εἰς ἅπαν ἐπαρκέσαι ταῖς χορηγίαις, ἐκ πλείονος μὲν δι' ἐννοίας εἶχεν τὴν ἐπιχείρησιν. ἐν δὲ τῷ τότε νυκτὸς ἀνοίξας τὸν τάφον, εἰσέρχεται πραγματευσάμενος ἥκιστα μὲν ἐν τῇ πόλει φανερὸς εἶναι, παρειληφὼς δὲ τοὺς πιστοτάτους τῶν φίλων. ἀπόθεσιμα μὲν οὖν χρήματα καθάπερ Ὑρκανὸς, οὐχ εὗρεν, κόσμον δὲ χρυσοῦ, καὶ κειμηλίων πολὺν, ὃν ἀνείλατο πάντα. σπουδὴν δ' εἶχεν, ἐπιμελεστέραν ποιούμενος τὴν ἔρευναν, ἐνδοτέρω τε χωρεῖν, καὶ κατὰ τὰς θήκας, ἐν αἷς ἦν τὰ Δαβίδου, καὶ τὰ Σολομῶνος τὰ σώματα. καὶ δύο μὲν αὐτοῦ τῶν δορυφόρων διεφθάρησαν, φλογὸς ἔνδοθεν εἰσιοῦσιν ἀπαντώσης ὡς ἐλέγετο. περίφοβος δ' αὐτὸς ἐξῄει, καὶ τοῦ δέους ἱλαστήριον μνῆμα λευκῆς πέτρας ἐπὶ τῷ στομίῳ κατεσκευάσατο πολυτελὲς τῇ δαπάνῃ. τούτου καὶ Νικόλαος ὁ κατ' αὐτὸν ἱστοριογράφος μέμνηται τοῦ κατασκευάσματος, οὐ μὴν ὅτι κατῆλθεν, οὐκ εὐπρεπῆ τὴν πρᾶξιν ἐπιστάμενος. διατελεῖ δὲ καὶ τὰ ἄλλα τὸν τρόπον χρώμενος τῇ γραφῇ. ζῶν γὰρ ἐν τῇ βασιλείᾳ, καὶ σὺν αὐτῷ κεχαρισμένως ἐκείνῳ, καὶ καθ' ὑπηρεσίαν ἀνέγραφεν, μόνον ἁπτόμενος τῶν πρὸς εὔκλειαν αὐτῷ φερόντων. πολλὰ δὲ καὶ τῶν ἐμφανῶς ἀδίκων ἀντικατασκευάζων, καὶ μετὰ πάσης σπουδῆς ἐπικρυπτόμενος, ὅς γε καὶ τὸν Μαριάμμης θάνατον, καὶ τῶν παίδων αὐτῆς ὠμῶς τῷ βασιλεῖ πεπραγμένον, εἰς εὐπρέπειαν ἀνάγειν βουλόμενος, ἐκείνης τε ἀσέλγειαν, καὶ τῶν νεανίσκων ἐπιβουλὰς καταψεύδεται. καὶ διατετέλεκεν τῇ γραφῇ, τὰ μὲν πεπραγμένα δικαίως τῷ βασιλεῖ, περιττότερον ἐγκωμιάζων, ὑπὲρ δὲ τῶν παρανομηθέντων ἐσπουδασμένως ἀπολογούμενος. ἐκείνῳ μὲν οὖν, πολλὴν ἄν τις ὡς ἔφην ἔχοι τὴν συγγνώμην. οὐ γὰρ ἱστορίαν τοῖς ἄλλοις, ἀλλὰ ὑπουργίαν τῷ βασιλεῖ ταύτην ἐποιεῖτο. ἡμεῖς δὲ καὶ γένους ὄντες ἐγγὺς τῶν ἐξ Ἀσαμωναίων βασιλέων, καὶ διὰ τοῦτο σὺν τιμῇ τὴν ἱερωσύνην ἔχοντες, τὸ ψεύσασθαί τι περὶ αὐτῶν οὐκ εὐπρεπὲς ὑπειληφότες, καθαρῶς καὶ δικαίως ἐκτίθεμεν τὰς πράξεις, πολλοὺς μὲν τῶν ἐγγόνων τῶν ἐκείνου βασιλεύοντας ἔτι δι' ἐντροπῆς ἔχοντες, τὴν δ' ἀλήθειαν πρὸ ἐκείνων τετιμηκότες, ἣν ὅτε δικαίως ἐγίνετο συνέβη τι παρ' αὐτοῖς ἐκείνοις ὀργῆς τυγχάνειν. Ἡρώδης δὲ διὰ τὴν ἐπιχείρησιν ἣν ἐποιήσατο τοῦ τάφου, χεῖρον ἐδόκει πράττειν ἐν τοῖς κατὰ τὴν οἰκίαν, εἴτε δὴ τοῦ μηνίματος ἐπιδόντος εἰς ἃ μάλιστα καὶ πρότερον ἐνόσει, πλείω γενέσθαι πρὸς ἀνηκέστους ἐξαχθῆν συμφορὰς, εἴτε καὶ τῆς τύχης ἐν ἐκείνοις τὴν ἐπίθεσιν ποιουμένης, ἐν οἷς τὸ κατὰ τὴν αἰτίαν εὔκαιρον οὐ μικρὰν πίστιν παρεῖχε τοῦ διὰ τὴν ἀσέβειαν αὐτῷ τὰς συμφορὰς ἀπηντηκέναι. στάσις γὰρ ἦν ὥσπερ ἐμφυλίου πολέμου κατὰ τὴν αὐλὴν, καὶ μίση πρὸς ἀλλήλους ἀνθυπερβαλλομένων ταῖς διαβολαῖς. ἐστρατήγει δ' ἀεὶ κατὰ τῶν ἀδελφῶν Ἀντίπατρος, δεινὸς ὢν, ἔξωθεν μὲν, περιβάλλειν αὐτοὺς ταῖς αἰτίαις, αὐτὸς δὲ πολλάκις ἀπολογουμένου τύπον λαμβάνειν, ἵν' ᾖ τὸ δοκοῦν εὔνουν πιστὸν αὐτοῦ πρὸς τὰς ἐπιχειρήσεις ὧν ἐδόκει. καὶ τούτῳ τῷ τρόπῳ ποικίλως ἐκπεριῆλθε τὸν πατέρα μόνος ὑπὲρ τῆς ἐκείνου σωτηρίας ἅπαντα πράττειν αὐτὸς πεπιστευκώς. ὁ δὲ

Cap. XI.

Herodes opus habens pecunia sepulcrum Dauidis subijt.

HErodes multum pecuniarum domi forísque profundens, audito quòd Hyrcanus qui ante eum regnauit, recluso Dauidis sepulcro tria millia taletorū argēti extulisset, superesséque multo plura, quæ possint quantumuis magnis sumptibus sufficere, multo tempore animum habuit idem aggredi. Tunc verò noctu apertum sepulcrum ingreditur, cùm priùs accuratè cauisset ne hoc resciret populꝰ, assumptis tantùm amicorum fidissimis. depositas tamen pecunias non inuenit sicut Hyrcanus, sed mundi preciosi & aureorum ornamentorum vim magnam inde sustulit. his inuitatus ad diligentiùs scrutandum, interius processit vsque ad conditoria corporum Solomonis ac Dauidis. vbi duos satellites amisit, erumpente (vt fertur) ex aditis flamma contra progressos temerè. quo casu territus exiuit, & tactus religione ad expiandum se in aditu sepulcri monumentum è candido marmore cōdidit sumptuosissimis impendiis. eius operis & Nicolaus illius tēporis scriptor meminit, sed non item de descensu regis, præter decorum id factum existimans: ídque more suo fecit. Viui enim regis hæc auribus dedit, captans gratiam, & ea tantùm attingens quæ ad gloriam illius pertinere visa sunt. quin & multa eius apertè iniusta facinora aut alia specie affecta fucauit, aut quantum potuit occultare studuit: quandoquidem etiam crudelitati in Mariamnen ac filios speciosam causam astruere conatur: illam impudicitiæ, hos insidiarū patri paratarum insimulans: & hoc toto opere facit perpetuò, quæ rectè ac iustè rex gessit nimiis extollens laudibus, contraria verò diligenter excusans. Sed illi ob quam dixi causam danda venia, non tam ad posteritatis cognitionem, quàm ad gratificandum suo regi scribenti. Nos verò qui & generis propinquitate Asamonæos reges contingimus, & sacerdotij honore fungimur, turpe ducentes mendacium, incorruptè res gestas exponimus, salua reuerentia posterorum regis illius, qui etiam nunc rerum potiuntur, maiorem tamen veritatis rationem habētes cum ipsorum quoque venia. Cæterùm Herodis domus post violatum sepulcrum cœpit labi in deterius: siue diris vltricibus in eam partem incumbentibus, quæ iam ante malè habebat: siue fortefortuna talis calamitas incidit in ea tempora, vt meritò videri possit impietatis præmium. Dissidium enim erat in aula bello ciuili simile, & odia mutua concertantia calumniis. Sed inter omnes eminebat Antipatri contra fratres artificiosa machinatio, qui per alios inuoluēs illos falsis criminationibꝰ: ipse patrociniū eorū sępe simulabat, vt approbata sua beneuolentia facilius iuuenes clā posset opprimere: atq; talibꝰ versutiis circūueniebat patrē, vt putaret hūc solū incolumitatis suę curā gerere. quapropter

etiam Ptolemæum procuratorem suum rex Antipatro commendauit, & cum matre eius omnia communicauit consilia, adeò vt nihil non horum arbitratu gereret, & infesum eum redderent his, quos exosos regi esse ipsorum intererat. Mariamnes verò filij rem indies ferebant ægriùs, propter nobilitatem indignantes suo loco se dimoueri ac deterioribus cedere, & tantùm non in ordinem redigi. Quin & vxores ipsorum eisdem laborabant passionibus; quarum altera Alexandro nupta Archelai filia Glaphyra odio mutuo prosequebatur Salomen, tum propter mariti amorem, tum quòd insolentiùs se erga filiam eius gereret. ea nupta erat Aristobulo, quam illa sibi honore æquari ferebat muliebriter. atque hac altera contentione accedente, ne Pheroras quidem regis frater alienus erat à discordia. habebat enim priuatā causam suspicionis & odij. Inciderat in amorem ancillæ propriæ tam insanum, vt oblatam sibi à rege in coniugium filiam fastidiret, contentus ancillæ complexibus. Id ægerrimè tulit Herodes, videns germanum affectum à se tot beneficiis, & penè regni socium, non respōdere pietate mutua, & infortunatum se fratrem existimans: & cùm non valeret Pherorā ad æquiorem mentem reducere, puellam collocauit cum Phasaeli filio. procedente deinde tempore ratus iam deferbuisse fratris cupidines, conquestus de repulsa, alterius conditionem ei detulit, quæ Cypros nomine dicta est. Tum Ptolemæus Pheroræ consulit, ne pergat fratrem contemnere, & ab amore turpi resipiscat, propter quē stultum sit priuare se regis amicitia, & in eius vicem odium ac tranquillitatis iacturam incurrere. Ille intelligens hoc sibi vtile, quod iam antè calumniis appetitus veniam à rege cōsecutus fuerat, mulierem iam filij matrem ex se factam ablegat: & regi pollicetur ducturum se filiam eius alteram: condixitque diem xxx. ad celebrandas nuptias, iureiurando interposito nihil sibi posthac cum ablegata fore commercij. elapso autem præfinito tempore intantum amori succubuit, vt non staret pollicitis, & rursum reuolueretur ad pristinam mulieris consuetudinem. Ibi tum Herodes non amplius potuit iram tegere, sed sæpe iaciebat voces quasdam, signa alienati à fratre animi: nec deerant multi qui per occasionem hunc eius affectum fouerent calumniis. Iámque nec dies abibat vlla nec hora, quin aliquid ei nouarū turbarum accideret, commissis inter se necessitudinibus quas natura volebat esse carissimas: Nā & Salome infensa Mariamnes filiis ne filiam quidem nuptam Aristobulo adolescentum alteri sinebat frui caritate mutua, pelliciens ad effutienda & prodenda secreta coniugum colloquia: & si quid vt assolet, offensiuncularum incideret, exacerbans multis suspicionibus. quo factum est vt secreta eorum expiscaretur omnia, & puellę quoq; iuuenē exosū redderet. illa verò in matris gratiā sępe narrabat, quòd illi quoties soli essent, crebrā mentionem Mariamnes facerēt, & odiosè de patre loquerētur,

A καὶ πτολεμαῖον, ὃς ἦν αὐτῷ διοικητὴς τῶν τῆς βασιλείας πραγμάτων ἀντιπάτρῳ συνίστη, καὶ μετὰ τῆς ἐκείνου μητρὸς ὑπὲρ τῶν ἐπειγόντων ἐβουλεύετο, καὶ καθόλου τὰ πάντα ἦσαν οὗτοι, καὶ πράττειν ὅσα θέλοιεν, καὶ πρὸς δύσνοιαν ἄγειν τὸν βασιλέα τῶν ἔξωθεν οἷς ἐδόκει συμφέρειν. οἱ δ᾽ ἐκ τῆς μαριάμμης χαλεπώτερον ἀεὶ διετίθεντο, καὶ τὴν ἀτιμίαν ὑπ᾽ εὐγενείας οὐκ ἔφερον παρεωσμένοι, καὶ τάξιν ἀτιμοτέραν ἔχοντες. αἵ γε μὴν γυναῖ-
B κες, ἡ μὲν ἀλεξάνδρῳ συνοικοῦσα θυγάτηρ ἀρχελάου γλαφύρα, μῖσος εἶχεν εἰς τὴν σαλώμην, κατά τε τὴν πρὸς τὸν ἄνδρα διάθεσιν, κἀκ τοῦ πρὸς τὴν ἐκείνης θυγατέρα δοκεῖν ὑπερηφανώτερον διακεῖσθαι. συνῴκει μὲν γὰρ ἀριστοβούλῳ, τὴν δὲ ἰσοτιμίαν αὐτῆς, ἀναξιοπάθει γλαφύρα. δευτέρας οὖν ταύτης ἔριδος ἐμπεπτωκυίας, οὐδ᾽ ὁ τοῦ βασιλέως ἀδελφὸς φερώρας ἔξω ταραχῆς ἦν, ἰδίαν δὲ ὑπόθεσιν ὑποψίας καὶ μίσους εἶχεν. ἐμπεπτώκει μὲν γὰρ εἰς ἔρωτα δουλευούσης
C αὐτῷ γυναικὸς, ἥττητο δὲ τῆς ἀνθρώπου μεμηνότως ἐπὶ τοσοῦτον κρατούμενος, ὡς αὐτῷ καὶ τῆς τοῦ βασιλέως ἐγγυηθείσης θυγατρὸς, τὴν μὲν ὑπερηφανῆσαι, πρὸς δὲ τῇ δούλῃ τὸν νοῦν εἶχεν. ἤχθετο δὲ ἀτιμασθεὶς ἡρώδης τῷ πολλὰ μὲν εὐεργετῆσαι τὸν ἀδελφὸν, δυνάμει δὲ καὶ κοινωνὸν ἔχειν τῆς βασιλείας, οὐχ ὅμοιον εἰς τὰς ἀμοιβὰς ὁρῶν, κἂν τῷ προσώπῳ δυστυχεῖν ᾤετο. καὶ τὴν μὲν κόρην μὴ τυχὼν φερώρα δικαίου, παιδὶ
D φασαήλου δίδωσιν. αὐτὸς δὲ χρόνου διελθόντος οἰόμενος ἤδη παρηκμακέναι τὴν ἐπιθυμίαν τἀδελφῷ, περί τε τῶν πρώτων ἠτιᾶτο, καὶ τὴν δευτέραν ἠξίου λαμβάνειν, κύπρος δ᾽ ἐκαλεῖτο. φερώρᾳ δὲ συμβουλεύει πτολεμαῖος ἤδη παυσαμένῳ τῆς εἰς τὸν ἀδελφὸν ἀτιμίας, καταβαλεῖν τὸν ἔρωτα. καὶ γὰρ αἰσχρὸν εἶναι δούλης ἡττώμενον, ἀποστερεῖν μὲν αὐτὸν τῆς εὐνοίας τῆς παρὰ βασιλέως, αἴτιον δὲ κἀκείνῳ ταραχῆς καὶ μίσους πρὸς αὐτὸν καθίστασθαι. ταῦτ᾽ ἐκεῖνος εἰδὼς λυσι-
E τελήσοντα, τῷ καὶ πρότερον ἐν διαβολαῖς γενόμενος συνεγνῶσθαι τὴν μὲν ἄνθρωπον ἤδη καὶ παῖδα ἐξ αὐτῆς ἔχων, ἀποπέμπεται. βασιλεῖ δὲ ὡμολόγει λήψεσθαι τὴν δευτέραν αὐτοῦ θυγατέρα, καὶ τριακοστὴν ἡμέραν συνέθετο τοῦ γάμου, συνεπομνύμενος ὡς οὐδὲν ἔτι κοινώνημα πρὸς τὴν ἀποπεμφθεῖσαν ἔσται. διελθουσῶν δὲ τῶν τριάκοντα ἡμερῶν, τοσοῦτον ἦν ἥττων τοῦ ἔρωτος, ὥστε μηδὲν μὲν ἔτι ποιῆσαι τῶν ὡμολογη-
F μένων, πάλιν δὲ διατελεῖν ἐπὶ τῇ πρώτῃ. ταῦτα φανερῶς ἤδη τὸν ἡρώδην ἐλύπει, καὶ πρὸς ὀργὴν ἦγεν. ἦσαν οὖν λόγοι τινὲς ἀεὶ παραπίπτοντες παρ᾽ αὐτοῦ, καὶ πολλοὶ τὴν ὀργὴν τοῦ βασιλέως ἀφορμὴν τῶν κατὰ φερώρου διαβολῶν ἐποιοῦντο. διέλειπεν δὲ οὐκέτι τις ἡμέρα οὐδ᾽ ὥρα, καθ᾽ ἣν ἀτρεμεῖν αὐτῷ συνέβαινεν, ἀλλ᾽ ἀεί τι προσέπιπτεν καινῶν ἀγωνισμάτων συγγενῶν καὶ φιλτάτων εἰς ἀλλήλους πεποιημέ-
G νων. τοῦτο μὲν γὰρ ἡ σαλώμη χαλεπὴ καὶ δύσνους οὖσα τοῖς ἐκ μαριάμμης, οὐδὲ τὴν ἑαυτῆς θυγατέρα συνοικοῦσαν ἀριστοβούλῳ θατέρῳ τῶν νεανίσκων εἴα τῇ τοῦ γάμου πρὸς ἐκεῖνον εὐνοίᾳ χρῆσθαι, λέγειν εἴ τι λαλήσειαν κατ᾽ ἰδίαν ἀναπείθουσα καὶ μηνύειν ἑαυτῇ, κἂν τοῖς προσκρούσμασιν, οἷα συμβαίνει, πολλὰς ὑποψίας εἰσάγουσα. δι᾽ ὧν αὐτὴ μὲν, ἅπαντα τὰ κατ᾽ ἐκείνους ἐμάνθανεν, δύσνουν δὲ τὴν παῖδα τῷ νεανίσκῳ πεποιήκει. χαριζομένη δ᾽ ἐκείνη τῇ μητρὶ πολλάκις ἔλεγεν ὡς μέμνηνται μὲν ἰδιάζοντες ἐκεῖνοι τῆς μαριάμμης, ἐχθαίρουσι δὲ τὸν πατέρα,

συνεχὲς δὲ διαπειλοῦσιν εἰ τύχοιεν αὐτοί ποτε τῆς ἀρχῆς, τοὺς μὲν ἐκ τῶν ἄλλων γυναικῶν παῖδας Ἡρώδῃ γεγεννημένους, κωμογραμματεῖς καταστήσειν. ἁρμόσειν γὰρ εἰς τοιαύτην χρείαν τὸ νῦν ἐπιμελὲς αὐτῶν, καὶ πρὸς παιδείαν ἐσπουδασμένον. τὰς δὲ γυναῖκας εἴ ποτε καὶ ταύτας ἴδοιεν τοῦ μητρῴου κόσμου μετειληφυίας, ἀντὶ τῆς παρούσης ἁβρότητος, ἀπειλεῖν ὡς τρίχεσιν ἠμφιεσμένας καθειρξομένας, μηδὲ τὸν ἥλιον βλεπούσας. ταῦτ' εὐθὺς ἀπηγγέλλετο διὰ τῆς Σαλώμης τῷ βασιλεῖ, κἀκεῖνος ἤκουεν μὲν ἀλγεινῶς, ἐπειρᾶτο δὲ διορθοῦν. ἐνεκάκου δὲ ταῖς ὑποψίαις, καὶ χείρων ἀεὶ γινόμενος ἅπασιν κατὰ πάντων ἐπίστευεν. οὐ μὴν ἀλλὰ τότε μὲν ἐπιπλήξας τοῖς παισὶν, ἀπολογησαμένων ῥᾴων εἰς τὸν καιρὸν ἐγίνετο, ταῖς δ' ἑξῆς πολὺ χεῖρον προσέπεσεν. ὁ γὰρ Φερώρας ἐλθὼν παρὰ τὸν Ἀλέξανδρον, ἔχοντα τὴν Ἀρχελάου θυγατέρα Γλαφύραν ὡς ἐδηλώσαμεν, Σαλώμης ἔφη λεγούσης ἀκηκοέναι, τὸν Ἡρώδην ἡττῆσθαι τοῦ τῆς Γλαφύρας ἔρωτος, καὶ δυσπαρηγόρητον αὐτῷ τὴν ἐπιθυμίαν εἶναι. τοῦτο οὖν ἐκεῖνος ἀκούσας, ὑπό τε νεότητος, καὶ ζηλοτυπίας διεκαίετο. καὶ τὰ κατὰ τὴν τιμὴν εἰς τὴν παῖδα γινόμενα παρ' Ἡρώδου, πολλάκις δὲ ἦσαν αἱ τοιαῦται φιλοφρονήσεις, ἐπὶ τὸ χεῖρον ἐλάμβανεν ἐξ ὑπονοιῶν διὰ τὸν ἐμπεσόντα λόγον. οὐκ ἐκαρτέρησεν τε τὴν ὀδύνην τοῦ πράγματος, ἀλλὰ ἐλθὼν πρὸς τὸν πατέρα, κατεμήνυει τὰ ὑπὸ τοῦ Φερώρα ῥηθέντα μετὰ δακρύων. Ἡρώδης δὲ πολὺ μᾶλλον ἐκπαθὴς γενόμενος, καὶ τὸ σὺν αἰσχύνῃ τῆς διαβολῆς ἐψευσμένον οὐ φέρων, ἐτετάρακτο, καὶ πολλάκις μὲν ὠδύρετο τὴν πονηρίαν τῶν οἰκείων, οἷος εἰς αὐτοὺς γενόμενος, οἵων τυγχάνοι. μεταπέμπεται δὲ τὸν Φερώραν, καὶ προσονειδίσας, κάκιστε ἁπάντων εἰπὼν, εἰς τοῦτο τῆς ἀμέτρου καὶ περιττῆς ἦλθες ἀχαριστίας, ὡς τοιαῦτα μὲν περὶ ἡμῶν νοῆσαι, τοιαῦτα δὲ λαλεῖν; ἆρ' οὐχ ὁρῶ τὴν σὴν προαίρεσιν ὡς οὐ βλασφημίας ἐστοχασμένος, τοὺς τοιούτους λόγους τῷ παιδὶ προσενήνοχας, ἐπιβουλὴν δὲ καὶ φάρμακον αὐτοὺς ποιούμενος τῆς ἐμῆς ἀπωλείας; τίς γὰρ ἂν εἰ μὴ δαιμόνων ἀγαθῶν ἔτυχεν ὥσπερ οὗτος ὁ παῖς, ἠνέσχετο τὸν πατέρα μὴ τίσασθαι διὰ τοιαύτην ὑποψίαν; πότερον δὲ λόγον εἰς τὴν ψυχὴν, ἢ ξίφος εἰς τὴν δεξιὰν ἐμβαλεῖν αὐτῷ δοκεῖς κατὰ τοῦ γεγεννηκότος; τί δέ σοι βούλεται, τὸ μισοῦντά τε αὐτὸν, καὶ τὸν ἀδελφὸν αὐτοῦ, πρὸς μόνην τὴν κατ' ἐμοῦ βλασφημίαν, εὔνοιαν ὑποκρίνασθαι, καὶ περὶ τούτων λέγειν, ἃ τῆς σῆς ἀσεβείας ἦν καὶ νοῆσαι, καὶ διαβαλεῖν; ἔρρε κάκιστος εἰς εὐεργέτην καὶ ἀδελφὸν γενόμενος. καὶ σοὶ μὲν ἡ συνείδησις αὐτὴ συζήσειεν, ἐγὼ δὲ νικῶν ἀεὶ τοὺς ἐμοὺς, μήτε ἀμυνόμενος κατ' ἀξίαν, καὶ μειζόνως εὐεργετῶν ἢ τυχεῖν εἰσὶν δίκαιοι. τοιαῦτα μὲν οὖν ὁ βασιλεύς. Φερώρας δὲ ἐπ' αὐτοφώρῳ τῇ μοχθηρίᾳ ἁλοὺς, Σαλώμην ἔφη ταῦτα συνθεῖναι, καὶ παρ' ἐκείνης εἶναι τοὺς λόγους. ἡ δὲ ὡς μόνον ἤκουσεν, ἐτύγχανεν δὲ παροῦσα, πιθανῶς ἀνεβόησεν, ὡς οὐδὲν εἴη αὐτῇ τοιοῦτον, καὶ ὅτι διὰ σπουδῆς ἐστιν ἅπασιν εἰς μῖσος ἀγαγεῖν αὐτὴν τοῦ βασιλέως, καὶ πάντα τρόπον ἀνελεῖν διὰ τὴν εὔνοιαν ἣν ἔχει περὶ τὸν Ἡρώδην ἀεὶ προγινώσκουσα τοὺς κινδύνους, ἐν δὲ τῷ παρόντι καὶ μᾶλλον ἐπιβουλεύεσθαι. μόνη γὰρ ἀναπείθουσα τὸν ἀδελφὸν ἐκβαλεῖν ἣν εἶχε γυναῖκα, λαμβάνειν δὲ θυγατέρα τὴν βασιλέως, εἰκότως ὑπ' ἐκείνου μεμισῆσθαι. τοιαῦτα λεγούσης, καὶ πολλάκις μὲν ἐπιδραττομένης τῶν τριχῶν, πολλάκις δὲ τυπτούσης τὰ στέρνα, ἡ μὲν ὄψις εἶχέ τι πρὸς τὴν ἄρνησιν πιθανὸν, ἡ δὲ κακοήθεια τοῦ τρόπου τὴν ἐν

minarenturque si principatus ipsis contingeret, reliquarum regis vxorum filios scribas se facturos in oppidulis. ad hoc enim conducibilem illis fore literaturam, cui tum darent operam. vxores etiam regias si quando viderent matris ornamenta vsurpare, pro præsentibus deliciis vestituros se ciliciis, inclusas vbi ne solem quidem liceat aspicere. Hæc mox Salome regi renunciabat: quæ ille tametsi permolestè ferret, emendare tamen malebat quàm punire. maximè autem exasperabatur suspicionibus & indies seipso peior, omnibus omnium rumoribus credebat. attamen tunc obiurgatione filios castigasse contentus, & illorum respõsione placatus aliquantisper quieuit. Sed mox malum recruduit. Pheroras enim Alexandrum conuenit maritum, vt diximus, Glaphyræ Archelai filiæ: aitque se audisse ex Salome, Herodem ardenter amare Glaphyram: nec posse hunc affectum excutere. hoc audito iuuenis zelotypus vehementer excanduit: & quicquid honoris ac comitatis Herodes mulieri exhibebat in gratiam filij, quod quidem ferè quotidianum erat, in peiorem partem interpretabatur, suspicione concepta ex his quæ audierat. neque diutius potuit eam indignationem concoquere, sed adito patre cum lacrymis ei sermonem Pheroræ aperit, quamobrem ille magis adhuc turbatus est, non ferens insimulari se falso tam turpis criminis, multa quærens de suorum malitia, à quibus pro beneficiis talem reportaret gratiã. Móxq; accersitum Pheroram adortus iurgio: Pessime, inquit, omnium mortalium, eóne ingratitudinis prolapsus es, vt talia de nobis vel dicas vel cogites? nónne deprehendo tuum propositum, quòd non conuitio tenus hæc dixisti filio, sed vt insidias & veneficia hoc pacto in caput meum strueres? Quis enim, nisi bono aliquo genio ductus vt iste filius, pateretur patrem suspectum impunè ferre talem iniuriam? Vtrum tibi videris sermonem in animum, an in dextram gladium inseruisse, quo parentem conficeret? aut quid tibi voluisti, cũ & ipsam oderis, in me tantùm calumniando simulans beneuolentiam, & ea dicens quæ salua pietate ne cogitari quidem poterant, apage te hinc post tam peruersum erga fratrem benemeritum animum. Et tu quidem quoad vixeris tua conscientia fruere: ego verò dabo operam vt sim meis melior, neque dignas pœnas exigens, & maioribus quàm digni sint beneficiis eos prosequens. Sic stomachante rege Pheroras cùm in manifesto crimine deprehensus teneretur, Salomes ait hoc esse commentum, & ab ea prima hos sermones perfectos esse. Quo audito illa (nam fortè aderat) composito ad verborum fidem vultu exclamat, non esse hæc sua, & omnes hoc vnum agere vt eã inuisam regi faciant, & de medio tollant Herodis amantissimam, & præcauentem ipsius pericula. nunc verò etiã maioribus se appeti insidiis. solam enim autoré fuisse fratri, vt abiecta qua se oblectabat muliercula filiá regis duceret, & hác esse causã odij. hęc illa loquente, simulque capillos sibi vellête, & pectus plangête, species quidem negãtis erat verisimilis, sed mala mẽs

dissimulabatur gestu fictitio. Pheroras autem medius tenebatur, ne prætextum quidem vllum sui facti inueniens, cùm non inficiaretur se dixisse, & audisse eadem persuadere non posset. ea perturbatio non sine altercatione durauit aliquandiu. tandem rex pertæsus & fratrem & sororem ablegauit: collaudatáque filij temperantia, & quòd hos sermones ad se detulisset admodum serò ad curam corporis se contulit. Post hâc contentionē malè audiebat Salome, quòd videretur autor huius calūniæ: & vxores regiæ malè ei volebāt, quòd scirēt morosam & variabilem, & pro tēpore nunc inimicā, nunc beneuolam. Semper igitur aliquid contra eam Herodi occinebant, arrepta occasione ex casu quodam fortuito. Erat Arabum rex Abodas, homo segnis & otio deditus: negotia verò eius administrabat Syllæus vir callidus ætate florens & corporis specie. hic cùm propter quædam negotia ad Herodem venisset, contemplatus vnà cœnantem Salomen animum ad eā adhibuit: compertóque esse viduam, venit cum ea in colloquium. illa quæ deteriùs quàm antè tractabatur à fratre, & nonnihil tacta forma iuuenis, non abhorrebat à nuptiis: & cùm per eos dies frequentarentur conuiuia, existebant multa non mediocria signa, quòd consensus & mutuus amor inter eos intercederet. Hæc vxores regi non sine derisione referebant. Herodes autem hoc non contentus sciscitabatur ex Pherora, & iubebat eum inter cœnam obseruare, quomodo erga se inuicem affecti sint. ille renunciauit quòd nutibus & mutuis aspectibus satis indicarent quò tenderent. Post hæc Arabs iam suspectus abiit. elapsis deinde duobus aut tribus mensibus hanc ipsam ob causam reuersus, & collocutus de hac re cum Herode, postulauit vt Salomen sibi collocaret. fore enim ei hanc affinitatem vtilem propter Arabum commercia, quorum principatum & deberi sibi, & iam magna ex parte contigisse. De quo cùm ille ad sororem retulisset, percōtando an ei nubere sit animus, mulier facilè assensum præbuit. postulantibus deinde vt Syllæus accenseretur in Iudæorum religionem, & tum demum vxorem duceret, alioqui non esse licitum: ille facere hoc nō sustinuit, lapidandum se dicens à popularibus si faceret: atque ita re infecta discessit. ex eo tempore Pheroras Salomen insimulauit intemperantiæ, ac magis etiam vxores regiæ, dicentes eam consueuisse cum Arabe. Et puellam quam fratri desponsatam ille domesticæ mulierculæ illecebris victus recusauit ducere, Herodes in sororis gratiam collocaturus Salomes de filio nato è Costabaro, mutauit sententiam persuasus à Pherora, negante adolescentem amaturum talem socerum propter patris sui cædem, & æquiùs censente vt ipsius filius eam ducat, successurus in tetrarchię dominiū. quod vbi is persuasit, impetrauit prioris offēsæ veniā. Mutatis igitur spōsalib. puella data est nuptū adolescētulo, addita c. talentorū dote. Nec interim cessabāt turbę domesticę, imò augebātur etiam

τοῖς γινομένοις ὑπόκεισιν ἀπεσήμαινεν. ὁ δὲ Φερώρας εἰς μέσον ἀπείληπτο, μηδὲν εὔσχημον εἰς ἀπολογίαν ἔχων, εἰπεῖν μὲν ὡμολογηκώς, ἀκοῦσαι δὲ οὐ πιστευόμενος. ἐγένετο δὲ ἐπὶ πλεῖον ἥ τε σύγχυσις, καὶ τῶν λόγων εἰς ἀλλήλους ἅμιλλα. τέλος δὲ ὁ βασιλεὺς τόν τε ἀδελφὸν, καὶ τὴν ἀδελφὴν μεμισηκώς, ἀπέπεμπε, καὶ τὸν υἱὸν ἐπαινέσας τῆς ἐγκρατείας, καὶ τοῦ πρὸς αὐτὸν ἀνενεγκεῖν τοὺς λόγους ὀψὲ τῆς ὥρας περὶ θεραπείαν τοῦ σώματος ἐγίνετο. τοιαύτης δὲ τῆς μάχης ἐμπεσούσης κακῶς ἤκουσεν ἡ Σαλώμη, παρ' αὐτῆς γὰρ ἐδόκει κεκινῆσθαι τὰ περὶ τὴν διαβολήν, αἵ τε τοῦ βασιλέως γυναῖκες ἤχθοντο φύσει δυσχερεστάτην εἰδυῖαι, καὶ γινομένην ἄλλοτ' ἄλλην κατὰ καιροὺς, ἐχθρὰν καὶ φίλην. ἔλεγον οὖν ἀεί τι πρὸς τὸν Ἡρώδην κατ' αὐτῆς, καί τι συμπεσὸν ἐπὶ μεῖζον ἤγαγεν τὴν εἰς τοῦτο παρρησίαν. ἦν μὲν γὰρ ὁ τῆς Ἀραβίας βασιλεὺς Ὀβόδας ἀπράγμων καὶ νωθὴς τὴν φύσιν, Συλλαῖος δ' αὐτῷ διῴκει τὰ πολλά, δεινὸς ἀνήρ, καὶ τὴν ἡλικίαν νέος ἔτι καὶ καλός. οὗτος ὑπὸ χρείας οὖν τινὸς ἐλθὼν ὡς τὸν Ἡρώδην, συνδειπνῶν ἰδὼν τὴν Σαλώμην, καὶ τὸν νοῦν ἔσχεν πρὸς αὐτήν. γινώσκων δ' ὅτι καὶ χήρα τυγχάνει διελέγετο. Σαλώμη δὲ καὶ χεῖρον ἢ πάλαι φερομένη παρὰ τἀδελφῷ, καὶ τὸν νεανίσκον οὐκ ἀπαθῶς ὁρῶσα πρὸς τὸν γάμον ὥρμητο, ταῖς τε μεταξὺ φοιτώντων ἐπὶ τὸ δεῖπνον ἐμφαίνετο πλείω τε καὶ μὴ μέτρια τῆς ἐκείνων ὁμολογίας. ταῦτα δὲ αἱ γυναῖκες ἀνέφερον τῷ βασιλεῖ, διαχλευάσαι τὴν ἀσχημοσύνην. Ἡρώδης δὲ καὶ παρὰ τοῦ Φερώρα προσεπυνθάνετο, καὶ τηρεῖν ἠξίου παρὰ τὸ δεῖπνον, πῶς τὰ πρὸς ἀλλήλους ἐσχήκασιν. ἐκεῖνος δὲ ἀπήγγελλεν ὅτι καὶ νεύμασιν, καὶ βλέμμασιν, οὐκ ἄδηλοι τῆς ὁρμῆς εἰσὶν ἀμφότεροι. μετὰ τοῦτο, ὁ μὲν Ἄραψ ὕποπτος ὢν ἀπῄει. διαλιπὼν δὲ δύο μῆνας ἢ τρεῖς ἔρχεται πάλιν ὡς ἐπ' αὐτὸ τοῦτο, καὶ λόγους Ἡρώδῃ προσέφερεν, ἀξιῶν αὐτῷ τὴν Σαλώμην δοθῆναι πρὸς γάμον. ἔσεσθαι γὰρ οὐκ ἀλυσιτελὲς τὸ κῆδος ἐπιμιξίᾳ τῇ τῶν Ἀράβων ἀρχῆς, ἣν αὐτῷ καὶ νῦν ἤδη παρεῖναι δυνάμει, καὶ μᾶλλον ὀφείλεσθαι. τοῦ δὲ Ἡρώδου τὸν λόγον ἀναφέροντος, καὶ συνπυνθανομένου τῆς ἀδελφῆς, εἰ πρὸς γάμον ἑτοίμως ἔχῃ, ταχέως μὲν ἐκείνη προσήκατο. Συλλαῖος δὲ ἀξιούντων αὐτὸν ἐγγραφῆναι τοῖς τῶν Ἰουδαίων ἔθεσιν, καὶ τότε γαμεῖν, ἄλλως γὰρ οὐκ εἶναι δυνατόν, οὐχ ὑπομείνας, ἀλλὰ καὶ καταλευσθήσεσθαι πρὸς τῶν Ἀράβων εἰπών, εἰ τοῦτο πράξειεν, ἀπαλλάττεται. Σαλώμην οὖν ὅτι Φερώρας ἤδη διέβαλλεν εἰς ἀκρασίαν, καὶ μᾶλλον αἱ γυναῖκες, λέγουσαι κοινωνίαν αὐτῇ γενέσθαι πρὸς τὸν Ἄραβα. τὴν δὲ κόρην ἣν τἀδελφῷ κατηγγύησεν ὁ βασιλεύς, ἣν ὁ μὲν Φερώρας οὐκ ἔλαβεν ὡς προεῖπον ἡττώμενος τῆς γυναικός, αἰτούσης Σαλώμης εἰς τὸν υἱὸν ἐκ Κοσταβάρου γενόμενον, ὥρμητο μὲν ἐκείνῳ συνοικίσαι. μεταπείθεται δὲ ὑπὸ τοῦ Φερώρα τὸν νεανίσκον οὐκ εὔνουν ἔσεσθαι λέγοντος, διὰ τὴν ἀπώλειαν τοῦ πατρός, καὶ δικαιότερον εἶναι λαβεῖν τὸν αὐτοῦ παῖδα τῆς τετραρχίας ὄντα διάδοχον. οὕτω δὲ συγγνώμην ᾐτεῖτο, καὶ μετέπεισεν οὕτως. ἐκείνη μὲν οὖν αὐτῇ μετατεθείσης τῆς ἐγγύης, ἐγαμεῖτο τῷ Φερώρα μειρακίῳ, φέρνην ἐπιδόντος ἑκατὸν τάλαντα τοῦ βασιλέως. οὐκ ἀνεῖτο δὲ τὰ κατὰ τὴν οἰκίαν ἀεί, καὶ μείζους τὰς ταραχὰς λαμβάνοντα. καὶ συμπίπτει τοιοῦτον

ἐξ

ἐξ αἰτίας μὲν οὐκ ἀπρεποῦς χωρῆσαν δὲ πρόσω κατὰ δυσχέρειαν. ἦσαν εὐνοῦχοι τῷ βασιλεῖ διὰ κάλλος οὐ μετρίως ἐσπουδασμένοι. τούτων ὁ μὲν οἰνοχοεῖν, ὁ δὲ δεῖπνον προσφέρειν, ὁ δὲ κατακοιμίζειν βασιλέα πεπίστευτο, καὶ τὰ μέγιστα τῶν ἐν ταῖς ἀρχαῖς. καί τις ἀγγέλλει τῷ βασιλεῖ διαφθαρῆναι τούτους ὑπὸ Ἀλεξάνδρου τοῦ παιδὸς ἐπὶ πολλοῖς χρήμασιν. ἀνακρινόμενοι δὲ περὶ τῆς γεγενημένης πρὸς αὐτὸν κοινωνίας καὶ μίξεως, ὡμολόγουν. ἄλλο δὲ οὐδὲν δυσχερὲς εἰς τὸν πατέρα συνειδέναι. βασανιζόμενοι δὲ μᾶλλον, καὶ ἐν τῷ ἀναγκαίῳ ὄντες, ἐπιτεινόντων ἀεὶ τῶν ὑπηρετῶν, καὶ χαριζομένων τῷ Ἀντιπάτρῳ τὸ τοιοῦτον, ἔλεγον, ὡς εἴη δυσμενὴς ἅμα πρὸς τὸν πατέρα, καὶ μῖσος ἔμφυτον Ἀλεξάνδρῳ. παραινοίη δὲ αὐτοῖς Ἡρώδην μὲν ἀπεγνωκέναι περὶ τὸν ἤδη πεπτωκότα, καὶ τῷ γήρᾳ παρακάλυμμα τοῦ χρόνου ποιούμενον, μελαίνοντα τὰς τρίχας, καὶ κλέπτοντα τὸν ἔλεγχον τῆς ἡλικίας. εἰ δὲ αὐτῷ προσέχοιεν τῆς νῦν περιγινομένης τῆς βασιλείας, ἣν καὶ μὴ βουλομένου οὐκ ἄλλου τινὸς εἶναι, ταχὺ τὸν πρῶτον ἕξειν ἐν αὐτῇ τόπον. οὐ γὰρ μόνον διὰ τὸ γένος, ἀλλ' ἤδη καὶ τὴν παρασκευὴν ἑτοίμην αὐτῷ τὸ κρατεῖν εἶναι. πολλοὶ μὲν γὰρ τῶν ἡγεμόνων, πολλοὶ δὲ τῶν φίλων συνεστᾶσιν οὐκ οἱ πονηροὶ πᾶν ὅτι οὖν καὶ δρᾶν καὶ πάσχειν. τούτων τῶν λόγων ἀκούσας Ἡρώδης, ὅλος ἐγένετο τῆς ἐπηρείας, καὶ τῆς δέους, τὰ μὲν εἰς ὕβριν ῥηθέντα χαλεπῶς, τὰ δὲ εἰς ὑπόνοιαν οὐκ ἀκινδύνως ἐκλαβών. ὥστε καὶ μᾶλλον ἐξ ἀμφοτέρων ἠρεθίζετο, καὶ πικρὸς ὢν, ἐδεδοίκει μηκέτι τῆς ἀληθείας συνεστηκέναι ἐπ' αὐτὸν ἰσχυρότερον, ἢ φυλάξασθαι πρὸς ἐκεῖνον τὸν καιρόν. ἔνθεν οὐδ' ἐκ φανεροῦ τὴν ἐρεύνησιν ἐποιεῖτο, κατασκόπους δὲ τῶν ὑπονοουμένων διέπεμψεν, ὑποψίᾳ τε καὶ μίσει πρὸς ἅπαντας ἦν, καὶ τὴν ὑπόνοιαν ἐπ' ἀσφαλείᾳ λαμβάνων πολλὴν καὶ κατὰ τῶν οὐκ ἀξίων αὐτῇ χρώμενος διετέλει. πέρας τε οὐδὲν ἦν, ἀλλὰ μὲν οἱ νομιζόμενοι μᾶλλον ὡς ἂν καὶ μᾶλλον ἰσχύοντες, ἐδόκουν αὐτῷ φοβεροί. τοῖς δ' οἷς οὐκ ἦν συνήθεια πλείω ὀνομάσαι μόνον ἐδόκει, καὶ μέρος εὐθὺς ἀσφαλείας, ἐδόκουν ἀπολλύμενοι. τέλος τε οἱ περὶ αὐτὸν, ἐν τῷ μηδὲν ἔχειν βέβαιον εἰς ἐλπίδα σωτηρίας ἐπ' ἀλλήλους ἐτράπησαν, νομίζοντες μὲν εἰ φθάσας ἕτερος τὸν ἕτερον διαβάλοι, τοῦτ' αὐτῷ πρὸς σωτηρίαν φέρειν, ἐπίφθονοι δ' εἴποτε τύχοιεν ὧν ἠξίουν γινόμενοι καὶ τῷ δικαίως αὐτοὶ παθεῖν ἐφ' οἷς ἀλλήλους ἠδίκησαν προλαμβάνοντες μόνον. ἤδη οὖν οἰκείας τινὰς ἔχθρας ἐπεξῄεσαν τῷ τοιούτῳ τρόπῳ, καὶ καταφωραθέντες ἐν τοῖς ὁμοίοις ἐγίνοντο, τὸν καιρὸν ὥσπερ ὄργανον, καὶ πάγην ἐπὶ τοὺς ἐχθροὺς νοοῦντες, καὶ συναλισκόμενοι τῇ πείρᾳ, καθ' ἣν ἑτέροις ἐπεβούλευον. ἦν τι καὶ μετάνοια τῷ βασιλεῖ ταχὺ διὰ τὸ μὴ προφανὰς ἁμαρτάνοντας ἀναιρεῖν ἐπεγίνετο, καὶ ταύτης τὸ χαλεπὸν, οὐκ εἰς τὸ παύσασθαι τὰ ὅμοια δρᾶν, ἀλλ' εἰς τὸ τιμωρήσασθαι τοῖς ἴσοις τοὺς ἐνδειξαμένους ἀπηρτίζετο. τοιαύτη μὲν ἦν τὴν περὶ τὴν αὐλὴν ταραχή. πολλοῖς δὲ τῶν φίλων ἤδη, καὶ τοῦτ' αὐτὸ προεῖπεν ὡς οὐδ' ἐμφανίζεσθαι δέον αὐτῷ λοιπὸν, οὐδ' εἰς τὸ βασίλειον εἰσιέναι. ταύτην δὲ τὴν παραγγελίαν ἐποιεῖτο, καθὸ ἡ παρρησίας ἐλάττονος, ἢ πλείονος ἐντροπῆς μετέληφε. καὶ γὰρ Ἀνδρόμαχον καὶ Γέμελλον, ἄνδρας αἰωθεν φίλους αὐτῷ, καὶ πολλὰ μὲν περὶ τὰς βασιλικὰς χρείας, ἐν τε πρεσβείαις, καὶ συμβουλίαις ὀνήσαντες αὐτῷ τὸν οἶκον, συμπαιδεύσαντας δὲ καὶ τοὺς υἱοὺς, καὶ τί γὰρ ἡ πρὸ τῶν παρρησίας

à turpibus initiis progressæ vsque ad calamitates tristissimas. Erant in deliciis Herodi propter formam eunuchi tres, vnus à poculis, alter ab epulis, tertius cubicularius, quorum opera etiam in seriis regni negotiis vti est solitus. hos quidam ad regem detulit corruptos esse ab Alexandro filio accepta magna vi pecuniæ: & quæstionibus examinati ecquid cum illo habuissent consuetudinis, rem fassi sunt: præterea nullius tentati contra patrem facinoris se esse conscios, admotis deinde actioribus tormentis, victi necessitate, ministris magis magísque in gratiam Antipatri sæuientibus aiunt Alexandrum innatum cōtra parētem odium alere: hortatúmque eos vt Herodem desererent iam inutilem, facientémque fucum ætati, & senium dissimulantem tincto capillicio. quin potius sibi adhiberent animū potituro vel inuito patre regno debito, expectaréntque breui dignitatem primariam. iam enim non tantùm generis prærogatiuam sibi suffragari, sed instructa etiam ad inuadendam dominationem omnia statutos pro se multos duces militum multos amicos regios, paratos quiduis vel agere vel pati in ipsius gratia. His auditis Herodem totum ira & timor occupat, quòd filij verba & contumeliosa viderentur, & minacia: vtroque igitur exacerbatus verebatur ne quid grauius contra se conflatum esset, quàm vt eodem temporis momento posset cauere & occurrere. quamobrem non ausus palā inquirire: per dimissos clancularios rem gerebat, omnes suspectos iuxta habens atque inuisos, & in suspicionibus etiam de immeritis securitatem suam collocans: quatum adeò nullꝰ erat finis, vt quo quisq; ei coniunctior esset, eo magis timeretur, vt tanto ad nocendum potētior. Cæteros cum quibus ei nulla intercedebat familiaritas, vel nominari à delatore sat erat, móxque ad suam securitatem pertinere putabat illorū interitus. Postremò etiam domestici anxij de incolumitate propria in seipsos versi sunt, tutissimos rati qui alios præuenirēt calumniis, certissimúmque hoc ad salutem remedium: qui mox voti compotes hoc ipso aliorum in se conciebant inuidiam, videbantúrq; meritò retaliandi, & sic accipiēdi, vt ipsi tractassent alios. Iámque etiam priuatas simultates hoc modo exercebant: móxque deprehensi eadem patiebantur, occasione contra inimicos vtentes pro laqueo, quo paulò pòst ipsi comprehendebantur. Rex enim velox erat ad pœnitentiam, eo quòd multos non conuictos tolleret: quod tamen non in hoc proderat ne similia posthac faceret, sed contentus erat delatores eorum pari mulctasse supplicio. Tantum erat tunc in aula regia perturbationum ac formidinum. Mulis etiam intimis amicis denunciauit ne vel in conspectum suum venirent, vel intra limina palatij, maximè his qui fiducia meritorum hactenus ei reuertendi fuerant. Andromacho enim & Gemello veteribus amicis, & qui plurimum regē tam legationib. quàm consiliis iuuerant, filiósque eius instituerant, & maiorem cęteris habebāt fiduciam,

amicitiam renunciauit: alteri quia Demetrio eius filio Alexander vtebatur familiariter: Gemello verò quòd ipsum sciret fauere iuueni. nam & inter educatores eius ac eruditores fuerat, & Romanæ peregrinationis comes hæserat. Nec dubium est quin grauius aliquid in eos libenter statuisset, ni obstaret virorum claritas: quare contentus est tum ablegatis ademisse autoritatem, vt posita proborum hominum reuerentia debaccharetur licentiùs. Horum porrò omnium malorum fax erat Antipater, qui ex quo primùm tempore patrem animaduertit formidinibus obnoxium, consiliorum ei socium se adiungens accedebat hominis sæuitiam: & tunc videbatur egregiè fungi officio, si daret operam, vt quicunque reniti possent tollerentur de medio. Tunc igitur pulso Andromacho & reliquis amicis liberioribus, primùm rex quotquot putabat Alexandro fidos examinauit tormentis, num cuius tentati contra se facinoris essent cõscij. illi verò immoriebantur cruciatibus, quòd nihil haberent dicere. atque hoc acrius incumbebatur quæstionib. quòd præter opinionem nullum deprehendi posset ne excogitatum quidé maleficium. Et Antipater callidus artifex interpretabatur tortos à veritate malle, quàm à fide erga dominos & amicos discedere, vrgebátque vt secreta perquirerentur apprehensis pluribus. Tandem vnus è multis tormenta non ferens ait se non semel audisse iuuenem dicere; quoties laudaretur à proceritate staturæ, aut sagittandi peritia, cæterísque virtutibus eximiis, hæc à natura ornaméta sibi magis concessa quàm beneficia. patrem enim præ inuidia his offendi omnibus. quapropter quãdo simul inambulent contrahi se industria & submitti, ne appareat procerior, & in venatoriis iaculationibus illo præsente destinata non ferire, quòd norit genitoris ingenium non ferentis laudari filium. Hæc verba dum expenduntur intermissis tormentis adiecit, conspirasse eum cum fratre Aristobulo, vt in venatione patri insidias strueret, quibus si ille esset oppressus, tũ regnum postulaturus Romam perfugeret. Inuentæ sunt etiam iuuenis literæ ad fratrem scriptæ, conquerentis de patre, non rectè factum, quòd Antipatro addixisset agros ex quibus ad eum redirent c c. talenta annua, tum verò Herodes probabili, vt ipsi videbatur, argumento confirmatus in suspicione, Alexãdro comprehenso iubet iniici vincula: & rursum incipit sæuire, quamuis ne ipse quidem auditis satis crederet neque enim excogitare poterat cur deberet ab illis per insidias appeti: & querelæ illæ pueriles contentiones videbãtur, nec verisimile post manifestum parricidiũ voluisse eos Romam petere. quamobrem volens maius aliquod impietatis argumẽtum inuenire, soliciteque cauens ne videretur filiũ temere damnasse ad vincula, & quæstioni subiiciens honoratiores Alexãdri amicos, non paucos eorum nihil tale confessos interfecit. Cũq; tota regia tumultu, terrore ac tormẽtis perstreperet, iuuenis quidam in tali necessitate cõstitutus, dixit Alexandrũ Romã ad amicos literas misisse, rogantẽ vt curarẽt se accersiri à Cęsare,

A τόπον ἐσχηκότας παρῃτήσατο, τὸν μὲν, ὅτι Δημήτριος ὁ παῖς αὐτοῦ συνήθης ἦν Ἀλεξάνδρῳ. Γέμελλον δὲ εὔνουν ἐπιστάμενος ἐκείνῳ. καὶ γὰρ ἐν ταῖς τροφαῖς, καὶ τῇ παιδείᾳ παραγεγόνει, καὶ τὴν ἐν τῇ Ῥώμῃ συνδιέτριβεν ἀποδημίαν. παρῃτήσατο δὲ καὶ τούτους, ἡδέως μὲν ἂν καὶ χεῖρον. ὑπὸ δὲ τοῦ μὴ κατ' ἀνδρῶν οὐκ ἀσήμων ἔχειν τὴν ἄχρι τοσούτων παρρησίαν, τὴν τιμὴν, καὶ τὸ δύνασθαι κωλύειν ἁμαρτάνοντας περιαιρούμενος. ἦν δὲ τούτων ἁπάντων αἴτιος Ἀντίπατρος, B ὃς ἐπειδὴ τὸ γενοσηκὸς τῆς τοῦ πατρὸς παρρησίας κατέμαθεν, ἔκπαλαι μὲν συνεδρεύων αὐτῷ προσέκειτο καὶ μᾶλλον ἐδόκει τι περαίνειν, εἰ τῶν ἀντέχειν δυναμένων ἕκαστος ὑπεξαιρεθείη. τότε γοῦν τῶν περὶ τὸν Ἀνδρόμαχον ἀπελαθέντων λόγου καὶ παρρησίας, πρῶτον μὲν ὁ βασιλεὺς ὅσους ᾤετο πιστοὺς Ἀλεξάνδρῳ, βασάνοις ἀνέκρινεν εἴ τι κατ' αὐτοῦ πλημμεληθὲν εἰδεῖησαν. οἱ δὲ ἀπέθνησκον οὐδὲν ἔχοντες λέγειν. τὸ δ' C ἦν φιλονεικίας αἴτιον, εἰ μή τι τοιοῦτον οἷον ἐνόει κακῶς εὑρίσκοιτο. καὶ δεινὸς Ἀντίπατρος τὸν μὲν ὑπ' αὐτῆς τῆς ἀληθείας ἀναίτιον εἰς ἐγκράτειαν καὶ πίστιν διαβαλεῖν, ἐπιπαροξῦναι δὲ ζητεῖν ἐκ πλειόνων τὸ λανθάνον τῆς ἐπιχειρήσεως. καὶ τις ἐν πολλοῖς τοῖς βασανιζομένοις εἶπεν, ὡς εἰδείη τὸν νεανίσκον λέγοντα πολλάκις ὅταν ἐπαινούμενος αὐτὸς τύχοι πότε σῶμα ὡς εἴη μέγας, καὶ τὴν τοξικὴν εὔστοχος, D καὶ τἄλλα τὰ πρὸς ἀρετὴν ὑπὲρ ἅπαντας, ὅτι ταυτὰ αὐτῷ καλὰ μᾶλλον ἤπερ ἀγαθὰ παρὰ τῆς φύσεώς ἐστιν. ἄχθεσθαι γὰρ ἐπ' αὐτοῖς τὸν πατέρα καὶ φθονεῖν. αὐτός τε ὅταν μὲν ἅμα περιπατῶν συστέλλειν αὐτὸν, καὶ καθαίρειν ὡς μὴ μείζων ὁρᾶσθαι. τοξεύων δὲ ἐν τοῖς κυνηγεσίοις ἐκείνου παρόντος ἀποσκοποῦ ῥίπτειν. τὴν γὰρ φιλοτιμίαν εἰδέναι τοῦ γεγηρακότος, τούτων εὐδοκιμούντων. βασανιζομένου δὲ τοῦ λόγου, καὶ προσγινομένης ἀνέσεως τῷ σώματι, E προστίθει ὅτι καὶ συνεργὸν ἔχει τὸν ἀδελφὸν Ἀριστόβουλον ἐν κυνηγεσίῳ λοχήσας φεύγειν εἰς Ῥώμην, ἐπειδὰν τοῦτ' αὐτῷ πραχθῇ τὴν βασιλείαν αἰτησόμενος. εὑρέθη δὲ καὶ γράμματα τοῦ νεανίσκου πρὸς τὸν ἀδελφὸν, ἐν οἷς ἐμέμφετο τὸν πατέρα μὴ δίκαια ποιῆσαι, Ἀντιπάτρῳ χώραν ἀπονέμοντα πρόσοδον διακοσίων ταλάντων φέρουσαν. ἐπὶ τούτοις εὐθὺς μὲν ἔδοξέ τι πιστὸν ἔχειν Ἡρώδης ὡς ᾤετο, F κατὰ τῆς τῶν παίδων ὑποψίας. καὶ συλλαβὼν, ἔδησεν τὸν Ἀλέξανδρον. αὖθις δὲ, οὐκ ἀνίει χαλεπὸς ὢν, τὰ μὲν οὐδ' οἷς ἤκουσεν ἄγαν πιστεύων, ἀναλογιζομένῳ δὲ ἄξιον μὲν ἐπιβουλῆς ἐξ αὐτῶν οὐδὲν ἐφαίνετο. μέμψεις δὲ καὶ νεανικαὶ φιλοτιμίαι, καὶ τὸν κτείναντα φανερῶς εἰς τὴν Ῥώμην ὁρμᾶν ἀπίθανον. ἠξίου δὲ καὶ μεῖζόν τι λαβεῖν τῆς περὶ τὸν υἱὸν παρανομίας τεκμήριον, καὶ φιλόνεικος ἦν μὴ δόξαι προπετῶς τὰ δεσμὰ κατεγνωκέναι. G τῶν δὲ φίλων τῶν Ἀλεξάνδρου βασανίζων τοὺς ἐν τέλει, διέφθειρεν αὐτῶν οὐκ ὀλίγους, οὐδὲν εἰπόντας, ὧν ἐκεῖνος ᾤετο. πολλῆς δὲ τῆς εἰς τὸ ζητοῦν ἑτοιμότητος οὔσης, καὶ φόβου, καὶ ταραχῆς περὶ τὸ βασίλειον, εἷς τις τῶν νεωτέρων, ὡς ἐν ταῖς ἀνάγκαις ἐγένετο, διαπέμψασθαι ἔφη τοῖς ἐν Ῥώμῃ φίλοις τὸν Ἀλέξανδρον ἀξιοῦντα κληθῆναι θᾶττον ὑπὸ Καίσαρος, ἔχειν δὲ αὐτῷ πρᾶξιν ἐπ' αὐτὸν συνισταμένην μηνῦσαι,

μιθει-

μιθριδάτην τὸν βασιλέα πάρθων τοῦ πατρὸς ᾑρημένου κατὰ ῥωμαίων φίλον. εἶναι δὲ αὐτῷ, καὶ φάρμακον ἐν ἀσκάλωνι παρασκευασμένον. τούτοις ἐπίστευσεν ἡρώδης, καί τινα παραμυθίαν τῆς περιπετείας εἴληφεν ἐν τοῖς κακοῖς, ὑπὸ τῶν χειρόνων κολακευόμενος. καὶ τὸ μὲν φάρμακον οὐδεὶς ἐσπουδακότι ζητεῖν οὐχ εὑρέθη. τὴν δὲ ὑπερβολὴν τῶν κακῶν ἀλέξανδρος ἐκ φιλονεικίας ἐπιρρῶσαι θέλων, εἰς μὲν ἄρνησιν οὐκ ἐτράπετο. μετῄει δὲ τὴν περιπέτειαν τοῦ πατρὸς ἁμαρτίᾳ μείζονι, τάχα δὲ καὶ διὰ τούτου δυσωπῆσαι βουλόμενος τὸ πρὸς τὰς διαβολὰς ἕτοιμον, οὐχ ἥκιστα δὲ εἰ καὶ ἔτυχεν πιστευθεὶς κακοῦν αὐτὸν, καὶ πᾶσαν τὴν βασιλείαν προῃρημένος. γράμματα γὰρ γράψας ἐν βιβλίοις τέτταρσιν ἀπέστειλεν. ὡς οὐδὲν δεῖ βασανίζειν, οὐδὲ περαιτέρω χωρεῖν. γενέσθαι γὰρ τὴν ἐπιβουλὴν, καὶ ταύτης συλλαμβάνειν τόν τε φερώραν, καὶ τοὺς πιστοτάτους αὐτῷ τῶν φίλων. σαλώμην δὲ καὶ νύκτωρ ἐπεισελθοῦσαν ἄκοντι μιγῆναι, καὶ πάντας ἐπὶ ταὐτὸν ἥκειν, τοῦ θᾶττον ἐκεῖνον ἐκποδὼν ποιησαμένους, ἄδειαν τῆς ἀεὶ προσδοκίας ἔχειν. ἐν τούτοις καὶ πτολεμαῖος διεβέβλητο, καὶ σαπίννιος οἱ πιστότατοι τῷ βασιλεῖ. καὶ τί γὰρ εἰ καθάπερ λύττης τινὸς ἐμπεσούσης κατ᾽ ἀλλήλων οἱ πάλαι φίλτατοι τεθηρίωντο, μήτ᾽ ἀπολογίας, μήτ᾽ ἐλέγχου τόπον, ἕως ἀληθείας ἐχόντων, ἀλλ᾽ ἀεὶ γινομένης ἀκρίτου τινὸς εἰς ἅπαντας ἀπωλείας. καὶ τῶν μὲν δεσμά, τῶν δὲ θάνατος, τῶν δὲ τὸ ταῦτα μέλλειν ἐπ᾽ αὐτοῖς ὀδυρομένων, ἡσυχία τε καὶ κατήφεια τὸ βασίλειον ἀπεκόσμει τῆς πρώτης εὐδαιμονίας. καὶ χαλεπὸς ἦν ἡρώδῃ πᾶς ὁ βίος ἐκτεταραγμένῳ, καὶ τὸ μηδενὶ πιστεύειν μέγα τῆς προσδοκίας κολαστήριον ἔχοντι. πολλάκις γοῦν ὡς ἐπανιστάμενον αὐτῷ τὸν υἱὸν, ἢ καὶ ξιφήρη παρεστῶτα διὰ φαντασίας ἐλάμβανεν. οὕτως ἡ ψυχή, καὶ νύκτα, καὶ ἡμέραν πρὸς τούτῳ γινομένη, πάθος ἀνεμάξατο μανίας καὶ ἀγνοίας οὐκ ἧττον. καὶ τὰ μὲν περὶ ἐκεῖνον εἶχεν οὕτως.

Κεφάλαιον ιβ´.

Ὡς ἀρχέλαος ὁ καππαδοκῶν βασιλεὺς ἀλέξανδρον τῷ πατρὶ διήλλαξε.

Ἀρχέλαος δὲ ὁ τῶν καππαδοκῶν βασιλεὺς ὡς ἐπύθετο τὰ κατὰ τὸν ἡρώδην, ἀγωνιῶν τε ὑπὲρ τῆς θυγατρὸς, καὶ τοῦ νεανίσκου, καὶ συναλγῶν ἀνδρὶ φίλῳ, τῆς ἐπὶ τοσόνδε ταραχῆς, ἧκεν οὐκ ἐν παρέργῳ θέμενος τὰ πράγματα. καὶ καταλαβὼν οὕτως ἔχοντα, τὸ μὲν ἐπιτιμᾶν, ἢ φάναι γενέσθαι τι προπετὲς αὐτῷ τελέως ἀνοίκειον εἰς τὸν καιρὸν ἡγήσατο. φιλονεικήσειν γὰρ κεκακωμένον, καὶ μᾶλλον ἀπολογεῖσθαι προσδιδόντα πλείονος ὀργῆς ἀναπλησθήσεσθαι. μετῄει δὲ τάξιν ἑτέραν τὴν ἐπανόρθωσιν τῶν ἠτυχημένων, ὀργιζόμενος τῷ νεανίσκῳ, κἀκεῖνον ἐπιεικῆ λέγων, τῷ μηδὲν ἐκ προπετείας ἐργάσασθαι. τόν τε γάμον διαλύσειν ἔφη πρὸς τὸν ἀλέξανδρον, καὶ μηδὲ ἂν τῆς θυγατρὸς φείσασθαι δικαίως εἴ τι συνειδυῖα τούτῳ οὐ κατεμήνυσεν. τοιούτου δ᾽ οἵτος οὐ κατὰ προσδοκίαν ὧν ὁ ἡρώδης ᾤετο, τὸ δὲ πλέον ὑπὲρ αὐτοῦ τὴν ὀργὴν ἐπιδεικνυμένου, μετέπιπτεν ὁ βασιλεὺς τῆς χαλεπότητος, καὶ λαβὼν ἐκ τοῦ δικαίου δοκεῖν τὰ πεπραγμένα πεποιηκέναι, κατὰ μικρὸν εἰς τὸ τοῦ πατρὸς ἀντιμεθίστατο πάθος. οἶκτος δὲ ἦν ἐν ἀμφοτέροις, ὅτε μὲν ἀπελύοντό τινες τὰς τοῦ νεανίσκου διαβολὰς εἰς ὀργὴν ἐκταραττόμενος. ἐπειδὴ δὲ

indicaturum de quibusdam contra illum conspirationibus quãdo pater societati Romanorum prætulerit Mithridatis Parthorum regis amicitiam. addidit habere eum venenum quod apud Ascalonem paratum sit. His auditis Herodes credidit, consonantibus eum in calamitate adulatoribus, quòd non temerè quidquam faceret. venenum tamen summa cura quæsitum nusquam inuentum est. Cæterùm Alexander oppressus malis adeò non cessit, neque inficiatus est, vt patrem exasperaret amplius: siue volens pudefacere facilitatem eius ad credendum calumniis: siue vt, si fortè crederet, inuolueret eum cum tota regia magnis calamitatibus. Quatuor enim libellos à se conscriptos ei misit, negans opus esse tormentis pluribus. Structas enim insidias, participesque eorum esse Pheroram & amicorum fidissimos. Quin & Salomen obrepentem noctu cum inuito se esse congressam, omnésque cõtendere, vt illo sublato optatam assequerentur licentiam. eiusdem conspirationis arguebantur & Ptolemæus & Sapinnius, præ cũctis regi fidissimi. nec aliter quàm rabie quadam occupati in se inuicem efferabantur homines pridem amicissimi, non defensione, non coargutione expectata tantisper dum veritas pateret, iudicium præueniente supplicio. alij vinciebantur alij necabantur, alij nihil lætius expectantes moras ipsas quàm repræsentationem malorum ægriùs ferebant: ingénsque mœror ac torpor fœdabat pristinam felicitatem regiæ. Ne Herodẽ quidem ipsum vitæ in tali perturbatione nõ tædere poterat, cui quòd nemini se auderet credere pro tormento erat futuri exitus expectatio: sæpéque illi obuersabatur irruens gladio stricto filius, noctes atque dies nihil aliud volutanti, vt iam minimũ abesset ab insania.

CAP. XII.

Archelaus Cappadocum rex Alexandrum patri reconciliat.

DVm ita Herodes animo angitur, Archelaus Cappadocum rex de filia, & iuuene genero solicitus, tum amici quoque vicẽ miserás inuoluti tam perplexis & turbatis negotiis, officij sui putauit profectionem ad eum suscipere, Quem vbi sicut audierat affectum inuenit, importunam rem putauit, si obiurgaret ac temeritatis & nimiæ credulitatis argueret. fore enim vt ille ex aduerso contendens & excusare se studens, exacerbaretur amplius. Quapropter aliam rationem commentus est qua res affectas componeret, indignatione versa in iuuenem, asserens regem nihil præter ęquitatem, sed omnia rectè fecisse. Se quoque diremptururm illud cõiugium, ac ne filiæ quidem parsurum, si sceleris conscia non fecisset indiciũ. Tũ Herodes vbi pręter opinionẽ vidit hominẽ pro se lęso tam grauiter excãdescere, asperitate remissa, & factũ suũ iusta ęstimatione volẽs expendere, paulatim ad paternos affectus rediit. Iámque vtroque flexo ad misericordiam, quoties aliquis obiecta à iuuene crimina refelleret, ad irã cõmouebatur rex: postquãverò

Archelaum quoque accusationem aggredi vidit, lacrymis affectum prodens, rogabat illum ne nimium indulgeret iræ, néve propter iuuenis erratum coniugium dirimeret. Tum Cappadox nactus eum iam mitiorem, cœpit crimina transferre in amicos qui deprauarent hominem iuuenem, & rudem omnis malitiæ, præcipuè fratrem regis vrgens suspicionibus nam cùm & Pheroras in Herodis indignationem incurrisset, intelligens reconciliatorem neminem Archelao magis idoneum, attratus illum adiit, alia quoque desperantis de salute signa præferens. qui non despexit preces supplicis, negans tamen sibi facilè, tam citò flectere offensum regis animum. Satius esse vt ipse à fratre veniam peteret, priùs confessus se fuisse causam horum omnium. eam confessionem profore multum ad leniẽdam iracundiam, ac tum demum se quoque opportuniùs deprecatorem accessurum. paruit ille consilio, quod vtrique cessit feliciter. nam & iuuenis præter opinionem exemptus est criminationibus & Pheroram Archelaus reposuit in fratris gratiam: ipse quoque inita maxima gratia apud regem in tam difficili ipsius tempore, lætus in Cappadociam profectus est. nam & cũ muneribus dimissus est preciosissimis, & facilè primum inter amicos locum obtinuit. Conuenit etiam inter eos vt Herodes Romam peteret, quandoquidem de hoc negotio Cæsari scripserat: fecerúntque simul iter vsque Antiochiam, ibi præsidem Syriæ Titum reconciliauit Archelao, atque ita in Iudæam reuersus est.

Cap. XIII.

Trachonitarum defectio.

SEd interim dum ille Romam profectus à regno abest, bellum Arabicum ex hac causa exortum est. Incolæ Trachonis, quam regionem Zenodoro ademptam Cæsar Herodi attribuerat, vetiti exercere latrocinia, cogebantur in studiis agriculturæ mitiùs degere. hoc vitæ genus nec ipsos delectabat, neque terra respondebat laboribus. tamen à principio coercente rege abstinebant iniuriam ab accolis, non sine laude Herodis diligentiæ. Sed quãdo rex nauigauit in Italiã Alexãdrũ accusaturus & cõmẽdaturus Antipatrum Cæsari, Trachonitæ sparso rumore de eius interitu, defecerũt reuersi ad pristina latrocinia. tũc tamen absente rege à ducibus eius sunt perdomiti. cæterùm XL. ex his latronum principes captorum exemplo territi, relicto patrio solo fugerunt in Arabiam, recipiente eos Syllæo propter non impetratum Salomes coniugiũ: à quo cùm munitum quendam locum accepissent habitandum, excursionibus non Iudæam tantùm infestabant, sed totam Cœlesyriam, abigebántque prædas in sua receptacula, Syllæo præbente impunitatem & securitatem maleficiis. Herodes autem reuersus à Romano peregrinatione, comperit multa damna illata suis à latronib. cũq; nõ posset eos in potestatẽ suã redigere, quòd essent sub tutela Arabum

ἀρχέλαος τῆς κατηγορίας, πρὸς δάκρυα καὶ λύπην οὐκ ἀπαθῆ μεθιστάμενος. ἐδεῖτο γοῦν ἐκείνου μήτε διαλύειν τὸν γάμον, ὀργῆς τε ἔλαττον ἔχειν, ἐφ᾽ οἷς ὁ νεανίσκος ἠδίκηκεν. ἀρχέλαος δὲ παραλαβὼν ἐπιεικέστερον, εἴς τε τοὺς φίλους μετέφερεν τὰς διαβολάς, ἐκείνων εἶναι λέγων νέον ὄντα καὶ κακοηθείας ἀναίσθητον διαφθεῖραι. τόν τε ἀδελφὸν αὐτοῦ μᾶλλον εἰς ὑποψίαν καθίστη. τοῦ γὰρ ἡρώδου χαλεπῶς καὶ πρὸς τὸν φερώραν ἔχοντος, ὁ μὲν ἀπορίᾳ τοῦ διαλλάξοντος ἀρχέλαον ὁρῶν μάλιστα δυνάμενον, αὐτὸς τυχὼν πρὸς ἐκεῖνον ἐτράπετο μελανείμων, καὶ πάντα τὰ σημεῖα τῆς μὴ μικρᾶς ἀπωλείας ἔχων. ἀρχέλαός τε οὔτι ὑπερεῖδεν τὴν ἔντευξιν, οὔτ᾽ ἔφη δυνατὸς εἶναι ταχὺ μεταπείθειν οὕτως ἔχοντα τὸν βασιλέα. βέλτιον δὲ εἶναι αὐτῷ προσιέναι καὶ δεῖσθαι τῶν πάντων αἴτιον αὑτὸν ὁμολογοῦντα, ὠφελήσεσθαι γὰρ οὕτως τοῦ θυμοῦ τὸ περιττὸν, αὐτὸς δὲ συνήψεσθαι παρών. ταῦτα δὲ πεισθέντος αὐτοῦ, σὺν ἀμφοτέροις ἦν διαπεπραγμένον. αἵ τε διαβολαὶ παρὰ δόξαν ἀφῄρηντο τοῦ νεανίσκου, καὶ φερώραν ἀρχέλαος διαλλάξας, οὕτως εἰς καππαδοκίαν ἀπῄει κεχαριτωμένος, ὡς οὐκ ἄλλος ἐν τῇ τότε περιστάσει τῶν καιρῶν ἡρώδῃ γενόμενος. ὅθεν καὶ δώροις αὐτὸν ἐτίμησεν πολυτελεστάτοις, κἂν τοῖς ἄλλοις μεγαλοπρεπῶς ἐν τοῖς μάλιστα φίλτατον ἡγησάμενος. ἐποιήσατο δὲ καὶ συνθήκας εἰς ῥώμην ἐλθεῖν, ἐπειδὴ περὶ τούτων ἐγέγραπτο καίσαρι, καὶ μέχρις ἀντιοχείας ἐπὶ τὸ αὐτὸ παρῆλθον. ἐκεῖ καὶ τὸν ἡγεμόνα συρίας τίτον ἐκ διαφορᾶς ἀρχελάῳ κακῶς ἔχοντα, διήλλαξεν ἡρώδης, καὶ πάλιν εἰς ἰουδαίαν ὑποστρέφει.

Κεφάλαιον ιγ΄.

Ἀπόστασις τῶν τραχωνιτῶν.

ΓΕνομένῳ δὲ ἐν τῇ ῥώμῃ, κἀκεῖθεν ἐπανήκοντι, συνίστη πόλεμος πρὸς τοὺς ἄραβας, ἐξ αἰτίας τοιαύτης. Οἱ κατοικοῦντες τὸν τράχωνα, καίσαρος ἀφελομένου ζηνόδωρον, καὶ προσθέντος ἡρώδῃ τὴν χώραν, λῃστεύειν μὲν οὐκ εἶχον ἐξουσίαν ἔτι, γεωργεῖν δὲ καὶ ζῆν ἡμέρως ἠναγκάζοντο. τοῦτο δ᾽ οὖν ἐκείνοις οὐχ αἱρετὸν, οὐδὲ λυσιτέλειαν ἔφερεν ἡ γῆ πονοῦντων. ὅμως δὲ κατ᾽ ἀρχὰς μὲν οὐκ ἐπιτρέποντος τοῦ βασιλέως, ἀπείχοντο τῶν εἰς τοὺς περιοίκους ἀδικημάτων, καὶ πολλὴ διὰ τοῦτο ἦν, εὐδοξία τῆς ἐπιμελείας ἡρώδου. πλεύσαντος δὲ εἰς τὴν ῥώμην, ὅτε καὶ τοῦ παιδὸς ἀλεξάνδρου κατηγόρει, καὶ παραθησόμενος ἀντίπατρον τὸν υἱὸν παρεληλύθει καίσαρι, λόγον ὡς ἀπολωλὼς εἴη διασπείροντες οἱ τὸν τράχωνα νεμόμενοι, τῆς τε ἀρχῆς ἀπέστησαν, καὶ πάλιν ἐπὶ τὰ συνήθη τοὺς πλησιοχώρους ἀδικεῖν ἐτρέποντο. τότε μὲν οὖν αὐτοὺς οἱ στρατηγοὶ τοῦ βασιλέως ἀπόντος, ἐχειρώσαντο. περὶ τετταράκοντα δὲ τινὲς ἀρχιλῃσταὶ κατὰ δέος τῶν ἡλωκότων, ἐξέλιπον μὲν τὴν χώραν, εἰς δὲ τὴν ἀραβίαν ἀφορμήσαντες, συλλαίου δεξαμένου μετὰ τὴν ἀτυχίαν τοῦ σαλώμης γάμου, τόπον τε ἐρυμνὸν ἐκείνου δόντος, ᾤκησαν, καὶ κατατρέχοντες οὐ μόνον τὴν ἰουδαίαν, ἀλλὰ καὶ τὴν κοίλην συρίαν ἅπασαν ἐλῄζοντο, παρέχοντος ὁρμητήρια τοῦ συλλαίου, καὶ κακῶς ποιοῦσιν ἄδειαν. ἡρώδης δὲ ἐπανελθὼν ἀπὸ τῆς ῥώμης, ἔγνω πολλὰ τῶν οἰκείων αὐτοῦ κεκακωμένα. καὶ τῶν μὲν λῃστῶν ἐγκρατὴς οὐ δυνάμενος γενέσθαι διὰ τὴν ἀσφάλειαν, ἣν ἐκ τῆς τῶν ἀράβων

προστα-

προστασίας ἐποιήσατο, χαλεπῶς δ' ἔχων αὐτοὺς τῶν ἀδικημάτων, περιελθὼν τὴν Τραχωνῖτιν τοὺς οἰκείους αὐτῶν ἀπέσφαξεν. ἐντεῦθεν ἐκεῖνοι καὶ μᾶλλον πρὸς ὀργὰς ἂν ἐπεποίθεισαν, ὄντος αὐτοῖς καὶ νόμου πάντα τρόπον ἐπεξιέναι τοὺς τῶν οἰκείων φονεῖς, ἀνυποπτήτως τὴν Ἡρώδου πᾶσαν ἄγοντες καὶ φέροντες διετέλουν. ἐκεῖνος δὲ διελέγετο περὶ τούτων τοῖς Καίσαρος ἡγεμόσιν Σατορνίνῳ τε καὶ Οὐολουμνίῳ, τὴν ἐπὶ κολάσει τοὺς λῃστὰς ἐξαιτούμενος. ὅθεν ἔτι καὶ μᾶλλον ἰσχυρὰς ἐχόντων, πλείους μὲν ἐγίνοντο, πάντα δ' ἐτάραττον ἐπανάστασει τῆς Ἡρώδου βασιλείας χωρία καὶ κώμας πορθοῦντες, καὶ τοὺς λαμβανομένους τῶν ἀνθρώπων ἀποσφάττοντες, ὡς εἶναι πολέμῳ τὴν ἀδικίαν ἐοικυῖαν. ἐγεγόνεισαν γὰρ ἤδη περὶ χιλίους, ἐφ' οἷς ἀχθόμενος Ἡρώδης, τούς τε λῃστὰς ἐξῄτει, καὶ χρέος ὃ διὰ Συλλαίου δανείσας ἔτυχεν Ὀβόδᾳ τάλαντα ἑξήκοντα, παρῳχηκυίας αὐτῷ τῆς προθεσμίας ἀπολαβεῖν ἠξίου. Συλλαῖος δὲ τὸν μὲν Ὄβοδαν παρεωσάμενος, αὐτὸς δὲ ἅπαντα διοικῶν, τούς τε λῃστὰς ἐξάρνος ἦν μὴ κατὰ τὴν Ἀραβίαν εἶναι, καὶ περὶ τῶν χρημάτων ἀνεβάλλετο, περὶ ὧν ἐπί τε Σατορνίνου καὶ Οὐολουμνίου τῶν Συρίας ἐπιστατούντων, ἐγίνοντο λόγοι. τέλος δὲ συνέθετο δι' ἐκείνων ἐντὸς ἡμερῶν τριάκοντα, τά τε χρήματα τὸν Ἡρώδην ἀπολαβεῖν, καὶ τοὺς ἀλλήλων ἐν ἑκατέρᾳ τῇ βασιλείᾳ. καὶ παρὰ μὲν Ἡρώδῃ, τῶν Ἀράβων οὐδεὶς εὑρέθη τὸ σύνολον, οὔτε ἐπ' ἀδικίας, οὔτε κατ' ἄλλον τρόπον. οἱ δ' Ἄραβες, ἠλέγχοντο τοὺς λῃστὰς παρ' αὐτοῖς ἔχειν.

Κεφάλαιον ιδ'.

Στρατεία Ἡρώδου εἰς τὴν Ἀραβίαν.

Διελθούσης δὲ τῆς προθεσμίας ὁ Συλλαῖος, οὐδὲν τῶν δικαίων πεποιηκὼς, εἰς Ῥώμην ἀπέρχεται. ῥυσία δὲ τῶν χρημάτων, καὶ τῶν παρ' ἐκείνοις λῃστῶν Ἡρώδης ἐποιεῖτο, καὶ τῶν περὶ τὸν Σατορνῖνον καὶ Οὐολούμνιον, ἐπιτρεπόντων ἀγνωμονοῦντας ἐπεξιέναι. στρατιάν τε ἔχων, προσήγαγεν εἰς τὴν Ἀραβίαν, τρισὶν ἡμέραις ἑπτὰ σταθμοὺς ἀνύσας. καὶ γενόμενος ἐπὶ τοῦ φρουρίου τοῦ τοὺς λῃστὰς ἔχοντος, αἱρεῖ μὲν ἐξ ἐφόδου πάντας αὐτούς, κατασκάπτει δὲ τὸ χωρίον, Ῥαεπτὰ καλούμενον. τῶν δ' ἄλλων οὐδὲν ἐλύπησεν. ἐκβοηθησάντων δὲ τῶν Ἀράβων ἡγουμένου Νακέβου, μάχη γίνεται. καθ' ἣν ὀλίγοι μὲν Ἡρώδου, Νάκεβος δὲ ὁ τῶν Ἀράβων στρατηγὸς, καὶ περὶ εἴκοσι πέντε τῶν σὺν αὐτῷ πίπτουσιν. οἱ δ' ἄλλοι, πρὸς φυγὴν ἐτράποντο. τισάμενος δὲ τούτους, τρισχιλίους Ἰδουμαίων ἐπὶ τῇ Τραχωνίτιδι κατοικίσας, εἶργεν λῃστὰς τοὺς ἐκεῖ. καὶ περὶ τούτων τοῖς ἡγεμόσιν ἔπεμπε περὶ Φοινίκην οὖσιν, ἀποδεικνὺς ὅτι μηδὲν πλέον ὧν ἀγνωμονοῦντας ἐπεξελθεῖν ἔδει τοὺς Ἄραβας αὐτῷ πέπρακται. ταῦτα μὲν οὖν ἐκεῖνοι πολυπραγμονοῦντες, εὕρισκον οὐ ψευδόμενον.

Κεφάλαιον ιε'.

Ὡς Συλλαῖος ὁ Ἄραψ ἐπὶ Καίσαρος Ἡρώδου κατηγόρησεν.

Ἄγγελοι δὲ Συλλαίῳ καταταχήσαντες, εἰς Ῥώμην τὰ πεπραγμένα διεσάφουν, εἰς μεῖζον ὡς εἰκὸς ἕκαστον τῶν γεγονότων αἴροντες. ὁ δ' ἤδη μὲν ἐπεπραγμάτευτο γνώριμος εἶναι Καίσαρι. τότε δὲ περὶ τὴν αὐλὴν ἀναστρεφόμενος, ὡς ἤκουσεν, εὐθὺς μεταμφιέννυται μέλαιναν ἐσθῆτα. καὶ παρελθὼν, ἔλεγεν ὡς αὐτὸν, ὅτι πολέμῳ τὰ περὶ τὴν Ἀραβίαν εἴη κεκακωμένα, καὶ πᾶσα

nec tamen iniuriam acceptam concoqueret, perlustrato Trachone interfecit illorum domesticos. quo facto illi irritatiores, maximè quòd legem haberent quæ iuberet domesticorum cædem inultam non sinere, contempto periculo totam Herodis ditionem agendo & ferendo perpetuis vexabant incursionibus. Tũ rex ad præsides à Cæsare missos Saturninũ & Volumnium rem detulit, latrones deposcens ad supplicium. illi hoc audito maiore manu se communire, perturbare omnia repentinis insultibus, agros simul & vicos populari, iugulare quotquot in manus eorum inciderent, vt bello quàm latrocinio res esset similior. iã enim vsque ad mille accreuerant. Quare Herodes & latrones sibi dedi postulabat, & mutuum creditum repetebat, exacto iam præstituto tempore, sexaginta illa talenta quæ Obodæ per Syllæum commodauerat. Syllæus verò qui detruso à regimine Oboda ipse administrabat omnia, inficiabatur eos latrones esse in Arabia, & pecuniam differebat reddere, de qua disceptabatur apud Saturninum & Volumnium Syriæ præsides. Tandem illis autoribus conuenit, vt intra triginta dierum spatium & debitum redderetur, & ex vtroque regno restituerentur perfugæ. Sed apud Herodẽ prorsus nemo Arabum inuentus vel ob maleficium, vel quacunque de causa profugus: verùm Arabes conuicti sunt latrones ad se recipere.

CAP. XIIII.

Expeditio Herodis in Arabiam.

CÆterùm postquam aduenit præstitutus terminus, Syllæus nolens stare conuentis Romam profectus est: Herodes verò exequebatur restitutionem pecuniarum ac latronum, Saturnino & Volumnio permittentibus ei contumaces armis persequi: collectóque exercitu inuasit Arabiam, septem mansiones emensus triduo. cúmque peruenisset ad castellum in quo se latrones continebãt, primo impetu id cœpit: ipsámque munitionem nomine Ræptã diruit nullo alio damno dato regionis incolis. Et cùm in auxilium eorũ procurrisset dux Arabum Nacebus, commissum est præliũ, in quo pauci ex Herodianis, Arabum verò viginti quinque cum ipso duce ceciderunt: reliqui in fugam compulsi sunt. Hoc modo latrones vltus Idumæorum tria millia in Trachonẽ deduxit, vt coercerent ibi latrocinia: & ad duces Romanos agentes in Phænicia dedit literas, quibus eos certiores fecit, quòd in contumaces tantùm Arabas concesso ab eis iure vsus sit, nihilque egerit prætereà: idque ipsorum inquisitione postea verum compertum est.

CAP. XV.

Syllæus Herodem accusat apud Cæsarem.

SEd aliter Romam properatis nunciis Syllæo relatum est, suo more exaggerantibus omnia. is iam antè insinuatus in noticiam Cæsaris, fortè tum circa palatium obuersans, his auditis confestim mutata veste atratus eum adiit, denarians vt bello afflicta sit Arabia, totúq;

regnum euersum ab Herode ingresso cum exercitu. ad hæc lacrymans querebatur cecidisse duo milia & quingentos Arabum primates, & in his amicum ac cognatum suum Nacebum, direptásq; magnas opes apud Ræptam repositas. atque hæc facta per contemptum Obodæ, qui nec copias paratas habuerit, nec ducem se absente idoneum. Hæc dicente Syllæo, addentéque quòd nec ipse hanc profectionem suscepturus erat ni crederet Cæsari curæ esse pacem publicam omnium, neque se domi præsente Herodes nisi suo malo eam pacem violaturus, Cæsar querela commotus percontatus est ex Herodis amicis qui tum aderant, & ex suorum quibusdam recèns reuersis à Syria, hoc tantùm ad Herodes vllum exercitum extra regni sui fines eduxerit. Id cùm illi fateri necesse haberent, nec Cæsar causam expeditionis audire dignaretur, magis etiam iratus Herodi scripsit minaciter, se hactenus illo vsum tanquam amico, posthac habiturum eum pro subdito. Syllæus quoque ea de re scripsit ad Arabas. His literis illi elati neque latrones qui effugerant voluerunt dedere, neque acceptam mutuo pecuniam persoluere, neque pro pascuis quæ conduxerant, quicquam numerare, freti eo quòd rex offendisset Cæsarem. Quin & Trachonitæ hac occasione vsi insurrexerunt in Idumæorum custodiam, & iuncti Arabicis latronibus qui illorum regionem diripiebant, non tam suis lucris quàm vindictæ studentes miris modis in eos sæuiebant. Hæc omnia Herodes ferebat, offenso Cæsare minus iam habens vel fiduciæ, vel audaciæ. legatos enim eius ad agendam regis sui causam missos primùm ne admisit quidem: iterum venientes dimisit infecto negocio. Quamobrem vehementer anxio metum augebat Syllæus, Romæ præsens credulo Cæsari quiduis persuadens, & iam maioribus rebus inhians. Defuncto enim Obodæ in Arabum regnum successit Æneas, dictus Aretas mutato nomine. hunc ille per calumnias pellere conabatur, & sibi principatum vsurpare, multam pecuniam partitus in aulicos, multa etiam Cæsari daturũ se pollicitus: quem iratũ sciebat Aretę quòd se incõsulto ausus esset regni habenas suscipere. Tandem & ille literas cũ muneribus misit ad Cęsarem, & in his multorũ talentorũ coronã auream. in his literis accusabat Syllæum, quòd nequissimus seruus veneno sustulisset Obodã, quo etiã viuo inuasisset rerũ administrationẽ, vxores Arabum adulterans, & cõflato ęre alieno viã sibi ad occupandum principatum muniens. Cæsar autem ne hos quidem legatos audire dignatus, aspernatúsque eorum munera, infecta re illos abire passus est. Interim Iudæorum res ac Arabum indies se habebant deterius, turbatis omnibus, & componente nemine: nam regum alter nondum principatum suum constabilierat, & proinde suos coërcere non poterat. Herodes autem veritus ne si se defenderet, eo magis irritaret Cęsarem, cogebatur perferre omnes iniurias.

A ἀνάστατος ἡ βασίλειος στρατιᾷ πορθήσαντος αὐτὴν ἡρώδου. δακρύων δὲ, πεντακοσίους μὲν ἐπὶ δισχιλίοις ἀράβων ἀπολωλέναι τοὺς πρώτους ἔλεγεν, ἀνῃρῆσθαι δὲ τὸν στρατηγὸν αὐτῶν νάκεβον, οἰκεῖον αὐτῷ, καὶ συγγενῆ, πλοῦτον δὲ διηρπάσθαι τὸν ἐν ῥαέπτοις. καταπεφρονῆσθαι δὲ τὸν ὀβόδαν, ὑπὸ ἀσθενείας οὐκ ἀρκέσαντα τῷ πολέμῳ, διὰ τὸ μήτ' αὐτὸν, μήτε τὴν ἀραβικὴν δύναμιν παρεῖναι. τοιαῦτα τοῦ συλλαίου λέγοντος, προσθέντος ἐπιφθόνως ὡς οὐδ' ἂν αὐτὸς ἐπέλθοι τῆς χώρας μὴ πεπιστευκὼς ὅτι καίσαρι μέλοι τὴν εἰρήνην ἅπασιν εἶναι πρὸς ἀλλήλους, μηδ' εἰ παρὼν ἐτύγχανεν ἐκεῖ λυσιτελῆ ποιῆσαι τὸν πόλεμον ἡρώδῃ, παροξυνθεὶς ἐπὶ τοῖς λεγομένοις ὁ καῖσαρ, ἀνέκρινε τῶν ἡρώδου τοὺς παρόντας, καὶ τῶν ἰδίων τοὺς ἐπὶ συρίας ἥκοντας, αὐτὸ μόνον εἰ τὴν στρατιὰν ἡρώδης κατάγοι. τῶν δὲ τοῦτο μὲν αὐτὸ λέγειν ἀνάγκην ἐχόντων, τὸ δὲ ἐφ' ὅτῳ καὶ πῶς οὐκ ἀκούοντος, ὀργή τε μείζων ἐγίνετο τῷ καίσαρι, καὶ γράφει πρὸς τὸν ἡρώδην, τά τε ἄλλα χαλεπῶς, καὶ τοῦτο τῆς ἐπιστολῆς τὸ κεφάλαιον, ὅτι πάλαι χρώμενος αὐτῷ φίλῳ, νῦν ὑπηκόῳ χρήσεται. γράφει δὲ καὶ συλλαῖος ὑπὲρ τούτων τοῖς ἄραψιν. οἱ δὲ ἐπαρθέντες, οὔτε τῶν λῃστῶν ὅσοι διέφυγον ἐξεδίδοσαν, οὔτε τὰ χρήματα διελύτουν, νομὰς δὲ ἃς ἐκείνῃ μισθωσάμενοι διακατεῖχον, ἀμισθὶ ταύταις ἐχρῶντο, τεταπεινωμένου τοῦ τῶν ἰουδαίων βασιλέως διὰ τὴν ὀργὴν τοῦ καίσαρος. ἐπιτίθενται δὲ τῷ καιρῷ καὶ οἱ τὴν τραχωνῖτιν ἔχοντες, τῆς τῶν ἰδουμαίων φρουρᾶς κατεξαναστάντες, καὶ λῃστηρίοις χρώμενοι μετὰ τῶν ἀράβων, οἳ ἐλεηλάτουν τὴν ἐκείνων χώραν, οὐκ ἐπ' ὠφελείας μόνον, ἀλλὰ καὶ μνησικακίας χαλεποὶ περὶ τὰς ἀδικίας ὄντες. ἡρώδης δὲ ταῦτα πάντα φέρων ἠνείχετο, μεταβεβληκυίας αὐτῷ τῆς παρρησίας, ἣν εἶχε διὰ καίσαρα, καὶ τὸ μεῖζον ἀφῄρητο τοῦ φρονήματος. οὐδὲ γὰρ πέμψαντος αὐτοῦ πρεσβείαν ἀπολογησομένην ὁ καῖσαρ ἠνέσχετο. πάλιν δὲ τοὺς συνελθόντας, ἀπράκτους ἀνέπεμψεν. ἦν δ' οὖν ἐπὶ τούτοις ἀθυμία, καὶ δέος ὅτε σύλλαιος οὐ μετρίως ἐλύπει, πιστευθείς τε καὶ παρὼν ἐν τῇ ῥώμῃ, τότε δὲ καὶ μειζόνων ἁπτόμενος. ὁ μὲν γὰρ ὀβόδας ἐτεθνήκει, παραλαμβάνει δὲ τὴν τῶν ἀράβων ἀρχὴν αἰνείας ὁ μετονομασθεὶς ἀρέτας. τοῦτον γὰρ ἐπεχείρει διαβολαῖς παρωσάμενος αὐτὸς ἀναλαμβάνειν τὴν ἀρχὴν, χρήματα μὲν πολλὰ διδοὺς τοῖς περὶ τὴν αὐλὴν, πολλὰ δὲ καίσαρι δώσειν ὑπισχνούμενος. ὁ δὲ τῷ μὴ τὸν ἀρέταν ἐπιστείλαντα πρότερον αὐτῷ βασιλεύειν ὠργίζετο. πέμπει δὲ κἀκεῖνος ἐπιστολὴν καὶ δῶρα τῷ καίσαρι, στέφανόν τε χρυσοῦν ἀπὸ πολλῶν ταλάντων. ἡ δὲ ἐπιστολὴ κατηγόρει συλλαῖον ὄντα πονηρὸν δοῦλον, ὀβοδάν τε φαρμάκοις διαφθεῖραι. καὶ ζῶντος ἔτι κρατεῖν αὐτὸν, τάς τε τῶν ἀράβων μοιχεύοντα, καὶ χρήματα δανειζόμενον, ὡς ἐξιδιώσασθαι τὴν ἀρχήν. προσέσχεν δὲ οὐδὲ τούτοις ὁ καῖσαρ, ἀλλ' ἀποπέμπει μηδὲν τῶν δώρων λαβών. τὰ δὲ περὶ τὴν ἰουδαίαν καὶ ἀραβίαν, ἀεὶ καὶ μᾶλλον ἐπεδίδου, τὰ μὲν εἰς ἀταξίαν, τὰ δ' ὡς καταφθειρομένων μηδένα προεστάναι. τῶν γὰρ βασιλέων, ὁ μὲν οὔπω τὴν ἀρχὴν βεβαίαν ἔχων, οὐχ ἱκανὸς ἦν κωλύειν τοὺς ἀδικοῦντας. ἡρώδης δὲ ἐφ' οἷς ἠμύνετο, τάχιον ὀργισθέντος αὐτῷ καίσαρος, ἁπάσας τὰς εἰς αὐτὸν παρανομίας φέρειν ἠναγκάζετο.

πέρας δ' οὐδὲν ὁρῶν τῶν περιεστώτων κακῶν, ἔγνω πάλιν εἰς ῥώμην ἀποστέλλειν, εἴ τι δύναιτο μετριώτερον εὑρεῖν διά τε τῶν φίλων, καὶ πρὸς αὐτὸν καίσαρα τὴν ἐντυχίαν ποιησόμενος. κἀκεῖ μὲν ὁ δαμασκηνὸς ἄπεισι νικόλαος.

Κεφάλαιον ις'.

Διαβολὴ εὐρυκλέους κατὰ τῶν παίδων πρὸς ἡρώδην.

Ἐξετάρακτο δὲ τὰ περὶ τὴν οἰκίαν, καὶ τοὺς παῖδας αὐτῷ πολὺ χεῖρον ἐσχηκότας περὶ τὸν καιρὸν ἐκεῖνον. ὅλως μὲν γὰρ, οὐδὲ τὴν ἔμπροσθεν χρόνον ἀσύνοπτον ἦν, ὡς τὸ μέγιστον καὶ δυσχερέστατον τῶν αἰθεροπίνων παθῶν ἀπείληπται τῇ βασιλείᾳ διὰ τῆς τύχης. ἐπέβαινεν δὲ καὶ μᾶλλον ηὔξηθη τότε διὰ τοιαύτην αἰτίαν. εὐρυκλῆς ὑπὸ λακεδαίμονος οὐκ ἄσημος τῶν ἐκεῖ, κακὸς δὲ τὴν ψυχὴν αἰθεραπτος, καὶ περὶ τρυφὴν καὶ κολακείαν δεινὸς ἑκατέραν αὐτῶν ἔχειν τε, καὶ μὴ δοκεῖν, ἐπιδημήσας ὡς τὸν ἡρώδην, δῶρά τε δίδωσιν αὐτῷ, καὶ πλείω παρ' ἐκείνου λαβὼν ταῖς εὐκαιρείαις τῶν ἐντεύξεων ἐπραγματεύσατο φίλος ἐν τοῖς μάλιστα γενέσθαι βασιλέως. ἦν δ' αὐτῷ καταγωγὴ μὲν ἐν τοῖς ἀντιπάτρου, πρόσοδος δὲ καὶ συνήθεια, πρὸς τὸν ἀλέξανδρον. ἀρχελάῳ γὰρ ἔλεγεν εἶναι τῷ καππαδόκι διὰ προσηνής, ὅθεν καὶ τὴν γλαφύραν ὑπεκρίνατο τιμεῖν, καὶ πολὺς ἦν ἀφανῶς μὲν ἐνθεραπεύων ἅπαντας, ἀεὶ δὲ τοῖς λαλουμένοις ἢ γινομένοις προσέχων, ὡς ἐξ αὐτῶν ἀντιχαρίζεσθαι τὰς διαβολάς. τέλος δὲ τοιοῦτος ἑκάστῳ κατὰ τὰς συντυχίας ὑπέβαινεν, ὡς ἐκείνῳ μὲν εἶναι φίλος, τοῖς δὲ ἄλλοις δοκεῖν κατὰ τὸ συμφέρον ἐκείνῳ προσεῖναι. τὸν οὖν ἀλέξανδρον, προσεκτήσατο νέον ὄντα, καὶ περὶ ὧν ἐπεπόθει μηδενὶ μὲν, πρὸς ἐκεῖνον δὲ μόνον ἀδεῶς πεπεισμένον ἐξεῖναι λέγειν. ἐνέφαινεν οὖν ἀλγούμενος ὡς ὁ πατὴρ ἠλλοτρίωτο, καὶ τὰ περὶ τὴν μητέρα διηγεῖτο καὶ τὸν ἀντίπατρον, ὅτι παρελθὼν μὲν αὐτοὺς τῆς τιμῆς, τὰ πάντα ἤδη δύναται. τούτων δὲ ἀνεκτὸν οὐδὲν ἔφη κατασκευασμένου πρὸς μῖσος ἤδη τοῦ πατρὸς, μηδὲ συμποσίοις, μηδὲ συλλόγοις ἀνέχεσθαι, λέγων. τοιαῦτα μὲν ἐκεῖνος, ὡς εἰκὸς ἐφ' οἷς ἤλγει. τοὺς δὲ λόγους εὐρυκλῆς ἀντιπάτρῳ τούτους ἀνέφερεν, λέγων μὲν ὡς οὐχ ἕνεκα σοῦ τοῦτ' αὐτὸ ποιεῖν, νικᾶσθαι δὲ ὑπὸ σοῦ νικώμενος τῷ μεγέθει τοῦ πράγματος, καὶ φυλάττεσθαι παρακελευόμενος τὸν ἀλέξανδρον. οὐ γὰρ ἀπαθῶς τοῦτο ἕκαστον λέγειν, ἀλλὰ τοῖς ῥήμασιν αὐτοῖς εἶναι τὴν αὐτοχειρίαν. ἀντίπατρος μὲν οὖν εὔνουν ὑπολαμβάνων, μεγάλας αὐτῷ παρ' ἕκαστα δωρεὰς ἐδίδου, καὶ τέλος ἤδη, πείθει πρὸς τὸν ἡρώδην ἀναφέρειν τὸν λόγον. ὁ δ' οὐκ ἦν τὴν ἀλεξάνδρου δύσνοιαν ἐξ ὧν ἔλεγεν ἀκηκοέναι διηγούμενος ἀπίθανος, ἀλλ' οὕτω διέθηκε τὸν βασιλέα περιάγων ἀεὶ τοῖς ῥήμασιν καὶ παροξύνων, ὡς ἀμετάγνωστον ποιῆσαι τὸ μῖσος. ἐδήλωσε δὲ καὶ πρὸς αὐτὸν τὸν καιρόν. εὐθὺς γὰρ εὐρυκλεῖ δίδωσιν πεντήκοντα τάλαντα δωρεάν. ὁ δὲ ταῦτα λαβὼν, καὶ πρὸς τὸν ἀρχέλαον ἀναβὰς τὸν βασιλέα τῶν καππαδοκῶν, τὸν ἀλέξανδρον ἐπῄνει, καὶ χρήσιμος ἔλεγεν αὐτῷ εἰς πολλὰ πρὸς τὰς διαλλαγὰς τὰς πρὸς τὸν πατέρα γεγενῆσθαι, χρηματισάμενος δὲ καὶ παρ' ἐκείνου πρὶν καταφωραθῆναι τῆς κακονοίας ἄπεισι. εὐρυκλῆς μὲν οὖν, οὐδὲ ἐν τῇ λακεδαίμονι παυσάμενος εἶναι πονηρὸς ἐπὶ πολλοῖς ἀδικήμασιν ἀπεστερήθη τῆς πατρίδος. ὁ δὲ τῶν ἰουδαίων βασιλεὺς οὐχ

A Postremò nullum finem vrgentibus malis inueniens, decreuit denuò Romam legatos mittere, si quid æquius per amicos impetrare posset à Cæsare. in eam legationem Nicolaus Damascenus profectus est.

CAP. XVI.

Euryclis calumniæ contra Herodis filios.

B Per idem tempus dissidium cum filiis domesticum multo magis exacerbatum est. XI. quamuis enim iam antè nunquam prorsus vacarit suspicione, malo pernicioso regibus, tunc tamen id maximè ob talem causam inualuit. Eurycles quidam Lacedæmonius, vir domi nobilis, sed ingenio pessimo, adulator & deliciis perditus, sed vtrunque vitium egregiè dissimulans, vsus Herodis hospitio, datis muneribus & maioribus acceptis, ad gratiam cū C eo conuersatus effecit vt reciperetur inter amicos præcipuos. is diuersabatur apud Antipatrum, Alexādro quoque propter crebros congressus familiaris. aiebat enim sibi cum Archelao Cappadoce amicitiam intercedere, & ideò simulabat seGlaphyram obsequiis colere, cúmque videretur omnibus ex æquo deditus, obseruabat quæcunque vel dicerentur vel fierent, vndecunque captans gratificandi per calumnias materiam. denique adeò se blandis D colloquiis insinuauit vnicuique, vt illi soli fidus videretur, cæteros ita tractare, prout amico esset commodum. his artibus ita sibi deuinxit Alexandrum vt iuuenis putaret ei soli tutò se posse querelas suas concredere. aperiebat igitur ei dolorem suum, quòd pater esset à se alienatior, casúmque matris narrabat: & quòd Antipater prærepta fratribus dignitate solus posset omnia. Hæc diutius ferenda non esse, patre iam talibus imbuto odiis, vt cum i- E psis nec conuiuia nec colloquia communicare sustineat. Hæc ille, dolorem suum in sinum amici, vt tum videbatur, deponens. at ille omnia referebat Antipatro, negans ad se hæc pertinere, tacere tamen non posse ob periculi magnitudinem & consultum ei velle, vt caueret ab Alexandri insidiis. non enim eum dissimulare animum, sed ipsis verbis præferre cupiditatem parricidij. Post hoc beneuolentiæ pignus maxima ab Antipatro accipiebat F munera, & ad vltimum ab eo persuasus est vt ad Herodem referret de hoc negotio. Rex narranti de Alexandri odio facilem aurem præbuit, & eò deductus est verborum ambagibus, vt implacabilem iram in filium conciperet: id quod sine mora declarauit. Euryclí enim L. talenta donauit: quibus ille acceptis ad Arche- G laum se cōtulit, & multum Alexandrum prædicans, operam etiam suam commemorauit quā vtilis ei fuerit ad conciliandam patris gratiā: & ab eo quoque accepta pecunia, prius quā deprehenderetur hominis malitia discessit. Reuersus deinde in patriam, cùm tibi quoque similibus artibus vteretur, Lacedæmone pulsus est in exilium. Porrò Iudæorum rex non iā

vt antè contentus aurem præbere criminatoribus Alexãdri & Aristobuli, proprio seruiebat odio, etiam nemine accusante obseruans singula, & sciscitans, & permittens omnibus quicquid vellent contra eos dicere:& inter cętera Euaratum Coum cõmunicasse cum Alexandro consilia. videbatúrque nullos sermones audire libentiùs. Oblatum est deinde iuuenibus maius infortunium, calumniis nunquam cessantibus, & omnib. certatim aliquid mali de eis ad regem deferentibus, scilicet incolumitatis eius studio. erant Herodi duo satellites, Iucundus & Tyrannus, grati illi propter robur ac proceritatem corporum. hi propter quandam offensam pulsi è regia, & inter equites Alexandri stipatores recepti,quòd essét exercitatissimi honorabantur pecuniis aliisq; muneribus. Mox igitur rex de his etiam suspicione concepta, tormenta eis admouit. ergo post toleratos diu cruciatus, tandem aiunt se solicitatos ab Alexandro, vt inter venandum Herodem feras persequentem interficerent. facilè enim confingi posse, præcipitatum ab equo suismet telis transfixum esse. nam & antè penè simile quiddam ei acciderat. Simúlque indicauerunt aurum defossum in equorum stabulo, & præfectum venatorum arguebant, quòd eis præbuisset lanceas regias, & arma, ipso iubente, Alexandri famulis. Post hos præfectus arcis Alexandrij correptus similiter examinatus est: huic obiectum est quòd eos intra castellum reciperet, pollicitúsq; eis esset pecuniam regiam ibi reconditam. Sed illo pernegante filius eius accedẽs vera esse dixit omnia: protulítque referentes manum Alexandri literas in hanc sententiam. Quamprimùm Deo fauente perfecerimus quæ decreuimus, ad vos veniemus. curate igitur vt quemadmodũ estis polliciti, nos in castellum recipiatis. His literis visis Herodes posthac pro indubitato habuit, paratas sibi à filiis insidias. Alexander autem dicebat Diophantum scribam imitatũ suum characterem, esséque Antipatri malitia excogitatam illam schedulam. Diophantus enim habebatur magnus talium artifex, & pòst in similibus deprehensus dedit supplicium, eos verò qui torti sunt rex apud Hierichũtem produxit ad populum, vt accusarent filios, vbi saxis sunt obruti. cumque vulgus concitum pœna Alexandrum cum fratre vellet afficere, Herodes per Ptolemæum & Pheroram eos cohibuit:& iuuenes in carcere asseruandos tradidit. eò nemo admittebatur. adhibitis qui explorarent eorum dicta & facta omnia. iámque pro condemnatis habebantur, tum aliorum opinione, tum sua. eorum alter Aristobulus præ anxietate etiam amitam suam ac socrum ad miserationem præsentis calamitatis, eiúsque autoris odium inuitans, An non tibi quoque, inquit, periculũ imminet, delatę quòd spe nuptiarũ Syllęo de omnib. quæ hic fiũt per literas significes? quę verba mulier statim fratri retulit ille non amplius se continens vinciri eos iu-

ὥσπερ πρότερον εἶχεν πρός τε τὸν ἀλέξανδρον, καὶ A τὸν ἀριστόβουλον, ἀκούειν μόνον τὰς κατ' αὐτῶν διαβολὰς, ἀλλ' ἤδη διὰ μίσους οἰκείου γεγυμνωμένος αὐτοὺς, εἰ καὶ μὴ λέγοι τις ἐξειργάζετο, διηρεύνα ἕκαστα, καὶ πυνθανόμενος, καὶ πᾶσιν ἐνδιδοὺς τοῖς βουλομένοις εἴ τις ἔχοι τι κατ' ἐκείνων εἰπεῖν, εὐάρατόν τι κακὸν ἀλεξάνδρῳ συνειδέναι. καὶ τοῦτο μὲν οὖν καθ' ἡδονὴν τὸ πάντων ἥδιστον, ἡρώδης ἐλάμβανεν. ἐπιγίνεται δὲ κατὰ τῶν νεανίσκων μεῖζόν τι, συνδιαφερομένης ἀεὶ B τῆς κατ' αὐτῶν διαβολῆς, καὶ πᾶσιν ὡς εἰπεῖν ἄθλου τούτου προκειμένου, λέγειν τι περὶ ἐκείνων δυσχερὲς, ὃ πρὸς τῆς τοῦ βασιλεύοντος ἐδόκει σωτηρίας. σωματοφύλακες ἦσαν ἡρώδῃ δύο, κατ' ἰσχὺν καὶ μέγεθος τιμώμενοι, ἰούκουνδος καὶ τύραννος. οὗτοι προσκρούσαντος αὐτοῖς τοῦ βασιλέως ἀπωσμένοι, τοῖς περὶ ἀλέξανδρον ἦσαν συνιππαζόμενοι, καὶ κατὰ γυμνασίαν τιμώμενοι, καί τι χρυσίον, καὶ δωρεὰς C ἄλλας ἐλάμβανον. εὐθὺς οὖν καὶ τούτοις ὁ βασιλεὺς ἔχων ἐν ὑποψίᾳ, ἐβασάνιζεν. οἱ δὲ διακαρτερήσαντες πολὺν χρόνον, ὕστερον ἔλεγον, ὅτι πείθοι φονεύειν αὐτοὺς ἡρώδην ἀλέξανδρος, ἐπεὶ περὶ κυνηγέσιον θηρίων διώκων προσβάλοι. δυνατὸν γὰρ εἶναι λέγειν, ὡς ἀπὸ τοῦ ἵππου κατενεχθεὶς, ἀναπαρείη ταῖς ἑαυτοῦ λόγχαις. καὶ γὰρ πρότερον αὐτῷ τοιοῦτον γεγενῆσθαι πάθος. ἐπέδειξαν δὲ καὶ χρυσίον μὲν ἐν ἱππῶνι κατορωρυγμένον, καὶ τὸν ἀρχικυνηγὸν ἐξήλεγχον, ὅτι D καὶ λόγχας αὐτοῖς δοίη βασιλικὰς, καὶ τοῖς ἀλεξάνδρου θεραπεύουσιν ὅπλα κελεύοντος ἐκείνου. μετὰ τούτους ὁ φρούραρχος ἀλεξανδρείου ληφθεὶς ἐβασανίζετο. καὶ γὰρ ἐκεῖνος αἰτίαν εἶχε δέξασθαι τῇ φρουρᾷ, καὶ παρέξειν τοῖς νεανίσκοις χρήματα ὑπεσχῆσθαι τὰ κείμενα τῶν βασιλικῶν κατ' ἐκεῖνο τὸ φρούριον. αὐτὸς μὲν οὖν, οὐδὲν ὡμολόγησεν. υἱὸς δὲ αὐτοῦ, παρελθὼν, ταῦτα ἔφη γενέσθαι, καὶ γράμματα ἐπί- E δωκεν ὡς εἶναι εἰκάσαι τῆς ἀλεξάνδρου χειρός. τελέσαντες σὺν θεῷ εἰπεῖν ἃ προεθέμεθα πάντα, ἥξομεν πρὸς ὑμᾶς, ἀλλὰ πειρᾶσθε καθὼς ὑπέχεσθε δέξασθαι ἡμᾶς τῷ φρουρίῳ. μετὰ τοῦτο τὸ γραμματεῖον, ὁ μὲν ἡρώδης, οὐκέτι ἐνδοιασίμως εἶχε περὶ τῆς τῶν παίδων εἰς αὐτὸν ἐπιβουλῆς. ἀλέξανδρος δὲ διόφαντον ἔφη τὸν γραμματέα, μιμήσασθαι τὸν τύπον, καὶ δι' ἀντιπάτρου κακουργηθῆναι τὸ γραμματίδιον. ὁ γὰρ διόφαντος ἐδόκει τὰ τοιαῦτα δεινός. ἐν F ὑστέρῳ δὲ διελεγχθεὶς ἐπ' ἄλλοις, οὕτως ἀπέθανε. τοὺς δὲ βασανισθέντας ὁ βασιλεὺς, καὶ εἰς τὸ πλῆθος προήγαγεν ἐν ἱεριχοῦντι κατηγοροῦντας τῶν παίδων. καὶ τούτους μὲν ἐκ χειρὸς οἱ πολλοὶ βάλλοντες, ἔκτειναν. ὡρμημένων δὲ καὶ τοὺς περὶ ἀλέξανδρον ὁμοίως κτεῖναι, τοῦτο μὲν ὁ βασιλεὺς παρῃτήσατο διὰ πτολεμαίου καὶ φερώρα τὸ πλῆθος ἀναστείλας. ἦν G δὲ φυλακὴ, καὶ τήρησις αὐτῶν, καὶ προσῄει μὲν οὐδεὶς, πάντα δὲ ἐπεσκοπεῖτο τὰ γινόμενα καὶ λαλούμενα. καὶ τί γὰρ ἢ καταδίκων εἶχον ἀδοξίαν καὶ δέος. ἕτερος δὲ αὐτῶν ἀριστόβουλος ἐκ βαρυθυμίας ἐπαγόμενος καὶ τὴν ἑαυτοῦ τιτθίδα καὶ πενθερὰν, συναλγεῖν αὐτῷ τῆς συμφορᾶς, καὶ μισεῖν τὸν τὰ τοιαῦτα πεισόμενον. οὐ γὰρ ἔφη καὶ σοὶ κίνδυνος ἀπωλείας, διαβεβλημένης συλλαίῳ κατ' ἐλπίδα γάμων ἅπαντα τἀνθάδε προμηνύειν; τούτους ἐκείνη ταχὺ μάλα τἀδελφῷ προσφέρει τοὺς λόγους. ὁ δὲ οὐκ ἔτι κατασχὼν αὐτὸν, δῆσαι τε κελεύει,

κελεύει, καὶ διαστήσαντας ἀπ' ἀλλήλων ὅσα κακῶς ἐποίησαν ἐπὶ τῷ πατρί, ταῦτα γραψαμένους ἀποφέρειν. οἱ δὲ, ἐπεὶ τοῦτο προσετέτακτο αὐτοῖς, ἐγγράφουσιν, ἐπιβουλὴν μὲν οὔτε νοῆσαι κατὰ τοῦ γεγεννηκότος, οὔτε συσκευάσασθαι, δρασμοῦ δὲ ἐπιβαλέσθαι, καὶ τοῦτο δι' ἀνάγκην ὑπόπτου καὶ δυσχεροῦς ὄντος αὐτοῖς τοῦ βίου. κατὰ τοῦτον τὸν χρόνον ἥκοντος ἀπὸ καππαδοκίας πρεσβευτοῦ παρὰ ἀρχελάου μήλα τινὸς, ὃς ἦν δυνάστης τῶν ἐκείνου, βουλόμενος ἡρώδης ἐνδείξασθαι τὴν δύσνοιαν ἀρχελάου πρὸς αὐτὸν ἐκάλει τὸν ἀλέξανδρον, ὡς ἦν ἐν τοῖς δεσμοῖς. καὶ πάλιν ἠρώτα περὶ τῆς φυγῆς, ὅπου καὶ πῶς ἐγνώκασιν ἀποχωρεῖν. ὁ δὲ ἀλέξανδρος πρὸς ἀρχέλαον ἔφη, κἀκεῖθεν εἰς ῥώμην ὁμολογήσαντα διαπέμψειν. ἀλλ' οὐδὲν οὔτε ἄτοπον, οὔτε δυσχερὲς ἐντεθυμῆσθαι κατὰ τοῦ πατρὸς, οὐδὲ ὅσα συνεσκεύασαν κακοηθείᾳ τῶν ἐναντίων ἀληθὲς εἶναί τι τούτων. βούλεσθαι δὲ ἀνετάζειν, καὶ τοὺς περὶ τύραννον εἰς ἐξέτασιν ἀσφαλεστέραν. ἀλλὰ καὶ τούτους ἀπολέσθαι θᾶττον, ἀντιπάτρου τῷ πλήθει τοὺς ἰδίους ἐγκαθίσαντος φίλους. τοιαῦτα λέγοντος, ἐκέλευσεν ἅμα τόν τε μήλαν, καὶ τὸν ἀλέξανδρον ἄγειν ὡς γλαφύραν τὴν ἀρχελάου, καὶ πυνθάνεσθαι παρ' αὐτῆς εἰ μηδὲν ἠγνόει τῶν εἰς ἐπιβουλὴν ἡρώδου γιγνομένων. ὡς δὲ ἧκεν, εὐθὺς μὲν ἡ γλαφύρα δεσμώτην ἰδοῦσα τὸν ἀλέξανδρον, ἐπλήξατο τὴν κεφαλὴν, καὶ καταπληξαμένη, μέγα καὶ συμπαθὲς ἀνῴμωξεν. ἦν δὲ καὶ τοῦ νεανίσκου δάκρυα, καὶ τῶν παρόντων ὀδυνηρά τις θέα μέχρι πλείονος, οὐδ' ἐφ' οἷς ἧκον εἰπεῖν ἢ πράττειν δυναμένων. ὀψὲ δὲ τοῦ πτολεμαίου, τούτῳ γὰρ ἄγειν αὐτὸν ἐπετέτακτο, φράζειν κελεύσαντος, εἴ τι τῶν πραττομένων ἡ γυνὴ συνοίδεν αὐτῷ, τί δὲ οὐκ ἂν ἔφη συνέγνω τῆς ψυχῆς ἐμοὶ στεργομένη πλέον, καὶ κοινωνοῦσα τέκνων; ἡ δὲ πρὸς ταῦτα μὲν, ἀνεβόησεν, ὡς συνειδείη μὲν οὐδὲν ἄτοπον. εἰ δὲ φέροι πρὸς σωτηρίαν τὴν ἐκείνου τὸ καὶ κατ' αὐτῆς τι ψεύσασθαι, πάντα ὁμολογεῖν. ὁ δὲ ἀλέξανδρος, ἀσεβὲς μὲν οὐδὲν εἶπεν οὐδ' ὧν ὑπονοοῦσιν, οὓς ἥκιστα ἐχρῆν, οὔτε αὐτὸς ἐνόησα, οὔτε οὐδὲν οἶδα, ἀλλ' ὅτι παρ' ἀρχέλαον ἀποχωρεῖν ἐγνώκειμεν κἀκεῖθεν εἰς ῥώμην. ταῦτα κἀκείνης ὁμολογούσης, ὁ μὲν ἡρώδης, ἀρχέλαον ἐξεληλέγχθαι τῆς πρὸς αὐτὸν δυσνοίας, ὑπολαβὼν, δίδωσιν, ὀλύμπῳ καὶ οὐολουμνίῳ γράμματα, κελεύσας ἐν παράπλῳ μὲν ἐλεούσης τῆς κιλικίας προσχόντας, ἀρχελάῳ τὸ περὶ τούτων ἀποδοῦναι, καὶ μεμψαμένους ὅτι τῆς ἐπιβολῆς ἐφάψαιτο τοῖς παισὶν, ἐκεῖθεν εἰς ῥώμην πλεῖν. κἂν εὕρωσιν ἀνύσαντά τι νικόλαον, ὡς μηκέτι αὐτῷ δυσχεραίνειν καίσαρα, διδόναι τὰς ἐπιστολὰς, καὶ τοὺς ἐλέγχους οὓς κατὰ τῶν νεανίσκων κατασκευασμένους ἀπέστελλεν. ἀρχέλαος μὲν οὖν ἀπελογεῖτο, δέξασθαι μὲν τοὺς νεανίσκους ὁμολογήσας διὰ τὸ συμφέρον αὐτοῖς τε ἐκείνοις, καὶ τῷ πατρὶ, μὴ χαλεπώτερόν τι προστεθῆναι κατ' ὀργὴν ὧν ὑπόπτως ἔχοντες ἐστασίαζον, οὐ μὴν καὶ πρὸς καίσαρα πέμψειν, οὐδὲ ἄλλο τι κατὰ δύσνοιαν τὴν πρὸς ἐκεῖνον ὁμολογῆσαι τοῖς νεανίσκοις. εἰς δὲ τὴν ῥώμην ἀποκομισθέντες, ἔσχον τι καιρὸν ἐπιδοῦναι τὰ γράμματα τῷ καίσαρι, διηλλαγμένον εὑρόντες ἡρώδῃ. τὰ γὰρ περὶ τὴν νικολάου πρεσβείαν, ἀπέβη τοῦτον τὸν τρόπον. ὡς ἀνῆλθεν εἰς τὴν ῥώμην, καὶ περὶ τὴν αὐλὴν ἐγένετο. πράττων μὲν οὐκ ἐφ' οἷς ἐληλύθει μόνον, ἀλλὰ καὶ συλλαίου κατηγορεῖν ἠξίου. καὶ οἱ ἄραβες δῆλοι περὶ τὴν ἐντυχίαν ἦσαν ἀλλήλοις πολεμοῦντες,

bet, & seorsum quemque quid contra patrem moliti sint scripto prodere. hoc iussi facere scripserunt, insidias quidem nec parasse se, nec cogitasse, sed conatos fugere, quòd non posset amplius ad hunc modum suspecti & soliciti viuere. Eodem tempore cùm venisset è Cappadocia ab Archelao legatus Mela vnus è dynastarum illius numero, volēs Herodes declarare eius maleuolentiam, acciuit ad se Alexandrum è vinculis: & rursum interrogauit de fuga, quónam & quomodo decreuissent discedere. Ad Archelaum, ille respódit, pollicitum quòd inde Romam mitteret. Cæterùm contra parētem nihil durius aut parum pietati conueniēs se machinatos esse, neque quicquam veritatis inesse confictis aduersariorum criminationib. cupiuisse etiam vt Tyrānus cum sociis examinaretur cautius: sed illis approperatam mortem per Antipatrum, qui admixtis suis vulgum in eos concitauerit. His dictis rex iussit & ipsum & Melam duci ad Glaphyram Archelai filiam, vt interrogaretur num ignorasset paratas Herodi insidias. quò vt ventum est, continuò mulier vinctum conspicata maritum, caput sibi plangens, & præ miseratione attonita clarè ingemuit. iuueni quoque manantibus lacrymis, qui aderant miserabili hoc spectaculo turbati, diu nihil mandatorum poterant vel dicere vel facere. Tandem Ptolemæo, cui commissus erat iuuenis, iubente dicere, num & vxor fuerit consilij conscia: quî potuit, inquit, non esse, carior mihi vita, & parens liberorum communium? ad hæc illa exclamauit, nullius mali se esse consciam. quòd si id aliquid ad salutem eius conferat, paratam se mentiri vel in suam perniciem, & nihil omnino negaturam. Tum Alexander, impium quidem, sicut suspicantur quos minimè oportuit, nihil nec ego cogitaui, nec tu es conscia: sed quòd ad Archelaum abire, & inde Romam, decreuimus. Hoc & illa fatente, Herodes ratus conuictum à se Archelaū maleuolentiæ, dedit Olympo & Volumnio literas, iussit vt inter nauigandum appellerent ad Eleusam oppidum Ciliciæ, & Archelao scripta de his redderent. & post expostulationē quòd filiis conatuū fuisset particeps, Romā inde nauigare pergerent. & si inuenerint à Nicolao placatum Cæsarē, redderent ei literas, & argumenta quę ad conuincendos iuuenes scripta mittebantur. Igitur Archelaus pro se attulit, voluisse quidem excipere iuuenes, quod id & ipsis & patri eorum putaret vtile, ne quid ob suspiciones & diffidia durius in eos statueret: nō tamen missurum fuisse ad Cæsarē, nec confirmaturū eos in maleuolentia: Romā autem delati inuenerunt iam Herodi reconciliatū Cęsarē, eíque literas reddiderūt. Nā Nicolai legatio ad hūc modū se habuit. Quāprimū Romā venit & in palatiū, pręter ea mandata quę habebat, Syllæū accusandū suscepit. animaduertit enim dissidere inter se

Arabas, quorum aliquot eius omnia facinora indicauerunt, & hoc autore necatos plerósque conatos Obodæ manifestè coarguerunt ex ipsius literis interceptis per aduersatios.

XII. Qua fortuita occasione Nicolaus vti non neglexit, studens Herodem reducere in gratiã Cæsaris. Sciebat enim si defensionem regis ordiretur, difficilem se habiturum iudicem. quòd si accusaret Syllæum, non defore occasionem pro suo rege satisfaciendi. contestata igitur lite, & præstituta ad agendum die, Nicolaus assistentibus sibi Aretæ legatis acriter accusauit Syllæum, interfectorem asseuerans domini ac regis sui multorúmque Arabum, pecuniam etiam mutuatum ad perturbandam quietem publicam, matronásque arguens corrupisse tam Romæ quàm in Arabia. addidit his grauissimum crimen, circumuentum mendaciis eius Cæsarem, quem nihil veri de gestis ab Herode docuerit. ad hunc occasionis locum postquam ventum est, Cæsar interlocutus iussit eum omissis cæteris hoc tantùm de Herode dicere, an non exercitum in Arabiam duxerit, neque duo millia & quingentos illic interfecerit, neque captiuis abductis regionem deprædatus sit. Ad hæc Nicolaus, de his se vel maximè ait docere posse, nihil horum aut certè minimam partẽ ita se habere, quemadmodum ab illo relata sint, neque vllam mereri indignationem. His præter opinionem auditis cùm Cæsar attentiùs auscultaret, ille primùm indicauit ei de D. talentis mutuò sũptis, déque syngrapha in qua ascriptum erat, licere post elapsum præstitutum tempus pignora ex vniuersa regione capere: deinde, non expeditionem hostilem hanc fuisse, sed executionem iuris & repetitionem debiti. idque non properè actum quanquam permittente syngrapha, sed appellatis priùs sæpe de hac re Saturnino & Volumnio Syriæ præsidibus: postremò apud Berytum in horum præsentia Syllæo per Cæsaris fortunam iurato, omnino intra triginta dies exhibiturum se & pecuniam, & Herodis perfugas. & cùm horum nihil Syllæus præstitisset, aditos rursum præsides Herodi permisisse pignora capere, atque ita demum illum profectum in Arabiam. hoc est, inquit, illud bellum quod aduersarij tam tragicè exaggerauerunt: quòd tamen quî potest bellum vocari, permissu præsidum & ex pacto illatum, post periurio violatos tum alios deos, tum in primis nomen Cæsaris? restat de captiuis iam dicere. Latrones Trachonitæ XL. primùm, mox plures, fugientes Herodem metu supplicij, receptaculum sibi fecerunt Arabiam. hos Syllæus fouit & aluit in omnium hominum iniuriam, agrósque eis dedit, & prædarum fuit particeps; quos tamen ipsos eodem iureiurando tenebatur restituere cum mutuaticia pecunia ad præscriptum terminum. nec potest ostendere quemquam præter hos captum in Arabia. immò ex his ipsis aliquot euasẽrũt. Nũc cõfutata etiã de captiuis inuidiosa sycophantia, audi Cęsar mendacissimũ figmentũ quod ad prouocandam iram tuã cõmentus est.

ἀπονοσήσαντες ἐξ αὐτοῦ, καὶ τοῦ Νικολάου προσελθόντες, τὰς ἀδικίας ἁπάσας ἐμήνυον, καὶ τὸν Ὀβάδου ὡς διαφθαρέντων πλείστων ἐμφανῆ τεκμήρια παρέχοντες, ἦν γὰρ καὶ τῶν γραμμάτων αὐτοῦ κατὰ τὴν ἀπόστασιν ὑφῃρημένα, δι' ὧν τούτων ἤλεγχον. ὁ δὲ Νικόλαος ἐπὶ τύχαις ταύτην ὁρῶν αὐτοῦ προσηγγελμένην, δι' αὐτῆς ἐπραγματεύετο τὸ μέλλον, ἐπείγων ἐλθεῖν εἰς διαλλαγὰς Ἡρώδῃ ποιῆσαι Καίσαρα. σαφῶς γὰρ ἠπίστατο βουλομένῳ μὲν ἀπολογήσασθαι περὶ ὧν ἔπραξεν οὐκ ἐσομένης παρρησίας. ἐθέλοντι δὲ κατηγορεῖν Συλλαίου, γενήσεσθαι καιρὸν ὑπὲρ Ἡρώδου λέγειν. συνεστώτων οὖν ἐπ' ἀλλήλους, καὶ δοθείσης ἡμέρας, Νικόλαος παρόντων αὐτῷ τῶν Ἀρέτα πρέσβεων, τά τε ἄλλα κατηγόρει τοῦ Συλλαίου, τήν τε τοῦ βασιλέως ἀπώλειαν λέγων, καὶ πολλῶν Ἀράβων, χρήματά τε ὡς εἴη δεδανεισμένος ἐπ' οὐδὲν ὑγιές, καὶ μοιχείας ἐξελέγχων, οὐ τὰς ἐν Ἀραβίᾳ μόνον, ἀλλὰ καὶ τὰς ἐν Ῥώμῃ γυναικῶν. προσετίθει δὲ τὸ μέγιστον ὡς ἐξαπατήσειε Καίσαρα μηδὲν ἀληθὲς διδάξας ὑπὲρ τῶν Ἡρώδῃ πεπραγμένων. ὡς δὲ ἧκεν ἐπὶ τοῦτον τὸν τόπον, ὁ μὲν Καῖσαρ ἐξεῖργεν αὐτὸν τοῦτο μόνον ἀξιῶν ὑπὲρ Ἡρώδου λέγειν, ὡς οὐ στρατιὰν ἤγαγεν εἰς Ἀραβίαν, μηδὲ δισχιλίους καὶ πεντακοσίους ἀποκτείνειεν τῶν ἐκεῖ, μηδὲ αἰχμαλώτους λάβοι τὴν χώραν διαρπάσας. πρὸς ταῦτα ὁ Νικόλαος, ὑπὲρ τούτων ἔφη καὶ μάλιστα διδάξειν, ὅτι μηδὲν ἢ τὰ πλεῖστά γε αὐτῶν οὐ γέγονεν ὡς σύ τε ἀκήκοας, καὶ δίκαιον ἦν χαλεπῶς περ ἐπ' αὐτοῖς φέρειν. πρὸς δὲ τὸ παράδοξον Καίσαρος ἐνδόντος αὐτῷ ἀκροατὴν, τὸ δάνειον εἰπὼν τῶν πεντακοσίων ταλάντων, καὶ τὴν συγγραφὴν, ἐν ᾗ καὶ τοῦτο ἦν προσγεγραμμένον ἐξεῖναι τῆς προθεσμίας παρελθούσης ῥύσια λαμβάνειν ἐξ ἁπάσης τῆς χώρας, τὴν μὲν στρατιὰν, οὐ στρατιὰν ἔλεγεν, ἀλλ' ἐπὶ δικαίων τῶν ἰδίων ἀπαίτησιν χρημάτων. καὶ μηδὲ ταχὺ ταύτην, μηδὲ ὡς ἐπέτρεπον αἱ συγγραφαὶ, πολλάκις μὲν ἐπὶ Σατορνῖνον ἐλθόντα καὶ Οὐολούμνιον τοὺς τῆς Συρίας ἡγεμόνας, τελευταῖον δὲ, ἐν Βηρυτῷ τούτων ἐναντίον Συλλαίου τὴν σὴν τύχην ἐπομόσαντος, ἦ μὴν ἐντὸς ἡμερῶν τριάκοντα παρέξειν τὰ χρήματα, καὶ τοὺς ἐκ τῆς ἀρχῆς τῆς Ἡρώδου πεφευγότας. ὧν οὐδὲν ποιήσαντος Συλλαίου πάλιν ἐπὶ τοὺς ἡγεμόνας ἐλθεῖν Ἡρώδην, κἀκείνων ἐφέντων αὐτῷ λαμβάνειν τὰ ῥύσια, μόλις οὕτως ἐξελθεῖν σὺν τοῖς περὶ αὐτόν. ὁ μὲν δὴ πόλεμος ὡς οὗτοι τραγῳδοῦντες ἔλεγον, καὶ τὰ τῆς ἐπιστρατείας τοιαῦτα. καὶ τί πῶς ἂν εἴη πόλεμος, ἐπιτρεψάντων μὲν τῶν σῶν ἡγεμόνων, δεδωκυίας δὲ τῆς συνθήκης, ἠσεβημένου δὲ μετὰ τῶν ἄλλων θεῶν, καὶ τοῦ σοῦ Καῖσαρ ὀνόματος. τὰ δὲ περὶ τοὺς αἰχμαλώτους, ἑξῆς ἤδη λεκτέον. λῃσταὶ τὸν Τράχωνα κατοικοῦντες, τεσσαράκοντα τὸ πρῶτον εἶτα αὖθις πλείονες τὰς Ἡρώδου κολάσεις διαφεύγοντες, ὁρμητήριον ἐποιήσαντο τὴν Ἀραβίαν. τούτους ὑπεδέξατο Συλλαῖος ἐπὶ πάντας ἀνθρώπους τρέφων, καὶ χώραν ἔδωκε νέμεσθαι, καὶ τὰ κέρδη τῶν λῃστῶν αὐτὸς ἐλάμβανεν. ὡμολόγησε δὲ καὶ τούτους ἐπὶ τοῖς αὐτοῖς ὅρκοις ἀποδώσειν κατὰ τὴν αὐτὴν τοῦ δανείου προθεσμίαν. καὶ δύναιτο ἂν οὐκ ἐπιδεῖξαι κατὰ τὸ παρὸν ἄλλον τινὰ τῆς Ἀράβων χώρας, ἢ τούτους ἐξῃρημένους, οὐδὲ πάντας, ἀλλ' ὅσοι μὴ λαθεῖν ἴσχυσαν. οὕτως οὖν καὶ τῆς αἰχμαλωσίας ἐπιφθόνου συκοφαντήματος πεφηνότος, μέγιστον ὦ Καῖσαρ κατάμαθε πλάσμα καὶ ψεῦσμα πρὸς τὴν σὴν ὀργὴν αὐτῷ ποιηθέν.

φημὶ

A φημὶ γὰρ ἐπελθούσης ἡμῖν τῆς ἀράβων δυνάμεως, καὶ τῶν περὶ ἡρώδην πεσόντος ἑνὸς καὶ δευτέρου, τότε μόλις ἀμυνομένους νάκεβον τὸν στρατηγὸν αὐτῶν, καὶ περὶ πέντε καὶ εἴκοσι τοὺς πάντας, ὧν ἕκαστον αὐτὸς εἰς ἑκατὸν ἀναφέρων, δισχιλίους πεντακοσίους τοὺς ἀπολωλότας ἔλεγε. ταῦτα μᾶλλον ἐκίνει τὸν καίσαρα, καὶ πρὸς τὸν συλλαῖον ἐπιστραφεὶς, ὀργῆς μεστὸς, ἀνέκρινεν ὁπόσοι τεθνήκασι τῶν ἀράβων. ἀπορουμένου δὲ αὐτοῦ, καὶ πεπλανῆσθαι λέγοντος, αἵ τε συνθῆκαι τῶν δανείων ἀνεγινώσκοντο, B καὶ τὰ ἡγεμόνων γράμματα, πόλεις τε ὅσαι λῃστήρια κατῃτιῶντο. καὶ πέρας εἰς τοῦτο κατέστη καῖσαρ, ὡς τοῦ μὲν συλλαίου καταγνῶναι θάνατον. ἡρώδῃ δὲ διαλλάττεσθαι, μετάνοιαν ἐφ' οἷς ἐκ διαβολῆς πικρότερον ἔγραψεν αὐτῷ πεπονθὼς, καί τι τοιοῦτον εἰπεῖν εἰς τὸν συλλαῖον, ὡς ἀναγκάσειεν αὐτὸν ψευδεῖ λόγῳ πρὸς ἄνδρα φίλον ἀγνωμονῆσαι. τὸ δὲ σύμπαν, ὁ μὲν συλλαῖος ἀνεπέμπετο τὰς δίκας, καὶ τὰ χρέα τοῖς δεδανεικόσιν ἀποδώσων, εἶτα οὕτω κολασθησόμενος. C ἀρέτα δὲ οὐκ εὐμενὴς ἦν καῖσαρ, ὅτι τὴν ἀρχὴν μὴ δι' ἐκείνου καθ' αὑτὸν ἔλαβεν. ἐγνώκει γὰρ καὶ τὴν ἀραβίαν ἡρώδῃ διδόναι. διεκώλυσε δὲ τὰ περὶ ἐκείνου πεμφθέντα γράμματα. τοῖς γὰρ περὶ τὸν ὄλυμπον, καὶ οὐολόμνιον εὐμενῆ καίσαρα πυθομένοις, εὐθὺς ἔδοξεν ἐξ ἐντολῆς ἡρώδου, τὰ περὶ τῶν παίδων γράμματα, καὶ τοὺς ἐλέγχους ἀναδιδόναι. καῖσαρ δὲ ἀναγνοὺς, τὸ μὲν ἀρχὴν ἄλλην προστεθεῖναι γέροντι, D καὶ κακῶς πράττοντι τὰ περὶ τοὺς παῖδας, οὐκ ᾤηθη καλῶς ἔχειν. δεξάμενος δὲ τοὺς περὶ ἀρέταν, καὶ τοῦτο μόνον ἐπιτιμήσας ὡς προπετείᾳ χρήσαιτο τῷ μὴ παρ' αὐτοῦ τὴν βασιλείαν ἀναμεῖναι λαβεῖν, τά τε δῶρα προσήκατο, καὶ τὴν ἀρχὴν ἐβεβαιώσατο. ἡρώδῃ δὲ γράφει διηλλαγμένος, ἐπί τε τοῖς παισὶν ἄχθεσθαι λέγων, καὶ δέον, εἰ μὲν ἀνοσιώτερόν τι τετολμήκασιν, ἐπεξιέναι πατραλοίας ὄντας. αὐτῷ γὰρ ἀφιέναι ταύτην τὴν ἐξουσίαν. εἰ δὲ δρασμὸν ἐνενόησαν, ἄλλως E νουθετήσαντα μηδὲν ἀνήκεστον διαπράττεσθαι. συμβουλεύειν δὲ ἔχειν αὐτῷ συνέδριον ἀποδείξαντα περὶ βηρυτὸν, ἐν ᾗ κατοικοῦσι ῥωμαῖοι, καὶ παραλαβόντα, τούς τε ἡγεμόνας, καὶ τὸν βασιλέα τῶν καππαδοκῶν ἀρχέλαον, ὅσους τε τῶν ἄλλων οἴεται φιλίᾳ τε καὶ ἀξιώματι εἶναι ἐπιφανεῖς, μετὰ τῆς ἐκείνων γνώμης ὅτι χρὴ διαλαμβάνειν. καῖσαρ μὲν τοιαῦτα ἐπέστελλεν.

Κεφάλαιον ιζ.

F *Ὡς καίσαρος ἐξουσίαν δόντος ἐν βηρυτῷ παρὰ τῷ συνεδρίῳ κατηγόρησε τῶν παίδων ἡρώδης, καὶ θάνατος νεανίσκων.*

Ὁ δὲ ἡρώδης τῶν γραμμάτων ὡς αὐτὸν ἀπενεχθέντων, περιχαρὴς μὲν εὐθὺς ἐπὶ ταῖς διαλλαγαῖς ἐγεγόνει, περιχαρὴς δὲ καὶ τῷ πάντα ἐξεῖναι κατὰ τῶν παίδων αὐτῷ. καὶ πως τὸ μὲν εὐπράττειν, ἐν τῷ πρότερον χαλεπὸν μὲν, ἀλλ' οὔτε θρασὺν, οὔτε G προπετῆ, πρὸς τὴν ἀπώλειαν τῶν τέκνων παρεῖχεν αὐτόν. ἐν δὲ τῷ τότε μεταβολῆς ἀμείνονος καὶ παρρησίας ἐπιλαβόμενος, τὸ μῖσος ἐκαινοδόξει τὴν ἐξουσίαν. διέπεμπεν οὖν ὅσοις ἐδόκει καλεῖν εἰς τὸ συνέδριον, ἀρχελάου χωρὶς, ἐκεῖνον γὰρ δι' ἔχθος οὐκ ἠξίου παρατυγχάνειν, ἢ καὶ τῇ προαιρέσει νομίζων ἐμποδὼν ἔσεσθαι. γενομένων δὲ ἐν βηρυτῷ, τῶν τε ἡγεμόνων, καὶ τῶν ἄλλων ὅσους ἀπὸ τῶν πόλεων ἐκάλεσε,

A Affirmo enim quòd cùm Arabum manus nos inuasisset, & vnus atque alter è nostris cecidisset, tum demum Herodes repugnare coactus Nacebum, & cùm eo XXV. non amplius cecidit, quorum singulis centuplicatis iste bis mille & quingentos cecidisse retulit. His motus Cæsar, vultu irato ad Syllæum versus, rogauit quot Arabes ea pugna desiderati sint. Hæsitante illo, & erratum in numero fatente, lectæ sunt syngrapharum conditiones, & rescripta B præsidum, literæque vrbium continentes querelas de latrociniis. Ad vltimum eò res deuenit, vt Cæsar damnato capitis Syllæo, Herodem in gratiam receperit: & pœnitens quòd calũniis permotus duriùs scripsisset, hoc quoque Syllæo opprobrauerit, illius mendaciis impulsum se discessisse ab officiis amicitiæ. In summa, remisit eum in prouinciam vt postquam satisfecisset creditoribus, daret suppli-C cium. Cæterùm Aretæ indignari pergebat, quòd regiam dignitatem ac potestatem vsurparet, priusquam à se acciperet: volebátque Arabiam quoque Herodi tradere: sed hoc consilium mutauerunt redditæ ipsius literæ. Olympus enim & Volumnius cognito placatum esse Cæsarem, mox ita vt mandatum erat obtulerunt ei literas, continentes argumenta quibus filios impietatis conuicerat: quibus lectis visum est non onerare insuper alio regno senem & infortunatum circa filios: admissisque D legatis Aretæ, & hactenus obiurgatis quòd rex eorum temerariè principatum sumpsisset: non expectata sua sententia, admisit munera, & regnum ei autoritate sua confirmauit. Post XIII. hæc Herodi iam reconciliatus scribit, dolere se vicem eius qui tales haberet filios, deberéq; eum, si quid cõtra pietatem ausi sint, vt in parricidas animaduertere. se enim liberam ei potestatem permittere. quod si tãtùm fugam me-E ditati sint, ipsum quoque salua pietate oportere leni castigatione contentum esse. quare suum consilium esse, vt indicto consistorio apud Berytum Romanorum domiciliũ, & adhibitis præsidibus cum rege Cappadocum Archelao, amicisque cæteris & viris illustribus, de communi sententia quid statuendum sit dispiciat. atque hoc fuit argumentum epistolæ Cæsaris.

CAP. XVII.

F *Herodis filij damnantur apud Berytum in concilio.*

QVa accepta Herodes supra modum gauisus est, tum quòd rediisset in gratiam, tum propter concessam sibi statuendi de filiis potestatem liberam: & nescio quo pacto accidit, vt qui priùs in secunda fortuna durus quidem pater fuerat, non tamen temerarius aut preceps ad filiorum interitum: nunc rebus suis in melius mutatis, & recepta pristina fiducia, G nouo more laxauerit habenas odiis. Ergo conuocat per nuncios quotquot visum est Cæsari, vno Archelao excepto, vel quòd hominem oderat, vel quòd vereretur ne obsisteret suo proposito. & postquam Berytum cõuenerunt cùm præsides, tum cæteri exciti è diuersis vrbibus,

filios quidem, quos adducere in concilium noluit, in Platane vico Sidoniorum detinuit, non longè ab vrbe: vt posset eos si vocarentur sistere. ipse verò solus introgressus, coram concessum C L. virorum, vsus est accusatione non tam propter infortunium & necessitatem miserabili, quàm patri patum decora. Vehemens enim erat, & in coarguendo crimine hæsitans non satis se explicabat, multáque furoris ac feritatis præferebat indicia. nec probationes exhibebat cognitoribus, sed aduocatos sibi eos adiungebat indecorè pater contra filios, literásque ab ipsis scriptas legebat: in quibus nihil insidiarum aut impietatis inerat, sed tantùm de ineunda fuga concilium, & conuitia signa offensi animi. ad quæ postquam ille peruenit vociferabatur quasi in confessis insidiis: rémque exaggerabat deierans mori se malle quàm audire talia. Postremò dicens sibi & à natura & à Cæsare potestatem in eos datam, addidit etiam patriam legem ita iubere: vt si cui accusato parentes manus imponant capiti, necesse habeant circumstantes saxis eum ferire, atque in hunc modum interficere. quod cùm sibi promptum sit in patria & suo regno facere, tamen expectare se illorum quoque calculos. Venire se tamen ad eos non tam vt iudicent filios in manifestissima culpa deprehensos, quā vt per occasionem indignationi iustæ parentis suum addant suffragium, & exemplum edant ad posteros, non oportere tales insidias negligi. Hæc locuto rege, & iuuenibus ne ad dicendam quidem causam adductis, qui erant in consilio videntes rem eò deuenisse, vt nulla sit spes reconciliationis & gratiæ, potestatem eius confirmauerunt. Et primus Saturninus vir consularis, multisque defunctus honoribus, protulit sententiam moderatam circumstantiis: damnare se quidem Herodis filios, non tamen censere interficiendos, quòd & ipse filios habeat, & Herodem præteritis infortuniis hoc maximum nolit adiicere. Post illum ipsius tres filij, qui legati patris erant, candem sententiam tulerunt. Contrà Volumnius capite plectendos pronunciat, qui tam impij erga parentem fuerint: quem deinceps maior pars secuta est, vt omnino viderentur addicti ad supplicium. Móxque inde Herodes Tyrum eos secum duxit: quò cùm Nicolaus appulisset à Roma veniens, rex priùs expositis quæ apud Berytum acta fuerant, percontatus est quid Romæ amici sentirent de eius filiis. Ille respondit videri consilia iuuenum impia, coniiciendósque vinctos in carcerem. deinde pensitato diligentiùs negotio, si ita videatur, occidendos, ne putetur plus iræ quàm rationi tribuere. sin contrarium placeat, absoluendos, ne aliquid committatur immedicabile. eam esse Romæ plerorumq; amicorum sententiam. Tum rex diu multúmque tacitus secum cogitauit, & illum secum nauigare iussit. Postquam autem Cęsaream vētum est, mox omnes fuerunt de filiis soliciti, euentū expectantes. valde enim metuebāt ne propter inueteratum

A τοὺς μὲν παῖδας, οὐ γὰρ ἠξίου παράγειν εἰς τὸ συνέδριον, ἐν κώμῃ τινὶ Σιδωνίων εἶχε, Πλατάνῃ καλουμένῃ, πλησίον τῆς πόλεως, ὡς ἔχειν εἰ κληθεῖεν παραστῆσαι. μόνος δὲ καθ' αὑτὸν εἰσελθὼν, ἑκατὸν καὶ πεντήκοντα συγκαθημένων ἀνδρῶν, κατηγόρει κατηγορίαν οὐκ ὀδυνηρὰν ὡς πρὸς ἀνάγκην ὧν ἠτύχει, πλεῖστον δὲ ἀπεοικυῖαν ἢ πατὴρ ἐπὶ παισὶν εἴποι. βίαιος γὰρ ἦν, καὶ περὶ τὴν ἐπίδειξιν τῆς αἰτίας ἐτετάρακτο, καὶ μέγιστα θυμοῦ καὶ ἀγριότητος
B ἐνεδίδου σημεῖα, τὰς τῶν ἐλέγχους οὐκ ἐκείνοις ἐπιτρέπων καταμαθεῖν, ἀλλὰ συνηγορίαν αὐτοῖς προστιθεὶς, παρὰ τῶν παίδων ἀσχήμονα, καὶ τὰ γραφέντα δι' αὐτῶν ἐκείνων ἀναγινώσκων. ἐν οἷς ἐπιβουλὴ μὲν ἤ τις ἐπίνοια δυσσεβείας οὐκ ἐνεγέγραπτο, μόνον δὲ ὡς φυγεῖν βουλεύοιντο, καὶ λοιδορίαι τινὲς εἰς αὐτὸν ὀνείδη περιέχουσαι διὰ τὴν δύσνοιαν, ἐφ' αἷς ἐκεῖνος ὡς ἐγένετο, μᾶλλόν τε ἐξεβόα, καὶ τὸ περιὸν εἰς ὁμολογίαν τῆς ἐπιβουλῆς δι' ἐκείνων, ηὔξανε, ἐπομνύμενος
C ὡς ἥδιον ἂν στέροιτο τῆς ζωῆς, ἢ τοιούτων ἀκούειν λόγων. τὸ δὲ τελευταῖον εἰπὼν ὅτι καὶ τῇ φύσει, καὶ τῇ Καίσαρος δόσει τὴν ἐξουσίαν αὐτὸς ἔχοι, προσέθηκε καὶ πάτριον αὐτῷ νόμον, ὃς ἐκέλευσεν, εἰ τοῦ κατηγορηθέντος οἱ γονεῖς ἐπιθοῖεν τῇ κεφαλῇ τὰς χεῖρας, ἐπάναγκες εἶναι τοῖς περιεστῶσι βάλλειν, καὶ τοῦτον ἀποκτείνειν τὸν τρόπον. ὅπερ ἕτοιμος ὢν αὐτὸς ἐν τῇ πατρίδι καὶ τῇ βασιλείᾳ ποιεῖν, ὅμως ἀναμεῖναι τὴν ἐκείνων κρίσιν. ἥκειν
D μέντοι, δικαστὰς μὲν οὐχ οὕτως ἐπὶ φανεροῖς οἷς ἐκ τῶν παίδων ὀλίγου πάθοι, συνοργισθῆναι δὲ καιρὸν ἔχοντας, ὡς οὐδενὶ καὶ τῶν πόρρω γεγονότων ἀμελῆσαι τοιαύτης ἐπιβουλῆς ἄξιον. ταῦτα τοῦ βασιλέως εἰπόντος, καὶ τῶν νεανίσκων οὐδὲ ἕως τῆς ἀπολογίας παρηγμένων, συμφρονήσαντες οἱ κατὰ τὸ συνέδριον ὡς ἐπιεικείας καὶ διαλλαγῶν χεῖρον ἔχοιεν, τὴν ἐξουσίαν ἐβεβαίουν αὐτῷ. καὶ πρῶτος μὲν Σατορνῖνος ἀνὴρ ὑπατικὸς, καὶ τῶν ἐπ' ἀξιώματος, ἀπεφήνατο γνώμην
E αἰδημονεστάτην περιστάσει χρώμενος. ἔφη γὰρ καταδικάζειν μὲν τῶν Ἡρώδου παίδων, κτείνειν δὲ οὐκ οἴεσθαι δίκαιον, αὐτὸς παῖδας ἔχων, καὶ τοῦ πάθους μείζονος ὄντος, εἰ καὶ πάντα δι' αὐτοὺς δεδυστύχηκε. μετ' ἐκεῖνον, οἱ Σατορνίνου παῖδες, εἵποντο γὰρ αὐτῷ τρεῖς ὄντες πρεσβευταὶ, τὴν αὐτὴν γνώμην ἀπεφήναντο. Οὐολόμνιος δὲ ἄντικρυς ἔφη κολάζειν θανάτῳ τοὺς οὕτως ἀσεβήσαντας εἰς τὸν πατέρα. τὰ
F δὲ αὐτὰ καὶ τῶν ἑξῆς οἱ πλείους, ὥστε μηκέτι ἄλλο τι δοκεῖν, ἢ καταδεδικάσθαι τὴν ἐπὶ θανάτῳ τοὺς νεανίσκους. κἀκεῖθεν μὲν εὐθὺς, Ἡρώδης ἧκεν, ἄγων αὐτοὺς εἰς Τύρον, καὶ τοῦ γε Νικολάου πλεύσαντος ὡς αὐτὸν ἐκ τῆς Ῥώμης ἐπυνθάνετο, προδιηγησάμενος τὰ ἐν Βηρυτῷ, ἣν τινα ἔχοιεν γνώμην περὶ τῶν παίδων αὐτοῦ, καὶ οἱ ἐν τῇ Ῥώμῃ αὐτοῦ φίλοι. κἀκεῖνος εἶπεν, ὅτι δοκεῖ μὲν ἀσεβῆ εἶναι τὰ ἐκείνοις περὶ σὲ ἐγνωσμένα, χρῆναι μέν τοι αὐτοὺς κα-
G θείρξαντα, δεσμώτας φυλάττειν. καὶ εἰ μὲν ἕτερόν σοι δοκοίη, κολάζειν αὐτοὺς, μὴ φαίνοιο ὀργῇ τὸ πλέον ἢ γνώμῃ κεχρῆσθαι. εἰ δὲ τἀναντία, ἀπολύειν, μὴ ἀνεπανόρθωτον εἴη σοι τὸ ἀτύχημα. τὰ αὐτὰ δὲ δοκεῖ καὶ ἐν Ῥώμῃ τοῖς πλείστοις τῶν σῶν φίλων. καὶ ὃς σιωπήσας ἐν πολλῇ ἐγένετο συννοίᾳ, κἀκεῖνον ἐκέλευσεν συμπλεῖν αὐτῷ. ὡς δὲ ἧκεν εἰς Καισάρειαν, γίνεται λόγος εὐθὺς ἅπασι τῶν παίδων, καὶ μετέωρος ἡ βασιλεία ποῖ ποτε χωρήσει τὰ κατ' αὐτοὺς ἐκδεχομένων. δεινὸν γὰρ ὑπῄει πάντας δέος

ἐκ πα-

ἐκ παλαιοῦ κατασυσιαζομένους εἰς αὐτὸ τὸ πέρας ἐλθεῖν. καὶ τοῖς μὲν πάθεσιν ἐδυσχέραινον, οὐκ ἦν δὲ οὐδὲ εἰπεῖν τι προπετές, οὔτε ἄλλου λέγοντος ἀκούειν ἀκίνδυνον, ἀλλ' ἐγκεκλεισμένοι τὸν ἔλεον, ὀδυνηρῶς μὲν, ἀναύδως δὲ τὴν ὑπερβολὴν τοῦ πάθους ἔφερον. εἷς δὲ αὐτῶν παλαιὸς στρατιώτης, ὀνόματι Τίρων, υἱοῦ αὐτῷ καθ' ἡλικίαν ὄντος Ἀλεξάνδρου φίλου, πάντα ὅσα καὶ τοῖς ἄλλοις ὑποδυόμενα δι' ἡσυχίας ἦν, αὐτὸς ὑπ' ἐλευθεριότητος ἐξελάλει, καὶ βοᾶν ἠναγκάζετο πολλάκις ἐν τοῖς πλήθεσιν ἀπαρακαλύπτως λέγων, ὡς ἀπόλοιτο μὲν ἡ ἀλήθεια, τὸ δὲ δίκαιον ἐκ τῶν ἀνθρώπων ἀνῃρημένον εἴη, κρατοίη δὲ τὰ ψεύσματα καὶ ἡ κακοήθεια, καὶ τοσοῦτον νέφος ἐπάγοι τοῖς πράγμασιν, ὡς μηδὲ τὰ μέγιστα τῶν ἀνθρωπίνων παθῶν ὁρᾶσθαι τοῖς ἁμαρτάνουσιν. τοιοῦτος ὤν, ἐδόκει μὲν οὐκ ἀκινδύνως παρρησιάζεσθαι. τὸ δὲ εὔλογον, ἐκίνει πάντας, οὐκ ἀνάνδρως αὐτοῦ πρὸς τὸν καιρὸν ἱσταμένου. διὸ καὶ πάντα ἅπερ αὐτὸς εἴποι, ἕκαστος ἡδέως ἤκουεν ὑπ' ἐκείνου λεγόμενα, καὶ τὸ καθ' αὑτοὺς ἀσφαλὲς ἐν τῷ σιγᾶν προαιρούμενοι τὴν ἐκείνου παρρησίαν ὅμως ἀπεδέχοντο. τὸ γὰρ προσδοκώμενον πάθος, ἐβιάζετο πάντα ὅντινα οὖν ὑπὲρ αὐτοῦ λαλεῖν. ὁ δὲ καὶ πρὸς τὸν βασιλέα μετὰ πάσης παρρησίας ὠσάμενος, μόνος μόνῳ λέγειν ἠξίου, καὶ συγχωρήσαντος, ὀδυνώμενος εἶπεν, ὦ βασιλεῦ, διακαρτερεῖν ἐπὶ τοιούτῳ πάθει τὴν τολμηρὰν ταύτην παρρησίαν, ἀναγκαίαν δέ σοι, καὶ συμφέρουσαν εἰ λάβοις τι χρήσιμον ἐξ αὐτῆς, προὔκρινα τῆς ἐμῆς ἀσφαλείας. ποῖ ποτε ᾤχοντό σου, καὶ πεπτώκασιν ἐκ τῆς ψυχῆς αἱ φρένες; ποῖ δὲ καὶ ὁ περιττὸς ἐκεῖνος νοῦς, ᾧ πολλὰ καὶ μεγάλα κατώρθωσας; τίς δὲ ἡ τῶν φίλων καὶ συγγενῶν ἐρημία; κρίνω δὲ, οὐδὲ παρόντας αὐτοὺς εἶναι συγγενεῖς ἢ φίλους, οἳ περιορῶσι τοιοῦτον μῖσος ἐπὶ τῇ μακαριζομένῃ ποτὲ βασιλείᾳ. σὺ δὲ οὐ σκέψῃ τί πραττόμενόν ἐστι; δύο νεανίσκους ἐκ βασιλίδος σοι γυναικὸς γεγενημένους, εἰς πᾶσαν ἀρετὴν ἄκρους ἀναιρήσεις, σεαυτὸν ἐν γήρᾳ καταλιπὼν ἐφ' ἑνὶ παιδὶ κακῶς οἰκονομήσαντι τὴν εἰς αὐτὸν ἐλπίδα, καὶ συγγενέσιν ὧν αὐτὸς ἤδη τοσαυτάκις κατέγνως θάνατον; οὐκ ἐννοήσεις, ὅτι καὶ τῶν ὄχλων ἡ σιωπὴ, τὴν ἁμαρτίαν ὅμως ὁρᾷ καὶ μισεῖ τὸ πάθος; ἥ τε στρατιὰ πᾶσα, καὶ ταύτης οἱ πρωτεύοντες, ἔλεον μὲν τῶν ἀτυχούντων, μῖσος δὲ τῶν ταῦτα διαπραττομένων ἐσχήκασιν; ἤκουε τούτων ὁ βασιλεὺς, ἐν ἀρχῇ μὲν οὐ παντάπασιν ἀγνωμόνως, ἀλλά τι δεῖ καὶ λέγειν διεκίνησεν ἑαυτὸν ἁψαμένου τοῦ Τίρωνος ἐναργῶς, τοῦ τε πάθους καὶ τῆς περὶ τοὺς οἰκείους ἀπιστίας. αὖθις δὲ ὁ μὲν ἐπεδίδου κατὰ μικρὸν ἀμέτρῳ καὶ στρατιωτικῇ χρώμενος παρρησίᾳ. τὸ γὰρ ἀπαίδευτον ἐξέπιπτε τοῦ καιροῦ. ταραχῆς δὲ Ἡρώδης ἐνεπίμπλατο, καὶ μᾶλλον ὀνειδίζεσθαι δοκῶν, ἢ πρὸς τὸ συμφέρον ἀκούειν τῶν λόγων, ἐπεὶ καὶ τοὺς διακειμένους στρατιώτας, καὶ τοὺς ἀγανακτοῦντας ἡγεμόνας ἐπύθετο, προσέταξε τῶν τε ὀνόμασι δηλωθέντων ἁπάντας, καὶ τὸν Τίρωνα δήσαντας ἔχειν ἐν φυλακῇ. τούτου γενηθέντος, ἐπιτίθεται τῷ καιρῷ καὶ Τρύφων τις κουρεὺς τοῦ βασιλέως, ὅς ἔφη προσελθὼν ὡς πείθοι πολλάκις ὁ Τίρων, ὁπόταν θεραπεύῃ τὸν βασιλέα ξυρῷ τὸν λαιμὸν ἀποτεμεῖν, ἔσεσθαι γὰρ ἐν πρώτοις τοῖς περὶ Ἀλέξανδρον, καὶ μεγάλας λήψεσθαι δωρεάς. ταῦτα εἰπόντα, συλλαμβάνειν κελεύει, καὶ μετὰ ταῦτα, βάσανος ἦν τοῦ τε Τίρωνος, καὶ τοῦ παιδὸς αὐτοῦ, καὶ τοῦ κουρέως. διακαρτεροῦντος τε τοῦ Τίρωνος, ὁρῶν ὁ νεανίσκος τὸν πατέρα, χαλεπῶς μὲν ἤδη διακείμενον, ἔχοντα δὲ οὐδεμίαν ἐλπίδα σωτηρίας, αὐτό τε τὸ μέλλον ἐκ τῆς περὶ τὸν πάσχοντα δυσχερείας προϊδών,

dissidium immineret eis exitium. cúmque dolerent eorum vicem, tamen nec loqui temerè, nec audire dictum aliquod liberiùs vacabat periculo: sed in sinu misericordiam celantes, taciti dolorem dissimulabant. Vnus omnium vetus regis miles nomine Tiro, filium habens Alexandri æqualem & amicum, quicquid alij quieti occultabant, ipse liberè eloquebatur, & sæpe exclamare cogebatur in turba, perisse veritatem & iustitiam in rebus humanis, & pro his regnare cum mendaciis malitiam: cóque tantam caliginem inductam negotiis, vt ne grauissima quidem errata sua homines animaduerterent. hæc loquendi libertas quamuis non abesset à periculo, omnes tamen mouebat, quòd non sine ratione fortiter se gereret tali tempore: libentérque hæc audiebant singuli, & cùm sibi cauerent silentio, eius tamen non improbabant licentiam. nam tanti mali expectatio potuisset à quouis commiserationis voces exprimere. Ille verò etiam ad regem magna libertate se ingerens, postulauit solus cum solo colloqui: quod vbi concessum est: Non possum, inquit, ô rex diutiùs ferre hãc anxietatem animi: quæ me cogit audaces voces & mihi periculosas promere, sed tibi, si velis, vtiles. Vbi nunc est tua mens? vbi animus ille semper hactenus quantumuis arduis par negotiis? quænam hæc est tanta amicorum ac cognatorum penuria? neque enim tibi hos cognatos aut amicos existimo, qui tantum scelus sustinent in quondam felici regia. quid tu? quid agatur non dispicies? occidésne duos iuuenes è regina vxore susceptos, & in omni virtute eximios, teipsum hac ætate commissurus vni filio alenti spes improbas, & cognatis quos ipse toties iudicasti dignos supplicio? An non animaduertis tacitum vulgus simul & tuum errorem damnare, & miserari calamitatem iuuenum? adhęc tum militaris turba, tum ipsi duces illis compatiuntur, & execrantur autores huius infortunij. Hæc primò sat æquis auribus accipiebat rex, admonitus tam suæ calamitatis, quàm domesticorum perfidiæ. Sed illo immodestè ac militariter instante, & per simplicitatem non habente rationem temporis, turbatior iam & opprobrationem hanc magis quàm admonitionem amicam existimans, sciscitatus quínam essent illi ægreferentes duces aut milites, nominatim indicatos omnes cum ipso Tirone vinctos iussit seruari in carcere. Huius facti occasione Trypho quidam tonsor regis accedens cum ait se non semel à Tirone solicitatum, vt inter curandum, guttur ei nouacula præcideret, ostentata spe magnorum munerum, & primi loci inter Alexandri amicos. Hæc locutum iubet corripi: móxq; tortus est & tonsor & Tiro cũ filio, qui videns patrem sæuissimè tractatum, obstinatè cruciatus perferre, nec tamen superesse vllam spem salutis ex crudelitate regis coniiciens,

ait se indicaturum veritatem, si tormenta sibi ac parenti remitterentur: acceptáque in hoc fide, dicebat conuenisse inter eos vt Tiro sua manu regem interficeret: patere enim ei aditum soli ad solum, atque ita perpetrato facinore libenter quiduis passurum in Alexãdri gratiam. His dictis patrem exemit cruciatibus, incertum veritate expressã an vt se ac genitorem hoc pacto à diuturniore vexatione redimeret. Herodes autem eiecta ex pectore omni siqua priùs inerat dubitatione de filiorum supplicio, nec vllum relinquens locum resipiscentiæ, properauit exequi suum propositum: & productis in concionem trecentis ductoribus militum vnà cum Tirone ac filio, tonsoréque indice, omnes accusauit apud populum. in quos multitudo quicquid ad manum veniret coniiciens, ad vnum eos interfecit, Alexander autem & Aristobulus ducti Sebasten, ibi iussu patris sunt strangulati: & corpora eorum in Alexandrium recondita sunt, vbi maternus eorum auus & plerique ex progenitorum serie siti sunt. Et fortasse alicui mirum non videbitur, coalitum tanto tempore odium adeò excreuisse, vt modum excedens ipsam naturam vicerit. Illud meritò dubitari possit, in adolescentésne ea culpa conferenda, qua patrem longo tempore exasperatum tãdem in odium coniecerint immedicabile: an in ipsius duritiã, & cupiditatem tam gloriæ quàm dominationis immodicam, qui nullum ferret socium, malens omnia suo arbitratu facere: an potiùs in fortunam, cuius potentiæ nullis humanis rationibus resistere licet, ne sapientissimis quidem. Vnde persuasum habemus eam omnes humanas actiones præsanxisse, vt necessariò consequantur: eámque vim fatum vocamus, quòd nihil sit quod illa non efficiat. sed hunc sermonem vt arduum leuiter attigisse sufficiet, qui & nostris studiis nonnihil tribuit, & varietatis actionum causas examinat: quæ quidem contemplatio iam olim inclusa est legis nostræ voluminibus. Cæterùm ex duabus reliquis causis quod ad filios attinet, accusare quis posset eorum iuuenilem arrogantiam, & fastum regium, quòd nimium tribuerint patris calumniatoribus, & in acta eius ac vitam parum æqui inquisitores fuerint, malitiosè suspicaces, & linguæ temperare nescij, ac per hoc geminas ansas præbẽtes suis obseruatoribus, & ad ineundam regis gratiam delatoribus. Patris autem planè pudendus error est & inexcusabilis, quòd neque insidiarum structarum conuictos, neque vllis huius conatus argumentis deprehensis, permisit sibi ex se genitos interficere, egregio corpore iuuenes, nec apud suos solùm gratiosos, non in venationibus segnes, non in militaribus exercitiis contemnendos, aut ciuilibus facundiæ studiis. horum enim omnium non erant rudes, præsertim Alexander natu grandior. Satis erat, etiamsi damnare libuisset, aut vinculis eos cohibere, aut procul à regno ablegare, cùm securum faceret Romana potentia, sub cuius tutela

ἔφη μηνύειν τῷ βασιλεῖ τὴν ἀλήθειαν, εἰ παραιτήσεται δι' αὐτὸν φείσασθαι τῆς βασάνου καὶ τῆς αἰκίας αὐτόν τε καὶ τὸν πατέρα. δόντος δὲ πίστιν ἐπὶ τούτοις, ἔλεγεν ὡς εἴη συνθήκη τις ἐπιθέσθαι δι' αὐτοχειρίας βασιλεῖ τὸν τίρωνα. προσελθεῖν γὰρ εὔπορον εἶναι μόνον μόνῳ, καὶ δράσαντα παθεῖν τι τῶν εἰκότων οὐκ ἀγεννὲς ἀλεξάνδρῳ χαριζόμενον. Ταῦτα μὲν ἐκεῖνος εἰπὼν, ἐξαιρεῖται τὸν πατέρα τῆς ἀνάγκης, ἄδηλον εἴτε τὴν ἀλήθειαν ἐκβιασθεὶς φράζειν, εἴτε κἂν παραγραφὴν νοήσας τινὰ ταύτην τῶν κακῶν αὐτῷ, καὶ τῷ γεγεννηκότι. ὁ δὲ ἡρώδης, οὐδ' εἴ τι πρότερον ἐνδοιάσιμον ἦν αὐτῷ περὶ τὴν τεκνοκτονίαν, τούτῳ τόπον ἢ χώραν καταλελοιπὼς ἐν τῇ ψυχῇ, ἀλλὰ πᾶν ἐξῃρημένος τὸ δυνάμενον αὐτῷ μετάνοιαν ἀμείνονος λογισμοῦ παρασχεῖν, ἔσπευσεν ἤδη τέλος ἐπιθεῖναι τῇ προαιρέσει. καὶ προαγαγὼν εἰς ἐκκλησίαν, τριακοσίους τε τῶν ἡγεμόνων τοὺς ἐν αἰτίᾳ γενομένους, καὶ τὸν τίρωνα σὺν τῷ παιδὶ, καὶ τῷ περὶ ἐκείνου διελέγχοντι κουρεῖ, κατηγορίαν ἁπάντων αὐτῶν ἐποιήσατο. κἀκείνους μὲν τὸ πλῆθος ἀεὶ τοῖς παρατυχοῦσι βάλλοντες, ἀπέκτειναν. ἀλέξανδρος δὲ καὶ ἀριστόβουλος ἀχθέντες εἰς σεβαστὴν, ἐπιτάξαντος τοῦ πατρὸς, στραγγάλῃ κτείνονται. τὰ δὲ σώματα νύκτωρ εἰς ἀλεξάνδρειον ἀπέθεντο, οὗ καὶ ὁ μητροπάτωρ ἐκεῖ, καὶ τῶν πλείστων αὐτοῖς προγόνων κειμένων. ἴσως μὲν οὖν οὐκ ἄλογον ἐνίοις καταφαίνεται, τρεφόμενον ἐκ πολλοῦ τὸ μῖσος, οὕτως αὐξηθῆναι, καὶ περαιτέρω προελθὸν, ἀπονικῆσαι τὴν φύσιν. ἐπίστασις δὲ γένοιτο ἂν εἰκότως εἴτε εἰς τοὺς νεανίσκους ἀνοιστέον τὴν τοιαύτην αἰτίαν πρὸς αἴτιον ὀργῆς ἀναταγόντας τὸν πατέρα, καὶ χρόνῳ παρασκευάσαντας ὑπὸ χαλεπότητος ἀνήκεστον αὐτοῖς, εἴτε καὶ πρὸς αὐτὸν ἐκεῖνον ἀπαθῆ καὶ περιττὸν ὄντα περὶ τὴν ἐπιθυμίαν τῆς ἀρχῆς, καὶ τῆς ἄλλης εὐδοξίας, ὡς μηδένα οἴεσθαι παραληπτέον, ἐφ' ᾧ πᾶν τὸ βουλόμενον ἀκίνητον ἔχειν, ἢ καὶ τὴν τύχην παντὸς εὐγνώμονος λογισμοῦ μείζω τὴν δύναμιν ἐσχηκυῖαν. ὅθεν καὶ πειθόμεθα τὰς ἀνθρωπίνας πράξεις ὑπ' ἐκείνης προκαθωσιῶσθαι τῆς τοῦ γενέσθαι πάντως ἀνάγκης, καὶ καλοῦμεν αὐτὴν εἱμαρμένην, ὡς οὐδενὸς ὄντος, ὃ μὴ δι' αὐτὴν γίγνεται. τοῦτον μὲν οὖν τὸν λόγον ὡς μείζω πρὸς ἐκεῖνον ἀρκέσει κινεῖν, ἡμῖν τε αὐτοῖς ἀποδιδόντα τι, καὶ τὰς διαφορὰς τῶν ἐπιτηδευμάτων οὐκ ἀνευθύνους ποιοῦντα, ἃ περὶ ἡμῶν ἤδη πεφιλοσόφηται καὶ τῷ νόμῳ. τῶν δὲ ἄλλων δύο, τὴν μὲν ἀπὸ τῶν παίδων μέμψεται ἄν τις αἰτίαν, ὑπό τε αὐθαδείας νεωτερικῆς, καὶ βασιλικῆς οἰήσεως, ὅτι καὶ διαβολῶν ἠνείχοντο κατὰ τοῦ πατρὸς, καὶ τῶν πραττομένων αὐτῷ κατὰ τὸν βίον, οὐκ εὐμενεῖς ἦσαν ἐξετασταὶ, καὶ κακοήθεις μὲν ὑπονοεῖν, ἀκρατεῖς δὲ λέγειν, εὐάλωτοι δὲ δι' ἀμφότερα τοῖς ἐπιτηροῦσιν αὐτοὺς, καὶ πρὸς χάριν καταμηνύουσιν. ὁ μέντοι πατὴρ, οὐδ' ἐντρεπῆς ἔοικεν ἄξιος φαίνεσθαι τοῦ περὶ ἐκείνους ἀσεβήματος, ὃς οὔτε πίστιν ἐπιβουλῆς ἐναργῆ λαβὼν, οὔτε παρασκευὴν ἐπιχειρήσεως ἔλεγχον ἔχων, ἐτόλμησεν ἀποκτεῖναι τοὺς ἐξ αὐτοῦ φύντας, ἀρίστους μὲν τὰ σώματα, καὶ περιποθήτους πᾶσι τοῖς ἀλλοτρίοις, οὐκ ἀποδέοντας δὲ ἐν τοῖς ἐπιτηδεύμασιν εἴπου θηρᾶν ἢ γυμνάζεσθαι τὰ πολέμου, ἢ λέγειν ὑπὲρ τῶν ἐμπεσόντων ἔδει. τούτων γὰρ ἁπάντων μετεῖχον, ἀλέξανδρος δὲ καὶ μᾶλλον ὁ πρεσβύτερος. ἤρκει γὰρ εἰ καὶ κατέγνω καὶ ζῶντας ὅμως ἐν δεσμοῖς, ἢ ξενιτεύοντας ἀπὸ τῆς ἀρχῆς ἔχειν, μεγάλην ἀσφάλειαν αὐτῷ περιβεβλημένῳ τὴν ῥωμαίων δύναμιν, δι' ἣν

δι' ἣν οὐδὲν οὔτε ἐξ ἐφόδου καὶ βίᾳ παθεῖν ἐδύνατο. τὸ δὲ ἀποκτεῖναι ταχὺ, καὶ πρὸς ἡδονὴν τοῦ νικῶντος αὐτὴν πάθους, ἀσεβείας τεκμήριον ἀνυποτιμήτου. καὶ τῆς ἡλικίας ἔτι οὔσης σὺν γήρᾳ τοσοῦτον ἐξήμαρτεν. ἥγε μὴν παρολκὴ, καὶ τὸ χρονίζον συγγνώμην οὐκ αὐτῷ τινα φέρει. ταχὺ μὲν γὰρ ἐκπλαγέντα καὶ κεκινημένον χωρῆσαι πρός τι τῶν ἀτόπων, εἰ καὶ δυσχερὲς, ἀλλὰ ἀεὶ συμβαῖνον. ἐν ἐπιστάσει δὲ καὶ πολλάκις μὲν ὁρμηθέντα, πολλάκις μελλήσαντα, τὸ τελευταῖον δὲ ὑποστῆναι καὶ διαπράξασθαι, φονώσης καὶ δυσμετακινήτου ψυχῆς ἀπὸ τῶν χειρόνων. ἐδήλωσε δὲ καὶ τοῖς αὖθις οὐκ ἀποσχόμενος οὐδὲ τῶν περιλοίπων ὅσους ἐδόκει φιλτάτους, ἐφ' οἷς τὸ μὲν δίκαιον ἔλαττον ἐποίει συμπαθεῖσθαι τοὺς ἀπολλυμένους, τὸ δὲ ὠμὸν ὅμοιον ἦν, τῷ μηδὲ ἐκείνων φεισαμένῳ. διέξιμεν δὲ περὶ αὐτῶν ἑξῆς ἀφηγούμενοι.

A poſitus ne apertam quidem vim, adeò non inſidias extimeſcere debuerat. nunc tam citò eos occidere impotentis affectus gratia, quid aliud eſt quàm argumentum impiæ licentiæ: maximè cùm eſſet ea ætate, in quam excuſatio ignorantiæ vel imperitiæ non competit, neque enim mora & dilatio facit eum excuſatiorem. Minus enim peccatum erat, attonitum nouo aliquo caſu, irritatum eſſe ad atrocius facinus. poſt longas verò cunctationes & B deliberationes, poſtremò tale quippiam aggredi & perpetrare, ſanguinarij animi eſt & obſtinati in deterius: qualem ſibi eſſe etiam poſtea declarauit, nec reliquis parcens qui antè videbantur cariſſimi. qui tametſi minus miſerabiles erant, quòd meritò perirent, tamen ſæuitiam arguebant ſimilem, nec ab illorũ temperantem ſibi cædibus. qua de re dicturi ſumus in ſequentibus.

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩ ΕΠΤΑΚΑΙΔΕΚΑΤΩ ΛΟΓΩ ΤΩΝ Ιωσήπου ἱστοριῶν τῆς ἰουδαϊκῆς ἀρχαιολογίας.

Περὶ τῆς ἀντιπάτρου τοῦ ἡρώδου κακοηθείας. Κεφ. α.
Περὶ ζαμάρεως ἰουδαίου ἐκ βαβυλῶνος. Κεφ. β.
Ἐπιβουλαὶ ἀντιπάτρου κατὰ ἡρώδου. Κεφ. γ.
Ὡς ἡρώδης ἔπεμψε τὸν ἀντίπατρον πρὸς καίσαρα. Κεφ. δ.
Τελευτὴ τοῦ φερώρα. Κεφ. ε.
Κατηγορία τῆς γυναικὸς φερώρα ὑπὸ τῶν ἀπελευθέρων φερώρα, ὡς ἀναιρεθέντος φαρμάκῳ, καὶ ὡς ἡρώδης ἔγνω τὰς ἀντιπάτρου ἐπιβουλάς. Κεφ. ϛ.
Ὡς ἀντίπατρος καταγνωσθεὶς θάνατον ἐδέθη. Κεφ. ζ.
Περὶ τῆς ἡρώδου νόσου, καὶ στάσεως τῶν ἰουδαίων. Κεφ. η.
Ἀντιπάτρου ἀναίρεσις. Κεφ. θ.
Ἡρώδου τελευτὴ, διαθήκη καὶ ταφή. Κεφ. ι.
Ὡς ὁ λαὸς ἐστασίασε πρὸς τὸν ἀρχέλαον. Κεφ. ια.
Στάσις ἰουδαίων πρὸς σαβῖνον, καὶ ὡς οὐάρος τοὺς αἰτίους αὐτῆς ἐκόλασε. Κεφ. ιβ.
Ὡς καῖσαρ τὰς ἡρώδου διαθήκας βεβαίας ἐποίησε φυλάξας τοῖς υἱοῖς αὐτοῦ τὴν διαδοχήν. Κεφ. ιγ.
Περὶ ψευδαλεξάνδρου. Κεφ. ιδ.
Ὡς ἀρχέλαος πάλιν κατηγορηθεὶς ἐξωρίσθη εἰς βίενναν. Κεφ. ιε.

HÆC IN IOSEPHI DECIMOSEPTIMO ANTIQVITATVM Iudaicarum libro continentur.

De Antipatri Herodis filij malitia. Cap. I.
De Zamari Iudæo Babylonico. Cap. II.
Antipatri contra Herodem inſidiæ. Cap. III.
Herodes Antipatrum mittit ad Cæſarem. Cap. IV.
Pheroræ obitus. Cap. V.
Pheroræ vxor accuſatur veneficij à libertis Pheroræ, & Herodes cognoſcit Antipatri inſidias. Cap. VI.
Antipater capitis damnatus in vincula coniicitur. Cap. VII.
Herodis morbus & Iudæorum ſeditio. Cap. VIII.
Antipatri exitium. Cap. IX.
Herodis mors, teſtamentum, & funeratio. Cap. X.
Populus ſeditionem mouet contra Archelaum. Cap. XI.
Seditio Iudæorum contra Sabinum, & quomodo Varus autores eius puniit. Cap. XII.
Cæſar Herodis teſtamentum confirmat. Cap. XIII.
De Pſeudalexandro. Cap. XIV.
Archelaus iterum accuſatus Viennam relegatus eſt. Cap. XV.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΙΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ

ΛΟΓΟΣ ΕΠΤΑΚΑΙΔΕΚΑΤΟΣ.

FLAVII IOSEPHI ANTIQVITATVM IVDAICARVM

LIBER DECIMVSSEPTIMVS.

Cap. I.

De Antipatri Herodis filij malicia.

ANTIPATER autem sublatis fratribus agitatus diris, gradu iam ad extremam contra patrem impietatem facto, nondum improbæ spei satisfaciebat & in futurum auidæ. Liberatus enim æmulorum metu, qui posſent in principatus societatem venire, in aliam maiorem difficultatem parandi ſibi regni incidit videlicet odiũ quo populariter inuiſus erat omnibus. huc accedebat quòd illum magis etiam haberet ſolicitum, alienati militum animi: à quibus pendebat regum ſecuritas, ſi quando gens ipſa videretur nouarum rerum cupida, quę mala ſuamet culpa ſibi germanis oppreſſis conciliauit. & tamen haud aliter quàm rex cum patre adminiſtrabat res Iudæorum credente ſe Herode eius fidei, & id factum quo ſupplicium merebatur, interpretante argumentum beneuolentiæ, quaſi ſaluti regis conſulens illos prodidiſſet, non morem gerens odio quo tam illos quàm patrem proſequebatur: quandoquidem & illos propter patrem oderat totus inſeſſus furiis: dabátque operam vt nulli eſſent, qui inſidias eius detegerent, aut ad quos poſſet Herodes aperta vi petitus refugere. ſed tum longè magis ſtimulabatur cœptos conatus perſequi. Nam eo defuncto proponebat ſibi certum imperium: quòd ſi diutiùs vitam protraheret, periculum videbat ne proditis aliquo modo ſuis technis patrem haberet infenſiſſimum. Ideò nullis parcebat ſumptibus in demerendis paternis amicis, hominum odia beneficiis volens obruere, præcipuè quotquot Romæ erant magnificentiſſimis munerib. ſibi conciliãs, & ante omnes Saturninum, qui tum Syriæ pręerat. Spes etiã erat fratrem ipſius corrumpi poſſe donorum magnitudine: pariterque regis ſororem, nuptam viro inter amicos regis primario. erat. n. callidiſſimus ad deuinciendos per beneuolẽtię ſpeciem hominũ ani-

Κεφάλαιον α'.

Περὶ τῆς ἀντιπάτρου τοῦ ἡρώδου κακοηθείας.

ΑΝΤΙΠΑΤΡΩ δὲ ἀφαμένῳ τοὺς ἀδελφούς, ἀσεβείᾳ τε τῇ ὑστάτῃ καὶ ἀλαστορίᾳ τὴν ἐπ' αὐτοῖς τὸν πατέρα περιβεβληκότι, οὔπω κατὰ γνώμην ἡ ἐλπὶς τοῦ αὖθις βίου ἦν. ἀπαλλαγεὶς γὰρ φόβου τοῦ ἐπὶ τῇ ἀρχῇ διὰ τὸ τῶν ἀδελφῶν μὴ ἐπικοινωνήσειν, ἐργωδέστερον καὶ ἄπορον αὐτῷ οὖν εἴσηκεν τὸ τῆς βασιλείας παραγγελθῆναι, τοσόνδε φύσεως τοῦ ἔθνους μῖσος πρὸς αὐτόν. ὄντος δὲ αὐτοῦ καὶ τοῦδε χαλεποῦ, πλεόνως παρελύπει τὸ στρατιωτικὸν ἀλλοτρίως ἔχειν τῇ γνώμῃ πρὸς αὐτόν, εἰς οὓς τὰ πάντα ἦν τοῖς βασιλεῦσιν ἀνακείμενα τοῦ οἰκείου ἀσφαλοῦς, ὁπότε τύχοι τὸ ἔθνος νεωτέρων ὀρεγνώμενον πραγμάτων. τοσόνδε κίνδυνον ἐμνήστευσεν αὐτῷ ὁ ὄλεθρος τῶν ἀδελφῶν. οὐ μὴν ἀλλὰ καὶ συνῆρχέ τε τῷ πατρί, οὐδὲν ἄλλο ἢ βασιλεὺς ὤν, καὶ ἐπιστεύετο παρ' αὐτῷ μειζόνως, ἐξ ὧν ἀπολωλέναι καλῶς εἶχεν, εὐνοίας βεβαιώματα εὑρημένος, ὡς ἐπ' ἀσφαλείᾳ σωτηρίας τοῦ ἡρώδου τοὺς ἀδελφοὺς ἐνδεδωκώς, ἀλλ' οὐκ ἔχθρᾳ τῇ πρὸς ἐκείνοις, καὶ περὶ αὐτῶν πρὸς τὸν πατέρα. τοιάδε αὐτὸν περιέπουσαν ἀραί, ἅπερ δὴ πάντα μηχαναὶ τῆς ἐπὶ τὸν ἡρώδην ὁδοῦ ἵσταντο ἀντιπάτρῳ, ἐρημοῦντι αὐτὸν μὲν κατηγορῶν ἐφ' οἷς πράττειν διενοεῖτο, ἡρώδην δὲ αὖ καταφυγῆς, εἰ βοηθεῖεν αὐτῷ τοῦ ἀντιπάτρου φανερῶς πολεμίου καταστάντος. ὥστε μῖσος μὲν τῷ πρὸς τὸν πατέρα ἔπραττε τὴν ἐπιβουλὴν τῶν ἀδελφῶν. τότε δὲ ἠπείγετο μειζόνως τοῦ ἐγχειρεῖν μὴ ἀφέξεσθαι τῆς πράξεως. ἀποθνήσκοντος μὲν γὰρ ἡρώδου, βεβαίως αὐτῷ περιγενομένης τῆς ἀρχῆς, ἐξικνουμένου δὲ εἰς τὸ πλέον ἐπιζῆν, κινδυνεύων ἂν προστάντων ἐξαγγελτοῦ γενομένης τῆς πράξεως, ἧς συνθέτης γεγονώς, πολέμιον ἠνάγκαζε τὸν πατέρα καταστῆναι. καὶ διὰ τοῦτο χαρίζεσθαι πολυτελὴς ἦν τοὺς περὶ τὸν πατέρα, κέρδεσι μεγάλοις ἐκπλήσσων τὸ τῶν ἀνθρώπων μῖσος πρὸς αὐτόν, καὶ μάλιστα τοὺς ἐπὶ ῥώμης φίλους πομπαῖς μεγάλων δωρεῶν εὔνοις καθιστάμενος, πρὸ πάντων δὲ σατορνῖνον, τὸν τῆς συρίας ἐπιμελητήν. ὑποδέξασθαι τε ἦν ἐλπὶς αὐτῷ καὶ τὸν σατορνίνου ἀδελφὸν μεγέθει δώρων ἃ ἐδίδου, καὶ τὴν ἀδελφὴν τοῦ βασιλέως ἀνδρὶ πρώτῳ τῶν περὶ τὸν ἡρώδην συνοικοῦσαν τῷ αὐτῷ τρόπῳ χρώμενος. ψευσάμενός τε φιλίαν πρὸς τοὺς ὁμιλοῦντας δεινότατος ἦν πεπιστεῦσθαι.

καὶ μι-

καὶ μῖσος ἀράμενος ἐφ' οἷς τινας ἐπικρύψασθαι συνεπίστατο. οὐ μὴν ἠπάτα γε τὴν τηθίδα προκατανενοηκυῖαν ἐκ πλείονος αὐτοῦ, καὶ μηκέτ' οἵαν τε οὖσαν παραλογισθῆναι, καὶ διὰ τὸ ἤδη παρασκευῇ τῇ πάσῃ ἀντιτεχνάσθαι αὐτοῦ πρὸς τὸ κακόηθες. καίτοι θυγατρὶ αὐτοῦ συνῴκει θεῖος πρὸς μητρὸς ἀντιπάτρου προνοίᾳ τῇ ἐκείνου, καὶ διαπράσσει λαβὼν τὴν κόρην πρότερον ἀριστοβούλῳ γεγαμημένην. τὴν γὰρ ἑτέραν ἐκ τοῦ ἀνδρὸς αὐτῆς καλλαία παῖς γυναῖκα εἶχεν. ἀλλ' οὐδὲν ἐπὶ τῷ μὴ κατανοεῖσθαι πονηρὸν ὄντα, ἡ ἐπιγαμία τεῖχος, ὥσπερ οὐδ' ἡ πρότερον συγγένεια πρὸς τὸ οὐ μεμισῆσθαι. τὴν δὲ σαλώμην, ἡρώδης ἐσπουδακὼς συλλαίῳ τῷ ἄραβι γαμηθῆναι κατ' ἐρωτικὴν ἐπιθυμίαν βιάζεται τῷ ἀλεξᾷ συνοικεῖν, συμπραττούσης αὐτῷ ἰουλίας καὶ πειθούσης τὴν σαλώμην μὴ ἀνελέσθαι τὸν γάμον, μὴ καὶ ἔχθρα καθίσταιτο αὐτοῖς προὔπτος, ὀμωμοκότος ἡρώδου μὴ ἂν εὐνοήσειν σαλώμῃ μὴ ὑποδεξαμένῃ τὸν ἀλεξᾶ γάμον. καὶ ἐπείθετο καίσαρός τε οὔσῃ γυναικὶ τῇ ἰουλίᾳ, καὶ ἄλλως συμβουλευούσῃ πάνυ συμφέροντα. ἐν τούτῳ δὲ καὶ τὴν ἀρχελάου θυγατέρα τοῦ βασιλέως ἡρώδης ὡς τὸν αὐτῆς πατέρα ἐξέπεμψεν ἀλεξάνδρῳ συνῳκηκυῖαν, ἐκ τῶν αὐτοῦ τὴν προῖκα ἀποδούς, ὥστε ἀμφισβήτημα αὐτοῖς μηδὲν εἶναι. ἀνέτρεφε δὲ αὐτὸς τῶν παίδων τὰ τέκνα πάνυ ἐπιμελῶς. ἦσαν γὰρ τῷ μὲν ἀλεξάνδρῳ ἐκ γλαφύρας ἄρσενες δύο, ἀριστοβούλῳ δὲ ἐκ βερνίκης τῆς σαλώμης θυγατρὸς ἄρσενές τε τρεῖς, καὶ θήλειαι δύο. καί ποτε παρόντων αὐτῷ τῶν φίλων παραστησάμενος τὰ παιδία, καὶ τῶν υἱῶν ἀνακλαύσας τὴν τύχην, ηὔχετο μηδὲν τοιόνδε παισὶν τοῖς ἐκείνων συνελθεῖν, αὐξηθέντας δὲ ἀρετῇ, καὶ συμφορᾷ τοῦ δικαίου, τὰς τροφὰς ἀμείψασθαι αὐτῷ ποιεῖ τε. ἐνεγύη τε εἰς γάμον ὁπότε ἀφίκοιντο εἰς ὥραν τὴν ἐπ' αὐτῷ, τῷ μὲν πρεσβυτέρῳ τῶν ἀλεξάνδρου παίδων φερώρου θυγατέρα, τῷ δὲ ἀριστοβούλου τὴν ἀντιπάτρου. καὶ θυγατέρα τὴν ἀριστοβούλου ἐπωνόμαζε παιδὶ τῷ ἀντιπάτρου, τὴν δὲ ἑτέραν τῶν ἀριστοβούλου θυγατέρων, ἡρώδῃ παιδὶ τῷ αὐτοῦ. γίνεται δὲ τῷ βασιλεῖ ἐκ τῆς τοῦ ἀρχιερέως θυγατρός. πάτριον γὰρ ἐν ταὐτῷ πλείοσιν ἡμῖν συνοικεῖν. ἐποιεῖτο δὲ τὰς μνηστείας τῶν παίδων ὁ βασιλεὺς ἐλέῳ τῶν ὀρφανῶν, εἰς εὔνοιαν αὐτῶν διὰ τὴν ἐπιγαμίαν τὸν ἀντίπατρον προσκαλούμενος. ἀντίπατρος δὲ γνώμῃ τῇ πρὸς τοὺς ἀδελφοὺς πολιτεύων οὐκ ἔλιπε καὶ πρὸς παῖδας αὐτοῖς γεγονότας, ἥ τε τοῦ πατρὸς σπουδὴ περὶ αὐτούς, ἠρέθιζεν αὐτὸν μείζονα ἔσεσθαι τῶν ἀδελφῶν προσδεχόμενον, καὶ μάλιστα ὁπότ' ἀνδρωθεῖεν, ἀρχελάου προσδεχομένου τοῖς θυγατριδοῖς βασιλέως ἀνδρός, καὶ φερώρου τῷ υἱῷ λαμβανομένου τὴν θυγατέρα. τετράρχης δὲ οὗτος ἦν. ἐπήγειρε δὲ αὐτόν, καὶ τὸ πᾶν πλῆθος ἐλέῳ μὲν τῷ πρὸς τοὺς ὀρφανοὺς χρώμενον, μισοῦν δὲ τῷ πρὸς αὐτὸν τὰ πάντα ἐξαγαγεῖν οὐκ ἀπηλλαγμένον κακοηθείας τῆς ἐπὶ τοῖς ἀδελφοῖς. ἐμηχανᾶτο οὖν διαλῦσαι τὰ τῷ πατρὶ ἐγνωσμένα, ἐν δεινῷ τιθέμενος εἰ προσλήψοιτο τῆσδε αὐτοὺς ὁμιλῆσαι δυνάμεως. καὶ μετέπιπτεν ἡρώδης εἴκων δεήσει τῇ ἀντιπάτρου, ὥστε αὐτὸν μὲν τὴν θυγατέρα ἀριστοβούλου γαμεῖν, καὶ τὴν φερώρου τὸν υἱὸν αὐτοῦ. καὶ τὰ μὲν τῶν ὁμολογιῶν τοῦ γάμου, τοῦτον ἐκινεῖτο τὸν τρόπον ἄκοντος τοῦ βασιλέως. ἡρώδῃ δὲ τῷ βασιλεῖ κατὰ τοῦτον τὸν χρόνον συνῆσαν ἐννέα γυναῖκες, ἥ τε ἀντιπάτρου μήτηρ, καὶ ἡ θυγάτηρ τοῦ ἀρχιερέως, ἐξ ἧς καὶ ὁμώνυμος αὐτῷ παῖς ἐγεγόνει. ἦν δὲ καὶ ἀδελφοῦ παῖς αὐτῷ μία γεγαμημένη, καὶ ἀνεψία σὺν αὐταῖς, καὶ ταῖσδε μὲν τέκνον οὐδὲν ἐφύει.

mos, & dissimulandi odij summus artifex. Non tamen fallebat amitam, quę iam antè perspectum habebat eius ingenium, nec decipi poterat, & ideo machinis omnibus occurrebat eius malitiæ: quamuis filiam habebat nuptam eius auunculo, quam ipse Antipater post Aristobuli mortem ei iungendam curauerat. Nam alteram mariti matris filius Callæas vxorē duxerat. sed nec affinitas hęc effecit quo minus cognosceretur eius malicia, sicut nec prior illa consanguinitas extinguere meritum odiū potuit. Salomen autem adamato Syllæo cupiētem nubere, Herodes compulit ad Alexæ coniugium, adiuuante Iulia, & ne recusaret persuadente, ne apertè inimica fratri fieret, iurato ni consensum præberet alienaturum se ab ea beneuolentiam. quare illa paruit autoritati vxoris Cæsaris, alioquin etiam vtile danti consilium. Per idem tempus remissa est ad patrem Cappadocum regis Archelai filia, quondam vxor Alexandri, reddita etiam dote ex fisco regio, nequid ea de causa exoriretur controuersiæ.

II. Ipse autem filiorum liberos educabat magna diligentia. Alexander enim è Glaphyra duos mares susceperat. Aristobulus è Bernice Salomes filia tres, & duas fœminas. Eos aliquando præsentibus amicis commendans, & filiorum deplorans infortunium, Deum precatus est nequid simile contingeret eorum liberis: sed potiùs virtutibus cum ætate aucti, gratiam sibi nutricationis reponerent. desponsauit etiam futuras adultis vxores, maiori ex Alexandri filiis Pheroræ filiam: Aristobuli verò filio filiam Antipatri: & eiusdem filiam itidem Antipatri filio. alteram autem filiam, Herodi suo filio, nato ex filia pontificis. mos enim nobis est patrius, plures simul vxores habere. Hæc connubia rex procurauit miseratione pupillorum, per affinitatem Antipatrum ad caritatem eorum inuitans. Sed ille eundem erga pueros animum obtinuit quem erga parentes ipsorum habuerat: solicitatus etiam regis circa eos cura, ne fortè adulti officerēt suæ potentiæ. Archelao quoque rege adiutante nepotulos: & Pherora tetrarcha accipiente pupillarum alteram filio suo coniugem. Eodem incitabatur propter studia populi, miserantis orbatos parentibus, & ipsum autorem eius calamitatis odio prosequentis, & parati aliquando per occasionem detegere eius erga fratres maleuolentiam. quapropter machinabatur de hoc negotio decreta patris irrita facere, ægrè laturus si deberet eos habere potestatis participes: flexitque Herodem precibus, vt ipsi filiam Aristobuli ducere permitteret, & filio suo Pherorę filiam: itaque præter eius sententiam mutata sunt pacta connubialia. Rex autem eodem tempore nouem vxores habebat. vna erat Antipatri mater, altera summi pontificis filia, ex qua puer nat⁹ est patrē nomine referēs. erāt inter has & fratris filia, & cōsobrina, sed steriles.

præterea Samaritis vna, & ex ea liberi Antipas & Archelaus, & Olympias filia, quam postea duxit regis fratruelis Iosephus. Archelaus autem & Antipas Romæ apud priuatum quendam amicum educabantur. ex Cleopatra etiam Hierosolymitana Herodem genuit & Philippum, qui & ipse Romæ educabatur: ex Pallade autem Phasaelum: ex Phædra item & Elpide filias habuit Ronaxam & Salomen. Maiores autem natu filias, Alexandri ex eadem matre sorores, quarum coniugium Pheroras contempserat, alteram Antipatro sororis suæ filio collocauit, alterã Phasaelo fratris sui filio. atque hæc fuit Herodis progenies.

Cap. II.

De Zamari Iudæo Babylonico.

Volens deinde à Trachonitis tuta esse omnia, vicum Iudæis magnitudine vrbis decreuit in eius regionis medio condere, qui & suis esset præsidio, & vnde hostes faciliùs ex propinquo posset inuadere. Cúmque intellexisset fortè fortuna virum Iudæum è Babylonia cum quingentis equitibus sagittariis & centum fermè cognatis Euphrate traiecto circa Antiochiam, quę sita est ad Daphnen, degere, vbi à Saturnino præside Valatham castellum ad habitandum acceperat, accersiuit eum vnà cum suis, pollicitus ei agros in præfectura Batanea, quæ Trachonitidi confinis est, vt ibi opponeretur infestatoribus: omnium etiam tributorum ac vectigalium immunitatem promisit tam agris quàm hominibus. His conditionibus allectus Babylonius venit, acceptóque agro castella ibi condidit, & vicum nomine Bathyram. erátque hic vir pro obice contra Trachonitas indigenis, simúlque Iudæis à Babylone Hierosolyma religionis ergô petentibus, quo tutiores essent à latrociniis: multíque vndique ad eum confluxerunt Iudęi obseruatores legis patriæ: & facta est ea regio valde populosa propter immunitatẽ quæ illis mansit Herode incolumi. Philippus deinde qui successit, pauca & non diu ab eis exegit. porrò magnus Agrippa & eodem nomine filius, licet multis grauatos exactionibus, libertate tamen frui permiserunt: quibus succedentes Romani & ipsi grauibus tributis eos opprimunt, sed salua libertate: de quo aliàs suo tempore dicemus prolixiùs. Zamaris autem Babylonius, qui hanc regionem possidendam accepit ab Herode: exacta cum virtute vita, moritur egregiis liberis superstitibus, & in his Iacimo equite insignis fortitudinis, qui cum ala Babylonia reges stipare est solitus. is in extrema senectute decedens filium reliquit Philippum, virum manu promptum, & virtuti si quis alius deditum, regíque Agrippæ ob hæc gratum & amicissimum: qui ab eo vniuersis suis copiis exercendis ac ductandis est præpositus.

ἦν δ' ἐν τ γυναιξὶν καὶ τ σαμαρέων ἔθνους μία, καὶ παῖδες αὐτῇ ἀντίπας, καὶ ἀρχέλαος, καὶ θυγάτηρ ὀλυμπιάς, ἣ ταύτην μὲν ὕστερον ἰώσηππος γαμεῖ, βασιλέως ἀδελφιδοῦς ὤν. ἀρχέλαος δὲ καὶ ἀντίπας παρά τινι ἰδιώτῃ τροφὰς εἶχον. κλεοπάτρα τε ἱεροσολυμῖτις γεγάμητο αὐτῷ, καὶ παῖδες ἐξ αὐτῆς ἡρώδης τε ἐγεγόνεισαν, καὶ φίλιππος, ὃς καὶ αὐτὸς ἐν ῥώμῃ τροφὰς εἶχεν. καὶ πάλλας δὲ ἦν ἐν τ γαμεταῖς, φασάηλον πεποιημένη αὐτῷ παῖδα. πρός γε μὴν ταύταις φαίδρα, καὶ ἐλπὶς ἦσαν, ἐξ ὧν θυγατέρες δύο ἦσαν, ῥωξάνη, καὶ σαλώμη. τὰς δὲ πρεσβυτέρας αὐτοῦ θυγατέρας ὁμομητρίας τ περὶ ἀλέξανδρον ὧν περιεώρα φερώρας τὸν γάμον, συνῴκισεν τὴν μὲν ἀντιπάτρῳ τῷ βασιλίδος ἀδελφῆς παιδὶ ὄντι, φασαήλῳ δὲ τὴν ἑτέραν, καὶ οὗτος ἡρώδου ἀδελφοῦ παῖς ἐγεγόνει. καὶ τοῦτο μὲν ἡρώδου τὸ γένος ἦν.

Κεφάλαιον β'.

Περὶ ζαμάρεως ἰουδαίου ἐκ βαβυλῶνος.

Τότε δὲ βουλόμενος πρὸς τραχωνίτας ἀσφαλὴς εἶναι, κώμην πόλεως μέγεθος οὐκ ἀποδέουσαν ἔγνω ἰουδαίων κτίσαι ἐν μέσῳ, δυσέμβολόν τε ποιεῖν τὴν αὐτοῦ, καὶ τοῖς πολεμίοις ἐξ ἐγγίονος ὁρμώμενος, ἐμβαλὼν ἐκ τοῦ ὀξέως κακουργεῖν. καὶ ἐπιστάμενος ἄνδρα ἰουδαῖον ἐκ τῆς βαβυλωνίας ἱππεῦσι πεντακοσίοις ἱπποτοξόταις πᾶσι, καὶ συγγενῶν πλήθει εἰς ἑκατὸν ἄνδρας τὸν εὐφράτην διαβεβηκότα κατὰ τύχας, ἐν ἀντιοχείᾳ τῇ ἐπὶ δάφνῃ τῆς συρίας διαιτᾶσθαι, σατουρνίνου τοῦ τότε στρατηγοῦντος εἰς ἐνοίκησιν αὐτῷ δεδωκότος χωρίον, οὐαλαθὰ ὄνομα αὐτῷ, μεταπέμπεται τοῦτον σὺν τῷ πλήθει τῶν ἑπομένων, παρέξειν ὑπισχνούμενος γῆν, ἐν τοπαρχίᾳ τῇ λεγομένῃ βαταναίᾳ, ὡρίζετο δὲ αὐτὴ τῇ τραχωνίτιδι, βουλόμενος πρόβλημα τὴν κατοίκησιν αὐτοῦ κτᾶσθαι, ἀτελῆ τε τὴν χώραν ἐπηγγέλλετο, καὶ αὐτοὺς εἰσφορῶν ἀπηλλαγμένους ἁπασῶν αἳ εἰώθεσαν, ἐγκατοικεῖν τὴν γῆν ἄπρακτον παρεχόμενος. τούτοις πεισθεὶς ὁ βαβυλώνιος ἀφικνεῖται, καὶ λαβὼν τὴν γῆν, φρούρια ᾠκοδομήσατο, καὶ κώμην βαθύραν ὄνομα αὐτῇ θέμενος. πρόβλημά τε ἦν οὗτος ὁ ἀνὴρ, καὶ τοῖς ἐγχωρίοις τὰ πρὸς τοὺς τραχωνίτας, καὶ ἰουδαίων τοῖς ἐκ βαβυλῶνος ἀφικνουμένοις διὰ θυσίας ἐπὶ ἱεροσολύμων τοῦ μὴ λῃστείαις ὑπὸ τῶν τραχωνιτῶν κακουργεῖσθαι. πολλοί τε ὡς αὐτὸν ἀφίκοντο, καὶ ἁπανταχόθεν οἷς τὰ ἰουδαίων θεραπεύεται πάτρια. καὶ ἐγένετο ἡ χώρα σφόδρα πολυάνθρωπος, ἀδείᾳ τῇ ἐπὶ πᾶσιν ἀτελείᾳ, ἃ παρέμεινεν αὐτοῖς ἡρώδου ζῶντος. φίλιππος δὲ υἱὸς ἐκείνου, παραλαβὼν τὴν ἀρχὴν, ὀλίγα τε καὶ ἐπ' ὀλίγον αὐτοῖς ἐπράξατο. ἀγρίππας μέντοι γε ὁ μέγας, καὶ ὁ παῖς αὐτοῦ καὶ ὁμώνυμος, καὶ πάνυ ἐξετρύχωσαν αὐτούς, οὐ μήτι τὰ τῆς ἐλευθερίας κινεῖν ἠθέλησαν. παρ' ὧν ῥωμαῖοι δεξάμενοι τὴν ἀρχὴν, τὸ μὲν ἐλεύθερον καὶ αὐτοὶ τηροῦσι τὴν ἀξίωσιν, ἐπιβολαῖς δὲ τῶν φόρων εἰς τὸ πάμπαν ἐπίεσαν αὐτούς. καὶ τάδε μὲν ἐν καιρῷ ἀκριβώσομαι προϊόντος τοῦ λόγου. τελευτᾷ δὲ ζάμαρις ὁ βαβυλώνιος, ὃν ἐπὶ κτήσει τῆσδε τῆς χώρας ἡρώδης ποιεῖται, ζήσας μετ' ἀρετῆς, καὶ παῖδας λειπόμενος ἀγαθούς, ἰάκειμον μὲν, ὃς ἀνδρείᾳ γενόμενος ἐπιφανὴς ἱππεῦσιν, συνεκρότησε τοὺς ὑφ' αὑτῷ βαβυλωνίους, καὶ ἴλη τῶνδε τῶν ἀνδρῶν ἐδορυφόρει τοὺς βασιλέας. καὶ ἰάκειμος ἐν γήρᾳ τελευτήσας, φίλιππον ἄνδρα χεῖρας ἀγαθὸν κατέλιπεν τὸν υἱὸν, καὶ τὰ ἄλλα ἀρετῇ χρήσασθαι, παρ' ὅν τινα οὐ ἀξιόλογον. διόπερ φιλία τε πιστὴ, καὶ εὔνοια ἀσφαλὴς αὐτῷ πρὸς ἀγρίππαν γίνεται τὸν βασιλέα. στρατιὰν δὲ ὁπόσην ὁ βασιλεὺς ἔτρεφεν, οὗτος ἀσκῶν διετέλει, καὶ ὅπῃ ἐξοδεύειν δεήσειεν ἡγούμενος.

Κεφάλαιον γ'.

Ἐπιβουλαὶ ἀντιπάτρου κατὰ ἡρώδου.

Ηρώδου δὲ ἐν οἷς εἶπον ὄντος, ἀφεώρα τὰ πάντα πράγματα εἰς ἀντίπατρον, καὶ ἐφ᾽ οἷς ὠφελῆσαι κυρίῳ, οὐκ ἀπήλλακτο ἐξουσίας, ἐπικεχωρηκότος τε τοῦ πατρὸς, ἐλπίδι εὐνοίας, καὶ πίστεως, ὡς καὶ περαιτέρω κτᾶσθαι τὴν ἐπ᾽ αὐτοῖς ἐξουσίαν τολμηρὸς καθιστάμενος, διὰ τοῦ ἄδηλος τῷ πατρὶ εἶναι κακουργῶν, καὶ ἐφ᾽ οἷς εἴποι πιστότατος. ἦν τε πᾶσι φοβερὸς οὐχ οὕτως ἰσχύϊ τῆς ἐξουσίας, ὡς τοῦ κακοτρόπου τῷ προμηθεῖ. μάλιστα δὲ αὐτὸν φερώρας ἐθεράπευεν, καὶ ἀντεθεραπεύετο δεινῶς, πάνυ τοῦ ἀντιπάτρου περιεσχηκότος αὐτὸν καὶ τὴν γυναικωνῖτιν συνισταμένου τὰ πρὸς αὐτόν. ἐδεδούλωτο γὰρ φερώρας γαμετῇ τε καὶ μητρὶ ταύτης, καὶ ἀδελφῇ, καὶ ταῦτα μισῶν τὰς ἀνθρώπους ὕβρει θυγατέρων αὐτοῦ παρθένων. ἀλλ᾽ ὅμως ἠνείχετο, πράσσειν τε οὐδὲν ἦν δίχα τῶν γυναικῶν ἐκπεριωδευκυιῶν τὸν ἄνθρωπον καὶ ἀλλήλαις εὐνοίᾳ συμπεράσσειν τὰ πάντα μὴ ἀπηλλαγμένων. ὥστε παντοίως ὁ ἀντίπατρος ὑπῆκτο αὐταῖς, καὶ δι᾽ αὐτοῦ, καὶ διὰ τῆς μητρός. ταὐτὸν γὰρ αἵδε αἱ τέσσαρες γυναῖκες ἔλεγον. φερώρᾳ δὲ πρὸς ἀντίπατρον ἐπ᾽ οὐδαμινοῖς τισὶν αἱ γνῶμαι διήλλασσον. ἀντίπρασσε δὲ ἦν αὐτοῖς ἡ βασιλέως ἀδελφὴ περισκοποῦσα τεκμηριοῦσα τὰ πάντα, καὶ τὴν εὔνοιαν αὐτῶν ἐπὶ κακοῖς τοῖς ἡρώδου πραξομένην, εἰδυῖα τέ καὶ μηνύειν οὐκ ἀποτετραμμένη. καὶ γνόντες ἐν ἀπεχθείᾳ βασιλεῖ τὴν εὔνοιαν αὐτῶν, ἐπὶ κακοῖς τοῖς ἡρώδου πραξομένην οὖσαν, ἐπινοοῦσιν ὥστε φανερὰν μὲν μὴ εἶναι τὴν πρὸς ἀλλήλους αὐτῶν σύνοδον, μῖσος δὲ καὶ λοιδορίαν εἰ καιρὸς προσποίησιν, καὶ μάλιστα ἡρώδου παρατυγχάνοντος ἢ εἴ τις πρὸς αὐτὸν ἀπαγγέλλειν ἔμελλεν. κρυπταῖς δὲ τὰ τῆς εὐνοίας ἐχυρώτερα καθίστασθαι. καὶ ἔπρασσον οὕτως. ἐλάνθανε δὲ τὴν σαλώμην, οὔτε πρῶτον ἡ διάνοια αὐτῶν ἐπὶ τοιοῖσδε ὡρμημένων, οὔτε ἐπειδὴ τοῖσδε χρῆσθαι οὐκ ἀπήλλακτο αὐτῇ. πάντα ἀνιχνεύε τε, καὶ πρὸς τὸν ἀδελφὸν μειζόνως ἐκδηλοῦσα, ἀπεσήμαινεν, συνόδους τε κρυπτὰς καὶ πότους, βουλευτήριά τε ἀφανῶς κατεσκευασμένα, ὧν μὴ ἐπ᾽ ὀλέθρῳ τῷ ἐκείνου συντιθεμένων κἂν πεφανερῶσθαι μὴ κεκωλῦσθαι. νῦν δὲ τοὺς μὲν ἐκ τοῦ προὔπτου διαφόρους καὶ τὰ πάντα ἐπὶ βλάβῃ τῇ ἀλλήλων λέγοντας, εἰς δὲ τὸ ἀφανὲς τοῖς πολλοῖς τὴν εὔνοιαν ἀνατιθεμένους, καὶ ὁπότε ἀλλήλοις συμμονωθεῖεν φιλίᾳ πράσσειν μὴ ἀπηλλαγμένους ὁμολογεῖν, πολεμεῖν πρὸς οὓς λανθάνειν χρώμενοι εὐνοίᾳ τῇ ἀλλήλων ἐσπουδάκοιεν. καὶ ἡ μὲν, ταῦτα ἀνιχνεύε τε καὶ ἀκριβῶς συντυγχάνουσα τῷ ἀδελφῷ ἀνέφερε, συνιέντι μὲν ἤδη τὰ πολλὰ καὶ δι᾽ ἑαυτοῦ, εἰς δὲ τὸ θαρσεῖν οὐ διακειμένου ὑπονοιῶν καθισταμένων διαβολαῖς τῆς ἀδελφῆς. καὶ ἦν γάρ μόριόν τι ἰουδαϊκῶν ἀνθρώπων ἐπ᾽ ἀκριβώσει μέγα φρονοῦν τῆς πατρίου νόμου, οἷς χαίρειν τὸ θεῖον προσποιουμένων ὑπῆκτο ἡ γυναικωνῖτις. φαρισαῖοι καλοῦνται, βασιλεῦσι δυνάμενοι μάλιστα ἀντιπράσσειν, προμηθεῖς, κἀκ τοῦ προὔπτου εἰς τὸ πολεμεῖν τε καὶ βλάπτειν ἐπηρμένοι. παντὸς γοῦν τοῦ ἰουδαϊκοῦ βεβαιώσαντος δι᾽ ὅρκων ἦ μὴν εὐνοῆσαι καίσαρι, καὶ τοῖς βασιλέως πράγμασι, οἵδε οἱ ἄνδρες οὐκ ὤμοσαν ὄντες ὑπὲρ ἑξακισχίλιοι. καὶ αὐτοὺς βασιλέως ζημιώσαντος χρήμασιν, ἡ φερώρου γυνὴ τὴν ζημίαν ὑπὲρ αὐτῶν εἰσφέρει.

CAP. III.

Antipatri contra Herodem inſidiæ.

CÆterùm in eo rerũ Herodis ſtatu quem diximus, omnia pendebant ab Antipatro, poſtquàm ſemel proſpiciendi ſuis commodis poteſtatem accepit à patre, bene ſperante de fide ipſius ac beneuolentia: qua tamen poteſtate ille audaciùs abutebatur, callidè tegens ſuam malitiam, & in omnibus facilè fidem à parente impetrans: eràtque omnibus formidabilis ob verſutiam magis etiam quàm ob potentiam. Sed præcipuè Pheroras illum colebat, & ab eo viciſſim colebatur, circumuentus à mulieribus Antipatro fauentibus. obnoxius enim erat Pheroras & vxori & ſocrui & ſorori, quamuis exoſas eas haberet propter iniurias illatas filiabus ſuis virginibus. attamen ferendæ erant, & abſque illis nihil facere poterat, res eius peruestigantibus, & mutuò ſe inuicem adiutantibus. quibus etiam Antipater erat deditiſſimus, tum per ſe, tum per matrem: nam hæ quatuor mulieres conſentiebant in omnibus. Sed Pheroræ cum Antipatro propter leues quaſdam res non ſatis conueniebat, diuellente eos regis ſorore: quę iamdudum explorabat omnia, ſciens eos in regis tantùm perniciem conſpirare, & parata ei eius indicium facere. qui vt cognouerunt mutuam ſuam amicitiam ſuſpectam hoc nomine regi & inuiſam, hoc contra excogitauerunt, vt non congrederentur in propatulo, fictiſque conuiciis ſimularent diſſidium: maximè præſente Herode, aut alio quopiam qui ei renunciaturus id videretur: clàm autem alerent & confirmarent mutuam beneuolẽtiam: atque ita etiam fecerunt. Hoc autem Salomen non latuit, nec cùm primò excogitatum eſt, nec poſtea cùm cœpit fieri. omnia enim peruestigabat, móxque ad fratrem affingens aliquid deferebat, videlicet occulta eorum conuenticula & clãcularias cõſultationes, mirum ni euaſura in ipſius perniciem, ſi maturè ſibi non proſpiceret. In aliorum enim conſpectu diſſidentes & iactantes inter ſe conuitia, celare amicitiam: deinde quando ſoli ſint conſentire, dubio procul conſpirantes in eos quibus occultam velint eſſe ſuam amicitiam. Hęc illa & peruestigabat diligenter, & ad fratrem mox deferebat, iam & per ſe nonnihil intelligentem, ſed cohibentem ſe adhuc, quòd ſuſpectum haberet etiam ſororis procliue ad calumnias ingenium. Erat enim quædam Iudæorum ſecta exactiorẽ patriæ legis cognitionem ſibi vindicãs, quibus tanquã Deo vt videri volebant caris, addictum erat hoc mulierum ſodalitium. Hi Phariſæi vocantur, genus hominum aſtutum, arrogans, & interdum regibus quoque infeſtum, vt eos etiam apertè impugnare non vereatur. nam cùm tota gens Iudæorum fidem ſuam iureiurando obligaſſet regi & Cæſari, hi ſoli nõ iurauerũt: excedẽtes ſex milliũ numerũ: quib. hoc nomine à rege mulctatis, Pherorę vxor pro eis mulctam

persoluit. cui reponentes gratiam, quoniam credebātur futura præscire ex Dei colloquiis, prædicebant, decretum esse Deo regnum ablatum ab Herode & eius progenie, transferre in ipsam & maritum Pheroram ac communes liberos. Sed hoc quoque regi per Salomen innotuit. & quòd aulicorum quosdam solicitarent muneribus atque corrumperent. qua in culpa Pharisæorum aliquot deprehensos interfecit, præcipuos autores huius consilij, cùmque his Bagoam eunuchum, & suas delicias Carum, præstantissimæ formæ gratia sibi commendatum: & præter hos quoscunque è domestica familia cum Pharisæis conspirasse ipsorū indicio compererat. Nam Bagoas in eam spem sublatus erat, quasi parēs & benefactor appellandus regis, quem destinarent vaticinia. prosperè enim cessura nouo regi omnia, constabiliendo successionem prolis legitimæ.

IIII. Herodes porrò conuictis Pharisæis ac supplicio traditis, amicorum concilium aduocat, & apud eos Pheroræ vxoris accusationem instituit. quòd ipsius impulsu frater conditionem regiarum virginum spreuerit: id crimen ad suam etiam iniuriam pertinere affirmans, quòd mulier ruptis legibus naturæ inter fratres serat dissidia, quibuscunque valeat tam verbis quàm operibus. mulctam quoque contumacibus à se impositam illius persolutam esse impendiis, & in summa consciam esse totius recentis conspirationis. Rectè igitur facturum Pheroram, si non expectatis fratris precibus sponte talem mulierem ableget, fratres inter se committentem mutuis odiis: quādoquidem ei aut huius vxoris iactura facienda sit, aut fraternæ coniunctionis ac beneuolentiæ, nec nisi illa reiecta mansurum sit integrū germanitatis vinculum. Pheroras autem quāuis vehementi regis oratione grauaretur, tamē aiebat se & fraternæ pietatis iura persanctè culturum, & à coniugali caritate haudquaquam discessurum: emoríque se malle, quàm sine dilecta vxore viuere. Tum Herodes licèt graui se iniuria existimaret affici, irasci tamen fratri distulit, contentus Antipatro & eius matri interdixisse Pheroræ consuetudine, & vetuisse mulierum regiarum conuenticula. illi facturos se iussa regis polliciti, per latentes quoties dabatur comessationes conueniebant, præcipuè Pheroras & Antipater, quin rumor erat Pheroræ vxorem cum Antipatro quoque stupri habere consuetudinem, conciliante matre ipsius Antipatri.

Cap. IIII.

Herodes Antipatrum mittit ad Cæsarem.

QVapropter suspectum habens patrem, & veritus ne vlterius serpendo eius odia ad se quoque peruenirent, scribit amicis Romæ degentibus rogans admoneant Herodem per literas, vt quàm primùm se ad Cæsarem mitteret. Quo facto Antipatrum Herodes misit cum preciosissimis muneribus & testamento, in quo ipsum Antipatrum regem declarabat, aut si ille prior vita decederet, Herodem natum sibi è filia summi pontificis. eodē tēpore etiā Syllæus Arabs Romā profectus est, non factis imperatis Cæsaris: quem Antipater eorundem criminū reū egit apud ipsum

A οἱ δὲ ἀμειβόμενοι τὴν εὔνοιαν αὐτῆς, πρόγνωσιν δὲ ἐπεπίστευντο ἐπιφοιτήσει τοῦ θεοῦ, προὔλεγον ὡς Ἡρώδῃ μὲν καταπαύσεως ἀρχῆς ὑπὸ θεοῦ ἐψηφισμένης αὐτῷ τε καὶ γένει τῷ ἀπ' αὐτοῦ, τῆς δὲ βασιλείας εἴς τε ἐκείνην περιηξούσης καὶ Φερώραν, παῖδάς τε οἳ εἶεν αὐτοῖς. καὶ τάδε, οὐ γὰρ ἐλάνθανε τὴν Σαλώμην, ἐξαγγελτὰ βασιλεῖ ἦν, καὶ ὅτι τῶν περὶ τὴν αὐλὴν διαφθείροιέ τινας. καὶ ὁ βασιλεὺς τῶν τε Φαρισαίων τοὺς αἰτιωτάτους ἀναιρεῖ, καὶ Βαγώαν τὸν εὐνοῦχον, Κάρον τε τῶν τότε προὔχοντα ἀρετῇ τῇ εὐπρεποῦς, καὶ παιδικὰ ὄντα αὐτοῦ. κτείνει δὲ καὶ πᾶν ὅτι τοῦ οἰκείου συνειστήκει, οἷς ὁ Φαρισαῖος ἔλεγχεν. ἦρτο δὲ ὁ Βαγώας ὑπ' αὐτῶν, ὡς πατήρ τε καὶ εὐεργέτης ὀνομασθησόμενος τοῦ ἐπικατασταθησομένου προρρήσει βασιλέως. κατὰ χεῖρα γὰρ ἐκείνῳ πάντα εἶναι, παρέξοντος αὐτῷ γάμου τε ἰσχὺν, καὶ παιδώσεως τέκνων γνησίων. Ἡρώδης δὲ κολάσας τῶν Φαρισαίων τοὺς ἐπὶ τοῖσδε ἐληλεγμένους, C συνέδριόν τε ποιεῖται τῶν φίλων, καὶ κατηγορίαν τῆς Φερώρου γυναικός, τήν τε ὕβριν τῶν παρθένων τῇ τόλμῃ τῆς γυναικὸς ἀνατιθεὶς, καὶ ἔγκλημα ταύτην ἀτιμίαν αὐτῷ ποιούμενος, ὥστε ἀγωνοθετεῖν στάσιν αὐτῷ πρὸς τὸν ἀδελφὸν πόλεμον ἐκ φύσεως αὐτοῖς καὶ λόγῳ καὶ δι' ἔργων ὅσα δύναιτο. τήν τε διάλυσιν τῆς ζημίας τῆς ὑπ' αὐτοῦ ἐπιβληθείσης τέλεσι διαφεύγειν τοῖς ἐκείνης, τῶν τε νῦν πεπραγμένων οὐδὲν ὅτι οὐ μετ' αὐτῆς. ἀνθ' ὧν Φερώρᾳ καλῶς ἔχειν, οὐ δεήσει οὐδὲ γνώμης εἰσηγήσεως τῆς ἐμῆς, αὐτοκέλευστον ἀποπέμπεσθαι γυναῖκα ταύτην, ὡς πολέμου τοῦ πρὸς με σοὶ αἰτίαν ἐσομένην. καὶ νῦν εἴπερ ἀντιποιῇ συγγενείας τῆς ἐμῆς, ἀπείπασθαι τὴν τῆς τὴν γαμετήν. μενεῖς γὰρ οὕτως ἐμὸς ἀδελφὸς τῆς καὶ στέργειν οὐκ ἀπηλλαγμένος. Φερώρας δὲ καίπερ λόγων ἀρετῇ περιωθούμενος, οὔτε συγγενείας τῆς πρὸς τὸν ἀδελφὸν ἔλεγε κινήσειν δίκαιον οὐδὲν, οὔτε τῶν πρὸς τὴν γαμετὴν εὔνοιαν. αἱρεῖσθαί τε πρότερον θανεῖσθαι ἢ ζῆν τολμᾶν ἀπεστερῆσθαι γυναικὸς αὐτῷ κεχαρισμένης. Ἡρώδης δὲ Φερώρᾳ μὲν ὑπερεβάλλετο τὴν ἐπὶ τούτοις ὀργὴν καίπερ ἀνήδονον τιμωρίαν εἰσπεπραγμένος. Ἀντιπάτρῳ τε ἀπεῖπε καὶ μητρὶ τῇ ἐκείνου Φερώρᾳ τε μὴ ὁμιλεῖν καὶ τῶν γυναικῶν φυλάσσεσθαι τὸ εἰς ταυτὸν συνεσόμενον. οἱ δ' ὡμολόγουν μὲν, συνῄεσαν δὲ ᾗ καιρὸς, καὶ συνεκώμαζον Φερώρας καὶ Ἀντίπατρος. ἐφοίτα δὲ F ὁ λόγος, ὁμιλεῖν καὶ Ἀντιπάτρῳ τὴν Φερώρου γυναῖκα συμπρασσούσης αὐτοῖς τὰ εἰς τὴν σύνοδον τῆς Ἀντιπάτρου μητρός.

Κεφάλαιον δ'.

Ὡς Ἡρώδης ἔπεμψε τὸν Ἀντίπατρον πρὸς Καίσαρα.

ΥΦορώμενος δὲ τὸν πατέρα, καὶ δεδιὼς μὴ εἰς πλεῖον προχωροῖεν τὰ τῆς μίσους ἐπ' αὐτῷ, γράφει πρὸς τοὺς ἐν τῇ Ῥώμῃ φίλους κελεύων ἐπιστέλλειν Ἡρώδῃ, πέμπειν ἐν τάχος Ἀντίπατρον ὡς Καίσαρα. οὗ G γινομένου ἔπεμπεν Ἡρώδης Ἀντίπατρον, δῶρα συνεκπέμψας ἀξιολογώτατα, καὶ διαθήκην ἐν ᾗ μετ' αὐτὸν Ἀντίπατρον ἀπεδείκνυε βασιλέα, φθάσαντος δὲ τελευτᾶν Ἡρώδην, τὸν ἐκ τῆς τοῦ ἀρχιερέως θυγατρὸς υἱὸν αὐτῷ γεγενημένον. συνεξορμᾷ δὲ Ἀντιπάτρῳ καὶ Σύλλαιος ὁ Ἄραψ, μηδὲν ὧν προσέταξε Καῖσαρ διαπεπραγμένος. καὶ Ἀντίπατρος αὐτοῦ κατηγορεῖ ἐπὶ

καὶ-

καίσαρος, περὶ ὧν πρότερον νικόλαος. κατηγορεῖτο δὲ καὶ ὑπὸ ἀρέτα σύλλαιος, ὡς πολλοὺς ἀπέκτεινεν ἐν πέτρᾳ ἀξιολόγων, παρὰ γνώμην τὴν αὐτοῦ, καὶ μάλιστα σόεμον ἄνδρα τῇ πάντα ἀρετῇ τιμᾶσθαι δικαιότατον, ἀνῃρηκέναι δὲ καὶ φάβατον καίσαρος δοῦλον. καὶ σύλλαιος αἰτίαν εἶχεν ἐκ τοιῶνδε ἐγκλημάτων. κόρινθος ἦν ἡρώδου σωματοφύλαξ τοῦ βασιλέως μάλιστα πιστευόμενος ὑπ' αὐτοῦ. τοῦτον πείθει σύλλαιος ἐπὶ χρήμασι μεγάλοις ἡρώδην ἀποκτεῖναι, καὶ ὑπέσχετο. μαθὼν οὖν φάβατος συλλαίου πρὸς αὐτὸν εἰρηκότος διηγεῖται πρὸς τὸν βασιλέα. ὁ δὲ κόρινθον βασανίζει συλλαβών, καὶ πάντα ἀνάπιστα ἦν αὐτοῦ. συλλαμβάνει δὲ καὶ δύο ἄραβας καταγορεύει τῷ κορίνθου πυθόμενος, τὸν μὲν φύλαρχον ὄντα, τὸν δὲ συλλαίου φίλον. οἳ καὶ αὐτοί, βασανίζει γὰρ αὐτοὺς ὁ βασιλεύς, ὡμολόγουν ὅτι παρεῖεν ἐξοξύνοντες μὴ μαλακίζεσθαι κόρινθον, καὶ εἴπου δεήσειε, καὶ συγχειρουργήσοντες αὐτῷ τὸν φόνον. καὶ σατορνῖνος δηλώσεως αὐτῷ πάντων ὑπὸ ἡρώδου γενομένης, εἰς ῥώμην ἐξέπεμπεν αὐτούς.

Κεφάλαιον ε'.

Τελευτὴ τοῦ φερώρα.

Φερώραν δὲ ἰσχυρῶς ἐμμένοντα εὐνοίᾳ τῆς γυναικὸς ἀναχωρεῖν εἰς τὴν αὐτοῦ ἡρώδης κελεύει. ὁ δὲ ἀσμένως ἐπὶ τὴν τετραρχίαν ἀπῄει, πολλὰ ὀμόσας οὐ πρότερον ἥξειν ἢ πύθοιτο ἡρώδην τετελευτηκότα, ὥστε καὶ νοσήσαντος τοῦ βασιλέως ἀξιωθεὶς ἥκειν ἐπί τινων πιστεύσεσιν ἐντολῶν ὧν ἤμελλε τελευτᾶν, οὐχ ὑπήκουσεν ἐπὶ τῇ τιμῇ τοῦ ὅρκου. οὐ μὴν ἡρώδης γε μιμεῖται τὸν ἐπὶ τοιοῖσδε ἐκείνου γνώμην περιαφῃρημένος ἣν εἶχεν, ἀλλ' ἧκεν ὡς τὸν φερώραν ἐπειδὴ ὕστερον ἄρχεται νοσεῖν, καὶ μετακλήσεως αὐτῷ μὴ γενομένης. θανόντα δὲ περιστείλας ἐπὶ ἱεροσολύμων ἀγόμενος ταφῆς ἠξίου, καὶ πένθος μέγα ἐπ' αὐτῷ προέθετο. τοῦτο ἀντιπάτρῳ καίτοιγε ἐπὶ ῥώμης πεπλευκότι κακῶν ἐγένετο ἀρχὴ τῆς ἀδελφοκτονίας αὐτὸν τινυμένου τοῦ θεοῦ. διηγήσομαι δὲ τὸν πάντα περὶ αὐτοῦ λόγον, παράδειγμα τῷ ἀνθρωπίνῳ γένει ἐσόμενον, τοῦ ἀρετῇ πολιτεύεσθαι ἐπὶ πᾶσιν.

Κεφάλαιον ϛ'.

Κατηγορία τῆς γυναικὸς φερώρα ὑπὸ τῶν ἀπελευθέρων φερώρα, ὡς ἀναιρεθέντος φαρμάκῳ, καὶ ὡς ἡρώδης ἔγνω τὰς ἀντιπάτρου ἐπιβουλάς.

Ἐπειδὴ φερώρας τελευτᾷ, ταφνεῖται ἐγεγόνεισαν αὐτῷ ἀπελεύθεροι δύο τῶν φερώρα τιμίων. οὗτοι προσελθόντες, ἡρώδην ἠξίουν μὴ ἀνεκδίκητον καταλιπεῖν τὸν ἀδελφοῦ τὸν νεκρὸν, ἀλλὰ ζήτησιν ποιεῖσθαι τῆς ἀλόγου τε καὶ δυστυχοῦς μεταστάσεως. τοῦ δ' ἐπιστραφέντος τοῖς λόγοις, πιστὰ γὰρ ἐδόκει, δειπνῆσαι μὲν αὐτὸν ἔλεγον παρὰ τῇ γυναικὶ τῇ προτέρᾳ τῆς νόσου, φάρμακόν τι προσκομισθὲν ἐν βρώματι μὴ πρότερον εἰωθότι ἐμφαγόντα ὑπὸ τούτου τελευτῆσαι. κομισθὲν μέντοι γενέσθαι τὸ φάρμακον ὑπὸ γυναικὸς ἐκ τῆς ἀραβίας, λόγῳ μὲν ἐπὶ θεραποιήσεσιν ἐρώτων, φίλτρον γὰρ δὴ ὄνομα αὐτῷ εἶναι, τὸ δ' ἀληθὲς ἐπὶ τῇ φερώρου τελευτῇ. φαρμακίσόταται δὲ εἰσὶ γυναικῶν αἱ ἐκ τῆς ἀραβίας. ἡ δὲ ταῦτα ἐπεκάλουν, καὶ τοῦ συλλαίου ἐρωμένης ἐν ταῖς μάλιστα ὡμολόγητο εἶναι φίλη. πεισοῦσαί τε αὐτὴν ἐπὶ πράσει τοῦ φαρμάκου, εἰς τοὺς τόπους ἐληλύθεσαν, ἥτε μήτηρ τῆς φερώρου γυναικὸς

Cæsarem, quorum Nicolaus antea. accedebat & alter accusator Aretas, multorum honoratorum cædes apud Petram se inuito patratas obiiciens, maximè Sohemi hominis in omni virtute præstantissimi. quin & Cæsaris seruum Fabatum ab illo interfectum fuisse ob talem quandam causam. Erat in satellitio Herodis Corinthus, cui fidei rex plurimum tribuere solitus est. Hunc Syllæus pecuniis corruptum eò perduxit, vt ei regis sui cædem sit pollicitus. hoc vbi Fabatus ex ipso Syllæo cognouit, regi mox indicauit. qui è Corintho confessionem extorsit cogitati facinoris, diligenter ex eo perscrutatus omnia: simúlque duos Arabas ab eodem satellite insimulatos comprehendit, alterum virum principem, alterum Syllæi amicum primarium. qui & ipsi tormentis admoti confessi sunt ideò se venisse vt Corinthũ vrgerent crebris adhortationibus ad perpetrandum facinus, atque adiuuarent etiam in opere, si ita facto opus sit. quos omnes Saturninus apud se delatos Romam iudicandos amplius & puniendos transmisit.

Cap. V.

Pheroræ obitus.

Pheroram autem obstinatè permanentem in amore cõiugis Herodes in ipsius tetrarchiam ablegat: quod ille fecit libenter, addito iurereiurando nunquam se rediturum, nisi Herodis morte cognita: adeò vt paulo pòst decumbente rege vocatus ad accipienda quędam secretiora mandata tanquam à morituro, propter sacramenti religionem recusaret. Nec tamen ille in hoc fratrem est imitatus, aut de pristino affectu quicquam remisit: sed cùm Pheroras in morbum incidisset, vel inuocatus ad visendum eum venit: quo morbo postquam absũptus est, corpus eius translatum Hierosolyma sepeliit, & publico luctu honorauit. Ea res Antipatro quamuis Romam profecto malorum fuit initium, Deo tandem reposcente ab eo pœnas fratricidij. Id totum ordine sum narraturus ad exemplum humano generi, quod moneat habendam esse virtutis rationem in omnibus.

Cap. VI.

Pheroræ vxor accusatur veneficij, & Herodes cognoscit Antipatri insidias.

Pherora mortuo Taphanitæ duo è libertis eius carissimi Herodem adeunt, rogantes ne inultam pateretur fratris mortem: vtque inquireret in miserum eius & iniustum interitum. Quo attentiùs aurem simul ac fidẽ præbente illorum sermonibus, aiunt eum apud vxorem cœnasse ea die quæ morbi fuit initiũ, venenúmque oblatum ei mixtum nouo cuidam cibi generi, quod gustatum perniciem attulerit homini. id venenum allatum ab Arabissa quadam muliercula, nomine quidem amatorium, re autem vera Pheroræ letiferum. sunt enim Arabũ mulieres veneficæ maximè. hæc autẽ quę tũ insimulabatur, dicebatur amicæ Syllæi familiarissima. ad eã cõparandi veneni causa profectæ fuerãt vxoris Pheroræ mater

& soror, & cum illa reuersæ sunt pridie quàm ille cœnam letiferam sumeret. His auditis rex ad iram concitatus torsit ancillas earum & quasdam etiam ingenuas: & cùm nulla quicquam fateretur aut detegeret, postremò quædam dolore victa nihil aliud protulit, quàm quòd imprecata est Antipatri matri cruciatus similes, quandoquidem ipsa causa esset præsentium tormentorum omnibus. Hæc vox ad diligentiorem inquisitionem Herodem permouit, ita vt extorqueret earum secreta omnia, comessationésque illas & occulta conuentiuncula, tum sermones patris cum Antipatro priuatim habitos, prolatos inter Pheroræ mulierculas: ne id quidem reticente, centum talenta se accepisse ab eo, vt abstineret Pheroræ colloquiis. Addebant ancillæ quanto patrem prosequeretur odio, vtque sæpenumero apud matrem de eius longæuitate quereretur, dum interim etiam ipse consenesceret, vt non multum se iuuare posset tam sera successio. adhæc simul nutriri multos fratres ac fratrum filios, vt ne sperare quidem tutò liceat: quandoquidem iam nunc si fatale quid sibi accideret, fratri destinata sit successio non filio. addere his solitum accusationem sæuitiæ, non temperantis nec à filiis: cuius metu Romam sibi discedendum esset, Pheroræ verò in suam tetrarchiam. Hæc quia probè congruebant cum illis quæ ex sorore antea rex audierat, exempta est omnis dubitatio: deprehensámque in tam malitiosis conatibus Doridem matrẽ Antipatri, spoliatam multorum talentorum ornamentis eiecit è regia: & mulieribus ex domo Pheroræ propter hoc indicium factus est placatior. Sed nihil magis eius contra filium indignationem commouit quàm Samarita Antipater, Antipatri filij procurator, qui in tormentis inter cætera de eo confessus est, quòd letale venenum Pheroræ tradidisset, quo se absente ac per hoc minimè suspecto patrem tolleret. id venenum allatum ex Ægypto per Antiphilum vnum ex amicis Antipatri, missũ inde à Theudione auunculo ipsius Antipatri, fratre Doridis: haberíque apud Pheroræ vxorem, à marito ad asseruandum acceptum. De quo rogata per regem mulier, habere se fassa est: & mox quasi ad afferendum id properans, de tecto seipsam deiecit, nec tamen letalis fuit casus, quia fortè in pedes cecidit. ex quo postquam se recollegit, rege pollicito incolumitatem & ipsi & familiæ, si totam rei veritatem promeret, contrà extremos cruciatus minato si quid per obstinationem celare pergeret, iurauit se omnia dicturam ita vt acta sint: &, vt multorum tũ fuit opinio, nihil omnino mentita est. Venenum id, inquit, ex Ægypto attulerat Antiphilus, paratum ibi opera fratris sui, professione medici. Theudio deinde in domum nostram intulit, & ego seruaui acceptum à meo Pherora, sed ab Antipatro tuo in tuam perniciem comparatum. Postquã igitur maritus in morbum incidit, & tu officiose ad visendum

καὶ ἡ ἀδελφὴ, καὶ ἐπανῆκον αὐτὴν ἀγόμεναι τοῦ δείπνου πρότερον ἡμέρᾳ μιᾷ. ὑπὸ τούτων ὁ βασιλεὺς τῶν λόγων παροξυνθεὶς δούλας τε ἐβασάνιζε τῶν γυναικῶν καί τινας ἐλευθέρας, καὶ ὄντος ἀφανοῦς τοῦ πράγματος, διὰ τὸ μηδεμίαν ἐξειπεῖν, τελευταία τις πιεζουσῶν αὐτὴν τῶν ἀλγηδόνων, ἄλλο μὲν ἔφη οὐδὲν, θεὸν δὲ ἐπικαλεῖσθαι τοιαῖσδε αἰκίαις δοῦσαν περιβαλεῖν τὴν Ἀντιπάτρου μητέρα, κακῶν τῶν ἐπεχόντων αἰτίαν πᾶσι γενομένην. ταῦτα εἰς ἐπίτασιν Ἡρώδην ἦγε, καὶ τὰ πάντα βασάνοις τῶν γυναικῶν ἀνάπυστα ἦν, οἵ τε κῶμοι, καὶ αἱ κρυπταὶ σύνοδοι, καὶ δὴ καὶ λόγων πρὸς μόνον τὸν υἱὸν εἰρημένων ἐξοίσεις πρὸς τὰς Φερώρου γυναῖκας. ἦν δὲ ταλάντων ἑκατὸν δωρεὰ ἐπικρύπτεσθαι φράζειν πρὸς Φερώραν τῷ Ἀντιπάτρῳ κελεύσεις ὑπὸ τοῦ πατρός. μῖσός τε πρὸς τὸν πατέρα, καὶ ὀλοφυρμοὶ πρὸς τὴν μητέρα, ὡς ἐπὶ μήκιστον τοῦ πατρὸς βίου ἐξηγμένου, καὶ αὐτοῦ μηδὲν ἐλάσσονος τοῦ γήρως ἐπικειμένου, ὡς μηδ᾽ ἐλθοῦσαν τὴν βασιλείαν ὁμοίως εὐφρᾶναί ποτ᾽ αὐτόν. παρατρέφεσθαί τε πολλοὺς ἐπὶ τῇ βασιλείᾳ καὶ ἀδελφοὺς, καὶ ἀδελφῶν παῖδας, οὐδαμῶς ἀδεῆ τὴν ἐλπίδα παρεχομένου τὸ ἀσφαλοῦς. καὶ γὰρ δὴ καὶ νῦν ἐπὶ πάσχειν αὐτὸν, ἀδελφῷ μᾶλλον ἢ παιδὶ τῷ αὐτοῦ κελεύειν τὴν ἀρχὴν δίδοσθαι. ὠμότητά τε πολλὴν κατηγόρει τοῦ βασιλέως, καὶ τὰς σφαγὰς τῶν υἱέων, φόβῳ τε μὴ καὶ αὐτῶν ἅπτοιτο ἤδη, τὸν μὲν ἐπὶ Ῥώμης ἀρᾶσθαι τέχνην ἐπινοῆσαι, Φερώραν δ᾽ ἐπὶ τῆς αὐτοῦ τετραρχίας. ταῦτα, συνῄδε γὰρ τοῖς λόγοις τῆς ἀδελφῆς καὶ πολὺ, τοῦ μὴ ἀπιστίαν ἔτι ὑποπτεύεσθαι, συνῆγεν αὐτοῖς ὁ βασιλεὺς, κρατυνάμενος ἐπὶ κακίᾳ τῆς Ἀντιπάτρου τὴν Δωρίδα τὴν μητέρα αὐτοῦ, πάντα τὸν περὶ αὐτὴν κόσμον ταλάντων πολλῶν ὄντα ἀφελόμενος, ἔπειτα αὐτὴν ἀποπέμπεται, καὶ ταῖς Φερώρου γυναιξὶν φιλίαν ἐπείσατο. μάλιστα δὲ ἐξώξυνεν εἰς ὀργὴν κατὰ τοῦ παιδὸς τὸν βασιλέα, Σαμαρείτης ἀνὴρ Ἀντίπατρος, ἐπιτροπεύων τὸν υἱὸν τοῦ βασιλέως Ἀντίπατρον, ἄλλα τε αὐτοῦ ἐν ταῖς βασάνοις κατειπὼν, καὶ ὅτι παρασκευασάμενος φάρμακον θανάσιμον, δοίη Φερώρᾳ κελεύσας παρὰ τὴν ἀποδημίαν αὐτοῦ, ἵν᾽ ὡς πλεῖστον ἀφεστήκει τῶν ἐν τούτοις ὑποτοπασμῶν τῷ πατρὶ δοῦναι. καὶ κομίσαι μὲν Ἀντίφιλον ἐξ Αἰγύπτου τὸ φάρμακον, ἕνα τῶν Ἀντιπάτρου φίλων. σταλῆναι δὲ ὡς Φερώραν διὰ Θευδίωνος, μητρὸς Ἀντιπάτρου ἀδελφοῦ τοῦ βασιλέως παιδὸς, καὶ οὕτως ἐλθεῖν τὸ φάρμακον εἰς τὴν γυναῖκα τὴν Φερώρου, δόντος φυλάσσειν τοῦ ἀνδρὸς αὐτῆς. ἡ δὲ ὁμολογεῖν μὲν ἀνακρίναντος τοῦ βασιλέως, καὶ δραμοῦσα ὡς κομίσαι, ῥίπτει κατὰ τέγους αὑτὴν, οὐ μὴν τελευτᾷ ἐπὶ πόδας τῆς πτώσεως γενομένης. καὶ οὕτως ἐπεὶ ἀνεκτήσατο αὑτὴν, ἄδειάν τε αὐτῇ ὑπισχνουμένου καὶ τοῖς οἰκείοις μηδὲν ἐπὶ ἀφανισμῷ τἀληθοῦς τρεπομένῃ, τρίψειν γε μὴν κακοῖς τοῖς ὑστάτοις ἀγνωμονεῖν προθυμουμένην ὑπισχνεῖται, καὶ ὤμοσεν, ἦ μὴν ἐρήσειν τὰ πάντα ὃν ἐπράχθη τρόπον, λέγουσα μὲν ὡς ἔφασαν οἱ πολλοὶ τῶν ἀνθρώπων ἀληθῆ τὰ πάντα. ἐκομίσθη γὰρ ἐκ τῆς Αἰγύπτου τὸ φάρμακον ὑπ᾽ Ἀντιφίλου, ἀδελφὸς τῆς ἐκείνου ἰατρὸς ὢν ἐποίησεν. καὶ Θευδίωνος ὡς ἡμᾶς κομίσαντος, ἐφύλασσεν αὐτὴ, παρὰ Φερώρου λαβοῦσα ἐπὶ σοὶ ὑπ᾽ Ἀντιπάτρου ἡτοιμασμένον. ἐπεὶ οὖν ἐνόσει Φερώρας, καὶ ἐθεράπευες

αὐτὸν

αὐτὸν ἀφικόμενος, ὀρθὴν σου τὴν διάνοιαν, ἣν περὶ αὐτὸν ἔσχες, ἐπικλασθέντι τε τῇ διανοίᾳ, καὶ μετακαλέσας με, ὦ γύναι, φησὶν, περιώδευσέ με ἀντίπατρος ἐπὶ πατρὶ μὲν τῷ ἑαυτοῦ, ἀδελφῷ δὲ τῷ ἐμῷ, θανάσιμόν τε γνώμην συνθεὶς καὶ φάρμακον ὃ διακονήσοι ζῷ αὐτῇ πεπορισμένος. νῦν οὖν ἐπειδὴ ὅτι ἀδελφὸς οὐδὲν ἀρετῆς ἢ πρότερον ἐχρῆτο περὶ ἐμοῦ ὑφαιρῶν ὤπται, ἐμέ τε ἐλπὶς οὐκ εἰς μακρὰν ἀπέσεσθαι τοῦ βίου, φέρε μὴ γνώμῃ ἀδελφοκτόνῳ ἀποπτύσω προπάτορας τοὺς ἐμαυτοῦ, τὸ φάρμακον, καί γε τε ἐμοῦ βλέποντος, κομίσασάν τε οὐδὲν εἰς ἀναβολὰς προσάσειν τοῦ ἀνδρὸς τὰς ἐντολὰς. καὶ τὸ μὲν πλεῖστον καύσασαν τοῦ φαρμάκου τυχεῖν, ὑπολείπεσθαι ὀλίγον, ἵνα εἰ φερομένου μεταστάντος περὶ ἐπὶ κακῶς αὐτὴν ὁ βασιλεὺς, μαθήσαιμι διάδρασιν ποιουμένη τῶν ἀναγκῶν. ταῦτα εἰποῦσα, τό τε φάρμακον καὶ τὴν πυξίδα εἰς τὸ μέσον παρῆγεν. καὶ ἀδελφὸς δὲ ἀντιφίλου ἕτερος καὶ μήτηρ αὐτοῦ, ἀνάγκαις τε καὶ βασάνων σφοδρότητι, ταὐτὰ ἔλεγον, καὶ ἐγνώριζον τὴν πυξίδα. κατηγορεῖτο δὲ καὶ τοῦ ἀρχιερέως ἡ θυγάτηρ, γυνὴ δὲ τοῦ βασιλέως, ὡς πάντων τούτων ἴστωρ γενομένη, κρύπτειν προθυμηθεῖσα αὐτά. καὶ διὰ τάδε Ἡρώδης ἐκείνην τε ἐξέβαλεν, καὶ τὸν υἱὸν αὐτῆς ἐξήλειψε τῶν διαθηκῶν εἰς ὃ βασιλεύσοι μετ' αὐτὸν καὶ τὸν πενθερὸν τὴν ἀρχιερωσύνην ἀφείλατο Σίμωνα τὸν τοῦ Βοηθοῦ. καθιστᾷ δὲ Ματθίαν τὸν Θεοφίλου Ἱεροσολυμίτην γένει. ἐν τούτῳ δὲ καὶ Βαθυλλος ἐκ Ῥώμης ἀπελεύθερος ἀντιπάτρου παρῆν, καὶ βασανισθεὶς, εὑρίσκεται φάρμακον κομίζων, δώσειν τε τῇ αὐτοῦ μητρὶ καὶ Φερώρᾳ, ὡς εἰ τὸ πρότερον μὴ ἅψοιτο τοῦ βασιλέως, τούτῳ γοῦν μεταχειρίζοιντο αὐτόν. ἀφίκετο δὲ γράμματα παρὰ τῶν ἐν Ῥώμῃ φίλων τῷ Ἡρώδῃ, καὶ ὑπαγορεύσει ἀντιπάτρου, ἐπὶ κατηγορίᾳ Ἀρχελάου καὶ Φιλίππου συγκείμενα, ὡς δῆθεν διαβάλλοιέν τε τὸν πατέρα ἐπὶ σφαγῇ τῶν περὶ Ἀριστόβουλον καὶ Ἀλέξανδρον, δι' οἴκτου δὲ καὶ αὐτοὺς λαμβάνοιεν. ἤδη γὰρ καὶ ἐκαλοῦντο ὑπὸ τοῦ πατρὸς, οὐχ ὡς ἐφ' ἑτέροις, ἀλλ' ἐπὶ τῷ κἀκείνους προσαπολωλέναι τῆς κλήσεως αὐτῶν γινομένης. ταῦτα δὲ μεγάλων μισθῶν οἱ φίλοι τῷ Ἀντιπάτρῳ συνέπρασσον. γράφει δὲ καὶ αὐτὸς Ἀντίπατρος τῷ πατρὶ περὶ αὐτῶν ἐπιμεγίσταις τῶν αἰτιῶν, καὶ παντελῶς ἀπαλλάσσει φάσκων αὐτὰ μειράκια, τῶν δὲ λόγων τῇ ἡλικίᾳ τὴν ἀνάθεσιν ποιούμενος. αὐτὸς δὲ δι' ὧν τὰ περὶ Συλλαῖον ἠγωνίζετο, καὶ περὶ θεραπείαν τῶν πρώτων ἀνδρῶν ἐγεγόνει, κόσμοις τε ἀριπρεπέσι ταλάντων ἑκάτὸν διακοσίων. θαυμάσειε δ' ἄν τις ὅτι πσῶνδε ἐν Ἰουδαίᾳ κατ' αὐτοῦ κεκινημένων μησὶ πρότερον ἑπτὰ, οὐδὲν αὐτῷ δῆλον ἐγένετο. αἴτιον δ' ἦν ἥ τε ἀκρίβεια καὶ φυλακὴ τῶν ὁδῶν, καὶ μῖσος τῶν ἀνθρώπων τὸ πρὸς Ἀντίπατρον. οὐδεὶς γὰρ ἦν ὃς προθύμως κινδύνῳ τῷ αὐτοῦ, πορίσης τῶν ἐκείνου ἀσφαλειῶν καθίστατο.

Κεφάλαιον ζ.

Ὡς Ἀντίπατρος καταγνωσθεὶς θάνατον ἐδέθη.

Ἡρώδης δὲ Ἀντιπάτρου γεγραφότος πρὸς αὐτὸν ὡς τὰ πάντα ὃν χρὴ διαπεπραγμένος τρόπον ἥξοι ἐν τάχει, ἐπικρυψάμενος τὴν ὀργὴν ἀντεπεστέλλει κελεύων μὴ βραδύνειν εἰς τὴν ὁδὸν, μηκέτι πάσχοι παρὰ τὴν ἐκδημίαν αὐτοῦ. καὶ ἅμα

A cum & curandum venisti, motus ille, & ad pietatem flexus tua beneuolentia, me accita, ô vxor, inquit, circumuenit me Antipater, dum pestiferis consiliis & veneficis ministeriis suũ patrem meum fratrem appetit. Nunc igitur quandoquidem in germano nihil pietati, qua hactenus erga me vsus est video decedere, & mihi instare vitæ terminum, age ne fratricidali animo manes maiorum contaminem, me inspectante venenum illud exure. tum se sine B mora prolatum iuxta viri mandatum concremasse, paulo seruato vt si post mariti mortem rex eam tractare vellet duriùs, possit ei necessitati occurrere. Hæc elocuta venenum quoque vnà cum pyxide in medium protulit. Post hæc alter Antiphili frater & communis eorum mater per tormenta idem fateri coacti sunt, pyxidem etiam agnoscendo. Accusabatur autem etiam pontificis filia regis vxor, C quasi secretorum horum omnium particeps, sed conscientiam dissimulans. quapropter & ipsam rex abiecit, & filium eius è testamento deleuit, vbi successor destinatus fuerat. Socero quoque Simoni Boethi filio sacerdotio priuato surrogauit Matthiam Theophili filium Hierosolimitani genere. Interim Romã venit Bathyllus libertus Antipatri, & subiectus quæstionibus fassus est attulisse se venenum quod daret patroni sui matri & Pheroræ, vt si prius illud parum fuisset efficax, hoc po- D steriore Herodem aggrederentur. Simúlque venerunt ad regem ab amicis Romæ degentibus literæ, instinctu Antipatri scriptæ, in quibus Archelaus & Philippus accusabãtur, quòd crebrò crimen patris refricarent de cæde Alexandri ac Aristobuli, miserarenturque fatum germanorum innocentium, iam enim & ipsi reuocabantur in patriam, non ob aliud quàm vt euocati fratrum interitus accessio fierent. hæc autem amici in Antipatri gratiam facie- E bant, magnis ab eo corrupti mercedibus: qui etiam per se patri scripsit de adolescentibus, quasi eos excusãs, & verba eorum ætati imputans. Ipse interim decertabat contra Syllæum, & primatum colebat amicitias, comparatis variis ornamentis ducentorum talentorum precio. Mirum autem est, quòd cùm per septem menses ante eius reditum tam multa cõtra eum in Iudæam mota sint, nihil eorum ad eius notitiam perlatum sit. In causa erat F partim diligens itinerum obseruatio, & viarum custodia: partim populare hominum in Antipatrum odium. nemo enim erat qui suo periculo illius incolumitatem vellet quærere.

CAP. VII.

Antipater capitis damnatus in vincula coniicitur.

G

Cæterùm Herodes ad Antipatri literas, VI. quibus significarat rebus ex sentẽtia peractis breui se rediturum in patriã, dissimulata ira insidiosè rescripsit, properaret ne quid sibi per eius absẽtiã quod nollet accideret. Simúlq;

modicè de matre eius queſtus eſt, pollicendo remiſſurum ſe querelas poſt aduentum illius: modíſque omnibus magnam caritatem præ ſe ferebat, veritus ne ille ſuſpicione aliqua tactus differret ad ſe reditum, & moras Romæ trahens regno inſidias strueret, & in ſe moliretur aliquid. Has literas in itinere accepit in Cilicia: eas verò quæ Pheroræ mortem nunciabant priùs iam Tarenti acceperat triſti animo, non tam quòd Pheroram amaret, quàm quòd ille morte præuentus pollicita de patre veneno tollendo non præſtiterat. Iam ad Celenderim oppidum Ciliciæ peruenerat, cùm dubitare cœpit de reditu, vehementer contriſtatus matris ignominia: & amicorum quoque variabant ſententiæ, aliis euentum alicubi expectare, aliis ſine mora domum nauigare conſulentibus. facilè enim diſſoluturum criminationes omnium, quandoquidem nunc quoque non aliunde, quàm ex illius abſentia aduerſariis audacia viréſq; ad calumniandum creuiſſent. Ab his perſuaſus nauigare pergit, appellítque ad portum Sebaſtum, quem Herodes magno ſumptu constructum ſic appellauit in honorem Cæſaris. Iámque manifeſtum erat incidiſſe Antipatrum in infortunium, nemine ſalutante aut accedente hominem, quem priùs votis & fauſtis acclamationibus diſcedentem proſecuti fuerant: tunc verò cõtrariis votis licebat eũ deuouere diris fraterni ſanguinis vltricibus. Fortè per idem tempus Hieroſolymis erat Quintilius Varus, ſucceſſor Saturnino miſſus in Syriam, tunc verò ab Herode in conſilium de rebus agendis adhibitus. Quibus vnà ſedentibus ſuperuenit Antipater omnium inſcius, & ita vt erat purpuratus in regiã ingreſſus eſt. quo mox admiſſo, amicorum comitatus per ianitores excluſus eſt. Id primùm mentem eius perculit, iam ſentientem quò deueniſſet: quando etiam pater accedentem à complexu repulit, perpetratum fratricidium & cogitatum patricidium opprobrans, & Varum cognitorem ac iudicem in craſtinum denuncians. Ille tam inopinato malo velut ictus abiit attonitus: móxque obuias inuenit matrem & vxorem: hæc erat Antigoni filia: qui ante Herodem Iudæorum rex fuerat. ab eis edoctus de omnibus, parabat ſe vt in iudicio ſubſiſteret. Sequenti deinde luce præſidente Varo ac rege, adhibitíſque in cõſeſſum vtriuſque amicis, acciti ſunt etiam cognati regis & Salome, tum illi qui ſecreta conſilia prolaturi erant, quíque tormentis examinati fuerant: nouiſſiméq; ſerui matris Antipatri capti paulò antequam ipſe rediret in patriam. apud hos deprehenſæ fuerant literæ, quarum hæc erat ſumma. ne reuerteretur, quando in patris notitiam peruenerint conſilia omnia, vnicúmque ei refugium ſupereſſe Cæſarem, & ſi caueat ne in patris manus deueniat. Tum Antipater procumbens patri ad genua ſupplex orabat ne de cauſa ſua priùs decerneret quàm cognoſceret, ſed defenſioni rem integram ſeruaret: rex verò poſtquam iuſſit eum in medium ſiſti, deplorauit infelicitatẽ ſuam in procreandis

τῆς μητρὸς κατηγορῶν ὡς ὀλίγον, καθίστασθαι μέμψεις ἐπαγγελλόμενος τὰς πρὸς αὐτὴν ὁπότε ἐκεῖνος ἀφίκοιτο, παντί τε τρόπῳ φιλότητα τὴν πρὸς αὐτὸν ἐνεδείκνυτο, δεδιὼς μή καί τι ὑποτοπήσας, ὑπερβάλλοιτο μὲν ὁδοὺς τὰς πρὸς αὐτὸν, τῇ δὲ Ῥώμῃ ἐνδιατριβόμενος κτήσεις ἐφεδρεύοι τῇ βασιλείᾳ, καὶ δὴ διαπράσσοιτό τι αὐτῷ. Τούτοις ἐν Κιλικίᾳ τοῖς γράμμασιν ἐπιτυγχάνει. Τοῖς δὲ τὴν Φερώρου τελευτὴν διασαφοῦσιν, ἐν Τάραντι πρότερον· δεινῶς τε ἤνεγκεν οὐκ εὐνοίᾳ τῇ Φερώρου, διότι δὲ τοῦ πατρὸς τὴν ἀναίρεσιν οὐ διαπραξάμενος ὥσπερ ὑπέσχετο, ἀπέθανεν. περὶ δὲ Κελένδερειν τῆς Κιλικίας γενόμενος ἐνεδοίαζεν ἤδη περὶ τοῦ οἴκαδε πλοῦ, δεινῶς τῇ ἐκβολῇ τῆς μητρὸς λελυπημένος. καὶ τῶν φίλων οἱ μὲν, ἐκέλευον αὐτὸν ταῦτά πῃ καραδοκοῦντα ἐπέχειν. οἱ δὲ, μὴ διαμέλλειν τὸν οἴκαδε πλοῦν. λύσειν γὰρ παραγενόμενον αἰτίαν πᾶσαν, ὡς καὶ νῦν οὐχ ἑτέρωθεν, ἀλλὰ διὰ τὴν ἐκείνου ἀπουσίαν, ἰσχὺν τοῖς κατηγόροις ὑπάρξεσθαι. Τούτοις πεισθεὶς ἔπλει τε καὶ προσέσχε τῷ Σεβαστῷ λιμένι λεγομένῳ, ὃν κατασκευάσας Ἡρώδης πολλῶν χρημάτων ἐπὶ τιμῇ τῇ Καίσαρος, καλεῖ Σεβαστόν. ἐν προύπτοις δ' ἦν Ἀντίπατρος ἤδη τοῖς κακοῖς μήτε προσιόντος αὐτῷ μηδενὸς, μήτε προσαγορευόντων, ὥσπερ ὅτε ἐξῄει μετ' εὐχῶν καὶ ἀγαθῶν ἐπιφημισμάτων. ταῖς δ' ἐναντιωτάταις ἀραῖς οὐκ ἐκωλύοντο αὐτὸν δέχεσθαι ποινὴν τοῖς ἀδελφοῖς ἀποτίνειν ὑπειληφότες. ἐτύγχανεν δὲ ἐν Ἱεροσολύμοις κατὰ τοῦτον τὸν καιρὸν Οὔαρος Κυϊντίλιος, διάδοχος μὲν Σατορνίνῳ τῆς ἐν Συρίᾳ ἀρχῆς ἀπεσταλμένος, ἥκων δὲ αὐτός τε σύμβουλος Ἡρώδῃ, περὶ τῶν ἐνεστηκότων αὐτῷ δεηθέντι. καὶ αὐτῶν συνεδρευόντων, παρῆν ὁ Ἀντίπατρος οὐδενὸς αὐτῷ ἐκπύστου γεγονότος. εἴσεισι δὲ εἰς τὸ βασίλειον ἔτι πορφυρίδας ἀμπεχόμενος. καὶ αὐτὸν μὲν δέχονται οἱ ἐπὶ θύραις, ἀνείργουσι δὲ τοὺς φίλους. ἐθορυβεῖτο δὲ ἤδη σαφῶς οἷ ἐληλύθει κατανοῶν, ἐπειδὴ καὶ ὁ πατὴρ αὐτοῦ προσιόντα ὡς ἀσπάσαιτο ἀπεώσατο, ἀδελφοκτονίαν τε ἐπικαλῶν, καὶ βούλευσιν ὀλέθρου τοῦ ἐπ' αὐτῷ, πάντων τε ἀκροατὴν καὶ δικαστὴν ἔσεσθαι Οὔαρον τῇ αὔριον. καὶ ὁ μὲν τοιούτου κακοῦ ἅμα τε ἀκροαθέντος καὶ παρόντος τῷ μεγέθει περιφερόμενος ᾤχετο. ὑπαντιάζουσι δ' αὐτὸν ἥτε μητὴρ, καὶ ἡ γυνή. αὕτη δὲ ἦν, ἡ γενομένη Ἀντιγόνῳ παῖς τῷ πρὸ Ἡρώδου Ἰουδαίων βεβασιλευκότι, παρ' ὧν τὰ πάντα ἐκμαθὼν ἐν παρασκευαῖς τοῦ ἀγῶνος ἦν. τῇ δ' ἑξῆς, συνεδρεύειν μὲν Οὔαρός τε καὶ ὁ βασιλεὺς, εἰσεκλήθησαν δὲ καὶ οἱ ἀμφοῖν φίλοι, καὶ οἱ συγγενεῖς βασιλέως, Σαλώμη τε ἡ ἀδελφὴ, εἴτε τινες μηνύσειν ἔμελλον, καὶ ὧν τινὲς βάσανοι γεγόνασιν, δοῦλοί τε μητρὸς τοῦ Ἀντιπάτρου μικρῷ πρότερον συνειλημμένοι ἢ ἐκεῖνον ἥκειν, ἐπιστολὴν φέροντες, ἧς τὸ κεφάλαιον τῶν γεγραμμένων ἦν, μὴ ἐπανιέναι ὡς πάντων τῷ πατρὶ ἡκόντων εἰς πίστιν, μόνην τε αὖ καταφυγὴν αὐτῷ λείπεσθαι Καίσαρα, καὶ σὺν αὐτῇ τὸ μὴ τῷ πατρὶ ὑποχείριον γενέσθαι. Ἀντιπάτρου δὲ προσπεσόντος τῷ πατρὶ πρὸς τὰ γόνατα, καὶ ἱκετεύοντος μὴ προδιεγνωσμένην καταστῆναι δίκην, ἀλλ' ἀκροάσεως αὐτῷ γενομένης παρὰ τῷ πατρὶ, ἀκεραίως μένειν δυναμένῳ, τόν τε κελεύσας Ἡρώδης ἀπάγειν εἰς μέσον, αὐτὸς ὠλοφύρατο τῶν παίδων τῆς ποιήσεως, ἣν ἐπὶ τοιαύταις αὐτῷ τύχαις

τύχαις γενομένων, εἰς Ἀντίπατρον ἐμβαλεῖν αὐτοῦ τὸ γῆρας. τροφάς τε καὶ παιδεύσεις ἃς ποιήσαιτο αὐτοῦ ἐξηγούμενος, καὶ πλούτου δαψίλειαν ἐν καιροῖς ὡς ἐθελήσειαν προστεθεῖσαν εἰς πάντα. ὧν οὐδὲν ἐπ' ἐμποδίσματι γενέσθαι τοῦ μὴ οὐκ ἐπιβουλῇ τῇ ἐκείνων κινδυνεῦσαι τελευτᾶν, παρὰ τοῦ θᾶσσον δυσσεβῶς τὴν βασιλείαν παραλαβεῖν, ἢ φύσεως νόμῳ μεταστάντος, εὐχῇ τε τοῦ πατρὸς καὶ δίκῃ. τόν τε Ἀντίπατρον θαυμάζειν, τίνων ἐλπίδι ἐπαρθεὶς θαρσήσειεν ἐπὶ τοιαῦτα χωρεῖν μὴ ἐπιστῆναι. διάδοχον μὲν γὰρ ἀποφήνασθαι διὰ γραμμάτων τῆς ἀρχῆς, ζῶντος δὲ ἐπ' οὐδενὶ πλεονεκτεῖν, ἀξιώματός τε ἐπιφανείᾳ καὶ δυνάμει ἐξουσίας. πεντήκοντα μὲν τάλαντα ἐπέτειον πρόσοδον κομιζόμενον, δωρεὰς δ' εἰληφότα, ὁδοῦ τῆς εἰς Ῥώμην τριακοσίων ταλάντων ἀριθμόν. ἐπεκάλει δὲ καὶ τῶν ἀδελφῶν, εἰ μὲν πονηρῶν γεγονότων κατηγορίαν προσθεμένῳ, μιμητῇ γεγονότι· εἰ δὲ μή, διὰ κενῆς τοιάσδε ἐπαγωγὰς ἐπάγοντι αὐτοῦ τῶν συγγενῶν. τὰ γὰρ πάντα οὐδαμόθεν, ἀλλὰ μηνύσει τῇ ἐκείνου μεμαθηκότα πρᾶξαι τὰ ἐπ' αὐτοῖς πεπραγμένα γνώμῃ τῇ ἐκείνου. οὗ ἀπολύειν κακοῦ παντὸς κληρονόμον τῆς πατροκτονίας αὐτοῖς καθισταμένου. ταῦθ' ἅμα λέγων εἰς δάκρυα τρέπεται, λέγειν τε ἄπορος ἦν. καὶ Νικόλαος ὁ Δαμασκηνὸς φίλος τε ὢν τοῦ βασιλέως, καὶ τὰ πάντα συνδιαιτώμενος ἐκείνῳ, καὶ τοῖς πράγμασιν ὃν τρόπον πράττειν παρατετυχώς, δεηθέντι τοῦ βασιλεῖ τὰ λοιπὰ εἰπεῖν ὁπόσα ἀποδείξεών τε καὶ ἐλέγχων ἐχόμενα ἦν. καὶ τοῦ Ἀντιπάτρου κατὰ δικαιολογίαν πρὸς τὸν πατέρα τετραμμένου, καὶ ὁπόσα παραδείγματα τῆς εὐνοίας πρὸς αὐτὸν διεξιόντος, τὰς τιμὰς αἳ ὑπῆρχον αὐτῷ προφερόμενος ἄν ποτε γενέσθαι μὴ οὐκ ἀρετῆς ἀξίῳ περὶ αὐτὸν γεγονότι. καὶ γὰρ ὁπόσα περιιδεῖν δέοιτο πάντων προβεβλῆσθαι σωφρόνως, εἴτε τι τὰ ἔδειτο χερῶν πόνῳ τῷ αὐτοῦ ἐκπεπρᾶχθαι τὰ πάντα, εἰκός τε οὐκ εἶναι τὸν ἀλλαχόθεν ἐπιβουλῶν τὸν πατέρα ἐξελόμενον αὐτὸν ἐπιβουλεῦσαι καταστῆναι, καὶ ἀφανίζοντα ἀρετὴν ἣν ἐπ' ἐκείνοις ἐμαρτύρει, κακίᾳ τῇ ἐπὶ τοῖσδε μελλήσει συνεῖναι. καίτοι γε τοῦ μέλλοντος διάδοχον προαποδεδεῖχθαι, καὶ τοῦ συναπολαυομένου τιμῶν, αἳ εἰς τὸ παρὸν προσῆσαν, οὐκ ἐπικεκωλῦσθαι. εἰκός τε οὐκ εἶναι τὸν ἁπάντων ἀκινδύνως καὶ μετ' ἀρετῆς ἔχοντα τὴν ἡμίσειαν, μετὰ ψόγων καὶ κινδύνου ἐφίεσθαι τοῦ ὅλου, ἄδηλον εἰ δυναμένου περιγενέσθαι, καὶ ταῦτα τεθεαμένον τὴν ζημίαν τῶν ἀδελφῶν, καὶ μηνυτὴν μὲν καὶ κατήγορον γενόμενον λανθάνειν δυναμένων, κολαστήν τε ἐπεὶ φανεροὶ κατέστησαν πονηροὶ τὰ πρὸς τὸν πατέρα ὄντες. καὶ τάδε μὲν αὐτοῦ τῶν ἐνταῦθα ἠγωνισμένων παραδείγματα εἶναι, τῆς ἀκράτου εὐνοίας πρὸς τὸν πατέρα πεπολιτευμένων. τῶν δ' ἐπὶ Ῥώμης μάρτυρα εἶναι Καίσαρα, ἐπίσης τῷ θεῷ ἀπατηθῆναι μὴ οἷόν τε ὄντα. ὧν πίστιν εἶναι τὰ ὑπ' ἐκείνου γράμματα ἐπεσταλμένα, ὧν οὐ καλῶς ἔχειν ἰσχυροτέρας εἶναι τὰς διαβολὰς τῶν στασιάζειν αὐτοῖς προστεθειμένων, τὰς πλείους ἀποδημίᾳ τῇ αὐτοῦ συντεθεῖσθαι σχολῆς τοῖς ἐχθροῖς ἐγγενομένης, ἣν οὐκ ἂν αὐτοῖς ἐπιδημοῦντος παραγενέσθαι. διαβάλλοντος δὲ καὶ τὰς βασάνους εἰς ψευδολογίαν, ὡς τῆς ἀνάγκης φύσιν ἐχούσης διδάσκειν τοὺς ὑποπεσόντας ἡδονῇ τὰ πολλὰ τῶν ἐφεστηκότων λέγειν, καὶ παρέχοντος αὐτὸν εἰς βάσανον. ἐπὶ τούτοις τροπῆς τοῦ συνεδρίου γενομένης,

A talibus liberis, quódque senecta ætate incidisset in Antipatrum. enumerauit deinde curas educationis & institutionis, quámque benignè suggessisset illi ex opibus quantum ipse cuperet: quibus rebus omnibus nihil se profecisse quo minùs capitalibus appeteretur insidiis, vt regnum quod iure & patris voluntate contingere poterat, ante tempus in impietatis præmium cederet. Mirarique se Antipatrum quánam spe elatus in tantam peruenisset au- B daciam. Successorem enim principatus iam scripto testamento designatum fuisse: viuenti quoque sibi ex æquo participem dignitatis, splendoris, potestatis. Habuisse quinquagena talenta reditus annui: Romam proficiscentem instructum fuisse c c c. talentorum viatico. Obiiciebat deinde fratrum accusationē, quorum siue sontium idem accusator atque imitator, siue innoxiorum circumuentor ac parricida fuerit. Se enim nec comperisse de eis C quicquam nisi hoc indice, nec in eos statuisse nisi ex huius sententia. eam nunc per ipsum irritam quodammodo fieri, qui quasi hæres in patricidium illis succederet. Hæc dicenti lacrymæ obortæ orationem cùm abrupissent, rogauit Nicolaum Damascenum amicitia & domestica consuetudine coniunctissimum, & pulchrè eius negotij gnarum, vt prosequeretur quæ attinerent ad examinatos conscios & ad conuincendum filium. Sed ille præue- D niens, causámque suam exorsus dicere, hæc ipsa exempla paternæ beneuolentiæ pro se adducebat, nimirum pietatis suæ meritis reddita. Se enim & prospexisse solerter quid facto opus esset, & sicubi res operam suam postulasset, confecta dedisse omnia: nec æquum esse vt qui patrem eripuerit ab aliorum insidiis, ipse nunc eiusdem reus agatur criminis, & testatæ iam dudum pietatis nouam apud homines rerum imperitos maculam contrahat. Quā E enim sibi fuisse causam sceleris, cùm successionem designatus rex haberet magis quàm speraret, & nemine vetante honorum esset particeps? neque enim probabile esse, affectatum cum periculo quod iam pro virtute contigerat, & ob incertam spem contemptam certam infamiam, maximè cùm is conatus fratribus non successerit, quorum ipse & delator fuisset, & conuictorum de impietate punitor etiam. nec se pœnitere gestorum, quæ F argumento sint quàm incorruptè parentem diligat. Quæ verò in vrbe per se acta sint, testem esse Cæsarem, cui non secus ac numini nemo possit imponere: extaréque eius de hoc literas, quas periniquum sit inimicorum & improborum hominum posthaberi calumniis, quibus nihil magis sit cordi, quàm regiam familiam inter se committere, nactis comminiscendi otium per suam absentiam, quod se præsente nunquam habe- G re potuerint. Sub finem dicendi fidem abrogabat quæstionibus, per quas necessitas exprimeretur loquendi ad torquētis gratiā, & postremò se quoq; torquendū offerebat nihil deprecans. His cùm nonnihil moueretur concilium

miserabiliter lacrymante Antipatro & sibimet conuerberante faciem, vt vel inimicos subiret miseratio, Herodésque ipse quantumuis dissimulans fieret mitior: Nicolaus vt rogatus fuerat accusationem à rege cœptam prosequens, exaggerabat singula, proferebátque testimonia, & indicia criminis collecta ex quæstioni subiectorum confessionibus. ad hęc extollebat regis de eo merita in educandis ac instituendis filiis, pro quibus tam malam reportaret gratiam. Nec tamen æquè mirandam fuisse priorum temerariam stultitiam, qui rudi ætate corrupti à malis consiliariis naturales affectus pietatis aboleuissent, ambitione principatus magis quàm opum cupidine. Sed Antipatri stupendam esse tam sceleratam audaciam, qui sæuior nocentissimis bestiis, à benefactoribus tamẽ iniuriam abstinentibus, nihil mollitus sit tanta parentis indulgentia, ne fratrum quidem calamitate deterritus, quo minus crudelitatis eorum æmulatior fieret. Atqui tu ipse, inquit, ô Antipater index fuisti tentati per illos facinoris, te inquirente coarguti sunt, tu in conuictos animaduertisti. nec improbamus quòd eos iusta indignatione prosecutus sis, immo miramur te imitatum eorum intemperantiam: & facilè colligimus illa quoq; te non ad securitatem patris, sed ad fratrum fecisse perniciem, vt detestando eorum malitiam, pietatis erga communem parentem opinionem tibi quæreres, & deinde ipse in eum sæuire posses impunitiùs, quod tandem facere aggressus es. Dum enim fratres sontes addicis supplicio, & parcis eorum sociis, omnibus facis perspicuum bene conuenire tibi cum eis: quorum posthac vti possis in opprimendo patre opera. itaque duplicem voluptatem cepisti tuis dignam moribus: alteram palàm quasi re bene gesta gloriabundus sublatis fratribus: alteram clàm maiore facinore per occultas insidias conãdo patrem subuertere, cuius modo vindex videri volueras. Si enim verè detestatus esses illorũ malitiam, nunquam imitandam tibi proposuisses. Nimirum hoc agebas istis artibus, vt dignioribus sublatis nullos haberes successionis æmulos, & tum demum fratricidio necem patris adderes, vt in occulto manerent insidiæ, quibus oppugnasti germanorum capita, & non solùm ipse meritũ suppliciũ effugeres, verùm etiam miserũ parentẽ pœnę tuæ vicarium supponeres? inaudito ad hoc æui parricidio, & qualis nullum exemplum extat in omni hominum memoria. non enim qualicunque patri insidiatus es, sed amantissimo simul & indulgentissimo, iam regiæ potestatis particeps, iam successor designatus, tum præsenti fruendi voluptate ante tempus permissa, tum in futurum spe testamento patris confirmata. Tu verò cupiditatibus tuis modũ non ex illius bonitate, sed ex tua malitia statuebas nõ cõtentus societate patris indulgentissimi, nisi quoq; suã partem præriperes: & cuius te seruatorẽ verbis præferebas, eum re vera quærebas perdere, nõ ipse tantùm scelestus, sed matri quoque inu-

σφόδρα γὰρ ᾤκτειρεν τὸν Ἀντίπατρον, δάκρυσί τε καὶ αἰκίαις τοῦ προσώπου χρώμενον, ὥστε καὶ τοῖς ἐχθροῖς δι' οἴκτου καταστῆναι· φανερὸν δὲ καὶ Ἡρώδην ἤδη καμπτόμενόν τι τῇ γνώμῃ, καίπερ μὴ βουλόμενον ἔκδηλον εἶναι, Νικόλαος ἀρξάμενος οἷς τε ὁ βασιλεὺς κατήρξατο λόγοις. μειζόνως ἐκδεινῶν, καὶ ὁπόσα ἐκ βασάνων ἢ μαρτυριῶν συνῆγε τὴν ἀπόδειξιν τοῦ ἐγκλήματος. μάλιστα δὲ τὴν ἀρετὴν ἐπὶ πολὺ ἐξηγεῖτο τοῦ βασιλέως, ἥπερ εἴς τε τροφὰς καὶ παιδεύματα χρησάμενος τῶν υἱέων, οὐδαμόθεν εὕρετο ὀνησιφόρον αὐτὴν περιπλαίων ἑτέροις ἀφ' ἑτέρων. καί τοιγε οὐχ οὕτως θαυμάζειν τὴν προτέρων τὴν ἀβουλίαν. νεωτέρους γὰρ καὶ κακίᾳ συμβούλων διεφθαρμένους ἀπαλεῖψαι τὰ τῆς φύσεως δικαιώματα, ἀρχῆς θᾶσσον ἢ χρημάτων μεταποιεῖσθαι σπουδάσαντας. Ἀντιπάτρου δ' αὖ δικαίως τὴν μιαρίαν καταπλαγῆναι, μὴ μόνον ὑπὸ τοῦ πατρὸς εὐεργετηθέντα τὸν λογισμὸν ὥσπερ τὰ ἰοβολώτατα τῶν ἑρπετῶν μὴ μαλαχθέντος, καί τοιγε κἀκείνοις τινὸς ἐγγινομένης μαλακίας τοῦ ἀδικεῖν τοὺς εὐεργέτας, ἀλλὰ μηδὲ τὰς τύχας τῶν ἀδελφῶν πρὸς τὸ οὐ μιμητὴν αὐτῶν καταστῆναι τῆς ὠμότητος ἐμποδὼν στάντος. καί τοιγε ὦ Ἀντίπατρε τῶν ἀδελφῶν μηνυτής τε ὧν τολμήσειαν αὐτὸς ἦς, καὶ ἐρευνητὴς τῶν ἐλέγχων, καὶ κολαστὴς τῶν πεφωραμένων. καὶ οὐ τὴν ἐπ' ἐκείνοις ἐγκαλοῦμεν θυμῷ χρῆσθαι μὴ ἐλλείποντος, ἀλλὰ τὸ μιμεῖσθαι τὴν ἀσέλγειαν σπουδάσαντος ἐκπεπλήγμεθα, εὑρίσκοντες κἀκεῖνα οὐκ ἐπ' ἀσφαλείᾳ τοῦ πατρὸς, ἀλλ' ἐπ' ὀλέθρῳ τῶν ἀδελφῶν πεπραγμένα, ὅπως μισοπονηρίᾳ τῇ κατ' αὐτῶν φιλοπάτωρ εἶναι πεπιστευμένος, ἀδεεστέραν ἐπ' αὐτῷ κακουργεῖν παραλάβοις δύναμιν. ὃ δὴ καὶ τοῖς ἔργοις παρέστησας. ἅμα δὲ καὶ τοὺς ἀδελφοὺς ἀνῄρεις ἐφ' οἷς ἤλεγχες πονηροὺς γεγονότας, καὶ τοὺς ὁμοπραγήσαντας αὐτοῖς οὐχ ὑπεδίδους, φανερὸν τοῖς πᾶσι καθιστὰς, ὡς καὶ συνθήκην πρὸς αὐτοὺς κατὰ τοῦ πατρὸς ποιησάμενος, ἐπὰν εἵλω κατηγορεῖν, βουλόμενος σοὶ τὴν ἐπιβουλὴν τῆς πατροκτονίας κερδαίνεσθαι κατὰ μόνας, καὶ δυοῖν ἀγώνοιν εὐφροσύνην καρπούμενος, τρόπου τοῦ σοῦ ἀξίαν. φανερῶν μὲν τῶν κατὰ τῶν ἀδελφῶν, ἃ καὶ ἠγάλλου ὡς ἐπὶ τοῖς μεγίστοις. καὶ ἦν ἄξιον οὕτω φρονεῖν. εἰ δὲ μήγε, οὐ χεῖρον οἷς κρύπτειν δόλον κατὰ τοῦ πατρὸς συνετίθεις, ἐκείνους μὲν, οὐχ ὡς τῷ πατρὶ ἐπιβεβουλευκότας μισῶν. οὐ γὰρ ἂν ἐξώκειλας αὐτὸς αὐτοῖς ἐπὶ πρᾶξιν παραπλησίαν. ἀλλ' ὡς διαδόχους τῆς ἡγεμονίας σοῦ δικαιότερον ἂν γενομένους. τὸν δὲ πατέρα ἐπισφάζειν τοῖς ἀδελφοῖς, ἵνα θᾶσσον ὡς ἐκείνων ἐπικαταψεῦσθαι μὴ ἐλεγχθῇς, καὶ ὧν αὐτὸς δίκας παρασχεῖν ἄξιος γένοι, ταύτην παρὰ τοῦ δυστυχοῦς εἰσπράξαις πατρὸς, ἐπινοῶν πατροκτονίαν οὐ κοινὴν, ἀλλ' οἵαν μέχρι νῦν οὐχ ἱστόρησεν ὁ βίος. οὐχ υἱὸς γὰρ μόνον πατρὶ ἐπεβούλευες, ἀλλὰ καὶ φιλοῦντι καὶ εὐεργετηκότι, κοινωνὸς τῆς βασιλείας ἐν τοῖς ἔργοις καὶ διάδοχος προφανθείς. καὶ τὴν μὲν ἡδονὴν τῆς ἐξουσίας ἤδη προλαμβάνειν μὴ ἐπικεκωλυμένος, ἐλπίδα δὲ τὴν εἰσαῦθις γνώμῃ τοῦ πατρὸς καὶ γράμμασι προησφαλισμένος. ἀλλ' οὐκ ἄρα τῇ Ἡρώδου ἀρετῇ τὰ πράγματα, γνώμῃ δὲ καὶ πονηρίᾳ ἔκρινες τῇ ἑαυτοῦ, βουλόμενος τοῦ πάντων σοι ὑπακούσαντος πατρὸς, καὶ τὸ μέρος ἀφαιρεῖσθαι, καὶ ὃν προσεποιοῦ τοῖς λόγοις σώζειν, τοῖς ἔργοις τοῦτον ἀφανίσαι ζητῶν, καὶ μὴ μόνον αὐτὸς πονηρὸς καθιστάμενος, ἀλλὰ καὶ τὴν μητέρα

ὧ ἐπι-

ὥσπερ ἐπιθέσεις τιμωρίας, καὶ στασιοποιῶν τὴν εὔνοιαν τοῖς ἀδελφοῖς καὶ τολμῶν θηρίον ἀποκαλεῖν τὸν πατέρα, παντὸς ἑρπετοῦ χαλεπωτέραν τὴν διάνοιαν κατεσκευασμένος, ἣ τὸν ἐκείνου ἰὸν ἐπὶ τοὺς συγγενεστάτους καὶ τοὺς ἐπὶ τοσούτοις εὐεργέτας παρεκάλεις ἐπὶ συμμαχίαις φυλάκων, καὶ τέχναις ἀνδρῶν καὶ γυναικῶν φραξάμενος κατὰ τοῦ γέροντος, ὥσπερ οὐκ ἀρκούσης σου τῆς διανοίας μῖσος τὸ ὑποικουροῦν παραστῆσαι. καὶ νῦν ἐλήλυθας μετὰ βασάνους ἐλευθέρων οἰκετῶν ἀνδράσι καὶ γυναιξὶν διὰ σὲ γεγονυίας, μηνύσεις τῶν συνωμοτῶν, ἀντιλέγειν τῇ ἀληθείᾳ σπεύδων, καὶ οὐχὶ μόνον τὸν πατέρα ἀναιρεῖν μεμελετηκὼς ἐκ τοῦ ἀνθρωπείου, ἀλλ' ἤδη καὶ νόμον κατὰ σοῦ γεγραμμένον, καὶ τὴν ἀρετὴν τοῦ Οὐάρου, καὶ τοῦ δικαίου τὴν φύσιν. οὕτως ἄρα ψευδεῖς λέγων τὰς βασάνους τῶν προβεβασανισμένων, ἵν' οἱ μὲν ῥυόμενοί σου τὸν πατέρα ἐκκρουσθῶσιν τοῦ ἠληθευκέναι. αἱ δὲ σαὶ βάσανοι δοξωθῶσι. οὐ ῥύσῃ, Οὔαρε, τὸν βασιλέα τῆς ἐπηρείας τῶν συγγενῶν; οὐδὲ ἀπολεῖς πονηρὸν θηρίον, ἐπ' ὀλέθρῳ μὲν τῶν ἀδελφῶν εὔνοιαν προσποιούμενον τοῦ πατρός, ἔνθα δὲ μέλλοι κατὰ μόνας ταχέως ἀποίσασθαι τὴν βασιλείαν, πάντων αὐτῷ θανασιμώτατον ἀναφαινόμενον; γνοὺς ὅτι πατροκτονία κοινόν ἐστιν ἀδίκημα καὶ τῆς φύσεως καὶ τοῦ βίου, πεφυκυῖα οὐδὲν ἧσσον ὡς τοῦ βεβουλευμένου. καὶ ὁ μὴ κολάζων ἀδικεῖ τὴν φύσιν. προσετίθει ἤδη τὰ τῆς μητρὸς Ἀντιπάτρου, ὁπόσα πρὸς τινὰς ἦν κουφολογίᾳ γυναικείως εἰρημένα. μαντείας τε καὶ θυσίας ἐπὶ τῷ βασιλεῖ γεγονυίας. καὶ ὁπόσα μετὰ τῶν Φερώρου γυναικῶν Ἀντιπάτρῳ ἠσέλγητο μετὰ οἴνου καὶ λύμης ἐρωτικῆς. τῶν τε βασάνων τὰς ἀνακρίσεις καὶ ὁπόσα μαρτυριῶν ἐχόμενα, πολλὰ δὲ καὶ παντοῖα ἦν, τὰ μὲν προητοιμασμένα. τὰ δὲ, πρὸς τοῦ ὀξέως ἀπαγγέλλεσθαί τε καὶ βεβαιοῦσθαι ἐφευρημένα. οἱ γὰρ ἄνθρωποι κἂν εἴ τι κατὰ φόβον τοῦ Ἀντιπάτρου μὴ διαφρασάμενοι τὸ αὐτοῦ σιγῇ παρεδίδοσαν, ὁρῶντες αὐτὸν ἐπιβατὸν ταῖς κατηγορίαις τῶν ἀρξάντων γεγονότα, καὶ τὴν ποτὲ πολλὴν αὐτῷ συστᾶσαν τύχην, προφανῶς αὐτὸν τοῖς ἐχθροῖς παραδεδωκυῖαν, οἳ καὶ ἀπλήστως μίσους τοῦ πρὸς αὐτὸν ἐνεφορεῖντο. κατέσπευδε δὲ οὐ τοσοῦτον ἔχθρα τῶν ἐπικεχειρηκότων κατηγορεῖν, ὡς μεγέθει τόλμης ὧν ἐπενόησαν κακιῶν καὶ δυσμενείας τῆς πρὸς τὸν πατέρα, καὶ τοὺς ἀδελφοὺς στάσεως, καὶ ἀλληλοφθοριῶν ἀναπεπληκὼς τὸν οἶκον. καὶ μήτε μίσει κατὰ δίκην, μήτε φιλίᾳ δι' εὔνοιαν χρώμενος, ἀλλ' ὡς μέλλησοι αὐτῷ συμφέρειν. ὧν ἁπάντων ἐκ πλείονος αὐτοῖς οἱ πολλοὶ προαπεσκοπημένοι, οἵπερ δὴ μάλιστα ἀρετῇ κρίνειν πεφύκασιν ἐπὶ τοῖς πράγμασι, διὰ τὸ καὶ ὀργῆς ἀπηλλαγμένους ἐπιψηφίζειν τοῖς γιγνομένοις, καὶ καταβοὰς ἐν τοῖς πρὶν εἰρχθέντες ποιεῖσθαι, παραγγελλομένης ἀδείας διέφερον εἰς μέσον ὁπόσα εἰδεῖεν. πολύτροποί τε κακῶν ἀποδείξεις ἦσαν, οὐδαμόθεν ψεύδους αἰτίαν ἐγκαλεῖσθαι δυνάμεναι, διὰ τὸ μήτε εὐνοίᾳ τῇ πρὸς Ἡρώδην λέγειν τοὺς πολλούς, μήτε ὑποψίᾳ κινδύνων, σιγῆς ἐφ' οἷς ἔχοιεν εἰπεῖν ἐγκαλουμένης. ἀλλὰ τῷ πονηρά τε ἡγεῖσθαι τὰ πράγματα, καὶ τὸν Ἀντίπατρον οὐκ ἀσφαλείᾳ τῇ Ἡρώδου, πονηρίᾳ δὲ τῇ αὐτοῦ, πάσης ἄξιον τιμωρίας. πολλά τε ἦν καὶ παρὰ πολλῶν οἷς παρηγγέλλετο εἰπεῖν ἀγορευόμενα, ὥστε τὸν Ἀντίπατρον καίπερ ἐπὶ πλεῖστον πάντα δεινότατον ὄντα ψεύσασθαι καὶ ἀπερυθριάσαι, μηδὲ ὅσον ἀπὸ φωνῆς ἐπὶ τὸ ἀντιλέγειν

rens eiusdem notam sceleris, & fratrum disturbans beneuolentiam, dissidiisque miscens omnia: & post hęc ausus es patrem vocare bestiam, ipse venenatissimis quibusq; bestiis nocentior, proprio veneno abutens in coniunctissimos optiméque de te meritos, muniensque te custodibus ac variis tam virorum quã mulierum technis contra vnum senem, quasi non tua sola scelesta mens satis esset ad explẽdũ odium. Et nunc post tortos tua causa viros & mulieres, seruos & ingenuos, post aperta coniuratorum indicia, audes veritati contradicere: & qui dudum patrem sperasti è rebus humanis tollere, nunc quantum in te est conaris legem quoque contra tui similes scriptam abolere, simúlque Vari æquitatem, omnémque quanta est in rerum natura iustitiam: an ideò mentitos dices tormentis examinatos, vt fidem abroges patris tui seruatoribus? tibi scilicet in tormentis plus credendum est. Non liberabis regem Vare à cognatorum iniuriis? non dabis neci hanc pessimam bestiam, pietatem erga genitorem simulantem in fratrum perniciem, ac deinde vt solus regnet deprehensum instruendis illi capitalibus insidiis? Scis parricidium non priuatum esse crimen, sed publicã vitæ ac naturæ iniuriam, quod cogitatum etiã non minus quàm perpetratum contaminet: imo quod qui nõ punit, & ipse in naturã parẽtem est iniurius. Post hæc matris eius quædam adiecit: quæ illa garrulitate muliebri effutierat. consultos vates de regno, & sacris exitialibus impetitum regis caput: tum libidinosas & ebriosas Antipatri volutationes cum Pheroræ mulieribus. quæque ad testimonia pertinerẽt per tormenta elicita, multa & varia, partim præmediatta, partim repentina necessitate expressa, atque hoc ipso certiora. Homines enim quicquid antea metu Antipatri silentio texerant, post versam eius fortunam videntes accusationibus inimicorum obnoxiam, odia in eum sua exaturabant. Attamen non ita aliorum odiis grauabatur: vt propriis sceleribus, hostili in patrẽ animo, disturbata fratrum cõcordia, commissis inter se domesticis omnibus: vt qui nunquam nec odia iusta exerceret, nec amicitiæ fidem coleret, nisi quatenus sibi videretur commodum. idque cùm iamdudum à multis esset obseruatum, quo quisque erat æquitatis amantior, eò grauior illi fuit aduersarius: & quàm primùm tutò licuit, magnis vociferationibus reum vrgebant, quicquid scirent certatim prodentes: cúmque variorum criminum proferrentur indicia, nihil tamen fingi apparebat, quòd neque ad regis gratiam loquerentur, neque periculi metu silentio quicquam tegerent, sed damnarent omnes scelestos conatus Antipatri: eúmque non tam ob patris securitatem quàm suometipsius meritò de medio tollendum censerent, & tradendum supplicio. nec hi soli qui interrogabantur eum accusabant, verùm etiam spontanei delatores plerique aderant: ita vt licèt callidissimus esset mendaciorum artifex, & frontis perfrictissimæ, tamen ne hiscere quidẽ

contrà valeret. Postquam autem Nicolaus accusare eum & conuincere destitit, tum Varus potestatem ei dicendi pro se fecit, si quid haberet quo declararet suam innocentiam. Se enim nihil magis optare, & idem patrem quoque eius optare scire: quàm ne in vllo obiecto deprehenderetur crimine. At ille pronus in faciem & supplicabundus humi iacens, Deũ conscientiæ suæ inspectorem obtestabatur, vt euidenti aliquo signo probaret alienum se ab omni culpa, nec quicquam vnquam molitum in patris perniciem. Is enim est mos malorum omnium, vt quoties nefarium aliquod facinus aggrediuntur, nihil non sibi permittant, nullo respectu diuini numinis. cùm autem suis sceleribus inciderunt in periculum, tum demum illis in mentem venit Deus, per cuius inuocationem & testimonium volunt eripi, fingentes se cuncta illius arbitrio permittere: id quod tum quoque Antipatro vsu euenit: qui cùm antè omnia sic gessisset quasi nullum numen interesset rebus mortalium, imminente vltione destitutus iuris præsidiis, ad diuinam confugiebat potentiam, se in hoc diuinitus seruatum asseuerans, vt pro incolumitate patris excubias ageret. Tum Varus cùm crebris interrogationibus nihil eliceret, illo Deũ tantùm inuocante, videns alioqui nullum fore finem, iubet proferri venenum in medium, vt quânam vi præditum sit experimento posset colligere: quod mox allatum, & ad bibendum datum cuidam damnato capitis, sine mora necauit hominem. quo facto surgens abiit è concilio, & sequenti die Antiochiam profectus est, vbi plurimum solebat degere, quòd illic esset Syrorum regia. Herodes verò confestim vinxit filium, omnibus ignorãtibus quænam fuissent eius cum Varo ante discessum colloquia, coniectura tamen erat cuncta regẽ facere ex illius sententia. coniecto deinde in carcerem, Romam Cæsari de eo significauit per literas, missis etiam qui coràm eloquerentur mandata, docerentque quàm scelerata sit hominis malitia. Per eosdem dies interceptæ sunt Antiphili ad Antipatrũ ex Ægypto missæ literæ: quibus solutis hæc in eis scripta rex ipse comperit. Misi ad te Acmes literas, etiam cum vitæ meæ periculo. scis enim quòd si deprehenderer, infestas mihi duas potentes familias redderem. Tu dabis operam vt rem geras feliciter. Atque hoc fuit argumentum huius epistolæ: rex autem diligenter requisiuit etiam alteram. ea tamen nusquam comparebat, & seruus Antiphili negabat se attulisse vllam præterea. & cùm diutiùs hærerent, vnus ex amicis regiis animaduersa quadam sutura in interiore serui tunica (nam duabus erat indutus) suspicatus est in ea plica celatas literas: nec eum sua fefellit opinio: depromptáque est inde epistola hæc ferè continens. Acme Antipatro. Scripsi patri tuo quales iussisti literas: & adieci confictum exemplar epistolæ quasi à Salome ad dominam meam missæ: qua lecta scio quòd pœnas ab ea tanquã ab insidiatrice exiget. Ea verò quam à Salome scriptam videri

VII.

A τὴν ἰσχὺν εἰσφέρεσθαι. νικολάου δὲ παυσαμένου τῆς τε λόγων καὶ τῆς ἐλέγχων, οὐάρος ἐκέλευσεν ἀντίπατρον ἐπὶ τὴν ἀπολογίαν τῶν ἐγκλημάτων χωρεῖν, εἴ τινες αὐτῷ παρασκευάσαι τοῦ μὴ ἐνόχῳ τοῖς ἐπιφερομένοις εἶναι. καὶ γὰρ αὐτὸς εὔχεσθαι καὶ τὸν πατέρα εἰδέναι τῆς ὁμοίων δεόμενον, μηδὲν αὐτὸν ἀδικοῦντα φωρᾶν. ὁ δ' ἐπὶ στόμα ἔκειτο ἀναπεπταμένος, τῷ τε θεῷ, καὶ πᾶσι προσσχεθεὶς τὸ ἐπιμαρτυρῆσαι αὐτῷ μηδὲν ἀδικεῖν, ἢ τεκμηρίοις ἐμφανέσι παραστῆσαι, B μὴ οὐκ ἐπίβουλον αὐτὸν τοῦ πατρὸς γεγονέναι. εἰωθότες μὲν καὶ πάντες οἷς ἐπιλείπει ἀρετῆς, ὁπότε μὲν ἐγχειρεῖται τινα κακῶν, εἰ ἐν τοῦτ' εἴη τὸ πᾶσι τὸ παρὰ τὸ τυχὸν ἀφορήσαντες γνώμῃ τῇ αὐτῶν ἐπὶ τὰ ἔργα χωρεῖν. ὁπότε δὲ φωρώμενοι κινδυνεύοιεν δίκην ὑποσχεῖν, κατ' ἐπίκλησιν αὐτοῦ μαρτυρεῖν τὰ πάντα ἐπιφέρειν. ὃ δὴ καὶ τῷ ἀντιπάτρῳ συμβεβήκει. τὰ πάντα γὰρ ὡς ἐν ἐρημίᾳ τοῦ θείου διαπεπραγμένος, C κατηργηκυίας αὐτὸν πανταχόθεν τῆς δίκης ἀπορίᾳ τῆς ἀλλαχόθεν δικαιωμάτων οἷς ἀπολύσαιτο τὰ ἐγκεκλημένα, αὖθις ἐνεπαρῴνει τῇ ἀρετῇ τοῦ θείου, μαρτυρίαν ἐπισκήπτων αὐτοῦ, ὅπερ ἰσχύϊ τῇ ἐκείνου περισέσωστο εἰς μέσου παραγαγών, ὁπόσα περὶ τῷ πατρὶ πράσσειν τολμᾶν οὐκ ἐνέλιπεν. ὁ δὲ οὐάρος, ἐπειδὴ πολλάκις ἀνακρίνων τὸν ἀντίπατρον, οὐδὲν εὑρίσκετο πλέον τῆς ἀνακλήσεως τοῦ θεοῦ, ὁρῶν ἀπέραντον ὂν τὸ γινόμενον, ἐκέλευσε τὸ φάρμα- D κον εἰς μέσους ἐνεγκεῖν, ἵν' εἰδῇ τὴν προσοῦσαν αὐτῷ δύναμιν. καὶ κομισθέντος, τῷ ἐπὶ θανάτῳ τις ἑαλωκότων πίνει κελεύσαντος οὐάρου, καὶ παραχρῆμα ἔθανε. τότε δ' ἐξαναστὰς ἀπῄει τοῦ συνεδρίου, καὶ τῇ ἑξῆς ἐπ' ἀντιοχείας, οὗπερ δὴ καὶ τὸ πλεῖστον ἦσαν αὐτῷ αἱ διατριβαί, διὰ τὸ σύροις τοῦτο βασίλειον εἶναι. ἡρώδης δὲ παραχρῆμα μὲν ἔδησε τὸν υἱόν. ἄδηλοι δὲ τοῖς πολλοῖς ἦσαν αἱ οὐάρου πρὸς αὐ- E τὸν ὁμιλίαι, καὶ τί εἰπὼν ἀπεληλύθει. εἰκάζετο δὲ τοῖς πολλοῖς γνώμῃ τῇ ἐκείνου πράσσειν ὁπόσα περὶ τὸν ἀντίπατρον ἔπραξεν. δήσας δὲ αὐτὸν εἰς ῥώμην ὡς καίσαρα ἐκπέμπει γράμματα περὶ αὐτοῦ, καὶ τοὺς ἀπὸ γλώσσης διδάξοντας τὸν καίσαρα τὴν κακίαν τοῦ ἀντιπάτρου. ἁλίσκεται δὲ ὑπὸ τὰς αὐτὰς ἡμέρας, καὶ ἐπιστολὴ ὑπὸ ἀντιφίλου πρὸς ἀντίπατρον γεγραμμένη, ἐν αἰγύπτῳ δὲ αὐτὸς διέτριβε, F καὶ λυθεῖσα ὑπὸ τοῦ βασιλέως τάδε ἐδήλου. ἔπεμψά σοι τὴν παρ' ἀκμῆς ἐπιστολὴν μὴ φεισάμενος τῆς ἐμῆς ψυχῆς. οἶδα γὰρ ὅτι αὖθις κινδυνεύω ὑπὸ δύο οἰκιῶν εἰ γνωσθείην. σὺ δ' εὐτυχοίης περὶ τὸ πρᾶγμα. καὶ ἡ μὲν ἐπιστολὴ τάδε ἐδήλου. ἐζήτει δὲ ὁ βασιλεὺς καὶ τὴν ἑτέραν ἐπιστολήν. οὐ μὴν φανερὰ γέγονε, καὶ ὁ τοῦ ἀντιφίλου δοῦλος ὃς τὴν ἀναγνω- G σθεῖσαν ἔφερεν, ἠρνεῖτο ἑτέραν παραλαβεῖν. ἀπορίας οὖν ἐχούσης τὸν βασιλέα, τῶν φίλων τις τῶν τοῦ ἡρώδου θεώμενος ὑπερραμμένον τοῦ δούλου τὸν ἐντὸς χιτῶνα, ἐνεδεδύκει γὰρ δύο, εἴκασεν ἐντὸς τῆς ἐπιπτυχῆς κρύπτεσθαι τὰ γράμματα. καὶ ἦν δὲ οὕτως. λαμβάνουσιν οὖν τὴν ἐπιστολήν, ἐγγεγραμμένα τε ἦν ἐν αὐτῇ, τάδε. ἀκμὴ ἀντιπάτρῳ. ἔγραψα τῷ πατρί σου οἵαν ἤθελες ἐπιστολήν. καὶ ἀντίγραφον ποιήσασα τῆς πρὸς τὴν ἐμὴν κυρίαν ὡς παρὰ σαλώμης ἔγραψα. ἣν ἀναγνούς, οἶδ' ὅτι τιμωρήσεται σαλώμην ὡς ἐπίβουλον. ἣν δὲ ἡ παρὰ τῆς σαλώμης δοκοῦσα

εἶ

εἴη πρὸς τὴν δέσποιναν αὐτῆς, ὑπ' ἀντιπάτρου ἐπ' ὀνόματι τῆς σαλώμης, ὅσα γοῦν ἡ διάνοια θέλοι ὑπαγορευομένη, λέξει δὲ συνέκειτο αὐτῆς. τὰ δὲ γεγραμμένα ἦν τοιάδε. ἀκμὴ βασιλεῖ ἡρώδῃ. ἐγὼ ἔργον ποιουμένη μηδέν σε λανθάνειν τῶν κατὰ σοῦ γινομένων, εὑροῦσα ἐπιστολὴν σαλώμης πρὸς τὴν ἐμὴν κυρίαν κατὰ σοῦ γεγραμμένην ἐπικινδύνως ἐμαυτῇ σοὶ δὲ ὠφελίμως ἐξεγραψάμην καὶ ἀπέσταλκά σοι. ταύτην δὲ ἐκείνη ἔγραψε γήμασθαι συλλαίῳ θέλουσα. κατάσχισον οὖν τὴν ἐπιστολὴν ἵνα μὴ κἀγὼ τὸ ζῆν κινδυνεύσω. πρὸς δὲ αὐτὸν ἐγέγραπτο ἀντίπατρον, διασαφούσης ὅτι διακονουμένη κελεύσματι τῷ ἐκείνου αὐτή τε γράψειε πρὸς ἡρώδην, ὡς σαλώμης ἐπιβούλως αὐτῷ πράσσειν ἐπειγομένης τὰ πάντα. καὶ ἀντίγραφον τῆς ὡς πρὸς δέσποιναν τὴν αὐτῆς πεμφθείσης ἐπιστολῆς ἀποπέμψειεν αὐτῷ. ἦν δὲ ἡ ἀκμὴ, ἰουδαία μὲν τὸ γένος, ἐδούλευε δὲ ἰουλίᾳ τῇ καίσαρος γυναικὶ, καὶ ἔπρασσε ταῦτα φιλίᾳ τῇ ἀντιπάτρου, ὠνηθεῖσα ὑπ' αὐτοῦ μεγάλῃ δόσει χρημάτων συγκακουργεῖν κατά γε τοῦ πατρὸς καὶ κατὰ τῆς τιτθίδος. ἡρώδης δὲ ἐκπλαγεὶς μεγέθει τῆς ἀντιπάτρου κακίας, ὥρμησε μὲν καὶ παραχρῆμα αὐτὸν ἀνελεῖν ὡς κύκηθρον μεγάλων γεγονότα πραγμάτων. καὶ μὴ μόνον αὐτῷ, ἀλλὰ καὶ τῇ ἀδελφῇ ἐπιβεβουλευκότα, καὶ τὸν καίσαρος διεφθαρκότα τὴν οἰκίαν. ἐξώξυνε δὲ αὐτὸν καὶ ἡ σαλώμη στερνοτυπουμένη καὶ κτείνειν αὐτὴν κελεύουσα εἴ τινος ἐπὶ τοιοῖσδε πίστεως αἰτίαν ἀξιόχρεων οἷά τε παρασχεῖν γένοιτο. ἡρώδης δὲ μεταπεμψάμενος, ἀνέκρινε τὸν υἱόν, κελεύων εἴ τι ἀντειπεῖν ἔχει, λέγειν μηδὲν ὑπειδόμενον. ἐπεὶ δὲ ἀχανὴς ἦν, ἤρετο αὐτὸν ἐπειδὴ πανταχοῦ περιφώραται πονηρὸς ὤν, τοὺς γοῦν συγκακουργήσαντας αὐτῷ τὰ πράγματα μὴ μελλῆσαι κατειπεῖν. ὁ δὲ ἀντιφίλῳ τὴν πάντων αἰτίαν ἀνετίθει, ἕτερον δ' οὐδένα προὐτίθει. ἡρώδης δὲ περιαλγῶν ὥρμησε μὲν πέμπειν ἐπὶ ῥώμης τὸν υἱὸν ὡς καίσαρα λόγον ὑφέξοντα τῶν ἐπὶ τοῖσδε βουλευμάτων. ἔπειτα δείσας μὴ βοηθείᾳ τῶν φίλων διέρχοιτο τὸν κίνδυνον διαφυγὼν, αὐτὸν μὲν δέσμιον ὡς καὶ πρότερον ἐφύλασσεν, αὖθις δὲ πρέσβεις ἐξέπεμψε καὶ γράμματα ἐπὶ κατηγορίαν τοῦ υἱέος, ὁπόσα τε ἀκμὴ συγκακουργήσειεν αὐτῷ, καὶ ἀντίγραφα τῶν ἐπιστολῶν.

Κεφάλαιον η'.

Περὶ τῆς ἡρώδου νόσου, καὶ στάσεως τῶν ἰουδαίων.

Καὶ οἱ μὲν πρέσβεις, ἐπὶ τῆς ῥώμης ἠπείγοντο, ὁπόσα τε ἀνακρινομένους δεήσοι λέγειν, προεκδιδαχθέντες, καὶ τὰ γράμματα φέροντες. εἰς νόσον δὲ ὁ βασιλεὺς ἐμπεσὼν, διαθήκας γράφει τῷ νεωτάτῳ τῶν υἱῶν τὴν βασιλείαν διδοὺς, μίσει τῷ πρὸς τὸν ἀρχέλαον καὶ φίλιππον ἐκ τῶν ἀντιπάτρου διαβολῶν, καίσαρί τε τάλαντα χίλια, καὶ γυναικὶ ἰουλίᾳ τῇ καίσαρος καὶ τέκνοις καὶ φίλοις καὶ ἀπελευθέροις καίσαρος πεντακόσια. νέμει δὲ καὶ τοῖς υἱέσι χρήματα καὶ προσόδους καὶ ἀγροὺς, καὶ υἱέσι τοῖς ἐκείνων. σαλώμην τε ἐπὶ μέγα ἐπλούτισεν τὴν ἀδελφὴν, εὔνουν τε ἐν πᾶσι πρὸς αὐτὸν διαμεμενηκυῖαν καὶ μηδαμόθι θρασυνομένην κακουργεῖν. ἀπεγνωκὼς δὲ περιοίσειν, καὶ γὰρ περὶ ἔτος ἑβδομηκοστὸν ἦν, ἐξηγρίωσεν ἀκράτῳ τῇ ὀργῇ καὶ πικρίᾳ εἰς πάντα χρώμενος. αἴτιον δὲ ἦν δόξα τοῦ καταφρονεῖσθαι καὶ ἥδεσθαι ταῖς τύχαις αὐτοῦ τὸ ἔθνος φέρειν. ἄλλως τε

volebant, Antipatri commentum erat supposito Salomes nomine, ipsius arbitratu & commodo scripta, sed Acmes ministerio. Eadem & regi scripsit in hanc sententiam. Acme regi Herodi. Cùm mihi sit curæ ne quid te lateat ad salutem tuam pertinens, inuentam Salomes epistolam contra te scriptam ad meã dominam, non sine periculo transcripsi, & ad te misi: in qua postulabat vt sibi liceret Syllæo nubere. hanc tu lacerabis, ne quando propter eam vitæ discrimen adeam. Sed hoc commentum prodebãt quæ ad ipsum Antipatrum scripserat, significans se voluntati eius obsecutam, & literas ad Herodem misisse, & insertum his exemplar fictitiatum Salomes literarum ad suam dominam, quæ insidias Herodi tenderent. Erat autem hæc Acme Iudæa genere, agens in ancillatu Iuliæ vxoris Cæsaris, operámque hanc Antipatro magna pecunia vendiderat, qua cõtra amitam simul & patrem vteretur. Cæterùm Herodes cognita hinc filij malitia, minimum abfuit quin illum e-uestigio tolleret, vt concitatorem turbelarum omnium, qui non solùm suam & sororis salutem in periculum adduxisset, sed disciplinam etiam corrupisset domus Cęsaris. eodem incitabat eum & Salome, pectus plangẽs, & mori non recusans, si vllum extaret violatæ à se fidei argumentum idoneum. Rex autem accersito filio iubet illum cũ fiducia promere, si quid haberet quod pro se afferre posset. Qui cùm ad hæc ne hiscere quidem valeret, rogatus vt quando medius teneretur deprehensus in maleficio saltem socios sceleris proderet: omnem culpam conferebat in Antiphilum, alium præterea nominabat neminem. ibi Herodes vehementi dolore animi saucius cogitauit eum Romam mittere, vt apud Cæsaris tribunal parricidij causam diceret. Deinde veritus ne amicorum ope eriperetur periculo, ipsum quidem in vinculis vt antè retinuit: legatos autem & literas accusatrices misit ad Cæsarem, simul indicans adiutum eum Acmes opera, epistolarum quoque adiunctis exemplari bus.

Cap. VIII.

Herodis morbus, & Iudæorum seditio.

VIII.

INterea dum legati instructi mandatis ac literis Romam properant, rex morbo correptus testamentum condidit, successionem regni relinquens natorum minimo, exasperatus in Archelaũ & Philippũ calũniis Antipatri: Cæsaríq; legauit mille talẽta, & vxori Iuliæ liberisq; eius & amicis atque libertis talenta quingẽta. Suis quoq; filiis distribuit pecunias & agros ac reditus, similiter etiam nepotibus. Salomes etiã ratio est habita, quã propter perpetuam & inconcussam beneuolentiam ditauit egregiè. Desperata deinde salute, quòd iam ad septuagesimum ætatis annũ accederet, mirum in modum efferatus est, iræ impatiens & amarulentus in rebus omnibus. in causa erat opinio contemptus, quódque existimaret gentem lætari suis infortuniis: quã opinionẽ

confirmauit quorundam apud populum gratiosorum seditio, mota ex causa tali. Iudas Sariphæi filius & Matthias Margalothi doctissimi erant Iudæorum, & interpretes patriæ legis præstantissimi, ob idque cari populo quòd iuuentutem disciplinis instituerent. totis enim diebus eis dabant operam quotquot cupiebant in virtute proficere. Hi postquam cognouerunt morbum regis esse incurabilem, concitauerunt iuuentutem, vt sublatis operibus quæ rex præter patriam consuetudinem fecerat, propugnatores pietatis se ostenderent, debitum inde expectantes præmium. Nam hanc esse regi causam cùm calamitatum domesticarum tum postremò præsentis morbi, videlicet quòd contemptis legibus multa nouare ausus sit. nam hac parte multis in rebus pietatem regis hi doctores desiderabant. Inter cætera supra maiorem portam templi dedicauerat donum preciosum. aquilam auream magni ponderis, cùm lex nostros homines vetet imagines statuere, aut consecrare animantium effigies. quamobrem doctores hi autores erant suis discipulis, vt aquilam illam detraherent. Etsi enim res videatur non carere periculo, tamen etiam iucundæ vitæ præponendum esse honestum obitum, si contemnatur propter tuendas leges patrias, quandoquidem sempiterna fama nullo seculo passura sit gloriam eorum intermori, & alioquin ignauos iuxtà ac fortes eundem manere interitum: proinde rectè facturos virtutis cultores, si ex communi necessitate honorem sibi decerperent, & cum hoc solatio è præsenti vita discederent. magnum enim leuamen esse honestis conatibus immori, & periculi non contemnendum præmium, laudem transmissam ad nepotes ac posteros, cuius in partem tota cognatio tam viri quàm fœminæ veniant, quo quid esse possit optabilius? Hac exhortatione accensis iuuenibus rumor superuenit extinctum regem nuncians, & propensos iam ad facinus perpulit. itaque claro meridie ascendentes detractam aquilam conciderunt securibus, inspectante congregata in templum multitudine. Quod vt renunciatum cognouit dux regius, maiorem aliquam conspirationem metuens, occurrit eò cum valida suorum manu cohibiturus demolitores aquilæ, & irruens in vulgum rudem & imparatum ac conglobatum temerè, facilè reliquis disiectis & cedentibus circiter XL. iuuenes resistere ausos comprehendit, cúmque his autores facinoris Iudam & Matthiam turpe putantes cedere: omnésque ad regem perduxit. Quo rogante quo freti, ausi sint sacratam imaginem demere, aiunt se & deliberasse id multo antea, & deliberatum executos, vt fortes viros decuit. Nam & honori diuino, inquiunt, succurrimus, & legem cuius discipuli sum⁹ vindicauimus. Nec est quod mireris si tuis decretis leges præponimus, quas nobis Moyses autore & doctore Deo pertulit:

A ἐπεὶ δή τινες τῶν δημοτικωτέρων ἀνθρώπων καὶ ἐπανίστησαν αὐτῷ διὰ τοιαύτην αἰτίαν. ἦν ἰούδας ὁ σαριφαίου, καὶ ματθίας ὁ μαργαλώθου ἰουδαίων λογιώτατοι, καὶ παρ' οἷς τινας τῶν πατρίων ἐξηγηταὶ νόμων, ἄνδρες καὶ δήμῳ προσφιλεῖς διὰ παιδείαν τῶν νεωτέρων. ὁσημέραι γοῦν διημέρευον αὐτοῖς πάντες οἷς προσποίησις ἀρετῆς ἐπετηδεύετο. οἵ τε πυνθανόμενοι τοῦ βασιλέως τὴν νόσον θεραπεύειν ἄπορον οὖσαν ἐξῆραν τὸ νεώτερον, ὥς τε ὁπόσα παρὰ τὸν νόμον τὸν πάτριον κατασκευάσαιτο ἔργα ὑπὸ τοῦ B βασιλέως, ταῦτα καθελόντες εὐσεβείας ἀγωνίσματα παρὰ τὸν νόμον φέρεσθαι. καὶ γὰρ δὴ διὰ τὴν τόλμαν αὐτῶν παρ' ἃ διηγόρευεν ὁ νόμος τῆς ποιήσεως, τά τε ἄλλα αὐτῷ συντυχεῖν οἷς παρὰ τὸ εἰωθὸς τῶν ἀνθρώπου διεξίεν, καὶ δὴ καὶ τὴν νόσον. ἦν γὰρ τῷ ἡρώδῃ τινὰ πεπραγματευμένα παρὰ τὸν νόμον, ἃ δὴ ἐπεκάλουν οἱ περὶ τὸν ἰούδαν καὶ ματθίαν. κατεσκευάκει γὰρ ὁ βασιλεὺς ὑπὲρ τοῦ πυλῶνος μεγάλου τοῦ ναοῦ ἀνάθημα καὶ λίαν πολυτε- C λὲς ἀετὸν χρύσεον μέγαν. κωλύει δὲ ὁ νόμος εἰκόνων τε ἀναστάσεις ἐπινοεῖν καί τινων ζώων ἀναθέσεις ἐπιτηδεύεσθαι τοῖς βιοῦν κατ' αὐτὸν προῃρημένοις, ὥς τε ἐκέλευον οἱ σοφισταὶ, τὸν ἀετὸν κατασπᾶν. καὶ γὰρ εἴ τις αὐτοῖς γένοιτο κίνδυνος εἰς θάνατον ἀνακειμένῳ, πολὺ τῆς ἐν τῷ ζῆν ἡδονῆς λυσιτελεστέραν φαίνεσθαι τὴν προτεθειμένην ἀρετὴν ὑπ' αὐτοῦ, τοῖς ἐπὶ σωτηρίᾳ καὶ φυλακῇ τοῦ πατρίου μελλήσουσι τελευτᾶν, διὰ τὸ ἀΐδιον ἐπαινεῖσθαι φήμην κατασκευασαμένους, ἔν τε D τοῖς νῦν ἐπαινεθήσεσθαι καὶ τοῖς ἐσομένοις ἀειμνημόνευτον καταλιπεῖν τὸ κλέος. καί τοί γε τοῖς ἀκινδύνως διαιτωμένοις ἄφυκτον εἶναι τὴν συμφοράν, ὥς τε καλῶς ἔχειν τοῖς ἀρετῆς ὀριγνωμένοις τὸ κατεψηφισμένον αὐτῶν μετ' ἐπαίνων καὶ τιμῆς δεχομένοις ἀπιέναι τοῦ βίου. φέρειν γὰρ κούφισιν πολλὴν τὸ ἐπὶ καλοῖς ἔργοις, ὧν μνηστῆρα τὸν κίνδυνον εἶναι, τελευτᾶν, καὶ ἅμα υἱέσι τοῖς αὐτῶν, καὶ ὁπόσοι τῶν συγγενῶν καταλείποιντο ἄν- E δρες ἢ γυναῖκες, καὶ τοῖσδε περιποιῆσαι ὄφελος δύκλειαν τὴν ἀπ' αὐτῶν. καὶ οἱ μὲν τοιούτοις λόγοις ἐξῆραν τοὺς νέους. ἀφικνεῖται δὲ λόγος εἰς αὐτοὺς τεθνάναι φράζων τὸν βασιλέα, καὶ συνέπρατ τε τοῖς σοφισταῖς. καὶ μέσης ἡμέρας ἀνελθόντες κατέσπων τε, καὶ πελέκεσιν ἐξέκοψαν τὸν ἀετὸν, πολλῶν ἐν τῷ ἱερῷ διατριβόντων. καὶ ὁ στρατηγὸς τοῦ βασιλέως, ἀγγέλλεται γὰρ ἡ ἐπιχείρησις πρὸς αὐτὸν, ὑπὸ μείζονος διανοίας ἢ ἐπράσσετο, ὑπολαβὼν, ἄνεισι χεῖρα πολ- F λὴν ἀγόμενος ὁπόσοι ἀνθέξοιεν τῷ πλήθει τῶν πειρωμένων καθαιρεῖν τὸ ἀνάθημα, ἐπιπεσὼν μὴ προσδεχομένοις, ἀλλ' ὁποῖα ὄχλος φιλεῖ δόξῃ μᾶλλον ἀμαθεῖ ἢ προνοίᾳ ἀσφαλεῖ τετολμηκόσι, ἀσυντάκτοις τε καὶ μηδὲν τοῦ ὀνήσαντος προαιρεσκοπημένοις, τῶν τε νέων οὐκ ἐλάσσους τεσσαράκοντα ἄνδρας, οἳ θάρσει ἔμμενον ἐπιόντα εἰς φυγὴν τοῦ λοιποῦ πλήθους G καταστάντος συλλαμβάνει, καὶ τοὺς εἰσηγητὰς τοῦ τολμήματος ἰούδαν καὶ ματθίαν, ἄδοξον ἡγουμένους ὑποχωρεῖν τὴν ἔφοδον αὐτοῦ, καὶ ἀνήγαγεν ἐπὶ τὸν βασιλέα. ἐρομένου δὲ ἐπεὶ ἀφίκοντο ἐπ' αὐτὸν τοῦ βασιλέως εἰ τολμήσαιεν αὐτοῦ τὸ ἀνάθημα καθελεῖν. ἀλλὰ καὶ προβεβουλεῦσθαί γε ἡμῖν τὰ φρονηθέντα, καὶ πεπρᾶχθαι τὰ πεπραγμένα μετ' ἀρετῆς ἀνδράσι πρέπουσαν διαιτῆς. τῷ τε γὰρ θείῳ τῇ ἀξιώσει πεπιστευμένα βεβοήθηται ὑφ' ἡμῶν, καὶ τοῦ νόμου τῇ ἀκροάσει προεφροντίσμεθα. θαυμαστὸν τε οὐδὲν εἰ τῶν σῶν δογμάτων ἀξιωτέρους τετηρεῖσθαι ἡγήμεθα νόμους, οὓς μωυσῆς ὑπαγορεύσει καὶ διδαχῇ τοῦ θεοῦ γραψάμενος κατέλιπεν.

ἡδο-

ἡδονῇ τε τὸν θάνατον οἰσόμεθα, καὶ τιμωρίαν ἥν τινα ἐπιβάλοις, διὰ τὸ μὴ ἐπ' ἀδίκοις ἔργοις, ἀλλὰ φιλίᾳ τῇ εὐσεβοῦς μέλλει συνείσεσθαι τὸ ἐφομιλῆσαι αὐτῷ. καὶ οἱ μὲν ταῦτα πάντες ἔλεγον οὐδὲν ἐλλιπέστερα τῇ τόλμῃ τῶν λόγων χρώμενοι, ἢ θαρσήσαντες τὸ ἔργον πράττειν οὐκ ἀπεπράττοντο. βασιλεὺς δὲ αὐτοὺς καταδήσας, ἐξέπεμπεν εἰς Ἱεριχοῦντα, καλέσας Ἰουδαίων τοὺς ἐν τέλει. καὶ παραγενομένων, ἐκκλησιάσας εἰς τὸ αὐτὸ θέατρον ἐπὶ κλινιδίου κείμενος ἀδυναμίᾳ τοῦ στῆναι, τὰς ἀγωνίας τε ἐφ' ὅσον αἱ πίστεις ἦσαν ἐπ' αὐτοῖς γεγονυίας ἀνεμετρεῖτο, καὶ τοῦ ναοῦ τὴν κατασκευὴν ὡς μεγάλοις τέλεσι τοῖς αὐτοῦ γένοιτο, μὴ δυνηθέντες ἔτεσιν ἑκατὸν εἰκοσιπέντε τῶν Ἀσαμωναίων ἐν οἷς ἐβασίλευον τοιόνδε τι ἐπὶ τιμῇ πρᾶξαι τοῦ θεοῦ. κοσμῆσαι δὲ καὶ ἀναθήμασιν ἀξιολόγοις. ἀνθ' ὧν ἐλπίδα μὲν αὐτῷ γενέσθαι κἂν μετὰ θάνατον καταλελείψεσθαι μνήμην τε αὐτοῦ καὶ εὔκλειαν. κατεβόα τε ἤδη, διότι μηδὲ ζῶντα ὑβρίζειν ἀπόσχοιντο εἰς αὐτόν, ἀλλ' ἡμέρας τε καὶ ἐν ὄψει τοῦ πλήθους ὕβρει χρωμένους ἅψασθαι τῶν ὑπ' αὐτοῦ ἀνακειμένων. καὶ καθαίρεσιν ὑβρίζοντας τι ποιεῖσθαι, λόγῳ μὲν εἰς αὐτόν, ἀληθείᾳ δὲ εἴ τις ἐξετάζοι τοῦ γεγονότος ἱεροσυλοῦντας. οἱ δὲ διὰ τὴν ὠμότητα αὐτοῦ μὴ δὴ καὶ κατ' αὐτῶν ἐξαγριώσας εἰσπράττοιτο τιμωρίας, οὔτε γνώμῃ ἔφασαν αὐτὰ πεπρᾶχθαι τῇ αὐτῶν, φαίνεσθαί τε αὐτοῖς οὐκ ἀπηλλαγμένα κολάσεως αὐτὰ εἶναι. ὁ δὲ τοῖς μὲν ἄλλοις πρᾳότερος ἦχεν. Ματθίαν δὲ τὸν ἀρχιερέα παύσας ἱερᾶσθαι ὡς αἴτιον τοῦ μέρους τούτων γεγονότα, καθίστα Ἰώζαρον ἀρχιερέα, ἀδελφὸν γυναικὸς τῆς αὐτοῦ. ἐπὶ δὲ τοῦ Ματθίου τούτου ἱερωμένου, συμβαίνει καὶ ἕτερον ἀρχιερέα καταστῆναι πρὸς μίαν ἡμέραν, ἣν Ἰουδαῖοι νηστείαν ἄγουσιν. αἰτία δὲ ἐστὶν ἥδε. ὁ Ματθίας ἱερώμενος ἐν νυκτὶ τῇ φερούσῃ εἰς ἡμέραν ᾗ ἡ νηστεία ἐνίστατο, ἔδοξεν ἐν ὀνείρατι ὡμιληκέναι γυναικί. καὶ διὰ τόδε οὐ δυνάμενος ἱερουργεῖν, Ἰώσηπος ὁ τοῦ Ἐλλήμου συνιεράσατο αὐτῷ συγγενὴς ὤν. Ἡρώδης δέ, τόν τε Ματθίαν ἐπεπαύκει τῆς ἀρχιερωσύνης, καὶ τὸν ἕτερον Ματθίαν ὃς ἐγηγέρκει τὴν στάσιν καὶ ἄνδρας ἐκ τῶν ἑταίρων αὐτοῦ ἔκαυσε ζῶντας. καὶ ἡ σελήνη δὲ τῇ αὐτῇ νυκτὶ ἐξέλιπεν. Ἡρώδῃ δὲ μειζόνως ἡ νόσος ἐνεπικραίνετο, δίκην ὧν παρανομήσειεν ἐκπρασσομένου τοῦ θεοῦ. πῦρ μὲν γὰρ μαλακὸν ἦν, οὐδὲ πολλὴν ἀποσημαῖνον τοῖς ἐπαφωμένοις τὴν φλόγωσιν, ὅσην τοῖς ἐντὸς προσετίθει τὴν κάκωσιν. ἐπιθυμία δὲ δεινὴ τοῦ δέξασθαί τι ἦν αὐτῷ. οὐ γὰρ ἦν μὴ οὐχ ὑπουργεῖν. καὶ ἑλκώσεις τῶν τε ἐντέρων καὶ μάλιστα τοῦ κόλου δειναὶ ἀλγηδόνες. καὶ φλέγμα ὑγρὸν περὶ τοὺς πόδας καὶ διαυγές. παραπλησία δὲ καὶ περὶ τὸ ἦτρον κάκωσις ἦν. ναὶ μὴν καὶ τοῦ αἰδοίου σῆψις σκώληκας ἐμποιοῦσα. πνεύματός τε ὀρθία ἔντασις καὶ αὕτη λίαν ἀηδὴς ἀχθηδόνι τε τῆς ἀποφορᾶς, καὶ τῷ πυκνῷ τοῦ ἄσθματος. ἐσπασμένος τε περὶ πᾶν ἦν μέρος ἰσχὺν οὐχ ὑπομενητὴν προστιθέμενος. ἐλέγετο οὖν ὑπὸ τῶν θειαζόντων, καὶ οἷς ταῦτα προαποφθέγγεσθαι σοφία πρόκειται, ποινὴν τῆς πολλῆς δυσσεβείας ταύτην ὁ θεὸς εἰσπράσσεσθαι παρὰ τοῦ βασιλέως. καίπερ δὴ μειζόνως ἢ ἀντέχοι αὐτῆς ταλαιπωρούμενος, ἐν ἐλπίδι τοῦ ἀνασφῆλαι ἦν, ἰατρούς τε μεταπέμπων, καὶ ὁπόσα ἀρωγὰ ὑπαγορεύσειαν χρῆσθαι, μὴ ἀποτετραμμένος.

nec recusamus mortem ac supplicium quodcunque nobis intuleris, conscij nos non ob maleficium, sed pietatis causa hæc perpeti. Hæc illi non minorem animo quàm verbis præferentes fortitudinem, æquè tum ad constanter patiendum alacres, atque antè ad fortiter agendum fuerant. Eos rex vinctos misit Hierichuntem: móxque accitis Iudæorum primoribus in concionem eorum lectica ob imbecillitatem delatus, cœpit commemorare labores suos exhaustos pro republica, tum instauratum templum impendiis ingentibus, quale opus per CXXV. annos nemo Asamonæorum regum ad honorem Dei valuisset perficere. nec extructum id tantùm à se, verùm etiam ornatum votiuis muneribus ac donariis templo dignissimis. ob hæc facta sperasse se vel post obitum sempiternam, & memoriam, & gloriam. nunc proh nefas viuo etiam ac superstiti pro beneficiis reponi iniuriam: & medio die inspectante multitudine sua dona sacrata violari ac detrahi: quæ iniuria licèt in ipsum intentata, re tamen vera ad Deum magis pertineat, cuius sacra compilata sint. Tum honoratiores quiqueveriti crudelitatem eius, ne fortè efferatus in se quoque grauiùs animaduerteret, negauerunt hæc facta ex ipsorum sententia, viderique sibi, admissam esse rem dignam supplicio. Ille in cæteros mitior, Matthiæ pontifici ademit sacerdotium, quasi non alieno ab hoc consilio, eíque successorem dedit fratrem vxoris suæ Ioazarum. Huius Matthiæ pontificatu accidit etiam alium pontificem ad vnam diem substitui, qua Iudæi populariter ieiunium celebrant. Nam Matthias ea nocte quæ præcedebat diem ieiunij, visus est sibi per somnum cum vxore congredi: & cùm ob hoc ad rem diuinam faciendam non esset idoneus, Iosephus Ellemi filius adiutor vicarius propter cognationem ei datus est. Cæterùm Herodes post mulctatum Matthiam sacerdotio, alterum Matthiam seditionis autorem eiúsque socios viuos exussit: in quam noctem etiam defectus lunæ incidit. Regi verò morbus factus est grauior, pœnam impietatis exigente numine. lento enim calore torrebatur, qui non tam externo tactu deprehenderetur, quàm intus popularetur viscera. aderat & vehemens voracitas, cui necesse esset continuò cibos suggerere: simúlque vexabatur intestinorum exulceratione & colicis passionibus. pedes tumebant phlegmate humido & pellucido, similitérque inguina. ipsa quoque verenda putrefacta scatebant vermiculis, accedente fœda nec minus molesta tentigine, non sine fœtore grauissimo. super hæc omnia neruorum contractione laborabat & difficultate anhelitus. Quamobrem constans erat inter viros diuinos & fatidicos opinio, regē læsę tot modis pietatis Deo pœnas expendere. Qui tametsi grauiùs affligeretur, quàm vt videretur posse morbo perferendo sufficere, tamen euasurum se sperabat, accersendis medicis intentus, & medicamentis conquirendis vndique,

profectus etiam vltrà Iordanem fluuium, calidis aquis ſe fouebat apud Calliroen, quæ præter vim medicam potu quoque iucundæ ſunt. Hę aquę in lacum bituminis feracem effluunt. ibi de medicorum conſilio immiſſus, fouendus in refertum oleo ſolium, viſus eſt illis iam agere animam. quare exorta comploratione familiarium excitatus & ad ſe reuerſus, nullámque amplius ſalutis ſpem ſupereſſe intelligens, donatiuum militibus quinquagenas drachmas iuſſit diſtribui: magna deinde liberalitate vſus in duces atque amicos, rurſũ Hierichuntem reuerſus eſt: vbi atra bile prægrauante eò immanitatis prolapſus eſt, vt facinus animo conciperet longè atrociſſimum. Nam cùm è tota ditione nobiliores Iudæorum ad eum conueniſſent, euocati minaci edicto pœnam capitis intentante non parentibus, infenſus ex æquo ſiue ſontibus ſeu innoxiis, vniuerſos concluſit in circo. accita deinde Salome ſorore maritóque eius Alexa, ait inſtare ſibi terminum vitæ, ſuccumbenti tantis doloribus: quod quidem ferendum eſſe, quando iuxta communem mortalium ſortem accidat. illud permoleſtum eſſe, ſi carendum ſit extremo honore luctus, qui debeatur regibus. nō enim ignotam ſibi eſſe Iudæorum mentem, quòd optatam ſuam mortem lætis accepturi ſint animis, quandoquidem vel à viuente etiã tum non abſtinuiſſent contumelias: ſed illorum eſſe officij, leuamen aliquod præſentis huius doloris decernere. nam ſi aſſenſum conſilio ſuo præbeant, fore ſuum funus longè quã aliorum regum honoratius, & manibus ſuis gratius, omnibus per totam ditionem non fictæ lugentibus. Ergo quamprimùm viderint ſe exhalaſſe animam, debere eos clauſam Circo nobilium multitudinem cingere militibus, ignorantibus etiamtum ſuum obitum, non priùs vulgandum quàm mãdatum executi ſint, iubere deinde vt circumuentos vnà omnes iaculis configerent. Quibus hoc modo cæſis duplicem ſe eis habiturum gratiam, vel quòd mandatorum fuerint memores, vel quòd obitum ſuum publico luctu honorauerint. Hæc ille cum lacrymis lamentabundus cognatos per mutuam fidem ac beneuolentiam pérque omnia ſacra obteſtabatur, ne ſe extremo hoc honore fraudatum vellent, eis contra pollicentibus daturos ſe operam vt cuncta iuxta ipſius mandatum fierent. Nunc ſanè etiamſi quis præteritã eius in cognatos ſæuitiam tribuere vellet pro incolumitate & ſecuritate ſolicitudini, ex hac certè nouiſſima eius voluntate deprehendere poteſt, quàm inhumano animo præditus fuerit: quandoquidem iamiam è vita diſceſſurus curabat vt ex ſingulis familiis vno aliquo ſublato, totam gentem in luctum & cariſſimorum deſiderium coniiceret, nec læſus à quoquam eorum, nec valens eis quicquam obiicere: cùm hi quibus vllum eſt virtutis ſtudium, etiam inimicis tali ſuo tempore odia remittere ſoleant.

A ποταμόν τε περάσας Ἰορδάνην, θερμοῖς τοῖς κατὰ Καλλιρρόην αὑτὸν παρεδίδου, ἅπερ σὺν τῇ ἐς πάντ' ἀρετῇ καὶ πότιμά ἐστιν. ἔξεισι δὲ τὸ ὕδωρ τοῦτο εἰς λίμνην τὴν ἀσφαλτοφόρον λεγομένην. κἀνταῦθα τοῖς ἰατροῖς δοκῆσαν ὥς τε ἀναθάλπειν αὐτὸν, καθεσθεὶς εἰς πύελον ἐλαίου πλέον, δόξαν μεταστάσεως ἐνεποίησεν αὐτοῖς. τῆς δὲ οἰκετείας οἰμωγῇ χρωμένων περιενεγκὼν, καὶ μηδ' ἥν τινα ἀμφὶ τοῦ σωθησομένου ἐλπίδα ἔχων, τοῖς στρατιώταις ἀνὰ πεντήκοντα B δραχμὰς ἑκάστῳ κελεύει νεμηθῆναι. πολλὰ δὲ καὶ τοῖς ἡγεμόσιν αὐτῶν καὶ φίλοις τοῖς αὐτοῦ ἐδωρεῖτο, καὶ παρῆν αὖθις ἐπὶ Ἱεριχοῦντος. μέλαινά τε χολὴ αὐτὸν ᾕρει ἐπὶ πᾶσιν ἐξαγριαίνουσα, ὥς τε δὴ τελευτὴν, πρᾶξιν τοιάνδε ἐπινοεῖν. ἀφικομένων προστάγματι τῷ αὐτοῦ Ἰουδαίων ἀνδρῶν παντὸς τοῦ ἔθνους ὁπού ποτε ἀξιολόγων, πολλοὶ δὲ ἐγένοντο ὡς τοῦ παντὸς ἔθνους κατακεκλημένου, καὶ πάντων ἀκροασαμένων τοῦ διατάγματος, C εἰς γὰρ θάνατον ἦν ἀνακείμενα τοῖς ἀλογήσασι τῶν ἐπιστολῶν, ἐμμαινομένου πᾶσι τοῦ βασιλέως ὁμοίως τοῖς τε ἀναιτίοις καὶ παρεσχηκόσιν αἰτίαν, συγκλείσας αὐτοὺς πάντας ἐν τῷ ἱπποδρόμῳ. τήν τε ἀδελφὴν αὐτοῦ Σαλώμην καὶ τὸν ἄνδρα αὐτῆς Ἀλεξᾶν μεταπεμψάμενος, τεθνήξεσθαι μὲν οὐ πόρρω ἔλεγεν, ἐπὶ τοσόνδε τῶν ἀλγηδόνων αὐτὸν περιεχουσῶν. καὶ τόδε μὲν οἰστόν τε καὶ πᾶσι φίλον παρατυγχάνειν. ὀλοφυρμῶν δὲ ἀπείρων D καὶ πένθους ἐνδεᾶ ὁποῖον ἐπὶ βασιλεῖ πράσσοιτο ἂν, μάλιστα αὐτῷ λυπηρὸν εἶναι. οὐ γὰρ ἀποσκοπῶν τὴν Ἰουδαίων διάνοιαν, ὡς εὐκταῖος αὐτοῖς καὶ πάνυ κεχαρισμένος ὁ θάνατος αὐτοῦ, διὰ τὸ καὶ ζῶντος ἐπὶ ἀποστάσει ἐπείγεσθαι καὶ ὕβρει τῶν ὑπ' αὐτοῦ προστεθειμένων. ἔργον δ' ἄρα ἐκείνων εἶναι, κούφισιν τινὰ αὐτῷ ψηφίσασθαι τοῦ ἐπὶ τοιοῖσδε ἀλγεινοῦ. τὰ αὐτὰ γὰρ δὴ φρονῆσαι δόξῃ τῇ αὐτοῦ μὴ ἀπειπαμένων μέγαν αὐτοῦ τὸν ἐπιτάφιον γενήσεσθαι, καὶ ὁποῖος οὐδ' ἄλ- E λων βασιλέων, καὶ πένθος διὰ τοῦ ἔθνους ἅπαντος ἐκ ψυχῆς ὀλοφυρομένων ἐπὶ παιδιᾷ καὶ γέλωτι αὐτοῦ. ἐπὰν οὖν θεάσωνται τὴν ψυχὴν ἀφέντα αὐτὸν, περιστήσαντας τῷ ἱπποδρόμῳ τὸ στρατιωτικὸν ἀγνοοῦν ἔτι τὸν θάνατον αὐτοῦ, μὴ γὰρ πρότερον εἰς τοὺς πολλοὺς ἐξενεγκεῖν ἢ τάδε πρᾶξαι, κελεύειν ἀκοντίσαι τοὺς ἐγκαθειργμένους. καὶ πάντας τοῦτον ἀνελόντας τὸν τρόπον διχόθεν αὐτὸν οὐκ ἀμβλυτήσαντας τοῦ εὐφρανοῦντος, F κυρώσει τε ὧν ἐπιστείλαιεν αὐτοῖς μέλλων τελευτᾶν, καὶ τῷ πένθει ἀξιολόγῳ τετιμῆσθαι. καὶ ὁ μὲν μετὰ δακρύων ποτνιώμενος, καὶ τὴν συγγενοῦς τὴν εὔνοιαν καὶ πίστιν τοῦ θείου προσβαλὼν, ἐπέσκηπτε μὴ ἀτιμασθῆναι ἀξιῶν. κἀκεῖνοι ὡμολόγουν οὐ παραβήσεσθαι. κατανοήσειε δ' ἄν τις τὴν διάνοιαν αὐτοῦ τοῦ ἀνθρώπου, καὶ ὅτῳ τὰ πρότερα ἤρεσκεν, ὡς ὑπὸ τοῦ φιλοζωεῖν πράξειε τὰ εἰς τοὺς συγγενεῖς πεπραγμένα, ἐκ γοῦν τῶν ἄρτι ἐντολῶν οὐδὲν ἀνθρώπειον εἰσφερομένην, εἴγε καὶ ἀπιὼν τοῦ βίου πρόνοιαν εἶχεν G ὡς ἐν πένθει καὶ ἐρημίᾳ τῶν φιλτάτων τὸ πᾶν καταστήσειεν ἔθνος, ἕνα ἀπὸ ἑκάστου οἴκου κελεύων μεταχειρήσασθαι, μηδὲν ἄδικον μήτε εἰς αὐτὸν δεδρακότας, μήτε ἐφ' ἑτέροις ἐγκλήμασι κατηγορίας αὐτῶν γενομένης, εἰωθότων οἷς προσποίησις ἀρετῆς καὶ πρὸς τοὺς ἐν δίκῃ ἐχθροὺς γεγονότας τοιοῖσδε καιροῖς τὰ μίση καταπίθεσθαι.

Κερά-

Κεφάλαιον θ'.

Ἀντιπάτρου ἀναίρεσις.

Ταῦτα δὲ ἐπιστέλλοντος αὐτοῦ πρὸς τοὺς συγγενεῖς, γράμματα παρῆν ἀπὸ τῶν εἰς ῥώμην πρέσβεων ἀποσταλμένων εἰς καίσαρα. καὶ ἀναγνωσθέντων τὸ κεφάλαιον ἦν, ὡς τῆς τε ἀκμῆς ὀργῇ τῇ καίσαρος ἀνῃρημένης, ἐφ' οἷς ἀντιπάτρῳ συγκακουργήσειεν. αὐτόν τε ἀντίπατρον, ὡς ἐπὶ γνώμῃ τῇ ἐκείνου ποιεῖται ὡς πατρὸς καὶ βασιλέως, εἴτε φυγάδα ἐλαύνειν ἐθελήσειεν, εἴτε κτιννύειν. τούτων ἀκροώμενος ἡρώδης, βραχὺ μέν τι ἀνῴρεγκεν ἡδονῇ τῶν γεγραμμένων, θανάτῳ τε τῆς ἀκμῆς ἐπαιρόμενος, καὶ ἐξουσίᾳ τῆς ἐπὶ τῷ παιδὶ τιμωρίας. περιελθὼν δὲ εἰς μέγα τῶν ἀλγηδόνων, περιεῖτο τεταλαιπωρημένος σιτίων, καὶ ᾔτησε μῆλον καὶ μαχαίριον. ἦν γὰρ ἐν ἔθει καὶ πρότερον αὐτῷ, περιλέψαντι αὐτὸ δι' αὑτοῦ καὶ κατ' ὀλίγον τέμνοντι ἐσθίειν. λαβὼν δὲ καὶ περισκεψάμενος, γνώμην εἶχεν ὡς παίσων ἑαυτόν. κἂν ἐπεπράχει, μὴ φθάσαντος αὐτοῦ καταλαβεῖν τὴν δεξιὰν ἀχιάβου, ὃς ἀνεψιὸς ἦν αὐτοῦ. καὶ μέγα ἀνακραγόντος, οἰμωγή τε αὖθις ἀνὰ τὸ βασίλειον ἦν, καὶ θόρυβος μέγας ὡς οἰχομένου τοῦ βασιλέως. καὶ ἀντίπατρος, πιστεύει γὰρ τέλος ἀληθῶς τὸν πατέρα ἔχειν, θάρσος τε ἐχρῆτο ἐπὶ τοῖς λόγοις ὅλος ὡς ἤδη τῶν δεσμῶν ἀφησόμενος, καὶ τὴν βασιλείαν ἀκονιτὶ δεξόμενος εἰς χεῖρας. καὶ τῷ εἱρκτοφύλακι περὶ ἀφέσεως ἦν αὐτοῦ διάλογος μεγάλα ὑπισχνουμένου εἰς τὸ παρὸν, καὶ τὸ αὖθις, ὡς ἂν περὶ τοιοῦδε τοῦ ἀγῶνος ἀνεστηκότος. ὁ δὲ, οὐ μόνον ἀπειθὴς ἦν πράσσειν ἐφ' οἷς ἠξίου ἀντίπατρος, ἀλλὰ καὶ τῷ βασιλεῖ ἀποσημαίνει διάνοιαν τὴν ἐκείνου, πολλαῖς καὶ προσφοραῖς παρ' αὐτοῦ χρώμενος. ὁ δὲ ἡρώδης καὶ πρότερον οὐχ ἡσσώμενος οὐδ' εὐνοίᾳ τοῦ υἱέος, ἐπεὶ ἤκουσε τοῦ εἱρκτοφύλακος ταῦτα εἰρηκότος, ἀνεβόησέ τε ἀνατυψάμενος τὴν κεφαλὴν, καίπερ ἐν τοῖς ὑστάτοις ὤν. καὶ ἐπὶ ἀγκῶνα περιάρας ἑαυτὸν, κελεύει πέμψας τινὰ τῶν δορυφόρων, μηδὲν εἰς ἀναβολὰς, ἀλλ' ἐκ τοῦ ὀξέως κτείνασιν αὐτὸν ἐν ὑρκανίᾳ τάφοις ἀσήμοις ποιεῖσθαι.

Κεφάλαιον ι'.

Ἡρώδου τελευτὴ, διαθήκη καὶ ταφή.

Τὰς δὲ διαθήκας αὖθις μετέγραφεν μεταβολῆς αὐτῷ περὶ τὴν διάνοιαν γενομένης. ἀντίπαν μὲν ᾧ τὴν βασιλείαν καταλελοίπει, τετράρχην καθιστὰς γαλιλαίας τε καὶ περαίας, ἀρχελάῳ δὲ τὴν βασιλείαν χαριζόμενος, τὴν τε γαυλωνῖτιν καὶ τραχωνῖτιν καὶ βατανέαν καὶ πανιάδα φιλίππῳ, παιδὶ μὲν τῷ αὐτοῦ, ἀρχελάου δὲ ἀδελφῷ γνησίῳ, τετράρχην εἶναι. ἰάμνειαν δὲ καὶ ἄζωτον καὶ φασαηλίδα, σαλώμῃ τῇ ἀδελφῇ αὐτοῦ κατανέμει, καὶ ἀργυρίου ἐπισήμου μυριάδας πεντήκοντα. προυνόησε δὲ καὶ τῶν λοιπῶν ὁπόσοι συγγενεῖς ἦσαν αὐτῷ, χρημάτων τε δόσεσι καὶ προσόδων ἀναφοραῖς ἑκάστους ἐν εὐπορίᾳ καθιστάμενος. καίσαρι δὲ, ἀργυρίου μὲν ἐπισήμου μυριάδας χιλίας, χωρὶς δὲ σκεύη τὰ μὲν χρυσοῦ, τὰ δ' ἀργύρου, καὶ ἐσθῆτα παμπολυτελῆ. ἰουλίᾳ δὲ τῇ καίσαρος γυναικὶ, καί τισιν ἑτέροις πεντακοσίας μυριάδας. ταῦτα πράξας ἡμέρᾳ πέμπτῃ, μεθ' ὃ ἀντίπατρον κτείνει τὸν υἱὸν τελευτᾷ, βασιλεύσας μεθ' ὃ μὲν ἀνεῖλεν ἀντίγονον, ἔτη τέσσαρα καὶ τριάκοντα, μεθ' ὃ δὲ ὑπὸ ῥωμαίων ἀποδέδεικτο, ἑπτὰ καὶ τριάκοντα, ἀνὴρ ὠμὸς μὲν

Cap. IX.

Antipatri exitium.

Dum hæc mandata cognatis dat, superuenerunt à Roma literæ, à legatis missis ad Cæsarem: quarum summa erat, Acmen ab irato Cæsare occisam esse, propter locatam Antipatro operam: ipsúmque Antipatrum relinqui arbitrio & regis & patris: siue in exilium vellet eum pellere, siue capite plectere. His auditis Herodes paululū recreatus est voluptate nuncij pœnæ Acmes, & permissæ sibi potestatis liberè statuendi de filio: mox repetitus graui dolore, cibi tamen auidus, malum simul & cultellum poposcit. Solebat enim & antea per se repurgatum paulatim incidendo comedere. tunc verò circumspiciebat, ferire se ipsum cupiens: perpetrassétque facinus, ni Achiabus nepos ictum præueniens, clamore sublato cohibuisset eius dexteram: móxque denuò luctus cum trepidatione ac tumultu occupauit palatium, quasi rege iam agente animam: quem strepitum vbi persensit Antipater, ratus patrem verè vitam finisse, spem cōcepit fore vt solutus vinculis sine difficultate regnum acciperet, cœpítque cum custode carceris de missione agere, multa & in præsens & in futurum post acquisitam potestatem pollicens. ille verò adeò non paruit, vt mox conatus eius regi renunciaret, vtque solicitatus ab eo ostentato præmio. Tum Herodes qui iam antè malè affectus erat erga filium, postquam audiuit custodem carceris, exclamans præ indignatione: & caput sibimet verberans, quamuis morti proximus erexit se in cubitum, iussítque vnum è satellitio sine mora eum occidere, & corpus obscuro condi in castello Hyrcanio.

Cap. X.

Herodis mors, testamentum & funeratio.

Deinde mutata voluntate mutauit etiam testamentum. Antipam enim quē prioribus tabulis regni successorem destinauerat, Galilææ simul ac Peræææ tetrarcham constituit. regnum verò Archelao largitus, Trachoniticam, Gauloniticam, Bataneam, & Paneada regiones tetrarchiæ nomine assignauit Philippo filio, germano fratri Archelai, Iamniam autem, Axotum & Phasaelida Salomę sorori suę attribuit, & argēti signati quingenta millia. habita est & cæterorum cognatorum ratio. abundéque prospectum singulis legenda pecunia & reditibus annuis. Cæsari quoq; legauit argēti signati cēties cētena millia, prætérque sua vasa tā aurea quā argentea, magnúmq; vestis preciosę numerū. Iuliæ autē Cęsaris vxori, & quibusdā amicis quinquagies cētena millia. His ita ordinatis quinta die pòst quàm Antipatrum filium occidit, vita defunctus est post detrusum regno Antigonū anno trigesimo quarto, ex quo autem à Romanis rex declaratus est anno XXXVII. vir in omnes

ex æquo sæuus, iræ seruus, iuris dominus: fortuna autem propitia vsus, si quis alius. ex priuatis enim natus regnũ assecutus est, & innumeris circumdatus periculis semper euasit feliciter, vixítque longissimo tempore. quantum autem ad domesticos & filios attinet, hic quoque felix fuit sua sententia, oppressis inimicis & aduersariis, sed infelicissimus meo iudicio. Cæterùm Salome & Alexas priusquam regis mors innotesceret, in circo clausos domum suam quémque dimiserunt, dicentes ipsum ita iubere, vt in agros digressi curarent suametipsorum negotia: atque hoc pacto magno beneficio vniuersam gentem sibi deuinxerunt. XI. Indicata deinde regis morte, congregatáque in Hierichuntinum amphitheatrũ omni militia, primùm legerunt literas eius scriptas ad milites, in quibus gratias eis agebat pro fide ac beneuolentia, rogabátque vt eandem seruarent & Archelao filio, quem regni successorem sibi substitueret. Deinde Ptolemæus, cui annulus regis signatorius creditus fuerat, testamentum perlegit, quod non aliàs ratum habendum esset, quàm accedente consensu Cæsaris. Móxque acclamatum est regi Archelao, & milites cateruatim vnà cum suis ducibus pollicebantur eandem quam patri hactenus præstitissent fidem atque operam, lætis ominationibus Deum illi fautorem comprecantes. Post hæc funus parabatur regi, Archelao curante vt exequiæ patri fierent quàm splẽdidissimæ, & omnem ornatum proferente vt in pompa comitaretur mortuum. Ferebatur autem in lectica aurea, distincta variis gemmis preciosis, & instrata purpura: corpus quoque amictum erat purpura, imposito capiti diademate, & desuper corona aurea, sceptróque in manu dextera. lecticam stipabãt filij & cognatorum numerus. Hos sequebantur milites distributi per nationum genera: primùm satellites, deinde Thraces, post hos Germani, & deinceps Galli, omnes instructi velut ad prælium: reliqua deinde exercitus multitudo armata sub suis ducibus ac centurionibus. hos sequebantur quingenti famuli, ferentes aromata. ea pompa processit Herodium vsque per octo stadia, vbi quemadmodum antè mandauerat sepultus est. Et Herodes quidem sic defunctus est. Archelaus autem per septem dies iuxta patriam legem luctu parentis celebrato, & in fine luctus funebri epulo multitudini præbito, in templum ascendit: & quacunque transiret excipiebatur gratulationibus ac faustis acclamationibus. Tum conscenso suggesto sublimis in aureo solio residens, accipiebat lætus gratulatrices voces fauoris indices, & ipse vicissim omni comitate respondebat multitudini, agebátque grates quòd obliti patris sui duriciæ, nihilo deteriùs erga ipsum affecti essent, pollicebatúrque parem pro eorum studiis gratiam. adhuc tamen abstinere se à regis nomine, quòd ab autoritate & assensu Cæsaris pendeat, penes quẽ sit testamẽti à patre scripti confirmatio. quamobrẽ ne ab

A εἰς πάντας ὁμοίως, καὶ ὀργῆς μὲν ἥσσων, κρείσσων δὲ τοῦ δικαίου, τύχῃ δὲ εἰ καί τις ἕτερος κεχρημένος εὐμενεῖ. ἔκ τε γὰρ ἰδιώτου βασιλεὺς κατέστη, καὶ κινδύνοις περισχεθεὶς μυρίοις, πάντων ποιεῖται διάδρασιν, καὶ τοῦ ζῆν ἐπὶ μήκιστον ἐξίκετο. ὁπόσα δὲ τὰ κατ᾽ οἶκον περὶ υἱεῖς τοὺς αὐτοῦ, ὅσα μὲν γνώμῃ τῇ ἐκείνου, καὶ πάνυ δεξιᾷ κεχρημένος διὰ τὸ κείνας ἐχθροὺς κρατεῖν οὐχ ὑστερῆσαι, δοκεῖ δέ μοι καὶ πάνυ δυστυχής. σαλώμη δὲ καὶ ἀλεξᾶς B πρὶν ἔκπυστον γενέσθαι τὸν θάνατον τοῦ βασιλέως, τοὺς ἐπὶ τῷ ἱπποδρόμῳ κατακεκλεισμένους ἐκπέμπουσιν ἐπὶ τὰ αὐτῶν, φάμενοι βασιλέα κελεύειν ἀπιοῦσιν αὐτοῖς ἐπὶ τοὺς ἀγροὺς νέμεσθαι τὰ οἰκεῖα. περίεσταί τε αὐτοῖς ἤδη εὐεργεσία μεγίστη εἰς τὸ ἔθνος. ἐφανερεῖτο δ᾽ ἤδη ὁ θάνατος τοῦ βασιλέως, καὶ σαλώμη καὶ ἀλεξᾶς, συναγαγόντες τὸ στρατιωτικὸν εἰς τὸ ἀμφιθέατρον τὸ ἐν ἱεριχοῦντι, πρῶτον μὲν ἐπιστολὴν ἀνέγνωσαν πρὸς τοὺς στρατιώτας γεγραμμένην, ἐπί τε πίστεως εὐχαριστίᾳ C καὶ εὐνοίας τῆς εἰς αὐτὸν, καὶ παρακλήσει τῆς ὁμοίων παρέξεως ἀρχελάῳ τῷ παιδὶ αὐτοῦ, ὃν βασιλέα καθίστατο. ἔπειτα μέντοι πτολεμαῖος τὸν σημαντῆρα τοῦ βασιλέως πεπιστευμένος τὰς διαθήκας ἀνέλεγεν. αἳ λήψεσθαι κύρωσιν οὐκ ἄλλως ἔμελλον, ἢ καίσαρος ἐντυχόντος αὐταῖς. βοὴ οὖν εὐθὺς ἦν ἐκπιμπλάντων ἀρχέλαον βασιλέα, καὶ οἱ στρατιῶται κατὰ στῖφη τε αὐτοὶ καὶ οἱ ἡγεμόνες εὔνοιάν τε ὑπισχνοῦντο καὶ προθυμίαν τὴν αὐτοῦ, καὶ συλλήπτορα τὸν θεὸν D παρεκάλουν. ἐντεῦθεν δὲ ταφὴν ἡτοίμαζον τοῦ βασιλεῖ, μελῆσαν ἀρχελάῳ πολυτελεστάτην γενέσθαι τὴν ἐκκομιδὴν τοῦ πατρὸς, καὶ πάντα τὸν κόσμον προκομίσαντος εἰς ὃ συμπομπεύσειν τοῦ νεκροῦ. ἐφέρετο δὲ ἐπὶ κλίνης χρυσέας λίθοις πολυτελέσι καὶ ποικίλοις διαπεπασμένης. στρωμνή τε ἦν ἁλουργὴς καὶ αὐτὸ πεπερονημένον τὸ πορφυρέῳ σιδὼν ὁ νεκρὸς διαδήματι ἠσκημένος, ὑπερκειμένου στεφάνου χρυσέου, σκῆπτρον τε τῇ δεξιᾷ παρακείμενον. περὶ δὲ τὴν κλίνην οἵ τε υἱεῖς καὶ τὸ E πλῆθος ἦν τῶν συγγενῶν. ἐπὶ δὲ τούτοις τὸ στρατιωτικὸν κατὰ οἰκείας προσηγορίας διέκειντο αὐτοῖς νεμηθέντες. πρῶτοι μὲν οἱ δορυφόροι. μετὰ δὲ τὸ θρακικὸν, ἐπὶ δὲ τούτοις ὁπόσοι γερμανοὶ, καὶ τὸ γαλατικὸν μετ᾽ αὐτοὺς, ἐν κόσμῳ πάντες τῷ πολεμιστηρίῳ. τούτων δὲ κατόπιν ἤδη πᾶς ὁ στρατὸς ὡς ἐς πόλεμον ἐξοδεύοντες, ὥσπερ ὑπὸ λοχαγῶν ἀγόμενοι, καὶ τοῖς ταξιαρχοῦσιν αὐτῶν. τούτοις εἵποντο πεντακόσιοι τῶν οἰκετῶν F ἀρωματοφόροι. ἤεσαν δὲ ἐπὶ ἡρῴδου σταδίοις ὀκτώ. τῇδε γὰρ αὐτοῦ ἐγίνοντο αἱ ταφαὶ προστάγματι τῷ αὐτοῦ. ἡρώδης μὲν δὴ τοῦτον ἐτελεύτα τὸν τρόπον. ἀρχέλαος δὲ, ἐπὶ μὲν ἑβδόμην ἡμέραν πένθος τῶν ἐν τῷ πατρὶ πιμελῶν διετέλει. τοσαύτας γὰρ διαγορεύει τὸ νόμιμον τοῦ πατρίου. ἑστιάσας δὲ τοὺς ὁμίλους καὶ καταλύσας τὸ πένθος, ἄνεισιν εἰς τὸ ἱερόν. ἦσαν δὲ εὐφημίαι καὶ ἔπαινοι καθ᾽ οὓς τινας ἴοι ἑκάστων τὰ πρὸς ἀλλήλους φιλοτιμουμένων εἰς τὸ δοκεῖν μείζοσι χρῆσθαι ταῖς εὐφημί- G αις. ὁ δὲ εἰς ὑψηλὸν βῆμα πεποιημένον ἀνελθὼν, καὶ ἱδρυθεὶς εἰς θρόνον χρυσοῦ πεποιημένον αὐτῷ δεξιοῦτο τοὺς ὁμίλους, χάρματι τῶν εὐφημιῶν τὴν εὔνοιαν αὐτῶν ἡδονῇ φέρων. χάριν τε ὡμολόγει, ὅτι μηδὲν αὐτῷ μνησικακοῖεν ἀνθ᾽ ὧν ὁ πατὴρ εἰς αὐτοὺς ὑβρίσειε καὶ πειράσεσθαι μὴ ἐλλείψειν ἀμειβόμενον τὸ πρόθυμον αὐτῶν. ἄρτι μέντοι φείδεσθαι ποιεῖσθαι τοῦ βασιλείου ὀνόματος. τετιμῆσθαι γὰρ αὐτὸν τῇ ἀξιώσει, εἴπερ βεβαίως καῖσαρ ἐπικυρώσειε τὰς διαθήκας, αἳ ὑπὸ τοῦ πατρὸς ἐγράφησαν αὐτῷ. δι᾽ ἣν αἰτίαν οὐδὲ τοῦ

στρατοῦ-

στρατεύματος ἐν ἱεριχοῦντι διάδημα αὐτῷ περιθέσθαι προθυμουμένου, δέξασθαι τὸ περιμάχητον τῆς ἐνθένδε τιμῆς, διὰ τὸ μηδέπω τὸν κυρίως ἀποδώσοντα φανερὸν εἶναι διαγενόμενον. περιόντων μὲν γε εἰς αὐτὸν τῶν πραγμάτων οὐ λείψειν ἀρετῆς τοῦ ἀμειψομένου τὴν εὔνοιαν αὐτῶν. σπουδάσειν γὰρ ἐν πᾶσιν τὰ πρὸς αὐτοὺς φανεῖσθαι τοῦ πατρὸς ἀμείνων τὰ πάντα. οἱ δὲ, οἷον ὄχλος εἴωθεν φιλεῖν, οἰόμενοι τὰς πρώτας τῶν ἡμερῶν τὰς διανοίας ἐμφανίζειν τῶν παριόντων ἐπὶ τοιάσδε ἀρχάς, ὅσῳ πρᾴως καὶ θεραπευτικῶς ὁ ἀρχέλαος διελέγετο αὐτοῖς, τοσῷδε μειζόνως τε ἐχρῶντο τοῖς ἐπαίνοις, καὶ τὰς αἰτήσεις δωρεῶν ἐπεγράφοντο. οἱ μὲν εἰσφορὰς ἃς ἐνιαυσίους φέροιεν ἐπικουφίζειν βοῇ χρώμενοι, οἱ δὲ αὖ δεσμωτῶν, οἳ ὑφ' ἡρώδου ἐδέδεντο, πολλοὶ δὲ ἦσαν καὶ πολλῶν χρόνων, ἀπόλυσιν, εἰσὶν δὲ οἳ ἄρσεις τῶν τελῶν, ἃ ἐπὶ πράσεσιν ἢ ὠναῖς ἡμισείαις ἐπεβάλλετο, πρασσομένας πικρῶς ᾐτοῦντο. ἀντέλεγέ τε οὐδαμῶς ἀρχέλαος, ἐπεὶ ἥρατο ὁμίλους σπουδαῖος ὢν ποιεῖν πάντα, διὰ τὸ νομίζειν μέγα πρᾶγμα εἰς τήρησιν τῆς ἀρχῆς γενήσεσθαι, τὴν εὔνοιαν αὐτοῦ τῆς πληθύος. ἐντεῦθεν δὲ θύσας τῷ θεῷ κατ' εὐωχίαν τρέπεται μετὰ τῶν φίλων.

Κεφάλαιον ια.

Ὡς ὁ λαὸς ἐστασίασε πρὸς τὸν ἀρχέλαον.

ΕΝ τούτῳ δὲ τινὲς τῶν ἰουδαίων συνελθόντες, νεωτέρων ἐπιθυμίᾳ πραγμάτων ὠδύροντο ματθίαν καὶ τοὺς σὺν αὐτῷ ὑφ' ἡρώδου ἀποθανόντας, οἳ παραχρῆμα τῆς εἰς τὸ πενθεῖσθαι τιμῆς φόβῳ τῷ ἐκείνου ἀπεστέροντο, ἦσαν δὲ οἱ τῶν ἐπὶ καθαιρέσει τοῦ χρυσοῦ ἀετοῦ καταδεδικασμένων, ἐπὶ μέγα τε τῆς βοῆς καὶ οἰμωγῆς χρώμενοι, καί τινα ὡς κούφισιν φέροντα τοῖς τεθνεῶσιν, ἀπερρίπτουν εἰς τὸν βασιλέα. συνόδου τε αὐτοῖς γενομένης ἠξίουν τιμωρίαν αὐτοῖς ὑπ' ἀρχελάου γενήσεσθαι κολάσεσι τῶν ὑπὸ ἡρώδου τιμωμένων, καὶ πάντων γε καὶ πρῶτον καὶ ἐκδηλότατον ὑπ' αὐτοῦ ἀρχιερέα καθεστῶτα παύσαντα, νομιμώτερόν τε ἅμα καὶ καθαρὸν ἀρχιερᾶσθαι ἄνδρα αἱρεῖσθαι. τούτοις ἀρχέλαος καίπερ δεινῶς φέρων τὴν ὁρμὴν αὐτῶν ἐπένευε, ἔχων τὴν ἐπὶ ῥώμης ὁδὸν αἰνεῖσθαι, προκειμένην αὐτῷ τάχος, ἐπὶ περισκοπήσει τῶν δοξάντων καίσαρι. πέμψας δὲ τὸν στρατηγὸν πειθοῖ χρῆσθαι, καὶ τῆς ἐπὶ τοιούτοις τιμωρίας ἀποστάντας σκοπεῖν, θάνατόν τε ὃς τοῖς φίλοις αὐτῶν συνέβη μετὰ νόμων γεγονότα καὶ τὰς αἰτήσεις ὡς ἐπὶ μέγα τοῦ ὑβρίζειν προΐοιεν, τούστε καιροὺς οὐκ ἐν τοιοῖσδε εἶναι, μᾶλλον δὲ τοῦ ὁμονοεῖν ἕως καταστησάμενος τὴν ἀρχὴν, ἐπινεύσει τῇ καίσαρος ἀφίκοιτο ὡς αὐτούς, τότε γὰρ κοινῇ βουλεύειν περὶ ὧν ἀξιοῖεν σὺν αὐτοῖς, ἄρτι δὲ ἀνέχειν, μὴ καὶ στασιάζειν δοκοῖεν. καὶ ὁ μὲν ταῦτα ὑπειπὼν καὶ διδάξας τὸν στρατηγὸν, ἐκπέμπεται πρὸς αὐτούς. οἱ δὲ βοῶντες λέγειν τε οὐκ εἴων, καὶ εἰς κίνδυνον τοῦ ἀπολογουμένου ἐκεῖνον καθίστασαν, καὶ τῶν ἄλλων ὅστις γε ἐπὶ σωφρονισμῷ καὶ ἀποτροπῇ τῶν τοιῶνδε ὀριγνᾶσθαι τολμήσειεν φθέγξασθαι φανερὸς ἦν, διὰ τὸ πάντα βουλήσει τῇ αὐτῶν μᾶλλον ἢ ἐξουσίᾳ τῶν ἐφεστηκότων συγχωρεῖν δεῖν ἡγούμενοι, εἰ ζῶντος τε ἡρώδου στερηθεῖεν τῶν φιλτάτων, καὶ τελευτῆς αὐτῷ γενομένης τιμωρίαν τῶν ἐπ' αὐτοῖς, ὡρμηκότες ταῖς γνώμαις, καὶ νόμιμόν τε καὶ δίκαιον ἡγούμενοι ὅτι μελλήσοι ἡδονὴν αὐτοῖς φέρειν, κίνδυνόν τε τὸν

A exercitu quidem apud Hierichuntem vltro offerente ambitiosum diadematis honorem se accipere voluisse, cùm nondum constaret de legitimi collatoris animo: cæterùm quàm primùm constabilitus esset in imperio, curæ sibi fore vt beneuolentia omnium videatur dignissimus: daturúmque operam, vt per omnia patre suo sit illis commodior. Illi verò, sicut vulgus solet, rati primis diebus aperiri mentem huiusmodi potestates ineuntium, B quo mansuetiùs & officiosiùs eos colloquebatur Archelaus, eò maioribus eum ferebant laudibus, poscebántque sibi ab illo beneficia: quidam vt leuius annuum tributum penderet: alij solutos dimitti quos Herodes non paucos vinxerat, & in his plerosque diu in carcere detinuerat: nonnulli vectigalium immunitatem, quibus grauabatur forum rerum venalium, magnis flagitabant vociferationibus. Horum nihil ille negabat, hoc agens vt con- C ciliaret sibi multitudinis animos, non leue in eo momẽtum rerum suarum situm existimãs, postremò re diuina peracta conuiuium cum amicis iniit.

CAP. XI.

Populus seditionem mouit contra Archelaum.

INterea Judæorum quidam nouarum rerum XII. cupidi per conuenticula deflebant Matthiã & socios quos Herodes affecerat supplicio. Hi D quoniam metu coerciti non ausi fuerant luctu honorare aquilæ aureæ violatores recens neci traditos, tunc cum clamoribus, & eiulatu in defunctum regem iactabant conuitia, quasi in mortuorum solatium: congregatique in vnum, in vindictam eorum ab Archelao deposcebant ad pœnam quosdam ex his qui cari Herodi fuerant: & ante omnia postulabant sacerdotium abrogari creato ab E illo pontifici, & subrogari hoc honore digniorem alium. Archelaus autem licèt importunitatem eorum indignè ferret, compescere tamen placidè conabatur, quòd pararet profectionem ad Cæsarem, vt sententiam Cæsaris cognosceret. Itaque misso ad eos magistro militum, per eum hortatus est, vt omisso vindictæ studio, considerarent legibus pœnas dedisse quorum molestè ferrent interitum: ad hæc postulata eorum non carere iniuria, & F tempus hoc alia consilia poscere, opúsque esse concordia, donec ad ipsos reuerteretur confirmatus rex assensu Cæsaris. tum demum dispiciendum super his rebus, & statuendum de communi sententia: interim quiescerent ne seditionis crimen incurrerent. Hæc mandata exponenti reclamatum est strenuè, periculum intentantibus quicunque conaretur verbis eos ad saniorem mentem reducere: quòd plus suę voluntati tribuerent, quàm autoritati præ- G sidentiũ, & indignũ ducerẽt, si amicorum quos viuo Herode amiserãt, ne mortuo quidem illo impetraretur vltio. adeò enim cõcitati erãt vt id tãtũ ius & fas putarent, quod ipsis voluptatẽ allaturum videbatur, ne sui quidem periculi

memores, dum inimicos lædere cupiũt. & cùm multi ad eos à rege mitterentur, qui partim ipsius nomine, partim ex sua persona verbis sedarent turbidos, neminẽ audire sustinebãt, sed ad maiorem irã accendebãtur, ausuri aliquid si maior accessisset numerus. Cùmque festum instaret quo patriũ Iudæis est vesci nõ fermentatis panibus (Pascha vocant, monumentum veteris ex Ægypto effugij, quo summa alacritate maiorem solito populus mactat victimarum numerum, & infinita turba, nonnullique etiam extra regionis terminos habitantes confluunt religionis gratia) seditiosi deploratores legis doctorum Iudæ ac Matthiæ conglobati in templo permanebant, non deficiente victu quem illos non pudebat mendicato quærere. Tum Archelaus veritus ne ad grauius aliquid eorum insolentia procederet, mittit tribunum cũ cohorte, qui compescerent homines, priusquã cętera turba huius furoris inficeretur contagio. & si quorum emineret in concienda seditione ferocia, illos vt ad se adducerent. In hos turbatores illi clamoribus & hortatibus plebem exasperauerunt, & ferientes saxis plerosque occiderunt: tribunus cum paucis effugerunt saucij. quo perpetrato rursum sacris operati sunt. Archelaus porrò de rerum summa periclitari sibi visus est, ni plebis impetum illum retunderet. itaque totum exercitum in eos immittit, simúlque equites, qui & aduenas prohiberent occupantibus templum succurrere, & quotquot ex eis peditum euasissent, iam in tuto se existimantes ferro exciperent. ab his equitibus ad tria millia virorum cæsa sunt, reliqui fuga se in proximos montes receperunt. Archelaus autem per præconem edixit, vt omnes in sua discederent. illi metus grauioris mali festiuitate relicta abierunt, quamuis audaces & sine disciplina homines. Tum Archelaus ad mare descendit vnà cum matre sua, ducens secum Nicolaum & Ptolemæum, multósque ex amicis alios, & familia & regno cõmissis Philippi fratris sui fidei. Simul etiam profecta est Salome Herodis soror, ducens secum suam progeniem. alij quoque ex cognatis sequebantur multi, quasi collaboraturi pro paranda regia dignitate Archelao, re autem vera obnixuri ei potiùs, & præcipuè perpetratum in templo facinus incusaturi. Cùm hoc comitatu eunti occurrit apud Cæsaream Sabinus procurator Cæsaris in Syria, in Iudæam properans ad asseruandam Herodis pecuniam, quem Varus commodum interueniens retinuit: aderat enim ab Archelao accersitus per Ptolemæum. ita ille in præsidis gratiam neque arces occupauit in Iudæa, neque thesauros obsignauit regios, omnia relinquens in potestate Archelai, tantisper donec Cæsar de his aliquid statueret: & hæc pollicitus mansit Cæsareæ. Sed postquam alter Romam nauigauit,

XIV.

A ὑπ' αὐτοῦ, περιειδέσθαι τε ἀμαθεῖς, καὶ εἰπεῖν ὑποπτεύεσθαι ὑπερβολῆς αὐτοῦ γινομένης τῆς περὶ χρῆμα ἡδονῆς ἐκ τοῦ τιμωρήσασθαι τοὺς ἐχθίστους δοκοῦντας αὐτοῖς. πολλῶν δὲ ὑπὸ ἀρχελάου πεμπομένων οἳ διαλέξοιντο αὐτοῖς, τῶν δὲ οὐχ ὑπ' ἐκείνου. γνώμῃ δὲ τῇ αὐτῶν δοκεῖν παριόντων ὅπως εἰς τὸ πραΰτερον καταστήσονται αὐτούς, οὐδένα ἠνείχοντο εἰπεῖν. ἀνάστασίς τε ἦν λίαν ὀργῇ χρωμένων. φανεροί τε ἦσαν ἐπὶ μέγα αὐξήσοντες τὴν στάσιν πλήθους ἐπισυρρυέντος αὐτοῖς. ἐνστάσης δὲ κατὰ τόνδε τὸν καιρὸν ἑορτῆς ἐν ᾗ ἰουδαίοις ἄζυμα προτίθεσθαι πάτριον, (φάσκα δὲ ἡ ἑορτὴ καλεῖται, ὑπόμνημα οὖσα τῆς ἐξ αἰγύπτου ἀπάρσεως αὐτῶν γινομένης, καὶ θύουσιν αὐτῇ προθύμως, πλῆθος τὸ ἱερείων ὡς οὐκ ἄλλῃ κατακόπτειν ἐστὶν αὐτοῖς νόμιμον, κάτεισι δὲ πληθὺς ἀναρίθμητος ἐκ τῆς χώρας, ἤδη δὲ καὶ ἐκ τῆς ὑπερορίας ἐπὶ θρησκείᾳ τοῦ θεοῦ) καὶ οἱ νεωτερισταὶ τοὺς περὶ τὸν ἰούδαν καὶ ματθίαν ἐξηγητὰς τῶν νόμων ὀδυρόμενοι, συστάντες ἐν τῷ ἱερῷ τροφῆς ηὐπόρουν, τοῖς στασιώταις οὐκ ὂν μετ' αἰσχύνης μεταιτεῖν αὐτούς. καὶ δείσας ἀρχέλαος μηκέτι δεινὸν βλαστήσειεν αὐτῶν τῇ ἀπονοίᾳ, πέμπει σπεῖραν τῶν ὁπλιτῶν χιλίαρχόν τε τὴν ὁρμὴν τῶν ἐνεστηκότων πρότερον τὸν πάντα ὅμιλον τοῦ μανιώδους αὐτῶν μὴ πλέω καταστῆναι, καὶ εἴ τινες διάδηλοι πολλοὶ τῶν ἄλλων καθίσταντο D προθυμίᾳ τοῦ στασιάζειν, ἐπ' αὐτὸν ἀγαγεῖν. ἐπὶ τούτοις οἱ στασιῶται τῶν ἐξηγητῶν, καὶ τὸ πλῆθος ἐξαγριώσαν, βοῇ καὶ διακελευσμῷ χρώμενοι, ὥρμησάν τε ἐπὶ τοὺς στρατιώτας, καὶ περιστάντες καταλεύουσι τοὺς πλείστους αὐτῶν. ὀλίγοι δέ τινες καὶ ὁ χιλίαρχος τραυματίαι διέφυγον. καὶ τοῖς μὲν ταῦτα πράξασιν διὰ χειρῶν αὖθις ἡ θυσία ἦν. ἀρχελάῳ δὲ ἄπορον ἐδόκει σώζεσθαι τὰ πάντα, μὴ οὐκ ἀνακόψαντι τὴν ἐπὶ τοιοῖσδε ὁρμὴν τῆς πληθύος. ἐκπέμπει δὲ πᾶν τὸ στρατόπεδον, καὶ τοὺς ἱππεῖς οἳ τοὺς τε αὖθις ἐσκηνωκότας κωλύοιεν τοῖς κατὰ τὸ ἱερὸν βοηθεῖν, καὶ τοὺς ἐκπίπτοντας ὑπὸ τῶν πεζῶν δέχοιντο ἀντειλῆφθαι τῆς ἀσφαλοῦς ἤδη πεπιστευκότας. καὶ εἰς μὲν τρισχιλίους ἄνδρας ἔκτειναν οἱ ἱππεῖς. τὸ δὲ λοιπὸν ᾤχετο ἐπὶ ὄρη τὰ πλησίον ἰόντες. ἐκήρυσσε δ' ἀρχέλαος ἀναχωρεῖν ἐπὶ τὰ αὐτῶν πᾶσιν. οἱ δὲ ἀπῄεσαν τὴν ἑορτὴν καταλιπόντες, φόβῳ κακοῦ F μείζονος, καίπερ θρασεῖς ὄντες διὰ τὸ ἀπαίδευτον. ἀρχέλαος δ' ἐπὶ θαλάσσης κατῄει μετὰ τῆς μητρός, νικόλαον καὶ πτολεμαῖον, καὶ πολλοὺς τῶν φίλων ἐπαγόμενος, φιλίππῳ τἀδελφῷ τὰ πάντα ἐφεὶς καθίστασθαι τοῦ οἴκου καὶ τῆς ἀρχῆς. συνεξῄει δ' αὐτῷ καὶ σαλώμη ἡρώδου ἀδελφὴ τὴν γενεὰν ἀγομένη τὴν αὐτῆς. πολλοὶ δὲ τῶν συγγενῶν, λόγῳ μὲν ὡς συναγωνιούμενοι τῷ ἀρχελάῳ ἐπὶ κτήσει τῆς βασιλείας, ἔργῳ δὲ ἀντιπράξοντες, καὶ μάλιστα περὶ G τῶν πεπραγμένων ἐν τῷ ἱερῷ ποιησόμενοι καταβοάς. ὑπαντιάζει δ' ἐν καισαρείᾳ τὸν ἀρχέλαον σαβῖνος καίσαρος ἐπίτροπος τῶν ἐν συρίᾳ πραγμάτων, εἰς ἰουδαίαν ὡρμημένος ἐπὶ φυλακῇ τῶν ἡρώδου χρημάτων, καὶ αὐτὸν τῆς ἐπὶ τοῖσδε ὁρμῆς εἶχεν ὁ οὔαρος παρελθών. διὰ γὰρ πτολεμαίου μετάπεμπτος ὑπ' ἀρχελάου παρῆν. καὶ οὐάρῳ σαβῖνος χαριζόμενος, οὔτε τὰς ἄκρας ὅσαι γε ἐν τοῖς ἰουδαίοις ἦσαν παρέλαβεν, οὔτε τοὺς θησαυροὺς κατεσημήνατο, εἴα δ' ἔχειν ἀρχέλαον μέχρι καίσαρι δόξειέν τι περὶ αὐτῶν, καὶ ἔμενεν ἐν τῇ καισαρείᾳ, ταῦθ' ὑπισχνούμενος. ἐπεὶ δ' ἐκπλεῖ μὲν ἐπὶ τῆς ῥώμης ἀρχέλαος,

καίρῳ δ' ἐπ' ἀντιοχείας ἐγένοντο κομιδαί, σαβῖνος ἐπὶ ἱεροσολύμων χωρήσας, παραλαμβάνει τὰ βασίλεια. μεταπεμψάμενος δὲ τοὺς φρουράρχους, καὶ ὁπόσοι διοικηταὶ τῶν πραγμάτων ἦσαν, λόγους τε ἀπαιτεῖν πρόδηλος ἦν, καὶ τὰς ἄκρας καθίστατο ἧ αὐτῷ δοκοῖ. οὐ μὴν οἱ φύλακες ἐν ὀλίγῳ τὰς ἀρχελάου ἐντολὰς ἐποιοῦντο, ἀλλ' ἔμμενον σώζοντες τὰ πάντα ᾗ προσετέτακτο αὐτοῖς, καίσαρι δὲ φυλάσσειν ἕκαστα τὴν προσποίησιν αὐτοῖς. πλεῖ δὲ κατὰ τοῦτον τὸν καιρὸν ἐπὶ ῥώμης καὶ ἀντίπας, ἡρώδου μὲν παῖς, ἐπὶ ἀντιποιήσει τῆς ἀρχῆς, ὑποσχέσεσι σαλώμης ἠρμένος ἐπὶ τῷ ἄρξειν, καὶ πολὺ δικαιότερος ἀρχελάου παραλήψεσθαι τὰ πράγματα, ἠξιωκὼς κατὰ τὰς προτέρας διαθήκας βασιλεὺς ἀποπεφάνθαι, ἃς ἀσφαλεστέρας εἶναι τῶν ἐπιγραφεισῶν. ἐπήγετο δὲ σὺν αὐτῷ τήν τε μητέρα καὶ τὸν ἀδελφὸν τὸν νικολάου πτολεμαῖον, φίλων τε ἡρώδῃ τιμιώτατον γεγενημένον καὶ αὐτῷ προσκείμενον. μάλιστα δὲ αὐτὸν ἐνῆγεν ἐπ' ἀντιποιήσει τῆς βασιλείας φρονεῖν εἰρηναῖος ῥήτωρ ἀνήρ, καὶ δόξῃ δεινότητος τῆς περὶ αὐτὸν τὴν βασιλείαν πεπιστευμένος. διὸ δὴ καὶ τῶν κελευόντων εἴκειν ἀρχελάῳ πρεσβυτέρῳ, ὄντι καὶ ταῖς ἐπιδιαθήκαις ὑπὸ τοῦ πατρὸς ἐγγεγραμμένῳ βασιλεῖ, οὐκ ἠνείχετο. ἐπεὶ δ' εἰς τὴν ῥώμην ἀφίκετο, καὶ πάντων τῶν συγγενῶν ἀπόστασις ἦν πρὸς αὐτόν, οὐκ εὐνοίᾳ τῇ ἐκείνου, μίσει δὲ τῷ πρὸς ἀρχέλαον, μάλιστα μὲν ἐπιθυμοῦντες ἐλευθερίας, καὶ ὑπὸ ῥωμαίων στρατηγῷ τετάχθαι. εἰ δ' ἄρα τις ἀντισταίη λυσιτελέστερον ἀρχελάου τὸν ἀντίπαν λογιζόμενοι, συνεπρέσβευον ἀντίπᾳ τὴν βασιλείαν. καὶ σαβῖνος κατηγορεῖ παρὰ καίσαρι τοῦ ἀρχελάου διὰ γραμμάτων. καῖσαρ δὲ ἀρχελάου τε εἰς πέμψαντος εἰς αὐτὸν γράμματα, ἐν οἷς τὰ δικαιώματα προσετίθει τὰ αὐτοῦ, καὶ τὴν διαθήκην τοῦ πατρὸς καὶ τοὺς λογισμοὺς τῶν ἡρώδου χρημάτων αὐτῷ σημαντῆρι νομίζοντα πτολεμαῖον, ἐκαραδόκει τὸ μέλλον. ὁ δὲ, ταῦτά γε ἀναγνοὺς τὰ γράμματα, καὶ τὰς τοῦ οὐάρου καὶ σαβίνου ἐπιστολὰς ὁπόσα τε χρήματα ἦν καὶ τὸ ἐπ' ἔτος ἐφοίτα, καὶ ὡς ἀντίπας ἐπ' οἰκειώσει τῆς βασιλείας ἐπεπόμφει γράμματα, συνῆγεν ἐπὶ παρακωχῇ γνωμῶν τοὺς φίλους. σὺν οἷς καὶ γάϊον τὸν ἀγρίππου μὲν καὶ ἰουλίας τῆς αὐτοῦ θυγατρὸς υἱόν, ποιητὸν δὲ αὐτοῦ μεγονότα. πρῶτόν τε καθεδούμενον παρέλαβε, καὶ κελεύει λέγειν τοῖς βουλομένοις περὶ τῶν ἐνεστηκότων. καὶ πρῶτος ὁ σαλώμης υἱὸς ἀντίπατρος, δεινότατός τε ὢν εἰπεῖν καὶ τῷ ἀρχελάῳ ἐναντιώτατος, ἔλεγεν ἀρχελάῳ παιδιὰν τὸν περὶ τῆς ἀρχῆς εἶναι λόγον, ἔργῳ τὴν δύναμιν αὐτῆς πρότερον ἢ καίσαρα συγχωρῆσαι παρειληφότι ἐπὶ τοῖς ἀπολωλόσι κατὰ τὴν ἑορτήν. ὧν καὶ ἀδικούντων ἄλλως, ἐχρῆν τὴν τιμωρίαν εἰς τοὺς ἔξω χρῆσθαι δυναμένους ἀνακειμένην εἶναι, καὶ μὴ ὑπ' ἀνδρὸς πεπρᾶχθαι, εἰ μὲν βασιλέως ἀδικοῦντος τὸ καίσαρος δι' ἄγνοιαν περὶ αὐτοῦ ἐπερχόμενον. εἰ δὲ ἰδιώτου, πολὺ χεῖρον. ὡς διὰ τὸ μηδεμίας βασιλείας ἀντιποιουμένῳ, καλῶς ἄν τι συγκεχωρεῖσθαι, διὰ τὸ καίσαρα τῆς ἐπ' αὐτοῖς ἐξουσίας ἀφαιρεῖσθαι. καθῆπτετο δὲ αὐτοῦ ἡγεμόνων τινῶν ἐν τῷ στρατιωτικῷ μεταναστάσεις ἐπικαλῶν, καὶ προκάθισιν ἐπὶ θρόνου βασιλείου, καὶ δικῶν διαλύσεις ὡς ὑπὸ βασιλέως γινομένας, κατανεύσεις τε αἰτήσεων τοῖς δημοσίᾳ αἰτουμένοις, καὶ πάντων διάπραξιν, ὧν οὐδὲν μειζόνως ἐπινοῆσαι καθιστάμενον ὑπὸ τοῦ καίσαρος εἰς τὴν ἀρχήν,

A alter versus Antiochiam profectus est, ipse Hierosolyma petiit, & occupauit regiam. accitis deinde præfectis arcium, & regiis procuratoribus, rationes reposcebat ab eis & arces sibi committi postulabat. Præfecti tamen non discesserunt à mandatis Archelai, sed omnia seruabant in ipsius aduentum integra, prætexentes ea se seruare Cæsari. Eodem tempore etiam Antipas Herodis filius Romam nauigat, parandi sibi regni spe, ad quam excitatus erat per B Salomen, quasi Archelao præferendus, eò quòd prioribus testamenti tabulis successor regni destinatus fuerit, quæ validiores deberent esse quàm illæ scriptæ posterius. Ducebat autem secum matrem suam, & fratrem Nicolai Ptolemæum, inter amicos olim Herodis præcipuum, & tunc suis fauentem partibus: sed maximè illum ad affectandum regnum mouit Irenæus orator, vir eloquens, & diu versatus in regiis negotiis. quapropter suaden- C tibus quibusdam vt fratri cederet natu grandiori, & hæredi regni scripto in testamenti paterni tabulis, noluit parere huic consilio. qui postquam Romã peruenit, omnes cognati ad eum defecerunt, non tam ipsius amore, quàm Archelai odio, libertatem maximè cupientes, & degere sub Romano præside: quod si parum succederet, commodiorem sperantes Antipam quàm Archelaũ, studebãt illius partibus. quin & Sabinus scripsit Cæsari literas, in quibus ac- D cusabatur Archelaus. at ille per Ptolemæum Cæsari libellum obtulit, continentem ius suum & testamentum patris, simúlque rationes pecuniarum Herodis obsignatas cum ipso anulo, atque ita euentum expectabat. qui perlectis his omnibus, Varíque ac Sabini literis, tum quantum pecuniarum esset ac annuorum redituum, præterea quæ Antipas sibi regnum vindicans scripserat, amicos in consilium aduocat, & in his Caium Agrippæ & Iu- E liæ filiæ suæ filium, iam à se adoptatum, primum ei locum in consistorio tribuens: móxque potestatem facit dicere volentibus de præsenti negotio. Ibi tum primus oxoritur Antipater Salomes filius, vir facundissimus & infensissimus Archelao, dicens eum per ludibriũ nunc de regno agere, cuius potestatem iamdudum inuasisset non expectato assensu Cæsaris, dum festo die tam multos interimeret: qui etiamsi essent hanc pœnam promeriti, eius ta- F men exigendæ ius seruandum fuisse potestati legitimæ, non ipsi vsurpandum, siue regi cum iniuria Cæsaris, cuius contempsisset suffragiũ, siue priuato, quod peius esset etiam. quare immeritò nunc eum ab ipso hunc sperare calculum, quem iam quãtum in se fuit, ferendi eius iure priuauerit. Ad hæc obiiciebat ei mutatos authoritate propria quosdam duces militiæ; quódque sedisset in regio solio, & tanquam rex quasdam causas determinasset, annuissetq; G postulatis populi, denique nihil non fecisset quod per Cæsarem confirmatus posset facere.

ab illo quoque dimiſſos aiebat eos, qui in circo incluſi fuerant: multáque afferebat alia, partim vera, partim veriſimilia propter iuuenilem ambitionem hominis recèns euecti ad tantum poteſtatis faſtigium. præterea neglectum patris luctum, & comeſſationes inſequenti mox poſt eius obitum nocte celebratas: qua indignitate motum ad ſeditionem populum, videntem pro tantis beneficiis mortuo patri talem ab eo referri gratiam, vt interdiu tanquam perſonatus lacrymas fingeret, per ſingulas autem noctes deliciis frueretur regiis. qui cùm tam prauo ingenio ſit præditus, nihilo gratiorem fore erga Cæſarem, ſi ab eo regnum acceperit, quàm hactenus fuiſſet erga parentem amantiſſimum. Cantu enim ſe oblectare & choreis tanquam in morte inimici non patris, haudquaquam abeſſe ab immani ſcelere. nunc venire ad Cæſarem, vt annutu eius regnum accipiat, cùm iam antè non aliter ſe geſſiſſet, quàm ſi conſtabilitus rex fuiſſet autoritate ipſius. maximè autem exaggerabatur in ſacrato loco perpetrata cædes impia, idq; die feſto, quando tam hoſpites quàm indigenæ victimarum more mactati ſint, & fanum refertum cadaueribus, non ab externo quopiam, ſed ab eo qui legitimam regis appellationem prætexeret, quo faciliùs tyrannicum ſuum ingenium expleret exercendis paſſim in omnes iniuriis. Quare ne per ſomnum quidē vnquam patrem dum ſanus eſſet, de hoc ſibi poſt obitum ſubſtituendo principe cogitaſſe, vt cuius mores haberet cognitos: imò in potioribus tabulis eius aduerſariū ſucceſſorem deſtinatum Antipam. hunc enim à patre ad regnum vocatum non animo ante corpus præmortuo, ſed integris etiam tum & rationis & corporis viribus. Imò etiamſi tum tale de Archelao fuiſſet patris iudicium, quale in poſterioribus tabulis, ipſum tamen iam ſatis declaraſſe qualisnam rex futurus ſit, qui autoritatem Cæſaris in confirmando regno contempſerit, & priuatus adhuc ciues in templo iugulare non dubitauerit. His dictis Antipater, & ad faciendam verbis ſuis fidem plurimis ex ipſius cognatione teſtibus adhibitis, finem orationi impoſuit. Tum Nicolaus contrà afferebat pro Archelao, cædem illam circa templum commiſſam ipſorum improbitati imputandam, qui non priùs à tumultuando deſtiterent, quàm ille coactus ſit eos vi compeſcere: hoc magis culpabiles, quòd non ſolùm malitiam ſuam exercuiſſent, verùm aliis etiam neceſſitatem feciſſent audendi tale facinus. Inſolentia enim eorum in ſpeciem quidem infeſtatum Archelaum, ſed re vera contumaciam hanc ad ipſius Cæſaris pertinuiſſe iniuriam. miſſos enim ab eo, qui tumultuātes ſedarent, facto ab ipſis impetu contra ius & fas necatos, nulla feſti reuerentia: quibus patrocinari non pudere Antipatrū, ſine æquitatis reſpectu, dum modo odio proſequatur Archelaum, morem gereret. eorum igitur eſſe culpam, qui priores iniuria non abſtinuerint, & aliorum arma ad defenſionem ſumpta in ſe proritauerint. Cætera quoq; de quibus Arche-

A ᾐτιᾶτο δὲ αὐτῷ καὶ τὴν ἐκ τοῦ ἱπποδρόμου δεσμωτῶν τὴν ἄφεσιν. καὶ πολλὰ τὰ μὲν γεγονότα, τὰ δὲ πιστεύεσθαι δυνάμενα διὰ τὸ φύσιν ἔχειν γίνεσθαι ὑπό τε νεωτέρων καὶ φιλοτιμίας τοῦ ἀρχὴν περιλαμβανόντων τὴν ἐξουσίαν. πένθους τε τοῦ ἐπὶ τῷ πατρὶ ἀμελείας, καὶ κώμους αὐτονυκτὶ τῇ ἐκείνου τελευτῇ γεγονότας. ἐφ' οἷς δὴ καὶ τὴν πληθὺν ἀρχὴν τοῦ στασιάζειν λαβεῖν. εἰ τοιαῦτα εὐεργετήσαντος αὐτὸν τοῦ πατρὸς, καὶ οὕτω μεγάλων ἠξιωκότος τοιοῖσδε ἀμείβεσθαι τὸν νέκυν, ὥσπερ ἐπὶ σκηνῆς δακρύειν μὲν προσποιούμενον τὰς ἡμέρας, ἀπολαβόντα δὲ ἡδονῆς τῇ ἐπὶ τῆς ἀρχῆς ὅσαι νύκτες, φανεῖσθαι τὲ καὶ περὶ τὸν καίσαρα τοιόνδε ὄντα ἀρχέλαον συγχωροῦντα τὴν βασιλείαν ὁποῖος γένοιτο καὶ περὶ τὸν πατέρα. χορεύειν γὰρ καὶ ᾄδειν ὥσπερ ἐχθροῦ πεσόντος, ἀλλ' οὐκ ἀνδρὸς οὕτως μὲν συγγενοῦς τηλικαῦτα δ' εὐεργετεῖν ἐξηγημένου, δεινότατόν τε πάντων ἀπεφαίνετο. νῦν ἥκειν ἐπὶ καίσαρα καταινέσοντα τῇ ἐκείνου χρησόμενον τῇ βασιλείᾳ, πάντων αὐτῷ προπεποιημένων ὁπόσα γένοιτο ἂν ὑπ' αὐτοῦ καὶ βεβαίως ἤδη τοῦ αὐτοκράτορος παρεσχηκότος πρασσόμενα. μάλιστα δὲ τὴν σφαγὴν τὴν περὶ τὸ ἱερὸν ἐδείνου τῷ λόγῳ καὶ τὴν δυσσέβειαν, ὡς ἑορτῆς τε ἐνεστηκυίας, καὶ ἱερείων ἐν τρόπῳ σφαχθοῖεν ἔνιοι μὲν ξένοι, οἱ δὲ, ἐγχώριοι. πλησθείη δὲ τὸ ἱερὸν νεκρῶν, οὐχ ἀλλοφύλου, ἀλλὰ καὶ μετὰ νομίμων ὀνομάτων τῆς βασιλείας ἐφιεμένου τῆς πράξεως, ὅπως δυνηθείη πληρῶσαι τῆς φύσεως τυραννίδος τὴν πᾶσιν ἀνθρώποις μεμισημένην ἀδικίαν. διὸ καὶ μηδὲ ὄναρ ποτὲ ὁρᾶσθαι τῆς βασιλείας αὐτῷ τὴν διαδοχὴν ἀρετῇ τοῦ πατρός. ἐπίστασθαι γὰρ αὐτοῦ τὸν τρόπον, καὶ τὸν ἐχθρὸν αὐτῷ ἐκ τῶν διαθηκῶν τῶν ἰσχυροτέρων ἀντίπαν καθίστασθαι. κληθῆναι γὰρ ὑπὸ τοῦ πατρὸς ἐπὶ τὴν βασιλείαν οὐχὶ νεκροῦ ὄντος πρὸς τῷ σώματι καὶ τὴν ψυχὴν, ἀλλὰ ἀκεραιφνεῖ μὲν τῷ λογισμῷ χρωμένου, ἀλκῇ δὲ σώματος τοῖς πράγμασιν ἐφεστηκότος. εἰ δὲ καὶ πρότερον εἰς αὐτὸν ἐπίσης τοῖς νῦν διατεθεῖσθαι πατέρα, ἀποπεφάνθαι ποταπὸς ἂν γένοιτο βασιλεὺς, τὸν μὲν κύριον παρασχεῖν τὴν βασιλείαν καίσαρα ἀφῃρημένον τοῦ δοῦναι τὴν ἐξουσίαν, τοὺς δὲ πολίτας ἰδιώτην ὄντα ἀκμὴν σφάζειν ἐν ἱερῷ μὴ ἀποτετραμμένον. καὶ ἀντίπατρος μὲν τοιάδε εἰπὼν, καὶ μαρτύρων παραστάσεσι τὰ εἰρημένα κρατυνόμενος πολλοῖς τῶν συγγενῶν, παύεται τοῦ λέγειν. ἀνίσταται δὲ νικόλαος ὑπὲρ ἀρχελάου. * τοὺς γὰρ ἐπὶ τοιοῖσδε ἄρχοντας, οὐ μόνον τὸ καθ' αὑτοὺς ὑβρίζουσιν εἶναι πονηροὺς, ἀλλὰ καὶ τῷ ἀναγκάζοντι εἰς τὴν ἄμυναν αὐτῶν εὐγνωμονεῖν προαιρουμένων. ὡς δὲ πολέμια ἔδρων λόγῳ μὲν κατ' ἀρχελάου, τὸ δὲ ἀληθὲς εἰς καίσαρα φανερὸν εἶναι. τοὺς γὰρ ὑβριοῦντας κωλύτας παραγενομένους, καὶ ὑπ' ἀρχελάου περιπεμφθέντας κτεῖναι ἐπιτιθεμένους, οὔτε τοῦ θεοῦ, οὔτε τοῦ νόμου τῆς ἑορτῆς ἐν φροντίδι γενομένους, ὧν ἀντίπατρον οὐκ αἰσχύνεσθαι ἐκδικητὴν καθιστάμενον, ἐπὶ θεραπείᾳ ἔχθρας τῆς αὐτοῦ πρὸς ἀρχέλαον, ἢ φύσει τῆς ἀρετῆς δικαίου. οἱ παρελθόντες καὶ μὴ πρὸς διανοουμένους ἄρχοντες ἀδίκων ἔργων, οἱ δέ εἰσιν οἱ βιαζόμενοι καὶ μὴ θέλοντας τοὺς ἀμυνομένους ἐφ' ὅπλα χωρεῖν. ἀνετίθει δὲ καὶ τὰ λοιπὰ

πᾶσι

πᾶσι τοῖς ἐν βουλῇ τῶν κατηγόρων. οὐδὲν γὰρ ὅτι μὴ οὐ μετὰ γνώμης τῆς αὐτῶν γεγενημένον αἰτίᾳ τοῦ ἀδικεῖν ὑπάγεσθαι. οὐ τῇ φύσει τοιούτως αὐτὰ γεγονότα πονηρὰ εἶναι, ἀλλὰ τῷ βλάψειν ἂν δοκεῖν ἀρχέλαον. τοσήνδε αὐτοῖς εἶναι βούλησιν τοῦ ὑβρίζοντος εἰς ἄνδρα συγγενῆ, καὶ πατρὸς μὲν εὐεργέτην, συνήθει δὲ αὐτοῖς καὶ διὰ παντὸς οἰκείως πεπολιτευμένον. τάς γε μὴν διαθήκας ὑπό τε σωφρονοῦντος γεγράφθαι τοῦ βασιλέως, καὶ κυριωτέρας τῶν γεγραμμένων πρότερον, διὰ τὸ καίσαρα δεσπότην τῶν ὅλων καταλελεῖφθαι πρὸς τὴν κρίσιν τῶν ἐν αὐταῖς γεγραμμένων. μιμήσεσθαί τε οὐδαμῶς καίσαρα τὴν ὕβριν αὐτῶν, οἳ τῆς ἡρώδου παντοίως ἀπολαύσαντες, παρ᾽ ὃν ἔζη καιρὸν δυνάμεως, τὰ πάντα ἐπὶ ὕβριν γνώμης ἐπείγοιντο αὐτοῦ, οὐδὲ αὐτῶν περὶ τὸν συγγενῆ τοιούτων γεγονότων. οὔκουν καίσαρά τε ἀνδρὸς ὑπ᾽ αὐτῷ πεποιημένου τὰ πάντα καὶ φίλου καὶ συμμάχου καταλύσειν τὰς διαθήκας, ἐπὶ πίστει τῇ αὐτοῦ γεγραμμένας. οὐδὲ μιμήσεσθαι κακίαν τὴν ἐκείνων, τὴν καίσαρος ἀρετὴν καὶ πίστιν, πρὸς ἅπασαν τὴν οἰκουμένην ἀνενδίαστον γινομένην, καὶ μανίαν καὶ λογισμοῦ ἔκστασιν κατακρίνειν ἀνδρὸς βασιλέως, ὃς εἰ μὲν ἀγαθῷ τὴν διαδοχὴν καταλελοιπότος, πίστει δὲ τῇ αὐτοῦ προσπεφευγότος. οὔτε ἁμαρτάνειν ἡρώδην ποτὲ περὶ κρίσιν τοῦ διαδόχου, σωφροσύνῃ κεχρημένον ἐπὶ τῇ καίσαρος γνώμῃ τὰ πάντα ποιεῖσθαι. καὶ νικόλαος μὲν τοιάδε διελθὼν, κατέπαυσε τὸν λόγον. καῖσαρ δὲ ἀρχέλαον προσπεσόντα αὐτῷ πρὸς τὰ γόνατα, φιλοφρόνως τε ἀνίστη, φάμενος ἀξιώτατον εἶναι τῆς βασιλείας. πολλήν τε ἀπέφαινε ῥοπὴν γνώμης τῆς αὐτοῦ οὐκ ἄλλα πράξειν, ἀλλ᾽ ὁπόσα αἵ τε διαθῆκαι ὑπηγόρευον, καὶ ἀρχελάῳ συνέφερεν. οὐ μέντοι γε ἐκεκύρωτο οὐδὲν, ὡς ἀνέγνω παραδείγματι χρώμενον ἐπ᾽ ἀδείας ἀρχέλαον εἶναι. καὶ διαλύσεως τῶν ἀνδρῶν γενομένης ἐσκοπεῖτο καθ᾽ αὑτὸν εἴτε ἀρχελάῳ τὴν βασιλείαν εἴη κυρωτέον, εἴτε κοινὴν αὐτὴν ποιεῖσθαι παντὶ τῷ ἡρώδου γένει, καὶ ταῦτα πάντων πολλῆς ἐπικουρίας δεομένων.

A laium accusauerant, in eos ipsos accusatores referebat, dicens nihil horum nisi ex illorum sententia gestum, nec ea tam iniusta esse, quàm ipsi videri velint, dum per hoc aliquid Archelao noceant. Tantam illis inesse cupidinem lædẽdi cognatum hominem, cùm de patre benemeritum, tum ipsos omnibus semper prosecutum officiis. Testamentum certè à rege mentis compote esse scriptum, & posteriores semper potiores esse tabulas, has verò tan- B to magis, quòd Cæsari rerũ domino autoritatem confirmandi relinquant. Nec Cæsarem iniquitatem istorum imitaturum, qui cùm maximis ab Herode viuo affecti sint beneficiis: nunc extremam eius voluntatem violare conentur: quin potius viri amici ac socij, & omnia fidei suæ permittentis: testamentum ratum habiturum. multum enim interesse debere inter horum malitiam, & Cæsaris virtutem atque fidem toti orbi cognitam. quapropter non C iudicaturum parum sanæ mentis decretum eius, qui probo filio successionem reliquerit, & insuper ad ipsius fidem confugerit: quandoquidem verisimile non sit in deligendo successore errasse, qui tam prudenter sententię Cæsaris subiecisset omnia. In hunc modum Nicolaus quoque dicendi finem fecit. Tum Cæsar Archelaum ad genua sibi accidentem erexit humanissimè, dignum esse regno pronuncians: præ se ferens nihil se facturum, nisi D testamento præscriptum & Archelao ipsi commodum: vidénsque hac promissione confirmatum in spe iuuenem, nihil tum amplius super ea re statuit. Et dimisso concilio solus secum dispiciebat, vnine regnum ratum faceret, an commune fineret Herodis generi, præsertim cùm omnes eius ope indigeant. XIV.

Κεφάλαιον ιβ΄.

Στάσις ἰουδαίων πρὸς σαβῖνον, καὶ ὡς οὔαρος τοὺς αἰτίους αὐτῆς ἐκόλασε.

ΠΡότερον δὲ ἢ κύρωσίν τινα τούτων γενέσθαι μαλθάκη τε ἡ ἀρχελάου μήτηρ, νόσῳ τελευτᾷ, καὶ παρὰ οὐάρου τοῦ συρίας στρατηγοῦ παρῆν γράμματα τὴν ἰουδαίων ἀπόστασιν διασαφοῦντα. τὸν γὰρ ἀρχελάου μετὰ τὸν ἔκπλουν ἐθορυβήθη τὸ πᾶν ἔθνος, καὶ οὔαρος αὐτὸς, ἐπεὶ παρῆν, τοὺς αἰτίους τῆς κινήσεως τιμωρίᾳ περιβαλὼν, καὶ τὸ πλεῖστον τῆς στάσεως ἐπίσχεσιν ποιησάμενος πολλῆς γενομένης, ἐπ᾽ ἀντιοχείας τὴν ἀναζυγὴν ἐποιεῖτο, τάγμα ἓν τῆς στρατιᾶς ἐν ἱεροσολύμοις λειπόμενος, τὴν ἰουδαίων νεωτεροποιίαν ἐπισομιοῦντας. οὐ μὴν ἐπεραίνετό γε οὐδὲν ἐπὶ παύλῃ τοῦ μὴ ἐστασιάσοντος αὐτῶν. ὅτε γὰρ οὔαρος ἀπῄει, καὶ σαβῖνος ἐπίτροπος τοῦ καίσαρος ὑπομείνας αὐτόθι μεγάλως τοὺς ἰουδαίους κατεπόνει, στρατείᾳ τε τῇ καταλελειμμένῃ πιστεύων ὡς καὶ περιέσοιτο αὐτῶν, καὶ τῷ πλήθει. πολλοὺς γὰρ ὁπλίσας δορυφόρους, ἐχρῆτο αὐτοῖς ἐπείγων τοὺς ἰουδαίους, καὶ ἐκταράσσων ἐπὶ ἀποστάσει. τάς τε γὰρ ἄκρας ἐβιάζετο παραλαμβάνειν, καὶ τῶν βασιλικῶν χρημάτων ἐπ᾽ ἐρεύνῃ προθύμως ὥρμητο βίᾳ διὰ κέρδη καὶ

CAP. XII.

E *Seditio Iudæorum contra Sabinum, & quomodo Varus autores eius puniit.*

SEd priusquam quicquam certi de hac re determinatum sit, Marthace Archelai mater morbo vitam finiit, & à Varo Syriæ præside venerunt literæ defectionem Iudæorum significantes. Nam discessum inde Archelai sequuti sunt magni in ea gente tumultus, ad quos compescendos cùm Varus venisset, auto- F ribus eius motus affectis supplicio; & maxima ex parte seditione compressa, reuertens Antiochiam, legionem vnam reliquit Hierosolymis, vt Iudæis nouandarum rerum facultatem præriperet. nec tamen quicquam hac ratione profecit. Quamprimùm enim Varus abiit, Sabinus Cæsaris procurator ibi subsistẽs vexabat Iudæos, fretus relictis illic copiis, & parem se iam putans populo. nam armatis multis satellitibus, contra Iudæos his vtebatur G molestans eos, & ad defectionẽ irritans: vt qui & arces occupare conaretur, & violẽtas pecuniæ regiæ scrutationes faceret, priuati lucri &

prædæ cupidine. Igitur inſtante pentecoſte, ſicut nos vocamus celebritatem quandam patriam, confluxerunt vndique multa millia nõ ſolùm religionis gratia, verumetiam indignè ferentes Sabini intemperias, nec tantùm ex Iudæa grauiùs offenſa, ſed è Galilæa quoque ac Idumæa, tum à Hierichunte, & trans Iordanem ſitis oppidis, omnes cupientes pœnas à Sabino expetere. partitique trifariam hoc modo caſtra faciunt. pars vna Circum occupat. reliquarum duarum altera templum à Septētrionali & Orientali regione circumſidet. ab Occidentali altera quà ſita erat domus regia Ita incluſos vndique Romanos oppugnare etiam parabant. Tum Sabinus territus audacia hominum: quibus decretum eſſet aut mori, aut vincere, ſtatim ad Varum miſit literas, hortans vt properet, relictámque legionem præſenti periculo eripiat, alioqui breui contrucidandam. ipſe conſcenſa caſtelli turre celſiſſima, quæ in honorem Herodis fratris à Parthis extincti Phaſaelus appellabatur, manu Romanis innuebat vt in Iudæos eruptionem facerent: & cùm ne amicis quidem ſe auderet committere, poſtulabat vt alij propter eius auaritiam mortis periculo ſe obiicerent. qui poſtquam progredi auſi ſunt, conflictus fuit acerrimus. & quamuis ſtrenuè milites rem gererent, non tamen frangebantur Iudæorum animi, licèt multis cadentibus, ſed circumducta ſuorum parte aſcenderunt porticus, quæ erant in extimo templi ambitu: vnde in aduerſarios pugnantes vel mittebant, vel fundis intorquebant lapides, non tantùm adiutores ſuorum, ſed ſpectatores etiam totius prælij. quin & ſagittarij è ſuperiore loco impetebant expoſitos ictibus, nec valentes contrà miſſilibus ad ſe pertingere, eóque faciliùs vincebant. atque hæc pugnæ conditio diu durauit. deindè Romani indignitate rei moti, ignem clàm ſubiiciunt porticibus: qui multis accendentibus & fomenta aggerentibus breui ad tectum emicuit: eius materies quòd eſſet pice ac cera ob inaurationem peruncta, facilè correpta eſt incendio, quo lacunaria illa preciosa & magnifica abſumpta ſunt, & quotquot illuc aſcenderant improuiſo perierunt exitio. pars enim cum tecto ruente vnà præcipitati ſunt, pars à circumſtantibus telis confixi: nonnulli deſperatione ſalutis & vi mali attoniti, aut in flammas ſeſe dederunt, aut ſuiſmet gladiis confecti ſunt. quòd ſi aliqui refugientes quà aſcenderant in tutum ſe recipere volebant, hos omnes Romani contrucidauerunt, quòd inermibus nihil prodeſſet ferocia, ita vt ne vnus quidem ex his qui tectum aſcenderant incolumis euaderet. Tum Romani quà ſe incendium remiſit alij ab aliis protruſi, penetrauerunt ad ſacræ pecuniæ conditorium, cuius bona pars furto

πλεονεξίαν ἐπιθυμίας. ἐπιστάσης δὲ τῆς πεντηκοστῆς, ἑορτὴ δὲ ἡμῖν ἐστι πάτριος τοῦτο κεκλημένη, οὔτι κατὰ τὴν θρησκείαν μόνον παρῆσαν, ἀλλ' ὀργῇ φέροντες τὴν παροινίαν τῆς Σαβίνου ὕβρεως, μυριάδες συνηθροίσθησαν ἀνθρώπων καὶ πάνυ πολλαί, Γαλιλαίων τε καὶ Ἰδουμαίων, Ἱεριχουντίων τε ἡ πληθὺς καὶ ὁπόσοι περάσαντες Ἰορδάνην ποταμὸν οἰκοῦσιν, αὐτῶν τε Ἰουδαίων πλῆθος ἦν, ὃ πρὸς πάντας συνετέλει(?)το, καὶ πολὺ προθυμότεροι τῶν ἄλλων ἐπὶ τιμωρίᾳ τοῦ Σαβίνου ὡρμήκεσαν. εἰς τρία μέρη νεμηθέντες ἐπὶ τοιῶνδε στρατοπεδεύονται χωρίων. οἱ μὲν τὸν ἱππόδρομον ἀπολαβόντες, καὶ τῶν δὲ λοιπῶν δύο μερῶν οἱ μὲν τῷ βορείῳ τοῦ ἱεροῦ πρὸς μεσημβρίαν τετραμμένοι, οἱ δὲ τὴν ἑῴαν μοῖραν εἶχον, μοῖρα δὲ αὐτῶν ἡ τρίτη, τὰ πρὸς δυόμενον ἥλιον ἔνθα καὶ τὸ βασίλειον ἦν. ἐπεράσετο δὲ τὰ πάντα αὐτοῖς ἐπὶ πολιορκίᾳ τῶν Ῥωμαίων ἁπανταχόθεν αὐτοῖς ἀποκεκλεισμένοις. καὶ Σαβῖνος, ἔδεισε γὰρ τό τε πλῆθος αὐτῶν καὶ τὰ φρονήματα ἀνδρῶν, ἐν ὀλίγῳ τὸ θανεῖν ποιουμένων ὑπὸ τοῦ ἡττᾶσθαι μὴ ἐθέλειν ἐφ' οἷς ἀρετῇ κρίνειν αὐτῷ νικᾶν, παραχρῆμα τε ὡς τὸν Οὔαρον ἔπεμπε γράμματα, καὶ τὸ σύνηθες οὐκ ἀνίει κελεύων ἐκ τοῦ ὀξέως βοηθεῖν ὡς κινδύνου μεγίστου τὸ ἐγκαταλειφθὲν στράτευμα περιεσχηκότος, διὰ τὸ μὴ εἰς μακρὰν ἐλπίζειν κατακοπήσεσθαι ληφθέντας αὐτούς. αὐτὸς δὲ τοῦ φρουρίου τὸν ὑψηλότατον τῶν πύργων καταλαβόμενος Φασάηλον, ἐπὶ τιμῇ τοῦ Ἡρώδου ἀδελφοῦ Φασαήλου ᾠκοδομημένον τε καὶ οὕτως εἰρημένον, τελευτῆς ὑπὸ Παρθυαίων αὐτῷ γενομένης, κατέσειε τοῖς Ῥωμαίοις ἐπεξιέναι τοῖς Ἰουδαίοις. αὐτὸς μὲν οὐδὲ εἰς τοὺς φίλους τολμῶν κατιέναι, τοὺς δὲ ἄλλους προαποθνήσκειν αὐτοῦ τῆς πλεονεξίας δικαιῶν. τολμησάντων δὲ εἰς τὴν ἔξοδον τῶν Ῥωμαίων μάχη συνίει καρτερά. καὶ οἱ Ῥωμαῖοι πολλῶν μὲν ἔργων ἐκράτουν, οὐ μὴν τὰ φρονήματά γε τοῖς Ἰουδαίοις ἔκαμνε τῇ ὄψει τοῦ δεινοῦ πολλῶν αὐτοῖς πεπτωκότων. περιοδεύσαντες δὲ ἀνίασιν ἐπὶ τὰς στοάς, αἵπερ ἦσαν τοῦ ἱεροῦ τὸν ἔξωθεν περίβολον περιέχουσαι, καὶ πολλῆς μάχης γενομένης, λίθοις τε ἀφείεσαν, τοὺς μὲν ἐκ χειρὸς ὑπάρχοντες, οὓς δὲ σφενδόνων, ἀθληταὶ τρόποις τοιαύτης μάχης ὄντες. καὶ οἱ τοξόται πάντες παρατεταγμένοι μέγα ἔβλαπτον τοὺς Ῥωμαίους, διὰ τὸ ὑπὸ δεξιοὶ τοῦ εἶναι, καὶ ἐπιχειρεῖσθαι μὲν ἄποροι διὰ τὸ ἀνέφικτον τοῖς εἰσακοντίζειν πειρωμένοις εἶναι, ῥᾳδίους δὲ κρατεῖσθαι τοὺς πολεμίους ἔχοντες. καὶ πολὺν μὲν χρόνον ἡ μάχη συνειστήκει τοιάδε οὖσα. ἔπειτα Ῥωμαῖοι δεινῶς φέροντες τοῖς δρωμένοις πῦρ ἐνίασιν ταῖς στοαῖς, λαθόντες Ἰουδαίων τοὺς ἀναβεβηκότας ἐπ' αὐτάς. καὶ τὸ πῦρ ὑπό τε πολλῶν προστιθέμενον, καὶ μετὰ τῶν ἐγείρειν φλόγα δυναμένων, ἥπτετο τοῦ ὀρόφου ἦ τάχος. ἡ δὲ ξύλωσις παρεῖχεν πίσσης τε καὶ κηροῦ πλέον ἔτι δὲ κηρὸν χρυσὸν ἐπαληλιμμένον εὐθέως ἦκεν. ἔργα τε μεγάλα ἐκεῖνα καὶ ἀξιολογώτατα ἠφανίζετο. καὶ τοὺς ὑπὲρ τῶν στοῶν ὄλεθρος ἐξ ἀπροσδόκητος κατέλαβεν. οἱ μὲν γὰρ τοῦ ὀρόφου καταρραγέντος συγκατεφέροντο αὐτῷ. τοὺς δὲ περιστάδην ἔβαλλον οἱ πολέμιοι. πολλοὶ δὲ ἀπορίᾳ τε σωτηρίας, καὶ ἐκπλήξει κακοῦ τοῦ περιεστηκότος, οἱ μὲν εἰς τὸ πῦρ εἰσίεσαν ἑαυτούς, οἱ δὲ καὶ τοῖς ξίφεσι χρώμενοι διάφρασιν ἐποιοῦντο. ὁπόσοι δὲ εἰς τὸ κάτω πιν χωρήσαντες ὁδῷ ᾗ ἀναβεβήκεσαν ἐσῴζοντο, οἱ Ῥωμαῖοι πάντας ἔκτειναν γυμνούς τε ὄντας καὶ τὰ φρονήματα ἐκλελυμένους, οὐδὲν τῆς ἀπονοίας διὰ τὸ ἄνοπλον βοηθεῖν δυναμένης. ἐσώθη δὲ τῶν ἀνελθόντων ἐπὶ τὸ τέγος οὐδὲ ὁστισοῦν. καὶ Ῥωμαῖοι διὰ τοῦ πυρὸς ᾗ παρείκοι ὠσθέντες, ἐκράτουν τοῦ θησαυροῦ, καθ' ὃν ἱερὰ ἦν χρήματα, καὶ διεκλάπη μὲν πολλὰ

πολλὰ ὑπὸ τῶν στρατιωτῶν, σαβῖνος δὲ περιεποίησεν εἰς τὸ φανερὸν τετρακόσια τάλαντα. ἰουδαίους δὲ, ἐλύπει μὲν τὸ πάθος τῶν φίλων οἳ ἐν τῇδε ἔπεσον τῇ μάχῃ, ἐλύπει δὲ καὶ τῶν ἀναθημάτων ἡ ἀφαίρεσις. οὐ μὴν, ἀλλ' ὅπερ αὐτῶν ἐτύγχανεν συνεστραμμένον καὶ μαχιμώτατον, τούτῳ ἐμπεριέχοντες τὸ βασίλειον, ἠπείλει πῦρ τε ἐνείσειν αὐτῷ, καὶ πάντας κτείνειν, κελεύοντες ἦ τάχος ἀπιέναι, καὶ πειθομένοις ὑπισχνούμενοι ἄδειαν καὶ σαβίνῳ σὺν αὐτοῖς. καὶ τῶν βασιλικῶν τὸ πλεῖστον ηὐτομολήκεσαν σὺν αὐτοῖς. ῥοῦφος δὲ καὶ γρᾶτος τρισχιλίους τῶν μαχιμωτάτων τοῦ ἡρώδου στρατεύματος ἔχοντες ἄνδρας τοῖς σώμασι δραστηρίους, ῥωμαίοις προσετίθεσαν. καί τι καὶ ἱππικὸν ἦν ὑπὸ τῷ ῥούφῳ τεταγμένον, ὃ καὶ αὐτὸ προσθήκη τῶν ῥωμαίων ἐγεγόνει. ἰουδαίοις δὲ οὐκ ἠμέλητο ἡ πολιορκία, ἀλλὰ καὶ τὰ τείχη μετήλλευον, καὶ τοῖς μεταβαλλομένοις ἐκέλευον μὴ ἐμποδιστὰς εἶναι τοῦ ἀποληψομένου χρόνου παροῦσαν αὐτοῖς ἐλευθερίαν τὴν πάτριον. σαβίνῳ μὲν οὖν εὐκτὸν ἦν ἀπιέναι μετὰ τῶν στρατιωτῶν, πιστεύειν δ' οὐχ οἷός τε ἦν διὰ τὰ πεπραγμένα. καὶ τὸ λίαν μὲν εὔγνωμον τῶν πολεμίων ἐπ' ἀποβολῇ τοῦ κατασχησομένου εἶχεν. ἅμα δὲ καὶ τὸν οὔαρον ἥξειν προσδοκῶν ὑπέμενε τῇ πολιορκίᾳ. ἐν τούτῳ δὲ καὶ ἕτερα μυρία θορύβων ἐχόμενα τὴν ἰουδαίαν κατελάμβανε, πολλῶν πολλαχόσε κατ' οἰκείας ἐλπίδας κερδῶν καὶ ἰουδαίων ἔχθρας ἐπὶ τὸ πολεμεῖν ὡρμημένων. δισχίλιοι μὲν τῶν ὑφ' ἡρώδῃ ποτὲ στρατευσαμένων καὶ ἤδη καταλελυκότες ἐν αὐτῇ ἰδίᾳ συστάντες προσεπολέμουν τοῖς βασιλικοῖς, ἀντιστατοῦντος αὐτοῖς ἀχιάβου τοῦ ἡρώδου ἀνεψιοῦ, καὶ τῶν μὲν πεδίων εἰς τὰ μετέωρα ἀνεωσμένου δι' ἐμπειρίαν τῶν εἰς τὰ πολεμικὰ τῶν ἀνδρῶν, ταῖς δὲ δυσχωρίαις σώζοντος ὁπόσα δυνατά. ἰούδας δὲ ἦν ἐζεκίου τοῦ ἀρχιλῃστοῦ υἱὸς ἐπὶ μέγα δυνηθέντος, ὑφ' ἡρώδου δὲ μεγάλοις ληφθέντος πόνοις. οὗτος οὖν ὁ ἰούδας περὶ σέπφωριν τῆς γαλιλαίας συστησάμενος πλῆθος ἀνδρῶν ἀπονενοημένων ἐπιδρομὴν τοῦ βασιλείου ποιεῖται, καὶ ὅπλων κρατήσας ὁπόσα αὐτόθι ἀπέκειτο, ὥπλιζε τοὺς περὶ αὐτὸν καθ' ἕνα, καὶ ἀποφέρεται χρήματα ὁπόσα κατελήφθη αὐτόθι, φοβερός τε ἅπασιν ἦν ἄγων καὶ φέρων τοὺς προστυγχάνοντας, ἐπιθυμίᾳ μειζόνων πραγμάτων, καὶ ζηλώσει βασιλείου τιμῆς, οὐκ ἀρετῆς ἐμπειρίᾳ, τῇ δὲ ὑβρίζειν περιουσίᾳ, κτήσασθαι προσδοκῶν τὸ ἐντεῦθεν γέρας. ἦν δὲ καὶ σίμων δοῦλος μὲν ἡρώδου τοῦ βασιλέως, ἄλλως δὲ ἀνὴρ εὐπρεπής, καὶ μεγέθει καὶ ῥώμῃ σώματος ἐπὶ μέγα προύχων τε καὶ πεπιστευμένος. οὗτος ἀρθεὶς τῇ ἀκρασίᾳ τῶν πραγμάτων, διάδημά τε ἐτόλμησε περιθέσθαι, καί τινος πλήθους συστάντος καὶ αὐτὸς βασιλεὺς ἀναγγελθεὶς μανίᾳ τῇ ἐκείνων, καὶ εἶναι ἄξιος ἐλπίσας παρ' ὁντινοῦν, τὸ ἐν ἱεριχοῦντι βασίλειον ἐμπίπρησιν δι' ἁρπαγῆς ἄγων τὰ ἐγκαταλελειμμένα, πολλάς τε καὶ ἄλλας τῶν βασιλικῶν οἰκήσεων, πολλαχοῦ τῆς χώρας πῦρ ἐνεὶς ἠφάνιζεν τοῖς συνεστηκόσι λείαν ἀναγαγεῖν τὰ ἐγκαταλελειμμένα ἐπιτρέπων. ἐπεπράκτο δ' ἄν τι μεῖζον ὑπ' αὐτοῦ μὴ ταχείας ἐπιστροφῆς γενομένης. ὁ γὰρ γρᾶτος τῶν βασιλικῶν στρατιωτῶν ῥωμαίοις προστεθειμένος μεθ' ἧς εἶχε δυνάμεως ἀπαντιάζει τὸν σίμωνα, καὶ μάχης αὐτοῖς μεγάλης ἐπὶ πολὺ γενομένης, τό τε πολὺ τῶν περαίων ἀσυντάκτως ἰόντες, καὶ τόλμῃ μᾶλλον ἢ ἐπιστήμῃ μαχόμενοι διεφθάρησαν. καὶ αὐτοῦ σίμωνος

militum disperiit, ad Sabinum autem propalàm quadringenta talenta ex ea præda relata sunt. Iudæi verò duplici calamitate affecti sunt, desideratis in ea pugna carorum amicorum plurimis, & insuper spoliato sacrario, facto tamen globo è pugnacissimis circumdederunt regiam, incensuros se eam & omnes intus occisuros minitantes, nisi quamprimum discederent: quòd si mox abirent, impunitatem Sabino vnà cum suis pollicentes: pro quibus etiam aulicorum maxima pars stabat. Rufus quoque & & Gratus, qui sub se habebant tria millia bellicosissimorum & strenuissimorum virorum ex Herodis exercitu, in partes Romanorum se transtulerunt: simúlque equitatus Rufo duci parebat, non mediocris sanè ad rem Romanam accessio. Interim Iudæi nihilo segniùs instabant oppugnationi, muros suffodientes cuniculis, & aduersarios hortantes vt abirent, néve diutius vindicantibus se in libertatem à maioribus acceptam obsisterent. At Sabinus libenter quidem inde abduxisset milites, sed fidem promissis habere non poterat, propter ea quæ perpetrauerat, nimiam etiam æquitatem hostium suspectam habebat, & expectabat à Varo subsidium. In hoc rerum statu etiam alibi per Iudæam diuersis in locis innumeri tumultus exoriebantur, vt quemque aut lucri, aut vindictæ concitabat cupiditas. Duo enim virorum millia, qui aliquando sub Herode meruerant, tunc verò dimissi domi agebant, in vnum collecti bello impetebant regios, resistentes sibi ductu nepotis Herodis Achiabi: qui nusquam æquo loco eos sustinere ausus vt veteranos & bellandi peritissimos, tuebatur se & sua quantum poterat asperitatibus accessu difficilibus. Quin & Iudas Ezeciæ latronum ductoris olim per Herodem magno labore expugnati filius, apud Sephorim vrbem Galilææ collecta circa se hominum desperatorum manu incursabat regis ditionem: & potitus ejus armamentario, armatísque inde suis ad vnum omnibus, pecuniam quoque regiam in illis locis occupauit: iámque formidādus accolis spoliabat in quoscunque incideret, aspirans ad regnum, affectánsque hoc fastigium non bonis artibus quarum imperitus erat, sed nocendi licentia. Dum ita vbique turbatur, etiam Simon Herodis regis seruus, vir alioqui & forma & statura & robore egregius in primis habitus, ausus est diadema sumere: stipatúsque numerosis copiis, & rex consalutatus ab insana multitudine, placebat sibi præ quouis alio, auspicatus potestatem diripienda ac incendenda Hierichuntina regia: passimque crematis aliis regis palatiis, & præda concessa suæ factionis hominibus, maiora etiam ausurus videbatur, ni maturè occursum fuisset. nam Gratus regiorum militum dux, tū Romanorū partes fouens, suas copias contra Simonem duxit: vbi post acerrimū conflictum trāsamnani homines incompositi, & ferociter magis quàm peritè pugnātes deleti sunt. ipsum Simonē per

angustias quasdam fauces fugientem Gratus assecutus obtruncauit. Apud Amatha quoque Iordani fluminis apposita palatium regium incensum est à quadam hominum colluuie, qualis & circa Simonem fuerat. Tantus tum furor per totam gentem grassabatur, eo quòd proprium regem non haberet, qui multitudinem bonis rationibus contineret in officio: qui verò externi ad castigandos seditiosos venerant, malum potius exacerbarent, graues superbia simul & auaritia. Quandoquidem Anthronges, vir nec maioribus claris prognatus, nec virtute aut opibus subnixus, sed pastor hactenus obscurissimus, vasto tantum corpore & manuum robore insignis, attentauit dignitatem regiam, paratus animæ periculo depacisci nocendi licentiam. huic erant quatuor fratres, & ipsi grandi statura & manu prompti ad quoduis arduum facinus, instrumentum vt ipsis videbatur idoneum ad occupandam tyrannidem, quòd eorum quisque ductaret cohortem militum. magna enim ad eos turba confluxerat, quam in fratres quasi legatos distributam obire iubebat prælia: ipse diademate ornatus consultabat de rebus agendis, quarum penes se seruabat arbitrium: durauitque diu potestas huius, & non inanis regis appellatio, dum quicquid collibuisset exequitur: maximè in Romanos cædibus sæuiens, & milites regios, vtrisque ex æquo infensus: his propter licentiam qua sub Herode vsi fuerant, Romanis propter recentem iniuriam. Id odium indies magis exasperabatur, imminebántque vbique omnibus, vel lucri cupidine, vel in consuetudinem iam versa occidendi libidine. Circa Emauntem etiam Romanam cohortem frumenta & arma in exercitum portantem insidiis exceperunt: ductorémque eius Arium centurionem cum quadraginta fortissimis peditibus telis confixerunt: reliquos nihilo meliora iam spectantes superueniens cum regio milite Gratus seruauit, relictis cæsorum cadaueribus. In hunc modum longo tempore prælia per occasionẽ conserentes, & Romanos non leuibus affecerunt incommodis, & suam gentem maioribus etiam inuoluerunt calamitatibus. tandẽ & ipsi capti sunt, vnus à Grato pugna victus, alter à Ptolemæo. maximo natu deinde in Archelai potestatem redacto, vltimus qui supererat, fratris casu territus, & nullam videns salutis spem reliquam, quòd eius copiæ exhaustæ essent vel morbo vel continuis laboribus, accepta fide & iureiurando ipse quoque Archelao se dedidit. sed id aliquanto post factũ est. Tunc verò Iudæa plena erat latrociniis, & vt quisque seditiosorum cœtus coiuerat, passim reges creabantur in reipublicæ perniciem, quòd minima eius mali pars rediret ad Romanos, ipsi verò inter se diuturnis conflictarentur cædibus. Cæterùm varus cognito ex Sabini literis periculo, timens tertiæ legioni, assumptis duabus reliquis (nam tres in

XVI.

A φυγῇ διά τινος φάραγγος σώζοντος αὐτὸν γρᾶτος ἐντυχὼν τὴν κεφαλὴν ἀποτέμνει. κατεπρήσθη δὲ καὶ τὰ ἐπὶ τῷ ἰορδάνῃ ποταμῷ ἐν ἀμαθοῖς βασίλεια ὑπὸ τινῶν συστάντων ἀνδρῶν σίμωνι παραπλησίων. οὕτως πολλὴ ἀφροσύνη ἐνεπολίτευσε τῷ ἔθνει, διὰ τὸ βασιλέα μὲν οἰκεῖον οὐκ εἶναι τὸν καθέξοντα τὸ πλῆθος ἀρετῇ. τοὺς δὲ ἀλλοφύλους ἐπελθόντας σωφρονισμῷ τῷ μὴ συστασιάσοντος τῶν ἀνθρώπων, ὑπεκκαύματα αὐτῶν διά τε τοῦ ὑβρίζειν καὶ πλεονεκτεῖν γίνεσθαι. B ἐπεὶ καὶ ἀθρόγγης ἀνὴρ οὔτε προγόνων ἐπιφανὴς ἀξιώματι, οὔτε ἀρετῆς περιουσίᾳ, ἤ τινι πλήθει χρημάτων, ποιμὴν δὲ καὶ ἀνεπιφανὴς τοῖς πᾶσιν εἰς τὰ πάντα ὤν, ἄλλως δὲ μεγέθει σώματος, καὶ τῇ κατὰ χεῖρας ἀλκῇ διαπρέπων, ἐτόλμησεν ἐπὶ βασιλείᾳ φρονῆσαι, καὶ διὰ τὴν ἡδονὴν τοῦ πλέον ὑβρίσαι καὶ θνήσκων οὐκ ἐν μεγάλοις τίθεσθαι τῆς ψυχῆς τὸ ἐπὶ τοιοῖσδε ἀνάλωμα γινόμενον. ἦσαν δὲ αὐτῷ καὶ ἀδελφοὶ τέσσαρες, μεγάλοι τε καὶ αὐτοί, καὶ C ἐπὶ μεγάλα περιέχειν τῇ κατὰ χεῖρας ἀρετῇ πεπιστευμένοι, πρόβλημα εἶναι τῆς καθέξεως τῆς βασιλείας δοκοῦντες. λόχου τε αὐτῶν ἦρχεν ἕκαστος. συλλέγεται γὰρ μεγάλη πληθὺς περὶ αὐτούς. καὶ οἱ μὲν στρατηγοὶ ἦσαν, καὶ ὑπεστράτευον αὐτῷ ὁπόσα εἰς τὰς μάχας φοιτῶντες δι᾽ αὐτῶν. ὁ δὲ διάδημα περιθέμενος, βουλευτήριόν τε ἦγεν ἐπὶ τοῖς ποιητέοις, καὶ τὰ πάντα D γνώμῃ ἀνακείμενα εἶχεν τῇ αὐτοῦ. διέμενέ τε ἐπὶ πολὺ τῷδε τῷ ἀνδρὶ ἡ ἰσχύς, βασιλεῖ τε κεκλημένῳ, καὶ ἃ πράσσειν ἐθέλοι μὴ ἀποστερουμένῳ, φόνῳ τε καὶ αὐτὸς καὶ οἱ ἀδελφοὶ ἦσαν ἐπιμέγα προσκείμενοι ῥωμαίων τε καὶ τῶν βασιλικῶν μίσει, πολιτεύοντες ὁμοίως πρὸς ἀμφοτέρους. τούτοις μὲν ὕβρει ἧ χρήσαιντο ἐπὶ τῆς ἡρώδου ἀρχῆς, ῥωμαίοις δὲ εἰς τὸ παρὸν ἔδοξαν ἀδικεῖν, προϊόντος δὲ τοῦ χρόνου, καὶ ἐπὶ πλεῖον ὁμοίως ἐξηγριώθησαν. διαφυγεῖς τε οὐ- E δὲν τοῖς πᾶσιν ἐν πᾶσι, τὰ μὲν κέρδους ἐλπίδι, τὰ δὲ καὶ συνηθείᾳ τοῦ φονεύειν. ἐπιτίθενται δέ ποτε καὶ ῥωμαίων λόχῳ κατὰ ἐμμαοῦντα, οἳ σῖτον καὶ ὅπλα τῆς στρατιᾶς ἔφερον. καὶ περιστάντες ἄρειον μὲν τὸν ἑκατόνταρχον ὃς ἡγεῖτο τοῦ τάγματος, καὶ τεσσαράκοντα τῶν περὶ αὐτόν, πεζῶν τοὺς κρατίστους κατηκόντιζον. οἱ δὲ λοιποί, δείσαντες πρὸς τὸ πάθος αὐτῶν, γράτου σὺν τοῖς βασιλικοῖς, οἳ περὶ αὐτὸν ἦσαν σκέ- F πης αὐτοῖς γινομένης, σώζονται τοὺς νεκροὺς καταλιπόντες. καὶ πολὺν μὲν χρόνον τοιούτοις τρόποις χρώμενοι μάχαις, ῥωμαίοις τε παρελύπησαν οὐκ εἰς ὀλίγα, καὶ τὸ ἔθνος ἐκάκωσαν ἐπιμέγα. χειροῦνται δὲ σὺν χρόνῳ ὕστερον, ὁ μὲν γράτῳ συμβαλών, ὁ δὲ πτολεμαίῳ. καὶ τὸν πρεσβύτατον ἀρχελάου λαβόντος, ὁ τελευταῖος πάθει τε τῷ ἐκείνου λελυπημένος, καὶ ἄπορον ἐπὶ πλεῖον ὁρῶν τὴν σω- G τηρίαν ὑπὸ νόσου καὶ καμάτου πολλοῦ ψιλωθεὶς τῆς δυνάμεως, ἐπὶ δεξιαῖς καὶ πίστει τῇ ἐκ θεοῦ ἀρχελάῳ παραδίδωσιν αὐτόν. καὶ τάδε μὲν ὕστερον γίνεται. λῃστηρίων δὲ ἡ ἰουδαία ἔμπλεως ἦν, καὶ ὡς ἂν παρατύχοιεν τινὶ οἱ συστασιάσαντες αὐτῷ, βασιλεὺς προϊστάμενος ἐπ᾽ ὀλέθρῳ τοῦ κοινοῦ ἠπείγετο, ὀλίγα μὲν καὶ ἐπ᾽ ὀλίγοις ῥωμαίους λυπηροὶ καθιστάμενοι, τοῦ δὲ ὁμοφύλου φόνον μήκιστον ἐμποιοῦντες. οὔαρος δέ, ἐπειδὴ τὸ πρῶτον πυνθάνεται τὰ πεπραγμένα, σαβίνου γράψαντος πρὸς αὐτόν, δείσας περὶ τοῦ τρίτου τάγματος, δύο τὰ λοιπὰ ἀναλαβών, (τρία γὰρ ἐπὶ

συρίας

συρίας τὰ πάντα ἦν, καὶ ἴλας ἱππέων τέσσαρας, ὁπόσας τε ἐπικουρικὰ ἢ βασιλεῖς ἤ τινες τετράρχαι τότε παρεῖχον, ἠπείγετο βοηθεῖν τοῖς ἐν Ἰουδαίᾳ τότε πολιορκουμένοις. εἴρητο δὲ πᾶσιν εἰς Πτολεμαΐδα ἐπείγεσθαι, ὁπόσοι προεξεπέμποντο. διδόασι τε αὐτῷ καὶ Βηρύτιοι διιόντι αὐτῶν τὴν πόλιν ἐπικούρους πεντακοσίους καὶ χιλίους. πέμπει δὲ καὶ Ἀρέτας ὁ Πετραῖος ἔχθει τε τῷ Ἡρώδου φιλίαν τὴν Ῥωμαίων κτώμενος συμμαχίαν οὐκ ὀλίγην, χωρὶς πεζῶν τε καὶ ἱππέων. συναχθείσης δ' ἐν Πτολεμαΐδι τῆς δυνάμεως, μέρος τι ταύτης τῷ υἱῷ παραδοὺς, καὶ ἑνὶ τῶν αὐτοῦ φίλων, Γαλιλαίοις ἐξέπεμπε πολεμεῖν, οἳ ὑπὲρ τῆς Πτολεμαΐδος ἐχόμενοι κατοικοῦσιν. ὃς ἐμβαλὼν τούς τε ἀντικαταστάντας εἰς μάχην τρέπεται, καὶ Σέπφωριν ἑλὼν, τοὺς μὲν οἰκήτορας ἠνδραποδίσατο, τὴν δὲ πόλιν ἐνέπρησεν. αὐτὸς δὲ Οὔαρος ἐπὶ Σαμαρείας τῷ παντὶ στρατῷ προσιὼν, τῆς μὲν πόλεως ἀπέσχετο διὰ τὸ ἀνέγκλητον ἐπὶ τοῖς νεωτερισμοῖς εἶναι. στρατοπεδεύεται δὲ ἔν τινι κώμῃ Πτολεμαίου κτήματι, Ἄρους ὄνομα αὐτῇ. καὶ οἱ Ἄραβες μίσει τῷ Ἡρώδου ἐμπιπρᾶσιν αὐτὴν, ἔχθος καὶ πρὸς φίλους τοὺς ἐκείνου ἔχοντες. ἐκεῖθεν δὲ προϊόντες Σαμφὼ κώμην ἑτέραν διήρπασάν τε οἱ Ἄραβες, καὶ ἔκαυσαν πάνυ ἐρυμνὴν οὖσαν καὶ ὀχυράν. ἐν δὲ τῇ προόδῳ, οὐδὲν αὐτοὺς διέφυγεν, ἀλλὰ πυρὸς καὶ φόνου τὰ πάντα μεστὰ ἦν. πίμπραται δὲ καὶ Ἐμμαοῦς, Οὐάρου κελεύσαντος ἐπ' ἐκδικίᾳ τῶν πεπτωκότων, προεκλειφθεῖσα ὑπὸ τῶν οἰκητόρων. ἐντεῦθεν δὲ καὶ Ἱεροσολύμοις ἤδη συνῄει, καὶ Ἰουδαίων οἱ κατὰ πολιορκίαν τοῦ τάγματος τῇδε στρατοπεδευόμενοι, τὴν ὄψιν τῆς προσόδου τῶν στρατευμάτων οὐχ ὑπομείναντες ᾤχοντο ἡμίεργον τὴν πολιορκίαν καταλιπόντες. οἱ δ' ἐν τοῖς Ἱεροσολύμοις Ἰουδαῖοι δεινῶς τοῦ Οὐάρου σφίσιν ἐγκαλοῦντός τινας ἀπελύοντο τὰς αἰτίας, ὡς τῆς μὲν συνόδου τοῦ πλήθους διὰ τὴν ἑορτὴν γενομένης, τοῦ δὲ πολέμου μηδαμῇ γνώμῃ τῇ αὐτῶν, τόλμῃ δὲ τῶν ἐπηλύδων, συνελθόντες αὐτοῖς, καὶ συμπολιορκηθέντες Ῥωμαίοις μᾶλλον ἢ πολιορκεῖν προθυμίαν ἔχοντες. προαπήντηκασι δὲ τῷ Οὐάρῳ, Ἰώσηπός τε ἀνεψιὸς Ἡρώδου βασιλέως, Γρατός τε καὶ Ῥοῦφος τοὺς ὑπ' αὐτοῖς τῶν στρατιωτῶν ἄγοντες, καὶ τῶν Ῥωμαίων οἱ πολιορκούμενοι. Σαβῖνος δὲ οὐκ ἀφίκετο Οὐάρῳ εἰς ὄψιν, ἀλλ' ὑπεξῆλθε τῆς πόλεως ἐπὶ θαλάσσης. Οὔαρος δὲ κατὰ τὴν χώραν πέμψας τοῦ στρατοῦ μέρος, ἐπεζήτει τοὺς αἰτίους τῆς ἀποστάσεως. καὶ σημαινομένων, οὓς μὲν ἐκόλασεν ὡς αἰτιωτάτους, εἰσὶ δ' οὓς ἀφῆκεν. ἐγένοντο δ' οἱ διὰ ταύτην τὴν αἰτίαν σταυρωθέντες δισχίλιοι. μετὰ δὲ τοῦτο τὴν μὲν αὐτοῦ στρατιὰν ἀποπέμπεται, χρήσιμον μὲν οὐδὲν ἐπ' οὐδαμινοῖς οὖσαν τοῖς πράγμασι. πολλὰ γὰρ ἠτάκτητο αὐτοῖς καὶ παρήκουσαν τῶν δογμάτων, καὶ ὧν ἠξίου Οὔαρος, ἐφέσει κερδῶν ἃ ἐκ τοῦ κακουργεῖν περιεγένοντο αὐτοῖς. αὐτὸς δὲ μυρίους Ἰουδαίους συνεστηκέναι πυνθανόμενος, ἠπείγετο εἰς κατάληψιν αὐτῶν. οἱ δὲ οὐχ ἧκον εἰς χεῖρας, ἀλλὰ παρέδοσαν αὐτοὺς γνώμῃ τῇ Ἀχιάβου συνελθόντες. καὶ Οὔαρος τῷ πλήθει συγχωρῶν τὰς αἰτίας τῆς ἀποστάσεως, ἔπεμπεν ἐπὶ Καίσαρα ὁπόσοι ἡγεμόνες ἦσαν αὐτῶν. Καῖσαρ δὲ τοὺς μὲν αὐτῶν πολλοὺς ἀφῆκεν, ὁπόσοι δὲ συγγενεῖς ὄντες Ἡρώδου συνεστράτευον αὐτοῖς, τοὺς δὲ ἐκόλασε μόνους, οἳ μηδὲν φροντίσαντες τοῦ δικαίου κατὰ τῶν οἰκείων ἐστράτευον.

vniuersum erant in Syria) & quatuor turmis equitum, auxiliisque regum ac tetrarcharum properabat in Iudæam vt obsessis succurreret, iussis qui præmittebantur conuenire Ptolemaidem. Berytiorum etiam vrbem prætereundo, mille quingentos auxiliares ab eis accepit. Aretas quoque Petræus amicus Romanis factus propter Herodis inimicitias non paruam manum misit tam peditum quàm equitum. postquam autem apud Ptolemaida in vnum conuenit totus exercitus, partem eius filio&amicorum vni tradidit ducendam contra Galilæos eius vrbis agro finitimos, qui regionem eorum ingressus, profligatis quotquot ausi sunt cum armis occurrere, Sephorim cepit: & venditis sub hasta incolis, vrbem absumpsit incendio. Ipse Varus versus Samariam progressus cum exercitu, à ciuitate quidem abstinuit, quam sciebat immunem à seditiosorum contagio: castra autem posuit in quodam vico, qui erat Ptolemæi possessio, Arus nomine. eum Arabes incenderunt, propter Herodem amicis quoque eius infensi. inde progressi Sampho alium vicum iidem Arabes diripiunt, móxque incendunt, quamuis munitissimum. quin toto illo itinere nihil eos effugit, omnia miscentes flammis ac cædibus. Nam & Emmaus cremata est Vari iussu, in vindictam cæsorum ibi militum, deserta tamen ab habitatoribus. Inde cùm appropinquarent Hierosolymis, Iudæi qui legionem ab ea parte obsidebant, ad primum venientis exercitus conspectum territi diffugerunt, oppugnatione quam inceptabant relicta. Hierosolymitani autem Iudæi grauiter à Varo increpati, excusationem afferebant, populum quidem propter festum confluxisse, bellum verò non ex sua sententia, sed ex conuenarum audacia susceptum: & se adeò non oppugnasse Romanos, vt potius vnà cum illis oppugnati fuerint. & iam antè obuiam ei processerant, Iosephus Herodis regis nepos Gratúsque ac Rufus cum militibus, & Romani qui obsidionem tulerant. Sabinus enim in eius conspectum non venit, sed subducens se clàm ex vrbe, ad mare profectus est. Tum Varus dimissa per totam regionem parte exercitus, perquirebat defectionis autores: & indicio repertos, alios vt sontes puniit, nonnullos dimisit incolumes: actique sunt in cruces ea de causa circiter duo millia. Post hæc ablegato exercitu cuius non erat vsus amplius, quique contra eius voluntatem lucri studio multa maleficia patrauerat, ipse audito decem millia Iudæorum in vnum confluxisse, properauit vt eos deprehenderet. illi non ausi manus conserere, deditionem fecerunt arbitratu Achiabi. Varus autem data seditiosorum vulgo defectionis venia, duces eorum misit ad Cæsarem. Ille cæteris ignouit, in solos aliquot regis Herodis necessarios animaduertit, quòd nec cognationis nec iustitiæ respectu à nefariis armis abstinuerint.

A Itaque Varus rebus compositis, & relicta Hierosolymis eadem legione in præsidio reuersus est Antiochiam.

XVII. Archelao autem Romæ aliud negotium exhibitum est tali de causa. Venit eò Vari permissu Iudæorum legatio, postulans vt eis liceat suis legibus viuere: erántque legati quinquaginta, quibus aderant Iudæorum vrbem incolentium plus quàm octo millia. cúmque Cæsar conuocasset in ædem Apollinis magno sumptu à se extructam cōcilium amicorum & primariorum ciuium, B venerunt eò legati, prosequente Iudæorum turba, & Archelaus cum amicorum comitatu. cognati autem regis neq; ab Archelao stabant propter ipsius odium, & tamen legatis suffragari grauabantur, quòd puderet eos coram Cæsare aduersari homini tam propinqua coniuncto necessitudine. Aderat & Philippus è Syria Vari hortatu veniens ea potissimum C de causa, vt fratris aduocatum ageret, cui Varus bene cupiebat: deinde nonnihil sperans, si impetrarent Iudæi potestatem viuendi suis legibus, fore vt diuiso in Herodis progeniem regno, ad ipsum quoque rediret pars aliqua. Data igitur Iudæorum legatis dicendi copia, postulantes non esse vlterius sub regibus, ab accusanda Herodis iniquitate orsi sunt: Regem illum fuisse nomine tenus, alioquin omnibus omnium tyrannorum artibus vsum ad subiectæ gentis perniciem, nec D his contentum quasdam nouas ex suo commentum esse ingenio. Nec opus esse commemorari quàm multis vitam ademisset, cùm lōgè deterior fuerit conditio superstitum, quos non modò perpetua truculentia & asperitate terruerit, sed bonis etiam eorum rapaces manus non abstinuerit. itaque vicinas vrbes ab exteris habitatas illum ornamentis excoluisse quo magis in suo regno sitas exhauriret exa- E ctionibus: adegisséque gentem suam ad extremam paupertatem, quam cum primis florentem acceperit, dum nobiles ex causis parum probabilibus damnatos capitis insuper bonis spoliat, aut facta viuendi gratia, nudat eos possessionibus. deinde cùm annua tributa imposita sint per singulos, seorsum tamen placandam fuisse auiditatem amicorum eius & aulicorum, atque etiam seruorum qui huiusmodi exigendis præessent, vt hoc pacto F iniuriosam vexationem redimerent. Silentio enim prætereundas constuprationes virginum, & per contumeliam ereptam matronis pudicitiam, quandoquidem hæc patientibus maximum sit solatium, si quàm paucissimis sciatur suum dedecus. in summa non aliter ipsis præfuisse Herodem, quàm si sæuissimæ bestiæ in eos commissum fuisset imperium. Itaque cùm multis olim ea gens oppressa sit cladibus, nullum tamen extare in rerum G monumentis exemplum, cum quo conferri possit præsens per Herodem illata calamitas. Quapropter meritò ab eis Archelaum promptis studiis regem consalutatum, quòd ita putarent, fieri nō posse, quin quicūq; tādē Herodi succederet, moderatiùs multò tractaret subditos: & in eius gratiam patrem honoratum

A Οὔαρος μὲν δὴ ταῦτα καταστησάμενος, καὶ φρουρὰν ἐν Ἱεροσολύμοις τὸ καὶ πρότερον καταλιπὼν τάγμα, ἐπ' Ἀντιοχείας ἠπείγετο. Ἀρχελάῳ δὲ ἐπὶ Ῥώμης ἕτερον πραγμάτων ἐφύοντο ἀρχαὶ κατὰ τοιαύτας αἰτίας. ἀφίκετο εἰς τὴν Ῥώμην πρεσβεία Ἰουδαίων, Οὐάρου τὸν ἀπόστολον αὐτῶν τῷ ἔθνει ἐπικεχωρηκότος ὑπὲρ αἰτήσεως αὐτονομίας. καὶ ἦσαν οἱ μὲν πρέσβεις οἱ ἀποσταλέντες γνώμῃ τοῦ ἔθνους πεντήκοντα, συνίστατο δὲ αὐτοῖς τῶν ἐπὶ Ῥώμης B Ἰουδαίων ὑπὲρ ὀκτακισχιλίους. Καίσαρός τε συνέδριον φίλων τε τῶν αὐτοῦ, καὶ Ῥωμαίων τῶν πρώτων συναγαγόντος ἐν ἱερῷ Ἀπόλλωνος, μεγάλοις τέλεσιν ὑπ' αὐτοῦ ἱδρυμένῳ, οἱ μὲν πρέσβεις μετὰ τοῦ πλήθους τῶν αὐτόθι Ἰουδαίων ἀφικνοῦνται, Ἀρχέλαος δὲ μετὰ τῶν φίλων, ὁπόσοι δὲ συγγενεῖς ἦσαν τοῦ βασιλέως, Ἀρχελάῳ μὲν συντετάχθαι διὰ μῖσος, τὸ πρὸς αὐτὸν ὑστέρουν, τοῖς δὲ πρέσβεσιν ὁμοψηφεῖν κατ' αὐτοῦ δεινὸν ἡγοῦντο, ἐν αἰσχύνῃ τῇ αὐτῶν οἰόμενοι γενήσεσθαι παρὰ Καίσαρι κατ' ἀνδρὸς οἰκείου C τοιάδε προάγειν προθυμεῖσθαι. παρῆν δὲ ἤδη καὶ Φίλιππος ἀπὸ Συρίας, ἐξοτρύναντος αὐτὸν Οὐάρου, τὸ μὲν κεφάλαιον, ἐπὶ συνηγορίᾳ τἀδελφοῦ, πάνυ γὰρ εὔνους Οὔαρος αὐτῷ. γενομένης δὲ τῆς βασιλείας μεταπτώσεως, καὶ τάδε ὑπώπτευεν Οὔαρος, νέμησιν αὐτῆς γενήσεσθαι διὰ τὸ πολλοὺς εἶναι τοὺς αὐτονομίας γλιχομένους, οὐχ ὑστεριεῖν τοῦ κἂν αὐτὸς μοῖραν αὐτῆς τινα φέρεσθαι. λόγου οὖν τοῖς Ἰουδαίων πρέσβεσι δοθέντος, οἳ ἐπὶ καταλύσει τῆς βασι- D λείας ἤλπιζον λέγειν, ἐπὶ κατηγορίᾳ τῶν Ἡρώδου παρανομιῶν ἐτράποντο. βασιλέα μὲν ὀνόματι ἀποφαίνοντες, τὰ δὲ ἐν ταῖς τυραννίσιν ἑκάστης τὸ ἀνήκεστον ἐναδεξάμενον εἰς αὐτὸν ἐπ' ὀλέθρῳ τῶν Ἰουδαίων συνθέντα χρῆσθαι, τὰ πολλὰ καὶ φύσει τῇ αὐτοῦ προσκαινουργεῖν οὐκ ἀπηλλαγμένον. πολλῶν γοῦν ὄντων οἳ ὀλέθροις ἀπολώλεσαν, οὐχ ἱστορῆσθαι τῶν πρότερον πολλῷ δυστυχεστέρους τοῦ πάθους ἐκείνων τοὺς ζῶντας εἶναι, οὐ μόνον ὧν ὄψει καὶ διανοίᾳ ἐπ' αὐτοὺς ἀνιαθεῖεν, ἀλλὰ καὶ ὧν ταῖς οὐσίαις. πόλεις E μέν γε τὰς μὲν περιοικίδας, καὶ ὑπὸ ἀλλοφύλων οἰκουμένας κοσμοῦντα μὴ παύσασθαι, καταλύσει τε καὶ ἀφανισμῷ τῶν ἐν τῇ ἀρχῇ αὐτοῦ κατῳκημένων. πενίας δὲ ἀπόρου τὸ ἔθνος ἀναπεπληκέναι, σὺν ὀλίγοις εὐδαίμον παρειληφότα, τῶν τε εὐπατριδῶν ὁπότε κτείνειεν αὐτοὺς ἐπ' ἀλόγοις αἰτίαις τὰς οὐσίας ἀποφερόμενον, καὶ οἷς συγχωρήσειε τὴν ἄδειαν τοῦ ζῆν, ψίλωσιν χρημάτων καταδικάζοντα. καὶ χωρὶς μὲν πράσσεσθαι φόρους ἐπιβαλ- F λομένους ἑκάστοις τὸ ὑπ' ἔτος, χωρὶς δὲ εὐπορίας εἶναι παρὰ καταβολὰς αὐτῶν τε καὶ οἰκείοις καὶ φίλοις, καὶ τῶν δούλων, οἳ ἐπ' ἐκπράξει τῶν φόρων ἀξιοῖεν, διὰ τὸ μὴ εἶναι κτῆσιν τοῦ ἀνυβρίστου, μηδ' ὅπως μηδὲ ἀργυρίων διδομένων. παρθένων μέντοι φθορὰς, καὶ γυναικῶν αἰσχύνας, ὁπόσας ἐπὶ παροινίᾳ καὶ ἀπανθρωπίᾳ δρωμένας, σιγᾶν, διὰ τὸ ἡδονὴν ἴσην εἶναι τοῖς πεπονθόσι, τοῦ μὴ γεγονέναι, τὸ ἐκ τοῦ ἀνέκπυστα αὐτὰ εἶναι. τοσήνδε Ἡρώ- G δην ἐπεισάγεσθαι τὴν ὕβριν αὐτοῖς, ὁπόσην οὐκ ἂν θηρίον ἀνθρώπων ἐπισταῖεν δυνάμεως αὐτῷ παραγενομένης. πολλῶν γοῦν ἀναστάσεων παραλαβουσῶν τὸ ἔθνος, οὐδεμίαν ἱστορῆσθαι πώποτε τοιάνδε δυστυχίαν ὑπελθοῦσαν αὐτῷ, παράδειγμα κακώσεως, ἣν αὐτῷ Ἡρώδης ἐπετίθει τὸ ἔθνος. καὶ διὰ ταῦτ' εἰκότως ἂν γενέσθαι τὸ ἀσμένως Ἀρχέλαον βασιλέα προσειπεῖν, οἰομένους πάντα ὅντινα οὖν τῶν ἐπὶ βασιλείᾳ ἐσόμενον Ἡρώδου μετριώτερον φαίνεσθαι, καὶ τόν τε πατέρα συνολοφύρασθαι

φύρεσθαι αὐτῷ θεραπεύοντας, εἰ δὲ μειζόνων τυχεῖν δυνηθεῖεν, καὶ τὰ ἄλλα οἰκειουμένους. τὸν δὲ δείσαντα μὴ οὐχ Ἡρώδου γνήσιος πιστεύοιτο υἱὸς, οὐδὲν εἰς ἀναβολὰς, ἀλλ' ἐκ τοῦ ὀξέως ἐπάξασθαι αὐτῷ τὸ ἔθνος τὴν διάνοιαν αὐτοῦ, καὶ ταῦτα μηδέπω τέλεον κρατυνόμενον ἡγεμονίαν, διὰ τὸ ἐπὶ Καίσαρι εἶναι, καὶ μὴ, τὴν ἐξουσίαν εἶναι. καὶ παράδειγμα τοῦ τῆς εἰς αὖθις ἀρετῆς τιθέναι τοῖς ἀρχθησομένοις μετριότητος καὶ εὐνομίας, ἣ χρήσαιτο ἂν πρὸς αὐτοὺς, ἀπὸ τῆς ἐν πρώτοις ἀποδειχθείσης πράξεως, ἐπί τε τοῖς πολίταις, καὶ τῷ θεῷ, τρισχιλίων ὁμοφύλων ἀνδρῶν σφαγὴν ἐν τῷ τεμένει ποιησάμενον. πῶς οὐκ ἂν ἤδη δικαίῳ μίσει χρήσασθαι κατ' αὐτοῦ, πρὸς τῇ λοιπῇ ὠμότητι, καὶ ἔγκλημα τῆς ἀντιστάσεως καὶ ἀντιλογίας ἐπὶ τῇ ἀρχῇ προσφερόμενον; ἦν δὲ κεφάλαιον αὐτοῖς τῆς ἀξιώσεως, βασιλείας καὶ τοιῶνδε ἀρχῶν ἀπηλλάχθαι, προσθήκην δὲ Συρίας γεγονότας, ὑποτάσσεσθαι τοῖς ἐκεῖσε πεμπομένοις στρατηγοῖς. φανερωθήσεσθαι γὰρ οὕτως εἴτε ἀληθῶς στασιώδεις εἶεν καὶ νεωτερισμοῖς τὰ πολλὰ προσησιμμένοι. εἴτε καὶ εὔτακτοι μετριωτέρων τυχόντες οἱ ἐπιστήσονται αὐτοῖς. τοιαῦτα δὲ τῶν Ἰουδαίων εἰρηκότων, Νικόλαος τούς τε βασιλεῖς ἀπήλλασσε τῶν ἐγκλημάτων, Ἡρώδην μὲν, διὰ τὸ παρ' ὃν ἔζη χρόνον τυχεῖν ἀκατηγόρητον. οὐ γὰρ δεῖν τοὺς ἐγκαλεῖν ἔχοντας ἐπὶ μετρίοις, καὶ παρὰ ζῶντος τιμωρίαν λαβεῖν δυναμένους, ἐπὶ νεκροῦ κατηγορίαν συντιθέναι. τὰ δὲ ὑπ' Ἀρχελάου πραχθέντα ὕβρει τῇ ἐκείνων ἀνετίθει. οἱ ὀριγνώμενοι πραγμάτων παρὰ τοὺς νόμους, καὶ σφαγῆς ἄρξαντες τῶν κωλύειν ὑβρίζοντας προθυμουμένων, ἀμύνης γενομένης ἐγκαλοῖεν. ἐνεκάλει δὲ νεωτεροποιΐας αὐτοῖς, καὶ τοῦ στασιάζειν ἡδονὴν ἀπαιδευσίᾳ τοῦ πείθεσθαι δίκῃ καὶ νόμοις, ὑπὸ τοῦ θέλειν τὰ πάντα νικᾶν. ταῦτα μὲν οὖν Νικόλαος.

Κεφάλαιον ιγ'.

Ὡς Καῖσαρ τὰς Ἡρώδου διαθήκας βεβαίας ἐποίησεν, φυλάξας τοῖς υἱοῖς αὐτοῦ τὴν διαδοχήν.

Καῖσαρ δὲ ἀκούσας διαλύει μὲν τὸ συνέδριον, ὀλίγων δὲ ἡμερῶν ὕστερον Ἀρχέλαον βασιλέα μὲν οὐκ ἀποφαίνεται, τοῖς δὲ ἡμίσεος τῆς χώρας ἥπερ Ἡρώδῃ ὑπετέλει ἐθνάρχην καθίσταται, τιμήσειν ἀξιώματι βασιλείας ὑπισχνούμενος εἴπερ τὴν εἰς αὐτὴν ἀρετὴν προσφέροιτο. τὴν δὲ ἑτέραν ἡμίσειαν, νείμας διχῇ, δυσὶν Ἡρώδου παισὶν ἑτέροις παρεδίδου, Φιλίππῳ καὶ Ἀντίπᾳ τῷ πρὸς Ἀρχέλαον τὸν ἀδελφὸν ἀμφισβητήσαντι περὶ τῆς ὅλης ἀρχῆς. καὶ τούτῳ μὲν ἥ τε Περαία, καὶ τὸ Γαλιλαῖον ὑπετέλει, φορά τε ἦν, τάλαντα διακόσια τὸ ἐπ' ἔτος. Βαταναία δὲ σὺν Τραχωνίτιδι, καὶ Αὐρανῖτις σύν τινι μέρει οἴκου τοῦ Ζηνοδώρου λεγομένου, Φιλίππῳ τάλαντα ἑκατὸν προσέφερεν. τὰ δὲ Ἀρχελάῳ συντελοῦντα, Ἰδουμαία τε καὶ Ἰουδαία, τό τε Σαμαρειτικόν. τέταρτον μέρος οὗτοι τῶν φόρων παραλέλυντο, Καίσαρος αὐτοῖς κούφισιν ψηφισαμένου, διὰ τὸ μὴ συναποστῆναι τῇ λοιπῇ πληθύϊ. καὶ ἦσαν πόλεις αἱ Ἀρχελάῳ ὑποτελοῦσαι, Στράτωνός τε πύργος, καὶ Σεβαστὴ σὺν Ἰόππῃ καὶ Ἱεροσολύμοις. Γάζα γὰρ καὶ Γάδαρα καὶ Ἵππος, Ἑλληνίδες εἰσὶ πόλεις. ἀπορρήξας αὐτοὺς τῆς ἀρχῆς ἕως Συρίας προσθήκην ποιεῖται. προσῄει δὲ Ἀρχελάῳ φορὰ χρημάτων τὸ κατ' ἐνιαυτὸν, εἰς τάλαντα ἑξακόσια, ἐξ ἧς παρέλαβεν ἀρχῆς. καὶ τάδε μὲν τοῖς Ἡρώδου υἱέσι τῶν πατρῴων παρῆν.

A luctu publico, libenter gratificaturis & in cæteris ad cōciliandam sibi eius beneuolentiam. At illum quasi timeret ne non videretur germana parentis sui soboles, sine dilatione declarasse popularibus quid de se sentiendum sit, idque priusquam confirmatus esset in potentia, cùm totum negotium etiam tum penderet ex arbitrio Cæsaris, editúmque mox subditis futuræ virtutis ac modestiæ & æquitatis specimen, dum tria millia suæ tribus ciuium B Deo in ipso templo pro victimis iugulat. An non igitur omnes iustissimo illum prosequi odio, qui post tam crudele facinus, adhuc seditionis reos se conetur peragere, & ius regni sibi vindicet? Postremò summa postulatorum hæc fuit, vt mutata reipub. forma posthac sine regibus agerent, & contributi prouinciæ Syriæ, Romanis parerent potestatibus. Sic enim fore perspicuum, vtrum seditionibus delectentur, & rerum nouationi- C bus, an obedire sciant præsidibus legitimis. His peroratis à legatis Iudæorum, Nicolaus vtrique patrocinatus est, dicens Herodem quidem quoad vixerit nunquam fuisse accusatum, nec esse æquum eos qui si iustam viuentis accusationem attulissent, castigationem eius sperare poterant, nunc defuncti manes criminibus lacessere. Quæ verò obiiciantur Archelao, ipsorum imputanda esse violentæ contumaciæ: qui cùm affectassent res non con- D cessas legibus, & pacatores ferro ac saxis aggressi essent, nunc vitio verterent eisdem rationibus se esse cohibitos. Versa deinde in accusatores criminatione, aiebat eos libenter agitari seditionibus, quòd nesciant parere legibus, esséque gentem omnium peruicacissimam. Hæc Nicolaus.

CAP. XIII.

E *Cæsar Herodis confirmat testamentum.*

CÆsar verò his auditis dimisit concilium. Paucis deinde diebus Archelaum non regem declarat, sed dimidia parte ditionis quę Herodis fuerat ei concessa ethnarcham eum constituit, regnum quoque pollicitus, quàm primùm ille se tali honore dignum redderet. Alterum dimidium partitus est in alios duos Herodis filios, Philippum, & Antipam eum F qui cum Archelao de toto regno contenderat. Huic transamnana regio cessit cum Galilæa, & CC. talenta annua. Batanæa verò cum Trachonitide, & Auranitis cum parte quadam Zenodori (vt vocant) domus obtigit Philippo, & centum talenta annui reditus, Archelao verò Iudæa & Idumea, prӕterque has Samaria, cui ex autoritate Cæsaris tributorum quarta pars remissa est, eò quòd cæteris tumultuantibus soli quieti manserant in officio. in e- G ius ditione comprehendebantur vrbes, Stratonis turris, Sebaste, Ioppe, Hierosolyma. nam Gazam, Gadara & Hippon græcanici instituti vrbes Cæsar ob id separatas à regni terminis Syriæ contribuit. DC. autem talenta quotannis redibant è sua ditione ad Archelaū. atque hoc fuit Herodis filiorū patrimoniū.

Salome autem præter legatas à fratre vrbes Iamniam, Azotum & Phasaëlida, argentique signati quingenta millia, Cæsar largitus est in Ascalone palatium: percipiebátque ex subiectis sibi locis sexaginta talenta annua, habitans in ditione Archelai. reddita sunt etiam cæteris regis cognatis legata, ita vt testamento cauerat. Duæ deinde eius filiæ virgines præter relicta sibi à patre, accepêre ex Cæsaris munificentia ducena quinquagena signati argenti millia, & elocatæ sunt Pheroræ filiis. imò totum etiam regis legatum mille quingentorum talentorum æstimatione cessit ipsius filiis, paucis aliquot vasis sibi retentis, non tam ob precium charis, quàm ob amici memoriam.

Cap. XIIII.

De Pseudalexandro.

XVIII. His ita ordinatis per Cæsarem, iuuenis quidam Iudæus genere, educatus Sidone apud quendam Romani ciuis libertum, adoptauit semetipsum in Herodis familiam, per occasionem similitudinis, qua referebat Alexandri ab illo extincti effigiem, attestantibus omnium quotquot vtrunque viderant oculis: atque hac via grassari cœpit ad regium fastigium. itaque ascito tribuli quodam fraudis socio, qui totius regiæ rerum gnarus, alioquin etiam astutus erat, & natus ad excitandas turbas egregias, illius institutione fingebat se Alexandrum illum Herodis filium, morti subtractum cuiusdam beneficio, cui demandatum sit eius interficiendi negotium. suppositis enim necis ipsorum vicariis, & se ereptum & fratrem Aristobulum. His nugis inflatus, aliis quoque non desinebat fucum facere: cúmque Cretam appulisset, quotquot Iudæorum venerunt in eius colloquium, omnibus rem persuasit, & auctus ab eis pecunia, traiecit in Melum insulam vbi magnam pecuniæ vim quæsiuit prætextu regiæ prosapiæ. Et iam sperans recepturum se paternum principatũ, remuneraturúmque beneficos, Romam properat suis hospitibus deducentibus. cúmque adnauigasset Puteolos, ibi quoque à deceptis Iudæis simul fauore exceptus est, concurrentibus tanquam ad regem qui Herodi vel hospitij iure coniuncti, vel aliquo erant obstricti beneficio. in causa fuit hominum natura rumorum auida, præsertim conciliante formæ similitudine. nam etiam illis qui valde familiares Alexandro fuerant, persuasum erat hunc ipsum esse, non alium, ídque aliis non dubitabant asseuerare iureiurãdo interposito. Quod postquam Romam perlatum est, vniuersa Iudæorum illic agentium multitudo profecta est obuiam, tam insperatam salutem ad Dei referentes gratiam, & publico applausu propter maternum genus excipientes hominem lectica gestatum per vias. nihil enim ei ad regium cultum deerat, suppeditantibus sumptum hospitibus: affluentéque certatim multitudine, acclamabatur faustis ominationib. vt fieri solet in re præter spẽ incolumi.

σαλώμῃ δὲ πρὸς οἷς ὁ ἀδελφὸς ἐν ταῖς διαθήκαις ἀπονέμει, ἰαμνία δὲ ἦν ταῦτα καὶ ἄζωτος, καὶ φασαηλὶς, καὶ ἀργυρίου ἐπισήμου μυριάδες πεντήκοντα, καῖσαρ χαρίζεται καὶ τὴν ἐν ἀσκάλωνι βασίλειον οἴκησιν. ἦν δὲ καὶ ταύτῃ πρόσοδος ἐκ πάντων, τάλαντα ἑξήκοντα εἰς ἔτος, καὶ αὐτῆς ὁ οἶκος ἦν ἐν τῇ ἀρχελάου ἀρχῇ. κομίζονται δὲ καὶ οἱ λοιποὶ τοῦ βασιλέως συγγενεῖς ὁπόσα αἱ διαθῆκαι διηγόρευον. δυσὶ δὲ αὐτοῦ θυγατράσι παρθένοις χωρὶς ὧν ὁ πατὴρ κατέλιπε, καῖσαρ ἑκατέρᾳ δωρεὰν ἐπετίθει μυριάδων ἀνὰ πέντε καὶ εἴκοσι ἀργυρίου ἐπισήμου, καὶ συνῴκισεν αὐτὰς τοῖς φερώρου υἱέσι. χαρίζεται δὲ καὶ ὁπόσα αὐτῷ καταλέλειπτο τοῖς παισὶ τοῦ βασιλέως, ὄντα πεντακοσίων ταλάντων καὶ χιλίων, ὀλίγα τῶν σκευῶν ὑπεξελόμενος, οὐχ οὕτω μεγέθει τέλους ὡς μνήμῃ τοῦ βασιλέως αὐτῷ κεχαρισμένα.

Κεφάλαιον ιδʹ.

Περὶ ψευδαλεξάνδρου.

Τούτων δὲ ταύτῃ διατεταγμένων ὑπὸ καίσαρος, νεανίας ἰουδαῖος μὲν τὸ γένος, ἐπὶ δὲ τῆς σιδωνίων πόλεως ἀνατεθραμμένος παρά τινι τῶν ῥωμαϊκῶν ἀπελευθέρων, εἰσῴκησεν αὑτὸν εἰς τὴν ἡρώδου συγγένειαν, ὁμοιότητι μορφῆς ἣ πρὸς ἀλέξανδρον αὐτῷ τὸν ἀνῃρημένον υἱὸν ἡρώδου ἐμαρτυρεῖτο παρὰ τοῖς θεωροῦσι. καὶ τοῦτο παρόρμημα ἦν αὐτῷ εἰς τὸ μεταποιεῖσθαι τῆς ἡγεμονίας. καὶ ὁμοπράγμονα παραλαβὼν ὁμόφυλον ἄνδρα, ἔμπειρον δὲ τῶν ἀμφὶ τὸ βασίλειον, πονηρὸν δὲ ἄλλως, καὶ ταράξαι μεγάλα πράγματα φύσιν ἔχοντα, καὶ τοιαύτης κακίας διδάσκαλον αὐτῷ γενόμενον, ἀπέφαινεν αὑτὸν ἀλέξανδρον, καὶ ἡρώδου παῖδα ὄντα διακεκλεισμένον ὑπό τινος τῶν ἀνελεῖν αὐτὸν ἐσταλμένων. κτείναντα γὰρ ἑτέρους οἳ ἀπατήσειν ἔμελλον τοὺς θεωροῦντας, αὐτόν τε περιποιῆσαι καὶ τὸν ἀδελφὸν ἀριστόβουλον. καὶ τούτοις αὐτός τε ἀνεπτέρωτο, καὶ τοὺς ἐντυγχάνοντας οὐκ ἀπήλλακτο ἀπατᾶν, ἀλλὰ κρήτῃ προσενεχθεὶς ἰουδαίων ὁπόσοις εἰς ὁμιλίαν ἀφίκετο, ἐπηγάγετο εἰς πίστιν, καὶ χρημάτων εὐπορηθεὶς δόσει τῇ ἐκείνων, ἐπὶ μήλου διῆρεν. πολὺ δὲ ἦν ἐντεῦθεν ὁπόσα αὐτῷ προσῄει χρήματα, προφάσει τῆς βασιλικῆς συγγενείας, καὶ ἐλπίδι τοῦ ἀπολαβεῖν τὴν πάτριον ἀρχὴν, καὶ ἀμείψασθαι τοὺς εὐεργέτας, ἐπὶ ῥώμης ἠπείγετο, παραπομπῇ τῶν ἰδιοξένων. καὶ δικαιαρχίᾳ προσβαλὼν οὐκ ἠτύχει καὶ τοὺς τῇδε ἰουδαίων ἀφ' ὁμοίας ἀπάτης προσαγαγέσθαι. προσῄεσάν τε ὥσπερ βασιλεῖ οἵ τε ἄλλοι, καὶ ὁπόσοις ξενία πρὸς ἡρώδην, καὶ εὔνοιαι ἦν. αἴτιον δὲ ἦν, τῶν ἀνθρώπων τὸ ἡδονῇ δεχόμενον τοὺς λόγους σὺν τῷ φερεγγύῳ τῆς μορφῆς. καὶ γὰρ τοῖς πάνυ ὡμιληκόσιν ἀλεξάνδρῳ, πολὺ τὸ πιστὸν ἐνετίθει τοῦ μὴ οὐχ ἕτερος, ἀλλ' αὐτὸς εἶναι, καὶ πρὸς τοὺς πλησίον καὶ ὤμνυσαν. ὥς τε καὶ προσελθόντος εἰς τὴν ῥώμην λόγου τοῦ περὶ αὐτοῦ, πᾶν τὸ τῇδε ἰουδαίων πλῆθος ὑπαντιάζοντες ἐξῄεσαν, τῷ παρὰ δόξαν τῆς σωτηρίας θειάζοντες τὸ ἔργον, καὶ χάρμα ποιούμενοι διὰ τὸ μητρόθεν αὐτοῦ γένος ὁπότε χωρῶν κατὰ τῶν στενωπῶν διεφορεῖτο φορείῳ μετὰ τὸ περιχαρὲς καὶ πᾶν βασίλειον περὶ αὐτοῦ σχῆμα ἦν ἀναλώμασι τῶν ἰδιοξένων, μεγάλαι τε περιστάσεις ἐγίνοντο τοῦ πλήθους, ἐπιβοήσεις τε εὔφημοι, καὶ ὁπόσα εἰκὸς τοῖς οὕτω παρ' ἐλπίδα σωθεῖσι συντυγχάνειν οὐδὲν ὅτι οὐκ ἐπεπράττετο.

καίσαρι δὲ ὡς ἀφίκετο ἀγγελία περὶ αὐτοῦ, ἠπίστει **A** μὲν διὰ τὸ μὴ ἂν ῥᾳδίως ἀπατηθῆναι Ἡρώδην ἐν πράγμασιν ἐπὶ μεγάλοις ἀνήκουσιν αὐτῷ. διδοὺς δὲ τῇ ἐλπίδι Κέλαδον τῶν αὐτοῦ τινὰ ἐξελευθέρων ὡμιληκότα τοῖς μειρακίοις, πέμπει κελεύσας ἀγαγεῖν εἰς ὄψιν αὐτῷ τὸν Ἀλέξανδρον. ὁ δὲ ἀνῆγεν οὐδέν τι βελτίων ἐπὶ τὴν κρίσιν τῶν πολλῶν γενόμενος. οὐ μὴν καῖσαρ διηπάτητο. ἀλλ' ἦν μὲν ἐμφερὴς οὐ μὴν ὥς τε ἀπατῆσαι τοὺς σωφρόνως ἐκλογίζεσθαι δυναμένους. αὐτουργίᾳ τε γὰρ ἐπεξείργαστο ὁ **B** ψευδαλέξανδρος, καὶ παρὰ τὸ ἐκείνῳ ῥοδαρὸν τοῦ σώματος ὑπὸ τροφῆς καὶ γενναιότητος συνερχόμενον, διὰ τὰ ἐναντία τῷδε ἐπὶ σκληρότερον ἐξεβεβήκει τὸ σῶμα. θεασάμενος οὖν συμπνεύσασαν ἐπὶ ψευδολογίᾳ διδασκάλου καὶ μαθητοῦ, καὶ λόγων τολμηρῶν συγκρότησιν, ἐξήταζε περὶ Ἀριστοβούλου τί καὶ γένοιτο συνεκπλεύσαντος αὐτῷ, καὶ δι' ἣν αἰτίαν οὐ παραγένοιτο μεταποιούμενος τῆς ἀξίας, ἧς προσῆκε τυγχάνειν τοὺς οὕτω γεγονότας. φαμένου δὲ ἐπὶ νήσου τῆς Κυπρίων καταλελεῖφθαι, **C** κινδύνων ὑφορᾶσθαι τῶν κατὰ θάλασσαν, εἰ περὶ αὐτὸν συμβαίη τι δεινὸν μὴ παντελὲς ἐξαλείφοιεν τὸ Μαριάμμης γένος, ἀλλὰ περιὼν Ἀριστόβουλος μένοι τοὺς ἐπιβεβουλευκότας. ταῦτα δ' ἰσχυριζομένου, καὶ συνεστῶτος αὐτῷ τοῦ μηχανοποιοῦ τῆς πράξεως, καῖσαρ κατὰ μόνας ἀπολαβὼν τὸ μειράκιον, ἀλλά σοι μισθὸς εἶπε προκείσεται τοῦ μὴ καὶ πρὸς ἐμὲ ἀπάτῃ χρησαμένου τὸ μὴ ἀπολέσθαι τῆς σωτηρίας, φάσθαι δή μοι αὐτὸν τίς ὢν τυγχάνεις, καὶ ὅς σε **D** τοιάδε ἐξετόλμησε διανοεῖσθαι. μεῖζον γὰρ τὸ ἐπιβούλευμα κακίας ἧς ἐγκεχείρηκας, χρόνων τῶν γεγονὼς τυγχάνεις. καὶ δή, οὐ γὰρ ἦν ἄλλως πράσσειν, φράζει πρὸς τὸν καίσαρα τὸ ἐπιβούλευμα, ὅντε τρόπον, καὶ ἐφ' οὗ τυγχάνοι συγκείμενον. καὶ ὁ καῖσαρ τὸν μὲν ψευδαλέξανδρον, οὐ γὰρ ἐψεύσατο ὁμολογίαν τὴν πρὸς αὐτὸν, δραστήριον ὁρῶν αὐτουργῆσαι τῷ σώματι, ἐρέσσειν ἐν τοῖς ναύταις καταλέγει. τὸν δὲ ἀναπείσαντα κτείνει. καταδίκη δὲ ἤρκει Μηλίοις ὁπόσα τετελέκεσαν εἰς τὸν ψευδαλέξανδρον **E** δαπάνης ἀναλωκέναι. καὶ τὰ μὲν περὶ τοῦ ψευδαλεξάνδρου τολμηρῶς συντεθέντα, οὕτως ἀκλεῶς εἶχεν.

Κεφάλαιον ιέ.

Ὡς ἀρχέλαος πάλιν κατηγορηθεὶς ἐξωρίσθη εἰς Βίενναν.

Ἀρχέλαος δὲ τὴν ἐθναρχίαν παραλαβὼν, ἐπεὶ **F** εἰς ἰουδαίαν ἀφικνεῖται, ἰωάζαρον τὸν βοηθοῦ ἀφελόμενος τὴν ἀρχιερωσύνην, ἐπικαλῶν συστῆναι τοῖς στασιώταις, ἐλεάζαρον τὸν ἐκείνου ἀποκαθίσταται ἀδελφόν. ἀνοικοδομεῖ δὲ καὶ τὸ ἐν ἱεριχοῦντι βασίλειον ἐκπρεπῶς, τῶν τε ὑδάτων ὁπόσα νεαρὰν τὴν κώμην ὠφέλει ἐπιρρέοντα, ἐξ ἡμισείας ἀπέστρεψεν ἐπαγωγὴν αὐτῷ ποιούμενος τῷ πεδίῳ φοίνιξιν ὑπ' αὐτοῦ πεφυτευμένῳ. κώμην δὲ κτίσας, ἀρχελαΐδα ὄνομα **G** αὐτῇ τίθεται, καὶ τοῦ πατρίου παράβασιν ποιησάμενος, γλαφύραν μὲν τὴν ἀρχελάου θυγατέρα, ἀλεξάνδρου δὲ τοῦ ἀδελφοῦ γαμετὴν γενομένην ἐξ οὗ καὶ τέκνα ἦν αὐτῇ, ἀπώμοτον ὂν ἰουδαίοις γαμετὰς ἀδελφῶν ἄγεσθαι, γαμεῖ. διαβίβει δὲ οὐδ' ὁ ἐλεάζαρος ἐν τῇ ἱερωσύνῃ, ἐπικατασταθέντος αὐτῷ ζῶντι ἰησοῦ τοῦ σιὲ παιδός. δεκάτῳ δὲ ἔτει τῆς ἀρχῆς ἀρχελάου, οἱ πρῶτοι τῶν ἀδελφῶν ἀνδρῶν ἔν τε ἰουδαίοις, καὶ σαμαρείταις μὴ φέροντες τὴν ὠμότητα αὐτοῦ, καὶ τυραννίδα, κατηγοροῦσιν αὐτοῦ ἐπὶ καίσαρος, καὶ μάλιστα ἐπεὶ ἔγνωσαν αὐτὸν παραβεβηκότα τὰς ἐντολὰς αὐτοῦ,

A Id vbi allatum est ad Cæsarem, nolebat fidem habere nuncio, quòd sciret Herodem non facilè potuisse decipi in re tam seria: nonnihil tamen spe motus, Celadum vnum è suis libertis familiariter olim versatum cum adolescentibus illò mittit, iussum vt Alexandrum in conspectum suum adduceret: quod ille fecit, nihilo in dignoscendo aliis sagacior. Non tamen imponi potuit Cæsari, quòd non tanta esset similitudo vt etiam prudenter considerantes falle- **B** ret. Pseudalexander enim & manus habebat duratas opere, & corporis illa gratia carebat, quæ solet bene natis & educatis contingere, quòd ipse non vixisset in tantis deliciis. Postquam igitur animaduertit conspirasse in mendacia præceptorem atque discipulum, & ex composito loquentibus adesse fiduciam, percontabatur quid factum esset simul erepto Aristobulo, aut cúrnam ille non venisset, vt vnà cum fratre ius tam præclaris natalibus debi- **C** tum reposceret: Responsum est in Cypro eum mansisse, metu periculorum quibus mare nauigantes expositi sunt: vt si quid ipsis contigisset durius non omnino Mariamnes genus intercideret, sed superesset saltem Aristobulus. Hæc illo asseuerante, simúlque concinente autore huius fabulæ, Cæsar seducto adolescente: Tibi, inquit, si non me quoque coneris fallere, merces erit impunitas quod ad tuam salutem attinet: nunc age dicito quísnam sis, & quis te **D** ad hæc audenda impulerit. neque enim istius ætatis est tam insidiosa malitia. Ibi ille, cùm non posset aliud, totum commentum indicat, quibus modis, & à quo sit compositum. Cæsar autem Pseudalexandrum, vt pollicita seruasset, in remigum ordinem allegit, quòd esset valido corpore: doctorem verò eius affecit supplicio. cæterùm Meliis abundè magna mulcta fuit, quæ in fictitium Alexandrum frustra impenderant: atque ita cœptum Pseudalexandri **E** temerarium turpis consecutus est exitus.

CAP. XV.

Archelaus iterum accusatus Viennam relegatus est.

CÆterùm Archelaus iam ethnarcha in Iudæam reuersus, Ioazaro Boëthi filio pontificatum abrogat, insimulato quòd seditiosis consenserit: eámque dignitatem in Eleazarum illius fratrem collocat. apud Hierichuntem **F** deinde regiam magnificè reficit, aquarum quibus Neara vicus iuuabatur, dimidio deriuato in palmetum recèns à se in subiecto campo consitum. nouum etiam vicum conditum à se denominauit Archelaida: & contempto more patrio, Glaphyram Archelai regis filiam, olim Alexandri fratris sui coniugem, & liberorum ex illo susceptorum matrem, duxit: quamuis Iudæi lege vetentur fratrum vxores ducere. Nec Eleazarus diù sacerdotio **G** potitus est, subrogato in viuentis locum Iesu Siæ filio. Decimo autem principatus Archelai anno primates tam Iudæorum quàm Samaritarum non ferentes eius tyrannidem, detulerunt eum ad Cæsarem, maximè cùm scirent eum contra ipsius mandatum fecisse,

XIX.

à quo iussus fuerat ex æquo ac bono præesse subditis. Hoc audito Cæsar ira commotus accersit procuratorem eius Romæ agentem, & ipsum Archelaum nomine. nec dignatus quicquam scribere, Vade inquit, & quàm primùm illum ad nos adducito. qui accelerata nauigatione in Iudæam delatus, reperit eum cum amicis in conuiuio: indicatáque voluntate Cæsaris, ad profectionem, hortatus est. Mox vbi venit, Cæsar auditis eius accusatoribus & ipsius defensione, misit eum Viennam in exilium, quæ est vrbs Galliæ, mulctatum priùs omni pecunia. Sed priusquam Romam euocatus est, amicis tale narrauit somnium. Visus est sibi videre decem spicas maturas tritico plenas à bubus absumi: experrectúsque non contemnendam visionem ratus, coniectores diuinos super ea consuluit. quibus dissentientibus cùm variaret interpretatio, Simon vir Essæus præfatus veniam, ait hanc visionem Archelao significare mutationem in deterius: boues enim significare miseriam, quòd in perpetuis laboribus degat hoc animal. præterea rerum mutationem, quia terra horum opera versata nec locum eundem retineat, nec faciem. cæterùm decem illas spicas totidem annorum præfinire numerum. eas enim redire annuis vicibus, iámque instare Archelao dominationis terminum. Sic ille hoc somnium interpretatus est: post cuius visionem quinta die venit in Iudæam procurator Archelaus, ad euocandum illum missus à Cæsare. Simile quiddam & Glaphyræ eius vxori accidit, Archelai regis filiæ. hæc vt iam diximus, virgo nupserat Alexandro Herodis filio, fratri huius Archelai: quo à patre occiso, iterum nupsit Iubæ regi Mauritaniæ. hoc quoq; defuncto viduam apud patrem agentem in Cappadocia duxit Archelaus, repudiata Mariamne priore coniuge, tanto ardebat amore Glaphyræ. huic degenti cum Archelao tale somnium obuersatum est. Visa sibi est Alexandrum venientem complexu excipere præ gaudio. Illum verò expostulantem dicere, Confirmasti Glaphyra vulgare illud dictum, non esse fidendum mulieribus, quæ virgo mihi coniuncta matrimonio, & communium liberorum parens, oblita nostri amoris capta es secundarum nuptiarum desiderio. ac ne ea quidem contumelia contenta, ausa es cum tertio cubare sponso, turpiter & impudenter ingressa meam familiam, & nupta Archelao, fratrem meum habere maritum sustinens. At ego non obliuiscar veteris tuæ beneuolentiæ, téque liberabo ab hoc opprobrio, mihique te meam vindicabo. hoc somnium cùm illa exposuisset apud quasdam familiares sibi mulieres post paucos dies vita functa est. quod ego ideo hîc referendum putaui, quòd sermo sit mihi de illis regibus: & alioqui res magni exempli videtur, certissimum immortalitatis animorum & diuinæ prouidentiæ argumentum continens.

ἵνα ἐπιεικῶς ἀναστρέφηται πρὸς αὐτούς. ὁ τοίνυν καῖσαρ ὡς ἤκουσεν, ὀργῇ φέρων τὸν ἐπίτροπον Ἀρχελάου τὸν ἐν Ῥώμῃ πραγμάτων, Ἀρχέλαος δὲ καὶ τούτῳ ὄνομα ἦν, μετακαλέσας, γράφειν μὲν Ἀρχελάῳ ταπεινὸν ἡγεῖται. σὺ δὲ παραχρῆμα φησὶ πλέων μηδὲν εἰς ἀναβολὰς ἐπανάγειν αὐτὸν πρὸς ἡμᾶς. καὶ ὃς ἔκπλουν ἐκ τοῦ ὀξέως ποιησάμενος, καὶ ἀφικόμενος εἰς Ἰουδαίαν λαμβάνει τὸν Ἀρχέλαον ἐν εὐωχίᾳ ὄντα μετὰ τῶν φίλων, τήν τε διάνοιαν ἀποσημαίνει τοῦ καίσαρος, καὶ ὥρμησεν αὐτὸν εἰς τὴν ἔξοδον. καὶ ὁ καῖσαρ ἀφικομένου ἐπί τινων κατηγόρων ἀκροᾶται καὶ αὐτοῦ λέγοντος καὶ ἐκεῖνον μὲν φυγάδα ἐλαύνει, δοὺς οἰκητήριον αὐτῷ Βίενναν πόλιν τῆς Γαλατίας, τὰ δὲ χρήματα ἀπηνέγκατο. πρότερον δὲ ἢ κληθεὶς ἐπὶ Ῥώμης ἀνελθεῖν Ἀρχέλαος, ὄναρ τοιόνδε ἐκδιηγεῖται τοῖς φίλοις. θεασάμενος ἀστάχυς δέκα τὸν ἀριθμὸν, πλήρεις πυροῦ τῆς ἰδίας ἀκμὴν ἀπειληφότας, δόξα ἦν αὐτῷ βιβρωσκομένους ὑπὸ βοῶν θεωρεῖν. καὶ περιεγειρόμενος, φέρειν γὰρ εἰς μέγα δόξαν ἦν τὴν ὄψιν αὐτῷ, μεταστέλλεται τοὺς μάντεις, οἷς περὶ ὀνειράτων ἦσαν αἱ ἀναστροφαί. συνδραμένων δὲ ἑτέρων ἐφ' ἑτέροις, οὐ γὰρ εἰς ἓν ἔκειτο πᾶσιν ἀφήγησις, Σίμων ἀνὴρ γένος Ἐσσαῖος, ἀσφάλειαν αἰτησάμενος, μεταβολὴν πραγμάτων ἔλεγεν Ἀρχελάῳ φέρειν τὴν ὄψιν οὐκ ἐπ' ἀγαθοῖς πράγμασιν, βόας μὲν γὰρ κακοπαθείας τε ἀποσαφεῖν, διὰ τὸ ἔργοις ἐπιταλαιπωρεῖν τὸ ζῶον. μεταβολὰς δὲ αὖ πραγμάτων, διὰ τὸ τὴν γῆν, πόνῳ τῷ ἐκείνων ἀρουμένην, ἐν ταὐτῷ μένειν οὐ δύνασθαι. τοὺς δὲ ἀστάχυας δέκα ὄντας, τοσόνδε ἀριθμὸν ἐνιαυτῶν ὁρίζειν. περιόδῳ γὰρ ἑνὸς παραγίγνεσθαι θέρους, καὶ τὸν χρόνον ἐξήκειν Ἀρχελάῳ τῆς ἡγεμονίας. καὶ ὁ μὲν ταῦτα ἐξηγήσατο τὸν ὄνειρον. πέμπτῃ δὲ ἡμέρᾳ μεθ' ὃ τὸ πρῶτον αὐτῷ ἡ ὄψις Ἀρχελάῳ συνήλθεν, ὁ ἀνακαλούμενος Ἀρχέλαος πεμπτὸς εἰς Ἰουδαίαν ὑπὸ καίσαρος ἀφίκετο. παραπλήσια δὲ καὶ Γλαφύρᾳ τῇ γυναικὶ αὐτοῦ τυγχάνει, βασιλέως Ἀρχελάου θυγατρὶ οὔσῃ. ἣ ὡς πρότερον εἶπον, συνῴκει παρθένον λαβὼν Ἀλέξανδρος Ἡρώδου μὲν υἱὸς, Ἀρχελάου δὲ ἀδελφός. ἐπεὶ δὲ συμβαίνει τὸν Ἀλέξανδρον ὑπὸ τοῦ πατρὸς τελευτῆσαι, Ἰόβᾳ τῷ Λιβύων βασιλεῖ γαμεῖται. μεταστάντος δὲ τοῦ Λίβυος χηρεύουσαν ἐν Καππαδοκίᾳ παρὰ τῷ πατρὶ, Ἀρχέλαος ἄγεται τὴν συνοικοῦσαν αὐτῷ Μαριάμμην ἐκβαλὼν, τοσόσδε αὐτὸν τῆς Γλαφύρας ἀνέστρεψεν ἔρως. καὶ συνοῦσα τῷ Ἀρχελάῳ, τοιόνδε ὄναρ θεᾶται. ἐδόκει τὸν Ἀλέξανδρον ἐπιστάντα θεασαμένη, χαίρειν καὶ περιβάλλειν προθύμως. τὸν δὲ καταμέμψιν τὴν αὐτοῦ ποιεῖσθαι, καὶ φάναι, Γλαφύρα, συνηγορεῖς ἄρα λόγῳ, ὃς ἄπιστα ἔλεγεν εἶναι γυναιξὶν ἡ συνομολογήσασά μοι, καὶ συγκατοικισθεῖσα παρθένος, παίδων ἡμῖν γεγονότων, λήθῃ παρεδίδως ἔρωτας τοὺς ἐμοὺς, δευτέρων ἐπιθυμίᾳ γάμων. πληθώρα δέ σοι οὐδὲ οὕτως ὕβρεως, ἀλλὰ καὶ τρίτον ἐτόλμησας αὐτῇ παρακατακλῖναι νυμφίον, ἀπρεπῶς καὶ ἀναισχύντως ἐπιοῦσα οἴκῳ τῷ ἐμῷ, καὶ γάμῳ συντιθεμένη πρὸς Ἀρχέλαον, ἄνδρα μὲν σεαυτῆς, ἀδελφὸν δὲ ἡμέτερον. ἀλλ' οὐκ ἔγωγε λήθην ποιήσομαι εὐνοίας τῆς σῆς, ἀπαλλάξω δέ σε παντὸς τοῦ ὀνειδίζοντος, ἐμὴν ὥσπερ ἦν κατασκευασάμενος. ταῦτα διηγησαμένη πρὸς τὰς συνήθεις τῶν γυναικῶν, μετ' ὀλίγας ἡμέρας τελευτᾷ τὸν βίον. ἐγὼ δὲ οὐκ ἀλλότρια νομίσας αὐτὰ τῷδε τῷ λόγῳ εἶναι διὰ τὸ περὶ τῶν βασιλέων αὐτὸν συνεστηκέναι, καὶ ἄλλως ἐπὶ παράδειγμά τι φέρειν, τοῦ τε ἀμφὶ ταῖς ψυχαῖς ἀθανασίας ἐμφεροῦς, καὶ τῆς θείου προμηθείας τὰ ἀνθρώπινα περιειληφότος τῇ αὐτοῦ, καλῶς ἔχειν ἐνόμισα εἰπεῖν.

ὅτῳ

ὅτῳ δὲ ἀπιστεῖται τὰ τοιάδε, γνώμης ὀνάμενος τῆς ἑαυτοῦ κώλυμα οὐκ ἂν γένοιτο τῷ ἐπ' ἀρετὴν αὐτῷ προσιθεμένῳ. τῆς δὲ ἀρχελάου χώρας ὑποτελοῦς προσνεμηθείσης τῇ σύρων, πέμπεται κυρήνιος ὑπὸ καίσαρος ἀνὴρ ὑπατικός, ἀποτιμησόμενος τὰ ἐν συρίᾳ, καὶ τὸν ἀρχελάου ἀποδωσόμενος οἶκον.

A Cui verò hæc videntur incredibilia, fruatur opinione sua,& aliis non obstrepat qui talibus excitantur ad virtutis studia. Cæterùm ditione Archelai contributa Syriç, missus est illò à Cęsare vir consularis Quirinius, qui censum ageret per Syriam, & ipsius Archelai domum venderet.

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩ ΟΚΤΩΚΑΙΔΕΚΑΤΩ ΛΟΓΩ ΤΩΝ Ἰωσήπου ἱστοριῶν τῆς ἰουδαϊκῆς ἀρχαιολογίας.

Ὡς κυρήνιος ὑπὸ καίσαρος ἐπέμφθη τιμητὴς συρίας καὶ ἰουδαίας, καὶ ἀποδωσόμενος τὴν ἀρχελάου οὐσίαν. μεταπεσούσης τῆς ἰουδαίας ἐκ βασιλείας εἰς ἐπαρχίαν. καὶ ὡς κωπώνιος ἐκ τοῦ ἱππικοῦ τάγματος, ἐπέμφθη ἔπαρχος ἰουδαίας. καὶ περὶ ἰούδα τοῦ γαλιλαίου. Κεφ. α.
Τίνες αἱρέσεις, καὶ ὁπόσαι παρὰ ἰουδαίοις φιλοσόφων, καὶ τίνες οἱ νόμοι. Κεφ. β.
Ὡς ἡρώδης, καὶ φίλιππος οἱ τετράρχαι, πόλεις ἔκτισαν εἰς τιμὴν καίσαρος. Κεφ. γ.
Ὡς πόντιος πιλάτος ἠθέλησε κρύφα εἰσενέγκαι εἰς ἱεροσόλυμα προτομὰς καίσαρος, γνοὺς δὲ ὁ λαὸς, ἐστασίασε πρὸς αὐτὸν, ἄχρι ἐξεκόμισεν αὐτὰς ἀπὸ ἱεροσολύμων εἰς καισάρειαν. Κεφ. δ.
Τὰ συμβάντα ἰουδαίοις ἐν ῥώμῃ, καὶ περὶ πιλάτου. Κεφ. ε.
Οὐιτελλίου ἀνάβασις εἰς ἱεροσόλυμα, καὶ ὡς τιβέριος καῖσαρ ἔγραψεν αὐτῷ ἀρταβάνῃ μετὰ τῶν πάρθων πεισομένους αὐτῷ πέμψαι, πρὸς ἀρέταν δὲ πολεμεῖν. Κεφ. ς.
Πόλεμος ἡρώδου τοῦ τετράρχου πρὸς ἀρέταν τὸν τῶν ἀράβων βασιλέα καὶ ἧττα. Κεφ. ζ.
Ἀπόπλους ἀγρίππα τοῦ βασιλέως εἰς ῥώμην πρὸς τιβέριον καίσαρα, καὶ ὡς κατηγορηθεὶς ἐδέθη. καὶ ὃν τρόπον ἐλύθη ὑπὸ γαΐου μετὰ τὴν τιβερίου τελευτήν. Κεφ. η.
Ὡς ἡρώδης τετράρχης ἀναβὰς εἰς ῥώμην, κατηγορηθεὶς ὑπὸ ἀγρίππα, ἐξωρίσθη, καὶ ὡς τὴν τετραρχίαν αὐτοῦ ἐδωρήσατο γάϊος ἀγρίππᾳ. Κεφ. θ.
Στάσις τῶν ἐν ἀλεξανδρείᾳ ἰουδαίων, καὶ ἑλλήνων, καὶ πρεσβεία ἀφ' ἑκατέρων πρὸς γάϊον. Κεφ. ι.
Ὡς γάϊος, πέμπει πετρώνιον ἡγεμόνα εἰς συρίαν, δοὺς ἐντολὰς συναγαγόντα δύναμιν, πολεμῆσαι ἰουδαίοις, ἐὰν μὴ θέλωσι δέξασθαι αὐτοῦ τὸν ἀνδριάντα. Κεφ. ια.
Τὰ συμβάντα τοῖς ἐν βαβυλῶνι ἰουδαίοις, διὰ ἀσιναῖον καὶ ἀνιλαῖον τοὺς ἀδελφούς. Κεφ. ιβ.

HÆC IN IOSEPHI DECIMOOCTAVO ANTIQVITATVM Iudaïcarum libro continentur.

Quirinius mittitur ad censendam Syriam & Iudæam, tum vt Archelai facultates in potestatem suam redigeret. ac Iudæa in formam prouinciæ redacta venit Coponius vir equestris ordinis, vt eam tanquam procurator Cæsaris administraret: vbi etiam de Iuda Galilæo. CAP. I.
Quæ & quot sectæ fuerint apud Iudæos,& quæ cuiusque dogmata. CAP. II.
Vrbes ab Herode & Philippo tetrarchis in honorem Cæsaris conditæ. CAP. III.
Vt populus tumultuatus sit propter clàm illatas Hierosolyma à Pontio Pilato Cæsaris imagines, quoad Cæsaream à Hierosolymis deportatæ sunt. CAP. IV.
Quid Iudæis Romæ degentibus acciderit,& de Pilato. CAP. V.
Vitellij aduentus Hierosolyma,& quomodo à Tiberio mandata accepit, vt impetratis ab Artabano obsidibus bellum contra Aretam susciperet. CAP. VI.
Herodis bellum quo ab Areta rege Arabum superatus est. CAP. VII.
Nauigatio Agrippæ ad Tiberium,& quomodo accusatus vinctus sit, vtque post excessum Tiberij à Caio eius successore solutus est. CAP. VIII.
Quomodo Herodes tetrarcha cùm Romam profectus esset, accusatus ab Agrippa in exilium missus fuerit,& eius tetrarchiam Caius Agrippæ donauerit. CAP. IX.
Iudæorum & Græcorum apud Alexandriam seditio,& vtriusq; partis ad Caium legatio. CAP. X.
Caius in Syriam legatum mittit Petronium iussum Iudæis bellum inferre, nisi malint recipere ipsius statuam. CAP. XI.
Quo in statu res Iudæorum fuerint apud Babylonem,& de Asinæo & Anilæo fratribus. CAP. XII.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΙΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ

ΛΟΓΟΣ ΟΚΤΩΚΑΙΔΕΚΑΤΟΣ.

FLAVII IOSEPHI ANTIQVITATVM IVDAICARVM

LIBER DECIMVSOCTAVVS.

Cap. I.

Quirinius ad censendam Syriam & Iudæam mittitur à Cæsare, & procurator eiusdem Cæsaris in Iudæam venit Coponius: & quomodo Iudas Galilæus res nouas molitus est.

INTEREA Quirinius senator Romanus per omnes honorum gradus ad cõsulatum vsque prouectus, & in primis clarus, à Cæsare mittitur in Syriam, vt iura populis redderet, facultatésque censeret omnium: & cum eo venit Coponius, præfectus turmę equitum, penes quem esset totius Iudææ rerum administratio. Quin & ipse Quirinius in Iudæam venit iam attributam prouinciæ Syriæ, vt percenseret facultates eius regionis ciuium, & Archelai pecunias in potestatem suam redigeret. Illi verò tametsi primùm ægrè ferrent mentionem descriptionis, non sunt tamen reluctati pertinaciter, parendo autoritati pontificis Ioazari, qui Boëthi fuit filius. atque ita illius suasu sine controuersia census peractus est. Extitit tamen pòst quidam Iudas Gaulanites, ortus ex oppido Gamala, qui adiuncto sibi Pharisæo Sadduco, solicitabat ad defectionem populos, censum nihil aliud quàm manifestum seruitutis professionem esse dictitans, & vniuersam gentem ad tuendam libertatem adhortans. Fore enim vt re bene gesta fortunis suis fruantur feliciter, & confirmati in earum possessione laudem quoque sibi parent fortitudinis: nec sperandum auxilium cœlestis numinis, nisi ipsi quoque rebus suis consulant. Accipiebantur hæc pronis vulgi auribus, ita vt accenderentur ad audendum aliquid. atque ita dici vix potest quantum hi viri totam gentem conturbauerint, dum omnia miscent cædibus & latrociniis, promiscuísque nullo amicorum aut inimicorum respectu prædationibus, & insignium virorum cædibus prætextu quidẽ propugnãdæ libertatis publicæ, sed re vera priuatorũ lucrorũ studio. Itaque conficiẽtibus se mutuò ciuibus,

Κεφάλαιον α'.

Ὡς κυρήνιος ὑπὸ καίσαρος ἐπέμφθη τιμητὴς συρίας, καὶ ἰουδαίας, καὶ ὡς κωπώνιος ἐπέμφθη ἔπαρχος ἰουδαίας, καὶ περὶ ἰούδα τοῦ γαλιλαίου.

ΚΥΡΗΝΙΟΣ δὲ τῶν εἰς τὴν βουλὴν συναγομένων ἀνήρ, τάς τε ἄλλας ἀρχὰς ἐπιτετελεκὼς, καὶ διὰ πασῶν ὁδεύσας, ὕπατος γενέσθαι, τά τε ἄλλα ἀξιώματι μέγας σὺν ὀλίγοις, ἐπὶ συρίας παρῆν ὑπὸ καίσαρος, δικαιοδότης τοῦ ἔθνους ἀπεσταλμένος, καὶ τιμητὴς τῶν οὐσιῶν γενησόμενος. κωπώνιός τε αὐτῷ συγκαταπέμπεται, τάγματος τῶν ἱππέων ἡγησόμενος, ἰουδαίων τῇ ἐπὶ πᾶσιν ἐξουσίᾳ. παρῆν δὲ καὶ κυρήνιος εἰς τὴν ἰουδαίων προσθήκην τῆς συρίας γενομένην, ἀποτιμησόμενός τε αὐτῶν τὰς οὐσίας, καὶ ἀποδωσόμενος τὰ ἀρχελάου χρήματα. οἱ δὲ καίπερ τὸ κατ᾽ ἀρχὰς ἐν δεινῷ φέροντες τὴν ἐπὶ ταῖς ἀπογραφαῖς ἀκρόασιν, ὑποκατέβησαν τοῦ εἰς πλέον ἐναντιοῦσθαι πείσαντος αὐτοὺς τοῦ ἀρχιερέως ἰωαζάρου, βοηθοῦ δὲ οὗτος υἱὸς ἦν. καὶ οἱ μὲν ἡττηθέντες τοῦ ἰωαζάρου τῶν λόγων, ἀπετίμων χρήματα μηδὲν ἐνδοιάσαντες. ἰούδας δὲ γαυλανίτης ἀνήρ, ἐκ πόλεως ὄνομα γαμάλα, σάδδουκον φαρισαῖον προσλαμβανόμενος, ἠπείγετο ἐπὶ ἀποστάσει, τήν τε ἀποτίμησιν οὐδὲν ἄλλο, ἢ ἄντικρυς δουλείαν ἐπιφέρειν λέγοντες, καὶ τῆς ἐλευθερίας ἐπ᾽ ἀντιλήψει παρακαλοῦντες τὸ ἔθνος. ὡς παρέχον μὲν κατορθοῦν εἰς τὸ εὔδαιμον ἀνακειμένης τῆς κτήσεως, ἀσφάλισιν δὲ ἐκ τοῦ ταύτης περιόντος ἀγαθοῦ, τιμὴν καὶ κλέος ποιήσεσθαι τοῦ μεγαλόφρονος, καὶ τὸ θεῖον οὐκ ἄλλως ἢ ἐπὶ συμπράξει τῶν βουλευμάτων εἰς τὸ κατορθοῦν συμπροθυμεῖσθαι μᾶλλον, ἂν μεγάλων ἐρασταὶ τῇ διανοίᾳ καθιστάμενοι, μὴ ἐξαφίωνται φόνου τοῦ ἐπ᾽ αὐτῆς. καὶ ἡδονῇ γὰρ τὴν ἀκρόασιν ὧν λέγοιεν ἐδέχοντο οἱ ἄνθρωποι, προὔκοπτεν ἐπὶ μεγάλῃ ἐπιβολῇ τοῦ τολμήματος. κακὸν δὲ οὐκ ἔστιν οὗ μὴ φύντος ἐκ τῶνδε τῶν ἀνδρῶν, καὶ περαιτέρω τοῦ εἰπεῖν ἀνεπλήσθη τὸ ἔθνος, πολέμων τε ἐπαγωγαῖς οὐχ οἷόν τε ἄπαυστον τὴν βίαν ἔχειν, καὶ ἀποστέρησιν φίλων, οἳ καὶ ἐπελαφρύνοιεν τὸν πόνον. λῃστηρίων δὲ μεγάλων ἐπιθέσεσι καὶ διαφθοραῖς ἀνδρῶν τῶν πρώτων, δόξα μὲν τοῦ ὀρθουμένου τῶν κοινῶν, ἔργῳ δὲ οἰκείων κερδῶν ἐλπίσιν. ἐξ ὧν στάσεις τε ἐφύησαν δι᾽ αὐτάς,

καὶ φόνος πολιτικός. ὁ μὲν, ἐμφυλίοις σφαγαῖς μανίᾳ τῶν ἀνθρώπων, εἴς τε ἀλλήλους, καὶ αὑτῶν χρωμένων ἐπιθυμίᾳ τοῦ μὴ λείπεσθαι τῶν ἀντικαθεστηκότων. ὁ δὲ, τῶν πολεμίων. λιμός τε εἰς ὑστάτην ἀνακείμενος ἀναισχυντίαν, καὶ πόλεων ἁλώσεις, καὶ κατασφαγάς, μέχρι δὴ καὶ τὸ ἱερὸν τοῦ θεοῦ ἐνείματο πυρὶ τῶν πολεμίων ἥδε ἡ στάσις. οὕτως ἄρα τὰς τῶν πατρίων καινώσεις καὶ μεταβολάς: μεγάλας ἔχει ῥοπὰς τοῦ ἀπολουμένου τοῖς συνῆθουσιν, εἴγε καὶ Ἰούδας, καὶ Σάδδουκος, τετάρτην φιλοσοφίαν ἐπείσακτον ἡμῖν ἐγείραντες, καὶ ταύτης ἐραστῶν εὐπορηθέντες, πρός τε τὸ παρὸν θορύβων τὴν πολιτείαν ἐνέπλησαν, καὶ τῶν αὖθις κακῶν κατειληφότων ῥίζας ἐφυτεύσαντο τῷ ἀσυνήθει πρότερον φιλοσοφίας τοιᾶσδε, περὶ ἧς ὀλίγα βούλομαι διελθεῖν, ἄλλως τε, ἐπεὶ καὶ τὸ κατ' αὐτῶν σπουδασθὲν τοῖς νεωτέροις ὁ φθόρος τοῖς πράγμασι συνετύχει.

Κεφάλαιον β΄.

Τίνες αἱρέσεις παρὰ Ἰουδαίοις, καὶ ὁπόσαι.

Ἰουδαίοις φιλοσοφίαι τρεῖς ἦσαν ἐκ τοῦ πάνυ ἀρχαίου τῶν πατρίων, ἥ τε τῶν Ἐσσηνῶν, καὶ ἡ τῶν Σαδδουκαίων, τρίτην δὲ ἐφιλοσόφουν οἱ Φαρισαῖοι λεγόμενοι. καὶ τυγχάνει μέν τοι περὶ αὐτῶν ἡμῖν εἰρημένα ἐν τῇ δευτέρᾳ βίβλῳ τοῦ Ἰουδαϊκοῦ πολέμου. μνησθήσομαι δὲ ὅμως, καὶ νῦν αὐτῶν ἐπ' ὀλίγον. οἵ τε γὰρ Φαρισαῖοι, τὴν δίαιταν ἐξευτελίζουσιν, οὐδὲν εἰς τὸ μαλακώτερον ἐνδιδόντες, ὧν τε ὁ λόγος κρίνας παρέδωκεν ἀγαθῶν, ἕπονται τῇ ἡγεμονίᾳ, περιμάχητον ἡγούμενοι τὴν φυλακὴν ὧν ὑπαγορεύειν ἠθέλησε. τιμῆς γε τοῖς ἡλικίᾳ προήκουσι παραχωροῦσιν, οὐδὲν ἐπ' ἀντιλέξει τῶν εἰσηγηθέντων ταῦτα θράσει ἐπαιρόμενοι. πράσσεσθαί τε εἱμαρμένῃ τὰ πάντα ἀξιοῦντες, οὐδὲ τοῦ ἀνθρωπείου τὸ βουλόμενον τῆς ἐπ' αὐτοῖς ὁρμῆς ἀφαιροῦνται, δοκῆσαν τῷ θεῷ κρᾶσιν γενέσθαι, καὶ τῷ ἐκείνης βουλευτηρίῳ, καὶ τῶν ἀνθρώπων τῷ θελήσαντι προσχωρεῖν μετ' ἀρετῆς ἢ κακίας. ἀθάνατόν τε ἰσχὺν ταῖς ψυχαῖς πίστις αὐτοῖς εἶναι, καὶ ὑπὸ χθονὸς δικαιώσεις τε καὶ τιμὰς οἷς ἀρετῆς ἢ κακίας ἐπιτήδευσις ἐν τῷ βίῳ γέγονε. καὶ ταῖς μὲν, εἱργμὸν ἀΐδιον προστίθεσθαι, ταῖς δὲ ῥᾳστώνην τοῦ ἀναβιοῦν. καὶ δι' αὐτὰ τοῖς τε δήμοις πιθανώτατοι τυγχάνουσι, καὶ ὁπόσα θεῖα εὐχῶν τε καὶ ἱερῶν ποιήσεως ἐξηγήσει τῇ ἐκείνων τυγχάνουσι πρασσόμενα. εἰς τοσόνδε ἀρετῆς αὐτοῖς αἱ πόλεις ἐμαρτύρησαν ἐπιτηδεύσει τοῦ ἐπὶ πᾶσιν κρείσσονος, ἔν τε τῇ διαίτῃ τοῦ βίου, καὶ λόγοις. Σαδδουκαίοις δὲ τὰς ψυχὰς ὁ λόγος συναφανίζει τοῖς σώμασι. φυλακῆς δὲ οὐδαμῶν τινων μεταποίησις αὐτοῖς ἢ τῶν νόμων. πρὸς γὰρ τοὺς διδασκάλους σοφίας ἣν μετίασιν ἀμφιλογεῖν ἀρετὴν ἀριθμοῦσιν. εἰς ὀλίγους τε ἄνδρας οὗτος ὁ λόγος ἀφίκετο, τοὺς μέν τοι πρώτους τοῖς ἀξιώμασι. πράσσεταί τε ἀπ' αὐτῶν οὐδὲν ὡς εἰπεῖν. ὁπότε γὰρ ἐπ' ἀρχὰς παρέλθοιεν ἀκουσίως μὲν καὶ κατ' ἀνάγκας, προσχωροῦσι δ' οὖν οἷς ὁ Φαρισαῖος λέγει, διὰ τὸ μὴ ἄλλως ἀνεκτοὺς γενέσθαι τοῖς πλήθεσιν. Ἐσσηνοῖς δὲ ἐπὶ μὲν θεῷ καταλιπεῖν φιλεῖ τὰ πάντα ὁ λόγος. ἀθανατίζουσι δὲ τὰς ψυχάς, περιμάχητον ἡγούμενοι τοῦ δικαίου τὴν πρόσοδον. εἰς δὲ τὸ ἱερὸν ἀναθήματα τε στέλλοντες, θυσίας οὐκ ἐπιτελοῦσι διαφορότητι ἁγνειῶν ἃς νομίζοιεν, καὶ δι' αὐτὸ εἰργόμενοι τοῦ κοινοῦ τεμενίσματος, ἐφ' αὐτῶν τὰς θυσίας ἐπιτελοῦσι.

& furiosissima contentione certantibus, ne externus quidem hostis cessabat interim. ac ne extrema quidem fames fortè superueniens potuit eos compescere, quò minus sæuirent expugnandis oppidis, & fundendo ciuili sanguine, donec postremò malum eò progressum est, vt hostilis flamma Dei templum inuaderet. Adeò periculosum est patrios ritus labefactare & conuellere. Siquidem Iudas & Saddocus omnium harum calamitatum autores fuêre, dum super tres pristinas sectas nouam quartam inducunt, & nouitatum cupidos affatim ad se contrahunt, id quod non in præsens tantùm turbauit rempublicam, sed futurarum etiam cladium fuit seminarium. Quamobrem conueniens videtur paucis de eorum placitis disserere, propter quæ tot mala gentem nostram inundauerunt.

CAP. II.

Quæ & quot sectæ fuerint apud Iudæos.

IVdæi patriæ sapientiæ studiosi iam inde à multis retro seculis in tres sectas erãt diuisi, Essenorum, Sadducæorum: & eam quæ Pharisæorum vocata est. De his licet nonnihil in secundo Iudaici belli volumine à nobis dictum sit, tamen nunc quoque paucis dicere non ab re fuerit. Ergo Pharisæorum victus simplex est: nullis mollitus deliciis: & quicquid his ratio dictauit, id sequuntur pertinaciter. maiores natu venerantur, nec audent eis responsare monentibus aut obloqui. Fato quæcunque geruntur tribuunt, nec tamen homini voluntatis assensum adimunt, hoc temperamento Deum vti dicentes, vt cùm omnia fiant ex ipsius consilio, in homine tamen sit voluntas accedendi ad virtutem aut vitium. Animas credunt esse immortales, & sub terris earum iudicia fieri: tum præmia quoque contingere ex virtutis aut malitiæ merito: & has perpetuis damnari carceribus, illis facilem esse ad vitam reditum. per hæc placita magnam sibi autoritatem parauerunt apud populum. & quicquid ad solennes precationes ac cultum diuinum attinet, iuxta horum interpretationem ac præscriptum solet fieri. Tantum habent à ciuitatibus sapientiæ, temperantiæ, & vitę honestioris testimonium. At Saducæorum opinio cũ corpore extinguit simul & animas: nec quicquam præter legem seruandam existimant. nam de sapientia cum pręceptoribus disceptare ad virtutem reputant. huius sectæ pauci sunt, sed ferè dignitate præcipui. ex horum tamen sententia vix quicquam agitur. nam quoties magistratus licet inuiti suscipiunt, Pharisæorum decretis assentiunt, ni facerent non ferendi à plebeiorum multitudine. Essenorum verò placitum vniuersitatis regimen citra exceptionẽ Deo asserit, immortalitatẽ animis: nec aliud quicquã ęquè ac iustitiam omni contentione expetendum existimat: ad templum autem donaria mittentes sacra ibi non faciunt, quòd sanctioribus vtantur ceremoniis, quapropter exclusi à communi fano seorsũ sacrificãt.

moribus alioqui sunt probatissimis, agris colendis in totum dediti. Mirandæ etiam est eorum iustitia, qua omnes Græcos & Barbaros longè superant, multis iam sæculis triti in eius continuis studiis. Facultates in commune possident, nec aliquis diues magis vtitur suis bonis, quàm quiuis nihil possidens. Atque hoc instituto viuunt virorum supra quatuor millia, nec vxores habentium, nec seruos, quòd alterum ad iniuriam communis naturæ pertinere censeant, alterum tranquillitati vitæ parum commodum. quare per se ipsi viuentes inuicem sibi ministrant. Quæstores creant viros probos ex sacerdotum numero, qui ex agrorum reditibus & frugum prouentu cibos eis conficiant. In summa eandem ferè viuendi rationem sequuntur, quam hi qui apud Dacos Plisti nominantur. Quartæ autem studium sapientiæ sectantium viæ primus autor fuit Iudas Galilæus. hi cætera cum Pharisæis consentiunt, nisi quòd constantissimo libertatis amore flagrant, credentes solum Deum dominum habendum ac principem, faciliùs vel exquisitissima pœnarum genera laturi vnà cum cognatis suis ac carissimis, quàm mortalem aliquem appellaturi dominum. quòd quia multis sæpe spectatum scio, plures de hoc non libet dicere. non enim vereor ne fidem non inueniant mea verba, imò illud potiùs, ne tam insignem patientiam & doloris contemptum parum assequantur. quæ quidem animositas plurimum in gente nostra creuit accensa acerbissimis Gessij Flori iniurias, quibus postremò effectum, vt deficerent à Rom. pop. Et de Iudæorum sectis hæc suffecerint.

Cap. III.

Vrbes ab Herode & Philippo tetrarchis in honorem Cæsaris conditæ.

III. Qvirinius autem venditis & confiscatis Archelai facultatibus, peractóque censu, qui incidit in annum trigesimumseptimum, post victum à Cæsare in Actiaca pugna Antonium, cùm mota esset contra Ioazarum pontificem plebis seditio, priuauit eum hac dignitate, & Ananum Sethi filium substituit. Herodes verò & Philippus suæ quisque tetrarchiæ res ordinauit, & composuit: quorum Herodes Sephori cincta mœnibus, fecit eam totius Galilææ caput & defensaculū. aliud deinde oppidum quod tunc Betaramphtha dicebatur, communitum nomine mutato Iuliada ab vxore Imperatoris appellauit. Philippus quoque Paneada sitam ad Iordanis fontes instruxit ædificiis, indito Cæsareæ nomine. Vico etiam Bethsaidæ in ripa lacus Genesarethini vrbis speciem addidit, frequentato incolis & aucto opibus, quem Iuliæ Cæsaris filię cognominem esse voluit. Cæterùm Coponio, quem cū Quirinio missum diximus, Iudæam administrante huiusmodi quiddam accidit. In festo azymorum quod Pascha vocamus mos est sacerdotibus post mediam noctem aperire templi ianuas. tunc igitur quamprimùm apertæ sunt,

A βέλτιστοι δ' ἄλλως ἄνδρες τὸν τρόπον, καὶ τὸ πᾶν πονεῖν ἐπὶ γεωργίᾳ τετραμμένοι. ἄξιον δ' αὐτῶν θαυμάσαι παρὰ πάντας τοὺς ἀρετῆς μεταποιουμένους τὸ δίκαιον, μηδαμῶς ὑπάρξαν Ἑλλήνων ἢ βαρβάρων τισὶν, ἀλλὰ μηδ' εἰς ὀλίγον, ἐκείνοις ἐκ παλαιοῦ συνελθὸν, ἐν τῷ ἐπιτηδεύεσθαι μὴ κεκωλῦσθαι. τὰ χρήματα τε κοινά αὐτοῖς ἐστιν, ἀπολαύει δ' οὐδὲν ὁ πλούσιος τῶν οἰκείων μειζόνως, ἢ ὁ μηδ' ὅτι οὖν κεκτημένος. καὶ τάδε πράσσουσιν ἄνδρες ὑπὲρ τετρακισχίλιοι τὸν ἀριθμὸν ὄντες, B καὶ οὔτε γαμετὰς εἰσάγονται οὔτε δούλων ἐπιτηδεύουσι κτῆσιν, τὸ μὲν εἰς ἀδικίαν φέρειν ὑπειληφότες, τὸ δὲ στάσεως ἐνδιδόναι ποίησιν. αὐτοὶ δ' ἐφ' ἑαυτῶν ζῶντες διακονίᾳ τῇ ἐπ' ἀλλήλοις ἐπιχρῶνται. ἀποδέκτας δὲ τῶν προσόδων χειροτονοῦντες, καὶ ὁπόσα ἡ γῆ φέροι, ἄνδρας ἀγαθοὺς ἱερεῖς διὰ ποίησιν σίτου τε καὶ βρωμάτων. ζῶσι δὲ οὐδὲν παρηλλαγμένως, ἀλλ' ὅτι μάλιστα ἐμφέροντες δακῶν τοῖς πλείστοις λεγομένοις. τῇ δὲ τετάρτῃ τῶν φιλοσόφων, ὁ Γαλιλαῖος Ἰούδας ἡγεμὼν C κατέστη. τὰ μὲν λοιπὰ πάντα γνώμῃ τῶν Φαρισαίων ὁμολογοῦσι, δυσκίνητος δὲ τοῦ ἐλευθέρου ἔρως ἐστὶν αὐτοῖς, μόνον ἡγεμόνα καὶ δεσπότην τὸν θεὸν ὑπειληφόσι. θανάτων τε ἰδέας ὑπομένειν παρηλλαγμένας ἐν ὀλίγῳ τίθενται, καὶ συγγενῶν τιμωρίας, καὶ φίλων ὑπὲρ τοῦ μηδένα ἄνθρωπον προσαγορεύειν δεσπότην. ἑωρακόσι δὲ τοῖς πολλοῖς τὸ ἀμετάλλακτον αὐτῶν D ὑπὸ τοιούτοις ὑποστάσεως, περαιτέρω διελθεῖν παρέλιπον. οὐ γὰρ δέδοικα μὴ εἰς ἀπιστίαν ὑποληφθῇ τι τῶν λεγομένων ὑπ' αὐτοῖς, τοὐναντίον δὲ μὴ ἐλασσόνως τοῦ ἐκείνων καταφρονήματος δεχομένου τὴν ταλαιπωρίαν τῆς ἀλγηδόνος, ὁ λόγος ἀφηγῆται. ἀνοίᾳ τε τῇ ἐντεῦθεν ἤρξατο νοσεῖν τὸ ἔθνος Γεσσίου Φλώρου, ὃς ἡγεμὼν ἦν, ἐξουσίᾳ τοῦ ὑβρίζειν ἀπονοήσαντος αὐτοὺς ἀποστῆναι Ῥωμαίων. καὶ φιλοσοφεῖται μὲν Ἰουδαίοις τοσάδε.

E Κεφάλαιον γ'.

Ὡς Ἡρώδης καὶ Φίλιππος οἱ τετράρχαι πόλεις ἔκτισαν εἰς τιμὴν Καίσαρος.

Κυρίνιος δὲ τὰ Ἀρχελάου χρήματα ἀποδόμενος ἤδη, καὶ τῶν ἀποτιμήσεων πέρας ἐχουσῶν, αἳ ἐγένοντο τριακοστῷ καὶ ἑβδόμῳ ἔτει μετὰ τὴν Ἀντωνίου ἐν Ἀκτίῳ ἧτταν ὑπὸ Καίσαρος, Ἰώαζαρον τὸν ἀρχιερέα καταστασιασθέντα ὑπὸ τῆς πληθύος ἀφελόμενος τὸ F ἀξίωμα τῆς τιμῆς, Ἄνανον τὸν Σεθὶ ἵστα ἀρχιερέα. Ἡρώδης δὲ καὶ Φίλιππος τετραρχίαν ἑκάτερος τὴν ἑαυτοῦ παρειληφότες καθίσταντο. καὶ Ἡρώδης Σέπφωριν τειχίσας, πρόσχημα τοῦ Γαλιλαίου παντὸς ἦγεν αὐτὴν αὐτοκρατορίδα. Βηθαραμφθᾶ δὲ, πόλις ἦν καὶ αὐτὴ, τείχει περιλαβὼν, Ἰουλιάδα ἀπὸ τοῦ αὐτοκράτορος ἀγορεύει τῆς γυναικός. Φίλιππος δὲ Πανεάδα, τὴν πρὸς ταῖς πηγαῖς τοῦ Ἰορδάνου κατασκευάσας, ὀνομάζει G Καισάρειαν. κώμην δὲ Βηθσαϊδὰν, πρὸς λίμνῃ δὲ τῇ Γεννησαρίτιδι, πόλεως παρασχὼν ἀξίωμα, πλήθει τε οἰκητόρων καὶ τῇ ἄλλῃ δυνάμει, Ἰουλίᾳ θυγατρὶ τῇ Καίσαρος ὁμώνυμον ἐκάλεσεν. Κωπωνίου δὲ τὴν Ἰουδαίαν διέποντος ὃν ἔφην Κυρινίῳ συνεκπεμφθῆναι, τάδε πράσσεται. τῶν ἀζύμων τῆς ἑορτῆς ἀγομένης ἣν πάσχα καλοῦμεν, ἐκ μέσης νυκτὸς ἐν ἔθει τοῖς ἱερεῦσιν ἦν ἀνοιγνύναι τοῦ ἱεροῦ τοὺς πυλῶνας. καὶ τότε ἐπεὶ τὸ πρῶτον γίνεται ἡ ἄνοιξις αὐτῶν

ἄνδρες

ἄνδρες σαμαρεῖται κρύφα εἰς ἱεροσόλυμα ἐλθόντες διαρρίψιν ἀνθρωπείων ὀστῶν ἐν ταῖς στοαῖς ποιοῦνται. καὶ διὰ παντὸς τοῦ ἱεροῦ ἤρξαντο, μὴ πρότερον ἐπὶ τοιούτοις νομίζοντες, τά τε ἄλλα διὰ φυλακῆς μειζόνως ἦγον τὸ ἱερόν. καὶ κωπώνιος μετ' οὐ πολὺ εἰς ῥώμην ἐπαναχωρεῖ, διάδοχος δὲ αὐτῷ τῆς ἀρχῆς παραγίνεται, μάρκος ἀμβιβοῦχος, ἐφ' οὗ καὶ σαλώμη τοῦ βασιλέως ἡρώδου ἀδελφὴ μεταστᾶσα ἰουλίᾳ ἰαμνίαν τε καταλείπει, καὶ τὴν τοπαρχίαν πᾶσαν, τήν τε ἐν τῷ πεδίῳ φασαηλίδα, καὶ ἀρχελαΐδα, ἔνθα φοινίκων πλείστη φύτευσις, καὶ καρπὸς αὐτῶν ἄριστος. διαδέχεται δὲ καὶ τοῦτον ἄννιος ῥοῦφος, ἐφ' οὗ δὴ καὶ τελευτᾷ καῖσαρ, δεύτερος μὲν ῥωμαίων αὐτοκράτωρ γενόμενος, ἑπτὰ δὲ καὶ πεντήκοντα τῆς ἀρχῆς ἔτη, πρὸς οἷς μῆνες ἕξ, ἡμέραι δυοῖν πλείονες, τούτου δὲ αὐτῷ τοῦ χρόνου τεσσαρεσκαίδεκα ἔτη συνῆρξεν ἀντώνιος, βιώσας ἔτη ἑπτὰ καὶ ἑβδομήκοντα. διαδέχεται δὲ τῷ καίσαρι τὴν ἡγεμονίαν, τιβέριος νέρων, τῆς γυναικὸς αὐτοῦ ἰουλίας υἱὸς ὤν. τρίτος οὗτος ἤδη αὐτοκράτωρ, καὶ πέμπτος ὑπ' αὐτοῦ παρῆν ἰουδαίοις ἔπαρχος διάδοχος ἀννίου ῥούφου οὐαλέριος γρᾶτος, ὃς παύσας ἱερᾶσθαι ἄνανον ἰσμάηλον ἀρχιερέα ἀποφαίνει τὸν τοῦ φαβί. καὶ τοῦτον δὲ μετ' οὐ πολὺ μεταστήσας ἐλεάζαρον τὸν ἀνάνου τοῦ ἀρχιερέως υἱὸν, ἀποδείκνυσιν ἀρχιερέα. ἐνιαυτοῦ δὲ διαγενομένου, καὶ τόνδε παύσας, σίμωνι τῷ καμίθου τὴν ἀρχιερωσύνην παραδίδωσιν. οὐ πλέον καὶ τῷ δὲ ἐνιαυτοῦ τὴν τιμὴν ἔχοντι διεγένετο χρόνος, καὶ ἰώσηπος ὁ καϊάφας, διάδοχος ἦν αὐτῷ. καὶ γρᾶτος μὲν ταῦτα πράξας εἰς ῥώμην ἐπαναχωρεῖ, ἕνδεκα ἔτη διατρίψας ἐν ἰουδαίᾳ. πόντιος δὲ πιλᾶτος, διάδοχος αὐτῷ ἧκεν. ἡρώδης δὲ ὁ τετράρχης, ἐπὶ μέγα γὰρ ἦν τῷ τιβερίῳ φιλίας προελθὼν, οἰκοδομεῖται πόλιν ἐπώνυμον αὐτῷ τιβεριάδα, τοῖς κρατίστοις ἐπικτίσας τῆς γαλιλαίας ἐπὶ λίμνῃ τῇ γεννησαρίτιδι. θερμὰ δὲ οὐκ ἄπωθεν ἔνεστιν ἐν κώμῃ, ἀμμαοῦς ὄνομα αὐτῇ. σύγκλυδες δὲ ᾤκησαν, οὐκ ὀλίγον δὲ καὶ τὸ γαλιλαῖον, καὶ ὅσοι μὲν ἐκ τῆς ἀπ' αὐτῶν γῆς, ἀναγκαστοὶ, καὶ πρὸς βίαν εἰς τὴν κατοικίαν ἀγόμενοι, τινὲς δὲ καὶ τῶν ἐν τέλει. ἐδέξατο δὲ αὐτοῖς συνοίκους καὶ τοὺς πανταχόθεν ἐπισυναγομένους ἄνδρας ἀπόρους, ἔστι δὲ οὓς μήτε σαφῶς ἐλευθέρους, πολλά τε αὐτοὺς, καὶ ἐπὶ πολλοῖς ἠλευθέρωσεν, καὶ εὐηργέτησεν, ἀνάγκασμα τοῦ μὴ ἀπολείψειν τὴν πόλιν ἐπιθεὶς, κατασκευαῖς τε οἰκήσεων τελείαις τῆς αὐτοῦ καὶ γῆς ἐπιδόσει, εἰδὼς παράνομον τὸν οἰκισμὸν ὄντα, καὶ ἀπὸ τοῦ ἰουδαίοις πατρίου, διὰ τὸ ἐπὶ μνήμασιν ἃ πολλὰ τῇδε ἦν ἀνῃρημένοις τὴν ἵδρυσιν τιβεριάδι γενέσθαι. μιαροὺς δὲ ἐπὶ ἑπτὰ ἡμέρας εἶναι τοὺς οἰκήτορας εἰσαγορεύει ἡμῖν τὸ νόμιμον. τελευτᾷ δὲ καὶ φραάτης ὁ παρθυαίων βασιλεὺς κατὰ τοῦτον τὸν χρόνον, ἐπιβουλῆς αὐτῷ γενομένης ὑπὸ φραατάκου τοῦ υἱέως, κατὰ τοιαύτην αἰτίαν. φραάτης παίδων αὐτῷ γνησίων γενομένων, ἰταλικὴ παιδίσκη, ὄνομα αὐτῇ θεσμοῦσα, ταύτῃ ὑπὸ ἰουλίου καίσαρος μετ' ἄλλων δωρεῶν ἀπεσταλμένῃ, τὸ μὲν πρῶτον παλλακίδι ἐχρῆτο. καταπλαγεὶς δὲ τῷ πολλῷ τῆς εὐμορφίας, προϊόντος χρόνου, καὶ παιδὸς αὐτῇ τοῦ φραατάκου γενομένου, γαμετήν τε τὴν ἄνθρωπον ἀποφαίνεται καὶ τιμίαν. ἦγε ἐπὶ πᾶσιν οἷς εἴποι πιθανὴ τῷ βασιλεῖ γεγονυῖα,

A Samaritani quidã clàm ingressi Hierosolyma, sparserunt ossa humana per porticus & per totum templum: quo factum est, vt posthac sacerdotes solito diligentiores custodias agerent. Paulo pòst Coponius Romam reuertitur, successore accepto M. Ambiuio: cuius tẽpore Salome Herodis regis soror vita decedens Iuliæ Iamniam cum sua toparchia reliquit, & sitam in campo Phasaelidem, Archelaidémque plurimis palmetis consitam, quo- B rum fructus est præstantissimus. Huic successit Annius Rufus, quo præside Cæsar fato functus est, qui secundus fuit Romanorum Imperator, præfuitque reipublicæ annos quinquagintaseptem, sex mensibus amplius & diebus duobus: in quo numero quatuordecim sunt anni, quibus Antonius ei fuit imperij socius & particeps. Vixit autem annos septuagintaseptem: Et Tiberius Nero priuignus suc- C cessit, Iuliæ filius, Romanorum Imperator tertius; à quo quintus Iudæorum præses missus est in Annij Rufi locum Valerius Gratus. Hic adempto Anano sacerdotio Ismaelem Fabi filium iussit esse pontificem: quo paulò pòst deiecto, in Eleazarum Anani pontificis filium eum honorem transtulit. Elapso deinde anno & hunc redegit in ordinem, & Simoni Camithi filio pontificatum tribuit. hic quoque anno in hac dignitate exacto, iussus est eam cedere Iosepho, qui cognominabatur Caia- D phas. His ita gestis, Gratus Romam repetit, in Iudæa exactis annis vndecim: cui deinde Pontius Pilatus successor missus est. Herodes porrò tetrarcha receptus in amicitiam Tiberij, de ipsius nomine vrbem à se conditam vocauit Tiberiada, electo ad hoc optimo agro Galilææ in ora lacus Genesarethici, vnde non lõgè apud Emmauntem vicum sunt aquæ calidę. hæc partim à conuenis, partim à Galilæis habitata est, quorum nonnulli eò migrare coa- E cti sunt, quidam etiam è nobilitate sedes illic sibi optauerunt. quóque maior esset frequentia, recepti sunt ad incolendum etiam tenuissimi quique vndecunque confluentes, & in his aliquot quos non satis constabat esse liberos. hos magnis immunitatibus ac beneficiis prosecutus astrinxit ad habitandum, alij domos, alij agros argitus, quo minus horrerent ædificatam præter ritum patrium in solo multis sepulchris referto, cùm iuxta nostras leges F ad septem dies impurus habeatur, qui in talibus locis habitet. Eodem tempore Phraates Parthorũ rex per insidias sublatus est à Phraatace filio, huiusmodi de causa. Phraates habens legitimos liberos, ancillã Italici generis Thermusam nomine, inter cætera dona à Cæsare missã, primùm in concubinarum numero ha- G buit. procedente deinde tempore obstupefact⁹ præcellenti mulieris forma, suscepto iam ex ea Phraatace filio, legitimo thoro eam sibi cõiũxit. Quę cùm quicquid vellet regi persuaderet,

IIII

cogitans filio suo Parthorum regnum astruere, intellexit nihil se effecturam, nisi ablegarentur legitimi Phraatis filij. Persuasit igitur marito, vt Romam eos obsides mitteret: quod illis sine cunctatione faciendum fuit, patre voluntati Thermusæ tam obnoxio. Interea Phraataces solus domi ad regnum educabatur: qui tædiosum ratus expectare dum à patre decedente principatum acciperet, cum matre contra eum conspirauit, cum qua creditus est etiam stupri habere consuetudinem. Ergo parricidio simul & incesto exosus popularibus, priùs quàm confirmaret suas opes per tumultum pulsus interiit. Tum verò nobilissimi Parthorum animaduertentes non posse sine rege consistere ipsorum rempublicam, nec tamen volentes eligere alienum ab Arsacidarum sanguine, putantésq; satis esse semel violatam regiam maiestatem Italicæ mulieris libidinibus, Herodem per legatos acciuerunt. Is erat quidem regij generis, sed inuisus multitudini propter nimiam crudelitatem, quòd intractabilis esset, & ad iram pronissimus. hunc coniurati aliquot interfecerunt, vt quidam tradunt, in conuiuio. solent enim perpetuò gestare gladios. Vt verò à pluribus fertur, in venatione occisus est. Legatione deinde missa Romam, petierunt regem vnum ex obsidibus, prælatúsque est Vonones cæteris fratribus. Videbatur enim capax eius fortunę, quam ei duo maxima in terris offerebant imperia, externum simul & domesticum. Sed breui pœnitentia subiit barbaros, natura mutabiles, & indignitatum impatientissimos. dedignabantur enim facere imperata mancipij, sic vocantes obsidé, & hac appellatione exaggerantes ignominiam. non enim belli iure sibi regem impositum, sed quod turpius sit, per pacis contumeliam. móxque vocant Artabanum in Media regnantem, Arsacidam genere. ille paruit libenter, & præsto fuit cum exercitu. cui cùm occurrisset Vonones, primùm manente etiam tum in officio vulgo Parthorū, prælio victus Artabanus retro in Mediam repulsus est. Sed paulo pòst instauratus copiis Vononé ausum confligere vicit egregiè, ita vt cum paucis equitibus in Seleuciam confugeret. Artabanus autem magna cæde grassatus in profligatos barbaros, & clade attonitos, in Ctesiphontem se recepit cum victricibus copiis. Ille igitur hoc modo regnum adeptus est. Vonones autem refugit in Armeniam, & à principio quidem affectauit eius regionis dominium, missis Romam legatis super hoc negotio. Vt verò repulsam passus est à Tiberio, pertæso ignauiam hominis & moto Parthi comminationibus bellum iam intentatis: destitutus omni spe regnandi, quòd potentiores Armeniorum Niphatem accolentes sequerétur factionem Artabani: Silano Syriæ præsidi se dedidit. is respectu educationis quæ illi Romæ contigerat, hominem apud se asseruauit in Syria. Armenis autem Orodem vnum è suis filiis Artabanus regé imposuit. Per idé tépus cū Antiochus quoq; Comagenę rex fato concessisset,

A καὶ σπεύδουσα τῷ αὐτῆς παιδὶ γενέσθαι τὴν πάρθων ἡγεμονίαν, ἑώρα μὴ ἄλλως γενησομένην μὴ ἀποσκευῆς αὐτῇ μηχανηθείσης τῶν γνησίων τῶν φραάτου παίδων. πείθει οὖν αὐτὸν ἐκπέμπειν εἰς ῥώμην ἐφ' ὁμηρείαν τοὺς γνησίους παῖδας. καὶ οὗτοι μὲν, οὐ γὰρ εὐτρεπὲς ἦν ἀπορεῖν φραάτην ταῖς θεσμούσης ἐπιτάγμασιν, ἐπὶ τῆς ῥώμης ἐξεπέμποντο. φραατάκης δὲ μόνος ἐπὶ τοῖς πράγμασι τρεφόμενος, δεινὸν ἡγεῖτο καὶ ἅμα χρόνιον τοῦ πατρὸς διδόντος

B τὴν ἀρχὴν λαμβάνειν. ὥς τε ἐπεβούλευε τῷ πατρὶ συμπράξει τῆς μητρὸς, ᾗ δὴ καὶ συνιέναι λόγος. καὶ δι' ἀμφότερα μισηθεὶς, οὐδὲν ἧσσον, ὡς τῆς πατροκτονίας τὸ μῖσος, τῆς μητρὸς ἔρωτα τιθεμένων τῶν ὑπηκόων, στάσει περιελαθεὶς πρότερον ἢ φῦναι μέγας, ἐξέπιπτε τῶν πραγμάτων, καὶ οὕτω θνήσκει. συμφρονήσαντες δὲ οἱ γενναιότατοι πάρθων, ὡς ἀβασιλεύτοις μὲν ἀμήχανον πολιτεύεσθαι, οἱ δὲ βασιλεύοντες ἐκ τοῦ γένους τῶν ἀρσακιδῶν, οὐ γὰρ ἑτέροις ἄρχειν νόμιμον, ἀπέχρη δὲ πολλάκις,

C καὶ μέχρι νῦν περιυβρίσθαι τὴν βασιλείαν ἐκτεταμένων τῆς ἰταλικῆς παλλακίδος καὶ γενέσεων, ὀρώδην ἐκάλουν πρεσβεύσαντες. ἦν δὲ καὶ ἄλλως μὲν ἐπίφθονος παρὰ τῷ πλήθει, καὶ ὑπαίτιος καθ' ὑπερβολὰς ὠμότητος, πάνυ γὰρ ἦν σκαιὸς, καὶ συνδιάθετος εἰς ὀργήν. ἐνίᾳ δὲ τῶν ἐκ τοῦ γένους. τοῦτον μὲν δὴ συστάντες, ἀποκτείνουσιν, ὡς μὲν ἔνιοι φασὶν, ἐν σπονδαῖς καὶ τραπέζαις, μαχαιροφορεῖν γὰρ ἔθος ἅπασιν. ὡς δὲ ὁ πλείων

D κατέχει λόγος εἰς θήραν προαγαγόντες. πρεσβεύσαντες δὲ εἰς ῥώμην, ᾔτουν τὸ βασιλέα τῶν ὁμηρευόντων. καὶ πέμπεται βονώνης προκριθεὶς τῶν ἀδελφῶν, ἐδόκει γὰρ χωρεῖν τὴν τύχην, ἣν αὐτῷ δύο μέγισται τῶν ὑπὸ τὸν ἥλιον ἡγεμονίαι προσέφερον, ἰδία καὶ ἀλλοτρία. ταχεῖα δὲ ἀνατροπὴ τοὺς βαρβάρους ὑπεισιν, ἅτε καὶ σφαλεροὺς φύσει ὄντας, πρός τε τὴν ἀναξιοπάθειαν. ἀνδραπόδων γὰρ ἀλλοτρίων ποιήσασθαι τὸ προστασσόμενον ἠξίουν, τὴν ὁμηρείαν ἀντὶ δουλείας

E ὀνομάζοντες, καὶ τῆς ἐπικλήσεως τὴν ἀδοξίαν. οὐ γὰρ ἂν πολέμου δικαίῳ δεδόσθαι τὸν βασιλεύσοντα πάρθοις, ἀλλὰ ὃ τῷ παντὶ χεῖρον, εἰρήνης ὕβρει. παραχρῆμα δὲ ἐκάλουν ἀρτάβανον μηδίας βασιλεύοντα, γένος ἀρσακίδην. πείθεται δὲ ἀρτάβανος, καὶ μετὰ στρατιᾶς ἔπεισιν. ὑπαντιάζει δὲ αὐτὸν βονώνης. καὶ τὸ μὲν πρῶτον συμφρονήσαντος αὐτῷ τοῦ πλήθους τῶν πάρθων παραταξάμενος, ἡττηθεὶς φεύγει πρὸς τοὺς ὅρους τῆς

F μηδείας ἀρτάβανος. καὶ μετ' οὐ πολὺ συναγαγὼν πολλὴν στρατιὰν, συμβάλλει τε βονώνῃ, καὶ νικᾷ, καὶ βονώνης εἰς σελεύκειαν ἀφιππάζεται σὺν ὀλίγοις τοῖς περὶ αὐτόν. ἀρτάβανος δὲ πολὺν τῇ τροπῇ φόνον ἐργασάμενος ὑπὸ ἐκπλήξεως τῶν βαρβάρων, πρὸς κτησιφῶντα μετὰ τοῦ πλήθους ἀναχωρεῖ. κἀκεῖνος μὲν ἐβασίλευσεν ἤδη πάρθοις. βονώνης δὲ εἰς ἀρμενίαν διαπίπτει, καὶ καταρχὰς μὲν, ἐφίετο τῆς χώρας, καὶ πρὸς ῥωμαίους ἐπρέσβευεν. ὡς δὲ αὐτῷ τι-

G βέριος μὲν ἀπεῖπε, πρός τε τὴν ἀνανδρίαν, καὶ τὰς τοῦ πάρθου τὰς ἀπειλὰς, ἀναπρεσβεύει γὰρ δὴ πόλεμον ἀνατεινόμενος, μηχανὴ δὲ ἦν ἑτέρα βασιλείας οὐδεμία, καὶ γὰρ οἱ περὶ νειφάτην δυνατοὶ τῶν ἀρμενίων ἀρταβάνῳ προσέθεντο, παραδίδωσιν αὐτὸν σιλανῷ τῷ τῆς συρίας στρατηγῷ. κἀκεῖνος μὲν κατὰ αἰδῶ τῆς ἐν ῥώμῃ κομιδῆς ἐν συρίᾳ παρεφυλάττετο. τὴν δὲ ἀρμενίαν ὀρώδῃ δίδωσιν ἀρτάβανος, ἑνὶ τῶν ἑαυτοῦ παίδων. ἐτελεύτησεν δὲ καὶ ὁ τῆς κομμαγηνῆς ἀντίοχος,

διέστη-

διέστηκε δὲ τὸ πλῆθος πρὸς τοὺς γνωρίμους, καὶ πρεσβεύουσιν ἀφ' ἑκατέρου μέρους, οἱ μὲν δυνατοὶ, μεταβάλλειν τὸ σχῆμα τῆς πολιτείας εἰς ἐπαρχίαν ἀξιοῦντες, τὸ πλῆθος δὲ βασιλεύεσθαι κατὰ τὰ πάτρια. καὶ ψηφίζεται ἡ σύγκλητος Γερμανικὸν πέμπειν διορθώσαντα τὰ κατὰ τὴν ἀνατολὴν, πραγματευομένης αὐτῷ τῆς τύχης εὐκαιρίαν τοῦ θανάτου. καὶ γὰρ γενόμενος κατὰ ἀνατολὴν, καὶ πάντα διορθώσας, ἀνῃρέθη φαρμάκῳ ὑπὸ Πίσωνος, καθὼς ἐν ἄλλοις δεδήλωται.

Κεφάλαιον δʹ.

Στάσις Ἰουδαίων πρὸς Πόντιον Πιλᾶτον.

Πιλᾶτος δὲ ὁ τῆς Ἰουδαίας ἡγεμὼν, στρατιὰν ἐκ Καισαρείας ἀγαγὼν, καὶ μεθιδρύσας χειμαδιοῦσαν ἐν Ἱεροσολύμοις ἐπὶ καταλύσει τῶν νόμων τῶν Ἰουδαϊκῶν, εἰσφρῆσαι, προτομὰς Καίσαρος αἳ τοῖς σημείοις προσῆσαν εἰσαγόμενος εἰς τὴν πόλιν, εἰκόνων ποίησιν ἀπαγορεύοντος ἡμῖν τοῦ νόμου. καὶ διὰ τοῦτο οἱ πρότερον ἡγεμόνες τῶν μὴ μετὰ τοιῶνδε κόσμων σημαίαις ἐποιοῦντο εἴσοδον τῇ πόλει. πρῶτος δὲ Πιλᾶτος ἀγνοίᾳ τῶν ἀνθρώπων διὰ τὸ νύκτωρ γενέσθαι τὴν εἴσοδον ἱδρύεται τὰς εἰκόνας φέρων εἰς τὰ Ἱεροσόλυμα. οἱ δὲ, ἐπεὶ ἔγνωσαν, κατὰ πληθὺν παρῆσαν εἰς Καισάρειαν ἱκετείαν ποιούμενοι ἐπὶ πολλὰς ἡμέρας, ἐπὶ μεταθέσει τῶν εἰκόνων. καὶ μὴ συγχωροῦντος διὰ τὸ ὕβριν Καίσαρι φέρειν, ἐπείπερ οὐκ ἐξαναχωροῦν λιπαρεῖν, κατὰ ἕκτην ἡμέραν ἐν ὅπλοις ἀφανῶς ἐπικαθίσας τὸ στρατιωτικὸν, αὐτὸς ἐπὶ τὸ βῆμα ἧκε, τὸ δὲ ἐν τῷ σταδίῳ κατεσκεύαστο, ὅπερ ἀπέκρυπτε τὸν ἐνεδρεύοντα στρατόν. πάλιν δὲ τῶν Ἰουδαίων ἱκετείᾳ χρωμένων, ἀπὸ συνθήματος περιστήσας τοὺς στρατιώτας, ἠπείλει θάνατον ἐπιθήσειν ζημίαν ἐκ τοῦ ὀξέως, εἰ μὴ παυσάμενοι θορυβεῖν ἐπὶ τὰ οἰκεῖα ἀπίοιεν. οἱ δὲ πρηνεῖς ῥίψαντες ἑαυτοὺς, καὶ γυμνοῦντες τὰς σφαγὰς, ἡδονῇ δέξεσθαι τὸν θάνατον ἔλεγον, ἢ τολμήσειν τὴν σοφίαν παραβήσεσθαι τῶν νόμων. καὶ Πιλᾶτος θαυμάσας τὸ ὀχυρὸν αὐτῶν ἐπὶ φυλακῇ τῶν νόμων, παραχρῆμα τὰς εἰκόνας ἐκ τῶν Ἱεροσολύμων ἐπανεκόμισεν εἰς Καισάρειαν. ὑδάτων δὲ ἐπαγωγὴν εἰς τὰ Ἱεροσόλυμα, ἔπραξε δαπάνῃ τῶν ἱερῶν χρημάτων, ἐκλαβὼν τὴν ἀρχὴν τοῦ ῥεύματος, ὅσον ἀπὸ διακοσίων σταδίων. οἱ δὲ, οὐκ ἠγάπων τοῖς ἀμφὶ τὸ ὕδωρ δρωμένοις, πολλαί τε μυριάδες ἀνθρώπων συνελθόντες, κατεβόων αὐτοῦ παύσασθαι τοῦ ἐπὶ τοιούτοις προθυμουμένου. τινὲς δὲ καὶ λοιδορίᾳ χρώμενοι, ὕβριζον εἰς τὸν ἄνδρα οἷα δὴ φιλεῖ πράσσειν ὅμιλος. ὁ δὲ, στολῇ τῇ ἐκείνων πολὺ πλῆθος στρατιωτῶν ἀμπεχόμενον, οἳ ἐφέροντο σκυτάλας ὑπὸ ταῖς στολαῖς, διαπέμψας εἰς ὃ περιέλθοιεν αὐτοὺς, αὐτὸς ἐκέλευσεν ἀναχωρεῖν. τῶν δὲ ὡρμηκότων εἰς τὸ λοιδορεῖν, ἀποδίδωσι τοῖς στρατιώταις ὃ προσυνέκειτο σημεῖον. οἱ δὲ καὶ πολὺ μειζόνως ἤπερ ἐπέταξε Πιλᾶτος, ἐχρῶντο πληγαῖς, τούς τε θορυβοῦντας ἐν ἴσῳ καὶ μὴ κολάζοντες. οἱ δὲ εἰσέφερον τὸ μαλακὸν οὐδὲν, ὥς τε ἄοπλοι ληφθέντες ὑπ' ἀνδρῶν ἐκ παρασκευῆς ἐπιφερομένων, πολλοὶ μὲν αὐτοῦ ταύτῃ καὶ ἀπέθνησκον, οἱ δὲ καὶ τραυματίαι ἀνεχώρησαν. καὶ οὕτω παύεται ἡ στάσις. γίνεται δὲ κατὰ τοῦτον τὸν χρόνον Ἰησοῦς σοφὸς ἀνήρ, εἴγε ἄνδρα αὐτὸν λέγειν χρή. ἦν γὰρ παραδόξων ἔργων ποιητής, διδάσκαλος ἀνθρώπων τῶν ἡδονῇ τἀληθῆ δεχομένων. καὶ πολλοὺς μὲν Ἰουδαίους, πολλοὺς δὲ καὶ ἑλληνικοὺς ἐπηγάγετο. ὁ χριστὸς οὗτος ἦν. καὶ αὐτὸν ἐνδείξει τῶν πρώτων ἀνδρῶν παρ' ἡμῖν, σταυρῷ ἐπιτετιμηκότος Πιλάτου, οὐκ

contentio nata est inter plebeios & nobiles, his regnum in prouinciæ formam redigi postulantibus, plebe contrà cupiente sub rege, vt antè viuere: quapropter Germanicus ex s. c. ad res Orientis componendas missus est, fortuna occasionem quærente illius exitio. post redactam enim in meliorem statum Syriam, Pisonis opera veneno sublatus est, sicut dicetur aliàs.

Cap. IIII.

Iudæorum contra Pontium Pilatum seditio.

Cæterùm Pilatus Iudææ præses à Cæsarea Hierosolyma traducto in hyberna milite, signa cum effigie Cæsaris in vrbem intulit ad legis nostræ contumeliam, qua cautum est ne habeamus huiusmodi effigies. & ideò qui ante hunc fuêre præsides, cum signis aliter insignitis solebant vrbem ingredi. primus Pilatus ignaris omnibus noctu illatas effigies Hierosolymis statuit. quod vbi cognitum est ciuibus, magno agmine petierunt Cæsaream, vbi per multos dies supplices orauerunt præsidem, vt transferret illas imagines aliò. Pilato verò pernegante se facturum quod coniunctum esset cum iniuria Cæsaris cùm Iudæi precari non desinerent, sexto pòst die iussis clàm in armis esse militibus, sedit pro tribunali in stadio, captata loci opportunitate, quòd aptissimus esset insidiis. ibi compellatus iterum de eodem negotio, signum dat militibus, vt eos circumueniant, mortem minitans, nisi quàm primùm quiescerent, & suam quisque domum discederent. at illi procidentes humi, & exertos præbentes iugulos, manifestè præ se ferebant, vita sibi cariorem esse obseruationem legis patriæ. Tum Pilatus admiratus tam constans legum studium, continuò reportauit eas imagines Cæsaream à Hierosolymis. deinde aquæ ductum struere agressus est ex sacro ærario, inducturus aquas Hierosolyma à ducentesimo stadio. id ægerrimè tulit populus & congregati per cœtus numerosos vsque ad multa hominum millia, vociferationibus conabatur eum deterrere à proposito, nonnulli verò ita vt fit apud inconditam multitudinẽ, etiam conuitiis lacessebant præsidem. at ille milites sub populari habitu clàm armatos fustibus iussit reliquam multitudinem corona cingere: & quamprimùm vulgus cœpit iacere conuitia, dedit illis signum ex composito: illi supra quàm mandatum erat vsi sunt fustibus, tumultuatores & quietos cædentes nullo discrimine. Ibi tam inclementer accepti inermes ab instructis, pars occisi sunt, pars discesserunt saucij: atq; hoc modo compressa est seditio.

Eodem tempore fuit Iesus, vir sapiens, si tamen virum cum fas est dicere. Erat enim mirabilium operum patrator, & doctor eorum qui libẽter vera suscipiũt: plurimósq; tã de Iudęis quã de gẽtibus sectatores habuit. Christus hic erat: quẽ accusatũ à nostræ gentis principibus, Pilatus cùm addixisset cruci, nihilominus

non destiterunt eum diligere, qui ab initio cœperant. Apparuit enim eis tertia die viuus, ita vt diuinitus de eo vates hoc & alia multa miranda prædixerunt: & vsque in hodiernum Christianorum genus ab hoc denominatum non deficit.

VII. Circa eadem tempora etiam aliud Iudæos turbauit incommodum, & Romæ in sacris Isidis summa turpitudo deprehensa est. Dicam igitur priùs de Isiacorum nefando scelere, ac tum demum res Iudæorum prosequar. Erat Romæ Paulina, mulier non minus probitate morum quàm natalium claritate illustris, ad hæc opulenta & formosa, vt quæ esset in ipso ætatis flore, sed in primis ornata pudicitia. Nupta autem erat Saturnino, viro tali coniuge dignissimo. huius amore captus est Decius Mundus iuuenis non obscurus in equestri ordine: & quia maior erat fœmina, quàm quæ posset corrumpi muneribus, eo magis accendebatur amantis insania, ita vt offerret ei pro vnica nocte ducenta drachmarum millia. ac ne sic quidem valens eam flectere, nō ferens amoris impotentiam, decreuit morbum simul & vitam finire inedia. hoc eius propositum non fefellit Iden libertam Mundi paternam, variis instructam sed non probatis artibus, quæ indignè ferens obstinationem iuuenis, blanda oratione conuentum animare conata est, spem ei faciens effecturam se vt potiatur Paulinæ complexibus. Cúmque ille preces eius libenter acciperet, ait sibi opus L. tantùm drachmarum millibus ad expugnandam mulieris pudicitiam. Ita refocillato iuuene, & accepta quantam petierat pecunia, nouā doli viam ingressa est videns Paulinam non capi pecuniis. Sciens porrò eam vehementer addictam Isidis cultui, tale quiddam comminiscitur. Conuentis aliquot ex eius sacerdotibus, accepta fide silētij, & quod efficacissimum est ostentato præmio, in præsens vigintiquinque millibus, & alteris totidem post nauatam operam, indicat eis amorem iuuenis, rogans vt omnibus modis adniterentur eum reddere voti compotem. Illi auri cupidine tacti, benignè sunt polliciti, quorum natu maximus properè se ad Paulinam contulit, & admissus imperatóque absque arbitris colloquio, venire se ait missū ab Anubide captum ipsius forma, & iubente vt ad se veniat. Illa libenti animo accepit nuntium, móxque iactabat se apud familiariter notas mulieres, quòd dignata sit amore Anubidis: marito quoque indicat, condictam sibi cœnam & cubile Anubidis. ideò faciliùs concessum est, quòd cognita & probata esset viro pudicitia coniugis. itaque in templum proficiscitur, & post cœnam instante somni tempore inclusa per sacerdotem, tenebris conciliantibus in latentem ibi Mundum incidit: totáq; eā noctē obsecuta est iuueni, Deo se gratificari existimans. Eo deinde abeūte priusquā sacerdotes doli cōscij surgerēt, Paulina mane ad maritū reuersa cōgressū cū Anubide prædicat,

ἐπαύσαντο οἵ γε πρῶτον ἀγαπήσαντες. ἐφάνη γὰρ αὐτοῖς τρίτην ἔχων ἡμέραν πάλιν ζῶν, τῶν θείων προφητῶν ταῦτα καὶ ἄλλα μυρία θαυμάσια περὶ αὐτοῦ εἰρηκότων. εἰς τε νῦν τῶν χριστιανῶν ἀπὸ τοῦδε ὠνομασμένων οὐκ ἐπέλιπε τὸ φῦλον. καὶ ὑπὸ τοὺς αὐτοὺς χρόνους ἕτερόν τι δεινὸν ἐθορύβει τοὺς ἰουδαίους, καὶ περὶ τὸ ἱερὸν τῆς ἴσιδος τὸ ἐν ῥώμῃ πράξεις αἰσχυναὶ οὐκ ἀπηλλαγμέναι συνετυγχάνουσι. καὶ πρότερον τοῦ τῶν ἰσιακῶν τολμήματος μνήμην ποιησάμενος, οὕτω μεταβιβάσω τὸν λόγον ἐπὶ τὰ ἐν τοῖς ἰουδαίοις γεγονότα. παυλῖνα ἦν τῶν ἐπὶ ῥώμης, προγόνων τε ἀξιώματι τῶν καθ' ἑαυτὴν ἐπιτηδεύοντι κόσμον ἀρετῆς ἐπὶ μέγα προϊοῦσα τῷ ὀνόματι, δύναμίς τε αὐτῇ χρημάτων ἦν, καὶ γεγονυῖα τὴν ὄψιν εὐπρεπής, καὶ τῆς ὥρας ἐν ᾗ μάλιστα ἀγάλλονται αἱ γυναῖκες, εἰς τὸ σωφρονεῖν ἀνέκειτο ἡ ἐπιτήδευσις τοῦ βίου. ἐγεγάμητο δὲ σατορνίνῳ τῶν εἰς τὰ πάντα ἀντισουμένων τῷ περὶ αὐτὴν ἀξιολόγων. ταύτης ἐρᾷ δέκιος μοῦνδος τῶν τότε ἱππέων ἐν ἀξιώματι μεγάλῳ. καὶ μείζων γὰρ ἦν ἢ ὥστε ἁλῶναι δωρεαῖς, διὰ τὸ καὶ πεμφθέντων εἰς πλῆθος περιιδεῖν, ἐξῆπτο μᾶλλον. ὥστε καὶ εἴκοσι μυριάδας δραχμῶν αὐτῇ δώσειν ὑπισχνεῖται εὐνῆς μιᾶς. καὶ μηδ' ὣς ἐπικλωμένης, οὐ φέρων τὴν ἀτυχίαν τοῦ ἔρωτος, ἐνδείᾳ σιτίων θάνατον ἐπιτιμᾶν αὐτῷ καλῶς ἔχειν ἐνόμιζεν ἐπὶ παυλίνῃ κακοῦ τοῦ κατειληφότος. καὶ ὁ μὲν ἐπεψήφιζέ τε τοιούτῳ τελευτῇ, καὶ πράσσειν οὐκ ἀπηλλάσσετο. ἦν δὲ ἴδη πατρῷος ἀπελευθέρα τῷ μούνδῳ παντοίων ἴδρις κακῶν, ἣ δεινῶς φέρουσα τοῦ νεανίσκου τὸ ψήφισμα τοῦ θανεῖν, οὐ γὰρ ἀφανὴς ἦν ἀπολούμενος, ἀνεγείρει τε αὐτὸν ἀφικομένη διὰ λόγου, πιθανή τε ἦν ἐλπίδων τινῶν ὑποσχέσει ὡς διαπραχθησομένων ὁμιλιῶν πρὸς τὴν παυλῖναν αὐτῷ. καὶ δεχομένου τὴν ἱκετείαν ἡδονῇ, πέντε μυριάδων δεήσειν αὐτῇ μόνον ἔλεγεν ἐπὶ ἁλώσει τῆς γυναικός. καὶ ἡ μὲν ἐπὶ τούτοις ἀναγείρασα τὸν νεανίσκον, καὶ τὸ αἰτηθὲν λαβοῦσα ἀργύριον, οὐ τὰς αὐτὰς ὁδοὺς ἐστέλλετο τοῖς προδιηκονημένοις, ὁρῶσα τῆς γυναικὸς τὸ μηδαμῶς χρημάτων ἁλισκόμενον. εἰδυῖα δὲ αὐτὴν θεραπείᾳ τῆς ἴσιδος σφόδρα ὑπηγμένην, τεχνᾶται τοιόνδε. τῶν ἱερέων τισὶν ἀφικομένη διὰ λόγων ἐπὶ πίστεσι μεγάλαις, τὸ δὲ μέγιστον δόσει χρημάτων, τὸ μὲν παρὸν μυριάδων δυοῖν καὶ ἥμισυ, λαβόντος δὲ ἔκβασιν τοῦ πράγματος ἑτέρῳ τοσῷδε, διασαφεῖ τοῦ νεανίσκου τὸν ἔρωτα αὐτοῖς, κελεύουσα παντοίως ἐπὶ τῷ ληψομένῳ τὴν ἄνθρωπον σπουδάσαι. οἱ δὲ ἐπὶ πληγῇ τοῦ χρυσίου διαχθέντες ὑπισχνοῦντο. καὶ αὐτῶν ὁ γεραίτατος ὡς τὴν παυλῖναν ὠσάμενος, γενομένων εἰσόδων, καταμόνας τε διὰ λόγων ἐλθεῖν ἠξίου, καὶ συγχωρηθὲν, πεμπτὸς ἔλεγεν ἥκειν ὑπὸ τοῦ ἀνούβιδος ἔρωτι αὐτῆς ἡσσημένου τοῦ θεοῦ, κελεύοντός τε ὡς αὐτὸν ἐλθεῖν. τῇ δὲ εὐκτὸς ὁ λόγος ἦν, καὶ ταῖς τε φίλαις ἐνεκαλλωπίζετο τῇ ἐπὶ τούτοις ἀξιώσει τοῦ ἀνούβιδος, καὶ φράζει πρὸς τὸν ἄνδρα, δεῖπνόν τε αὐτῇ καὶ εὐνὴν τοῦ ἀνούβιδος εἰσηγγέλθαι. συνεχώρει δὲ ἐκεῖνος τὸ σῶφρον τῆς γυναικὸς ἐξεπιστάμενος. χωρεῖ οὖν εἰς τὸ τέμενος, καὶ δειπνήσασα, ὡς ὕπνου καιρὸς ἦν, κλεισθεισῶν τῶν θυρῶν ὑπὸ τοῦ ἱερέως ἔνδον ἐν τῷ νεῷ, καὶ τὰ λύχνα ἐκποδῶν ἦν, καὶ ὁ μοῦνδος, προεκέκρυπτο γὰρ τῇδε, οὐχ ἡμάρτανεν ὁμιλιῶν τῶν πρὸς αὐτήν. παννύχιόν τε αὐτῷ διηκονήσατο ὑπειληφυῖα θεὸν εἶναι. καὶ ἀπελθόντος πρότερον ἢ κίνησιν ἄρξασθαι τῶν ἱερέων, οἳ τὴν ἐπιβουλὴν ᾔδεσαν. παυλῖνα πρωῒ ὡς τὸν ἄνδρα ἐλθοῦσα, τὴν ἐπιφάνειαν ἐκδιηγεῖται τοῦ ἀνούβιδος, καὶ πρὸς

καὶ πρὸς τὰς φίλας ἐνελαμπρύνετο λόγοις τοῖς ἐπ' αὐτῷ. οἱ δὲ, τὰ μὲν ἠπίστουν εἰς τὴν φύσιν τοῦ πράγματος ὁρῶντες, τὰ δ' ἐν θαύματι καθίσταντο, οὐκ ἔχοντες ὡς χρὴ ἄπιστα αὐτὰ κρίνειν, ὁπότε τὴν σωφροσύνην καὶ τὸ ἀξίωμα ἀπίδοιεν αὐτῆς. τρίτῃ δὲ ἡμέρᾳ μετὰ τὴν πρᾶξιν ὑπαντιάσας αὐτὴν ὁ Μοῦνδος, Παυλῖνα φησὶν, ἀλλά μοι καὶ εἴκοσι μυριάδας διεσώσω δυναμένῃ οἴκῳ προσθέσθαι τῷ σαυτῆς, διακονεῖσθαί τε ἐφ' οἷς προσεκαλούμην οὐκ ἐνέλιπες. ἃ μέν τοι εἰς Μοῦνδον ὕβρει διεχρῶ, μηδέν μοι μελῆσαν τῶν ὀνομάτων, ἀλλὰ τῆς ἐκ τοῦ πράγματος ἡδονῆς, Ἀνούβιον ὄνομα ἐθέμην ἐμαυτῷ. καὶ ὁ μὲν, ἀπῄει ταῦτα εἰπών. ἡ δὲ εἰς ἔννοιαν τότε πρῶτον ἐλθοῦσα τοῦ τολμήματος, περιρρήγνυταί τε τὴν στολὴν, καὶ τἀνδρὶ δηλώσασα τοῦ παντὸς ἐπιβουλεύματος τὸ μέγεθος, ἐδεῖτο μὴ περιῶφθαι βοηθείας τυγχάνειν. ὁ δὲ τῷ αὐτοκράτορι ἐπεσήμηνε τὴν πρᾶξιν. καὶ ὁ Τιβέριος μαθήσεως ἀκριβοῦς αὐτῷ γενομένης ἐξετάσει τῶν ἱερέων, ἐκείνους τε ἀνεσταύρωσεν, καὶ τὴν Ἴδην ὀλέθρου γενομένην αἰτίαν, καὶ τὰ πάντα ἐφ' ὕβρει συνθεῖσαν τῆς γυναικός. τόν τε ναὸν καθεῖλεν, καὶ τὸ ἄγαλμα τῆς Ἴσιδος εἰς τὸν Θύβριν ποταμὸν ἐκέλευσεν ἐμβαλεῖν. Μοῦνδον δὲ φυγῆς ἐτίμησεν, κώλυμα τοῦ μὴ μειζόνως κολάζειν, τὸ μετ' ἔρωτος αὐτῷ ἡμαρτῆσθαι τὰ ἡμαρτημένα, ἡγησάμενος. καὶ τὰ μὲν περὶ τὸ ἱερὸν τῆς Ἴσιδος τοῖς ἱερεῦσιν ὑβρισμένα, τοιαῦτα ἦν. ἐπάνειμι δὲ ἐπὶ τὴν ἀφήγησιν τῶν ἐν Ῥώμῃ Ἰουδαίοις κατὰ τοῦτον τὸν χρόνον συντυχόντων, ὥς μοι καὶ προεσήμανεν ὁ λόγος.

Κεφάλαιον ε'.

Τὰ συμβάντα Ἰουδαίοις ἐν Ῥώμῃ, καὶ περὶ Πιλάτου.

ΗΝ ἀνὴρ Ἰουδαῖος φυγὰς μὲν τῆς αὐτοῦ, κατηγορίᾳ τε παραβάσεως νόμων, καὶ δέει τιμωρίας τῆς ἐπ' αὐτοῖς, πονηρὸς δὲ εἰς τὰ πάντα. καὶ δὴ τότε ἐν τῇ Ῥώμῃ διαιτώμενος, προσεποιεῖτο μὲν ἐξηγεῖσθαι σοφίαν νόμων τῶν Μωυσέως, προσποιησάμενός τε τρεῖς ἄνδρας εἰς τὰ πάντα ὁμοιοτρόπους, τούτοις ἐπιφοιτήσασαν Φουλβίαν τῶν ἐν ἀξιώματι γυναικῶν, καὶ νομίμοις προσεληλυθυῖαν τοῖς Ἰουδαϊκοῖς, πείθουσι πορφύραν καὶ χρυσὸν εἰς τὸ ἐν Ἱεροσολύμοις ἱερὸν διαπέμψασθαι. καὶ λαβόντες, ἐπὶ χρείας τοῖς οἰκείοις ἀναλώμασιν αὐτὰ ποιοῦνται, ἐφ' ὅπερ καὶ τὸ πρῶτον ἡ αἴτησις ἐπράσσετο. καὶ ὁ Τιβέριος, ἀποσημαίνει γὰρ πρὸς αὐτὸν φίλος ὢν Σατορνῖνος τῆς Φουλβίας ἀνὴρ ἐπισκήψει τῆς γυναικὸς, κελεύει πᾶν τὸ Ἰουδαϊκὸν τῆς Ῥώμης ἀπελαθῆναι. οἱ δὲ ὕπατοι τετρακισχιλίους ἀνθρώπων ἐξ αὐτῶν στρατολογήσαντες, ἔπεμψαν εἰς Σαρδὼ τὴν νῆσον. πλείστους δὲ ἐκόλασαν μὴ θέλοντας στρατεύεσθαι, διὰ φυλακὴν τῶν πατρίων νόμων. καὶ οἱ μὲν διὰ κακίαν τεσσάρων ἀνδρῶν, ἠλαύνοντο τῆς πόλεως. οὐκ ἀπήλλακτο δὲ θορύβου καὶ τὸ Σαμαρέων ἔθνος, συστρέφει γὰρ αὐτοὺς ἀνὴρ ἐν ὀλίγῳ τὸ ψεῦδος τιθέμενος, καὶ ἐφ' ἡδονῇ τῆς πληθύος τεχνάζων τὰ πάντα, κελεύων ἐπὶ τὸ Γαριζεὶν ὄρος αὐτῷ συνελθεῖν, ὃ ἁγνότατόν τι αὐτοῖς ὀρῶν ὑπείληπται, ἰσχυρίζετό τε παραγενομένοις δείξειν τὰ ἱερὰ σκεύη τῇδε κατορωρυγμένα, Μωυσέως τῇδε αὐτῶν ποιησαμένου κατάθεσιν. οἱ δὲ ἐν ὅπλοις τε ἦσαν, πιθανὸν ἡγούμενοι τὸν λόγον, καὶ καθίσαντες ἔν τινι κώμῃ, Τιραθαβὰ λέγεται, παρελάμβανον τοὺς ἐπισυλλεγομένους, ὡς μεγάλῳ πλήθει τὴν ἀνάβασιν εἰς τὸ ὄρος ποιησόμενοι. φθάνει δὲ Πιλάτος τὴν ἄνοδον αὐτῶν προκαταλαβόμενος ἱππέων τε πομπῇ καὶ ὁπλιτῶν, οἳ συμβαλόντες τοῖς ἐν τῇ κώμῃ

& idem apud amicas quoque magnificis verbis exaggerat. Illis nec credere libebat rei naturam considerantibus, non mirari tamen non poterant ob insignem mulieris pudicitiam. Die deinde post rem patratam tertia Mundus adamatæ forte fortuna obuius, ô factum bene Paulina, inquit, quòd & ducenta illa millia mihi seruasti, quæ potuisti tuis facultatibus addere, & morem nihilominus meæ voluntati gessisti. Nihil enim mea refert quòd Mundum contempsisti, quandoquidem prætextu Anubidis optata voluptate expletus sum: atque his dictis abiit. At mulier tum primùm deprehenso flagitio, vestem sibi lacerat, & re tota ad maritum delata obsecrat ne tam insigne ludibrium impunitum sinat. maritus porrò Imperatori totum significat. Tiberius postquam accuratissima inquisitione didicit omnia sacrificos illos impostores in crucem egit, vnàque Iden inuentricem huius sceleris, cuius præcipua opera fuit in corrumpenda pudicitia mulieris: dirutóque templo statuam Isidis iussit mergi in Tyberim, Mundum autem mitiore pœna exilij castigasse contentus est, crimen eius in Cupidinis impotentiam referẽs. Et Isiacorum quidem facinus huiusmodi extitit. Nunc quod promisi reddetur, de Iudæorum per id tempus Romæ degentium aduersitatibus.

Cap. V.

Quid Iudæis Romæ degentibus acciderit, & de Pilato.

ERat quidam Iudæus, qui ne legibus pœnas daret, metu solùm verterat. vir modis omnibus pessimus. Is tum Romæ agens gerebat se pro Mosaicæ legis interprete, ascitis in societatem tribus aliis per omnia sui similibus. his cùm se in disciplinam dedisset Fuluia mulier nobilis amplexa legem Iudaicam, persuaserunt ei, vt purpuram & aurum in Hierosolymitanum templum mitteret: quæ accepta in proprios vsus verterunt, quò iam antè destinauerant. Id postquam Tiberius ex amico suo Saturnino ipsius Fuluiæ marito de iniuria coniugi facta questo cognouit, iussit vniuersos Iudæos ex vrbe pelli. Ex quibus Consules delectu habito, quatuor millia militum miserunt in Sardiniam. plurimos etiam qui patria religione detrectabant militiam, affecerunt pœnis grauissimis. Ita propter quatuor scelatores omnes Iudæi coacti sunt vrbe cedere. Interea ne Samaritani quidem tumultu caruêre. Concitauit enim eos impostor quidã pro nihilo ducens mendaciũ, & omnia cõminiscens ad plebis gratiã, iubens vt conuenirent in montem Garizim apud eam gentẽ sanctissimum, asseuerans se illic eis ostensurum sacra vasa refossa, quæ ibi Moyses deposuerit. Illi creduli sumptis armis Tirathabam vicum insederunt, expectantes ibi confluentes cæteros, vt magno agmine montem ascenderent. Sed Pilatus prior cliuum mõtis occupat equitibus suis & peditibus, qui prælio congressi cũ

Samaritis apud vicum collectis, alios fuderunt, alios in fugam compulerunt: multos etiam viuos captos abduxerunt, quorum precipuos & potentiores Pilatus mulctauit capite. Tum primates adeunt Vitellium virum consularem, & Syriæ præsidem, Pilatúmque cædis accusant, negãtes defectionem fuisse à Romanis illum concursum in Tirathaba, sed refugium contra Pilati violentiam. At Vitellius Marcello amico ad procurationem Iudææ misso, Pilatum iussit Romam proficisci, responsurum apud Cæsarem ad obiecta per Iudæos crimina. Ita ille decem annis exactis in sua prouincia, quum necesse haberet parere Vitellio, ad vrbem iter suscepit: quò priùs quàm perueniret, vita excessit Tiberius.

CAP. VI.

Vitellij aduentus Hierosolyma, & quomodo à Tiberio mandata accepit, vt impetratis ab Artabano obsidibus bellum contra Aretam susciperet.

VIII. Vitellius autem in Iudæam profectus peruenit Hierosolyma, in ipsa festiuitate quam Pascha dicimus: vbi exceptus honorificentissimè, remisit ciuibus totum vectigal fructuum venalium, & stolam cum ornatu pontificio permisit in templo asseruari à sacerdotibus, quemadmodum & olim hoc ius habuerant. Sed eo tempore deponebatur in Antonia, ob hanc causam. Hyrcanus pontifex eius nominis primus extructa prope templum turri, degebat in ea maiorem temporis partem: & quoniam hanc stolam habebat in sua custodia, qua nemo præter illum vtebatur, recepturus priuatum habitum, eò loci illam deponebat. Idem mos fuit etiam successoribus ipsorum posteris. Herodes autem regnum adeptus, turrim hanc opportuno loco sitam magno sumptu exædificatam denominauit ab amico Antonio, & stolam, ita vt ibi reperta est, detinuit, ratus eò magis obnoxium se habiturum populum. Idem fecit Archelaus filius eius, & successor, cuius regno in prouinciam mutato, Romani simul & pontificiæ stolæ possessionem nacti sunt, in cella ad hoc ipsum structa repositæ, & obsignatæ sigillo pontificum atq; custodũ sacri ærarij, præfecto castelli accendente ibi lucernam quotidie. Hác septimo ante festum die præfectus exhibebat pontifici: qua purificata indutus sacrorum tẽpore, sequenti die rursũ eã reponebat in cellam vbi antea condita fuerat. Id fiebat singulis annis ter ieiunij tempore. Vitellius autem in nostrorum sacerdotum potestatem eam stolam tradidit, iubens securum esse præfectum quónam illa reponatur, aut quando proferatur in vsum pontificum. Hoc gratificatus genti, & in locũ Iosephi Caiaphæ pontificis subrogato Ionatha Anani pontificis filio, iter fecit versus Antiochiã. Eodem tempore à Tiberio literas accepit, mãdãte vt cum Artabano fœdus & amicitiã faceret. Verebatur enim ne

προσυνηθεισμένοις παρατάξεως γινομένης, τοὺς μὲν ἔκτειναν, τοὺς δὲ εἰς φυγὴν ἔτρεπον. ζωγρίᾳ τε πολλοὺς ἦγον, ὧν τοὺς κορυφαιοτάτους καὶ τοὺς ἐν τοῖς φυγοῦσιν δυνατωτάτους ἔκτεινε Πιλάτος. καὶ παύσαντος δὲ τοῦ θορύβου Σαμαρέων ἡ βουλὴ παρὰ Οὐϊτέλλιον ὑπατικὸν ἄνδρα Συρίας τὴν ἡγεμονίαν ἔχοντα, καὶ Πιλάτου κατηγόρουν ἐπὶ τῇ σφαγῇ τῶν ἀπολωλότων. οὐ γὰρ ἐπὶ ἀποστάσει Ῥωμαίων, ἀλλ' ἐπὶ διαφυγῇ τῆς Πιλάτου ὕβρεως εἰς τὴν Τιραθαβὰ παραγενέσθαι. καὶ Οὐϊτέλλιος Μάρκελλον τὸν αὑτοῦ φίλον ἐκπέμψας ἐπιμελητὴν τοῖς Ἰουδαίοις γενησόμενον, Πιλάτον ἐκέλευσεν ἐπὶ Ῥώμης ἀπιέναι, πρὸς ἃ κατηγοροῖεν Ἰουδαῖοι διδάξοντα τὸν αὐτοκράτορα. καὶ Πιλάτος δέκα ἔτεσιν διατρίψας ἐπὶ Ἰουδαίας, εἰς Ῥώμην ἠπείγετο, ταῖς Οὐϊτελλίου πειθόμενος ἐντολαῖς, οὐκ ὂν ἀντιλέγειν. πρὶν δ' ἢ τῇ Ῥώμῃ προσσχεῖν αὐτόν, φθάνει Τιβέριος μεταστάς.

Κεφάλαιον ς'.

Οὐϊτελλίου ἀνάβασις εἰς Ἱεροσόλυμα, καὶ ὡς Τιβέριος ἔγραψεν αὐτῷ, Ἀρταβάνῳ μὲν πεῖσαι ὁμήρους αὐτῷ πέμψαι, πρὸς Ἀρέταν δὲ πολεμεῖν.

Οὐϊτέλλιος δέ, εἰς τὴν Ἰουδαίαν ἀφικόμενος, ἐπὶ Ἱεροσολύμων ἀνῄει, καὶ ἦν αὐτοῖς ἑορτή, πάσχα δὲ καλεῖται. δεχθεὶς δὲ μεγαλοπρεπῶς Οὐϊτέλλιος, τὰ τέλη τῶν ὠνουμένων καρπῶν ἀνίησιν εἰς τὸ πᾶν τοῖς ταύτην κατοικοῦσιν, καὶ τὴν στολὴν τοῦ ἀρχιερέως, καὶ τὸν πάντα αὐτοῦ κόσμον συνεχώρησεν ἐν τῷ ἱερῷ κείμενον ὑπὸ τοῖς ἱερεῦσιν ἔχειν τὴν ἐπιμέλειαν, καθότι καὶ πρότερον ἦν αὐτοῖς ἐξουσία. τότε δὲ ἐν τῇ Ἀντωνίᾳ, φρούριον δὲ ἐστιν οὕτως λεγόμενον, ἡ ἀπόθεσις αὐτῆς ἦν, διὰ τοιαύτην αἰτίαν. τῶν ἱερέων τις Ὑρκανός, πολλῶν δὲ ὄντων ἐν τῷδε ἐκαλοῦντο τὸ ὄνομα, ὁ πρῶτος, ἐπεὶ πλησίον τοῦ ἱεροῦ βάριν κατασκευασάμενος, ἐν ταύτῃ τὰ πολλὰ τὴν δίαιταν εἶχεν, καὶ τὴν στολήν, φύλαξ γὰρ ἦν αὐτῆς, διὰ τὸ καὶ μόνῳ συγκεχωρῆσθαι τοῦ ἐνδύεσθαι τὴν ἐξουσίαν, ταύτην εἶχεν ἀποκειμένην, ὁπότε εἰς τὴν πόλιν κατιὼν, ἀναλαμβάνοι τὴν ἰδιωτικήν. καὶ οἵ τε υἱεῖς αὐτοῦ ταῦτα πράσσειν ἐπιτήδειον, καὶ τέκνα ἐκείνων. Ἡρώδης δὲ βασιλεύσας, τήν τε βάριν ταύτην ἐν ἐπιτηδείῳ κειμένην, κατασκευάσας πολυτελῶς, Ἀντωνίαν καλεῖ ὄνομα, τοῦ Ἀντωνίου φίλος ὤν, καὶ τὴν στολὴν ὥσπερ καταλαμβάνει τῇδε κειμένην κατεῖχεν, πιστεύων δὲ, οὐδὲν νεωτεριεῖν ἐπ' αὐτῷ τὸν λαόν. διὰ ταῦτα δὲ ἔπρασσεν ὅμοια τῷ Ἡρώδῃ, καὶ ὁ ἐπικατασταθεὶς αὐτῷ βασιλεὺς Ἀρχέλαος υἱὸς ὤν, οὗ Ῥωμαῖοι παραδεξάμενοι τὴν ἀρχήν, ἐκράτουν τῆς στολῆς τοῦ ἀρχιερέως, ἀποκειμένης ἐν οἴκῳ οἰκοδομηθέντι ὑπὸ σφραγίδι τῶν τε ἱερέων καὶ τῶν γαζοφυλάκων, τοῦ φρουράρχου τὸ ἐφ' ἡμέραν ἑκάστην λύχνον ἅπτοντος. ἑπτὰ δὲ ἡμέραις πρὸ τῆς ἑορτῆς ἀπεδίδοτο αὐτοῖς ὑπὸ τοῦ φρουράρχου, καὶ ἁγνισθείσῃ χρησάμενος ὁ ἀρχιερεὺς μετὰ μίαν τῆς ἑορτῆς ἡμέραν ἀπετίθετο αὖθις εἰς τὸν οἶκον, ἥπερ ἔκειτο καὶ πρότερον. τοῦτο ἔπραττε τρισὶν ἑορταῖς ἑκάστου ἔτους καὶ τὴν νηστείαν. Οὐϊτέλλιος δὲ ἐπὶ τῷ ἡμετέρῳ πατρίῳ ποιεῖται τὴν στολήν, ἥ τε κείσοιτο μὴ πολυπραγμονεῖν ἐπισκήψας τῷ φρουράρχῳ, καὶ ὁπότε δέοι χρῆσθαι. καὶ ταῦτα πράξας εὐεργεσίᾳ τοῦ ἔθνους, καὶ τὸν ἀρχιερέα Ἰώσηπον τὸν Καϊάφαν ἐπικαλούμενον ἀπαλλάξας τῆς ἱερωσύνης, Ἰωνάθην καθίστησιν Ἀνάνου τοῦ ἀρχιερέως υἱόν. ἐπ' Ἀντιοχείας δ' αὖθις ἐποιεῖτο τὴν ὁδόν. πέμπει δὲ καὶ Τιβέριος ὡς Οὐϊτέλλιον γράμματα, κελεύων αὐτῷ πράσσειν φιλίαν πρὸς Ἀρτάβανον τὸν Πάρθων βασιλέα. ἐφόβει γὰρ αὐτὸν ἐχθρὸς ὤν, καὶ ἀρ-

καὶ Ἀρμενίαν παρέσπασμένος, μὴ ἐπὶ πλέον κακουργῇ. πιστεύειν δὲ τῇ φιλίᾳ μόνως ὁμήρων αὐτῷ διδομένων, μάλιστα δὲ τοῦ Ἀρταβάνου υἱέος. ταῦτα δὲ γράφων Τιβέριος πρὸς τὸν Οὐιτέλλιον, μεγάλαις δόσεσι χρημάτων πείθει καὶ τὸν Ἰβήρων καὶ τὸν Ἀλανῶν βασιλέα πολεμεῖν Ἀρταβάνῳ μηδὲν ἐνδοιάσαι. οἱ δὲ αὐτοὶ μὲν ἀντεῖχον. Ἀλανοῖς δὲ δίοδον αὐτοῖς διδόντες διὰ τῆς αὐτῶν καὶ τὰς θύρας τὰς Κασπίας ἀνοίξαντες, ἐπάγουσι τῷ Ἀρταβάνῳ. καὶ ἥ τε Ἀρμενία ἀφῄρητο αὖθις, καὶ πλησθείσης πολέμων τῆς Παρθυαίων γῆς, οἵ τε πρῶτοι τῶν τῇδε ἐκτείνοντο ἀνδρῶν, ἀνάστατά τε ἦν αὐτοῖς τὰ πάντα, καὶ τοῦ βασιλέως ὁ υἱὸς ἐν τούτων τῶν μαχῶν ἔπεσεν μετὰ πολλῶν στρατοῦ μυριάδων. καὶ αὐτοῦ τὸν πατέρα Ἀρτάβανον Οὐιτέλλιος πομπῇ χρημάτων εἴς τε συγγενεῖς καὶ φίλους ἐκείνου γινομένῃ, ἐμέλλησε μὲν κτιννύειν διὰ τῶν τὰ δῶρα εἰληφότων. αἰσθανόμενος δὲ τὴν ἐπιβουλὴν ὁ Ἀρτάβανος ἄφυκτον οὖσαν, διὰ τὸ ὑπὸ πολλῶν καὶ τῶν πρώτων ἀνδρῶν συντεθεῖσαν δὴ ἀξιεῖσθαι τοῦ ἐπὶ πέρας ἐλθεῖν, καὶ νομίζων καὶ ὁπόσον αὐτῷ καθαρῶς συνειστήκει, καὶ τόδε ἤδη ἐφθαρμένον ἐπὶ δόλῳ τὴν εὔνοιαν προσποιεῖσθαι, ἢ πείρας αὐτῷ γενομένης μετατίθεσθαι πρὸς τοὺς προαφεστηκότας, ἐπὶ τῶν ἄνω σατραπειῶν ἔσωζεν αὑτόν. καὶ πολλὴν μετὰ ταῦτα στρατιὰν ἀθροίσας Δαῶν τε καὶ Σακῶν, καὶ πολεμήσας τοὺς ἀνθεστηκότας κατεῖχε τὴν ἀρχήν. ταῦτα ἀκούσας ὁ Τιβέριος, ἠξίου φιλίαν αὐτῷ γίνεσθαι πρὸς τὸν Ἀρτάβανον. ἐπεὶ δὲ κἀκεῖνος προσκληθεὶς, ἀσμένως ἐδέξατο τὸν περὶ αὐτῶν λόγον, ἐπὶ τὸν Εὐφράτην παρῆσαν, ὅ τε Ἀρτάβανος, καὶ ὁ Οὐιτέλλιος. καὶ ζεύξεως τοῦ ποταμοῦ γινομένης, μετὰ τὸ μεσαίτατον τῆς γεφύρας ἀλλήλοις ὑπηντίαζον μετὰ φυλακῆς ἑκάτερος τῆς περὶ αὐτόν. καὶ λόγων αὐτοῖς συμβιβαστικῶν γινομένων, Ἡρώδης ὁ τετράρχης εἱστίασεν αὐτούς, κατὰ μέσον τὸν πόρον σκηνὴν ἐπισκευασάμενος τῷ πόρῳ πολυτελῆ. καὶ Ἀρτάβανος μετ' οὐ πολὺ πέμπει Τιβερίῳ ὅμηρον Δαρεῖον τὸν υἱὸν μετὰ πολλῶν δώρων, ἐν οἷς καὶ ἄνδρα ἑπτάπηχυν τὸ μέγεθος, Ἰουδαῖον τὸ γένος, Ἐλεάζαρον ὄνομα, διὰ μέντοι τὸ μέγεθος, γίγας ἐπεκαλεῖτο. ἐπὶ τούτοις Οὐιτέλλιος μὲν ἐπ' Ἀντιοχείας ᾔει, Ἀρτάβανος δὲ ἐπὶ τῆς Βαβυλωνίας. Ἡρώδης δὲ βουλόμενος δι' αὐτοῦ πρώτου γενέσθαι πίστιν Καίσαρι τῶν ὁμήρων τῆς λήψεως, ἐκπέμπει γραμματοφόρους τὰ πάντα ἀκριβῶς γράψας εἰς ἐπιστολήν, καὶ μηδὲν ὑπολειπόμενος ἐπὶ μηνύσει τῷ ὑπατικῷ. πρὸς Οὐιτελλίου δὲ ἐπιπεμφθεισῶν ἐπιστολῶν, καὶ τοῦ Καίσαρος ἐπισημήναντος πρὸς αὐτὸν ὡς δῆλα αὐτῷ γένοιτο, πρότερον πίστιν περὶ αὐτῶν Ἡρώδου προστεθεικότος, ταραχθεὶς ὁ Οὐιτέλλιος μεγάλως, καὶ πεπονθέναι τι μειζόνως ἢ ἐπέπρακτο ὑπολαμβάνων, ἄδηλον τὴν ἐπ' αὐτοῖς ἔκρυπτεν ὀργήν, μέχρι δὴ καὶ μετῆλθεν Γαΐου τὴν ἀρχὴν παρειληφότος. τότε δὴ καὶ Φίλιππος, Ἡρώδου δὲ ἦν ἀδελφός, τελευτᾷ τὸν βίον, εἰκοστῷ μὲν ἐνιαυτῷ τῆς Τιβερίου ἀρχῆς, ἡγησάμενος δὲ αὐτὸς ἑπτὰ καὶ τριάκοντα τῆς Τραχωνίτιδος καὶ Γαυλανίτιδος, καὶ τοῦ Βαταναίων ἔθνους πρὸς αὐτοῖς. μέτριον δὲ ἐν οἷς ἦρχεν παρασχὼν τὸν τρόπον καὶ ἀπράγμονα. δίαιταν μὲν γὰρ τὸ πᾶν ἐν τῇ γῇ τῇ ὑποτελεῖ ἐποιεῖτο. πρόοδοι δὲ ἦσαν αὐτῷ σὺν ὀλίγοις τῶν ἐπιλέκτων, καὶ τοῦ θρόνου εἰς ὃν κρίνειεν καθεζόμενος ἐν ταῖς ὁδοῖς ἑπομένου, ὁπότε τις ὑπαντιάσας ἐν χρείᾳ γένοιτο αὐτῷ ἐπιβοηθεῖν, οὐδὲν εἰς ἀναβολάς, ἀλλ' ἐκ τοῦ ὀξέος ἱδρύσεως τοῦ θρόνου ᾗ καὶ τύχοι γενομένης, καθεζόμενος ἠκροᾶτο, καὶ τιμωρίας τε ἐπετίμα τοῖς ἁλοῦσιν, καὶ ἠφίει τοὺς ἀδίκως ἐν ἐγκλήμασιν

occupata Armenia, maiora damna inferret imperio. Quam amicitiam ita demum ratam fore, si ille obsides traderet, maximè si regium filium. His ad Vitellium scriptis, simul Hiberorum & Alanorum reges magnis præmiis solicitauit ad inferendum quamprimùm bellum Artabano. Et Hiberi ipsi quidem quieuerunt, sed Alanis transitum dederunt per suam regionem, & patefactis portis Caspiis immiserunt eos in regnum Artabani. Quo facto & Armeniam denuò Parthi amiserunt, & peruadente totam eorum ditionem bello, nobilissimi quique eius gentis ceciderunt vnà cum regis filio & multis popularium millibus, regióque tota hac incursione vastata est. Vitellius etiam pecunia corruptis aliquot amicis & cognatis regiis ipsum Artabanum conabatur occidere. Ille intellecta fraude, nec inueniēs remedium, quòd ab optimatibus immineret periculum, habénsque suspectos & eos qui in fide manebant, quasi beneuolentiam fingerent prima quaque occasione transituri in partes aduersas, fuga se ad satrapias superiores seruauit incolumem. Vbi ex Dahis ac Sacis contracto magno exercitu: & debellatis inimicis, restitutus est in imperium. His auditis Tiberius petiit amicitiam Artabani, & assentiente illo, conuenerunt ad Euphratem rex & Vitellius: vbi in medio pontis sibi occurrerunt, cum suo quisq; satellitio. Post quàm autem de fœdere conuenit, Herodes tetrarcha vtrunque excepit conuiuio, tabernaculo magno sumptu erecto in medio fluminis: nec multo pòst Artabanus misit Tiberio filium Darium obsidentem cum multis muneribus, inter quæ etiam virum statura cubitorum quinque genere Iudæum, Eleazarum nomine: qui propter vastitatem gigas cognominatus est. Post hæc Vitellius Antiochiam rediit, Artabanus in Babyloniam. Tum Herodes volens primus nunciare Cæsari de impetratis obsidibus, omnibus diligenter perscriptis misit ad eum tabellarios, nihil amplius relinquens significandum per consularem præsidem. quare superuenientibus Vitellij literis, Cæsar rescripsit, omnia sibi iam antè esse cognita ex Herodis nuntiis. Quo ille grauiter offensus, & factum in deteriorem partem accipiens, iram celabat in pectore, donec ad Caium peruenit rerum regimen. Tunc etiam Philippus Herodis frater diem suum obiit, anno Tiberij principatus vigesimo, quum ipse præfuisset triginta septem annis Trachonitidi & Gaulanitidi, ac Batanææ, vir perpetuò modestus, & amator quietis ac otij. Degebat enim semper in sua ditione. Quoties domo progrederetur, iter faciebat cum paucis selectis comitibus, subsequente sella in qua sedens solitus est iura reddere: & si quis ex occursu opem eius inuocaret, sine dilatione moxibi sella posita residens causam cognoscebat, aut sontem damnaturus, aut absoluturus

innoxium. Obiit autem Iuliade, & illatus in monumentum quod iam antè sibi constru-xerat, magnificè ac sumptuosè funeratus est. Et quia sine liberis decesserat, ditionem eius Tiberius prouinciæ Syriæ attribuit, ita tamen, vt tributa in ea tetrarchia collecta, seruarētur intra ipsius regionis terminos.

Cap. VII.

Herodis bellum quo ab Areta superatus est.

INterea Herodem inter & Aretam regem Petræ bellum tali de causa exoritur. Herodes tetrarcha vxorem habebat Aretæ filiam, cum qua iam multo tempore conuixerat. Romam deinde iter faciens diuertit ad Herodem fratrem, sed genitrice natum alia, Simonis pontificis filia. Huius vxoris Herodiadis amore captus, quæ erat Aristobuli communis fratris filia, & Agrippæ maioris soror, ausus est de impetrando eius coniugio mentionem facere. Qua assentiente, conuenit inter eos, vt quàm primùm ille Roma reuerteretur in patriam, mulier migraret in eius domicilium. Intercessit autem & hoc pactum, vt Aretæ filiam eiiciat. Post hæc Romam nauigat. Vbi postquam expediuit negotia propter, quæ venerat, domum reuersum vxor, comperto quid pactus sit cum Herodiade, dissimulanter rogat, vt se mittat Machæruntem, castrum situm in confiniis regionis Aretę subditæ, quantum poterat celans suum propositum. Morem gessit Herodes mulieri, putans eam nihil sensisse. Illa quæ iam antè curauerat apud Machæruntem, patri suo tunc obnoxiam, ad iter omnia parari, à præfecto eius excepta, deducentibus Arabibus, magna celebritate peruenit in ædes patris: eíque indicauit Herodis animum. Vnde simultate nata sequuta est de Gamalitici agri finibus contentio: & contractis vtrinque copiis bellum per legatos gestum est, commissóque prælio Herodis exercitus internecione periit, proditus à quibusdam exulibus, qui pulsi è tetrarchia Philippi, tunc merebant Herodis stipendia. Hæc Herodes per literas Tiberio significat. Ille verò indignè ferens Aretæ audaciam, scribit Vitellio, vt ei bellum inferat, & aut viuum captum abducat, aut occisi caput ad se mittat. X. Atque hæc fuerunt mandata Tiberij. Apud Iudæos autem fuit opinio, iusta vltione numinis deletum Herodis exercitum, propter Ioannem qui Baptista cognominatus est. Hunc enim tetrarcha necauit virum optimum, Iudæos excitantem ad virtutum studia, & in primis pietatis ac iustitiæ, simúlque ad baptismi lauacrum: quod ita demum Deo gratum aiebat fore, si non ab vno tantùm alteróve peccato abstineant, sed animis per iustitiam priùs mundatis, addant & puritatem corporis. Quúmque magni concursus ad eum fierent, plebe talis doctrinæ auida, Herodes veritus ne tanta hominis autoritas defectionem aliquam pararet, quòd viderentur

γινομένους. τελευτᾷ δ' ἐν Ἰουλιάδι, καὶ αὐτοῦ κομισθέντος ἐπὶ τὸ μνημεῖον, ὃ ἔτι πρότερον ᾠκοδόμησεν αὐτὸς, ταφαὶ γίνονται πολυτελεῖς. τὴν δ' ἀρχὴν, οὐ γὰρ κατελείπετο παῖδας, Τιβέριος παραλαβὼν, προσθήκην ἐπαρχίας ποιεῖται τῆς Σύρων. τοὺς μέντοι φόρους, ἐκέλευσε συλλεγομένους ἐν τῇ τετραρχίᾳ ἐκείνου γινομένῃ κατατίθεσθαι.

Κεφάλαιον ζ'.

Πόλεμος Ἡρώδου τετράρχου πρὸς Ἀρέταν καὶ ἧττα.

ΕΝ τούτῳ δὲ στασιάζουσιν Ἀρέτας τε ὁ Πετραῖος βασιλεὺς, καὶ Ἡρώδης διὰ τοιαύτην αἰτίαν. Ἡρώδης ὁ τετράρχης, γαμεῖ τὴν Ἀρέτα θυγατέρα, καὶ συνῆν χρόνον ἤδη πολύν. στελλόμενος δ' ἐπὶ Ῥώμης, κατάγεται ἐν Ἡρώδου ἀδελφοῦ ὄντος οὐχ ὁμομητρίου. ἐκ γὰρ τῆς Σίμωνος τοῦ ἀρχιερέως θυγατρὸς, Ἡρώδης ἐγεγόνει. ἐρασθεὶς δὲ Ἡρωδιάδος τῆς τούτου γυναικὸς, θυγάτηρ δὲ ἦν Ἀριστοβούλου, καὶ οὗτος ἀδελφὸς αὐτῶν, Ἀγρίππου δὲ ἀδελφῆς τοῦ μεγάλου, τολμᾷ λόγων ἅπτεσθαι περὶ γάμων, καὶ δεξαμένης, συνθῆκαι γίνονται μετοικίσασθαι πρὸς αὐτὸν ὁπότε ἀπὸ Ῥώμης παραγένοιτο. ἦν δὲ ἐν ταῖς συνθήκαις ὥστε καὶ τὴν Ἀρέτα θυγατέρα ἐκβαλεῖν. καὶ ὁ μὲν, εἰς τὴν Ῥώμην ἔπλει ταῦτα συνθέμενος. ἐπεὶ δὲ ἐπανεχώρει διαπραξάμενος ἐν τῇ Ῥώμῃ ἐφ' ἅπερ ἔσταλτο, ἡ γυνὴ πύστεως αὐτῇ τῶν πρὸς τὴν Ἡρωδιάδα συνθηκῶν γενομένης, πρὶν ἔκπυστος αὐτῷ γενέσθαι τὰ πάντα ἐκμαθοῦσα, κελεύει πέμπειν αὐτὴν ἐπὶ Μαχαιροῦντος, μεθόριόν δέ ἐστι τῆς τε Ἀρέτα καὶ Ἡρώδου ἀρχῆς, γνώμην οὐκ ἐκφαίνουσα τὴν ἑαυτῆς. καὶ Ἡρώδης ἐξέπεμπεν μηδὲν ᾐσθῆσθαι τὴν ἄνθρωπον προσδοκῶν. ἡ δὲ, προαπεστάλκει γὰρ ἐκ πλείονος εἰς τὸν Μαχαιροῦντα, τότε πατρὶ αὐτῆς ὑποτελῆ, πάντων εἰς τὴν ὁδοιπορίαν ἡτοιμασμένων ὑπὸ τοῦ στρατηγοῦ Ἀρέτα παρῆν, καὶ ἀφορμᾶτο εἰς τὴν Ἀραβίαν κομιδῇ τῶν στρατηγῶν ἐκ διαδοχῆς, παρῆν τε ὡς τὸν πατέρα ᾗ τάχος καὶ αὐτῷ τὴν Ἡρώδου διάνοιαν ἔφραζε. ὁ δὲ ἀρχὴν ἔχθρας ταύτην ποιησάμενος, περί τε ὅρων ἐν τῇ γῇ τῇ Γαμαλίτιδι, καὶ δυνάμεως ἑκατέρῳ συλλεγείσης, εἰς πόλεμον καθίσταντο, στρατηγοὺς ἀπεσταλκότες ἀνθ' ἑαυτῶν. καὶ μάχης γενομένης, διεφθάρη πᾶς ὁ Ἡρώδου στρατὸς, προδοσίας αὐτῷ γενομένης ὑπ' ἀνδρῶν φυγάδων οἳ ὄντες ἐκ τῆς Φιλίππου τετραρχίας Ἡρώδῃ συνεστράτευον. ταῦτα Ἡρώδης γράφει πρὸς Τιβέριον. ὁ δὲ ὀργῇ φέρων τὴν Ἀρέτα ἐπιχείρησιν, γράφει πρὸς Οὐϊτέλλιον, πόλεμον ἐξενεγκεῖν, καὶ ἤτοι ζῶον ἑλόντα, ἀναγαγεῖν δεδεμένον, ἢ κτεινομένου πέμπειν τὴν κεφαλὴν ἐπ' αὐτόν. καὶ Τιβέριος μὲν ταῦτα πράσσειν ἐπέστελλε τῷ κατὰ Συρίαν στρατηγῷ. τισὶ δὲ τῶν Ἰουδαίων ἐδόκει ὀλωλέναι τὸν Ἡρώδου στρατὸν ὑπὸ τοῦ θεοῦ, καὶ μάλα δικαίως τιννυμένου κατὰ ποινὴν Ἰωάννου τοῦ ἐπικαλουμένου βαπτιστοῦ. κτείνει γὰρ τοῦτον Ἡρώδης ἀγαθὸν ἄνδρα, καὶ τοῖς Ἰουδαίοις κελεύοντα ἀρετὴν ἐπασκοῦσιν, καὶ τὰ πρὸς ἀλλήλους δικαιοσύνῃ, καὶ πρὸς τὸν θεὸν εὐσεβείᾳ χρωμένοις, βαπτισμῷ συνιέναι. οὕτω γὰρ καὶ τὴν βάπτισιν ἀποδεκτὴν αὐτῷ φανεῖσθαι, μὴ ἐπί τινων ἁμαρτάδων παραιτήσει χρωμένων, ἀλλ' ἐφ' ἁγνείᾳ τοῦ σώματος, ἅτε δὴ καὶ τῆς ψυχῆς δικαιοσύνῃ προεκκεκαθαρμένης. καὶ τῶν ἄλλων συστρεφομένων, καὶ γὰρ ἤρθησαν ἐπὶ πλεῖστον τῇ ἀκροάσει τῶν λόγων, δείσας Ἡρώδης τὸ ἐπὶ τοσόνδε πιθανὸν αὐτοῦ τοῖς ἀνθρώποις μὴ ἐπὶ ἀποστάσει τινὶ φέρειν, πάντα γὰρ ἐῴκε-

ἐῴκεσαν συμβουλῇ τῇ ἐκείνου πράξοντες, πολὺ κρεῖττον ἡγεῖται πρίν τι νεώτερον ἐξ αὐτοῦ γενέσθαι, προλαβὼν ἀνελεῖν, τοῦ μεταβολῆς γενομένης μὴ εἰς τὰ πράγματα ἐμπεσὼν μετανοεῖν. καὶ ὁ μὲν ὑποψίᾳ τῇ Ἡρώδου, δέσμιος εἰς τὸν Μαχαιροῦντα πεμφθεὶς, τὸ προειρημένον φρούριον, ταύτῃ κτίννυται. τοῖς δὲ Ἰουδαίοις δόξαν ἐπὶ τιμωρίᾳ τῇ ἐκείνου τὸν ὄλεθρον ἐπὶ τῷ στρατεύματι γενέσθαι, τοῦ θεοῦ κακῶσαι Ἡρώδην θέλοντος. Οὐιτέλλιος δὲ παρασκευασάμενος ὡς εἰς πόλεμον τὸν πρὸς Ἀρέταν δυσὶ τάγμασιν ὁπλιτῶν, ὅσοι τε περὶ αὐτὰ ψιλοὶ καὶ ἱππεῖς συμμαχοῦντες ἐκ τῶν ὑπὸ Ῥωμαίοις βασιλειῶν ἀγόμενος ἐπὶ τῆς Πέτρας ἠπείγετο, καὶ ἔσχε Πτολεμαΐδα. ὡρμημένῳ δ' αὐτῷ διὰ τῆς Ἰουδαίων ἄγειν τὸν στρατὸν, ὑπαντιάσαντες ἄνδρες οἱ πρῶτοι, παρῃτοῦντο διὰ τῆς χώρας ὁδόν. οὐ γὰρ αὐτοῖς εἶναι πάτριον, περιορᾶν εἰκόνας εἰς αὐτὴν φερομένας, πολλὰς δ' εἶναι σημαίαις ἐπικειμένας. καὶ πεισθεὶς μετέβαλέ τε τῆς γνώμης τὸ ἐπὶ τοιούτοις προβουλεῦσαν, καὶ διὰ τοῦ μεγάλου πεδίου κελεύσας χωρεῖν τὸ στρατόπεδον, αὐτός τε μετὰ Ἡρώδου τοῦ τετράρχου, καὶ τῶν φίλων, εἰς Ἱεροσόλυμα ἀνήει, θύσων τῷ θεῷ ἑορτῆς πατρίου τοῖς Ἰουδαίοις ἐνεστηκυίας. εἰς ἣν ἀπαντήσας καὶ δεχθεὶς ὑπὸ τοῦ τῶν Ἰουδαίων πλήθους εὐπρεπῶς, τρεῖς μὲν ἡμέρας ταύτῃ διατριβὴν ποιεῖται, ἐν αἷς Ἰωνάθην τὴν ἀρχιερωσύνην ἀφελόμενος, ἐγχειρίζει τῷ ἀδελφῷ αὐτοῦ Θεοφίλῳ. τῇ τετάρτῃ δὲ καὶ γραμμάτων αὐτῷ παραγενομένων ἃ ἐδήλου τὴν Τιβερίου τελευτὴν, ὥρκισεν τὴν πληθὺν ἐπ' εὐνοίᾳ τῇ Γαΐου. ἀνεκάλει δὲ καὶ τὸ στράτευμα ἐπὶ τὰ οἰκεῖα ἑκάστου χειμαδιοῦντος, πόλεμον ἐκφέρειν οὐκέθ' ὁμοίως δυνάμενος, διὰ τὸ εἰς Γάϊον μεταπεπτωκέναι τὰ πράγματα. ἐλέγετο δὲ καὶ τὸν Ἀρέταν οἰωνοσκοπησάμενον πρὸς τὴν ἀγγελίαν τῶν Οὐιτελλίου στρατιωτῶν φάναι, μηχανὴν οὐκ εἶναι τῷ στρατῷ τῆς ἐπὶ Πέτρας εἰσόδου. τεθνήξεσθαι γὰρ τῶν ἡγεμόνων, ἢ τὸν πολεμεῖν κελεύσαντα, ἢ τὸν γνώμῃ τῇ ἐκείνου ὡρμημένον διακονεῖσθαι, ἢ ἐφ' ὃν γένοιτο ἡ παρασκευὴ τοῦ στρατεύματος. καὶ Οὐιτέλλιος μὲν, ἐπ' Ἀντιοχείας ἀνεχώρησεν. Ἀγρίππας δὲ ὁ Ἀριστοβούλου υἱὸς ἐνιαυτῷ πρότερον ἢ τελευτῆσαι Τιβέριον, ἐπὶ Ῥώμης ἄνεισι πράξων τι παρὰ τῷ αὐτοκράτορι δυνάμεώς τινος αὐτῷ παραγενομένης. βούλομαι οὖν εἰπεῖν ἐπὶ μακρότερον περί τε Ἡρώδου, καὶ γένους αὐτοῦ ὡς ἐγένετο, ἅμα μὲν, καὶ διὰ τὸ ἀνήκειν τῇ ἱστορίᾳ τὸν περὶ αὐτῶν λόγον, ἅμα δὲ καὶ παράστασιν ἔχειν τοῦ θείου, ὡς οὐδὲν ὠφελεῖ πλῆθος, οὐδ' ἄλλη τις ἀλκὴ τῶν ἐν ἀνθρώποις ἐπιτετευγμένων, δίχα τῶν πρὸς τὸ θεῖον εὐσεβειῶν, εἴγε ἐντὸς ἑκατὸν ἐτῶν ἐξόδου, συνέβη πλὴν ὀλίγων, πολλοὶ δ' ἦσαν, διαφθαρῆναι τοὺς Ἡρώδου ἀπογόνους. φέροι δ' ἄν τι κἀπὶ σωφρονισμῷ τοῦ ἀνθρωπείου γένους, τὸ τὴν δυστυχίαν αὐτῶν μαθεῖν. ἅμα δὲ, καὶ τὸν Ἀγρίππαν διηγήσασθαι θαύματος ἀξιώτατον γενόμενον, ὃς ἐκ πάνυ ἰδιώτου, καὶ παρὰ πᾶσαν δόξαν τῶν εἰδότων αὐτὸν, ἐπὶ τοσόνδε ηὐξήθη δυνάμεως.

nihil non facturi ex eius consilio, iudicauit satius esse priùs quàm noui aliquid exoriretur, illum tollere, quàm rebus turbatis seram pœnitentiam agere. itaque vinctum missum in Macheruntem supra dictam, illic occidi imperat. quod factum sequuta est Iudæorum existimatio, ab irato Deo perditum esse Herodis exercitum.

XI. Vitellius autem ad bellum paratus Arabicum, absumptis duabus legionibus, & leuis armaturæ, atque equitum auxiliis missis à sociis regibus properans versus Petram peruenit Ptolemaidem. Quúmque vellet per Iudæam exercitum ducere, occurrerunt eius regionis principes, deprecantes transitum. Neque enim patrios ritus permittere, vt inferatur vllæ imagines, quales Romana signa habebant pleraque. Quorum precibus flexus mutauit sententiam de itinere proposito: missóq; per magnũ campum exercitu, ipse cum Herode tetrarcha & amicis ascendit Hierosolyma, sacrificaturus Deo in festiuitate quæ tum instabat publica. Quò postquam vẽtum est, honore summo exceptus à populo, hæsit ibi triduo: & interim à Ionatha in fratrem eius Theophilum pontificatum transtulit. Quarta autem die literis acceptis de obitu Tiberij, populum sacramento adegit in fidem Caij noui principis: reuocatásque ex itinere copias in hyberna dimisit, omisso bello propter delatum in alium Imperium. Ferunt Aretam accepto expeditionis Vitellij nuncio collegisse ex auguriis, impossibile esse ad Petram peruenire illum exercitum. Vnum enim è ducibus prius moriturum, vel qui bellum paret, vel cuius iussu pareretur, vel eum contra quem mouendum sit. Vitellius Antiochiam repetiit. Agrippa autem Aristobuli filius ante vnum annum Romam venerat, vt propter negotia quædam conueniret Cæsarem. Sed prius quàm de hoc dicam, explicabo Herodis progeniẽ, vel quòd ad præsentem narrationem id pertineat: vel quo magis appareat, quantum valeat diuina prouidentia, quandoquidem absque pietate nihil prodest nec numerosa soboles, nec vlla humana potentia, vt licet videre in Herode, cuius intra centum annos tam copiosa proles, exceptis paucis periit: quod sanè exemplo potest esse hominibus ad retundendam insolentiam: simúlque in primis videtur memorabile, quomodo Agrippa ex priuata fortuna, præter omnium quibus notus erat opinionem, ad tantam potentiam peruectus sit. Et quamuis iam antè de ea re facta sit mentio, dicemus tamen hîc quoque diligentiùs. Herodi magno ex Mariamne Hyrcani filia natæ sunt duæ filiæ. harum altera Salampso nomine nupsit Phasaelo regis ex fratre Phasaelo nepoti, idque ex ipsius patris autoritate: altera verò dicta Cypros Antipatro, & ipsi nepoti Herodis ex sorore Salome. Phasaelus è Salampsone genuit quinq; liberos Antipatrũ,

εἴρηται μὲν οὖν καὶ πρότερον περὶ αὐτῶν, λεχθήσεται δέ μοι καὶ νῦν ἀκριβῶς. Ἡρώδῃ τῷ μεγάλῳ θυγατέρες ἐκ Μαριάμμης τῆς Ὑρκανοῦ θυγατρὸς, γίνονται δύο, Σαλαμψιὼ μὲν ἡ ἑτέρα, ἣ γαμεῖται Φασαήλῳ τῷ αὐτῆς ἀνεψιῷ Φασαήλου παιδὶ ὄντι, τοῦ Φασαήλου ἀδελφοῦ δεδωκότος αὐτὴν τοῦ πατρός. Κύπρος δὲ Ἀντιπάτρῳ καὶ αὐτῇ ἀνεψιῷ, Ἡρώδου παιδὶ τῆς ἀδελφῆς Σαλώμης. καὶ Φασαήλῳ μὲν ἐκ Σαλαμψιοῦς γίνονται ε παῖδες, Ἀντίπατρος,

Herodem, Alexandrum, & filias Alexandram ac Cypron, quæ nupſit Agrippæ Ariſtobuli filio. Alexandram verò duxit Timius Cyprius vir nobilis, in quo matrimonio abſque liberis defuncta eſt. Cypros Agrippæ duos filios peperit, tres filias, Bernicen, Mariamnen, Druſillam. filij verò Agrippa & Druſus dicti ſunt: quorum Druſus ante pubertatis annos obiit. Cùm horum patre etiam reliqui germani educabantur apud auum, Herodes & Ariſtobulus, ſimúlque Bernice: hi nepotes Herodis magni ex filio, Bernice verò neptis è Salome ſorore & Coſtobaro nata eſt. Orbati enim erant infantes adhuc patre Ariſtobulo, quem vnà cum Alexandro ab Herode occiſum diximus. Poſtquam autem per ætatem maturuerunt, Herodes hic Agrippæ frater duxit Mariamnem filiam Olympiadis Herodis regis filiæ, prognatam ex Ioſepho qui regis frater fuerat: & ex ea ſuſcepit Ariſtobulum. Tertio fratri Agrippæ Ariſtobulo nupſit Iotape Sampſigerami Emeſenorum regis filia, ex quibus nata eſt filia ſurda, & ipſa Iotape nomine. & hi quidem ex tribus fratribus ſunt progeniti. Herodias verò ſoror eorum nupſit Herodi magni Herodis filio, quem ſuſceperat à Mariamne filia Simonis pontificis, ex quibus prognata eſt Salome: poſt quam natam Herodias in contemptum legis patriæ denuò nupſit Herodi mariti germano eodem patre genito, relicto priore adhuc ſuperſtite. Is fuit Galilæorum tetrarcha. Salome autem filia Philippo nupſit Herodis filio tetrarchiam habenti Trachonitidis. Quo ſine liberis defuncto Ariſtobulus eam duxit filius Herodis, eius qui Agrippæ fuit frater. Ex hoc poſteriore matrimonio nati ſunt filij tres, Herodes, Agrippa, Ariſtobulus, atque hæc eſt Phaſaëli & Salampſonis progenies. Cypros autem Antipatro filiam Cypro peperit, quàm duxit Alexas Selcius, Alexæ filius, & ex ea filiam item Cypron genuit. Herodes autem & Alexander, quos dixi fuiſſe fratres Antipatri, ſine prole diſceſſerunt. Cæterùm Alexander Herodis regis filius qui à patre necatus eſt, Alexandrum & Tigranem filios ſuſcepit è Glaphyra Archelai Cappadocum regis filia. ex his Tigranes apud Armenos regnans cùm apud Romanos delatus eſſet, ſine liberis obiit, Alexander autem Tigranem fratri cognominem filium habuit, qui Armenis per Neronem rex impoſitus, Alexandrum filium genuit. hic Antiochi Comagenorum regis filiam duxit Iotapen, & Leſidis in Cilicia rex à Veſpaſiano conſtitutus eſt. Progenies autem Alexandri ab initio ab inſtitutis patriis ad religionem Græcorum deſciuit. Reliquæ autem Herodis regis filiæ nulla relicta prole è vita exceſſerunt. Percenſitis igitur Herodis poſteris qui ad Agrippæ regni tempora pertigerunt, ſupereſt vt narremus quibus ille fortunis iactatus, poſtremò ad maximam dignitatem ac potentiam euaſerit.

XII.

ἡρώδης, ἀλέξανδρος, θυγατέρες δὲ ἀλεξάνδρα καὶ κύπρος ἣν ἀγρίππας γαμεῖ, ὁ ἀριστοβούλου. ἀλεξάνδραν δὲ γαμεῖ μὲν τίμιος κύπριος, ἀνὴρ τῶν ἀξιολόγων, παρ' ᾧ δὴ καὶ ἄτεκνος τελευτᾷ. κύπρῳ δ' ἐξ ἀγρίππα μὲν, ἄρσενες γίνονται δύο, θυγατέρες δὲ τρεῖς, βερνίκη, μαριάμμη, δρουσίλλα. ἀγρίππας δὲ καὶ δροῦσος τοῖς ἄρσεσιν ὀνόματα, ὧν ὁ δροῦσος πρὶν ἡβῆσαι τελευτᾷ. τῷ δὲ πατρὶ τούτων ἀγρίππας ἐτρέφετο μὲν καὶ ἕτεροι ἀδελφοὶ, ἡρώδης τε καὶ ἀριστόβουλος, καὶ βερνίκη. καὶ οἵδε παῖδες ἡρώδου, τοῦ υἱέος τοῦ μεγάλου. ἡ δὲ βερνίκη κοστοβάρου καὶ σαλώμης παῖς τῆς ἡρώδου ἀδελφῆς. τούτους ἀριστόβουλος νηπίους θνήσκει λιπὼν ὑπὸ τοῦ πατρὸς σὺν ἀλεξάνδρῳ τῷ ἀδελφῷ καθάπερ εἰρήκαμεν. ἡβήσαντες δ' ἄγονται ἡρώδης μὲν οὗτος ὁ τοῦ ἀγρίππου ἀδελφὸς μαριάμμην θυγατέρα ὀλυμπιάδος τῆς ἡρώδου βασιλέως θυγατρὸς, καὶ ἰωσήπου, ἀδελφὸς δ' οὗτος τοῦ βασιλέως. ἴσχει δ' ἐξ αὐτῆς υἱὸν ἀριστόβουλον. ὁ δὲ τρίτος τοῦ ἀγρίππου ἀδελφὸς ἀριστόβουλος, γαμεῖ ἰωτάπην σαμψιγεράμου θυγατέρα τοῦ ἐμισῶν βασιλέως. θυγάτηρ δὲ αὐτοῖς γίνεται κωφὴ, ὄνομα καὶ τῇδε ἰωτάπη. καὶ τάδε μὲν τῶν ἀρσένων τέκνα. ἡρωδιὰς δὲ αὐτῶν ἡ ἀδελφὴ, γίνεται ἡρώδῃ ἡρώδου τοῦ μεγάλου παιδὶ, ὃς γέγονεν ἐκ μαριάμμης τῆς τοῦ σίμωνος τοῦ ἀρχιερέως, καὶ αὐτοῖς σαλώμη γίνεται, μεθ' ἧς τὰς γονὰς ἡρωδιὰς ἐπὶ συγχύσει φρονήσασα τῶν πατρίων, ἡρώδῃ γαμεῖται τοῦ ἀνδρὸς τῷ ὁμοπατρίῳ ἀδελφῷ διαστᾶσα ζῶντος, τὴν δὲ γαλιλαίων τετραρχίαν εἶχεν οὗτος. ἡ δὲ θυγάτηρ αὐτῆς σαλώμη, φιλίππῳ γαμεῖται, ἡρώδου παιδὶ τῷ τετράρχῃ τῆς τραχωνίτιδος. καὶ ἄπαιδος τελευτήσαντος, ἀριστόβουλος αὐτὴν ἄγεται ἡρώδου παῖς τοῦ ἀγρίππου ἀδελφοῦ. παῖδες δὲ ἐγένοντο αὐτοῖς, τρεῖς, ἡρώδης, ἀγρίππας, ἀριστόβουλος. τοῦτο μὲν δὴ τὸ φασαήλου, καὶ σαμψιοῦς ἐστι γένος. κύπρῳ δ' ἐξ ἀντιπάτρου θυγάτηρ γίνεται κύπρος, καὶ αὐτὴν ἀλεξᾶς σέλκιος γαμεῖ τοῦ ἀλεξᾶ. καὶ αὐτῆς θυγάτηρ ἦν κύπρος. ἡρώδης δὲ καὶ ἀλέξανδρος οὓς ἀδελφοὺς ἔφην ἀντιπάτρου, ἄπαιδες τελευτῶσιν. ἀλεξάνδρῳ δὲ τῷ ἡρώδου παιδὶ τοῦ βασιλέως τῷ ὑπὸ τοῦ πατρὸς ἀνῃρημένῳ ἀλέξανδρος καὶ τιγράνης ἐγεγόνεισαν υἱεῖς ἐκ τῆς ἀρχελάου τοῦ καππαδοκῶν βασιλέως θυγατρός. καὶ τιγράνης μὲν βασιλεύων ἀρμενίας κατηγοριῶν αὐτῷ ἐπὶ ῥώμης γενομένων, ἄπαις τελευτᾷ. ἀλεξάνδρῳ δὲ τιγράνης ὁμώνυμος τῷ ἀδελφῷ γίνεται παῖς, καὶ βασιλεὺς ἀρμενίας ὑπὸ νέρωνος ἐκπέμπεται, υἱός τε ἀλέξανδρος αὐτῷ γίνεται. γαμεῖ δ' οὗτος ἀντιόχου τοῦ κομμαγηνῶν βασιλέως θυγατέρα ἰωτάπην, ἠσιοδός τε τῆς ἐν κιλικίᾳ οὐεσπασιανὸς αὐτὸν ἵστησι βασιλέα. καὶ τὸ μὲν ἀλεξάνδρου γένος, δι' εὐθὺς ἅμα τῷ φῦναι τὴν θρησκείαν ἐξέλιπεν τὴν ἰουδαίοις ἐπιχωρίων μεταταξάμενοι πρὸς τὰ ἕλλησι πάτρια. ταῖς δὲ λοιπαῖς θυγατράσιν ἡρώδου τοῦ βασιλέως ἀτέκνοις τελευτᾶν συνέπεσεν. τῶν δὲ γενομένων ἡρώδου ἀπογόνων, οὓς κατελέξαμεν ὄντων, ἐν ᾧ χρόνῳ ἀγρίππας ὁ μέγας τὴν βασιλείαν παρέλαβεν, τούτων τί μέχρι τοῦ γένους προδεδηλωμένου, διέξειμι λοιπὸν ὁπόσαι τε ἀγρίππᾳ τύχαι συνέλθοιεν, ὥς τε αὐτῶν διάφρασιν ποιησάμενος, ἐπὶ μέγιστον ἀξιώματός τε ἅμα προκόψειεν καὶ δυνάμεως.

Κερά-

Κεφάλαιον η'.

Ἀπόπλους ἀγρίππα τοῦ βασιλέως πρὸς τιβέριον, καὶ ὡς κατηγορηθεὶς ἐδέθη, καὶ μετὰ τὴν τιβερίου τελευτὴν ὑπὸ γαΐου τοῦ διαδόχου ἐλύθη.

Ἡρώδου τοῦ βασιλέως ὀλίγον πρὸ τῆς τελευτῆς, ἀγρίππας ἐν τῇ ῥώμῃ διαιτώμενος, καὶ ὁμοτροφίας καὶ συνηθείας αὐτῷ πολλῆς γινομένης πρὸς δροῦσον τὸν τιβερίου τοῦ αὐτοκράτορος υἱὸν, καὶ ἀντωνίᾳ τῇ δρούσου τοῦ μεγάλου γυναικὶ, εἰς φιλίαν ἀφίκετο βερνίκης τῆς μητρὸς τιμωμένης παρ' αὐτῆς, καὶ προαγωγῶν ἠξιωκυίας τὸν υἱόν. φύσει δὲ μέγας ὢν ἀγρίππας, καὶ δωρεῖσθαι πολυτελὴς, ζώσης μὲν τῆς μητρὸς, οὐκ ἐξεφαίνετο ἐκ ψυχῆς τὸ θέλον, διαδιδράσκειν αὐτῆς ἠξιωκὼς τὴν ἐπὶ τοιούτοις γινομένην ὀργήν. ἐπεὶ δὲ ἡ βερνίκη τελευτᾷ, γινόμενος ἐπὶ τῷ αὐτοῦ τρόπῳ, τὰ μὲν εἰς πολυτέλειαν τῆς εἰς καθ' ἡμέραν διαίτης, τὰ δὲ, ἐκ τῶν δωρεῶν τὸ μὴ μέτρῳ προϊέμενον ἀναλῶσαι τῶν χρημάτων, τὰ πλεῖστα δὲ εἰς τοὺς καίσαρος ἀπελευθέρους ἐτετέλεσο ἐλπίδι πράξεως τῆς αὐτῶν. πενία τε ἐν ὀλίγῳ περὶ αὐτὸν ἦν, καὶ τοῦτ' ἦν κώλυμα τῆς ἐν ῥώμῃ διαίτης. καὶ ὁ τιβέριος τοῖς φίλοις τοῦ υἱέος τετελευτηκότος ἀπεῖπεν φοιτᾶν εἰς ὄψιν αὐτῷ διὰ τὸ ἀνερεθίζεσθαι πρὸς τὸ λυπεῖσθαι μνημονεύων τοῦ παιδὸς θεωρίᾳ τῇ ἐκείνων. διὰ μὲν δὴ ταῦτα ἐπὶ τῆς ἰουδαίας πλέων, ᾤχετο κακοπραγῶν, καὶ τεταπεινωμένος ὀλέθρῳ ὧν εἶχε χρημάτων, καὶ ἀπορίᾳ τοῦ ἐκτίσοντος τὰ χρέα τοῖς δανεισταῖς, πολλοῖς τε οὖσι καὶ ἀλεωρὴν οὐδ' ἥντινα οὖν ἐνδιδοῦσιν. ὥς τε ἀπορίᾳ τῶν ποιητέων, καὶ αἰσχύνῃ τῇ ἐπ' αὐτοῖς, ὑποχωρήσας εἴς τινα πύργον ἐν μαλάθοις τῆς ἰδουμαίας ἐν περινοίᾳ τοῦ μεταστήσοντος αὐτὸν ἦν. αἰσθάνεται δὲ αὐτοῦ τὴν διάνοιαν κύπρος ἡ γυνὴ, παντοία τε ἦν ἀπείργουσα τῶν ἐπὶ τοιούτοις βουλευμάτων. διαπέμπεται δὲ καὶ ὡς τὴν ἀδελφὴν αὐτοῦ ἡρωδιάδα ἡρώδῃ τῷ τετράρχῃ συνοικοῦσαν γράμματα, δηλοῦσα τό τε ἐπὶ τοῖς τοιούτοις τοῦ ἀγρίππου προβουλεῦσαν, καὶ τὴν ἀνάγκην ἣ ἐπ' αὐτὰ ἐξῆγεν. ἐκέλευέ τε συγγενῆ οὖσαν βοηθεῖν, θεωροῦσαν ὡς αὐτὴ παντοίως κουφίζοι τὸν ἄνδρα, καὶ ταῦτα οὐκ ἐξ ὁμοίων ἀφορμῶν. οἱ δὲ μεταπέμψαντες αὐτὸν οἰκητήριον ἀπέδειξαν τιβεριάδα, καί τι καὶ ἀργύρειον ὥρισαν εἰς τὴν δίαιταν, ἀγορανομίᾳ τε τῆς τιβεριάδος ἐτίμησαν. οὐ μὴν ἐπὶ πλεῖόν γε ἡρώδης ἐνέμεινε τοῖς δεδογμένοις, καίτοιγε, οὐδ' ὡς ἀρκοῦντα ἦν. ἐν γὰρ τύρῳ παρὰ συνουσίαν ὑπὸ οἴνου τε γινομένων αὐτοῖς λοιδοριῶν ἀνεκτὸν οὐχ ἡγησάμενος ἀγρίππας, τοῦ ἡρώδου τε ἐπονειδίσαντος εἰς ἀπορίαν καὶ τροφῆς ἀναγκαίας μεταδίδωσιν, ὡς φλάκκον τὸν ὑπατικὸν εἶσιν φίλον ἐπὶ ῥώμης τὰ μάλιστα αὐτῷ γεγονότα πρότερον, συρίαν δὲ ἐν τῷ τότε διεῖπεν. καὶ δεξαμένου φλάκκου παρὰ τούτῳ δὴ ἦν παρακατεσχηκότος αὐτὸν ἐκεῖ ἀριστοβούλου, ὃς ἀδελφὸς ὢν ἀγρίππου διάφορός τε ἦν, οὐ μὴν ἐβλάπτοντο ἔχθρᾳ τῇ ἀλλήλων, ὥς τε μὴ φιλίᾳ τοῦ ὑπατικοῦ τὰ εἰκότα τιμὴν φέρεσθαι. οὐ μὴν ὅγε ἀριστόβουλος ἀνίει τι τοῦ πρὸς τὸν ἀγρίππαν δυσμενοῦς, μέχρι καὶ εἰς ἔχθραν αὐτὸν φλάκκῳ καθίστησιν, αἰτίαν τοιαύτην ἐπὶ τῇ δυσμενείᾳ παραλαβών. δαμασκηνοὶ σιδονίοις περὶ ὅρων διάφοροι καθεστῶτες, μέλλοντος φλάκκου περὶ τούτων ἀκροάσασθαι, μαθόντες τὸν ἀγρίππαν ὡς παρ' αὐτῷ μέγα δύναιτο, ἠξίουν μερίδος τῆς αὐτῶν γενέσθαι, ἀργύρειόν τε

Cap. VIII.

Nauigatio Agrippæ ad Tiberium, & quomodò accusatus vinctus sit, vtque post excessum Tiberij à Caio eius successore solutus sit.

Paulò ante Herodis regis obitum Agrippa Romę degens, & per conuictum insinuatus in familiaritatem Drusi Imperatoris Tiberij filij, nactus est etiam amicitiam Antoniæ Drusi maioris coniugis, commendatione matris suæ Bernices, quæ apud illam erat in precio. Cúmque natura esset liberalis & magnanimus, quàm diu mater vixit noluit ingenium suum exerere, ne in eius indignationem incideret: sed postquam Bernice defuncta est, factus iam sui arbitrij, partim quotidiani victus splendore, partim liberalitatibus immodicis, præcipuè in libertos Cæsaris, quorum fauorem captabat, redactus ad inopiam, non potuit amplius Romæ viuere: quando & Tiberius amisso filio vetuit amicos eius in conspectum suum venire, ne recrudesceret per eos defuncti desiderium. His de causis retro in Iudæam abiit re malè gesta, profusa pecunia, nec habens qui creditoribus mutuaticiam pecuniam redderent, & quidem multis ac importunè vrgentibus. Quare nullum consilium expediens, & pudore præsentis status, secessit in castrum Idumææ Malatha, cogitans miseram vitam aliquo pacto abrumpere. Quòd eius propositum vbi Cypros vxor persensit, omnibus modis id impedire conata est: ad sororem quoque eius Herodiadem scripsit, significans & quid Agrippa decreuerit, & qua necessitate adactus: hortatáque est eam vt pro iure cognationis afferret auxilium, & se in hoc imitaretur, quæ quantum posset subleuaret eius miseriam, quãuis in longè minoribus facultatibus. Accersitus igitur à sorore, eiúsque coniuge, iussus est habitare Tiberiade, assignata certa pecunia vnde viueret, & magistratu eius ciuitatis in collato, quo esset honoratior. Nec tamen diu Herodes in ea voluntate perstitit, quamuis ne sic quidem satis fieret propinqui necessitatibus. Cùm enim apud Tyrum in conuiuio largiùs indulsissent poculis, non tulit Agrippa contumeliam, exprobrante Herode inopiam, & quòd suo sumptu hominem aleret. quare ad Flaccum virum consularem & tum Syriæ præsidem se contulit, cum quo Romę amicitiam contraxerat. à quo receptus cum eo viuebat, iam antè habente apud se Aristobulum, fratrem quidem Agrippæ, sed inimicum, non obstante tamen hac simultate, quo minus ex æquo vtrunque complecteretur proconsul. Sed Aristobulus nihil remittebat de odio, nec prius quieuit, quàm & Flaccum infensum fratri redderet, ex occasione huiusmodi. Damasceni cum Sidoniis contendentes de finibus, disceptaturi apud Flacum cognito, quòd Agrippa multum apud eum posset, rogauerunt, vt adesset ipsorum partibus, polliciti

magnam pecuniam: qui mox paratus fuit omnia pro Damascenis facere. Aristobulus autem quia pactos de pecunia senserat, fratrem apud Flaccum detulit. Et facta inquisitione, ac deprehenso crimine, Agrippa excidit amicitia præsidis: rursúmque ad extremam egestatem relapsus venit Ptolemaida, & quòd nō haberet vnde aliàs viueret, decreuit nauigare in Italiam. Sed cùm deesset pecunia, iussit Marsyam suum libertum vt quauis arte à fœneratoribus eam sumeret. Ille Protum Bernices Agrippæ matris libertum, qui defunctæ patronæ testamento in Antoniæ clientelam venerat, rogat vt accepta fide sub syngrapha daret mutuum. Alter iam antè debere sibi nonnihil Agrippam asseuerans, extorsit à Marsya syngrapham viginti millium drachmarum Atticarum, detractis sibi de ea summa duobus millibus & quingentis, eò facilius, quòd non poterat Agrippa aliter facere. Recepta igitur pecunia profectus Anthedonem, & ibi nauem nactus, parabat se itineri. Id vbi comperit Herennius Capito procurator Iamniæ, misit eò milites exacturos argenti trecenta millia, quorum debitor Cæsaris fisco factus est dum adhuc Romæ ageret: atque ita imposita est illi manendi necessitas. & tunc quidem facturum se iussa simulat: sed quamprimùm nox terris incubuit, præcisis nauis retinaculis nauigat Alexandriam. Ibi ab Alexandro Alabarcha poposcit mutuò ducenta argenti millia. Ille non ipsi se mutuaturum professus est, sed Cypro, coniugalem amorem in ea demiratus & virtutes cæteras, fideiussit mulier. & mox Alexander quinque talentis repræsentatis Alexandriæ, reliquam summam exhibiturum se promisit Puteolis, profusionē Agrippæ veritus. Ita Cypros expedita mariti nauigatione in Italiam, ipsa cum liberis in Iudæam itinere pedestri reuersa est. Cæterùm Agrippa postquam Puteolos appulit, scripsit ad Tiberium Cæsarem degentem Capreis, venisse se officij causa significans, & potestatem accedendi eam insulam postulans. Tiberius nil cunctatus humanissimè rescripsit, gratulans ei reditum ad Capreas incolumem. Nec minore alacritate præsentem excepit & amplexu & hospitio. Postridie Cęsar receptis literis ab Herennio, quòd Agrippa trecentis millibus mutuò sumptis, nec ad constitutum tempus persolutis, de reddendo admonitus, fuga se è subiectis ipsius procurationi locis proripiens, exigendi facultatem ademisset, ægrè tulit: mandauítque cubiculariis non priùs admitti hominem quàm persoluto debito. Ille nequaquam ira Cæsaris attonitus, ab Antonia Germanici & Claudij postea principis matre petiit mutuò trecenta millia, ne periclitaretur de amicitia Cæsaris. quæ memor Bernices huius matris consuetudinis, familiariter enim ea fuerat vsa, simúlq; educatum fuisse ipsum cum suo Claudio,

πλεῖστον ἀνωμολόγητο αὐτῷ. καὶ ὁ μὲν πάντα ἐπὶ τῇ βοηθείᾳ τῶν δαμασκηνῶν ὥρμητο πράσσειν. ἀριστόβουλος δὲ, οὐ γὰρ ἐλάνθανεν αὐτὸν ἡ ὁμολογία τῶν χρημάτων, κατηγορεῖ πρὸς τὸν φλάκκον. καὶ βασανιζομένου τοῦ πράγματος ἐπεὶ φανερὰ ἦν, ἐξωθεῖ τὸν ἀγρίππαν φιλίας τῆς πρὸς αὐτόν. ὁ δὲ εἰς ὑστάτην ἀπορίαν περιωσμένος, εἰς πτολεμαΐδα παρῆν, καὶ κατὰ τὸ ἄπορον τῆς ἀλλαχόθεν διαίτης, γνώμην ἐποιεῖτο ἐπὶ τῆς ἰταλίας πλεῖν. εἰργόμενος δὲ χρημάτων ἀπορίᾳ, ἠξίου μαρσύαν ὄντα αὐτοῦ ἀπελεύθερον, πορισὴν γενέσθαι τῶν ἐπὶ τοιούτοις μηχανῶν δανεισάμενον παρά τινων. καὶ ὁ μαρσύας πρῶτον κελεύει βερνίκης ὄντα ἀπελεύθερον τῆς ἀγρίππου μητρὸς, διαθήκης δὲ τῆς ἐκείνου δικαίῳ ὑποτελεῖ ταῖς ἀντωνίας, αὐτῷ γοῦν παρασχεῖν ἐπὶ γράμματι καὶ πίστει τῇ αὐτοῦ. ὁ δὲ, ἐπεκάλει γὰρ τῷ ἀγρίππᾳ χρημάτων τινῶν ἀποστέρησιν, ἀναγκάζει τὸν μαρσύαν δύο μυριάδων ἀτθίδων συμβόλαιον ποιησάμενον πεντακοσίαις καὶ δισχιλίαις ἐλάσσονα λαμβάνειν. συνεχώρει δὲ ἐκεῖνος κατὰ τὸ μὴ εἶναι ἄλλως ποιεῖν. εἰλημμένου δὲ τοῦ χρήματος τούτου ἀγρίππας εἰς ἀνθηδόνα παραγενόμενος, καὶ λαβὼν ναῦν, ἐν ἀναγωγαῖς ἦν. καὶ γνοὺς ἑρέννιος καπίτων ὁ τῆς ἰαμνίας ἐπίτροπος, πέμπει στρατιώτας, οἳ εἰσπράξονται αὐτὸν ἀργυρίου τριάκοντα μυριάδας θησαυρῷ τῷ καίσαρος ὀφειλομένας ἐπὶ ῥώμης ὑπ᾽ αὐτοῦ, ἀνάγκας τε ἐπετίθεσαν τοῦ μένοντος. καὶ τότε μὲν πείσεσθαι τοῖς κελευομένοις προσποιητὸς ἦν, νυκτὸς δὲ ἐπιγενομένης, κόψας τὰ ἀπόγεια, ᾤχετο ἐπ᾽ ἀλεξανδρείας πλέων. ἔνθα ἀλέξανδρον δεῖται τοῦ ἀλαβάρχου μυριάδας εἴκοσι δάνεια αὐτῷ δοῦναι. ὁ δὲ, ἐκείνῳ μὲν οὐκ ἂν ἔφη παρασχεῖν, κύπρῳ δὲ οὐκ ἠρνεῖτο, τήν τε φιλανδρίαν αὐτῆς καταπεπληγμένος, καὶ τὴν λοιπὴν ἅπασαν ἀρετήν. ἡ δὲ ὑπισχνεῖτο, καὶ ἀλέξανδρος πέντε τάλαντα αὐτοῖς ἐν τῇ ἀλεξανδρείᾳ δοὺς, τὸ λοιπὸν ἐν δικαιαρχίᾳ γενομένοις παρέξειν ἐπαγγέλλεται, δεδιὼς τοῦ ἀγρίππου τὸ εἰς τὰ ἀναλώματα ἕτοιμον. καὶ κύπρος μὲν ἀπαλλάξασα τὸν ἄνδρα ἐπὶ τῆς ἰταλίας πλευσούμενον, αὐτὴ μετὰ τῶν τέκνων ἐπὶ ἰουδαίας ἀνέζευξεν. ἀγρίππας δὲ εἰς ποτιόλους παραβαλὼν, ἐπιστολὴν ὡς τιβέριον καίσαρα γράφει διαιτώμενον ἐν καπρέαις, παρουσίαν τε τὴν αὐτοῦ δηλῶν ἐπὶ θεραπείᾳ καὶ ὄψει τῇ ἐκείνου, καὶ ἀξιῶν ἔφεσιν αὐτῷ γενέσθαι εἰς καπρέας παραβαλεῖν. τιβέριος δὲ οὐδὲν ἐνδοιάσας, τά τε ἄλλα αὐτῷ γράφει φιλανθρωπευόμενος, ἔτι χαίρειν ἀποσημαίνων ἐπὶ τῷ σῶον ἐπανήκειν εἰς τὰς καπρέας. ἐπεὶ δὲ ἀφικνεῖται μηδὲν ὑφελὼν τῆς ἐν τοῖς γράμμασι προθυμίας, ἠσπάζετό τε καὶ ἐξένιζε. τῇ δ᾽ ἑξῆς, καῖσαρ γραμμάτων αὐτῷ παρὰ ἑρεννίου καπίτωνος ἀφικομένων, ὅτι ἀγρίππας μυριάδας τριάκοντα δάνεισμα ποιησάμενος, καὶ πρὸς τὰς καταβολὰς ἐκλιπὼν χρόνον τὸν συγκείμενον, ἀπαιτήσεως γενομένης, οἴχοιτο φυγὰς ἐκ τῶν ὑπ᾽ αὐτῷ χωρίων, ἄκυρον αὐτὸν καθιστὰς τῆς ἐπὶ τῷ εἰσπράξασθαι ἐξουσίας. ταύτην ἀναγνοὺς τὴν ἐπιστολὴν, περιαλγεῖ ὁ καῖσαρ, καὶ διακώλυσιν γενέσθαι τῷ ἀγρίππᾳ κελεύει εἰσόδων τῶν πρὸς αὐτὸν ἄχρι δὴ καταβάλῃ τὸ χρέος. ὁ δὲ μηδὲν τῇ ὀργῇ τοῦ καίσαρος καταπλαγεὶς, ἀντωνίας δεῖται γερμανικοῦ τε μητρὸς, καὶ κλαυδίου τοῦ ὕστερον γενομένου καίσαρος, δάνεισμα αὐτῷ δοθῆναι τῶν τριάκοντα μυριάδων, ἵνα φιλίας οἱ ἁμάρτοι τῆς πρὸς τιβέριον. ἡ δὲ βερνίκης τε μνήμῃ τῆς μητρὸς αὐτοῦ, σφόδρα γὰρ ἀλλήλαις ἐχρῶντο αἱ γυναῖκες, καὶ αὐτῷ ὁμοτροφίας πρὸς τοὺς ἀμφὶ κλαύδιον γεγενημένης, δίδωσι

δίδωσι τὸ ἀργύριον, καὶ αὐτῷ ἀποτίσαντι τὸ χρέος, ἀνεπικώλυτος ἦν ἡ φιλία τοῦ Τιβερίου. αὖθις δὲ αὐτῷ Τιβέριος ὁ Καῖσαρ συνίστησιν υἱωνὸν τὸν αὑτοῦ, κελεύων τὰ πάντα αὐτῷ ταῖς ἐξόδοις παρατυγχάνειν. Ἀγρίππας δὲ φιλίᾳ δεχθεὶς ὑπὸ τῆς Ἀντωνίας, καθ' ὑπεράπτεσθαι ἐτράπετο τοῦ Γαΐου υἱωνοῦ τε ὄντος αὐτῇ, καὶ εὐνοίᾳ τοῦ πατρὸς εἰς τὰ πρῶτα τιμωμένου. καὶ γὰρ ἦν ἄλλος Σαμαρεὺς γένος, Καίσαρος δὲ ἀπελεύθερος. παρὰ τούτου δάνεισμα μυριάδων ἑκατὸν εὑράμενος, τῇ τε Ἀντωνίᾳ καταβάλλει τὸ ὀφληθὲν χρέος, καὶ τῷ λοιπῷ τῷ ἀναλώματι θεραπεύων τὸν Γάιον, μειζόνως ἐν ἀξιώματι ἦν παρ' αὐτῷ. προϊούσης δὲ εἰς μέγα τῷ Ἀγρίππᾳ τῆς πρὸς Γάιον φιλίας, ἐν ὀχουμένοις ποτὲ λόγος περὶ Τιβερίου γίνεται, καὶ τοῦ Ἀγρίππα κατ' εὐχὰς τραπομένου, μόνω δ' ἤστην, ἦ τάχος Τιβέριον ὑπεκστῆναι τῆς ἀρχῆς Γαΐῳ παραχωρεῖν ἀξιωτέρῳ τὰ πάντα ὄντι, τούτων ἀκροᾶται τῶν λόγων Εὔτυχος, Ἀγρίππου δ' ἦν ἀπελεύθερος ἡνίοχος, καὶ παραχρῆμα μὲν σιγῇ παρεδίδου. κλοπῆς δὲ ἱματίων αὐτῷ τοῦ Ἀγρίππου ἐπικαλουμένης, καὶ ἀκριβῶς δ' ἐκεκλόφει, φυγὼν καὶ ληφθεὶς ἀγωγῆς αὐτῷ ἐπὶ Πείσωνα γινομένης, ὃς ἦν φύλαξ τῆς πόλεως, ἐρομένου τὴν αἰτίαν τῆς φυγῆς, Καίσαρι φησὶν ἀπορρήτους ἔχειν λόγους εἰπεῖν ἐπ' ἀσφαλείᾳ τῆς σωτηρίας αὐτοῦ φέροντας, ὥστε δήσας αὐτὸν ἔστελλεν εἰς τὰς Καπρέας. καὶ Τιβέριος τῷ αὐτοῦ τρόπῳ χρώμενος, εἶχεν αὐτὸν δέσμιον, μελλητὴς εἰ καί τις ἕτερος βασιλέων ἢ τυράννων γενόμενος. ἔτι γὰρ πρεσβειῶν ὑποδοχὰς ἐκ τοῦ ὀξέος ἐποιεῖτο, ἡγεμόσιν τε ἢ ἐπιτρόποις ὑπ' αὐτοῦ σταλεῖσιν οὐδεμία ἦν διαδοχή, ὁπότε μὴ φθάσειεν τετελευτηκότες. ὅθεν καὶ δεσμωτῶν ἀκροάσεως ἀπόρθιος ἦν, ὥστε καὶ τῶν φίλων ἐρομένων τὴν αἰτίαν αὐτὸν τῆς ἐπὶ τοιούτοις ὁλκῇ χρωμένου, ἔφη, τὰς μὲν πρεσβείας τρίβειν ὅπως μὴ ἀπαλλαγῆς αὐτῶν ἐκ τοῦ ὀξέος γινομένης, ἕτεροι πρέσβεις ἐπιχειροτονηθέντες ἐπανίοιεν, ὄχλος τε αὐτῷ γίνοιτο ἐπὶ δοχαῖς αὐτῶν καὶ πομπαῖς προκειμένῳ. τὰς δ' ἀρχὰς συγχωρεῖν τοῖς ἅπαξ εἰς αὐτὰς ὑπ' αὐτοῦ καταστᾶσιν, αἰδοῖ προμηθείᾳ τῶν ὑποτελῶν. φύσει μὲν γὰρ εἶναι πᾶσαν ἡγεμονίαν τοῦ πλεονεκτεῖν. τὰς δὲ μὴ πατρίους, ἀλλ' εἰς ὀλίγον καὶ ἄδηλον ὁπότε ἀφαιρεθεῖεν, καὶ μειζόνως ἐξοτρύνειν ἐπὶ κλοπαῖς τοὺς ἔχοντας. εἰ μὲν οὖν ἐφεστήκασιν εἰς πλεῖον αὐταῖς, ἅδην τῶν κλοπῶν ἕξειν ὑπὸ τοῦ πολλοῦ τῶν κεκερδημένων ἀμβλυτέροις τὸ λοιπὸν αὐταῖς χρωμένους. διαδοχῆς δ' ἐπιπαραγινομένης ἐκ τοῦ ὀξέος, οὐδαμῶς ἂν ἀρκέσαι τοῖς ἆθλα τοῖς ἄρχουσι προκειμένοις, ἀναστροφῆς αὐτοῖς διδομένης καιροῦ, ἐν οἷς πλήρεις οἱ προειληφότες γινόμενοι, ὑποδιδοῖεν τῆς σπουδῆς τῆς ἐπὶ τῷ λαμβάνειν διὰ τὸ πρὶν ἐν καιρῷ γενέσθαι μεταστῆναι. παράδειγμά τε αὐτοῖς φησὶ τοιοῦτον ἐλέγχου. τραυματίᾳ τινὶ κειμένῳ μυῖαι κατὰ πλῆθος τὰς ὠτειλὰς περιέστησαν, καί τις τῶν παρατυχόντων οἰκτείρας αὐτοῦ τὴν δυστυχίαν, καὶ νομίσας ἀδυναμίᾳ μὴ βοηθεῖν, οἷός τε ἦν ἀποσοβεῖν αὐτὰς παραστάς. καὶ δεομένου παύσασθαι τοῦ ἐπὶ τοιοῖσδε, ὑπολαβὼν εἴρετο τὴν αἰτίαν τῆς ἀπρομηθοῦς εἰς τὴν διαφυγὴν κακοῦ τοῦ ἐφεστηκότος. μειζόνως γὰρ ἂν ἀδικοίης με εἶπεν ταύτας ἀπαγαγών. τῶν μὲν γε ἤδη πληθωρείσαις τοῦ αἵματος οὐκέθ' ὁμοίως ἐπείξεις ὄχλον μοι παρέχειν, ἀλλ' ἀπῃ καὶ ἀνίησιν. αἱ δ' ἀκραιφνεῖς τῷ κατ' αὐτὰς λιμῷ συνελθοῦσαι, καὶ τετρυμένον ἤδη παραλαμβάνουσαι, καὶ ὀλέθρῳ παραδοῖεν. διὰ τάδε οὖν κἀυτὸς ὑπὸ πολλῶν τῶν κλοπῶν διεφθαρμένοις τοῖς ὑποτελέσιν, προμηθὲς εἶναι μὴ συνεχὲς ἐξαποστέλλειν τοὺς ἡγησομένους,

A præbuit ei pecuniam illam: & reddito debito, nemine prohibente fruebatur amicitia principis: adeóque conciliatus est Cæsari, vt is nepotem suum commendaret Agrippæ, mandarétque vt progredientem semper comitaretur officij gratia. hoc beneficio deuinctus & deditus Antoniæ, cœpit Caium nepotem eius colere, gratiosum apud omnes & honoratum ob parentis memoriam. Erat ibi forte Allus Samarita libertus Cæsaris, ab eo mutua- B tus decies centena millia, debitum Antoniæ reddidit: reliquum materiam habuit demerendi Caium officiosius. A quo receptus in intimam amicitiam, quodam die dum vnà gestatur incidit in confabulationem de Tiberio: & quia soli erant, precatus est Tiberio, vt quàm primū principatus locum Caio digniori cederet. has voces excepit Eutychus, libertus Argrippæ, & auriga: ac tum quidem siluit. Insimulatus deinde à patrono quasi ve- C stem ei furto subduxisset, sicut re vera subduxerat, & ex fuga retractus, cùm perductus esset ad Sisonem vrbi præfectum, rogatus fugæ causam, ait se habere secreta quędam quæ cuperet indicare Cæsari, ad salutem ipsius pertinentia: quapropter vinctus missus est Capreas. hūc Tiberius more suo detinebat in vinculis, quòd esset cunctator, si quis vnquam alius aut rex aut tyrannus. nam neque legationes sine mora admittebat, & præsidibus pro- D uinciarum vel procuratoribus successorem nō mittebat, nisi mortuis. Proinde vinctos quoque negligebat audire, moræ hanc rationem reddens amicis scitantibus: legatos quidem ideò admitti tardiùs, ne illis citò dimissis alij denuò creati redeant, atque ita obruatur continuò excipiendis & dimittēdis legationibus. Potestates autem semel constitutas ideò sinere, vt parcatur subditis. cùm enim natura omnis magistratus ad auaritiam sit pronior, ex- E ternum cui nullus certus sit præstitutus terminus, eo magis ad rapinam solicitare homines. itaque si diutius eo fruantur, exatiatos lucris segniores ad rapiendum fieri. quòd si successor immineat, non suffecturos eorum auiditati prouinciales, dum decessor tanto magis spoliat, quanto minus temporis ad hoc faciendum sibi putat reliquum. Vtebatúrque hac similitudine: Consauciati cuiusdam vulnera muscæ agminatim ingruentes operue- F rant, eum quidam forte fortuna præteriens miseratus est, putans languidiorem, quàm vt illas posset arcere, accedénsque propius parabat eas depellere. orante autem saucio vt sic eum sineret, quæsiuit alter causam cur ita liberari ab hac molestia negligeret. tum ille: imò his abactis maiorē molestiam mihi faceres: nam hæ iam saturatæ sanguine remiserunt nonnihil. quòd si recentes accederent, & famelicæ, me iam antè pessimè affectum facilè G perderent. quare se quoque aiebat hac ratione prouidere subditis, multorū rapacitate vexatis,

XIIII.

qui more muscarum eos infestarent, maximè si ad innatam cupiditatem metu citò desinendi accederet. quòd autem vera narrem de ingenio Tiberij, testatur mihi factum ipsius. nam cùm duobus suprà viginti annis obtinuerit imperium, duos in vniuersum Iudæis misit gubernatores, Gratum & successorem eius Pilatum. nec aliter se gessit circa cæteros imperio subditos. Vinctorum quoque causas ideò se aiebat seriùs cognoscere, ne affecti supplicio citò leuentur malis quæ meruerint anteactis sceleribus, nunc dum longiores moras terunt, multò grauius reddi illorum infortunium. Sanè hæc fuit causa cur Eutychus tam diu egerit in vinculis, priusquam Cæsari aures ei præbere sit collibitum. Procedente deinde tempore à Capreis venit Tusculanum, stadiis ferè centum ab vrbe dissitum, & Agrippa rogauit Antoniam, efficeret vt tandè audiretur Eutychus, cognosceretúrque cuius accusaret patronum criminis. nam Antonia in magno honore habebatur apud Tiberium, vel propter affinitatem, quòd Drusi fratris vxor fuerat: vel propter continentiam, quòd florente etiam tum ætate vidua recusarit alteras nuptias, licèt hortante Augusto ad iterandum coniugium, in eóque vitæ genere omnem cauerit infamiam. huc accedebat priuatum beneficium, quo maximè deuinxerat hominem. Cùm enim res nouas contra eum moliretur Seianus amicorum vnus, vir valde potens propter præfecturam prætorianorum militum, conspirantibus multis senatoribus & libertis Cæsaris, & viris militaribus, tantum illi conflatum erat periculum, vt minimum quin opprimeretur abfuerit: quo tempore illustris opera fuit Antoniæ, per quam occursum Seiani malitiæ. quàm primùm enim intellexit insidias compositas in principem, rem totam ei perscripsit accuratissimè: traditísque literis Palanti seruorum suorum fidissimo, misit eum Capreas ad Tiberium, quibus ille cognitis Seianum occidit, & socios consilij; Antoniæque iam antè habitæ in precio, maiorem etiam in posterum fidem habuit per omnia. Hac igitur hortante ad audiédum Eutychum, responpit Tiberius: Huic quidem si quid contra Agrippam mentitus sit, præsentem pœnam sufficere: sed videndum illi esse, ne dum inconsultiùs à liberto pœnas expetit, inquisitione facta, malum quòd alteri molitur, sibiipse conciliet. quod vbi Agrippa audiuit ex Antonia, tanto magis vrgebat inquiri de hoc negotio: & cùm nullum orandi finem faceret, nacta opportunitatem Antonia, videns Tiberium à prandio lectica gestari, præcedente ipsius nepote Caio vnà cum Agrippa accessit propius: & pedibus eum comitata, petiit vocari & examinari Eutychũ. ad quã ille: Deos testor Antonia, quòd nõ spõte, sed tuis coactus precibus faciam quod facturus sum. quo dicto Macroni Seiani successori imperat Eutychum adducere. quo sine mora veniente, rogat eum

οἱ ἐν τρόπῳ μυιῶν ἐκπολεμοῖεν αὐτούς, φύσει πρὸς κέρδος ἐξωρμημένοις σύμμαχον παραλαμβάνοντες τὴν ἐλπίδα τοῦ ταχέως ἀφαιρησομένου τὴν ἔνθεν ἡδονήν. μαρτυρήσει δέ μοι τῷ λόγῳ περὶ τῆς ἐπὶ τοιούτοις φύσεως Τιβερίου τὸ ἔργον αὐτό. ἔτη γὰρ δύο πρὸς τοῖς εἴκοσιν αὐτοκράτωρ γενόμενος, δύο τοὺς πάντας Ἰουδαίοις ἐξέπεμψεν διοικήσοντας τὸ ἔθνος, Γρᾶτόν τε, καὶ Πιλᾶτον, ὃς αὐτῷ διεδέξατο τὴν ἡγεμονίαν. καὶ οὐκ ἐπὶ μὲν Ἰουδαίων τοιοῦτος ἦν, ἕτερος δὲ ἐπὶ τῶν λοιπῶν ὑπηκόων. ἀλλὰ καὶ τῶν δεσμωτῶν τὴν ὑπερβολὴν τῆς ἀκροάσεως ἀπεσήμαινεν ὑπὸ τοῦ δικαιωθεῖσι μὲν θανάτου, κούφισιν γενέσθαι τῶν ἐνεστηκότων κακῶν, διὰ τὸ μὴ ὑπ᾽ ἀρετῇ τῶν ἐπὶ τοιούτοις τύχῃ συνελθεῖν. τριβομένοις δέ, ἀχθηδόνι τῇ ἐπικειμένῃ μείζονα προστρέπειν τὴν δυστυχίαν. διὰ μὲν δὴ ταῦτα καὶ Εὔτυχος ἀκροάσεώς τε οὐκ ἐτύγχανε, καὶ τὰ δεσμὰ ἠνείχετο. χρόνου δὲ ἐγγενομένου, Τιβέριός τε ἐκ τῶν Καπρεῶν εἰς Τουσκολάνον παραγίνεται, ὅσον ἀπὸ σταδίων ἑκατὸν τῆς Ῥώμης, καὶ ὁ Ἀγρίππας ἀξιοῖ τὴν Ἀντωνίαν διαπράξασθαι γενέσθαι τῷ Εὐτύχῳ τὴν ἀκρόασιν ἐφ᾽ οἷς ποιοῖτο τὴν κατηγορίαν ποιοῖτο αὐτοῦ. τιμία δὲ ἦν Ἀντωνία Τιβερίῳ εἰς τὰ πάντα συγγενείας τε ἀξιώματι, Δρούσου γὰρ ἦν ἀδελφοῦ τοῦ αὐτοῦ γυνή, καὶ ἀρετῇ τοῦ σώφρονος. νέα γὰρ χηρεύειν παρέμεινεν, γάμῳ τε ἀπεῖπεν τῷ πρὸς ἕτερον, καί περ τοῦ Σεβαστοῦ κελεύσαντος τινὶ γαμεῖσθαι, καὶ λοιδορίας ἀπηλλαγμένον διεσώσατο αὐτῆς τὸν βίον, ἰδίᾳ τε εὐεργέτις ἦν εἰς τὰ μέγιστα τοῦ Τιβερίου. ἐπιβουλῆς γὰρ μεγάλης συστάσης ἐπ᾽ αὐτὸν ὑπὸ Σηιανοῦ φίλου τε ἀνδρός, καὶ δύναμιν ἐν τῷ τότε μεγίστην ἔχοντος διὰ τὸ τῶν στρατευμάτων εἶναι ἡγεμονίαν αὐτῷ, καὶ τῆς γερουσίας οἱ πολλοί, καὶ τῶν ἀπελευθέρων προσέθεντο, καὶ τὸ στρατιωτικὸν διέφθαρτο. προὔκοπτέν τε ἡ ἐπιβουλὴ ἐπὶ μέγα, κἂν ἐπέπρακτο Σηιανῷ τὸ ἔργον, μὴ τῆς Ἀντωνίας τόλμῃ χρησαμένης σοφωτέρᾳ τῆς Σηιανοῦ κακουργίας. ἐπεὶ γὰρ μανθάνει τὰ ἐπὶ τῷ Τιβερίῳ συγκείμενα, γράφει πρὸς αὐτὸν τὰ πάντα ἀκριβῶς, καὶ Πάλλαντι ἐπιδοῦσα τὰ γράμματα τῷ πιστοτάτῳ τῶν δούλων αὐτῆς, ἐκπέμπει πρὸς Τιβέριον εἰς τὰς Καπρέας. ὁ δὲ μαθὼν τόν τε Σηιανὸν κτείνει, καὶ τοὺς συνεπιβούλους, τήν τε Ἀντωνίαν, καὶ πρὶν ἀξιολόγως ἄγων, τιμιωτέραν τε ὑπελάμβανε κἀπὶ τοῖς πᾶσι πιστὴν. ὑπὸ δὴ ταύτης τῆς Ἀντωνίας ὁ Τιβέριος παρακαλούμενος ἐξετάσαι τὸν Εὔτυχον, ἀλλ᾽ εἰ μὲν καταψεύσατο φησὶν ὁ Τιβέριος ὅτι Ἀγρίππου τὰ εἰρημένα, Εὔτυχος ἀρκοῦσαν κομίζεται παρ᾽ αὐτοῦ τιμωρίαν ἣν ἐπιτετίμηκεν αὐτός. εἰ δὲ βασανιζομένου ἀληθῆ φανείη τὰ εἰρημένα, μήπου κολάζειν ποθῶν τὸν ἀπελεύθερον ἐπ᾽ αὐτὸν μᾶλλον καλοίη τὴν δίκην. καὶ ὁ Ἀγρίππας ταῦτα φαμένης πρὸς αὐτὸν Ἀντωνίας, πολὺ μᾶλλον ἐπέκειτο ἀξιῶν ἐξέτασιν γενέσθαι τοῦ πράγματος. καὶ ἡ Ἀντωνία, οὐ γὰρ ἀνίει πολὺς ὢν ὁ Ἀγρίππας ἐπὶ τοῖσδε δεῖσθαι, καιρὸν παραλαβοῦσα τοιοῦτον, ἐωρεῖτο μὲν Τιβέριος ἐπὶ φορείου κείμενος προϊόντων Γαΐου τε τοῦ ἐκείνης υἱωνοῦ καὶ Ἀγρίππα, ἀπ᾽ ἀρίστου δὲ ἦσαν, παραπεριπατοῦσα τῷ φορείῳ, παρεκάλει καλεῖσθαί τε τὸν Εὔτυχον, καὶ ἐξετάζεσθαι. ὁ δέ, ἀλλ᾽ ἴστων μὲν εἶπεν Ἀντωνία οἱ θεοὶ ὅτι μὴ γνώμῃ τῇ ἐμαυτοῦ, ἀνάγκῃ δὲ τῆς σῆς παρακλήσεως ἐξαγόμενος, πράξω τὰ πραχθησόμενα. ταῦτα εἰπὼν κελεύει Μάκρωνα ὃς Σηιανοῦ διάδοχος ἦν, τὸν Εὔτυχον ἀγαγεῖν. καὶ ὁ μέν, οὐδὲν εἰς ἀναβολὰς παρῆν, Τιβέριος δὲ αὐτὸν

τὸν ἤρετο τί καὶ ἔχοι λέγειν κατ' ἀνδρὸς ἐλευθερίαν αὐτῷ παρεσχηκότος. ὁ δὲ φησίν, ὦ δέσποτα, ἐωροῦντο μὲν ἐπ' ἁμάξης, γάιός τε οὗτος καὶ ἀγρίππας σὺν αὐτῷ, καὶ σφῶν ἐζόμην παρὰ τοῖν ποδοῖν. λόγων δὲ πολλῶν ἀνακυκλουμένων, ἀγρίππας φησὶ πρὸς γάιον, εἰ γὰρ ἀφίκοιτό ποτε ἡμέρα ᾗ μεταστὰς ὁ γέρων οὗτος χειροτονοίησε ἡγεμόνα σε οἰκουμένης. οὐδὲν γὰρ ἡμῖν τιβέριος ὁ υἱωνὸς αὐτοῦ γένοιτ' ἂν ἐμποδὼν ὑπὸ σοῦ τελευτῶν, καὶ ἥ τε οἰκουμένη γένοιτ' ἂν μακαρία κἀγὼ πρὸς αὐτῇ. τιβέριος δὲ πιστὰ ἡγησάμενος τὰ εἰρημένα, καὶ ἅμα μῆνιν ἀναφέρων τῷ ἀγρίππᾳ παλαιάν, διότι κελεύσαντος αὐτοῦ θεραπεύειν τιβέριον υἱωνὸν αὐτοῦ γεγονότα, καὶ δρούσου παῖδα ὄντα, ὁ ἀγρίππας οὐ τιμίως ἦγεν παρακρουσάμενος τὰς ἐντολάς, καὶ πᾶς ὡς τὸν γάιον μετεκάθιζεν, τοῦτον μὲν δὴ φησὶν μάκρωνι δῆσον. μάκρων δὲ τὸ μὲν οὐ σαφῶς ὅντινα ἂν προστάξειεν ἐξεπιστάμενος, τὸ δ' οὐκ ἂν προσδοκῶν περὶ τῷ ἀγρίππᾳ αὐτὸν βουλεῦσαι τι τοιοῦτον, ἐπανεῖχεν ἀκριβωσόμενος τὰ εἰρημένα. ἐπεὶ δὲ καῖσαρ περιοδεύσας τὸν ἱππόδρομον λαμβάνει τὸν ἀγρίππαν ἑστηκότα, καὶ μὴν δή φησιν μάκρων τοῦτον εἶπον δεθῆναι. τοῦ δὲ ἐπανερομένου ὅντινα οὖν, ἀγρίππαν γε εἶπεν. καὶ ὁ ἀγρίππας, ἐτράπετο μὲν κατὰ δεήσεις, τοῦ τε παιδὸς ᾧ συνετέθραπτο μνημονεύων, καὶ τοῦ τιβερίου τῆς ἐκτροφῆς. οὐ μὴν ἤνυεν γέ τι, ἀλλ' ἦγον αὐτὸν ἐν πορφυρίσι δέσμιον. καὶ καῦμά τε γὰρ σφοδρὸν ἦν, καὶ ὑπὸ οἴνου τοῦ ἐπὶ σιτίῳ μὴ πολλοῦ γεγονότος, δίψος ἐξέκαιεν αὐτόν, καί τι καὶ ἠγωνία καὶ τὸ παρ' ἀξίαν κατελάμβανεν, θεασάμενος τινα τῶν γαΐου παίδων θαυμαστὸν ὄνομα, ὕδωρ ἐν ἀγγείῳ κομίζοντα ᾔτησε πιεῖν. καὶ ὀρέξαντος προθύμως πιών, ἀλλ' εἴπερ ἐπ' ἀγαθοῖς φησιν ὦ παῖ ταῦτά σοι τῆς διακονίας γέγονεν, διαφυγῆς μοι γενομένης τῶνδε τῶν δεσμῶν, οὐκ ἂν βραδύνοιμι ἐλευθερίαν εἰσπραξάμενός σοι παρὰ γαΐου, ὃς καὶ δεσμώτῃ μοι γενομένῳ διακονεῖσθαι καθάπερ ἐν τῷ πρότερον καθεστηκότι σχήματι τῆς περὶ ἐμὲ ἀξιώσεως οὐκ ἐνέλιπες. καὶ οὐκ ἐψεύσατο ταῦτα εἰπών, ἀλλὰ δὴ ἠμείψατο. ἐν ὑστέρῳ γὰρ βασιλεύσας τὸν θαυμαστὸν μειζόνως ἐλεύθερόν τε ἀφῆκεν παρὰ γαΐου καίσαρος γενόμενον λαβών, καὶ τῆς οὐσίας ἐπίτροπον καθίστησιν. τελευτῶν τε τῷ υἱεῖ ἀγρίππᾳ καὶ βερενίκῃ τῇ θυγατρὶ ἐπὶ τοῖς ὁμοίοις διακονησόμενον κατέλιπεν, ἐν τιμῇ τε ὢν ταύτῃ, γηραιὸς τελευτᾷ. καὶ ταῦτα μὲν ὕστερον ἐγένετο. ἀγρίππας δὲ τότε δεθεὶς εἱστήκει πρὸ τοῦ βασιλείου πρός τινι δένδρῳ κλιθεὶς ὑπὸ ἀθυμίας μετὰ πολλῶν οἳ ἐδέδεντο. καί τινος ὀρνέου καθίσαντος ἐπὶ τοῦ δένδρου ᾧ ἀγρίππας προσεκέκλιτο, βουβῶνα δὲ οἱ ῥωμαῖοι τὸν ὄρνιν τοῦτον καλοῦσιν, τῶν δεσμωτῶν τις γερμανὸς θεασάμενος, ἤρετο τὸν στρατιώτην, ὅστις εἴη ὁ ἐν τῇ πορφυρίδι. καὶ μαθὼν μὲν ἀγρίππαν ὄνομα αὐτῷ, ἰουδαῖον δὲ τὸ γένος, καὶ τῶν ἐκείνῃ ἀξιολογωτάτων, ἠξίωσεν τὸν συνδεδεμένον αὐτῷ στρατιώτην, πλησίον ἐλθεῖν διὰ λόγων, βούλεσθαι γάρ τινα ἀμφὶ τῶν πατρίων ἐρέσθαι αὐτόν. καὶ τυχών, ἐπεὶ πλησίον ἵσταται δι' ἑρμηνέως, ὦ νεανία φησί, κατάχθει μέν σε τὸ αἰφνίδιον τῆς μεταβολῆς, πολλήν τε οὕτως καὶ ἀθρόαν ἐπαγαγὸν τὴν τύχην. ἀπιστία δέ σοι τῶν λόγων, οἳ ἐπὶ φυγῇ κακοῦ τοῦ ἐφεστηκότος διηγοῦντο τοῦ θείου τὴν προνοίαν. ἴσθι γε μὴν θεοὺς τοὺς ἐμοὺς πατρῴους, καὶ τοὺς τῆσδε ἐγχωρίους, οἳ τόνδε ἐπρυτάνευσαν ἡμῖν τὸν σίδηρον, ἐπομνύμενος, λέξω τὰ πάντα, οὔτε ἡδονῇ γλωσσαργῷ διδοὺς τὸν ἐπ' αὐτοῖς λόγον, οὔτε διακενῆς

Cæsar quidnam contra eum afferat à quo libertatem acceperit. qui respondit: Domine, vectabantur in curru Caius iste & Agrippa, me sedente illis ad pedes: vbi post multos sermones vltro citróque habitos, Agrippa his verbis ad Caium vsus est: O si iam tandem dies illa veniat, qua senex iste decedens te orbi relinquat principem. nihil enim huic voto obesse posset nepos eius Tiberius, quem tu facilè opprimeres. Tum verò ad publicam orbis felicitatem mea quoque priuatim accederet. His verbis Tiberius facilè credens, nonnihil etiam veteri offensa motus, quòd Agrippa iussus colere Tiberium ipsius ex Druso nepotem, neglecto hoc mandato totus in Caium erat propensior: versus ad Macronem, huic, inquit, iniice vincula. At Macro non satis intelligens quémnam ille diceret. neque enim de Agrippa suspicari tale quid poterat, cũctabatur donec exactiùs rem perciperet. interim Cæsar aliquantisper gestatus per circum, denuò Macronem appellans: An non, inquit, iussi vt huic vincula iniicias? quo scitante cui tandem, Agrippæ inquam, ille respondit. Agrippa verò ad preces versus, per memoriam filij, cuius consuetudine simul educatus familiarissimè vsus fuerat, & per collata in adolescentem Tiberium officia rogabat veniam. sed frustra, prætorianis ita vt erat purpuratum in vincula trahentibus. cúmque æstus esset vehemens, & præ inopia vini sitis eum vreret, conspicatus quendam è Caij seruis nomine Thaumastum gerentem hydriá poposcit potum. & cùm libenter oblatum hausisset, inquit, certè tuo bono puer exhibuisti mihi hoc ministerium: quàm primùm enim hanc necessitatem euasero, impetrabo tibi libertatem à Caio, quandoquidem etiam vincto mihi non es grauatus ministrare, vt antea dum pristina mihi fortuna maneret integra. nec fefellit hominem, sed gratiam ei reposuit. nam regnum adeptus Thaumastum à Caio impetratum manumisit, & bonorum suorum dispensatorem constituit. quin & moriens hunc Agrippæ filio Bernicæque filiæ reliquit eadem ministerij conditione, apud quos in precio vsque ad extremum diem habitus consenuit. Sed id postea contigit. Tunc verò Agrippa vinctus ante regiam stabat inter alios quosdam æquè vinctos, incumbens præ mœrore in quandam arborem. cui cùm insedisset bubo, vnus è vinctis natione Germanus alitem conspicatus, scitatus est è milite quisnam esset ille purpuratus. & cognito Agrippam esse, Iudæorum nobilissimum, rogauit militem vt liceret sibi propius ad eum accedere, cupere enim se quædam de ipsius patria cognoscere. quo impetrato, & adhibito interprete, ô iuuenis, inquit, contristat te quidem tam repentina & improuisa fortunæ mutatio: nec facilè credes propè esse effugiũ, sic cõsulẽte rebus tuis diuina prouidẽtia. sed testor patrios deos, & qui huic regioni pręsidẽt, & qui nos perduxerũt in hęc vincula, quòd nihil aurib⁹ tuis datur⁹ sũ, neq; te inani

consolatione lactaturus: non ignarus quòd huiusmodi prædictiones si euentus frustretur, maiorem afferant mœstitiæ cumulum, quàm si nunquam omnino auditæ fuissent. itaque æquum duxi vel cum meo periculo interpretari tibi quid dij portendant manifestis auspiciis. Fieri non potest quin confestim euadas ex his vinculis, & mutatis rerum vicibus ad amplissimam dignitatem simul atque potentiam peruenias, vsque ad eorum inuidiam quibus nunc videris miserabilis. Felicem quoque habiturus es vitæ exitum, relictis in opum successione liberis. Memento autem quando hanc alitem iterum videris, quintum ex eo diem fatalem tibi futurum. Hæc sunt quæ tibi cælestes missa hac aue nunciant: cuius rei cùm habeam præscientiam, visum est impartiri te hac lætitia, quò spe futuri commodi leuiùs feras præsens infortunium. proinde rogo vt quamprimùm felicitatem istam repræsentari tibi senties, des operam vt nos quoque eripiamur ex his aduersitatibus. hoc Germani præsagium tam videbatur Agrippæ ridiculum, quàm postea maximam admirationem est promeritum. At Antonia grauiter ferens calamitatem iuuenis, Tiberium quidem pro eo deprecari putabat non solùm difficile, sed propter repulsam inutile etiam: apud Macronem tamen obtinuit vt in custodia seruaretur à militibus commodis moribus præditis, conuictorémque haberet centurionem ei curæ præpositum, & quotidianis vteretur lauacris, & pateret ad eum libertis atque amicis aditus, quorum subleuaretur officiis. admittebantúrque ad eum, Silas amicus, & è libertis Marsyas atque Stichus, inferentes ei cibos quibus delectabatur: & stragula quasi venalia circumferentes, noctu substernebāt permissu militum iam antè præmonitorum Macronis imperio. atque in hunc modum sex menses exegit in custodia. Cæterùm Tiberius Capreas reuersus primùm languore modicè tentatus est: inualescente deinde morbo iam malè de se sperans, per Euodum libertorum suorum carissimum accersiit filios, quasi ad extremum colloquium. erant autem ei non naturales, sed adoptiui. nam Drusum vnicum filium amiserat. supererat huius filius Tiberius, cognomine Gemellus, & Caius ex Germanico fratre natus, iam adultus & disciplinis liberalibus pulchrè excultus, adhæc gratiosus apud populum propter paternarum virtutum memoriam. ille enim apud omnes in maximo honore habitus est, quòd esset modestissimis moribus, comis in alloquiis, & nemini se præferens. quibus artibus non senatus modò ac populi fauorem sibi parauit, verùm etiam quotquot vbique sunt prouincialium, quos partim affabilitate, partim officiis deuinxerat. quam ob rem defunctum omnes non honoris simulatione luxerunt, sed veris lacrymis prosecuti, tanquam in priuata quisque mœstitia. adeò citra omnē omnium offensam vixerat: quòd & filio eius

εὐθυμεῖν σε ἐσπουδακώς. καὶ γὰρ ἐπὶ τοιοῖσδε προαγορεύσεις ὑστερηκότος τοῦ ἀποδείξαντος ἔργῳ χαλεπωτέραν προσέθεντο τὴν ἀχθηδόνα, τοῦ μηδ᾽ εἰ τὴν ἀκοὴν ἀκροάσαιτο αὐτῶν. ἀλλὰ καὶ τὸ ἐμὸν κινδύνοις παραβαλλόμενος, δίκαιον ἡγησάμην σοι διασαφῆσαι τὴν προαγόρευσιν τῶν θεῶν. οὐκ ἔσθ᾽ ὅπως οὐκ εὐθέως ἀπαλλαγή τέ σοι τῶνδε τῶν δεσμῶν παρέσται, καὶ πρόοδος ἐπὶ μήκιστον ἀξιώματός τε καὶ δυνάμεως, ζηλωτής τε ἂν γένοιο πᾶσιν οἳ νῦν δι᾽ οἴκτου τὰς τύχας σου λαμβάνουσιν. εὐδαίμων τε ἂν ποιοῖς τὴν τελευτὴν, παισὶν οἷς τὸν ὄλβον καταλειπόμενος. μνημονεύειν δὲ ὁπότε εἰς αὖθις τὴν ὄρνιν θεάσαιο τοῦτον, πέντε ἡμέραις σοι τὴν τελευτὴν ἐσομένην. ταῦτα πεπράξεται μὲν ᾗπερ ἀποσημαίνει σοι τὸ θεῖον τὸ διαποστεῖλαν τουτονὶ τὸν ὄρνιν. προεγνωκότι τε αὐτῶν συνεῖσιν τὴν παραγινομένην ἀποστερεῖν σε, ἄδικον ἡγησάμην, ὅπως ἐπιστάμενος ἀγαθοῦ μέλλοντος λυσιτελεῖν, ἐν ἐλάσσονι τὴν ἀχθηδόνα τοῦ παρόντος τίθοιο. μνήμην δὲ ποιεῖσθαι εἰς χεῖρας σου παραγινομένου τοῦ εὐδαίμονος, καὶ τῆς καθ᾽ ἡμᾶς διαφευξομένους δυστυχίας ᾗ τανῦν σύνεσμεν. καὶ ὁ μὲν Γερμανὸς τοσάδε προειπὼν, εἰς τοσόνδε ὦφλεν γέλωτα τῷ Ἀγρίππᾳ, ἐφ᾽ ὅσον ἐν τοῖς ὕστερον κατεφάνη θαύματος ἄξιος. ἡ δὲ Ἀντωνία χαλεπῶς φέρουσα τὴν δυστυχίαν, τὸ μὲν Τιβερίῳ περὶ αὐτοῦ διαλέγεσθαι, ἐργωδέστερον ἑώρα, καὶ ἄλλως ἐπ᾽ ἀπράκτοις γινόμενον. εὑρίσκετο δ᾽ αὐτῷ παρὰ τοῦ Μάκρωνος στρατιωτῶν τε μετρίων ἀνδρῶν, οἳ παραφυλάξαιεν αὐτὸν ἐν φροντίσιν καὶ ἑκατοντάρχου ἐφεστηκότος τε ἐκείνοις καὶ συνδήτου ἐσομένου, λουτρά τε καθ᾽ ἡμέραν συγχωρεῖσθαι καὶ ἀπελευθέρων καὶ φίλων εἰσόδους τήν τε ἄλλην ῥᾳστώνην ἣ τῷ σώματι γένοιτ᾽ ἄν. εἰσῄεσάν τε ὡς αὐτὸν φίλος τε Σίλας, καὶ τῶν ἀπελευθέρων Μαρσύας καὶ Στοιχεὺς τροφὰς εἰσκομίζοντες αἷς ἔχαιρεν, καὶ δι᾽ ἐπιμελείας πάσης ἔχοντες, ἱμάτιά τε κομίζοντες ἐπὶ προσποιήσει πράξεως, ὁπότε νὺξ γένοιτο ὑπεστρώννυσαν αὐτῷ συμπράξει τῶν στρατιωτῶν Μάκρωνος προειρηκότος. καὶ ταῦτα ἐπράσσετο ἐπὶ μῆνας ἕξ, καὶ τὰ μὲν κατὰ Ἀγρίππαν, ἐν τούτοις ἦν. Τιβέριος δὲ ἐπανελθὼν εἰς τὰς Καπρέας, ἐμαλακίζετο, τὰ μὲν πρῶτα μετρίως. ἐπιδούσης δὲ εἰς τὸ μᾶλλον τῆς νόσου, πονηρὰς ἔχων ἐπ᾽ αὐτῷ τὰς ἐλπίδας, Εὔοδον ὃς ἦν αὐτῷ τιμιώτατος τῶν ἀπελευθέρων, κελεύει τὰ τέκνα προσαγαγεῖν πρὸς αὐτόν. χρῄζειν γὰρ ἀφικέσθαι φησὶ διὰ λόγων πρὶν ἢ τελευτᾷ. ἦσαν δὲ αὐτῷ παῖδες γνήσιοι μὲν οὐκέτι, Δροῦσος γὰρ δὴ ὁ μόνος αὐτῷ γεγονὼς, ἐτύγχανε τεθνεώς. υἱὸς δὲ τούτου κατελείπετο Τιβέριος ἐπικαλούμενος Γέμελλος, Γάϊός τε Γερμανικοῦ παῖς ἀδελφοῦ υἱὸς γεγονὼς, νεανίας τε ἤδη καὶ παιδείαν ἐκπεπονηκὼς ἐπὶ πλεῖστον, εὐνοίᾳ τε τοῦ δήμου τιμώμενος, διὰ τὴν Γερμανικοῦ τοῦ πατρὸς ἀρετήν. ἐπὶ μέγιστον γὰρ δὴ οὗτος ἦλθεν παρὰ τοῖς πλήθεσι τιμῆς, εὐσταθείᾳ τρόπου, καὶ δεξιότητι τοῦ ὁμιλεῖν ἀνεπαχθὴς ὢν, καὶ τὴν ἀξίωσιν κτώμενος τοῦ βούλεσθαι ἴσος πᾶσιν εἶναι. ἐξ ὧν οὐ μόνον ὁ δῆμος, καὶ ἡ βουλὴ, μειζόνως ἦγον αὐτὸν, ἀλλὰ καὶ τῶν ὑποτελῶν ἕκαστον ἔθνος. οἱ μὲν ὁμιληκότες ἁλισκόμενοι τῇ χάριτι τῆς ἐντεύξεως, οἱ δὲ πίστει τῆς ἐκείνων ἀφηγήσεως παραλαμβάνοντες. πένθος τε αὐτοῦ τελευτήσαντος προὐτέθη πᾶσιν, οὐ θεραπείᾳ τῆς ἀρχῆς ἐπιψευδομένων τὴν συμφορὰν, λύπῃ δὲ ἀληθεῖ οἰκειουμένων, διὰ τὸ ἴδιον τυχεῖν ἑκάστοις τὴν μετάστασιν αὐτοῦ ὑπειλῆφθαι. οὕτως ἀνεπαχθῶς ὡμίλησε τοῖς ἀνθρώποις, ἐξ ὧν μέγα ὄφελος καὶ τῷ παιδὶ αὐτοῦ

παρὰ

A plurimùm profuit, cùm apud cæteros, tum maximè apud militarem multitudinem, quæ pro ipsius dignitate tuenda nullum periculum non aditura videbatur. at Tiberius cùm Euodum iussisset in crastinum summo mane filios adducere, precatus est deos patrios, vt manifesto aliquo indicio designarent futurum successorem in imperio, cupiens quidem id nepoti ex filio relinquere, sed non ausus rem tam arduam tentare inconsultis numinibus. B Itaque augurium concepit, eum sibi successurum, qui sequenti mane prior ad salutandum se venerit. quare pædagogum nepotis præmonuit, vt mox prima hora adolescentem adduceret, ratus Deum huic principatum annuere. sed aliter visum est cœlesti numini. nam cùm Imperator hæc volutans diluculo iussisset Euodum eum è filiis introuocare qui prior aduenisset, egressus ille Caium offendit pro cubiculi foribus. nam Tiberius auiti proposi- C ti ignarus ientaculo remoratus est. Tum Euodus, vocat te, inquit, pater: simúlque introducit iuuenem. Quo viso Imperator cogitare cœpit diuinam prouidentiam, per quam sibi adempta sit potestas statuendi quæ decreuerat: sentiénsque diuersum cordi esse superis, non tam suam voluntatem irritam doluit, quàm vicem infelicis nepotis, cui nô satis esset principatum adimi, nisi etiam incolumitas in vltimum discrimen veniat: quandoquidem alio D potentiore futuro, parum eum tutatura videbatur sanguinis propinquitas in æmulatione potentiæ, altero non ante securum putante suum principatum, quàm si insidiis præoccuparit alterum. erat enim Mathematicorum quoque disciplinis addictior, iuxta quorum consilia in tota vita pleraque agere est solitus. nam & Galbam olim venientem conspicatus versus ad intimos quosdã amicos, En, inquit, virum, futurum aliquando Romanorum prin- E cipem. In summa nemo Cæsarum vnquam tantam fidem habuit diuinationibus, non vanas expertus aliquoties. Tunc quoque magno mœrore affectus est ob id quod acciderat, non secus ac si nepotem iam extinctum cerneret: séque ipsum culpabat, qui confugisset ad huiusmodi omina. cùm enim liceret ei securo è vita excedere, nunc corruptam sibi hanc felicitatem præscientia futuri carissimorum infortunij. Itaque quamuis turbatus inopinata F principatus sui successione, inuitus & reclamante animo sic Caium alloquitur: Fili, etiamsi Tiberius propiore consanguinitate me contingat, tamen cùm meum de te iudicium, tum verò deorum immortalium suffragium secutus, tibi in manus trado Romanum imperium. rogo autem vt hoc adeptus non sis immemor beneuolentiæ nostræ, qui tibi sum tantæ felicitatis autor: & quã poteris gratiam mihi referas, amore cõplectendo fratrem Tiberium: quandoquidem mihi nihil

παρὰ πᾶσι καταλέλειπτο, τοῖς τε ἄλλοις, καὶ μάλιστα τῷ στρατιωτικῷ ἦρτο, αἱρετὴν ἀριθμοῦντες τὸ περὶ τῆς ἀρχῆς ἐκείνῳ περιγενησομένης εἰ δεήσει καὶ τελευτᾶν. ὁ δὲ τιβέριος Εὐόδῳ πρόσταγμα ποιησάμενος κατὰ τὴν ὑστεραίαν ὑπὸ τὴν ἕω εἰσαγαγεῖν τοὺς παῖδας, εὔχεται τοῖς πατρίοις θεοῖς σημεῖόν τι προφανὲς αὐτῷ δεῖξαι περὶ τοῦ τὴν ἡγεμονίαν διαδεξαμένου, σπουδάζων μὲν τῷ υἱεῖ τοῦ παιδὸς αὐτὴν καταλιπεῖν, μεῖζον δὲ δόξης τε καὶ βουλήσεως τῆς αὐτοῦ πεπιστευκὼς τοῦ θεοῦ τὸ ἐπ' αὐτοῖς ἀποφαινόμενον. οἰώνισμα δ' οὖν αὐτῷ προύκειτο, εἰς ἐκεῖνον ἥξειν τὴν ἡγεμονίαν, ὃς ἂν κατὰ τὴν ἐπιοῦσαν ἀφίκοιτο πρὸς αὐτὸν πρότερος. ταῦτα διανοηθείς, πέμπει παρὰ τοῦ υἱωνοῦ τὸν παιδαγωγόν, κελεύων ὑπὸ πρώτην ὥραν ἄγειν τὸν παῖδα, ὡς αὐτὸν καταμελήσεσθαι στρατηγίας τὸν θεὸν ὑπολαμβάνων. ὁ δ' ἀντιψήφιζεν αὐτοῦ τὴν χειροτονίαν. ὁ μὲν δὴ ταῦτ' ἐνθυμησάμενος ἐπεὶ τάχιστα ἡμέρα ἦν, κελεύει τὸν Εὔοδον εἰσκαλεῖν τῶν παίδων τὸν παρόντα πρότερον. ἐξελθὼν δ' ἐκεῖνος, καὶ τὸν γάιον πρὸ τοῦ δωματίου καταλαβών, ὁ γὰρ τιβέριος οὐ παρῆν μετεώρου τῆς τροφῆς αὐτῷ γενομένης, ᾔδει δ' οὐδὲν ὧν ἐβούλετο, ὁ δεσπότης καλεῖ σε φησὶν ὁ πατήρ, καὶ εἰσήγαγεν αὐτόν. τιβέριος δ' ὡς θεᾶται γάιον, τότε πρῶτον εἰς ἐπίνοιαν ἐλθὼν τοῦ θείου τῆς ἐξουσίας, καὶ τὴν κατ' αὐτὸν ἡγεμονίαν παντελῶς ἀφῃρημένην ἐπικυροῦν οἷς ψηφίσοιτο, δυνάμεως ἐκεῖθεν αὐτῷ μὴ παραγενομένης, πολλὰ δὴ κατολοφυράμενος, αὐτὸν μὲν τοῦ ἐφ' οἷς προβουλεύσειεν κυροῦν ἀφῃρημένον τὸ κράτος, τιβέριον δὲ τὸν υἱωνὸν ὡς τῆς τε ῥωμαίων ἀρχῆς ὁμοῦ διαμάρτοι καὶ τῆς σωτηρίας κεχρημένον, διὰ τὸ ἐπ' ἄλλων κρεισσόνων οὐκ ἀνεκτὸν εἰσηγησαμένῳ τὴν συναναστροφὴν κεῖσθαι, τὴν σωτηρίαν αὐτῷ τοῦ μὴ συγγενοῦς ὠφελεῖν δυναμένου, φόβῳ τε καὶ μίσει τοῦ ἐφεστηκότος χρησομένου πρὸς αὐτόν, τὰ μὲν ὡς προσεδρεύοντα τῇ ἀρχῇ, τὰ δ' ὡς ἀντεπιβουλεύειν ὑπέρ τε τῆς σωτηρίας καὶ τῆς ἀντιλήψεως τῶν πραγμάτων μὴ ἀφησόμενον. ἦν δὲ καὶ γενεθλιαλογίᾳ τιβέριος τὰ μάλιστα προσκείμενος, καὶ κατορθούμενα αὐτῇ μειζόνως τῶν εἰς τόδε ἀνακειμένων ἑκόντων τὸν βίον ἐξηγημένος. γάλβαν οὖν ποτε θεασάμενος ὡς αὐτὸν εἰσιόντα, φησὶ πρὸς τοὺς ἐπιτηδειοτάτους αὐτῷ, ὡς παραγένοιτο ἀνὴρ τῇ ῥωμαίων προτιμησόμενος ἡγεμονίᾳ. τά τε πάντα μαντειῶν ὁπόσα ἐχόμενα πιθανὰ ἡγούμενος ἡγεμόνων μάλιστα ἀνὴρ οὗτος, ὑπὸ τοῦ ἐπαληθεύοντος αὐτῶν ἐπὶ τοῖς πράγμασιν ἐχρῆτο αὐταῖς. καὶ τότε ἐν χαλεποῖς ἦν συντυχίᾳ τοῦ γεγονότος, ὡς ἐπ' ἀπολωλότι τῷ υἱεῖ τοῦ παιδὸς ἀχθεινῶς διατιθέμενος, καὶ κατάμεμψιν αὐτοῦ ποιούμενος, ταύτην οἰώνισιν προμηθοῦς. παρὸν γὰρ ἂν αὐτῷ λύπης ἀπηλλαγμένῳ τελευτᾶν ἀμαθίᾳ τῶν ἐσομένων, διαφθείρεσθαι τῷ προεγνωκὼς τὴν ἐσομένην δυστυχίαν τῶν φιλτάτων τελευτᾶν. καίπερ δὲ συντεταραγμένος τῇ παρὰ δόξαν τῆς ἀρχῆς εἰς οὓς οὐκ ἤθελεν περιόδῳ, ἄκων τε καὶ μὴ βουλόμενος, φησὶ γοῦν πρὸς τὸν γάιον, ὦ παῖ, καίπερ μοι συγγενεστέρου τιβερίου ἢ κατὰ σὲ ὄντος, δόξῃ τε τῇ ἐμαυτοῦ, καὶ τῷ ὁμοψήφῳ ἐπ' αὐτῇ τῶν θεῶν, σοὶ φέρων ἐγχειρίζω τὴν ῥωμαίων ἡγεμονίαν. ἀξιῶ δέ σε μηδὲν ἀμνημονεῖν, ὁμιλήσαντα αὐτῇ, μήτε εὐνοίας τῆς ἐμῆς, ὃς εἰς τοσόνδε σε ἀξιώματος καθίστημι μέγεθος, μήτε τοῦ πρὸς τιβέριον συγγενοῦς, ἀλλ' ἐπιστάμενον,

gratius pro hoc beneficio, quòd poſt Deos totum meum eſt, poteſt reponere, quàm ſi illi non deſis quem tibi natura voluit eſſe coniunctiſſimum. nam alioquin etiam ſcire te oportet, illo ſuperſtite ſtabilius fore tuum imperium: extincto verò, infelicitatis tibi adeſſe exordium. Periculoſa enim eſt ſolitudo dignitatis culmen obtinentibus: & qui in conſanguinitatis iura peccant, nunquam diuinam vltionem effugiunt. Hæc Caio extrema mandata dedit Tiberius, omnia quidem pollicenti, ſed fictè. Quamprimùm enim principatum aſſecutus eſt, fratrem iuxta illius præſagium ſuſtulit: & ipſe quoque aliquanto pòſt coniuratorum inſidiis oppreſſus eſt. At Tiberius Caio ſucceſſore ſibi deſignato poſt paucos dies obiit, cùm vixiſſet in Imperio annis viginti duobus, menſibus quinque, diebus tredecim. poſt quem Caius reipub. præfuit, quartus in imperatorum ſerie. Romani verò nunciato eius obitu vehementer quidem gauiſi ſunt, non tamen audebant credere: non quòd verum eſſe nuncium non cuperent, quòd iamdudum magno redemiſſent libenter: ſed quòd vererentur ne tentati falſis nunciis, ſi intempeſtiuè gaudium ſuum detegerent, delatorum opera in certiſſimam perniciem incurrerent. Nemo enim ante eum patriciorum ordinem grauiùs afflixerat, quòd eſſet iracundus & implacabilis, etiam ſine cauſa odio pleroſq; proſequens, & pro innata ſæuitia mortem leuiſſimam pœnam exiſtimans. quapropter optatiſſimam hanc famam non ſunt auſi fronte hilari excipere, intelligentes quantum ſubeſſet ſpei fruſtratæ periculum. Marſyas verò Agrippæ libertus cognita morte Tiberij, curriculo ad patronum properauit, lætiſſimum ei nuncium afferens. quem cùm offendiſſet petentem balneum, admoto capite ſermone Hebraïco, mortuus eſt, inquit, leo. id ille ſatis intelligens, inopinatóque perfuſus gaudio, at tibi, inquit, tum pro cæteris officiis, tum pro hoc nuncio quam tandem dignam gratiam referam; ſi modò vera nuncias. tum cẽturio qui cuſtodiæ præerat, animaduertens tam Marſyæ feſtinum aduẽtum, quàm inſecutam illius verba hilaritatem Agrippæ, ſuſpicatúſque accidiſſe noui aliquid, rogauit qua de re inter ſe conferrent. quibus primò cũctãtibus, cùm ille vrgere non deſineret, tandẽ Agrippa vt iam familiari aperuit omnia, ibi centurio gratulatus ei plurimùm hãc felicitatem, cœnã lautam appoſuit. Sed dum epulis ſimul indulgetur & poculis, ecce tibi quidam ſuperueniens affert incolumem eſſe Tiberium, & breui in vrbem reuerſurum; quibus verbis territus grauiter centurio, capitalis culpæ ſibi conſcius, quòd cùm vincto lætum conuiuium iniuiſſet nunciato imperatoris obitu, proturbat Agrippam de lectulo, hæc inſuper intonans: Tu me impunè falles mẽritus mortẽ Cæſaris & nõ capite lues hanc linguę petulantiã? Et cũ dicto vinciri iubet, ſolutũ hactenus,

A ὡς σύν τε τοῖς θεοῖς, καὶ μετ᾽ αὐτοὺς τοιῶνδέ σοι καταστάντι ἀγαθῶν ποριστὴς, ἀμείβεσθαί μου τὸ ἐπ᾽ αὐτοῖς πρόθυμον, καὶ ἅμα Τιβερίου φροντίσειν διὰ τὴν συγγένειαν. ἄλλως τε γινώσκειν ὡς τεῖχός σοι καὶ τῆς ἀρχῆς ὁμοῦ καὶ τῆς σωτηρίας περιὼν γένοιτ᾽ ἂν Τιβέριος, φρείμιον δὲ τοῦ δυστυχοῦς μεθιστάμενος. αἵ τε γὰρ μονώσεις ἐπικίνδυνοι τοῖς εἰς τηλικούτων πραγμάτων ὄγκον κατάστασιν, καὶ θεοῖς οὐκ ἀτιμώρητα, ὁπόσα παρὰ δίκην πρασσόμενα ἀφανίζοι τοῦ νόμου τὸ ἑτέρως πράσσειν παρακαλοῦν. ταῦτα μὲν ὁ Τιβέριος ἔλεγεν, οὐ μὴν πιθανὸς ἦν τῷ Γαΐῳ καίπερ ὑπισχνουμένῳ. ἀλλὰ καταστὰς εἰς τὴν ἀρχὴν, τόν τε Τιβέριον μαντείαις αἱρεῖται ταῖς ἐκείνου, καὐτὸς ἐπιβουλῶν ἐπ᾽ αὐτὸν συντεθεισῶν, μετ᾽ οὐ πολὺ τελευτᾷ. Τιβέριος δὲ τὸν Γάϊον ἀποδείξας διάδοχον τῆς ἡγεμονίας, ὀλίγας ἐπιβιοὺς ἡμέρας, ἔθανεν, σχὼν αὐτὸς τὴν ἀρχὴν ἡμέρας ἓξ εἰς, καὶ πέντε μῆνας, πρὸς ἐνιαυτοῖν δυοῖν καὶ εἴκοσι. C Γάϊος δὲ ἦν αὐτοκράτωρ τέταρτος. Ῥωμαῖοι μὲν δὴ πύστει τῆς Τιβερίου τελευτῆς, εὐφραίνονται μὲν τῷ ἀγαθῷ τῆς ἀγγελίας, οὐ μὴν πιστεύειν γε θάρσος ἦν αὐτοῖς, οὐ τῷ μὴ βούλεσθαι, περὶ πολλῶν γὰρ ἂν ἐπίμησαν χρημάτων τὸ ἐπαληθεῦσαν τῶν λόγων. δέει δὲ μὴ ψευδοῦς τῆς ἀγγελίας γενομένης προεξαναστάντες, ἐπίδηλοι ὦσι τοῦ αὐτῶν χάρματος, εἶτ᾽ ἀπόλλοιντο διαβολῆς αὐτῶν γενομένης. πλεῖστα γὰρ ἀνὴρ εἷς οὗτος Ῥωμαίων τοὺς εὐπατρίδας εἰργάσατο δεινὰ, δυσόργητος ἐπὶ πᾶσι ὢν, καὶ ἀνήκεστος εἰς τὸ ἐργάζεσθαι καταστὰς, εἰ καὶ χωρὶς λόγου τὴν αἰτίαν ἐπανέλοιτο τοῦ μισεῖν, καὶ ἐπὶ πᾶσι μὲν οἷς κρίνοιεν ἐξαγριοῦν φύσιν ἔχων, εἰς θάνατον τε καὶ τῶν κουφοτάτων ἀνατιθεὶς τὴν ζημίαν. ὡς τε ἡδονῇ τοῦ ἐπ᾽ αὐτῷ λόγου φέροντες τὴν ἀκρόασιν, εἰς ὅσον ἐβούλοντο ἀπολαύσματι χρῆσθαι ἐκεκώλυντο δείματι κακῶν, ἃ προσεωρᾶτο ψευσθεῖσι τῆς ἐλπίδος. Μαρσύας δὲ τοῦ Ἀγρίππου ὁ ἀπελεύθερος πυθόμενος Τιβερίου τὴν τελευτὴν, εὐθὺς δρομαῖος τὸν Ἀγρίππαν ἀγγελιούμενος. καὶ καταλαβὼν ἐν ἐξόδοις ὄντα εἰς τὸ βαλανεῖον, συννεύσας πρὸς αὐτὸν γλώσσῃ τῇ Ἑβραίων, τέθνηκεν ὁ λέων φησί. ὁ δὲ σύνεσίν τε τοῦ λόγου ποιησάμενος, καὶ χάρματι τῷ ἐπ᾽ αὐτῷ περιενεχθεὶς, ἀλλά σοι τῶν ἁπάντων, καὶ τῆς ἐπὶ τῇδε εὐαγγελίας χάριτες ἐν ἐμοὶ παντοῖαι γίνονται, μόνον ἀληθῆ τὰ λεγόμενα εἴη. καὶ ὁ ἑκατοντάρχης ὅς γε τῇ φυλακῇ ἐφειστήκει τοῦ Ἀγρίππα, θεώμενος τήν τε σπουδὴν μεθ᾽ οἵας ὁ Μαρσύας ἀφίκετο, καὶ τὸ ἐκ τῶν λόγων χάρμα Ἀγρίππα συνελθὸν, ὑποτοπήσας καίνωσίν τινα γεγονέναι τῶν λόγων, ἤρετο σφᾶς περὶ τοῦ λόγου τοῦ ἐφεστηκότος. οἱ δὲ τέως μὲν παρέτρεπον, ἐγκειμένῳ δὲ ἀποσημαίνει ὁ Ἀγρίππας, ἤδη γὰρ φίλος ἦν, μηδὲν ἐνδοιάσας. ὁ δὲ, ἐκοινοῦτό τε τὴν ἡδονὴν τοῦ λόγου, διὰ τὸ εἰς ἀγαθὰ τῷ Ἀγρίππᾳ φέρειν, προὐτίθει τε αὐτῷ δεῖπνον. εὐωχουμένῳ δ᾽ G αὐτῷ, καὶ τοῦ πότου προϊόντος, παρῆν τις λέγων, ζῆν τε τὸν Τιβέριον, καὶ ὀλίγων ἡμερῶν ἐπανήξειν εἰς τὴν πόλιν. καὶ ὁ ἑκατοντάρχης δεινῶς θορυβηθεὶς τῷ λόγῳ, διὰ εἰς θάνατον ἀνακείμενα πεπραχέναι, δεσμώτῃ τε καὶ ἐπ᾽ ἀγγελίᾳ θανάτου καίσαρος συνδιητᾶσθαι μετὰ χάρματος, ἀπωθεῖται τὸν Ἀγρίππαν τοῦ κλινιδίου. καὶ ἤπου φησὶν λήσειν με ὑπονοεῖς θάνατον τοῦ αὐτοκράτορος καταψευσάμενος, ἀλλ᾽ οὐ κεφαλῇ τῇ σῇ τὸν ἀναμαξάμενος τὸν λόγον; ταῦτα εἰπὼν, κελεύει δῆσαι τὸν Ἀγρίππαν, λελυκὼς πρότερον αὐτὸν,

φυλα-

φυλακὴν τε ἀκριβεστέραν αὐτοῦ, ἢ πρότερον καθίσταται. καὶ νύκτα μὲν ἐκείνην ὁ Ἀγρίππας, ἐν τοιούτοις ἦν κακοῖς. τῇ δὲ ὑστεραίᾳ λόγος τε πλείων ἦν κατὰ τὴν πόλιν ἰσχυριζόμενος ἐπὶ τῇ τελευτῇ τοῦ Τιβερίου, ἐθάρρουν τε οἱ ἄνθρωποι φανερῶς ἤδη θρυλεῖν. καί τινες καὶ θυσίας ἐπετέλουν, ἐπιστολαί τε ἀφίκοντο παρὰ τοῦ Γαΐου, ἡ μὲν πρὸς σύγκλητον τοῦ Τιβερίου διασαφοῦσα τὴν τελευτήν, καὶ τὴν αὐτοῦ παράληψιν τῆς ἡγεμονίας γενομένην. ἡ δέ, πρὸς Πίσωνα τὸν φύλακα τῆς πόλεως τοῦτό τε ἀγορεύουσα, καὶ τὸν Ἀγρίππαν ἐκέλευσεν ἐκ τοῦ στρατοπέδου μεταστῆσαι εἰς τὴν οἰκίαν ἐν ᾗ πρότερον ἢ δεθῆναι δίαιταν εἶχεν. ὥστε ἐν θάρσει λοιπὸν ἦγε τὰ περὶ αὐτόν. φυλακὴ μὲν γὰρ τήρησις ἦν, μετὰ μέντοι ἀνέσεως τῆς εἰς τὴν δίαιταν. Γάιος δὲ ὡς ἐπὶ Ῥώμην παρῆν, ἄγων τοῦ Τιβερίου τὸ σῶμα, ταφάς τε αὐτοῦ ποιεῖται πολυτελεῖς νόμοις τοῖς πατρίοις, Ἀγρίππαν δὲ αὐθημερὸν λύειν ὄντα πρόθυμον, κώλυμα Ἀντωνία ἦν, οὐ μίσει τοῦ πρὸς τὸν δεδεμένον, προμηθείᾳ δὲ τοῦ Γαΐου εὐπρεπείας, μὴ δόξαν ἀπενέγκοιτο ἡδονῇ δεχομένου τὴν Τιβερίου μετάστασιν, ἄνδρα ὑπ᾽ ἐκείνου δεδεμένον λύων ἐκ τοῦ ὀξέος. διελθουσῶν μέντοι οὐ πολλῶν ἡμερῶν, μεταπεμψάμενος αὐτὸν εἰς τὸν οἶκον, ἀποκείρει τε αὐτόν, καὶ μεταμφιέννυσι. εἶτα δὲ τὸ διάδημα περιτίθησι τῇ κεφαλῇ, καὶ βασιλέα καθίστησιν αὐτὸν τῆς Φιλίππου τετραρχίας, δωρησάμενος αὐτῷ καὶ τὴν Λυσανίου τετραρχίαν, ἀλλάττει τε τῇ σιδηρᾷ ἁλύσει χρυσῆν ἰσόσταθμον, ἵππαρχην δὲ ἐπὶ τῆς Ἰουδαίας, ἐκπέμπει Μάρυλλον. δευτέρῳ δὲ ἔτει τῆς Γαΐου καίσαρος ἡγεμονίας, Ἀγρίππας ἠξίου συγχώρησιν αὐτῷ γενέσθαι πλεύσαντι, τὴν τε ἀρχὴν καταστήσασθαι, καὶ τὰ ἄλλα εἰς δέον οἰκονομησάμενος ἐπανιέναι. καὶ συγχωροῦντος τοῦ αὐτοκράτορος παρῆν, παρ᾽ ἐλπίδας τε ὤφθη πᾶσι βασιλεύς, πολλήν τε τῆς τύχης ἐπεδείκνυεν ἐπὶ τοῖς ἀνθρώποις τὴν ἐξουσίαν τοῖς θεωροῦσιν ἐκ λογισμοῦ ἀπορίας τε τῆς πρότερον καὶ τῆς ἐν τῷ παρόντι εὐδαίμονος. καὶ οἱ μὲν ἐμακάριζον τοῦ μὴ διαμαρτίᾳ χρησαμένου τῶν ἐλπίδων. οἱ δὲ ἐν ἀπιστίᾳ περὶ τῶν γεγονότων ἦσαν.

& accuratiùs in posterum custodiri eum imperat: totámque eam noctem in his malis Agrippa exegit. postera verò die rumor de Tiberij morte increbruit, palàm id iactantibus hominibus, quibusdam etiam sacra hac de causa facientibus: móxque allatæ sunt à Caio binæ literæ, alteræ, quibus senatui significabat successisse se in defuncti imperium: alteræ ad Pisonem vrbi præfectum, idem indicantes, mandantésque vt Agrippam è castris dimissum restitueret in id quod antè habitauerat domicilium. quapropter bono animo vixit postea: nam licèt custodiretur, tamen suo victitabat arbitrio. Cæterùm Caius Romam reuersus, Tiberij simul corpus referens, more solenni funus celebrauit sumptuosissimè: & cũ vellet Agrippam eadem die solutum dimittere, monitu Antoniæ supersedit: non quòd ea malè vellet homini, sed negabat decoram hanc festinationem, ne videretur hoc odio Tiberij facere, si confestim solueret quẽ ille vinxerat. elapsis tamen non multis diebus, accersitum ad se domum tonderi, vestémque mutare præcipit. imposito deinde in eius caput diademate, tetrarchiæ quæ Philippi fuerat, regem constituit, adiecta Lysaniæ quoque tetrarchia, & pro ferrea catena dedit auream pari pondere. in Iudæam autem Marullum misit præsidem. Altero deinde anno principatus Caij Cæsaris Agrippa petiit veniam nauigandi in suum regnum ordinandi eius gratia, reuersurum se hoc peracto pollicitus. Quod vbi imperator annuit, præter omnium spem rex apparuit, insigni exemplo quanta sit in rebus humanis fortunæ potentia, reputatione præsẽtis felicitatis & egestatis pristinæ. & alij quidem beatum prædicabant, qui spes suas secutus esset pertinaciter, alij vix credebant tãtam felicitatem hominis.

Κεφάλαιον ιη'.

Ὡς Ἡρώδης τετράρχης ἐξωρίσθη.

Ἡρωδιὰς δὲ ἡ ἀδελφὴ τοῦ Ἀγρίππα συνοικοῦσα Ἡρώδῃ, τετράρχης δὲ οὗτος ἦν Γαλιλαίας, καὶ Περαίας, φθόνῳ τἀδελφοῦ τὴν ἐξουσίαν ἐδέχετο, ὁρῶσα ἐν πολὺ μείζονι ἀξιώματι γεγενημένον ἀνδρὸς τοῦ αὐτῆς, διὰ τὸ φυγῇ μὲν τότε ποιήσασθαι τὴν ἔξοδον, διαλῦσαι τὰ χρέα μὴ δυνάμενον, κάθοδον δὲ μετ᾽ ἀξιώματος, καὶ οὕτως πολλοῦ τοῦ εὐδαίμονος. ἐλυπεῖτο δὲ καὶ βαρέως ἔφερεν τῇ ἐπὶ τοσοῦτον μεταβολῇ, καὶ μάλιστα ὁπότε θεάσαιτο μετὰ τῶν εἰωθότων παρασήμων τῆς βασιλείας ἐπιφοιτῶντα τοῖς πλήθεσι, ἐπικρύπτεσθαι οὐκ ἠνείχετο τὴν δυστυχίαν τοῦ φθόνου, ἀλλὰ τὸν ἄνδρα ἐξῆρεν, κελεύουσα ἐπὶ τῆς Ῥώμης πλεῖν ἐπὶ μνηστείᾳ τῶν ἴσων. οὐ γὰρ ἀνεκτὸν εἶναι φησὶ τὸ ζῆν, εἰ Ἀγρίππας Ἀριστοβούλου μὲν υἱὸς ὤν, θανεῖν ὑπὸ τοῦ πατρὸς κατεγνωσμένου, πενίᾳ δὲ ἀπόρῳ συνών, ὡς τελέως αὐτῷ ἐπικουφίζεσθαι τἀναγκαῖα τοῦ ἐφ᾽ ἡμέρας, φυγῇ δὲ τῶν δεδανεικότων τὸν πλοῦν πεποιημένος ἐπανεληλύθοι βασιλεύς, αὐτὸς δέ γε ὢν παῖς βασιλέως, καὶ τοῦ συγγενοῦς τῆς ἀρχῆς καλοῦντος αὐτὸν ἐπὶ μεταποιήσει τῶν ἴσων, καθέζοιτο ἀγαπῶν ἐν ἰδιωτείᾳ διαβιοῦν. ἀλλ᾽ εἰ καὶ πρότερόν γε,

Cap. IX.

Quomodo Herodes tetrarcha in exilium missus est.

Herodias autem Agrippæ soror, nupta Herodi tetrarchæ Galilææ atque Perææ, inuidebat fratri hanc potentiam, quem in celsiore quàm maritum cerneret fastigio: vrebat eam nimirum, quòd qui profugerat non valens debita dissoluere, tum reuersus erat auctus dignitate ac fortuna tam splendida: háncque mutationem iniquissimo ferebat animo, præsertim quoties illum videret ornatum regiis insignibus per turbas inuehi: adeóque non poterat imperare suis affectionibus, vt maritum assiduis hortatibus ad similia speranda, & suscepta trãsmarina peregrinatione apud vrbem ambienda erigeret: negãs sibi vitam ferendã diutiꝰ, si Agrippa Aristobuli à patre supplicio traditi filius, & ob extremã inopiã metu creditorũ profugus, reuersꝰ regno fruatur: ipse verò filiꝰ regis, & à cognatis ad regnũ inuitatꝰ, per desidiã nihil tale affectaret, priuata vita cõtẽtꝰ. Atqui marite mi, inquit, si tibi antehac

molestum non fuit, in minore quàm olim pater dignitate agere, nunc saltem honorem familiæ debitum appete. neque ferendum puta existimatione cedere viro, qui tuis quondã sustentatus sit opibus: neq; per tuã patiatis ignauiã, vt ille videatur plus in paupertate superfuisse ad quærendam ampliorem fortunam industriæ, quàm tibi in tam opimis facultatibus: quasi non pudendum sit te nunc ab eo secundum censeri, qui paulo antè nisi tua misericordia non potuit viuere. Ergo Romam camus non parcentes nec labori, nec auri argentíve impendiis, quandoquidem non tam hæc seruare sit optabile, quàm parando regno insumere. at ille resistebat aliquandiu quietis amore, & suspecta habens Romana negotia: conabatúrque eam in diuersam sententiam traducere. mulier contrà quanto magis eum tergiuersari videbat, tanto vrgebat improbius, nihil non tentandum censens regni cupidine: nec priùs destitit quàm mariti extorqueret cõsensum, non valentis aliàs eius importunitatem excutere. itaque sine parsimonia facto apparatu exquisitissimo, vnà cum Herodiade Romam proficiscitur. Agrippa porrò cognita eorum mente ac apparatu, ipse quoque se accinxit ad resistendum: & quamprimùm eos è portu soluisse didicit, etiam ipse Romam misit Fortunatum suum libertum ad imperatorem cum muneribus, & literis scriptis contra Herodem: simúlque mandauit, vt per occasionem amplius cum principe super hoc negotio dissereret. Qui subsecutus Herodem, & secunda nauigatione vsus, tantum modò à tergo relictus est, quòd tum primùm ad Cæsarem admisso superuenit, literásque reddidit. vterque enim Puteolos appulit, & Caius tum fortè apud Baias repertus est: id oppidulum est Campaniæ, quinque fermè stadiis à Puteolis dissitum: vbi palatia sunt splendidissima, dum imperatorum quisque superiorem vincere contendit magnificentia: iuuitantibus eò lauacris calidis sponte è terra scaturientibus, tam ad sartiendam corporum valetudinem, quàm ad animos otio relaxandos commodis. Itaque Caius simul ab Herode salutatus est, priorem enim eum admiserat: simul Agrippæ perlegit literas, accusantes Herodem, quod prius cum Seiano conspirasset in Tiberium, & nunc iterum Artabano Partho faueret contra Caij nouum imperium. argumento erat ipsius tetrarchæ apparatus, qui in armamentariis suis haberet tantum armorum, quantum instruendis virorum septuaginta millibus sufficeret. Quare Cæsar commotus, percontatus est Herodem, veráne essent quæ nunciarentur de armorum numero. quo annuente, neque enim vera negare poterat: satis approbatam putans defectionem, ademptam illi tetrarchiam ad Agrippæ regnũ adiecit, pecuniã quoq; eius donans Agrippę indicit: Herodem verò perpetuò damnauit exilio apud Lugdunum vrbem Galliæ. Cognito deinde sororem Agrippæ esse Herodiadem, pecuniam ei propriam concessit: & ratus non libenter fore marito calamitatis sociã, in Agrippæ gratiã se illi

Ἡρώδη, μηδὲν ἐλύπει σε τὸ ἐν ἐλάσσονι τιμῇ πατρὸς οὗ γέγονας εἶναι, νῦν γοῦν ὀρέχθητι συγγενοῦς ἀξιώματος. μηδὲ ὑπομένε ἡσσᾶσθαι προύχοντι τιμῆς ἀνδρὶ, πλοῦτον τεθεραπευκότι τὸν σὸν, μηδὲ πενίαν ἀποφήνῃς τὴν ἐκείνου, τῆς ἡμετέρας εὐπορίας ἀρετῇ μᾶλλον χρῆσθαι δυναμένην, μηδὲ δ' εὐπρεπὲς ἀεὶ ἐπαισχύνου ἥσσω τῶν χθὲς καὶ πρώην ἐλέῳ τῷ σῷ διαβεβιωκότων. ἀλλ' ἐπὶ τῆς Ῥώμης ἴωμεν, καὶ μήτε πόνου φειδωτὴς ἔσο, μήτε ἀργυρίου δαπάνης καὶ χρυσίου, διὰ τὸ μὴ ἐπ' οὐδαμινοῖς ἐν βελτίοσιν γενέσθαι τήρησιν, αὐτῶν ἀναλώσεως τῆς ἐπὶ κτήσει βασιλείας ἐσομένης. ὁ δὲ τέως μὲν ἀπεμάχετο ἀγαπῶν τὴν ἡσυχίαν, καὶ τὸν τῆς Ῥώμης ὄχλον δι' ὑποψίας λαμβάνων, ἀναδιδάσκειν τε αὐτὴν ἐπειρᾶτο. ἡ δ' ἐφ' ὅσον ἐξαναχωροῦντα ἑώρα, μειζόνως ἐπέκειτο κελεύουσα, μὴ ἀνιέναι πάντα πράσσειν ἐπὶ τῇ βασιλείᾳ. καὶ πέρας οὐκ ἀνῆκεν, ἕως ἐξενίκησεν αὐτὸν ὁμογνώμονα αὐτῇ ἀκουσίως γενέσθαι, διὰ τὸ μὴ εἶναι ἄλλως ἀποφυγεῖν αὐτῆς τὸ ἐπὶ τοιούτοις ψηφισάμενον. παρασκευασάμενός τε ὡς ἐνῆν πολυτελῶς, καὶ φειδοῖ μηδενὸς χρώμενος, ἀνῄει ἐπὶ τῆς Ῥώμης, ἅμα δὲ καὶ τὴν Ἡρωδιάδα ἀγόμενος. Ἀγρίππας δὲ τήν τε διάνοιαν αὐτῶν, καὶ τὴν παρασκευὴν αἰσθανόμενος, καὶ αὐτὸς παρεσκευάζετο. ἐπεί τε ἐκπεπλευκότας ἀκούει, πέμπει καὶ αὐτὸς ἐπὶ τῆς Ῥώμης Φορτουνᾶτον αὐτοῦ τῶν ἀπελευθέρων, δῶρά τε κομίζοντα τῷ αὐτοκράτορι, καὶ ἐπιστολὰς κατὰ τοῦ Ἡρώδου, τάδε καὶ αὐτὸν διδάξοντα εἰ καιρὸς τὸν Γάιον. ὁ δὲ ἐπαναχθεὶς τοῖς ἀμφὶ τὸν Ἡρώδην, καὶ δεξιᾷ χρησάμενος τῷ πλῷ, τοσόνδε ἀπελείπετο τοῦ Ἡρώδου, ὥς τε τὸν μὲν ἐντυχεῖν Γαΐῳ, ὁ δὲ ἐπικατάγεται, καὶ τὰς ἐπιστολὰς ἀπεδίδου. καὶ προσεπεπλεύκεσαν ἀμφότεροι Δικαιαρχίᾳ, καὶ τὸν Γάιον ἐν Βαΐαις λαμβάνουσιν, πολίχνιον δ' ἐστὶ καὶ τοῦτο τῆς Καμπανίας, ὅσον ἀπὸ σταδίων πέντε τῆς Δικαιαρχίας κείμενον, βασίλειοί τέ εἰσιν οἰκήσεις αὐτόθι πολυτελέσι κεχρημέναι κατασκευαῖς, φιλοτιμηθέντος τῶν αὐτοκρατόρων ἑκάστου προγενομένους ὑπερβάλλεσθαι, λουτρά τε παρέχεται τὸ χωρίον θερμὰ γῆθεν αὐτόματα ἀνιέντα, ἀγαθὰ ἐπί τε ἰάσει τοῖς χρωμένοις, καὶ ἄλλως τῷ ἀειμένῳ τῆς διαίτης συμφέροντα. Γάιος δὲ ἅμα τε προσαγορεύων τὸν Ἡρώδην, πρῶτον δὲ αὐτῷ ἐνετύγχανεν, ἅμα τε τοῦ Ἀγρίππου τὰς ἐπιστολὰς ἐπιὼν, ἐπὶ τῇ κατηγορίᾳ τῇ ἐκείνου συγκειμένας, κατηγόρει δὲ αὐτοῦ ὁμολογίαν τε πρὸς Σηιανὸν κατὰ τῆς Τιβερίου ἀρχῆς, καὶ πρὸς Ἀρτάβανον τὸν Πάρθον ἐπὶ τοῦ παρόντος κατὰ τῆς Γαΐου ἀρχῆς. παράδειγμά τε ἦν αὐτῷ τοῦ λόγου μυριάσιν ἑπτὰ ὁπλιτῶν ἀρκέσουσα κατασκευὴ ἐν ταῖς Ἡρώδου ὁπλοθήκαις ἀποκειμένη. ἐκινεῖτό τε ὑπὸ τῶν εἰρημένων, καὶ ἤρετο τὸν Ἡρώδην, εἰ ἀληθὴς ὁ περὶ τῶν ὅπλων λόγος. τοῦ δὲ, οὐ γὰρ ἦν ἕτερα εἰπεῖν διὰ τὸ ἀντιφθέγξασθαι ἀλήθειαν, εἰπόντος εἶναι τὰ ὅπλα, πιστὰ ἡγούμενος εἶναι τὰ ἐπὶ τῇ ἀποστάσει κατηγορούμενα, τὴν τετραρχίαν ἀφελόμενος αὐτὸν, προσθήκην τῇ Ἀγρίππου βασιλείᾳ ποιεῖται, καὶ τὰ χρήματα ὁμοίως τῷ Ἀγρίππᾳ δίδωσιν, αὐτόν τε φυγῇ ἀιδίῳ ἐζημίωσεν, ἀποδείξας οἰκητήριον αὐτῷ Λούγδουνον πόλιν τῆς Γαλλίας. Ἡρωδιάδα δὲ μαθὼν Ἀγρίππου ἀδελφὴν οὖσαν, τά τε χρήματα ἐδίδου ὁπόσα ἐκείνης ἴδια ἦν, καὶ τῷ μὴ κοινωνεῖν νομίσας τῷ ἀνδρὶ τῆς συμφορᾶς, τεῖχος αὐτῇ

τὸν

τὸν ἀδελφὸν ἔλεγεν. ἡ δὲ, ἀλλὰ σὺ μὲν αὐτοκράτωρ εἶπεν μεγαλοφρόνως τε καὶ ἀξιώματι τῷ σεαυτοῦ πρεπόντως τάδε λέγεις, κώλυμα δέ μοι ἐστὶν χρῆσθαι τῇ χάριτι τῆς δωρεᾶς εὔνοια ἡ πρὸς τὸν γεγαμηκότα, ᾧ κοινωνὸν με τῆς εὐδαιμονίας γενομένην, οὐ δίκαιον ἐγκαταλιπεῖν τὸ ἐπὶ τῆς τύχαις καθιστάμενον. ὁ δὲ ὀργὴν τοῦ μεγαλόφρονος αὐτῆς ποιησάμενος, συνήλαυνεν καὶ αὐτὴν τῷ ἡρώδῃ, καὶ τὴν οὐσίαν αὐτῆς τῷ ἀγρίππᾳ δίδωσιν. ἡρωδιάδι μὲν δὴ φθόνου τοῦ πρὸς τὸν ἀδελφὸν, καὶ ἡρώδῃ γυναικείων ἀκροασαμένῳ κουφολογιῶν, δίκην ταύτην ἐπετίμησεν ὁ θεός. γάϊος δὲ τὸν μὲν πρῶτον ἐνιαυτὸν, καὶ τὸν ἑξῆς, πάνυ μεγαλοφρόνως ἐχρῆτο τοῖς πράγμασιν, καὶ μέτριον παρέχων αὐτὸν, εἰς εὔνοιαν προὐχώρει, παρά τε ῥωμαίοις αὐτοῖς καὶ τοῖς ὑπηκόοις. προϊὼν δὲ ἐξίστατο τοῦ ἀνθρωπίνως φρονεῖν ὑπὸ μεγέθους τῆς ἀρχῆς ἐκθειάζων αὐτὸν, καὶ τὰ πάντα ἐπ' ἀτιμίᾳ τοῦ θείου πολιτεύειν ἦρτο.

parſurum promiſit. ad hæc illa: Tu quidem Imperator, vt tua maieſtate dignum eſt loqueris: ſed mihi coniugalis amor impedimento eſt quo minùs fruar hac indulgentia. non enim æquum cenſeo, vt cui ſecundæ fortunæ fui ſocia, eum nunc in aduerſa deſeram. at ille indignè ferens tam excelſum animum in fœmina, ipſam quoque cum Herode expulit, & bona eius Agrippæ largitus eſt. atque hæc fuit vindicta quam Deus intulit tum Herodiadi fratris ſucceſſus inuidè ferenti, tum Herodi ad obſequendum vaniloquentiæ vxoris nimis facili. Caius porrò primo ac ſequenti ſui principatus anno rempub. adminiſtrauit egregiè: moderatéque ſe gerens, & Romanorum ſibi fauorem conciliauit & prouincialium, procedente verò tempore inflatus potentiæ magnitudine, oblitus eſt ſe eſſe hominem, & contumelioſus in ſuperos, ad reliquam inſaniam diuinos etiam honores vſurpare auſus eſt.

Κεφάλαιον ι'.

Στάσις τῶν ἐν ἀλεξανδρείᾳ ἰουδαίων καὶ ἑλλήνων.

Καὶ δὴ στάσεως ἐν ἀλεξανδρείᾳ γενομένης, ἰουδαίων τε οἳ ἐνοικοῦσι καὶ ἑλλήνων, τρεῖς ἀφ' ἑκατέρας στάσεως πρεσβευταὶ αἱρεθέντες παρῆσαν ὡς τὸν γάϊον. καὶ ἦν γὰρ τῶν ἀλεξανδρέων πρέσβεων εἷς ἀπίων, ὃς πολλὰ εἰς τοὺς ἰουδαίους ἐβλασφήμησεν, ἄλλα τε λέγων, καὶ ὡς τῶν καίσαρος τιμῶν περιορῷεν. πάντων γοῦν ὁπόσοι τῇ ῥωμαίων ἀρχῇ ὑποτελεῖς εἶεν, βωμοὺς τῷ γαΐῳ καὶ νεὼς ἱδρυμένων, τά τε ἄλλα πᾶσιν αὐτὸν ὥσπερ τοὺς θεοὺς δεχομένων, μόνους τούσδε ἄδοξον ἡγήσασθαι ἀνδριᾶσι τιμᾶν, καὶ ὅρκιον αὐτοῦ τὸ ὄνομα ποιεῖσθαι. πολλὰ δὲ καὶ χαλεπὰ ἀπίωνος εἰρηκότος, ὑφ' ὧν ἀρθῆναι ἤλπιζεν τὸν γάϊον, καὶ εἰκὸς ἦν, φίλων ὁ προεστὼς τῶν ἰουδαίων τῆς πρεσβείας ἀνὴρ τὰ πάντα ἔνδοξος, ἀλεξάνδρου δὲ τοῦ ἀλαβάρχου ἀδελφὸς ὢν, καὶ φιλοσοφίας οὐκ ἄπειρος, οἷός τε ἦν ἐπ' ἀπολογίᾳ χωρεῖν τῶν κατηγορημένων. διακλείει δὲ αὐτὸν γάϊος κελεύσας ἐκποδὼν ἀπελθεῖν, περιοργής τε ὢν, φανερὸς ἦν ἐργασόμενός τι δεινὸν αὐτούς. ὁ δὲ φίλων ἔξεισιν περιυβρισμένος, καὶ φησὶ πρὸς τοὺς ἰουδαίους, οἳ περὶ αὐτὸν ἦσαν, ὡς χρὴ θαρρεῖν γαΐου λόγῳ μὲν αὐτοῖς ὠργισμένου, ἔργῳ δὲ ἤδη τὸν θεὸν ἀντιπαρεξάγοντος.

CAP. X.

Iudæorum & Græcorum apud Alexandriam ſeditio.

Cvmque inter Iudæos & Græcos Alexandriam habitantes exorta eſſet ſeditio, terni ab vtraque parte legati delecti ad Caium miſſi ſunt. Apion verò Alexandrinorum legationis princeps multa in Iudæos iactauit crimina, intérque cætera quòd Cæſarem non proſequerentur debitis honoribus. nã cùm quàm latè patet orbis Romanus Caio extruãtur templa & altaria, & pari honore colatur cum cæteris numinibus, ſolos iſtos turpe putare dedicare illi ſtatuas, aut iurare per nomen Cæſaris. Hic acerbè inuecto Apione, multíſque aliis quæ ad exaſperandum Caium facerent, Philo è Iudæorum legatis potior, vir per omnia clariſſimus, Alexandri Alabarchæ frater, & non imperitus philoſophiæ, parabat cauſam ſuæ gentis agere. Sed repulſus eſt à Cæſare iubente illum abire, & per iracundiam vix temperante ab iniuria. quapropter eiectus conuitio, verſus ad Iudæos aſſectatores, Nunc, inquit, oportet bono eſſe animo, quando Caius iratus eſt, nunc enim Deus nobis contra illum aderit.

Κεφάλαιον ια'.

Ὡς γάϊος πέμπει πετρώνιον εἰς συρίαν πολεμῆσαι ἰουδαίοις, ἐὰν μὴ θέλωσι δέξασθαι αὐτοῦ τὸν ἀνδριάντα.

Γάϊος δὲ ἐν δεινῷ φέρων εἰς τοσόνδε ὑπὸ ἰουδαίων περιωφθαι μόνων πρεσβευτὴν ἐπὶ συρίας ἐκπέμπει πετρώνιον, διάδοχον οὐιτελλίῳ τῆς ἀρχῆς, κελεύων χειρὶ πολλῇ εἰσβάλλοντι εἰς τὴν ἰουδαίαν, εἰ μὲν ἑκόντες δέχονται, ἱστᾶν αὐτοῦ ἀνδριάντα ἐν τῷ ναῷ τοῦ θεοῦ. εἰ δὲ ἀγνωμοσύνῃ χρῶντο, πολέμῳ κρατήσαντα τοῦτο ποιεῖν. καὶ πετρώνιος συρίαν παραλαβὼν, ἠπείγετο διακονεῖσθαι ταῖς ἐπιστολαῖς τοῦ καίσαρος. συμμαχίαν δὲ πλείστην ὅσην ἠδύνατο ἀθροίσας, καὶ τάγματα δύο τῆς ῥωμαίων δυνάμεως ἄγων, ἐπὶ πτολεμαΐδος παρῆν αὐτόθι χειμάζων, ὡς πρὸς ἔαρ τοῦ πολεμεῖν οὐκ ἀφεξόμενος, καὶ πρὸς τὸν γάϊον ἔγραφεν περὶ τῶν ἐπεγνωσμένων. ὁ δὲ ἐπῄνει τῆς προθυμίας αὐτὸν, καὶ ἐκέλευεν μὴ ἀνιέναι, πολεμεῖν δὲ μὴ πειθομένοις ἐντεταλμένοις. ἰουδαίων δὲ

CAP. XI.

Caius in Syriam mittit Petronium iuſſum Iudæis bellum inferre, niſi malint recipere ipſius ſtatuam.

Caius porrò indignè ferens à ſolis Iudæis ita ſe deſpici, legatum in Syriam mittit Petronium ſucceſſurum Vitellio: iubétque vt cum valido exercitu inuadat Iudæam: & ſi ſpõte id admittant, ſtatuam eius in templo Dei collocet. quòd ſi detrectent, bello deuictos imperata facere adigat. is aſſumpta adminiſtratione rerum Syriæ, dedit operam, vt exequerentur mandata Cæſaris: contractíſque quantum poterat auxiliis, cum duabus Romanis legionibus hybernauit apud Ptolemaidẽ, primo vere bellum illaturus: quod & Caio ſignificauit per literas. qui collaudata eius induſtria, hortatus eſt eum ad agendum gnauiter, & frangendam bello gentis contumaciam. Interim Iudæorum

multa millia venerunt Ptolemaidem ad Petronium, deprecaturi ne quid facere cogerentur contra leges patrias. Quòd si omnino decretum sit statuam in fano ponere, ipsos primùm interficeret, ac tum demum suo arbitratu rem perageret. nam quantisper superessent, non posse ferre violari legislatoris sui decreta, tot retro seculis obseruata ab optimis patribus. Ad hæc Petronius commotior, Hæc, inquit, quæ affertis, fortè valerent apud me aliquid, si meis ipsius consiliis & auspiciis rem gererem: nunc necesse est me subseruire decretis Cæsaris, quibus contrauenire impunè non licet. Ad hæc Iudæi, Si tibi Petroni certum est à præscripto Caij non discedere, neque nos transgrediemur legis nostræ mandata, freti diuina potentia, & maiorum nostrorum virtutis æmuli. neque enim sumus adeo pusillanimes, vt quę nobis cæleste numen imperauit proposito felicitatis præmio, ea præuaricemur intempestiua vitæ cupidine. quapropter feremus fortunam quamlibet, dummodo patriæ legis religio maneat incolumis: & parati sumus subire pericula, sperantes Deum nobis non defore, propter cuius honorem non reformidamus ancipitem fortunæ aleam. Hoc malumus quàm tibi per ignauiam parendo incurrere perpetuam ignominiam, simúlque ob neglectas leges indignationem numinis, cuius vel te iudice potior quàm Caij habenda est ratio. Ibi Petronius animaduertens eorum obstinatam peruicaciam, neque se posse sine certamine & cæde statuam dedicare Cæsaris, cum amicis & famulitio properauit Tiberiadem, vt ex propinquo meliùs res Iudæorum dispiceret. Iudæi verò magnum timentes è Romano bello periculum, sed maius ex violatis legibus, iterum multorum millium numero occurrunt Petronio Tiberiadem, supplicantes ne se ad eam necessitatem cogeret, néve sacratam vrbem pollueret vetitis imaginibus. Tum Petronius: Pugnabitis igitur cum Cæsare, nec illius opes, nec vestram imbecillitatem adhibentes in consilium? Non pugnabimus, inquiunt, sed moriemur citiùs, quàm discedamus à legibus. simúlque procumbentes ac nudantes iugulos, paratos se aiebant ad excipiendos gladios. atque hoc pacto perduratum est per quadraginta dies continuos, neglectis interim agriculturæ operibus cùm maximè sementis essent tempora: quandoquidem certissimum illis erat propositum, mortem potiùs quàm statuam illam admittere. In hoc rerum statu Aristobulus Agrippæ regis frater, & Elcias Magnus cognomine, cum optimatibus cæteris eius familiæ, Iudæorúmque primatibus accedunt Petronium, rogantes, vt consideraret obstinationem populi, néve illis desperandi ansam præberet, quin potiùs Caio scribat quanta peruicacia reclametur dedicationi

πολλαὶ μυριάδες παρῆσαν ὡς τὸν πετρώνιον εἰς πτολεμαΐδα κατὰ δεήσεις, καὶ μηδὲν ἐπὶ παρανομίᾳ σφᾶς ἐπαναγκάζειν, παραβάσει τῶν πατρίων. εἰ δέ σοι πάντως πρόκειται τὸν ἀνδριάντα φέρειν, καὶ ἱστᾶν, ἡμᾶς αὐτοὺς πρότερον μεταχειρισάμενος, πρᾶσσε τὰ δεδογμένα. οὐ γὰρ ἂν δυναίμεθα περιόντες συγχωρεῖν πράγματα ἡμῖν ἀπηγορευμένα, ἀξιώματί τε τοῦ νομοθέτου καὶ προπατόρων τῶν ἡμετέρων, εἰς ἀρετὴν ἀνήκειν αὐτὰ κεχειροτονηκότων. πετρώνιος δὲ ὀργὴν λαβὼν, εἶπεν. ἀλλ' εἰ μὲν αὐτοκράτωρ ὢν βουλεύμασι χρῆσθαι τοῖς ἐμαυτοῦ, τάδε πράσσειν ἐπενόουν, κἂν δίκαιος ἦν ὑμῖν πρὸς με ὁ λόγος εἶναι. νῦν δέ μοι καίσαρος ἐπεσταλκότος, πᾶσα ἀνάγκη διακονεῖσθαι τοῖς ἐκείνῳ προαναψηφισμένοις, διὰ τὸ εἰς ἀνηκεστοτέραν φέρειν ζημίαν τὴν παράβασιν αὐτῶν. ἐπεὶ τοίνυν οὕτω φρονεῖς ὦ πετρώνιε, φασὶν οἱ ἰουδαῖοι, ὡς μὴ ἂν ἐπιστολὰς τὰς γαΐου παρελθεῖν, οὐδ' ἂν αὐτοὶ παραβαίημεν τοῦ νόμου τὴν προαγόρευσιν, θεοῦ πεισθέντες ἀρετῇ καὶ προγόνων πόνοις τῶν ἡμετέρων εἰς νῦν ἀπαράβατοι μεμενηκότες, οὐδ' ἂν τολμήσαιμεν ἐπὶ τοσοῦτον κακοὶ γενέσθαι, ὥστε ὁπόσα ἐκείνῳ δόξειε μὴ πρασσόμενα ἀγαθοῦ ῥοπὴν ἡμῖν φέρειν, αὐτοὶ παραβαίνειν ποτ' ἂν θάνατον φοβηθέντες. ὑπομενοῦμεν δὲ εἰς τύχας ἰόντες, ἐπὶ φυλακῇ τε πατρίῳ, καὶ κινδυνεύειν προτεθειμένοις ἐλπίδα οὖσαν ἐξεπιστάμενοι κἂν περιγενέσθαι, διά τε τοῦ θεοῦ τὸ στησόμενον μεθ' ἡμῶν, ἐπὶ τιμῇ τε τῇ ἐκείνου τὰ δεινὰ ὑποδεχομένων, καὶ τῆς τύχης τὸ ἐπ' ἀμφότερα φιλοῦν τοῖς πράγμασι παρατυγχάνειν. ἐκ δὲ τοῦ σοὶ πείθεσθαι, πολλὴν μὲν λοιδορίαν τῆς ἀνάνδρου προσκεισομένην, ὡς δι' αὐτὸ παράβασιν τοῦ νόμου προσποιουμένοις, καὶ ἅμα πολλὴν ὀργὴν τοῦ θεοῦ, ὃς καὶ παρὰ σοὶ δικαστῇ γένοιτο ἂν βελτίων γαΐου. καὶ ὁ πετρώνιος ἐκ τῶν λόγων θεασάμενος δυσκίνητον αὐτῶν τὸ φρονοῦν, καὶ μὴ ἂν ἀμαχὶ δύναμιν αὐτῷ παραγενέσθαι διακονίσασθαι τῷ γαΐῳ τὴν ἀνάθεσιν τοῦ ἀνδριάντος, πολὺν δὲ ἔσεσθαι φόνον, τούς τε φίλους ἀναλαβὼν, καὶ θεραπείαν ἣ περὶ αὐτὸν ἦν, ἐπὶ τιβεριάδος ἠπείγετο χρῄζων κατανοῆσαι τῶν ἰουδαίων τὰ πράγματα ὡς ἔχοι. καὶ ἰουδαῖοι μέγαν ἡγούμενοι τὸν ἐκ τοῦ πρὸς ῥωμαίους πολέμου κίνδυνον, πολὺ μείζονα δὲ κρίνοντες τὸν ἐκ τοῦ παρανομεῖν, αὖθις πολλαὶ μυριάδες ὑπηντίαζον πετρώνιον εἰς τὴν τιβεριάδα γενόμενον, καὶ ἱκετείᾳ χρώμενοι μηδαμῶς εἰς ἀνάγκας τοιαύτας αὐτοὺς καθιστᾶν, μηδὲ μιαίνειν ἀνδριάντος ἀναθέσει τὴν πόλιν. πολεμήσετε ἄρα καίσαρι, πετρώνιος ἔφη, μήτε τὴν ἐκείνου παρασκευὴν λογιζόμενοι, μήτε τὴν ἡμετέραν ἀσθένειαν; οἱ δ' οὐδαμῶς πολεμήσαιμεν ἔφασαν, τεθνηξόμεθα δὲ πρότερον ἢ παραβῆναι τοὺς νόμους. ἐπί τε τὰ πρόσωπα κείμενοι, καὶ τὰς σφαγὰς προδεικνύντες, ἕτοιμοι κτιννύεσθαι ἔλεγον εἶναι. καὶ ταῦτα ἐπράσσετο ἐπὶ ἡμέρας τεσσαράκοντα, καὶ τοῦ γεωργεῖν ἀπειρόπολοι λοιπὸν ἦσαν, καὶ ταῦτα τῆς ὥρας οὔσης πρὸς σπόρῳ, πολλή τε ἦν προαίρεσις αὐτοῖς, καὶ τοῦ θνήσκειν ἐπιθυμίας πρόθεσις, ἢ τὴν ἀνάθεσιν τοῦ ἀνδριάντος θεάσασθαι. ἐν τοιούτοις δὲ ὄντων πραγμάτων, ἀριστόβουλος ὁ ἀγρίππου τοῦ βασιλέως ἀδελφὸς, καὶ ἑλκίας ὁ μέγας, ἄλλοι τε οἱ κράτιστοι τῆσδε τῆς οἰκίας, καὶ οἱ πρῶτοι σὺν αὐτοῖς, εἰσίασιν ὡς τὸν πετρώνιον παρακαλοῦντες αὐτὸν, ἐπειδὴ τὴν προθυμίαν ὁρᾷ τοῦ πλήθους, μηδὲν εἰς ἀπόνοιαν αὐτὸ παρακινεῖν, ἀλλὰ γράφειν πρὸς γάϊον τὸ ἀνήκεστον αὐτῶν πρὸς τὴν ὑποδοχὴν

τοῦ

τοῦ ἀνδριάντος, πῶς τε ἀποστάντες τοῦ γεωργεῖν ἀντικαθέζονται, πολεμεῖν μὲν οὐ βουλόμενοι διὰ τὸ μηδ' ἂν δύνασθαι, θανεῖν δὲ ἔχοντες ἡδονὴν, πρὶν παραβῆναι τὰ νόμιμα αὐτοῖς, πῶς τε ἀσπόρου τῆς γῆς γενομένης, λῃστεῖαι ἀναφύοιντο, ἀδυναμίᾳ καταβολῆς τῶν φόρων. ἴσως γὰρ ἂν ἐπικλασθέντα τὸν Γάϊον, μηδὲν ὠμὸν διανοηθῆναι, μηδὲ ἐπ' ἀναστάσει φρονῆσαι τοῦ ἔθνους. ἐμμένοντος δὲ τῇ τότε βουλῇ τοῦ πολεμεῖν, τότε δὴ καὐτὸν ἅπτεσθαι τοῦ πράγματος. καὶ οἱ μὲν ἀμφὶ τὸν ἀριστόβουλον, ἐπὶ τούτοις πετρώνιον παρεκάλουν. πετρώνιος δὲ τοῦτο μὲν τῶν περὶ τὸν ἀριστόβουλον παντοίως ἐπικειμένων, διὰ τὸ ὑπὲρ μεγάλων ποιεῖσθαι τὴν δέησιν, καὶ πάσῃ μηχανῇ προσχρησαμένων εἰς τὰς ἱκετείας, τοῦτο δὲ τῶν ἰουδαίων θεώμενος τὴν ἀντιπαράταξιν τῆς γνώμης, καὶ δεινὸν ἡγούμενος, τοσαῖσδε μυριάσιν ἀνθρώπων μανίᾳ τῇ γαΐου διακονούμενος, ἐπαγαγὼν θάνατον ἐν αἰτίᾳ τὸ πρὸς θεὸν σεβάσμιον ἔχειν, καὶ μετὰ πονηρᾶς τὸν μετὰ ταῦτα βίον ἐλπίδος διαιτᾶσθαι, πολὺ κρεῖσσον ἡγεῖτο, ἐπιστείλας τῷ γαΐῳ τὸ ἀνήκεστον αὐτοῦ, ὀργῇ φέροντος μὴ ἐκ τοῦ ὀξέως διηκονημένου αὐτοῦ ταῖς ἐπιστολαῖς, τάχα καὶ πείσειν, καὶ τῇ τὸ πρῶτον μανίᾳ τῆς γνώμης ἐπιμένοντος, ἅψασθαι πολέμου τοῦ πρὸς αὐτούς. εἰ δ' ἄρα τι καὶ κατ' αὐτοῦ ῥέποι τῆς ὀργῆς, καλῶς ἔχειν τῆς ἀρετῆς μεταποιουμένοις, ὑπὲρ τοσῶνδε ἀνθρώπων πλήθους τελευτᾶν, ἐκεῖνον πιθανὸν ἡγεῖσθαι τὸν δεομένων τὸν λόγον. συγκαλέσας δὲ εἰς τὴν τιβεριάδα τοὺς ἰουδαίους, οἱ δὲ ἀφίκοντο πολλαὶ μυριάδες, καταστὰς ἔσω αὐτῶν τήν τε ἐν τῷ παρόντι στρατιὰν οὐ γνώμης ἀπέφηνε τῆς αὐτοῦ, τοῦ δὲ αὐτοκράτορος τῶν προσταγμάτων τὴν ὀργὴν οὐδὲν εἰς ἀναβολὰς, ἀλλ' ἐκ τοῦ παραχρῆμα ἐπιφέρεσθαι τοῖς πράγμασι τοῖς παρακεχωρῆσθαι θάρσος εἰσφερομένοις, ᾧ καλῶς ἔχειν, τόν γε τιμῆς τοσαύτης ἐπιτετυχότα συγχωρήσει τῇ ἐκείνου, οὐδὲν ἐναντίον πράσσειν. οὐ μὴν δίκαιον ἡγοῦμαι, ἀσφάλειάν τε καὶ τιμὴν τὴν ἐμαυτοῦ μὴ οὐχ ὑπὲρ τοῦ ὑμετέρου μὴ ἀπολλυμένου τοσούτων ὄντων ἀναλοῦν, διακονούμενον τῇ ἀρετῇ τοῦ νόμου, ὃν πάτριον ὄντα περιμάχητον ἡγεῖσθε. καὶ τῇ ἐπὶ πᾶσιν ἀξιώσει, καὶ δυνάμει τοῦ θεοῦ, τὸν ναὸν οὐκ ἂν περιϊδεῖν τολμήσοιμι ὕβρει πεσεῖν τῆς τῶν ἡγεμονευόντων ἐξουσίας. στέλλω δὲ ὡς γάϊον, γνώμας τε τὰς ὑμετέρας διασαφῶν, καί πῃ καὶ συνηγορίᾳ χρώμενος ὑπὲρ τοῦ καθ' ὑμᾶς παρὰ γνώμην πεισομένου, οἷς προὔθεσθε ἀγαθοῖς. καὶ συμπράσσοι μὲν ὁ θεός, βελτίων γὰρ ἀνθρωπίνης μηχανῆς καὶ δυνάμεως ἡ κατ' ἐκεῖνον ἐξουσία, πρυτανεύων ὑμῖν τε τὴν τήρησιν τῶν πατρίων, καὶ αὐτῷ τὸ μηδὲν ἀνθρωπείοις παρὰ γνώμην βουλεύσεσι τιμῶν τῶν εἰς θεῖον ἁμαρτεῖν. εἰ δ' ἐκπικρανθεὶς γάϊος εἰς ἐμὲ τρέψει τὸ ἀνήκεστον τῆς ὀργῆς, τλήσομαι πάντα κίνδυνον, καὶ πᾶσαν ταλαιπωρίαν συνιοῦσαν τῷ σώματι καὶ τῇ ψυχῇ, ὑπὲρ τοῦ μὴ ὑμᾶς τοσούσδε ὄντας ἐπὶ οὕτως ἀγαθαῖς πράξεσι διολλυμένους θεωρεῖν. ἄπιτε οὖν ἐπὶ ἔργα τὰ αὐτῶν ἕκαστοι, καὶ τῇ γῇ ἐπιπονεῖτε. πέμψω δ' αὐτὸς ἐπὶ ῥώμης, καὶ τὰ πάντα ὑπὲρ ὑμῶν δι' ἐμαυτοῦ, καὶ τῶν φίλων, οὐκ ἀποτραπήσομαι διακονεῖν. ταῦτα εἰπὼν καὶ διαλύσας τῶν ἰουδαίων τὸν σύλλογον, προμηθεῖσθαι τῶν εἰς τὴν γεωργίαν ἠξίου τοὺς ἐν τέλει, καὶ καθομιλεῖν τὸν λαὸν ἐλπίσι χρησταῖς. καὶ ὁ μὲν εὐθυμεῖν τὸ πλῆθος ἐσπούδαζεν. ὁ θεὸς δὲ, παρρησίαν ἐπιδείκνυται τὴν αὐτοῦ πετρωνίῳ,

statuæ: vtque relicto agriculturæ studio, de bello quidem nulla virium fiducia non cogitent: sed parati sint mori potiùs quàm tantam religionis labem in se admittere. ad hæc semente omissa instare latrocinia; dum non est vnde possint persolui vectigalia. fortè enim flecti posse Cæsarem ne quid sæuiùs in eam gentem statuat, néve illi rebellandi materiam præbeat. Quòd si non moueatur ab inferendi belli proposito, tum demum aggrediendum esse negotium. atque hæ fuerunt preces Aristobuli. Petronius verò partim deprecatoris respectu enixè vrgentis, & ipsius rei magnitudinis, partim contentiosi Iudæorum propositi, ratus indignum tam multa hominum millia in gratiam insanientis Caij perdere, & cæleste numen suámque ipsius conscientiam reueritus, maluit absurditatem rei per literas docere imperatorem vel suo periculo: non ignarus quàm ille esset iracundo ingenio, & ad vindicandum prono, nisi quis quàm primùm furenti morem gesserit. Sic enim existimabat, etiamsi ille non decedat de sententia, & fortasse indignationem in ipsum vertat cunctantiùs mandata exequentem: esse tamen boni viri officium, pro incolumitate insontis tam numerosi populi vel certum interitum non refugere. Ergo indicto Iudæis conuentu ad Tiberiadem, postquam adesse vidit multa millia, progressus in concionem ait expeditionem non à se vltrò susceptam, sed mandato Cæsaris: cuius executionem differri periculosum esse, propter indignationem summæ potestatis: & alioqui conueniens esse, vt ipse ab autoritate illius pendeat, per quem ad tantum dignitatis fastigium euectus sit. attamen vestræ, inquit, saluti meam securitatem aut existimationem nõ præferam, quos scio meritò pro patriis legibus contendere. imò ne mihi quidem probatur, summi Dei templum temerari principum licentia. quamobrem legatos ad Caium missurus sum, per quos cognoscat vestram irreuocabilem sententiam, quantúmque in me erit hortabor vt honestissimæ vestræ voluntati assensum suum præbeat. Deus cuius potentia superior est omnibus humanis conatibus, faxit vt & religio vestra integra ac inuiolata maneat, & ille per immodicam honoris cupiditatem nullum sibi contrahat piaculum. Quòd si offensus iram omnem in me verterit, patiar quoduis periculum, siue in corpus siue in vitam illi sæuire libeat, modò ne tam ingentem vestram multitudinem propter constantem bonam voluntatem perire videam. Abite igitur quò suum quemque vocat negotium, & terram labore vestro colite. Legationem autem ipse in vrbem missurus sum, & quicquid in rem vestram potero, tam per me agam, quàm per amicos meos & necessarios. His dictis concionem dimisit, hortatus, vt agros colerent interim, & bono essent animo. & ille quidem sic populum pro sua virili consolatus est. Deus autem manifestè ostendit Petronio suam prouidentiam,

quódque omnibus iustè atque honestè cœptis propitius faueat. Vix enim orationem finierat, cùm repente imber præter omnium opinionem decidit, nullis tam serena die signis præmonstratus, & hominibus propter diuturnam ac continuam siccitatem cælitus pluuiam penè desperantibus, etiam si nubes viderent, quæ toties spem eorum frustratæ fuerant. Quapropter terra tum præter solitum prætérque expectationem rigata largis imbribus, Iudæis spes facta est non irritas fore preces Petronij. Quin & ipse præses magis etiam obstupefactus est, euidenter cernens curæ esse Deo res Iudaicas, attestãte tam insigni prodigio, vt nemo nisi impudens posset contradicere. cúmque accuratè super hoc negotio scripsisset ad Caium, dehortans ne tam multa millia in extremam desperationem atque perniciem adduceret, neque enim nisi bello compulsos discessuros à religione patria: néve seipse mulctaret luculentis ex ea gente prouentibus, æternúmque apud eam sibi pararet improperium: id quoque adiecit, quàm carus sit Deo populus, quámque manifestis signis declaret suam erga illos beneuolentiam. Hæc Petronius. Rex autem Agrippa, qui tum fortè Romæ degebat, indies Caio reddebatur familiarior: quando etiam conuiuium tale illi exhibuit, de industria procurato apparatu sumptuosissimo, adhibitóque omni exquisitissimarum lauticiarum ac voluptatum genere, vt omnes à tergo relinqueret in hoc certamine, atque ipsum etiam Cæsarem. tantum illi studium fuit demerendi principis per omne obsequium. is demiratus eius tam animum quàm magnificentiam, qui etiam supra vires ac facultates placere sibi contenderet, volénsque cum eo certare mutuis officiis, iam vino quoque factus hilarior, Agrippam ad lætitiam prouocantem sic allocutus est: Equidem & antè expertus sum tuam beneuolentiam, quando viuo etiam tum Tiberio ne periculis quidem à me colendo deterritus es: & nunc video te modò mihi gratificeris, nulli rei parcere, ne facultatum quidem tuarum ratione habita. quare cùm turpe mihi sit à te vinci officiis, quicquid hactenus per me cessatum est iam pensabitur: tantúmq; ad pristinam meam erga te liberalitatem accedat enixè dabo operam, vt maximum ad futuram tuam felicitatẽ momentum allaturum sit. Sic ille benignè promittebat, ratus ampla latifundia postulaturum, aut vrbium aliquarum vectigalia. ille verò quamuis iam pridem preces parauerat, tamen hactenus dissimulata tũ demum per occasionẽ aperuit, dicens neque olim propter priuatum commodũ præter mandatũ Tiberij se illũ coluisse: & nunc nihil aliud captare præter ipsius gratiam. nam & priorem munificentiã vberiorem fuisse quàm vnquam spe concipere potuisset, quantumuis improba. etsi enim tu, inquit, maiora præstare valeas, meis tamen

A καὶ τὴν ἐπὶ τοῖς ὅλοις σύλληψιν. ἅμα τε γὰρ ἐπαύετο τοῦ λόγου, ὃν πρὸς τοὺς Ἰουδαίους εἶπεν, καὶ αὐτίκα ὑετὸν ἠφίει μέγαν παρ' ἐλπίδα τοῖς ἀνθρώποις γενόμενον, διὰ τὸ ἐκείνην τὴν ἡμέραν αἴθριον οὖσαν οὐδὲν ὄμβριμον ἀποσημαίνειν ἐκ τῶν περὶ τὸν οὐρανόν, καὶ τὸ πᾶν ἔτος αὐχμοῦ μεγάλῳ κατεχημένον, ἐπ' ἀπογνώσει ποιεῖν τοὺς ἀνθρώπους ὕδατος τοῦ ἄνωθεν, εἰ καὶ συννεφόν ποτε θεάσαιντο τὸν οὐρανόν. ὥς τε δὴ τότε πολλοῦ, B καὶ παρὰ τὸ εἰωθὸς, καὶ παρὰ τὸ ἑτερόδοξον ἀφιγμένου ὕδατος, τοῖς τε Ἰουδαίοις ἐλπὶς ἦν οὐδαμῶς ἀτυχήσειν Πετρώνιον ὑπὲρ αὐτῶν δεόμενον. ὁ Πετρώνιος δὲ κατεπέπληκτο μειζόνως, ὁρῶν ἐναργῶς τὸν θεὸν τῶν Ἰουδαίων προμηθούμενον, καὶ πολλὴν ἀποσημήναντα τὴν ἐπιφάνειαν, ὡς μηδ' ἂν τοῖς ἔργῳ προθεμένοις τἀναντία φρονεῖν ἰσχὺν ἀντιλέξεως καταλελεῖφθαι. ὡς δὲ καὶ πρὸς τὸν Γάϊον σὺν τοῖς λοιποῖς ὁπόσα ἔγραφεν, ἐπαγωγὰ δ' ἦν C τὰ πάντα, καὶ παντοίως παρακαλοῦντα μὴ τοσαύτας μυριάδας ἀνθρώπων ἀπονοεῖν, ἃς ἐκτείνοι, οὐ γὰρ δίχα γε πολέμου παραχωρήσειν τοῦ νομίμου τῆς θρησκείας, προσόδου τε τῆς ἀπ' αὐτῶν ἀποστερεῖσθαι, καὶ τῷ τροπαίῳ τῆς ἀρᾶς ὑποτίθεσθαι τὸν μέλλοντα αἰῶνα, καὶ ἄλλως θείου τοῦ προεστηκότος αὐτῶν τὴν δύναμιν, ὡς ἀκραιφνῆ ἀπέφαινεν, καὶ μηδὲν ἐνδοίαστον ἐπὶ δύναμιν τὴν αὐτῆς ἐπιδείκνυσθαι κα- D ταλιποῦσαν. καὶ Πετρώνιος μὲν ἐν τούτοις ἦν. Ἀγρίππας δὲ ὁ βασιλεὺς, ἐτύγχανεν γὰρ ἐπὶ Ῥώμης διαιτώμενος, προύκοπτεν φιλίᾳ τῇ πρὸς τὸν Γάϊον μειζόνως. καί ποτε προθεὶς δεῖπνον αὐτῷ, καὶ πρόνοιαν ἔχων πάντας ὑπερβάλλεσθαι, τέλεσί τε τοῖς εἰς τὸ δεῖπνον, καὶ παρασκευῇ τῇ εἰς ἡδονὴν φέροντος, ὡς μὴ ὅπως ἄν τινα τῶν λοιπῶν, ἀλλὰ μηδ' αὐτὸν Γάϊόν ποτε ἰσωθῆναι θελήσαντα οὐχ ὅπως ὑπερβαλέσθαι. τοσοῦτον ἀνὴρ τῇ παρασκευῇ πάντας ὑπερῆρεν, καὶ τῷ E τὰ πάντα Καίσαρος ἐκφροντίσαι παραχεῖν. καὶ ὁ Γάϊος ἐκθαυμάσας τήν τε διάνοιαν αὐτοῦ καὶ τὴν μεγαλοπρέπειαν, ὡς ἐπ' ἀρεσκείᾳ τῇ αὐτοῦ βιάζοιτο καὶ ὑπὲρ δύναμιν τῶν χρημάτων εὐπορίᾳ χρῆσθαι, βουλόμενός τε μιμήσασθαι τὴν Ἀγρίππου φιλοτιμίαν ἐφ' ἡδονῇ τῇ αὐτοῦ πρασσομένην, ἀνειμένος ὑπὸ οἴνου, καὶ τὴν διάνοιαν εἰς τὸ ἱλαρώτερον ἐκτετραμμένος φησὶν ἐν συμποσίῳ παρακαλοῦντος εἰς πότον Ἀγρίππα. καὶ πρότερον μέν σοι τιμὴν συνῄδειν ἣν ἐ- F χρῶ τὰ πρὸς ἐμὲ, καὶ πολλὴν εὔνοιαν μετὰ κινδύνων ἀποδειχθεῖσαν, οἷς ὑπὸ Τιβερίου περιέστης δι' αὐτήν, ἐπιλείπεις τε οὐδὲν, καὶ ὑπὲρ δύναμιν ἀρετῇ χρῆσθαι τῇ πρὸς ἡμᾶς. ὅθεν αἰσχρὸν γὰρ ἡσσᾶσθαί με ὑπὸ τῆς σῆς σπουδῆς, ἀναλαβεῖν βούλομαι τὰ ἐλλελειμμένα πρότερον. ὀλίγον γὰρ πᾶν ὁπόσον σοι δωρεῶν ἐχόμενον ἀπεμοιρασάμην. τὸ πᾶν, ὅπερ σοι ῥοπὴν ἂν ἐμπροσθείη τοῦ εὐδαίμονος, διακονήσεται γάρ σοι G προθυμίᾳ τε καὶ ἰσχύϊ. καὶ ὁ μὲν ταῦτα ἔλεγεν, οἰόμενος γῆν τε πολλὴν αἰτήσασθαι, ἢ καί τινων προσόδους πόλεων. ὁ δὲ, καίπερ τὰ πάντα ἐφ' οἷς ᾔτησε παρασκευασάμενος, οὐκ ἐφανέρου τὴν διάνοιαν, ἀλλ' ἐκ τοῦ ὀξέος ἀμείβεται τὸν Γάϊον, ὅτι οὔτε πρότερον κέρδος τὸ ἀπ' αὐτοῦ καραδοκῶν παρὰ τὰς Τιβερίου ἐντολὰς θεραπεύσειεν αὐτὸν, οὔτε νῦν πράσσειν τι τῶν εἰς χάριν τὴν ἐκείνου κερδῶν οἰκείων ἐν ποσὶ λήψεσι. μεγάλα δὲ εἶναι τὰ προδεδωρημένα, καὶ περαιτέρω τῷ θράσει χρωμένου τῶν ἐλπίδων. καὶ γὰρ εἰ τῆς σῆς ἐλάττονα δυνάμεως, τῆς γέ μου τοῦ εἰλη-

εἰληφότος διανοίας τε καὶ ἀξιώσεως μείζονα, καὶ ὁ Γάιος ἐκπλαγεὶς τὴν διάνοιαν αὐτοῦ, πλεόνως ἐνέκειτο εἰπεῖν, ὅτι χαρίζοιτο τἂν αὐτοῦ παρασχόμενος. ὁ δὲ, ἐπεί περ ὦ δέσποτα προθυμίᾳ τῇ σῇ δωρεῶν ἄξιον ἀποφαίνῃς, αἰτήσομαι τῶν μὲν εἰς ὄλβον φερόντων οὐδὲν διὰ τὸ μεγάλως με ἐνδιαπρέπειν, οἷς ἤδη παρέχες. ὅτι δ' ἄν σοι δόξαν προσποιῇ τῆς εὐσεβοῦς, καὶ τὸ θεῖον σύμμαχον ἐφ' οἷς θελήσαις παρακαλεῖ, καί μοι πρὸς εὔκλειαν γένοιτο παρὰ τοῖς πυνθανομένοις, ὡς μηθενὸς ὧν χρησαίμην ὑπὸ τῆς σῆς ἐξουσίας ἀτυχεῖν πώποτε γνόντι. ἀξιῶ γάρ σοι τὴν ἀνδριάντος τὴν ἀνάθεσιν ἣν ποιήσασθαι κελεύεις Πετρώνιον εἰς τὸ Ἰουδαίων ἱερὸν, μηκέτι προάξειν διανοεῖσθαι. καὶ ὁ μὲν, καίπερ ἐπικίνδυνον τοῦτο ἡγούμενος, εἰ γὰρ μὴ πιθανὰ ἔκρινεν Γάιος, οὐδὲν ἄλλο ἢ εἰς θάνατον ἔφερεν, διὰ τὸ μεγάλα νομίζειν τε καὶ εἶναι, κύβον ἀναρρίπτειν τὸν ἐπ' αὐτοῖς ἡγεῖτο. Γάιος δὲ ἅμα τῇ θεραπείᾳ τῇ Ἀγρίππου ἐνειλημμένος, καὶ ἄλλως ἀπρεπὲς ὑπολαμβάνων, ἐπὶ τοσῶνδε μαρτύρων ψευδὴς γενέσθαι περὶ ὧν προθύμως ἐβιάζετο αἰτεῖσθαι τὸν Ἀγρίππαν, μετὰ τοῦ ἐξ ἔθους μεταμέλῳ χρώμενος, ἅμα δὲ τὴν Ἀγρίππα τὴν ἀρετὴν θαυμάσας ἐν ὀλίγῳ αὔξειν τὴν οἰκείαν ἀρχὴν, ἤτοι προσόδοις χρημάτων, ἢ ἄλλῃ δυνάμει, τῆς κοινοῦ τῆς εὐθυμίας, ἐπιμελοῦ τε, πρεσβεύων τοὺς νόμους, καὶ τὸ θεῖον, συγχωρεῖ. καὶ γράφει πρὸς τὸν Πετρώνιον, ἐκεῖνόν τε τῆς ἀθροίσεως τοῦ στρατεύματος ἐπαινῶν, καὶ τοῦ πρὸς αὐτὸν περὶ αὐτῶν ἀπεσταλκότος. νῦν οὖν εἰ μὲν φθάνεις τὸν ἀνδριάντα ἑστακὼς, ἑστάτω, εἰ δὲ μήπω πεποίησαι τὴν ἀνάθεσιν, μηδὲν περαιτέρω κακοπαθεῖν, ἀλλὰ τόν τε στρατὸν διάλυε, καὶ αὐτὸς ἐφ' ἃ τὸ πρῶτον σε ἔστειλα, ἄπιθι. οὐδὲν γὰρ ἐπιδέομαι τῆς ἀναστάσεως τοῦ ἀνδριάντος, Ἀγρίππᾳ χαριζόμενος ἀνδρὶ παρ' ἐμοὶ τιμωμένῳ μειζόνως, ἢ ὥς τι με χρείᾳ τῇ ἐκείνου, καὶ οἷς κελεύσειεν ἀντειπεῖν. Γάιος μὲν δὴ ταῦτα γράφει πρὸς τὸν Πετρώνιον, πρότερον ἢ ἐντυχεῖν ἐπὶ ἀποστάσει αὐτοὺς κατὰ δόξας ἐπείγεσθαι. μηδὲν γὰρ ἕτερον ἀποσημαίνειν τὴν διάνοιαν αὐτῶν, ἀλλὰ πόλεμον ἄντικρυς Ῥωμαίων ἀπειλεῖν. καὶ περιαλγήσας ὡς ἐπὶ πείρᾳ τῆς ἡγεμονίας αὐτοῦ τετολμηκότων, ἀνὴρ ἐπὶ πᾶσιν ἥσσων μὲν τοῦ αἰσχροῦ, κρείσσων δὲ τοῦ βελτίστου, καὶ ἐφ' οἷς τισι κρίνειεν ὀργῇ χρήσασθαι παρ' ὃν τιν' οὖν ἐπειγόμενος, παίδευσιν αὐτὴν οὐδ' ἥν τιν' οὖν προσθεὶς, ἀλλ' ἐφ' ἡδονῇ τιθεὶς τῇ ἐκείνης τὸ κρεῖσσον τοῦ εὐδαίμονος, γράφει πρὸς τὸν Πετρώνιον. ἐπειδὴ δῶρα ὁπόσα σοι οἱ Ἰουδαῖοι παρέσχον, ἐν μείζονι λόγῳ τῶν ἐμῶν πεποίησαι ἐντολῶν διακονεῖσθαι τὰ πάντα ἡδονῇ τῇ ἐκείνων ἀρθεὶς, ἐπὶ παραβάσει τῶν ἐμῶν ἐντολῶν, κελεύω σε σαυτῷ κριτὴν γενόμενον, λογίσασθαι περὶ τοῦ ποιητέου σοι ὑποστάντα ὀργῇ τῇ ἐμῇ, ἐπεί τοι παράδειγμα ποιοῦντό σε, οἵ τε νῦν πάντες, καὶ ὁπόσοι ὕστερον γένοιντ' ἂν, μηδαμῶς ἀκυροῦν αὐτοκράτορος ἀνδρὸς ἐντολάς. ταύτην μὲν γράφει Πετρωνίῳ τὴν ἐπιστολὴν, οὐ μὴν φθάνει γε ζῶντος Πετρώνιος δεξάμενος αὐτὴν, βραδυνθέντος τοῦ πλοῦ τοῖς φέρουσι εἰς τοσόνδε, ὥστε Πετρωνίῳ γράμματα περὶ αὐτοῦ ἀφικέσθαι, δι' ὧν μανθάνει τὴν Γαΐου τελευτήν. θεὸς γὰρ οὐκ ἄρ' ἀμνημονήσειν ἔμελλεν Πετρωνίῳ, κινδύνων οἷς ἀνειλήφει ἐπὶ τῇ τῶν Ἰουδαίων χάριτι, καὶ τιμῇ τῇ αὐτοῦ. ἀλλὰ τὸν Γάιον ἀποσκευασάμενος ὀργῆς ὧν ἐπὶ σεβασμῷ τῷ αὐτοῦ προάξειν ἐτόλμησε, τὸν μισθὸν χρεωλυτεῖν συνεργεῖ τῷ Πετρωνίῳ ἥ τε Ῥώμη, καὶ πᾶσα ἡ ἀρχὴ,

non solùm meritis, sed cupiditatibus etiam abundè satisfactum est: ibi Caius attonitus hominis modestia, magis vrgere cœpit, vt vellet vti sua beneficentia, nihil non polliceri perseuerans. Tum Agrippa: Quandoquidem domine liberalitatem tuam tam benignè mihi offers, equidem petam, sed nihil quod ad diuitias attineat, quibus iam per tuam gratiam abundo. illud potius postulabo, quod impetratum & pietatis opinionem, & perpetuum fauorem numinis tibi conciliet. Mihi quoque gloriosum erit, si post innumeras alias hanc vnam etiam mihi feceris gratiam. Rogo igitur, vt mandatum reuoces, quod Petronio dedisti, de statua in Iudæorum templo ponenda. hæc ille velut alcam iaciens, non ignarus quantum subesset periculum, quódque capitale esset placitis Caij contradicere. Imperator autem simul officiosa liberalitate delinitus, simul pudendam vanitatem ducens, si coram tot testibus vltro ad petendum prouocato, repente mutatus denegasset gratiam: suspiciēs etiam virtutem hominis, qui pluris faceret pietatem, suæque gentis tranquillitatem, quàm incrementum dominationis, aut redituum, fecit eum voti compotem. Scripsit igitur Petronio, collaudans eius industriam in comparando exercitu, & in exequendis mandatis, quæ acceperat. quod autem ad statuam attineat, si quidem dedicata sit & posita, sinendam esse. sin minus, nō esse cur in eo negotio plus laboris capiat: sed debere eum soluto exercitu reuerti ad intermissa officia. remissum enim esse hoc Iudęis in Agrippę gratiam, cui tantum honoris à se haberi, vt non possit voluntati eius contradicere. In hunc modum Caius scripsit Petronio, priusquam ad defectionem spectare Iudæos cognosceret. allatis postea de rebellatione rumoribus: indignè ferens gentis audaciam, & contemptum imperij, homo omni dedecori obnoxius, nullámque rationem honestatis habens, & impetu iracundiæ quouis abripi solitus, quem refrænare nunquam studuit, imò ad felicitatem suam pertinere putans, si quàm maximè affectioni huic indulgeret, denuò scribit eidem in hanc sententiam: Quoniam plus apud te valuerunt Iudæorum munera, quàm mea mandata, quibus neglectis omnia illis gratificatus es, temet iudicem facio quid de teipso statuere debeas, semel indignationem meam meritus. Volo enim te exemplum fieri & præsentibus & posteris, nullo modo irrita habenda mandata imperatoria. Hæc epistola missa quidem est ad præsidem, non tamen Cæsare viuo reddita, qui perferebant tardiùs nauigantibus: ita vt priùs ille alias acceperit literas, nunciantes de Caij exitio. Deus enim non fuit immemor Petronij, & periculorum quæ propter ipsius honorem atque Iudæorum religionem subiit: sed amoto à reipub. habenis Caio propter impiè affectatos diuinos honores, tanto maior habita est illi gratia tā à Romanis quā à prouincialib.

maximo fauore præcipuis senatoribus eum prosequentibus, in quos potissimum Caius debacchari est solitus. Is extinctus est non multo postquam Petronio scripserat illam mortis denunciatricem epistolam. Causam autem propter quam Caius sublatus est, & quemadmodum comparatæ sunt in eum insidiæ, procedente stilo significabimus. cæterùm Petronio priùs redditæ sunt literæ de cæde imperatoris, ac tum demum superuenerunt illæ, quibus iubebatur mortẽ sibi consciscere, quare lætatus fortuito tyranni interitu, admiratus est Dei prouidentiam, qui sine dilatione mercedem habiti sibi honoris persoluerit, & Iudæis præsentem opem attulerit. Et ille quidem miro hoc modo euasit mortis periculum.

Cap. XII.

Quo in statu res Iudæorum apud Babylonem fuerint, & de Asinæo ac Anilæo fratribus.

XVI. INciderunt in ea tempora graues motus Iudæorum apud Mesopotamiam ac Babyloniam habitantium, cædésque & calamitates quales nusquam memorantur in superioribus narrationibus, de quibus accuratè tractaturus, causas etiam ab origine repetam. Neerda dicitur vrbs Babyloniæ, frequens populo, & agro fertili, qui tantam multitudinem possit alere. ad hæc non patet hostiũ assultibus, cincta fluẽtis Euphratis & firmissimis mœnibus. eidẽ flumini est & Nisibis apposita: quare Iudæi freti locorum natura, sacrum didrachma quod Deo ex more solent offerre, cæterámque votiuam pecuniam, in his vrbibus deponebant tanquam in communi ærario, inde suo tempore transmittendam Hierosolyma: quæ deinde à multis hominum illò deducebatur, metuentium latrocinia Parthorum quorum ditioni tum suberat Babylonia. Ex his Iudæis erant Asinæus & Anilæus fratres, Neerdenses patria, orbati patre, & à matre ad textrini opificium adhibiti, quod non indecorum habetur illis gentibus, vbi & viri exercent lanificium. hos officinę magister, apud quem artem didicerant, quòd seriùs aliquando ad operandum accessissent, castigauit verberibus. illi credentes se affectos iniuria, detractis armis quæ seruabantur in eius domus pariete, contulerunt se in quendam locum vbi fluuius scinditur, vberem pascuis, & frugum fertilem, cæterorúmque fructuum, qui reponũtur in hyemem. ad eos mox confluxit iuuenum quisq; egentissimus, quorum armis stipati pro ducibus se gerebant, nemine cohibente maleficia. cũ enim facti essent inexpugnabiles, & arcem sibi construxissent, dimissis exactoribus tributa colligebant ab accolis, certum videlicet pecoris numerum, & quantum in alimenta eorum sat erat, promittentes amicitiam morem sibi gerentibus, & propugnationem contra externam vim si qua ingrueret: contra occisionem gregum ac pastorũ, si detrectarent

μάλιστα δὲ ὁπόσοι τῆς βουλῆς προύχοιεν ἀξιώματι διὰ τὸ εἰς ἐκείνους ἀκράτῳ τῇ ὀργῇ χρῆσθαι τὸν Γάιον. καὶ τελευτᾷ μὲν οὐ μετὰ πολὺν χρόνον ἢ γράψαι τῷ Πετρωνίῳ τὴν ἐπὶ τὸ θανεῖν ἀνακειμένην ἐπιστολήν. τὴν δ᾽ αἰτίαν ἐξ ἧς τελευτᾷ, καὶ τῆς ἐπιβουλῆς τὸν τρόπον ἀφηγήσομαι προϊόντος τοῦ λόγου. Πετρωνίῳ δὲ προτέρα μὲν παρῆν ἡ διασαφοῦσα τοῦ Γαΐου τὴν τελευτὴν ἐπιστολή, μετ᾽ οὐ πολὺ δὲ ἡ κελεύουσα αὐτὸν τελευτᾶν αὐτόχειρα. καὶ ἥδετό τε τῇ συντυχίᾳ τοῦ ὀλέθρου, ὃς τὸν Γάιον κατέλαβεν, καὶ τοῦ θεοῦ τὴν πρόνοιαν ἐξεθαύμασεν, οὐδὲν εἰς ἀναβολὰς, ἀλλ᾽ ἐκ τοῦ ἐξέος μισθὸν αὐτῷ τιμῆς τε τῆς εἰς τὸν ναὸν, καὶ βοηθείας τῆς Ἰουδαίων σωτηρίας παρασχόμενον. καὶ Πετρωνίῳ μὲν οὕτως μὴ ἂν τοπασθεὶς διεφεύγει ῥᾳδίως ὁ κίνδυνος τοῦ θανεῖν.

Κεφάλαιον ιβ'.

Τὰ συμβάντα τοῖς ἐν Βαβυλῶνι Ἰουδαίοις διὰ Ἀσιναῖον καὶ Ἀνιλαῖον τοὺς ἀδελφούς.

Γίνεται δὲ περὶ τοὺς ἐν τῇ Μεσοποταμίᾳ, καὶ μάλιστα τὴν Βαβυλωνίαν οἰκοῦντας Ἰουδαίους, συμφορὰ δεινή, καὶ οὐδεμιᾶς ἧς τινος ἐλάσσων, φόνος τε αὐτῶν πολὺς, καὶ ὁπόσος οὐχ ἱστορημένος πρότερον. περὶ ὧν δὴ τὰ πάντα ἐπ᾽ ἀκριβείας διηγησάμενος, ἐκθήσομαι, καὶ τὰς αἰτίας, ἀφ᾽ ὧν αὐτοῖς τὸ πάθος συνέτυχεν. Νεαρδὰ τῆς Βαβυλωνίας ἐστὶ πόλις, ἄλλως τε πολυανδροῦσα, καὶ χώραν ἀγαθὴν καὶ πολλὴν ἔχουσα, καὶ σὺν ἄλλοις ἀγαθοῖς, καὶ ἀνθρώπων ἀνάπλεως. ἔστι δὲ καὶ πολεμίοις οὐκ εὐέμβολος, περιόδῳ τε τοῦ Εὐφράτου πᾶσαν ἐντὸς αὐτὴν ἀπολαμβάνοντος, καὶ κατασκευαῖς τειχῶν. ἔστι δὲ καὶ Νίσιβις πόλις κατὰ τὸν αὐτὸν τοῦ ποταμοῦ περίρρουν, ὅθεν Ἰουδαῖοι τῇ φύσει τῶν χωρίων πεπιστευκότες, τό τε δίδραχμον τῷ θεῷ καταβάλλειν ἑκάστοις πάτριον ταύτῃ κατετίθεντο, καὶ ὁπόσα ἄλλα ἀναθήματα. ἐχρῶντο δὲ ὥσπερ ταμιείῳ ταῖσδε ταῖς πόλεσιν. ἐντεῦθεν δὲ ἐπὶ Ἱεροσολύμων ἀνεπέμπετο ᾗ καιρὸς, πολλαί τε μυριάδες ἀνθρώπων τὴν κομιδὴν τῶν χρημάτων παρελάμβανον, δεδιότες τὰς Παρθυαίων ἁρπαγὰς, ὑποτελούσης ἐκείνοις τῆς Βαβυλωνίας. καὶ ἦσαν γὰρ Ἀσιναῖος καὶ Ἀνιλαῖος, Νεερδάται μὲν τὸ γένος, ἀλλήλων δὲ ἀδελφοί. καὶ αὐτοὺς, πατρὸς δ᾽ ἦσαν ὀρφανοὶ, ἡ μήτηρ προσέταξεν ἱστῶν μαθήσει ποιήσεως οὐκ ὄντος ἀπρεποῦς τοῖς ἐπιχωρίοις, ὥς τε τοὺς ἄνδρας ταλασιουργεῖν παρ᾽ αὐτοῖς. τούτοις ὁ τοῖς ἔργοις ἐφεστὼς, καὶ ἐμεμαθήκεσαν παρ᾽ αὐτῷ, βραδυτῆτα ἐπικαλέσας τῆς ἀφίξεως, ἐκόλασε πληγαῖς. οἱ δ᾽ ἐφ᾽ ὕβρει τὴν δικαίωσιν λογιζόμενοι, καταρπάσαντες τῶν ὅπλων πολλὰ ὁπόσα ἦν τῆς οἰκείας φυλασσόμενα, ᾤχοντο εἴς τι χωρίον διάρρηξιν μὲν ποταμῶν ποιούμενον, νομὰς δὲ ἀγαθὰς παρασχεῖν πεφυκὸς, καὶ χιλὸν ὁπόσοι εἰς τὸν χειμῶνα ἀποτίθοιντο. συνῄεσαν τε ὡς αὐτοὺς τῶν νέων οἱ ἀπορώτατοι, καὶ τούτοις τοῖς ὅπλοις φραγνύντες, στρατηγοί τε ἦσαν, καὶ τῶν κακῶν ἡγεμόνες οὐκ ἐκωλύοντο εἶναι. προσελθόντες γὰρ ἐπὶ τὸ ἄμαχον, καὶ κατασκευάσαντες ἀκρόπολιν, διέπεμπον πρὸς τοὺς νέμοντας φόρον αὐτοῖς κελεύοντες καταβάλλειν τῶν βοσκημάτων, ἢ ἀρκοῦσα ἐπὶ τροφὴ γένοιτ᾽ ἄν, προστιθέντες φιλίαν τι πειθομένοις, καὶ ἄμυναν τῶν ἀλλαχόθεν ποθὲν πολεμίων, σφαγὰς δὲ τῶν ποιμνίων ἀπειθοῦσιν. οἱ δὲ, οὐ γὰρ ἦν ἕτερα παρὰ ταῦτα ποιεῖν, ἠκροῶντο, καὶ τῶν προβάτων ἔπεμπον ὁπό-

ὁπόσα κελεύσειεν. ὡς δὲ δὴ καὶ πλείων αὐτοῖς συνελέγετο ἰσχὺς, κύριοί τε ἦσαν ἐφ' οἷς βουλεύσαιντο ἐκ τοῦ ὀξέος ἐλαύνοντες κακουργεῖν. θεραπεύειν τε αὐτοὺς ἤρξατο πᾶς ὁ προστυγχάνων, καὶ ἦσαν φοβεροὶ καὶ τοῖς πειρασομένοις. ὥστε ἤδη προὔκοπτε λόγος περὶ αὐτῶν καὶ ἐπὶ τοῦ πάρθων βασιλέως. ὁ δὲ τῆς βαβυλωνίας σατράπης μαθὼν ταῦτα καὶ βουληθεὶς ἐπιφυομένοις κωλῦσαι, πρίν τι μεῖζον κακὸν ἐξ αὐτῶν ἀναστῆναι, συλλέξας στρατὸν ὅσον ἐδύνατο πλεῖστον, καὶ παρθυαίων καὶ τῶν βαβυλωνίων, ἤλαυνεν πρὸς αὐτοὺς, φθῆναι θέλων προσβαλὼν ἐξελεῖν πρὶν ἐξαγγελτὸς γενέσθαι κατασκευάζων τὸν στρατόν. περικαθίσας δὲ τὸ ἕλος, ἡσύχαζεν. καὶ κατὰ τὴν ἐπιοῦσαν, ἦν δὲ σάββατον ἀργίας παντὸς χρήματος ἰουδαίοις ἡμέρα, οἰόμενος οὐ τολμήσειν αὐτοὺς ἀντιστατήσειν αὐτῷ τοὺς πολεμίους, ἀλλὰ ἀμαχὶ λαβὼν ἄξειν δεδεμένους, κατὰ βραχὺ προσῄει χρήζων αἰφνίδιον ποιεῖσθαι τὴν ἐπίπτωσιν. ἀσιναῖος δὲ ἐτύγχανε σὺν τοῖς ἑτέροις καθεζόμενος, καὶ τὰ ὅπλα παρέκειτο αὐτοῖς. ἄνδρες φησὶν, χρεμετισμός μοι ἵππων προσέπεσεν οὐ φορβάδων, ἀλλ' οἷος γένοιτο, ἀνδρῶν αὐτοῖς ἐπιβεβηκότων, ἐπεὶ καί τινος ἀνακρούσεως αἰσθάνομαι χαλινῶν. δέδια μὴ ἐληλύθασιν ὡς ἡμᾶς οἱ πολέμιοι περισχόντες. ἀλλά τις προσίτω κατόπτης, ἀπαγγελίαν ἡμῖν σαφῆ τῶν ἐνεστηκότων ποιησόμενος. εἴη δὲ ἐπὶ ψευδέσι μοι λελέχθαι τὰ εἰρημένα. καὶ ὁ μὲν, τάδε εἶπε, καὶ ᾤχοντό τινες προσκοπήσοντες τὸ γινόμενον. καὶ ἢ τάχος παρελθόντες, καὶ οὔτε αὐτὸς ψευδῆς σαφῶς εἰκαστὴς εἶ τῶν προαισθομένων τοῖς πολεμίοις, οὔτε ἐκείνοις πλειόνως ἐπιτρέψειν ἤμελλεν ὑμῖν ὑβρίζειν. περιειλήμμεθα δόλῳ μηδὲν βοσκημάτων διαφέροντες, τοσοῦτόν δὲ ἵππου πλῆθος ἐπελαύνουσιν ἡμῖν ἐν ἀπορίᾳ χειρῶν κειμένοις, διὰ τὸ καθείργνυσθαι παραγορεύσει τῶν πατρίων εἰς τὸ ἀργεῖν. ἀσιναῖος δὲ οὐκ ἄρα γνώμῃ τοῦ κατασκόπου κρίνειν ἔμελλεν ἐπὶ τοῖς ποιητέοις, ἀλλὰ νομιμώτερον ἡγησάμενος τοῦ ἐπ' ἀπράκτοις τελευτῆσαι εὐφραίνειν τοὺς πολεμίους, τὸ ἀλκῆς δραξαμένους ὑπὲρ τῆς ἀνάγκης, εἰς ἣν ἐνέπεσον, ὡς, παρανομεῖν τιμωρίαν ὑπολαμβάνοντας, εἰ δέοι τελευτᾶν, αὐτός τε ἀναλαμβάνει τὰ ὅπλα, καὶ τοῖς σὺν αὐτῷ θάρσος ἐνεποίει τοῦ ἐπὶ τὰ ὅμοια ἀρετῆς, ὁμόσε ἴασι τοῖς πολεμίοις. καὶ πολλοὺς κτείναντες αὐτῶν διὰ τὸ καταφρονοῦντας ὡς ἐπὶ τὰ ἕτοιμα χωρεῖν, εἰς φυγὴν τρέπονται τὸ λοιπόν. ὁ δὲ τῶν πάρθων βασιλεὺς, ἐπεὶ ἀφίκετο αὐτῷ ἡ ἀγγελία τῆς μάχης, ἐκπλαγεὶς τῷ τολμήματι τῷ τῶν ἀδελφῶν, ἐπεθύμησεν αὐτοῖς ἐλθεῖν διά τε ὄψεως καὶ λόγων. καὶ πέμπει τὸν πιστότατον τῶν σωματοφυλάκων λέγοντα, ὅτι βασιλεὺς ἀρτάβανος καίπερ ἠδικημένος ὑφ' ὑμῶν ἐπιχειρήσεως αὐτοῦ τῇ ἀρχῇ γενομένης, ἐν ἐλάσσονι τὴν καθ' αὑτὸν ὀργὴν τῆς ὑμετέρας ἀρετῆς ποιησάμενος, ἀπέσταλκέ με δεξιάς τε καὶ πίστιν δώσοντα ὑμῖν, συγχωρῶν ἄδειάν τε καὶ ἀσυλίαν ὁδῶν, χρήζων ἐπὶ φιλίᾳ προσχωρεῖν πρὸς αὐτὸν, δόλου τε καὶ ἀπάτης χωρὶς, δωρεάς τε δώσειν ὑπισχνεῖται καὶ τιμὴν, ἥτις ὑμῖν, πρὸς τῇ νῦν οὔσῃ ἀρετῇ μέλλησει δυνάμει τῇ ἐκείνου ὠφελεῖν. ἀσιναῖος δὲ, αὐτὸς μὲν ὑπερβάλλεται ὁδοὺς τὰς ἐκεῖ, τὸν ἀδελφὸν δὲ ἀνιλαῖον ἐκπέμπει μετὰ δώρων ὁπόσα πορίσαι ἦν. καὶ ὁ μὲν, ᾤχετο, καὶ εἴσοδος αὐτῷ γίνεται παρὰ βασιλέα. ἀρτάβανος δὲ ἐπεὶ θεᾶται τὸν ἀνιλαῖον καταμόνας ἥκοντα, ἤρετο τὴν αἰτίαν τοῦ καὶ τὸν ἀσιναῖον ὑφυστερηκότος.

A imperata facere. quapropter necessitate coacti mittebant eis quantumcunque poscerent. quò factum est, vt aucta eorum potentia, validi essent ad incursandum quoslibet, nemóque vicinorum auderet eos offendere, aut armis cum illis congredi: adeò vt ad Parthorum quoque regem rumor hæc detulerit. Satrapa autem Babyloniæ postquā hæc audiuit, volens crescens adhuc malum opprimere, priusquam maius aliquod inde proueniret incōmodum, B collecto quantum poterat è Parthis ac Babyloniis exercitu, properauit contra eos, cupiens ex improuiso opprimere: obsessáque palude suos iussit aliquantisper quiescere. postridie verò Iudæis sabbaticas ferias otio publico celebrantibus, ratus non ausurum hostem in certamen descendere, sed nullo negotio victos se abducturum, paulatim procedebat, vt derepente in eos irrueret. Asinæus verò qui C tum fortè positis prope se armis cum sociis desidebat in otio: Viri, inquit, hinnitus equorum mihi aures perculit, non qualis est passim pascentium, sed qui sessorem tergo vehant: nam & frænorum sonitum sentio, vereor ne circumuenti simus ab hostibus. sed procurrat aliquis speculatum, qui nobis quid immineat certò renunciet. optarim autem vana esse, quæ diximus. móxque quidam profecti visum, celeriter redeunt, non falsam suspicionem fuisse referentes: adesse vl- D tores acceptæ iniuriæ. ex insidiis se obrutos equitatu copioso velut pecora: ne ad repugnandum quidem paratos, vetante propter ferias patria consuetudine. at Asinæus longè aliter quàm speculatori videbatur statuit, non concedendam censens hanc voluptatem hostibus, vt per otium in se grassarentur cædibus: quin potiùs virtutis & præsentis necessitatis memores conniti debere, vt si ita fors ferat, non inulti pereant: primúsque correptis ar- E mis suo exemplo ad similem exciuit audaciā, ad conferēdas cum hoste manus eos animans. & quia contemptim veniebant rem factam se habere putantes, multis cæsis reliquos coegit terga vertere. Eius pugnæ postquam ad Parthorum regem fama peruenit, admiratus fratrum audaciam, concupiuit eorum aspectum & colloquium: confestímque ad eos misit fidissimum è satellitibus qui hæc verba illis referat: Regem Artabanum tametsi iniu- F riam eorum violentia in suo regno acceperit, indignationem tamen virtuti ipsorum remittere, misisséque se qui fide data impunitatem & securitatem itinerum eis offerret ipsius nomine, quòd amicitiam eorum cuperet, sine fraude omni & insidiis, paratam esse regis munificentiam, foréque vt hac sua virtute posthac rege fauente vtantur meliùs. Tum Asinæus ipse quidem profectionem distulit, fratrem verò Anilæū misit cū quibus potuit mu- G neribus. Iuit ille ad regem, & facilè admissus est. Artabanus autem videns Anilæum solū venisse, rogauit cúrnā domi reliquisset Asineum,

cognitóque metu illum se continere intra palustria: per patrios deos deierauit, nihil eos se læsurum in fidem venientes: idque porrecta iuueni dextra sanciit, quod apud barbaros conuenturos certissimum est argumentum fiduciæ. nam post datam dextram apud eos nec fallere fas est, nec diffidere, cessantibus omnino suspicionibus. Tum quoque Artabanus hoc pacto remisit Anilæum, persuasurum fratri, vt simul veniat. Hoc autem agebat rex volens conciliatis sibi his fratribus per Iudæorum virtutem illas satrapias continere in officio, quæ videbantur ad defectionem spectare occupato rege alibi. Verebatur enim ne dum ipse rebelles perdomat, Asinæus auctis apud Babyloniam viribus, siue volentibus prouincialibus, siue inuitis non temperaret à maleficiis. Hoc igitur consilio illum accersiit. Asinæus verò facilè à fratre in eam sententiam inductus est, præsertim commemorante quàm luculenter erga ipsos rex affectus sit, quódque ad firmandam fidem iusiurandum interposuerit. quare primo quoque tempore ad Artabanũ ambo perueniunt. ille perlibenter eos excepit, in primis miratus generosum Asinæi animum, quòd videret breui statura hominem, & primo aspectu contemnenda specie quasi nullius precij, apud amicos dictitans, nihil esse in tantillo corpore; quod tam vasto animo respondeat, & inter epulas ostensum magistro militum Abdagasi prædicauit, denarrans quanta fortitudine bella gerere soleat. Is cùm rogasset, vt bona regis venia liceret illum interficere, pœnásque tot maleficiorum de eo sumere, quibus Parthos læserat: negauit se hoc permissurum in hominem qui se credidisset suæ fidei, data dextra confirmatæ & iureiurando adhibito. Quòd si, inquit, vir bellicosus haberi vis, nihil opus habes meo periurio ad abolendam Parthorum ignominiam: sed redeuntem aggressus per vim absque meo consensu opprime. Mane deinde accito Asinæo: Tempus tibi est, inquit, iuuenis domum reuerti, ne diutius hic ducum in te odia prouoces, qui te fortassis etiam me inuito conarentur interficere. commendo autem tibi terram Babyloniam, vt eam tua cura tutam à latrociniis & illæsam custodias. mihi vicissim cordi erit tua incolumitas, quandoquidem tuum caput non dubitasti meæ fidei committere. hæc locutus, datis mox muneribus Asinæum dimittit. ille domum reuersus castella partim noua condidit, partim quæ priùs habuerat firmauit munitionibus: breuíque in tantum auctus est, quantum ante eum nemo alius, à talibus exorsus initiis: nec contentus honoribus Babyloniorum, à Parthorum quoque obseruabatur ducibus, qui in vicinas prouincias mittebantur cum imperio. Adeò creuit eius autoritas vnà cũ potẽtia,

ἐπεὶ δὲ πυνθάνεται αὐτὸν δείσαντα ἐν τῷ ἕλει ὑπομένειν. ὁ δὲ, τούς τε πατρῴους θεοὺς ἐπώμνυτο, μηδὲν κακὸν δράσειν αὐτούς, πίστει τῇ αὐτοῦ προσκεχωρηκότας, καὶ τὴν δεξιὰν ἐδίδου, ὅπερ μέγιστον παρὰ πᾶσι τοῖς ἐκείνῃ βαρβάροις παράδειγμα τοῦ θαρσεῖν γίνεται τοῖς ὁμιλοῦσιν. οὐ γὰρ ἂν ψεύσαιτό τις δεξιῶν ὑπ' αὐτοῦ δόσεως γενομένης, οὐδ' ἂν πιστεύειν ἐνδοιάσειεν εἰ τοιᾶσδε ἀσφαλείας δόσις γένοιτο, παρὰ τῶν ἐν ὑποψίᾳ ἀδικήσειν καθεστηκότων. καὶ Ἀρτάβανος μὲν ταῦτα πράξας, ἐκπέμπει τὸν Ἀνιλαῖον, πείσοντα τὸν ἀδελφὸν ἐπανελθεῖν. ἔπρασσε δὲ ταῦτα ὁ βασιλεὺς, χρῄζων ἐνσόμισμα τῇ ἀρετῇ τῶν Ἰουδαίων ἀδελφῶν εἰς φιλίαν κτήσασθαι τῶν ἐκείνου σατραπειῶν, ἐν ἀποστάσει τε οὐσῶν καὶ διανοίᾳ τοῦ ἀποστησομένου μέλλων ἐλάσειν ἐπ' αὐτούς. ἐδεδίει γὰρ μὴ καὶ προκεχειρισμένου πολέμου τῷ ἐκείνῳ κατὰ χεῖρας σιν τῶν ἀφεστηκότων, αὐξηθῶσιν ἐπὶ μέγα οἱ περὶ τὸν Ἀσιναῖον καὶ τὴν Βαβυλωνίαν, ἤτοιγε συστήσαντες ἐπ' ἀκεράσει τῇ αὐτῶν, ἢ καὶ τούτου γε ἀτυχοῦντες τοῦ κακῶσαι μειζόνως οὐ διαμαρτήσειν. ὁ μὲν δὴ ταῦτα διανοηθεὶς ἐκπέμπει. ὁ δὲ Ἀνιλαῖος, πιθανὸς ἦν τῷ ἀδελφῷ, τήν τε ἄλλην προθυμίαν διηγούμενος τοῦ βασιλέως, καὶ ὅρκιον τὸ γεγενημένον. ὥστε δὴ ἠπείγοντο ὡς τὸν Ἀρτάβανον, ὁ δὲ ἡδονῇ αὐτοὺς δέχεται παραγενομένους, ἐθαύμαζέν τε τὸν Ἀσιναῖον τοῦ ἐν ταῖς πράξεσιν εὐψύχου, θεωρῶν παντελὲς ὄντα ὀφθῆναι βραχὺν τε καὶ τοῖς τὸ πρῶτον ὄψει συνελθοῦσι δόξαι καταφρονήματος ἀφορμὰς, ὡς οὐδὲν κρίνοιεν αὐτὸν, φησί τε πρὸς τοὺς φίλους, ὡς μείζονα πάντα παραθέσει παρέχοιτο τὴν ψυχὴν τοῦ σώματος. παρά τε πότον δεικνὺς τὸν Ἀσιναῖον Ἀβδαγάσῃ τῷ αὐτοῦ στρατοπεδάρχῃ, τό τε ὄνομα διασαφεῖ, καὶ τὴν πᾶσαν ἀρετὴν ᾗ χρῷντο εἰς πόλεμον. τοῦ δὲ Ἀβδαγάσου κελεύοντος συγχώρημα αὐτῷ γενέσθαι κτείναντα αὐτὸν ποινὴν ἀπολαβεῖν ὑπὲρ ἂν ὕβρισεν εἰς τὴν Παρθυαίων ἀρχήν, ἀλλ' οὐκ ἂν εἴποι ὁ βασιλεὺς συγχώρημα δοίην ἐπ' ἀνδρὶ πίστει τῇ εἰς ἐμὲ τεθαρρηκότι, καὶ προσέτι δεξιάν τε πέμψας, καὶ θεῶν ὅρκοις πιθανὸς γενέσθαι σπουδάσας. εἰ δὲ ἀνὴρ τυγχάνεις τὰ πολέμια ἀγαθὸς, μηδὲν ἐπιορκίας χρῄζων τῆς ἐμῆς Παρθυαίων ἐκδίκει τὴν ἀρχὴν περιυβρισμένην, ἐπαναχωρήσαντι γοῦν ἐπιθέμενος περιγίνου κράτει τῷ περὶ σε, καὶ μετ' ἀγνοίας τῆς ἐμῆς. ἕωθεν δὲ μετακαλέσας τὸν Ἀσιναῖον, ὥρα σοι φησὶν, ὦ νεανία, χωρεῖν ἐπὶ τὰ σαυτοῦ, καὶ μὴ πλείοσι τῶν ἐνθάδε στρατηγῶν τὴν ὀργὴν ἐρεθίσας, ἐπιχειρεῖν σου τῇ σφαγῇ, καὶ δίχα γνώμης τῆς ἐμῆς. παρακαταθήκην δέ σοι δίδωμι τὴν Βαβυλωνίων γῆν, ἀλῄστευτόν τε, καὶ ἀπαθῆ κακῶν ἐσομένην ὑπὸ τῶν σῶν φροντίδων. ἄξιον δέ μοι τυγχάνειν σοῦ χρηστοῦ ἀνεπίκλητόν σοι παρεχόμενος τὴν ἐμαυτοῦ πίστιν, οὐκ ἐπὶ κούφοις, ἀλλ' ἐπὶ τοῖς εἰς σωτηρίαν ἀνακειμένοις. ταῦτα εἰπὼν, καὶ δῶρα δοὺς ὁπλωίκα ἐκπέμπει τὸν Ἀσιναῖον. ὁ δὲ εἰς τὴν οἰκείαν παραγενόμενος, φρούρια κατασκευάζει, καὶ ὁπόσα πρότερον ὠχύρου, μέγας τε ἐν ὀλίγῳ ἐγεγόνει, καὶ ὁπόσα οὐκ ἄλλος τῶν πρότερον ἐκ τοιαύτης ἀφορμῆς ἅψασθαι πραγμάτων ἐν πολλῷ γεγονότων, Παρθυαίων τε αὐτὸν ἐθεράπευον οἱ ταύτῃ καταπεμπόμενοι στρατηγοί. μικρὸν γὰρ ἐδόκει καὶ τῆς κατ' αὐτὸν ἧσσον ἀρετῆς ἡ ἐκ Βαβυλωνίων προϊοῦσα τιμή. ἦν δ' ἐν ἀξιώματι καὶ δυνάμει,

πάντα

πάντα τῶν ἤδη τὰ ἐπὶ τῆς μεσοποταμίας πρὸς αὐτοὺς ἤρτο πράγματα. προὔκοψεν τε αὐτοῖς ἡ εὐδαιμονία ἐπὶ ἔτη πεντεκαίδεκα. ἀκμαζόντων δὲ αὐτοῖς τῶν ἀγαθῶν, ἀρχὴ αὐτοῖς ἐπικαταλαμβάνει κακῶν ἐκ τοιᾶσδε αἰτίας, ἐπειδὴ τὴν ἀρετὴν ᾗ προὔκοψαν ἐπὶ μέγα δυνάμεως, ἐκτρέπουσιν εἰς ὕβριν ἐπὶ παραβάσει τῶν πατρίων ὑπὸ ἐπιθυμιῶν καὶ ἡδονῆς ἐμπεσόντες. τῶν πάρθων τινὶ, στρατηγὸς δὲ ἀφίκετο τῶν ταύτῃ χωρίων, ᾧ δὴ καὶ ἕπετο γαμετὴ, τά τε ἄλλα, καὶ εἰς τὸ ἐπαινεῖσθαι προειληφυῖα πασῶν, καὶ μείζονα ῥοπὴν ἐπ' αὐτῷ λαμβάνουσα θαύματι τοῦ εὐπρεποῦς. ταύτης εἴτε ἀκοῇ τῆς εὐπρεπείας ἐκμαθὼν, εἴτε καὶ ἄλλως αὐτόπτης γενόμενος, ἀνιλαῖος ὁ τοῦ ἀσιναίου ἀδελφὸς ἐραστής τε γεγόνει καὶ πολέμιος. τὸ μὲν, ὑπὸ τοῦ μὴ ἄλλως ἐλπίζειν ἐκπεράσεσθαι τὴν συνόδον τῆς γυναικὸς μὴ τὴν ἐξουσίαν ὡς ἐπ' αὐτῇ κληθείσῃ παραλαβών. τὸ δὲ τοῦ δυσαντίλεκτον κρίνειν τὴν ἐπιθυμίαν. ἅμα τε οὖν πολέμιος ἐπ' αὐτοῖς ἀνὴρ ἐκεχειροτόνητο, καὶ μάχης ἐπεὶ κλίσεως γενομένης πεσόντος ἀνῃρημένου ἁλοῦσα ἐγεγάμητο ἐραστῇ. οὐ μὴν δίχα γε μεγάλων δυστυχιῶν ἀνιλαίῳ τε ἅμα αὐτῷ, καὶ ἀσιναίῳ γυνὴ ἀφίκετο εἰς τὸν οἶκον αὐτῶν, ἀλλὰ σύν τινι μεγάλῳ κακῷ, διὰ τοιαύτην αἰτίαν. ἐπεὶ γὰρ τἀνδρὸς τεθνηκότος, αἰχμάλωτος ἤγετο, ἀφιδρύματα τῶν θεῶν ἅπερ τῷ ἀνδρὶ καὶ αὐτῇ πάτρια ἦν, ἐπιχώριον δὲ τοῖς ἐκείνῃ πᾶσίν ἐστιν ἐπί τε τῆς οἰκίας ἔχειν σεβάσματα, καὶ ἰοῦσιν ἐπὶ ξένης συνεπάγεσθαι, περιστέλλουσα καὶ ταύτῃ τοῦ πατρίου τὸ ἐπ' αὐτοῖς ἔθος συναπήγετο. καὶ τὸ μὲν πρῶτον λεληθότως αὐτῶν θρησκείαν ἐποιεῖτο. γαμετὴ δὲ ἀποδειχθεῖσα, ἤδη τρόπῳ τῷ αὐτῷ εἰωθότι καὶ μεθ' οἵων νομίμων ἐπὶ τοῦ προτέρου ἀνδρὸς, ἐθεράπευεν αὐτούς. καὶ τῶν ἑταίρων οἱ μάλιστα τιμώμενοι παρ' αὐτοῖς, τὸ μὲν πρῶτον ἐπέσκηπτον, ὡς οὐδαμῶς πράσσοι ἑβραϊκὰ, οὐδὲ ὁπόσα νόμοις τοῖς αὐτῶν πρόσφορα, γυναῖκα ἠγμένος ἀλλόφυλον, καὶ παραβαίνουσαν θυσιῶν καὶ σεβασμῶν τῶν αὐτοῖς εἰωθότων τὴν ἀκρίβειαν. ὁρᾶν οὖν μὴ τὰ πολλὰ τῇ ἡδονῇ τοῦ σώματος συγχωρῶν ἀπολέσειε τὴν ἀρχὴν τοῦ εὐπρεποῦς, καὶ τὴν εἰς νῦν ὑπὸ τοῦ θεοῦ προελθοῦσαν ἐξουσίαν. ἐπεὶ δὲ οὐδὲν ἐπέραινον, ἀλλὰ καί τινα αὐτῶν τὸν μάλιστα τιμώμενον, ὅτι παρρησίᾳ πλείονι χρήσαιτο, ἀπέκτεινε, καὶ ὃς κτεινόμενος εὐνοίας τε τῶν νόμων, καὶ τοῦ κτείνοντος αὐτὸν, τιμωρίαν ἐπηράσατο αὐτῷ τε ἀνιλαίῳ καὶ ἀσιναίῳ, καὶ πᾶσιν ἑταίροις, ὁμοίαν ὑπὸ τῶν ἐχθρῶν ἐπαχθεῖσαν γενέσθαι τελευτήν, τοῖς μὲν, ὡς ἡγεμόσι παρανομιῶν γεγονόσι, τοῖς δὲ, ὅτι μὴ βοηθοῖεν αὐτῷ τοιάδε πάσχοντι διὰ τὸ ἐκδικεῖν τοῖς νόμοις. οἱ δὲ ἐβαρύνοντο μὲν, ἠνείχοντο δὲ, μνημονεύοντες οὐκ ἐξ ἄλλης αἰτίας, ἀλλ' ἰσχύι τῇ ἐκείνων, τῇ εὐδαιμονίᾳ συνεληλυθότες. ἐπεὶ δὲ καὶ τὴν θεραπείαν ἀκροῶντο θεῶν τῶν παρθυαίοις τιμωμένων, οὐκ ἔτι ἀνεκτὸν ἡγούμενοι τὸν ἀνιλαίου τὸ ὑβρίζειν εἰς τοὺς νόμους, ἐπὶ τὸν ἀσιναῖον ἐλθόντες καὶ πλέονες ἤδη κατεβόων τοῦ ἀνιλαίου φάμενοι καλῶς ἔχειν, εἰ μὴ πρότερον κατ' αὐτὸν ἑωρακότα τὸ ὠφελοῦν, ἀλλὰ νῦν γοῦν, ἐπιστροφὴν ποιεῖσθαι τοῦ γεγονότος, πρινὴ τὴν ἁμαρτίαν ἐκείνῳ τε καὶ πᾶσι τοῖς ἄλλοις γενέσθαι εἰς ὄλεθρον ἀνακειμένην. τόν τε γάμον τῆς ἀνθρώπου λέγοντες οὐ μετ' αὐτῶν, οὔτε αὐτοῖς εἰωθότων τεθεῖσθαι νόμων, καὶ τὴν θρησκείαν ἣν ἐπιτηδεύοι ἡ γυνὴ ἐπ' ἀτιμώσει τοῦ θεοῦ τοῦ αὐτοῖς σεβασμίου περάσεσθαι. ὁ δὲ καὶ αὐτὸς ᾔδει μὲν τὴν ἁμαρτάδα τοῦ ἀδελφοῦ μεγάλων αἰτίαν οὖσαν κακῶν, καὶ ἐσομένην, οὐ μὴν, ἀλλὰ καὶ ἠνείχετό γε εὐνοίᾳ τῇ συγγενοῦς νικώμενος, καὶ συγγνώμην νέμων, ὡς ὑπὸ κρείττονος κακοῦ τῆς ἐπιθυμίας νικωμένου. ἐπεὶ δὲ πλείους τε ὁσημέραι συνεστρέφοντο, καὶ πλείους ἦσαν αἱ καταβοαὶ, τηνικαῦτα δὴ φησὶ περὶ αὐτῶν

vt Mesopotamia tota ab ipsius penderet nutibus. In hac felicitate florentior indies exegit annos quindecim: quæ nō priùs cœpit in deteriùs vergere, quàm neglecto pristino virtutis studio, contemptísque institutis patriis, voluptate victi dediderunt se externis libidinibus. Venerat fortè in eas regiones Parthorum quidam dux cum coniuge tam aliis dotibus quàm insigni forma laudata vsque ad miraculum: hanc siue aspectu siue fama cognitam adamauit Asinæi frater Anilæus: & cùm neque suis imperare posset cupidinibus, neq; vlla alia spes esset potiendi muliere, bello maritum eius petiit: primóque conflictu cæso Partho, vxor in victoris potestatem & thalamum peruenit: quod quidem magnarum calamitatum tam ipsi quàm fratri fuit principium. cùm enim amisso priore marito captiua duceretur, simulacra patriorum numinum quæ gentilitio ritu & domi secum habere solebat & in itinere, clàm inter cæteram supellectilem aduexerat. ea primum colebat sine arbitris. Deinde in thorum recepta, & nacta fiduciam, propalàm operabatur sacris quæ à defuncto acceperat. id factum obiurgabatur amicis vtriusque fratris primariis, indignum facinus dictitantibus, contra Hebraicæ gentis ritus ac leges ductam vxorem barbaram, deditam impiis patriæ suæ superstitionibus. quare videndum ne dum nimium indulgent voluptati corporis, à principatu excidant, quem diuino fauore consecuti sint. Sed adeò nihil profectum est his admonitionibus, vt præcipuus quidam confossus sit dum liberiùs inuehitur: qui moriens iratum numen imprecatus est fratribus eorúmque sociis, vlturum læsam & religionem & amicitiam, vtque simili & ipsi ab inimicis afficerentur exitio: illi quidē quòd autores iniuriæ fuerint, hi quòd patrocinatorem legum per summum nefas opprimi passi sint. quamuis enim molestè ferrent talia, plus tamen apud eos valebat præteritæ virtutis memoria, cui acceptam ferebant præsentem felicitatem. sed indignationem eorum accendit mulieris impietas, non ferentium pertinaciter amplexam sacra Parthica: factóque concursu ad Asinæum vociferabantur in Anilæum: dicentes oportere eum, si priùs parum potuit quid vtile sit dispicere, nunc certè erratum corrigere, prinsquam id publica expietur pernicie. nam & connubium illud nemini probari, vt parum conueniens patriis ritibus: & superstitiosum numinum cultum quem mulier sibi permittat, pertinere ad Dei veri iniuriam. at illè quamuis agnosceret peccatum fratris allaturum sibi ac suis magnum aliquod incommodum, victus tamen germanitatis affectu facilè ignoscebat succumbenti tam indomitis cupidinibus. Sed cùm maiores indies concursus ad eum & vociferationes fierēt, tādem super ea fratrem

admonuit, antecacta obiurgans, & iubens vt resipiscat in posterum, mulierémque domum ad cognatos ipsius remittat. nihil tamen hac admonitione effectum est: quia mulier sentiens propter se murmur esse in populo, & verita ne Anilæo propter amorem sui durius aliquid accideret, veneno Asinæum sustulit, secura quòd sub amatore iudice impunè auferret hoc facinus. Cæterùm Anilæus ad se vnum iam principatu redacto, cum exercitu fecit impetum in vicos Mithridatis viri apud Parthos nobilissimi, qui in matrimonio habebat Artabani filiam: cósque magna præda abacta populatus est. nam & pecuniam multam & mancipia reperit: pecoráque & res alias quibus fortunæ possunt auctiores fieri. Mithridates verò qui fortè tum non procul aberat, audita vicorum expugnatione, indignè ferens vltro se ab Anilæo lacessitum iniuria, habitámque ludibrio suam dignitatem iudicans, excita iuuenum manu, collectóque equitatu quàm potuit maximo, obuiam profectus est conflicturus cum Anilæo: & cùm ad vicum quendam ex suis peruenisset, ibi quieuit: quòd decreuisset postridie Iudæos aggredi sabbato instante, quod illis religioso otio colitur. qua de re præmonitus Anilæus à barbaro natione Syro alterius cuiusdam vici incola, & inter cætera diligenter edoctus quo loco Mithridates celebraturus esset cum suis conuiuium: iusso curare corpus milite, noctu contra hostes properauit, vt inopinos opprimeret. quò delatus circa quartam vigiliam, partim sopitos occidit, partim attonitos fuga coëgit salutem quærere. Mithridatem etiam viuum captum secum abduxit, nudum super asinum impositum, quæ apud Parthos grauissima habetur contumelia. quem cùm sic ad syluam quandam perduxisset, hortantibus amicis vt illum interficeret, ipsi diuersum visum est, neganti occidendum virum genere apud Parthos præcipuum, & honoratum affinitate regia. præteritarum enim iniuriarum posse impetrare veniam. quamuis enim offensus sit Mithridates, habiturum tamen pro concessa incolumitate gratiam: quòd si grauiùs in eum consulant, non quieturum regem nisi magnis cædibus in Iudæos Babylone degentes vindicet: quibus parcendum esse propter coniunctionem sanguinis, & vt ad illos sibi pateat refugium, si qua clades accidat, vt sunt belli vicissitudines. eam sententiam approbauit multitudo cętera, atque ita Mithridates dimittitur. qui domum reuersus ab vxore exceptus est conuitio, quòd regis gener post acceptas à Iudęis tot tam insignes iniurias, nunc captiuus etiam vitam eis debere sustineret precariam. Aut igitur, inquit, pristinam virtutem recipe, aut Deos testor, quibus curę est regum dignitas, me tua conditione non vsuram postea. ille partim non ferens quotidianum opprobrium, partim timens mulieris elatum animum ne diuortium faceret, inuitus quidem, coëgit tamen quantas potuit copias, indignum seipse vita existimās,

πρὸς ἀνιλαῖον, τοῖς τε πρόσθεν γεγονόσιν ἐπιτιμῶν, καὶ παύσασθαι τὸ λοιπὸν κελεύων τὴν ἄνθρωπον ἀποπεμψάμενον εἰς τοὺς συγγενεῖς. ἐπεράσετο δὲ οὐδὲν ἐκ τῶν λόγων, καὶ ἡ γυνὴ δὲ αἰσθανομένη μὲν τοῦ θορύβου τοῦ κατέχοντος τοὺς λαοὺς δι' αὐτὴν, δεδοικυῖα δὲ περὶ τοῦ ἀνιλαίου μή καί τι πάθοι ἔρωτι τῷ πρὸς αὐτὴν, φάρμακον τῷ ἀσιναίῳ δοῦσα ἐν τοῖς σιτίοις, μεθίστα τὸν ἄνθρωπον, ἀδεής τε ἦν ἐπὶ κριτῇ τῷ περὶ αὐτὴν προαχθησομένων τῷ ἐραστῇ γινομένῳ. ἀνιλαῖος δὲ καταμόνας ἤδη τὴν ἡγεμονίαν παραλαβὼν, ἐξάγει στρατιὰν ἐπὶ τὰς μιθριδάτου κώμας, ἀνδρὸς πρώτου ἐν τῇ παρθυηνῇ, καὶ βασιλέως ἀρταβάνου τὴν θυγατέρα γεγαμηκότος, διαλείας τε ἦγεν αὐτάς. καὶ πολλὰ μὲν χρήματα, καὶ ἀνδράποδα εὑρίσκεται, πολλά τε πρόβατα, ἄλλά τε πολλὰ ὁπόσα ἐπὶ προσλήψει τοῦ εὐδαίμονος ὠφελεῖ τοῖς ἔχουσι. μιθριδάτης δὲ, ἐτύγχανε γὰρ τῇδε, ἐπεὶ ἀκούει τῶν κωμῶν τὴν ἅλωσιν, ἐν δεινῷ φέρων ὁπότε μὴ προαρξαντος ἀδικεῖν ἀνιλαῖος ἄρξαιτο, καὶ παρόντος τοῦ ἀξιώματος ὑβριδὼν, ἱππέας συναγαγὼν πλείστους ὅσους ἐδύνατο, καὶ τῶν πλείστων τοὺς ἐν ἡλικίᾳ παρῆν, ὡς προσμίξων τοῖς περὶ τὸν ἀνιλαῖον. καὶ ἔν τινι κώμῃ τῶν αὐτοῦ καταχὼν, ἡσύχαζεν, ὡς τῇ ἐπιούσῃ μαχησόμενος διὰ τὸ εἶναι σάββατον ἡμέραν τοῖς ἰουδαίοις ἐν ἀργίᾳ διαγομένην. ἀνιλαῖος δὲ ταῦτα πυθόμενος παρ' ἀνδρὸς σύρου ἀλλοφύλου ἐξ ἑτέρας κώμης, τά τε ἄλλα φράζοντος ἀκριβῶς, καὶ τὸ χωρίον ἔνθα μιθριδάτης ἤμελλε δαίνυσθαι δειπνοποιησάμενος, καθ' ὥραν ἤλαυνε νυκτὸς ἀμαθέσι τῶν ποιουμένων χρήζων τοῖς παρθυαίοις ἐπιπεσεῖν. καὶ περὶ φυλακὴν τετάρτην ἐπιπεσὼν, τοὺς μὲν, ἔτι κοιμωμένους ἀναιρεῖ, τοὺς δὲ εἰς φυγὴν τρέπει. μιθριδάτην δὲ ζωγρίᾳ λαβὼν, ἦγεν ὡς αὐτὸν ἐπὶ ὄνον γυμνὸν ἀναθέμενος, ἥπερ ἀτιμίαν μεγίστην νομίζεται παρὰ παρθυαίοις. καταγαγὼν δὲ εἰς τὴν ὕλην μετὰ τοιούτου ὁρίσματος, καὶ κελευόντων τῶν φίλων ἀναιρεῖν τὸν μιθριδάτην, ἀνεδίδασκεν αὐτοὺς ἀποδιδοὺς αὐτὸς ἐναντία. μὴ γὰρ καλῶς ἔχειν ἀναιρεῖν ἄνδρα γένους τε ὄντα τοῦ πρώτου παρὰ παρθυαίοις, καὶ ἐπιγαμίᾳ τῇ πρὸς τὸν βασιλέα μειζόνως τιμώμενον. νῦν μὲν γὰρ ἀνεκτὰ εἶναι τὰ πεπραγμένα. καὶ γὰρ εἴπερ ὑβρίσθαι μιθριδάτης, ἀλλ' οὖν σωτηρίᾳ τῆς ψυχῆς εὐεργετούμενον χάριτος μνήσασθαι τοῖς τὰ τοιάδε παρασχοῦσι. πάθος δέ τι ἀνήκεστον ἐκ ἀρξεμένου βασιλέα, μὴ οὖν μεγάλην σφαγὴν ἰουδαίων τῶν ἐν βαβυλῶνι ποιησάμενον, ὧν φείδεσθαι καλῶς ἔχειν, διά τε τὴν συγγένειαν, καὶ διὰ τὸ μὴ ἀναστροφὴν εἶναι ἂν αὐτοῖς πταίσματός τινος γενομένου τὸ κατ' ἐκείνους ἀκμῆς πλήθυϊ χρώμενον. καὶ ὁ μὲν ταῦτα διανοηθεὶς, καὶ φράσας ἐν τῷ συλλόγῳ, πιθανὸς ἦν. ἀφίεταί τε μιθριδάτης. ἐξελθόντα δὲ αὐτὸν ὠνείδιζεν ἡ γυνὴ εἰ μὴ προθυμήσεται βασιλέως τοῦ γαμβρὸς ὢν, καὶ ταύτῃ τιμωρήσεσθαι τοὺς ὑβρίσαντας εἰς αὐτὸν περιορώμενος, ἀγαπῶν δὲ τὴν σωτηρίαν μετὰ αἰχμαλωσίας ὑπὸ ἰουδαίων ἀνδρῶν γενομένης. καὶ νῦν ἐπανάδραμε τὴν ἀρετὴν ἢ θεοὺς ἐπόμνυμι τοὺς βασιλείους, ἦ μὴν παραλυθήσεσθαι τῆς πρὸς σὲ ἐπὶ γάμῳ κοινωνίας. ὁ δὲ αὖ, τοῦτο μὲν τῶν ὀνειδῶν τὴν καθημέραν ἀχθηδόνα μὴ φέρων, τοῦτο δὲ τῆς γυναικὸς τὴν μεγαλοφροσύνην δεδιὼς μὴ παραλύοιτο αὐτοῦ τῶν γάμων, ἄκων μὲν καὶ βουλόμενος, συνάγει δ' οὖν στρατὸν ὅσον ἠδύνατο πλεῖστον, καὶ ἐλαύνει, οὐκ ἀνασχετὸν ὑπολαμβάνων ἔτι καὶ αὐτὸς τὴν σωτηρίαν,

εἰ παρ-

εἰ παρθυαῖος ὢν ὑπὸ ἰουδαίων. περιωθοῖτο ἀντιπολεμέντων. ἀνιλαῖος δὲ ὡς μανθάνει προσελαύνοντα δυνάμει πολλῇ τὸν μιθριδάτην, ἄδοξον ἡγησάμενος τὸ μένειν ἐν τοῖς ἕλεσιν, ἀλλὰ μὴ φθάσας ὑπαντιάζειν τοὺς πολεμίους, εὐτυχίᾳ τε τῇ πρότερον ἐλπίζων ὅμοια πράξειν τοὺς πολεμίους, καὶ τὴν τοῦ τόλμησιν καὶ εἰωθόσι θαῤῥεῖν παρατυγχάνειν, ἐξῆγε τὴν δύναμιν. πολλοί τε πρὸς τῷ οἰκείῳ στρατῷ προσεγεγόνεσαν αὐτῷ καθ' ἁρπαγὴν τῶν ἀλλοτρίων ἐξαπτόμενοι, καὶ ὄψει πάλιν προσεκπλήξοντες τοὺς πολεμίους. προσιοῦσι δὲ αὐτοῖς εἰς σταδίους ἐνενήκοντα, καὶ διὰ τὸ ἀνύδρου τῆς πορείας γενομένης, καὶ μεσημβρίας, τότε περιῆν τε τὸ δίψος, καὶ μιθριδάτης ἐπιφανεὶς, προσέβαλλε τεταλαιπωρημένοις ἀπορίᾳ τοῦ πιεῖν, δι' αὐτό τε καὶ τὴν ὥραν φέρειν τὰ ὅπλα μὴ δυναμένοις. τροπή τε οὖν γίνεται τῶν περὶ τὸν ἀνιλαῖον ἄδοξα, διὰ τὸ ἀπηγορευκότας ἀκραιφνέσι προσφέρεσθαι, καὶ φόνος πολὺς, πολλαί τε μυριάδες ἔπεσον ἀνδρῶν. ἀνιλαῖος δὲ, καὶ ὅσον περὶ αὐτὸν ἦν συνεστηκὸς ἐπὶ τῆς ὕλης ἐπανεχώρουν φυγῇ μεγάλης νίκης τῆς ἐπ' αὐτοῖς χαρὰν μιθριδάτῃ παρεσχηκότες. ἀνιλαίῳ δὲ προσῄει πλῆθος ἀπείρων ἀνδρῶν πονηρῶν ἐν ὀλίγῳ τῆς σωτηρίας ποιουμένων, ῥᾳστώνης χάριτι τῆς εἰς τὸ παρὸν, ὥστε ἀντανίσωμα τῆς τούτων προσόδου γενέσθαι πλήθους τῶν ἀπολωλότων. οὐ μὴν ὅμοιοί τε ἦσαν τοῖς πεπτωκόσι διὰ τὸ ἀμελέτητον. οὐ μὴν ἀλλὰ καὶ ταύταις ἐπιφοιτᾷ τῆς κώμαις τῶν βαβυλωνίων, ἀνάστατά τε ἦν πάντα ταῦτα ὑπὸ τῆς ἀνιλαίου ὕβρεως. καὶ βαβυλώνιοι, καὶ οἱ ὄντες ἐν τῷ πολέμῳ, πέμπουσιν εἰς τὰ νεερδὰ πρὸς τοὺς ἐν αὐτῇ ἰουδαίους ἀνιλαῖον ἐξαιτούμενοι. καὶ μὴ δεξαμένοις τοῦτον τὸν λόγον, οὐδὲ γὰρ βουλομένοις ἔκδοτον παρασχεῖν δυνατὸν ἦν, τὴν εἰρήνην προυκαλοῦντο. οἱ δὲ καὐτοὶ χρῄζειν ἔλεγον τῶν ἐπὶ τῆς εἰρήνης συμβάσεων. καὶ πέμπουσι μετὰ τῶν βαβυλωνίων ἄνδρας, οἳ διελέγοντο πρὸς τὸν ἀνιλαῖον. οἱ δὲ βαβυλώνιοι κατοπτείας αὐτοῖς γενομένης, μαθόντες τὸ χωρίον ἐν ᾧ ἱδρυμένος ἀνιλαῖος ἦν, ἐπιπεσόντες κρύφα νυκτὸς μεθύουσι, καὶ καθ' ὕπνον ἐκκειμένοις κτείνουσιν ἀδεῶς πάντας ὅσους ἐγκατέλαβον, καὶ ἀνιλαῖον αὐτὸν ἀπέκτειναν. οἱ βαβυλώνιοι δὲ ἀπαλλαγέντες τῆς ἀνιλαίου βαρύτητος, ἐπιστόμισμα γὰρ ἦν αὐτῶν μίσει τῷ πρὸς ἰουδαίους, ἀεὶ γὰρ ὡς ἐπὶ πολὺ διάφοροι καθεστήκεσαν αἰτίᾳ τῆς ἐναντιώσεως τῶν νόμων, καὶ ὁποτέροις παραγένοιτο θαῤῥεῖν πρότερον ἀλλήλων ἥπτοντο. καὶ τότε οὖν ἀπολωλότων τῶν περὶ ἀνιλαῖον, ἐπετίθεντο τοῖς ἰουδαίοις οἱ βαβυλώνιοι. οἱ δὲ ἐν δεινῷ τιθέμενοι τὴν ὕβριν τὴν ἐκ τῶν βαβυλωνίων, καὶ μήτε ἀντιτάξασθαι μάχῃ δυνάμενοι, μήτε ἀνεκτὸν ἡγούμενοι τὴν συνοικίαν, ᾤχοντο εἰς σελεύκειαν τὴν ἐκείνῃ πόλιν ἀξιολογωτάτην, σελεύκου κτίσαντος αὐτὴν τοῦ νικάνορος. οἰκοῦσι δὲ αὐτὴν, πολλοὶ τῶν μακεδόνων, πλεῖστοι δὲ ἕλληνες, ἔστι δὲ καὶ σύρων οὐκ ὀλίγον τὸ ἐμπολιτευόμενον. εἰς μὲν δὴ ταύτην καταφεύγουσιν οἱ ἰουδαῖοι, καὶ ἐπὶ πέντε ἔτη ἀπαθεῖς κακῶν ἦσαν. τῷ δὲ ἑκτῷ ἔτει μετὰ τὸ πρῶτον, φθορᾶς ἐν βαβυλῶνι ἐγγενομένης αὐτῶν, καὶ καιναὶ κτίσεις ἐκ τῆς πόλεως καὶ δι' αὐτὴν ἄφιξιν εἰς τὴν σελεύκειαν, ἐκδέχεται δὴ μείζων αὐτοὺς συμφορὰ, δι' αἰτίαν ἣν ἀφηγήσομαι. σελευκέων τοῖς ἕλλησι πρὸς τοὺς σύρους ὡς ἐπὶ πολὺ ἐν στάσει καὶ διχονοίᾳ ἐστὶν ὁ βίος, καὶ κρατοῦσιν οἱ ἕλληνες. τότε οὖν συνοικούντων αὐτοῖς ἰουδαίων γενομένων ἐστασίαζον, καὶ οἱ σύροι καθυπέρτεροι ἦσαν ὁμολογίᾳ τῇ ἰουδαίων πρὸς αὐτοὺς, φιλοκινδύνων τε ἀνδρῶν, καὶ πολεμεῖν προθύμως

A si homo Parthus Iudæis victoriam cederet. Anilæus verò vbi cognouit aduentare illum cum valido exercitu, turpe ducens continere se intra palustria, & sperans fortunam contra hostes priori similem, fretúsque milite iam assueto vincere, & ipse contra eduxit copias: cui præter veteranos multi tum etiam prædæ cupidine se adiunxerant, rati profligandum hostem quamprimùm in conspectum venerit. progressos autem meridiano B tempore per regionem inaquosam ad nonaginta stadia Mithridates adoritur, æstu & siti laboréque itineris adeo fessos, vt arma ægrè sustinerent, ipse recentibus viribus: confestimque in fugam versis tanta cædes secuta est, vt multa virorum millia caderent. Anilæus autem stipatus globo iuuenum effusissima fuga se in quandam syluam recepit, relicta Mithridati lætissima victoria. Verùm ad Anilæũ breui cõfluxit magna multitudo perditorum C hominum, qui licentiam pluris quàm propriam salutem facerent: itaque detrimentum quòd acceperat in prælio, suppletum est duntaxat numero. neque enim conferendi erant cũ his qui ceciderant, eo quòd essent rudes militiæ. Duxit tamẽ eos contra Babyloniorum castella, latéque vastabat omnia. Tum Babylonij reliquíque hostes miserũt Neerdam ad Iudæos qui Anilæum deposcerẽt ad supplicium. quod cùm non impetrarent: neque enim il- D lis integrum erat hominem dedere, ad pacem eos inuitauerunt. quibus tractationem de conditionibus pacis admittentibus, missi sunt tam ab illis quàm à Babyloniis legati ad Anilæum. tum Babylonij perlustrato diligenter loco in quo se ille continebat, clàm noctu irruunt in sopitos & grauatos crapula: & impunè quotquot adepti sunt interficiunt, & ipsum Anilæum inter cæteros. Tum verò hoc metu exoneratus Babylonis populus, qui ante- E hac nõ ausus erat odium effundere in nostros homines, cum quibus illi propter diuersos ritus perpetuum est dissidium, nunc his nunc illis præualentibus: sublato inquam Anilæi sodalitio, in Iudæos vndique coortus est. Itaque non ferentes eorum violentiam, & sentientes se ad confligendum impares, nolentes cum eis habitare amplius, migrarunt Seleuciam vrbem eius regionis præcipuam, à Seleuco Nicanore olim conditam. hæc commu- F ne est Macedonum, Græcorum & Syrorum domicilium. eò postquam confugerunt Iudæi, per quenquennium nulla affecti sunt iniuria. sexto autem anno peste apud Babylonem grassante, denuò inde migratum est: quam multitudinem excipiente Seleucia, sequuta est Iudæos maior calamitas ex huiusmodi causa. in hac vrbe semper Græcis malè cum Syris conuenit, Græcorum tamen factione præponderante. quò postquam à Iudæis migratum est, G eorum fauore conditio Syrorum cœpit esse potior, aucta viris bellicosis, & periculorum

contemptoribus. quare Græci succumbentes, & videntes se non posse recuperare dignitatem pristinam manente Iudæorum & Syrorum consensu, suos quisque familiares Syros appellauerunt de pace & amicitia, id quod facilè impetratum est. nam cùm vtrinque primatibus commissum esset negotium, secuta est reconciliatio, quam ita demum ratam fore placuit, si vtrique Iudæos communibus prosequerentur odiis: cósque ex improuiso aggressi, occiderunt supra quinquaginta virorum millia: nec vllus euasit, nisi si quem amici aut vicini seruauit misericordia. hi deinde secesserunt Ctesiphontem vrbem Græcanicam vicinam Seleuciç, vbi quotannis rex hybernare est solitus, habens ibi maiorem supellectilis partem repositam, ibíque sedes fixerunt, tutos se rati regiæ maiestatis reuerentia. Cæterùm Babyloniorum ac Seleucensium terror omnes eius tractus Iudęos peruagatus est: quãdo quicquid erat Syrorum in illis regionibus cum Seleucensibus conspirauit in eorum perniciem. quo factum est vt plerique Neerdam & Nisibim se receperint, securitatem suam reponentes in earum munitionibus, quæ alioquin etiam habitantur à viris bellicosissimis. Atq; ita se tunc habuerunt res Iudæorum per Babyloniam.

ἐντεταγμένων. καὶ οἱ ἕλληνες περιωθούμενοι τῇ στάσει, καὶ μίαν ὁρῶντες αὐτοῖς ἀφορμὴν τοῦ ἀνασώσασθαι τὸ πρότερον ἀξίωμα, εἰ δυνηθεῖεν παῦσαι ταυτὸν λέγοντας ἰουδαίους καὶ σύρους, διελέγοντο ἕκαστος πρὸς τοὺς σύρους τοὺς αὐτῶν συνήθεις πρὸ τοῦ γεγονότας, εἰρήνην τε καὶ φιλίαν ὑπισχνούμενοι. οἱ δὲ ἐπείθοντο ἄσμενοι. ἐγίνοντο οὖν ἀφ᾿ ἑκατέρων λόγοι, καὶ τῶν πρώτων παρ᾿ ἑτέροις ἀνδρῶν πρασσόντων ἐπὶ διαλλαγαῖς τάχιστα ἡ σύμβασις ἐγένετο. ὁμονοήσαντές τε, μέγα τεκμήριον ἑκάτεροι ἐνόουν παρ᾿ ἀλλήλοις παρέχειν τὸ πρὸς ἰουδαίους ἔχθος, ἐπιπεσόντες αἰφνίδιον αὐτοῖς, κτείνουσι μυριάδας ὑπὲρ πέντε ἀνδρῶν. ἀπώλοντό τε πάντες, πλὴν εἴ τινες ἐλέῳ φίλων ἢ γειτόνων ἐπιχωρηθὲν αὐτοῖς ἔφυγον. τούτοις τε ἦν ἐς κτησιφῶντα ἀποχώρησις πόλιν ἑλληνίδα, καὶ τῇ σελευκείᾳ πλησίον κειμένην, ἔνθα χειμάζει τε ὁ βασιλεὺς κατὰ πᾶν ἔτος, καὶ πλείστη τῆς ἀποσκευῆς αὐτοῦ τῇδε ἀποκειμένη τυγχάνει. ἀσυνέτα δὲ ἦν αὐτοῖς τὴν ἵδρυσιν πεποιημένοις, τιμῇ τῆς βασιλείας σελευκέων πεφροντικότων. ἐφοβήθη δὲ καὶ πᾶν τὸ τῇδε ἰουδαίων γένος, τούς τε βαβυλωνίους, καὶ τοὺς σελευκεῖς. ἐπειδὴ καὶ ὁπόσον ἦν σύρων ἐμπολιτευόμενον τοῖς τόποις ταυτὸν ἔλεγον τοῖς σελευκεῦσιν ἐπὶ πολέμῳ τῷ πρὸς ἰουδαίους, καὶ συνελέγησαν ὡς τὸ πολὺ εἴς τε τὰ νέερδα καὶ τὴν νίσιβιν, ὀχυρότητι τῶν πόλεων κτώμενοι τὴν ἀσφάλειαν, καὶ ἄλλως πληθὺς ἅπασα μαχίμων ἀνδρῶν κατοικεῖται. καὶ τὰ μὲν κατὰ ἰουδαίους τοὺς ἐν τῇ βαβυλωνίᾳ, τοιαῦτα ἦν.

ΤΑΔΕ

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩ ΕΝΝΕΑΚΑΙΔΕΚΑΤΩ ΛΟΓΩ τῆς ἰωσήπου ἱστορίας τῆς ἰουδαϊκῆς ἀρχαιολογίας.

Ὡς γάϊος καῖσαρ ἐπιβουλευθεὶς ὑπὸ κασσίου χαιρέου, ἀνῃρέθη. Κεφ. α.

Ὡς κλαύδιος ὁ θεῖος αὐτοῦ βιασθεὶς ὑπὸ τῶν στρατιωτῶν τὴν ἀρχὴν παρέλαβε. Κεφ. β.

Στάσις τῆς βουλῆς, καὶ τοῦ δήμου. Κεφ. γ.

Ὡς κλαύδιος καῖσαρ ἀποδίδωσιν ἀγρίππᾳ τὴν πατρῴαν αὐτοῦ βασιλείαν ἅπασαν, προσθεὶς αὐτῷ, καὶ λυσανίου τετραρχίαν, καὶ προγράμματα τοῦ καίσαρος ἐν ἀλεξανδρείᾳ ὑπὲρ τῶν ἐκεῖ ἰουδαίων, καὶ ἐν πάσῃ αὐτοῦ ἀρχῇ. Κεφ. δ.

Ἀπόπλους ἀγρίππα τοῦ βασιλέως εἰς ἰουδαίαν. Κεφ. ε.

Ἡ ἐπιστολὴ πουπλίου πετρωνίου τῆς συρίας ἡγεμόνος πρὸς δωρίτας ὑπὲρ ἰουδαίων. Κεφ. ϛ.

Περὶ τῶν τοῦ ἀγρίππα πράξεων ἄχρι τῆς τελευτῆς. Κεφ. ζ.

HÆC IN IOSEPHI DECIMONONO ANTIQVITATVM Iudaicarum libro continentur.

Quomodo Caius Imperator à Cassio Chærea ex insidiis cæsus est. Cap. I.

Quomodo Claudius Caij patruus coactus à militibus principatum acceperit. Cap. II.

Dissidium inter Senatum & plebem. Cap. III.

Quomodo Claudius Agrippæ paternum regnum reddidit addità Lysaniæ Tetrarchia; & edicta eius in Iudæorum gratiam, qui Alexandriæ aut alibi in imperij orbe habitabant. Cap. IV.

Agrippæ in Iudæam reditus. Cap. V.

Epistola Pub. Petronij Syriæ præsidis ad Doritas pro Iudæis scripta. Cap. VI.

Agrippæ gesta vsque ad ipsius obitum. Cap. VII.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΙ-ΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ

ΛΟΓΟΣ ΕΝΝΕΑΚΑΙΔΕΚΑΤΟΣ.

FLAVII IOSEPHI ANTIQVITATVM IVDAICARVM

LIBER DECIMVSNONVS.

Cap. I.

Quomodo Caius à Charea cæsus est.

CAIVS porrò non in solos Iudæos Hierosolymis & in vicinis regionibus degentes debacchatus est, sed terra marique quàm latè Romanum patet imperium, quod maioribus repleuit calamitatibus, quàm quæ vnquam veterum monumentis sunt proditæ. Sed maximè Roma ipsa eius sæuitiam experta est, nihilo hac parte meliori conditione quàm vrbes cæteræ, præsertim senatores ac patricij, cæteráque nobilitas: innumerísque iniuriis vexabantur qui vocantur equites, opibus & dignitate senatoribus proximi, vtpote ex quorum ordine senatorum habeatur delectus: hi enim ignominiis afficiebantur & exiliis cædibúsque & confiscationibus, quæ tum ferè cædis accedebant præmium. Se verò pro Deo gerebat, non contentus humanis honoribus coli à subditis, & Capitolium frequentâs templorum omnium in vrbe celeberrimum, Iouem eius præsidem appellatione fratris salutare ausus est. Aliis quoque operibus suam declarabat insaniam, quando à Puteolis vrbis Cāpaniæ ad Misenū alterum maritimum oppidum grauatus triremi traiicere, & alioqui ad suam dominationem pertinere existimans, si à mari eadem quę à terra obsequia exigeret, ab vno promótorio ad alterum ponte iuncto medio sinus spacio, curru, vltro citróque vectatus est: id enim demum iter dignum esse maiestate sui numinis. Templorum etiam Græcanicorum nullum inspoliatum reliquit, & omnes insignis artificij tabulas atque statuas edicto ad se comportari imperauit, quicquid vbique terrarum pulchri esset, in pulcherrimo loco, hoc est, Romana vrbe spectari debere dictitâs. his spoliis palatium suum & hortos exornauit, aliósq; suos secessus per Italiam. ad hæc Ioué qui à loco in quo vniuersis Græcis colitur, cognominatur Olympius, opus Phidiæ Atheniensis statuarij,

A

Κεφάλαιον α'.

Ως γάϊος ὑπὸ χαιρέου ἀνῃρέθη.

ΓΑΙΟΣ δὲ οὐκ εἰς μόνους ἰουδαίους τοὺς ἐν ἱεροσολύμοις, καὶ τοὺς ὁπόσοι τῇδε οἰκοῦσιν ἐπεδείκνυτο τῆς ὕβρεως τὴν μανίαν, ἀλλὰ διὰ πάσης ἐσομένην γῆς καὶ θαλάσσης ἔστελλεν αὐτὴν, ὁπόση ῥωμαίοις ὑπακούει, μυρίων τε ἀνέπλησεν αὐτὴν κακῶν, ὁπόσα μὴ ἱστόρητο πρότερον. μάλιστα δὲ ᾐσθάνετο τοῦ δεινοῦ τῶν πρασσομένων ἡ ῥώμη κατ' οὐδὲν αὐτὴν τιμιωτέραν τῶν λοιπῶν πόλεων ἡγουμένου, ἀλλὰ τούς τε ἄλλους ἄγοντος καὶ φέροντος, καὶ μάλιστα τὴν σύγκλητον, καὶ ὁπόσοι τούτων εὐπατρίδαι, καὶ προγόνων ἐπιφανείαις τιμώμενοι. μυρία τε εὑρίσκετο, καὶ κατὰ τῶν ἱππέων μὲν καλουμένων, ἀξιώματι δὲ καὶ δυνάμει χρημάτων ὅμοια τοῖς συγκλητικοῖς ὑπὸ τῆς πόλεως ἀγομένων, διὰ τὸ ἐκ τούτων εἰς τὴν βουλὴν εἶναι καταλήψεις, ὧν ἀτίμωσις ἦν καὶ μετανάστασις, κτεινομένων τε, καὶ τὰ χρήματα συλωμένων, διὰ τὸ καὶ τὰς σφαγὰς ὡς τὸ πολὺ ἐφ' ἀφαιρέσει τῶν χρημάτων αὐτοῖς συντυγχάνειν. ἐξεθείαζε δὲ ἑαυτὸν, καὶ τὰς τιμὰς οὐκέτι ἀνθρωπίνως ἠξίου γίνεσθαι παρὰ τῶν ὑπηκόων αὐτῷ, εἴς τε τοῦ διὸς φοιτῶν τὸ ἱερὸν, ὃ καπετώλιον μὲν καλοῦσι, τιμιώτατον δ' ἀπ' αὐτοῖς ἐστὶν ἱερῶν, ἀδελφὸν ἐτόλμησε προσαγορεύειν τὸν δία. καὶ τἆλλα ἔπρασσε μανίας οὐδὲν ἀπολελειμμένος, ἐπεὶ καὶ ἀπὸ δικαιαρχίας τῆς πόλεως ἐν καμπανίᾳ κειμένης εἰς μεσηνοὺς ἑτέραν πόλιν ἐπιθαλάσσιον, καὶ τὴν διάβασιν δεινὸν ἡγούμενος τριήρει περαιοῦν, καὶ ἄλλως ἐπιβάλλειν ἡγούμενος αὐτῷ δεσπότῃ ὄντι τῆς θαλάσσης ταὐτὰ καὶ ὁποῖα καὶ παρὰ γῆς ἀπαιτεῖν, ἀπ' ἄκρων ἐπ' ἄκρα σταδίους τριάκοντα μείζονος θαλάσσης, καὶ εἴσω τὸν κόλπον ἀπολαβὼν πάντα, ἤλαυνεν ἐπὶ τῇ γεφύρᾳ τὸ ἅρμα. θεῷ γὰρ ὄντι τοιαύτας ποιεῖσθαι καλῶς ἔχειν τὰς ὁδούς. τῶν τε ἱερῶν τῶν ἑλληνικῶν οὐδὲν ἔτι ἀσύλητον κατέλειπεν ὁπόσα γραφῆς, ἢ γλυφῆς ἐχόμενα, καὶ τὰς λοιπὰς κατασκευὰς ἀνδριάντων καὶ ἀναθημάτων ἄγεσθαι κελεύσας παρ' αὐτόν. οὐ γὰρ ἐν ἑτέρῳ τὰ καλὰ κεῖσθαι καλῶς ἔχειν, ἢ ἐν τῷ καλλίστῳ, τυγχάνειν δὲ τοῦτο οὖσαν τὴν ῥωμαίων πόλιν. ἐκόσμει τε τοῖς ἐνθένδε ἀγομένοις, τήν τε οἰκίαν, καὶ τοὺς κήπους, ὁπόσαι τε αὐτῷ καταγωγαὶ διὰ γῆς τῆς ἰταλῶν. ἐπεὶ καὶ τὸν ὀλύμπιον τιμώμενον δία ὑπὸ τῶν ἑλλήνων, καὶ οὕτως ὀνομαζόμενον ὀλύμπιον, φειδίου τοῦ ἀθηναίου πεποιηκότος, ἐτόλ-

ἐτόλμησε κελεῦσαι εἰς τὴν ῥώμην μεταφέρειν. οὐ μὴν ἐπράχθη γε τῶν ἀρχιτεκτόνων, φαμένων πρὸς μέμμιον ῥῆγλον, ὃς ἐπετέτακτο τῇ κινήσει τοῦ διὸς, ἀπολεῖσθαι τὸ ἔργον κινήσεως αὐτοῦ γενομένης. λέγεται δὲ τὸν μέμμιον διὰ ταῦτα, καὶ σημείων μειζόνων γενομένων ἢ ὡς ἄν τινα πιστὰ ἡγεῖσθαι, ὑπερβαλέσθαι τὴν ἀναίρεσιν. καὶ γράφει τάδε πρὸς τὸν γάϊον ἐπ' ἀπολογίᾳ τοῦ ἐκλιπεῖν ἀδιακόνητον τὴν ἐπιστολήν. ἀπολέσθαι τε ἐκ τούτων αὐτῷ κινδύνου γενομένου, σώζεται φθάντος ἤδη γαΐου τελευτῆσαι. εἰς τοῦτο δὲ προὔβη τὸ μανικὸν αὐτῷ, ὥστε δὴ καὶ θυγατρὸς αὐτῷ γενομένης, ἀνακομίσας ἐπὶ τὸ καπετώλιον ἐπὶ τοῖς γόνασι κατατίθεται τοῦ ἀγάλματος, κοινὸν αὐτῷ τε καὶ τῷ διὶ γεγονέναι τὸ τέκνον, καὶ δύο χειροτονεῖν αὐτῆς πατέρας, ὁπότερον μείζονα φάμενος ἐν μέσῳ δὲ καταλιμπάνειν. καὶ τάδε ἠνείχοντο πράσσοντα αὐτὸν οἱ ἄνθρωποι. ἐπέτρεψε δὲ καὶ τοῖς οἰκέταις κατηγορίας ποιεῖσθαι τῶν δεσποτῶν ἐφ' οἷς πισὶν ἐθελήσειεν ἐγκλήμασι. δεινὰ γὰρ πάντα ἦν ὁπόσα μέλλοι λέγεσθαι, διὰ τὸ χάριτί τε καὶ ὑπαγορεύσει τῇ ἐκείνου τὰ πολλὰ γίνεσθαι, ὥστε ἤδη καὶ κλαυδίου ἐτόλμα ποιήσασθαι πολυδεύκης ὁ δοῦλος κατηγορίαν, καὶ γάϊος ἠνείχετο κατὰ πατράδου τοῦ αὐτοῦ δίκης θανάτου λεγομένης ἐπ' ἀκρόασιν συνελθεῖν, ἐλπίδι τοῦ παραλαβεῖν δύναμιν ἀνελεῖν αὐτόν. οὐ μὴν ἐξεγένετό γε αὐτῷ. ἀναπεπληκότος δὲ αὐτοῦ συκοφαντιῶν, καὶ κακῶν πᾶσαν τὴν οἰκουμένην ἧς ἐπῆρχε, καὶ πολλὴν τὴν δουλοκρατείαν ἐπηρμένου τοῖς δεσπόταις, ἐπιβουλαὶ τὰ πολλὰ ἤδη συνίσταντο. τῶν μὲν ἐπ' ἀμύνῃ ὧν πάθοιεν ὀργὴν ποιουμένων, τῶν δὲ πρὶν ἐμπεσόντες κακῶν τυχεῖν μεγάλων τιθεμένων, τὸ μεταχειρίσασθαι τὸν ἄνθρωπον. ὅθεν δὴ τοῖς τε ἁπάντων νόμοις καὶ τῷ ἀσφαλεῖ μεγάλην συνήνεγκεν εὐδαιμονίας ῥοπὴν ὁ θάνατος αὐτοῦ, ἔθνει τε τῷ ἡμετέρῳ οὐδὲ εἰς ὀλίγον ἐξεγένετο μὴ οὐκ ἀπολωλέναι, μὴ ταχείας αὐτοῦ τελευτῆς παραγενομένης. βούλομαι δὲ δι' ἀκριβείας τὸν πάντα περὶ αὐτοῦ λόγον διελθεῖν, ἄλλως τε ἐπειδὴ καὶ πολλὴν ἔχει πίστιν τοῦ θεοῦ τῆς δυνάμεως, καὶ παραμυθίαν τοῖς ἐν τύχαις κειμένοις, καὶ σωφρονισμὸν τοῖς οἰομένοις ἀΐδιον τὴν εὐτυχίαν, ἀλλὰ μὴ ἐπὶ μήκιστον φέρειν κακὸν ἀρετῆς αὐτῇ μὴ παραγενομένης. ὁδοὶ μὲν τρεῖς ὁ θάνατος αὐτοῦ παρεσκευάζετο, καὶ τούτων ἑκάστης ἄνδρες ἀγαθοὶ τὴν ἡγεμονίαν εἶχον. αἰμίλιός τε ῥῆγλος ἐκ κορδύβης τῆς ἐν ἰβηρίᾳ γένος συνεῖχε τινὰς ἢ δι' ἐκείνων, ἢ δι' αὐτοῦ πρόθυμος ὢν ἀρᾶσθαι γάϊον. ἑτέρα δὲ αὐτοῖς συνεκροτεῖτο ἧς χαιρέας κάσσιος χιλίαρχος ἡγεμὼν ἦν. μινουκιανὸς δὲ ἄννιος οὐκ ὀλίγη μοῖρα τῶν ἐπὶ τὴν τυραννίδα παρεσκευασμένων ἦν. αἰτία δὲ αὐτοῖς μίσους τοῦ πρὸς γάϊον συνελθεῖν, ῥήγλῳ μὲν τὸ ἐπὶ πᾶσιν ὀργίλον καὶ μίσει χρώμενον πρὸς τὰ μετὰ ἀδικίας διαγόμενα. καὶ γὰρ εἶχεν τι θυμοειδὲς ἐν τῇ διανοίᾳ καὶ ἐλευθέριον, ὑφ' οὗ μηδὲ στέγειν προῄρητο τῶν βουλευμάτων. πολλοῖς γοῦν ἀνεκοινώσατο, καὶ φίλοις, καὶ ἄλλοις δοκοῦσιν αὐτῷ δραστηρίοις. μινουκιανὸς δὲ τὰ μὲν λεπίδου τε ἐκδικία, φίλον γὰρ αὐτῷ τὰ μάλιστα ὄντα τοῦτον, καὶ τῶν πολιτῶν σὺν ὀλίγοις ἀναιρεῖ γάϊος, καὶ ἄλλως φοβηθεὶς τὰ περὶ αὐτὸν διὰ τὸ πᾶσιν ὁμοίως τὸν γάϊον ἐπὶ θάνατον ἀνακειμένην ἐπαφιέναι τὴν ὀργὴν, ἐπὶ τὴν ἐγχείρησιν ἦλθεν. χαιρέαν δὲ αἰσχύνην φέροντα ὀνειδίζεσθαι εἰς τὴν ἀνανδρίαν ὑπὸ τοῦ γαΐου προσφερομένου, καὶ ἄλλως τὸ ἐφ' ἡμέρᾳ κινδυνεύειν φιλίᾳ καὶ θεραπείᾳ τοῦ γαΐου

ausus est iubere in Vrbem transferri: quod tamen factum non est, architectis apud Memmium Regulum, cui demandatum erat hoc negotium, negantibus loco moueri posse illæsum simulacrum, & absque vitio. aiunt etiam prodigiis fidem excedentibus Memmium vetitum, distulisse imperata facere: quæ ipse inseruit excusantibus cessationem suam literis. cúmque capite luendum esset neglectum mādatum, interitus Caij hominem exemit periculo. Eò denique insaniæ prouectus est, vt natam sibi filiam in Capitolium delatam, in simulachri genua deponeret, quasi communem sibi cum Ioue prolem, in medio se relinquere dicens iudicium, vtro maiore parente sit genita. atque hæc agentem tolerabant tamen homines. Permisit etiam seruis licentiam deferendi suos dominos qualicunque crimine: quod eo grauius erat, quia ex ipsius Cæsaris autoritate, & in eius gratiam gerebantur omnia: adeò vt Claudium ausus sit Pollux mancipium ipsius reum facere: & Caius sustinuit inter iudices audire patruum dicentem causam capitis, sperans sumpturum se de illo supplicium: quod tamen ei non licuit. Itaque cùm totum suæ ditionis orbem replesset sycophantiis, & seruos erexisset contra dominos, passim illi tendebantur insidiæ, alios ira stimulante ad vindictam acceptæ iniuriæ, aliis ipsius cæde imminentem sibi perniciem præcauere volentibus. Certè ius publicum, nisi illo sublato, saluum manere non potuit, præcipuè nostra gens eius cæde erepta est ex ipsis interitus faucibus. quapropter libet mihi accuratè denarrare totum negocium, vel ideò vt argumentum sit diuinæ potentiæ, quod & in aduersis soletur homines, & modestiæ fortunatos admoneat, ne opinione diuturnæ felicitatis falsi, neglecta virtute in perpetuam corruant miseriam. Tres in illius necem conspirationes factæ sunt, quarum singulæ autores habebant viros fortissimos. nam Æmilius Regulus à Corduba Hispaniæ ciuitate oriundus manum coniuratorum circa se habebat, quorū opera illum tolleret. alterius Cassius Chærea tribunus erat caput, Annius quoque Minucianus non paucos ad opprimēdum tyrannum concieuerat. His Caius inuisus erat, Regulo quidem quòd is natura omnem iniquitatem oderat. erat enim magnanimus, & liberali ingenio preditus, ita vt non dissimularet sua cōsilia: quæ cum multis cōmunicauit, vel amicis, vel alioqui viris strenuis. Minucianus verò partim Lepidum vlciscendi cupidine, quē illi amicissimum & ciuem cum primis egregium Caius occiderat: partim metu, quòd videret eius odia semper esse exosis capitalia, decreuit illum ferro inuadere. Chærea non ferebat exprobratam sibi à Caio molliciem, & alioqui quotidiana pericula, quibus propter familiaritatem eius erat expositus, optimè

se putabat nece ipsius euasurum. Commune autem omnium illorum erat propositum, superbæ ac impotenti eius dominationi finem imponere. spes enim erat, successurum negocium, & re bene gesta seruandam ope sua rempublicam, cuius saluti honestum esse vel vitam impendere. Sed Chærea fuit feruentior cæteris, tum cupiditate parandi sibi clari nominis, tum quòd propter tribunatum faciliorem accessum habebat ad perpetrandum facinus. interim Circenses ludi agebantur, quibus impendio delectatur Romanus populus, & alacriter in circum concurrens, quicquid desiderat ab imperatoribus flagitat, & illi postulatis eius perlibenter indulgent, tum quoque contentione magna rogabant, vt tributorum ac vectigalium releuaret onera. ille non ferens eorum vociferationes, dimissis militibus iubet clamatores illos passim correptos duci ad supplicium: multique hoc pacto capite plexi sunt. idque tulit populus, & cessauit à clamoribus, exemplo doctus maiorem vitę rationem habēdam quàm pecunię, quòd viderēt pro importuno eius studio multis repræsentatum interitum. Hæc magis etiam Chæream incitauerunt ad aggrediendum facinus, & compescendam immanem Caij ferociam. Et sæpe quidem epulantem inuadere decreuerat, certis tamen rationibus id distulit: non quòd dubius esset propositi, sed quia captabatur occasio commodior, vt non irrito conatu rem ad effectum deduceret. iam autem non modicum tempus exegerat in prætoriana militia. tum verò exactionibus præpositus, & debitis in fiscum redigendis, quorum quædam dilatione solutionis conduplicata fuerant: dum in exigendo terit tempus, & afflictæ fortunæ hominum miseratione exequitur mandāta negligentiùs, conciuit in se iram Cæsaris, non sine probro effœminati ac segnis animi. nec hoc contentus, quoties ille redeuntibus vicibus signum à se peteret, fœmineum aliquod & probrosum dabat vocabulum. atque hæc faciebat, cùm ipsum non puderet in quibusdam à se institutis sacris vti amictu muliebri, cincinnísque & alio ornatu quo sexum mentiretur: & post hæc audebat exprobrare Chæreæ turpitudinem. qui & quoties talia signa acciperet, ferebat indignissimè, & magis etiam cùm rideretur tradens ea militibus, essētque cæteris tribunis ludibrio. nam allaturo eo signum à Cæsare, prædicabant fore vt afferret tale aliquod ludricum. quapropter ausus est sibi aliquot asciscere, iustam iræ causam præferens. in his erat Popedius vir ordinis senatorij, omnibus ferè perfunctus honoribus, alioquin Epicureus & tum sectator otij. hunc detulerat inimicus eius Timidius, quòd in Caium iecisset cōuitia: & testem adhibeat Quintiliam

A ἐλθεῖν οὐκ ἀσφαλὲς δ' ἕτερον ὑπολαμβάνων. οἱ δὲ ἐπὶ πᾶσι κοινῇ προεστῆναι τῆς ἐπὶ τῷ πράγματι σκέψιν, τὴν τῆς ὕβρεως θεωρουμένοις, καὶ ἐπιθυμοῦσιν ἀκμὴν ἐπ' ἀλλήλων ἀκμάζουσαν διαφυγεῖν ἀραμένοις τὸν γάϊον. ἴσως μὲν γὰρ ἂν κατορθῶσαι, καλῶς δὲ κατορθοῦσι τηλικοῦτον ἀγαθὸν σχεῖν ἐπὶ σωτηρίᾳ τῆς τε πόλεως, καὶ τῆς ἡγεμονίας πονοῦσι, καὶ μετ' ὀλέθρου ἀπελθεῖν τοῦ πράγματος. πάντα δὲ χαιρέαν ἐπείγεσθαι, ὀνόματός τε ἐπιθυμίᾳ μείζονος, καὶ ἄλλως
B ὑπὸ τοῦ ἀδεέστερον προσιέναι τῷ γαΐῳ διὰ τὴν χιλιαρχίαν ῥαστώνης αὐτῷ κτείνειν ἐσομένης. ἐν τούτῳ δὲ ἱπποδρομίαι ἦσαν, καὶ σπουδάζεται γὰρ ῥωμαίοις ἥδε ἡ θεωρία διαφερόντως. συνίασι δὲ προθύμως εἰς τὸν ἱππόδρομον, καὶ ἐφ' οἷς χρήζοιεν δέονται τῶν αὐτοκρατόρων κατὰ πλῆθος συνελθόντες. οἱ δὲ ἀναντιλέκτως τὰς δεήσεις κρίναντες, οὐδαμῶς ἀχαριστοῦσιν. ἐκέλευον δὴ καὶ τὸν γάϊον ἐκθύμως τῇ ἱκετείᾳ χρώμενοι τῶν τελῶν ἐπανιέναι, καὶ τῶν φόρων ἐπικουφίζειν τι τοῦ ἐπαχθοῦς. ὁ δὲ, οὐκ
C ἠνέχετο, καὶ πλέον τι τῇ βοῇ χρωμένων, ἄλλους ἄλλῃ διαπέμψας, κελεύει τοὺς βοῶντας λαβεῖν τε, καὶ μηδὲν εἰς ἀναβολὰς αἱρεῖν προσάγοντας. καὶ ὁ μὲν ἐκέλευε ταῦτα, καὶ οἷς προσετέτακτο ἔπρασσον, πλεῖστοί τε ἦσαν οἱ ἐπὶ τοιούτοις ἀποθανόντες. καὶ ὁ δῆμος ἑώρα μὲν, ἠνείχετο δὲ παυσάμενος τῆς βοῆς ἐν ὀλίγῳ τὴν ἕνεκα τῶν χρημάτων ὀφθαλμοῖς ὁρῶντες ἐπὶ τοιούτοις παραίτησιν εἰς θάνατον αὐτοῖς φέρου-
D σαν. ταῦτα χαιρέαν ἐνῆγε μειζόνως ἅπτεσθαί τε τῆς ἐπιβουλῆς, καὶ παύειν κατὰ τῶν ἀνθρώπων ἐξηγριωκότα τὸν γάϊον. καὶ πολλάκις μὲν, καὶ παρὰ τὰς ἑστιάσεις ἐμέλλησεν ἐπιχειρεῖν, οὐ μὴν ἀλλ' ἐπείχετο λογισμῷ, τὸ μὲν κτείνειν, οὐκέτι ἐνδοιαστὸν κεκρικὼς, τὸν δὲ καιρὸν ἐπισκοπῶν, ὅπως μὴ εἰς κενὸν, ἀλλ' ἐπὶ κατα πράξει τῶν βεβουλευμένων ταῖς χερσὶ χρῷτο. ἐστρατεύετο δὲ πολὺν ἤδη χρόνον οὐκ ἡδονῇ φέρων γαΐου τὴν συναναστροφήν. ἐπεὶ δὲ αὐτὸν ἵστη τι γάϊος εἰσ-
E πραξόμενον τούς τε φόρους, καὶ ἄλλα ὅσα καταβαλλόμενα εἰς τὸν καίσαρος θησαυρὸν ἐφυστερήκει τοῖς καιροῖς, διὰ τὸ διπλασιάσασθαι τὴν δύναμιν αὐτῶν χρόνον ἐκεῖ ποιεῖται τῇ ἐκπράξει τρόπῳ τῷ αὐτοῦ χρώμενος μᾶλλον, ἢ τῇ γαΐου προστάξει διὰ τὸ φειδοῖ χρῆσθαι τὰς τύχας οἶκτον λαμβάνων τῶν ὑπὸ τὴν εἴσπραξιν εἰς ὀργὴν προὐκαλεῖτο τὸν γάϊον, μαλακίαν ἐπικαλοῦντα αὐτῷ τοῦ σχολῇ συνάγεσθαι τὰ χρήματα, καὶ
F δὴ τά τε ἄλλα ὕβριζεν εἰς αὐτὸν, καὶ ὁπότε τὸ σημεῖον αὐτῷ τὸ τῆς ἡμέρας καθηκούσης εἰς αὐτὸν, θήλεά τε ἐδίδου τοὐνόματα, καὶ ταῦτα αἰσχύνης ἀνάπλεα. καὶ ταῦτα ἔπρασσεν αὐτὸς οὐκ ἀπηλλαγμένος ἔν τινων τελεταῖς μυστηρίων, ἃς αὐτὸς συνίστατο, στολὰς ἐνδυόμενος γυναικείους καί τινων περιθέσεις πλοκαμίδων ἐπινοῶν, ἀλλά τε ὁπόσα ἐπικαταψεύσασθαι θηλύτητα τῆς ὄψεως ἔμελλεν, αὐτὸς τὴν ἐπὶ τοιούτοις αἰσχύνην ἐτόλμα χαιρέᾳ προσκαλεῖν. χαιρέας δὲ, καὶ ὁπότε μὲν παραλαμβάνοι τὸ σημεῖον, ὀργῇ παρίστατο, μειζόνως δὲ ὁπότε παραδιδοίη γελώμενος ὑπὸ τῶν παραλαμβανόντων, ὥς τε καὶ οἱ συγχιλίαρχοι, παιδιὰν ἐποιοῦντο αὐτόν. ὁπότε γὰρ αὐτὸς μέλλοι τὸ σημεῖον παρ' αὐτοῦ τοῦ καίσαρος κομίζειν, προὔλεγόν τινα τῶν εἰωθότων φέρειν εἰς παιδιάν. διὰ ταῦτα δὲ αὐτῷ, καὶ θάρσος παρίστατο κοινωνούς τινας παραλαμβάνειν, ὡς οὐκ ἐπ' ἀλόγοις ὀργῇ χρώμενος. καὶ ἦν γὰρ πομπήδιος συγκλητικὸς μὲν, τὰς ἀρχὰς δὲ διεληλυθὼς σχεδὸν ἁπάσας, ἐπικούρειος δὲ ἄλλως, καὶ δι' αὐτὸ ἀπράγμονος ἐπιτηδευτὴς βίου. τοῦτον ἐνδείκνυσι τιμίδιος ἐχθρὸς ὤν, ὡς λοιδορίᾳ χρησάμενον ἀπρεπεῖ κατὰ τοῦ γαΐου, μάρτυρα παραλαμβάνων κυϊντιλίαν γυναῖκα

γυναῖκα τῶν ἐπὶ τῆς σκηνῆς ἐπιφανεία τῆς ὥρας περισπούδαστον πολλοῖς τε οὖσαν, καὶ τῷ πομπηδίῳ. καὶ τῆς ἀνθρώπου, ψεῦδος γὰρ ἦν, δεινὸν ἡγουμένης μαρτυρίαν ἐπὶ θανάτῳ τοῦ ἐραστοῦ παρασχεῖν, βασάνων ἐχρῆζεν ὁ τιμίδιος. καὶ γάϊος παροξυμμένος, κελεύει τὸν χαιρέαν μηδὲν εἰς ἀναβολὰς ἀλλ' εὐθέως βασανίζειν τὴν κυϊντιλίαν, χρώμενος τῷ χαιρέᾳ πρός τε τὰ φονικὰ, καὶ ὁπόσα στρεβλώσεως δέοιτο, ὑπὸ τοῦ νομίζειν ὠμότερον διακονήσεσθαι τὴν λοιδορίαν φεύγοντα τῆς μαλακίας. κυϊντιλία δὲ ἐπὶ τὴν βάσανον ἀγομένη τῶν συνιστόρων τινὸς ἐπιβαίνει τῷ ποδὶ, ἀποσημαίνουσα θαρσεῖν, καὶ μὴ τὰς βασάνους αὐτῆς δεδιέναι. οἴσειν γὰρ μετὰ ἀνδραγαθίας. βασανίζει ταύτην ὠμῶς ὁ χαιρέας, ἄκων μὲν, κατανάγκας δὲ τὰς ὑπὲρ αὐτοῦ. καὶ μηδὲν ἐνδοῦσαν, ἦγεν εἰς τὴν ὄψιν τὴν γαΐου, διακειμένην οὐκ ἐν ἡδονῇ τοῖς θεωροῦσι. καὶ ὁ γάϊος παθών τι πρὸς τὴν ὄψιν τῆς κυϊντιλίας δεινῶς ὑπὸ τῶν ἀλγηδόνων διακειμένης, τοῦ ἐγκλήματος ἠφίει καὶ αὐτὴν καὶ τὸν πομπήδιον. ἐκείνην δὲ καὶ χρημάτων δόσει τιμᾷ παραμυθίας ἐσομένων λώβης, ἣν ἐλελώβητο εἰς τὴν εὐπρεπίαν τοῦ ἀφορήτου τῶν ἀλγηδόνων. ταῦτα δεινῶς ἠνίασε τὸν χαιρέαν, ὡς αἴτιον ἀνθρώποις, καὶ ὑπὸ γαΐου παρρησίας ἀξίοις ἐν αἰτίᾳ κακῶν τὸ ὅσον ἐπ' αὐτοῖς γεγονημένοις. φησί τε πρὸς κλήμεντά τε καὶ παπίνιον, ὧν κλήμης μὲν ἐπὶ τῶν στρατοπέδων, παπίνιος δὲ καὶ αὐτὸς ἦν χιλιαρχῶν, ἀλλ' ἐπὶ φυλακῇ γε ὦ κλήμης τὰ πάντα τοῦ αὐτοκράτορος ἡμῖν πράσσειν οὐκ ἐλλέλειπται. τῶν γὰρ συνομωμοκότων αὐτοῦ κατὰ τῆς ἡγεμονίας προνοίᾳ καὶ πόνοις, τοὺς μὲν ἀπεκτείναμεν, τοὺς δὲ ἐστρεβλώκαμεν ἐπὶ τοσοῦτον, ὡς ἐλεεινοὺς κἀκείνῳ γενέσθαι. μετὰ πόσης τε ἀρετῆς ἡμῖν ἐξάγεται τῶν στρατιῶν; σιγήσαντος δὲ τοῦ κλήμεντος, καὶ τὸ μὲν αἰσχύνῃ φέρειν τὰ προστασσόμενα καὶ τῷ βλέμματι καὶ τῷ ἐρυθήματι παριστάντος, λόγῳ δὲ αὐτοῦ τὴν μανίαν τοῦ αὐτοκράτορος προσκαλεῖν ἄδικον ἡγουμένου προνοίᾳ τοῦ ἀσφαλοῦς, χαιρέας δὲ ἤδη θάρσει χρώμενος ἐν λόγοις ἦν κινδύνων ἀνειμένοις πρὸς αὐτὸν, τὰ κατέχοντα δεινὰ τὴν πόλιν, καὶ τὴν ἀρχὴν ἐπεξιὼν, καὶ ὅτι λόγῳ μὲν εἴη γάϊος ὁ τὴν ἐπὶ τοιούτοις αἰτίαν προσιθέμενος, τοῖς δὲ τἀληθὲς ἐξετάζειν πειρωμένοις, ἐγώ τε ὦ κλήμης, καὶ οὑτοσὶ ὁ παπίνιος καὶ πρὸ ἡμῶν σὺ, ταύτας ῥωμαίοις τε καὶ τῷ παντὶ ἀνθρωπίνῳ τὰς στρέβλας προσφερόμενοι, καὶ ἐπιτάγμασι τοῖς γαΐου διακονούμενοι. γνώμῃ τε τῇ αὐτῶν, παρὸν παῦσαι τοσαύτῃ ἤδη χρώμενον ὕβρει εἴς τε τοὺς πολίτας καὶ τοὺς ὑπηκόους, διακονούμεθα δορυφόροι καὶ δήμιοι καθεστηκότες ἀντὶ στρατιωτῶν, καὶ τὰ ὅπλα ταυτὶ φέροντες οὐχ ὑπὲρ ἐλευθερίας, οὐδὲ ἀρχῆς τῶν ῥωμαίων, ἀλλ' ἐπὶ σωτηρίᾳ τοῦ δουλουμένου τά τε σώματα αὐτῶν καὶ τὰ φρονήματα, μιαινόμενοι τὸ καθ' ἡμέραν αἵματι σφαγῆς καὶ βασάνου τῆς ἐκείνων, μέχρι δή τις καὶ καθ' ἡμῶν διακονήσηται τοιαῦτα γαΐῳ. οὐ γὰρ εὐνοίᾳ τε πολιτεύεται διὰ τάδε πρὸς ἡμᾶς, δι' ὑφοράσεως δὲ μᾶλλον, καὶ ἄλλως τῶν πολλῶν τῶν ἀπολλυμένων ἀποδεδωκότος. οὐ γὰρ δὴ στήσεταί ποτε γαΐῳ τὰ τῆς ὀργῆς, διὰ τὸ μὴ δίκην, ἀλλ' ἡδονὴν πέρας αὐτῶν τυγχάνειν. σκοποὶ δὲ προκεισόμεθα καὶ αὐτοί, δέον καὶ τοῖς πᾶσι τὸ ἀνεπιβούλευτον τὸ καὶ ἐλεύθερον βεβαιοῦν, καὶ ἡμῖν κινδύνων ἀπαλλαγὰς ψηφίσασθαι. κλήμης δὲ τὴν μὲν διάνοιαν τὴν χαιρέου, φανερὸς ἦν ἐπαινῶν, σιγᾶν δὲ ἐκέλευε μὴ καὶ φοιτῶντος εἰς πλείονας τοῦ λόγου,

A mimam propter formam adamatam cum aliis multis, tum Popedio. quæ cùm nollet amatorem suum falso, vt erat, testimonio grauare in causa capitis, Timidius vrgebat tormentis eam subiici. Tum Caius exasperatus Chæream iubet sine mora torquere Quintiliã, ideò potissimum ei solitus cædes & quæstiones iniungere, quòd putaret hæc executurum inclementiùs, quo molliciæ notam effugeret. B Quintilia porrò cùm torquenda duceretur, cõsciorum cuiusdam obiter pedem calcauit, innuens vt bono esset animo, néve ad tormenta ipsius expauesceret: se enim ea perlaturam obfirmato animo. itaque crudeliter eam examinauit Chærea, non sponte, sed necessitate coactus. Cùmque illa perduraret, duxit eam in Caij conspectum, affectam modis miserabilibus. Cuius miseratione indignè laceratæ Imperator nonnihil flexus Popedium absoluit, & pecuniis solatus est C mulieris calamitatem, quam fortiter æquè ac feliciter tolerauerat. Id verò indignissimè tulit Cherea, sic traduci putans suam sæuitiam, quasi tam immodicam, vt ipsum Caium remedium eius adhibere oporteat. quamobrem sic Clementem & Papinium alloquitur, quorum hic & ipse tribunus erat, ille præfectus vrbanarum cohortium. Nos quidem Clemens in tuendo Imperatore nunquam officio nostro defuimus. nam nostra opera & D industria coniuratorum alij necati sunt, alij tormentis intantum lacerati, vt ipsi visi sint miserabiles. Sed hæccíne sunt nostræ militiæ munia? Tacente ad hæc Clemente, sed vultus rumore pudorem fatente ministeriorum talium, cæterùm verbis non auso suggillare insaniam Cæsaris, Chærea iam confidentiùs commemorare cœpit calamitates vrbis & imperij. harum, inquit, causa vulgi E sermonibus in Caium refertur: sed si rei disquiratur veritas, ego mi Clemens, & hic Papinius, & ante nos tu Romanis, imò toti humano generi horũ malorum causa sumus, qui mandata eius exequimur: & cùm finem imponere possimus eius tum in ciues, tum in reliquos subditos debacchationibus, per tam fœda ministeria facti sumus ex militibus satellites ac carnifices, non pro libertate Romanorum aut Imperio gestantes arma, sed pro eius incolumitate, qui eorum tam animos quã F corpora in seruitutem redigit, contaminantésque nos quotidie cruore cæsorum & atrocissimis quæstionibus, donec ipsius iussu ab aliis pari modo tractabimur. non enim hoc modo cariores ei reddimur, sed suspectiores potius: & alioqui assuetus cædibus, quas libidine moderatur, non iudicio, nequaquam conquiescet priùs quàm nos quoque cęteris adiiciat: nimirum iam destinatos exitio, nisi maturè G prospicimus & communi libertati, & nostrísmet periculis. Clemens autem etsi approbaret Chæreæ sententiam, tacere tamen eum iussit, ne sparsis in plures his sermonibus,

& euulgato ante effectum consilio, raperentur ad supplicium. expectandam esse optabilem occasionem, fortuitò alicunde offerendam. sibi quidem ob ingrauescentem iam ætatem non satis esse animi: & habere se tutiora consilia: nam honestiora ne cogitari quidem posse. His dictis Clemens domum se recepit, secum agitans quæ audierat, quæque ipse dixerat. Chæreas autem nonnihil timere incipiens, ad Cornelium Sabinum & ipsum tribunum properat, quem virum quòd non contemnendum nosset libertatisque amatorem eximium, & ferentem ægrè præsentem statum reipublicæ, expeditum aliquod ab eo expectans consilium, decreuit ei rem proponere, sollicitus etiam ne per Clementem res proderetur, & omnem moram periculosam existimans in tanto negotio. hunc postquam libenter id accipere intellexit, vt qui iam antè pari modo animatus, ideò tantum hactenus siluerat, quòd cum nemine auderet communicare suam sententiam: tunc verò operam etiam polliceri non modò silentium, magis etiam confirmatus est in proposito. itaque rati non amplius cunctandum, ambo ad Minucianum se conferunt, magnitudine animi ipsis similem, & eodem accensum virtutis studio, Caio verò suspectum propter necem Lepidi, hominis Minuciano coniunctissimi, & insuper communi obnoxium periculo. omnibus enim honoratis Caius erat terribilis; præ cæteris in tales sæuire solitus: & iam antè significationem aliquam inter se dederant, quæ tum agebantur iniquo se ferre animo. quamuis enim metus periculi non sineret eos manifestè proferre odium quo Caium prosequerentur, tamen occultus quidam eius rei sensus mutuam inter illos beneuolētiam conciliauerat. Et quoniam Minucianus dignitate præstabat, homo cum primis ciuium nobilis, omnémque laudem meritus, soliti etiam antea plurimum illi deferre, in eo quoque congressu postulabant vt ipse initium sermonum faceret. ille rogauit Chæream, quódnam signum ea die ab imperatore accepisset. vulgatum enim iam erat per vrbem, quomodo ei soleret dandis signis illudere. ibi Chærea cupidine arrepta occasione, fretúsque Minuciani fide: At tu mihi, inquit, libertate signum da: cui gratias habeo, quòd me vltro properātem excitas. neque mihi ampliori adhortatione opus est, si quidem tibi quoque idem placere video, & priusquam cōueniremus iam antè consensimus. gladius hic quo accinctus sum, ambobus sufficiet. quare age aggrediamur opus te autore, equidem volens ac libens sequar quocunque iusseris, adiutus tua prudentia. nec te debet tardare ferri inopia, dum animus tanto facinore dignus superet, à quo etiam ferrum solet efficaciam sumere. ipse certè totus feror in hoc negotium, securus quid mihi post eueniat: quandoquidem nec libet, nec vacat de me priuatim dispicere in publica seruitute patriæ,

A καὶ διαχεομένων ὁπόσα κρύπτεσθαι καλῶς ἔχοι, πρὶν τυχεῖν πράξαντας ἐκπύστου τοῦ ἐπιβουλεύματος γενομένου κολασθεῖεν. χρόνῳ δὲ τῷ αὖθις, καὶ τῇ ἐπ' αὐτῇ ἐλπίδι παραδιδόναι τὰ πάντα, ὡς παραγενησομένης τινὸς αὐτοῖς ἐπικουρίας τυχαίου. αὐτὸν μὲν γὰρ ὑπὸ γήρως ἀφεῖσθαι τὴν ἐπὶ τοιοῖσδε τόλμαν. τῶν μέν τοι γε ὑπὸ σοῦ Χαιρέα συντεθέντων καὶ ῥηθέντων, ἀσφαλέστερα ἂν ἴσως ὑποθείμην, δι' εὐπρεπέστερα δὲ πῶς ἄν τις καὶ δύναιτο; B καὶ Κλήμης μὲν ὡς αὐτὸν ἀνελύει διὰ λογισμῶν τῶν τε ἀκροαθέντων, καὶ ὁπόσον αὐτὸς εἰρήκει περιφερόμενος. Χαιρέας δὲ δείσας ὡς Κορνήλιον Σαβῖνον ἠπείγετο, καὶ αὐτὸν μὲν χιλίαρχον ὄντα, ἀξιόλογον δὲ ἄλλως ἐξεπιστάμενος αὐτόν, καὶ τῆς ἐλευθερίας ἐραστήν, καὶ διὰ τὸ τῇ καταστάσει τῶν πραγμάτων πολεμίως διακειμένου χρήζων ἐκ τοῦ ὀξέως ἔχεσθαι τῶν ἐγνωσμένων ἐγχειρήσεως ὑπ' αὐτοῦ καλὸν νομίσας εἶναι προσθέσθαι, καὶ δέει μὴ ὑπὸ Κλήμεντος ἐκφοίτησις γένοιτο αὐτῶν, ἄλλως C τε τὰς μελλήσεις, καὶ τῶν καιρῶν τὰς ἀναβολὰς πρὸς τῶν ὑπερβαλλομένων τιθέμενος. ἐπεὶ δὲ ἀσμένῳ καὶ τῷ Σαβίνῳ τὰ πάντα ἦν, ἅτε καὶ αὐτῷ γνώμης μὲν οὐχ ὑστεροῦντι ἴσης, ἀπορίας δὲ προσόν τινα εἰπὼν ἀσφαλὴς εἴη τὰ πρὸς ἐκείνοις σιγῇ παραδιδόντας, ἐπεί τε ἀνδρὸς ηὐπόρητο, οὐ μόνον στέγειν ὧν πύθοιτο προσθησομένου, ἀλλὰ καὶ γνώμην φανεροῦντος τὴν αὐτοῦ, πολλῷ μᾶλλον ἤρτο. καὶ μηδὲν εἰς ἀναβολὰς ἐδεῖτο τοῦ Χαιρέου. τρέπονταί τε ὡς Μινουκιανόν, αὐτοῖς μὲν ἐπιτηδεύ- D σει ἀρετῆς καὶ τῷ ὁμοζήλῳ τοῦ μεγαλόφρονος συγγενῆ, Γαΐου δὲ ὕποπτον τῆς Λεπίδου τελευτῆς. πάνυ γὰρ δὴ φίλοι ἐγένοντο, Μινουκιανός τε, καὶ Λέπιδος, καὶ δείματι κινδύνων τῶν καθ' αὐτόν. πᾶσι γὰρ τοῖς ἐν τέλει φοβερὸς ἦν Γάϊος, ὡς ἐπ' αὐτῶν ἕκαστον, καὶ πρὸς οὕς τινας τῇ μανίᾳ χρῆσθαι μὴ ἀφιστάμενος. φανεροί τε ἀλλήλοις ἦσαν τῷ ἐπὶ τοῖς πράγμασιν ἀχθηδόνι, διασαφεῖν μὲν ἀλλήλοις ἄντικρυς τὴν διάνοιαν, καὶ μῖσος τὸ πρὸς E Γάϊον φόβῳ τι κινδύνων ἀφιέμενοι, ἄλλως δὲ αἰσθανόμενοι τοῦ ἀλλήλων μίσους πρὸς τὸν Γάϊον, καὶ δι' αὐτοῦ εὐνοίᾳ χρῆσθαι τὰ πρὸς ἀλλήλους μὴ ἀπηλλαγμένοι. γενομένης δὲ αὐτοῖς ἀξιώσεως ἐπείπερ συνέβαλλον, εἰωθότες καὶ πρότερον ὁπότε συνέλθοιεν τίμιον ἡγεῖσθαι τὸν Μινουκιανόν, ὑπεροχῇ τε ἀξιώματος, γενναιότατος γὰρ ἦν τῶν πολιτῶν, καὶ τῷ ἐπὶ πᾶσιν ἐπαινουμένῳ μᾶλλον ὡς ἅπτοιτο τινὸς λόγου φθάσαι, F κἀκεῖνος εἴρετο Χαιρέαν, ὅτι καὶ παραλάβοι σημεῖον τῆς ἡμέρας ἐκείνης. ἀοίδιμος γὰρ διὰ τῆς πόλεως ἦν ἡ εἰς τὸν Χαιρέαν διὰ τῶν σημείων τῆς δόσεως προστασσομένη ὕβρις. ὁ δὲ χάρματι τοῦ λόγου μηδὲν μελλήσας, ἠμείβετο τοῦ Μινουκιανοῦ τὸ ἐπὶ τοιοῖσδε πιστεῦσαν, ὁμιλίᾳ χρήσασθαι πρὸς αὐτόν, καὶ σύ μοι δίδως εἰπεῖν σημεῖον ἐλευθερίας, χάρις δέ σοι τοῦ ἀνεγείροντός με μειζόνως εἴπερ εἴωθα ἐμαυτὸν ὁρμᾶν. οὐδέ μοι χρεία πλειόνων ἐστὶ λόγων οἵ με θαρσοῖεν εἰ δὴ καὶ σοὶ ταῦτα G δοκεῖ, γνώμης γε τῆς αὐτῆς κοινωνοὶ καὶ πρότερον ἢ συνελθεῖν γεγόναμεν. καὶ ἓν μὲν ὑπέζωσμαι ξίφος, ἀμφοῖν δὲ ἂν ἀρκέσει. ὥστε ἴθι καὶ ἔργων ἐχώμεθα, ἡγεμὼν τ' ἴσθι εἰ βούλοιο αὐτὸς κελεύων με χωρεῖν, ἢ καὶ προθύσομαι ἐπικουρίᾳ τῇ σῇ, συμπράσσοντός τι πίσυνος. οὐδὲ ἀπορία σιδήρου τοῖς τὴν ψυχὴν εἰς τὰ ἔργα προσφερομένοις, δι' ἣν καὶ ὁ σίδηρος δραστήριος εἴωθεν εἶναι. ὁρμηκά τι εἰς τὴν πρᾶξιν, οὐχ ὧν ἂν αὐτὸς πάθοιμι ἐλπίδι περιφερόμενος, οὐ γὰρ σχολὴ κινδύνους μοι κατανοεῖν τοὺς ἐμαυτοῦ, δουλώσει τῆς πατρίδος ἐλευ-

ἐλευθερωτάτης ἐπαλγοῦντι, καὶ τῶν νόμων τῆς ἀρετῆς ἀφῃρημένης. τοῖς τε πάντας ἀνθρώποις ὄλεθρον διὰ Γαΐου καταληφότος. ἄξιος δ' ἂν εἴην παρὰ σοὶ δικαστῇ πίστεως ἐπὶ τοιούτοις τυγχάνειν, ἐπὶ τῷ ὅμοια φρονεῖν αὐτοῖς καὶ σὲ μὴ ἀπηλλάχθαι. Μινουκιανὸς δὲ τὴν ὁρμὴν τῶν λόγων θεασάμενος, ἠσπάζετό τε ἀσμένως, καὶ προσεπαρίστατο τὴν τόλμαν αὐτοῦ, ἐπαινέσας τε καὶ ἀσπασάμενος. μετ' εὐχῶν δὲ καὶ ἱκετείας ἀπελύοντο, καὶ ἰσχυρίζοντό τινες ὡς βεβαίως ταῦτα εἰρημένα. εἰσιόντος γὰρ εἰς τὸ βουλευτήριον Χαιρέου φωνὴν ἐκ τοῦ πλήθους γενέσθαι τινὸς ἐπ' ἐξορμήσει, κελεύοντος περαίνειν μὲν δὴ τὸ πρακτέον, καὶ προσλαμβάνειν τὸ δαιμόνιον. καὶ τὸν Χαιρέαν τὸ μὲν πρῶτον ὑπιδέσθαι μὴ καί τινος τῶν συνωμοτῶν προδότου γενομένου ἁλίσκοιτο, καὶ τέλος συνέντα ἐπὶ προτροπῇ φέρειν, εἴτε διασημαίνεσθαι τῶν συνεγνωκότων αἰτιασαμένου τινός, εἴτε δὴ καὶ τοῦ θεοῦ, ὃς ἐφορᾷ τὰ ἀνθρώπινα, ἐγείροντος αὐτόν. διηγγέλη δὲ διὰ πολλῶν τὸ ἐπιβούλευμα, καὶ πάντες ἐν ὅπλοις παρῆσαν. οἱ μὲν, βουλευταὶ ὄντες, οἱ δὲ ἱππεῖς, καὶ ὁπόσοι τοῦ στρατιωτικοῦ συνῄδεσαν. οὐδεὶς γὰρ ἦν ὃς μὴ ἐν εὐδαιμονίᾳ ἀνῄρει τὴν Γαΐου κατάστασιν, καὶ δι' αὐτὸ πάντες ἠπείγοντο ὁποίῳ δύναιτό τις τρόπῳ μὴ ἑκὼν εἶναι τῆς ἐπὶ τοιούτοις ὑστερεῖν ἀρετῆς, ἀλλ' ὡς ἔχοι προθυμίας ἢ δυνάμεως, καὶ λόγοις καὶ δι' ἔργων ἤρτο ἐπὶ τυραννοκτονίᾳ. ἐπεὶ καὶ Κάλλιστος, ἀπελεύθερος δὲ ἦν Γαΐου, πλεῖστα τε ἀνὴρ εἰς ἄκρον ἐπὶ μέγιστον δυνάμεως ἀφίκετο, καὶ οὐδὲν ἄλλο, ἢ ἰσοτύραννον εἶχε τὴν δύναμιν, φόβῳ τε τῷ πάντων, καὶ μεγέθει χρημάτων, ἅπερ ἐγένετο αὐτῷ, δωροδοκώτατος γὰρ ἦν καὶ ὑβριστικώτατος, παρανόμῳ οὖν ἐξουσίᾳ χρησάμενος παρὰ τὸ εἰκός, καὶ ἄλλως τε τοῦ Γαΐου τὴν φύσιν ἐξεπιστάμενος ἀνήκεστον οὖσαν, καὶ ἐφ' οἷς τισι κρίνειν οὐδαμῶς ἀντιπαράσματι χρωμένην, αὐτῷ τε πολλὰς μὲν καὶ ἄλλας τοῦ κινδυνεύειν αἰτίας, οὐχ ἥκιστα δὲ τὸ μέγεθος τῶν χρημάτων, ὥς τε δὴ καὶ Κλαύδιον ἐθεράπευε κρυπτὰς μετακαθίζων πρὸς αὐτόν, ἐλπίδι τοῦ κἂν εἰς ἐκεῖνον ἥξειν τὴν ἡγεμονίαν Γαΐου μεταστάντος, αὐτῷ τὴν ὑπόθεσιν τῆς τιμῆς τὴν ἐφ' ὁμοίοις ἰσχὺν προκαταθέμενος χάριν, καὶ φιλανθρωπίας λόγον. ἐτόλμησε γοῦν εἰπεῖν ὡς κελευσθεὶς διαχρήσασθαι φαρμάκῳ τὸν Κλαύδιον, μυρίας εὕροιτο τοῦ χρήματος τὰς ὑπερβολάς. δοκεῖν δὲ προσεποιεῖτο Κάλλιστος ἐπὶ θήρᾳ τῇ Κλαυδίου τὸν λόγον τοῦτον, ἐπεὶ οὔτε Γάιος ὡρμηκὼς μεταχειρίσασθαι Κλαύδιον ἠνείχετο τῶν Καλλίστου προφάσεων, οὔτε Κάλλιστος κελευσθείς που τὴν πρᾶξιν δοκεῖ τὸν ὑπελάμβανεν εἰ κακουργῶν εἰς τὸν δεσπότου ἐπιστολάς, οὐκ ἂν ἐκ τοῦ παραχρῆμα τὸν μισθὸν ἐκομίζετο. ἀλλὰ δὴ Κλαυδίῳ μὲν ἔκ τινος θείας δυνάμεως χρήσασθαι μανιῶν τῶν Γαΐου, Κάλλιστος προσποιήσασθαι χάριτος κατάθεσιν μηδαμῶς ὑπ' αὐτοῦ γενομένης. τοῖς δ' ἀμφὶ τὸν Χαιρέαν ὑπερβολαὶ τὸ καθ' ἡμέραν ἦσαν ὀκνούντων πολλῶν. οὐ γὰρ Χαιρέας ἑκὼν τοῦ πράσσειν ἀναβολὴν ἐποιεῖτο, πάντα καιρὸν ἐπιτήδειον τῇ πράξει νομίζων. καὶ γὰρ εἰς τὸ Καπετώλιον ἀνιόντα, καὶ τὰς θυσίας ὑπὲρ τῆς θυγατρὸς ἐπιτελουμένας ὑπὸ τοῦ Γαΐου, παρῆν πολλάκις καιρός. καὶ ὑπὲρ τῆς βασιλικῆς ἱστάμενον, καὶ δήμῳ χρυσίου καὶ ἀργυρίου χρήματα διαρριπτοῦντα ὦσαι κατὰ κεφαλῆς, ὑψηλὸν δὲ ἐστι τὸ τέγος εἰς τὴν ἀγορὰν φέρον, ἐπί τε τῶν μυστηρίων ταῖς ποιήσεσιν ἃ συνίστατο τότε. πάντων γὰρ αὐτῷ ἀπεριόπτον εἶναι προνοίᾳ τῶν ἐν αὐτοῖς εὐπρεπῶς ἀναστραφησομένου, καὶ ἀπογνώσει τοῦ ἐν ἐπιχειρήσει τινὶ γενέσθαι πιστεύοντα. εἰ δὲ μηδὲν τίμιον, ὡς τῶν θεῶν αὐτῷ δύναμιν τοῦ θανάτου παρατυγχάνειν,

A sublatis legibus, & omnibus imminente à Caio pernicie. & dignus sum opinor vel te iudice cui credatur hoc ministerium, quando & tibi eadem probari video. Tum Minucianus sic animatum sentiens complexus hominem collaudatum hortatus est vt pergeret, apprecatus vt superi conatus eius ratos habeant: atque ita mutuùm confirmati diuersi abeunt. Ferunt hoc consilium quodam omine fuisse firmatum. Nam ingrediente curiam Chæreâ, B vox cuiusdam è turba audita est, iubens eum, diis iuuantibus, destinata perficere. & primò suspicatus est rem ab aliquo è coniuratis proditam: deinde intellexit incitari se aut à quopiam conscio, aut voce Dei, cui curæ sunt res mortalium. iámque multi participes insidiarum armati aderant & senatores & equites, simúlque militum quotquot erant conscij. nemo enim erat qui non putaret necem Caij pertinere ad salutem publicam, & ideo C pro se quisque dabant operam ne quis in hoc facinore cæteris virtute cederet, cunctis tam verbis quàm opere in exitium tyranni conspirantibus. Nam & Callistus his se adiunxit Caij libertus: qui vnus plurimum apud eum poterat, socius quodammodo tyrannidis, & formidatus omnibus, abundánsque pecuniis quas ex munerum corruptelis parauerat: vtebatúrque immodicè hac potentia, suspectum nihilominus habens princi- D pem, cuius ingenium norat implacabile, & in semel destinatis pertinax. ipsi autem inter alias periculi causas hæc erat non postrema, quòd esset pecuniosus nimiû. quare ad Claudium clàm desciscebat, colens eum quòd speraret successurum in imperium, & iam tum obsequiis captans eius gratiam, quo tandem apud illum quoque esset in precio. nam & iactauit apud eum, iussum se vt veneno ipsum tolleret, & hactenus semper commentum E differendi causas innumeras. Videtur autem mihi hoc finxisse in gratiam Claudij. nec enim ille si patruum necare voluisset, tulisset excusationes Callisti: & liberto cessanti imperata facere mox repræsentatum fuisset meritum præmium. Claudius tamen qui diuino quodam fauore Caij furorem euasit gratiam Callisto persuasus habuit pro nunquam accepto beneficio: Cæterùm Chæreæ conatus differebantur indies consciorum quorundam segni- F cie. nam ipse inuitus cunctabatur, omne tempus patrando huic facinori opportunum iudicans. etenim aggrediendi ascendentem in Capitolium ad mactandas pro filiæ salute victimas sæpe dabatur occasio: vel præcipitandi in forum è fastigio basilicæ, numos inde aureos & argenteos spargentem populo: vel opprimendi celebrantem arcana sacra quæ ipse instituerat. nam ipse Caius incautus erat propter securitatem, licèt versaretur inter continuè præparatos ad insidias. Itaque inter suos G iactabat Chærea, si putarent illũ à diis seruari,

sibi vni & animum esse & facultatem, vel absque ferro conficiendi hominem: adeò infensus erat coniuratis, timens ne elaberetur occasio. at illi videbant quidem eum pro communi libertate sollicitum, postulabant tamen paulisper differri negotium, ne si parum succederet, turbaretur tota ciuitas, & factis inquisitionibus præcluderetur viris fortibus ad opprimendum tyrannum aditus. satius igitur esse dum ludi aguntur in palatio adoriri facinus. hi celebrantur in honorem Cæsaris, qui primus dominationem à populo in se transtulit. & extructa ante regiam scena, conueniunt eò spectatum Romanorum nobiles vnà cum vxoribus ac liberis, præsente etiam principe. ibi conclusis tam multis millibus intra modicum spatium, conatum facilè successurum, non valentibus etiam si velint succurrere, protectoribus domesticis. Assensit Chærea, decretúmque est primo ludorum die rem aggredi: sed plus fortuna potuit quàm cõsilium, ita vt vix tertio statuta peregerint, qui fuit ludorum dies vltimus. tum Chærea sociis conuocatis, Multum, inquit, elapsum est temporis, quod nobis segniciem exprobrat in honestis consiliis: quæ verendum est ne prodita in nihilum recidant, & Caius exasperatus magis etiam sæuiat. An non videtis quòd ad hunc modum nihil aliud fit, quàm libertatis detrimentum, & tyrannidis accessio? cùm debeamus nobis primùm securitatem parare, deinde aliis perpetuam felicitatem, vnde ad nos & gloria maxima reditura sit. illis verò tam honesto proposito non contradicentibus, cunctantibus tamen adhuc, & per stuporem silentibus: quid, inquit, boni viri, differimus? an nescitis hunc esse spectaculorum diem vltimum, post quæ peracta Caium esse nauigaturum? Decreuit enim nauigare Alexandriam Ægypti visendæ gratia. pulchrũ verò fuerit, si emittamus è manibus hoc propudium hominis, terra maríque triumphaturum de Romanorum ignauia. An non ignominiosum sit, nos Ægyptio cuipiam libertatem oppressam non ferenti hanc gloriam cedere: ego certè deliberationes vestras nõ expectabo amplius, sed periculum faciam hodie, ita vt fortẽ virum decet, quicquid fors ferat libentiùs perpessurus, quàm vt me viuo alius laudem tyrannicidæ occupet. his dictis & seipsum accendit, & cæteris animum addidit, vt omnes sine dilatione rem aggredi cuperent: móxque palatiũ armatus gladio petiit, quod ita mos sit accinctos tribunos signum ab Imperatore petere: & fortè ea die vices petendi ad ipsum redierant. Et iam confluebat multitudo ad palatium magno tumultu se inuicem protrudendo, dum quisque locum spectandi præripere nititur, magna voluptate hanc contentionẽ spectante Caio: quòd nec senatoribus assignata essent loca, nec equitibus, sed promiscuè sede-

αὐτῷ δὲ αὖ ἰσχὺν ἐξηγεῖσθαι, καὶ μὴ σιδηροφορουμένῳ διαχρήσασθαι Γάϊον. οὕτως δὲ ὀργῆς εἶχε τοὺς συνωμότας ὁ Χαιρέας, δεδιὼς τοὺς καιροὺς μὴ διαρρυῶσιν. οἱ δὲ ἑώρων μὲν νομίμων τε χρήζοντα καὶ ἐπ' ἀγαθοῖς τοῖς αὐτῶν ἐπαγόμενον. οὐ μὴν ἀλλ' ἠξίουν εἰς ὀλίγον χρόνου ὑπερβολῇ χρήσασθαι, μὴ ἐπισφάλματος τῇ ἐπιχειρήσει συνελθόντος, ταράξαιεν τὴν πόλιν ζητήσεων τῶν συνεγνωκότων τὴν πρᾶξιν γιγνομένων, καὶ τοῖς αὐτοῖς μέλλουσιν ἐπιχειρεῖν, ἄπορον τὴν ἀνδραγαθείαν φραξαμένου Γαΐου πρὸς αὐτοὺς μειζόνως. καλῶς οὖν ἔχειν θεωριῶν ἐν τῷ παλατίῳ ἐπιτελουμένων ἅπτεσθαι τοῦ χρήματος. ἄγονται δὲ ἐπὶ τιμῇ τοῦ πρώτου μεταστησαμένου τὴν ἀρχὴν τοῦ δήμου καίσαρος εἰς αὐτόν, μικρόν τε πρὸ τοῦ βασιλείου καλύβης πηκτῆς γινομένης, καὶ ῥωμαίων τε οἱ εὐπατρίδαι θεωροῦσιν ὁμοῦ παισὶ καὶ γυναιξὶ καὶ ὁ καῖσαρ. ῥᾳστώνην τε αὐτοῖς ἔσεσθαι πολλαῖς μυριάσιν ἀνθρώπων εἰς ὀλίγον χωρίον καθειργνυμένων, ὥστε εἰσιόντι τὴν ἐπιχείρησιν ποιήσασθαι, δυναμένως τοῖς ὑπασπισταῖς, εἰ καί τινες προθυμοῖντο, μὴ παραταξαμένης αὐτῷ βοηθεῖν. εἴχετο δὲ Χαιρέας, καὶ τὴν θεωρίαν ἐπελθοῦσαν τῇ πρώτῃ δέδοκτο ἅπτεσθαι τῆς πράξεως. ἰσχυρότερον δὲ ἦν τοῦ κατ' ἐκείνους προβεβουλευκότος τὸ τῆς τύχης συγχωροῦν ὑπερβολάς, καὶ τὰς τρεῖς ὑπερβαλλομένους τὰς νομίμους ἡμέρας, μόλις κατὰ τὴν τελευταίαν αὐτοῖς ἐπράχθη τὸ ἔργον. Χαιρέας γὰρ καλέσας τοὺς συνωμότας, πολὺς μὲν εἶπε καὶ ὁ παρεληλυθὼς χρόνος ὀνειδίσαι τε τὸ ἐπιμέλλον ἡμῶν ἐπὶ τοῖς οὕτω βεβουλευμένοις μετ' ἀρετῆς, δεινὸν δὲ εἰ καὶ μηνύματος γινομένου διαπεσοῦται ἡ πρᾶξις, καὶ Γάϊος ὑβριεῖ μειζόνως. ἢ οὐχ ὁρῶμεν ὡς τῆς ἐλευθερίας ἀφαιρούμεθα ὁπόσα τῆς ἡμετέρας, καὶ προσθήκην τῇ Γαΐου τυραννίδι χαριζόμεθα, δέον αὐτοῖς τὸ ἀδεὲς τὸ λοιπὸν εἶναι, καὶ τοῖς ἄλλοις αἰτίαν τοῦ εὐδαίμονος παρασχόντας, δι' αἰῶνος τοῦ ἅπαντος τοῦ αὖθις ἐν θαύματι μεγάλῳ καὶ τιμῇ καταστῆναι. τῶν δὲ οὐδὲ ἀντειπεῖν ὡς οὐ πάνυ καλὰ δυναμένων, οὔτε τὴν πρᾶξιν ἄντικρυς δεχομένων, σιγῇ δὲ καταπεπληγότων, τί φησιν, ὦ γενναῖοι, διαμέλλομεν; ἢ οὐχ ὁρᾶτε τὴν σήμερον τῶν θεωριῶν ὑστάτην ἡμέραν οὖσαν, καὶ Γάϊον ἐκπλευσούμενον; ἐπὶ γὰρ Ἀλεξανδρείας παρεσκεύασται πλεῖν κατὰ θεωρίαν τῆς Αἰγύπτου. καλὸν δὲ ἡμῖν περιιδεῖν τῶν χειρῶν τὸ ὄνειδος τῇ ῥωμαίων μεγαλαυχίᾳ πομπεῦσον, διά τε γῆς καὶ θαλάττης. πῶς δὲ οὐκ ἂν δικαίως κρινόμεθα αὐτοὺς αἰσχύνῃ τῶν γινομένων, εἴ τις ἐξ αὐτῆς Αἰγύπτιος κτείνειε, τὴν ὕβριν οὐχ ἡγησάμενος ἀνεκτὸν τοῖς ἐλευθέροις γεγονόσιν; ἐγὼ μὲν οὖν οὐκέτι εἰς πλείονα ἀνέξομαι τὰς σκέψεις ὑμῶν, χωρήσω δὲ τοῖς κινδύνοις ὁμοῦ σήμερον, ἡδονῇ φέρων πᾶν ὅτι καὶ γένοιτο ἐξ αὐτῶν, οὐδ' ἂν ὑπερβαλοίμην εἴπερ ἔτι. τί γὰρ δὴ καὶ γένοιτ' ἀνδρὶ φρόνημα ἔχοντι τούτου χαλεπώτερον, Γάϊον ἀναιρεῖν ἐμοῦ ζῶντος, εἰ μετ' ἐπὶ τῷ δὲ ἀρετὴν ἀφῃρημένον. καὶ ὁ μὲν ταῦτα εἰπών, αὐτός τε ὡρμήκει πράξων τὸ ἔργον, καὶ τοῖς λοιποῖς ἐνεποίησε θάρσος. πᾶσι τε ἦν ἔρως ἅπτεσθαι τοῦ ἐγχειρήματος, μηδὲν ὑπερβαλλομένοις. ἕωθέ τε ἐπὶ τοῦ παλατίου τὸ ξίφος ὑπεζωσμένος ἱππικόν. ἔθος γὰρ τοῖς χιλιάρχοις ἦν τό, ἐζωσμένοις αἰτεῖν παρὰ τοῦ αὐτοκράτορος τὸ σημεῖον, ἦν τε ἡ ἡμέρα καθήκουσα εἰς αὐτὸν τῆς παραλήψεως τοῦ σημείου. ἄρτι τε συνῄει πλῆθος εἰς τὸ παλάτιον ἐπὶ προκαταλήψει θέας πολλῷ θορύβῳ καὶ ὠθισμῷ, χαρὰ φέροντος Γαΐου τὴν ἐπὶ τοιοῖσδε τῶν πολλῶν σπουδήν, παρ' ὃ καὶ διακέκριτο οὐδέν, οὔτε τῇ συγκλήτῳ χωρίον, οὔτε τοῖς ἱππεῦσι, φύρδην δὲ ἕζοντο, καὶ

τε, καὶ τοῖς ἀνδράσιν ὁμοῦ αἱ γυναῖκες, καὶ τῷ δούλῳ ἀναμεμιγμένον τὸ ἐλεύθερον. Γάϊος δὲ προόδων αὐτῷ γενομένων, ἔθυε τῷ Σεβαστῷ Καίσαρι, ᾧ δὴ καὶ τὰ τῆς θεωρίας ἤγετο. καὶ πίπτοντος τῶν ἱερείων τινὸς συνέβη αἵματι τὴν Ἀσπρηνᾶ στολὴν ἑνὸς τῶν συγκλητικῶν ἀνάπλεων γενέσθαι. τοῦτο Γαΐῳ γέλωτα μὲν παρέχεν, ἦν δ' ἄρα εἰς οἰωνὸν τῷ Ἀσπρηνᾷ φανερόν, ἐπικατασφάζεται γὰρ τῷ Γαΐῳ. Γάϊον δὲ ἱστορεῖται παρὰ φύσιν τὴν ἑαυτοῦ, εὐπροσηγορώτατον γενέσθαι κατ' ἐκείνην τὴν ἡμέραν, καὶ δεξιότητι χρώμενον ὁμιλίας, πᾶνθ' ἕντιν' οὖν ἐκπλῆξαι τῶν παρατυγχανόντων. μετὰ δὲ τὴν θυσίαν, ἐπὶ τὴν θεωρίαν τραπείς, ἐκαθέζετο, καὶ περὶ αὐτὸν τῶν ἑταίρων οἱ ἀξιολογώτατοι. κατεσκεύαστο δὲ τὸ θέατρον, πηκτὸν δὲ ἐγίνετο κατ' ἕκαστον ἐνιαυτόν, τοιῷδε τρόπον. θύρας εἶχε δύο φερούσας, τὴν μέν, εἰς αἴθριον, τὴν δέ, εἰς στοὰν εἰσόδοις, καὶ ἀποχωρήσεσιν, ὅπως μὴ ταράσσοιντο οἱ ἔνδον ἀπειλημμένοι. ἐκ δὲ αὐτῆς τῆς καλύβης, ἐνδοτέρω διαφράγμασιν ἑτέραν ἀπειληφυίας ἐπαναστροφὴν τοῖς ἀνταγωνισταῖς, καὶ ὁπόσα ἀκροάματα. συγκαθημένης δὴ τοῦ πλήθους, καὶ τοῦ Χαιρέα σὺν τοῖς χιλιάρχοις οὐκ ἄπωθεν τοῦ Γαΐου, δεξιὸν δὲ τοῦ θεάτρου κέρας ὁ Καῖσαρ εἶχε, Βαθύβιός τις τῶν συγκλητικῶν ἀνὴρ ἐστρατηγηκώς, ἤρετο Κλουίτον παρακαθεζόμενον αὐτῷ, καὶ τοῦτον ὑπατικόν, εἴ τις αὐτὸν νεωτέρων πραγμάτων περιαφίκοιτο πύστις, προμηθὴς γενόμενος τοῦ μὴ ἐξάκουστος εἶναι τάδε λέγων. τοῦ δὲ φαμένου μηδὲν πεπύσθαι. σήμερον τοιγαροῦν ὦ Κλουίτε τυραννοκτονίας ἀγὼν προύκειται. καὶ ὁ Κλουίτος, ὦ γενναῖε, φησί σίγα, μή τις ἄλλος Ἀχαιῶν μῦθον ἀκούσῃ. πολλῆς δὲ ὀπώρας ἐπιχεομένης τοῖς θεωροῖς, καὶ πολλῶν ὀρνέων ὁπόσα παρὰ σπανίῳ τίμια τοῖς κτωμένοις, ὁ Γάϊος ἡδονῇ τὰς περὶ αὐτῶν ἐθεώρει μάχας, καὶ διαρπαγὰς οἰκειουμένων αὐτὰ τῶν θεωρῶν. ἐνθάδε καὶ σημεῖα μαντάνει δύο γενέσθαι. καὶ γὰρ μῖμος εἰσάγεται καθ' ὃν σταυροῦται ληφθεὶς ἡγεμών, ὅτε ὀρχηστὴς δράμα εἰσάγει Κινύραν, ἐν ᾧ αὐτός τε ἐκτείνετο, καὶ ἡ θυγάτηρ Μύρρα, αἷμά τε ἦν τεχνητὸν πολύ, καὶ τὸ περὶ τὸν σταυρωθέντα ἐκκεχυμένον, καὶ τὸ περὶ τὸν Κινύραν. ὁμολογεῖται δὲ καὶ τὴν ἡμέραν ἐκείνην γενέσθαι ἐν ᾗ Φίλιππον τὸν Ἀμύντου Μακεδόνων βασιλέα κτείνει Παυσανίας εἷς τῶν ἑταίρων, εἰς τὸ θέατρον εἰσιόντα. Γαΐου δὲ ἐνδοιάζοντος εἴτε παραμένειν εἰς τέλος τῇ θεωρίᾳ διὰ τὸ τελευταίαν εἶναι τὴν ἡμέραν, εἴτε λουτρῷ χρησάμενος καὶ σίτῳ, εἶτα ἐπανίοι καθὰ καὶ πρότερον, Μινουκιανὸς ὑπὲρ τοῦ Γαΐου καθεζόμενος, καὶ δεδιὼς μὴ διαχυθείη τὰ τῶν καιρῶν εἰς κενόν, ἐξαναστὰς ἐπειδὴ καὶ Χαιρέαν ἑώρα προεξεληλυθότα, ἐπείγετο θαρσύνειν αὐτὸν προεξελθών. λαμβάνεται δὲ αὐτοῦ τῆς στολῆς Γάϊος κατὰ φιλοφροσύνην δῆθεν, καὶ ποῖ δή φησιν ὦ μακάριε. καὶ ὁ μέν, αἰδοῖ δοκεῖ τοῦ Καίσαρος καθίζειν. κρείσσων δ' ὁ φόβος ἦν. ὀλίγον τε διαλιπών, εἶτα διανίσταται. καὶ ὁ Γάϊος οὐδὲν ἐμποδὼν ἦν, ἄξιόν τι δοκῶν ἐπί τινι τῶν ἀναπλέκτων ποιεῖσθαι τὴν ἔξοδον. Ἀσπρώνας δέ, καὶ αὐτὸς παρῄνει τῷ Γαΐῳ καθ' ὃ πρότερον ὑπεξελθόντι πρὸς τὸ λουτρὸν καὶ ἄριστον γενέσθαι, καὶ ἔπειτα δὲ εἰσελθεῖν, χρῇσον ἐπὶ πέρας ἀχθῆναι τὰ ἐγνωσμένα. καὶ οἱ περὶ τὸν Χαιρέαν ἔταττον μὲν ἀλλήλους ᾗ καιρός, καὶ ἔχρην ἕκαστον στάντα ᾗ προσταχθείη μὴ ἀπολιμπάνεσθαι ἐπιπονοῦντας. ἤχθοντο δὴ τῇ διατριβῇ, καὶ τῷ μέλλεσθαι τὰ ἐν χερσίν, ἐπεὶ καὶ περὶ τὴν ἐνάτην ὥραν ἤδη τὰ τῆς ἡμέρας ἦν, καὶ Χαιρέας βραδύνοντος Γαΐου, πρόθυμος ἦν ἐπεισελθὼν ἐν τῇ καθέδρᾳ προσπαίειν. προῄδει μέν τοι τοῦτο σὺν πολλῷ φόνῳ τῆς τε βουλῆς, καὶ ὁπόσοι τῶν ἱππέων παρῆσαν

A bant viri cum mulieribus, & serui confusi cum ingenuis. progressus deinde imperator rem diuinam fecit Augusto Cæsari, ad cuius tum honorem ludi celebrabantur: & cadente victima contigit respergi cruore togam Asprenatis vnius è senatorum numero, quod ominosum ei fuit, licèt tum risu exceptum à Cæsare. nam & ipse in eo tumultu occisus est. Fertur Caium ea die præter naturam suam fuisse affabilẽ, ita vt insueta comitate omnibus fuerit B miraculo. Peracto sacro consedit inter amicos in theatro, quod compactile instaurabatur per singulos annos hoc modo. duas habebat ianuas, alteram versus subdiualem aream, alteram versus porticum, per quam actores ingrediebantur & egrediebantur, non turbato spectatorum consessu: qua parte erat cella quædam tabulatis intersepta, vbi mimi versabantur, & musici. Cúmque iam & multitudo cætera sederet, & Chærea cum reliquis tribunis C non procul à Cęsare, qui dextrum theatri cornu tenebat: Batibius vir prætorius submissa voce rogauit assidentem sibi Cluuitum consularem, ecquid noui audisset. quo negante, ergo, inquit, scito instare hodie certamen tyrannicidij. tum Cluuitus, tace, inquit, bone vir, ne quis hæc Achiuorum exaudiat: alludens Homerico carmine. Sparsis deinde in spectatores missilibus, quæ pomis constabant & auibus propter raritatem gratis, Caius delectabatur diripiẽte hæc certatim populo: móxque duo quædam ominosa secuta sunt. D Nam mimus inductus est in quo iudex deprehensus in crucem suffigitur: & fabula acta est Cinyra, in qua & ipse & eius filia Myrrha occiditur, multúmque fictícij cruoris fusum est tam circa crucifixum, quàm circa Cinyram. quin & eundem diem fuisse aiunt, quo olim Philippus Amynthæ filius rex Macedonum ab amico Pausania cæsus est, dum theatrum introgreditur. Cæterùm Caio dubitante, permaneretne E vsque finem spectaculi, præsertim cùm dies esset vltimus: an lotus & cibo sumpto reuerteretur, vt erat solitus: Minucianus supra Caium assidens, veritus ne periret occasio, iam enim Chæream egressum viderat, surrexit iturus ad confirmandum hominem, eum Imperator comiter apprehendens lacinia, Quónam, inquit, bone vir. quem ille reueritus sedit denuo. sed vicit timor: & paulò pòst rursum surrexit, Caio non amplius retinente, quòd eum F putaret abire ad aliquid necessarium. Tum Asprenas etiam hortatus est Cæsarem, vt more solito lotus & pransus tum demum reuerteretur: cupiebat enim, vt conscius, quod statutum erat peragi. Et iam Chærea coniuratos disposuerat, vt suo quisque loco nauaret operam: ægréque moras ferebant, quòd iam esset hora nona diei: & Chærea volebat in theatrum reuerti, atq; in sedentem irruere. quamuis enim intelligeret id sine multa equitum, qui aderant ac senatorum cæde nõ posse fieri,

existimabat tamen eam bene rependi libertate publica. iámque tendebat in theatrum, cùm subito strepitu significatur surrexisse Cæsarem. Tum coniurati turbam dimouent, quasi Caio hoc volente: re autem vera captantes solitudinem quo faciliùs possent cædem perficere. præcedebant autem eum Claudius patruus, & M. Minucianus sororis eius maritus, & Valerius Asiaticus: quos dimoueri vetabat sua dignitas. eos ipse sequebatur cum Paulo Aruntio. mox vbi regiam ingressi sunt, relicta recta via per quam eum præstolabátur seruorum ministeria, & quà Claudius cum aliis præcesserat, deflexit ad infrequentem quandam cryptam ducentem ad balineas, pueros etiam eo loco visurus, qui venerant ex Asia, partim ad concinendos hymnos sacrorum domesticorum, partim ad saltandam pyrrichen in theatro. ibi occurrens ei Chærea signum postulat. & illo probrosum quiddã dante conuitio simul ac ferro eum adortus ferit grauiter, non tamen lætali vulnere: quod quidam data opera factum putant, vt multis ictibus consauciatus periret cruciabiliùs, mihi non fit verisimle, quia tale facinus non admittit lenta consilia. quòd si hoc animo id fecit Chęrea, videtur mihi fuisse omnium stultissimus, qui maluerit indulgere iracundiæ, quàm celeriter se ac suos eximere periculo: maximè quando non deerant, qui Caio possent succurrere, nisi quamprimùm exhalaret animam. alioqui videbitur se & amicos potiùs quàm illum affligere voluisse, cùm posset re bene gesta clam se vltoribus eius subducere, non perdendo temere tempus, vel seipsum potiùs. Verùm hæc quisque, vt libuerit æstimet. Caius porrò præ dolore vulneris, quod humerum inter & collum impactum ne vlterius procederet osse iuguli retentum est, neque exclamauit attonitus, neque inuocauit opem amici vllius, siue quòd nemini satis fideret, siue præ superbia: gemitu tantum edito, fuga se proripiebat vlterius. quem paratus in hoc Cornelius Sabinus impulit, vt in genu procideret: móxque circumsistentium vna vox erat, repete, atque ita confecerunt eum illatis certatim crebris ictibus. extremum autem infflixisse fertur Aquila, qui vltimum exitium illi attulit. author autem facinoris meritò Chærea dicendus est. quamuis enim adhibuerit socios, omnium tamen primus id concepit animo, & modum perficiendi inuenit. primúsque ausus est consilium communicare cum aliis. quod vbi probari sensit, coniuratos in vnum contraxit vsus eximia prudentia, & ad audendum accendit crebris adhortationibus, cúmque res operam posceret, hic quoque primus in eum irruit, & sua virtute cædem exorsus trucidati cadauer proculcandũ aliis præbuit. quapropter meritò quicquid

καίπερ δεδιὼς, πρόθυμος ὢν, καλῶς ἔχειν ἡγούμενος, πᾶσιν ἀσφάλειαν καὶ ἐλευθερίαν ὠνούμενος ἐν ὀλίγῳ τίθεσθαι τὰ κατὰ τοὺς ἀπολουμένους. καὶ δὴ προγραμμένων εἰς τὸ θέατρον τῆς εἰσόδου, σημαίνεται Γάιος ἐξαναστὰς, καὶ θόρυβος ἦν. ἀνέστρεφον δὲ καὶ οἱ συνωμόται καὶ ἀνώθουν τὸ πλῆθος, λόγῳ μὲν διὰ τὸ δυσχεραίνειν τὸν Γάιον, ἔργῳ δὲ ἐπ' ἀδείας βουλόμενοι ἐν ἐρημίᾳ τῶν ἀμυνομένων καταστήσαντες αὐτὸν, ἅπτεσθαι τῆς σφαγῆς. προεξῄεσαν δὲ Κλαύδιος μὲν ὁ πάτρως αὐτοῦ, καὶ Μάρκος Μινουκιανὸς ὁ τῆς ἀδελφῆς ἀνήρ, ἔτι δὲ Οὐαλέριος ἀνθυπατικὸς, οἷς εἰ καὶ βουλομένοις διακωλῦσαι δύναμις ἦν αἰδοῖ τῆς ἀξιώσεως. εἵπετο δὲ αὐτὸς σὺν Παύλῳ Ἀρουντίῳ. ἐπεὶ δὲ ἐντὸς ἦν τοῦ βασιλείου, τὰς μὲν εὐθείας ὁδοὺς λείπει, καθ' ἃς δὴ ἑστήκεσαν τῶν δούλων οἱ θεραπεύοντες αὐτὸν, καὶ προῄεσαν οἱ περὶ τὸν Κλαύδιον. ἐτρέπετο δὲ κατὰ στενωπὸν ἠρεμηκότα, καὶ ἐπὶ τόπον πρὸς λουτροῖς γενησόμενος, ἅμα καὶ παῖδας οἳ ἥκεσαν ἐκ τῆς Ἀσίας κατανοήσων, πομπῆς αὐτοῦ ἐκεῖθεν γενομένης ἐπὶ ὕμνοις μυστηρίων ἃ ἐπετέλει, καί τινες δὲ κατὰ πυρριχισμοὺς οἳ ἐν τοῖς θεάτροις ἔσοιντο. ὑπαντιάζει δὲ αὐτὸν Χαιρέας καὶ ᾔτησε σημεῖον. τοῦ δὲ τὴν εἰς χλεύην ἀνακειμένων εἰπόντος, οὐδὲν ἐνδιάσας λοιδορίαις τε ἐχρῆτο κατὰ τοῦ Γαΐου, καὶ σπασάμενος τὸ ξίφος, ἐπάγει πληγὴν σφοδράν. οὐ μὴν γε ἦν καιρία. καὶ τοίγε φασί τινες προνοίᾳ τοῦ Χαιρέου γενέσθαι τὸ μὴ μιᾷ πληγῇ διεργάσασθαι τὸν Γάιον, ἀλλὰ τιμωρεῖσθαι μειζόνως πλήθει τραυμάτων. ἐμοὶ δὲ ἀπίθανος δοκεῖ ὁ λόγος, διὰ τὸ μὴ ἐπιχωρεῖν ἐν ταῖσδε ταῖς πράξεσι λογισμῷ χρήσασθαι τὸν φόβον. Χαιρέαν δὲ εἴπερ οὕτως ἐφρόνει, πάντων ἡγοῦμαι μωρίᾳ διαφέρειν, ἡδονὴν τῇ ὀργῇ χαριζόμενον μᾶλλον ἢ ἐκ τοῦ ὀξέος ἀπαλλαγὴν αὐτῷ τε, καὶ τοῖς συνωμόταις κινδύνων χαριζόμενον, διὰ τὸ πολλὰς ἂν μηχανὰς ἔτι γενέσθαι βοηθειῶν Γαΐῳ μὴ φθάσαντι τὴν ψυχὴν ἀφεῖναι. κἀνταῦθα Χαιρέᾳ λόγον ἂν γενέσθαι οὐ περὶ τῆς Γαΐου τιμωρίας, ἀλλὰ τῆς αὐτοῦ, καὶ τῶν φίλων, ὅπου δὴ καὶ πράξαντι καλῶς ἂν εἶχε σιγῇ χρωμένῳ διαδιδράσκειν τὰς ὀργὰς τῶν ἀμυνομένων, οὐχ ὅπως ἄδηλον εἰ τύχοι κατορθοῦν ἐπ' ἀλόγοις χρήζειν αὐτόν τε ἀπολέσαι καὶ τὸν καιρόν. καὶ τάδε μὲν εἰκάζειν παρέστω τοῖς βουλομένοις, ᾗ θέλουσιν. ὁ δὲ Γάιος ἀλγηδόνι τῆς πληγῆς φερόμενος, μεσηγὺ γὰρ τοῦ τε ὤμου, καὶ τοῦ τραχήλου φερόμενον τὸ ξίφος, ἐπέσχεν ἡ κλεὶς προσωτέρω χωρεῖν, οὔτε ἀνεβόησεν ὑπ' ἐκπλήξεως, οὔτε ἐπεκαλέσατό τινας τῶν φίλων, εἴτε ἀπιστίᾳ εἴτε καὶ ἄλλως φρονήσει. στόνῳ δὲ χρησάμενος πρὸς τῆς ἀλγηδόνος τὸ περιττὸν εἰς τὸ πρόσθεν ἵετο φυγῇ, καὶ δεξάμενος αὐτὸν Κορνήλιος Σαβῖνος τὴν διάνοιαν ἤδη προκατειργασμένος, ὠθεῖ κλιθέντα ἐπὶ γόνυ. πολλοὶ δὲ περιστάντες ἀφ' ἑνὸς ἐγκελεύσματος ἔκοπτον τοῖς ξίφεσι. διακελευσμός τε τὰ πρὸς ἀλλήλους καὶ πρὸς ἔρεις αὐτοῖς ἦν. τελευταῖον δὲ Ἀκύλας ὁμολογεῖται ὑπὸ ἁπάντων πληγὴν ἐπαγαγὼν, ἣ μεθίστησιν αὐτὸν ἀκριβῶς. ἀναθείη δ' ἄν τις τὴν πρᾶξιν Χαιρέᾳ, καὶ γὰρ εἰ σὺν πολλοῖς ἐπράχθη τὸ ἔργον αὐτῷ, ἀλλ' οὖν πρῶτός τε ἐνεθυμήθη, τοιαῦτα ὡς πραχθείη προλαβὼν πολὺ τῶν ἁπάντων, καὶ πρῶτος μὲν τολμηρῶς ἐξεῖπε τοῖς λοιποῖς, δεχομένων δὲ τὸν ἐπὶ τῷ φόνῳ λόγον, ἀποσποράδας τε ἤθροισε, καὶ τὰ πάντα φρονίμως συγκροτήσας ἔνθα γνωμῶν εἰσηγήσεως ἐχρῆν, πολὺ κρείσσων ἐγένετο, καὶ λόγοις καθωμίλησε χρηστοῖς, ὡς οὐ τολμῶντας ἠνάγκασέ τε τοὺς πάντας, ἐπεί τε καιρὸς ἐλάμβανε χειρὶ χρῆσθαι, φαίνεται κἀνταῦθα πρῶτος τῆς ὁρμήσας, καὶ ἁψάμενος ἀρετῇ τοῦ φόνου, καὶ τοῖς ἄλλοις εὐεπίβατον παρασχὼν καὶ προτεθνεῶτα Γάιον. ὥστε ἂν δικαίως καὶ ὁπόσα

καὶ ὁπόσα τοῖς λοιποῖς εἴη πεπραγμένα τῇ χαιρέᾳ γνώμῃ τε καὶ ἀρετῇ προστίθεσθαι, καὶ πόνῳ τῶν χειρῶν. καὶ γάϊος μὲν τοιούτῳ τρόπῳ χρησάμενος τῆς τελευτῆς ὑπὸ τοῦ πολλοῦ τῶν τραυμάτων ἀποψυχθεὶς ἔκειτο. οἱ δὲ περὶ τὸν χαιρέαν, ἐπειδὴ κατείργαστο αὐτοῖς ἤδη γάϊος, ὁδοὺς μὲν τοσαύτας ἰόντες σώζειν αὐτοὺς ἀμήχανον ἑώρων, ὄκνῳ τε τῶν γεγονότων. οὐ γὰρ μικρὸν ἦν τὸν αὐτοκράτορα ἀνῃρηκόσι τὸ κινδύνευμα ὑπό τε ἀνοίας τοῦ δήμου τιμώμενον, καὶ ὄντα προσφιλῆ, καὶ τῶν στρατιωτῶν μὴ ἀναιμωτὶ ποιησομένων τὴν ζήτησιν αὐτοῦ, ἄλλως τε στενῶν οὐσῶν τῶν ὁδῶν καθ' ἃς ἔπραξαν τὸ ἔργον, καὶ μεγάλου πλήθους ἐμφράξαντος αὐτὰς τῆς θεραπείας, καὶ ὁπόσοι τῶν στρατιωτῶν ἐπὶ φυλακῇ τοῦ αὐτοκράτορος ἐκείνην παρῆσαν τὴν ἡμέραν. ὁδοὺς τε ἑτέρας χωροῦντες, παρῆσαν εἰς τὴν γερμανικοῦ μὲν οἰκίαν τοῦ γαΐου πατρός, ὃν τότε ἀνῃρήκεσαν. συνημμένη δ' ἐκείνη, διὰ τὸ ἓν τὸ βασίλειον ὄν, ἐπ' οἰκοδομίαις ἑκάστου τῶν ἐν τῇ ἡγεμονίᾳ γεγονότων ἀπὸ μέρους ὀνόματι τῶν οἰκοδομησαμένων ἢ καί τι μέρος οἰκήσεως ἀρξάντων, τὴν ἐπονυμίαν παρέχεσθαι. καὶ δὴ ἐκπεσόντες ἐκ τοῦ πλήθους τὴν ἔφοδον, ἐν ἀδείᾳ τὸ παρὸν ἦσαν, λανθάνοντος ἀκμὴν κακοῦ τοῦ τὸν αὐτοκράτορα παρειληφότος. πρῶτοι δ' εἰς τοὺς γερμανοὺς ἡ αἴσθησις ἀφίκετο τῆς γαΐου τελευτῆς. δορυφόροι δὲ ἦσαν αὐτοὶ ὁμώνυμοι τοῦ ἔθνους, ἀφ' οὗ κατείλεχαν, τὸ κελτικὸν τάγμα παρεχόμενοι αὐτῶν. θυμῷ δὲ χρῆσθαι πάτριόν ἐστιν αὐτοῖς σπάνιον εἰ ποιεῖν ἑτέροις βαρβάρων, διὰ τὸ ἧσσον ὡς λογισμὸν ἐπιδέχεσθαι τῶν ποιουμένων, ῥωμαλέοι τε τοῖς σώμασι, καὶ τῇ πρώτῃ ὁρμῇ συνιόντες τοῖς πολεμίοις, οὓς ἂν ὁρμήσωσι μεγάλα κατορθοῦντες. οὗτοι οὖν πυθόμενοι τοῦ γαΐου τὴν σφαγήν, καὶ περιαλγήσαντες διὰ τὸ μὴ ἀρετῇ κρίνειν ἐπὶ τοῖς ὅλοις, ἀλλὰ συμφέροντι τῷ αὐτῶν, μάλιστα δὲ αὐτοῖς προσφιλὴς ἦν γάϊος δόσεσι χρημάτων τὸ εὔνουν αὐτῶν κτώμενος, σπασάμενοι τὰ ξίφη (προειστήκει δ' αὐτῶν, σαβῖνος χιλιαρχῶν, οὐ δι' ἀρετὴν καὶ γενναιότητα προγόνων, μονομάχος γὰρ ἦν, ἰσχύϊ δὲ σώματος τὴν ἐπὶ τούτοις κτησάμενος ἀρχήν) διεξῄεσαν τὰς οἰκίας ἀνερευνώμενοι τοὺς σφαγέας τοῦ καίσαρος. ἀσπρήναντε κρεουργήσασιν αὐτοῖς, διὰ τὸ πρώτῳ περιπεσεῖν, οὗ τὴν στολὴν μιαίνειν τὸ αἷμα τῶν θυμάτων, ὥς μοι λέλεκται πρότερον, οὐκ ἐπ' ἀγαθῷ τὴν συντυχίαν ἀπεσήμαινε τοῦ γεγονότος, δεύτερος νωρβανὸς ὑπαντίαζεν, τοὺς γενναιοτάτους τῶν πολιτῶν. καὶ πολλοὺς αὐτοκράτορας παρεχόμενος τῶν προπατόρων, καὶ μηδὲν αἰδουμένων αὐτοῦ τὴν ἀξίωσιν ἰσχύϊ προὔχων ἀφαιρεῖται τὸ ξίφος τῶν πρώτων ἐπιόντων συμπλακείς, φανερός τε ἦν οὐκ ἀπραγμόνως τεθνηξόμενος, μέχρι δὴ περισχεθεὶς πολλοῖς τῶν ἐπιφερομένων, ἔπεσεν ὑπὸ πλήθους τραυμάτων. τρίτος δ' ἀντήϊος τῶν ἐκ τῆς βουλῆς σὺν ὀλίγοις οὐ τυχαίως τοῖς γερμανοῖς καθάπερ οἱ πρότερον περιπεσών, ὑπὸ δὲ φιλοθεαμοσύνης, καὶ ἡδονῆς τοῦ αὐτόπτης γενέσθαι γαΐου κειμένου, μῖσος ἐνέφαινε πρὸς αὐτόν, τὸν γὰρ πατέρα τοῦ ἀντηΐου, καὶ ὁμώνυμον φυγάδα ἐλάσας, καὶ μὴ ἀρκεσθείς, κτείνει στρατιώτας ἀποπέμψας, καὶ παρῆν μὲν διὰ τάδε εὐφραινόμενος θεωρίᾳ τοῦ νεκροῦ θορυβουμένης δὲ τῆς οἰκίας, κρύπτειν αὐτὸν ἐνθυμησάμενος, οὐ διαφυγγάνει τῶν γερμανῶν τὸ εἰς τὴν ἔρευναν ἀκριβές, καὶ ἐπὶ τοῖς φόνοις ὁμοίως, τῶν τε αἰτίων καὶ μὴ διαχειρωσάντων. καὶ οἱ μέν, ταύτῃ τεθνήκεσαν. εἰς δὲ τὸ θέατρον ἐπεὶ ἀφίκετο ὁ λόγος περὶ τοῦ γαΐου τελευτῆς, ἔκπληξίς τε, καὶ ἀπιστία ἦν. οἱ μὲν γὰρ καὶ πάνυ ἡδονῇ δεχόμενοι τὸν ὄλεθρον αὐτοῦ, κἂν πρὸ πολλοῦ ἡγησάμενοι σφίσιν ἀγαθὸν συνελθεῖν, ὑπὸ δέους ἐν ἀπιστίᾳ ἦσαν.

& à sociis perpetratum est, ipsius prudentiæ, industriæ atque virtuti, acceptum ferendum est. Sic Caius finiit multis confossus vulneribus. Quo interfecto, Chærea cum sociis recipere se quà venerant, videbat impossibile: siue attoniti magnitudine facinoris, quòd non leue esset periculum occidisse imperatorem gratiosum apud insanam multitudinem, paratis ad vltionem militibus: siue quòd angustæ erant viæ vbi patrata est cædes, & refertæ famulis ac custodibus, qui omnes ea die præstò erant ad officium. proinde per aliam viam contulerunt se ad ędes Germanici, cuius filium Caium tum necauerant. hæ fuerunt contiguæ palatio: quod ita vnum erat, vt tamen excultum esset ædificiis per partes à singulis imperatoribus, quorum appellationem retinebant. iámque elapsi è turba satis tuti erant pro tempore, tantisper dum in occulto esset casus Cæsaris. primi autem Germani censerunt eius interitum, cohors satellitum ex ea gente lectorum ad principis custodiā: homines natura iracundi, vt quiuis alij barbari, quòd plerunque quid fiat non intelligant, robusti corpore & primos hostium impetus excipere soliti, & magnum ad victoriam momentum afferre in quamcunque partem incubuerint. hi cognita morte Caij vehementer indoluerunt, nō ipsius virtutibus rem metientes, sed suis commodis, quòd gratiosus apud illos fuerat crebris largitionibus beneuolentiam eorū sibi cōparās: móxq; duce Sabino (is non sua, aut maiorum virtute, vt qui gladiator fuerat, sed insigni robore ad tribunatū prouectus est) strictis gladiis discurrebant per domos scrutabundi vbinam laterēt interfectores Cæsaris: & primùm fortè oblatum Asprenatē frustatim lacerauerunt, cū cuius togam cruore victimæ respersam diximus, infausto sanè auspicio. post hunc Norbanum nacti sunt ciuem nobilissimum, & genus ducētem à multis imperatoribus: qui nihil apud furētes fieri suā dignitatē vidēs, homo validus extorsit gladiū reluctāti ei, qui primus se inuaserat: videbatúrq; non inultus moriturus, ni circumdatus multorū simul obrueretur ictibus. tertius è senatoribus Anteius cū paucis mala fortuna sicut priores in Germanos incidit, pertractus eò cupidine visendi Caij cadaueris, quem vehementer oderat. eius enim patrem eodem nomine appellatum non contentus egisse in exilium, occidit postremò missis illò militibus. pascebat igitur occulos gratissimo spectaculo: verùm audito tumultu latebras quæritans, non effugit Germanorum diligentem perquisitionem, per iram sontes iuxta atque insontes trucidantium. & illi quidem tali fato absumpti sunt. cæterùm postquam in theatrum rumor de morte Caij perlatus est, plus demirationis inuenit quàm fidei. quidam enim etsi perlibēter interitū eius acciperēt, quem iamdudum optauerant, præ timore tamen credere nō audebāt,

aliis contrà ideò non libebat credere, quia verum esse nolebant, atque etiam maius putabant quàm vt humana virtute posset effici. hi ferè erant pueri ac fœminæ atque mancipia: tum nonnulli ex militibus: quòd eius stipendia merentes simul exercerent tyrannidem, ministri superbiæ, concutientes optimum quemque ciuium, & prædarum participes. mulieres autem & iuuentus deliniti, vt solet vulgus, spectaculis, muneribus gladiatoriis, visceratiönibus, oblectamentisque id genus aliis: quarum prætextus erat voluptas populi, re autem vera seruiebant crudelitati & insaniæ principis. apud seruos item gratiosus fuerat propter licentiam contemnendi dominos, contrà quos in eo paratum habebant præsidium. Facile enim erat fidem impetrare confictæ calumniæ, & indicata herili pecunia non libertatem solùm assequi, sed & diuitias, quòd delatoribus octaua confiscatorum bonorum esset decreta. nobilium autem etiamsi quibus credibile fieret, vel quòd aliquid præsenserat, vel quòd verum esse miserè cupiebant, adeò nõ proferebant gaudium, vt ne audiuisse quidem se fingerent: alij ne spe frustrata proditæ voluntatis pœnas luerent: insidiarum alij conscij, & tanto magis præ se ferentes ignorantiam, ne forte suspecti his quibus expediebat tyrannum viuere, deposcerentur ad supplicium. nam & diuersus rumor sparsus est, esse quidem saucium, non tamen occisum, verùm diligenter curari à medicis. quo factum est, vt audientium nemo declararet suũ animum: aut enim amici eius erant, qui nunciabant, & hoc ipso suspecti quasi fautores tyrannidis: aut contrà infensi homini, & ideò nimis cupidè etiam falsa pro veris credita communicare cũ aliis putabantur. accessit & alius rumor, qui maximè nobilitatis obscurauit gaudium: eum contempto vulnerum periculo, sic vt erat cruentatum procurrisse in forum, atque ibi concionari apud populum. ita illi in diuersos affectus distrahebantur rumore ancipiti: non tamen loco se mouere ausi sunt metu calumniæ, scientes non tam referre quo ipsi animo id facerent, quàm quo factum interpretarentur delatores & iudices. Sed postquam Germani strictis gladiis circumdedêre theatrum, nemo spectatorum non putabat de se actum, & ad cuiusuis ingressum expauescebant, quasi iamiam contrucidandi: hærebántque inopes consilij, vt quibus nec manere tutum esset, nec egredi. tandem irrumpentibus militibus clamor toto theatro tollitur suppliciter deprecantium, & excusantium insidiarum ignorantiam, siue insidię illæ fuerint, siue quid aliud. addebant & planctus, & lacrymas, deósque innocentiæ testes inuocabant, & alia faciebant ac dicebant, quæ eos docebat præsentaneum vitæ periculum. His flexa est ira militum, ne quid durius

A εἰσὶ δ' οἷς καὶ πάνυ ἀπ' ἐλπίδων ἦν, διὰ τὸ μὴ ἐθέλειν τι τοιόνδε ἐπὶ Γαΐῳ γεγονέναι, μήτε ἀληθείᾳ προσίεσθαι, διὰ τὸ μὴ οἷόν τε ἀνθρώπῳ εἶναι τοιᾷδε ἀρετῇ χρήσασθαι. γύναιά τε ἦν ταῦτα καὶ παῖδες, ὁπόσοι τε δοῦλοι, καί τινες τοῦ στρατιωτικοῦ. οἱ μὲν διὰ τὸ μισθοφορεῖν, καὶ οὐδὲν ἄλλ' ἢ συντυραννεύοντες, καὶ διακονίᾳ τῆς κατ' ἐκεῖνον ὕβρεως ἐπαναστρεφόμενοι τοῖς κρατίστοις τῶν πολιτῶν, τιμῆς τε ἅμα καὶ ὠφελειῶν τυγχάνειν. ἡ δὲ αὖ γυναικωνῖτις, καὶ τὸ νεώτερον, B ὥσπερ ὄχλος φιλεῖ, θεωρίαις τε, καὶ μονομαχιῶν δόσεσι καί τινων κρεανομιῶν ἡδοναῖς ἀνειλημμένοι ἀπεπείσετο, λόγῳ μὲν ἐπὶ θεωρίαις τοῦ πλήθους, τὸ δὲ ἀληθές, ἐκπιμπλάντα τῆς μανίας γαῖα τὸ ὠμότητι. οἱ δὲ δοῦλοι διὰ τὸ ἐν προσηγορίᾳ τε εἶναι καὶ καταφρονήματι τῶν δεσποτῶν ἀποστροφῆς, τῷ ὑβρίζοντι αὐτοῖς οὔσης τῆς κατ' ἐκείνον ἐπικουρίας. ῥᾴδιον γὰρ ψευσαμένοις τε κατὰ τῶν κυρίων πιστευθῆναι, καὶ τὰ χρήματα ἐνδείξασιν αὐτῶν, ἅμα ἐλευθέροις τε εἶναι καὶ πλουσίοις, μισθὸν τῆς κατηγορι- C αν, διὰ τὰ ἆθλα αὐτοῖς προκεῖσθαι τὰς ὀγδόας τῶν οὐσιῶν. τῶν δὲ εὐπατριδῶν εἰ καί τισι πιστὸς ὁ λόγος φανείη, τοῖς μὲν ἐκ τοῦ προειδέναι τὴν ἐπιβουλήν, τοῖς δὲ ὑπὸ τοῦ θέλειν εὐκτὴν ἡγουμένοις, σιγῇ παρεδίδοτο, οὐ μόνον ἐπὶ τοῖς ἠγγελμένοις χαρᾷ ἀλλὰ καὶ ὑπ' ὀδύσσειαν ἀκροάσεως. οἱ μὲν δεδιότες, μὴ καὶ ψευσθῶσιν ἐλπίδος, τιμωρίᾳ συνέλθοιεν, ὡς προεξορμήσασιν ἀποφῆναι τὴν διάνοιαν τῆς ἑαυτῶν. οἱ δὲ ἐξεπιστάμενοι διὰ τὸ τῆς ἐπιβουλῆς D μεταχεῖν, μειζόνως ἔκρυπτον ἀλλήλων ἀγνοίᾳ, καὶ δεδιότες μὴ πρός τινα εἰπόντες, οἷς ἡ τυραννὶς ἐστῶσα ὠφέλιμος ἦν ζῶντος Γαΐου, κολασθεῖεν ἐνδείξεως γενομένης. ἐπεὶ καὶ ἕτερος ἐπεφοιτήκει λόγος, ὡμιληκέναι μὲν τραύμασιν, οὐ μὴν ἀποθανεῖν, ἀλλὰ ζῶντα ἐν θεραπείαις ὑπὸ τῶν ἰατρῶν εἶναι. ἦν τε πιστὸς αὐθις οὐθείς, ᾧ καὶ θαρσήσας γνώμην ἀποφαίνοιτο τὴν αὐτοῦ. ἢ γὰρ φίλος ὤν, ὕποπτος ἐγίνετο εὐνοίᾳ τῆς τυραννίδος, ἢ καὶ μισεῖ πρὸς ἐκεῖνον χρώμενος, τῷ πρὸς αὐτὸν οὐδαμόθεν εὐνοίᾳ χρωμένῳ, διαφθείρειν τὴν ἐπὶ τοῖς λεγομένοις πίστιν. E ἐλέγετο δὲ ὑπό τινων, οἱ καὶ μάλιστα τοῖς εὐπατρίδαις ἠφάνιζον τὸ εὔθυμον τῆς ἐλπίδος, ἐν ἀμελείᾳ κινδύνων γεγονότα, καὶ ἀφροντιστί κομιδῆς τῶν τραυμάτων ὥσπερ εἶχεν ἡμαγμένον ἐπὶ τὴν ἀγορὰν διεκπεσεῖν, καὶ ἐν δημηγορίαις εἶναι. Ταῦτα μὲν εἰκάζετο βελτίστῃ τῇ ἀλογίστῳ τῶν θρυλεῖν προτεθειμένων, καὶ ἐπ' ἀμφότερα δόξῃ τῶν ἀκουόντων λαμβανόμενα. οὐ μὴν τήν γε ἕδραν ἐξέλιπον, F δεδιότες τὴν ἐπενεχθησομένην προεξιοῦσιν αἰτίαν. οὐ γὰρ ἐφ' ἧς ἀξιοῖεν διανοίας γενήσεσθαι περὶ αὐτοὺς τῆς κρίσεως, ἀλλὰ ἀφ' ἧς εἰκάζειν θελήσαι τοὺς τι κατηγορήσαντας, καὶ τοὺς δικάζοντας. ἐπεὶ δὲ καὶ πλῆθος τῶν Γερμανῶν περιέσχε τὸ θέατρον ἐσπασμένων τὰ ξίφη, πᾶσι τοῖς θεωροῖς ἐλπὶς ἦν ἀπολεῖσθαι, καὶ πρὸς πᾶσαν οὑτινοσοῦν εἴσοδον ποῖα εἶχεν αὐτοὺς ὡς αὐτίκα μάλα συγκοπήσοιντο. ἐν ἀμηχάνοις δὲ ἦσαν, οὔτε ἀπιέναι θάρσος εἰσφερόμενοι, οὔτε ἀκίνδυνον τὴν διατριβὴν τὴν ἐπὶ τοῦ θεάτρου πεπιστευκότες. εἰσπιπτόντων δὲ ἤδη, βοὴ τοῦ θεάτρου ῥήγνυται καθ' ἱκετείαν τρεπομένη τῶν στρατιωτῶν, ὡς πάντων ἀγνοίας αὐτοῖς γινομένης καὶ τῶν βουλευθέντων τῆς ἐπαναστάσεως, εἰ δή τις καὶ γέγονεν ἐπανάστασις, καὶ τῶν γεγονότων. φείδεσθαι οὖν, καὶ μὴ τόλμης ἀλλοτρίας περὶ τῶν οὐδὲν ἐν αἰτίᾳ γινομένων ἀπολαμβάνειν τιμωρίαν, παρέντας ἐν ἐρεύνῃ τῶν πεπραχότων ὅ τι καὶ πεπραγμένον εἴη κατασχεῖν. καὶ οἱ μὲν ταῦτά τε καὶ περαιτέρω μετὰ δακρύων καὶ τύψεως προσώπων ἐπιθειάζοντες, καὶ ποτνιώμενοι, ὁπόσα ἀνεδίδασκεν αὐτοὺς ὁ κίνδυνος ἐγγὺς πλησίον, καὶ ὡς ἂν τῆς ἀγωνιζομένης περὶ τῆς ψυχῆς ἐποίει τι ἔλεγον. Θραύεται δὲ πρὸς ταῦτα τῶν στρατιωτῶν ἡ ὀργή, καὶ μεταμελη-

μελή-

μελήσαντος αὐτοῖς τοῦ ἐπὶ τοῖς θεωροῖς βουλεύματος, ὠμὸν τε γὰρ ἦν ὅτι καὶ ἐκείνοις καίπερ ἐξηγριωκόσιν ἐδόκει, τὰς κεφαλὰς τῶν περὶ τὸν ἀσπρήναν ἐπὶ τὸν βωμὸν ἀπερεισαμένοις, πρὸς ἃς μειζόνως ἔπαθον οἱ θεωροὶ, λογισμῷ τε ἀξιώσεως τῶν ἀνδρῶν, καὶ ἐλέῳ τῶν παθῶν. ὡς τῶν παρ' ὀλίγον, καὶ αὐτοῖς οὐδὲν ἐλλειπούσης τὰ τῶν κινδύνων ὁμιλήσαντα ἐπαναστρέψαι, ὧν ἄδηλον εἶναι τὴν συμφορὰν εἴπερ εἰς τέλος φυλαχθήσεσθαι δύναιτ' ἄν. ὥς τε κἂν εἴ τινες τῶν προθύμως μισούντων καὶ μετὰ δίκης τὸν γάϊον, ἀφαιρεῖσθαι τὴν ἐπ' αὐτῷ εὐφροσύνην τῆς χαρᾶς, διὰ τὸ ἐν ῥοπῇ μὲν τοῦ συναπολουμένου γεγονέναι, τὸ δὲ πιστὸν τοῦ περιεῖναι μηδέπω καὶ τότε ἐχέγγυον παρενεχθεῖν. ἦν δὲ εὐάρεστος ἀρούντιος τῶν κηρυσσόντων τὰ πωλούμενα, καὶ δι' αὐτὸ φωνῆς τε μεγέθει χρώμενος, καὶ χρήματα περιβεβλημένος ὅμοια τοῖς ῥωμαίων πλουσιωτάτοις, δύναμίς τε αὐτῷ ἦν ἐφ' οἷς ἐθελήσειε πράσσειν κατὰ τὴν πόλιν, ἔν τε τῷ τότε κἂν τοῖς ὕστερον. οὗτος διαθεὶς αὑτὸν ὡς ἐνῆν πενθιμώτατον, καίτοι μίσει καὶ παρ' ὅντινα οὖν ἐχρῆτο πρὸς γάϊον, ἀλλὰ μὴν κρείσσων ἡ διδασκαλία τοῦ φόβου, καὶ στρατηγία περὶ τοῦ κερδησομένου τὴν σωτηρίαν τῆς εἰς τὸ παρὸν ἡδονῆς, πάντα κόσμον ἐπιτηδεύσας, ὡς ἄν τις ἐπὶ τοῖς τιμιωτάτοις παρεσκευάσατο ἀπολωλόσιν, ἀποσημαίνει τὸν γαΐου τὸν θάνατον ἐπὶ τὸ θέατρον παρελθὼν, καὶ ἔπαυσε τοὺς ἀνθρώπους ἐπὶ πλέον ἀγνοίᾳ συμπεριφέρεσθαι τοῦ γεγονότος. ἤδη δὲ καὶ στείλας ἀρούντιος περιῄει ἀνακαλῶν τοὺς γερμανοὺς, καὶ οἱ χιλίαρχοι σὺν αὐτῷ κελεύοντες κατατίθεσθαι τὸν σίδηρον, καὶ διασαφοῦντες γαΐου τὴν τελευτήν. τοῦτο δὲ σαφέστατα ἔσωσε τοὺς ἐν τῷ θεάτρῳ συνειλεγμένους, καὶ πάντας οἳ καὶ ὅπως οὖν τοῖς γερμανοῖς περιτύχοιεν. ἐλπίδος γὰρ αὐτοῖς παραγινομένης, ἔμπνουν κεῖσθαι τὸν γάϊον, οὐκ ἔστιν οὗτινος κακῶν ἂν ἀπέσχον. τοσόνδε ἐπερίσσευσεν αὐτοῖς εὐνοίας τῆς πρὸς αὐτὸν, ὡς κἂν μετὰ τοῦ καθ' αὑτοὺς ἀπολλυμένου τῆς ψυχῆς κτήσασθαι τὸ ἀνεπιβούλευτον αὐτῷ καὶ τοσαύτῃ δυστυχίᾳ συνεσόμενον. παύονται δὲ τοῦ ὡρμηκότος εἰς τὴν τιμωρίαν μαθήσεως σαφοῦς παραγινομένης αὐτοῖς ἐπὶ τῇ τελευτῇ, διά τε τὸ εἰς ἀχρεῖον ἐπιδείξασθαι τὸ πρόθυμον τῆς εὐνοίας, ὃς ἀμείψαιτο αὐτοὺς ἀπολωλότος, καὶ δέει μὴ περαιτέρω τῇ ὕβρει χρωμένων ἐπιστροφὴ γένοιτο ὑπὸ τῆς βουλῆς, εἴπερ εἰς ἐκείνην περισταίη τὸ κράτος τοῦ ἐπικαταστάντος ἄρχοντος. καὶ οἱ μὲν γερμανοὶ, ἀλλ' οὖν ἐπαύσαντο λύσσης τῆς ἐπὶ γαΐου τῷ θανάτῳ καταλαμβανομένης αὐτούς. χαιρέας δὲ, σφόδρα γὰρ περὶ μινουκιανῷ ἔδεισε μὴ διαφθαρείη μανίᾳ τῶν γερμανῶν περιπεσὼν, ἕκαστόν τι τῶν στρατιωτῶν μετῄει προμηθεῖσθαι τῆς σωτηρίας αὐτοῦ δεόμενος, καὶ μὴ ἀπόλοιτο πολλὴν ἐξέτασιν ποιούμενος. καὶ μινουκιανὸς μὲν καὶ κλήμης, ἀνάγεται γὰρ ἐπὶ τοῦτον, μεθίησι πολλῶν μετ' ἄλλων συγκλητικῶν δικαιοσύνην τῇ πράξει συμμαρτυρῶν, καὶ ἀρετὴν τοῖς ἐντεθυμημένοις, καὶ πράσσειν μὴ ἀποδεδειλιακόσι. τυραννίδα γὰρ εἰς ὀλίγον μὲν ἐλθεῖν ἡδονῇ τοῦ ὑβρίζειν ἐπαρθεῖσαν, εὐτυχεῖς δὲ οὐκ ἄρα ποιεῖσθαι τὰς ἀπαλλαγὰς τοῦ βίου, μίσει τῆς ἀρετῆς πρὸς αὐτὴν χρωμένης, ἀλλὰ μετὰ τοιαύτης δυστυχίας, ὁποίᾳ δὴ γάϊον συνενεχθεῖν, πρὸ τῶν ἐπαναστάντων τε συντιθέντων τὴν ἐπίθεσιν αὐτὸν ἐπίβουλον αὐτῷ γενόμενον, καὶ διδάξαντα οἷς ὑβρίζειν ἀφόρητος ἦν, ἀφανίζων τοῦ νόμου τὴν πρόνοιαν, πολέμιον πρὸς αὐτὸν χρῆσθαι τοὺς φιλτάτους. καὶ νῦν λόγῳ μὲν εἶναι τούτους οἳ ἀνῃρήκασι γάϊον, ἔργῳ δὲ αὐτὸν ὑφ' ἑαυτοῦ κεῖσθαι διολωλότα. ἤδη δὲ καὶ τὸ θέατρον ἐξανίσταντο τῶν φυλάκων, καὶ ταραχαὶ πάνυ πικραὶ ἐγένοντο τῶν εἴσω.

A in ſpectatores conſulerent: quandoquidem hoc ipſum quamuis furentibus immane videbatur, circumlata cæſorum cum Aſprenate capita, & in ara depoſita, quorum aſpectu nihil miſerabilius viſum eſt ſpectatoribus, dignitatem eorum & infelicitatem reputantibus, & de ſe quoq; ſolicitis, quòd incerti eſſent etiamnum an omnino periculum euaſerint. itaque etiam qui iuſtiſſimis odiis Caium proſequebantur, non tamen ſincerum capiebant gaudium, B timentes ne auctarium eius cædis fierent, nulla certa ſpe oſtendente ſe miſeris. Tandem Aruntius homo gratioſus, qui vocalis erat vtpote præco rerum venalium, parauerátque ſibi ex eo quæſtu diuitias ingentes cum pari potentia, theatrum ingreditur habitu quàm maximè ad luctum compoſito. quamuis enim infenſiſſimus eſſet Caio, tamen vrgente præſenti diſcrimine ad diſſimulandam lætitiam, præferens inſignia mœroris omnia, C quibus vti mos eſt in cariſſimorum deſiderio, nunciat eius mortem, non paſſus multitudinem diutiùs ignorare quæ acciderant. deinde cœpit reuocare Germanorum impetum. ſimúlque tribuni iubebant gladios recondere, ſignificantes imperatoris interitum: quæ quidem certiſſima ſalus fuit conſtipatæ in theatro multitudinis, & eorum qui quomodocunque inciderent in Germanos: qui ſi aliquam ſpem incolumitatis illius habuiſſent, à nullo abſtinuiſ- D ſent maleficio. adeò illum diligebant, vt ſuarum animarum iactura redemptam ſalutem eius cuperent, nullo reſpectu calamitatis reipublicæ. itaque tum demum cognita eius morte, cohibuerunt impetum quo in vindictam ruebãt, vel quòd iam non amplius erat tempus declarandæ beneuolentiæ, aut referendæ gratiæ, vel quia timebant non impunè ſibi fore tantam violentiam, ſenatu in ſe animaduerſuro ſi fortè ad eum rediret rerum regimen. Sic E tandem Germanorum rabies ſedata eſt, per Caij cædem paulo antè excita. Cæterùm Chærea, qui valde timebat Minuciano, ne periret in furentes Germanos incidens, ſingulos militum prenſabat, de eo rogitans, precibúſque commendans eis ſalutem hominis: quo factum eſt, vt ille vnà cum Clemente ad eum perductus collaudarit tam egregium facinus, teſtatus id eſſe è republica, eique ſenatus nomine gratias egerit, quòd nec in delibe- F rando conſilium, nec in peragendo animus illi defuerit: dicens hanc eſſe naturam tyrannidis, vt elata breui voluptate ex impotentis & iniquæ dominationis licentia, infelicem ſortiatur vitę exitum vt inuiſa bonis omnibus: quòd & Caio tunc accidiſſe, qui iam tum ante conſpirationem innitam legum cõtemptu, & non ferendis iniuriis etiam amiciſſimos à ſe alienauerit, à quibus nunc peremptus videatur, cùm G reuera ipſe ſibi exitij cauſa fuerit. Iámque & in theatro ſpectatores tumultuabũdi cõſurrexerãt,

huiuſmodi occaſione diffugiendi præbita. Arcyon medicus correptus, vt curaret quoſdam ſaucios, prætextu parandorum remediorum dimiſit proximos: re autem vera, vt ſeſe præſenti periculo eximerent. Interea ſenatus in curiam conuenit, populúſque in comitium confluens trucidatores Caij quærebat, & is quidem ſeriò, ſenatus verò tantùm in ſpeciem. cúmque Valerius Aſiaticus vir conſularis progreſſus eſſet ad tumultuantes & indignantes latere interfectores Cæſaris, multis eum rogantibus quiſnam eſſet eius cædis autor, Vtinam ego, inquit. Conſules autem edictum propoſuerunt, in quo continebatur Caij accuſatio, iubentes vt domum redirent tam populus quàm milites, populo quidem magnam relaxationem pollicendo, militibus verò præmia, ſi modò nihil turbarent & abſtinerent ab iniuriis. nam metus erat ne exaſperati clade aliqua ciuitatem afficerent, néve ad rapinas verterentur & ſacrilegia. iam autem totus ſenatorum ordo conuenerat, præcipuè qui cædis erant cõſcij: audebántque ſperare aliquid, quaſi ad ſe deuoluto rerum moderandarum arbitrio.

CAP. II.

Quomodo Claudius principatum adeptus ſit.

IN hoc rerum ſtatu repentè Claudius domi arripitur. Conuenientes enim in vnum milites, & collatis de rebus gerendis conſiliis, videbant populum non ſuffecturum tot vrgentibus negotiis, ſi ad ipſum rediret rerum adminiſtratio: nec ſibi vtilem eam fore, ſi deſinerent eſſe miniſtri principatus & quodammodo ſocij. optimum igitur viſum eſt rebus adhuc turbatis principem eligere Claudium, defuncti patruum, nemini eorum, qui tum in ſenatum coiuerant non preferendum, ſiue natalium claritatis, ſiue liberalis eruditionis habenda eſſet ratio: qui conſtitutus in rerum faſtigio præmia cuique pro meritis decernat. hæc ſententia ſimul approbata eſt, & Claudius correptus à militibus. In ſenatu autem Cn. Sentius Saturninus, non neſcius Claudium raptum, & inſtare virtutis certamen, quaſi protruſus, nec tamen inuitus, intrepidè orationem dignam ingenuis, & generoſis auditoribus exorſus eſt in hanc fermè ſententiam: Etſi incredibile videtur, Quirites, quòd præter omnem ſpem nobis offertur poſt tam longum temporis ſpatium, tenemus tamen libertatem, incertum quidem quàm diu manſuram, & in poteſtate deorum ſitam, quorum hoc munus eſt: ſed quæ in præsẽs certè exhilarare nos valeat, quicunque ſequatur exitus. bonis enim viris iucundum eſt vel vnam horam liberos in libera patria viuere, veteríſque illius & florentis reipub. aliquem guſtum capere. equidem priſcæ illius libertatis non memini, vt poſt eam ſublatam natus, præſentis ſanè ſum cupidiſſimus, & felices exiſtimo quibus datum eſt in illa naſci atque inſtitui honeſtis ſtudiis:

αἰτία δ' ἦν τοῦ προθύμως διαφευξομένου τὴν θεωρίαν. ἀρκύων ὁ ἰατρὸς συναρπασθεὶς ὡς ἐπὶ θεραπείᾳ τινῶν τραυματιῶν, ἐκπέμψας δὲ τοὺς συνόντας, λόγῳ μὲν ὡς καὶ μετελευσομένους ὁπόσα εἰς τὴν ἴασιν τοῖς τραυματίαις προσφορά. τὸ δ' ἀληθές, ὡς ἀπέσοιντο κινδύνου τοῦ κατειληφότος. ἐν τούτῳ δὲ βουλῆς τε γίνεται σύνοδος, καὶ ὁ δῆμος ἧπερ καὶ εἰώθασιν ἐκκλησιάζειν ἐπὶ τῆς ἀγορᾶς καταστάς, ἐν ζητήσει τῶν σφαγέων τῶν γαΐου ἦσαν. ὁ μὲν δῆμος, καὶ πάνυ εὐθύμως, δοκεῖν δὲ καὶ ἡ βουλή. καὶ ἦν γὰρ ἀσιατικὸς οὐαλέριος ὑπατικὸς ἀνήρ, οὗτος ἐπὶ τὸν δῆμον καταστὰς θορυβούντων, καὶ δεινὸν τιθεμένων τὸ ἐπιλανθάνειν τὸν αὐτοκράτορα τῶν ἀποκτεινόντων, ἐπεὶ προθύμως πάντες αὐτὸν ἤροντο, τίς ὁ πρέξας τυγχάνει, εἴθε γὰρ ἔγωγε φησί. καὶ προὔθεσαν δὲ καὶ οἱ ὕπατοι διάγραμμα γαΐου μὲν κατηγορίας ποιούμενοι, κελεύοντες δὲ τῷ τότε δήμῳ, καὶ τοῖς στρατιώταις ἐπὶ τὰ αὑτῶν ἀπιέναι, τῷ μὲν δήμῳ, πολλὴν ἀνέσεως ἐπαγγελλόμενοι ἐλπίδα, τῷ στρατιωτικῷ δὲ τιμὴν, εἰ ἐν κόσμῳ μείνειαν τῷ εἰωθότι μηδὲν ὑβρίζειν ἐξαγόμενοι. δέος γὰρ ἦν μὴ ἐξαγριωσάντων ἀπολαύσειε τοῦ κακοῦ ἡ πόλις, καθ' ἁρπαγὰς αὐτῶν καὶ συλήσεις τῶν ἱερῶν τρεπομένων. ἐθάκει δ' ἤδη τῶν βουλευτῶν τὸ πᾶν πλῆθος συνηγμένον, καὶ μάλιστα οἱ τοῦ γαΐου συνθέντες τὸν φόνον θράσει τε ἤδη χρώμενοι καὶ ἐν φρονήματι μεγάλῳ ὄντες ὡς εἰς αὐτοὺς ἀνακειμένων δὴ τῶν πραγμάτων.

Κεφάλαιον β'.

Ὡς κλαύδιος τὴν ἀρχὴν παρέλαβεν.

ΕΝ τούτῳ δὴ ὄντων τῶν πραγμάτων, αἰφνίδιον ἁρπάζεται κλαύδιος ἐκ τῆς οἰκίας. οἱ γὰρ στρατιῶται συνόδου γενομένης αὐτοῖς ἀλλήλοις, καὶ αὐτοῖς λόγον δόντες περὶ τοῖς ποιητέοις, ἑώρων δημοκρατίαν ἀδύνατον τὸ ὂν ἐγκρατῆ τοσῶνδε αὖ ποτε γενέσθαι πραγμάτων, ἐξικομένην τε οὐκ ἐπ' ἀγαθῷ τῷ αὐτῶν κτήσεως τῆς ἀρχῆς, εἴ τέ τις τῶν ἐν ἀρχῇ κατασχήσοι τὴν ἡγεμονίαν, εἰς πάντα λυπηρὸν αὐτοῖς εἶναι μὴ οὐ συνεργοῖς τῆς ἀρχῆς καταστᾶσι. καλῶς οὖν ἔχειν ἀκεραίων ἔτι ὄντων τῶν πραγμάτων, ἡγεμόνα αἱρεῖσθαι κλαύδιον, πάτρων τε ὄντα τοῦ τεθνεῶτος, καὶ τῶν εἰς τὴν βουλὴν συλλεγομένων, οὐδενὸς οὗ τινος οὐκ ἀξιολογώτερον, προγόνων τε ἀρετῇ, καὶ τὴν κατὰ τὴν παιδείαν μεμελετηκότα, καὶ σταθέντα αὐτοκράτορα τιμήσειν τε τὰ εἰκότα, καὶ ἀμείψεσθαι δωρεαῖς. ταῦτα διανοοῦνταί τε, καὶ ἔπραξαν ἐκ τοῦ παραχρῆμα. ἥρπαστο μὲν δὴ κλαύδιος ὑπὸ τοῦ στρατιωτικοῦ. γνέος δὲ σέντιος σατορνῖνος, καίτοι πεπυσμένος τὴν κλαυδίου ἁρπαγήν, καὶ ὡς ἐπιδικάζοιτο τῆς ἀρετῆς ἄκων μὲν δοκεῖν, τὸ δ' ἀληθὲς καὶ βουλήσει τῇ αὐτοῦ, καταστὰς ἐπὶ τοῦ συγκλήτου, καὶ μηδὲν καταπλαγείς, ἐλευθέροις καὶ γενναίοις ἀνδράσι πρεπόντως ποιεῖται παραίνεσιν τάδε λέγων. εἰ καὶ ἄπιστον ὦ ῥωμαῖοι διὰ τὸ χρόνῳ πολλῷ ἥκειν ἀνέλπιστον οὖσαν ἡμῖν, ἀλλ' οὖν ἔχομεν τοῦ ἐλευθέρου τὴν ἀξίωσιν, ἄδηλον μὲν ἐφ' ὁπόσον παρατείνουσαν καὶ γνώμῃ θεῶν οἳ ἐχαρίσαντο αὐτὴν κειμένην, εὐφραίνειν δὲ ἀρκοῦσαν καὶ εἴπερ ἀφαιρεθείη μὲν αὐτῆς εὐδαιμονία συνάγουσαν. ἱκανὴ γὰρ καὶ μία ὥρα τῆς ἀρετῆς αἰσθανομένοις, καὶ μετ' αὐτοτελοῦς τῆς διανοίας ἐν αὐτοδίκῳ τῇ πατρίδι, καὶ μετὰ νόμων οἷς ποτε ἤνθησε διαιτωμένη βιωθεῖσα. ἐμοὶ δὲ τῆς πρότερον ἐλευθερίας ἀμνημονεῖν ἔστι διὰ τὸ κατόπιν αὐτῆς γεγονέναι. τῆς δὲ νῦν ἀπλήστως πιμπλαμένον μακαριστῶς τὸ αἰδεῖσθαι τοὺς ἐγγενηθέντας καὶ ἐντραφέντας αὐτῇ, καὶ τῶν

τῶν θεῶν οὐδὲν μείζονος ἀξίους τιμῆς τοὺς δὲ τοὺς ἄνδρας, οἳ ὀψὲ μὲν ἀλλ' οὖν κἂν τούτῳ τῆς ἡλικίας ἡμᾶς ἐγεύσαν αὐτῆς. καὶ εἴη μὲν εἰς πᾶν τοῦ αἰῶνος τὸν ὕστερον παραμεῖναι τὴν ἄδειαν αὐτῆς. ἀρκοῦσα δ' ἂν γένοιτο καὶ ἥδε ἡ ἡμέρα τοῖς τε νεωτέροις ἡμῶν, καὶ ὅσοι γεγηράκαμεν. αἰῶν ὑπείληπται τοῖς πρεσβυτέροις δεόντων ἀγαθῶν αὐτῆς ἐν ὁμιλίᾳ γεγονότες μεταστῶσιν. τοῖς δὲ νεωτέροις παίδευμα ἀρετῆς καταστάσεως ἀγαθὸν ἀνδράσι τοῖσδε ἀφ' ὧν γεγόναμεν. νῦν δὲ δὴ καὶ ἡμῖν, διὰ τὴν ἄρτι ἀρχήν, οὐδὲν προὐργιαίτερον εἴη τοῦ ζῆν μετ' ἀρετῆς, ἣ μόνη ἐκφροντίζει τῷ ἀνθρωπείῳ τὸ ἐλεύθερον. ἐγὼ γὰρ τὰ παλαιὰ οἶδα ἀκοῇ παραλαβών. οἷς δὲ ὄψει ὁμιλήσας ᾐσθόμην, οἵων κακῶν τὰς πολιτείας ἀναπιμπλᾶσιν αἱ τυραννίδες, κωλύουσαι μὲν πᾶσαν ἀρετήν, καὶ τοῦ μεγαλόφρονος ἀφαιρούμεναι τὸ ἐλεύθερον, κολακείας δὲ καὶ φόβου διδάσκαλοι καθιστάμεναι, διὰ τὸ μὴ ἐπὶ σοφίᾳ τῶν νόμων, ἀλλ' ἐπὶ τῇ ὀργῇ τῶν ἐφεστηκότων καταλείπειν τὰ πράγματα. ἀφ' οὗ γὰρ Ἰούλιος Καῖσαρ φρονήσας ἐπὶ καταλύσει τῆς δημοκρατίας, καὶ διαβιασάμενος τὸν κόσμον τῶν νόμων τὴν πολιτείαν διετάραξε, κρείσσων μὲν τοῦ δικαίου γενόμενος, ἥσσων δὲ τῆς κατ' ἰδίαν ἡδονῆς αὐτῷ κομιοῦντος, οὐκ ἔστιν ὅ τι τῶν κακῶν οὐ διέτριψε τὴν πόλιν, φιλοτιμηθέντων πρὸς ἀλλήλους ἁπάντων οἳ ἐκείνου διάδοχοι τῆς ἀρχῆς κατέστησαν, ἐπ' ἀφανισμῷ τοῦ πατρίου, καὶ ὡς ἂν μάλιστα τῶν πολιτῶν ἐρημίαν τοῦ γενναίου καταλείποιεν, διὰ τὸ οἴεσθαι πρὸς ἀσφαλείας εἶναι τῆς αὐτῶν τὸ κιβδήλοις ἀνδράσιν ὁμιλεῖν, καὶ τὴν ἀρετὴν προσεύχειν πεπιστευμένων, οὐ μόνον ὑφαιρεῖν τι τοῦ αὐχήματος, ἀλλ' εἰς τὸ πᾶν ἐπιψηφίζειν αὐτῶν τοῖς ὀλέθροις τῶν ἁπάντων, ἀριθμῷ τε πολλῶν ὄντων καὶ βαρύτητα ἀνυπόστατον ἐπιδειξαμένων καθ' ἃ ἕκαστος ἦρξεν. εἷς ὧν ὁ Γάιος ὁ σήμερον τεθνεώς, πλείω τι πάντων δεινὰ ἀποδείξας, οὐ μόνον εἰς τοὺς συμπολίτας, ἀλλὰ καὶ εἰς τοὺς συγγενεῖς καὶ φίλους ἀπαίδευτον τὴν ὀργὴν ἐπαφεὶς ὁμοίως τοῖς ἅπασι, καὶ μείζω κακὰ ἐντριβόμενος ἀδίκως τὴν τιμωρίαν εἰσπράσσεσθαι, ὀργὴν ὁμοίως εἴς τε ἀνθρώπους ἐξαγριώσας καὶ θεούς. τυραννίδι γὰρ οὐ κερδαίνεται τὸ ἡδύ, οὐδὲ μεθ' ὕβρεως ἀποχρῆται, οὐκ εἰς τὰ χρήματα λελυπῆσθαι, καὶ γαμετάς, ἀλλὰ τὸ πᾶν κέρδος ἐκ τοῦ πανοικεσίᾳ διοχλουμένων τῶν ἐχθρῶν. ἐχθρὸν δὲ τυραννίδι πᾶν τὸ ἐλεύθερον, εἰς εὔνοιαν τε ἐκκαλεῖσθαι αὐτὴν καὶ τοῖς ἐν ὀλίγῳ τιθεμένοις, ὁπόσα πεπόνθοιεν οὐκ ἔστιν. ἐξεπιστάμενοι γὰρ ὧν ἀναπλήσειαν κακῶν ἔστιν οὕς, κἀκεῖνοι μεγαλοφρόνως καταφρονήματι χρῶνται πρὸς τὴν τύχην, αὐτοὶ λανθάνειν αὐτοὺς ὧν πράξειαν μὴ δυνάμενοι, μόνως πιστεύουσι κτήσασθαι τοῦ ὑπόπτου τὸ ἀδεές, εἰ παντελῶς αἱρεῖσθαι δυνηθεῖεν αὐτούς. τοιούτων δὴ κακῶν ἀπογεγονότες, καὶ ὑποτελεῖς ἀλλήλοις καταστάντες, ἅπερ πολιτειῶν ἐχέγγυα ἔσται πρός τε τὸ παρὸν εὔνοιαν, καὶ τὸ αὖθις ἀνεπιβούλευτον, καὶ πρὸς δόξαν οἰκείαν τῷ ὀρθουμένῳ τῆς πόλεως, δικαιοῖτε προνοῆσαι, διὰ τὸ εἰς κοινὸν αὐτοῦ τὴν ὠφέλειαν ἀπαντᾶν. ἢ καὶ ἀνταποφήνασθαι γνώμην, οἷς μὴ ἀρέσκοιτο τὰ προεστημένα, οὐδαμῶς εἰς κίνδυνον φέρον, διὰ τὸ μὴ δεσπότην εἶναι τὸν ἐφεστηκότα ὡς ἀνυπεύθυνον τι βλάπτοντι τὴν πόλιν, καὶ αὐτοκράτορι μεταστήσασθαι τοὺς εἰρηκότας. καὶ τέθραφε τῆς τυραννίδος οὐδὲν νεώτερον, πλὴν ἥ τε ἀργία καὶ τὸ πρὸς οὐδὲν τῶν ἐκείνῃ θελομένων ἀντιλογίᾳ χρώμενον. τῆς γὰρ εἰρήνης τοῦ τερπνοῦ

A proximúmque post deos immortales honorem his viris habendum censeo, quorum virtute vel serò tandem hac ætate nobis eam degustare contigit: quæ felicitas vtinam perpetua propagetur ad posteros. nam nobis vel hęc dies sufficit, tam iunioribus nostrûm quàm senioribus: his quia non omnino ignari bonorum libertatis morientur libentiùs: illis quia virtutis exemplum recens propositum est, B quod æmulari sit longè pulcherrimum, & non degenerare à claris maioribus. quamobrem nihil nobis magis curandum est, quàm vt cum virtute viuamus, quæ sola libertatem parit suis cultoribus. mihi res veterum auditu tantùm sunt cognitæ. ex his verò, quæ ipsi videre licuit, satis intellexi quantum malorum ciuitates inuehant tyrannides, virtutem omnem de medio tollentes, & opprimentes ingenuos spiritus, metum contrà atque adulationem docentes, quando non iuxta legum pruden- C tiam, sed ad arbitratum principum administrantur omnia. Ex quo enim Iulius Cæsar potestatem populi diminuit, & proculcatis legibus subuertit rempublicam, oppresso iure seruiens suis cupiditatibus, nullum malorum genus est quo non attrita sit ciuitas, dum inter successores eius posterior quisque præcedentem studet vincere in abolendis patriæ moribus, & exhaurire vrbem generosis ciuibus: D quòd existimarent hoc ad suam pertinere securitatem, si rem habeant cum deprauatis hominibus, & optimorum virorum non solùm magnanimitatem premant, sed ipsos etiam perdant non vno mortis genere: idque cùm multi iam deinceps in potestatis fastigio collocati fuerint, & singuli non ferendis grauaminibus onerauerint rempublicam. Quorum vnus Caius qui hodie fato suo functus est, grauiora patrauit quàm cæteri, non in ciues solùm, sed & cognatos & amicos pa- E riter immittens indomitam suam iracūdiam, & iniustas pœnas eis infligens, infensus diis simul & hominibus. Tyrannis enim non sufficit voluptatum studium & superbia, neque rapinæ & adulteria, sed præcipuum commodum ducunt si inimicorum totas excindant familias. pro inimicis autem habent omnes liberos nec ad placandos eos vlla iniuriarum patientia est efficax. etenim conscij sibi quàm multis malis oppleuerint homines subditos, etiāsi F illi contemptim ferant suum infortunium, ipsi tamen maleficentiæ suæ memores, ita demum securitatem sibi pollicentur, si illos possint omnino tollere. His malis leuati, & nemini nisi vobis inuicem obnoxij, id quod & præsentis concordiæ & futuræ securitatis certissimum pignus est, instaurate collapsum ciuitatis decus, & iusta cura rempub. in pristinam integritatem restituite. Liberum est sententias G proferre de his quæ displicent, quando nullus dominus ceruicibus imminet, cui potestas sit in earum authores animaduertere. quid enim aliud nuper crescentem tyrannidē aluit, quàm istorum segnicies, qui nulla in re libidini eius refragati sūt? quietis enim voluptate

victi, & assueti mancipiorum more viuere, dum honestæ morti turpem vitam præferunt, coniecerunt ciuitatem in calamitates non ferendas, quas partim audiuimus, partim vidimus. Ante omnia verò tyranni interfectoribus honores quàm maximos decernite, Chæreæ præcipuè: qui vir diis fauentibus tum consilio tum manu nobis libertatem peperit: cuius rationem haberi decet, vt pro adito libertatis amore periculo, à liberatis digna præmia, recipiat. honestissimum enim est benefactoribus gratiam reponere, qualis & vir hic habendus est, Brutorum ac Cassiorum æmulus interfectorum Iulij Cæsaris: & hac parte anteferendus, quòd illorum opera bellis ciuilibus perturbatum est totum Romanum Imperium: hic verò cæso tyranno omnibus malis ciuitatem eripuit. Hæc Sentius senatu magna cum voluptate audiente, & quotquot equitum aderant, tum exurgens Trebellius Maximus, anulum ei detrahit, in quo lapillus erat inclusus insculptam habens Caij effigiem: quod ille tum intentus aliò non animaduerterat: statimque ea confracta est. Et iam nox processerat, cùm Chærea signum à consulibus petiit: atque illi Libertatem dederunt. adeò autem mutatas res mirabantur, vt ipsis sibi vix satis crederent: tunc enim primùm ex quo reipub. administratio populo est adempta, signi dandi mos ad Consules rediit, penes quos ante Cæsares Imperium fuit in milites. id acceptum Chærea militibus tradidit his, qui à senatu stabant, videlicet quatuor cohortes amantiores imperij legitimi quàm tyrannidis. hi mox abierunt cum suis tribunis, paulóque post etiam populus lætus ac spei plenus, multum sibi placens ob reuersam in pristinum statum rempublicam, & Chæreæ nihil non tribuens. Is indignè ferens superesse vxorem Caij & filiam, mittit vnum è tribunis Iulium Lupum, qui vtramq; interficiat: ideò potissimum illi demandato negotio, quòd Clementis esset cognatus, & dignus, vt in partem veniret tyrannicidij, quasi totius consilij à principio conscius. non deerant tamen è coniuratis quidam, quibus crudele videretur sæuire in mulierem, quãdo Caius non ipsa incitãte, sed suopte morem gerens ingenuo ciuitatem afflixerat, & florẽ nobilitatis extinxerat: alij cõtra illã potissimum malorum omnium causam asseuerabant, à qua amatorio potionatus inciderat in insaniam, atque ita vnam veneficam attulisse toti Romano orbi calamitates maximas. quorũ sententia postremò vicit, & Lupus properauit ad hoc ministerium, ne quid moraretur publicum commodum. cũque venisset

A
ἡσσώμενοι, καὶ μεμαθηκότες ἀνδραπόδων ἐν τρόπῳ ζῆν, ὁπόσοι τε ἐπήρχοντο συμφορὰς ἀνηκέστους, κακοῖς τε τοῖς πέλας ἐπιδόμενοι, φόβῳ τοῦ μετ᾽ ἀρετῆς τελευτᾶν μετ᾽ αἰσχύνης τῆς ἐσχάτης ὑπομένοντες τὰς τελευτάς. πρῶτον δὲ τοῖς ἀρμόζοις τὸν τύραννον τιμὰς, αἵτινες μέγισται ταύτας εἰσενεγκεῖν, μάλιστα δὲ χαιρέα τῷ κασσίῳ. σὺν γὰρ τοῖς θεοῖς εἷς ἀνὴρ οὗτος πορειστὴς ἡμῖν καὶ γνώμῃ καὶ χερσὶ τῆς ἐλευθερίας πέφυκεν, οὗ καλὸν μὴ ἀμνημονεῖν, ἀλλ᾽ ἐπὶ τῆς τυραννίδος ὑπὲρ ἐλευθερίας τῆς ἡμετέρας, προβεβουλευκότος τε ἅμα καὶ προκεκινδυνευκότος ἐπὶ τῆς ἐλευθερίας ψηφίσασθαι τάς τε τιμὰς, πρῶτόν τε ἀνεπιτάκτως τοῦτο ἀναφῆναι αὐθ. ἔργον δὲ κάλλιστον καὶ ἐλευθέροις ἀνδρᾶσιν πρέπον ἀμείβεσθαι τοὺς εὐεργέτας, οἷος δὴ καὶ ἀνὴρ οὗτος περὶ ἡμᾶς πάντας γέγονεν οὐδὲν παραπλησίως κασσίῳ καὶ βρούτῳ τοῖς γάιον ἰούλιον ἀνῃρηκόσιν. ἐπεί γε οἱ μὲν, στάσεως καὶ πολέμων ἐμφυλίων ἀρχὰς ἐπανερρίπισαν τῇ πόλει, οὗτος δὲ μετὰ τῆς τυραννοκτονίας, καὶ τῶν ἐντεῦθεν δεινῶν ἀπήλλαξε τὴν πόλιν. σέντιος μὲν τοιούτοις ἐχρῆτο τοῖς λόγοις, καὶ τῶν βουλευτῶν ἡδονῇ δεχομένων, καὶ ὁπόσοι τῶν ἱππέων παρῆσαν. ἀναπηδήσας δέ τις τρεβέλλιος μάξιμος, περιαιρεῖται τὸν δακτύλιον τοῦ σεντίου, λίθος δὲ εἰκόνα γαΐου ἐγγεγλυμμένος ἐδεσμεύετο αὐτῷ, καὶ σπουδῇ τε λεγομένων καὶ ὧν ἐπενόει πράξει ὅπερ ᾤετο ἐν λήθῃ γεγονότι. καὶ ἡ μὲν γλυφὴ κατεπήγνυται, προεληλύθει δὲ ἡ νὺξ ἐπὶ μέγα, καὶ χαιρέας δὲ σημεῖον αἰτεῖ τοὺς ὑπάτους. οἱ δὲ ἐλευθερίαν ἔδοσαν, ἐν θαύματι δὲ ἦν αὐτοῖς, καὶ ὁμοία ἀπιστίᾳ τὰ δρώμενα. ἔτι γὰρ ἕκαστος τῷ μεθ᾽ ὃ τὴν δημοκρατίαν τὸ πρῶτον ἀφῃρέθησαν ἐπὶ τοὺς ὑπάτους σημείου ἡ παράδοσις. οὗτοι γὰρ πρότερον ἢ τυραννηθῆναι τὴν πόλιν, κύριοι τῶν στρατιωτῶν ἦσαν. χαιρέας δὲ τὸ σημεῖον λαβὼν, παρεδίδου τῶν στρατιωτῶν τοῖς πρὸς

B

C

D

E

F

τὴν σύγκλητον συνεστηκόσιν, ἦσαν δὲ εἰς σπείρας τέσσαρας, οἷς τὸ βασιλευτὸν τιμιώτερον τῆς τυραννίδος προὔκειτο. καὶ οἵδε μὲν ἀπῄεσαν μετὰ τῶν χιλιάρχων, ἀνεχώρει δὲ ἤδη καὶ ὁ δῆμος περιχαρὴς καὶ ἐλπίδος, καὶ φρονήματος, ἐπὶ τῷ κτησαμένῳ τὴν ἡγεμονίαν αὐτοῖς, οὐκέτι ἐπὶ τῷ ἐφεστηκότι. καὶ τὰ πάντα ἦν ὁ χαιρέας αὐτοῖς. χαιρέας δὲ ἐν δεινῷ τιθέμενος, περιεῖναι τὴν θυγατέρα γαΐου, καὶ τὴν γυναῖκα, ἀλλὰ μὴ πανοικὶ τὸν ὄλεθρον αὐτῷ συντυχεῖν, ἐπεὶ καὶ πᾶν ὅτι ὑπολείποιτο αὐτῶν ἐπ᾽ ὀλέθρῳ τῆς πόλεως λειφθήσεσθαι καὶ τῶν νόμων, ἄλλως τε προθέσει ἐσπουδακὼς τελειώσασθαι τὴν αὐτοῦ, καὶ πάνυ εὐφρᾶναι μῖσος τὸ πρὸς γάιον, ἰούλιον ἐκπέμπει λοῦπον, ἕνα τῶν χιλιάρχων κτενοῦντα τὴν γυναῖκα γαΐου, καὶ τὴν θυγατέρα. κλήμεντος δὲ ὄντι συγγενεῖ τῷ λούπῳ τὴν ἐπὶ τοιοῖσδε προύθεσαν λειτουργίαν, ὅπως μεταχὼν κἂν ἐπὶ τοιούτοις τῆς τυραννοκτονίας ἀγάλλοιτο ἀρετῇ πρὸς τῶν πολιτικῶν, ὡς καὶ τοῦ παντὸς ἐπιβουλεύματος δόξειε κοινωνεῖν τῶν πρῶτον συνθεμένων. ἐνίοις δὲ τῶν συνωμοτῶν, καὶ ὠμὸν ἐδόκει τὸ ἐπὶ τῇ γυναικὶ θράσει χρησόμενον, διὰ τὸ γάιον φύσει τῇ αὐτοῦ χρώμενον, ἢ συμβουλῇ τῇ ἐκείνης τὰ πάντα πρᾶξαι, δι᾽ ὧν τε πόλις ἀπηγορεύκει τοῖς κατειληφόσι κακοῖς, καὶ τῶν πολιτῶν ὅτι καὶ ἄνθος ἦν ἀπώλετο. οἱ δὲ καὶ τῶν μὲν ἐπὶ τοιούτοις ἐνεκάλουν αὐτῇ γνωμῶν, τὸ δὲ πᾶν, καὶ τῶν ὑπὸ γαΐου πεπραγμένων κακῶν, ἐκείνῃ τὴν αἰτίαν ὑπέφερον, φάρμακον τῷ γαΐῳ δοῦσαν ἐννοιῶν δούλωσιν καὶ ἐρώτων ἐπαγωγὰς αὐτῇ ψηφιούμενον εἰς μανίαν μεταστάντος, τὰ πάντα αὐτὴν εἶναι τὴν νεναυπηγημένην ἐπὶ ταῖς ῥωμαίων τύχαις καὶ τῆς ὑποτελούσης αὐτοῖς οἰκουμένης. καὶ πέρας κυρωθὲν, ὥς τε αὐτὴν τελευτᾶν, οὐδὲν γὰρ οἱ ἀποσπεύδοντες οἷοί τε ὠφελεῖν ἦσαν, ἐστέλλετο ὁ λοῦπος. ἐβραδύνετο δὲ οὐδὲν μελλήσει τῇ κατ᾽ αὐτὸν, ὥς τε μὴ οὐκ εἰς καιρὸν διηκονῆσθαι τοῖς ἀπεσταλκόσι, θέλων ἐπουδαμοῖς μεμπτὸς εἶναι τῶν ἐπ᾽ ὠφελείᾳ τοῦ δήμου πεπραγμένων. παρελθὼν δὲ ἐπὶ τοῦ

ἐπὶ τὸ βασίλειον, καταλαμβάνει τὴν Καισωνίαν, γυνὴ δ' ἦν τοῦ Γαΐου, παρακατακειμένην τῷ σώματι τοῦ ἀνδρὸς χαμαιπετεῖ, καὶ πάντων ἐν ἀτυχίᾳ, ὧν χαρίζοιτο ἂν ὁ νόμος τοῖς μεταστᾶσιν, αἵματί τε ἀναπεφυρμένην ἐκ τῶν τραυμάτων, καὶ πολλὴν τὴν ταλαιπωρίαν συμφερομένην τῆς θυγατρὸς παρερριμμένης. ἠκούετό τε ἐν τοῖς τοιοῖσδε οὐδὲν ἕτερον, ἢ κατὰ μέμψιν τοῦ Γαΐου, ὡς πιθανὸν οὐ χρόνους πολλάκις προηγορευκυῖαν αὐτήν. ἐπ' ἀμφότερα αὐτὸς ὁ λόγος, καὶ τότε εἰκάζετο, καὶ νῦν ἐφ' ὁμοίοις πρόκειται τῇ διανοίᾳ τῶν ἀκροατῶν, πρὸς ὅτι θελήσειαν ῥοπὰς τὰς αὐτοῦ προστιθεμένων. οἱ μὲν, ἀποσημαίνειν ἔφασαν τὸν λόγον ὡς συμβουλευομένης ἀποστάντα μανιῶν, καὶ τῆς εἰς τοὺς πολίτας ὠμοῦ, μετρίως καὶ μετ' ἀρετῆς ἐξηγεῖσθαι τῶν πραγμάτων, μὴ παρ' αὐτῶν ἀπολέσθαι τρόπῳ τῷ αὐτοῦ χρώμενον. οἱ δὲ ὡς λόγου τοῦ περὶ τῶν συνωμοτῶν ἐπιφοιτήσαντος Γαΐῳ κελεύσειε μηδὲν εἰς ἀναβολὰς, ἀλλ' ἐκ τοῦ ὀξέος πάντας μεταχειρισάμενον αὐτοὺς, κἂν εἰ μηδὲν ἀδικοῖεν, ἐν ἀδεεῖ κινδύνων καταστῆναι. καὶ τοῦτο εἶναι τὸ ὀνειδιζόμενον ὡς προηγορευκυίας διαπράξασθαι μαλακῶς γενομένῳ. καὶ τὰ μὲν λεχθέντα ὑπὸ τῆς Καισωνίας, καὶ ὁποῖα οἱ ἄνθρωποι περὶ αὐτῆς ἐφρόνουν ταῦτα ἦν. ἡ δ' ἐπεὶ θεᾶται τὴν πρόσοδον τοῦ Λούππου, τότε σῶμα τοῦ Γαΐου προὐδείκνυεν, καὶ ἆσσον ἰέναι παρεκάλει μετ' ὀλοφυρμοῦ καὶ δακρύων. ἐπεί τε τῇ διανοίᾳ συνεστηκότα ἑώρα τὸν Λοῦππον, καὶ μηδὲν προσιόντα ἂν ἐπὶ πρᾶξιν οὐκ αὐτῷ κεχωρισμένην, γνωρίσασα ἐφ' ὃ χωρεῖ, τήν τε σφαγὴν ἐγύμνου καὶ πάνυ προθύμως, ποτνιωμένη ὁποῖα εἰκὸς τοὺς ἤδη σαφῶς ἐν ἀπογνώσει τοῦ ζῆν γεγονότας, καὶ κελεύουσα μὴ μέλλειν ἐπιτελειῶσαι τοῦ δράματος οὗ ἐπ' αὐτοῖς συνέθεσαν. καὶ ἥδε μὲν εὐψύχως ταύτῃ τελευτᾷ ὑπὸ τοῦ Λούππου, καὶ ἐπ' αὐτῇ τὸ θυγάτριον. καὶ Λοῦππος ταῦτα προσαγγέλλων ἔσπευδε τοῖς περὶ τὸν Χαιρέαν. Γάιος μὲν δὴ τέταρτον ἐνιαυτὸν ἡγεμονεύσας Ῥωμαίων λείποντα τεσσάρων μηνῶν, ἔτει τελευτᾷ, ἀνὴρ καὶ πρότερον ἢ τῇ ἀρχῇ συνῆλθε, σκαιός τε καὶ κακοπραγίας εἰς τὸ ἄκρον ἀφιγμένος, ἡδονῇ τε ἡσσώμενος, καὶ φίλος διαβολῇ, καὶ τὰ μὲν φοβερὰ καταπεπληγμένος, καὶ διὰ τοῦτο ἐφ' οἷς θαρσήσειε φονικώτατος, τῆς τε ἐξουσίας ἐφ' ἑνὶ μόνῳ πιμπλάμενος, τοῦ ὑβρίζειν εἰς οὓς ἥκιστα ἐχρῆν ἀλόγῳ μεγαλοψυχίᾳ χρώμενος, καὶ πορισμὸν ἐκ τοῦ κτείνειν, καὶ παρανομεῖν. καὶ τοῦ μὲν θείου, καὶ νομίμου μείζων ἐσπουδακὼς εἶναί τε καὶ δοκεῖν, ἡσσώμενος δ' ἐπαίνων τῆς πληθύος. καὶ πάντα ὅσα αἰσχρὰ κρίνας ὁ νόμος ἐπιτιμᾷ, τιμωρίαν ἐνόμισεν ἀρετῆς, καὶ φιλίας ἀμνήμων, εἰ καὶ πλείστη τε καὶ διὰ μεγίστων γένοιτο οἷς τότε ὀργισθείη ἐπιπλήξει κολάσεως καὶ ἐλαχίστης. πολέμιον δ' ἡγούμενος πᾶν τὸ ἀρετῇ συνερχόμενον, ἀναντίλεκτον ἐπὶ πᾶσιν οἷς κελεύσειε τὴν ἐπιθυμίαν λαμβάνων. ὅθεν καὶ ἀδελφῇ γνησίᾳ συνῆν, ἐξ οὗ καὶ μάλιστα αὐτῷ φύεσθαι παρὰ τοῖς πολίταις ἤρξατο σφοδρότερον τὸ μῖσος, διὰ τὸ πολλοῦ χρόνου μὴ ἱστορημένον, εἰς τε ἀπιστίαν καὶ ἔχθραν τὴν πρὸς τὸν πράξαντα παρακαλεῖν. ἔργον δὲ μέγα ἢ βασίλειον οὐδὲν αὐτῷ πεπραγμένον εἴποι τις, ἢ ἐπ' ὠφελείᾳ τῶν συνόντων καὶ αὖθις ἀνθρώπων ἐσόμενον, πλήν γε τοῦ περὶ Ῥήγιον καὶ Σικελίαν ἐπινοηθέντος ἐν ὑποδοχῇ τῶν ἐξ Αἰγύπτου σιτηγῶν πλοίων. τοῦτο δὲ ὁμολογουμένως, μέγιστόν τε καὶ ὠφελιμώτατον τοῖς τε πλέουσιν. οὐ μὴν καὶ ἐπὶ τέλος γε ἀφίκετο, ἀλλ' ἡμίεργον ὑπὸ τοῦ ἀμβλυτέρως αὐτῷ ἐπιπονεῖν κατελείφθη. αἴτιον δ' ἦν ὁ

in palatium offendit Cesoniam humi stratam iuxta mariti cadauer, inopem omnium, quæ solent exhiberi mortuis, & fœdatam cruore vulnerum, afflictantem se cum iacente simul filia. nec alia vox eius audiebatur quàm Caij accusatio, quòd amantissimæ vxori non paruisset præmonenti toties. quod quidem tum ambiguum visum est, sicut nunc quoque duplicem interpretationem recipit: aliis sic intelligentibus, consuluisse eam, vt rediret ad saniorem mentem, & in ciues sæuire desineret, moderatúmque principem ageret, ne fortè prouocati eius crudelitate, parem ei vicem reponerent: aliis contrà, instigasse eam maritum, vt sine mora coniuratos plecteret, & quamuis nihil comperti haberet quod animaduersione dignum sit, suæ tamen securitati prospiceret. idque tum exprobratum illi quòd etiam admonitus segnior fuerit. adeò in diuersum sensum trahebantur verba mulieris. quæ dum aduenientem Lupum animaduerteret, ostenso iacentis cadauere, cum lacrymis & lamentis rogabat, vt propius accederet: vtque sensit cædis causa eum venisse: non magni pendentem verba nihil ad suum propositum facientia, confestim nudatum iugulum præbuit, miserabiliter suam conditionem deplorans, & vrgens ne differret inceptæ à sociis fabulæ extremum actum addere. atque ita magno animo necem pertulit, cuius comitem habuit etiam filiam infantulam: quod mox ipse factum renunciauit Chæreæ. Ita Caius quarto sui principatus anno finiit, vir & ante principatum maleficus, voluptatibus deditus, & fautor delatorum, periculorúmque metuens, atque ea de causa sanguinarius, vnicum fructum potentiæ existimans si abuteretur ea contra immeritos, & prædas ex iniustis cædibus ac rapinis ageret: attollens se supra humanum fastigium, & diuinitatis opinionem affectans, populari que assentatione deprauatissimus: legum cancellos non secus quàm virtutis impedimenta abominans, & intimam quidem amicitiam pili faciens, quoties ira stimularetur ad vindictam ac supplicia: osor bonorum virorum omnium, quicquid collibuisset citra omnem contradictionem licere sibi postulans. quare ne à sororis quidem germanæ stupro abstinuit, ex quo illi maxima apud ciues exorta est inuidia, propter incredibilem & multis retro seculis inauditam libidinis licentiam. opus autem eius regale, aut magnificum nullum est memorabile, aut excogitatum ad vtilitatem hominum, præter receptacula extructa circa Rhegium & Siciliam nauibus frumentariis ex Ægypto venientibus. hoc enim citra controuersiā maximū opus est, & vtilissimū nauigãtibus. ac ne id quidē absolutū est: sed imperfectū mãsit remissa cõtētione operãtiū. in cau-

sa fuit studium rerum inutilium, & quòd pecuniam in priuatas suas voluptates insumere maluit, quàm in publicam magnificentiam. alioquin orator facundus, & peritus vtriusque literaturæ tam Græcanicæ quàm patriæ: faciléque intelligebat omnia, ad quorumuis orationes respondens ex tempore: & vel in maximis negotiis suadendi facultate præditus si quis alius, quam vel ingenij felicitate, vel diuturna exercitatione sibi parauerat. ad cuius laudis æmulationem magnos stimulos ei pater addiderat, Tiberij qui ante hunc imperauit ex fratre nepos, eximius in hoc studiorum genere, à quo degenerare in hac parte erubuit, qua cæteros ciues à tergo reliquerat. nec tamen ei bona institutio profuit, quominus licentiam adeptus perniciem sibi accerseret: in tantum ardua res est eos sapere, quibus adest quiduis facientibus impunitas. Vsus enim honestissimis amicis à principio, quo faciliùs bonam opinionem sibi pararet, tandem eos à se alienauit vsurpanda immodica licentia, quorum odiis indies gliscentibus postremò per insidias eorundem oppressus est.

III. Cæterùm Claudius, vt suprà dixi, cognito Caij casu, & hac de causa perturbatione totius palatij, de sua salute anxius latebat in quodam angulo, nullam periculi causam habens præter claritatem natalium. nam priuatam vitam agens permodestè se gesserat, vel mediocri statu contentus, literisque se oblectabat Græcis maximè, omnem negotiorum deuitans strepitum. tum verò attonita vulgi multitudine, regia referta discursantibus cum furore ac consternatione militibus, plebe quasi metu dominationis soluta vltro citróque ruente temere, prætoriani qui potiores habentur inter reliquos milites, consultare cœperunt quid agendum sit, non tam soliciti de nece principis, quem iure cæsum existimabant: quàm quomodo rebus suis prospicerent, Germanis in interfectores sæuientibus, suimet respectu magis quàm vtilitatis publicæ. quæ omnia magis augebant trepidationem Claudij, maximè cùm videret circumferri Asprenatis & vnà cum eo cæsorum capita. stabat enim in quodam loco gradibus aliquot accessibili, obscuritate eius se occulens. ibi Gratus vnus è palatinis militibus, non valens satis vultum eius discernere præ tenebris, hominem tamen esse videns qui latere cupiat, propius accessit, licèt rogatus vt discederet: & tandem protractum agnouit, inclamans alios sequentes, profectò hunc esse Germanicum, dignum qui vacantem imperatoris locum occupet. Tum Claudius videns eos paratos vt se rapiant, metuénsque ne iubente Caio plecteretur capite, rogabat vt sibi parcerent, innocentiam suam commemorans, & excusans se inscium rerum omnium. ad quæ Gratus subridens dextra prehensum sic alloquitur, Desine de incolumitate esse solicitus, cùm potius debeas animũ

A ἡ περὶ τὰ ἀχρεῖα σπουδή, καὶ τὸ δαπανᾶν τὰ εἰς ἡδονάς, ἃ κατὰ μόνας ἔμελλον ὠφελεῖν αὐτῷ, ὑφαιρεῖν τὴν ἐπὶ τοῖς κρείττοσιν ἀνωμολογημένοις φιλοτιμίαν. ἄλλως δὲ ῥήτωρ τε ἄριστος, καὶ γλώσσῃ τῇ ἑλλάδι, καὶ τῇ ῥωμαίοις πατρίῳ σφόδρα ἠσκημένος, συνίει τε ἐκ τοῦ παραχρῆμα, καὶ τοῖς ὑφ᾽ ἑτέρων συντεθεῖσί τε καὶ ἐκ πλείονος προσουσημένοις ἀντειπὼν ἐκ τοῦ ὀξέως, φαίνεται πιθανώτερος B ἐν μεγίστῳ πράγματι παρ᾽ ὄντινα οὖν γενόμενος, εὐκολίᾳ τε εἰς αὐτὸ τῆς φύσεως καὶ τῷ εἰς ἰσχὺν αὐτῇ προσλαβεῖν μελέτῃ τοῦ ἐπιπονεῖν. ἀδελφοῦ γὰρ παιδὸς υἱεῖ γεγονότι Τιβερίου, οὗ καὶ διάδοχος γίνεται, μέγα ἀνάγκασμα παιδείας ἀντέχεσθαι, διὰ τὸ καὶ αὐτὸς εἰς τὰ πρῶτα ἐν αὐτῇ κατορθῶν διαπρέπειν, καὶ συνεφιλοκάλει Γάιος, συγγενοῦς τοῦ ἀνδρός, καὶ ἡγεμόνος εἴκων ἐπιστολαῖς. ἐπρώτευσέ τε τῶν κατ᾽ αὐτὸν πολιτῶν, οὐ μὴν ἀντισχεῖν οἷά τε ἐγένετο αὐτῷ τὰ ἐκ τῆς παιδείας συλλεχθέντα ἀγαθὰ πρὸς τὸν C ἐλθόντα ὄλεθρον αὐτῷ ὑπὸ τῆς ἐξουσίας. οὕτως ἄρα δυσπόριστον ἡ ἀρετὴ τοῦ σωφρονεῖν, οἷς ἀνυπεύθυνον τὸ πράσσειν ῥᾳστώνη πάρεστι. φίλοις μὲν κεχρῆσθαι, καὶ τὰ πάντα ἀξιολόγοις ὑποσπουδασθεὶς τὸ κατ᾽ ἀπαρχάς, ὑπό τε παιδείας καὶ δόξης ζήλου τῶν κρατίστων, μέχρι δὴ τῷ περιόντι τοῦ ὑβρίζειν ἀπημφιάσατο εὐνοίας ἣ πρὸς αὐτὸν ἐχρήσαντο, μίσους ὑποφυέντος ὑπ᾽ αὐτῶν ἐπιβουλευθεὶς τελευτᾷ. Κλαύδιος δὲ καθάπερ ἀνώτερον ἔφην ἀποδείξεως αὐτῷ τῆς Γαΐου ὁδῶν γινομένης, καὶ τοῦ D οἴκου θορυβηθέντος πάθει τῆς Καίσαρος τελευτῆς ἐν ἀμηχάνοις ὢν περὶ τῆς σωτηρίας, ἔν τινι στενωπῷ κατειλημμένος ἔκρυπτεν αὐτόν, οὐδεμίαν κινδύνων αἰτίαν πλὴν τῆς γενναιότητος ὑφορώμενος. μέτριον γὰρ ἰδιώτης ὤν, ἦγεν αὐτόν, καὶ τοῖς πᾶσιν ἀρκῶν, παιδείᾳ τε συνών, καὶ μάλιστα τῇ ἑλληνίδι, καὶ παντὸς τοῦ εἰς θόρυβον ἀνακειμένου παντοίως ἀπαλλάσσων αὐτόν. τότε δὲ πτοίας κατειληφυίας τὸν ὄχλον, καὶ τοῦ E βασιλείου παντὸς στρατιωτικῆς μανίας ἀνάπλεω γεγονότος καὶ δειλίας, καὶ ἀταξίας ἰδιωτῶν οἷον ἀπειληφότων σωματοφυλάκων, οἱ περὶ τὸ στρατηγικὸν καλούμενον, ὅπερ ἐστὶ τῆς στρατιᾶς καθαρώτατον, ἐν βουλῇ περὶ τοῖς πρακτέοις ἦσαν. ὁπόσοι δὲ καὶ παρετύγχανον τὴν μὲν Γαΐου τιμωρίαν ἐν ὀλίγῳ τιθέμενοι διὰ τὸ κατὰ δίκην αὐτῷ τὰς τύχας συνελθεῖν. τὰ δὲ περὶ αὐτοὺς ἀνεσκοποῦντο μᾶλλον, ὃν τρόπον χήσοι καλῶς, καὶ τῶν Γερμανῶν τε ἐν τιμωρίαις τῶν σφα-F γέων ὄντων ὠμότητος χάριτι τῆς ἑαυτῶν μᾶλλον, ἢ τοῦ συμφέροντος τοῖς πᾶσιν. ὑφ᾽ ὧν ἁπάντων ὁ Κλαύδιος ἐθορυβεῖτο δεδιὼς περὶ τῆς σωτηρίας, ἄλλως τε καὶ ἐπειδὴ τῶν περὶ τὴν Ἀσπρήναν ἐτεθέατο τὰς κεφαλὰς περιφερομένας. εἱστήκει δὲ κατά τι προσβατὸν ὀλίγαις βαθμίσι χωρίον, ὑπεσταλκὼς τῷ κατ᾽ αὐτὸν σκότῳ. καὶ Γρᾶτος τῶν περὶ τὸ βασίλειον τις G τῶν στρατιωτῶν θεασάμενος, καὶ τοῦ μὲν ἀκριβωσαμένου τὴν ὄψιν ἀμαθὴς ὢν διὰ τὸν σκότον, τοῦ δὲ ἄνθρωπον εἶναι τὸν ὑπολοχῶντα κριτὴς εἶναι μὴ ἀπηλλαγμένος. προσῄει τε ἐγγύτερον, καὶ ὑποχωρεῖν ἠξιωκότος ἐπέκειτο, καὶ καταλαβὼν, ἐπιγνωρίζει. Γερμανικὸς μὲν οὗτός φησι πρὸς τοὺς ἑπομένους, καὶ στησόμεθα τοῦτον ἡγεμόνα φερόμενοι. Κλαύδιος δὲ ἐφ᾽ ἁρπαγῇ παρεσκευασμένους ὁρῶν, καὶ δείσας μὴ κατὰ φονὴν ἀποθάνοι τὴν Γαΐου, φείδεσθαι σφῶν ἠξίου τοῦ κατ᾽ αὐτὸν ἀνεπαχθοῦς ἀνάμνησιν αὐτοῖς ὑποτιθείς, καὶ τοῦ ἀπρομηθοῦς τῶν γεγονότων. καὶ ὁ Γρᾶτος μειδιάσας, ἐπισπᾶται τῆς δεξιᾶς, καὶ παῦσαι φησὶ μικρολογούμενος περὶ τῆς σωτηρίας, δέον σε μεγαλοφρονεῖσθαι

φρονεῖν περὶ τῆς ἡγεμονίας, ἣν οἱ θεοὶ γάϊον ἀφῃρημένοι τῇ σῇ συνεχώρησαν ἀρετῇ, προνοίᾳ τῆς οἰκουμένης λαβόντες. ἀλλ' ἴθι, καὶ τὸν τῶν προγόνων ὑπολάμβανε τὸν θρόνον. ἀνεβάσταζε δὲ αὐτὸν οὐ πάνυ βαίνειν τοῖς ποσὶ δυνάμενον, ὑπό τε φόβου καὶ χάρματος τῶν εἰρημένων. συνεστρέφοντο δὲ περὶ τὸν γρᾶτον ἤδη καὶ πλείους τῶν σωματοφυλάκων, καὶ θεωροῦντές τινες τὸν κλαύδιον ἀγόμενον δόξῃ τοῦ ἐπὶ κόλασιν ἕλκεσθαι τῶν ἐπὶ τοιοῖσδε ζημιῶν, ὡς ἄνδρα ἀπράγμονα διὰ βίου τοῦ παντὸς, καὶ κινδύνοις οὔτι μετρίως ἐπὶ τῆς γαΐου ἀρχῆς ὡμιληκότα. τινὲς δὲ καὶ τοῖς ὑπάτοις ἐμπρέπειν κρίσιν ἠξίουν τὴν περὶ αὐτῶν. καὶ πλειόνων τοῦ στρατιωτικοῦ συστρεφομένων, φυγαί τε ἦσαν τοῦ ὁμίλου, καὶ προσόδων ἀπορία τοῦ κλαυδίου δι' ἀσθένειαν τοῦ σώματος. ἐπεὶ καὶ οἱ τὸ φορεῖον αὐτοῦ φέροντες περὶ τὴν ἁρπαγὴν αὐτοῦ παραγινομένης φυγῆς ἔσωζον αὐτοὺς, ἀπ' ἐλπίδος θέμενοι τὴν σωτηρίαν τοῦ δεσπότου. ἐν εὐρυχωρίᾳ δὲ τοῦ παλατίου γενομένοις, πρῶτον δὲ οἰκηθῆναι τῆς ῥωμαίων πόλεως τοῦτο παραδίδωσιν ὁ περὶ αὐτῆς λόγος, καὶ ἤδη τοῦ δημοσίου ἀντιλαμβανομένοις, πολὺ πλείων ἡ ἐπιφοίτησις ἦν τῶν στρατιωτῶν, χαρᾷ τὴν ὄψιν δεχομένοις τοῦ κλαυδίου. περιπλεῖστόν τε ἦν αὐτοῖς αὐτοκράτορα στήσεσθαι τὸν ἄνθρωπον, εὐνοίᾳ τε τοῦ γερμανικοῦ, ἀδελφὸς δὲ ἦν αὐτοῦ, ἐπὶ μέγα πᾶσι τοῖς ὡμιληκόσι καταλελοιπότος κλέος τὸ αὐτοῦ. ἀναλογισμός τε αὐτοὺς εἰσῄει τῆς τε πλεονεξίας τῶν ἐν τῇ συγκλήτῳ δυναστευόντων, καὶ ὁπόσα ἐπὶ τῆς πρὶν ἀρχῆς ἡμάρτητο αὐτῇ. πρὸς δὲ καὶ τὸ ἀμήχανον τοῦ πράγματος κατενόουν, καὶ πάλιν εἰς ἑνὸς ἀρχὴν μεθισταμένων τῶν ὅλων κινδύνους αὐτοῖς φέρειν διά τινος κτησαμένου τὴν ἀρχὴν μεθισταμένων τῶν ὅλων, παρὸν ἐπιχωρήσει καὶ εὐνοίᾳ τῇ αὐτῶν λαβόντα κλαύδιον, μνημονεύσει τε χάριτος αὐτοῖς ἀποδιδόντα τιμὴν, ἣ ἐπὶ τοιούτοις γένοιτ' ἂν ἀρκοῦσα. ταῦτα πρός τε ἀλλήλους, καὶ δι' ἑαυτοὺς διεξῄεσαν, καὶ τοῖς ἀεὶ προσαπιοῦσι διηρώτων. οἱ δὲ πυνθανόμενοι προθύμως ἐδέχοντο τὴν πρόκλησιν, συμφράξαντές τε καὶ περικλείσαντες ἦγον ἐπὶ τοῦ στρατοπέδου φοράδην ἀναβαστάσαντες, ὡς μὴ ἐμποδίζοιτο αὐτοῖς ἡ ἔπειξις. διεστήκεσαν δὲ αἱ γνῶμαι τοῦ τε δήμου, καὶ τῶν ἐκ τῆς βουλῆς. οἱ μὲν ἀξιώματός τε τοῦ πρότερον ὀρεγόμενοι, καὶ δουλείαν ἔπακτον αὐτοῖς ὕβρει τῶν τυράννων γενομένην φιλοτιμούμενοι διαδιδράσκειν χρόνῳ παρέχον. ὁ δὲ δῆμος φθόνῳ τε πρὸς ἐκείνην καθιστάμενος, καὶ τῶν πλεονεξιῶν αὐτῆς ἐπιστόμισμα τοὺς αὐτοκράτορας εἰδὼς, καὶ αὐτοῦ καταφυγὴν, ἔχαιρε τῇ κλαυδίου ἁρπαγῇ, στάσιν τε ἔμφυλον, ὁποία καὶ ἐπὶ πομπηΐου γένοιτο, ἀπαλλάξειν αὐτῶν ὑπολαμβανομένων τοῦτον αὐτοκράτορα καθιστάμενον. γνοῦσα δὲ ἡ βουλὴ τὸν κλαύδιον ὑπὸ τῶν στρατιωτῶν ἀφιγμένον εἰς τὸ στρατόπεδον, πέμπει πρὸς ἐκεῖνον ἄνδρας αἱρετοὺς ἐξ αὐτῶν, οἳ διδάξειαν μὴ δεῖν ἐπὶ καθέξει τῆς ἀρχῆς βιάζεσθαι, παραχωρεῖν δὲ τῇ συγκλήτῳ, τοσῶνδε ἀνδρῶν ἕνα ὄντα, ἢ ἐσόμενον, καὶ τῷ νόμῳ παραχωροῦντα τὴν ἐπὶ τοῖς κοινοῖς κόσμου τὴν πρόνοιαν μνημονεύοντα ἃ οἱ πρότεροι τύραννοι κακώσειαν τὴν πόλιν, καὶ ὧν ὑπὸ γαΐου καὶ αὐτὸς κινδυνεύσειε σὺν αὐτοῖς, μηδὲ μισήσαντα τὴν βαρύτητα τῆς τυραννίδος ὑφ' ἑτέρων πρασσομένης τῆς ὕβρεως, αὐτὸν ἐθελουσίως περὶ παροινίᾳ θαρσεῖν τῆς πατρίδος καὶ πειθομένῳ μὲν καὶ τὴν πρότερον ἀπράγμονος τὴν ἀρετὴν

A ad principatum erigere, quem dij Caio sublato tuæ virtuti offerunt, orbem terrarum tandem respicientes fessum calamitatibus. quare age maiorum tuorum solium recipe. móxque attollunt eum in humeros non valentem præ metu simul ac gaudio pedibus insistere. iam enim complures prætoriani circa Gratum versabantur, ita vt quidam putantes Claudium rapi ad supplicium, miserarentur vt hominem innoxium, & qui totam ætatem exegisset B in ocio, ac sæpe sub Caio adductus esset in vitæ periculum: quidam etiam dictitarent, ad Consules pertinere de eius causa iudicium. Verùm militibus magis ac magis affluentibus, & diffugiente inermi multitudine, Claudius non procedebat propter imbecillitatem corporis, quando etiam ipsius lecticarij fugerant, desperantes de salute domini quem raptum viderant. itaque cùm hi soli tenerēt palatium, partem vrbis vt ferunt antiquissimam, C & iam attentarent curam reipublicæ, maior etiam fiebat confluxus cæterorum militum, Claudium libenter videntium, & magno studio conantium eum ad principatum euehere, etiam ob Germanici fratris memoriam, cuius gloria hærebat adhuc in animis hominum. ad hæc succurrebant præcipuorum senatorum cupiditates immodicæ, & quantum per eas peccatum sit ante mutatum statum reipublicæ. quem quia in pristinum re- D stitui iudicabant impossibile, rursum non esse in rem suam videbant, si vnus quispiam citra ipsorum operam potiretur imperio, cùm liceat prouecto Claudio dignam ab eo pro meritis gratiam recipere: has & alias inter se conferentes consultationes, cum aliis quoque affluentibus communicabant. cúmque idem omnibus probaretur, armatis cinctum sublimem in castra pertulerunt, vt ibi sine impedimento reliqua peragerent. dissidium autem E inter senatum & plebem inciderat dum illi ad pristinam redire dignitatem, & inductam à tyrannis seruitutem effugere cupiunt: plebs contrà hanc felicitatem eis inuidens, & frænum eorum cupiditatibus imperatoriam potestatem esse existimans, sibique aduersus potentiorum iniurias præsidium, gaudet auditis quæ Claudio contigerunt, sperans huius opera cariturам se bellis ciuilibus, & aliis malis quæ olim Pompeianis temporibus F ciuitatem afflixerant: Senatus porrò cognito quòd milites Claudium in castra transportauerint, lectos sui ordinis viros illò miserunt, qui eum doceant non esse per violentiam affectandum imperium: præstare vt senatui permittat curam reipublicæ, & vnus sit è senatoribus, iuxta leges prouisurus cum aliis quomodo res administrari debeant: memineritque quàm miserè tractata sit ciuitas vel à prioribus dominis, vel nuper Caio principe, sub quo G ipse in communi fuisset periculo: neque decere vt qui tyrannidem in alio detestatus sit, nunc patriam sponte intemperiis eius subiiciat. quapropter si senatui parcat, & cum laude

ad pristinum reuertatur otium solitam virtutem retinens, fore vt maximis cumuletur honoribus à liberis ciuibus, & opinionem optimi viri lucrifaciat, qui non grauetur sub legibus per vices nunc præesse aliis, nunc subiici. quòd si nihil motus Caij exitu pergat in propositis, se certè obnixuros eius conatibus. nam & non contemnendam militum manum stare à suis partibus, & armorum superesse copiam seruitiorúmque multitudinem, quorum opera in promptu sit. Sed præcipuam spem esse in deorum auxilio, qui pro recto & honesto certantes adiuuare soleat: nihil autem honestius quàm pugnare pro libertate patriæ. Hæc legati Veranius & Broccus, ambo tribuni plebei: procumbentésque ad eius genua suppliciter orabant, ne ciuitatem in bellum ciuile coniiceret. Et cùm viderent eum septum magna frequentia militum, & nihil esse collatos ad hunc consules, rogabant, vt si principatum ambiret, mallet eum à senatu accipere. hoc enim æquius fore & felicius, si absque violentia, cum bona offerentium gratia habenas imperij capesceret.

Cap. III.

Dissidium inter senatum & plebem.

Porrò Claudius sciens senatus arrogantiam, modestè legatis respondit pro tempore: sed parum tutum ratus se in eorum fidem committere, fretus hortatibus militum operam impigram pollicentium: incitante etiam Agrippa decreuit principatum vltro oblatum non dimittere è manibus. Is enim postquam suæ dignitatis autorem Caium exanimem collocasset in lectulo, & composuisset vt tum poterat, perfunctus hoc officio prodiit ad eius satellites, nuncians viuere quidem eum, sed quia crucietur vulneribus, nunc se medicos ea de causa petere. Cæterùm vbi cognouit raptū esse à militibus Claudium, ægrè dimota turba ad eum peruasit, & nactus eum turbatum, pronúmque ad cedendam potestatem senatui, confirmauit hortatus vt magno animo in retinendo principatu pergeret. Iámque vnus erat è fautoribus Claudij, cùm accersitus à senatu, ignarum se omnium simulans, & vnguentatus tanquam à compotatione veniens, ex senatoribus quæsiuit quid de Claudio factum sit. quibus id quod verum erat respondentibus, & insuper ipsius sententiam de præsenti statu postulantibus: se quidem aiebat pro senatus dignitate nullum recusare periculum, suadere tamen vt magis spectent vtilitatem reipublicæ: quàm quæ in præsens grata videantur auribus. contendentibus enim de principatu opus esse armis & militibus, ne imparatis in certamen descendentibus aliquid aduersum accidat. illis & arma sibi superesse dicentibus, & collaturos se pecuniam: nec deesse militem, & posse armari seruitia vocata ad pileum: subiunxit rex: Vtinam P. C. conatus vester succedat. non dubitabo tamen quæ in rem vestrā puto promere. scitis qui à Claudio stant veteranos esse & rei militaris lōgo vsu peritissimos. pro nobis autē

IV.

A ἐπιδεικνυμένῳ βέβαιον, τιμάς τε ὑπάρξειν αὐτῷ ὑπὸ ἐλευθέρων ψηφισθείσας τῶν πολιτῶν, καὶ ἐπιχωρήσαντι τοῦ νόμου τὸ μέρος ἄρχοντά τε καὶ ἀρχόμενον κερδαίνειν ἔπαινον ἀρετῆς. εἰ δὲ ἀπονοοῖτο μηδὲν ἐκ τῆς Γαΐου τελευτῆς σωφρονιζόμενος, οὐκ ἐπιτρέψειν αὐτοί. τὸ γὰρ τῆς στρατιᾶς πολὺ εἶναι τὸ συνεστηκὸς αὐτοῖς, ὅπλων τε εὐπορίαν καὶ πλῆθος οἰκετῶν οἷς χρήσαιντο αὐτοῖς. μέγα δὲ μέρος τὴν δὲ ἐλπίδα εἶναι ἐπὶ τῇ τύχῃ, τούς τε θεοὺς οὐκ ἄλλοις συμμαχεῖν, ἀλλὰ τοῖς μετ᾽ ἀρετῆς ἐπὶ τοῦ καλοῦ τοὺς ἀγῶνας ποιουμένοις. εἶναι δὲ τούτους οἳ ἂν περὶ ἐλευθερίας μάχωνται τῆς πατρίδος. καὶ οἱ μὲν πρεσβευταί, Οὐηράνιος καὶ Βρόγχος, δήμαρχοι δὲ ἦσαν ἀμφότεροι, τοῖσδε ἐχρῶντο τοῖς λόγοις. καὶ καθικέτευον τοῖς γόνασιν αὐτοῦ προσπεσόντες, μηδαμῶς πολέμοις ἐπὶ κακοῖς ἐμβαλεῖν τὴν πόλιν. θεωροῦντες δὲ στρατιᾶς πλήθει τὸν Κλαύδιον πεφραγμένον, ἐπὶ τὸ μηδὲν τοὺς ὑπάτους ὄντας συγκρίσει τῇ πρὸς αὐτόν, εἴγε ἀρχῆς ὀρέγοιτο, παρὰ τῆς βουλῆς δέχεσθαι διδομένην. αἰσιώτερον γὰρ καὶ εὐδαιμονέστερον χρῆσθαι τὸν μὴ μεθ᾽ ὕβρεως, ἀλλ᾽ εὐνοίᾳ τῶν διδόντων παραλαμβάνοντα.

Κεφάλαιον γ΄.

Στάσις τῆς βουλῆς καὶ τοῦ δήμου.

Κλαύδιος δέ, ἠπίστατο γὰρ μεθ᾽ οἵας αὐθαδείας ἀποστείλειεν, καὶ πρὸς τὸ παρὸν γνώμῃ τῇ αὐτῶν ἐπὶ τὸ μετριώτερον τρεπόμενος, οὐ μὴν, ἀλλὰ καὶ τοῦ περὶ αὐτοὺς φόβῳ διαναστάς, ἅμα μὲν θάρσει τοῦ στρατιωτῶν, ἅμα δὲ Ἀγρίππου τοῦ βασιλέως, κελεύοντος μὴ προΐεσθαι τῶν χειρῶν τηλικαύτην ἀρχὴν ἥκουσαν αὐτόματον. πράξας μὲν καὶ περὶ Γάϊον οἷον εἰκὸς ἄνδρα ὑπ᾽ αὐτοῦ διὰ τιμῆς ἠγμένον. καὶ γὰρ τὸν νεκρὸν περιέπεσε τοῦ Γαΐου, καὶ ἀναθέμενος ἐπὶ κλίνης, καὶ περιστείλας ἐκ τῶν ἐνδεχομένων, εἰς τοὺς σωματοφύλακας ὑπεχώρει, ζῆν μὲν τὸν Γάϊον ἀπαγγέλλων. κακοπαθοῦντι δὲ ἀπὸ τραυμάτων, ἰατροὺς μεθιέναι λέγων. πυθόμενος δὲ τοῦ Κλαυδίου τὴν ὑπὸ τῶν στρατιωτῶν ἁρπαγήν, ὠθεῖτο πρὸς αὐτόν, καὶ καταλαβὼν τεταραγμένον, καὶ οἷόν τε ἐκχωρεῖν τῇ συγκλήτῳ, ἀνήγειρεν ἀντιλαμβάνεσθαι κελεύων τῆς ἡγεμονίας. ταῦτα δὲ πρὸς τὸν Κλαύδιον εἰπὼν προσεχώρει πρὸς αὐτόν, καὶ μετακαλούσης αὐτὸν τῆς βουλῆς, χρισάμενος μύροις τὴν κεφαλὴν, ὡς ἀπὸ συνουσίας γινομένης ἀναλύσεως αὐτῷ παρῆν, καὶ ἤρετο τοὺς βουλευτὰς τί πεπράχει Κλαύδιος. τῶν δὲ τὰ ὄντα φαμένων, καὶ προσανερομένων τίνα γνώμην ἔχοι περὶ τοῖς ὅλοις, τελευτᾶν μὲν ὑπὲρ τοῦ κατ᾽ ἐκείνην εὐκλεοῦς, ἕτοιμος ἦν τοῖς λόγοις, σκοπεῖν δὲ ἐκέλευε περὶ τοῦ συμφέροντι, πᾶν ὅτι καὶ εἰς ἡδονὴν φέρει ὑπεξελόμενος. χρείαν γὰρ εἶναι τῆς ἀρχῆς μεταποιουμένοις, καὶ ὅπλων, καὶ στρατιωτῶν οἳ φράξαιντο αὐτοῖς, μὴ καὶ ἀπαράσκευοι καταστάντες εἰς τάδε σφαλεῖεν. ἀποκριναμένης δὲ τῆς βουλῆς ὅπλων τε εὐπορίαν, καὶ χρήματα εἰσοίσειν, καὶ στρατιᾶς τὸ μέντοι αὐτῶν εἶναι συνεστηκός, τὸ δὲ συγκροτήσειν ἐλευθερώσει δούλων γενομένης. εἴη μὲν ὦ βουλή, φησὶν ὁ Ἀγρίππας ὑποτυχών, πράσσειν ὁπόσα θυμὸς ὑμῖν. λεκτέον δὲ οὐδὲν ἐνδοιάσαντί μοι, διὰ τὸ ἐπὶ σωτηρίᾳ φέρειν τὸν λόγον. ἴστε δὴ στρατὸν ὃς ὑπὲρ Κλαυδίου μαχεῖται, πλήθει χρόνου ὁπλιτεύειν μεμελετηκότα. τὰ δὲ ἡμέτερα συγ-

B

C

D

E

F

G

σκλύδων ἀνθρώπων πλῆθος ἔσται, καὶ τῶν παρὰ δόξαν τῆς δουλείας ἀπηλλαγμένων, δυσκράτητον. πρὸς δὲ τεχνίτας μαχούμεθα προεξαγαγόντες ἄνδρας, μηδὲ ὅπως ἀνασπῶσι τὰ ξίφη εἰδότας. ὥστε μοι δοκεῖ πέμπειν ὡς Κλαύδιον πείσοντας καὶ τίθεσθαι τὴν ἀρχήν, πρεσβεύειν τε ἑτοιμός εἰμι. καὶ ὁ μὲν ταῦτα εἰπεν, καὶ συγκαταθεμένων πεμφθεὶς σὺν ἑτέροις, τήν τε ταραχὴν τῆς βουλῆς διηγεῖται καὶ μόνος πρὸς τὸν Κλαύδιον, ἐδίδασκέ τε ἡγεμονικώτερον ἀποκρίνεσθαι, καὶ τῷ ἀξιώματι τῆς ἐξουσίας χρώμενον. ἔλεγεν οὖν Κλαύδιος, οὐ θαυμάζειν τὴν βουλὴν ἡδονῇ μὴ φέρουσαν ἄρχεσθαι, διὰ τὸ ὠμότητι τετρῦσθαι τῶν προτέρων, ἐπὶ τὸ ἡγεμονεύειν καταστάντων. γεύσεσθαι δὲ αὐτοὺς ἐπιεικείας τῆς καθ' αὑτόν, μετρίων καιρῶν, ὀνόματι μὲν μόνῳ τῆς ἀρχῆς ἐσομένης, ἔργῳ δὲ κοινῇ πᾶσι προκεισομένης εἰς μέσον. διὰ πολλῶν δὲ καὶ ποικίλων ὧν διῳκότων πραγμάτων ἐν ὄψει τῇ ἐκείνων καλῶς ἔχειν μὴ ἀπιστεῖν. καὶ οἱ μὲν πρέσβεις τοιούτων ἀκροάσει λόγων καθομιληθέντες, ἐξεπέμποντο. Κλαύδιος δὲ τῷ στρατῷ συλλεχθέντι διελέγετο, ὅρκοις λαμβάνων, ἦ μὴν ἐμμενεῖν πίστει τῇ πρὸς αὐτόν, καὶ δωρεῖται τοὺς σωματοφύλακας πεντακισχιλίαις δραχμαῖς καθ' ἕκαστον ἄνδρα, τοῖς τε ἡγεμόσιν αὐτῶν ἀνάλογον τοῦ ἀριθμοῦ, καὶ τοῖς ἐπὶ τοῖς στρατοπέδοις ὑπισχνεῖται τὰ ὅμοια. συνεκάλουν δὲ οἱ ὕπατοι τὴν βουλὴν εἰς τὸ ἱερὸν τοῦ νικηφόρου Διός, ἔτι δὲ νὺξ ἦν. τῶν δὲ οἱ μὲν ἐν τῇ πόλει κλέπτοντες ἑαυτούς, ἐνεδοίαζον πρὸς τὴν ἀκρόασιν. τοῖς δὲ ἐπὶ τῶν ἰδίων ἀγρῶν ἐγεγόνεισαν ἔξοδοι, προορωμένοις ᾗ χωρήσει τὸ πᾶν ἐν ἀπογνώσει τοῦ ἐλευθέρου γεγονότος, καὶ πολὺ κρεῖττον ἐν ἀκινδύνῳ τοῦ δουλεύειν ὑπειληφότες διαβιοῦν ἀργίᾳ τοῦ πονεῖν, ἢ κτώμενοι τὸ ἀξίωμα τῶν πατέρων περὶ τῆς σωτηρίας ἀμφίβολοι καταστῆναι. συνελέγησαν δὲ ὅμως ἑκατὸν οὐ πλείους, καὶ διαβουλευομένων περὶ τῶν ἐν χερσίν, αἰφνίδιον αἴρεται βοὴ τοῦ συνεστηκότος αὐτοῖς στρατιωτικοῦ, στρατηγὸν αὐτοκράτορα κελευόντων τὴν βουλὴν ἑλέσθαι, καὶ μὴ φθείρειν πολυαρχίᾳ τὴν ἡγεμονίαν. καὶ τὸ μὲν καθ' ἑαυτούς, ἀπεφαίνοντο περὶ τοῦ μὴ πᾶσιν, ἀλλ' ἑνὶ τὴν ἀρχὴν ἐφέσιμον εἶναι. ὁρᾶν δὲ ἐκείνοις ἐπέτρεπον, ὅστις τοσαύτης προστασίας ἄξιος, ὥστε ἐναντία τὰ τῶν συγκλητικῶν ἦν πολὺ πλέον, διημαρτηκότων μὲν τοῦ κατὰ τὴν ἐλευθερίαν αὐχήματος, φόβῳ δὲ τοῦ Κλαυδίου. οὐ μὴν ἀλλ' ἦσαν οἱ ἐφιέμενοι, γένους τε ἀξιώματι καὶ οἰκειότησι γάμου. καὶ γὰρ Μινουκιανὸς Μάρκος, καὶ τὸ καθ' αὐτὸν γενναιότητι ἀξιόλογος ὤν, καὶ ἀδελφὴν Γαΐου γεγαμηκὼς Ἰουλίαν, πρόθυμός τε ἦν ἀντιποιεῖσθαι τῶν πραγμάτων, καὶ κατεῖχον οἱ ὕπατοι πρόφασιν ἐκ προφάσεως ἀναρτῶντες. Οὐαλέριόν τε Ἀσιατικὸν Μινουκιανὸς ἐκ τῶν Γαΐου σφαγέων ἀνεῖχε τοιούτων διανοιῶν. ἐγεγόνει δ' ἂν φόνος οὔ τινος ἐλάσσων, ἐπιχωρηθέντων τῶν ἐπιθυμούντων τῆς ἡγεμονίας ὥστε ἀντιτάξασθαι Κλαυδίῳ. ἄλλως τε καὶ οἱ μονομάχοι, πλῆθος δὲ ἦν αὐτῶν ἀξιόλογον, καὶ τῶν στρατιωτῶν οἱ νυκτοφυλακοῦντες ἐπὶ τῆς πόλεως, ἐρέται τε ὁπόσοι συνέρρεον εἰς τὸ στρατόπεδον, ὥστε τῶν μετιόντων τὴν ἀρχήν, οἱ μὲν φειδοῖ τῆς πόλεως, οἱ δὲ καὶ φόβῳ τῷ ὑπὲρ αὐτῶν ἀπέστησαν. ὑπὸ δὲ πρώτην ἀρχὴν ἡμέρας, καὶ Χαιρέας, καὶ οἱ σὺν αὐτῷ παρελθόντες, ἐν ἐπιχειρήσει λόγων ἦσαν πρὸς τοὺς στρατιώτας. τῶν δὲ τὸ πλῆθος ὡς ὁρᾷ παύσοντας αὐτοὺς ταῖς χερσί, καὶ τοῦ εἰπεῖν οἵους τε ἄρχεσθαι ἀνεθορύβησε, μὴ ἐφεὶς μὲν ὥστε εἰπεῖν.

A erit mancipiorum præter omnem opinionem liberatorum colluuies intractabilis, quos ne gladium quidem satis scientes stringere opponemus viris exercitatissimis. quamobrem mihi, placet mitti ad Claudium qui ei deponere principatum suadeant, & ad eam legationem meipsum offero. hæc vbi persuasit cum aliis aliquot mittitur, & Claudio seorsum trepidationem senatus indicat: autórque fuit, vt responderet sicut decet ad summam potestatem euectum principem. B Respondit igitur, mirum non videri quòd senatus ægrè ferat subesse vnius arbitrio, expertus aliquot principum sæuitiam. nunc verò degustaturum cum etiam æquam ac moderatam dominationem, quæ nomen quidem principatus habeat, sed reuera omnia gerat de communi sententia. quare non esse cur de eius fide dubitent, quem in varia temporum conditione nunquam ab honesto discessisse suis ipsi oculis viderint. C cum his mandatis legati dimissi sunt: móxque concionem apud prætorianos habuit, sacramento adactos vt in fide maneant, viritímque diuisit quina drachmarum millia. sub diluculum autem Coss. senatum vocauerunt in Capitolini Iouis ædem: quorum alij delituerunt in vrbe, ne irent: alij rus maturè sunt profecti, præuidentes quónam res euasura esset, optantésque tutam seruitutem cum otio potiùs quàm ancipitem aleam reparandæ dignitatis pristinæ. D conuenerunt tamen centum non amplius, quibus consultantibus de præsenti negotio, repente clamor militum pro foribus stantium tollitur, vnum Imperatorem à senatu creari postulantium, ne quod detrimentum patiatur imperium communicatum pluribus. & suam quidem sententiam proferebant de vni alicui committendo imperio, in illorum autem potestate sinebant delectum eius qui videretur principatu dignior: quod senatui valde incommodum accidit, E in locum speratæ libertatis succedente metu à Claudio. nec tamen deerant qui affectarent rerum fastigium, propter nobilitatem generis, affinitatémve coniunctam cum Cæsaribus. nam M. Minucianus vir cum primis clarus, & in matrimonio habens sororem Caij Iuliam, seipsum offerebat, Consulibus aliam ex alia causationem nectentibus. Valerium etiam Asiaticum alter Minucianus interfector Caij cohibuit. F fuissétque cædes quanta vix vnquam aliàs edita, si quis permissus fuisset cum Claudio de principatu contendere. præsto enim erat gladiatorum non contemnendus numerus, & cohortes vigilum, cum magna manu remigum vltro confluentium. quapropter multi metu ab ambiendo sunt deterriti, quòd vel sibiipsis timerent, vel populo. Deinde appetente iam die Chærea cum sociis aderant allocuturi milites: quos illi cùm viderent manu silentium innuere, concionari non passi sunt, omnibus vnum imperatorem, idq; sine dilatione poscentibus.

Tum verò minimè senatus poterat expedire constitutionem reipublicæ, militibus autoritatem eius contemnentibus, & interfectoribus Caij amplissimum ordinem militari insolentiæ cedere non patientibus. Tandem Chærea non continens iram quòd imperatorem peterent, daturum se ait, si quis signum afferret ab Eutycho. is erat auriga Prasinus Caio dilectissimus, cuius equitio stabulis extruendis ille viles operas exegerat à militibus: idque tum eo dicto exprobrabat eis Chærea, multáque alia, allaturum se Claudij caput minitans. indignum enim esse, si post insanum stulto principatum committant. At illi verbis eius nihil moti, strictis gladiis, & sublatis signis tendebant ad Claudium, adiuncturi se his qui iam sacramento ipsius se obligauerant. ita senatus desertus est à suis propugnatoribus, & consules fermè in priuatorum redacti ordinem, mœstitia stuporéque occupatis omnibus, nec scientibus quidnam agendum post irritatum in se Claudium. iámque pœnitentes alius in alium iactabant conuitia. Tum Sabinus è tyrannicidis vnus in medium progressus, citius se eos omnes contrucidaturum ait, quàm passurum vt se inspectante imperium committatur Claudio, & asciscatur vltronea seruitus, simúlque Chæream obiurgabat, quòd cùm primus contempsisset Caium, nunc metu mortis videatur publicam libertatem prodere, quasi verò sine hac vlla voluptas vitæ possit esse viris fortibus. ille contrà hac amissa sibi certum ait mortis propositum, velle tamen priùs tentare mentem Claudij. Interim in castris multi senatorum per confertos milites enitebantur ad officium exhibendum Claudio: & inter cæteros alter Consul Q. Pompeius, eo magis inuisus militibus, quòd senatum ad libertatem hortatus fuerat. quamobrem strictis cum inuadentes gladiis perpetrassent cædem, nisi fuissent à Claudio cohibiti, qui ereptum periculo assidere iussit suo lateri. sed non idem honor habitus est reliquis senatoribus qui cum eo simul venerant: aliquot enim etiam plagas acceperunt, repulsi dum illum salutare properant: Aponius verò discessit saucius, & eorum nemo non periclitatus est. Rex Agrippa etiam autor fuit Claudio vt mitiùs se erga senatores gereret: his enim sublatis non habiturum quibus imperet. Cui ille libenter paruit, iussitque eos conuenire in palatium, quò ipse per mediam vrbem lectica delatus est, deducentibus militibus non sine vexatione plebeiæ multitudinis. è tyrannicidis autem Chærea & Sabinus conspicui processerant in publicum contra edictum Pollionis, quem Claudius paulò antè Prætorianis præfecerat. Ipse perlatus in palatium conuocatis amicis capitalem sententiam in Chæream protulit. Quamuis enim facinus per se videbatur magnificum, perfidiæ tamen crimen obiectum est, & exemplum erat statuendum securitati futurorum principum. ductus est igitur ad supplicium vnà cum Lupo

διὰ τὸ ὡρμῆσθαι πάντας ἐπὶ τὸ μοναρχεῖσθαι, τὸν δ' ἡγησόμενον ἐκάλουν ὡς οὐκ ἀνεξόμενοι τὰς ὕβρεις τῆς συγκλήτου. ἡ δ' ἀπορία ἀρχῆς τε, καὶ ὃν ἄρξειεν αὖ τρόπον, οὔτε δεχομένων τινὰς τῶν στρατιωτῶν, καὶ τῶν Γαΐου σφαγέων συγχωρεῖν τοῖς στρατιώταις οὐκ ἐφιέντων. ἐν τοιούτοις δὲ ὄντων, Χαιρέας τὴν ὀργὴν οὐκ ἀνασχόμενος πρὸς τὴν αἴτησιν τῶν αὐτοκρατόρων, δώσειν ἐπηγγέλλετο στρατηγόν, εἴ τις αὐτῷ σημεῖον παρ' Εὐτύχου κομίσειεν. ἦν δὲ ὁ Εὔτυχος οὗτος, ἡνίοχος τῆς καλουμένης πρασίνης, περισπούδαστος Γαΐῳ, καὶ περὶ τὰς οἰκοδομίας τῶν στάσεων τῶν περὶ ἐκεῖνον ἱππικοῦ τὸ στρατιωτικὸν ἐτρίβετο, ἀτίμοις ἐργασίαις ἐπικείμενον. εἰς ἅπερ ὁ Χαιρέας ὠνείδιζεν αὐτούς, καὶ ἕτερα πολλὰ τοιαῦτα, τήν τε κεφαλὴν κομιεῖν τὴν Κλαυδίου. δεινὸν γὰρ εἰ μετὰ μανίαν παραφροσύνῃ δώσουσι τὴν ἡγεμονίαν. οὐ μὴν διετράπησάν γε ὑπὸ τῶν λόγων, ἀλλὰ σπασάμενοί τε τὰς μαχαίρας, καὶ τὰ σημεῖα ἀράμενοι ᾤχοντο ὡς τὸν Κλαύδιον κοινωνήσοντες τοῖς ὀμνύουσιν αὐτῷ. κατελέλειπτο δὲ ἥ τε σύγκλητος ἐπ' ἐρημίας τῶν ἀμυνόντων, καὶ οἱ ὕπατοι μηδὲν ἰδιωτῶν διαφέροντες. ἔκπληξίς τε, καὶ κατήφεια ἦν, οὐδὲ ὅτι χρήσαιντο αὑτοῖς τῶν ἀνθρώπων εἰδότων διὰ τὸ ἀνηρεθίσθαι τὸν Κλαύδιον ἐπ' αὐτοῖς. ἀλλήλοις τε ἐλοιδοροῦντο καὶ μεταμέλεος ἦν αὐτοῖς. καὶ Σαβῖνος εἷς τῶν Γαΐου σφαγέων, σφάζειν πρότερον αὑτὸν ἠπείλει παρελθὼν εἰς μέσους, ἢ Κλαύδιον ἄρχοντα στήσεσθαι, καὶ δουλοκρατείαν ἐπόψεσθαι καταλαβοῦσαν. τόν τε Χαιρέαν εἰς φιλοψυχίαν ἐπιπλησσεν, εἰ καταφρονήσας Γαΐου πρῶτος ἀγαθὸν ὑπολαμβάνοι τὸ ζῆν, τῆς ἐλευθερίας οὐδὲ οὕτως ἀποδοθῆναι δυναμένης τῇ πατρίδι. Χαιρέας δὲ περὶ μὲν τοῦ θνήσκειν ἐνδοιαστὸν οὐδὲν φρονεῖν ἔλεγε. βούλεσθαι μέντοι διακωδωνίζειν διάνοιαν τὴν Κλαυδίου. καὶ οἱ μὲν ἐν τοῖσδε ἦσαν. ἐπὶ δὲ τοῦ στρατοπέδου πανταχόθεν ὠθεῖτο κατὰ θεραπείαν τὴν Κλαυδίου, καὶ τῶν ὑπάτων ὁ ἕτερος Κόϊντος Πομπήϊος δι' αἰτίας ἦν τῷ στρατιωτικῷ μᾶλλον ὡς ἐπ' ἐλευθερίας τὴν σύγκλητον παρακαλῶν, ὁρμήσαντες σπασάμενοι ξίφη. κἂν ἐπέπρακτο αὐτοῖς μὴ Κλαυδίου διακεκωλυκότος. παρακαθίζεται δὲ αὐτῷ τὸν ὕπατον ἐξαρπάσας τοῦ κινδύνου. τῶν δὲ συγκλητικῶν ὁ ἦν σὺν τῷ Κοΐντῳ, οὐ μεθ' ὁμοίας ἐδέχετο τιμῆς. τινὲς δὲ καὶ πληγὰς ἔλαβον αὐτῶν ἀνωθούμενοι τῆς πρὸς αὐτὸν ἐντεύξεως. Ἀπώνιος δὲ τραυματίας ἀνεχώρει, ἦν τε κίνδυνος περὶ πάντας αὐτούς. καὶ Ἀγρίππας ὁ βασιλεύς, προσελθὼν τῷ Κλαυδίῳ, ἀξιοῖ τοῖς συγκλητικοῖς ἠπιώτερον καταστῆναι. γενομένου γάρ τινος κακοῦ περὶ τὴν βουλήν, οὐχ ἕξειν ὧν ἄρξειεν ἑτέρων. πείθεται δὲ Κλαύδιος, καὶ συγκαλεῖ τὴν βουλὴν ἐπὶ τοῦ παλατίου διὰ τῆς πόλεως φερόμενος, παραπέμποντος αὐτὸν τοῦ στρατιωτικοῦ σὺν πολλῇ πάνυ κακώσει τῆς πληθύος. προεξῄεσαν δὲ τῶν Γαΐου σφαγέων εἰς τὸ φανερώτερον Χαιρέας καὶ Σαβῖνος εἰργόμενοι προόδων κατ' ἐπιστολὰς Πολλίωνος, ὃν μικρῷ πρότερον Κλαύδιος στρατηγὸν ᾕρητο τῶν σωματοφυλάκων. Κλαύδιος δὲ ἐπείπερ εἰς τὸ παλάτιον ἀφικνεῖται, συναγαγὼν τοὺς ἑταίρους, ψῆφον ἀνεδίδου περὶ Χαιρέου. τοῖς δέ, τὸ μὲν ἔργον λαμπρὸν ἐδόκει, ἀπιστίαν δὲ ἐπεκάλουν τῷ πεπραχότι, καὶ αὐτῷ τιμωρίαν ἐπιβάλλειν δίκαιον ἡγοῦντο ἐπ' ἀποτροπῇ τοῦ μέλλοντος χρόνου. ἀπήγετο οὖν τὴν ἐπὶ θανάτῳ, καὶ σὺν αὐτῷ Λοῦππος

τε καὶ

τε καὶ ῥωμαίων πλείους. λέγεται δὲ χαιρέαν μεγαλοφρόνως ἐνεγκεῖν τὴν συμφορὰν, οὐ μόνον τῷ κατ' αὐτὸν ἀμεταπτώτῳ τοῦ σχήματος, ἀλλὰ καὶ οἷς ὀνειδίσαι λούππον εἰς δάκρυα ἐκτετραμμένον. ἀποτιθεμένου γέ τοι τὴν στολὴν τοῦ λούππου, καὶ τὸ ῥῖγος αἰτιωμένου φησὶν, ὡς οὐκ ἂν ἐναντία τῷ λούππου ποιήσαιτο πώποτε ῥῖγος. πλῆθός τε ἀνθρώπων ἑπομένου κατὰ θέαν, ὡς ἧκεν ἐπὶ τὸ χωρίον, ἤρετο τὸν στρατιώτην, εἰ διὰ μελέτης αὐτῷ γενόνεισαν αἱ σφαγαὶ, ἢ πρόσφατον ἔχοι τὸ ξίφος. καὶ ἐκέλευε κομίζειν ᾧ γάϊον μετεχειρήσατο αὐτός. θνήσκει δὲ εὐδαιμόνως μιᾶς πληγῆς αὐτῷ γενομένης. λούππος δ' οὐ πάνυ δεξιῶς ὑπεξῆλθεν ἀθυμίᾳ, καὶ πληγῶν πλειόνων γενομένων, διὰ τὸ μαλακῶς τὸν τράχηλον παρασχεῖν. ὀλίγαις δὲ ὕστερον ἡμέραις ἐναγισμῶν ἐνεστηκότων, ῥωμαίων τὸ πλῆθος τοῖς αὐτῶν ἐπιφέροντες, καὶ χαιρέαν μοίραις ἐτίμησαν ἐς τὸ πῦρ τιθεμέναις, ἵλεων καὶ ἀμήνιν εἶναι τῆς εἰς αὐτὸν ἀχαριστίας παρακαλοῦντες. καὶ χαιρέα μὲν τοιαύτη τελευτὴ τοῦ βίου συνέτυχε. σαβῖνος δὲ κλαυδίου μὲν μόνον τῆς αἰτίας παραλύοντος αὐτὸν ἀλλὰ καὶ τὴν ἀρχὴν ἣν εἶχεν ἐφιέντος, ἄδικον ἡγεῖτο τὴν ἐκλείπειν τῆς πρὸς τοὺς συνωμοκότας πίστεως, σφάζει τε ἑαυτὸν περιπεσὼν τῷ ξίφει, μέχρι δὴ καὶ τὴν κώπην τῷ τραύματι συνελθεῖν.

Κεφάλαιον δ'.

Ὡς κλαύδιος ἀποδίδωσιν ἀγρίππᾳ τὴν πατρῴαν βασιλείαν, καὶ προγράμματα αὐτοῦ ὑπὲρ τῶν ἰουδαίων.

Κλαύδιος δὲ τοῦ στρατιωτικοῦ πᾶν ὅτι ἦν ὕποπτον ἐκ τοῦ ὀξέως ἀποσκευασάμενος, διάγραμμα προὔθηκε τήν τε ἀρχὴν ἀγρίππᾳ βεβαιῶν, ἣν ὁ γάϊος παρέσχε, καὶ διεγκωμίων ἄγων τὸν βασιλέα, προσθήκην δὲ αὐτῷ ποιεῖται πᾶσαν τὴν ὑπὸ ἡρώδου βασιλευθεῖσαν, ὃς ἦν πάππος αὐτοῦ, ἰουδαίαν, καὶ σαμάρειαν. καὶ ταῦτα μὲν ὡς ὀφειλόμενα τῇ οἰκειότητι τοῦ γένους ἀπεδίδου, ἄβιλαν δὲ τὴν λυσανίου, καὶ ὁπόσα ἐν τῷ λιβάνῳ ὄρει, ἐκ τῶν αὐτοῦ προσετίθει. ὅρκιά τε αὐτῷ τέμνεται πρὸς τὸν ἀγρίππαν ἐπὶ τῆς ἀγορᾶς μέσης ἐν τῇ ῥωμαίων πόλει. ἀντίοχον δὲ ἣν εἶχε βασιλείαν ἀφελόμενος, κιλικίας μέρει τινὶ καὶ κομμαγηνῇ δωρεῖται. λύει δὲ καὶ ἀλέξανδρον λυσίμαχον τὸν ἀλαβάρχην φίλον ἀρχαῖον αὐτῷ γεγονότα, καὶ ἀντωνίαν αὐτοῦ ἐπιτροπεύσαντα τὴν μητέρα, ὀργῇ τῇ γαΐου δεδεμένον, καὶ αὐτοῦ υἱὸς βερνίκην τὴν ἀγρίππου γαμεῖ θυγατέρα. καὶ ταύτην μὲν, τελευτᾷ γὰρ μᾶρκος ὁ τοῦ ἀλεξάνδρου υἱὸς, παρθένον λαβὼν ἀδελφῷ τῷ αὐτοῦ ἀγρίππας ἡρώδῃ δίδωσι, χαλκίδος αὐτῷ τὴν βασιλείαν εἶναι αἰτησάμενος παρὰ κλαυδίου. στασιάζεται δὲ κατ' αὐτὸν τὸν χρόνον ἰουδαίων, τὰ πρὸς ἕλληνας, ἐπὶ τῆς ἀλεξανδρέων πόλεως. τελευτήσαντος γὰρ τοῦ γαΐου τὸ ἰουδαίων ἔθνος ἐπὶ ἀρχῆς τῆς ἐκείνου τεταπεινωμένον, καὶ δεινῶς ὑπὸ τῶν ἀλεξανδρέων βιαζόμενον, ἀνεθάρσησε, καὶ ἐν ὅπλοις εὐθέως ἦν. καὶ κλαύδιος ἐπιστέλλει τῷ ἐπαρχοῦντι κατ' αἴγυπτον, ὥστε τὴν στάσιν καταστεῖλαι. πέμπει δὲ καὶ διάγραμμα παρακεκληκότων αὐτὸν ἀγρίππου τε καὶ ἡρώδου τῶν βασιλέων, εἴς τε τὴν ἀλεξάνδρειαν, καὶ συρίαν, γεγραμμένον τοῦτον τὸν τρόπον. Τιβέριος κλαύδιος καῖσαρ σεβαστὸς γερμανικὸς δημαρχικῆς ἐξουσίας λέγει. ἐπιγνοὺς ἀνέκαθεν τοὺς ἐν ἀλεξανδρείᾳ ἰουδαίους ἀλεξανδρεῖς λεγομένους

A aliísque compluribus. Fertur Chæream magno animo tulisse id infortunium, nihil mutato vultu ad indecorum habitum, atque etiam Lupo exprobrantem lacrymas. cúmque is detracta veste quereretur de frigore, ille cauillatus est, lupum nunquam offendi frigore. Et inspectante corona eorum qui deduxerant, rogauit militem, num exercitatus esset ad cædes,& num acutum haberet gladium: postulauitque eum quo ipse Caium interfecerat. B denique vno ictu feliciter periit. Lupus autem deiecto animo parum fortiter ceruicem præbens pluribus ictibus demum confectus est. Paucis pòst diebus quando solenne parentandi tempus rediit, populus Romanus dum suorum quisque manes honoraret, eadem opera etiam Chæreæ suam partem in ignem coniiciebant, apprecati vt propitius non irasceretur ipsorum ingratitudini. atque hic fuit exitus Chæreæ. Sabinus autem non solùm C absolutus à Claudio, verumetiam permissus eandem quam antè præfecturam gerere, iniquum ratus, si à fide coniuratis data desciscerei, in corpus adacto capulo tenus gladio sua met manu optatum quæsiuit interitum.

Cap. IIII.

Quomodo Claudius Agrippæ paternum regnum reddidit, & edicta eius in Iudæorum gratiam. D

Claudius porrò ablegatis militibus quicunque suspecti esse poterant, edictum proposuit, quo Agrippam in regno per Caium antè concesso confirmabat, collaudans simul eius operam & industriam: addita insuper Iudæa & Samaria, quòd olim ad eius aui Herodis regnum pertinuissent. has igitur velut familiæ debitas restituit. Abilam autem & finitimam eius ditionẽ in Libano, quæ Lysaniæ fuerat, adiunxit de suo. E Fœdus deinde regis cum Rom. pop. in æs incisum est in vrbis foro medio. Antiochum autem suo regno priuatum Comagena donauit & parte quadam Ciliciæ. dimisit etiam Alexandrum Lysimachum Alabarcham veterem amicum, & olim procuratorem suæ matris Antoniæ, quem Caius iratus vinxerat: cuius filio Marco Bernice desponsa fuit Agrippæ filia: quo defuncto ante nuptias, rex virginem Herodi F suo fratri eam collocauit, impetrato illi regno Chalcidis à Claudio. Per idem tempus apud Alexandriam inter Iudæos & Græcos exorta est seditio. Occiso enim Caio gens Iudæorum sub eius imperio vehementer oppressa,& multis iniuriis ab Alexandrinis affecta, cœpit animos resumere: móxque ad arma ventum est. Tum Claudius per epistolam mandat Ægypti præsidi, vt seditionem illam compescat: G & ad preces Agrippæ ac Herodis regum edictum Alexandriam & Syriam mittit scriptum in hãc sententiam. Tiberius Claudius Cæsar August. Germanicus, trib. pot. edicit. Quoniam cognitum habemus, Alexandrinos Iudæos iã inde ab initio ius ei[9] ciuitatis

ex æquo cum Alexandrinis cæteris consecutos à regibus, sicut patet ex instrumentis super hoc conscriptis & constitutionibus regiis, post adiectámque imperio nostro per Augustum Alexandriam mansisse illis sua iura integra, conseruata per missos illò diuersis temporibus præsides, nullámque de eorum iure controuersiam extitisse etiam cum Aquila præfuit Alexandriæ: permissúmque eis ab Augusto, vt in defuncti ethnarchę locum alium suis suffragiis substituerent, vtque quisque in suis ritibus maneat, neque cogatur religionem patriam deserere: cæterùm Alexandrinos concitatos contra conciues suos Iudæos C. Cæsaris temporibus, propter insolentem illius insaniam, dum contra patriam gentis religionem pro Deo coli ab eis postulat: & recusantibus infensus est: volo inconcussa esse iura eorum à Caij insania: eísque ius esse perseuerandi in patriis ritibus. iubeóque vtramque partem quoad fieri potest dare operam ne quid turbarum commoueatur, ídque proposito hoc edicto ita statuo. atque hæc erant quæ in illo edicto continebantur. in reliquum autem orbem Romanum tale missum est: Tiberius Claudius Cæsar Augustus Germanicus, Pontifex max. trib. pot. Cos. designatus II. edicit. Petentibus à me Agrippa & Herode regibus mihi amicissimis, vt permitterem Iudæis in imperio nostro degentibus vti suo iure quemadmodum antea, sicut & Alexandriam habitantibus concessimus: libenter precibus eorum annuimus, non deprecatorum tantùm causa, sed quia ipsos dignos iudicamus hoc nostro beneficio, propter seruatam populo Romano fidem & amicitiam. Æquissimum igitur censeo, nullam ne Græcam quidem vrbem negare illis ius suum, quandoquidem & sub D. Augusti principatu conseruatum eis fuit integrum: licebitque in posterum Iudæis per totum nostrum imperium sparsim habitantibus vti maiorum suorum moribus, quos iam nunc moneo vt hac nostra gratia contenti modestiùs se gerant, neque conspuant religiones externarum gentium: suis autem suo arbitratu viuant legibus. atque hoc meum edictum ciuitatibus, coloniis, & municipiis Italicis, ac prouincialibus per magistratus publicari volo, ad reges quoque atque dynastas transmitti, non minus triginta continuis diebus ita proponendum vt ab omnibus humi stantibus possit perlegi.

CAP. V.

Agrippæ in Iudæam reditus.

His edictis Alexandriam & per totum imperium dimissis Claudius Cæsar declarauit quomodo in Iudæos animatus fuerit: móxque Agrippam ad curam sui regni misit auctũ maioribus honorib. cõmendatúmq; per literas præsidibus prouinciarũ simul & procuratorib. omnib. at ille vt re bene gesta magna celeritate

νους συγκατῳκισθέντας τοῖς πρώτοις εὐθὺ καιροῖς ἀλεξανδρεῦσι, καὶ ἴσης πολιτείας παρὰ τῶν βασιλέων τετευχότας, καθὼς φανερὸν ἐγένετο ἐκ τῶν γραμμάτων τῶν παρ' αὐτοῖς, καὶ τῶν διαταγμάτων, καὶ μετὰ τὸ τῇ ἡμετέρᾳ ἡγεμονίᾳ ἀλεξάνδρειαν ὑπὸ τοῦ σεβαστοῦ ὑποταχθῆναι πεφυλάχθαι αὐτοῖς τὰ δίκαια ὑπὸ τῶν πεμφθέντων ἐπάρχων κατὰ διαφόρους χρόνους, μηδεμιᾶς τε ἀμφισβητήσεως περὶ τούτων γενομένης τῶν δικαίων αὐτοῖς ἅμα καὶ καθ' ὃν καιρὸν ἀκύλας ἦν ἐν ἀλεξανδρείᾳ. καὶ τελευτήσαντος τοῦ ἰουδαίων ἐθνάρχου τὸν σεβαστὸν μὴ κεκωλυκέναι ἐθνάρχας γίνεσθαι, βουλόμενον ὑποτετάχθαι ἑκάστους ἐμμένοντας τοῖς ἰδίοις ἔθεσι, καὶ μὴ παραβαίνειν ἀναγκαζομένους τὴν πάτριον θρησκείαν. ἀλεξανδρεῖς δὲ ἐπαρθῆναι κατὰ τῶν παρ' αὐτοῖς ἰουδαίων ἐπὶ τῶν γαΐου καίσαρος χρόνων, τοῦ διὰ τὴν πολλὴν ἀπόνοιαν καὶ παραφροσύνην, ὅτι μὴ παραβῆναι ἠθέλησε τὸ ἰουδαίων ἔθνος τὴν πάτριον θρησκείαν, καὶ θεὸν προσαγορεύειν αὐτὸν ταπεινώσαντος αὐτούς. βούλομαι μηδὲν διὰ τὴν γαΐου παραφροσύνην τῶν δικαίων τῷ ἰουδαίων ἔθνει παραπεπτωκέναι. φυλάσσεσθαι δὲ αὐτοῖς καὶ τὰ πρότερον δικαιώματα, ἐμμένουσι τοῖς ἰουδαίων ἔθεσι. ἀμφοτέροις δὲ διακελεύομαι τοῖς μέρεσιν, πλείστην ποιήσασθαι πρόνοιαν, ὅπως μηδεμία ταραχὴ γένηται μετὰ τὸ προτεθῆναί μου τὸ διάγραμμα. τὸ μὲν οὖν εἰς ἀλεξάνδρειαν ὑπὲρ τῶν ἰουδαίων διάταγμα τοῦτον ἦν τὸν τρόπον γεγραμμένον. τὸ δὲ εἰς τὴν ἄλλην οἰκουμένην, εἶχεν οὕτω. Τιβέριος κλαύδιος καῖσαρ σεβαστὸς γερμανικὸς, ἀρχιερεὺς μέγιστος, δημαρχικῆς ἐξουσίας, ὕπατος χειροτονηθεὶς τὸ δεύτερον λέγει. αἰτησαμένων με βασιλέων ἀγρίππου καὶ ἡρώδου τῶν φιλτάτων μοι, ὅπως συγχωρήσαιμι τὰ αὐτὰ δίκαια, καὶ τοῖς ἐν πάσῃ τῇ ὑπὸ ῥωμαίοις ἡγεμονίᾳ ἰουδαίοις φυλάσσεσθαι, καθὰ καὶ τοῖς ἐν ἀλεξανδρείᾳ, ἥδιστα συνεχώρησα, οὐ μόνον τοῦτο τοῖς αἰτησαμένοις με χαριζόμενος, ἀλλὰ καὶ αὐτοὺς, ὑπὲρ ὧν παρεκλήθην ἀξίους κρίνας, διὰ τὴν πρὸς ῥωμαίους πίστιν καὶ φιλίαν. μάλιστα δὲ δίκαιον κρίνων, μηδεμίαν μηδὲ ἑλληνίδα πόλιν τῶν δικαίων τούτων ἀποτυγχάνειν ἐπεὶ δὴ καὶ ἐπὶ τοῦ θείου σεβαστοῦ αὐταῖς ἦν τετηρημένα. καλῶς οὖν ἔχειν καὶ ἰουδαίους τοὺς ἐν παντὶ τῷ ὑφ' ἡμᾶς κόσμῳ τὰ πάτρια ἔθη, ἀνεπικωλύτως φυλάσσειν, οἷς καὶ αὐτοῖς ἤδη νῦν παραγγέλλω μου ταύτῃ τῇ φιλανθρωπίᾳ ἐπιεικέστερον χρῆσθαι, καὶ μὴ τὰς τῶν ἄλλων ἐθνῶν δεισιδαιμονίας ἐξουθενίζειν, τοὺς ἰδίους δὲ νόμους φυλάσσειν. τοῦτό μου τὸ διάταγμα τοὺς ἄρχοντας τῶν πόλεων, καὶ τῶν κολωνιῶν, καὶ μουνικιπίων τῶν ἐν τῇ ἰταλίᾳ, καὶ τῶν ἐκτὸς βασιλεῖς τε, καὶ δυνάστας διὰ τῶν ἰδίων πρεσβευτῶν ἐγγράψασθαι βούλομαι, ἐκκείμενόν τε ἔχειν, οὐκ ἔλαττον ἡμερῶν τριάκοντα, ὅθεν ἐξ ἐπιπέδου καλῶς ἀναγνωσθῆναι δύναται.

Κεφάλαιον ε'.

Ἀπόπλους ἀγρίππα εἰς ἰουδαίαν.

Τούτοις μὲν δὴ τοῖς διατάγμασιν εἰς ἀλεξάνδρειάν τε, καὶ τὴν οἰκουμένην πᾶσαν ἀποσταλεῖσι ἐδήλωσεν ἣν περὶ ἰουδαίων ἔχει γνώμην κλαύδιος καῖσαρ. αὐτίκα δὲ ἀγρίππαν κομιούμενον τὴν βασιλείαν, ἐπὶ τιμαῖς λαμπροτέραις ἐξέπεμψε τοῖς ἐπὶ τῶν ἐπαρχιῶν ἡγεμόσι, καὶ τοῖς ἐπιτρόποις διὰ γραμμάτων ἐπιστείλας ἐρασμίως ἄγειν. ὁ δ' ὡς εἰκὸς ἦν τὸν ἐπὶ κρείττοσι τύχαις ἀνερχόμενον μετὰ τάχους ὑπέ-

ὑπέστρεψεν εἰς Ἱεροσόλυμα δ' ἐλθὼν, χαριστηρίους ἐξεπλήρωσε θυσίας, οὐδὲν τῶν κατὰ νόμον παραλιπών. διὸ καὶ ναζιραίων ξυρᾶσθαι διέταξε μάλα συχνούς, τήν τε χρυσῆν ἅλυσιν τὴν δοθεῖσαν αὐτῷ ὑπὸ Γαΐου ἰσοσταθμὸν τῇ σιδηρᾷ, ᾗ τὰς ἡγεμονίδας χεῖρας ἐδέθη, τῆς σκυθρωπῆς τύχης ὑπόμνημα, καὶ τῆς ἐπὶ τὰ κρείττω μαρτυρίαν μεταβολῆς, τῶν ἱερῶν ἐντὸς ἀπεκρέμασε περιβόλων ὑπὲρ τὸ γαζοφυλάκιον, ἵν' ᾖ δεῖγμα, τοῦ τε τὰ μεγάλα δύνασθαί ποτε πεσεῖν, καὶ τοῦ τὸν θεὸν ἐγείρειν τὰ πεπτωκότα. πᾶσι γὰρ τοῦτο ἀνεφάνιζεν ἡ τῆς ἁλύσεως ἀνάθεσις, ὅτι βασιλεὺς Ἀγρίππας, ἀπὸ μικρᾶς αἰτίας εἰς δεσμωτήριον ἀπέδυ τὸ πρὶν ἀξίωμα. καὶ μετ' ὀλίγον τῆς πέδης ἐκβὰς, εἰς βασιλέα τοῦ πάλαι λαμπρότερον ἠγέρθη. διὰ τούτων ἐννοεῖσθαι ὅτι τῆς ἀνθρωπίνης φύσεως καὶ πᾶσιν ὀλισθάνειν τὰ μεγέθη, καὶ τὰ κλιθέντα δύνασθαι περιφανὲς πάλιν λαβεῖν ὕψος. ἐντελῶς δὲ συνθρησκεύσας τῷ θεῷ Ἀγρίππας, Θεόφιλον μὲν τὸν Ἀνάνου τῆς ἀρχιερωσύνης μετέστησε, τῷ δὲ Βοηθοῦ Σίμωνι, τούτῳ Κανθηρᾶς ἐπίκλησις ἦν, τὴν ἐκείνου προσένειμε τιμήν. δύο δὲ ἦσαν ἀδελφοὶ τῷ Σίμωνι καὶ πατὴρ Βοηθὸς, οὗ τῇ θυγατρὶ βασιλεὺς συνῴκησεν Ἡρώδης, ὡς ἀνωτέρω δεδήλωται. σὺν τοῖς οὖν τὴν ἱερωσύνην ἔσχεν ὁ Σίμων, καὶ σὺν τῷ πατρὶ, καθὰ καὶ πρότερον ἔσχον οἱ Σίμωνος τοῦ Ὀνία παῖδες τρεῖς ὄντες ἐπὶ τῆς τῶν Μακεδόνων ἀρχῆς, ὅπερ ἐν ταῖς προαγούσαις γραφαῖς παρέδομεν. καταστησάμενος δὲ τὰ περὶ τοὺς ἀρχιερέας οὕτως ὁ βασιλεὺς τοὺς Ἱεροσολυμίτας ἠμείψατο τῆς εἰς αὐτὸν εὐνοίας. ἀνῆκε γὰρ αὐτοῖς τὰ ὑπὲρ ἑκάστης οἰκίας, ἐν καλῷ τιθέμενος ἀντιδοῦναι τοῖς ἠγαπηκόσι στοργήν. ὕπαρχον δὲ ἀπέδειξε παντὸς τοῦ στρατεύματος Σίλαν ἄνδρα πολλῶν αὐτῷ πόνων συμμετασχόντα. παντάπασι δὲ ὀλίγου χρόνου διελθόντος, Δωρῖται νεανίσκοι τῆς ὁσιότητος προτιθέμενοι τόλμαν, καίπερ ἀεὶ πεφυκότες εἶναι παράβολοι θρασεῖς, Καίσαρος ἀνδριάντα κομίσαντες, εἰς τὴν τῶν Ἰουδαίων συναγωγὴν ἀνέστησαν. τοῦτο σφόδρα τὸν Ἀγρίππαν παρώξυνε, κατάλυσιν γὰρ τῶν πατρίων αὐτοῦ νόμων ἐδύνατο. ἀμελλητὶ δὴ πρὸς Πούπλιον Πετρώνιον, ἡγεμὼν δὲ τῆς Συρίας οὗτος ἦν, παραγίνεται καὶ καταλέγει τῶν Δωριτῶν. ὁ δὲ οὐχ ἧττον ἐπὶ τῷ πραχθέντι χαλεπήνας, καὶ γὰρ αὐτὸς ἔκρινεν ἀσέβειαν τὴν τῶν ἐννόμων παράβασιν, τοῖς ἀποστᾶσι τῶν Δωριτῶν σὺν ὀργῇ ταῦτα ἔγραψε.

Κεφάλαιον ς'.

Ἐπιστολὴ Πετρωνίου πρὸς Δωρίτας ὑπὲρ Ἰουδαίων.

Πούπλιος Πετρώνιος πρεσβευτὴς Τιβερίου Κλαυδίου Καίσαρος Σεβαστοῦ Γερμανικοῦ, Δωριέων τοῖς πρώτοις λέγει. ἐπειδὴ τοσαύτῃ τόλμῃ ἀπονοίας τινὲς ἐχρήσαντο ἐξ ὑμῶν, ὥστε διὰ τὸ προτεθῆναι τὸ διάταγμα Κλαυδίου Καίσαρος Σεβαστοῦ Γερμανικοῦ περὶ τοῦ ἐφίεσθαι Ἰουδαίους φυλάσσειν τὰ πάτρια, μὴ πειθῶναι δὲ ὑμᾶς αὐτῷ, τἀναντία δὲ πάντα πρᾶξαι, συναγωγὴν Ἰουδαίων κωλύοντας εἶναι, διὰ τὸ μεταθεῖναι ἐν αὐτῇ τὸν Καίσαρος ἀνδριάντα, παρανομοῦντας οὐκ εἰς μόνους Ἰουδαίους, ἀλλὰ καὶ εἰς τὸν αὐτοκράτορα, οὗ ὁ ἀνδριὰς βέλτιον ἐν τῷ ἰδίῳ ναῷ ἢ ἐν ἀλλοτρίῳ ἐτίθετο, καὶ ταῦτα ἐν τῷ τῆς συναγωγῆς τόπῳ τῆς φύσει δικαιοῦντος ἕνα ἕκαστον τῶν ἰδίων τόπων κυριεύειν κατὰ τὸ Καίσαρος ἐπίκριμα. τοῦ γὰρ ἐμοῦ ἐπικρίματος μιμνήσκεσθαι γελοῖόν ἐστι μετὰ τὸ τοῦ

A reuersus est: & quamprimùm peruenit Hierosolyma, votiua sacrificia persoluit, nihil omittens eorum quæ lege præscripta sunt. vnde & multos Nazareos tonderi mandauit: & catenam auream à Caio donatam pondere parem illi ferreæ quæ regias manus vinxerat, monumentum aduersæ fortunæ mutatæ in prosperam suspendit in sacrario supra gazophylaciũ: quæ doceret spectatores & sublimia posse corruere, & Deum valere illa erigere denuò. B omnes enim admonebantur per hanc consecratã catenam, quòd Agrippa leui de causa priuatus dignitate sit vinctus, paulóque pòst compedibus solutus splendidiorem quàm antè principatum adeptus sit: eam esse naturam rerum humanarum omnium, vt celsissima quæque prolabantur facilè, rursúmque inclinata restituantur in pristinum fastigium. Ritè igitur votis Deo redditis Agrippa Theophilum Anani filium submouit à summo sacerdotio, & Boethi C filium Simonem cognomine Cantharam in eius locum substituit. erant autem Simoni fratres duo, & Boethus pater, cuius filiam Herodes rex vxorem duxerat, sicut diximus. idem igitur quod fratres & pater sacerdotium Simon adeptus est: quemadmodum olim sub imperio Macedonum idem contigit tribus filiis Simonis pontificis, eius qui Onia patre prognatus est, vt suprà meminimus. Constituto deinde pontificatu rex D Hierosolymitis beneuolentiæ gratiam retulit, remisso eis tributo quod soliti erant in singulas ædes pendere, decorum putans si non pateretur se vinci amore mutuo. Magistrũ autem præfecit toti suæ militiæ Silam, quem multorum & difficilium laborum indiuiduum socium habuerat. Paulo pòst Doritæ quidam iuuenes natura temerarij religionis specie posuerunt in Iudæorum synagoga statuam Cæsari, quod Agrippam vehementer commouit ad E iracundiã, quòd ea res perditum iret instituta patriæ. Quare sine mora ad Petronium Syriæ presidẽ profectus questus est de Doritarũ audacia. qui & ipse non minus ęgrè ferens hoc facinus vt impium, nouatoribus illis asperius scripsit in hanc fermè sententiam.

VI.

Cap. VI.

Epistola Petronij ad Doritas pro Iudæis scripta.

F Publius Petronius, legatus Tiberij Claudij Cæs. Aug. Germanici, magistratibus Doriẽsium. Quoniam tam audax est quorundã vestrũ insolẽtia, vt etiam contra edictũ Claudij Cęs. Aug. Germanici, quo Iudæi permittuntur suis legibus viuere, synagogam eorum profanauerint, illata Cæsaris statua, quod religioni ipsorum non est licitum, atque hoc facto non Iudæorum tantùm pietas læsa est, sed numen G etiam Cæsaris, cui rectiùs in proprio templo statua poneretur quàm in alieno, maximè in synagoga, cùm iustum sit & imperatoris iudicio comprobatũ, vt sui quisque loci sit dominus: ne mea decreta commemorem post

contemptam autoritatem Cæsaris, qui Iudæis non religionem tantùm permisit, verumetiam æquum ciuitatis ius cum Græcis cohabitantibus: his ergo de causis eos qui contra edictum Augusti ausi sunt talia, indignantibus etiam propriis magistratibus, hæc furore populi, non suo consensu facta asseuerantibus, iubeo per centurionem Vitellium Proculum ad me adduci rationem reddituros. Magistratus autem hortor, vt si videri volunt his consensum suum non accessisse, centurioni sontes indicent, dénque operam ne quid turbæ aut rixæ oriatur, quam quidam captare videntur: cùm contrà ego & mihi carissimus rex Agrippa nihil æquè curemus, quàm ne vlla Iudæis detur occasio excitandi tumultus defensionis prætextu. Quo autem melius cognoscatis, quænam sit super hoc negotio voluntas Augusti, adiunximus eius edictum apud Alexandrinos propositum: quod iam antè satis notum omnibus, carissimus rex Agrippa mihi sedenti pro tribunali recitauit, ius suum postulans, & vt suis beneficium Cæsaris maneat incolume. Quamobrem iubeo vt in posterum nullam quæratis seditionum materiam, & cæleste numen suis quisque colat ritibus. Ita tum Petronius rem curauit, vt & admissum erratum corrigeretur, & in posterum caueretur ne quis tale quippiam audeat. Rex autem Agrippa Simonem Cantharam pontificatu priuauit, quē Ionathę Anani filio reddere voluit, digniorem hunc tali sacerdotio existimās. Sed ille recipere noluit sic excusans: Equidem tuam rex beneficentiam libenter amplector, contentus tua voluntate qua mihi tantus honor oblatus est, etsi me Deus indignum iudicauit summo pōtificio, sed mihi sacrum illum amictum semel sumpsisse satis est: tunc enim sanctiùs illum accepi quàm nunc reciperem. quòd si quæris, ostendam qui honore hoc sit longè dignior. est mihi frater & apud Deum, & apud te rex innocentior, ab omníque peccati labe mundior, quem ausim tibi commendare vt idoneum officio pontificis. qua hominis modestia delectatus rex, omisso Ionatha iuxta ipsius consilium, fratri eius Matthiæ sacerdotium id detulit: nec ita multo pòst Petronio Marsus in administranda prouincia Syria successit:

CAP. VII.

Gesta Agrippæ vsque ipsius obitum.

VII. SIlla autem magister militiæ regiæ, quia per omnem fortunam ei fidus nullius vnquam periculi socius esse detrectauerat, sed vel difficillimos labores pro eo sæpe susceperat, fretus amicitia postulabat etiam paris honoris esse particeps. quapropter grauabatur regi aliquo modo cedere. sempérque licentiùs agebat cum eo. & in familiaribus colloquiis molestus erat interdum extollēs se immodicè, & sępe prioris fortunæ aduersitates in memoriam reuocās vt ostētaret, quā studiosus ipsius cultor fuerit, nunquā nō labores in eius gratiā

αὐτοκράτορος διάταγμα τῷ ἐπιτρέψαντος ἰουδαίοις τοῖς ἰδίοις ἔθεσι χρῆσθαι, ἔτι μέντοι καὶ συμπολιτεύεσθαι τοῖς ἕλλησι κεκελευκότος. τοὺς μὲν παρὰ τὸ διάταγμα τοῦ σεβαστοῦ τοιαῦτα τετολμηκότας, ἐφ' ᾧ καὶ αὐτοὶ ἠγανάκτησαν οἱ δοκοῦντες αὐτῶν ἐξέχειν, οὐ τῇ ἰδίᾳ προαιρέσει γεγονέναι λέγοντες, ἀλλὰ τῇ τοῦ πλήθους ὁρμῇ, ὑπὸ ἑκατοντάρχου προελεύσεσθαι προσέταξα, ἐπ' ἐμὲ ἀναχθῆναι τῶν πεπραγμένων λόγον ὑποδώσοντας. τοῖς δὲ πρώτοις ἄρχουσι παραινῶ, εἰ μὴ βούλονται δοκεῖν κατὰ τὴν αὐτῶν προαίρεσιν γεγονέναι τὸ ἀδίκημα, ἐπιδεῖξαι τοὺς αἰτίους τῷ ἑκατοντάρχῃ, μηδεμιᾶς στάσεως μηδὲ μάχης ἐῶντας ἀφορμὴν γίνεσθαι, ἥνπερ δοκοῦσί μοι θηρεύεσθαι διὰ τῶν τοιούτων ἔργων, κἀμοῦ τε καὶ τοῦ τιμιωτάτου μοι βασιλέως ἀγρίππα οὐδενὸς μᾶλλον προνοουμένων, ἢ ἵνα μὴ ἀφορμῆς δραξάμενοι τὸ τῶν ἰουδαίων ἔθνος, ὑπὸ τῆς ἀμύνης προφάσεως συναθροισθὲν εἰς ἀπόνοιαν χωρῇ. ἵνα δὲ γνωριμώτερον ᾖ, τί καὶ ὁ σεβαστὸς περὶ ὅλου τοῦ πράγματος ἐφρόνησε, τὰ ἐν ἀλεξανδρείᾳ αὐτοῦ διατάγματα προτεθέντα προσέθηκα, ἅπερ εἰ καὶ γνώριμα πᾶσιν εἶναι δοκεῖ, τότε καὶ ἐπὶ τοῦ βήματος ἀνέγνω ὁ τιμιώτατός μοι βασιλεὺς ἀγρίππας δικαιολογησάμενος περὶ τοῦ μὴ δεῖν αὐτοὺς ἀφαιρεθῆναι τῆς τοῦ σεβαστοῦ δωρεᾶς. εἰς τε οὖν τὸ λοιπὸν, παραγγέλλω, μηδεμίαν πρόφασιν στάσεως μηδὲ ταραχῆς ζητεῖν, ἀλλὰ ἑκάστους τὰ ἴδια θρησκεύειν ἔθη. πετρώνιος μὲν οὖν οὕτω προενοήσατο, διορθώσεως μὲν τὸ παρανομηθὲν ἤδη τυχεῖν, γίνεσθαι δὲ παραπλήσιον μηδὲν εἰς αὐτούς. ἀγρίππας δὲ ὁ βασιλεὺς ἀφείλετο μὲν τὴν ἱερωσύνην τὸν κανθηρᾶ σίμωνα, ἰωνάθην δὲ πάλιν ἐπ' αὐτὴν ἤγε τὸν ἀνάνου, τὸν ἀξιώτερον τῆς τιμῆς ὁμολογῶν εἶναι. τῷ δὲ οὐκ ἀσμενιστὸν ἐφαίνετο τὴν τοσαύτην ἀπολαβεῖν τιμήν. παρῃτεῖτο γοῦν ταῦτα λέγων. σοὶ μὲν οὖν ὦ βασιλεῦ τετιμημένος χαίρω, διὰ ψυχῆς ἔχων τοῦθ' ὅ μοι γέρας σὺ δίδωσι βουληθείς, εἰ καὶ πρὸς οὐδὲν με τῆς ἀρχιερωσύνης ἄξιον ἔκρινεν ὁ θεός. ἅπαξ δὲ ἐνδυῶναι στολισμὸν ἱερὸν ἀρκοῦμαι. τότε γὰρ αὐτὸν ἀμφιεσάμην ὁσιώτερον, ἢ νῦν ἀπολήψομαι. σὺ δὲ εἰ βούλῃ τὸν ἀξιώτερον ἐμοῦ νῦν τὸ γέρας λαβεῖν, διδάχθητι. πάσης, καὶ πρὸς τὸν θεὸν ἁμαρτίας, καὶ πρὸς σὲ βασιλεῦ, καθαρὸς ἀδελφός ἐστί μοι, πρέποντα τῇ τιμῇ τοῦτον συνίστημι. τούτοις ὁ βασιλεὺς ἡσθεὶς τοῖς λόγοις, τὸν ἰωνάθην μὲν ἔασε, γνώμῃ δὲ τοῦ ἀδελφοῦ αὐτοῦ, ματθίᾳ τὴν ἱερωσύνην ἔδωκε. καὶ μετ' οὐ πολὺ, πετρώνιον μὲν, μάρσος διεδέξατο, καὶ διεῖπε συρίας.

Κεφάλαιον ζ.

Περὶ τῶν τοῦ ἀγρίππα πράξεων ἄχρι τῆς τελευτῆς.

ΣΙλας δὲ ὁ τοῦ βασιλέως ἵππαρχος, ἐπεὶ διὰ πάσης αὐτῷ τύχης ἐγεγόνει πιστὸς, οὐδένα κίνδυνον αὐτῷ ποτε κοινωνεῖν ἀπηνάμενος, ἀλλὰ καὶ τοὺς σφαλερωτάτους ὑποδὺς πολλάκις πόνους, πεποιθὼς ἐῴκει τὴν ἀνάπλεως, προσήκειν ὑπολαμβάνων ἰσοτιμίαν βεβαιότητι φιλίας. οὐδαμῇ τοίνυν ὑπεκατεκλίνετο τῷ βασιλεῖ, παρρησίαν δὲ διὰ πάσης ὁμιλίας ἦγε. κἀν ταῖς φιλοφρονήσεσιν ἐγίνετο φορτικὸς σεμνύνων ἑαυτὸν ἀμέτρως, καὶ πολλάκις τῷ βασιλεῖ τὰ συγγενῆ τῆς τύχης ἄγων εἰς ἀνάμνησιν, ἵνα τὴν ἑαυτοῦ σπουδὴν παραδεικνύῃ, συνεχῶς δι' ἣν ὡς ὑπὲρ αὐτοῦ σαμοι

κἀμοὶ πολλὰ διεξιών. τούτων οὖν τὸ πλεονάζον, ὀνειδισμὸς ἐδόκει, διὸ προσστάντας ὁ βασιλεὺς ἐδέχετο τὴν ἀταμίευτον παῤῥησίαν τἀνδρός. οὐχ ἡδεῖαι γὰρ αἱ τῶν ἀδόξων χρόνων ἀναμνήσεις. εὐήθης δὲ ὁ διηνεκῶς ἅπερ ὤφλησε προφέρων. τέλος γοῦν ἀνηρέθισε σφόδρα ὁ σίλας τοῦ βασιλέως τὸν θυμὸν, κἀκεῖνος ὀργῇ πλέον, ἢ λογισμῷ διδοὺς, οὐ τῆς ἱππαρχίας μόνον μετέστησε τὸν σίλαν, ἀλλὰ καὶ παρέδωκε δεθησόμενον εἰς τὴν ἐκείνου πατρίδα πέμψας. χρόνῳ δὲ τὸν θυμὸν ἠμβλύνθη, καὶ λογισμοῖς εἰλικρινέσι τὴν περὶ τἀνδρὸς κρίσιν ἐφῆκεν, ἐν τῷ λαμβάνων, ὅσους ὑπὲρ ἐκείνου πόνους ἐκεῖνος ἀνέτλη. ἡμέραν οὖν ἑορτάζων αὐτοῦ γενέθλιον, ὅτε πᾶσιν ὧν ἦρχεν εὐφροσύναι καθίσταντο θάλειαι, τὸν σίλαν ἀνεκάλει παραυτίκα, συνέστιον αὐτῷ γενησόμενον. τῷ δὲ, τρόπος ἐλευθερίας ὤν, ἐδόκει προσειληφέναι δικαίαν αἰτίαν ὀργῆς, οὐκ ἀπεκρύπτετο πρὸς τοὺς μετιόντας αὐτὸν λέγων, ἐπὶ ποίαν ὁ βασιλεὺς τιμὴν ἀνακαλεῖ με, τὴν μετὰ μικρὸν ἀπολλυμένην; οὐδὲ γὰρ τὰ πρῶτα μοι γέρα τῆς εἰς αὐτὸν εὐνοίας ἐτήρησεν, ἀπεσύλησε δὲ ὑβρίσας. ἢ πεπαῦσθαι νενόμικέ με τῆς παῤῥησίας, ἣν ἀπὸ ποίου συνειδότος ἔχων βοήσομαι μᾶλλον ὅσων αὐτὸν ἐξελυσάμην δεινῶν, ὅσοις ἕνεκα πόνοις, ἐκείνῳ χαριζόμενος σωτηρίαν τε καὶ τιμὴν, ὧν γέρας ἠνεγκάμην δεσμὰ, καὶ σκότειον εἱρκτήν. οὐκ ἐγώ ποτε τούτων λήσομαι. τάχα κἀμοὶ τὴν τῆς ἀριστείας συνεποίσεται μνήμην, καὶ μεταναστᾶσα τῆς σαρκὸς ἡ ψυχή. ταῦτα ἀνεβόα, καὶ διετάττετο τῷ βασιλεῖ λέγειν. ὁ δὲ ὡς ἀνιάτως ἑώρα διακείμενον, πάλιν εἴασεν ἐν φρουρᾷ. τὰ δὲ τῶν ἱεροσολύμων τείχη, τὰ πρὸς τὴν καινὴν νεύοντα πόλιν, δημοσίαις ὠχύρου δαπάναις, τὴν μὲν, εὐρύνων εἰς πλάτος, τὴν δὲ εἰς ὕψος ἐξαίρων. κἂν ἐξειργάσατο ταῦτα πάσης ἀνθρωπίνης κρείττονα βίας, εἰ μὴ μάρσος ὁ τῆς συρίας ἡγεμὼν κλαυδίῳ καίσαρι διὰ γραμμάτων ἐδήλωσε τὸ πραττόμενον. καὶ νεωτερισμόν τινα κλαύδιος ὑποπτεύσας, ἐπέστειλεν ἀγρίππᾳ μετὰ σπουδῆς παύσασθαι τῆς τῶν τειχῶν ἐξοικοδομήσεως. ὁ δὲ ἀπειθεῖν οὐκ ἔκρινε. πεφύκει δὲ ὁ βασιλεὺς οὗτος εὐεργετικὸς εἶναι ἐν δωρεαῖς, καὶ μεγαλοφρονῆσαι ἔθνη φιλότιμος, καὶ πολλοῖς ἀθρόως δαπανήμασιν ἀνιστὰς αὐτὸν εἰς ἐπιφάνειαν, ἡδόμενος τῷ χαρίζεσθαι καὶ τῷ βιοῦν ἐν εὐφημίᾳ χαίρων, κατ' οὐδὲν ἡρώδῃ τῷ πρὸ ἑαυτοῦ βασιλεῖ τὸν τρόπον συμφερόμενος. ἐκείνῳ γὰρ πονηρὸν ἦν ἦθος ἐπὶ τιμωρίαν ἀπότομον, καὶ κατὰ τῶν ἀπηχθημένων ἀταμίευτον ἕλλησι πλέον, ἢ ἰουδαίοις οἰκείως ἔχειν ὁμολογούμενος, ἀλλοφύλων γέ τοι πόλεις ἐσέμνυνε δόσει χρημάτων, βαλανείων, θεάτρων τε ἄλλοτε κατασκευαῖς, ἔστιν αἷς ναοὺς ἀνέστησε, στοὰς ἄλλαις. ἀλλ' ἰουδαίων οὐδεμίαν πόλιν, οὐδὲ ὀλίγης ἐπισκευῆς ἠξίωσεν, οὐδὲ δόσεως ἀξίας μνημονευθῆναι. πρᾳὴς δὲ ὁ τρόπος ἀγρίππα, καὶ πρὸς πάντας τὸ εὐεργετικὸν ὅμοιον. τοῖς ἀλλοεθνέσιν ἦν φιλάνθρωπος, κἀκείνοις ἐνδεικνύμενος τὸ φιλόδωρον, τοῖς ὁμοφύλοις ἀναλόγως χρηστὸς, καὶ συμπαθὴς μᾶλλον. ἡδεῖα γοῦν αὐτῷ δίαιτα, καὶ συνεχὴς ἐν τοῖς ἱεροσολύμοις ἦν, καὶ τὰ πάτρια καθαρῶς ἐτήρει. διὰ πάσης γοῦν αὐτὸν ἦγεν ἁγνείας, οὐδὲ ἡμέρα τις παρώδευεν αὐτῷ τὰ νόμιμα χηρεύουσα θυσίας. καὶ δή τις ἐν τοῖς ἱεροσολύμοις ἀνὴρ ἐπιχώριος

exhaustos memorans. quæ cùm sine modo repeteret, opprobrare videbatur, ita vt rex tandem offenderetur immodica libertate hominis. iniucunda enim est temporis ingloriæ acti memoria, & stultum est indesinenter exprobrare debitum. postremò in tantum exasperatus est regis animus, vt iræ plus quàm rationi tribuens non contentus sit ademisse illi præfecturam, verumetiam vinctum in ipsius patriam adseruandum miserit. Elapso deinde aliquanto tempore lenita iam ira, & ratione defæcata in consilium adhibita, reputauit quantum laborum vir ille pro se pertulisset: cúmque natalem suum celebraret, omnibus occupatis circa hilaritates, ac epulas accersiuit Silam, vt mox interesse velit regio conuiuio. ille vt erat moribus ingenuis non dissimulauit indignationẽ cuius iustam causam habere videbatur, vocantibus se respondens, ad quem honorem me rex reuocat, paulò pòst eo priuaturus? neque enim priùs beneuolentiæ præmium mihi diuturnum esse passus est, sed spoliauit eo me affectum contumelia. nisi fortè putat linguam mihi posthac fore minus liberam: imò fretus conscientia nunquam clamare desinam è quantis eum eripuerim calamitatibus, quantum laborum tulerim, vt illi incolumitatem & honores parerem: pro quibus officiis nunc præmium retuli vincula & obscurum carcerem. ego certè horum nunquam obliuiscar, sed etiam apud manes manebit mihi huius iniuriæ memoria. Hæc ille vociferabatur, iubens, vt eadem regi referrent. qui cùm videret immedicabilem, reliquit eum in custodia. Conuersus autem ad Hierosolymorum curam, muros nouæ quæ vocatur ciuitatis permuniit sumptu publico, latioresque & altiores quàm antè fuerant reddidit: & fecisset aduersus omnem humanam vim inexpugnabiles, ni Marsus Syriæ præses Claudio Cæs. significasset eam rem per literas. qui suspicatus molituros aliquid noui, diligenter scripsit Agrippæ, vt à munienda vrbe desisteret: atque ille mox paruit. Erat autem is rex adeò natus ad liberalitatem ac beneficiis demerendos populos, vt magnis sumptibus pararet sibi celebritatem nominis, pro magna voluptate ducens quæsitam munificentia gloriam, longè aliud quàm Herodes, qui antè eum regnauerat. ille enim malitiosus erat ac procliuis ad sæuitiam: & propter mutuum odium manifestè præferens erga Græcos maiorem quàm erga Iudæos beneuolentiam: vt qui externas vrbes ornaret pecuniarũ largitionibus, aliàs balnea & theatra, alias templa & porticus extruens: Iudæorum autem nullum oppidum ornatu aliquo dignatus est memorabili: nec vlla liberalitate prosecutus est. Agrippa contrà mitissimo fuit ingenio, in exteros omnes ex æquo beneficus, liberalis & humanus, in suæ gentis homines benignus, & prumptus ad iuuandos præ cæteris in aduersitatibus. quapropter libenter & continuè degebat Hierosolymis, institutorum ac rituum patriæ seruator religiosissimus. purus enim erat à contaminamentis omnibus, nec vlla dies ei præteribat absq; sacrificio. Accidit aliquãdo, vt quidã Hierosolymita legisperitus

nomine Simon aduocata concione per regis absentiam agentis tum Cæsareæ, criminaretur illum, vt impurum & arcendum templi aditu, quod non nisi dignis pateat. id vbi præfectus vrbis illi significauit per literas confestim accersiuit hominem: à quo forte fortuna repertus in theatro, assidere sibi eum iussit. móxque sedata voce & placidè, Dic mihi, inquit, quid tibi non probatur ex his quæ facimus? qui cùm nihil haberet quod diceret, precatus est veniam. tum rex citiùs quàm quisquam opinaretur reconciliatus est, clementiam magis quàm iram decere reges existimãs, & lenitatem animi magis quàm celsitudinem. itaque illum dimisit non sine munere. inter alias autem multas eximiis ornamentis honorauit ciuitatem Berytiam, magnis sumptibus extructo ibi theatro pulcherrimo, simúlque æquè magnifico amphitheatro, & ad hæc balineis ac porticibus, nullis parcens impendiis modò absolutam operibus pulchritudinem adderet. dedicatio quoque horum celebrata est splendidissimè, exhibitis in theatro spectaculis, & musicorum omne genus certaminibus, aliáque voluptatum varietate: in amphitheatrum verò ad ostentandam magnificentiam inductis plurimis gladiatorum paribus. volens deinde spectatores oblectare etiam cateruatim commissis pugnatoribus, ex maleficis in hoc destinatis duas cohortes fecit septingentorum quamque hominum, vt illis per imaginem belli decernentibus, pœna noxiorum in pacis voluptatem verteret. atque ita omnes mutuis absumpti sunt vulneribus.

VIII. Post hæc apud Berytum peracta migrauit in vrbem Galilææ Tiberiada. suscipiebatur autem ab aliis regibus: venítque ad eum Antiochus Comagenæ rex, Emesinorum Sampsigeranus, Cotys qui regnabat in minore Armenia, Polemónque Ponti regulus: & præter hos Herodes frater rex Chalcidis. hos omnes summa hospitalitate excipiebat, ostendens per hoc animi sui magnitudinem, ne videretur indignus, qui expeteretur à tot regibus, quibus adhuc apud eum morantibus Marsus Syriæ præses superuenit. Seruans igitur debitam Romanis reuerentiam vsque ad septimum lapidem illi obuiam processit: quod quidem simultatis cum Marso initium factum est, dum eodem cum hospitibus curru vectus, suspectam præsidi redderet, tantam regũ concordiam. ratus enim id non esse è republica, per idoneos nuncios mandauit singulis, vt sine mora discederent: qua re Agrippa vehemẽter offensus est. Marsũ quidem hac de causa exosum habuit. Matthiæ verò adempto pontificatu successorem dedit Elioneum Cithæi filium. Iámq; tertium Iudææ totius regni annum exegerat, cùm peruenit in vrbem Cæsaream, quæ priùs Stratonis turris dicta est: vbi solennes ludos celebrauit pro salute Cæsaris: ad quam festiuitatem magna

ἐξεκκλησιάζειν δοκῶν τὰ νόμιμα, σίμων τὴν ὄνομα τούτῳ, πλῆθος εἰς ἐκκλησίαν ἁλίσας, τηνικαῦτα τοῦ βασιλέως εἰς καισάρειαν ἐκδεδημηκότος, ἐτόλμησεν αὐτοῦ κατειπεῖν, ὡς οὐχ ὅσιος εἴη. δικαίως δ' ἂν εἴργοιτο τοῦ ναοῦ τῆς εἰσόδου προσηκούσης τοῖς ἐγγενέσι. δηλοῦται μὲν δὴ διὰ γραμμάτων ὑπὸ τοῦ στρατηγοῦ πόλεως τῷ βασιλεῖ δημηγορήσας σίμων ταῦτα. μεταπέμπεται δὲ αὐτὸν ὁ βασιλεύς, καὶ καθέζετο γὰρ ἐν τῷ θεάτρῳ τότε καθεσθῆναι παρ' αὐτὸν ἐκέλευσεν, ἠρέμα τε καὶ πρᾴως, εἰπέ μοι, φησίν, τί τῶν ἐνθάδε γινομένων ἐστὶ παράνομον; ὁ δὲ εἰπεῖν ἔχων οὐδέν, τυχεῖν ἐδεῖτο συγγνώμης. ἀλλὰ βασιλεὺς αὐτὸν ἢ προσεδόκησέ τις διηλλάττετο, τὴν πρᾳότητα κείνων βασιλικωτέραν ὀργῆς, καὶ πρέπειν εἰδὼς τοῖς μεγέθεσι θυμοῦ πλέον ἐπιείκειαν. τὸν σίμωνα γοῦν, καὶ δωρεᾶς τινὸς ἀξιώσας, ἀπεπέμψατο. πολλοῖς δὲ κατασκευάσας πολλὰ βηρυτίους ἐξαιρέτως ἐτίμησεν. θέατρον γὰρ αὐτοῖς κατεσκεύασε, πολυτελείᾳ τε καὶ κάλλει πολλῶν διαφέρον, ἀμφιθέατρον δὲ πολλῶν ἀναλωμάτων, βαλανεῖα πρὸς τούτοις, καὶ στοὰς ἐν οὐδενὶ τῶν ἔργων στενότητι δαπανημάτων, ἢ τὸ κάλλος ἀδικήσας, ἢ τὸ μέγεθος. ἐπεδαψιλεύσατο δὲ αὐτῶν τὴν καθιέρωσιν μεγαλοπρεπῶς, ἐν τῷ θεάτρῳ μὲν θεωρίας ἐπιτελῶν, πάνθ' ὅσα μουσικῆς ἔργα παράγων, καὶ ποικίλης ποιητικὰ τέρψεως, ἐν δὲ τῷ ἀμφιθεάτρῳ πλήθει μονομάχων, τὴν αὐτοῦ δεικνὺς μεγαλόνοιαν. ἔνθα καὶ τὴν κατὰ πλῆθος ἀντίταξιν βουληθεὶς γενέσθαι τῶν θεωμένων τέρψιν, ἑπτακοσίους ἄνδρας ἑπτακοσίοις μαχησομένους ἔπεμψε, κακούργους ὅσους εἶχεν ἀποτάξας εἰς τήνδε τὴν πρᾶξιν, ἵνα οἱ μὲν κολασθῶσι, τὸ πολέμου δὲ ἔργον γένηται τέρψις εἰρήνης. τούτους μὲν δὴ πάντας πανωλεθρίᾳ διέφθειρεν. ἐν βηρυτῷ δὲ τελέσας τὰ προειρημένα, μετῆλθεν εἰς τιβεριάδα πόλιν τῆς γαλιλαίας. ἦν δὲ ἄρα τοῖς ἄλλοις βασιλεῦσι περίβλεπτος. ἧκε γοῦν παρ' αὐτὸν κομμαγηνῆς βασιλεὺς ἀντίοχος, ἐμεσῶν σαμψιγέραμος, καὶ κότυς, τῆς μικρᾶς ἀρμενίας οὗτος ἐβασίλευσε, καὶ πολέμων τὴν πόντου κεκτημένος δυναστείαν. ἡρώδης τε, οὗτος ἀδελφὸς ἦν αὐτοῦ, ἦρχε δὲ τῆς χαλκίδος. ὡμίλησε δὲ πᾶσι κατὰ τὰς ὑποδοχάς, καὶ φιλοφρονήσεις ὡς μάλιστα διαδείξεως φρονήσεως ὕψος, καὶ διὰ τοῦτο γε δοκεῖν δικαίως τῆς τοῦ βασιλέως παρουσίας τετιμῆσθαι. ἀλλὰ γὰρ τούτων διατριβόντων ἔτι παρ' αὐτῷ μάρσος ὁ τῆς συρίας ἡγεμὼν παρεγένετο. πρὸς ῥωμαίους οὖν τιμητικὸν τηρῶν, ὑπαντησόμενος αὐτῷ τῆς πόλεως ἀπωτέρω σταδίοις ἑπτά, προῆλθεν ὁ βασιλεύς. τοῦτο δὲ ἄρα ἔμελλεν τῆς πρὸς μάρσον ἀρχὴ γενέσθαι διαφορᾶς, συγκαθεζόμενος ἐπὶ τῆς ἀπήνης, ἀπηγγέλλετο τοὺς ἄλλους βασιλέας. μάρσῳ δὲ ἡ τούτων ὁμόνοια καὶ μέχρι τοσοῦδε φιλία πρὸς ἀλλήλους ὑπωπτεύθη, συμφέρειν οὐχ ὑπολαμβάνοντι ῥωμαίοις δυναστῶν τοσούτων συμφρόνησιν. εὐθὺς οὖν ἑκάστῳ τῶν ἐπιτηδείων τινὰς πέμπων ἐπέστελλεν ἐπὶ τὰ ἑαυτοῦ δίχα μελλήσεως ἀπέρχεσθαι. ταῦτα ἀγρίππας ἀνιαρῶς ἐξεδέχετο. καὶ μάρσῳ μὲν ἐκ τούτου διαφόρως εἶχε. τὴν ἀρχιερωσύνην δὲ ματθίαν ἀφελόμενος, ἀντ' αὐτοῦ κατέστησεν ἀρχιερέα ἀλιωναῖον τὸν τοῦ κιθαίου παῖδα. τρίτον δὲ ἔτος αὐτῷ βασιλεύοντι τῆς ὅλης ἰουδαίας πεπλήρωτο, καὶ παρῆν εἰς πόλιν καισάρειαν, ἣ πρότερον στράτωνος πύργος ἐκαλεῖτο. συνετέλει δὲ ἐνταῦθα θεωρίας εἰς τὴν καίσαρος τιμὴν ὑπὲρ τῆς ἐκείνου σωτηρίας ἑορτήν τινα ταύτην ἐπιστάμενος,

καὶ

καὶ παρ' αὐτὸν ἤθροιστο τῶν κατὰ τὴν ἐπαρχίαν ἐν τέλει καὶ προβεβηκότων εἰς ἀξίαν πλῆθος. δευτέρᾳ δὴ τῶν θεωριῶν ἡμέρᾳ στολὴν ἐνδυσάμενος ἐξ ἀργύρου πεποιημένην πᾶσαν, ὡς θαυμάσιον ὑφὴν εἶναι, παρῆλθεν εἰς τὸ θέατρον ἀρχομένης ἡμέρας. ἔνθα τῶν πρώταις τῶν ἡλιακῶν ἀκτίνων ἐπιβολαῖς ὁ ἄργυρος καταυγασθεὶς, θαυμασίως ἀπέστιλβε μαρμαίρων τι φοβερὸν, καὶ τοῖς εἰς αὐτὸν ἀτενίζουσι φρικῶδες. εὐθὺς δὲ οἱ κόλακες τὰς οὐδ' ἐκείνῳ πρὸς ἀγαθοῦ, ἄλλος ἄλλοθεν ἀνεβόων, θεὸν προσαγορεύοντες, εὐμενής τε εἴης ἐπιλέγοντες, εἰ καὶ μέχρι νῦν ὡς ἄνθρωπον ἐφοβήθημεν, ἀλλὰ τοὐντεῦθεν κρείττονά σε θνητῆς φύσεως ὁμολογοῦμεν. οὐκ ἐπέπληξε τούτοις ὁ βασιλεὺς, οὐδὲ τὴν κολακείαν ἀσεβοῦσαν ἀπετρίψατο. ἀνακύψας οὖν μετ' ὀλίγον τὸν βουβῶνα τῆς ἑαυτοῦ κεφαλῆς ὑπερκαθεζόμενον εἶδεν ἐπὶ σχοινίου τινὸς, ἄγγελον. τοῦτον εὐθὺς ἐνόησεν κακῶν εἶναι τὸν καί ποτε τῶν ἀγαθῶν γενόμενον, καὶ διακάρδιον ἔσχεν ὀδύνην. ἀθρόον δ' αὐτοῦ τῆς κοιλίας προσέφυσεν ἄλγημα, μετὰ σφοδρότητος ἀρξάμενον. ἀναθεωρῶν οὖν πρὸς τοὺς φίλους, ὁ θεὸς ὑμῖν ἐγώ φησιν ἤδη καταστρέφειν ἐπιτάττομαι τὸν βίον, παραχρῆμα τῆς εἱμαρμένης τὰς ἄρτι μου κατεψευσμένας φωνὰς ἐλεγχούσης. ὁ κληθεὶς ἀθάνατος ὑφ' ὑμῶν ἤδη θανεῖν ἀπάγομαι. δεκτέον δὲ τὴν πεπρωμένην ᾗ θεὸς βεβούληται. καὶ γὰρ βεβιώκαμεν οὐδαμῇ φαύλως, ἀλλ' ἐπὶ τῆς μακαριζομένης λαμπρότητος. ταῦτα λέγων ἐπιτάσει τῆς ὀδύνης κατεπονεῖτο. μετὰ σπουδῆς οὖν εἰς τὸ βασίλειον διεκομίσθη, καὶ διῆξε λόγος εἰς πάντας, ὡς ἔχοι τεθνάναι παντάπασι μετ' ὀλίγον. ἡ πληθὺς δὲ αὐτίκα σὺν γυναιξὶ καὶ παισὶν ἐπὶ σάκκον καθεσθεῖσα τῷ πατρίῳ νόμῳ τὸν θεὸν ἱκέτευεν ὑπὲρ τοῦ βασιλέως. οἰμωγῆς δὲ πάντα ἦν ἀνάπλεα καὶ θρήνων. ἐν ὑψηλῷ δὲ ὁ βασιλεὺς δωματίῳ κατακείμενος, καὶ κάτω βλέπων αὐτοὺς πρηνεῖς προσπίπτοντας, ἄδακρυς οὐδὲ αὐτὸς ἔμενε. συνεχῶς δὲ ἐφ' ἡμέρας πέντε τῷ τῆς γαστρὸς ἀλγήματι διεργασθεὶς τὸν βίον κατέστρεψεν, ἀπὸ γενέσεως ἄγων πεντηκοστὸν ἔτος καὶ τέταρτον. τῆς βασιλείας δὲ ἕβδομον. τέτταρας μὲν οὖν ἐπὶ γαΐου καίσαρος ἐβασίλευσεν ἐνιαυτοὺς, τῆς φιλίππου μὲν τετραρχίας εἰς τριετίαν ἄρξας, τῷ τετάρτῳ δὲ, καὶ τὴν ἡρώδου προσειληφὼς, τρεῖς δ' ἐπιλαβὼν τῆς κλαυδίου καίσαρος αὐτοκρατορίας, ἐν οἷς τῶν τε προειρημένων ἐβασίλευσε, καὶ τὴν ἰουδαίαν προσέλαβε, σαμάρειάν τε καὶ καισάρειαν. προσωδεύσατο δὲ ὅτι πλείστους αὐτῶν προσφορὰς διακοσίας ἐπὶ χιλίαις μυριάδας. πολλὰ μέν τοι προσεδανείσατο. τὸ γὰρ φιλόδωρος εἶναι δαψιλέστερα τῶν προσιόντων ἀνήλισκεν. ἦν δὲ ἀφειδὲς αὐτοῦ τὸ φιλότιμον. ἀγνοουμένης γε μὴν τοῖς πλήθεσι τῆς ἐκπνοῆς αὐτοῦ, συμφρονήσαντες ἡρώδης τε ὁ τῆς χαλκίδος δυναστεύων, καὶ ἑλκίας ὁ ἔπαρχος, καὶ φίλος τοῦ βασιλέως, ἀρίστωνα ἔπεμψαν ὑπηρετῶν τὸ ἐπιτήδειον, καὶ σίλαν, ἐχθρὸς γὰρ ἦν αὐτοῖς, ἀπέσφαξεν ὡς δὴ τοῦ βασιλέως κελεύσαντος. ἀγρίππας μὲν οὖν ὁ βασιλεὺς, τρόπῳ τοιούτῳ κατέστρεψε τὸν βίον. γένος δ' αὐτοῦ καταλέλειπτο, υἱὸς μὲν ἀγρίππας ἄγων ἔτος ἑπτακαιδέκατον. τρεῖς δὲ θυγατέρες, ὧν ἡ μὲν ἡρώδῃ τῷ πατρὸς ἀδελφῷ γεγάμητο βερνίκη, τὸ ἑκκαιδέκατον ἔτος γεγονυῖα. παρθένοι δὲ ἦσαν αἱ δύο, μαριάμμη τε καὶ δρούσιλλα, δεκαέτης μὲν ἡ ἑτέρα, ἑξαέτης δὲ δρούσιλλα. καθωμολόγητο δὲ ὑπὸ τοῦ πατρὸς πρὸς γάμον. ἰουλίῳ

A multitudo nobilium ac procerum conuenerat ex tota prouincia, eius celebritatis die secunda processit mane in theatrum, amictus veste tota ex argento mirabili opere contexta, quæ radiis exorientis solis percussa & diuinum quendam fulgorem emittens, venerationem cum honore incutiebat spectantibus. móxque adulatores perniciosi aliunde acclamantes, Deum consultabant, rogantes vt faueret propitius. B hactenus enim, vt hominem reueritos, nunc agnoscere & fateri in eo quiddam mortali natura excellentius. hanc impiam adulationem ille nec castigauit, nec repulit: paulóque pòst suspiciens vidit supra caput suum bubonem funi extento insidentem: móxque, vt sensit hunc esse calamitatis nuncium qui olim felicitatis fuerat, ex intimis præcordiis indoluit. secuta sunt ventris tormina, statim à principio vehementia. conuersis igitur in amicos oculis: En, inquit, ego ille vestra ap-C pellatione Deus vitam relinquere iubeor, fatali necessitate coarguente vestrum mendacium. & quem immortalem salutastis, ad mortem rapior: Sed ferenda est voluntas cælestis numinis. neque enim malè viximus, imò tanta felicitate, vt omnes me beatum prædicent. hæc locutus crescente dolore discruciabatur. properè igitur relato in regiam rumor sparsus est breui esse moriturum. quamobrem confestim totus populus vnà cum vxoribus atque D liberis saccum indutus more patrio supplicabat Deo pro salute regis, omnia miscens lamentis & eiulatibus. Rex autem in celsiore decumbens cubiculo, & in faciem stratos humi prospiciens, non temperabat sibi à lacrymis. cruciatu deinde per continuos quinque dies nihil se remittente confectus vitam finiit, annum natus quartum supra quinquagesimum, postquam regnasset per septennium. quatuor enim annos sub Caio Cæsare obtinuit E regnum. primum in Philippi tetrarchia per triennium, cui quarto demum anno accessit & Herodis tetrarchia, tribus deinde annis sub Claudio Cæsare præter iam dictam ditionem in Iudæa quoque regnauit & Samaria, simúlq; Cæsarea. ex annuis autem reditibus percipiebat cum plurimum M C C. myriadas. nec his contentus, mutuum accipiebat pecunias. Cùm enim esset munificus, impensis non sufficiebant reditus, quòd liberalitatem exerceret sine F parsimonia. Cæterùm priusquam euulgaretur regis obitus, Herodes dynasta Chalcidis, & Chelcias magister regiæ militiæ conspirantes simul Aristonem miserunt, qui Silam communem amborum inimicum interficeret: quasi hoc à rege mandatum acceperit. Atque hic fuit Agrippæ regis exitus. IX. Superstites autem ei fuerant, filius quidem vnus Agrippa annum agens decimumseptimum: filiæ verò tres. ex quibus Bernice nupta erat Hero-G di patruo, nata annos sexdecim: reliquæ duæ tum etiam virgines erant, Mariamne & Drusilla, hæc septennis à patre desponsata Iulio

Archelao Chelciæ filio, illa decennis Epiphani filio Comagenorum regis Antiochi. Postquam autem cognitum est excessisse Agrippã, Cæsarienses & Sebasteni beneficiorum eius obliti pessimam ei retulerunt gratiam, conuitia non dicenda iactantes in defunctum: militum quoque vulgus, qui tum fortè aderant, protractas è palatio filiarum statuas vnanimiter detulerunt in lupanaria, eísque vt poterant illudebant modis quos turpe sit eloqui: instructísque per loca publica epulis conuiuia celebrabant coronis redimiti & delibuti vnguentis, libantes interim Charoni, & sibi inuicem propinantes præ gaudio quod ex obitu regis conceperant. Atque hæc agentibus nec Agrippæ recentia merita succurrebant, nec auus eius Herodes vrbium illarum conditor, quas portubus & templis magnificentissimè ornauerat. Filius porrò defuncti Agrippa Romæ erat eo tempore, educabatúrq; apud Claudium Cæsarem. qui audito Agrippæ obitu, & contumeliis quibus eum Cæsarienses ac Sebasteni post mortem affecerant, illius quidem causa indoluit, ingratis autem populis vehementer iratus est. confestim igitur voluit successorem paterni regni Agrippam iuniorem mittere, simul vt iureiurando satisfaceret. Sed liberti & amici qui multum apud eum poterant dissuaserunt: negantes tutum admodum adolescenti & vixdum egresso pueritia tantum regnum committere. cui administrando sit impar, quódque etiam viriles grauare possit humeros. cúmque visi essent æquum dicere, Cæsar præsidem Iudææ totiúsque regni misit Cuspium Fadum, defuncto hoc honoris tribuens, ne Marsum inimicum in regnum eius induceret. Ante omnia autem Fado iniunxit, vt Cæsarienses & Sebastenos acriter castigaret, propter inflictam mortuo iniuriam contumeliásque illatas adhuc iuuenibus. alam verò Cæsariensium & Sebastenorum cum quinque illis cohortibus ablegaret in Pontum illic militaturas: militésque è Romanis legionibus Syriam tuentibus delectos in eorum locum substitueret. nec tamen ei iussioni satisfactum est. missa enim legatione flexerunt Claudium, vt manere eos in Iudæa permitteret: qui sequentibus temporibus maximarum calamitatum Iudæis fuerunt initium, & seminarium belli exorti Floro præside. quamobrem Vespasianus victor, vt paulò pòst dicetur, eos ex illa regione aliò transtulit.

μὲν ἀρχελάῳ τῷ χελκίου παιδὶ μαριάμμη, δρούσιλλα δὲ ἐπιφανεῖ, τῷ δὲ τοῦ κομμαγηνῆς βασιλέως υἱὸς ἦν ἀντιόχου. ἀλλὰ γὰρ ὅτε ἐγνώσθη τὸν βίον ἐκλιπὼν ἀγρίππας, καισαρεῖς, καὶ σεβαστηνοὶ τῆς εὐποιΐας αὐτοῦ λαθόμενοι, τὰ τῶν δυσμενεστάτων ἐποίησαν. βλασφημίας τε γὰρ ἀπέρριπτον εἰς τὸν κατοιχόμενον ἀπρεπεῖς λέγεσθαι, καὶ ὅσοι στρατευόμενοι τότε ἔτυχον, συχνοὶ δὲ ἦσαν, οἴκαδε ἀπῆλθον, καὶ τοὺς ἀνδριάντας τῶν τοῦ βασιλέως θυγατέρων ἁρπάσαντες ὁμοθυμαδὸν, ἐκόμισαν εἰς τὰ πορνεῖα, καὶ στήσαντες ἐπὶ τῶν τεγῶν, ὡς δυνατὸν ἦν ἐφύβριζον, ἀσχημονέστερα διηγήσεως δρῶντες. ἔν τε τοῖς δημοσίοις κατακλινόμενοι τόποις, πανδήμους ἑστιάσεις ἐπετέλουν, στεφανούμενοι, καὶ μυριζόμενοι, καὶ σπένδοντες τῷ χάρωνι, προπόσεις τε τῆς τοῦ βασιλέως ἐκπνοῆς ἀλλήλοις ἀνταποδιδόντες. ἀμνήμονες δὲ ἦσαν οὐκ ἀγρίππα μόνον χρησαμένου πολλαῖς εἰς αὐτοὺς φιλοτιμίαις, καὶ τοῦ πάππου δὲ ἡρώδου, ὅτι τὰς πόλεις ἐκεῖνος αὐτοῖς ἔκτισε, λιμένας τε καὶ ναοὺς κατεσκεύασε λαμπροῖς δαπανήμασιν. ὁ δὲ τοῦ τεθνεῶτος υἱὸς ἀγρίππας, ἐπὶ ῥώμης ἐν τῷ χρόνῳ τούτῳ, τρεφόμενος παρὰ κλαυδίῳ καίσαρι. πυθόμενός γε μὴν καῖσαρ ὅτι τέθνηκε μὲν ἀγρίππας, σεβαστηνοὶ δὲ καὶ καισαρεῖς ὑβρίκασιν εἰς αὐτὸν, ἐπ' ἐκείνῳ μὲν ἤλγησεν. ἐπὶ δὲ τοὺς ἀχαριστήσαντας ὠργίσθη. πέμπειν οὖν εὐθέως ὥρμητο τὸν νεώτερον ἀγρίππαν τὴν βασιλείαν διαδεξόμενον ἅμα βουλόμενος ἐμπεδοῦν τοὺς ὠμοσμένους ὅρκους. ἀλλὰ τῶν ἐξελευθέρων, καὶ φίλων οἱ πολὺ παρ' αὐτῷ δυνάμενοι ἀπέτρεψαν, σφαλερὸν εἶναι λέγοντες, κομιδῇ νέῳ μηδὲ τοὺς παιδὸς ἐκβεβηκότι χρόνους ἐπιτρέπειν βασιλείας τηλικοῦτον μέγεθος, ᾧ μὴ δυνατὸν τὰς τῆς διοικήσεως φροντίδας ἐνεγκεῖν, καὶ τελείῳ δὲ εἶναι βαρὺ βάσταγμα βασιλείαν. ἔδοξεν οὖν αὐτοῖς εἰκότα λέγειν ὁ καῖσαρ. ἔπαρχον οὖν τῆς ἰουδαίας καὶ τῆς ἁπάσης βασιλείας ἀπέστειλε κούσπιον φάδον, τῷ κατοιχομένῳ διδοὺς τιμὴν τὸ μὴ μάρσον ἐπαγαγεῖν εἰς βασιλείαν αὐτῷ διάφορον. ἐγνώκει δὲ πρὸ πάντων ἐπιστεῖλαι τῷ φάδῳ καισαρεῦσι, καὶ σεβαστηνοῖς ἐπιπλῆξαι τῆς εἰς τὸν κατοιχόμενον ὕβρεως, καὶ παροινίας εἰς τὰς ἔτι ζώσας. τὴν ἴλην δὲ τῶν καισαρέων, καὶ τῶν σεβαστηνῶν, καὶ τὰς πέντε σπείρας εἰς πόντον μεταγαγεῖν, ἵνα ἐκεῖ στρατεύοιντο. τῶν δὲ ἐν συρίᾳ ῥωμαϊκῶν ταγμάτων ἐπιλέξαι στρατιώτας κατ' ἀριθμοὺς, καὶ τὸν ἐκείνων ἀναπληρῶσαι τόπον. οὐ μὴν οἱ κελευσθέντες μετέστησαν. πρεσβευσάμενοι γὰρ, κλαύδιον ἀπεμειλίξαντο, καὶ μένειν ἐπὶ τῆς ἰουδαίας ἐπέτυχον, οἳ καὶ τοῖς ἐπιοῦσι χρόνοις τῶν μεγίστων ἰουδαίοις ἐγένοντο συμφορῶν ἀρχὴ τοῦ κατὰ φλῶρον πολέμου σπέρματα λαβόντος. ὅθεν οὐεσπασιανὸς κρατήσας ὡς μετ' ὀλίγον ἐροῦμεν, ἐξήγαγεν αὐτοὺς τῆς ἀρχῆς.

ΤΑΔΕ

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩ ΕΙΚΟΣΤΩ ΛΟΓΩ ΤΩΝ Ιωσήπου ἱστοριῶν τῆς ἰουδαϊκῆς ἀρχαιολογίας.

Στάσις φιλαδελφέων πρὸς τοὺς ἐν τῇ περαίᾳ κατοικοῦντας ἰουδαίους. καὶ περὶ τῆς ἱερᾶς στολῆς. Κεφ. α.

Ον τρόπον ἑλένη τῶν ἀδιαβηνῶν βασιλὶς, καὶ οἱ παῖδες αὐτῆς μονόβαζος καὶ ἰζάτης, καὶ τὸ πᾶν γένος αὐτῶν ἐζήλωσαν τὰ ἰουδαίων ἔθη. Κεφ. β.

Ως τιβέριος ἀλέξανδρος ἐπίτροπος τῆς ἰουδαίας τοὺς υἱοὺς ἰούδα τοῦ γαλιλαίου τὸν ὄχλον ἀπατῶντας ἐκόλασε. Κεφ. γ.

Ως ἐπὶ τούτου πολλοὶ τῶν ἰουδαίων κατὰ τὸ ἱερὸν ἀπώλοντο. Κεφ. δ.

Στάσις ἰουδαίων πρὸς σαμαρεῖς. Κεφ. ε.

Περὶ τῶν τοῦ φήλικος πράξεων. Κεφ. ϛ.

Περὶ πορκίου φήστου ἐπιτρόπου, καὶ περὶ τῶν σικαρίων. Κεφ. ζ.

Περὶ ἀλβίνου ἐπιτρόπου. Κεφ. η.

Ως φλῶρος ἐλθὼν ἀλβίνῳ διάδοχος τοσαῦτα διέθηκε τοὺς ἰουδαίους κακὰ, ὡς ἀναγκάσαι αὐτοὺς ἐφ' ὅπλα χωρῆσαι. Κεφ. θ.

HÆC IN IOSEPHI VICESIMO ANTIQVITATVM Iudaicarum libro continentur.

Contentio Philadelphensium aduersus Iudæos trans amnem Iordanem habitantes. déque sacra stola sacerdotali. Cap. I.

Quomodo Helena Adiabenorum regina, & eius filij Monobazus & Isates, atque horum cognati religionem Iudaicam complexi sunt. Cap. II.

Quomodo Tiberius Alexander procurator Iudææ filios Iudæ Galilæi puniit. Cap. III.

Quomodo plurimi Iudæorum circa templum oppressi sunt. Cap. IV.

Seditio inter Samaritas & Iudæos orta. Cap. V.

Gesta Felicis Iudęæ pręsidis. Cap. VI.

De procuratore Porcio Festo, & de sicariis. Cap. VII.

De procuratore Albino. Cap. VIII.

Quomodo Florus Albini successor tantis Iudæos affecerit iniuriis, vt coacti sint arma sumere. Cap. IX.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΙΚΗΣ ΑΡΧΑΙΟΛΟΓΙΑΣ

ΛΟΓΟΣ ΕΙΚΟΣΤΟΣ.

FLAVII IOSEPHI ANTIQVITATVM IVDAICARVM

LIBER VICESIMVS.

Cap. I.

Philadelphensium & Iudæorum dißidium, déque stola sacerdotali.

Defuncto rege Agrippa, sicut superiore volumine diximus, Claudius Cæsar misit successorem Marso Cassium Lõginum, memoriæ regis amici hoc tribuens, à quo viuo adhuc per literas sępe rogatus fuerat, vt Marsum amoueret ab administratione rerum Syriæ. Fadus autem qui procurator Cæsaris in Iudæam venit, offendit Iudęos trans amnem Iordanem habitantes contendere cum Philadelphensibus de Mię vici finibus, referti viris bellicosissimis. Ceperant autem arma transamnẽses sine consensu primatum & magistratuum, multósq; Philadelphensium interfecerant. His cognitis Fadus vehementer iratus est, quòd non expectassent suum iudicium, si putabant sibi factam à Philadelphensibus iniuriam, sed ita temerè ad arma concurrissent. Comprehensis igitur tribus præcipuis seditionis autoribus vinciri eos mandauit. horum vnum Annibam nomine affecit supplicio, reliquos duos Amaramum & Eleazarum exilio puniit. Nec ita multò pòst capitis damnauit Tholomeum latronum principem vinctum ad se perductum, qui plurima damna intulerat Idumæis & Arabibus: dedítque operam, vt tota Iudæa purgaretur à latrociniis. Accitis deinde põtificibus & Hierosolymitanorum primatibus, mandatum Cæsaris eis exposuit, vt talarem tunicam, & sacerdotalem stolam, quam solum summum pontificem inducere fas est, in castellum Antoniam deponerent, vt esset in Romanorum potestate quemadmodum olim fuerat. Illi non audentes contradicere, rogabant tamen Fadum & Longinum (venerat & ipse Hierosolyma cum copiis, timens ne ad Fadi postulata Iudæi molirentur noui aliquid) primũ, vt legatos sibi ad Cæsarẽ liceat mittere,

Κεφάλαιον α'.

Στάσις φιλαδελφέων πρὸς ἰουδαίους, καὶ περὶ τῆς ἱερᾶς στολῆς.

A Τελευτήσαντος δὲ τοῦ βασιλέως ἀγρίππα, καθὼς ἐν τῇ πρὸ ταύτης ἀπηγγέλκαμεν βίβλῳ, πέμπει μάρσῳ διάδοχον κλαύδιος καῖσαρ κάσσιον λογγῖνον μνήμῃ τοῦ βασιλέως τοῦτο χαριζόμενος, πολλὰ διὰ γραμμάτων ὑπ' αὐτοῦ ζῶντος ἀξιωθεὶς, μηκέτι B μάρσον τῶν κατὰ τὴν συρίαν πραγμάτων προΐστασθαι. φάδος δὲ ὡς εἰς τὴν ἰουδαίαν ἐπίτροπος ἀφίκετο, καταλαμβάνει στασιάσαντας τοὺς εἰς τὴν περαίαν κατοικοῦντας ἰουδαίους, πρὸς φιλαδελφηνοὺς περὶ ὅρων κώμης μιᾶς λεγομένης πολεμικῶν ἀνδρῶν ἀνάπλεω. καὶ δὴ οἱ τῆς περαίας χωρὶς γνώμης τῶν πρώτων παρ' αὐτοῖς ἀναλαβόντες τὰ ὅπλα, πολλοὺς τῶν φιλαδελφηνῶν διαφθείρουσι. ταῦτα πυθόμενον τὸν φάδον, σφόδρα παρώξυνεν, ὅτι μὴ τὴν κρίσιν αὐ- C τῷ παραλείποιεν, εἴπερ ὑπὸ τῶν φιλαδελφηνῶν ἐνόμιζον ἀδικεῖσθαι, ἀλλ' ἀδεῶς ἐφ' ὅπλα χωρήσειαν. λαβὼν οὖν τρεῖς τοὺς πρώτους αὐτῶν, τοὺς καὶ τῆς στάσεως αἰτίους, δῆσαι προσέταξεν. εἶτα τὸν μὲν αὐτῶν, ἀνεῖλεν, ἀννίβας δὲ ἦν ὄνομα τούτῳ. ἀμάραμον δὲ καὶ ἐλεάζαρον τοῖς δυσὶ, φυγὴν ἐπέλαβεν. ἀναιρεῖται δὲ καὶ θολομαῖος ὁ ἀρχιλῃστὴς μετ' οὐ πολὺ χρό- D νον, ἀχθεὶς δέσμιος ὑπ' αὐτὸν, διαπεθεικὼς μέγιστα κακὰ τὴν ἰδουμαίαν καὶ τοὺς ἄραβας. ἐκαθάρθη τε λῃστηρίων ἅπασα τουντεῦθεν ἡ ἰουδαία, φροντίδι καὶ προνοίᾳ τῇ φάδου. ὃς δὴ καὶ τότε μεταπεμψάμενος τοὺς ἀρχιερεῖς, καὶ τοὺς πρώτους ἱεροσολυμιτῶν, κατὰ τὴν κέλευσιν τοῦ αὐτοκράτορος, παρῄνεσεν αὐτοῖς τὸν ποδήρη χιτῶνα, καὶ τὴν ἱερὰν στολὴν ἣν φορεῖν μόνος ὁ ἀρχιερεὺς ἔθος ἔχει, εἰς τὴν ἀντωνίαν, ἥπερ ἐστὶ φρούριον καταθέσθαι, κει- E σομένην ὑπὸ τῇ ῥωμαίων ἐξουσίᾳ, καθὰ δὴ καὶ πρότερον ἦν. οἱ δὲ ἀντιλέγειν μὲν οὐκ ἐτόλμων, παρεκάλουν δὲ ὅμως τόν τε φάδον, καὶ τὸν λογγῖνον. ἀφίκετο γὰρ καὶ οὗτος εἰς τὰ ἱεροσόλυμα, πολλὴν ἐπαγόμενος δύναμιν, φόβῳ τοῦ μὴ τὰ προστάγματα φάδου τὸ πλῆθος τῶν ἰουδαίων νεωτερίζειν ἀναγκάσῃ. πρῶτον μὲν αὐτοῖς ἐπιτρέψαι πρέσβεις ὡς καίσαρα πέμψαι

τοὺς

τοὺς αἰτησομένους παρ' αὐτοῦ τὴν ἱερὰν στολὴν ὑπὸ τὴν αὐτῶν ἐξουσίαν ἔχειν. εἶτα δὲ περιμεῖναι, ἕως ἂν γνῶσι, τί πρὸς ταῦτα Κλαύδιος ἀποκρίνεται. οἱ δὲ ἐπιτρέψειν αὐτοῖς ἔφασαν ἀποστεῖλαι τοὺς πρέσβεις εἰ λάβοιεν τοὺς παῖδας ὁμηρεύοντας. ὑπακουσάντων δὲ ἑτοίμως ἐκείνων καὶ δόντων, ἐξεπέμφθησαν οἱ πρέσβεις. παραγενομένων δὲ εἰς τὴν ῥώμην αὐτῶν, γνοὺς ὁ νεώτερος ἀγρίππας ὁ τοῦ τετελευτηκότος παῖς, καθ' ἣν ἥκουσιν αἰτίαν, ἐτύγχανε δὲ ὢν παρὰ κλαυδίῳ καίσαρι, καθὼς καὶ πρότερον εἴπομεν, παρακαλεῖ τὸν καίσαρα συγχωρῆσαι τοῖς ἰουδαίοις ἅπερ ἠξίουν περὶ τῆς ἱερᾶς στολῆς, καὶ φάδῳ περὶ τούτων ἀποστεῖλαι. καλέσας δὲ κλαύδιος τοὺς πρέσβεις, ἔφη ταῦτα συγχωρεῖν, καὶ ἐκέλευεν αὐτοὺς ἀγρίππᾳ χάριν εἰδέναι, ταῦτα γὰρ ἐκείνου ποιεῖν ἀξιώσαντος. ἐπί τε ταῖς ἀποκρίσεσι τοιαύτην ἐπιστολὴν ἔδωκε. κλαύδιος καῖσαρ γερμανικὸς δημαρχικῆς ἐξουσίας, τὸ πέμπτον ὕπατος ἀποδεδειγμένος, τὸ τέταρτον αὐτοκράτωρ, τὸ δέκατον πατὴρ πατρίδος, ἱεροσολυμιτῶν ἄρχουσι, βουλῇ, δήμῳ, ἰουδαίων παντὶ ἔθνει χαίρειν. ἀγρίππα τοῦ ἐμοῦ, ὃν ἐγὼ ἔθρεψα, καὶ ἔχω σὺν ἐμαυτῷ εὐσεβέστατον ὄντα, προσαγαγόντος μοι τοὺς ὑμετέρους πρέσβεις εὐχαριστοῦντας ἐφ' ᾗ πεποίημαι τοῦ ἔθνους ὑμῶν κηδεμονίᾳ, καὶ αἰτησαμένων σπουδαίως καὶ φιλοτίμως τὴν ἱερὰν ἐσθῆτα, καὶ τὸν στέφανον ὑπὸ τὴν ἐξουσίαν ὑμῶν εἶναι, συγχωρῶ, καθὼς ὁ κράτιστος καί μοι τιμιώτατος οὐιτέλλιος ἐποίησε. συγκατεθέμην δὲ τῇ γνώμῃ ταύτῃ πρῶτον διὰ τὸ ἐμαυτοῦ εὐσεβὲς, καὶ τὸ βούλεσθαι ἑκάστους κατὰ τὰ πάτρια θρησκεύειν. ἔπειτα εἰδὼς ὅτι, καὶ αὐτῷ βασιλεῖ ἡρώδῃ, καὶ ἀριστοβούλῳ τῷ νεωτέρῳ, ὧν τὴν πρὸς ἐμαυτὸν εὐσέβειαν, καὶ τὴν περὶ ἡμᾶς γνησίαν σπουδὴν, πάνυ χαιροῦμαι ταῦτα ποιήσας, πρὸς οὓς ἔστι μοι πλεῖστα δίκαια φιλίας κρατίστους ὄντας κἀμοὶ τιμίους. ἔγραψα δὲ περὶ τούτων, καὶ κουσπίῳ φάδῳ τῷ ἐμῷ ἐπιτρόπῳ. οἱ τὰ γράμματα κομίζοντες κορνήλιος κέρωνος, τρύφων θευδίωνος, δωρόθεος ναθαναήλου, ἰωάννης ἰωάννου. ἐγράφη πρὸ τεσσάρων καλανδῶν ἐπὶ ὑπάτου ῥούφου, καὶ πομπηίου σιλουανοῦ. ἠτήσατο δὲ καὶ ἡρώδης ὁ ἀδελφὸς μὲν ἀγρίππου τοῦ τετελευτηκότος, χαλκίδος δὲ τὴν ἀρχὴν κατὰ τὸν χρόνον ἐκεῖνον πεπιστευμένος, κλαύδιον καίσαρα τὴν ἐξουσίαν τοῦ νεοῦ, καὶ τῶν ἱερῶν χρημάτων, καὶ τὴν τῶν ἀρχιερέων χειροτονίαν. πάντων τε ἐπέτυχεν, ἐξ ἐκείνου τε πᾶσι τοῖς ἀπογόνοις αὐτοῦ παρέμεινεν ἡ ἐξουσία μέχρι τῆς τοῦ πολέμου τελευτῆς. καὶ δὴ ὁ ἡρώδης, μεθίστησι τῆς ἀρχιερωσύνης τὸν ἐπικαλούμενον κανθήραν, ἰωσήπῳ τῷ τοῦ κανεῖ ἀντ' ἐκείνου τὴν διαδοχὴν τῆς τιμῆς παρασχόμενος.

qui ab eo petant sacræ stolæ seruandæ ius: deinde, vt expectetur super ea postulatione rescriptum illius. Responsum est permissuros, vt legati mittantur, si priùs darentur obsides. Quúmque promptè liberos suos dedissent, legati profecti sunt. Qui postquam Romam peruenerunt, Agrippa iunior defuncti filius, qui tum fortè apud Claudium agebat, vt diximus, cognito qua de causa venissent, rogauit Cæsarem, vt Iudæis sacræ stolæ custodiam petentibus annuere dignetur: & Fado super eo negotio scribere. Tum Cæsar vocatis ad se legatis, ait se hoc eis concedere, iubens, vt Agrippæ gratiam habeant. hoc enim se illius donare precibus. cui responso talem epistolam addidit: Claudius Cæsar Germanicus trib. pot. v. Cos. designatus IIII. Imp. X P. P. Hierosolymitanorum magistratibus, senatui & populo, totique Iudæorum genti salutem. Quoniam Agrippa alumnus meus piissimus, quem ego domi educo, adduxit ad me vestros legatos, gratias agentes, quòd sedulo genti vestræ prouideam, rogantésque enixè, vt pontificalem stolam & coronam vobis seruare liceat, concedo quod petitis, quemadmodum antè vir optimus & mihi carissimus Vitellius concesserat: vestræque voluntati annuo primùm motus pietate propria, & quia placet quemque religiosum esse more suæ patriæ: deinde, vt gratificer Herodi regi & iuniori Aristobulo, quos & mihi deuotissimos noui, & vestri studiosissimos, meritóque illorum amicitiam plurimi facio. Scripsi autem de hac re & Cuspio Fado procuratori meo per Cornelium Ceronis: Tryphonem Theudionis, Dorotheum Nathanaelis: & Ioannem Ioannis filium. Datæ quarto Calendas Iulias, Rufo & Pompeio Syluano Cos. Eodem tempore & Herodes dynasta Chalcidis, defuncti Agrippæ frater, petiit à Cæsare potestatem in templum & sacrum ærarium, iúsque eligendorum summorum pontificum: impetrauítque hæc omnia, ita vt etiam posteris eius idem ius manserit vsque ad belli Iudaici exitum. Ipse Herodes Canthara in ordinem redacto, Iosepho Canei summum pontificatum contulit.

Κεφάλαιον β'.

Ον τρόπον ἑλένη, τῶν ἀδιαβηνῶν βασιλὶς καὶ οἱ παῖδες αὐτῆς ἐζήλωσαν τὰ ἰουδαίων ἔθη.

CAP. II.

Quomodo Helena Adiabenorum regina, & eius filij religionem Iudaicam complexi sint.

Κατὰ τοῦτον δὲ τὸν καιρὸν τῶν ἀδιαβηνῶν βασιλὶς ἑλένη, καὶ ὁ παῖς αὐτῆς ἰζάτης, εἰς τὰ ἰουδαίων ἔθη τὸν βίον μετέβαλλον διὰ τοιαύτην αἰτίαν. μονοβάζος ὁ τῶν ἀδιαβηνῶν βασιλεὺς, ᾧ καὶ βαζέως ἐπίκλησις ἦν, τῆς ἀδελφῆς ἑλένης ἁλοὺς ἔρωτι τῇ πρὸς γάμου κοινωνίᾳ ἄγεται, καὶ κατέστησεν ἐγκύμονα. συγκαθεύδων δέ ποτε τῇ γαστρὶ τῆς γυναικὸς τὴν χεῖρα προσαναπαύσας, ἡνίκα καθύπνωσε, φωνῆς τινὸς ἔδοξεν ἀκούειν, κελευούσης αἴρειν ἀπὸ τῆς νηδύος τὴν χεῖρα, καὶ μὴ θλίβειν

Per idem tempus Adiabenorum regina Helena, & Izates eius filius, ad religionem Iudæorum se transtulerunt propter causam talem. Monobazus Adiabenorum rex, cognomine Bazeos, sororis amore captus, in vxorem ductam grauidã reddidit. Accidit deinde, vt vnà accubans, & manũ reclinatam habens in vxoris vterũ, vocẽ quãdã sibi videretur audire, iubẽtẽ, vt manũ à vẽtre tolleret, néve premeret

fœtum, qui vt non sine diuina prouidentia inchoatus sit, ita finem habiturus esset fortunatissimum. Hac voce ille territus, mox vt excitatus est, rem vxori indicauit: & natum eo partu filium Izatem nominauit. susceperat autem iam ante Monobazum hoc seniorem ex Helena, & alios filios ex aliis vxoribus, manifestè tamen omnem caritatem in hunc vnũ contulit: vnde exorta est germanorum inuidia, indies magis ac magis crescentibus illorum odiis, Izatem sibi præferri dolentibus. Hæc pater licèt intelligeret, ignoscebat tamen filiis, quòd is affectus non à malitia procederet, sed quisque cupiebat patri esse quàm carissimus. Izatem verò cui valde timebat à fraternis odiis, cumulatum magnis muneribus misit ad Abemerigum, regnantem tunc apud castrum quod Spasini vocant accolæ, commendans ei salutem filij. Is libenter accepit adolescentem, quem complexus singulari beneuolentia, filiam ei collocauit, cui nomen fuit Samacho: addita nomine dotis quadam regione, vnde luculentos reditus percipiebat. Porrò Monobazus iam admodum senex, videns sibi superesse modicum vitæ spacium, concupiuit videre ante suam mortem filium. Accersitum igitur filium magno affectu excepit, eique donauit regionem, quæ dicitur Cæron, amomi feracissimam. in ea seruantur arcæ reliquiæ, qua Noe fertur euasisse diluuium, ostenditúrque ibi hodie quoque videre volentibus. In hac regione Izates vixit vsque ad patris obitum. Qui postquam fato functus est, Helena regina accitis eadem die magnatibus suis & satrapis, ac præfectis militum, Non ignoratis, inquit, quòd maritus meus hæredem sui regni Izatem optauit, eúmque hoc honore indicauit dignissimum, attamen vestrũ quoque super hac re iudicium expecto. Beatus enim est non qui ab vno, sed qui plurium consensu principatum accipit. hæc illa, vt experiretur voluntatem concilij. quibus auditis proceres primùm more suo reginam adorauerunt, deinde probari sibi sententiam reginæ dixerunt, libentérque parituros Izatæ, quem scirent merito & ex communi popularium voto, patris iudicio prælatum cæteris fratribus. offerebántque suam operam, vt primùm fratres eius atque cognatos occiderent, quo securiùs nouo regi pararetur imperium. sic enim liberum fore à metu, in quo esse posset propter illorum inuidiã & odia. ad hæc Helena gratias egit pro tanta beneuolẽtia differendam tamen fratrum eius necem censuit in aduentum filij, & expectandam ipsius sententiam. Tum proceres consuluerunt, vt saltem vinctos asseruaret donec ille veniat, quo magis in tuto sit regnum Izatæ: interim aliquem cui maximè regina fideret, procuratorem regni constituendum. Paruit his Helena, & proregem fecit grandiorem filiũ Monobazũ, imposito ei

A τὸ ἐν αὐτῇ βρέφος, θεοῦ προνοίᾳ καὶ ἀρχῆς τυχὸν, καὶ τέλους εὐτυχοῦς τευξόμενον. ταραχθεὶς οὖν ὑπὸ τῆς φωνῆς, εὐθὺς διεγερθεὶς, ἔφραζε τῇ γυναικὶ ταῦτα, καὶ γενόμενον τὸν υἱὸν Ἰζάτην ἐπεκάλεσεν. ἦν δὲ αὐτῷ Μονόβαζος τούτου πρεσβύτερος ἐκ τῆς Ἑλένης γενόμενος, ἄλλοι τε παῖδες ἐξ ἑτέρων γυναικῶν. τὴν μέντοι πᾶσαν εὔνοιαν ὡς εἰς μονογενῆ τὸν Ἰζάτην ἔχων φανερὸς ἦν. φθόνος δὴ τοὐντεῦθεν τῷ παιδὶ παρὰ τῶν ὁμοπατρίων ἀδελφῶν ἐφύετο, κἀκ τούτου μῖσος

B ηὔξετο λυπουμένων ἁπάντων, ὅτι τὸν Ἰζάτην αὐτῶν ὁ πατὴρ προτιμᾷ. ταῦτα δὲ καίπερ σαφῶς αἰσθανόμενος ὁ πατὴρ, ἐκείνοις μὲν συνεγίνωσκεν, ὡς οὐ διὰ κακίαν αὐτὸ πάσχουσιν, ἀλλ' ἢ τὸ παρὰ τοῦ πατρὸς αὐτὸν ἕκαστον ἀξιοῦν εὐνοίας τυγχάνειν. τὸν δὲ Ἰζάτην, σφόδρα γὰρ ἐδεδοίκει περὶ αὐτοῦ μὴ μισούμενος ὑπὸ τῶν ἀδελφῶν πάθοι τι, πολλὰ δωρησάμενος, πρὸς Ἀβεννήριγον ἐκπέμπει τὸν Σπασίνου χάρακος βασιλέα, παρακαταθέμενος

C ἐκείνῳ τὴν τοῦ παιδὸς σωτηρίαν. ὁ δὲ Ἀβεννήριγος ἀσμένως δέχεται τὸν νεανίαν, καὶ διὰ πολλῆς ἄγων εὐνοίας, γυναῖκα μὲν αὐτῷ τὴν θυγατέρα, Σαμαχὼς δὲ ἦν ὄνομα ταύτῃ, δίδωσι. δωρεῖται δὲ χώραν ἐξ ἧς μεγάλας λήψοιτο προσόδους. Μονόβαζος δὲ ἤδη γηραιὸς ὢν, καὶ τοῦ ζῆν ὀλίγον αὐτῷ τὸν λοιπὸν ὁρῶν χρόνον, ἠθέλησεν εἰς ὄψιν ἀφικέσθαι τῷ παιδὶ πρὸ τοῦ τελευτῆσαι. μεταπεμψάμενος οὖν αὐτὸν,

D ἀσπάζεται φιλοφρονέστατα, καὶ χώραν δίδωσι Καρρῶν λεγομένην. φέρει δὲ ἡ γῆ πλεῖστον τὸ ἄμωμον ἀγαθή. ἔστι δὲ αὐτῇ καὶ τὰ λείψανα τῆς λάρνακος, ἣν ναῦχον ἐκ τῆς ἐπομβρίας διασεσῶσθαι λόγος ἔχει, καὶ μέχρι νῦν ταῦτα τοῖς ἰδεῖν βουλομένοις ἐπιδείκνυται. διέτριβεν οὖν ὁ Ἰζάτης ἐν τῇ χώρᾳ ταύτῃ, μέχρι τῆς τελευτῆς τοῦ πατρός. ᾗ δὲ ἐξέλιπεν ἡμέρᾳ τὸν βίον ὁ Μονόβαζος, ἡ βασιλὶς Ἑλένη μεταπέμπεται πάντας τοὺς μεγιστᾶνας, καὶ τῆς βασιλείας σατράπας,

E καὶ τοὺς τὰς δυνάμεις πεπιστευμένους. οἷς ἀφικομένοις, ὅτι μὲν ὁ ἐμὸς ἀνὴρ εἶπε, τῆς βασιλείας αὐτῷ διάδοχον Ἰζάτην ηὔξατο γενέσθαι, καὶ τούτου ἄξιον ἔκρινεν, οὐδὲ ὑμᾶς λεληθέναι δοκῶ, περιμένω δὲ ὅμως καὶ τὴν ὑμετέραν κρίσιν. μακάριος γὰρ οὐχ ὁ παρ' ἑνὸς, ἀλλὰ πλειόνων καὶ θελόντων τὴν ἀρχὴν λαμβάνων. ἡ μὲν, ταῦτα εἶπεν, ἐπὶ πείρᾳ τοῦ τί φρονεῖεν οἱ συγκληθέντες. οἱ δὲ ἀκούσαντες, πρῶτον

F μὲν προσεκύνησαν τὴν βασιλίδα, καθὼς ἔθος ἐστὶν αὐτοῖς, εἶτα ἔφασαν τὴν τοῦ βασιλέως γνώμην βεβαιοῦν, καὶ ὑπακούσεσθαι χαίροντες Ἰζάτῃ δικαίως ὑπὸ τοῦ πατρὸς προκριθέντι τῶν ἀδελφῶν κατὰ τὰς εὐχὰς τῶν ἁπάντων. βούλεσθαί τε φασὶ προαποκτεῖναι πρῶτον αὐτοῦ τοὺς ἀδελφοὺς καὶ συγγενεῖς, ὑπὲρ τοῦ τὴν ἀρχὴν Ἰζάτην μετ' ἀσφαλείας κατασχεῖν. φθαρέντων γὰρ ἐκείνων καθαιρεθήσεσθαι πάντα τὸν φόβον, τὸν ὑπὸ μίσους τοῦ παρ' αὐτῶν καὶ φθόνου γινόμενον. πρὸς ταῦτα ἡ Ἑλένη χάριν μὲν αὐτοῖς ὡμολόγει τῆς πρὸς αὐτὴν καὶ τὸν Ἰζάτην εὐνοίας ἔχειν, παρακαλεῖ δὲ ὅμως ἐπισχεῖν τὴν περὶ τῆς ἀναιρέσεως τῶν ἀδελφῶν γνώμην, μέχρι ἂν Ἰζάτης παραγενόμενος συνδοκιμάσῃ. οἱ δὲ ἐπεὶ ἀνελεῖν συμβουλεύσαντες οὐκ ἔπεισαν, ἀλλὰ φυλάσσειν αὐτοὺς δεσμίους παρῄνουν μέχρι τῆς ἐκείνου παρουσίας ὑπὲρ ἀσφαλείας τῆς ἑαυτῶν. συνεβούλευον δὲ αὐτῇ μεταξὺ προστήσασθαί τινα τῆς ἀρχῆς ἐπίτροπον, ᾧ μάλιστα πιστεύει. πείθεται τούτοις ἡ Ἑλένη, καὶ καθίστησι τὸν πρεσβύτατον παῖδα Μονόβαζον βασιλέα, περιθεῖσα τὸ διά-

τὸ διάδημα καὶ δοῦσα τὴν σημαντῆρα τοῦ πατρὸς δακτύλιον, τήν τε σαμψηρὰν ὀνομαζομένην παρ' αὐτοῖς, διοικεῖν τε τούτοις τὴν βασιλείαν παρῄνεσε μέχρι τῆς τοῦ ἀδελφοῦ παρουσίας. ἧκε δὲ οὗτος ταχέως ἀκούσας τὴν τοῦ πατρὸς τελευτὴν, καὶ διαδέχεται τὸν ἀδελφὸν μονόβαζον ὑπεκστάντος τῆς ἀρχῆς αὐτῷ. καθ' ὃν δὲ καιρὸν ὁ ἰζάτης ἐν τῷ σπασίνου χάρακι διέτριβεν, ἰουδαῖός τις ἔμπορος ἀνανίας ὄνομα, πρὸς τὰς γυναῖκας εἰσιὼν τοῦ βασιλέως, ἐδίδασκεν αὐτὰς τὸν θεὸν σέβειν, ὡς ἰουδαίοις πάτριον ἦν. καὶ δὴ δι' αὐτῶν εἰς γνῶσιν ἀφικόμενος τῷ ἰζάτῃ, κἀκεῖνον ὁμοίως συνανέπεισε. μετακληθέντι τε ὑπὸ τοῦ πατρὸς, εἰς τὴν ἀδιαβηνὴν συνεξῆλθε κατὰ πολλὴν ὑπακούσας δέησιν. συμβεβήκει δὲ καὶ τὴν ἑλένην ὁμοίως ὑφ' ἑτέρου τινὸς ἰουδαίου διδαχθεῖσαν, εἰς τοὺς ἐκείνων μετακομίσασθαι νόμους. ὁ δὲ ἰζάτης ὡς παρέλαβε τὴν βασιλείαν ἀφικόμενος εἰς τὴν ἀδιαβηνὴν, καὶ θεασάμενος τοὺς ἀδελφοὺς, καὶ τοὺς ἄλλους συγγενεῖς δεδεμένους, ἐδυσχέραινεν τῷ γεγονότι. καὶ τὸ μὲν ἀνελεῖν ἢ φυλάττειν δεδεμένους ἀσεβὲς ἡγούμενος, τὸ δὲ μνησικακοῦντας ἔχειν σὺν αὐτῷ μὴ δεδεμένους σφαλερὸν εἶναι νομίζων, τοὺς μὲν ὁμηρεύσοντας μετὰ τέκνων εἰς τὴν ῥώμην ἐξέπεμψε κλαυδίῳ καίσαρι, τοὺς δὲ, πρὸς ἀρτάβανον τὸν πάρθον ἐφ' ὁμοίαις προφάσεσιν ἀπέστειλε. πυθόμενος δὲ τὴν μητέρα τὴν ἑαυτοῦ πάνυ χαίρειν τοῖς ἰουδαίων ἔθεσιν, ἔσπευσε καὶ αὐτὸς εἰς ἐκεῖνα μεταθέσθαι. νομίζων τε μὴ ἂν εἶναι βεβαίως ἰουδαῖος, εἰ μὴ περιτέμνοιτο, πράττειν ἦν ἕτοιμος. μαθοῦσα δὲ ἡ μήτηρ κωλύειν ἐπειρᾶτο, ἐπιφέρειν αὐτῷ κίνδυνον λέγουσα. βασιλέα γὰρ εἶναι, καὶ καταστήσειν εἰς πολλὴν δυσμένειαν τοὺς ὑπηκόους μαθόντας, ὅτι ξένων ἐπιθυμήσειε καὶ ἀλλοτρίων αὐτοῖς ἐθῶν. οὐκ ἀνέξεσθαί τε βασιλεύοντος αὐτῶν ἰουδαίου. καὶ ἡ μὲν ταῦτα ἔλεγεν, καὶ τέως ἐκώλυεν. ὁ δὲ εἰς τὸν ἀνανίαν τοὺς λόγους ἀνέφερεν. τοῦ δὲ τῇ μητρὶ συμφάσκοντος, καὶ συναπειλήσαντος εἰ μὴ πείθοι καταλιπὼν αὐτὸν ἄπεισι. δεδοικέναι γὰρ ἔλεγε μὴ τοῦ πράγματος ἐκδήλου πᾶσι γενομένου κινδυνεύσειε τιμωρίαν ὑποσχεῖν, ὡς αὐτὸς αἴτιος τούτων, καὶ διδάσκαλος τῷ βασιλεῖ ἀπρεπῶν ἔργων γενόμενος. δυνάμενον δὲ αὐτὸν, ἔφη καὶ χωρὶς τῆς περιτομῆς τὸ θεῖον σέβειν, εἴγε πάντως κέκρικε ζηλοῦν τὰ πάτρια τῶν ἰουδαίων. τοῦτο εἶναι κυριώτερον τοῦ περιτέμνεσθαι. συγγνώμην δὲ ἕξειν αὐτῷ καὶ τὸν θεὸν φήσαντος, μὴ πράξαντι τὸ ἔργον δι' ἀνάγκην, καὶ τὸν ἐκ τῶν ὑπηκόων φόβον, ἐπείσθη μὲν τούτου τότε τοῖς λόγοις ὁ βασιλεύς. μετὰ ταῦτα δὲ, τὴν γὰρ ἐπιθυμίαν οὐκ ἐξεβεβλήκει παντάπασιν, ἰουδαῖός τις ἕτερος ἐκ τῆς γαλιλαίας ἀφικόμενος ἐλεάζαρος ὄνομα, πάνυ περὶ τὰ πάτρια δοκῶν ἀκριβὴς εἶναι, προετρέψατο πρᾶξαι τοὔργον. ἐπεὶ γὰρ εἰσῆλθεν ἀσπασόμενος αὐτὸν, καὶ κατέλαβε τὸν μωσέως νόμον ἀναγινώσκοντα, λανθάνεις, εἶπεν, ὦ βασιλεῦ, τὰ μέγιστα τοὺς νόμους, καὶ δι' αὐτῶν τὸν θεὸν ἀδικῶν. οὐ γὰρ γινώσκειν σε δεῖ μόνον αὐτοὺς, ἀλλὰ καὶ πρότερον τὰ προστασσόμενα ποιεῖν ὑπ' αὐτῶν. μέχρι τίνος ἀπερίτμητος μενεῖς; ἀλλ' εἰ μὴ τὸν περὶ τούτου νόμον ἀνέγνως, ἵν' εἰδῇς τίς ἐστιν ἡ ἀσέβεια, νῦν ἀνάγνωθι. ταῦτα ἀκούσας ὁ βασιλεὺς, οὐχ ὑπερεβάλετο τὴν πρᾶξιν, μεταστὰς δὲ εἰς ἕτερον οἴκημα,

diademate, & dato patris anulo signatorio, simúlque sampsera, vt ipsi vocant: iussítque eum administrare rempub. donec frater veniat. Is autem celeriter venit audito patris obitu, & vltrò cedenti Monobazo fratri in principatum successit. Cæterùm eo tempore quo Izates apud Spasini castrum agebat, Iudæus quidam mercator Ananias nomine, familiaritatem nactus regiarum mulierum, docebat eas veri Dei cultum ritu Iudaico. per has deinde cum Izatæ innotuisset, ipsum quoque in eandem opinionem traducit: accitúmque à patre in Adiabenam comitatus est magnis precibus pertractus. fortè autem acciderat, vt etiam Helena ab alio quodam Iudæo instituta leges diuinitus traditas complecteretur. Izates porrò nouus rex postquam in Adiabenam reuersus offendit fratres & cognatos in vinculis, tulit id ægerrimè. & cùm occidere hos aut vinctos seruare vetaret pietas, contrà affectos iniuria dimittere parum tutum videretur, nequando de vindicta cogitarent: partem eorum vnà cum propriis filiis Romam ad Claudium Cæsarem misit, partem ad Artabanum Parthum, futuros vtrobique obsides. cognito deinde quòd mater multum delectaretur Iudæorum moribus, dedit operam, vt & ipse ad eam religionem transiret. cúmque existimaret se non esse perfectum Iudæum, nisi circumcideretur, paratus erat, & hoc facere. quod postquam mater resciuit, conabatur impedire, periculosum esse dictitans. multum enim eam rem à rege alienaturam subditorum animos, si eum ad externos ritus desciscere cognoscerent: neque vllo pacto laturos Iudæum in regio solio. sic illa aliquantisper cupiditatem eius retinuit. rex autem cum Anania contulit consilium, qui matris sententiam comprobans, minatus est se eum relicturum nisi ab hoc proposito desisteret. timere enim se ne si occulta proferrentur in vulgus, ipse arriperetur daturus pœnas, vt author omnium, qui non docenda regem docuerit. Licere autem ei etiam absque circumcisione Deum piè colere, si Iudæorum instituta placeant. in hoc enim magis sitam religionem quàm in circumsione corporis: datur úmque Deum veniam, si necessitate coactus signaculum id omitteret, metu ne qua exoriatur subditorum defectio. his verbis tum regi persuasit quod voluit. Aliquanto autem pòst, nondum enim omninò hæc cupiditas exciderat, alius quidam Iudæus è Galilæa profectus, Eleazarus nomine, legis valde peritus habitus, eum ad rem perficiendam impulit. ad salutandum enim regem admissus, cùm eum offendisset legentem sacra Moysis volumina: Nescis, inquit, ô rex, quantam iniuriam legi & per hanc Deo facias. nec enim satis est decreta eius nosse, sed præstat imperata eius facere. Quàm diu manebis incircumcisus? si nondum legisti legem circumcidi iubentem, nunc certè lege, vt scias quanta sit impietas hanc omittere. His auditis rex nō distulit negotium, sed secedens in aliud cubiculum,

A accito chirurgo fecit quod iussus est: deinde accersita matre & præceptore Anania, indicauit eis quid actum sit. quos continuò stupor ac metus non mediocris corripuit, ne si res perueniret ad vulgi notitiam, rex principatum amitteret, non ferentibus populis imperium viri alienis religionibus dediti. sibi quoque videbant imminere periculum, vt consciis & autoribus eius consilij. Sed Deus prouidit ne eueniret quòd illi timuerant. nam ex multis periculis & ipsum Izatem eripuit, & B eius liberos, in rebus dubiis & desperatis incolumitatem eis expediens, & ostendens quod ad se respicientibus, sibíque vni fidentibus, pietatis fructus integer maneat. Sed de his postea narrabimus. Helena porrò mater regis videns res regni pacatas, & filium opinione omnium tam domesticorum quàm exterorum beatum diuina fauente prouidētia, desiderio capta est visendi Hierosolyma, templúmq; C illud apud omnes mortales famosissimum, vt ibi Deum adoraret, votiuásque victimas redderet. Et quia facilè commeatum impetrauit à filio, postquam magnos apparatus in eam profectionem fecisset, instructa copioso viatico descendit in Hierosolymitanam vrbem, deducente filio dierum aliquot itinere. accidit autem peropportunè eius aduentus ciuibus. Cùm enim per id tempus ciuitas graui fame premeretur, & multi perirent alimentorum D inopia, regina Helena ex suis alios misit Alexandriam comparaturos vim magnam tritici, alios in Cyprum, qui copiam ficuum passarum inde aduherent. quibus omnibus breui reuersis, cibos egenis distribuit, atque hoc beneficio memoriam immortalem sibi apud nostram gentem peperit. Filius quoque eius Izates comperto quanta fame laboraret ille populus, multum pecuniæ misit Hierosolymitanorum primatibus. Sed horum regum bene- E ficia quibus nostram ciuitatem iuuerunt, dicentur postea.

III. Cæterùm Parthorum rex Artabanus, cùm sensisset structas sibi insidias à satrapis, nec putaret tutum manere in suo regno diutius, decreuit ad Izatem se conferre, eius consilio quæsiturus salutem, & si fieri posset etiam reditum in patriam. Assumptis igitur cognatis & familiaribus circiter mille numero, incidit in Izatem in itinere, ex regio strepitu sibi cognitum, ipse non notus ei de facie. ad quem F propius accedens primùm adorauit more patrio, deinde in hæc verba erupit. Ne despicias me rex tuum supplicem, néve contemnas opis indigum. Deiectus enim in priuatam fortunam è regio fastigio, ad tuum auxilium confugi. Quamobrem ad instabilitatem humanæ felicitatis respiciens, tuis quoque rebus prospice, cùm intelligas quibus omnes simus obnoxij casibus. Si enim me inultum siueris, ani- G mabitur in cæteros quoq; reges audacia incōditę multitudinis. Hęc ille demisso vultu lacrymās. Izates autem audito eius nomine, vidēsq;

A καὶ τὸν ἰατρὸν εἰσκαλεσάμενος τὸ προσταχθὲν ἐτέλει, καὶ μεταπεμψάμενος τήν τε μητέρα, καὶ τὸν διδάσκαλον Ἀνανίαν, ἐσήμαινεν αὐτὸν πεπραχέναι τοὔργον. τοὺς δὲ ἔκπληξις εὐθὺς ἔλαβε καὶ φόβος οὔτι μέτριος, μὴ τῆς πράξεως εἰς ἔλεγχον ἐλθούσης κινδυνεύσειε μὲν ὁ βασιλεὺς τὴν ἀρχὴν ἀποβαλεῖν, οὐκ ἀνεχομένων τῶν ὑπηκόων ἄρχειν αὐτῶν ἄνδρα τῶν παρ' ἑτέροις ζηλωτὴν ἐθῶν. κινδυνεύ- B σωσι δὲ καὶ αὐτοὶ τῆς αἰτίας ἐπ' αὐτοῖς ἐνεχθείσης. θεὸς δὲ ἦν ὁ κωλύσων ἄρα τοὺς ἐκείνων φόβους ἐλθεῖν ἐπὶ τὸ τέλος. πολλοῖς γὰρ αὐτόν τε τὸν Ἰζάτην περιπεσόντα κινδύνοις, καὶ παῖδας τοὺς ἐκείνου διέσωσεν, ἐξ ἀμηχάνων πόρον εἰς σωτηρίαν παρασχών, ἐπιδεικνὺς ὅτι τοῖς εἰς αὐτὸν ἀποβλέπουσι, καὶ μόνῳ πεπιστευκόσιν ὁ καρπὸς οὐκ ἀπόλλυται ὁ τῆς εὐσεβείας. ἀλλὰ ταῦτα μὲν ὕστερον ἀπαγγελοῦμεν. Ἑλένη δὲ ἡ τοῦ βασιλέως μήτηρ, ὁρῶσα τὰ μὲν κα- C τὰ τὴν βασιλείαν εἰρηνευόμενα, τὸν δὲ υἱὸν αὐτῆς μακάριον, καὶ παρὰ πᾶσι ζηλωτόν, καὶ τοῖς ἀλλοεθνέσι διὰ τὴν ἐκ θεοῦ πρόνοιαν, ἐπιθυμίαν ἔσχεν εἰς τὴν Ἱεροσολυμιτῶν πόλιν ἀφικομένη, τὸ πᾶσιν ἀνθρώποις περιβόητον ἱερὸν τοῦ θεοῦ προσκυνῆσαι, καὶ χαριστηρίους θυσίας προσενεγκεῖν. ἐδεῖτο τε τοῦ παιδὸς ἐπιτρέψαι. τοῦ δὲ πάνυ προθύμως τῇ μητρὶ παρακαλούσῃ κατανεύσαντος, καὶ πολλὴν παρασκευὴν D τῶν εἰς τὴν ἀποδημίαν ἑτοιμασαμένου, καὶ χρήματα πλεῖστα δόντος, καταβαίνει εἰς τὴν Ἱεροσολυμιτῶν πόλιν προπέμποντος ἐπὶ πολὺ τοῦ παιδός. γίνεται δὲ αὐτῆς ἡ ἄφιξις πάνυ συμφέρουσα τοῖς Ἱεροσολυμίταις. λιμοῦ γὰρ αὐτῶν τὴν πόλιν κατὰ τὸν καιρὸν ἐκεῖνον πιεζοῦντος, καὶ πολλῶν ὑπ' ἐνδείας ἀναλωμάτων φθειρομένων, ἡ βασίλισσα Ἑλένη, πέμπει τινὰς τῶν ἑαυτῆς, τοὺς μὲν εἰς τὴν Ἀλεξάνδρειαν, πολὺν σῖτον ὠνησομένους χρημάτων, τοὺς δὲ εἰς Κύ- E προν ἰσχάδων φόρτον οἴσοντας. ὡς δὲ πάλιν ἦλθον ταχέως κομίζοντες, τοῖς ἀπορουμένοις διένειμε τροφήν, καὶ μεγίστην αὐτῆς μνήμην τῆς εὐποιίας ταύτης, εἰς τὸ πᾶν ἡμῶν ἔθνος καταλέλοιπε. πυθόμενος δὲ καὶ ὁ παῖς αὐτῆς Ἰζάτης τὰ περὶ τὸν λιμόν, ἔπεμψε πολλὰ χρήματα τοῖς πρώτοις τῶν Ἱεροσολυμιτῶν. ἀλλὰ γὰρ ἃ τοῖς βασιλεῦσιν εἰς τὴν πόλιν ἡμῶν ἀγαθὰ πέπρακται, μετὰ ταῦτα δηλώσομεν. ὁ δὲ τῶν F Πάρθων βασιλεὺς Ἀρτάβανος, αἰσθόμενος τοὺς σατράπας ἐπιβουλὴν εἰς αὐτὸν συντιθεικότας, μένειν παρ' αὐτοῖς ἀσφαλὲς οὐχ ὁρῶν, ἔγνω πρὸς Ἰζάτην ἀπαίρειν, πόρον παρ' αὐτοῦ βουλόμενος σωτηρίας εὑρέσθαι, καὶ κάθοδον εἰς τὴν ἀρχὴν εἰ δυνηθείη. καὶ δὴ ἀφικνεῖται συγγενῶν τε καὶ οἰκετῶν περὶ χιλίους τὸν ἀριθμὸν ἐπαγόμενος, συντυγχάνει τε τῷ Ἰζάτῃ καθ' ὁδόν, αὐτός τε σαφῶς ἐκεῖνον ἐπιστάμενος καὶ ὑπ' Ἰζάτου οὐ γινωσκόμενος. καὶ πλησίον G παραστάς, πρῶτον μὲν κατὰ τὸ πάτριον προσεκύνησεν αὐτόν, εἶτα, βασιλεῦ φησί, μὴ περιίδῃς με τὸν σὸν οἰκέτην, μηδὲ ὑπερηφανήσῃς δεόμενον. ταπεινὸς γὰρ ἐκ μεταβολῆς γενόμενος, καὶ ἐκ βασιλέως ἰδιώτης, τῆς σῆς ἐπικουρίας χρῄζω. βλέψον οὖν εἰς τὸ τῆς τύχης ἄστατον, καὶ κοινὴν ἐφ' νόμισον καὶ ὑπὲρ σαυτοῦ πρόνοιαν. ἐμοῦ γὰρ ἀνεκδικήτου περιοφθέντος, ἔσονται θρασύτεροι πολλοὶ κατὰ τῶν ἄλλων βασιλέων. ὁ μὲν ταῦτα ἔλεγε δακρύων, καὶ τῇ κεφαλῇ κάτω νεύων. ὁ δὲ Ἰζάτης, ὡς ἤκουσε τοὔνομα, καὶ εἶδεν ἱκέτην

ἱκέτην αὐτοῦ παρεστῶτα τὴν ἀρταβάνην, κατεπήδησεν ἀπὸ τοῦ ἵππου, καὶ θάρσησον εἶπεν ὦ βασιλεῦ, μηδέ σε συγχείτω τὸ παρὸν ὡς ἀνήκεστον. ταχεῖα γὰρ ἔσται τῆς λύπης ἡ μεταβολή. φίλον δὲ καὶ σύμμαχον εὑρήσεις κρείττω τῆς ἐλπίδος. ἢ γὰρ εἰς τὴν πάρθων σε καταστήσω βασιλείαν πάλιν, ἢ τῆς ἐμῆς ἐκστήσομαι. ταῦτα εἰπὼν, ἀνεβίβαζεν ἐπὶ τὸν ἵππον ἀρταβάνην, παρείπετο δ' αὐτὸς πεζός, τιμὴν ἀπονέμων ταυτηνὶ, ὡς ἂν μείζονι βασιλεῖ. θεασάμενος δ' ὁ ἀρταβάνης, βαρέως ἤνεγκε, καὶ τὴν ἐφεστῶσαν αὐτῷ τύχην καὶ τιμὴν ἐπωμόσατο καταβήσεσθαι μὴ ἐκείνου πάλιν ἀναβάντος, καὶ προηγουμένου. ὁ δὲ πεισθεὶς, ἐπὶ τὸν ἵππον ἥλατο, καὶ ἀγαγὼν αὐτὸν εἰς τὰ βασίλεια, πᾶσαν τιμὴν ἀπένειμεν ἔν τε συνεδρίαις καὶ ταῖς περὶ τὰς ἑστιάσεις προκατακλίσεσιν, οὐκ εἰς τὸ παρὸν αὐτοῦ τῆς τύχης ἀποβλέπων, ἀλλ' εἰς τὸ πρότερον ἀξίωμα, καὶ τι λογισμῷ διδοὺς ὡς κοιναὶ τοῖς ἀνθρώποις αἱ μεταβολαὶ τῆς τύχης. γράφει τε πρὸς τοὺς πάρθους, πείθων αὐτοὺς τὴν ἀρταβάνην ὑποδέξασθαι, πίστιν προτείνων τῆς τῶν πεπραγμένων ἀμνηστίας δεξιὰν καὶ ὅρκους, καὶ μεσιτείαν τὴν αὐτοῦ. τῶν δὲ πάρθων δέξασθαι μὲν αὐτὸν θέλειν οὐκ ἀρνουμένων, μὴ δύνασθαι δὲ λεγόντων διὰ τὸ τὴν ἀρχὴν ἑτέρῳ πεπιστευκέναι. κίνναμος δ' ἦν ὄνομα τῷ παρειληφότι, καὶ δεδοικέναι μὴ στάσις αὐτοὺς ἐκ τούτου καταλάβῃ. μαθὼν τὴν προαίρεσιν αὐτῶν ὁ κίνναμος ταύτην, αὐτὸς γράφει τῷ ἀρταβάνῃ, τεθράπτο γὰρ ὑπ' αὐτοῦ, καὶ φύσει δὲ ἦν καλὸς καὶ ἀγαθὸς, παρακαλῶν αὐτῷ πιστεύσαντα παραγενέσθαι τὴν ἀρχὴν ἀποληψόμενον τὴν αὐτοῦ. καὶ ὁ ἀρταβάνης πιστεύσας παρῆν. ὑπαντήσας δὲ αὐτῷ ὁ κίνναμος, καὶ προσκυνήσας, βασιλέα τε προσαγορεύσας, περιτίθησιν αὐτῷ τῇ κεφαλῇ τὸ διάδημα ἀφελὼν τῆς ἑαυτοῦ. καὶ ἀρταβάνης οὕτω δι' ἰζάτου πάλιν εἰς τὴν ἀρχὴν καθίσταται, πρότερον αὐτῆς ἐκπεσὼν διὰ τοὺς μεγιστᾶνας. οὐκ ἐγένετο μὴν ἀμνήμων τῶν εἰς αὐτὸν εὐεργεσιῶν, ἀλλὰ δωρεῖται τὸν ἰζάτην ταῖς μεγίσταις τιμαῖς παρ' αὐτοῖς. τήν τε γὰρ τιάραν ὀρθὴν ἐπέτρεψεν αὐτῷ φορεῖν, καὶ ἐπὶ χρυσῆς κλίνης καθεύδειν, ἅπερ μόνων ἐστὶ γέρας καὶ σημεῖον τῶν πάρθων βασιλέων. ἔδωκε δὲ καὶ χώραν πολλὴν αὐτῷ ἀγαθὴν τῆς τοῦ ἀρμενίων βασιλέως ἀποτεμόμενος. νίσιβις δ' ἐστὶν ὄνομα τῇ γῇ, καὶ ἐν αὐτῇ πρότερον μακεδόνες ἔκτισαν τὸ πόλιν ἀντιόχειαν ἣν μυγδονίας προσηγόρευσαν. ταύταις μὲν δὴ ταῖς τιμαῖς ὁ ἰζάτης ὑπὸ τοῦ τῶν πάρθων βασιλέως ἐτιμήθη. μετ' οὐ πολὺν δὲ χρόνον, ἀρταβάνης τελευτᾷ, τὴν βασιλείαν τῷ παιδὶ οὐαρδάνῃ καταλιπών. οὗτος δὴ πρὸς ἰζάτην ἀφικόμενος, ἔπειθεν αὐτὸν μέλλων πρὸς ῥωμαίους πόλεμον ἐκφέρειν, συστρατεύεσθαι καὶ συμμαχίαν ἑτοιμάζειν, οὐ μὴν ἔπειθεν. ὁ γὰρ ἰζάτης, τὴν ῥωμαίων δύναμιν τε καὶ τύχην ἐπιστάμενος, ἀδυνάτοις αὐτὸν ἐνόμιζεν ἐπιχειρεῖν. ἔτι δὲ πεπομφὼς πέντε μὲν τὸν ἀριθμὸν υἱούς, τὴν ἡλικίαν νέους, γλῶτταν τὴν παρ' ἡμῖν πάτριον, καὶ παιδείαν ἀκριβῶς μαθησομένους, τήν τε μητέρα προσκυνοῦσαν τὸ ἱερὸν ὡς προεῖπον, ὀκνηρότερος ἦν, καὶ τὸν οὐαρδάνην ἐκώλυε, συνεχῶς διηγούμενος τὰς ῥωμαίων δυνάμεις τε καὶ πράξεις, διὰ τούτων οἰόμενος αὐτὸν φοβήσειν, καὶ παύσειν ἐπιθυμοῦντα τῆς ἐπ' αὐτοὺς στρατείας. παροξυνθεὶς δ' ἐπὶ τούτοις ὁ πάρθος, πόλεμον δ' εὐθὺς πρὸς ἰζάτην κατήγγελλεν.

A astare supplicem Artabanum; ab equo desiliit, &, Bono, inquit, animo esto rex, nec turberis præsenti calamitate quasi immedicabili. breui enim finem habebit tua mœstitia: inueniésque amicum & socium meliorem, quàm fortè sperasti hactenus. aut enim te in Parthorum regnum restituam, aut meum tibi cedam. Hæc loquutus imposito in equum Artabano, ipse eum comitabatur pedibus; maiori regi hunc honorem exhibens. Id Parthus B rex tulit permolestè, iurauítque per futuram suam fortunam ac dignitatem, descensurum se, nisi ille rursum ascenderet, & præcederet. Tum alter morem ei gesturus in equum insiliit, & perducto in suam regiam omnem honorem habuit, in concessibus ac conuiuiis honoratiorem locum ei cedens, habita ratione non præsentis eius status, sed dignitatis pristinæ, reputánsque eadem posse cuiuis mortalium accidere. Scripsit etiam ad Par- C thos suadens, vt suum regem reciperent, fidem suam interponens non fore eum iniuriarum memorem, paratus & iureiurando omnem illis dubitationem eximere. Parthi verò non recusabant eum recipere, sed posse se negabant, quòd iam principatum dedissent alteri, nomine Cinnamo. periculum enim esse, ne altero reuocato omnia flagrarent bellis ciuilibus. Cinnamus autem voluntate procerum cognita, cùm esset alumnus Artabani, & alioqui D honesto ingenio præditus, scribit ei, vt accepta à se fide reuerteretur, recepturus amissum dignitatis fastigium: à quo ille persuasus rediit. Cinnamus autem obuiam profectus, adorato & regis appellatione salutato diadema suo capiti detractum imposuit. Sic Artabanus Izatæ opera in regnum suum restitutus est, vnde eiectus fuerat à magnatibus. Nec fuit beneficiorum immemor, sed affecit Izatem maximis, qui apud ipsos habentur honori- E bus. nam & tiaram rectam ei gestare permisit, & in aureo lecto cubare, quæ honoris insignia concessa sunt solis Parthorum regibus. donauítque ei regionem magnam ac bonam, ademptam ditioni regum Armeniæ, cui nomen est Nisibis. in ea olim Macedones condiderant vrbem Antiochiam, Mygdoniam cognomine. atque hos honores Izates accepit à Parthorum rege præmium. Non multo pòst Artabanus moriens regnum re- F liquit Vardani suo filio. hic ad Izatem profectus, suasit ei, vt vellet sibi belli aduersus Romanos gerendi esse socius, quod tamen impetrare non potuit. Adiabenus enim non ignorans quanta esset Romanorum fortuna ac potentia, censebat illum tentare impossibilia. Ad hæc quia quinque adolescentes filios miserat, vt linguam nostram & disciplinas diligenter discerent, simúlque matrem adoraturam in templo, sicut diximus, G segnior erat, & Vardanem quoque conabatur deducere à proposito, continenter denarrans ei Romanorum gesta & potentiam, ratus se hoc modo absterriturum eum à lacessendi eos cupidine. Parthus autem his offensus continuò bellū indixit Izatæ,

ex quo tamen nullum retulit operę præmium, A Deo frustrante spes eius vanissimas. Parthi enim postquam cognouerunt mentem Vardanis, & quòd Romanis bellum inferre statuerit, illo cæso principatum eius fratri Gotarzæ commiserunt. huic quoque paulò pòst sublato per insidias, Vologesus frater successit, qui duobus germanis eodem secum patre genitis regna distribuit, Pacoro grandiori Mediam, Tiridati minori Armeniam. Porrò Monobazus regis frater & cognati cæteri videntes B Izatæ propter eximiam erga Deum pietatem res prosperè succedere, prædicarique eum passim tantæ felicitatis nomine, cœperunt & ipsi cogitare de relinquenda religione patria, & assumendis Iudaicis ritibus. id vbi olfecerunt eius regni magnates, ægrè ferentes dissimulauerunt tamen indignationem, opportunitatem expectantes per quam ab eis pœnas repeterent. Scribunt igitur Abiæ regi Arabum: magnam pecuniam ei pollicentes, C si expeditionem contra suum regem susciperet: promittebántque primo statim conflictu se eum deserturos. Esse enim sibi animum pœnas de eo sumere propter contemptum ritus patrij. ictóque cum Arabe fœdere, hortabantur ne differret negotium. Paruit ille,& cum magno exercitu contra Izatem venit. Cúmque iam hostes in conspectu essent inituri prælium, priusquam ad manus veniretur, D omnes sui ex composito eum deserunt: tergáque vertentes hostibus, tanquam panico terrore perciti fugam celeriter ineunt. Nec tamen Izatæ animus concidit: sed sentiens se à magnatibus proditum, ipse quoque intra castra sese recipit, vbi inquisitione facta in autores ignominiæ, postquam deprehendit quosdam de fuga pactos cum Arabe, his supplicio deditis, postera die cum hoste conflixit: cæsísque plurimis, reliquos veram fugam coegit caperesse.ipsum regem acriter persequutus in castrum Arsamum compulit: E impetúque facto in mœnia, vi illud cepit.eo direpto ingenti præda potitus in Adiabenam triumphabundus reuersus est, quamuis Abiam viuum in suam potestatem redigere non valuerit, quia captiuitatem voluntaria morte præuenerat. Proceres autem Adiabenorum primo conatu frustrati, & à Deo in manus sui regis traditi, ne sic quidem quiescebant: F sed denuò scribunt Vologeso regi Parthorum, rogantes vt Izatem interficiat, & dynastam alium quempiam genere Parthum sibi præficiat. exosum enim suum regem aiebant, eo quòd patriæ religioni externam prætulerit. His auditis Parthus ad bellandum excitus, cùm nullam haberet iustam occasionem, honores quos ipsius pater ei concesserat, repetiit: bellum interminatus, si imperatis contradiceret. Quo nuncio Izates supra modum G est territus, turpe ducens honoris gratia sibi concessis per metum cedere: sciénsque quòd etiamsi ipse imperata faceret, Parthus tamen non quiesceret, decreuit totam rem Deo committere:iacturus extremam de capite aleā:

A οὐ μὴν ἔλαβεν οὐδὲ τῆς ἐπὶ τούτῳ στρατείας ὄνησιν, τοῦ θεοῦ τὰς ἐλπίδας αὐτοῦ πάσας ὑποτεμόντος. μαθόντες γὰρ οἱ Πάρθοι τὴν διάνοιαν Οὐαρδάνου, καὶ ὡς ἐπὶ Ῥωμαίους στρατεύειν ἔκρινεν, αὐτὸν μὲν ἀναιροῦσι, τὴν ἀρχὴν δὲ τῷ ἀδελφῷ Κοτάρδῃ παρέδωσαν. καὶ τοῦτον δὲ μετ' οὐ πολὺν χρόνον ἐξ ἐπιβουλῆς τελευτήσαντα, διαδέχεται Οὐολογέσης ὁ ἀδελφὸς, ὃς δὴ καὶ τοῖς ὁμοπατρίοις δυσὶν ἀδελφοῖς δυνα- B στείας ἐπίστευσε, Πακόρῳ μὲν τῷ πρεσβυτέρῳ, τὴν Μήδων, Τηριδάτῃ δὲ τῷ νεωτέρῳ τὴν Ἀρμενίαν. ὁ δὲ τοῦ βασιλέως ἀδελφὸς Μονόβαζος, καὶ οἱ συγγενεῖς, θεωροῦντες τὸν Ἰζάτην πρὸς τὸν θεὸν εὐσέβεια ζηλωτὸν παρὰ πᾶσιν ἀνθρώποις γεγενημένον, ἔσχον ἐπιθυμίαν, καὶ αὐτοὶ τὰ πάτρια καταλιπόντες, ἔθεσι χρῆσθαι τοῖς Ἰουδαίων. γίνεται δὲ πρᾶξις αὐτῶν καταφωρος τοῖς ὑπηκόοις, κἀπὶ τούτῳ χαλεπήναντες οἱ μεγιστᾶνες, οὐ φέρουσι μὲν τὴν ὀργὴν, κατὰ νοῦν C δὲ ἔχοντες, καιρὸν ἐπιτήδειον ἐζήτουν δίκην εἰσπράξασθαι ἀποδιδόντες παρ' αὐτῶν. καὶ δὴ γράφουσι πρὸς Ἀβίαν τὸν Ἀράβων βασιλέα, χρήματα πολλὰ δώσειν ὑπισχνούμενοι στρατεύεσθαι θελήσαντι κατὰ τοῦ παρ' αὐτοῖς βασιλέως, ἐπηγγέλλοντο δὲ καὶ περὶ τὴν πρώτην συμβολὴν ἐγκαταλείψειν τὸν βασιλέα. θέλειν γὰρ αὐτὸν τιμωρήσασθαι, μισήσαντα τὰ παρ' αὐτοῖς ἔθη, καὶ ὅρκοις τὴν πρὸς ἀλλήλους D ἐνδησάμενοι πίστιν, ἀποδιδεῖν παρεκάλουν. πείθεται δὲ ὁ Ἄραψ, καὶ πολλὴν ἐπαγόμενος δύναμιν, ἧκεν ἐπὶ τὸν Ἰζάτην. μελλούσης δὲ τῆς πρώτης συμβολῆς πρὶν εἰς χεῖρας ἐλθεῖν, καταλείπουσι τὸν Ἰζάτην ἐκ συνθήματος πάντες ὡς πανικῷ δείματι καταχεθέντες, καὶ τὰ νῶτα τοῖς πολεμίοις ἐντρέψαντες, ἔφυγον. οὐ μὴν ὁ Ἰζάτης κατεπλάγη, νοήσας δὲ προδοσίαν ὑπὸ τῶν μεγιστάνων γεγενῆσθαι, καὶ αὐτὸς εἰς τὸ στρατόπεδον ὑπεχώρησε, καὶ τὴν αἰτίαν ζη- E τήσας, ὡς ἔμαθε συντεταγμένους πρὸς τὸν Ἄραβα, τοὺς μὲν αἰτίους ἀναιρεῖ. τῇ δὲ ἐπιούσῃ συμβαλὼν, πλείστους μὲν ἀπέκτεινεν, πάντας δὲ φυγεῖν ἠνάγκαζεν. αὐτὸν δὲ τὸν βασιλέα διώκων εἴς τι φρούριον συνήλασεν Ἄρσαμον καλούμενον, καὶ προσμαχησάμενος καρτερῶς, εἷλε τὸ φρούριον. διαρπάσας δὲ τὴν ἐν αὐτῷ λείαν πᾶσαν, πολλὴ δὲ ἦν, ὑπέστρεψεν εἰς τὴν Ἀδιαβηνὴν τὸν Ἀβίαν οὐ καταλαβὼν ζῶν- F τα. προκαταλαμβανόμενος γὰρ ἑαυτὸν ἀνεῖλεν. ἀποτυχόντες δὲ οἱ τῶν Ἀδιαβηνῶν μεγιστᾶνες τῆς πρώτης ἐπιχειρήσεως, παραδιδόντος αὐτοὺς τοῦ θεοῦ τῷ βασιλεῖ, οὐδ' ὡς ἠρέμουν, ἀλλὰ γράφουσιν πάλιν Οὐολογέσῃ, βασιλεὺς δὲ Πάρθων οὗτος ἦν, παρακαλοῦντες ἀποκτεῖναι μὲν τὸν Ἰζάτην, καταστῆσαι δὲ αὐτοῖς ἕτερον δυνάστην, τῷ γένει Πάρθον. μισεῖν γὰρ ἔλεγον τὸν ἑαυτῶν βασιλέα, καταλύσαντα μὲν τὰ πάτρια, ξένων δὲ ἐραστὴν ἐθῶν γενόμενον. ταῦτα ἀκούσας ὁ G Πάρθος, ἐπήρθη πρὸς τὸν πόλεμον, καὶ προφάσεως δικαίας μηδεμίαν ἔχων ἀφορμὴν, τὰς ὑπὸ τοῦ πατρὸς αὐτῷ δοθείσας τιμὰς ἔπεμπεν ἀπαιτῶν. ἀπειθήσαντι δὲ, πόλεμον κατήγγελλεν. ταράσσεται δὲ τὴν ψυχὴν οὐχὶ μετρίως ὁ Ἰζάτης, ὡς ἤκουσε ταῦτα, κατάγνωσιν μὲν φέρειν αὐτῷ νομίσας τὸ τῶν δωρεῶν ἐξίστασθαι δοκεῖν διὰ φόβον τοῦτο πράξας, εἰδὼς δὲ ὅτι καὶ ἀπολαβὼν ὁ Πάρθος τὰς τιμὰς, οὐκ ἂν ἠρεμήσειεν, ἔκρινεν ἐπιτρέψαι τῷ κηδεμόνι θεῷ τὸν ὑπὲρ τῆς ψυχῆς κίνδυνον.

καὶ τὸν μέγιστον ἡγησάμενος ἔχειν σύμμαχον, κατατίθεται μὲν τὰ τέκνα καὶ τὰς γυναῖκας εἴς τι τῶν φρουρίων ἀσφαλέστατον, σῖτον δὲ πάντα εἰς τὰς βάρεις, καὶ ἐμπίπρησι τόν τε χόρτον καὶ τὰς νομάς. ταῦτά τε προδιευτρεπισάμενος, ἐξεδέχετο τοὺς πολεμίους. παραγενομένου δὲ τοῦ Πάρθου μετὰ πολλῆς δυνάμεως πεζῶν τε καὶ ἱππέων θᾶττον ἐλπίδος, ὥδευσε γὰρ συντόνως, βαλλομένου τε χάρακα πρὸς τῷ ποταμῷ τῷ τὴν Ἀδιαβηνὴν καὶ τὴν Μηδίαν ὁρίζοντι, τίθησι καὶ ὁ Ἰζάτης τὸ στρατόπεδον οὐκ ἄπωθεν, ἔχων περὶ αὐτὸν ἱππεῖς τὸν ἀριθμὸν ἑξακισχιλίους. ἀφικνεῖται δὲ πρὸς τὸν Ἰζάτην ἄγγελος παρὰ τοῦ Πάρθου πεμφθείς, ὃς τὴν Πάρθου δύναμιν ὅση τίς ἐστιν ἤγγελλεν, ἀπὸ Εὐφράτου ποταμοῦ μέχρι Βάκτρων τοὺς ὅρους αὐτῆς τιθέμενος, καὶ τοὺς ὑπηκόους αὐτῆς βασιλέας καταλέγων. ἠπείλει δὲ δώσειν αὐτὸν δίκας, ἀχάριστον περὶ δεσπότας τοὺς ἑαυτοῦ γινόμενον, καὶ ῥύσεσθαι τῆς βασιλέως αὐτὸν χειρὸς, οὐδὲ τὸν θεὸν ὃν σέβει δυνήσεσθαι. ταῦτα τοῦ ἀγγέλου φράσαντος, ὁ Ἰζάτης εἰδέναι μὲν τὴν Πάρθων δύναμιν ἔφη πολὺ τῆς αὐτοῦ διαφέρουσαν, γιγνώσκειν δ' οἷον ἔτι μᾶλλον ἀνθρώπων πάντων ἐλέγχου κρείσσω τὸν θεόν. καὶ τοιαύτην δοὺς τὴν ἀπόκρισιν, ἐπὶ τὴν ἱκετείαν ἐτράπετο τοῦ θεοῦ, χαμαί τε ῥίψας αὐτὸν, καὶ σποδῷ τὴν κεφαλὴν καταισχύνας, μετὰ γυναικὸς καὶ τέκνων ἐνήστευεν, ἀνακαλῶν τὸν θεὸν καὶ λέγων, εἰ μὴ μάτην ὦ δέσποτα κύριε τῆς σῆς ἐγενόμην χρηστότητος, τῶν πάντων δὲ δικαίως μόνον καὶ πρῶτον ἥγημαι κύριον, ἐλθὲ σύμμαχος, οὐχ ὑπὲρ ἐμοῦ μόνον ἀμυνούμενος τοὺς πολεμίους, ἀλλ' ὅτι καὶ τῆς σῆς δυνάμεως καταπετολμήκασιν, καὶ μεγαλορρήμονα γλῶσσαν ἐπαφιέναι οὐ πεφρίκασιν. ὁ μὲν ταῦτα ἐπεθείαζε δακρύων καὶ ὀδυρόμενος. ἐπήκοος δ' ὁ θεὸς ἐγίνετο, καὶ κατ' ἐκείνην δὲ τὴν νύκτα δεξάμενος Οὐολογέσης ἐπιστολὰς ἐν αἷς ἐγέγραπτο Δαχῶν καὶ Σακῶν χεῖρα μεγάλην καταφρονήσασαν αὐτοῦ τῆς ἀποδημίας ἐπιστρατευσαμένην διαρπάζειν τὴν Παρθυηνὴν, ἄπρακτος ἀνέζευξεν εἰς τοὐπίσω. καὶ ὁ Ἰζάτης οὕτω κατὰ θεοῦ πρόνοιαν τὰς ἀπειλὰς τοῦ Πάρθου διαφεύγει. μετ' οὐ πολὺν δὲ χρόνον πεντηκοστὸν μὲν καὶ πέμπτον ἀπὸ γενεᾶς πληρώσας ἔτος, τέταρτον δὲ πρὸς εἰκοστὸν δυναστεύσας, καταλιπὼν παῖδας ἄρρενας εἴκοσι τέσσαρας, τὴν μέν τοι διαδοχὴν τῆς ἀρχῆς τὸν ἀδελφὸν Μονόβαζον ἐκέλευε παραλαβεῖν, ἀμειβόμενος αὐτὸν, ὅτι κατὰ τὴν ἀποδημίαν αὐτοῦ, μετὰ τὸν τοῦ πατρὸς αὐτοῦ θάνατον, πιστῶς φυλάξειεν αὐτῷ τὴν δυναστείαν. ἡ δὲ μήτηρ Ἑλένη, τὸν τοῦ παιδὸς θάνατον ἀκούσασα βαρέως μὲν ἤνεγκεν, ὡς εἰκὸς μητέρα στερομένην εὐσεβεστάτου παιδὸς, παραμυθίαν δὲ ὅμως εἶχεν τὴν διαδοχὴν ἀκούσασα εἰς τὸν πρεσβύτερον αὐτῆς υἱὸν ἥκουσαν, καὶ πρὸς αὐτὸν ἔσπευδεν. παραγενομένη δὲ εἰς τὴν Ἀδιαβηνὴν, οὐ πολὺ τῷ Ἰζάτῃ τῷ παιδὶ χρόνον ἐπεβίωσεν. ὁ δὲ Μονόβαζος τά τ' ἐκείνης ὀστᾶ, καὶ τὰ τοῦ ἀδελφοῦ πέμψας εἰς Ἱεροσόλυμα θάψαι προσέταξεν ἐν ταῖς πυραμίσιν, ἃς ἡ μήτηρ κατεσκευάκει τρεῖς τὸν ἀριθμὸν, τρία στάδια τῆς τῶν Ἱεροσολυμιτῶν πόλεως ἀπεχούσας. ἀλλὰ Μονόβαζος μὲν ὁ βασιλεὺς, ὅσα κατὰ τὸν τῆς ζωῆς χρόνον ἔπραξεν, ὕστερον ἐπαγγελοῦμεν. Φάδου δὲ τῆς Ἰουδαίας ἐπιτροπεύοντος γόης τις ἀνὴρ Θευδᾶς ὀνόματι, πείθει τὸν πλεῖστον ὄχλον ἀναλαβόντα τὰς κτήσεις ἕπεσθαι πρὸς τὸν Ἰορδάνην ποταμὸν αὐτῷ. προφήτης γὰρ ἔλεγεν εἶναι, καὶ

A fretúsque huius auxilio liberos & vxores in munitissimum quoddam castellum deposuit, frumentum autem in arces: quo facto fœnum omne flammis corrupit & pabulum: atque ita præparatus expectabat aduentum hostium. Cúmque Parthus numerosas equitum atque peditum secum properè trahens copias opinione citius venisset, posuissétque castra ad fluuium qui Adiabenam à Media dirimit: Izates quoque non longè inde castra B metatus est, habens circa se equitum sex millia. in ea castra Vologesus præmisit nuncium, qui hosti indicaret quantis ipse stiparetur copiis, contractis è toto imperio quàm latè patet Bactra inter & Euphratem fluuium. minabatúrque daturum eum pœnas ingratitudinis erga dominos: ac ne Deum quidem quem coleret, posse eum è suis manibus eripere. Hæc referente nuncio, Izates respondit, scire quidem se nullo modo conferen- C dum esse Parthorum viribus, nec tamen ignorare Deum esse longè potentiorem vniuersis mortalibus. atque ita dimisso nuncio supplex humi ante Deum procidit, cinere caput turpatus, & indicto sibi vnà cum vxore ac liberis ieiunio, his precibus Deum inuocans: Si non frustra me dominator domine tuæ bonitati dedidi, téque merito solum & primum habeo dominum, veni in auxilium, non tam me defensurus ab hostibus, quàm illorum re- D pressurus audaciam, qui nefaria lingua immanes voces non horruerunt iactare contra tuam potentiam. Sic implorantem & lamentãtem exaudiuit Deus: illáque ipsa nocte Vologesus receptis literis, significantibus Daharum & Sacarum validam manum contempta regis absentia populari regionem Parthicam, infecto negotio retrorsum cum exercitu abiit: ita vt euidenter appareret Izatem tum seruatum diuina prouidentia. Non multo autem pòst exa- E cto ætatis anno quinto supra quinquagesimum, regni vigesimoquarto, superstitibus quatuor liberis masculis, successionem tamen regni reliquit fratri Monobazo, referens ei gratiam bona fide seruati sibi absenti principatus olim post communis patris obitum. Mater porrò Helena mortem eius compertam tulit grauiter, vt par erat orbatam amantissimo filio: magnam tamen consolationem habuit, cùm audiret successisse suum maio- F rem natu filium, ad quem conueniendum sine mora profecta est: reuersáque in Adiabenam, nõ multo tempore Izatæ superuixit. Monobazus autem ossa eius & fratris sui misit Hierosolyma, condenda in extructis ab ipsa pyramidibus tribus numero, tertio ab vrbe Hierosolymitana stadio dissitis. Sed quæ Monobazus regni sui tempore gesserit, dicemus postea. Fado porrò procuratore apud Iudæam IIII. præstigiator quidam nomine Theudas per- G suasit magnæ vulgi multitudini, vt assumptis suis facultatibus sequerentur se ad Iordanem fluuium. prophetam enim se iactabat, pollicẽs

scissurum se verbo fluuium & facilem præbiturum transitum, talique promissione permultis imposuit. At Fadus effecit vt nihil lucrifacerent ex sua insipientia, immissis in eos turmis equitum: qui ex improuiso irruentes ex his multos interemerunt, multos viuos ceperunt, & in his ipsum Theudam, cuius caput abscissum reportarunt Hierosolyma. atque hæc sunt quæ Iudæis contigerunt administrationis Cuspij Fadi tempore.

Cap. III.

Quomodo Tiberius Alexander procurator filios Iudæ Galilæi puniit.

V. Fado autem successit Tiberius Alexander, eius Alexandri filius qui Alabarchiæ magistratum gessit Alexandriæ, omnium in ea vrbe suo tempore ditissimi, qui etiam erga Deum pietate superauit filium, desertorem religionis patriæ. horum tempore magna illa fames Iudæam tenuit, quando regina Helena frumentum ingenti sumptu ex Ægypto comparatum in egenos distribuit, vt iam dictum est. eodem tempore etiam filij Galilæi Iudæ Iacobus & Simon sublati sunt de medio, eius qui agente Syriæ censum Quirinio Iudæos solicitabat ad defectionem à Romano populo: hos enim Alexander crucis affecit supplicio. Herodes autem rex Chalcidis Iosephum Camydæ filium priuauit summo pontificio, eique succedere iussit Ananiam Nebedæi filium. Tiberio Alexandro successit Cumanus, quo tempore idem Herodes Agrippæ magni frater vita excessit octauo anno principatus Claudij, superstitibus tribus filiis: quorum Aristobulus ex priore vxore natus est: è Bernice verò fratris filia Bernicianus & Hyrcanus. eius principatum Claudius Cæsar Agrippæ iuniori donauit.

VI. Sub eodem Cumano exorta seditione Hierosolymis multi Iudæorum desiderati sunt, cuius causam primùm explicabimus.

Cap. IIII.

Quomodo plurimi Iudæorum circa templum oppressi sunt.

Instante Paschæ festo per quod nostris hominibus vesci panibus infermentatis mos est, concurrentibus vndique ad solennitatem turbis plurimis, veritus Cumanus ne inde nasceretur motus aliquis, iussit cohortem vnam armatam stare supra templi porticus, cohibituram tumultum si quis fortè existeret. nam idem & alij ante illum præsides factitauerunt festiuitatum temporibus. eius festi die quarta miles quidam ostendit populo nudata genitalia: qua contumelia furentes vociferabantur non se affectos, sed ipsum Deum quem honoraret ea celebritas. & quidam audaciores in Cumanum iactabant conuitia, dicẽtes ab illo submissum petulantem illum militem. his auditis Cumanus & ipse non mediocriter irritatus est: rogabat tamen vt desinerent mouere seditionem festo tempore. cúmque illi adeò non parerent, vt maioribus etiam impeterẽt eum conuitiis, iubet totũ exercitum

A προστάγματι τὸν ποταμὸν χίσας, δίοδον ἔφη παρέξειν αὐτοῖς ῥαδίαν, καὶ ταῦτα λέγων, πολλοὺς ἠπάτησεν. οὐ μὴν εἴασεν αὐτοὺς τῆς ἀφροσύνης ὄνασθαι φᾶδος, ἀλλ' ἐξέπεμψεν ἴλην ἱππέων ἐπ' αὐτούς, ἥτις ἀπροσδόκητος ἐπιπεσοῦσα, πολλοὺς μὲν ἀνεῖλε, πολλοὺς δὲ ζῶντας ἔλαβεν. αὐτόν τε τὸν θευδᾶν ζωγρήσαντες, ἀποτέμνουσι τὴν κεφαλὴν, καὶ κομίζουσιν εἰς ἱεροσόλυμα. τὰ μὲν οὖν συμβάντα τοῖς ἰουδαίοις κατὰ τοὺς κουσπίου φάδου B τῆς ἐπιτροπῆς χρόνους, ταῦτα ἐγένετο.

Κεφάλαιον γ'.

Ὡς τιβέριος ἀλέξανδρος ἐπίτροπος τοὺς υἱοὺς ἰούδα τοῦ γαλιλαίου ἐκόλασεν.

Ἦλθε δὲ φάδῳ τιβέριος ἀλέξανδρος διάδοχος, ἀλεξάνδρου παῖς τοῦ καὶ ἀλαβαρχήσαντος ἐν ἀλεξανδρείᾳ, καὶ πλούτῳ πρωτεύσαντος τῶν ἐκεῖ καθ' αὐτόν, ὃς διήνεγκε καὶ τῇ πρὸς τὸν θεὸν εὐσεβείᾳ τοῦ παιδὸς ἀλεξάνδρου. τοῖς γὰρ πατρίοις οὐκ ἐνέμεινεν οὗτος ἔθεσιν. ἐπὶ C τούτοις γὰρ, καὶ τὸν μέγαν λιμὸν κατὰ τὴν ἰουδαίαν συνέβη γενέσθαι, καθ' ὃν καὶ ἡ βασίλισσα ἑλένη πολλῶν χρημάτων ὠνησαμένη σῖτον ἀπὸ τῆς αἰγύπτου, διένειμε τοῖς ἀπορουμένοις ὡς προεῖπον. πρὸς τούτοις δὲ καὶ οἱ παῖδες ἰούδα τοῦ γαλιλαίου ἀνῃρέθησαν, τοῦ τὸν λαὸν ἀπὸ ῥωμαίων ἀποστήσαντος κυρηνίου τῆς ἰουδαίας τιμητοῦ ὄντος, ὡς ἐν τοῖς πρὸ τούτων ἐδηλώσαμεν, ἰάκωβος καὶ σίμων, οὓς ἀνασταυρωθῆναι προσέταξεν ὁ ἀλέξανδρος. ὁ δὲ τῆς χαλκίδος D βασιλεὺς ἡρώδης, μεταστήσας τῆς ἀρχιερωσύνης ἰώσηπον τὸν τοῦ καμύδου, τὴν διαδοχὴν τῆς τιμῆς ἀνανίᾳ τῷ τοῦ νεβεδαίου δίδωσι. τιβερίῳ δὲ ἀλεξάνδρῳ κουμανὸς ἀφίκετο διάδοχος, καὶ τελευτᾷ τὸν βίον ἡρώδης ὁ τοῦ μεγάλου βασιλέως ἀγρίππα ἀδελφὸς, ὀγδόῳ τῆς κλαυδίου καίσαρος ἀρχῆς ἔτει, καταλιπὼν τρεῖς υἱούς, ἀριστόβουλον μὲν ὑπὸ τῆς προτέρας αὐτοῦ τεχθέντα γυναικός, ἐκ βερνίκης δὲ τῆς ἀδελφοῦ θυγατρὸς βερνικιανόν, καὶ ὑρκανόν. τὴν δὲ E ἀρχὴν αὐτοῦ κλαύδιος καῖσαρ ἀγρίππᾳ τῷ νεωτέρῳ δίδωσι. στάσεως δὲ ἐμπεσούσης τῇ τῶν ἱεροσολυμιτῶν πόλει, κουμάνου τὰ κατὰ τὴν ἰουδαίαν πράγματα διοικοῦντος, ἐφθάρησαν ὑπὸ ταύτης πολλοὶ τῶν ἰουδαίων, καὶ πρότερον ἀφηγήσομαι τὴν αἰτίαν, δι' ἣν ταῦτα συνέβη.

Κεφάλαιον δ'.

Ὡς πολλοὶ τῶν ἰουδαίων κατὰ τὸ ἱερὸν ἀπώλοντο.

Τῆς πάσχα προσαγορευομένης ἑορτῆς ἐνστάσης, καθ' ἣν ἔθος ἐστὶν ἡμῖν ἄζυμα προσφέρεσθαι, F πολλοῦ καὶ πανταχόθεν πλήθους συναχθέντος ἐπὶ τὴν ἑορτὴν, δείσας ὁ κουμανὸς μὴ νεωτερόν τι παρὰ τούτων προσπέσῃ, κελεύει τῶν στρατιωτῶν μίαν τάξιν ἀναλαβοῦσαν τὰ ὅπλα ἐπὶ τῶν τοῦ ἱεροῦ στοῶν ἑστάναι, καταστελοῦντας τὸν νεωτερισμὸν εἰ ἄρα τις γένοιτο. τοῦτο δὲ καὶ οἱ πρὸ αὐτοῦ τῆς ἰουδαίας ἐπιτροπεύσαντες ἐν ταῖς ἑορταῖς ἔπραττον. τετάρτῃ δὲ ἡμέρᾳ τῆς ἑορτῆς, στρατιώτης τις ἀνακαλύψας ἐπεδείκνυε τῷ πλήθει τὰ αἰδοῖα, καὶ πρὸς τοῦτο θεασαμένων, ὀργὴ καὶ θυμὸς ἦν, οὐχ ἑαυτοὺς ὑβρίσθαι λεγόντων, ἀλλὰ τὸν θεὸν ἠσεβῆσθαι. τινὲς δὲ τῶν θρασυτέρων τὸν κουμανὸν ἐβλασφήμουν, ὑπ' αὐτοῦ τὸν στρατιώτην καθεῖσθαι λέγοντες. κουμανὸς δὲ ἀκούσας, καὶ αὐτὸς οὐ μετρίως ἠρεθίζετο πρὸς τὰς βλασφημίας. παρῄνει μέντοι παύσασθαι νεωτέρων ἐπιθυμοῦντας πραγμάτων, μηδὲ στάσεις ἐξάπτειν ἐν ἑορτῇ. μὴ πείθων δὲ, μᾶλλον γὰρ ἐπέκειντο βλασφημοῦντες, κελεύει τὸ στράτευμα πανοπλίαν

ἀναλα-

ἀναλαβόντας, ἧκεν εἰς τὴν ἀντωνίαν, φρούριον δὲ τοῦτο καθάπερ καὶ πρότερον εἴπομεν ἐπικείμενον τῷ ἱερῷ. παραγινομένους δὲ τοὺς στρατιώτας, θεασάμενον τὸ πλῆθος, καὶ φοβηθὲν, φεύγειν ὥρμησε. τῶν δὲ ἐξόδων στενῶν οὐσῶν, διώκεσθαι νομίζοντες ὑπὸ τῶν πολεμίων, καὶ συνωθούμενοι κατὰ τὴν φυγὴν, πολλοὺς ἀλλήλων ἐν τοῖς στενοῖς θλιβόμενοι διέφθειρεν. δύο γοῦν μυριάδες ἐξηριθμήθησαν τῶν κατὰ τὴν στάσιν ἐκείνην φθαρέντων. πένθος δὲ ἦν τὸ λοιπὸν ἀντὶ τῆς ἑορτῆς, καὶ πάντες ἐκλαθόμενοι τῶν εὐχῶν καὶ τῶν θυσιῶν, ἐπὶ θρήνους, καὶ κλαυθμοὺς ἐτράποντο. τοιοῦτον μὲν ἑνὸς ἀσελγεία στρατιώτου πάθημα γενέσθαι παρεσκεύασεν. οὔπω δὲ αὐτῶν τὸ πρῶτον πένθος ἐπέπαυτο, καὶ κακὸν ἄλλο προσέπιπτε. τῶν γὰρ ἀφεστώτων ἐπὶ νεωτερισμῷ τινες κατὰ τὴν δημοσίαν ὁδὸν ὡς ἑκατὸν σταδίων ἄπωθεν τῆς πόλεως στέφανον καίσαρος δοῦλον ὁδοιποροῦντα λῃστεύσαντες, ἅπασαν αὐτοῦ τὴν κτῆσιν διαρπάζουσιν. ἀκούσας δὲ τὸ πραχθὲν ὁ κούμανος, εὐθὺς πέμπει στρατιώτας, κελεύσας αὐτοῖς τὰς πλησίον κώμας διαρπάσαι, τοὺς δὲ ἐπιφανεστάτους αὐτῶν δήσαντες, ἐπ' αὐτὸν ἄγειν. τῆς δὲ πορθήσεως γενομένης, τῶν στρατιωτῶν τις τοὺς μωϋσέως νόμους, ἔν τινι κώμῃ λαβὼν κειμένους, προκομίσας εἰς τὴν πάντων ὄψιν, διέσχισεν, ἐπιβλασφημῶν, καὶ πολλὰ κατακερτομῶν. οἱ δὲ ἰουδαῖοι ταῦτα ἀκούσαντες, καὶ πολλοὶ συνδραμόντες καταβαίνουσιν εἰς καισάρειαν, ἐκεῖ γὰρ ἐτύγχανεν ὁ κούμανος ὤν, ἱκετεύοντες μὴ αὐτοὺς, ἀλλὰ τὸν θεὸν οὗ περ οἱ νόμοι καθυβρίσθησαν ἐκδικῆσαι. ζῆν γὰρ οὐχ ὑπομένειν, τῶν πατρίων αὐτοῖς οὕτω περιυβρισμένων. καὶ ὁ κούμανος δείσας μὴ πάλιν νεωτερίσειε τὸ πλῆθος, συμβουλευσάντων καὶ τῶν φίλων, τὸν ἐνυβρίσαντα τοῖς νόμοις στρατιώτην πελεκίσας, ἔπαυσε τὴν στάσιν ἐκ δευτέρου μέλλουσαν ἐξάπτεσθαι.

Κεφάλαιον ε'.

Στάσις ἰουδαίων πρὸς σαμαρεῖς.

Γίνεται δὲ καὶ σαμαρείταις πρὸς ἰουδαίους ἔχθρα, δι' αἰτίαν τοιαύτην. ἔθος ἦν τοῖς γαλιλαίοις ἐν ταῖς ἑορταῖς εἰς τὴν ἱερὰν πόλιν παραγινομένοις, ὁδεύειν διὰ τῆς σαμαρέων χώρας, καὶ τότε κάθοδον αὐτοῖς κώμης τῆς ναῒς λεγομένης, σαμαρείας δὲ καὶ τοῦ μεγάλου πεδίου τινὲς συνάψαντες μάχην, πολλοὺς αὐτῶν ἀναιροῦσι. πυθόμενοι δὲ τὰ πραχθέντα τῶν γαλιλαίων οἱ πρῶτοι, πρὸς κούμανον ἀφίκοντο, καὶ παρεκάλουν αὐτὸν μετεῖναι τῶν ἀνῃρημένων τὸν φόνον. ὁ δὲ χρήμασι πεισθεὶς ὑπὸ τῶν σαμαρέων, ὠλιγώρησεν. ἀγανακτήσαντες δὲ ἐπὶ τούτῳ γαλιλαῖοι τὸ πλῆθος τῶν ἰουδαίων ἔπειθον ἐφ' ὅπλα χωρῆσαι, καὶ τῆς ἐλευθερίας ἀντέχεσθαι. δουλείαν γὰρ καὶ καθ' αὑτὴν μὲν πικρὰν ἔλεγον εἶναι, τὴν ἐφ' ὕβρει δὲ παντάπασιν ἀφόρητον. τῶν δὲ ἐν τέλει καταπραΰνειν αὐτοὺς πειρωμένων, καὶ πείσειν τὸν κούμανον ἐπαγγελλομένων δίκας εἰσπράξασθαι παρὰ τῶν ἀνῃρηκότων, ἐκείνοις μὲν οὐ προσέσχον. ἀναλαβόντες δὲ τὰ ὅπλα καὶ βοηθεῖν ἐλεάζαρον τὸν τοῦ δειναίου παρακαλέσαντες. λῃστὴς δὲ οὗτος ἦν ἔτη πολλὰ τὴν διατριβὴν ἐν ὄρει πεποιημένος, κώμας τινὰς τῶν σαμαρέων ἐμπρήσαντες διαρπάζουσι. κούμανος δὲ τῆς πράξεως εἰς αὐτὸν ἀφικομένης, ἀναλαβὼν τὴν τῶν σεβαστηνῶν εἴλην, καὶ πεζῶν τέσσαρα τάγματα, τούς τε σαμαρείτας καθοπλίσας, ἐξῆλθεν ἐπὶ τοὺς ἰουδαίους, καὶ συλλαβὼν πολλοὺς μὲν αὐτῶν ἀπέκτεινε, πλείους δὲ ζῶντας ἔλαβεν. οἱ δὲ πρῶτοι κατὰ τιμὴν καὶ γένος τῶν ἱεροσολυμιτῶν, ὡς εἶδον εἰς οἷον

A cum armis conuenire in Antoniam castellum templo imminens, vt suprà docuimus. vulgaris autem multitudo viso aduentu militum territa, cœpit magno impetu fugere. & cùm essent angusti viarum exitus, rati à tergo hostem insequi, comprimebant se inuicem se inter fugiendum, & conculcabant in angustiis, ita vt perirent plurimi. viginti enim millia extinctorum illo tumultu numerata sunt: versáque in luctum festa lætitia, omnes sacrificio- B rum & precationum obliti, dediderunt se lamentis ac eiulatibus: tantam cladem intulit vnius militis impudentia. Vix hic luctus desierat, cùm aliud malum accidit. Quidam enim qui ex illa turba fugientes euaserant, in publica via centesimo ab vrbe stadio Stephanum Cæsaris seruum iter facientem aggressi sunt latrocinio, omnésque eius diripuerunt sarcinas. quo audito Cumanus confestim eò misit milites, iussos vt vicos loco propin- C quos diriperent. in hac populatione miles quidam libros Mosaicos in quodam vico inuentos protulit, eósque lacerauit in conspectu omnium, multis debaccatus & in legem & in gentem totam conuitiis. Hoc vbi ad Iudæos perlatum est, facto concursu agmine magno petunt Cæsaream, in qua tum Cumanus agebat, supplicantes vt non suam, sed læsi numinis vlcisceretur iniuriam. Tum præses veritus defectionem populi, de amicorum D consilio militem illum violatorem legis securi feriit, atque hoc modo tumultum iam repullulantem sedauit.

Cap. V.

Seditio Samaritas inter & Iudæos orta.

Post hæc inter Samaritas & Iudæos oritur VII. dissidium initiis talibus. Mos erat Galilæis per dies festos Hierosolyma petentibus iter facere per Samariam. Aliquando igi- E tur cùm transirent vicum Samaritarum ditionis, qui Nais dicitur, in Magno campo situs, commissa inter viatores & vicanos pugna multi Galilæorum desiderati sunt. Id indignè ferentes eorum primates Iudæos ad arma conciuerunt, hortantes vt se in libertatem assererent. Seruitutem enim etiam per se molestam, tum verò fieri intolerabilem, si cum subditorum iniuriis coniuncta sit. Cúmque magistratus lenire eos conarentur, polliceren- F túrque se Cumano persuasuros, vt pœnas de cædis autoribus sumeret: vulgus contemptis pacificatoribus, arma corripit, ascito in auxilium Eleazaro Dinæi filio. Is ex professo latro multis iam annis in montibus errans vicos Samaritanorum incendiis & rapinis vastauerat. At Cumanus cognitis quæ gesta fuerant, assumit Sebastenorum alam, & quatuor cohortes peditum: armatísque etiam Samaritanis contra Iudæos proficiscitur: quos as- G secutus multos perimit, plures viuos captos abducit. Tum verò Hierosolymitanorum primi genere atq; honoribus, vt viderũt ad quãtã

calamitatem vetum sit, induti saccos, & capita sparsi cinere, modis omnibus conabantur flectere multitudinem, præ oculis ei ponentes diruendam patriam, & templi incendium, liberósque cum vxoribus captiuos abducendos vt profanis nationibus seruiant: rogabántque vt mutato consilio, & abiectis armis quiescerent in posterum, & suas quisque domos repeterent. His verbis tandem persuasi dilapsi sunt, latrones verò ad loca munita reuersi sunt denuo. Atque ex eo tempore vniuersa Iudæa repleta est latronum receptaculis.

VIII. Porrò Samaritanorum primates Numidium Quadratum Syriæ præsidem tunc Tyri degentem conueniũt, & Iudæos accusant, quòd vicos eorum diripuerint ac incenderint, addentes non tam se ægrè ferre propriam iniuriam, quàm contemptam Romanorum potestatem, ad quorum cognitionem spectaret de iniuriis prouincialium decernere: nunc istos quasi nulli vsquam essent Romanorum magistratus, vicinos infestasse excursionibus. quamobrem nunc se venisse, vt vindictam impetrarent à præside. Hæ fuerunt querelæ gentis Samariticæ. Iudæi contrà & seditionis & pugnæ causam in Samaritas referebant, sed maximè in Cumanum, qui muneribus illorum corruptus tantam cædem dissimulanter tulerit. His auditis, Quadratus iudicium distulit, dicens se prolaturum sententiam, postquam præsens apud Iudæam rei veritatem exactiùs cognouerit. Ita tum infecto negotio discessum est. Paulo verò pòst Quadratus venit in Samariam, vbi cùm iussisset reos causam suam dicere, comperit Samaritanorum culpa tumultum illum excitatum. Cognito deinde quòd & Iudæorum quidam res nouas moliti sint, in crucem egit quos Cumanus viuos ceperat. Inde profectus in vicum Lyddam instar vrbis amplum, sedens pro tribunali, & iterum Samaritanorum causam audiens, didicit è quodam Samarita, Dortum Iudæorum primatem cum aliis quatuor sociis Iudæos ad defectionem solicitasse: quos præses affecit supplicio. Ananiam verò summum pontificem, & Ananum ducem vinctos Romam misit, vt apud Claudium Cæsarem facti sui rationem redderent. Primores enim Samaritanorum atque Iudæorum, simúlque Cumanum procuratorem, & tribunum Celerem ire in Italiam iussit ad imperatorem, vt sub eo iudice decerneretur de his quas inter se habebant controuersiis. Ipse veritus ne nouum aliquid Iudæi molirentur adiit Hierosolyma: vbi pacata inuenit omnia, populúmque occupatum patrio festo, & operantem sacrificiis. Credens igitur nihil nouaturos, reliquit agentes festa, & Antiochiam repetiit. Cumanus porrò & Samaritæ Romam missi statuta die iubentur causam suam dicere. Comparauerant autem sibi fauorem libertorum & amicorum Cæsaris: quorum opera vicissent aduersarios Iudæos, nisi Agrippa iunior tum Romæ degens, & Iudæorum primores premi fauore potentum videns, multis precibus obtinuisset ab Agrippina vxore Claudij, vt marito

κακῶν μέγεθος ἥκουσι, μετενδυσάμενοι σάκκους, καὶ σποδοῦ τὰς κεφαλὰς ἀναπλήσαντες, παντοῖοι τοὺς ἐφεστῶτας παρακαλοῦντες ἦσαν, καὶ πείθοντες πρὸ ὀφθαλμῶν θεμένους, κατασκαφησομένην μὲν αὐτῶν τὴν πατρίδα, τὸ δ' ἱερὸν πυρποληθησόμενον, αὐτῶν δὲ καὶ γυναικῶν σὺν τέκνοις ἀνδραποδισμοὺς ἐσομένους, μεταθέσθαι τοῦ λογισμοῦ, καὶ ὅπλα ῥίψαντας, ἠρεμεῖν εἰς τὸ λοιπὸν ἀποχωρήσαντας εἰς τὰ αὐτῶν. ταῦτα δὲ εἰπόντες, ἔπεισαν. καὶ οἱ μὲν διελύθησαν, οἱ λῃσταὶ δ' ἐπὶ τοὺς ἐχυροὺς τόπους πάλιν ἀπῆλθον. ἐξ ἐκείνου δὲ ἡ σύμπασα Ἰουδαία λῃστηρίων ἐπλήσθη. Σαμαρέων δὲ οἱ πρῶτοι, πρὸς Ἰουμίδιον Κοδράτον τῆς Συρίας προεστηκότα κατὰ τὸν καιρὸν ἐκεῖνον ἐν Τύρῳ τυγχάνοντα παραγενόμενοι, κατηγόρουν τῶν Ἰουδαίων, ὡς τὰς κώμας αὐτῶν ἐμπρήσειαν καὶ διαρπάσειαν. καὶ περὶ μὲν ὧν αὐτοὶ πεπόνθασιν, οὐχ οὕτως ἀγανακτεῖν ἔλεγον, ὡς ὅτι Ῥωμαίων καταφρονήσειαν, ἐφ' οὓς κριτὰς ἐχρῆν αὐτοὺς εἴπερ ἠδίκουν παραγενέσθαι, μὴ νῦν ὡς οὐκ ἐχόντων ἡγεμόνας Ῥωμαίους καταδραμεῖν. ἥκειν οὖν ἐπ' αὐτῆς ἐκδικίας τευξόμενοι. ταῦτα μὲν οὖν οἱ Σαμαρεῖς κατηγόρουν. Ἰουδαῖοι δὲ καὶ τῆς στάσεως καὶ τῆς μάχης αἰτίους γεγονέναι Σαμαρεῖς ἔφασαν, πρὸ πάντων δὲ Κουμανὸν δώροις ὑπ' αὐτῶν φθαρέντα, καὶ παρασιωπήσαντα τὸν τῶν ἀνῃρημένων φόνον. καὶ Κουάδρατος ἀκούσας, ὑπερτίθεται τὴν κρίσιν, εἰπὼν ἀποφανεῖσθαι ἐπειδὰν εἰς τὴν Ἰουδαίαν παραγενόμενος ἀκριβέστερον ἐπιγνῷ τὴν ἀλήθειαν. καὶ οἱ μὲν ἀπῄεσαν ἄπρακτοι, μετ' οὐ πολὺν δὲ χρόνον ὁ Κουάδρατος ἧκεν εἰς Σαμάρειαν, ἔνθα διακούσας αἰτίους τῆς ταραχῆς ὑπέλαβε γεγονέναι Σαμαρεῖς. ὡς δὲ καὶ Ἰουδαίων τινὰς νεωτερίσαντας ἔμαθεν, ἀνεσταύρωσεν, οὓς Κουμανὸς ἔλαβεν αἰχμαλώτους. κἀκεῖθεν εἰς κώμην τινὰ παραγενόμενος Λύδδαν, πόλεως τὸ μέγεθος οὐκ ἀποδέουσαν, καθίσας ἐπὶ βήματος κἀκ δευτέρου τῶν Σαμαρέων διακούσας, διδάσκεται παρά τινος Σαμαρέως, ὅτι τῶν Ἰουδαίων τις πρῶτος ὄνομα Δόρτος, καί τινες σὺν αὐτῷ νεωτερισταὶ τέσσαρες τὸν ἀριθμόν, πείσειαν τὸν ὄχλον ἐπὶ τῇ Ῥωμαίων ἀποστῆναι. κἀκείνους μὲν ὁ Κουάδρατος ἀνελεῖν προσέταξεν. τοὺς δὲ περὶ Ἀνανίαν τὸν ἀρχιερέα, καὶ τὸν στρατηγὸν Ἄνανον δήσας, εἰς Ῥώμην ἀπέπεμψε, περὶ τῶν πεπραγμένων λόγον ὑφέξοντας Κλαυδίῳ Καίσαρι. κελεύει δὲ καὶ τοῖς τῶν Σαμαρέων πρώτοις, καὶ τοῖς Ἰουδαίων, Κουμανῷ τε ἐπιτρόπῳ, καὶ Κέλερι χιλιάρχῳ δὲ ὄντι, ἐπὶ τῆς Ἰταλίας ἀπιέναι πρὸς τὸν αὐτοκράτορα κριθησομένοις ἐπ' αὐτοῦ περὶ τῶν πρὸς ἀλλήλους ζητήσεων. αὐτὸς δὲ δείσας μὴ τὸ πλῆθος τῶν Ἰουδαίων νεωτερήσειεν, εἰς τὴν τῶν Ἱεροσολυμιτῶν πόλιν ἀφικνεῖται. καταλαμβάνει δὲ αὐτὴν εἰρηνευομένην, καὶ πάτριον ἑορτὴν τῷ θεῷ τελοῦσαν. πιστεύσας οὖν μηδένα νεωτερισμὸν παρ' αὐτῶν γενήσεσθαι, καταλιπὼν ἑορτάζοντας, ὑπέστρεψεν εἰς Ἀντιόχειαν. οἱ δὲ περὶ Κουμανὸν δὲ, καὶ τοὺς πρώτους τῶν Σαμαρέων ἀναπεμφθέντες εἰς Ῥώμην, λαμβάνουσι παρὰ τοῦ αὐτοκράτορος ἡμέραν καθ' ἣν περὶ τῶν πρὸς ἀλλήλους ἀμφισβητήσεων λέγειν ἔμελλεν. σπουδὴ δὲ μεγίστη τῷ Κουμανῷ, καὶ τοῖς Σαμαρεῦσιν ἦν, παρὰ τῶν καίσαρος ἀπελευθέρων, καὶ φίλων, κἂν περιεγένοντο τῶν Ἰουδαίων εἰ μήπερ Ἀγρίππας ὁ νεώτερος ἐν τῇ Ῥώμῃ τυγχάνων, καταπονουμένους ἰδὼν τοὺς τῶν Ἰουδαίων πρώτους, ἐδεήθη πολλὰ τῆς τοῦ αὐτοκράτορος γυναικὸς Ἀγριππίνης πεῖσαι τὸν ἄνδρα διακού-

διακούσαντα πρεπόντως τῇ αὐτοῦ δικαιοσύνῃ τιμωρήσασθαι τοὺς αἰτίους τῆς ἀποστάσεως. καὶ Κλαύδιος τῇ δεήσει ταύτῃ προσδυσωπηθεὶς, καὶ διακούσας ὡς εὗρε τῶν κακῶν ἀρχηγοὺς τοὺς Σαμαρεῖς γενομένους, τοὺς μὲν ἀναβάντας πρὸς αὐτὸν ἐκέλευσεν ἀναιρεθῆναι, τοῦ Κουμάνου δὲ φυγὴν ἐπέβαλε. Κέλερα δὲ τὸν χιλίαρχον ἐκέλευσεν ἀγαγόντας εἰς τὰ Ἱεροσόλυμα πάντων ὁρώντων ἐπὶ τὴν πόλιν πᾶσαν σύραντας, οὕτως ἀποκτεῖναι. πέμπει δὲ καὶ Κλαύδιον Φήλικα Πάλλαντος ἀδελφὸν τῶν κατὰ τὴν Ἰουδαίαν προστησόμενον πραγμάτων. τῆς δὲ ἀρχῆς δωδέκατον ἔτος ἤδη πεπληρωκὼς, δωρεῖται τὸν Ἀγρίππαν τῇ Φιλίππου τετραρχίᾳ, καὶ Βαταναίᾳ, προσθεὶς αὐτῷ τὴν Τραχωνῖτιν σὺν Ἀβέλλᾳ. Λυσανία δὲ αὕτη γεγόνει τετραρχία. τὴν Χαλκίδα δ' αὐτὸν ἀφαιρεῖται, δυναστεύσαντα ταύτης ἔτη τέσσαρα. λαβὼν δὲ τὴν δωρεὰν παρὰ τοῦ Καίσαρος Ἀγρίππας, ἐκδίδωσι πρὸς γάμον Ἀζίζῳ τῷ Ἐμεσῶν βασιλεῖ περιτέμνεσθαι θελήσαντι, Δρούσιλλαν τὴν ἀδελφήν. ἐπιφανὴς γὰρ ὁ Ἀντιόχου τοῦ βασιλέως παῖς, παρῃτήσατο τὸν γάμον μὴ βουληθεὶς εἰς τὰ Ἰουδαίων ἔθη μεταλαβεῖν, καίπερ τοῦτο ποιήσειν προϋπισχόμενος αὐτῆς τῷ πατρί. καὶ Μαριάμμην δὲ ἐξεδίδωκεν Ἀρχελάῳ τῷ Ἑλκίου παιδὶ, πρότερον ὑπὸ Ἀγρίππα τοῦ πατρὸς ἁρμοσθεῖσαν αὐτῷ, καὶ γίνεται θυγάτηρ αὐτῆς ὄνομα Βερνίκη. διαλύονται δὲ τῇ Δρουσίλλῃ πρὸς τὸν Ἄζιζον οἱ γάμοι, μετ' οὐ πολὺν χρόνον, τοιαύτης ἐμπεσούσης αἰτίας. καθ' ὃν καιρὸν τῆς Ἰουδαίας ἐπετρόπευσε Φῆλιξ θεασάμενος ταύτην, καὶ γὰρ ἦν κάλλει πασῶν διαφέρουσα, λαμβάνει τῆς γυναικὸς ἐπιθυμίαν, καὶ Σίμωνα ὀνόματι τῶν ἑαυτοῦ φίλων Ἰουδαῖον, Κύπριον δὲ τὸ γένος, μάγον εἶναι σκηπτόμενον, πέμπων πρὸς αὐτὴν, ἔπειθε τὸν ἄνδρα καταλιποῦσαν αὐτῷ γήμασθαι, μακαρίαν ποιήσειν ἐπαγγελλόμενος, μὴ ὑπερηφανήσασαν αὐτόν. ἡ δὲ κακῶς πράττουσα, καὶ φυγεῖν τὸν ἐκ τῆς ἀδελφῆς Βερνίκης βουλομένη φθόνον, διὰ γὰρ τὸ κάλλος παρ' ἐκείνης ἐν οὐκ ὀλίγοις ἐβλάπτετο, παραβῆναί τε τὰ πάτρια νόμιμα πείθεται, καὶ τῷ Φήλικι γήμασθαι. τεκοῦσα δὲ ἐξ αὐτοῦ παῖδα προσηγόρευσεν Ἀγρίππαν. ἀλλ' ὃν μὲν τρόπον ὁ νεανίας, ἐκεῖνος σὺν τῇ γυναικὶ κατὰ τὴν ἐκπύρωσιν τοῦ Βεσβίου ὄρους ἐπὶ τῶν Τίτου Καίσαρος χρόνων ἠφανίσθη, μετὰ ταῦτα δηλώσω. Βερνίκη δὲ μετὰ τὴν Ἡρώδου τελευτὴν, ὃς αὐτῆς ἀνὴρ καὶ θεῖος ἐγεγόνει, πολὺν χρόνον ἐπιχηρεύσασα, φήμης ἐπισχούσης ὅτι τἀδελφῷ συνείη, πείθει Πολέμωνα, Κιλικίας δ' ἦν οὗτος βασιλεὺς, περιτεμνόμενον ἄγεσθαι πρὸς γάμον αὐτήν. οὕτως γὰρ ἐλέγξειν ᾤετο ψευδεῖς τὰς διαβολάς. καὶ ὁ Πολέμων ἐπείσθη μάλιστα διὰ τὸν πλοῦτον αὐτῆς, οὐ μὴν ἐπὶ πολὺ συνέμεινεν ὁ γάμος, ἀλλὰ Βερνίκη δι' ἀκολασίαν ὡς ἔφασαν, καταλείπει τὸν Πολέμωνα. ὁ δὲ ἅμα τοῦ τε γάμου, καὶ τοῦ τοῖς ἔθεσι τῶν Ἰουδαίων ἐμμένειν ἀπήλλακτο. τῷ αὐτῷ δὲ καιρῷ καὶ Μαριάμμη παραιτησαμένη τὸν Ἀρχέλαον, συνῴκησε Δημητρίῳ τῷ ἐν Ἀλεξανδρείᾳ Ἰουδαίων πρωτεύοντι γένει τε καὶ πλούτῳ, τότε δὴ καὶ τὴν ἀλαβαρχίαν αὐτὸς ἔχοντι. γενόμενον δ' αὐτῇ παιδίον ἐξ ἐκείνου Ἀγριππῖνον προσηγόρευσεν. ἀλλὰ περὶ μὲν ἑκάστου τούτων, μετ' ἀκριβείας ὕστερον ἀπαγγελοῦμεν. τελευτᾷ δὲ Κλαύδιος Καῖσαρ βασιλεύσας, ἔτη δεκατέσσαρα, μῆνας ὀκτὼ πρὸς ἡμέραις εἴκοσι, καὶ λόγος ἦν παρά τισιν, ὡς ὑπὸ τῆς γυναικὸς Ἀγριππίνης φαρμάκοις ἀνῄρητο. ταύτης

A persuaderet legitimè causam cognoscere, & in deprehensos tumultus autores iustam proferre sententiam. Claudius igitur his precibus præmollitus, auditis partibus vt comperit à Samaritanis factum tumultus principium, eos qui tum ad iudicium venerant supplicio tradidit. Cumanum verò mulctauit exilio. Celerem verò tribunum iussit perductum Hierosolymam inspectante toto populo raptari per vias, atque ita enecari hominem. Procuratorem IX. B deinde in Iudæam misit Claudium Felicem, fratrem Pallantis. Post hæc anno imperij sui duodecimo Agrippam donauit Philippi tetrarchia & Batanæa, adiuncta his Trachonitide cum Abila, quæ tetrarchia Lysiæ fuerat. Chalcidem verò ei abstulit, cùm iam dynasta illius fuisset quadriennio. His donationibus ornatus à Cæsare iuuenis collocauit Azizo Emesenorum regi circumciso sororem Drusillam. Epiphanes enim Antiochi regis filius C recusauit eius nuptias, quòd mutata sententia Iudæorum religionem amplecti nollet, vt erat pollicitus puellæ parentibus. Mariamnen quoque matrimonio coniunxit Archelao Chelciæ filio, cui ab Agrippa patre iam antè desponsata fuerat: ex quibus nata est filia Bernice nomine. Drusilla autem non multo pòst dimissa ab Azizo ex causa huiusmodi. Felix cùm esset Iudææ procurator, visa hac fœminarum omnium pulcherrima amore eius ca- D ptus, Simonem amicum suum, Iudæum genere Cyprium, pro magno se gerentem ad eam misit, qui mulierem solicitaret vt relicto priore marito ipsi nuberet, beatam fore pollicens, si non fastidiret hominem. illa malè consulta volens euadere molestationes sororis Bernices, inuidentis sibi formæ præcellentiam, consensit calcata religione patria Felici nubere: natóque ex hoc marito filio nomen Agrippæ imposuit: qui iam adultus quomodo cum vxo- E re perierit Vesuuiani clade incendij tempore Titi Cæsaris, dicemus postea. Porrò Bernice post Herodis obitum, qui idem maritus eius & patruus fuerat, aliquanto tempore in viduitate acta, cùm spargeretur rumor cum fratre eam congredi, suasit Polemoni regi Ciliciæ, vt circumcisus priùs se duceret, rata sic se coarguturam mendacium. Nec recusauit Polemon inductus maximè mulieris diuitiis: id tamen coniugium diuturnum non fuit, propter in- F temperantiam vt fertur discedente ab eo Bernice: qui mox desertus ab vxore, & ipse Iudaicæ religionis desertor factus est. Eodémque tempore etiam Mariamne dedignata Archelaum migrauit in thalamum Demetrij, primi inter Alexandrinos Iudæos tam opibus quàm genere, & tum Alabarchiæ magistratum gerentis, ex quo filium nomine Agrippinum genuit. Sed de horum singulis pòst dicemus diligentiùs. Cæterùm Claudius Cęsar exactis in X. G imperio tredecim annis, & octo mensibus, diebúsque viginti fato functus est, asseuerantibus quibusdam sublatū esse vxoris veneficio. huius

mulieris pater fuit Germanicus Imperatoris frater, maritus verò Domitius Ænobarbus vnus ex Romanis illustrioribus: post cuius mortem diu viduam tandem Claudius duxit, adducentem in familiam filium patri cognominem Domitium: priorem autem vxorem Messalinam ob zelotypiam occiderat, matrem communium filiorum Britannici & Octauij. nam Octauiam omnium suorum liberorum natu maximam ex Pætina prima vxore susceperat: quam Neroni collocauit. sic enim nomen priuigno adoptato mutauerat. Agrippina autem verita ne Britannicus adultus à patre acciperet successionem imperij, voléns que principatum suo filio quærere, procurata vt fertur morte Claudij, confestim ad prætorianos milites misit præfectum eorum Burrum cum tribunis & libertorum potentissimis, qui Neronem ad eos perductum Imperatorem consalutarent. At Nero principatum sic adeptus Britannicum clàm veneno sustulit, nec multo pòst Agrippinam matrem suam ferro propalàm, hanc illi gratiam non pro natiuitate solùm referens, verumetiam quòd eius artibus ad imperium prouectus sit. Occidit & vxorem Octauiam, multósque viros illustrissimos, quasi coniuratos in suam perniciem. Sed de his rebus scribere supersedeo. non desunt enim qui res Neronis scripserunt: quorum aliqui in gratiam eius vt bene de se meriti, veritatem neglexerunt: alij indulgentes suis odiis, tam impudentibus mendaciis in eius famam debacchati sunt, vt meritò damnandi sint in historia. quos equidem non miror de Nerone mentitos, quando ne superiorum quidem imperatorum gesta scribentes rationem veritatis habuerunt, quos tanto pòst nati nulla iusta de causa odisse poterant. sed istis veritatis contemptoribus liceat vt libet scribere, quando delectari videntur hac licentia. nos verò quibus propositum est à veritate nusquam discedere, quæ à nostro argumento aliena sunt paucis attingimus: quæ verò nobis Iudæis acciderunt, ea non tanquam obiter tractamus, ne calamitatum quidem ac erratorum commemoratione vitata.

XI. Ergo ad res nostras narrandas reuertamur. Primo Neronis principis anno, regi Emesorum Azizo defuncto frater in principatu successit: minoris autem Armeniæ dominium Aristobulus Herodis regis Chalcidis filius à Nerone accepit. Agrippæ quoque idem princeps partem Galilææ donauit, iubens Tiberiada & Tarichæas parere eius imperio: addita his & Iuliade trans Iordanem sita, agróque eius habitato vicis xiiij.

Cap. VI.

Gesta Felicis Iudææ præsidis.

CÆTERVM Iudææ res prolabebantur vsque in deterius. tota enim referta erat latronum receptaculis, & magicis præstigiatoribus imperitíque vulgi seductoribus. quorum multos, sicut & latrones, Felix

πατὴρ μὲν ἦν Γερμανικὸς Καίσαρος ἀδελφὸς, ἀνὴρ δὲ Δομέτιος Ἠνόβαρβος ὁ τῶν ἐπισήμων κατὰ τὴν Ῥωμαίων πόλιν. οὗ τελευτήσαντος χηρεύουσαν αὐτὴν ἐπὶ πολὺν χρόνον, Κλαύδιος ἄγεται πρὸς γάμον, ἐπαγομένην καὶ παῖδα Δομέτιον ὁμώνυμον τῷ πατρί. προανῃρήκει δὲ τὴν γυναῖκα Μεσσαλῖναν διὰ ζηλοτυπίαν, ἐξ ἧς αὐτῷ παῖδες ἐγεγόνεισαν Βρεττανικὸς, καὶ Ὀκταούιος, καὶ Ὀκταουΐα, ἡ καὶ πρεσβυτάτη τῶν ἀδελφῶν ἦν ἐκ Πετίνης τῆς πρώτης γυναικὸς εἶχε. καὶ δὴ τὴν Ὀκταουΐαν ἥρμοσε τῷ Νέρωνι. τοῦτον γὰρ ὕστερον αὐτὸν ἐκάλεσεν εἰσποιησάμενος υἱὸν ὁ Καῖσαρ. δεδοικυῖα δὲ ἡ Ἀγριππῖνα μὴ ὁ Βρεττανικὸς ἀνδρωθεὶς αὐτὸς παρὰ τοῦ πατρὸς τὴν ἀρχὴν παραλάβοι, τῷ δὲ αὐτῆς παιδὶ προαρπάσαι βουλομένη τὴν ἡγεμονίαν, τά τε περὶ τὸν θάνατον τοῦ Κλαυδίου, καθάπερ ἦν λόγος, διεπράξατο, καὶ παραχρῆμα πέμπει τὸν τῶν στρατευμάτων ἔπαρχον Βοῦρρον, καὶ σὺν αὐτῷ τοὺς χιλιάρχους, τῶν τε ἀπελευθέρων τοὺς πλεῖστα δυναμένους ἀπάξοντας εἰς τὴν παρεμβολὴν τὸν Νέρωνα, καὶ προσαγορεύσοντας αὐτὸν αὐτοκράτορα. Νέρων δὲ τὴν ἀρχὴν οὕτω παραλαβὼν, Βρεττανικὸν μὲν ἀδήλως τοῖς πολλοῖς ἀναιρεῖ διὰ φαρμάκων. φανερῶς δ' οὐκ εἰς μακρὰν τὴν μητέρα τὴν ἑαυτοῦ φονεύει, ταύτην ἀμοιβὴν ἀποτίσας αὐτῇ, οὐ μόνον τῆς γενέσεως, ἀλλὰ καὶ τοῦ ταῖς ἐκείνης μηχαναῖς τὴν Ῥωμαίων ἡγεμονίαν παραλαβεῖν. κτείνει δὲ καὶ τὴν Ὀκταουΐαν ᾗ συνῴκει, πολλούς τε ἐπιφανεῖς ἄνδρας ὡς ἐπ' αὐτὸν ἐπιβουλὰς συνθέντας. ἀλλὰ περὶ μὲν τούτων, ἐῶ πλείω γράφειν. πολλοὶ γὰρ τὴν περὶ Νέρωνα συντετάχασιν ἱστορίαν. ὧν οἱ μὲν, διὰ χάριν εὖ πεπονθότες ὑπ' αὐτοῦ, τῆς ἀληθείας ἠμέλησαν, οἱ δὲ διὰ μῖσος, καὶ τὴν πρὸς αὐτὸν ἀπέχθειαν, οὕτως ἀναιδῶς ἐνεπαρῴνησαν τοῖς ψεύσμασιν, ὡς ἀξίους αὐτοὺς εἶναι καταγνώσεως. καὶ θαυμάζειν οὐκ ἔπεισί μοι τοὺς περὶ Νέρωνος ψευσαμένους, ὅπου μηδὲ τῶν πρὸ αὐτοῦ γενομένων γράφοντες τὴν ἀλήθειαν τῆς ἱστορίας τετηρήκασιν, καίτοι πρὸς ἐκείνους αὐτοῖς οὐδὲν μῖσος ἦν ἅτε μετ' αὐτοὺς πολλῷ χρόνῳ γενομένοις. ἀλλὰ γὰρ τοῖς μὲν οὐ προνοουμένοις τῆς ἀληθείας ἐξέστω γράφειν ὡς θέλουσι, τούτῳ γὰρ χαίρειν ἐοίκασιν. ἡμεῖς δὲ σκοπὸν τὴν ἀλήθειαν προθέμενοι, τὰ μὲν ἀπηρτημένα τῆς προκειμένης ἡμῖν πραγματείας, ἐπ' ὀλίγον μνήμης ἀξιοῦμεν. τὰ δ' ἡμῖν τοῖς Ἰουδαίοις συμπεσόντα, δηλοῦμεν οὐ παρέργως, μήτε τὰς συμφορὰς μήτε τὰς ἁμαρτίας διασαφεῖν ὀκνοῦντες. ἐπανήξω πάλιν ἐπὶ τὴν τῶν οἰκείων πραγμάτων διήγησιν. τῷ γὰρ πρώτῳ τῆς Νέρωνος ἀρχῆς ἔτει τελευτήσαντος τοῦ Ἐμίσων βασιλέως Ἀζίζου, ἀδελφὸς τὴν ἀρχὴν διαδέχεται. τὴν δὲ τῆς μικρᾶς Ἀρμενίας προστασίαν, Ἀριστόβουλος Ἡρώδου τῆς Χαλκίδος βασιλέως παῖς, ὑπὸ Νέρωνος ἐγχειρίζεται. καὶ τὸν Ἀγρίππαν δὲ δωρεῖται μοίρᾳ τινὶ τῆς Γαλιλαίας ὁ Καῖσαρ, Τιβεριάδα καὶ Ταριχέας ὑπακούειν αὐτῷ κελεύσας. δίδωσι δὲ καὶ Ἰουλιάδα πόλιν τῆς Περαίας, καὶ κώμας τὰς περὶ αὐτὴν τεσσαρεσκαίδεκα.

Κεφάλαιον ς'.

Περὶ τῶν τοῦ Φήλικος πράξεων.

Τὰ δὲ κατὰ τὴν Ἰουδαίαν πράγματα πρὸς τὸ χεῖρον ἀεὶ τὴν ἐπίδοσιν ἐλάμβανε. λῃστηρίων γὰρ ἡ χώρα πάλιν ἀνεπλήσθη, καὶ γοήτων ἀνθρώπων οἳ τὸν ὄχλον ἠπάτων. ἀλλὰ τούτους μὲν ὁ Φῆλιξ πολλοὺς καθ'

καθ' ἑκάστην ἡμέραν σὺν τοῖς λῃσταῖς λαμβάνων, ἀνῄρει, καὶ ἐλεάζαρον δὲ τὸν διναίου παῖδα, τὸν συστησάμενον τὸ τῶν λῃστῶν τὸ σύνταγμα, δι' ἐνέδρας εἷλε ζῶντα. πίστιν γὰρ αὐτῷ προτείνας ὑπὲρ τοῦ μηδὲν πείσεσθαι κακὸν, πείθει πρὸς αὐτὸν ἀφικέσθαι, καὶ δήσας, ἀνέπεμψεν εἰς ῥώμην. ἔχων δὲ ἀπεχθῶς πρὸς τὸν ἀρχιερέα τὸν ἰωνάθην ὁ φῆλιξ διὰ τὸ πολλάκις ὑπ' αὐτοῦ νουθετεῖσθαι περὶ τοῦ κρεῖττον προΐστασθαι τῶν κατὰ τὴν ἰουδαίαν πραγμάτων, μὴ καὶ μέμψιν αὐτὸς ὀφλοίη παρὰ τοῖς πλήθεσιν αἰτησάμενος ἐκεῖνον παρὰ τοῦ καίσαρος πεμφθῆναι τῆς ἰουδαίας ἐπίτροπον, πρόφασιν ἐπενόει δι' ἧς μεταστήσεται τὸν συνεχῶς ὀχληρὸν αὐτῷ γινόμενον. βαρὺ γὰρ τοῖς ἀδικεῖν ἐθέλουσι, τὸ συνεχῶς νουθετεῖν. καὶ δὴ διὰ τοιαύτης αἰτίας ὁ φῆλιξ τὸν πιστότατον τῶν ἰωνάθου φίλων, ἱεροσολυμίτην τὸ γένος, δωρᾶν ὀνόματι, πείθει χρήματα δώσειν ὑπισχνούμενος, ἐπαγαγεῖν τῷ ἰωνάθῃ τοὺς λῃστὰς ἀναιρήσοντας. κἀκεῖνος ὑπακούσας ἐμηχανήσατο διὰ τῶν λῃστῶν πραχθῆναι τοιούτῳ τρόπῳ τὸν φόνον. ἀνέβησάν τινες αὐτῶν εἰς τὴν πόλιν, ὡς προσκυνήσοντες τὸν θεόν, ὑπὸ τὰς ἐσθῆτας ἔχοντες ξιφίδια, καὶ συναναμιχθέντες τῷ ἰωνάθῃ, κτείνουσιν αὐτόν. ἀνεκδικήτου δὲ τοῦ φόνου μεμενηκότος, μετὰ πάσης τὸ λοιπὸν ἀδείας ἀναβαίνοντες ἐν ταῖς ἑορταῖς οἱ λῃσταὶ, καὶ τὸν σίδηρον ὁμοίως κεκρυμμένον ἔχοντες, συναναμιγνύμενοι τοῖς πλήθεσιν, ἀνῄρουν μέν τινας ἑαυτῶν ἐχθρούς, οὓς δὲ ἐπὶ χρήμασιν ἄλλοις ὑπηρετοῦντες, οὐ μόνον κατὰ τὴν ἄλλην πόλιν, ἀλλὰ καὶ κατὰ τὸ ἱερὸν ἐνίους. καὶ γὰρ ἐκεῖ σφάττειν ἐτόλμων, οὐδὲ ἐν τούτῳ δοκοῦντες ἀσεβεῖν. διὰ τοῦτο οἶμαι καὶ τὸν θεὸν μισήσαντα τὴν ἀσέβειαν αὐτῶν ἀποστραφῆναι μὲν ἡμῶν τὴν πόλιν, τὸ δὲ ἱερὸν οὐκ ἔτι καθαρὸν οἰκητήριον αὐτῷ κρίναντα, ῥωμαίους ἐπαγαγεῖν ἡμῖν, καὶ τῇ πόλει καθάρσιον πῦρ, καὶ δουλείαν ἐπιβαλεῖν σὺν γυναιξὶ καὶ τέκνοις, σωφρονίσαι ταῖς συμφοραῖς βουλόμενον ἡμᾶς. τὰ μὲν οὖν τῶν λῃστῶν ἔργα, τοιαύτης ἀνοσιότητος ἐπλήρου τὴν πόλιν. οἱ δὲ γόητες, καὶ ἀπατεῶνες ἄνθρωποι τὸν ὄχλον ἔπειθον αὐτοῖς εἰς τὴν ἐρημίαν ἕπεσθαι. δείξειν γὰρ ἔφασαν ἐναργῆ τέρατα καὶ σημεῖα κατὰ τὴν τοῦ θεοῦ πρόνοιαν γινόμενα. καὶ πολλοὶ πεισθέντες, τῆς ἀφροσύνης τιμωρίας ὑπέσχον. ἀναχθέντας γὰρ αὐτοὺς φῆλιξ ἐκόλασεν. ἀφικνεῖται δέ τις ἐξ αἰγύπτου κατὰ τοῦτον τὸν καιρὸν εἰς τὰ ἱεροσόλυμα, προφήτης εἶναι λέγων, καὶ συμβουλεύων τῷ δημοτικῷ πλήθει σὺν αὐτῷ πρὸς ὄρος τὸ προσαγορευόμενον ἐλαιῶν ἔρχεσθαι, ὃ καὶ τῆς πόλεως ἀντικρὺς κείμενον ἀπέχει στάδια πέντε. θέλειν γὰρ αὐτοῖς ἐκεῖθεν ἐπιδεῖξαι, ὡς κελεύσαντος αὐτοῦ, πίπτει τὰ τῶν ἱεροσολυμιτῶν τείχη, δι' ὧν τὴν εἴσοδον αὐτοῖς παρέξειν ἐπηγγέλλετο. φῆλιξ δὲ ὡς ἐπύθετο ταῦτα, κελεύει τοὺς στρατιώτας ἀναλαβεῖν τὰ ὅπλα, καὶ μετὰ πολλῶν ἱππέων τε καὶ πεζῶν ὁρμήσας ἀπὸ τῶν ἱεροσολύμων, προσβάλλει τοῖς περὶ τὸν αἰγύπτιον, καὶ τετρακοσίους μὲν αὐτῶν ἀνεῖλε. διακοσίους δὲ ζῶντας ἔλαβεν. ὁ δὲ αἰγύπτιος αὐτὸς διαδρὰς ἐκ τῆς μάχης ἀφανὴς ἐγένετο. πάλιν δὲ οἱ λῃσταὶ τὸν δῆμον εἰς τὸν πρὸς ῥωμαίους πόλεμον ἠρέθιζον, μηδὲν ὑπακούειν αὐτοῖς λέγοντες, καὶ τὰς τῶν ἀπειθούντων κώμας ἐμπιπράντες διήρπαζον. γίνεται δὲ καὶ τῶν καισάρειαν οἰκούντων ἰουδαίων, στάσις πρὸς τοὺς ἐν αὐτῇ σύρους περὶ ἰσοπολιτείας. οἱ μὲν γὰρ ἰουδαῖοι, πρωτεύειν ἠξίουν, διὰ τὸν κτίστην τῆς καισαρείας ἡρώδην αὐτῶν βασιλέα γεγονέναι τὸ γένος ἰουδαῖον. σύροι δὲ τὰ μὲν

quotidie comprehensos afficiebat suppliciis: & in his Eleazarum Dinæi filium, qui non mediocrem latronum globum circa se habebat, dolo viuum in potestatem suam redegit: data enim ei fide quòd nihil mali esset passurus, persuasit vt ad se veniret: móxque vinctum Romam transmisit. cúmque odio prosequeretur Ionatham summum pontificem, vt admonitus ab eo sæpè de administrandis meliùs rebus Iudaicis, ne omnium erratorum inuidia publica in ipsum recideret, ad cuius preces Cæsar hunc procuratorem miserat, rationem excogitauit qua liberaretur ab eius molestis interpellationibus. Graue enim est nocendi cupidis si admoneantur crebriùs. Qua de causa Felix amicum Ionathæ fidissimum Doram Hierosolymitam genere induxit promissa pecunia, vt sicarios ipsi pontifici immitteret: quod ille in gratiam præsidis perfecit his artibus. Quidam quasi religionis ergò in vrbem ascenderunt sicis clàm succincti sub vestibus, qui permixti Ionathæ famulicio peremerunt hominem. cuius facinoris quia nemo vltor extitit, inuitati hac licentia sicarij per singula festa ventitantes, & tela celantes pari modo immixti turbis, alios confodiebant propter priuatas inimicitias, alios conducti pecunia, ídque non modò in reliquis vrbis partibus, sed in ipso templo etiam. nam & ibi interdum ausi sunt cædes patrare, ac si nihil hoc modo pietatem læderent. vnde fas est credere Deum tanta impietate offensum auersatum esse Hierosolyma: templóque vt non amplius puro domicilio Romanos induxisse purificaturos id flámis lustralibus: gentíque cum liberis simul & vxoribus seruitutis iugum imposuisse, quò castigatiores redderentur hoc infortunio. Et vrbs quidem talibus incestabatur latrociniis. Impostores autem & magi turbas illectas post se trahebant in solitudines, pollicentes se diuinitus ostensuros eis clarissima signa & prodigia: persuasáque multitudo mox pœnas luit dementiæ. retractos enim eos Felix neci dedidit. XII. Eodem tempore quidam ex Ægypto venit Hierosolyma vatem se esse profitens & plebi suadens vt secuta se in montem Oliueti ascenderet, qui è regione vrbis ad quintum abest stadium: illic enim visuros suo iussu cadere Hierosolymorum mœnia, ita vt per eorum ruinas aditus in ciuitatem pateat. Quo cognito Felix iubet milites arma sumere: stipatúsque multis equitibus ac peditibus erumpens inuadit turbam seductam ab Ægyptio: quorum quadringentis occisis, ducentos viuos cepit: Ægyptius ipse pugna elapsus disparuit. Post hæc latrones rursum ad rebellandum Romanis incitabant populum, dictitantes excutiendum illorum imperium, & non assentientium vicos direptos absumebant incendiis. XIII. Apud Cæsaream quoque inter Iudæos habitatores & Syros de pari iure ciuitatis rixa exorta est. nam Iudæi potiore conditione volebant esse, quòd vrbis eius conditor Herodes rex fuerit Iudęus genere: id Syri nō

inficiabantur quidem, sed aiebant vrbem turrim Stratonis dictam à principio, quo tempore nullum Iudæum habitasse inibi. Quæ res pòst peruenit ad cognitionem præsidum, correptísque ex vtraque parte tumultus autoribus affecerunt eos verberibus, atque hoc modo seditionem compresserunt aliquandiu. rursum enim oppidani Iudæi freti diuitiis per contumeliam Syros lacessebant conuitio. qui tacti inferiores quod ad facultates attinet, ferocientes tamen eo quòd plurimi Romanis per ea loca militantium Cæsarienses essent & Sebasteni patria, aliquantisper & ipsi regerebant in Iudæos conuitia. deinde ad lapides ventum est, ita vt multi vtrinque vel sauciarentur vel caderent. pænes Iudæos tamen fuit victoria. Felix autem vt vidit contentionem progressam vsque ad belli speciem, prosiliens rogabat Iudæos vt desinerent: quibus non parentibus immisit armatos milites: multisque cæsis, plures captiuos fecit: & multas eorum domos diuitiis refertas in prędam concessit militibus. Iudæorum verò honoratiores ac modestiores sibiipsis timentes rogauerunt Felicem vt militibus receptui caneret, parcerétque iam, & resipiscendi facultatem concederet: id quod præses indulsit eorum precibus. Per idem tempus Agrippa rex summum sacerdotium Ismaëli contulit Phabæi filio: & ipsi summi pontifices dissidere cœperunt à sacerdotibus & primatibus Hierosolymitanorum ciuium, singulíq; incedebant stipati manu audacissimorum & seditiosorum hominum, cõflictantésque inter se mutuis certabant conuitiis & lapidationibus: nec erat qui compesceret, quasi vacante vrbe magistratibus. Intantum autem exarsit summorum pontificum impudentia, vt auderent seruos suos in areas mittere, qui auferrent debitas sacerdotibus decimas, aliquótque pauperiores è sacerdotum ordine alimentorum inopia fame deficerent. Tanto plus tum pollebat violentia seditiosorum quàm iustitia.

Cap. VII.

De procuratore Porcio Festo, & de sicariis.

CÆterùm postquàm Felici successor Porcius Festus à Nerone missus est, primores Iudæorum Cæsaream incolentium Romam profecti sunt Felicem accusaturi: dedisśetque omnino pœnas iniuriarum quibus Iudæos affecerat, nisi Nero eum donasset Pallantis fratris precibus, qui tum in precio erat apud principem. Cæsariensium etiam Syrorum duo præcipui, Beryllum qui pædagogus Neronis fuerat, tunc verò Græcis epistolis scribendis præerat, magna pecunia corruperũt vt impetraret ab imperatore literas, quibus abrogaretur Iudæis eius ciuitatis ius, hactenus commune ex æquo cum Syris cohabitatoribus: id quod ille facilè obtinuit. ex his literis postea calamitatũ nostrarũ omniũ causæ ortæ sũt. Iudęi enim Cęsarieses vbi cognouerũt quę scripta sunt, magis etiã perstabãt in seditionib.

περὶ τὸν ἡρώδην, ὡμολόγουν, ἔφασαν δὲ τὴν καισάρειαν, στράτωνος πύργον τὸ πρότερον καλεῖσθαι, καὶ τότε μηδένα γεγονέναι τῆς πόλεως τῶν ἰουδαίων οἰκήτορα. ταῦτα ἀκούσαντες οἱ τῆς χώρας ἔπαρχοι, λαβόντες ἀμφοτέρωθεν τοὺς αἰτίους τῆς στάσεως, πληγαῖς ᾐκίσαντο, καὶ τὴν ταραχὴν οὕτω κατέστειλαν πρὸς ὀλίγον. πάλιν γὰρ οἱ κατὰ τὴν πόλιν ἰουδαῖοι τῷ πλούτῳ θαῤῥοῦντες, καὶ διὰ τοῦτο καταφρονοῦντες τῶν σύρων, ἐβλασφήμουν εἰς αὐτοὺς ἐρεθίσειν προσδοκῶντες. οἱ δὲ χρήμασι μὲν ἡττώμενοι, μέγα δὲ φρονοῦντες ἐπὶ τῷ τοὺς πλείστους τῶν ὑπὸ ῥωμαίοις ἐκεῖσε στρατευομένων καισαρεῖς εἶναι, καὶ σεβαστηνούς, μέχρι μέν τινος, καὶ αὐτοὶ τοὺς ἰουδαίους λόγῳ ὕβριζον. εἶτα λίθοις ἀλλήλους ἔβαλλον, ἕως πολλοὺς παρ᾽ ἀμφότερα τρωθῆναί τε καὶ πεσεῖν συνέβη, νικῶσί γε μὴν ἰουδαῖοι. φῆλιξ δὲ ὡς ἐθεάσατο φιλονεικίαν ἐν πολέμου τρόπῳ γινομένην, προπηδήσας, παύεσθαι τοὺς ἰουδαίους παρεκάλει. μὴ πειθομένοις δὲ, τοὺς στρατιώτας ὁπλίσας ἐπαφίησι. καὶ πολλοὺς μὲν αὐτῶν ἀνεῖλε, πλείους δὲ ζῶντας ἔλαβεν, οἰκίας δέ τινας τῶν ἐν τῇ πόλει πολλῶν πάνυ χρημάτων γεμούσας διαρπάζειν ἐφῆκεν τοῖς στρατιώταις. οἱ δὲ τῶν ἰουδαίων ἐπιεικέστεροι, καὶ προύχοντες κατὰ τὴν ἀξίωσιν δείσαντες περὶ ἑαυτῶν, παρεκάλουν τὸν φήλικα τοὺς στρατιώτας ἀνακαλεῖσθαι τῇ σάλπιγγι, καὶ φείδεσθαι τὸ λοιπὸν αὐτῶν, δοῦναί τε μετάνοιαν ἐπὶ τοῖς πεπραγμένοις, καὶ φῆλιξ ἐπείσθη. κατὰ τοῦτον τὸν καιρὸν ὁ βασιλεὺς ἀγρίππας δίδωσι τὴν ἀρχιερωσύνην ἰσμαήλῳ, φαβεῖ παῖς οὗτος ἦν. ἐξάπτεται δὲ καὶ τοῖς ἀρχιερεῦσι στάσις πρὸς τοὺς ἱερεῖς, καὶ τοὺς πρώτους τοῦ πλήθους τῶν ἱεροσολυμιτῶν, ἕκαστός τε αὐτῶν στῖφος ἀνθρώπων τῶν θρασυτάτων καὶ νεωτεριστῶν ἑαυτῷ ποιήσας, ἡγεμὼν ἦν. καὶ συῤῥάσσοντες, ἐκακολόγουν τε ἀλλήλους, καὶ λίθοις ἔβαλλον. ὁ δὲ ἐπιπλήξων ἦν οὐδείς, ἀλλ᾽ ὡς ἐν ἀπροστατεύτῳ πόλει, ταῦτα ἐπράσσετο μετ᾽ ἐξουσίας. τοσαύτη δὲ τοὺς ἀρχιερεῖς κατέλαβεν ἀναίδεια καὶ τόλμα, ὥστε καὶ πέμπειν δούλους ἐτόλμων ἐπὶ τὰς ἅλωνας τοὺς ληψομένους τὰς τοῖς ἱερεῦσιν ὀφειλομένας δεκάτας, καὶ συνέβαινε τοὺς ἀπορουμένους τῶν ἱερέων ὑπ᾽ ἐνδείας τελευτᾶν. οὕτως ἐκράτει τοῦ δικαίου παντὸς ἡ τῶν στασιαζόντων βία.

Κεφάλαιον ζ'.

Περὶ πορκίου φήστου ἐπιτρόπου, καὶ περὶ τῶν σικαρίων.

ΠΟρκίου δὲ φήστου διαδόχου φήλικι πεμφθέντος ὑπὸ νέρωνος, οἱ πρωτεύοντες τῶν τὴν καισάρειαν κατοικούντων ἰουδαίων, εἰς τὴν ῥώμην ἀναβαίνουσι, φήλικος κατηγοροῦντες. καὶ πάντως ἂν ἐδεδώκει τιμωρίαν τῶν εἰς ἰουδαίους ἀδικημάτων, εἰ μὴ πολλὰ αὐτὸν ὁ νέρων τἀδελφῷ πάλλαντι παρακαλέσαντι συνεχώρησε, μάλιστα δὴ τότε διὰ τιμῆς ἔχων ἐκεῖνον. καὶ τῶν ἐν τῇ καισαρείᾳ δὲ οἱ πρῶτοι δύο σύροι, βήρυλλον, παιδαγωγὸς δὲ οὗτος ἦν τοῦ νέρωνος, τάξιν τὴν ἐπὶ τῶν ἑλληνικῶν ἐπιστολῶν πεπιστευμένος, πείθουσιν πολλοῖς χρήμασιν αἰτήσασθαι παρὰ τοῦ νέρωνος αὐτοῖς ἐπιστολὴν ἀκυροῦσαν τὴν ἰουδαίων πρὸς αὐτοὺς ἰσοπολιτείαν. καὶ βήρυλλος τὸν αὐτοκράτορα παρακαλέσας ἐπέτυχε γραφῆναι τὴν ἐπιστολήν. αὕτη τῷ ἔθνει ἡμῶν τῶν μετὰ ταῦτα κακῶν τὰς αἰτίας παρέσχεν. πυθόμενοι γὰρ οἱ κατὰ τὴν καισάρειαν ἰουδαῖοι τὰ γραφέντα πρὸς τοὺς σύρους, στάσεως μᾶλλον εἴχοντο,

μέχρι

μέχρι δὴ τὸν πόλεμον ἐξῆψαν. ἀφικομένου δὲ εἰς τὴν Ἰουδαίαν Φήστου, συνέβαινε τὴν Ἰουδαίαν ὑπὸ τῶν λῃστῶν κακοῦσθαι, τῶν κωμῶν ἁπασῶν ἐμπιπραμένων τε καὶ διαρπαζομένων. καὶ οἱ σικάριοι δὲ καλούμενοι, λῃσταὶ δέ εἰσιν οὗτοι, τότε μάλιστα ἐπλήθυνον χρώμενοι ξιφιδίοις παραπλησίοις μὲν τὸ μέγεθος τοῖς τῶν περσῶν ἀκινάκαις, ἐπικαμπέσι δὲ καὶ παραπλησίοις ταῖς ὑπὸ ῥωμαίων σίκαις καλουμέναις ἀφ' ὧν καὶ τὴν προσηγορίαν οἱ λῃστεύοντες ἔλαβον πολλοὺς ἀναιροῦντες. ἀναμιγνύμενοι γὰρ ἐν ταῖς ἑορταῖς, καθὼς καὶ τὸ πρότερον εἴπαμεν, τῷ πλήθει, πανταχόθεν εἰς τὴν πόλιν ἐπὶ τὴν εὐσέβειαν συρρεόντων, οὓς βουληθεῖεν ῥᾳδίως ἀπέσφαττον. πολλάκις δὲ καὶ μεθ' ὅπλων, ἐπὶ τὰς κώμας τῶν ἐχθρῶν ἀφικνούμενοι, διήρπαζον, καὶ ἐνεπίμπρασαν. πέμπει δὲ φῆστος δύναμιν ἱππικήν τε καὶ πεζικὴν ἐπὶ τοὺς ἀπατηθέντας ὑπό τινος ἀνθρώπου γόητος, σωτηρίαν αὐτοῖς ἐπαγγελλομένου, καὶ παῦλαν κακῶν εἰ βουληθεῖεν ἕπεσθαι μέχρι τῆς ἐρημίας αὐτῷ. καὶ αὐτόν τε ἐκεῖνον τὸν ἀπατήσαντα, καὶ τοὺς ἀκολουθήσαντας διέφθειραν οἱ πεμφθέντες. κατὰ δὲ τὸν καιρὸν τοῦτον, ὁ βασιλεὺς ἀγρίππας ᾠκοδομήσατο μεγέθει διάφορον οἴκημα ἐν τῷ βασιλείῳ ἐν ἱεροσολύμοις, πλησίον τοῦ ξυστοῦ. τότε βασίλειον ἐγεγόνει ὑπὸ τῶν ἀσαμωναίου παίδων, ἐφ' ὑψηλοῦ δὲ τόπου κείμενον τοῖς κατοπτεύειν ἀπ' αὐτοῦ βουλομένοις τὴν πόλιν ἐπιτερπεστάτην παρεῖχε τὴν θέαν, ἧς ἐφιέμενος ὁ βασιλεὺς ἐκεῖθεν ἀφεώρα κατακείμενος τὰ κατὰ τὸ ἱερὸν πρασσόμενα. ταῦτα δὲ θεασάμενοι τῶν ἱεροσολυμιτῶν οἱ προὔχοντες, δεινῶς ἐχαλέπαινον. οὐ γὰρ ἦν πάτριον οὐδὲ νόμιμον ἡμῖν, τὰ κατὰ τὸ ἱερὸν δρώμενα κατοπτεύεσθαι, καὶ μάλιστα τὰς ἱερουργίας. τοῖχον οὖν ἐγείρουσιν ἐπὶ τῆς ἐξέδρας ὑψηλὸν, ἥτις ἦν ἐν τῷ ἔσωθεν ἱερῷ τετραμμένη πρὸς δύσιν. οὐ μόνον δὲ τῆς βασιλικῆς ἐκκλίνης τὴν ἄποψιν οὗτος οἰκοδομηθεὶς ἀπετέμνετο, ἀλλὰ καὶ τῆς δυτικῆς στοᾶς τῆς κατὰ τὸ ἱερὸν ἔξωθεν οὔσης, ἔνθα τὰς φυλακὰς οἱ ῥωμαῖοι ταῖς ἑορταῖς ἐποιοῦντο διὰ τὸ ἱερόν. ἐπὶ τούτοις ἠγανάκτησαν ὅ τε βασιλεὺς ἀγρίππας, μάλιστα δὲ φῆστος ὁ ἔπαρχος, καὶ προσέταξεν αὐτοῖς καθελεῖν. οἱ δὲ παρεκάλεσαν ἐξουσίαν αὐτοῖς δοῦναι πρεσβεῦσαι περὶ τούτου πρὸς νέρωνα, ζῆν γὰρ οὐχ ὑπομένειν καθαιρεθέντος τινὸς μέρους τοῦ ἱεροῦ. συγχωρήσαντος δὲ τοῦ φήστου, πέμπουσιν ἐξ αὐτῶν πρὸς νέρωνα τοὺς πρώτους δέκα, καὶ ἰσμάηλον τὸν ἀρχιερέα, καὶ ἑλκίαν τὸν γαζοφύλακα. νέρων δὲ διακούσας αὐτῶν, οὐ μόνον συνέγνω περὶ τοῦ πραχθέντος, ἀλλὰ καὶ συνεχώρησεν οὕτως ἐᾶν τὴν οἰκοδομίαν, τῇ γυναικὶ ποππηΐᾳ, θεοσεβὴς γὰρ ἦν, ὑπὲρ τῶν ἰουδαίων δεηθείσῃ χαριζόμενος, ἣ τοῖς μὲν δέκα προσέταξεν ἀπιέναι, τὸν δὲ ἑλκίαν, καὶ τὸν ἰσμάηλον ὁμηρεύσαντας παρ' ἑαυτῇ κατέχειν. ὁ δὲ βασιλεὺς ταῦτα ὡς ἐπύθετο, δίδωσι τὴν ἀρχιερωσύνην ἰωσήπῳ τῷ σίμωνος παιδὶ ἀρχιερέως, ἐπικαλουμένῳ δὲ καβεῖ.

A donec initium belli conflatum est. Cùm autem venisset in Iudæam Festus, offendit totam afflictam à latronibus vicos passim populantibus, quorum ferocissimi appellati sicarij. tunc ad maximum numerum excreuerant, vtentes gladiolis instar acinacis Persici, incuruis, quales sicas Romani nominant, vnde latronibus ipsis cognomen est inditum, multorum cæde infamibus: qui, vt iam dictum est, festis diebus admixti turbæ vndique in vrbem confluenti B religionis gratia, nullo negotio quotquot collibuisset tollebant de medio. aliquando etiam armati inuadebant inimicorum vicos, direptósque tradebant incendio. Festus autem equestres & pedestres copias misit contra quendam impostorem magum, qui homines post se trahebat in solitudinem, deceptos vanis promissis, quasi ope eius incolumes euasuri essent à malis omnibus, hi vniuersi vnà cum seductore ab immissis militibus oppressi sunt. Eo- XV. C dem tempore Agrippa rex extruxit insigni amplitudine domum prope porticum in regia Hierosolymitana, quæ Assamonæorum fuerat, sitam in edito loco, vnde amœnissimus prospectus patebat contemplari vrbem volentibus, cuius voluptatis rex cupidus è cubiculo spectabat quicquid circa templum fieret: id vbi viderunt Hierosolymitani proceres, tulerunt indignissimè. neq; enim leges nostræ concedunt spectari quid agatur in templo, præser- D tim sacrificia. quamobrem altum parietem excitauerunt supra exhedram, quæ erat in interiore templo versa ad solem occiduum. hæc non solùm regij triclinij prospectum arcebat opposita, verumetiam occidentalis extra templum sitæ porticus, vbi festis diebus Romani stationes habebant ad templi custodiam. quo facto tam rex offensus est quàm Festus præses prouinciæ, qui etiam iussit parietem dirui. ciues autem rogauerunt, vt liceret sibi legatos ea de re ad Neronem mittere, negátes se pos- E se viuere, si quid demoliretur de templi ædificiis. quo impetrato miserunt ad imperatorem decem ciues eximios, & Ismaëlem summum pontificem, & Chelciam custodem sacri ærarij. Qui audita legatione non solùm ignouit, sed permisit etiam sic manere parietem, gratificatus in hoc vxori suæ Poppeæ piæ fœminæ, quæ pro Iudæis deprecatrix fuerat: quæ decem illos viros redire permisit, Chelciam verò & Ismaëlem apud se detinuit tan- F quam obsides. Id postquam Agrippa resciuit, pontificatum detulit Iosepho cognomine Cabi, Simonis quondam summi pontificis filio.

Κεφάλαιον η.

Περὶ ἀλβίνου ἐπιτρόπου.

CAP. VIII.

De procuratore Albino.

Πέμπει δὲ καῖσαρ ἀλβῖνον εἰς τὴν ἰουδαίαν ἔπαρχον, φήστου τὴν τελευτὴν πυθόμενος. ὁ δὲ βασιλεὺς, ἀφείλετο μὲν τὸν ἰώσηπον τὴν ἱερωσύνην, τῷ δὲ ἀνάνου παιδὶ, καὶ αὐτῷ ἀνάνῳ λεγομένῳ τὴν διαδοχὴν τῆς ἀρχῆς ἔδωκε, τοῦτον δέ φασι τὸν πρεσβύτατον ἄνανον, εὐτυχέστατον γενέσθαι

CÆsar autem de Festi morte accepto nuncio Albinum in Iudæam misit præsidem. Rex verò Iosepho iusso priuatam vitam agere, sacerdotium eius dedit Anani filio, & ipsi vo- G cato Anano eodem quo pater nomine. Seniorem istũ Ananũ aiunt fuisse omniũ felicissimũ,

vt qui filios habuerit quinque, omnes potitos summi Dei pontificio, cùm priùs ipse ad satietatem hac dignitate esset perfunctus: quod ad eam ætatem nulli antè summorum pontificum contigerat. Iunior autem Ananus, is quem nunc summum pontificatum accepisse diximus, audax erat & ferox ingenio, secta Sadducæus, quod hominum genus apud Iudæos in iudicando est seuerissimum, vt antè docuimus. XVI. Talis igitur cùm esset, tempus opportunum se nactum ratus, mortuo Festo, Albino adhuc agente in itinere, concilium iudicum aduocat: statutúmque coram eo fratrem Iesu Christi Iacobum nomine, & vnà quosdam alios, reos impietatis peractos lapidandos tradidit: quod factum omnibus in ea ciuitate bonis & legum studiosis vehementer displicuit: misísque ad regem clàm nunciis rogauerunt mandaret Anano, ne quid tale posthac ageret. nam ne nunc quidem rectè egisse. Quidam etiam Albino occurrentes venienti ab Alexandria, docuerunt eum non licuisse Anano sine ipsius consensu aduocare concilium. horum verbis ille persuasus iracundè scripsit pontifici, daturum sibi pœnas minitans: & Agrippa rex eam ob causam post tertium mensem ablatum ab eo pontificatum Iesu Damnæi filio concessit. Albinus porrò, vt venit Hierosolyma, omnem curam & diligentiam adhibuit, vt pacaret prouinciam, interfectis multis sicariis. Ananias autem pontifex indies apud populum celebrior fiebat & carior, honorabatúrque ob liberalitatem ab omnibus: quotidieque Albinum donis venerabatur & summum pontificem. Sed habebat seruos pessimos, qui adiuncto sibi audacissimo quoque obeuntes areas, vi auferebant sacerdotum decimas, pulsantes eos, qui cunctarentur reddere. alij quoque pontifices faciebant similia, nemine valente compescere: multique sacerdotum quibus antè ex decimis alimenta fuerant, tunc absumebantur inedia. At sicarij die festo qui tum superuenerat noctu vrbem ingressi viuum ceperunt scribam ducis Eleazari. is erat Ananiæ pontificis filius. hunc vinctum abduxerunt, ac deinde miserunt Ananiam, qui eorum nomine promitteret scribam dimittendum, si pater Albino persuaderet, vt ex eorum numero decem captiuos solueret: tum Ananias vrgente necessitate ab Albino impetrauit, quæ latrones illi postulauerant, id quod maiorum calamitatum fuit initium. Latrones enim semper aliquam artem comminiscebantur, qua ex Ananiæ cognatis quempiam interciperent, nec priùs dimittebant, quàm è suis aliquot reciperent auctique denuo magno numero, & recepta audacia, totam eam regionem vastabant. Hoc tempore Agrippa rex prolatis pomœriis Cæsareæ quæ Philippi dicitur, mutato nomine in Neronis honorem vocauit eam Neroniada: & theatrum apud Berytios impendiis magnis exædificatum ornauit spectaculis annuis, assignata in eũ vsũ ingenti vi pecuniæ. Frumẽtum enim donauit

A πέντε γὰρ ἔσχε παῖδας, καὶ τούτους πάντας συνέβη ἀρχιερατεῦσαι τῷ θεῷ. αὐτὸς γὰρ πρότερος τῆς τιμῆς ἐπὶ πλεῖστον ἀπολαύσας, ὅπερ οὐδενὶ συνέβη τῶν παρ᾽ ἡμῖν ἀρχιερέων. ὁ δὲ νεώτερος ἄνανος, ὃν τὴν ἀρχιερωσύνην ἔφαμεν παρειληφέναι, θρασὺς ἦν τὸν τρόπον, καὶ τολμητὴς διαφερόντως. αἵρεσιν δὲ μετῄει τὴν σαδδουκαίων, οἵπερ εἰσὶ περὶ τὰς κρίσεις ὠμοὶ παρὰ πάντας τοὺς ἰουδαίους, καθὼς ἤδη δεδηλώκαμεν. ἅτε δὴ οὖν τοιοῦτος ὢν ὁ ἄνανος, νομίσας ἔχειν καιρὸν ἐπιτήδειον, διὰ τὸ τεθνάναι μὲν φῆστον, ἀλβῖνον δὲ ἔτι κατὰ τὴν ὁδὸν ὑπάρχειν, καθίζει συνέδριον κριτῶν. καὶ παραγαγὼν εἰς αὐτὸ τὸν ἀδελφὸν ἰησοῦ τοῦ λεγομένου χριστοῦ, ἰάκωβος ὄνομα αὐτῷ, καί τινας ἑτέρους, ὡς παρανομησάντων κατηγορίαν ποιησάμενος, παρέδωκε λευσθησομένους. ὅσοι δὲ ἐδόκουν ἐπιεικέστατοι τῶν κατὰ τὴν πόλιν εἶναι, καὶ περὶ τοὺς νόμους ἀκριβεῖς, βαρέως ἤνεγκαν ἐπὶ τούτῳ, καὶ πέμπουσιν πρὸς τὸν βασιλέα κρύφα παρακαλοῦντες C αὐτὸν ἐπιστεῖλαι τῷ ἀνάνῳ, μηκέτι τοιαῦτα πράσσειν. μηδὲ γὰρ τὸ πρῶτον ὀρθῶς αὐτὸν πεποιηκέναι. τινὲς δὲ αὐτῶν καὶ τὸν ἀλβῖνον ὑπαντιάζουσιν ἀπὸ τῆς ἀλεξανδρείας ὁδοιποροῦντα, καὶ διδάσκουσιν ὡς οὐκ ἐξὸν ἦν ἀνάνῳ, χωρὶς τῆς ἐκείνου γνώμης καθίσαι συνέδριον. ἀλβῖνος δὲ πεισθεὶς τοῖς λεγομένοις γράφει μετ᾽ ὀργῆς τῷ ἀνάνῳ, λήψεσθαι παρ᾽ αὐτοῦ δίκας ἀπειλῶν. καὶ ὁ βασιλεὺς ἀγρίππας διὰ τοῦτο τὴν ἀρχιερωσύνην ἀφελόμενος αὐτὸν ἄρξαντα μῆνας τρεῖς, ἰησοῦν τὸν τοῦ δαμναίου κατέστησεν. ἐπειδὴ δὲ ἧκεν ὁ ἀλβῖνος εἰς τὴν τῶν ἱεροσολυμιτῶν πόλιν, πᾶσαν εἰσενέγκατο σπουδὴν καὶ πρόνοιαν, ὑπὲρ τοῦ τὴν χώραν εἰρηνεύεσθαι, πολλοὺς τῶν σικαρίων διαφθείρας. ὁ δὲ ἀρχιερεὺς ἀνανίας, καθ᾽ ἑκάστην ἡμέραν, ἐπὶ μέγα προὔκοπτε δόξης, καὶ τῆς παρὰ τῶν πολιτῶν εὐνοίας τε καὶ τιμῆς ἠξιοῦτο λαμπρῶς, ἦν γὰρ χρημάτων ποριστικός. καθ᾽ ἡμέραν οὖν τὸν ἀλβῖνον, καὶ τὸν ἀρχιερέα δώροις ἐθεράπευεν. E εἶχε δὲ οἰκέτας πάνυ μοχθηρούς, οἳ συναναστρεφόμενοι τοῖς θρασυτάτοις, ἐπὶ τὰς ἅλωνας πορευόμενοι τὰς τῶν ἱερέων δεκάτας ἐλάμβανον βιαζόμενοι, καὶ τοὺς μὴ διδόντας οὐκ ἀπείχοντο τύπτειν. οἵ τε ἀρχιερεῖς ὅμοια τοῖς ἐκείνου δούλοις ἔπρασσον, μηδενὸς κωλύειν δυναμένου. καὶ τῶν ἱερέων τοὺς πάλαι ταῖς δεκάταις τρεφομένους, τότε συνέβαινε θνήσκειν, τροφῆς ἀπορίᾳ. πάλιν δὲ οἱ σικάριοι κατὰ τὴν ἑορτήν, F ἐνειστήκει γὰρ αὕτη, διὰ νυκτὸς εἰς τὴν πόλιν παρελθόντες, συλλαμβάνουσι ζῶντα τὸν γραμματέα τοῦ στρατηγοῦντος ἐλεαζάρου, παῖς δὲ ἦν οὗτος ἀνανίου τοῦ ἀρχιερέως, καὶ δήσαντες, ἐξήγαγον, εἶτα πέμψαντες πρὸς τὸν ἀνανίαν, ἀπολύειν ἔφασαν τὸν γραμματέα πρὸς αὐτόν, εἰ πείσειε τὸν ἀλβῖνον δέκα δεσμώτας τοὺς ἐξ αὐτῶν ληφθέντας, ἀπολῦσαι. καὶ ὁ ἀνανίας διὰ τὴν ἀνάγκην πείσας τὸν ἀλβῖνον, τῆς ἀξιώσεως ἐπέτυχεν. τοῦτο μειζόνων κακῶν ἦρξεν. οἱ γὰρ λῃσταὶ παντοίως ἐπι- G μηχανῶντο τῶν ἀνανίου τινὰς συλλαβεῖν οἰκείων, καὶ συνεχῶς ζωγροῦντες οὐκ ἀπέλυον, πρὶν ἤ τινας τῶν σικαρίων ἀπολάβοιεν. γενόμενοί τε πάλιν ἀριθμὸς οὐκ ὀλίγος, ἀναθαρρήσαντες τὴν χώραν ἅπασαν ἐκάκουν. κατὰ τοῦτον δὲ τὸν καιρὸν ὁ βασιλεὺς ἀγρίππας, μείζονα τὴν φιλίππου καλουμένην καισάρειαν κατασκευάσας, εἰς τὴν τοῦ νέρωνος τιμήν, νερωνιάδα προσηγόρευσεν. καὶ βηρυτίοις δὲ θέατρον ἀπὸ πολλῶν χρημάτων κατασκευασμένον, ταῖς κατ᾽ ἔτος θέαις ἐδωρεῖτο, πολλὰς εἰς τοῦτο μυριάδας ἀναλίσκων. σῖτον γὰρ ἐδίδου τῷ δή-

τῷ δήμῳ, καὶ ἔλαιον διένειμε, καὶ τὴν πᾶσαν δὲ πόλιν ἀνδριάντων ἀναθέσεσι, καὶ τῶν ἀρχαίων ἀποτύποις εἰκόσιν ἐκόσμει, καὶ μικροῦ δεῖν πάντα τὸν τῆς βασιλείας κόσμον ἐκεῖ μετενήνοχεν. μῖσος οὖν αὐτῷ παρὰ τῶν ὑπηκόων ηὔξετο, διὰ τὸ ἀφαιρούμενον τὰ ἐκείνων, ξένην πόλιν κοσμεῖν. λαμβάνει δὲ καὶ ἰησοῦς, ὁ τοῦ γαμαλιὴλ, τὴν διαδοχὴν τῆς ἀρχιερωσύνης, παρὰ τοῦ βασιλέως, ἰησοῦ ἀφελομένου τὸν τοῦ δαμναίου, καὶ διὰ τοῦτο στάσις αὐτῶν πρὸς ἀλλήλους ἐγένετο. συστήματα γὰρ τῶν θρασυτάτων ποιησάμενοι, πολλάκις μέχρι λίθων βολῆς ἀπὸ τῶν βλασφημιῶν ἐξέπιπτον. ὑπερεῖχε δὲ ἀνανίας τῷ πλούτῳ προσαγόμενος τοὺς λαμβάνειν ἑτοίμους. κοστόβαρος δὲ, καὶ σαοῦλος, αὐτοὶ καθ' αὑτοὺς μοχθηρὰ πλήθη συνῆγον, γένους μὲν ὄντες βασιλικοῦ, καὶ διὰ τὴν πρὸς ἀγρίππαν συγγένειαν, εὐνοίας τυγχάνοντες, βίαιοι δὲ καὶ ἁρπάζειν τὰ τῶν ἀσθενεστέρων ἕτοιμοι. ἐξ ἐκείνου μάλιστα τοῦ καιροῦ συνέβη τὴν πόλιν ἡμῶν νοσεῖν, προκοπτόντων πάντων ἐπὶ τὸ χεῖρον. ὡς δὲ ἤκουσεν ἀλβῖνος διάδοχον αὐτῷ γέσσιον φλῶρον ἀφικνεῖσθαι, βουλόμενος δοκεῖν τι τοῖς ἱεροσολυμίταις παρεσχῆσθαι, προσαγαγὼν τοὺς δεσμώτας ὅσοι ἦσαν αὐτῶν προδήλως θανεῖν ἄξιοι, τούτους προσέταξεν ἀναιρεθῆναι. τοὺς δὲ ἐκ μικρᾶς καὶ τῆς τυχούσης αἰτίας εἰς τὴν εἱρκτὴν κατατεθέντας, χρήματα λαμβάνων αὐτοὺς ἀπέλυε. καὶ οὕτως ἡ μὲν φυλακὴ τῶν δεσμωτῶν ἐκαθάρθη, ἡ χώρα δὲ λῃστῶν ἐπληρώθη. τῶν δὲ λευιτῶν, φυλὴ δ' ἐστὶν αὕτη, ὅσοι περ ἦσαν ὑμνῳδοὶ, πείθουσι τὸν βασιλέα καθίσαντα συνέδριον, φορεῖν αὐτοῖς ἐπίσης τοῖς ἱερεῦσιν ἐπιτρέψαι λινῆν στολήν. πρέπειν γὰρ αὐτοῦ τοῖς ἀρχῆς χρόνοις ἔφασκον, ἀφ' ὧν μνημονευθήσεται, καινοποιεῖν. καὶ τῆς ἀξιώσεως οὐ διήμαρτον. ὁ γὰρ βασιλεὺς μετὰ γνώμης τῶν εἰς τὸ συνέδριον ἐποιχομένων, συνεχώρησε τοῖς ὑμνῳδοῖς ἀποθεμένοις τὴν προτέραν ἐσθῆτα, φορεῖν λινῆν οἵαν ἠθέλησαν. μέρους δέ τινος τῆς φυλῆς λειτουργοῦντος κατὰ τὸ ἱερὸν, καὶ τούτοις ἐπέτρεψε τοὺς ὕμνους ἐκμαθεῖν ὡς παρεκάλουν. πάντα δὲ ἦν ἐναντία ταῦτα τοῖς πατρίοις, ὧν παραβαθέντων, οὐκ ἦν μὴ οὐχὶ δίκας ὑποσχεῖν. ἤδη δὲ τότε, καὶ τὸ ἱερὸν τετέλεστο. βλέπων οὖν ὁ δῆμος ἀργήσαντας τοὺς τεχνίτας, ὑπὲρ μυρίους καὶ ὀκτακισχιλίους ὄντας, καὶ μισθοφορίας ἐνδεεῖς ἐσομένους, διὰ τὸ τὴν τροφὴν ἐκ τῆς κατὰ τὸ ἱερὸν ἐργασίας πορίζεσθαι, καὶ χρήματα μὲν ἀπόθετα διὰ τὸν ἐκ ῥωμαίων φόβον ἔχειν οὐ θέλων, προνοούμενος δὲ τῶν τεχνιτῶν, καὶ εἰς τούτους ἀναλοῦν τοὺς θησαυροὺς βουλόμενος, καὶ γὰρ εἰ μίαν τις ὥραν τῆς ἡμέρας ἐργάσαιτο, τὸν μισθὸν ὑπὲρ ταύτης εὐθέως ἐλάμβανεν, ἔπειθεν τὸν βασιλέα τὴν ἀνατολικὴν στοὰν ἀνεγεῖραι. ἦν δὲ ἡ στοὰ τοῦ μὲν ἔξωθεν ἱεροῦ, κειμένη δὲ ἐν φάραγγι βαθείᾳ, τετρακοσίων πηχῶν τοὺς τοίχους ἔχουσα, ἐκ λίθων δὲ τετραγώνων κατεσκεύαστο, καὶ λευκῶν πάνυ. τὸ μὲν μῆκος ἑκάστου λίθου, πήχεις εἴκοσι. τὸ δὲ ὕψος ἕξ, ἔργον σολομῶνος τοῦ βασιλέως πρώτου δειμαμένου τὸ σύμπαν ἱερόν. ὁ βασιλεὺς δ' ἐπιπιστευθεὶς γὰρ ὑπὸ κλαυδίου καίσαρος τὴν ἐπιμέλειαν τοῦ ἱεροῦ, λογισάμενος παντὸς μὲν ἔργου τὴν καθαίρεσιν εἶναι ῥᾳδίαν, δυσχερῆ δὲ τὴν κατασκευὴν, ἐπὶ δὲ τῆς στοᾶς ταύτης καὶ μᾶλλον, χρόνου τε γὰρ καὶ πολλῶν χρημάτων εἰς τοὔργον δεῖσθαι, ἠρνήσατο μὲν περὶ τούτου δεομένοις. καταστορέσαι δὲ λευκῷ λίθῳ τὴν πόλιν οὐκ

ei populo, & oleum viritim distribuit: totámque eam vrbem ornauit statuis passim dispositis atque expressis ad antiqua clarorum artificum archetypa imaginibus: & omnia penè sui regni ornamenta in eam ciuitatem transtulit: vnde magnam sibi apud subditos parauit inuidiam, quòd suos spolians externam vrbem excoleret. eodem rege iubente Iesus Gamalielis filius in summo pontificatu successit Iesu Damnei filio non libenter sibi cedenti, vnde natum est inter vtrumque dissidium. ascitis enim globis audacium iuuenum sæpè à conuitiis prorumpebant ad lapides. Sed inter alios eminebat Ananias ex amplis facultatibus largitione plurimos sibi concilians. Costobarus quoque & Saulus suam quisque circa se manum habebat sceleratorum hominum, orti genere regio, & propter Agrippæ cognationem fauorabiles, alioqui violenti & ad spoliandos infirmiores promptissimi. atque ex illo maximè tempore labare cœpit nostra respublica & indies in deterius ruere. Porrò Albinus audito Gessium Florum sibi successurum venire, videri volens gratificatus Hierosolymitanis ciuibus, productis vinctis, quotquot erant in manifestè capitali culpa iussit interimi: reliquos, qui leuioribus de causis coniecti erant in vincula, reductos in carcerem pecuniis mulctatos dimittebat alium post alium. atque in hunc modum vacuato vinctis carcere Iudæa repleta est latronibus. Interea Leuiticæ tribus homines quorum erat sacros hymnos in templo canere, adito rege induxerunt eum precibus, vt aduocato concilio decerneret eis vsum stolæ lineæ, quæ tum solis erat concessa sacerdotibus. hanc enim nouationem pertinere ad perpetuam ipsius regni memoriam. neque frustra fuit eorum postulatio. Rex enim de concilij sententia permisit hymnorum cantoribus, vt deposito priore habitu, lineum, vt voluerunt sumerent. Aliam etiā eiusdē tribus partem addictam templi ministeriis, ipsorum precibus motus permisit sacros hymnos canendos ediscere: quæ omnia fiebant contra instituta legis patriæ, nunquam violatæ absque piaculo. Iam absolutum erat & templi ædificium. Populus igitur cùm videret esse in otio circiter octodecim opificum millia, solitorum hactenus in templo ex operarum mercedibus victum quærere, nolénsque sacram pecuniam repositam habere, nequando præda Romanis fieret, simúlque opificibus inde prouisum cupiens: quòd vel vna hora operato statim merces repræsentaretur: suasit regi, vt Orientalem instauraret porticum. ea templi extima claudebat profundæ valli & angustæ imminens, ac proinde subnixa muro quadringentos alto cubitos, saxis constructo quadratis valde candidis: erátque cuiusque saxi longitudo cubitorum viginti, sex verò altitudo: opus Solominis regis, qui primus integrum templum condidit. Rex autem cuius curæ Claudius Cæs. fabricam templi commiserat, reputans, quodcunque opus demoliri facilè, reparari difficilè, maximè talem porticum egentem & tempore longo & pecuniis plurimis, non annuit populi precibus: sed vrbem candido saxo consternere si liberet non

XVII.

vetuit. Post hæc Iesu Gamalielis filio pōtificatū abrogatum concedit Matthiæ Theophili filio, quo pontifice Iudaicum bellum habuit initiū.

XVIII. Conueniens videtur præsenti historiæ narrare de pontificibus, quæ origo eorum, & qui ad hunc honorem admittantur, & quot vsque ad finem eius belli fuerint. Primus igitur omnium hoc Dei sacerdotium gessisse fertur Moysis germanus Aaron pontifex: quo defuncto successisse mox filios, ac deinde illorum posteritati mansisse hunc honorem perpetuum. vnde consuetudo obtinuit accepta à maioribus, neminem Dei pontificem fieri nisi descendentem ab Aaronis sanguine, neç eam dignitatem concedi vel regibus oriundis alio genere. Fuerunt igitur vniuersi à primo Aarone vsque Phanasum, quem belli tempore seditiosi declarauerunt pontificem, LXXXIII. numero. horum XIII. præfuerunt sacris ab eo tempore quo primùm in deserto Moyses erexit Deo tabernaculum, vsque dum in Iudæam ventum est, vbi Deo templum ædificauit rex Solomon. nam à principio pontificibus non succedebatur nisi mortuis: deinde viuentibus etiam subrogari cœperunt alij. Itaque hi XIII. cùm essent duorum Aaronis filiorum posteri, per continuatas successiones hoc honore potiti sunt, sub his primò penes optimates administratio fuit reipublicæ, pòst ad monarchas, postremò ad reges transiit. ex quo autem die patres nostri ductu Moysis Ægyptum sunt egressi, vsque ad templum à Solomone rege conditum, elapsi sunt anni DCXII. post XIII. illos pontifices alij XVIII. secuti sunt, à tempore Solomonis regis sibi succedentes, vsque dum Nabuchodonosor Babyloniorum rex contra nostram vrbem expeditione facta templum incendit, & translata tota gente Babylonem, Iosedecum quoque pontificem illò abduxit. horum pontificatus tempus CCCCLXVI. annorum fuit, mensium sex, dierum decem, rempub. Iudæorum gubernantibus regibus. post septuagesimum autem Babylonicæ captiuitatis annum Cyrus Persarum rex dimissis Babylone Iudæis, & reuersis in antiquam patriam permisit templum denuo condere, quando Iesus Iosedeci filius assumpsit summum sacerdotium. Hic & eius posteri quindecim vniuersi vsque ad regem Antiochum Eupatora statum reipublicæ popularem rexerunt per annos CCCCXIII. Cæterùm iam dictus Antiochus cum suo duce Lysia primus Oniam cognomento Menelaum apud Berytum vita simul priuauit, & sacerdotio, repulsóque à successione eius filio, Iacimum constituit summum pontificem, natum quidem ex Aaronis progenie, sed non ex eadem familia. quamobrem Onias defuncti Oniæ pontificis filius nomine patrem referens, in Ægyptum profectus & insinuatus in Ptolemæi Philometoris ac Cleopatræ eius coniugis amicitiam, persuasit eis, vt in Heliopolitica præfectura Deo templū instar Hierosolymitani extruerent. séq; illic pōtificē

A ἐκώλυσεν. ἰησοῦν δὲ τὸν τοῦ γαμαλιήλου, τὴν ἀρχιερωσύνην ἀφελόμενος, ἔδωκεν αὐτὴν ματθίᾳ τῷ θεοφίλου, καθ' ὃν καὶ ὁ πρὸς ῥωμαίους πόλεμος ἰουδαίοις ἔλαβε τὴν ἀρχήν. ἀναγκαῖον δ' εἶναι νομίζω, καὶ τῇ ἱστορίᾳ ταύτῃ προσήκειν διηγήσασθαι περὶ τῶν ἀρχιερέων, πῶς τε ἀρξάμενοι, καὶ τίσιν ἔξεστιν τιμῆς ταύτης μεταλαμβάνειν, καὶ πόσοι γεγόνασι μέχρι τῆς τοῦ πολέμου τελευτῆς. πρῶτον μὲν οὖν πάντων λέγουσιν ἀαρῶνα τὸν μωϋσέως ἀδελφὸν ἀρχιερατεῦσαι τῷ θεῷ. τελευτήσαντος δ' ἐκείνου διαδέξασθαι τοὺς παῖδας εὐθὺς, καὶ ἀπ' ἐκείνων τοῖς ἐκγόνοις αὐτῶν διαμεῖναι τὴν τιμὴν ἅπασιν. ὅθεν καὶ πάτριόν ἐστι μηδένα τοῦ θεοῦ τὴν ἀρχιερωσύνην λαμβάνειν, ἢ τὸν ἐξ αἵματος τοῦ ἀαρῶνος, ἑτέρου δὲ γένους οὐδ' ἂν βασιλεὺς ὢν τύχῃ τεύξεσθαι τῆς ἀρχιερωσύνης. ἐγένοντο οὖν πάντες τὸν ἀριθμὸν, ἀπὸ ἀαρῶνος ὡς ἔφαμεν τοῦ πρώτου γενομένου μέχρι φανάσου τοῦ κατὰ τὸν πόλεμον ὑπὸ τῶν στασιαστῶν ἀναδειχθέντος ἀρχιερέως τρεῖς καὶ ὀγδοήκοντα. ἐκ τούτων κατὰ τὴν ἔρημον ἐπὶ τῶν μωϋσέως χρόνων τῆς σκηνῆς ἑστώσης, ἣν μωϋσῆς τῷ θεῷ κατεσκεύασε, μέχρι τῆς εἰς ἰουδαίαν ἀφίξεως, ἔνθα σαλομὼν ὁ βασιλεὺς τῷ θεῷ τὸν ναὸν ἤγειρεν, ἀρχιεράτευσαν τρισκαίδεκα. τὸ γὰρ πρῶτον ἕως τῆς τοῦ βίου τελευτῆς τὰς ἀρχιερωσύνας εἶχον, ὕστερον δὲ, καὶ παρὰ ζώντων διεδέχοντο. οἱ τοίνυν τρισκαίδεκα οὗτοι τῶν δύο παίδων ἀαρῶνος ὄντες ἔγγονοι κατὰ διαδοχὴν τὴν τιμὴν παρελάμβανον. ἐγένετο δὲ αὐτῶν ἀριστοκρατικὴ μὲν ἡ πρώτη πολιτεία, μετὰ ταύτην δὲ μοναρχία. βασιλέων δὲ τρίτη. γίνεται δὲ τῶν ἐτῶν ἀριθμὸς ὧν ἦρξαν οἱ τρισκαίδεκα, ἀφ' ἧς ἡμέρας οἱ πατέρες ἡμῶν ἐξέλιπον αἴγυπτον, μωϋσέως ἄγοντος μέχρι τῆς τοῦ ναοῦ κατασκευῆς, ὃν σολομὼν ὁ βασιλεὺς ἐν ἱεροσολύμοις ἀνήγειρεν ἔτη δυοκαίδεκα πρὸς τοῖς ἑξακοσίοις. μετὰ δὲ τοὺς τρεισκαίδεκα ἀρχιερεῖς ἐκείνους, δέκα καὶ ὀκτὼ τὴν ἀρχιερωσύνην ἔσχον, ἀπὸ σολομῶνος βασιλέως ἐν ἱεροσολύμοις αὐτὴν διαδεξάμενοι, μέχρι οὗ ναβουχοδονόσωρ ὁ τῶν βαβυλωνίων βασιλεὺς ἐπιστρατεύσας τῇ πόλει, τὸν μὲν ναὸν ἐνέπρησε, τὸ δὲ ἔθνος ἡμῶν εἰς βαβυλῶνα μετῴκισε, καὶ τὸν ἀρχιερέα ἰωσαδάκην αἰχμάλωτον ἔλαβε. τούτων χρόνος τῆς ἱερωσύνης τετρακοσίων ἑξήκοντα ἓξ ἐτῶν ἐστι, μηνῶν ἕξ, ἡμερῶν δέκα, ἤδη βασιλευομένων ἰουδαίων. μετὰ δὲ χρόνον ἐτῶν ἁλώσεως ἑβδομήκοντα τῆς ὑπὸ τῶν βαβυλωνίων γενομένης κῦρος ὁ περσῶν βασιλεὺς ἀπέλυσε τοὺς ἐκ βαβυλῶνος ἰουδαίους ἐπὶ τὴν οἰκείαν γῆν πάλιν, καὶ συνεχώρησε τὸν ναὸν ἀνεγεῖραι. τότε δὴ τῶν ὑποστρεψάντων αἰχμαλώτων ἰησοῦς ὁ τοῦ ἰωσεδὲκ, τὴν ἀρχιερωσύνην λαμβάνει. οὗτος δὲ καὶ οἱ ἔκγονοι αὐτοῦ, πεντεκαίδεκα ἅπαντες, μέχρι βασιλέως ἀντιόχου τοῦ εὐπάτορος ἐπολιτεύοντο δημοκρατικῶς ἔτη τετρακόσια δεκατέσσαρα. πρῶτος δὲ ἀντίοχος ὁ προειρημένος, καὶ ὁ στρατηγὸς αὐτοῦ λυσίας, τὸν ὀνίαν ᾧ μενέλαος ἐπίκλην, παύουσι τῆς ἀρχιερωσύνης, ἀνελόντες αὐτὸν ἐν βεροίᾳ, καὶ τὸν παῖδα τῆς διαδοχῆς ἀπελάσαντες καθιστᾶσιν ἰάκιμον ἀρχιερέα, γένους μὲν τοῦ ἀαρῶνος, οὐκ ὄντα δὲ τῆς οἰκίας ταύτης. διὰ τοῦτο δὲ καὶ ὁ ὀνίας ὁ τοῦ τετελευτηκότος ὀνίου ἐξάδελφος ὁμώνυμος τῷ πατρὶ παραγενόμενος εἰς αἴγυπτον, καὶ διὰ φιλίας ἀφικόμενος πτολεμαίῳ τῷ φιλομήτορι καὶ κλεοπάτρᾳ τῇ γυναικὶ αὐτοῦ, πείθει τούτους κατὰ τὸν ἡλιοπολίτην νομὸν δειμαμένοις τῷ θεῷ ναὸν παραπλήσιον τῷ ἐν ἱεροσολύμοις αὐτὸν ἀρχιερέα κατα-

καταστῆσαι. ἀλλὰ περὶ μὲν τοῦ ἱεροῦ τοῦ κατασκευασθέντος ἐν Αἰγύπτῳ, πολλάκις ἐδηλώσαμεν. ὁ δὲ Ἰάκιμος ἔτη τρία τὴν ἀρχιερωσύνην κατασχὼν, ἐτελεύτησεν. διεδέξατο δὲ οὐδεὶς αὐτὸν, ἀλλὰ διετέλεσεν ἡ πόλις ἐνιαυτοὺς ἑπτὰ χωρὶς ἀρχιερέως οὖσα. πάλιν δὲ οἱ τῶν Ἀσαμωναίου παίδων ἔκγονοι, τὴν προστασίαν τοῦ ἔθνους πιστευθέντες, καὶ πολεμήσαντες Μακεδόσιν, Ἰωνάθην ἀρχιερέα καθιστᾶσιν, ὃς ἦρξεν ἐνιαυτοὺς ἑπτά. τελευτήσαντος δὲ ἐξ ἐπιβουλῆς αὐτοῦ, καὶ ἐνέδρας τῆς ὑπὸ Τρύφωνος μηχανηθείσης ὡς ἀνωτέρω που προειρήκαμεν, λαμβάνει τὴν ἀρχιερωσύνην Σίμων ὁ ἀδελφὸς αὐτοῦ. καὶ τοῦτον δὲ δόλῳ παρὰ συμπόσιον ὑπὸ τοῦ γαμβροῦ διαφθαρέντα, διεδέξατο παῖς Ὑρκανὸς ὄνομα. ὃν κατασχόντα τὴν ἱερωσύνην πλείονα τἀδελφοῦ χρόνον ἐνιαυτῶν τριάκοντα ἓν ἔτος τῆς τιμῆς Ὑρκανὸς ἀπολαύσας τελευτᾷ γηραιὸς, Ἰούδᾳ τῷ καὶ Ἀριστοβούλῳ κληθέντι τὴν διαδοχὴν καταλιπών. κληρονομεῖ δὲ καὶ τοῦτον, ἀδελφὸς, ὑπὸ νόσου μὲν τελευτήσαντα, τὴν ἱερωσύνην δὲ κατασχόντα μετὰ βασιλείας. καὶ γὰρ διάδημα περιέθετο πρῶτος Ἰούδας ἐνιαυτὸν ἕνα. βασιλεύσας δὲ ὁ Ἀλέξανδρος καὶ ἱερατεύσας ἔτη εἰκοσιεπτὰ, καταστρέφει τὸν βίον, Ἀλεξάνδρᾳ τῇ γυναικὶ καταστῆσαι τὸν ἀρχιερατευσόμενον ἐπιτρέψας. ἡ δὲ τὴν μὲν ἀρχιερωσύνην Ὑρκανῷ δίδωσιν, αὐτὴ δὲ τὴν βασιλείαν ἐννέα ἔτη κατασχοῦσα, τελευτᾷ τὸν βίον. τὸν ἴσον δὲ χρόνον τὴν ἀρχιερωσύνην ὁ παῖς αὐτῆς Ὑρκανὸς ἔσχεν. μετὰ γὰρ τὸν θάνατον αὐτῆς πολεμήσας πρὸς αὐτὸν ὁ ἀδελφὸς Ἀριστόβουλος, καὶ νικήσας, ἀφαιρεῖται μὲν ἐκεῖνον τὴν ἀρχὴν, αὐτὸς δὲ ἐβασίλευσε, καὶ ἱεράτευσε τοῦ ἔθνους. ἔτει δὲ τρίτῳ τῆς βασιλείας, καὶ πρὸς μησὶ τοῖς ἴσοις Πομπήιος ἐλθὼν, καὶ τὴν τῶν Ἱεροσολυμιτῶν πόλιν κατὰ κράτος ἑλὼν, αὐτὸν μὲν εἰς Ῥώμην μετὰ τῶν τέκνων δήσας ἔπεμψε. τῷ δὲ Ὑρκανῷ πάλιν τὴν ἀρχιερωσύνην ἀποδοὺς, τὴν μὲν τοῦ ἔθνους προστασίαν ἐπέτρεψε, διάδημα δὲ φορεῖν ἐκώλυσεν. ἦρξε δὲ πρὸς τοῖς ἐννέα τοῖς πρώτοις Ὑρκανὸς τέσσαρα καὶ εἴκοσι. Βαρζαφάρνης δὲ, καὶ Πάκορος, οἱ τῶν Πάρθων δυνάσται, διαβάντες τὸν Εὐφράτην, καὶ πολεμήσαντες Ὑρκανῷ, αὐτὸν μὲν ζωγρίᾳ παρέλαβον, τοῦ Ἀριστοβούλου δὲ υἱὸν Ἀντίγονον, κατέστησαν βασιλέα. τρία δὲ ἔτη, καὶ τρεῖς μῆνας ἄρξαντα τοῦτον, Σόσσιός τε καὶ Ἡρώδης ἐξεπολιόρκησαν, Ἀντώνιος δὲ ἀνεῖλεν εἰς τὴν Ἀντιόχειαν ἀναχθέντα. τὴν δὲ βασιλείαν Ἡρώδης παρὰ Ῥωμαίων ἐγχειρισθεὶς, οὐκέτι τοὺς ἐκ τοῦ Ἀσαμωναίου γένους καθίστησιν ἀρχιερεῖς, ἀλλά τισιν ἀσήμοις, καὶ μόνον ἐξ ἱερέων οὖσι, πλὴν ἑνὸς Ἀριστοβούλου τὴν τιμὴν ἀπένειμε. τὸν δὲ Ἀριστόβουλον Ὑρκανοῦ τοῦ ὑπὸ Πάρθων ληφθέντος υἱωνὸν ὄντα καταστήσας ἀρχιερέα, τῇ ἀδελφῇ αὐτοῦ συνῴκησε Μαριάμμῃ, τὴν τοῦ πλήθους πρὸς ἑαυτὸν θηρώμενος εὔνοιαν, διὰ τὴν Ὑρκανοῦ μνήμην. εἶτα φοβηθεὶς μὴ πρὸς τὸν Ἀριστόβουλον πάντες ἀποκλίνωσιν, ἀνεῖλεν αὐτὸν ἐν Ἱεριχοῖ πνιγῆναι μηχανησάμενος κολυμβῶντα, καθὼς ἤδη δεδηλώκαμεν. μετὰ τοῦτον οὐκέτι τοῖς ἐκγόνοις τῶν Ἀσαμωναίου παίδων τὴν ἀρχιερωσύνην ἐπίστευσεν. ἔπραξε δὲ ὅμοια τῷ Ἡρώδῃ περὶ τῆς καταστάσεως τῶν ἱερέων, Ἀρχέλαός τε ὁ παῖς αὐτοῦ, καὶ μετὰ τοῦτον τὴν ἀρχὴν Ῥωμαῖοι τῶν Ἰουδαίων παραλαβόντες. εἰσὶν οὖν οἱ ἀπὸ τῶν Ἡρώδου χρόνων ἀρχιερατεύσαντες, μέχρι τῆς ἡμέρας ἧς εἰς τὸν ναὸν, καὶ τὴν πόλιν Τίτος ἐλθὼν ἐνεπυρπόλησεν, οἱ πάντες εἰκοσιοκτώ. χρόνος δὲ τούτων ἔτη πρὸς τοῖς ἑκατὸν ἑπτά. καὶ τινὲς μὲν αὐτῶν ἐπολιτεύσαντο ἐπί τε Ἡρώδου βασιλεύοντος,

constituerent: de quo templo sæpe aliàs diximus. Iacimus autem triennio in pontificatu exacto mortuus neminem successorem habuit, sed per septennium sine pontifice mansit ciuitas. Dein postquam Assamonæorum familiæ principatus nostræ gentis est creditus, rebellãtes Macedonibus Ionatham creauerunt summum pontificem, qui septennio toto præfuit. quo per insidias Tryphonis sublato è viuis, frater eius Simon obtinuit id sacerdotium. cui dolo generi oppresso inter epulas, filius Hyrcanus in honore successit. eum cùm per vnum & triginta annos gessisset, iam decrepitus successori Iudæ reliquit suo filio, qui alio nomine Aristobulus est dictus. huic frater hæres fuit tam regni quàm sacerdotij, postquam ille sumpto tum primùm diademate vnum annum vtraque dignitate potitus est. Is nomine Alexander & ipse regnum coniungens pontificatui cum vigintiseptem annis præfuisset rebus Iudaicis. moriens Alexandræ vxori permisit deligendi pontificis arbitrium. illa Hyrcano id addixit, exactóque in regia potestate nouennio è viuis excessit: quo toto tempore Hyrcanus eius filius pontificatum tenuit. nam post matris obitum Aristobulus frater moto bello victum pontificem ad priuatam vitam redegit, & sibiipse regnum simul vsurpauit ac sacerdotium: exactísque in vtraque dignitate tribus annis, & totidem mensibus, cum superueniens Pompeius vi cepisset Hierosolyma, à victore vinctus Romam missus est cum liberis: & Hyrcanus restitutus in pontificatum, principatum quoque suæ gentis accepit, sed absque diademate: præterque priores illos nouem, per alios XXIII. annos summum sacerdotium obtinuit. Post quos cõpletos Barzapharnes & Pacorus dynastæ Parthorum traiecto Euphrate bellum Hyrcano inferunt, eóque viuo abducto Aristobuli filium Antigonum regem constituunt, qui post tres annos & totidem menses expugnatus ab Herode & Sosio, apud Antiochiam iussu Antonij dedit supplicium. Herodes autem accepto à Romanis regno non amplius ex Asamonæo genere creauit pontifices, sed cum honorem quibusuis ex sacerdotum ordine concessit etiam obscuris, absque vno Aristobulo. hunc enim Hyrcani à Parthis capti nepotem, & Mariamnes suæ vxoris fratrem, ob fauorem populi, & Hyrcani aui memoriam summo sacerdotio dignatus est. deinde veritus ne omnes in illũ essent propensiores, apud Hierichuntem arte necauit natantem in piscina, vt suprà diximus: neque postea vlli ex Asamonæorum posteritate hoc sacerdotium committere voluit. idem fecit in ordinandis pontificibus Archelaus eius filius: & Romani, qui post illum cum potestate præfuerunt prouinciæ. Sunt igitur, qui ab Herodis principatu vsque in diem qua templũ & vrbs incendente Tito conflagrauit pontificatum gesserunt, in vniuersum numero viginti octo: tempúsque eorũ sacerdotij centũ anni, & septẽ insuper: quorũ aliqui sub Herode fuerũt,

& Archelao eius filio: defunctis autem his penes optimates fuit respublica, collocatis in eius fastigio pontificibus: de quibus hactenus dixisse sufficit.

Cap. IX.

Quomodo Florus Albini successor tantis Iudæos affecerit iniuriis, vt coacti sint arma sumere.

GEssius autem Florus Albino successor à Nerone missus plurimis Iudæos repleuit calamitatibus. is Clazomenius erat genere, adduxitque secum Cleopatram coniugem non minus improbam, per quam, vt Poppeæ Augustæ amicam, Iudææ administrationem impetrauerat: adeò verò potestate violenter abusus est, vt Albinum Iudæi desiderarent quasi beneficum. nam ille quantum poterat clàm erat malus & nocens: Florus contrà quasi ad ostentandam missus malitiam, publicè traducebat nostræ gentis iniurias, nihil sibi ad summam in rapinis & suppliciis iniquitatem reliquum faciens. erat enim inflexibilis ad misericordiam, nullis vnquam lucris satiabilis, vndecunque parua æquè captans ac magna, vt etiam latronum esset particeps. multi enim illum quæstum exercebant de incolumitate, quam ab eo redimebant decisis prædarum partibus: adeóque nullus erat iniuriarum, vel modus, vel finis, vt miseri Iudæi non ferentes rapacem latronum insolentiam cogerentur laribus relictis & patriis ceremoniis, ad exteros fugere, iudicantes vbiuis etiam apud Barbaros se viuere posse commodiùs. Et quid multis verbis opus est? Bellum contra Romanos suscipere solus Florus nos compulit, malens semel vniuersos quàm paulatim perdere. Itaque secundo anno postquam is venit procurator in prouinciam, duodecimo verò Neronis imperij, bellum id cœptum est: quo tempore quanta vel coacti fecimus, vel perpessi sustinuimus, exactè cognoscere poterunt, qui dignabuntur legere libros à nobis conscriptos de bello Iudaico. atque hic dicendi finem faciam de antiquitatibus, quas belli argumentum sequitur. Præsentis autem operis textus continet totum illud tempus inter primam creationem hominis & annum Neronis principis duodecimum: quæque per tot secula Iudæis, vel in Ægypto obuenerunt, vel in Palæstina cæteráque Syria, tum quas clades ab Assyriis & Babyloniis accepimus, quóve modo tractati simus à Persis & Macedonibus, & postremò à Romano populo. his enim omnibus accuratè descriptis, etiam pontificum successiones recensuimus, continuatas per annorum duo millia. pari diligentia regum quoque res ordine tradidimus, & status reipublicæ monarcharúmque potentiam, per omnia secuti autoritatem sacrorum voluminum, ita vt à principio sumus polliciti. ausímque addere quod nemo alius scriptor Iudæus, externúsve potuisset hoc argumentum tanta fide Græcis hominibus prodere. ego enim tribuliū meorum cōfessione disciplinas egregiè calleo,

καὶ ἐπὶ ἀρχελάου τοῦ παιδὸς αὐτοῦ. μετὰ δὲ τὴν τούτων τελευτὴν, ἀριστοκρατία μὲν ἦν ἡ πολιτεία, τὴν δὲ προστασίαν τοῦ ἔθνους οἱ ἀρχιερεῖς πεπίστευντο. περὶ μὲν οὖν τῶν ἀρχιερέων ἱκανὰ ταῦτα.

Κεφάλαιον θ'.

Ὡς φλῶρος ὁ ἀλβίνου διάδοχος τοσαῦτα διέθηκε τοὺς ἰουδαίους κακὰ, ὡς ἀναγκάσαι αὐτοὺς ἐφ' ὅπλα χωρῆσαι.

ΓΕσιος δὲ φλῶρος ὁ πεμφθεὶς ἀλβίνου διάδοχος ὑπὸ νέρωνος πολλῶν ἐνέπλησε κακῶν ἰουδαίους, κλαζομένιος δὲ ἦν τὸ γένος. συνεπήγετο δὲ κλεοπάτραν γυναῖκα, δι' ἣν φίλην οὖσαν ποππηΐας τῆς νέρωνος γυναικὸς, καὶ πονηρία μηδὲν αὐτοῦ διαφέρουσαν τῆς ἀρχῆς ἐπέτυχεν. οὕτω δὲ περὶ τὴν ἐξουσίαν ἐγένετο κακὸς, καὶ βίαιος, ὥστε διὰ τὴν ὑπερβολὴν τῶν κακῶν, ἀλβῖνον ἐπῄνουν ὡς εὐεργέτην ἰουδαῖοι. ἐκεῖνος γὰρ ἐπεκέκρυπτο τὴν πονηρίαν, καὶ τοῦ μὴ παντάπασι καταφωρὸς εἶναι προὐνόει. γέσιος δὲ φλῶρος καθάπερ εἰς ἐπίδειξιν πονηρίας πεμφθεὶς, τὰς εἰς τὸ ἔθνος ἡμῶν παρανομίας ἐπόμπευε, μήτε ἁρπαγῆς παραλιπὼν μηδένα τρόπον, μήτε ἀδίκου κολάσεως. ἦν γὰρ ἄτεγκτος πρὸς ἔλεον, παντὸς δὲ κέρδους ἄπληστος, ὥστε μηδὲ τὰ πλεῖστα τῶν ὀλίγων διέφερεν, ἀλλὰ καὶ λῃσταῖς ἐκοινώνησεν. ἀδεῶς γὰρ οἱ πολλοὶ τοῦτο ἔπραττον, ἐχέγγυον παρ' ἐκείνου τῆς σωτηρίας ἐπὶ τοῖς μέρεσιν ἔχειν πεπιστευκότες. καὶ τοῦτο μέτριον οὐκ ἦν, ἀλλ' οἱ δυστυχεῖς ἰουδαῖοι μὴ δυνάμενοι τὰς ὑπὸ τῶν λῃστῶν γινομένας πορθήσεις ὑπομένειν, ἠναγκάζοντο τῶν ἰδίων ἐξιστάμενοι ἠθῶν φεύγειν ἅπαντες, ὡς κρεῖττον ὁπουδήποτε παρὰ τοῖς ἀλλοφύλοις κατοικήσοντες. τί δεῖ πλείω λέγειν; τὸν γὰρ πρὸς ῥωμαίους πόλεμον ὁ καταναγκάσας ἡμᾶς ἄρασθαι, φλῶρος ἦν, κρεῖττον ἡγούμενος ἀθρόους, ἢ κατ' ὀλίγον ἀπολέσθαι. καὶ δὴ τὴν ἀρχὴν ἔλαβεν ὁ πόλεμος, δευτέρῳ μὲν ἔτει τῆς ἐπιτροπῆς φλώρου, δωδεκάτῳ δὲ τῆς νέρωνος ἀρχῆς. ἀλλ' ὅσα μὲν δρᾶν ἠναγκάσθημεν, ἢ παθεῖν ὑπεμείναμεν, ἀκριβῶς γνῶναι πάρεστι τοῖς βουλομένοις ἐντυχεῖν ταῖς ὑπ' ἐμοῦ περὶ τοῦ ἰουδαϊκοῦ πολέμου βίβλοις γεγραμμέναις. παύσεται δὲ ἐνταῦθα μοι τὰ τῆς ἀρχαιολογίας, μεθ' ἣν καὶ τὸν πόλεμον ἠρξάμην γράφειν. περιέχει δὲ αὕτη, τὴν ἀπὸ πρώτης γενέσεως ἀνθρώπου παράδοσιν, μέχρι ἔτους δωδεκάτου τῆς νέρωνος ἡγεμονίας, τῶν ἡμῖν συμβεβηκότων τοῖς ἰουδαίοις κατά τε τὴν αἴγυπτον, καὶ συρίαν, καὶ παλαιστίνην, ὅσα τε πεπόνθαμεν ὑπὸ ἀσσυρίων τε, καὶ βαβυλωνίων, τίνα τε πέρσαι καὶ μακεδόνες διατεθείκασιν ἡμᾶς, καὶ μετ' ἐκείνους ῥωμαῖοι. πάντα γὰρ οἶμαι, μετ' ἀκριβείας συντεταχέναι, τηρῆσαι δὲ πεπείραμαι, καὶ τὴν τῶν ἀρχιερέων ἀναγραφὴν, τῶν ἐν δισχιλίοις ἔτεσι γενομένων. ἀπλανῆ δὲ πεποίημαι, καὶ τὴν περὶ τοὺς βασιλεῖς διαδοχὴν, τὰς πράξεις αὐτῶν καὶ τὰς πολιτείας ἀπαγγέλλων, μονάρχων τε δυναστείας, ὡς αἱ ἱεραὶ βίβλοι περὶ πάντων ἔχουσι τὴν ἀναγραφήν. τοῦτο γὰρ ποιήσειν ἐν ἀρχῇ ἐπηγγειλάμην τῆς ἱστορίας. λέγω δὲ θαρσήσας ἤδη διὰ τὴν τῶν προτεθέντων συντέλειαν, ὅτι μηδεὶς ἂν ἕτερος ἠδυνήθη θελήσας, μήτε ἰουδαῖος, μήτε ἀλλόφυλος, τὴν πραγματείαν ταύτην οὕτως ἀκριβῶς εἰς ἕλληνας ἐξενεγκεῖν. ἐγὼ γὰρ ὁμολογούμενον παρὰ τῶν ὁμοεθνῶν πλεῖστον αὐτῶν κατὰ τὴν ἐπιχώριον παιδείαν διαφέρειν,

καὶ τῶν

καὶ τῶν ἑλληνικῶν δὲ γραμμάτων ἐσπούδασα μετασχεῖν, τὴν γραμματικὴν ἐμπειρίαν ἀναλαβών, τὴν δὲ περὶ τὴν προφορὰν ἀκρίβειαν, πάτριος ἐκώλυσε συνήθεια. παρ' ἡμῖν γὰρ οὐκ ἐκείνους ἀποδέχονται τοὺς πολλῶν ἐθνῶν διάλεκτον ἐκμαθόντας, διὰ τὸ κοινὸν εἶναι νομίζειν τὸ ἐπιτήδευμα, τοῦτο μόνον, οὐκ ἐλευθέρων τοῖς τυχοῦσιν, ἀλλὰ καὶ τῶν οἰκετῶν θέλουσιν, μόνοις δὲ σοφίαν μαρτυροῦσι, τοῖς τὰ νόμιμα σαφῶς ἐπισταμένοις, καὶ τὴν ἱερῶν γραμμάτων δύναμιν ἑρμηνεῦσαι δυναμένοις. διὰ τοῦτο πολλῶν πονησάντων περὶ τὴν ἄσκησιν ταύτην, μόλις τινὲς δύο, ἢ τρεῖς, κατώρθωσαν καὶ τῶν πόνων τὴν ἐπικαρπίαν εὐθὺς ἔλαβον. ἴσως δὲ οὐκ ἂν ἐπίφθονον γένοιτο, περὶ τοῦ γένους τοὐμοῦ, καὶ περὶ τῶν κατὰ τὸν βίον πράξεων βραχέα διεξελθεῖν, ἕως ἔχω ζῶντας, ἢ τοὺς ἐλέγξοντας, ἢ τοὺς μαρτυρήσοντας. ἐπὶ τούτοις δὲ καταπαύσω τὴν ἀρχαιολογίαν, βίβλοις μὲν εἴκοσι περιειλημμένην, ἓξ δὲ μυριάσι στίχων. κἂν τὸ θεῖον ἐπιτρέπῃ κατὰ περιδρομήν, ὑπομνήσω πάλιν, τοῦ τε πολέμου, καὶ τῶν συμβεβηκότων ἡμῖν, μέχρι τῆς νῦν ἐνεστώσης ἡμέρας, ἥτις ἐστὶ τρισκαιδεκάτου μὲν ἔτους τῆς Δομετιανοῦ καίσαρος ἀρχῆς, ἐμοὶ δὲ ἀπὸ γενέσεως πεντηκοστοῦ καὶ ἕκτου. προῄρημαι δὲ συγγράψαι, καὶ τὰς ἡμετέρας δόξας τῶν ἰουδαίων, ἐν τέσσαρσι βίβλοις περὶ θεοῦ, καὶ τῆς οὐσίας αὐτοῦ, καὶ περὶ τῶν νόμων, διὰ τί κατ' αὐτοὺς τὰ μὲν ἔξεστιν ἡμῖν ποιεῖν, τὰ δὲ κεκώλυται.

Græcanicæ quoque literaturæ non ſine profectu dedi operam, quamuis exquiſitam pronunciandi rationem aſſequi per patriam conſuetudinem nõ licuit. noſtri enim homines nõ ſuſpiciunt eos, qui multas perdidicerunt linguas, quod ſtudium profanum apud eos habetur & ſeruis commune cum ingenuis. ſolos autem ſapientes ſuo ſuffragio pronuntiant, qui legis & ſacrarum literarum tantam aſſecuti sũt peritiam, vt eas etiam interpretari valeant. qua in re cùm multi collocarint operam, vix vni ſucceſſit atque alteri, quibus mox dignum premium contigit. Fortaſſis autem nulla inuidia prohibet etiam de meo genere, geſtiſque per totam vitam rebus pauca exponere, dum adhuc ſuperſunt, qui vel atteſtari poſſunt, vel coarguere: atque ita concludetur harum antiquitatum tractatio comprehenſa viginti voluminibus, verſuum verò ſexaginta millibus. Quod ſi Deus conceſſerit, compendio rurſum referam belli caſus, & quæ nobis in præſentem vſque diem euenerunt, quæ incidit in decimumtertium annum principatus Domitiani Cæſaris, ætatis verò meæ ſextum & quinquageſimum. Promiſi etiam ſcripturum me quatuor libros de Iudæorum opinionibus, & quas de Deo eiúsque eſſentia, & de legibus, quare per eas liceat nobis facere, alia non liceat.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΪΚΗΣ ΙΣΤΟΡΙΑΣ ΠΕΡΙ ΑΛΩΣΕΩΣ ΛΟΓΟΣ Α'.

FLAVII IOSEPHI DE BELLO IVDAICO

LIBER PRIMVS.

Interprete Rufino Aquileiensi, ad Græcum collati & emendati per Sigismundum Gelenium.

ΕΠΕΙΔΗ τὸν ἰουδαίων πρὸς ῥωμαίους πόλεμον συστάντα μέγιστον, οὐ μόνον τῶν καθ' ἡμᾶς, σχεδὸν δὲ, καὶ ὧν ἀκοῇ παρειλήφαμεν, ἢ πόλεων πρὸς πόλεις, ἢ ἐθνῶν ἔθνεσι συῤῥαγέντων, οἱ μὲν οὐ παρατυχόντες τοῖς πράγμασιν, ἀλλ' ἀκοῇ συλλέγοντες, εἰκαῖα καὶ ἀσύμφωνα διηγήματα σοφιστικῶς ἀναγράφουσιν. οἱ παραγενόμενοι δὲ, ἢ κολακείᾳ τῇ πρὸς ῥωμαίους, ἢ μίσει τῷ πρὸς ἰουδαίους καταψεύδονται τῶν πραγμάτων, περιέχει δὲ αὐτοῖς ὅπου μὲν κατηγορίαν, ὅπου δὲ ἐγκώμιον τὰ συγγράμματα, τὸ δὲ ἀκριβὲς τῆς ἱστορίας οὐδαμοῦ, προὐθέμην ἐγὼ τοῖς κατὰ τὴν ῥωμαίων ἡγεμονίαν, ἑλλάδι γλώσσῃ μεταβαλὼν, ἃ τοῖς ἄνω βαρβάροις τῇ πατρίῳ συντάξας ἀνέπεμψα πρότερον, ἀφηγήσασθαι, ἰώσηπος ματθίου παῖς, γένει ἑβραῖος, ἐξ ἱεροσολύμων, ἱερεὺς, αὐτός τε ῥωμαίοις πολεμήσας τὰ πρῶτα, καὶ τοῖς ὕστερον παρατυχὼν ἐξ ἀνάγκης. γενομένου γὰρ ὡς ἔφην μεγίστου τοῦδε τοῦ κινήματος, ἐν ῥωμαίοις μὲν ἐνόσει τὰ οἰκεῖα, ἰουδαίων τε τὸ νεωτερίζον τότε, τεταραγμένοις ἐπανέστη τοῖς καιροῖς, ἀκμάζον κατά τε χεῖρα καὶ χρήμασιν, ὡς δι' ὑπερβολὴν θορύβων, τοῖς μὲν ἐν ἐλπίδι κτήσεως, τοῖς δ' ἐν ἀφαιρέσεως δέει γίνεσθαι τὰ πρὸς τὴν ἀνατολήν. ἐπειδὴ ἰουδαῖοι μὲν ἅπαν τὸ ὑπὲρ εὐφράτην ὁμόφυλον ἡμῖν συνεπαρθήσεσθαι σφίσιν ἤλπισαν, ῥωμαίους δὲ οἵ τε γείτονες γαλάται παρεκίνουν, καὶ τὸ κελτικὸν οὐκ ἠρέμει, μεστὰ δὲ ἦν πάντα θορύβων μετὰ νέρωνα, καὶ πολλοὺς μὲν βασιλειᾶν ὁ καιρὸς ἀνέπειθε, τὰ στρατιωτικὰ δὲ ἤρα μεταβολῆς, ἐλπίδι λημμάτων. ἄτοπον οὖν ἡγησάμην περιϊδεῖν πλαζομένην ἐπὶ τηλικούτοις πράγμασι τὴν ἀλήθειαν, καὶ πάρθους μὲν, καὶ βαβυλωνίους, ἀράβων τε τοὺς πορρωτάτω, καὶ τὸ ὑπὲρ εὐφράτην ὁμόφυλον ἡμῖν, ἀδιαβηνούς τε γνῶναι διὰ τῆς ἐμῆς ἐπιμελείας ἀκριβῶς, ὅθεν τε ἤρξατο, καὶ δι' ὅσων ἐχώρησε παθῶν ὁ πόλεμος, καὶ ὅπως κατέστρεψεν, ἀγνοεῖν δὲ ἕλληνας ταῦτα καὶ ῥωμαίων τοὺς μὴ ἐπιστρατευσαμένους, ἐντυγχάνοντας ἢ κολακείαις, ἢ πλάσμασι. καί τοι γε ἱστορίας αὐτὰς ἐπιγράφειν τολμῶσιν ἐν αἷς πρὸς

PROLOGVS.

QVONIAM bellum, quod cum populo Romano gessêre Iudæi, omnium maximum, quæ nostra ætas vidit, quæque auditu percepimus, ciuitates cum ciuitatibus gentésve commisisse cum gentibus: quidam, non quòd rebus interfuerint, sed vana & incongrua narrantium sermones auribus colligentes, oratorum more perscribunt: qui verò præsto fuerunt, aut Romanorum obsequio, aut odio Iudæorum contra fidem rerum falsa confirmant: scriptis autem eorum partim accusatio, partim laudatio continetur: nusquam verò exacta fides reperitur historiæ: idcirco statui, quæ retro barbaris antea misi, patria lingua digesta, Græcè nunc his, qui Romano Imperio reguntur exponere, ego Iosephus Matathiæ filius Hebræus genere, sacerdos ex Hierosolymis: qui & initio cum Romanis conflixi, postéaque gestis, quia necessitas exegit, interfui. Nam cùm hoc, vt dixi, bellum grauissimum exortum est, Romanorum quidem populum domesticus motus habebat: Iudæorum autem, qui ætate validi, & ingenio turbulenti erant, manu simul ac pecunia vigẽtes adeo temporibus insolenter abusi sunt, vt pro tumultus magnitudine, hos possidendarũ spes, illos amittendarum partium Orientis metus inuaderet. Quoniam Iudæi quidem cunctos etiam, qui trans Euphratem essent, gentiles suos, secum rebellaturos esse crediderant. Romanos autem & finitimi Galli irritabant: nec Germani quiescebant: dissensionúmque plena erant omnia post Neronem: & multi quidem temporum occasione Imperiũ affectabant: lucri autem cupidine exercitus rerũ nouandarũ cupidi erant. Itaq; indignum esse duxi, errantem in tãtis rebus dissimulari veritatem: & Parthos quidẽ, ac Babylonios, Arabúmq; remotissimos & vltra Euphratẽ generis nostrę incolas, itémq; Adiabenos, mea diligẽtia verè cognoscere, vnde cœpisset bellũ, quantisque cladibus constituisset, quóve modo desiisset: Græcos verò & Romanorum aliqui, qui militiam secuti non essent, figmentis siue adulationibus captos, ista nescire. Atqui historias audent eas inscribere; qui præter hoc (vt mihi quidem videtur) quòd

nihil sani referunt, etiam de proposito decidunt. Nam dum Romanos volunt magnos ostendere, Iudæorum res extenuant, & in humilitatem deiiciunt. Non autem intelligo, quónam pacto magni esse videantur, qui parua superauerint. Et neque longi temporis eos pudet, quo bellum tractum est: neque multitudinis Romanorum, quam in ea militia labor exercuit: neque ducum magnitudinis: quorum profecto gloria minuitur, si cùm multum pro Hierosolymis desudauerint, rebus per eos prosperè gestis aliquid derogetur. Nec tamen ego contentione Romanas res extollentium, gentiles meos amplificare decreui: sed facta quidem vtrorumque sine vllo mendacio prosequar: dicta verò de factis reponam, dolori atque affectioni meæ in deflendis patriæ cladibus indulgens. Nam quòd domesticis dissensionibus est euersa, & in templum sacrosanctum inuitas Romanorum manus atque ignem Iudæorum tyranni traxêre, testis est, qui eam vastauit, ipse Cæsar Titus: per omne bellum miseratus quidem populum, quod à seditiosis custodiretur: sæpè autem consultò differri passus ciuitatis excidium, protracto obsidionis spacio, dummodo belli pœniteret autores. Quod si quis me aduersus tyrannos eorúmque latrocinium accusatoriè loqui putet, vel patriæ miseriis ingementem calumniari præter legem historiæ, dolori veniam tribuat. Ex omnibus enim, quæ Romano Imperio parent, solam nostram ciuitatem cõtigit ad summum felicitatis fastigium euadere, eandémque in extremum miseriæ deiici. Denique omnium post condita secula res aduersas, si cum Iudæorum calamitatibus conferantur, superatum iri non ambigo. Et horum autor nullus externus est: vnde nec fieri potest, vt à questibus temperetur. Siquis autem durior misericordiæ sit iudex, res quidem tribuat historiæ, lamenta verò scriptori: quanquam meritò Græcorum disertos increpauerim, qui tantis rebus sua memoria gestis, quarum comparatione præterita olim bella exigua redduntur, iudices resident aliorum facundiæ detrahentes: quorum & si doctrinam superant, proposito vincuntur. Ipsi verò Assyriorum & Medorum gesta perscribunt, veluti minus rectè à scriptoribus antiquis fuerint exposita: cùm in scribendo tantum eorum viribus cedant, quãtum sententiæ. Erat enim vnicuique studium, quæ vidisset facta, conscribere: quoniam & interfuisset rebus gestis, & efficaciter quod promittebat, impleret: mentirique apud scientes, inhonestum esse videretur. Enimverò noua quidem neque antè cognita memoriæ tradere, suique temporis res commendare posteris, laude ac testimonio dignum est. Industrius autem habetur, non qui alienam dispositionem atque ordinem transfert, sed qui noua dicendo etiam corpus proprium conficit historiæ. Sed ego quidem sumptu ac labore maximo, qui cùm sim alienigena, Græcis simul & Romanis gestarum rerum memoriam repono. Ipsis autem indigenis, ad quæstum quidem ac lites, ora patent, linguæque solutæ sunt, ad historiam verò, in qua verum dicendum est, summáq; ope negotia colligenda sunt, obmutescũt:

A τοῦ μηδὲν ὑγιὲς δηλοῦν, καὶ τοῦ σκοποῦ δοκοῦσιν ἔμοιγε διαμαρτάνειν. βούλονται γὰρ μεγάλους μὲν τοὺς ῥωμαίους ἀποδεικνύειν, καταβάλλουσι δὲ ἀεὶ τὰ ἰουδαίων, καὶ ταπεινοῦσιν, οὐχ ὁρῶσι δὲ πῶς ἂν εἶεν μεγάλοι δοκοῖεν, οἱ μικροὺς νενικηκότες. καὶ οὔτε τὸ μῆκος αἰδοῦνται τοῦ πολέμου, οὔτε τὸ πλῆθος τῆς καμούσης ῥωμαίων στρατιᾶς, οὔτε τὸ μέγεθος τῶν στρατηγῶν, οἳ πολλὰ περὶ τοῖς ἱεροσολύμοις ἱδρώσαντες, οἶμαι ταπεινουμένου τοῦ κατορθώματος αὐτοῖς ἀδοξοῦσιν. B οὐ μὴν ἐγὼ τοῖς ἐπαίρουσι τὰ ῥωμαίων ἀντιφιλονεικῶν, αὔξειν τὰ τῶν ὁμοφύλων διέγνων, ἀλλὰ τὰ μὲν ἔργα μετ᾽ ἀκριβείας ἑκατέρων διέξειμι, τοὺς δ᾽ ἐπὶ τοῖς πράγμασι λόγους ἀνατίθημι τῇ διαθέσει, καὶ τοῖς ἐμαυτοῦ πάθεσι διδοὺς ἐπολοφύρεσθαι ταῖς τῆς πατρίδος συμφοραῖς. ὅτι γὰρ αὐτὴν στάσις οἰκεία καθεῖλε, καὶ τὰς ῥωμαίων χεῖρας ἀκούσας, καὶ τὸ πῦρ, ἐπὶ τὸν ἅγιον ναὸν εἵλκυσαν οἱ ἰουδαίων τύραννοι, μάρτυς αὐτὸς ὁ πορθήσας τίτος καῖσαρ C ἐν παντὶ τῷ πολέμῳ, τὸν μὲν δῆμον ἐλεήσας ὑπὸ τῶν στασιαστῶν φρουρούμενον, πολλάκις δὲ ἑκὼν τὴν ἅλωσιν τῆς πόλεως ὑπερτιθέμενος, καὶ διδοὺς τῇ πολιορκίᾳ χρόνον, εἰς μετάνοιαν τῶν αἰτίων. εἰ δέ τις ὅσα πρὸς τοὺς τυράννους, ἢ τὸ λῃστρικὸν αὐτῶν κατηγορικῶς λέγομεν, ἢ τοῖς ἀτυχήμασι τῆς πατρίδος ἐπιστένοντες συκοφαντοίη, διδότω παρὰ τὸν τῆς ἱστορίας νόμον συγγνώμην τῷ πάθει. D πόλιν γὰρ δὴ τῶν ὑπὸ ῥωμαίοις πασῶν, τὴν ἡμετέραν, ἐπὶ πλεῖστόν τε εὐδαιμονίας συνέβη προελθεῖν, καὶ πρὸς ἔσχατον συμφορῶν αὖθις καταπεσεῖν. τὰ γοῦν πάντων ἀπ᾽ αἰῶνος ἀτυχήματα, πρὸς τὰ ἰουδαίων, ἡττῆσθαί μοι δοκεῖ κατὰ σύγκρισιν, καὶ τούτων αἴτιος, οὐδεὶς ἀλλόφυλος, ὥστε ἀμήχανον ἦν, ὀδυρμῶν ἐπικρατεῖν. εἰ δέ τις οἴκτου σκληρότερος εἴη δικαστής, τὰ μὲν πράγματα τῇ ἱστορίᾳ προσκρινέτω, τὰς δ᾽ ὀλοφύρσεις, E τῷ γράφοντι. καί τοι γε ἐπιτιμήσαιμ᾽ ἂν αὐτὸς δικαίως τοῖς ἑλλήνων λογίοις, οἳ τηλικούτων κατ᾽ αὐτοὺς πραγμάτων γεγενημένων, ἃ κατὰ σύγκρισιν ἐλαχίστους ἀποδείκνυσι τοὺς πάλαι πολέμους, τούτων μὲν κάθηνται κριταὶ τοῖς φιλοτιμουμένοις ἐπηρεάζοντες, ὧν εἰ καὶ τῷ λόγῳ πλεονεκτοῦσι, λείπονται τῇ προαιρέσει. αὐτοὶ δὲ τὰ ἀσσυρίων, ἢ τὰ μήδων συγγράφουσιν, ὥσπερ ἧττον καλῶς ὑπὸ τῶν ἀρχαίων συγγραφέων ἀπηγγελμένα, F καί τοι τοσούτῳ τῆς ἐκείνων ἡττῶνται δυνάμεως ἐν τῷ γράφειν, ὅσῳ καὶ τῆς γνώμης. τὰ γὰρ καθ᾽ αὐτοὺς ἐσπούδαζον ἕκαστοι γράφειν, ὅπου καὶ τὸ παρατυχεῖν τοῖς πράγμασιν, ἐποίει τὴν ἐπαγγελίαν ἐναργῆ, καὶ τὸ ψεύδεσθαι παρ᾽ εἰδόσιν, αἰσχρὸν ἦν. τό γε μὴν μνήμῃ τὰ προϊστορηθέντα διδόναι, καὶ τὰ κατὰ τὸν ἴδιον χρόνον τοῖς μετ᾽ αὐτὸν συνιστάνειν, ἐπαίνου καὶ μαρτυρίας ἄξιον. φιλόπονος δὲ, οὐχ ὁ μεταποιῶν οἰκονομίαν καὶ τάξιν ἀλλοτρίαν, G ἀλλ᾽ ὁ μετὰ τοῦ καινὰ λέγειν, καὶ τὸ σῶμα τῆς ἱστορίας κατασκευάζων ἴδιον. κἀγὼ μὲν ἀναλώμασι καὶ πόνοις μεγίστοις ἀλλόφυλος ὢν, ἕλλησί τε καὶ βαρβάροις τὴν μνήμην τῶν κατορθωμάτων ἀνατίθημι. τοῖς δὲ γνησίοις, πρὸς μὲν τὰ λήμματα, καὶ τὰς δίκας, κέχηνεν εὐθέως τὸ στόμα, καὶ ἡ γλῶσσα λέλυται, πρὸς δὲ τὴν ἱστορίαν ἔνθα χρὴ τἀληθῆ λέγειν, καὶ μετὰ πολλοῦ πόνου τὰ πράγματα συλλέγειν, πεφίμωνται

παρέν-

παρεόντες τοῖς ἀληθεστέροις, καὶ μὴ γινώσκουσι τὰς πράξεις τῶν ἡγεμόνων γράφειν. τιμάσθω δὴ παρ' ἡμῖν τὸ τῆς ἱστορίας ἀληθὲς, ἐπεὶ παρ' ἕλλησιν ἀμελεῖται. ἀρχαιολογεῖν μὲν δὴ τὰ ἰουδαίων, τίνες τε ὄντες, καὶ ὅπως ἀπανέστησαν αἰγυπτίων, χώραν τε ὅσην ἐπῆλθον ἀλώμενοι, καὶ πόσα ἑξῆς κατέλαβον, καὶ πῶς μετανέστησαν, νῦν ἄκαιρον ᾠήθην εἶναι, καὶ ἄλλως περιττὸν, ἐπειδὴ καὶ ἰουδαίων πολλοὶ πρὸ ἐμοῦ, τὰ τῶν προγόνων συνετάξαντο μετ' ἀκριβείας, καί τινες ἑλλήνων ἐκεῖνα τῇ πατρίᾳ φωνῇ μεταβάλλοντες, οὐ πολὺ τῆς ἀληθείας διήμαρτον. ὅπου δὲ οἵ τε τούτων συγγραφεῖς ἐπαύσαντο, καὶ οἱ ἡμέτεροι προφῆται, ἐκεῖθεν τὴν ἀρχὴν ποιήσομαι τῆς συντάξεως. τούτων δὲ τὰ μὲν τοῦ κατ' ἐμαυτὸν πολέμου διεξοδικώτερον, καὶ μεθ' ὅσης ἂν ἐξεργασίας δύνωμαι, δίειμι. τὰ δὲ προγενέστερα τῆς ἐμῆς ἡλικίας ἐπιδραμῶ συντόμως. ὡς ἀντίοχος ὁ κληθεὶς ἐπιφανὴς ἑλὼν κατὰ κράτος ἱεροσόλυμα, καὶ κατασχὼν ἔτεσι τρισὶ, καὶ μησὶν ἕξ, ὑπὸ τῶν ἀσαμωναίου παίδων ἐκβάλλεται τῆς χώρας. ἔπειθ' ὡς οἱ τούτων ἔγγονοι περὶ τῆς βασιλείας διαστασιάσαντες, εἵλκυσαν εἰς τὰ πράγματα ῥωμαίους, καὶ πομπήϊον. καὶ ὡς ἡρώδης ὁ ἀντιπάτρου κατέλυσε τὴν δυναστείαν αὐτῶν, ἐπαγαγὼν σόσσιον. Ὅπως τε ὁ λαὸς, μετὰ τὴν ἡρώδου τελευτὴν κατεστασίασαν, αὐγούστου μὲν ῥωμαίων ἡγεμονεύοντος, κυντιλλίου δὲ οὐάρου, κατὰ τὴν χώραν ὄντος. καὶ ὡς ἔτει δωδεκάτῳ τῆς νέρωνος ἀρχῆς ὁ πόλεμος ἀνεῤῥάγη, τά τε συμβάντα κατὰ κέστιον, καὶ ὅσα παρὰ τὰς πρώτας ὁρμὰς ἐπῆλθον οἱ ἰουδαῖοι τοῖς ὅπλοις.

Ὅπως τε τὰς περιοίκους ἐτειχίσαντο, καὶ ὡς νέρων ἐπὶ τοῖς κεστίου πταίσμασι δείσας περὶ τῶν ὅλων, οὐεσπασιανὸν ἐφίστησι τῷ πολέμῳ. καὶ ὡς οὗτος μετὰ τοῦ πρεσβυτέρου τῶν παίδων εἰς τὴν ἰουδαίων χώραν ἐνέβαλεν, ὅσῃ τε χρώμενος ῥωμαίων στρατιᾷ, καὶ ὅσοι σύμμαχοι ἐκόπησαν εἰς ὅλην τὴν γαλιλαίαν. καὶ ὡς τῶν πόλεων αὐτοῖς, ἃς μὲν ὁλοσχερῶς καὶ κατὰ κράτος, ἃς δὲ δι' ὁμολογίας ἔλαβεν, ἔνθα δὴ καὶ τὰ περὶ τῆς ῥωμαίων εὐταξίας ἐν πολέμοις, καὶ τὴν ἄσκησιν τῶν ταγμάτων, τῆς τε γαλιλαίας ἑκατέρας τὰ διαστήματα, καὶ τὴν φύσιν, καὶ τοὺς τῆς ἰουδαίας ὅρους, ἔτι τε τῆς χώρας τὴν ἰδιότητα, λίμνας τε καὶ πηγὰς τὰς ἐν αὐτῇ, καὶ τὰ περὶ ἑκάστην πόλιν τῶν ἁλισκομένων πάθη, μετ' ἀκριβείας ὡς εἶδον ἢ ἔπαθον, δίειμι. οὐδὲ γὰρ τῶν ἐμαυτοῦ τι συμφορῶν ἀποκρύψομαι, μέλλων γε πρὸς εἰδότας ἐρεῖν.

Ἔπειθ' ὡς ἤδη καμνόντων ἰουδαίοις τῶν πραγμάτων, θνήσκει μὲν νέρων, οὐεσπασιανὸς δὲ ἐπὶ ἱεροσολύμων ὡρμημένος, ὑπὸ τῆς ἡγεμονίας ἀνθέλκεται. τά τε γενόμενα περὶ ταύτης αὐτῷ σημεῖα, καὶ τὰς ἐπὶ ῥώμης καταβάσεις, καὶ ὡς αὐτὸς ὑπὸ τῶν στρατιωτῶν ἄκων αὐτοκράτωρ ἀποδείκνυται. καὶ ὡς τούτου ἀποχωρήσαντος ἐπὶ διοικήσει τῶν ὅλων εἰς τὴν αἴγυπτον, ἐστασιάσθη τὰ ἰουδαίων, ὅπως τε ἐπανέστησαν αὐτοῖς οἱ τύραννοι, καὶ τὰς τούτων πρὸς ἀλλήλους διαφοράς. καὶ ὡς ἄρας ἀπὸ τῆς αἰγύπτου τίτος, δεύτερον εἰς τὴν χώραν ἐνέβαλεν. ὅπως τε τὰς δυνάμεις, καὶ ὅπου συνήγαγε, καὶ ποσάκις καὶ ὅπως ἐκ τῆς στάσεως ἡ πόλις διέκειτο παρόντος αὐτοῦ, προσβολάς τε ὅσας ἐποιήσατο, καὶ πόσα χώματα, περιβόλους τε τῶν τειχῶν, καὶ τὰ

A concessa infirmioribus neque scientibus licentia scribendi res à principibus gestas. Honoratur itaque apud nos historię veritas, quę à Græcis negligitur. Ab origine quidem Iudæos repetere, qui fuerint, quóve pacto ab Ægyptiis discesserint, quásque regiones errando peragrauerint, & quas vel quoties incoluerint, & quemadmodum inde migrauerint, neque huius esse temporis, & præterea superuacaneū existimaui: quoniam multi ante me Iudæorum de B maioribus huius gentis verissima composuerunt: & nonnulli Græcorum, quæ illi scripserant, patria voce prosecuti non multum à veritate deuiarunt: ex eo autem historiæ principium sumam, quo scriptores eorum & prophetæ nostri desierunt. Et bellum quidem meis temporibus gestum, latiùs quáque potuero diligentiâ referam: quæ verò ætate mea sunt antiquiora, summatim breuitérque percurram. Quomodo Antiochus cognomento Epiphanes, deuictâ C penitus Hierosolyma, cùm triennium séxque menses eam tenuisset, ab Asamoniæ filiis expulsus est. Deinde quòd eorum posteri de regno dissentientes, ad res suas occupandas populum Romanum Pompeiúmque traxerunt: quomodóque Herodes Antipatri filius eorum potentiæ finem fecerit, auxilio Sosij. Tum, quomodo Herode mortuo, plebis in eos orta seditio est, Augusto quidem imperante Romanis, Quintilio autem Varo prouinciam obtinente. D Quódque bellum anno duodecimo imperij Neronis eruperit: quámque multa per Cestium acciderint: quantáque ad primos impetus armis Iudæi peruaserint: quóque modo accolas permunierint: & quòd Nero propter acceptas Cestij ductu clades summæ rei metuens, Vespasianum bello præposuerit: & quòd is cum maximo filiorum Iudæam intrauerit, quantúmque Romanorum exercitum ducens: quantáque manus auxiliorum per omnem cæsa fuE erit Galilæam: & quòd eius ciuitatum quasdam vi ceperit, alias deditione. Vbi etiam Romanorum in bello disciplinam curámque rerum, & vtriusque Galilææ spatia, & naturam finésque Iudææ, necnō & peculiarem terræ qualitatem, lacúsque & fontes, captarúmque ciuitatum mala, cum fide sicut vidi, aut pertuli, expediam. Nec etiam miserias meas celauerim, cùm scientibus eas relaturus sim. Deinde, quòd iam fessis rebus Iudæorum, Nero quidem mortem obieF rit: Vespasianus autem in Hierosolymam properans, imperij causa retractus sit: quæque signa de hoc ei contigerint, Romæque mutationes: & quòd inuitus à militibus, Imperator declaratus sit: & quòd eo disponendæ reipublicæ gratia in Ægyptum digresso, Iudæorum status seditionibus agitatus sit: quóque modo tyrannis succubuerint, eorúmque inter se discordias mouerint. Et quòd ex Ægypto Titus reuersus, bis Iudæorum fines ingressus sit: quóque G modo exercitum, & quo in loco congregauerit: vel qualiter, & quoties ciuitatem affecerit ipso præsente seditio. Aggressus quoque numerosos & quantos erexerit aggeres: triúmque murorum ambitum & magnitudinem, sine

mensuram, & munitionem ciuitatis: & fani A templique dispositionem: ad hæc aræ spacium, mensuramque verissimè dicam: festorum quoque dierum mores aliquos, septémque lustrationes, & munia sacerdotum. Itémque pontificis vestes, sanctáque templi cuiusmodi fuerint, sine aliqua dissimulatione, vel adiectione memorabo. Narrabo deinde tyrannorum in suos gentiles crudelitatem, Romanorúmque in alienigenas humanitatem: quotiésque Titus, ciuitatem simul ac templum seruare cupiens, B ad concordiæ fœdera dissidentes prouocauit. Differam verò populi vulnera, & calamitates: quámque multa mala nunc bello, nunc seditionibus, nunc fame perpessi, postea capti sint. Nec verò, aut perfugarum clades, aut captiuorum supplicia prætermittam: vel quemadmodum templum inuito Cæsare conflagrauerit. quámque multæ opes sacræ flamma raptæ sint: ac totius, quæ reliqua erat, ciuitatis excidium: & quæ præcesserant portenta, atque prodigia, C vel tyrannorum captiuitatem, vel qui seruitio abducti sunt, multitudinem: aut cui quisque fortunæ sit distributus: & quòd Romani quidem belli reliquias persecuti sunt, deuictorúmque munimina funditus eruerunt: Titus verò peragrata regione cuncta restituit. eiusdémque reditum in Italiam, ac triumphum. Hæc omnia septem libris comprehensa, adnixus ne vituperationem à rerum scientibus & qui bello interfuerunt sustineam, studiosis ve- D ritatis magis quàm voluptatis perscripsi. Narrandi autem initium faciam hoc ordine, quo capitula sunt digesta.

μέτρα τούτων, τήν τε τῆς πόλεως ὀχυρότητα, καὶ τοῦ ἱεροῦ, καὶ τοῦ ναοῦ τὴν διάθεσιν. ἔτι δὲ καὶ τούτων καὶ τοῦ βωμοῦ τὰ μέτρα, πάντα μετ᾽ ἀκριβείας. ἔθη τε ἑορτῶν ἔνια, καὶ τὰς ἑπτὰ ἁγνείας, καὶ τὰς τῶν ἱερέων λειτουργίας. ἔτι δὲ καὶ τὰς ἐσθῆτας τῶν ἱερέων, καὶ τοῦ ἀρχιερέως, καὶ οἷον ἦν τοῦ ναοῦ τὸ ἅγιον, οὐδὲν οὔτε ἀποκρυπτόμενος, οὔτε προστιθεὶς τοῖς πεφωραμένοις. ἔπειτα διέξειμι τήν τε τῶν τυράννων πρὸς τοὺς ὁμοφύλους ὠμότητα, καὶ τὴν ῥωμαίων φειδὼ πρὸς τοὺς ἀλλοφύλους, καὶ ὁσάκις τίτος σῶσαι τὴν πόλιν, καὶ τὸν ναὸν ἐπιθυμῶν, ἐπὶ δεξιὰς τοὺς στασιάζοντας προὐκαλέσατο. διακρινῶν τὰ πάθη τοῦ δήμου, καὶ τὰς συμφοράς, ὅσα τε ὑπὸ τοῦ πολέμου, καὶ ὅσα ὑπὸ τῆς στάσεως, καὶ ὅσα ὑπὸ τοῦ λιμοῦ κακωθέντες ἑάλωσαν. παραλείψω δὲ οὐδὲ τὰς τῶν αὐτομόλων ἀτυχίας, οὐδὲ τὰς τῶν αἰχμαλώτων κολάσεις, ὅπως τε ὁ ναὸς ἄκοντος ἐνεπρήσθη καίσαρος, καὶ ὅσα τῶν ἱερῶν κειμηλίων ἐκ τοῦ πυρὸς ἡρπάγη, τήν τε τῆς ὅλης πόλεως ἅλωσιν, καὶ τὰ πρὸ ταύτης σημεῖα, καὶ τέρατα, καὶ τὴν αἰχμαλωσίαν τῶν τυράννων, τῶν τε ἀνδραποδισθέντων τὸ πλῆθος, καὶ εἰς ἣν ἕκαστοι τύχην διενεμήθησαν. καὶ ὡς ῥωμαῖοι μὲν ἐπεξῆλθον τὰ λείψανα τοῦ πολέμου, καὶ τὰ ἐρύματα τῶν χωρίων καθεῖλον. τίτος δὲ πᾶσαν ἐπελθὼν τὴν χώραν κατεστήσατο, τήν τε ὑποστροφὴν αὐτοῦ τὴν εἰς ἰταλίαν, καὶ τὸν θρίαμβον. ταῦτα πάντα περιλαβὼν ἐν ἑπτὰ βιβλίοις, καὶ μηδεμίαν τοῖς ἐπισταμένοις τὰ πράγματα, καὶ παρατυχοῦσι τῷ πολέμῳ καταλιπὼν, ἢ μέμψεως ἀφορμὴν, ἢ κατηγορίας τοῖς γε τὴν ἀλήθειαν ἀγαπῶσιν, ἀλλὰ μὴ πρὸς ἡδονὴν, ἀνέγραψα. ποιήσομαι δὲ ταύτης τῆς ἐξηγήσεως ἀρχὴν, ἣν καὶ τῶν κεφαλαίων ἐποιησάμην.

Cap. I. De vastatione Hierosolymæ ab Antiocho. *Ant. lib. 12. cap. 6.*

CVm potentes Iudæorum inter se dissiderent eo tempore, quo de tota Syria cum Ptolemæo Sexto Antiochus, qui Epiphanes dictus est, ambigebat (erat autem illis contentio de potentia, quòd honoratus quisque grauiter ferret similibus subiugari) Onias quidam è pontificibus postquàm præualuit, Tobiæ filios expulit ciuitate. Illi autem supplices ad Antiochum confugerunt, petentes vt ipsis ducibus in Iudæam irrumperet. Idque regi persuasum est, iampridem sic animato. Quare cum magnis militum copiis egressus & ciuitatem fortiter expugnatam capit, & maximam eorum multitudinem, quibus Ptolemæus carior erat, interfecit. Datáque passim militibus prędandi licentia, ipse & templum spoliauit, & quotidianæ religionis assiduitatē per annos tres, séxq; menses inhibuit. Pontifex autem Onias effugit ad Ptolemæum: acceptóque ab eo in Heliopolitana præfectura solo, ibi oppidum condidit Hierosolymis simile, templúmq; ædificauit: de quibus iterum opportunè referemus. Veruntamen Antiocho neque præter spem deuicta ciuitas, neque populatio, neque tantæ cædes satis fuêre: sed intemperantia vitiorum, eorúmque memoria quæ in obsidione pertulerat, Iudæos cogere cœpit: vt abrogato more patrio, nec infantes suos circumciderent, porcósque

Ant. lib. 13. cap. 4.

Ant. lib. 12. cap. 7.

Κεφ. α.

ΣΤάσεως τοῖς δυνατοῖς ἰουδαίων ἐμπεσούσης, καθ᾽ ὃν καιρὸν ἀντίοχος ὁ κληθεὶς ἐπιφανὴς, διεφέρετο περὶ ὅλης συρίας πρὸς πτολεμαῖον τὸν ἕκτον, ἡ φιλοτιμία δ᾽ ἦν αὐτοῖς περὶ δυναστείας, ἑκάστου τῶν ἐν ἀξιώματι μὴ φέροντος τοῖς ὁμοίοις ὑποτετάχθαι, ὀνίας μὲν εἷς τῶν ἀρχιερέων ἐπικρατήσας, ἐξέβαλε τῆς πόλεως τοὺς υἱοὺς τωβία. οἱ δὲ καταφυγόντες πρὸς ἀντίοχον, ἱκέτευσαν αὐτοῖς ἡγεμόσι χρώμενον, εἰς τὴν ἰουδαίαν ἐμβαλεῖν. πείθεται δὲ ὁ βασιλεὺς ὡρμημένος πάλαι, καὶ μετὰ πλείστης δυνάμεως αὐτὸς ὁρμήσας, τήν τε πόλιν αἱρεῖ κατακράτος, καὶ πολύ τι πλῆθος τῶν πτολεμαίῳ προσεχόντων ἀνεῖλε. ταῖς τε ἁρπαγαῖς ἀνέδην ἐπαφεὶς τοὺς στρατιώτας, αὐτὸς καὶ τὸν ναὸν ἐσύλησε, καὶ τὸν ἐνδελεχισμὸν τῶν καθ᾽ ἡμέραν ἐναγισμῶν ἔπαυσεν ἐπ᾽ ἔτη τρία, καὶ μῆνας ἕξ. ὁ δὲ ἀρχιερεὺς ὀνίας πρὸς πτολεμαῖον διαφυγὼν, καὶ παρ᾽ αὐτοῦ λαβὼν τόπον ἐν τῷ ἡλιοπολίτῃ νομῷ, πολίχνην τε τοῖς ἱεροσολύμοις ἀπεικασμένην, καὶ ναὸν ἔκτισεν ὅμοιον, περὶ οὗ αὖθις κατὰ χώραν δηλώσομεν. ἀντιόχῳ γε μὴν, οὔτε τὸ παρ᾽ ἐλπίδα κρατῆσαι τῆς πόλεως, οὔθ᾽ αἱ ἁρπαγαὶ, καὶ ὁ τοσοῦτος φόνος ἤρκεσεν. ὑπὸ δὲ ἀκρασίας παθῶν, καὶ κατὰ μνήμην ὧν περὶ τὴν πολιορκίαν ἔπαθεν, ἠνάγκαζεν ἰουδαίους καταλύσαντας τὰ πάτρια, βρέφη τε αὐτῶν φυλάττειν ἀπερίτμητα, καὶ σῦς ἐπι-

ἐπιθύειν τῷ βωμῷ. πρὸς ἃ πάντες μὲν ἠπείθουν, ἐσφάττοντο δὲ οἱ δοκιμώτατοι. καὶ Βακχίδης ὁ πεμφθεὶς ὑπ' Ἀντιόχου φρούραρχος τῇ φυσικῇ προσλαβὼν ὠμότητι τὰ ἀσεβῆ παραγγέλματα παρανομίας οὐδεμίαν παρέλιπεν ὑπερβολήν, καὶ κατ' ἄνδρα τοὺς ἀξιολόγους αἰκιζόμενος, καὶ κοινῇ καθ' ἡμέραν ἐνδεικνύμενος ὄψιν ἁλώσεως τῇ πόλει, μέχρι ταῖς ὑπερβολαῖς τῶν ἀδικημάτων τοὺς πάσχοντας εἰς ἀμύνης τόλμαν ἠρέθισε. Ματθίας γοῦν υἱὸς Ἀσαμωναίου τῶν ἱερέων εἷς, ἀπὸ κώμης Μωδεεὶν ὄνομα, συνασπίσας μετὰ χειρὸς οἰκείας, πέντε γὰρ υἱεῖς ἦσαν αὐτῷ, κοπίσιν ἀναιρεῖ τὸν Βακχίδην. καὶ παραχρῆμα μὲν δείσας τὸ πλῆθος τῶν φρουρῶν εἰς τὰ ὄρη καταφεύγει. προσγινομένων δὲ ἀπὸ τοῦ δήμου πολλῶν αὐτῷ, ἀναθαρρήσας κάτεισι, καὶ συμβαλὼν μάχῃ, νικᾷ τοὺς Ἀντιόχου στρατηγούς, καὶ τῆς Ἰουδαίας ἐξελαύνει. παρελθὼν δὲ ἀπὸ τῆς εὐπραγίας εἰς δυναστείαν, καὶ διὰ τὴν ἀπαλλαγὴν τῶν ἀλλοφύλων ἄρξας τῶν σφετέρων ἑκόντων, τελευτᾷ Ἰούδᾳ τῷ πρεσβυτάτῳ τῶν παίδων καταλιπὼν τὴν ἀρχήν. ὁ δέ, οὐδὲ γὰρ ἠρεμήσειν Ἀντίοχον ὑπελάμβανε, τάς τ' ἐπιχωρίους συνεκρότει δυνάμεις, καὶ πρὸς Ῥωμαίους πρῶτος ἐποιήσατο φιλίαν, καὶ τὸν Ἐπιφανῆ πάλιν εἰς τὴν χώραν εἰσβαλόντα, μετὰ καρτερᾶς πληγῆς ἀνέστειλεν. ἀπὸ δὲ θερμοῦ τοῦ κατορθώματος, ὥρμησεν ἐπὶ τὴν ἐν τῇ πόλει φρουράν, οὔπω γὰρ ἐκκέκοπτο, καὶ ἐκβαλὼν ἀπὸ τῆς ἄνω πόλεως, συνωθεῖ τοὺς στρατιώτας εἰς τὴν κάτω. τοῦτο δὲ τοῦ ἄστεως τὸ μέρος, ἄκρα κέκληται. κυριεύσας δὲ τοῦ ἱεροῦ, τόν τε χῶρον ἐκάθηρε πάντα, καὶ περιετείχισε, καὶ τὰ πρὸς τὰς λειτουργίας σκεύη καινὰ κατασκευάσας, εἰς τὸν ναὸν εἰσήνεγκεν, ὡς τῶν προτέρων μεμιασμένων, βωμόν τε ᾠκοδόμησεν ἕτερον, καὶ τῶν ἁγισμῶν ἤρξατο. λαμβανούσης δὲ ἄρτι τὸ ἱερὸν κατάστημα τῆς πόλεως τελευτᾷ μὲν Ἀντίοχος. κληρονόμος δὲ τῆς βασιλείας αὐτοῦ, καὶ τῆς πρὸς Ἰουδαίους ἀπεχθείας, ὁ υἱὸς Ἀντίοχος γίνεται. συναγαγὼν οὖν πεζῶν μυριάδας πέντε, ἱππεῖς δὲ εἰς πεντακισχιλίους, ἐλέφαντας δὲ ὀγδοήκοντα, ἐμβάλλει διὰ τῆς Ἰουδαίας εἰς τὴν ὀρεινήν. Βηθσουρὸν μὲν οὖν πολίχνιον αἱρεῖ, κατὰ δὲ τὸν τόπον ὃς καλεῖται Βεθζαχαρίας, στενῆς οὔσης τῆς παρόδου Ἰούδας ὑπήντα μετὰ τῆς δυνάμεως. πρὶν δὲ συνάψαι τὰς φάλαγγας, Ἐλεάζαρος ὁ ἀδελφὸς αὐτοῦ, προϊδὼν τὸν ὑψηλότατον τῶν ἐλεφάντων, πύργῳ τε μεγάλῳ, καὶ περιχρύσοις προτειχίσμασι κεκοσμημένον, ὑπολαβὼν ἐπ' αὐτοῦ τὸν Ἀντίοχον εἶναι, τῶν τε ἰδίων ἐκτρέχει πολύ, καὶ διακόψας τὸ στῖφος τῶν πολεμίων, ἐπὶ τὸν ἐλέφαντα διήνυσεν. ἐφικέσθαι μὲν οὖν τοῦ δοκοῦντος εἶναι βασιλέως, οὐχ οἷός τε ἦν διὰ τὸ ὕψος. ὁ δὲ τὸ θηρίον ὑπὸ τὴν γαστέρα πλήξας, ἐπικατέσεισεν ἑαυτῷ, καὶ συντριβεὶς ἐτελεύτησε, μηδὲν πλέον δράσας τοῦ μεγάλοις ἐπιβαλέσθαι, θέμενος εὐκλείας ἐν δευτέρῳ τὸ ζῆν. ὁ γε μὴν κυβερνῶν τὸν ἐλέφαντα, ἰδιώτης ἦν, κἂν εἰ συνέβη δὲ εἶναι τὸν Ἀντίοχον, οὐδὲν πλέον ἤνυσεν ὁ τολμήσας, τοῦ δοκεῖν ἐπ' ἐλπίδι μόνῃ λαμπροῦ κατορθώματος, ἑλέσθαι τὸν θάνατον. γίνεται δὲ καὶ κληδὼν τἀδελφῷ τῆς ὅλης παρατάξεως. καρτερῶς μὲν γὰρ Ἰουδαῖοι καὶ μέχρι πολλοῦ διηγωνίσαντο

A super aram immolarent. quibus omnes quidem aduersabantur, optimus verò quisque propterea trucidabatur. Et Bacchides præsidiis ab Antiocho præpositus, ad naturalem crudelitatem suam præceptis impiis obsecundans, omnimodam iniquitatem excessit, cùm & singulatim viros honorabiles verberaret, & communiter quotidie speciem captæ vrbis exhiberet: donec eos atrocitate incommodorum, qui ea patiebantur, ad vindictæ audaciam irritauit. B Denique Matthatias Asamonæi filius, vnus ex sacerdotibus, ex vico cui nomen Modin est, cum manu domestica (nam quinque filios habebat) sicis armatus Bacchidem occidit: & statim quidem præsidiorum multitudinem veritus, in montes refugit. Multis verò ex populo sibi sociatis, recepta fiducia descendit: commissóque prælio, superatos duces Antiochi ex Iudææ finibus exegit. Secundis autem rebus potentiam nactus, suisque volentibus, C quod ab alienigenis eos liberasset, imperans, moritur relicto Iudæ principatu, qui filiorum suorum natu maximus erat. Ille autem (nec enim cessaturum existimabat Antiochum) & indigenarum conflauit exercitum, & cum Romanis primus amicitiam pepigit: Antiochúmque Epiphanem iterum in fines suos ingredientem vehementissima percussum plaga repressit. Adhuc autem feruente victoria, in præsidia ciuitatis impetum fecit: necdum e- D nim cæsa fuerant: habitóque conflictu, milites de superiori ciuitate, quæ pars sacra dicitur, ad inferiorem compellit. Fano autem potitus, & locum purgauit omnem, muróque cinxit: & vasa noua diuinis rebus curandis fabricata, in templum intulit, veluti prioribus profanatis: arámque aliam ædificauit, & religionibus dedit initium. Sacro autem ritu vix ciuitati reddito, moritur Antiochus: Regni autem eius, & in Iudæos odij filius Antiochus E hæres existit. quare coactis peditum millibus L. equitum autem propè V. millibus, LXXX. verò elephantis, montana Iudææ per partes aggreditur. & Bethsuram quidem oppidum capit. in loco verò cui Bethzachariæ nomen est, qua transitus erat angustior, Iudas cum suis copiis occurrit. & priùs quàm congrederentur agmina, Eleazarus frater eius, prospecto præter alios excelso elephante, turrique maxima & munimentis aurei ornato, illic Antiochum esse F ratus à suis procul excurrit, ruptáque hostili acie ad elephantum vsque peruenit. sed illum quidem quem regem esse opinabatur, contingere, quòd multum superemineret, minimè potuit. beluam verò in aluo percussam super se deiecit, & obtritus interiit: nulla alia re gesta nisi quòd magnum opus aggressus, vitam gloriæ posthabuit. qui tamen regebat elephantum priuatus erat. & si casu in eo fuisset Antiochus, nihil plus Eleazaro præstitisset G audacia, quàm vt sola spe præclari facinoris mortem videretur optasse. hoc autem fratri eius totius prælij præsagium fuit. nam fortiter quidem Iudæi diúque decertarunt:

Ant. lib. 12. cap. 7. 8.

Ant. lib. 12. cap. 14. 15.

sed à regiis secunda fortuna vsis, numeróque A præstantibus superati sunt: multísque interfectis Iudas cum cæteris in Gophniticam toparchiam refugit. Antiochus autem ad Hierosolymam profectus, ibique dies paucos commoratus, penuria vtensilium abstitit: relicto quidem ibi præsidio, quantum satis esse arbitrabatur: cætera verò multitudine ad hyemandum deducta in Syriam. discessu autem regis Iudas non quiescebat, sed accessione B multorum suæ gentis animatus, aggregatis etiam quos ex prælio receperat, apud vicum Adasa cum Antiochi ducibus congreditur: factísque fortibus in prælio cognitus, multis hostibus interfectis occubuit. & in diebus paucis frater eius Ioannes occiditur, insidiis eorum captus, qui cum Antiocho sentiebant.

Ant. lib. 12. cap. 18.

πλήθει δὲ ὑπερέχοντες οἱ βασιλικοὶ, καὶ δεξιᾷ χρησάμενοι τύχῃ, κρατοῦσι. καὶ πολλῶν ἀναιρεθέντων τοὺς λοιποὺς ἔχων ἰούδας, εἰς τὴν γοφνιτικὴν ἐπαρχίαν φεύγει. ἀντίοχος δὲ παρελθὼν εἰς ἱεροσόλυμα, καὶ καθίσας ὀλίγας ἡμέρας ἐν αὐτῇ, κατὰ σπάνιν τῶν ἐπιτηδείων ἀπανίσταται, καταλιπὼν μὲν φρουρὰν, ὅσην ἀποχρήσειν ὑπελάμβανε, τὴν δὲ λοιπὴν δύναμιν ἀπαγαγὼν, χειμεριοῦσαν εἰς τὴν συρίαν. πρὸς δὲ τὴν ὑποχώρησιν τοῦ βασιλέως, ἰούδας οὐκ ἠρέμει. προσγινομένων δ᾽ ἐκ τοῦ ἔθνους πολλῶν, καὶ τοὺς διασωθέντας ἐκ τῆς μάχης ἐπισυγκροτήσας, κατὰ κώμην ἀκέδασαν συμβάλλει τοῖς ἀντιόχου στρατηγοῖς, καὶ φανεὶς ἄριστος κατὰ τὴν μάχην, πολλούς τε τῶν πολεμίων ἀποκτείνας, ἀναιρεῖται. καὶ μεθ᾽ ἡμέρας ὀλίγας ὁ ἀδελφὸς αὐτοῦ ἰωάννης ἐπιβουλευθεὶς ὑπὸ τῶν τὰ ἀντιόχου φρονούντων.

Cap. II. De successionib. principum à Ionatha vsq; ad Aristobulum.

Ant. lib. 13. cap. 1.

CVm autem successisset ei frater Ionathas, & in aliis quæ ad indigenas pertinerent, C cautiùs se ageret, suámque potentiam Romanorum amicitia corroboraret, Antiochi quidem filio reconciliatur. non tamen horum ei quicquam profuit ad depellendum periculum. Namque Tryphon tyrannus, Antiochi quidem filij tutor, sed insidiis eum captans, & præter hoc amicis nudare cupiens, Ionathan cùm ad Antiochum paucis comitatus Ptolemaida venisset, dolo comprehendit. eóque vincto contra Iudæam mouit exercitum. vnde re- D pulsus à Simone Ionathæ fratre, quódque ab eo superatus esset, iratus eundem Ionathan interfecit. Simon autem fortiter regendis rebus intentus, Zara quidem & Ioppen, & Iamniam capit. Euertit autem & Accaron subactis præsidiis: aduersúsque Tryphonem Antiocho auxilium præbuit, qui Doram ante expeditionem quam in Medos fecit obsidebat. Sed regis auiditatem satiare non potuit, quamuis neci Tryphonis suam quoq; operam adhi- E buisset. Non multo enim pòst Antiochus Cendebeum ex ducibus suis ad vastandam Iudæam opprimendúmque seruitio Simonem cum exercitu misit. Ille autem, quanquam senior erat, bellum tamen iuueniliter administrabat: & filios quidem suos cum validissimis præmisit, parte verò multitudinis comitatus alio latere aggreditur: multísque per multa loca insidiis etiam in montana dispositis, in omnibus superat, clarissimáque potitus victo- F ria, pontifex declaratur: & ducentos septuaginta post annos Iudæos liberat à dominatione Macedonum. Sed & ipse periit in conuiuio, captus insidiis Ptolemæi generi sui: qui eius coniuge, duobúsque filiis in custodiam conclusis, certos misit, vt Ioannem tertium, cui etiam Hyrcanus nomen fuit, interficerent. Cognito autem impetu, qui parabatur, adolescens ad ciuitatem properabat, multo G populo fretus, & propter memoriam paternæ virtutis, & quòd iniquitas Ptolemæi cunctis esset inuisa. voluit autem Ptolemæus etiam alia porta ingredi ciuitatem, sed à populo reiectus est, qui maturiùs Hyrcanũ susceperat.

Ant. lib. 13. cap. 9.

Ant. lib. 14. cap. 14.

Διαδεξάμενος δὲ τοῦτον ὁ ἀδελφὸς ἰωνάθης, Κεφ. β. τά τε ἄλλα πρὸς τοὺς ἐπιχωρίους, διὰ φυλακῆς ἦγεν ἑαυτὸν, καὶ τῇ πρὸς ῥωμαίους φιλίᾳ τὴν ἀρχὴν ἐκρατύνατο. πρός τε τὸν ἀντιόχου παῖδα διαλλαγὰς ἐποιήσατο. οὐ μὴν τι τούτων ἤρκεσεν αὐτῷ πρὸς ἀσφάλειαν. τρύφων γὰρ ὁ τύραννος ἐπίτροπος μὲν ὢν τοῦ ἀντιόχου παιδὸς, ἐπιβουλεύων δ᾽ αὐτῷ καὶ πρόσθεν ἀποσκευάζεσθαι τοὺς φίλους αὐτοῦ πειρώμενος, ἥκοντα τὸν ἰωνάθην σὺν ὀλίγοις εἰς πτολεμαΐδα πρὸς ἀντίοχον, δόλῳ συλλαμβάνει, καὶ δήσας, ἐπὶ ἰουδαίαν στρατεύει. εἶτ᾽ ἀπελαθεὶς ὑπὸ τοῦ σίμωνος, ὃς ἦν ἀδελφὸς τοῦ ἰωνάθου, καὶ πρὸς τὴν ἧτταν ὀργισμένος, κτείνει τὸν ἰωνάθην. σίμων δὲ γενναίως ἀφηγούμενος τῶν πραγμάτων, αἱρεῖ μὲν ζαρά τε καὶ ἰόππην, καὶ ἰάμνιαν τῶν προσοίκων, κατέσκαψε δὲ καὶ τὴν ἄκραν τῶν φρουρῶν κρατήσας. αὖθις δὲ γίνεται καὶ ἀντιόχῳ σύμμαχος κατὰ τρύφωνος, ὃν ἐν δώροις πρὸ τῆς ἐπὶ μήδους στρατείας, ἐπολιόρκει. ἀλλ᾽ οὐκ ἐδυσώπησε τὴν τοῦ βασιλέως πλεονεξίαν συνεξελὼν τρύφωνα. μετ᾽ οὐ πολὺ γὰρ ἀντίοχος κενδεβαῖον τὸν αὐτοῦ στρατηγὸν μετὰ δυνάμεως δῃώσαντα τὴν ἰουδαίαν ἀνέπεμψε, καὶ καταδουλωσόμενον σίμωνα. ὁ δὲ καίτοι γηραιὸς ὢν, νεανικώτερον ἀφηγήσατο τοῦ πολέμου, τοὺς μὲν υἱεῖς ἐπ᾽ αὐτὸν μετὰ τῶν ἐρρωμενεστάτων προεκπέμπει, αὐτὸς δὲ μοῖραν τῆς δυνάμεως ἀναλαβὼν, ἐπῄει κατ᾽ ἄλλο μέρος. πολλοὺς δὲ πολλαχοῦ κἂν τοῖς ὄρεσι προλοχίσας, πάσαις κρατεῖ ταῖς ἐπιβουλαῖς. καὶ νικήσας λαμπρῶς, ἀρχιερεὺς ἀποδείκνυται, καὶ τῆς τῶν μακεδόνων ἐπικρατείας, μετὰ ἑκατὸν καὶ ἑβδομήκοντα ἔτη, ἰουδαίους ἀπαλλάττει. θνήσκει δὲ καὶ αὐτὸς ἐπιβουλευθεὶς ἐν συμποσίῳ ὑπὸ πτολεμαίου τοῦ γαμβροῦ, ὃς αὐτοῦ τήν τε γυναῖκα, καὶ τοὺς δύο παῖδας ἐγκαθείρξας, ἐπὶ τὸν τρίτον ἰωάννην, ὃς καὶ ὑρκανὸς ἐκαλεῖτο, τοὺς ἀναιρήσοντας ἔπεμψε. προγνοὺς δὲ τὴν ἔφοδον ὁ νεανίσκος παραγενέσθαι εἰς τὴν πόλιν ἠπείγετο, πλεῖστον τῷ λαῷ πεποιθὼς, κατά τε μνήμην τῶν πατρῴων κατορθωμάτων, καὶ μῖσος τῆς πτολεμαίου παρανομίας. ὥρμησε δὲ καὶ πτολεμαῖος εἰσελθεῖν καθ᾽ ἑτέραν πύλην, ἐξεκρούσθη γε μὴν ὑπὸ τοῦ δήμου ταχέως δεδεγμένων ἤδη τὸν ὑρκανόν.

καὶ ὁ μὲν, παραχρῆμα ἀνεχώρησεν, ἐπί τι τῶν ὑπὲρ ἱεριχοῦντος ἐρυμάτων, ὃ δαγὼν καλεῖται. κομισάμενος δὲ τὴν πατρῴαν ἀρχιερωσύνην ὑρκανὸς, καὶ θύσας τῷ θεῷ, μετὰ τάχους ἐπὶ πτολεμαῖον ὥρμησε τιμωρήσων τῇ μητρὶ καὶ τοῖς ἀδελφοῖς. προσβαλὼν δὲ τῷ φρουρίῳ, τὰ μὲν ἄλλα κρείττων ἦν, ἡττᾶτο δὲ δικαίου πάθους. ὁ γὰρ πτολεμαῖος ὁπότε καταπονοῖτο τήν τε μητέρα καὶ τοὺς ἀδελφοὺς αὐτοῦ προαγαγὼν ἐπὶ τοῦ τείχους εἰς εὐσύνοπτον ᾐκίζετο, καὶ κατακρημνιεῖν εἰ μὴ θᾶττον ἀπαναςαίη διηπείλει. πρὸς ἃ τὸν μὲν ὑρκανὸν ὀργῆς πλείων οἶκτος εἰσῄει, καὶ δέος. ἡ δὲ μήτηρ, οὐδὲν οὔτε πρὸς τὰς αἰκίας, οὔτε πρὸς τὸν ἀπειλούμενον αὐτῇ θάνατον ἐνδιδοῦσα, χεῖρας ὤρεγε, καὶ κατηντιβόλει τὸν παῖδα, μὴ πρὸς τὴν αὐτῆς ὕβριν ἐπικλασθέντα, φείσασθαι τοῦ δυσσεβοῦς, ὡς αὐτῇ γε κρεῖττον εἶναι τὸν ἐκ πτολεμαίου θάνατον ἀθανασίας εἶναι, διδόντος δίκας ἐφ' οἷς εἰς τὸν οἶκον αὐτῶν παρηνόμησεν. ὁ δὲ ἰωάννης, ὁπότε μὲν ἐνθυμηθείη τὸ παράστημα τῆς μητρὸς, καὶ κατακούσειε τῆς ἱκεσίας, ὥρμητο προσβάλλειν. ἐπειδὰν δὲ κατίδοι τυπτομένην τε καὶ σπαραττομένην, ἐθηλύνετο, καὶ τοῦ πάθους ὅλος ἦν. τριβομένης δὲ διὰ ταῦτα τῆς πολιορκίας, ἐπέστη τὸ ἀργὸν ἔτος, ὃ κατὰ ἑπταετίαν ἀργεῖται παρὰ ἰουδαίοις ὁμοίως ταῖς ἑβδομάσιν ἡμέραις. κἀν τούτῳ πτολεμαῖος ἀνεθεὶς τῆς πολιορκίας ἀναιρεῖ τοὺς ἀδελφοὺς ἰωάννου σὺν τῇ μητρὶ, καὶ φεύγει πρὸς ζήνωνα τὸν ἐπικληθέντα κοτύλαν, φιλαδελφείας δ' ἦν τύραννος. ἀντίοχος δὲ κατ' ὀργὴν ὧν ὑπὸ σίμωνος ἔπαθε, στρατεύσας εἰς τὴν ἰουδαίαν, ἐπολιόρκει τὸν ὑρκανὸν προσκαθεζόμενος τοῖς ἱεροσολύμοις. ὁ δὲ τὸν δαυίδου τάφον ἀνοίξας, ὃς δὴ πλουσιώτατος βασιλέων ἐγένετο, καὶ ἀνελόμενος ὑπὲρ τρισχίλια τάλαντα χρημάτων, τόν τε ἀντίοχον ἀπανίστησι τῆς πολιορκίας πείσας τριακοσίοις ταλάντοις, καὶ δὴ καὶ ξενοτροφεῖν πρῶτος ἰουδαίων ἐκ τῆς περιουσίας ἤρξατο. αὖθις γε μὴν ὡς ἀντίοχος ἐπὶ μήδους στρατεύσας, καιρὸν ἀμύνης αὐτῷ παρέσχεν, εὐθέως ὥρμησεν ἐπὶ τὰς ἐν συρίᾳ πόλεις κενὰς, ὅπερ ἦν, ὑπολαμβάνων εὑρήσειν τῶν μαχιμωτέρων. μεδάβην μὲν οὖν καὶ σαμαίαν ἅμα ταῖς πλησίον, ἔτι δὲ σίκιμα καὶ γαριζὶν, αὐτὸς αἱρεῖ, πρὸς αἷς τὸ χουθαῖον ἔθνος, οἳ περιῴκουν τὸ εἰκασθὲν τῷ ἐν ἱεροσολύμοις ἱερῷ. αἱρεῖ δὲ καὶ τῆς ἰουδαίας ἄλλας τε οὐκ ὀλίγας, καὶ δωρεὸν καὶ μάρισαν. προελθὼν δὲ καὶ μέχρι σαμαρείας, ἔνθα νῦν ἐστι σεβαστὴ πόλις ὑφ' ἡρώδου κτισθεῖσα τοῦ βασιλέως, καὶ πάντοθεν αὐτὴν ἀποτειχίσας, τοὺς υἱεῖς ἐπέστησε τῇ πολιορκίᾳ, ἀριστόβουλον καὶ ἀντίγονον. ὧν οὐδὲν ἀνιέντων, λιμοῦ μὲν εἰς τοσοῦτον προῆλθον οἱ κατὰ τὴν πόλιν, ὡς ἅψασθαι καὶ τῶν ἀηθεστάτων. ἐπικαλοῦνται δὲ βοηθὸν, ἀντίοχον τὸν ἐπικληθέντα ἀσπένδιον. κἀκεῖνος ἑτοίμως ὑπακούσας, ὑπὸ τῶν περὶ ἀριστόβουλον ἡττᾶται. καὶ ὁ μὲν, μέχρι σκυθοπόλεως διωχθεὶς ὑπὸ τῶν ἀδελφῶν, ἐκφεύγει. οἱ δ' ἐπὶ τῆς σαμαρείας ὑποστρέψαντες, τό τε πλῆθος πάλιν εἰς τὸ τεῖχος συγκλείουσι, καὶ τὴν πόλιν ἑλόντες, αὐτήν τε κατασκάπτουσι, καὶ τοὺς ἐνοικοῦντας ἐξηνδρα-

A & is quidem statim recessit in quoddam vltra Hierichunta castellum, quod Dagon vocatur. Hyrcanus autem paternum honorem pontificis assecutus, postquam Deo sacrificia reddidit, velociter Ptolemæum petit & matri simul & fratribus adiumento futurus: castellúmque aggressus, aliis quidem rebus superior erat, iusto autem dolori cedebat. Ptolemæus enim quoties premeretur, matrem eius fratrésque in murum productos, palàm vt possent conspici, verberabat: eosdémque præcipitandos, B nisi quàm primùm recederet, minabatur. Vnde Hyrcanum quidem plus timor ac misericordia, quàm iracundia commouebat. Mater verò eius nihil plagis, aut intentata nece perterrita, manus protendens, filium precabatur, ne vel suis fractus iniuriis, parceret impio: siquidem ipsa sibi mortem à Ptolemæo propositam immortalitate duceret meliorem, dummodo ille pœnas eorum, quæ in domum C suam contra fas admisisset, expenderet. Ioannes autem nunc obstinationem matris cogitans, ac preces eius audiens, ad irruendum impellebatur: modò verberari eam lacerarique conspiciens, effœminabatur: totúsque plenus doloris erat. Ob hæc autem diu tracta obsidione, feriatus annus aduenit: quem septimo quoque circuitu redeuntem, apud Iudæos cessare moris est, exemplo septimorum dierum. Et in hoc Ptolemæus obsidionis re- D quiem nactus, fratribus Ioannis vnà cum matre occisis, ad Zenonem confugit, qui Cotylas cognominatus est, Philadelphiæ tyrannum. Antiochus autem ob ea, quæ per Simonem passus fuerat, iratus in Iudæam ducit exercitum: ibíque assidens Hierosolymis, Hyrcanum obsidebat. Ille autem patefacto sepulchro Dauid, qui regum ditissimus fuerat, ablatísque inde pecuniæ plus quàm tribus millibus talentorum, & Antiocho persuasit, datis E ei trecentis talentis ab obsidione discedere, primúsque Iudæorum priuatis opibus alere perena cœpit auxilia. Rursúsque tamen quando Antiochus contra Medos bello suscepto tempus ei vindictæ præbuit, confestim aduersus ciuitates Syriæ perrexit, vacuas propugnatoribus esse ratus: quod & verum fuit. Medabam quidem & Samæam cum proximis, necnon & Sichimam, & Garizim ipse cepit, & super his Chuthæorum gentem, adiacentia fano loca incolentium, ad exemplum eius, quod est F Hierosolymis, ædificato. Cœpit autem & Idumææ non paucas alias ciuitates, & prætereа Doreon, & Marisa. In Samariam verò vsque progressus, vbi nunc est Sebaste ciuitas ab Herode rege condita, ex omni eam parte concludit: filiósque suos Aristobulum & Antigonum obsidioni præfecit. Quibus nihil remittentibus, ad hoc famis penuria, qui erant intra ciuitatem venerunt, vt etiam insuetam carnem cogerẽtur attingere. Igitur An- G tiochum adiutorem sibi aduocant, Spondium cognominatum. qui cùm prompta eis voluntate paruisset, ab Aristobulo & Antigono superatur. & ille quidem ad Scythopolim vsque persequentibus eum, memoratis fratribus effugit: hi verò in Samariam reuersi, & multitudinem iterũ intra murũ concludũt, & expugnata ciuitate ipsam diruunt: & habitatores eius

Ant. lib. 13. cap. 15.

Ant. lib. 13. cap. 16. 17.

captos abducunt. Proſperè autem geſtis ita cedentibus, alacritatem refrigeſcere non ſinebant: ſed cum exercitu Scythopolim vſq; progreſſi, & ipſam peruaſerunt, & agros intra Carmelum omnes, inter ſe partiti ſunt.

CAP. III. De Ariſtobulo, Antigono, Iuda Eſſæo, Alexandro, Theodoro, & Demetrio.

SEcundarum autem rerum Ioannis & filiorum eius inuidia ſeditionem gentilium cōcitauit, multíque aduerſus eos collecti non quieſcebant, donec aperto bello deuicti ſunt. reliquum verò tempus Ioannes cùm fortunatiſſimè viueret, & optimè rebus per annos xxx. & tres adminiſtratis, & quinque filiis relictis moritur: vir planè beatiſſimus, & qui nullam dediſſet occaſionem, cur eius cauſa de fortuna quiſpiã quereretur. Deniq; tria vel maximè præcipua ſolus habebat. nã & gẽtis princeps, & pōtifex erat, & præterea propheta: cum quo Deus ita colloquebatur, vt futurorum nihil penitus ignoraret. quinetiam de duobus maioribus filiis ſuis, quòd rerum domini permanſuri non eſſent, præuidit atque prædixit. quorum vitæ quis fuerit exitus, narrare non indignum videtur, quantúmque à paterna felicitate diuerterint. Patre nanque mortuo maior Ariſtobulus tranſlato in regnum principatu, diadema ſibi primus impoſuit: quadringentis & octoginta vno annis ac tribus menſibus, poſtquam populus in eam terram deuenit ſeruitio quod apud Babylonios ſuſtinuit liberatus. Fratrem verò à ſe ſecundum Antigonum (nanque illum diligere videbatur) in honore pari producebat: alios autem vinctos cuſtodiæ tradidit. Matrémque itidem colligauit, auſam aliquid de poteſtate contendere. nanque hanc rerum dominam Ioannes reliquerat. Eóque crudelitatis proceſſit, vt vinctam fame necaret. Horum autem facinorum pœnas Antigoni fratris morte perſoluit, quem plurimum amabat, quémque regni participem habebat. nam & hunc interemit, adductus criminationibus per maleuolos regni compoſitis. Itaque primo quidem Ariſtobulus dictis fidem non habebat, qui & fratrem magnipenderet, & pleraque liuore fingi arbitraretur. Sed cùm Antigonus ex militia clarus rediiſſet, feſtis diebus, quos tabernaculis poſitis Deo celebrare mos patrius exigebat, euenit eodem tempore vt aduerſa valetudo Ariſtobulum corriperet. Antigonus verò circa feſtorum ſolenniorum finem armatis comitatus templum ad orãdum quammaximè petiuit, plúſq. in honorem fratris aſcẽdit ornatus. Túmque delatores nequiſſimi regem adeũtes, & armorum pompam, & Antigoni arrogãtiam priuata fortuna maiorem eſſe criminabãtur: quódq; maxima caterua ſtipatus, vt illum interficeret eò veniſſet: nec enim perpeti honorem ſolum ex regno habere, cui regnum ipſum liceat obtinere. His paulatim, quamuis inuitus tamen credidit Ariſtobulus, ac ne vel ſuſpicari quicquam videretur, proſpiciens, & vt incerta præcaueret, ſuos quidem ſatellites in quendam ſubterraneum & tenebroſum locum tranſire iubet. Ipſe autem iacebat in caſtello, Bari antè,

Ant. lib. 13. cap. 18.

A ποδίσαντο. προχωρούντων δὲ τῶν κατορθωμάτων, τὴν ὁρμὴν οὐ κατέψυξαν, ἀλλὰ προελθόντες ἅμα τῇ δυνάμει μέχρι τῆς Σκυθοπόλεως, ταύτην τε κατέδραμον, καὶ τὴν ἐντὸς Καρμήλου τοῦ ὄρους χώραν ἅπασαν κατενείμαντο.

Κεφ. γ΄.

ΠΡὸς δὲ τὰς εὐπραγίας αὐτοῦ τε Ἰωάννου, καὶ τῶν ἀδελφῶν, φθόνος ἐγείρει στάσιν τῶν ἐπιχωρίων, καὶ πολλοὶ κατ᾽ αὐτῶν συνελθόντες, οὐκ B ἠρέμουν, μέχρι καὶ πρὸς φανερὸν πόλεμον ἐκριπισθέντες, ἡττῶνται. τὸ λοιπὸν δ᾽ ἐπιβιοὺς ἐν εὐδαιμονίᾳ Ἰωάννης, καὶ τὴν ἀρχὴν κάλλιστα διοικήσας, ἐν τρισὶν ὅλοις καὶ τριάκοντα ἔτεσιν, ἐπὶ πέντε υἱέσι τελευτᾷ, μακαριστότατος ὄντως καὶ κατὰ μηδὲν ἐάσας ἐφ᾽ ἑαυτῷ μεμφθῆναι τὴν τύχην. τρία γοῦν τὰ κρατιστεύοντα μόνος εἶχε, τήν τε ἀρχὴν τοῦ ἔθνους, καὶ ἀρχιερωσύνην, καὶ προφητείαν. ὡμίλει γὰρ αὐτῷ τὸ δαιμόνιον, ὡς μηC δὲν τῶν μελλόντων ἀγνοεῖν. ὅς γε καὶ περὶ δύο τῶν πρεσβυτάτων υἱῶν, ὅτι μὴ διαμενοῦσι κύριοι τῶν πραγμάτων, προεῖδέ τε καὶ προεφήτευσεν, ὧν τὴν καταστροφὴν ἄξιον ἀφηγήσασθαι, παρόσον τῆς πατρῴας εὐδαιμονίας ἀπέκλιναν. μετὰ γὰρ τὴν τοῦ πατρὸς τελευτὴν, ὁ πρεσβύτερος αὐτῶν Ἀριστόβουλος τὴν ἀρχὴν εἰς βασιλείαν μεταθεὶς, περιτίθεται μὲν διάδημα πρῶτος, μετὰ τετρακοσιοD στὸν καὶ ἑβδομηκοστὸν πρῶτον ἔτος, πρὸς δὲ μησὶ τρεῖς, ἐξ οὗ κατῆλθεν ὁ λαὸς εἰς τὴν χώραν, ἀπαλλαγεὶς τῆς ἐν Βαβυλῶνι δουλείας. τῶν δὲ ἀδελφῶν, τὸν μὲν μετ᾽ αὐτὸν Ἀντίγονον, ἐδόκει γὰρ ἀγαπᾶν, ἦγεν ἰσοτίμως, τοὺς δ᾽ ἄλλους εἱργνυσι δήσας, δεσμεῖ δὲ καὶ τὴν μητέρα διενεχθεῖσαν περὶ τῆς ἐξουσίας. ταύτην γὰρ δὴ κυρίαν τῶν ὅλων ὁ Ἰωάννης ἀπολελοίπει. καὶ μέχρι τοσαύτης ὠμότητος προῆλθεν, ὥς τε καὶ λιμῷ διαφθεῖραι δεδεμέE νην. περιέρχεται δὲ αὐτὸν ἡ τίσις εἰς τὸν ἀδελφὸν Ἀντίγονον, ὃν ἠγάπα τε, καὶ τῆς βασιλείας κοινωνὸν εἶχε. κτείνει γὰρ καὶ τοῦτον ἐκ διαβολῶν, ἃς οἱ πονηροὶ τῶν κατὰ τὸ βασίλειον ἐνεσκευάσαντο. τὰ μὲν δὴ πρῶτα διηπίστει τοῖς λεγομένοις ὁ Ἀριστόβουλος, ἅτε δὴ καὶ τὸν ἀδελφὸν ἀγαπῶν, καὶ διδοὺς φθόνῳ τὰ πολλὰ τῶν λογοποιουμένων. ὡς δ᾽ ὁ Ἀντίγονος λαμπρὸς ἀπὸ τῆς στρατιᾶς ἦλθεν εἰς τὴν F ἑορτὴν, ἐν ᾗ σκηνοποιεῖσθαι πάτριον τῷ θεῷ, συνέβη μὲν κατ᾽ ἐκείνας τὰς ἡμέρας, νόσῳ χρήσασθαι τὸν Ἀριστόβουλον. τὸν δὲ Ἀντίγονον ἐπὶ τέλει τῆς ἑορτῆς ἀναβάντα μετὰ τῶν περὶ αὐτὸν ὁπλιτῶν, ὡς ἐνῆν μάλιστα κεκοσμημένον προσκυνῆσαι τὸ πλέον ὑπὲρ τἀδελφοῦ. κἂν τούτῳ προσιόντες οἱ πονηροὶ τῷ βασιλεῖ τήν τε πομπὴν τῶν ὁπλιτῶν ἐδήλουν, καὶ τὸ φρόνημα τοῦ Ἀντιγόνου, μεῖζον ἢ κατ᾽ ἰδιώτην, ὅτι τε παρείη μετὰ μεγίστου συνG τάγματος ἀναιρήσων αὐτόν. οὐ γὰρ ἀνέχεσθαι τιμὴν μόνον ἐκ βασιλείας ἔχειν, παρὸν αὐτὴν κατασχεῖν. τούτοις κατὰ μικρὸν ἄκων ἐπίστευσεν Ἀριστόβουλος, καὶ προνοῶν τοῦ μήθ᾽ ὑποπτεύων φανερὸς γενέσθαι, καὶ προασφαλίζεσθαι πρὸς τὸ ἄδηλον, καθίστησι μὲν τοὺς σωματοφύλακας ἔν τινι τῶν ὑπογαίων ἀλαμπεῖ. κατέκειτο δ᾽ ἐν τῇ βάρει πρότερον καλουμένῃ,

αὖθις

αὖθις δ' Ἀντωνίᾳ μετονομασθείσῃ, προστάξας ἀνόπλου μὲν ἀπέχεσθαι, κτείνειν δὲ τὸν Ἀντίγονον, εἰ μεθ' ὅπλων προσίοι. καὶ πρὸς αὐτὸν ἔπεμψε τοὺς προεροῦντας ἄνοπλον ἐλθεῖν. πρὸς τοῦτο πάνυ πανούργως ἡ βασίλισσα συντάσσεται μετὰ τῶν ἐπιβούλων. τοὺς γὰρ πεμφθέντας πείθουσι τὰ μὲν παρὰ τοῦ βασιλέως σιωπῆσαι, λέγειν δὲ πρὸς τὸν Ἀντίγονον, ὡς ἀδελφὸς ἀκούσας, ὅπλα τε αὐτῷ κατασκευασμένα κάλλιστα, διὰ πολεμικὸν κόσμον ἐν τῇ Γαλιλαίᾳ, διὰ μὲν τὴν ἀσθένειαν αὐτὸς ἐπιδεῖν ἕκαστα κωλυθείη. νῦν δ' ἐπεὶ καὶ χωρίζεσθαι μέλλοις, θεάσασθαι ἂν ἥδιστά σε ἐν τοῖς ὅπλοις. ταῦτ' ἀκούσας ὁ Ἀντίγονος, ἐνῆγε δ' ἡ τοῦ ἀδελφοῦ διάθεσις μηδὲν ὑποπτεύειν πονηρὸν, ἐχώρει μετὰ τῶν ὅπλων ὡς πρὸς ἐπίδειξιν. γενόμενος δὲ κατὰ τὴν σκοτεινὴν πάροδον, ἣ Στράτωνος ἐκαλεῖτο πύργος, ὑπὸ τῶν σωματοφυλάκων ἀναιρεῖται, βέβαιον ἀποδείξας, ὅτι πᾶσαν εὔνοιαν καὶ φύσιν κόπτει διαβολὴ, καὶ οὐδὲν οὕτω τῶν ἀγαθῶν παθῶν ἰσχυρὸν, ὃ τῷ φθόνῳ μέχρι παντὸς ἀντέχει. θαυμάσαι δ' ἄν τις ἐν τούτῳ καὶ Ἰούδαν· Ἐσσαῖος ἦν γένος, οὐκ ἔστιν ὅτε πταίσας ἢ ψευσθεὶς ἐν τοῖς προαγγέλμασιν. ὃς ἐπειδὴ καὶ τότε τὸν Ἀντίγονον ἐθεάσατο παριόντα διὰ τοῦ ἱεροῦ, πρὸς τοὺς γνωρίμους ἀνέκραγεν, ἦσαν δ' οὐκ ὀλίγοι παρεδρεύοντες αὐτῷ τῶν μανθανόντων, παπαὶ, νῦν ἐμοὶ καλὸν ἔφη τὸ θανεῖν, ὅτι μοι προτέθνηκεν ἡ ἀλήθεια, καί τι τῶν ὑπ' ἐμοῦ προρρηθέντων διέψευσται. ζῇ γὰρ Ἀντίγονος οὑτοσὶ σήμερον ὀφείλων ἀποθανεῖν. χωρίον δ' αὐτῷ πρὸς σφαγὴν, Στράτωνος πύργος εἵμαρτο. καὶ τοῦτο μὲν ἀφ' ἑξακοσίων σταδίων ἐντεῦθέν ἐστιν, ὧραι δὲ τῆς ἡμέρας ἤδη τέσσαρες, ὁ δὲ δὴ χρόνος ἐκκρούει τὸ μάντευμα. ταῦτ' εἰπὼν, σκυθρωπὸς ὑπὸ συννοίας ὁ γέρων διεκαρτέρει, καὶ μετ' ὀλίγον, ἀνῃρημένος Ἀντίγονος ἠγγέλλετο κατὰ τὸ ὑπόγαιον χωρίον, ὃ δὴ καὶ αὐτὸ Στράτωνος ἐκαλεῖτο πύργος, ὁμωνύμως τῇ παραλίῳ Καισαρείᾳ. τοῦτο γοῦν τὸν μάντιν διετάραξεν. Ἀριστοβούλῳ γε μὴν εὐθὺς ἡ περὶ τοῦ μύσους μεταμέλεια, νόσον ἐνσκήπτει. καὶ πρὸς ἐννοίαις τοῦ φόνου τὴν ψυχὴν ἔχων ἀεὶ τεταραγμένην, συνετήκετο, μέχρι τῶν σπλάγχνων ὑπ' ἀκράτου τῆς λύπης σπαραττομένων, ἄθρουν αἷμα ἀναβάλλει. τοῦτό τις τῶν πρὸς τῇ θεραπείᾳ παίδων ἐκφέρων, δαιμονίῳ προνοίᾳ σφάλλεται, καθ' ὃν τόπον ὁ Ἀντίγονος ἐσφάκτο, καὶ φαινομένοις ἔτι τοῖς ἀπὸ τοῦ φόνου σπίλοις τὸ αἷμα τοῦ κτείναντος ἐπεξέχεεν. ἤρθη δ' εὐθὺς οἰμωγὴ τῶν θεασαμένων, ὥσπερ ἐπίτηδες τοῦ παιδὸς ἐκεῖ ἐπικατασπείσαντος τὸ αἷμα. τῆς δὲ βοῆς ἀκούσας ὁ βασιλεὺς, τὴν αἰτίαν ἐπυνθάνετο, καὶ μηδενὸς τολμῶντος εἰπεῖν, μᾶλλον ἐνέκειτο μαθεῖν ἐθέλων. τέλος δ' ἀπειλοῦντι καὶ βιαζομένῳ, τἀληθὲς εἶπον. ὁ δὲ τούς τε ὀφθαλμοὺς ἐμπίπλησι δακρύων, καὶ στενάξας ὅσον ἦν αὐτῷ δύναμις, εἶπεν, οὐκ ἄρα θεοῦ μέγαν ὀφθαλμὸν ἐπ' ἔργοις ἀθεμίτοις λήσειν ἔμελλον, ἀλλά με ταχεῖα μέτεισι δίκη φόνου συγγενοῦς. μέχρι πού μοι σῶμα ἀναιδέστατον τὴν ἀδελφῷ καὶ μητρὶ κατάκριτον ψυχὴν καθέξεις; μέχρι πού δ' αὐτὸς ἐπισπείσω κατὰ μέρος τοὐμὸν αἷμα; λαβέτωσαν ἄθρουν τοῦτο,

A pòst autem Antonia cognominato: & vt inermi quidem parcerent, occiderent autem Antigonum, præcepit, si cum armis adiret: necnon & ipsi Antigono qui præciperent misi, vt inermis veniret. ad hæc regina satis callidum cum insidiatoribus consilium capit. nanque his qui ad eum missi fuerant persuadet, vt mandata quidem regis taceant, dicant verò Antigono, quòd frater audisset, arma sibi eum pulcherrima in Galilæa ornatúmque bel- B licum fabricasse: quæ ne singulatim inspiceret, morbo impeditum fuisse: nunc autem, præsertim cùm aliò discessurus sit libenter eũ videret armatum. His auditis, Antigonus (ne quid enim malè suspicaretur, fratris suadebat affectus) cum armis velut ostentatum se veniens, properabat. Sed vbi ad obscurum transitum, qui Stratonis pyrgus vocabatur, accessit, à satellitibus interemptus est: certúmque documentum præbuit, omnem beneuolentiam C iúsque naturæ calumniis cedere, nullámque optimatum affectionum tantum valere, vt inuidiæ perpetuò possit obsistere. In hoc autem etiam Iudam quis non rectè miretur? Essæus erat genere, qui nunquam diuinando aberrauit, neque mentitus est. Is Antigono transeunte per templum, mox vt eum vidit, ad notos qui aderant exclamauit (non paucos autem discipulos siue consultores habebat) Papę, nunc mihi pulchrum est mori, quando ante D me veritas interiit, meatúmque prædictionum aliquod mendacium deprehensum est. viuit enim iste Antigonus, qui hodie deberet occidi. Locus autem neci eius apud Stratonis pyrgum fato fuerat destinatus. & ille quidem sexcentorum abhinc stadiorum interuallo distat. Horæ verò diei sunt quatuor: sed & vaticinationem tempus effugit. Hæc locutus senior, mœsto vultu & mente solicita secum multa reputabat. & paulo pòst interfectus Antigonus E nunciatur, in loco subterraneo, qui eodem nomine quo maritima Cæsarea, Stratonis pyrgus appellabatur: & hoc fuit quod vatem fefellit. At verò Aristobulo confestim sceleris pœnitudine morbus ingrauescit: sempérque facinoris cogitatione solicitus, perturbato animo tabescebat, donec mœroris acerbitate visceribus laceratis subitò sanguinem vomeret. Hunc ergo vnus è seruulis eius ministerio destinatus foras efferens, prouidentia F numinis errauit: & vbi Antigonus erat occisus, super extantes adhuc cædis maculas cruorem interfectoris effudit. Vlulatu autem eorum qui id conspexerant continuò sublato, tanquam puer de industria sanguinem illic libasset, clamor ad aures regis peruenit, causámque requirebat: & cùm eam prodere nullus auderet, ad resciendum magis ardebat. ad extremum verò minitanti, vímque adhibenti, verùm quod erat indicauerunt: atque ille G cùm lacrymis oppleſſet oculos, quantúmque poterat ingemuisset, hæc dixit: Sperandum certè non erat, vt maximum Dei lumen facta mea nefaria laterent. nam citò me vltrix cognatæ cædis iustitia persequitur. Quàm diu ô corpus improbum fratri matríque damnatam animam detinebis? quàm diu paulatim illis libabo sanguinẽ meũ? simul totũ accipiant:

neque iam meorum viscerum inferias fortuna derideat. His dictis ilicò moritur, cùm non plus anno regnasset. Vxor verò fratre eius vinculis dissolutis regem constituit Alexandrum, qui ætate maior erat, & modestia præstare videbatur. Sed ille potestatem adeptus, fratrem quidem alterum regnum appetentem occidit: alterum autem priuata vita contẽtum ablatis rebus secum habebat. Prælium etiam cũ Ptolemæo cognomento Lathyro committit: qui oppidum Asochin ceperat, & multos quidem peremit hostium, sed victoria in Ptolemæi partes propensior fuit. Postea verò quàm ipse pulsus à matre Cleopatra discessit in Ægyptum, & Gadaram obsidione capit Alexander, & castellum Amathuntis, omnium maximum quæ trans Iordanem sita erant, vbi preciosissima quæque bonorum Theodori filij Zenonis habebantur. At Theodorus repentè superueniens, & proprias res recipit, & sarcinas regis aufert, Iudæorumque ferè decem millia interficit. Verùm Alexander receptis post cladem viribus, aggressus maritimas regiones Raphiam capit, & Gazam, itémque Anthedonem, quæ postea ab rege Herode Agrippias nominata est. His autem seruitio domitis, concitatur in eum festo die populus Iudæorũ. Nam plerunque epulæ seditiones accendunt, nec videbatur insidias posse comprimere, nisi conductitios haberet auxilio Pisidas & Cilicas: nam Syros mercenarios respuebat, propter ingenitam cum Iudæorum gente discordiam. Cæsis autem supra octo millibus ex turba rebellium, Arabiæ bellum intulit. Ibique Galaaditis ac Moabitis subactis, tributóque his imposito, ad Amathunta regressus est. Cúmque Theodorum metus eius secundis successibus perculisset, castellum sine præsidio repertum funditus eruit. mox autem cõgressus cum Oboda rege Arabum qui locum fraudi opportunum in Galaadensi regione occupauerat, captus insidiis totum amisit exercitum in vallem altissimam compulsum, atque obtritum multitudine camelorum. Ipse verò elapsus in Hierosolymam, olim sibi gentem infensam ad nouarum rerum motus magnitudine cladis accẽdit. Fit autem etiam tunc superior, crebrisque præliis non minus quinquaginta millibus Iudæorum per sex annos interfecit, nequaquam tamen victoriis lætabatur, quoniam regni sui vires consumeret. Vnde armis omissis, sermone placido cum subiectis redire in gratiam conabatur. Illi autem inconstantiam eius moiúmque varietatem intantum oderant, vt percontanti, quónam pacto eos sedare posset: dicerent, si moreretur. nam vix etiam mortuo daturos veniam, qui tam multa sceleratè fecisset. simul etiam Demetrij auxilium, cui cognomen Acæro, accersiuerũt. qui cùm his maiorũ præmiorũ spe facilè paruisset, venissétque cum exercitu, miscentur auxiliis eius Iudæi circa Sichimam. Vtrosq; tamen Alexander mille quidem equitibus, sex autem peditum mercenariorum millibus excepit, cũ haberet rex Iudęis quoq; propè ad decem millia bene sibi cupientium, aduersæ autẽ partis essent equitum tria millia, peditũq;

Ant. lib. 13. cap. 19.

Ant. lib. 13. cap. 20.

A καὶ μηκέτι ταῖς ἐκ τῶν ἐμῶν σπλάγχνων χοαῖς ἐπειρωνευέσθω τὸ δαιμόνιον. ταῦτ' εἰπὼν, εὐθέως τελευτᾷ, βασιλεύσας οὐ πλεῖον ἐνιαυτοῦ. λύσασα δ' ἡ γυνὴ τοὺς ἀδελφοὺς αὐτοῦ βασιλέα καθίστησιν ἀλέξανδρον τὸν καὶ καθ' ἡλικίαν καὶ μετριότητα προύχειν δοκοῦντα. ὁ δὲ παρελθὼν εἰς τὴν ἐξουσίαν, τὸν ἕτερον μὲν τῶν ἀδελφῶν βασιλειῶντα κτείνει, τὸν δὲ καταλειπόμενον ἀγαπῶντα τὸ ζῆν, δίχα πραγμάτων εἶχε. γίνεται δ' αὐτῷ καὶ πρὸς τὸν λάθουρον B ἐπικληθέντα πτολεμαῖον συμβολὴ, πόλιν ἀσωχὶν ᾑρηκότα, καὶ πολλοὺς μὲν ἀνεῖλε τῶν πολεμίων, ἡ δὲ νίκη πρὸς πτολεμαῖον ἔρρεψεν. ἐπεὶ δ' οὗτος ὑπὸ τῆς μητρὸς κλεοπάτρας διωχθεὶς εἰς αἴγυπτον ἀνεχώρησεν, ἀλέξανδρος γαδάρων τε πολιορκίᾳ κρατεῖ, καὶ ἀμαθοῦντος, ὃ δὴ μέγιστον μὲν ἦν ἔρυμα τῶν περὶ ἰορδάνην, τὰ τιμιώτατα δὲ τῶν θεοδώρου τοῦ ζήνωνος κτημάτων ἦν ἐν αὐτῷ. ἐπελθὼν δ' ἐξαίφνης ὁ θεό- C δωρος, τά τε σφέτερα, καὶ τὴν τοῦ βασιλέως ἀποσκευὴν αἱρεῖ, τῶν τε ἰουδαίων εἰς μυρίους κτείνει. γίνεται δ' ἐπάνω τῆς πληγῆς ἀλέξανδρος, καὶ τραπόμενος εἰς τὴν παραλίαν, αἱρεῖ ῥάφειάν τε καὶ γάζαν, καὶ ἀνθηδόνα τὴν αὖθις ὑφ' ἡρώδου τοῦ βασιλέως ἀγριππιάδα ἐπικληθεῖσαν. ἐξανδραποδισαμένῳ δὲ ταύτας, ἐπανίσταται τὸ ἰουδαϊκὸν ἐν ἑορτῇ. μάλιστα γὰρ ἐν ταῖς εὐωχίαις αὐτῶν στάσις ἀνάπτεται. καὶ D ἐδόκει μὴ ἂν κρείττων γίνεσθαι τῆς ἐπιβουλῆς, εἰ μὴ τὸ ξενικὸν αὐτῷ παρεβοήθει, πισίδαι καὶ κίλικες ἦσαν, σύρους γὰρ οὐκ ἐδέχετο μισθοφόρους, διὰ τὴν ἔμφυτον αὐτῶν πρὸς τὸ ἔθνος ἀπέχθειαν. κτείνας δὲ τῶν ἐπαναστάντων ὑπὲρ ὀκτακοσίους ἀραβίας ἥπτετο. καὶ ταύτην ἑλὼν, γαλααδίτας τε καὶ μωαβίτας, φόρον τε αὐτοῖς ἐπιτάξας, ἀνέστρεψεν ἐπὶ ἀμαθοῦντα. θεοδώρου δὲ πρὸς τὰς εὐπραγίας αὐτοῦ καταπλαγέντος, ἔρημον λαβὼν τὸ E φρούριον κατέσκαψεν. ἔπειτα συμβαλὼν ὀβόδᾳ τῷ ἀράβων βασιλεῖ προλοχήσαντι κατὰ τὴν γαυλάνην, ἐνέδρας αὐτῷ γενομένης, πᾶσαν ἀποβάλλει τὴν στρατιὰν συνωσθεῖσαν κατὰ βαθείας φάραγγος, καὶ πλήθει καμήλων συντριβεῖσαν. διαφυγὼν δ' αὐτὸς εἰς ἱεροσόλυμα, τῷ μεγέθει τῆς συμφορᾶς πάλαι μισοῦν τὸ ἔθνος ἠρέθισεν εἰς ἐπανάστασιν. γίνεται δὲ καὶ τότε κρείττων, καὶ μά- F χαις ἐπαλλήλοις οὐκ ἔλαττον πεντακισμυρίους ἰουδαίων ἀνεῖλεν ἐν ἓξ ἔτεσιν. οὐ μὴν ηὐφραίνετό γε ταῖς νίκαις τὴν ἑαυτοῦ βασιλείαν ἀναλίσκων, ὥστε παυσάμενος τῶν ὅπλων λόγοις ἐπεχείρει διαλύεσθαι πρὸς τοὺς ὑποτεταγμένους. οἱ δὲ μᾶλλον ἐμίσουν τὴν μετάνοιαν αὐτοῦ, καὶ τοῦ τρόπου τὸ ἀνώμαλον. πυνθανομένῳ τε τὸ αἴτιον, τί ἂν ποιήσας καταστείλειεν αὐτοὺς, ἀποθανὼν ἔλεγον, νεκρῷ γὰρ ἂν διαλλαγῆναι μόλις τῷ τοσαῦτα δράσαντι. ἅ- G μα δὲ καὶ τὸν ἄκαιρον ἐπικληθέντα δημήτριον ἐπεκαλοῦντο. ῥᾳδίως δ' ὑπακούσαντος κατ' ἐλπίδα μειζόνων, καὶ μετὰ στρατιᾶς ἥκοντος, συνέμισγον οἱ ἰουδαῖοι τοῖς συμμάχοις περὶ σίκιμα. δέχεται δ' ἑκατέρους ἀλέξανδρος, ἱππεῦσι μὲν, χιλίοις, μισθοφόροις δὲ πεζοῖς ὀκτακισχιλίοις. παρῆν δὲ αὐτῷ, καὶ τὸ εὐνοοῦν ἰουδαϊκὸν, εἰς μυρίους. τῶν δ' ἐναντίων ἱππεῖς μὲν ἦσαν τρισχίλιοι, πεζῶν δὲ, μύριοι

μύριοι τετρακισχίλιοι. καὶ πρὶν εἰς χεῖρας ἐλθεῖν διακηρύσσοντες οἱ βασιλεῖς ἐπειρῶντο τῶν παρ' ἀλλήλοις ἀποστάσεων. δημήτριος μὲν, τοὺς ἀλεξάνδρου μισθοφόρους. ἀλέξανδρος δὲ, τοὺς ἅμα δημητρίῳ ἰουδαίους μεταπείσειν ἐλπίσας. ὡς δ' οὔτε οἱ ἰουδαῖοι θυμῶν, οὔθ' οἱ ἕλληνες ἐπαύοντο πίστεως, διεκρίνοντο ἤδη τοῖς ὅπλοις συμπεσόντες. κρατεῖ δὲ τῇ μάχῃ δημήτριος, καίπερ πολλὰ τῶν ἀλεξάνδρου μισθοφόρων καὶ ψυχῆς ἔργα καὶ χειρὸς ἐπιδειξαμένων. χωρεῖ δὲ τὸ τέλος τῆς παρατάξεως, παρὰ δόξαν ἀμφοτέροις. οὔτε γὰρ δημητρίῳ παρέμειναν νικῶντι οἱ καλέσαντες, καὶ κατ' οἶκτον τῆς μεταβολῆς ἀλεξάνδρῳ προσεχώρησαν εἰς τὰ ὄρη καταφυγόντι ἰουδαίων ἑξακισχίλιοι. ταύτην τὴν ῥοπὴν οὐκ ἤνεγκε δημήτριος, ἀλλ' ὑπολαβὼν ἤδη μὲν ἀξιόμαχον εἶναι πάλιν ἀλέξανδρον, μεταρρεῖν δὲ καὶ πᾶν τὸ ἔθνος εἰς αὐτὸν, ἀνεχώρησεν. οὐ μὴν τό γε λοιπὸν πλῆθος ἀναχωρησάντων τῶν συμμάχων, κατέθεντο τὰς διαφοράς. συνεχὴς δὲ πρὸς ἀλέξανδρον ἦν αὐτοῖς ὁ πόλεμος, μέχρι πλείστους ἀποκτείνας, τοὺς λοιποὺς ἀπήλασεν εἰς βεμέσελιν πόλιν. καὶ ταύτην καταστρεψάμενος, αἰχμαλώτους ἀνήγαγεν εἰς ἱεροσόλυμα. προὔκοψε δ' αὐτῷ δι' ὑπερβολὴν ὀργῆς, εἰς ἀσέβειαν, τὰ τῆς ὠμότητος. τῶν γὰρ ληφθέντων εἰς ὀκτακοσίους ἀνασταυρώσας ἐν μέσῃ τῇ πόλει, γυναῖκάς τε καὶ τέκνα αὐτῶν ἀπέσφαξε ταῖς ὄψεσι. καὶ ταῦτα πίνων καὶ συγκατακείμενος ταῖς παλλακίσιν ἀφεωρᾶτο. τοσαύτη δὲ κατάπληξις ἔσχε τὸν δῆμον, ὥστε τῶν ἀντιστασιαστῶν κατὰ τὴν ἐπιοῦσαν νύκτα, φυγεῖν ὀκτακισχιλίους ἐξ ἰουδαίας ὅλης, οἷς ὅρος τῆς φυγῆς ὁ ἀλεξάνδρου θάνατος κατέστη. τέλος τοιούτοις ἔργοις ὀψὲ καὶ μόλις ἡσυχίαν τῇ βασιλείᾳ πορίσας, ἀνεπαύσατο τῶν ὅπλων.

A millia quadraginta. Et priusquam veniretur ad manus, intercedentibus nunciis & præconibus, reges transfugia tentabant: Demetrius quidem Alexandri mercenarios, Alexander autem Iudæos qui Demetrium sequerentur, obtemperaturos sibi sperantes. Sed cùm neque Iudæi sacramenta, neque fidem Græci contemnerent, armis iam quo minus decernebant. Superátque prælio Demetrius, quamuis Alexandri mercenarij multa & animosè & B fortiter gessissent. Euentus autem pugnæ præter spem cedit vtrique. nam neque hi qui Demetrium acciuerant, in partibus victoris permanserunt: & immutatæ fortunæ misericordia, sex Iudæorum millia se ad Alexandrum, qui in montes effugerat, contulerunt. Huius inclinationis momentum Demetrius ferre non potuit: sed Alexandrum iam quidem collectis viribus prælio sufficere ratus, omnem verò gentem ad eum transire existimans, mox inde C digressus est. non tamen reliqua multitudo ob abscessum auxiliorum simultates deposuit: bello autem assiduo tam diu cum Alexandro decertabat, donec plerisque interfectis cæteros in Bemeselim ciuitatem compulit, eáque subacta in Hierosolymam captiuos abduxit. Verùm immoderata fecit iracundia, vt crudelitas eius ad impietatem vsque procederet. Octingentis enim captiuorum in media ciuitate crucifixis, mulieres earúmque filios in D conspectu matrum necauit, atque hæc potans, & cum suis concubinis recubans, prospectabat. Tantus autem populum terror inuasit, vt etiam diuersæ partis studiosi proxima nocte octo millia hominum extra totam Iudæam profugerent: quorum exilij mors Alexandri finis fuit. Cùm eiusmodi factis tandem ægréque regni otium quæsisset, ab armis requieuit.

Κεφ. δ'. Κίνεται δὲ αὐτῷ πάλιν ἀρχὴ θορύβων, ἀντίοχος ὁ καὶ διονύσιος ἐπικληθεὶς, δημητρίου μὲν ἀδελφὸς ὤν, τελευταῖος δὲ τῶν ἀπὸ σελεύκου. τοῦτον γὰρ δείσας, στρατεύεσθαι ἐπὶ τοὺς ἄραβας ὡρμημένον, τὸ μὲν μεταξὺ τῆς ἀντιπατρίδος παρορείου, καὶ τῶν ἰόππης αἰγιαλῶν διαταφρεύει φάραγγι βαθείᾳ. πρὸ δὲ τῆς τάφρου, τεῖχος ἤγειρεν ὑψηλὸν, καὶ ξυλίνους πύργους ἐνετεκτήνατο, τὰς εὐμαρεῖς ἐμβολὰς ἀποφράττων. οὐ μὴν εἶρξαί γε τὸν ἀντίοχον ἴσχυσεν. ἐμπρήσας γὰρ τοὺς πύργους καὶ τὴν τάφρον χώσας, διήλαυνε μετὰ τῆς δυνάμεως. θέμενος δ' ἐν δευτέρῳ τὴν πρὸς τὸν κωλύσαντα ἄμυναν εὐθὺς ἐπὶ τοὺς ἄραβας ᾔει. τῶν δὲ ὁ βασιλεὺς ἀναχωρῶν εἰς τὰ χρησιμώτερα τῆς χώρας πρὸς τὴν μάχην, ἔπειτα τὴν ἵππον ἐξαίφνης ἐπιστρέψας, μυρία δ' ἦν τὸν ἀριθμὸν, ἀτάκτοις ἐπιπίπτει τοῖς περὶ τὸν ἀντίοχον. καρτερᾶς δὲ μάχης γινομένης, ἕως μὲν περιῆν ἀντίοχος ἀντεῖχεν ἡ δύναμις αὐτοῦ. καίπερ ἀνέδην ὑπὸ τῶν ἀράβων φονευόμενοι, πεσόντος δὲ, καὶ γὰρ προεκινδύνευεν ἀεὶ τοῖς ἡττωμένοις παραβοηθῶν, ἐκκλίνουσι πάντες, καὶ τὸ μὲν πλεῖστον αὐτῶν, ἐπί τε τῆς παρατάξεως, κἀν τῇ φυγῇ διαφθείρεται. τοὺς δὲ λοιποὺς καταφυγόντας εἰς κανὰ κώμην,

Cap. IV. De bello Alexandri cum Antiocho & Areta, déque Alexandra & Hyrcano.

E Rvrsus autem fit ei turbarum initium Antiochus, qui etiam Dionysus dictus est, Demetrij quidem frater, sed eorum nouissimus, qui Seleucum generis autorem habebant. hunc enim timens qui Arabas parato bello pulsarat, totum quidem super Antipatrida montibus proximum, & inter Ioppes littora spacium, fossa altissima diremit. ante fossam verò murum ædificauit excelsum, turrésque ligneas, vt faciles aditus obstrueret, fabricauit: nec tamen Antiochum arcere valuit. Exustis F enim turribus fossísque repletis, cum suis copiis transgressus est. Vindictáque posthabita, qua deberet eum à quo prohibitus est vlcisci, protinus contendit in Arabas. Horum autem rex in loca suæ nationi commodiora cedens, mox ad pugnam cum equitatu reuersus (habebat autem numerum decem millium) imparatos ex improuiso Antiochi milites inuadit. Valido autem prælio commisso, quàm diu quidem superat Antiochus, durabat eius exerci- G tus, quãuis eũ passim Arabes trucidarẽt. Vbi verò procubuit (succurrẽdo enim victis semper in periculis aderat) omnes terga dederũt: maximáque pars eorũ cùm in acie, tum in fuga absumitur. Reliquos autem in vicum Cana delapsos,

alimentorum penuria perire contigit, præter A admodum paucos. Hinc Damasceni Ptolemæo Minnæi filio infensi Aretam sibi sociant: Syriæque cædes regem constituunt. qui bello illato Iudææ, postquam pugna vicit Alexandrum, pactione discessit. Alexander autem Pella capta Gerasam petiuit rursus opum Theodori cupidus: triplicique ambitu circumdatis defensoribus, locum expugnauit: Necnon & Gaulanen & Seleuciam, & eam quæ Antiochi Pharanx dicitur, sub iugum mittit. Ad hæc autem B capto Gamala castello validissimo, eiúsque præfecto Demetrio multis criminibus inuoluto, in Iudæam regreditur, expleto in militia triennio: lætúsque à gentilibus ob res prosperè gestas excipitur. Belli auté requiem secutum est morbi principium. Et quoniam quartano febrium recursu fatigabatur, depulsum iri valetudinem credens, si rursus animum negotiis occupasset, intempestiuæ militiæ sese dedit: & vltra vires corpus laboribus vexans, C inter ipsos tumultus trigesimo & septimo regni anno moritur: idq; Alexandræ coniugi suæ reliquit: Iudæos eius vel maximè dicto obediétes fore non dubitans: quod longè ab eius crudelitate discrepans, & iniquitati resistens, beneuolentiã sibi populi comparasset. Neque spes eum fefellit. Nanque opinione pietatis obtinuit muliercula principatum. Quippe quæ morem gentis patrium probè norat, & qui sacras leges temerassent ab initio detestabatur. Cùm autem D duos filios Alexandro genitos haberet, natu quidem maximum Hyrcanum, & propter ætatem declarat pontificem, & quòd præterea segnior esset quàm vt potestate regia molestus cuiquam videretur, regem constituit: minorem autem Aristobulum, priuatum viuere maluit, quòd feruentioris esset ingenij. Iungit autem se eiusdem mulieris dominationi quædam Iudæorum factio, Pharisæi: qui præter alios pietatem colere putarentur, & peritius leges in- E terpretari: ob eam causam magis eos suspiciebat Alexandra, diuinæ religioni superstitiosè deseruiens. Illi autem paulatim fœminæ simplici insinuati quosuis pro sua libidine summouendo, deponendo, itémque vinciendo, ac soluendo, iam procuratores habebantur: prorsus vt ipsi quidem regiis commodis fruerentur, expensas verò ac difficultates Alexandra perferret. Sed eadem mirè callebat res ad- F ministrare maiores: itaque augendis copiis semper intenta, duplicem conflauit exercitum: neque pauca mercenaria parauit auxilia, quibus non modò statum suæ gentis roborauit, sed etiam metuendam se reddidit externæ potentiæ. Imperabat autem aliis, verùm Pharisæis ipsa vltro parebat. Denique Diogenem quendam insignem virum, qui Alexandro fuerat amicissimus, interficiunt, eius factum consilio criminati, vt octingenti (quos suprà memoraui) re- G gis iussu tollerentur in crucem. nihilominus autem Alexandræ suadebant, vt & alios, quibus autoribus Alexander in eos fuisset concitatus, occideret. Cúmq. his nimia superstitione nihil abnuẽdum putaret, quos sibi libuisset ea specie trucidabant, donec optimus quisque periclitantium ad Aristobulum confugeret. atque ille

Ant. lib. 13. cap. 22.

ἀπορίᾳ τῶν ἐπιτηδείων ἀναλωθῆναι συνέβη πλὴν ὀλίγων ἅπαντας. ἐκ τούτου Δαμασκηνοὶ διὰ τὸ πρὸς Πτολεμαῖον τὸν Μινναίου μῖσος, Ἀρέταν ἐπάγονται, καὶ καθιστῶσι κοίλης Συρίας βασιλέα. στρατεύεται δ' οὗτος ἐπὶ τὴν Ἰουδαίαν, καὶ μάχῃ νικήσας Ἀλέξανδρον, ἐπὶ συνθήκαις ἀνεχώρησεν. Ἀλέξανδρος δὲ, Πέλλαν ἑλὼν, ἐπὶ Γέρασαν ᾔει πάλιν, τῶν Θεοδώρου κτημάτων γλιχόμενος. καὶ τρισὶ τοῖς φρουροῖς περιβόλοις ἀποτειχίσας, διὰ μάχης τὸ χωρίον παραλαμβάνει. καταστρέφεται δὲ καὶ Γαυλάνην, καὶ Σελεύκειαν, καὶ τὴν Ἀντιόχου φάραγγα καλουμένην, πρὸς οἷς Γάμαλα φρούριον καρτερὸν ἑλὼν, τὸν ἄρχοντα Δημήτριον ἐν αὐτῷ παραλύσας ἐκ πολλῶν ἐγκλημάτων, ἐπάνεισιν εἰς Ἰουδαίαν, τρία πληρώσας ἔτη τῆς στρατείας. ἀσμένως δ' ὑπὸ τοῦ ἔθνους προσεδέχθη διὰ τὴν εὐπραγίαν, καὶ λαμβάνει τὴν ἀνάπαυσιν τοῦ πολεμεῖν, ἀρχὴν νόσου. τεταρταίαις δὲ περιόδοις πυρετῶν ἐνοχλούμενος, ᾠήθη διακρούσασθαι τὴν νόσον, πάλιν ἁψάμενος πραγμάτων. διὸ δὴ στρατείαις ἀκαίροις ἑαυτὸν ἐπιδιδοὺς, καὶ βιαζόμενος παρὰ δύναμιν τὸ σῶμα πρὸς τὰς ἐνεργείας, ἀπήλλαξε. τελευτᾷ γοῦν ἐν μέσοις τοῖς θορύβοις στρεφόμενος, βασιλεύσας ἑπτὰ πρὸς τοῖς εἴκοσιν ἔτη. καταλείπει δὲ τὴν βασιλείαν Ἀλεξάνδρᾳ τῇ γυναικὶ, πεπεισμένος ταύτῃ μάλιστα νῦν ὑπακούσεσθαι τοὺς Ἰουδαίους, ἐπειδὴ τῆς ὠμότητος αὐτοῦ μακρὰν ἀποδέουσα, καὶ ταῖς παρανομίαις ἀνθισταμένη, τὸν δῆμον εἰς εὔνοιαν προσηγάγετο. καὶ οὐ διήμαρτε τῆς ἐλπίδος. ἐκράτησε γὰρ τῆς ἀρχῆς τὸ γύναιον, διὰ δόξαν εὐσεβείας. ἠκρίβου γὰρ δὴ τοῦ ἔθνους μάλιστα τὰ πάτρια, καὶ τοὺς πλημμελοῦντας εἰς τοὺς ἱεροὺς νόμους ἐξ ἀρχῆς ἀπεβάλετο. δύο δ' αὐτῇ παίδων ὄντων ἐξ Ἀλεξάνδρου, τὸν μὲν πρεσβύτερον Ὑρκανὸν, διά τε τὴν ἡλικίαν ἀποδείκνυσι ἀρχιερέα, καὶ ἄλλως ὄντα νωθέστερον ἢ ὥς τι ἐνοχλεῖν περὶ τῶν ὅλων, τὸν δὲ νεώτερον Ἀριστόβουλον, διὰ θερμότητα κατεῖχεν ἰδιώτην. παραφύονται δὲ αὐτῇ εἰς τὴν ἐξουσίαν Φαρισαῖοι, σύνταγμά τι Ἰουδαίων, δοκοῦν εὐσεβέστερον εἶναι τῶν ἄλλων, καὶ τοὺς νόμους ἀκριβέστερον ἀφηγεῖσθαι. τούτοις περισσὸν δή τι προσεῖχεν ἡ Ἀλεξάνδρα σεβομένη περὶ τὸ θεῖον. οἱ δὲ τὴν ἁπλότητα τῆς ἀνθρώπου κατὰ μικρὸν ὑπιόντες, ἤδη καὶ διοικηταὶ τῶν ὅλων ἐγίνοντο, διώκειν τε, καὶ κατάγειν οὓς ἐθέλοιεν, λύειν τε καὶ δεῖν. καθόλου δ' αἱ μὲν ἀπολαύσεις τῆς βασιλείας, ἐκείνων ἦσαν, τὰ δ' ἀναλώματα, καὶ αἱ δυσχέρειαι, τῆς Ἀλεξάνδρας. δεινὴ δ' ἦν τὰ μείζω διοικεῖν, δύναμίν τε ἀεὶ συγκροτοῦσα, διπλασίονα κατέστησε, καὶ ξενικὴν συνήγαγεν οὐκ ὀλίγην, ὡς μὴ μόνον κρατύνεσθαι τὸ οἰκεῖον ἔθνος, ἀλλὰ καὶ φοβερὰν τοῖς ἔξωθεν εἶναι δυνάσταις. ἐκράτει δὲ τῶν μὲν ἄλλων αὐτὴ, Φαρισαῖοι δ' αὐτῆς. Διογένην γοῦν τινα τῶν ἐπισήμων, φίλον Ἀλεξάνδρῳ γεγενημένον, κτείνουσιν αὐτοὶ, σύμβουλον ἐγκαλοῦντες γεγονέναι περὶ τῶν ἀνασταυρωθέντων ὑπὸ τοῦ βασιλέως ὀκτακοσίων. ἐνῆγον δὲ τὴν Ἀλεξάνδραν εἰς τὸ καὶ τοὺς ἄλλους διαχειρίσασθαι, τῶν παροξυνάντων ἐπ' ἐκείνους τὸν Ἀλέξανδρον. ἐνδιδούσης δ' ὑπὸ δεισιδαιμονίας, ἀνῄρουν οὓς ἐθέλοιεν δ' αὐτοί. προσφεύγουσι δ' Ἀριστοβούλῳ τῶν κινδυνευόντων οἱ προέχειν δοκοῦντες. κἀκεῖνος πείθει

πείθει τὴν μητέρα, φείσασθαι μὲν διὰ τὸ ἀξίωμα τῶν ἀνδρῶν, ἐκπέμψαι δ' αὐτοὺς, εἰ μὴ καθαροὺς ὑπείληφεν, ἐκ τῆς πόλεως. οἱ μὲν οὖν δοθείσης ἀδείας, ἐσκεδάσθησαν ἀνὰ τὴν χώραν. ἀλεξάνδρα δὲ ἐκπέμψασα ἐπὶ δαμασκὸν στρατιὰν, πρόφασις δ' ἦν πτολεμαῖος ἀεὶ θλίβων τὴν πόλιν, ταύτην μὲν ὑπεδέξατο μηδὲν ἀξιόλογον ἐργασαμένην. τιγράνην δὲ τὸν ἀρμενίων βασιλέα προσκαθεζόμενον πτολεμαΐδι, καὶ πολιορκοῦντα κλεοπάτραν, συνθήκαις καὶ δώροις ὑπηγάγετο. φθάνει δ' ἐκεῖνος ἀπαναστὰς διὰ τὰς οἴκοι ταραχὰς, ἐμβεβληκότος εἰς τὴν ἀρμενίαν λευκόλλου. κἀν τούτῳ νοσούσης ἀλεξάνδρας, ὁ νεώτερος τῶν παίδων ἀριστόβουλος τὸν καιρὸν ἁρπάσας μετὰ τῶν οἰκετῶν, εἶχε δὲ πολλοὺς καὶ πάντας εὔνους διὰ τὴν θερμότητα, κρατεῖ μὲν τῶν ἐρυμάτων ἁπάντων, τοῖς δ' ἐκ τούτων χρήμασι μισθοφόρους ἀθροίσας, ἑαυτὸν ἀποδείκνυσι βασιλέα. πρὸς ταῦτα ὀδυρόμενον τὸν ὑρκανὸν ἡ μήτηρ οἰκτείρασα, τήν τε γυναῖκα, καὶ τοὺς παῖδας ἀριστοβούλου καθείργνυσιν εἰς ἀντωνίαν. φρούριον δ' ἦν τῷ βορείῳ κλίματι τοῦ ἱεροῦ προσκείμενον, πάλαι μὲν ὡς ἔφην βάρις ὀνομαζόμενον, αὖθις δὲ ταύτης τυχὸν τῆς προσηγορίας, ἐπικρατήσαντος ἀντωνίου, καθάπερ ἀπό τε τοῦ σεβαστοῦ, καὶ ἀγρίππα, σεβαστὴ, καὶ ἀγριππιὰς, πόλεις ἕτεραι μετωνομάσθησαν. πρὶν δ' ἐπεξελθεῖν ἀλεξάνδραν τὸν ἀριστόβουλον, τῆς τἀδελφοῦ καταλύσεως, τελευτᾷ διοικήσασα τὴν ἀρχὴν ἔτεσιν ἐννέα. καὶ κληρονόμος μὲν ἦν τῶν ὅλων ὑρκανὸς, ᾧ καὶ ζῶσα τὴν βασιλείαν ἐνεχείρισε. δυνάμει δὲ καὶ φρονήματι προεῖχεν ὁ ἀριστόβουλος. γενομένης δὲ αὐτοῖς περὶ τῶν ὅλων συμβολῆς περὶ ἱεριχοῦντα, καταλιπόντες οἱ πλεῖστοι τὸν ὑρκανὸν, μεταβαίνουσι πρὸς τὸν ἀριστόβουλον. ὁ δὲ μετὰ τῶν συμμεινάντων φθάνει συμφυγὼν ἐπὶ τὴν ἀντωνίαν, καὶ κυριεύσας τῶν πρὸς σωτηρίαν ὁμήρων, ταῦτα δ' ἦν ἡ ἀριστοβούλου γυνὴ μετὰ τῶν τέκνων, ἀμέλει πρὶν ἀνηκέστου πάθους, διελύθησαν, ὥστε βασιλεύειν μὲν ἀριστόβουλον, ὑρκανὸν δ' ἐκστάντα τῆς ἄλλης ἀπολαύειν τιμῆς, ὥσπερ ἀδελφὸς βασιλέως. ἐπὶ τούτοις διαλλαγέντες ἐν τῷ ἱερῷ, καὶ τοῦ λαοῦ περιεστῶτος φιλοφρόνως ἀλλήλους ἀσπασάμενοι, διήμειψαν τὰς οἰκίας. ἀριστόβουλος μὲν γὰρ, εἰς τὰ βασίλεια, ὑρκανὸς δ' ἀνεχώρησεν εἰς τὴν ἀριστοβούλου οἰκίαν.

Κεφ. ε.

Δέος δὲ τοῖς τε ἄλλοις τῶν ἀριστοβούλου διαφόρων ἐμπίπτει παρ' ἐλπίδα κρατήσαντος, καὶ μάλιστα ἀντιπάτρῳ πάλαι διαμισουμένῳ. γένος δ' ἦν ἰδουμαῖος, προγόνων τε ἕνεκα καὶ πλούτου καὶ τῆς ἄλλης ἰσχύος πρωτεύων τοῦ ἔθνους. οὗτος δὲ ἅμα καὶ τὸν ὑρκανὸν ἀρέτα προσφυγόντα τῷ βασιλεῖ τῆς ἀραβίας, ἀνακτήσασθαι τὴν βασιλείαν ἔπειθε, καὶ τὸν ἀρέταν δέξασθαί τε τὸν ὑρκανὸν, καὶ καταγαγεῖν ἐπὶ τὴν ἀρχήν. πολλὰ μὲν τὸν ἀριστόβουλον εἰς τὸ ἦθος διαβάλλων, πολλὰ δ' ἐπαινῶν τὸν ὑρκανὸν, παρῄνει δέξασθαι. καὶ ὡς πρέπον εἴη τὸν οὕτω λαμπρᾶς προεστῶτα βασιλείας, ὑπερέχειν χεῖρα τοῖς ἀδικουμένοις. ἀδικεῖσθαι δὲ ὑρκανὸν, στερηθέντα τῆς κατὰ τὸ πρεσβεῖον αὐτῷ προσηκούσης ἀρχῆς. προκατασκευάσας δὲ ἀμφοτέρους, νύκτωρ ἀναλαβὼν ὑρκανὸν, τῆς πόλεως ἀποδιδράσκει, καὶ συντόνῳ φυγῇ χρώμενος, εἰς τὴν καλουμένην πέτραν διασώζεται. βασίλειον αὕτη τῆς ἀραβίας ἐστίν. ἔνθα τῷ ἀρέτα τὸν ὑρκανὸν ἐγχειρίσας,

matri persuasit, vt his propter dignitatem parceret, ciuitate autem pelleret quos nocentes existimaret. Igitur illi quidem data sibi copia per regionem dispersi sunt. Alexandra verò in Damascum misso exercitu, quoniam Ptolemæus sine intermissione ciuitatem premebat, illam quidem nulla re memorabili gesta cepit. Regem autem Armeniorum Tigranem, qui admoto Ptolemaidi milite, Cleopatram circumsedebat, pactionibus donisque solicitat. Sed illum domesticarum turbarum metus, ingresso in Armeniam Lucullo, iamdudum inde retraxerat. Inter hęc Alexandra morbo laborante, minor eius filius Aristobulus, cum famulis suis quos multos habebat, omnésque pro ætatis fauore fidissimos, vniuersa castella obtinuit: & pecunia quam ibi reperit conductis auxiliis regem se declarauit. Ob hæc miserata querelas Hyrcani mater, cõiugem Aristobuli cum filiis includit apud castellum quod à Septentrione fano adiacens, Baris antea vocabatur, vt diximus, postea verò Antonia cognominata est, imperante Antonio, quemadmodũ de Augusti & Agrippæ nomine Sebaste & Agrippias aliæ ciuitates appellatæ sunt. Antè tamen Alexandra moritur, quàm in Aristobulum fratris eius Hyrcani contumelias vindicaret: quem deiici regno curauerat, quod ipsa nouem annos administrauit. Et hæres quidem omnium fit Hyrcanus, cui regnum etiam viua commiserat. Verùm Aristobulus viribus atque autoritate præstabat. Habito autem inter eos circa Hierichunta de rerum summa cõflictu, plerique Hyrcano relicto transeunt ad Aristobulum. Hyrcanus autem cum reliquis fuga peruenit in castellum Antoniam: ibique salutis obsides nact[9] (erat enim ibi in custodia vt præmisimus, coniunx Aristobuli cum filiis) priusquã grauius aliquid accideret, ea lege in concordiã rediit, vt regnũ quidẽ Aristobulus haberet, ipse verò cederet, quasi frater regis aliis honoribus contentus. Hoc modo in fano reconciliati, cùm in conspectu circumstantis populi benignissimè alter alterum complexus esset, domus permutant: & Aristobulus quidem discedit in regiam, Hyrcanus autem in Aristobuli domum.

Metus verò & alios eius inimicos præter spem dominantis occupat, & maximè Antipatrum iamdudum Aristobulo inuisum, Erat autem genere Idumæus, & nobilitate ac opibus gentis suæ princeps. Is igitur & Hyrcanum vt ad Aretam regem Arabiæ confugeret, eiúsque auxilio regnum repeteret hortabatur, & ipsi Aretæ vt Hyrcanum susciperet atque in regnum deduceret suadebat, multum obtrectãs Aristobuli moribus, multísque Hyrcanum laudibus prædicans. simúlq; admonebat quòd eũ deceret regno clarissimo prę̨sidentẽ, iniquitate oppressis manum porrigere: Hyrcanum autem iniuriam pati, qui principatu iure successionis sibi debito excidisset. Sic instructis & pręparatis ambobus: nocte cum Hyrcano ex ciuitate profugit: citatoq; cursu in oppidũ quod Petra dicitur salu[9] euasit: ea est Arabię regio. Ibi postquã Hyrcanum in manũ regis Aretę tradidit,

Ant. li. 14. cap. 1.

CAP. V. De bello Hyrcani cũ Arabibus & expugnatione Hierosolymæ. Ant. li. 14. cap. 2. 3. 4.

multis dictis multísque muneribus vt auxilium præberet, quo in regnum deduceretur, effecit. Erant autem peditum equitúmque millia L. quibus nequaquam restitit Aristobulus: sed primo impetu superatus, in Hierosolyma fugere cogitur: atque omnino captus esset, nisi dux Romanorum Scaurus aduersis horum temporibus imminens soluisset obsidionem. namque is ex Armenia quidem in Syriam missus erat à Pompeio Magno qui cum Tigrane bellum gerebat. Sed vbi Damascum venit, recens à Metello & Lollio captam reperit: his inde submotis, cognitóque in Iudæa quid ageretur, illuc velut ad quæstum cucurrit. Denique mox vt fines ingressus est, Iudæorum legati ad eum veniunt à fratribus, vtrisque vt sibi potiùs adiumento essent orantibus. Sed trecentis talentis quæ Aristobulus ei miserat, iustitia posthabita est. Tot enim acceptis Scaurus ad Hyrcanum & Arabes legatos misit, Romanorum eis Pompeij nomen intentans, nisi ab obsidione desisterent. Itaque & Areta ex Iudæa in Philadelphiam recedit metu perculsus, & Scaurus Damascum redit. Aristobulus autem quòd captus non esset, satis sibi esse non credidit: sed omnibus quas haberet copiis collectis, persequebatur hostes: & circa locum quem Papyrona vocant prælio commisso, supra sex eorum millia cædit: in quibus erat & Cephalon frater Antipatri. Hyrcanus verò & Antipater Arabum priuati auxilio, spem in aduersarios transtulerunt. & cùm Pompeius Syriam ingressus Damascum peruenisset, ad ipsum confugiunt. multisque muneribus ei datis, eadem illa quibus ad Aretam vsi fuerant allegantes, magnopere precabantur vt Aristobuli violentia damnata, regno Hyrcanum restitueret, cui tam ætate quàm moribus deberetur. sed nec Aristobulus sibi defuit, corruptione Scauri fretus. Venerat autem quantum potuit ornatus cultu regio: deinde offensus obsequiis, neque ferendum existimans abiectius quàm regem deceret vtilitati seruire, à Diospoli regrediebatur. Ob hoc iratus Pompeius, etiam Hyrcano eiúsque sociis hoc precantibus, Aristobulum petit, & Romano simul exercitu & Syrorum instructus auxiliis. Cùm verò Pellam & Scythopolim prætergressus Coreas venisset, vnde Iudæorum fines incipiunt per mediterranea loca subeuntibus, cognito Aristobulum in Alexandrium confugisse (castellum est magnificè structum, in monte præcelso situm) mittit per quos eum iuberet inde descendere. Ille autem decreuerat, quia pro imperio vocaretur, periclitari potiùs quàm parere. sed populum videbat horrescere: & amici monebant vt Romanam vim cogitaret, quam sustinere non posset. Itaque horum consiliis obediens, descendit ad Pompeium: quódque iustè regnaret, multis pro se dictis in castellum rediit. & cùm iterum descendisset prouocatus à fratre, ac de suo iure cum eo disceptasset, denuò regreditur non prohibente Pompeio. Erat autem inter spem timorémque medius: & veniebat quidem velut exoraturus Pompeium, vt sibi cuncta permitteret, ad montem verò reuertebatur, ne quid regiæ dignitati derogare videretur.

Ant. lib. 16. cap. 6. 7.

καὶ πολλὰ μὲν καθομιλήσας, πολλοῖς δὲ δώροις ὑπελθὼν δοῦναι δύναμιν αὐτῷ πείθει τὴν κατάξουσαν αὐτόν. ἦν δ' αὕτη, πεζῶν τε καὶ ἱππέων, πέντε μυριάδες, πρὸς ἣν οὐκ ἀντέσχεν Ἀριστόβουλος. ἀλλ' ἐν τῇ πρώτῃ συμβολῇ ληφθεὶς, εἰς Ἱεροσόλυμα συνελαύνεται, κἂν ἔφθη κατὰ κράτος ληφθεὶς, εἰ μὴ Σκαῦρος ὁ Ῥωμαίων στρατηγὸς ἐπαναστὰς αὐτῶν τοῖς καιροῖς, ἔλυσε τὴν πολιορκίαν, ὃς ἐπέμφθη μὲν εἰς Συρίαν Ἀρμενίας ὑπὸ Πομπηΐου Μάγνου, πολεμοῦντος πρὸς Τιγράνην. παραγενόμενος δὲ εἰς Δαμασκὸν, ἑαλωκυῖαν προσφάτως ὑπὸ Μετέλλου καὶ Λολλίου, καὶ τούτους μεταστήσας, ἐπεὶ τὰ κατὰ τὴν Ἰουδαίαν ἐπύθετο, καθάπερ ἐφ' ἕρμαιον ἠπείχθη. παρελθόντος γοῦν εἰς τὴν χώραν, πρέσβεις εὐθέως ἧκον παρὰ τῶν ἀδελφῶν ἑκατέρων, ἑκάστου δεομένου βοηθεῖν αὐτῷ. γίνεται δ' ἐπίπροσθεν τοῦ δικαίου, τὰ παρὰ Ἀριστοβούλου τετρακόσια τάλαντα. τοσοῦτον γὰρ λαβὼν Σκαῦρος, ἐπικηρυκεύεται πρός τε Ὑρκανὸν, καὶ τοὺς Ἄραβας, ἀπειλῶν Ῥωμαίους καὶ Πομπήϊον, εἰ μὴ λύσειαν τὴν πολιορκίαν. ἀνεχώρησε δ' ἐκ τῆς Ἰουδαίας εἰς Φιλαδέλφειαν Ἀρέτας καταπλαγεὶς, καὶ πάλιν εἰς Δαμασκὸν Σκαῦρος. Ἀριστοβούλῳ δ' οὐκ ἀπέχρησε τὸ μὴ ἁλῶναι, πᾶσαν δὲ τὴν δύναμιν ἐπισυλλέξας, εἵπετο τοῖς πολεμίοις, καὶ περὶ τὸν καλούμενον Παπυρῶνα συμβαλὼν αὐτοῖς, ὑπὲρ ἑξακισχιλίους κτείνει, μεθ' ὧν, καὶ τὸν ἀδελφὸν τὸν Ἀντιπάτρου Φαλλίωνα. Ὑρκανὸς δὲ καὶ Ἀντίπατρος τῶν Ἀράβων ἀφαιρεθέντες, μετέφερον ἐπὶ τοὺς ἐναντίους τὴν ἐλπίδα. καὶ ἐπειδὴ Πομπήϊος ἐπιὼν τὴν Συρίαν εἰς Δαμασκὸν ἧκεν, ἐπ' αὐτὸν καταφεύγουσι, καὶ δίχα δώρων, αἷς καὶ πρὸς Ἀρέταν δικαιολογίαις χρώμενοι κατηντιβόλουν, μισῆσαι μὲν τὴν Ἀριστοβούλου βίαν, κατάγειν δ' ἐπὶ τὴν βασιλείαν τὸν καὶ τῷ τρόπῳ καὶ καθ' ἡλικίαν προσήκοντα. οὐ μὴν οὐδ' ὁ Ἀριστόβουλος ὑστέρει, πεποιθὼς τῇ Σκαύρου δωροδοκίᾳ, παρῆν τε καὶ αὐτὸς ὡς οἷόν τε ἦν, βασιλικώτατα κεκοσμηκὼς ἑαυτόν. ἀδοξήσας δὲ πρὸς τὰς θεραπείας, καὶ μὴ φέρων δουλεύειν ταῖς χρείαις ταπεινότερον τοῦ σχήματος, ἀπὸ Διοσπόλεως χωρίζεται. πρὸς ταῦτ' ἀγανακτήσας Πομπήϊος, πολλὰ καὶ τῶν περὶ Ὑρκανὸν ἱκετευόντων, ὥρμησεν ἐπ' Ἀριστόβουλον, ἀναλαβὼν τήν τε Ῥωμαϊκὴν δύναμιν, καὶ πολλοὺς ἐκ τῆς Συρίας συμμάχους. ἐπεὶ δὲ παρελαύνων Πέλλαν, καὶ Σκυθόπολιν ἧκεν εἰς Κορέας, ὅθεν ἡ Ἰουδαίων ἄρχεται χώρα, κατὰ τὴν μεσόγειον ἀνιόντων, ἀκούσας συμπεφευγέναι τὸν Ἀριστόβουλον εἰς Ἀλεξάνδρειον, τοῦτο δ' ἐστὶ φρούριον τῶν πάνυ φιλοτίμως ἐξησκημένων ὑπὲρ ὄρους ὑψηλοῦ κείμενον, πέμψας, καταβαίνειν αὐτὸν ἐκέλευσε. τῷ δὲ, ἦν μὲν ὁρμὴ καλουμένῳ δεσποτικώτερον, διακινδυνεύειν μᾶλλον, ἢ ὑπακοῦσαι. καθεώρα δὲ τὸ πλῆθος ὀρρωδοῦν, καὶ παρῄνουν οἱ φίλοι σκέπτεσθαι τὴν Ῥωμαίων ἰσχὺν, οὖσαν ἀνυπόστατον. οἷς πεισθεὶς κάτεισι πρὸς Πομπήϊον, καὶ πολλὰ περὶ τοῦ δικαίως ἄρχειν ἀπολογηθεὶς, ὑπέστρεψε πρὸς τὸ ἔρυμα. πάλιν τε τἀδελφοῦ προκαλουμένου καταβὰς, καὶ διαλεχθεὶς περὶ τῶν δικαίων, ἄπεισι μὴ κωλύοντος τοῦ Πομπηΐου. μέσος δ' ἦν ἐλπίδος καὶ δέους. καὶ κατήει μὲν, ὡς δυσωπήσων Πομπήϊον πάντ' ἐπιτρέπειν αὐτῷ, πάλιν δ' ἀνέβαινεν εἰς τὴν ἄκραν, ὡς μὴ προκαταλύειν δόξειεν ἑαυτόν.

ἐπεὶ

ἐπεὶ μέντοι Πομπήιος ἐξίστασθαί τῶν φρουρίων ἐκέλευσεν αὐτὸν, καὶ παράγγελμα τῶν φρουράρχων ἐχόντων μόνοις πειθαρχεῖν τοῖς αὐτογράφοις ἐπιστολαῖς, ἠνάγκαζεν αὐτὸν ἑκάστοις γράφειν ἐκχωρεῖν, ποιεῖν μὲν τὸ προσταχθὲν, ἀγανακτήσας δὲ, ἀνεχώρησεν εἰς Ἱεροσόλυμα, καὶ παρεσκευάζετο πολεμεῖν πρὸς Πομπήιον. ὁ δ᾽, οὐ γὰρ ἐδίδου χρόνον ταῖς παρασκευαῖς, εὐθέως εἵπετο, καὶ προσεπέρρωσε τὴν ὁρμὴν ὁ Μιθριδάτου θάνατος, ἀγγελθεὶς αὐτῷ περὶ Ἱεριχοῦντα, ἔνθα τὸ τῆς Ἰουδαίας πιότατον, φοίνικά τε πάμπολυν, καὶ βάλσαμον τρέφει. τοῦτο λίθοις ὀξέσιν ἐπιτέμνοντες τὰ πρέμνα συλλέγουσι κατὰ τὰς τομὰς ἐκδακρύον. καὶ στρατοπεδευσάμενος ἐν τῷ χωρίῳ μίαν ἑσπέραν, ἕωθεν ἠπείγετο πρὸς τὰ Ἱεροσόλυμα. καταπλαγεὶς δὲ τὴν ἔφοδον Ἀριστόβουλος, ἱκέτης ὑπήντα, χρημάτων τε ὑποσχέσει, καὶ τῷ μετὰ τῆς πόλεως ἐπιτρέπειν καὶ ἑαυτὸν, χαλεπαίνοντα καταστέλλει τὸν Πομπήιον. οὐ μὴν τι τῶν ὡμολογημένων ἐγένετο. τὸν γὰρ ἐπὶ τὴν κομιδὴν τῶν χρημάτων πεμφθέντα Γαβίνιον, οἱ τὰ Ἀριστοβούλου φρονοῦντες, οὐδ᾽ ἐν τῇ πόλει δέχονται. πρὸς ταῦτα ἀγανακτήσας Πομπήιος, Ἀριστόβουλον μὲν ἐφρούρει, πρὸς δὲ τὴν πόλιν ἐλθὼν, περιεσκόπει πῇ προσβάλλῃ, τήν τε ὀχυρότητα τῶν τειχῶν δυσμεταχείριστον ὁρῶν, καὶ τὴν πρὸ τούτων φάραγγα φοβεράν, τό τε ἱερὸν ἐντὸς τῆς φάραγγος, ὀχυρώτατα τετειχισμένον. ὥς τε τοῦ ἄστεος ἁλισκομένου, δευτέραν εἶναι καταφυγὴν τοῦτο τοῖς πολεμίοις. διαπορουμένου δ᾽ ἐπὶ πολὺν χρόνον, στάσις τῶν ἔνδον ἐμπίπτει, τῶν μὲν περὶ Ἀριστόβουλον πολεμεῖν ἀξιούντων, καὶ ῥύσασθαι τὸν βασιλέα, τῶν δὲ τὰ Ὑρκανοῦ φρονούντων, ἀνοίγειν Πομπηίῳ τὰς πύλας. πολὺ δὲ τούτους ἐποίει δέος, ἀφορῶντας εἰς τὴν τῶν Ῥωμαίων εὐταξίαν. ἡττώμενον δὲ τὸ Ἀριστοβούλου μέρος εἰς τὸ ἱερὸν ἀνεχώρει, καὶ τὴν συνάπτουσαν ἀπ᾽ αὐτοῦ τῇ πόλει γέφυραν ἀποκόψαντες ἀντισχεῖν εἰς ἔσχατον παρεσκευάζοντο. τῶν δὲ ἑτέρων δεχομένων Ῥωμαίους τῇ πόλει, καὶ τὰ βασίλεια παραδιδόντων, ἐπὶ μὲν ταῦτα Πομπήιος ἕνα τῶν ὑφ᾽ ἑαυτὸν στρατηγῶν Πείσωνα, εἰσπέμπει μετὰ στρατιᾶς. ὃς διαλαβὼν φρουρᾷ τὴν πόλιν, ἐπειδὴ τῶν εἰς τὸ ἱερὸν καταφυγόντων οὐδένα λόγοις ἔπεισε συμβῆναι, τὰ πέριξ εἰς προσβολὰς εὐτρέπιζεν, ἔχων τοὺς περὶ τὸν Ὑρκανὸν, εἴς τε τὰς ἐπινοίας, καὶ τὰς ὑπηρεσίας προθύμους. αὐτὸς δὲ κατὰ τὸ προσάρκτιον κλίμα τήν τε τάφρον ἔχου καὶ τὴν φάραγγα πᾶσαν ὕλην συμφορούσης τῆς δυνάμεως. χαλεπὸν δ᾽ ἦν τὸ ἀναπληροῦν, διὰ βάθος ἄπειρον, καὶ τῶν Ἰουδαίων πάντα τρόπον εἰργόντων ἄνωθεν. κἂν ἀτέλεστος ἔμεινε τοῖς Ῥωμαίοις ὁ πόνος, εἰ μὴ τὰς ἑβδομάδας ἐπιτηρῶν ὁ Πομπήιος ἐν αἷς παντὸς ἔργου διὰ τὴν θρησκείαν χεῖρας ἀπίσχουσιν Ἰουδαῖοι, τὸ χῶμα ὕψου, τῆς κατὰ χεῖρα συμβολῆς εἴργων τοὺς στρατιώτας. ὑπὲρ μόνου γὰρ τοῦ σώματος, ἀμύνονται καὶ τοῖς σάββασιν. ἤδη δ᾽ ἀναπεπληρωμένης τῆς φάραγγος, πύργους ὑψηλοὺς ἐπιστήσας τῷ χώματι, καὶ προσαγαγὼν τὰς ἐκ Τύρου κομισθείσας μηχανάς, ἐπειρᾶτο τοῦ τείχους. ἀνέστελλον δὲ οἱ πετροβόλοι τοὺς καθύπερθε κωλύοντας. ἀντεῖχον δ᾽ ἐπὶ πλεῖστον οἱ κατὰ τοῦτο τὸ μέρος πύργοι, μεγέθει τε καὶ κάλλει διαφέροντες.

quia tamen castellis cum Pompeio cedere placebat, hisque præpositos monere literis vt decederent, quibus præceperat vt non nisi manu sua scriptis epistolis obtemperarent: iussa quidem facit: sed in Hierosolymam cum indignatione discessit: belloque iam congredi cum Pompeio cogitabat. Ille autem, nec enim tempus apparatui dandum putauit, statim eum insequitur. multum quippe alacritati eius addiderat, circa Hierichuntem Mithridatis mors nunciata. Vbi pinguissima Iudææ regio, & palmarum plurimum ac balsamum nutrit: cuius inciso lapidibus acutis robore stillantem lacrymam ex vulneribus colligunt. Cúmque illic pernoctasset, mane in Hierosolymam properabat. Itaque hoc eius impetu perterritus Aristobulus: supplex occurrit, pecuniámque pollicitus, quódque semetipsum ei cum ciuitate permitteret, Pompeium mitigat sæuientem. Nec tamen quicquā eorum quæ promisit effectum est. Gabinium enim qui ad suscipiendam pecuniam missus fuerat, ne in oppidum quidem Aristobuli socij receperunt. His commotus Pompeius, Aristobulum in custodiam collocat: ad ciuitatem verò profectus, explorabat qua ex parte facilior esset accessus. nam & murorum eius firmitatem oppugnari posse facile non videbat: vallémque pro mœnibus horribilem, fanúmque illic cernebat proximum, adeò tutissima munitione circumdatum, vt etiam si ciuitas caperetur, secundum esset hostibus in eo refugium. Hoc autem diu quid faceret hęsitante, seditio intra ciuitatem orta est: Aristobuli quidem sociis bellum geri potius regémque liberari dignum esse censentibus: qui verò cum Hyrcano sentirent, Pompeio portas aperiri. Metus autem hos plures faciebat, Romanorum constantiam reputantes. Denique victa pars Aristobuli concessit in templum: & ponte qui ab eo ciuitati iungebatur abscisso, vt ad vltimum vsque resisteret, instruebatur. Cùm autem alij Romanos recepissent in ciuitatem, hisque domum regiam tradidissent, ad hanc obtinendam Pompeius vnum è ducibus suis Pisonem cum militibus intromittit. Hisque præsidiis in ciuitate dispositis, quia nemini eorum qui in templum confugerant, pacē persuadere poterat, omnia quæ circum erant, oppugnationi parabat: Hyrcano eiusq; amicis ad consilia conferenda, & ad efficienda quæ iuberet alacriter animatis. Ipse verò ad partes septentrionales fossámq; valléq; replebat omni genere materię per milites cōportato, cùm per se opus esset difficilimū, propter immēsā altitudinē, & præterea Iudæi modis omnibus desuper obsisterēt, māsissétq; labor imperfect⁹, nisi Pōpeius obseruatis dieb⁹ septimis, quibus Iudęos religio ab omni opere manus abstinere compellit, per eos aggerē cumulare præcepisset inhibitis à prælio militibus. Pro solo enim corpore Iudæis etiam per sabbata pugnare licet. Igitur iam valle repleta, & impositis aggeri turribus, admotisque machinis Tyro allatis, mœnia tentabat. Desuper obstantes lapidibus repellebantur, cùm diu turres obsidentium magnitudine simul & pulchritudine præstantes, vim repugnantium sustinerent.

Ant. lib. 14. cap. 7. 8.

Verumtamen Romanis tunc plurimum defatigatis, Pompeius Iudæorum tolerantiam & in aliis admiratus est: & præcipuè, quòd nihil ceremoniarum inter media tela versantes intermiserunt. sed velut in alta pace ciuitas ageret, quotidie sacrificia & victimas omnémque Dei cultum diligētissimè celebrarunt, nec vel in ipso excidio, cùm ad aram in dies singulos trucidarentur, legitimis religionis suæ muneribus abstinuerunt. Mense igitur obsidionis tertio vix vna turre deiecta, in fanum irruptum est. Primus autem murum transcēdere ausus est Syllę filius Faustus Cornelius. & post eum centuriones duo Furius & Fabius cum suis cohortibus. & circumsepto vndique fano, alios aliò confugientes vel etiam paulisper repugnantes interficiunt. Vbi plurimi sacerdotum, quanquam hostes strictis gladiis irruentes vidébant, intrepidi tamen in peragendis rebus diuinis perseuerabant: & in ipso libandi templúmque adolendi ministerio mactabantur, saluti quoque præferentes religionis obsequium. Multos autem sui gentiles aduersæ partis studiosi trucidabant, plurimi sese in rupes præcipitabant. nonnulli furibundi cunctis quæ circa murum erant in desperatione succensis, pariter conflagrabant. Itaque Iudæorum quidem millia duodecim occubuerunt: Romanorum verò perpauci, sed plures sauciati sunt. Nihil autem grauius in illa clade Iudæorum genti visum, quàm sanctum illud arcanum, neque cuiquam priùs visum alienis esse detectum. Denique Pompeius vnà cum suis comitibus in templum ingressus, vbi neminem præter pontificem adesse fas erat, quæ intus erant candelabra cum lychnis & mensis in quibus libare atq; adolere moris est, & vascula ex auro cuncta spectauit: congestámque pigmentorum molem, sacræque pecuniæ ad duo millia talentorum. Nec tamen vel hæc vel aliud quicquam de sacrosanctis opibus siue instrumentis attigit: sed postero die post excidiū purgare templum æditos iussit, & solennia sacra celebrare. Ipse autem Hyrcanum pontificem declarauit: quòd se & in aliis rebus alacrem obsidionis tempore præbuisset, promptámque ad bellum agrestium multitudinem ab Aristobulo reuocasset: per quæ sicut imperatorem bonum decuit, beneuolentia potiùs quàm timore plebem sibi conciliauit. Inter captiuos etiam comprehensus Aristobuli socer idémq; patruus tenebatur: & illos quidem qui maximè belli causa fuissent, securi percussit. Faustum verò & qui vnà fortiter operam nauauerant, præclaris præmiis donat: & Hierosolymis tributum indicit. ablatas autem genti etiam quas in Cœlesyria ceperant ciuitates, Romano qui tunc erat præsidi parere iussit, propriísque tantùm finibus circumclusit. Instaurauit autem in gratiam cuiusdam ex libertis suis Demetrij Gadarensis, etiam Gadaram, quā Iudæi subuerterant. Mediterraneas præterea ciuitates ab eorum imperio liberauit, quas præuenti non exciderant, Hippon, & Scythopolim, & Pellam, & Samariam, & Marisam: itémque Azotū, & Iamniam, & Aretusā:

ἔνθα δὴ τῶν ῥωμαίων πολλὰ κακοπαθούντων, ὁ πομπήιος τά τε ἄλλα τῆς καρτερίας τοὺς ἰουδαίους ἀπεθαύμασε, καὶ μάλιστα τοῦ μηδὲν παραλῦσαι τῆς θρησκείας ἐν μέσοις τοῖς βέλεσιν ἀνειλουμένους. ὥσπερ γὰρ εἰρήνης βαθείας κατεχούσης τὴν πόλιν, αἵ τε θυσίαι καθ' ἡμέραν, καὶ οἱ ἐναγισμοὶ, καὶ πᾶσα θεραπεία κατὰ τἀκριβὲς ἐξετελεῖτο τῷ θεῷ, καὶ οὐδὲ κατ' αὐτὴν τὴν ἅλωσιν περὶ τῷ βωμῷ φονευόμενοι, τῶν καθ' ἡμέραν νομίμων εἰς τὴν θρησκείαν ἀπέστησαν. τρίτῳ γὰρ μηνὶ τῆς πολιορκίας, μόλις ἕνα τῶν πύργων καταρρίψαντες εἰσέπιπτον εἰς τὸ ἱερόν. ὁ δὲ πρῶτος ὑπερβῆναι τολμήσας τὸ τεῖχος, σύλλα παῖς ἦν φαῦστος κορνήλιος. καὶ μετ' αὐτὸν ἑκατοντάρχαι δύο, φούριος καὶ φάβιος. εἵπετο δὲ ἑκάστῳ τὸ ἴδιον στῖφος, καὶ περισχόντες πανταχῇ τοὺς ἰουδαίους, ἔκτεινον, οὓς μὲν τῷ ναῷ προσφεύγοντας, οὓς δὲ ἀμυνομένους πρὸς ὀλίγον. ἔνθα πολλοὶ τῶν ἱερέων ξιφήρεις τοὺς πολεμίους ἐπιόντας βλέποντες, ἀθορύβως ἐπὶ τῆς θρησκείας ἔμειναν. σπένδοντες δὲ, καὶ θυμιῶντες ἀπεσφάττοντο, καὶ τῆς πρὸς τὸ θεῖον θεραπείας ἐν δευτέρῳ τὴν σωτηρίαν τιθέμενοι. πλεῖστοι δ' ὑπὸ τῶν ὁμοφύλων ἀντιστασιαστῶν ἀνῃροῦντο, καὶ κατὰ τῶν κρημνῶν ἔρριπτον ἑαυτοὺς ἄπειροι, καὶ τὰ περὶ τὸ τεῖχος δ' ἔνιοι μανιῶντες ἐν ταῖς ἀμηχανίαις, ὑπέπρησαν, καὶ συγκατεφλέγοντο. ἰουδαίων μὲν οὖν ἀνῃρέθησαν μύριοι καὶ δισχίλιοι. ῥωμαίων δὲ ὀλίγοι μὲν πάνυ νεκροί, τραυματίαι δ' ἐγένοντο πλείους. οὐδὲν δ' οὕτως ἐν ταῖς τότε συμφοραῖς καθήψατο τοῦ ἔθνους, ὡς τὸ τέως ἀόρατον ἅγιον ἐκκαλυφθὲν ὑπὸ τῶν ἀλλοφύλων. παρελθὼν γοῦν σὺν τοῖς περὶ αὐτὸν ὁ πομπήιος εἰς τὸν ναόν, ἔνθα μόνῳ θεμιτὸν ἦν παριέναι τῷ ἀρχιερεῖ, τὰ ἔνδον ἐθεάσατο, λυχνίαν τε καὶ λύχνους, καὶ τράπεζαν, καὶ σπονδεῖα, καὶ θυμιατήρια ὁλόχρυσα πάντα, πλῆθός τε ἀρωμάτων σεσωρευμένων, καὶ τῶν ἱερῶν χρημάτων, εἰς τάλαντα δισχίλια. οὔτε δὲ τούτων, οὔτ' ἄλλου τινὸς τῶν ἱερῶν κειμηλίων ἥψατο, ἀλλὰ καὶ μετὰ μίαν τῆς ἁλώσεως ἡμέραν, καθᾶραι τὸ ἱερὸν τοῖς νεωκόροις ἐκέλευσε, καὶ τὰς ἐξ ἔθους ἐπιτελεῖν θυσίας, αὖθις ἀποδείξας ὑρκανὸν ἀρχιερέα, τά τε ἄλλα προθυμότατον ἑαυτὸν ἐν τῇ πολιορκίᾳ παρασχόντα, καὶ διότι τὸ κατὰ τὴν χώραν πλῆθος ἀπέστησεν ἀριστοβούλῳ συμπολεμεῖν ὡρμημένον. ἐκ τούτου ὅπερ ἦν προσῆκον ἀγαθῷ στρατηγῷ, τὸν λαὸν εὐνοίᾳ πλέον ἢ δέει προσηγάγετο. ἐν δὲ τοῖς αἰχμαλώτοις ἐλήφθη καὶ ὁ ἀριστοβούλου πενθερός, ὁ δ' αὐτὸς καὶ θεῖος αὐτῷ. καὶ τοὺς μὲν αἰτιωτάτους τοῦ πολέμου πελέκει κολάζει. φαῦστον δὲ καὶ τοὺς μετ' αὐτοῦ γενναίως ἀγωνισαμένους, λαμπροῖς ἀριστείοις δωρησάμενος, τῇ τε χώρᾳ καὶ τοῖς ἱεροσολύμοις ἐπιτάττει φόρον. ἀφελόμενος δὲ τοῦ ἔθνους, καὶ τὰς ἐν κοίλῃ συρίᾳ πόλεις ὅσας εἷλον, ὑπέταξε τῷ κατ' ἐκεῖνο καιροῦ ῥωμαίων στρατηγῷ καταλείπεται μόνῳ, αἳ νῦν εἰσὶ χρηματίζουσαι τῶν κατὰ τὴν κοίλην συρίαν ἑλληνίδων πόλεων, καὶ τοῖς ἰδίοις ὅροις περιέκλεισεν. ἀνακτίζει δὲ καὶ γάδαραν, ὑπὸ ἰουδαίων κατεστραμμένην, γαδαρείτῃ τινὶ τῶν ἰδίων ἀπελευθέρων δημητρίῳ χαριζόμενος. ἠλευθέρωσε δ' ἀπ' αὐτῶν, καὶ τὰς ἐν τῇ μεσογείῳ πόλεις, ὅσας μὴ φθάσαντες κατέσκαψαν, ἵππον, σκυθόπολίν τε, καὶ πέλλαν καὶ σαμάρειαν, καὶ μάρισαν, πρὸς αἷς, ἄζωτον, καὶ ἰάμνειαν, καὶ ἀρέθουσαν, ὁμοίως

ὁμοίως δὲ καὶ τὰς παραλίους, γάζαν, ἰόππην, δῶραν, καὶ τὴν πάλαι μὲν, στράτωνος πύργον καλουμένην, ὕστερον δὲ μετακτισθεῖσαν ὑφ' ἡρώδου βασιλέως λαμπροτάτοις κατασκευάσμασι, καὶ μετονομασθεῖσαν καισάρειαν· ἃς πάσας τοῖς γνησίοις ἀποδοὺς πολίταις, κατέταξεν εἰς τὴν συριακὴν ἐπαρχίαν. παραδοὺς δὲ ταύτην τε καὶ τὴν ἰουδαίαν καὶ τὰ μέχρις αἰγύπτου καὶ εὐφράτου σκαύρῳ διέπειν, καὶ δύο τῶν ταγμάτων, αὐτὸς διὰ κιλικίας εἰς ῥώμην ἠπείγετο, τὸν ἀριστόβουλον ἄγων μετὰ τῆς γενεᾶς αἰχμάλωτον. δύο δ' ἦσαν αὐτῷ θυγατέρες, καὶ δύο υἱεῖς, ὧν ὁ ἕτερος μὲν, ἀλέξανδρος, ἐκ τῆς ὁδοῦ διαδιδράσκει· σὺν δὲ ταῖς ἀδελφαῖς ὁ νεώτερος ἀντίγονος, εἰς ῥώμην ἐκομίζετο.

Κεφ. ς.

Κἀν τούτῳ σκαῦρος εἰς τὴν ἀραβίαν ἐμβαλὼν, τῆς μὲν πέτρας εἴργετο ταῖς δυσχωρίαις. ἐπόρθει δὲ καὶ τὰ περὶ πέλλαν, κἀν τούτῳ δὲ ἐκακοπάθει. ἐλιμώττε γὰρ ἡ στρατιά, καὶ πρὸς τοῦτο ὑρκανὸς ἐπεβοήθει δι' ἀντιπάτρου τἀπιτήδεια πέμπων, ὃν καὶ καθίησι σκαῦρος ὄντα συνήθη πρὸς ἀρέταν, ὅπως ἐπὶ χρήμασι διαλύσαιτο τὸν πόλεμον. πείθεται δ' ὁ ἄραψ, τριακόσια δοῦναι τάλαντα, κἀπὶ τούτοις σκαῦρος ἐξήγαγε τῆς ἀραβίας τὴν δύναμιν. ὁ δ' ἀποδρὰς τῶν ἀριστοβούλου παίδων πομπήιον ἀλέξανδρος, χρόνῳ συναγαγὼν χεῖρα συχνὴν, βαρὺς ἦν ὑρκανῷ, καὶ τὴν ἰουδαίαν κατέτρεχεν. ἐδόκει δ' ἂν ταχέως καταλῦσαι αὐτόν, ὅς γε ἤδη καὶ τὸ καταρριφθὲν ὑπὸ πομπηίου τεῖχος ἐν ἱεροσολύμοις ἀνακτίζειν ἐθάρρει προσελθών, εἰ μὴ γαβίνιος εἰς συρίαν πεμφθεὶς σκαύρου διάδοχος, τά τε ἄλλα γενναῖον ἀπέδειξεν ἑαυτὸν ἐν πολλοῖς, καὶ ἐπ' ἀλέξανδρον ὥρμησεν. ὁ δὲ δείσας πρὸς τὴν ἔφοδον, δύναμίν τε πλείω συνέλεγεν, ὡς γενέσθαι μυρίους μὲν ὁπλίτας, χιλίους δὲ καὶ πεντακοσίους ἱππεῖς, καὶ τὰ ἐπιτήδεια τῶν χωρίων ἐτείχιζεν, ἀλεξάνδρειόν τε, καὶ ὑρκάνιον, καὶ μαχαιροῦντα πρὸς τοῖς ἀραβίοις ὄρεσι. γαβίνιος δὲ μετὰ μέρους τῆς στρατιᾶς μάρκον ἀντώνιον προπέμψας, αὐτὸς εἵπετο τὴν ὅλην ἔχων δύναμιν. οἱ δὲ περὶ ἀντίπατρον ἐπίλεκτοι, καὶ τὸ ἄλλο τάγμα τῶν ἰουδαίων, ὧν μάλιχος ἦρχε καὶ πειθόλαος, συμμίξαντες τοῖς περὶ μάρκον ἀντώνιον ἡγεμόσιν, ὑπήντων ἀλεξάνδρῳ, καὶ μετ' οὐ πολὺ παρῆν ἅμα τῇ φάλαγγι γαβίνιος. ἑνουμένην δὲ τὴν τῶν πολεμίων δύναμιν οὐχ ὑπομείνας ἀλέξανδρος ἀνεχώρει, καὶ πλησίον ἤδη ἱεροσολύμων γενόμενος, ἀναγκάζεται συμβαλεῖν, καὶ κατὰ τὴν μάχην ἑξακισχιλίους ἀποβαλών, ὧν τρισχίλιοι μὲν ἔπεσον, τρισχίλιοι δὲ ἐζωγρήθησαν, φεύγει σὺν τοῖς καταλειφθεῖσιν, εἰς ἀλεξάνδρειον. γαβίνιος δὲ πρὸς τὸ ἀλεξάνδρειον ἐλθὼν, ἐπειδὴ πολλοὺς εὗρεν ἐστρατοπεδευμένους, ἐπειρᾶτο συγγνώμης ὑποσχέσει περὶ τῶν ἡμαρτημένων, πρὸ μάχης αὐτοὺς προσαγαγέσθαι. μηδὲν δὲ μέτριον φρονούντων ἀποκτείνας πολλοὺς, τοὺς λοιποὺς κατέκλεισεν ἔρυμα. κατὰ ταύτην ἀριστεύει τὴν μάχην, ὁ ἡγεμὼν μάρκος ἀντώνιος, πανταχοῦ μὲν γενναίως φανεὶς, οὐδαμοῦ δ' οὕτως. γαβίνιος δὲ τοὺς ἐξαιρήσοντας τὸ φρούριον καταλιπών, αὐτὸς ἀπῄει, τὰς μὲν ἀπορθήτους πόλεις καθιστάμενος, τὰς δὲ κατεστραμμένας, ἀνακτίζων. συνεπολίσθησαν γοῦν τούτου κελεύσαντος, σκυθόπολίς τε, καὶ σαμάρεια, καὶ ἀνθηδὼν, καὶ ἀπολλωνία, καὶ ἰάμνεια, καὶ ῥάφεια, καὶ μάρισά τε, καὶ δωρεὸς, καὶ γάμαλα,

necnon & maritimas: Gazam, & Ioppen, & Doram, & quæ pridem Stratonis pyrgus vocabatur, pòst autem ab Herode rege clarissimis ædificiis transformata, Cæsarea nominata est: eásque omnes indigenis ciuibus redditas prouinciæ Syriæ coniunxit. Huius autem & Iudææ, cunctorúmque administratione ad Ægypti vsque fines & flumen Euphratem cum duabus legionibus Scauro permissa: Romam ipse per Ciliciam properauit, captiuum ducens Aristobulum cum familia. Erant autem filiæ duæ, totidémque filij: quorum vnus Alexander ex itinere fugit, minor autem Antigonus cum sororibus Romam vectus est.

Cap. VI. De bello Alexandri cũ Hyrcano & Aristobulo. *Ant. lib. 14. cap. 9.*

INterea Scaurus in Arabiam ingressus, ad Petram quidem regionum asperitate prohibebatur accedere: quæ autem circum erant, omnia vastabat, multis & in hoc malis afflictus. nam exercitum fames premebat: cui tamen Hyrcanus per Antipatrum victui necessaria suppeditabat. quem velut Aretæ familiarem etiam Scaurus ad eumlegauit, vt bellum pactione deponeret. Itaque persuasum est Arabi, vt ccc. talenta daret: atque ita Scaurus ex Arabia transduxit exercitum. Alexander autem Aristobuli filius, qui Pompeium fugerat, magna manu medio tempore cõgregata, Hyrcano grauis imminebat, Iudæámq; depopulabatur. quem quidem maturè debellare posse credebat: quoniam disturbatum quoque à Põpeio murum Hierosolymis renouatum esse confidebat: nisi Gabinius in Syriam missus, qui Scauro successerat, quum in aliis fortem se præbuisset, tum etiam in Alexandrum mouisset exercitum. Huius autem ille impetum veritus, & ampliorem militum manum congregabat: donec facta sunt decem millia peditum, & mille quingenti equites: locáque opportuna muris, hoc est, Alexandrium & Hyrcanium, & Machærunta non longè ab Arabiæ montibus, muniebat: Igitur Gabinius cum parte copiarum præmisso M. Antonio, ipse cũ toto exercitu sequebatur. Lecti autem Antipatri comites, aliáq; Iudæorum multitudo, quorum Malichus & Pitholaus principes erant: iunctis cum M. Antonio viribus suis, Alexandro obuiam processerũt: neque ita multo pòst aderat cum suis copiis Gabinius. Alexãder autem, quòd tum in vnum confertã hostiũ multitudinem sustinere nõ poterat, abscessit. Cúmque Hierosolymis appropinquasset coactus prælio decertauit: amissísque sex millibus, quorum tria viua capta sunt: tria verò prostrata, cũ reliquis effugit. Gabinius autem vbi Alexandrium castellum venit, quia multos deseruisse castra cognouit, promissã delictorũ venia conabatur eos ante prælium sibi coniungere. Cũ autem illi nihil mediocre cogitarent, plerisq; interfectis, reliquos in castellum concludit. In hoc prælio dux M. Antonius multa præclarè gessit: & quamuis semper & vbique vir fortis apparuisset, tamen nunc etiam suum vicit exemplum: Gabinius autem relictis, qui castellũ expugnarẽt, ipse ciuitates adire, & intactas quidem confirmare, subuersas autem erigere curabat. denique iussu eius & Scythopolis habitari cœpit, & Samaria, & Anthedõ, & Apollonia, & Iãnia, & Raphia, & Marisa, & Dora, & Gadara,

Ant. lib. 14. cap. 10.

& Azotus, aliæque multæ lætis ciuibus atque incolis ad eas concurrentibus. His autem rectè diſpoſitis regreſſus Alexandrium, vehementiùs vrgebat obſidium. Qua re territus Alexander, omnibus deſperatis legatos ad eum miſit, & ignoſci delictis orans, & quæ ſibi parerent caſtella Machærunta & Hyrcanium tradere non dubitans: quinetiam Alexandrium eiuſdem poteſtati permiſit. Quæ quidem Gabinius omnia conſilio matris Alexandri funditus eruit, ne rurſus belli alterius receptaculum fierent. Aderat autem, quo ſuis Gabinium palparet obſequiis, viro ſuo cæteriſque captiuis metuens, qui Romam fuerant abducti. Poſt hæc ergo Gabinius Hyrcano Hieroſolymam deducto, eique fani cura mandata, cæteris reip. partibus optimates præfecit: omnémque Iudæorum gentem in conuentus quinque diuiſit: vno Hieroſolymis, altero Doris, itémque tertio vt apud Amathunta reſpondeat, deſtinatis quarto Hierico, & quinto Sephoris Galilææ ciuitas attributa eſt. Singulari autem vnius dominatione Iudæi liberati, libenter ab optimatibus regebantur. Veruntamen nó multo pòſt euenit, vt turbarum his fieret initium elapſus Roma Ariſtobulus: qui magna iterum Iudæorum manu conflata partim cupida mutationis, partim quibus olim dilectus erat, primum occupat Alexandrium: ídque recingere muro tētabat. Deinde cognito quòd Gabinius Siſennam & Antonium & Seruiliū duces contra ſe cū exercitu miſit, in Machærunta concedit, vulgíq; imbellis onere depoſito, ſolos armatos propè ad octo millia militum ſecum duxit: inter quos & Pitholaus erat ſecundarum partium rector cum mille viris ex Hieroſolymis profugus. Romani autem ſequebantur, habitóque conflictu, aliquandiu cum ſuis Ariſtobulus fortiter dimicādo perſeuerabat, donec vi Romanorum ſubacti, cæſa ſunt virorum V M. propè verò ad duo millia in quendam tumulum confugerunt. cæteríque mille cum Ariſtobulo, perrupta Romanorum acie, in Machærunta coacti ſunt. Vbi rex cùm in ruinis prima veſpera tetendiſſet, ſperabat quidem aliam ſe manum per inducias belli poſſe contrahere, caſtellúmque bene munire. Impetum autem Romanorum ſuprà quàm poterat, per biduum remoratus poſtremò capitur: & cū Antigono filio, qui Romæ ſecum fuerat vinctus, ad Gabinium atque inde Romam perductus eſt. Sed illum quidem ſenatus carceri incluſit. filios autem eius in Iudæam tranſmiſit, quia Gabinius ſcripſerat per epiſtolas, id pro traditione caſtellorum cōiugi Ariſtobuli ſpopondiſſe. Parato autem Gabinio bellum Parthis inferre, Ptolemæus impedimento fuit. Qui reuerſus ab Euphrate, petebat Ægyptum, Hyrcano & Antipatro amicis vſus ad omnia, quæ militiæ neceſſitas exigebat. nam & pecuniis & armis eum & frumento Antipater & auxiliis adiuuit. Et Iudæis in ea parte vias, quæ Peluſium ducerent, obſeruantibus, tranſmittere Gabinium perſuaſit: alia verò Syria diſceſſu Gabinij commota, & Iudæos iterum Alexāder Ariſtobuli filius ad defectionem reduxit:

Ant. lib. 14. cap. 11.

Ant. lib. 14. cap. 12.

καὶ ἄζωτος, ἄλλαι τε πολλαὶ τῶν οἰκητόρων ἀσμένως ἐφ' ἑκάστην συνδραμόντων. μετὰ δὲ τὴν τούτων ἐπιμέλειαν ἐπανελθὼν πρὸς τὸ ἀλεξάνδρειον, ἐπέρρωσε τὴν πολιορκίαν, ὥστε ἀλέξανδρος ἀπογνοὺς περὶ τῶν ὅλων, ἐπικηρυκεύεται πρὸς αὐτὸν, συγγνωσθῆναί τε τῶν ἡμαρτημένων δεόμενος, καὶ τὰ συμμένοντα φρούρια παραδιδοὺς, ὑρκανίαν, καὶ μαχαιροῦντα. αὖθις δὲ καὶ τὸ ἀλεξάνδρειον ἐνεχείρισεν. ἃ πάντα γαβίνιος ἀναδούσης τῆς ἀλεξάνδρου μητρὸς, κατέσκαψεν ὡς μὴ πάλιν ὁρμητήριον γένοιντο δευτέρου πολέμου. παρῆν δὲ, μειλισσομένη τὸν γαβίνιον, κατὰ δέος τῶν ἐπὶ τῆς ῥώμης αἰχμαλώτων, τοῦ τε ἀνδρὸς, καὶ τῶν ἄλλων τέκνων. μετὰ δὲ ταῦτα εἰς ἱεροσόλυμα γαβίνιος ὑρκανὸν καταγαγὼν, καὶ τὴν τοῦ ἱεροῦ παραδοὺς κηδεμονίαν αὐτῷ, καθίστησι τὴν ἄλλην πολιτείαν, ἐπὶ προστασίᾳ τῶν ἀρίστων. διεῖλε δὲ πᾶν τὸ ἔθνος εἰς πέντε συνόδους. τὸ μὲν ἱεροσολύμοις προστάξας, τὸ δὲ γαδάροις. οἱ δ' ἵνα συντελῶσιν εἰς ἀμαθοῦντα. τὸ δὲ τέταρτον, εἰς ἱεριχοῦντα κεκλήρωτο, καὶ τῷ πέμπτῳ σέπφωρις ἀπεδείχθη πόλις τῆς γαλιλαίας. ἀσμένως δὲ τῆς ἐξ ἑνὸς ἐπικρατείας ἐλευθερωθέντες, τὸ λοιπὸν ἀριστοκρατείᾳ διῳκοῦντο. μετ' οὐ πολύ γε μὴν αὐτοῖς ἀρχὴ γίνεται θορύβων, ἀριστόβουλος ἀποδρὰς ἐκ ῥώμης, ὃς αὖθις πολλοὺς ἰουδαίων ἐπισυνίστη, τοὺς μὲν, ἐπιθυμοῦντας μεταβολῆς, τοὺς δ' ἀγαπῶντας αὐτὸν πάλαι. καὶ τὸ μὲν πρῶτον καταλαβόμενος τὸ ἀλεξάνδρειον, ἀνατειχίζειν ἐπειρᾶτο. ὡς δὲ γαβίνιος ὑπὸ σισέννᾳ καὶ ἀντωνίῳ καὶ σερουϊλίῳ στρατιὰν ἔπεμψεν ἐπ' αὐτὸν, γνοὺς ἀνεχώρει ἐπὶ μαχαιροῦντος. καὶ τὸν μὲν ἄχρηστον ὄχλον, ἀπεφορτίσατο. μόνους δ' ἐπήγετο τοὺς ὡπλισμένους, ὄντας εἰς ὀκτακισχιλίους, ἐν οἷς καὶ πειθόλαος ἦν ὁ ἐξ ἱεροσολύμων ὑποστράτηγος αὐτομολήσας μετὰ χιλίων. ῥωμαῖοι δ' ἐπηκολούθουν, καὶ γενομένης συμβολῆς μέχρι πολλοῦ μὲν οἱ περὶ τὸν ἀριστόβουλον διεκαρτέρουν γενναίως ἀγωνιζόμενοι. τέλος δὲ βιασθέντες ὑπὸ τῶν ῥωμαίων, πίπτουσι μὲν πεντακισχίλιοι, περὶ δὲ δισχιλίους ἀνέφυγον εἴς τινα λόφον. οἱ δὲ λοιποὶ χίλιοι, σὺν ἀριστοβούλῳ διακόψαντες τὴν φάλαγγα τῶν ῥωμαίων εἰς μαχαιροῦντα συνελαύνονται. ἔνθα δὴ τὴν πρώτην ἑσπέραν ὁ βασιλεὺς τοῖς ἐρειπίοις ἐναυλισάμενος, ἐν ἐλπίσι μὲν ἦν ἄλλην συναθροίσειν δύναμιν, ἀνοχὴν τοῦ πολέμου διδόντος, καὶ τὸ φρούριον κακῶς ὠχύρου. προσπεσόντων δὲ ῥωμαίων, ἐπὶ δύο ἡμέρας ἀντισχὼν ὑπὲρ δύναμιν, ἁλίσκεται, καὶ μετ' ἀντιγόνου τοῦ παιδὸς, ὃς ἀπὸ ῥώμης αὐτῷ συναπέδρα, δεσμώτης ἐπὶ γαβίνιον ἀνήχθη, καὶ ἀπὸ γαβινίου πάλιν εἰς ῥώμην. τοῦτον μὲν οὖν, ἡ σύγκλητος εἷρξε. τὰ τέκνα δ' αὐτοῦ διῆκεν εἰς ἰουδαίαν, γαβινίου δ' ἐπιστολῶν δηλώσαντος, τῇ ἀριστοβούλου γυναικὶ τοῦτο ἀντὶ τῆς παραδόσεως τῶν ἐρυμάτων ὡμολογηκέναι. γαβινίῳ δ' ἐπὶ πάρθους ὡρμημένῳ στρατεύειν γίνεται πτολεμαῖος ἐμπόδιον, ὃς ὑποστρέψας ἀπ' εὐφράτου, κατῆγεν εἰς αἴγυπτον. ἐπιτηδείοις εἰς ἅπαντα χρώμενος κατὰ τὴν στρατείαν, ὑρκανῷ καὶ ἀντιπάτρῳ. καὶ γὰρ χρήματα, καὶ ὅπλα, καὶ σῖτον, καὶ ἐπικούρους, ὁ ἀντίπατρος προσῆγε. καὶ τοὺς ταύτῃ ἰουδαίους φρουροῦντας τὰς κατὰ τὸ πηλούσιον ἐμβολὰς, παρεῖναι γαβίνιον ἔπεισε. τῆς δ' ἄλλης συρίας πρὸς τὸν γαβινίου χωρισμὸν κινηθείσης, καὶ ἰουδαίους πάλιν ἀπέστησεν ἀλέξανδρος ὁ ἀριστοβούλου.

μεγίστην

μεγίστην δὲ συγκροτήσας δύναμιν, ὥρμητο πάντας τοὺς κατὰ τὴν χώραν ῥωμαίους ἀνελεῖν. πρὸς ὃ γαβίνιος δείσας, ἤδη δὲ παρῆν ἀπ' αἰγύπτου τοῖς τῇδε θορύβοις ἠναγκασμένος, ἐπί τινας μὲν τῶν ἀφεστώτων ἀντίπατρον προπέμψας μετέπεισε, συνέμενον δ' ἀλεξάνδρῳ τρεῖς μυριάδες, κἀκεῖνος ὥρμητο πολεμεῖν. οὕτως ἔξεισι πρὸς μάχην, ὑπήντων δ' οἱ ἰουδαῖοι. καὶ συμβαλόντων περὶ τὸ ἰταβύριον ὄρος, μύριοι μὲν ἀναιροῦνται. τὸ δὲ λοιπὸν πλῆθος ἐσκεδάσθη φυγῇ. καὶ γαβίνιος ἐλθὼν εἰς ἱεροσόλυμα, πρὸς τὸ ἀντιπάτρου βούλημα κατεστήσατο τὴν πολιτείαν. ἔνθεν ὁρμήσας, ναβαταίων τε μάχῃ κρατεῖ, καὶ μιθριδάτην καὶ ὀρσάνην φυγόντας ἐκ πάρθων, κρύφα μὲν ἀπέπεμψε, παρὰ δὲ τοῖς στρατιώταις ἔλεγεν ἀποδρᾶναι. κἂν τούτῳ κράσσος αὐτῷ διάδοχος ἐλθὼν, παραλαμβάνει συρίαν. οὗτος εἰς τὴν ἐπὶ πάρθους στρατείαν, τόν τε ἄλλον τὸν ἐν ἱεροσολύμοις ναοῦ χρυσὸν πάντα περιεῖλε, καὶ τὰ δισχίλια τάλαντα ἦρεν, ὧν ἀπέσχετο πομπήϊος. διαβὰς δὲ τὸν εὐφράτην, αὐτός τε ἀπώλετο, καὶ ὁ στρατὸς αὐτοῦ. περὶ ὧν, οὐ νῦν καιρὸς λέγειν. πάρθους δὲ μετὰ τὸν κράσσον ἐπιδιαβαίνειν εἰς συρίαν ὡρμημένους, ἀνέκοπτε κάσσιος εἰς τὴν ἐπαρχίαν διαφυγών. περιποιησάμενος δ' αὐτὴν ἐπὶ ἰουδαίας ἠπείγετο. καὶ ταριχαίας μὲν ἑλὼν, εἰς τρισμυρίους ἰουδαίων ἀνδραποδίζεται. κτείνει δὲ καὶ πειθόλαον, τοὺς ἀριστοβούλου στασιαστὰς ἐπισυνιστάντα. τοῦ φόνου δὲ ἦν σύμβουλος ἀντίπατρος. τούτῳ γήμαντι γυναῖκα τῶν ἐπισήμων ἐξ ἀραβίας κύπριν τοὔνομα, τέσσαρες μὲν υἱεῖς γίγνονται. φασάηλος καὶ ὁ βασιλεὺς αὖθις ἡρώδης, πρὸς οἷς ἰώσηπος καὶ φερώρας, καὶ σαλώμη θυγάτηρ. ἐξοικειούμενος δὲ τοὺς πανταχοῦ δυνατοὺς φιλίαις τε καὶ ξενίαις, μάλιστα προσηγάγετο τὸν ἀράβων βασιλέα, διὰ τὴν ἐπιγαμίαν. κἀπειδὴ τὸν πρὸς ἀριστόβουλον ἀνείλετο πόλεμον, ἐκείνῳ παρακαταθήκην ἔπεμψε τὰ τέκνα. κάσσιος δὲ κατὰ συνθήκας ἡσυχάζειν ἀλέξανδρον ἀναγκάσας ἐπὶ τὸν εὐφράτην ὑπέστρεψε, πάρθους διαβαίνειν ἀνείρξων, περὶ ὧν ἐν ἑτέροις ἐροῦμεν.

Κεφ. ζ.

Καῖσαρ δὲ πομπηΐου καὶ τῆς συγκλήτου φυγόντων πέραν τοῦ ἰόνιον, ῥώμης καὶ τῶν ὅλων κρατήσας, ἀνίησι μὲν τῶν δεσμῶν τὸν ἀριστόβουλον. παραδοὺς δ' αὐτῷ δύο τάγματα, κατὰ τάχος ἔπεμψεν εἰς συρίαν, ταύτην τε ῥᾳδίως ἐλπίσας, καὶ τὰ περὶ τὴν ἰουδαίαν, δι' αὐτοῦ προσάξεσθαι. φθάνει δὲ ὁ φθόνος, καὶ τὴν ἀριστοβούλου προθυμίαν, καὶ τὰς καίσαρος ἐλπίδας. φαρμάκῳ γοῦν ἀναιρεθεὶς ὑπὸ τῶν τὰ πομπηΐου φρονούντων, μέχρι πολλοῦ μὲν οὐδὲ ταφῆς ἐν τῇ πατρῴᾳ μετεῖχεν. ἔκειτο δ' ἐν μέλιτι συντηρούμενος ὁ νεκρὸς αὐτοῦ, ἕως ὑπ' ἀντωνίου ἰουδαίοις ἐπέμφθη, τοῖς βασιλικοῖς μνημείοις ἐνταφησόμενος. ἀναιρεῖται δὲ καὶ ὁ υἱὸς αὐτοῦ ἀλέξανδρος πελέκει ὑπὸ σκηπίωνος ἐν ἀντιοχείᾳ, πομπηΐου τοῦτ' ἐπιστείλαντος, καὶ γενομένης κατηγορίας πρὸ τοῦ βήματος, ὧν ῥωμαίους ἔβλαψε. τοὺς δ' ἀδελφοὺς αὐτοῦ πτολεμαῖος ὁ μινναίου παραλαβὼν, ὃς ἐκράτει τῆς ὑπὸ τῷ λιβάνῳ χαλκίδος, φιλιππίωνα τὸν υἱὸν ἐπ' αὐτοὺς εἰς ἀσκάλωνα πέμπει. κἀκεῖνος ἀποσπάσας τῆς ἀριστοβούλου γυναικὸς ἀντίγονον, καὶ τὰς ἀδελφὰς αὐτοῦ πρὸς τὸν πατέρα ἀνήγαγεν. ἁλοὺς δ' ἔρωτι γαμεῖ τὴν νεωτέραν, καὶ μετὰ ταῦθ' ὑπὸ τοῦ

A & maxima multitudine conflata, Romanos omnes, qui per eam terram degerent obtruncare decreuerat. Quam rem Gabinius metuens (iam enim ex Ægypto redierat) hoc tumultu instante, nonnullis dissidentium præmisso Antipatro concordiam persuasit. Cum Alexandro autem millia triginta remanserant, & ille ad bellum promptus erat. Itaque ad pugnam egreditur. Occurrunt autem Iudæi, & circa montem Itaburium congressi, decem millia B sternuntur: cæteram verò multitudinem fuga dispersit. Et Gabinius ad Hierosolymam reuersus (id enim Antipater voluit) rempub. eius composuit: deinde hinc profectus, Nabathæos pugna superat, & Mithridatem & Orsanem à Parthis perfugas clàm dimittit: eósque militibus aufugisse dixit. Interea Crassus ei successor datus Syriam suscepit. Is in Parthicæ militiæ sumptum, & omne aliud aurum templi quod Hierosolymis erat, C abstulit, & à quibus Pompeius temperauerat, duo millia talentorum. Euphratem verò transgressus & ipse periit & exercitus eius: de quibus non est huius temporis commemorare. Post Crassum autem Parthos in Syriam properantes irruere Cassius inhibuit, receptus in prouinciam. Eius autem fauore quæsito, in Iudæam festinabat: captísque Tarichæis, propè ad tria millia Iudæorum abducit in seruitium. Occidit autem etiam Pitholaum, seditiosos A- D ristobuli colligentem, cuius necis suasor erat Antipater. Huic autem nupta fuit ex Arabia nobilis fœmina nomine Cypris: vnde filios quatuor, Phasaëlum, & regem Herodem, & Iosephum, & Pheroram, & Salomen filiam habebat. Cùm autem omnium, qui vbique potentes essent, amicitiam hospitiis familiaritatéque conquireret, præcipuè regem Arabum per affinitatem sibi sociauit: eiúsque fidei commendans filios suos ad eum misit: quoniam bellum E cum Aristobulo gerendum susceperat. Cassius autẽ cõpulso ad otium per cõditiones Alexandro, ad Euphratem reuersus est, Parthos transitu prohibiturus, de quib. alio loco referemus.

Ant. lib. 14. cap. 13.

CAP. VII. De Aristobuli morte, & bello Antipatri contra Mithridatem.

Ant. lib. 14. cap. 14.

CÆsar autem post senatus & Pompeij fugam trans mare Ionium, rebus omnibus Romáque potitus, solutum vinculis Aristobulum cum duabus cohortibus velociter ad Syriam misit: & hanc facillimè & cuncta Iudææ proxima per illum subiici posse ratus, verùm F & spem Cæsaris, & Aristobuli alacritatẽ præuenit inuidia. Nam veneno peremptus à Pompeij studiosis, aliquandiu etiam sepultura in solo patrio carebat, corpúsque mortui seruabatur melle conditum, donec ab Antonio Iudæis missum est in monumentis regalibus sepeliendum. Occiditur autem Alexander quoque filius eius, à Scipione securi percussus Antiochiæ, secundùm Pompeij literas, accusatione eius pro tribunali priùs habita super his, G quæ in Romanos admiserat. Ptolemæus autem Minnæi filius, qui Chalcidẽ sub Libano tenebat, captis eius fratribus, filiũ suum Philippionẽ, qui eos arcesseret, mittit Ascalonem: atque ille abstractum ab Aristobuli cõiuge Antigonum, eiúsque sorores adducit ad patrem. Amore autem captus, minorem earum coniugio sibi copulat, ob eámque postea causam

Ant. lib. 14. cap. 15.

à patre occiditur. Accepit enim Ptolemæus in matrimonium Alexandram perempto filio: huiúsque affinitatis gratia fratres eius propensiore cura tuebatur. Antipater autem Pompeio mortuo in clientelam Cæsaris se contulit, & quia Mithridates Pergamenus ab accessu Pelusij prohibitus, cum exercitu quem ducebat in Ægyptum, apud Ascalonem morabatur, non solùm Arabas, quamuis hospes esset, auxilium ferre persuasit: verùm & ipse armata Iudæorum tria circiter millia secum mouit. Excitauit autem præsidio Syriæ quoque potentes, & incolam Libani Ptolemæum, & Iamblichum, & Ptolemæum alterum, quorum gratia ciuitates illius regionis alacri animo bellum pariter inchoarunt. Iámque fretus Mithridates auctis propter Antipatrum copiis, Pelusium proficiscitur. Et quia transire vetaretur, ciuitatem obsidebat: Antipater verò in hac oppugnatione clariùs enituit. Effracto enim ex parte sua muro, primus in ciuitatem cum suis insiluit. & Pelusium quidem captum est: vlterius autem eos progredi non sinebant Iudæi Ægyptij, terrarum incolæ, quæ appellantur Oniæ. Quibus tamen Antipater non modò ne obstarent, verumetiam, vt victui necessaria præberent militi, persuasit. Vnde factum est, vt nec Memphitæ ad manus venirent, vltróque sese traderent Mithridati, atque ille Delta iam peragrato pugnam cum cæteris commisit Ægyptiis, in loco cui nomen est Iudæorum Castra: eúmque in acie omni dextro cornu liberauit Antipater, circumgressus fluminis ripam. Læuum enim cornu contra se positum superabat. Facto autem in eos impetu qui Mithridatem persequerentur, multos occidit: támque diu reliquos fugientes agebat, donec etiam castris eorum potitus est, octoginta tantùm de suorum numero amissis. Octingentos autem ferè Mithridates cùm fugeret perdidit. Præter spem verò seruatus ex prælio, vacuus inuidia testis rerum ab Antipatro gestarum fuit apud Cæsarem. Vnde ille tunc quidem Antipatrum spe & laudibus incitatum ad subeunda pro se pericula reddidit promptiorem. In quibus omnibus bellator audacissimus comprobatus est, multáque perpessus vulnera, toto corpore gerebat signa virtutis. Pòst autem quando rebus in Ægypto compositis, ad Syriam rediit, & Romana eum ciuitate simul & immunitate donauit: aliísque rebus honorando, amicissiméque tractando, dignum æmulatione reddidit: eiusdémque gratia etiam pontificatum confirmauit Hyrcano.

Ant. lib. 14 cap. 16.

CAP. VIII. De accusatione Antipatri apud Cæsarem, de pontificatu Hyrcani & Herode bellum mouente.

EOdem verò tempore Antigonus quoque Aristobuli filius cùm venisset ad Cæsarem, maioris præter opinionem felicitatis causam præbuit Antipatro. Nam qui de patris morte queri deberet, propter inimicitias Pompeij veneno, quantum putabatur, perempti, & crudelitatis in fratrẽ accusare Scipionẽ, nullúmq; inuidiæ dolum admiscere miseriis, vltra hæc Hyrcanum & Antipatrum criminabatur, veluti se patrio loco cũ fratribus iniquissimè pellerent, multísque gentem iniuriis afficerent dummodo satiarentur: quódque in Ægyptum

πατρὸς δ' αὐτὴν κτείνεται. γαμεῖ γὰρ Πτολεμαῖος ὁ Μινναίου τὴν Ἀλεξάνδραν, ἀνελὼν τὸν υἱόν, καὶ διὰ τὸν γάμον, κηδεμονικώτερος ἦν πρὸς τοὺς αὐτῆς ἀδελφούς. Ἀντίπατρος δὲ μετὰ τὴν Πομπηΐου τελευτὴν μεταβάς, ἐθεράπευε Καίσαρα. κἀπειδὴ Μιθριδάτης ὁ Περγαμηνός, μεθ' ἧς ἦγεν ἐπ' Αἴγυπτον δυνάμεως εἰργόμενος ὑπὸ τὴν κατὰ τὸ Πηλούσιον ἐμβολήν, ἐν Ἀσκάλωνι κατείχετο, τούς τε Ἄραβας ξένος ὢν ἔπεισεν ἐπικουρῆσαι, καὶ αὐτὸς ἧκεν ἄγων Ἰουδαίων εἰς τρισχιλίους ὁπλίτας. παρώρμησε δὲ καὶ τοὺς ἐν Συρίᾳ δυνατοὺς ἐπὶ τὴν βοήθειαν, τόν τ' ἔποικον τοῦ Λιβάνου Πτολεμαῖον, καὶ Ἰάμβλιχον, δι' οὓς αἱ ταύτῃ πόλεις ἑτοίμως συνεφήψαντο τοῦ πολέμου. καὶ θαρρῶν ἤδη Μιθριδάτης τῇ προσγενομένῃ δι' Ἀντίπατρον ἰσχύϊ, πρὸς τὸ Πηλούσιον ἐξελαύνει, κωλυόμενός τε διεξελθεῖν, ἐπολιόρκει τὴν πόλιν μετὰ τῶν σὺν αὐτῷ. γίνεται δὲ κἀν τῇ προσβολῇ διασημότατος Ἀντίπατρος. τὸ γὰρ καθ' αὐτὸν μέρος τοῦ τείχους διαρρήξας, πρῶτος εἰσεπήδησεν εἰς τὴν πόλιν μετὰ τῶν σὺν αὐτῷ. καὶ Πηλούσιον μὲν ἑάλω, πρόσω δ' αὐτοὺς ἰόντας, εἶργον αὖθις οἱ τὴν Ὀνίου προσαγορευομένην χώραν κατέχοντες. ἦσαν δὲ Ἰουδαῖοι, καὶ Αἰγύπτιοι. τούτους Ἀντίπατρος οὐ μόνον μὴ κωλύειν ἔπεισεν, ἀλλὰ καὶ τὰ ἐπιτήδεια τῇ δυνάμει παρασχεῖν. ὅθεν οὐδ' οἱ κατὰ τὴν Μέμφιν ἔτι εἰς χεῖρας ἦλθον, ἑκούσιοι δὲ προσέθεντο Μιθριδάτῃ. κἀκεῖνος ἤδη τὸ Δέλτα περιελθών, συνέβαλλε τοῖς λοιποῖς Αἰγυπτίοις εἰς μάχην κατὰ χῶρον, ὃς Ἰουδαίων στρατόπεδον καλεῖται. κινδυνεύοντα δὲ αὐτὸν ἐν τῇ παρατάξει σὺν ὅλῳ τῷ δεξιῷ κέρατι, ῥύεται περιελθὼν Ἀντίπατρος παρὰ τὸν αἰγιαλὸν τοῦ ποταμοῦ. τῶν γὰρ καθ' ἑαυτόν, ἐκράτει τὸ λαιὸν ἔχων κέρας. ἔπειτα προσπεσὼν τοῖς διώκουσι Μιθριδάτην, ἀπέκτεινέ τε πολλούς, καὶ μέχρι τοσούτου τοὺς καταλειπομένους ἐδίωξεν, ὡς καὶ τὸ στρατόπεδον αὐτῶν ἑλεῖν. ὀγδοήκοντα δὲ μόνους τῶν ἰδίων ἀπέβαλε, καὶ Μιθριδάτης ἐν τῇ τροπῇ περὶ ὀκτακοσίους. σωθεὶς δ' αὐτὸς παρ' ἐλπίδας, μάρτυς ἀβάσκανος γίνεται πρὸς Καίσαρα, τῶν Ἀντιπάτρου κατορθωμάτων. ὁ δέ, τότε μὲν τὸν ἄνδρα τοῖς ἐπαίνοις, καὶ ταῖς ἐλπίσιν, εἰς τοὺς ὑπὲρ ἑαυτοῦ κινδύνους ἐπέρρωσεν. ἐν οἷς πᾶσι παραβολώτατος ἀγωνιστὴς γενόμενος, καὶ πολλὰ τρωθεὶς καθ' ὅλου σχεδὸν τοῦ σώματος, εἶχε τὰ σημεῖα τῆς ἀρετῆς. αὖθις δὲ καταστησάμενος τὰ κατὰ τὴν Αἴγυπτον, ὡς ἐπανῆκεν εἰς Συρίαν, πολιτείᾳ τε αὐτὸν τῇ Ῥωμαίων ἐτίμησε καὶ ἀτελείᾳ, τῆς τε ἄλλης τιμῆς καὶ φιλοφρονήσεως ἕνεκεν ζηλωτὸν ἐποίησε, καὶ τὴν ἀρχιερωσύνην δι' αὐτὸν ἐπεκύρωσεν Ὑρκανῷ.

Κεφ. η'.

ΚΑτὰ ταῦτα δὲ καὶ Ἀντίγονος ὁ Ἀριστοβούλου πρὸς τὸν Καίσαρα παρελθών, γίνεται παραδόξως Ἀντιπάτρῳ μείζονος προκοπῆς αἴτιος. δέον γοῦν ἀποδύρεσθαι περὶ τοῦ πατρὸς πεφαρμάχθαι δοκοῦντος ἐκ τῆς πρὸς Πομπήϊον διαφορᾶς, καὶ περὶ τἀδελφοῦ τὴν Σκηπίωνος ὠμότητα μέμφεσθαι, καὶ μηδὲν εἰς τὸν ἔλεον παραμίξαι φθονερὸν πάθος, ὁ δ' ἐπὶ τούτοις Ὑρκανοῦ καὶ Ἀντιπάτρου κατηγόρει παρελθών, ὡς παρανομώτατα μὲν αὐτὸν μετὰ τῶν ἀδελφῶν πάσης ἀπελαύνοιεν τῆς πατρίου γῆς, πολλὰ δ' εἰς τὸ ἔθνος αὐτοὶ διὰ κόρον ἐξυβρίζοιεν. καὶ ὅτι τὴν εἰς Αἴγυπτον

συμμα-

συμμαχίαν, οὐκ ἐπ' εὐνοίᾳ αὐτῷ πέμψειαν, ἀλλὰ κατὰ δέος τῆς πάλαι διαφορᾶς, καὶ τὴν πρὸς τὸν πομπήιον φιλίαν ἀποσκευαζόμενοι. πρὸς ταῦθ' ὁ ἀντίπατρος ἀπορρίψας τὴν ἐσθῆτα, τὸ πλῆθος ἐπεδείκνυε τῶν τραυμάτων, καὶ περὶ μὲν τῆς εἰς καίσαρα εὐνοίας, οὐκ ἔφη λόγου δεῖν αὐτῷ, κεκραγέναι γὰρ τὸ σῶμα, σιωπῶντος. ἀντιγόνου δὲ θαυμάζειν τὴν τόλμαν, εἰ πολεμίου ῥωμαίων υἱὸς ὢν, καὶ ῥωμαίων δραπέτου, καὶ τὸ νεωτεροποιὸς εἶναι, καὶ στασιώδης, αὐτὸς πατρῷον ἔχων, παρὰ τῷ ῥωμαίων ἡγεμόνι κατηγορεῖν ἐπικεχείρηκεν ἑτέρων, καὶ πειρᾶται τυχεῖν ἀγαθοῦ τινὸς, δέον ἀγαπᾶν ὅτι ζῇ. καὶ γὰρ νῦν ἐφίεσθαι πραγμάτων οὐ τοσοῦτον δι' ἀπορίαν, ἀλλ' ἵνα ἰουδαίους στασιάσῃ παρελθὼν, καὶ χρήσηται κατὰ τῶν δόντων ταῖς ἀφορμαῖς. τούτων καῖσαρ ἀκούσας, ὑρκανὸν μὲν ἀξιώτερον τῆς ἀρχιερωσύνης ἀπεφήνατο, ἀντιπάτρῳ δὲ δυναστείας αἵρεσιν ἔδωκεν. ὁ δ' ἐπὶ τῷ τιμήσαντι τὸ μέτρον τῆς τιμῆς θέμενος, πάσης ἐπίτροπος ἰουδαίας ἀποδείκνυται, καὶ προσεπιτυγχάνει τὰ τείχη τῆς πατρίδος ἀνακτίσαι κατεστραμμένα. τὰς μὲν δὴ τιμὰς ταύτας, καῖσαρ ἀπέστελλεν ἐν τῷ καπιτωλίῳ χαραχθῆναι, τῆς τε αὐτοῦ δικαιοσύνης σημεῖον, καὶ τῆς τἀνδρὸς ἀρετῆς ἐσόμενον. ἀντίπατρος δὲ καίσαρα προπέμψας ἐκ τῆς συρίας, εἰς ἰουδαίαν ὑπέστρεψεν. καὶ πρῶτον μὲν τὸ τεῖχος ἀνεδείματο τῆς πατρίδος ὑπὸ πομπηίου κατεστραμμένον, καὶ τοὺς ἀνὰ τὴν χώραν θορύβους ἐπιὼν κατέστελλεν, ἀπειλητὴς ἅμα καὶ σύμβουλος ὢν ἑκάστοις, ὅτι τὰ μὲν ὑρκανοῦ φρονοῦντες, ἐν ὄλβῳ, καὶ καθ' ἡσυχίαν βιώσονται, τῶν τε ἰδίων κτημάτων καὶ κοινῆς εἰρήνης ἀπολαύοντες. εἰ δὲ πείθοιντο ταῖς ψυχραῖς ἐλπίσι τῶν νεωτερίζειν ἐπὶ κέρδεσιν οἰκείοις ἐθελόντων, αὐτόν τε πειράσουσιν ἀντὶ κηδεμόνος δεσπότην, καὶ ὑρκανὸν ἀντὶ βασιλέως, τύραννον, ῥωμαίους γε μὴν καὶ καίσαρα, πολεμίους ἀνθ' ἡγεμόνων, καὶ φίλων. οὐ γὰρ ἀνέξεσθαι μετακινούμενον ἐκ τῆς ἀρχῆς, ὃν αὐτοὶ κατέστησαν. ἅμα δὲ ταῦτα λέγων δι' ἑαυτοῦ καθίστατο τὴν χώραν, ὁρῶν τὸν ὑρκανὸν, νωθῆ τε, καὶ βασιλείας ἀτονώτερον. φασάηλον μὲν δὴ τῶν παίδων τὸν πρεσβύτατον, ἱεροσολύμων, καὶ τῶν πέριξ, στρατηγὸν καθίστησι. τὸν δὲ μετ' αὐτὸν ἡρώδην, ἐπὶ τοῖς ἴσοις ἔστειλεν εἰς τὴν γαλιλαίαν κομιδῇ νέον. ὁ δὲ ὢν φύσει δραστήριος, ὕλην εὐθέως εὑρίσκει τῷ φρονήματι. καταλαβὼν οὖν ἐζεκίαν τὸν ἀρχιληστὴν, τὰ προσεχῆ τῇ συρίᾳ κατατρέχοντα μετὰ μεγίστου στίφους, αὐτόν τε συλλαβὼν ἀποκτείνει, καὶ πολλοὺς τῶν λῃστῶν. ὃ δὴ μάλιστα τοῖς σύροις κατώρθωσε κεχαρισμένον. ὑμνεῖτο γοῦν ἀνά τε τὰς κώμας, καὶ ἐν ταῖς πόλεσιν ἡρώδης, ὡς εἰρήνην αὐτοῖς παρέχων, καὶ τὰς κτήσεις ἀνασεσωκώς. γίνεται δ' ἐκ τούτου καὶ σέξτῳ καίσαρι γνώριμος, ὄντι συγγενεῖ τοῦ μεγάλου καίσαρος, καὶ διοικοῦντι τὴν συρίαν. πρὸς δὲ τὸν ἀδελφὸν εὐδοκιμοῦντα, καὶ φασάηλος ἐφιλοτιμεῖτο τὴν ἀγαθὴν ἔριν, τοὺς ἐν τοῖς ἱεροσολύμοις εὐνουστέρους καθιστάμενος, καὶ δι' αὐτοῦ μὲν ἔχων τὴν πόλιν, μηδὲν δ' ἀπειροκάλως εἰς τὴν ἐξουσίαν ἐξυβρίζων. ἔνθεν θεραπεία τε

auxilia ipsi Cæsari non beneuolentia, sed timore veteris discordiæ miserint, & vt amorem Pompeij deprecarentur. Ad hæc Antipater, veste proiecta, multitudinem vulnerum demonstrabat. & qua fide quidem Cæsarem coluisset, verbis non esse opus dixit: nam corpus etiam se tacente clamare: Antigoni autem mirari audaciam, qui cùm hostis Romanorum sit filius, & fugitiui Romanorum, nouatúmque rerum studium votúmque seditiosum patris habeat, apud Romanorum principem alios accusare conetur, boníque aliquid adipisci tentet: quem hoc solum oportere contentum esse quòd viueret. Namque nunc eum non propter inopiam desiderare facultates: sed, vt in eos, qui dedissent, Iudæorum seditiones accenderet. Quæ vbi Cæsar audiuit, Hyrcanum quidem pontificatu digniorem esse pronunciauit: Antipatro autem cuius vellet potestatis detulit optionem. Qui permisso dignitatis modo ipsi, qui daret, Iudææ procurator declaratus est, & præter hoc impetrauit, vt subuersa patriæ mœnia renouare sibi liceret. Et hos quidem honores Cæsar incidendos in Capitolium misit, vt iustitiæ suæ virtutísque signum Antipatri memoriæ traderetur. Antipater verò, vbi de Syria Cæsarem prosecutus est, in Iudæam reuersus, ante omnia patriæ muros à Pompeio dirutos reparabat: omniáque lustrando, ne quid in illis regionibus turbatum esset, nunc interminando, nunc etiam suadendo curabat: vnumquemque admonens, quòd si cum Hyrcano sentirent, in otio atque opulentia victuri essent, fortunísque suis & communi pace potituri: sin spe vana ducerentur eorum, qui priuati quæstus gratia res nouas optarent, se quidem non procuratorem, sed dominum omnium, Hyrcanum verò tyrãnum pro rege, itémque Romanos & Cæsarem hostes pro amicis & rectoribus habituri: nec enim passuros huius potestatem labefactari, quem ipsi regem constituissent. Sed quamuis hæc diceret, tamen etiam per se, quoniam Hyrcanum segniorem videret, neque tam efficacem quàm regni posceret solicitudo, statum prouinciæ componebat. Et Phasaëlum quidem natu maximum filiorum suorum militibus præpositum, Hierosolymæ eiúsque territorio præfecit. Herodem verò ætate posteriorem, nimísque adolescentem, Galilææ destinat, similia curaturum: qui cùm natura strenuus esset, citò materiam vbi animi magnitudinem exerceret, inuenit: captúmque latronum principem Ezechiam, quem prædari maximo agmine continentia Syriæ deprehendit, ipsum alióśque latrones multos interfecit. Eáque res adeo grata fuit Syris, vt per vicos atque oppida caneretur Herodes, veluti per eum pace reddita, & possessionibus restitutis. Ex huius denique operis gloria, Sexto etiam Cæsari propinquo magni Cæsaris, & Syriam tunc administranti est cognitus. Quin & Phasaëlus fratris indolem contentione bona superare certabat, augendo erga se beneuolentiam Hierosolymis habitantium: atque illam quidem ciuitatem possidens, nihil autem contumeliosè per insolentiam potestatis admittens. hinc &

Ant. lib. 14. cap. 16.

Antipater obsequiis regalibus ab ea gente colebatur, & honores ei tanquam rerum domino omnes habebant. Nec tamen ipse propterea minùs fidelis, aut beneuolus Hyrcano fuit. Verùm fieri non potest, vt liuorem quisquam in secundis rebus effugiat. Namque Hyrcanus, quamuis & antea tacitè sua sponte mordebatur adolescentium gloria, maximéq; rebus ab Herode gestis, & crebris nunciis laudes eius per singula facta prædicantibus augerentur: à multis tamen inuidis, qui regias infestare solent, quibúsque Antipatri eiúsq; filiorum probitas officiebat, instigabatur: dicentibus quòd Antipatro & filiis eius rebus traditis, solo contentus & hac potestate vacuo regis nomine sederet. Et quàm diu sic errabit, vt in se reges producat? Nec enim eos vel simulare iam procurationẽ, sed certè esse dominos ipso reiecto: cuius nec mandatis nec epistolis præter Iudæorum legem tantam multitudinem peremisset Herodes: illúmque nisi regnet, sed adhuc priuatus sit, ad iudicium venire debere, rationem tam ipsi regi quàm patriis legibus redditurum, quæ indamnatos occidi non sinerent. His paulatim accendebatur Hyrcanus. Ad extremum autem iracundia prodita, causam dicturũ Herodem iubet accersiri: atque ille & patris monitu, & quòd ei fiduciam res gestæ darent, firmata priùs Galilæa præsidiis, ad regem proficiscitur. Ibat autem cum forti caterua, ne vel derogare videretur Hyrcano, si plures duceret, vel inuidiæ nudus pateret. Sextus autem Cæsar adolescenti metuens, ne quid apud inimicos deprehenso mali fieret, ad Hyrcanum mittit, qui ei manifestè denunciarent, vt homicidij crimine liberaret Herodem. Hyrcanus autem, qui eum diligeret, per se quoq; id cupiens, absolutionem decernit. Atque is inuito rege euasisse ratus, Damascum recessit ad Sextum, nequaquam paratus obedire, si denuò fuisset accitus. Rursúmq; ab improbis irritabatur Hyrcanus, qui dicerent iratum Herodem abiisse, & vt se contra ipsum strueret, properasse. Hæc autem rex verò esse existimás, quid ageret nesciebat: quoniam potentiorem inimicum videbat. Cùm verò à Sexto Cæsare dux militum per Syriam itémque per Samariam declaratus esset Herodes, neque solùm propter gentis fauorem, sed etiam viribus suis terribilis putaretur, in timorem extremum incidit, iamiámque illum contra se credens cum exercitu esse venturum. Neque opinione deceptus est. Namque Herodes intentatæ sibi accusationis iracundia, cõflatam militum multitudinem in Hierosolymam ducebat, vt Hyrcanum regno deponeret. Idque fecisset, ni pariter egressi pater & frater fregissent eius impetum, deprecantes, vt & ipse vindictam minis tantùm, soláque indignatione metiretur: regi autem parceret, sub quo ad hoc potentiæ processisset: ac si propterea quòd in iudicium vocatus esset, indignaretur: quia tamen absolutus est, gratias ageret, neque tristibus quidem paria referret, saluti verò esset ingratus. Quòd si etiam momenta bellorum reputanda viderentur, iniquitatem militiæ consideraret: neque omnino de victoria bene speraret, qui cum rege congressurus esset domestica consuetudine iuncto & de se bene merito, sæuo autem nunquam,

ἦν ἐκ τοῦ ἔθνους βασιλική, καὶ τιμαὶ παρὰ πάντων ὡς δεσπότῃ τῶν ὅλων. οὐ μὴν αὐτὸς τῆς πρὸς ὑρκανὸν εὐνοίας, ἢ πίστεώς τε μετεκίνησεν. ἀμήχανον δ' ἐν εὐπραγίαις φθόνον διαφυγεῖν. ὑρκανὸς γοῦν ἤδη μὲν καὶ καθ' ἑαυτὸν ἡσυχῇ πρὸς τὸ κλέος τῶν νεανίσκων ἐδάκνετο, μάλιστα δ' ἐλύπει τὰ φασαήλου κατορθώματα, καὶ κήρυκες ἐπάλληλοι τῆς καθ' ἕκαστον εὐδοξίας προστρέχοντες. πολλοὶ δὲ τῶν ἐν τοῖς βασιλείοις βασκάνων ἠρέθιζον, οἷς ἢ τὸ τῶν παίδων, ἢ τὸ ἀντιπάτρου σωφρονιστὸν προσίστατο, λέγοντες ὡς ἀντιπάτρῳ καὶ τοῖς υἱοῖς αὐτοῦ παρακεχωρήσας τῶν πραγμάτων καθέζοιτο τοὔνομα μόνον βασιλέως ἔχων ἔρημον ἐξουσίας. καὶ μέχρι πού πλανηθήσεται καθ' ἑαυτοῦ βασιλεῖς ἐπιτρέφων; οὐδὲ γὰρ εἰρωνεύεσθαι τὴν ἐπιτροπὴν αὐτοὺς ἔτι, φανεροὺς δ' εἶναι δεσπότας παρωσαμένους ἐκεῖνον. εἴγε μήτε ἐντολὰς δόντος, μήτε ἐπιστείλαντος αὐτοῦ, τοσούτους παρὰ τὸν ἰουδαίων νόμον ἀνήρηκεν ἡρώδης. ὃν εἰ μὴ βασιλεύς ἐστιν, ἀλλ' ἔτι ἰδιώτης, δεῖν ἐπὶ δίκην ἥκειν, ἀποδώσοντα λόγον αὐτῷ τε καὶ τοῖς πατρίοις νόμοις, οἳ κτείνειν ἀκρίτως οὐκ ἀφιᾶσι. τούτοις κατὰ μικρὸν ὑρκανὸς ἐξεκαίετο. καὶ τὴν ὀργὴν τελευταῖον ἐκρήξας, ἐκάλει κριθησόμενον τὸν ἡρώδην. ὁ δὲ καὶ τοῦ πατρὸς παραινοῦντος, καὶ τῶν πραγμάτων διδόντων παρρησίαν, ᾔει, φρουραῖς διαλαβὼν πρότερον τὴν γαλιλαίαν. ᾔει δὲ, μετὰ καρτεροῦ στίφους, ὡς μήτε καταλύειν δόξειεν ὑρκανὸν ἀθρόαν ἄγων δύναμιν, μήτε γυμνὸς ἐμπέσοι τῷ φθόνῳ. σέξτος δὲ καῖσαρ δείσας περὶ τῷ νεανίᾳ, μή τι παρὰ τοῖς ἐχθροῖς ἀποληφθεὶς πάθῃ, πέμπει πρὸς τὸν ὑρκανὸν τοὺς παραγγελοῦντας διαρρήδην, ἀπολύειν ἡρώδην τῆς φονικῆς δίκης. ὁ δὲ, καὶ ἄλλως ὡρμημένος, ἠγάπα γὰρ ἡρώδην, ἀποψηφίζεται. καὶ ὃς ὑπολαμβάνων ἄκοντος τοῦ βασιλέως διαφυγεῖν, εἰς δαμασκὸν ἀνεχώρησε πρὸς σέξτον, παρασκευαζόμενος οὐδ' αὖθις ὑπακοῦσαι καλοῦντι. καὶ πάλιν οἱ πονηροὶ παρώξυνον ὑρκανὸν, κατ' ὀργὴν τε οἴχεσθαι τὸν ἡρώδην λέγοντες, καὶ παρεσκευασμένον κατ' αὐτοῦ. πιστεύων δ' ὁ βασιλεὺς, οὐκ εἶχεν ὅτι χρὴ δρᾶν, ὡς ἑώρα μείζονα τὸν διάφορον. ἐπεὶ δ' ὑπὸ σέξτου καίσαρος καὶ στρατηγὸς ἀνεδείχθη κοίλης συρίας καὶ σαμαρείας, οὐ μόνον τε κατ' εὔνοιαν τὴν ἐκ τοῦ ἔθνους, ἀλλὰ καὶ δυνάμει φοβερὸς ἦν, εἰς ἔσχατον δέους κατέπεσεν, ὅσον οὔπω προσδοκῶν ἐπ' αὐτὸν ὁρμήσειν μετὰ στρατιᾶς. καὶ οὐ διήμαρτε τῆς οἰήσεως. ὁ γὰρ ἡρώδης κατ' ὀργὴν τῆς περὶ τὴν δίκην ἀπειλῆς στρατιὰν ἀθροίσας, ἐπὶ ἱεροσολύμων ἦγε καταλύσων τὸν ὑρκανόν. κἂν ἔφθη τοῦτο ποιήσας, εἰ μὴ προεξελθόντες ὅ τε πατὴρ καὶ ἀδελφὸς, ἔκλασαν αὐτοῦ τὴν ὁρμὴν, παρακαλοῦντες αὐτὸν ἀπειλῇ καὶ ἀνατάσει μόνῃ μετρῆσαι τὴν ἄμυναν, φείσασθαι δὲ τοῦ βασιλέως, ὑφ' ᾧ μέχρι τοσαύτης δυνάμεως προῆλθε. δεῖν τε εἰ κληθεὶς ἐπὶ δίκην παρώξυνται, καὶ περὶ τῆς ἀφέσεως εὐχαριστεῖν, καὶ μὴ πρὸς μὲν τὸ σκυθρωπὸν ἀπαντᾶν, περὶ δὲ τῆς σωτηρίας ἀχάριστον εἶναι. εἰ δὴ λογιστέον εἴη καὶ πολέμου ῥοπὰς βραβεύεσθαι τῷ θεῷ, πλεῖον εἶναι τῆς στρατιᾶς τὸ ἄδικον. διὸ δὴ καὶ περὶ τῆς νίκης οὐ χρῆναι κατὰ πᾶν εὔελπιν εἶναι, μέλλοντά γε συμβάλλειν βασιλεῖ, καὶ συντρόφῳ, καὶ πολλάκις μὲν εὐεργέτῃ. χαλεπῷ δὲ οὐδέ-

ποτε, πλὴν ὅσον πονηροῖς συμβούλοις χρώμενος, ἐπισείσειεν αὐτῷ σκιὰν ἀδικήματος. πείθεται δὲ τούτοις Ἡρώδης ὑπολαβὼν εἰς τὰς ἐλπίδας αὔταρκες εἶναι, καὶ τὸ τῆς ἰσχύος ἐπιδείξασθαι τῷ ἔθνει. κἂν τούτῳ γίνεται περὶ Ἀπάμειαν ταραχὴ Ῥωμαίων, καὶ πόλεμος ἐμφύλιος, Κεκιλλίου μὲν Βάσσου διὰ τὴν εἰς Πομπήϊον εὔνοιαν, δολοφονήσαντος Σέξτον Καίσαρα, καὶ τὴν ἐκείνου δύναμιν παραλαβόντος, τῶν δ᾽ ἄλλων Καίσαρος στρατηγῶν, ἐπὶ τιμωρίᾳ τοῦ φόνου Βάσσῳ συμβαλόντων μετὰ πάσης τῆς δυνάμεως, οἷς καὶ διὰ τὸν ᾑρημένον, καὶ διὰ τὸν περιόντα Καίσαρα, φίλους ὄντας ἀμφοτέροις ὁ Ἀντίπατρος διὰ τῶν παίδων ἔπεμψε συμμαχίαν. μηκυνομένου δὲ τοῦ πολέμου, Μάρκος μὲν ἀπὸ τῆς Ἰταλίας, Σέξτου παραγίνεται διάδοχος.

Κεφ. θ.

Συνίσταται δὲ Ῥωμαίοις κατὰ τὸν τότε καιρὸν ὁ μέγας πόλεμος, Κασσίου καὶ Βρούτου ἄφνω κτεινάντων δόλῳ Καίσαρα κατασχόντα τὴν ἀρχὴν ἐπ᾽ ἔτη τρία καὶ μῆνας ἑπτά. μεγίστου δὲ ἐπὶ τῷ φόνῳ γενομένου κινήματος, καὶ διαστασιασθέντων τῶν δυνατῶν, ἕκαστος ἐλπίσιν οἰκείαις ἐχώρει, πρὸς ὃ συμφέρειν ὑπελάμβανε. καὶ δὴ ἧκε Κάσσιος εἰς Συρίαν, καταληψόμενος τὰς περὶ Ἀπάμειαν δυνάμεις. ἔνθα Βάσσῳ τε Μάρκον, καὶ τὰ διεστῶτα τάγματα διαλλάξας, ἠλευθέρωσε μὲν Ἀπάμειαν τῆς πολιορκίας, ἡγούμενος δ᾽ αὐτὸς τῆς στρατιᾶς ἐπῄει φορολογῶν τὰς πόλεις, καὶ παρὰ δύναμιν τὰς εἰσπράξεις ποιούμενος. κελευσθὲν δὲ καὶ Ἰουδαίοις εἰσενεγκεῖν ἑπτακόσια τάλαντα, δείσας Ἀντίπατρος τὴν ἀπειλὴν τοῦ Κασσίου, τοῖς τε υἱοῖς διεῖλεν εἰσπράττειν τὰ χρήματα, καί τισιν ἄλλοις τῶν ἐπιτηδείων κατὰ τάχος, ἐν οἷς καὶ Μαλίχῳ τινὶ τῶν διαφόρων. οὕτως ἤπειγεν ἡ ἀνάγκη. πρῶτος δ᾽ ἀπεμειλίξατο Κάσσιον Ἡρώδης, τὴν ἑαυτοῦ μοῖραν ἐκ τῆς Γαλιλαίας κομίσας ἑκατὸν τάλαντα, καὶ διὰ τοῦτο ἐν τοῖς μάλιστα φίλος ἦν. τοὺς δὲ λοιποὺς εἰς βραδυτῆτα κακίσας, αὐταῖς ἐθυμοῦτο ταῖς πόλεσι. Γόφναν γοῦν, καὶ Ἀμμαοῦν, καὶ δύο ἑτέρας τῶν ταπεινοτέρων ἐξανδραποδισάμενος, ἐχώρει μὲν ὡς καὶ Μάλιχον ἀναιρήσων, ὅτι μὴ σπεύσας εἰσέπραξεν. ἐπέσχε δὲ τήν τε τούτου, καὶ τῶν ἄλλων πόλεων ἀπώλειαν Ἀντίπατρος, ταχέως ἑκατὸν ταλάντοις θεραπεύσας Κάσσιον. οὐ μὴν Μάλιχος ἀναχωρήσαντος Κασσίου, τῆς χάριτος ἐπεμνημόνευεν Ἀντιπάτρῳ, κατὰ δὲ τοῦ πολλάκις σωτῆρος ἐπιβουλὴν ἀνεσκευάζετο, σπεύδων ἀνελεῖν τὸν ἐμπόδιον αὐτοῦ τοῖς ἀδικήμασιν ὄντα. Ἀντίπατρος δὲ τήν τε ἰσχὺν καὶ τὸ πανοῦργον τἀνδρὸς ὑποδείσας, διαβαίνει τὸν Ἰορδάνην, στρατὸν ἀθροίσων εἰς τὴν τῆς ἐπιβουλῆς ἄμυναν. φωραθεὶς δὲ Μάλιχος, ἀναιδείᾳ τῶν Ἀντιπάτρου παίδων περιγίνεται. τόν τε γὰρ Ἱεροσολύμων φρουρὸν Φασάηλον, καὶ Ἡρώδην πεπιστευμένον τὰ ὅπλα, πολλαῖς ἀπολογίαις καὶ ὅρκοις ἐκγοητεύσας, διαλλακτὰς αὐτῷ πρὸς τὸν πατέρα πείθει γενέσθαι. πάλιν γοῦν ὑπ᾽ Ἀντιπάτρου σώζεται πείσαντος Μάρκον τὸν τότε στρατηγοῦντα Συρίας, ὃς ὥρμητο κτεῖναι Μάλιχον, ἐφ᾽ οἷς ἐνεωτέριζε. συστάντος δὲ τοῦ πρὸς Κάσσιον καὶ Βροῦτον πολέμου, Καίσαρί τε τῷ νέῳ καὶ Ἀντωνίῳ, Κάσσιος καὶ Μάρκος στρατιὰν ἀθροίσαντες ἐκ τῆς Συρίας, ἐπειδὴ μέγα μέρος εἰς τὰς χρείας Ἡρώδης ἔδοξε συμβεβλῆσθαι, τότε μὲν αὐτὸν Συρίας ἁπάσης ἐπιμελητὴν καθιστᾶσι, δύναμιν πεζήν τε καὶ ἱππικὴν δόντες.

A nisi quòd maleuolorum consiliis impulsus, vmbram ei tantùm iniquitatis intentasset. Paruit his Herodes, qui speratis putauerat posse sufficere, suásque vires demonstrare nationi. Et inter hæc discordia Romanorum circa Apamiam bellúmque domesticum oritur: quoniā Cæcilius Bassus fauore Pompeij Sextum Cæsarem dolo necauerat, eiúsque militem occupauerat. Alij verò Cæsaris duces, mortis eius vlciscendæ gratia, cunctis viribus Bassum B petebant. Quibus tam interempti quàm superstitis Cæsaris causa, quòd ambobus esset amicus, Antipater per filios suos misit auxilia. Cū autem bellum traheretur, ex Italia successor ante dicti Sexti venit Marcus.

Cap. IX. De Romanorum dissidiis post mortē Cæsaris & insidiis Malichi. *Ant. lib. 14. cap. 20.*

EOdem tempore magnum bellum inter Romanos conflatur, dolo Cassij & Bruti Cæsare interfecto, postquam triennium septémque menses tenuit principatum. Maximo autem motu cædis eius gratia concitato, & C optimatibus inter se dissidentibus: propria spe quisque ducebatur ad id quod existimabat esse commodius. Itaque Cassius Syriam petit, occupaturus militem, qui Apamiam circumsidebat: vbi & Marcum & dissidentes cohortes Basso conciliauit, simúlque obsidione liberauit Apamiam. Ipse verò exercitum ducens stipendium ciuitatibus indicebat: nec modus erat exactionum. Cùm autem Iudæos quoque septingenta talenta iussisset conferre, minas D eius veritus Antipater filiis suis & aliis amicis maturè pecuniæ cogendæ curam distribuit: & inter eos Malicho cuidam ex amicis: adeò necessitas vrgebat: Primus autem Herodes Cassij fauorem promeruit, qui ex Galilęa parte sua, talenta centum attulit, proptereáque inter eximios amicos numerabatur. At verò cęteros tarditatis arguens Cassius, ipsis ciuitatibus irascebatur. Eóq; Gophnam & Ammauntē, & duas alias ciuitates ex vilioribus depopu- E latus, ibat quidē quasi Malichū interfecturus, quod remissior in exigendo fuisset. Verùm & huius & cæterarū ciuitatum interitum repressit Antipater, centum ilicò talentis Cassio delinito. Nequaquam tamen Malichus post abitum Cassij, beneficiorum Antipatri memor fuit. Sed illi ipsi, quem sæpenumero memorabat sui seruatorem fuisse, periculum moliebatur, iniquitatis suæ impedimentum abolere festinans. Itaque Antipater & vires F eius & calliditatem metuens, flumen transit Iordanem, ad vlciscendas insidias collecturus exercitum. Deprehensus autem Malichus Antipatri filios impudentia superat. Nam & Phasaelum apud Hierosolymam præsidiis appositum, & Herodem, qui custodiam curabat armorum multis excusationibus & sacramentis circumuentos impellit, vt ipsis intercedentibus reconciliaretur Antipatro: atque ita denuò per Antipatrum exorato Marco, tunc G in Syria militem regente, seruatus est: qui Malichum statuerat occidere, quòd nouis rebus studuisset. Cæsare verò adolescente & Antonio cum Bruto & Cassio bellum gerentibus, Marcus & Cassius exercitu de Syria conflato, quòd magnū momētū, vbi vs° poposcit, Herodes fuisset, ipsū quidē totius Syrię procuratorē perficiūt, equitū illi manu peditūq; attributa:

si autem bellum desiisset, regnum quoque Iudææ Cassius se eidem delaturum esse pollicitus est. Euenit autem, vt Antipatro & spes & fortitudo filij, causa mortis fieret. Horũ enim metu Malichus, ministro quodam regio pecunia corrupto, mixtum ei veneno poculum dari persuadet. Atque ille quidem iniustitiæ Malichi præmium fuit post conuiuium mortuus; vir & aliàs strenuus rebúsque administrandis idoneus, & qui regnum recuperatum conseruasset Hyrcano. Malichus autem infensum propter suspicionem veneni populum, negando placabat: simúlque, vt validior esset, armatorum sibi copias conquirebat. Nec enim Herodem cessaturum arbitrabatur, quinetiam mox cum exercitu necis paternæ vltor adueniret. Sed Phasaëli fratris consilio, qui eum palàm minimè persequendum esse dicebat, ne vulgi seditio concitaretur, & purgantem se tunc Malichum patienter admisit, & suspicione liberum esse concedens, clarissimas paterno funeri celebrauit exequias. Conuersus autem in Samariam, & ciuitatem composuit seditione turbatam, pérque dies festos in Hierosolymam remeabat, præmissis ac comitantibus armatis: cui Hyrcanus, ita suadente ob metum Malicho, denunciat, ne alienigenas superinducat indigenis festum purè castéque celebrantibus. Herodes autem, & ipso qui præceperat, causáque contempta, nocte ingressus est. Iterúmq; Malichus ad eum veniens, Antipatrum flebat. Contráque ille se falli, cùm vix animi dolorem premeret, simulabat: & tamen de nece patris apud Cassium per epistolas questus est, cui propterea Malichus inuisus erat. Itaque non modò, vt mortem patris vlcisceretur, ei rescripsit: sed etiam tribunis quibus præerat, vt in causa iusta Herodi opem ferrent, occultè præcepit. Et quoniam capta Laodicia, vndique ad Herodem conuenerant optimates cum muneribus & coronis, ipse quidem hoc vltioni tempus destinauerat. Malichus autem id Tyri fore suspicabatur: & filium suum tunc apud Tyrios obsidem, statuit subducere, & ipse in Iudæam fugam parabat. Salutis autem desperatio stimulabat, vt etiam maiora cogitaret: nam & Iudæorum gentem contra Romanos excitaturum se credidit, dum bello aduersus Antonium Cassius occupabatur, deiectóque Hyrcano facilimè regnaturum. Sed profectò irridebat eius spem fatale decretum. Etenim quò intenderet animum suspicatus Herodes, & ipsum & Hyrcanum ad cœnam vocat. Deinde seruorũ quendam instruendi conuiuij specie mittit. Sed res erat, vt tribunis prædiceret ad insidias egredi: atque illi præceptorum Cassij memores, ad littus ciuitati proximum armati gladiis occurrunt, ibíque circumseptum Malichum multis vulneribus interficiunt. Hyrcanus autem statim concidit stupore dissolutus: vixque anima recepta, Herodem percontabatur quis Malichum occidisset. Et cùm è tribunis vnus respondisset, Cassij præceptum: planè, inquit, & me & patriam meam Cassius seruat incolumem: qui amborum insidiatorem peremit. Vtrum autem ex animo dixerit, an quòd timore factum probaret, incertum est. Sed enim Malichum hoc modo vltus est Herodes.

μετὰ δὲ τὴν τοῦ πολέμου κατάλυσιν ἀποδείξειν κάσσιος ὑπέσχετο καὶ ἰουδαίας βασιλέα. συνέβη δ' ἀντιπάτρῳ, τήν τε ἰσχὺν τοῦ παιδὸς, καὶ τὴν ἐλπίδα αἰτίαν ἀπωλείας γενέσθαι. ταῦτα γὰρ δείσας ὁ μάλιχος, διαφθείρει τινὰ τῶν βασιλικῶν οἰνοχόων χρήμασι, δοῦναι φάρμακον ἀντιπάτρῳ. καὶ ὁ μὲν, ἀγώνισμα τῆς μαλίχου παρανομίας γενόμενος, μετὰ τὸ συμπόσιον θνήσκει, τά τε ἄλλα δραστήριος ἀνὴρ ἐν ἀφηγήσει πραγμάτων, καὶ τὴν ἀρχὴν ἀνακτησάμενός τε ὑρκανῷ, καὶ διαφυλάξας. μάλιχος δὲ καθ' ὑπόνοιαν τῆς φαρμακείας ὀργιζόμενον τὸ πλῆθος, ἀρνούμενος ἔπειθεν. καὶ δυνατώτερον ἑαυτὸν κατεσκεύαζεν, ὁπλίτας συγκροτῶν. οὐ γὰρ ἠρεμήσειν ἡρώδην ὑπελάμβανεν. ὃς δὴ καὶ παρῆν αὐτίκα στρατὸν ἄγων ἐπὶ τιμωρίᾳ τοῦ πατρός. φασαήλου δὲ τοῦ ἀδελφοῦ συμβουλεύσαντος αὐτῷ, μὴ φανερῶς τὸν ἄνδρα μετιέναι, διαστασιάζειν γὰρ τὸ πλῆθος, τότε μὲν ἀπολογούμενόν τε προσίεται τὸν μάλιχον, καὶ τῆς ὑπονοίας ἀπολύειν ὡμολόγει. λαμπρὰν δὲ πομπὴν ἐπὶ τῷ πατρὶ κηδείας ἐτέλεσεν. τραπεὶς δ' ἐπὶ σαμάρειαν, στάσει τεταραγμένην, κατεστήσατο τὴν πόλιν. ἔπειτα καθ' ἑορτὴν ὑπέστρεφεν εἰς ἱεροσόλυμα, τοὺς ὁπλίτας ἄγων καὶ πέμπων. ὑρκανὸς δὲ, ἐνῆγε γὰρ δεδοικὼς τὴν ἔφοδον μάλιχος, ἐκώλυε τοὺς ἀλλοφύλους εἰσαγαγεῖν, ἐφ' ἁγνεύοντας τοὺς ἐπιχωρίους. ὁ δὲ τῆς προφάσεως καταφρονήσας, καὶ τοῦ προστάσσοντος, εἰσέρχεται διὰ νυκτός. καὶ πάλιν μάλιχος προσιὼν, ἔκλαιεν ἀντίπατρον. ἀνθυπεκρίνετο δὲ μόλις ἡρώδης τὸν θυμὸν ἐπέχων, καὶ κασσίῳ δι' ἐπιστολῶν τὴν τοῦ πατρὸς ἀναίρεσιν ἀπωδύρετο, καὶ ἄλλως μισοῦντι μάλιχον. ὁ δ' αὐτῷ μετιέναι τὸν φονέα τοῦ πατρὸς ἀντεπιστείλας, καὶ τοῖς ὑφ' ἑαυτὸν χιλιάρχοις λάθρα προσέταξεν ἡρώδῃ βοηθεῖν εἰς πρᾶξιν δικαίαν. κἀπειδὴ λαοδίκειαν ἑλόντος αὐτοῦ συνῄεσαν οἱ πανταχόθεν δυνατοὶ, δωρεάς τε, καὶ στεφάνους φέροντες, ἡρώδης μὲν τοῦτον τῇ τιμωρίᾳ τὸν καιρὸν ἀφώρισε. μάλιχος δ' ὑποπτεύσας, ὡς ἐν τύρῳ γίνεται, τόν τε υἱὸν ὁμηρεύοντα παρὰ τοῖς τυρίοις ὑπεξαγαγεῖν ἔγνω λάθρα, καὶ αὐτὸς εἰς τὴν ἰουδαίαν ἀποδρᾶναι παρεσκευάζετο. παρώξυνε δ' αὐτὸν ἡ τῆς σωτηρίας ἀπόγνωσις, ἐνθυμεῖσθαι τὰ μείζονα. τότε γὰρ ἔθνος ἐπαναστήσειν ῥωμαίοις ἤλπισε, κασσίου τῷ πρὸς ἀντώνιον πολέμῳ περισπωμένου, καὶ βασιλεύσειν αὐτὸς, ὑρκανὸν καταλύσας ῥᾳδίως. ἐπεγέλα δ' ἄρα τὸ χρεὼν αὐτοῦ ταῖς ἐλπίσιν. ὁ γοῦν ἡρώδης προειδόμενος αὐτοῦ τὴν ὁρμὴν, τόν τε ὑρκανὸν, κἀκεῖνον ἐπὶ δεῖπνον καλεῖ. παρεστῶτα δ' ἔπειτα τῶν οἰκετῶν τινὰ πρὸς ἑαυτὸν καλέσας, ἐξέπεμψεν ὡς ἐπὶ τὴν τοῦ δείπνου παρασκευὴν, τῷ δὲ ὄντι προειπεῖν τοῖς χιλιάρχοις ἐξελθεῖν ἐπὶ τὴν ἐνέδραν. κἀκεῖνοι τῶν κασσίου προσταγμάτων ἀναμνησθέντες ἐπὶ τὸν πρὸ τῆς πόλεως αἰγιαλὸν ἐξῄεσαν ξιφήρεις. ἔνθα περιστάντες τὸν μάλιχον, πολλοῖς τραύμασιν ἀναιροῦσιν. ὑρκανὸς δὲ παραχρῆμα μὲν ἐκλυθεὶς ὑπ' ἐκπλήξεως ἔπεσε, μόλις δ' ἀνενεγκὼν, ἡρώδην διηρώτα τίς ὁ κτείνας εἴη μάλιχον. ἀποκριναμένου δέ τινος τῶν χιλιάρχων τοῦ κασσίου πρόσταγμα, κάσσιος ἄρα ἔφη, κἀμὲ καὶ τὴν πατρίδα μου σώζει, τὸν ἀμφοτέρων ἐπίβουλον ἀνελών. εἴτε δὲ φρονῶν ὑρκανὸς οὕτως, εἴθ' ὑπὸ δέους ὁμόσε τῇ γε πράξει χωρῶν εἶπεν, ἄδηλον ἦν. ἀλλὰ γὰρ μάλιχον μὲν οὕτως ἡρώδης μετῆλθεν.

Κεφ. ι.

Κασίου δὲ ἀναχωρήσαντος ἐκ τῆς συρίας, πάλιν στάσις ἐν ἱεροσολύμοις γίνεται, ἕλικος μετὰ στρατιᾶς ἐπαναστάντος φασαήλῳ, καὶ κατὰ τὴν ὑπὲρ μαλίχου τιμωρίαν ἀμύνεσθαι θέλοντος ἡρώδην εἰς τὸν ἀδελφόν. ἡρώδης δὲ ἔτυχε μὲν ὢν παρὰ φαβίῳ τῷ στρατηγῷ κατὰ δαμασκόν, ὡρμημένος δὲ βοηθεῖν, ὑπὸ νόσου κατείχετο. κἀν τούτῳ φασάηλος καθ' ἑαυτὸν ἕλικος περιγενόμενος, ὑρκανὸν ὠνείδιζεν εἰς ἀχαριστίαν, ὧν τε ἕλικι συμπράξειε, καὶ ὅτι περιορῴη τὸν ἀδελφὸν τὸν μαλίχου τὰ φρούρια καταλαμβάνοντα. πολλὰ γὰρ ἤδη κατείληπτο, καὶ τὸ πάντων ὀχυρώτατον μάσαδα. οὐ μὴν αὐτῷ τι πρὸς τὴν ἡρώδου βίαν ἤρκεσεν, ὃς ἀναρρωσθεὶς, τά τε ἄλλα παραλαμβάνει, κἀκεῖνον ἐκ τῆς μασάδας ἱκέτην ἀφῆκεν· ἐξήλασε δὲ καὶ ἐκ τῆς γαλιλαίας, μαρίωνα τὸν τυρίων τύραννον ἤδη τρία κατεσχηκότα τῶν ἐρυμάτων. τοὺς δὲ ληφθέντας τυρίους, ἔσωσε μὲν πάντας, ἔστι δ' οὓς καὶ δωρησάμενος ἀπέπεμψεν, εὔνοιαν ἑαυτῷ παρὰ τῆς πόλεως, καὶ τῷ τυράννῳ μῖσος παρασκευαζόμενος. ὁ δὲ μαρίων, ἠξίωτο μὲν τῆς τυραννίδος ὑπὸ κασίου, τυραννίσι πᾶσαν διαλαβόντος τὴν συρίαν. κατὰ δὲ τὸ πρὸς ἡρώδην ἔχθος, συνελάβεν ἀντιγόνῳ τῷ ἀριστοβούλου, καὶ τὸ πλέον διὰ φάβιον, ὃν ἀντίγονος χρήμασι προσποιησάμενος, βοηθὸν εἶχε τῆς καθόδου. χορηγὸς δ' ἦν ἁπάντων ὁ κηδεστὴς πτολεμαῖος ἀντιγόνῳ, πρὸς τούτοις ἡρώδης ἀντιταξάμενος ἐπὶ τῶν ἐμβολῶν τῆς ἰουδαίας, κρατεῖ τῇ μάχῃ, καὶ τὸν ἀντίγονον ἐξελάσας, ὑπέστρεψεν εἰς ἱεροσόλυμα πᾶσιν ἀγαπητὸς ὢν ἐπὶ τῷ κατορθώματι. καὶ γὰρ οἱ μὴ προσέχοντες πάλαι, τότε ᾠκειοῦντο διὰ τὴν πρὸς ὑρκανὸν ἐπιγαμίαν αὐτῷ. πρότερον μὲν γὰρ ἦκτο γυναῖκα τῶν ἐπιχωρίων, οὐκ ἄσημον, δωρὶς ἐκαλεῖτο, ἐξ ἧς ἐγέννησεν ἀντίπατρον. τότε δὲ γήμας τὴν ἀλεξάνδρου τοῦ ἀριστοβούλου θυγατέρα, θυγατριδῆν τε ὑρκανοῦ μαριάμμην, οἰκεῖος τῷ βασιλεῖ γίνεται. ἐπεὶ δὲ κάσιον περὶ φιλίππους ἀνελόντες ἀνεχώρησαν, εἰς μὲν ἰταλίαν καῖσαρ, ἐπὶ δὲ τὴν ἀσίαν ἀντώνιος, πρεσβευομένων τῶν ἄλλων πόλεων πρὸς ἀντώνιον εἰς βιθυνίαν, ἧκον καὶ ἰουδαίων οἱ δυνατοί, κατηγοροῦντες φασαήλου τε καὶ ἡρώδου, βίᾳ μὲν αὐτοὺς κρατεῖν τῶν πραγμάτων, ὄνομα δὲ μόνον περιεῖναι ὑρκανῷ τίμιον. πρὸς ἃ παρὼν ἡρώδης, καὶ τεθεραπευκὼς οὐκ ὀλίγοις ἀντώνιον χρήμασιν οὕτω διέθηκεν, ὡς μηδὲ λόγου τῶν ἐχθρῶν ἀνέχεσθαι. καὶ τότε μὲν οὕτω διεζύγησαν. αὖθις δὲ οἱ ἐν τέλει ἰουδαίων ἑκατὸν ἄνδρες ἧκον εἰς τὴν πρὸς ἀντιοχείαν δάφνην ἐπ' ἀντώνιον, ἤδη τῷ κλεοπάτρας ἔρωτι δεδουλωμένον. οἱ προστησάμενοι τοὺς ἀξιώματι καὶ λόγῳ σφῶν δυνατωτάτους κατηγόρουν τῶν ἀδελφῶν. ὑπήντα δὲ μεσσαλᾶς ἀπολογούμενος, συμπαρεστῶτος ὑρκανοῦ διὰ τὸ κῆδος. καὶ ἀντώνιος ἀκούσας ἑκατέρων, ὑρκανοῦ διεπυνθάνετο τοὺς ἐπιτηδειοτέρους ὄντας ἄρχειν. τοῦ δὲ, τοὺς περὶ τὸν ἡρώδην προκρίναντος, ἡσθεὶς, ἦν γὰρ ἤδη καὶ ξένος αὐτοῖς πατρῷος δεχθεὶς ὑπὸ ἀντιπάτρου φιλοφρόνως ὅτε εἰς τὴν ἰουδαίαν σὺν γαβινίῳ παρέβαλε, τετράρχας ἀποδείκνυσι τοὺς ἀδελφοὺς, πᾶσαν διοικεῖν τὴν ἰουδαίαν ἐπιτρέπων. προσαγανακτούντων δὲ τῶν πρέσβεων, πεντεκαίδεκα μὲν

CAP. X. De Herode accusato & vindicato. *Ant. lib. 14. cap. 20.*

A Postquam verò Cassius excessit è Syria, iterum Hierosolymis orta seditio est, cùm Felix in Phasaelum mouisset exercitum & in Herodem, fratris pœna vellet necem Malichi vindicare. Casu autem Herodes cum Fabio Romano duce apud Damascum habitabat: & ne cupiens auxilio foret, morbo impediebatur. Interea Phasaelus etiam sine cuiusquam auxilio superauit Felicē: probrúmque ingrati obiiciebat Hyrcano, qui & Felici B studuisset, fratrémq; Malichi castella occupare permisisset. Iā enim multa tenuerat, omniúmque tutissimum Massadam. Nec tamen ei quicquam contra vim Herodis potuit sufficere, qui mox, vt conualuit, & alia recepit, & illum ex Massada supplicem dimisit, & Marionem Tyriorum tyrannum ex Galilæa pepulit: tria enim castella possederat: Tyriisque quos ceperat, vitam concessit omnibus: nonnullos etiam donatos abire iussit, vnà & sibi ciuitatis C beneuolentiam, & tyranno comparans odium. Marion autem à Cassio quidem meruerat tyrannidem, qui tot Syriæ tyrannos præfecerat: sed ob Herodis inimicitias etiam Antigonum Aristobuli secū ducebat, & Ptolemæū; propter Fabium, quem Antigonus sibi pecunia sociatum, adiutorem incepti habebat. Cuncta verò socer Ptolemæus Antigono subministrabat. Contra quos Herodes instructus, in aditu Iudææ commisso prælio, victoria D potitur: fugatóque Antigono, redit in Hierosolymam, pro merito gestæ rei omnibus carus, vt etiam quibus antea despectus erat, tunc in eius familiaritatem sese dederint, propter Hyrcani affinitatem. Namque is Herodes iampridem ex indigenis habuerat vxorem non ignobilem, quæ Doris vocabatur, & Antipatrum ex ea susceperat filium. Tunc autem duxerat Alexandri, cuius pater fuit Aristobulus, filiam Mariamnem, Hyrcani neptem ex E filia, atque inde regi familiaris erat. Sed vbi Cassio circa Philippos interfecto, Cæsar in Italiam, & Antonius in Asiam discesserunt: legatis ab aliis ciuitatibus ad Antonium missis in Bithyniam: etiam Iudæorum optimates accusatum veniunt Phasaelum & Herodem: quòd illis rerum summam vi possidentibus, nomen tantùm honorabile superesset Hyrcano. Ad quæ Herodes, qui præsto erat magna pecunia placatū sic Antonium F affecit, vt ne verbum quidē inimicorū eius pateretur audire. Et tunc quidem ita digressi sunt. Quum autem denuò Iudęorum primates centum viri, Antiochiæ proximam Daphnen ad Antonium venissent, amori Cleopatræ iam seruientem, delecti à cæteris, qui eloquentia & dignitate præstabāt, aduersus fratres accusationē proponūt. Respōdebat autē Messala, causę defensor, astante etiā propter affinitatē Hyrcano. Auditis deinde vtrisq; partibus, Antonius G percontabatur Hyrcanum, quinam essent regendis rebus aptissimi. Cúmque is Herodem, eiúsque fratres aliis prætulisset, voluptate repletus (nam & hospes eorum paternus erat, humanissiméque ab Antipatro susceptus, eo tempore quo in Iudæam cum Gabinio venerat) tetrarchas ambos declarat, totius eis Iudææ procuratione permissa. Legatis autem id ægrè ferentibus, quindecim eorum

Ant. lib. 14. cap. 21.

correptos, carceri tradidit, quos etiam penè occidit. Cæteros autem reiecit cum iniuria: vnde maior tumultus Hierosolymis excitatus est. Denique mille legati iterum Tyrum missi sunt, vbi cōmorabatur Antonius in Hierosolymam paratus irruere. Et contra eos vociferantes, magistratus Tyriorum directus est, data ei licentia, vt quos comprehendisset, occideret: præceptóque vt eorum potestatem confirmare curaret, qui tetrarchæ ipsius essent Antonij suffragio constituti. Ante hæc autem Herodes vsque ad littus cum Hyrcano progressus, multis eos admonebat, ne & sibi interitus, & patriæ belli causa fierent, dum inconsideratè contendunt. Illis autem tanto magis id indignè ferentibus, Antonius missis armatis, multos occidit, multos etiam vulnerauit. quorum & saucios cura, & mortuos sepultura Hyrcanus dignatus est. Non tamen ideò qui effugerant quiescebant: perturbando enim ciuitatem, Antonium irritabant, vt etiam quos in vinculis haberet, occideret.

Cap. XI. De bello Parthorum contra Iudæos & fuga Herodis ac fortuna. *Ant. li. 14. cap. 22.*

Barzapharne autem Parthorum satrapa Syriam biennio pòst cum regis filio Pacoro detinente, Lysanias patris sui mortui successor Ptolemæi Minnæi filij, mille satrapæ talenta pollicitus, & mulieres quingentas, ei persuadet vt Antigonum in regnum inducerent, Hyrcanúmque deponerent. Impulsus igitur ab eo Pacorus, ipse quidem per maritima loca perrexit, Barzapharnem autem itinere mediterraneo iussit irrumpere. Sed maritimorum Tyrij Pacorum excluserunt, cùm Ptolemaidéses eum & Sidonij recepissent. Ille autem quendam regium pincernam, cognominem suum, equitatus ei parte attributa, ad Iudæam iussit accedere, & exploraturum hostium consilium, & vbi vsus exegisset, præsidio futurū Antigono. quibus Carmelum populantibus, multi Iudæi vltro ad Antigonum confluunt, ad expeditionem alacriter animati. Ille autem ad locū qui Drymos dicitur, occupandum eos præmittit: vbi commissa pugna, depulsisque hostibus & effugatis, Hierosolymam cursu petebant: auctique multitudine, vsque ad regiam processerunt. Excepti autem ab Hyrcano & Phasaelo, forti acie in foro confligunt. Ibique hostes in fugam versos pars Herodis in fanum concludit: custodésque his sexaginta viros apponit, per ędes proximas collocatos. Sed hos quidem infensus fratribus populus, igne consumit. Herodes autem iracundia peremptorum congressus cum populo, multos obtruncat: inque dies singulos inuicem sese per insidias incursantibus, assiduæ cædes erant. Instante verò die festo, qui Pentecoste vocatur, omnia circa templum, totáque ciuitas plebe rustica repleta est, & pleraque armata. Et Phasaelus quidem muros, Herodes autem cum paucis domum regiam custodiebat. Inuasísque de improuiso hostibus in suburbano, complures quidem peremit, oēs autē in fugā vertit, & hos in ciuitatē, alios in fanū, alios in extremū vallū ĩcludit. Interea pacis arbitrū Pacorū Antigonus petit admitti. Exoratus autē Phasaelus & ciuitate & hospitio cū quingētis equitib⁹ Parthū recepit,

A συλλαβὼν εἵργνυσιν, οὓς καὶ ἀνελεῖν ὥρμησε. τοὺς δὲ λοιποὺς μεθ' ὕβρεως ἀπήλασε. πρὸς ὃ μείζων ἐν τοῖς Ἱεροσολύμοις γίνεται ταραχή. χιλίους γοῦν πάλιν ἔπεμψαν πρέσβεις εἰς Τύρον, ἔνθα διέτριβεν Ἀντώνιος ἐπὶ Ἱεροσολύμων ὡρμημένος. ἐπὶ τούτους κεκραγότας, ἐκπέμπει τὸν ἄρχοντα τῶν Τυρίων, κολάζειν προστάξας οὓς ἂν λάβῃ, συγκατασκευάζειν τε τὴν ἀρχὴν τοῖς ὑπ' αὐτοῦ κατασταθεῖσι τετράρχαις. πρὸ δὲ τούτου, πολλὰ παρῄνει παρελθὼν ἐπὶ τὸν αἰγιαλὸν Ἡρώδης σὺν Ὑρκανῷ, μήθ' B ἑαυτοῖς ἀπωλείας αἰτίους, μήτε τῇ πατρίδι πολέμου γίνεσθαι φιλονεικοῦντας ἀκρίτως. τῶν δὲ ἔτι μᾶλλον ἀγανακτούντων, Ἀντώνιος ἐκπέμψας ὁπλίτας, πολλοὺς μὲν ἀπέκτεινε, πολλοὺς δὲ ἔτρωσεν. ὧν οἵ τε πεσόντες ταφῆς, καὶ οἱ τραυματίαι θεραπείας ἠξιώθησαν ὑπὸ Ὑρκανοῦ. οὐ μὴν οἱ διαφυγόντες ἠρέμουν, ἀλλὰ τὰ κατὰ τὴν πόλιν συνταράσσοντες, παρώξυναν τὸν Ἀντώνιον, ὥστε καὶ τοὺς δεσμώτας ἀποκτεῖναι.

C Κεφ. ια.

Μετὰ δὲ ἔτη δύο, Βαρζαφάρνου τοῦ Πάρθων σατράπου σὺν Πακόρῳ τῷ βασιλέως υἱῷ Συρίαν κατασχόντος, Λυσανίας ἀναδεδεγμένος ἤδη τὴν ἀρχὴν, τοῦ πατρὸς τελευτήσαντος, Πτολεμαῖος δ' ἦν οὗτος ὁ Μινναίου, πείθει τὸν σατράπην ὑποσχέσει χιλίων ταλάντων, καὶ πεντακοσίων γυναικῶν, καταγαγεῖν ἐπὶ βασιλεία τὸν Ἀντίγονον, καταλῦσαι δὲ τὸν Ὑρκανόν. τούτοις ὑπαχθεὶς Πάκορος, αὐτὸς μὲν ᾔει κατὰ τὴν παράλιον, D Βαρζαφάρνην δὲ διὰ τῆς μεσογείου προσέταξεν ἐμβαλεῖν. τῶν δ' ἐπιθαλαττίων Τύριοι, Πάκορον οὐκ ἐδέξαντο, καίτοι Πτολεμαιέων καὶ Σιδωνίων δεδεγμένων. ὁ δὲ οἰνοχόῳ τινὶ τῶν βασιλικῶν ὁμωνύμῳ μοῖραν τῆς ἵππου παραδοὺς, ἐμβαλεῖν ἐκέλευσεν εἰς τὴν Ἰουδαίαν, κατασκεψόμενόν τε τὰ τῶν πολεμίων, καὶ πρὸς ἃ δέοι βοηθήσοντα Ἀντιγόνῳ. τῶν δὲ λῃζομένων τὸν Κάρμηλον, πολλοὶ Ἰουδαῖοι συνδραμόντες πρὸς Ἀντίγονον, προθύμους ἑαυτοὺς ἐπὶ τὴν εἰσβολὴν παρεῖχον. ὁ δὲ τούτους ἐπὶ E τὸν καλούμενον Δρυμὸν προέπεμψε, τὸ χωρίον καταλαβεῖν, ἐν ᾧ γενομένης συμβολῆς, ὠσάμενοι τοὺς πολεμίους, καὶ διώξαντες ἐπὶ Ἱεροσολύμων ἔθεον. γενόμενοι δὲ πλείους, μέχρι τῶν βασιλείων προῆλθον. Ὑρκανοῦ δὲ καὶ Φασαήλου δεξαμένων αὐτοὺς καρτερᾷ στίφει, μάχη κατὰ τὴν ἀγορὰν συῤῥήγνυται. καθ' ἣν τρεψάμενοι τοὺς πολεμίους οἱ περὶ Ἡρώδην, κατακλείουσιν εἰς τὸ ἱερὸν, καὶ φρουροὺς αὐτῶν ἄνδρας ἑξήκοντα ταῖς F πλησίον οἰκίαις ἐγκατέστησαν. τούτοις μὲν οὖν ὁ στασιάζων πρὸς τοὺς ἀδελφοὺς λαὸς, ἐπελθὼν ἐμπίπρησιν. Ἡρώδης δὲ τοῦ δήμου πολλοὺς κατ' ὀργὴν τῶν ἀπολωλότων, ἀναιρεῖ συμβαλὼν, καὶ καθ' ἡμέραν ἐπεκθεόντων ἀλλήλοις κατὰ λόχους, φόνος ἦν ἀδιάλειπτος. ἐνστάσης δὲ ἑορτῆς, ἣ πεντηκοστὴ καλεῖται, τά τε περὶ τὸ ἱερὸν πάντα, καὶ ἡ πόλις ὅλη πλήθους τῶν ἀπὸ τῆς χώρας ἀναπίμπλαται τὸ πλέον ὁπλιτῶν. καὶ Φασάηλος μὲν, τὸ τεῖχος, Ἡρώδης δὲ μετ' οὐ πολλῶν G ἐφρούρει τὰ βασίλεια, καὶ τοῖς πολεμίοις ἐπιδραμὼν ἀσυντάκτοις κατὰ τὸ προάστιον, πλείστους μὲν ἀναιρεῖ, τρέπεται δὲ πάντας. καὶ τοὺς μὲν, εἰς τὴν πόλιν, τοὺς δὲ εἰς τὸ ἱερὸν, τοὺς δὲ εἰς τὸ ἔξω χαράκωμα συγκλείει. κἂν τούτῳ διαλλακτὴν μὲν Ἀντίγονος παρακαλεῖ, Πάκορον εἰσαφεῖναι. Φασάηλος δὲ πεισθεὶς τῇ πόλει καὶ ξενίᾳ τὸν Πάρθον εἰσδέχεται, μετὰ πεντακοσίων ἱππέων,

προ-

προφάσει μὲν ἥκοντα τοῦ παῦσαι τὴν στάσιν, τὸ δ' ἀληθὲς, ἀντιγόνῳ βοηθὸν. τὸν γοῦν φασάηλον ἐνεδρεύων ἀνέπεισε πρὸς βαρζαφάρνην πρεσβεύσασθαι περὶ καταλύσεως, καί τοιγε πολλὰ ἀποτρέποντος ἡρώδου, καὶ παραινοῦντος ἀνελεῖν τὸν ἐπίβουλον, ἀλλὰ μὴ ταῖς ἐπιβουλαῖς ἑαυτὸν ἐκδιδόναι, φύσει γὰρ ἀπίστους εἶναι τοὺς βαρβάρους. ἔξεισι δ' ὑρκανὸν παραλαβὼν καὶ πάκορος, ὡς ἧττον ὑποπτεύοιτο, καταλιπὼν παρ' ἡρώδῃ τινὰς τῶν ἐλευθέρων καλουμένων ἱππέων, τοῖς λοιποῖς προέπεμπε φασάηλον. ὡς δ' ἐγένοντο κατὰ τὴν γαλιλαίαν, τοὺς μὲν ἐπιχωρίους ἀφεστῶτας, καὶ ἐν τοῖς ὅπλοις ὄντας καταλαμβάνουσι, τῷ σατράπῃ δ' ἐνετύγχανον πανούργως σφόδρα, καὶ ταῖς φιλοφρονήσεσι τὴν ἐπιβουλὴν καλύπτοντι ἐνεκελεύοντο. δῶρα γοῦν δοὺς αὐτοῖς, ἔπειτ' ἀναχωροῦσι ἐλόχα. τοῖς δ' αἴσθησις γίνεται τῆς ἐπιβουλῆς, καταχθεῖσιν εἴς τι τῶν παραθαλασσίων χωρίων, ὃ καλεῖται ἐκδίππων. ἐκεῖ γὰρ τήν τε ὑπόσχεσιν ἤκουσαν τῶν χιλίων ταλάντων, καὶ ὡς ἀντίγονος τὰς πλείστας τῶν παρ' αὐτοῖς γυναικῶν, ἐν ταῖς πεντακοσίαις καθωσίωσε πάρθοις. ἔτι δὲ προλοχίζοιντο μὲν αὐτοῖς αἱ νύκτες ὑπὸ τῶν βαρβάρων ἀεὶ, πάλαι δ' ἂν καὶ συνελήφθησαν, εἰ μὴ περιέμενον ἐν ἱεροσολύμοις ἡρώδην πρότερον λαβεῖν, ὡς μὴ προπυθόμενος τὰ κατ' αὐτοὺς φυλάξαιτο. ταῦτ' οὐκ ἔτι λόγος ἦν μόνον, ἀλλὰ καὶ φύλακας ἤδη πόρρωθεν αὐτῶν ἔβλεπον. οὐ μὴν φασάηλος, καίτοι πολλὰ παραινοῦντος ὀφελλίου φυγεῖν, πέπυστο γὰρ οὗτος παρὰ σαραμάλλα τοῦ πλουσιωτάτου τότε σύρων τὴν σύνταξιν τῆς ἐπιβουλῆς ὅλην, καταλιπεῖν ὑρκανὸν ὑπέμεινεν, ἀλλὰ τῷ σατράπῃ προσελθὼν ἄντικρυς ὠνείδιζε τὴν ἐπιβουλὴν, καὶ μάλισθ' ὅτι γένοιτο τοιοῦτος χρημάτων ἕνεκεν. πλείω καὶ μὴν αὐτὸς ὑπὲρ σωτηρίας δώσειν ὑπισχνεῖτο, ὧν ἀντίγονος ὑπὲρ βασιλείας ὑπέσχηται. πρὸς ταῦτα πανοῦργος ὁ πάρθος, ἀπολογίαις τε καὶ ὅρκοις ἀποσκευασάμενος τὴν ὑποψίαν, ᾤχετο πρὸς πάκορον. εὐθέως δὲ τῶν καταλειφθέντων πάρθων, οἷς προστέτακτο φασάηλόν τε καὶ ὑρκανὸν συνελάμβανον, τά τε ἄλλα πρὸς τῇ ἐπιορκίᾳ καὶ τὸ ἄπιστον αὐτοῖς καταρωμένους. ἐν δὲ τούτῳ καὶ τὸν ἡρώδην ὁ πεμφθεὶς οἰνοχόος ἐπεβούλευε συλλαβεῖν ἔξω τοῦ τείχους ἀπατήσας προελθεῖν, ὥσπερ ἐντολὰς εἶχεν. ὁ δ' ἀπ' ἀρχῆς ὑποπτεύων τοὺς βαρβάρους, καί τότε πεπεισμένος εἰς τοὺς πολεμίους ἐμπεπτωκέναι τὰ μηνύοντα τὴν ἐπιβουλὴν αὐτῷ γράμματα, προελθεῖν οὐκ ἐβούλετο, καί τοι μάλα ἀξιοπίστως τοῦ πακόρου φάσκοντος, δεῖν αὐτὸν ὑπαντῆσαι τοῖς τὰς ἐπιστολὰς κομίζουσιν. οὔτε γὰρ ἑαλωκέναι τοῖς πολεμίοις αὐτὰς, καὶ περιέχειν οὐκ ἐπιβουλὴν, ἀλλ' ὁπόσα διεπράξατο φασάηλος. ἐτύγχανε δὲ παρ' ἄλλων προακηκοὼς τὸν ἀδελφὸν συνειλημμένον, καὶ προσῄει ὑρκανοῦ θυγάτηρ μαριάμμη συνετωτάτη γυναικῶν καταντιβολοῦσα, μὴ προσιέναι, μηδὲ πιστεύειν ἑαυτὸν ἤδη φανερῶς ἐπιχειροῦσι τοῖς βαρβάροις. ἔτι δὲ τῶν περὶ πάκορον σκεπτομένων πῶς ἂν κρύφα τὴν ἐπιβουλὴν ἀπαρτίσαιεν, οὐ γὰρ ἐκ τοῦ φανεροῦ οἷόν τε ἦν ἀνδρὸς οὕτω δυνατοῦ περιγενέσθαι, προλαβὼν ἡρώδης μετὰ τῶν οἰκειοτάτων προσώπων, νύκτωρ ἐπὶ ἰδουμαίας ἐχώρει λάθρα τῶν πολεμίων. αἰσθόμενοι δ' οἱ πάρθοι κατεδίωκον. κἀκεῖνος τὴν μὲν μητέρα καὶ τοὺς ἀδελφοὺς,

A pretextu quidem componendæ seditionis venientem, re autem vera vt adiuuaret Antigonum. Denique Phasaëlum dolo perpulit, vt ad Barzapharnem legatus de pace proficisceretur: quamuis multa dissuadente Herode, atque vt insidiatorem occideret, néve se eius fallaciis dederet, admonente: natura enim Barbaros fidem negligere. Exiit etiam Pacorus cum Hyrcano, quo minus suspectus esset: nonnullisque relictis equitibus apud Herodem, B quos Eleutheros vocant, cum cæteris Phasaelum prosequebatur. Sed vbi ad Galilæam venerunt, indigenas quidem dissidentes atque armatos offendunt: satrapam verò conueniunt satis callidè & officiis dolos tegẽtem. Denique postquam dona eis dedit, redeuntibus insidias posuit. Illi autem in maritimum quendam locum deducti, cui nomen est Ecdippon, fraudem intelligunt. Ibi enim de promissis mille talentis audierunt: & quòd C Antigonus plerasque mulieres ex his quas ipsi haberent, inter quingentas Parthis deuouisset: quódque sibi semper à Barbaris præstruerentur insidiæ, ac olim capti essent, nisi mora fuisset, dum Hierosolymis caperetur Herodes, ne sibi præscius quæ de his agerentur, caueret. Hæc iam non verba erant solùm, nam & custodes haud procul abesse conspiciebat. Et tamen Phasaelus Hyrcanum deserere non sustinuit. quamuis eum sæpius moneret Of- D filius vt fugeret: cui Saramalla Syrorum tunc ditissimus dixerat: quemadmodum essent omnia de insidiis constituta. Sed conuenire satrapam maluit, atque in os exprobrare, quòd se insidiis appetisset: ac maximè quia pecuniæ causa talis extitisset, cùm plus ipse pro salute daturus esset, quàm pro regno promisisset Antigonus. Ad hæc Parthus subdola satisfactione iuréque iurando suspicionem deprecatus, perrexit ad Pacorum: statimque E à Parthis qui remanserant, quibúsque iussum erat, Phasaelus atque Hyrcanus comprehenduntur, periuriam simul ac perfidiam execrantes. At interim pincerna ad hoc missus, Herodem capere moliebatur: eúmque fallere, vt extra murum procederet, sicut sibi mãdatum fuerat, conabatur. Ille autem suspectos habere solitus Barbaros, & tunc minimè dubitãs in hostes incidisse literas quæ insidias indicarent, prodire nolebat: quanquam sa- F tis idoneam causam Pacorus obtenderet, epistolas portantibus obuiam ire debere: nec enim ab hostibus esse captos, aut quicquam de insidiis, sed quæ Phasaëlus gessisset, his contineri. Iamdudum autem ab aliis audierat Herodes, fratrem suum Phasaëlum esse correptum: & Hyrcani filia Mariamne prudentissima fœminarum, multis cum precibus ne prodiret orabat: néve se crederet manifestis iam conatibus Barbarorum. Adhuc autẽ Pacoro cũ G sociis deliberante, quónam modo clã patraret insidias, nec enim fieri posse vt tantæ sapientiæ vir ex aperto circũueniretur, nocte Herodes cũ propinquissimis sibi ad Idumeã ignaris hostibus proficiscitur. Eo cognito, Parthi persequebantur. Et ille matrem quidẽ fratrésque suos,

desponsatámque puellam cum matre, minimóque fratre prætendere iter iussit. Ipse autem cautè cum famulis suis Barbaros retentabat: multísque per omnes conflictus interemptis, ad castellum Massada properabat. Grauiores autem in fuga Parthis Iudæos expertus est: Qui cùm semper molesti fuissent, à sexagesimo tamen ciuitatis stadio aliquandiu etiam acie decertauerunt. vbi Herodes victoria potitus, cùm multos interfecisset, ipsúmque locum in memoriam præclari facinoris ædificatum, locupletissima exornauit regia, arcémque in eo munitissimam condidit, ac de suo nomine Herodion vocauit. Et tunc quidem cùm fugeret, multos sibi adiūgebat. Postea verò quàm Thresam Idumææ peruenit, occurrit ei frater Iosephus, turbámque sequentium diminui persuadet: nec enim capacem esse tantæ multitudinis Massadam. Erat autem supra quàm nouem millium multitudo. Itaque paruit Herodes eius consilio, & impares quidem necessitati per Idumæam dimisit cum viatico, lectissimos autem maximéque necessarios tenuit, atque ita in castellum receptus est. Deinde octingentis ibi relictis, qui mulieres defenderent, itémque commeatu, qui satis esset obsessis, ipse in Petram ciuitatem Arabiæ perrexit. Parthi autem apud Hierosolymam in prædam versi, in fugientium domos ac regiam irruebant, solis Hyrcani pecuniis abstinentes: quæ trecenta talenta superabant, aliorum verò spe minores inueniebantur: quoniam Herodes iampridem Barbarorum perfidiam suspicans, quicquid in opibus pretiosum in Idumæam multo antè comportauerat: eiúsque sociorum itidem quisque fecerat. Verumtamen postquam prę da potiti sunt Parthi, ad hoc iniuriæ processerunt, vt omnem terrā illam bello implacato replerent, Marisa quoque ciuitate vastata: nec solùm Antigonum regem constituerent, verùm etiam Phasaelum & Hyrcanū vinctos ei traderent verberandos. At ille Hyrcani quidem auriculas dentibus truncat, vt ne solutus quidem mutatis rebus vnquā pōtificatum recipiat: ab integris enim celebrari sacra oportet: Phasaeli verò virtute præuentus est Antigonus. Qui cùm nec ferri copiam, nec manus liberas haberet, ad saxum fracto capite interiit: atque ita probato, quòd verus Herodis frater esset, Hyrcanúsque degenerasset, viriliter moritur: dignum anteacta vita obitum assecutus. Fertur tamen & aliud, quòd ex illa quidem plaga resipuerit, sed veluti curandi eius causa, missus ab Antigono medicus, venenis malis vulnus expleuerit, eóque illum pacto peremerit. Vtrumuis autem verius sit, præclarum habet initium. Denique aiunt eum prius quàm efflaret animam, cognito ex quadam muliercula, quòd Herodes euasisset, dixisse: Nunc bono animo discedam, qui vltorem inimicorum reliquerim. Ille quidem hunc exitum habuit. Parthi autem quanquam mulieribus caruerint, quas maximè cupiebant, rebus tamen cum Antigono apud Hierosolymam compositis: vinctum in Parthiam Hyrcanum ducunt. Herodes autem obstinatus

A καὶ τὴν καθωμολογημένην παῖδα μετὰ τῆς μητρός, καὶ τοῦ νεωτάτου τῶν ἀδελφῶν προστάξας ὁδεύειν, αὐτὸς ἀσφαλῶς μετὰ τῶν θεραπόντων ἀνέκοπτε τοὺς βαρβάρους. καὶ πολλοὺς κατὰ πᾶσαν προσβολὴν ἀποκτείνας εἰς μασάδαν τὸ φρούριον ἀφίκετο. καὶ βαρυτέρους κατὰ τὴν φυγὴν πάρθων ἰουδαίους ἐπείρασεν, ἐνοχλήσαντας μὲν διηνεκῶς, ἀπὸ δὲ ἑξήκοντα τῆς πόλεως σταδίων παραταξαμένους ἐπὶ ἱκανῶς πολὺν χρόνον. B ἔνθα κρατήσας ἡρώδης, καὶ πολλοὺς αὐτῶν ἀποκτείνας, αὖθις εἰς μνήμην τοῦ κατορθώματος ἔκτισεν τὸ χωρίον, καὶ βασιλείοις τοῖς πολυτελεστάτοις ἐκόσμησε, καὶ ἀκρόπολιν ὀχυρωτάτην ἀνεδείματο, ἡρώδειόν τε ἐκάλεσεν ἀφ᾽ ἑαυτοῦ. τηνικαῦτα γε μὴν φεύγοντες καθ᾽ ἡμέραν αὐτῷ προσεγίνοντο πολλοί. καὶ κατὰ θρῆσαν γινομένῳ τῆς ἰδουμαίας ἰώσηπος ἀδελφὸς ὑπαντήσας, συνεβούλευε τοὺς πολλοὺς τῶν ἑπομένων ἀποφορτίσασθαι. μὴ γὰρ ἂν τοσοῦτον ὄχλον δέξασθαι τὴν μα- C σάδαν. ἦσαν δὲ ὑπὲρ ἐννακισχιλίους. πεισθεὶς οὖν ἡρώδης, τοὺς μὲν βαρυτέρους τῆς χρείας διαφῆκεν ἀνὰ τὴν ἰδουμαίαν, δοὺς ἐφόδια. μετὰ δὲ τῶν ἀναγκαιοτάτων, τοὺς ἀλκιμωτάτους κατασχὼν, εἰς τὸ φρούριον διασώζεται. καταλιπὼν δ᾽ ἐνταῦθα ταῖς γυναιξὶν ὀκτακοσίους φύλακας, καὶ διαρκῆ τἀπιτήδεια πρὸς πολιορκίαν, αὐτὸς εἰς τὴν ἀραβικὴν πέτραν ἠπείγετο. πάρθοι δ᾽ ἐν ἱεροσολύμοις ἐφ᾽ ἁρπαγὴν τραπόμενοι, τῶν φυγόν- D των εἰς τὰς οἰκίας εἰσέπιπτον, καὶ τὸ βασίλειον, ἀπεχόμενοι μόνων τῶν ὑρκανοῦ χρημάτων, ἦν δ᾽ οὐ πλείω τριακοσίων ταλάντων. ἐπετύγχανον δὲ καὶ τῶν ἄλλων, οὐχ ὅσοις ἤλπισαν. ὁ γὰρ ἡρώδης ἐκ πολλοῦ τὴν ἀπιστίαν τῶν βαρβάρων ὑφορώμενος, εἰς τὴν ἰδουμαίαν τὰ λαμπρότατα τῶν κειμηλίων προανεσκευάσατο, καὶ τῶν αὐτῷ προσεχόντων ὁμοίως ἕκαστος. πάρθοι δὲ μετὰ τὰς ἁρπαγὰς ἐπὶ τοσοῦτον ὕβρεως ἐχώρησαν, ὡς ἐμπλῆσαι μὲν ἀκηρύκτου πολέμου τὴν χώ- E ραν ἅπασαν. ἀνάστατον δὲ ποιῆσαι τὴν μαρισαίων πόλιν, μὴ μόνον τε καταστῆσαι βασιλέα ἀντίγονον, ἀλλὰ καὶ παραδοῦναι αὐτῷ φασάηλον καὶ ὑρκανὸν δεσμώτας αἰκίσασθαι. ὁ δὲ ὑρκανοῦ μὲν προσπεσὼν αὐτὸς τὰ ὦτα λωβᾶται τοῖς ὀδοῦσιν, ὡς μηδ᾽ αὖθις ἐν μεταβολῇ ποτὲ δύναιτο τὴν ἀρχιερωσύνην ἀναλαβεῖν. δεῖ γὰρ ὁλοκλήρους ἀρχιερᾶσθαι. τῆς φασαήλου δ᾽ ἀρετῆς ὑστερίζει, φθάσαντος πέτρα προσαράξαι τὴν κε- F φαλὴν, ὡς καὶ σιδήρου καὶ χειρῶν εἴργετο. κἀκεῖνος μὲν, ἡρώδου γνήσιον ἑαυτὸν ἀποδείξας ἀδελφὸν, καὶ ὑρκανὸν ἀγεννέστατον, ἀνδρειότατα θνήσκει, ποιησάμενος τὴν καταστροφὴν τοῖς κατὰ τὸν βίον ἔργοις πρέπουσαν. κατέχει δὲ καὶ ἄλλος λόγος, ὡς ἀνενέγκαι μὲν ἐκ τῆς τότε πληγῆς, πεμφθεὶς δ᾽ ἰατρὸς ὑπ᾽ ἀντιγόνου θεραπεῦσαι δῆθεν αὐτὸν, ἐμπλήσειε τὸ τραῦμα δηλητηρίων φαρμάκων, καὶ διαφθείρειεν αὐτόν. ὁπό- G τερον δ᾽ ἂν ἀληθὲς ᾖ, τὴν ἀρχὴν ἔχει λαμπράν. φασὶ γοῦν αὐτὸν, καὶ πρὶν ἐκπνεῦσαι, πυθόμενον παρὰ γυναίου τινὸς ὡς ἡρώδης διαφύγοι, νῦν εἶπεν εὔθυμος ἄπειμι, τὸν μετελευσόμενον τοὺς ἐχθροὺς ζῶντα καταλιπών. ὁ μὲν οὖν οὕτως τελευτᾷ. πάρθοι δὲ καίτοι διημαρτηκότες ὧν μάλιστα ἐπεθύμουν γυναικῶν, καθιστᾶσι μὲν ἐν ἱεροσολύμοις ἀντιγόνῳ τὰ πράγματα, δεσμώτην δ᾽ ὑρκανὸν ἀνάγουσιν εἰς τὴν παρθυηνήν. ἡρώδης δὲ συντονώτερον ἤλαυνεν

εἰς τὴν ἀραβίαν, ὡς ἔτι τἀδελφοῦ ζῶντος ἐπειγόμενος χρήματα παρὰ τοῦ βασιλέως λαβεῖν, οἷς μόνοις πείσειν ὑπὲρ φασαήλου τὴν τῶν βαρβάρων ἤλπισε πλεονεξίαν. ἐλογίζετο γὰρ, εἰ τῆς πατρῴας φιλίας ἀμνημονέστερος ὁ ἄραψ γένοιτο, καὶ τοῦ δοῦναι δωρεὰν μικρολογώτερος, δανείσασθαι παρ' αὐτοῦ τὰ λύτρα, ῥύσιον θεὶς τὸν τοῦ λυτρουμένου παῖδα. καὶ γὰρ ἐπήγετο τὸν ἀδελφιδοῦν ὄντα ἐτῶν ἑπτά. τάλαντα δὲ ἦν ἕτοιμος τριακόσια δοῦναι, προστησόμενος τυρίους παρακαλοῦντας. τὸ χρεὼν δ' ἄρα τὴν αὐτοῦ σπουδὴν ἔφθανε, καὶ φασαήλου τεθνηκότος εἰς κενὸν ἡρώδης φιλάδελφος ἦν. οὐ μὴν οὐδὲ παρὰ ἄραψιν ηὕρισκε φιλίαν μένουσαν. ὁ γοῦν βασιλεὺς αὐτῶν μάλιχος, προπέμψας κατὰ τάχος ἐκ τῆς χώρας, προσέταττεν ἀναστρέφειν, προφάσει μὲν χρώμενος πάρθοις, ἐπικεκηρυκεῦσθαι γὰρ αὐτοὺς ἐκβαλεῖν ἡρώδην τῆς ἀραβίας. τῷ δὲ ὄντι προαιρούμενος κατασχεῖν τὰ ἀντιπάτρου χρέα, καὶ μηδὲν εἰς τὰς ἐκείνου δωρεὰς ἀντιπαρασχεῖν χρήζουσι τοῖς τέκνοις δυσωπεῖσθαι. συμβούλοις δ' ἐχρῆτο τῆς ἀναιδείας τοῖς ὁμοίως ἀποστερεῖν τὰς ἀντιπάτρου παρακαταθήκας ἐθέλουσιν. ἦσαν δὲ περὶ αὐτὸν οἱ δυνατώτατοι. ἡρώδης μὲν δὴ πολεμίους τοὺς ἄραβας εὑρὼν, δι' ἃ φιλτάτους ἤλπισε, καὶ τοῖς ἀγγέλοις ἀποκρινάμενος, ὡς ὑπηγόρευε τὸ πάθος, ὑπέστρεψεν ἐπ' αἴγυπτον. καὶ τὴν μὲν πρώτην ἑσπέραν, κατά τι τῶν ἐπιχωρίων ἱερῶν αὐλίζεται τοὺς ἀπολειφθέντας ἀναλαβών. τῇ δ' ἑξῆς εἰς ῥινοκούρουραν προσελθόντι, τὰ περὶ τὴν τἀδελφοῦ τελευτὴν ἀπαγγέλλεται. προσλαβὼν δὲ πένθος ὅσον ἦν, ὡς ἀπεθήκατο φροντίδων, ᾔει προσωτέρω. καὶ δὴ βραδέως ὁ ἄραψ μετανοήσας, ἔπεμψε διὰ τάχους τοὺς ἀνακαλέσοντας τὸν ὑβρισμένον. ἔφθανε δὲ καὶ τούτους ἡρώδης εἰς πηλούσιον ἀφικόμενος, ἔνθα τῆς παρόδου μὴ τυγχάνων ὑπὸ τῶν ἐφορμούντων, τοῖς ἡγεμόσιν ἐντυγχάνει. κἀκεῖνοι τήν τε φήμην, καὶ τὸ ἀξίωμα τἀνδρὸς αἰδεσθέντες, προπέμπουσιν αὐτὸν εἰς ἀλεξάνδρειαν. ὁ δὲ παρελθὼν εἰς τὴν πόλιν, ἐδέχθη μὲν λαμπρῶς ὑπὸ κλεοπάτρας, στρατηγὸν ἐλπιζούσης ἕξειν, εἰς ἃ παρεσκευάζετο. διακρουσάμενος δὲ τὰς παρακλήσεις τῆς βασιλίδος, καὶ μήτε τὴν ἀκμὴν τοῦ χειμῶνος ὑποδείσας, μήτε τοὺς κατὰ τὴν ἰταλίαν θορύβους, ἐπὶ ῥώμης ἔπλει. κινδυνεύσας δὲ περὶ τὴν παμφυλίαν, καὶ τοῦ φόρτου τὸ πλεῖον ἐκβαλὼν, μόλις εἰς ῥόδον διασώζεται, σφόδρα τῷ πρὸς κάσσιον πολέμῳ τετρυχωμένην. δεχθεὶς δὲ ὑπὸ πτολεμαίου καὶ σαπφινίου τῶν φίλων, καίπερ ἐν ἀπορίᾳ χρημάτων ὢν, ναυπηγεῖται τριήρην μεγίστην. ἐν ᾗ μετὰ τῶν φίλων εἰς βρεντέσιον καταπλεύσας, κἀκεῖθεν εἰς ῥώμην ἐπειχθεὶς, πρώτῳ διὰ τὴν πατρῴαν φιλίαν ἐνετύγχανεν ἀντωνίῳ, καὶ τάς τε αὐτοῦ, καὶ τοῦ γένους συμφορὰς ἐκδιηγεῖται. ὅτι τε τοὺς οἰκειοτάτους ἐν φρουρίῳ καταλιπὼν πολιορκουμένους, διὰ χειμῶνος πλεύσειεν ἐπ' αὐτὸν ἱκέτης. ἀντωνίου δὲ ἥπτετο πρὸς τὴν μεταβολὴν οἶκτος, καὶ κατὰ μνήμην μὲν τῆς ἀντιπάτρου ξενίας. τὸ δὲ ὅλον, καὶ διὰ τὴν αὐτοῦ τοῦ παρόντος ἀρετὴν, ἔγνωκε τότε βασιλέα καθιστᾶν ἰουδαίων, ὃν πρότερον αὐτὸς ἐποίησε τετράρχην. ἐνῆγε δ' οὐκ ἔλαττον τῆς εἰς ἡρώδην φιλοτιμίας, ἡ πρὸς ἀντίγονον διαφορά. τοῦτον γὰρ δὴ στασιώδη τε καὶ ῥωμαίων ἐχθρὸν ὑπελάμβανε.

A in Arabiam, velut adhuc viuo fratre suo festinabat: vt pecunias à rege acciperet, quibus solis exoratum iri pro Phasaelo sperabat auaritiam Barbarorum. Etenim cogitabat, si Arabs minùs memor fuisset paternæ amicitiæ, animóque liberali parcior, vel mutuum ab eo sumere, quòd redemptionis causa præberet: pignori opposito ipsius filio quem redimeret. Secum enim habebat fratris filium, septem annos natum: trecentáque talenta dare decreuerat, B interpositis precationi Tyriis. Sed profectò studium fortuna præuenerat: & Phasaelo mortuo nequicquam fratrem diligebat Herodes. Non tamen vel apud Arabas saluam amicitiam reperit. Denique Malichus rex eorum præmissis qui hoc admonerent, quamprimùm reuerti cum ex finibus suis iubet, simulatione quidem Parthos per legatos petisse, vt Herodem Arabia pelleret: certa verò causa fuit, quòd vicem Antipatro debitam negare C proposuerat, neque pro beneficiis ab eo perceptis aliquid eius filiis gratiæ rependere, consolationis egentibus, Impudentiæ verò suasores habebat, qui Antipatri vellent abiurare deposita. Erant autem circa eum potentissimi. Proinde Herodes vbi Arabas ex ea sibi causa hostes esse deprehendit, vnde amicissimos existimabat, eáque respondit nunciis, quæ dolor imperauit, Ægyptum versus recedit. & prima quidem vespera in quodam agreste fanum, dum post se relictos reciperet, D diuertit. Postero autem die cum Rhinocoluram peruenisset, fratris ei mors nunciatur. acceptóque tanto luctu, quantum curarum æstum deposuit, ibat vlterius. Itaque Arabem serò facti pœnituit: & qui reuocarent eum, quem contumeliosè tractauerat, velociter misit. Herodes autem in Pelusium peruenerat: ibique transitu prohibitus ab eius rei speculatoribus, rectores adit: & illi famam viri di-E gnitatémque reueriti, Alexandriam eum prosequuntur. Ingressus autem autem ciuitatem, à Cleopatra honorificè susceptus est, decem sibi militum fore eum ad ea quæ parabat, existimante. Posthabitis autem reginæ precibus, neque hyemis asperitatem, neque marina discrimina, quo minus nauigaret Romam, extimuit. Circa Pamphiliam verò periclitatus, maiore oneris parte reiecta, vix in Rhodum vehementer bello Cassij vexatam, saluus euadit. F Amicorum autem suorum, Ptolemæi & Saphinij receptus hospitio, licet rei pecuniariæ premeretur inopia, maximam tamen ædificat nauim triremem: eáque cum amicis delatus Brundusium, atq; inde continuò Romam profectus, familiaritatis paternæ gratia primum conuenit Antonium: eique tam suas quàm totius generis clades exponit: quòdque affinibus suis in castello relictis, atque obsidione cinctis G ad eum hyeme supplex nauigasset. Itaque tantæ miserationis casu miseratus Antonius, & memoria quidem iunctæ cum Antipatro dexteræ, tum verò ipsius qui aderat contéplatione virtutis, etiam tunc eum regem cõstituere proposuit Iudæorũ, quem ipse tetrarchã antea fecerat. Non minus autem quàm fauore Herodis, odio ducebatur Antigoni. Hunc enim & sediosũ, & Romanis inimicũ esse arbitrabatur.

Ant. li. 14. cap. 15.

A Cæſarem quidem habebat multo quàm ipſe paratius renouantem Antipatri expeditiones, quas in Ægypto cum eius patre pertulerat: & hoſpitium & in rebus cunctis beneuolentiam: cùm præter hæc ipſius quoque Herodis ſtrenuitatem cerneret. Verumtamen & ſenatum conuocabat vbi Meſſala, & poſt eum Atratinus, aſtante Herode, patris eius merita, & ipſius circa populum Romanum fidem proſequebantur, quo ſimul hoſtem Antigonum demonſtrarent: non ſolum quòd intra breue tempus is diſſidere cœpiſſet, B verumetiam quòd antea quoque populo Romano deſpecto, Parthorum ſuffragio regnum curauiſſet accipere. His autem commoto ſenatu, cùm Antonius etiam bello contra Parthos gerendo vtile eſſe diceret Herodem regem creari, omnes aſſentiunt. Dimiſſóque ſenatu, Antonius quidem & Cæſar egrediebantur, medium ſtipantes Herodem. Conſules autem cũ aliis magiſtratibus antecedebant, C cæſuri hoſtias, decretúmque ſenatus in Capitolio repoſituri. Primo autem die regni Herodis, apud Antonium cœnatum eſt.

Cap. XII. De bello Herodis è Roma redeuntis, pro Hieroſolyma & contra latrones.

EOdem verò tẽpore Antigonus apud Maſſadam incluſos obſidebat. aliis quidem victui neceſſariis abundantes, aquæ autem inopes. Vnde Ioſephus quoque frater Herodis cũ ducentis familiaribus ſuis ad Arabas confugere cogitabat: audito quòd eorum quæ in Herodem commiſerat, Malichum pœniteret: D caſtellúmque reliquiſſet, niſi circa noctem, qua exiturus erat, plurimum imbrium contigiſſet effundi. aqua enim repletis puteis, fugiendi cauſa non erat. adeò vt etiam vltro in Antigoni militem eruptiones auderent: multóſque nunc aperto prælio, nunc inſidiis neci darent: non tamen illis omnia pro voto cedebant, ſed ipſi quoque interdum cũ aduerſo caſu reuertebantur. Interea dux Romani militis E Ventidius, prohibitum miſſus Parthos à Syria, poſt illos in Iudæam venit: verbo quidem vt Ioſepho & qui vnà obſidebantur, ferret auxilium: re autem vera, vt pecunias auferret Antigono. Itaque cùm non longè ab Hieroſolymis tetendiſſet, quæſtu expletus, ipſe quidem cum maxima exercitus parte diſceſſit. Silonem verò cum paucis, ne furtum deprehenderetur, ſi omnes abduxiſſet, reliquit. Antigonus autem ſperans iterum Parthos ſibi adiumento fore, Silonem interim placabat: F vt pendente ſpe, nihil inquietaret. Iam verò naui ex Italia in Ptolemaidem deuectus Herodes, non parua manu coacta externorum atque gentilium, per Galilæam aduerſus Antigonum properabat, Ventidij & Silonis fultus auxilio: quibus Gellius ab Antonio miſſus, vt Herodem in regnum deducerent, perſuaſit. Horum autem Ventidius quidem turbas in ciuitatibus, quæ propter Parthos euenerant, componebat. G Silonem verò Antigonus in Iudæa mercede corruperat. Non tamen Herodes opis egebat: in dies enim ſingulos, quo magis iter promouebat, augebantur eius copiæ. nam præter paucos omnis ei Galilæa conſenſit, & propoſitum habebat præmium neceſſarium Maſſadam, vt primùm affines ſuos obſidione liberaret, ſed impedimento fuit Ioppe Hæc enim priùs, quòd hoſtilis eſſet, eximenda

Ant. li. 14. cap. 23.

Ant. lib. 14. cap. 24.

A καίσαρα μὲν οὖν εἶχεν ἑτοιμότερον αὐτοῦ τὰς ἀντιπάτρου στρατείας ἀνανεούμενον, ἃς κατ᾽ αἴγυπτον αὐτοῦ τῷ πατρὶ συνδιήνεγκε, τήν τε ξενίαν, καὶ τὴν ἐν ἅπασιν εὔνοιαν, ὁρῶντά γε μὴν καὶ τὸ ἡρώδου δραστήριον. συνῆγε δὲ καὶ τὴν βουλὴν ἐν ᾗ μεσσάλας, καὶ μετ᾽ αὐτὸν ἀτρατῖνος παραστησάμενοι τὸν ἡρώδην, τάς τε πατρῴας εὐεργεσίας, καὶ τὴν αὐτοῦ πρὸς ῥωμαίους εὔνοιαν διεξῄεσαν, ἀποδεικνύντες ἅμα καὶ πολέμιον τὸν ἀντίγονον, οὐκ ἐξ ὧν οὐ μόνον διηνέχθη B τάχιον, ἀλλ᾽ ὅτι καὶ διὰ παρθῶν λάβοι τὴν ἀρχὴν, ῥωμαίους ὑπεριδών. τῆς δὲ συγκλήτου πρὸς ταῦτα κινημένης, ὡς παρελθὼν ἀντώνιος, καὶ πρὸς τὸν κατὰ πάρθων πόλεμον βασιλεύειν ἡρώδην συμφέρειν ἔλεγεν, ἐπιψηφίζονται πάντες. λυθείσης δὲ τῆς βουλῆς, ἀντώνιος μὲν καὶ καῖσαρ, μέσον ἔχοντες ἡρώδην ἐξῄεσαν. προῆγον δὲ σὺν ταῖς ἄλλαις ἀρχαῖς, οἱ ὕπατοι, θύσοντές τε, καὶ τὸ δόγμα ἀναθήσοντες εἰς τὸ καπιτώλιον. τὴν πρώτην ἡρώδου τῆς βασιλείας ἡμέραν ἀν- C τώνιος εἱστία αὐτόν.

Κεφ. ιβ.

ΠΑρὰ δὲ τὸν χρόνον τοῦτον, ἀντίγονος ἐπολιόρκει τοὺς ἐν μασάδᾳ, τοῖς μὲν ἄλλοις ἐπιτηδείοις διαρκουμένους, σπανίζοντας δὲ ὕδατος. διὸ καὶ ἰώσηπος ὁ ἀδελφὸς ἡρώδου σὺν διακοσίοις τῶν οἰκείων, δρασμὸν ἐβουλεύετο εἰς ἄραβας, ἀκηκοὼς τῶν εἰς ἡρώδην ἁμαρτημάτων μάλχῳ μεταμέλειν. κἂν ἔφθη καταλιπὼν τὸ φρούριον, εἰ μὴ περὶ τὴν νύκτα τῆς D ἐξόδου συνέβη πλεῖστον ὗσαι. τῶν γὰρ ἐκδοχείων ὕδατος ἀναπλησθέντων οὐκ ἔτ᾽ ἔχρῃζε φυγῆς, ἀλλ᾽ ἐπεξῄεσαν ἤδη τοῖς περὶ ἀντίγονον. καὶ τὰ μὲν, φανερῶς συμπλεκόμενοι, τὰ δὲ λοχῶντες συχνοὺς διέφθειρον. οὐ μὴν ἐν ἅπασιν εὐστόχουν, ἔστι δ᾽ ὅπη καὶ αὐτοὶ πταίοντες ἀνέστρεφον. κἂν τούτῳ βεντίδιος ὁ ῥωμαίων στρατηγὸς πεμφθεὶς ἐκ συρίας πάρθους ἀνείργειν μετ᾽ ἐκείνους εἰς ἰουδαίαν παρέλαβεν, λόγῳ μὲν ὡς βοηθήσων τοῖς περὶ ἰώσηπον, ἔργῳ δ᾽ ἀντίγονον ἀρ- E γυριούμενος. ἔγγιστα γοῦν ἱεροσολύμων αὐλισάμενος, ὡς ἐνεπλήσθη χρημάτων, αὐτὸς μὲν ἀνεχώρει μετὰ τῆς πλείστης δυνάμεως. σίλωνα δὲ σὺν μέρει τινὶ καταλέλοιπεν, ὡς μὴ κατάφωρον τὸ λῆμμα ποιήσειε πάντας ἀπαναστήσας. ἀντίγονος δὲ πάλιν ἐλπίζων πάρθους ἐπαμυνεῖν αὐτῷ, καὶ σίλωνα τέως ἐθεράπευσεν, ὡς μηδὲν ἐνοχλοίη πρὸς τὰς ἐλπίδας. ἤδη δὲ ἡρώδης καταπεπλευκὼς ἐκ τῆς ἰταλίας εἰς πτολεμαΐδα, καὶ συναγηοχὼς δύναμιν οὐκ ὀλί- F γην, ξένων τε καὶ ὁμοφύλων, ἤλαυνε διὰ τῆς γαλιλαίας ἐπ᾽ ἀντίγονον, συλλαμβανόντων βεντιδίου τε καὶ σίλωνος, οὓς δέλλιος ὑπ᾽ ἀντωνίου πεμφθεὶς, ἡρώδην συγκατάγειν ἔπεισεν. ἐτύγχανε δὲ βεντίδιος μὲν, ἐν ταῖς πόλεσι, τὰς διὰ πάρθους ταραχὰς καθιστάμενος, σίλων δ᾽ ἐν ἰουδαίᾳ, χρήμασιν ὑπ᾽ ἀντιγόνου διεφθαρμένος. οὐ μὴν ἡρώδης ἰσχύος ἠπόρει, προϊόντι δὲ αὐτῷ, καθ᾽ ἡμέραν ηὔ- G ξετο τὰ τῆς δυνάμεως, καὶ πλὴν ὀλίγων, πᾶσα γαλιλαία προσέθετο. προὔκειτο μὲν οὖν τὸ ἀναγκαιότατον ἀγώνισμα μασάδα, καὶ τὸ ῥύσασθαι πρῶτον τοὺς οἰκείους ἐκ τῆς πολιορκίας. γίνεται δ᾽ ἐμπόδιον ἰόππη. ταύτην γὰρ ἔχρῃν πολεμίαν οὖσαν, ἐξελεῖν πρό-

προῄει, ὡς μὴ χωροῦντος ἐπὶ ἱεροσολύμων, κατὰ νώτου τοῖς ἐχθροῖς ἔρυμα καταλίποιτο. συνῆπτε δ' ὁ σίλων ἀσμένως τῆς ἀπαναστάσεως πρόφασιν εὑρών. ὡς δὲ προσέκειντο ἰουδαῖοι διώκοντες, ἐπὶ τούτους ἡρώδης ἐκδραμὼν μετ' ὀλίγου στίφους, τρέπεται ταχέως, καὶ σίλωνα διασώζει κακῶς ἀμυνόμενον. ἔπειτα ἰόππην ἑλὼν, πρὸς τὴν μασάδαν ῥυσόμενος τοὺς οἰκείους ἠπείγετο. καὶ τῶν ἐπιχωρίων, οὓς μὲν, πατρῴα φιλία προσῆγεν, οὓς δὲ, τὸ αὐτοῦ κλέος, οὓς δὲ τῆς ἐξ ἀμφοῖν εὐεργεσίας ἀμοιβή. πλείστους γε μὴν ἐλπὶς, ὡς ἐκ βασιλέως βεβαίου. δυσνίκητος δὲ ἤδη δύναμις ἠθροίζετο. προϊόντα δ' ἀντίγονος ἐνήδρευε, τὰ ἐπιτήδεια τῶν παρόδων προλοχίζων. ἐν οἷς οὐδὲν, ἢ μικρὰ τοὺς πολεμίους ἔβλαπτεν. ἡρώδης δὲ τούς τε ἐκ μασάδας οἰκείους παραλαβὼν ῥᾳδίως, καὶ θρῆσαν τὸ φρούριον, ᾔει πρὸς τὰ ἱεροσόλυμα. συνῆπτε δὲ αὐτῷ τό τε μετὰ σίλωνος στρατιωτικὸν, καὶ πολλοὶ τῶν ἐκ τῆς πόλεως τὴν ἰσχὺν καταπλαγέντες. στρατοπεδευσαμένου δὲ κατὰ τὸ πρὸς δύσιν κλίμα τοῦ ἄστεος, οἱ ταύτῃ φύλακες, ἐπετόξευόν τε καὶ ἐξηκόντιζον αὐτούς. ἄλλοι δὲ κατὰ στίφος ἐκθέοντες, ἀπεπειρῶντο τῶν προτεταγμένων. ἡρώδης δὲ, τὸ μὲν πρῶτον, κηρύσσειν ἐπὶ τὸ τεῖχος ἐκέλευεν, ὡς ἐπ' ἀγαθῷ τε πάρεστι τοῦ δήμου, καὶ ἐπὶ σωτηρίᾳ τῆς πόλεως, μηδὲν μηδὲ τοὺς ἐχθροὺς ἀμυνόμενος, δώσων δὲ καὶ τοῖς διαφορωτάτοις ἀμνηστίαν. ἐπεὶ δὲ ἀντιπαρηγοροῦντες οἱ περὶ τὸν ἀντίγονον, οὔτε κατακούειν τῶν κηρυγμάτων εἴων τινὰς, οὔτε μεταβάλλεσθαι, τὸ λοιπὸν ἀμύνεσθαι τοὺς ἀπὸ τοῦ τείχους ἐπέτρεπε τοῖς σφετέροις. οἱ δὲ, ταχέως ἅπαντας ἀπὸ τῶν πύργων ἐξέωσαν τοῖς βέλεσιν. ἔνθα δὴ καὶ σίλων ἀπεκαλύψατο τὴν δωροδοκίαν. ἐπισκευασάμενος γὰρ πολλοὺς στρατιωτῶν, ἀπορίαν ἐπιτηδείων ἀναβοᾶν, καὶ χρήματά τε εἰς τροφὰς ἀπαιτεῖν, ἀπάγειν τε σφᾶς χειμερίσοντας εἰς τοὺς ἐπιτηδείους τόπους, ἐπειδὴ τὰ περὶ τὴν πόλιν ἦν ἔρημα, πάντα τῶν περὶ ἀντίγονον προανασκευασαμένων, ἐκίνει τε τὸ στρατόπεδον, καὶ ἀναχωρεῖν ἐπειρᾶτο. ἡρώδης δ' ἐντυγχάνων τοῖς τε ὑπὸ τὸν σίλωνα ἡγεμόσι, καὶ κατὰ πλῆθος τοῖς στρατιώταις, ἐδεῖτο μὴ καταλιπεῖν αὐτὸν, ὑπό τε καίσαρος καὶ ἀντωνίου καὶ τῆς συγκλήτου προπεμφθέντα. λύσειν γὰρ αὐθημερὸν αὐτῶν τὰς ἀπορίας. καὶ μετὰ τὴν δέησιν, εὐθέως ὁρμήσας αὐτὸς εἰς τὴν χώραν, τοσαύτην αὐτοῖς ἐπιτηδείων ἀφθονίαν ἐκόμισεν, ὡς πάσας ἀποκόψαι τὰς σίλωνος προφάσεις. εἴς τε τὰς ἑξῆς ἡμέρας μὴ διαλιπεῖν τὴν χορηγίαν προνοούμενος, ἐπέστελλε τοῖς περὶ σαμάρειαν, ᾠκείωτο δὲ ἡ πόλις αὐτῷ, σῖτον, καὶ οἶνον, καὶ ἔλαιον, καὶ βοσκήματα κατάγειν εἰς ἱεριχοῦντα. ταῦτ' ἀκούσας ἀντίγονος, διέπεμψε περὶ τὴν χώραν, εἴργειν καὶ λοχᾶν τοὺς σιτηγοὺς κελεύων. οἱ δ' ὑπήκουον, καὶ πολὺ πλῆθος ὁπλιτῶν ὑπὲρ τὴν ἱεριχοῦντα συνηθροίσθη. διεκάθιζον δ' ἐπὶ τῶν ὀρέων παραφυλάσσοντες τοὺς τἀπιτήδεια ἐκκομίζοντας. οὐ μὴν ἡρώδης ἠρέμει. δέκα δὲ σπείρας ἀναλαβὼν, ὧν πέντε μὲν ῥωμαϊκαὶ, πέντε δ' ἰουδαίων ἦσαν, ἔχουσαι καὶ μισθοφόρους μιγάδας, πρὸς οἷς ὀλίγους τῶν ἱππέων, ἐπὶ τὴν ἱεριχοῦντα παραγίνεται. καὶ τὴν μὲν πόλιν

videbatur: ne dum ipse peteret Hierosolymam, receptaculum à tergo aliquod inimicis relinqueretur. Silo autem iungit agmina, inuenisse gaudens resistendi occasionem, quòd eum persecutio premeret Iudæorum. Hos autem Herodes paruæ manus excursatione perterritos, maturè in fugam vertit: & Silonem malè repugnantem, periculo eripit. Deinde capta Ioppe, suos liberaturus ad Massadam festinabat: dum indigenarum alios amicitia paterna sibi sociaret, alios ipsius gloria, nonnullos vtriusque beneficiis debita vicissitudo: plurimos tamen spes, vt à rege certissimo. Iamque validissimas quæsierat militum copias: sed Antigonus iter eius impediebat, loca insidiis opportuna præoccupans, vnde nullum aut minimum afferebat hostibus detrimentum. Herodes autem facilè receptis ex Massada pignoribus suis & rebus, à castello in Hierosolymam perrexit. Cui se Silonis milites & multi ex ciuitate iunxerunt, virium eius timore perculsi. Castris autem positis ad occiduam regionem oppidi, custodes eius partis ipsum sagittis & iaculis impetebant: ab aliis verò per cuneos excurrentibus primæ frontis acies tentabantur. Herodes autem primò circa muros præconis voce declarari iussit, populi se bono & saluti ciuitatis aduenisse: pœnasque ab nullo quamuis manifesto inimico repetiturum, sed discordissimis etiam offensarum oblitionem daturum. Deinde cùm allocutionibus contrariis pars Antigoni obstaret, quò minus aut præcones exaudire, aut voluntatem mutare quispiam posset, quod reliquum erat, suis imperat murorum defensores deturbare: atque illi statim sagittis cunctos ex turribus in fugam verterunt. Ibiq; tunc Silonis detecta corruptio est. Multis enim militum subornatis, qui rebus egere se necessariis acclamarent, pecuniámque alimentis poscerent, atque hyemandi gratia in loca opportuna dimitti (nam ciuitati proxima deserta erant, ita omnibus ab Antigono antè prouisis) & incitabat exercitum, & ipse recedere conabatur. Herodes autem non solùm duces qui Siloni parerent: sed etiam milites vbi plurimi essent conueniẽdo, rogabat ne se destituerent, quem scirent à Cæsare & Antonio & senatu deductũ in vno die pollicitus eos penuria soluere. Deinde hæc precatus ipse agros adit: tantámque his exhibuit copiam commeatus, vt Silonis omnes accusationes perimeret, simúlque prospiciens, ne vel in posterum ministrare desinerent, accolas Samariæ per epistolas admonebat (nam ciuitas eius se clientelæ dederat) vt alimenta & vinum & oleum, & pecora in Hierichunta deferrent. Hoc vbi audiuit Antigonus, statim qui frumentatu hostes prohiberent, atque insidiis opprimerent, per agros dimittit. Illique iussis obediunt, & magna iam manus armatorum super Hierichunta fuerat congregata. Discreti autem montibus insidebãt, siqui exportarent victui necessaria speculantes. Non tamen Herodes otiosus erat, sed decem cohortibus comitatus, quinque Romanorum, & quinque Iudæorum, quibus permixti erãt etiã mercede conducti trecenti, præterea paucis equitibus Hierichunta peruenit: & ciuitatem quidem

A vacuam habitatoribus reperit, quingentos verò cum mulieribus ac familiis montium occupasse cacumina. & hos quidem captos dimisit: Romani autem in reliquam ciuitatem irruunt, eámque diripuêre, cùm plenas domos offendissent omnigenis opibus. Rex autem apud Hierichunta præsidio collocato, reuersus est: Romanúmque militem in his quę sibi accesserant ciuitatibus, hoc est Idumæa, & Galilæa, & Samaria, hyematurum dimisit: B Antigonus quoque Silonis corruptione meruit, vt exercitus partem Lyddenses susciperent in Antigoni gratiam. Et Romani quidem armorum cura soluti, rebus omnibus abundabant. Herodes autem non quiescebat, sed Idumæam duobus millibus peditum, & quadringentis equitibus, misso etiam fratre suo Iosepho, communiuit, ne quid noui cum Antigono tentaretur. Ipse autem, matre cum aliis quos ex Massada liberauerat affinibus suis in Samariam translata, ibíque tutissimè C collocata vt cætera Galilææ subuerteret, atque Antigoni præsidia expelleret, proficiscitur. Cúmque Sephorim, licèt vehementissimè ningeret, peruenisset, facillimè ciuitatem capit, custodibus eius ante aggressionem fuga dilapsis: ibíque suis militibus, quos hyems fatigauerat, recreatis (erat enim magna copia commeatus) aduersus latrones in speluncis degentes direxit animum: qui pleraque illius regionis incursantes, non minoribus quá D belli cladibus incolas afficiebant. Præmissis autem tribus peditum cohortibus, vnáque ala equitum in vicum Arbelam, ipse diebus quadraginta pòst cum reliqua manu superuenit. Nec tamen eius incursum hostes extimuêre, sed armati obuiam procedebant, peritia bellatoris fisi, & ferocitate latronis. Deinde prælio commisso, dextro ipsorum cornu, sinistrum Herodis in fugam pellitur. Ille autem E de suo dextro circumgressus, vlociter subuenit, & suos quidem à fuga retrahit: irruendo autem in hostes impetum persequentium refrenabat, donec à fronte pugnantes violentiæ concesserunt: qui tamen eos vsque ad Iordanê cædendo persequebatur: & magna fugiêtium parte perempta, cæteri trans fluuium disiecti sunt: & Galilæa metu est purgata, nisi quòd in speluncis latitantes reliquerant, eorúmque causa diutius ibi remorandum fuit. F Quáobrem primû laboris fructum militib⁹ rependebat, centum quinquaginta argenti drachmas singulis diuidendo: eorúmque ducibus multiplicatam summam ad hyberna mittendo. Pheroræ autem fratri minimo scripsit, vt & foro venalium consuleret, muróque castellum Alexandrium cingeret: quæ ab illo curata sũt. Interea circum Athenas versabatur Antonius. Ventidius autê ad bellum contra Parthos Silonê atque Herodem accersit: mandato G eis per epistolas, vt Iudææ statũ antè componerent. Sed Herodes, libenter ad Ventidium Silone dimisso, ipse aduersum latrones in speluncis habitantes mouet exercitum. Istæ autem speluncæ in præruptis montibus erant, vndique inaccessæ, trãsuersósque tantùm ac perangustos ascensus habebant: saxúmque ab earũ fronte vsq; ad fauces altissimas pertingebat,

Ant. lib. 14. cap. 24.

Ant. li. 14. cap. 25.

καταλελειμμένην εὗρε. πεντακοσίους δὲ τὰ ἄκρα κατειληφότας σὺν γυναιξὶ καὶ γενεαῖς. αὐτοὺς μὲν οὖν ἀπολύει λαβών. ῥωμαῖοι δ' εἰσπεσόντες, τὸ λοιπὸν ἄστυ διήρπασαν, πλήρεις καταλαμβάνοντες τὰς οἰκίας παντοίων κειμηλίων. ἱεριχοῦντος μὲν οὖν φρουρὰν ὁ βασιλεὺς καταλιπὼν ὑπέστρεψε, καὶ χειμερεύσουσαν τὴν ῥωμαίων στρατιὰν εἰς τὰς προσκεχωρηκυίας πόλεις διαφῆκεν, ἰουδαίαν καὶ γαλιλαίαν, καὶ σαμάρειαν. ἐπέτυχε δὲ καὶ ἀντίγονος παρὰ τῆς σίλωνος δωροδοκίας, ὑποδέξασθαι τοῦ στρατοῦ μοῖραν ἐν λύδδοις θεραπεύων ἀντώνιον. καὶ ῥωμαῖοι μὲν ἐν ἀφθόνοις διῆγον ἀνειμένοι τῶν ὅπλων. ἡρώδης δ' οὐκ ἠρέμει. ἀλλὰ τὴν μὲν ἰουδαίαν δισχιλίοις πεζοῖς, καὶ τετρακοσίοις ἱππεῦσι διελάμβανε, πέμψας τὸν ἀδελφὸν ἰώσηπον, ὡς μή τι νεωτερισθείη πρὸς ἀντίγονον. αὐτὸς δὲ τὴν μητέρα, καὶ ὅσους ἐκ μασάδας οἰκείους ἐξήγαγε, μεταγαγὼν εἰς σαμάρειαν, καὶ καταστησάμενος ἀσφαλῶς, ᾔει τὰ λοιπὰ τῆς γαλιλαίας καταστρεψόμενος, καὶ τὰς ἀντιγόνου φρουρὰς ἐξελάσων. πρὸς δὲ τὴν σέπφωριν ἐν νιφετῷ σφοδροτάτῳ διανύσας, ἀκονιτὶ παραλαμβάνει τὴν πόλιν, πρὸ τῆς ἐφόδου τῶν φυλάκων ἐκφυγόντων. ἔνθα τοὺς ἑπομένους ὑπὸ τοῦ χειμῶνος κακωθέντας ἀναλαβών, πολλὴ δ' ἦν ἀφθονία τῶν ἐπιτηδείων, ἐπὶ τοὺς ἐν τοῖς σπηλαίοις ὥρμητο λῃστάς, οἳ πολλὴν τῆς χώρας κατατρέχοντες, οὐκ ἐλάττω κακὰ πολέμου διετίθεσαν τοὺς ἐπιχωρίους. προπέμψας δὲ πεζῶν τρία τέλη, καὶ μίαν ἴλην ἱππέων πρὸς ἄρβηλα κώμην, αὐτὸς μετὰ τεσσαράκοντα ἡμέρας ἐπῆλθε μετὰ τῆς λοιπῆς δυνάμεως. οὐ μὴν πρὸς τὴν ἔφοδον ἔδεισαν οἱ πολέμιοι, μετὰ δὲ τῶν ὅπλων ἀπήντων, τὴν μὲν ἐμπειρίαν πολεμικὴν ἔχοντες, τὸ δὲ θράσος λῃστρικόν. συμβαλόντες γοῦν τῷ σφετέρῳ δεξιῷ τὸ εὐώνυμον κέρας τῶν ἡρώδου τρέπονται, περιελθὼν δὲ ταχέως ἡρώδης ἐκ τοῦ καθ' ἑαυτὸν δεξιοῦ, προσεβοήθει. καὶ τὸ μὲν οἰκεῖον ἐπέστρεφεν ἐκ τῆς φυγῆς. τοῖς δὲ διώκουσιν ἐμπίπτων, ἀνέκοπτε τὴν ὁρμήν, μέχρι τὰς κατὰ στόμα προσβολὰς μὴ φέροντες, ἐνέκλιναν. ὁ δὲ, ἕως ἰορδάνου κτείνων εἵπετο, καὶ πολὺ μὲν αὐτῶν μέρος διέφθειρεν, οἱ λοιποὶ δ' ὑπὲρ τὸν ποταμὸν ἐσκεδάσθησαν, ὥστε τὴν γαλιλαίαν κεκαθάρθαι φόβων, πλὴν καθόσον οἱ τοῖς σπηλαίοις ἐμφωλεύοντες ὑπελείποντο, καὶ ἐπὶ τούτοις ἔδει διατριβῆς. διὸ δὴ πρῶτον τοῖς στρατιώταις τὰς ἐκ τῶν πεπονημένων ἐπικαρπίας ἀπεδίδου, διανέμων ἑκάστῳ δραχμὰς ἑκατὸν πεντήκοντα ἀργυρίου, καὶ τοῖς ἡγεμόσι πολυπλασίονα διέπεμψεν εἰς οὓς ἐχειμέριζον σταθμούς. φερώρᾳ δὲ τῷ νεωτάτῳ τῶν ἀδελφῶν ἐπέστελλε τῆς τε ἀγορᾶς αὐτοῖς ποιεῖσθαι πρόνοιαν, καὶ τειχίζειν ἀλεξάνδρειον. κἀκεῖνος ἀμφοτέρων ἐπεμελήθη. ἐν δὲ τούτῳ, περὶ μὲν ἀθήνας διῆγεν ἀντώνιος. βεντίδιος δ' ἐπὶ τὸν πρὸς πάρθους πόλεμον σίλωνά τε καὶ ἡρώδην μετεπέμπετο, καταστήσασθαι πρότερον ἐπιστέλλων, τὰ περὶ ἰουδαίαν. ἡρώδης μὲν ἀσμένως σίλωνα πρὸς βεντίδιον ἀπολύσας, αὐτὸς ἐπὶ τοὺς ἐν τοῖς σπηλαίοις ἐστράτευσεν. τὰ δὲ σπήλαια ταῦτα πρὸς ἀποκρήμνοις ὄρεσιν ἦν οὐδαμόθεν προσιτά, πλαγίας δὲ ἀνόδους μόνον ἔχοντα στενοτάτας. ἡ δὲ κατὰ μέτωπον αὐτῶν πέτρα κατέτεινεν εἰς βαθυτάτας φάραγγας, ὄρθιος

ὄρθιος ἐπιρρέπουσα ταῖς χαράδραις, ὥστε τὸν βασιλέα μέχρι πολλοῦ μὲν ἀπορεῖν πρὸς τὸ ἀμήχανον τοῦ τόπου, τελευταῖον δὲ ἐπινοίᾳ χρήσασθαι σφαλερωτάτῃ. τοὺς γὰρ ἀλκίμους καθιμῶν ἐν λάρναξιν ἐνίει τοῖς στομίοις. οἱ δ' ἀπέσφαττόν τε αὐτοὺς σὺν γενεαῖς, καὶ πῦρ ἐνίεσαν τοῖς ἀμυνομένοις. βουληθεὶς δὲ ἐξ αὐτῶν καὶ περισῶσαι τινὰς Ἡρώδης, ἐκήρυξεν ἀποχωρεῖν πρὸς αὐτόν. τῶν δ' ἐθελουσίως μὲν οὐδεὶς προσέθετο, καὶ τῶν βιαζομένων δὲ πολλοὶ τῆς αἰχμαλωσίας προείλοντο θάνατον. ἔνθα καὶ τῶν γηραιῶν τις ἑπτὰ παίδων πατὴρ, καὶ τῆς μητρὸς δεομένους τοὺς παῖδας ἐπιτρέψαι σφίσιν ἐξελθεῖν ἐπὶ δεξιᾷ, κτείνει τρόπῳ τοιῷδε. καθ' ἕνα προϊέναι κελεύσας, αὐτὸς ἵστατο παρὰ τὸ στόμιον, καὶ τὸν ἀεὶ προϊόντα τῶν υἱῶν ἀπέσφαττεν. ἐξ ἀπόπτου δ' Ἡρώδης ἀποβλέπων, τοῖς πάθεσι συνεχεῖτο, καὶ τῷ πρεσβύτῃ δεξιὰν ὤρεγε, φείσασθαι τῶν τέκνων παρακαλῶν. ὁ δὲ πρὸς οὐδὲν ἐνδοὺς τῶν λεγομένων, ἀλλὰ καὶ προσονειδίσας τὸν Ἡρώδην εἰς ταπεινότητα, ἐπὶ τοῖς παισὶν ἀναιρεῖ καὶ τὴν γυναῖκα, καὶ καταβαλὼν κατὰ τοῦ κρημνοῦ τοὺς νεκροὺς, τελευταῖον ἑαυτὸν ἔρριψεν. χειροῦται μὲν οὕτω τὰ σπήλαια, καὶ τοὺς ἐν αὐτοῖς Ἡρώδης. καταλιπὼν δὲ τῆς στρατιᾶς μοῖραν ὅσην ἀποχρήσειν ὑπελάμβανε πρὸς τὰς ἐπαναστάσεις, καὶ Πτολεμαῖον ἐπ' αὐτῆς, ἐπὶ Σαμαρείας ὑπέστρεφεν, ὁπλίτας μὲν τρισχιλίους, ἱππεῖς δὲ ἄγων ἑξακοσίους ἐπ' Ἀντίγονον. ἔνθα πρὸς τὴν ἀποχώρησιν αὐτοῦ λαβόντες ἄδειαν, οἷς ἔθος ἦν θορυβεῖν τὴν Γαλιλαίαν, κτείνουσι μὲν Πτολεμαῖον τὸν στρατηγὸν ἀδοκήτως προσπεσόντες, ἐπόρθουν δὲ τὴν χώραν ποιούμενοι τὰς ἀναφυγὰς εἰς τὰ ἕλη, καὶ τὰ δυσερεύνητα τῶν χωρίων. πυθόμενος δὲ Ἡρώδης τὴν ἐπανάστασιν, διὰ τάχους ἐπεβοήθει. καὶ πολὺ μὲν αὐτῶν πλῆθος διέφθειρεν, τὰ φρούρια δὲ πάντα πολιορκίας ἐξελὼν, ἐπιτίμιον τῆς μεταβολῆς εἰσεπράξατο παρὰ τῶν πόλεων ἑκατὸν τάλαντα. ἤδη δὲ Πάρθων μὲν ἐξεληλαμένων, ἀνῃρημένου δὲ Πακόρου, Βεντίδιος ἐπιστείλαντος Ἀντωνίου συμμάχους πέμπει Ἡρώδῃ κατὰ Ἀντιγόνου χιλίους ἱππεῖς, καὶ δύο τάγματα. τούτων τὸν στρατηγὸν Μαχαιρᾶν Ἀντίγονος ἱκέτευε δι' ἐπιστολῶν ἑαυτῷ βοηθὸν ἀφικέσθαι. πολλὰ περί τε τῆς Ἡρώδου βίας, καὶ ἐπηρείας τῆς βασιλείας ἀποδυρόμενος, καὶ χρήματα δώσειν ὑπισχνούμενος. ὁ δ', οὐ γὰρ κατεφρόνει τοῦ πέμψαντος, ἄλλως τε καὶ πλέον Ἡρώδου διδόντος, εἰς μὲν τὴν προδοσίαν οὐχ ὑπήκουσεν. ὑποκρινόμενος δὲ φιλίαν, κατάσκοπος ᾔει τῶν Ἀντιγόνου πραγμάτων, Ἡρώδῃ μὴ πεισθεὶς ἀποτρέποντι. προαισθόμενος δὲ αὐτοῦ τὴν διάνοιαν Ἀντίγονος, τήν τε πόλιν ἀπέκλεισε, καὶ ἀπὸ τῶν τειχῶν ὡς πολέμιον ἠμύνατο, μέχρις αἰδούμενος Μαχαιρᾶς, εἰς Ἀμμαοῦντα πρὸς Ἡρώδην ἐχώρει, καὶ πρὸς τὴν διαμαρτίαν τεθυμωμένος, ὅσοις ἐπετύγχανεν Ἰουδαίοις ἀνῄρει, μηδεμίαν τῶν Ἡρωδείων φειδὼ ποιούμενος, ἀλλ' ὡς Ἀντιγονείοις χρώμενος ἅπασιν. ἐφ' οἷς χαλεπήνας Ἡρώδης, ὥρμησε μὲν ἀμύνασθαι Μαχαιρᾶν ὡς πολέμιον, κατασχὼν δὲ τὴν ὀργὴν ἤλαυνε πρὸς Ἀντώνιον κατηγορήσων τῆς Μαχαιρᾶ παρανομίας. ὁ δ' ἐν διαλογισμῷ τῶν ἡμαρτημένων γενόμενος, ταχέως μεταδιώκει τὸν βασιλέα, καὶ πολλὰ δεηθεὶς, ἑαυτῷ διαλλάττει. οὐ μὴν Ἡρώ-

rectum vallibus imminens, vt aliquandiu quidem rex pro loci difficultate quid ageret, incertus esset. Postremò autem placuit, vt molimine vteretur satis incauto. Etenim valentissimus quisque demissus arculis, exponebatur in ostia speluncarum. Hique cum familiis eos mactabant, ignémque repugnantibus iniiciebant. Cúmque aliquos ex his conseruare vellet Herodes, vt ad se accederent, voce præconis edixit. Sed illorum neque voluntarius se quisquam ei tradidit: sed & quos vis coëgerat, multi mortem captiuitati prætulerunt. Vbi etiam senior quidam, septem filiorum pater, orantes cum matre pueros, vt egredi sibi ad fœdera permitteret, occidit hoc modo: Iussit exire singulos, ipse ad ostium stabat, & prodeuntem quemque filiorum trucidabat. Herodes autem è specula hæc prospiciens, & dolore conficiebatur: & vt filiis parceret, seni dexteram cum precibus porrigebat. Ille autem dictis eius nequaquam mitior factus, insuper humilem animum Herodi exprobrauit. & post filios occidit vxorem: deiectísque desuper mortuis, postremò semetipsum præcipitem misit. Speluncis igitur & qui in his erant ita subactis, Herodes relicta exercitus parte, quantum ne quis rebellare tentaret satis esse arbitrabatur, eíque parti Ptolemæo præposito, in Samariam rediit: scutatorum quidem tria millia, sexcentos verò equites in Antigonum ducens. Túncque propter eius abscessum nacti licentiam, quibus Galilæam turbare mos erat, Ptolemęū quidem ducem aggressi, nec opinantem interficiunt. Agros autem vastabant, in paludes atque in abditissima loca refugientes. Quibus cognitis Herodes maturè succurrit: & magnam quidem eorum multitudinem morte consumit. Omnibus autem castellis obsidione liberatis, huius mutationis causa mulctam exegit à ciuitatibus pecuniam, centum talenta. Iam verò Parthis expulsis, occiso etiam Pacoro, Ventidius Antonij literis monitus, equitum mille auxilia duarúmque legionum, aduersus Antigonum mittit Herodi. eorum autem ducem Machæram, vt se adiutum veniret, per epistolas rogauit Antigonus, & de iniuria Herodis multa conquestus, & pecuniam dare pollicitus. Sed is: nec enim ad quos missus fuerat, negligendum putabat, cùm præsertim plura daret Herodes. in proditione quidem ei non paruit, simulata verò amicitia res Antigoni exploratum perrexit, non admisso Herodis consilio, dissuadentis id fieri. Antigonus autem, quia præsensit quid cogitaret, ciuitatem ei clausit, & tanquam hostem arcebat à mœnibus, donec Machæram incepti puduit, & in Amathuntem ad Herodem recessit. Iratus autem quòd res aliter cessisset, quoscunque Iudæos offendisset interficiebat, vt nec vel Herodianis parceret: sed vt Antigonianis omnibus abutebatur. Hæc cùm ægrè ferret Herodes in Machæram quidem vindicare voluit, tanquam in hostem: iracundiam verò repressit, & ad Antonium properabat, apud eum accusaturus Machæræ iniquitatem. Ille autem delicta sua reputans velociter regem consequitur: vtque in gratiam secum redeat, multis precibus efficit. Neq; tamen Hero-

des à proposito suo reuocatus est quò minus ad Antonium pergeret. Sed cùm audisset eum magnis viribus oppugnare Samosatam, iuxta Euphratem validissimam ciuitatem, acriùs festinabat, opportunum hoc tempus esse perspiciens demonstrandæ virtutis, & vt magis magísque placeret Antonio. Denique mox vt ad eum venit, finem attulit obsidioni, multis Barbaris interfectis, magnáque prædæ parte sibi destinata: vt Antonius quidem, quanquam eius virtutem antea mirabatur, tamen etiam tunc magis eandem opinionem haberet, multúmque ad honores eius spémque regni adderet: Antiochus verò tradere Samosatam cogeretur.

CAP. XIII. De morte Iosephi, & obsidione Hierosolymæ per Herodem, & Antigono occiso. *Ant. li. 14. cap. 25.*

Dvm hæc agerentur, res Herodis in Iudæa fractæ sunt. Reliquerat enim Iosephum fratrem suum, qui omnia procuraret, cũ mandatis huiusmodi, vt nihil ante reditum suum aduersus Antigonum moueret, quia non firmum esset auxilium Machærę, quantum ex delictis superioribus appareret. Verùm Iosephus, vbi fratrem procul abesse cognouit, immemor præceptorum, Hierichunta cum quinque cohortibus à Machæra secum missis petit, vt maturo messium tempore frumenta diripiat. Incursu autem hostium per montana atque aspera loca oppressus, & ipse cadit, magnam viri fortis in ea pugna gloriam consecutus, & omnes Romani milites pereunt. Recèns autem lectæ de Syria cohortes erant, nec veteranorum quenquam permixtum habebant, qui belli imperitis opitulari posset. Antigonus autem victoria minimè contentus fuit: sed eò processit iracundiæ, vt mortuum quoque Iosephum verberaret. Denique nactus corpora mortuorum, etiam caput eius abscidit, quamuis L. talenta Pheroras frater pretium redemptionis offerret. tanta verò nouitas post Antigoni victoriam Galilææ res occupauit, vt qui partibus eius magis fauerent, productos primates Herodis studiosos lacu submergerent: multáque in Idumæa quoque mutarentur, vbi Machæra castelli cuiusdam instaurabat mœnia, cuius nomen est Githa. nec horum quicquam Herodes audierat. Captis enim Samosatis Antonius, & præposito Syriæ Sosio iusso vt Herodem quoque aduersus Antigonum adiuuaret, discessit in Ægyptum. Sosius autem duabus cohortibus in Iudæam præmissis, quarum Herodes vteretur auxilio, ipse cum cętera manu militum sequebatur. Herodi autem degenti prope Daphnem Antiochiæ, mortẽ fratris somnia manifesta significant. Cúmque turbatus prosiluisset è stratis, ecce nũcij cladis intrabãt: quare præ dolore paululùm questus, maxima parte luctus dilata, in hostes properabat, vltra vires iter accelerans. & vbi ad Libanũ venit, octingentos montis accolas assumit auxilio, vnámque his iungit Romanorum cohortem. cum quibus non expectata luce, Galilæam ingressus est, hostésque obuios in eum quem reliquerat locum auertit. & assiduè quidem castellum oppugnare tentabat: sed prius quàm id caperet, asperrima hyeme coactus, in vicum proximum recepit exercitum. paucis autem diebus pòst,

δης ἐπαύσατο τῆς πρὸς ἀντώνιον ὁρμῆς. ἀκηκοὼς δὲ αὐτὸν μετὰ πολλῆς δυνάμεως προσπολεμοῦντα σαμοσάτοις, πόλις δ' ἐστὶν εὐφράτου πλησίον καρτερά, θᾶττον ἠπείγετο, τὸν καιρὸν ἐπιτήδειον ὁρῶν πρὸς τὴν ἐπίδειξιν ἀνδρίας, καὶ τοῦ μᾶλλον ἀρέσασθαι τὸν ἀντώνιον. γίνεται γοῦν ἐπελθὼν τέλος αὐτοῖς τῆς πολιορκίας, πολλοὺς μὲν τῶν βαρβάρων ἀποκτείνας, πολλὴν δὲ ἀποτεμόμενος λείαν, ὥς τε τὸν μὲν ἀντώνιον θαυμάζοντα, καὶ πάλαι τὰ τῆς ἀρετῆς αὐτοῦ, τότε μᾶλλον οὕτως ἔχειν, καὶ πολὺ προσθεῖναι ταῖς τε ἄλλαις αὐτοῦ, καὶ ταῖς εἰς τὴν βασιλείαν ἐλπίσιν. ἀντίοχον δὲ τὸν βασιλέα ἀναγκασθῆναι τὰ σαμόσατα παραδοῦναι.

Κεφ. ιγ.

Κἀν τούτῳ θραύεται τὰ κατὰ τὴν ἰουδαίαν ἡρώδου πράγματα. καταλελοίπει μὲν ἰώσηπον τὸν ἀδελφὸν, ἐπὶ τῶν ὅλων, παραγγείλας μηδὲν μέχρι τῆς ὑποστροφῆς αὐτοῦ παρακινεῖν πρὸς ἀντίγονον. οὐ γὰρ δὴ βέβαιον εἶναι μαχαιρᾶν σύμμαχον, ἐξ ὧν ἔδρασεν. ὁ δὲ ὡς ἤκουσεν ὄντα πορρωτάτω τὸν ἀδελφὸν, ἀμελήσας τῶν παραγγελμάτων ἐπὶ ἱεριχοῦντος ἐχώρει μετὰ πέντε σπειρῶν, ἃς συνέπεμψε μαχαιρᾶς. ᾔει δὲ τὸν σῖτον ἁρπάσων ἐν ἀκμῇ τοῦ θέρους. ἐπιθεμένων δ' ἐν τοῖς ὄρεσι, καὶ ταῖς δυσχωρίαις τῶν ἐναντίων, αὐτός τε θνήσκει, μάλα γενναῖος ἐν τῇ μάχῃ φανεὶς, καὶ τὸ ῥωμαϊκὸν πᾶν διαφθείρεται. νεοσύλλεκτοι γὰρ ἐκ τῆς συρίας ἦσαν αἱ σπεῖραι, καὶ οὐδὲν αὐταῖς ἀνεκέκρατο τῶν πάλαι στρατιωτῶν καλουμένων, ἐπαμύνειν τοῖς ἀπείροις πολέμου δυναμένων. ἀντιγόνῳ δὲ οὐκ ἀπέχρησεν ἡ νίκη, προῆλθε δὲ εἰς τοσοῦτον ὀργῆς, ὥς τε καὶ νεκρὸν αἰκίσασθαι τὸν ἰώσηπον. κρατήσας γοῦν τῶν σωμάτων ἀποτέμνει τὴν κεφαλὴν αὐτοῦ, καίτοι πεντήκοντα τάλαντα λύτρον αὐτῆς φερώρα τἀδελφοῦ διδόντος. τὰ δὲ τῆς γαλιλαίας μετὰ τὴν ἀντιγόνου νίκην ἐνεωτερίσθη πρὸς τοσοῦτον, ὥς τε τοὺς τὰ ἡρώδου φρονοῦντας τῶν δυνατῶν, προσαγαγόντες εἰς τὴν λίμνην κατέδυσαν οἱ προσέχοντες ἀντιγόνῳ. μετεβάλλετο δὲ πολλὰ καὶ τῆς ἰδουμαίας, ἔνθα μαχαιρᾶς ἀνετείχιζέ τι τῶν ἐρυμάτων, γιθθὰ καλεῖται. τούτων δὲ οὐδέπω πέπυστο ἡρώδης. μετὰ γὰρ τὴν σαμοσάτων ἅλωσιν, ἀντώνιος μὲν καταστήσας ἐπὶ τῆς συρίας σόσσιον, καὶ προστάξας ἡρώδῃ βοηθεῖν ἐπ' ἀντίγονον, αὐτὸς εἰς αἴγυπτον ἀνεχώρησε. σόσσιος δὲ δύο μὲν τάγματα προαπέστειλεν εἰς ἰουδαίαν ἡρώδῃ συμμαχῶν. αὐτὸς δὲ μετὰ τῆς λοιπῆς δυνάμεως ἠκολούθει σχεδόν. ὄντι δὲ ἡρώδῃ κατὰ τὴν πρὸς ἀντιόχειαν δάφνην, ὄνειροι σαφεῖς τὸν τοῦ ἀδελφοῦ θάνατον προσημαίνουσι, καὶ μετὰ ταραχῆς ἐκθορόντι τῆς κοίτης, εἰσῄεσαν ἄγγελοι τῆς συμφορᾶς. ὁ δὲ ὀλίγον μὲν προσοιμώξας τῷ πάθει, τὸ πλεῖον δὲ τοῦ πένθους ὑπερθέμενος, ἐπὶ τοὺς ἐχθροὺς ἠπείγετο. ποιούμενος δὲ τὴν πορείαν ὑπὲρ δύναμιν, καὶ διανύσας ἐπὶ τὸν λίβανον, ὀκτακοσίους μὲν τῶν περὶ τὸ ὄρος προσλαμβάνει συμμάχους, ῥωμαίων δὲ ἓν τάγμα ταύτῃ συνάψας, μεθ' ὧν οὐ περιμείνας ἡμέραν, εἰς τὴν γαλιλαίαν ἐνέβαλε, τούς τε πολεμίους ὑπαντιάσαντας εἰς ὃ καταλελοίπεσαν χωρίον τρέπεται. καὶ προσέβαλλε μὲν συνεχῶς τῷ φρουρίῳ, πρὶν δὲ ἑλεῖν χειμῶνι βιασθεὶς χαλεπωτάτῳ, τῇ πλησίον ἐνστρατοπεδεύεται κώμαις. ἐπεὶ δ' αὐτῷ μετ' ὀλίγας μὲν ἡμέρας, καὶ τὸ

καὶ τὸ δεύτερον παρ' Ἀντωνίου τάγμα συνέμιξε, δείσαντες τὴν ἰσχὺν οἱ πολέμιοι, διὰ νυκτὸς ἐξέλιπον τὸ ἔρυμα. καὶ τὸ λοιπὸν ἤει διὰ ἱεριχοῦντος, ἐπειγόμενος ἢ τάχιστα τοὺς τἀδελφοῦ φονεῖς μετελθεῖν. ἔνθα δὴ καὶ δαιμόνιον αὐτῷ συμβαίνει τέρας, ἐξ οὗ παρ' ἐλπίδα σωθεὶς, ἀνδρὸς θεοφιλεστάτου δόξαν ἀπηνέγκατο. πολλοὶ μὲν γὰρ αὐτῷ τῶν ἐν τέλει κατ' ἐκείνην συνειστιάθησαν τὴν ἑσπέραν. διαλυθέντος δὲ τοῦ συμποσίου, μετὰ τὸ πάντας ἐξελθεῖν, εὐθέως ὁ οἶκος συνέπεσεν. τοῦτο καὶ κινδύνων, καὶ σωτηρίας, κοινὸν ἐπὶ τῷ μέλλοντι πολέμῳ κρίνας εἶναι σημεῖον, ὑπὸ τὴν ἕω διεκίνει τὴν στρατιάν. καὶ τῶν ἐναντίων εἰς ἑξακισχιλίους ἀπὸ τῶν ὀρῶν καταθέοντες, ἀπεπειρῶντο τῶν προτεταγμένων, κατὰ χεῖρα μὲν συμπλέκεσθαι τοῖς ῥωμαίοις οὐ σφόδρα θαρροῦντες, πόρρωθεν δὲ χερμάσι καὶ παλτοῖς ἔβαλλον, ὥστε συχνοὺς κατατιτρώσκειν, ἐν ᾧ καὶ αὐτὸς ἡρώδης παρελαύνων, παλτῷ κατὰ τὴν πλευρὰν ἀκοντίζεται. βουλόμενος δὲ ὁ ἀντίγονος μὴ μόνον τόλμῃ τῶν σφετέρων, ἀλλὰ καὶ πλήθει περιεῖναι δοκεῖν, πάππον τινὰ τῶν ἑταίρων μετὰ στρατιᾶς ἐπὶ σαμάρειαν ἐπιπέμπει. τούτῳ μὲν οὖν ἦν μαχαιρᾶς ἀγώνισμα. ἡρώδης δὲ τὴν πολεμίαν καταδραμὼν, πέντε μὲν πολίχνας καταστρέφεται. δισχιλίους δὲ τῶν ἐν αὐταῖς διαφθείρει, καὶ τὰς οἰκίας ἐμπρήσας, ὑπέστρεψεν ἐπὶ τὸ στρατόπεδον. ηὔλιστο δὲ περὶ τὴν καλουμένην κανᾶ κώμην. προσεγίνετο δὲ αὐτῷ καθ' ἡμέραν πολὺ πλῆθος ἰουδαίων, ἔκ τε αὐτῆς ἱεριχοῦντος, καὶ τῆς ἄλλης χώρας, οἱ μὲν διὰ μῖσος τὸ πρὸς ἀντίγονον, οἱ δὲ ἐπὶ τοῖς αὐτοῦ κατορθώμασι κεκινημένοι. τοὺς γε μὴν πολλοὺς ἐνῆγεν ἐπιθυμία μεταβολῆς ἄλογος. καὶ ὁ μὲν ἠπείγετο συμβαλεῖν, οἱ δὲ περὶ πάππον, οὔτε πρὸς τὸ πλῆθος, οὔτε περὶ τὴν ὁρμὴν ὑποδείσαντες αὐτοῦ προθύμως ἀντεπεξῆλθον. γενομένης δὲ τῆς παρατάξεως, τὰ μὲν ἄλλα μέρη πρὸς ὀλίγον ἀντέσχον. ἡρώδης δὲ κατὰ μνήμην τοῦ φονευθέντος ἀδελφοῦ παραβαλλόμενος, ὡς ἂν τίσαιτο τοὺς αἰτίους τοῦ φόνου, ταχέως τῶν καθ' ἑαυτὸν ἐκράτει, καὶ μετ' ἐκείνους ἐπὶ τὸ συνεστὸς ἀεὶ τρεπόμενος ἅπαντας διώκει. φόνος δὲ ἦν πολὺς, τῶν μὲν εἰς τὴν κώμην συνεξωθουμένων ἐξ ἧς ὥρμηντο, τοῦ δὲ προσκειμένου τοῖς ὑστάτοις, καὶ κτείνοντος ἀπείρους. συνεισπίπτει δὲ τοῖς πολεμίοις εἴσω, καὶ πᾶσα μὲν ὁπλιτῶν οἰκία ἐνέσακτο. τὰ τέγη δὲ ἦν ὕπερθεν ἀμυνομένων κατάπλεα. κἀπειδὴ περιῆν τῶν ἔξωθεν, τὰς οἰκήσεις ἀναρρηγνὺς εἷλκε τοὺς ἔνδοθεν. καὶ τοῖς μὲν πολλοῖς ἐπικατασείων τοὺς ὀρόφους, ἀθρόως ἀνῄρει, τοὺς δὲ ὑποφυγόντας τῶν ἐρειπίων, οἱ στρατιῶται ξιφήρεις ἀνεδέχοντο. καὶ τοσοῦτον ἐσωρεύθη νεκρῶν πλῆθος, ὥστε τὰς ὁδοὺς ἀποφραγῆναι τοῖς κρατοῦσι. ταύτην τὴν πληγὴν οὐκ ἤνεγκαν οἱ πολέμιοι. τὸ γοῦν ἐπισυλλεγόμενον αὐτῶν πλῆθος ὡς ἐθεάσατο τοὺς ἀνὰ τὴν κώμην διεφθαρμένους, εἰς φυγὴν διεσκεδάσθη. κἂν εὐθέως τῇ νίκῃ τεθαρρηκὼς ἡρώδης ἐπὶ ἱεροσολύμων ἤλασεν, εἰ μὴ χειμῶνι διεκωλύθη σφοδροτάτῳ. τοῦτο τὸ ἐμπόδιον, ἐκείνῳ τε παντελοῦς κατορθώματος, καὶ ἥττης τῷ ἀντιγόνῳ κατέστη, βουλομένῳ καταλιπεῖν ἤδη τὴν πόλιν. ἡρώδης δὲ πρὸς ἑσπέραν ἤδη τοὺς φίλους κεκμηκότας ἐπὶ θεραπείᾳ τοῦ σώματος

auctus etiam alterius cohortis præsidio, quam Antonius miserat, tanto hostibus terrori fuit, vt castellum nocte desererent. Iámque per Hierichunta properans ibat, vt quàm primùm interfectores fratris sui posset vlcisci, vbi etiam mirabilis ei monstrique similis casus euenit: vnde præter spem liberatus, opinionem quòd Deo carus esset adeptus est. nam cùm multi honorati vespera illa apud eum cœnauissent, postquam dimisso conuiuio omnes egressi sunt, confestim cœnaculum concidit. Id autem commune sibi tam periculorum quàm salutis præsagium, quantum ad futurum bellum pertineret, esse coniiciens mane primo castra mouet: hostiúmque sex circiter millia de montibus decurrentes, prima tentabant agmina: & manum quidem cum Romanis conserere non satis fidebant: lapidibus autem ac telis eos, dummodo plurimos sauciarent, eminus appetebant. vbi Herodes quoque ipse præteriens, latus iaculo vulneratur. Antigonus autem se non solum audacia suorum, sed etiam multitudine superiorem videri cupiens, Pappum quendam ex contubernalibus suis cum manu militum in Samariam mittit, quibus quidem Machæra erat præmium victoriæ. Herodes verò terram peruagatus hostilem, quinque municipia capit, duóque habitatorum millia consumit. exustísque domibus, ad exercitum redit, circa vicum, qui appellatur Cana tendentem. In dies autem singulos magna ei multitudo Iudæorum vel ex ipsa Hierichunte, vel ex aliis regionibus accedebat: cùm hos odium moueret Antigoni, alios ipsius Herodis præclara facinora. Enimuerò multos ratione carẽtes, mutationis cupiditas impellebat. hoc autem congredi festinante, Pappi milites neque multitudine hostium, neque impetu perterriti, acriter ad pugnam ex altera parte procedunt. sed vbi agmina conflixerunt, cæteri quidam paulisper restiterunt. Herodes autem fraternæ cædis recordatione periculosiùs dimicans, dummodo eius vlcisceretur autores, aduersam aciem facillimè superat. deinde semper integros aggrediendo, vniuersos in fugam vertit. erat enim plurima occumbentium strages, cùm alij quidem in vicum vnde venerant compellerentur. nouissimus autem ipse instaret, atque infinitos occideret. postremò ruens inter fugientes hostes in vicum irrupit: cùm omnes domus armatis essent refertæ, plenáque propugnatorum desuper tecta: & quoniam foris deprehensos facillimè superabat, disturbando ædes intus abditos extrahebat, alios conuulsis obrutos tectis, multos simul necabat. si quis autẽ subterfugisset ruinam eum gladiis armati milites excipiebant, tantáq; cadauerum per omnes vias multitudo coaceruata est, vt etiam victoribus ipsis transitus obstrueretur. hanc plagã hostes adeò nõ tulerunt, vt cõfluentium turba, conspectis, qui in vico periissent, fuga discederent. statimque successu fretus Herodes ad Hierosolymã perrexisset, nisi eũ hyemis asperitas prohibuisset. Hæc enim perficiendæ victoriæ fuit impedimentum, & ne penitus opprimeretur Antigonus, obstitit, qui ciuitatem iam deserere cogitabat. Herodes autem ad vesperam, cùm lassos amicos reficiendi corporis gratia

dimisisset, ipse adhuc ab armis calidus, more militis lauatum ibat. Siquidem vnus tantùm puer eum sequebatur. Et priùs quàm in balneum perueniret, obuius ei quidam ex hostibus gladio armatus occurit, deinde alter & tertius & plures. Et hi confugerant armati ex acie in balneum, sed perculsi etiam tum metu ac latitantes, vt regem viderunt, illum quidem stupore debilitati ac trementes, cùm inermis esset prætereunt: exitus verò quà fugerent cursu petebant. Itaque cùm alius casu, qui eos deprehenderet nullus adesset, Herodi autem nihil pati satis fuisset, omnes effugiunt. Postero autem die Pappum quidem, Antigoni militum ducem, abscisso capite obtruncant: idque Phæroræ magistro exercitus fratri suo mittit in perempti fratris vltionem. namque Pappus erat qui Iosephum interfecerat. Vbi autem rigor hyemis cessit, Hierosolymam repetiit: murísq; admoto milite, (annus autem tertius agebatur, ex quo Romæ rex fuerat declaratus) pro tẽplo castra posuit, quà facilior erat expugnatio, & antea Pompeius ceperat ciuitatem. Exercitu autem in opera distributo, suburbanísque diuisis, tres quidem leuare aggeres, & super eos turres ædificare iubet. relictis autem, qui operibus instarent impigerrimis amicorum, ipse in Samariam vadit, vxorem accepturus, Alexandri filij Aristobuli filiam, sibi desponsatam, vt diximus, & dum obsidet, succisiua opera nuptias curaturus: quippe iam hostes despiciebat. igitur vbi eam duxit, ad Hierosolymam redit, auctus militum copiis: eique Sosius cum magna manu equitum peditúmque sociatur: qua mediterraneo itinere præmissa, ipse per Phœnicem iter fecit, vniuerso autem exercitu congregato, ad peditum legiones vndecim, equitúmque sex millia, præter auxilia Syrorum, non pro minima parte ducenda propè à Septentrionali muro castra collocarunt: Herodes quidem senatusconsulto fretus, quo rex fuerat declaratus: Sosius verò Antonio, à quo milites, quibus præerat, sciret missos Herodi auxilio. Iudæorum autem intra ciuitatem agentium populus variè turbatus erat. Nam circa templum infirmior multitudo conueniens furore agebatur: multáque veluti diuinitùs de temporibus dictitabat: & qui audaciores essent, in cateruas conglobati, multis modis latrocinabantur: maximè ex locis oppido proximis victui necessaria proripientes, neque aut equis, aut viris alimenta relinquebant. bellatorum autem constantiores obsidentibus oppositi, è muris opus aggerũ prohibebant, & contra instrumenta oppugnantium, semper nouũ aliquod obstaculum moliebantur. In nulla re autem æquè ac cuniculis superabant. Rex autem aduersus latrocinia quidẽ occultas excogitauit militum insidias quibus eorum reprimerentur excursus: inopiã verò alimentorum longinquis transuectionibus adiuuari disposuit. ac pugnæ intenti, quamuis omnem modum audaciæ supergrederẽtur, Romanorum tamẽ peritia vincebantur. nihilominus apertè cum his, certa morte propsita, confligebant. Ex improuiso autem

Ant. lib. 14. cap. 28.

A διαφεὶς, καὶ αὐτὸς ὡς ἦν ἔτι θερμὸς ἐκ τῶν ὅπλων λουσόμενος ᾔει στρατιωτικώτερον. εἷς γοῦν αὐτῷ παῖς εἵπετο, καὶ πρὶν εἰς τὸ βαλανεῖον εἰσελθεῖν, ἐναντίον αὐτοῦ τις ἐκτρέχει τῶν πολεμίων ξιφήρης, ἔπειτα δεύτερος, καὶ τρίτος, καὶ ἑξῆς πλείους. οὗτοι καταπεφεύγεσαν μὲν ἐκ τῆς παρατάξεως εἰς τὸ βαλανεῖον ὡπλισμένοι. τέως δὲ ὑποπεπτηχότες, καὶ διαλανθάνοντες, ὡς ἐθεάσαντο τὸν βασιλέα λυθέντες ὑπ' ἐκπλήξεως, αὐτὸν μὲν παρέτρεχον γυμνὸν ὄντα τρέμοντες, ἐπὶ δὲ τὰς B ἐξόδους ἐχώρουν. τῶν μὲν οὖν ἄλλων, οὐδεὶς παρῆν κατὰ τύχην ὁ συλληψόμενος τοὺς ἄνδρας, ἡρώδῃ δὲ ἀπέχρησε τὸ μηδὲν παθεῖν, ὥστε διαφεύγουσι πάντες. τῇ δ' ὑστεραίᾳ, πάππον μὲν τὸν ἀντιγόνου στρατηγὸν καρατομήσας, ἀνῄρητο δὲ ἐπὶ τῆς παρατάξεως, πέμπει τὴν κεφαλὴν φερώρᾳ τῷ ἀδελφῷ, ποινὴν τοῦ φονευθέντος αὐτῶν ἀδελφοῦ. καὶ γὰρ οὗτος ἦν, ὁ τὸν ἰώσηπον ἀνελών. λωφήσαντος δὲ τοῦ χειμῶνος, C ἤλαυνεν ἐπὶ ἱεροσολύμων, καὶ μέχρι τοῦ τείχους ἀγαγὼν τὴν δύναμιν, συνήγετο δὲ αὐτῷ τρίτον ἔτος ἐξ οὗ βασιλεὺς ἐν ῥώμῃ ἀπεδέδεικτο, πρὸ τοῦ ἱεροῦ στρατοπεδεύεται. ταύτῃ γὰρ ἦν ἐπίμαχον, καὶ καθ' ὃ πρὶν εἷλε πομπήϊος τὴν πόλιν. διελὼν δὲ εἰς ἔργα τὴν στρατιὰν, καὶ τεμὼν τὰ προάστεια, τρία μὲν ἐγείρει χώματα. καὶ πύργους ἐποικοδομεῖν αὐτοῖς κελεύσας, καταλιπὼν τοὺς ἀνυστικωτάτους τῶν ἑταί- D ρων ἐπὶ τῶν ἔργων, αὐτὸς εἰς σαμάρειαν ᾔει, τὴν ἀλεξάνδρου τοῦ ἀριστοβούλου μετιὼν θυγατέρα καθωμολογημένην, ὡς ἔφαμεν αὐτῷ, καὶ πάρεργον ποιεῖται τῆς πολιορκίας τὸν γάμον. ἤδη γὰρ ὑπερηφάνει τοὺς πολεμίους. γήμας δὲ ὑπέστρεψεν ἐπὶ ἱεροσολύμων μετὰ μείζονος δυνάμεως. συνῆπτε δὲ αὐτῷ καὶ σόσσιος, μετὰ πλείστης στρατιᾶς, ἱππέων τε καὶ πεζῶν, ἣν προεκπέμψας διὰ τῆς μεσογείου, τὴν πορείαν αὐτὸς διὰ φοινίκης ἐποιήσατο. συναθροισθείσης δὲ τῆς E ὅλης δυνάμεως, εἰς ἕνδεκα μὲν τέλη πεζῶν, ἱππεῖς δὲ ἑξακισχιλίους δίχα τῶν ἀπὸ συρίας συμμάχων, οἳ μέρος οὐκ ὀλίγον ἦσαν, καταστρατοπεδεύονται τοῦ βορείου τείχους πλησίον, αὐτὸς μὲν πεποιθὼς τοῖς τῆς συγκλήτου δόγμασι, δι' ὧν βασιλεὺς ἀπεδέδεικτο, σόσιος δὲ ἀντωνίῳ τῷ πέμψαντι τὴν ὑπ' αὐτῷ στρατιὰν ἡρώδῃ σύμμαχον. τῶν δὲ ἀνὰ τὴν πόλιν ἰουδαίων τὸ πλῆθος, ποικίλως ἐτετάρακτο. καὶ γὰρ περὶ τὸν F ναὸν ἀθροιζόμενον τὸ ἀσθενέστερον, εὐδαίμονα καὶ πολλὰ θειωδέστερον τὸν τελευτήσοντα πρὸς τοὺς καιροὺς ἐλογοποίει, καὶ τῶν τολμηροτέρων κατὰ στῖφος ἦσαν λῃστεῖαι πολύτροποι, καὶ μάλιστα περὶ τὴν πόλιν ἁρπαζόντων, ἐπειδὴ μήτε ἵπποις, μήτε ἀνδράσιν ὑπελέλειπτο τροφή. τοῦ γε μὴν μαχίμου τὸ εὐτακτότερον ἐτέτακτο πρὸς ἄμυναν τῆς πολιορκίας. τούς τε χωννῦντας, εἶργον ἀπὸ τοῦ τείχους, καὶ τοῖς ὀργάνοις G ἀντιμηχανώμενον ἀεί τι κώλυμα καινότερον. ἐν οὐδενὶ δὲ οὕτως, ὡς ἐν ταῖς μεταλλείαις περιῆσαν τῶν πολεμίων. τῷ δὲ βασιλεῖ, πρὸς μὲν τὰς λῃστείας ἀντεπενοήθησαν λόχοι, δι' ὧν ἀνέστελλε τὰς ἐκδρομάς. πρὸς δὲ τὴν τῶν ἐπιτηδείων ἀπορίαν, αἱ πόρρωθεν συγκομιδαί. τῶν δὲ μαχομένων περιῆν τῇ ῥωμαίων ἐμπειρίᾳ, καίτοι τόλμης οὐδεμίαν καταλιπόντων ὑπερβολήν. φανερῶς μὲν οὖν οὐ συνερρήγνυντο τοῖς ῥωμαίοις ἐπὶ προύπτῳ τῷ θανάτῳ. διὰ δὲ τῶν

ὑπὸ

ὑπονόμων ἐν μέσοις αὐτοῖς ἐξαπίνης ἐφαίνοντο, καὶ πρὶν καταστραφῆναί τι τοῦ τείχους, ἕτερον ἀντῳκοδόμουν. καθόλου τε εἰπεῖν, οὔτε χερσὶν, οὔτε ἐπινοίαις ἔκαμνον, εἰς ἔσχατον ἀντισχεῖν διεγνωκότες. ἀμέλει τηλικαύτης δυνάμεως περικαθεζομένης, πέντε μησὶ διήνεγκαν τὴν πολιορκίαν, ἕως τῶν ἡρώδου τινὲς ἐπιλέκτων ἐπιβῆναι τοῦ τείχους θαρρήσαντες, εἰσπίπτουσιν εἰς τὴν πόλιν, ἐφ' οἷς ἑκατοντάρχαι σοσσίου. πρῶτα δὲ τὰ περὶ τὸ ἱερὸν ἡλίσκετο, καὶ τῆς δυνάμεως ἐπιχυθείσης πανταχοῦ φόνος ἦν μυρίος, τῶν μὲν ῥωμαίων ἐπὶ τῇ τριβῇ τῆς πολιορκίας διωργισμένων, τοῦ δὲ περὶ ἡρώδην ἰουδαϊκοῦ, μηδένα ὑπολιπέσθαι σπεύδοντος ἀντίπαλον. ἐσφάττοντο δὲ παμπληθεῖς, ἔν τε τοῖς στενωποῖς, καὶ κατὰ τὰς οἰκίας συνωθούμενοι, καὶ τῷ ναῷ προσφεύγοντες. ἦν δὲ οὔτε γηραιῶν ἔλεος, οὔτε ἀσθενείας γυναικῶν, ἀλλὰ καίτοι γε περιπέμποντος τοῦ βασιλέως, καὶ φείδεσθαι παρακαλοῦντος, οὐδεὶς ἐκράτησε τῆς δεξιᾶς, ἀλλ' ὥσπερ μεμηνότες πᾶσαν ἡλικίαν ἐπεξῄεσαν. ἔνθα καὶ ἀντίγονος, μήτε τῆς πάλαι, μήτε τῆς τότε τύχης ἔννοιαν λαβὼν, κάτεισι μὲν ἀπὸ τῆς βάρεως, προσπίπτει δὲ τοῖς σοσσίου ποσί. κἀκεῖνος μηδὲν αὐτὸν οἰκτείρας πρὸς τὴν μεταβολὴν, ἐπεγέλασέ τε ἀκρατῶς, καὶ ἀντιγόνην ἐκάλεσεν. οὐ μὴν ὡς γυναῖκά τε καὶ φρουρᾶς ἐλεύθερον ἀφῆκεν, ἀλλ' ὁ μὲν δεθεὶς ἐφυλάττετο. πρόνοια δὲ ἦν ἡρώδῃ κρατοῦντι τῶν πολεμίων τότε, κρατῆσαι καὶ τῶν ἀλλοφύλων συμμάχων. ὥρμητο γὰρ τὸ ξενικὸν πλῆθος ἐπὶ θέαν τε τοῦ ἱεροῦ, καὶ τῶν κατὰ τὸν ναὸν ἁγίων. ὁ δὲ βασιλεὺς, τοὺς μὲν παρακαλῶν, τοῖς δὲ ἀπειλούμενος, ἔστι δὲ οὓς καὶ τοῖς ὅπλοις ἀνέστελλεν, ἥττης χαλεπωτέραν τὴν νίκην ὑπολαμβάνων, εἴ τι τῶν ἀθεάτων παρ' αὐτῶν ὀφθείη. διεκώλυσε δὲ ἤδη καὶ τὰς κατὰ τὴν πόλιν ἁρπαγάς, πολλὰ διατεινάμενος πρὸς σόσσιον, εἰ χρημάτων τε καὶ ἀνδρῶν τὴν πόλιν ῥωμαῖοι κενώσαντες, καταλείψουσιν αὐτὸν ἐρημίας βασιλέα. καὶ ὡς ἐπὶ τοσούτων πολιτῶν φόνῳ, βραχὺ καὶ τὴν τῆς οἰκουμένης ἡγεμονίαν ἀντάλλαγμα κρίνοι. τοῦ δὲ, ἀντὶ τῆς πολιορκίας τὰς ἁρπαγὰς δικαίως τοῖς στρατιώταις ἐπιτρέπειν φαμένου, αὐτὸς ἔφη διανέμειν ἐκ τῶν ἰδίων χρημάτων τοὺς μισθοὺς ἑκάστοις. οὕτω τε τὴν λοιπὴν ἐξωνησάμενος πατρίδα, τὰς ὑποσχέσεις ἐπλήρωσε. λαμπρῶς μὲν γὰρ ἕκαστον στρατιώτην, ἀναλόγως δὲ τοὺς ἡγεμόνας, βασιλικώτατα δὲ αὐτὸν ἐδωρήσατο σόσσιον, ὡς μηδένα χρημάτων ἀπελθεῖν δεόμενον. σόσσιος δὲ χρυσοῦν ἀναθεὶς τῷ θεῷ στέφανον, ἀνέζευξεν ἀπὸ ἱεροσολύμων, ἄγων δεσμώτην ἀντίγονον ἀντωνίῳ. τοῦτον μὲν οὖν φιλοψυχήσαντα μέχρις ἐσχάτης διὰ ψυχρᾶς ἐλπίδος, ἄξιος τῆς ἀγεννείας πέλεκυς ἐκδέχεται. βασιλεὺς δὲ ἡρώδης διακρίνας τὸ κατὰ τὴν πόλιν πλῆθος, τοὺς μὲν τὰ αὐτοῦ φρονήσαντας, εὐνουστέρους ταῖς τιμαῖς καθίστατο, τοὺς δὲ ἀντιγονείους ἀνῄρει, καὶ κατὰ σπάνιν ἤδη χρημάτων ὅσον εἶχε κόσμον κατανομισεύσας, ἀντωνίῳ καὶ τοῖς περὶ αὐτὸν ἀνέπεμψεν. οὐ μὴν εἰσάπαξ ἐξωνήσατο τὸ μηδὲν παθεῖν. ἤδη γὰρ ἀντώνιος τῷ κλεοπάτρας ἔρωτι διεφθαρμένος, ἥττων ἦν ἐν πᾶσι τῆς ἐπιθυμίας. κλεοπάτρα δὲ διεξελθοῦσα τὴν γενεὰν τὴν ἑαυτῆς ὡς μηδένα τῶν ἀφ' αἵματος

A Romanis per cuniculos intermedios emergentibus, prius quàm muri aliqua pars dirueretur, alteram eius vicem muniebant. Prorsus autem neque manibus neque machinis deficiebant, quoniam vsque ad vltimum repugnare decreuerant: denique tanto exercitu circumsidente, per quinque menses obsidium tolerauerũt: donec quidam ex his quos lectos habebat Herodes, ausi murum transgredi, ciuitatem irrupere & post eos Sosij centuriones. B Igitur ante omnia fano proxima capiebantur: & infuso exercitu plurima vbique mors erat: Romanis quidem propter obsidionis moras iratis: Herodis verò manu Iudaica summo intenta studio, ne quis penitus ex aduersariis euaderet. Mactabantur autem quamplurimi, & per angustiores vicos oppidi, & in domos compulsi, etsi ad templum etiam confugissent: nec vlla erat, aut senectutis, aut muliebris infirmitatis miseratio. Denique licèt rex vbique mittens rogaret, vt parcerent, nemo C tamen dexteram continuit: sed veluti furentes, omnem persequebantur ætatem. Ibi tunc etiam Antigonus, neque priorem neque præsentem fortunam cogitans, domo descendit, & ad pedes Sosij prosternitur. Ille autem nihil eum tantæ mutationis causa miseratus, & intemperanter derisit, & Antigonam appellauit: neque tamen etiam custodia liberum dimisit, vt fœminam. Itaque ille quidem vinctus asser- D uabatur. Herodes autem cùm iam hostes vicisset, vt externa quoque auxilia cõpesceret prouidebat. Visendi enim templi, sanctorúmque eius studio, omnis multitudo peregrina fuerat incitata. Ob eámque rem, hos minis, alios precibus, nonnullos armis etiam refrænabat: acerbiorem, quàm si victus fuisset, existimans sibi fore victoriam, si quod videri nefas esset, culpa sua visum fuisset. mox autem etiam rapinas in ciuitate prohibuit, multa inue- E ctus in Sosium, si vacuefacto viris & pecuniis oppido, Romani regem se solicitudinis reliquissent: qui pro tanta ciuium cæde, totius orbis terræ imperium, vile pretium iudicaret. Illo autem iustum esse dicente, vt pro labore obsidionis, prædandi licentiam milites haberent: ipse de suis facultatibus mercedem singulis distributurum se asseuerauit. Atque ita redemptis patriæ aliquiis, promissa compleuit: F Nam & militum quemque liberaliter, & pro merito, duces, ipsúmque Sosium regia largitate donauit, vt nemo egens pecuniis abiret. Post hæc Sosius aurea corona Deo dedicata, ex Hierosolymis remeauit, Antonio vinctum Antigonum ducens. & illum quidem vana spe vitæ cupidum vsque ad vltimum diem, ignauia digna securis excepit. Rex autem Herodes discreta multitudine ciuitatis, suarum quidem partium studiosos, quo magis beneuolos, sibi faceret, honorificè tractabat: Anti- G gonianos autem neci tradebat. & cùm pecunia defecisset, diuiso quicquid ornamentorum haberet, Antonio eiúsque comitibus misit, non tamẽ omnino ne quid pateretur redemit. Iam enim Antonius Cleopatræ amore corruptus, in omni re cupidini cesserat. Etenim Cleopatra, vbi tanta cognationem suam sæuitia persecuta est, vt neque propinquus sãguine

Ant. li. 15. cap. 1.

superesset, cædis rabiem contulit in extraneos: Syrorúmque optimates apud Antonium criminando suadebat eos interfici, vt eo modo cuiusque possessiones dominio suo faciliùs quæreret. Postea verò quàm in Iudæos atque Arabes vsque extendit auaritiam, vt reges eorum Herodes & Malichus interirent, occultè moliebatur. Cui cùm verbotenus annuisset Antonius, occidere quidem bonos viros tantósque reges iniustum esse duxit: verùm inter amicos vltrà non habuit: sed multa terra ex eorum præcisa finibus, & quod erat in Hierichunte palmetum in quo balsamum gignitur, & ciuitates præter Tyrum & Sidonē cunctas intra flumen Eleutherum ipsi dedit Quorum potita dominio, ad Euphratem vsque Parthis bellum inferentem prosecuta Antonium, per Apamiam & Damascum in Iudæam venit. Atque hic Herodes, licèt magnis muneribus infensum eius animum mitigasset, tamen ducentis talentis annuis abscissas regno suo possessiones impetrat sibi locari: ipsámque omnibus obsequiis placans, Pelusium vsque deducit. Nec multum interea tempus & Antonius ex Parthis aderat. captiuúmque Artabazen Tigranis filium dono Cleopatræ ducebat. Nam cum pecuniis omniq; præda, Parthus illi statim condonatus est.

CAP. XIIII. De insidiis Cleopatræ in Herodē, & Herodis prælio contra Arabas, & ingenti terræmotu. *Ant. lib. 15. cap. 5.*

Concitato autem bello Actiaco, Herodes quidem cum Antonio proficisci paratus erat, & aliis per Iudæam turbis liberatus, & Hyrcanio potitus, quem vicum Antigoni soror tenebat: veruntamen à Cleopatra callidè ne periculorum Antonij particeps fieret, interclusus est. Regibus enim, vt diximus, insidias tendens, bellum in Arabas, vt Herodi committeret, persuadet Antonio. quos si vicisset, Arabiæ: sin autem victus esset, Iudææ domina constitueretur, alterúmque potentium per alterum pessundaret. Sed hoc eius consilium Herodi feliciter cessit. nam primùm in Syros hostes ducens, magnum quem conflauerat equitatum, circa Diospolim in eos mittit, & quamuis fortiter resistentes, superauit. qui cùm iam victi essent, magno motu Arabes suscitantur: & infinita manus in Syriæ cœles Canatham congregati, expectabant Iudæos. vbi rex eos Herodes cum exercitu aggressus, bellum consultius administrare tentabat, castráque muro cingi præcipiebat. non tamen ei paruit multitudo, sed priore victoria freti Arabas impetunt. & prima coitione in fugam versos vrgebant: in persecutione verò insidiis periclitatur Herodes, Canathensibus ab Athenione immissis, qui ex Cleopatræ ducibus sēper ei fuerat inimicus. Namque horum incursu recreati Arabes, pugnam repetunt: iunctísque agminibus circa saxosa loca & deuia, Herodis militem fugant, plurimis cæde prostratis. Qui verò ex prælio seruati sunt, in vicū Ormizam cōfugiunt. vbi etiam castra eorum cum hominibus circumuenta Arabes, sicut erant plena ceperunt: Neque multo pòst accepta clade, Herodes aderat cū auxiliis, seriùs quā vsus poposcit. Huius ei vulneris causa fuit: præposi-

ὑπολείπηται, τὸ λοιπὸν περὶ τοὺς ἔξωθεν ἐφόνα, καὶ τοὺς ἐν τέλει Σύρων διαβάλλουσα πρὸς τὸν ἀντώνιον, ἀναιρεῖν ἔπειθεν, ὡς ἂν τῶν κτήσεων ἑκάστου ῥᾳδίως γινομένη δεσπότις. ἔτι δὲ ἐκτείνουσα τὴν πλεονεξίαν ἐπὶ ἰουδαίους καὶ ἄραβας, ὑπειργάζετο τοὺς ἑκατέρων βασιλεῖς ἡρώδην καὶ μάλχον αἱρεθῆναι. μέχρι γοῦν τῶν προσταγμάτων ἐπινεύσας ἀντώνιος, τὸ κτεῖναι μὲν ἄνδρας ἀγαθοὺς, καὶ βασιλεῖς τηλικούτους, ἀνόσιον ἡγεῖτο, τὸ δὲ τούτων ἔγγιον φίλος εἶναι, διεκρούσατο. πολλὰ δὲ τῆς χώρας αὐτῶν ἀποτεμόμενος, καὶ δὴ καὶ τὸν ἐν ἱεριχοῦντι φοινικῶνα, ἐν ᾧ γεννᾶται τὸ βάλσαμον, δίδωσιν αὐτῇ. πόλεις τε πλὴν τύρου καὶ σιδῶνος, τὰς ἐντὸς ἐλευθέρου ποταμοῦ πάσας. ὧν γενομένη κυρία, καὶ προπέμψασα μέχρις εὐφράτου τὸν ἀντώνιον ἐπιστρατεύοντα πάρθοις, ἧκεν εἰς ἰουδαίαν, δι' ἀπαμείας καὶ δαμασκοῦ. κἀνταῦθα μεγάλαις μὲν αὐτῆς τὴν δυσμένειαν δωρεαῖς ἡρώδης ἐκμειλίσσεται. μισθοῦται δὲ καὶ τὰ τῆς βασιλείας ἀπερρωγότα χωρία διακοσίων ταλάντων, εἰς ἕκαστον ἐνιαυτόν. προπέμπει δὲ αὐτὴν μέχρι πηλουσίου, πάσῃ θεραπείᾳ καταχρώμενος. καὶ μετ' οὐ πολὺ, παρῆν ἐκ πάρθων ἀντώνιος, ἄγων αἰχμάλωτον ἀρταβάζην τὸν τιγράνου παῖδα, δῶρον κλεοπάτρᾳ. μετὰ γὰρ τῶν χρημάτων, καὶ τῆς λείας ἁπάσης, ὁ πάρθος εὐθὺς ἐχαρίσθη.

Κεφ. ιδ.

Τοῦ δὲ ἀκτιακοῦ πολέμου συνεῤῥωγότος, παρεσκεύαστο μὲν ἡρώδης ἀντωνίῳ συνεξορμᾶν, ὡς ἤδη τῶν τε ἄλλων τῶν κατὰ ἰουδαίαν ἀπηλλαγμένος θορύβων, καὶ κεκρατηκὼς ὑρκανίας, ὃ δὴ χωρίον ὁ ἀντιγόνου κατεῖχεν ἀδελφή. διεκλείσθη γε μὴν πανούργως ὑπὸ τῆς κλεοπάτρας συμμετασχεῖν τῶν κινδύνων ἀντωνίῳ. τοῖς γὰρ βασιλεῦσιν ὡς ἔφαμεν ἐπιβουλεύουσα, πείθει τὸν ἀντώνιον, ἡρώδῃ ἐπιτρέψαι τὸν πρὸς ἄραβας πόλεμον, ἵν' ἢ κρατήσαντος, ἀραβίας, ἢ κρατηθέντος, ἰουδαίας γένηται δεσπότις, καὶ θατέρῳ τῶν δυναστῶν καταλύσῃ τὸν ἕτερον. ἔῤῥεψε μέν τοι καθ' ἡρώδην τὸ βούλευμα. πρῶτον μὲν γὰρ ῥύσιον κατὰ τῶν πολεμίων ἄγων, καὶ πολὺ συγκροτήσας ἱππικὸν, ἐπαφίησιν αὐτοῖς περὶ διόσπολιν, ἐκράτησέ τε καίτοι καρτερῶς ἀντιπαραταξαμένων. πρὸς δὲ τὴν ἧτταν, γίνεται μέγα κίνημα τῶν ἀράβων, καὶ συναθροισθέντες εἰς κάναθα τῆς κοίλης συρίας, ἄπειροι τὸ πλῆθος, τοὺς ἰουδαίους ἔμενον. ἔνθα μετὰ τῆς δυνάμεως ἡρώδης ἐπελθὼν, ἐπειρᾶτο προμηθέστερον ἀφηγεῖσθαι τοῦ πολέμου, καὶ στρατόπεδον ἐκέλευσε τειχίζειν. οὐ μὴν ὑπήκουσε τὸ πλῆθος, ἀλλὰ τῇ προτέρᾳ νίκῃ τεθαῤῥηκότες, ὥρμησαν ἐπὶ τοὺς ἄραβας, καὶ πρὸς τὴν πρώτην ἐμβολὴν τραπέντας, ἐδίωκον. ἐπιβουλεύεται δὲ ἡρώδης ἐν τῇ διώξει, τοὺς ἐκ τῆς κανάθων ἐπιχωρίους ἀνέντος ἀθηνίωνος, ὃς ἦν αὐτῷ τῶν κλεοπάτρας στρατηγῶν ἀεὶ διάφορος. πρὸς γὰρ τὴν τούτων ἐπίθεσιν ἀναθαῤῥήσαντες οἱ ἄραβες, ἐπιστρέφονται, καὶ συνάψαντες τὸ πλῆθος περὶ πετρώδη καὶ δύσβατα χωρία, τρέπονται τοὺς ἡρώδου, πλεῖστόν τε αὐτῶν φόνον εἰργάσαντο. οἱ δὲ διασωθέντες ἐκ τῆς μάχης, εἰς ὄρμιζα καταφεύγουσιν, ὅπου καὶ τὸ στρατόπεδον αὐτῶν περισχόντες, αὔτανδρον εἷλον οἱ ἄραβες. μετ' οὐ πολὺ δὲ τῆς συμφορᾶς, βοήθειαν ἄγων ἡρώδης, παρῆν τῆς χρείας ὕστερος. ταύτης τῆς πληγῆς αἴτιον αὐτῷ, τὸ τῶν ταξι-

ἀρχῶν

ἀρχόντων ἀπειθὲς κατέστη. μὴ γὰρ ἐξαπιναίας τῆς συμβολῆς γενομένης, οὐκ ἂν Ἀθηνίων εὗρε καιρὸν ἐπιβουλῆς. ἐπημύνατο μέντοι τοὺς Ἄραβας αὖθις ἀεὶ τὴν χώραν κατατρέχων, ὡς ἀνακαλέσασθαι τὴν μίαν αὐτοῖς νίκην πολλάκις. ἀμυνομένῳ δὲ τοὺς ἐχθροὺς, ἐπιπίπτει συμφορὰ δαιμόνιος ἄλλη, κατ' ἔτος μὲν τῆς βασιλείας ἕβδομον, ἀκμάζοντος δὲ τοῦ περὶ Ἄκτιον πολέμου. κατὰ γὰρ ἀρχομένου ἔαρος ἡ γῆ σεισθεῖσα, βοσκημάτων μὲν πλῆθος ἄπειρον, ἀνθρώπων δὲ τρεῖς διέφθειρε μυριάδας, τὸ δὲ στρατιωτικὸν, ἔμεινεν ἀβλαβές. ὕπαιθρον γὰρ ηὐλίζετο. κἀν τούτῳ τοὺς Ἄραβας, ἐπὶ μεῖζον θάρσος ἦρεν ἡ φήμη, προσλογοποιοῦσα τοῖς σκυθρωποῖς ἀεί τι χαλεπώτερον, ὡς πάσης Ἰουδαίας καταρριμμένης. οἰηθέντες γοῦν ἐρήμου τῆς χώρας κρατήσειν, ὥρμησαν εἰς αὐτὴν προθυσάμενοι τοὺς πρέσβεις, οἳ παρὰ Ἰουδαίων ἔτυχον ἥκοντες πρὸς αὐτούς. πρὸς δὲ τὴν ἐμβολὴν καταπλαγὲν τὸ ἔθνος, καὶ μεγέθει συμφορῶν ἐπαλλήλων ἔκλυτον συναγαγὼν Ἡρώδης, ἐπειρᾶτο παρορμᾶν ἐπὶ τὴν ἄμυναν, λέγων τοιάδε. Παραλογώτατά μοι δοκεῖ τὸ παρὸν ὑμῶν καθάπτεσθαι δέος. πρὸς μὲν γε τὰς δαιμονίους πληγὰς ἀθυμεῖν εἰκὸς ἦν; τὸ δ' αὐτὸ καὶ πρὸς ἀνθρωπίνην ἔφοδον πάσχειν, ἀνάνδρων. ἐγὼ γὰρ τοσοῦτον ἀποδέω καταπεπλῆχθαι τοὺς πολεμίους μετὰ τὸν σεισμὸν, ὥσθ' ὑπολαμβάνειν τὸν θεὸν, Ἄραψι δέλεαρ τοῦτο καθεῖναι τοῦ δοῦναι δίκας ἡμῖν. οὐ γὰρ τοσοῦτον ὅπλοις, ἢ χερσὶ πεποιθότες, ὅσον ταῖς αὐτομάτοις ἡμῶν συμφοραῖς ἥκουν. σφαλερὰ δὲ ἐλπὶς οὐκ ἐξ ἰδίας ἰσχύος, ἀλλ' ἐξ ἀλλοτρίας ἠρτημένη κακοπραγίας. οὔτε δὲ τὸ δυστυχεῖν, οὔτε τὸ ἐναντίον ἐν ἀνθρώποις βέβαιον, ἀλλ' ἔστιν ἰδεῖν ἐπαμειβομένην εἰς ἑκάτερον τὴν τύχην. καὶ τοῦτο μάθοιτ' ἂν ἐξ οἰκείων ὑποδειγμάτων. τῇ γοῦν προτέρᾳ μάχῃ κρατούντων, ἐκράτησαν ἡμῶν οἱ πολέμιοι, καὶ κατὰ τὸ εἰκὸς νῦν ἁλώσονται κρατήσειν δοκοῦντες. τὸ μὲν γὰρ ἄγαν πεποιθὸς, ἀφύλακτον, οἱ φόβοι δὲ, διδάσκουσι προμήθειαν. ὥστ' ἔμοιγε κἀκ τοῦ δεδοικότος ὑμῶν περίεισι θαρρεῖν. ὅτε γὰρ ἐθρασύνεσθε πέρα τοῦ δέοντος κατὰ τῶν ἐχθρῶν, καὶ παρὰ τὴν ἐμὴν γνώμην ἐξωρμήσατε, καιρὸν ἔσχεν ἡ Ἀθηνίωνος ἐνέδρα. νυνὶ δὲ ὁ ὄκνος ὑμῶν, καὶ τὸ δοκοῦν ἄθυμον ἀσφάλειαν ἐμοὶ νίκης ἐγγυᾶται. χρὴ μέντοι μέχρι τοῦ μέλλειν οὕτως ἔχειν, ἐν δὲ τοῖς ἔργοις ἐγεῖραί τε τὰ φρονήματα, καὶ πεῖσαι τοὺς ἀσεβεστάτους, ὡς οὔτε ἀνθρώπειόν τι κακὸν, οὔτε δαιμόνιον ποτὲ ταπεινώσει τὴν Ἰουδαίων ἀνδραγαθίαν, ἐφ' ὅσον τὰς ψυχὰς ἔχουσιν, οὐδὲ περιόψεταί τις Ἄραβα τῶν ἑαυτοῦ ἀγαθῶν δεσπότην γενόμενον, ὃν παρ' ὀλίγον πολλάκις αἰχμάλωτον ἔλαβεν. μηδ' ὑμᾶς ταρασσέτω τὰ τῶν ἀψύχων κινήματα, μηδ' ὑπολαμβάνετε τὸν σεισμὸν ἑτέρας συμφορᾶς ἕτερον γενέσθαι σημεῖον. φυσικὰ γὰρ τὰ τῶν στοιχείων πάθη, καὶ οὐδὲν ἀνθρώποις πλέον, ἢ τὴν ἑαυτοῖς βλάβην ἐπιφέρει. λοιμοῦ μὲν γὰρ καὶ λιμοῦ, καὶ τῶν χθονίων βρασμῶν προηγήσαιτο ἄν τι σημεῖον βραχύτερον. αὐτὰ δὲ ταῦτα, περιγραφὴν ἔχει τὸ μέγεθος. ἐπεὶ τί δύναται τοῦ σεισμοῦ μεῖζον ἡμᾶς βλάψαι καὶ κρατήσας ὁ πόλεμος; τέρας μέντοι μέγιστον ἁλώσεως

torum militibus contumacia; quòd iussis obedire noluerunt. non enim repentino commisso prælio vllum Athenio insidiandi tempus habuisset. rursus tamen vltus est Arabas, assiduis fines eorum incursionibus infestans: quódque semel victus est, sæpe rependit. Sed dum inimicos persequitur, incurrit ei diuinitus alia calamitas, septimo regni anno & Actiaco bello feruente. nãque veris initio terra mota, infinita quidem pecorum, triginta verò hominum millia peremit, cùm exercitus mansisset incolumis, quoniam sub diuo tendebat: ibique Arabas in maiorem audaciam fama sustulit, tristibus nuntiis grauiùs semper aliquid affingens. vnde velut omni subuersâ Iudæa, terræ obtinendæ spe, quia neminem superesse credebant, in eam irruunt, legatis priùs interfectis, qui ad se venerant à Iudæis. Herodes autem aduentu hostium perterritam suorum multitudinem, tam magnitudine, quã assiduitate calamitatum fractam, ad repugnandum incitare tentabat: hæc dicens: Rationem habere non videtur, cur vos præsens formido perculerit. nam diuinæ quidem indignationis plagas mœrori vobis esse non minor. Ignauum autem est perpeti idem, etiam cum incursus hominum repellendi sunt. Ego enim tantum abest, vt hostes post terræmotum pertimescam, quòd magis putauerim Deum hanc illis illecebram immisisse, vt pœnas redderent. non enim tantùm manu armísque freti, quantum nostris calamitatibus, veniunt. Fallax autem pes est, quæ non suis viribus nititur, sed alienis aduersis. Neque verò vel secundæ res, vel contrariæ, apud homines certæ sunt: sed in vtramque partem videas fortunam nutare vicissim, vt exempla vobis propria demonstrabunt. Nempe prælio superiore victores, pòst ab hostibus victi sumus. & nunc ergo, quantum æstimare licet, illi capiuntur, victores se fore credentes. Nimis enim confidens incautus est: metus autem prouidentiam docet. itaque mihi quidem hoc ipsum quod timetis, fiduciam suggerit. Nam cùm ferociores quàm opus erat fuistis, & præter voluntatem meam in hostes egressi estis, Athenion insidiandi tempus inuenit. nunc autem vestra cunctatio, & minus alacer animus, vt videtur, certam mihi victoriam spondet. Conuenit tamen ante prelium sic esse affectos, in ipso autem opere virtutem exercere: consceleratísque hostibus planum facere, quòd neque humanum aliquod malum, neque ira cælestis vnquam deprimit fortitudinem Iudæorum, donec spiritum vitæ ducunt, vel eorum quisquam in bonis suis Arabas dominari patietur, quos aliquoties penè captiuos abduxit. nihil autem vos terreat rerum anima carentium metus: neque arbitremini, terræ concussionem, alicuius futuræ cladis esse portetum. Naturalia nanque sunt elementorum quoque vitia: nullúmque damnum inferunt, nisi quod ex ipsis euenerit. nam pestilentiæ quidem, vel famis, vel terræmotus signum aliquod tardante malo fortasse præcesserit: ipsa verò cum extiterint, sui magnitudine finiuntur. Cæterùm quid nobis amplius quàm terræ concussio, bellum nocere poterit etiam victis? Imò enim verò maximum imminentis excidij monstrum,

Ant. lib. 15. cap. 6.

ſponte ſua, neque alienis manibus inimicis accidit, qui legatos noſtros præter omnium hominum leges crudeliter mactauerunt, taléſque Deo pro belli euentu hoſtias ceciderunt. Non enim effugient maximum eius lumen inuictámque dexteram, ſed continuò pœnas dabunt: ſi patrio repleti ſpiritu, in vindictam violati fœderis animos excitemus, pergite quiſque non pro coniugibus neque pro liberis, aut pro patriæ periculis pugnaturi, ſed legatorum cędis vltores. Illi meliùs quàm nos, qui viuimus exercitum regent: vobíſque mihi obedientibus, periclitabor ipſe pro cæteris. Pro certo enim ſciatis, fortitudinem veſtram ſuſtineri non poſſe, niſi temeritate lædatur. His adhortatus milites, vbi eos alacres vidit, ſacra Deo celebrauit: deinde cum exercitu Iordanem fluuium tranſgreſſus eſt. Caſtris autē Philadelphiæ poſitis, haud procul ab hoſtibus, quaſi de interiacente caſtello contenderet, pugnam eminus irritabat, quamprimùm cupiens congredi. nam & hoſtes præmiſerant. qui caſtellum occuparent. Sed illos quidem regij facilè repulerunt, collémque tenuerunt. ipſe verò quotidie producto ad prælium milite, inſtructáque acie, Arabes laceſſebat. Cùm autem nemo contra procederet (quædā enim eos vehemens formido tenebat, & ante multitudinem dux Altemus timore obriguerat) vallum eorum diſturbat ipſe aggreſſus: eóque modo coacti ad pugnam confuſis ordinibus, mixtíque cum equitibus pedites egrediuntur: etſi multitudine ſuperiores, Iudæis tamen alacritate impares, quamuis audaciores eos faceret victoriæ deſperatio. & quandiu quidem reſtiterunt, non magna eorum cædes facta eſt: vbi verò terga nudauerunt, multi à Iudæis, multi verò à ſemetipſis conculcati perierunt: Denique millia v. in fuga ceciderunt, cæteráque multitudo intra vallum compulſa eſt, eóſque ſtatim circumſeptos obſidebat Herodes. & licèt armis propè adeſſet excidium, tamen aquæ penuria vehementer vrgebat. Cúmq; rex arrogantiùs eorum legatos deſpiceret, & talenta quinquaginta pro redemptione offerentibus, magis inſtaret. denique ardeſcente ſiti, cateruatim exeuntes, vltro ſe Iudæis tradebant, adeò, vt quinque diebus quatuor millia vincirentur, ſexto reliqua multitudo ad pugnam deſperata ſalute procederet. Quibus congreſſus Herodes, iterum ſeptem millia circiter ſternit: & tam magna plaga vltus Arabiam, extincto virorum eius ſpiritu, tantum profecit, vt eius patronus ab ea gente optaretur.

Cap XV. Herodes exaltatus in regnum. *Ant. lib. 15. cap. 7.*

Mox autem illum excepit deſueta rerum ſolicitudo propter amicitiam Antonij, poſt victoriam Cæſaris apud Actium. Veruntamen plus timoris habebat, quàm ipſe patiebatur. Nec enim Cæſar victum iudicabat, Antonium, donec Herodes cum eo ſupereſſet. Itaque rex periculis decreuit occurrere: Rhodúmque tranſmiſſus, vbi Cæſar eo tempore morabatur, adiit eum ſine diademate veſte quidem cultúque priuato, ſed faſtu regio, neque diſſimulata veritate coram eo

γεγονέναι τοῖς ἐχθροῖς, οὐκ αὐτομάτως οὐδὲ διὰ χεῖρος ἀλλοτρίας, οἱ πρέσβεις ἡμετέρους παρὰ τὸν πάντων ἀνθρώπων νόμον, ὠμῶς ἀπέκτεναν, καὶ τοιαῦτα τῷ θεῷ θύματα περὶ τοῦ πολέμου κατέστρεψαν. ἀλλ᾽ οὐ διαφεύξονται τὸν μέγαν ὀφθαλμὸν αὐτοῦ, καὶ τὴν ἀνίκητον δεξιάν. δώσουσι δὲ ἡμῖν αὐτίκα δίκας ἀντὶ τοῦ πατρίου φρονήματος, εἰ δὴ ἀπολύσαντες τιμωροὶ τῶν παρεσπονδημένων ἀναστῶμεν. ἴτω τις οὐχ ὑπὲρ γυναικὸς, οὐδὲ τέκνων, οὐδ᾽ ὑπὲρ κινδυνευούσης πατρίδος, ἀλλ᾽ ὑπὲρ τῶν πρέσβεων ἀμυνόμενος. ἐκεῖνοι στρατηγοῦσι τοῦ πολέμου τῶν ζώντων ἡμῶν ἄμεινον. προκινδυνεύσω δὲ κἀγὼ χρώμενος ὑμῖν πειθηνίοις. εὖ γὰρ ἴστε τὴν ἑαυτῶν ἀνδρίαν ἀνυπόστατον, ἐὰν μὴ προπετείᾳ τινὶ βλαβῆτε. τούτοις παρακροτήσας τὸν στρατὸν, ὡς ἑώρα προθύμους, ἔθυε τῷ θεῷ, καὶ μετὰ τὴν θυσίαν, διέβαινε τὸν ἰορδάνην ποταμὸν μετὰ τῆς δυνάμεως. στρατοπεδευσάμενος δὲ περὶ φιλαδέλφιαν, ἐγγὺς τῶν πολεμίων, περὶ τοῦ μεταξὺ φρουρίου, πρὸς αὐτοὺς ἠκροβολίζετο, βουλόμενος ἐν τάχει συμβαλεῖν. ἔτυχον γὰρ κἀκεῖνοι τινὰς προπεπομφότες, τοὺς καταληψομένους τὸ ἔρυμα. τούτους μὲν οὖν ἀπεκρούσαντο ταχέως οἱ πεμφθέντες ὑπὸ τοῦ βασιλέως, καὶ τὸν λόφον κατέσχον. αὐτὸς δὲ καθ᾽ ἡμέραν προάγων τὴν δύναμιν εἰς μάχην, παρέτασσε, καὶ προὐκαλεῖτο τοὺς ἄραβας. ὡς δὲ οὐδεὶς ἐπεξῄει, δεινὴ γάρ τις αὐτοὺς κατάπληξις εἶχε, καὶ πρὸ τοῦ πλήθους ὁ στρατηγὸς ἔλθεμος αὖος ἦν τῷ δέει, προσελθὼν ἐσπάρασσεν αὐτῶν τὸ χαράκωμα. κἂν τούτῳ συναναγκασθέντες, ἐξίασιν ἐπὶ τὴν μάχην ἄτακτοι, καὶ πεφυρμένοι τοῖς ἱππεῦσιν οἱ πεζοὶ, πλήθει μὲν οὖν τῶν ἰουδαίων περιῆσαν, ἐλείποντο δὲ ταῖς προθυμίαις, καίτοι διὰ τὴν ἀπόγνωσιν τῆς νίκης, ἦσαν καὶ αὐτοὶ παράβολοι. διὸ μέχρι μὲν ἀντεῖχον, οὐ πολὺς ἦν αὐτῶν φόνος. ὡς δὲ ὑπέδειξαν αὐτῶν τὰ νῶτα, πολλοὶ μὲν ὑπὸ τῶν ἰουδαίων, πολλοὶ δὲ ὑπὸ σφῶν αὐτῶν συμπατούμενοι, διεφθείροντο. πεντακισχίλιοι γοῦν ἔπεσον ἐν τῇ τροπῇ, τὸ δὲ λοιπὸν πλῆθος, ἔφθη συνωσθὲν εἰς τὸ χαράκωμα. τούτους περισχὼν ἐπολιόρκει, καὶ μέλλοντας ἁλώσεσθαι τοῖς ὅπλοις, προκατήπειγεν ἡ δίψα, τῶν ὑδάτων ἐπιλιπόντων. ὑπερηφάνει δὲ πρεσβευομένους ὁ βασιλεὺς, καὶ λύτρα διδόντων πεντακόσια τάλαντα μᾶλλον ἐνέκειτο. τοῦ δὲ δίψους ἐκκαίοντος, ἐξιόντες κατὰ πλῆθος ἐνεχείριζον σφᾶς αὐτοὺς τοῖς ἰουδαίοις ἑκόντες. ὡς πέντε μὲν ἡμέραις, τετρακισχιλίους δεθῆναι, τῇ δὲ ἕκτῃ, τὸ λειπόμενον πλῆθος, ὑπ᾽ ἀπογνώσεως ἐξελθεῖν ἐπὶ μάχην, οἷς συμβαλὼν ἡρώδης, πάλιν εἰς ἑπτακισχιλίους κτείνει. τηλικαύτῃ δὲ πληγῇ τὴν ἀραβίαν ἀμυνόμενος, καὶ σβέσας τῶν ἀνδρῶν τὰ φρονήματα, προὔκοψεν ὥς τε καὶ προστάτης ὑπὸ τοῦ ἔθνους αἱρεθῆναι.

Κεφ. ιϛ.

Μεταλαμβάνει δὲ αὐτὸν εὐθέως ἡ περὶ τῶν ὅλων πραγμάτων φροντὶς, διὰ τὴν πρὸς ἀντώνιον φιλίαν, καίσαρος ἤδη περὶ ἄκτιον νενικηκότος. παρεῖχε μέν τοι δέους πλέον, ἢ ἔπασχεν. οὔπω γὰρ ἑαλωκέναι καῖσαρ ἀντώνιον ἔκρινεν, ἡρώδου συμμένοντος. ὅγε μὴν βασιλεὺς ὁμόσε χωρῆσαι τῶν κινδύνων διέγνω, καὶ πλεύσας εἰς ῥόδον, ἔνθα διέτριβε καῖσαρ, πρόσεισιν αὐτῷ δίχα διαδήματος, τὴν μὲν ἐσθῆτα καὶ τὸ σχῆμα ἰδιώτης, τὸ δὲ φρόνημα βασιλεύς. μηδὲν γοῦν τῆς ἀληθείας ὑποστειλάμενος,

ἄντικρυς

ἄντικρυς εἶπεν, ἐγὼ καῖσαρ, ὑπ' ἀντωνίου τῶν ἰουδαίων βασιλεὺς γενόμενος, ἐν πᾶσιν ὁμολογῶ γεγονέναι βασιλεὺς χρήσιμος ἀντωνίῳ, καὶ οὐδὲ τοῦτο ἂν ὑποστειλάμην εἰπεῖν, ὅτι πάντως ἄν με μετὰ τῶν ὅπλων ἐπειράσας, εἰ μὴ διεκώλυσαν ἄραβες. καὶ συμμαχίαν μέν τοι γε αὐτῷ κατὰ τὸ δυνατὸν, καὶ σίτου πολλὰς ἔπεμψα μυριάδας, ἀλλ' οὐδὲ μετὰ τὴν ἐν ἀκτίῳ πληγὴν, κατέλιπον τὸν εὐεργέτην. ἐγενόμην δὲ σύμβουλος ἄριστος, ὡς οὐκέτι χρήσιμος ἤμην σύμμαχος, μίαν εἶναι λέγων τῶν πταισμάτων διόρθωσιν, τὸν κλεοπάτρας θάνατον, ἣν ἀνελόντι, καὶ χρήματα, καὶ τείχη πρὸς ἀσφάλειαν, καὶ στρατιὰν, καὶ ἐμαυτὸν ὑπισχνούμην κοινωνὸν τοῦ πρὸς σὲ πολέμου. τοῦ δ' ἄρα τὰς ἀκοὰς ἀπέφραξαν οἱ κλεοπάτρας ἵμεροι, καὶ θεὸς ὁ σοὶ τὸ κρατεῖν χαρισάμενος. συνήττημαι δὲ ἀντωνίῳ, καὶ τέθεικα μετὰ τῆς ἐκείνου τύχης τὸ διάδημα. πρὸς σὲ δὲ ἦλθον, ἔχων τὴν ἀρετὴν τῆς σωτηρίας ἐλπίδα, καὶ προϋλαβὼν ἐξετασθήσεσθαι ποταπὸς φίλος, οὐ τίνος ἐγενόμην. πρὸς ταῦτα καῖσαρ. ἀλλὰ σώζου γε ἔφη, καὶ βασίλευε νῦν βεβαιότερον. ἄξιος γὰρ εἶ πολλῶν ἄρχειν, οὕτω φιλίας προεστάμενος. πειρῶ δὲ καὶ τοῖς εὐτυχεστέροις διαμένειν πιστὸς, ὡς ἔγωγε λαμπροτάτας ὑπὲρ τοῦ σοῦ φρονήματος ἐλπίδας ἔχω. καλῶς μέν τοι γε ἐποίησεν ἀντώνιος κλεοπάτρᾳ πεισθεὶς μᾶλλον ἢ σοί. καὶ γὰρ σὲ κεκερδήκαμεν, ἐκ τῆς ἀνοίας αὐτοῦ. κατάρχεις δὲ ὡς ἔοικεν εὐποιΐας, διό μοι γράφει βεντίδιος συμμαχίαν σε πεπομφέναι πρὸς τοὺς μονομάχους αὐτῷ. νῦν μὲν οὖν δόγματι τὸ βέβαιον σοῦ τῆς βασιλείας ἐξαγγέλλω. πειράσομαι δὲ καὶ αὖθις ἀγαθόν σε τι ποιεῖν, ὡς μὴ ζητοίης ἀντώνιον. τούτοις φιλοφρονησάμενος τὸν βασιλέα, καὶ περιθεὶς αὐτῷ τὸ διάδημα, δόγματι διεσήμαινε τὴν δωρεὰν, ἐν ᾧ πολλὰ μεγαλοφρόνως εἰς ἔπαινον τοῦ ἀνδρὸς ἐφθέγξατο. ὁ δὲ, δώροις ἐπιμειλιξάμενος αὐτὸν, ἐξῃτεῖτο τινὰ τῶν ἀντωνίου φίλων ἀλέξανδρον, ἱκέτην γενόμενον. ἐνίκα δὲ ἡ καίσαρος ὀργὴ, πολλὰ καὶ χαλεπὰ μεμφομένου τὸν ἐξαιτούμενον, οἷς διεκρούσατο τὴν δέησιν. μετὰ δὲ ταῦτα πορευόμενον ἐπ' αἴγυπτον διὰ συρίας καίσαρα, παντὶ τῷ βασιλικῷ πλούτῳ δεξάμενος ἡρώδης, τότε πρῶτον καὶ συνιππάσατο ποιουμένῳ περὶ πτολεμαΐδα τῆς δυνάμεως ἐξέτασιν, εἱστίασέ τε σὺν ἅπασι τοῖς φίλοις, μεθ' οὓς καὶ τῇ λοιπῇ στρατιᾷ πρὸς εὐωχίαν πάντα διέδωκε. προὐνόησε δὲ καὶ διὰ τῆς ἀνύδρου πορευομένοις μέχρι πηλουσίου παρασχεῖν ὕδωρ ἄφθονον, ἐπανιοῦσί τε ὁμοίως, οὐδέ ἐστιν ὅτι τῶν ἐπιτηδείων ἐνεδέησε τῇ δυνάμει. δόξα γοῦν αὐτῷ τε καίσαρι καὶ τοῖς στρατιώταις παρέστη, πολλῷ βραχυτέραν ἡρώδῃ περιεῖναι βασιλείαν, πρὸς ἃ παρέσχεν. διὰ τοῦτο ὡς ἧκεν εἰς αἴγυπτον, ἤδη κλεοπάτρας καὶ ἀντωνίου τεθνεώτων, οὐ μόνον αὐτῷ τὰς ἄλλας τιμὰς, ἀλλὰ καὶ τῇ βασιλείᾳ προσέθηκε, τήν τε ὑπὸ κλεοπάτρας ἀποτμηθεῖσαν χώραν, καὶ ἔξωθεν γάδαρα, καὶ ἵππον, καὶ σαμάρειαν. πρὸς δὲ τούτοις τῶν παραλίων, γάζαν, καὶ ἀνθηδόνα, καὶ ἰόππην, καὶ πύργον στράτωνος. ἐδωρήσατο δὲ αὐτῷ καὶ πρὸς φυλακὴν τοῦ σώματος, τετρακοσίους γαλάτας, οἳ πρότερον

hæc dixit: Ego quidem, Cæsar, rex factus ab Antonio, fateor vtilem me fuisse regem Antonio. Neque dissimulauerim, quòd omnimodo armis quoque me grauem expertus esses, nisi Arabes prohibuissent. Veruntamē & auxilia ei pro viribus meis misi, & multa frumēti millia: sed nec accepta apud Actium plaga, benè de me meritum deserui. Nam cùm auxilij minus commodarē, optimum ei cōsilium dedi, vnā esse dicens Cleopatræ mortem aduersorum correctionem. quam si occidisset, & pecunias ei, & muros ad tuitionem, & exercitum, & memetipsum belli contra te socium pollicebar. Sed profectò eius aures Cleopatræ amores, & Deus, qui tibi victoriam donaret, obstruxit. Vnà ergo cum Antonio victus sum, & diadema cum eius fortuna deposui. Ad te autem veni, spem salutis de virtute præsumēs: & vt in examen adduceretur properās, qualis amicus alicuius fuerim. Ad hæc Cæsar: Imò verò saluus esto, inquit, & nunc regnato certiùs. Nam meritus es, qui plurimos regas, cùm amicitiam tanta fide tuearis. Experire autem, vt etiam felicioribus fidus permaneas: siquidem ego præclarissimam spem de tua magnanimitate mihi promitto. Rectè tamen fecit Antonius, qui magis Cleopatræ, quàm tibi paruit. Te nanque lucrati sumus propter eius amentiam. Prior autem ab officiis cœpisti, quantum apparet, quem aduersus eorum gladiatores idonea auxilia misisse Ventidius perscribit. Quare interim tibi decreto firmitatem regni præbeo. Experiar autem ipse quoque benè tibi aliquid facere, vt non desideres Antonium. Huius sermonis humanitate regem ne quid de amicitia sua dubitaret hortatus, & diadema illi imposuit, & indulgentiam decreto consignat: in quo multa magnificè in eius laudem commemorauit. Ille autem prius eum muneribus delinitum rogabat, vt Alexandrum quendam supplicem, ex amicis Antonij, iuberet absolui. Sed vicit iracundia Cæsaris, multa illum & grauia pro quo rogabatur admisisse dicentis, quibus repulit deprecantem. Postea verò ad Ægyptum euntem per Syriam Cæsarem, Herodes cunctis accepit regni diuitiis, túmque primum cum eo milites recensente, circa Ptolemaidem equo vectus est, cœnámque illi cum omnibus amicis exhibuit, atque insuper exercitus eius epulis cuncta distribuit. Prospexit etiam, vt per arida loca proficiscentibus ad Pelusium, atque inde redeuntibus aquarum copia non deesset. Nec fuit quicquam vtensilium, quod desideraret exercitus. Pro his denique meritis paruū esse Herodi regnum, tam Cæsar quàm milites existimabant. Ideóque postquam venit in Ægyptum, iam Cleopatra & Antonio mortuis, non solùm cæteros eius honores auxit, verùm etiam regno partem finium addidit, quam Cleopatra dempserat. Et præterea Gadara, Hippon, Samariam: maritimarúmque insuper ciuitatum Gazam & Anthedonem: & Ioppen, & Pyrgum Stratonis, & ad hæc satellites quadringētos Gallos ei donauit, quos antea

Cleopatra stipatores habebat. nulla autem res magis liberalitatem Cæsaris incitabat, quàm magnus animus accipientis. Post primam verò Actiada, etiam regionem, quæ Trachon vocatur, eius ditioni subdidit, eique continentem Batanæam, itémque Auranitin, ex huiusmodi causa. Zenodorus, qui domus Lysaniæ conductor erat, non cessauit vnquam ex regione, quæ Trachon dicitur, latrones Damascenis immittere. Illi autem ad Varum tunc rectorem Syriæ confugerunt, cúmque deprecati sunt, quo suas miserias Cæsari declararet. Cæsar autem his cognitis ei rescripserat, vt latrocinium penitus curaret extinguere. Varus autem milite aggressus loca suspecta, expurgauit latronibus terram, ipsámque Zenodoro abstulit: quam Cæsar, ne latronum denuo contra Damascum receptaculum fieret Herodi dedit, eúmque præterea totius Syriæ procuratorem constituit. Et decimo anno reuersus iterum in prouinciam, ne quid eo inconsulto procuratoribus liceret administrare præcepit: ac Zenodoro mortuo terram omnem, quæ inter Trachonem & Galilæam erat, eidem attribuit. Quod autem maius his omnibus existimabat Herodes, à Cæsare quidem post Agrippam amabatur, ab Agrippa verò post Cæsarem. Hinc ad summum felicitatis euectus, & ad maiorem subleuatus animum, maximam prouidentiæ partem obsequio pietatis impendit.

CAP. XVI. De vrbibus & ædificiis instauratis & conditis ab Herode, déque munificentia, qua vsus est erga exteras gentes, eiúsque felicitate. *Ant. lib. 15. cap. 10, 12, 13, 14.*

Itaque anno regni sui quintodecimo, & templum instaurauit, & duplum terræ spatium, quàm fuerat circa templum, muro amplexus est, ingenti sumptu & magnificentia singulari. Argumento erant in ambitu fani magnæ porticus, eique iunctum à Septentrione castellum. Et illas quidem à fundamentis erexit. Hoc autem nulla re minus, quàm regni sedes largis opibus renouatum, Antoniam vocauit, in honorem Antonij. Quin etiam domo sibi regia in superiori parte ciuitatis extructa, duas ædes in ea maximas atque pulcherrimas, quibus ne templum quidem vsquam conferri posset, ædificauit: easque amicorum vocabulis vnam Cæsaream, Agrippium alteram nominauit. Nec verò solis tectis memoriam eorum & cognomina circumscripsit, sed in totas etiam ciuitates studium liberalitatis extendit. nam in Samaritica regione oppidum muro pulcherrimo per viginti stadia circumdatum, Sebasten appellauit, deductis eò sex milibus colonorum, terráque fœcundissima his attributa: vbi templum quoque maximum inter ædificia, & circum id aream trium & semis stadiorum Cæsari dedicauit, eiusdémque oppidi habitatoribus præcipua legum beneficia præstitit. Ob hæc alterius terræ adiectione donatus à Cæsare, aliud ei templum circa Iordanis fontem candido marmore posuit, qui locus appellatur Panium. Vbi montis quidam vertex in præcelsum editus, propter subiecti lateris vallem specus aperit vmbrosum, quà profundæ altitudinis rupes, ad immensum liquentis guttæ receptaculum concauatur, vt stagnantis aquæ copia demittentibus aliquid, donec terram inueniant, longitudo nulla sufficiat. Foris autem è speluncæ radicibus oriuntur fontes: & (vt quidam putant) hoc est Iordanis principium. Sed veri fidem

A ἐδορυφόρουν Κλεοπάτραν. οὐδὲν δὲ οὕτως ἀνέπειθεν αὐτὸν εἰς τὰς δωρεὰς ὡς τὸ μεγαλόφρον τοῦ λαμβάνοντος. μετὰ δὲ τὴν πρώτην ἀκτιάδα προστίθησιν αὐτοῦ τῇ βασιλείᾳ, τόν τε Τράχωνα καλούμενον, καὶ τὴν προσεχῆ Βαταναίαν τε καὶ Αὐρανῖτιν χώραν, ἐξ αἰτίας τοιᾶσδε. Ζηνόδωρος ὁ τὸν Λυσανίου μεμισθωμένος οἶκον, οὐ διέλειπεν ἐπιπέμπων τοὺς ἐκ τοῦ Τράχωνος λῃστὰς Δαμασκηνοῖς. οἱ δὲ ἐπὶ Οὐάρρωνα τὸν ἡγεμόνα τῆς Συρίας καταφυγόντες, ἐδεήθησαν δηλῶσαι τὴν συμφορὰν αὐτῶν Καίσαρι. B Καῖσαρ δὲ γνοὺς, ἀντεπέστελλεν ἐξαιρεθῆναι τὸ λῃστήριον. στρατεύσας οὖν Οὐάρρων, καθῆρέ τε τῶν ἀνδρῶν τὴν γῆν, καὶ ἀφαιρεῖται Ζηνόδωρον, ἣν ὕστερον Καῖσαρ, ὡς μὴ γένοιτο πάλιν ὁρμητήριον τοῖς λῃσταῖς ἐπὶ τὴν Δαμασκὸν, Ἡρώδῃ δίδωσι. κατέστησε δὲ αὐτὸν καὶ Συρίας ὅλης ἐπίτροπον, ἔτει δεκάτῳ πάλιν ἐλθὼν εἰς τὴν ἐπαρχίαν, ὡς μηδὲν ἐξεῖναι δίχα τῆς ἐκείνου συμβουλίας τοῖς ἐπιτρόποις διοικεῖν. ἐπεὶ δὲ ἐτελεύτα Ζηνόδωρος, προσένειμεν C αὐτῷ καὶ τὴν μεταξὺ Τράχωνος καὶ τῆς Γαλιλαίας γῆν ἅπασαν. ὃ δὲ τούτων Ἡρώδῃ μεῖζον ἦν, ὑπὸ μὲν Καίσαρος ἐφιλεῖτο μετ' Ἀγρίππαν, ὑπ' Ἀγρίππα δὲ μετὰ Καίσαρα. ἔνθεν ἐπὶ πλεῖστον μὲν εὐδαιμονίας προύκοψεν. εἰς μεῖζον δὲ ἐξήρθη φρόνημα, καὶ τὸ πλέον τῆς μεγαλονοίας ἐπέτεινεν εἰς εὐσέβειαν.

Κεφ. ιϛ.

Πεντεκαιδεκάτῳ γοῦν ἔτει τῆς βασιλείας, αὐτόν τε τὸν ναὸν ἐπεσκεύασε, καὶ τὴν περὶ αὐτὸν ἀνετειχίσατο D χώραν, τῆς οὔσης διπλασίαν, ἀμέτροις μὲν χρησάμενος τοῖς ἀναλώμασιν, ἀνυπερβλήτῳ δὲ τῇ πολυτελείᾳ. τεκμήριον δὲ ἦσαν αἱ μεγάλαι στοαὶ περὶ τὸ ἱερὸν, καὶ τὸ βόρειον ἐπ' αὐτῷ φρούριον. ἃς μὲν γὰρ ἀνῳκοδόμησεν ἐκ θεμελίων, τὸ δὲ ἐπεσκεύασε πλούτῳ δαψιλεῖ, κατ' οὐδὲν τῶν βασιλείων ἔλαττον. Ἀντωνίαν ἐκάλεσεν εἰς τὴν Ἀντωνίου τιμήν. τό γε μὴν ἑαυτοῦ βασίλειον ἐν τῇ ἄνω δειμάμενος πόλει, δύο τοὺς μεγίστους καὶ περικαλλεστάτους οἴκους, οἷς οὐδὲ ναὸς ἦν E συνεκρίνετο, προσηγόρευσεν ἀπὸ τῶν φίλων, τὸν μὲν Καισάρειον, τὸν δὲ Ἀγριππεῖον. ἀλλὰ γὰρ οὐκ οἴκοις μόνον τὴν μνήμην αὐτῶν καὶ τὰς κλήσεις περιέγραψε, διέβη δὲ εἰς ὅλας πόλεις αὐτῷ τὸ φιλότιμον. ἐν μέν γε τῇ Σαμαρείτιδι, πόλιν καλλίστῳ περιβόλῳ τειχισάμενος ἐπὶ σταδίους εἴκοσι, καὶ καταγαγὼν ἑξακισχιλίους εἰς αὐτὴν οἰκήτορας, γῆν τε τούτοις προσνείμας λιπαρωτάτην, καὶ ἐν μέσῳ τῷ κτίσματι, ναόν τε ἐνιδρυσάμενος τῷ Καίσαρι μέγιστον, καὶ περὶ αὐτὸν τέ- F μενος ἀποδείξας τρί' ἡμισταδίων, τὸ ἄστυ Σεβαστὴν ἐκάλεσεν. ἐξαίρετον δὲ τοῖς ἐν αὐτῷ παρέσχεν εὐνομίαν. ἐπὶ τούτοις δωρησαμένου τοῦ Καίσαρος αὐτὸν ἑτέραν προσθέσει χώραν. ὁ δὲ, κἀν ταύτῃ ναὸν αὐτῷ λευκῆς μαρμάρου καθιδρύσατο παρὰ τὰς Ἰορδάνου πηγάς. καλεῖται δὲ Πάνιον ὁ τόπος. ἔνθα κορυφὴ μέν τις ὄρους εἰς ἄπειρον ὕψος ἀνατείνεται. παρὰ δὲ τὴν ὑπώρειον λαγόνα, συνηρεφὲς ἄντρον ὑπανοίγεται, δι' οὗ βαρα- G θρώδης κρημνὸς εἰς ἀμέτρητον ἀπορρῶγα βαθύνεται, πλῆθος τὸ ὕδατος ἀσάλευτον, καὶ τοῖς καθιμῶσι τι πρὸς ἔρευναν γῆς, οὐδὲν μῆκος ἐξαρκεῖ. τοῦ δὲ ἄντρου κατὰ τὰς ἔξωθεν ῥίζας ἀνατέλλουσιν αἱ πηγαί. καὶ γένεσις μὲν ὡς ἔνιοι δοκοῦσιν ἔνθεν Ἰορδάνου, τὸ δὲ ἀκριβὲς

ἐν τοῖς

ἐν τοῖς ἑξῆς δηλώσομεν. ὁ δὲ βασιλεὺς ἐν ἱεριχοῖ μεταξὺ κύπρου τε φρουρίου, καὶ τῶν προτέρων βασιλείων, ἀλλὰ κατασκευασάμενος ἀμείνω καὶ χρησιμώτερα πρὸς τὰς ἐπιδημίας, ἀπὸ τῶν αὐτῶν ὠνόμασε φίλων. καθόλου τε εἰπεῖν, οὐκ ἔστιν ὅν τινα τῆς βασιλείας ἐπιτήδειον τόπον τῆς πρὸς καίσαρα τιμῆς γυμνὸν εἴασεν, ἐπειδὴ δὲ τὴν ἰδίαν χώραν ἐπλήρωσε ναῶν, εἰς τὴν ἐπαρχίαν αὐτοῦ τὰς τιμὰς ὑπερεξέχεε, καὶ πολλαῖς πόλεσιν ἐνιδρύσατο καισάρεια. κατιδὼν δὲ κἂν τοῖς παραλίοις πόλιν, ἤδη μὲν κάμνουσαν, στράτωνος ἐκαλεῖτο πύργος, διὰ δὲ εὐφυΐαν τοῦ χωρίου δέξασθαι δυναμένην τὸ φιλότιμον αὐτοῦ, πᾶσαν ἀνέκτισε λευκῷ λίθῳ, καὶ λαμπροτάτοις ἐκόσμησε βασιλείοις, ἐν ᾗ μάλιστα τὸ φύσει μεγαλόνουν ἐπεδείξατο. μεταξὺ γὰρ δώρων καὶ ἰόππης, ὧν ἡ πόλις μέση κεῖται, πᾶσαν εἶναι συμβέβηκε τὴν παραλίαν ἀλίμενον, ὡς πάντα τὸν τὴν φοινίκην ἐπ' αἴγυπτον παραπλέοντα, σαλεύειν ἐν πελάγει διὰ τὴν ἐκ λιβὸς ἀπειλήν, ᾧ καὶ μετρίως ἐπαυρίζοντι τηλικοῦτον ἐγείρεται κῦμα πρὸς ταῖς πέτραις, ὥστε τὴν ὑποστροφὴν τοῦ κύματος ἐπὶ πλεῖστον ἐξαγριοῦν τὴν θάλασσαν. ἀλλ' ὁ βασιλεὺς τοῖς ἀναλώμασι, καὶ τῇ φιλοτιμίᾳ νικήσας τὴν φύσιν, μείζονα μὲν τοῦ πειραιῶς λιμένα κατεσκεύασεν. ἐν δὲ τοῖς μυχοῖς αὐτοῦ βαθεῖς ὅρμους ἑτέρους. καθάπαν δὲ ἔχων ἀντιπράσσοντα τὸν τόπον, ἐφιλονείκησε πρὸς τὴν δυσχέρειαν. ὡς τὴν μὲν ὀχυρότητα τῆς δομήσεως δυσάλωτον εἶναι τῇ θαλάσσῃ. τὸ δὲ κάλλος, ὡς ἐπὶ μηδενὶ δυσκόλῳ κεκοσμῆσθαι. συμμετρησάμενος γὰρ ὅσον εἰρήκαμεν τῷ λιμένι μέγεθος, καθίει λίθους ἐπ' ὀργυιὰς εἴκοσιν εἰς τὸ πέλαγος, ὧν ἦσαν οἱ πλεῖστοι, μῆκος ποδῶν πεντήκοντα, βάθος ἐννέα, εὖρος δέκα, τινὲς δὲ καὶ μείζους. ἐπεὶ δὲ ἀνεπληρώθη τὸ βάθος, οὕτως ἤδη τὸ ὑπερέχον τοῦ πελάγους τεῖχος ἐπὶ διακοσίους πόδας ηὐρύνετο. ὧν οἱ ἑκατὸν, προσῳκοδόμηντο πρὸς τὴν ἀνακοπὴν τοῦ κύματος, προκυμία γοῦν ἐκλήθη. τὸ δὲ λοιπὸν ὑπόκειται τῷ περιθέοντι λιθίνῳ τείχει. τοῦτο δὲ πύργοις διείληπται μεγίστοις, ὧν ὁ προὔχων καὶ περικαλλέστατος ἀπὸ τοῦ καίσαρος προγόνου, δρούσιον κέκληται. ψαλίδες δὲ πυκναὶ πρὸς καταγωγὴν τῶν ἐνορμιζομένων, καὶ τὸ πρὸ αὐτῶν πᾶν κύκλῳ νάγμα, τοῖς ἀποβαίνουσι πλατὺς περίπατος. ὁ δὲ εἴσπλους βόρειος, αἰθριώτατος γὰρ ἀνέμων τῷ τόπῳ βορέας, καὶ ἐπὶ τοῦ στόματος κολοσσοὶ τρεῖς, ἑκατέρωθεν ὑπηρειγμένοι κίοσιν, ὧν τοὺς μὲν ἐκ λαιᾶς χειρὸς εἰσπλεόντων πύργος ναστὸς ἀνέχει, τοὺς δὲ ἐκ δεξιοῦ, δύο ὀρθοὶ λίθοι συνεζευγμένοι, τῆς κατὰ θάτερον χηλὸς πύργου μείζονες. προσεχεῖς δὲ οἰκίαι τῷ λιμένι λευκοῦ καὶ αὗται λίθου, καὶ κατατείνοντες ἐπ' αὐτὸν οἱ στενωποὶ τοῦ ἄστεος, πρὸς ἓν διάστημα μεμετρημένοι, καὶ τοῦ στόματος ἀντικρὺ ναὸς καίσαρος ἐπὶ γηλόφου, κάλλει καὶ μεγέθει διάφορος, ἐν δὲ αὐτῷ κολοσσὸς καίσαρος, οὐκ ἀποδέων τοῦ ὀλυμπίασι διός, ᾧ καὶ προσείκασται, ῥώμης δὲ ἴσος ἥρᾳ τῇ κατ' ἄργος. ἀνέθηκε δὲ, τῇ μὲν ἐπαρχίᾳ τὴν πόλιν, τοῖς ταύτῃ δὲ πλοϊζομένοις τὸν λιμένα, καίσαρι δὲ, τὴν τιμὴν τοῦ κτίσματος. καισάρειαν γοῦν ὠνόμασεν αὐτήν. τά γε τὴν λοιπὰ τῶν ἔργων ἀμφιθέατρον,

in posterioribus indicabimus. Quin & apud Hierichunta, inter castellum Cyprum & priores domos regias, meliores alias, & quæ commodiorem vsum præberent aduenientibus fabricatas, eorundem amicorum nominibus vocitauit. Prorsus non est idoneus regni locus, quem honore Cæsaris nudum reliquerit. Postea verò quàm fines suos templis repleuit, in prouinciam quoque honores eius effudit, & in multis ciuitatibus templa, quæ Cæsaria vocantur, constituit. Cùm autem inter maritimas ciuitates vidisset vnam vetustate iam fessam, quæ Stratonos pyrgos vocabatur, & pro loci natura munificentiæ suæ capacem, totam eam candido saxo reparatam, clarissima regia decorauit, & in ea maximè innatam sibi animi magnitudinem demonstrauit. Nam inter Doram & Ioppen, quarum media ciuitas sita est, omnis ora maritima adeò fuit importuosa, vt omnes, qui ad Ægyptum ex Phœnice nauigarent, in salo fluctuare cogerentur, minas Africi metuentes: cuius etiam mediocris aura, tantas vndarum moles ad scopulos erigit, vt remeante æstu gurgitis, per aliquantum spatium maris feritas augeatur. Sed rex liberalitate ac sumptibus deuicta natura, Piræo maiorem portum fabricauit, & in eius penetralibus alias nauibus stationes fecit altissimas. Et quamquam totus ei locus aduersabatur, tamen ita cum difficultate certauit, vt firmitas quidem structuræ nequaquam mari cederet: pulchritudo verò tanta esset, quasi nulla res ardua præpedisset ornatum. Metitus enim quantum diximus portui spatium per viginti vlnas in profundum saxa demisit, quorum pleraque pedum quinquaginta longitudinis, & altitudinis nouem, & latitudinis decem, nonnulla verò etiam maiora fuerunt. Expleto autem spatio quod vnda celabat, in ducentos pedes murum dilatauit. Ex quibus centum repellendis erant fluctibus antè constructi, vnde etiam procymia dicebantur: cæteri autem saxeo portus quo cingitur muro subiecti sunt, magnis turribus interpositis, quarum maxima atque pulcherrima ex nepote Cæsaris Drusium cognominata est. Crebri autem fornices ad deducenda, quæ portus haberet: próque fornicibus & circum eos crepido saxea, & lata, quæ naues egredientes exciperet, deambulatio. aditus autem Septentrionalis erat. Ventorum enim pro situ loci placidissimus est boreas. ad ostium verò colossi tres, vtrinque fulti columnis: quarum à leua quidem intrantibus stantes solida turris sustinet: dextra verò duo proceri lapides iuncti, & partis aduersæ turris magnitudinem superantes. domus autem portui connexæ, candido item lapide: paríque mensura spatiorum, ciuitatis viæ tendentes in portum. Contra ostium verò portus, in colle, Cæsaris templum magnitudine simul & pulchritudine præcipuum: in eóque Cæsaris colossus non minor quàm Iouis apud Olympiam, cuius ad exemplar factus est, Romano autem par, & Iunoni quæ Argis est. Oppidum autem prouinciæ dedicauit, rebúsque aduectíciis portum, Cæsari verò conditoris honorem, vnde ciuitati nomen Cæsareæ imposuit. Quinetiam & cætera opera, forum,

Ant. lib. 15. cap. 10. 11. & lib. 17. cap. 5.

theatrum, amphitheatrum, digna vocabulo collocauit: & quinquennali certamine instituto, nomen ei Cæsaris donauit. Primúsque ipse in centesima nonagesima & secunda Olympiade maxima præmia proposuit: vt non solùm victores, sed & proximi & tertij successores eorum regalibus diuitiis potirentur. Anthedona quoque renouatam, quam bella subuerterant, Agrippium vocauit: nimiáque beneuolentia, nomen amici etiam portæ inscripsit, quam ipse in templo ædificauit. sed nec parentes suos ita quisquam dilexit. nam & patri monumentum optimo regni campo ciuitatem condidit, fluminum arborúmque ditissimam, eámque Antipatridem nuncupauit. & super Hierichunta castellum natura tutum, & pulchritudine præcipuum, muro cinxit, atque in honorem matris Cyprum vocauit: fratríque Phasaëlo turrim cognomine Phasaelidem Hierosolymis ædificauit, cuius ambitus & in magnitudine liberalitas postea declarabitur. Aliámque ciuitatem in regione quæ à Hierichunte in boream tenditur, Phasaelum nominauit. Cognatis autem & amicis æternæ gloriæ traditis, ne sui quidem fuit immemor: sed castellum contra montem Arabici lateris propugnaculo permunitum, de suo nomine Herodium vocauit: tumulúmque in mammæ formam manufactum, qui stadiorum sexaginta spatio ab Hierosolymis aberat, similiter nominatum, munificentiùs accurauit. Etenim rotundis quidem turribus cacumen eius amplexus est. Ambitum autem compleuit ædibus regiis liberalissimè exornatis: vt non solùm interna membrorum facies clarior esset, verùm etiam foris parietes ac maceriæ tectáque largis infusa diuitiis elucerent. Aquam etiam plurimam ingenti sumptu ex longo interuallo induxit, pérque ducentos gradus marmoris candidissimi fabricauit ascensum. Erat enim totus collis manu factus, & vehementer excelsus. Quin & aliam circa radices eius regiam, ac diuersoria, quæ & sarcinas & amicos recipere possent, ædificauit: vt pro rerum quidem omnium copia ciuitas esse videretur castellum: circumscriptione verò, domus regalis. Tantis autem constructis ædificiis, animi sui magnitudinem in plurimis etiam externis ciuitatibus demonstrauit. Nanque apud Tripolim & Damascum & Ptolemaidem, publicas balneas quæ gymnasia dicunt: Bibli autem murum, exhedras verò & porticus, foráque & templa Beryti ac Tyri: necnon & apud Sidonem, & Damascum theatra condidit. Maritimis autem Laodicensibus aquæ ductum: apud Ascalona verò Nymphea siue lacus ornatissimos, & balneas, item peristylia, tam opere quàm magnitudine miranda constituit. Sunt quibus etiam lucos portúsque præstitit. Multæ ciuitates ab eo, tanquam regni sociæ, agris quoque donatæ sunt. Ad exhibitionem verò thermarum aliis reditus annuos ac perpetuos delegauit, quemadmodum Cois, ne quando beneficij gratia deficeret. ad hæc frumenta cunctis ministrauit egentibus: & Rhodiis ad instruendam classem pecunias sæpè multísque in locis præbuit, incensúmque Pythium in meliorem formam reparauit sumptibus suis. Quid dicam eius in Lycios

καὶ στάδιον, καὶ ἀγορὰν ἀξίαν τῆς προσηγορίας ἐνιδρύσατο, καὶ πενταετηρικοὺς ἀγῶνας καταστησάμενος, ὁμοίως ἐκάλεσεν ἀπὸ τοῦ καίσαρος, πρῶτος αὐτὸς ἆθλα μέγιστα προθεὶς, ἐπὶ τῆς ἑκατοστῆς ἐνενηκοστῆς καὶ δευτέρας ὀλυμπιάδος, ἐν οἷς οὐ μόνον οἱ νικῶντες, ἀλλὰ καὶ οἱ μετ' αὐτοὺς, καὶ οἱ τρίτοι τοῦ βασιλικοῦ πλούτου μετελάμβανον. ἀνακτίσας δὲ καὶ ἀνθηδόνα τὴν παράλιον καταριφεῖσαν ἐν πολέμοις, ἀγρίππειον προσηγόρευσε. τοῦ δὲ αὐτοῦ φίλου δι' ὑπερβολὴν εὐνοίας, καὶ ἐπὶ τῆς πύλης ἐχάραξε τὸ ὄνομα, ἣν αὐτὸς ἐν τῷ ναῷ κατεσκεύασε. φιλοπάτωρ γε μὴν, εἰ καί τις ἕτερος. καὶ γὰρ τῷ πατρὶ μνημεῖον κατέστησε, καὶ πόλιν, ἣν ἐν τῷ καλλίστῳ τῆς βασιλείας πεδίῳ κτίσας, ποταμοῖς τε καὶ δένδρεσι πλουσίαν, ὠνόμασεν ἀντιπατρίδα. καὶ τὸ ὑπὲρ ἱεριχοῦντος φρούριον, ὀχυρότητι καὶ κάλλει διάφορον τειχίσας, ἀνέθηκε τῇ μητρὶ προσειπὼν κύπρον. φασαήλῳ δὲ τῷ ἀδελφῷ, τὸν ἐν ἱεροσολύμοις ὁμώνυμον πύργον, οὗ τό, τε σχῆμα, καὶ τὴν ἐν τῷ μεγέθει πολυτέλειαν διὰ τῶν ἑξῆς δηλώσομεν. καὶ πόλιν ἄλλην κτίσας κατὰ τὸν ἀπὸ ἱεριχοῦς ἰόντων αὐλῶνα πρὸς βορέαν, φασαηλίδα ὀνόμασεν. παραδοὺς δὲ αἰῶνι, τούς τε οἰκείους φίλους, οὐδὲ τῆς αὐτοῦ μνήμης ἠμέλησεν, ἀλλὰ φρούριον ἐπιτειχίσας τῷ πρὸς ἀραβίαν ὄρει, προσηγόρευσεν ἡρώδιον ἀφ' ἑαυτοῦ. τὸν δὲ μαστοειδῆ κολωνὸν ὄντα χειροποίητον ἑξήκοντα σταδίων ἄποθεν ἱεροσολύμων, ἐκάλεσε μὲν ὁμοίως. ἐξήσκησε δὲ φιλοτιμότερον. στρογγύλοις μὲν γὰρ τὴν ἄκραν πύργοις περιέσχεν, ἐπλήρωσε δὲ τὸν περίβολον βασιλείοις πολυτελεστάτοις, ὡς μὴ μόνον τὴν ἔνδον τῶν οἰκημάτων ὄψιν εἶναι λαμπρὰν, ἀλλὰ καὶ τοῖς ἔξωθεν τοίχοις, καὶ θριγκοῖς καὶ στέγαις, περικεχύσθαι τὸν πλοῦτον δαψιλῆ. πόρρωθεν δὲ μεγίστοις ἀναλώμασιν ὑδάτων πλῆθος εἰσήγαγε, καὶ βαθμοῖς διακοσίοις λευκοτάτοις μαρμάρου, τὴν ἄνοδον διέλαβεν. ἦν γὰρ δὴ τὸ γεώλοφον ἐπιεικῶς ὑψηλὸν, καὶ πᾶν χειροποίητον. κατεσκεύασε δὲ καὶ περὶ τὰς ῥίζας ἄλλα βασίλεια, τήν τε ἀποσκευὴν καὶ τοὺς φίλους δέξασθαι δυνάμενα. ὥς τε τοῖς μὲν πάντα ἔχειν, πόλιν εἶναι δοκεῖν τὸ ἔρυμα. τῇ περιγραφῇ δὲ, βασίλειον. τοσαῦτα δ' οὖν κτίσας, πλείσταις καὶ τῶν ἔξω πόλεων τὸ μεγαλόψυχον ἐπεδείξατο. τριπόλει μὲν γὰρ καὶ δαμασκῷ καὶ πτολεμαΐδι, γυμνάσια, βίβλῳ δὲ, τεῖχος, ἐξέδρας τε καὶ στοὰς, καὶ ναοὺς, καὶ ἀγορὰς, βηρυτῷ κατασκευάσας καὶ τύρῳ, σιδῶνι γε μὴν καὶ δαμασκῷ θέατρα, λαοδικεῦσι δὲ τοῖς παραλίοις, ὑδάτων εἰσαγωγὴν, ἀσκαλωνίταις δὲ, βαλανεῖα, καὶ κρήνας πολυτελεῖς. πρὸς δὲ, περίστυλα, θαυμαστὰ τήν τε ἐργασίαν καὶ τὸ μέγεθος. εἰσὶ δὲ οἷς ἄλση καὶ λειμῶνας ἀνέθηκε. πολλαὶ δὲ πόλεις ὥσπερ κοινωνοὶ τῆς βασιλείας, καὶ χώραν ἔλαβον παρ' αὐτοῦ γυμνασιαρχίας. ἄλλαις δὲ ἐπετησίοις τε καὶ διηνεκέσιν ἐδωρήσατο προσόδοις, κατατάξας, ὥσπερ κῴοις, ἵνα μηδέποτε ἐκλείπῃ τὸ γέρας. σῖτον γε μὴν πᾶσιν ἐχορήγησε τοῖς δεομένοις. καὶ τῇ ῥόδῳ χρήματα μὲν εἰς ναυτικοῦ κατασκευὴν παρέσχε, πολλαχοῦ καὶ πολλάκις. ἐμπρησθὲν δὲ τὸ πύθιον, ἰδίοις ἀναλώμασιν ἄμεινον ἀνεδείματο. τί δεῖ λέγειν, τὰς εἰς λυκίους

ἢ σα-

ἢ Σαμίοις δωρεάς, ἢ τὴν δι' ὅλης τῆς Ἰωνίας, ἐν οἷς ἐδεήθησαν ἕκαστοι δαψιλείαν. ἀλλὰ Ἀθηναῖοι, καὶ Λακεδαιμόνιοι, Νικοπολῖταί τε, καὶ τὸ κατὰ Μυσίαν Πέργαμον, οὐ τῶν Ἡρώδου γέμουσιν ἀναθημάτων; τὴν δὲ Ἀντιοχέων τῶν ἐν Συρίᾳ πλατεῖαν, οὐ φευκτὴν οὖσαν ὑπὸ βορβόρου, κατέστρωσέ τε σταδίων εἴκοσι τὸ μῆκος οὖσαν ξεστῇ μαρμάρῳ, καὶ πρὸς τὰς ὑετῶν ἀποφυγὰς ἐκόσμησεν ἰσομήκει στοᾷ; ταῦτα μὲν ἄν τις εἴποι, ἴδια τῶν εὖ παθόντων δήμων ἑκάστου. τὸ δὲ Ἠλείοις χαρισθέν, οὐ μόνον κοινὸν τῆς Ἑλλάδος, ἀλλ' ὅλης τῆς οἰκουμένης δῶρον, εἰς ἣν ἡ δόξα τῶν ἐν Ὀλυμπίασιν ἀγώνων διικνεῖται. τούτους γὰρ δὴ καταλυομένους ἀπορίᾳ χρημάτων ὁρῶν, καὶ τὸ μόνον λείψανον τῆς ἀρχαίας Ἑλλάδος ὑπορρέον, οὐ μόνον ἀγωνοθέτης ἧς ἐπέτυχε πενταετηρίδος εἰς Ῥώμην παραπλέων ἐγένετο. ἀλλὰ καὶ πρὸς τὸ διηνεκὲς πόρους χρημάτων ὑπέδειξεν, ὡς μηδέποτε ἀγωνοθετοῦσαν τὴν μνήμην αὐτοῦ ἐπιλιπεῖν. ἀνήνυτον δ' ἂν εἴη χρεῶν διαλύσεις, ἢ φόρων ἐπεξιέναι, καθάπερ Φασηλίταις καὶ Βαλανεώταις, καὶ τοῖς περὶ τὴν Κιλικίαν πολιχνίοις, τὰς ἐτησίους εἰσφορὰς ἐπεξεκούφισε. πλεῖστόν γε μὴν αὐτοῦ τῆς μεγαλονοίας ἔθραυσεν ὁ φόβος, ὡς μὴ δόξειεν ἐπίφθονος, ἢ τὶ θηρᾶσθαι μεῖζον, εὐεργετῶν τὰς πόλεις πλέον τῶν ἐχόντων. ἐχρήσατο δὲ καὶ σώματι πρὸς τὴν ψυχὴν ἀναλόγῳ, κυνηγέτης μὲν ἄριστος ἀεὶ γενόμενος, ἐν ᾧ μάλιστα δι' ἐμπειρίαν ἱππικῆς ἐπετύγχανε. μιᾷ γοῦν ἡμέρᾳ ποτὲ τεσσαράκοντα θηρίων ἐκράτησεν. ἔστι δὲ καὶ συοτρόφος μὲν ἡ χώρα, τὸ πλέον δ' ἐλάφων καὶ ὄνων ἀγρίων εὔπορος. πολεμιστὴς ἀνυπόστατος. πολλοὶ γοῦν κἂν ταῖς γυμνασίαις αὐτὸν κατεπλάγησαν, ἀκοντιστήν τε ἰθυβολώτατον, καὶ τοξότην εὐστοχώτατον ἰδόντες. πρὸς δὲ τοῖς ψυχικοῖς, καὶ τοῖς σωματικοῖς προτερήμασιν, ἐχρήσατο δεξιᾷ καὶ τύχῃ. καὶ γὰρ σπανίως ἔπταισεν ἐν πολέμῳ, καὶ τῶν πταισμάτων οὐκ αὐτὸς αἴτιος, ἀλλ' ἢ προδοσίᾳ τινῶν, ἢ προπετείᾳ στρατιωτῶν ἐγένετο.

Κεφ. ιζ.

Τάς γε μὴν ὑπαίθρους εὐπραγίας, ἡ τύχη τοῖς κατ' οἶκον ἀνιαροῖς ἐνεμέσησε. καὶ κακοδαιμονεῖν ἐκ γυναικὸς ἤρξατο, περὶ ἣν μάλιστα ἐσπούδασεν. ἐπεὶ γὰρ εἰς τὴν ἀρχὴν παρῆλθεν, ἀποπεμψάμενος ἣν ἰδιώτης ὢν ἦκτο γαμετήν, ἣ γένος ἦν Ἱεροσολύμων, Δωρὶς ὄνομα, γαμεῖ Μαριάμμην τὴν Ἀλεξάνδρου τοῦ Ἀριστοβούλου θυγατέρα, δι' ἣν αὐτῷ στασιασθῆναι συνέβη τὸν οἶκον, καὶ τάχιον μέν, μάλιστα δὲ μετὰ τὴν ἐκ Ῥώμης ἄφιξιν. πρῶτον μὲν γὰρ ἐκ τῆς Δωρίδος υἱὸν Ἀντίπατρον διὰ τοὺς ἐκ Μαριάμμης, ἐφυγάδευσε τῆς πόλεως, μόναις ταῖς ἑορταῖς ἀφεὶς κατιέναι. ἔπειτα τὸν πάππον τῆς γυναικὸς Ὑρκανόν, ἐκ Πάρθων πρὸς αὐτὸν ἐλθόντα, δι' ὑπόνοιαν ἐπιβουλῆς ἀνεῖλεν, ὃν ᾐχμαλωτίσατο μὲν Βαρζαφάρνης καταδραμὼν Συρίαν, ἐξῃτήσαντο δὲ κατ' οἶκτον οἱ ὑπὲρ Εὐφράτην ὁμοεθνεῖς. καὶ εἴγε τούτοις ἐπείσθη παραινοῦσι μὴ διαβῆναι πρὸς Ἡρώδην, οὐκ ἂν παραπώλετο. δέλεαρ δὲ αὐτῷ θανάτου τῆς υἱωνῆς ὁ γάμος κατέστη. τούτῳ γὰρ πεποιθώς, καὶ περισσόν τι τῆς πατρίδος ἐφιέμενος, ἧκε. παρώξυνε δὲ Ἡρώδην, οὐκ αὐτὸς ἀντιποιούμενος βασιλείας, ἀλλ' ἐπειδὴ τὸ βασιλεύειν

aut Samios liberalitatem? pérque omnem Ioniam eorum quæ deſideraſſet quiſque, largitiones? Nónne etiam Athenienſes & Lacedæmonij, & Nicopolitani, & in Myſia Pergamus, Herodis ſunt plena donariis? Nónne Antiochenſium Syriæ plateam, cùm plena cœni ab omnibus vitaretur, per viginti ſtadia prolixam, ſtrauit polito marmore: declinandíſque imbribus, quàm longa eſſet porticibus ornauit? Sed hæc quidem propria quis dixerit illorum, quibus ea detulit, populorum. Quod autem Elidenſibus præſtitit, non ſolùm Achaiæ commune, ſed etiam totius orbis terræ munus videtur, per quem Olympiaci certaminis gloria diffunditur. Nam cùm hoc deficere ſumptuum videret inopia, quódque ſolùm ex veteri Græcia reſtabat collabi, non ſolùm agonotheta ipſe factus eſt, eo luſtro, quod cùm Romam nauigaret, offendit: ſed etiam perpetuos pecuniarum reditus inſtituit, vt nunquam eius memoria agonothetæ munere fungi deſineret. Inextricabile opus fuerit, debitorum ſiue tributorum remiſſiones exponere, ſicut Phaſelitas & Balaneotas, aliáque circa Ciliciam municipia leuauit annuis penſionibus: licèt multùm eius animi magnitudinem timor fregerit, ne quam pateretur inuidiam: velut maius aliquid aucuparetur, ſi beneficiis amplioribus afficeret ciuitates, quàm qui eas haberent. Quin & corpore vſus eſt, quod animo conueniret. cúmque ſummus venator eſſet, in hoc tamen ipſo equitandi peritia quæ cuperet aſſequebatur. Denique vno die quondam quadraginta feras ſubegit. Eſt autem aprorum altrix illa regio, ſed magis ceruis & onagris frequentatur. Bellator autem erat, qui ſuſtineri non poſſet. itaque multos etiam in exercitatione terrebat: quibus & torquendo iaculo directiſſimus, & ſagittarum librator videbatur egregius. Præter animi autem corporíſque virtutem, fortuna quoque ſecunda vſus eſt. Raro enim contra votum eius, belli ceſſit euentus. & ſi quando id accidit, non ipſius culpa, ſed aut proditione quorundam, aut temeritate militum factum eſt.

Cap. XVII. De diſſidio Herodis cũ filiis Alexãdro & Ariſtobulo. *Ant. lib. 15. cap. 3. 8. 9. & lib. 16. cap. 13.*

At verò publicam ei felicitatem mœrores inuidere domeſtici, & aduerſi caſus ex muliere cœperunt, quam maximè diligebat. Nam quia regis meruit poteſtatem, repudiata quam priùs acceperat vxorem ex Hieroſolymis genus ducentem, quæ Doris vocabatur, Mariamnen ſibi coniunxit, Alexandri filiam Ariſtobuli filij: vnde domus eius in diſcordiam venit, & antea quidem, maximè verò poſtquam Roma regreſſus eſt. nam primum Antipatrum ex Doride filiũ, eorum cauſa quos è Mariamne ſuſceperat, expulit ciuitate: ſolis feſtis diebus eò commeandi facultate conceſſa. Deinde auum coniugis Hyrcanum, ex Parthis ad ſe reuerſum propter inſidiarum ſuſpicionem peremit: quem captum quidem, occupata Syria, Barzapharnes abduxerat: miſerati verò gentiles liberauerant, qui vltra Euphratem colebant. Et ſi monitis eorum paruiſſet, ne ad Herodem tranſiret, non interiiſſet. Verùm mortis eius illecebra, fuit neptis matrimonium. hoc enim fretus, multóque amplius patriam deſiderans, venit. Herodem autem commouit, non quòd regnum affectaret, ſed quòd ipſi iure

deberetur. Quinque autem filiorum quos ex Mariamne susceperat, duæ fœminæ, cæteri mares erant, horúmque minimo Romæ in studiis mortuo, duos maiores natu, & propter matris nobilitatem, & quòd iam regnanti sibi fuissent geniti, regiè producebat. Sed enim fortior amor his Mariamnes suffragabatur: qui in dies singulos proficiens, adeò succendebat Herodem, vt eorum nihil sentiret quæ propter dilectam sibi dolerent. Tantum namque in eum Mariamnes erat odium, quantum ipse illam amabat. Habens igitur ex rebus quidem ipsis inimicitiarum probabiles causas, ex amore verò fiduciam, in os ei, quæ Hyrcano auo suo fecisset obiiciebat, quæque in fratrem Aristobulum egisset. Nec enim vel huic, quanquam puer erat, parcebat: quem pontificem in decimoseptimo ætatis anno creatum, post honorem statim occidit. Atque ille quidem cum sacra veste amictus ad aram accessisset festo die, populus omnis illacrymauit: & tamen noctu missus in Hierichunta, ibi sicut mandatum fuerat, lacu submersus à Gallis interiit. Hæc igitur Herodi Mariamne probro dabat, sororémque eius & matrem maledictis atrocioribus dehonestabat. Sed ille quidem amore mutus erat. Graui autem indignatione mulieres sæuiebant: & quo maximè commoueretur Herodes, insimulabant eam adulterij: præter alia multa, quæ verisimilia fingerentur, hæc accusantes, quòd in Ægyptum imaginem suam misisset Antonio: próque immoderata libidine, absentem se properasset ostendere viro mulierum cupidine insanienti, & qui vim posset inferre. Id veluti fulmen aliquod emissum perturbauit Herodem, maximè quidem amoris causa zelotypia succensum, deinde etiam cogitantem Cleopatræ sæuitiam, cuius gratia & Lysanias rex & Malichus Arabs erant perempti. Non enim coniugis amissione, sed morte sua periculum metiebatur. Itaque profecturus Iosepho Salomes sororis suæ viro, quem fidum habebat, & pro affinitate beneuolum, commendabat vxorem: mandato ei clàm, vt eam interficeret, si etiam se occidisset Antonius. Verùm Iosephus non malignè, sed regis amorem mulieri cupiens demonstrare, quòd ab ea nec mortuus pateretur diuelli, secretum ei sermonem aperit: Et illa reuerso Herode, multáque inter fabulas de affectu iurante, quódque nunquam esset alterius mulieris amore captus. Valde, inquit, amor erga nos tuus mandatis Iosepho comprobatus est, quibus vt me occideret præcepisti. His auditis quæ occulta credebat, amens erat Herodes ilicò: nec vnquam Iosephum mandata sua proditurum fuisse ratus, nisi eam corrupisset, præ dolore insaniebat. Cúmque stratis exiluisset, in regia spatiatur: ibique tunc Salome soror eius arrepto tempore criminandi, suspicionem de Iosepho confirmauit. Vnde Herodes immoderata zelotypia furens confestim vtrunque iussit interfici. Deinde pœnitudo sequebatur insaniam: & postquam iracundia concidit, amor iterum calescebat. Tanta vis autem cupidinis erat, vt ne mortuam quidem putaret eam, sed præ ægritudine tanquam viuam alloqueretur: donec processu temporis funere cognito, mœroris magnitudine cum

ἐπέβαλλεν αὐτῷ. τῶν δὲ ἐκ Μαριάμμης πέντε τέκνων αὐτῷ γενομένων, δύο μὲν θυγατέρες, τρεῖς δ' ἦσαν υἱεῖς. καὶ τούτων ὁ νεώτατος μὲν ἐν Ῥώμῃ παιδευόμενος, τελευτᾷ. δύο δὲ τοὺς πρεσβυτέρους βασιλικῶς ἦγε, διά τε τὴν μητρῴαν εὐγένειαν, καὶ ὅτι βασιλεύοντι γεγόνεισαν αὐτῷ. τὸ δὲ τούτων ἰσχυρότερον, ὁ Μαριάμμης ἔρως συνήργει, καθ' ἡμέραν ἐκκαίων Ἡρώδην λαβρότερος, ὡς μηδὲν αἰσθάνεσθαι τῶν διὰ τὴν στεργομένην λυπηρῶν. τοσοῦτον δὲ ἦν μῖσος εἰς αὐτὸν τῆς Μαριάμμης, ὅσος ἐκείνου πρὸς αὐτὴν ἔρως. ἔχουσα δὲ τὴν μὲν ἀπέχθειαν ἐκ τῶν πραγμάτων εὔλογον, τὴν δὲ παρρησίαν ἐκ τοῦ φιλεῖσθαι, φανερῶς ὠνείδιζεν αὐτῷ τὰ κατὰ τὸν πάππον Ὑρκανόν, καὶ τὸν ἀδελφὸν Ἀριστόβουλον. οὐδὲ γὰρ τούτου καίπερ ὄντος παιδὸς ἐφείσατο. δοὺς μὲν αὐτῷ τὴν ἀρχιερωσύνην ἑπτακαιδεκαέτει, μετὰ δὲ τὴν τιμὴν κτείνας εὐθέως. ἐπειδὴ τὴν ἱερὰν ἐσθῆτα λαβόντι, καὶ τῷ βωμῷ προσελθόντι, καθ' ἑορτήν, ἄθρουν ἐπεδάκρυε τὸ πλῆθος. πέμπεται μὲν οὖν ὁ παῖς διὰ νυκτὸς, εἰς Ἱεριχοῦντα. κἀκεῖ δὲ κατ' ἐντολὴν ὑπὸ τῶν Γαλατῶν βαπτιζόμενος, ἐν κολυμβήθρᾳ τελευτᾷ. διὰ ταῦτα Ἡρώδην τε ὠνείδιζεν ἡ Μαριάμμη, καὶ τὴν ἀδελφὴν αὐτοῦ καὶ τὴν μητέρα, δειναῖς ἐξύβριζε λοιδορίαις. ἀλλ' ὁ μὲν πεφίμωτο τοῖς ἱμέροις. δεινὴ δὲ τὰς γυναῖκας ἀγανάκτησις εἰσῄει, καὶ πρὸς ὃ μάλιστα κινήσειν τὸν Ἡρώδην ἔμελλον εἰς μοιχείαν διέβαλλον αὐτήν, ἄλλα τε πολλὰ πρὸς τὸ πιθανὸν ἐνσκευαζόμεναι, καὶ κατηγοροῦσαι διότι τὴν εἰκόνα τὴν ἑαυτῆς πέμψειεν εἰς Αἴγυπτον Ἀντωνίῳ, καὶ δι' ὑπερβολὴν ἀσελγείας, ἀποῦσα δείξειεν ἑαυτὴν ἀνθρώπῳ γυναικομανοῦντι, καὶ βιάζεσθαι δυναμένῳ. τοῦτο ὥσπερ σκηπτὸς ἐμπεσὸν, ἐτάραξεν Ἡρώδην, μάλιστα μὲν διὰ τὸν ἔρωτα ζηλοτύπως ἔχοντα, λογιζόμενον δὲ καὶ τὴν Κλεοπάτρας δεινότητα, δι' ἣν Λυσανίας τε ὁ βασιλεὺς ἀνῄρητο, καὶ Μάλχος ὁ Ἄραψ. οὐ γὰρ ἀφαιρέσει γαμετῆς ἐμέτρει τὸν κίνδυνον, ἀλλὰ θανάτῳ. μέλλων οὖν ἀποδημεῖν, Ἰωσήπῳ τῷ ἀνδρὶ Σαλώμης τῆς ἀδελφῆς αὐτοῦ, πιστὸς δὲ ἦν καὶ διὰ τὸ κῆδος εὔνους, παρατίθεται τὴν γυναῖκα, κρύφα δοὺς ἐντολὰς ἀναιρεῖν αὐτήν, εἰ κἀκεῖνον Ἀντώνιος. ὁ δ' Ἰώσηπος οὔτι κακοήθως, ἀλλὰ τὸν ἔρωτα τοῦ βασιλέως παραστῆσαι τῇ γυναικὶ βουλόμενος, ὡς οὐδὲ ἀποθανὼν αὐτῆς ὑπομένοι διαζευχθῆναι, τὸ ἀπόρρητον ἐκφέρει. κἀκείνη πρὸς ἐπανήκοντα τὸν Ἡρώδην, πολλά τε περὶ τοῦ πρὸς αὐτὴν πόθου ἐν ταῖς ὁμιλίαις ἐπομνύμενον, καὶ ὡς οὐδ' ἐρασθείη ποτὲ γυναικὸς ἄλλης, πάνυ γοῦν εἶπε ταῖς πρὸς Ἰώσηπον ἐντολαῖς ἐπεδείξω τὸν εἰς ἡμᾶς ἔρωτα, κτεῖναί με προστάξας. ἔκφρων εὐθέως ἀκούσας τὸ ἀπόρρητον ἦν, καὶ οὐκ ἄν ποτε τὸν Ἰώσηπον ἐξαγγεῖλαι τὴν ἐντολὴν φάμενος, εἰ μὴ διαφθείρειεν αὐτήν, ἐνεθουσία τῷ πάθει, καὶ τῆς κοίτης ἐξαλλόμενος, ἀνέδην ἐν τοῖς βασιλείοις ἀνειλεῖτο. κἂν τούτῳ Σαλώμη ἡ ἀδελφὴ τὸν καιρὸν εἰς τὰς διαβολὰς ἁρπάσασα, τὴν εἰς τὸν Ἰώσηπον ἐβεβαίωσεν ὑποψίαν. ὁ δ' ὑπ' ἀκράτου ζηλοτυπίας ἐκμανεὶς, παραχρῆμα κτείνειν προσέταξεν ἀμφοτέρους. μετάνοια δ' εὐθέως εἵπετο τῷ πάθει, καὶ τοῦ θυμοῦ πεσόντος, ὁ ἔρως πάλιν ἀνεζωπυρεῖτο. τοσαύτη δὲ ἦν φλεγμονὴ τῆς ἐπιθυμίας, ὡς μηδὲ τεθνάναι δοκεῖν αὐτήν, ὑπὸ δὲ κακώσεως ὡς ζώσῃ προσλαλεῖν, μέχρι τῷ χρόνῳ διδαχθεὶς τὸ πένθος ἀνάλογον τὴν λύπην ἔσχε,

τῇ πρὸς

τῇ πρὸς παρουσίαν διαθέσει. κληρονομοῦσι δὲ τῆς μητρῴας οἱ παῖδες ὀργῆς, καὶ τοῦ μύσους ἔννοιαν λαμβάνοντες, ὡς πολέμιον ὑφεώρων τὸν πατέρα, καὶ πρότερον μὲν ἐπὶ Ῥώμης παιδευόμενοι, πλέον δὲ, ὡς εἰς Ἰουδαίαν ὑπέστρεψαν. συνηύξετο δ' αὐτοῖς τῇ ἡλικίᾳ ἡ διάθεσις. ἐπεὶ δὲ γάμων ἔχοντες ὥραν, ὁ μὲν τὴν τηθίδος Σαλώμης, ἣ τὴν μητέρα αὐτῶν κατηγόρησεν, ὁ δὲ ἔγημεν τὴν Ἀρχελάου τοῦ Καππαδοκῶν βασιλέως θυγατέρα, προσελάμβανον ἤδη τῷ μίσει καὶ παρρησίαν. ἐκ δὲ τῆς θρασύτητος αὐτῶν, ἀφορμὰς οἱ διαβάλλοντες ἐλάμβανον, καὶ φανερώτερον ἤδη τῷ βασιλεῖ διελέγοντό τινες, ὡς ἐπιβουλεύοιτο μὲν ὑπ' ἀμφοτέρων τῶν υἱῶν. ὁ δὲ Ἀρχελάῳ κηδεύσας καὶ φυγὴν παρασκευάζοιτο, τῷ πενθερῷ πεποιθὼς, ἵνα ἐπὶ Καίσαρος αὐτοῦ κατηγορήσῃ. ἀναπλησθεὶς δὲ τῶν διαβολῶν Ἡρώδης ὥσπερ ἐπιτείχισμα τοῖς υἱοῖς, κατάγει τὸν ἐκ τῆς Δωρίδος Ἀντίπατρον, καὶ πάντα τρόπον προτιμᾶν ἤρξατο. τοῖς δὲ ἀφόρητος ἦν ἡ μεταβολὴ, καὶ τὸν ἐξ ἰδιώτιδος μητρὸς ὁρῶντες προκόπτοντα, διὰ τὴν αὐτῶν εὐγένειαν οὐκ ἐκράτουν τῆς ἀγανακτήσεως. ἐφ' ἑκάστῳ δὲ τῶν ἀνιαρῶν, τὴν ὀργὴν ἐξέφαινον. ὡς δὲ οἱ μὲν καθ' ἡμέραν προσίσταντο μᾶλλον. ὁ δὲ Ἀντίπατρος ἤδη καὶ δι' αὑτὸν ἐσπούδαζε, δεινότατος μὲν ὢν ἐν τῇ πρὸς τὸν πατέρα κολακείᾳ, διαβολὰς δὲ κατὰ τῶν ἀδελφῶν ποικίλας ἐνσκευαζόμενος, καὶ τὰ μὲν, αὐτὸς λογοποιῶν, τὰ δὲ, τοὺς ἐπιτηδείους φημίζειν καθιεὶς, μέχρι παντάπασι τοὺς ἀδελφοὺς ἀπέρρηξε τῆς βασιλικῆς ἐλπίδος. καὶ γὰρ ἐν ταῖς διαθήκαις, καὶ φανερῶς, αὐτὸς ἦν ἤδη διάδοχος. ὡς βασιλεὺς γοῦν ἐπέμφθη καὶ πρὸς Καίσαρα, τῷ τε κόσμῳ, καὶ ταῖς ἄλλαις θεραπείαις, πλὴν διαδήματος χρώμενος. χρόνῳ δὲ ἐξίσχυσεν εἰσαγαγεῖν ἐπὶ τὴν Μαριάμμης κοίτην τὴν μητέρα. δυσὶ δὲ ὅπλοις κατὰ τῶν ἀδελφῶν χρώμενος, κολακείᾳ καὶ διαβολῇ, τὸν βασιλέα καὶ περὶ θανάτου τῶν υἱῶν ὑπειργάσατο. τὸν γοῦν Ἀλέξανδρον σύρας μέχρι Ῥώμης ὁ πατὴρ, τῆς ἐφ' ἑαυτῷ φαρμακείας, ἔκρινεν ἐπὶ Καίσαρος. ὁ δὲ εὑρὼν μόλις ὀλοφυρμοῦ παρρησίαν, καὶ δικαστὴν ἐμπειρότερον Ἀντιπάτρου, καὶ Ἡρώδου φρονιμώτερον, τὰ μὲν ἁμαρτήματα τοῦ πατρὸς αἰδημόνως ὑπεστείλατο. τὰς δὲ αὑτοῦ διαβολὰς, ἰσχυρῶς ἀπελύσατο. καθαρὸν δὲ καὶ τὸν ἀδελφὸν ἀποδείξας κοινωνοῦντα τῶν κινδύνων, οὕτως ἤδη τότε Ἀντιπάτρου πανουργίαν, καὶ τὴν αὐτῶν ἀτιμίαν ἀπωδύρετο. συνήργει δὲ αὐτῷ μετὰ καθαροῦ τοῦ συνειδότος, ἡ περὶ λόγους ἰσχύς. ἦν γὰρ δὴ δεινότατος εἰπεῖν. καὶ τὸ τελευταῖον φάμενος, ὡς τῷ πατρὶ κτείνειν αὐτοὺς ἔξεστιν, εἰ δὴ προστίθεται τὸ ἔγκλημα, προήγαγε μὲν εἰς δάκρυα πάντας. τὸν δὲ Καίσαρα διέθηκεν οὕτως, ὡς ἀπογνῶναι μὲν αὐτῶν τὰ κατηγορημένα, διαλλάξαι δὲ Ἡρώδην εὐθέως. αἱ διαλλαγαὶ δὲ ἐπὶ τούτοις ἦσαν, ὥστε ἐκείνους μὲν τῷ πατρὶ πάντα πειθαρχεῖν, τὸν δὲ τὴν βασιλείαν καταλιπεῖν ᾧ βούλεται. μετὰ ταῦτα δὲ ἀπὸ Ῥώμης ὑπέστρεψεν ὁ βασιλεὺς, τῶν μὲν ἐγκλημάτων ἀφηκέναι τοὺς υἱεῖς δοκῶν, τῆς ὑπονοίας οὐκ ἀπηλλαγμένος. παρηκολούθει δὲ Ἀντίπατρος ἡ τοῦ μίσους ὑπόθεσις, ἀλλ' ἔς γε τὸ φανερὸν τὴν ἀπέχθειαν οὐκ ἐξέφερε, τὸν διαλλακτὴν αἰδούμενος.

A quo superstitem dilexerat æquauit affectum. Maternæ autem iracundiæ succedunt filij, & immanitatem sceleris reputantes, non aliter suspectum patrem quàm si hostis esset, habebant: idque & antea, quàm diu Romæ in studiis erant, & multò magis postquam in Iudæam reuersi sunt. Siquidem cum ętatibus eorum, mentium quoque roborabatur affectio. Iam verò maturi coniugio, vnus amitę suæ Salomes, quæ matrem amborum accusauerat, filiam duxit: alter B Archelai Cappadocum regis. Vnde accessit etiam libertas odio, & occasiones ex eorum confidentia delatoribus collatæ sunt. Itaque apertiùs quidam cum rege colloquebantur, quòd ei per vtrumque filium struerentur insidiæ: & alter quidem vltrices materni exitij simul cum fratre armaret manus: alter verò, hoc est Archelai gener, socero fretus etiam fugam pararet, ipsum apud Cæsarem accusaturus Herodem. His igitur crimi- C nationibus repletus Herodes, veluti propugnaculo sibi futurum aduersus filios, adducit Antipatrum ex Doride susceptum: hísque illum præponere modis omnibus cœpit. Qui cùm hanc mutationem tolerabilem non putarent, ac priuata matre æditum proficientem viderent, indignationem cohibere pro sua nobilitate non poterant: sed in singulis quibus offenderentur, iram prodebant. Et illi quidem in dies singulos magis magísque negligebantur. D Antipater autem etiam sui causa fauorabilis erat: nam & patri blandiri callidè nouerat, & varias in fratres suos calumnias conferebat, quædam ipse dictitans, amicos verò suos ad alia diuulganda submittens, donec omnino spem regni abscidit fratribus suis. In testamento enim ipse apertè quoque iam successor fuerat declaratus. Denique tanquam rex etiam ad Cæsarem missus est, cultúque regio & cæteris obsequiis præter diadema vtebatur. Tem- E pore autem voluit etiam suam matrem in cubile Mariamnes inducere: duobúsque armorum generibus in fratres vsus, blanditiis & calumniis regi obrepsit vt etiam de filiorum morte cogitaret. Quapropter Alexandrum quidem secum Romam pater abstractum, veneni sibi dati reum apud Cæsarem postulauit. Ille autem vix deplorandi copiam nactus, & licèt apud imperitissimum iudicem, tamen Herode & Antipatro prudentiorem, delicta F quidem patris verecundè suppressit: in se verò delata crimina fortiter diluit: periculorúmque socio fratre purgato, mox de Antipatri calliditate, & de suis iniuriis questus est: cùm præter innocentiæ conscientiam eloquentia iuuaretur. erat enim acerrimus in dicendo. postremò prolocutus quòd eos pater libenter occideret, crimen illi obiecit. & lacrymas quidem cunctis excussit: verùm Cæsarem sic affecit, vt eorum accusationibus spre- G tis, Herodem statim reuocaret in gratiam. Hac autem lege reconciliatio facta est, vt adolescentes quidem patri in omnibus obedirent, ille autem relinqueret regnum cui vellet. Postea rex Roma reuersus, licèt soluisse criminibus filios videretur, nondum tamen erat suspicionibus liberatus: quoniam argumentum odij sequebatur Antipater, etsi verecundia reconciliatoris palàm proferre inimicitias non auderet.

Ant. l. 16. cap. 4.

Cùm autem Ciliciam prænauigans Eleusam delatus esset, suscepit eum benignissimè Archelaus, pro salute generi gratiam referens, & redintegratæ concordiæ causa lætus: quippe nihil moratus amicis Romæ scripserat, vt in causa dicenda suffragarētur Alexādro: & vsque ad Zephyrium deduxit talentis xxx. donatum. Postea verò quàm Hierosolymam peruenit Herodes, populo conuocato, tribúsque filiis propè astantibus causam reddit profectionis: multásque Deo gratias agit, multas etiam Cæsari, qui domus suæ perturbationem sedasset: & quod regno maius esset, concordiam filiis præstitisset, quam ego, inquit, arctiùs copulabo. Nam ille quidem me regni dominum & successorum iudicem constituit. Ego autem cum mea commoditate illi gratias refero, trésque filios meos reges designo, huiúsque sententiæ meæ socium primum Deum fieri precor, deinde vos. Namque huic ætas, illis nobilitas successionem regni conciliat, & quidem magnitudo eius etiam pluribus sufficit. Quos autem Cæsar iunxit, & pater instituit obseruate: non iniustis eos, neque disparibus, sed meritis colentes honoribus. Nec enim tanta quis afficiet eum lætitia, cui præter ætatem obsequitur, quantum ei, quem despiciet, doloris infliget. Quos autem singulis coniunctos esse oporteat propinquos atque amicos, ego distribuam, & concordiæ sponsores illos constituam: pro certo sciens, seditionum contentionúmque causas ex contubernalium nasci malitia: hósque si boni fuerint, affectiones tueri. Rogo autem vt non solùm isti, sed etiam primates ordinum exercitus mei, in me solo spem habeant in præsentia. Non enim regnum, sed regni honorem filiis meis trado: & iucunditate quidem quasi rectores potientur, pondus autem rerum tametsi nolim, meum est. Consideret autem quisque vestrum ætatem meam, vitæque institutum, necnon etiam pietatem. nam neque senex adeò sum, vt de me citò desperetur: neque voluptatibus assuetus, quæ adolescentium quoque vitam spacio breuiore concludunt. Diuinitatem verò ita coluimus, vt in longum nos æuum progressuros esse credamus. quòd si quis in contemptum meum filiis meis placere maluerit, etiam pro illis mihi supplicium dabit. Ego enim, non quòd inuideam ex me genitis, honorificè eos haberi veto: sed quia noui hæc studia adolescentibus ferociæ nutrimenta suggerere. Itaque si cogitent qui ad eos se applicant: bonis quidem apud me paratum esse præmium, seditiosis verò apud ipsos etiam quibus lenocinabantur, infructuosam fore malignitatem, omnes profectò mecum, hoc est, cum filiis meis sentient. Nanque ipsis expedit me regnantem, méque his esse concordem. Vos autem, ô boni filij, sacram primùm retinentes mente naturam, cuius affectiones inter feras bestias saluæ sunt, deinde Cæsarem qui nos reduxit in gratiam, méque tertium qui ea quæ iubere liceat rogem: fratres permanete. Iam nunc autem vobis & vestimenta, & obsequia dabo regalia: Deúmque oro vt conseruet iudicium meum, si concordes eritis. Hæc locutus, singulos benignè consalutauit,

ὡς δὲ τὴν κιλικίαν παραπλέων κατῆρεν εἰς ἐλεοῦσαν, εἱστία μὲν αὐτοὺς φιλοφρόνως ἀρχέλαος, ὑπὲρ τῆς τοῦ γαμβροῦ σωτηρίας εὐχαριστῶν, καὶ ταῖς διαλλαγαῖς ἐφηδόμενος, ὡς ἂν καὶ τάχιον γεγραφὼς τοῖς ἐπὶ ῥώμης φίλοις, συλλαμβάνεσθαι περὶ τὴν δίκην ἀλεξάνδρῳ. προπέμπει δὲ μέχρι ζεφυρίου δῶρα δοὺς, μέχρι τριάκοντα ταλάντων. ὡς δὲ εἰς ἱεροσόλυμα ἡρώδης ἀφικνεῖται, συναγαγὼν τὸν λαὸν, καὶ τοὺς τρεῖς υἱεῖς παραστησάμενος, ἀπελογεῖτο περὶ τῆς ἀποδημίας. καὶ πολλὰ μὲν ηὐχαρίστει τῷ θεῷ, πολλὰ δὲ καίσαρι καταστησαμένῳ τὸν οἶκον αὐτοῦ τεταραγμένον, καὶ μεῖζόν τι τοῖς υἱοῖς παρασχόντι τῆς βασιλείας τὴν ὁμόνοιαν, ἣν αὐτὸς ἔφη συναρμόσω μᾶλλον. ὁ μὲν γὰρ κύριον ἐμὲ τῆς ἀρχῆς καὶ δικαστὴν τοῦ διαδόχου κατέστησεν, ἐγὼ δὲ μετὰ τοῦ συμφέροντος ἐμαυτῷ κἀκεῖνον ἀμείβομαι. τούς δε τοὺς τρεῖς παῖδας ἀποδείκνυμι βασιλέας, καὶ τῆς γνώμης πρῶτον τὸν θεὸν σύμψηφον, ἔπειτα καὶ ὑμᾶς παρακαλῶ γενέσθαι. τῷ μὲν γὰρ, ἡλικία, τοῖς δὲ, εὐγένεια τὴν διαδοχὴν προξενεῖ. τό γε μὲν μέγεθος τῆς βασιλείας ἀρκεῖ καὶ πλείοσιν. οὓς δὲ καῖσαρ μὲν ἥνωσε, καθίστησι δὲ πατὴρ, ὑμεῖς τηρήσατε, μήτε ἀδίκους, μήτε ἀνωμάλους τὰς τιμὰς διδόντες. ἑκάστῳ δὲ κατὰ πρεσβεῖον. οὐ γὰρ τοσοῦτον εὐφρανεῖ τις τὸν παρ' ἡλικίαν θεραπευόμενον, ὅσον ὀδυνήσει τὸν ἀτιμούμενον. οὕς γε μὴν ἑκάστῳ συνεῖναι δεήσει συγγενεῖς καὶ φίλους, ἐγὼ διανεμῶ, καὶ τῆς ὁμονοίας ἐκείνους ἐγγυητὰς καταστήσομαι, σαφῶς ἐπιστάμενος, ὅτι τὰς στάσεις, καὶ τὰς φιλονεικίας, γεννῶσιν αἱ τῶν συνδιατριβόντων κακοήθειαι, κἂν ὦσιν οὗτοι χρηστοὶ, τηροῦσι τὰς στοργάς. ἀξιῶ δὲ οὐ μόνον τούτους, ἀλλὰ καὶ τοὺς ἐν τῇ στρατιᾷ μου ταξιάρχους, ἐν ἐμοὶ μόνῳ τὰς ἐλπίδας ἔχειν ἐπὶ τοῦ παρόντος. οὐ γὰρ βασιλείαν, ἀλλὰ τιμὴν βασιλείας τοῖς υἱοῖς παραδίδωμι. καὶ τῶν μὲν ἡδέων, ὡς ἄρχοντες ἀπολαύσουσι. τὸ βάρος δὲ τῶν πραγμάτων, ἐμόν ἐστι, κἂν μὴ θέλω. σκεπτέσθω δὲ ἕκαστος τήν τε ἡλικίαν, καὶ τὴν ἀγωγὴν τοῦ βίου, καὶ τὴν εὐσέβειαν. οὔτε γὰρ οὕτως εἰμὶ γέρων, ὥς τ' ἂν ἀπελπισθῆναι ταχέως, οὔτε εἰς τρυφὴν ἐκδιαιτώμενος, ἣ καὶ νέους ὑποτέμνεται. τό, τε θεῖον οὕτω τεθεράπευκα μὲν, ὥς τε ἂν ἐπὶ μήκιστον βίου προελθεῖν. ὁ δὲ τοὺς ἐμοὺς παῖδας θεραπεύων ἐπὶ τῇ ἐμῇ καταλύσει, δώσει μοι καὶ περὶ ἐκείνων δίκας. οὐ γὰρ ἐγὼ φθόνῳ τοῖς ἐξ ἐμοῦ γεγεννημένοις, ἀνακόπτω τὴν εἰς αὐτοὺς φιλοτιμίαν, ἐπιστάμενος δὲ τοῖς νέοις γίνεσθαι τὰς σπουδὰς θράσους ἐφόδιον. εἴγε μὴν ἕκαστος ἐνθυμηθείη τῶν προσιόντων, ὅτι χρηστὸς μὲν ὤν, παρ' ἐμοῦ λήψεται τὴν ἀμοιβὴν, στασιάζων δὲ καὶ παρὰ τῶν θεραπευομένων τὸ κακόηθες ἀνόνητον ἕξει, πάντας οἶμαι τὰ ἐμὰ φρονήσειν, τουτέστι τὰ τῶν ἐμῶν υἱῶν. καὶ γὰρ τούτοις συμφέρει κρατεῖν ἐμὲ, κἀμὲ τούτοις ὁμονοεῖν. ὑμεῖς δὲ ὦ παῖδες ἀγαθοὶ, πρῶτον ἐνθυμούμενοι τὴν ἱερὰν φύσιν, ἧς καὶ παρὰ θηρίοις αἱ στοργαὶ μένουσιν, ἔπειτα τὸν ποιησάμενον ἡμῶν τὰς διαλλαγὰς καίσαρα, τρίτον ἐμὲ τὸν ἐν οἷς ἔξεστιν ἐπιτάσσειν παρακαλοῦντα, μείνατε ἀδελφοί. δίδωμι δὲ ὑμῖν ἐσθῆτα τε ἤδη καὶ θεραπείαν βασιλικήν. ἐπεύχομαι δὲ καὶ τῷ θεῷ τηρῆσαι τὴν ἐμὴν κρίσιν, ἂν ὁμονοῆτε. ταῦτα εἰπὼν, καὶ φιλοφρόνως ἕκαστον κατασπασάμενος τῶν υἱῶν, διέλυσε

διέλυσε τὸ πλῆθος, τοὺς μὲν, συνευδοκουμένους τοῖς εἰρημένοις, ὅσοι δ' ἐπεθύμουν μεταβολῆς, μηδὲ ἀκηκοέναι προσποιουμένους. συναπήει δὲ τοῖς ἀδελφοῖς ἡ στάσις, καὶ χείρους τὰς ἐς ἀλλήλους ὑπονοίας ἔχοντες ἀπηλλάγησαν. ἀλέξανδρος μὲν καὶ ἀριστόβουλος ὀδυνώμενοι κεκυρωμένον ἀντιπάτρῳ τὸ πρεσβεῖον. ἀντίπατρος δὲ καὶ τοῦ δευτερεύειν νεμεσῶν τοῖς ἀδελφοῖς. ἀλλ' ὁ μὲν, ποικιλώτατος ὢν τὸ ἦθος, ἐχεμυθεῖν τε ᾔδει, καὶ πολλῇ τῇ πανουργίᾳ χρώμενος, τὸ πρὸς αὐτοὺς ἐκάλυπτε μῖσος. τοῖς δὲ, δι' εὐγένειαν πᾶν τὸ νοηθὲν ἦν ἐπὶ γλώσσης, καὶ παροξύνοντες μὲν, ἐνέκειντο πολλοὶ, πλείους δὲ τῶν φίλων παρεδύοντο κατάσκοποι. πᾶν δὲ τὸ παρ' ἀλεξάνδρῳ λαληθὲν, εὐθέως ἦν παρ' ἀντιπάτρῳ, καὶ μετὰ προσθήκης μετέβαινεν ἀπὸ ἀντιπάτρου πρὸς ἡρώδην. οὔτε δ' ἁπλῶς φθεγξάμενος ὁ νεανίας, ἀνυπεύθυνος ἦν, ἀλλ' εἰς διαβολὴν τὸ ῥηθὲν ἐστρέφετο, καὶ μετρίως παρρησιασαμένου μέγιστα τοῖς ἐλαχίστοις προσεπλάττετο. καθίει δὲ ἀντίπατρος ἀεὶ τοὺς ἐρεθίζοντας, ὅπως αὐτῷ τὸ ψεῦδος ἔχοι τὰς ἀφορμὰς ἀληθεῖς, κἂν τῶν φημιζομένων ἕν τι διελεγχθῇ, ἅπασι πίστιν ἐπετίθει. καὶ τῶν αὐτοῦ μὲν φίλων ἢ φύσει στεγανώτατος ἦν ἕκαστος, ἢ κατεσκεύαζε δωρεαῖς, ὡς μηδὲν ἐκφέρεσθαι τῶν ἀπορρήτων, καὶ τὸν ἀντιπάτρου βίον, οὐκ ἂν ἁμάρτοι τις εἰπὼν κακίας μυστήριον. τοὺς γὰρ ἀλεξάνδρῳ συνόντας χρήμασι διαφθείρων, ἢ κολακείαις ὑπιὼν, αἷς πάντα κατειργάσατο, πεποιήκει προδότας, καὶ τῶν πραττομένων ἢ λαλουμένων φῶρας. πάντα δὲ περιεσκεμμένως δραματουργῶν, τὰς πρὸς ἡρώδην ὁδοὺς ταῖς διαβολαῖς ἐποιεῖτο τεχνικωτάτας. αὐτὸς μὲν ἀδελφοῦ προσωπεῖον ἐπικείμενος, καθιεὶς δὲ μηνυτὰς ἑτέρους. κἄπειτα ὁπόταν ἀπαγγελθείη τι κατ' ἀλεξάνδρου, παρελθὼν ὑπεκρίνετο, καὶ διασύρειν τὸ ῥηθὲν ἀρξάμενος, ἔπειτα κατεσκεύαζεν ἠρέμα, καὶ πρὸς ἀγανάκτησιν ἐξῆγε τὸν βασιλέα. πάντα δ' εἰς ἐπιβουλὴν ἀνήγετο, καὶ τὸ δοκεῖν τῇ σφαγῇ τοῦ πατρὸς ἐφεδρεύειν ἀλέξανδρον. οὐδὲν γὰρ οὕτω πίστιν ἐχορήγει ταῖς διαβολαῖς, ὡς ἀπολογούμενος ἀντίπατρος ὑπὲρ αὐτοῦ. τούτοις ἡρώδης ἐξαγριούμενος, ὅσον ὑφῄρει καθ' ἡμέραν τῆς πρὸς τὰ μειράκια στοργῆς, τοσοῦτον ἀντιπάτρῳ προσετίθει. συναπέκλιναν δὲ καὶ τῶν κατὰ τὸ βασίλειον, οἱ μὲν ἑκόντες, οἱ δὲ ἐξ ἐπιτάγματος, ὥσπερ πτολεμαῖος ὁ τιμιώτατος τῶν φίλων, οἵ τε ἀδελφοὶ τοῦ βασιλέως, καὶ πᾶσα ἡ γενεά. πάντα γὰρ ἀντίπατρος ἦν. καὶ τὸ πικρότατον ἀλεξάνδρῳ, πάντα ἦν ἡ ἀντιπάτρου μήτηρ, σύμβουλος κατ' αὐτῶν, μητρυιᾶς χαλεπωτέρα, καὶ πλεῖόν τι προγόνων μισοῦσα τοὺς ἐκ βασιλίδος. πάντες μὲν οὖν ἐπὶ ταῖς ἐλπίσιν, ἐθεράπευον ἀντίπατρον ἤδη. συναφίστα δ' ἕκαστον, τὰ βασιλέως προστάγματα, παραγγείλαντος τοῖς τιμιωτάτοις, μήτε προσιέναι, μήτε προσέχειν τοῖς περὶ ἀλέξανδρον. φοβερὸς δ' ἦν οὐ μόνον τοῖς ἐκ τῆς βασιλείας, ἀλλὰ καὶ τοῖς ἔξωθεν φίλοις. οὐδενὶ γὰρ βασιλέων τοσαύτην καῖσαρ ἔδωκε τιμὴν, ὥστε τὸν ἀπ' αὐτοῦ φεύγοντα, καὶ μὴ προσηκούσης πόλεως ἐξαγαγεῖν. τὰ δὲ μειράκια, τὰς μὲν διαβολὰς ἠγνόει, παρὰ ᾗ

populúmq; dimisit: alios conuenientia dictis eius optantes: qui verò mutationis erant cupidi, ne audisse quidem se quicquam simulantes. Fratres autem dissensio non reliquit, sed peiora suspicantes alius de alio digressi sunt. Namque Alexander & Aristobulus ægrè ferebant confirmatum esse Antipatro meritum, Antipater autem succensebat vel secundo loco fratres haberi. sed tamen ille pro varietate morum, & reticere secreta nouerat, & quanto sibi essent odio multa fraude celabat. His autem pro nobilitate generis, in lingua erat quicquid venisset in mentem. Et multi quidem his instigandis operam dabant, plures autem amicorum sese explorandi causa insinuabant. Itaque omne quod dictum esset apud Alexandrum, statim apud Antipatrum erat, & ab Antipatro ad Herodem cum adiectione deferebatur. Nec vel simpliciter aliquid prolocutus, adulescens innoxius habebatur, sed cuncta eius verba in crimina vertebantur: maximáque minimis affingebantur, sicubi liberior paulò fuisset. Semper autem qui eum irritarent submittebat Antipater vt mendacia sua veras occasiones haberent: multísque falsò vulgatis, vnum quid comprobatum fidem omnibus faceret. Sed huius quidam amicorum quisque aut natura taciturnus erat, aut muneribus parabatur, ne quid occultum exprometet: nec errasset aliquis, si Antipatri vitam malitiæ dixisset arcanum. Alexandri verò familiares, aut pecunia corruptos, aut impulsos blanditiis, quibus expugnauit omnia, fures ac proditores eorum quæ contra se dicerentur siue agerentur, effecerat. Cùm autem cautè vniuersa committeret, astutis etiam criminationibus aditus ad Herodem moliebatur: fratrísque personam gerens aliis delatoribus subornatis vtebatur. Si quid in Alexandrum nunciassent fauore simulato, id quod primò reprehendisset, mox otiosè astruendo, regis iracundiam prouocabat omniáque ad insidias referebat: & vt necem patris Alexander optare videretur. nihil enim maiorem fidem calumniis suggerebat, quàm si eum purgaret Antipater. His accensus Herodes, quantum in dies singulos de affectu adulescentium detrahebat, tantum adiiciebat Antipatro. In eandem verò partem inclinati sunt etiam qui regno parebant: hi volentes alij pro imperio, sicut Ptolemæus amicorum clarissimus, regísque fratres, ac tota progenies. omnia namque in Antipatro sita erant: & quod Alexandro fuit acerbissimum, cuncta in eorum perniciem, matris Antipatri consilio gerebantur. Nouerca enim sæuior erat, multóque plusquam priuignos oderat, quos regina mater ediderat. Sed quanquam omnes, vt Antipatro magis obsequerentur, spes inducebat: non minus tamen præcepta regis quemque ab adulescentibus separabant: qui carissimis edixerat, ne quis ad Aristobulum vel eius fratrem accederet, aut se ad eos applicaret. non solùm autem regalibus erat formidini, verumetiam externis amicis. Nulli enim regum tantum potestatis Cæsar dederat, vt fugitiuos suos quamuis ex ciuitatibus non subiectis ei liceret educere. Adulescentes autem delata in se facinora nesciebant, hísque

propterea capiebantur incautiùs. Nullus enim palàm incuſabatur à patre: ſed affectu refrigeſcente paulatim intelligentes, aduerſus dolorem aſperiùs excitabantur. Eodem autem modo etiam Pheroram patruum, & Salomen amitam, contra illos commouit Antipater, aſſiduè velut cum vxore ſermocinando quibus in eos inſtigaretur. Huius autem inimicitias augebat Alexandri quoque vxor Glaphyra, multa de ſua nobilitate commemorans, cunctarúmque ſe quæ in regno viuerent dominam eſſe dictitans: paternum enim genus à Temeno, maternum autem à Dario Hyſtaſpis filio ducere, multúmque ignobilitatem deſpiciens ſororis & vxorum Herodis: quarum quæque propter formam, non propter nobilitatem eſſet electa. Namque multas ei fuiſſe diximus vxores: quòd liceret Iudæis more patrio plures habere, quódque rex pluribus oblectaretur. Omnibus igitur propter ſuperbiam & contumelias Glaphyræ inuiſus erat Alexander. Salomen autem Ariſtobulus, & ſi ſocrus eius erat, ipſe inimicam ſibi reddidit, & ante quidem propter maledicta Glaphyræ ſæuientem: frequenter enim humilitatem generis obiiciebat vxori: quódque ipſe priuatam, reginam vero frater ſuus duxiſſet Alexander. Hoc Salomes filia cum fletu matri nunciauit. Addebat autem, quòd aliorum quoque fratrum matres idem Alexander & Ariſtobulus, ſi regnum obtinuiſſent, textrices cum ancillis facere minitarentur, ipſos quoque vicorum ſcribas, ſcilicet irridentes, quòd literarum ſtudiis operam darent. His commota Salome, quòd iracundiam cohibere non poſſet, Herodi cuncta indicauit. Satis autem idonea videbatur contra generum dicens. Et præter hæc alia quædam criminatio diuulgata eſt, quæ ſuccendit animum regis. Audiuit enim Alexandrum & Ariſtobulum crebrò matrem implorare, caſúmque eius cum gemitu atque imprecationibus conqueri: ac ſæpe illo quædam ex Mariamnes veſtimentis poſterioribus diuidente coniugibus, minitari ſolitos eſſe, quod citò pro regalibus deliciis nigris veſtibus induerentur. His de cauſis Herodes licèt conſtantem animum adoleſcentium formidaret, tamen ne ſpem correptionis abſcinderet, ad ſe eos vocauit: Romam enim migraturus erat: & quaſi rex pauca interminatus, pluribus quaſi pater monuit: rogauítque vt fratres diligerent, promiſſa priorum peccatorum venia, ſi poſt hæc meliores fierent. Illi autem criminationum inuidiam deprecando, fictas eas eſſe dicebant, purgationiſque ſuæ fidem rebus ipſis poſſe conſtare: verùm ipſum quoque debere, omiſſa facilitate credendi, aditum maledictis obſtruere. nunquam enim calumniatores defore, dum cui perſuadeatur extabit. Cùm his cum maturè placauiſſent, vt patrem, præſenti metu reiecto, de futuris mœrere cœperunt. Etenim cognouêre Salomen ſibi eſſe infenſam, & patruum Pheroram: vterque autem ſæui & graues erant: ſed amplius Pheroras, qui totius quidem regni præter diadema ſocius eſſet: proprios autem reditus haberet centum talentorum, totiúſque trans Iordanem terræ fructus ipſe caperet, à fratre ſibi

Ant. li. 16. cap. 7.

μᾶλλον ἀφυλάκτως ἐνέπιπτον αὐτῷ. οὐδενὶ γὰρ ὁ πατὴρ φανερῶς ἀπεμέμφετο. συνίεσαν δὲ κατὰ μικρὸν ἐκ τοῦ ψύγματος, καὶ πρὸς τὸ λυποῦν μᾶλλον ἐξετραχύνετο. διέθηκε δὲ πρὸς αὐτὰ καὶ τὸν θεῖον Φερώραν Ἀντίπατρος ἐχθρῶς, καὶ τὴν τηθίδα Σαλώμην, ὡς ἂν γαμετῇ οὖσαν, καθομιλῶν ἀεὶ καὶ παροξύνων. συνήργει δὲ καὶ πρὸς τὴν ταύτης ἀπέχθειαν ἡ Ἀλεξάνδρου γυνὴ Γλαφύρα, γενεαλογοῦσα τὴν αὐτῆς εὐγένειαν, καὶ ὡς πασῶν τῶν κατὰ τὸ βασίλειον εἴη δεσπότις, κατὰ πατέρα μὲν ἀπὸ Τημένου, κατὰ μητέρα δὲ ἀπὸ Δαρείου τοῦ Ὑστάσπεως οὖσα. πολλὰ δὲ ὠνείδιζεν εἰς δυσγένειαν, τήν τε ἀδελφὴν τοῦ Ἡρώδου, καὶ τὰς γυναῖκας, ὧν ἑκάστη δι' εὐμορφίαν, οὐκ ἀπὸ γένους ἡρέθη. πολλαὶ δὲ ἦσαν, ὡς ἂν ἐφιεμένου τε πατρίως Ἰουδαίοις γαμεῖν πλείους, καὶ τοῦ βασιλέως ἡδομένου πλείοσιν, αἳ πᾶσαι διὰ τὸ μεγάλαυχον τῆς Γλαφύρας, καὶ τὰς λοιδορίας, ἐμίσουν Ἀλέξανδρον. τὴν δὲ δὴ Σαλώμην, καίτοι πενθερὰν οὖσαν, αὐτὸς Ἀριστόβουλος ἑαυτῷ διεστασίασεν, ὠργισμένην, καὶ πρότερον ἐπὶ ταῖς ἐκ Γλαφύρας βλασφημίαις. ὠνείδιζε γὰρ τῇ γυναικὶ συνεχῶς τὴν ταπεινότητα, καὶ ὡς αὐτὸς μὲν ἰδιῶτιν, ὁ δὲ ἀδελφὸς αὐτοῦ Ἀλέξανδρος γήμαι βασιλίδα. τοῦτο κλαίουσα τῇ Σαλώμῃ διήγγελλεν ἡ θυγάτηρ. προσετίθει δὲ ὅτι καὶ τῶν ἄλλων ἀδελφῶν, τὰς μὲν μητέρας ἀπειλοῖεν οἱ περὶ Ἀλέξανδρον, ἐπειδὰν παραλάβωσι τὴν βασιλείαν, ἱστουργοὺς ἅμα ταῖς δούλαις ποιήσειν. αὐτοὺς δὲ κωμῶν γραμματεῖς, ἐπισκώπτοντες, ὡς πεπαιδευμένους ἐπιμελῶς. πρὸς ἃ τὴν ὀργὴν οὐ κατέχουσα Σαλώμη πάντα διήγγελλεν Ἡρώδῃ. σφόδρα δ' ἦν ἀξιόπιστος κατὰ γαμβροῦ λέγουσα. καί τις ἑτέρα διαβολὴ συνέδραμεν, ἡ τὸν θυμὸν ὑπεκκαύσασα τοῦ βασιλέως. ἤκουσε γὰρ αὐτοὺς συνεχῶς ἀνακαλεῖσθαι μὲν τὴν μητέρα, καὶ κατοιμώζειν δὲ ἐπαρωμένους αὐτῷ. πολλάκις δὲ αὐτοῦ διαδιδόντος τῶν Μαριάμμης ἐσθήτων τινὰ ταῖς μεταγενεστέραις γυναιξὶν ἀπειλεῖν, ὡς ἀντὶ τῶν βασιλικῶν ἐν τάχει περιθήσουσιν ἑαυταῖς, ἐκ τριχῶν πεποιημένας. διὰ ταῦτα, καίτοι τὸ φρόνημα τῶν νεανίσκων ὑποδείσας, ὅμως οὐκ ἀπέκοπτε τὴν ἐλπίδα τῆς διορθώσεως. ἀλλὰ προσκαλεσάμενος αὐτούς, καὶ γὰρ εἰς Ῥώμην ἐκπλεύσεσθαι ἔμελλε, βραχέα μὲν ἠπείλησεν ὡς βασιλεύς, τὰ πολλὰ δὲ ἐνουθέτησεν ὡς πατήρ, καὶ φιλεῖν τοὺς ἀδελφοὺς παρεκάλει, διδοὺς τῶν προημαρτημένων ἄφεσιν, εἰ πρὸς τὸ μέλλον ἀμείνους γένοιντο. οἱ δέ, τὰς μὲν διαβολὰς ἀπεσκευάζοντο, ψευδεῖς εἶναι λέγοντες, πιστώσασθαι δὲ τὴν ἀπολογίαν τοῖς ἔργοις ἔφασκον. δεῖν μέντοι κἀκεῖνον ἀποφράττειν τὰς λογοποιΐας, τῷ μὴ πιστεύειν ῥᾳδίως. οὐ γὰρ ἐπιλείψειν τοὺς καταψευσομένους αὐτῶν, ἕως ἂν ὁ πειθόμενος ᾖ. τούτοις ὡς πατέρα πείσαντες ταχέως, τὸν μὲν ἐν χερσὶ φόβον διεκρούσαντο, τὴν δὲ εἰς τὰ μέλλοντα λύπην προσέλαβον. ἔγνωσαν γὰρ τήν τε Σαλώμην ἐχθρὰν, καὶ τὸν θεῖον Φερώραν. ἦσαν δὲ βαρεῖς μὲν ἀμφότεροι καὶ χαλεποί, Φερώρας δὲ μείζων, ὃς πάσης μὲν ἐκοινώνει τῆς βασιλείας πλὴν διαδήματος, προσόδου δὲ ἰδίας ἑκατὸν εἶχε τάλαντα. τὴν δὲ πέραν Ἰορδάνου πᾶσαν ἐκαρποῦτο χώραν, λαβὼν παρὰ τἀδελφοῦ δῶρον.

δῶρον. ὃς αὐτὸν ἐποίησε καὶ τετράρχην, αἰτησάμενος παρὰ Καίσαρος, βασιλικῶν τε γάμων ἠξίωσε συνοικίσας ἀδελφὴν τῆς ἰδίας γυναικός, μετὰ δὲ τὴν ἐκείνης τελευτὴν, καθωσίωσε τὴν πρεσβυτάτην τῶν αὐτοῦ θυγατέρων, ἐπὶ προικὶ τριακοσίοις ταλάντοις. ἀλλ' ἀπέδρα Φερώρας τὸν βασιλικὸν γάμον πρὸς ἔρωτα δούλης. ἐφ' ᾧ χαλεπήνας Ἡρώδης, τὴν μὲν θυγατέρα τῷ πρὸς Πάρθων ὕστερον ἀναιρεθέντι συνέζευξεν ἀδελφιδῷ. Φερώρᾳ δὲ μετ' οὐ πολὺ τὴν ὀργὴν ἀνίει, διδοὺς συγγνώμην τῇ νόσῳ. διεβάλλετο δὲ καὶ πάλαι μὲν, ἔτι ζώσης τῆς βασιλίδος, ἐπιβουλεύειν αὐτῷ φαρμάκοις. τότε δὲ πλεῖστοι μηνυταὶ προσῄεσαν, ὡς καίπερ φιλαδελφότατον ὄντα Ἡρώδην, εἰς πίστιν ὑπαχθῆναι τῶν λεγομένων καὶ δέος. πολλοὺς δὲ τῶν ἐν ὑπονοίᾳ βασανίσας, τελευταῖον ἦλθεν ἐπὶ τοὺς Φερώρα φίλους, ὧν ἐπιβουλὴν μὲν, ἄντικρυς ὡμολόγησεν οὐδεὶς, ὅτι δὲ τὴν ἐρωμένην ἁρπασάμενος εἰς Πάρθους ἀποδρᾶναι παρεσκευάζετο. συμμέτοχος δὲ τοῦ σκέμματος αὐτῷ καὶ τῆς φυγῆς, Κοστόβαρος ὁ Σαλώμης ἀνὴρ, ᾧ συνῴκισεν αὐτὴν ὁ βασιλεὺς ἐπὶ μοιχείᾳ τοῦ προτέρου διαφθαρέντος. ἦν δὲ ἐλευθέρα διαβολῆς, οὐδὲ Σαλώμη. καὶ γὰρ αὐτῆς Φερώρας ὁ ἀδελφὸς κατηγόρει, συνθήκας περὶ γάμου ποιησαμένης πρὸς Συλλαῖον, τὸν Ὀβάδα τοῦ Ἀράβων βασιλέως ἐπίτροπον, ὃς ἦν ἐχθρότατος Ἡρώδῃ. διελεγχθεῖσα δὲ καὶ τοῦτο, καὶ πάντα ὅσα Φερώρας ἐνεκάλει, συγγινώσκεται, καὶ αὐτὸν δὲ Φερώραν ὁ βασιλεὺς ἀπέλυσε τῶν ἐγκλημάτων. μετέβαινε δὲ ἐπ' Ἀλέξανδρον ὁ χειμὼν τῆς οἰκίας, καὶ περὶ τὴν ἐκείνου κεφαλὴν ὅλος ἀπηρείσατο. τρεῖς ἦσαν εὐνοῦχοι τῷ βασιλεῖ τιμιώτατοι, καὶ δῆλον ἐξ ὧν ἐλειτούργουν, τῷ μὲν γὰρ οἰνοχοεῖν προσετέτακτο, τῷ δὲ δεῖπνον προσφέρειν, ὁ δὲ αὐτὸν κατεκοίμιζέ τε καὶ συγκατεκλίνετο. τούτους εἰς τὰ παιδικὰ δώροις μεγάλοις ὑπηγάγετο ὁ Ἀλέξανδρος. μηνυθὲν δὲ τῷ βασιλεῖ, διηλέγχοντο βασάνοις. καὶ τὴν μὲν συνουσίαν εὐθέως ὡμολόγουν. ἐξέφερον δὲ καὶ τὰς εἰς αὐτὴν ὑποσχέσεις, ὃν τρόπον ἀπατηθεῖεν ὑπ' Ἀλεξάνδρου, λέγοντες ὡς οὐκ ἐν Ἡρώδῃ δέοι τὰς ἐλπίδας ἔχειν, ἀναιδεῖ γέροντι καὶ βαπτομένῳ τὰς κόμας, εἰ μὴ διὰ τοῦτο αὐτὸν οἴονται νέον, αὐτῷ δὲ προσέχειν, ὃς καὶ παρ' ἄκοντος διαδέξεται τὴν βασιλείαν, οὐκ εἰς μακρὰν τοὺς μὲν ἐχθροὺς ἀμυνεῖται, τοὺς φίλους δ' εὐδαίμονας ποιήσει καὶ μακαρίους, πρὸ πάντων δ' αὐτούς. εἶναι δὲ καὶ θεραπείαν τῶν δυνατῶν περὶ τὸν Ἀλέξανδρον λαθραίαν, τούς τε ἡγεμόνας τοῦ στρατιωτικοῦ, καὶ τοὺς ταξιάρχους, κρύφα πρὸς αὐτὸν συνιέναι. ταῦτα τὸν Ἡρώδην οὕτως ἐξεφόβησεν, ὡς μηδὲ παραχρῆμα τολμῆσαι τὰς μηνύσεις ἐκφέρειν, ἀλλὰ κατασκόπους ὑποπέμπων νύκτωρ καὶ μεθ' ἡμέραν, ἕκαστα τῶν πραττομένων ἢ λεγομένων διηρεύνα, καὶ τοὺς ἐν ταῖς ὑποψίαις, εὐθέως ἀνῄρει. δεινῆς δὲ ἀνομίας ἐπλήσθη τὸ βασίλειον. κατὰ γὰρ ἔχθραν ἢ μῖσος ἴδιον, ἕκαστος ἔπλασσε τὰς διαβολὰς, καὶ πολλοὶ πρὸς τοὺς διαφόρους, φονῶντι τῷ βασιλικῷ θυμῷ κατεχρῶντο. καὶ τὸ μὲν ψεῦδος εἶχε παραχρῆμα πίστιν, αἱ κολάσεις δὲ τῶν διαβολῶν ἦσαν ὠκύτεραι. κατηγόρειτο γοῦν τις, ἄρτι κατηγορήσας, καὶ τῷ πρὸς αὐτοῦ διελεγχθέντι, συναπήγετο.

dono datæ. Quinetiam tetrarcham cum fieri beneficio Cæsaris, idem Herodes impetrauerat: regalíque coniugio dignatus erat, sorore vxoris suæ nuptum ei collocata. Et post illius mortem, desponderat ei filiarum suarum maximam, trecentis talentis in dotem datis. Sed regale matrimonium Pheroras, ancillæ amore captus, refugerat. quamobrem iratus Herodes, filiam nuptum dedit fratris filio, qui pòst à Parthis occisus est. Mox autem morbo Pheroræ venia data, indignationem remisit. De hoc autem erat vetus opinio, quòd etiam viua regina Herodem opprimere voluisset veneno. Sed tunc plurimis delatoribus aditus erat, vt quamuis amantissimus fratris esset Herodes, fide tamen eorum quæ audisset, adduceretur ad metum. Itaque de multis qui suspecti erant habita quæstione, postremò ad Pheroræ amicos venit; quorum nulla quidem fuit de maleficiis aperta confessio, quòd cum amica subrepta in Parthos cogitasset effugere prodiderunt: huius autem consilij & fugæ conscium esse Aristobulum Salomes maritum: cui rex eam tradidit, postquam superior adulterij causa peremptus est. sed nec Salome criminatione libera manserat. nam & hanc frater Pheroras accusabat, quòd cum Syllæo procuratore Obodæ regis Arabum de nuptiis constituisset, quem inimicissimum Herodes habebat. Conuicta autem & in hoc, & in omnibus quæ Pheroras detulerat, indulgentiam meruit: itaque ipsum etiam rex Pheroram criminibus soluit. Domus verò tempestas in Alexandrum transiit, totáque capiti eius incubuit. Tres erant eunuchi regis carissimi, & ex genere famulatus neminem id latebat. Vni enim vinum ministrare fuit cura, alteri cœnam apponere, tertius autem dormitum eum collocabat, & cum ipso cubabat: hos muneribus maximis Alexander cupiditati suæ subiecerat. Itaque postquam regi hæc sunt indicata, vi tormentorum coacti, & stuprum statim confessi sunt, & quibus essent ad hoc promissis inducti aperuerunt: quomodo eos fefellisset Alexander, nullam in Herode spem habendam esse, improbo sene, commemorans, & qui capillos inficeret, vt ob hoc etiam eum iuuenem putarent: verùm se coli oportere, qui etiam inuito eo regni esset futurus successor: neque multo pòst ab inimicis pœnas repeteret, fortunatósque amicos suos beatósque faceret, ac præ cæteris ipsos. Quin & obsequia potentium Alexandro clàm parere, militúmque rectores, itémque ordinum principes occultè ad eum conuenire dixerunt. Hæc Herodes adeò pertimuit, vt non auderet statim delata proferre, sed exploratores die noctúque submittens, dicta factáque singula scrutabatur: & de quibus suspicio esset, ilicò trucidabat. Itaque regnum eius acerbissima iniquitate repletum est. Nam pro suo quisque odio vel inimicitiis, calumnias finxêre, multíque regis iracundia cædis cupida contra aduersarios abutebantur. & mendacio quidem confestim fides habebatur: erant autem criminationibus ipsis velociora supplicia. Denique accusabatur qui modò accusauerat: & cum eo qui ante se conuictus esset: ducebatur ad pœnam.

De vita namque periculum regis quæstiones breuiore compendio terminabat. Ad hoc autem sæuitiæ processerat, vt nec eorum quenquam humanis aspiceret, qui accusati non essent: verumetiam amicis immitissimum sese præberet: Itaque multis etiam regno interdixit, & in quos potestatem non habebat, in eos dictis asperis sæuiebat. Accessit malis Antipater, collectaque propinquorum caterua, nullum criminationis genus omisit. Tantus autem ineptia sua regem commentisque delatorum timor inuasit vt stricto instare sibi gladio videretur videre Alexandrum: Denique subitò & ipsum correptum in vincula coniecit, & in amicorum eius tormenta perrexit, multi autem tacitè moriebantur, nulla voce supra conscientiam prodita. alij verò quibus mendacium impatientia doloris extorsit, de patris cum insidiis cum fratre Aristobulo cogitasse dixerunt: tempúsque obseruare, vt illo dum venaretur occiso, Romam profugerent. His tametsi verisimilia non erant, sed necessitate cruciatus ex tempore fingebantur, libenti tamen animo rex credebat, pro consolatione accipiens vincti filij, ne id fecisse videretur iniustè. Verum Alexander quoniam suspicionem patris nullo modo aboleri posse arbitrabatur, vltro malis assentiendum putauit: ac digestis aduersus inimicos quatuor libris, fatetur insidias, earúmque se plurimos socios habere perscribit; ante omnes autem Pheroram & Salomen. Hanc enim etiam stupro sibi quondam esse mixtam, cùm vim noctu adhibuisset inuito. Iámque libri in manibus erant Herodis: multa & grauia de optimatibus clamantes, cùm maturè in Iudæam Archelaus venit, metuens genero simul ac filiæ, quibus etiam prouidentissimo consilio succurrit, regísque minas arte dissoluit. Mox enim cum eo congressus, vbinam est, clamat, exitiabilis gener meus? aut vbi parricidale caput aspiciam, quod meis manibus ipse lacerabo: addámque filiam meam bono merito nouo? nam etsi consilij particeps non est, quia tamen eiusmodi viri coniunx fuit, inquinata est. Miror autem patientiam tuam, cuius periculum agitur, quòd adhuc viuit Alexander: ego namq; ita ex Cappadocia properãs veniebam, vt qui & illum reperirem olim dedisse supplicium, & de filia quæstionem tecum haberem, quã tui tuæq; dignitatis contemplatione illi desponderam. At nunc de vtroque nobis consulendum est: licèt nimium pater sis, & ad puniendum insidiatorem filium minus fortis. Permutemus dexteras, & alter alterius iracundiæ vicarij succedamus. Talibus increpans, quamuis pertinacem fallit Herodem. Itaque ille quos Alexãder præscripserat libros, legendos ei præbet, singulísque capitulis insistens, cum eo deliberabat. Vnde occasionem sui consilij nactus Archelaus, paulatim causam in eos, qui scriptis continebantur, & in Pheroram contulit. Cùm autem sibi credere regẽ videret, considerãdum est, inquit ne fortè adolescẽtulus tot nequissimorum insidiis circumueniatur, non tu ab adulescentulo. nec enim apparere causam, cur in tantum ruerit scelus, qui & nunc regno potiretur, & successionem regni speraret, nisi aliquos haberet huius persuasionis

Ant. li. 16. cap. 8. 9.

A τὰς γὰρ ἐξετάσεις τοῦ βασιλέως, ὁ περὶ τῆς ψυχῆς κίνδυνος ὑπετέμνετο. προύβη δὲ εἰς τοσοῦτον πικρίας, ὡς μηδὲ τῶν ἀκαταιτιάτων τινὶ προσβλέπειν ἥμερος, εἶναι δὲ καὶ τοῖς φίλοις ἀπηνέστατος. πολλοῖς γοῦν αὐτῶν ἀπεῖπε τὸ βασίλειον, καὶ πρὸς οὓς οὐκ εἶχε χειρὸς ἐξουσίαν, τῷ λόγῳ χαλεπὸς ἦν. ἐπανέβη δὲ ἀντίπατρος ἐν ταῖς συμφοραῖς ἀλεξάνδρῳ, καὶ στῖφος ποιήσας τῶν συγγενῶν οὐκ ἔστιν ἥν τινα διαβολὴν παρέλιπε. προήχθη γέ τοι πρὸς B τοσοῦτον δέους ὁ βασιλεὺς ὑπὸ τῆς τερατείας αὐτοῦ, καὶ τῶν συνταγμάτων, ὥστε ἐφεστάναι δοκεῖν αὐτῷ τὸν ἀλέξανδρον ξιφήρη. συλλαβὼν γοῦν αὐτὸν ἔδησεν ἐξαπίνης, καὶ πρὸς βάσανον ἐχώρει τῶν φίλων αὐτοῦ. σιγῶντες δὲ ἀπέθνησκον οἱ πολλοί, καὶ μηδὲν ὑπὲρ τὸ συνειδὸς εἰπόντες. οἱ δὲ ὑπὸ τῶν ἀλγηδόνων ψεύσασθαι βιασθέντες ἔλεγον, ὡς ἐπιβουλεύοι τε αὐτῷ μετὰ ἀριστοβούλου τοῦ ἀδελφοῦ, καὶ παραφυλάττοι κυνηγοῦντα κτείνας εἰς ῥώμην ἀποδρᾶναι. τούτοις καίπερ οὐ πιθανοῖς οὖσιν, C ἀλλ' ὑπὸ τῆς ἀνάγκης ἐσχεδιασμένοις, ὁ βασιλεὺς ἐπίστευεν ἡδέως, παραμυθίαν λαμβάνων τοῦ δῆσαι τὸν υἱὸν τὸ μὴ δοκεῖν ἀδίκως. ὁ δὲ ἀλέξανδρος, ἐπεὶ τὸν πατέρα μεταπείθειν ἀμήχανον ἑώρα, τοῖς δεινοῖς ὁμόσε χωρεῖν διέγνω. καὶ τέσσαρας κατὰ τῶν ἐχθρῶν βίβλους συνταξάμενος, προσωμολόγει μὲν τὴν ἐπιβουλήν, κοινωνοὺς δὲ ἀπεδείκνυε τοὺς πλείστους αὐτῶν, πρὸ δὲ πάντων φερώραν, καὶ σαλώμην. ταύτην γὰρ δὴ καὶ μιγῆναί ποτε αὐτῷ μὴ θέλοντι, νύκτωρ εἰσβιασαμένην. D αἵ τε οὖν βίβλοι παρῆσαν εἰς χεῖρας ἡρώδῃ, πολλὰ καὶ δεινὰ κατὰ τῶν δυνατῶν βοῶσαι, καὶ διὰ τάχους εἰς ἰουδαίαν ἀρχέλαος ἀφικνεῖται περὶ τῷ γαμβρῷ καὶ τῇ θυγατρὶ δείσας. γίνεται δὲ βοηθὸς αὐτοῖς μάλα προμηθής, καὶ τέχνῃ τὴν τοῦ βασιλέως ἀπειλὴν διεκρούσατο. συμβαλὼν γὰρ εὐθέως αὐτῷ, ποῦ ποτέ ἐστιν ὁ ἀλιτήριός μου γαμβρὸς ἐβόα. ποῦ δὲ τὴν πατροκτόνον ὄψομαι κεφαλήν, ἣν ταῖς ἐμαυτοῦ χερσὶ διασπαράξω. E προσθήσω δὲ καὶ τὴν θυγατέρα μου τῷ καλῷ νυμφίῳ. καὶ γὰρ εἰ μὴ κεκοινώνηκε τοῦ σκέμματος, ὅτι τοιούτου γέγονε γυνή, μεμίανται. θαυμάζω δὲ καὶ σὲ τὸν ἐπιβουλευθέντα τῆς ἀνεξικακίας, εἰ ζῇ μέχρι νῦν ἀλέξανδρος. ἐγὼ γὰρ ἠπειγόμην ἀπὸ καππαδοκίας, ὡς τὸν μὲν εὑρήσων πάλαι δεδωκότα δίκας. μετὰ δὲ σοῦ περὶ τῆς θυγατρὸς ἐξετάσων, ἣν κἀκείνῳ, σὲ καὶ τὸ σὸν ἀξίωμα βλέπων ἐνεγγύησα. νῦν δὲ περὶ ἀμφοῖν ἡμῖν F βουλευτέον. κἂν ᾖς λίαν πατὴρ τοῦ κολάζειν υἱὸν ἐπίβουλον ἀτονώτερος, ἀμειψώμεθα τὰς δεξιάς, καὶ γενώμεθα τῆς ἀλλήλων ὀργῆς διάδοχοι. τούτοις περικομπήσας, καίπερ παρατεταγμένον ἡρώδην, ὑπάγεται. δίδωσι γοῦν αὐτῷ τὰς συνταχθείσας ὑπ' ἀλεξάνδρου βίβλους ἀναγνῶναι, καὶ καθ' ἕκαστον ἐφιστὰς κεφάλαιον, συνεσκέπτετο. λαμβάνει δὲ ὁ ἀρχέλαος ἀφορμὴν τοῦ στρατηγήματος, καὶ κατὰ μικρὸν εἰς τοὺς ἐγγεγραμμένους καὶ φερώραν μετῆγε τὴν αἰτίαν. ὡς δὲ ἑώρα πι- G στεύοντα τὸν βασιλέα, σκεπτέον ἔφη μή ποτε τὸ μειράκιον ὑπὸ τοσούτων εἴη πονηρῶν ἐπιβουλευόμενον, οὐχ ὑπὸ τοῦ μειρακίου σύ. καὶ γὰρ οὐδὲ ὁρᾶν αἰτίαν, ἐξ ἧς ἂν εἰς τηλικοῦτον μῖσος προσέπεσεν, ἀπολαῦον μὲν ἤδη βασιλείας, ἐλπίζον δὲ καὶ διαδοχῆς, εἰ μή τινες ἦσαν

αἰα-

ἀναπείθοντες, καὶ τὸ τῆς ἡλικίας εὔκολον ἐπὶ κακοῖς μεταχειριζόμενοι. διὰ γὰρ τῶν τοιούτων ἐξαπατᾶσθαι μὲν, οὐ νέους μόνον, ἀλλὰ καὶ γέροντας, οἴκους δὲ λαμπροτάτους καὶ βασιλείας ὅλας ἀνατρέπεσθαι. συνήνει τοῖς λεγομένοις ἡρώδης. καὶ τὴν μὲν πρὸς ἀλέξανδρον ὀργὴν, ἐπανίει κατ' ὀλίγον. πρὸς δὲ φερώραν παρωξύνετο. τῶν γὰρ τεσσάρων βιβλίων, οὗτος ἦν ὑπόθεσις, ὃς κατιδὼν τότε τοῦ βασιλέως ὀξύρροπον, καὶ τὴν ἀρχελάου φιλίαν παρ' αὐτῷ πάντων κρατοῦσαν, ὡς οὐκ ἐνῆν εὐσχήμων σωτηρία, τὴν δι' ἀναιδείας ἐπορίζετο. καταλείψας γοῦν ἀλέξανδρον, προσέφυγεν ἀρχελάῳ. κἀκεῖνος, οὐχ ὁρᾶν ἔφη πῶς ἂν αὐτὸν ἐξαιτήσαιτο, τοσούτοις ἐνεχόμενον ἐγκλήμασιν, ἐξ ὧν σαφῶς ἀποδείκνυται τοῦ βασιλέως ἐπίβουλος, καὶ τῶν παρόντων τῷ μειρακίῳ κακῶν αἴτιος γεγονὼς, εἰ μὴ βούλεται τὸ πανοῦργον καὶ τὰς ἀρνήσεις ἀφεὶς, προσομολογῆσαι μὲν τὰ κατηγορημένα, συγγνώμην δ' αἰτήσασθαι παρὰ τἀδελφοῦ καὶ φιλοῦντος. εἰς γὰρ τοῦτο, πάντα τρόπον αὐτῷ συνεργήσειν. πείθεται φερώρας, καὶ κατασκευάσας αὑτὸν, ὡς ἂν οἰκτρότατος φανείη, μελαίνῃ τε ἐσθῆτι καὶ δακρύοις, προσπίπτει τοῖς ἡρώδου ποσὶν, ὡς πολλάκις ἐτύγχανε, συγγνώμην αἰτούμενος, καὶ μιαρὸν μὲν ἑαυτὸν ὁμολογῶν, δεδρακέναι γὰρ πάντα ὅσα κατηγόρητο. παρακοπὴν δὲ φρενῶν καὶ μανίαν ὀδυρόμενος, ἧς αἴτιον εἶναι τὸν ἔρωτα τῆς γυναικὸς ἔλεγε. παραστήσας δὲ κατήγορον καὶ μάρτυρα αὑτοῦ φερώραν ἀρχέλαος, οὕτως ἤδη παρῃτεῖτο, καὶ τὴν ἡρώδου κατέστελλεν ὀργὴν, χρώμενος οἰκείοις ὑποδείγμασι. καὶ γὰρ αὐτὸς πολλῷ χαλεπώτερα πάσχων ὑπὸ ἀδελφοῦ τῆς ἀμύνης ἐπίπροσθεν τίθεσθαι τὸ τῆς φύσεως δίκαιον. ἐν γὰρ ταῖς βασιλείαις, ὥσπερ ἐν μεγάλοις σώμασιν, ἀεί τι μέρος φλεγμαίνειν, ὑπὸ τοῦ βάρους, ὅπερ ἀποκόπτειν μὲν οὐ χρῆναι, θεραπεύειν δὲ πρᾳότερον. πολλὰ τοιαῦτα λέγων, ἡρώδην μὲν ἐπὶ φερώραν μειλίσσεται. διέμενε δ' αὐτὸς ἀγανακτῶν πρὸς ἀλέξανδρον, καὶ τὴν θυγατέρα διαζεύξας, ἀπάξειν ἔφασκεν. ἕως περιέστησεν ἡρώδην αὐτὸν παρακαλεῖν ὑπὲρ τοῦ μειρακίου, καὶ πάλιν αὐτῷ μνηστεύεσθαι τὴν θυγατέρα, σφόδρα δ' ἀξιοπίστως ἀρχέλαος ᾧ βούλεται συνοικίζειν αὐτὴν ἐπέτρεπε, πλὴν ἀλεξάνδρου. περὶ πλείστου γὰρ ποιεῖσθαι τηρεῖν πρὸς αὐτὸν τὰ τῆς ἐπιγαμίας δίκαια. φαμένου δὲ τοῦ βασιλέως δῶρον ἕξειν παρ' αὐτοῦ τὸν υἱὸν, εἰ μὴ λύσειε τὸν γάμον, ὄντων μὲν αὐτοῖς ἤδη καὶ τέκνων, στεργομένης δ' οὕτως ὑπὸ τοῦ μειρακίου τῆς γυναικὸς, ἣν παραμένουσαν μὲν ἔσεσθαι δυσώπημα τῶν ἡμαρτημένων. ἀπορραγεῖσαν δὲ, αἰτίαν τῆς εἰς ἅπαντα ἀπογνώσεως. μαλακωτέρας γὰρ γίνεσθαι τὰς τόλμας πάθεσιν οἰκείοις περισπωμένας. κατανεύει μόγις ἀρχέλαος, διαλλάσσεταί τε, καὶ διαλλάσσει τῷ νεανίσκῳ τὸν πατέρα. δεῖν μέντοι πάντως ἔφη πέμπειν αὐτὸν εἰς ῥώμην, καίσαρι διαλεξόμενον. γεγραφέναι γὰρ αὐτὸς ἐκείνῳ περὶ πάντων. τὸ μὲν οὖν ἀρχελάου στρατήγημα, δι' οὗ τὸν γαμβρὸν ἐρρύσατο, πέρας εἶχε. μετὰ δὲ τὰς διαλλαγὰς, ἐν εὐωχίαις καὶ φιλοφρονήσεσι διῆγον. ἀπιόντα δὲ αὐτὸν ἡρώδης δωρεῖται ταλάντων ἑβδομήκοντα δώροις, θρόνῳ τε χρυσῷ διαλίθῳ, καὶ εὐνούχοις καὶ παλλακίδι, ἥτις ἐκαλεῖτο παννυχίς, τῶν τε φίλων ἐτίμησεν ἕκαστον κατ' ἀξίαν.

autores, qui ad deteriorem partem lubricum ætatis impellerent. Ab eiuſmodi namque hominibus non ſolùm adoleſcentulos falli, verumetiam ſenes, domóſque clariſſimas totáque regna ſolere ſubuerti. Conſentiebat dictis Herodes, irámque paulatim remittebat in Alexandro, & in Pheroram excitabatur. namque hic erat librorum quatuor argumentum. qui vbi propenſiorem eſſe regis animum ſenſit, & in omnibus apud eum amicitiam Archelai præualere, quam honeſtè non poſſet, ex impudentia ſalutem quæſiuit. relictóque Alexandro, confugit ad Archelaum. & ille negat ſe videre. quo pacto eximat tot criminibus inuolutum, quibus manifeſtè conuinceretur regem inſidiis voluiſſe decipere, omniúmque malorum præſentium adoleſcenti cauſa fuiſſe: niſi malit omiſſis artibus callidis, & negandi pertinacia, de quibus inſimularetur omnia confiteri, & à fratre, præſertim cui dilectus eſſet, veniam petere. namque adhuc ei modis omnibus ſe quoque opem laturum. Paruit Archelao Pheroras, atráque veſte cum lacrymis, vt quàm miſerabilis appareret, inſtructus, ad pedes Herodis acceſſit: veniámque meruit poſtulans. & ſe quidem ſceleratum eſſe fatebatur: namque omnia quæ ſibi obiicerentur feciſſe, horum autem cauſam eſſe diminutionem mentis atque inſaniam, ex mulieris amore conceptam. Itaque poſtquam ſtetit Pheroras ſuimet ipſe accuſator ac teſtis, tunc eum iam Archelaus excuſando, Herodis iracundiam mitigabat, propriis vſus exemplis: etenim ſe quoque à fratre multò grauiora perpeſſum, naturale ius dicebat antepoſuiſſe vindictæ. Quippe in regnis, velut in magnis corporibus, ſemper aliquam partem pondere ipſo tumeſcere: quam recidi quidem non oportere, leniter verò curari. Multa in hunc modum locutus Archelaus, Herodem quidem Pheroræ placidum reddidit, ipſe autem Alexandro tandiu manebat iratus, filiámque ab eo diſtractam ſecum abducturum ſe aiebat, donec Herodem cõpulit vltro pro adoleſcentulo deprecari, vt iterum ei filiam deſponderet. Satis autem grauatim Archelaus cui vellet eam præter Alexandrum collocari permiſit, maximi enim pendere, quo iura inter ſe affinitatis inuiolata permaneant. Rege autem ſibi filium ab eo donatum affirmante, niſi matrimonium diremiſſet, quòd & liberos iam haberent, vxor quoque ab adoleſcente diligeretur: quæ ſi remaneret, peccatorum foret obliuio: ſi verò diſcederet, cauſa de omnibus deſperandi: molliorem namque fieri audaciam: ſi domeſticis affectionibus diſtrahatur: vix tandem ceſſit, vnáque & ipſe rediit cum adoleſcente in gratiam, & patrem eius reduxit. Procul dubio tamen eum Romam mitti debere ait, cum Cęſare collocuturum: de omnibus enim ſeſe literas ad eum feciſſe. Vafrum igitur Archelai conſilium, quo generum periculo liberauit peractum erat, & redintegrata concordia in epulis & humanitate cõuictus familiariter verſabantur. Abeũtem autẽ muneribus talentorum ſeptuaginta, ſolio quoq; aureo gẽmis ornato, & eunuchis, & concubina donat Herodes, quæ Pãnychis vocabatur: iteq; amicorũ eius quẽq; pro merito

quin & cognati regis omnes, iussu eius Archelao dona splendidissima dederunt: eúmque tam ipse quàm optimates Antiochiam vsque prosecuti sunt. Non multo pòst quidam in Iudæam venit, Archelai consiliis multo potentior: qui non solùm reconciliationem gratiæ Alexandro quæsitam fecit irritam. verumetiam causa fuit, vt periret. Laco erat genere, nomine Eurycles, ad regni desiderium amore pecuniæ corruptus. Iam enim luxum eius regia tolerare non poterat. Is amplissimis donis Herodi oblatis, velut eorum, quæ aucuparetur illecebra, cùm statim multiplicata recepisset, immaculatam liberalitatem nihil esse ducebat, nisi regum sanguine comparasset. Itaque regem adulatione falsísque de ipso laudibus, & sermonis calliditate circumuenit: maturéque perspecto eius ingenio, dictis simul & factis quæ illi placerent, inter primos eius amicos habetur. Nam & rex & omnes eius comites libenter ciuem Spartæ patriæ causa, præcipuo dignum honore ducebant. Ille autem postquam fragilitatem domus animaduertit, fratrúmque inimicitias, & quemadmodum pater in singulos esset animatus, Antipatri quidem hospitio præuentus erat. Simulata verò amicitia fallebat Alexandrum olim se & Archelai socium esse mentitus, quo etiam citius quasi probatus obrepsit. Moxque ab eo fratri quoque Aristobulo commendatus est. Pertentatis autem personis omnibus, aliam alio modo subibat: ac primùm fit Antipatri mercenarius, & Alexandri proditor: illum exprobrando castigans, quòd & quum fratrum sit maximus, spei suæ negligat insidiatores. Alexandrum verò, quòd regina creatus, & regiæ vir coniugis, filium priuatæ mulieris pateretur regno succedere: præsertim quum haberet magnam occasionem Archelaum: quę quidem adulescenti bona fide suadere videbatur, quòd amicitiam simulasset Archelai. Vnde nec Alexander quicquam metuens, & de Antipatro quæ se mouerent apud eum querebatur: & quòd nihil mirum faceret Herodes, si cùm matrem illorum interemit, ipsis quoque regnum eius auferret. quorum causa Eurycles & miserari eos & condolere simulans, etiam Aristobulum ad ea dicenda pellexit: atque ita querelis in patrem vtroque deuincto, referens ad Antipatrum secreta discedit: afficto quoque insidiarum mendacio, quas ei fratres parasse affirmabat, ac penè iam strictis gladiis in eum irruere. Ob hæc autem multa pecunia donatus ab Antipatro, laudator eius erat apud patrem: & ad extremum necis Alexandri & Aristobuli redempta opera, ipse accusatoris partibus fungitur. Cúmque adisset Herodem, vitam ei se rependere pro beneficiis & sibi delatis, & lucem referre dixit pro hospitio: olim Alexandrum exacuisse in eum gladium, & cõfirmasse dexteram: verùm sceleri tanto fuisse impedimento, quòd societatem facinoris assimulasset. Alexandrum enim dicere, non bene se cum Herode actum putare, quòd regnũ obtinuisset alienum, & post matris eorum necem principatum eius dilacerasset, nisi etiam degenerem coaptaret hæredem, auitúmque ipsorũ regnum Antipatro spurio traderet. Proinde semet Hyrcani manes & Mariamnes vltum ire. Nec enim

Ant. li. 16. cap. 11.

A ὁμοίως δέ, καὶ οἱ συγγενεῖς προστάξαντος τοῦ βασιλέως, πάντες ἀρχελάῳ λαμπρὰ δῶρα ἔδοσαν. προεπέμφθη δὲ ὑπό τε ἡρώδου καὶ τῶν δυναστῶν, μέχρις ἀντιοχείας. μετ' οὐ πολὺ δέ, εἰς τὴν ἰουδαίαν παρενέβαλεν ἀνήρ, πολὺ τῶν ἀρχελάου στρατηγημάτων δυνατώτερος, ὃς οὐ μόνον τὰς ὑπ' ἐκείνου πολιτευθείσας ἀλεξάνδρῳ διαλλαγὰς ἀνέτρεψεν, ἀλλὰ καὶ ἀπωλείας αἴτιος αὐτῷ κατέστη. ὃς ἦν λάκων, εὐρυκλῆς τοὔνομα, πόθῳ χρημάτων B εἰς τὴν βασιλείαν προσφθαρείς. οὐ γὰρ ἀντεῖχεν ἔτι ἡ ἑλλὰς αὐτοῦ τῇ πολυτελείᾳ. λαμπρὰ δὲ ἡρώδῃ δῶρα προσενεγκών, δέλεαρ ὧν ἐθηρᾶτο, καὶ παραχρῆμα πολλαπλασίω λαβών, οὐδὲν ἡγεῖτο τὴν καθαρὰν δόσιν, εἰ μὴ δι' αἵματος ἐμπορεύσαιτο τὴν βασιλείαν. περιέρχεται γοῦν τὸν βασιλέα κολακείᾳ καὶ δεινότητι λόγων, καὶ περὶ αὐτοῦ ψευδέσιν ἐγκωμίοις. ταχέως δὲ συνιδὼν τὸν ἡρώδου τρόπον, καὶ πάντα λέγων τε καὶ πράττων τὰ πρὸς ἡδονὴν αὐτῷ, φίλος ἐν τοῖς πρώτοις γίνεται. καὶ γὰρ ὁ βασιλεὺς διὰ C τὴν πατρίδα, καὶ πάντες οἱ περὶ αὐτόν, ἡδέως προετίμων τὸν σπαρτιάτην. ὁ δὲ ἐπεὶ τὰ σαθρὰ τῆς οἰκίας κατέμαθε, τάς τε τῶν ἀδελφῶν διαφοράς, καὶ ὅπως διέκειτο πρὸς ἕκαστον ὁ πατήρ, ἀντιπάτρου μὲν ξενίᾳ προκατείληπτο, φιλίᾳ δὲ ἀλέξανδρον ὑπεκρίνετο, ψευσάμενος ἑταῖρον αὐτὸν εἶναι καὶ ἀρχελάου πάλαι. διὸ δὴ καὶ ταχέως ὡς δεδοκιμασμένος ἐδέχθη. συνίστα δὲ ἑαυτὸν εὐθέως, καὶ ἀριστοβούλῳ τῷ ἀδελφῷ. πάντων δὲ ἀποπειραθεὶς τῶν D προσώπων ἄλλῳ ἄλλως ὑπῄει, γίνεται δὲ προηγουμένως, μισθωτὸς ἀντιπάτρου, καὶ προδότης ἀλεξάνδρου. τῷ μὲν ὀνειδίζων, εἰ πρεσβύτατος ὢν περιόψεται τοὺς ἐφεδρεύοντας αὐτοῦ ταῖς ἐλπίσιν. ἀλεξάνδρῳ δέ, εἰ γεγεννημένος ἐκ βασιλίδος, καὶ βασιλίδι συνοικῶν, ἐάσει διαδέχεσθαι τὴν ἀρχὴν τὸν ἐξ ἰδιώτιδος, καὶ ταῦτα μεγίστην ἀφορμὴν ἔχων ἀρχέλαον. ἦν δὲ πιστὸς τῷ μειρακίῳ σύμβουλος, τὴν ἀρχελάου φιλίαν πλασάμενος. διὸ μηδὲν ὑποστελλόμενος ἀλέξανδρος, τά τε κατ' ἀντίπατρον ἀπωδύ- E ρετο πρὸς αὐτόν, καὶ ὡς ἡρώδης αὐτῶν τὴν μητέρα κτείνας, οὐ παράδοξον εἰ καὶ αὐτοὺς ἀφαιρεῖται τὴν ἐκείνης βασιλείαν. ἐφ' οἷς εὐρυκλῆς, οἰκτείρειν τε καὶ συναλγεῖν ὑπεκρίνετο. τὰ δὲ αὐτὰ καὶ τὸν ἀριστόβουλον εἰπεῖν δελεάσας, καὶ τῇ κατὰ τοῦ πατρὸς μέμψεσιν ἐνδυσάμενος ἀμφοτέρους, ᾤχετο φέρων ἀντιπάτρῳ τὰ ἀπόρρητα. προσεψεύδετο δ' ἐπιβουλὴν ὡς ἐνεδρευόντων αὐτῷ τῶν ἀδελφῶν, καὶ μόνον οὐκ ἐπιφερόντων ἤδη τὰ ξίφη. λαβὼν δὲ ἐπὶ τούτοις χρημάτων πλῆθος, ἐπαινέτης ἦν ἀν- F τιπάτρου πρὸς τὸν πατέρα. τὸ δὲ τελευταῖον ἐργολαβήσας τὸν ἀριστοβούλου καὶ ἀλεξάνδρου θάνατον, κατήγορος αὐτῶν ἐπὶ τοῦ πατρὸς γίνεται. καὶ προσελθών, ἀντιδιδόναι τὸ ζῆν ἔφασκεν ἡρώδῃ, τῆς εἰς αὐτὸν εὐεργεσίας, καὶ τὸ φῶς, ἀμοιβὴν τῆς ξενίας ἀντιπαρέχειν. πάλαι γὰρ ἐπ' αὐτὸν ἠκονῆσθαι ξίφος, καὶ τὴν ἀλεξάνδρου τετονῶσθαι δεξιάν, ἐμποδὼν δὲ αὐτὸς γεγονέναι τῷ τάχει, συνεργεῖν ὑποκριθείς. φάναι γὰρ τὸν ἀλέξανδρον, ὡς οὐκ ἀγαπᾷ βασι- G λεύσας αὐτὸς ἡρώδης ἐν ἀλλοτρίοις, καὶ μετὰ τὸν τῆς μητρὸς αὐτῶν φόνον τὴν ἐκείνης ἀρχὴν σπαθήσας, ἀλλ' ἔτι καὶ νόθον εἰσάγει διάδοχον, ἀντιπάτρῳ τῷ φθόρῳ τὴν παππῴαν αὐτῶν βασιλείαν προτείνων. τιμωρήσειν γε μὴν αὐτὸν τοῖς ὑρκανοῦ καὶ μαριάμμης δαίμοσιν. οὐδὲ γὰρ

παρέπειν αὐτὸν διαδέξασθαι παρὰ τοιούτου πατρὸς τὴν ἀρχὴν, δίχα φόνου. πολλὰ δὲ εἶναι τὰ παροξύνοντα καθ' ἡμέραν, ὥστε μηδὲ λαλιᾶς τινὰ τρόπον ἀσυκοφάντητον καταλελεῖφθαι. περὶ μὲν γὰρ εὐγενείας ἑτέρων μνείας γεγενημένης, αὐτὸς ἀλόγως ὑβρίζεσθαι τοῦ πατρὸς λέγοντος, ὁ μόνος εὐγενὴς ἀλέξανδρος, καὶ τὸν πατέρα διὰ ἀγένειαν ἀδοξῶν. κατὰ δὲ τὰς θήρας, προσκρούειν μὲν σιωπῶν, ἐπαινέσας δὲ, προσακούειν εἴρων. πανταχοῦ δὲ ἀμείλικτον εὑρίσκειν τὸν πατέρα καὶ μόνῳ φιλόστοργον ἀντιπάτρῳ. δι' ὃν ἡδέως καὶ τεθνήξεσθαι μὴ κρατήσας τῆς ἐπιβουλῆς. κτείναντι δὲ εἶναι σωτηρίας ἀφορμὴν, πρῶτον μὲν ἀρχέλαον ὄντα κηδεστὴν, πρὸς ὃν διαφεύξεσθαι ῥαδίως. ἔπειτα καίσαρα μέχρι νῦν ἀγνοοῦντα τὸν ἡρώδου τρόπον. οὐ γὰρ ὡς πρότερον αὐτῷ παραστήσεσθαι πεφρικὼς τὸν ἐφεστῶτα πατέρα, οὐδὲ φθέγξασθαι περὶ τῶν αὐτοῦ μόνον ἐγκλημάτων. ἀλλὰ πρῶτον μὲν κηρύξειν τὰς τοῦ ἔθνους συμφορὰς, καὶ τοὺς μέχρι ψυχῆς φορολογουμένους, ἔπειτα εἰς οἵας τρυφὰς καὶ πράξεις, τὰ δι' αἵματος πορισθέντα χρήματα ἀναλωθείη. τούς τε ἐξ ἡμῶν πλουτήσαντας, οἷοι. καὶ τὰς θεραπευθείσας πόλεις, ἐπὶ τίσιν. ζητήσειν δὲ καὶ τὸν πάππον ἐκεῖ καὶ τὴν μητέρα, καὶ τὰ τῆς βασιλείας μύση πάντα κηρύξειν, ἐφ' οἷς οὐ κριθήσεσθαι πατροκτόνος. τοιαῦτα κατὰ ἀλεξάνδρου τερατευσάμενος ὁ εὐρυκλῆς ἐπῄνει πολλὰ τὸν ἀντίπατρον, ὡς ἄρα μόνος τε εἴη φιλοπάτωρ, καὶ διὰ τοῦτο μέχρι νῦν τῆς ἐπιβουλῆς ἐμπόδιον. μήπω δὲ καλῶς ὁ βασιλεὺς ἐπὶ τοῖς πρώτοις κατεσταλμένος, εἰς ἀνήκεστον ὀργὴν ἐξαγριοῦται, καὶ πάλιν λαβὼν καιρὸν ἀντίπατρος, ἑτέρους κατὰ τῶν ἀδελφῶν ὑπέπεμπε κατηγόρους, λέγειν ὅτι ἰουκούνδῳ καὶ τυραννίῳ λάθρα διαλέγοιντο, τοῖς ἱππάρχαις μέν ποτε τοῦ βασιλέως γενομένοις, τότε δὲ ἔκ τινων προσκρουμάτων ἀποπεπτωκόσι τῆς τάξεως. ἐφ' οἷς ἡρώδης ὑπεραγανακτήσας, εὐθέως ἐβασάνισε τοὺς ἄνδρας. ἀλλ' οἱ μὲν, οὐδὲν τῶν διαβληθέντων ὡμολόγουν. προσεκομίσθη δέ τις, πρὸς τὸν ἡρώδου φρούραρχον ἐπιστολὴ παρὰ ἀλεξάνδρου, παρακαλοῦντος ἵνα αὐτὸν δέξηται τῷ φρουρίῳ μετὰ ἀριστοβούλου τοῦ ἀδελφοῦ κτείναντα τὸν πατέρα, καὶ παράσχῃ τοῖς ὅπλοις χρήσασθαι, καὶ ταῖς ἄλλαις ἀφορμαῖς. ταύτην ἀλέξανδρος μὲν ἔλεγε τέχνασμα εἶναι διοφάντου, γραμματεὺς δ' ὁ διόφαντος τοῦ βασιλέως, τολμηρὸς ἀνὴρ καὶ δεινὸς μιμήσασθαι πάσης χειρὸς γράμματα. πολλὰ γοῦν παραχαράξας, τελευταῖον ἐπὶ τούτῳ καὶ κτείνεται. βασανίσας δὲ τὸν φρούραρχον ἡρώδης οὐδὲν ἤκουσεν οὐδὲ παρ' ἐκείνου τῶν διαβεβλημένων, ἀλλὰ καίτοι τοὺς ἐλέγχους εὑρίσκων ἀσθενεῖς, τοὺς υἱοὺς ἐκέλευσε τηρεῖν, ἔτι μέντοι λελυμένους. τὸν δὲ λυμεῶνα τῆς οἰκίας καὶ δραματουργὸν ὅλου τοῦ μύσους εὐρυκλέα, σωτῆρα καὶ εὐεργέτην καλῶν, πεντήκοντα δωρεῖται ταλάντοις. ὁ δὲ τὴν ἀκριβῆ φήμην φθάσας εἰς καππαδοκίαν, ἀργυρίζεται καὶ παρὰ ἀρχελάου τολμήσας εἰπεῖν, ὅτι καὶ διαλλάξειεν ἡρώδην ἀλεξάνδρῳ. διάρας δὲ εἰς τὴν ἑλλάδα, τοῖς ἐκ κακῶν κτηθεῖσιν εἰς ὅμοια κατεχρήσατο. δὶς γοῦν ἐπὶ καίσαρος κατηγορηθεὶς ἐπὶ τῷ στάσεως ἐμπλῆσαι τὴν ἀχαΐαν, καὶ περιδύειν τὰς πόλεις, φυγαδεύεται. κἀκεῖνον μὲν οὕτως ἡ ἀριστοβούλου καὶ ἀλεξάνδρου ποινὴ περιῆλθεν. ἄξιον δὲ

A decere successionem regni ab huiusmodi patre sine cæde suscipere, multis autem rebus ad hoc excitari quotidie, quia nihil sibi omnino loqui sine calumnia liceret. Nam si de nobilitate aliorum fiat mentio, sine ratione se contumeliis affici, patre dicente, solus generosus Alexander, & cui pater sit pro ignobilitate dedecori. In venationibus quoque offendere, si taceat: si verò laudet, cauillatorem appellari. B & prorsus immitem sibi patrem inueniri, solique Antipatro indulgentem: ob quæ vel emori non recusare nisi ex voto insidiæ successissent: sin eum occidisset, primùm salutis occasionem fore Archelaum socerum suum, ad quem facilè possit effugere: deinde Cæsarem, qui nunc vsque ignoraret mores Herodis. nec enim sic ei adstaturum, vt antea patris præsentiam formidando, nec de suis tantùm criminibus locuturum, sed primùm totius gentis ærumnas: & quod ad C necem vsque tributis oppimeret vulgaturum: deinde in quibus deliciis, quibúsque actibus partæ sanguine pecuniæ consumptæ sint, & qui vel quales ex illis fuerint locupletati, quæ causa ciuitatis afflictæ: ibi autem lamentaturum & aui & matris necem, omniáque scelera regis retecturum: quibus cognitis nemo se iudicauerit patricidam. His Eurycles in Alexādrum falsò delatis, Antipatri laudes prosequebatur, illum solum, qui patrem diligeret esse D confirmans, quíque adhuc insidias retardasset. Rex autem nondum præteritæ suspicionis dolore compresso, intolerabilis iracundię feritate perturbatur. Iterúmque hoc tempus nactus Antipater, alios accusatores fratribus subornauit, qui eos dicerent cum Iucundo & Tyrannio clàm colloqui solitos esse, equitum regis olim principibus, tūc verò propter quasdam offensiones ordinibus motis. Hac denique indignatione succensus, confestim eos E tormentis Herodes subdidit. Illi autem nihil eorum se, quæ crimini darentur, scire confessi sunt. Sed oblata est quædam velut ad pręfectum castelli Alexandrij ab Alexandro scripta epistola, deprecante vt cum Aristobulo fratre se in castellum reciperet, si patrem interfecissent: támque armis quàm aliis subsidiis eos vti permitteret. Hanc Alexander Diophanti commentum esse dicebat, qui regis erat notarius, homo audacissimus & cuiuslibet ma- F nus literas imitari percallidus. Itaque multis sæpe falsò conscriptis, ob hoc postremò occisus est. torto autem castelli præfecto, nec eius indicio quicquam Herodes eorum, quæ delata erant verum esse cognouit. Sed quamuis nullum documentum validum proferretur, filios tamen asseruari præcepit. Euryclem verò domus suæ pestem, ac totius sceleris fabricatorem, bene de se meritum datorémque salutis appellans, talentis quinquaginta do- G nauit. Ille autem prius quàm certa fama nunciaret, ad Archelaum properat: aussúsque dicere, quod Herodem reconciliasset Alexandro, ab illo quoque pecunias capit. deinde in Achaiam transgressus, ad similia facinora malè quæsitis abusus est. Postremò apud Cæsarem accusatus, quòd dissensionibus repleuisset Achaiam, & ciuitates spoliaret, in exiliū mittitur: atque hoc cum modo pœnæ Alexandri & Aristobuli persecutæ sunt. Hoc loco dignum est

Coum Euaratum huic Spartiatæ conferre. Namque is cùm amicissimus esset Alexandro, eodémque tempore quo Eurycles ibidem erat, aduenisset, percontanti regi super his, quæ ille insimularet: iuratus nihil se ab adulescentibus audisse affirmauit. nec tamen id quicquam miseris profuit apud Herodem, solis maledictis aures paratissimas aperientem: cúmque gratiosissimum sibi iudicantem, qui secum eadem crederet: iisdémque moueretur. Incitabat præterea Salome crudelitatem eius in filios. Nam ad hanc Aristobulus, quo periculis inuolueret, quam & socrum habebat & amitam, monitum miserat, vt saluti suæ consuleret: quasi rex eam decreuisset occidere, iterum insimulatam, quorum ante fuerat accusata: quòd Syllæo Arabi nubere cupiens, quem sciret eius inimicum, occultè illi secreta regis nunciaret. Et hoc fuit extremum quo tanquam tempestate oppressi adulescentes, non secus ac turbine pessundati sunt. Salome enim protinus contendit ad regem, eíque monita Aristobuli prodit: atque ille vlterius durare non passus, vtrumque filium vinxit, & separatos asseruari præcepit. Deinde Volumnium militiæ magistrum, & ex amicis suis Olympum descripta ferentes iudicia, proficisci iussit ad Cæsarem: qui postquam Romam naui delati, regis literas reddiderunt. vehementer quidem Cæsar ob adulescentes indoluit, verùm potestatem in filios à patre auferendam non duxit. Denique rescribit ei, vt ipse sui dominus esset arbitrij: meliùs tamen facturum dicens, si in communi consessu propinquorum suorum prouinciæque rectorum de insidiis quæreret: eósque si delato crimini reperiret astrictos, occideret. si verò fugam tantum esse meditatos, mediocri supplicio contentus esset. Paret scriptis Herodes: cúmque Berytum quò Cæsar iusserat, peruenisset, cogit iudicium. Præsederunt autem rectores, quibus à Cæsare scriptum fuerat, Saturninus & Pedanius legati, & cum his Volumnius procurator, itémque propinqui regis & amici, necnon & Salome & Pheroras, & post hos optimates Syriæ, præter Archelaum regem: namque hunc Herodes, quòd Alexandri socer esset, suspectum habebat. Sed filios quidem satis prouido consilio in iudicium non produxit: sciebat enim quòd si tantùm visi fuissent, omni modo ad misericordiam cunctos impellerent: si verò etiam dicendi copiam nacti essent, facillimè Alexander obiecta dilueret. Igitur illi quidem custodiebantur in Platane, vico Sidoniorum. Exorsus autem rex, veluti cum præsentibus ageret, commouebatur. & insidias quidem timidè obiiciebat: nam probationibus deficiebat. maledicta verò & probra & iniurias, & peccata plurima in se admissa prosequebatur: eáque morte grauiora esse consessoribus demonstrabat. postremò cùm nemo contradiceret, semetipsum argui miserabiliter questus, acerbámq; victoriam vincere, singulos sententiam proferre rogat in filios. & primus Saturninus condemnandos esse adolescentulos, sed non morte pronũciauit. Nec enim fas esse cùm tres ipse astantes habeat filios, mortem alienis decernere. Idem etiam duobus legatis visum est, eósq;

Ant. li. 16. cap. 13.

ἀντιθεῖναι τὸν κῷον εὐάρατον τῷ σπαρτιάτῃ. καὶ γὰρ οὗτος ὢν ἐν τοῖς μάλιστα φίλοις ἀλεξάνδρῳ, καὶ κατὰ τὸν αὐτὸν εὐρυκλεῖ καιρὸν ἐπιδημήσας, πυνθανομένῳ τῷ βασιλεῖ, περὶ ὧν ἐκεῖνος διέβαλλεν, ὅρκοις μηδὲν ἀκηκοέναι παρὰ τῶν μειρακίων ἐπιστώσατο. οὐ μὴν ὤνησέ γέ τι τοὺς ἀθλίους. μόνων γὰρ ἦν τῶν κακῶν ἀκροατὴς ἑτοιμότατος ἡρώδης, καὶ κεχαρισμένος αὐτῷ πᾶς ὁ συμπιστεύων, καὶ συναγανακτῶν. παρώξυνε δὲ αὐτοῦ καὶ σαλώμη τὴν ἐπὶ τοῖς τέκνοις ὠμότητα. ταύτην γὰρ συνδήσασθαι τοῖς κινδύνοις ὁ ἀριστόβουλος θέλων, οὖσαν ἑκυρὰν καὶ τηθίδα, διαπέμπεται, σώζειν αὐτὴν παραινῶν. παρεσκευάσθαι γὰρ βασιλέα, κτείνειν αὐτὴν διαβληθεῖσαν ἐφ' οἷς καὶ πρότερον, συλλαίῳ τῷ ἄραβι γήμασθαι σπουδάζουσαν, λάθρα τὰ τοῦ βασιλέως ἀπόρρητα διαγγέλλειν πρὸς αὐτὸν, ἐχθρὸν ὄντα. τοῦθ' ὥσπερ τελευταῖα θύελλα χειμαζομένους τοὺς νεανίσκους ἐπεβάπτισεν. ἡ γὰρ σαλώμη δραμοῦσα πρὸς βασιλέα, τὴν παραίνεσιν ἐμήνυσε. κἀκεῖνος μηκέτι καρτερήσας, δεσμεῖ μὲν ἀμφοτέρους τοὺς υἱεῖς, καὶ διαχωρίζει ἀπ' ἀλλήλων. πέμπει δὲ πρὸς καίσαρα διὰ τάχους, οὐολύμνιόν τε τὸν στρατοπεδάρχην, καὶ τὸν φίλον ὄλυμπον, ἐγγράφως τὰς μηνύσεις φέροντας. οἱ δὲ, ὡς εἰς ῥώμην πλεύσαντες, ἀπέδοσαν τὰ ἀπὸ τοῦ βασιλέως γράμματα, σφόδρα μὲν ἠχθέσθη καίσαρ ἐπὶ τοῖς νεανίσκοις, οὐ μὴν ᾤετο δεῖν ἀφελέσθαι τὸν πατέρα, τὴν κατὰ τῶν υἱῶν ἐξουσίαν. ἀντιγράφει γοῦν κύριον μὲν αὐτὸν καθιστὰς, εὖ μέν τοι ποιήσειν λέγων, εἰ μετὰ κοινοῦ συνεδρίου, τῶν τε ἰδίων συγγενῶν, καὶ τῶν κατὰ τὴν ἐπαρχίαν ἡγουμένων, ἐξετάσειε τὴν ἐπιβουλήν. κἂν μὲν ἐνέχωνται κτείνειν. ἂν δὲ μόνον ὦσι δρασμὸν βεβουλευμένοι, κολάσειν μετριώτερον. τούτοις ἡρώδης πείθεται, καὶ παραγενόμενος εἰς βηρυτὸν ἔνθα προσέταξε καίσαρ, συνήγαγε τὸ δικαστήριον. προκαθίζονται δὲ οἱ ἡγεμόνες, γραφὲν αὐτοῖς ὑπὸ καίσαρος, σατορνῖνός τε, καὶ οἱ περὶ πεδάνιον πρέσβεις. σὺν οἷς καὶ οὐολύμνιος ὁ ἐπίτροπος, ἔπειτα οἱ τοῦ βασιλέως συγγενεῖς καὶ φίλοι, σαλώμη τε καὶ φερώρας, μεθ' οὓς οἱ πάσης συρίας ἄριστοι, πλὴν ἀρχελάου τοῦ βασιλέως. τοῦτον γὰρ ὄντα κηδεστὴν ἀλεξάνδρου, δι' ὑποψίας εἶχεν ἡρώδης. τοὺς γε μὴν υἱεῖς οὐ προήγαγεν εἰς τὴν δίκην μάλα προμηθῶς. ᾔδει γὰρ ὅτι καὶ μόνον ὀφθέντες ἐλεηθήσονται πάντως. εἰ δὲ δὴ, καὶ λόγου μεταλάβοιεν, ῥᾳδίως ἀλέξανδρον ἀπολύσεσθαι τὰς αἰτίας. ἀλλ' οἱ μὲν, ἐν πλατάνῃ κώμῃ σιδωνίων ἐφρουροῦντο. καταστὰς δὲ ὁ βασιλεὺς, ὡς πρὸς παρόντας διετείνετο. κατηγόρει τε τὴν μὲν ἐπιβουλὴν ἀσθενῶς, ὡς ἂν ἀπορούμενος εἰς αὐτὴν ἐλέγχων, λοιδορίας τε, καὶ σκώμματα καὶ ὕβρεις, καὶ πλημμελείας μυρίας εἰς αὐτὸν, ἃ καὶ θανάτου χαλεπώτερα, τοῖς συνέδροις ἀπέφαινε. ἔπειτα μηδενὸς ἀντιλέγοντος ἐποικτισάμενος ὡς αὐτὸς ἁλίσκοιτο, καὶ νικῶν νίκην πικρὰν κατὰ τέκνων, ἐπηρώτα τὴν γνώμην ἕκαστον. καὶ πρῶτος σατορνῖνος ἀπεφήνατο, κατακρίνειν μὲν τῶν νεανίσκων, ἀλλ' οὐ θάνατον. οὐ γὰρ εἶναι θεμιτὸν αὐτῷ, τριῶν παρεστώτων τέκνων, ἑτέρου τέκνου ἀπώλειαν ἐπιψηφίσασθαι. σύμψηφοι δὲ αὐτῷ καὶ οἱ δύο πρεσβευταὶ γίνονται, καὶ τούτοις

ἕτεροι

ἐπεὶ τινὲς ἠκολούθησαν. Βολούμνιος δὲ τῆς σκυθρωπῆς ἀποφάσεως ἤρξατο, καὶ μετ' αὐτὸν πάντες θάνατον κατακρίνουσι τῶν μειρακίων, οἱ μὲν κολακεύοντες, οἱ δὲ μισοῦντες Ἡρώδην, οὐδεὶς δὲ ἀγανακτῶν. ἔνθα δὴ μετέωρος ἦν ἥ τε Συρία πᾶσα, καὶ τὸ Ἰουδαϊκὸν, ἐκδεχομένων τὸ τέλος τοῦ δράματος, οὐδεὶς μὲν τοι ὑπελάμβανεν ἔσεσθαι μέχρι τεκνοκτονίας ὠμὸν Ἡρώδην. ὁ δὲ σύρας τοὺς υἱεῖς εἰς Τύρον, κἀκεῖθεν διαπλεύσας εἰς Καισάρειαν, τρόπον ἀναιρέσεως τοῖς μειρακίοις ἐσκέπτετο. παλαιὸς δέ τις τοῦ βασιλέως στρατιώτης ὄνομα Τήρων, ἔχων υἱὸν σφόδρα συνήθη καὶ φίλον Ἀλεξάνδρῳ, καὶ αὐτὸς ἠγαπηκὼς ἰδίᾳ τὰ μειράκια, δι' ὑπερβολὴν ἀγανακτήσεως, ἔκφρων ἐγένετο. καὶ τὸ μὲν πρῶτον, ἐβόα περιιὼν, πεπατῆσθαι τὸ δίκαιον, ἀπολωλέναι τὴν ἀλήθειαν, συγκεχύσθαι τὴν φύσιν, ἀνομίας γέμειν τὸν βίον, καὶ πάνθ' ὅσα μὴ φειδομένῳ τοῦ ζῆν, ὑπηγόρευε τὸ πάθος. τέλος δὲ, καὶ τῷ βασιλεῖ τολμήσας προσελθεῖν, ἀλλ' ἐμοὶ μὲν ἔφη κακοδαιμονέστατος εἶναι δοκεῖς, ὅστις κατὰ τῶν φιλτάτων πείθῃ τοῖς πονηροτάτοις. εἴγε Φερώρα καὶ Σαλώμης καταγνοὺς πολλάκις θάνατον, πιστεύεις τούτοις κατὰ τῶν τέκνων, οἵ σε τῶν γνησίων περικόπτοντες διαδόχων, ἐπ' Ἀντιπάτρῳ καταλείπουσι μόνῳ, τὸν αὐτοῖς εὐμεταχείριστον αἱρούμενοι βασιλέα. σκέψαι μέντοι γε, μή ποτε κἀκείνῳ γένηται μῖσος ἐν τοῖς στρατιώταις, ὁ τῶν ἀδελφῶν θάνατος. οὐ γάρ ἐστιν ὅστις οὐκ ἐλεεῖ τὰ μειράκια, τῶν δὲ ἡγεμόνων καὶ φανερῶς ἀγανακτοῦσι πολλοί. ταῦθ' ἅμα λέγων, ὠνόμαζε τοὺς ἀγανακτοῦντας. ὁ δὲ βασιλεὺς εὐθέως, ἐκείνους τε καὶ αὐτὸν, καὶ τὸν υἱὸν αὐτοῦ συνελάμβανεν. ἐφ' ᾧ τῶν ἐκ τῆς αὐλῆς τις κουρέων, Τρύφων ὄνομα, προσεκπηδήσας ἔκ τινος θεοβλαβείας, ἑαυτοῦ μηνυτὴς γίνεται. κἀμὲ γὰρ ἔφη Τήρων οὗτος ἀνέπειθεν, ὅταν θεραπεύω τῷ ξυρῷ σε διαχειρίσασθαι, μεγάλας τέ μοι παρὰ Ἀλεξάνδρου δωρεὰς ὑπισχνεῖτο. ταῦτα ἀκούσας Ἡρώδης, τόν τε Τήρωνα σὺν τῷ παιδὶ, καὶ τὸν κουρέα βασάνοις διήλεγχε. καὶ τῶν μὲν ἀρνουμένων, τοῦ δὲ μηδὲν πλέον λέγοντος, στρεβλοῦν ἐκέλευσε τὸν Τήρωνα σφοδρότερον. ὁ δὲ υἱὸς οἰκτείρας, ὑπέσχετο τῷ βασιλεῖ πάντα μηνύσειν, εἰ χαρίσαιτο τὸν πατέρα αὐτῷ. κἀκείνου δόντος εἶπεν, ὡς ὁ πατὴρ αὐτοῦ πεισθεὶς Ἀλεξάνδρῳ, θελήσειεν αὐτὸν ἀνελεῖν. τοῦτο, οἱ μὲν, εἰς ἀπαλλαγὴν τῆς τοῦ πατρὸς αἰκίας πεπλάσθαι, τινὲς δὲ ἀληθὲς ἔλεγον. Ἡρώδης γε μὴν ἐν ἐκκλησίᾳ τῶν τε ἡγεμόνων καὶ Τήρωνος κατηγορήσας, τὸν λαὸν ἐπ' αὐτοὺς ἐστρατολόγησεν. αὐτόθι γοῦν ἀναιροῦνται μετὰ τοῦ κουρέως, ξύλοις βαλλόμενοι καὶ λίθοις. πέμψας δὲ καὶ τοὺς υἱεῖς, εἰς Σεβαστὴν οὖσαν οὐ πόρρω τῆς Καισαρείας, προσέταξεν ἀποπνῖξαι. καὶ τελεσθέντος αὐτῷ ταχέως τοῦ προστάγματος, τοὺς νεκροὺς εἰς Ἀλεξάνδριον ἐκέλευσεν ἀνακομισθῆναι τὸ φρούριον, συνταφησομένους Ἀλεξάνδρῳ τῷ μητροπάτορι. τὸ μὲν οὖν Ἀλεξάνδρου, καὶ Ἀριστοβούλου τέλος, τοιοῦτον.

Κεφ. κη.

Ἀντιπάτρῳ δὲ ἀδήριτον ἔχοντι τὴν διαδοχὴν, μῖσος ἄφορητον ἐκ τοῦ ἔθνους ἐπεγείρεται, πάντων ἐπισταμένων, ὅτι τὰς διαβολὰς τοῖς ἀδελφοῖς πλάσας ἐπισυντάξειεν οὗτος. ὑποικούρει δὲ καὶ δέος οὐ μέτριον, αὐξανομένην ὁρῶντι τὴν τῶν ἀνῃρημένων γενεάν.

nonnulli alij secuti sunt. Tristem verò sententiam primus Volumnius dixit, cunctique post eum Herodis æmulatione, vel odio: neque indignatione quisquam necandos esse adulescentes iudicauit. Tum autem vniuersa Iudæa & Syria, suspensa quidem operiebatur huius tragœdiæ finem: sed nemo existimabat Herodis crudelitatem ad parricidium vsque processuram. Ille tamen filios Tyrum traxit: atque inde naui Cæsaream deuectos, quo mortis genere perimeret cogitabat. Interea vetus quidam regis miles, Tiro nomine, qui & filium habebat Alexandro assuetum atque amicum, & ipse diligebat adulescentulos: præ nimia indignatione mentis postremò circumueniens clamitabat conculcatam esse iustitiam, veritatem periisse: naturam esse confusam, vitámque hominum iniquitatis esse plenam, & omnia quæ dolor contemptori vitæ dictasset. Deinde ipsum etiam regem ausus adire: Mihi verò, inquit, omnium videris esse infelicissimus, qui contra carissimos nequissimis credas. Siquidem Pheroras & Salome fidem apud te aduersus filios tuos habent; quos sæpe ipse mortis supplicio dignos esse iudicasti: neque aduertis hoc eos agere, vt iustis successoribus destitutus, cum solo remaneas Antipatro, capi facilè regem optantes. Veruntamen cogita, ne ille quoque militibus odiosus sit, propter cædem omnium fratrum. Nullus enim est, qui non adulescentium misereatur, principum autem plurimi etiam palàm grauiter ferunt. hæc dicens: simul eos quibus res indigna videretur nominabat. Rex autem statim illos & ipsum cum filio comprehendi iubet. Ibíque tum alius quidem regius tonsor, nomine Tryphon, nescio qua exagitatus insania, semetipsum indicans prosilit: ac mihi quoq; Tiro, inquit, iste persuasit, vt occasione tondendi nouacula te occiderem: magnáque inde Alexandrum daturum munera pollicebatur. His auditis, Herodes & Tironem eiúsque filium, & tonsorē subdidit quæstioni: Cūq; illi pernegarent, tonsor autem ampliùs nihil diceret, Tironem vehementiùs torqueri iussit: túmque filius eius, patris miseratione commotus cuncta se regi, si eum sibi condonasset, indicaturum promisit. Eóque relaxato, ipsius occidendi patrem suum habuisse voluntatem dixit, impulsum ab Alexandro. Hoc autem quibusdam fictum ab adulescente videbatur, quo tormentis eriperet patrem, nonnulli verum esse affirmabant. Herodes tamen & militum principibus & Tirone pro concione accusatis in eos armauit populum, vt ibidem cū tonsore lignorum & lapidum ictibus interirent. Filios verò in Sebasten missos, quæ non longo à Cæsarea interuallo distaret, profocari iubet: eáque re maturè perfecta, in castellum Alexandrium mortuos asportari, cum Alexandro materno auo sepeliēdos. Hic finis Aristobulo & Alexandro vitæ fuit.

Ant. li. 16. cap. 13.

Cap. XVIII. De conspiratione Antipatri contra patrem. *Ant. li. 17. cap. 1. 2.*

Antipatrum verò, cùm iam sine controuersia successionem regni speraret, intolerabile gentis excepit odium, cunctis scientibus, illum omnes fratribus suis conseruisse calumnias: nihilóq; minus timor eum nō mediocris solicitabat, crescente sobole pereptorū

Erant enim Alexandro ex Glaphyra filij duo, Tigranes & Alexander: itémque Aristobulo ex Berenice Salomes filia, Herodes & Agrippa & Aristobulus, filiæque Herodias & Mariamne. Sed Glaphyram quidem Herodes cum dote sua in Cappadociam dimisit, postquàm Alexandrum interfecit: Berenicem autem Aristobuli coniugem, auunculo Antipatri nuptum dedit: vt enim Salomen, quam infensam habebat, sibi reconciliaret Antipater, istas nuptias excogitauit. Idem verò etiam Pherotam muneribus aliísque obsequiis, atque amicos præterea Cæsaris ambiebat, magnas Romam mittendo pecunias. Saturninum enim cum aliis omnibus apud Syriam donis expleuerat. Hoc autem magis inuisus erat cũctis, quo plura donabat, velut opes tantas non munificentia largiretur, sed metu consumeret. Itaque eueniebat, vt nec accipientium beneuolentia quicquam profecerit: quibúsq; nihil dedisset, acerbiores inimicos haberet. In distributionibus autem munerum quotidie largior erat, cùm præter spem videret orbos pueros ab Herode curari: quantúmque illum peremptorum cædis pœniteret, prolis eorum miseratione significari. Conuocatis enim propinquis atque amicis suis, & pupillis astantibus cùm lacrymis oppleſſet oculos, dixit: Horum quidem mihi patres fortuna quædam tristis eripuit, ipsos autem orbitatis misericordia cum natura commendat. Experiar itaque, vt etsi pater infortunatissimus fui, auus tamen sim prouidentior, & à quibus post me regnantur, amicissimos mihi relinquam. Despondeo igitur filiam tuam Pherora maximo filiorum Alexandri, vt ei curator sis necessarius: tuo verò Antipater filio, Aristobuli filiam: eris enim hoc modo pater orbatæ. Sororem verò eius meus Herodes accipiet, ex pontifice auo materno prognatus. Et de his quidem hoc sit iudicium meum, neque id quisquam dirimat, qui me amabit. Precor autem etiam Deum bono regni mei, meorúmque nepotum copulare nuptias, atque hos pueros placidioribus, quàm patres eorum oculis aspicere. Postquàm hæc locutus est, fleuit, & puerorum dexteras iunxit, benignissiméque consalutatis singulis dimisit concilium. Statim diriguit Antipater, quantóque dolore affectus esset neminem latuit pupillorum. namque honorem apud patrem quoque sibi derogatum existimabat: iterúmque de rebus cunctis periculum fore, si Alexandri filiis præter Archelaum etiam Pheroram tetrarcham adiutorem habere licuisset. Ad hæc reputabat odium suum, & orbitatis miserationem, qua tota gens flectebatur, quanto viuentium puerorũ studio, & quãta memoria mortuorum ipsius scelere tenerentur Iudæi. Itaque omnimodo dirimere sponsalia statuit. & callidè quidem patri surrepere timuit, sæuienti acritérque vigilanti ad suspicandum, palàm verò eum supplex adire ausus est, corámque deposcere, ne se honore priuaret, quo dignum esse iudicasset, nudúmque regis nomen habere vellet, regni autem substantiam penes alios esse. Nec enim posse rerũ obtinere dominatũ, si præter auum Archelaũ, etiam Pheroras Alexãdri filiis socer

A ἦσαν γὰρ Ἀλεξάνδρῳ μὲν ἐκ Γλαφύρας υἱεῖς δύο, Τιγράνης καὶ Ἀλέξανδρος. Ἀριστοβούλῳ δὲ ἐκ Βερνίκης τῆς Σαλώμης θυγατρὸς, Ἡρώδης μὲν καὶ Ἀγρίππας καὶ Ἀριστόβουλος υἱοί. θυγατέρες δὲ Ἡρωδιὰς καὶ Μαριάμμη. τὴν μὲν οὖν Γλαφύραν Ἡρώδης μετὰ τῆς προικὸς ἀπέπεμψεν εἰς Καππαδοκίαν, ὡς ἀνεῖλεν Ἀλέξανδρον. τὴν Ἀριστοβούλου δὲ Βερνίκην συνῴκισε θείῳ πρὸς μητρὸς Ἀντιπάτρου. τὴν γὰρ Σαλώμην οὖσαν διάφορον, ἐξοικειούμενος ὁ Ἀντίπατρος, τοῦτον ἐπραγματεύσατο τὸν γάμον. B περιῄει δὲ καὶ Φερώραν, δώροις τε καὶ ταῖς ἄλλαις θεραπείαις, καὶ τοὺς Καίσαρος φίλους, οὐκ ὀλίγα πέμπων εἰς τὴν Ῥώμην χρήματα. οἵ γε τὴν περὶ Σατορνῖνον ἐν Συρίᾳ πάντες ἐπλήσθησαν τῶν ἀπ' αὐτοῦ δωρεῶν. ἐμισεῖτο δὲ διδοὺς πλεῖον, ὡς ἂν οὐκ ἐκ τοῦ μεγαλοψύχου χαριζόμενος, ἀλλὰ ἀναλίσκων κατὰ δέος. συνέβαινε δὴ τοὺς μὲν λαμβάνοντας, οὐδὲν μᾶλλον εὔνους γίνεσθαι, χαλεπωτέρους δὲ ἐχθροὺς, οἷς μὴ διδῴη. λαμπροτέρας δὲ καθ' C ἡμέραν ἐποιεῖτο τὰς διαδόσεις, ὁρῶν τὸν βασιλέα, παρ' ἃς αὐτὸς ἐλπίδας εἶχεν, ἐπιμελούμενον τῶν ὀρφανῶν, καὶ τὴν ἐπὶ τοῖς ἀνῃρημένοις μετάνοιαν συνεμφαίνοντα, δι' ὧν ἠλέει τοὺς ἐξ ἐκείνων. συναγαγὼν γάρ ποτε Ἡρώδης συγγενεῖς τε, καὶ τοὺς φίλους, παραστησάμενός τε τὰ παιδία, καὶ δακρύων ἐμπλήσας τοὺς ὀφθαλμοὺς εἶπεν, ἐμὲ τοὺς πατέρας τούτων, σκυθρωπὸς ἀφείλετο δαίμων, ταῦτα δέ μοι μετὰ τῆς φύσεως, D συνίστησιν ἔλεος ὀρφανίας. πειρῶμαι δὲ εἰ καὶ πατὴρ ἐγενόμην ἀτυχέστατος, πάππος γοῦν φανῆναι μετριώτερος, καὶ μετ' ἐμὲ κηδεμόνας αὐτοῖς καταλιπεῖν τοὺς ἐμοὶ φιλτάτους. ἐγγυῶ δὲ τὴν μὲν σὴν Φερώρα, θυγατέρα, τῷ πρεσβυτέρῳ τῶν ἀδελφῶν Ἀλεξάνδρου παίδων, ἵνα ᾖς αὐτῷ κηδεμὼν ἀναγκαῖος, τῷ σῷ δὲ παιδὶ Ἀντίπατρε τὴν Ἀριστοβούλου θυγατέρα, γένοιο γὰρ ἂν οὕτω πατὴρ τῆς ὀρφανῆς, καὶ τὴν ἀδελφὴν αὐτῆς, ὁ ἐμὸς Ἡρώδης λήψεται, πρὸς μη- E τρὸς ὢν ἀρχιερέως πάππου. ὁ ἀγαπῶν μὲν οὖν ἐμὲ, ταύτην ἐχέτω τὴν γνώμην, ἣν διακόψει μηδεὶς ἐμὲ φιλῶν. ἐπεύχομαι δὲ καὶ τῷ θεῷ συναρμόσασθαι τοὺς γάμους ἐπὶ συμφέροντι τῆς ἐμῆς βασιλείας, καὶ τῶν ἐμῶν ἐγγόνων, τά τε παιδία ταυτὶ, γαληνοτέροις ἐπιδεῖν ὄμμασιν, ἢ τοὺς πατέρας αὐτῶν. ἔτι ταῦτα εἰπὼν, ἐδάκρυσέ τε, καὶ τῶν παίδων συνήρμοσε τὰς δεξιὰς, ἔπειτα κατασπασάμενος ἕκαστον φιλοφρόνως, διέλυσε τὸν F σύλλογον. ἐπαχνώθη δ' εὐθὺς Ἀντίπατρος, καὶ δῆλος ἦν ἅπασιν ὀδυνώμενος. ὑπελάμβανε γὰρ εἶναι καὶ παρὰ τῷ πατρὶ, τὴν τῶν ὀρφανῶν τιμὴν, ἑαυτοῦ κατάλυσιν, αὖθις τε κινδυνεύσειν περὶ τῶν ὅλων, εἰ πρὸς Ἀρχελάῳ καὶ Φερώραν ὄντα τετράρχην βοηθὸν ἔχοιεν οἱ Ἀλεξάνδρου παῖδες. συνελογίζετο δὲ τὸ καθ' ἑαυτοῦ μῖσος, καὶ τὸν τῶν ὀρφανῶν ἔλεον, ἐκ τοῦ ἔθνους, ὅση τε σπουδὴ ζώντων, καὶ ὅση μνήμη παρὰ Ἰουδαίοις τῶν δι' αὐτὸν ἀπολωλότων ἦν ἀδελφῶν. ἔγνω δὴ πάντα τρό- G πον διακόπτειν τὰς ἐγγύας, καὶ τὸ μὲν ὑπεῖναι πανούργως, ἔδεισε τὸν πατέρα χαλεπὸν ὄντα, καὶ πρὸς τὰς ὑποψίας κινούμενον εὐθέως. ἐτόλμησε δὲ προσελθὼν ἱκετεύειν ἄντικρυς, μὴ στερῆσαι αὐτὸν ἧς ἠξίωσε τιμῆς, μὴ δὲ αὐτῷ μὲν ὄνομα βασιλείας, δύναμιν δὲ ὑπάρχειν ἄλλοις. οὐ γὰρ κρατήσειν τῶν πραγμάτων, εἰ πρὸς Ἀρχελάῳ πάππῳ, καὶ Φερώραν κηδεστὴν ὁ Ἀλεξάνδρου παῖς προσ-

προσλάβοι. κατὰ τὴν ἐπιβολὴν δὲ πολλῆς οὔσης γενεᾶς κατὰ τὸ βασίλειον, μεταθεῖναι τοὺς γάμους. ἦσαν γὰρ δὴ τῷ βασιλεῖ, γυναῖκες μὲν ἐννέα, τέκνα δὲ ἐκ τῶν ἑπτά. αὐτὸς μὲν ἀντίπατρος, ἐκ δωρίδος, ἡρώδης δὲ ἐκ μαριάμμης τῆς τοῦ ἀρχιερέως θυγατρὸς, ἀντίπας δὲ καὶ ἀρχέλαος, ἐκ μαλθάκης τῆς σαμαρείτιδος, καὶ θυγάτηρ ὀλυμπιὰς, ἣν ὁ ἀδελφιδοῦς αὐτοῦ ἰώσηπος εἶχεν. ἐκ δὲ τῆς ἱεροσολυμίτιδος κλεοπάτρας, ἡρώδης καὶ φίλιππος, ἐκ δὲ παλλάδος, φασάηλος. ἐγένοντο δὲ αὐτῷ καὶ ἄλλαι θυγατέρες, ῥωξάνη τε καὶ σαλώμη, ἡ μὲν ἐκ φαίδρας, ἡ δὲ ἐξ ἐλπίδος. δύο δὲ εἶχεν ἀτέκνους, ἀνεψιάν τε καὶ ἀδελφιδῆν, χωρὶς δὲ τούτων δύο ἀδελφαὶ ἀλεξάνδρου καὶ ἀριστοβούλου, τὰς ἐκ μαριάμμης. οὔσης δὲ πολυπροσώπου τῆς γενεᾶς, ὁ ἀντίπατρος ἐδεῖτο μετατεθῆναι τοὺς γάμους. χαλεπῶς δὲ ὁ βασιλεὺς ἠγανάκτησε, καταμαθὼν αὐτοῦ τὸ πρὸς τοὺς ὀρφανοὺς ἦθος, ἔννοιά τε αὐτῷ παρέστη περὶ τῶν ἀνῃρημένων, μή ποτε κἀκεῖνοι γένοιντο τῶν ἀντιπάτρου διαβολῶν ἀγώνισμα. τότε μὲν οὖν πολλὰ πρὸς ὀργὴν ἀποκεινάμενος, ἀπελαύνει τὸν ἀντίπατρον. αὖθις δ᾽ ὑπαχθεὶς αὐτοῦ ταῖς κολακείαις, μεθηρμόσατο. καὶ αὐτῷ μὲν, τὴν ἀριστοβούλου συνῴκισε θυγατέρα, τὸν δὲ υἱὸν αὐτοῦ, τῇ φερώρα θυγατρί. καταμάθοι δ᾽ ἄν τις ὅσον ἴσχυσεν ἐν τούτῳ κολακεύων ἀντίπατρος, ἐκ τοῦ σαλώμην ἐν ὁμοίοις οὖσαν ἀποτυχεῖν. ταύτην γὰρ δὴ καίπερ οὖσαν ἀδελφὴν, καὶ πολλὰ διὰ ἰουλίας τῆς καίσαρος γυναικὸς ἱκετεύουσαν γαμηθῆναι τῷ ἄραβι συλλαίῳ, διωμόσατο μὲν ἐχθίστην ἕξειν, εἰ μὴ παύσαιτο τῆς σπουδῆς. τὸ δὲ τελευταῖον ἄκουσαν ἀλεξᾷ τινὶ τῶν φίλων συνῴκισεν, καὶ τῶν θυγατέρων αὐτῆς, τὴν μὲν τῷ ἀλεξᾷ παιδὶ, τὴν δὲ ἑτέραν, τῷ πρὸς μητρὸς ἀντιπάτρου θείῳ. τῶν δὲ ἐκ μαριάμμης θυγατέρων, ἡ μὲν ἀδελφῆς υἱὸν ἀντίπατρον εἶχεν. ἡ δὲ ἀδελφοῦ φασάηλον. διακόψας δὲ τὰς τῶν ὀρφανῶν τὰς ἐλπίδας ὁ ἀντίπατρος, καὶ πρὸς τὸ συμφέρον αὐτῷ τὰς ἐπιγαμίας ποιησάμενος, ὡς ἐπὶ βεβαίοις μὲν ὥρμει ταῖς ταῖς ἐλπίσι. προσλαβὼν δὲ τῇ κακίᾳ τὸ πεποιθὸς, ἀφόρητος ἦν. τὸ γὰρ ἑκάστου μῖσος ἀποσκεδάσασθαι μὴ δυνάμενος, ἐκ τοῦ φοβερὸς εἶναι τὴν ἀσφάλειαν ἐπορίζετο. συνήργει δὲ καὶ φερώρας ὡς ἂν ἤδη βασιλεῖ βεβαίῳ. γίνεται δὲ καὶ γυναικῶν σύνταγμα κατὰ τὴν αὐλὴν, ὃ νεωτέρους ἐκίνησε θορύβους. ἡ γὰρ φερώρα γυνὴ, μετὰ τῆς μητρὸς καὶ τῆς ἀδελφῆς προσλαβοῦσα τὴν ἀντιπάτρου μητέρα, πολλὰ μὲν ἠσέλγαινε κατὰ τὸ βασίλειον. ἐτόλμησε δὲ καὶ τοῦ βασιλέως ὑβρίσαι δύο θυγατέρας. διὸ μάλιστα αὐτὴν ἐκεῖνος προεβέβλητο. μισούμεναι γε μὴν ὑπ᾽ αὐτοῦ, τῶν ἄλλων ἐπεκράτουν. μόνη δὲ τῆς ὁμονοίας αὐτῶν ἀντίπαλος ἦν σαλώμη, καὶ βασιλεῖ διέβαλλε τὴν σύνοδον, ὡς οὐκ ἐπ᾽ ἀγαθῷ τῶν αὐτοῦ πραγμάτων εἴη. γνοῦσαι δὲ ἐκεῖναι τὴν διαβολὴν καὶ ὡς ἀγανακτήσειεν ἡρώδης, τῆς μὲν φανερᾶς συνόδου, καὶ τῶν φιλοφρονήσεων ἐπαύσαντο, τοὐναντίον δὲ ὑπεκρίνοντο καὶ διαφέρεσθαι πρὸς ἀλλήλας ἀκούοντος βασιλέως, αἷς συνυπεκρίνετο καὶ ἀντίπατρος, ἐν τῷ φανερῷ προσκρούων φερώρα. συνουσίαι δὲ ἦσαν αὐτοῖς λάθρα, καὶ κῶμοι νυκτερινοί, τήν τε ὁμόνοιαν ἡ παρατήρησις ἐπέτεινεν. ἠγνόει δὲ οὐδὲν σαλώμη τῶν πραττομένων, καὶ πάνθ᾽ ἡρώδῃ διήγγελλεν. ἐξεκαίετο δ᾽ ἐκεῖνος εἰς ὀργὴν, καὶ μάλιστα δ᾽ ἐπὶ τὴν φερώρα γυναῖκα.

A esset adiunctus. Instantissimè verò precabatur quia numerosa esset regia progenies, nuptias permutari. Nouem namque regi vxores erant, sed harum septem vnde filios susceperat, ipsum Antipatrum ex Doride, Herodem autem ex Mariamne pontificis filia: itémque Antipam & Archelaum ex Malthace Samaritide, filiámque Olympiadem, quam frater eius Iosephus habuerat, ex Hierosolymitide verò Cleopatra Herodem & Philippum, necnon ex B Pallade Phasaelum. Habebat autem filias quoque alias, Roxanen & Salomen, vnam ex Phædra, & alteram ex Elpide: duásque vxores sine filiis, consobrinam & fratris filiam: & præter has Alexandri & Aristobuli sorores duas ex Mariamne. Cùm igitur tanta prolis copia superesset, aliter nuptias iungi postulabat Antipater. Rex autem perspecto eius animo, quid de pupillis cogitaret, vehementer iratus est: quippe filiorum quos interfecerat casum reputans, C verebatur ne etiam hi quandoque criminationum Antipatri præmium fierent. Sed tunc quidem sæuioribus dictis eum protelat. Postea verò blanditiis eius adductus, sponsalia reformauit: ac primùm ipsi Antipatro Aristobuli filiam collocat, filium verò eius iungit filiæ Pheroræ. Hinc licebat aduertere: quantum Antipatri valuerit adulatio, quod idem in simili causa impetrare Salome non potuit. hanc enim quamuis soror esset, atque hæc sæpe in D tercedente Iulia vxore Cæsaris postulasset, Arabi Syllæo nubere non passus est: sed inimicissimam sibi fore iurauit, nisi ab hoc studio destitisset. posteáque inuitam Alexæ cuidam ex amicis suis in matrimonium dedit: ciúsque filiarum vnam Alexandri filio, alteram Antipatri auunculo tradidit. Natarum autem Mariamnes vna, sororis filium habebat Antipatrum, altera fratris Phasaelum. Sic interrupta pupillorum spe Antipater, & pro sua E commoditate affinitatibus iunctis, expectatione certa nitebatur: adiectáque malignitati fiducia, nequaquam erat tolerabilis: nam quia singulorum odium vitare non poterat, securitatem sibi ex terrore quærebat: cùm præterea Pheroras ei veluti iam confirmato regi obsecundaret. Quin & mulierum conflata in aula conflictio, nouas turbas excitabat. Etenim Pheroræ vxor cum matre ac sorore sua, necnon & matre Antipatri, multa in re F gia insolenter agebat, ausa etiam duas regis filias contumeliosè tractare: cui rei maximè ab Antipatro erat obiecta. Itaque cùm illi inuisæ essent, alias quidem morigeras habebant: sola verò Salome aduersabatur eorum concordiæ: quódque non bono regis coirent, apud ipsum insimulabat. Cognita verò eius delatione mulieres, quódque Herodes ægrè tulisset aperto quidem conuentu & familiaritate abstinuerunt, contrà verò & discordare inter se G rege audiente simulabant: cùm his adeo colluderet Antipater, vt palàm Pheroram minimè dubitaret offendere: occultos autem cœtus & nocturnas comessationes agebant: carúmque consensionem fecit obseruatio firmiorem: cùm horum nihil ignoraret Salome, sed Herodi cuncta nunciaret. Ille autem ardens iracundia, maximéque aduersus Pheroræ coniugem,

Ant. lib. 17. cap. 3.

Ant. li. 17. cap. 4.

quòd eam præter cæteras accusaret Salome, aduocato cognatorum amicorúmque concilio, & alia multa mulieri & filiarum contumelias crimini dedit, quódque Pharisæis mercedem contra se præbuisset, fratrémque sibi hostem reddidisset expugnatum venenis. Postremò conuersus ad Pheroram, vtrum, ait, se fratrem, an vxorem vellet optare? Cúmque ille se citius vita dixisset quàm coniuge cariturum, incertus quid ageret, ad Antipatrum sermonem contulit: ac ne cum Pherora vel eius coniuge, aut quouis alio, qui ad eam pertineret, vnquam colloqueretur edixit. Verùm ille palàm præcepta custodiens, in occulto cum his pernoctabat: metuénsque obseruationem Salomes, per amicos in Italia degentes, vt Romam proficisceretur, effecit ipsorum perlatis literis, vbi Antipatrum aliquanto pòst tempore ad Cæsarem mitti oportere perscriberent. Igitur Herodes nihil moratus eum misit: cunctis quæ vsui forent, magnáque pecunia liberaliter instructum, testamentúmq; vnà ei portandum dedit, in quo rex ipse Antipater inscriptus erat, & Antipatri successor Herodes, ex Mariamne pontificis filia procreatus. Quin & Syllæus Arabs itidem Romam, neglecto Cæsaris præcepto, nauigauit: de his cum Antipatro certaturus, de quibus cum Nicolao causam antè dixerat. Nó leue autem cum Areta rege suo certamen habebat, cuius & alios amicos interfecerat, & Soemum in Petra oppido potentissimum, redemptóque Fabato procuratore Cæsaris fautore vtebatur etiam in Herodem. Sed maiore pecunia data Herodes Fabatum à Syllæo alienauit: ac per eum quæ Cæsar iusserat exigebat. ille autem cùm nihil dedisset, accusabat apud Cæsarem Fabatum, dispensatorem esse dicens, nó quæ ipsi, sed quæ Herodi expedirét. Quibus commotus ad iracundiam Fabatus, adhuc autem apud Herodem in honore maximo habebatur, secretorum Syllæi proditor factus est: regíque indicauit, quòd Syllæus Corinthum eius satellitem pecunia corrupisset, cúmque asseruari oporteret. neque rex id facere dubitauit: quoniam Corinthus iste, licèt in aula regis esset educatus, ex Arabia tamen fuerat oriundus. Igitur mox non illum solùm corripi, sed etiam duos alios Arabas iussit apud eum repertos, vnum Syllæi amicum, alterum Phylarchum. Qui subditi quæstioni, magna pecunia Corintho, vt Herodem occideret, persuasisse cófessi sūtq; etiá à Saturnino Syriæ rectore interrogati, Romam transmissi sunt.

Cap. XIX. De veneno Herodi parato, & quomodo compertum sit.

At Herodes Pheroræ vehemétius imminebat, vt repudiaret vxoré, neq; quomodo mulierem plecteret inueniebat, cū multas in eam odij causas haberet, donec ipsum etiam fratrem cū ea supra modum indignatus eiecit. Pheroras auté æquo animo accepta iniuria, in tetrarchiam suam recessit, iuratus vnum sibi exilij finem fore mortem Herodis, neque ad eum reuersurum esse dum vixerit. Denique nec ægrotum quamuis sæpè accitus fratrem inuisere voluit, cùm quibusdam mandatis eū quasi moriturus vellet instruere. Sed ille quidem præter spem conualuit. Postquam autem Phe-

ταύτην γὰρ πλέον ἡ Σαλώμη διέβαλλεν. ἀθροίσας γοῦν συνέδριον τῶν τε φίλων καὶ συγγενῶν, ἄλλα τε πολλὰ τῆς ἀνθρώπου κατηγόρει, καὶ τὴν εἰς τὰς αὐτοῦ θυγατέρας ὕβριν, ὅτι τε Φαρισαίοις μὲν χορηγήσειε μισθοὺς κατ' αὐτοῦ, καὶ τὸν ἀδελφὸν αὐτῷ κατασκευάσειε πολέμιον, ἐνδησαμένη φαρμάκοις. τελευταῖον δέ, εἰς Φερώραν ἀπέστρεψε τὸν λόγον, δυοῖν θάτερον ἑλέσθαι λέγων, ἢ αὐτὸν ἀδελφόν, ἢ τὴν γυναῖκα. τοῦ δὲ θᾶττον ἀπολείψειν τὸ ζῆν, ἢ τὴν γυναῖκα φήσαντος, οὐκ ἔχων ὅτι χρὴ δρᾶν, μετέβαινεν ἐπ' Ἀντίπατρον, ᾧ παρήγγελλε, μήτε τῇ Φερώρα γυναικί, μήτε αὐτῷ, μήτε ἄλλῳ τινὶ τῶν ἐκείνης διαλέγεσθαι. ὁ δὲ φανερῶς μέν, οὐ μετέβαινε τὸ πρόσταγμα. λάθρα δέ, διενυκτέρευε σὺν ἐκείνοις. καὶ δεδοικὼς ἐπιτηροῦσαν τὴν Σαλώμην, πραγματεύεται διὰ τῶν ἐπὶ τῆς Ἰταλίας φίλων, τὴν εἰς Ῥώμην ἀποδημίαν αὐτῷ. γραψάντων γὰρ ἐκείνων, δεῖν Ἀντίπατρον πεμφθῆναι διὰ χρόνου πρὸς Καίσαρα, ὁ δὲ οὔτι μελλήσας ἐξέπεμψε, θεραπείαν τε λαμπρὰν καὶ πλεῖστα δοὺς χρήματα, τήν τε διαθήκην κομίζειν. ἐν ᾗ βασιλεὺς μὲν Ἀντίπατρος ἐγέγραπτο. Ἀντιπάτρου δὲ Ἡρώδης διάδοχος ὁ ἐκ Μαριάμμης τῆς τοῦ ἀρχιερέως θυγατρὸς γεγονώς. ἔπλευσε δὲ καὶ Συλλαῖος ὁ Ἄραψ ἐπὶ Ῥώμης, ἠμεληκὼς μὲν τῶν Καίσαρος προσταγμάτων, ἀγωνιούμενος δὲ πρὸς Ἀντίπατρον, περὶ ὧν δεδίκαστο Νικολάῳ, πάλαι. οὐ μικρὸς δὲ αὐτῷ καὶ πρὸς Ἀρέταν ἦν ἀγὼν τὸν αὐτοῦ βασιλέα. τούτου γὰρ ἄλλους τε φίλους ἀνῃρήκει, καὶ Σόεμον, τῶν ἐν Πέτρᾳ τὸν δυνατώτατον. πείσας δὲ πολλοῖς χρήμασι Φάβατον τὸν Καίσαρος διοικητὴν ἐχρῆτο βοηθῷ καὶ καθ' Ἡρώδου. πλείονα δὲ δοὺς Ἡρώδης, ἀφίστησί τε ἀπὸ Συλλαίου Φάβατον, καὶ δι' αὐτοῦ τὰ κελευσθέντα ὑπὸ Καίσαρος εἰσέπραττεν. ὁ δὲ μηδὲν ἀποδούς, ἔτι καὶ κατηγόρει Φαβάτου πρὸς Καίσαρα, διοικητὴν εἶναι λέγων, οὐ τῶν ἐκείνου, τῶν δὲ Ἡρώδου συμφερόντων. ἐφ' οἷς ὀργισθεὶς Φάβατος, ἦν δὲ ἔτι παρ' Ἡρώδῃ μάλιστα τιμώμενος, γίνεται προδότης Συλλαίου τῶν ἀπορρήτων. τότε βασιλεῖ φησί, ὅτι Συλλαῖος διαφθείρειεν αὐτοῦ τὸν σωματοφύλακα Κόρινθον χρήμασιν, ὃν δεῖ φυλάττεσθαι. πείθεται δ' ὁ βασιλεύς, καὶ γὰρ τεθράπτο μὲν ὁ Κόρινθος ἐν τῇ βασιλείᾳ, γένος δ' ἦν Ἄραψ. συλλαμβάνει δ' εὐθέως, οὐκ αὐτὸν μόνον, ἀλλὰ καὶ δύο ἑτέρους Ἄραβας, εὑρὼν παρ' αὐτῷ, τὸν μὲν φίλον Συλλαίου, τὸν δὲ φύλαρχον. οἱ δὲ βασανιζόμενοι, πεῖσαι Κόρινθον ὡμολόγησαν ἐπὶ πολλοῖς χρήμασιν, Ἡρώδην ἀνελεῖν. οὗτοι μὲν οὖν ἀνακριθέντες καὶ παρὰ Σατορνίνῳ τῷ διέποντι τὴν Συρίαν, ἀνεπέμφθησαν εἰς Ῥώμην.

Κεφ. ιθ.

Ἡρώδης δ' οὐκ ἀνίει Φερώραν, βιαζόμενος ἀπαλλαγῆναι τῆς γυναικός, οὐδ' ἐπενόει μηχανήν, δι' ἧς ἂν τιμωρήσαιτο τὴν ἄνθρωπον, πολλὰς τοῦ μίσους ἔχων αἰτίας, ἕως ὑπεραλγήσας, σὺν αὐτῇ καὶ τὸν ἀδελφὸν ἐκβάλλει. Φερώρας δὲ ἀγαπήσας τὴν ὕβριν, ἀπαλλάσσεται μὲν εἰς τὴν ἑαυτοῦ τετραρχίαν, ὀμόσας ἕξειν ἕνα τῆς φυγῆς ὅρον, τὸν Ἡρώδου θάνατον, καὶ μηδέποτε πρὸς ζῶντα ὑποστρέψειν. ἐπανῆλθε δὲ οὐδὲ πρὸς νοσοῦντα τὸν ἀδελφόν, καίτοι λιπαρῶς μεταπεμπόμενος. ἐβούλετο γὰρ αὐτῷ τινὰς ἐντολὰς καταλείψειν, ὡς τεθνηξόμενος. ἀλλ' ὁ μὲν παρ' ἐλπίδα σώζεται. μετ' οὐ πολὺ δὲ

νοσεῖ φερώρας. εὑρίσκετο δὲ ἡρώδης μετριώτερος, καὶ γὰρ ἧκε πρὸς αὐτὸν, καὶ συμπαθῶς ἐθεράπευεν, οὐ μὴν ὑπερίσχυσε τὸ πάθος. μετὰ γὰρ ἡμέρας ὀλίγας, ἀποθνήσκει φερώρας. ὃν καίπερ ἀγαπήσας ἡρώδης μέχρι τελευταίας ἡμέρας, ὅμως καὶ αὐτὸν ἀνελεῖν ἐφημίσθη φαρμάκῳ. τόν γε μὴν νεκρὸν εἰς ἱεροσόλυμα κομίσας, πένθος τε μέγιστον ὅλῳ τῷ ἔθνει κατήγγειλε, καὶ κηδείας ἠξίωσε λαμπροτάτης. ἕνα μὲν δὴ τῶν ἀλεξάνδρου καὶ ἀριστοβούλου φονέων, τοιοῦτον περιέρχεται τέλος. μετέβαινε δ᾽ ἐπὶ τὸν αὐθέντην ἀντίπατρον ἡ ποινὴ, τὸν φερώρα θάνατον ἀρχὴν λαβοῦσα. τῶν τούτου γάρ τινες ἀπελευθέρων, κατηφεῖς τῷ βασιλεῖ προσελθόντες, τὸν ἀδελφὸν αὐτοῦ διεφθάρθαι φαρμάκοις ἔλεγον. προσενεγκεῖν μὲν γὰρ αὐτῷ τι τὴν γυναῖκα, τῶν οὐ συνήθως ἐσκευασμένων. φαγόντα δὲ, εὐθέως εἰς τὴν νόσον καταπεσεῖν. ἠγμένας τε πρὸ δυοῖν ἡμερῶν, τὴν μητέρα ταύτης, καὶ τὴν ἀδελφὴν, γύναιον ἐκ τῆς ἀραβίας, φαρμάκων ἔμπειρον, ὅπως φίλτρον σκευάσῃ τῷ φερώρᾳ, δεδωκέναι δὲ ἀντὶ τούτου, θανάσιμον συλλαίου πραγματευσαμένου, τούτῳ γὰρ ἦν γνώριμον. πληγεὶς οὖν ὁ βασιλεὺς ὑποψίαις πλείοσι, θεραπαίνας τε καί τινας τῶν ἐλευθέρων ἐβασάνιζεν. ἐβόα δέ τις ἐν ταῖς ἀλγηδόσι, θεὸς ὁ γῆν καὶ οὐρανὸν διέπων, μετέλθοι τὴν τούτων ἡμῖν τῶν κακῶν αἰτίαν, τὴν ἀντιπάτρου μητέρα. ταύτης τῆς ἀρχῆς ὁ βασιλεὺς λαβόμενος, ἐπεξῄει πρόσω τὴν ἀλήθειαν ἐπιζητῶν. ἡ δὲ γυνὴ, τήν τε φιλίαν τῆς ἀντιπάτρου μητρὸς πρὸς φερώραν, καὶ τὰς ἐκείνου γυναῖκας ἐδήλου, καὶ τὰς λαθραίας αὐτῶν συνόδους, ὅτι τε φερώρας καὶ ἀντίπατρος σὺν ἐκείναις πίνοιεν ὑποστρέφοντες ἀπὸ τοῦ βασιλέως, δι᾽ ὅλης νυκτὸς, μηδένα μήτε οἰκέτην, μήτε θεράπαιναν ἐῶντες παρατυγχάνειν. μία δὴ τῶν ἐλευθέρων ταῦτα μηνύει. τὰς δὲ δούλας χωρὶς ἑκάστην ἡρώδης ἐβασάνιζεν. ἐρρήθη δὲ παρὰ πάσαις τὰ προειρημένα συμφώνως, καὶ διότι κατὰ συνθήκην, ἀντίπατρος μὲν εἰς ῥώμην, φερώρας δὲ ὑποχωρήσειεν εἰς τὴν περαίαν. πολλάκις γὰρ αὐτοὺς διαλαλεῖν, ὡς μετὰ ἀλέξανδρον καὶ ἀριστόβουλον, ἐπ᾽ αὐτοὺς ἡρώδης διαβήσεται, καὶ τὰς αὐτῶν γυναῖκας. οὐ γὰρ φείσασθαι μετὰ μαριάμμην, καὶ τοὺς ἐξ ἐκείνης, ἑτέρου τινὸς, ὥστε ἄμεινον εἶναι, ὡς πορρωτάτω φυγεῖν τοῦ θηρίου. πολλάκις δὲ ἀποδυρόμενον, πρὸς τὴν μητέρα, τὸν ἀντίπατρον εἰπεῖν, ὡς αὐτὸς μὲν εἴη πολιὸς ἤδη, νεάζοι δὲ καθ᾽ ἡμέραν ὁ πατὴρ, φθάσαι δ᾽ ἂν τάχα καὶ τελευτήσας, πρὶν ἄρξασθαι βασιλείας ἀληθοῦς. εἰ δὲ καί ποτε ἐκεῖνος τελευτήσειε, πότε δ᾽ ἂν γενέσθαι τοῦτο, παντάπασιν αὐτῷ τὴν ἀπόλαυσιν τῆς διαδοχῆς γενέσθαι σύντομον. ὑποβλαστάνειν δὲ τὰς τῆς ὕδρας κεφαλὰς, τοὺς ἀριστοβούλου καὶ ἀλεξάνδρου παῖδας. ἀφῃρῆσθαι δὲ αὐτὸν ὑπὸ τοῦ πατρὸς, καὶ τὴν ἐπὶ τέκνοις ἐλπίδα. διάδοχον γὰρ οὐ τῶν αὐτοῦ τινα παίδων μετὰ τὴν τελευτὴν, ἀλλὰ τὸν μαριάμμης ἡρώδην γεγραφέναι. καὶ κατὰ τοῦτό γε παντάπασι παραγηρᾶν οἰόμενον αὐτοῦ καὶ διαθήκας μένειν κυρίας. αὐτὸν γὰρ προνοήσειν μηδένα τοῦ γένους ἀπολιπεῖν. ὄντα γε μὴν τῶν πώποτε πατέρων μισοτεκνότατον ἡρώδην, πολλῷ μᾶλλον εἶναι μισάδελφον. δοῦναι γοῦν αὐτῷ πρώην ἑκατὸν τάλαντα, ἐπὶ τῷ μὴ διαλέγεσθαι φερώρᾳ. τοῦ δὲ εἰπόντος, τί γὰρ

in morbum incidit, tum Herodis patientia demonstrata est. Nam & venit ad eum, & humanissimè curatum voluit: sed morbum superare non quiuit: intra dies enim paucos est mortuus. Quem licèt vsque ad vltimum vitæ diem dilexisset Herodes, tamen quòd illum quoque veneno peremisset, fama vulgatum est. Verùm eius corpore in Hierosolymam deportato, luctum maximum cunctæ genti denunciauit, clarissimáq; funus sepultura dignatus est. Vnus quidem interfector Alexandri & Aristobuli, hunc exitum vitæ sortitus est. Transiit autem in Antipatrum autorem pœna sceleris, ex interitu Pheroræ nacta principium. Quidam enim ex eius libertis, cùm regem tristes adiissent, fratrem ipsius Pheroram veneno interceptum esse dicebant. nam quendam ei cibum obtulisse coniugem suam, & non eo quo solebat modo conditum: eóque sumpto illum morbo protinus esse correptum. Venisse autem ante biduum, matris ac sororis eius accitu quandam veneficam mulierculam ex Arabia, vt venenum Pheroræ conficeret amatorium: & pro amatorio dedisse mortiferum Syllæi consilio: namque illi notam fuisse. Perculsus igitur plurimis suspicionibus rex, ancillas & nonnullas libertinas quæstioni subiecit. Ibique tum exclamat aliqua doloris impatiens. Deus cæli terræque rector, in matrem Antipatri, quæ horum nobis malorum causa est, vindicet. Hoc rex initium nactus, persequebatur vlterius indaginem veritatis. Mulier verò & matris Antipatri familiaritatem cum Pherora eiúsque mulieribus, & occultos eorum conuentus aperuit; quódque Pheroras & Antipater redeuntes à rege, tota cum illis nocte potare soliti essent, seruis omnibus exclusis & ancillis. Vna quidem libertinarum hæc indicauit. Cùm autem ancillæ separatim singulæ torquerentur, patuit omnium dicta congruere, qua de causa Romam quidem Antipater ex composito, Pheroras verò trans flumen secedere curauisset. Nam sæpe illos in sermone dixisse, quòd post Alexandrum & Aristobulum ad ipsos eorúmque coniuges transiturus esset Herodes. Nec alicui posse parcere, qui Mariamne eiúsque filiis minimè pepercisset: ideóque melius esse, ab hac belua quàm longissimè fugere. Sæpe autem dixisse matri Antipatrum conquerentem, quòd cùm ipse iam canus esset, pater in dies singulos iuuenesceret, seq; fortasse priùs quàm regnare incipiat moriturum: aut si vnquam ille decesserit (quando autem istud futurum?) voluptatem sibi successionis omnino fore breuissimam. Pullulare præterea hydræ capita, hoc est Alexandri & Aristobuli filios: sibi autem filiorum quoq; spem ademptam esse patris iniuria: qui non eorum quenquam post mortem suam regni successorem, sed Mariamnes filium scripsisset hæredem. Qua quidem in re prorsus eum senectute delirare, si testamento suo standum arbitraretur. se namque vt ex eius progenie nemo superesset curaturum. Quinetiam cùm omnes patres, quibus inuisi vnquam filij fuerunt, odio vincat; plus tamen eum etiam fratres odisse. Denique nuper sibi ne cum Pherora colloqueretur, centum talenta donasse:

Ant. li. 17. cap. 5.

atque cùm Pheroras diceret, quid enim per nos lædebatur? respondisse Antipatrum, vtinam cunctis ablatis nudos se dummodo viuos relinqueret. Verùm hoc nequaquam fieri posse, vt tam pestiferam bestiam quisquam effugiat, sub qua nec amicis esse palàm licere. Denique nunc occultè, inquit, conuenimus: licebit autem apertè, si virorum spiritum manúsque habeamus. Hæc in tormentis ancillæ prodiderunt: & quòd Pheroras cum illis Petram fugere cogitasset. Vt omnibus autem dictis Herodes crederet, centum talentis effectum est. De his enim soli Antipatro dixerat. Igitur ante alios in Doridem Antipatri matrem furor eius erumpit: eámque omni ornatu, quem illi donauerat, spoliatam, multis comparato talentis, expellit. Deinde ira deposita, Pheroræ mulieres à tormentis recreabat. Timore autem pauidus erat, & ad omnes suspiciones excitabatur: multósque innocentes, metu ne quem nocentium prætermitteret: in tormenta ducebat. Hinc ad Samaritam se conuertit Antipatrum, qui procurator erat Antipatri, & ex illius tormentis comperit, necandi sui causa ex Ægypto Antipatrum venenum malum petiisse, per quendam Antiphili amicum: idque ab eo Antipatri auunculum accepisse Theudionem, ac Pheroræ tradidisse, cui mandasset Antipater vt Herodem occideret, dum ipse Romæ abesset, ac suspicione careret: Pheroram verò venenum vxori suæ dedisse seruandum. Itaque hanc euocatam, statim rex quod acceperat afferre iubet. Illa verò quasi allatura egressa, de tecto se precipitem dedit, vt eo modo probationes & regis tormenta præueniret. Sed Dei prouidentia, sicut apparet, quæ ab Antipatro pœnas repeteret, non in caput, sed in diuersam delata partem, periculum mortis euasit. Portatáque ad regem, vbi resipiscere potuit (nam casus eam perturbauerat) quamobrem se præcipitasset interrogata. adiurante rege, quòd vera dicenti remitteret omne supplicium: sin falsa promere maluisset, corpus eius tormentis absumeret, neque sepulturæ quicquam relinqueret: paulisper tacuit. deinde inquit, Secreta custodio, cùm Pheroras obierit, Antipatro qui nos omnes perdidit seruitura? Audi rex, & tecum Deus testis mihi veritatis, qui falli non potest. Cùm Pheroræ morituro lacrymans assiderem, tunc ille me ad se vocauit: En multum, inquit, coniunx de fratris erga me animo sum deceptus. Nam qui sic me diligeret, inuisum habui, & necare cogitaui: qui tanto nunc mei, quamuis necdum mortui, dolore confunditur. Sed ego quidem impietatis precium fero: tu verò quod in eum seruas relictum nobis ab Antipatro venenum, huc affer properè, méque vidente consume, ne ad inferos quoque vltricem huius sceleris conscientiam deferam. Ita vt iussit attuli, & magnam quidem veneni partem sub obtutibus eius in ignem effudi: modicum verò mihi propter dubios casus, & quæ te metuerem, reseruaui. His dictis, illa quidem omnino paululum quiddam veneni habentem pyxidẽ profert: rex verò in matrẽ fratrẽq; Antiphili cõtulit quæstionẽ.

αὐτὸν ἐβλάπτομεν; ἀποκρίνασθαι τὸν ἀντίπατρον, εἴθε πάνθ' ἡμᾶς ἀφελόμενος, γυμνοὺς ἐάσῃ γε ζῶντας. ἀλλὰ ἀμήχανον ἐκφυγεῖν οὕτω φονικὸν θηρίον, παρ' ᾧ μηδὲ φιλεῖν τινὰς ἔξεστι φανερῶς, λάθρα γε μὴν ἀλλήλοις σύνεσμεν, ἐξέσται δὲ φανερῶς, ἐὰν σχῶμέν ποτε ἀνδρῶν φρόνημα καὶ χεῖρας. ταῦτα ἔλεγον αἱ βασανιζόμεναι, καὶ ὅτι φερώρας βουλεύσαιτο φυγεῖν μετ' αὐτῶν εἰς πέτραν. ἐπίστευσε δὲ πᾶσιν ἡρώδης τοῖς λεγομένοις, ἐκ τῶν ἑκατὸν ταλάντων. μόνῳ γὰρ ἀντιπάτρῳ διείλεκτο περὶ αὐτῶν. ἀποσκήπτει δ' εἰς τὴν πρώτην ὁ θυμὸς δωρίδα τὴν ἀντιπάτρου μητέρα. καὶ γυμνώσας αὐτὴν παντὸς οὗ δεδώρητο κόσμου, πολλῶν δ' ἦν ταλάντων, ἐκβάλλει δεύτερον. τὰς δὲ φερώρα γυναῖκας ἀπὸ τῶν βασάνων, ἐπιμέλει διηλλαγμένος. ἐπτόητο δὲ τῷ φόβῳ καὶ πρὸς πᾶσαν ὑπόνοιαν ἐξερριπίζετο, πολλούς τε τῶν οὐκ αἰτίων εἷλκεν εἰς βασάνους, δεδοικὼς μή τινα τῶν αἰτίων παραλίπῃ. κἂν τούτῳ τρέπεται πρὸς τὸν σαμαρείτην ἀντίπατρον, ὃς ἦν ἐπίτροπος ἀντιπάτρου. βασανίζων δὲ αὐτὸν ἤκουσεν, ὅτι μεταπέμψαιτο μὲν ἀντίπατρος ἐξ αἰγύπτου δηλητήριον φάρμακον ἐπ' αὐτὸν, διά τινος τῶν ἑταίρων ἀντιφίλου. λάβοι δ' παρ' ἐκείνου, θευδίων ὁ θεῖος ἀντιπάτρου, καὶ παραδοῖ φερώρᾳ. τούτῳ γὰρ ἐντείλασθαι τὸν ἀντίπατρον, ἡρώδην ἀνελεῖν, ἕως αὐτὸς ἐστὶν ἐν ῥώμῃ τῆς ὑπονοίας κεχωρισμένος. φερώραν δὲ παραθέσθαι τῇ γυναικὶ τὸ φάρμακον. ταύτην ὁ βασιλεὺς μεταπεμψάμενος αὐτίκα τὸ ληφθὲν ἐκέλευσε κομίζειν. ἡ δὲ, ἔξεισιν ὡς κομιοῦσα, ῥίπτει δὲ αὑτὴν ἀπὸ τοῦ τέγους, τόν τε ἔλεγχον, καὶ τὴν ἐκ τοῦ βασιλέως αἰκίαν φθάνουσα. προνοίᾳ δὲ ὡς ἔοικε θεοῦ μετιόντος ἀντίπατρον, οὐκ ἐπὶ κεφαλὴν, ἀλλ' ἐπὶ θάτερα πεσοῦσα διασώζεται. κομισθεῖσαν δ' αὐτὴν ὁ βασιλεὺς ἀνακτησάμενος, κεκάρωτο γὰρ ἐκ τοῦ πτώματος, ἤρετο δι' ἣν αἰτίαν ῥίψειεν ἑαυτὴν, εἰ μὲν εἴποι τἀληθὲς ἀφήσειν πάσης τιμωρίας ἐπομνύμενος, εἰ δ' ὑποστείλαιτο διαπανήσειν αὐτῆς ἐν βασάνοις τὸ σῶμα, καὶ μηδὲ τάφῳ καταλείψειν. πρὸς ταῦτα ἡ γυνὴ διαλιποῦσα μικρόν. καὶ τί γὰρ ἔτι φείδομαι τῶν ἀπορρήτων, φερώρα τεθνεῶτος, ἢ σώζουσα τὸν ἀπολέσαντα πάντας ἡμᾶς ἀντίπατρον; ἄκουε βασιλεῦ, καὶ μετὰ σοῦ θεὸς, μάρτυς ἐμοὶ τῆς ἀληθείας, πλανηθῆναι μὴ δυνάμενος. ὅτε ἀποθνήσκοντι φερώρᾳ παρεκαθεζόμην δακρυμένη, τότε με προσκαλεσάμενος ἐκεῖνος, ἦ πολύ γε ἔφη γύναι τῆς εἰς ἐμαυτὸν διανοίας τοῦ ἀδελφοῦ διήμαρτον, τὸν οὕτω στέργοντα μισήσας, καὶ κτεῖναι βουλευσάμενος τὸν οὕτως ἐπ' ἐμοὶ μηδέπω τεθνεῶτι συγχεόμενον. ἀλλ' ἐγὼ μὲν ἀπέχω τῆς ἀσεβείας τὸ ἐπιτίμιον, σὺ δὲ ὃ φυλάττεις κατ' αὐτοῦ φάρμακον ὑπ' ἀντιπάτρου καταληφθὲν ἡμῖν φέρε, καὶ βλέποντος μου ταχέως ἀφάνισον, ἵνα μὴ καθ' ᾅδου φέρωμι τὸν ἀλάστορα. κελεύσαντος ἐκόμισα, καὶ πλεῖστον μὲν εἰς τὸ πῦρ ὁρῶντος αὐτοῦ κατεκένωσα, βραχὺ δ' ἐμαυτῇ πρὸς τὰ ἄδηλα, καὶ τὸ ἐκ σοῦ φόβον ἐτήρησα. ταῦτα εἰποῦσα, προσκομίζει τὴν πυξίδα βραχὺ παντάπασιν ἔχουσαν τοῦ φαρμάκου. βασιλεὺς δ' ἐπὶ τὴν μητέρα τὴν ἀντιφίλου καὶ τὸν ἀδελφὸν, τὰς βασάνους μετέφερε.

κἀκεῖ-

κἀκεῖνοι τὸν ἀντίφιλον, κομίσαι τε ἀπ' αἰγύπτου τὴν πυξί-
δα ὡμολόγουν, καὶ λαβεῖν παρ' ἀδελφοῦ τὸ φάρμακον ἔφα-
σκον, ἰατρεύοντος ἐν ἀλεξανδρείᾳ. περιιόντες δ' οἱ ἀλε-
ξάνδρου καὶ ἀριστοβούλου δαίμονες ἅπαν τὸ βασίλειον,
ἐρευνηταί τε καὶ μηνυταὶ τῶν ἀδήλων ἐγίνοντο, τούς τε
πορρωτάτω τῆς ὑποψίας ὄντας, εἷλκον εἰς τοὺς ἐλέγχους.
εὑρίσκεται γοῦν καὶ ἡ τοῦ ἀρχιερέως θυγάτηρ μαριάμμη,
τῆς ἐπιβουλῆς συνίστωρ. βασανιζόμενοι τοῦτο ἀπέδει-
ξαν αὐτῆς οἱ ἀδελφοί. βασιλεὺς δὲ τῆς μητρῴας τόλμης,
τὸν υἱὸν ἠμύνατο. τὸν γοῦν ἐξ αὐτῆς ἡρώδην ὄντα διά-
δοχον ἀντιπάτρου, τῆς διαθήκης ἐξήλειψεν.

Κεφ. κ.

Ἐπὶ τούτοις, καὶ βάθυλλος εἰς τοὺς ἐλέγχους συνέ-
δραμεν, ἡ τελευταία πίστις τῶν ἀντιπάτρου βεβου-
λευμένων. ἦν μὲν γὰρ ἀπελεύθερος αὐτοῦ. κομίζων δὲ
ἧκεν ἄλλο δηλητήριον, ἰὸς ἀσπίδων, καὶ χυλοὺς ἑτέρων
ἑρπετῶν, ἵν' εἰ τὸ πρῶτον ἀσθενήσῃ φάρμακον, τούτῳ
φερώρας μετὰ τῆς γυναικὸς ὁπλίσαιτο κατὰ τοῦ βασιλέως.
πάρεργον δὲ τῆς ἐπὶ τὸν πατέρα τόλμης ἐκόμιζε τὰς κατὰ
τῶν ἀδελφῶν ἐσκευωρημένας ἐπιστολὰς ὑπ' ἀντιπά-
τρου. ἦσαν δὲ ἀρχέλαος καὶ φίλιππος βασιλέως παῖδες,
ἐπὶ ῥώμης παιδευόμενοι, μειράκια τε ἤδη καὶ φρο-
νήματος μεστοί. τούτους ἐπανακύπτοντας αὐτοῦ τῆς ἐλπί-
σιν, ἀποσκευάσασθαι σπεύδων ἀντίπατρος, ἃς μὲν πλάσ-
σεται κατ' αὐτῶν ἐπιστολὰς ἐξ ὀνόματος τῶν ἐπὶ ῥώμης
φίλων, οὓς δὲ πείθει γράψαι διαφθείρας χρήμασιν, ὡς
πολλὰ μὲν βλασφημοῖεν τὸν πατέρα, φανερῶς δὲ ἀλέ-
ξανδρον καὶ ἀριστόβουλον ὀδύροιντο, πρός τε τὴν μετά-
κλησιν ἀγανακτοῖεν. ἤδη δὲ αὐτοὺς ὁ πατὴρ μετεπέμ-
πετο, καὶ τοῦτο ἦν μάλιστα ταράσσον ἀντίπατρον. ἔτι δὲ
καὶ πρὸ τῆς ἀποδημίας ἐν ἰουδαίᾳ μένων, τοιαύτας
κατ' αὐτῶν ἀπὸ ῥώμης ἠγόραζεν ἐπιστολάς, καὶ προσ-
ιὼν τέως ἀνύποπτος ἦν τῷ πατρί, περὶ τῶν ἀδελφῶν
δὲ ἀπελογεῖτο, τὰ μέν, ψευδῆ λέγων εἶναι τῶν γραφο-
μένων, τὰ δέ, νεότητος ἁμαρτήματα. τηνικαῦτα γε
μὴν τοῖς γράφουσι κατὰ τῶν ἀδελφῶν πλεῖστα δοὺς χρή-
ματα, συμφύρειν ἐπειρᾶτο τὸν ἔλεγχον, ἐσθῆτας πο-
λυτελεῖς, καὶ στρωμνὰς ποικίλας, ἐκπώματά τε ἀρ-
γυρᾶ καὶ χρυσᾶ συνωνούμενος, ἄλλα τε πολλὰ τῶν
κειμηλίων, ἵνα τῷ πλήθει τῆς εἰς ταῦτα δαπάνης τοὺς
εἰς ἐκεῖνα μισθοὺς ἐγκατακρύψῃ. διακόσια γοῦν
ἀναλώματος ἀνήνεγκε τάλαντα, καὶ τούτων μεγί-
στη πρόφασις ἦν, ἡ πρὸς συλλαῖον δίκη. πάντων δὲ
αὐτοῦ τότε καὶ τῶν βραχυτέρων ἐν τῷ μείζονι κακῷ
διακαλυφθέντων, ὅτε αἱ μὲν βάσανοι πᾶσαι τὴν πα-
τροκτονίαν, αἱ δὲ ἐπιστολαὶ δευτέρας ἀδελφοκτονίας
κεκράγεσαν, ὅμως οὐδεὶς τῶν εἰς ῥώμην ἀφικνουμέ-
νων ἀπήγγελλεν αὐτῷ τὰς ἐν ἰουδαίᾳ τύχας, καίτοι
μεταξὺ τῶν ἐλέγχων, καὶ τῆς ἐπανόδου, διελθόντων
ἑπτὰ μηνῶν. τοσοῦτον πρὸς αὐτὸν ἐκ πάντων μῖσος
ἦν, τάχα καὶ τοὺς ἀπαγγέλλειν προαιρουμένους οἱ
ἀνῃρημένων δαίμονες ἀδελφῶν ἐφίμουν. γράφει γοῦν
ἀπὸ ῥώμης ἄφιξιν αὐτοῦ ταχεῖαν εὐαγγελιζόμενος,
καὶ ὡς ὑπὸ καίσαρος μετὰ τιμῆς ἀπολυθείη. βασι-
λεὺς δὲ εἰς χεῖρας λαβεῖν σπεύδων τὸν ἐπίβουλον,
καὶ δεδοικὼς μή ποτε προγνοὺς φυλάξηται, δι' ἐπι-
στολῶν ἀνθυπεκρίνετο, τά τε ἄλλα φιλοφρονούμενος,

A Verùm hi quoque Antiphilum ex Ægypto attulisse pyxidem fatebantur. illúmque venenum à fratre apud Alexandriam exercente medicinam accepisse dicebant. Totum autem regnum circumeuntes Alexandri & Aristobuli manes, ipsi erant incertarum rerum exploratores atque indices, & à suspicionibus remotissimos ad probationes trahebant. Denique etiam pontificis filiam Mariamnem, consciam esse maleficiorum patuit. Hoc enim B tortis eius fratribus demonstratum est. Rex autem matris audaciam filij quoque pœna coercuit. Nam quem illa pepererat Herodem, patri successorem scriptum ex testamento deleuit.

CAP. XX. De Antipatri in Herodem malignis studiis deprehensis & vltis.

Post hæc etiam Bathyllus nouissima consiliorum Antipatri fides documentis accessit. Namque is erat quidem libertus eius: aliud autem venenum ferens, hoc est, aspidum virus, aduenerat, aliorúmque serpentum suc- C cos: vt si prius fuisset inualidum, hoc se Pheroras cum sua coniuge in regem armaret. Idem verò præter susceptam contra salutem patris audaciam, velut operam succisiuam, habebat epistolas aduersum fratres compositas ab Antipatro. Erant autem Romæ in studiis Archelaus & Philippus, iam adolescentuli, magníque animi, regis filij, quos Antipater velut imminentes spei suæ remouere festinans quasdam in eos literas ipse finxit, amicorum D nomine Romæ degentium. Nonnullis autem corruptis scribere persuasit: quòd multis patrem maledictis carperent: ac de Alexandri & Aristobuli nece manifestè quererentur, séque accitos esse grauiter ferrent: iam enim pater eos redire præceperat, idque maximè solicitabat Antipatrum. Quinetiam prius quã proficiscerentur, in Iudæa constitutus Antipater, eiusdem modi contra eos Romæ literas mercabatur: patrémque adeundo vitan- E dæ suspicionis causa fratres purgare simulabat: quædam falsò scripta, quædam verò adolescentiæ peccata esse commemorans. Quo quidem tempore scriptoribus epistolarum, quas in fratrum perniciem simulabat, plurimis pecuniis datis, sumptuum confundere tentabat indicia, vestem preciosam variáque stragula, poculáque argentea necnon & aurea comparando, aliáque plurima instrumenta, vt preciorum magnitudine mercedes falsa- F riis erogatas celaret. Denique ducenta talenta retulit expensa, & eorum maxima fuit occasio causa Syllæi. Vniuersis autem malis tunc minoribus maiore contectis: cùm omnia quidem tormenta de parricidio, epistolæ verò de iteratis fratricidiis conclamarent, nemo tamen ex Iudæa venientium, quo loco fortunæ domus essent ei nunciauit, quamuis inter scelus probatum & ipsius reditum septem mensium interualla fluxissent. Ita erat inui- G sus omnibus. Fortasse autem etiam quibus indicandi voluntas fuit per interfectorum fratrum manes obmutescebant. Denique Roma literas misit, continuò se venturum esse, quódque honorificè dimissus esset à Cæsare nuncians. Rex autem insidiatorem manibus tenere desiderans: timénsque ne si quid præsciisset, fortè caueret, ipse quoque literis beneuolentiam simulans, & alia familiarissimè scripsit,

Ant. li. 17. cap. 8.

& vt reuersionem suam maturaret orauit. Nã si properasset, matris suæ quoque offensionem posset componere, quam expulsam esse non ignorauit Antipater. Primam quidem iam de morte Pheroræ susceperat epistolam apud Tarentem, eúmque vehementur luxerat: id autem nonnullis de patruo laudabile videbatur: sed quantum intelligi datur, causa doloris erat, quòd insidiæ pro voto non cessérant: neque tam Pheroram flebat, quàm maleficiorum ministrum. Præterea metus cum quidam ob ea quæ confecerat occupabat, ne quãdo fortè deprehenderetur venenum. Tunc autem in Cilicia patris epistola sibi reddita quam suprà memoraui, statim quidem festinabat: sed postquam in Celenderin delatus est, subit eum quædam materni casus cogitatio, anima iam per semetipsam diuinante. Et amicorum quidem prudentiores ei suadebant, ne prius patrem conueniret, quàm pro certo cognosceret, quibus ex causis matrem suam repudiasset: namque timere, ne fortè criminibus matris adderetur. Minus autẽ prudentes, & visendæ patriæ cupidi magis, quàm quid Antipatro esset vtile considerantes, vt properaret monebant, ne ex ipsa mora & patri causam prauæ suspicionis, & occasionem præbæret calumniantibus. Nunc enim si quid motum est, in absentem esse factum: nec enim præsente illo quenquam id ausurum fuisse. Absurdum autem videri, propter suspiciones in certas certis bonis carere, neque maturè se patri reddere, ab eóque regnum accipere, quòd solo ipso niteretur. Paruit his Antipater, impellente fortuna, transmissúsque in Sebastum Cæsariæ portum defertur. Occurrit autem illi præter opinionem maxima solitudo cùm omnes eum deuitarent, nullúsque auderet accedere. Nam etsi semper æquè inuisus erat, odio tamen vt proderetur tunc data libertas est. Multos autem auertebat ex rege formido, quoniam cunctas iam ciuitates de Antipatro fama repleuerat, solúsque de se quid ageretur Antipater ignorabat. Nec enim vel clariùs eo quisquam deductus est, cùm Romam nauigaret, vel ignobilius inde susceptus est. Enimuerò clades ille domesticas intelligens, calliditate celabat, metúque penè mortuus, vultu confidentiam simulabat. Et neque fugæ spes vlla erat, neque circumstantibus malis emergere poterat: certúmque nihil ei de domo, ne ibi quidem nunciabatur: id enim regis interminatio prohibuerat. Vnde interdum etiam spes eum pertentabat hilarior, aut nihil esse deprehensum, aut si quid esset, hoc sese impudentia sua diluturum, ac dolis, quæ sola instrumenta salutis haberet. Itaque his armatus, sine amicis in regiam venit, qui à prima ianua cũ iniuria sunt repulsi. Fortè autem Varus Syriæ rector intus aderat. Ingressus inde ad patrem, confirmatúsque audacia, velut eius salutandi causa, propius accedebat: cùm ille obiecta manu, & capite declinato, exclamat: Et hoc parricidæ est, vt me amplexari velis, qui tot maleficiis inuolutus sis. Dispereas, impium caput, neque me attingas, prius quàm criminibus te exuas. Dabo enim tibi iudicium & iudicẽ, qui opportunè præsto est, Varũ. Abi, & queadmodũ

A καὶ σπεύδειν παρακαλῶν. θήσεσθαι γὰρ αὐτοῦ καὶ τὰς πρὸς τὴν μητέρα μέμψεις ἐπειχθέντος. οὐ γὰρ ἠγνόει τὴν ἐκβολὴν τῆς μητρὸς Ἀντίπατρος. πρότερον μὲν οὖν εἰλήφει τὴν περὶ τῆς Φερώρα τελευτῆς ἐπιστολὴν ἐν Τάραντι, καὶ μέγιστον ἐποιήσατο πένθος, ὃ καί τινες ὡς ἐπὶ θείῳ κατεδύμουν, ἦν δὲ ὡς ἔοικεν, ἐπὶ διαμαρτίᾳ τῆς ἐπιβουλῆς ἡ σύγχυσις, καὶ οὐ Φερώραν κλαίοντος, ἀλλὰ τὸν ὑπηρέτην. ἤδη δὲ καὶ φόβος ἐπῄει τις αὐτὸν τῶν τετελεσμένων, μή ποτε φωραθείη τὸ φάρμακον. τότε δὲ ἐν Κιλικίᾳ λαβὼν τὴν
B προειρημένην παρὰ τοῦ πατρὸς ἐπιστολήν, παραχρῆμα μὲν ἔσπευδεν. ὡς δὲ εἰς Κελένδερειν κατέπλει, λαμβάνει τις αὐτὸν ἔννοια τῆς περὶ τὴν μητέρα κακῶν, προμαντευομένης ἤδη καθ᾽ ἑαυτὴν τῆς ψυχῆς. οἱ μὲν οὖν προμηθέστεροι τῶν φίλων συνεβούλευον, μὴ πρότερον ἐμπίπτειν τῷ πατρί, πρὶν πυθέσθαι σαφῶς δι᾽ ἃς αἰτίας ἐξέβαλεν αὐτοῦ τὴν μητέρα. δεδιέναι γὰρ μή ποτε προσθήκη γένοιτο τῶν κατ᾽ ἐκείνης διαβολῶν. οἱ δὲ
C ἀσκεπτότεροι, καὶ τὴν πατρίδα σπεύδοντες ἰδεῖν μᾶλλον, ἢ τὸ συμφέρον Ἀντιπάτρῳ σκοποῦντες, ἐπείγεσθαι παρῄνουν, καὶ μὴ τῇ μελλήσει παρασχεῖν τῷ πατρὶ μὲν ὑποψίαν φαύλην, τοῖς διαβάλλουσι δὲ ἀφορμήν. καὶ γὰρ νῦν εἴ τι κεκίνηται κατ᾽ αὐτοῦ, παρὰ τὴν ἀπουσίαν γεγονέναι. μηδὲ γὰρ ἂν τολμῆσαι παρόντος. ἄτοπον δὲ εἶναι δι᾽ ἀδήλους ὑποψίας, προδήλων ἀγαθῶν στερίσκεσθαι, καὶ μὴ θᾶττον ἀποδοῦναι μὲν ἑαυτὸν τῷ πατρί,
D κομίσασθαι δὲ τὴν βασιλείαν ἐπ᾽ αὐτῷ μόνῳ σαλεύουσαν. πείθεται τούτοις, ἐνῆγε γὰρ τὸ δαιμόνιον. καὶ διαπεράσας τὸν Σεβαστόν, εἰς τὸν λιμένα τῆς Καισαρείας κατάγεται. παρυπήντησε δὲ αὐτῷ παρὰ δόξαν ἐρημία πολλή, πάντων ἐκτρεπομένων, καὶ μηδενὸς προσιέναι τολμῶντος, ἐμισεῖτο μὲν γὰρ ἐπίσης, καὶ τότε φανῆναι τὸ μῖσος εἶχε παρρησίαν, πολλοὺς δὲ ὁ ἐκ τοῦ βασιλέως φόβος ἀπέστρεφεν, ἐπειδὴ πᾶσα πόλις ἤδη τῆς κατ᾽ Ἀντιπάτρου φήμης πεπλήρωτο, καὶ μόνος ἠγνόει
E τὰ καθ᾽ ἑαυτὸν Ἀντίπατρος. οὔτε γὰρ προεπέμφθη λαμπρότερόν τις ἐκείνου πλέοντος ἐπὶ Ῥώμης, οὔτε ἀτιμότερον ὑπεδέχθη. ὁ δέ, ἤδη μὲν ὑπενόει τὰς οἴκοι συμφοράς, ἔτι δὲ πανουργίᾳ ὑπεκρύπτετο, καὶ τῷ δέει τεθνηκὼς ἔνδοθεν, σοβαρὸς εἶναι τὸ πρόσωπον ἐβιάζετο. φυγὴ δὲ ἦν οὐκέτι, οὐδὲ ἐκ τῶν περιεχόντων ἀνάδυσις. καὶ σαφὲς μέν, οὐδὲ ἐκεῖ τι τῶν οἴκοθεν ἀπηγγέλλετο διὰ τὴν ἐκ τοῦ βασιλέως ἀπειλήν. ὑπε-
F λείπετο δὲ ἐλπὶς ἱλαρωτέρα, τάχα μὲν μηδὲν πεφωρᾶσθαι, τάχα δὲ εἴ τι καὶ πεφώραται, διασκευάσειν ἀναιδείᾳ καὶ δόλοις, ἅπερ ἦν αὐτῷ μόνα τῆς σωτηρίας ἐφόδια. φραξάμενος οὖν αὐτοῖς, ἧκεν εἰς τὸ βασίλειον δίχα τῶν φίλων, οὗτοι γὰρ ὑβρισθέντες ἐπὶ τοῦ πρώτου πυλῶνος εἴρχθησαν. ἔτυχε δὲ ἔνδον ὢν ὁ τῆς Συρίας ἡγεμὼν Οὐάρος. ὁ δὲ εἴσεισι πρὸς τὸν πατέρα, καὶ τῇ τόλμῃ παρακροτήσας ἑαυτόν, ἤγγισεν ὡς ἀσπασόμενος. κἀκεῖνος τὰς χεῖρας προβαλών, καὶ τὴν κεφα-
G λὴν παρακλίνας, ἔστιν ἐξεβόησε καὶ τοῦτο πατροκτόνου, τὸ περιπλέκεσθαί μοι θέλειν, ἐν τηλικαύταις αἰτίαις ὄντα. φθεῖρε δυσσεβεστάτη κεφαλή, μηδέ μου ψαύσῃς, πρὶν ἀποσκευάσασθαι τὰ ἐγκλήματα. δίδωμι δέ σοι δικαστήριον, καὶ δικαστὴν εὖ καιρὸς ἥκοντα, Οὔαρον. ἴθι, καὶ σκέ-

πτου τὴν

τὴν ἀπολογίαν εἰς αὔριον. παρέχω γάρ σου καιρὸν τοῖς πανουργήμασι. πρὸς ταῦτα μηδὲν ὑπ' ἐκπλήξεως ἀποκρίνασθαι δυνηθεὶς αὐτὸς, ὑπέστρεψε. παραγενόμεναι δὲ πρὸς αὐτὸν, διηγήσαντο πάντας τοὺς ἐλέγχους, ἥτε μήτηρ, καὶ ἡ γυνή, καὶ τότε μὲν ἀνανήψας, ἐν σκέψει τῆς ἀπολογίας ἦν. τῇ δὲ ἐπιούσῃ, συνέδριον μὲν ὁ βασιλεὺς ἀθροίζει τῶν συγγενῶν καὶ φίλων, εἰσκαλεῖ δὲ καὶ τοὺς ἀντιπάτρου φίλους, προκαθέζεται δ' αὐτὸς ἅμα οὐάρῳ, καὶ τοὺς μηνυτὰς ἅπαντας ἐκέλευσεν εἰσαγαγεῖν, ἐν οἷς εἰσήχθησαν καὶ τῆς ἀντιπάτρου μητρὸς οἰκέται τινὲς, οὐ πρὸ πολλοῦ συνειλημμένοι, γράμματα κομίζοντες ἀπ' αὐτῆς πρὸς τὸν υἱὸν τοιάδε. ἐπείπερ πεφώραται πάντα ἐκεῖνα παρὰ τῷ πατρί σου, μὴ παραγίνου πρὸς αὐτὸν, ἂν μή τινα πορίσῃ παρὰ καίσαρος δύναμιν. τούτων σὺν τοῖς ἄλλοις εἰσηγμένων, ἀντίπατρος εἰσέρχεται, καὶ πεσὼν πρηνὴς πρὸ τῶν ποδῶν τοῦ πατρὸς, ἱκετεύω πάτερ ἔφη, μηδέν μου προκατεγνωκέναι. παρασχεῖν δέ μοι τὰς ἀκοὰς ἀκεραίους εἰς τὴν ἀπολογίαν. ἀποδείξω γὰρ ἐμαυτὸν καθαρὸν, ἂν σὺ θέλῃς. ὁ δὲ αὐτῷ σιγᾶν ἐγκραγὼν, πρὸς τὸν οὔαρον εἶπεν. ἀλλ' ὅτι μὲν καὶ σὺ οὔαρε, καὶ πᾶς δικαστὴς ὅσιος, ἀντίπατρον ἐξώλη κρινεῖ πέπεισμαι. δέδοικα δὲ μὴ κἀμοῦ μισήσῃς τὴν τύχην, κἀμὲ κρίνῃς πάσης ἄξιον συμφορᾶς, τοιούτους υἱοὺς γεγεννηκότα. χρὴ δέ με διὰ τοῦτο ἐλεεῖσθαι μᾶλλον, ὅτι πρὸς οὕτω μιαροὺς, καὶ φιλοστοργότατος πατὴρ ἐγενόμην. τοὺς μὲν γὰρ προτέρους βασιλείας τε ἔτι νέους ἀξιώσας, καὶ πρὸς τοῖς ἐν ῥώμῃ τροφείοις, φίλους καίσαρος, ζηλωτούς τε ποιήσας βασιλεῦσιν ἑτέροις, εὗρον ἐπιβούλους, οἳ τεθνήκασι τὸ πλέον ἀντιπάτρῳ. νέῳ γὰρ ὄντι καὶ διαδόχῳ, τούτῳ μάλιστα τὴν ἀσφάλειαν ἐπορίζομεν. τὸ δὲ μιαρὸν τοῦτο θηρίον, τῆς ἐμῆς ὑπερεμπλησθὲν ἀνεξικακίας, ἤνεγκε κατ' ἐμοῦ τὸν κόρον. ἔδοξα γὰρ αὐτῷ πολὺν ζῆν χρόνον, καὶ τὸ ἐμὸν γῆρας ἐβαρύνθη, βασιλεύς τ' οὐχ ὑπέμεινεν, εἰ μὴ διὰ πατροκτονίας γενέσθαι, δίκαιά τε βουλευσάμενος, ὅτι καταγαγὼν αὐτὸν ἐκ τῆς χώρας ἀπερριμμένον, καὶ παρωσάμενος τοὺς ἐκ βασιλίδος μοι γεγεννημένους, ἀπέδειξα τῆς ἀρχῆς διάδοχον. ἐξομολογοῦμαί σοι οὔαρε τὴν ἐμαυτοῦ φρενοβλάβειαν. ἐγὼ τοὺς υἱοὺς ἐκείνους κατ' ἐμαυτοῦ παρώξυνα, δικαίας αὐτῶν ἀποκόψας ἐλπίδας, δι' ἀντίπατρον. καὶ τί μὲν ἐκείνους εὐεργέτησα τηλικοῦτον, ἡλίκον τοῦτον; ᾧ γε ζῶν μὲν, ὀλίγου δεῖν παρεχώρησα τῆς ἐξουσίας, φανερῶς δὲ ταῖς διαθήκαις ἐνέγραψα τῆς ἀρχῆς διάδοχον, καὶ πρόσοδον μὲν ἰδίᾳ πεντήκοντα ταλάντων ἔνειμα, τῶν δὲ ἐμῶν ἐχορήγησα χρημάτων ἀνέδην, πλέοντι δὲ νῦν εἰς ῥώμην, ἔδωκα τριακόσια τάλαντα, καίσαρι δ' ἐξ ὅλης τῆς γενεᾶς μόνον ὡς σωτῆρα τοῦ πατρὸς παρεθέμην. τί δ' ἐκεῖνοι τοιοῦτον ἠσέβησαν οἷον ἀντίπατρος; ἢ τίς ἔλεγχος ἠνέχθη κατ' αὐτῶν, ἡλίκος ἀποδείκνυσι τοῦτον ἐπίβουλον; ἀλλὰ φθέγγεσθαί τι τετόλμηκεν ὁ πατροκτόνος, καὶ πάλιν δόλοις τὴν ἀλήθειαν ἐπικαλύψειν ἐλπίζει; οὔαρε, σοὶ φυλακτέον. ἐγὼ γὰρ οἶδα τὸ θηρίον, καὶ προορῶμαι τὴν μέλλουσαν ἀξιοπιστίαν, καὶ τὸν ἐπίπλαστον ὀλοφυρμόν. οὗτός ἐστιν ὁ παραινῶν ἐμοί ποτε φυλάττεσθαι ζῶντα ἀλέξανδρον, καὶ μὴ πᾶσι πιστεύειν τὸ σῶμα. οὗτος ὁ μέχρι τῆς κοίτης εἰσάγων,

A te purges in diem craſtinum meditare: nam & tempus indulgeo calliditatibus tuis. Ad hæc metu obſtupefactus Antipater, quia reſpõdere nihil potuit, reuerſus eſt. Cùm autem ad eum veniſſent mater & vxor, cũctas ei probationes expoſuerunt. Túmq; recepta mente, quo pacto ſeſe defenderet cogitabat. Poſtero autem die rex adhibito propinquorũ atque amicorũ concilio, Antipatri quoque amicos vocat. Ipſe autem cum Varo reſidens, cunctos indices iuſſit B adduci, in quibus erant etiam ſerui matris Antipatri quidam pridem comprehenſi, qui ab ea literas ad eum deportauerunt huiuſcemodi: Quoniam illa omnia patri tuo cognita ſunt, caue ne ad eum venias, niſi aliquod auxilium à Cæſare impetraueris. Itaque his vnà cum aliis introductis, ingreditur Antipater. Cúmq; pronus ante pedes patris cecidiſſet: Oro, inquit, pater, ne quid de me præiudices, ſed integras aures ſatisfactioni meæ præbeas. Demonſtrabo C enim me innoxium, ſi tu velis. Ille autem magna voce imperato ei ſilentio, ad Varum locutus eſt: Quod & tu Vare, & quiuis iuſtus iudex, Antipatrum morte dignum indicauerit, certò ſcio. Vereor autem ne mea quoque tibi ſit inuiſa fortuna, omníque calamitate dignum deputes, qui tales filios genuerim. Atqui hoc tibi magis miſerandus videri debeo, quòd erga tam ſceleſtos indulgentiſſimus pater fui. Nam illis prioribus adhuc adoleſcentulis regnum detu- D leram, eóſque Romæ educatos amicos Cæſaris feceram: ſed quos aliis inuidẽdos regibus æmulandóſq; conſtitui, meæ ſalutis hoſtes inueni, quorum tamẽ interitus Antipatro magis profuit. Iſti enim quòd iuuenis & ſucceſſor meus futurus eſſet, maximè ſecuritas quærebatur. at verò hic belua, patientia mea ſuprà quàm ſatis erat, expletus, in me ſatietatem ſuam profudit: eique diu viuere ſum viſus, meámque ſenectutem grauiter tulit, réxque fieri non niſi parri- E cidio paſſus eſt, quæ quidem profectò noui qua ratione cogitauit: quòd eum ex agro abiectum reduxerim, & excluſis quos mihi regina pepererat filiis, regni mei vicarium declarauerim. Equidem tibi Vare confiteor meæ mentis errorem. Ego illos contra me filios irritaui qui Antipatri gratia ſpes eorum iuſtas abrupi. Quid enim tantum de illis, quantum de iſto bene ſum meritus? cui viuus etiam poteſtatem meam penè conceſſi: apertè autem re- F gni ſucceſſionem teſtamento reliqui, & præter deſtinatos ei ſeparatim quinquaginta reditus talentorum, ſumptum paſſim mea pecunia ſubminiſtraui: ac nuper Romam quoque nauigaturo dedi trecenta talenta, quémque ſolum ex omni familia mea, tanquam patris ſeruatorem, Cæſari commendaui. Aut quid illi tantum ſceleris, quantum Antipater admiſerunt? quódve de his habui indicium, quale demonſtrauit huius inſidias? etiam approbo, G quia auſus eſt aliquid parricida, rurſúmque veritatem dolis ſperat obtegere: tibi Vare cauendum. nam ego iſtam beluam noui: & quàm ſit veriſimilia dicturus, iam nunc proſpicio, fletúſque ſimulatos. Hic eſt qui me quondam monebat, vt viuum Alexãdrum cauerem, neq; meum corpus omnibus crederẽ. Hic eſt qui vſq; ad cubile meũ ſolebat ingredi,

& circumspicere, ne quis mihi fortè parasset insidias. Hic somni mei custos erat, & securitatis dator, qui consolaretur luctum peremptorum, & viuentium fratrum beneuolentiam diiudicaret: hic propugnator & satelles meus. Quum eius calliditas Vare in mentem venit, & quemadmodum singula simulasset, vix me credo viuere, támque grauem insidiatorem quo pacto effugerim miror. Verumtamen quia fortuna quædam excitat contra me domum meam, mihíque amicissimi sēper infensi sunt: ego quidem fatorum iniquitatem flebo, & mecum ipse solitudinem gemam. Nemo autem qui meum sanguinem sitierit elabetur, etiamsi per omnes filios meos indicia ventura sint. Hæc dicens, ipse quidē interrupto sermone tacuit, dolore confusus. Nicolaum autem vnum ex amicis probationes iussit exponere. Inter hæc autē Antipater sublato capite, cùm prostratus ante patris pedes maneret, exclamat: Tu pater meas partes defendisti. Nam quomodo ego parricida, quē tu semper seruatorem te habuisse commemorans? Aut si ficta, vt dicis, simulatáque mea pietas fuit, cur in aliis tam callidus, in hoc adeò demens fui, vt non intelligerem, quòd si homines lateret tanti sceleris cogitatio, cælestem latere iudicem omnino non posset, qui vbique præsto esset, & cuncta conspiceret? An fratrum exitus ignorabam, quos ob id Deus vltus est, quia tibi malè cogitauerant? Quid autem fuit cur me tua salus offēderet? Spes regni? Sed regnabam. Odij suspicio? Sed diligebar. An ex te metus aliquis? Quin tui seruans, aliis timendus eram. Fortassis egestas causa fuit? Multo minus. Quis enim magis expensarum habuit potestatem? Si autem omnium hominum perditissimus essem, immanísque bestiæ animum gererem, certè mansueti patris beneficiis vincerer: quem, sicut tu dixisti, reduxeris, tótq; filiis anteposueris, viuúsque regem declaraueris, aliorúmque bonorum magnitudine reddideris inuidendum, ô me miserum acerbissimámque peregrinationem meam, quàm longum liuori tempus magnúmque insidiantibus spatium præbui. Sed tamen tibi pater tuísque rebus abieram, ne Syllæus tuam contemneret senectutem. Roma mihi testis est pietatis, & princeps orbis terræ Cæsar, qui me patris amatorem sæpe vocitabat. Accipe pater has eius literas, hæ fictis in me criminationibus veriores. his me defendo. hæ affectus erga te mei argumenta certissima. Recordare quàm inuitus hinc nauigauerim, latentes in regno contra me inimicitias non ignorans. Tu pater imprudens me perdidisti, tu compulisti vt darem accusandi tempus inuidiæ. Verùm ad indicia veniam. Ecce adsum, terra maríque nihil vsquam parricida perpessus. Sed nondum me hoc argumento diligas, nam & apud Deum, & apud te pater condemnatum me esse scio. Condemnatus autem deprecor, ne aliorum tormentis fidem habeas: in me feratur ignis, per viscera mea pergant instrumenta pœnarum, ne parcas scelesto corpori. Nam si parricida sum, tormentorum expers mori non debeo. Talia cum lacrymis ac eiulatu vociferans, & omnes alios, & Varum ad misericordiam prouocauit: solum autem Herodem,

καὶ μή με τις ἐνεδρεύοι περιβλέπων. οὗτος ὁ ταμίας τῶν ὕπνων, καὶ χορηγὸς τῆς ἀμεριμνίας, ὁ παραμυθούμενος τὴν ἐπὶ τοῖς ἀνῃρημένοις λύπην, καὶ διακρίνων τὴν τῶν ζώντων εὔνοιαν ἀδελφῶν, ὁ παραστάτης ὁ ἐμὸς, ὁ σωματοφύλαξ. ὅταν ἀναμνησθῶ Οὔαρε τὸ πανοῦργον ἐν ἑκάστῳ καὶ τὴν ὑπόκρισιν, ἀπιστία με τοῦ ζῆν εἰσέρχεται, καὶ θαυμάζω πῶς οὕτω βαθὺν ἐπίβουλον διέφυγον. ἀλλ' ἐπειδή δαίμων τις ἐξερημοῖ τὸν ἐμὸν οἶκον, καί μοι τοὺς φιλτάτους ἐπανίστησιν ἀεὶ, κλαύσομαι μὲν ἴσως τὰ ἄδικον εἱμαρμένην, καὶ κατ' ἐμαυτὸν στενάξω τὴν ἐρημίαν. διαφεύξεται δ' οὐδεὶς διψήσας τοὐμὸν αἷμα, κἂν διὰ πάντων μου τῶν τέκνων ὁ ἔλεγχος ἔλθῃ. τοιαῦτα λέγων, αὐτὸς μὲν ὑπὸ συγχύσεως ἐνεκόπη. Νικολάῳ δὲ ἑνὶ τῶν φίλων, λέγειν τὰς ἐπιδείξεις ἐκέλευε. μεταξὺ δὲ ὁ Ἀντίπατρος ἐπάρας τὴν κεφαλὴν, ἔμενε γὰρ δὴ βεβλημένος πρὸ τῶν ποδῶν τοῦ πατρὸς, ἐβόα. σὺ πάτερ ὑπὲρ ἐμοῦ πεποίησαι τὴν ἀπολογίαν. πῶς γὰρ ἐγὼ πατροκτόνος, ὃν ὁμολογεῖς αὐτὸς φύλακα διὰ παντὸς ἐσχηκέναι. τερατείαν δέ με καὶ ὑπόκρισιν λέγεις, τὴν εὐσέβειαν. πῶς οὖν ὁ πανοῦργος, οὕτως ἐν τοῖς ἄλλοις ἄφρων ἐγενόμην, ὡς μὴ νοεῖν, ὅτι λαθεῖν οὐδὲν ἀνθρώποις ῥᾴδιον, τηλικοῦτον μύσος ἐνσκευαζόμενον, τὸν δὲ ἀπ' οὐρανοῦ δικαστὴν ἀμήχανον, ὃς ἐφορᾷ πάντα, καὶ πανταχοῦ πάρεστιν. ἢ τὸ τῶν ἀδελφῶν τέλος ἠγνόουν, οὓς ὁ θεὸς οὕτω μετῆλθε τῆς εἰς σὲ κακοβουλίας; τί δέ με καὶ παρώξυνε κατὰ σοῦ; βασιλείας ἐλπίς; ἀλλ' ἐβασίλευον. ὑπόνοια μίσους; οὐ γὰρ ἐστεργόμην; φόβος ἐκ σοῦ τις ἄλλος; ἀλλὰ μὴν σὲ τηρῶν, ἑτέροις φοβερὸς ἤμην. ἔνδεια χρημάτων; καὶ τίνι μᾶλλον ἐξῆν ἀναλίσκειν; εἰ γὰρ ἐξωλέστατος πάντων ἀνθρώπων ἐγενόμην, καὶ θηρίου ψυχὴν εἶχον, ἡμέρου πάτερ, οὐκ ἂν ταῖς σαῖς εὐεργεσίαις ἐνικήθην; ὃν κατήγαγες μὲν ὡς ἔφης αὐτὸς, προέκρινας δὲ τοσούτων τέκνων, ἀπέδειξας δὲ ζῶν βασιλέα, διὰ ὑπερβολὴν δὲ τῶν ἄλλων ἀγαθῶν, ἐποίησας ἐπίφθονον. ὦ τάλας ἐγὼ τῆς πικρᾶς ἀποδημίας, ὡς πολὺν ἔδωκα καιρὸν τῷ φθόνῳ, καὶ μακρὰν τοῖς ἐπιβουλεύουσι διωρίαν. σοὶ δὲ πάτερ, καὶ τοῖς σοῖς ἀγῶσιν ἀπεδήμουν, ἵνα μὴ Συλλαῖος τοῦ σοῦ γήρως καταφρονήσῃ. Ῥώμη μοι μάρτυς τῆς εὐσεβείας, καὶ ὁ τῆς οἰκουμένης προστάτης Καῖσαρ, ὁ φιλοπάτορά με πολλάκις εἰπών. λάβε πάτερ τὰ παρ' αὐτοῦ γράμματα, ταῦτα τῶν ἐνθάδε διαβολῶν πιστότερα, τούτοις τῆς εἰς σὲ φιλοστοργίας τεκμηρίοις χρῶμαι. μέμνησο δὲ ὡς οὐχ ἑκὼν ἔπλεον, ἐπιστάμενος τὴν ἐμφωλεύουσαν τῇ βασιλείᾳ κατ' ἐμοῦ δυσμένειαν. σὺ δέ με πάτερ ἄκων ἀπώλεσας, ἀναγκάσας καιρὸν διαβολῆς δοῦναι τῷ φθόνῳ. πάρειμι διὰ γῆς καὶ θαλάσσης, οὐδὲν οὐδαμοῦ παθὼν ὁ πατροκτόνος, ἀλλὰ μήπω τούτῳ ὤνημαι τῷ τεκμηρίῳ. κατέγνωσμαι γὰρ καὶ παρὰ θεῷ καὶ παρὰ σοὶ πάτερ, κατεγνωσμένος δὲ δέομαι, μὴ ταῖς ἄλλων βασάνοις πιστεύειν. ἀλλὰ κατ' ἐμοῦ φερέσθω τὸ πῦρ, ὁδευέτω διὰ τῶν ἐμῶν σπλάγχνων τὰ ὄργανα, μὴ φείδεσθε ὀλοφυρμοῦ τοῦ μιαροῦ σώματος. εἰ γὰρ εἰμὶ πατροκτόνος, οὐκ ὀφείλω θνήσκειν ἀβασανίστως. τοιαῦτα μετ' ὀλοφυρμοῦ, καὶ δακρύων ἐκβοῶν, τούς τε ἄλλους ἅπαντας, καὶ τὸν Οὔαρον εἰς οἶκτον προυκαλέσατο. μόνον δὲ ὁ θυμὸς Ἡρώδην

ἀδάκρυον

ἄδακρυν διεκαρτέρει, τοὺς ἐλέγχους ἀληθινοὺς ἐπισταμένου. A ἐν τούτῳ τοῦ βασιλέως κελεύσαντος Νικόλαος, πολλὰ πρὸς τὸ πανοῦργον τὸ Ἀντιπάτρου προειπών, καὶ τὸν ἐπ' αὐτῷ διακόψας ἔλεον, ἔπειτα πικρὰν καὶ κατηγορίαν κατέτεινεν, πάντα μὲν τὰ κατὰ τὴν βασιλείαν κακουργήματα προστιθεὶς αὐτῷ, μάλιστα δὲ τὴν ἀναίρεσιν τῶν ἀδελφῶν, ἀποδεικνὺς ταῖς ἐκείνου διαβολαῖς ἀπολωλότας. ἐπιβουλεύειν δὲ αὐτὸν ἔλεγε καὶ τοῖς περιοῦσιν, ὡς ἐφέδροις τῆς διαδοχῆς. τὸν γὰρ παρασκευάσαντα πατρὶ B φάρμακον, πότε ἂν ἀδελφῶν ἀποσχέσθαι; προσελθὼν δὲ ἐπὶ τὸν ἔλεγχον τῆς φαρμακείας, τάς τε μηνύσεις ἑξῆς ἀπεδείκνυε, καὶ περὶ Φερώρα κατεσχετλίαζεν, ὅτι κἀκεῖνον Ἀντίπατρος ποιήσειεν ἀδελφοκτόνον, καὶ τοὺς φιλτάτους τῷ βασιλεῖ διαφθείρας, ὅλον τοῦ μύσους ἀναπλήσειε τὸν οἶκον. ἀλλά τε πολλὰ πρὸς τούτοις εἰπών, καὶ ἀποδείξας, καταπαύει τὸν λόγον. Οὔαρος δὲ κελεύσας ἀπολογεῖσθαι τὸν Ἀντίπατρον, ὡς οὐδὲν πλέον εἰπών, ἢ θεός ἐστί μοι τοῦ μηδὲν ἀδικεῖν μάρτυς, ἔκειτο C σιγῶν. ὁ δὲ Ἡρώδης αἰτήσας τὸ φάρμακον, δίδωσί τινι τῶν ἐπὶ θανάτῳ κατακειμένων δεσμώτῃ πιεῖν. τοῦ δὲ παραχρῆμα τελευτήσαντος, ὁ μὲν Οὔαρος, ἀπορρήτους ποιήσας τὰς πρὸς Ἡρώδην ὁμιλίας, καὶ τὰ περὶ τὸ συνέδριον Καίσαρι γράψας, μετὰ μίαν ἡμέραν χωρίζεται. δεσμεῖ δὲ ὁ βασιλεὺς Ἀντίπατρον, καὶ πρὸς Καίσαρα τοὺς δηλώσοντας τὴν συμφορὰν ἐξέπεμψεν. μετὰ δὲ ταῦτα, καὶ κατὰ Σαλώμης ἐπίβουλος D Ἀντίπατρος εὑρίσκεται. τῶν γὰρ Ἀντιφίλου τις οἰκετῶν ἧκεν, ἐπιστολὰς κομίζων ἀπὸ Ῥώμης παρὰ Ἰουλίας θεραπαινίδος, Ἀκμὴ τοὔνομα. καὶ παρὰ μὲν ταύτης ἐπέσταλτο βασιλεῖ, τὰς παρὰ Σαλώμης ἐπιστολὰς ἐν τοῖς Ἰουλίας εὑρηκέναι γράμμασι, πεπομφέναι τε αὐτῷ λάθρα δι' εὔνοιαν. αἱ δὲ τῆς Σαλώμης λοιδορίας τε τοῦ βασιλέως περιεῖχον πικροτάτας, καὶ κατηγορίαν μεγίστην. ταύτας δὲ πλάσας Ἀντίπατρος, καὶ τὴν Ἀκμὴν διαφθείρας, ἔπεισεν Ἡρώδῃ πέμψαι. διηλέγχθη δὲ ἐκ τῆς πρὸς E αὐτὸν ἐπιστολῆς. καὶ γὰρ ἐκείνῳ τὸ γύναιον ἔγραψεν, ὡς βουληθείς, ἔγραψά σου τῷ πατρί, καὶ τὰς ἐπιστολὰς ἐκείνας ἔπεμψα, πεπεισμένη τὸν βασιλέα μὴ φείσασθαι τῆς ἀδελφῆς, ὅταν ἀναγνῷ. καλῶς δὲ ποιήσεις, ἐπειδὰν ἀπαρτισθῇ πάντα, μνημονεύσας ὧν ὑπέσχου. ταύτης φωραθείσης τῆς ἐπιστολῆς, καὶ τῶν κατὰ Σαλώμην συντεθεισῶν, ἔννοια εἰσέπεσε τῷ βασιλεῖ, τάχα καὶ κατ' F Ἀλεξάνδρου πλασθῆναι γράμματα. περιαλγὴς δὲ ἦν ὑπὸ τοῦ πάθους, ὡς παρ' ὀλίγον καὶ τὴν ἀδελφὴν ἀποκτείνας δι' Ἀντίπατρον. οὐκέτι οὖν ἀνεβάλλετο λαβεῖν τιμωρίαν ὑπὲρ ἁπάντων. ὡρμημένος δὲ ἐπὶ τὸν Ἀντίπατρον, ἐπεσχέθη νόσῳ χαλεπῇ. περὶ μέντοι τῆς Ἀκμῆς, καὶ τῶν κατὰ Σαλώμης ἐσκευωρημένων, ἐπέστειλε Καίσαρι, τήν τε διαθήκην αἰτήσας, μετέγραφε, καὶ βασιλέα μὲν ἀπεδείκνυεν Ἀντίπαν, ἀμελῶν τῶν πρεσβυτάτων Ἀρχελάου, καὶ Φιλίππου. διαβεβλήκει γὰρ καὶ G τούτους Ἀντίπατρος. Καίσαρι δὲ σὺν τοῖς διὰ χρημάτων δωρεαῖς, χίλια τάλαντα, τῇ τε γυναικί, καὶ τέκνοις αὐτοῦ καὶ φίλοις, καὶ ἀπελευθέροις, περὶ πεντακόσια. ἀπένειμε δὲ καὶ τοῖς ἄλλοις ἅπασι, τῆς τε χώρας οὐκ ὀλίγα, καὶ τῶν χρημάτων. λαμπροτάταις τε δωρεαῖς ἐτίμα Σαλώμην τὴν ἀδελφήν. ἐν μὲν οὖν ταῖς διαθήκαις, ταῦτα διωρθώσατο.

Κεφ. κα.

Προῆγε δ' αὐτῷ πρὸς τὸ χαλεπώτερον ἡ νόσος, ἅτε δὴ τῶν ἀρρωστημάτων ἐν γήρᾳ καὶ ἀθυμίᾳ ἐπιπεσόντων.

A quo minus fleret, iracundia continebat, documentis veris intentum. Ibi autem Nicolaus, iussu regis multa de Antipatri calliditate præfatus, & misericordiæ spem abstulit, & atrocissimam accusationem instituit, cuncta quidem regni maleficia ascribens: maximè verò fratrum interitum, quos ipsius calumniis interfectos esse demonstrans, etiam superstitibus eum insidiari quasi successionis captatoribus affirmabat. Nam qui patri venenum parasset, mul- B to minus à fratribus abstineret. Cùm autem ad veneni probationem venisset, per ordinem proferebat indicia, etiam de Pherora crimen exaggerans, veluti illum quoque Antipater fratricidam fecisset, corruptísque regis amicissimis, scelere omnem domum repleuisset. Atque ita multis aliis dictis & probatis perorauit. Varus autem cùm respondere iussisset Antipatrum, & ille nihil amplius elocutus, quàm, Deus testis est innocentiæ meæ, siléns- C que iaceret, venenum petiit, ídque cuipiam damnatorum capitis ex custodiis bibendum dedit: eóque statim mortuo, quædam in secreto cum Herode sermocinatus, gesta in concilio Cæsari scripsit: posteróque die inde discessit. Nihilóque minus rex Antipatro vinculis tradito, cladis suæ nuncios ad Cæsarem misit. Post hæc Salomen appetisse insidiis arguebatur Antipater. Quidam enim è seruis Antiphili Roma venerat, epistolas ferens cuiusdam D Acmes nomine, ancillæ Iuliæ: quibus ad regem scriptis, indicauerat Salomes epistola inter literas Iuliæ reperta, clàm ei beneuolentiæ causa misisse. Ipsius autem Salomes epistolis & maledicta in regem acerbissima, & accusatio maxima continebantur. Sed hæ ab Antipatro erant fictæ: ísque Acmen pecunia corruptam, ad Herodem eas mittere persuaserat. Epistola enim eiusdem mulierculæ ad ipsum scripta id prodidit, cuius verba hæc sunt: Sicut voluisti E patri tuo scripsi, & alias epistolas misi, certò sciens, regem sorori suæ minimè posse parcere, si eas recitauit. Bene autem facies, si consummatis omnibus, pollicitationum tuarum memor fueris. Hac epistola & quæ in Salomen sunt composita deprehensis, regem subiit cogitatio, ne fortè etiam Alexander falsis epistolis fuisset oppressus: quódque penè sororem propter Antipatrum occidisset, anxius erat. Ita- F que non est vltra cunctatus, quò minus ab eo sumeret omnium causa suppliciū: sed ne propositis satisfaceret, graui morbo impeditus est. De Acme tamen ancilla, & in Salomen fictione conflata, dedit literas ad Cæsarem. ac propterea testamento mutato, exemit nomen Antipatri, regémque scripsit Antipam, præteritis Archelao & Philippo natu maioribus. nam & hos Antipater insimulauerat. Cæsari autem post alia pecuniaria munera mille talenta, & v- G xori eius ac filiis, itémque amicis & libertis, propè quinquaginta: cæterísque omnibus agrorum & pecuniarum non parum distribuit, ac sororem Salomen luculentissimis donis honorauit. In testamento quidem ista correxit.

CAP. XXI. De Aquila aurea, mortéque Antipatri & Herodis. *Ant. li. 17. cap. 8.*

Morbus autē ingrauescebat, quòd cū senectus pariter ac mœror, vrgeret, & annos

iam septuaginta natus esset: & filiorum cladibus animum adeò habebat afflictum, vt nec bona valetudine quicquam iucunditatis admitteret. Acriorem autem faciebat ægritudinem, quòd Antipater viueret. Hunc enim non obiter & aliud agens, sed cùm ipse conualuisset, cogitabat occidere. Ad has ei calamitates accidit etiam populi quidam tumultus. Erant in ciuitate sophistæ duo, qui summè scire leges patrias videbantur: & propterea per omnem gentem maxima gloria prædicabantur: Iudas filius Sepphoræi, & alter Margali Matthias. Hos non pauci adolescentium sectabantur, cùm leges exponerent, & in dies singulos pubetum exercitum congregabant. Qui cùm regem audissent mœrore ac morbo tabescere, apud notos loquebantur, opportunum iam tempus esse, vt Deus vindicaretur, fabricatáque aduersus leges patrias opera destruerentur. Siquidem in templo nefas sit, imagines, aut vultus, aut cuiuslibet animalis cognomine simulacrum haberi. Hoc propterea dicebatur: quòd supra maximam portam templi Aquilam collocauerat auream. Eúmque tunc monebant sophistæ vt tollerent: pulchrum esse dicentes, etiam si quod inde periculum immineret, pro legibus patriis mori non recusare: sic enim decentibus & animam immortalem, & bonarum rerum sensum perseuerare perpetuò: minus autem fortes, & sapientiæ suæ nescios amare animam imperitia: magísque morbo cupere, quàm virtute defungi. Dum hæc illi dissererent, rumor subitò peruagatur, regem ferè iam mori: vnde etiam confidentiùs adolescentes coronam adorti sunt: ipsóque meridie, quum plurima multitudo versaretur in templo, crassis demissi funibus, Aquilam ex tecto auream securibus abscidebant. Qua re statim regis duci nunciata, non parua ille manu comitatus ad templum cucurrit: & propè ad quadragenta iuuenes comprehensos regi exhibuit. Qui primùm interrogati, an Aquiliam ipsi auream concidere ausi essent, fecisse confessi sunt: deinde quo iubente, lege patria responderunt. Cùm verò, quid exultarent tantum, quibus mors immineret, ab his quæreretur: quia post mortem bonis plurimis frui sperarent, asseruerunt. His itaque rex commotus, magnitudine iracundiæ morbum superat, atque in concionem procedit. Deinde multum in eos quasi sacrilegos inuectus, & quòd occasione legis patriæ quædam maiora tentassent, velut impios supplicio dignos esse iudicauit. Populus autem metuens, ne per multos quæstio iret, precabatur, vt primùm facinoris suasoribus, deinde in eo deprehensis pœnæ subditis, cæteris indignationē remitteret. Tādem igitur exoratus, & ipsos rex qui funibus dimissi erāt cū sophistis viuos incendi, & reliquos qui vnà cōprehensi sunt, obtruncandos carnificibus tradidit. Hinc totū eius corpus morbo occupatum variis doloribus differebatur. nam febris quidem non mediocris erat: prurigo autem intolerabilis habebat omnem corporis superficiem. Assiduis autem vexabatur coli tormentis, pedésque tanquam ex intercutis vitio tumuerant. Quin & inflatio ventriculi, putredóque virilis membri

Ant. lib. 17. cap. 9.

A ἦν μὲν γὰρ ἤδη σχεδὸν ἐτῶν ἑβδομήκοντα, τεταπείνωτο δὲ τὴν ψυχὴν ταῖς περὶ τῶν τέκνων συμφοραῖς, ὡς μηδὲ ἐν ὑγείᾳ τι τῶν ἡδέων προσίεσθαι. τῆς νόσου δὲ ἦν ἐπίτασις ζῶν Ἀντίπατρος, ὃν οὐκ ἐν παρέργῳ, ῥαΐσας δὲ προῄρητο ἀνελεῖν. γίνεται δ' ἐν ταῖς συμφοραῖς αὐτῷ καὶ δημοτική τις ἐπανάστασις. δύο ἦσαν σοφισταὶ κατὰ τὴν πόλιν, μάλιστα δοκοῦντες ἀκριβοῦν τὰ πάτρια, καὶ διὰ τοῦτο ἐν ἅπαντι τῷ ἔθνει μεγίστης ἠξιωμένοι δόξης, Ἰούδας τε υἱὸς Σεπφωραίου, καὶ Ματθίας ἕτερος Μαργάλου. τούτοις οὐκ ὀλίγοι προσῄεσαν τῶν νέων ἐξηγουμένοις τοὺς νόμους, καὶ συνῆγον ὁσημέραι τῶν ἡβώντων στρατόπεδον. οἳ τότε τὸν βασιλέα πυνθανόμενοι ταῖς ἀθυμίαις ὑπεκρέοντα καὶ τῇ νόσῳ, λόγον καθίεσαν εἰς τοὺς γνωρίμους, ὡς ἄρα καιρὸς ἐπιτηδειότατος εἴη, τιμωρεῖν ἤδη τῷ θεῷ, καὶ τὰ κατασκευασθέντα παρὰ τοὺς πατρίους νόμους ἔργα κατασπᾶν. ἀθέμιτον γὰρ εἶναι, κατὰ τὸν ναὸν ἢ εἰκόνας, ἢ προτομὰς, ἢ ζώου τινὸς ἐπώνυμον ἔργον εἶναι. κατεσκευάκει δὲ ὁ βασιλεὺς ὑπὲρ τὴν μεγάλην πύλην, ἀετὸν χρυσοῦν. ὃν δὴ τότε παρῄνουν ἐκκόπτειν οἱ σοφισταὶ, καλὸν εἶναι λέγοντες εἰ καί τις γένοιτο κίνδυνος, ὑπὲρ τοῦ πατρίου νόμου θνήσκειν. τοῖς γὰρ οὕτω τελευτῶσιν, ἀθάνατόν τε τὴν ψυχὴν, καὶ τὴν ἐν ἀγαθοῖς αἴσθησιν αἰώνιον παραμένειν. τοὺς δὲ ἀγεννεῖς, καὶ τῆς αὑτῶν σοφίας ἀπείρους, ἀγνοοῦντας φιλοψυχεῖν, καὶ πρὸ τοῦ δι' ἀρετῆς, τὸν ἐκ νόσου θάνατον αἱρεῖσθαι. ἅμα δὲ τοῖς ἐκείνων λόγοις, διεφημίσθη καὶ θνήσκειν ὁ βασιλεὺς, ὥστε θαρραλεώτερον ἥπτοντο τῆς ἐπιχειρήσεως οἱ νέοι. μέσης γοῦν ἡμέρας, καὶ πολλῶν κατὰ τὸ ἱερὸν ἀναστρεφομένων, σχοινίοις παχέσιν καθιμήσαντες σφᾶς αὐτοὺς ἀπὸ τοῦ τέγους, τὸν χρυσοῦν ἐκεῖνον ἀετὸν ἐξέκοπτον πελέκεσιν. ἠγγέλθη δὲ εὐθέως τῷ βασιλέως στρατηγῷ, κἀκεῖνος μετὰ χειρὸς οὐκ ὀλίγης ἀναδραμὼν, περὶ τεσσαράκοντα νεανίας συλλαμβάνει, καὶ κατήγαγε πρὸς τὸν βασιλέα. πυνθανομένῳ δὲ αὐτῷ πρῶτον εἰ τολμήσαιεν τὸν χρυσοῦν ἐκκόπτειν, ὡμολόγουν. ἔπειτα τίνος κελεύσαντος, ἀπεκρίναντο τοῦ πατρίου νόμου. τί δὲ οὕτω γεγήθασι διερωτήσαντος, ἀναιρεῖσθαι μέλλοντες, ἔλεγον, ὅτι πλειόνων ἀγαθῶν ἀπολαύσουσι μετὰ τὴν τελευτήν. ἐπὶ τούτοις ὁ βασιλεὺς δι' ὑπερβολὴν ὀργῆς, κρείττων τῆς νόσου γενόμενος, πρόεισιν εἰς ἐκκλησίαν, καὶ πολλὰ τῶν ἀνδρῶν κατηγορήσας ὡς ἱεροσύλων, καὶ προφάσει τοῦ νόμου πειραζόντων τι μεῖζον, κολάζειν ἠξίου ὡς ἀσεβεῖς. ὁ δὲ δῆμος δείσας μὴ διὰ πολλῶν ὁ ἔλεγχος ἔλθῃ, παρεκάλει πρῶτον μὲν τοὺς ὑποθεμένους τὴν πρᾶξιν, ἔπειτα τοὺς ἐν αὐτῇ συλληφθέντας κολάσαντα, τοῖς λοιποῖς τὴν ὀργὴν ἀφεῖναι. πείθεται μόγις ὁ βασιλεὺς, καὶ τοὺς μὲν καθιμήσαντας ἑαυτοὺς ἅμα τοῖς σοφισταῖς, κατέκαυσε ζῶντας, τοὺς λοιποὺς δὲ τῶν συλληφθέντων, παρέδωκε τοῖς ὑπηρέταις ἀνελεῖν. ἔνθεν αὐτοῦ τὸ σῶμα πᾶν ἡ νόσος διαλαβοῦσα, ποικίλοις πάθεσι διεμερίζετο. πυρετὸς μὲν γὰρ ἦν οὐ λάβρος, κνησμὸς δὲ ἀφόρητος τῆς ἐπιφανείας ὅλης, καὶ κόλου συνεχεῖς ἀλγηδόνες, περί τε τοὺς πόδας, ὥσπερ ὑδρωπιῶντος οἰδήματα, τοῦ τε ἤτρου φλεγμονὴ, καὶ δι' αἰδοίου σηπεδὼν,

σκώ-

σκώληκας γεννῶσα. πρὸς τούτοις, ὀρθόπνοια, καὶ δύσπνοια, καὶ σπασμὸς πάντων τῶν μελῶν. ὥστε τοὺς ἐπιθειάζοντας ποινὴν εἶναι τῶν σοφιστῶν τὰ νοσήματα λέγειν. ὁ δὲ, παλαίων τοσούτοις πάθεσιν, ὅμως τοῦ ζῆν ἀντείχετο, σωτηρίαν τε ἤλπισε, καὶ θεραπείας ἐπενόει. διαβὰς γοῦν τὸν ἰορδάνην, τοῖς κατὰ καλλιρόην θερμοῖς ἐκέχρητο. ταῦτα δ᾽ ἔξεισι μὲν εἰς τὴν ἀσφαλτῖτιν λίμνην, ὑπὸ γλυκύτητος δ᾽ ἐστὶ καὶ πότιμα. δόξαν δὲ ἐνταῦθα τοῖς ἰατροῖς ἐλαίῳ θερμῷ πᾶν ἀναθάλψαι τὸ σῶμα, χαλασθὲν εἰς ἐλαίου πλήρη πύελον, ἐκλύει δὲ τοὺς ὀφθαλμοὺς, καὶ ὡς τεθνεὼς ἀνέστρεψε. θορύβου δὲ τῶν θεραπευόντων γενομένου, πρὸς μὲν τὴν φωνὴν ἀνήνεγκεν, εἰς δὲ τὸ λοιπὸν ἀπογνοὺς τὴν σωτηρίαν, τοῖς τε στρατιώταις ἀνὰ πεντήκοντα δραχμὰς ἐκέλευε διανεῖμαι, καὶ πολλὰ χρήματα τοῖς ἡγεμόσι, καὶ τοῖς φίλοις. αὐτὸς δὲ ὑποστρέφων ὡς εἰς ἱεριχοῦντα παραγίνεται, μελαγχολῶν ἤδη καὶ μονονουχὶ αὐτῷ τι τῷ θανάτῳ ἀπειλῶν, προέκοψεν εἰς ἐπιβουλὴν ἀθεμίτου πράξεως. τοὺς γὰρ ἀφ᾽ ἑκάστης κώμης ἐπισήμους ἄνδρας ἐξ ὅλης ἰουδαίας συναγαγὼν εἰς τὸν καλούμενον ἱππόδρομον, ἐκέλευσε συγκλεῖσαι. προσκαλεσάμενος δὲ σαλώμην τὴν ἀδελφὴν, καὶ τὸν ἄνδρα ταύτης ἀλεξᾶν, οἶδα ἔφη ἰουδαίους τὸν μὲν ἐμὸν ἑορτάσοντας θάνατον, δύναμαι δὲ πενθεῖσθαι δι᾽ ἑτέρων, καὶ λαμπρὸν ἐπιτάφιον ἔχειν, ἂν ὑμεῖς θελήσητε ταῖς ἐμαῖς ἐντολαῖς ὑπουργῆσαι. τοὺς δὲ τοὺς φρουρουμένους ἄνδρας, ἐπειδὰν ἐκπνεύσω, τάχιστα κτείνατε περιστήσαντες τοὺς στρατιώτας, ἵνα πᾶσα ἰουδαία, καὶ πᾶς οἶκος, ἄκων ἐπ᾽ ἐμοὶ δακρύσῃ. ταῦτα ἐνετέλλετο, καὶ παρὰ τῶν ἐν ῥώμῃ πρέσβεων ἧκον ἐπιστολαὶ, δι᾽ ὧν ἀκμὴ μὲν ἀνῃρημένη κελεύσαντος καίσαρος ἐδηλοῦτο, θανάτῳ δ᾽ ἀντίπατρος κατάκριτος. ἔγραφόν γε μὴν ὡς εἰ καὶ φυγαδεύειν αὐτὸν ἐθελήσειεν ὁ πατὴρ, ἐπιτρέποι καῖσαρ. ὁ δὲ, βραχὺ μὲν πρὸς τὴν ἐπιθυμίαν ἀνήνεγκεν. αὖθις δὲ, καὶ γὰρ ἐνδείᾳ τροφῆς, καὶ βηχὶ σπασμώδει, διετείνετο τῶν ἀλγηδόνων. ἡ δὲ αἴσθησις, φθάσαι τὴν εἱμαρμένην ἐπεβάλλετο. λαβὼν δὲ μῆλον, ᾔτησε καὶ μαχαίριον. εἰώθει γὰρ ἀποτέμνων ἐσθίειν. ἔπειτα περιαθρήσας μή τις ὁ κωλύων εἴη, ἐπῆρε τὴν δεξιὰν, ὡς πλήξων ἑαυτόν. προσδραμὼν δὲ, ἐκώλυσεν ἀχίαβος ὁ ἀνεψιὸς αὐτοῦ, τὴν χεῖρα κατασχών. οἰμωγὴ δ᾽ εὐθὺς ἤρθη μεγίστη κατὰ τὸ βασίλειον ὡς οἰχομένου τοῦ βασιλέως, καὶ ταχέως ἀκούσας ἀντίπατρος, ἀναθαρρεῖ τε, καὶ γεγηθὼς τοὺς φύλακας ἱκέτευεν, ἐπὶ χρήμασιν ἐξαφεῖναι λύσαντας αὐτόν. ὁ δὲ ἡγεμὼν οὐ μόνον ἐκώλυσεν, ἀλλὰ καὶ βασιλεῖ δραμὼν ἀνήγγειλε τὴν ἐπιβουλήν. ἀνέκραγεν δὲ ἐκεῖνος, ἰσχυρότερον τῆς νόσου, καὶ παραχρῆμα πέμψας τοὺς δορυφόρους ἀπέκτεινε τὸν ἀντίπατρον. θάψαι δὲ τὸν νεκρὸν αὐτοῦ προστάξας ἐν ὑρκανίᾳ, πάλιν τὰς διαθήκας ἐπανορθοῦται, καὶ διάδοχον μὲν ἀρχέλαον τὸν πρεσβύτατον υἱὸν, ἀδελφὸν ἀντίπα γράφει, τετράρχην δὲ ἀντίπαν. μετὰ δὲ τὴν ἀναίρεσιν τοῦ παιδὸς, ἐπιβιοὺς πέντε ἡμέρας, τελευτᾷ, βασιλεύσας ἀφ᾽ οὗ μὲν ἀποκτείνας ἀντίγονον ἐκράτησε τῶν πραγμάτων ἔτη τέσσαρα καὶ τριάκοντα, ἀφ᾽ οὗ δὲ ὑπὸ ῥωμαίων ἀπεδείχθη βασιλεὺς, ἑπτὰ καὶ τριάκοντα. καὶ κατὰ μὲν τὰ ἄλλα πάντα τύχῃ δεξιᾷ χρησάμενος,

vermiculos generans, ac præterea creber anhelitus, & irrupta eum suspiria, membrorúmque omnium contractio fatigabat: vt qui hæc ad diuinitatem referrent, vltionem eam esse dicerent sophistarum. Ille autem, quamuis cùm tot morborum cruciatibus luctaretur, vitæ tamen cupidus erat, & remediis excogitatis salutem sperabat. Denique Iordanem transgressus, apud Calliroen aquis calidis vtebatur, quæ in lacum feracem bituminis, qui Asphaltites vocatur, effluentes, præ dulcedine potui sunt. Ibi autem corpus eius, quod medicis oleo calidiori foueri placuerat, in solium plenum demersum ita dissolutum est, vt etiam lumina quasi mortuus resoluta torqueret. Deinde perturbatis qui eum curabant, ad clamorem quidem illorum respicere visus est. desperata verò salute, militibus quinquagenas drachmas, multámque pecuniam rectoribus atque amicis diuidi iussit. Cùm autem rediens ad Hierichunta venisset, atra iam bili correptus, & penè ipsi morti minabatur, factúmq; nefarium excogitauit. Collectos enim cuiusque vici ex omni Iudæa nobiles, in locum cui nomen est Hippodromus, concludi præcepit. Deinde Salome sorore & Alexa marito eius ad se vocatis: Scio, inquit, mortem meam festis gaudiis celebraturos esse Iudæos. Verùm per alios lugeri potero, & præclarissimos honores sepulturæ assequi, si quæ præcipio feceritis. Hos viros qui habentur in custodia, cùm animam efflauero, statim militibus circumdatos occidite: vt etiam inuita omnis mihi Iudæa, omnísque domus illacrymet. Et simul his mandatis, legatorum quos Romam miserat, epistolæ sunt allatæ, quibus Acmen ancillam Iuliæ iussu Cæsaris interemptam, & Antipatrum morte damnatum esse indicabatur. Quin & si pater eum in exilium dare mallet, id quoque permisisse Cæsarem, scriptum erat. Herodes autem paululum hoc nuncio recreatus, doloribúsque rursum victus (nam inedia tussísque pariter violentia distendebatur) fatum præuenire conatus est: sumptóque malo, etiam cultellum poposcit: sectum enim comedere consueuerat. Deinde circumspecto ne quis arbiter impediret, tanquam se percussurus dexteram sustulit. Cùm verò Achiabus consobrinus eius accurrisset, manúmque continuisset, vlulatus maximus in regia statim, quasi rex mortuus esset, excitatus est. Eóque propere audito, Antipater fiduciam recepit: lætúsque iam custodes promissa etiam pecunia, rogabat, vt se soluerent, atque dimitterent: quod eorum princeps non solùm ne fieret obstitit, sed etiam regi velociter nunciauit. Ille autem fortius exclamans, quàm vires ægrotantis valebant, continuò satellitibus missis occidit Antipatrum: mortuúmque sepeliri præcepit in Hyrcanio. Deinde rursum corrigit testamentum, & successorem quidem Archelaum natu maximum Antipæ fratrem scripsit, tetrarcham verò Antipam. Post interitum autem filij quinque diebus exactis moritur: annos quidem trigintaquatuor, ex quo interfecit Antigonum, regno potitus: triginta verò septem, postquam rex à Romanis declaratus est. Et in aliis quidem omnibus, secunda fortuna vsus est,

Ant. li. 17. cap. 10.

si quis alius. Regnum enim quod priuatus sibi quæsierat, tanto conseruatum tempore, filiis suis reliquit. In rebus autem domesticis infelicissimus fuit. Salome autem, antequam resciret mortem regis exercitus, cum marito progressa, vinctos absoluit, quos occidi mandauerat: ipsum dicens mutasse consilium, & vnumquenque iussisse domum dimitti. Atque ita post horum abitum militibus indicatur. Quibus in concionem cum alia turba in amphitheatrum apud Hierichunta collectis, Ptolemæus anuli regis custos, quo signare solitus erat, & fortunatum illum cœpit dicere, & multitudinem consolari. Relictámque ab eo militibus epistolam recitauit, in qua multum rogabat, vt beneuolo animo successorem suum fouerent. Deinde post epistolam testamentum legebat, in quo Philippum quidem hæredem Trachonis, proximarúmque regionum: tetrarcham verò, sicut suprà diximus, Antipam: regem autem Archelaum scripserat: eidémque anulum ad Cæsarem ferre mandauerat, assignatámque regni administrati notitiam. Omnium namque dispositionum suarum dominum & confirmatorem Cæsarem esse voluit, cætera verò seruari iuxta superius testamentum. Quo perlecto, confestim clamor secutus est omnium Archelao gratulantium: militésque per cuneos & populus adeuntes, suámque promittebant, déque beneuolentiam precabantur. Hinc ad sepeliendum regem operam contulerunt. Nihil autem munificentiæ prætermisit Archelaus, sed omnem ornatum extulit regium in funeris pompa ducendum. Lectus quippe totus erat gemmis auróque distinctus, torus autem purpura variatus, corpúsque super eum velatum itidem purpura. Capiti autem diadema erat impositum: corona verò desuper aurea, sceptrúmque in dextera, & circa lectum filij cum propinquis. præterea satellites agménque Thracium, Germaníque & Galli, velut ad bellum instructi omnes antecedebant. Cętera verò militum manus armata, ducésque suos ordinúmque principes sequebantur decenter. Quingenti autem serui ac liberi odores ferebant: corpus autem per ducenta stadia portatum est in castellum Herodion: ibique secundum ipsius regis mandata sepultum est. Et Herodis quidem regis hic finis fuit.

Ant. li. 17. cap. 12.

εἰ καί τις ἕτερος. ὅς γε κατεστήσατο βασιλείαν ἰδιώτης ὤν, καὶ τοσούτῳ χρόνῳ φυλάξας, ἰδίοις τέκνοις κατέλιπεν. ἐν δὲ τοῖς κατ' οἶκον, ἀτυχέστατος. πρὶν δὲ γνῶναι τὴν τελευτὴν αὐτοῦ τὸ στρατιωτικὸν, προελθοῦσα μετ' ἀνδρὸς ἡ Σαλώμη, διαφῆκε τοὺς δεσμώτας, οὓς κτείνειν ὁ βασιλεὺς ἐνετείλατο, μεταπεισθῆναι αὐτὸν λέγουσα, καὶ πάλιν ἀναπέμπειν ἕκαστον εἰς τὰ ἴδια. τούτων δὲ οἰχομένων, ἐδήλουν ἤδη τοῖς στρατιώταις, καὶ συνῆγον αὐτοὺς εἰς ἐκκλησίαν, μετὰ τοῦ λοιποῦ πλήθους ἐν τῷ καθ' Ἱεριχοῦντα ἀμφιθεάτρῳ. ἔνθα παρελθὼν Πτολεμαῖος, ὁ καὶ τὸν σημαντῆρα δακτύλιον παρὰ τοῦ βασιλέως πεπιστευμένος, τόν τε βασιλέα κατευδαιμονίζει, καὶ τὸ πλῆθος παρακαλεῖ, τήν τε ἀπολειφθεῖσαν τοῖς στρατιώταις ἀνεγίνωσκεν ἐπιστολὴν, ἐν ᾗ πολλὰ περὶ τῆς εἰς τὸν διάδοχον εὐνοίας παρεκάλει. μετὰ δὲ τὴν ἐπιστολὴν λύσας τὰς διαθήκας ἀνεγίνωσκεν, ἐν αἷς Φίλιππος μὲν τοῦ Τράχωνος, καὶ τῶν γειτνιώντων χωρίων κληρονόμος, τετράρχης δὲ ὡς προείπομεν Ἀντίπας, βασιλεὺς δὲ Ἀρχέλαος ἀπεδείκνυτο. τούτῳ δὲ τόν τε δακτύλιον τὸν ἑαυτοῦ Καίσαρι φέρειν ἐνετέλλετο, καὶ τὰς διοικήσεις τῆς βασιλείας σεσημασμένας. κύριον γὰρ ἁπάντων, ὧν διατάξειε, καὶ βεβαιωτὴν τῶν διαθηκῶν εἶναι Καίσαρα, τά γε μὴν λοιπὰ κατὰ τὰς προτέρας διαθήκας φυλάττειν. βοὴ δὲ εὐθὺς ἐγένετο τῶν Ἀρχελάῳ συνηδομένων, καὶ κατὰ στῖφος οἱ στρατιῶται μετὰ τοῦ πλήθους προσιόντες, ὑπισχνοῦντο μὲν τὴν ἑαυτῶν εὔνοιαν, συνηύχοντο δὲ καὶ τὴν παρὰ τοῦ θεοῦ. μετὰ ταῦτα πρὸς ταφὴν ἐτράποντο τοῦ βασιλέως, παρέλιπε δὲ οὐδὲν ὁ Ἀρχέλαος εἰς πολυτέλειαν. ἀλλὰ πάντα τὸν βασίλειον κόσμον προήνεγκε, συμπομπεύσοντα τῷ νεκρῷ. κλίνη μὲν, ὁλόχρυσος ἦν διάλιθος, στρωμνὴ δὲ, ἁλουργὶς ποικίλη, τὸ σῶμα δὲ ἐπ' αὐτῆς πορφύρᾳ κεκαλυμμένον, καὶ διάδημα μὲν ἐπέκειτο τῇ κεφαλῇ, στέφανος δὲ ὑπὲρ αὐτοῦ χρυσοῦς, τὸ δὲ σκῆπτρον παρὰ τὴν δεξιάν. καὶ περὶ μὲν τὴν κλίνην, οἵ τε υἱεῖς, καὶ τὸ πλῆθος τῶν συγγενῶν, ἐφ' οἷς οἱ δορυφόροι, καὶ τὸ Θρᾴκιον στῖφος, Γερμανοί τε καὶ Γαλάται διεσκευασμένοι πάντες ὡς εἰς πόλεμον. προῆγε δὲ ἡ λοιπὴ δύναμις, ὡπλισμένοι τοῖς ἡγεμόσι καὶ ταξιάρχοις ἀκολουθοῦντες ἐν κόσμῳ. πεντακόσιοι δὲ ὑπ' αὐτοῖς τῶν οἰκετῶν καὶ ἀπελευθέρων ἀρωματοφόροι. σταδίους δὲ ἐκομίσθη τὸ σῶμα διακοσίους, εἰς Ἡρώδειον, ὅπου κατὰ τὰς ἐντολὰς ἐτάφη. καὶ τὰ μὲν περὶ Ἡρώδην, τοιοῦτον ἔσχε πέρας.

ΦΛΑ-

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΠΕΡΙ ΑΛΩΣΕΩΣ ΛΟΓΟΣ Β′.

FLAVII IOSEPHI DE BELLO IVDAICO LIBER SECVNDVS.

Κεφ. α.

ΑΡΧΕΛΑΩ δὲ νέων ἦρξε θορύβων, ἡ τῆς ἐπὶ ῥώμην ἀποδημίας ἀνάγκη. πενθήσας γὰρ ἡμέρας ἑπτὰ τὸν πατέρα, καὶ τὴν ἐπιτάφιον ἑστίασιν πολυτελῆ τῷ πλήθει παρασχὼν (ἔθος δὲ τοῦτο παρὰ ἰουδαίοις πολλοῖς πενίας αἴτιον, διὰ τὸ πλῆθος ἑστιᾷν οὐκ ἄνευ ἀνάγκης. εἰ γὰρ παραλίποι τις, οὐχ ὅσιος) μεταλαμβάνει μὲν ἐσθῆτα λευκήν, πρόεισι δὲ εἰς τὸ ἱερόν, ἔνθα ποικίλαις αὐτὸν εὐφημίαις ὁ λαὸς ἐκδέχεται. κἀκεῖνος τὸ πλῆθος ἀφ' ὑψηλοῦ βήματος, καὶ χρυσοῦ θρόνου δεξιωσάμενος, τῆς τε σπουδῆς ἣν ἐνεδείξαντο περὶ τὴν κηδείαν τοῦ πατρὸς εὐχαριστεῖ, καὶ τῆς πρὸς αὐτὸν θεραπείας, ὡς πρὸς βέβαιον ἤδη βασιλέα. φείδεσθαί γε μὴν ἐπὶ τοῦ παρόντος, οὐ μόνον ἔφη τῆς ἐξουσίας, ἀλλὰ καὶ τῶν ὀνομάτων, ἕως ἂν αὐτῷ καῖσαρ ἐπικυρώσῃ τὴν διαδοχήν, ὁ κατὰ τὰς διαθήκας τῶν ὅλων δεσπότης. οὐδὲ γὰρ ἐν ἱεριχοῦντι τῆς στρατιᾶς τὸ διάδημα περιαπτούσης αὐτῷ, δέξασθαι. τοῦ μέντοι προθύμου, καὶ τῆς εὐνοίας ὥσπερ τοῖς στρατιώταις, οὕτω καὶ τῷ δήμῳ πλήρεις ἀποδώσειν τὰς ἀμοιβάς, ὁπότ' ἂν ὑπὸ τῶν κρατούντων βασιλεὺς ἀποδειχθῇ βέβαιος. σπουδάσειν γὰρ ἐν πᾶσι πρὸς αὐτοὺς φανῆναι τοῦ πατρὸς ἀμείνων. ἐπὶ τούτοις ἡδόμενον τὸ πλῆθος, εὐθέως ἀπεπειρᾶτο τῆς διανοίας αὐτοῦ, μεγάλοις αἰτήμασιν. οἱ μὲν γὰρ ἐβόων, ἐπικουφίζειν τὰς εἰσφοράς. οἱ δέ, ἀναιρεῖν τὰ τέλη, τινὲς δὲ ἀπολύειν τοὺς δεσμώτας. ἐπένευε δ' ἑτοίμως ἅπασι, θεραπεύων τὸ πλῆθος. ἔπειτα θύσας μετὰ τῶν φίλων ἐν εὐωχίᾳ ἦν.

Κεφ. β.

ΕΝ τούτῳ δὴ περὶ δείλην ἀθροισθέντες οὐκ ὀλίγοι τῶν νεωτερίζειν προαιρουμένων, ἤρξαντο τοῦ ἰδίου πένθους, ὅτε τὸ κοινὸν ἐπὶ τῷ βασιλεῖ πέπαυτο, κατολοφυρόμενοι τοὺς κολασθέντας ὑφ' ἡρώδου, διὰ τὸν ἐκκοπέντα χρυσοῦν ἀετὸν τῆς πύλης τοῦ ναοῦ. ἦν δὲ τὸ πένθος, οὐχ ὑπεσταλμένον, ἀλλ' οἰμωγαὶ διαπρύσιοι, καὶ θρῆνος ἐγκέλευστος, κοπετοί τε περιηχοῦντες ὅλην τὴν πόλιν, ὡς ἂν ἐπ' ἀνδράσιν οὓς ἔφασκον ὑπὲρ τῶν πατρίων νόμων καὶ τοῦ ναοῦ παραπολέσθαι.

Cap. I. De successoribus Herodis, & vltione direptæ aureæ aquilæ. *Ant. li. 17. cap. 12.*

TVRBARVM autem nouarum principium fuit, Archelao Romam proficiscendi necessitas. Diebus enim septem in lugendo patrem consumptis, epulisque feralibus prolixè populo exhibitis. (Hic autem mos apud Iudæos necessario multos ad inopiam redegit: nam qui eum neglexerat, impius æstimabatur) candida veste indutus procedit ad templum. Ibique variis fauoribus exceptus à plebe, ipse quoque in excelso tribunali, solióque aureo residens, humanissimè vulgus admisit: eisque & quòd sepulturam patris sedulò curauissent, gratias egit, & quòd sibi quasi certo iam regi, magnos honores habuissent. Verùm se tamen ait non potestate solùm interim, sed etiam ipso regis nomine temperare, donec à Cæsare sibi confirmata fuerit successio, qui etiam testamento rerum esset omnium dominus constitutus. Idcirco enim se apud Hierichunta voluntati exercitus restitisse, cùm sibi diadema voluisset imponere. Cæterùm pro alacritate ac beneuolentia, æquè militibus ac populo plenam se vicissitudinem relaturum, si ab his quorum etiam esset imperium, certus rex declaratus fuisset: studiumque sibi esse, vt erga illos rebus omnibus patre melior appareret. His gauisa multitudo, statim eius mentem magnis tentare petitionibus cœpit. Namque alij tributa leuari, alij vectigalia tolli, quidam solui custodias acclamabant. Cunctis autem postulatis, in gratiam populi facilè annuebat Archelaus. Deinde celebratis hostiis, cum amicis erat in epulis. Ecce autem subitò post meridiem congregati non pauci nouarum rerum studiosi, vbi communis luctus de rege cessauit, propria lamenta suscipiunt, flentes eorum casum, quos propter abscisam ex porta templi aquilam auream Herodes morte damnauerat. Dolor autem non occultus erat, sed clarissimis questibus, fletúq; iusto & planctu ciuitas personabat, virorum causa videlicet quos pro templo ac legibus patriis interiisse dicebant.

Eorum autem mortis pœnas, ab illis quos Herodes pecunia donasset, repetendas esse clamitabant: ac primùm, quem is constituerat pontificem reiiciendum, aliúmque pietate præstantem, magísque purum optari debere. Quibus etsi mouebatur Archelaus ad vltionem, tamen cum profectionis festinatio continebat, metuentem, ne sibi multitudinem reddidisset inimicam, motu eius impediretur. Quamobrem monendo magis quàm vi experiebatur sedare turbatos: missóque magistro militum, vt quiescerent, eos rogabat. Sed illum seditionis authores, vbi ad templum venit, prius quàm verbum faceret, lapidibus proturbarunt: & aliis post eum mulcendi sui gratia missis, multos enim legabat Archelaus, iracundè omnia responderunt: neque si numero aucti fuissent, otiosi fore videbantur. Itaque instante azymorum die festo, qui apud Iudæos Pascha vocitatur, plurima victimarum copia plenus, infinita quidem ad templum ex agris multitudo religionis causa descendit, cùm illi qui sophistas lugebãt in templo consisterent, nutrimenta seditioni quærentes. Hoc autem metu Archelaus, antequam omnem populum morbus iste corrumperet, cohortem militum & tribunum, qui etiam seditionis principes comprehenderent, eò dirigit: contra quos omne vulgus excitatum, multos lapidum ictibus interfecit: saucius verò tribunus vix elabitur. Et illi quidem statim, veluti nihil mali actum esset, ad celebranda sacra conuersi sunt. Sed Archelao sine cæde iam multitudo comprimi non posse videbatur. quamobrem totum illis immisit exercitum, pedites per ciuitatem simul omnes, equitésq; per campum: qui cùm sacrificiis occupatos singulos inuasissent, propè ad tria millia hominum occidunt: reliquam verò manum per montes proximos disiecerunt. præcones autem sequebantur Archelaum, iussu eius vnumquemque, vt domum recederet admonendo: Itaque cuncti neglecta dici festiuitate, abière. ipse autem cum matre, necnon & Popla, & Ptolemæo, & Nicolao amicis, ad mare descendit: relicto Philippo regni procuratore, itémque rerum familiarium curatore. Vnà verò egressa est cum filiis suis Salome, fratrísque regis filij, genérque, specie velut Archelao ad obtinendam successionem adiumento futuri: certa verò causa, quæ contra leges in templum admissa fuerant, delaturi. Interea fit illis Cæsareæ obuiam Sabinus Syriæ procurator, ad Iudæam veniens, ad pecunias custodiendas Herodis, quem vlterius progredi Varus inhibuit, multis accitus Archelai precibus, intercedente Ptolemæo. Et tunc quidem Sabinus in gratiam Vari, neque ad arces venire properauit, neque thesauros paternæ pecuniæ clausit Archelao: sed vsque ad cognitionem Cæsaris se otiosum esse pollicitus, apud Cæsaream commorabatur. Postea verò quam sibi obstantium vnus Antiochiam petiit, alter, hoc est, Archelaus Romam nauigauit, maturè profectus in Hierosolymã, regiam tenens custodiũq; principibus, iteq; dispẽsatorib. euocatis, rationes pecuniarũ discutere conabatur, & arces occupare tẽtabat. Nõ tamẽ immemores Archelai mãdatorũ custodes erant,

Ant. lib. 17. cap. 13.

A τιμωρεῖν δὲ αὐτοῖς ἀνεβόων ἐκ τῶν ὑφ᾽ Ἡρώδου τετιμημένων χρήμασι. καὶ πρῶτον τὸν ὑπ᾽ ἐκείνου κατασταθέντα, παύειν ἀρχιερέα. προσήκειν γὰρ αὐτοῖς εὐσεβέστερον αἱρεῖσθαι, καὶ καθαρώτερον. πρὸς ἃ παρωξύνετο μὲν ἀρχέλαος, ἀπείχετο δὲ τὴν ἄμυναν ὑπὸ τῆς περὶ τὴν ἔξοδον ἐπείξεως, δεδοικὼς μή ποτε τὸ πλῆθος ἐκπολεμώσας, κατασχεθείη τῷ κινήματι. διὸ πειθοῖ μᾶλλον ἢ βίᾳ καταστέλλειν ἐπειρᾶτο τοὺς νεωτερίζοντας, καὶ τὸν στρατηγὸν ὑποπέμψας, παύσασθαι B παρεκάλει. τοῦτον εἰς τὸ ἱερὸν παρελθόντα πρὶν φθέγξασθαί τι, λίθοις ἀπήλαυνον οἱ στασιασταὶ, καὶ τοὺς μετ᾽ αὐτὸν ἐπὶ σωφρονισμῷ προσιοῦσιν, ἔπεμπε δὲ πολλοὺς ἀρχέλαος, πάντα δὲ πρὸς ὀργὴν ἀπεκρίναντο. δῆλοί τε ἦσαν οὐκ ἠρεμήσοντες εἰ πλήθους ἐπιλάβοιντο. καὶ δὴ τῆς τῶν ἀζύμων ἐνστάσης ἑορτῆς, φάσκα παρὰ τοῖς Ἰουδαίοις καλεῖται, πολύ τι θυμάτων πλῆθος ἐκδεχομένη, κάτεισι μὲν ἄπειρος ἐκ τῆς χώρας λεὼς ἐπὶ τὴν θρη- C σκείαν. οἱ δὲ τοὺς σοφιστὰς πενθοῦντες ἐν τῷ ἱερῷ συνειστήκεισαν τροφὴν τῇ στάσει πορίζομενοι. πρὸς ὃ δείσας ἀρχέλαος, πρὶν δι᾽ ὅλου τοῦ πλήθους δραμεῖν τὴν νόσον, ὑποπέμπει μετὰ σπείρας χιλίαρχον, προστάξας βίᾳ τοὺς ἐξάρχοντας τῆς στάσεως κατασχεῖν. πρὸς οὓς τὸ πλῆθος ἅπαν παροξύνεται, καὶ τοὺς μὲν πολλοὺς τῆς σπείρας βάλλοντες λίθοις, διέφθειραν. ὁ δὲ χιλίαρχος ἐκφεύγει τραυματίας μόγις. ἔπειθ᾽ οἱ μὲν ὡς μηδενὸς δει- D νοῦ γεγονότος, ἐτράποντο πρὸς τὴν θυσίαν. οὐ μὴν ἀρχελάῳ δίχα φόνου καθεκτὸν ἔτι τὸ πλῆθος ἐφαίνετο. τὴν δὲ στρατιὰν ἐπαφίησιν αὐτοῖς ὅλην, τοὺς μὲν πεζοὺς διὰ τῆς πόλεως ἀθρόους. τοὺς δὲ ἱππεῖς, ἀνὰ τὸ πεδίον. οἳ θύουσιν ἑκάστοις ἐξαίφνης προσπεσόντες, διαφθείρουσι μὲν περὶ τρισχιλίους, τὸ δὲ λοιπὸν πλῆθος, εἰς τὰ πλησίον ὄρη διεσκέδασαν. εἵποντο δὲ κήρυκες ἀρχελάου, κελεύοντες ἕκαστον ἀναχωρεῖν ἐπ᾽ οἴκου, καὶ πάντες ᾤχοντο τὴν ἑορτὴν ἀπολιπόντες. αὐτὸς δὲ μετὰ τῆς μητρὸς καὶ τῶν φίλων Πο- E πλᾶ καὶ Πτολεμαίου καὶ Νικολάου, κατῄει πρὸς θάλασσαν, καταλιπὼν ἐπίτροπόν τε τῶν βασιλείων καὶ κηδεμόνα τῶν οἰκείων, Φίλιππον. συνεξῄει δὲ ἅμα τοῖς τέκνοις Σαλώμη, καὶ οἱ τοῦ βασιλέως ἀδελφοί τε καὶ γαμβροί. τὸ μὲν δοκεῖν, συναγωνιούμενοι περὶ τῆς διαδοχῆς ἀρχελάῳ. τὸ δ᾽ ἀληθὲς, κατηγορήσοντες περὶ τῶν κατὰ τὸ ἱερὸν παρανομηθέντων.

Συναντᾷ δ᾽ αὐτοῖς κατὰ Καισάρειαν, Σαβῖνος ὁ τῆς Συ- F ρίας ἐπίτροπος εἰς Ἰουδαίαν ἀνιὼν, ἐπὶ φυλακῇ τῶν Ἡρώδου χρημάτων. τοῦτον ἐπέσχε προσωτέρω χωρεῖν Οὐάρος ἐπελθὼν, ὃν διὰ Πτολεμαίου πολλὰ δεηθεὶς, ἀρχέλαος μετεπέμψατο. τότε μὲν οὖν Σαβῖνος Οὐάρῳ χαριζόμενος, οὔτ᾽ ἐπὶ τὰς ἄκρας ἔσπευσεν, οὔτε τὰ ταμιεῖα τῶν πατρῴων χρημάτων ἀπέκλεισεν ἀρχελάῳ. μέχρι δὲ τῆς Καίσαρος διαγνώσεως, ἠρεμήσειν ὑπέσχετο. διέτριβε δὲ ἐπὶ τῆς Καισαρείας. ὡς δὲ τῶν ἐμποδιζόντων ὁ μὲν εἰς Ἀντιόχειαν ἀπῆρεν, ἀρχέλαος δὲ εἰς Ῥώμην G ἀνήχθη, διὰ τάχους ἐπὶ Ἱεροσολύμων ὁρμήσας, παραλαμβάνει τὰ βασίλεια. καὶ μεταπεμπόμενος τοὺς τῶν φρουράρχους καὶ διοικητὰς, ἐπειρᾶτο διερευνᾶν τοὺς τῶν χρημάτων ἀναλογισμοὺς, τὰς τε ἄκρας παραλαμβάνειν. οὐ μὴν οἱ φρούραρχοι τῶν ἀρχελάου κατημέλουν ἐντολῶν,

ἐσόμενοι δὲ φρουροὶ ἕκαστα, καὶ τὴν φρουρὰν ἀνατιθέντες καίσαρι μᾶλλον, ἢ ἀρχελάῳ.

Κεφ. δ. Κἀν τούτῳ πάλιν ἀντίπας ἀμφισβητήσων περὶ τῆς βασιλείας ἐπέξεισιν, ἀξιῶν τῆς ἐπιδιαθήκης τὴν διαθήκην εἶναι κυριωτέραν, ἐν ᾗ βασιλεὺς αὐτὸς ἐγέγραπτο. συλλήψεσθαι δὲ αὐτῷ προϋπέσχετο σαλώμη, καὶ πολλοὶ τῶν σὺν ἀρχελάῳ πλεόντων συγγενῶν. ἐπήγετο δὲ τὴν μητέρα καὶ τὸν ἀδελφὸν νικολάου πτολεμαῖον, ῥοπὴν εἶναι δοκοῦντα, διὰ τὴν παρ' ἡρώδῃ πίστιν. ἐγεγόνει γὰρ δὴ τῶν φίλων τιμιώτατος ἐκείνῳ. πλεῖστον μέν τοι πεποίθει διὰ δεινότητα λόγων εἰρηναίῳ τῷ ῥήτορι, δι' ὃν καὶ τοὺς νουθετοῦντας, εἴκειν ἀρχελάῳ κατὰ τὸ πρεσβεῖον καὶ τὰς ἐπιδιαθήκας, διεκρούσατο. μετέστη δὲ ἐν ῥώμῃ πάντων πρὸς αὐτὸν ἡ σπουδὴ τῶν συγγενῶν, οἷς διὰ μίσους ἦν ἀρχέλαος. καὶ προηγουμένως μὲν ἕκαστος αὐτονομίας ἐπεθύμει, στρατηγῷ ῥωμαίων διοικουμένης, εἰ δὲ τούτου διαμαρτάνοιεν, βασιλεύειν ἀντίπαν ἤθελον. συνήργει δὲ αὐτοῖς εἰς τοῦτο καὶ σαβῖνος δι' ἐπιστολῶν, κατηγορήσας μὲν ἀρχελάου παρὰ καίσαρι, πολλὰ δὲ ἐπαινέσας ἀντίπαν. συντάξαντες δὲ τὰ ἐγκλήματα οἱ περὶ σαλώμην, ἐνεχείρισαν καίσαρι, καὶ μετ' αὐτοὺς ἀρχέλαος, τά τε κεφάλαια τῶν ἑαυτοῦ δικαίων γράψας, καὶ τὸν δακτύλιον τοῦ πατρὸς καὶ τοὺς λόγους, εἰσπέμπει διὰ πτολεμαίου. προσκεψάμενος δὲ ὁ καῖσαρ τὰ παρ' ἀμφοῖν κατ' ἰδίαν, τό, τε μέγεθος τῆς βασιλείας, καὶ τὸ πλῆθος τῆς προσόδου, πρὸς οἷς τὸν ἀριθμὸν τῆς ἡρώδου γενεᾶς. προσαναγνοὺς δὲ καὶ τὰ παρὰ οὐάρου καὶ σαβίνου, περὶ τούτων ἐπεσταλμένα, συνέδριον μὲν ἀθροίζει τῶν ἐν τέλει ῥωμαίων, ἐν ᾧ καὶ τὸν ἐξ ἀγρίππα καὶ ἰουλίας τῆς θυγατρὸς θετὸν παῖδα γάϊον, πρῶτος ἐκάθισεν, ἀποδίδωσι δὲ λόγον αὐτοῖς. ἔνθα καταστὰς ὁ σαλώμης υἱὸς ἀντίπατρος, ὢν δὲ τῶν ἐναντιουμένων ἀρχελάῳ δεινότατος εἰπεῖν, κατηγόρει φάσκων. τοῖς μὲν λόγοις ἀμφισβητεῖν ἄρτι περὶ βασιλείας ἀρχέλαον. τοῖς δ' ἔργοις, πάλαι γεγονέναι βασιλέα, κατειρωνεύεσθαι δὲ νῦν τῶν καίσαρος ἀκοῶν. ὃν δικαστὴν τῆς διαδοχῆς οὐ περιέμεινεν, εἴγε μετὰ τὴν ἡρώδου τελευτὴν ἐγκαθέτους μὲν ὑποπέμψας τοὺς περιθήσοντας αὐτῷ τὸ διάδημα, προκαθίσας δὲ ἐπὶ θρόνου καὶ χρηματίσας ὡς βασιλεὺς, τάξεις τε τῆς στρατιᾶς ἀμείψας, καὶ προκοπὰς χαρισάμενος, ἔτι δὲ τῷ δήμῳ πάντα κατανεύσας, ὅσων ὡς παρὰ βασιλέως τυχεῖν ἠξίουν, καὶ τοὺς ἐπὶ μεγίσταις αἰτίαις ὑπὸ τοῦ πατρὸς δεδεμένους λύσας, νῦν ἥκει παρὰ τοῦ δεσπότου σκιὰν αἰτησόμενος βασιλείας, ἧς ἥρπασεν ἑαυτῷ τὸ σῶμα, καὶ ποιῶν οὐ τῶν πραγμάτων ἀλλὰ τῶν ὀνομάτων κύριον καίσαρα. προσωνείδιζε δὲ, ὡς καὶ τὸ πένθος κατειρωνεύσαιτο τοῦ πατρὸς, μεθ' ἡμέραν μὲν ἐπισχηματίζων τὸ πρόσωπον εἰς λύπην, νύκτωρ δὲ μέχρι κώμων μεθυσκόμενος, ἐν ᾧ καὶ τὴν ταραχὴν τοῦ πλήθους ἐκ τῆς ἐπὶ τούτοις ἀγανακτήσεως, ἔλεγε γεγονέναι. καὶ τὸν ἀγῶνα παντὸς τοῦ λόγου ἐναπηρείσατο τῷ πλήθει τῶν περὶ τὸν ναὸν φονευθέντων, οὓς ἐληλυθέναι μὲν ἐφ' ἑορτὴν, παρὰ δὲ ταῖς ἰδίαις θυσίαις, ὠμῶς ἀπεσφάχθαι, καὶ τοσοῦτον ἐν τῷ ἱερῷ σεσωρεῦσθαι νεκρῶν πλῆθος, ὅσον οὐδ' ἂν ἀλλόφυλος ἐσώρευσε πόλεμος ἐπελθὼν ἀκήρυκτος. ταύτην μέντοι τὴν

sed in obseruando singula quæque perseuerabant, causam custodiæ magis Cæsari quàm Archelao tribuentes. Ad hoc autem Antipas quoque de regno certabat, posteriore superius Herodis testamentum firmius esse defendens, in quo rex ipse Antipas fuerat scriptus: eique se tam Salome quàm multi alij cognati, qui cum Archelao nauigarant, suffragio fore promiserant. Ducebat autem secum matrem, fratrémque Nicolai Ptolemæum, in quo pro fide apud Herodem probata, nonnihil videbatur esse momenti. Namque illi fuerat amicorum carissimus. Oratori autem Irenæo propter dicendi acrimoniam plurimum confidebat. vnde etiam qui se monuerant, vt Archelao pro ætatis merito & secundi testamenti voluntate cederet, audiendos esse nō censuit. Romæ verò migrauerunt ad eum cunctorum studia propinquorum, quibus inuisus erat Archelaus, quique præcipuè liberi omnes suique iuris esse cupiebant, & aut Romano magistratu administrari, aut si hoc non impetrarent, Antipā regem habere. Ad hoc etiam Sabini ope nitebatur Antipas, qui Archelaū per epistolas accusauerat apud Cæsarē, Antipam verò multum laudauerat. Itaque digesta crimina Salome & cæteri, qui cum ea sentirent Cæsari tradiderūt, & post eos Archelaus gestorū suorū perscripta capitula, patrísque anulū per Ptolemæū, rationésque administrationis intromisit ad Cæsarē. Ille autem secū præmeditans ea, quæ ab vtraq; parte dicerētur, vbi & regni magnitudinē, multitudinémq; redituū animaduertit, atq; insuper Herodis familiā numerosam, perlectis etiā Vari ac Sabini literis, optimates Romanorum ad cōciliū vocat, in quo tunc primū ex Agrippa ac filia sua natū Caiū sedere iussit, filiū adoptiuū: atq; ita partibus prosequēdi copiā dedit. Igitur Salomes filius Antipater (namq; is erat orator acerrimus eorū, qui aduersabantur Archelao) accusationē proposuit, insimulās Archelaum, quasi verbis quidē de regno videretur cōtēdere, re autē vera iamdudum rex esset effectus, & apud aures modo Cæsaris cauillaretur, quē iudicē successionis expectare noluisset. Nam post Herodis mortē, quibusdā, vt diadema sibi imponerēt subornatis, regis eū more in solio aureo residētē, partim ordines militiæ permutasse, partim condonasse promotiones: & insuper his omnia annuisse populo, quæ velut à rege impetrāda petiisset: maximorúmq; reos criminū, quos pater suus vinxerat, absoluisse: qui cū ista fecisset, modò regni vmbrā à Domino postulaturus venisset, cuius sibi corpus ipse rapuisset, vt nō rerum, sed vocabulorum dominū esse Cæsarē demonstraret. Ad hæc ei, quòd etiā luctū patris assimulasset, obiiciebat: cùm interdiu quidē personā cōponeret in mœrorem, noctu verò ad comessationes vsq; potaret. Deniq; seditionem vulgi ex hac indignatione conflatam esse dicebat. Totius enim orationis suæ vires, eorum multitudine, qui circa templum cæsi fuerant, astruebat. Hos enim ad diem festum quidem venisse: ad hostias verò, quas ipsi mactandas venerant, crudeliter esse iugulatos: tantúmque in templo funerum esse congestum, quantum nullum ab externis illatum bellum implacabile congessisset. Itaque huius

crudelitatis Herode præscio, ne spe quidem regni vnquam eum dignum esse visum, nisi cùm sanæ mentis inops erat, animo deteriùs ægrotante, quàm corpore, & quem in secundo testamento successorem scriberet, ignorabat: præsertim, qui priore testamento successorem scriptum incusare nihil posset, quod incolumi corpore, omníque vitio purgata mente fecisset. Vt tamen quis firmius esse ponat morbo laborantis arbitrium, ipsum se Archelaum abdicasse regia dignitate, multis in eam contra leges admissis. Nam qualem fore si acciperet à Cæsare principatũ, qui antequam acciperet, tãtum populũ peremisset? Multa in hunc modum prosecutus Antipater, multis ex numero circumstantium propinquorum in singula crimina testibus exhibitis perorauit. Surrexit autem Nicolaus defensor Archelai, & ante omnia cædem in templo necessariò factam esse perdocuit: nam quorum necis argueretur, non regni solùm, sed etiam ipsius iudicis, id est, Cæsaris hostes fuisse: aliorum autem criminum suasores aduersarios ipsos demonstrauit. Secundum verò testamentum idcirco ratum manere postulabat, quòd Herodes in eo successoris sui firmatorem Cæsarem constituisset. nam qui tantum saperet, vt rerum Domino potestate sua cederet, nec vnquam in hæredis errasse iudicio, sed sano corde quem constitueret elegisse, qui per quem constitui deberet non ignorauit. Cùm autem omnibus expositis, etiam Nicolaus perorasset, in mediũ progressus Archelaus, ad genua Cæsaris accidit ocyùs. Quo perbenignè Cęsar erecto, quòd paterna quidem successione dignus esset, ostendit: certum verò nihil pronunciauit. Sed illo die dimisso concilio, secum ipse de cognitis deliberabat, vtrùm ex his, qui testamento continerentur, aliquem regni oporteret constitui successorem, an toti familiæ distribui principatum. Multitudo enim personarum egere subsidio videbatur.

Cap. II. De pugna & strage Hierosolymis inter Iudæos & Sabinianos. *Ant. li. 17. cap. 14.*

SEd antequam de his quicquam statueretur à Cæsare, mater Archelai Malthace morbo correpta moritur. Et variæ literæ de Syria perlatæ sunt, Iudæos defecisse nunciantes: quod Varus fore prospiciens in Hierosolymam postquam Archelaus nauigarat, ascendit, vt incentores seditionis prohiberet. Et quia multitudo cessatura non videbatur, ex tribus quas ex Syria duxerat secũ legionibus, vnam in ciuitate reliquit: atque ita in Antiochiam ipse remeauit. At Sabinus cùm postea in Hierosolymam venisset, causas nouarum rerum Iudæis præbuit: modò vim custodibus, vt sibi arces traderent, adhibendo, nunc malignè regis exquirendo pecunias. Non autem solis relictis à Varo militibus fretus erat, sed etiam seruorum suorum multitudine, quos etiam omnes armatos auaritiæ ministros habebat. Festo autem quinquagesimo die, quæ Pentecoste à Iudæis vocatur, septies septem diebus exactis rediens, ex eorum numero vocabulum nacta, non religionis solennitas populum, sed indignatio congregauit. Denique concursus infinitæ multitudinis ex Galilæa, itémque Idumæa & Hierichunte, tránsque Iordanem positis regionibus, factus est: cùm indigena ex ipsa ciuitate populus Iudæorum, & numero simul & alacritate præstaret:

A ὠμότητα προσκεψάμενον αὐτοῦ καὶ τὸν πατέρα, μηδὲ ἐλπίδος αὐτὸν ἀξιῶσαι ποτὲ βασιλικῆς, ἢ ὅτε χεῖρον τὴν ψυχὴν κάμνων σώματος ἀκρατὴς ἦν ὑγιαίνοντος λογισμοῦ, καὶ οὔτε ὃν ἔγραφεν ἐν ταῖς ἐπιδιαθήκαις ᾔδει διάδοχον, καὶ ταῦτα μηδὲν τὸν ἐν ταῖς διαθήκαις μέμψασθαι δυνάμενος, ὃν ἔγραψεν ὑγιαίνων μὲν τὸ σῶμα, καθαρὰν δὲ τὴν ψυχὴν ἔχων πάθους παντός. εἰ μέντοι καὶ κυριωτέραν τὴν τοῦ κάμνοντος κρίσιν τιθείη τις, ἀποκεχειροτονῆσθαι βασιλείας ἀρχέλαον ὑφ᾽ ἑαυτοῦ, τοῖς εἰς αὐτὴν
B παρανομηθεῖσιν. ἢ ποταπὸν γε ἄρα ἂν γενέσθαι λαβόντα τὴν ἀρχὴν παρὰ καίσαρος, τὸν πρὶν λαβεῖν τοσούτους ἀνῃρηκότα; πολλὰ τοιαῦτα διεξελθὼν ἀντίπατρος, καὶ τοὺς πλείστους τῶν συγγενῶν παραστησάμενος ἐφ᾽ ἑκάστῳ τῶν κατηγορημένων μάρτυρας, κατέπαυσε τὸν λόγον. ἀνίσταται δὲ νικόλαος ὑπὲρ ἀρχελάου, καὶ τὸν μὲν ἐν τῷ ἱερῷ φόνον, ἀναγκαῖον ἀπέφαινε, πολεμίους γὰρ γεγονέναι τοὺς ἀνῃρημένους, οὐ τῆς βασιλείας μόνον, ἀλλὰ καὶ τοῦ δικά-
C ζοντος αὐτὸν καίσαρος. τῶν δὲ ἄλλων ἐγκλημάτων συμβούλους ἀπεδείκνυεν αὐτοὺς τοὺς κατηγόρους γεγονέναι. τήν γε μὴν ἐπιδιαθήκην ἠξίου, διὰ τοῦτο μάλιστα εἶναι κυρίαν, ὅτι βεβαιωτὴν ἐν αὐτῇ καίσαρα καθίστατο τοῦ διαδόχου. ὁ γὰρ σωφρονῶν, ὥστε τῷ δεσπότῃ τῶν ὅλων παραχωρεῖν τῆς ἐξουσίας, οὐ δήπου περὶ κληρονόμου κρίσιν ἐσφάλλετο. σωφρονῶν δὲ ᾑρεῖτο καὶ τὸν καθιστάμενον, ὁ γινώσκων τὸν καθιστάντα. διεξελθόντος δὲ πάντα καὶ νι-
D κολάου, παρελθὼν ὁ ἀρχέλαος, προσπίπτει τῶν καίσαρος γονάτων ἡσυχῇ. κἀκεῖνος αὐτὸν μάλα φιλοφρόνως ἀναστήσας, ἐνέφηνε μὲν ὡς ἄξιος εἴη τῆς πατρῴας διαδοχῆς, οὐ μὴν τι βέβαιον ἀπεφήνατο. διαλύσας δὲ τοὺς συνέδρους ἐκείνης τῆς ἡμέρας, καθ᾽ ἑαυτὸν περὶ ὧν διήκουσεν ἐσκέπτετο, εἴτε χρὴ τῶν ἐν ταῖς διαθήκαις καταστῆσαι τινὰ διάδοχον, εἴτε καὶ πάσῃ τῇ γενεᾷ διανεῖμαι τὴν ἀρχήν. ἐδόκει γὰρ ἐπικουρίας χρήζειν τὸ πλῆθος τῶν προσώπων. πρὶν δὲ ὁρίσαι τι περὶ τούτων καίσαρα, τελευ-
E τᾷ μὲν ἡ ἀρχελάου μήτηρ μαλθακὴ νοσήσασα. παρὰ οὐάρου δὲ ἐκομίσθησαν ἐκ συρίας ἐπιστολαί, περὶ τῆς ἰουδαίων ἀποστάσεως. ἣν προσιδόμενος οὔαρος, ἀνέβη γὰρ δὴ μετὰ τὸν ἀρχελάου πλοῦν εἰς ἱεροσόλυμα τοὺς παρακινοῦντας καθέξων, ἐπειδὴ πρόδηλον ἦν τὸ ἔθνος οὐκ ἠρεμῆσον, ἕν τι τῶν τριῶν ἀπὸ συρίας ταγμάτων, ὅπερ ἧκεν ἄγων, ἐν τῇ πόλει καταλείπει. καὶ αὐτὸς μὲν ὑπέστρεψεν εἰς ἀντιόχειαν.

F Ἐπελθὼν δὲ σαβῖνος, ἀφορμὴν αὐτοῖς παρέσχε νεωτεροποιΐας. τούς τε γὰρ φρουροὺς παραδιδόναι τὰς ἄκρας ἐβιάζετο, καὶ πικρῶς τὰ βασίλεια χρήματα διηρεύνα, πεποιθὼς οὐ μόνον τοῖς ὑπὸ οὐάρου καταλειφθεῖσι στρατιώταις, ἀλλὰ καὶ πλήθει δούλων ἰδίων, οὓς ἅπαντας ὁπλίσας, ὑπηρέταις ἐχρῆτο τῆς πλεονεξίας. ἐνστάσης δὲ πεντηκοστῆς, οὕτω καλοῦσι τινὰ ἑορτὴν ἰουδαῖοι παρ᾽ ἑπτὰ γινομένην ἑβδομάδας, καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν προσηγορίαν ἔχουσαν, οὐχ ἡ
G συνήθης θρησκεία συνήγαγε τὸν δῆμον, ἀλλ᾽ ἀγανάκτησις. συνέδραμε γοῦν πλῆθος ἄπειρον ἔκ τε τῆς γαλιλαίας, καὶ ἰδουμαίας, ἱεριχοῦντός τε, καὶ τῆς ὑπὲρ ἰορδάνην περαίας. ὑπερεῖχε δὲ πλήθει τε καὶ προθυμίαις ἀνδρῶν, ὁ γνήσιος ἐξ αὐτῆς ἰουδαίας λαός.

Κεφ. ϛ.

διανεί-

διανείμαντες δὲ σφᾶς ἑαυτοὺς εἰς τρία μέρη, τριχῆ στρατοπεδεύονται, πρός τε τῷ βορείῳ τοῦ ἱεροῦ κλίματι, καὶ πρὸς τῷ μεσημβρινῷ κατὰ τὸν ἱππόδρομον. ἡ δὲ τρίτη μοῖρα, πρὸς τοῖς βασιλείοις κατὰ δύσιν. περικαθεζόμενοι δὲ πάντοθεν, τοὺς ῥωμαίους ἐπολιόρκουν. ὁ δὲ σαβῖνος πρός τε τὸ πλῆθος αὐτῶν ὑποδείσας καὶ τὰ φρονήματα, συνεχεῖς μὲν ἀγγέλους ἔπεμπε παρὰ οὐάρον, ἐπαμύνειν ἐν τάχει δεόμενος, ὡς εἰ βραδύνοι, κατακοπησομένου τοῦ τάγματος. αὐτὸς δὲ ἐπὶ τὸν ὑψηλότατον τοῦ φρουρίου πύργον ἀναβὰς ὃς ἐκαλεῖτο φασάηλος ἐπώνυμον ἔχων ἀδελφὸν ἡρώδου διαφθαρέντα ὑπὸ πάρθων, ἐντεῦθεν κατέσειε τοῖς ἐν τῷ τάγματι στρατιώταις, ἐπιχειρεῖν τοῖς πολεμίοις. δι᾽ ἔκπληξιν γὰρ οὐδὲ εἰς τοὺς σφετέρους καταβαίνειν ἐθάρρει. παραπεισθέντες δὲ οἱ στρατιῶται, προπηδῶσιν εἰς τὸ ἱερὸν, καὶ μάχην καρτερὰν τοῖς ἰουδαίοις συνάπτουσιν. ἐν ᾗ μέχρι μὲν οὐδεὶς καθύπερθεν ἐπήμυνε, περιῆσαν ἐμπειρίᾳ πολεμούντων ἀπείρων. ἐπεὶ δὲ πολλοὶ ἰουδαίων ἀναβάντες ἐπὶ τὰς στοὰς, κατὰ κεφαλῆς αὐτῶν ἠφίεσαν τὰ βέλη, συνετρίβοντο πολλοὶ, καὶ οὔτε τοὺς ἄνωθεν βάλλοντας ἀμύνασθαι ῥᾴδιον ἦν, οὔτε τοὺς συστάδην μαχομένους ὑπομένειν. καταπονούμενοι δὲ πρὸς ἀμφοτέρων ὑπεμπιπρᾶσι τὰς στοὰς, ἔργα θαυμάσια μεγέθους τε καὶ πολυτελείας ἕνεκεν. οἱ δὲ ὑπ᾽ αὐτῶν ὑπὸ τῆς φλογὸς ἐξαίφνης περισχεθέντες, πολλοὶ μὲν ἐν αὐτῇ διεφθείροντο. πολλοὶ δ᾽ ὑπὸ τῶν πολεμίων, πηδῶντες εἰς αὐτούς, τινὲς δ᾽ εἰς τοὐπίσω κατὰ τοῦ τείχους κατεκρημνίζοντο, ἔνιοι δ᾽ ὑπ᾽ ἀμηχανίας τοῖς ἰδίοις ξίφεσι, τὸ πῦρ ἔφθανον. ὅσοι δὲ καθερπύσαντες ἀπὸ τῶν τειχῶν ᾖξαν εἰς τοὺς ῥωμαίους, εὐμεταχείριστοι διὰ τὴν ἔκπληξιν ἦσαν, μέχρι τῶν μὲν ἀπολωλότων, τῶν δ᾽ ὑπὸ τοῦ δέους σκεδασθέντων, ἐρήμῳ τῷ τοῦ θεοῦ θησαυρῷ προσπεσόντες οἱ στρατιῶται, περὶ τὰ τετρακόσια τάλαντα διήρπασαν, ἀφ᾽ ὧν ὅσα μὴ διεκλάπη, σαβῖνος ἤθροισεν. ἰουδαίους δὲ ἥ τε τῶν ἔργων, καὶ ἡ τῶν ἀνδρῶν φθορὰ, πολὺ πλείους καὶ μαχιμωτέρους ἐπισυνέστησε ῥωμαίοις, καὶ περισχόντες τὰ βασίλεια, ἅπαντας ἠπείλουν διαφθείρειν, εἰ μὴ θᾶττον ἀπίοιεν. ὑπισχνοῦντο γὰρ ἀδείαν τῷ σαβίνῳ βουλομένῳ μετὰ τοῦ τάγματος ἐξιέναι. συνελάμβανον δ᾽ αὐτοῖς οἱ πλεῖστοι τῶν βασιλικῶν αὐτομολήσαντες. τὸ μέντοι πολεμικώτατον μέρος, σεβαστηνοὶ τρισχίλιοι, ῥοῦφός τε καὶ γρᾶτος ἐπὶ τούτοις. ὁ μὲν τοὺς πεζοὺς τῶν βασιλικῶν ἔχων ὑφ᾽ ἑαυτοῦ, ῥοῦφος δὲ τοὺς ἱππεῖς, ὧν ἑκάτερος, καὶ χωρὶς ὑπηκόου δυνάμεως, δι᾽ ἀλκὴν, καὶ σύνεσιν, καὶ πολέμου ῥοπὴν προσέθεντο ῥωμαίοις. ἰουδαῖοι μὲν οὖν, ἐνέκειντο τῇ πολιορκίᾳ τῶν τειχῶν, ἅμα πειρώμενοι τοῦ φρουρίου. καὶ τοῖς περὶ τὸν σαβῖνον ἐμβοῶντες ἀπιέναι, μηδ᾽ ἐμποδὼν αὐτοῖς γίνεσθαι, διὰ χρόνου πολλοῦ κομιζομένοις τὴν πάτριον αὐτονομίαν. σαβίνῳ δὲ ἀγαπητὸν μὲν ἦν ὑπεξελθεῖν. ἠπίστει δὲ ταῖς ὑποσχέσεσι, καὶ τὸ πρᾶον αὐτῶν, δέλεαρ εἰς ἐνέδραν ὑπώπτευεν. ἅμα δὲ καὶ τὴν ἐξ οὐάρου βοήθειαν ἐλπίζων, διέφερε τὴν πολιορκίαν.

Κεφ. ε. Ἐν δὲ τούτῳ, καὶ τὰ κατὰ τὴν χώραν, πολλαχόθεν ἐταράσσετο, καὶ συχνοὺς βασιλειᾶν ὁ καιρὸς ἀνέπειθε, κατὰ μὲν γε τὴν ἰδουμαίαν δισχίλιοι τῶν ὑφ᾽ ἡρώδου πάλαι στρατευσαμένων συστάντες ἔνοπλοι, διεμάχοντο τοῖς βασιλικοῖς οἷς ἀχίαβος ὁ ἀνεψιὸς βασιλέως, ἀπὸ τῶν ἐρυμνοτάτων χωρίων ἐπολέμει, ὑποφεύγων τὴν ἐν τοῖς πεδίοις

& tripartita manu terna castra collocauerunt, vna in Septentrionali regione templi, altera in meridionali Hippodromum versus, tertiáque in occiduo prope regiam tractu, circumsessósque Romanos vndique obsidebant. Sabinus autem multitudine pariter, eorúmque spiritu perterritus, crebris quidem Varum nunciis precabatur, vt quàm maturè ferret auxilium, quasi occasione delenda legione, si quid moræ interuenisset. Ipse verò in altissimam castelli turrim, quæ Phasaëlus vocabatur, euadit, fratris Herodis cognominem, quem Parthi necauerunt. Hinc legionariis, vt in hostes irruerent, signum dabat. Nam præ timore nec ad eos quibus ipse præerat, descendere audebat. Eius autem præcepto milites obedientes, in templum volant, vehementíque cum Iudæis pugna confligunt: in qua dum nemo desuper adiuuaret, imperitos belli peritia superabant. Postea verò quàm multi Iudæi porticibus occupatis, à vertice telis eos appetebant, plurimi conterebantur: & neque ex alto iaculantes vlcisci facilè poterant, neque cominus dimicantes ferebant. ab vtrisque tamen afflicti succendunt porticus, opere, magnitudine atque ornatu mirabiles. ibique tum multi flamma subitò comprehensi aut ea consumebantur, aut in hostes desilientes ab ipsis occidebantur: alij retrorsum cedentes præcipitabantur ex muro: nonnulli desperata salute, incendij periculum suis gladiis præueniebant. Qui tamen ex mœnibus obrependo in Romanos fecissent impetum, metu attoniti nullo negotio subigebantur, donec omnibus, aut interemptis, aut timore disiectis, thesauro Dei defensoribus destituto manus milites attulerunt, & XL. ex eo talenta diripuêre: quorum quæ furto sublata non sunt, conquisiuit Sabinus. At Iudæos multo plures, magísque pugnaces, tam virorum quàm opum interitus in Romanos contraxit. Obsessáque his regia minitabantur exitium, nisi quàm primùm inde secederent: Sabino, si vellet, vna cum legione abeundi copiam pollicentes. Quibus opitulabantur regiorum plurimi, qui ad eos sponte transfugerant. Pars tamen bellicosior erat, Sebastenorum tria millia, hísque Rufus & Gratus præpositi, vnus peditum rector, at verò equitum Rufus: quorum vterque vi corporis atque prudentia, etiam si nullam manum obedientem haberent, magnum tamen momentum belli Romanis addidissent. Itaque Iudæi quidem instare obsidioni, simul & castelli mœnia tentantes, & ad Sabinum clamantes, vt discederet, neu impediret habituros tanto pòst tempore patriam libertatem. Sabinus autem quamuis optaret euadere, fidem tamen pollicitationibus non habebat: sed eorum lenitatem, insidiarum esse illecebram suspicabatur: simúlque auxilium Vari sperans, obsidionis periculum perferebat. Eodem tempore per Iudæam plurimis locis tumultus erat, multósque ad regni cupidinem tempus impulerat: Nam in Idumæa quidem duo millia veteranorum, qui sub Herode militauerant, congregati, armísque instructi cum regiis decertabant: quibus Achiabus regis consobrinus, ex vicis munitissimis repugnabat, campestre prælium

Ant. lib. 17. cap. 15.

declinando. In Sephori autem Galilææ, Iudas filius Ezechiæ latronum principis, ab Herode quondam rege capti, qui tunc illas regiones vastauerat, non parua multitudine collecta, ruptísque regiis armamentariis, & omnibus quos circa se habebat armatis, contra potentiæ cupidos manus mouebat. Trans flumen quoque Simon quidam ex regiis seruis pulchritudine simul & vastitate corporis fretus, imposito sibi diademate, cum latronibus quos congregauerat ipse circuiens: & apud Hierichunta regiam, & multa alia magnifica diuersoria igni corrupit, facilem sibi prædam ex incendio comparans. Omnésque habitationes, quibus aliquid decoris erat, concremasset, nisi Gratus regiorum peditum rector ex Trachone sagittarios, itémque Sebastenorum pugnacissimos ducens, properasset occurrere. Vbi peditum quidem in pugna multi consumpti sunt: ipse autem Simonem compendio præuenit, ardua valle fugientem, & ex transuerso percussum in ceruice deiecit. Incensæ sunt autem & quæcunque Iordani proximæ fuerunt sedes regiæ, apud Betharantes, quorundam aliorum manu conflata ex locis vlterioribus. tunc enim pastor quidam, cui nomen Atrhongæus, regnum affectare ausus est: quod vt speraret, vi corporis animǽque fiducia mortem contemnentis impulsus est, ac præterea fratrum quatuor sibi similium robore, quorum singulis tanquam ducibus & satrapis attributa manu armatorum, ad incursus vtebatur. Ipse autem veluti rex maiora negotia procurabat. Et tum quidem etiam diadema sibi imposuit. Non paruo autem pòst tempore, cum fratribus suis vastando territoria, & occidendo præcipuè Romanos, itémque regios perseuerauit: cum nec Iudæorum quisquam effugeret: qui lucrum aliquod ferens venisset in manus. Ausi sunt etiam apud Ammauntem repertum Romanorum agmē circumuenire, qui frumenta legioni atque arma portabant. Vbi Arium quidem centurionem & quadraginta fortissimos iaculis confecere: cæteri verò in eodem periculo constituti, auxilio Grati, qui cum Sebastenis aduenit, elapsi sunt. Multis in hunc modum contra indigenas, itémque alienigenas per omnes bellum gestis, pòst aliquod tempus tres ex his comprehensi sunt: natu quidem maximus ab Archelao duo verò, qui ætate sequebantur, in manus Grati ac Ptolemæi delati. Nam quartus Archelao pactione concessit. Sed hic finis eos postea secutus est. Tunc autem latrocinali bello cunctam inflammabant Iudæam.

Cap. III. De Vari gestis circa Iudæos crucifixos. Ant. li. 17. cap. 16.

Varus autem acceptis Sabini & principum literis: toti legioni metuens, opem his ferre properabat. Itaque cum duabus reliquis legionibus, & quatuor alis equitum, in Ptolemaida profectus, eodem regum atque optimatum auxilia conuenire iussit. Ad hæc à Beritiis etiam, cum per eorum transiret oppidum, mille & quingentos accepit armatos. Vbi verò in Ptolemaidem tam cætera manus auxiliorum, quàm propter Herodis inimicitias Aretas rex Arabum non cum exiguo numero equitum peditúmque peruenit, statim exercitus partem in Galilæam, quæ Ptolemaidi propinqua erat dirigit

συμπλοκήν. ἐν δὲ σεπφώρει τῆς γαλιλαίας ἰούδας υἱὸς ἐζεκίου τοῦ κατατρέχοντος ποτὲ τὴν χώραν ἀρχιλῃστοῦ, καὶ χειρωθέντος ὑφ' ἡρώδου τοῦ βασιλέως, συστήσας πλῆθος οὐκ ὀλίγον, ἀναρρήγνυσι τὰς βασιλικὰς ὁπλοθήκας, καὶ τοὺς περὶ αὐτὸν ὁπλίσας, τοῖς τὴν δυναστείαν ζηλοῦσιν ἐπεχείρει. κατὰ δὲ τὴν περαίαν, σίμων τις τῶν βασιλικῶν δούλων, εὐμορφίᾳ σώματος καὶ μεγέθει πεποιθώς, περιτίθησι μὲν ἑαυτῷ καὶ διάδημα. περιιὼν δὲ μεθ' ὧν ἤθροισε λῃστῶν, τά τε ἐν ἱεριχοῖ βασίλεια καταπίμπρησι, καὶ πολλὰς ἑτέρας τῶν πολυτελῶν ἐπαύλεις ἁρπαγὰς ῥᾳδίως ἐκ τοῦ πυρὸς ποριζόμενος ἑαυτῷ. κἂν ἔφθη πᾶσαν οἴκησιν εὐπρεπῆ καταφλέξας, εἰ μὴ γράτος ὁ τῶν βασιλικῶν πεζῶν ἡγεμών, τούς τε τραχωνίτας τοξότας, καὶ τὸ μαχιμώτατον τῶν σεβαστηνῶν ἀναλαβών, ὑπηντίασε τὸν ἄνδρα. τῶν μὲν οὖν πεζῶν, συχνοὶ διεφθάρησαν ἐν τῇ μάχῃ. τὸν σίμωνα δ' αὐτὸν ἀναφεύγοντα δι' ὀρθίου φάραγγος, ὁ γράτος ὑποτέμνεται, καὶ φεύγοντος ἐκ πλαγίου τὸν αὐχένα πλήξας, ἀπέρραξε. κατεφλέγη δὲ καὶ τὰ πλησίον ἰορδάνου βασίλεια κατὰ βηθαραμάθον, στασιασάντων ἑτέρων τινῶν ἐκ τῆς περαίας. τότε καὶ ποιμήν τις ἀντιποιήσασθαι βασιλείας ἐτόλμησεν. ἀθρόγγαιος ἐκαλεῖτο. προὔξενει δ' αὐτῷ τὴν ἐλπίδα σώματος ἰσχύς, καὶ ψυχὴ θανάτου καταφρονοῦσα. πρὸς δὲ τούτοις ἀδελφοὶ τέσσαρες ὅμοιοι. τούτων ἑκάστῳ λόχον ὑποζεύξας ἔνοπλον, ὥσπερ στρατηγοῖς ἐχρῆτο καὶ σατράπαις ἐπὶ τὰς καταδρομάς, αὐτὸς δὲ καθάπερ βασιλεύς, τῶν σεμνοτέρων ἥπτετο πραγμάτων. τότε μὲν οὖν ἑαυτῷ περιτίθησι διάδημα, διέμεινε δ' ὕστερον οὐκ ὀλίγῳ χρόνῳ τὴν χώραν κατατρέχων σὺν τοῖς ἀδελφοῖς, καὶ τὸ κτείνειν αὐτοῖς προηγούμενον μὲν ἦν, ῥωμαίους τε καὶ τοὺς βασιλικούς, διέφευγε δ' οὐδὲ ἰουδαίων εἴ τις εἰς χεῖρας ἔλθοι φέρων κέρδος. ἐτόλμησε δέ ποτε ῥωμαίων λόχον ἀθροῦν περισχεῖν, κατ' ἀμμαοῦντα. σῖτα δὲ οὗτοι καὶ ὅπλα διεκόμιζον τῷ τάγματι. τὸν μὲν οὖν ἑκατοντάρχην αὐτῶν ἄρειον, καὶ τεσσαράκοντα τοὺς γενναιοτάτους κατηκόντισαν. οἱ δὲ λοιποὶ κινδυνεύοντες τὸ αὐτὸ παθεῖν, γράτου σὺν τοῖς σεβαστηνοῖς ἐπιβοηθήσαντος ἐξέφυγον. πολλὰ τοιαῦτα τοὺς ἐπιχωρίους, καὶ τοὺς ἀλλοφύλους παρ' ὅλον τὸν πόλεμον ἐργασάμενοι, μετὰ χρόνον οἱ μὲν τρεῖς ἐχειρώθησαν, ὑπ' ἀρχελάου μὲν ὁ πρεσβύτατος, οἱ δ' ἑξῆς δύο, γράτῳ καὶ πτολεμαίῳ περιπεσόντες, ὁ δὲ τέταρτος, ἀρχελάῳ προσεχώρησε κατὰ δεξιάν. τοῦτο μὲν δὴ τὸ τέλος αὐτοὺς ὕστερον ἐξεδέχετο. τότε δὲ λῃστρικοῦ πολέμου τὴν ἰουδαίαν πᾶσαν ἐνέπλησαν.

Κεφ. ζ.

Οὐάρῳ δὲ δεξαμένῳ τὰ παρὰ σαβίνου καὶ τῶν ἡγεμόνων γράμματα, δείσαντι περὶ τοῦ τάγματος ὅλου παρέστη, καὶ σπεύδειν ἐπὶ τὴν βοήθειαν. ἀναλαβὼν δὲ τὰ λοιπὰ δύο τάγματα, καὶ τὰς σὺν αὐτοῖς τέσσαρας ἴλας ἱππέων, ἐπὶ πτολεμαΐδος ᾔει, προστάξας ἐκεῖ, καὶ τοὺς παρὰ τῶν βασιλέων καὶ δυναστῶν ἐπικούρους συνελθεῖν. προσέλαβε δὲ καὶ παρὰ βηρυτίων διερχόμενος τὴν πόλιν, χιλίους καὶ πεντακοσίους ὁπλίτας. ἐπεὶ δὲ εἰς τὴν πτολεμαΐδα, τό τε ἄλλο συμμαχικὸν πλῆθος αὐτῷ παρῆν, καὶ κατὰ τὸ πρὸς ἡρώδην ἔχθος ἀρέτας ὁ ἄραψ οὐκ ὀλίγην ἄγων δύναμιν ἱππικήν τε καὶ πεζικήν, μέρος τι τῆς στρατιᾶς εὐθέως ἔπεμπεν εἰς τὴν γαλιλαίαν γειτνιῶσαν τῇ πτολεμαΐδι,

καὶ

καὶ γαΐῳ ἡγεμόνα τῶν αὐτοῦ φίλων. ὃς τούς τε ὑπαντιάσαντας τρέπεται, καὶ σέπφωριν πόλιν ἑλὼν, αὐτὴν μὲν ἐμπίπρησι, τοὺς δὲ ἐνοικοῦντας, ἀνδραποδίζεται. μετὰ δὲ τῆς ὅλης δυνάμεως, αὐτοῦ οὐάρος εἰς σαμάρειαν ἐλάσας, τῆς μὲν πόλεως ἀπείχετο, μηδὲν ἐν τοῖς τῶν ἄλλων θορύβοις παρακεκινηκυῖαν εὑρών. αὐλίζεται δὲ περί τινα κώμην, ἄρουν καλουμένην, κτῆμα δὲ ἦν πτολεμαίου, καὶ διὰ τοῦτο ὑπὸ τῶν ἀράβων διηρπάσθη, μηνιόντων καὶ τοῖς ἡρώδου φίλοις. ἔνθεν εἰς σαπφὼ πρόεισι κώμην ἑτέραν ἐρυμνὴν, ἣν ὁμοίως διήρπασαν, τάς τε προσόδους πάσας ὅσαις ἐπετύγχανον. πυρὸς δὲ καὶ φόνου πεπλήρωτο πάντα, καὶ πρὸς τὰς ἁρπαγὰς τῶν ἀράβων οὐδὲν ἀντεῖχε. κατεφλέγη δὲ, καὶ ἀμμαοῦς φυγόντων τῶν οἰκητόρων, οὐάρου δι' ὀργὴν τῶν περὶ ἄρειον ἀποσφαγέντων, κελεύσαντος. ἔνθεν εἰς ἱεροσόλυμα προελθὼν, ὀφθείς τε μόνον μετὰ τῆς δυνάμεως, τὰ στρατόπεδα τῶν ἰουδαίων διεσκέδασε. καὶ οἱ μὲν ᾤχοντο φυγόντες ἀνὰ τὴν χώραν, δεξάμενοι δὲ αὐτὸν οἱ κατὰ τὴν πόλιν, ἀπεσκευάζοντο τὰς αἰτίας τῆς ἀποστάσεως, αὐτοὶ μὲν μηδὲν παρακινῆσαι λέγοντες, διὰ δὲ τὴν ἑορτὴν ἀναγκαίως δεξάμενοι τὸ πλῆθος, συμπολιορκηθῆναι μᾶλλον ῥωμαίοις, ἢ συμπολεμῆσαι τοῖς ἀποστᾶσι. προϋπηντήκεσαν δὲ αὐτῷ ἰώσηπός τε ὁ ἀνεψιὸς ἀρχελάου, καὶ σὺν ῥούφῳ γρᾶτος, ἄγοντες ἅμα τῷ βασιλικῷ στρατῷ καὶ τοὺς σεβαστηνοὺς, οἵ τε ἀπὸ τοῦ ῥωμαϊκοῦ τάγματος τὸν συνήθη τρόπον κεκοσμημένοι. σαβῖνος γὰρ, οὐδ' εἰς ὄψιν ὑπομείνας ἐλθεῖν οὐάρῳ, προεξῆλθε τῆς πόλεως ἐπὶ θάλασσαν. οὐάρος δὲ μοῖραν τῆς στρατιᾶς ἐπὶ τοὺς αἰτίους τοῦ κινήματος ἔπεμπε περὶ τὴν χώραν, καὶ πολλῶν ἀγομένων, τοὺς μὲν ἧττον θορυβώδεις φανέντας ἐφρούρει, τοὺς δ' αἰτιωτάτους, ἀνεσταύρωσε περὶ δισχιλίους. ἠγγέλη δ' αὐτῷ περὶ τὴν ἰδουμαίαν ἔτι συμμένειν μυρίους ὁπλίτας. ὁ δὲ τοὺς μὲν ἄραβας εὑρὼν οὐ συμμάχων ἦθος ἔχοντας, ἀλλ' ἰδίῳ πάθει στρατευομένους, καὶ πέρα τῆς αὐτοῦ προαιρέσεως τὴν χώραν κακοῦντας ἔχθει τῷ πρὸς ἡρώδην ἀποπέμπεται. μετὰ δὲ τῶν ἰδίων ταγμάτων, ἐπὶ τοὺς ἀφεστῶτας ἠπείγετο. κἀκεῖνοι πρὶν εἰς χεῖρας ἐλθεῖν ἀχιάβου συμβουλεύσαντος, σφᾶς αὐτοὺς παρέδοσαν. οὐάρος δὲ, τῷ πλήθει μὲν ἠφίει τὰς αἰτίας, τοὺς δὲ ἡγεμόνας ἐξετασθησομένους ἔπεμψεν ἐπὶ καίσαρα. καῖσαρ δὲ τοῖς μὲν ἄλλοις συνέγνω. τινὰς δὲ τῶν τοῦ βασιλέως συγγενῶν, ἦσαν γὰρ σὺν αὐτοῖς ἔνιοι προσήκοντες ἡρώδῃ κατὰ γένος, κολάσαι προσέταξεν, ὅτι κατὰ τοῦ βασιλέως ἐστρατεύσαντο. οὐάρος μὲν οὖν τοῦτον τὸν τρόπον καταστησάμενος τὰ ἐν ἱεροσολύμοις, καὶ φρουρὰν καταλιπὼν τὸ καὶ πρότερον τάγμα, εἰς ἀντιόχειαν ἐπάνεισιν.

Κεφ. η.

Ἀρχελάῳ δ' ἐπὶ ῥώμης πάλιν ἄλλη συνίστατο δίκη πρὸς ἰουδαίους, οἳ πρὸ τῆς ἀποστάσεως ἐπιτρέψαντος οὐάρου, πρέσβεις ἐξεληλύθεισαν περὶ τῆς τοῦ ἔθνους αὐτονομίας. ἦσαν δὲ πεντήκοντα μὲν οἱ παρόντες. συμπαρίσταντο δὲ αὐτοῖς τῶν ἐπὶ ῥώμης ἰουδαίων ὑπὲρ ὀκτακισχιλίους. ἀθροίσαντος δὲ καίσαρος συνέδριον τῶν ἐν τέλει ῥωμαίων, καὶ τῶν φίλων ἐν τῷ κατὰ τὸ παλάτιον ἀπόλλωνος ἱερῷ, κτίσμα δ' ἦν ἴδιον αὐτοῦ θαυμασίῳ πολυτελείᾳ κεκοσμημένον, μετὰ μὲν τῶν πρεσβευτῶν τὸ ἰουδαϊκὸν πλῆθος ἔστη, σὺν δὲ τοῖς φίλοις ἀντικρὺς ἀρχέλαος. τῶν δὲ τούτου συγγενῶν οἱ φίλοι παρ' οὐδετέροις,

amici sui Galli filio his rectore præposito. Qui mox & aduersus quos ierat, omnes in fugam vertit, & Sephori ciuitate capta, ipsam quidem incendit, incolas verò eius seruitio subiugauit. Varus autem ipse cum omni exercitu Samaria potitus, ciuitate quidem abstinuit, quòd inter aliorum turbas nihil eam mouisse deprehendit: castris autem ad vicum positis, qui appellatur Arun Ptolemæi possessionem propterea direptam ab Arabibus, qui & amicis Herodis infensi erant, inde ad Sappho progreditur, alterum vicum tutissimum: quem similiter, omnésque reditus ibi repertos depopulati sunt. Cędis autem ignísque plena erant omnia, nec prædationi Arabum quicquam obstabat. Exusta est & Ammaus iussu Vari, necem Arij cæterorúmque indignè ferentis, habitatoribus eius fuga dispersis. Hinc progressus ad Hierosolymam cum exercitu, solo visu Iudæorum castra disiecit: & alij quidem per agros abière fugientes: qui verò intra ciuitatem degebant, suscepto eo, seditionis causas in alios conferebant, nihil quidem se penitus mouisse dicentes (sed propter diem festum receptam necessario multitudinem, in ciuitate obsessos esse potius cum Romanis, quã cum dissidentibus conspirasse. Ante verò obuiam ei venerant Iosephus, Archelai consobrinus, & cum Grato Rufus, ducentes exercitum regium, & Sebastenos, & Romanos milites ornatos habitu consueto. Sabinus enim nec in os Vari venire ausus, iamdudum ex ciuitate ad mare discesserat. Varus autem dispartitũ aduersus autores tumultus per agros dimisit exercitum: multísq; sibi exhibitis, quos minus turbulentos inuenisset, custodiæ tradidit: maximè verò nocentium propè ad duo millia cruci suffixit. Adhuc autem circa Idumæam superesse decem armatorum millia nũciato, confestim Arabas domum abire iubet: quòd eos non auxiliantium more vti militia, sed pro sua libidine, & supra quàm ipse vellet, agros vastare perspexit: suis autem comitatus agminibus, in aduersarios properabat. Verùm illi se Varo prius quàm in manus veniretur, Achiabi consilio tradiderunt. Varus autem multitudini, venia data, duces eius interrogandos misit ad Cæsarem. At ille cùm ignouisset cæteris, in nullos regis cognatos (erant enim quidam inter eos Herodis propinqui) animaduertit, quòd omnino contra regem suum arma cepissent. Varus autem hoc modo rebus apud Hierosolymam compositis, eadémque legione, quæ dudum in præsidio ciuitatis fuerat, ibi relicta, Antiochiam rediit.

CAP. IIII. De ethnarcha Iudæorum instituto. *Ant. li. 17. cap. 17.*

Romę autem Archelao alia rursus cum Iudæis causa conflata est: qui ante seditionem permissu Vari, legati exierant, ius genti suæ liberum petituri. Erant autem numero quinquaginta, qui venerant, & astabant eis plus quàm octo millia Iudæorum Romæ degentium. Itaque conuocato à Cæsare optimatum Romanorum amicorúmque concilio in Palatini Apollinis templum, quod priuatum ipsius erat ædificium admirandis opibus exornatum, multitudo quidem Iudæorum constitit cũ legatis, cõtráq; Archelaus cum amicis. Cognatorũ autẽ amici ab vtraq; parte secreti erãt.

nam & cum Archelao ſtare propter odium atque inuidiam recuſabant, & cum accuſatoribus conſpici pudore Cæſaris prohibebantur. Inter quos erant etiam Philippus Archelai frater, beneuolo animo duabus ex cauſis præmiſſus à Varo, vt & Archelao ſubueniret, & ſi regnum Herodis nepotibus eius diſtribui placuiſſet, partem aliquam mereretur. Iuſſit autem accuſatoribus exponere, quænam contra leges feciſſet Herodes: primùm non ſe regem, ſed omnium, qui vſquam fuiſſent, tyrannorum crudeliſſimum toleraſſe dicebant. Deinde multis ab eo trucidatis, ea pertuliſſe ſuperſtites queſti ſunt, vt beatiores mortui putarentur. Non enim tormentis ſolùm eum laceraſſe corpora ſubiectorum, ſed etiam gentis ſuæ ciuitatibus deformatis exteras ornauiſſe, populíſque alienis Iudææ ſanguinem condonaſſe. Pro antiqua verò felicitate ac patriis legibus, nationem ſuam tanta egeſtate ſimul ab eo atque iniquitate repletam, prorſus, vt plures ex Herode paucis annis clades ſuſtinuerint, quàm omni æuo maiores ſui, poſtquam ex Babylone diſceſſêre, perpeſſi ſunt, Xerxe tunc regnante ad diſcordias concitati. Verùm ſe tamen ad modeſtiam ex aduerſæ fortunæ conſuetudine profeciſſe, vt etiam ſucceſſionem voluntariam acerbiſſimæ ſeruitutis ſubirent, qui & Archelaum tanti tyranni filium, patre mortuo regem appellaſſent nihil morati, & vnà cum eo luxiſſent mortem Herodis, ac pro eius ſucceſſore vota celebraſſent. Illum autem quaſi metueret, ne non certus eius filius videretur, à cæde trium millium ciuium regni ſumpſiſſe primordia: & quia principatū meruerit, tot immolaſſe Deo hominum victimas, tot feſto die templum cadaueribus impleuiſſe. Rectè igitur eos, qui de tantis malis ſupereſſent, aliquando reſpexiſſe calamitates ſuas, & belli lege cupere vulneribus excipiendis ora præbere: atque ab Romanis precari, vt Iudeę reliquias miſericordia dignas exiſtimarent: néve quod ex ea natione reſtaret, his obiicerent, à quibus crudeliſſimè lacerabatur: ſed patriam ſuam coniungi Syriæ finibus, ac per iudices Romanos adminiſtrari decernerent: hoc enim modo probatum iri, Iudæos qui nunc veluti turbulenti ac belli cupidi reprehenduntur, moderatis rectoribus obedire noſſe. Iudæorum quidem accuſatio eiuſmodi petitione concluſa eſt. Cùm autem ſurrexiſſet contrà Nicolaus, primùm criminibus, quæ in reges erant propoſita, diſſolutis, nationem cœpit arguere: quia neque gubernari facilis eſſet, naturáque regibus vix parêret. vnà etiam propinquos Archelai, qui ſe ad accuſatores contulerant, inſimulabat. Sed tum quidem partibus Cæſar auditis, conuentum diremit. Paucis autem diebus pòſt, mediam regni partē ſub ethnarchiæ nomine dedit Archelao: etiam regem, ſi ſe dignum præbuiſſet, facturum eſſe pollicitus. Reliquam verò dimidiam in duas tetrarchias diuiſit, duobúſque aliis Herodis filiis attribuit: vnam Philippo, alteram Antipæ, qui cū Archelao de regno certauerat. Huius parti ceſſerat trās flumē regio, & Galilæa: quarū ducēta talēta reditus erant. Batanęa verò & Trachō, & Auranitis, & quædam partes domus Zenonis, circa Iamniā,

συνκαθεῖσθαι μὲν Ἀρχελάῳ διὰ μῖσος καὶ φθόνον οὐχ ὑπομένοντες, ὀφθῆναι δὲ μετὰ τῶν κατηγόρων ὑπὸ Καίσαρος αἰδούμενοι. ἐπὶ τούτοις παρῆν καὶ Φίλιππος ὁ ἀδελφὸς Ἀρχελάου, προπεμφθεὶς κατ' εὔνοιαν ὑπὸ Οὐάρου, δυοῖν ἕνεκα, Ἀρχελάῳ τε συναγωνίσασθαι, κἂν διανέμῃ τὸν Ἡρώδου Καῖσαρ οἶκον πᾶσι τοῖς ἐκγόνοις, κλήρου τινὸς ἀξιωθῆναι. ἐπιτραπὲν δὲ λέγειν τοῖς κατηγόροις τὰς Ἡρώδου παρανομίας πρῶτον διεξῄεσαν, οὐ βασιλέα λέγοντες, ἀλλὰ τῶν πώποτε τυραννησάντων ὠμότατον ἠνεσχέναι τύραννον. πλείστων γοῦν ἀνῃρημένων ὑπ' αὐτοῦ τοιαῦτα πεπονθέναι τοὺς καταλειφθέντας, ὥστε μακαρίζεσθαι τοὺς ἀπολωλότας. βεβασανικέναι γὰρ οὐ μόνον τὰ σώματα τῶν ὑποτεταγμένων, ἀλλὰ καὶ τὰς πόλεις. τὰς μὲν γὰρ ἰδίας λελωβῆσθαι, τὰς δὲ τῶν ἀλλοφύλων κεκοσμηκέναι, καὶ τὸ τῆς Ἰουδαίας αἷμα κεχαρίσθαι τοῖς ἔξωθεν δήμοις. ἀντὶ δὲ τῆς παλαιᾶς εὐδαιμονίας, καὶ τῶν πατρίων νόμων, πενίας τὸ ἔθνος καὶ παρανομίας ἐσχάτης πεπληρωκέναι. καθόλου τε πλείους ὑπομεμενηκέναι τὰς ἐξ Ἡρώδου συμφορὰς ἐν ὀλίγοις ἔτεσιν Ἰουδαίους, ὧν ἐν ἅπαντι τῷ χρόνῳ μετὰ τὴν ἐκ Βαβυλῶνος ἀναχώρησιν ἔπαθον οἱ πρόγονοι, Ξέρξου βασιλεύοντος ἐπαναστραφέντες. εἰς τοῦτο μέντοι ταπεινότητος, καὶ τοῦ δυστυχεῖν ἔθους προήχθησαν, ὥστε ὑπομεῖναι τῆς πικρᾶς δουλείας καὶ διαδοχὴν αὐθαίρετον. Ἀρχέλαον γοῦν τὸν τηλικούτου τυράννου παῖδα, μετὰ τὴν τοῦ πατρὸς τελευτὴν, βασιλέα τε προσειπεῖν ἑτοίμως, καὶ συμπενθῆσαι τὸν Ἡρώδου θάνατον αὐτῷ, καὶ συνεύξασθαι περὶ τῆς διαδοχῆς. τὸν δὲ ὥσπερ ἀγωνιάσαντα, μὴ νόθος υἱὸς δόξειεν Ἡρώδου, προοιμιάσασθαι τὴν βασιλείαν τρισχιλίων πολιτῶν φόνῳ. καὶ τοσαῦτα μὲν παρεστακέναι θύματα περὶ τῆς ἀρχῆς τῷ θεῷ, τοσούτοις δὲ ἐμπεπληκέναι νεκροῖς τὸ ἱερὸν ἐν ἑορτῇ. τοὺς μέντοι περιλειφθέντας ἐκ τῶν τοσούτων κακῶν, εἰκότως ἐπεστράφθαι ἤδη ποτὲ πρὸς τὰς συμφορὰς, καὶ πολέμου νόμῳ ἐθέλειν τὰς πληγὰς κατὰ προσώπου δέχεσθαι. δεῖσθαι δὲ Ῥωμαίων, ἐλεῆσαί τε τὰ τῆς Ἰουδαίας λείψανα, καὶ μὴ τὸ περιὸν αὐτῆς ἀπορρίψαι τοῖς ὠμῶς περάσουσι. συνάψαντας δὲ τῇ Συρίᾳ τὴν χώραν αὐτῶν, διοικεῖν ὑπ' ἰδίοις ἡγεμόσιν. ἐπιδείξεσθαι γὰρ ὡς οἱ νῦν στασιώδεις διαβαλλόμενοι καὶ πολεμικοὶ, φέρειν οἴδασι μετρίους ἡγεμόνας. Ἰουδαῖοι μὲν οὖν ἐκ τῆς κατηγορίας, κατέληξαν εἰς τὴν τοιαύτην ἀξίωσιν. ἀναστὰς δὲ Νικόλαος, ἀπελύσατο μὲν τὰς εἰς τοὺς βασιλεῖς αἰτίας. κατηγόρει δὲ τοῦ ἔθνους τό τε δύσαρκτον καὶ δυσπειθὲς φύσει πρὸς τοὺς βασιλέας: συνδιέβαλλε δὲ καὶ τοὺς Ἀρχελάου συγγενεῖς, ὅσοι πρὸς τοὺς κατηγόρους ἀφειστήκεισαν.

Κεφ. θ.

Τότε μὲν οὖν Καῖσαρ ἀκούσας ἑκατέρων, διέλυσε τὸ συνέδριον. μετὰ δὲ ὀλίγας ἡμέρας, τὸ μὲν ἥμισυ μέρος τῆς βασιλείας, Ἀρχελάῳ δίδωσιν ἐθνάρχην προσειπὼν, ὑποσχόμενός τε καὶ βασιλέα ποιήσειν, ἐὰν ἄξιον ἑαυτὸν παράσχῃ. τὸ δὲ λοιπὸν ἥμισυ διελὼν εἰς δύο τετραρχίας, δυσὶν ἑτέροις παισὶν Ἡρώδου δίδωσι. τὴν μὲν Φιλίππῳ, τὴν δὲ Ἀντίπᾳ τῷ πρὸς Ἀρχέλαον ἀμφισβητοῦντι περὶ τῆς βασιλείας. ἐγένετο δὲ ὑπὸ τούτῳ μὲν, ἥ τε Περαία, καὶ Γαλιλαία, πρόσοδος διακοσίων ταλάντων; Βαταναία τε καὶ Τράχων, Αὐρανῖτίς τε, καὶ μέρη τινὰ τοῦ Ζήνωνος οἴκου τὰ περὶ Ἰάμνιαν,

περ-

πρόσοδον ἔχοντα ταλάντων ἑκατὸν, ὑπὸ φιλίππῳ τέτακτο. τῆς ἀρχελάου δ' ἐθναρχίας, ἰδουμαία τε καὶ ἰουδαία πᾶσα, καὶ σαμαρεῖτις ἦν, κεκουφισμένη τετάρτῳ μέρει τῶν φόρων εἰς τιμὴν τοῦ μὴ μετὰ τῶν ἄλλων ἀποστῆναι. πόλεις δ' ὑπηκόους παρέλαβε, στράτωνος πύργον, καὶ σεβαστὴν, καὶ ἵππον, καὶ ἱεροσόλυμα. τὰς γὰρ ἑλληνίδας γάζαν καὶ γάδαρα καὶ ἰόππην ἀποτεμνόμενος τῆς βασιλείας, προσέθηκε συρίᾳ. πρόσοδος δ' ἦν τῆς ἀρχελάῳ δοθείσης χώρας, τετρακοσίων ταλάντων. σαλώμη δὲ πρὸς οἷς ὁ βασιλεὺς ἐν ταῖς διαθήκαις κατέλιπεν, ἰαμνείας τε καὶ ἀζώτου, καὶ φασαηλίδος, ἀποδείκνυται δεσπότις. χαρίζεται δ' αὐτῇ καῖσαρ, καὶ τὰ ἐν ἀσκάλωνι βασίλεια. συνήγετο δὲ ἐκ πάντων, ἑξήκοντα προσόδου τάλαντα. τὸν δὲ οἶκον αὐτῆς ὑπὸ τὴν ἀρχελάου τοπαρχίαν ἔταξε. τῆς δὲ ἄλλης ἡρώδου γενεᾶς, ἕκαστος τὸ καταλειφθὲν ἐν ταῖς διαθήκαις ἐκομίζετο. δυσὶ δὲ αὐτοῦ θυγατράσι παρθένοις, καῖσαρ ἔξωθεν χαρίζεται πεντήκοντα μυριάδας ἀργυρίου, καὶ συνῴκισεν αὐτὰς τοῖς φερώρα παισί. μετὰ δὲ τὸν οἶκον, ἐπιδιένειμεν αὐτοῖς τὴν αὐτῷ καταλειφθεῖσαν ὑφ' ἡρώδου δωρεὰν οὖσαν χιλίων ταλάντων, ὀλίγα τινὰ τῶν κειμηλίων εἰς τὴν τοῦ κατοιχομένου τιμὴν ἐξελόμενος.

Κεφ. ι.

Κἀν τούτῳ νεανίας τις ἰουδαῖος μὲν τὸ γένος, τραφεὶς δὲ ἐν σιδῶνι παρά τινι τῶν ῥωμαϊκῶν ἀπελευθέρων, δι' ὁμοιότητα μορφῆς ψευδόμενος ἑαυτὸν ἀλέξανδρον τὸν ἀναιρεθέντα ὑφ' ἡρώδου, κατ' ἐλπίδα τοῦ λήσειν, ἧκεν εἰς ῥώμην. συνεργὸς δ' ἦν τις ὁμόφυλος αὐτῷ πάντα τὰ κατὰ τὴν βασιλείαν ἐπιστάμενος, ὑφ' οὗ διδαχθεὶς ἔλεγεν, ὡς οἱ πεμφθέντες ἐπὶ τὴν ἀναίρεσιν αὐτοῦ τε καὶ ἀριστοβούλου, δι' οἶκτον ἐκκλέψαιεν αὐτοὺς ὁμοίων ὑποβολῇ σωμάτων. τούτοις γοῦν τοὺς ἐν κρήτῃ ἰουδαίους ἐξαπατήσας, καὶ λαμπρῶς ἐφοδιασθεὶς, διέπλευσεν εἰς μῆλον, ἔνθα συναγείρας πολλῷ πλέον δι' ὑπερβολὴν ἀξιοπιστίας, ἀνέπεισε καὶ τοὺς ἰδιοξένους εἰς ῥώμην αὐτῷ συνεκπλεῦσαι. καταχθεὶς δὲ εἰς δικαιαρχίαν, δῶρά τε παμπληθῆ παρὰ τῶν ἐκεῖ ἰουδαίων λαμβάνει, καὶ καθάπερ βασιλεὺς ὑπὸ τῶν πατρῴων προεπέμφθη φίλων. προεληλύθει δ' εἰς τοσοῦτον πίστεως τὸ τῆς μορφῆς ὅμοιον, ὥστε τοὺς ἑωρακότας ἀλέξανδρον, καὶ σαφῶς ἐπισταμένους, διόμνυσθαι τοῦτον εἶναι. τό γε μὴν ἰουδαϊκὸν ἐν ῥώμῃ πᾶν ἐξεχύθη πρὸς τὴν θέαν αὐτοῦ, καὶ πλῆθος ἄπειρον ἦν περὶ τοὺς στενωποὺς, δι' ὧν κομίζοιτο. καὶ γὰρ δὴ προῆλθον εἰς τοσοῦτον φρενοβλαβείας οἱ μήλιοι, ὥστε φορείῳ τε αὐτὸν κομίζειν, καὶ θεραπείαν βασιλικὴν ἰδίοις παρασχεῖν ἀναλώμασι. καῖσαρ δὲ γινώσκων ἀκριβῶς τοὺς ἀλεξάνδρου χαρακτῆρας, κατηγόρητο γὰρ ὑφ' ἡρώδου παρ' αὐτῷ, συνεώρα μὲν καὶ πρὶν ἰδεῖν τὸν ἄνθρωπον τῆς ὁμοιότητος ἀπάτην. δίδωσι δέ τι καὶ πίστεως ταῖς ἱλαρωτέραις ἐλπίσι, κέλαδόν τινα πέμπει τῶν σαφῶς ἐπισταμένων ἀλέξανδρον, κελεύσας ἀγαγεῖν αὐτῷ τὸν νεανίσκον. ὁ δὲ ὡς εἶδεν, ἐτεκμήρατο μὲν ταχέως καὶ τὰς διαφορὰς τοῦ προσώπου. τὸ δὲ ὅλον σῶμα σκληρότερόν τε καὶ δουλοφανὲς καταμαθὼν, ἐνόησε πᾶν τὸ σύνταγμα. πάνυ δ' αὐτὸν παρώξυνεν ἡ τόλμα τῶν ὑπ' αὐτοῦ λεγομένων. τοῖς γὰρ πυνθανομένοις περὶ ἀριστοβούλου, σώζεσθαι μὲν κἀκεῖνον ἔλεγεν, ἀπολελεῖφθαι δ' ἐπί-

Philippo destinatæ sunt: quæ talentorum centum reditus ministrabant. Archelai verò ethnarchia Idumæam, omnémque Iudæam, & Samariam habebat quarta tributorum parte leuatam, pro munere quia non rebellasset cum cæteris. Ac ciuitates quibus imperaret ei traditæ sunt, Stratonis pyrgus, & Sebaste, & Ioppe, & Hierosolyma. Cæteras autem, Gazam & Gadaram & Hippon, regno auulsas, Syriæ Cæsar adiecit. Erant autem reditus Archelai, quadringenta talenta. Quin & Salomen præter illa, quæ testamento regis ei relicta erant, Iamniæ dominam, & Azoti, & Phasaelis idem Cæsar constituit: regiámq; apud Ascalonem largitus est: ex quibus omnibus talentorum sexaginta reditus colligebantur. Domum verò eius ethnarchiæ subdidit Archelai. Quum autem cæteris quoque Herodis propinquis testamento relicta soluisset, duas eius filias virgines extrinsecus quingentis millibus pecuniæ donauit: easque nuptum Pheroræ filiis collocauit. Diuiso autem Herodis patrimonio, etiam sibi relictas ab eo facultates ad mille talenta eis distribuit: exceptis suo nomine quibusdam rebus vilissimis propter honorem defuncti.

Cap. V. De suditicio, falso q. Alexandro, eóque deprehenso. Ant. li. 17. cap. 18.

INterea quidam iuuenis natione Iudæus, apud quendam libertinum Romanorum in Sidoniorum oppido educatus, illum se formæ similitudine quem Herodes necauerat, Alexandrum esse mentitus, fallendi spe Romam venit. Huius autem facinoris habebat socium quendam gentilem suum, omnes regni actus optimè scientem: à quo instructus affirmabat eorum se misericordia, qui sui atque Aristobuli occidendi causa missi fuerant, similibus corporibus subditis morti esse subreptos. Denique his multos iam Iudæos fefellerat, in Creta degentes: ac liberaliter illic acceptus, Melúmque inde transmissus, ibique ampliore quæstu cumulatus, etiam hospites suos magna verisimilitudine Romã secum nauigare pellexerat. postremò delatus Dicæarchiam, multisque muneribus ab Iudæis eius loci donatus, quasi rex à paternis amicis deducebatur. Ad hoc enim fidei processerat formæ similitudo, vt qui Alexandrum illum viderant, planéque nouerant, hunc eum esse iurarent. Igitur omnes etiam Romæ Iudæi, visendi eius studio circumfusi properabant: & infinita multitudo per vicorũ angustias, quocunque ferebatur, conueniebant. Tanta namque dementia multos ceperat, vt illum sella portarent, ac regale obsequium propriis ei sumptibus exhiberent. Sed Cæsar Alexandri vultum optimè sciens (accusatus enim apud eum fuerat ab Herode) etsi prius quàm videret hominem, fallaciam similitudinis aduerterat, hilariori tamen animi spei nonnihil indulgendum putauit, & Celadum quendam, qui Alexandrum bene cognosceret, misit, vt ad se adolescentem deduceret. Qui illo conspecto, statim personæ differentiam coniectura deprehendit. Maximè verò, vbi corporis eius duritiam, & seruilem formam considerauit, intellexit omne commentum. Valde autem commotus est dictorum eius audacia: de Aristobulo enim percontantibus, saluum quidem illum esse commemorabat: consulto verò

non adesse, quia apud Cyprum degeret cauendo insidias: minus enim se circumueniri posse disiunctos. Itaque ab aliis ei separato vitam dixit à Cæsare præmium fore, si tantæ fraudis prodidisset autorem. Id autem se facturum ille pollicitus, ad Cæsarem sequitur: & Iudæum indicat: qui formæ suæ similitudine abusus esset ad quæstum. Tanta enim dona ex ciuitatibus eum singulis abstulisse docuit, quanta viuus Alexander nō accepisset. Risit his Cæsar: & falsum quidem Alexandrum, propter habitudinem corporis, remigum numero inseruit, suasorem verò eius interfici iussit. Meliis autem sumptuum detrimentum pro amentiæ precio satis esse iudicauit.

Cap. VI. De Archelai exilio. *Ant. lib. 17. cap. 19.*

ETHnarchia verò suscepta, memor discordiæ superioris Archelaus, non solùm Iudæis, sed etiam Samariensibus crudeliter abusus est. Nonóque principatus sui anno legatis contra se ab vtrisque ad Cæsarem missis, ipse quidem in exilium pellitur Viennam Galliæ ciuitatem: patrimonium verò eius fisco Cæsaris adiudicatur: quem quidem prius quàm euocaretur ad Cæsarem, huiuscemodi somnium vidisse commemorant: Nouem spicas plenas & maximas à bobus comedi somniauerat: accitos deinde vates, Chaldæorúmque nonnullos, quidnam illo putarent indicari somnio, consuluerat. Aliis autem aliter interpretantibus, Simon quidam Essenus genere, dixerat spicas annos arbitrari, bouésque rerum mutationes: eo quòd agros arando vertèrent ac mutarent. Ideóque regnaturum quidem illum esse tot annos, quot significasset numerus aristarum: varias autem rerum mutationes expertum, esse moriturum. Hísque auditis, Archelaus quinque diebus pòst ad causam dicendam est euocatus. Dignum autem memoria duxi, etiam coniugis eius Glaphyræ somnium, Archelai filiæ Cappadocum regis referre: quam cùm Alexander prius habuisset vxorem, frater huius de quo loquimur, Herodis filius regis, à quo ille interfectus est, sicut iam designauimus, post illius mortem Iubæ regi Libyæ nuptam, eóque defuncto domum reuersam, domique apud patrem in viduitate degentem, Ethnarches Archelaus vbi conspexit ad hoc amoris accensus est, vt eam statim repudiata coniuge sua Mariamne, sibi copularet. Hæc igitur breui tempore postquam in Iudæam rediit, videre visa est superstantem sibi Alexādrum dicere: Satis fuerat tibi Libycum matrimonium: sed tu illo non contenta, rursus ad meos penates reuerteris auidissima viri tertij, & quod grauius est, mei fratris iuncta matrimonio. Equidem non dissimulabo contumeliam, téque licèt inuitam recuperabo. Atque hoc exposito somnio, vix biduum superuixit.

Cap. VII. De Simone Galilæo, de tribus sectis apud Iudæos. *Ant. li. 18. cap. 1. & 2.*

IGitur Archelai finibus in prouinciam redactis, procurator Coponius quidam eques Romanus missus est, ea sibi à Cæsare potestate mandata. Hoc disceptante, Galilæus quidam, Simon nomine, defectionis arguebatur: quia indigenas increparet, si tributum Romanis pendere paterentur, dominósque post Deum ferre mortales. Erat autem propriæ sectæ sophista, nulla in re similis aliis. Etenim tria sunt apud Iudæos genera philosophiæ. Horum vnum Pharisæi profitentur, alterum Sad-

A τηδὲς ἐν κύπρῳ τὰς ἐπιβουλὰς φυλασσόμενον. οὐ τῶν γὰρ ἐπιχειρεῖν διεζευγμένους. ἀπολαβόμενος δὲ αὐτὸν κατ' ἰδίαν, μισθὸν ἔφη παρὰ καίσαρος ἕξειν τὸ ζῆν, εἰ μηνύσαι τὸν ἀναπείσαντά σε πλάσασθαι τηλικαῦτα. κἀκεῖνος αὐτῷ δηλώσειν εἰπὼν, ἕπεται πρὸς καίσαρα, καὶ τὸν ἰουδαῖον ἐνδείκνυται, καταχρησάμενον αὐτοῦ τῇ ὁμοιότητι πρὸς ἐργασίαν. τοσαῦτα γὰρ εἰληφέναι δῶρα καθ' ἑκάστην πόλιν, ὅσα ζῶν ἀλέξανδρος οὐκ ἔλαβε. γελά- B σας δὲ καῖσαρ ἐπὶ τούτοις, τὸν μὲν ψευδαλέξανδρον διὰ εὐεξίαν σώματος ἐγκατέταξε τοῖς ἐρέταις, τὸν ἀναπείσαντα δὲ, ἐκέλευσεν ἀναιρεθῆναι. μηλίοις δὲ, ἤρκεσεν ἐπιτίμιον τῆς ἀνοίας τὰ ἀναλώματα.

Κεφ. ια.

ΠΑραλαβὼν δὲ τὴν ἐθναρχίαν ἀρχέλαος, καὶ κατὰ μνήμην τῶν πάλαι διαφορῶν, οὐ μόνον ἰουδαίοις, ἀλλὰ καὶ σαμαρεῦσι χρησάμενος ὠμῶς, πρεσβευσαμένων ἑκατέρων κατ' αὐτοῦ πρὸς καίσαρα, ἔτει τῆς ἀρχῆς ἐνάτῳ φυγαδεύεται μὲν εἰς βίενναν πόλιν τῆς γαλατίας αὐ- C τὸς, ἡ οὐσία δὲ αὐτοῦ τοῖς καίσαρος θησαυροῖς ἐγκατατάσσεται. πρὶν κληθῆναι δὲ αὐτὸν ὑπὸ τοῦ καίσαρος, ὄναρ ἰδεῖν φασὶ τοιόνδε. ἔδοξεν ὁρᾶν στάχυς ἐννέα, πλήρεις καὶ μεγάλους, ὑπὸ βοῶν καταβιβρωσκομένους. μεταπεμψάμενος δὲ τοὺς μάντεις, καὶ τῶν χαλδαίων τινὰς, ἐπυνθάνετο τί σημαίνειν δοκοῖεν. ἄλλων δὲ ἄλλως ἐξηγουμένων, σίμων τις ἐσσαῖος τὸ γένος ἔφη. τοὺς μὲν στάχυς, ἐνιαυτοὺς νομίζειν, τοὺς δὲ βοῦς, μεταβολὰς πραγμάτων, διὰ τὸ τὴν D χώραν ἀροτριῶντας ἀλλάσσειν. ὥστε βασιλεύσειν μὲν αὐτὸν τὸν τῶν σταχύων ἀριθμὸν, ἐν ποικίλαις δὲ πραγμάτων μεταβολαῖς γενόμενον τελευτήσειν. ταῦτα ἀκούσας ἀρχέλαος, μετὰ πέντε ἡμέρας ἐπὶ τὴν δίκην μετεκλήθη. ἄξιον δὲ μνήμης ἡγησάμην καὶ τὸ τῆς γυναικὸς αὐτοῦ γλαφύρας ὄναρ, ἥπερ ἦν θυγάτηρ μὲν ἀρχελάου τοῦ καππαδοκῶν βασιλέως, γυνὴ δὲ ἀλεξάνδρου γεγονυῖα τὸ πρῶτον, ὃς ἦν ἀδελφὸς ἀρχελάου, περὶ οὗ διεξιμεν, υἱὸς δὲ ἡρώδου τοῦ βασιλέως· ὑφ' οὗ καὶ ἀνῃρέθη, καθάπερ προδεδηλώ- E καμεν. μετὰ δὲ τὸν ἐκείνου θάνατον, συνῴκησεν ἰόβᾳ τῷ βασιλεύοντι λιβύης, οὗ τελευτήσαντος ἐπανελθοῦσαν αὐτὴν καὶ χηρεύουσαν παρὰ τῷ πατρὶ θεασάμενος ὁ ἐθνάρχης ἀρχέλαος, ἐπὶ τοσοῦτον ἔρωτος ἦλθεν, ὥστε παραχρῆμα τὴν συνοικοῦσαν αὐτῷ μαριάμμην ἀποπεμψάμενος ἐκείνην ἀγαγέσθαι. παραγενομένη τοίνυν εἰς ἰουδαίαν, μετ' ὀλίγον τῆς ἀφίξεως χρόνον, ἔδοξεν ἐπιστάντα τὸν ἀλέξανδρον αὐτῇ λέγειν. ἀπέχρη μὲν ὁ κατὰ λιβύην σοι γά- F μος, σὺ δὲ οὐκ ἀρκεσθεῖσα τούτῳ, πάλιν ἐπὶ τὴν ἐμὴν ἑστίαν ἀνακάμπτεις τρίτον ἄνδρα, καὶ ταῦτα τὸν ἀδελφὸν ὦ τολμηρὰ τὸν ἐμὸν ᾑρημένη. πλὴν οὐ περιόψομαι τὴν ὕβριν, ἀπολήψομαι δέ σε καὶ μὴ θέλουσαν. τοῦτο διηγησαμένη τὸ ὄναρ, δύο μόγις ἡμέρας ἐβίω. τῆς δὲ ἀρχελάου χώρας εἰς ἐπαρχίαν περιγραφείσης ἐπίτροπός τις ἱππικῆς παρὰ ῥωμαίοις τάξεως κοπώνιος πέμπεται, μέχρι τοῦ κτείνειν λαβὼν παρὰ τοῦ καίσαρος ἐξουσίαν.

Κεφ. ιβ.

EΠὶ τούτου τις ἀνὴρ γαλιλαίας ἰούδας ὄνομα εἰς G ἀπόστασιν ἐνῆγε τοὺς ἐπιχωρίους, κακίζων, εἰ φόρον τε ῥωμαίοις τελεῖν ὑπομενοῦσι, καὶ μετὰ τὸν θεὸν οἴσουσι θνητοὺς δεσπότας. ἦν δὲ οὗτος, σοφιστὴς ἰδίας αἱρέσεως, οὐδὲν τοῖς ἄλλοις προσεοικώς. τρία γὰρ παρὰ ἰουδαίοις εἴδη φιλοσοφεῖται, καὶ τοῦ μὲν, αἱρετισταὶ φαρισαῖοι, τοῦ δὲ σαδ-

δουκαῖοι.

δουκαῖοι. τρίτον δὲ ὃ δὴ καὶ δοκεῖ σεμνότητα ἀσκεῖν, Ἐσσηνοὶ καλοῦνται, Ἰουδαῖοι μὲν γένος ὄντες, φιλάλληλοι δὲ καὶ τῶν ἄλλων πλέον. οὗτοι τὰς μὲν ἡδονὰς ὡς κακίαν ἀποστρέφονται, τὴν δὲ ἐγκράτειαν, καὶ τὸ μὴ τοῖς πάθεσιν ὑποπίπτειν, ἀρετὴν ὑπολαμβάνουσι. καὶ γάμου μὲν ὑπεροψία παρ' αὐτοῖς, τοὺς δὲ ἀλλοτρίους παῖδας ἐκλαμβάνοντες ἁπαλοὺς ἔτι πρὸς τὰ μαθήματα, συγγενεῖς ἡγοῦνται, καὶ τοῖς ἤθεσι τοῖς ἑαυτῶν ἐντυποῦσι. τὸν μὲν γάμον, καὶ τὴν ἐξ αὐτοῦ διαδοχὴν, οὐκ ἀναιροῦντες, τὰς δὲ τῶν γυναικῶν ἀσελγείας φυλαττόμενοι, καὶ μηδεμίαν τηρεῖν πεπεισμένοι τὴν πρὸς ἕνα πίστιν. καταφρονηταὶ δὲ πλούτου, καὶ θαυμάσιον παρ' αὐτοῖς τὸ κοινωνητικόν, οὐδὲ ἔστιν εὑρεῖν κτήσει τινὰ παρ' αὐτοῖς ὑπερέχοντα. νόμος γὰρ τοὺς εἰς τὴν αἵρεσιν εἰσιόντας δημεύειν τῷ τάγματι τὴν οὐσίαν, ὥστε ἐν ἅπασι μήτε πενίας ταπεινότητα φαίνεσθαι, μήθ' ὑπεροχὴν πλούτου. τῶν δὲ ἑκάστου κτημάτων ἀναμεμιγμένων, μίαν ὥσπερ ἀδελφοῖς ἅπασιν οὐσίαν εἶναι. κηλῖδα δὲ ὑπολαμβάνουσι τὸ ἔλαιον, κἂν ἀλειφθῇ τις ἄκων, σμήχεται τὸ σῶμα. τὸ γὰρ αὐχμεῖν, ἐν καλῷ τίθενται, λευχειμονεῖν τε διαπαντός. χειροτονητοὶ δὲ οἱ τῶν κοινῶν ἐπιμεληταί, καὶ ἀδιαίρετοι πρὸς ἁπάντων εἰς τὰς χρείας ἕκαστοι. μία δὲ οὐκ ἔστιν αὐτῶν πόλις, ἀλλ' ἐν ἑκάστῃ μετοικοῦσι πολλοί, καὶ τοῖς ἑτέρωθεν ἥκουσιν αἱρετισταῖς ἀναπέπταται τὰ παρ' αὐτοῖς ὁμοίως ὥσπερ ἴδια, καὶ πρὸς οὓς οὐ πρότερον εἶδον, εἰσίασιν ὡς συνηθεστάτους. διὸ καὶ ποιοῦνται τὰς ἀποδημίας, οὐδὲν μὲν ὅλως ἐπικομιζόμενοι. διὰ δὲ τοὺς λῃστὰς, ἔνοπλοι. κηδεμὼν δὲ ἐν ἑκάστῃ πόλει τοῦ τάγματος ἐξαίρετος, τῶν ξένων ἀποδείκνυται, ταμιεύων ἐσθῆτα, καὶ τὰ ἐπιτήδεια. καταστολὴ δὲ καὶ σχῆμα σώματος, ὅμοιον τοῖς μετὰ φόβου παιδαγωγουμένοις παισίν. οὔτε δὲ ἐσθῆτας, οὔτε ὑποδήματα ἀμείβουσι, πρὶν ἢ διαρραγῆναι τὸ πρότερον παντάπασιν, ἢ δαπανηθῆναι τῷ χρόνῳ. οὐδὲν ἐν ἀλλήλοις οὔτ' ἀγοράζουσιν, οὔτε πωλοῦσιν, ἀλλὰ τῷ χρῄζοντι διδοὺς ἕκαστος τὰ παρ' αὐτῷ, τὸ παρ' ἐκείνου χρήσιμον ἀντικομίζεται, καὶ χωρὶς δὲ τῆς ἀντιδόσεως, ἀκώλυτος ἡ μετάληψις αὐτοῖς παρ' ὧν ἂν ἐθελήσωσι. πρός γε μὴν τὸ θεῖον ἰδίως εὐσεβεῖς. πρὶν γὰρ ἀνασχεῖν τὸν ἥλιον, οὐδὲν φθέγγονται τῶν βεβήλων. πατρίους δέ τινας εἰς αὐτὸν εὐχὰς ὥσπερ ἱκετεύοντες ἀνατεῖλαι. μετὰ ταῦτα πρὸς ἃς ἕκαστοι τέχνας ἴσασιν, ὑπὸ τῶν ἐπιμελητῶν διαφίενται, καὶ μέχρι πέμπτης ὥρας ἐργασάμενοι συντόνως, ἔπειτα πάλιν εἰς ἓν ἀθροίζονται χωρίον. ζωσάμενοί τε σκεπάσμασι λινοῖς, οὕτως ἀπολούονται τὸ σῶμα ψυχροῖς ὕδασι. καὶ μετὰ ταύτην τὴν ἁγνείαν, εἰς ἴδιον οἴκημα συνίασιν, ἔνθα μηδενὶ τῶν ἑτεροδόξων ἐπιτέτραπται παρελθεῖν. αὐτοί τε καθαροὶ καθάπερ εἰς ἅγιόν τι τέμενος, παραγίνονται τὸ δειπνητήριον, καὶ καθισάντων μεθ' ἡσυχίας, ὁ μὲν σιτοποιὸς, ἐν τάξει παρατίθησιν ἄρτους. ὁ δὲ μάγειρος ἓν ἀγγεῖον ἐξ ἑνὸς ἐδέσματος ἑκάστῳ παρατίθησι. προκατεύχεται δὲ ὁ ἱερεὺς τῆς τροφῆς, καὶ γεύσασθαί τινα πρὶν τῆς εὐχῆς ἀθέμιτον. ἀριστοποιησάμενος ἐπεύχεται πάλιν, ἀρχόμενοί τε, καὶ παυόμενοι, γεραίνουσι τὸν θεόν, ὡς χορηγὸν τῆς τροφῆς.

A ducæi. tertium verò quod etiam probabilius habetur, Esseni colunt, gente quidem Iudęi, verùm inter se mutuo amore coniunctissimi: & qui præter cęteros voluptates quidem quasi maleficia vitarent: continentiam verò seruare, neque cupiditati succumbere, virtutem maximam ducerent. Itaque nuptias quidem fastidiunt, alienos verò filios, dum adhuc molles sunt, eruditioni traditos pro cognatis habentes, suis moribus diligenter in- B stituunt. non quia coniugia vel humani generis successionem censeant perimendam: sed quia cauendam putent intemperantiam fœminarum, nullam earum vni viro fidem seruare credentes. Quin & diuitiarum contemptores sunt, rerumque apud eos communicatio admirationi habetur, neque inuenias alteri alterum opulentia præstare: legémque sibi dixerunt, vt qui disciplinam suam sectari vel- C lent, bona contubernio publicarent. Ita enim fore, ne vel paupertatis humilitas, vel diuitiarum dignitas appareret: sed permixtis facultatibus, uelut inter fratres, vnum esset omnium patrimonium. Probro autem ducunt oleum, & si quis vel inuitus vnctus fuerit, munditiis corpus absterget: quoniam squalorem decorem putant, dummodo semper in veste sint candida. Designatos autem communium rerum procuratores habent, & ad vsus omnium singulos indiuisos. Non est autem il- D lis vna ciuitas certa, sed in singulas multi domicilia transferunt, & aliunde aduenientibus sectæ suæ professoribus, quicquid habeant promptum exhibent quasi proprium. Denique tanquam consuetissimi ad eos ingrediuntur, quos nunquam antè viderunt. Hinc est quòd cum peregrinantur, propter latrocinia tantum armantur, neque præterea quicquam ferant. In singulis autem ciuitatibus, ex eodem collegio specialis curator hospitum con- E stituitur: qui eorum vestimenta cæteráque vsui necessaria tueatur. Amictus autem cultúsque corporis omnibus pueris, in metu & sub cura magistri agentibus par est. Nec verò vestitum siue calceos mutant, nisi aut omnino conscissis prioribus, aut longi temporis vsu consumptis. Nihil autem inter se mercantur aut vendunt: sed egenti quisque quod habet præbens, refert ab eo quod ipse non habet: quamuis etiam sine permutatione cũctis li- F bera sit facultas, à quibus libuerit accipiendi quod opus sit. Præcipuè circa Deum religiosi sũt. Nãq; ante solis ortũ nihil ꝓfani loquũtur, sed ei patria quędã voto celebrãt, quasi vt oriatur precantes. Deinde ad quas venerũt singuli artes, à curatoribus dimittũtur. Cũq; ad horã quintã studiosè fuerint operati, rursus in vnũ cõgregãtur: linteisq; præcincti velaminibus, ita corpus aquis frigidis abluunt. Atque hac lustratione facta in eadẽ secreta coeũt, quò nemi- G nẽ alterius sectæ hominẽ spirare concessũ est, ipsíque purificati, velut in sanctum quoddam tẽplũ in cœnaculũ veniũt: quibus ibi cũ silentio residentibus, pistor quidẽ panes ordine vnum autem vasculum ex vno pulmento singulis cocus apponit. Deinde voce cibum sacerdos anteuenit: neque gustare quenquam fas est, nisi priùs Deo celebretur oratio. Post finem quoq; prandij vota repetunt. Nam & cùm incipiunt, & cùm desinunt, quasi datorem victus, Deum laudibus canunt.

Tunc veluti sacris illis depositis vestimentis, in opere vsque ad vesperam versantur. Similitérque inde reuersi cœnant, consedentibus etiam hospitibus, si quos fortè interuenisse repererint. Neque verò clamor vnquam tectum illud, neque tumultus inquietat: cùm etiam loquendi ordine aliis alij cedant: eorúmque silentium, extra tectum constitutis arcanum quoddam videatur venerabile. Cuius quidem rei perpetua sobrietas causa est, quódque apud eos edendi aut potandi modus saturitate definitur. Sed quamuis aliarum rerum nihil sine præcepto faciunt curatoris, tamen in his duobus, hoc est iuuando & miserendo sui iuris sunt. Nam & subuenire dignis, cùm opus est, suo arbitrio cuique licet, & indigentibus alimenta porrigere. Sanè cognatis dare aliquid sine curatoribus, interdictum. Iidem iracundiæ moderatores iusti sunt, indignationem cohibent, fidem tuentur, paci obsecundãt: & omne quod dixerint, iureiurãdo fortius habẽt. Ipsum autem iusiurandum quasi periurio deterius vitant. Iam enim mendacij condemnatum arbitrantur, cui sine Deo non creditur. Summum autem studium veterum scriptis adhibent: ea maximè inde, quæ animæ & corpori expediãt eligentes. Hinc illis morbum remedia, stirpes medicæ, quámque vim propriam singuli lapides habeant, rimantibus conquiruntur. Sectæ verò suæ studiosis non statim cum eis vna collectio. sed per annum integrũ extrinsecus cõmoranti cuique eundem victus ordinem tribuunt: dolabellam quoque, & quod prędictum est perizoma, & albam vestem tradentes. Cùm verò processu temporis experimentum continentiæ dederit, accedit etiam ad communem cibum: & purioribus, ob castificationem scilicet, aquis participat: neque tamen in conuictũ assumitur. Post ostensionem quippe continentiæ, duobus annis aliis mores eius probantur. Cúmque dignus apparuerit, tunc demum in consortium assumitur. Prius verò quàm incipiat communem habere cibum, magnis execrationibus adiurat se primùm quidem colere Deum, deinceps quoque erga homines seruare iustitiam, & neque propria sponte nocere cuiquam, neque ex pręcepto obesse: quin imò iniquos omnes odisse, & collaborare semper iustitiæ sectatoribus, fidem omnibus seruare, maximè verò principibus. Neque enim absq; voluntate Dei, cuiquam posse principatus potentiam contingere. Si verò ipse cæteris præsit, nunquam se abusurum viribus potestatis ad contumeliam subiectorum, sed neque veste aut ambitioso aliquo ornatu reliquis eminere, veritatem semper diligere, & habere propositum cõuincere mẽtiẽtes. Manus verò à furto, & animam purã seruare ab iniustis cõpẽdiis: & neq; aliquid de mysteriis consectaneos celare, neq; profanis eorũ quippiam publicare, etiam si intentata quispiam morte compellat. Super hæc autem addunt, nihil se de dogmatibus aliud quàm ipsi susceperint, tradere. Fugere autem latrocinia, & cõseruatum ire simul & dogmatis sui libros & angelorũ nomina. His quidem execrationibus explorant, & quasi præmuniũt accedentes. Deprehensos verò in peccatis à sua congregatione depellunt: & qui taliter fuerit condemnatus, miserabili plerunque morte consumitur.

ἔπειτα ὡς ἱερὰς καταθέμενοι τὰς ἐσθῆτας, πάλιν ἐπ' ἔργα μέχρι δείλης τρέπονται. δειπνοῦσι δὲ ὑποστρέψαντες ὁμοίως, συγκαθεζομένων τῶν ξένων, εἰ τύχοιεν αὐτοῖς παρόντες. οὐδὲ κραυγή ποτε τὸν οἶκον, οὔτε θόρυβος μολύνει. τὰς δὲ λαλιὰς ἐν τάξει παραχωροῦσιν ἀλλήλοις, καὶ τοῖς ἔξωθεν, ὡς μυστήριόν τι φρικτὸν, ἡ τῶν ἔνδον σιωπὴ καταφαίνεται. τούτου δ' αἴτιον, ἡ διηνεκὴς νῆψις, καὶ τὸ μετρεῖσθαι παρ' αὐτοῖς τροφὴν καὶ ποτὸν, μέχρι κόρου. τῶν μὲν οὖν ἄλλων οὐκ ἔστιν ὅ τι μὴ τῶν ἐπιμελητῶν προσταξάντων ἐνεργοῦσι. δύο δὲ ταῦτα παρ' αὐτοῖς αὐτεξούσια, ἐπικουρία καὶ ἔλεος. βοηθεῖν τε γὰρ τοῖς ἀξίοις ὁπόταν δέωνται, καὶ καθ' αὑτοὺς ἀφίεται, καὶ τροφὰς ἀπορουμένοις ὀρέγειν. τὰς δὲ εἰς τοὺς συγγενεῖς μεταδόσεις, οὐκ ἔξεστι ποιεῖσθαι δίχα τῶν ἐπιτρόπων. ὀργῆς ταμίαι δίκαιοι, θυμοῦ καθεκτικοὶ, πίστεως προστάται, εἰρήνης ὑπουργοί. καὶ πᾶν μὲν τὸ ῥηθὲν ὑπ' αὐτῶν ἰσχυρότερον ὅρκου. τὸ δὲ ὀμνύειν αὐτοῖς περιίσταται, χεῖρόν τι τῆς ἐπιορκίας ὑπολαμβάνοντες. ἤδη γὰρ ἤδη κατεγνῶσθαί φασι τὸν ἀπιστούμενον, δίχα θεοῦ. σπουδάζουσι δὲ ἐκτόπως περὶ τὰ τῶν παλαιῶν συγγράμματα, μάλιστα τὰ πρὸς ὠφέλειαν ψυχῆς καὶ σώματος ἐκλέγοντες. ἔνθεν αὐτοῖς πρὸς θεραπείαν παθῶν, ῥίζαι τε ἀλεξιτήριοι, καὶ λίθων ἰδιότητες ἀνερευνῶνται. τοῖς δὲ ζηλοῦσι τὴν αἵρεσιν αὐτῶν, οὐκ εὐθὺς ἡ πάροδος, ἀλλ' ἐπ' ἐνιαυτὸν ἔξω μένοντι τὴν αὐτὴν ὑποτίθενται δίαιταν, ἀξινάριόν τε, καὶ τὸ προειρημένον περίζωμα, καὶ λευκὴν ἐσθῆτα δόντες. ἐπειδὰν δὲ τούτῳ τῷ χρόνῳ πεῖραν ἐγκρατείας δῷ, πρόσεισι μὲν ἔγγιον τῇ διαίτῃ, καὶ καθαρωτέρων τῶν πρὸς ἁγνείαν ὑδάτων μεταλαμβάνει. παραλαμβάνεται δὲ εἰς τὰς συμβιώσεις οὐδέπω. μετὰ γὰρ τὴν τῆς καρτερίας ἐπίδειξιν, δυσὶν ἄλλοις ἔτεσι τὸ ἦθος δοκιμάζεται. καὶ φανεὶς ἄξιος, οὕτως εἰς τὸν ὅμιλον ἐγκρίνεται. πρὶν δὲ τῆς κοινῆς ἅψασθαι τροφῆς, ὅρκους αὐτοῖς ὄμνυσι φρικώδεις, πρῶτον μὲν εὐσεβήσειν τὸ θεῖον, ἔπειτα τὰ πρὸς ἀνθρώπους δίκαια φυλάξειν, καὶ μήτε κατὰ γνώμην βλάψειν τινὰ, μήτε ἐξ ἐπιτάγματος. μισήσειν δὲ ἀεὶ τοὺς ἀδίκους, καὶ συναγωνιεῖσθαι τοῖς δικαίοις. τὸ πιστὸν ἀεὶ παρέξειν πᾶσι, μάλιστα δὲ τοῖς κρατοῦσιν. οὐ γὰρ δίχα θεοῦ περιγίνεσθαί τινι τὸ ἄρχειν. κἂν αὐτὸς ἄρχῃ, μηδέ ποτε ἐξυβρίζειν εἰς τὴν ἐξουσίαν, μηδὲ ἐσθῆτι, ἤ τινι πλείονι κόσμῳ τοὺς ὑποτεταγμένους ὑπερλαμπρύνεσθαι. τὴν ἀλήθειαν ἀγαπᾶν ἀεὶ, καὶ τοὺς ψευδομένους ἐλέγχειν. προβάλλεσθαι χεῖρας κλοπῆς, καὶ ψυχὴν ἀνοσίου κέρδους καθαρὰν φυλάξειν. καὶ μήτε κρύψειν τι τοὺς αἱρετιστὰς, μήτε ἑτέροις αὐτῶν τι μηνύσειν, κἂν μέχρι θανάτου τις βιάζηται. πρὸς τούτοις ὀμνύουσι μηδενὶ μὲν μεταδοῦναι τῶν δογμάτων ἑτέρως, ἢ ὡς αὐτὸς μετέλαβεν. ἀφέξεσθαι δὲ λῃστείας, καὶ συντηρήσειν ὁμοίως τά τε τῆς αἱρέσεως αὐτῶν βιβλία, καὶ τὰ τῶν ἀγγέλων ὀνόματα. τοιούτοις μὲν ὅρκοις τοὺς προσιόντας ἐξασφαλίζονται. τοὺς δ' ἐπ' ἀξιοχρέοις ἁμαρτήμασιν ἁλόντας, ἐκβάλλουσι τοῦ τάγματος. ὁ δὲ ἐκκριθεὶς, οἰκτίστῳ πολλάκις μόρῳ διαφθείρεται.

τοῖς γὰρ ὅρκοις καὶ τοῖς ἔθεσιν ἐνδεδεμένος, οὐδὲ τῆς παρὰ τοῖς ἄλλοις τροφῆς δύναται μεταλαμβάνειν. ποηφαγῶν δὲ καὶ λιμῷ τὸ σῶμα τηκόμενος, διαφθείρεται. διὸ δὴ πολλοὺς ἐλεήσαντες ἐν ταῖς ἐσχάταις ἀναπνοαῖς ἀνέλαβον, ἱκανὴν ἐπὶ τοῖς ἁμαρτήμασιν αὐτῶν τὴν μέχρι θανάτου βάσανον ἡγούμενοι. περὶ δὲ τὰς κρίσεις, ἀκριβέστατοι, καὶ δίκαιοι. καὶ δικάζουσι μὲν οὐκ ἐλάττους τῶν ἑκατὸν συνελθόντες. τὸ δὲ ὁρισθὲν ὑπ' αὐτῶν ἀκίνητον. σέβας δὲ μέγιστον παρ' αὐτοῖς μετὰ τὸν θεὸν, τὸ ὄνομα τοῦ νομοθέτου, κἂν βλασφημήσῃ τις εἰς τοῦτον, κολάζεσθαι θανάτῳ, τοῖς δὲ πρεσβυτέροις ὑπακούειν καὶ τοῖς πλείοσιν, ἐν καλῷ τίθενται. δέκα γοῦν συγκαθεζομένων οὐκ ἂν λαλήσειέ τις ἀκόντων τῶν ἐννέα. καὶ τὸ πτύσαι δὲ εἰς μέσους, ἢ τὸ δεξιὸν μέρος φυλάσσονται, καὶ ταῖς ἑβδομάσιν ἔργων ἐφάπτεσθαι, διαφορώτατα ἰουδαίων ἁπάντων. οὐ μόνον γὰρ τροφὰς ἑαυτοῖς πρὸ ἡμέρας μιᾶς παρασκευάζουσιν, ὡς μὴ δὲ πῦρ ἐναύοιεν ἐκείνῃ τῇ ἡμέρᾳ. ἀλλ' οὐδὲ σκεῦός τι μετακινῆσαι θαρροῦσιν, οὐδὲ ἀποπατεῖν. ταῖς δὲ ἄλλαις ἡμέραις βόθρον ὀρύσσοντες βάθος ποδιαῖον τῇ σκαλίδι, τοιοῦτον γάρ ἐστι τὸ διδόμενον ὑπ' αὐτῶν ἀξινίδιον τοῖς νεοσυστάτοις, καὶ περικαλύψαντες θοιμάτιον ὡς μὴ τὰς αὐγὰς ὑβρίζοιεν τοῦ θεοῦ, θακεύουσιν εἰς αὐτὸν, ἔπειτα τὴν ἀνορυχθεῖσαν γῆν, ἐφέλκουσιν εἰς τὸν βόθρον, καὶ τοῦτο ποιοῦσι τοὺς ἐρημοτέρους τόπους ἐκλεγόμενοι. καίπερ δὴ φυσικῆς οὔσης τῆς τῶν σωματικῶν λυμάτων ἐκκρίσεως, ἀπολούεσθαι μετ' αὐτὴν, καθάπερ μεμιασμένοις ἔθιμον. διῄρηνται δὲ κατὰ χρόνον τῆς ἀσκήσεως, εἰς μοίρας τέσσαρας, καὶ τοσοῦτον οἱ μεταγενέστεροι τῶν προγενεστέρων ἐλαττοῦνται, ὥς τε εἰ ψαύσειαν αὐτῶν ἐκείνους ἀπολούεσθαι, καθάπερ ἀλλοφύλῳ συμφυρέντας. καὶ μακρόβιοι μὲν ὡς τοὺς πολλοὺς ὑπὲρ ἑκατὸν παρατείνειν ἔτη, διὰ τὴν ἁπλότητα τῆς διαίτης, ἐμοί γε δοκεῖν, καὶ τὴν εὐταξίαν. καταφρονηταὶ δὲ τῶν δεινῶν, καὶ τὰς μὲν ἀλγηδόνας νικῶντες τοῖς φρονήμασι, τὸν δὲ θάνατον εἰ μετ' εὐκλείας πρόσιοι, νομίζοντες ἀθανασίας ἀμείνω. διήλεγξε δ' αὐτῶν ἐν ἅπασι τὰς ψυχὰς, ὁ πρὸς ῥωμαίους πόλεμος. ἐν ᾧ στρεβλούμενοι, καὶ λυγιζόμενοι, καιόμενοί τε, καὶ κλώμενοι, καὶ διὰ πάντων ὁδεύοντες τῶν βασανιστηρίων ὀργάνων, ἵνα ἢ βλασφημήσωσι τὸν νομοθέτην, ἢ φάγωσί τι τῶν ἀσυνήθων, οὐδ' ἕτερόν τι ὑπέμειναν παθεῖν, ἀλλ' οὐδὲ κολακεῦσαι ποτὲ τοὺς αἰκιζομένους, ἢ δακρῦσαι. μειδιῶντες δὲ ἐν ταῖς ἀλγηδόσι, καὶ κατειρωνευόμενοι τῶν τὰς βασάνους προσφερόντων, εὔθυμοι τὰς ψυχὰς ἠφίεσαν, ὡς πάλιν κομιούμενοι. καὶ γὰρ ἔρρωται παρ' αὐτοῖς ἥδε ἡ δόξα, φθαρτὰ μὲν εἶναι τὰ σώματα, καὶ τὴν ὕλην οὐ μόνιμον αὐτοῖς. τὰς δὲ ψυχὰς ἀθανάτους ἀεὶ διαμένειν, καὶ συμπλέκεσθαι μὲν ἐκ τοῦ λεπτοτάτου φοιτώσας αἰθέρος, ὥσπερ εἱρκταῖς τοῖς σώμασιν ἴυγγι τινὶ φυσικῇ κατασπωμένας. ἐπειδὰν δὲ ἀνεθῶσι τῶν κατὰ σάρκα δεσμῶν, οἷον δὴ μακρᾶς δουλείας ἀπηλλαγμένας, τότε χαίρειν καὶ μετεώρους φέρεσθαι. καὶ ταῖς μὲν

Illis quidem ſacramentis, ac ritibus obligatus, neque capere ab aliis oblatum cibum poteſt. herbas verò pecudum more decerpens, & fame exeſus per membra corrumpitur. Ob quod etiam plurimos plerúmque miſerati, extremum ſpiritum agentes receperunt: ſufficientem pro peccatis eorũ quæ vſque ad mortem adduxerit, pœnam luiſſe cenſentes. In iudiciis verò ſunt diligentiſſimi atque iuſtiſſimi. Diſceptant autem non minus quàm centum in vnum coacti: quod autem his decretum fuerit, immobile manet: Veneratio quoque apud eos poſt Deum magna legiſlatoris eſt: ita vt ſi quis cum blaſphemauerit, morte damnetur. Senibus verò obedire & plurium quorunque decreto, probabile arbitrantur officium. Cùm ſimul denique ſederint decem, nullus vnus nouem loquitur inuitis. Expuere quoque in medium eorum, vel in dexteram ſui partem, quiſque deuitat. Sabbatis quoque operationem aliquam contigiſſe, omnibus Iudæis diligentiùs cauent: neque cibum ſibi ſolum pridie præparant, ne videlicet illo die ignem accendant: ſed neque vas aliquod transponere audent, imò nec aluum purgant. Aliis autem diebus fodientes foueam vno pede altam σκαλίδι, hoc eſt, illa dolabella quam tradi nuper accedentibus diximus, dimiſſa veſte ſeſe diligentiſſimè contegentes, ne ſcilicet ſplendori diuino iniuriam faciant, in eadem fouea ab onere ventris leuantur, ac deinceps terram quam effoderant reducunt: idque ipſum faciunt in locis ſecretiſſimis: & cùm naturalis ſit iſta purgatio, nihilominus tamen ſolenne habent, vt quaſi ab immunditia diluantur. Diſcernuntur autem inter ſe, ſecundùm ſuſceptæ abſtinentiæ tempora, in ordines quatuor: tantúmque hi qui iuniores ſunt, inferiores præcedentibus æſtimantur, vt ſi aliquos eorum contigerint, quaſi à contrectatu alienigenę diluantur. Viuunt autem quàm longiſſimè, ita vt plurimi eorum vſque ad centenariam proferantur ætatem, propter ſimplicitatem victus, vt equidem puto, & inſtitutionem benè in omnibus ordinatã. Sunt etiam contemptores aduerſorum: cruciatus ſiquidem vincunt firmitate conſilij. Mortem verò, ſi cum decore obeunda ſit, iudicant etiam immortalitate meliorem. Prodidit autem eorum in omnibus negotiis animos, bellũ quod geſtum eſt cum Romanis. Tunc ſiquidem per artuum confractiones & ignes, ac per tormenta omnigena tranſeuntes, vt videlicet vel in legiſlatoris aliquid loquerentur iniuriam, vel ciborum quippiam quod non ſolent ederent, ad neutrum horum potuerunt compelli: ſed neq; deprecari ſuos tortores, aut inter ipſa flere ſupplicia: in mediis quinimò cruciatibus ſubridentes, & eis qui tormenta admouerant illudentes, conſtanter animas cum quadam hilaritate reddebant, ſcilicet quaſi qui eas eſſent denuò recepturi. Opinio quippe apud illos firmata conſiſtit, corruptibilia quidem eſſe corpora, materiámque eorum non eſſe perpetuam: animas autem immortales ſemper manere, & de æthere ſubtiliſſimo commeantes, quaſi carceribus ita corporibus implicari, velut quas illecebra naturalis attraxerit. Cùm verò fuerint à carnalibus releuatæ vinculis, quaſi de ſeruitute longiſſima liberatas, ita ilico lætari eas, ſubliméſque ferri. Et quidem

bonas concinentes in hoc Græcorum sententiis, pronuntiant vltra Oceanum degere, vbi eis sit reposita perfruitio: illic quippe esse regionem, quæ neque imbribus, neque niuibus, neque æstibus aggrauetur: sed quam Oceano oriens Zephyrus, & leniter aspirans amœnet. Malis autem animabus procellosa loca & hyberna delegant, plena gemitibus exercendarum sine fine pœnarum. Videntur autem mihi secundum hanc ipsam intelligentiam Græci quoque fortibus suis, quos Heroas & semideos vocauerunt, beatorum insulas sequestrasse: improborum autem animabus locum apud inferos impiorũ: in quo etiam cruciari quosdam commentati sunt, Sisyphos videlicet, & Tantalos, & Ixiones, & Tityos: principio quidem immortales esse animas existimantes, ob adhortationem vtique virtutis, dehortationemque nequitiæ: bonos quippe fieri in huius vitæ conseruatione meliores, per spem bonorum etiam post lucem redhibendorum: improborum autem impetum retardari æstimantes: quoniam etsi in huius vitæ spatio latuerint, post obitum tamen sint immortalia tormenta passuri. Hæc sunt ergo quæ Esseni de diuinitate animæ philosophantur, planè illecebram ineuitabilem eis qui semel de eorum sapientia gustauerint, reponentes. Sunt autem in eis qui etiam futura nosse promittant, sacris videlicet libris, & variis sanctificationibus, prophetarúmque dictis à primis ætatibus adhærentes: rarò autem accidit vt prædictiones eorum frustratio cõsequatur. Est autem aliud etiam Essenorum collegium, cibos quidem & mores legésque similes cum prioribus habens, distans verò opinione de coniugio. Maximam siquidem vitæ hominum partem, successionem scilicet, amputare eos qui abstineant nuptiis arbitrantur: quippe si in eandem velint omnes ire sententiam, defecturum confestim genus humanum. Nihilominus autem cum tanta ipsi moderatione conueniunt, vt per triennium explorent valetudinem fœminarum: & si constanti purgatione apparuerint idoneæ partui, ita eas in matrimonia asciscunt. Nemo tamen eorum cum prægnante concumbit: vt ostendant, quòd nuptias non voluptatis, sed liberorum causa inierint. Lauantibus autem fæminis, ita vt viris perizomatum inest amictus. Tales sunt mores huius collectionis. Duorum autem priorum ordinum, Pharisæi dicuntur, qui certiorem legalium rituum notitiam profitentur: & hi primum dogma habent, vt fato & Deo vniuersa deputent: & quidem vel agere quæ iusta sunt, vel negligere, secundùm maiorem partem esse in hominibus profitentur: adiuuare tamen in singulis & fatum. Animam autem omnem quidem incorruptam esse, transire autem in alia corpora solas bonorum, improborum verò interminabili supplicio cruciari. Sadducæi porrò, secundus ordo, fatum omnino negant: & Deum extra omnem mali patrationem inspectionémque constituunt. Aiunt autem electioni hominum vel bonum, vel malum esse propositum: & secundùm voluntatem propriam, alterutrum vnicuique cõtingere. Animarum autem generaliter vel supplicia denegant vel honores. Et Pharisæi quidem sociales: & qui studeant se mutua dilectione complecti: Sadducæi verò & inter se feris moribus discrepantes,

ἀγαθαῖς, ὁμοδοξοῦντες παισὶν Ἑλλήνων, ἀποφαίνονται τὴν παρ' ὠκεανὸν δίαιταν ἀποκεῖσθαι, καὶ χῶρον, οὔτε ὄμβροις, οὔτε νιφετοῖς, οὔτε καύμασι βαρυνόμενον, ἀλλ' ὃν ἐξ ὠκεανοῦ πραῢς ἀεὶ ζέφυρος ἐπιπνέων ἀναψύχει. ταῖς δὲ φαύλαις, ζοφώδη, καὶ χειμέριον ἀφορίζονται μυχόν, γέμοντα τιμωριῶν ἀδιαλείπτων. δοκοῦσι δέ μοι κατὰ τὴν αὐτὴν ἔννοιαν Ἕλληνες, τοῖς τε ἀνδρείοις αὐτῶν, οὓς ἥρωας καὶ ἡμιθέους καλοῦσι, τὰς μακάρων νήσους ἀνατεθεικέναι. ταῖς δὲ τῶν πονηρῶν ψυχαῖς, καθ' ᾅδου τὸν ἀσεβῶν χῶρον, ἔνθα καὶ κολαζομένους τινὰς μυθολογοῦσι, σισύφους καὶ ταντάλους, καὶ ἰξίονας, καὶ τιτυούς, πρῶτον μὲν ἀιδίους ὑφιστάμενοι τὰς ψυχάς, ἔπειτα εἰς προτροπὴν ἀρετῆς, καὶ κακίας ἀποτροπήν. τούς τε γὰρ ἀγαθοὺς γίνεσθαι κατὰ τὸν βίον ἀμείνους, ἐλπίδι τιμῆς καὶ μετὰ τὴν τελευτήν. τῶν τε κακῶν ἐμποδίζεσθαι τὰς ὁρμὰς δέει, προσδοκώντων, εἰ καὶ λάθοιεν ἐν τῷ ζῆν, μετὰ τὴν διάλυσιν ἀθάνατον τιμωρίαν ὑφέξειν. ταῦτα μὲν οὖν ἐσσηνοὶ περὶ ψυχῆς θεολογοῦσιν, ἄφυκτον δέλεαρ τοῖς ἅπαξ γευσαμένοις τῆς σοφίας αὐτῶν ἐγκαθιέντες. εἰσὶ δὲ ἐν αὐτοῖς οἳ καὶ τὰ μέλλοντα προγινώσκειν ὑπισχνοῦνται, βίβλοις ἱεραῖς, καὶ διαφόροις ἁγνείαις, καὶ προφητῶν ἀποφθέγμασιν ἐμπαιδοτριβούμενοι. σπάνιον δὲ εἴποτε ἐν ταῖς προαγορεύσεσιν ἀστοχοῦσιν. ἔστι δὲ καὶ ἕτερον ἐσσηνῶν τάγμα, ὃ δίαιταν μὲν καὶ ἔθη καὶ νόμιμα τοῖς ἄλλοις ὁμοφρονοῦν, διεστὼς δὲ τῇ κατὰ γάμον δόξῃ. μέγιστον γὰρ ἀποκόπτειν οἴονται τοῦ βίου μέρος τὴν διαδοχήν, τοὺς μὴ γαμοῦντας, μᾶλλον δὲ εἰ πάντες τὸ αὐτὸ φρονήσειαν, ἐκλιπεῖν ἅπαν τὸ γένος τάχιστα. δοκιμάζοντες μέν τοι τριετίᾳ τὰς γαμετάς, ἐπειδὰν τρὶς καθαρθῶσιν εἰς πεῖραν τοῦ δύνασθαι τίκτειν, οὕτως ἄγονται. ταῖς δὲ ἐγκύμοσιν οὐχ ὁμιλοῦσιν, ἐνδεικνύμενοι, τὸ μὴ δι' ἡδονήν, ἀλλὰ τέκνων χρείαν γαμεῖν. λουτρὰ δὲ ταῖς γυναιξὶν ἀμπεχομέναις ἐνδύματα, καθάπερ τοῖς ἀνδράσιν ἐν περιζώματι. τοιαῦτα μὲν ἔθη τοῦδε τοῦ τάγματος. δύο δὲ τῶν προτέρων, φαρισαῖοι μέν, οἱ δοκοῦντες μετ' ἀκριβείας ἐξηγεῖσθαι τὰ νόμιμα, καὶ τὴν πρώτην ἀπάγοντες αἵρεσιν, εἱμαρμένῃ τε καὶ θεῷ προσάπτουσι πάντα. καὶ τὸ μὲν πράττειν τὰ δίκαια, καὶ μή, κατὰ τὸ πλεῖστον ἐπὶ τοῖς ἀνθρώποις κεῖσθαι. βοηθεῖν δὲ εἰς ἕκαστον, καὶ τὴν εἱμαρμένην. ψυχὴν δὲ πᾶσαν μὲν ἄφθαρτον, μεταβαίνειν δὲ εἰς ἕτερον σῶμα, τὴν τῶν ἀγαθῶν μόνην. τὴν δὲ τῶν φαύλων, ἀιδίῳ τιμωρίᾳ κολάζεσθαι. σαδδουκαῖοι δὲ τὸ δεύτερον τάγμα, τὴν μὲν εἱμαρμένην παντάπασιν ἀναιροῦσι, καὶ τὸν θεὸν ἔξω τοῦ δρᾶν τι κακόν, ἢ ἐφορᾶν τίθενται. φασὶ δὲ ἐπ' ἀνθρώπων ἐκλογῇ, τό τε καλὸν καὶ τὸ κακὸν προκεῖσθαι. καὶ τὸ κατὰ γνώμην ἑκάστῳ τούτων ἑκατέρῳ προσιέναι. ψυχῆς τε τὴν διαμονήν, καὶ τὰς καθ' ᾅδου τιμωρίας καὶ τιμὰς ἀναιροῦσι. καὶ φαρισαῖοι μὲν φιλάλληλοί τε, καὶ τὴν εἰς τὸ κοινὸν ὁμόνοιαν ἀσκοῦντες. σαδδουκαίων δὲ καὶ πρὸς ἀλλήλους τὸ ἦθος ἀγριώτερον,

αἵ τε

φλώρου ἦσαν, οὓς μάστιξι προαικισάμενος, ἀνεσταύρωσεν. ὁ γοῦν σύμπας τῶν ἐκείνης ἀπολομένων τῆς ἡμέρας ἀριθμὸς, σὺν γυναιξὶ καὶ παιδίοις (οὐδὲ γὰρ νηπίων ἀπέσχοντο) περὶ τρισχιλίους καὶ ἑξακοσίους συνήχθη. βαρυτέραν δὲ ἐποίει τὴν συμφορὰν, τὸ καινὸν τῆς ῥωμαίων ὠμότητος. ὃ γὰρ μηδεὶς πρότερον, τότε φλῶρος ἐτόλμησεν, ἄνδρας ἱππικοῦ τάγματος μαστιγῶσαι πρὸ τοῦ βήματος, καὶ σταυρῷ προσηλῶσαι, ὧν εἰ καὶ τὸ γένος ἰουδαῖοι, ἀλλὰ τὸ γοῦν ἀξίωμα ῥωμαϊκὸν ἦν.

Florum, quos ille verberibus laniatos in crucem sustulit. Denique omnis numerus illo interfectorum die cum paruulis & mulieribus (neque enim vel lactantibus pepercerant) fuit sexcenti & triginta. Grauiorem autem faciebat calamitatem videri nouitas Romanæ calamitatis: quod enim nemo vnquam prius, tunc Florus ausus est, vt viros scilicet equestris ordinis pro tribunali flagellis cæderet, ac patibulis affigeret: quorum etsi origo Iudæa, tamen Romana dignitas erat.

Κεφ. κϛ. Κατὰ τοῦτον τὸν καιρὸν, ὁ μὲν βασιλεὺς ἀγρίππας ἐτύγχανεν εἰς τὴν ἀλεξάνδρειαν πεπορευμένος, ὅπως ἀλεξάνδρῳ συνησθείη πεπιστευμένῳ τὴν αἴγυπτον ὑπὸ νέρωνος, καὶ πεμφθέντι διέπειν. τὴν δ᾽ ἀδελφὴν αὐτοῦ βερνίκην παροῦσαν ἐν ἱεροσολύμοις, καὶ τὴν παρανομίαν τῶν στρατιωτῶν ἀποθεωμένην, δεινὸν εἰσῄει πάθος, καὶ πολλάκις τούς τε ἱππάρχας αὐτῆς καὶ σωματοφύλακας πέμπουσα πρὸς φλῶρον ἐδεῖτο παύσασθαι τοῦ φόνου. καὶ ὁ μὲν οὔτε εἰς τὸ πλῆθος τῶν ἀναιρουμένων, οὔτε εἰς τὴν εὐγένειαν τῆς παρακαλούσης, ἀλλ᾽ εἰς μόνον τὸ λυσιτελὲς τὸ ἐκ τῶν ἁρπαγῶν ἀποβλέπων, παρήκουσεν. ἡ δὲ ὁρμὴ τῶν στρατιωτῶν ἐλύσσησε καὶ κατὰ τῆς βασιλίδος. οὐ μόνον γοῦν ἐν ὄμμασιν αὐτῆς ᾐκίζοντο τοὺς ἁλισκομένους καὶ διέφθειρον, ἀλλὰ κἂν αὐτὴν ἀνεῖλον, εἰ μὴ καταφυγεῖν εἰς τὴν βασιλικὴν αὐλὴν ἔφθη. κἀκεῖ διενυκτέρευσε μετὰ φυλακῆς, δεδοικυῖα τὴν στρατιωτῶν ἔφοδον. ἐπεδήμει δ᾽ ἐν τοῖς ἱεροσολύμοις, εὐχὴν ἐκτελοῦσα τῷ θεῷ. τοὺς γὰρ ἢ νόσῳ καταπονουμένους, ἤ τισιν ἄλλαις ἀνάγκαις, ἔθος εὔχεσθαι πρὸ τριάκοντα ἡμερῶν, ἧς ἀποδώσειν μέλλοιεν θυσίας, οἴνου τε ἀφέξεσθαι καὶ ξυρήσασθαι τὰς κόμας. ἃ δὴ τότε τελοῦσα βερνίκη, γυμνόπους τε πρὸ τοῦ βήματος ἱκέτευσε τὸν φλῶρον, καὶ πρὸς τὸ μὴ τυχεῖν αἰδοῦς αὐτὴν, τὸν περὶ τοῦ ζῆν κίνδυνον ἐπείρασεν. ταῦτα μὲν οὖν ἑκκαιδεκάτῃ μηνὸς ἀρτεμισίου συνέβη. τῇ δ᾽ ἐπιούσῃ τὸ μὲν πλῆθος ὑπερπαθῆσαν, εἰς τὴν ἄνω συνέρρευσεν ἀγορὰν, καὶ βοαῖς ἐξαισίοις περὶ τῶν ἀπολωλότων ὠλοφύροντο. τὸ πλέον δ᾽ ἦσαν εἰς τὸν φλῶρον ἐπίφθονοι φωναί. πρὸς ὃ δείσαντες οἱ δυνατοὶ σὺν τοῖς ἀρχιερεῦσι τὰς ἐσθῆτας περιερρήξαντο, καὶ προσπίπτοντες ἑκάστοις, ἐδέοντο παύσασθαι, καὶ μὴ πρὸς οἷς πεπόνθασιν εἰς ἀνήκεστόν τι τὸν φλῶρον ἐρεθίζειν. ἐπείσθη δ᾽ τὸ πλῆθος ταχέως, αἰδοῖ τε τῶν παρακαλούντων, καὶ κατ᾽ ἐλπίδα τοῦ μηδὲν ἔτι τὸν φλῶρον εἰς αὐτοὺς παρανομήσειν.

Cap. XV. De alia oppressione Hierosolymorum dolo Flori.

PEr idem tempus rex quidem Agrippa Alexandriam erat profectus vt Alexandrum, qui Ægyptum procurabat missus à Nerone, iure hospitis conueniret. Germanam autem suam Berenicen, Hierosolymis inuentam, & iniquitatem militum videntem, grauis ob hoc angor inuaserat. & frequenter quidem præfectos equitum suorum, custodésque corporis mittens ad Florum precabatur, vt à cæde desineret. Ille verò neque in multitudinem interfectorum, neque in nobilitatem precatricis, sed tantùm in lucra sua, quæ de rapinis congregarentur, aspiciens, contempsit annuere: impetus autem militum etiam aduersùm reginam efferatus est. Non solùm quippe sub oculis eius obuios quosque mulctabant atque trucidabant, sed etiam ipsam, nisi confugisset in aulam, interfecissent. Ibi autem peruigilem noctem cum intenta custodia egit, verens vtique irruptionem militum. Venerat autem Hierosolymam, vt vota Deo solueret. His enim qui morbo vel aliis necessitatibus implicantur, mos est orare per triginta dies, antequam immolent hostias: abstinere quoque vino, & capillos radere. Quem morem Berenice regina illis exercens diebus, nudipes etiam ante tribunal stetit, deprecans Florum: & præter quod nihil honoris habitum est, etiam de vita sua periclitata est. Hæc autem facta sunt sextodecimo die mensis Maij. Postridie autem conueniens multitudo in forum, quod erat in superiori parte ciuitatis, magnis clamoribus de his qui interfecti fuerant, querebantur: potissimum autem inuidiosæ in Florum voces erant: quod veriti primates quique & pontifices, disruptis vestibus, & viritim singulos comprehendentes, postulabant, vt ab his verbis, quorum causa tanta mala pertulerant, desisterent, neque in maiorem indignationem Florum mouerent. Sicque sedata est multitudo, tam reuerentia precantium, quàm spe quòd nequaquam Florus vltra in eos sæuiret.

Κεφ. κζ. Ὁ δὲ σβεσθείσης τῆς ταραχῆς ἤχθετο, καὶ πάλιν αὐτὴν ἀνάψαι πραγματευόμενος, τούς τε ἀρχιερεῖς σὺν τοῖς γνωρίμοις μεταπέμπεται, καὶ μόνον ἔφη τεκμήριον ἔσεσθαι τοῦ μηδὲν ἔτι τὸν δῆμον νεωτερίσειν, εἰ προελθόντες ὑπαντήσουσι τοῖς ἀπὸ καισαρείας ἀνιοῦσι στρατιώταις. παρεγίνοντο δὲ δύο σπεῖραι. τῶν δὲ ἔτι συγκαλούντων τὸ πλῆθος, προπέμψας διεδήλου τοῖς τῶν σπειρῶν ἑκατοντάρχαις, ὅπως παραγγείλωσι τοῖς ὑφ᾽ ἑαυτοὺς, μήτε ἀντασπάσασθαι τοὺς ἰουδαίους, κἄν τι κατ᾽ αὐτοῦ φθέγξωνται, χρήσασθαι τοῖς ὅπλοις. οἱ δὲ ἀρχιερεῖς εἰς τὸ ἱερὸν τὸ πλῆθος συναγαγόντες ὑπαντᾶν τοῖς ῥωμαίοις παρεκάλουν καὶ πρὸ ἀνηκέστου πάθους, τὰς σπείρας δεξιοῦσθαι.

Ille autem videns multitudinis tumultum fuisse compressum, angebatur, & denuo eam inflammare cupiens, pontifices cum nobilibus aduocauit. Itaque vnum ait argumentum fore, quod nihil vlterius de nouandis rebus cogitaret, si populus obuiam procederet militibus de Cæsarea venientibus: veniebant autem duæ cohortes. Qui cùm conuocasset populum ad occurrendum, mandat centurionibus, vt nullam salutationem redderent obuiantibus Iudæis. Ad quod si offensi petulanter quippiam essent locuti, statim in eos vterentur armis, Pontifices ergo collecta multitudine in templo, precabantur vt occurrerent Romanis, & ante graue incommodū cohortes solenniter salutarēt.

His hortationibus seditiosi quiq; abnuebāt, & ob interfectorū dolorē reliqua multitudo iūgebatur audacibus. Tūc verò omnes sacerdotes omnésq; leuitæ sacra vasa proferētes ornatúq; templi, citharistæ etiam & cantores cum musicis organis procidebant ante multitudinem, & obnixissimè precabantur, vt illum templi honorem custoditum esse vellent, neque ad direptionem vasorum sacrorum Romanos contumeliis incitarent. Erat autem videre ipsos sacerdotum principes sparsis cinere capitibus, & pectora disruptis vestibus nuda monstrantes, nominatim singulos quosque nobilium compellare, ac denuo in commune multitudinem precari, ne ob modicum peccatum patriam suam proderent his, qui direptioni eius inhiarent. Quam enim vtilitatem vel militibus esse de Iudæorum salutatione tribuendam, vel illis quæ acciderant correctionem, si in præsenti procedere cessarent? At contrà, si officiosè susciperent solenniter venientes, auferri Floro occasionem pugnæ: ipsos verò saluare patriam suam, & prouidere ne quid vltra quàm pertulerant, experirentur. His addunt, quòd paucis seditiosis si tanta multitudo iungatur, hoc magis ad pacificum consilium suam deberent autoritatem transferre. Tali hortatu multitudinem inflectentes, etiam ipsos seditionis autores quosdam quidem minis, quosdam autem sui reuerentia mitigauerunt: ac deinceps præcedentes cum quiete omni populo sequente, militibus obuiam prodierunt. Iámque cominus factos salutauerunt: illis autem nihil respondentibus, seditiosi Iudæorum aduersùm Florum, cuius hæc fierent consiliis, succlamauerunt. confestímque milites comprehendentes eos, cædere fustibus adorti sunt: atque in fugam versos persequentes equites proculcabant. Corruebant autem multi quidem cùm à Romanis cæderentur, plures autem cùm se mutuò propellerent. In ipsis autem portis grauis facta est compressio, & vno quoque alterum præuenire cupiente tardior fuga cunctis fiebat. Collabentium verò durus erat interitus. Suffocatu enim atque conculcatu miseri disperibant, & neque ad sepulturam quisquam proximis suis cognoscendus remanebat. Irruebant autem etiam pariter milites immoderatè, eos quos comprehendissent cædentes: & per ingressum qui Bezetha vocatur detrudebant multitudinem, transire cupientes vt Antoniam & templum obtinerent. Quos etiam Florus consecutus, eduxit de regia eos qui secum erant, & in arcem transire nitebatur. Frustratus tamen est eius impetus. Conuersus quippe aduersùm eos populus repugnauit, & per tecta euadentes obruebant saxis Romanos. Qui cùm supernè venientibus sagittis vincerentur, nec possent defendere multitudinem quæ per angustos arctabatur ingressus, ad reliquum se exercitum qui erat in regia receperunt. Seditiosi autem verentes, ne superueniens denuò Florus templum occuparet, per Antoniam ex templo ascendentes, porticus à templo ad Antoniam continentes interciderunt, quatenus auaritiam Flori desperatione compescerent. Nam cùm diuinis inhiaret thesauris, próque his in Antoniam transgredi niteretur, vbi intercisas porticus vidit,

A τούτοις τὸ στασιῶδες ἠπειθεῖ, καὶ διὰ τοὺς ἀπολωλότας τὸ πλῆθος ἔρρεπε πρὸς τοὺς θρασυτέρους. ἔνθα δὴ πᾶς μὲν ἱερεὺς, πᾶς δὲ ὑπηρέτης τοῦ θεοῦ, τὰ ἅγια σκεύη προκομίσαντες, καὶ τὸν κόσμον ἐν ᾧ λειτουργεῖν ἔθος ἦν αὐτοῖς ἀναλαβόντες, κιθαρισταί τε καὶ ὑμνῳδοὶ μετὰ τῶν ὀργάνων προσπίπτοντες, κατηντιβόλουν φυλάξαι τὸν ἱερὸν κόσμον αὐτοῖς, καὶ μὴ πρὸς ἁρπαγὴν τῶν θείων κειμηλίων ῥωμαίους ἐρεθίσαι. τοὺς δὲ ἀρχιερεῖς αὐτοὺς ἦν ἰδεῖν καταμωμένους
B μὲν τῆς κεφαλῆς κόνιν, γυμνοὺς δὲ τὰ στέρνα τῶν ἐσθήτων περιερρηγμένων. ὀνομαστὶ δὲ ἕκαστον τῶν γνωρίμων καὶ κοινῇ τὸ πλῆθος ἱκέτευον, μὴ δι' ἐλαχίστης πλημμελείας, προδοῦναι τὴν πατρίδα τοῖς ἐπιθυμοῦσι πορθῆσαι. τίνα γὰρ ἢ στρατιώταις φέρειν ὠφέλειαν τὸν ἀπὸ ἰουδαίων ἀσπασμὸν, ἢ διόρθωσιν αὐτοῖς τῶν συμβεβηκότων, τὸ μὴ νῦν προελθεῖν. εἰ δὲ δὴ δεξιώσαιντο τοὺς προσιόντας ὡς ἔθος, φλώ-
C ρου μὲν ἀποκοπήσεσθαι τὴν ἀφορμὴν τοῦ πολέμου, κερδήσειν δὲ αὐτοὺς τὴν πατρίδα, καὶ τὸ μηδὲν παθεῖν πλέον. ἄλλως τε, καὶ τὸ πείθεσθαι στασιάζουσιν ὀλίγοις, δέον αὐτοὺς δῆμον ὄντας τοσοῦτον, συναναγκάζειν κἀκείνους συγγνωμονεῖν, δεινῆς ἀσαφείας εἶναι. τούτοις μειλισσόμενοι τὸ πλῆθος, ἅμα καὶ τῶν στασιαστῶν, οὓς μὲν ἀπειλαῖς, οὓς δὲ αἰδοῖ κατέστειλαν. ἔπειτα ἐξηγούμενοι, μεθ' ἡσυχίας τε καὶ κόσμου τοῖς
D στρατιώταις ὑπήντων, καὶ πλησίον γενομένους ἠσπάσαντο. τῶν δὲ μηδὲν ἀποκριναμένων, οἱ στασιασταὶ φλώρου κατεβόων. τοῦτο δὲ ἦν σύνθημα κατ' αὐτῶν δεδομένον. αὐτίκα γοῦν οἱ στρατιῶται, περισχόντες αὐτοὺς, ἔπαιον ξύλοις, καὶ φεύγοντας οἱ ἱππεῖς καταδιώκοντες, συνεπάτουν. ἔπιπτον δὲ πολλοὶ μὲν ὑπὸ ῥωμαίων τυπτόμενοι, πλείους δὲ ὑπ' ἀλλήλων βιαζόμενοι. δεινὸς δὲ περὶ τὰς πύλας ὠθισμὸς ἦν. καὶ φθάνειν ἑκάστου προσδόντος, βραδυτέρα μὲν ἡ φυγὴ πᾶσιν
E ἐγίνετο, τῶν δὲ σφαλέντων ἀπώλεια δεινή. πνιγόμενοι γὰρ καὶ κλώμενοι πλήθει τῶν ἐπιβαινόντων ἠφανίζοντο, καὶ οὐδὲ πρὸς ταφήν τις γνώριμος τοῖς ἰδίοις κατελείπετο. συνέπιπτον δὲ καὶ στρατιῶται παίοντες ἀναιδῶς τοὺς καταλαμβανομένους, καὶ διὰ τῆς βεζεθὰ καλουμένης, ἀνώθουν τὸ πλῆθος, βιαζόμενοι παρελθεῖν καὶ κρατῆσαι τοῦ τε ἱεροῦ καὶ τῆς ἀντωνίας. ὧν καὶ φλῶρος ἐφιέμενος, ἐξήγαγεν ἐκ τῆς βασιλικῆς αὐλῆς τοὺς σὺν
F αὐτῷ, καὶ πρὸς τὸ φρούριον ἐλθεῖν ἠγωνίζετο. διήμαρτέ γε μὴν τῆς ἐπιβολῆς. ὁ γὰρ δῆμος ἄντικρυς ἐπιστραφεὶς, εἶργε τὴν ὁρμὴν, καὶ διαστάντες ἐπὶ τῶν τεγῶν, τοὺς ῥωμαίους ἔβαλλον. καταπονούμενοι δὲ τοῖς ὕπερθε βέλεσι, καὶ διακόψαι τὸ τοὺς στενωποὺς ἐμφράξαν πλῆθος ἀσθενήσαντες, ἀνεχώρουν εἰς τὸ πρὸς τοῖς βασιλείοις στρατόπεδον. οἱ δὲ στασιασταὶ δείσαντες μὴ πάλιν ἐπελθὼν ὁ φλῶρος κρατήσῃ τοῦ ἱεροῦ διὰ τῆς ἀντωνίας, ἀναβάντες εὐθέως τὰς συνε-
G χεῖς στοὰς τοῦ ἱεροῦ πρὸς τὴν ἀντωνίαν διέκοψαν. τοῦτο ἔψυξε τὴν φλώρου πλεονεξίαν. τῶν γὰρ τοῦ θεοῦ θησαυρῶν ἐφιέμενος, καὶ διὰ τοῦτο παρελθεῖν ἐπιθυμῶν εἰς τὴν ἀντωνίαν, ὡς ἀπερράγησαν αἱ στοαί,

τὴν

αἱ ἐπιμιξίαι πρὸς τοὺς ὁμοίους ἀπηνεῖς ὡς πρὸς ἀλλοτρίους. τοιαῦτα μὲν περὶ τῶν ἐν Ἰουδαίοις φιλοσοφούντων εἶχον εἰπεῖν.

Κεφ. ιγ'.

Τῆς δ' Ἀρχελάου ἐθναρχίας μεταπεσούσης εἰς ἐπαρχίαν, οἱ λοιποί, Φίλιππός τε καὶ Ἡρώδης ὁ κληθεὶς Ἀντίπας, διῴκουν τὰς ἑαυτῶν τετραρχίας. Σαλώμη γὰρ τελευτῶσα, Ἰουλίᾳ τῇ τοῦ Σεβαστοῦ γυναικὶ τήν τε αὐτῆς τοπαρχίαν καὶ Ἰάμνειαν, καὶ τοὺς ἐν Φασαηλίδι φοινικῶνας κατέλιπεν. μεταβάσης δὲ εἰς Τιβέριον τὸν Ἰουλίας υἱὸν τῆς Ῥωμαίων ἡγεμονίας, μετὰ τὴν Αὐγούστου τελευτήν, ἀφηγησαμένου τῶν πραγμάτων ἔτεσιν ἑπτὰ καὶ πεντήκοντα, πρὸς δὲ μησὶν ἓξ καὶ ἡμέραις δυεῖν, διαμείναντες ἐν ταῖς τετραρχίαις, ὅτε Ἡρώδης καὶ Φίλιππος, ὁ μὲν πρὸς ταῖς Ἰορδάνου πηγαῖς ἐν Πανεάδι πόλιν κτίζει Καισάρειαν, κἀν τῇ κάτω Γαυλανιτικῇ Ἰουλιάδα. Ἡρώδης δὲ ἐν μὲν τῇ Γαλιλαίᾳ, Τιβεριάδα. ἐν δὲ τῇ Περαίᾳ, φερώνυμον Ἰουλίας.

Κεφ. ιδ'.

Πεμφθεὶς δὲ εἰς Ἰουδαίαν ἐπίτροπος ὑπὸ Τιβερίου Πιλᾶτος, νύκτωρ κεκαλυμμένας εἰς Ἱεροσόλυμα παρεισκομίζει τὰς Καίσαρος εἰκόνας, σημαῖαι καλοῦνται. τοῦτο μεθ' ἡμέραν μεγίστην ταραχὴν ἤγειρεν Ἰουδαίων. οἵ τε γὰρ ἐγγὺς πρὸς τὴν ὄψιν ἐξεπλάγησαν, ὡς πεπατημένων αὐτοῖς τῶν νόμων. οὐδὲν γὰρ ἀξιοῦσιν ἐν τῇ πόλει δείκηλον τίθεσθαι. καὶ πρὸς τὴν ἀγανάκτησιν τῶν κατὰ τὴν πόλιν ἀθρόος ὁ ἐκ τῆς χώρας λαὸς συνέρρευσεν. ὁρμήσαντες δὲ πρὸς τὸν Πιλᾶτον εἰς Καισάρειαν, ἱκέτευον ἐξενεγκεῖν Ἱεροσολύμων τὰς σημαίας, καὶ τηρεῖν αὐτοῖς τὰ πάτρια. Πιλάτου δ' ἀρνουμένου περὶ τὴν ἱκεσίαν, πρηνεῖς καταπεσόντες ἐπὶ πέντε ἡμέρας καὶ νύκτας ἴσας, ἀκίνητοι διεκαρτέρουν. τῇ δ' ἑξῆς ὁ Πιλᾶτος καθίσας ἐπὶ βήματος ἐν τῷ μεγάλῳ σταδίῳ, καὶ προσκαλεσάμενος τὸ πλῆθος, ὡς ἀποκρίνεσθαι δῆθεν αὐτοῖς θέλων, δίδωσι τοῖς στρατιώταις σημεῖον, ἐκ συντάγματος κυκλώσασθαι τοὺς Ἰουδαίους τοῖς ὅπλοις. περιστάσης δὲ τριστοιχεὶ τῆς φάλαγγος, οἱ Ἰουδαῖοι μὲν ἀχανεῖς ἦσαν, πρὸς τὸ ἀδόκητον τῆς ὄψεως. Πιλᾶτος δὲ κατακόψειν εἰπὼν αὐτούς, εἰ μὴ προσδέξαιντο τὰς Καίσαρος εἰκόνας, γυμνοῦν τὰ ξίφη τοῖς στρατιώταις ἔνευσεν. οἱ δὲ Ἰουδαῖοι καθάπερ ἐκ συνθήματος ἀθρόοι καταπεσόντες, καὶ τοὺς αὐχένας παρακλίναντες, ἑτοίμους εἰς ἀναίρεσιν σφᾶς ἐβόων μᾶλλον, ἢ τὸν νόμον παραβῆναι. ὑπερθαυμάσας δ' ὁ Πιλᾶτος τὸ τῆς δεισιδαιμονίας ἄκρατον, ἐκκομίσαι μὲν αὐτίκα τὰς σημαίας Ἱεροσολύμων κελεύει. μετὰ δὲ ταῦτα, ταραχὴν ἑτέραν ἐκίνει, τὸν ἱερὸν θησαυρόν, καλεῖται δὲ κορβωνᾶς, εἰς καταγωγὴν ὑδάτων ἐξαναλίσκων. κατῆγε δὲ ἀπὸ τετρακοσίων σταδίων. πρὸς τοῦτο τοῦ πλήθους ἀγανάκτησις ἦν, καὶ τοῦ Πιλάτου παρόντος εἰς Ἱεροσόλυμα, περιστάντες τὸ βῆμα κατεβόων. ὁ δέ, προῄδει γὰρ αὐτῶν τὴν ταραχήν, καὶ τῷ πλήθει τοὺς στρατιώτας ἐνόπλους ἐσθῆσιν ἰδιωτικαῖς κεκαλυμμένους ἐγκαταμίξας καὶ ξίφει μὲν χρήσασθαι κωλύσας, ξύλοις δὲ παίειν τοὺς κεκραγότας ἐγκελευσάμενος, σύνθημα δίδωσιν ἀπὸ τοῦ βήματος. τυπτόμενοι δ' οἱ Ἰουδαῖοι, πολλοὶ μὲν ὑπὸ τῶν πληγῶν, πολλοὶ δ' ὑπὸ σφῶν αὐτῶν ἐν τῇ φυγῇ καταπατηθέντες ἀπώλοντο.

& conuersatio eorum circa exteros inhumana. Hæc sunt quæ de Iudæorum philosophis dicenda reperi: nunc ad inceptum reuertor.

CAP. VIII. De Pilati regimine. *Ant. li. 18. cap 5.*

Archelai ethnarchia in prouinciam redacta, reliqui, id est, Philippus & Herodes, qui cognominabatur Antipas, tetrarchias suas regebant. Salome enim moriens Iuliæ Augusti coniugi toparchiam quam rexerat, & Iamniam, & in Phasaelide palmeta testamento reliquit. Delato autem ad Tiberium Iuliæ filium Romano imperio, post mortem scilicet Augusti, qui præfuit rebus annis septem & quinquaginta, mensibus sex, diebus duobus, manentes in tetrarchiis suis Herodes ac Philippus: hic quidem iuxta fontes ipsos, è quibus Iordanis flumen exoritur, in Paneade condidit ciuitatem, quam Cæsaream vocitauit: aliámque in inferiore Gaulanitide, quam Iuliadem nominauit. Herodes verò in Galilæa Tiberiadem, in Peræa autem cognominem Iuliæ.

Ant. li. 18. cap. 7.

Missus autem à Tiberio in Iudæam Pilatus, cùm curandam accepisset regionem, nocte intempesta opertas in Hierosolymam intulit imagines Cæsaris, quæ res post triduum ingentem inter Iudæos suscitauit tumultum: nam qui aderant stupore permoti sunt, quasi iam profanatas leges suas viderent. Nullum enim fas esse collocari in vrbe simulacrum. Ad querelam autem eorum qui in ciuitate erant, subitò etiam ex agris multitudo confluxit. Euntes autem ilico Cæsaream ad Pilatum, intentissimè deprecabantur, vt ab Hierosolymis auferrentur imagines, & eis iura patria seruarentur. Pilato autem supplicantibus abnuente, circa domum eius proni corruerunt: & immobiles quinque diebus continuis noctibúsque mansêre. Pòst autem Pilatus tribunal ascendens, studio magno conuocat multitudinem Iudæorum, quasi qui eis vellet dare responsum: cùm subitò milites accepto signo (sic enim iam fuerat præparatum) armati circunsteterunt Iudæos: circundatáque triplici acie, Iudæi quidem stuporis erant pleni, videntes insperatam rerum faciem. Tunc Pilatus denuncians trucidaturum se omnes, nisi imagines Cæsaris susciperent, annuit militibus vt educerent gladios. Iudæi autem quasi vno consilio omnes subitò corruerunt, & ceruices nudatas excipiendis ictibus pararunt, vociferantes vniuersos se interfici magis velle quàm legem profanari. Tunc Pilatus circa religionem studium populi demiratus, confestim de Hierosolymis statuas iussit auferri. Deinde verò conturbationem alteram commouebat: Est apud eos sacer thesaurus quem Corban dicunt, hunc ad inductionem aquarum iussit expendere, erat autem inducenda aqua ab stadiis trecentis. ob hoc itaque vulgi oriebantur querelæ: ita vt etiam Pilati qui Hierosolymam venerat, cum clamore circumdarent tribunal. Ille autem præuiderat tumultum eorum: siquidem populo permiscuit armatos milites, qui tunc essent priuatorum vestibus induti: præcepítque vt gladiis quidem non vterentur, fustibus autem acclamantes ferirent. Sicque compositis rebus, dat ex tribunali signum, confestímque cædebantur Iudæi: quorum multi quidem plagis, multi verò se inuicem conculcantes, in fuga misera contritione perierunt.

Tunc ad calamitatem interfectorum stupens multitudo conticuit: atque ob hoc accusator Herodis tetrarchæ Agrippa, qui fuit filius Aristobuli, quem pater Herodes interfecit, ad Tiberium venit. Illo autem non suscipiente accusationem, residens Romæ & reliquorum quidem potentium notitias ambiebat: maximis autem colebat officiis Germanici filium Caiũ, cùm adhuc esset priuatus. Et quodam die inter copiosum epularum apparatum, quibus eum demerebatur, ad vltimum extensis manibus, apertè Deum cœpit precari, celeriter illum mortuo Tiberio dominum cunctorum videre. Hoc cùm quidam è familiaribus eius Tiberio nunciasset, statim concludi iussit Agrippam, qui sub grandi ærumna, vsque ad mortem Tiberij, in carcere per menses sex tenebatur. Sed defuncto eo, post regnum annorum duorum & viginti, sex mensium, trium dierum, succedens in imperium C. Cæsar absoluit Agrippam vinculis, & tetrarchiam Philippi (iam enim is decesserat) ei tradidit, regémque appellauit. Cùm venisset autem in regnum Agrippa, Herodis tetrarchæ cupiditates per inuidiam suscitauit. Irritabat autem eum maximè in spem regni Herodias vxor, exprobrans ei socordiam, & dicens, quia per id quòd noluerat ad Cæsarem nauigare, careret potestate maiore. nam cùm Agrippam ex priuato regem fecisset, quomodo dubitaret illum ex tetrarcha eodem honore donare? His adductus Herodes, venit ad Caium, à quo ob auaritiam vehementer increpitus, ad Hispaniam fugit: secutus eum quippe fuerat accusator Agrippa, cui etiam tetrarchiam illius C. Cæsar adiecit. Atque ita Herodes quidem in Hispania, peregrinante secum etiam vxore, decessit.

Ant. li.15. cap.14.

CAP. IX. De superbia Caij, & Petronio præside.

Caius verò Cæsar in tantum contumeliosè abusus est fortuna, vt etiam & Deum se putaret, & vellet vocari. Patriam quoque suam multorum nobilium cæde truncauit. Extendit autem impietatem suam etiam in Iudæam: Petronium denique cum exercitu Hierosolymam misit, præcipiens vt in templo statuas eius locaret: quas nisi susciperent Iudæi, contradicentes quidem ex his interficeret, reliquam verò multitudinem captiuaret. Permouebat autem hoc profectò Deum. Et Petronius quidem cum tribus legionibus, multisque è Syria auxiliaribus properabat in Iudæam ex Antiochia. Iudæorum verò quidam non credebant famæ bellum nuntianti. qui verò credebant, nihil de resistendo poterant comminisci. Celeriter autem in omnes peruadit metus, nam iam Ptolemaidem peruenerat exercitus. Est autem hæc ciuitas Galilææ littore in magno campo sita: circundatur autem montibus ab Orientali plaga per sexaginta stadia disparatis, sed ad Galilæam pertinentibus: à meridiana autem Carmelo, qui abest stadiis centum viginti: à Septentrionali quoque monte qui est altissimus, quem vocant incolæ Scalam Tyriorum: & hic autem distat stadiis centum. Ab ea autem vrbe distans duobus stadiis præterlabitur fluuius, què vocant Beleum, exiguus prorsus: cui prope est sepulcrum Memnonis, habens iuxta se

Ant. li.15. cap.15.

πρὸς δὲ τὴν συμφορὰν τῶν ἀνῃρημένων καταπλαγὲν τὸ πλῆθος, ἐσιώπησε.

Κεφ. ιε.

Κἀν τούτῳ κατήγορος ἡρώδου τοῦ τετραρχοῦντος ἀγρίππας υἱὸς ἀριστοβούλου, ὃν ὁ πατὴρ ἡρώδης ἀπέκτεινε, παραγίνεται πρὸς τιβέριον. τοῦ δὲ μὴ προσδεξαμένου τὴν κατηγορίαν, μένων ἐπὶ ῥώμης, τούς τε ἄλλους τῶν γνωρίμων ἐθεράπευε, καὶ μάλιστα τὸν γερμανικοῦ παῖδα γάϊον, ἰδιώτην ἔτι ὄντα. καὶ δή ποτε ἑστιῶν αὐτὸν, τά τε ἄλλα ποικίλως ἐφιλοφρονεῖτο, καὶ τελευταῖον τὰς χεῖρας ἀνατείνας φανερῶς, ηὔξατο θᾶττον αὐτὸν θεάσασθαι τῶν ὅλων δεσπότην, ἀποθανόντος τιβερίου. τοῦτό τις τῶν οἰκετῶν αὐτοῦ διαγγέλλει τιβερίῳ, καὶ ὃς ἀγανακτήσας, εἵργνυσι τὸν ἀγρίππαν, καὶ μετ᾽ αἰκίας εἶχεν ἐπὶ μῆνας ἓξ ἐν δεσμωτηρίῳ, μέχρις αὐτὸς ἐτελεύτησεν ἡγεμονεύσας ἔτη δύο πρὸς τοῖς εἴκοσι, καὶ τρεῖς ἡμέρας ἐπὶ μησὶν ἕξ.

Κεφ. ις.

Ἀποδειχθεὶς δὲ γάϊος καῖσαρ, ἀνίησί τε τῶν δεσμῶν τὸν ἀγρίππαν, καὶ τῆς φιλίππου τετραρχίας, τεθνήκει γὰρ οὗτος, καθίστησι βασιλέα. παραγενόμενος δὲ εἰς τὴν ἀρχὴν ἀγρίππας, φθόνῳ τὰς ἡρώδου τοῦ τετράρχου διήγειρεν ἐπιθυμίας. ἐνῆγε δὲ μάλιστα τοῦτον εἰς ἐλπίδα βασιλείας, ἡρωδιὰς ἡ γυνὴ, κατονειδίζουσα τὴν ἀργίαν, καὶ φαμένη παρὰ τὸ μὴ βούλεσθαι πλεῖν ἐπὶ καίσαρα, στερίσκεσθαι μείζονος ἀρχῆς. ὅπου γὰρ ἀγρίππαν ἐξ ἰδιώτου βασιλέα πεποίηκεν, ἦπου γε ἂν ἐκεῖνον διαναστήσειεν ἐκ τετράρχου. τούτοις ἀναπεισθεὶς ἡρώδης, ἧκε πρὸς γάϊον, ὑφ᾽ οὗ τῆς πλεονεξίας ἐπιτιμᾶται φυγῇ εἰς ἱσπανίαν. ἠκολούθησε γὰρ αὐτῷ κατήγορος ἀγρίππας, ᾧ καὶ τὴν τετραρχίαν τὴν ἐκείνου προσέθηκε γάϊος. καὶ ἡρώδης μὲν, ἐν ἱσπανίᾳ συμφυγούσης αὐτῷ καὶ τῆς γυναικὸς τελευτᾷ.

Κεφ. ιζ.

Γάϊος δὲ καῖσαρ ἐπὶ τοσοῦτον ἐξύβρισεν εἰς τὴν τύχην, ὥστε θεὸν μὲν αὑτὸν καὶ δοκεῖν, καὶ βούλεσθαι καὶ καλεῖσθαι, τῶν τε εὐγενεστάτων ἀνδρῶν ἀκροτομῆσαι τὴν πατρίδα. ἐκτεῖναι δὲ τὴν ἀσέβειαν, καὶ ἐπὶ ἰουδαίους. πετρώνιον γοῦν μετὰ στρατιᾶς ἐπὶ ἱεροσολύμων ἔπεμψεν ἐγκαθιδρύσοντα τῷ ναῷ τοὺς ἀνδριάντας αὐτοῦ, προστάξας εἰ μὴ δέξοιντο ἰουδαῖοι, τούς τε κωλύοντας ἀνελεῖν, καὶ πᾶν τὸ λοιπὸν ἔθνος ἐξανδραποδίσασθαι. θεῷ δὲ ἄρα τῶν προσταγμάτων ἔμελλε. καὶ πετρώνιος μὲν σὺν τρισὶ τάγμασι καὶ πολλοῖς ἐκ τῆς συρίας συμμάχοις, εἰς τὴν ἰουδαίαν ἤλαυνεν ἐκ τῆς ἀντιοχείας. ἰουδαίων δὲ, οἱ μὲν ἠπίστουν ἔτι ταῖς τοῦ πολέμου φήμαις, οἱ δὲ πιστεύοντες ἦσαν ἐν ἀμηχάνῳ πρὸς τὴν ἄμυναν. ταχὺ δὲ ἐχώρει διὰ πάντων τὸ δέος. ἤδη γὰρ οὔσης εἰς τὴν πτολεμαΐδα τῆς στρατιᾶς, πρόσεστι δ᾽ ἡ πόλις αὕτη τῆς γαλιλαίας παράλιος κατὰ τὸ μέγα πεδίον ἐκτισμένη, περιέχεται δὲ ὄρεσιν, ἐκ μὲν τοῦ πρὸς ἀνατολὴν κλίματος ἀπὸ σταδίων ἑξήκοντα, τῷ τῆς γαλιλαίας. ἀπὸ δὲ τοῦ μεσημβρινοῦ, τῷ καρμήλῳ διέχοντι σταδίους ἑκατὸν εἴκοσι. τῷ δὲ ὑψηλοτάτῳ, κατ᾽ ἄρκτον ὃ καλοῦσι κλίμακα τυρίων οἱ ἐπιχώριοι, καὶ τοῦτο δὲ σταδίους ἀφέστηκεν ἑκατόν. τοῦ δὲ ἄστεως ἀπὸ δύο σταδίων ὁ καλούμενος βήλεος ποταμὸς παραρρεῖ παντάπασιν ὀλίγος, παρ᾽ ᾧ τὸ μέμνονος μνημεῖόν ἐστιν, ἔχον ἐγγὺς αὐτοῦ τόπον

τόπον ἑκατοντάπηχυν θαύματος ἄξιον. κυκλοτερὴς μὲν γάρ ἐστι, καὶ κοῖλος, ἀναδίδωσι δὲ τὴν ὑαλίνην ψάμμον, ἣν ὅταν ἐκκενώσῃ πολλὰ πλοῖα προσχόντα, πάλιν ἀναπληροῦται τὸ χωρίον, κατασυρόντων μὲν ὥσπερ ἐπίτηδες τότε τῶν ἀνέμων εἰς αὐτὸ, τὴν ἔξωθεν ἀργὴν ψάμμον, τοῦ δὲ μετάλλου πᾶσαν εὐθέως μεταβάλλοντος εἰς ὕαλον, θαυμασιώτερον τοῦτό μοι δοκεῖν, τὸ τὴν ὑπερχυθεῖσαν ὕαλον ἐκ τοῦ τόπου πάλιν γίνεσθαι ψάμμον εἰκαίαν. τὸ μὲν οὖν χωρίον τοῦτο, τοιαύτην εἴληφε φύσιν. ἰουδαῖοι δὲ μετὰ γυναικῶν καὶ τέκνων ἀθροισθέντες εἰς τὸ πεδίον τὸ πρὸς πτολεμαΐδα, καθικέτευον τὸν πετρώνιον, ὑπὲρ τῶν πατρίων νόμων πρῶτον, ἔπειτα ὑπὲρ ἑαυτῶν. ὁ δὲ πρός τε τὸ πλῆθος, καὶ τὰς δεήσεις ἐνδοὺς, τὴν μὲν στρατιὰν, καὶ τοὺς ἀνδριάντας, ἐν πτολεμαΐδι καταλείπει. προελθὼν δὲ εἰς τὴν γαλιλαίαν, καὶ συγκαλέσας τὸ πλῆθος, καὶ τοὺς γνωρίμους πάντας εἰς τὴν τιβεριάδα, τήν τε ῥωμαίων διεξῄει δύναμιν, καὶ τὰς καίσαρος ἀπειλὰς, ἔτι δὲ καὶ τὴν ἀξίωσιν ἀπέφαινεν ἀγνώμονα. πάντων γὰρ τῶν ὑποτεταγμένων ἐθνῶν, κατὰ πόλιν συγκαθιδρυκότων τοῖς ἄλλοις θεοῖς καὶ τὰς καίσαρος εἰκόνας, τὸ μόνους ἐκείνους ἀντιτάσσεσθαι πρὸς τοῦτο, σχεδὸν ἀφισταμένων εἶναι καὶ μεθ' ὕβρεως. τῶν δὲ τὸν νόμον, καὶ τὸ πάτριον ἔθος προτεινομένων, καὶ ὡς οὐδὲ θεοῦ τι δείκηλον, οὐχ ὅπως ἀνδρὸς, οὐ κατὰ τὸν ναὸν μόνον, ἀλλ' οὐδὲ ἐν εἰκαίῳ τινὶ τόπῳ τῆς χώρας θέσθαι θεμιτὸν εἴη, ὑπολαβὼν ὁ πετρώνιος, ἀλλὰ μὴν κἀμοὶ φυλακτέος ὁ τοὐμοῦ δεσπότου νόμος ἔφη. παραβὰς γὰρ αὐτὸν, καὶ φεισάμενος ὑμῶν, ἀπολοῦμαι δικαίως. πολεμήσει δὲ ὑμᾶς ὁ πέμψας ἐμὲ, οὐκ ἐγώ. καὶ γὰρ αὐτὸς ὥσπερ ὑμεῖς ἐπιτάσσομαι. πρὸς ταῦτα τὸ πλῆθος πᾶν ἐβόα, πρὸ τοῦ νόμου πάσχειν ἑτοίμως ἔχειν. καταστείλας δὲ ὁ πετρώνιος αὐτῶν τὴν βοὴν, πολεμήσετε εἶπεν ἄρα καίσαρι; καὶ ἰουδαῖοι, περὶ μὲν καίσαρος, καὶ τοῦ δήμου τῶν ῥωμαίων, δὶς τῆς ἡμέρας θύειν ἔφασαν. εἰ δὲ βούλεται τὰς εἰκόνας ἐγκαθιδρύειν, πρότερον αὐτὸν δεῖν ἅπαν τὸ ἰουδαίων ἔθνος προθύσασθαι. παρέχειν δὲ σφᾶς αὐτοὺς ἑτοίμους εἰς σφαγὴν, ἅμα τέκνοις καὶ γυναιξίν. ἐπὶ τούτοις θαῦμα καὶ οἶκτος εἰσῄει τὸν πετρώνιον, τῆς τε ἀνυπερβλήτου θρησκείας τῶν ἀνδρῶν, καὶ τοῦ πρὸς θάνατον ἑτοίμου παραστήματος. καὶ τότε μὲν ἄπρακτοι διελύθησαν. ταῖς δὲ ἑξῆς, ἀθροίσας τε τοὺς δυνατοὺς κατ' ἰδίαν, καὶ τὸ πλῆθος ἐν κοινῷ συλλέγων, ποτὲ μὲν παρεκάλει, ποτὲ δὲ συνεβούλευεν. τὸ μέντοι πλέον διηπείλει, τήν τε ῥωμαίων ἐπανατεινόμενος ἰσχὺν, καὶ τοὺς γαΐου θυμοὺς, τήν τε ἰδίαν πρὸς τούτοις ἀνάγκην. πρὸς δὲ μηδεμίαν πεῖραν ἐνδιδόντων, ὡς ἑώρα καὶ τὴν χώραν κινδυνεύουσαν ἄσπορον μεῖναι, κατὰ γὰρ ὥραν σπόρου πεντήκοντα ἡμέρας ἀργὰς διέτριβεν αὐτῶν τὰ πλήθη, τελευταῖον ἀθροίσας αὐτοὺς καὶ παρακινδυνευτέον ἐμοὶ μᾶλλον εἰπών; ἢ γὰρ τοῦ θεοῦ συνεργοῦντος

A centum ferè cubitorum ſpacium, ſed admiratione digniſſimum. Eſt enim ſpecie vallis rotundæ, vitream emittens arenam: quam cùm exhauſerint multæ naues, pariter accedentes, locus idem rurſus impletur. Venti ſiquidem quaſi dedita opera, conuehunt illuc de circunſtantibus ſuperciliis arenam iſtam, vtique communem. locus autem metalli, ſtatim in vitrum quod ſuſceperit mutat. Mirabilius quoque mihi illud videtur, quod iam conuerſæ a-
B renæ in vitrum, quæcunque pars ſuper margines loci ipſius fuerit iacta, in vulgarem arenam denuo conuertitur. Igitur loci quidem illius natura talis eſt. Iudæi autem cum mulieribus & filiis collecti in campum, in quo eſt ſita Ptolemæis, Petronio ſupplicabant, principio ob patrias leges, deinceps verò etiam pro ſuo ſtatu. Ille autem ob multitudinem precantium, & precum inflexus, exercitum quidem & ſtatuas in Ptolemaide reliquit:
C procedens autem in Galilæam, & conuocans in Tiberiadem tam populum Iudæorum quàm omnes eorum nobiles, & vim Romani exercitus cœpit exponere, & minas Cæſaris: his addens, quòd & contumelioſa eſſet ſupplicatio Iudæorum: cùm omnes ſiquidem gentes quæ parerent imperio Romano, in ſuis vrbibus inter reliquos deos, imagines quoque Cæſaris locauiſſent,
D ſoli Iudæi iſtud abnuerent. hoc ſiquidem quaſi ab imperio deficere eſſet: etiam cum iniuria præſidentis. Illis verò contra hæc legem moréſque patrios allegantibus: & quia ne Dei quidem ſimulacrum, nedum hominis, nec ſolùm in templo, ſed neque in profano aliquo totius regionis loco fas ſibi eſſet locare: arripiens dictum Petronius, reſpondit: Sed & mihi mei domini lex ſeruãda eſt. ſi eam quippe tranſgrediar, vobiſque parcam, iuſtè animaduerſionem ſubibo. Impugnabit ſa-
E nè vos non Petronius, ſed ille à quo ſum miſſus, nam & ipſe æquè ac vos cogor implere quæ iuſſa ſunt. Ad hæc tota multitudo vnanimiter ſucclamauit, ante legis temerationem omnem ſe libenter ſubire perniciem. Sedato autem eorum clamore Petronius ait: Pugnare ergo aduerſus Cæſarem eſtis parati? Reſponderunt Iudæi, pro Cæſare quidem & populo Romano ſe per dies ſingulos offerre ſacrificia: ſi autem in templo imagines æſtimet colloca-
F das, debere eum totam Iudæorum gentem prius immolare: præbere ſe quippe iugulos cum mulieribus & paruulis ei, qui interficere voluiſſet. Ad hæc admiratio Petronium miſeratióque perſuaſit, intuentem & inſuperabilem religionem virorum, & tantum vulgus ad mortem conſtanter paratum. Et tunc quidem infectis omnibus receſſerunt. Poſtridie autem ac deinceps ſummates eorum priuatim viritimque compellans, populum quo-
G que publicè alloquens, nunc quaſi conſulens admonebat, interdum etiam minabatur, extollens & virtutem Romanam & indignationem Cæſaris: inter hæc etiam ſuam neceſſitatem, cui eſſent exequenda præcepta. Sed illis ad nulla horum experimenta cedentibus, cùm videret etiam ſementem regionis intercipi (ipſum quidem anni tempus erat, & quinquaginta penè continuis diebus multitudo in vrbe otioſa morabatur) ad vltimũ cõuocatis omnib. ait ſibimet pericuIoſã rem ſe velle aggredi. Aut enim, inquit, Deo cooperãte

placabo Cęsarem,ac vobiscum saluabor libenter: aut illo in vltionem irritato,pro tanta multitudine impendam animam meam. Atque ita dimissis turbis,multa pro eo vota facientibus, Antiochiam ab Ptolemaide reuocauit exercitum:atque illinc confestim misit ad Cæsarem, referens & quo apparatu in Iudæam irruisset, & quòd tota gens supplicasset: quibus si abnuendum putaret,nosset cum viris etiam prouinciam esse perdendā. Seruare siquidem ipsos legem patriam: & nouis præceptis vehementer obsistere. His epistolis respondit Caius immodicè,comminans Petronio mortem, quoniam iussionum suarum segnis executor fuisset. Sed scriptorum talium vectores per tres continuos menses contigit aduersa tempestate retineri:alij autem exitium C. Cæsaris nunciātes,prosperè nauigauerunt:denique ante septē & viginti dies epistolas Petronius accepit,finē Cæsaris indicantes,quàm illi peruenirent, qui comminantia scripta portabant.

Cap.X. De imperio Claudij & regno Agrippæ ac morte. Ant.li.19. cap.3.

CAio per dolum interempto,qui regnauerat annis tribus, mensibus sex, rapitur in regnum ab eo exercitu, qui Romæ erat, Claudius. Senatus autem, referentibus consulibus Sētio Saturnino & Pomponio Secundo, mandat tribus cohortibus vrbanis, vt essent præsidio ciuitati, & ipse frequens in Capitolium conuenit:& propter immanitatem Caij,bellum agi cum Claudio decernebat, volens imperium ad optimates reducere: vt sicut olim ad regendum dignissimi eligerentur. Accidit interim, vt Agrippa adueniret:

Ant.li.19. cap.4.

quem cùm & senatus in concilium, in castra Claudius euocasset,vt scilicet eo strenuo adiutore vteretur in quibus res posceret, videns Agrippa Claudium iam esse opibus Cæsarem, ad eum perrexit:quem ille ilico legatum ad senatum misit, indicantem suum propositum, quoniam primò quidem inuitus ab exercitu raptus sit, & iniquum esse,si militum erga se studia tam religiosa desereret,imò tutam aliter suam non esse fortunam:iam enim ad inuidiam satis fore,quod in regnum vocatus sit. deinde administrare paratum esse rempublicam, non, vt aliquis tyrānus,sed vt princeps benignus:sufficere sibi quippe honorem nominis. De singulis autem negotiis communē omnium stare sententiam. nam & si non natura esset modestus, locuples tamen moderandæ potestatis exemplum Caij morte esse propositum. Quæ cùm detulisset Agrippa, respōdit senatus, quasi qui militi suo bonísque consiliis fideret nolle se subire voluntariam seruitutem. Sed accepto patrum responso, Claudius rursus misit Agrippam,nunciantem eis,se non posse adduci,vt eos proderet,quorum consensu in imperium esset accitus. Inuitum autem se initurum esse pugnam aduersus eos, cum quibus confligere minimè vellet: proinde eligendum esse locum extra ciuitatem in quo confligerent. neque enim fas esse, propter illorum per uicaciam,patriam ciuili cęde fœdari.Et Agrippa quidem ista senatui nunciauit. Inter hæc vnus ex illis militibus,qui cum patribus erant, educens gladium: Commilitones, inquit quibus perturbati causis parricidia perpetrare cupim⁹, & cōcurrere aduer⁹ propinquos nostros

πείσας καίσαρα, σωθήσομαι μεθ' ὑμῶν ἡδέως, ἢ παροξυνθέντος, ὑπὲρ τοσούτων ἑτοίμως ἐπιδώσω τὴν ἐμαυτοῦ ψυχήν, διαφῆκε τὸ πλῆθος, πολλὰ κατευχομένων αὐτῷ. καὶ παραλαβὼν τὴν στρατιὰν ἐκ τῆς πτολεμαΐδος ὑπέστρεψεν εἰς ἀντιόχειαν, ὅθεν εὐθέως ἐπέστελλε καίσαρι, τήν τε ἐμβολὴν τὴν εἰς ἰουδαίαν ἑαυτοῦ, καὶ τὰς τοῦ ἔθνους ἱκετείας, ὅτι τε εἰ μὴ βούλοιτο πρὸς τοῖς ἀνδράσι καὶ τὴν χώραν ἀπολέσαι, δέον φυλάττειν τε αὐτοὺς τὸν νόμον, καὶ παρεῖναι τὸ πρόσταγμα. ταύταις ταῖς ἐπιστολαῖς οὐ σφόδρα μετρίως γάϊος ἀντέγραψεν, ἀπειλῶν πετρωνίῳ θάνατον, ὅτι τῶν προσταγμάτων αὐτοῦ βραδὺς ὑπηρέτης ἐγένετο. ἀλλὰ τοὺς μὲν τούτων γραμματοφόρους συνέβη χειμασθῆναι τρεῖς μῆνας ἐν τῇ θαλάσσῃ, τὸν δὲ γαΐου θάνατον ἄλλοι καταγγέλλοντες εὔπλουν. ἔφθη γοῦν τὰς περὶ τούτου λαβεῖν πετρώνιος ἐπιστολὰς, ἑπτὰ καὶ εἴκοσι ἡμέραις, ἢ τὰς καθ' ἑαυτοῦ.

Κεφ. ια.

ΓΑΐου δὲ ἡγεμονεύσαντος ἔτη τρία καὶ μῆνας ὀκτὼ, καὶ δολοφονηθέντος, ἁρπάζεται μὲν ὑπὸ τῶν ἐν ῥώμῃ στρατευμάτων εἰς τὴν ἀρχὴν κλαύδιος. ἡ δὲ σύγκλητος, ἐξηγουμένων τῶν ὑπάτων, σεντίου σατορνίνου, καὶ πομπωνίου σεκούνδου, τρισὶ ταῖς συμμενούσαις σπείραις ἐπιτρέψασα φυλάττειν τὴν πόλιν, εἰς τὸ καπετώλιον ἠθροίσθη, καὶ διὰ τὴν ὠμότητα τοῦ γαΐου, κλαυδίῳ πολεμεῖν ἐψηφίζετο. καταστήσεσθαι γὰρ δι' ἀριστοκρατίας, ὥσπερ οὖν πάλαι διῳκεῖτο τὴν ἀρχὴν, ἢ κρινεῖν ψήφῳ τὸν ἄξιον τῆς ἡγεμονίας. συνέβη δὲ τηνικαῦτα προσεπιδημοῦντα τὸν ἀγρίππαν, τήν τε σύγκλητον καλοῦσαν εἰς συμβουλίαν πέμψαι, καὶ κλαύδιον ἐκ τῆς παρεμβολῆς, ὅπως πρὸς ἃ δέοι, χρήσιμος αὐτοῖς γένοιτο. κἀκεῖνος συνιδὼν τὸν ἤδη τῇ δυνάμει καίσαρα, πρὸς κλαύδιον ἄπεισιν. ὁ δὲ αὐτὸν πρεσβευτὴν πρὸς τὴν σύγκλητον ἀναπέμπει, δηλοῦντα τὴν αὐτοῦ προαίρεσιν, ὅτι πρῶτον μὲν ἄκων ὑπὸ τῶν στρατιωτῶν ἁρπαγείη, καὶ οὔτε τὴν ἐκείνων σπουδὴν ἐγκαταλιπεῖν δίκαιον, οὔτε ἀσφαλὲς τὴν αὐτοῦ τύχην κρίνοι. καὶ γὰρ καὶ τὸ τυχεῖν τῆς ἡγεμονικῆς κλήσεως, ἐπικίνδυνον εἶναι. ἔπειτα ὅτι διοικήσοι τὴν ἀρχὴν, ὥσπερ ἀγαθὸς προστάτης, οὐχ ὡς τύραννος. ἀρκεῖσθαι γὰρ τῇ τιμῇ τῆς προσηγορίας, τὴν δὲ ἐφ' ἑκάστῳ τῶν πραγμάτων βουλὴν, πᾶσιν ἀποδώσειν. καὶ γὰρ εἰ μὴ φύσει μέτριος ἦν, ἱκανὸν ὑπόδειγμα σωφροσύνης αὐτῷ προκεῖσθαι τὸν γαΐου θάνατον. ταῦτα ἀπήγγελλεν ἀγρίππας. ἡ δὲ βουλὴ ἀπεκρίνατο, καὶ στρατῷ, καὶ γνώμαις ἀγαθαῖς πεποιθυῖα, δουλείαν ἑκούσιον οὐχ ὑπομένειν. καὶ κλαύδιος, ὡς ἤκουσε τὰ παρὰ τῆς βουλῆς, πάλιν ἔπεμψε τὸν ἀγρίππαν ἀπαγγέλλοντα αὐτοῖς, ὅτι προδοῦναι μὲν τοὺς εἰς αὐτὸν ὀμόσαντας, οὐχ ὑπομένει, πολεμήσει δὲ ἄκων, πρὸς οὓς ἥκιστα βούλοιτο. δεῖν μέντοι προαποδειχθῆναι τῷ πολέμῳ χωρίον ἔξω τῆς πόλεως. οὐ γὰρ ὅσιον διὰ τὴν αὐτῶν κακοβουλίαν, ὁμοφύλῳ φόνῳ μιαίνεσθαι τὰ τεμένη τῆς πατρίδος. ὁ μὲν οὖν ἀκούσας ταῦτα, τοῖς βουλευταῖς ἀπήγγελλεν. μεταξὺ δὲ τῶν μετὰ τῆς συγκλήτου στρατιωτῶν τις, σπασάμενος τὸ ξίφος, ἄνδρες ἐβόησε συστρατιῶται, τί παθόντες ἀδελφοκτονεῖν αἱρούμεθα, καὶ κατὰ τῶν μετὰ κλαυδίου συγ-

συγχυθῶν ὁρμᾶν; ἔχοντες μὲν αὐτοκράτορα μηδὲν μέμφεσθαι δυνάμενον, τοσαῦτα δὲ δίκαια πρὸς οὓς μετὰ τῶν ὅπλων χωρεῖν μέλλομεν. ταῦτα εἰπὼν διὰ μέσης ὥρμησε τῆς βουλῆς πάντας τοὺς στρατιώτας ἐφελκόμενος. οἱ δὲ εὐπατρίδαι παραχρῆμα μὲν πρὸς τὴν ἀπόλειψιν περιδεεῖς ἔσχον. αὖθις δὲ ὡς ἀποστροφὴ σωτήριος οὐκ ἀνεφαίνετο, τὴν τῶν στρατιωτῶν ὁδὸν ἠπείγοντο πρὸς Κλαύδιον. ὑπήντων δ' αὐτοῖς πρὸ τοῦ τείχους γυμνοῖς τοῖς ξίφεσιν, οἱ σφοδρότερον κολακεύοντες τὴν τύχην. κἂν συνέβη κινδυνεῦσαι τοὺς προάγοντας, πρὶν γνῶναι τὴν ὁρμὴν τῶν στρατιωτῶν Κλαύδιον, εἰ μὴ προσδραμὼν Ἀγρίππας αὐτῷ, τὸ κινδύνευμα τῆς πράξεως ἐδήλωσεν, ὅτι τε εἰ μὴ κατέχοι τὴν ὁρμὴν τῶν ἐπὶ τοὺς εὐπατρίδας λελυσσηκότων, ἀπολέσας δι' οὓς τὸ κρατεῖν ἐστὶ περίοπτον, ἐρημίας ἔσοιτο βασιλεύς. ταῦτα ἀκούσας Κλαύδιος, ἐπέσχε τὰς ὁρμὰς τοῦ στρατιωτικοῦ, προσδέχεταί τε τὴν σύγκλητον εἰς τὸ στρατόπεδον, καὶ φιλοφρονησάμενος, ἔξεισι σὺν αὐτοῖς αὐτίκα θύσων τῷ θεῷ, τὰ περὶ τῆς ἡγεμονίας χαριστήρια. καὶ τὸν Ἀγρίππαν εὐθέως ἐδωρεῖτο τῇ πατρῴᾳ βασιλείᾳ πάσῃ, προστιθεὶς ἔξωθεν καὶ τὰς ὑπ' Αὐγούστου δοθείσας Ἡρώδῃ, Τραχωνῖτιν καὶ Αὐρανῖτιν, χωρὶς δὲ τούτων ἑτέραν βασιλείαν τὴν Λυσανίου καλουμένην. καὶ τῷ μὲν δήμῳ, διατάγματι τὴν δωρεὰν ἐδήλου, τοῖς ἄρχουσι δὲ προσέταξεν ἐγχαράξαντας δέλτοις χαλκαῖς τὴν δόσιν, εἰς τὸ Καπετώλιον ἀναθεῖναι. δωρεῖται δὲ αὐτοῦ καὶ τὸν ἀδελφὸν Ἡρώδην, ὃς δὲ αὐτὸς καὶ γαμβρὸς ἦν Βερνίκῃ συνοικῶν, βασιλείᾳ τῇ Χαλκίδι.

Κεφ. ιθ. Ταχέως δὲ ὡς ἂν ἐκ τοσαύτης ἀρχῆς, πλοῦτος Ἀγρίππᾳ προσέρρει, καὶ τοῖς χρήμασιν αὐτὸς οὐκ εἰς μακρὰν κατεχρῆτο. τηλικοῦτον γὰρ περιβάλλειν ἤρξατο τοῖς Ἱεροσολύμοις τεῖχος, ἡλίκον ἂν τελεσθὲν, ἀνήνυτον τὴν ἐν Ῥωμαίοις ἐποίησε πολιορκίαν. ἀλλ' ἔφθη πρὶν ὑψῶσαι τὸ ἔργον, τελευτήσας ἐν Καισαρείᾳ, βεβασιλευκὼς μὲν ἔτη τρία, πρότερον δὲ τῶν τετραρχιῶν τρισὶν ἑτέροις ἔτεσιν ἀφηγησάμενος, καταλείπει δὲ τρεῖς μὲν θυγατέρας, ἐκ Κύπρου γεγεννημένας, Βερνίκην, Μαριάμμην, Δρούσιλλαν. υἱὸν δὲ ἐκ τῆς αὐτῆς Ἀγρίππαν, οὗ παντάπασιν ὄντος νηπίου, πάλιν τὰς βασιλείας Κλαύδιος ἐπαρχίαν ποιήσας ἐπίτροπον πέμπει Κούσπιον Φάδον, ἔπειτα Τιβέριον Ἀλέξανδρον, οἳ μηδὲν παρακινοῦντες τῶν πατρίων ἐθῶν, ἐν εἰρήνῃ τὸ ἔθνος διεφύλαξαν. μετὰ ταῦτα καὶ ὁ βασιλεύων τῆς Χαλκίδος Ἡρώδης τελευτᾷ, καταλιπὼν ἐκ μὲν τῆς ἀδελφιδῆς Βερνίκης, δύο παῖδας, Βερνικιανόν τε καὶ Ὑρκανόν, ἐκ δὲ τῆς προτέρας Μαριάμμης Ἀριστόβουλον. τεθνήκει δὲ αὐτῷ καὶ ἕτερος ἀδελφὸς Ἀριστόβουλος ἰδιώτης, καταλιπὼν Ἰωτάπην θυγατέρα. οὗτοι μὲν οὖν ἦσαν ὡς προεῖπον, Ἀριστοβούλου τοῦ Ἡρώδου παῖδες. Ἀριστόβουλος δὲ καὶ Ἀλέξανδρος ἐκ Μαριάμμης Ἡρώδῃ γεγόνεισαν, οὓς ὁ πατὴρ ἀνεῖλεν. οἱ δὲ Ἀλεξάνδρου γενεὰ, τῆς μεγάλης Ἀρμενίας ἐβασίλευσε. μετὰ δὲ τὴν Ἡρώδου τελευτὴν, ὃς ἦρξε τῆς Χαλκίδος, καθίστησι Κλαύδιος εἰς τὴν βασιλείαν τοῦ θείου, τὸν Ἀγρίππαν υἱὸν Ἀγρίππα. τῆς δὲ ἄλλης ἐπαρχίας διαδέχεται τὴν ἐπιτροπὴν ἀπὸ Ἀλεξάνδρου Κουμανὸς, ἐφ' οὗ θόρυβοί τε ἤρξαντο, καὶ φθορὰ πάλιν Ἰουδαίων ἐγένετο.

Claudium ſecutos? maximè cùm habeamus Imperatorem quem in nulla re culpare poſſimus, & ad quem cum iuſtis magis allegationibus, quàm cum armis egredi debeamus. Hæc dicens, per mediam egreſſus eſt curiam, omnibus ſe militibus cōſecutis. Hoc exemplo optimates deſerti, in magno metu eſſe cœperunt. ac deinceps videntes ſibi aduerſationem tutam non eſſe, ſicuti milites, ad Claudium tranſierunt. Occurrebant autem eis pro muris ſtrictis gladiis hi, qui fortunæ regis ambitioſiùs adulabantur: & penè accidit, vt progreſſi quinque interficerentur, ante ſcilicet quàm militum impetum Cæſar agnoſceret: niſi accurrens Agrippa, imminentis ei facinoris periculum nunciaſſet: dicens quòd niſi coercuiſſet exercitum, iam in ſanguinem ciuium furentem, confeſtim amiſſurus eſſet omnes per quos conſpicuum eſſet imperium, fieretque ſolitudinis Imperator. Hæc audiens Claudius, continuit militum impetum. Suſcepit autem in caſtris aduenientem ſenatum, & indulgenti honore complexus, egreſſus cum patribus confeſtim obtulit Deo hoſtias, vt mos eſt pro Imperio ſupplicari. Agrippam quoque protinus donat regno paterno vniuerſo, adiiciens ei etiam illam quæ Auguſtus Herodi donauerat, Trachonitidem ſcilicet & Auranitidem: præter hæc autem aliud quoque regnum, quod Lyſaniæ vocabatur. Et populo quidem donationem hanc per edictum indicauit. Patribus autem præcepit, vt inciſam æreis tabulis in Capitolio collocarent. Donat autem etiam fratrem eius Herodem, qui gener eiuſdem erat, iunctus Berenicæ reginæ, Chalcidis. Opinione autem celerius Agrippæ dati regni cenſus maximus affluebat: qua ſanè pecunia, non ille in rebus exiguis abutebatur, ſed talem murum Hieroſolymis circundare cœpit, qualis, ſi potuiſſet abſolui, irritam prorſus obſidionē Romanis oppugnantibus effeciſſet. Sed antequam impleret opus, deceſſit in Cæſarea. Regnauit autem annis tribus. Antè quoque cùm tetrarchiam regeret, aliis tribus annis tenuerat poteſtatem. Reliquit filias tres è Cypride natas, Berenicem, Mariamnem atque Druſillam: filium autem ex eadem ipſa coniuge, nomine Agrippam. qui cùm admodum paruulus eſſet, Claudius regnum in prouinciam redegit, in cuius procurationem miſſus eſt Ceſtius Feſtus: poſt hunc autem Tiberius Alexander: qui nihil de conſuetudine patria immutantes, gentem in pace tenuerunt. Poſt hæc verò & Herodes, qui regnabat in Chalcide, deceſſit, relinquens ex fratris quidem filia Berenice filios duos, Berenicianum & Hyrcanum: ex priore autem Mariamne Ariſtobulum. Alius quoque eius frater Ariſtobulus mortuus fuerat priuatus, relicta filia Iopata. Hi quidem erant (ſicut diximus) liberi Ariſtobuli, qui fuerat Herodis filius. Alexander autem & Ariſtobulus nati fuerant Herodi è Mariamne, quos ipſe parens occidit. Alexandri autem poſteri in maiori Armenia regnauerunt.

Ant. li. 19. cap. 5.

Ant. li. 19. cap 7. 8.

CAP. XI. De variis tumultibus in Iudæa & Samaria.

POst obitum autem Herodis, qui regnauit in Chalcide, Claudius Agrippam filium Agrippæ in patrui sui regno constituit. Alterius autem prouinciæ suscepit curam post Alexandrum Cumanus, sub quo oriri cœperunt tumultus, & denuo Iudæos calamitas comprehendit. Conueniente quippe multitudine ad diem festum azymorum in Hierosolymam, stante cohorte Romana super porticum templi (armati quippe milites semper custodiebant festos dies, ne quid conuenientes populi nouare auderent) vnus è militibus reductis turpiter vestimentis inclinans posteriora sua vertit ad faciem Iudæorum: & ad hunc habitum vocem emittens similem succlamauit. Ob quod factum tota cœpit multitudo conqueri, ita vt circumstarent Cumanum, ad supplicium militem deposcentes. Ex his autem inconsulti iuuenes, & quasi natura apti ad seditiones mouēdas, in rixam grauissimam prosiliebant: continuò quippe saxa rapientes, percutiebant milites. Tunc veritus Cumanus ne totius in eum vulgi impetus fieret, plures euocauit armatos: qui cùm essent porticibus immissi, metus grauis incidit Iudæis, statimque in fugam versi, relicto templo refugere cœperunt. Tanta autem per egressus de constipatione obtritio facta est, vt conculcatione mutua super decem millia hominum consumpta sint. Facta est autem vniuersæ genti luctuosa festiuitas, & planctus per domos singulas personabat. Successit autem huic calamitati latrocinantium tumultus. Iuxta Bethorō quippe, per viam publicam, Stephanus quidem seruus Cæsaris supellectilem quandam vehebat, quæ ab irruentibus latronibus direpta est. Cumanus autem ad inquisitionem mittens eos, qui in proximis vicis essent, vinctos ad se adduci iussit, obiiciens quòd latrones illos non comprehendissent: qua occasione quidam militum in vico quodam libros sacræ legis offensos discidit atque combussit. Iudæi autem quasi totam religionem inflammatam viderent, vndique confluxerunt: & velut machinamento aliquo, ita vi superstitionis attracti, omnes ad vnam euocationem ad Cumanum Cæsaream concurrunt: precantes vt militem, qui tantam contumeliam Deo legique eius intulisset, non relinqueret impunitum. Ad hæc ille (videbat enim multitudinem nequaquam quieturam, nisi aliqua esset satisfactione sedata) adiudicatum militem per medium populum ad suppliciū iussit abduci: sicque Iudæi placatis animis recesserunt. Denuo autem Galilæorum & Samaritanorum conflictus exoritur. In vico enim quem Gæman vocant, qui est in magno Samariæ campo situs, quidam Galilæus de numero Iudeorum ad festiuitatem ascendens interficitur. Ad quod factum multi ex Galilæa regione cōcurrerunt, vt cum Samaritanis configerent. Horum autem nobiliores conuenerunt ad Cumanum, rogantes, vt antequam grauis calamitas oriretur, transiret in Galilæam: & in eos qui autores essent homicidij, vindicaret. Cumanus verò his negotiis, quæ habebat in manibus postponens illorum petitiones, sine effectu precatores remisit. Nunciato igitur homicidio Hierosolymā, omnis multitudo cōmota est: & relicta diei solennitate, in Samariā vulgus impetū fecit sine vllo

Κεφ. κ.

A Συνεληλυθότος γὰρ τοῦ πλήθους ἐπὶ τὴν ἑορτὴν τῶν ἀζύμων εἰς ἱεροσόλυμα, καὶ τῆς ῥωμαϊκῆς σπείρας ὑπὲρ τῆς τοῦ ἱεροῦ στοᾶς ἐφεστώσης (ἔνοπλοι δ' ἀεὶ τὰς ἑορτὰς παραφυλάττουσιν, ὡς μή τι νεωτερίζοι τὸ πλῆθος συνηθροισμένον) εἷς τις τῶν στρατιωτῶν ἀνασυράμενος τὴν ἐσθῆτα, καὶ κατακύψας ἀσχημόνως, προσαπέστρεψε τοῖς ἰουδαίοις τὴν ἕδραν, καὶ τῷ σχήματι φωνὴν ὁμοίαν ἐπεφθέγξατο. πρὸς τοῦτο τὸ πᾶν μὲν τὸ πλῆθος ἠγανάκτησε, B καὶ κατεβόων τοῦ κυμάνου, κολάζειν τὸν στρατιώτην. οἱ δὲ ἧττον νήφοντες τῶν νέων, καὶ τὸ φύσει στασιῶδες ἐκ τοῦ ἔθνους, ἐχώρουν ἐπὶ μάχην, λίθους τε ἁρπάσαντες, εἰς τοὺς στρατιώτας ἔβαλλον. καὶ κουμανὸς δείσας μὴ τοῦ λαοῦ παντὸς ἐπ' αὐτὸν ὁρμὴ γένοιτο, πλείους ὁπλίτας μεταπέμπεται. τῶν δὲ ταῖς στοαῖς ἐπιχεομένων, φόβος ἐμπίπτει τοῖς ἰουδαίοις ἀκατάσχετος, καὶ τραπέντες ἐκ τοῦ ἱεροῦ διέφυγον εἰς τὴν πόλιν. τοσαύτη δὲ περὶ τὰς ἐξόδους βία συνωθουμένων ἐγένετο, C ὥστε πατηθέντας ὑπ' ἀλλήλων καὶ συντριβέντας, ὑπὲρ τοὺς μυρίους ἀποθανεῖν. ἐγένετο δὲ τὴν ἑορτὴν πένθος μὲν ὅλῳ τῷ ἔθνει, θρῆνος δὲ καθ' ἑκάστην οἰκίαν. μεταλαμβάνει δὲ ταύτην τὴν συμφορὰν λῃστρικὸς ἄλλος θόρυβος. κατὰ γὰρ τὴν βαιθωρὼ δημοσίαν ὁδὸν, στεφάνου τινὸς δούλου καίσαρος ἀποσκευὴν κομιζομένην, διήρπασαν λῃσταὶ προσπεσόντες. κουμανὸς δὲ περιπέμψας, τοὺς ἐκ τῶν πλησίον κωμῶν D δεσμώτας ἐκέλευσεν ἀνάγεσθαι πρὸς αὐτὸν, ἐπικαλῶν ὅτι μὴ διώξαντες τοὺς λῃστὰς συλλάβοιεν. ἔνθα στρατιωτῶν τις, εὑρὼν ἔν τινι κώμῃ τὸν ἱερὸν νόμον, διέρρηξέ τε τὸ βιβλίον, καὶ εἰς πῦρ κατέβαλεν. ἰουδαῖοι δὲ ὡς ὅλης αὐτοῖς τῆς χώρας καταφλεγείσης συνεχύθησαν, καὶ καθάπερ ὀργάνῳ τινὶ τῇ δεισιδαιμονίᾳ συνελκόμενοι εἰς ἓν κήρυγμα, πάντες εἰς καισάρειαν ἐπὶ κουμανὸν συνέδραμον, ἱκετεύοντες τὸν οὕτως εἰς τὸν θεὸν καὶ τὸν νόμον αὐτῶν ἐξυβρίσαντα μὴ περιϊδεῖν ἀτιμώρητον. ὁ δὲ, οὐ γὰρ ἠρεμήσειν τὸ E πλῆθος, εἰ μὴ τύχοι παραμυθίας συνιδὼν, ἠξίου προσάγειν τε τὸν στρατιώτην, καὶ διὰ μέσων τῶν αἰτιωμένων ἀπαχθῆναι τὴν ἐπὶ θανάτῳ κελεύει. καὶ ἰουδαῖοι μὲν ἀνεχώρουν. αὖθις δὲ γαλιλαίων, καὶ σαμαρέων γίνεται συμβολή.

Κεφ. κα.

Κατὰ γὰρ τὴν γημὰν καλουμένην κώμην, ἥτις ἐν τῷ μεγάλῳ πεδίῳ κεῖται τῆς σαμαρείτιδος, F πολλῶν ἀναβαινόντων ἰουδαίων ἐπὶ τὴν ἑορτὴν, ἀναιρεῖταί τις γαλιλαῖος. πρὸς τοῦτο, πλεῖστοι μὲν ἐκ τῆς γαλιλαίας συνέδραμον, ὡς πολεμήσοντες τοῖς σαμαρεῦσιν. οἱ γνώριμοι δὲ αὐτῶν ἐλθόντες πρὸς κουμανὸν, ἱκέτευον, πρὶν ἀνήκεστον πάθος εἰς τὴν γαλιλαίαν διαβάντα, τιμωρήσασθαι τοὺς αἰτίους τοῦ φόνου. μόνως γὰρ ἂν οὕτως διαλυθῆναι πρὸ πολέμου τὸ πλῆθος. κουμανὸς μὲν οὖν ἐν δευτέρῳ τὰς ἐκείνων G ἱκεσίας τῶν ἐν χερσὶ πραγμάτων θέμενος, ἀπράκτους ἀπέπεμψε τοὺς ἱκέτας. ἀγγελθὲν δὲ τὸ πάθος εἰς ἱεροσόλυμα τοῦ πεφονευμένου, τὰ πλήθη συνετάραξε, καὶ τῆς ἑορτῆς ἀφέμενοι πρὸς τὴν σαμάρειαν ἐξώρμησαν ἀστρατήγητοι, καὶ μηδενὶ

τ ἀφ-

τῶν ἀρχόντων κατέχοντι πειθόμενοι. τοῦ λῃστρικοῦ δὲ αὐτῶν καὶ στασιώδους, δειναίου τις υἱὸς ἐλεάζαρος καὶ ἀλέξανδρος ἐξῆρχον, οἳ τοῖς ὁμόροις τῆς ἀκραβατινῆς τοπαρχίας προσπεσόντες, αὐτούς τε ἀνῄρουν μηδεμιᾶς ἡλικίας φειδὼ ποιούμενοι, καὶ τὰς κώμας ἐνεπίμπρασαν. κουμανὸς δὲ ἀναλαβὼν ἀπὸ τῆς καισαρείας μίαν ἴλην ἱππέων καλουμένην σεβαστηνῶν, ἐξεβοήθει τοῖς πορθουμένοις, καὶ τῶν περὶ τὸν ἐλεάζαρον πολλοὺς μὲν συνέλαβε, πλείστους δὲ ἀπέκτεινε. πρὸς δὲ τὸ λοιπὸν πλῆθος τῶν πολεμεῖν τοῖς σαμαρεῦσιν ὡρμημένων, οἱ ἄρχοντες τῶν ἱεροσολύμων ἐκδραμόντες σάκκοις ἀμπεχόμενοι, καὶ τέφραν τῶν κεφαλῶν καταχέοντες, ἱκέτευον ἀναχωρεῖν, καὶ μὴ διὰ τὴν εἰς σαμαρεῖς ἄμυναν, ἐπὶ ἱεροσόλυμα ῥωμαίους παροξύνειν. οἰκτεῖσαι δὲ τὴν πατρίδα, καὶ τὸν ναόν, τέκνα τε καὶ γυναῖκας ἰδίας, καὶ μὴ πάντα κινδυνεύειν δι' ἑνὸς ἐκδικίαν γαλιλαίου παραπολέσθαι. τούτοις πεισθέντες οἱ ἰουδαῖοι, διελύθησαν. ἐτράποντο δὲ πολλοὶ πρὸς λῃστείαν διὰ τὴν ἄδειαν. καὶ κατὰ πᾶσαν τὴν χώραν, ἁρπαγαί τε ἦσαν, καὶ τῶν θρασυτέρων ἐπαναστάσεις. καὶ τῶν σαμαρέων οἱ δυνατοί, πρὸς νουμίδιον κουαδράτον, ὃς ἦν ἡγεμὼν τῆς συρίας, εἰς τύρον παραγενόμενοι, δίκην τινὰ παρὰ τῶν πορθησάντων τὴν χώραν λαβεῖν ἠξίουν. παρόντες δὲ καὶ οἱ γνώριμοι τῶν ἰουδαίων, καὶ ὁ ἀρχιερεὺς ἰωνάθης υἱὸς ἀνάνου, κατάρξαι μὲν ἔλεγον τῆς ταραχῆς σαμαρεῖς διὰ τὸν φόνον, αἴτιον δὲ τῶν ἀποβεβηκότων κουμανὸν γεγονέναι, μὴ θελήσαντα τοὺς αὐθέντας τοῦ σφαγέντος ἐπεξελθεῖν. κουαδράτος δὲ τότε μὲν ἑκατέρους ὑπερτίθεται φήσας, ἐπειδὰν εἰς τοὺς τόπους παραγένηται, διερευνήσειν ἕκαστα. αὖθις δὲ παρελθὼν εἰς καισάρειαν, τοὺς ὑπὸ κουμάνου ζωγρηθέντας, ἀνεσταύρωσε πάντας. ἐκεῖθεν τε εἰς λύδδαν παραγενόμενος πόλιν, διήκουσε τῶν σαμαρέων, καὶ μεταπεμψάμενος ὀκτωκαίδεκα τῶν ἰουδαίων, οὓς ἐπέπυστο μετεσχηκέναι τῆς μάχης, πελέκει διεχρήσατο. δύο δὲ ἑτέρους τῶν δυνατωτάτων, καὶ τοὺς ἀρχιερεῖς ἰωνάθην, καὶ ἀνανίαν, τόν τε τούτου παῖδα ἄνανον, καί τινας ἄλλους ἰουδαίων γνωρίμους, ἀνέπεμψεν ἐπὶ καίσαρα, ὁμοίως δὲ καὶ σαμαρέων τοὺς ἐπιφανεστάτους. παρήγγελλε δὲ καὶ κουμανῷ καὶ κέλερι τῷ χιλιάρχῳ πλεῖν ἐπὶ ῥώμης, δώσοντας κλαυδίῳ λόγον ὑπὲρ τῶν γεγενημένων. ταῦτα διαπραξάμενος ἀπὸ λύδδων ἀνέβαινεν εἰς ἱεροσόλυμα, καὶ καταλαβὼν τὸ πλῆθος ἄγον τὴν τῶν ἀζύμων ἑορτὴν ἀθορύβως, εἰς ἀντιόχειαν ἐπανῄει. κατὰ δὲ τὴν ῥώμην καῖσαρ ἀκούσας κουμάνου καὶ σαμαρέων, παρῆν δὲ καὶ ἀγρίππας ἐκθύμως ὑπεραγωνιζόμενος ἰουδαίων, ἐπειδὴ καὶ κουμανῷ πολλοὶ τῶν δυνατῶν παρίσταντο, σαμαρέων μὲν καταγνούς, τρεῖς ἀνελεῖν προσέταξε τοὺς δυνατωτάτους, κουμανὸν δὲ φυγαδεῦσαι, κέλερα δὲ δεσμώτην ἀναπέμψας εἰς ἱεροσόλυμα, παραδοθῆναι ἰουδαίοις πρὸς αἰκίαν ἐκέλευσε, καὶ περισυρέντα τὴν πόλιν, οὕτω τὴν κεφαλὴν ἀποκοπῆναι. μετὰ ταῦτα ἰουδαίας μὲν ἐπίτροπον, φήλικα τὸν πάλλαντος ἀδελφὸν ἐκπέμπει,

duce, nec quicquam principum suorum retinenti acquiescentes. Latrocinij autem eorum & tumultus, quidam Dinæi filius Eleazarus, & Alexander, principes erant: qui in Acrebatenæ regioni conterminos irruentes, promiscuam edidêre cædem, & à nullius ætatis exitio temperâtes, vicos etiã inflammauerunt. Cumanus autem hæc audiens, adduxit secum vnam equitum alam, quæ vocatur Sebastenorum, vt auxilio his qui vastabantur esset: sicque eorum multos, qui Eleazarum erant secuti, comprehendit, plures quoque interfecit. Ad reliquam autem multitudinem, qui in vastandos Samaritanorum fines irruerant, principes gentis de Hierosolymis occurrerunt: opertique ciliciis, & aspersis cinere capitibus precabantur, vt ab incepto desinerent: nec propter exercendam in Samaritas vltionem, ad Hierosolymæ perniciem Romanos commouerent: misererentur autem patriæ suæ atque templi, filiorúmque & coniugum propriarum: neque omnia pariter in discrimen adducerent, neque ob vnius Galilęi vindictam cuncta disperderent. His acquiescentes Iudæi, à negotio recesserunt. Multi autem per idem tempus in latrocinia conspirabant: sicut ferè solet insolentia crescere rebus quietis: per quæ in omni regione agebantur rapinæ: & audacissimus quisque reliquis vim afferebat. Tunc Samaritarum primates ad Numidium Quadratum, qui Syriam procurabat, Tyrum venerunt, vindicari de his, qui regionem eorum deprædati fuerant postulantes. Præsto autem fuerant etiam Iudæorum nobiles: & Ionathas filius Anani, princeps sacerdotum, obiecta diluens allegabat, initium quidem tumultus Samaritas fuisse, qui primi homicidium perpetrassent: causam tamen calamitatum postea secutarum præbuisse Cumanum, qui inter principia autores cædis noluisset vlcisci. Tunc Quadratus vtramque partem interim distulit, dicens se cùm ad ipsas regiones venisset, diligenter singula inquisiturum: deinceps verò progressus Cæsaream, eos omnes quos Cumanus viuos ceperat, in crucem sustulit. Inde cùm Lyddam venisset, denuo audiuit Samaritanorum querelas, & accitos Iudæorum decem & octo viros, quos cognouit pugnæ fuisse participes, securi percussit. Duos autem principes sacerdotum, Ionatham & Ananiam, eiúsque filium Ananum, & nonnullos alios Iudæos nobiles ad Cæsarem misit: similiter autem & Samaritarum nobilissimos quosque. Præcepit etiam Cumano, & Celeri tribuno, Romam nauigare reddituros Claudio rationem pro his quæ in regione gesserant. His ita compositis à Lydda ascendebat Hierosolymam: & inueniens multitudinem festiuitatem azymorum celebrantem sine vlla conturbatione, Antiochiam rediit. Romæ autem Cæsar auditis allegationibus Cumani & Samaritanorum (aderat autem etiam Agrippa, Iudæorum causam magna contentione defendens: siquidem & Cumano multi potentium aderãt) pronuncians aduersus Samaritas, tres eorũ nobilissimos iussit interfici. Cumanum autem in exilium deportari. Celerem autem tribunum vinctum Hierosolymam missum, Iudæis ad suppliciũ tradidit, vt per vrbem tractus, capite plecteretur. Post hæc Felicem Pallantis fratrem misit ad Iudæos,

qui & eorum prouinciam cum Samaria & Galilæa curaret. Agrippam verò de Chalcide in regnum maius transtulit, tradens ei illam quoque prouinciam, quæ Felicis fuisset. Erat autem ista Trachonitis & Batanæa & Gaulanitis. Addidit autem regnum etiam Lysaniæ, & tetrarchiam quam Varus rexerat. Ipse autem per annos tredecim, menses octo, dies triginta administrato imperio, decessit, successorem regni Neronem relinquens, quem suadelis Agrippinæ vxoris suæ in imperium cooptauerat: & quidem cùm legitimum haberet filium Britannicum ex Messalina natum, priore scilicet coniuge, & octauiam filiam, quam ipse priuigno collocarat Neroni. Susceperat autem ex Agrippina Antoniam. Et Nero quidem quemadmodum per magnitudinem felicitatis & opum, abusus sit fortuna: & qualiter fratrem suum, atque vxorem, matrémque interfecerit, post quos in omnes proximos immanitatem suam conuertit, atque vt ad vltimum per amentiam ad histrionum opera scenámque peruenerit, quoniã scio esse narratione molestũ, silẽtio præterire melius puto.

Cap. XII. De tumultibus in Iudæa sub Felice. *Ant. li. 20. cap. 11.*

CONuertar autem ad narranda quæ ab eo aduersus Iudæos gesta sunt. Minorem igitur Armeniam regnandam Aristobulo dedit, Herodis filio. Regno autem Agrippæ quatuor vrbes addidit cum agris ad singulas pertinentibus: in Peræa scilicet regione, Abilam & Iuliadem: in Galilæa autem Tarichæam & Tiberiadem. Reliqua autem Iudææ Felici procuranda dedit. Hic principem latronum Eleazarum, qui per viginti annos regionem fuerat deprædatus, aliósque cum eo multos cepit, vinctósque Romam misit: aliorúmque quos in crucem sustulit, latronum vel in communione sceleris deprehensorum popularium, fuit penè innumerabilis multitudo. Sic autẽ regione purgata, aliud genus latrocinantium in Hierosolymis oriebatur. Hi autem sicarij vocabantur, die claro & in media ciuitate passim quosque interficientes. Potissimùm verò diebus sollennitate festiuis immiscebantur vulgo, sicas sub veste gestantes. His inimicos interficiebant: ac deinceps collapsis hominibus, illi inter reliquos de scelere querebantur: qua fraude extra suspicionem manebant, diúque latuerunt. Primus igitur ab eis Ionathas pontifex interficitur. Post hunc autem quotidie plurimi cædebantur, atque ipsis calamitatibus molestior timor ciuitatem premebat: sicut enim in medio bello per singula momenta omnes mortem operiebantur. Circumspiciebant autem eminus quosque appropinquantes: & neque amicis suis fidere poterant, dum tamen in mediis suspicionibus atque custodiis nihilominus interficerentur. Tãta erat latrocinantium temeritas, & ars quædã latendi. Ad hæc autem alia etiam malorum collectio facta est, cæde quidem abstinentium, sed consiliis magis impiorum, quæ pars non minus quàm sicariorum felicitatem vrbis statúmque corrupit. Seductores namque homines & circumuentores, sub specie religionis nouis rebus studentes, vulgus insanire fecerunt. nã in solitudines egrediebantur, promittentes Deum signa eis ostensurũ libertatis. Cõtra quos

A τὸ τῆς γαλιλαίας καὶ σαμαρείας καὶ περαίας. ἐκ δὲ τῆς χαλκίδος, ἀγρίππαν εἰς μείζονα βασιλείαν μετατίθησι, δοὺς αὐτῷ τήν τε φιλίππου γενομένην τετραρχίαν. αὕτη δὲ ἦν βαταναία καὶ τραχωνῖτις καὶ γαυλανῖτις. προσέθηκε δὲ τήν τε λυσανίου βασιλείαν, καὶ τὴν οὐάρου γενομένην ἐπαρχίαν. αὐτὸς δὲ διοικήσας τὴν ἡγεμονίαν ἔτεσι τρισὶ καὶ δέκα, πρὸς δὲ μησὶν ὀκτὼ καὶ εἴκοσιν ἡμέραις, τελευτᾷ, καταλιπὼν νέρωνα τῆς ἀρχῆς διάδοχον, ὃν ταῖς ἀγριππίνης τῆς γυναικὸς ἀπάταις, ἐπὶ κληρονομίᾳ τῆς ἀρχῆς εἰσεποιήσατο, καίπερ υἱὸν ἔχων γνήσιον βρεττανικὸν ἐκ μεσσαλίνης τῆς προτέρας γυναικὸς, καὶ ὀκταουΐαν θυγατέρα τὴν ὑπ᾽ αὐτοῦ ζευχθεῖσαν νέρωνι. γεγόνει δὲ αὐτῷ καὶ ἐκ πετίνης ἀντωνία.

Κεφ. κβ.

ΟΣα μὲν οὖν νέρων δι᾽ ὑπερβολὴν εὐδαιμονίας τε καὶ πλούτου παραφρονήσας ἐξύβρισεν εἰς τὴν τύχην, ἢ τίνα τρόπον τόν τε ἀδελφὸν καὶ τὴν γυναῖκα, καὶ τὴν μητέρα διεξῆλθεν, ἀφ᾽ ὧν εἰς τοὺς συγγενεστάτους μετήνεγκε τὴν ὠμότητα, καὶ ὡς τελευταῖον ὑπὸ φρενοβλαβείας ἐξώκειλεν εἰς σκηνὴν καὶ θέατρον, ἐπειδὴ δι᾽ ὄχλου πᾶσίν ἐστι, παραλείψω. τρέψομαι δὲ ἐπὶ τὰ ἰουδαίοις κατ᾽ αὐτὸν γενόμενα. τὴν μὲν οὖν μικρὰν ἀρμενίαν, δίδωσι μὲν βασιλεύειν ἀριστοβούλῳ τῷ ἡρώδου. τῇ δὲ ἀγρίππα βασιλείᾳ, τέσσαρας πόλεις προστίθησι σὺν ταῖς τοπαρχίαις, ἄβιλαν μὲν καὶ ἰουλιάδα κατὰ τὴν περαίαν, ταριχαίας δὲ καὶ τιβεριάδα τῆς γαλιλαίας. εἰς δὲ τὴν λοιπὴν ἰουδαίαν, φήλικα κατέστησεν ἐπίτροπον. οὗτος τόν τε ἀρχιλῃστὴν ἐλεάζαρον ἔτεσιν εἴκοσι τὴν χώραν λῃσάμενον, καὶ πολλοὺς τοὺς σὺν αὐτῷ ζωγρήσας, ἀνέπεμψεν εἰς ῥώμην. τῶν δὲ ἀνασταυρωθέντων ὑπ᾽ αὐτοῦ λῃστῶν, καὶ τῶν ἐπὶ κοινωνίᾳ φωραθέντων οὓς ἐκόλασεν, ἄπειρόν τι πλῆθος ἦν.

Κεφ. κγ.

ΚΑθαρθείσης δὲ τῆς χώρας, ἕτερον εἶδος λῃστῶν ἐν ἱεροσολύμοις ὑπεφύετο, οἱ καλούμενοι σικάριοι, μεθ᾽ ἡμέραν καὶ ἐν μέσῃ τῇ πόλει φονεύοντες ἀνθρώπους. μάλιστα δὲ ἐν ταῖς ἑορταῖς, μισγόμενοι τῷ πλήθει, καὶ ταῖς ἐσθήσεσιν ὑποκρύπτοντες μικρὰ ξιφίδια, τούτοις ἔνυττον τοὺς διαφόρους, ἔπειτα πεσόντων, μέρος ἐγίνοντο τῶν ἐπαγανακτούντων οἱ πεφονευκότες, διὸ καὶ παντάπασιν ὑπ᾽ ἀξιοπιστίας ἦσαν ἀνεύρετοι. πρῶτος μὲν οὖν ὑπ᾽ αὐτῶν ἰωνάθης ὁ ἀρχιερεὺς ἀποσφάζεται. μετὰ δὲ αὐτὸν καθ᾽ ἡμέραν ἀνῃροῦντο πολλοὶ, καὶ τῶν συμφορῶν ὁ φόβος ἦν χαλεπώτερος, ἑκάστου καθάπερ ἐν πολέμῳ, καθ᾽ ὥραν τὸν θάνατον προσδεχομένου. προεσκοποῦντο δὲ πόῤῥωθεν τοὺς διαφόρους, καὶ οὐδὲ τοῖς φίλοις προσιοῦσιν ἔτι πίστις ἦν, ἐν μέσαις δὲ ταῖς ὑπονοίαις, καὶ ταῖς φυλακαῖς ἀνῃροῦντο. τοσοῦτον τῶν ἐπιβουλευόντων τὸ τάχος ἦν, καὶ τοῦ λαθεῖν ἡ τέχνη. συνέστη δὲ πρὸς τούτοις στῖφος ἕτερον πονηρῶν, χειρὶ μὲν καθαρώτερον, ταῖς γνώμαις δὲ ἀσεβέστερον, ὅπερ οὐδὲν ἧττον τῶν σφαγέων, τὴν εὐδαιμονίαν τῆς πόλεως ἐλυμήνατο. πλάνοι γὰρ ἄνθρωποι, καὶ ἀπατεῶνες, προσχήματι θειασμοῦ, νεωτερισμοὺς καὶ μεταβολὰς πραγματευόμενοι, δαιμονᾶν τὸ πλῆθος ἀνέπειθον, καὶ προῆγον εἰς τὴν ἐρημίαν, ὡς ἐκεῖ τοῦ θεοῦ δείξαντος αὐτοῖς σημεῖα ἐλευθερίας. ἐπὶ τούτοις

ὁ φῆλιξ, ἐδόκει γὰρ ἀποστάσεως εἶναι καταβολή, πέμψας ἱππεῖς καὶ πεζοὺς ὁπλίτας, πολὺ πλῆθος διέφθειρε. μείζονι δὲ ταύτης πληγῇ ἰουδαίους ἐκάκωσεν, ὁ αἰγύπτιος ψευδοπροφήτης. παραγενόμενος γὰρ εἰς τὴν χώραν, ἄνθρωπος γόης, καὶ προφήτου πίστιν ἐπιθεὶς αὐτῷ, περὶ τρισμυρίους μὲν ἀθροίζει τῶν ἠπατημένων. περιαγαγὼν δὲ αὐτοὺς ἐκ τῆς ἐρημίας εἰς τὸ ἐλαιῶν καλούμενον ὄρος, ἐκεῖθεν οἷός τε ἦν εἰς ἱεροσόλυμα παρελθεῖν βιάζεσθαι, καὶ κρατήσας τῆς τε ῥωμαϊκῆς φρουρᾶς, καὶ τοῦ δήμου, τυραννεῖν, χρώμενος τοῖς συνεισπεσοῦσι δορυφόροις. φθάνει δὲ αὐτοῦ τὴν ὁρμὴν φῆλιξ, ὑπαντήσας μετὰ τῶν ῥωμαϊκῶν ὁπλιτῶν, καὶ πᾶς ὁ δῆμος συνεφήψατο τῆς ἀμύνης, ὥστε συμβολῆς γενομένης, τὸν μὲν αἰγύπτιον φυγεῖν μετ' ὀλίγων, διαφθαρῆναι δὲ πλείστους τῶν σὺν αὐτῷ, τὸ δὲ λοιπὸν πλῆθος σκεδασθὲν ἐπὶ τὴν αὐτῶν, ἕκαστον διαλαθεῖν. κατεσταλμένων δὲ καὶ τούτων, ὥσπερ ἐν νοσοῦντι σώματι, πάλιν ἕτερον μέρος ἐφλέγμαινεν. οἱ γὰρ γόητες καὶ λῃστρικοὶ συναχθέντες πολλοὺς εἰς ἀπόστασιν ἐνῆγον, καὶ πρὸς ἐλευθερίαν παρεκρότουν, θάνατον ἐπιτιμῶντες τοῖς πειθαρχοῦσι τῇ ῥωμαίων ἡγεμονίᾳ, καὶ πρὸς βίαν ἀφαιρήσεσθαι λέγοντες, τοὺς ἑκουσίως δουλεύειν προαιρουμένους. μεριζόμενοι γὰρ εἰς τὴν χώραν κατὰ λόχους, διήρπαζόν τε τὰς τῶν δυνατῶν οἰκίας, καὶ αὐτοὺς ἀνῄρουν, καὶ τὰς κώμας ἐνεπίμπρασαν, ὥστε τῆς ἀπονοίας αὐτῶν, πᾶσαν τὴν ἰουδαίαν ἀναπίμπλασθαι. καὶ οὗτος μὲν ὁ πόλεμος καθ' ἡμέραν ἀνεῤῥιπίζετο. ἑτέρα δὲ ταραχὴ συνίσταται περὶ καισάρειαν, τῶν ἀναμεμιγμένων ἰουδαίων πρὸς τοὺς ἐν αὐτῇ σύρους στασιασάντων. οἱ μὲν γὰρ ἠξίουν, σφετέραν εἶναι τὴν πόλιν, ἰουδαῖον γεγονέναι τὸν κτίστην αὐτῆς λέγοντες, ἦν δὲ ἡρώδης ὁ βασιλεύς. οἱ δὲ ἕτεροι, τὸν οἰκιστὴν μὲν προσωμολόγουν ἰουδαῖον, αὐτὴν μέντοι γε τὴν πόλιν ἑλλήνων ἔφασαν. οὐ γὰρ ἂν ἀνδριάντας καὶ ναοὺς ἐγκαθιδρῦσαι, ἰουδαίοις αὐτὴν ἀνατιθέντα. διὰ ταῦτα μὲν ἠμφισβήτουν ἑκάτεροι. προῄει δὲ αὐτοῖς τὸ φιλόνεικον εἰς ὅπλα, καὶ καθ' ἡμέραν οἱ θρασύτεροι παρ' ἀμφοῖν προεπήδων ἐπὶ μάχην. οὔτε γὰρ ἰουδαίων οἱ γεραιοὶ τοὺς ἰδίους στασιαστὰς κατέχειν, οἷοί τε ἦσαν, καὶ τοῖς ἕλλησιν αἶσχος ἐδόκει ἰουδαίων ἐλαττοῦσθαι. προεῖχον δὲ οἱ μὲν πλούτῳ καὶ σωμάτων ἀλκῇ. τὸ δὲ ἑλληνικὸν τῇ παρὰ τῶν στρατιωτῶν ἀμύνῃ. τὸ γὰρ πλέον ῥωμαίοις τῆς ἐκεῖ δυνάμεως ἐκ συρίας ἦν κατειλεγμένον, καὶ καθάπερ συγγενεῖς, ἦσαν εἰς τὰς βοηθείας ἕτοιμοι. τοῖς γε μὴν ἐπάρχοις φροντὶς ἦν ἀναστέλλειν τὴν ταραχήν, καὶ τοὺς μαχιμωτέρους ἑκατέρωθεν ἀεὶ συλλαμβάνοντες ἐκόλαζον μάστιξι καὶ δεσμοῖς. οὐ μὴν τὰ πάθη τῶν συλλαμβανομένων ἐνεποίει τοῖς καταλειπομένοις ἀνακοπὴν ἢ δέος, ἀλλ' ἔτι μᾶλλον παρωξύνοντο πρὸς τὴν στάσιν. νικῶντας δέ ποτε τοὺς ἰουδαίους, παρελθὼν εἰς τὴν ἀγορὰν ὁ φῆλιξ, μετ' ἀπειλῆς ἐκέλευσεν ἀναχωρεῖν. τῶν δὲ μὴ πειθομένων, ἐπιπέμψας τοὺς στρατιώτας, ἀναιρεῖ συχνούς, ὧν διαρπαγῆναι συνέβη καὶ τὰς οὐσίας. μενούσης δὲ τῆς στάσεως, ἐπιλέξας ἑκατέρωθεν τοὺς γνωρίμους, ἔπεμψε πρέσβεις ἐπὶ νέρωνα, διαλεξομένους περὶ τῶν δικαίων.

A Felix (videbantur quippe semina defectionis esse) mittens equites atque pedites armatos, magnam multitudinem interfecit. Maiore autem plaga Iudæos afflixit Ægyptius quidam pseudopropheta. Adueniens quippe in prouinciam, magus cùm esset, prophetæ opinionem sibi arrogans, triginta fermè millia hominum congregauit, quos vana seductione deceperat. Et circumducens eos de solitudine in montem, qui vocatur Oliuarum, inde ad Hierosolymam B nitebatur ascendere: depulsóque Romanorum præsidio, in populares exercere dominationem. Vtebatur autem stipatoribus, qui ad id facinus conuenerant. Præuidit sanè eius impetum Felix, & occurrens cum ipsis Romanis armatis, quos etiam Iudæorum reliqua multitudo iuuabat, iniit conflictum. Et Ægyptius quidem cum paucis fugit. Plurimi autem, qui cum ipso fuerant comprehensi atque vinculis traditi sunt. Reliqua verò multitudo in regio- C nes proprias dispersa est. Compressis verò his etiam, sicut ferè in ægro corpore, rursus pars altera tumescebat. Magi enim quidam & latrones collecti, multis afflictionem inducebant: & quasi ad libertatem vocabant mortem apertissimam comminantes his, qui Romanorum principatui obedire voluissent: vt vel reluctantes auerterent eos, qui spontaneam ferrent seruitutem. Dispersi ergo per totam regionem diripiebant quorumque potentium domos, D eósque insuper trucidabant: inflammabant etiam vicos, ita vt desperatione eorum tota Iudæa protinus impleretur. Et hoc quidem bellum indies ingrauescebat. Alter autem tumultus ortus est circa Cæsaream, inter Iudæos scilicet, qui ibi permixti habitabant, & Syros, seditione commota. Hi siquidem postulabant, vt eorum fieret ciuitas, Iudæum eius fuisse conditorem dicentes: erat autem rex Herodes. Æmuli verò conditorem quidem E confitebantur Iudæum, ipsam verò ciuitatem fuisse gentilium vindicabant. Neque enim illic statuas & fana potuisse constitui, si ad Iudæos eam conditor pertinere voluisset. Ob has ergo causas inter se populus vterque iurgabat. Procedebat autem vsque ad arma contentio: & quotidie ad confligendum audaces quique partis alterutræ prosiliebant. Neque enim Iudæorum seniores cohibere tumultus gentis suæ poterant: & Græcis turpissimum F videbatur, Iudæis inferiores videri. Præstabant autem hi quidem diuitiis & corporum viribus. Græci verò auxilio militum: magna siquidem pars Romanæ manus, de Syria illò fuerat congregata: & quasi cognati, ad auxiliandum parati erant Syris. Præfecti autem militum curabant comprimere tumultum: & pugnaces quosque comprehensos, taureis vlciscebantur ac vinculis. Nec tamen supplicia comprehensorum, impedimentum aut timo- G rem reliquis inferebant: imò magis hoc ipso in seditionis irritabantur augmentum. Tunc demum Felix minaci edicto præcepit contumaces quosque vrbe discedere: non parentium autem immissis militibus interfecit non paucos, quorum etiam bona direpta sunt. Manente autem seditione, nobiles vtriusque partis electos, legatos misit ad Neronem, de iure disceptaturos.

Ant. li. 20. cap. 12.

Successit autem ei Festus, & hos qui maximè infestabant prouinciam solicitè persecutus: latronum plurimos comprehendit atque interfecit.

Cap. XIII. De praesidibus Iudaeae Albino & Floro. *Ant. li. 20. cap. 15.*

VErùm successor eius Albinus non eodem modo negotiis praefuit, neque enim fuit aliqua malignitatis species, quam ille praeterierit. Denique non solùm causis ciuilibus furabatur & diripiebat bona singulorum, neque solùm tributorum additamentis in commune gentem grauabat: sed etiam quos ob latrocinia decuriones ciuitatum comprehenderunt, vel qui à prioribus iudicibus in custodiis erant relicti, accepta à cognatis eorum pecunia, liberauit: & is solùm qui non dedisset, in carceribus quasi nocentissimus remanebat. Per idem tempus, eorum quoque qui res nouare cupiebant, in Hierosolymis crescit audacia. Ex quibus sanè, qui erant opulenti Albinum largitione redimebant, vt eis tumultum mouentibus non indignaretur: pars autem popularis quae non satis gaudebat quiete, Albini participibus iungebatur. Vnusquisque ergo improborum cohorte propria circundatus, ipse quidem inter caeteros quasi princeps latronum & tyrannus eminebat: stipatoribus verò suis ad direptionem mediocrium abutebatur. Ita fiebat, vt hi quidem quorum vastabantur domus, tacerent: illi autem qui extra incommodum stetissent, metu ne similia paterentur, etiam officiis ambirent eos, quos constabat dignos esse suppliciis. In commune autem omnium fuit intercepta fiducia. & erat tunc multiplex dominatio, & semina captiuitatis futurae iam ab illo tempore spargebantur. Cùm sanè eiusmodi morum fuisset Albinus, tamen succedens ei Gessius Florus, optimum eum per comparationem sui fecit videri. Ille siquidem plura occultè & cum fraude nocuerat: Gessius verò iniquitates suas in vniuersam gentem, tam palàm quasi gloriaretur exercuit: ac velut non ad regendam prouinciam, sed ad damnatorum poenas carnifex missus, neque rapinarum vllum morem, neque afflictionum praetermisit. In miseris autem crudelissimus erat, in turpibus verò impudentissimus. Neque enim quis illo amplius offendit fallacia veritatem, neque commentus est callidiores nocendi vias. Huic siquidem viritim illatis dispendiis lucra quaerere exiguum visum est: sed totas simul despoliabat vrbes, & labes populis inferebat, tantùm non voce per totam regionem edicens, liberum esse omnibus latrocinari, dum ipse praedarum acciperet portionem. Denique ob illius auaritiam contigit totam penè deseri regionem, ita vt plurimi sedes patrias relinquentes, ad externas prouincias commigrarent. Donec autem in Syria Cestius Gallus prouinciam regebat, neque ausus quisquam Iudaeorum est aduersus Florum ad eum mittere legatos. Cùm verò instante azymorum solennitate ipse Hierosolymam venisset, occurrens multitudo, quae facilè tricies centenorum millium fuit, precabatur, vt gentis suae calamitatibus subueniret, & pestem illam prouinciae Florum, vt eiiceret clamitabat. Qui tamen cùm sub populi ore esset, & Gallo assisteret, non solùm nihil mouebatur, sed voces illas etiam deridebat. Cestius tamen compescens impetum populi, & edicens quod deinceps placatiorem eis Florum redderet, regressus est

Ant. li. 20. cap. 1.

Κεφ. κδ.

ΔΙαδεξάμενος δὲ παρὰ τούτου τὴν ἐπιτροπὴν φῆστος, τὸ μάλιστα λυμαινόμενον τὴν χώραν ἐπεξῄει. τῶν γοῦν λῃστῶν συνέλαβε τοὺς πλείστους, καὶ διέφθειρεν οὐκ ὀλίγους. ἀλλ' οὐχ ὁ μετὰ φῆστον ἀλβῖνος τὸν αὐτὸν τρόπον ἐξηγήσατο τῶν πραγμάτων. οὐκ ἔστι δὲ ἥντινα κακουργίας ἰδέαν παρέλιπεν. οὐ μόνον γοῦν ἐν τοῖς πολιτικοῖς πράγμασιν ἔκλεπτε καὶ διήρπαζε τὴν ἑκάστων οὐσίαν, οὐδὲ τὸ πᾶν ἔθνος ἐβάρει ταῖς εἰσφοραῖς, ἀλλὰ καὶ τοὺς ἐπὶ λῃστείᾳ δεδεμένους ὑπὸ τῆς παρ' ἑκάστοις βουλῆς, ἢ τῶν προτέρων ἐπιτρόπων, ἀπελύτρου τοῖς συγγενέσι, καὶ μόνος ὁ μὴ δοὺς, τοῖς δεσμωτηρίοις ὡς πονηρὸς ἐγκατελείπετο. τηνικαῦτα καὶ τῶν νεωτερίζειν βουλομένων ἐν ἱεροσολύμοις, ἐθάρσησαν αἱ τόλμαι, καὶ χρήμασι μὲν οἱ δυνατοὶ τὸν ἀλβῖνον προσελάμβανον, ὥστε τοῦ στασιάζειν αὐτοῖς παρέχειν ἄδειαν. τοῦ δημοτικοῦ δὲ τὸ μὴ χαῖρον ἡσυχίᾳ πρὸς τοὺς ἀλβίνου κοινωνοὺς ἀπέκλινεν. ἕκαστος δὲ τῶν πονηρῶν, ἴδιον στῖφος ὑπεζωσμένος, αὐτὸς μὲν ὥσπερ ἀρχιλῃστὴς ἢ τύραννος προανεῖχεν ἐκ τοῦ λόχου. τοῖς δορυφοροῦσι δὲ, πρὸς ἁρπαγὰς τῶν μετρίων κατεχρῆτο. συνέβαινε δὲ, τοὺς μὲν ἀφῃρημένους ὑπὲρ ὧν ἀγανακτεῖν ἐχρῆν, σιωπᾶν. τοὺς ἄπληγας δὲ, δέει τοῦ μὴ τὰ αὐτὰ παθεῖν, καὶ κολακεύειν τὸν ἄξιον κολάσεως. καθόλου δὲ ἡ μὲν παῤῥησία πάντων περιεκέκοπτο, τυραννὶς δὲ ἦν διὰ πλειόνων, καὶ τὰ σπέρματα τῆς μελλούσης ἁλώσεως ἐκ τότε τῇ πόλει κατεβάλλετο. τοιοῦτον δὲ ὄντα τὸν ἀλβῖνον, ἀπέδειξεν ὁ μετὰ τοῦτον ἐλθὼν γέσσιος φλῶρος, ἀγαθώτατον κατὰ σύγκρισιν. ὁ μέν γε λάθρα τὰ πολλὰ, καὶ μεθ' ὑποστολῆς ἐκακούργησε. γέσσιος δὲ τὰς εἰς τὸ ἔθνος παρανομίας ἐπόμπευσε, καὶ ὥσπερ ἐπὶ τιμωρίᾳ κατακρίτων πεμφθεὶς δήμιος, οὔτε ἁρπαγῆς τινὰ τρόπον, οὔτε αἰκίας παρέπεμπεν. ἦν δὲ ἐν τοῖς ἐλεεινοῖς, ὠμότατος, ἐν δὲ τοῖς αἰσχροῖς, ἀναιδέστατος. οὔτε δὲ πλείω τις ἀπιστίαν τῆς ἀληθείας κατέχεεν, οὔτε ἐν τῷ πανουργεῖν δολιωτέρας ὁδοὺς ἐπενόησεν. ᾧ τὸ μὲν κατ' ἄνδρα κερδαίνειν, μικρὸν ἐδόκει. πόλεις δὲ ὅλας ἐξεδίδυσκε, καὶ δήμους ἀθρόους ἐλυμαίνετο, καὶ μόνον οὐκ ἐκήρυξεν ἀνὰ τὴν χώραν πᾶσιν ἐξεῖναι λῃστεύειν, ἐφ' ᾧ μέρος αὐτὸς λήψεται τῶν λαφύρων. διὰ γοῦν τὴν ἐκείνου πλεονεξίαν, πάσας ἐρημωθῆναι συνέβη τὰς τοπαρχίας, καὶ πολλοὺς τῶν πατρίων ἠθῶν ἐξαναστάντας, φυγεῖν εἰς τὰς ἀλλοτρίους ἐπαρχίας. μέχρι μὲν οὖν ἐν συρίᾳ κέστιος γάλλος ἦν προδιέπων τὴν ἐπαρχίαν, οὐδὲ πρεσβεύσασθαί τις πρὸς αὐτὸν ἐτόλμησε κατὰ τοῦ φλώρου. παραγενόμενον δὲ εἰς ἱεροσόλυμα, τῆς τῶν ἀζύμων ἑορτῆς ἐνστάσης, περιστὰς ὁ δῆμος οὐκ ἐλάττους τριακοσίων μυριάδων, ἱκέτευον ἐλεῆσαι τὰς τοῦ ἔθνους συμφορὰς, καὶ τὸν λυμεῶνα τῆς χώρας φλῶρον ἐκεκράγεσαν. ὁ δὲ παρὼν, καὶ τῷ κεστίῳ παρεστὼς, διεχλεύαζε τὰς φωνάς. ὅ γε μὴν κέστιος τὴν ὁρμὴν τοῦ πλήθους καταστείλας, καὶ δοὺς ἔμφασιν, ὡς πρὸς τὸ μέλλον αὐτοῖς τὸν φλῶρον κατασκευάσει μετριώτερον, ὑπέστρεψεν

εἰς ἀν-

εἰς ἀντιόχειαν. παρέπεμπε δ' αὐτὸν μέχρι καισαρείας φλῶρος ἐξαπατῶν, καὶ πόλεμον ἤδη τῷ ἔθνει θυμούμενος ἐπορίζετο, ᾧ μόνῳ συγκρύψειν τὰς αὐτοῦ παρανομίας ὑπελάμβανεν. εἰρήνης μὲν γὰρ οὔσης, κατηγόρους ἕξειν ἐπὶ καίσαρος ἰουδαίους προσεδόκα. πραγματευσάμενος δὲ ἀπόστασιν αὐτῶν, τῷ μείζονι κακῷ περισπάσειν τὸν ἔλεγχον αὐτοῦ ἀπὸ τῶν μετριωτέρων. ὁ μὲν οὖν ὡς ἂν ἀπορραγείη τὸ ἔθνος, καθ' ἡμέραν ἐπέτεινεν αὐτοῖς τὰς συμφοράς.

Κεφ. ιε.

Ἐν δὲ τούτῳ καὶ οἱ καισαρέων ἕλληνες, νικήσαντες παρὰ νέρωνι τῆς πόλεως ἀρχήν, τὰ τῆς κρίσεως ἐκόμισαν γράμματα, καὶ προσελάμβανεν τὴν ἀρχὴν ὁ πόλεμος, δωδεκάτῳ μὲν ἔτει τῆς νέρωνος ἡγεμονίας, ἑπτακαιδεκάτῳ δὲ τῆς ἀγρίππα βασιλείας, ἀρτεμισίου μηνός. πρὸς δὲ τὸ μέγεθος τῶν ἐξ αὐτοῦ συμφορῶν, οὐκ ἀξίαν ἔσχε πρόφασιν. οἱ γὰρ ἐν καισαρείᾳ ἰουδαῖοι, συναγωγὴν ἔχοντες παρὰ χωρίον, οὗ δεσπότης ἦν τις ἕλλην καισαρεύς, πολλάκις μὲν κτήσασθαι τὸν τόπον ἐσπούδασαν, τιμὴν πολλαπλασίονα τῆς ἀξίας διδόντες. ὡς δὲ ὑπερορῶν τὰς δεήσεις, πρὸς ἐπήρειαν ἔτι καὶ προσῳκοδόμει τὸ χωρίον ἐκεῖνος, ἐργαστήρια κατασκευαζόμενος, στενὴν δὲ καὶ παντάπασι βιαίαν πάροδον ἀπέλιπεν αὐτοῖς, τὸ μὲν πρῶτον οἱ θερμότεροι τῶν νέων προπηδῶντες, οἰκοδομεῖν ἐκώλυον. ὡς δὲ τούτους εἶργε τῆς βίας φλῶρος, ἀμηχανοῦντες οἱ δυνατοὶ τῶν ἰουδαίων, σὺν οἷς ὁ τελώνης ἰωάννης, πείθουσι τὸν φλῶρον ἀργυρίου ταλάντοις ὀκτὼ, διακωλῦσαι τὸ ἔργον. ὁ δὲ πρὸς μόνον τὸ λαβεῖν ὑποσχόμενος πάντα συμπράξειν, λαβὼν, ἔξεισι τῆς καισαρείας εἰς σεβαστὴν, καὶ καταλείπει τὴν στάσιν αὐτεξούσιον, ὥσπερ ἄδειαν πεπρακὼς ἰουδαίοις τοῦ μάχεσθαι. τῆς δ' ἐπιούσης ἡμέρας ἑβδομάδος οὔσης, τῶν ἰουδαίων εἰς τὴν συναγωγὴν ἀθροισθέντων, στασιαστής τις καισαρεὺς γάστραν καταστρέψας, καὶ παρὰ τὴν εἴσοδον αὐτῶν θέμενος, ἐπέθυεν ὄρνεις. τοῦτο τοὺς ἰουδαίους ἀνηκέστως παρώξυνεν, ὡς ὑβρισμένων αὐτοῖς τῶν νόμων, μεμιασμένου δὲ τοῦ χωρίου. τὸ μὲν οὖν εὐσταθὲς καὶ πρᾶον, ἐπὶ τοὺς ἡγεμόνας καταφεύγειν πάλιν ᾤετο χρῆναι. τὸ στασιῶδες δὲ καὶ ἐν νεότητι φλεγμαῖνον, ἐξεκαίετο πρὸς μάχην. παρεσκευασμένοι δ' εἱστήκεσαν οἱ τῶν καισαρέων στασιασταί. τὸν γὰρ ἐπιθύσαντα προπεπόμφεσαν ἐκ συντάγματος, καὶ ταχέως ἐγένετο ἡ συμβολή. προσελθὼν δὲ ἰούκουνδος ὁ διακωλύειν τεταγμένος ἱππάρχης, τήν τε γάστραν αἴρει, καὶ καταπαύειν ἐπειρᾶτο τὴν στάσιν. ἡττωμένου δὲ αὐτοῦ τῆς τῶν καισαρέων βίας, ἰουδαῖοι τοὺς νόμους ἁρπάσαντες, ἀνεχώρησαν εἰς νάρβατα. χώρα τις αὐτῶν οὕτω καλεῖται, σταδίους ἑξήκοντα διέχουσα τῆς καισαρείας. οἱ δὲ περὶ τὸν ἰωάννην δυνατοὶ δώδεκα πρὸς φλῶρον ἐλθόντες εἰς σεβαστὴν, ἀπωδύροντο περὶ τῶν πεπραγμένων, καὶ βοηθεῖν ἱκέτευον, αἰδημόνως ὑπομιμνήσκοντες τῶν ὀκτὼ ταλάντων. ὁ δὲ καὶ συλλαβὼν ἔδησε τοὺς ἄνδρας, αἰτιώμενος ὑπὲρ τοῦ τοὺς νόμους ἐξενεγκεῖν τῆς καισαρείας. πρὸς τοῦτο τῶν ἐν ἱεροσολύμοις ἀγανάκτησις ἦν, ἔτι μέντοι, καὶ τοὺς

A Antiochiam. Deduxit autem eum vſque ad Cæſaream Florus, illudens mendaciis, & Iudæorum genti bellum ſedulò comminiſcens, quo ſcilicet ſolo iniquitates ſuas occultari poſſe credebat. Pace ſiquidem permanente, habiturum ſe apud Cæſarem accuſatores Iudæos: verùm ſi defectionem negotiatus fuiſſet, maiore vtique malo abducendam à ſe eſſe inuidiam peccatorum minorum. Igitur vt gens ab Romano abrumperetur imperio, ſedulò B indies augebat calamitates. Per idem tempus apud Neronem Cæſarienſes gentiles victores extitêre, decretúmque iſtud conteſtantes literas attulerunt: pérque hoc bello Iudaico dabatur exordium, duodecimo ſcilicet anno regni Neronis, decimoſeptimo autem regni Agrippæ menſe Maio.

Cap XIIII. De Floro ſæuiente in Iudæos, Cæſarienſes & Hieroſolymitas. *Ant. li. 20. cap. 15.*

Ad magnitudinem autem excitatorum de eo malorum, nequaquam idoneas cauſas habuiſſe deprehenditur. In Cæſarea ſiquidem habitantes Iudæi, habebant ſynagogam prope locum, cuius erat dominus gentilis quidam Cæſarienſis. & frequenter quidem ege- C rant, vt ad eorum ius illa poſſeſſio iungeretur, multis partibus maius precium quàm res meruerat offerentes: dominus autem loci preces eorum deſpexiſſe non contentus, ad maiorem dolorem ædificauit in loco tabernas, ita vt anguſtũ eis tranſitum & prorſus coarctatum relinqueret. Primùm igitur feruentiores aliqui iuuenum proſilientes, ędificationem vetabant. Cùm verò Florus hos à prohibendo cohiberet, non habẽtes Iudæorum nobiles quid agerent, inter quos erat etiam Ioannes publicanus, in- D ducunt Florum oblatione octo talentorum, vt ædificationem vetaret. Ille autem ob capiendum tantummodo, promittẽs ſe cuncta facturum, accepta pecunia ſtatim de Cæſarea egreſſus eſt, venítque in Sebaſten, ſeditioni tribuens facultatem, quaſi qui pugnæ ſpatium Iudæorum ſummatibus vendidiſſet. Sequenti autem die, Iudæorum ſabbato, cùm plebs ad ſynagogam coiſſet, ſeditioſus quidam Cæſarienſis vas Samium ante ingreſſum eorum ponens, alites immolabat. Hoc factum Iudæos incoer- E cibiliter accendit, & legem ſuam quippe contumeliam pertuliſſe, & locum ipſum dicebant fuiſſe pollutum. pars autem Iudæorum, quæ erat conſtantior atque moderatior, denuò apud iudices eſſe conquerendum rebatur. Seditioſi autem & iuuentute turgentes Iudæi, effundebantur in rixam. Stabant autem ad confligendum parati etiam Cæſarienſium tumultuoſiores. Ex compoſito quippe miſſus fuerat, qui F pro ſynagogæ foribus immolaret: ſicque continuò eſt pugna commiſſa. Interueniens autem Iucundus, qui ad prohibendum erat relictus, præfectus equitum, vas illud quidem quod poſitum fuerat iuſſit auferri, & tumultum ſedare pergebat. Cùm verò ſuperatus eſſet præ Cæſarienſium violẽtia, Iudæi ſtatim libros legis rapientes ſeceſſerunt in Nabata: regio quædam eorum hoc nomine appellatur, direpta à Cæſa- G rea ſtadiis ſexaginta. Primates autẽ eorum duodecim, cum Iohanne in Sebaſtẽ ad Florũ venerũt, de his quę acciderãt cõquerentes, & vt auxilio eſſet rogabãt, quãuis reuererẽtur, tamẽ eum & de octo talẽtis admonẽtes. Ille verò ilico comprehenſos eos vinciri iuſſit, arguens cur leges de Cæſarea auferre auſi fuiſſent. ob hoc igitur apud Hieroſolymitanas grauiſſima indignatio naſcebatur: verũtamen adhuc

iram suam frenabant. Florus verò, quasi ad hoc operam suam locasset, vt bellum inflammaret, misit ad sacrum thesaurum, vt inde decem & septem talenta auferrentur, quasi eam pecuniam impensæ Cæsaris flagitaret. Tunc verò statim inuasit populum multa confusio: concurrentes ad templum, maximis vocibus nomen Cæsaris appellabant, vt à tyrannide Flori liberarentur orantes. Quidam autem seditiosorum in Florum maledicta iaciebant vltima: & canistrum circumferentes stipem eius nomine postulabant, quasi inops & miserrimus talibus indigeret auxiliis. His autem omnibus nihil est à cupiditate deterritus, sed multò magis ad deprædandum irritatus est. Denique cùm deberet Cæsaream veniens ignem belli illic nascentis extinguere, causásque tumultuum submouere, pro quo etiam mercedem acceperat pactus: tamen cum exercitu equitum atque peditum Hierosolymam contendit, vt Romanis armis ad quod volebat vteretur, ac timore & minis vrbem circumdaret. Tunc populus lenire eius impetum volens, obuiam militibus processit, cum solitis vtique fauoribus, & Florum honorare officiis paratus. Ille verò præmittens cum equitibus quinquaginta centurionem, nomine Capitonem, discedere eos iussit: Néve eum, in quem tam grauia maledicta iecissent, falso denuò honore deluderent. Oportere quippe eos, si viri sunt fortes, animique constantis, etiam in præsentem effundere cótumelias: nec solùm in verbis, sed etiam in armis amorem libertatis ostendere. His dictis exterrita multitudo, simul etiam militibus, qui cum Capitone venerāt, in medium vulgus irruentibus, diffugerunt, antequàm Florum salutarent, aut militibus officia consueta redderēt. Discedētes igitur in domos, cum metu atque humilitate peruigilem duxêre noctem. Florus autē tunc quidem degit in regia, postridie autem aduersum eos extructo tribunali sublimiùs resedit: conuenientésq; sacerdotū principes, & ciuitatis vniuersa nobilitas, astiterunt tribunali. His præcepit Florus, vt omnes qui maledicta in eū succlamassent, protinus dederēt: edicens in ipsos esse, nisi reos produxerint, vindicandū. Ad hæc respódent Iudæi, populum quidem pacifica quæque sentire, illis verò qui errauissent in verbis, veniam conferédam postulabant. In tanta siquidē multitudine, nihil esse mirandū, offendi aliquos temerarios, & per ætatem insipientes: esse autē impossibile eorum qui deliquerint, discrimen agitari, cùm & singulos nimirū pœniteat, & præ timore ad negandū sint parati. debere tamen illum si consuleret gētis quieti, & vellet Romano imperio seruare vrbem, magis propter multos innoxios dare veniam etiam paucis delinquētibus, quàm propter paucos improbos perturbare multitudinem tantam bonorū. Ad hæc verò ille magna indignatione inflammatus, militibus exclamauit, vt forum rerum venalium, quod erat in superiori parte ciuitatis, diriperent, ac passim obuios trucidarēt. Illi verò ad lucri sui cupidinem addita autoritate rectoris, non solùm illum diripuerunt locū in quem fuerant immissi, sed in vniuersas insilientes domos, interficiebant habitatores. Fuga autem erat per angiporta omnia, & cædes eorum qui comprehendebantur: direptionis quoque nulla species præteribatur. Multos autem etiam nobilium comprehendentes adduxerunt ad

θυμοὺς κατεῖχον. ὁ δὲ φλῶρος ὥσπερ ἐργολαβήσας, ἐκριπίζει τὸν πόλεμον, καὶ πέμψας ἐπὶ τὸν ἱερὸν θησαυρὸν, ἐξαιρεῖ ἑπτακαίδεκα τάλαντα σκηψάμενος εἰς τὰς καίσαρος χρείας. σύγχυσις δ' εὐθέως εἶχε τὸν δῆμον, καὶ συνδραμόντες εἰς τὸ ἱερὸν βοαῖς διαπρυσίοις, καὶ τὸ καίσαρος ἀνεκάλουν ὄνομα, καὶ τῆς φλώρου τυραννίδος ἠλευθερῶσθαι σφᾶς ἱκέτευον. ἔνιοι δὲ τῶν στασιαστῶν λοιδορίας αἰσχίστας εἰς τὸν φλῶρον ἐκεκράγεσαν, καὶ κανοῦν ἐπιφέροντες ἐπῄτουν αὐτῷ κέρμα, καθάπερ ἀκλήρῳ καὶ ταλαιπώρῳ. τούτοις οὐκ ἐνετράπη τὴν φιλαργυρίαν, ἀλλ' ἐπὶ τὸ μᾶλλον χρηματίσασθαι παρωξύνθη. δέον γοῦν εἰς καισάρειαν ἐλθόντα σβέσαι τὸ τοῦ πολέμου πῦρ ἐκεῖθεν ἀρχόμενον, καὶ τῆς ταραχῆς αἴρειν τὰς αἰτίας, ἐφ' ᾧ καὶ μισθὸν ἔλαβεν, ὁ δὲ μετὰ στρατιᾶς ἱππικῆς τε καὶ πεζικῆς, ἐπὶ ἱεροσολύμων ὥρμησεν, ἵνα τοῖς ῥωμαίων ὅπλοις ἐργάζηται, καὶ τῷ δέει καὶ ταῖς ἀπειλαῖς περιδύσῃ τὴν πόλιν. ὁ δὲ δῆμος προδυσωπῆσαι τὴν ὁρμὴν αὐτοῦ βουλόμενος, ὑπαντᾷ τοῖς στρατιώταις μετ' εὐφημίας, καὶ τὸν φλῶρον θεραπευτικῶς ἐκδέχεσθαι παρεσκευάσατο. κἀκεῖνος προπέμψας σὺν ἱππεῦσι πεντήκοντα καπίτωνα ἑκατοντάρχην, ἀναχωρεῖν αὐτοὺς ἐκέλευσε, καὶ μὴ πρὸς ὃν οὕτως ἐλοιδόρησαν αἰσχρῶς, εἰρωνεύεσθαι τὰς νῦν φιλοφρονήσεις. δεῖν γὰρ αὐτοὺς εἴπερ γενναῖοί εἰσι καὶ παρρησιασταὶ, σκώπτειν μὲν αὐτὸν καὶ παρόντα. φαίνεσθαι δὲ μὴ μόνον ἐν τοῖς λόγοις, ἀλλὰ καὶ ἐν τοῖς ὅπλοις φιλελευθέρους. οὕτω καταπλαγὲν τὸ πλῆθος, ἅμα καὶ τῶν περὶ καπίτωνα ἱππέων εἰς μέσους φερομένων, διεσκεδάσθη, πρὶν ἀσπάσασθαι τὸν φλῶρον, ἢ τοῖς στρατιώταις φανερὸν ποιῆσαι τὸ πειθήνιον. ἀναχωρήσαντες δὲ εἰς τὰς οἰκίας μετὰ δέους καὶ ταπεινότητος διενυκτέρευσαν. φλῶρος δὲ τότε μὲν ἐν τοῖς βασιλείοις αὐλίζεται. τῇ δ' ὑστεραίᾳ βῆμα πρὸ αὐτῶν θέμενος καθίζεται, καὶ προσελθόντες οἵ τε ἀρχιερεῖς καὶ δυνατοὶ, τό τε γνωριμώτατον τῆς πόλεως πᾶν, παρέστησαν τῷ βήματι. τούτοις ὁ φλῶρος ἐκέλευσε τοὺς λοιδορήσαντας αὐτὸν ἐκδοῦναι, φάμενος αὐτοὺς ἀπολαύσειν τῆς ἀμύνης, εἰ μὴ προσάγοιεν τοὺς αἰτίους. οἱ δὲ τὸν μὲν δῆμον ἀπέφαινον εἰρηνικὰ φρονοῦντα, τοῖς δὲ παραφθεγξαμένοις ᾐτοῦντο συγγνώμην. ἐν γὰρ τοσούτῳ πλήθει, θαυμαστὸν οὐδὲν εἶναί τινας θρασυτέρους, καὶ δι' ἡλικίαν ἄφρονας. ἀμήχανον δὲ τῶν ἡμαρτηκότων τὴν διάκρισιν γενέσθαι, ἑκάστου μετανοοῦντός τε, καὶ δι' ἃ δέδοικεν ἀρνησομένου. δεῖν μέντοι γε ἐκεῖνον προνοεῖν τῆς κατὰ τὸ ἔθνος εἰρήνης, καὶ βουλεύεσθαι ῥωμαίοις περισώζειν τὴν πόλιν, καὶ μᾶλλον διὰ τοὺς πολλοὺς ἀκαταιτιάτους, συγγνῶναι καὶ τοῖς ὀλίγοις πλημμελήμασιν, ἢ δι' ὀλίγους πονηροὺς ταράξαι δῆμον ἀγαθὸν τοσοῦτον. πρὸς ταῦτα μᾶλλον παροξυνθεὶς, ἐμβοᾷ τοῖς στρατιώταις διαρπάζειν τὴν ἄνω καλουμένην ἀγορὰν, καὶ κτείνειν τοὺς ἐντυγχάνοντας. οἱ δ' ἐπιθυμίᾳ κέρδους προσλαμβάνοντες ἡγεμονικὴν παρακέλευσιν, οὐ μόνον ἐφ' ὃν ἐπέμφθησαν τόπον ἥρπαζον, ἀλλ' εἰς πάσας ἐμπηδῶντες τὰς οἰκίας, ἔσφαζον τοὺς οἰκήτορας. φυγὴ δ' ἦν ἐκ τῶν στενωπῶν, καὶ φόνος τῶν καταλαμβανομένων, τρόπος τε ἁρπαγῆς οὐδεὶς παρελιμπάνετο. καὶ πολλοὺς τῶν μετρίων συλλαμβάνοντες, ἐπὶ τὸν

φλῶρον

τῷ Ἰωακίμου Φιλίππῳ. τούτοις θαρσήσαντες οἱ δυνατοὶ σὺν τοῖς ἀρχιερεῦσι, καὶ πᾶν ὅσον τοῦ πλήθους εἰρήνην ἠγάπα, τὴν ἄνω καταλαμβάνονται πόλιν. τῆς κάτω γὰρ τὸ στασιάζον ἐκράτει, καὶ τοῦ ἱεροῦ. χερμάσι μὲν οὖν καὶ τοῖς ἐκηβόλοις ἀδιαλείπτως ἐχρῶντο, καὶ συνεχεῖς ἦσαν βελῶν ἀφέσεις ἐξ ἑκατέρων τῶν κλιμάτων. ἔστι δὲ ὅτε καὶ κατὰ λόχους ἐκτρέχοντες, συστάδην ἐμάχοντο, τόλμαις μὲν οἱ στασιασταὶ προέχοντες, ἐμπειρίᾳ δὲ οἱ βασιλικοί. καὶ τούτοις μὲν ἦν ἀγὼν τοῦ ἱεροῦ κρατῆσαι μάλιστα, καὶ τοὺς μιαίνοντας τὸν ναὸν ἐξελάσαι. τοῖς δὲ περὶ τὸν Ἐλεάζαρον στασιασταῖς, πρὸς οἷς εἶχον καὶ τὴν ἄνω πόλιν προσλαβεῖν. ἑπτὰ μὲν οὖν ἡμέραις συχνὸς ἀμφοτέρων φόνος ἐγίνετο. οὐδέτεροι δὲ τοῦ καταληφθέντος μέρους εἶκον. τῇ δὲ ἑξῆς τῶν ξυλοφορίων ἑορτῆς οὔσης, ἐν ᾗ πᾶσιν ἔθος ὕλην τῷ βωμῷ προσφέρειν, ὅπως μή ποτε τροφὴ τῷ πυρὶ λείποιτο, διαμένει γὰρ ἄσβεστον ἀεί, τοὺς μὲν διαφόρους τῆς θρησκείας ἐξέκλεισαν. τῷ δὲ ἀσθενεῖ λαῷ συνεισρυέντας πολλοὺς τῶν σικαρίων, οὕτω γὰρ ἐκάλουν τοὺς λῃστὰς ἔχοντας ὑπὸ τοῖς κόλποις ξίφη, προσλαβόντες θαρραλεώτερον ἥπτοντο τῆς ἐπιθέσεως. ἡττῶντο δὲ οἱ βασιλικοί, πλήθει τε καὶ τόλμῃ, καὶ βιαζομένοις εἶκον ἐκ τῆς ἄνω πόλεως. οἱ δὲ ἐπιπεσόντες, τήν τε Ἀνανίου τοῦ ἀρχιερέως οἰκίαν, καὶ τὰ Ἀγρίππα καὶ τὰ Βερνίκης βασίλεια κατέκαυσαν. μεθ' ἃ τὸ πῦρ ἐπὶ τὰ ἀρχεῖα ἔφερον, ἀφανίσαι σπεύδοντες τὰ συμβόλαια τῶν δεδανεικότων, καὶ τὰς εἰσπράξεις ἀποκόψαι τῶν χρεῶν, ὅπως αὐτοί τε πλῆθος προσλάβωσι τῶν ὠφεληθέντων, καὶ μετ' ἀδείας τοῖς εὐπόροις ἐπαναστήσωσι τοὺς ἀπόρους. φυγόντων δὲ τῶν περὶ τῷ γραμματοφυλακίῳ, τὸ πῦρ ἐνίεσαν. ἐπεὶ δὲ τὰ νεῦρα τῆς πόλεως κατέφλεξαν, ἐπὶ τοὺς ἐχθροὺς ἐχώρουν. ἔνθα δὴ τῶν δυνατῶν, καὶ τῶν ἀρχιερέων, οἱ μὲν εἰς τοὺς ὑπονόμους καταδύντες, διελάνθανον. οἱ δὲ σὺν τοῖς βασιλικοῖς εἰς τὴν ἀνωτέρω φεύγοντες αὐλήν, ταχέως ἀπέκλεισαν τὰς πύλας, σὺν οἷς Ἀνανίας ὁ ἀρχιερεύς, Ἐζεκίας τε ὁ ἀδελφὸς αὐτοῦ καὶ οἱ πρεσβεύσαντες πρὸς Ἀγρίππαν ἦσαν. τότε μὲν οὖν τῇ νίκῃ καὶ τοῖς ἐμπρησθεῖσιν ἀρκεσθέντες ἀνεπαύσαντο. τῇ δὲ ἑξῆς, πεντεκαιδεκάτη δὲ ἦν Λώου μηνός, ὥρμησαν ἐπὶ τὴν Ἀντωνίαν, καὶ τοὺς ἐν αὐτῇ φρουροὺς δυσὶν ἡμέραις πολιορκήσαντες, αὐτούς τε εἷλον καὶ κατέσφαξαν καὶ τὸ φρούριον ἐνέπρησαν. ἔπειτα μετέβαινον εἰς τὴν αὐλήν, εἰς ἣν οἱ βασιλικοὶ κατέφυγον, καὶ διανείμαντες σφᾶς αὐτοὺς εἰς τέσσαρα μέρη, τῶν τειχῶν ἐπειρῶντο. τῶν δὲ ἔνδον πρὸς ἐκδρομὴν μέν, οὐδεὶς ἐθάρρει, διὰ τὸ πλῆθος τῶν ἐφεστώτων. διιστάμενοι δὲ ἐπὶ τὰ θωράκια, καὶ τοὺς πύργους, ἔβαλλον τοὺς προσιόντας, καὶ συχνοὶ τῶν λῃστῶν ἐπὶ τοῖς τείχεσιν ἔπιπτον. οὔτε δὲ νυκτὸς οὔτε ἡμέρας διέλιπεν ἡ συμβολή, τῶν μὲν στασιαστῶν ἀπαγορεύσειν τοὺς ἔνδον οἰομένων ἐνδείᾳ τροφῆς. τῶν δὲ ἔνδοθεν, καμάτῳ τοὺς πολιορκοῦντας.

Κεφ. λϛ. Κὰν τούτῳ Μανάημός τις υἱὸς Ἰούδα τοῦ καλουμένου Γαλιλαίου, ὃς λίαν σοφιστὴς δεινότατος, καὶ ἐπὶ Κυρηνίου ποτὲ Ἰουδαίους ὀνειδίσας, ὅτι Ῥωμαίοις ὑποτάσσονται μετὰ τὸν θεόν,

Philippo Iachimi filio. His ergo venientibus, optimates quique cum pontificibus & omni multitudine quæ optabat quietem, ſuperiorem occupant ciuitatem: inferiorem ſiquidem & templum, ſeditioſorum manus tenebat. Miſſilibus igitur & fundis indeſinenter vtebantur, & continua erat emiſſio ſagittarum ex vtraque ſcilicet parte: erat autem quando ex inſidiis procurrentes cominus dimicabant. Præſtabant autẽ audacia quidẽ ſeditioſi, belli verò ſciẽtia regij. Et his quidem erat propoſitum maximè templum obtinere, profanatoreſque eius expellere. Seditioſis verò qui cum Eleazaro agebant, vt præter ea quæ obtinebant, etiam ſuperiorem inuaderent vrbem. Per ſeptem igitur dies grauis vtriuſque partis cædes fiebat, & neutri de eo loco quem tenuerant depellebantur. Deinceps verò adueniente ea feſtiuitate, quæ Xylophorias dicitur, in qua mos eſt omnibus grandem lignorum materiam conuehere ad templum, quatenus nunquam ignis deficiat eſca (ſemper enim inextinguibilis perſeuerat) aduerſarios quidem à cultu religionis excluſerunt. inter infirmiorem autem vulgum irrumpentes multi ſicariorum (ſic enim vocant latrones, gladios in ſinibus gerentes) recepti audaciſſimè proſequebantur opus quod adorti erant. Regij autem audacia & multitudine vincebantur. Ita ſuperiore ciuitate ceſſerunt, cùm iſti protinus irruentes, Ananiæ pontificis domum, & Agrippæ ac Berenices palatium inflammauerũt: poſt quod ignem archiuo intulerunt, volentes omnia creditorum documenta diſperdere, ne eſſet vnde ratio creditæ pecuniæ pateret, vtque omnem ſibi debitorum adiungerent multitudinem, & aduerſum locupletes egenis præberent inſurgendi facultatem liberam. Fugientibus verò chartarum publicarum cuſtodibus ignem ædibus iniecerunt: atque ita incenſis ciuitatis neruis, in hoſtes irruebant. Quo loco pontificum atque nobilium quidam in cloacis latuerunt, quidam cum regiis in ſuperiorem regiam confugerunt, portas celeriter obſerantes. Inter quos Ananias pontifex, & Eleazarus frater eius erant: & illi quos apud Agrippam functos legatione diximus. Tunc ergo victoria & inflammatione contenti ceſſauerunt. Poſtridie autem, quintadecima ſcilicet die Auguſti menſis, fecerunt impetum in Antoniam: & omnes in eo præſidio agentes, per biduum obſeſſos, ceperunt atque interfecerunt, præſidiúmque incenderunt. poſtea verò tranſierunt in regiam, ad quam confugêre Agrippæ milites: & in quatuor partes agmen ſuum diuidentes, muros euertere moliebantur. eorum verò qui intus erant, erumpere nullus audebat, propter multitudinem oppugnantium: ſed diſtributi per propugnacula & turres, ſubeuntes interficiebant, ac frequentes omnino latrones ſub muris cadebant. Nec die autem conflictus nec nocte ceſſabat: ſeditioſis videlicet exiſtimantibus in deſperationem cogi eos, qui in præſidio erant, propter inopiam victus: regiis verò credentibus oppugnatores ſuos ceſſuros labori. Interea Manahemus quidam, filius Iudæ Galilæi, calidiſſimi illius ſophiſtæ, qui quondam ſub Cyrenio exprobrauerat Iudæis, quòd poſt Deũ ſubiicerentur Romanis:

assumptis quibusdam nobilium, perrexit in Massadam, vbi armamentarium Herodis regis erat. eóque perrupto populares aliósque latrones diligenter armauit. hisque vtens stipatoribus, veluti rex Hierosolymam reuertitur: factúsque princeps seditionis, oppugnationem disponebat. Machinarum autem inopia erat, nec poterat palàm suffodere muros, supernè hostibus tela iacientibus. cuniculum igitur longè cœptum sub vnam turrim agétes suspenderunt eam materie subiecta: ac postea in sustinentia ligna igne immisso egressi sunt. Sicque subiicibus exustis, turris quidem ex templo emota est. alter autem murus intus ædificatus apparuit. Regij quippe molitiones eorum præsentientes, fortè etiam de concussione turris, alium sibi murum celerius ædificauerunt. Inter hæc autem hi quidem qui oppugnabant, & statim se victores credebant, cùm vidissent alium murum stupore defecti sunt: regij tamen ad Manahemum aliósque seditionis principes mittebant, precantes, vt eis discedere liceret. Quod cùm solis regiis eiúsque religionis reliquis Manahemus annuisset, protinus discesserunt. Romanos autem qui soli relicti erant, grandis animi occupauit defectus. Neque enim vi contra tantam multitudinem pares erant: & precari, vt exire liceret ignominiam iudicabant: quanquam & si permitteretur, nequaquam tutum putabant. Derelinquentes igitur inferiorem locum, qui Stratopedon vocabatur, quippe quasi capi facilem, in turres regias confugerunt: quarum vna appellabatur Hippicos, alia Phasaelus, tertia Mariamne. Hi verò qui cum Manahemo erant, protinus irruentes in ea loca è quibus milites fugerant, si quos eorum comprehenderent trucidantes, omnem reliquum apparatū diripientes, Stratopedū incenderunt. Hæc igitur acta sunt sexto die mensis Septembris.

Cap. XVIII. De cæde Ananiæ pontificis, Manahemi, & militum Romanorum.

SEquenti autem die pontifex Ananias circa Euripos regiæ domus latens capitur, & à latronibus interficitur cum Ezechia fratre. Circumsidentes autem etiam turres seditiosi, custodiebant ne quis militum posset effugere. Manahemum autem & munitorum locorum destructio, & pótificis Ananiæ mors, in crudelitatem erexit: & neminem parem sibi in negotiis arbitrans, intolerabilis erat tyrannus. Insurrexerunt autem duo de sociis Eleazari: & mutuo collocuti, quod non decet à Romanis desiderio libertatis deficientes, eandem populari suo prodere, dominúmque ferre, & si non violentum, tamen seipsis humiliorem. nam si oporteat cunctis aliquem præesse, quemuis magis alium quàm illum decère: atque ita pacti, adoriuntur eum in templo. magno enim fastu adoraturus accesserat, regali habitu indutus, & studiosos sui in armis habebat. Cùm igitur hi, qui circa Elezarum erant, in illum prosiluissent, reliquus quoque populus rapiens saxa lapidauit sophistam: existimantes quòd illo interempto tota seditio solueretur. Paululum autem stipatores Manahemi resistentes, postquam viderunt totam aduersum se multitudinem irruère, quisque quò potuit diffugit. Et cædes quidem erat eorum, qui comprehensi sunt, perscrutatio autem latentium sequebatur:

ἀναλαβὼν τοὺς γνωρίμους, ἀνεχώρησεν εἰς Μασάδαν. ἔνθα τὴν Ἡρώδου τοῦ βασιλέως ὁπλοθήκην ἀναρρήξας, καὶ πρὸς τοῖς δημόταις ἑτέρους λῃστὰς καθοπλίσας, τούτοις δὴ χρώμενος δορυφόροις, οἷα δὴ βασιλεὺς ἐπάνεισιν εἰς Ἱεροσόλυμα, καὶ γενόμενος ἡγεμὼν τῆς στάσεως, διέτασσε τὴν πολιορκίαν. ἀπορία δ' ἦν ὀργάνων, καὶ φανερῶς ὑπορύσσειν τὸ τεῖχος οὐχ οἷόν τε ἦν ἄνωθεν βαλλομένους, ὑπόνομον δὲ πόρρωθεν ὑφ' ἕνα τῶν πύργων διορύξαντες, ἀνακρημνᾶσιν αὐτόν. ἔπειτα τὴν ἔχουσαν ὕλην ἐμπρήσαντες ἐξῆλθον. ὑποκαέντων δὲ τῶν στηριγμάτων, ὁ μὲν πύργος ἐξαίφνης κατασείεται, τεῖχος δὲ ἕτερον ἔνδοθεν ἀντῳκοδομημένον διεφάνη. τὴν γὰρ ἐπιβουλὴν αὐτῶν προαισθόμενοι, τάχα καὶ τοῦ πύργου κινηθέντος ὡς ὑπωρύττετο, δεύτερον ἑαυτοῖς ἔρυμα κατεσκεύασαν. πρὸς δὲ τῶν μὲν ἀδοκήτως ἰδόντων, καὶ κρατεῖν ἤδη πεπεισμένων, κατάπληξις ἦν. οἱ δὲ ἔνδοθεν πρός τε τὸν Μανάημον, καὶ τοὺς ἐξάρχοντας τῆς στάσεως, ἔπεμπον ἀξιοῦντες ἐξελθεῖν ὑπόσπονδοι. καὶ δοθὲν μόνοις τοῖς βασιλικοῖς, καὶ τοῖς ἐπιχωρίοις, οἱ μὲν ἐξῄεσαν. ἀθυμία δὲ τοὺς Ῥωμαίους καταλειφθέντας μόνους ὑπέλαβεν. οὔτε γὰρ βιάσασθαι τοσοῦτον πλῆθος ἐδύναντο, καὶ τὸ δεξιὰν αἰτεῖν, ὄνειδος ὑπελάμβανον, πρὸς τὸ μηδὲ πιστεύειν εἰ διδῷτο. καταλιπόντες δὲ τὸ στρατόπεδον ὡς εὐάλωτον, ἐπὶ τοὺς βασιλικοὺς ἀνέφυγον πύργους, τόν τε Ἱππικὸν καλούμενον, καὶ τὸν Φασάηλον, καὶ τὸν Μαριάμμην. οἱ δὲ περὶ τὸν Μανάημον εἰσπεσόντες ὅθεν οἱ στρατιῶται διέφυγον, ὅσους τε αὐτῶν κατέλαβον μὴ φθάσαντας ἀνελθεῖν διέφθειραν, καὶ τὰς ἀποσκευὰς διαρπάσαντες ἐνέπρησαν τὸ στρατόπεδον. ταῦτα μὲν οὖν ἕκτῃ Γορπιαίου μηνὸς ἐπράχθη. κατὰ δὲ τὴν ἐπιοῦσαν ὅ τε ἀρχιερεὺς Ἀνανίας περὶ τὸν τῆς βασιλικῆς αὐλῆς εὔριπον διαλανθάνων ἁλίσκεται, καὶ πρὸς τῶν λῃστῶν ἀναιρεῖται σὺν Ἐζεκίᾳ τῷ ἀδελφῷ, καὶ τοὺς πύργους ἐπισχόντες οἱ στασιασταὶ παρεφύλαττον, μή τις τῶν στρατιωτῶν διαφύγῃ. τὸν δὲ Μανάημον ἥ τε τῶν ὀχυρῶν καταστροφὴ χωρίων, καὶ ὁ τοῦ ἀρχιερέως Ἀνανίου θάνατος, ἐτύφωσεν εἰς ὠμότητα. καὶ μηδένα νομίζων ἔχειν ἐπὶ τοῖς πράγμασιν ἀντίπαλον, ἀφόρητος ἦν τύραννος. ἐπανίστανται δὲ οἱ περὶ τὸν Ἐλεάζαρον αὐτῷ, καὶ λόγον ἀλλήλοις δόντες, ὡς οὐ χρὴ Ῥωμαίων ἀποστάντας, δι' ἐλευθερίας πόθον καταπροέσθαι ταύτην οἰκείῳ δήμῳ, καὶ δεσπότην φέρειν, εἰ καὶ μηδὲν πράττοι βίαιον, ἀλλ' οὖν ἑαυτῶν ταπεινότερον, εἰ γὰρ καὶ δέοι τινὰ τῶν ὅλων ἀφηγεῖσθαι, παντὶ μᾶλλον ἢ ἐκείνῳ προσήκειν, συντίθενται, καὶ κατὰ τὸ ἱερὸν ἐπιχειροῦσιν αὐτῷ. σοβαρὸς γὰρ ἀναβεβήκει προσκυνήσων, ἐσθῆτί τε βασιλικῇ κεκοσμημένος, καὶ τοὺς ζηλωτὰς ἐνόπλους ἐφελκόμενος. ὡς δὲ οἱ περὶ τὸν Ἐλεάζαρον ἐπ' αὐτὸν ὥρμησαν, ὅ τε λοιπὸς δῆμος ἐπὶ τὰς ὀργὰς λίθους ἁρπάσαντες, τὸν σοφιστὴν ἔβαλλον, οἰόμενοι τούτου καταλυθέντος, ἐξαρρίψειν ὅλην τὴν στάσιν. πρὸς ὀλίγον δ' οἱ περὶ τὸν Μανάημον ἀντισχόντες, ὡς εἶδον πᾶν ἐπ' αὐτοὺς τὸ πλῆθος ὁρμῆσαν, ἔφυγον ὅπῃ τις ἴσχυεν. καὶ φόνος μὲν ἦν τῶν καταληφθέντων, ἔρευνα δὲ τῶν ἀποκρυπτομένων.

καὶ

τὴν ὁρμὴν ἀνεξάπτη. καὶ μεταπεμψάμενος τούς τε ἀρχιερεῖς καὶ τὴν βουλὴν, αὐτὸν μὲν ἐξιέναι τῆς πόλεως ἔφη, φρουρὰν δὲ καταλείψειν αὐτοῖς ὅσην ἂν ἀξιώσωσι. τῶν δὲ πάντα περὶ ἀσφαλείας καὶ τοῦ μηδὲν νεωτερίσειν ὑποσχομένων, εἰ μίαν αὐτοῖς καταλείψοι σπεῖραν, μὴ μέντοι τὴν μαχεσαμένην. πρὸς γὰρ ταύτην ἀπεχθῶς, δι' ἃ πεπόνθεν ἔχειν τὸ πλῆθος. ἀλλάξας τὴν σπεῖραν, ὡς ἠξίουν, μετὰ τῆς λοιπῆς δυνάμεως ὑπέστρεψεν εἰς καισάρειαν.

Κεφ. ιϛ.

Ἕτέραν δὲ ἐπιβολὴν τοῦ πολέμου πορίζόμενος, ἐπέστελλε κεστίῳ, ἰουδαίων ἀπόστασιν καταψευδόμενος, τήν τε ἀρχὴν τῆς μάχης περιθεὶς αὐτοῖς, καὶ δρᾶσαι λέγων ἐκείνοις, ἃ πεπόνθασιν. οὐ μὴν οὐδ' οἱ τῶν ἱεροσολύμων ἄρχοντες ἐσίγησαν. ἀλλ' αὐτοί τε καὶ βερνίκη τῷ κεστίῳ περὶ ὧν φλῶρος εἰς τὴν πόλιν παρηνόμησεν, ἔγραφον. ὁ δὲ, τὰ παρ' ἀμφοῖν ἀναγνοὺς, μετὰ τῶν ἡγεμόνων ἐβουλεύετο. καὶ τοῖς μὲν αὐτῶν ἐδόκει, κέστιον μετὰ στρατιᾶς ἀναβαίνειν, ἢ τιμωρησόμενον τὴν ἀπόστασιν εἰ γέγονεν, ἢ βεβαιοτέρους καταστήσοντα ἰουδαίους, καὶ συμμένοντας. αὐτῷ δὲ προπέμψαι τινὰ τῶν ἑταίρων τὸν κατασκεψόμενον τὰ πράγματα, καὶ τὰ φρονήματα τῶν ἰουδαίων πιστῶς ἀγγελοῦντα. πέμπει οὖν δή τινα τῶν χιλιάρχων νεαπολιτανὸν, ὃς ἀπὸ τῆς ἀλεξανδρείας ὑποστρέψαντι περιτυχὼν ἀγρίππᾳ τῷ βασιλεῖ κατὰ ἰαμνίαν, τὸν πέμψαντα καὶ τὰς αἰτίας ἐδήλωσεν. ἔνθα δὴ ἰουδαίων οἵ τε ἀρχιερεῖς ἅμα τοῖς δυνατοῖς, καὶ ἡ βουλὴ παρῆν, δεξιουμένη τὸν βασιλέα. μετὰ δὲ τὴν εἰς ἐκεῖνον θεραπείαν, ἀπωδύροντο τὰς ἑαυτῶν συμφορὰς, καὶ τὴν φλώρου διεξῄεσαν ὠμότητα. πρὸς ἣν ἠγανάκτει μὲν ἀγρίππας. στρατηγικῶς δὲ τὴν ὀργὴν εἰς οὓς ἠλέει ἰουδαίους μετέφερε, ταπεινοῦν αὐτῶν βουλόμενος τὰ φρονήματα, καὶ τῷ μὴ δοκεῖν ἀδίκως τι παθεῖν, τῆς ἀμύνης ἀποτρέπων. οἱ μὲν οὖν ὡς ἂν ὄντες ἔκκριτοι, καὶ διὰ αὐτῶν κτήσεις ἐπιθυμοῦντες εἰρήνην, συνίεσαν εὔνοικὴν τὴν ἐπίπληξιν τοῦ βασιλέως. ὁ δὲ δῆμος ἐκ τῶν ἱεροσολύμων, ἐπὶ ἑξήκοντα προελθὼν σταδίους, ἐδεξιοῦτο τὸν ἀγρίππαν, καὶ τὸν νεαπολιτανόν. ἐκώκυον δὲ αἱ τῶν ἀπεσφαγμένων γυναῖκες προεκθέουσαι, καὶ πρὸς τὴν τούτων οἰμωγὴν, ὁ δῆμος εἰς ὀλοφυρμοὺς τραπόμενος, ἐπικουρεῖν τὸν ἀγρίππαν ἱκέτευε. τῷ τε νεαπολιτανῷ κατεβόων, ὅσα πάθοιεν ὑπὸ φλώρου, καὶ παρελθοῦσιν εἰς τὴν πόλιν, τήν τε ἀγορὰν ἠρημωμένην ὑπεδείκνυον, καὶ πεπορθημένας τὰς οἰκίας. ἔπειτα δι' ἀγρίππα πείθουσι τὸν νεαπολιτανὸν σὺν ἑνὶ θεράποντι περιελθεῖν μέχρι τοῦ σιλωᾶ τὴν πόλιν, ἵνα γνῷ ἰουδαίους τοῖς μὲν ἄλλοις ἅπασι ῥωμαίοις εἴκοντας, μόνῳ δὲ ἀπεχθανομένους φλώρῳ δι' ὑπερβολὴν τῆς εἰς αὐτοὺς ὠμότητος. ὁ δὲ, ὡς διοδεύσας πεῖραν ἔλαβεν ἱκανὴν τῆς πραότητος αὐτῶν, εἰς τὸ ἱερὸν ἀνέβαινεν. ἔνθα συγκαλέσας τὸ πλῆθος, καὶ πολλὰ μὲν εἰς πίστιν αὐτοὺς τὴν πρὸς ῥωμαίους ἐπαινέσας, πολλὰ δὲ εἰς τὸ τηρεῖν τὴν εἰρήνην προτρεψάμενος, καὶ τοῦ θεοῦ προσκυνήσας ὅσον ἐξῆν τὰ ἅγια, πρὸς κέστιον ἐπανῄει. τὸ δὲ πλῆθος

A ab impetu conquieuit. & conuocans sacerdotum principes atque curiam, se quidem ait vrbe digredi, præsidium tamen apud eos relinquere quantum ipsi voluissent. Ad hæc illis respondentibus, nihil nouandum fore, si vnam tantùm relinqueret apud eos cohortem, dum tamen non illam quæ cum ciuibus paulo antè conflixerat: ob ea siquidem quæ pertulêre populum illis militibus infensum esse: cohorte sicut precabantur mutata, cum reliqua manu B Cæsaream regressus est.

Cap. XVI. De Politiano tribuno, & oratione Agrippæ ad Iudæos, ad obediendū Romanis hortantis.

Aliud autem denuò pugnæ consilium comminiscens, retulit ad Cestium, & Iudæos defectionis criminatus est: impudenti mendacio illos perpetrasse dicens, quæcunque eos pertulisse constabat. Nec sanè principes Hierosolymorum quæ gesta fuerant, tacuerunt: sed & ipsi & Bernice ad Cestium de his quæ Florus iniquè in vrbe egerat, retulerunt. Ille autem susceptis literis partis vtriusque, C quid facto opus esset cum principibus deliberabat. Et quibusdam quidem videbatur, cum exercitu in Iudæam Cestium ire debere, & aut vindicare defectionem, si fuisset admissa, aut magis fidos reddere Iudæos eorúmque accolas. Ipsi tamen magis placuit aliquem de suis præire, qui & negotia & consilia Iudæorum posset ei fideliter nuntiare. mittit ergo tribunum Politianum, qui ab Alexandria reuertenti Agrippæ circa Iamniam occurrens, D & à quo fuisset missus, & ob quas causas indicat. Quo loci Iudæorum etiam pontifices, & reliqui nobiles, eorúmque curia adesse curauerant, vt circa regem scilicet officia nouarent. Postea verò quàm illum congrua humanitate coluerunt, conquesti sunt quàm potuerunt flebiliter de calamitatibus propriis, & inhumanitatem Flori explicauerunt. Quam licèt argueret Agrippa, vafrè tamen inuectionem suam in Iudæos transtulit, quorum maximè miserebatur, E volens scilicet frænare eorum motus: vt per hoc ipsum quod viderentur nihil perpessi iniuriæ, ab vltionis desinerent appetitu. Ad hæc ergo quicunque egregij erant, & propter sua prædia desiderabant quietem, intelligebant regis redargutionem esse plenam benignitatis. Populus autem Hierosolymorum sexaginta stadiis obuiam progressus, officiosè Agrippam & Politianum suscepit. Lamentabantur tamen interfectos coniuges mulieres: quarum F plangoribus reliquus quoque populus ad lamenta conuersus, precabatur Agrippam vt genti consuleret. Succlamabant etiam Politiano, vt ingrederetur vrbem, viderétque quæ essent à Floro gesta: & ita ostendebant forum desertum domósque vastatas. deinceps verò per Agrippā suasêre Politiano, vt is cum vno tantum famulo ad Siloam vsque totam circuiret ciuitatem: quatenus ipsis cognosceret oculis, Iudæos omnibus quidem aliis parêre Romanis, soli autem Floro aduersari propter G magnitudinem in eos factę crudelitatis. Ille igitur cùm circuisset vrbem, & mansuetudinis populi sufficiens documentum teneret, ascendit in templum, quò etiam multitudinem conuocauit: & cùm plurimis verbis fidem eorum circa Romanos collaudasset, multa etiā ad conseruationē pacis hortatus, adorauit Deū eiúsque sancta: in eo tamen consistens loco, in quo licebat per religionē: sicque regressus ad Cestium est. vulgus autem

Iudæorum, ad regem pontificéſque conuerſus petebat, vt legati aduerſùm Florum ad Neronem mitterentur, neque de tanta cæde tacentes ſuſpicionem ſuæ defectionis præberent: viſum iri quippe eos principes capiendorum armorum fuiſſe, niſi præuenientes oſtendiſſent illum eſſe qui dediſſet exordium, conſtabat autem multitudinem non eſſe quieturam, ſi legationem aliquis impediſſet. Ad hæc Agrippa, ordinari quidem legatos, qui Florum accuſarent, inuidioſum putabat: deſpicere autem Iudæos in bella commotos neque ſibi expedire cernebat. aduocata igitur concione in xyſtum, & in ſuggeſto conſtituens germanam ſuam Bernicen, in Aſamonæorum domo (ea ſiquidem xyſto imminebat contra ſuperiorem partem vrbis: nam xyſto templum erat ponte coniunctum) huiuſmodi orationem habuit: Si quidem viderem vos omnes ad pugnandum cum Romanis eſſe incitatos, neque populi puriorem ſynceriſſimámque partem pacem velle ſeruare, neque proceſſiſſem ad vos, neque conſulere confiſus eſſem: ſuperuacua quippe de vtilibus oratio eſt, quando omnium auditorum conſpirat ad deteriora conſenſus. Quoniam verò aliquos quidem ætas, malorum belli neſcios facit, quoſdam verò inconſiderata ſpes libertatis: nonnullos verò auaritia ſuccendit, & in confuſione rerum capiendum de inferioribus lucrum: quemadmodum ipſi ab hoc errore corrigantur, & non per paucorum improba conſilia etiam boni diſpereant, exiſtimaui oportere, vt omnibus vobis in vnum coactis ea exponerem, quæ arbitror expedire. Obſtrepat autem nemo, ſi non ea audierit quæ ipſius fert libido. His ſiquidem qui ſunt ad defectionem irreuocabiliter incitati, licebit etiam poſt meos monitus manere in priſtina voluntate. mea autem etiam ad illos qui audire cupiunt intercipietur oratio, niſi ab omnibus vobis ſilentium præbeatur. Noui quidem quod multi & iniurias procurantium prouincias, & præconia libertatis quaſi tragicè proſequantur. Ego autem priuſquam diſcutiam qui ſitis, & contra quos bellum ſuſcipere tentetis, primùm ſeparabo cauſas, quas connexas putatis. Si enim violatores veſtros cupitis vlciſci, cur libertatem magna laude attollitis? Si verò iſtud ipſum ſeruire intolerabile ducitis, ſuperflua eſt aduerſum rectores querela. illis ſiquidem vel moderatiſſimè agentibus, nihilominus turpe erit ſeruire. Conſiderate autem ſingillatim, & videte quàm exigua ſit materia bellorum. Et primùm quidem ipſa rectorum conſideranda ſunt crimina. Colere ſiquidem officiis, non exaſperare oportet iurgiis poteſtatem. Cùm verò modicorum peccatorum exprobrationes maximas facitis, aduerſùm vos profectò eos quibus infertis contumelias irritatis. Relinquentes quippe & quod antea clanculo & cum quadam verecundia nocebant, palàm vos confidentérque populantur. nihil autem ita plagas coercet vt patientia, & violatorum quies violantibus iniicit pudorem. Fac autem eos, qui à Romanis in prouincias mittuntur, eſſe grauiter moleſtos, non tamen etiam Romani omnes violant vos, neque ipſe Cæſar, aduerſum quem pugnare vultis. Neque enim ex præcepto illorum improbus ad vos quiſquam venit: neque

A τῶν ἰουδαίων, ἐπί τε τὸν βασιλέα καὶ τοὺς ἀρχιερεῖς ἐξιόμενον, πρέσβεις μετὰ φλώρου πέμπειν ἠξίου πρὸς νέρωνα, καὶ μὴ σιωπήσαντας ἐπὶ τοσούτῳ φόνῳ, καταλιπεῖν ἑαυτοῖς ὑπόνοιαν ἀποστάσεως. δόξειν γὰρ αὐτοὺς κατάρξαι τῶν ὅπλων, εἰ μὴ φθάσαντες ἐνδείξαιντο τὸν κατάρξαντα. φανεροὶ δὲ ἦσαν οὐκ ἠρεμήσοντες, εἰ τὴν πρεσβείαν τις ἀποκωλύοι. ἀγρίππα δὲ τὸ μὲν χειροτονεῖν φλώρου κατηγόρους, ἐπίφθονον ἐδόκει. B τὸ περιϊδεῖν δὲ ἰουδαίους εἰς πόλεμον ἐκριπισθέντας, οὐδὲ αὐτῷ λυσιτελὲς κατεφαίνετο. προσκαλεσάμενος δὲ εἰς τὸν ξυστὸν τὸ πλῆθος, καὶ παραστησάμενος ἐν περιόπτῳ τὴν ἀδελφὴν βερνίκην, ἐπὶ τῆς ἀσαμωναίων οἰκίας, αὕτη γὰρ ἦν ἐπάνω τοῦ ξυστοῦ πρὸς τὸ πέραν τῆς ἄνω πόλεως, καὶ γέφυρα τῷ ξυστῷ τὸ ἱερὸν συνῆπτεν, ἔλεξε τοιάδε. εἰ μὲν ἑώρων πάντας ὑμᾶς πολεμεῖν ῥωμαίοις ὡρμημένους, καὶ μὴ τοῦ δήμου τὸ καθαρώτατον καὶ εἰλικρινέστατον, εἰρήνην ἄγειν προῃρημένους, C οὔτ' ἂν παρῆλθον εἰς ὑμᾶς, οὔτε συμβουλεύειν ἐθάρρησα. περισσὸς γὰρ ὑπὲρ τοῦ τὰ δέοντα ποιεῖν πᾶς λόγος, ὅταν ἡ τῶν ἀκουόντων πάντων πρὸς τὸ χεῖρον ὁμόνοια ᾖ. ἐπεὶ δὲ τινὰς μὲν ἡλικία τῶν ἐν πολέμῳ κακῶν ἀπείρατος, τινὰς δὲ ἐλπὶς ἀλόγιστος ἐλευθερίας, ἐνίους δὲ πλεονεξία τις παροξύνει, καὶ τὸ παρὰ τῶν ἀσθενεστέρων ἐὰν τὰ πράγματα συγχυθῇ, κέρδος, ὅπως αὐτοί τε σωφρονισθέντες μεταβάλωνται, καὶ μὴ τῆς ἐνίων κακοβουλίας οἱ ἀγαθοὶ D παραπολαύσωσιν, ᾠήθην δεῖν ἐπὶ τὸ αὐτὸ πάντας ὑμᾶς συναγαγὼν εἰπεῖν ἃ νομίζω συμφέρειν. θορυβείσθω δέ μοι μηδεὶς, ἐὰν μὴ τὰ πρὸς ἡδονὴν ἀκούῃ. τοῖς μὲν γὰρ ἀνηκέστως ἐπὶ τὴν ἀπόστασιν ὡρμημένοις, ἔνεστι καὶ μετὰ τὴν ἐμὴν παραίνεσιν τὰ αὐτὰ φρονεῖν. ἐμοὶ δὲ διαπίπτει καὶ πρὸς τοὺς ἀκούειν ἐθέλοντας ὁ λόγος, ἐὰν μὴ παρὰ πάντων ἡσυχία γένηται. οἶδα μὲν οὖν ὅτι πολλοὶ τὰς ἐκ τῶν ἐπιτρόπων ὕβρεις, καὶ τὰ τῆς E ἐλευθερίας ἐγκώμια ἐκτραγῳδοῦσιν. ἐγὼ δὲ πρὶν ἐξετάζειν τίνες ὄντες, καὶ τίσιν ἐπιχειρεῖτε πολεμεῖν, πρῶτον διαζεύξω τὴν συμπλοκὴν τῶν προφάσεων. εἰ μὲν ἀμύνεσθε τοὺς ἀδικοῦντας, τί σεμνύνετε τὴν ἐλευθερίαν. εἰ δὲ τὸ δουλεύειν ἀφόρητον ἡγεῖσθε, περισσὴ πρὸς τοὺς ἡγεμόνας ἡ μέμψις. καὶ γὰρ ἐκείνων μετριαζόντων, αἰσχρὸν ὁμοίως τὸ δουλεύειν. σκοπεῖτε δὲ καὶ καθ' ἕκαστον τούτων, ὡς ἔστι μικρὰ τοῦ πο- F λεμεῖν ἡ ὑπόθεσις, καὶ πρῶτά γε τὰ τῶν ἐπιτρόπων ἐγκλήματα. θεραπεύειν δὲ οὐκ ἐρεθίζειν δεῖ τὰς ἐξουσίας. ὅταν δὲ τῶν μικρῶν ἁμαρτημάτων τοὺς ἐξονειδισμοὺς ποιεῖσθε μεγάλους, καθ' ἑαυτῶν τοὺς ὀνειδιζομένους ἀπελέγχετε, καὶ παρέντες τὸ λάθρα καὶ μετ' αἰδοῦς ὑμᾶς βλάπτειν, πορθοῦσι φανερῶς οὐδὲν δὲ οὕτω τὰς πληγὰς, ὡς τὸ φέρειν ἀναστέλλει, καὶ τὸ τῶν ἀδικουμένων ἡσύχιον τοῖς ἀδικοῦσι γίνεται διατροπή. φέρε δὲ εἶναι τοὺς ῥωμαίων ὑπηρέτας ἀνηκέ- G στως χαλεπούς, οὔπω ῥωμαῖοι πάντες ἀδικοῦσιν ὑμᾶς, οὐδὲ καῖσαρ, καὶ οὓς αἱρεῖσθε τὸν πόλεμον. οὐ γὰρ ἐξ ἐντολῆς ἥκει τις πονηρὸς ἀπ' ἐκείνων, οὐδέ γε

τοὺς ὑπὸ

τοῖς ἀπὸ τῆς ἀνατολῆς οἷα ἀφ' ἑτέρας ἐπιβλέπουσιν, ἀλλ' οὐδ' ἀκούειν ταχέως τἀντεῦθεν ἐκεῖ ῥᾴδιον. ἄτοπον δὲ δὴ ἑνὸς πολλοῖς, καὶ διὰ μικρὰς αἰτίας, τηλικούτοις, καὶ μηδὲ γινώσκουσιν ἃ μεμφόμεθα πολεμεῖν. καὶ τῶν μὲν ἡμετέρων ἐγκλημάτων, ταχεῖα γένοιτ' ἂν ἡ διόρθωσις. οὔτε γὰρ ὁ αὐτὸς ἐπίτροπος μένει διὰ παντός, καὶ τοὺς διαδεξομένους εἰκὸς ἐλεύσεσθαι μετριωτέρους. κινηθέντα δ' ἅπαξ τὸν πόλεμον, οὔτ' ἀποθέσθαι ῥᾴδιον δίχα συμφορῶν, οὔτε βαστάσαι. ἀλλὰ μὴν τό γε νῦν ἐλευθερίας ἐπιθυμεῖν ἄωρον, δέον ὑπὲρ τοῦ μηδὲ ἀποβαλεῖν αὐτὴν ἀγωνίζεσθαι πρότερον. ἡ γὰρ πεῖρα τῆς δουλείας χαλεπή, καὶ περὶ τοῦ μηδὲ ἄρξασθαι ταύτης ὁ ἀγὼν δίκαιος. ὁ δ' ἅπαξ χειρωθείς, ἔπειτα ἀφιστάμενος, αὐθάδης δοῦλος ἐστίν, οὐ φιλελεύθερος. τότε γὰρ οὖν ἐχρῆν πάντα ὑπὲρ τοῦ μὴ δέξασθαι ῥωμαίους ποιεῖν, ὅτε τὴν ἀρχὴν ἐπέβαινε τῆς χώρας ὁ πομπήϊος, ἀλλ' οἱ μὲν ἡμέτεροι πρόγονοι καὶ οἱ βασιλεῖς αὐτοί, καὶ χρήμασι καὶ σώμασι καὶ ψυχαῖς ἄμεινον ὑμῶν πολλῷ διακείμενοι, πρὸς μοῖραν ὀλίγην τῆς ῥωμαίων δυνάμεως οὐκ ἀντέσχον. ὑμεῖς δέ, οἱ τὸ μὲν ὑπακούειν ἐκ διαδοχῆς παρειληφότες, τοῖς πράγμασι δὲ τῶν πρώτων ἀκουσάντων τοσοῦτον ἐλαττούμενοι, πρὸς ὅλην ἀνθίστασθε τὴν ῥωμαίων ἡγεμονίαν; καὶ ἀθηναῖοι μὲν οἱ περὶ τῆς τῶν ἑλλήνων ἐλευθερίας παραδόντες ποτὲ καὶ πυρὶ τὴν πόλιν, οἱ τὸν ὑπερήφανον ξέρξην διὰ γῆς πλεύσαντα, καὶ διὰ θαλάσσης ὁδεύσαντα, καὶ μὴ χωρούμενον μὲν τοῖς πελάγεσι, πλατυτέραν δὲ τῆς εὐρώπης τὴν στρατιὰν ἄγοντα, δραπέτην ἐπὶ μιᾶς νεὼς διώξαντες, περὶ δὲ τῇ σμικρᾷ σαλαμῖνι τὴν τοσαύτην ἀσίαν κλάσαντες, νῦν δουλεύουσι ῥωμαίοις, καὶ τὴν ἡγεμονίδα τῆς ἑλλάδος πόλιν, διοικεῖ τὰ ἀπὸ τῆς ἰταλίας προστάγματα. λακεδαιμόνιοί τε μετὰ θερμοπύλας καὶ πλαταιάς, καὶ τὸν ἐρευνήσαντα τὴν ἀσίαν ἀγησίλαον, ἀγαπῶσι τοὺς αὐτοὺς δεσπότας. καὶ μακεδόνες ἔτι φανταζόμενοι φίλιππον, καὶ σὺν ἀλεξάνδρῳ παρασαίρουσαν αὐτοῖς τὴν τῆς οἰκουμένης ἡγεμονίαν ὁρῶντες, φέρουσι τὴν τοσαύτην μεταβολήν, καὶ πρὸς οὓς μεταβέβηκεν ἡ τύχη, προσκυνοῦσιν. ἄλλα τε ἔθνη μυρία, πλεῖον γέμοντα πρὸς ἐλευθερίαν παρρησίας, εἴκει. μόνοι δ' ὑμεῖς ἀδοξεῖτε δουλεύειν, οἷς ὑποτέτακται τὰ πάντα. ποίᾳ στρατιᾷ, ποίοις πεποιθότες ὅπλοις; ποῦ μὲν ὁ στόλος ὑμῶν διαληψόμενος τὰς ῥωμαίων θαλάσσας; ποῦ δὲ οἱ ταῖς ἐπιβολαῖς ἐξαρκέσοντες θησαυροί; πρὸς αἰγυπτίους ἄρα καὶ πρὸς ἄραβας οἴεσθε κινεῖν τὸν πόλεμον; οὐ περισκέψεσθε τὴν ῥωμαίων ἡγεμονίαν; οὐ μετρήσετε τὴν ἑαυτῶν ἀσθένειαν; οὐ τὰ μὲν ὑμέτερα πρὸς τῶν περιοίκων ἐθνῶν ἡττήθη πολλάκις, ἡ δὲ ἐκείνων ἰσχὺς διὰ τῆς οἰκουμένης ἀνίκητος; μᾶλλον δὲ καὶ ταύτης ἐζήτησάν τι πλέον. οὐ γὰρ ἐξήρκεσεν αὐτοῖς ὅλος εὐφράτης ὑπὸ τὴν ἀνατολήν, οὐδὲ τῶν προσαρκτίων ἴστρος, ἥ τε μεσημβρινὴ μέχρι τῶν ἀοικήτων ἐρευνηθεῖσα λιβύη, καὶ γάδειρα πρὸς ἑσπέραν, ἀλλ' ὑπὲρ ὠκεανὸν ἑτέραν ἐζήτησαν οἰκουμένην, καὶ μέχρι τῶν ἀνιστορήτων πρότερον βρεττανῶν διήνεγκαν τὰ ὅπλα. τί οὖν ὑμεῖς,

A possunt illi, quæ in Oriente geruntur, positi in Occidente conspicere. sed neque facilè ea quæ hîc fiunt, illic audiuntur. est autem importunissimum, & propter exiguas causas cum tantis, & ea de quibus querimur nescientibus, velle confligere. Et quidem nostrorum criminum citò erit futura correctio. neque enim vnus atque idem prouinciæ semper curam tenebit, & successores eius credibile est modestiores futuros. Motum autem semel B bellum, neque deponere facile est absque magnis calamitatibus, neque sustinere. Libertatis verò bona sitientibus prouidendum atque certandum est, vt principio non ea careant. molesta enim est nouitas seruitutis: quã ne vtique subeas, iustum suscipi certamen videtur. Qui verò semel subiectus est, & deinceps deficit, contumax magis seruus quàm amator libertatis ostenditur. Tunc igitur oportuit omnia agere, ne susciperentur Romani, C cùm in prouinciam Pompeius intraret. Maiores verò nostri eorúmque reges, pecunia, corporibus, animis multo vobis meliores, exiguæ parti potentiæ Romanæ obsistere nequiuerunt. vos autem qui hæreditariam obedientiam suscepistis, rebus autem omnibus illis qui primi paruêre longè inferiores estis, contra omne Romanorum regnum obsistere posse arbitramini? Et Athenienses quidem, qui ob Græcorum libertatem patriam suam D quondam ignibus tradere, qui superbissimum illum Xerxem per terram nauigantem, per mare verò ambulantem, & cuius classem non caperet amplitudo pelagi, latiorem autem Europa, duceret exercitum, hunc inquam cum vna naue fugientem gloriosissimè persecuti sunt: circa paruam autem Salaminam, qui tantas opes Asiæ confregêre, nunc tamen seruiunt Romanis, & illam regiam Græciæ ciuitatem administrant Italiæ iussiones. Lacede- E monij quoque post Thermopylas, & Plateas, & Agesilaum Asiam perscrutatum, eosdem dominos venerantur. Macedones verò qui adhuc penè imaginantur Philippum videre cum Alexãdro promittentem sibi orbis imperium, ferunt tamen rerum mutationem, & adorant eos ad quos fortuna migrauit. Aliæ quoque multæ gentes ad libertatem fiducia subnixæ, & multo maiores, cesserunt tamen & obediunt: vos autem soli seruire de- F dignamini his, quibus videtis vniuersa esse subiecta. Quibus exercitibus, quibus confiditis armis? Vbi est classis vestra, quæ peruagetur Romanorum maria? Vbi autem qui expẽsis possint sufficere thesauri? Contra Ægyptios fortè aut Arabas existimatis vos bellũ mouere. Non circumspicitis Romanorũ imperiũ? non metimini vestrã imbecillitatẽ? Nónne scitis vestram ciuitatem à conterminis gentibus frequenter esse superatam? illorũ autem virtus G per totum orbem inuicta percurrit, imò etiam hoc orbe plus aliquid quæsierunt? Neq; enim sufficit eis ad Orientẽ, quidẽ totus Euphrates, ad Septentrionem Ister, neque in Meridie solitudine tenus perscrutata Libya, neque in Occidente Gades: sed vltra Oceanũ aliũ quæsierũt orbẽ, & vsq; ad Britannias, inaccessas priùs, arma & exercitũ transtulerunt. Quid ergo? Vósne

ditiores Gallis, fortiores Germanis, prudentiores Græcis? postremò plures estis omnibus in toto orbe degentibus? Quæ vos fiducia aduersum Romanos erigit? Sed dicet aliquis, seuire molestissimum est. At quanto magis id Græcis: qui vniuersis sub sole habitantibus videbantur præstare nobilitate: & tam latam quondam prouinciam possidentes: nunc bis ternis fascibus Romanorum obediunt. Totidem autem etiam Macedones obsequuntur, qui certè multo vobis iustius deberent libertatem tueri. Quid autem quingentæ Asiæ ciuitates? nunquid non absque vllo præsidio, vni tantummodo rectori parent, & fascibus consulis obsequuntur? Quid autem pergam enumerare Heniochos, & Colchos, & Taurorum gentem: Bosphoranos quoque, & habitantes circa Ponti littora nationes, Mæoticásque gentes? apud quas nimirum olim neque domesticus aliquis dominus noscebatur: nunc verò militum subiiciuntur tantum tribus millibus, & quadraginta naues longæ, innauigabile prius mare in pace custodiunt. Quanta autem Bithynia, & Cappadocia, & Pamphyliorum gens, Lydi quoque & Cilices pro libertate dicere valerent? tamen nunc sine armis tributa pendunt. Quid autem Traces? quinque quidem diebus in latum, septem autem in longum commeabilem prouinciam possidentes, asperiorémque multo quàm vestra est, ac multis partibus fortiorem, altissimóque gelu eos qui irruerint retardantem, duobus millibus Romanorum in præsidio manentibus obsequuntur. Post hos Illyrici vsque ad Dalmatiam, & Istro tenus incolentes, duabus tantùm legionibus obediunt: cum quibus & ipsi impetus compescunt Dacorum. Ipsi quoque Dalmatæ, qui tam multa pro libertate conati, sæpiúsque capti, rursum cum maioribus opibus rebellarunt, nunc sub vna Romanorum legione agunt quietem. Verumtamē si aliquos magnæ causæ ad defectionem incitare deberent, Gallos potissimum oporteret assurgere, quos videlicet tantis munimentis natura cinxisset: ab Orientali plaga Alpium montibus, à septentrionali Rheno flumine: à meridie Pyrenæis montibus, ab Occidente verò Oceano. sed tali munitione gaudentes, trecentis & quindecim gentibus numerosi: fontes autem (ita vt dixerim) felicitatis domesticæ habentes, omnibúsque bonis totum penè orbem irrigantes, ferunt nihilominus vectigales esse Romanorum, ac felicitatem suam in eorum felicitate reponere. ídque sanè ipsum, non per animorum mollitiem, nec propter ignobilitatem parentum (quippe qui per octoginta annos pro libertate pugnauerunt) sed Romanorum admirati sunt horruerúntque cum virtute fortunam, quâ illi plura sæpe obtinuêre quàm bellis. Denique sub mille & ducentis militibus seruiunt, quibus penè plures habuerunt ciuitates. Neque Hispanis nascens in agris aurum, pro libertate bella gerentibus profuit, neque tanto terrarum marísque spatio à Roma dirempta gentes, Lusitani scilicet & pugnaces Cantabri: nec vicinus Oceanus, etiam accolis suis fragore terribilis: sed vltra columnas Herculis prolatis armis, & per ipsas nubes

πλουσιώτεροι γαλατῶν, ἰσχυρότεροι γερμανῶν, ἑλλήνων συνετώτεροι; πλείους τῶν κατὰ τὴν οἰκουμένην ἐστὲ πάντων; τί τὸ πεποιθὸς ὑμᾶς κατὰ ῥωμαίων ἐπαίρει; χαλεπὸν τὸ δουλεύειν, ἐρεῖ τις. πόσῳ μᾶλλον ἕλλησιν, οἳ τῶν ὑφ' ἥλιον πάντων εὐγενείᾳ προύχειν δοκοῦντες, καὶ τοσαύτην νεμόμενοι χώραν, ἓξ ῥωμαίων ὑπείκουσι ῥάβδοις. τοσαύταις δὲ μακεδόνες, οἱ δικαιότερον ὑμῶν ὀφείλοντες ἐλευθερίας ἀντιποιεῖσθαι. τί δ' αἱ πεντακόσιαι τῆς ἀσίας πόλεις, οὐχὶ δίχα φρουρᾶς ἕνα προσκυνοῦσιν ἡγεμόνα, καὶ τὰς ὑπατικὰς ῥάβδους; τί δεῖ λέγειν ἡνιόχους τε καὶ κόλχους, καὶ τὸ ταύρων φῦλον, βοσπορανούς τε καὶ τὰ περίοικα τοῦ πόντου καὶ τῆς μαιώτιδος ἔθνη, παρ' οἷς πρὶν μὲν οὐδ' οἰκεῖος ἐγινώσκετο δεσπότης. νῦν δὲ, τρισχιλίοις ὁπλίταις ὑποτάσσεται, καὶ τεσσαράκοντα νῆες μακραὶ, τὴν πρὶν ἄπλωτον καὶ ἀγρίαν εἰρηνεύουσι θάλασσαν. πόσα βιθυνία, καὶ καππαδοκία, καὶ τὸ παμφύλιον ἔθνος, λύκιοί τε καὶ κίλικες ὑπὲρ ἐλευθερίας ἔχοντες εἰπεῖν, χωρὶς ὅπλων φορολογοῦνται; τί δὲ θρᾷκες, οἱ πέντε μὲν εὖρος, ἑπτὰ δὲ μῆκος ἡμερῶν χώραν διειληφότες, τραχυτέραν τε, καὶ πολλῷ τῆς ὑμετέρας ὀχυρωτέραν, καὶ βαθεῖ κρυμῷ τοὺς ἐπιστρατεύοντας ἀνακόπτουσαν, οὐχὶ δισχιλίοις ῥωμαίων ὑπακούουσι φρουροῖς. οἱ δ' ἀπὸ τούτων ἰλλυριοὶ τὴν μέχρι δαλματίας ἀποτεμνομένην, ἐν δὲ ἴστρῳ κατοικοῦντες, οὐ δυσὶ μόνοις τάγμασιν ὑπείκουσι, μεθ' ὧν αὐτοὶ τὰς δακῶν ἀνακόπτουσιν ὁρμάς; οἱ δὲ τοσαυτάκις πρὸς ἐλευθερίαν ἀναχαιτίσαντες δαλμάται, καὶ πρὸς τὸ μόνον ἀεὶ χειρωθέντες τότε συλλεξάμενοι τὴν ἰσχὺν πάλιν ἀποστῆναι, νῦν οὐχ ὑφ' ἑνὶ τάγματι ῥωμαίων ἡσυχίαν ἄγουσιν; ἀλλὰ μὴν εἴ γέ τινας εἰς ἀπόστασιν ὤφελον ἀφορμαὶ μεγάλαι παροξύνειν, μάλιστα γαλάτας ἐχρῆν τοὺς οὕτως ὑπὸ τῆς φύσεως τετειχισμένους, ἐξ ἀνατολῆς μὲν ταῖς ἄλπεσι, πρὸς δὲ ἄρκτῳ, ῥήνῳ ποταμῷ, μεσημβρινοῖς δὲ, τοῖς πυρηναίοις ὄρεσιν, ὠκεανῷ δὲ, πρὸς δυσμαῖς. ἀλλὰ καίτοι τηλικαῦτα μὲν ἕρκη περιβεβλημένοι, πέντε δὲ καὶ τριακοσίοις πληθύνοντες ἔθνεσι, τὰς δὲ πηγὰς ὡς ἄν τις εἴποι τῆς εὐδαιμονίας ἐπιχωρίους ἔχοντες, καὶ τοῖς ἀγαθοῖς σχεδὸν ὅλην ἐπικλύζοντες τὴν οἰκουμένην, ἀνέχονται ῥωμαίων πρόσοδος ὄντες, καὶ ταμιευόμενοι παρ' αὐτῶν τὴν οἰκείαν εὐδαιμονίαν. καὶ τοῦτο ὑπομένουσιν, οὐ διὰ φρονημάτων μαλακίαν, οὐδὲ δι' ἀγένειαν, οἵ γε διήνεγκαν ὀγδοήκοντα ἔτη πόλεμον ὑπὲρ τῆς ἐλευθερίας, ἀλλὰ μετὰ τῆς δυνάμεως ῥωμαίων καὶ τὴν τύχην καταπλαγέντες, ἣ πλείονα κατορθοῖ τῶν ὅπλων. τοιγαροῦν ὑπὸ χιλίοις καὶ διακοσίοις στρατιώταις δουλεύουσιν, ὧν ὀλίγου δεῖν πλείους ἔχουσι πόλεις. οὐδὲ ἴβηρσιν ὁ γεωργούμενος χρυσὸς εἰς τὸν ὑπὲρ τῆς ἐλευθερίας πόλεμον ἐξήρκεσεν, οὐδὲ τὸ τοσοῦτον ἀπὸ ῥωμαίων γῆς καὶ θαλάσσης διάστημα, φῦλά τε λυσιτανῶν καὶ καντάβρων ἀρειμάνια, οὐδὲ γείτων ὠκεανὸς φοβερὰν καὶ τοῖς ἐπιχωρίοις ἄμπωτιν ἐπάγων, ἀλλ' ὑπὲρ τὰς ἡρακλείους στήλας ἐκτείναντες τὰ ὅπλα, καὶ διὰ νεφῶν

ὁδεύσαντες τὰ πυρρηναῖα ὄρη, καὶ τούτους ἐδουλώσαντο ῥωμαῖοι. φρουρὰ δὲ ἤρκεσε τῶν οὕτω δυσμάχων καὶ τοσοῦτον ἀπῳκισμένων, ἓν τάγμα. τίς ὑμῶν οὐκ ἀκοῇ παρείληφε τὸ γερμανῶν πλῆθος; ἀλκὴν μὲν γὰρ καὶ μεγέθη σωμάτων, εἴδετε δήπου πολλάκις, ἐπεὶ πανταχοῦ ῥωμαῖοι τοὺς τούτων αἰχμαλώτους ἔχουσιν. ἀλλ' οὗτοι γῆν μὲν ἄπειρον νεμόμενοι, μείζω δὲ τῶν σωμάτων ἔχοντες τὰ φρονήματα, καὶ τὴν μὲν ψυχὴν θανάτου καταφρονοῦσαν, τοὺς δὲ θυμοὺς τῶν ἀγριωτάτων θηρίων σφοδροτέρους, ῥῆνον τῆς ὁρμῆς ὅρον ἔχουσι, καὶ ῥωμαίων ὀκτὼ τάγμασι δαμαζόμενοι, δουλεύουσι μὲν ἁλόντες. τὸ δὲ ὅλον αὐτῶν ἔθνος φυγῇ διασώζεται. σκέψασθε δὲ καὶ τὸ βρεττανῶν τεῖχος, οἱ τοῖς ἱεροσολύμων τείχεσι πεποιθότες. καὶ γὰρ ἐκείνους περιβεβλημένους ὠκεανὸν, καὶ τῆς καθ' ἡμᾶς οἰκουμένης οὐκ ἐλάσσονα νῆσον οἰκοῦντας, πλεύσαντες ἐδουλώσαντο ῥωμαῖοι. τέσσαρα δὲ τάγματα τὴν τοσαύτην νῆσον διαφυλάττει. καὶ τί δεῖ πολλὰ λέγειν, ὅπου καὶ πάρθοι τὸ πολεμικώτατον φῦλον, τοσούτων ἄρχοντες ἐθνῶν, καὶ τηλικαύτην περιβεβλημένοι δύναμιν; ὁμήρους πέμπουσι ῥωμαίοις. καὶ ἔστιν ἐπὶ τῆς ἰταλίας ἰδεῖν, ἐν εἰρήνης προφάσει δουλεύουσαν τὴν ἀπὸ τῆς ἀνατολῆς εὐγένειαν. πάντων δὴ σχεδὸν τῶν ὑφ' ἥλιον τὰ ῥωμαίων ὅπλα προσκυνούντων, ὑμεῖς μόνοι πολεμήσετε; μὴ δὲ τὸ καρχηδονίων τέλος σκοποῦντες, οἳ τὸν μέγαν αὐχοῦντες ἀννίβαν, καὶ τὴν ἀπὸ φοινίκων εὐγένειαν, ὑπὸ τὴν σκιπίωνος δεξιὰν ἔπεσον. οὔτε δὲ κυρηναῖοι τὸ λακώνων γένος, οὔτε μαρμαρεῖται, τὸ μέχρι τῆς διψάδος ἐκτεταμένον φῦλον, οὔθ' αἱ φοβεραὶ καὶ τοῖς ἀκούουσι σύρτεις, νασαμῶνές τε καὶ μαῦροι, καὶ τὸ νομάδων ἄπειρον πλῆθος, τὰς ῥωμαίων ἀνέκοψαν ἀρετάς. τὴν δὲ τρίτην τῆς οἰκουμένης μοῖραν, ἧς οὐδὲ ἐξαριθμήσασθαι τὰ ἔθνη ῥάδιον, ὁριζομένην ἀτλαντικῷ τε πελάγει, καὶ στήλαις ἡρακλείοις, καὶ μέχρι τῆς ἐρυθρᾶς θαλάσσης, τοὺς ἀπείρους νέμουσαν αἰθίοπας, ἐχειρώσαντο μὲν ὅλην. χωρὶς δὲ τῶν ἐτησίων καρπῶν, οἳ μησὶν ὀκτὼ τὸ κατὰ τὴν ῥώμην πλῆθος τρέφουσι, καὶ ἔξωθεν παντοίως φορολογοῦνται, καὶ ταῖς χρείαις τῆς ἡγεμονίας παρέχουσιν ἑτοίμους τὰς εἰσφορὰς, οὐδὲν τῶν ἐπιταγμάτων ὥσπερ ὑμεῖς ὕβριν ἡγούμενοι, καίπερ ἑνὸς τάγματος αὐτοῖς παραμένοντος, καὶ τί δεῖ πόρρωθεν ὑμῖν ὑποδεικνύειν τὴν ῥωμαίων δύναμιν; παρὸν ἐξ αἰγύπτου τῆς γειτνιώσης, ἥτις ἐκτεινομένη μέχρις αἰθιόπων, καὶ τῆς εὐδαίμονος ἀραβίας, ὅμορός τε οὖσα τῆς ἰνδικῆς, πεντήκοντα πρὸς ταῖς ἑπτακοσίαις ἔχουσα μυριάδας ἀνθρώπων, δίχα τῶν ἀλεξάνδρειαν κατοικούντων, ὡς ἔνεστιν ἐκ τῆς καθ' ἑκάστην κεφαλὴν εἰσφορᾶς τεκμήρασθαι, τὴν ῥωμαίων ἡγεμονίαν οὐκ ἀδοξεῖ, καίτοι πηλίκον ἀποστάσεως κέντρον ἔχουσα τὴν ἀλεξάνδρειαν, πλήθους τε ἀνδρῶν ἕνεκα καὶ πλούτου, πρὸς δὲ καὶ μεγέθους, μῆκος μέν γε αὐτῆς, τριάκοντα σταδίων, εὖρος δὲ οὐκ ἔλαττον δέκα. τοῦ δὲ ἐνιαυσίου παρ' ὑμῶν φόρου καθ' ἕνα μῆνα πλέον ῥωμαίοις παρέχει, καὶ τῶν χρημάτων ἔξωθεν,

Pyrenæorum montium eluctati vertices, ditioni ſuæ hos quoque ſubdiderunt Romani: atque ita bellicoſis gentibus, tantóque (vt dixi) ſpatio diremptis, legio in præſidio vna ſatis eſt. Quis veſtrûm non audiuit multitudinem Germanorum, virtutem quoque & magnitudines corporum (vt arbitror) ſæpe vidiſtis. ſiquidem vbique Romani earum gentium captiuos habent. Sed illi ita ingentem ſpatiis regionem incolentes, ſpiritus autem maiores corporibus gerentes, & animam quidem contemptricem mortis, indignationes autem vehementiores feris, nunc Rhenum limitem habent, & octo Romanorum legionibus domantur: & ſeruiunt quidem qui capti ſunt, reliqua autem eorum gens vniuerſa ſalutem in fuga non in armis reponit. Conſiderate autem etiam Britannorum muros, qui Hieroſolymæ confiditis muris. Illos ſiquidem circumdatos Oceano, & penè non minorem quàm noſter orbis eſt habitantes, Romani nauigantes redegerunt in ditionem ſuam: quatuórque legiones tantæ magnitudinis inſulam tuentur. Et quid opus eſt plura dicere? quando etiam Parthi, bellicoſiſſimum genus, tantis prius populis imperantes, & tam magnis opibus circundati, obſides tamen mittunt Romanis: éſtque cernere, ſub ſpecie pacis ſeruientem in Italia præcipuam Orientis nobilitatem. Vniuerſis penè qui ſub ſole incolunt, Romanorum arma venerantibus vos ſoli bellum geretis? Neque Carthaginienſium conſiderabitis finem, qui magnum illum Hannibalem iactantes, & ex nobili Phœnicum ſtirpe venientes, tamen ſub Scipionis dextera corruerunt? Sed neque Cyrenæi Lacedæmone oriundi, neque Marmaridarum genus vſque ad inaquoſas ſolitudines protentum, neque terribiles etiam audientibus Syrtes, Naſamones quoque & Mauri, & innumerabilis multitudo Numidarum virtutes impediêre Romanas. Sed tertiam partem orbis terrarum, cuius ne numerare quidem nationes facilè eſt, quæ ſcilicet ſub Atlantico mari & columnis Herculis vſque ad rubrum mare infinitos numero, & locis Æthiopas continet, totam tamen ceperunt armis: & præter fruges annuas quibus Romanam multitudinem octo menſibus paſcunt, alia quoque vectigalia pendunt, expenſas quoque deuotiſſimi imperio miniſtrant, nihil de his quæ iubentur, ſicut vos, contumelioſum putantes. & quidem vna cum illis tantùm legio commoratur. Sed quid opus eſt longè petitis exemplis potentiam explicare Romanam? cùm eam poſſitis de vicina vobis Ægypto diligenter inſpicere. Hæc enim cùm vſq; ad Æthiopias porrigatur, opulentámque Arabiam, contigua quoque ſit Indiæ, quinquaginta & ſeptingentas myriadas incolarum habens, præter Alexandrinorum plebem, tamen vectigalia, quorum magnitudinem de cenſu ſingulorum capitum æſtimari licet, deuotiſſimè penditans, Romanum non dedignatur imperium: & certè quàm magnum ſtimulum defectionis habens, Alexandriam ſcilicet, multitudine & diuitiis abundantem, magnitudine quoque non imparem. Habet ſiquidem in longitudine ſtadia triginta, in latitudine verò non minus quàm decem, tributorum verò multo amplius per menſes ſingulos infert, quàm vos toto anno penditis: & præter pecuniam,

quatuor mensium Romanæ plebi annonam ministrat. Munitur autem vndique aut incommeabili solitudine, aut importuoso mari, aut fluminibus, aut cœnosis paludibus, quorum tamen omnium nihil Romana fortuna fortius fuit. Duæ enim legiones ciuitati insidentes, profundam Ægyptum cum illa Macedonum nobilitate frænant. Quos igitur in bella de solitudinibus aliquibus socios assumetis? Siquidem omnes qui in orbe habitabili degunt, Romani sunt: nisi fortè quis vestrûm spes suas vltra Euphratem porrigat, & Adiabenorum regionem gentiles suos æstimet adiutores. Porrò nec illi propter irrationabilem causam tanto se bello implicabunt: nec si tam probroso operi assensum darent, Parthus tamen sineret. Est quidem ei cura tuendæ cum Romanis amicitiæ, & arbitrabitur fœdus esse temeratum, si quis de his qui subiecti sunt eius imperio, aduersum Romanos in bello procedat. Superest igitur ad diuinum confugiatur auxilium. verùm & hoc apud Romanos est. sine Deo quippe impossibile esset imperium tale consistere. Considerate autem quemadmodû hęc ipsa erga ipsam religionem immoderatio, etiam si cum longè inferioribus bellû geratis, tamen ad dispensandum fit vobis difficillima, atque eadem transgrediendo offendatis Deum, per quæ eum auxiliaturum putatis. Si enim seruetis sabbatorum consuetudinem, & ad nullum actum moueamini, facilè profectò capiemini. Sic quippe etiam maiores vestri experti sunt, hos maximè dies Pompeio ad bellû destinante: in quibus scilicet hi qui oppugnabantur, otia gerebant. Transgredientes autem in bello legem patriam, nescio propter quid in reliquum dimicetis. Vna siquidem nunc vobis intentio est, ne quid de patria institutione soluatur. Quemadmodum autem aduocabitis in adiutorium Deum, si cultum ei debitum sponte violetis? Assumunt autem singuli quique bellum, vel diuinæ virtuti, vel humanis opibus confidentes. Cùm verò vtraque hæc quantum ad ipsam pertinet consequentiam, deseruntur, in manifestam vtique captiuitatem volentes pugnare prosiliût. Quid autem prohibet propriis manibus filios vestros coniugésq; laniare, & hanc pulcherrimam inflammare patriam? Erumpentes siquidem in furorem, lucrabimini vel ignominiā superatorum. Bonû est, ô amici, bonû est, dum adhuc stat nauis in portu, præcauere tempestatē futuram, & nō eo tēpore, quo in medias irruetis procellas trepidare. His siquidem qui in improuisa mala inciderint, superest vt digni vel miseratione videantur: qui verò se in apertum discrimen iniecerint, etiam exprobrationibus onerentur. Nisi fortè aliquis vestrûm æstimet secundum pacta conflictum ire Romanos, aut postquam vicerint, moderatè vobiscum acturos, & non in exemplum aliarum gentium sacram hanc vrbem inflammaturos, interfecturos autem vniuersum genus vestrum. Neque enim qui superfueritis armis, vsquam locum fugæ habebitis, vniuersis scilicet gentibus vel iam habentibus Romanos dominos, vel habere metuentibus. Periculum autem non solùm vos manebit, sed etiam in reliquis ciuitatibus habitantes Iudæos: Neque enim est in toto orbe populus, in quo non vestra portio sit: quos certè omnes vobis rebellantibus, cæde crudelissima diuersi quique conficient, & propter paucorum virorum

τῇ ῥώμῃ σῖτον μηνῶν τεσσάρων. τετείχισται δὲ πάντοθεν ἢ δυσβάτοις ἐρημίαις, ἢ θαλάσσαις ἀλιμένοις, ἢ ποταμοῖς, ἢ ἕλεσιν. ἀλλ' οὐδὲν τούτων ἰσχυρότερον εὑρέθη τῆς ῥωμαίων τύχης. δύο δ' ἐγκαθήμενα τῇ πόλει τάγματα, τὴν βαθεῖαν αἴγυπτον ἅμα τῇ μακεδόνων εὐγενείᾳ χαλινοῖ. τίνας οὖν ἐπὶ τὸν πόλεμον ἐκ τῆς ἀοικήτου παραλήψεσθε συμμάχους. οἱ μὲν γὰρ ἐπὶ τῆς οἰκουμένης, πάντες εἰσὶ ῥωμαῖοι. εἰ μή τις ὑπὲρ εὐφράτην ἐκτείνει τὰς ἐλπίδας, καὶ τοὺς ἐκ τῆς ἀδιαβηνῆς ὁμοφύλους οἴεται προσαμυνεῖν. οἱ δὲ, οὔτε δι' αἰτίαν ἄλογον τηλικούτῳ πολέμῳ συμπλέξουσιν ἑαυτούς, οὔτε βουλευσαμένοις κακῶς, ὁ πάρθος ἐπιτρέψει. πρόνοια γὰρ αὐτῷ τῆς πρὸς ῥωμαίους ἐκεχειρίας, καὶ παραβαίνειν οἰήσεται τὰς σπονδάς, κἄν τις τῶν ὑπ' αὐτὸν ἐπὶ ῥωμαίους ἴῃ. λοιπὸν οὖν ἐπὶ τὴν ἐκ τοῦ θεοῦ συμμαχίαν καταφευκτέον. ἀλλὰ καὶ τοῦτο παρὰ ῥωμαίοις τέτακται. δίχα γὰρ θεοῦ συστῆναι τηλικαύτην ἡγεμονίαν ἀδύνατον. σκέψασθε δὲ ὡς ὑμῖν τὸ τῆς θρησκείας ἄκρατον, εἰ καὶ πρὸς εὐχειρώτους πολεμοίητε, δυσδιοίκητον, καὶ δι' ἃ μάλιστα τὸν θεὸν ἐλπίζετε σύμμαχον, ταῦτα ἀναγκαζόμενοι παραβαίνειν ἀποστρέψετε. τηροῦντες μὲν γε τὰ τῶν ἑβδομάδων ἔθη, καὶ πρὸς μηδεμίαν πρᾶξιν κινούμενοι, ῥᾳδίως ἁλώσεσθε; καθάπερ οἱ πρόγονοι πομπηΐῳ, ταύτας μάλιστα τὰς ἡμέρας ἐνεργοὺς ποιησαμένῳ τῆς πολιορκίας ἐν αἷς ἤργουν οἱ πολιορκούμενοι. παραβαίνοντες δὲ ἐν τῷ πολέμῳ τὸν πάτριον νόμον, οὐκ οἶδα ὑπὲρ ὅτου ποιήσεσθε τὸν ἀγῶνα. σπουδὴ γὰρ ὑμῖν μία, τὸ μὴ τῶν πατρίων τι καταλῦσαι. πῶς δὲ ἐπικαλέσεσθε τὸ θεῖον εἰς ἄμυναν, οἱ παραβαίνοντες ἑκουσίως τὴν εἰς αὐτὸ θεραπείαν; ἐπαναιροῦνται δ' ἕκαστοι πόλεμον, ἢ θείᾳ πεποιθότες, ἢ ἀνθρωπείᾳ βοηθείᾳ. ὅταν δὲ τὴν παρ' ἀμφοῖν τὸ νεῖκος ἀποκόπτῃ, φανερὰν ἅλωσιν οἱ πολεμοῦντες αἱροῦνται. τί δὲ κωλύει ταῖς ἑαυτῶν χερσὶ διαχρήσασθαι τέκνα καὶ γυναῖκας, καὶ τὴν περικαλλεστάτην πατρίδα ταύτην καταφλέξαι; μανέντες γὰρ οὕτω, τό γε τῆς ἥττης ὄνειδος κερδήσετε. καλὸν ὦ φίλοι καλὸν, ἕως ὅτε ἐν ὅρμῳ τὸ σκάφος, προσκέπτεσθαι τὸν μέλλοντα χειμῶνα, μηδὲ εἰς μέσας τὰς θυέλλας ἀπὸ λιμένος ἀναχθῆναι. τοῖς μὲν γὰρ ἐξ ἀδήλων ἐπιπεσοῦσι δεινοῖς, τὸ γοῦν ἐλεεῖσθαι περίεστιν. ὁ δὲ εἰς πρόδηλον ἀπώλειαν ὁρμήσας, καὶ προσονειδίζεται. πλὴν εἰ μή τις ὑπολαμβάνει κατὰ συνθήκας πολεμήσειν, καὶ ῥωμαίους κρατήσαντας ὑμῶν μετριάσειν, ἀλλ' οὐκ εἰς ὑπόδειγμα τῶν ἄλλων ἐθνῶν, καταφλέξειν μὲν τὴν ἱερὰν πόλιν, ἀναιρήσειν δὲ πᾶν ὑμῶν τὸ φῦλον. οὐδὲ γὰρ περιλειφθέντες φυγῆς εὑρήσετε τόπον, ἁπάντων ἐχόντων ῥωμαίους δεσπότας, ἢ δεδοικότων σχεῖν. ὁ δὲ κίνδυνος, οὐ τῶν ἐνθάδε μόνων, ἀλλὰ καὶ τῶν κατὰ τὰς ἄλλας πόλεις κατοικούντων. οὐ γὰρ ἔστιν ἐπὶ τῆς οἰκουμένης δῆμος, ὁ μὴ μοῖραν ἡμετέραν ἔχων. οὓς ἅπαντας πολεμησάντων ὑμῶν, κατασφάξουσιν οἱ διάφοροι, καὶ δι' ὀλίγων ἀνδρῶν κακοβου-

κακοβουλίαν, πᾶσα πληρωθήσεται πόλις ἰουδαϊκοῦ φόνου. καὶ συγγνώμη μὲν τοῖς τοῦτο πράξασιν. ἂν δὲ μὴ πραχθῇ, λογίσασθε πῶς πρὸς οὕτω φιλανθρώπους ὅπλα κινεῖν ἀνόσιον. εἰσελθέτω δὲ οἶκτος ὑμᾶς, εἰ μὴ καὶ τέκνων καὶ γυναικῶν, ἀλλὰ τῆς μητροπόλεως ταύτης, καὶ τῶν ἱερῶν περιβόλων. φείσασθε τοῦ ἱεροῦ, καὶ τὸν ναὸν ἑαυτοῖς μετὰ τῶν ἁγίων τηρήσατε, ἀφέξονται γὰρ οὐκ ἔτι ῥωμαῖοι τούτων κρατήσαντες, ὧν φεισάμενοι πρότερον ἠχαρίστηνται. μαρτύρομαι δὲ ἐγὼ μὲν ὑμῶν τὰ ἅγια, καὶ τοὺς ἱεροὺς ἀγγέλους τοῦ θεοῦ, καὶ πατρίδα τὴν κοινὴν, ὡς οὐδὲν τῶν σωτηρίων ὑμῖν καθυφηκάμην. ὑμεῖς δὲ βουλευσάμενοι μὲν τὰ δέοντα, κοινῇ σὺν ἐμοὶ τὴν εἰρήνην ἕξετε. προαχθέντες δὲ τοῖς θυμοῖς, χωρὶς ἐμοῦ κινδυνεύσετε. τοσαῦτα εἰπὼν, ἐπεδάκρυσέ τε μετὰ τῆς ἀδελφῆς, καὶ τὸ πολὺ τῆς ὁρμῆς αὐτῶν ἔπαυσε τοῖς δάκρυσιν. ἀνεβόων δὲ, οὐ ῥωμαίοις, ἀλλὰ φλώρῳ, δι᾽ ἃ πεπόνθασι πολεμεῖν. πρὸς ταῦτα ὁ βασιλεὺς ἀγρίππας, ἀλλὰ τὰ ἔργα ἔφη ῥωμαίοις ἤδη πολεμούντων ἐστίν. οὔτε γὰρ τῷ καίσαρι δεδώκατε τὸν φόρον, καὶ τὰς στοὰς ἀπεκόψατε τῆς ἀντωνίας. ἀποσκευάσεσθε δ᾽ ἂν τὴν αἰτίαν τῆς ἀποστάσεως, εἰ ταύτας τε συνάψετε πάλιν, καὶ τελέσετε τὴν εἰσφοράν. οὐ γὰρ ἤδη γε φλώρου τὸ φρούριον ἐστίν, ἢ φλώρῳ τὰ χρήματα δώσετε.

Κεφ. κθ. ΤΟύτοις ὁ δῆμος ἐπείθετο, καὶ μετὰ τοῦ βασιλέως τῆς τε βερνίκης ἀναβάντες εἰς τὸ ἱερὸν, κατήρξαντο τῆς τῶν στοῶν δομήσεως. εἰς δὲ τὰς κώμας, οἵ τε ἄρχοντες, καὶ οἱ βουλευταὶ μερισθέντες, τοὺς φόρους συνέλεγον. ταχέως δὲ τὰ τεσσαράκοντα τάλαντα, τοσοῦτον γὰρ ἔλειπεν, ἠθροίσθη. καὶ τοῦ μὲν πολέμου τότε τὴν ἀπειλὴν, οὕτω κατέστειλεν ἀγρίππας. αὖθις δὲ ἐπειρᾶτο πείθειν τὸ πλῆθος ὑπακούειν φλώρῳ, ἄχρις ἂν τ᾽ αὐτοῦ πέμψῃ καῖσαρ διάδοχον. παροξυνθέντες δὲ, ἐβλασφήμουν εἰς τὸν βασιλέα, καὶ τῆς πόλεως αὐτὸν ἐξεκήρυσσον. ἐτόλμων δέ τινες τῶν στασιαστῶν, καὶ λίθους ἐπ᾽ αὐτὸν βάλλειν. ὁ δὲ βασιλεὺς τὴν ὁρμὴν τῶν νεωτεριζόντων ἀκατάσχετον ὁρῶν, καὶ χαλεπήνας ἐφ᾽ οἷς προπεπηλάκιστο, τοὺς μὲν ἄρχοντας ἅμα τοῖς δυνατοῖς αὐτῶν ἔπεμπε πρὸς φλῶρον εἰς καισάρειαν, ἵνα ἐκεῖνος ἐξ αὐτῶν ἀποδείξῃ, τοὺς τὴν χώραν φορολογήσοντας. αὐτὸς δὲ ἀνεχώρησεν εἰς τὴν βασιλείαν. κἂν τούτῳ τινὲς τῶν μάλιστα κινούντων τὸν πόλεμον συνελθόντες, ὥρμησαν ἐπὶ φρούριόν τι καλούμενον μάσαδαν, καὶ καταλαβόντες αὐτὸ λάθρα, τοὺς μὲν ῥωμαίους ἀπέσφαξαν, ἑτέρους δὲ κατέστησαν ἰδίους.

Κεφ. λ. ΑΜα δὲ καὶ κατὰ τὸ ἱερὸν ἐλεάζαρος υἱὸς ἀνανία τοῦ ἀρχιερέως, νεανίας θρασύτατος, στρατηγῶν τότε, τοὺς κατὰ τὴν λατρείαν λειτουργοῦντας ἀναπείθει, μηδενὸς ἀλλοφύλου δῶρον, ἢ θυσίαν προσδέχεσθαι. τοῦτο δὲ ἦν τοῦ πρὸς ῥωμαίους πολέμου καταβολή. τὴν γὰρ ὑπὲρ τούτων θυσίαν καίσαρος ἀπέρριψαν, καὶ πολλὰ τῶν τε ἀρχιερέων καὶ τῶν γνωρίμων παρακαλούντων, μὴ παραλιπεῖν τὸ ὑπὲρ τῶν ἡγεμόνων ἔθος, οὐκ ἐνέδοσαν, πολὺ μὲν καὶ τῷ σφετέρῳ πλήθει πεποιθότες,

praua consilia: vniuersæ vrbes Iudaico sanguine redundabunt. Manet autem venia eos qui talia patrauerint, quòd sint nimirum vestro vitio coacti. Si verò eadem exequi supersederint, considerate quàm impium sit, aduersùm tam benignos arma mouisse. Subeat autem vos miseratio, & si non filiorum vestrorum atque coniugum, saltem istius ciuitatis, quæ mater vrbium vestræ regionis vocatur. Parcite mœnibus sacris, parcite venerabilibus adytis, templúmque vobis & sancta sanctorũ seruate. Neq; enim vlteriùs victores Romani his abstinebunt, quibus primò parcentes nullam receperunt gratiam. Ego testor quidem sancta vestra, sacrósque angelos Dei, patriámque communem, quòd nihil eorum consiliorum, quæ vobis viderim expedire, subtraxerim. vos autem decernentes, quæ oportet, mecum in pace degetis: si verò protuleritis iras, absque me periculis subdemini. His dictis, astante etiam sorore lacrymauit, & multā partem de eorum impetu lacrymis infregit. Succlamabant autem non se aduersùm Romanos, sed aduersùm Florum ob ea quæ pertulissent, bellum gerere. Ad quos rex Agrippa: Sed opera vestra, inquit, talia sunt, qualia aduersùm Romanos pugnantium. neque enim Cesari vectigal dedistis, & Antonianas porticus incendistis. Sopietis autem causam defectionis, si & porticus denuo construatis, & tributa reddere maturetis. Neque enim Flori hoc præsidium est, aut pecuniam Floro dabitis. His consultis populus acquieuit, & cum rege ac Bernice ascendentes in templum porticus ædificare adorti sunt. Per vicos autem & regiones principes quique decurionésque dispersi, vectigal colligebant: celeritérque quadraginta talenta (tantum enim erat reliquum) redacta sunt. Et belli quidem imminentes minas eo tunc more Agrippa compescuit. Deinceps verò persuadere populo tentabat, vt parerent Floro, donec successor ei à Cæsare mitteretur. Ad quam orationem multitudo accensa, nec à verborum in regem contumeliis temperauit, sed protinus eum vrbe pepulerunt: ausique sunt nonnulli seditiosorum etiam saxa in eum iacere. Rex autem videns tumultuantium irreuocabilem impetum, & conquerendo quòd contumeliis esset affectus principes quidem eorum vnà cum aliis potentibus misit ad Florum Cæsaream, vt ipse ex eis eligeret, qui de tota regione vectigal exigerent. ipse verò discessit in regnum.

CAP. XVII. De cœpta rebellione Iudæorum contra Romanos.

PEr idem tempus quidam eorum, qui bellum maximè mouebant, congregati irruebant in quoddam præsidium, quòd vocabatur Massada: & occultè eo peruaso, Romanos omnes interfecerunt: alios autem de suis posuerũt custodes. In templo quoq; Hierosolymorũ Eleazarus quidam, filius Ananiæ pontificis, iuuenis audacissimus, dux illo tempore militum, persuasit his qui sacrificiis ministrabant, vt nullius munus aut hostia, qui non esset de Iudæorum gente susciperetur. Id autem erat Romani belli seminarium atque materia. Reiecit siquidem hostias Cæsaris, quæ pro Romano populo offerri solitæ erant. Plurimum autem super hoc pontificibus, aliisque nobilibus deprecatis, vt non præterirent eum morem, quo supplicabatur pro regibus, nihil tamen acquieuerunt, non parum quidem & suæ multitudini confidentes:

robur siquidem omne res nouare cupientium, eorum voluntates iuuabat: maximè autem aspiciebant Eleazarum, qui per idem tempus, vt dixi, princeps erat. Conuenientes igitur potentes quique cum pontificibus, & Pharisæorum nobilissimis, & videntes quàm grauibus malis pergerent subiicere ciuitatem, decreuerunt seditiosorum animos experiri: & ante portam quæ ærea vocatur, concionem aduocantes (erant autem interiore parte templi posita, quæ respicit ad solis exortum) ac primò quidem multa de temeraria eorum defectione conquesti, & quòd tam graue bellum patriæ commouerent: deinceps irrationabilitatem causæ ipsius arguebant, dicentes, maiores quidem corũ ornasse templum ex magna parte de muneribus gentium, sempérque eorum, qui foris essent populorum munera suscepisse: & non solùm non prohibuisse aliquorũ hostias (id siquidem esse impiissimum) sed etiam eas, quæ viserentur permaneréntq; ad præsens vsque tempus, oblationes eorum in templi cultibus collocasse. At nunc eos, qui Romana arma irritarent, & despondèrent eorum bella, nouum statuere morem religionis, atque cum periculis etiam ream facere ciuitatem impietatis videri: siquidem ea sit, in qua præter solos Iudæos, nullus alius immolet externus, neque ad orandum sinantur accedere. Et si quidem circa vnius alicuius priuati personam lex ferretur eiusmodi, posset nimirum iure nos inhumanitatis arguere: nunc autem despiciuntur Romani, & iudicatur Cæsar profanus. Vnde verendum esse, ne qui immolandas pro illis hostias repellunt, ipsi in reliquum etiam pro se sacrificia prohibeatur offerre: fiatq; verè extra principatum ciuitas, nisi celerius resipiscentes reddiderint hostias, ac prius quàm ad eos, in quorum contumeliam id tentatum est, huius ausus perueniat fama. Simul autem ista dicentes, producebant in medium scientissimos morum paternorum, sacerdotes quoque, narraturos quomodo omnes eorum maiores exterarum gentium semper sacrificia suscepissent. Attendebat autem nemo res nouare cupientium his, quæ dicebantur, sed neque procedebant in medium altaris ministri, vt belli materiam præparantes. Videntes igitur nobiles quique seditionem eò iam processisse, vt eorum non posset authoritate compesci, & Romanorum armorum periculum se primos esse sensuros, in quantum poterant consulentes, amoliri causas parabant. & legatos quidem alios ad Florum miserunt, quorum erat princeps filius Ananiæ Simon: alios autem ad Agrippam, inter quos nobilissimi Saulus, & Antipas, & Costobarus erant, qui etiam regem propinquitate tangebãt. Precabantur autem vtrumque, vt cum exercitu ascenderent in ciuitatem, & seditionem opprimerent, prius quàm ea intolerabilis fieret. Et Floro quidem malum istud quasi bonus nuncius fuit, voléńsque inflammare bellum nihil respondit legatis. Agrippa autem pariter vtrisque parcens, scilicet deficientibus, & iis aduersũ quos bellum mouebatur, voléńsq; & Romanis cõseruare Iudæos, & Iudæis templum atque patriam, ad hæc autem nec sibi conducere talem conturbationem sciens, misit in auxilium populo equites ter mille, Auranitas scilicet, & Batanæos, & Trachonitas sub præfecto equitum Dario, duce verò

καὶ γὰρ τὸ ἀκμαιότατον τῶν νεωτεριζόντων συνήργει, μάλιστα δὲ ἀφορῶντες εἰς τὸν ἐλεάζαρον στρατηγοῦντα.

Κεφ. λα

Συνελθόντες οὖν οἱ δυνατοὶ τοῖς ἀρχιερεῦσι συνίσταντο, καὶ τῶν φαρισαίων οἱ γνώριμοι, ὡς ἐπ' ἀνηκέστοις ἤδη συμφοραῖς ἐβουλεύοντο περὶ τῶν ὅλων. καὶ δόξαν ἀποπειραθῆναι τῶν στασιαστῶν λόγοις, πρὸ τῆς χαλκῆς πύλης ἀθροίζουσι τὸν δῆμον, ἥτις ἦν τοῦ ἔνδον ἱεροῦ τετραμμένη πρὸς ἀνατολὴν ἡλίου. καὶ πρῶτον αὐτῶν πολλὰ πρὸς τὴν τόλμαν τῆς ἀποστάσεως χαλεπήναντες, καὶ τὸ τηλικοῦτον ἐπισείειν τῇ πατρίδι πόλεμον, ἔπειτα τῆς προφάσεως τὸ ἄλογον διήλεγχον· φάμενοι τοὺς μὲν προγόνους αὐτῶν κεκοσμηκέναι τὸν ναὸν ἐκ τῶν ἀναθημάτων τῶν ἀλλοφύλων τὸ πλέον, ἀεὶ προσδεχομένους τὰς ἀπὸ τῶν ἔξωθεν ἐθνῶν δωρεάς. καὶ οὐ μόνον οὐ διακεκωλυκέναι θυσίας τινῶν, τοῦτο γὰρ ἀσεβέστατον, ἀλλὰ καὶ τὰ βλεπόμενα, καὶ τὰ παραμένοντα τὸν τοσοῦτον χρόνον ἀναθήματα περὶ τῷ ἱερῷ καθιδρυκέναι. αὐτοὺς δὲ νῦν ἐρεθίζοντας τὰ ῥωμαίων ὅπλα, καὶ μνηστευομένους τὸν ἀπ' ἐκείνων πόλεμον, καινοτομεῖν θρησκείαν ξένην, καὶ μετὰ τοῦ κινδύνου καταψηφίσασθαι τῆς πόλεως ἀσέβειαν, εἰ παρὰ μόνοις ἰουδαίοις οὔτε θύσει τις ἀλλότριος, οὔτε προσκυνήσει. κἂν μὲν ἐπὶ ἰδιώτου τις ἑνὸς τοῦτον εἰσφέρῃ τὸν νόμον, ἀγανακτεῖν ὡς ὁριζομένης ἀπανθρωπίας. περιορᾶν δὲ ὅτι ῥωμαῖοι, καὶ ὁ καῖσαρ ἔκσπονδοι γίνονται. δεδοικέναι μέντοι μὴ τὰς ὑπὲρ ἐκείνων ἀπορρίψαντες θυσίας, κωλυθῶσι θύειν καὶ τὰ ὑπὲρ ἑαυτῶν, γένηταί τε ἔκσπονδος τῆς ἡγεμονίας ἡ πόλις, εἰ μὴ ταχέως σωφρονήσαντες ἀποδώσουσι τὰς θυσίας, καὶ πρὶν ἐξελθεῖν ἐφ' οὓς ὕβρικασι τὴν φήμην, διορθώσονται τὴν ὕβριν. ἅμα ταῦτα λέγοντες, παρῆγον τοὺς ἐμπείρους τῶν πατρίων ἱερεῖς, ἀφηγουμένους ὅτι πάντες οἱ πρόγονοι τὰς ἀπὸ τῶν ἀλλογενῶν θυσίας ἀπεδέχοντο. προσεῖχε δὲ οὐδεὶς τῶν νεωτεριζόντων, ἀλλ' οὐδὲ προσήεσαν οἱ λῃτουργοί, τὴν τοῦ πολέμου μεταβολὴν ἐνσκευαζόμενοι. συνειδότες οὖν οἱ δυνατοί, τήν τε στάσιν ἤδη δυσκαθαίρετον ὑπ' αὐτῶν οὖσαν, καὶ τὸν ἀπὸ ῥωμαίων κίνδυνον ἐπὶ πρώτους αὐτοὺς ἀφιξόμενον, ἀπεσκευάζοντο τὰς αἰτίας. καὶ πρέσβεις οὓς μὲν πρὸς φλῶρον ἔπεμψαν, ὧν ἦρχεν υἱὸς ἀνανίου σίμων, οὓς δὲ πρὸς ἀγρίππαν, ἐν οἷς καὶ ἦσαν ἐπίσημοι σαῦλος τε καὶ ἀντίπας, καὶ κοστόβαρος προσήκοντες τῷ βασιλεῖ κατὰ γένος. ἐδέοντο δὲ ἀμφοτέρων ἀναβῆναι μετὰ δυνάμεως εἰς τὴν πόλιν, καὶ πρὶν γενέσθαι δυσκαθαίρετον, ἐπικόψαι τὴν στάσιν. φλώρῳ μὲν οὖν τοῦτο δεινὸν εὐαγγέλιον ἦν, καὶ προῃρημένος ἐξάπτειν τὸν πόλεμον, οὐδὲν ἀπεκρίνατο τοῖς πρεσβευταῖς. ἀγρίππας δὲ κηδόμενος ἐπίσης τῶν τε ἀφισταμένων, καὶ πρὸς οὓς ὁ πόλεμος ἠγείρετο, βουλόμενός τε ῥωμαίοις μὲν ἰουδαίους σώζεσθαι, ἰουδαίοις δὲ τὸ ἱερὸν καὶ τὴν μητρόπολιν, ἀλλ' οὐδὲ αὐτῷ λυσιτελήσειν τὴν ταραχὴν ἐπιστάμενος, ἔπεμψε τοὺς ἐπαμυνοῦντας τῷ δήμῳ τρισχιλίους ἱππεῖς, αὐρανίτας τε, καὶ βαταναίους, καὶ τραχωνίτας, ὑπὸ δαρείῳ μὲν ἱππάρχῳ, στρατηγῷ δὲ

τῷ ἰωα-

καὶ διεσώθησαν ὀλίγοι λάθρα διαδράντες εἰς μασάδαν, σὺν οἷς ἐλεάζαρος ὁ υἱὸς ἰαείρου προσήκων τῷ μαναήμῳ κατὰ γένος, ὃς ὕστερον ἐτυράννησε τῆς μασάδας. αὐτόν τε τὸν μανάημον εἰς τὸν καλούμενον ὀφλᾶν συμφυγόντα κἀκεῖ ταπεινῶς ὑπολανθάνοντα ζωγρήσαντες εἰς τὸ φανερὸν ἐξείλκυσαν, καὶ πολλαῖς αἰκισάμενοι βασάνοις, ἀνεῖλον. ὁμοίως δὲ καὶ τοὺς ὑπ' αὐτὸν ἡγεμόνας, τόν τε ἐπισημότατον τῆς τυραννίδος ὑπηρέτην ἀψάλωμον. ὁ μὲν οὖν δῆμος ὡς ἔφην εἰς ταῦτα συνήργησεν, ἐλπίζων τινὰ τῆς ὅλης στάσεως λαμβάνειν διόρθωσιν. οἱ δ' οὐ καταλῦσαι τὸν πόλεμον σπεύδοντες, ἀλλ' ἀδεέστερον πολεμεῖν, μανάημον ἀνῃρήκεσαν. ἀμέλει τοῦ δήμου πολλὰ τοῖς στρατιώταις ἀνεῖναι τὴν πολιορκίαν παρακαλοῦντος, οἱ δὲ προσέκειντο χαλεπώτερον, μέχρι μηκέτι ἀντέχοντες οἱ περὶ τὸν μετίλιον, οὗτος γὰρ ἦν τῶν ῥωμαίων ἔπαρχος, διαπέμπονται πρὸς τοὺς περὶ τὸν ἐλεάζαρον, ἐξαιτούμενοι μόνας τὰς ψυχὰς ὑποσπόνδους. τὰ δ' ὅπλα, καὶ τὴν λοιπὴν κτῆσιν παραδώσειν λέγοντες. οἱ δὲ καὶ τὴν ἱκεσίαν ἁρπάσαντες, ἀπέπεμψαν πρὸς αὐτοὺς, γωρίονά τε νικομήδους υἱὸν, καὶ ἀνανίαν σαδδούκι, καὶ ἰούδαν ἰωνάθου, δεξιάς τε καὶ ὅρκους δώσοντας. ὧν γενομένων κατῆγε τοὺς στρατιώτας ὁ μετίλιος. οἱ δὲ μέχρι μὲν ἦσαν ἐν τοῖς ὅπλοις, οὔτε ἐπεχείρει τις τῶν στασιαστῶν αὐτοῖς, οὔτε ἐνέφαινεν ἐπιβουλήν. ὡς δὲ κατὰ τὰς συνθήκας ἅπαντες ἀπέθεντο τοὺς θυρεοὺς, καὶ τὰ ξίφη, καὶ μηδὲν ἔτι ὑποπτεύοντες ἀνεχώρουν, ὥρμησαν ἐπ' αὐτοὺς οἱ περὶ τὸν ἐλεάζαρον, καὶ περισχόντες, ἀνῄρουν οὔτε ἀμυνομένους, οὔτε ἱκετεύοντας, μόνας δὲ τὰς συνθήκας καὶ τοὺς ὅρκους ἀναβοῶντας. καὶ οἱ μὲν οὕτως ὠμῶς ἀπεσφάγησαν ἅπαντες, πλὴν μετιλίου. τοῦτον γὰρ ἱκετεύσαντα, καὶ μέχρι περιτομῆς ἰουδαΐσειν ὑποσχόμενον, διέσωσαν μόνον. τὸ δὲ πάθος ῥωμαίοις μὲν ἦν κοῦφον. ἐκ γὰρ ἀπλέτου δυνάμεως ἀπαναλώθησαν ὀλίγοι. ἰουδαίοις δὲ προοίμιον ἁλώσεως ἔδοξε. καὶ κατιδόντες ἀνηκέστους μὲν ἤδη τὰς αἰτίας τοῦ πολέμου, τὴν δὲ πόλιν τηλικούτῳ μιάσματι πεφυρμένην, ἐξ οὗ δαιμόνιόν τι μήνιμα προσδοκᾶν εἰκὸς ἦν, εἰ καὶ μὴ τὴν ἐκ ῥωμαίων ἄμυναν, ἐπένθουν δημοσίᾳ. καὶ πλήρης μὲν κατηφείας ἦν ἡ πόλις. ἕκαστος δὲ τῶν μετρίων ὡς αὐτὸς ὑπὲρ τῶν στασιαστῶν δίκας δώσων ἐτετάρακτο. καὶ γὰρ δὴ σαββάτῳ συνέβη πραχθῆναι τὸν φόνον, ἐν ᾧ διὰ τὴν θρησκείαν τῶν ὁσίων, ἔργων ἔχουσιν ἐκεχειρίαν. τῆς δὲ αὐτῆς ἡμέρας καὶ ὥρας, ὥσπερ ἐκ δαιμονίου προνοίας, ἀνῄρουν καισαρεῖς τοὺς παρ' αὐτοῖς ἰουδαίους. ὡς ὑπὸ μίαν ὥραν ἀποσφαγῆναι μὲν ὑπὲρ δισμυρίους. κενωθῆναι δὲ πᾶσαν ἰουδαίων τὴν καισάρειαν. καὶ γὰρ τοὺς διαφεύγοντας, ὁ φλῶρος συλλαβὼν, κατῆγε δεσμώτας εἰς τὰ νεώρια.

Κεφ. λγ.

Πρὸς δὲ τὴν ἐκ τῆς καισαρείας πληγὴν, ὅλον τὸ ἔθνος ἐξαγριοῦται, καὶ διαμερισθέντες τάς τε κώμας τῶν σύρων, καὶ τὰς προσεχεῖς ἐπόρθουν πόλεις, φιλαδέλφειάν τε, καὶ γεβωνῖτιν, καὶ γέρασαν, καὶ πέλλαν, καὶ σκυθόπολιν, ἔπειτα γαδάροις καὶ ἵππῳ, καὶ τῇ γαυλανίτιδι προσπεσόντες, τὰς μὲν καταστρεψάμενοι, τὰς δὲ ὑποπρήσαντες,

paucique ex eis clàm in Massadam perfugerunt: cum quibus & Eleazarus filius Iairi, propinquus genere Manahemo, qui postea etiam in Massada tyrannidem egit. Ipsum autem Manahemum cùm fugisset in locum qui Ophlas vocatur, atque illic humiliter delitesceret, capientes extraxerunt in publicum, multisque tormentis excruciatum interfecerunt. Similiter autem sub eo agentes principes, præcipuúmque tyrannidis eius adiutorem Absalomon nomine. Et populus quidem, sicut dixi, in his adiutor fuit, suspicans aliquam totius seditionis correctionem futuram. Hi verò non vt comprimerent bellum, sed vt cum maiori licentia gererent, interfecerunt Manahemum. Denique cùm populus multum precaretur, vt oppugnationem militum relaxarent, vehementiùs insistebant, donec vlterius resistere non valentes, Metilius Romanorum præfectus & reliqui mittunt ad Eleazarum, precantes, vt solam eorum pacisceretur vitam: arma autem & reliqua quæ haberent, ipsis tradentibus sumeret. Qui precationem ilico arripientes, remittunt ad eos Gorionem Nicodemi filium, & Ananiam Sadducæum, & Iudam Ionathæ, scilicet eis dextras & sacramentum daturos. Quibus actis, deducebat milites Metilius: sed quandiu Romani arma retinebant, nemo aduersus eos seditiosorum fraudis aliquid molitus est. postea verò quàm secundùm pactiones omnes scuta gladiósque posuerunt, neque quicquam vlterius suspicantes discedebant, facto in eos impetu stipatores Eleazari, comprehensos trucidabant neque resistentes, neque supplicantes, solas autem pactiones & iuramenta quæ dederant inclamantes. Et hi quidem ita crudeliter interfecti sunt, præter Metilium. Hunc enim deprecantem, & vsque ad circuncisionem Iudaizare se promittentem, seruauerunt solum. Detrimentũ autem Romanis quidem erat leue: ex copiis siquidem amplissimis pauci fuerunt interempti: Iudæorum autem captiuitatis illud exordium videbatur. Videntes autem graues iam instare causas bellorum, vrbem autem tali facinore fuisse respersam, ex quo nimirum diuina indignatio imminebat, etiam si à Romanis nulla vltio timeretur, lugebant publicè, & tristitia ciuitas premebatur. moderati autem quique, quasi pro seditiosis causas reddituri, turbabantur. siquidem sabbato illam cædem contigerat perpetrari, quo scilicet die propter religionem à sanctis quoque operibus agunt quietem.

CAP. XIX. De Iudæorum maxima strage Cæsareæ & in omni Syria.

Eodem autem die, eadémque hora, quasi aliqua cælesti prouidentia Cæsarienses quoque Iudæos apud se habitantes trucidauerunt: ita vt vno tempore super viginti millia hominum cæderentur, & cunctis Iudæis vacuata Cæsarea remaneret. Nam & eos, qui effugerant comprehendens Florus, vinctos in arenam deduxit. Post Cæsariensem verò cladem tota gens efferata est. Diuisíque Iudæi, Syrorũ vicos ac finitimas ciuitates protinus vastauerunt, id est, Philadelphiam, & Gebonitin, & Gerasam, & Pellam, & Scythopolim. Deinceps verò irruerunt & in Gadaram & Hippon & Gaulanitidem: & alia quidem subruentes loca: alia verò inflammates,

etiam in Cedasam Tyriorum & Ptolemaidem, Gabam quoque, Cæsareámque tendebant. Obstitit autem eorum incursui neque Sebaste, neque Ascaló: sed his quoque flamma vastatis Anthedona & Gazam euerterunt. Multa autem circa fines harum ciuitatum diripiebantur, vici scilicet & agri, eorúmque qui capiebantur virorum immensa cædes fiebat. neq; tamen Syri minorem numero multitudinem de Iudæorum gente vastabant, sed etiã eos, qui in ciuitatibus erant, comprehensos disperdebant: non solùm ob vetus odium, sed vt discrimen imminens præuenirent. Grauis ergo conturbatio totam Syriam peruaserat, & omnis ciuitas in binos diuidebatur exercitus: vnáque alterutris salus erat, si præuenissent alteros cęde facienda: & dies quidem ducebantur in sanguine, noctes autem molestiores formido faciebat. Nam licèt viderentur amoliri Iudæos, tamen etiam aliarum gentium Iudaizãtes cogebãtur habere suspectos: & ob hoc ipsum quod in eis videbatur ambiguum, neque temerè eos placebat interfici, & rursus ob ipsam religionis commixtionem quasi penitus externos timebant. Prouocabat autem ad cædes aduersæ partis, etiam illos qui priùs fuerant mansueti, auaritia. siquidem substantias cæsorum passim diripiebant: & quasi victores eorum prædam quos trucidauerant, in domos alias transferebant. Gloriosior autem erat qui plura collegisset, quasi scilicet plures virtute superasset. Erat autem cernere ciuitates plenas cadaueribus insepultis, & inhumatos passim iacere cũ paruulis senes, fœminas autem neque pudenda contectas. Et omnis quidem prouincia plena erat inenarrabilium calamitatũ. maiorum autem metus quàm quæ peracta erãt, facinorum imminebat. Et hactenus quidem Iudæis aduersum alienigenas conflictus erat. Incurrentes autem in Scythopoleos fines, etiam Iudæos qui illic habitabant, experti sunt hostes. Hi enim cum Scythopolitis conspirantes, & consanguinitatem vtilitati propriæ postponentes, aduersum Iudæos cum gentilibus dimicabant: Suspecta tamen eorum ipsa belli fuit auiditas. Denique Scythopolitæ veriti ne ciuitatem noctu adirent, & magna sua calamitate ciuibus excusarent defectionem, edixerunt eis, vt si vellent inter eos firmare consensum, & circa alienigenas ostendere fidem, transirent cum omnibus filiis suis in lucum. quibus quæ fuerant iussa sine suspicionem facientibus: diebus quidem secutis duobus quieuerunt Scythopolitæ. tertia verò nocte exploratores, alios incautos, alios verò dormientes inuadunt, subitóque omnes interfecerunt, qui fuerunt numero tredecim millia: póstque eorum bona diripuerunt. Dignum autem etiam videtur, Simonis interitum enarrare. Hic enim Sauli cuiusdam non ignobilis viri filius erat, fortitudine quoque corporis & audacia animi insignissimus: quibus vtrisque ad incommoda suæ gentis abusus est. Multos siquidem Iudęorum propinquos Scythopoli, quotidie obtrũcabat, & frequenter integros cuneos fudit, ita vt totius aciei momẽtum solus existeret. Comprehendit autem eum digna ciuili cæde pœna. Nam cùm Scythopolitæ circumfusi Iudæis,

A ἐχώρουν ἐπὶ κέδασαν τὴν τυρίων, καὶ πτολεμαΐδα, γάβαν τε καὶ καισάρειαν. ἀντέσχε δ' οὐδὲ σεβαστὴ ταῖς ὁρμαῖς αὐτῶν οὐδ' ἀσκάλων. ἀλλ' ἐπὶ ταύταις πυρποληθείσαις, ἀνθηδόνα καὶ γάζαν κατέσκαπτον. πολλαὶ δὲ περὶ ἑκάστην τούτων τῶν πόλεων ἀνηρπάζοντο κῶμαι, καὶ τῶν ἁλισκομένων ἀνδρῶν φόνος ἦν ἄπειρος. οὐ μὴν οἱ σύροι τῶν ἰουδαίων ἔλαττον πλῆθος ἀνῄρουν, ἀλλὰ καὶ αὐτοὶ τοὺς ἐν ταῖς πόλεσι B λαμβανομένους ἀπέσφαττον, οὐ μόνον κατὰ μῖσος ὡς πρότερον, ἀλλ' ἤδη καὶ τὸν ἐφ' ἑαυτοῖς κίνδυνον φθάνοντες. δεινὴ δὲ ὅλην τὴν συρίαν ἐπεῖχε ταραχὴ, καὶ πᾶσα πόλις εἰς δύο διῄρητο στρατόπεδα. σωτηρία δὲ τοῖς ἑτέροις ἦν, τὸ τοὺς ἑτέρους φθάσαι. καὶ τὰς μὲν ἡμέρας ἐν αἵματι διῆγον, τὰς δὲ νύκτας δέει χαλεπωτέρας. ἀπεσκευάσθαι γὰρ τοὺς ἰουδαίους δοκοῦντες ἕκαστοι, τοὺς ἰουδαΐζοντας εἶχον ἐν ὑποψίᾳ, καὶ τὸ παρ' ἑκάστοις ἀμφίβολον οὔ C τε ἀνελεῖν τις προχείρως ὑπέμενε, καὶ μεμιγμένον ὡς βεβαίως ἀλλόφυλον ἐφοβεῖτο. προεκαλεῖτο δὲ ἐπὶ τὰς σφαγὰς τῶν διαφόρων, καὶ τοὺς πάλαι πρᾳοτάτους εἶναι δοκοῦντας, ἡ πλεονεξία. τὰς γὰρ οὐσίας τῶν ἀναιρεθέντων ἀδεῶς διήρπαζον, καὶ καθάπερ ἐκ παρατάξεως τὰ σκῦλα τῶν ἀνῃρημένων εἰς τοὺς σφετέρους οἴκους μετέφερον, ἔνδοξός τε ἦν ὁ πλεῖστα κερδάνας, ὡς κατισχύσας πλειόνων. ἦν δὲ ἰ- D δεῖν τὰς πόλεις μεστὰς ἀτάφων σωμάτων, καὶ νεκροὺς ἅμα νηπίοις γέροντας ἐρριμμένους, γυναῖκά τε μήτε τῆς ἐπ' αἰδῶ σκέπης μετειληφότα, καὶ πᾶσαν μὲν τὴν ἐπαρχίαν μεστὴν ἀδιηγήτων συμφορῶν, μείζονα δὲ τῶν ἑκάστῳ τετολμημένων τὴν ἐπὶ τοῖς ἀπειλουμένοις μετάστασιν.

Κεφ. λδ'

Μέχρι μὲν δὴ τούτων ἰουδαίοις πρὸς ἀλλοφύλους ἦσαν συμβολαὶ, καταθέοντες δ' εἰς σκυθόπολιν, τοὺς παρ' ἐκείνῃ ἰουδαίους ἐπειρῶντο πολεμεῖν. E ταξάμενοι γὰρ μετὰ τῶν σκυθοπολιτῶν, καὶ τῆς ἑαυτῶν ἀσφαλείας ἐν δευτέρῳ θέμενοι τὴν συγγένειαν, ὁμόσε τοῖς ὁμοφύλοις ἐχώρουν. ὑπωπτεύθη δὲ αὐτῶν καὶ τὸ λίαν πρόθυμον. οἱ γοῦν σκυθοπολῖται δείσαντες μὴ νύκτωρ ἐπιχειρήσωσι τῇ πόλει, καὶ μετὰ μεγάλης αὐτῶν συμφορᾶς τοῖς οἰκείοις ἀπολογήσωνται περὶ τῆς ἀποστάσεως, ἐκέλευον αὐτοῖς εἰ βούλονται τὴν ὁμόνοιαν βεβαιῶσαι, καὶ τὸ πρὸς τοὺς ἀλλοεθνεῖς F πιστὸν ἐπιδείξασθαι, μεταβαίνειν ἅμα ταῖς γενεαῖς εἰς τὸ ἄλσος. τῶν δὲ ποιησάντων τὸ προσταχθὲν χωρὶς ὑποψίας, δύο μὲν ἡμέρας ἠρέμησαν οἱ σκυθοπολῖται, τὴν πίστιν αὐτῶν δελεάζοντες. τῇ τρίτῃ δὲ νυκτὶ παρατηρήσαντες, οὓς μὲν ἀφυλάκτους, οὓς δὲ κοιμωμένους, πάντας ἀπέσφαξαν, ὄντας τὸν ἀριθμὸν ὑπὲρ μυρίους καὶ τρισχιλίους, τάς τε κτήσεις διήρπασαν ἁπάντων. ἄξιον δὲ ἀφηγήσασθαι καὶ τὸ σίμωνος πάθος, ὃς υἱὸς μὲν ἦν σαούλου τινὸς τῶν οὐκ G ἀσήμων, ῥώμῃ δὲ σώματος καὶ τόλμῃ διαφέρων, ἐπὶ κακῷ τῶν ὁμοφύλων ἀμφοτέροις κατεχρήσατο. προσιὼν γοῦν ὁσημέραι πολλοὺς μὲν ἀνῄρει τῶν πρὸς τῇ σκυθοπόλει ἰουδαίων, τρεπόμενος δὲ πολλάκις αὐτοὺς πάντας, μόνος ἦν ῥοπὴ τῆς παρατάξεως. περιέρχεται δὲ αὐτὸν ἀξία ποινὴ τοῦ συγγενικοῦ φόνου. ἐπεὶ γὰρ περισχόντες οἱ σκυθοπολῖται κατη-

κατηκόντιζον αὐτοὺς ἀνὰ τὸ ἄλσος, σπασάμενος τὸ ξίφος ἐπ' οὐδένα μὲν ὥρμησε τῶν πολεμίων. καὶ γὰρ ἑώρα τὸ πλῆθος ἄνυτον. ἀναβοήσας δὲ μάλα ἐκπαθῶς ἄξιά γε ὧν ἔδρασα πάσχω σκυθοπολῖται καθ' ὑμῶν, ὅτι τοσούτῳ φόνῳ συγγενῶν τὴν πρὸς αὐτοὺς εὔνοιαν ἐπιστωσάμην. τιγαροῦν οἷς ἄπιστον μὲν εὐλόγως εὕρηται τὸ ἀλλόφυλον, ἠσέβηται δὲ εἰς ἔσχατα τὸ οἰκεῖον, θνήσκω μὲν ὡς ἐναγὴς χερσὶν ἰδίαις. οὐ γὰρ πρέπον ἐν ταῖς τῶν πολεμίων. τὸ δὲ αὐτὸ ἂν εἴη μοι καὶ ποινὴ τοῦ μιάσματος ἀξία, καὶ πρὸς ἀνδρίαν ἔπαινος, ἵνα μηδεὶς τῶν ἐχθρῶν τὴν ἐμὴν αὐχήσῃ σφαγὴν, μηδ' ἐπαλαζονεύσηται πεσόντι. ταῦτα εἰπὼν, ἐλεοῦσιν ἅμα καὶ τεθυμωμένοις ὄμμασι περισκέπτεται τὴν ἑαυτοῦ γενεάν. ἦν δὲ αὐτῷ καὶ γυνὴ καὶ τέκνα καὶ γηραιοὶ γονεῖς. ὁ δὲ πρῶτον τὸν πατέρα τῆς πολιᾶς ἐπισπασάμενος, διελαύνει τῷ ξίφει, μεθ' ὃν οὐκ ἄκουσαν τὴν μητέρα, καὶ ἐπὶ τούτοις τήν τε γυναῖκα, καὶ τὰ τέκνα, μόνον οὐχὶ ὑπαντῶντος ἑκάστου τῷ ξίφει, καὶ σπεύδοντος φθάσαι τοὺς πολεμίους. ὁ δὲ διελθὼν πᾶσαν τὴν γενεὰν, καὶ περίοπτος ἐπιστὰς τοῖς σώμασι, τήν τε δεξιὰν ἀνατείνας, ὡς μηδένα λαθεῖν, ὅλον εἰς τὴν ἑαυτοῦ σφαγὴν ἐβάπτισε τὸ ξίφος, ἄξιος μὲν ἐλέους ὁ νεανίας δι' ἀλκὴν σώματος, καὶ ψυχῆς παράστημα. τῆς δὲ πρὸς ἀλλοφύλους πίστεως ἕνεκεν, ἀκολούθοις πάθεσι χρησάμενος. πρὸς δὲ τὴν ἐν σκυθοπόλει φθορὰν, αἱ λοιπαὶ πόλεις ἐπανίσταντο τοῖς καθ' ἑαυτὴν ἰουδαίοις ἑκάστη, καὶ πεντακοσίους μὲν ἐπὶ δισχιλίοις ἀσκαλωνῖται, πτολεμαεῖς δὲ δισχιλίους ἀνεῖλον, ἔδησάν τε οὐκ ὀλίγους. καὶ τύριοι μὲν συχνοὺς διεχρήσαντο, τὸ πλεῖον δὲ αὐτῶν δεσμώτας ἐφρούρουν. ἱππηνοί τε καὶ γαδαρεῖς ὁμοίως, τοὺς μὲν θρασυτέρους ἀπεσκευάσαντο, τοὺς δὲ φοβεροὺς διὰ φυλακῶν εἶχον. αἵ τε λοιπαὶ πόλεις τῆς συρίας, ὅπως ἑκάστη πρὸς τὸ ἰουδαϊκὸν ἢ μίσους ἢ δέους εἶχον.

Κεφ. λς.

Μόνοι δὲ ἀντιοχεῖς καὶ σιδώνιοι, καὶ ἀπαμεῖς ἐφείσαντο τῶν μετοικούντων, καὶ οὔτε ἀνελεῖν τινὰ ἰουδαίων ὑπέμειναν, οὔτε δῆσαι, τάχα μὲν καὶ διὰ τὸ σφέτερον πλῆθος, ὑπερορῶντες αὐτῶν πρὸς τὰ κινήματα, τὸ πλέον δὲ ἔμοιγε δοκεῖ οἴκτῳ πρὸς οὓς οὐδὲν ἑώρων νεωτερίζοντας. γερασηνοί τε οὔτε εἰς τοὺς ἐμμείναντας ἐπλημμέλησαν, καὶ τοὺς ἐξελθεῖν ἐθελήσαντας προέπεμψαν μέχρι τῶν ὅρων. συνέστη δὲ καὶ τὴν ἀγρίππα βασιλείαν ἐπιβουλὴ κατὰ ἰουδαίων. αὐτὸς γὰρ ἐπεπόρευτο πρὸς κέστιον γάλλον εἰς ἀντιόχειαν, καταλελοίπει δὲ διοικεῖν τὰ πράγματα τινὰ τῶν ἑταίρων τοὔνομα νόαρον, σοαίμῳ τῷ βασιλεῖ προσήκοντα κατὰ γένος. ἧκον δὲ ἐκ τῆς βαταναίας ἑβδομήκοντα τὸν ἀριθμὸν ἄνδρες, οἱ κατὰ γένος καὶ σύνεσιν τῶν πολιτῶν δοκιμώτατοι, στρατιὰν αἰτοῦντες, ἵνα εἴη γένοιτο κίνημα καὶ περὶ σφᾶς, ἔχοιεν ἀξιόχρεων φυλακὴν, κωλύειν τοὺς ἐπανισταμένους. τούτους ὁ νόαρος ἐκπέμψας νύκτωρ τῶν βασιλικῶν ὁπλιτῶν τινὰς, ἅπαντας ἀναιρεῖ, τολμήσας μὲν τοὔργον δίχα τῆς ἀγρίππα γνώμης, διὰ δὲ φιλαργυρίαν ἄμετρον εἰς τοὺς ὁμοφύλους ἑλόμενος ἀσεβεῖν, τὴν βασιλείαν διέφθειρεν.

A passim per lucum eos iaculis configerent, educto Simon gladio, in nullum quidem hostium impetum fecit. Nihil enim se in tanta multitudine promoturum videbat. Exclamans autem miserabiliter: digna, inquit, Scythopolitæ his quæ gessi patior: quippe, qui tam multa cæde ciuium meorum, benignitati erga vos nostræ fidem feci. Dignè enim nobis extera gens infida est, qui in nostrum genus tanta impietate deliquimus. morior ego quasi profanus propriis B manibus: neque enim decet hostili manu cadere. Iste autem ipse finis mihi & sceleris digna pœna, & idoneum virtutis decus erit: vt nemo scilicet hostium de meo interitu glorietur, neque insultet cadenti. Hæc dicens, miserantibus simul ac furentibus oculis circumspicit omnem familiam suam. erat autem ei vxor & filij, & prouecti in senectutem parentes. Ille igitur primùm quidem patrem à cæsarie comprehendens, & super eum stans ense C penetrauit: post quem non sanè inuitam matrem suam interfecit. super hos autem coniugi & filiis intulit ferrum, singulis sanè horum penè occurrentibus gladio, & hostes præuenire cupientibus. Cùm verò omnem suam necessitudinem trucidasset, cæsis superstans extulit dexteram, vt neminem posset latere, & totum in viscera sua ensem demersit: dignus quidem miseratione iuuenis propter robur corporis atque animi firmitatem, cæterum quan- D tum ad fidem, quam alienigenis præstitit, digno fine consumptus.

CAP. XX. De Iudæorum alia gra ui cæde.

AD cædem autem quæ in Scythopoli facta est, reliquæ quoque vrbes in Iudæos apud se habitantes irruebant: & duo millia quingentos Ascalonitæ, Ptolemais autem duo millia interfecit. Vinxerunt quoque non paucos Tyrij: multósque trucidauerunt: plures autem eorum vinctos custodiis tradidêre. Hippeni quoque & Gadarenses similiter audacissi- E mos quidem amoliebantur, terribiles autem solicitè adseruabant. Reliquæ quoque vrbes aduersum Iudæos singulæ, prout habebant, vel timore vel odio mouebantur. Soli autem Antiocheni, & Sidonij, & Apameni, suis cohabitatoribus pepercerunt, & neque interfecêre quempiam Iudæorum, neque vinculis tradiderunt. fortè autem & propter multitudinem suam despexerunt eorum si qui motus fuissent. mihi autem videntur magis erga eos miseratione moti, quos vtique nihil moliri videbant. F Geraseni autem neque in eos, qui apud se remanere delegerunt, quicquam gesserunt mali: & egredi volentes vsque ad fines suos deduxerunt. Excitata est autem etiam in regno Agrippæ aduersum Iudæos pernicies. Ipse quidem perrexerat ad Cestium Gallum Antiochiam, relicta administratione cuidam ex amicis, nomine Varo, Sohemo regi genere propinquo. Venerunt autem de Batanæa regione se- G ptuaginta numero viri & nobilitate & prudentia ciuium suorum præstantissimi, poscendi præsidij gratia: vt si qui scilicet apud eos quoque motus fierent, haberent idoneam custodiam, per quam possent insurgentes quosque comprimere. Hos Varus, quosdam armatos de regiis præmittens, interfecit in itinere omnes. Ausus autem est tale facinus præter consilium Agrippæ, & propter nimiam auaritiam impiè in gẽtiles suos agere nõ recusans, regnum omne corrupit;

perseuerans post tale scilicet principium in totum genus exercere iniquitatem: donec discussis Agrippa rebus animaduertere quidem in in eum veritus est propter iniquitatem Sohemi, procuranda tamen cum regione summouit. Seditiosi autem capto præsidio, quod appellatur Cyprus imminens finibus Hierichuntis, custodes quidem interfecerunt, munimenta autem destruxerunt. Per eosdem dies etiam in Machærunte multitudo Iudæorum persuadebat in præsidio relictis Romanis, deserere castellum, eisque tradere. Illi autem quod rogabantur cogi metuentes, pacti sunt cum eis discessionem suam: & accipientes fidem, tradunt præsidium, quod diligentibus cœperunt Machæruntij custodiis obtinere.

CAP. XXI. Iudæi Alexandriæ occisi.

IN Alexandria autem semper quidem erat incolis aduersum Iudæos seditio, iam ab illo tempore, ex quo strenuis Alexander contra Ægyptios vsus Iudæis, præmium societatis tradidit eis,& habitandi apud Alexandriam facultatem, & ius ciuitatis æquale cum gentibus: permanebat autem eis honor iste apud successores quoque Alexandri: denique & in parte vrbis locum eis proprium deputauerunt, quatenus haberent conuersationem per omnia mundiorem à communione scilicet gentium sequestratam: præstiterúntque eis, vt etiam Macedones appellarentur. deinceps verò cùm in ditionem Romanorum Ægyptus venisset, neque Cæsar primus, neque post eum quispiam, honores quos Alexander Iudæis decreuerat minuit. conflictus autem eorum aduersus Græcos penè continuus erat: & iudicibus in multos quotidie ab vtraque parte animaduertentibus, seditio accendebatur. Tunc verò cùm & apud alios turbata res esset, illic magis exarsit tumultus. Nam cùm Alexandrini in concionem venissent, vt ordinarent pro certis negotiis legationem ad Neronem ferendã, occurrerunt in amphitheatrum permixti Græcis plurimi Iudæorum. Quos quum vidissent æmuli, extemplo clamare cœperunt, Iudæos hostes & exploratores esse: ac deinceps insilientes intulerunt eisdem manus: & reliqui quidem fugientes dissipati sunt, tres verò ex his comprehensos, trahebant, quasi viuos incensuri. Commoti sunt autem vniuersi Iudæi ad opem ferẽdam:& primum quidem in Græcos saxa iaciebant, postea verò etiam facibus raptis in amphitheatrum impetum fecerunt, comminantes quod in ipso loco tantum simul populum concremarent, & penè minas implessent rebus, nisi iras eorum compressisset Tiberius Alexander: magistratus ciuitatis. Nec tamen ipse coercendi principium ab armis sumpsit, sed nobiles eorum quosque submittens, hortabatur, vt desinerent, neque aduersum se milites Romanos commouerent. Seditiosi autem benignam deprecationem ridentes, Tiberium contumeliis appetebant. Qui postquam vidit absque magna calamitate tumultuosos non posse compesci, immisit in eos duas Romanorum legiones, quæ in ciuitate erant: & cum his alios quinque millia milites, casu ad Iudæorum interitum de Libya venientes, præcepitq; vt non solùm interficerent, sed etiã bona eorum diriperent, domósq; inflammarent. Qui protinus cõcurrentes

διετέλει τὰ ὠμὰς εἰς τὸ ἔθνος παρανομῶν, μέχρι πυθόμενος Ἀγρίππας, ἀνελεῖν μὲν αὐτὸν ᾐδέσθη διὰ Σόεμον, ἔπαυσε δὲ τῆς ἐπιτροπῆς.

Κεφ. λϛ.

ΟἹ δὲ στασιασταὶ καταλαβόμενοι φρούριον, ὃ καλεῖται μὲν Κύπρος, καθύπερθε δὲ ἦν Ἱεριχοῦντος, τοὺς μὲν φρουροὺς ἀπέσφαξαν, τὰ δὲ ἐρύματα κατέρριψαν εἰς γῆν. κατὰ δὲ τὰς αὐτὰς ἡμέρας, καὶ τῶν ἐν Μαχαιροῦντι Ἰουδαίων τὸ πλῆθος, ἔπειθον τοὺς φρουροῦντας Ῥωμαίους ἐκλείπειν τὸ χωρίον, καὶ παραδιδόναι σφίσιν. οἱ δὲ τὴν ἐκ βίας ἀφαίρεσιν εὐλαβηθέντες συντίθενται πρὸς αὐτοὺς ἐκχωρῆσαι ὑπόσπονδοι, καὶ λαβόντες τὰ πιστὰ παραδιδόασι τὸ φρούριον, ὅπερ φυλακῇ κρατυνόμενοι κατεῖχον οἱ Μαχαιρεῖται. κατὰ δὲ τὴν Ἀλεξάνδρειαν, ἀεὶ μὲν ἦν στάσις πρὸς τὸ Ἰουδαϊκὸν τοῖς ἐπιχωρίοις, ἀφ' οὗ χρησάμενος προθυμοτάτοις κατὰ τῶν Αἰγυπτίων Ἰουδαίοις Ἀλέξανδρος, γέρας τῆς συμμαχίας ἔδωκε τὸ μετοικεῖν κατὰ τὴν πόλιν ἐξ ἰσοτιμίας πρὸς Ἕλληνας. διέμεινε δὲ αὐτοῖς ἡ τιμὴ καὶ παρὰ τῶν διαδόχων, οἳ καὶ τόπον ἴδιον αὐτοῖς ἀφώρισαν, ὅπως καθαρωτέραν ἔχοιεν τὴν δίαιταν, ἧττον ἐπιμισγομένων τῶν ἀλλοφύλων, καὶ χρηματίζειν ἐπέτρεψαν Μακεδόνας. ἐπεὶ δὲ Ῥωμαῖοι κατεκτήσαντο τὴν Αἴγυπτον, οὔτε Καῖσαρ ὁ πρῶτος, οὔτε τῶν μετ' αὐτόν τις ὑπέμεινε τὰς ἀπὸ Ἀλεξάνδρου τιμὰς Ἰουδαίων ἐλαττῶσαι. συμβολαὶ δὲ ἦσαν αὐτῶν ἀδιάλειπτοι πρὸς τοὺς Ἕλληνας, καὶ τῶν ἡγεμόνων πολλοὺς ὁσημέραι παρ' ἀμφοῖν κολαζόντων, ἡ στάσις μᾶλλον παρωξύνετο. τότε δὲ ὡς καὶ παρὰ τοῖς ἄλλοις ἐτετάρακτο, μᾶλλον ἐξήφθη τὰ παρ' ἐκείνοις. καὶ δὴ τῶν Ἀλεξανδρέων ἐκκλησιαζόντων περὶ ἧς ἔμελλον ἐκπέμπειν πρεσβείας ἐπὶ Νέρωνα, συνερρύησαν μὲν εἰς τὸ ἀμφιθέατρον ἅμα τοῖς Ἕλλησι συχνοὶ Ἰουδαίων. κατιδόντες δὲ αὐτοὺς οἱ διάφοροι, παραχρῆμα ἀνεβόων, πολεμίους καὶ κατασκόπους λέγοντες. ἔπειτα ἀναπηδήσαντες, ἐπέβαλλον τὰς χεῖρας αὐτοῖς. οἱ μὲν οὖν λοιποί, φεύγοντες διεφθάρησαν. τρεῖς δὲ ἄνδρας συλλαβόντες, ἔσυρον ὡς ζῶντας καταφλέξοντες. ἤρθη δὲ πᾶν τὸ Ἰουδαϊκὸν ἐπὶ τὴν ἄμυναν. καὶ τὸ μὲν πρῶτον, λίθοις τοὺς Ἕλληνας ἔβαλλον. αὖθις δὲ λαμπάδας ἁρπασάμενοι πρὸς τὸ ἀμφιθέατρον ὥρμησαν, ἀπειλοῦντες καταφλέξειν ἐν αὐτῷ τὸν δῆμον αὔτανδρον. κἂν ἔφθησαν τοῦτο δράσαντες, εἰ μὴ τοὺς θυμοὺς αὐτῶν ἀνέκοψε Τιβέριος Ἀλέξανδρος ὁ τῆς πόλεως ἡγεμών. οὐ μὴν οὗτός γε ἀπὸ τῶν ὅπλων ἤρξατο σωφρονίζειν, ἀλλ' ὑποπέμψας τοὺς γνωρίμους αὐτοῖς, παύσασθαι παρεκάλει, καὶ μὴ καθ' ἑαυτῶν ἐρεθίζειν τὸ Ῥωμαίων στράτευμα. καταχλευάζοντες δὲ τῆς παρακλήσεως οἱ στασιώδεις, ἐβλασφήμουν τὸν Τιβέριον. κἀκεῖνος συνιδών, ὡς χωρὶς μεγάλης συμφορᾶς οὐκ ἂν παύσαιντο νεωτερίζοντες, ἐπαφίησιν αὐτοῖς τὰ κατὰ τὴν πόλιν Ῥωμαίων δύο τάγματα, καὶ σὺν αὐτοῖς πεντακισχιλίους στρατιώτας, κατὰ τύχην παρόντας εἰς τὸν Ἰουδαίων ὄλεθρον ἐκ Λιβύης. ἐπέτρεψε δὲ οὐ μόνον ἀναιρεῖν, ἀλλὰ καὶ τὰς κτήσεις αὐτῶν διαρπάζειν, καὶ τὰς οἰκίας καταφλέγειν. οἱ δὲ ὁρμήσαντες

εἰς τὸ

εἰς τὸ καλούμενον Δέλτα, συνῴκιστο γὰρ ἐκεῖ τὸ Ἰουδαϊκόν, ἐτέλουν τὰς ἐντολάς, οὐ μὴν ἀναιμωτί. συρραγέντες γὰρ οἱ Ἰουδαῖοι, καὶ τοὺς ἀμείνον ὡπλισμένους αὐτῶν προτάξαντες, μέχρι πλείστου μὲν ἀντέσχον. ἅπαξ δὲ ἐκκλίναντες, ἀνέδην διεφθείροντο. καὶ παντελὴς ἦν αὐτῶν ὄλεθρος, τῶν μὲν ἐν τῷ πεδίῳ καταλαμβανομένων, τῶν δὲ εἰς τὰς οἰκίας συνωθουμένων. ὑπεπίμπρασαν δὲ καὶ ταύτας οἱ Ῥωμαῖοι προδιαρπάζοντες τὰ ἔνδον. καὶ οὔτε νηπίων ἔλεος αὐτοῖς, οὔτε αἰδὼς εἰσῄει γερόντων, ἀλλὰ διὰ πάσης ἡλικίας ἐχώρουν κτείνοντες, ὡς ἐπικλυσθῆναι μὲν αἵματι πάντα τὸν χῶρον, πέντε δὲ μυριάδας σωρευθῆναι νεκρῶν. περιελείφθη δ' ἂν οὐδὲ τὸ λοιπόν, εἰ μὴ πρὸς ἱκετηρίας ἐτράποντο. κατοικτείρας δὲ αὐτοὺς Ἀλέξανδρος, ἀναχωρεῖν τοὺς Ῥωμαίους ἐκέλευσεν. καὶ οἱ μὲν ἐξ ἔθους ἔχοντες τὸ πειθήνιον, ἅμα νεύματι τοῦ φονεύειν ἐπαύσαντο. τὸ δημοτικὸν δὲ τῶν Ἀλεξανδρέων δι' ὑπερβολὴν μίσους, δυσανάκλητον ἦν, καὶ μόλις ἀπεσπᾶτο τῶν σωμάτων.

Κεφ. λζ.

Τοιοῦτο μὲν τὸ κατὰ τὴν Ἀλεξάνδρειαν πάθος συνηνέχθη. Κεστίῳ δὲ οὐκ ἔτι ἠρεμεῖν ἐδόκει, πανταχοῦ τῶν Ἰουδαίων ἐκπολεμουμένων. ἀναλαβὼν δὲ ἀπὸ τῆς Ἀντιοχείας τὸ μὲν δωδέκατον τάγμα πλῆρες, ἀπὸ δὲ τῶν λοιπῶν ἀνὰ δισχιλίους ἐπιλέκτους, πεζῶν δὲ ἓξ σπείρας, καὶ τέσσαρας ἴλας ἱππέων, πρὸς αἷς τὰς παρὰ τῶν βασιλέων συμμαχίας, Ἀντιόχου μὲν δισχιλίους ἱππεῖς, καὶ πεζοὺς τρισχιλίους, τοξότας πάντας, Ἀγρίππα δὲ πεζοὺς μὲν τοὺς ἴσους, ἱππεῖς δὲ χιλίων ἐλάττους (εἵπετο δὲ καὶ ὁ Σόεμος μετὰ τετρακισχιλίων, ὧν ἦσαν ἱππεῖς ἡ τρίτη μοῖρα, καὶ τὸ πλέον τοξόται) προῆλθεν εἰς Πτολεμαΐδα. πλεῖστοι δὲ καὶ ἐκ τῶν πόλεων ἐπίκουροι συνελέγησαν, ἐμπειρίᾳ μὲν ἡττώμενοι τῶν στρατιωτῶν, ταῖς δὲ προθυμίαις, καὶ τῷ κατὰ Ἰουδαίων μίσει τὸ λεῖπον ἐν ταῖς ἐπιστήμαις ἀναπληροῦντες. συμπαρῆν δὲ καὶ αὐτὸς Ἀγρίππας Κεστίῳ, τῆς τε ὁδοῦ, καὶ τῶν συμφερόντων ἐξηγούμενος. ἀναλαβὼν δὲ μέρος τῆς δυνάμεως Κέστιος, ὥρμησεν ἐπὶ πόλιν καρτερὰν τῆς Γαλιλαίας Ζαβουλών, ἣ καλεῖται ἀνδρῶν, διορίζει δὲ ἀπὸ τοῦ ἔθνους τὴν Πτολεμαΐδα. καταλαβὼν δὲ αὐτὴν ἔρημον μὲν ἀνδρῶν, καταπεφεύγει γὰρ τὸ πλῆθος εἰς τὰ ὄρη, πλήρη δὲ παντοίων κτημάτων, τὰ μὲν ἐφῆκε τοῖς στρατιώταις διαρπάζειν. τὸ δὲ ἄστυ καίτοι θαυμάσας κάλλους ἔχον τὰς οἰκίας, ὁμοίως τοῖς ἐν Τύρῳ καὶ Σιδῶνι καὶ Βηρυτῷ δεδομημένας, ἐνέπρησεν. ἔπειτα τὴν χώραν καταδραμών, καὶ διαρπάσας μὲν πᾶν τὸ προσπῖπτον, καταφλέξας δὲ τὰς πέριξ κώμας, ὑπέστρεφεν εἰς τὴν Πτολεμαΐδα. πρὸς δὲ ταῖς ἁρπαγαῖς ἔτι τῶν Σύρων ὄντων, καὶ τὸ πλέον Βηρυτίων, ἀναθαρσήσαντες οἱ Ἰουδαῖοι, καὶ γὰρ ἀποκεχωρηκότα συνῄεσαν Κέστιον, τοῖς ὑπολειφθεῖσιν ἀδοκήτως ἐπέπεσον, καὶ περὶ δισχιλίους αὐτῶν διέφθειραν. ὁ δὲ Κέστιος ἀναζεύξας ἀπὸ τῆς Πτολεμαΐδος, αὐτὸς μὲν εἰς Καισάρειαν ἀφικνεῖται, μοῖραν δὲ τῆς στρατιᾶς προέπεμψεν εἰς Ἰόππην, προστάξας εἰ μὲν ἐγκαταλαβεῖν δυνηθεῖεν τὴν πόλιν, φρουρεῖν. εἰ δὲ προαισθοιντο τὴν ἔφοδον, περιμένειν αὐτόν τε, καὶ τὴν ἄλλην δύναμιν. τῶν δὲ οἱ μὲν κατὰ θάλασσαν, οἱ δὲ κατὰ γῆν ἐπειχθέντες,

in locum, qui vocatur Delta (illic quippe erat Iudæorum multitudo collecta) exequebantur strenuè iussa, nec sanè sine cruenta victoria. Conglobati enim Iudæi his quos meliùs armatos habebant, in fronte positis, aliquandiu quidem restiterunt: semel verò in fugam versi mactabantur: nec vnus erat exitij modus, cùm alij sub diuo atque in campo deprehenderentur, in ædes autem alij concluderentur, & eas quoque succenderent Romani, vnà etiam diripiendo quæ in his reperissent: cùm neque illos, aut infantum misericordia, aut reuerentia senectutis moueret, sed in omnes ætates pari cæde sæuirent. Vnde totus quidem ille locus sanguine redundabat: quinquaginta verò congesta sunt millia mortuorum: nec tamen saltem reliquiæ remansissent, nisi ad preces se contulissent, eorúmque misertus Alexander Romanos iussisset abscedere. Sed illi quidem quibus erat consuetum obedire præceptis, primo eius nutu necibus pepercerunt: populares autem Alexandrini propter odij magnitudinem difficulter ab incepto reuocabantur, vixque à cadaueribus distrahebantur. Apud Alexandriam quidem talis casus euenit.

CAP. XXII. De clade Iudæorum autore Cestio.

Cestio verò iam quiescendum esse non videbatur, infensis vbique Iudæis; sed duodecimam legionem integram ex Antiochia secum ducens, & ex reliquis bina millia lecta peditum, & quatuor alas equitum: insupérque regum auxilia, hoc est Antiochi duo millia equitum, & peditum tria millia, sagittarios omnes, Agrippæ verò tantundem peditum & equitum mille, & cùm Sohemus sequeretur quatuor millibus comitatus, quorum tertia pars equitum erat, pluresque sagittarij, Ptolemaida progressus est. Plurimi autem ex ciuitatibus auxilio conuenêre, peritia quidem militibus inferiores, quod autem scientiæ deerat, in Iudæos odio, itémque alacritate supplentes. Aderat autem ipse quoque Agrippa Cestio, & eorum quæ conducerent simul & itineris princeps. Ibi cum abducta exercitus parte Cestius in validissimam Galilææ ciuitatem contendit Zabulon, quæ appellatur virorum, & ab Iudæorum finibus Ptolemaida discernit. Cúmque offendisset eam ciuibus destitutam (in montes enim multitudo refugerat) omnigenum autem rerum plenam, illas quidem militibus diripiendas concessit: ipsum verò oppidum, quamuis admiratus esset eius pulchritudinem, quippe domus habebat similiter vt apud Tyrum & Sidona & Berytum ædificatas, incendit. Deinde cursu territorio peragrato, quicquid inuenisset obuiam depopulatus est: inflammatísque etiam circum eam positis vicis, in Ptolemaida reuertit. Syris autem adhuc prædæ inhærentibus, & præcipuè Berytiis, recepta Iudæi fiducia (Cestium enim recessisse cognouerant) repente in eos qui remanserant irruunt, & propè ad duo millia cędunt. Cestius autem ex Ptolemaide profectus, ipse quidem Cæsaream peruenit: in Ioppen verò partem præmisit exercitus cum præceptis huiusmodi, vt oppidum custodirent, si eo potiri possent: aut si oppidani impetum præsensissent, tã suum quã cęterorum militũ præstolarentur aduentũ. Illorũ igitur alij mari, alij terra profecti,

A vtrinque Ioppen facilimè capiunt: ita vt ne fugæ quidem habitatores copiam reperirent, nedum ad pugnam se pararent. Aggressi autem cunctos interficiunt cum familiis, direptámque ciuitatem incendunt. Interfectorum autem numerus octo millia quadringenti fuerunt. Simili modo & in finitimam Samariæ Nabattenen toparchiam non paucos misit equites, qui & partem finium vendicauerunt, magnámque indigenarum multitudinem peremerunt: direptísque patrimoniis, etiam vicos igni dederunt.

B

CA. XXIII. De pugna Cestij contra Hierosolymam.

IN Galilæam quoque misit Cæsenniū Gallum, ductorem duodecimæ legionis: eique tantam militum manum attribuit, quantam genti expugnandæ sufficere posse credebat. cum validissima Galilææ ciuitas Sepphoris cum fauore suscepit. Huiúsque prudens consilium secutæ ciuitates aliæ, quiescebant. Qui verò seditionibus & latrociniis operam dabant, in Galilææ montem vndique medium recessêre, qui est contra Sepphorim, & vocatur Asamon. C Aduersus eos Gallus ductabat exercitum. Illi autem quàm diu superiores erant, facilè Romanos ad se ascendentes arcebant, & ex his plures quàm ducentos interfecerunt. Vbi verò eos viderunt circumacto itinere ad celsiora progressos, maturè victoriam concesserunt: & neque pugnam minus armati ferebant, neque, si terga dedissent, equitum poterant D manus effugere: adeò vt pauci locis asperis delitescerent, ampliùs verò quàm duo millia trucidarentur. Gallus igitur cùm nihil iam tentari nouitatis apud Galilæam videret, Cæsaream cum exercitu remeabat. Cestius verò cum omni manu reuersus in Antipatridem perrexit. Cognitóque non paruam multitudinem Iudæorum in turrim quæ Aphæci vocabatur esse collectam qui cum his congrederentur præmisit. Sed prius quàm in manus E venirent, Iudæi metu dispersi sunt: eorúmque castra iam desolata milites adorti, cum vicis circumpositis incenderunt. Ex Antipatride autem Cestius in Lyddam profectus, vacuam viris ciuitatem offendit. nam propter scenopegiorum dies festos, in Hierosolymam populus omnis ascenderat. quinquaginta verò quos ibi comprehendit occisis, exustóque oppido vlteriùs procedebat: pérque Bethoron profectus, in quodam loco, cui nomen est F Gabeo, castra posuit, distante ab Hierosolymis stadiis L. Iudæi verò cùm iam ciuitati propinquare bellum viderent, omissis dierum festorum solennibus, ad arma properabant: satísque freti multitudine, incompositi ad pugnam & cum clamore prosiliebant, ne dierum quidem septem habita ratione feriatorum. erat enim sabbatum, quod apud eos religione maxima curabatur. idem autem furor qui eos ab obsequio pietatis emouerat, in prælio quoque G superiores effecit. Tanto namque impetu Romanos aggressi sunt, vt eorum & aciem perrumperent, viáque aperta cædibus in medios ruerent: ac nisi ei militum parti, quæ necdum locum amiserat, equites ex circuitu subuenissent, quique nondum defecerant pedites, in periculo totus Cestij exercitus fuisset. Interfecti sunt autem quingenti & quindecim Romani milites: ex quibus quadringenti pedites,

A ἀμφοτέρωθεν αἱροῦσι τὴν ἰόππην ταχέως. καὶ μηδὲ φυγεῖν φθασάντων τῶν οἰκητόρων, οὐχ ὅπως παρασκευάσασθαι πρὸς μάχην, ἐμπεσόντες ἅπαντας ἀνεῖλον σὺν ταῖς γενεαῖς. καὶ τὴν πόλιν διαρπάσαντες, ἐνέπρησαν. ὁ δὲ ἀριθμὸς τῶν φονευθέντων τετρακόσιοι πρὸς ὀκτακισχιλίοις. ὁμοίως δὲ καὶ εἰς τὴν ὅμορον τῆς καισαρείας ναρβατηνὴν ἐπαρχίαν, ἔπεμψε συχνοὺς τῶν ἱππέων, οἳ τήν τε γῆν ἔτεμον, καὶ πολὺ πλῆθος διέφθειραν τῶν ἐπιχωρείων,
B τάς τε κτήσεις διήρπασαν, καὶ τὰς κώμας κατέφλεξαν. εἰς δὲ τὴν γαλιλαίαν ἔστειλε κέστιος γάλλον ἡγεμόνα τοῦ δωδεκάτου τάγματος, παραδοὺς δύναμιν, ὅσην ἀρκέσειν πρὸς τὸ ἔθνος ὑπελάμβανεν. τοῦτον ἡ καρτερωτάτη τῆς γαλιλαίας πόλις σέπφωρις μετ' εὐφημίας δέχεται, καὶ πρὸς τὴν ταύτης εὐβουλίαν, αἱ λοιπαὶ πόλεις ἠρέμουν. τὸ δὲ στασιῶδες καὶ λῃστρικὸν πᾶν ἔφυγεν εἰς τὸ μεσαίτατον τῆς γαλιλαίας ὄρος, ὃ κεῖται μὲν ἄντικρυς τῆς σεπφώρεως, καλεῖται δὲ ἀσα-
C μών. τούτοις ὁ γάλλος ἐπῆγε τὴν δύναμιν. οἱ δὲ ἕως μὲν ἦσαν ὑπερδέξιοι, ῥᾳδίως τοὺς ῥωμαίους ἔβαλλον προσιόντας, καὶ πρὸς διακοσίους αὐτῶν ἀνεῖλον. περιελθόντων δὲ καὶ γενομένων ἐν τοῖς ὑψηλοῖς, ἡττῶντο ταχέως, καὶ οὔτε γυμνῖται τοὺς ὁπλίτας συστάδην ἔφερον, οὔτε ἐν τῇ τροπῇ τοὺς ἱππεῖς ἐξέφυγον. ὥστε ὀλίγους μὲν ἐν ταῖς δυσχωρίαις διαλαθεῖν, ἀναιρεθῆναι δὲ ὑπὲρ χιλίους. γάλλος μὲν οὖν ὡς οὐδὲν ἑώρα κατὰ
D τὴν γαλιλαίαν νεωτερίζόμενον, ὑπέστρεφε μετὰ τῆς στρατιᾶς εἰς καισάρειαν. κέστιος δὲ μετὰ πάσης τῆς δυνάμεως ἀναζεύξας, ἐνέβαλεν εἰς ἀντιπατρίδα. καὶ πυθόμενος ἔν τινι πύργῳ ἀφαικοῦ καλουμένῳ, συνηθροῖσθαι ἰουδαίων δύναμιν οὐκ ὀλίγην, προὔπεμψε τοὺς συμβαλοῦντας. οἱ δὲ πρὶν εἰς χεῖρας ἐλθεῖν, δέει τοὺς ἰουδαίους διεσκέδασαν. ἐπελθόντες δὲ ἔρημον τὸ στρατόπεδον, καὶ τὰς πέριξ κώμας ἐνέπρησαν. ἀπὸ δὲ τῆς ἀντιπατρίδος κέστιος εἰς λύδδα προελθὼν, κενὴν ἀν-
E δρῶν τὴν πόλιν καταλαμβάνει. διὰ γὰρ τὴν τῆς σκηνοπηγίας ἑορτὴν, ἀναβεβήκει πᾶν τὸ πλῆθος εἰς ἱεροσόλυμα. πεντήκοντα δὲ τῶν παραφανέντων διαφθείρας, καὶ τὸ ἄστυ κατακαύσας, ἐχώρει πρόσω, καὶ διὰ βαιθωρῶν ἀναβὰς, στρατοπεδεύεται κατά τινα χῶρον γαβαὼ καλούμενον, ἀπέχοντα τῶν ἱεροσολύμων πεντήκοντα σταδίους. οἱ δὲ ἰουδαῖοι κατιδόντες ἤδη πλησιάζοντα τῇ μητροπόλει τὸν πόλεμον, ἀφέμενοι τῆς ἑορ-
F τῆς ἐχώρουν ἐπὶ τὰ ὅπλα, καὶ μέγα τῷ πλήθει θαρροῦντες, ἄτακτοι καὶ μετὰ κραυγῆς ἐξεπήδων ἐπὶ τὴν μάχην, μηδὲ τῆς ἀργῆς ἑβδομάδος ἔννοιαν λαβόντες. ἦν γὰρ δὴ τὸ μάλιστα παρ' αὐτοῖς θρησκευόμενον σάββατον. ὁ δὲ ἐκσείσας αὐτοὺς τῆς εὐσεβείας θυμὸς, ἐποίησε πλεονεκτῆσαι καὶ κατὰ τὴν μάχην. μετὰ τοσαύτης γοῦν ὁρμῆς τοῖς ῥωμαίοις προσέπεσον, ὡς διαρρῆξαι τὰς τάξεις αὐτῶν, καὶ διὰ μέσων χωρεῖν ἀναιροῦντας. εἰ δὲ δὴ τῷ μὴ χαλασθέντι τῆς φάλαγγος,
G οἵ τε ἱππεῖς ἐκπεριελθόντες ἐπήμυναν, καὶ τῶν πεζῶν τὸ μὴ σφόδρα κάμνον, κἂν ἐκινδύνευσεν ὅλῃ τῇ δυνάμει κέστιος. ἀπέθανον δὲ ῥωμαίων πεντακόσιοι δεκαπέντε. τούτων ἦσαν οἱ τετρακόσιοι πεζοὶ,

τὸ δὲ

τὸ δὲ λοιπὸν ἱππεῖς. τῶν δὲ ἰουδαίων, δύο πρὸς τοῖς εἴκοσι. γενναιότατοι δὲ αὐτῶν ἔδοξαν οἱ μονοβάζου τοῦ τῆς ἀδιαβηνῆς βασιλέως συγγενεῖς, μονόβαζός τε καὶ κενεδαῖος, μεθ' οὓς ὁ περαΐτης νίγερ, καὶ σίλας ὁ βαβυλώνιος, αὐτομολήσας εἰς τοὺς ἰουδαίους ἀγρίππα τοῦ βασιλέως. ἐστρατεύετο γὰρ παρ' αὐτῷ. κατὰ πρόσωπον μὲν οὖν ἀνακοπέντες οἱ ἰουδαῖοι, πρὸς τὴν πόλιν ὑπέστρεφον. κατόπιν δὲ τοῖς ῥωμαίοις ἐπὶ τὴν βαιθωρῶν ἀνιοῦσι, προσπεσὼν ὁ τοῦ γιώρα σίμων πολὺ τῆς οὐραγίας ἐσπάραξε, καὶ συχνὰ τῶν σκευοφόρων ἐξαρπάσας, ἤγαγεν εἰς τὴν πόλιν. μένοντος δὲ τοῦ κεστίου κατὰ χώραν τρισὶν ἡμέραις, οἱ ἰουδαῖοι τὰ μετέωρα κατειληφότες, ἐπετήρουν τὰς παρόδους, δῆλοί τε ἦσαν οὐκ ἠρεμήσοντες ἀρξαμένων τῶν ῥωμαίων ὁδεύειν. ἔνθα δὴ κατιδὼν ἀγρίππας οὐδὲ τὰ ῥωμαίων ἀκίνδυνα, πλήθους τε ἀπείρου πολεμίων τὰ ὄρη περιεχομένων, ἔκρινεν ἀποπειραθῆναι τῶν ἰουδαίων λόγοις. ἢ γὰρ πάντας πείσειν καταθέσθαι τὸν πόλεμον, ἢ τῶν ἐναντίων ἀποστήσειν τὸ μὴ συμφρονοῦν.

Κεφ. λη. Ἔπεμψεν οὖν τῶν παρ' αὐτῷ τοὺς μάλιστα γνωρίμους ἐκείνοις, βορκαῖόν τε καὶ φοῖβον. δεξιάς τε παρὰ κεστίου, καὶ συγγνώμην παρὰ ῥωμαίων ἀσφαλῆ περὶ τῶν ἡμαρτημένων ὑπισχνούμενος, εἰ τὰ ὅπλα ῥίψαντες πρὸς αὐτοὺς μεταβάλοιντο. δείσαντες δὲ οἱ στασιασταί, μή τι πᾶν τὸ πλῆθος ἀδείας ἐλπίδι πρὸς τὸν ἀγρίππαν μεταβάληται, τοὺς ἀπ' αὐτοῦ πρεσβεύοντας ὥρμησαν ἀνελεῖν, καὶ πρὶν ἢ φθέγξασθαι, τὸν μὲν φοῖβον διέφθειραν, ὁ δὲ βορκαῖος τρωθεὶς, ἔφθη διαφυγεῖν. τοῦ δήμου δὲ τοὺς ἐπαγανακτήσαντας, λίθοις καὶ ξύλοις παίοντες, εἰς τὸ ἄστυ συνήλασαν.

Κεφ. λθ. Κέστιος δὲ τὴν πρὸς ἀλλήλους αὐτῶν ταραχὴν δύναμιν ἰδὼν εἰς ἐπίθεσιν, ἅπασαν ἐπῆγε τὴν δύναμιν, καὶ τραπέντας μέχρι ἱεροσολύμων κατεδίωξεν. στρατοπεδευσάμενος δὲ ἐπὶ τοῦ καλουμένου σκοποῦ, διέχει δὲ οὗτος ἑπτὰ τῆς πόλεως σταδίους, τρισὶ μὲν ἡμέραις οὐκ ἐπεχείρει τῇ πόλει, τάχα τι παρὰ τῶν ἔνδον ἐνδοθήσεσθαι προσδοκῶν, εἰς δὲ τὰς πέριξ κώμας ἐφ' ἁρπαγὴν σίτου πολλοὺς διαφῆκε τῶν στρατιωτῶν. τῇ τετάρτῃ δὲ, ἥτις ἦν τριακὰς ὑπερβερεταίου μηνὸς, διατάξας τὴν στρατιάν, εἰσήγαγεν εἰς τὴν πόλιν. ὁ μὲν οὖν δῆμος ὑπὸ τοῖς στασιασταῖς ἐμφρουρος ἦν. οἱ στασιασταὶ δὲ τὴν εὐταξίαν τῶν ῥωμαίων καταπλαγέντες, τῶν μὲν ἔξω μερῶν τῆς πόλεως εἶκον, εἰς δὲ τὴν ἐνδοτέραν, καὶ τὸ ἱερὸν ἀνεχώρουν. κέστιος δὲ παρελθὼν ὑποπιμπρησι τήν τε βεζεθὰν προσαγορευομένην, καὶ τὴν καινόπολιν, καὶ τὸ καλούμενον δοκῶν ἀγοράν. ἔπειτα πρὸς τὴν ἄνω πόλιν ἐλθὼν, ἀντικρὺ τῆς βασιλικῆς αὐλῆς ἐστρατοπεδεύετο. κἂν εἴπερ ἠθέλησε κατ' αὐτὴν ἐκείνην τὴν ὥραν ἐντὸς τῶν τειχῶν βιάσασθαι, παρ' αὐτίκα τὴν πόλιν εἶχε, καὶ τὸν πόλεμον συνέβη καταλελύσθαι. ἀλλὰ γὰρ ὅ τε στρατοπεδάρχης τυράννιος πρίσκος, καὶ τῶν ἱππαρχῶν οἱ πλεῖστοι, χρήμασιν ὑπὸ φλώρου δελεασθέντες, ἀπέστρεψαν αὐτὸν τῆς ἐπιχειρήσεως, καὶ παρὰ τὴν αἰτίαν ταύτην ὅ τε πόλεμος ἐπὶ τοσοῦτον μῆκος προὔβη, καὶ ἰουδαίους ἀνηκέστων συμφορῶν ἀναπλησθῆναι συνέπεσεν. ἐν δὲ τούτῳ πολλοὶ τῶν γνωρίμων δημοτῶν, ἀνάνῳ τῷ ἰωνάθου παιδὶ πεισθέντες, ἐκάλουν τὸν κέστιον ὡς ἀνοίξοντες αὐτῷ τὰς πύλας. ὁ δὲ καὶ πρὸς ὀργὴν ὑπεριδὼν, καὶ μὴ πάνυ πιστεύσας,

cæteri equites erant: Iudæi verò vigintiduo. fortissimi autem videbantur Monobazi regis Adiabeni propinqui, Monobazus & Cenedæus, & post hos Peraita Niger, & Silas Babylonius, qui ad Iudæos ab Agrippa rege trásfugerat, cui pridem militabat. A fronte igitur repulsi Iudæi, ad ciuitatem reuertebantur. Romanos autem ad Bethoron ascédentes Gioræ filius Simon inuadit, multósque postremi agminis coactores laniauit: ac multos carros cum sarcinis captos, in ciuitatem reduxit. Cestio verò in agris triduo commorante, Iudæi locis superioribus occupatis, obseruabant eius transitum: neque cessaturos eos certum erat, si Romani proficisci cœpissent.

Itaque dum Agrippa, infinita hostium multitudine montes amplexa, ne Romanos quidem à periculo tutos esse perspiceret, verbis Iudæos experiri decreuit, vel omnes sibi parituros existimans, vt bello desisterent: vel si qui aduersarentur, reuocandos qui ab eorum sententia discreparent. Misit igitur ex comitibus suis Borcæum & Phœbum, quos illis sciebat notissimos: vt à Cestio fœdus amicitiæ, certámque pro peccatis à pop. Rom. veniam pollicerentur, si proiectis armis, secum sentire voluissent. Verùm seditiosi metu, ne cuncta multitudo spe securitatis ad Agrippam sese conferret, legatos obtruncare statuerunt: & Phœbum quidem, priusquam verbum faceret, peremerunt: nam Borcæus vulneratus effugit: populares autem, hoc indignè ferentes factum, cædendo fustibus atque lapidibus in oppidum compulerunt. Cestius verò, quia intestinam eorum discordiam, opportunum ad irruendum tempus inuenit, totum in eos duxit exercitum: inque fugam versos, vsque ad Hierosolymam persecutus est. Castris autem in loco positis, qui appellatur Scopus, interuallo septem stadiorum à ciuitate discedens, nihil per triduum aduersus oppidum conabatur: sperans fortasse intus degentes aliquid remissuros. In vicos autem circa ciuitatem, non paruam militum manum ad rapienda frumenta dimisit. Quarto autem die, qui tricesimus mensis erat Octobris, ordinatum in oppidum introduxit exercitum. Populus quidem à seditiosis custodiebatur: ipsi autem Romanorum disciplina territi, exterioribus cessêre partibus ciuitatis: & in partem interiorem templi refugerunt. Cestius verò transgressus Bezethan, quæ sic vocatur, & Cænopolim & forum quod appellatur materiarum incendit. deinde cùm ad superiorem ciuitatem venisset, prope aulam regiam castra posuit. Et si tunc voluisset intra muros violenter irrumpere, ciuitatem ilico possedisset, bellóque finem dedisset. sed Tyrannus & Priscus præfectus castrorum & plures equitum magistri, à Floro pecunia corrupti, conatum eius auerterunt: & Iudæos intolerandis repleri cladibus contigit. Interea plurimi popularium nobilissimi, & Ananus Jonathæ filius, Cestium quasi portas ei patefacturi, vocabant. Ille autem & ira fastidiens, & quod non satis ei credendum putaret,

CA. XXIV. De obsidione Hierosolymæ à Cestio, & strage.

tam diu id neglexit, donec proditione comperta, seditiosi Ananum quidem cum cæteris, de muro deiectis lapidibus feriendo, in domos suas refugere coëgerunt: ipsi verò per turres dispositi, murum tentantibus repugnabant. Per dies igitur quinque Romanis vndique tentantibus frustrabatur conatus. sexto autem Cestius cum plurimis selectis, itémque sagittariis, à Septentrionali tractu templum aggreditur, Iudæis ex porticu resistentibus. qui frequenter quidem Romanos ad murum adeuntes auertêre, postremò autem repulsi telorum multitudine, recesserunt. Itaque Romanorum qui anteibant, scutis suis muro nixi, & qui eos sequebantur, aliis ac per ordinem aliis similiter superadiunctis, quam sic ipsi appellant, testudinem contexuerunt. vnde sagittæ in eam delatæ, irritæ delabebantur: & sine aliqua noxa milites mœnia suffodiebant: templíque portas incendere moliebantur. Vehemens autem seditiosos stupor inuaserat, iámque multi ex ciuitate diffugiebant, veluti continuo caperetur. His autem populus alacrior efficiebatur: & quantum nequissimi cedebant, tantum vt ipsi portas aperirent, Cestiúmque quàm optimè de se meritum, reciperent, appropinquabant. Et profectò si paululum in obsidione perseuerasset, statim ciuitatem obtinuisset. sed credo iam tunc infestus Deus pessimis, eiúsque sancta illo die finem bello dare prohibuerunt. Denique Cestius, neque animis populi, neque obsessorum desperatione perspecta, repente militem reuocat, & sine vlla spei repulsa, inconsultè nimis ac iniustè discessit. inopinata verò eius fuga, latronum fiduciam recreauit: insecutíque nouissimos aliquot equitum, peditúmque peremêre. Et tunc quidem Cestius in castra, quæ apud Scopon munierat, tetendit: altero autem die vlterius recedendo, magis hostes prouocauit: iámque postremos assecuti multos necabant, tum vtraque itineris parte vallata, in transuersos tela iactabant. & neque in eos se retorquere, à quibus à tergo sauciabantur, nouissimi audebant, quandam infinitam multitudinem insequi existimantes: neque à lateribus instantium vim repellere sufficiebant: cùm ipsi quidem graues essent, ordinémque interrumpere formidarent: viderent autem Iudæos leues, & ad excurrendum faciles esse. vnde eueniebat, vt multa mala perpeterentur, cùm nihil contrà inimicis nocerent. Tota igitur via perculsi, deiectíque agmine sternebantur: donec multis occisis, in quibus erat Priscus sextæ legionis dux, & Longinus tribunus, & Æmilius Iucundus alæ præfectus, vix in Gabao peruenirent, vbi castra priùs posuerant, multis impedimentis amissis. Hic autem Cestius biduum commoratus, inops consilij quid ageret, cùm tertio die maiorem hostium vidisset numerum, & omnia circum loca plena Iudæis tarditatem sibi obfuisse cognouit: & si adhuc ibi maneret, plures se hostes habiturum. Itaque pro compendio fugæ, cuncta quæ militibus impedimento erant, amputari præcepit: occisísque mulis atque asinis, aliísque iumentis, præter illa quæ sagittas & machinas ferrent

A διεμέλλησεν, ἕως οἱ στασιασταὶ τὴν προδοσίαν αἰσθόμενοι, τοὺς μὲν περὶ τὸν Ἄνανον ἀπὸ τοῦ τείχους κατέβαλον, καὶ λίθοις παίοντες, συνήλασαν εἰς τὰς οἰκίας. αὐτοὶ δὲ διαστάντες ἐπὶ τῶν πύργων, τοὺς ἀποπειρωμένους τοῦ τείχους ἔβαλλον. πέντε μὲν οὖν ἡμέραις πάντοθεν ἐπιχειροῦσι τοῖς ῥωμαίοις, ἀμήχανος ἦν ἡ προσβολή. τῇ ἐπιούσῃ δὲ ἀναλαβὼν ὁ κέστιος, τῶν τε ἐπιλέκτων συχνούς, καὶ τοὺς τοξότας, κατὰ τὸ προσάρκτιον ἐπιχειρεῖ κλίμα τοῦ ἱεροῦ. B ἰουδαῖοι δὲ ἀπὸ τῆς στοᾶς εἶργον, καὶ πολλάκις μὲν ἀπεκρούσαντο τοὺς τῷ τείχει προσελθόντας. τέλος δὲ τῷ πλήθει τῶν βελῶν ἀνακοπέντες ὑπεχώρησαν. τῶν δὲ ῥωμαίων οἱ πρῶτοι τοὺς θυρεοὺς εἰς τὸ τεῖχος ἐξερείσαντες, καὶ κατὰ τούτων οἱ κατόπιν ἄλλους, οἵ τε ἑξῆς ὁμοίως, τὴν καλουμένην παρ' αὐτοῖς χελώνην ἐφράξαντο. καθ' ἧς τὰ βέλη φερόμενα περιωλίσθαινεν ἄπρακτα. μηδὲν δὲ οἱ στρατιῶται κακούμενοι, τὸ τεῖχος ὑπώρυσσον, καὶ τοῦ ἱεροῦ τὴν πύλην ὑποπιμπράναι παρεσκευάζοντο. δεινὴ C δὲ τοὺς στασιαστὰς ἔκπληξις κατέλαβεν. ἤδη δὲ πολλοὶ διεδίδρασκον ἀπὸ τῆς πόλεως, ὡς ἁλωσομένης αὐτίκα. τὸν δὲ δῆμον συνέβαινεν ἐπὶ τούτοις θαρρεῖν, καὶ καθὸ παρείκοιεν οἱ πονηροί, προσῄεσαν αὐτοὶ τὰς πύλας ἀνοίξαντες, καὶ δεξόμενοι τὸν κέστιον ὡς εὐεργέτην. ὃς εἰ βραχὺ τῇ πολιορκίᾳ προσελιπάρησε, κἂν εὐθέως τὴν πόλιν παρέλαβεν. ἀλλ' οἶμαι διὰ τοὺς πονηροὺς ἀπεστραμμένος ὁ θεὸς ἤδη καὶ τὰ ἅγια, τέλος λαβεῖν ἐπ' ἐκείνης τῆς ἡμέρας ἐκώλυσε τὸν πόλεμον. D

Κεφ. μ.

Ὁ γοῦν κέστιος, οὔτε τὴν τῶν πολιορκουμένων ἀπόγνωσιν, οὔτε τὸ φρόνημα τοῦ δήμου συνιδών, ἐξαίφνης ἀνεκάλεσε τοὺς στρατιώτας, καὶ καταγνοὺς ἐπ' οὐδεμιᾷ πληγῇ τῶν ἐλπίδων, παραλογώτατα ἀπὸ τῆς πόλεως ἀνέζευξεν. πρὸς δὲ τὴν ἀδόκητον αὐτοῦ τροπὴν ἀναθαρρήσαντες οἱ λῃσταί, καὶ τῶν ὑστάτων ἐξέδραμον, καὶ συχνοὺς τῶν ἱππέων καὶ πεζῶν διέφθειραν. τότε μὲν οὖν ἐν τῷ κατὰ τὸν σκοπὸν στρατοπέδῳ αὐλίζεται κέστιος. τῇ δ' ἐπιούσῃ E προσωτέρω χωριζόμενος, μᾶλλον ἐξεκαλέσατο τοὺς πολεμίους, καὶ τοὺς ὑστάτους αὐτῶν προσκείμενοι διέφθειρον, καθ' ἑτέραν δὲ τῆς ὁδοῦ προσιόντες ἠκόντιζον εἰς πλαγίους. οὔτε δὲ ἐπιστραφῆναι πρὸς τοὺς κατόπιν τιτρώσκοντας ἐθάρρει οἱ τελευταῖοι, ἄπειρόν τι πλῆθος οἰόμενοι διώκειν, καὶ τοὺς κατὰ πλευρὰν ἐγκειμένους, ἀνασείλλειν οὐχ ὑπέμενον, αὐτοὶ μὲν ὄντες βαρεῖς, καὶ δεδοικότες τὴν τάξιν διασπᾶν, τοὺς δὲ ἰουδαίους ὁρῶντες F κούφους, καὶ πρὸς τὰς ἐπιδρομὰς εὐκόλους. ὥστε συνέβαινεν αὐτοῖς πολλὰ κακοῦσθαι, μηδὲν ἀντιβλάπτουσι τοὺς ἐχθρούς. παρ' ὅλην δὲ τὴν ὁδὸν παιόμενοι, καὶ τῆς φάλαγγος ἐκσειόμενοι κατέπιπτον, μέχρι πολλῶν διαφθαρέντων, ἐν οἷς ἦν πρίσκος μὲν στρατάρχης τάγματος ἕκτου, λογγῖνος δὲ χιλίαρχος, ἔπαρχος δὲ ἴλης αἰμίλιος ἰουκοῦνδος ὄνομα, μόγις εἰς γαβαὼ κατήντησαν ἐπὶ τὸ πρότερον στρατόπεδον, τὰ πολλὰ καὶ τῶν σκευῶν ἀποβαλόντες. ἔνθα δύο μὲν ἡμέρας ἐπέμεινεν ὁ κέστιος ἀμηχανῶν G ὅ,τι χρὴ ποιεῖν. τῇ τρίτῃ δὲ πολλῷ πλείους τοὺς πολεμίους θεασάμενος, καὶ πάντα τὰ κύκλῳ μεστὰ ἰουδαίων, ἔγνω καθ' ἑαυτοῦ τι βραδύνων, καὶ εἰ ἐπιμένοι, πλείοσι χρησόμενος ἐχθροῖς. ἵνα δὲ συντομωτέρᾳ χρήσαιτο φυγῇ, τὰ τὴν στρατιὰν ἀνθέλκοντα περικόπτειν προσέταξε. διαφθαρέντων δὲ τῶν ὀρέων, καὶ τῶν ὑποζυγίων, πλὴν ὅσα βέλη παρεκόμιζε καὶ μηχανάς, τούτων

τούτων γὰρ ἐπὶ χρείαν περιείχοντο, καὶ μάλιστα δεδοικότες μὴ ἰουδαίοις κατ' αὐτῶν ἁλῷ, προῆγε τὴν δύναμιν ἐπὶ βαιθώρας. οἱ δὲ ἰουδαῖοι, κατὰ μὲν τὰς εὐρυχωρίας ἧττον ἐπέκειντο. συνειληθέντων δὲ εἰς τὴν κατὰ στενὰ κατάβασιν, οἱ μὲν φθάσαντες, εἶργον αὐτοὺς τῆς ἐξόδου, ἄλλοι δὲ τοὺς ὑστάτους κατεώθουν εἰς τὴν φάραγγα. τὸ δὲ πᾶν πλῆθος παρεκταθὲν ὑπὲρ τὸν αὐχένα τῆς ὁδοῦ, κατεκάλυπτε τὴν φάλαγγα τοῖς βέλεσιν. ἔνθα καὶ τῶν πεζῶν ἀμηχανούντων προσαμύνειν ἑαυτοῖς, ἐπισφαλέστερος τοῖς ἱππεῦσιν ὁ κίνδυνος ἦν. οὔτε γὰρ ἐν τάξει κατὰ τῆς ὁδοῦ βαδίζειν ἐδύναντο βαλλόμενοι, καὶ τὸ προσάντες ἐπὶ τοὺς πολεμίους ἱππάσιμον οὐκ ἦν. τὰ δὲ ἐπὶ θάτερα, κρημνοὶ καὶ φάραγγες, εἰς οὓς ἀποσφαλέντες κατεφέροντο, καὶ οὔτε φυγῆς τόπον, οὔτε ἀμύνης εἶχον ἐπίνοιαν. ἀλλ' ὑπ' ἀμηχανίας ἐπ' οἰμωγὴν ἐτράποντο, καὶ τοὺς ἐν ἀπογνώσεσιν ὀδυρμούς. ἀντήχει δὲ αὐτοῖς, τὸ παρὰ ἰουδαίων ἐγκέλευσμα, καὶ κραυγὴ χαιρόντων ἅμα καὶ τεθυμωμένων. ὀλίγου δὲ δεῖν, πᾶσαν ἥρπασαν τὴν ἅμα κεστίῳ δύναμιν, εἰ μὴ νὺξ ὑπέλαβεν, ἐν ᾗ ῥωμαῖοι μὲν εἰς τὴν βαιθώραν κατέφυγον, ἰουδαῖοι δὲ πάντα τὰ κύκλῳ περισχόντες, ἐφρούρουν αὐτῶν τὴν ἔξοδον. ἔνθα δὴ κέστιος τὴν φανερὰν ὁδὸν ἀπογνοὺς, δρασμὸν ἐβουλεύετο, καὶ διακρίνας τοὺς εὐψυχοτάτους στρατιώτας εἰς τετρακοσίους, ἐπέστησε τοῖς ὀχυρώμασι. προστάξας ἀναβάντας, σημαίας τῶν ἐν τοῖς στρατοπέδοις φυλάκων ἱστᾶν, ὅπως οἱ ἰουδαῖοι πᾶσαν οἴωνται τὴν δύναμιν κατὰ χώραν μένειν. αὐτὸς δὲ τοὺς λοιποὺς ἀναλαβὼν, ἡσυχῆ τριάκοντα πρόεισι σταδίους. ἕωθεν δὲ ἰουδαῖοι κατιδόντες ἔρημον τὴν ἔπαυλιν αὐτῶν, ἐπὶ τοὺς ἐξαπατήσαντας τετρακοσίους ἔδραμον, κἀκείνους μὲν ταχέως κατηκόντισαν, ἐδίωκον δὲ τὸν κέστιον. ὁ δὲ τῆς τε νυκτὸς οὐκ ὀλίγον προειλήφει, καὶ συντονώτερον ἤλαυνε μεθ' ἡμέραν, ὥς τε τοὺς στρατιώτας ὑπ' ἐκπλήξεως καὶ δέους, τάς τε ἑλεπόλεις, καὶ τοὺς ὀξυβελεῖς καὶ τὰ λοιπὰ τῶν ἄλλων ὀργάνων καταλιπεῖν, ἃ τότε ἰουδαῖοι λαβόντες, αὖθις ἐχρήσαντο κατὰ τῶν ἀφέντων. προῆλθον δὲ τοὺς ῥωμαίους διώκοντες, μέχρις ἀντιπατρίδος. ἔπειτα ὡς οὐ κατελάμβανον ὑποστρέφοντες, τάς τε μηχανὰς ἦρον, καὶ τοὺς νεκροὺς ἐσύλων, τήν τε ἀπολειφθεῖσαν λείαν συνῆγον, καὶ μετὰ παιάνων εἰς τὴν μητρόπολιν ἐπαλινδρόμουν, αὐτοὶ μὲν ὀλίγους ἀποβεβλημένοι παντάπασι, τῶν δὲ ῥωμαίων καὶ τῶν συμμάχων πεζοὺς μὲν τετρακισχιλίους ἀνῃρηκότες. ἱππεῖς δὲ, τριακοσίους καὶ ὀγδοήκοντα. ταῦτα μὲν οὖν ἐπράχθη δίου μηνὸς ὀγδόῃ, δωδεκάτῳ ἔτει τῆς νέρωνος ἡγεμονίας. μετὰ δὲ τὴν κεστίου συμφορὰν, πολλοὶ τῶν ἐπιφανῶν ἰουδαίων, ὥσπερ βαπτιζομένης νεὼς, ἀπενήχοντο τῆς πόλεως. κοστόβαρος οὖν καὶ σαοῦλος ἀδελφοὶ, σὺν φιλίππῳ τῷ ἰακίμου, στρατοπεδάρχης δὲ ἦν οὗτος ἀγρίππα τοῦ βασιλέως, διαδράντες ἐκ τῆς πόλεως, ᾤχοντο πρὸς κέστιον. ὁ δὲ σὺν τούτοις κατὰ τὴν βασιλικὴν αὐλὴν πολιορκηθεὶς ἀντίπας, ὑπεριδὼν τὴν φυγὴν, αὖθις ὡς ὑπὸ τῶν στασιαστῶν διεφθάρη, δηλώσομεν. κέστιος δὲ τοὺς περὶ σαοῦλον ἀξιώσαντας, ἀνέπεμψεν εἰς ἀχαΐαν πρὸς νέρωνα, τήν τε αὑτῶν δηλώσαντας φυγὴν,

A (hæc enim velut vsui futura seruabat, maximè quia timebat ne Iudæis contra se capta prodessent) Bethoron versus antecedebat exercitum. At Iudæi latioribus quidem locis minus instabant: contractos verò in angustias atque descensus, alij ab exitu prohibebant, alij postremos agminis trudebant in vallem: fusáque omnis multitudo per itineris iuga militem sagittis operiebat. vbi etiam peditibus quo pacto sibimet subuenirent, hæsitantibus, B equitum periculum promptius erat. nec enim ordinatè viam prosequi poterant, obstantibus iaculis: & ne contra hostes irent ascensus ardui prohibebant equitantibus inuij. iaculatoribus autem rupes ac valles tenebantur: in quas deiecti qui aberrasset consumebantur: nullúsque locus aut fugiendi, aut resistendi rationem habebat. Itaque incerti quid agerent, ad vlulatus, quod desperati solent, fle- C túsque conuersi sunt: quibus resonabat Iudæorum exhortatio, cum clamore lætantium pariter atque sæuientium. totúsque penè qui cum Cestio fuerat, perisset exercitus, nisi nox aduenisset, qua Romani quidem in Bethoron confugerunt, Iudæi verò obsessis circùm omnibus locis, eorum transitus custodiebant. Denique vbi Cestius aperto itinere desperato, iam de fuga cogitabat, lectos propè ad CCCC. omnium fortissimos milites, tectorum fastigiis imposuit. hísque præcepit, vigilum qui in D castris excubarent, signa clamare: vt eo modo Iudæi omnem illic militum numerum arbitrarentur remanere. Ipse autem cum cæteris otiosè vsque ad XXX. stadia progreditur. Vnde mane cùm Iudæi locum quo Romani tetenderant desolatum vidissent, in quadringentos à quibus decepti fuerant concurrerunt. & illos quidem sine mora iaculis confecerunt: mox autem Cestium persequi properabant. sed ille cùm nocte non paruum spatium itineris per- E egisset, die vehementiùs quoque fugiebat: adeo vt metu perculsi milites, machinas, siue tormenta muralia, itémque balistas, multáque alia instrumenta relinquerent: quibus tunc ablatis Iudæi rursus contra illos qui ea reliquerant vsi sunt. Insequendo autem Romanos, Antipatridem vsque venerunt. Deinde cùm eos assequi non potuissent, inde redeuntes & machinas secum asportarunt, mortuósque spoliarunt, & prædam quæ remanserat collegerunt: & pæana F canentes in metropolim remearunt, suis quidem paucis amissis, Romanorum autem & auxiliarium quinque millibus peditum ac CCC. itémque nongentis & octoginta equitibus interemptis. Hæc quidem Nouemb. mensis VIII. die gesta sunt, anno XII. Neronis principatus.

CAP. XXV. De Damascenorum sæuitia in Iudæos, déque Iosephi studiis in Galilæa.

POst Cestij verò casus aduersos nobilium Iudæorum multi, tanquam è naui pessum itura, ex ciuitate enatabant. Denique Costoba- G rus & Saulus fratres, vnà cum Philippo Iachimi filio, qui princeps erat exercitus regis Agrippæ, inde dilapsi ad Cestium transfugerunt. Qui verò cum his in aula regia fuerat obsessus Antipas, fuga despecta, quemadmodum à seditiosis interemptus sit aliàs indicabimus. Cestius autem Saulum & cæteros in Achaiâ ad Neronē misit, & propriā necessitatē indicaturos, &

belli caussas deriuaturos in Florum. sperauit A enim, & iram in illum excitatum iri, & sua pericula summouenda. Tunc autem Damasceni, cæde Romanorum cognita, Iudæos apud se degentes opprimere studuerunt: & cùm eos in publicis thermis collectos haberent, (namq; id propter suspiciones meditabantur) facilem quidem sui conatus exitum fore putabant. verebantur autem mulieres suas, ferè omnes præter paucas Iudaizantes, & eorum B religione imbutas. Quare hîc magna cura fuit eas cælandi, quid agerent: Iudæorum autem decem millia, quippe vt in angusto loco, atque omnes inermes aggressi, vna hora sine metu iugulauerunt. Qui verò Cestium fugauerant, in Hierosolymam reuersi, quos adhuc Romanorum studiosos inuenissent, partim vi, partim blanditiis sibi etiam sociabant: & in templum congregati, plures belli duces eligendos esse censebant. Declaratus est igitur Iosephus, Gorionis filius, & pontifex C Ananus: omnia quæ in ciuitate gerenda essent, imperaturi: maximéque vt ciuitatis muros erigerent. Filium namque Simonis Eleazarum, quamuis Romanis prædam, & ereptas Cestio pecunias, & insuper his plurima ex thesauris publicis in potestate haberet, tamen nullis necessitatibus præposuerunt: quod & ipsum tyrannidis superbia viderent efferri, eiúsque studiosos siue imitatores, satellitum more D versari. verùm paulatim Eleazarus ambitione pecuniæ, itémque astutia persuasit populo vt omnibus parerent. In Idumæam verò quos mitterent, alios militum duces optarunt, Iesum filium Sapphæ, vnum è pontificibus & Eleazarum noui pontificis filium, Nigro autem mandauerunt, qui tunc Idumæam regebat, ex regione trans Iordanem posita genus ducens, vnde Peraites cognominabatur, vt ducibus obtemperaret. Sed ne alias quidem regiones omittendas putabant. namque in E Hierichuntem Iosephus filius Simonis, & trans flumen Manasses, & Tamnam Iohannes Essæus, toparchias administraturi missi sunt. huic autem Lydda, & Ioppe, & Ammaus erant additæ. Gophniticæ autem & Acrabatenæ regionum Ioannes, filius Ananiæ, rector designatus est: & vtriusque Galilææ Iosephus Matthiæ filius huius autem præfecturæ iuncta erat & Gamala, munitissima ciuitatum quæ ibi fuere. Aliorum igitur rectorum, pro a- F lacritate ac prudentia sua, quisque res sibi creditas administrabat. Iosephus autem cùm in Galilæam venisset, primum curæ habuit, indigenarum sibi conciliare beneuolétiam: multa sciens ea confici posse, licèt in aliis peccauisset. Deinde considerato, quòd potentissimos quidem amicos haberet si eos participes potestatis fecisset, omnem verò multitudinem si pleraque per indigenas & consuetos fieri preciperet, LXX. de senioribus eius gentis G prudentissimos elegit: cósque rectores totius Galilææ constituit. VII. verò per singulas ciuitates minorum litium iudices. nam maiora negotia causásque capitales ad se referre iussit, & illos LXX. Cæterum disposito per ciuitates iure quo inter se vterentur, etiam quemadmodum extrinsecus tuti essét animaduertit:

καὶ τὰς αἰτίας τοῦ πολέμου τρέψοντας εἰς Φλῶρον· τῇ γὰρ ἐπ' ἐκεῖνον ὀργῇ, κουφίσειν καὶ τοὺς ἑαυτοῦ κινδύνους ἤλπισεν.

Κεφ. μα.

Κἀν τούτῳ Δαμασκηνοὶ τὴν τῶν Ῥωμαίων φθορὰν πυθόμενοι, τοὺς παρ' ἑαυτοῖς Ἰουδαίους ἀνελεῖν ἐσπούδασαν. καὶ καθὸ μὲν εἶχον αὐτοὺς ἐν τῷ γυμνασίῳ πάλαι συνηθροισμένους διὰ τὰς ὑποψίας τοῦτο πραγματευσάμενοι, ῥᾴστην τὴν ἐπιχείρησιν ἐδόκουν. ἐδεδοίκεισαν δὲ τὰς ἑαυτῶν γυναῖκας, ἁπάσας πλὴν ὀλίγων ὑπηγμένας τῇ Ἰουδαϊκῇ θρησκείᾳ. διὸ μέγιστος αὐτοῖς ἀγὼν ἐγένετο λαθεῖν ἐκείνας. τοὺς δὲ Ἰουδαίους, ὡς ἂν ἐν στενῷ χωρίῳ τὸν ἀριθμὸν ὄντας μυρίους, καὶ πάντας ἀνόπλους, ἐπελθόντες ὑπὸ μίαν ὥραν, ἀδεῶς ἔσφαξαν.

Κεφ. μβ.

Οἱ δὲ διώξαντες τὸν Κέστιον, ὡς ὑπέστρεψαν εἰς τὰ Ἱεροσόλυμα, τοὺς μὲν βίᾳ τῶν ἔτι ῥωμαϊζόντων, τοὺς δὲ πειθοῖ προσήγοντο, καὶ συναθροισθέντες εἰς τὸ ἱερὸν, στρατηγοὺς ἀπέδειξαν τοῦ πολέμου πλείονας. ᾑρέθη δὲ Ἰώσηπος υἱὸς Γωρίωνος, καὶ ὁ ἀρχιερεὺς Ἄνανος, τῶν τε κατὰ τὴν πόλιν ἁπάντων αὐτοκράτορες, καὶ μάλιστα τὰ τείχη τῆς πόλεως ἀνεγείρειν. τὸν γὰρ τοῦ Σίμωνος υἱὸν Ἐλεάζαρον, καίπερ ὑφ' ἑαυτῷ πεποιημένον τὴν Ῥωμαίων λείαν, καὶ τὰ ἁρπαγέντα Κεστίου χρήματα, πρὸς οἷς πολλὰ τῶν δημοσίων θησαυρῶν, ὅμως οὐκ ἐπέστησαν ταῖς χρείαις, αὐτόν τε τυραννικὸν ὁρῶντες, καὶ τοὺς ὑφ' ἑαυτῷ ζηλωτὰς, δορυφόρων ἔθεσι χρωμένους. κατ' ὀλίγον γε μὴν, ἥ τε χρεία τῶν χρημάτων, καὶ γοητεύων Ἐλεάζαρος, ἐκπεριῆλθε τὸν δῆμον, ὥς τε αὐτῷ πειθαρχεῖν περὶ τῶν ὅλων. εἰς δὲ τὴν Ἰδουμαίαν ἑτέρους ἐπέλεξαν στρατηγοὺς, Ἰησοῦν τε τὸν υἱὸν Σαπφᾶ τῶν ἀρχιερέων ἕνα, καὶ Ἐλεάζαρον ἀρχιερέως υἱὸν νέου. τῷ δ' ἄρχοντι τότε τῆς Ἰδουμαίας Νίγερι, γένος δ' ἦν ἐκ τῆς περὶ Ἰορδάνην περαίας, διὸ καὶ Περαΐτης ἐκαλεῖτο, προσέταξαν ὑποτάσσεσθαι τοῖς στρατηγοῖς. ἠμέλουν δὲ οὐδὲ τῆς ἄλλης χώρας, ἀλλ' εἰς μὲν Ἱεριχοῦντα, Ἰώσηπος ὁ Σίμωνος, εἰς δὲ τὴν περαίαν Μανασσῆς, Θαμνᾶ δὲ τοπαρχίας, Ἰωάννης ὁ Ἐσσαῖος στρατηγήσων ἐπέμφθη. προσενενέμητο δ' αὐτῷ Λύδδα, καὶ Ἰόππη, καὶ Ἀμμαοῦς. τῆς δὲ Γοφνιτικῆς καὶ Ἀκραβατηνῆς, ὁ Ἀνανίου Ἰωάννης ἡγεμὼν ἀποδείκνυται, καὶ τῆς Γαλιλαίας ἑκατέρας Ἰώσηπος Ματθίου. προσώριστο δὲ τῇ τούτου στρατηγίᾳ, καὶ Γάμαλα, τῶν ταύτῃ πόλεων ὀχυρωτάτη. τῶν μὲν οὖν ἄλλων στρατηγῶν ἕκαστος ὡς εἶχε προθυμίας ἢ συνέσεως, διῴκει τὰ πεπιστευμένα. Ἰώσηπος δὲ εἰς τὴν Γαλιλαίαν ἀνελθὼν, πρῶτον ἐφρόντισε τῆς εἰς αὐτὸν εὐνοίας τῶν ἐπιχωρίων, εἰδὼς ὅτι πλεῖστα ταύτῃ κατορθώσει, κἂν τἄλλα διαμαρτάνῃ. συνιδὼν δὲ ὅτι τοὺς μὲν δυνατοὺς οἰκειώσεται μεταδιδοὺς τῆς ἐξουσίας αὐτοῖς, τὸ δὲ πᾶν πλῆθος, εἰ δι' ἐγχωρίων καὶ συνήθων τὰ πολλὰ προστάσσοι, τῶν μὲν γηραιῶν ἑβδομήκοντα τοὺς σωφρονεστάτους ἐπιλέξας ἐκ τοῦ ἔθνους, κατέστησεν ἄρχοντας ὅλης Γαλιλαίας, ἑπτὰ δὲ ἐν ἑκάστῃ πόλει δικαστὰς, τῶν εὐτελεστέρων διαφορῶν. τὰ γὰρ μείζω πράγματα, καὶ τὰς φονικὰς δίκας ἐφ' ἑαυτὸν ἀναπέμπειν ἐκέλευσε, καὶ τοὺς ἑβδομήκοντα. καταστησάμενος δὲ τὰ πρὸς ἀλλήλους νόμιμα τῶν κατὰ πόλιν, ἐπὶ τὴν ἔξωθεν αὐτῶν ἀσφάλειαν ἐχώρει. καὶ γι-

καὶ γινώσκων ῥωμαίους προσβαλοῦντας εἰς τὴν γαλιλαίαν, τὰ ἐπιτήδεια τῶν χωρίων ἐτείχιζεν, ἰωτάπατα, καὶ βηρσαβεὲ, καὶ σελαμὶν, ἔτι δὲ καὶ περεχὼ, καὶ ἰαφὰ καὶ σιγὼ, τότε ἰταβύριον καλούμενον ὄρος, καὶ ταριχαίας, καὶ τιβεριάδα. πρὸς δὲ τούτοις, τὰ περὶ γεννησὰρ τὴν λίμνην σπήλαια, κατὰ τὴν κάτω καλουμένην γαλιλαίαν ἀνετειχίσατο, τῆς τε ἄνω γαλιλαίας, τήν τε προσαγορευομένην ἀχαβάρων πέτραν, καὶ σὲφ, καὶ ἰαμνὶθ, καὶ μηρώ. κατὰ δὲ τὴν γαυλανιτικὴν, σελεύκειάν τε καὶ σωγάνην, καὶ γάμαλαν ὠχύρωσεν. μόνοις δὲ σεπφωρίταις ἀφῆκε καθ' ἑαυτοὺς τεῖχος ἀναδείμασθαι, χρημάτων τε εὐπόρους ὁρῶν ὄντας, καὶ προθύμους ἐπὶ τὸν πόλεμον δίχα προστάγματος. ὁμοίως δὲ καὶ γίσχαλα ἰωάννης ὁ λευίου υἱὸς, καθ' ἑαυτὸν ἐτείχιζεν ἰωσήπου κελεύσαντος. τοῖς δὲ ἄλλοις ἐρύμασιν αὐτὸς ἅπασι συμπονῶν ἅμα καὶ προστάσσων παρῆν. κατέλεξε δὲ καὶ δύναμιν ἐκ τῆς γαλιλαίας ὑπὲρ δέκα μυριάδας νέων ἀνδρῶν, οὓς πάντας ἐκ τῶν συλλεγομένων παλαιῶν ὅπλων ἐγκατασκευαζόμενος ὥπλιζεν. ἔπειτα συνιδὼν ἀήττητον τὴν ῥωμαίων ἰσχὺν γεγενημένην, εὐπειθείᾳ μάλιστα καὶ μελέτῃ τῶν ὅπλων, τὴν μὲν διδασκαλίαν ἀπέγνω τῇ χρείᾳ διακωλυομένην. τὸ δὲ εὐπειθὲς ὁρῶν περιγινόμενον ἐκ τοῦ πλήθους τῶν ἡγεμόνων, ῥωμαϊκώτερον ἔτεμνε τὴν στρατιὰν, καὶ πλείους καθίστατο ταξιάρχους. στρατιωτῶν δὲ ἀπεδείκνυ διαφορὰς, καὶ τούτους μὲν ὑπέταξε δεκαδάρχαις, καὶ ἑκατοντάρχαις, ἔπειτα χιλιάρχοις, καὶ μὲν τούτοις ἡγεμόσι ταγμάτων ἁδροτέρων ἀφηγουμένοις. ἐδίδασκε δὲ τὰς σημείων παραδόσεις, καὶ σάλπιγγος προσκλήσεις τε καὶ ἀνακλήσεις, προσβολάς τε κεράτων, καὶ περιαγωγὰς, καὶ πῶς δεῖ πρὸς μὲν τὸ κάμνον ἐπιστρέφειν ἐκ τοῦ περιόντος, ἐν δὲ τῷ πονοῦντι συναμύνειν. ὅσα τε εἰς παράστημα ψυχῆς, ἢ καρτερίαν σώματος, συνεχῶς ἀφηγεῖτο. μάλιστα δὲ αὐτοὺς ἤσκει πρὸς τὸν πόλεμον παρ' ἕκαστα τὴν ῥωμαίων εὐταξίαν διηγούμενος, καὶ ὡς πολεμήσουσι πρὸς ἄνδρας, οἳ δι' ἀλκὴν σώματος καὶ ψυχῆς παράστημα, πάσης ὀλίγου δεῖν τῆς οἰκουμένης κρατοῦσιν. ἔφη δὲ πεῖραν αὐτῶν λαβεῖν τῆς κατὰ τὸν πόλεμον εὐταξίας, καὶ πρὸ παρατάξεως, εἰ τῶν συνήθων ἀδικημάτων ἀπόσχοιντο, κλοπῆς καὶ λῃστείας, καὶ ἁρπαγῆς, τοῦ τε ἐξαπατᾶν τὸ ὁμόφυλον, καὶ μὴ κέρδος οἰκεῖον ἡγεῖσθαι, τὴν βλάβην τῶν συνηθεστάτων. διοικεῖσθαι γὰρ κάλλιστα τοὺς πολέμους, παρ' οἷς ἂν ἀγαθὸν τὸ συνειδὸς ἔχωσιν οἱ στρατευόμενοι. τοὺς δὲ οἴκοθεν φαύλους, οὐ μόνον τοῖς ἐπιοῦσιν ἐχθροῖς, ἀλλὰ καὶ τῷ θεῷ χρῆσθαι πολεμίῳ. πολλὰ τοιαῦτα παραινῶν διετέλει, καὶ τὸ ἕτοιμον εἰς παράταξιν αὐτῷ συγκεκρότητο, πεζῶν μὲν ἓξ μυριάδες, ἱππεῖς δὲ διακόσιοι, καὶ πεντήκοντα. χωρὶς δὲ τούτων οἷς ἐπεποίθει μάλιστα, μισθοφόροι περὶ τετρακισχιλίους, καὶ πεντακοσίους. ἐπιλέκτους δὲ περὶ αὐτὸν εἶχεν ἑξακοσίους φύλακας τοῦ σώματος. ἔτρεφον δὲ πλὴν τῶν μισθοφόρων τὴν ἄλλην στρατιὰν αἱ πόλεις ῥᾳδίως. τῶν γὰρ καταλεγέντων ἑκάστη τοὺς ἡμίσεις ἐπὶ τὴν στρατιὰν ἐκπέμπουσα, τοὺς λοιποὺς ἐπὶ συμπορισμὸν αὐτοῖς τῶν ἐπιτηδείων κατεῖχεν, ὥστε τοὺς μὲν εἰς ὅπλα, τοὺς δὲ εἰς ἐργασίαν διῃρῆσθαι, καὶ τοῖς τὰ σῖτα πέμπουσιν ἀντιχορηγεῖσθαι παρὰ τῶν ἐν ὅπλοις τὴν ἀσφάλειαν.

certúsque in Galilæam Rom. esse venturos, opportuna loca muro cingebat, hoc est Iotapatan, & Bersabee & Selamin, necnon & Pereccho, & Iapha, & Sigoph, & montem cui nomen est Itaburio, & Taricheas, & Tiberiada: ad hæc etiam circa Genesar lacum speluncas in ea quæ inferior Galilæa vocabatur muniuit. Superioris autem Galilææ Petram quæ Achabrorum dicitur, & Seph, & Iannitæ, & Mero: in Gaulanitide verò Seleuciam, & Soganen, & Gamalam munitione circumdedit. Solis autem Sepphoritis permisit, vt murum sibimetipsis fabricarent: quòd eos pecuniosos esse, & ad bellum promptos etiam sine præcepto videret. Similiter autem Gischalam, Iosephi iussu per se muro cinxit Ioannes Leuiæ filius. Ceteris autem castellis omnibus ipse Iosephus intererat, iubendo simul atque opem ferendo. Quin & exercitum ex Galilæa, supra centum millia virorum comparauit: quos omnes vndique collectis armis veteribus instruebat. Deinde reputans, hoc maximè Rom. inuictam esse virtutem, quòd dicto essent audientes rectoribus suis, & armorum exercitationi operam darent, doctrinam quidem vrgente necessitate despexit: parendi autem facultatem ratus regentium multitudine posse contingere, ita vt Rom. solent diuisit exercitum, pluresque fecit ordinum principes. diuersisque militum generibus constitutis, alios decadarchis, alios centurionibus, alios tribunis subdidit: & insuper his ipsis rectores, maiorum rerum administratores dedit. Docebatque signorum disciplinas, & prouocationes reuocationésque buccinarũ, & principia cornuum, & circũductiones, & quemadmodum oporteret laborantibus succurrere fortiores, & cum defatigatis partiri pericula: quæque ad fortitudinẽ animi corporísq; tolerantiam pertinerẽt, instituebat. Maximè verò eos erudiebat ad bellũ, vsquequaque Rom. referẽs disciplinam, & quòd cũ viris essent præliaturi, qui & viribus corporis, & animi obstinatione, totum penè orbem terræ superassent. His addidit, quo pacto belli tempore suis essent parituri præceptis, iam nũc periculũ se facturũ, si consuetis delictis, hoc est, furtis & latrociniis & rapinis abstinuissent: sed neque aut gentilibus fraudem facerent, aut consuetissimorum damna proprium quæstum putarent. Illa enim bella optimè administrari, quorum milites bonã conscientiam gererent: qui verò per se praui fuissent, his non solùm inimicos, sed etiam Deum hostem futurũ. Multa in hunc modum admonendo perseuerabat. Et iam quidem quantum prælio parandum esset, conflatũ erat. Nam LX. peditum millia, CCL. equites, ac præter hos etiam mercenarios, quibus maximè fretus erat, habebat quatuor millia quingẽtos: necnon & sexcentos circa se electos custodes corporis atque satellites. Exceptis autem mercenariis, facilè cæteri milites à ciuitatibus alebantur. namque singulæ quas enumerauimus, cùm mediam sui multitudinem mitterent in militiam, reliquos ad comparandum eis victum tenebant: vt pars armis, atque alia pars faciendis operibus dirimeretur, & armati securitatem rependerent suggerentibus commeatum.

CAP. XXVI. De Iosephi periculis & euasione, & Ioannis Giscalæi malitia.

IOsepho autem hoc modo administranti Galilæam, insurrexit quidam insidiator, patria Giscala ortus, Leuiæ filius, nomine Ioannes, callidissimus, ac dolis plenus, & nequitia quidem nobilissimus omnium, antea verò pauper, & aliquandiu malitiæ suæ impedimentum passus inopiam, facilè mentiri paratus, mirúsque fidem adhibere mendacio: & qui fallaciam virtutem putaret, eáque aduersus amicissimos vteretur: simulator humanitatis, & spe lucri appetentissimus cædium: qui semper quidem immoderata concupisset, spem verò leuioribus maleficiis aluisset. Latro enim erat, sui moris, ac solitarius: deinde etiam comitatum inuenit audaciæ, primo quidem paruum, ampliorem autem proficiens. Curæ autem habebat, neminem ignauum asciscere: sed qui & habitudine corporis, & animi magnitudine, bellorúmque peritia præstarent, hos eligebat: donec CCCC. virorum cateruam congregauit, quorum plures ex Tyriorum finibus & vicis erant. Iisque omnem Galilæam depopulabatur: & multos futuri belli metu suspensos lacerabat. Hunc igitur iamdudum regendi milites cupientem, & maiora desiderantem, diu pecuniæ retardabat inopia. cúmque videret Iosephum sua industria lætari, persuadet ei primùm, vt fabricandi muri patriæ solicitudinem sibi committeret. in qua re quæstus magnos à locupletibus fecit. Deinde callidissima fraude composita, velut oleo, quod non à gentilibus suis tractatum esset, vti cauerent omnes apud Syriam Iudæi, vt ad confinia oleum mitteretur depoposcit, nummóque Tyrio, qui quatuor Atticos faceret, emptis quatuor amphoris, eodem precio amphoræ dimidium venundabat. cúmque Galilæa ferax esset olei, maximo illo tempore magna vbertate redundaret, in ea loca vbi erat penuria solus multúmque mittendo, infinitam summam pecuniæ congregauit: qua mox in eum vsus est, qui hoc sibi beneficium præstitisset. Denique existimans si Iosephum deposuisset, rectorem se Galilææ futurum, quibus præerat latronibus imperauit prædam vehementiùs exercere, quo multis rebus nouis per eas regiones excitatis, aut insidiis alicubi rectorem perimeret, si cui ferret auxilium: aut si latrocinia negligeret, ob hoc eum apud indigenas accusaret. Iamdudum autem rumores dissipauerat, quòd res Galilææ Iosephus Romanis prodere cogitaret: multáque in hunc modum ad eius perniciem comparabat. Itaque illo tempore, cùm quidam ex vico Dabaritarum, in magno campo custodias agentes, Ptolemæum Agrippæ & Berenices procuratorem aggressi omnes quas ferebat sarcinas abstulissent, in quibus erant non paucæ vestes preciosæ, plurimáque argentea pocula, & DC. aurei. neque hanc prædam occultè administrare potuissent, omnia Taricheas ad Iosephum comportarunt. Ille autem reprehensa violentia, quam regiis intulissent, reponi res ablatas apud aliquem eius ciuitatis potentissimum iubet: paratus eas dominis opportunè remittere. vnde maximum ei periculum comparatum est. namque raptores earum, quia prædæ nullam partem

Κεφ. μγ.

Διοικοῦντι δ' οὕτω τῷ Ἰωσήπῳ τὴν κατὰ τὴν Γαλιλαίαν, παρανίσταταί τις ἐπίβουλος ἀνὴρ ἀπὸ Γισχάλων, υἱὸς Ληΐου Ἰωάννης ὄνομα, πανουργότατος μὲν καὶ δολιώτατος τῶν ἐπισήμων, ἐν δὲ τοῖς πονηρεύμασιν ἁπάντων. πένης δὲ τὰ πρῶτα, καὶ μέχρι πολλοῦ κώλυμα ἔχων τῆς κακίας τὴν ἀπορίαν, ἕτοιμος μὲν ψεύσασθαι, δεινὸς δὲ ἐπιθεῖναι πίστιν τοῖς ἐψευσμένοις, ἀρετὴν ἡγούμενος τὴν ἀπάτην, καὶ ταύτῃ κατὰ τῶν φιλτάτων χρώμενος, ὑποκριτὴς φιλανθρωπίας, καὶ δι' ἐλπίδα κέρδους φονικώτατος. ἀεὶ μὲν ἐπιθυμήσας μεγάλων, τρέφων δὲ τὰς ἐλπίδας ἐκ τῶν ταπεινῶν κακουργημάτων. λῃστὴς γὰρ ἦν μονότροπος, ἔπειτα καὶ συνοδίαν εὗρε τῆς τόλμης, τὸ μὲν πρῶτον ὀλίγην, προκόπτων δὲ ἀεὶ πλείονα. φροντὶς δὲ ἦν αὐτῷ μηδένα προσλαμβάνειν εὐάλωτον, ἀλλὰ τοὺς εὐεξίᾳ σώματος καὶ ψυχῆς παραστήματι, καὶ πολέμων ἐμπειρίᾳ διαφέροντας ἐξελέγετο. μέχρι καὶ τετρακοσίων ἀθρόον στῖφος συνεκρότησεν, οἳ τὸ πλέον ἐκ τῆς Τυρίων χώρας, καὶ τῶν ἐν αὐτῇ κωμῶν φυγάδες ἦσαν, δι' ὧν ἐληΐζετο πᾶσαν τὴν Γαλιλαίαν, καὶ μετεώρους ὄντας ἐπὶ τῷ μέλλοντι πολέμῳ τοὺς πολλοὺς ἐσπάραττεν. ἤδη δὲ αὐτὸν στρατηγιῶντα καὶ μειζόνων ἐφιέμενον, ἡ ἔνδεια χρημάτων κατεῖχεν. ἐπεὶ δὲ τὸν Ἰώσηπον ὁρῶν ὑπερχαίροντα τῷ δραστηρίῳ, πείθει μὲν πρῶτον αὐτῷ πιστεῦσαι τὸ τεῖχος ἀνοικοδομῆσαι τῆς πατρίδος, ἐν ᾧ πολλὰ παρὰ τῶν πλουσίων ἐκέρδησεν. ἔπειτα συνθεὶς σκηνὴν πανουργοτάτην, ὡς ἄρα φυλάττοιντο πάντες οἱ κατὰ τὴν Συρίαν Ἰουδαῖοι, ἐλαίῳ χρῆσθαι μὴ δι' ὁμοφύλων ἐγκεχειρισμένῳ, πέμπειν αὐτοῖς ἐπὶ τὴν μεθορίαν ἐξῃτήσατο. συνωνούμενος δὲ τοῦ Τυρίου νομίσματος, ὃ τέσσαρας Ἀττικὰς δύναται, τέσσαρας ἀμφορεῖς, τῆς αὐτῆς ἐπώλει τιμῆς ἡμιαμφόριον. οὔσης δὲ τῆς Γαλιλαίας ἐλαιοφόρου μάλιστα, καὶ τότε εὐφορηκυίας, εἰς σπανίζοντας πέμπων, πολὺ καὶ μόνος, ἄπειρόν τι πλῆθος συνήγαγε χρημάτων, οἷς εὐθέως ἐχρῆτο κατὰ τοῦ τὴν ἐργασίαν παρέχοντος. καὶ ὑπολαβὼν εἰ καταλύσειε τὸν Ἰώσηπον, αὐτὸς ἡγήσασθαι τῆς Γαλιλαίας, τοῖς μὲν ὑφ' αὑτὸν λῃσταῖς προσέταξεν εὐτονώτερον ἐγχειρεῖν ταῖς ἁρπαγαῖς, ὅπως πολλῶν νεωτεριζόντων κατὰ τὴν χώραν, ἢ διαχειρίσαιτό που τὸν στρατηγὸν ἐκβοηθοῦντα λοχήσας, ἢ περιορῶντα τοὺς λῃστὰς διαβάλοι πρὸς τοὺς ἐπιχωρίους. ἔπειτα διεφήμιζε πόρρωθεν, ὡς ἄρα προδιδοίη Ῥωμαίοις τὰ πράγματα Ἰώσηπος, καὶ πολλὰ τοιαῦτα πρὸς κατάλυσιν τἀνδρὸς ἐπραγματεύετο. καθ' ὃν καιρὸν ἀπὸ Δαβαριττῶν κώμης νεανίσκοι τινὲς τῶν ἐν τῷ μεγάλῳ πεδίῳ καθεζομένων φυλάκων, ἐνεδρεύσαντες Πτολεμαῖον τὸν Ἀγρίππα καὶ Βερενίκης ἐπίτροπον, ἀφείλοντο πᾶσαν ὅσην ἦγεν ἀποσκευήν, ἐν ᾗ πολυτελεῖς ἐσθῆτες οὐκ ὀλίγαι, καὶ πλῆθος ἐκπωμάτων ἀργυρῶν, χρυσοῖ τε ἦσαν ἑξακόσιοι. μὴ δυνάμενοι δὲ διαθέσθαι κρύφα τὴν ἁρπαγήν, πάντα πρὸς Ἰώσηπον εἰς Ταριχαίας ἐκόμισαν. ὁ δὲ μεμψάμενος αὐτῶν τὸ πρὸς τοὺς βασιλικοὺς βίαιον, τίθησι τὰ κομισθέντα παρὰ τῷ δυνατωτάτῳ τῶν Ταριχαιατῶν Ἀννέᾳ, πέμψαι κατὰ καιρὸν τοῖς δεσπόταις προαιρούμενος, ὃ δὴ μέγιστον αὐτῷ κίνδυνον ἐπήγαγεν. οἱ γὰρ ἁρπάσαντες, ἅμα μὲν ἐπὶ τῷ μηδεμιᾶς τυχεῖν μερίδος

ἐκ τῶν κεκομισμένων ἀγανακτοῦντες, ἅμα δὲ καὶ προσκεψάμενοι τοῦ Ἰωσήπου τὴν διάνοιαν, ὅτι μέλλοι τοῖς βασιλεῦσι τὸν πόνον αὐτῶν χαρίζεσθαι, νύκτωρ εἰς τὰς κώμας αὐτῶν διέδραμον, καὶ πᾶσιν ἐπεδείκνυον τὸν Ἰώσηπον ὡς προδότην. ἐνέπλησαν δὲ καὶ τὰς πλησίον πόλεις ταραχῆς, ὥστε ὑπὸ τὴν ἕω δέκα μυριάδας ὁπλιτῶν ἐπ' αὐτὸν συνδραμεῖν. καὶ τὸ μὲν πλῆθος ἐν τῷ κατὰ Ταριχαίας ἱπποδρόμῳ συνηθροισμένον πολλὰ πρὸς ὀργὴν ἀνεβόα, καὶ καταλεύειν, οἱ δὲ, καίειν τὸν προδότην ἐκεκράγεσαν. παρώξυνε δὲ τοὺς πολλοὺς Ἰωάννης, καὶ σὺν αὐτῷ Ἰησοῦς τις υἱὸς Σαπφᾶ, τότε ἄρχων τῆς Τιβεριάδος. οἱ μὲν οὖν φίλοι καὶ σωματοφύλακες τοῦ Ἰωσήπου, καταπλαγέντες τὴν ὁρμὴν τοῦ πλήθους ἔφυγον, πλὴν τεσσάρων πάντες. αὐτὸς δὲ κοιμώμενος ἤδη προσφερομένου τοῦ πυρὸς διανίσταται, καὶ παραινούντων φεύγειν τῶν τεσσάρων οἳ παρέμειναν, οὔτε πρὸς τὴν καθ' αὑτὸν ἐρημίαν, οὔτε πρὸς τὸ πλῆθος τῶν ἐφεστώτων καταπλαγεὶς, προπηδᾷ, περιρρηξάμενος μὲν τὴν ἐσθῆτα, καταπασάμενος δὲ τῆς κεφαλῆς κόνιν, ἀποστρέψας δὲ ὀπίσω τὰς χεῖρας, καὶ τὸ ἴδιον ξίφος ἐπιδήσας τῷ τένοντι. πρὸς ταῦτα τῶν μὲν οἰκείως ἐχόντων, καὶ μάλιστα Ταριχαιατῶν οἶκτος ἦν. οἱ δὲ ἀπὸ τῆς χώρας, καὶ τῶν πλησίον ὅσοις ἐδόκει φορτικὸς ἐβλασφήμουν, προφέρειν τε τὰ κοινὰ χρήματα θᾶττον ἐκέλευον, καὶ τὰς προδοτικὰς συνθήκας ἐξομολογεῖσθαι. προειλήφεσαν γὰρ ἐκ τοῦ σχήματος οὐδὲν αὐτὸν ἀρνήσεσθαι τῶν ὑπονοηθέντων, ἀλλὰ ἐπὶ συγγνώμης πορισμῷ, πάντα πεποιηκέναι τὰ πρὸς τὸν ἔλεον. τῷ δὲ ἦν ἡ ταπείνωσις, προκατασκευὴ στρατηγήματος, καὶ τεχνιτεύων τοὺς ἀγανακτοῦντας καθ' αὑτοῦ κατ' ἀλλήλων στασιάσαι, ἐφ' οἷς ὠργίζοντο πάντα ὁμολογήσειν ὑπισχνεῖτο. εἶτα δοθὲν αὐτῷ λέγειν, ἐγὼ ταῦτα ἔφη τὰ χρήματα, οὔτε ἀναπέμπειν Ἀγρίππᾳ προῃρούμην, οὔτε κερδαίνειν αὐτός. μὴ γὰρ ἡγησαίμην ποτὲ ἢ φίλον τὸν ὑμῖν διάφορον, ἢ κέρδος τὸ φέρον τῷ κοινῷ βλάβην. ὁρῶν δὲ ὦ Ταριχαιᾶται μάλιστα τὴν ὑμετέραν πόλιν ἀσφαλείας δεομένην, καὶ πρὸς τὴν κατασκευὴν τείχους χρῄζουσαν ἀργυρίου, δεδοικὼς δὲ τὸν Τιβεριέων δῆμον, καὶ τὰς ἄλλας πόλεις ἐφεδρευούσας τοῖς ἡρπασμένοις, κατασχεῖν ἡσυχῇ τὰ χρήματα προειλόμην, ἵνα ὑμῖν περιβάλωμαι τεῖχος. εἰ δὲ μὴ δοκεῖ, προφέρω τὰ κεκομισμένα, καὶ παρέχω διαρπάζειν. εἰ δὲ μὴ καλῶς ὑμῖν ἐβουλευσάμην, κολάζετε τὸν εὐεργέτην. ἐπὶ τούτοις οἱ Ταριχαιᾶται μὲν αὐτὸν εὐφήμουν. οἱ δὲ ἀπὸ τῆς Τιβεριάδος σὺν τοῖς ἄλλοις ἐκάκιζον, καὶ διηπείλουν. καταλιπόντες δὲ ἑκάτεροι τὸν Ἰώσηπον, ἀλλήλοις διεφέροντο. κἀκεῖνος θαρρῶν ἤδη τοῖς ᾠκειωμένοις, ἦσαν δὲ οἱ Ταριχαιᾶται ὡς τετρακισμύριοι, παντὶ τῷ πλήθει παρρησιαστικώτερον ὡμίλει. καὶ πολλὰ τὴν προπέτειαν αὐτῶν κατονειδίσας, ἐκ μὲν τῶν παρόντων Ταριχαίας ἔφη τειχίζειν, ἀσφαλεῖσθαι δὲ ὁμοίως καὶ τὰς ἄλλας πόλεις. οὐ γὰρ ἀπορήσειν χρημάτων, ἐὰν ὁμονοῶσιν ἐφ' οὓς δεῖ πορίζειν, καὶ μὴ παροξύνωνται κατὰ τοῦ πορίζοντος. ἔνθα δὴ τὸ μὲν ἄλλο πλῆθος τῶν ἠπατημένων ἀπανεχώρει, καὶ τὸ διωργισμένον. δισχίλιοι δὲ ἐπ' αὐτὸν ὥρμησαν ἔνοπλοι, καὶ φθάσαντες εἰς τὸ δωμάτιον παρελθεῖν, ἀπειλοῦντες ἐφεστήκεσαν. ἐπὶ τούτοις πάλιν

accepissent, ægrè ferentes, & perspicientes quòd Iosephus cogitauerat laborem suum regibus condonare, per vicos nocte discurrunt, omnibúsque prædicant Iosephum proditorem esse: eodémque tumultu ciuitates proximas repleuerunt, adeò vt c. armatorum millia contra Iosephum prima luce concurrerent. Denique multitudo quidem, in circo apud Tarichæas congregata, plurima per iracundiam conclamabat, partim deponi, partim concremari vociferans proditorem: plerosque autem incitabat Ioannes, & cum eo Iesus quidem Sapphæ filius, tunc magistratus Tiberiadis. Iosephi igitur amici & satellites, tantæ multitudinis incursu perterriti, omnes præter quatuor diffugerunt. Ipse verò dormiens, propè cùm iam ignis admoueretur exurgit: & monentibus eum quatuor qui remanserant vt fugeret, neque solitudine sua, neque illorum qui contra se venerant copiis perturbatus, in conspectum illorum prosilit, veste discissa, infusóque capiti puluere, auersísque post tergum manibus suóque ceruici gladio annexo. Hæc autē amicos ei, maximè Taricheas ad misericordiam commouerant. rustica verò plebs, & finitimorum, quibus molestior videbatur, non sine maledictis eum iubebāt publicas proferre pecunias, & facta proditionis fateri. nam ex habitu eius opinabantur, nihil eorum de quibus nata fuerat suspicio, penitus negaturum: & impetrandæ veniæ causa fecisse omnia quæ misericordiam prouocarent. At illius ista humilitas consilium præstruebat: & contra se indignantes arte circumueniens, vt super his, vnde irascerentur, inter se ipsi discordarent, omnia confessurum se pollicetur. Deinde sibi loquendi facultate concessa, ego, inquit, has pecunias neque Agrippæ remittere cogitabam, neque in propria lucra conuertere. absit enim, vt amicum putem vnquam, qui vobis sit inimicus: aut quæstum ex re capiam, quæ vos communiter læderet. Sed quia videbam ô Taricheatæ, maximè ciuitatem vestrā munitionis egere, & ad extruēda mœnia minus habere pecuniæ, timebámque Tiberiensem populum, & alias ciuitates raptis pecuniis inhiantes, pedetentim eas retinere decreuit, vt vos muro circundaré. Si hoc non videtur, profero quæ ablata sunt, & diripienda propono. Sin rectè consului, benè de vobis meritum coercetis. Hæc Taricheatę quidem ab eo dicta, cum fauore receperunt: Tibérienses verò cùm aliis deprauando, insuper etiam minitabantur: vtrique autem relicto Iosepho, inter se litigabant. Ille autem fretus iam secum sentientibus (erant enim propè ad XL. millia Taricheatæ) cum multitudine liberiùs loquebatur: multúmque in eorum temeritatem, inuectus, ex præsenti quidem pecunia Taricheam ait esse muniendam. curę autem sibi fore similiter, vt etiam cęterę tutę sint ciuitates, nec enim pecunias defore, si concordari velint in eos, vnde parande sunt, & non in eum moueantur qui parat. Itaq; tum alia quidem multitudo quæ decepta fuerat, quamuis irata recedebat: duo verò armatorū millia impetum in eum fecēre. cúmque se ille tecto antè recepisset, instabant ei minitantes. Iterum autē

Iosephus in hos quoque altera fraude vtitur. cúmque in summum tectum euasisset, compresso dextera strepitu, nescire ait se, quid peterent sibi præstari: voces enim se non exaudire confusas. omnia verò quæ iuberent esse facturum, si aliquos intromisissent, qui secũ otiosè colloquerentur. His auditis, ilico nobiliores cum magistratibus ad eum ingrediuntur. quos ille in intimas ædium partes inductos, clausa ianua tamdiu verberauit, quoad omnium viscera nudata sunt. circunstabat autem interim populus, existimans eos prolixis allegationibus concertare, cùm subitò Iosephus foribus patefactis, cruentos eos dimisit. vnde tanto terrore qui minabantur affecti sunt vt proiectis armis aufugerent. Ob hæc Ioannis etiam atque etiam crescebat inuidia, aliásque nihilominus Iosepho moliebatur insidias: morbóque simulato per epistolam postulauit, vt sibi medicinæ gratia Tiberiensibus aquis calidis vti permitteret. Iosephus autem, quia nondum ei suspectus erat insidiator, ad præfectos ciuitatis literas fecit, vt & hospitium & vtensilia Ioanni præberent. Quibus ille potitus, biduo pòst cuius rei causa venerat agebat: & his fraude circumuentis, aliis verò pecunia corruptis, vt Iosephum desererent persuasit. His autem cognitis Silas quem Iosephus custodiæ præposuerat. properè de insidiis ei scripsit: atque ille accepta epistola, noctúque itinere maturato, matutinus ad Tiberiadem peruenit. Et cætera quidem multitudo obuiam ei processit. Ioannes autem, quamuis eum contra se venturum esse suspicaretur, tamen misso quodam ex notis, infirmitate simulata, quòd lectulo detineretur, obsequio sese defuisse mãdauit. Tiberiensibus autem à Iosepho in stadium congregatis, vt ad eos quæ sibi scripta fuerant loqueretur, missis armatis Ioannes iussit eum interfici. Quos cùm iam nudare gladios perspexisset, populus exclamauit: atque ita conuersus ad eius vocem Iosephus, vbi ferrum propè iugulo suo imminere prospexit, in littus desiliit è tumulo, excelso cubitis sex, in quo verba faciens cum populo steterat: ascensáque inde nauicula cum duobus satellitibus suis, quæ illuc applicuerat, in medium lacum refugit. milites verò eius, ilico raptis armis, contra insidiatores irruebant. Mox autem veritus Iosephus ne bello intestino cõcitato, propter paucorum inuidiam ciuitas cõsumeretur, nuncium suis misit, qui eos moneret, vt propriæ tantùm saluti consulerent: neque verò quenquam vel occiderent, vel arguerent noxiorum. Et illi quidem dicto parentes, conquieuerunt. qui verò circum ciuitatem per agros habitabant, auditis insidiis, & quis earum fabricator esset, contra Ioannem veniebat. sed ille priùs in Giscala patriam suam fuga receptus est. At Galilæi totis iam ciuitatibus ad Iosephum confluebant, & cùm multa essent armatorum millia congregata, qui se aduersus Ioannem communem insidiatorem adesse clamabant: vnáque cum eo ciuitatem quæ illum suscepisset, ignibus tradituros: ad ea Iosephus, probare se quidem eorum beneuolentiam, impetum autem cohibendum esse dicebat: prudentia magis inimicos vincere cupiens, quàm perimere. His verò, qui de singulis ciuitatibus

ἰώσηπος, ἀπὸ τῆς δευτέρας χρῆται. ἀναβὰς γὰρ ἐπὶ τὸ τέγος, καὶ τῇ δεξιᾷ κατασείσας τὸν θόρυβον αὐτῶν, ἀγνοεῖν ἔφη τίνων ἀξιοῦσι τυχεῖν. οὐ γὰρ κατακούειν διὰ τὴν τῆς βοῆς σύγχυσιν. ὅσα δ' ἂν κελεύσωσι πάντα ποιήσειν, εἰ τοὺς διαλεξομένους ἡσυχῇ πέμψαιεν εἴσω πρὸς αὐτόν. ταῦτα ἀκούσαντες οἱ γνώριμοι σὺν τοῖς ἄρχουσιν εἰσήεσαν. ὁ δὲ, σύρας αὐτοὺς εἰς τὸ μυχαίτατον τῆς οἰκίας, καὶ τὴν αὔλειον ἐπικλείσας, ἐμαστίγωσε, μέχρι πάντων τὰ σπλάγχνα γυμνῶσαι. περιειστήκει δέ πως τὸ πλῆθος, δικαιολογεῖσθαι μακρότερα τοὺς εἰσελθόντας, οἰόμενον. ὁ δὲ τὰς θύρας ἐξαπίνης ἀνοίξας, ᾑμαγμένους ἐξαφίησι τοὺς ἄνδρας, καὶ τοσαύτην τοῖς ἀπειλοῦσιν ἐνειργάσατο κατάπληξιν, ὥς τε ῥίψαντας τὰ ὅπλα φεύγειν. πρὸς ταῦτα ἰωάννης ἐπετείνετο τὸν φθόνον, καὶ δευτέραν ἤρτυεν ἐπιβουλὴν κατὰ τοῦ ἰωσήπου. σκηψάμενος δὲ νόσον, ἱκέτευε δι' ἐπιστολῆς, τὸν ἰώσηπον ἐπιτρέψαι πρὸς θεραπείαν αὐτῷ χρήσασθαι τοῖς ἐν τιβεριάδι θερμοῖς ὕδασιν. ὁ δὲ, οὔπω γὰρ ὑπώπτευε τὸν ἐπίβουλον, γράφει τοῖς κατὰ τὴν πόλιν ὑπάρχοις, ξενίαν τε καὶ τἀπιτήδεια ἰωάννῃ παρασχεῖν, ὧν ἀπολαύσας μετὰ δύο ἡμέρας, ἐφ' ὃ παρῆν διεπράττετο. καὶ τοὺς μὲν ἀπάταις, τοὺς δὲ χρήμασι διαφθείρων, ἀνέπειθεν ἀποστῆναι ἰωσήπου. καὶ γνοὺς ταῦτα σίλας ὁ φυλάσσειν τὴν πόλιν ὑπὸ ἰωσήπου καθεσταμένος, γράφει τὰ κατὰ τὴν ἐπιβουλὴν αὐτῷ κατὰ τάχος. ὁ δὲ ἰώσηπος ὡς ἔλαβε τὴν ἐπιστολὴν, συντόνως νυκτὸς ὁδεύσας, ἑωθινὸς παρῆν καὶ τὴν τιβεριάδα. καὶ τὸ μὲν ἄλλο πλῆθος αὐτῷ ὑπήντα. ἰωάννης δὲ, καίτοι τὴν παρουσίαν ὑποπτεύων ἐπ' αὐτὸν, ὅμως πέμψας τινὰς τῶν γνωρίμων, ὑπεκρίνατο τὴν ἀσθένειαν, καὶ κλινήρης ὢν, ὑστερῆσαι τῆς θεραπείας ἔλεγεν. ὡς δὲ εἰς τὸ στάδιον τοὺς τιβεριεῖς ἀθροίσας ἰώσηπος ἐπειρᾶτο διαλέγεσθαι περὶ τῶν ἐπεσταλμένων, ὑποπέμψας ὁπλίτας, προσέταξεν αὐτὸν ἀνελεῖν. τούτους τὰ ξίφη γυμνοῦντας ὁ δῆμος προϊδὼν ἀνεβόησεν. πρὸς δὲ τὴν κραυγὴν ἰώσηπος ἐπιστραφεὶς, καὶ θεασάμενος ἐπὶ τῆς σφαγῆς ἤδη τὸν σίδηρον, ἀπεπήδησεν εἰς τὸν αἰγιαλόν. εἱστήκει δὲ δημηγορῶν ἐπὶ βουνοῦ τινὸς ἑξαπήχους τὸ ὕψος. καὶ παρορμοῦντος ἐπιπηδήσας σκάφους, σὺν δυσὶ σωματοφύλαξιν εἰς μέσην τὴν λίμνην ἀνέφυγεν. οἱ στρατιῶται δὲ αὐτοῦ ταχέως ἁρπάσαντες ὅπλα, κατὰ τῶν ἐπιβούλων ἐχώρουν. ἔνθα δείσας ἰώσηπος μὴ πολέμου κινηθέντος ἐμφυλίου δι' ὀλίγων φόνον ἐξαναλώσῃ τὴν πόλιν, πέμπει τοῖς σφετέροις ἀγγέλλων, μόνης προνοεῖν τῆς αὐτῶν ἀσφαλείας, μήτε δὲ κτείνειν τινὰ, μήτε ἀπελέγχειν τῶν αἰτίων. καὶ οἱ μὲν τῷ παραγγέλματι πεισθέντες ἠρέμησαν. οἱ δὲ ἀνὰ τὴν πέριξ χώραν, πυθόμενοι τήν τε ἐπιβουλὴν, καὶ τὸν συσκευάσαντα, συνηθροίζοντο κατὰ τοῦ ἰωάννου. φθάνει δὲ ἐκεῖνος εἰς γίσχαλα φυγὼν τὴν πατρίδα. συνέρρεον δὲ πρὸς τὸν ἰώσηπον οἱ γαλιλαῖοι κατὰ πόλεις, καὶ πολλαὶ μυριάδες ὁπλιτῶν γενόμεναι, παρεῖναι σφᾶς ἐπὶ ἰωάννην τὸν κοινὸν ἐπίβουλον ἐβόων. συγκαταφλέξειν γὰρ αὐτῷ καὶ τὴν ὑποδεξαμένην πόλιν. ὁ δὲ ἀποδέχεσθαι μὲν αὐτῶν ἔφασκε τὴν εὔνοιαν, εἶργε δὲ τὴν ὁρμὴν, χειρώσασθαι συνιεὶς τοὺς ἐχθροὺς μᾶλλον, ἢ κτεῖναι προαιρούμενος. ἐκλαβὼν δὲ τοὺς ἀφ' ἑκάστης πόλεως

συν-

συνεφεστῶτας Ἰώσηπος κατ' ὄνομα, προθύμως δ' αὐ- A
δίκνυτο τοὺς σφετέρους οἱ δῆμοι, καὶ διὰ κηρύκων ἀ-
πειλησάντων ἐντὸς ἡμέρας πέμπτης εἰ μὴ καταλίποιεν
τὸν Ἰωάννην, τάς τε οὐσίας διαρπάσειν καὶ τὰς οἰκίας ἅμα
ταῖς γενεαῖς καταφλέξειν, τρισχιλίους μὲν ἀπέστησεν εὐθέ-
ως, οἳ παραγενόμενοι τὰ ὅπλα παρὰ τοῖς ποσὶν ἔρρι-
ψαν αὐτοῦ. σὺν δὲ τοῖς καταλειφθεῖσιν, ἦσαν δ' ὅσον εἰς
δισχιλίους Σύρων φυγάδες, ἀνέστελλεν Ἰωάννης πάλιν εἰς
τὰς λαθραίους ἐπιβουλὰς ἐκ τῶν φανερωτέρων. κρύφα B
γοῦν ἔπεμψεν ἀγγέλους εἰς Ἱεροσόλυμα, διαβάλλων τὸν
Ἰώσηπον ἐπὶ τῷ μεγέθει τῆς δυνάμεως, φάσκων ὅσον
οὐδέπω τύραννον ἐλεύσεσθαι τῆς μητροπόλεως, εἰ μὴ
προκαταληφθείη. τούτοις ὁ μὲν δῆμος ἦν προειδὼς,
οὐ προσεῖχον δέ. οἱ δυνατοὶ δὲ κατὰ φθόνον, καὶ τῶν ἀρχόν-
των τινὲς λάθρα τῷ Ἰωάννῃ χρήματα πρὸς συλλογὴν
μισθοφόρων ἔπεμψαν, ὅπως πολεμεῖ πρὸς Ἰώσηπον.
ἐψηφίσαντο δὲ καθ' ἑαυτοὺς, καὶ μετακαλεῖν αὐτὸν ἀπὸ τῆς
στρατηγίας. οὐ μὴν ἠξίουν ἀποχρήσειν τὸ δόγμα. δισχιλί- C
ους δὲ καὶ πεντακοσίους ὁπλίτας, καὶ τέσσαρας τῶν ἐπιφα-
νῶν ἄνδρας ἔστειλαν, τόν τε τοῦ νομικοῦ Ἰωέσδρον, καὶ Ἀνα-
νίαν Σαδδουκὶ, καὶ Σίμωνα, καὶ Ἰούδην Ἰωνάθου, πάντας
εἰπεῖν δυνατωτάτους, ἵνα οὗτοι τὴν πρὸς τὸν Ἰώσηπον
εὔνοιαν ἀποστρέψωσι. κἂν μὲν ἑκὼν παραγίνηται, λόγον
ὑπέχειν ἐᾶν αὐτόν. εἰ δὲ βιάζοιτο μένειν, ὡς πολεμίῳ
χρῆσθαι. Ἰωσήπῳ δὲ παραγίνεσθαι μὲν στρατιὰν ἐπε-
στάλκεσαν οἱ φίλοι. τὴν δὲ αἰτίαν, οὐ προεδήλουν, D
ἅτε δὴ τῶν ἐχθρῶν λάθρα βεβουλευμένων. διὸ καὶ μὴ
προφυλαξαμένου, τέσσαρες πόλεις εὐθέως πρὸς
τοὺς διαφόρους ἀπέστησαν ἐλθόντας, Σέπφωρίς τε καὶ
Γάμαλα καὶ Γίσχαλα, καὶ Τιβεριάς. ταχέως δὲ καὶ ταύτας
προσηγάγετο δίχα τῶν ὅπλων, καὶ χειρωσάμενος στρα-
τηγήματι τοὺς τέσσαρας ἡγεμόνας, τῶν τε ὁπλιτῶν τοὺς
δυνατωτάτους, ἀνέπεμψεν εἰς Ἱεροσόλυμα. πρὸς οὓς
ὁ δῆμος ἠγανάκτησεν οὐ μετρίως, καὶ σὺν αὐτοῖς ὥρ-
μησε τοὺς προπέμψαντας ἀνελεῖν, εἰ μὴ φθάσαντες E
ἀπέδρασαν. Ἰωάννην δὲ τὸ λοιπὸν ἐντὸς τῶν Γισχάλων
τείχους, ὁ παρὰ Ἰωσήπου φόβος ἐφρούρει. καὶ μετ'
ὀλίγας ἡμέρας, πάλιν ἀπέστη Τιβεριὰς ἐπικαλεσα-
μένων τῶν ἔνδον Ἀγρίππαν τὸν βασιλέα. καὶ τοῦ μὲν μὴ
καταντήσαντος ἐφ' ἣν συνετέτακτο προθεσμίαν, ῥω-
μαϊκῶν δὲ ἱππέων ὀλίγων κατ' ἐκείνην τὴν ἡμέ-
ραν παραφανέντων, τὸν Ἰώσηπον ἐξεκήρυσσον. τῷ δὲ
ἠγγέλη μὲν εἰς Ταριχαίας ἡ ἀπόστασις εὐθέως. ἐκπε- F
πομφὼς δὲ τοὺς στρατιώτας πάντας ἐπὶ σίτου συλλο-
γὴν, οὔτε μόνος ἐξορμᾶν ἐπὶ τοὺς ἀποστάντας, οὔ-
τε μένειν ὑπέμενε, δεδοικὼς μὴ βραδύνοντος αὐτοῦ,
φθάσωσιν οἱ βασιλικοὶ παρελθεῖν εἰς τὴν πόλιν. οὐ-
δὲ γὰρ τὴν πόλιν ἐπιοῦσαν ἐνεργὸν ἕξειν ἔμελλον, ἐπέ-
χοντος σαββάτου. δόλῳ δὲ περιελθεῖν ἐπενόει τοὺς
ἀποστάντας. καὶ τὰς μὲν πύλας τῶν Ταριχαιῶν ἀποκλεῖ-
σαι κελεύσας, ὡς μὴ προεξαγγείλοι τις τὸ σκέμμα
τοῖς ἐπιχειρουμένοις, τὰ δ' ἐπὶ τῆς λίμνης σκάφη πάντα G
συναθροίσας, διακόσια δὲ καὶ τριάκοντα εὑρέθη, καὶ
ναῦται τεσσάρων οὐ πλείους ἦσαν ἐν ἑκάστῳ, διὰ τά-
χους ἐλαύνει πρὸς τὴν Τιβεριάδα. καὶ τοσοῦτον ἀπο-
σχὼν τῆς πόλεως, ἐξ ὅσου συνιδεῖν οὐ ῥάδιον ἦν, κενὰς
τὰς ἁλιάδας μετεώρους σαλεύειν ἐκέλευσεν. αὐτὸς δὲ
μόνους ἑπτὰ τῶν σωματοφυλάκων ἀνόπλους ἔχων,

cum Ioanne rebellassent, nominatim exceptis, quippe alacri animo suos quisque populus indicabat, præconum voce denunciabat, intra quinque dies eorum qui Ioannem non reliquissent, patrimonia diripienda, domósque eorum cum familiis exurendas. Et tria quidem millia statim ab eo reuocauit, qui profugi ante pedes eius arma proiecerunt. cum reliquis autem Ioannes propè mille Syris fugitiuis, transtulit se iterum in occultas insidias ex apertis: ac per nuncios in Hierosolymam clàm missos, Iosephum accusabat, quòd magnum exercitum collegisset: iámque nisi præueniatur vi, tyrannus metropoleos venturus esset. Verùm ea populus quidem præsciens negligebat: liuore autem potentes, nonnullíque magistratuum clàm pecunias ad comparandos mercenarios milites misêre Ioanni, vt per eos bellum cum Iosepho gereret. decretúmque inter se conceperunt, quo idem Iosephus militum administratione decederet: non tamen id satis esse credebant, ideóque duo millia & D. armatos, & IIII. miserunt nobiles viros, iurisperiti filium Ioazarum, & Ananiam Sadducæum, & Simonem & Iudam Ionathæ filios, omnes eloquentia validissimos: vt eorum scilicet monitu auerteretur ab Iosepho beneuolentia multitudinis: & siquidem ipse sponte sua veniret, paterentur eum rationem reddere: sin remanere contenderet, pro hoste haberent. Amici autem Iosepho militem quidem ad eum venturum esse perscripserunt, causam verò non indicauerunt, quoniam secretum fuit inimicorum eius consilium: vnde factum est, vt quia præcauere non potuit, quatuor statim ciuitates ad inimicos transirent: hoc est, Sepphoris, & Gamala, & Giscala, & Tiberias: quas tamen continuò sine armis recepit. captos autem quatuor duces consiliis armatorúmq; fortissimos, remisit Hierosolymam: contra quos populus haud mediocri indignatione commotus, & ipsos, & à quibus præmissi fuerant, interfecisset, nisi antè fugissent.

CA. XXVII. Tiberias à Iosepho recuperatur & Sepphoris.

IOannem verò iam intra muros Giscalæ, Iosephi timor custodiebat. Et paucis diebus pòst iterum rebellauit Tiberias, habitatoribus Agrippam regem vocantibus. Et cùm ille constituto die ad eos non venisset, paucíque Rom. equites ibi tum comparuissent, à Iosepho defecerunt. Hísque apud Taricheas cognitis Iosephus, qui milites frumentatum miserat, neque solus egredi contra desertores, neque se continere patiebatur, metuens ne dum ipse tardaret, regij ciuitatem occuparent. nec enim postero die obstante sabbato quicquam facere poterat. itaque dolo eos, qui se deseruerant circumuenire cogitabat. Et portas quidem Tarichearum claudi iussit, ne quis consilium suum illis proderet, contra quos suscipiebatur. omnibus autem scaphis quas in lacu comperit congregatis (ducentæ autem & XXX. fuerunt, quaterníque nautæ non amplius singulis inerant) maturè ad Tiberiadem nauigat. cúmq; tanto ab eo distaret spacio, vnde facilè videri nō posset, inanib. scaphis in salo relictis, septē ipse solos inermes satellites secū habens,

propius vt conspiceretur accessit. Quem cùm inimici adhuc maledicentes ei ex muro conspexissent, metu perterriti, & scaphas armatorum esse plenas existimantes, arma proiiciunt; manúsque supplices agitantes, vt ciuitati parceret precabantur. Iosephus autem, postquam multis eos minis & exprobrationibus castigauit: primùm quòd bello contra populum Romanum suscepto, intestinis dissensionibus vires suas antè consumerent, inimicorúmque vota complerent: deinde, quòd securitatis suæ curatorē de medio tollere properarent, ciuitatémque non erubescerent sibi claudere, qui eam muro cinxisset: non repudiaturum se ait, si qui sibi satisfacerent, quibus interuenientibus amicitiam cum ciuitate firmaret. Itaque statim ad eum decem Tiberiensium potentissimi descenderunt. his autem in vnam receptis nauiculam piscatoriam, & procul abductis, alios L. senatores venire iussit, maximè nobiles, velut illi quoque fidem sibi præbere deberent. Deinde nouas causationes excogitans, alios insuper atque alios obtentu fœderis euocabat: vtque maturè Taricheas recurrerent, gubernatoribus nauium repletarum imperabat: quósque auexissent in carcerem collocarent: donec omnem curiam, quæ DC. haberet viros, duóque millia popularium comprehensa in Taricheas scaphis abduxit. Reliquis autem vociferantibus Clitum quēdam esse præcipuum defectionis autorem, irámque ipsius pœna illius precantibus satiari, nullum quidem Iosephus volebat occidere: suorum verò satellitum quendam Leuiam egredi iussit, qui Cliti manus abscinderet. Cùm verò is præ timore solum se globo inimicorum commissurum negaret: eáque causa indignari Iosephum stantem in scapha videret, ipsúmque velle descendere, ac de se supplicium sumere, vt saltem vnam manum sibi concederet, orabat. neque hoc abnuente Iosepho, dummodo alteram sibimet Clitus ipse præcideret, educto ille dextera gladio, leuam sibi truncauit, tantus eum timor Iosephi inuaserat. Ita tunc Iosephus vacuis scaphis, & satellitibus VII. populo capto, rursus Tiberiadem sibi sociauit. Paucis autem diebus pòst, Gischalam quæ cū Sepphoritis defecerat, militibus deprædari permisit: omnémque prædā cōquisitam popularibus reddidit. Similiter etiam Sepphoritis & Tiberiēsibus. Nam & hos captos rapinarum damno corrigere voluit, & redhibitione rerum rursus eos ad beneuolentiam reuocare.

Cap. XXVIII. Quomodo Hierosolymitæ bello se præparauerint, déque Simonis Gioræ tyrannide.

HActenus apud Galilæam motus erat, iámq; ab intestinis dissensionibus quiescentes, aduersus Rom. instruebantur. Hierosolymis autem Ananus pontifex & potentiores, qui non cum Romanorum parte sentirent, muros instaurare properabant: multáque bellica instrumenta, pérque omne oppidum sagittæ, aliáque arma fabricantur: & exercitationibus iussis manus iuuenū operam dabat. Erántque vniuersa plena tumultus, magnáque tristitia moderatos occupauerat: multique futuras clades prospicientes, fletum cohibere non poterant: infestáque pacem cupientibus, omnia videbātur. Belli autē incētorib⁹

ἔξιον ὀφθῆναι προσῄει. θεασάμενοι δὲ αὐτὸν ἀπὸ τῶν τειχῶν ἔτι βλασφημοῦντες οἱ διάφοροι, καὶ διὰ τὴν ἔκπληξιν πάντα τὰ σκάφη γέμειν ὁπλιτῶν νομίσαντες, ἔῤῥιψαν τὰ ὅπλα, καὶ κατασείοντες ἱκετηρίας, ἐδέοντο φείσασθαι τῆς πόλεως. ὁ δὲ ἰώσηπος πολλὰ διαπειλησάμενος αὐτοῖς, καὶ κατονειδίσας, εἰ πρῶτα μὲν ἀράμενοι τὸν πρὸς ῥωμαίους πόλεμον, εἰς στάσεις ἐμφυλίους προαναλίσκουσι τὴν ἰσχύν, καὶ τὰ εὐκταιότατα ποιοῦσι τοῖς ἐχθροῖς, ἔπειτα τὸν κηδεμόνα τῆς ἀσφαλείας αὐτῶν, ἀναρπάσαι σπεύδουσι, καὶ κλείειν οὐκ αἰδοῦνται τὴν πόλιν αὐτῶν τῷ τειχίσαντι, προσδέχεσθαι τοὺς ἀπολογησομένους ἔφασκε, καὶ δι' ὧν βεβαιώσαιτο τὴν πόλιν. κατέβαινον δὲ εὐθέως δέκα τῶν τιβεριέων οἱ δυνατώτατοι. καὶ τούς μὲν ἀναλαβὼν μιᾷ τῶν ἁλιάδων ἀνήγαγε πορρωτάτω, πεντήκοντα δὲ ἑτέρους τῆς βουλῆς τοὺς μάλιστα γνωρίμους ἐκέλευε προσελθεῖν, ὡς καὶ παρ' ἐκείνων πίστιν τινὰ βουλόμενος λαβεῖν. ἔπειτα καινοτέρας σκήψεις ἐπινοῶν, ἄλλους ἐπ' ἄλλοις ὡς ἐπὶ συνθήκαις προεκαλεῖτο. τοῖς δὲ κυβερνήταις ἐκέλευσε τῶν πληρουμένων, διὰ τάχους εἰς ταριχαίας ἀναπλεῖν, καὶ συγκλείειν τοὺς ἄνδρας εἰς τὸ δεσμωτήριον, μέχρι πᾶσαν μὲν τὴν βουλὴν οὖσαν εἰς ἑξακοσίους, περὶ δὲ δισχιλίους τῶν ἀπὸ τοῦ δήμου συλλαβὼν, ἀνήγαγε σκάφεσιν εἰς ταριχαίας. βοώντων δὲ τῶν λοιπῶν, αἴτιον εἶναι μάλιστα τῆς ἀποστάσεως, κλεῖτόν τινα, καὶ παρακαλούντων εἰς ἐκεῖνον ἀπερείδεσθαι τὴν ὀργὴν, ὁ ἰώσηπος ἀνελεῖν μὲν οὐδένα προῄρητο, λευίαν δέ τινα τῶν αὐτοῦ φυλάκων ἐκέλευσεν ἐξελθεῖν, ἵνα ἀποκόψῃ τὰς χεῖρας τοῦ κλείτου. δείσας δὲ ἐκεῖνος, εἰς ἐχθρῶν στῖφος ἀποβήσεσθαι μόνος, οὐκ ἔφη. σχετλιάζοντα δὲ τὸν ἰώσηπον ἐπὶ τοῦ σκάφους ὁ κλεῖτος ὁρῶν, καὶ προθυμούμενον ἀποπηδᾶν αὐτὸν ἐπὶ τὴν τιμωρίαν, ἱκέτευεν ἀπὸ τῆς ἀκτῆς τὴν ἑτέραν τῶν χειρῶν καταλιπεῖν. κἀκείνου κατανεύσαντος, ἐφ' ᾧ τὴν ἑτέραν αὐτὸς ἀποκόψειεν ἑαυτοῦ, σπασάμενος τῇ δεξιᾷ τὸ ξίφος, ἀπέκοψε τὴν λαιάν. εἰς τοσοῦτον δέους ὑπ' αὐτοῦ ἰωσήπου προήχθη. τότε μὲν δὴ κενοῖς σκάφεσι καὶ δορυφόροις ἑπτὰ τὸν δῆμον αἰχμαλωτισάμενος, πάλιν τὴν τιβεριάδα προσηγάγετο. μετὰ ἡμέρας ὀλίγας, γίσχαλα σεπφωρίταις συναποστᾶσαν ἑλὼν, ἐπέτρεψε μὲν διαρπάσαι τοῖς στρατιώταις. συναγαγὼν μέντοι πάντα, τοῖς δημόταις δέδωκε, τοῖς τε κατὰ σέπφωριν ὁμοίως καὶ τιβεριάδα. καὶ γὰρ κἀκείνους χειρωσάμενος, νουθετῆσαι διὰ τῆς ἁρπαγῆς ἠθέλησε, καὶ τῇ ἀποδόσει τῶν χρημάτων, πάλιν εἰς εὔνοιαν προσηγάγετο.

Κεφ. μδ

ΤΑ μὲν οὖν κατὰ γαλιλαίαν ἐπέπαυτο κινήματα, καὶ τῶν ἐμφυλίων παυσάμενοι θορύβων, ἐπὶ τὰς πρὸς ῥωμαίους ἐτράποντο παρασκευάς. ἐν δὲ τοῖς ἱεροσολύμοις, ἄνανός τε ὁ ἀρχιερεὺς, καὶ τῶν δυνατῶν ὅσοι τὰ μὴ ῥωμαίων ἐφρόνουν, τό τε τεῖχος ἐπεσκεύαζον, καὶ πολλὰ τῶν πολεμιστηρίων ὀργάνων. καὶ διὰ πάσης μὲν τῆς πόλεως ἐχαλκεύετο βέλη, καὶ πανοπλία. πρὸς ἀτάκτοις δὲ γυμνασίαις τὸ τῶν νέων πλῆθος ἦν, καὶ μεστὰ ἦν πάντα θορύβου. δεινὴ δὲ κατήφεια τῶν μετρίων, καὶ πολλοὶ τὰς μελλούσας προορώμενοι συμφορὰς, ἀπωλοφύροντο. θεασμοὶ δὲ τοῖς εἰρήνην ἀγαπῶσι δύσφημοι. τοῖς δὲ τὸν πόλεμον ἐξάψασιν,

ἐχε-

ἐσχετλίαζόν τε πρὸς ἡδονὴν, καὶ τὸ κατάστημα τῆς πόλεως πρὶν ἐπελθεῖν ῥωμαίους ἦν οἷον ἀπολουμένης. ἀνάνῳ γε μὴν φροντὶς ἦν, κατὰ μικρὸν ἀφισταμένῳ τῶν εἰς τὸν πόλεμον παρασκευῶν, κάμψαι πρὸς τὸ συμφέρον τούς τε στασιαστὰς, καὶ τὴν τῶν κληθέντων ζηλωτῶν ἀφροσύνην. ἡττήθη δὲ τῆς βίας. καὶ ἐν τοῖς ἑξῆς οἵου τέλους ἔτυχε δηλώσομεν. κατὰ δὲ τὴν ἀκραβατηνὴν τοπαρχίαν ὁ γιώρα σίμων, πολλοὺς τῶν νεωτεριζόντων συστησάμενος ἐφ᾽ ἁρπαγὰς ἐτράπετο, καὶ οὐ μόνον τὰς οἰκίας ἐσπάρασσε τῶν πλουσίων, ἀλλὰ καὶ τὰ σώματα κατῃκίζετο, δῆλός τε ἦν ἤδη πόρρωθεν ἀρχόμενος τυραννεῖν. πεμφθείσης δὲ ἐπ᾽ αὐτὸν ὑπ᾽ ἀνάνου καὶ τῶν ἀρχόντων στρατιᾶς, πρὸς τοὺς ἐν μασάδᾳ λῃστὰς, μεθ᾽ ὧν εἶχε κατέφυγε, κἀκεῖ μέχρι τῆς ἀνάνου καὶ τῶν ἄλλων ἀναιρέσεως μένων, συνελῄζετο τὴν ἰδουμαίαν, ὥς τε τοὺς ἄρχοντας τοῦ ἔθνους διὰ τὸ πλῆθος τῶν φονευομένων, καὶ τὰς συνεχεῖς ἁρπαγὰς, στρατιὰν ἀθροίσαντας ἐμφρούρους τὰς κώμας ἔχειν. ἀλλὰ τὰ μὲν κατὰ ἰουδαίαν ἐν τούτοις ἦν.

A quæ illis placerent, ex tempore fingebantur: statúsque iam tunc quasi perituræ ciuitatis erat, antequam Rom. venirent. Anano autem apparatum belli omittere cura fuit: & seditiosorum, quos Zelotas vocabant, amentiam ad vtiliora conuertere: qui tamen victus est, & quis illius finis fuerit, in posterioribus explanabimus. At in Acrabatena toparchia Gioræ filius Simon, multis nouarum rerum cupidis congregatis, ad rapinas conuersus, non solùm B in domos locupletum irrumpebat, verùm etiam corpora verberibus conficiebat: iámque tunc palàm tyrannidem inceptabat. Ab Anano autem missis aduersus eum militibus magistratuum, ad latrones qui erant Masadę, cum his quos habebat, effugit: ibíque manens, donec Ananus & alij eius inimici perempti sunt, Idumæam cum cæteris populabatur: adeò, vt magistratus eius gentis, propter cædium multitudinem & prædarum assiduitatem, collecto C milite, vicos præsidiis tuerentur. Et Iudæorum quidem res ita habebant.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΠΕΡΙ ΑΛΩΣΕΩΣ ΛΟΓΟΣ Γ'.

FLAVII IOSEPHI DE BELLO IVDAICO

LIBER TERTIVS.

Cap. I. De Vespasiani ducis aduentu, & clade duplici Iudæorum.

NERONEM autem, vbi res apud Iudæam non prosperè gestas accepit, latens quidem, quod necesse fuit, cum timore stupor inuadit: apertè autem superbiam simulans vltro etiam indignabatur: magísque ducis negligentia, quàm virtute hostium quæ contigerant facta esse dicebat: decere se putans, propter pondus imperij tristiora contemnere, viderique malis omnibus superiorem animum gerere: veruntamen curis arguebatur mentis eius perturbatio, cùm deliberaret cuinam commotum crederet Orientem, qui vnà & Iudæos rebellantes vlcisceretur, proximásque his nationes simili morbo correptas antecaperet. Inuenit igitur solum Vespasianum his necessitatibus parem, & qui tanti belli magnitudinem suscipere posset, virum ab adolescétia vsque ad senectutem bellis exercitatum, & qui pop. Rom. iam pridem pacasset Occidentem, Germanorum tumultu concussum: armísque ante illud tempus incognitam Britanniam vendicasset. vnde patri quoque ipsius Claudio præstiterat, vt sine proprio sudore triumpharet. Itaque his omnibus fretus, ætatémque illius cum peritia stabilem cernens, obsidésque fidei liberos, corúmque florem manus esse paternæ prudentiæ, iam tum fortasse de tota rep. Deo aliquid ordinante, mittit eum ad regendos exercitus in Syria constitutos, multis pro tempore blandimentis atque obsequiis animatum, qualia necessitas imperare consueuit. Ille autem protinus ex Achaia, vbi cum Nerone fuerat, Titum quidem filium suum mittit Alexandriam, vt inde quintam itémque decimam legiones moueret. ipse verò transmissus ad Hellespontum, terreno itinere in Syriam peruenit, ibíque Romanas vires, multáque à vicinis regibus auxilia congregauit. At Iudæi post malam Cestij pugnam insperata felicitate sublati, animorum impetus cohibere non poterant: sed tanquam

Κεφ. α.

ΝΕΡΩΝΙ δ' ὡς ἠγγέλη τὰ κατὰ τὴν ἰουδαίαν πταίσματα, λεληθυῖα μὲν ὡς εἰκὸς ἔκπληξις ἐμπίπτει καὶ δέος. φανερῶς δ' ὑπερηφάνει καὶ προσωργίζετο, στρατηγοῦ ῥαστώνῃ μᾶλλον, ἢ τῇ τῶν πολεμίων ἀρεταῖς γεγονέναι τὰ συμβάντα λέγων. πρέπειν δ' ἡγούμενος αὐτῷ διὰ τὸν ὄγκον τῆς ἡγεμονίας κατασοβαρεύεσθαι τῶν σκυθρωπῶν, καὶ δοκεῖν δεινοῦ παντὸς ἐπάνω τὴν ψυχὴν ἔχειν, διηλέγχετό γε μὴν ὁ τῆς ψυχῆς θόρυβος ὑπὸ τῶν φροντίδων. σκεπτόμενος δὲ τίνι πιστεύσει κινουμένην τὴν ἀνατολὴν, ὃς τιμωρήσεται μὲν τὴν ἰουδαίων ἐπανάστασιν, προκαταλήψεται δ' αὐτοῖς ἤδη καὶ τὰ πέριξ ἔθνη συννοσοῦντα, μόνον δ' εὑρίσκει οὐεσπασιανὸν ταῖς χρείαις ἀναλογοῦντα, καὶ τηλικούτου πολέμου μέγεθος ἀναδέξασθαι δυνάμενον, ἄνδρα ταῖς ἀπὸ νεότητος στρατείαις ἐγγεγηρακότα, καὶ προειρηνεύσαντα μὲν πάλαι ῥωμαίοις τὴν ἑσπέραν, ὑπὸ γερμανῶν ταρασσομένην, προσκτησάμενον δὲ τοῖς ὅπλοις βρεττανίαν τέως λανθάνουσαν, ὅθεν αὐτοῦ καὶ τῷ πατρὶ κλαυδίῳ παρέσχε χωρὶς ἱδρῶτος ἰδίου θρίαμβον καταγαγεῖν. ταῦτά γε δὴ προσκληδονιζόμενος, καὶ σταθερὰν μετ' ἐμπειρίας τὴν ἡλικίαν ὁρῶν, μετὰ δὲ πίστεως αὐτοῦ τοὺς υἱοὺς ὅμηρον, καὶ τὰς τούτων ἀκμὰς χεῖρα τῆς πατρῴας συνέσεως, τάχα τι καὶ περὶ τῶν ὅλων ἤδη τοῦ θεοῦ προοικονομουμένου, πέμπει τὸν ἄνδρα διαληψόμενον τὴν ἡγεμονίαν τῶν ἐπὶ συρίας στρατευμάτων, πολλὰ πρὸς τὸ ἐπεῖγον οἷα κελεύουσιν αἱ ἀνάγκαι μειλιξάμενός τε, καὶ προθεραπεύσας. ὁ δὲ ἀπὸ τῆς ἀχαΐας ἔνθα συνῆν τῷ νέρωνι, τὸν μὲν υἱὸν τίτον ἔστειλεν ἐπ' ἀλεξανδρείας, τό, τε πέμπτον καὶ τὸ δέκατον ἐκεῖθεν ἀναστήσοντα τάγμα. περάσας δὲ αὐτὸς τὸν ἑλλήσποντον, πεζὸς εἰς συρίαν ἀφικνεῖται, κἀκεῖ τάς τε ῥωμαϊκὰς δυνάμεις συνῆγε, καὶ συχνοὺς παρὰ τῶν γειτνιόντων βασιλέων συμμάχους.

Κεφ. β.

ΙΟυδαῖοι δὲ μετὰ τὴν κεστίου πληγὴν ἐπηρμένοι τοῖς ἀδοκήτοις εὐπραγίαις ἀκρατεῖς ἦσαν ὁρμῆς, καὶ ὥσπερ ἐκριπι-

ἀνερεθιζόμενοι τῇ τύχῃ, προσωτέρω τὸν πόλεμον ἐξῆγον. πᾶν γοῦν εὐθέως ὅσον ἦν μαχιμώτατον αὐτῶν ἀθροισθέντες, ὥρμησαν ἐπ' ἀσκάλωνα, πόλις ἐστὶν ἀρχαία, τῶν ἱεροσολύμων εἴκοσι πρὸς τοῖς πεντακοσίοις ἀπέχουσα σταδίους, ἀεὶ διὰ μίσους ἰουδαίοις γεγενημένη, διὸ καὶ τότε τῆς πρώταις ὁρμαῖς ἐγγίειν ἔδοξεν. ἐξηγοῦντο δὲ τῆς καταδρομῆς τρεῖς ἄνδρες, ἀλκῇ τε κορυφαῖοι καὶ συνέσει, νίγερ τε ὁ περαΐτης, καὶ ὁ βαβυλώνιος σίλας, πρὸς οἷς ἰωάννης ὁ ἐσσαῖος. ἡ δὲ ἀσκάλων ἐτετείχιστο μὲν καρτερῶς, βοηθείας δὲ ἦν σχεδὸν ἔρημος. ἐφρουρεῖτο γὰρ ὑπό τε σπείρας πεζῶν, καὶ ὑπὸ μιᾶς ἴλης ἱππέων, ἧς ἐπῆρχεν ἀντώνιος. οἱ μὲν οὖν πολὺ ταῖς ὀργαῖς συντονώτερον ὁδεύσαντες, ὡς ἐγγύθεν ὡρμημένοι, καὶ δὴ παρῆσαν. ὁ δὲ ἀντώνιος, οὐ γὰρ ἠγνόει μέλλουσαν ἐπ' αὐτὴν ἔφοδον αὐτῶν, προεξήγαγε τοὺς ἱππεῖς, καὶ οὐδὲν οὔτε πρὸς τὸ πλῆθος, οὔτε πρὸς τὴν τόλμαν ὑποδείσας τῶν πολεμίων, καρτερῶς τὰς πρώτας ὁρμὰς ἀνεδέξατο, καὶ τοὺς ἐπὶ τὸ τεῖχος ὠθουμένους ἀνέστειλεν. οἱ δὲ πρὸς ἐμπείρους γε πολέμων ἄπειροι, καὶ πεζοὶ πρὸς ἱππεῖς, ἀσύντακτοί τε πρὸς ἡνωμένους, καὶ πρὸς ὁπλίτας ἐξηρτυμένους εἰκαιότερον ὡπλισμένοι, θυμῷ τε πλέον ἢ βουλῇ στρατηγούμενοι, πρὸς εὐπειθεῖς καὶ νεύματι πάντα πράττοντας ἀντιπαρασσόμενοι πονοῦσι ῥᾳδίως. ὡς γὰρ αὐτῶν ἅπαξ ἤδη συνεταράχθησαν αἱ πρῶται φάλαγγες, ὑπὸ τῆς ἵππου τρέπονται, καὶ τοῖς κατόπιν αὐτῶν ἐπὶ τὸ τεῖχος βιαζομένοις περιπίπτοντες, ἀλλήλων ἦσαν πολέμιοι, μέχρι πάντες ταῖς τῶν ἱππέων εἰσβολαῖς εἴξαντες, ἐσκεδάσθησαν ἀνὰ πᾶν τὸ πεδίον. τὸ δὲ ἦν πλατὺ, καὶ πᾶν ἱππάσιμον, ὃ δὴ καὶ τοῖς ῥωμαίοις συνεργῆσαν, πλεῖστον εἰργάσατο τῶν ἰουδαίων φόνον. τούς τε γὰρ φεύγοντας αὐτῶν, φθάνοντες ἐπέστρεφον, καὶ τῶν ὑπὸ τοῦ δρόμου συνειλουμένων διεκπαίοντες, ἀπείρους ἀνῄρουν. ἄλλοι δὲ ἄλλους ὅπη τρέποιντο κυκλούμενοι, καὶ περιελαύνοντες, κατηκόντιζον ῥᾳδίως. καὶ τοῖς μὲν ἰουδαίοις τὸ ἴδιον πλῆθος ἐρημία διὰ τὰς ἀμηχανίας κατεφαίνετο, ῥωμαῖοι δὲ ἐν ταῖς εὐπραγίαις καίπερ ὄντες ὀλίγοι τῷ πολέμῳ, καὶ περισσεύειν σφᾶς αὐτοὺς ὑπελάμβανον. καὶ τῶν μὲν προσφιλονεικούντων τοῖς πταίσμασιν, αἰδοῖ τε φυγῆς ταχείας, καὶ μεταβολῆς ἐλπίδι, τῶν δὲ μὴ κοπιώντων ἐν οἷς εὐτύχουν, παρέτεινεν ἡ μάχη μέχρι δείλης, ἕως ἀνῃρέθησαν μὲν μύριοι τῶν ἰουδαίων ἀριθμὸν ἄνδρες, καὶ δύο τῶν ἡγεμόνων, ἰωάννης τε καὶ σίλας. οἱ λοιποὶ δὲ τραυματίαι τὸ πλεῖον σὺν τῷ περιλειπομένῳ τῶν ἡγεμόνων νίγερι τῆς ἰδουμαίας εἰς πολίχνην τινὰ, σάλλις καλεῖται, συνέφυγον. ὀλίγοι δέ τινες καὶ τῶν ῥωμαίων ἐπὶ τῆσδε τῆς παρατάξεως ἐτρώθησαν. οὐ μὴν οἱ ἰουδαῖοι τηλικαύτῃ συμφορᾷ κατεστάλησαν τὰ φρονήματα. μᾶλλον δὲ αὐτῶν τὸ πάθος ἤγειρε τὰς τόλμας, ὑπερορῶντές τε τοὺς ἐν ποσὶ νεκροὺς, ἐδελεάζοντο τοῖς προτέροις κατορθώμασιν ἐπὶ πληγὴν δευτέραν. διαλιπόντες γοῦν οὐδ' ὅσον ἰάσασθαι τὰ τραύματα, καὶ τὴν δύναμιν πᾶσαν ἐπισυλλέξαντες, ὀργιλώτεροι καὶ πολλῷ πλείους ἐπαλινδρόμουν ἐπὶ τὴν ἀσκάλωνα. παρείπετο δὲ αὐτοῖς μετὰ τῆς ἀπειρίας, καὶ τῶν ἄλλων πρὸς πόλεμον ἐλασσωμάτων, ἡ προτέρα τύχη. τοῦ γὰρ ἀντωνίου τὰς παρόδους προλοχίσαντος,

A fortuna eos exagitante perciti, bellum vlterius producebant. Denique omni, quanta fuit, manu pugnascis. congregata, Ascalonem petierunt.ea est ciuitas antiqua, DCC.& xx. stadiorum spatio ab Hierosolyma distans & Iudæis semper inuisa: quæ res fecit, vt etiam tunc primis eorum incursibus propior videretur. tres autem viros aggressionis duces habebant, & corporibus, & prudentia præstantissimos, Nigrum Peraitam, & Silam Babylonium, & Iohannem Essenum. Ascalon verò validissimo quidem muro cincta erat, sed vacua penè præsidiis.vna enim cohors eam peditum, & vna equitum ala tuebatur, cui præfectus erat Antonius. Illi igitur ira multa velociùs itinere peracto,ac si ex propinquo venirent, præsto erant. Antonius verò (nec enim eorum fore impetum nesciebat)equites iam ex ciuitate duxerat, & neque multitudinem veritus vel audaciam, primas hostium coitiones fortiter sustinuit, murúmque properantes aggredi refrenauit. Itaq; Iudæi,qui cum peritioribus imperiti, & pedites cum equitibus, cum stipatis autem inordinati, leuitérque armati cum instructis,plúsque indignationi quàm cõsilio tribuentes,cum morigeris & nutu rectoris omnia facientibus dimicabant, facilè profligantur. nam vt semel eorum primæ ab equitibus turbatæ sunt acies, fugam petunt: & murum versus se à tergo vrgentibus incidentes, suimetipsi hostes erant, donec omnes incursibus equitum victi,per totum campum dispersi sunt, qui fuit plurimus,totúsque habilis equitantibus:quod quidem Romanos iuuit,vt magna cæde Iudæos prosterneret. nam & fugientes præuertendo,cursum in eos flectebant: & quos occupassent,curriculo transfigendo infinitos peremêre.Alij verò alios quocunque se vertissent circundatos,exagitantes facilè iaculis opprimebant.Et Iudæis quidẽ propria multitudo, per desperationem salutis, solitudo videbatur: Rom.verò licèt ad pugnam pauci essent,rebus tamen secundis animati, etiam superfluere se putabant. Et illi quidem res aduersas superare certantes,dum pudet citò fugere, mutari fortunam sperant: Romani autem, in his quæ prospere agerent minimè delassati, ad maiorem vsque diei partem pugnam protrahunt: donec Iudæorum quidem perempta sunt x. millia,duóque duces Ioannes & Silas: cæteri verò plerique saucij, cum Nigro qui vnus restabat ex ducibus, in oppidum Idumææ, quod Salis dicitur, confugêre. nonnulli tamen etiam Rom. in illo prælio vulnerati sunt.sed non Iudæorum spiritus clade tanta sedatus est, multóq; magis eorum dolor incitauit audaciam, & contemnentes quantum ante pedes mortuorum iaceret, pristinis rebus feliciter gestis ad cladem alteram illiciebantur. denique paruo tempore intermisso, quod ne curandis quidem vulneribus satis esset, cunctísque aggregatis viribus,maiore cum indignatione multóque plures Ascalonem recurrebant,eadem se præter imperitiam aliáq; belli vitia, comitáte fortuna.Etenim cùm Antonius quà trãsituri fuerant, posuisset insidias,

ex improuiso in eas delapsi & ab equitibus circundati, priusquam se ad pugnam componerent, iterum super VIII. millia procubuerunt: cæteri verò omnes aufugerunt: cúmque his Niger multis dum fugeret magni animi facinoribus demonstratis, & quoniam hostes instarent, in turrim quandam tutissimam compelluntur cuiusdam vici, cui nomen est Bezedel. Antonius verò cum suis ne vel moras circum turrim, quæ inexpugnabilis esset, diu tererent, vel ducem hostium fortissimum viuum relinquerent, ignem muro supponunt, turríque inflammata, Rom. quidem exultantes recedunt, quasi etiam Nigro consumpto: ille autem in castelli specus intimum ex turri saltu demissus euasit: triduóque pòst sociis cum fletu cum ad sepulturam inuestigantibus sese ostendit, gaudióque insperato repleuit omnes Iudæos, tanquam Dei prouidentia dux eis in posterum seruatus. at Vespasianus Antiochiam exercitu adducto (quæ Syriæ metropolis est, magnitudine simul aliáque felicitate sine dubio tertium inter omnes quæ in Rom. orbe sunt locum obtinens) vbi etiam aduentum suum regem Agrippam omni manu propria offenderat præstolari, ad Ptolemaidem properabat. In hac autem ciuitate occurrerunt ei Sepphoritæ ciues oppidum Galilææ colentes, soli mente pacata: qui tam suæ salutis prouidentia soliciti, quàm Romanarum virium gnari, etiam priusquam Vespasianus veniret, Cestio Gallo fidem dederant, dextrásque iunxerant, præsidiúmque militare susceperant tunc quoque benignissimè duce suscepto, alacri animo etiam contra gentiles suos auxilia promiserunt: Quibus interim Vespasianus præsidij causa poscentibus, equitum peditúmque tantum numorum tradidit, quantum obstare posse arbitrabatur incursibus, si quid Iudæi commouere tentassent. non enim minimum esse videbatur futuri belli periculum, auferri ciuitatem Sepphorim Galilææ maximam & in loco tutissimo conditam, totiúsque gentis futuram præsidio.

CAP. II. Descriptio Galilææ, Samariæ & Iudææ.

DVæ sunt autem Galilææ, quæ superior & inferior appellantur, easque Phœnice & Syria cingunt. Discernit verò ab Occidente Ptolemais territorij sui finibus, & quondam Galilæorum, nunc autem Tyriorum mons Carmelus: cui coniuncta est Gaba ciuitas equitum, quæ sic appellatur, eo quòd equites ab Herode rege dimissi, coloni eò deducebantur. A meridie autem Samaritis & Scythopolis, vsque ad flumen Iordanem. Ab Oriente verò Hippene & Gadaris, sed & Gaulanitidis definit, qui etiam regni Agrippæ fines sunt. Septentrionalis autem eius tractus Tyro, itémque Tyriorum finibus terminatur. Inferioris quidem Galilææ longitudo à Tiberiade vsque ad Zabulon, qui vicina est in locis maritimis Ptolemais, protenditur. Latitudine autem patet à vico Xaloth, qui in magno cāpo situs est, vsque ad Bersaben: vnde etiam superioris Galilææ lalitudo incipit vsq; ad Baca vicum, qui terram dirimit Tyriorum. Longitudo verò eius à Thella vico Iordani proximo vsq; ad Meroth extēditur. Sed cū tāta sint vtræq; magnitudine,

A ἀδόκητοι τῆς ἐνέδραις ἐμπεσόντες, καὶ ὑπὸ τῶν ἱππέων πρὶν εἰς μάχην συντάξασθαι κυκλωθέντες, πάλιν πίπτουσι μὲν ὑπὲρ ὀκτακισχιλίους. οἱ λοιποὶ δὲ πάντες ἔφυγον, σὺν οἷς καὶ Νίγερ, πολλὰ κατὰ τὴν φυγὴν ἀτολμίας ἐπιδειξάμενος ἔργα. συνελαύνονται δ' οὖν προσκειμένων τῶν πολεμίων, εἴς τινα πύργον ὀχυρὸν, κώμης Βεζέδελ δὲ καλουμένης. οἱ δὲ περὶ τὸν Ἀντώνιον, ὡς μήτε τρίβοιντο περὶ τὸν πύργον ὄντα δυσάλωτον, μήτε ζῶντα τὸν ἡγεμόνα, καὶ γενναιότατον τῶν πολεμίων περιίδοιεν, ὑποπιμπρᾶσι τὸ B τεῖχος. φλεγομένου δὲ τοῦ πύργου, Ῥωμαῖοι μὲν ἀναχωροῦσι γεγηθότες, ὡς διεφθαρμένου καὶ Νίγερος. ὁ δὲ εἰς τὸ μυχαίτατον τοῦ φρουρίου σπήλαιον καταπηδήσας ἐκ τοῦ πύργου διασώζεται, καὶ μεθ' ἡμέραν τρίτην τοῖς μετ' ὀλοφυρμῶν πρὸς κηδείαν αὐτὸν ἐρευνῶσιν ὑποφθέγγεται. προελθὼν δὲ, χαρᾶς ἀνελπίστου πάντας ἐπλήρωσεν Ἰουδαίους, ὡς προνοίᾳ θεοῦ σωθεὶς αὐτοῖς στρατηγὸς εἰς τὰ μέλλοντα.

Κεφ. γ.

C Οὐεσπασιανὸς δὲ τὰς δυνάμεις ἀναλαβὼν ἐκ τῆς Ἀντιοχείας, ἣ μητρόπολις ἐστὶ τῆς Συρίας, μεγέθους ἕνεκα, καὶ τῆς ἄλλης εὐδαιμονίας, τρίτον ἀδηρίτως ἐπὶ τῆς ὑπὸ Ῥωμαίοις οἰκουμένης ἔχουσα τόπον, ἔνθα μετὰ πάσης τῆς ἰδίας ἰσχύος ἐκδεχόμενον αὐτοῦ τὴν ἄφιξιν καὶ Ἀγρίππαν τὸν βασιλέα κατειλήφει, ἐπὶ Πτολεμαΐδος ἠπείγετο. καὶ κατὰ ταύτην ὑπαντῶσιν αὐτῷ τὴν πόλιν, οἱ τῆς Γαλιλαίας Σέπφωριν νεμόμενοι, τὰ πρὸς εἰρήνην φρονοῦντες. οἳ καὶ τῆς ἑαυτῶν σωτηρίας, καὶ τῆς Ῥωμαίων D ἰσχύος οὐκ ἀπρονόητοι, πρὶν ἀφικέσθαι Οὐεσπασιανὸν, Κεστίῳ Γάλλῳ πίστεις τε ἔδοσαν, καὶ δεξιὰς ἔλαβον, καὶ παρεδέξαντο φρουράν. τότε γε μὴν φιλοφρόνως ἐκδεξάμενοι τὸν ἡγεμόνα, προθύμως σφᾶς αὐτοὺς ὑπέσχοντο κατὰ τῶν ὁμοφύλων συμμάχους. οἷς ὁ στρατηγὸς ἀξιώσασι, πρὸς ἀσφάλειαν ἱππεῖς τε καὶ πεζοὺς παραδίδωσιν, ὅσους ἀνθέξειν τῆς καταδρομῆς, εἴ τι Ἰουδαῖοι παρακινοῖεν, ὑπελάμβανεν. καὶ γὰρ οὐδὲ μικρὸν E ἐδόκει τὸ κινδύνευμα πρὸς τὸν μέλλοντα πόλεμον, ἀφαιρεθῆναι τὴν Σέπφωριν, μεγίστην μὲν οὖσαν τῆς Γαλιλαίας πόλιν, ἐρυμνοτάτῳ δὲ ἐπιτετειχισμένην χωρίῳ, καὶ φρουρὰν ὅλου τοῦ ἔθνους ἐσομένην.

Κεφ. δ.

Δύο δὲ οὔσας τὰς Γαλιλαίας, τήν τε ἄνω, καὶ τὴν κάτω προσαγορευομένην, περιίσχει μὲν ἡ Φοινίκη καὶ Συρία. διορίζει δὲ ἀπὸ μὲν δύσεως ἡλίου Πτολεμαΐς, τοῖς τῆς χώρας τέρμασι, καὶ Κάρμηλος τὸ πάλαι μὲν Γαλιλαίων, νῦν δὲ Τυρίων ὄρος. ᾧ προσίσχει Γάμαλα F πόλις ἱππέων, οὕτως ὀνομαζομένη, διὰ τὸ τοὺς ὑφ' Ἡρώδου τοῦ βασιλέως ἀπολυομένους ἱππεῖς ἐν αὐτῇ κατοικεῖν. ἀπὸ δὲ μεσημβρίας, Σαμαρεῖς τε, καὶ Σκυθόπολις μέχρι τῶν Ἰορδάνου ῥείθρων. πρὸς ἕω δὲ Ἱππηνῇ τε, καὶ Γαδαρὶς ἀποτέμνεται, καὶ ἡ Γαυλανῖτις αὕτη, καὶ τῆς Ἀγρίππα βασιλείας οἱ ὅροι. τὰ προσάρκτια δὲ αὐτῆς Τύρῳ τε καὶ Τυρίων χώρα περατοῦται. καὶ τῆς μὲν κάτω καλουμένης Γαλιλαίας, ἀπὸ Τιβεριάδος G μέχρι Χαβουλῶνος, ἧς ἐν τοῖς παραλίοις Πτολεμαῒς γείτων, τὸ μῆκος ἐκτείνεται. πλατύνεται δὲ ἀπὸ τῆς ἐν τῷ μεγάλῳ πεδίῳ κειμένης κώμης, Ξαλὼθ καλεῖται, μέχρι Βηρσάβης, ἀφ' ἧς καὶ τῆς ἄνω Γαλιλαίας εἰς εὖρος ἀρχὴ μέχρι Βακὰ κώμης, αὕτη δὲ τὴν τῶν Τυρίων γῆν ὁρίζει. μηκύνεται δὲ μέχρι Μηρὼθ ἀπὸ Θελλᾶ κώμης Ἰορδάνου γείτονος. τηλικαῦται δὲ οὖσαι τὸ μέγεθος, καὶ το-

καὶ τοσούτοις ἔθνεσιν ἀλλοφύλοις κεκυκλωμέναι, πρὸς πᾶσαν ἀεὶ πολέμου πεῖραν ἀντέσχον· μάχιμοί τε γὰρ ἐκ νηπίων, καὶ πολλοὶ πάντοτε γαλιλαῖοι, καὶ οὔτε δειλία ποτὲ τοὺς ἄνδρας, οὔτε λειπανδρεία τὴν χώραν κατέσχεν. ἐπειδὴ πίων τε πᾶσα καὶ εὔβοτος, καὶ δένδρεσι παντοίοις κατάφυτος, ὡς ὑπὸ τῆς εὐπαθείας προσκαλέσασθαι, καὶ τὸν ἥκιστα γῆς φιλόπονον. προσεξείργασται γοῦν ὑπὸ τῶν οἰκητόρων πᾶσα, καὶ μέρος αὐτῆς οὐδὲν ἀργόν. ἀλλὰ καὶ πόλεις πυκναί, καὶ τὸ τῶν κωμῶν πλῆθος, πανταχοῦ πολυάνθρωποι διὰ τὴν εὐθηνίαν, ὡς τὴν ἐλαχίστην ὑπὲρ πεντακισχιλίους πρὸς τοῖς μυρίοις ἔχειν οἰκήτορας. καθόλου δὲ εἰ καὶ τῷ μεγέθει τις ἐλαττώσειε τῆς περαίας τὴν γαλιλαίαν, προέλοιτο δ' ἂν τῇ δυνάμει. ἡ μὲν γὰρ ἐνεργὸς ὅλη, καὶ συνεχὴς ἐστὶ καρποφόρος. ἡ περαία δὲ, πολὺ μείζων, ἔρημος δὲ καὶ τραχεῖα τὸ πλέον, πρός τε καρπῶν ἡμέρων αὔξησιν ἀγριωτέρα. τό γε μὴν μαλθακὸν ταύτης, καὶ τὸ πάμφορον, καὶ τὰ πεδία δένδρεσι κατάφυτα ποικίλοις, τὸ πλεῖστον δὲ, εἰς ἐλαίαν τε καὶ ἄμπελον, καὶ φοινικῶνας ἤσκηται, διαρδόμενα χειμάρροις τε τοῖς ἀπὸ τῶν ὀρῶν, καὶ πηγαῖς ἀενάοις ἅλις, εἴποτε ἐκεῖνοι σφίσιν ὑποφθίνοιεν. μῆκος μὲν οὖν αὐτῆς ἀπὸ μαχαιροῦντος εἰς πέλλαν, εὖρος δὲ ἀπὸ φιλαδελφείας μέχρις ἰορδάνου. καὶ πέλλη μὲν ἣ προειρήκαμεν, τὰ πρὸς ἄρκτον ὁρίζεται, τὰ πρὸς ἑσπέραν δὲ ἰορδάνη. μεσημβρινὸν δὲ αὐτῆς πέρας, ἡ μωαβῖτις, καὶ πρὸς ἀνατολὴν, ἀραβία τε, καὶ σιμωνῖτις. πρὸς δὲ, φιλαδελφωνῇ, καὶ γεράσοις ἀποτέμνεται. ἡ δὲ σαμαρεῖτις χώρα, μέση μὲν τῆς ἰουδαίας ἐστὶ, καὶ τῆς γαλιλαίας. ἀρχομένη γὰρ ἀπὸ τῆς ἐν τῷ μεγάλῳ πεδίῳ κειμένης γιναίας ὄνομα κώμης, ἐπιλήγει τῆς ἀκραβατηνῶν τοπαρχίας. φύσιν δὲ τῆς ἰουδαίας κατ' οὐδὲν διάφορος. ἄμφω τε γὰρ ὀρειναὶ καὶ πεδιάδες, εἴς τε γεωργίαν μαλθακαὶ, καὶ πολύφοροι, κατάδενδροί τε, καὶ ὀπώρας ὀρεινῆς καὶ ἡμέρου μεσταί. προσάρδεσθαι γοῦν οὐδαμοῦ μὲν φύσει δαψιλὲς, ὕονται δὲ τὸ πλέον. γλυκὺ δὲ νᾶμα πᾶν διαφόρως ἐν αὐταῖς, καὶ διὰ πλῆθος πόας ἀγαθῆς, τὰ κτήνη πλέον, ἢ παρ' ἄλλοις γαλακτοφόρα. μέγιστον γε μὴν τεκμήριον ἀρετῆς καὶ εὐθηνίας, τὸ πληθύειν ἀνδρῶν ἑκατέραν. μεθόριος δὲ αὐτῶν ἡ ἀνουὰθ βορκέως προσαγορευομένη κώμη, πέρας αὕτη τῆς ἰουδαίας, τὰ πρὸς βορέαν. τὰ νότια δὲ αὐτῆς ἐπὶ μῆκος μετρουμένης ὁρίζει, προσκυροῦσα τοῖς ἀράβων ὅροις, κώμην καλοῦσιν αὐτὴν ἰορδὰν οἱ τῇδε ἰουδαῖοι. εὖρος γε μὴν ἀπὸ ἰορδάνου ποταμοῦ μέχρις ἰόππης ἀναπέπταται. μεσαιτάτη δὲ αὐτῆς πόλις, τὰ ἱεροσόλυμα κεῖται. παρὸ καί τινες οὐκ ἀσκόπως ὀμφαλὸν τὸ ἄστυ τῆς χώρας ἐκάλεσαν. ἀφῄρηται δὲ οὐδὲ τῶν ἐκ θαλάσσης τερπνῶν ἡ ἰουδαία, τοῖς παραλίοις κατατείνουσα μέχρι πτολεμαΐδος. μερίζεται δὲ εἰς ἕνδεκα κληρουχίας, ὧν ἄρχει μὲν ὡς βασίλειον τὰ ἱεροσόλυμα, προανίσχουσα τῆς περιοίκου πάσης, ὥσπερ ἡ κεφαλὴ σώματος. αἱ λοιπαὶ δὲ μετ' αὐτὴν διῄρηνται τὰς τοπαρχίας. γόφνα δευτέρα, καὶ μετ' αὐτὴν ἀκραβατηνή, θαμνὰ πρὸς ταύταις, καὶ λύδδα, καὶ ἀμμαοῦς, καὶ πέλλη, καὶ ἰδουμαία, καὶ ἐγγαδαί, καὶ ἡρώδειον, καὶ ἱεριχοῦς, μεθ' ἃ ἰάμνια, καὶ ἰόππη τῶν περιοίκων ἀφηγοῦνται,

A tantísque gentibus alienigenis cinctæ, semper tamen omnibus belli periculis restiterunt. nam & pugnaces sunt ab infantia Galilæi, & omni tempore plurimi, neque aut formido vnquam viros, aut eorum penuria regiones illas occupauit: quoniam totæ optimæ ac fertiles sunt, omniúmque generum arboribus consitæ, vt etiam minimè agriculturæ studiosos vbertate sua prouocent, denique excultæ sunt ab incolis totæ, nec pars vlla est earum B otiosa: quin & ciuitates ibi crebræ sunt, & vbique multitudo vicorum propter opulentiam populosa, vt qui sit minimus, supra quindecim millia colonorum habeat: prorsus, vt etiam si quis magnitudine minorem Galilæam dixerit, quam trans fluuium regionem, viribus tamen eam prætulerit. hæc enim vniuersa colitur, tota fructuum ferax: at illa quæ trans flumen est, licet multo maior sit, pleraque tamen aspera atque deserta est, & C nutriendis fructibus mansuetis inhabilis. Perææ sanè mollicies & ingenium fructuosum, campos habet cum variis arboribus consitos, tum maximè oliuetis ac vineis & palmetis excultos. irrigatur autem abundè montanis torrentibus, & fontibus aquæ perennis, quoties illi Sirio æstuante defecerint. Et lógitudo quidem eius est à Machærunte iu Pellam: latitudo verò à Philadelphia vsque ad Iordanem. Et Pella quidem quam suprà diximus, Septentriona- D lis eius est tractus: occiduus verò Iordanis: meridianum autem Moabitis regio terminat ab Oriente autem Arabia & Silbonitide, necnon & Philadelphia, itémque Gerasis clauditur. Samariensis autem regio, inter Iudæam quidem & Galilæam sita est: incipiens enim à vico in planicie posito, cui nomen est Ginæa, in Acrabatenam desinit toparchiam: sed natura nihil à Iudæa discrepat. nam vtraque montosæ sunt & campestres, agrósque colendo molles at- E que optimæ, necnon & arboribus plenæ: pomísque tam syluestribus quàm mansuetis abundant, eo quòd natura sunt aridæ, imbriúmque satis habent. dulces autem per eas supra modum aquæ sunt, boníque graminis copia præter alias earum pecora lactis abundant: quódque maximum virtutis atque opulentiæ specimen est, vtraque viris referta est. Harum confinium est Anuath vicus, qui etiam Borceos appellatur, Iu- F dææ limes à Septentrione. Meridiana verò pars eius, si in longitudinem metiare, adiacenti vico Arabum finibus terminatur, cui nomen est Iarda. Latitudo sanè à Iordane flumine vsque ad Ioppem explicatur. Media verò eius est Hierosolyma: vnde quidam non sine ratione, vmbilicum eius terræ, eam vrbem vocauerunt. Sed nec marinis quidem Iudæa deliciis caret, ad Ptolemaidem vsque locis extenta maritimis. In vndecim autem sor- G tes diuisa est: quarum prima est tanquam regia Hierosolyma, præ cæteris inter omnes accolas eminens, velut caput in corpore. aliis verò post hanc toparchiæ sunt distributæ. Gophna est secunda, & post eam Acrabata. ad hoc Tamna, & Lydda, itémque Ammaus, & Pella, & Idumæa, & Engadda, & Herodium, & Hieric^9: deinde Iania & Ioppe finitimis præsūt,

A & præter has Gamalitica, & Gaulanitis, & Batanæa, & Trachonitis: quæ etiam regni Agrippæ partes sunt. Eadem verò terra incipiens, à monte Libano & fontibus Iordanis, vsque ad Tiberiadi proximum lacum, latitudine panditur. à vico autem, qui appellatur Arphas, ad Iuliada oppidum longitudine tēdit: & habitatur ab incolis Iudæis Syrísque permixtis.

CAP. III. De auxilio Sepphoritis misso, & Romanorũ disciplina militari.

B DE Iudæa quidem, & quibus esset cincta regionibus, quàm maximè potui breuiter exposui. Quod autem Vespasianus miserat auxilium Sepphoritis, hoc est, equites mille, séxque millia peditum, Placido eos regente tribuno, castris in magno campo positis bifariam diuiduntur. Et pedites quidem in ciuitate ipsius tuendæ causa, equitatus verò in castris degbat. vtrinque autem assiduè prodeundo, & circa eam regionem loca omnia incursando, magnis incommodis Iosephum ciúsque socios, quamuis quietos, afficiebant. & præterea ciuitates extrinsecus deprædabantur: C ciuiúmque conatus, si quando excurrendi habuissent fiduciam, repellebant. Iosephus tamen aduersus ciuitatem impetum fecit, sperans eam posse capere: quam ipse, antequam à Galilæis deficeret, ita muris cinxerat, vt Romanis quoque esset inuicta. vnde etiam spe frustratus est, cùm nec vi nec suasu Sepphoritas in suas partes pertrahere potuisset: magísque in Iudæa bellum accendit Romanis indignè ferentibus insidias, & propterea nec D die nec nocte ab agrorum depopulatione cessantibus, sed passim diripientibus quicquid rerum in his reperissent: qui tamen cùm mortem pugnacibus semper inferrent, imbelles ad seruitium capiebant: ignis verò & sanguis Galilæam totam repleuerat, nec quisquam expers eius acerbitatis, aut cladis erat. vnam salutis spem fugientes habebāt in ciuitatibus, quas murorum ambitu Iosephus communierat. Titus autem Alexandriam transmissus ex Acha- E ia citius quàm per hyemem sperabatur, manum militum cuius causa missus fuerat suscepit: contentóque vsus itinere, maturè ad Ptolemaidem peruenit. Cúmque ibi patrem suum reperisset, duabus quas secum habebat legionibus (erant autem nobilissimæ quinta & decima) iunxit etiam quam ille adduxit quintamdecimam. Eas autem sequebantur decem & octo cohortes: quibus accessēre ex Cæsa- F rea quinque cum vna ala equitum, & alæ quinque Syrorum equitum. Decem autem cohortium singulæ mille pedites habebant: in cæteris verò tredecim sexcenti pedites, & centeni viceni equites erant. Satis autem auxiliorum etiam à regibus congregatum est. Antiochus enim & Agrippa & Sohemus bina millia peditum, & sagittarios equites mille præbuerūt: cum Arabiæ quoq; est. Malchus præter quinque millia peditum, equites mille misisset, quo G rum pars maior erant sagittarij: vt tota manus computata cum regiis, sexaginta millia circiter peditum equitúmque colligeret, præter calones: qui plurimi sequebantur, & meditationi bellicæ assueti nihil à pugnacissimis aberant: quod tempore quidem pacis dominorum exercitationibus interessent, belli autem pericula cum ipsis experirentur, & neq; peritia, neq; viribus à quoquā nisi à dominis vincerētur.

A κἀπὶ ταύταις, ἥτε γαμαλιτικὴ, καὶ γαυλανῖτις, βατανέα τε καὶ τραχωνῖτις, αἳ καὶ τῆς ἀγρίππα βασιλείας εἰσὶ μοῖραι. ἀρχομένη δὲ ἀπὸ λιβάνου ὄρους καὶ τῶν ἰορδάνου πηγῶν ἡ χώρα, μέχρι τῆς τιβεριάδος λίμνης εὐρύνεται. ἀπὸ δὲ κώμης καλουμένης ἀρφᾶς, μέχρις ἰουλιάδος ἐκτείνεται τὸ μῆκος. οἰκοῦσι δὲ αὐτὴν μιγάδες ἰουδαῖοί τε καὶ σύροι. τὰ μὲν δὴ περὶ τῆς ἰουδαίων τε καὶ τῆς πέριξ χώρας, ὡς ἐνῆν μάλιστα συν- B τόμως ἀπηγγέλκαμεν. ἡ δὲ ὑπὸ οὐεσπασιανοῦ πεμφθεῖσα σεπφωρίταις βοήθεια, χίλιοι μὲν ἱππεῖς, ἑξακισχίλιοι δὲ πεζοὶ, πλακίδου χιλιαρχοῦντος αὐτῶν ἐν τῷ μεγάλῳ πεδίῳ στρατοπεδευσάμενοι διαιροῦνται. καὶ τὸ μὲν πεζὸν ἐν τῇ πόλει πρὸς φυλακὴν αὐτῆς, τὸ δὲ ἱππικὸν ἐπὶ τῆς παρεμβολῆς αὐλίζεται. προϊόντες δὲ ἑκατέρωθεν συνεχῶς, καὶ τὰ πέριξ τῆς χώρας κατατρέχοντες, μεγάλα τοὺς περὶ τὸν ἰώσηπον ἐκάκουν ἀτρεμοῦντας, τάς τε πόλεις ἔξωθεν ληϊζόμενοι, καὶ προ- C θέοντας ὁπότε θαρρήσειαν ἀνακόπτοντες. ὥρμησε γε μὴν ὁ ἰώσηπος ἐπὶ τὴν πόλιν, αἱρήσειν ἐλπίσας ἣν αὐτὸς πρὶν ἀποστῆναι γαλιλαίων ἐτείχισεν, ὡς καὶ ῥωμαίοις δυσάλωτον εἶναι. διὸ καὶ τῆς ἐλπίδος ἀφήμαρτε, τοῦ τε βιάζεσθαι, καὶ τοῦ μεταπείθειν σεπφωρίτας, ἀσθενέστερος εὑρεθείς. παρώξυνε δὲ μᾶλλον τὸν πόλεμον ἐπὶ τὴν χώραν, καὶ οὔτε νύκτωρ, οὔτε μεθ' ἡμέραν ὀργῇ τῆς ἐπιβουλῆς οἱ ῥωμαῖοι διέλιπον, δῃοῦντες αὐτῶν τὰ πε- D δία, καὶ διαρπάζοντες τὰ ἐπὶ τῆς χώρας κτήματα, καὶ κτείνοντες μὲν ἀεὶ τὸ μάχιμον, ἀνδραποδιζόμενοι δὲ τοὺς ἀσθενεστέρους. πυρὶ δὲ ἡ γαλιλαία, καὶ αἵματι πεπλήρωτο πᾶσα, πάθους τε ἢ συμφορᾶς οὐδενὸς ἀπείρατος ἦν. μία γὰρ καταφυγὴ διωκομένοις αἱ ὑπὸ τοῦ ἰωσήπου τειχισθεῖσαι πόλεις ἦσαν.

Κεφ. ε.

Ὁ Δὲ τίτος περαιωθεὶς ἀπὸ τῆς ἀχαΐας εἰς τὴν ἀλεξάνδρειαν, ὠκύτερον ἢ κατὰ χειμῶνος ὥραν, παραλαμβάνει μὲν ἐφ' ἣν ἐστάλη δύναμιν. συντόνῳ δὲ χρώ- E μενος πορείᾳ, διὰ τάχους εἰς πτολεμαΐδα ἀφικνεῖται, κἀκεῖ καταλαβὼν τὸν πατέρα δυσὶ τοῖς ἅμα αὐτῷ τάγμασιν, ἦν δὲ τὰ ἐπισημότατα τὸ πέμπτον καὶ τὸ δέκατον, ζευγνύει τὸ ἀχθὲν ὑπ' αὐτοῦ πεντεκαιδέκατον. τούτοις εἵποντο ὀκτωκαίδεκα σπεῖραι. προσετέθηντο δὲ καὶ ἀπὸ καισαρείας πέντε, καὶ ἱππέων ἴλη μία. πέντε δὲ ἕτεραι τῶν ἀπὸ συρίας ἱππέων. τῶν δὲ σπειρῶν αἱ δέκα μὲν εἶχον, ἀνὰ χιλίους πεζούς. αἱ λοιπαὶ δὲ τρισκαίδεκα, F ἀνὰ ἑξακοσίους μὲν πεζοὺς, ἱππεῖς δὲ ἑκατὸν εἴκοσι. συχνὸν δὲ καὶ παρὰ τῶν βασιλέων συνήχθη συμμαχικὸν, ἀντιόχου μὲν καὶ ἀγρίππα καὶ σοέμου παρασχομένων ἀνὰ δισχιλίους πεζοὺς τοξότας, καὶ χιλίους ἱππεῖς. τοῦ δὲ ἄραβος μάλχου, χιλίους πέμψαντος ἱππεῖς ἐπὶ πεζοῖς πεντακισχιλίοις, ὧν τὸ πλέον ἦσαν τοξόται, ὡς τὴν πᾶσαν δύναμιν συνεξαριθμουμένων τῶν βασιλικῶν ἱππέας τε καὶ πεζοὺς, εἰς ἓξ ἀθροίζεσθαι μυριάδας δίχα θεραπόντων. οἳ παμπληθεῖς μὲν εἵ- G ποντο, διὰ δὲ συνάσκησιν πολεμικὴν, οὐκ ἂν ἀποτάσσοιντο τοῦ μαχίμου, κατὰ μὲν εἰρήνην ἐν ταῖς μελέταις τῶν δεσποτῶν ἀεὶ στρεφόμενοι, συγκινδυνεύοντες δὲ ἐν πολέμοις, ὡς μήτε ἐμπειρίας μήτ' ἀλκῆς τινὸς, πλὴν τῶν δεσποτῶν ἐλαττοῦσθαι.

Κἀν

Κεφ. ς.

Κἂν τούτῳ μὲν οὖν θαυμάσαι τις ἂν Ῥωμαίων τὸ προμηθὲς, κατασκευαζομένων ἑαυτοῖς τὸ οἰκετικὸν, οὐ μόνον εἰς τὰς τοῦ βίου διακονίας, ἀλλὰ καὶ πρὸς τοὺς πολέμους χρήσιμον. εἰ δέ τις αὐτῶν καὶ εἰς τὴν ἄλλην τῆς στρατιᾶς σύνταξιν ἀπίδῃ, γνώσεται καὶ τὴν τοσὴνδε ἡγεμονίαν αὐτοὺς ἀρετῆς κτῆμα ἔχοντας, οὐ δῶρον τύχης. οὐ γὰρ αὐτοῖς ἀρχὴ τῶν ὅπλων ὁ πόλεμος, οὐδ᾽ ἐπὶ μόνας τὰς χρείας τὼ χεῖρε κινοῦσιν, ἐν εἰρήνῃ προηργηκότες, ἀλλ᾽ ὥσπερ συμπεφυκότες τοῖς ὅπλοις, οὐδέποτε τῆς ἀσκήσεως λαμβάνουσιν ἐκεχειρίαν, οὐδὲ ἀναμένουσι τοὺς καιρούς. αἱ μελέται δὲ αὐτοῖς, οὐδὲν τῆς κατὰ ἀλήθειαν εὐτολμίας ἀποδέουσιν, ἀλλ᾽ ἕκαστος ὁσημέραι στρατιώτης, πάσῃ προθυμίᾳ καθάπερ ἐν πολέμῳ γυμνάζεται. διὸ κουφότατα τὰς μάχας διαφέρουσιν. οὔτε γὰρ ἀταξία διασκίδνησιν αὐτοὺς ἀπὸ τῆς ἐν ἔθει συντάξεως, οὔτε δέος ἐξίστησιν, οὔτε δαπανᾷ πόνος. ἕπεται δὲ τὸ κρατεῖν ἀεὶ κατὰ τῶν οὐχ ὁμοίων βέβαιον. καὶ οὐκ ἂν ἁμάρτοι τις εἰπὼν, τὰς μὲν μελέτας αὐτῶν χωρὶς αἵματος παρατάξεις. τὰς παρατάξεις δὲ, μεθ᾽ αἵματος μελέτας. οὐδὲ γὰρ ἐξ ἐπιδρομῆς εὐάλωτοι πολεμίοις. ὅπῃ δ᾽ ἂν ἐμβάλωσιν εἰς ἐχθρῶν γῆν, οὐ πρὶν ἅπτονται μάχης, ἢ τειχίσαι στρατόπεδον. τὸ δ᾽ οὐκ εἰκαῖον, οὐδ᾽ ἀνώμαλον ἐγείρουσιν. οὐδὲ πάντες, ἢ ἀτάκτως διαλαβόντες. ἀλλ᾽ εἰ μὲν ἀνώμαλος ἂν τύχοι χῶρος, ἐξομαλίζεται. διαμετρεῖται δὲ παρεμβολὴ τετράγωνος αὐτοῖς. καὶ τεκτόνων πλῆθος ἕπεται, τά τε πρὸς δόμησιν ἐργαλεῖα. καὶ τὸ μὲν ἔνδον, εἰς σκηνὰς διαλαμβάνουσιν, ἔξωθεν δὲ ὁ κύκλος, τεῖχος ὄψιν ἐπέχει, πύργοις ἐξ ἴσου διαστήματος κεκοσμημένος. ἐπὶ δὲ τῶν μεταπυργίων, τούς τε ὀξυβελεῖς, καὶ καταπέλτας, καὶ λιθοβόλα, καὶ πᾶν ἀφετήριον ὄργανον τιθέασιν, ἅπαντα πρὸς τὰς βολὰς ἕτοιμα. πύλαι δὲ ἐνοικοδομοῦνται τέσσαρες, καθ᾽ ἕκαστον τοῦ περιβόλου κλίμα, πρός τε εἰσόδους τῶν ὑποζυγίων εὐμαρεῖς, καὶ πρὸς ἐκδρομὰς αὐτῶν εἰ κατεπείγοι, πλατεῖαι. ῥυμοτομοῦσι δὲ εὐδιαθέτως εἴσω τὸ στρατόπεδον, καὶ μέσας μὲν τὰς τῶν ἡγεμόνων σκηνὰς τίθενται, μεσαίτατον δὲ τούτων, τὸ στρατήγιον ναῷ παραπλήσιον. ὥσπερ δὲ ἐν σχεδίῳ πόλις καὶ ἀγορά τις ἀποδείκνυται, καὶ χειροτέχναις χωρίον, θῶκοί τε λοχαγοῖς, καὶ ταξιάρχοις, ὅπῃ δικάζοιεν εἴ τινες διαφέροιντο. τειχίζεται δὲ ὁ περίβολος, καὶ τὰ ἐν αὐτῷ πάντα θᾶσσον ἐπινοίας, πλήθει καὶ ἐπιστήμῃ τῶν πονούντων. εἰ δὲ ἐπείγοι, καὶ τάφρος ἔξωθεν περιβάλλεται, βάθος τετράπηχυς, καὶ εὖρος ἴσον. φραξάμενοι δὲ, αὐλίζονται κατὰ συντάξεις ἕκαστοι μεθ᾽ ἡσυχίας τε καὶ κόσμου. πάντα δ᾽ αὐτοῖς καὶ τὰ ἄλλα, μετ᾽ εὐταξίας ἀνύεται καὶ ἀσφαλείας. ξυλεία τε ἐπισιτισμὸς εἰ δέοιντο, καὶ ὑδρεία, κατὰ συντάξεις ἑκάστοις. οὔτε γὰρ δεῖπνον ἢ ἄριστον ὁπότε θελήσειαν αὐτεξούσιον ἑκάστῳ. πᾶσι δὲ ὁμοῦ. τούς τε ὕπνους αὐτοῖς, καὶ τὰς φυλακὰς, καὶ τὰς ἐξεγέρσεις, σάλπιγγες προσημαίνουσιν, οὐδέ ἐστιν ὅτι γίνεται δίχα παραγγέλματος. ὑπὸ δὲ τὴν ἕω, τὸ στρατιωτικὸν μὲν, ἐπὶ τοὺς ἑκατοντάρχας ἕκαστοι, πρὸς δὲ τοὺς χιλιάρχους οὗτοι συνίασιν ἀσπασόμενοι, μεθ᾽ ὧν πρὸς τὸν ἡγεμόνα τῶν ὅλων, οἱ ταξίαρχοι πάντες. ὁ δ᾽ αὐτοῖς τότε ἐξ ἔθους

qua quidem in re nimis admirandam quis existimauerit Romanorum prouidentiam. ita seruos instituentium, vt non solùm vitæ ministerio, sed belli etiam necessitatibus vtiles sint. Quòd si quis eorum aliam quoque respexerit militiæ disciplinam, profectò cognoscet tantùm eos imperium non fortunæ munere, sed propria virtute quæsisse. Armis enim vti non in bello incipiunt, neque solùm, si necesse sit, manus mouent, cùm in pacis otio cessauerint: sed armis veluti natura cohærentes, nullas capiunt exercitationis inducias, nec tempora præstolantur. Meditationes autem eorum nihil à vera contentione discrepant: sed in dies singulos militum quisque omnibus armis, tanquam in procinctu positus, exercetur: quo etiam facillimè prælia tolerant. Neque enim ordo neglectus eos à consueta dispositione dispergit, neque metus stupefacit, neque lassitudo exhaurit. Vnde sequitur, vt semper superét, quos nō itidē confirmatos inuenerint. Nec errauerit si quis eorum meditationes conflictus esse dixerit sine sanguine, contráque prælia meditationes cum sanguine. Nam ne repentino quidem hostium incursu opprimi possunt: sed quocunque in hostilem terram irruperint, nō nisi permunitis castris præiio decernunt. quæ quidem non leui opere, nec iniquo loco erigunt, nec inordinatè describūt: sed si quidem inæquale solum fuerit, complanatur: quatuor verò angulis horum dimensio designatur. Nam fabrorum multitudo, & ferramentorum copia quæ vsus extructionis postulat, sequitur exercitum. Et interior quidem pars castrorum tabernaculis distribuitur, ambitus autem eorum extrinsecus muri faciem præfert: ordinatis etiam turribus pari spatio dispositis: quarum interualla catapultis atque balistis, & aliis machinis saxa intorquentibus, omnibúsque instrumentis missilium complent, vt cuncta scilicet iaculorum genera in promptu sint. portas autem quatuor ædificant, tam iumentis aditu faciles, quàm ipsis, si quid vrgeat, intrò currentibus latas. Intus autem castra vici spatiis interpositis dirimunt, mediáque rectorum tabernacula collocant, & inter hæc prætorium diuûm templo simillimum: prorsus vt quasi repentina quędam ciuitas existat: forum quoque & opificum stationes: & sedes militum primatibus, ordinúmque principibus, vbi si qua sit inter alios ambiguitas iudicent. Ipse verò ambitus, & omnia quæ in eo sunt, multitudine simul & scientia, fabricantium opinione citius communitur. qui si res vrgeat, fossa extrinsecus cingitur, depressa cubitis quatuor, paríque spatio lata. Armis autem septi, per contubernia cum decore atque otio in tentoriis agunt: omniáque ab his ordinatè etiam alia cautéque per contubernia expediuntur: veluti si ligno aquáve opus sit, aut frumento: nec enim cœna vel prandium cùm voluerit, in potestate cuiusq; est, simul autē omnib. sōn⁹ est, excubias & vigilādi tēpora buccinę significāt, neq; est omnino quicquā quod sine edicto geratur. Mane autē milites quidem ad centuriones, illi verò ad tribunos cōueniūt salutatum: cum quibus ad summum omnium ducem vniuersi ordinū principes. Ille autē his

signum aliáque dat ex more præcepta proferenda subiectis: quibus etiam in acie circumaguntur quò opus est, ac vniuersi pariter incurrunt itémque sese recipiunt. Cùm autem castris egrediendum est, tuba indicium facit: nemóque otiosus est. sed vel solo nutu moniti, tabernacula tollunt, omniáque ad profectionem instruunt. deinde iterum tuba vt sint parati significat. Illi autem cùm mulos & iumenta sarcinis onerauerint, velut in curuli certamine signum expectant. Castra verò incendunt: eo quòd sibi alia munire facilè sit, & ne quando hostibus eadem vsui sint. Et tamen tertio quoque tubæ signo indicant, vt exeatur: vrgendo aliqua ex causa morantes, ne quis ordinem deserat. Dextérque duci præco astans, si ad bellum parati sunt, voce patria ter percontatur. illíque toties alacri & magna voce paratos esse se respondent, interrogantémque præueniunt: & Martio quodam spiritu repleti cum clamore dextras erigũt. Deinde otiosè & cum omni decore progredientes ambulant, suum quisque ordinem velut in bello custodiens: pedites quidem thoracibus & galeis septi, & vtroque latere gladiis accincti. læuus autem gladius multo est longior, cùm dexter mensuram palmæ non excedat. qui verò ducem stipant lecti pedites, scuta & lanceas gestant: cætera manus hastas & clypeos longos, serrámque & corbem & sarculum & securim, necnõ & habenam & falcem & catenam, triduíque viaticum, vt parum intersit inter onusta iumenta & pedites. Equitibus autem ad dexteram gladius est longior, & contus in manu, transuersúsque ad equi latus clypeus, ternáque in pharetra vel amplius dependent lata cuspide iacula, nihil ab hastis magnitudine differentia. Cassides verò & thoracas peditibus habent similes: nullóque armorum genere ab equitum alis discrepant lecti, qui circum ducem versantur. Agmina autem semper cui sorte id obtigerit, antecedit. Talia quidem sunt Romanorum itinera & mansiones, itémque armorum varietas. Nihil verò nec in prœliis inconsultum aut subitum agũt: sed omnia semper sequuntur facta sententiam: opúsque adhibetur antè decretis. Vnde aut minimè peccant: aut si peccauerint, facilis est errati correctio. Fortunæ autem successibus meliores consiliorum etiam si aliter successerit, arbitrantur euentus: quasi bonum quidem fortuitum ad rem inconsultè gerendam illiciat: quæ verò antè cogitata fuerint, etiam si aduersus casus exceperit, bene iam meditatos exhibeant ad cauendum ne idem rursus eueniat: & bonorum quidem fortuitorum non is autor sit cui contigerint, tristium verò quæ præter sententiam acciderint, saltem rectè consulta videantur esse solatium. Armorum quidem exercitatione comparant, vt non modò corpora, sed animi quoque militum fortiores sint. Maior autem illis est ex timore diligentia. namque leges apud eos non desertionis solùm, verumetiam minimæ negligentiæ sunt capitales: ducésq; magis quã ipsæ leges

σημεῖον, καὶ τὰ ἄλλα παραγγέλματα δίδωσι διαπέμπειν εἰς τοὺς ὑποτεταγμένους. ὃ δὴ καὶ ἐπὶ παρατάξεως πράττοντες, ἐπιστρέφονται ταχέως, ἵνα εἰ δέοι καὶ πρὸς τὰς ἐφόδους αὐτοῖς, καὶ πρὸς τὰς ἀνακλήσεις ὑποχωροῦσιν ἀθρόοι. ἐξιέναι δὲ τοῦ στρατοπέδου δέον ὑποσημαίνει μὲν ἡ σάλπιγξ, ἠρεμεῖ δὲ οὐδείς, ἀλλ᾽ ἅμα νεύματι τὰς μὲν σκηνὰς ἀναιροῦσι. πάντα δ᾽ ἐξαρτύονται πρὸς τὴν ἔξοδον, καὶ πάλιν αἱ σάλπιγγες ὑποσημαίνουσι παρεσκευάσθαι. οἱ δὲ ἐν τάχει τοῖς τε ὀρεῦσι, καὶ τοῖς ὑποζυγίοις ἐπιθέντες τὴν ἀποσκευὴν, ἑστᾶσιν ὥσπερ ἐφ᾽ ὕσπληγγος ἐξορμᾶν ἕτοιμοι. ὑποπιμπρᾶσί τε ἤδη τὴν παρεμβολὴν, ὡς αὐτοῖς μὲν ῥᾴδιον ἐκεῖ πάλιν τειχίσασθαι, μὴ γένοιτο δ᾽ ἐκεῖνό ποτε τοῖς πολεμίοις χρήσιμον. καὶ τρίτον δ᾽ ὁμοίως αἱ σάλπιγγες προσημαίνουσι τὴν ἔξοδον, ἐπισπέρχουσαι τοὺς δι᾽ αἰτίαν τινὰ βραδύνοντας, ὡς μή τις ἀπολειφθείη τάξεως. ὅ τε κῆρυξ δεξιὸς τῷ πολεμάρχῳ παραστὰς, εἰ πρὸς πόλεμόν εἰσιν ἕτοιμοι, τῇ πατρίῳ γλώσσῃ, τρὶς ἀναπυνθάνεται, κἀκεῖνοι τοσαυτάκις ἀντιβοῶσι, μέγα τι καὶ πρόθυμον, ἕτοιμοι λέγοντες, φθάνουσί τε τὸν ἐπερωτῶντα, καὶ τινος ἀρηΐου πνεύματος ὑποπιμπλάμενοι, τῇ βοῇ συνεξαίρουσι τὰς δεξιάς. ἔπειτα προϊόντες, ὁδεύουσιν ἡσυχῇ, καὶ μετὰ κόσμου πάντες, ὥσπερ ἐν πολέμῳ τὴν ἰδίαν τάξιν ἕκαστος φυλάσσων. οἱ μὲν πεζοὶ, θώραξί τε πεφραγμένοι, καὶ κράνεσι, καὶ μαχαιροφοροῦντες ἀμφοτέρωθεν. μακρότερον δ᾽ αὐτῶν τὸ λαιὸν ξίφος πολλῷ, τὸ γὰρ κατὰ δεξιὸν, σπιθαμῆς οὐ πλέον ἔχει μῆκος. φέρουσι δ᾽ οἱ μὲν περὶ τὸν στρατηγὸν ἐπίλεκτοι πεζοὶ, λόγχην καὶ ἀσπίδα. ἡ δὲ λοιπὴ φάλαγξ, ξυστόν τε καὶ θυρεὸν ἐπιμήκη, πρὸς οἷς πρίονα καὶ κόφινον, ἄμην τε καὶ πέλεκυν. πρὸς δὲ ἱμάντα καὶ δρέπανον, καὶ ἅλυσιν, ἡμερῶν τε τριῶν ἐφόδιον, ὡς ὀλίγον ἀποδεῖν τῶν ἀχθοφορούντων ὀρέων, τὸν πεζόν. τοῖς δὲ ἱππεῦσι μάχαιρα μὲν ἐκ δεξιοῦ μακρὰ, καὶ κοντὸς ἐπιμήκης ἐν χειρὶ, θυρεὸς δὲ παρὰ πλευρὸν ἵππου πλάγιος, καὶ κατὰ γωρυτοῦ παρήρτηνται τρεῖς ἢ πλείους ἄκοντες, πλατεῖς μὲν αἰχμὰς, οὐκ ἀποδέοντες δὲ δοράτων μέγεθος. κράνη δὲ καὶ θώρακες ὁμοίως τοῖς πεζοῖς ἅπασιν. οὐδενὶ δὲ ὅπλῳ διαλλάττουσιν, οἱ περὶ τὸν στρατηγὸν ἐπίλεκτοι, τῶν ἐν ταῖς ἴλαις ἱππέων. κλήρῳ δὲ τῶν ταγμάτων ἀεὶ τὸ λαχὸν ἡγεῖται. τοιαῦται μὲν ῥωμαίων πορεῖαι τε καὶ καταλύσεις, πρὸς δὲ ὅπλων διαφοραί. οὐδὲν δὲ ἀπροβούλευτον ἐν ταῖς μάχαις, οὐδὲ αὐτοσχέδιον. ἀλλὰ γνώμη μὲν ἀεὶ παντὸς ἔργου προάγει, τοῖς δοχθεῖσι δ᾽ ἕπεται τὰ ἔργα. παρὸ καὶ σφάλλονται μὲν ἥκιστα, κἂν πταίσωσι δὲ, ῥᾳδίως ἀναλαμβάνουσι τὰ σφάλματα. ἡγοῦνταί τε τῶν ἀπὸ τύχης ἐπιτευγμάτων, ἀμείνους τὰς ἐπὶ τοῖς προβουλευθεῖσι διαμαρτίας, ὡς τοῦ μὲν αὐτομάτου καλοῦ δελεάζοντος εἰς ἀπρομήθειαν, τῆς σκέψεως δὲ κἂν ἀτυχήσῃ ποτὲ, πρὸς τὸ μὴ αὖθις καλὴν ἐχούσης μελέτην. καὶ τῶν μὲν αὐτομάτων ἀγαθῶν, οὐ τὸν λαβόντα αἴτιον εἶναι. τῶν δὲ παρὰ γνώμην προσπεσόντων, παραμυθίαν τό γε προσηκόντως βεβουλεῦσθαι. παρασκευάζουσι μὲν οὖν ἐν ταῖς μελέταις τῶν ὅπλων, οὐ τὰ σώματα μόνον, ἀλλὰ καὶ τὰς ψυχὰς ἀλκίμους. προσασκοῦνται δὲ καὶ τῷ φόβῳ. οἵ τε γὰρ νόμοι παρ᾽ αὐτοῖς, οὐ λιποταξίου μόνον, ἀλλὰ καὶ ῥᾳστώνης ὀλίγης θανατικοί. οἵ τε στρατηγοὶ τῶν νόμων φοβε-

φοβερώτεροι. ταῖς γὰρ πρὸς τοὺς ἀγαθοὺς τιμαῖς, ῥύονται τὸ δοκεῖν ὠμοὶ πρὸς τοὺς κολαζομένους. τοσοῦτον δὲ αὐτῶν τὸ πρὸς τοὺς ἡγεμόνας πειθήνιον, ὡς ἔν τε εἰρήνῃ κόσμον εἶναι, καὶ ἐπὶ παρατάξεως ἓν σῶμα τὴν ὅλην στρατιάν. οὕτως αὐτῶν συναφεῖς μὲν αἱ τάξεις, εὔστροφοι δέ εἰσιν αἱ περιαγωγαί, ὀξεῖαι δὲ ἀκοαὶ μὲν παραγγέλμασιν, ὄψεις δὲ σημείοις, ἔργοις δὲ χεῖρες. ὅθεν δρᾶσαι μὲν ἀεὶ ταχεῖς, βραδύτατοι δὲ παθεῖν εἰσίν, οὐδὲ ἔστιν ὅπου συστάντες ἢ πλήθεσιν ἡττήθησαν, ἢ στρατηγημάτων, ἢ δυσχωρίας, ἀλλ' οὐδὲ τύχης. καὶ γὰρ ταύτης αὐτοῖς τὸ κρατεῖν βεβαιότερον. οἷς οὖν βουλὴ μὲν ἄρχει πράξεως, ἕπεται δὲ τοῖς βεβουλευμένοις στρατὸς οὕτω δραστήριος, τί θαυμαστὸν εἰ πρὸς ἕω μὲν εὐφράτης, ὠκεανὸς δὲ πρὸς ἑσπέραν, μεσημβρινὸν δὲ λιβύης τὸ πιότατον, καὶ πρὸς ἄρκτον ἴστρος τε καὶ ῥῆνος τῆς ἡγεμονίας ὅροι; δεόντως γὰρ ἄν τις εἴποι τὸ κτῆμα τῶν κτησαμένων ἔλασσον. ταῦτα μὲν οὖν διεξῆλθον οὐ ῥωμαίους ἐπαινέσαι προαιρούμενος τοσοῦτον, ὅσον εἴς τε παραμυθίαν τῶν κεχειρωμένων, καὶ εἰς ἀποτροπὴν τῶν νεωτεριζόντων. εἴη δ' ἂν τοῖς ἀγνοοῦσι τῶν φιλοκαλούντων, καὶ πρὸς ἐμπειρίας ἡ ἀγωγὴ τῆς ῥωμαίων στρατιᾶς. ἐπάνειμι δὲ, ὅθεν ἐπὶ ταῦτα ἐξέβην.

Κεφ. ζ.

Οὐεσπασιανὸς μὲν ἅμα τῷ παιδὶ τίτῳ διατρίβων τέως ἐν πτολεμαΐδι, συνέτασσε τὰς δυνάμεις. ὁ δὲ τὴν γαλιλαίαν κατατρέχων πλάκιδος, ἐπεὶ πολὺ μὲν πλῆθος ἀνῃρήκει τῶν καταλαμβανομένων. τοῦτο δ' ἦν τὸ ἀσθενέστερον γαλιλαίων καὶ ταῖς ψυχαῖς ἐναποκάμνον. ὁρῶν δὲ τὸ μάχιμον ἀεὶ συμφεῦγον εἰς τὰς ὑπὸ ἰωσήπου τειχισθείσας πόλεις, ὥρμησεν ἐπὶ τὴν ὀχυρωτάτην αὐτῶν ἰωτάπατα, οἰόμενος ἐξ ἐφόδου μὲν αἱρήσειν ῥᾳδίως, μέγα δὲ κλέος ἑαυτῷ παρὰ τοῖς ἡγεμόσι, κἀκείνοις ὄφελος εἰς τὰ λοιπὰ παρέξειν. προσχωρήσειν γὰρ οὐκ ἔτι εἰς τὰς ἄλλας πόλεις τῆς καρτερωτάτης οἰχομένης. πολύ γε μὴν διήμαρτε τῆς ἐλπίδος. ἐπιόντα γὰρ αὐτὸν οἱ ἰωταπατηνοὶ προαισθόμενοι, πρὸ τῆς πόλεως ἐκδέχονται, καὶ τοῖς ῥωμαίοις συρραγέντες ἀδοκήτοις, πολλοὶ καὶ πρὸς μάχην ἕτοιμοι, πρόθυμοί τε ὡς ἂν ὑπὲρ κινδυνευούσης πατρίδος καὶ γυναικῶν καὶ τέκνων, τρέπονται ταχέως. καὶ πολλοὺς μὲν τιτρώσκουσι τῶν ῥωμαίων, ἑπτὰ δὲ ἀναιροῦσι, διὰ τὸ μήτε ἄτακτον αὐτῶν τὴν ὑποχώρησιν γενέσθαι, καὶ τὰς πληγὰς ἐπιπολαίους πεφραγμένων πάντοθεν τῶν σωμάτων, τούς τε ἰουδαίους πόρρωθεν βάλλειν πλέον, ἢ ἐμπλέκεσθαι θαρρεῖν γυμνῆτας ὁπλίταις. ἔπεσον δὲ καὶ τῶν ἰουδαίων τρεῖς ἄνδρες, καὶ ἐτρώθησαν ὀλίγοι. ὁ πλάκιδος μὲν οὖν τῆς ἐπὶ τὴν πόλιν ὁρμῆς ἀτονώτερος εὑρεθεὶς φεύγει.

Κεφ. η.

Οὐεσπασιανὸς δὲ ὡρμημένος αὐτὸς ἐμβαλεῖν εἰς τὴν γαλιλαίαν, ἐξελαύνει τῆς πτολεμαΐδος, διατάξας τὴν στρατιὰν ὁδεύειν, καθὰ ῥωμαίοις ἔθος. τοὺς μέν γε ψιλοὺς τῶν ἐπικούρων καὶ τοξότας προάγειν ἐκέλευσεν, ὡς προσκοποῖεν τὰς ἐξαπιναίους τῶν πολεμίων ἐπιδρομάς, καὶ διερευνῷεν τὰς ὑπόπτους καὶ λοχᾶσθαι δυναμένας ὕλας. οἷς εἵπετο καὶ ῥωμαίων ὁπλιτικὴ μοῖρα, πεζοί τε καὶ ἱππεῖς. τούτοις ἀφ' ἑκάστης ἑκατονταρχίας ἠκολούθουν δέκα, τήν τε αὐτῶν σκευήν,

terribiles: namq; bonos honorando redimunt ne in coercendis noxiis videantur crudeles. Tanto autem obsequio rectoribus parent, vt & in pace ornamento sint, & in acie corpus vnum totius conspiciatur exercitus. sic eorum copulati sunt ordines, ita circũduci sunt mobiles: & acutis auribus ad præcepta, oculísq; ad signa, & ad opera manibus: vnde facere quidẽ semper strenui sunt, pati verò tardissimi. nec est vbi prçliantes aut multitudinem hostium, aut consilia sesêre ducum, aut difficultatem regionum: sed ne fortunæ quidem succubuêre. nam in ea certiorem putant esse victoriam. Quorum igitur actus à consiliis incipiunt, consultáque adeò strenuus exequitur exercitus, quid mirum si Euphrates ab Oriente, & Oceanus ab Occidente, itémque à meridiano tractu Africæ fertilissima regio, & à Septentrione Rhenus atque Danubius sunt imperij limites, cùm minorem esse possidentibus possessionem rectè quis dixerit? Hæc ergo prosecutus sum, non tam proposito laudandi Romanos, quàm solatio deuictorum, & vt nouarum rerum cupidos deterrerem: fortasse autem & ad experientiam proderunt bonarum artium studiosis, Romanæ instituta militiæ nescientibus: redeo tamen vnde digressus sum.

Cap. IV. Impetus Placidi contra Iotapatam.

Vespasianus quidem vnà cum Tito filio in Ptolemaide interim degens, ordinabat exercitum. At verò Galilæam peruaserat Placidus, vbi maximam eorum quos comprehendisset multitudinem, interemit: hæc autem fuit Galilæorum imbellior turba, animísque deficiens: pugnacissimos autem vt vidit semper in ciuitates confugere, quas Iosephus communierat, in Iotapatam, quæ omnium tutissima erat, impetum vertit: existimans eam repentino aggressu facillimè captum iri, magnámque & sibi ex ea re alios apud rectores gloriam comparandam, & illis commodum ad reliquã maturiùs explicanda, quasi metu cessuris aliis ciuitatibus, si quæ validissima esset, occupatam vidissent. Multum tamen opinione deceptus est: Iotapateni enim, cùm eius impetum præsensissent, prope ciuitatem aduenientem excipiunt: congresśique cum Romanis ex improuiso plurimi & ad pugnam parati, necnon & alacres (quippe vt pro salute patriæ, item coniugum liberorúmque dimicantes) in fugam eos vertunt, multósque sauciant, septem solùm interfectis: quia neque inordinatè pugna decesserant, septísque vndique corporibus leuiter fuerant vulnerati: cùm Iudæi quoque magis eminus iaculari, quàm manus conserere inermes cum armatis confiderent. ex ipsis autem Iudæis tres ceciderunt, paucis præterea sauciatis. Placidus igitur ab oppido repulsus aufugit.

Cap. V. Galilæa à Vespasiano inuaditur.

Vespasianus verò ipse Galilæam cupiens inuadere, ex Ptolemaide proficiscitur, ordinato militum itinere, sicut Romani consueuerunt. Auxiliatores enim qui leuius armati essent, itémque sagittarios præire iussit, ad repentinos incursus hostium cohibendos, & vt suspectas atque opportunas insidiis syluas scrutarentur. Hos sequebatur Romani peditatus equitatúsque pars: post quos è singulis centuriis deni armaturam suam ferentes,

mensurásque castrorum. Post hos stratores A viarum ibant, qui aggeris maligna corrigerent, ac aspera complanarent, syluásque obstantes præciderent, ne perplexo itinere fatigaretur exercitus. Deinde suas, itémque subiectorum sibi rectorum sarcinas, & tutelæ causa multos cum his equites ordinauit. post quos ipse veniebat, lectos pedites equitésque, necnon & lancearios secum ducens, equitúmque præterea suorum agmine comitatus. De singulis enim turmis proprios centum & viginti equi- B tes deputatos habebat. hos sequebantur, qui expugnandis ciuitatibus machinas & cætera tormenta portarent, deinde rectores, itémque præfecti cohortibus tribuni, stipati lectis militibus. & post hos circum Aquilam signa alia, quæ omnibus apud Romanos agminibus præest, quòd & vniuersarum auium regnum habeat, & sit validissima. Itaque illam & principatus insigne putant, & omen victoriæ, quoscunque bello petierint. Sacras verò signorum C effigies sequebantur cornicines, & post eos acies, in latitudinem senis digesta militibus. hísque adhærebat ex more quidam centurio, disciplinæ atque ordinis custos. Serui autem singularum legionum cuncti cum peditibus erant, mulis aliísque iumentis vehentes militum sarcinas. Postremum agmen, in quo erat mercenaria multitudo, cogebant armati pedites, equitúmque non pauci. Ita peracto itinere, Vespasianus cum omni exercitu ad fines Gali- D læææ peruenit: ibíque positis castris, quamuis promptos ad bellum milites continebat, vnà & ostendendo exercitum, quo hostes metu percelleret, spatiúmque indulgendo pœnitudinis, si quis ante prælium voluntatem mutaret: nihilominus autem murorum instruebat obsidium. Itaque multos quidem rebelliones fugere vel solus fecit ducis aspectus: metum verò vniuersis incussit. Iosephi enim socij, qui non longè à Sepphori castra posuerant, vbi bellum E appropinquare cognouerunt, & iam iámque Romanos prælio secum congressuros, non modò ante pugnam, sed antequam hostes omnino conspicerent, fuga disiecti sunt. cum paucis autem relictus Iosephus, vbi animaduertit neque se ad excipiendos hostes sufficientem manum habere, & Iudæorum animos concidisse: ac, si fides his haberetur, plerosque libenter ad hostes defectum ire: iam tum quidem bello omni abstinebat: quàm longissimè au- F tem periculis abesse decreuit: abductísque qui secum remanserant, in Tiberiada confugit.

Cap. VI. Gadaræ expugnatio.

VEspasianus autem Gadarensium ciuitatem aggressus, primo impetu capit, quòd eam pugnaci multitudine vacuam reperisset. Deinde hinc transgressus interius, cunctos puberes interfecit, cùm Romanos odio gentis, & cladis memoria, quam pertulerat Cestius, nullius ætatis misericordia commoueret. Incen- G dit autem non solùm ciuitatem, sed etiam omnes circum vicos, & oppidula quædam penitus desolata, nonnulla quorũ habitatores ipse cepisset. Iosephus autẽ, quã tutionis causa optauerat ciuitatẽ, ipse metu repleuit. Nã Tiberienses nunquã eũ, nisi de omni bellũ desperasset,

A καὶ τὰ μέτρα τῆς παρεμβολῆς φέροντες. καὶ μετ᾽ αὐτοὺς ὁδοποιοί, τά τε σκολιὰ τῆς λεωφόρου κατευθύνειν καὶ χθαμαλοῦν τὰ δύσβατα, καὶ τὰς ἐμποδίους ὕλας προανακόπτειν, ὡς μὴ ταλαιπωροῖτο δυσποροῦν τὸ στράτευμα. κατόπιν δὲ τούτων, τάς τε ἰδίας, καὶ τὰς τῶν ὑπ᾽ αὐτὸν ἡγεμόνων ἔταξεν ἀποσκευάς, καὶ συχνοὺς ἐπὶ τούτοις πρὸς ἀσφάλειαν τῶν ἱππέων. μεθ᾽ οὓς αὐτὸς ἐξήλαυνε, τούς τε ἐπιλέκτους τῶν πεζῶν, καὶ ἱππέων, καὶ τοὺς λογχοφόρους ἔχων. εἵπετο δὲ αὐτῷ τὸ ἴδιον τοῦ τάγματος ἱππικόν, ἴδιοι γὰρ ἑκάστου τάγματος εἴκοσι πρὸς τοῖς ἑκατὸν ἱππεῖς. τούτοις δὲ ἠκολούθουν οἱ τὰς ἑλεπόλεις φέροντες ὀρεῖς, καὶ τὰ λοιπὰ μηχανήματα, μετὰ τούτους, ἡγεμόνες τε καὶ σπειρῶν ἔπαρχοι σὺν χιλιάρχοις, ἐπιλέκτους περὶ σφᾶς στρατιώτας ἔχοντες, ἔπειτα αἱ σημαῖαι περιίσχουσαι τὸν ἀετόν, ὃς παντὸς ἄρχει ῥωμαίοις τάγματος, βασιλεύς τε οἰωνῶν ἁπάντων, καὶ ἀλκιμώτατος ὤν. ὃ δὴ καὶ τῆς ἡγεμονίας τεκμήριον αὐτοῖς, καὶ κληδὼν ἐφ᾽ οὓς ἂν ἴωσι τοῦ κρατήσειν δοκεῖ. τοῖς ἱεροῖς δὲ ἠκολούθουν οἱ σαλπικταί, καὶ κατόπιν αὐτῶν ἡ φάλαγξ τὸ στῖφος εἰς ἓξ πλατύνασα. τούτοις παρείπετό τις ἑκατοντάρχης ἐξ ἔθους τὴν τάξιν ἐπισκοπούμενος. τὸ δὲ οἰκετικὸν ἑκάστου τάγματος ἅπαν τοῖς πεζοῖς εἵπετο, τὰς ἀποσκευὰς τῶν στρατιωτῶν ἐπὶ τοῖς ὀρεῦσι καὶ τοῖς ὑποζυγίοις ἄγοντες. κατόπιν δὲ πάντων τῶν ταγμάτων, ὁ μίσθιος ὄχλος, οἷς οὐραγοὶ πρὸς ἀσφάλειαν ἠκολούθουν πεζοί τε, καὶ ὁπλῖται, καὶ τῶν ἱππέων πολλοί. οὕτως ὁδεύσας οὐεσπασιανὸς μετὰ τῆς δυνάμεως πρὸς τοὺς ὅρους ἀφικνεῖται τῆς γαλιλαίας, ἔνθα καταστρατοπεδευσάμενος, ὡρμημένους εἰς πόλεμον τοὺς στρατιώτας κατεῖχεν. ἐπιδεικνύμενος τε τὴν στρατιὰν εἰς κατάπληξιν τοῖς πολεμίοις, καὶ μετανοίας διδοὺς καιρόν, εἰ πρὸ μάχης μεταβάλλοιντο. ἅμα δὲ καὶ πρὸς πολιορκίαν τῶν ἐρυμάτων ἐξηρτύετο.

Κεφ. θ.

ΜΕτάνοιαν μὲν οὖν τῆς ἀποστάσεως ὀφθεὶς ὁ στρατηγὸς πολλοῖς ἐνειργάσατο, κατάπληξιν δὲ πᾶσιν. οἱ γὰρ περὶ τὸν ἰώσηπον ἐστρατοπεδευκότες, οὐκ ἄπωθεν τῆς σεπφώρεως πρὸς πόλιν Γαρὶν καλουμένην, ἐπεὶ πλησιάζοντα τὸν πόλεμον ἤκουσαν, ὅσον τε ὅπω τοὺς ῥωμαίους συμμίξοντας σφίσιν, οὐ μόνον πρὸ μάχης, ἀλλὰ καὶ πρὶν ἰδεῖν τοὺς ἐχθρούς, διασκίδναται φυγῇ. καταλείπεται δὲ ὁ ἰώσηπος μετ᾽ ὀλίγων, καὶ κατιδὼν ὡς οὔτε δέχεσθαι τοὺς πολεμίους ἀρκετὴν ἔχει δύναμιν, καὶ πεπτωκότα τὰ φρονήματα τῶν ἰουδαίων, ἄσμενοί τε ἂν εἰ πιστεύοιντο χωροῖεν οἱ πλείους ἐπὶ σπονδάς, ἐδεδίει μὲν ἤδη περὶ παντὸς τοῦ πολέμου. τότε δὲ ὡς πορρωτάτω χωρίζεσθαι τῶν κινδύνων ἔκρινεν. ἀναλαβὼν δὲ τοὺς συμμείναντας εἰς τιβεριάδα καταφεύγει. οὐεσπασιανὸς δὲ τῇ πόλει τῶν γαδαρέων ἐπελθών, αἱρεῖ τε κατὰ τὴν πρώτην ἔφοδον αὐτήν, μαχίμου πλήθους ἔρημον καταλαβών, καὶ παρελθὼν εἴσω, πάντας ἡβηδὸν ἀναιρεῖ, μηδεμίαν τῶν ῥωμαίων ἡλικίας ἔλεον ποιουμένων, μίσει τε πρὸς τὸ ἔθνος, καὶ μνήμῃ τῆς κατὰ τὸν κέστιον αὐτῶν παρανομίας. ἐμπίπρησι δὲ οὐ μόνον αὐτὴν τὴν πόλιν, ἀλλὰ καὶ τὰς πέριξ κώμας πάσας τε καὶ πολίχνας, ἃς μὲν παντελῶς ἐκλελειμμένας, ἔστι δὲ ἃς αὐτοὺς ἐξανδραποδιζόμενος.

Κεφ. ι.

Ὁ δὲ ἰώσηπος ἣν πρὸς ἀσφάλειαν εἵλετο πόλιν, αὐτὸς ἐνέπλησε δέους καταφυγών. οἱ γὰρ ἀπὸ τῆς τιβεριάδος, οὐκ ἂν εἰ μὴ πρὸς ἅπαν ἀπεγνώκει τὸν πόλεμον, τραπῆ-

τραπῆναι ποτ' αὐτὸν ᾤοντο. καὶ τοῦτό γε οὐ διημάρτανον αὐτοῦ τῆς γνώμης. ἑώρα μὲν γὰρ οἷ ῥέψει τὰ Ἰουδαίων τέλους, καὶ μίαν αὐτῶν ᾔδει σωτηρίαν εἰ μεταβάλλοιντο. αὐτὸς δὲ καίπερ συγγνωσθήσεσθαι παρὰ Ῥωμαίοις προσδοκῶν, ὅμως τεθνάναι μᾶλλον εἵλετο πολλάκις, ἢ καταπροδοὺς τὴν πατρίδα, καὶ τὴν ἐμπιστευθεῖσαν αὐτῷ στρατηγίαν ὑβρίσας εὐτυχεῖν παρ' οἷς πολεμήσων ἐπέμφθη. γράφειν οὖν τοῖς ἐν τέλει τῶν Ἱεροσολύμων διέγνω μετὰ ἀκριβείας τὰ πράγματα, ὡς μήτε ἐπὶ μεῖζον ἐξάρας τὴν πολεμίων ἰσχὺν, αὖθις εἰς δειλίαν κακίζοιτο, μήτε ἐνδεέστερον ἀπαγγείλας, κἂν μετανοήσαντας ἴσως θρασύνειεν, ἵνα τε ἢ σπονδὰς αἱρούμενοι, ταχέως ἀντιγράψωσιν, ἢ πολεμεῖν ἐγνωκότες, ἀξιόμαχον πρὸς Ῥωμαίους πέμψωσιν αὐτῷ δύναμιν. ὁ μὲν οὖν ταῦτα ἐπιστείλας, πέμπει διὰ τάχους ἐπὶ Ἱεροσολύμων τοὺς τὰ γράμματα κομίζοντας. Οὐεσπασιανὸς δὲ ὥρμητο ἐξαιρεῖν τὰ Ἰωτάπατα, πέπυστο γὰρ εἰς αὐτὴν πλείστους τῶν πολεμίων συμπεφευγέναι, καὶ ἄλλως ὁρμητήριον ἰσχυρὸν οὖσαν αὐτῶν, πέμπει πεζούς τε καὶ ἱππεῖς τοὺς προεξομαλιοῦντας τὴν ὁδὸν, ὀρεινὴν ὑπάρχουσαν, καὶ πετρώδη, δύσβατόν τε καὶ πεζοῖς, ἱππεῦσι δὲ ἀμήχανον. οἱ μὲν οὖν τέσσαρσιν ἡμέραις ἐξειργάσαντο, καὶ πλατεῖαν ἤνοιξαν τῇ στρατιᾷ λεωφόρον. τῇ πέμπτῃ δὲ ὁ Ἰώσηπος, αὕτη δὲ ἦν Ἀρτεμισίου μηνὸς εἰκοστὴ πρώτη, φθάνει παρελθὼν εἰς τὴν Ἰωτάπατα ἐκ τῆς Τιβεριάδος, καὶ πεπτωκότα τοῖς Ἰουδαίοις ἀνίστησι τὰ φρονήματα.

Κεφ. ια.

Οὐεσπασιανῷ δέ τις εὐαγγελίζεται τὴν μετάβασιν τἀνδρὸς αὐτόμολος, καὶ κατήπειγεν ἐπὶ τὴν πόλιν, ὡς μετ' ἐκείνης αἱρήσων πᾶσαν Ἰουδαίαν, εἰ λάβοι τὸν Ἰώσηπον ὑποχείριον. ὁ δὲ ἁρπάσας ὥσπερ μέγιστον εὐτύχημα τὴν ἀγγελίαν, καὶ προνοίᾳ θεοῦ τὸν συνετώτατον εἶναι δοκοῦντα τῶν πολεμίων, οἰόμενος εἰς αὐθαίρετον εἱρκτὴν παρελθεῖν, εὐθέως σὺν χιλίοις ἱππεῦσι πέμπει Πλάκιδον, καὶ δεκαδάρχην Ἐβούτιον, ἄνδρα τῶν ἐπισήμων κατὰ χεῖρα καὶ σύνεσιν, περικαταχεῖν κελεύσας τὴν πόλιν, ὡς μὴ λάθοι διαδρὰς ὁ Ἰώσηπος. αὐτὸς δὲ μετὰ μίαν ἡμέραν ἀναλαβὼν πᾶσαν τὴν δύναμιν εἵπετο, καὶ μέχρι δείλης ὁδεύσας, πρὸς τὴν Ἰωτάπατα ἀφικνεῖται. ἀναλαβὼν δὲ τὴν στρατιὰν εἰς τὸ προσάρκτιον αὐτῆς μέρος, πρός τινι λόφῳ στρατοπεδεύεται, διέχοντι σταδίους ἑπτὰ τῆς πόλεως, πειρώμενος ὡς μάλιστα τοῖς πολεμίοις εὐσύνοπτος εἶναι πρὸς ἔκπληξιν, ἣ καὶ παραχρῆμα τοσαύτη τοὺς Ἰουδαίους κατέσχεν, ὡς μηδένα τοῦ τείχους τολμῆσαι προελθεῖν. Ῥωμαῖοι δ' εὐθὺς μὲν ἀπώκνησαν προσβαλεῖν, δι' ὅλης ὡδευκότες ἡμέρας. διπλῇ δὲ τῇ φάλαγγι κυκλοῦνται τὴν πόλιν, καὶ τρίτην ἔξωθεν περιϊστᾶσι τὴν ἵππον, πάσας ἀποφράσσοντες αὐτοῖς τὰς ἐξόδους. τοῦτό γε ἐν ἀπογνώσει σωτηρίας, παρώξυνε τοὺς Ἰουδαίους πρὸς τόλμαν. οὐδὲν γὰρ ἀνάγκης ἐν πολέμῳ μαχιμώτερον. γινομένης δὲ μεθ' ἡμέραν προσβολῆς, τὸ μὲν πρῶτον Ἰουδαῖοι κατὰ χώραν μένοντες, ἀντεῖχον ἀντικρὺ τῶν Ῥωμαίων ἐξεστρατοπεδευκότες πρὸ τοῦ τείχους. ὡς δὲ Οὐεσπασιανὸς, τούτοις μὲν τοὺς τοξότας καὶ σφενδονήτας, καὶ πᾶν τὸ τῶν ἑκηβόλων πλῆθος ἐπιστήσας, ἐκέλευσε βάλλειν, αὐτὸς δὲ μετὰ τῶν πεζῶν

in fugam versum iri credebant: neque in hoc eos voluntatis eius fallebat opinio. Videbat enim res Iudæorum quorsum cuaderet: vnamque illos viam salutis habere, si propositum mutauissent. Ipse verò, quamuis adhuc sibi speraret à Romanis veniam tribuendam, mori tamen sæpe maluisset, quàm prodita patria, cum dedecore administrationis sibi creditæ, apud illos feliciter agere, contra quos fuerat missus. Decreuit igitur Hierosolymam primatibus, quemadmodum sese res haberent, cum fide perscribere: ne vel minus extollendo vires hostium, timiditatis mox argueretur: vel minus aliquid nunciando, fortasse cœpti etiam pœnitentes ad ferociam reuocaret, vtque si fœdus eis placeret, citò rescriberent: aut si bellandum esset, dignum ei contra Romanos exercitum mitterent. Ille quidem hac epistola scripta, maturè mittit qui Hierosolymam literas ferret.

Cap. VII. Iotapata obsidio.

VEspasianus autem Iotapatam excindere cupiens (nam in eam plurimos hostium refugisse cognouerat, & præterea validissimum hoc eorum esse receptaculum) præmittit pedites cum equitibus qui montanum iter coæquarent, saxis asperum, ac peditibus quoque difficile, omnino verò equitibus inuium. Et hi quidem quattiduo fecêre quod iussum est, latamque aperuêre exercitui viam. Quinto autem die, qui mensis Maij vigesimus & primus erat, prior Iosephus in Iotapatam ex Tiberiade venit, abiectósque Iudæorum spiritus erigit. Cùm verò transitum eius Vespasiano quidam transfuga nunciasset, vtque mox ciuitatem peteret incitaret, veluti cum ea totam Iudæam capere posset, si Iosephum subiugasset: hoc ille nuncio pro maxima felicitate percepto, Dei prouidentia factum ratus, vt qui hostium prudentissimus videretur, vltro se etiam in custodiam traderet voluntariam: statim quidem cum equitibus mille Placidum mittit, vnáque decadarcham Ebutium, tam manu quàm prudentia virum insignem, circumuallare ciuitatem iussit, ne clàm inde Iosephus elaberetur. Postero autem die cuncta manu comitatus ipse consequitur, & post meridiem vsque acto itinere, ad Iotapatam peruenit: adductóque in Septentrionalem eius partem exercitu, in quodam tumulo castra ponit, distante ab oppido stadiis septem. Consulto autem quàm maximè conspici ab hostibus affectabat, vt visu attoniti turbarentur. quod etiam factum est: eósque tantus continuò stupor inuasit, vt muris egredi nullus auderet. At Romanos tota die ambulando fatigatos, ciuitatem statim aggredi piguit: ob eam causam duplici acie circumdato oppido, tertium extrinsecus agmen equitum posuêre, omnes Iudæis exitus obstruentes. Sed ea res illos in salutis desperatione audaciores effecit. quippe in bello nihil est necessitate pugnacius. Itaque postridie impetu in muros facto, Iudæi primo quidem locis suis manentes, Romanis castra ante muros habentibus resistebant. postea verò quàm Vespasianus & sagittarios & funditores, omnémque iaculatorum multitudinem adhibitam, missilibus in eos permisit vtiatq; ipse cum peditibus

in aduerſum collem. vnde murus expugnabilis erat, niti cœpit: tunc ciuitati metuens Ioſephus, & cùm eo cuncta Iudæorum proſiluit multitudo: omnéſque in Romanos pariter irruentes, procul à muris eos deterruêre, multa manu ſimul & audacia patrando facinora. Neque minora tamen patiebantur quàm faciebant. nam quantum ipſos ſalutis deſperatio, tantum pudor incendebat Romanos. & hos quidem peritia cum fortitudine, illos autem duce iracundia ferocitas armabat. Denique cùm tota die pugnatum fuiſſet, prælium nox diremit: in quo Romanorum plurimis ſauciatis, tredecim interfecti ſunt: Iudæorum autem cùm ſexcenti eſſent vulnerati, ſeptem & decem ceciderunt. Nihilóque minus, Romanis poſtridie iterum irruentibus occurrunt multóque fortius reſtiterunt: ex eo ſcilicet fiduciam nacti, quòd eos pridie præter ſpem ſuſtinuerant. ſed eos quoque pugnaciores experti ſunt, quòd eorum iracundiam pudor incenderat, vinci credentium, niſi citò viciſſent. Itaque per dies quinque Romanis minimè ab aggreſſione ceſſantibus, etiam Iotapatenorum excurſus agebantur, muríque fortius oppugnabantur. Et neque Iudæi vires hoſtium formidabant, neque Romanos difficultas oppidi capiendi laſſabat. Etenim Iotapata paulominus tota rupes eſt, ex aliis quidem partibus vndique vallibus immenſis præceps, vt earum altitudinem oculis deprehendere cupientium aſpectus ante deficiat. Ab vna verò tantùm Boreæ parte adiri poteſt, vbi per tranſuerſum latus deſinentis montis ædificata eſt: quod quidem ipſum muro ciuitatis Ioſephus fuerat amplexus, quo inacceſſa eſſent hoſtibus ſuperiora cacumina. Aliis verò circum montibus tecta, prius quàm in eam perueniretur, à nullo poterat conſpici: Iotapata quidem ſic erat communita. Veſpaſianus autem & cum natura loci ſimul certandum putans, & cum audacia Iudæorum, incipere obſidionem acriter ſtatuit: aduocatíſque rectoribus ſibi ſubditis, de aggreſſu deliberabat. Cúmque aggerem fieri placuiſſet, qua parte murus facilis erat acceſſui, totum ad comparandam materiam miſit exercitum: oppidóque propinquis montibus excifis, magnáque vi lignorum & lapidum comparata, cratibúſque ad euitanda iacula deſuper miſſa per vallos diſpoſitis, his protecti aggerem conſtruebant. nulla autem noxa vel minima telorum erat, quæ de muro iacerentur. His autem alij terram ex propinquis tumulis eruentes, ſine intermiſſione ſuppeditabant: cunctíſque trifariam diſtributis, nullus erat otioſus. At Iudæi ſuper eorum tegmina ſaxa ingentia & omne telorum genus curabant immittere, quæ licèt minimè penetrarent: magnos tamen crepitus dabant, & horribile impedimentum erat operantibus. Tunc igitur Veſpaſianus machinis miſſilium circũpoſitis (erant autem omnes cẽtum ſexaginta) in eos qui ſuper murum aſtarent, iuſſit tela contendi: ſimulque ex catapultis lanceæ percurrebant, ſaxáque tormentis ingentia mittebantur, ignîſque & ſagittarum frequentiſſima multitudo, quæ non ſolũ murum, ſed etiam totum intra iactum earũ ſpatium Iudæis inacceſſũ fecêre:

A εἰς τὸ προσάντες ἀνάθει καθὸ τοῦ τείχους ἦν εὐάλωτον, δείσας ἰώσηπος περὶ τῇ πόλει προπηδᾷ, καὶ σὺν αὐτῷ πᾶν τὸ τῶν ἰουδαίων πλῆθος. συμπεσόντες δὲ τοῖς ῥωμαίοις ἀθρόοι, τῶν μὲν τειχῶν ἀνέστειλαν αὐτούς, πολλὰ δὲ ἐπεδείκνυντο χειρῶν ἔργα καὶ τόλμης, οὐκ ἐλάσσω γε μὴν ὧν ἔδρων ἀντέπασχον. ὅσον γὰρ αὐτοῖς ἡ τῆς σωτηρίας ἀπόγνωσις, τοσοῦτον τοῖς ῥωμαίοις αἰδὼς παρεκρότει. καὶ τοὺς μὲν ἐμπειρία μετ᾽ ἀλκῆς, τοὺς δὲ θράσος ὥπλιζε τῷ θυμῷ στρατηγουμένους. παραταξάμενοι δὲ δι᾽
B ὅλης ἡμέρας, νυκτὶ διελύοντο. τρώσαντες μὲν πλείστους ῥωμαίων, τρισκαίδεκα δὲ ἀνελόντες ἄνδρας. αὐτῶν δὲ ἔπεσον μὲν δέκα καὶ ἑπτά, τραυματίαι δὲ ἐγένοντο ἑξακόσιοι. τῇ δὲ ὑστεραίᾳ πάλιν προσβάλλουσι τοῖς ῥωμαίοις ἀντεξελθόντες, καὶ πολὺ καρτερώτερον ἀντιπαρετάξαντο. θαρραλεώτεροι μὲν ἐκ τοῦ παρὰ λόγον ἀντισχεῖν τῇ προτέρᾳ γεγενημένοι, χρώμενοι δὲ καὶ τοῖς ῥωμαίοις μαχιμωτέροις. ὑπὸ γὰρ αἰδοῦς εἰς ὀργὴν ἐξε-
C καίοντο, τὸ μὴ ταχέως νικᾶν, ἧτταν ἡγούμενοι. καὶ μέχρι πέμπτης ἡμέρας, προσβολαὶ μὲν ἐγίνοντο τῶν ῥωμαίων ἀδιάλειπτοι, ἐκδρομαὶ δὲ τῶν ἰωταπατηνῶν, τειχομαχίαι καρτεραί. καὶ οὔτε ἰουδαῖοι τὴν τῶν πολεμίων ἰσχὺν κατερρώδουν, οὔτε ῥωμαῖοι πρὸς τὸ τῆς πόλεως δυσάλωτον ἀπέκαμνον.

Κεφ. ιβ.

Ἔστι δὲ ἰωτάπατα πλὴν ὀλίγου πᾶσα κρημνός, ἐκ μὲν τῶν ἄλλων μερῶν πάντοθεν φάραγξιν ἀπεί-
D ροις ἀπότομος, ὡς τῶν κατιδεῖν πειρωμένων τὰς ὄψεις προεξασθενεῖν τοῦ βάθους. ἀπὸ βορέου δὲ πρόσιτη μόνον, καθὸ λήγοντι τῷ ὄρει πλάγιος προσέκτισται. καὶ τοῦτο δ᾽ ὁ ἰώσηπος ἐμπεριειλήφει τειχίζων τὴν πόλιν, ὡς ἀκατάληπτον εἶναι πολεμίοις τὴν ὑπὲρ αὐτῆς ἀκρώρειαν. κυκλόθεν δὲ ἄλλοις ὄρεσι καλυπτομένη, πρὶν εἰσαφίκοιτό τις αὐτήν, παντελῶς ἀόρατος ἦν. εἶχε μὲν οὖν ὧδε ὀχυρότητος ἰωτάπατα. οὐεσπασιανὸς δὲ τῇ τε φύσει τοῦ χωρίου καὶ τῇ τόλμῃ τῶν ἰουδαίων ἀντιφιλονεικῶν, ἔγνω καρ-
E τερῶς ἅπτεσθαι τῆς πολιορκίας, καὶ προσκαλεσάμενος τοὺς ὑπ᾽ αὐτὸν ἡγεμόνας, ἐβουλεύετο περὶ τῆς προσβολῆς. δόξαν δὲ χῶσαι τὸ προσιτὸν τοῦ τείχους, ἐπὶ συγκομιδὴν ὕλης ἐκπέμπει πᾶν τὸ στράτευμα. καὶ κοπέντων τῶν περὶ τὴν πόλιν ὀρῶν, συναλισθείσης δὲ ἅμα τοῖς ξύλοις ἀπείρου χερμάδος, οἱ μὲν πρὸς ἀλεωρὰν τῶν ὕπερθεν ἀφιεμένων βελῶν, γέρρα διατείναντες ὑπὲρ χαρακωμάτων ἔχουν ὑπ᾽ αὐτοῖς, οὐδὲν ἢ μικρὰ
F βλαπτόμενοι ταῖς ἀπὸ τοῦ τείχους βολαῖς. οἱ δὲ τοὺς πλησίον ὄχθους ἀνασπῶντες, γῆν αὐτοῖς ἀδιαλείπτως προσέφερον, τριχῇ δὲ διῃρημένων, ἀργὸς ἦν οὐδείς. οἱ δὲ ἰουδαῖοι πέτρας τε μεγάλας ἀπὸ τῶν τειχῶν τοῖς σκεπάσμασιν αὐτῶν ἐπηφίεσαν, καὶ πᾶν εἶδος βελῶν. ἦν δὲ καὶ μὴ διϊκνουμένων, πολὺς ὢν ὁ ψόφος καὶ φοβερός, ἐμπόδιον τοῖς ἐργαζομένοις. οὐεσπασιανὸς δὲ ἐν κύκλῳ τὰς ἀφετηρίους μηχανὰς ἐπιστήσας, τὰ πάντα δὲ ἦν ἑκατὸν ἑξήκοντα ὄργανα, βάλλειν ἐκέ-
G λευσε τοὺς ἀπὸ τοῦ τείχους. ὁμοῦ δὲ οἵ τε καταπέλται τὰς λόγχας ἀνερροίζουν, καὶ ταλαντιαῖοι λίθοι μέγεθος ἐκ τῶν πετροβόλων ἐβάλλοντο, πῦρ τε καὶ πλῆθος ἀθρόων οἰστῶν ἀπαιωρούμενον τὸ τεῖχος ἀνεπίβατον τοῖς ἰουδαίοις ἐποίησεν. ἀλλὰ καὶ τῆς ἐντός, ὅσης ἐφικνεῖτο χώρας.

καὶ γὰρ

καὶ γὰρ τὸ τῶν Ἀράβων τοξοτῶν πλῆθος ἀκοντισταί τε καὶ σφενδονῆται πάντες, ἅμα τοῖς μηχανήμασιν ἔβαλλον. οὐ μὴν εἰργόμενοι τῆς καθύπερθεν ἀμύνης ἠρέμουν. ἐκθέοντες γὰρ λῃστρικώτερον κατὰ λόχους, περιέσπων τε τῶν ἐργαζομένων τὰς σκέπας, καὶ τοὺς γυμνουμένους ἔπαιον, καὶ καθὸ παρείκοιεν ἐκεῖνοι, διερρίπτουν τὸ χῶμα, καὶ τὰ χαρακώματα σὺν τοῖς γέρροις ἐνεπίπρασαν, μέχρι συνεὶς Οὐεσπασιανὸς τὴν διαίρεσιν τῶν ἔργων αἰτίαν εἶναι τῆς βλάβης, τὰ γὰρ διαστήματα τοῖς Ἰουδαίοις προσβολῆς παρεῖχε τόπον, ἑνοῖ τὰς σκέπας. καὶ συναφθείσης ἅμα αὐτοῖς τῆς δυνάμεως, ἀνείρχθησαν αἱ τῶν Ἰουδαίων παραδύσεις.

Κεφ. ιγ'.

Ἐγειρομένου δὲ τοῦ χώματος ἤδη, καὶ τῆς ἐπάλξεσιν ὅσον οὔπω πλησιάζοντος, δεινὸν Ἰώσηπος νομίσας εἰ μηδὲν ἀντιμηχανήσαιτο τῇ πόλει σωτήριον, συναθροίζει τέκτονας, καὶ τὸ τεῖχος ἐκέλευσεν ὑψοῦν. τῶν δὲ ἀδύνατον εἶναι φαμένων οἰκοδομεῖν τοσούτοις βέλεσι βαλλομένοις, σκέπην αὐτοῖς ἐπινοεῖ τοιάνδε. δρυφάκτους πήξασθαι κελεύσας, ἐμπετάσαι τε βύρσας νεοδόρους βοῶν, ὡς ἂν δέχοιντο μὲν τοὺς ἀπὸ τῶν πετροβόλων λίθους κολπούμεναι, περιολισθαίνοι δὲ ἀπ' αὐτῶν τὰ λοιπὰ βέλη, καὶ τὸ πῦρ ὑπὸ τῆς ἰκμάδος εἴργοιτο, προανίστησι τῶν τεκτόνων, ἐπ' οἷς ἀσφαλῶς ἐργαζόμενοι δι' ἡμέρας τε καὶ νυκτὸς τὸ τεῖχος ἤγειραν, εἰς εἴκοσι πήχεις τὸ ὕψος. καὶ συχνοὺς μὲν πύργους ἐνῳκοδόμησαν αὐτῷ, καρτεράν τε ἔπαλξιν ἐφηρμόσαντο. τοῦτο τοῖς Ῥωμαίοις ἐντὸς ἤδη τῆς πόλεως οἰομένοις εἶναι, πολλὴν ἐποίησεν ἀθυμίαν, καὶ πρός τε τὴν ἐπίνοιαν τοῦ Ἰωσήπου, καὶ τὸ παράστημα τῶν ἐπὶ τῆς πόλεως κατεπλάγησαν. Οὐεσπασιανὸς δὲ, καὶ πρὸς τὸ πανοῦργον τοῦ στρατηγήματος, καὶ πρὸς τὰς τόλμας, παρωξύνετο τῶν Ἰωταπατηνῶν. πάλιν γὰρ ἀναθαρσήσαντες ἐπὶ τῷ τειχισμῷ, τοῖς Ῥωμαίοις ἐπεξέθεον, καὶ καθ' ἡμέραν ἐγίνοντο συμπλοκαὶ, καὶ κατὰ λόχους, ἐπίνοιά τε λῃστρικὴ πᾶσα, καὶ τῶν προστυχόντων ἁρπαγαὶ, καὶ τῶν ἄλλων ἔργων πυρπολήσεις, ἕως Οὐεσπασιανὸς ἀναπαύσας τὴν στρατιὰν μάχης, διέγνω προσκαθεζόμενος σπάνει τῶν ἐπιτηδείων αἱρεῖν τὴν πόλιν. ἢ γὰρ ἀναγκαζομένους ἀπορίᾳ τῶν ἀναγκαίων ἱκετεύειν αὐτὸν, ἢ μέχρι παντὸς ἐπαυθαδισαμένους διαφθαρήσεσθαι λιμῷ. πολύ τε ῥᾷον αὐτοῖς ἠξίου χρήσεσθαι κατὰ τὴν μάχην, εἰ διαλιπὼν αὖθις ἐκτετρυχωμένοις ἐπιπέσοι. φρουρεῖν δὲ πάσας αὐτῶν ἐκέλευσε τὰς ἐξόδους. τοῖς δὲ σίτου μὲν ἦν πλῆθος ἔνδον, καὶ τῶν ἄλλων, πλὴν ἁλὸς ἁπάντων. ἔνδεια δὲ ὕδατος, ὡς ἂν πηγῆς μὲν οὐκ οὔσης κατὰ τὴν πόλιν, τῷ ὀμβρίῳ διαρκουμένων τῶν ἐν αὐτῇ. σπάνιον δὲ εἴποτε τὸ κλίμα θέρους ὕεται. καὶ κατὰ ταύτην τὴν ὥραν πολιορκουμένων, ἀθυμία δεινὴ πρὸς τὴν τοῦ δίψους ἐπίνοιαν ἦν. ἤσχαλλόν τε ὡς ἤδη ἐπιλελοιπότος καθάπαν ὕδατος. ὁ γὰρ Ἰώσηπος τήν τε πόλιν ὁρῶν τῶν ἄλλων ἐπιτηδείων εὔπορον, καὶ τὰ φρονήματα γενναῖα τῶν ἀνδρῶν, βουλόμενός τε Ῥωμαίοις παρ' ἐλπίδα ἐκτεῖναι τὴν πολιορκίαν, μέτρῳ τὸ ποτὸν αὐτοῖς διένεμεν. οἱ δὲ τὸ ταμιεύεσθαι χαλεπώτερον ἐνδείας ὑπελάμβανον, καὶ τὸ μὴ αὐτεξούσιον αὐτῶν πλέον ἐκίνει τὴν ὄρεξιν, καὶ καθάπερ εἰς ἔσχατον ἤδη δίψους προήκοντες ἀπέκαμνον. διακείμενοι δὲ οὕτως

A Arabum enim sagittariorum manus, & iaculatores, itémque funditores & omnes machinæ tela iaciebant. Neque tamen his Iudæi prohibiti, ne desuper propugnarent, quieti erant: sed excurrendo per cuneos more latronum, tegmina operantium detrahebant, nudatósque feriebant: & vbi illi cessissent, aggerem dissipabant, vallorúmque munimenta cum cratibus igni tradebant: donec Vespasianus cognito, huius damni causam ex distributione B operum contigisse, quòd interiecta spacia Iudæi locum aggrediendi præberent, adunauit tegmina: coniunctísque pariter viribus obreptiones hostium præpeditæ sunt. Erecto autem propemodum aggere, paulóque minus æquato propugnaculis, indignum esse ratus Iosephus, nihil contra moliri, quod oppido saluti foret, conuocat fabros, murúmque altiùs iubet extolli. Cúmque illi tam multis obstantibus iaculis minimè C ædificare posse affirmarent, hanc eis defensionem excogitauit. Sudibus fixis per eos boum coria recentia extendi præcepit, quæ emissos tormentis lapides sinuata susciperent, quibúsque repulsa tela cætera dilaberentur, & ignis humore languesceret. hísque ante fabros oppositis, illi murum die noctúque operando, ad viginti cubitorum altitudinem erexerunt, crebris etiam turribus in eo constructis, minisque validissimis aptatis. Quæ quidem res D Romanis iam intra ciuitatem se esse credentibus, magnum mœrorem comparauit, tam Iosephi molitione, quàm oppidanorum obstinatione perterritis.

Cap. VIII. Obsidio Iotapatenorũ à Vespasiano, & diligentia Iosephi: déque Iudæorum excursione in Romanos.

At Vespasianus & calliditate consilij, & hostium audacia magis irritabatur: qui iam recepta ex munitione fiducia, Romanos vltro incursabant: ínque dies singulos prælia cateruatim, & cuiusque modi latrocinales dolí, & eorum quæ casus obtulisset rapinæ, a- E liorúmque incendia fiebant: donec Vespasianus retento milite à pugna, statuit obsidere ciuitatem, vt eam vsui necessariorum penuria caperet. Aut enim coactos inopia sibi supplicaturos, aut si ad finem vsque in eadem pertinacia durauissent, fame consumendos eius habitatores putabat: multóque faciliores expugnatu fore, si post interuallum rursus anxiis incubuisset. Itaque omnes exitus eorum F asseruari præcepit. Illi autem frumenti quidem aliarúmque omnium rerum intus habebant copiam, præter salem. aquæ verò penuria eos affligebat: quia neque fons erat intra ciuitatem, & imbre contentis habitatoribus, rara est in illo tractu æstiuis mensibus pluuia. quo tempore obsessi etiam hoc vehementius afficiebantur, quod arcendæ siti fuerat excogitatum: quódque fieri, velut omnis aqua iam defecisset, ægrè ferebant. Iosephus enim cùm & ciuitatem videret abundare aliis rebus G fortésque animo viros esse; quo longiorem Romanis obsidionem faceret, quàm sperabat, iam tum potum mensura ciuibus ministrabat. illis autem conseruari aquam penuria grauius esse videbatur: ampliorémque cupiditatem mouebat, quòd ius bibendi liberum non haberent: ac velut ad extremam sitim peruentũ esset, labori cedebât. Hoc autẽ modo affecti,

Romanos latere non poterant, qui ex aduerso colle trans murum in vnum eos confluere locum, & aquæ mensuram accipere prospectabant: quò etiam balistarum peruenientibus telis, plurimos occidebant. Vespasianus quidem non multo pòst, exhaustis puteis, ipsa sibi necessitate traditum iri ciuitatem sperabat. Iosephus autem, vt hanc eius spem frangeret: iussit quàm plurimos per murorum minas immersa vndis atque humida vestimenta suspendere, vt omnes repente aqua perfluerent. ex quo mœror simul Romanis ac timor erat, cùm tantum aquæ viderent eos ludibrio consumere, quos potu indigere credebant. Denique dux belli etiam ipse, quia penuria ciuitatem posse capere desperasset, iterum cōsilium ad vim atque arma conuertit: Iudæis quoque id maximè cupientibus: quòd nec se nec ciuitatem saluam fore credebant, & priusquam fame, vel siti perirent, mortem bello optabant. Iosephus tamen, præter hoc etiam aliud consilium, quo sibi copia pararetur, per quandam vallem deuiam, proptereáque minus curiosè habitam à custodibus, excogitauit. Mittendo enim per occiduas eius partes literas ad quos vellet Iudæos extra ciuitatem degentes, ab his omnia vsui necessaria, & quæ in ciuitate defecerant, accipiebat: mandato commeantibus, vt plerunq; ad excubias reperent, terga velleribus tecti: quo si qui eos nocte vidissent, canum similitudine fallerentur. idque factitatum est, donec eius fraudem vigiles persenserunt, vallémque cinxerunt. Itaque tunc Iosephus non diu ciuitatem sustinere posse prospiciens, suámque pariter salutem, si vellet remanere, desperans, cum optimatibus de fuga tractabat. verùm id populus sensit, & circa eum fusus, ne sese negligeret, precabatur, in quo solo recumberent. ipsum enim saluti esse ciuitati manentem, velut omnes eius causa alacri essent animo certaturi. quòd si etiam capiantur, eundem solatio fore. decere autem illum nec inimicos fugere, nec amicos deserere, aut quasi ex naui tempestate oppressa desilire, qui ad eam tranquillo mari venisset. ipsum enim magis demersurum esse ciuitatem, cùm iam nemo audebit hostibus repugnare, si discessisset cui confiderent. Iosephus autem quòd sibi caueret occultans, illorum commodo se exitum parare dicebat. nā intra ciuitatem manendo, neque seruatis grande aliquid se profuturum: & si caperetur, vnà cum his esse frustra periturum, obsidione verò liberatum, extrinsecus maximo eis emolumēto fore. maturè enim congregatis ex territorio Galilæis, alio bello Romanos ab eorum ciuitate reuocaturum. nunc autem non videre, quid apud eos residens vtilitatis afferret, nisi quòd Romanos ad obsidionem magis incitaret, vt se caperent magnipendentes: quem si fugisse cognouissent, multum essent de obsidionis impetu remissuri. Non flexit his populum Iosephus, sed hoc circunsistere se magis incendit. denique pueri & senes, itemque mulierculæ cum infantibus flentes ad eius pedes accidebant, cúmque omnes complexi tenebant: & vt fortunæ socius sibi remaneret, cum vlulatibus supplicabant: non inuidia salutis eius

οὐκ ἐλάνθανον τοὺς ῥωμαίους. ἀπὸ γὰρ τοῦ κατάντους ἑώρων αὐτοὺς ὑπὲρ τὸ τεῖχος ἐφ᾽ ἕνα συῤῥέοντας τόπον, καὶ μεριζομένους τὸ ὕδωρ, ἐφ᾽ ὃν καὶ τοῖς ὀξυβελέσιν ἐξικνούμενοι πολλοὺς ἀνῄρουν. καὶ Οὐεσπασιανὸς μὲν, οὐκ εἰς μακρὰν τῶν ἐκδοχείων κενωθέντων, ἤλπιζεν ὑπὸ τῆς ἀνάγκης αὐτοῦ παραδοθήσεσθαι τὴν πόλιν. ὁ δὲ ἰώσηπος κλάσαι μὲν τὴν ἐλπίδα ταύτην αὐτοῦ προαιρούμενος, ἐμβρέξαι κελεύει πλείστους τὰ ἱμάτια, καὶ κατακρεμάσαι περὶ τὰς ἐπάλξεις, ὥστε περιῤῥεῖσθαι πᾶν ἐξαπίνης τὸ τεῖχος. πρὸς τοῦτο ἀθυμία τῶν ῥωμαίων, καὶ κατάπληξις ἦν, θεασαμένων εἰς χλεύην τοσοῦτον παραναλίσκοντας ὕδατος, οὓς οὐδὲ ποτὸν ἔχειν ὑπελάμβανον. ὥστε καὶ τὸν στρατηγὸν ἀπογνόντα τὴν δι᾽ ἐνδείας ἅλωσιν, τρέπεσθαι πάλιν πρὸς ὅπλα καὶ βίαν. ὃ δὴ τοῖς ἰουδαίοις δι᾽ ἐπιθυμίας ἦν. ἀπεγνωκότες γὰρ ἑαυτοὺς καὶ τὴν πόλιν, πρὸ λιμοῦ καὶ δίψης τὸν ἐν πολέμῳ θάνατον ᾑροῦντο. ὁ μέντοι γε ἰώσηπος πρὸς τῷδε τῷ στρατηγήματι καὶ ἕτερον ἐνετέχνησεν εἰς περιουσίαν αὐτοῦ. διά τινος χαράδρας δυσβάτου, καὶ διὰ τοῦτο ὑπὸ τῶν φυλακῶν ἀμελουμένης κατὰ τὰ πρὸς δύσιν μέρη τῆς φάραγγος ἐκπέμπων τινὰς, γράμματα πρὸς οὓς ἐβούλετο τῶν ἔξω ἰουδαίων διεπέμψατο, καὶ παρ᾽ αὐτῶν ἐλάμβανε, παντὸς τοῦ ἐπιτηδείου τῶν ἐπιλελοιπότων ἀνὰ τὴν πόλιν εὐπόρησεν, ἕρπειν τὰ πολλὰ παρὰ τὰς φυλακὰς κελεύσας τοῖς εἰσιοῦσι, καὶ τὰ νῶτα καλύπτειν νάκεσιν, ὡς εἰ καὶ κατίδοι τις αὐτοὺς νύκτωρ, φαντασίαν παρέχοιεν κυνῶν. μέχρι συναισθόμενοι τῆς ἐπινοίας οἱ φρουροὶ περιέχουσι τὴν χαράδραν.

Κεφ. ιδ.

Καὶ τότε ἰώσηπος μὲν τὴν πόλιν οὐκ εἰς μακρὰν ἀνθέξειν ὁρῶν, ἐν ἀπόρῳ δὲ τὴν ἑαυτοῦ σωτηρίαν αἰσθόμενος, δρασμὸν ἅμα τοῖς δυνατοῖς ἐβουλεύετο. συναισθόμενον δὲ τὸ πλῆθος καὶ περιχυθὲν αὐτῷ, κατηντιβόλει, μὴ σφᾶς περιϊδεῖν ἐπ᾽ αὐτῷ μόνῳ κειμένους. εἶναι γὰρ τῇ πόλει καὶ σωτηρίας μὲν ἐλπίς, παραμένοντος αὐτοῦ, παντὸς ἀγωνισομένου δι᾽ αὐτὸν προθύμως. κἂν ἁλῶσι δὲ, παραμυθία. πρέπειν δὲ αὐτῷ μήτε φεύγειν τοὺς ἐχθροὺς, μήτε ἐγκαταλείπειν τοὺς φίλους, μηδὲ ἀποπηδᾶν ὥσπερ χειμαζομένης νεὼς, εἰς ἣν ἐν γαλήνῃ παρῆλθεν. ἐπιβαπτίσειν γὰρ αὐτὸν τὴν πόλιν, μηδενὸς ἔτι τολμῶντος τοῖς πολεμίοις ἀνθίστασθαι, δι᾽ ὃν ἂν θαῤῥοῖεν οἰχομένου. ὁ δὲ ἰώσηπος, τὸ καθ᾽ αὑτὸν ἀσφαλὲς ὑποστελλόμενος, ὑπὲρ αὐτῶν ἔφασκε ποιεῖσθαι τὴν ἔξοδον. μένων μὲν γὰρ οὔτ᾽ ἂν ὠφελῆσαι τι μέγα σωζομένους, κἂν ἁλίσκωνται, συναπολεῖσθαι περισσός. ἐκδὺς δὲ τῆς πολιορκίας ἔξωθεν, ὠφελήσειν αὐτοὺς μέγιστα. τούς τε γὰρ ἐκ τῆς χώρας γαλιλαίους συναθροίσειν ἐν τάχει, καὶ ῥωμαίους ἑτέρῳ πολέμῳ τῆς πόλεως αὐτῶν ἀντιπερισπάσειν. οὐχ ὁρᾶν δὲ τί παρακαθεζόμενος αὐτοῖς χρήσιμος εἴη νῦν, πλὴν εἰ ῥωμαίους παροξύνων μᾶλλον ἐπὶ τὴν πολιορκίαν, ὡς περὶ πλείστου ποιεῖσθαι λαβεῖν αὐτόν. εἰ δὲ ἐκδράντα πύθοιντο, πολὺ τῆς ἐπὶ τὴν πόλιν ὁρμῆς ἀνήσειν. οὐκ ἔπειθέ τε αὐτοὺς, ἀλλὰ μᾶλλον ἐξέκαυσε τὸ πλῆθος αὐτῷ περιέχεσθαι. παῖδες γοῦν καὶ γέροντες, καὶ γύναια μετὰ νηπίων ὀδυρόμενα προσέπιπτον αὐτῷ, καὶ τοῖς ποσὶν ἐμπλεκόμενοι πάντες εἴχοντο, καὶ μετὰ κωκυτῶν κοινωνὸν σφίσι τῆς τύχης μένειν ἱκέτευον, οὐ φθόνῳ τῆς ἐκείνου σωτηρίας,

ἔμοιγε

ἔμοιγε δοκεῖν, ἀλλ' ἐλπίδι τῇ αὐτῶν. οὐδὲν γὰρ ἠξίουν πείσεσθαι δεινὸν Ἰωσήπου μένοντος. ὁ δὲ πειθομένῳ ἱκετηρίαν ταῦτα νομίσας, βιαζομένῳ δὲ φρουράν, πολὺ δὲ αὐτῷ τῆς εἰς τὴν ἀπόλειψιν ὁρμῆς καὶ ὁ τῶν ὀδυρομένων ἔκλασεν οἶκτος, μένειν τε ἔγνω, καὶ τὴν κοινὴν τῆς πόλεως ἀπόγνωσιν ἐπλισάμενος, νῦν καιρὸς εἰπὼν ἄρχεσθαι μάχης, ὅτε ἐλπὶς οὐκ ἔστι σωτηρίας, καλὴν εὔκλειαν ἀνταλλαξάμενον τοῦ βίου, καὶ δράσαντα τι γενναῖον εἰς μνήμην ὀψιγόνων πεσεῖν, ἐπ' ἔργα τρέπεται. καὶ προελθὼν μετὰ τῶν μαχιμωτάτων, διεσκίδνα τε τοὺς φρουρούς, καὶ μέχρι τοῦ στρατοπέδου τῶν Ῥωμαίων κατέτρεχε. καὶ τὰς μὲν ἐπὶ τῶν χωμάτων δέρρεις, αἷς ὑπεσκήνουν, διέσπα. τοῖς δὲ ἔργοις ἐνέβαλε πῦρ. τῇ θ' ἑξῆς ὁμοίως, καὶ τῇ τρίτῃ, καὶ ἐπὶ συχνὰς ἡμέρας καὶ νύκτας, πολεμῶν οὐκ ἔκαμνεν. Οὐεσπασιανὸς δὲ τῶν τε Ῥωμαίων κακουμένων ταῖς ἐκδρομαῖς, τρέπεσθαί τε γὰρ ὑπὸ Ἰουδαίων ᾐδοῦντο, καὶ τραπέντων ἐπιδιώκειν βάρει τῶν ὅπλων ἦσαν βραδεῖς, οἵ τε Ἰουδαῖοι πρὶν τι παθεῖν ἀεὶ δρῶντες, ἀνέφευγον εἰς τὴν πόλιν, τοῖς μὲν ὁπλίταις τὰς ὁρμὰς αὐτῶν ἐκκλίνειν ἐκέλευσε, καὶ μὴ συμπλέκεσθαι θανατῶσιν ἀνθρώποις. οὐδὲν γὰρ ἀλκιμώτερον εἶναι τῆς ἀπογνώσεως. περισβέννυσθαι δὲ αὐτοῖς τὰς ὁρμάς, σκοπῶν ἀποτυγχανομένας, ὥσπερ ὕλης τὸ πῦρ. προσήκειν γε μὴν καὶ Ῥωμαίοις μετ' ἀσφαλείας, καὶ τὸ νικᾶν, ὡς ἂν ἐξ ἀνάγκης πολεμοῦσιν, ἀλλ' οὐ προσχρωμένοις. τοῖς δὲ τῶν Ἀράβων τοξόταις, καὶ τοῖς ἀπὸ Συρίας σφενδονήταις, καὶ λιθοβόλοις, τὰ πολλὰ τοὺς Ἰουδαίους ἀνέστελλεν. ἠρέμει δὲ οὐδὲ τῶν ἀφετηρίων ὀργάνων τὸ πλῆθος. οἱ δὲ τούτοις μὲν εἶκον κακούμενοι, τῶν δὲ πόρρω βαλλομένων ἐνδοτέρω γινόμενοι, προσέκειντο τοῖς Ῥωμαίοις χαλεποί, καὶ ψυχῆς καὶ σώματος ἀφειδοῦντες, ἐμάχοντο ἐκ διαδοχῆς ἑκάτεροι τὸ κεκμηκὸς ἑαυτῶν ἀναλαμβάνοντες.

Κεφ. ιε.

Οὐεσπασιανὸς δὲ ἡγούμενος τῷ μήκει τοῦ χρόνου καὶ ταῖς ἐκδρομαῖς ἀντιπολιορκεῖσθαι, τῶν χωμάτων ἤδη τοῖς τείχεσι πελαζόντων, προσάγειν ἔγνω τὸν κριόν. ὁ δέ ἐστιν ὑπερμεγέθης δοκός, ἱστῷ νηὸς παραπλήσιος. ἐστόμωται δὲ παχεῖ σιδήρῳ κατ' ἄκρον εἰς κριοῦ προτομήν, ἀφ' οὗ καὶ καλεῖται, τετυπωμένῳ. κατῃώρηται δὲ κάλοις μέσος, ὥσπερ ἀπὸ πλάστιγγος ἑτέρας δοκοῦ, σταυροῖς ἑκατέρωθεν ἑδραίοις ἐστηριγμένης. ἀνωθούμενος δὲ ὑπὸ πλήθους ἀνδρῶν εἰς τὸ κατόπιν, τῶν αὐτῶν ἀθρόως πάλιν εἰς τοὔμπροσθεν ἐπιβρισάντων, τύπτει τὰ τείχη τῷ προανέχοντι σιδήρῳ. καὶ οὐδεὶς οὕτω καρτερὸς πύργος ἢ περίβολος πλατύς, ὃς καὶ τὰς πρώτας πληγὰς ἐνέγκῃ κατισχύσαι τῆς ἐπιμονῆς. ἐπὶ ταύτην τὴν πεῖραν ὁ στρατηγὸς τῶν Ῥωμαίων μετέβαινε, βίᾳ τὴν πόλιν ἑλεῖν σπεύδων, ὡς τὸ προσκαθέζεσθαι βλαβερὸν ἦν, Ἰουδαίων ἠρεμούντων. οἱ μὲν οὖν τούς τε καταπέλτας, καὶ τὰ λοιπὰ τῶν ἀφετηρίων, ὡς ἐξικνοῖτο τῶν ἐπὶ τοῦ τείχους κωλύειν πειρωμένων, ἔγγιον προσαγαγόντες ἔβαλλον. ὁμοίως δὲ συνήγγιζον οἱ τοξόται καὶ σφενδονῆται. διὰ δὲ ταῦτα μηδενὸς τῶν περιβόλων ἐπιβῆναι τολμῶντος, προσῆγον ἕτεροι τὸν κριόν, γέρροις διηνεκέσι, καὶ καθύπερθε πεφραγμένον δέρρει, πρός τε αὐτῶν καὶ τοῦ μηχανήματος ἀσφάλειαν.

A quantum ego arbitror, sed propria spe. nihil enim se mali, remanente Iosepho, existimabant, esse passuros. Ille autem siquidem paruisset, hæc preces esse ratus: custodiam verò, si per vim cogeretur (multum enim propositum discessus etiam querelatum misericordia fregerat) remanere statuit. communníque desperatione ciuitatis armatus, & nunc tempus esse dicens pugnam incipere, cùm spes nulla salutis est: pulchrúmque vitam pacisci pro laude, B ac forti aliquo patrato facinore in memoriam posteritatis occumbere: ad opera sese conuertit. Cum pugnacissimis ergo egressus, disiectis custodibus, vsque ad Romanorum castra excurrebat: & nunc pelles aggeribus impositas, sub quibus tendebant, discerpere: nunc operibus ignem immittere. posteróque die similiter ac tertio & per aliquot deinceps dies ac noctes bellando non defatigabatur. Sed Vespasianus Romanos his excursibus malè affe- C ctos aspiciens (nam & terga dare Iudæis pudebat, & fugientes insequi armorum pondere tardabantur: cùm Iudæi semper aliquid agentes, priusquam paterentur, in ciuitatem refugerent) armatis imperat, vt eorum impetum declinarent, néve cum hominibus mortis auidis manum consererent. Nihil esse fortius desperatis. Restingui autem illorum impetus, si proposito frustrentur, quasi flammam si materiam non inueniat. Ad hoc oportere Roma- D nos cautiùs quærere victoriam, augendæ possessiònis causa non ex necessitate pugnantes. Per sagittarios autem Arabum & Syriæ & funditores, pérque saxa tormentis emissa plerunque repellebat Iudæos. nulla enim telorum machina quiescebat. Illi autem his quidem malè accepti cedebant: verùm eminus missa intra iactum subeuntes, sæuiùs Romanis instabant: cùm neque corpori, neque animæ parcerent: sed per vicem vtrinque pugnarent, suorum E quisque laborantibus subuenientes.

CAP. IX. De oppugnatione Vespasiani contra Iotapatam, ariete & aliis tormentis bellicis.

IGitur Vespasianus vltro se existimans longitudine temporis, hostiúmque incursibus obsideri, cùm prope iam muris aggeres æquarentur, arietem admouere decreuit. Est autem aries, immensa materia, malo nauis assimilis: cuius summum graui ferro solidatum est, in arietis effigiem fabricato, vnde etiam nomen accepit. depédet autem funibus medius ex trabe alia, velut ex trutina, palis vtrinque fultus, F bene fundatis. retrorsum autem magna virorum multitudine repulsus, iisdémque simul rursus impellentibus missus, in fronte prominente ferro mœnia percutit: nec est vlla tam valida turris, aut murorum ambitus adeò latus, vt etsi priores ictus fortiter sustinuerit, assiduos vincat. Ad huius periculum rei duci Romano transire placuit vi capere oppidum properanti: quoniam perniciosa videbatur obsidio, Iudæis minimè quiescentibus. G Itaque Romani quidem balistis cæterísque missilium machinis, vt facilius ferirentur qui de muris obstare tentassent propius adhibitis vtebantur: neque sagittarij aut funditores longius aberant. cùm verò ea causa muros nemo auderet ascendere, ipsi arietem applicant cratibus desuper itémque pellibus septum, tam pro sui defensione quàm machinæ.

Et primo quidem impetu mœnia concussa sunt: clamórque oppidanorum, velut iam capti essent, maximus factus est. Iosephus autem eundem locum sæpe feriri, neque multo post murum disturbatum iri prospiciens, quo commento vim machinæ paulatim falleret excogitauit. Saccos enim paleis confertos, quà semper impetum arietis ferri viderent, demitti iussit ex muro: vt eo modo secundi ictus errarent, aut etiam excepta vulnera laxitas frustraretur. Quæ quidem res multum Romanis moræ attulit. nam quocunque hi machinam conuertissent, contrà illi qui super murum stabant, palearum traducentes saccos, ictibus supponebant, nihílque murus repercussione lædebatur, donec etiam Romani aduersus hoc aliud machinati sunt: proceris enim contis expeditis, in his summis falces quibus saccos abscinderent alligarunt. Cùm autem hoc modo efficax esset opus arietis, ac murus (qui recens ædificatus erat) ictibus cederet, quod reliquum erat, Iosephus eiúsque socij ad ignis auxilium se contulerunt: accensúmque totum quod aridæ fuit materiæ, tribus ex locis pariter inflammarunt, vnáque machinas & propugnacula Romanorum & aggeres concremarunt. Illi verò non sine malo subueniebant, audacia simul eorum territi, & ne adiumento essent, flammis prouentibus impediti: quæ aridum nactæ fomitem, & præterea bitumen ac picem, necnon etiam sulfur, opinione citius volitabant: operáque Romanorum multo labore curata, vnius horæ spatio pessum dederunt. Hic etiam vir quidam Iudæus, prædicatione ac memoria dignus inuentus est, Sammæi filius Eleazarus, cui Saab Galilææ patria fuit. Is enim saxum ingens altè sublatum, tanta vi super arietem ex muro demisit, vt machinæ caput abrumperet, idque ex mediis hostibus saltu ad eos delatus auferret, nullóque metu reportaret ad murum. Postremò tanquam signum quò tela mitterent, hostibus propositus, nudo corpore quinque sagittarum vulneribus fixus est: earúmque nulla respecta, vbi murum ascendit, vnde iam videri ab omnibus poterat, sua audacia ibi constitit, contractúsque dolore plagarum cum ariete decidit. Post hunc fortissimi extiterunt duo fratres Neritas & Philippus de vico Ruma Galilæi. Qui cùm super milites decimæ legionis prosiliissent, tanto impetu vique irruerunt, vt & aciem Romanorum perrumperent, quíque aduersum ierant, omnes in fugam verterent. Præter hos Iosephus quoque & cætera multitudo, raptis ignibus, machinas & refugia, cum operibus quintæ itémque decimæ, eius quæ terga dederat legionis, incendunt. Cæteri autem qui mox consecuti sunt, & instrumenta & omne genus materiæ obruerunt. Rursus autem Romani sub vesperam, erectum arietem ad eam muri partem, quæ pridem quassata fuerat, appulêre: ibíque propugnatorum quidam Vespasiani plantam sagitta percussam leuiter vulnerat, quia vis teli spatio defecisset. Maximam tunc id Romanis perturbationem fecit. his enim, qui propè aderant viso sanguine perterritis, per omnem fama cucurrit exercitum: relictáque obsidione, plerique cum stupore atque formidine ad ducem belli

A καὶ κατὰ τὴν πρώτην πληγὴν, διεσείσθη μὲν τὸ τεῖχος, κραυγὴ δὲ μεγίστη παρὰ τῶν ἔνδοθεν ἤρθη, καθάπερ ἑαλωκότων ἤδη. πολλάκις δὲ εἰς τὸν αὐτὸν παίοντας τόπον, ὁ ἰώσηπος ὁρῶν ὅσον οὔπω καταρριφησόμενον τὸ τεῖχος, σοφίζεται πρὸς ὀλίγον τὴν βίαν τοῦ μηχανήματος. σάκκους ἀχύρων πληρώσαντας ἐκέλευσε καθιμᾶν, καθ' ὃ φερόμενον ἀεὶ τὸν κριὸν ὁρῷεν, ὡς πλάζοιτό τε ἡ ἐμβολὴ, καὶ δεχόμενοι τὰς πληγὰς, ἐκκενοῖεν τῇ χαυνότητι. τοῦτο πλείστην διατριβὴν παρέσχε τοῖς ῥωμαίοις, καθ' ὃ
B μὲν τρέποιεν τὴν μηχανὴν, ἀντιπαραγόντων τοὺς σάκκους τῶν ὕπερθεν, ὑποβαλλόντων δὲ ταῖς ἐμβολαῖς ὡς μηδὲν κατ' ἀντιτυπίαν βλάπτεσθαι τὸ τεῖχος, ἕως ἀντεπινοήσαντες κόντους οἱ ῥωμαῖοι μακροὺς, καὶ δρέπανα δήσαντες ἐπ' ἄκρων τοὺς σάκκους ἀπέτεμνον. ἐνεργοῦ δὲ οὕτω τῆς ἑλεπόλεως γινομένης, καὶ τοῦ τε τείχους, νεοπαγὲς γὰρ ἦν, ἐνδιδόντος ἤδη, τὸ λοιπὸν ἐπὶ τὴν ἐκ πυρὸς ἄμυναν οἱ περὶ τὸν ἰώσηπον ὥρμησαν. ἁψάμενοι δὲ
C ὅσον αὔης εἶχον ὕλης, τριχόθεν ἐπεκθέουσι, καὶ τά τε μηχανήματα, καὶ τὰ γέῤῥα, καὶ τὰ χώματα τῶν ῥωμαίων ὑπεπίμπρασαν. οἱ δὲ κακῶς ἐπεβοήθουν, πρός τε τὴν τόλμαν αὐτῶν καταπεπληγότες, καὶ ὑπὸ τῆς φλογὸς τὰς ἀμύνας φθανόμενοι. ξηρᾶς γὰρ ὕλης, πρὸς δὲ ἀσφάλτου τε καὶ πίσσης, ἔτι δὲ θείου, διίπτατο τὸ πῦρ ἐπινοίας τάχιον, καὶ τὰ πολλῷ καμάτῳ πεπονημένα ῥωμαίοις, ἐπὶ μιᾶς ὥρας ἐνέμετο.

D ΕΝθα καὶ ἀνήρ τις ἐξεφάνη ἰουδαῖος, λόγου καὶ μνήμης ἄξιος. σαμαίου μὲν παῖς ἦν, ἐλεάζαρος δὲ ἐκαλεῖτο. σαὰβ δὲ πατρὶς αὐτῷ τῆς γαλιλαίας. ὑπερμεγέθη πέτραν ἀράμενος, ἀφίησιν ἀπὸ τοῦ τείχους ἐπὶ τὴν ἑλέπολιν, μετὰ τοσαύτης βίας, ὡς τὴν ἀποῤῥάξαι τὴν κεφαλὴν τοῦ μηχανήματος, ἣν καὶ καταπηδήσας, ἐκ μέσων αἴρεται τῶν πολεμίων, καὶ μετὰ πολλῆς ἀδείας ἐπὶ τὸ τεῖχος ἔφερε. σκοπὸς δὲ πᾶσι τοῖς ἐχθροῖς γινόμενος, καὶ γυμνῷ τῷ σώματι τὰς πληγὰς δεξάμενος, πέντε μὲν
E διαπείρεται βέλεσι, πρὸς οὐδὲν δὲ τούτων ἐπιστραφεὶς, ὅτε τὸ τεῖχος ἀνέβη, καὶ περίοπτος πᾶσι τῆς εὐτολμίας ἔστη, τότε ἰλυσπώμενος ὑπὸ τῶν τραυμάτων μετὰ τοῦ κριοῦ κατέπεσεν. ἄριστοι μετὰ τοῦτον ἐφάνησαν ἀδελφοὶ δύο νετίρας καὶ φίλιππος, ἀπὸ ῥουμᾶς κώμης, γαλιλαῖοι καὶ αὐτοί. προπηδῶσι μὲν εἰς τοὺς ἀπὸ τοῦ δεκάτου τάγματος, οὕτω δὲ ῥοίζῳ καὶ βίᾳ τοῖς ῥωμαίοις συνέπεσον, ὡς διαῤῥῆξαί τε τὰς τάξεις, καὶ τρέψασθαι καθ' οὓς ἂν ἐ-
F φορμήσειαν ἅπαντας. μετὰ τούτους, ὅ τε ἰώσηπος, καὶ τὸ λοιπὸν πλῆθος ἀράμενοι πάλιν πῦρ, τὰ μηχανήματα καὶ τὰς ὑποδύσεις ἅμα τοῖς ἔργοις ὑφῆψαν, τοῦ τε πέμπτου καὶ τοῦ δεκάτου τραπέντος τάγματος, οἱ λοιποὶ φθάσαντες, καὶ τὰ ὄργανα καὶ πᾶσαν ὕλην κατέχωσαν. περὶ δὲ δείλην ἀναστήσαντες, προσῆγον τὸν κριὸν πάλιν, ᾗ προπεπονήκει τυπτόμενον τὸ τεῖχος. ἔνθα τις τῶν ἀμυνομένων ἐπ' αὐτοῦ, βάλλει τὸν οὐεσπασιανὸν βέλει κατὰ τὸν ταρσὸν τοῦ ποδὸς, καὶ τιτρώσκει μὲν ἐπιπολαίως
G προεκλύσαντος τὸ βληθὲν τοῦ διαστήματος, μέγιστον δὲ θόρυβον ἐνεποίησε τοῖς ῥωμαίοις. πρὸς γὰρ τὸ αἷμα ταραχθέντων τῶν πλησίον, φήμη διὰ παντὸς ἐμπίπτει ἐπὶ τῇ πληγῇ τοῦ στρατηγοῦ, καὶ τῆς πολιορκίας οἱ πλείους ἀφέμενοι, μετ' ἐκπλήξεως καὶ δέους ἐπὶ τὸν στρατηγὸν

Κεφ. ιε.

συνέ-

συνέθεον. πρὸ δὲ πάντων Τίτος δείσας περὶ τοῦ πατρὸς παρῆν. ὡς τὸ πλῆθος καὶ τῇ περὶ τὸν ἡγούμενον εὐνοίᾳ, καὶ τῇ τοῦ παιδὸς ἀγωνίᾳ συγχυθῆναι. ῥᾷστα μέν τοι τόν τε υἱὸν ὁ πατὴρ δεδιότα, καὶ τὴν στρατιὰν ἔπαυσε τοῦ θορύβου. τῶν γὰρ ἀλγηδόνων ἐπάνω γενόμενος, καὶ πᾶσι τοῖς ἐπτοημένοις δι᾽ αὐτὸν ὀφθῆναι σπουδάσας, χαλεπώτερον Ἰουδαίοις ἐπήγειρε τὸν πόλεμον. ἕκαστος γὰρ ὡς τιμωρὸς τοῦ στρατηγοῦ προκινδυνεύειν ἤθελε, καὶ βοῇ παρακροτοῦντες ἀλλήλους ἐπὶ τὸ τεῖχος ὥρμων. οἱ δὲ περὶ τὸν Ἰώσηπον, καίπερ ἐπ᾽ ἀλλήλοις πίπτοντες ὑπὸ τῶν καταπελτικῶν καὶ τῶν πετροβόλων, ὅμως οὐκ ἀπετρέποντο τοῦ τείχους, ἀλλὰ πυρὶ καὶ σιδήρῳ καὶ πέτραις τοὺς ἐπὶ τὰ γέρρα τὸν κριὸν ἐπιβρίθοντας ἔβαλλον. καὶ ἤνυον μὲν οὐδὲν ἢ μικρόν, αὐτοὶ δ᾽ ἀδιαλείπτως ἔπιπτον, ὑπὸ μὴ βλεπομένων καθορώμενοι. αὐτοί τε γὰρ ὑπὸ τῆς σφετέρας περιλαμπόμενοι φλογὸς, σκοπὸς ἦσαν τοῖς πολεμίοις εὐσύνοπτος, ὥσπερ ἐν ἡμέρᾳ, καὶ τῶν ὀργάνων πόῤῥωθεν μὴ βλεπομένων δυσφύλακτον ἦν τὸ βλεπόμενον. ἥ τε οὖν τῶν ὀξυβελῶν, καὶ καταπελτῶν βία πολλοὺς ἅμα διήλαυνε, καὶ τῶν ὑπὸ τῆς μηχανῆς ἀφιεμένων πετρῶν ὁ ῥοῖζος ἐπάλξεις τε ἀπέσυρε, καὶ γωνίας ἀπέθρυπτε πύργων. ἀνδρῶν μὲν γὰρ οὐκ ἦν οὕτως ἰσχυρὸν στῖφος, ὃ μὴ μέχρις ἐσχάτης στρώννυτο φάλαγγος, βίᾳ τε καὶ μεγέθει τοῦ λίθου. μάθοι δ᾽ ἄν τις τὴν τοῦ μηχανήματος ἀλκὴν, ἐκ τῶν ἐπὶ τῆσδε τῆς νυκτὸς γενομένων.

Κεφ. ιζ. Πληγεὶς γάρ τις ἀπ᾽ αὐτοῦ τῶν περὶ τὸν Ἰώσηπον ἑστώτων ἀνὰ τὸ τεῖχος, ἀπαῤῥάσσεται τὴν κεφαλὴν ὑπὸ τῆς πέτρας, καὶ τὸ κρανίον ἀπὸ τριῶν ἐσφενδονήθη σταδίων, γυναικός τε μεθ᾽ ἡμέραν ἐγκύμονος πληγείσης τὴν γαστέρα, προσῄει δὲ νεὸν ἐκ οἰκίας, ἐξέσεισεν ἐφ᾽ ἡμιστάδιον τὸ βρέφος. τοσαύτη ἦν τοῦ λίθου βία. τῶν μὲν ὀργάνων, φοβερώτερος ὁ ῥοῖζος. τῶν δὲ βαλλομένων, ἦν ὁ ψόφος. ἐπάλληλοι δ᾽ ἐκτύπουν οἱ νεκροὶ κατὰ τοῦ τείχους ῥιπτόμενοι, καὶ δεινὴ μὲν ἔνδοθεν κραυγὴ γυναικῶν ἠγείρετο. συνήχουν δὲ ἔξωθεν οἰμωγαὶ φονευομένων, αἵματι δ᾽ ἐῤῥεῖτο πᾶς ὁ πρὸ τῆς μάχης περίβολος, καὶ προσβατὸν ὑπὸ πτωμάτων τὸ τεῖχος ἐγίνετο. φοβερωτέραν δὲ ἐποίουν τὴν βοὴν περιηχοῦντα τὰ ὄρη, καὶ οὐδὲν ἐπ᾽ ἐκείνης τῆς νυκτὸς, οὔτε εἰς ἀκοὰς, οὔτε εἰς ὄψεως κατάπληξιν ἀπελείφθη. πλεῖστοι μέν γε τῶν ἐπὶ τῆς Ἰωταπάτης ἀγωνιζόμενοι γενναίως ἔπεσον. πλεῖστοι δ᾽ ἐγένοντο τραυματίαι, καὶ μόλις περὶ τὴν ἑωθινὴν φυλακὴν, ἐνδίδωσι τοῖς μηχανήμασι τὸ τεῖχος ἀδιαλείπτως τυπτόμενον. οἱ δὲ φραξάμενοι τοῖς σώμασι, καὶ τοῖς ὅπλοις, τὸ καταῤῥιφθὲν ἀντεχύρωσαν πρὶν βληθῆναι τὰς ἐπιβατηρίους ὑπὸ τῶν Ῥωμαίων μηχανάς.

Κεφ. ιη. Ὑπὸ δὲ τὴν ἕω Οὐεσπασιανὸς ἐπὶ τὴν κατάληψιν τῆς πόλεως συνῆγε τὴν στρατιὰν, ὀλίγον ἀπὸ τοῦ νυκτερινοῦ πόνου διαναπαύσας. βουλόμενος δὲ ἀπὸ τῶν καταῤῥιφθέντων περισπάσαι τοὺς εἴργοντας, τοὺς μὲν γενναιοτάτους τῶν ἱππέων ἀποβήσας τῶν ἵππων, τριχῇ διέταξε κατὰ τὰ πεπτωκότα τοῦ τείχους, πάντοθεν πεφραγμένους τοῖς ὅπλοις, καὶ τοὺς κοντοὺς προΐσχοντας, ὡς ὁπότε τὰς ἐπιβατηρίους βάλλοιεν μηχανὰς, κατάρχοιντο τῆς εἰσόδου. κατόπιν δὲ αὐτῶν ἔταξε τοῦ πεζοῦ τὸ ἀκμαιότατον. τὸ δὲ λοιπὸν ἱππικὸν, ἀντιπαρεξέτεινε τῷ τείχει

A concurrebant: & ante omnes Titus aderat metuens patri. Vnde contigit, vt & beneuolentia circa rectorem, & filij trepidatio confunderet multitudinem. facilè tamen pater & timore filium,& perturbatione liberauit exercitum. superato enim dolore vulneris, & ab omnibus, qui sui causa pertimuerunt conspici studens, bellum in Iudæos sæuius incitauit. nam velut vltor quisque imperatoris omne periculum adire cupiebat: & clamore alius alium adhor-B tantes,murum petebant. Iosephus autem cum suis,licèt assiduis balistarum itémque tormentorum ictibus caderent, nequaquam tamen deterrebantur à muro: sed flammis & ferro & saxis eos appetebant, qui arietem protecti cratibus impellerent. Nihil autem, aut parum proficiebant, cùm sine intermissione procumberent in conspectu hostium positi, quos ipsi contra videre non possent. nam & suis ignibus collucebant, tanquam si dies esset,& cer-C tum erant hostibus signum quò tela dirigerent: machinísque procul non apparentibus, missilia cauere non poterant. Ergo propterea tam catapultarum quàm iaculorum vi simul multi transfigebantur: missáque machinis saxa & murorum minas auferebant, & frangebant angulos turrium. virorum autem nulli tam fortiter constipati erant, vt non vsque ad extremam aciem saxi magnitudine ac violentia sternerentur. Sciet autem aliquis,hu-D ius machinæ vis quantùm valeat, ex his quæ illa nocte contigerunt. in muro cuidam ex circunstantibus Iosepho, saxo percusso caput auulsum est, eiúsque ad tertium stadium veluti funda excussa caluaria. Interdiu quoque prægnantis fœminæ transiecto vtero, ad dimidium stadium infans abactus est: tanta tormento vis fuit. Ergo machinis terribilior erat impetus,& missilium strepitus. Crebri autem mortui, cùm per muros deiicerentur, sona-E bant. & acerbissimus quidem intus excitabatur mulierum clamor: extrinsecus autem occumbentium gemitus concrepabant: totúsque ambitus muri, ad quem pugnabatur, sanguine confluebat: iámque ascendi poterat congestione cadauerum. montes autem resonantes, multo amplius horrorem augebant: nec quicquam illi nocti defuit, quod vel auribus vel oculis terrorem posset incutere. Plurimi quidem pro Iotapata decertantes, fortiter ceciderunt, pluri-F mi etiam sauciati sunt, & tamen vix circa matutinas vigilias murus assiduis machinarum ictibus cessit. Túmque illi quidem corporibus atque armis eam partem, quæ deiecta fuerat, priusquam Romani pontes apponerent, munierunt.

CAP. X. De iterata impugnatione Iotapatænorum.

Manè autem Vespasianus ad occupandam ciuitatem iam ducebat exercitum, ex nocturno labore paulum recreatum. Idém-G que cupiens de conuulsa muri parte alios propugnatores depellere, equitum quidem fortissimos equis depositos trifariã collocat: vt tecti armis dirutum latus vndique obsiderent, contósque prætenderent: & cùm pontes admoueri cœpissent, ipsi priores introirent. Post illos autem pedites validissimos ordinauit. Reliquam verò equitũ multitudinem secũdũ muri spatiũ

per montana loca diſtendit, ne quis fugiens excidium ciuitatis lateret. Deinde qui hos ſequerentur conſtituit ſagittarios, paratas ſagittas habere iuſſos: funditores quoque ſimiliter, & appoſitos machinis. Aliis autem integris muri partibus ſcalas applicare præcepit, vt qui hos prohibere tentaſſent, deiectæ partis defenſionem relinquerent: cæterique omnibus ſimul telis oppreſſi, violentiæ irrumpentium cederent. Ioſephus autem hoc conſilio cognito, per murum integrum labore fatigatos itémque ſenes diſpoſuit, quaſi lædi non poſſent: in parte verò collapſa validum & potentiſſimum quémque. ſenóſque ante omnes viros, in quibus & ipſe fuit, ad pericula ſubeunda ſortitus eſt: híſque præcepit, vt agminum vlulatibus ne metu quaterentur, aures obſtruerent: cõtra ſagittarum verò multitudinem communiti protegerentur deſuper ſcutis: paulatimque recederent, donec ſagittarij pharetras exinanirent. Si verò pontes à Romanis apponerentur, ipſos proſilire mandauit: atque hoſtibus perſuaſit per ſua inſtrumẽta reſiſtere: vnumquemq; verò ita certare debere, non quaſi conſeruandam tueretur, ſed quaſi perditam iam patriam vindicaret: atque oculis ſuis proponere mactari ſenes ac liberos, coniugéſque ſuas propemodum ab hoſtibus capi: vímque futuræ cladis iam nunc collectam in autores eius effundere. ita quidem in vtroque diſpoſuit. Ciuitatis autem vulgus imbelle, mulieres ac pueri, poſtquam oppidum triplici acie vidêre circundatum (nullus enim ad pugnam tranſlatus fuerat à cuſtodiis) ſtrictíſque gladiis ad partem muri deiectam hoſtes inſtare, armíſque montana loca omnia deſuper collucere, atque Arabum quendam ſagittariis tela ſuggerere, tunc extremo vlulatu quaſi capta vrbe conſonuerunt, non vt impendere mala, ſed vt adeſſe iam crederes: Quare Ioſephus mulieres, ne miſericordia ſuorum animos effœminarent, intra domos cum interminatione concludit, ſilere iuſſas: ipſe verò ad partem muri, quæ ſibi obtigerat tranſiuit. & ſcalas quidem applicantibus animum non intendit, ſed tantùm ſpeculabatur impetum ſagittarum. Simul autem ac tubicines vniuerſarum legionum conſonuerunt, & grauiter infremuit exercitus: ſignóque dato, miſſis vndique ſagittis lux obſcurari cœpit. Ioſephi ſocij memores præceptorum, & aduerſus clamorem obſtructis auribus, & contra ſagittarum vulnera corporibus communitis, cum admouerentur pontium machinæ, ipſi eas curſu, & antequam hoſtes pedem in his ponerent, occupant: eóſque aſcendere nitentes prælio deturbant, varia manuum itémque animi facinora demonſtrantes: & ne vel in extremis calamitatibus deteriores illis viderentur, qui ſine periculo fortes contra ſe eſſent, curabant. nec prius à Romanis diuellebãtur, quàm vel caderent vel occiderent. Itaque Iudæis perpetuò dimicantibus, cùm nec vnde mutarent propugnatores haberent, defeſſis autem Romanorum aſſiduè ſubſtituerentur próque his quos violentia repuliſſent, alij ſuccederent: inuicem ſe adhortati latera copulant:

καὶ πᾶσαν τὴν ὀρεινὴν, πρὸς τὸ μηδένα τῶν ἀναφευγόντων ἐκ τῆς ἁλώσεως διαφυγεῖν. κατόπιν δὲ τούτων παρέστησε τοὺς τοξότας, ἔχειν κελεύσας ἕτοιμα τὰ βέλη πρὸς ἄφεσιν. ὁμοίως δὲ σφενδονήτας, καὶ τοὺς ἐπὶ τῶν μηχανημάτων. ἑτέρους δὲ κλίμακας ἀραμένους, προσφέρειν ἐπάνω τοῖς ἀκεραίοις τείχεσιν, ἵνα οἱ μὲν τούτους κωλύειν πειρώμενοι, καταλίποιεν τὴν ἐπὶ τοῖς καταρριφθεῖσι φυλακὴν, οἱ λοιποὶ δὲ, ὑπ' ἀθρόων βιαζόμενοι τῶν βελῶν, εἴξωσι τῆς εἰσόδου. ἰώσηπος δὲ συνεὶς τὴν ἐπίνοιαν, ἐπὶ μὲν τοῦ μένοντος τείχους, σὺν τοῖς κεκμηκόσιν, ἵστησι τοὺς γηραιοὺς, ὡς μηδὲν ταύτῃ βλαβησομένους. κατὰ δὲ τὰ παρερρωγότα τοῦ τείχους, τοὺς δυνατωτάτους, καὶ πρὸ πάντων, ἀνὰ ἓξ ἄνδρας, μεθ' ὧν καὶ αὐτὸς εἰς τὸ προκινδυνεύειν, ἐκληρώσατο, ἐκέλευσέ τε πρὸς μὲν τὸν ἀλαλαγμὸν τῶν ταγμάτων ἐπιφράξαι τὰς ἀκοὰς, ὡς μὴ καταπλαγεῖεν. πρὸς δὲ τὸ πλῆθος τῶν βελῶν συγκλάσαντας καλύπτεσθαι καθύπερθεν τοῖς θυρεοῖς, ὑποχωρῆσαί τε πρὸς ὀλίγον ἕως τὰς φαρέτρας κενώσωσιν οἱ τοξόται. βαλλόντων δὲ τὰς ἐπιβατηρίους μηχανὰς αὐτοὺς προπηδᾶν, καὶ διὰ τῶν ἰδίων ὀργάνων ἀπαντᾶν τοῖς πολεμίοις, ἀγωνίζεσθαί τε ἕκαστον, οὐχ ὑπὲρ σωθησομένης, ἀλλ' ὥσπερ ἀπολωλυίας ἤδη τῆς πατρίδος ἀμυνόμενον, λαμβάνειν τε πρὸ ὀφθαλμῶν σφαγησομένους γέροντας, καὶ τὰ τέκνα, καὶ γυναῖκας ἀναιρεθησομένας ὑπὸ τῶν ἐχθρῶν ὅσον οὐδέπω, καὶ τὸν ἐπὶ ταῖς μελλούσαις συμφοραῖς θυμὸν προαθροίσαντας, ἐναφεῖναι τοῖς δράσουσιν αὐτάς. ἔταξε μὲν οὖν οὕτως ἑκάτερον. τὸ δὲ ἀργὸν ἀπὸ τῆς πόλεως πλῆθος γύναια καὶ παῖδες ὡς ἐθεάσαντο, τριπλῇ μὲν φάλαγγι τὴν πόλιν ἐζωσμένην, οὐδὲν γὰρ εἰς τὴν μάχην μετακεκίνητο τῶν πάλαι φυλάκων, πρὸς δὲ τοῖς βεβλημένοις τείχεσι τοὺς πολεμίους ξιφήρεις, καὶ τὴν καθύπερθεν ὀρεινὴν λαμπομένην ὅπλοις, τά τε βέλη τοὺς τοξότας ἐπανέχοντα τῶν ἀράβων, ὕστατόν τινα κωκυτὸν ἁλώσεως συνήχησαν, ὡς οὐκ ἀπειλουμένων ἔτι τῶν κακῶν, ἀλλ' ἤδη παρόντων. ὁ δὲ ἰώσηπος τὰ μὲν γύναια ὡς μὴ θηλύνοιεν οἴκτῳ τὰς ὁρμὰς τῶν σφετέρων, κατακλείει ταῖς οἰκίαις, μετ' ἀπειλῆς ἡσυχάζειν κελεύσας. αὐτὸς δὲ περὶ τὸ ἐρριφθέντων ἣ ἔλαχε παρῄει. τοῖς μὲν οὖν καθ' ἕτερα προσφέρουσι τὰς κλίμακας, οὐ προσεῖχεν. ἀπεκαραδόκει τὴν ὁρμὴν τῶν βελῶν. ὁμοῦ δὲ οἵ τε σαλπιγκταὶ τῶν ταγμάτων ἁπάντων συνήχησαν, καὶ δεινὸν ἐπηλάλαξεν ἡ στρατιὰ, καὶ πάντοθεν ἀφιεμένων ἀπὸ συνθήματος τῶν βελῶν, τὸ φῶς ὑπετέμνετο. μεμνημένοι γε μὴν τῶν τοῦ ἰωσήπου προσταγμάτων, οἵ τε σὺν αὐτῷ, τάς τε ἀκοὰς πρὸς τὴν βολὴν, καὶ τὰ σώματα πρὸς τὰς ἀφέσεις ἐφράξαντο, καὶ βαλλόντων τὰς μηχανὰς, ἐπεξέδραμον δι' αὐτῶν, πρὶν διαβῆναι τοὺς διαβαλόντας. συμπλεκόμενοι γε μὴν τοῖς ἀνιοῦσι, παντοῖα καὶ χειρῶν ἔργα καὶ ψυχῆς ἐναπεδείκνυντο, πειρώμενοι παρὰ τὰς ἐσχάτας συμφορὰς, μὴ χείρους φαίνεσθαι τῶν ἐν ἀκινδύνῳ τῶν κατὰ σφᾶς ἀνδριζομένων. ὥστε οὐ πρότερον ἀπερρήγνυντο τῶν ῥωμαίων, πρὶν ἢ πεσεῖν, ἢ διαφθεῖραι. ὡς δὲ οἱ μὲν ἔκαμνον διηνεκῶς ἀμυνόμενοι, καὶ τοὺς ἐχθροὺς ἀμείβειν οὐκ ἔχοντες, τὸ κεκμηκὸς δὲ τῶν ῥωμαίων ἀκραιφνεῖς διεδέχοντο, καὶ ταχέως ἀντὶ τῶν ὑποβιασθέντων ἐπέβαινον ἕτεροι, παρακελευσάμενοι ἀλλήλοις, καὶ πλευρὰν μὲν ἑνώσαντες,

σαντες, τοῖς δὲ θυρεοῖς καθύπερθεν φραξάμενοι, τεῖχος ἄρρηκτον ἐγίνοντο, καὶ καθάπερ ἑνὶ σώματι πάσῃ τῇ φάλαγγι τοὺς Ἰουδαίους ἀνωθοῦντες, ἤδη τοῦ τείχους ἐπέβαινον.

Κεφ. ιθ. Ὁ δὲ Ἰώσηπος ἐν τῇ ἀμηχανίᾳ σύμβουλον λαβὼν τὴν ἀνάγκην, ἣ δεινὴ πρὸς ἐπίνοιαν, ὅταν αὐτὴν ἀπόγνωσις ἐρεθίζῃ, ζέον ἔλαιον ἐκέλευσε καταχεῖν τῶν συνησπικότων. οἱ δὲ ὡς παρεσκευασμένον ἔχοντες, μετὰ τάχους πολλοί, καὶ πολὺ πάντοθεν τῶν Ῥωμαίων κατέχεον, συνεπαφιέντες καὶ τὰ ἀγγεῖα βρασσόμενα τῇ θέρμῃ. τοῦτο καιομένων τῶν Ῥωμαίων διεσκέδασε τὴν τάξιν, καὶ μετὰ δεινῶν ἀλγηδόνων ἀπεκυλινδοῦντο τοῦ τείχους. ῥᾷστα μὲν γὰρ τὸ ἔλαιον ἀπὸ κόρσης μέχρι ποδῶν ὑπὸ τὰς πανοπλίας διέρρει τοῦ σώματος ὅλου, καὶ τὴν σάρκα φλογὸς οὐδὲν ἔλασσον ἐπεβόσκετο, θερμαινόμενόν τε φύσει ταχέως, καὶ ψυχόμενον βραδέως διὰ τὴν πιότητα. τοῖς δὲ θώραξι τοῖς κράνεσιν ἐνδεδεμένων, ἀπαλλαγὴ τῆς καύσεως οὐκ ἦν. πηδῶντες δὲ καὶ συνειλούμενοι ταῖς ἀλγηδόσιν, ἀπὸ τῶν γεφυρωμάτων ἔπιπτον. οἱ δὲ τραπέντες εἰς τοὺς σφετέρους πρόσω βιαζομένους, εὐχείρωτοι τοῖς κατόπιν τιτρώσκουσιν ἦσαν. ἐπέλιπε δὲ οὔτε Ῥωμαίους ἐν ταῖς κακοπραγίαις ἰσχὺς, οὔτε τοὺς Ἰουδαίους σύνεσις. ἀλλ' οἱ μὲν καίπερ οἰκτρὰ πάσχοντας ὁρῶντες τοὺς καταχυθέντας, ὅμως εἰς τοὺς καταχέοντας ἐφέροντο, τὸν πρὸ αὐτοῦ κακίζων ἕκαστος ὡς ἐμπόδιον ὄντα τῆς ῥώμης. οἱ δὲ Ἰουδαῖοι δόλῳ δευτέρῳ τὰς προσβάσεις αὐτῶν ἐπέσφαλλον, τῆλιν ἑφθὴν ὑποχέοντες ταῖς σανίσιν, ἧς ἐπολισθαίνοντες ὑπεσύροντο, καὶ οὔτε τῶν τρεπομένων, οὔτε τῶν προσβαινόντων τις ὀρθὸς ἔμενεν. ἀλλ' οἱ μὲν ὑπτιαζόμενοι τῶν ἐπιβατηρίων μηχανῶν συνεπατοῦντο, πολλοὶ δὲ ἐπὶ τὸ χῶμα κατέπιπτον. ἐπαίοντο δ' ὑπὸ Ἰουδαίων οἱ πεσόντες. σφαλλομένων γὰρ τῶν Ῥωμαίων, ἔτι τῆς κατὰ χεῖρα συμπλοκῆς ἐλευθερωθέντες, πρὸς τὰς βολὰς εὐσχόλουν. πολλὰ δὲ κακουμένους ἐν τῇ προσβολῇ τοὺς στρατιώτας ὁ στρατηγὸς περὶ δείλην ἀνεκάλει. ἔπεσον δὲ τούτων μὲν οὐκ ὀλίγοι, καὶ πλείους ἐτρώθησαν. τῶν δὲ ἀπὸ τῆς Ἰωταπάτης, ἀπέθανον μὲν ἓξ ἄνδρες, τραυματίαι δὲ ὑπὲρ τριακοσίους ἀνεκομίσθησαν. εἰκάδι μὲν οὖν Δεσίου μηνὸς, ἡ παράταξις ἦν.

Κεφ. κ. Οὐεσπασιανὸς δὲ ἐπὶ τοῖς συμβεβηκόσι τὴν στρατιὰν παραμυθούμενος, ὡς θυμουμένους ἑώρα, καὶ οὐ προτροπῆς, ἀλλ' ἔργων δεομένους, προσυψώσας μὲν τὰ χώματα, πύργους δὲ τρεῖς, πεντήκοντα ποδῶν ἕκαστον τὸ ὕψος κατασκευάσας πάντοθεν σιδήρῳ κεκαλυμμένους, ὡς ἑδραῖοί τε εἶεν ὑπὸ βρίθους, καὶ δυσάλωτοι πυρί, τῶν χωμάτων ἐπέστησεν, ἐπιβήσας αὐτοῖς ἀκοντιστάς τε καὶ τοξότας, καὶ τῶν ἀφετηρίων ὀργάνων τὰ κουφότερα, πρὸς δὲ τοὺς ῥωμαλεωτάτους σφενδονήτας, οἳ μὴ καθορώμενοι διὰ τὸ ὕψος, καὶ τὰ θωράκια τῶν πύργων, εἰς καθορωμένους τοὺς ἐπὶ τοῦ τείχους ἔβαλλον. οἱ δὲ μήτε κατὰ κόρσης φερομένων τῶν βελῶν ἐκκλίνειν ῥᾳδίως δυνάμενοι, μήτε τοὺς ἀφανεῖς ἀμύνεσθαι, καὶ τὸ μὲν ὕψος τῶν πύργων δυσέφικτον ὁρῶντες ἐκ χειρὸς βέλει, πυρὶ δὲ τὸν περὶ αὐτοῖς σίδηρον δυσανάλωτον, ἔφευγον ἀπὸ τοῦ τείχους, καὶ προσβάλλειν πειρωμένοις ἐπεξέθεον. καὶ οἱ μὲν ἐπὶ τῆς Ἰωταπάτης, ἀντεῖχον οὕτως, ἀναιρούμενοί τε καθ' ἡμέραν πολλοί, καὶ μηδὲν ἀντικακοῦν τοὺς πολεμίους, ὅτι μὴ μετὰ κινδύνων ἀνείργειν, ἔχοντες.

A protectique desuper longioribus scutis, inexpugnabilis globus effecti sunt: totaque acie velut vno corpore repellendo Iudæos, muro iam pedem ponebant. Tum Iosephus, his rerum angustiis consilio necessitatis adhibito, machinis excogitandis cum desperatione stimulatur: feruentique oleo perfundi milites iubet, scutorum coniunctione defensos. id autem Iudæi multi, qui & paratum haberent, & plurimum, citò Romanis infundũt: ipsis etiam in eos ahenis missis calore bullientibus. B Hæc res Romanorum ardentium aciem dissipauit, & cum dolore sæuissimo deuoluebantur à muro. siquidem facilè à vertice ad pedes vsque sub armatura oleum per totum corpus fluebat, carnémque non secus ac flamma depascebatur: quod natura facilè calesceret, seróque pro sui pinguedine refrigesceret. Thoracibus autem & galeis illigatis incendij fuga non erat. Nunc autem salientes, nunc C incuruati dolore, de pontibus decidebant. Ad suos autem contranitentes tutò recedere non poterant, quoniam facilè ab insequentibus vulnerabantur. Sed neque Romanis virtus in rebus aduersis, nec Iudæis prudentia defuit. Romani enim licèt oleo perfusi mirabilia pati viderentur, tamen in eos, qui perfuderant ferebantur, præcedentem quisque incursando, tanquam ipse impetum retardaret. Iudæi verò progressum eorum dolo alte- D ro deceperunt, cum fœno græco decocto pontium tabulata perfunderent: quibus illi dilabentes retrahebantur, vt neque fugientium quisquam, neque aggredientium firmo posset eniti vestigio: sed alij quidẽ resupinati per ipsas pontium tabulas calcarentur, multi verò super aggeres deiicerentur: & qui cecidissent, à Iudæis feriebantur: qui Romanis desilientibus conflictu iam liberi, facillimè tela dirigebant. Cùm autem multa milites mala in E hac perpeti pugna dux videret, sub vesperã eos reuocat: quorum non paucis trucidatis, plures sunt vulnerati. Ex Iotapata verò sex viris mortuis, plures quàm trecenti saucij translati sunt. Hoc autem modo pugnatum est Iunij mensis die vigesimo. At Vespasianus eorũ causa, quæ acciderant, consolatus exercitum, postquam ira vidit accensum, neq; tam exhortationem quàm opus deposcere, aggeres quidem altius tollit. Tres verò turres quinquagenũ pedũ F in excelsũ iubet erigi, ferro vndiq; tectas, vt & põdere stabiles essẽt, neq; ignib⁹ expugnarẽtur eásq; super aggeres collocat, iaculatorib⁹ & sagittariis, itẽq; leuioribus missiliũ machinis plenas, fũditorũ quoq; fortissimis. Qui cũ nõ cõspicerẽtur propter altitudinẽ turriũ & loricas, ipsi eos qui super murũ astarẽt facilè cõspicuos telis feriebãt. at illi cũ neq; à vertice venientes sagittas facilè declinarent, neq; vlcisci possent quos nõ viderẽt: altitudine quidẽ turriũ librata G manu iacula superãte: ferro autem, quo erãt septæ, flammis obstante: ob hæc defensionem muri deserunt: oppugnationémque tentantibus promptè occurrunt. Et Iotapateni quidem ita resistebant. quamuis multi in dies singulos occumberent, neque contra mali quicquam hostibus facerent, quòd eos sine periculo prohibere non poterant.

Cap. XI. Iaphæ expugnatio à Traiano & Tito.

His autem diebus Vespasianus ad finitimam quandam Iotapatæ ciuitatem euocatus, cui nomen est Iapha, nouas res affectantem; & propterea, quòd Iotapatenos præter spem restitisse audierat, insolescentem; mittit eò Traianum decimæ legionis rectorem, dans ei duo millia peditum & equites mille. Ille autem cùm oppidum contra expugnationem munitissimum reperisset (nam præter naturam qua tutum erat etiam muro duplici cingebatur) habitatores verò eius vidisset paratos ad pugnam sibi obuios processisse, prælium cum his committit: eósque paulisper reluctatos: in fugam vertit: quos vestigiis consecuti Romani, exterioris muri ambitum quò confugerant, cum ipsis irrumpunt. secundum autem murum petentibus, ciues sui clausêre ciuitatem, metu scilicet, ne cum his rursus hostes intrarent. Profectò autem Deus Galilæorum clades Romanis donabat, qui etiam tunc ciuitatis eius vniuersum populum exclusum mœnibus propriis, ad interitum hostibus dedit auidissimis cædium. Multi enim simul ruentes ad portas, multúmque nominatim præpositos inclamantes, inter ipsas preces mactabantur, quibus hostes vnum murum, alterum ciues clauserant: & inter medios coacti murorum ambitus, multi quidem sociorum gladiis transfigebantur, infiniti verò à Romanis interficiebantur, ne ad vlciscendum quidem recepta fiducia. nam præter hostilem metum, etiam domestica proditio eorum animos fregerat. Denique moriebantur, non Romanos, sed Iudæos execrando, quoad omnes interiêre numero hominum, duodecim millia. Vnde Traianus vacuam esse ciuitatem pugnatoribus reputans, & si qui adhuc intus essent, nihil eos ausuros esse existimans præ timore, imperatori excidium reseruauit. eúmque per nuncios rogauit, vt filium suum Titum mitteret, finem victoriæ impositurum. ille autem laboris aliquid superesse ratus, cum milite filium misit, hoc est, quingentis equitibus, & peditibus mille. Qui maturè ad ciuitatem profectus sic ordinauit exercitum, vt in læuo quidem latere Traianum constitueret, ipse verò in dextro obsidioni præesset. Itaque militibus scalas muris vndique applicantibus, cùm paulisper desuper Galilæi obstitissent, continuò mœnia reliquerunt: Titus verò eiúsque comites saltu demissi, maturè ciuitatem obtinuerunt. Túmque vehemens cum his qui se intus cógregauêre, pugna commissa est: nunc per angusta viarum irruentibus validissimis, nunc fœminis ex tectorum culminibus, quæ fortè inuenissent, tela iactantibus. Et hoc quidem modo vsque ad sextam horam sustinuêre conflictum. absumptis autem bellatoribus, cætera multitudo, & sub diuo, & per domos, senes pariter ac iuuenes mactabantur. Denique virilis sexus preter infantes nullus remansit, qui cum mulieribus abducti sunt seruitio. Interemptorum quidem in ciuitate, & in primo congressu, numerus fuit xv. millia: captiuorum autem duo millia cxxx. Hæc Galilæis clades cótigit quinto & vigesimo die Iunij mensis.

Κεφ. κα.

Κατὰ δὲ τὰς αὐτὰς ἡμέρας, Οὐεσπασιανὸς ἐπί τινα τὴν τῆς Ἰωταπάτης ἀστυγειτόνων πόλιν (Ἰαφὰ καλεῖται) νεωτερίζουσαν, καὶ τὴν Ἰωταπατηνῶν παρὰ δόξαν ἀντεχόντων ἐπαιρομένην, Τραϊανὸν ὄντα τοῦ δεκάτου τάγματος ἡγεμόνα ἐκπέμπει, παραδοὺς αὐτῷ χιλίους μὲν ἱππεῖς, πεζοὺς δὲ δισχιλίους. ὁ δὲ τὴν μὲν πόλιν δυσάλωτον καταλαβών, πρὸς γὰρ τῇ φύσει καρτερὰ τυγχάνουσα, καὶ διπλῷ περιβόλῳ τετείχιστο, προαπαντηκότας δὲ τοὺς ἐξ αὐτῆς ἑτοίμους εἰς μάχην συμβάλλει, καὶ πρὸς ὀλίγον ἀντισχόντας, ἐδίωκε. συμφυγόντων δὲ εἰς τὸ πρῶτον τεῖχος, οἱ Ῥωμαῖοι κατὰ πόδας προσκείμενοι συνεισέπεσον. ὁρμήσαντας δὲ πάλιν εἰς τὸ δεύτερον τεῖχος, ἀποκλείουσι τῆς πόλεως οἱ σφέτεροι, δείσαντες μὴ συνεισβάλωσιν οἱ πολέμιοι. Θεὸς δ' ἦν ἄρα ὁ Ῥωμαίοις τὰ Γαλιλαίων πάθη χαριζόμενος, ὃς καὶ τότε τὸν τῆς πόλεως λαὸν αὔτανδρον χερσὶν οἰκείαις ἐκκλεισθέντα πρὸς ἀπώλειαν, ἔκδοτον φονῶσιν ἐχθροῖς παρέστησεν. ἐμπίπτοντες γὰρ ἀθρόοι ταῖς πύλαις, καὶ πολλὰ τοὺς ἐπ' αὐτῶν ὀνόμασι καλοῦντες, ἐν μέσαις ἀπεσφάττοντο ταῖς ἱκετείαις. καὶ τὸ μὲν πρῶτον αὐτοῖς τεῖχος οἱ πολέμιοι, τὸ δεύτερον δ' ἔκλεισαν οἱ σφέτεροι. μέσοι δὲ τῶν δυεῖν κατειλούμενοι περιβόλων βύζην, πολλοὶ μὲν τοῖς ἰδίοις περιεπείροντο ξίφεσιν, ἄπειροι δὲ ὑπὸ Ῥωμαίων ἔπιπτον, οὐδὲ ὅσον εἰς ἄμυναν ἀναθαρροῦντες. πρὸς γὰρ τὸ καταπεπλῆχθαι τοὺς πολεμίους, τὰς ψυχὰς αὐτῶν ἔκλασεν ἡ τῶν οἰκείων προδοσία. πέρας ἔθνησκον, οὐ Ῥωμαίων, ἀλλὰ τῶν ἰδίων καταρώμενοι, μέχρι πάντες ἀπώλοντο, μύριοι καὶ δισχίλιοι τὸν ἀριθμὸν ὄντες. κενὴν δὲ μαχίμων λογιζόμενος εἶναι τὴν πόλιν ὁ Τραϊανός, εἰ δὲ καί τινες ἔνδον εἶεν, οἰόμενος μηδὲν αὐτοὺς τολμήσειν ὑπὸ δέους, ἀνετίθει τῷ στρατηγῷ τὴν ἅλωσιν. καὶ στείλας ἀγγέλους πρὸς Οὐεσπασιανόν, ᾐτεῖτο πέμψαι τὸν υἱὸν αὐτοῦ Τίτον ἐπιθήσοντα τῇ νίκῃ τέλος. ὁ δὲ συμβαλὼν ὑπολείπεσθαί τινα πόνον, μετὰ στρατιᾶς τὸν υἱὸν ἐπιπέμπει, πεντακοσίων μὲν ἱππέων, χιλίων δὲ πεζῶν. ὁ δὲ πρὸς τὴν πόλιν ἐλθὼν διὰ τάχους, καὶ διατάξας τὴν στρατιάν, ἐπὶ μὲν τοῦ λαιοῦ κέρως, τὸν Τραϊανὸν ἵστησιν, αὐτὸς δὲ τὸ δεξιὸν ἔχων, ἐξηγεῖτο πρὸς τὴν πολιορκίαν. τῶν δὲ στρατιωτῶν κλίμακας πάντοθεν τῷ τείχει προσφερόντων, πρὸς ὀλίγον οἱ Γαλιλαῖοι καθύπερθεν ἀμυνόμενοι, λείπουσι τὸν περίβολον. ἐπιπηδήσαντες δὲ οἱ περὶ τὸν Τίτον, τῆς μὲν πόλεως ἐκράτησαν ταχέως, πρὸς δὲ τοὺς ἔνδον αὐτοῖς συστραφέντας, καρτερὰ μάχη συρρήγνυται. καὶ γὰρ ἐν τοῖς στενωποῖς οἱ δυνατοὶ προσέπιπτον, καὶ ἀπὸ τῶν οἰκιῶν αἱ γυναῖκες ἔβαλλον πᾶν τὸ προστυχὸν αὐταῖς. καὶ μέχρι μὲν ἓξ ὡρῶν ἀντεῖχον μαχόμενοι. δαπανηθέντων δὲ τῶν μαχίμων, τὸ λοιπὸν πλῆθος ἔν τε τοῖς ὑπαιθρίοις, καὶ κατὰ τὰς οἰκίας ἀπεσφάττοντο, νέοι τε ὁμοῦ καὶ γέροντες. οὐδὲν γοῦν ἄρρεν ἀπελείφθη δίχα νηπίων, ἃ μετὰ γυναικῶν ἐξηνδραποδίσαντο. τῶν μὲν οὖν ἀναιρεθέντων ἀνά τε τὴν πόλιν, καὶ ἐπὶ τῆς προτέρας παρατάξεως, ἀριθμὸς μύριοι πρὸς τοῖς πεντακισχιλίοις ἦν, τὰ δὲ αἰχμάλωτα, δισχίλια καὶ ἑκατὸν καὶ τριάκοντα. τοῦτο συνέβη τὸ πάθος Γαλιλαίοις εἰκοστῇ Δεσίου μηνός.

Εμει-

Κεφ. κβ.

Ἔμειναν δὲ οὐδὲ σαμαρεῖς ἀπείρατοι συμφορῶν. ἐπιθροισθέντες γὰρ ἐπὶ τὸ γαριζὶν καλούμενον ὄρος, ὅπερ αὐτοῖς ἐστὶν ἅγιον, κατὰ χώραν μὲν ἔμενον, πολέμου δὲ εἶχεν ἀπειλὴν ἥτε σύνοδος αὐτῶν καὶ τὰ φρονήματα. καὶ οὐδὲ τοῖς γειτνιῶσι κακοῖς ἐσωφρονίζοντο. πρὸς δὲ τὰς ῥωμαίων εὐπραγίας ἐν ἀλογίστῳ τὴν κατὰ σφᾶς ἀσθένειαν ὠρρώδουν, καὶ μετέωροι πρὸς τὰς ταραχὰς ὑπῆρχον. ἐδόκει δὲ οὐεσπασιανῷ φθάσαι τὸ κίνημα, καὶ τὰς ὁρμὰς αὐτῶν ὑποτεμνέσθαι. καὶ γὰρ ἀεὶ φρουραῖς ἡ σαμαρεῖτις ὅλη διείληπτο. τότε πλῆθος τῶν ἐληλυθότων, καὶ ἡ σύνταξις ἦν φοβερά. κερεάλιον οὖν ἔπαρχον ὄντα τοῦ πέμπτου τάγματος, μεθ' ἑξακοσίων ἱππέων, καὶ πεζῶν τρισχιλίων πέμπει. τούτῳ προσβαίνειν μὲν τὸ ὄρος, καὶ συνάπτειν μάχην οὐκ ἀσφαλὲς ἔδοξε, τῶν πολεμίων πολλῶν καθύπερθεν ὄντων. κυκλωσάμενος δὲ τῇ δυνάμει πᾶσαν τὴν ὑπώρειαν δι' ὅλης αὐτοὺς ἐφρούρει τῆς ἡμέρας. συνέβη δὲ ὕδατος ἀπορουμένων τῶν σαμαρέων, ἐκφλεγῆναι τότε καὶ καῦμα δεινόν, ὥρα δὲ ἦν θέρους, καὶ τῶν ἐπιτηδείων τὸ πλῆθος ἀπαράσκευον, ὥς τινας μὲν αὐθημερὸν ἀπὸ τοῦ δίψους ἀποθανεῖν. πολλοὺς δὲ τῆς τοιαύτης ἀπωλείας τὸ δουλεύειν προηγημένους, ῥωμαίοις προσφυγεῖν. ἐξ ὧν συνεὶς ὁ κερεάλιος, καὶ τοὺς ἔτι συμμένοντας ὑπὸ τῶν δεινῶν κατεαγότας, ἐπαναβαίνει τῷ ὄρει, καὶ τὴν δύναμιν ἐν κύκλῳ περιστήσας τοῖς πολεμίοις τὸ μὲν πρῶτον ἐπὶ δεξιὰς προὐκαλεῖτο καὶ σώζεσθαι παρεκάλει, διαβεβαιούμενος ἀσφάλειαν τὰ ὅπλα ῥίψασιν. ὡς δ' οὐκ ἔπειθε, προσπεσὼν ἀπέκτεινε πάντας, χιλίους ἑξακοσίους ἐπὶ μυρίοις ὄντας. δεσίου μηνὸς εἰκάδι καὶ ἑβδόμῃ ἐπράχθη. καὶ τοιαύταις μὲν συμφοραῖς σαμαρεῖται ἐχρήσαντο.

Κεφ. κγ.

Τῶν δὲ ἀνὰ τὰ ἰωτάπατα διακαρτερούντων, καὶ παρ' ἐλπίδα τοῖς δεινοῖς ἀντεχόντων, τεσσαρακοστῇ μὲν ἡμέρᾳ καὶ ἑβδόμῃ τὰ χώματα τῶν ῥωμαίων ὑπερήρθη τὸ τεῖχος. αὐτομολεῖ δέ τις πρὸς τὸν οὐεσπασιανὸν τῆς αὐτῆς ἡμέρας, τήν τε ὀλιγότητα τῶν ἐπὶ τῆς πόλεως ἐξαγγέλλων, καὶ τὴν ἀσθένειαν. καὶ ὡς ἀγρυπνίᾳ διηνεκεῖ, καὶ μάχαις ἐπαλλήλοις δεδαπανημένοι, δυνατοὶ μὲν εἶεν οὐδὲ βιαζομένους ἐπιφέρειν, καὶ δόλῳ δ' ἂν ἁλῶσιν, εἴ τις ἐπιθοῖτο περὶ τὴν ἐσχάτην φυλακήν, καθ' ἣν ἄνεσίν τε τῶν δεινῶν ἐδόκουν ἔχειν, καὶ καθάπτεται μάλιστα κεκοπωμένων ἑωθινὸς ὕπνος. καταδαρθάνειν ἔφασκε τοὺς φύλακας. συνεβούλευέ τε κατ' αὐτὴν τὴν ὥραν ἐπελθεῖν. τῷ δὲ ἦν μὲν δι' ὑπονοίας ὁ αὐτόμολος, τό τε πρὸς ἀλλήλους πιστὸν εἰδότι τῶν ἰουδαίων, καὶ τὴν πρὸς τὰς κολάσεις ὑπεροψίαν, ἐπειδὴ καὶ πρότερον ληφθείς τις τῶν ἀπὸ τῆς ἰωταπάτης, πρὸς πᾶσαν αἰκίαν βασάνων ἀντέσχε, καὶ μηδὲν διὰ πυρὸς ἐξερευνῶσι τοῖς πολεμίοις περὶ τῶν ἔνδον εἰπών, ἀνεσταυρώθη τοῦ θανάτου καταμειδιῶν. τάχα μὴν εἰκότα πιστὸν ἐποίει τὸν προδότην, καὶ τάχα μὲν ἀληθεύειν ἐκεῖνον, μηδὲν δὲ αὐτὸς ἐξ ἐνέδρας πείσεσθαι μέγα προσδοκῶν, τὸν μὲν φυλάσσειν ἐκέλευσεν, ἐπὶ δὲ τὴν κατάληψιν τῆς πόλεως παρεσκεύαζε τὴν στρατιάν. κατὰ δὲ τὴν μηνυθεῖσαν ὥραν, ᾔεσαν ἡσυχῇ πρὸς τὸ τεῖχος. καὶ πρῶτος ἐπιβαίνει τίτος σὺν ἑνὶ τῶν χιλιάρχων δομιτίῳ σαβίνῳ τῶν ἀπὸ τοῦ πέμπτου καὶ δεκάτου τάγματος τινὰς ὀλίγους ἄγων. ἀποσφάξαντες δὲ τοὺς φύλακας, εἰσίασιν εἰς τὴν πόλιν ἡσυχῇ, μεθ' οὓς σέξτος τις κερεάλιος χιλίαρχος,

CAP. XII. De Samaritis à Cereale deuictis.

Sed ne Samariæ quidem alieni à calamitatibus remansêre: Hi namque in monte Garizin, qui est illis sanctissimus, congregati, locis suis expectabant: belli autem minas eorum conuentus ac spiritus habere videbatur, nec saltem vicinorum malis corrigebantur, sed inconsulta suarum virium infirmitate, secundis Romanorum rebus exterriti, prona in tumultum voluntate pendebant. Vespasiano autem placebat motus antecapere, eorúmque impetus præuenire. Nam & si præsidiis tota Samaritica regio cincta erat, tamen eorum multitudo, qui coierant & conspiratio timebatur. Eáque causa Cerealem quintæ legionis tribunum, cum sexcentis equitibus tribúsque peditum millibus mittit. Ille autem ad montem quidem accedere, prælióque congredi nequaquam tutum esse duxit, quòd hostes plurimi desuper essent: milites verò circumuallatis vndique montis radicibus, tota eos die custodiebant. Euenit autem aquæ tunc indigentibus Samaritis, etiam graues accendi æstus (erat enim tempus æstatis, neque se rebus necessariis vulgus instruxerat) adeo vt nõnulli quidem vna die siti morerentur, multi verò eiusmodi morti seruitium præferentes, ac Romanos transfugerent: ex quibus cognito Cerealis, illos etiam, qui adhuc perseuerarent, malis infractos, montem ascendit: & circum hostes exercitu constituto, primùm eos ad fœdera hortabatur, atque vt salui esse mallent rogabat: si arma proiecissent, tutos fore promittens: deniq; quia persuadere non posset, aggressus eos occidit omnes. Erant autem vndecim millia & sexcenti. Hæc Iunij mẽsis vigesimo & septimo die gesta sunt: atque his calamitatibus Samaritæ oppressi sunt.

CAP. XIII. Iotapatæ excidium.

Iotapatenis autem diu durantibus & præter spem aduersa tolerantibus quadragesimo quidem ac septimo die, Romanorum aggeres super murorum altitudinem sunt elati. quidam verò ad Vespasianum eodem die profugus venit, paucitatem ciuium & infirmitatem simul eorũ enunciãs: quódq; diuturnis vigiliis, & præliis assiduis cõsũmpti, minimè qui dẽ vlterius vim ferre possent, verũ dolo etiã caperentur, si quis instaret. circa extremã nãq; vigiliam, quãdo & malorum requiem habere viderẽtur, & maximè defatigatos custodes matutinus sõnus occupat, dormire eos dicebat, eadémq; hora inuadẽdos esse suadebat. Vespasiano autẽ, quia fidẽ nosset inter se Iudæorũ, quãtaq; superbia pœnas contemnerent, transfuga suspectus erat: nã & antea quidam ex Iotapata captus, omne tormentorum genus fortiter pertulit, & cùm ne flaminis quidem coactus, quid intus ageretur, hostib. exquirẽtibus prodidisset, mortem deridens cruci suffixus est. Fidem tamen proditori coniectura faciebat, fortasse illũ vera dicere: ipse autẽ nihil ex eius fallacia magnũ sibi existimans esse metuendũ, asseruari hominẽ iussit, & ad occupãdã ciuitatẽ parabat exercitum. Hora igitur quæ fuerat indicata, silentio muros petebat: primúsque incedebat Titus cum vno è tribunis Domitio Sabino, paucis ex quintadecima legione comitatus. Interfectis autẽ vigilibus, in ciuitatẽ ingrediũtur, & post eos Sextus Cerealis tribun⁹,

& Placidus, subiectos sibi milites introducebant. Arce verò occupata, cùm hostes in medio oppido versarentur, iamque planè dies esset, ne tunc quidem illi qui capti tenerentur, adhuc excidium sentiebant, multo labore somnóq; pariter dissoluti. Et si quis euigilasset, nebula visus eius hebetauit, quæ casu tunc plurima se circa oppidum fuderat. donec totus irrupit exercitus: solóque malorum periculo exuscitati sunt, morientesque demum se periisse crediderunt. Romanos autem memores quid obsidionis tempore pertulissent, neque parcendi cuiquam, neque miserendi quenquam tangebat cura: sed ex arce plebem ad prona compulsam facillimè trucidabant, vbi loci difficultas pugnacibus quoque negaret copiam resistendi. viarum namque angustiis pressi, ac per decliuia dilabentes, fluente desuper bello obterebantur. Id multos etiam qui circa Iosephum lecti erant, vt manib. propriis liberarentur incitauit. nam cùm se viderent Romanorum neminem posse occidere, ne Romanorum manibus oppeterent præuenerunt, & in extrema parte ciuitatis congregati, semet interfecerunt. Quicunque tamen vigilum primi captam ciuitatem senserant, in quandam turrim Septentrionalem fuga recepti aliquandiu quidem restiterunt. deinde circunfusi hostium multitudine, sero dextras dedêre: hisque instantibus, mortem suam æquo animo præbuerunt. Potuissent autem incruento Romani obsidionis fine gloriari, nisi vnus ex ipsis occidisset centurio, Antonius, peremptus insidiis. Nam quidam ex his qui ad speluncas confugerant (erant autem plurimi) rogabat Antonium, dextram sibi porrigere, ad fidem salutis ac præsidium, quo tutus ascenderet. cúmque is manum porrexisset incautè, hasta ille præuentum sub inguine perculit, statimque confecit. Illo quidem die comparentem multitudinem peremêre Romani. postea verò secutis diebus scrutando latebras, per cuniculos & speluncas in omnem sæuiebant ætatem, præter infantes ac fœminas. Itaque captiui quidem mille ducenti congregati erant: quadraginta verò millia connumerata sunt excidij tempore & pugnis superioribus mortuorum. At Vespasianus ciuitatem ipsam exscindi iubet, castelláque eius omnia exurit. Iotapata quidem ita deuicta est tertiodecimo imperij Neronis anno, calendarum Iuliarum die.

Cap. XIIII. Quomodo Ioseph. captus vitam suam redemit facto & verbis.

Romani verò Iosephũ requirentes, & propriæ indignationis causa, & quod imperatori operæprecium videbatur (captus enim, maxima pars belli esset) mortuos itémq; abditos rimabantur: ille autem in exitio ciuitatis fortunæ quodam vsus auxilio, per medios se hostes surripuit, & in quendam profundum puteum saltu demissus est, cui amplum specus adiunctum erat à latere, quod supra scrutantes videre non possent: vbi XL. insignes viros latitantes offendit, rerúmque vtilium apparatum, qui non paucis diebus sufficeret. Hostibus autem omnia complexis, interdiu quidem se occultauit: nocte verò sursum ascendens, vigilias explorabat, vt fugeret. Cũq; omnia vndiq;

A καὶ Πλάκιδος, τοὺς ὑπὸ σφίσι τεταγμένους εἰσῆγον. κατειλημμένης δὲ τῆς ἄκρας, καὶ τῶν πολεμίων ἐν μέσῃ τῇ πόλει στρεφομένων, ἤδη δὲ καὶ ἡμέρας οὔσης, ὅμως οὔπω τῆς ἁλώσεως τοῖς κρατουμένοις αἴσθησις ἦν. κόπῳ τε γὰρ οἱ πολλοὶ καὶ ὕπνῳ λέλυντο, καὶ τῶν ἐξανισταμένων ὁμίχλη τὰς ὄψεις ἀπήμβλυνε πολλή, κατὰ τύχην τότε τῇ πόλει περιχυθεῖσα. μέχρι πάσης τῆς στρατιᾶς εἰσπεσούσης, πρὸς μόνην τὴν τῶν κακῶν αἴσθησιν ἐξανέστησαν, καὶ τὴν B ἅλωσιν ἐπὶ φόνον ἀναιρούμενοι. Ῥωμαίοις δὲ κατά τε μνήμην ὧν περὶ τὴν πολιορκίαν ἔπαθον, οὔτε φειδὼς εἰσῄει τινός, οὔτε ἔλεος, ἀλλ᾽ εἰς τὸ κάταντες ἀπὸ τῆς ἄκρας τὸν λεὼν συνωθοῦντες ἐφόνευον. ἔνθα καὶ τοὺς ἔτι μάχεσθαι δυναμένους ἡ δυσχωρία τὴν ἄμυναν ἀφείλετο. θλιβόμενοι γὰρ ἐν τοῖς στενωποῖς, καὶ κατὰ τοῦ πρανοῦς ὑπολισθαίνοντες, ῥέοντι κατ᾽ ἄκρας ἐκαλύπτοντο τῷ πολέμῳ. τοῦτο πολλοὺς καὶ τῶν περὶ τὸν Ἰώσηπον ἐπιλέκτων, ἐπ᾽ αὐτοχειρίαν παρώξυνε. κατιδόντες γὰρ C ὡς οὐδένα τῶν Ῥωμαίων ἀνελεῖν δύνανται, τό γε πεσεῖν αὐτοὶ ὑπὸ Ῥωμαίων προέλαβον, καὶ συναθροισθέντες ἐπὶ τὰ καταλήγοντα τῆς πόλεως, σφᾶς αὐτοὺς ἀνεῖλον. ὅσοι γε μὴν ὑπὸ πρώτην τῆς καταλήψεως αἴσθησιν τῶν φυλακῶν διαφυγεῖν ἔφθασαν, ἀναβάντες εἴς τινα τῶν προσαρκτίων πύργων μέχρι μέν τινος ἀπημύναντο. περισχεθέντες δὲ τῷ πλήθει τῶν πολεμίων, ὀψὲ παρῆσαν τὰς δεξιάς, καὶ τοῖς ἐφεστῶσι τὴν σφαγὴν εὔθυμοι D παρέσχον. ἀναίμακτον δ᾽ ἂν ηὔχησαν Ῥωμαῖοι τὸ τέλος τῆς πολιορκίας, εἰ μὴ κατὰ τὴν ἅλωσιν εἷς ἔπεσεν ἑκατοντάρχης, ὃς ἦν Ἀντώνιος. θνήσκει δ᾽ ἐξ ἐνέδρας. τῶν γὰρ εἰς τὰ σπήλαια τις συμπεφευγότων (πολὺ δ᾽ οὗτοι πλῆθος ἦσαν) ἱκέτευε τὸν Ἀντώνιον ὀρέξαι δεξιὰν αὐτῷ, πίστιν τε σωτηρίας, καὶ βοήθειαν πρὸς ἄνοδον. ὁ δ᾽ ἀφυλάκτως ὤρεγε τὴν χεῖρα, καὶ φθάσας αὐτὸν ἐκεῖνος, νύττει κάτωθεν ὑπὸ τὸν βουβῶνα δόρατι, καὶ παραχρῆμα διεργάζεται. κατ᾽ ἐκείνην μὲν οὖν τὴν ἡμέραν, E τὸ φανερὸν πλῆθος ἀνεῖλον Ῥωμαῖοι. ταῖς δ᾽ ἐπιούσαις ἀνερευνώμενοι τὰς καταδύσεις, τοῖς ἐν τοῖς ὑπονόμοις καὶ τοῖς σπηλαίοις ἐπεξῄεσαν, καὶ διὰ πάσης ἐχώρουν ἡλικίας, πλὴν νηπίων καὶ γυναικῶν. καὶ τὰ μὲν αἰχμάλωτα χίλια πρὸς τοῖς διακοσίοις συνήχθη. νεκροὶ δὲ κατά τε τὴν ἅλωσιν, καὶ κατὰ τὰς πρότερον μάχας, συνηριθμήθησαν τετρακισμύριοι. Οὐεσπασιανὸς δὲ τήν τε πόλιν κατασκάψαι κελεύει, καὶ τὰ φρούρια πάν- F τα προσεμπίπρησιν αὐτῆς. Ἰωτάπατα μὲν οὖν οὕτως ἑάλω, τρισκαιδεκάτῳ τῆς Νέρωνος ἡγεμονίας ἔτει, Πανέμου νουμηνίᾳ.

Κεφ. κδ.

Ῥωμαῖοι δὲ τὸν Ἰώσηπον ἀναζητοῦντες, κατά γε ὀργὴν σφετέραν, καὶ σφόδρα τοῦ στρατηγοῦ φιλοτιμουμένου, μεγίστη γὰρ ἦν μοῖρα τοῦ πολέμου ληφθείς, τούς τε νεκροὺς διηρεύνων, καὶ τοὺς ἀποκρύφους τῆς πόλεως μυχούς. ὁ δ᾽ ἄρτι τῆς πόλεως ἁλισκομένης, δαιμονίῳ τινὶ συνεργίᾳ χρησάμενος, μέσον μὲν αὑτὸν ἐκκλέπτει τῶν πολεμίων, καθάλ- G λεται δ᾽ εἴς τινα βαθὺν λάκκον, ᾧ πλατὺ σπήλαιον διέζευκτο κατὰ πλευράν, τοῖς ἄνωθεν ἀόρατον. ἔνθα τεσσαράκοντα μὲν τῶν ἐπισήμων ἄνδρας καταλαμβάνει λανθάνοντας, παρασκευὴν δ᾽ ἐπιτηδείων οὐκ ὀλίγαις ἡμέραις διαρκεῖν δυναμένην. μεθ᾽ ἡμέραν μὲν οὖν ὑπεστέλλετο τῶν πολεμίων πάντα διειληφότων, νυκτὸς δ᾽ ἀνιὼν ἐζήτει δρασμοῦ δίοδον, καὶ τὰς φυλακὰς κατεσκέπτετο. φρουρουμένων δὲ πανταχόθεν τῶν πύρ-

τῶν πύργων δι' αὐτὴν, ὡς λαθεῖν οὐκ ἦν, αὖθις εἰς τὸ σπήλαιον κατῄει. δύο μὲν οὖν ἡμέρας διαλανθάνει. τῇ δὲ τρίτῃ γυναικὸς ἁλούσης, ἅμα αὐτοῖς μηνύεται. καὶ οὐεσπασιανὸς αὐτίκα μετὰ σπουδῆς πέμπει δύο χιλιάρχους παυλῖνον, καὶ γαλλικανὸν, δεξιάς τε τῷ ἰωσήπῳ δοῦναι κελεύσας, καὶ προτρεψομένους ἀνελθεῖν. ἀφικόμενοι δὲ, παρεκάλουν οὗτοι τὸν ἄνδρα, καὶ πίστεις περὶ σωτηρίας ἐδίδοσαν. οὐ μὴν ἔπειθον. ἐκ γὰρ ὧν εἰκὸς ἦν τὸν τοσαῦτα δράσαντα παθεῖν, οὐκ ἐκ τῆς φύσει τῶν παρακαλούντων ἡμέρου, τὰς ὑποψίας συνέλεγεν, ἐδεδίει τε ὡς ἐπὶ τιμωρίαν προκαλουμένους, ἕως οὐεσπασιανὸς τρίτον ἔτι πέμπει χιλίαρχον νικάνορα, γνώριμον τῷ ἰωσήπῳ καὶ συνήθη πάλαι. παρελθὼν δ' οὗτος, τό τε φύσει ῥωμαίων χρηστὸν, πρὸς οὓς ἂν ἅπαξ ἕλωσι, διεξῄει, καὶ ὡς δι' ἀρετὴν αὐτὸς θαυμάζοιτο μᾶλλον, ἢ μισοῖτο πρὸς τῶν ἡγεμόνων, σπουδάζειν τε τὸν στρατηγὸν, οὐκ ἐπὶ τιμωρίᾳ ἀναγαγεῖν αὐτόν. ἐνεῖναι γὰρ ταύτην, κἂν μὴ παριόντος λαβεῖν, ἀλλὰ σῶσαι προαιρούμενον ἄνδρα γενναῖον. προσετίθει δὲ, ὡς οὔτ' ἂν οὐεσπασιανὸς ἐνεδρεύων φίλον ἔπεμπεν, ἵνα τῷ κακίστου πράγματος προστήσεται τὸ κάλλιστον, ἀπιστίας φιλίαν, οὔτ' ἂν αὐτὸς ἀπατήσων ἄνδρα φίλον, ὑπήκουσεν ἐλθεῖν. ἐνδοιάζοντος δὲ τοῦ ἰωσήπου καὶ πρὸς τὸν νικάνορα, τὸ μὲν στρατιωτικὸν ὑπ' ὀργῆς ἐκκαίειν τὸ σπήλαιον ὥρμητο. κατεῖχε δὲ αὐτοὺς ὁ πολέμαρχος, ζωγρῆσαι τὸν ἄνδρα φιλοτιμούμενος. ὡς δὲ ὅ τε νικάνωρ προσέκειτο λιπαρῶν, καὶ τὰς ἀπειλὰς τοῦ πολεμίου πλήθους ὁ ἰώσηπος ἔμαθεν, ἀνάμνησις αὐτῷ τῶν διὰ νυκτὸς ὀνείρων εἰσέρχεται, δι' ὧν ὁ θεὸς τὰς μελλούσας συμφορὰς αὐτῷ προεσήμαινεν ἰουδαίων, καὶ τὰ περὶ τοὺς ῥωμαίων βασιλεῖς ἐσόμενα. ἦν δὲ περὶ κρίσεις ὀνείρων ἱκανὸς συμβάλλειν τὰ ἀμφιβόλως ὑπὸ τοῦ θείου λεγόμενα. τῶν γε μὴν ἱερῶν βίβλων οὐκ ἠγνόει τὰς προφητείας, ὡς ἂν αὐτός τε ὢν ἱερεὺς καὶ ἱερέων ἔκγονος, ὃς ἐπὶ τῆς τότε ὥρας ἔνθους γενόμενος, καὶ τὰ φρικώδη τῶν προσφάτων ὀνείρων σπάσας φαντάσματα, προσφέρει τῷ θεῷ λεληθυῖαν εὐχήν. καὶ ἐπειδὴ τὸ ἰουδαῖον ἔφη φῦλον ὀκλάσαι δοκεῖ σοι τῷ κτίσαντι, μετέβη δὲ πρὸς ῥωμαίους ἡ τύχη πᾶσα, καὶ τὴν ἐμὴν ψυχὴν ἐπελέξω τὰ μέλλοντα εἰπεῖν, δίδωμι μὲν ῥωμαίοις τὰς χεῖρας ἑκὼν καὶ ζῶ. μαρτύρομαι δὲ ὡς οὐ προδότης, ἀλλὰ σὸς ἄπειμι διάκονος.

Κεφ. κε.

Ταῦτα εἰπὼν, ἐνεδίδου τῷ νικάνορι. καὶ τῶν ἰουδαίων οἱ συγκαταφυγόντες, ὡς τὸν ἰώσηπον συνίεσαν εἴκοντα τοῖς παρακαλοῦσιν, ἀθρόοι περιστάντες, ἦ μεγάλα γε ἂν στενάξειεν, ἐβόων, οἱ πάτριοι νόμοι, καὶ κατηφήσαι θεὸς, ὁ ἰουδαίοις κτίσας ψυχὰς θανάτου καταφρονούσας. φιλοζωεῖς ἰώσηπε, καὶ φῶς ὑπομένεις ὁρᾶν δοῦλον; ὡς ταχέως ἐπελάθου σαυτοῦ, πόσους ὑπὲρ ἐλευθερίας ἀποθνήσκειν ἔπεισας; ψευδῆ μὲν ἄρα δόξαν ἀνδρείας, ψευδῆ δὲ καὶ συνέσεως εἶχες, εἴγε σωτηρίαν μὲν ἐλπίζεις παρ' οἷς οὕτως ἐπολέμησας, σώζεσθαι δὲ ὑπ' ἐκείνων, κἂν ᾖ βέβαιον θέλεις. ἀλλ' εἰ καὶ σοὶ λήθην τινὰ σαυτοῦ κατέχεεν ἡ ῥωμαίων τύχη, προνοητέον ἡμῖν τοῦ πατρῴου νόμου. χρήσομέν σοι δεξιάν τε καὶ ξίφος. σὺ δὲ ἂν μὲν ἑκὼν

A ipsius causa maximè custodirentur, neque fallendi spes esset, in speluncam iterum descendebat: biduúmque ibi delituit. Tertia verò die, capta quadam muliere, quæ cum ipsis fuerat, indicatus est. Túmque Vespasianus properè duos tribunos Paulinum & Gallicanum, iussos pacem dare Iosepho, & hortari eum vt ascenderet, mittit. Quibus tamen ille rogantibus, postquam ad eum venerunt, fidémque pro salute dantibus minimè paruit. Ex his autem B magis quæ pati meritus esset, qui plurima commisisset, quàm ex naturali mansuetudine rogantium, suspicionem colligens, velut ad pœnam euocaretur, timebat: donec Vespasianus tertium quoque tribunum Nicanorem, Iosepho notum, atque olim consuetum misit. Is autem, quàm mite in eos Romanorum esset ingenium, quos semel subiugassent, referens, quódque ipse Iosephus virtutis causa magis admirabilis, quàm inuisus ducibus haberetur: C essétque imperatori studium non eum ad supplicium ducere, quod etiam sine deditione sibi liceret exigere, sed conseruare potius virum fortem: his addebat: quòd nec Vespasianus, si quid dolo moliretur, amicum ad id mitteret, vt rem optimam pessimæ, hoc est, perfidiæ prætexeret amicitiam: neque semetipsum illi, vt amicum falleret, obtemperaturum fuisse. Verùm Iosepho etiam post Nicanoris dicta hæsitante, milites quidem irati, speluncæ ignem submittere properabant. sed retinebat eos D belli ductor, viuum Iosephum capere plurimi pendens. Nicanore autem vehementer instante, vbi etiam hostilis multitudinis minas comperit Iosephus, nocturna somnia reminiscitur. quibus ei Deus & futuras Iudæorum clades, & quæ Rom. essent euentura principibus, ostendit. erat autem interpretandis quoque somniis idoneus, & coniectare quæ ambiguè diuinitus dicerentur, sciebat: qui & sacros pro- E phetarum libros nouerat, quòd & ipse sacerdos esset, & parentibus sacerdotibus procreatus. Illa igitur hora quasi Deo plenus, & recentium somniorum, quæ horrenda viderat, simulacra mente complexus, occultas preces Deo offert. Et quia Iudæorum, inquit, labefactari tibi rem creator placuit, fortuna verò ad Rom. tota migrauit, animámque meam quæ futura prædiceret, elegisti, do quidem manus sponte Rom. & viuo. testor autem, quòd non prodi- F tor, sed tuus minister ad eos ibo. Simúlque his dictis, Nicanori consentiebat. Verùm qui vnà confugerant Iudæorum, postquam intellexerunt Iosephum rogantibus cedere, vniuersi circumstantes clamabant, certè plurimum ingemiscere leges patriæ. Vbi sunt, quæ Iudæis Deus annuit, quibus mortem contemnentes animas indidit? Vita Iosephe captus es, lucémque pateris intueri seruientem? quàm citò tui oblitus es? quàm multos pro libertate mori G persuasisti? falsam profectò opinionem fortitudinis habebas, falsámque prudentiæ, si salutem apud eos speras, cum quibus ita dimicasti: aut si hæc etiam certa sunt, ab illis tamen te seruari cupis. Sed quamuis te Romanorum fortuna tui obliuione perfuderit, nos tamen patriæ gloriæ consulētes & dexterā tibi & gladium cōmodabimus: Tu verò siquidem sponte

moriare, dux Iudæorum: si verò inuitus, proditor morieris. Vix hæc elocuti sunt, & intentatis ei gladiis, occidendum illum comminabantur, si Romanis pareret. Timens igitur impetum Iosephus, & se Dei præceptorum proditorem esse ratus, si ea non renunciasset morte præuentus, argumentis eos philosophiæ necessariò tractare incepit. Et quid enim tantoperè, inquit, ô socij propriæ cædis auidi sumus? aut cur amicissimas inter se res, corpus & animam in dissensionem vocamus? mutatum me esse quispiam dicet? sed Romani hoc sciunt. Optimum in bello mori: sed legè belli, hoc est à victoribus trucidari. Proinde siquidem Romanorum ferrum deprecor, verè meo gladio meáque manu sim dignus: sin illi hosti suo parcendum putant, quanto iustius nosipsi nobis pepercerimus? Quippe stolidum èst ea circa nos admittere, pro quibus ab illis dissensimus. Pulchrũ enim esse pro libertate mori, & ipse fateor, pugnando tamen, & illorum manibus, qui eam præripuêre: nunc autem neque prælia nobis obstant, neque nos interficiunt. Itidem autem timidus est habendus, qui mori non vult cùm opus est, & qui vult cùm non oportet. Præterea quis nos metus prohibet ad Romanos ascendere? nempe mortis. Ergo quæ ab hostibus dubiè suspecta formidini est, eam certam ipsi nobis irrogabimus? Verùm seruitutem dicet aliquis. Valde quidem nunc liberi sumus. At viri foris est semet occidere. Imò verò ignauissimi, quantum opinor. Nam & gubernatorem timidissimum puto, qui tempestatem metuens, ante vim turbinis nauem spõte submergit. Quinetiam propria manu perire, à communi omnium animalium natura discrepat, eóque modo in creatorem nostrum Deum summum scelus admittitur. Nullum est animal, quod ex industria vel per se moriatur. Siquidem naturæ lex validissima, vt velint viuere, in omnibus sita est: idcirco & qui nobis adimendum id putant, hostes ducimus, & quos nostros insidiatores putamus, pœna persequimur. Deum verò indignè ferre non arbitramini, cùm donum eius homo despiciat? Ab illo enim accepimus, vt essemus: rursúmque, vt esse desinamus, illi reddendum est. Corpora quidẽ cũctis mortalia sunt, ex caduca materia fabricata, anima verò semper immortalis est: Deiq; particula in corporib. collocata. Si quis ergo depositum hominis surripuerit, aut malè tractauerit, pessimus statim ac perfidiosus habetur. Si Dei depositum ex proprio corpore quis eiecerit, eum se latuisse quem læserit æstimabit? Et seruos quidem fugientes vlcisci, iustum creditur, quamuis nequam dominos fugerint: ipsi verò Deum fugientes, & optimum Deum, impiè facere non videbimur? An ignoratis, quòd eorum qui lege naturæ vita exeunt, acceptúmque Deo debitum soluunt, cùm id qui dedit recipere voluerit, perpetua laus domúsque ac familia stabiles sunt? puræ autem & quæ inuocantes exaudiant animæ, retinent locum in cælo adeptæ sanctissimum: atque inde rursum, voluentibus seculis, castra corpora iubentur incolere. Quorum verò manus in seipsos insanierunt, eorum animas tenebrosior Orcus suscipit. pater autẽ illorũ Deus autores iniuriæ per nepotes vlciscitur. Hinc &

A θνήσεις, ἰουδαίων στρατηγός, ἐὰν δὲ ἄκων, προδότης τεθνήξῃ. ταῦθ' ἅμα λέγοντες, ἐπανετείναντο τὰ ξίφη, καὶ διηπείλουν ἀναιρήσειν αὐτὸν, εἰ τοῖς ῥωμαίοις ἐνδιδῴη. δείσας δὲ τὴν ἔφοδον ὁ ἰώσηπος, καὶ προδοσίαν εἶναι ἡγούμενος τῶν τοῦ θεοῦ προσταγμάτων, εἰ προαποθάνοι τῆς διαγγελίας, ἤρχετο πρὸς αὐτοὺς φιλοσοφεῖν ἐπὶ τῆς ἀνάγκης. τί γὰρ τοσοῦτον ἔφη σφαγῶν αὐτῶν ἑταῖροι φονῶμεν; ἢ τί τὰ φίλτατα διαστασιάζομεν σῶμα καὶ ψυχήν;
B ἠλλάχθαι τις ἐμέ φησιν; ἀλλ' οἴδασι ῥωμαῖοι τοῦτό γε. καλὸν ἐν πολέμῳ θνήσκειν. ἀλλὰ πολέμου νόμῳ, τουτέστιν ὑπὸ τῶν κρατούντων. εἰ μὲν οὖν τὸν ῥωμαίων ἀποστρέφομαι σίδηρον, ἄξιός εἰμι ἀληθῶς τοὐμοῦ ξίφους καὶ χειρὸς τῆς ἐμῆς. εἰ δὲ ἐκείνους εἰσέρχεται φειδὼ πολεμίου, πόσῳ δικαιότερον ἂν ἡμᾶς ἡμῶν αὐτῶν εἰσέλθοι. καὶ γὰρ ἠλίθιον ταῦτα δρᾶν σφᾶς αὐτοὺς, περὶ ὧν πρὸς ἐκείνους διιστάμεθα. καλὸν ὑπὲρ τῆς ἐλευθερίας ἀποθνήσκειν. φημὶ κἀγώ. μαχομένους μέν τοι, καὶ ὑπὸ τῶν ἀφαι-
C ρουμένων αὐτήν. νῦν δὲ οὔτε εἰς μάχην ἀντιβιάζουσιν ἡμῖν, οὔτε ἀναιροῦσιν ἡμᾶς. δειλὸς δὲ ὁμοίως, ὅ τε μὴ βουλόμενος θνήσκειν ὅτ' ἂν δέῃ, καὶ ὁ βουλόμενος ὅτ' ἂν μὴ δέῃ. τί δὲ καὶ δεδοικότες, πρὸς ῥωμαίους οὐκ ἄνιμεν; ἆρα οὐχὶ θάνατον; εἶτα οἷον δεδοίκαμεν ἐκ τῶν ἐχθρῶν ὑποπτευόμενον, ἑαυτοῖς βέβαιον ἐπιτιμήσομεν; ἀλλὰ δουλείαν ἐρεῖ τις. πάνυ γοῦν νῦν ἐσμὲν ἐλεύθεροι. γενναῖον γὰρ ἀνελεῖν ἑαυτὸν φήσει τις; οὔ μὲν οὖν,
D ἀλλὰ ἀγεννέστατον, ὡς ἔγω γε καὶ κυβερνήτην ἡγοῦμαι δειλότατον, ὅς τις χειμῶνα δεδοικὼς, πρὸ τῆς θυέλλης ἐβάπτισεν ἑκὼν τὸ σκάφος. ἀλλὰ μὴν ἡ αὐτοχειρία, καὶ τῆς κοινῆς ἁπάντων ζώων φύσεως ἀλλότριον, καὶ πρὸς τὸν κτίσαντα θεὸν ἡμᾶς ἐστιν ἀσέβεια. τῶν μέν γε ζώων οὐδέν ἐστιν, ὃ θνήσκει μετὰ προνοίας, ἢ δι' αὐτοῦ. φύσεως γὰρ νόμος ἰσχυρὸς ἐν ἅπασι, τὸ ζῆν ἐθέλειν. διὰ τοῦτο καὶ τοὺς φανερῶς ἀφαιρουμένους ἡμᾶς τούτου πολεμίους ἡγούμεθα, καὶ τὴν ἐξ ἐνέδρας τιμωρούμεθα. τὸν δὲ θεὸν οὐκ οἴεσθε
E ἀγανακτεῖν ὅτ' ἂν ἄνθρωπος αὐτοῦ τὸ δῶρον ὑβρίζῃ; καὶ γὰρ εἰλήφαμεν παρ' ἐκείνου τὸ εἶναι. καὶ τὸ μηκέτι εἶναι, πάλιν ἐκείνῳ δίδομεν. τὰ μέν γε σώματα θνητὰ πᾶσι, καὶ ἐκ φθαρτῆς ὕλης δημιουργεῖται. ψυχὴ δὲ ἀθάνατος ἀεὶ, καὶ θεοῦ μοῖρα τοῖς σώμασιν ἐνοικίζεται. εἶτα ἂν μὲν ἀφανίσῃ τις ἀνθρώπου παρακαταθήκην, ἢ διαθῆται κακῶς, πονηρὸς εἶναι δοκεῖ καὶ ἄπιστος. εἰ δέ τις τοῦ σφετέρου σώματος ἐκβάλλει τὴν παρακαταθήκην τοῦ θεοῦ, λεληθέναι
F δοκεῖ τὸν ἀδικούμενον, καὶ κολάζειν μὲν, τοὺς ἀποδράντας οἰκέτας δίκαιον νενόμισται, κἂν πονηροὺς καταλίπωσι δεσπότας. αὐτοὶ δὲ κάλλιστον δεσπότην ἀποδιδράσκοντες τὸν θεὸν, οὐ δοκοῦμεν ἀσεβεῖν; ἆρα οὐκ ἴστε, ὅτι τῶν μὲν ἐξιόντων τοῦ βίου κατὰ τὸν τῆς φύσεως νόμον, καὶ τὸ ληφθὲν παρὰ τοῦ θεοῦ χρέος ἐκτινόντων, ὅτ' ἂν ὁ δοὺς κομίσασθαι θέλῃ, κλέος μὲν αἰώνιον, οἶκοι δὲ καὶ γενεαὶ βέβαιοι, καθαραὶ δὲ ἐπήκοοι μένουσι αἱ ψυχαὶ, χῶρον οὐρανοῦ λαχοῦσαι τὸν ἁγιώτατον, ἔνθεν ἐκ περιτροπῆς αἰώνων ἁ-
G γνοῖς πάλιν ἀντενοικίζονται σώμασιν. ὅσοις δὲ καθ' ἑαυτῶν ἐμάνησαν αἱ χεῖρες, τούτων μὲν ᾅδης δέχεται τὰς ψυχὰς σκοτιώτερος, ὁ δὲ τούτων πατὴρ θεὸς εἰς ἐκγόνους τιμωρεῖται τοὺς θατέρων ὑβρίσαντας; διὰ τοῦτο

μεμι-

μεμίσηται παρὰ τῷ θεῷ τοῦτο, καὶ παρὰ τῷ σοφωτάτῳ κολάζεται νομοθέτῃ. τοὺς γοῦν αὐθέντας ἑαυτοὺς, παρὰ μὲν ἡμῖν, μέχρις ἡλίου δύσεως ἀτάφους ἐκρίπτειν ἔκριναν, καίτοι καὶ πολεμίους θάπτειν θεμιτὸν ἡγούμενοι. παρ' ἑτέροις δὲ καὶ τὰς δεξιὰς τούτων τῶν νεκρῶν ἀποκόπτειν ἐκέλευσαν, αἷς ἐστρατεύσαντο καθ' ἑαυτῶν, ἡγούμενοι, καθάπερ τὸ σῶμα τῆς ψυχῆς ἀλλότριον, οὕτω καὶ τὴν χεῖρα τοῦ σώματος. καλὸν οὖν ἑταῖροι δίκαια φρονεῖν, καὶ μὴ ταῖς ἀνθρωπίναις συμφοραῖς προσθεῖναι τὴν εἰς τὸν κτίσαντα ἡμᾶς δυσσέβειαν. εἰ σώζεσθαι δοκεῖ, σωζώμεθα. καὶ γὰρ οὐκ ἄδοξος ἡ σωτηρία, παρ' οἷς διὰ τοσούτων ἔργων ἐπεδειξάμεθα τὰς ἀρετάς. εἰ τεθνάναι, καλὸν ὑπὸ τῶν ἑλόντων. οὐ μεταβήσομαι δ' ἐγὼ εἰς τὴν τῶν πολεμίων τάξιν, ἵνα ἐμαυτοῦ προδότης γένωμαι. καὶ γὰρ ἂν εἴην πολὺ τῶν αὐτομολούντων πρὸς τοὺς πολεμίους ἠλιθιώτερος, εἴγε ἐκεῖνοι μὲν ἐπὶ σωτηρίᾳ τοῦτο πράττουσιν, ἐγὼ δὲ ἐπ' ἀπωλείᾳ, καί γε τῇ ἐμαυτοῦ. τὴν μέντοι Ῥωμαίων ἐνέδραν ἐπεύχομαι. μετὰ γὰρ δεξιὰν ἀναιρούμενος ὑπ' αὐτῶν, εὐθύμως τεθνήξομαι, τὴν τῶν ψευσαμένων ἀπιστίαν, νίκης μεῖζον ἀποφέρων παραμύθιον.

Κεφ. κς'.

Ὁ μὲν Ἰώσηπος πολλὰ τοιαῦτα πρὸς ἀποτροπὴν τῆς αὐτοχειρίας ἔλεγεν. οἱ δὲ πεφραγμένας ἀπογνώσει τὰς ἀκοὰς ἔχοντες, ὡς ἂν πάλαι καθοσιώσαντες ἑαυτοὺς τῷ θανάτῳ, παρωξύνοντο πρὸς αὐτόν. καὶ προστρέχων ἄλλος ἄλλοθεν ξιφήρης, ἐκάκιζόν τε εἰς ἀνανδρίαν, καὶ ὡς ἕκαστος αὐτίκα καταπλήξων, δῆλος ἦν. ὁ δὲ τὸν μὲν ὀνομαστὶ καλῶν, τῷ δὲ στρατηγικώτερον ἐμβλέπων, τοῦ δὲ δρασσόμενος τῆς δεξιᾶς, ὃν δὲ δεήσει δυσωπῶν, καὶ ποικίλοις διαιρούμενος πάθεσιν ἐπὶ τῆς ἀνάγκης, εἶργεν ἀπὸ τῆς σφαγῆς πάντων τὸν σίδηρον, ὥσπερ τὰ κατακυκλωθέντα τῶν θηρίων, ἀεὶ πρὸς τὸν καθαπτόμενον ἀντιστρεφόμενος. τῶν δὲ καὶ παρὰ τὰς ἐσχάτας συμφορὰς ἔτι τὸν στρατηγὸν αἰδουμένων, παρελύοντο μὲν αἱ δεξιαί, περιωλίσθαινε δὲ τὰ ξίφη, καὶ πολλοὶ τὰς ῥομφαίας ἐπιφέροντες, αὐτομάτως παρεῖσαν. ὁ δὲ ἐν ταῖς ἀμηχανίαις οὐκ ἠπόρησεν ἐπινοίας, ἀλλὰ πιστεύων τῷ κηδεμόνι θεῷ τὴν σωτηρίαν παραβάλλεται. καὶ ἐπειδὴ δέδοκται τὸ θνήσκειν, ἔφη, φέρε κλήρῳ τὰς ἀλλήλων σφαγὰς ἐπιτρέψωμεν, ὁ λαχὼν δὲ ὑπὸ τοῦ μετ' αὐτὸν πιπτέτω. καὶ διοδεύσῃ πάντων οὕτως ἡ τύχη. μηδὲ ἐπὶ τῆς ἰδίας κείσθω δεξιᾶς ἕκαστος. ἄδικον γὰρ οἰχομένων τῶν ἄλλων τινὰ μετανοήσαντα σωθῆναι. πιστὸς ἔδοξε ταῦτα εἰπών, καὶ συνεκληροῦτο πείσας. ἑτοίμην δὲ ὁ λαχὼν τῷ μετ' αὐτὸν παρεῖχε τὴν σφαγήν, ὡς αὐτίκα τεθνηξομένου καὶ τοῦ στρατηγοῦ. ζωῆς γὰρ ἡδίω, τὸν μετὰ τοῦ Ἰωσήπου θάνατον ἡγοῦντο. καταλείπεται δ' οὗτος (εἴτε ὑπὸ τύχης χρὴ λέγειν, εἴτε ὑπὸ θεοῦ προνοίας) σὺν ἑτέρῳ, καὶ σπουδάζων μήθ' ὑπὸ τοῦ κλήρου καταδικασθῆναι, μήτε εἰ τελευταῖος λείποιτο μιᾶναι τὴν δεξιὰν ὁμοφύλῳ φόνῳ, πείθει κἀκεῖνον ἐπὶ πίστει ζῆν. ὁ μὲν οὖν οὕτω τόν τε Ῥωμαίων, καὶ τὸν οἰκείων διαφυγὼν πόλεμον, ἐπὶ Οὐεσπασιανὸν ἤγετο διὰ τοῦ Νικάνορος. οἱ δὲ Ῥωμαῖοι πάντες ἐπὶ θέαν αὐτοῦ συνέτρεχον, καὶ τοῦ πλήθους συνθλιβομένου περὶ τῷ στρατηγῷ, θόρυβος ἦν ποικίλος, τῶν μὲν γεγηθότων ἐπὶ τῷ ληφθέντι, τῶν δὲ ἀπειλούντων, τῶν δ' ἐγγύθεν ἰδεῖν βιαζομένων. καὶ οἱ μὲν πόρρωθεν,

A Deo inuisum est, & à sapientissimo legis nostræ conditore coercetur. Denique si qui se occiderint, apud nos quidem vsque ad solis occasum insepultos abiici decretum est, cùm etiam hostes sepeliri fas esse ducamus: apud alios autem & dextræ iubentur abscindi eiusmodi mortuorum: quæ in ipsos armatæ sunt: quoniam vt corpus ab anima, ita manum esse à corpore alienam existimarent. Pulchrum est igitur, ô socij, iusta sentire neque huma- B nis cladibus addere, vt creatorem omnium impietate lædamus. si salui esse volumus salui simus, nec enim salus apud eos ignobilis est, quibus tantis virtutem operibus demonstrauimus. sin mori placet, ab his occidi perpulchrum est, qui nos ceperint. Non migrabo ego in hostium locum, vt ipse mei proditor fiam. multo enim stolidior sim, quàm qui ad hostes vltrò profugiunt, siquidem illi salutis suæ causa id faciunt: ego verò interitus, & qui- C dem mei. Romanorum tamen insidias votis expeto. nam si me & post iunctas dextras perimant, magno animo paratóque moriar, mendacij perfidiam pro victoriæ solatio mecum auferens. Multa quidem in hunc modum Iosephus vt à cæde propria socios dehortaretur, dicebat. Illi autem obstructis desperatione, qua se iamdudum morti deuouerant, auribus concitantur: & alij aliunde cum gladiis accurrentes ignauiâ exprobrabant: & quasi eũ mox D percussurus, quisq; adoriebatur. Ille autẽ cùm aliũ nominatim vocaret, alium vultu ducis intueretur, alterius dexteram prehenderet, alium precibus exoraret, varia mentis affectione (vt in tali necessitate) distractus, ferrum omnium à cæde sua prohibebat, non secus vt feræ bestiæ circumclusæ, ad eum semper qui se contingeret, ora conuertens. Illorum autem, qui ducem in extrema quoque clade reuerendum putabant debilitabantur dextræ, gladii- E que de manibus elabebantur: multi cùm manus ei afferrent, sponte frameas dimittebant. Iosepho autem non defuit in desperatione consilium, sed fretus Dei prouidentia, salutem in periculum mittit. Et quoniam mori decretum est, inquit, agite, cædes mutuas sortiamur: & cui obtigerit, manu sequentis occumbat, atque ita omnium fortuna perambulet, neque sua se quis dextera feriat: iniustum est enim cæteris interemptis, ex F aliis quenquam, si pœnituerit, saluum esse. Visus vera dicere, & quod persuasit agitur: vt sors cuique obtigit, paratam ei qui sequeretur necem suam præbebat quasi mox etiam duce perituro. cum Iosepho enim perire, vita dulcius æstimabant. Remansit autem ipse cum altero, siue fortuna dici poterat, siue Dei prouidentia. Consultóque prospiciens, ne vel sorte grauaretur, vel si nouissimus cessisset, gentilis cæde pollueretur: illi quidem, fide G interposita, vt viueret persuasit: ipse verò hoc modo & Romanorum & domestico bello liberatus, ad Vespasianum per Nicanorem ducebatur. Omnes autem Romani visendi eius gratia occurrebant: & cùm se circa ducem premeret multitudo, varius tumultus erat: his exultantibus, quòd captus esset, aliis minitantibus, nonnullis autem propius eum videre certantibus. Et qui longius quidem aberant,

hostem interficiendum esse clamabant: qui verò propius erant, facta eius reputantes, mutationes stupescebant. Rectorum autem nemo fuit, qui licèt antè irasceretur nomini eius, viri aspectu non mitior factus sit. Titum verò præter alios & fortis Iosephi animus in calamitatibus, & ætatis eius misericordia capiebat: qualísque pridem fuisset in præliis reminiscenti, & qualis nunc sit in hostium manibus positus intuenti, succurrebat quanta esset fortunæ potentia, quámque velox belli momentum: humanarum autem rerum nihil firmum atque perpetuum. quamobrem multos ad miserationem Iosephi pertraxit: plurimáque salutis eius pars Titus extitit apud patrem. Vespasianus tamen, quasi missurus eum Cæsari, vt cautissimè custodiretur præcepit. Quo audito, Iosephus aliquid ei soli se dicere velle ait. Summotísque ab illo omnibus aliis præter filium Titum, ac duos amicos: Tu quidem, inquit, Vespasiane, tantùm hoc putas, Iosephum te habere captiuum: ego autem maiorum ad te nuncius venio, præmissus à Deo: alioquin Iudæorum legem sciebam, & quemadmodum duces exercituum mori deceret. Ad Neronem me mittis? quid ita? quasi qui Neroni vsque ad te successuri sunt, maneant. Tu es Cæsar Vespasiane & Imperator, atque hic filius tuus: me autem colligatum arctius tibi asseruato: nam dominus quidem non mei solius es tu Cæsar, verumetiam terræ marísque ac totius hominum generis. me autem ad maiorem pœnam custodiri oportet, si ex tempore & subitò in dominum ista confingo. His dictis Vespasianus statim quidem fidem non habere videbatur, eáque Iosephum existimabat salutis gratia comminisci. paulatim verò ad credendum impellebatur, iampridé illum excitante ad imperiū Deo, sceptráq; multis præmonstrante aliis portētis. Sed & in aliis verū esse Iosephū deprehenderat. Altero nanq; amicorū qui secretis intererant, admirari dicente, quemadmodum (nisi hæc deliramenta sint) neque Iotapatenis de excidio, neq; sibi de captiuitate quicquam diuinasset, vt à se iram depelleret: Iosephus Iotapatenis ait se prædixisse, quòd post diem septimum & quadragesimum eos maneret exitium, quódque ipsum Romani viuum essent in custodia retenturi. Hæc in secreto quæsita, Vespasianus vbi vera esse comperit à captiuis, etiam quæ de se dixisset credibilia cœperat existimare: sed neque custodiam Iosepho nec vincula remittebat: vestimētis autem aliísque muneribus eum donare benignissiméque fouere non desinebat, etiam Tito magnam honori eius operam commodante. Quarto autem die mensis Iulij Vespasianus in Ptolemaida reuersus, inde in loca maritima Cæsaream peruenit, Iudææ maximam ciuitatem, & quæ maiorem incolarum partem Græcos haberet. Igitur & exercitum & rectorem indigenæ omni fauore ac benignitate suscipiunt, affectu quidem quo Romanos diligerent. plus autem illorum qui excisi fuerant odio: vnde etiā multi simul, vt de Iosepho supplicium sumeret, cum clamore precabantur. Vespasianus autem de ista quidem petitione,

A κολάζειν ἐβόων τὸν πολέμιον. τῶν δὲ πλησίον ἀνάμνησις αὐτοῦ τῶν ἔργων εἰσῄει, καὶ πρὸς τὴν μεταβολὴν θάμβος, τῶν τε ἡγεμόνων οὐδεὶς ἦν, ὃς εἰ καὶ πρότερον ὠργίζετο, τότε πρὸς τὴν ὄψιν οὐκ ἐνέδωκεν αὐτοῦ. μάλιστα δὲ τὸν Τίτον τό τε ἐξ ἀρετῆς, τό τε καρτερικὸν ἐν ταῖς συμφοραῖς ἥρει τοῦ Ἰωσήπου, καὶ πρὸς τὴν ἡλικίαν ἔλεος. ἀναμιμνησκομένῳ τε τὸν οὐ πάλαι μαχόμενον, καὶ τὸν ἐν χερσὶν ἐχθρῶν ἄρτι κείμενον ὁρῶντι. παρῆν τε νοεῖν ὅσον B δύναται τύχη, καὶ ὡς ὀξεῖα μὲν πολέμου ῥοπή, τῶν δὲ ἀνθρωπίνων οὐδὲν βέβαιον· παρὸ καὶ τότε συνδιέθηκε μὲν πλείστους ἑαυτῷ καὶ πρὸς οἶκτον τοῦ Ἰωσήπου. πλείστη δὲ αὐτῷ, καὶ παρὰ τῷ πατρὶ μοῖρα σωτηρίας ἐγένετο.

Κεφ. κζ.

Ὁ μέν τοι Οὐεσπασιανὸς φρουρεῖν αὐτὸν μετὰ πολλῆς ἀσφαλείας προσέταττεν, ὡς ἀναπέμψων αὐτίκα Νέρωνι. ταῦτα ἀκούσας ὁ Ἰώσηπος, μόνῳ τι διαλεχθῆναι θέλειν ἔλεγεν αὐτῷ. μεταστησαμένου δὲ ἐκείνου, πλὴν τοῦ παιδὸς Τίτου καὶ δυεῖν φίλων, τοὺς ἄλλους C ἅπαντας. σὺ μὲν εἶπεν Οὐεσπασιανέ, νομίζεις αἰχμάλωτον αὐτὸ μόνον εἰληφέναι τὸν Ἰώσηπον. ἐγὼ δὲ ἄγγελος ἥκω σοι μειζόνων. μὴ γὰρ ὑπὸ θεοῦ προπεμπόμενος οὐκ ᾔδειν τὸν Ἰουδαίων νόμον, καὶ πῶς στρατηγοῖς ἀποθνήσκειν πρέπει; Νέρωνί με πέμπεις; τί δέ, οἱ μετὰ Νέρωνα μέχρι σοῦ διάδοχοι μένουσι; σὺ Καῖσαρ Οὐεσπασιανὲ καὶ αὐτοκράτωρ, σὺ καὶ παῖς ὁ σὸς οὗτος. δέσμει δέ με νῦν ἀσφαλέστερον, καὶ τήρει σαυτῷ. δεσπότης D δὲ οὐ μόνον ἐμοῦ σὺ Καῖσαρ, ἀλλὰ καὶ γῆς καὶ θαλάσσης, καὶ παντὸς ἀνθρώπων γένους. ἐγὼ δὲ ἐπὶ τιμωρίαν δέομαι φρουρᾶς μείζονος, εἰ καταχεδιάζω καὶ θεοῦ. ταῦτα εἰπόντος, παραχρῆμα μὲν Οὐεσπασιανὸς ἀπιστεῖν ἐδόκει, καὶ τὸν Ἰώσηπον ὑπελάμβανε ταῦτα περὶ σωτηρίας πανουργεῖν. κατὰ μικρὸν δὲ εἰς πίστιν ὑπήγετο, τοῦ θεοῦ διεγείροντος αὐτὸν εἰς τὴν ἡγεμονίαν ἤδη, καὶ τὰ σκῆπτρα δι' ἑτέρων σημείων προδεικνῦντος. ἀτρεκῆ δὲ καὶ τὸν Ἰώσηπον ἐν αὐτοῖς κατελάμ- E βανε. τῶν γὰρ τοῖς ἀπορρήτοις παρατυχόντων φίλων ὁ ἕτερος, θαυμάζειν ἔφη, πῶς οὔτε τοῖς ἐπὶ τῶν Ἰωταπάτων περὶ ἁλώσεως, οὔτε αὐτῷ προεμαντεύσατο περὶ αἰχμαλωσίας, εἰ μὴ ταῦτα λῆρος εἴη διακρουομένου τὰς ἐπ' αὐτὸν ὀργάς. Ἰώσηπος δὲ καὶ τοῖς Ἰωταπατηνοῖς ὅτι μετὰ τεσσαρακοστὴν ἑβδόμην ἡμέραν ἁλώσονται προειπεῖν ἔφη, καὶ ὅτι πρὸς Ῥωμαίων αὐτὸς ζωγρηθήσεται. ταῦτα παρὰ τῶν αἰχμαλώτων κατ' ἰδίαν ὁ Οὐεσπα- F σιανὸς ἐκπυθόμενος, εὕρισκεν ἀληθῆ, καὶ πιστεύειν περὶ τῶν κατ' αὐτὸν ἤρχετο. φρουρᾶς μὲν οὖν καὶ δεσμῶν οὐκ ἀνίει τὸν Ἰώσηπον· ἐδωρεῖτο δὲ ἐσθῆτα, καὶ τοῖς ἄλλοις κειμηλίοις φιλοφρονούμενος καὶ περιέπων διετέλει, τὰ πολλὰ Τίτου τῇ τιμῇ συνεργοῦντος.

Κεφ. κη.

Τετάρτῃ δὲ Πανέμου μηνὸς, ἀναζεύξας εἰς τὴν Πτολεμαΐδα, κἀκεῖθεν εἰς τὴν παράλιον ἀφικνεῖται Καισάρειαν, μεγίστην τῆς τε Ἰουδαίας πόλιν καὶ τὸ πλέον G ὑφ' Ἑλλήνων ἐποικουμένην. ἐδέχοντο δὲ καὶ τὴν στρατιὰν, καὶ τὸν στρατηγὸν, μετὰ πάσης φιλοτιμίας, καὶ φιλοφροσύνης οἱ ἐπιχώριοι, καὶ κατ' εὔνοιαν μὲν τὴν πρὸς τοὺς Ῥωμαίους, τὸ δὲ πλέον, ἔχθει τῶν κατεστραμμένων. διὸ καὶ τὸν Ἰώσηπον ἀθρόοι καταβοῶντες ἠξίουν κολάζειν. Οὐεσπασιανὸς δὲ, τὴν μὲν περὶ τούτου δέησιν,

ὡς ὑπ'

ὡς ὑπ' ἀκρίτου γινομένην πλήθους, ἐξέλυσεν ἡσυχίᾳ. τῶν δὲ ταγμάτων τὰ μὲν δύο, χειμερίσοντα ἐκάθισεν ἐπὶ τῆς καισαρείας, ἐπιτήδειον ὁρῶν τὴν πόλιν. τὸ δέκατον δὲ καὶ πέμπτον εἰς σκυθόπολιν, ὡς μὴ θλίβοι παντὶ τῷ στρατῷ τὴν καισάρειαν. ἀλεεινὴ δὲ ἦν κἀκείνη χειμῶνος ὥρα, καθόσον ἦν πνιγώδης θέρους ὑπὸ καύματος, πεδιὰς οὖσα καὶ παράλιος.

Κεφ. κθ. Ἐν δὲ τούτῳ συναθροισθέντες οἵ τε κατὰ στάσιν ἐκπίπτοντες τῶν πολεμίων, καὶ οἱ διαφυγόντες ἐκ τῶν κατεστραμμένων, πλῆθος οὐκ ὀλίγον, ἀνακτίζουσιν ἰόππην ὁρμητήριον σφίσιν, ἐρημωθεῖσαν ὑπὸ κεστίου πρότερον, καὶ τῆς χώρας ἐκπεπολεμωμένης εἰργόμενοι, μεταβαίνειν ἔγνωσαν εἰς τὴν θάλασσαν. πηξάμενοί τε πειρατικὰ σκάφη πλεῖστα, τόν τε φοινίκης, καὶ συρίας, καὶ τὸν ἐπ' αἴγυπτον πόρον ἐλῄστευον, ἄπλωτά τε πᾶσιν ἐποίουν τὰ τῇδε πελάγη. οὐεσπασιανὸς δὲ ὡς ἔγνω τὴν σύνταξιν αὐτῶν, πέμπει πεζούς τε καὶ ἱππεῖς ἐπὶ τὴν ἰόππην, οἳ νύκτωρ ὡς ἀφύλακτον εἰσέρχονται τὴν πόλιν. οἱ δὲ ἐν αὐτῇ προῄσθοντο μὲν τὴν εἰσβολήν, καὶ καταδείσαντες, τοῦ μὲν εἴργειν τοὺς ῥωμαίους ἀπετράποντο. συμφυγόντες δὲ εἰς τὰς ναῦς, ἐξωτέρω βέλους διενυκτέρευσαν. ἀλιμένου δὲ οὔσης φύσει τῆς ἰόππης, αἰγιαλῷ γὰρ ἐπιλήγει τραχεῖ, καὶ τὸ μὲν ἄλλο πᾶν ὀρθίῳ, βραχὺ δὲ συννεύοντι κατὰ τὰς κεραίας ἑκατέρωθεν. αἱ δέ εἰσι, κρημνοὶ βαθεῖς, καὶ προέχουσαι σπιλάδες εἰς τὸ πέλαγος, ἔνθα καὶ τῶν ἀνδρομέδας δεσμῶν ἔτι δεικνύμενοι τύποι, πιστοῦνται τὴν ἀρχαιότητα τοῦ μύθου. τύπτων δὲ τὸν αἰγιαλὸν ἀντίος βορέας, καὶ πρὸς ταῖς δεχομέναις πέτραις ὑψηλὸν ἀνακόπτων τὸ κῦμα, σφαλερώτερον ἐρημίας τὸν ὅρμον ἀπεργάζεται. κατὰ τοῦτον σαλεύουσι τοῖς ἀπὸ τῆς ἰόππης, ὑπὸ τὴν ἕω πνεῦμα βίαιον ἐπιπίπτει. μελαμβόρειον ὑπὸ τῶν ταύτῃ πλωϊζομένων καλεῖται. καὶ τὰς μὲν πρὸς ἀλλήλαις τῶν νεῶν αὐτόθι συνήρραξε, τὰς δὲ πρὸς ταῖς πέτραις. πολλὰς δὲ πρὸς ἀντίον κῦμα βιαζομένας εἰς τὸ πέλαγος, τόν τε γὰρ αἰγιαλὸν ὄντα πετρώδη, καὶ τοὺς ἐπ' αὐτοῦ πολεμίους ἐδεδοίκεσαν, μετέωρος ὑπεραρθεὶς ὁ κλύδων ἐβάπτισεν. ἦν δὲ οὔτε φυγῆς που τόπος, οὔτε μένουσι σωτηρία, βίᾳ μὲν ἀνέμου τῆς θαλάσσης ἐξωθουμένοις, ῥωμαίων δὲ τῆς πόλεως φερομένων τῶν βιαίων ἐκκλίνειν. καὶ πολλὴ μὲν οἰμωγὴ συρρηγνυμένων ἐγίνετο τῶν σκαφῶν, πολὺς δὲ ἀγνυμένων ὁ ψόφος. καὶ τοῦ πλήθους οἱ μὲν ὑπὸ τῶν κυμάτων καλυπτόμενοι διεφθείροντο, πολλοὶ δὲ τοῖς ναυαγίοις ἐμπλεκόμενοι. τινὲς δὲ ὡς κουφοτέρῳ τῆς θαλάσσης ἔφθανον τῷ σιδήρῳ σφᾶς αὐτοὺς ἀναιροῦντες. τό γε μὴν πλεῖστον ὑπὸ τῶν κυμάτων ἐκφερόμενον περιεξαίνετο ταῖς ἀπορρῶξιν, ὡς αἱμαχθῆναι μὲν ἐπὶ πλεῖστον τὸ πέλαγος, πληρωθῆναι δὲ νεκρῶν τὴν παραλίαν. καὶ γὰρ τοὺς ἐπὶ τὸν αἰγιαλὸν ἐκφερομένους, ἐφεστῶτες οἱ ῥωμαῖοι διέφθειρον. ἦν δὲ ἀριθμὸς τῶν ἐκβρασθέντων σωμάτων, τετρακισχίλιοι πρὸς τοῖς διακοσίοις. ῥωμαῖοι δὲ λαβόντες ἀμαχητὶ τὴν πόλιν κατασκάπτουσιν. ἰόππη μὲν οὕτως ἐν ὀλίγῳ χρόνῳ δεύτερον ὑπὸ ῥωμαίοις ἑάλω. οὐεσπασιανὸς δὲ ὡς μὴ πάλιν οἱ πειραταὶ συναλισθεῖεν εἰς αὐτήν, στρατόπεδόν τε ἐπὶ τῆς ἀκροπόλεως ἐγείρει, καὶ τὸ ἱππικὸν ἐν αὐτῷ καταλείπει μετὰ πεζῶν ὀλίγων, ἵνα οὗτοι μὲν κατὰ χώραν μένοντες, φρουρῶσι τὸ στρατόπεδον. οἱ δὲ ἱππεῖς προνομεύωσι τὴν πέριξ, καὶ τὰς περιοίκους κώμας τε καὶ πολίχνας ἐξαιρῶσι τῆς ἰόππης.

A velut ab inconsulta multitudine oblata: nihil respondendo dissoluit. legionum verò duas quidem hyematum apud Cæsaream posuit, quòd opportunam videret esse ciuitatem. Decimam verò & quintam Scytopolim misit, ne totius exercitus molestia Cæsaream premeret. Erat autem illa quoque aprica per hyemem, quantum æstatis caloribus æstuosa, vt in planicie sita atque maritima.

CAP. XV. Ioppe denuo capitur.

B Dum hæc aguntur, collecta non exigua multitudo, qui vel ab hostibus seditione defecerant, vel ex ciuitatibus euersis effugerant, Ioppen sibi receptaculo renouant, quam antea vastauerat Cestius. Et quia terra quam vastauerat arcebantur, migrandum in mare censuerunt: ac piraticis nauibus fabricatis, in Syriam ac Phænicen. itémq; in Ægyptum commeantes, plurimos latrociniis prædabantur: omnibusque nauigiis inuium faciebant illarum partium pelagus. Sed Vespasia- C nus cognito quid constituisset, equites in Ioppen necnon & pedites mittit. hique nocte in ciuitatem, quòd incustodita erat, ingressi sunt. Eius autem habitatores (postquam irruptionē præsenserant, ne tunc Romanos arcerent, metu deterriti, naues fuga petierunt: & in his, vltra contiguum sagittæ spacium, pernoctauêre. Cùm verò Ioppe natura esset importuosa (namque in asperum cæteráque arduum littus desinit ac summis vtrinque cornibus le- D uiter incuruum; quæ vastè supersunt, & ingentibus procellis pelagus turbant: vbi etiam nunc Andromedæ catenarum signis extantibus, fabulæ veteris fides ostenditur: aduersus autem Aquilo feriens littora, summos in obiectas cautes fluctus affligit, solitudinéque in tutiorem efficit stationem) in eo salo fluctuantibus Ioppenis, prima luce violentius. quem illac nauigantes Melamboream vocant flatus incumbit: & alias quidem naues inter E se, alias verò collisit in scopulos. multæ autem cùm magna vi aduerso æstu, niterentur ad pelagus (nam & littus saxis infestum, & hostes in eo constitutos timebant) sublatæ in sublime gurgite mergebantur. & neque fugæ vspiam locus erat, neque manentibus spes salutis: cum & mari ventorum, & ciuitate Romanorum violentia pellerentur. Itaque multi vlulatus collisis nauibus audiebantur, & multi F crepitus fractis: Ioppenorum autem fluctibus pars obruti, pars naufragiis implicati moriebā tur. nōnulli autē ferro se interficiētes, veluti id satius esset, mare præueniebant: plurimi autem euecti fluctibus, scopulis carpebantur: vt & pelagus sanguine redundaret, omnisque ora maritima cadaueribus impleretur: cū etiam ad littus appulsos in eo stantes Romani milites trucidarent. eiectorum autem corporum quatuor millia ducenta fuerunt. Ita captam nullo prælio ciuitatem Romani fundi- G tus eruunt. Ioppe quidem hoc modo breui tempore bis à Romanis excisa est. Vespasianus autem, ne rursus eò piratæ confluerent, castris in arce munitis, ibi cum peditibus paucis equitatum reliquit: vt hi quidem locis suis manentes, eadem castra defenderent: equites verò omne circū territoriū peragrātes. ad fines Ioppes, vicos & oppidula simul exurerent.

Illi igitur præceptis obedientes, in dies singulos incursando, excindebant totas regiones atque vastabant. Vbi verò Iotapatæ apud Hierosolymam casus nunciatus est, primò quidem plurimi & pro magnitudine calamitatis, & quòd nemo qui se vidisse diceret quæ iactabantur aduenerat, non credebant. nec enim vel nuncius aliquis superfuerat: sed ipsa per se fama excidium prædicabat, velox nuncia tristium: paulatimque per finitimos veritas ambulabat, & apud omnes ambiguitate certior habebatur. quinetiam rebus gestis plura quæ facta non erant affingebantur: & in excidio ciuitatis peremptus dicebatur esse Iosephus: quæ res maximo luctu repleuit Hierosolymam: & per singulas domos itémq; cognationes, amissorum quisque lugebatur à suis: luctus verò ducis publicus erat. & hi quidem hospites, alij propinquos, amicos alij, nonnulli etiam fratres flebant: Iosephum autem vniuersi. adeò vt per dies xxx. nunquam lamenta in ciuitate cessarent, magnáque mercede conducerentur tibicines næniarum. Tempore autem veritate reuelata, vt de Iotapata quidem vbi res habebat, fictum verò quod de Iosephi morte vulgabatur, eúmque viuere & cum Romanis esse compertum est, ac supra captiui fortunam à ducibus honorati: tantam in eum viuum iracundiam, quantam prius cùm mortuum crederent beneuolentiam, conceperunt. Et ab aliis quidem ignauiæ, apud alios proditionis arguebatur: totáque in eum ciuitas plena erat indignatione atque conuitiis. Vltro autem his vulneribus excitabantur, magísque accendebantur rebus aduersis: & offensio quæ prudentibus ne similia perferant cautionis & custodiæ causam præbet, ad alias calamitates tanquam stimulus incitabat: & malorum semper incipiebat ex fine principium. denique maiore in Romanos impetu ferebantur, velut in Iosephum pariter vindicaturi. Hierosolymorum quidem habitatores eiusmodi turbis agitabantur.

CAP. XVI. Deditio Tiberiadis.

VEspasianus autem studio visendi regnum Agrippæ (nam & ipse rex inuitabat, rectorem cum exercitu simul paratus accipere domesticis diuitiis, ac per eos ægras partes regni compescere) motis ex Cæsarea maritima castris, in eam quæ Philippi dicitur Cæsaream demigrauit: ibique per dies xx. milite recreato, ipse quoque rerum gestarum gratias Deo referens in epulis erat. Postquàm verò Tiberiada quidem nouas res cupere, ac deficere Taricheas audiuit (ad regnum autem Agrippæ vtraque pertinebat) decreto apud se vndique Iudæos excindere, opportunum esse credidit aduersus eos exercitum ducere, simul vt Agrippæ hospitio vicem rependeret, potestati eius ciuitatibus creditis. Igitur filium suum in Cæsaream, vt inde militem Scythopolim traduceret, mittit. Hæc autem ciuitas Decapoleos maxima, & Tiberiadi vicina est. Quò cùm ipse venisset, ibi filium præstolabatur. Deinde cum tribus vltrà legionibus progressus, ad trigesimum à Tiberiade stadium,

οἱ μὲν οὖν κατὰ τὰ προσταχθέντα τὴν χώραν κατατρέχοντες, καθ' ἡμέραν ἔτεμνόν τε, καὶ ἠρήμουν ἅπασαν.

Ὡς δὲ εἰς τὰ ἱεροσόλυμα τὸ κατὰ τὴν ἰωταπάτην πάθος ἠγγέλθη, τὸ μὲν πρῶτον ἠπίστουν οἱ πολλοὶ, καὶ διὰ τὸ μέγεθος τῆς συμφορᾶς, καὶ διὰ τὸ μηδένα τῶν λεγομένων αὐτόπτην παρεῖναι. διεσώθη γὰρ οὐδὲ ἄγγελος. ἀλλὰ αὐτομάτη διεκήρυσσε φήμη τὴν ἅλωσιν, οἰκεία φύσει τῶν σκυθρωποτέρων. κατ' ὀλίγον δὲ διὰ τῶν προσχώρων ᾔδευε τὸ ἀληθὲς, καὶ παρὰ πᾶσιν ἀμφιβολίας ἦν ἤδη βεβαιότερον, προσεσχεδιάζετό γε μὴν τοῖς πεπραγμένοις καὶ τὰ μὴ γενόμενα. τεθνεὼς γὰρ ἐπὶ τῆς ἁλώσεως, καὶ ἰώσηπος ἠγγέλλετο. τοῦτο μεγίστου τὰ ἱεροσόλυμα πένθους ἐπλήρωσε, κατὰ μέν γε οἴκους, καὶ κατὰ συγγενείας οἷς προσήκων ἦν ἕκαστος τῶν ἀπολωλότων ἐθρηνεῖτο. τὸ δὲ ἐπὶ τῷ στρατηγῷ πένθος ἐδημοσιεύθη. καὶ οἱ μὲν ξένους, οἱ δὲ συγγενεῖς, οἱ δὲ φίλους, οἱ δὲ ἀδελφοὺς ἐθρήνουν. τὸν ἰώσηπον δὲ πάντες, ὡς ἐπὶ τριακοστὴν μὲν ἡμέραν μὴ διαλιπεῖν τὰς ὀλοφύρσεις ἐν τῇ πόλει. πλείστους δὲ μισθοῦσθαι τοὺς αὐλητὰς, οἳ θρήνων ἐξῆρχον αὐτοῖς. ὡς δὲ τὸ ἀληθὲς διεκαλύπτετο τῷ χρόνῳ, καὶ τὰ κατὰ τὴν ἰωταπάτην ὥσπερ εἶχεν, ἐσχεδιασμένον δὲ τὸ κατὰ τὸν ἰώσηπον πάθος δι' εἴσηκετο, ζῆν δὲ αὐτὸν ἔγνωσαν, καὶ παρὰ ῥωμαίοις ὄντα πρὸς τῶν ἡγεμόνων ἢ κατ' αἰχμαλώτου τύχην περιέπεσθαι, τοσοῦτον ὀργῆς ἐπὶ ζῶντος, ὅσον εὐνοίας ἐπὶ τεθνάναι δοκοῦντος πρότερον ἀνελάμβανον. καὶ παρ' οἷς μὲν εἰς ἀνανδρίαν, παρ' οἷς δὲ εἰς προδοσίαν ἐκακίζετο. πλήρης δὲ ἀγανακτήσεως ἦν καὶ τῶν κατ' αὐτοῦ βλασφημιῶν ἡ πόλις. παρωξύνοντο δὲ ταῖς πληγαῖς, καὶ προσεξεκαίοντο ταῖς κακοπραγίαις. τό γε μὴν πταίειν ὃ γίνεται τοῖς εὖ φρονοῦσιν ἀσφαλείας καὶ τῶν ὁμοίων φυλακῆς αἴτιον, ἐκείνοις κέντρον ἑτέρων ἐγίνετο συμφορῶν. καὶ τὸ τέλος, ἀεὶ τῶν κακῶν αὖθις ἀρχή. μᾶλλον γοῦν ὥρμουν ἐπὶ τοὺς ῥωμαίους, ὡς καὶ ἰώσηπον ἐν αὐτοῖς ἀμυνούμενοι. τοὺς μὲν οὖν ἐπὶ τῶν ἱεροσολύμων, τοιοῦτοι θόρυβοι κατεῖχον.

Κεφ. λα.

Οὐεσπασιανὸς δὲ καθ' ἱστορίαν τῆς ἀγρίππα βασιλείας, ἐκάλει γὰρ ὁ βασιλεὺς αὐτὸν, ἅμα καὶ δεξιώσασθαι τὸν ἡγεμόνα σὺν τῇ στρατιᾷ τῷ κατὰ τὸν οἶκον ὄλβῳ προαιρούμενος, καὶ καταστεῖλαι δι' αὐτοῦ τὰ νοσοῦντα τῆς ἀρχῆς, ἄρας ἀπὸ τῆς παραλίου καισαρείας, εἰς τὴν φιλίππου καλουμένην μεταβαίνει καισάρειαν. ἔνθα μέχρι μὲν ἡμερῶν εἴκοσι τὴν στρατιὰν διαναπαύων, καὶ αὐτὸς ἐν εὐωχίαις ἦν, ἀποδιδοὺς τῷ θεῷ χαριστήρια τῶν κατωρθωμένων. ὡς δὲ αὐτῷ τιβεριὰς μὲν νεωτερίζειν, ἀφεστάναι δὲ ἠγγέλλοντο ταριχαῖαι, μοῖρα δὲ τῆς ἀγρίππα βασιλείας ἦσαν ἀμφότεραι, πανταχόθεν τοὺς ἰουδαίους καταστρέφεσθαι διεγνωκὼς, τὴν ἐπὶ τούτοις στρατείαν εὔκαιρον ἡγεῖτο, καὶ δι' ἀγρίππαν ὡς εἰς ξενίας ἀμοιβὴν, σωφρονίσων αὐτῷ τὰς πόλεις. πέμπει δὴ τὸν υἱὸν τίτον εἰς καισάρειαν, μετάξοντα τὴν ἐκεῖθεν στρατιὰν εἰς σκυθόπολιν. ἡ δ' ἐστὶ μεγίστη τῆς δεκαπόλεως, καὶ γείτων τῆς τιβεριάδος. ἔνθα καὶ αὐτὸς παραγενόμενος, ἐκδέχεται τὸν υἱόν. καὶ μετὰ τριῶν ταγμάτων προελθὼν, στρατοπεδεύεται μὲν, ἀπὸ τριάκοντα τῆς τιβεριάδος σταδίων κατά τινα

κατά τινα σταθμὸν εὐσύνοπτον τοῖς νεωτερίζουσι. σεννα-βρὶς ὀνομάζεται. πέμπει δὲ δεκαδάρχην οὐαλεριανὸν σὺν ἱππεῦσι πεντήκοντα, διαλεχθησόμενον εἰρηνικὰ τοῖς κατὰ τὴν πόλιν, καὶ προτρεψόμενον ἐπὶ πίστεις. ἀκηκόει γὰρ ὡς ἐπιθυμοίη μὲν εἰρήνης ὁ δῆμος, καταστασιάζοιτο δὲ ὑπό τινων πολεμεῖν βιαζομένων. προσελάσας δὲ ὁ οὐαλεριανὸς, ἐπεὶ πλησίον ἦν τοῦ τείχους, αὐτός τε καταβαίνει, καὶ τοὺς σὺν αὐτῷ τῶν ἱππέων ἀπέβησεν, ὡς μὴ δοκοῖεν ἀκροβολισόμενοι παρεῖναι. καὶ πρὶν εἰς λόγους ἐλθεῖν, ἐπιτίθενται αὐτῷ τῶν στασιαστῶν οἱ δυνατώτατοι μεθ' ὅπλων. ἐξηγεῖτο δὲ αὐτῶν ἰησοῦς τις ὀνόματι, παῖς σαφάτου, τοῦ λῃστρικοῦ στίφους ὁ κορυφαιότατος. οὐαλεριανὸς δὲ οὔτε παρὰ τὰς ἐντολὰς τοῦ στρατηγοῦ συμβαλεῖν ἀσφαλὲς ἡγούμενος, εἰ καὶ τὸ νικᾶν εἴη βέβαιον, καὶ σφαλερὸν μάχεσθαι πολλοῖς μετ' ὀλίγων, ἀπαρασκεύων πρὸς ἑτοίμους, καὶ ἄλλως ἐκπλαγεὶς πρὸς τὴν ἀδόκητον τῶν ἰουδαίων τόλμαν, φεύγει πεζὸς, ἕτεροί τε ὁμοίως πέντε τοὺς ἵππους ἀπέλιπον, οὓς οἱ περὶ τὸν ἰησοῦν ἀπήγαγον εἰς τὴν πόλιν, γεγηθότες ὥσπερ μάχῃ ληφθέντας οὐκ ἐνέδρᾳ.

A in quadam mansione conspicua nouatum rerum studiosis, cui nomen est Enabris, castra ponit: atque hinc decadarchum Valerianum cum equitibus L. mittit, qui pacifico sermone oppidanos alloqueretur, & ad fidem inuitaret. audierat enim quòd pacem populus desideraret: à nonnullis autem ad bellum eum cogentibus, seditionem pateretur. Itaque Valerianus vbi muro appropinquauit, & ipse de equo desiliit: & suos comites idem facere iussit: ne lacessendi prælij causa, potius venisse videretur. B Sed priusquam verbum faceret, armati excurrêre in eum seditiosi, qui erant validiores, rectore quodam nomine Iesu, Tobiæ filio, latrocinalis agminis principe. Valerianus autem, neque præter mandata ducis prælio congredi tutum ratus, etiam si de victoria certus esset: pugnámque periculosam esse, si cum multis pauci, & instructis imparati confligerent, inopinata præterea Iudæorum stupefa- C ctus audacia, & ipse pedes refugit, & quinque alij similiter equis relictis: quos Iesus eiúsque socij, veluti pugna non insidiis captos, læti in oppidum adduxerunt.

Κεφ. λβ.

Τοῦτο καταδείσαντες οἱ γηραιοὶ τοῦ δήμου, καὶ προὔχειν δοκοῦντες, φεύγουσι μὲν εἰς τὸ τῶν ῥωμαίων στρατόπεδον, ἐπαγόμενοι δὲ τὸν βασιλέα προσπίπτουσιν ἱκέται οὐεσπασιανῷ, μὴ σφᾶς περιιδεῖν δεόμενοι, μηδὲ τὴν ὀλίγων ἀπόνοιαν, ἡγήσασθαι τῆς πόλεως ὅλης. φείσασθαι δὲ τοῦ δήμου ῥωμαίοις φιλοφρονοῦντος ἀεὶ, καὶ τοὺς αἰτίους τιμωρήσασθαι τῆς ἀποστάσεως, ὑφ' ὧν αὐτοὶ φρουρηθῆναι μέχρι νῦν ἐπὶ δεξιὰς ἐπειγόμενοι πάλαι. ταύταις ἐνεδίδου ταῖς ἱκεσίαις ὁ στρατηγὸς, καίτοι διὰ τὴν ἁρπαγὴν τῶν ἵππων ἐφ' ὅλην ὠργισμένος τὴν πόλιν. καὶ γὰρ ἀγωνιῶντα περὶ αὐτῆς τὸν ἀγρίππαν ἑώρα. λαμβανόντων δὲ τούτων τῷ δήμῳ δεξιὰς, οἱ περὶ τὸν ἰησοῦν, οὐκ ἔτ' ἀσφαλὲς ἡγούμενοι μένειν ἐπὶ τῆς τιβεριάδος, εἰς ταριχαίας ἀποδιδράσκουσι. καὶ μεθ' ἡμέραν οὐεσπασιανὸς σὺν ἱππεῦσι, προπέμπει πρὸς τὴν ἄκραν τραϊανὸν, ἀποπειραθῆναι τοῦ πλήθους, εἰ πάντες εἰρηνικὰ φρονοῖεν. ὡς δὲ ἔγνω τὸν δῆμον ὁμονοοῦντα τοῖς ἱκέταις, ἀναλαβὼν τὴν δύναμιν ᾔει πρὸς τὴν πόλιν. οἱ δὲ τὰς πύλας ἀνοίγουσιν αὐτῷ καὶ μετ' εὐφημιῶν ὑπήντων, σωτῆρα καὶ εὐεργέτην ἀνακαλοῦντες. τῆς δὲ στρατιᾶς θλιβομένης περὶ τὴν τῶν εἰσόδων στενότητα, παραρρῆξαι τοῦ κατὰ τὴν μεσημβρίαν τείχους οὐεσπασιανὸς κελεύσας, πλατύνει τὴν εἰσβολὴν αὐτοῖς. ἁρπαγῆς μέντοι καὶ ὕβρεως ἀπέχεσθαι, παρήγγελλε τῷ βασιλεῖ χαριζόμενος, τῶν τε τειχῶν διὰ τοῦτο ἐφείσατο, συμμένειν πρὸς τὸ λοιπὸν ἐγγυωμένου τοὺς ἐν αὐτοῖς, καὶ τὰ ἄλλα κεκακωμένην τὴν πόλιν ἐκ τῆς στάσεως ἀνελάμβανεν. ἔπειτα προελθὼν αὐτῆς τε μεταξὺ καὶ ταριχαίων στρατοπεδεύεται. τειχίζει δὲ τὴν παρεμβολὴν ὀχυρωτέραν, ὑφορώμενος ἐκεῖ πολέμου τριβὴν αὐτῷ γενησομένην. συνέρρει γὰρ εἰς τὰς ταριχαίας πᾶν τὸ νεωτερίζον, τῇ τε τῆς πόλεως ὀχυρότητι, καὶ τῇ λίμνῃ πεποιθότες, ἣ καλεῖται γεννησὰρ πρὸς τῶν ἐπιχωρίων. ἡ μὲν γὰρ πόλις ὥσπερ ἡ τιβεριὰς ὑπώρειος οὖσα, καθὰ μὴ τῇ λίμνῃ προσεκλύζετο, πάντοθεν ὑπὸ τοῦ ἰωσήπου τετείχιστο καρτερῶς. ἔλασσον μέντοι τῆς τιβεριάδος. τὸν μὲν γὰρ ἐκεῖ περίβολον, ἐν ἀρχῇ τῆς ἀποστάσεως δαψιλείᾳ χρημάτων καὶ δυνάμεως ἐκρατύνατο.

Id autem veriti seniores, & qui eminere in populo videbantur, in Romanorum castra profugiunt: adhibitóque sibi rege, ad Vespasiani genua suppliciter accidunt, ne se despiceret obsecrantes: néve quæ paucorum esset, totius esse ciuitatis insaniam existimaret: sed populo parceret, qui semper D amica Romanis sentiret: magísque vltum iret defectionis autores, à quibus ipsi olim ad fœdus venire properantes, nunc vsque ne id facerent asseruati fuissent. His eorum precibus, quanquam toti ciuitati propter equorum rapinam infensus esset, indulsit. nam & Agrippam videbat eius oppidi causa trepidare. Fide autem per eos populo data, Iesus eiúsque socij, tutum sibi non esse rati apud Tiberiada consistere, ad Taricheas confugiunt. Posteróque E die Vespasianus in arcem præmittit cum equitibus Traianum, qui multitudinem an omnes pacem cuperent, experiretur. cognito autem populum eadem sentire quæ supplices, ad ciuitatem ducebat exercitum. Illi autem portis ei patefactis, cum faustis ominationibus obuiam prodeunt, salutis datorem ac benemeritum acclamantes. Cùm verò militem angusti aditus remorarentur, murorum partem diF rui Vespasianus ex meridio latere iussit, cóque pacto dilatauit ingressum: vt præda tamen & iniuriis abstinerent, in gratiam regis edixit: eiusdémque causa muris pepercit, spondentis habitatores eius posthac cum reliquis fore cócordes: aliísque modis malis affectam ciuitatem ex dissensione recreauit.

CAP. XVII. Tarichearū obsidio.

Deinde ab ea digressus, inter ipsam & Taricheas castra posuit, muróque firmauit, belli sibi moras illic fore prospiciens: quòd omnis turbarum cupiens multitudo ad Tari- G cheas confluerent, munitione confisa ciuitatis, & lacu qui Genesar ab indigenis appellatur. Etenim ciuitatem ita vt Tiberias sub monte positam, quà lacu non alluebatur vndique muro validissimo, sed minore tamen quàm Tiberiada, Iosephus cinxerat. nam illam quidem in principio defectionis, pecuniarum itémque virium copia communierat:

Tarichcis verò largitatis eius reliquiæ profecerunt. Scaphas autem plurimas in lacu paratas habebant: vt in eas videlicet, si terrestri prælio vincerentur, refugerent: simúlque ad nauale bellum, si opus esset, instructas. Romanis autem castra munientibus, Iesus eiusque socij neque multitudine hostium, neque disciplina militiæ perterriti, cursu eos irruunt: primóque impetu disiectis muri fabricatoribus, ac parte aliqua ædificij dissipata, vbi armatos congregari viderunt, antequam mali aliquid paterentur, ad suos refugiunt: eósque insecuti Romani, ad nauigia compulêre. Et illi quidem tantum prouecti, vnde Romanos contingere missilibus possent, anchoras iaciunt: & sicut acies assolent, densatis inter se nauibus, aduersus hostes in terra constitutos, nauali prælio decertabant. Audito autem Vespasianus magnam eorum multitudinem in proxima ciuitati planicie congregatam, filium suum cum sexcentis equitibus lectis eò mittit. Qui cùm infinitum hostium numerum reperisset, patri quidem maioribus auxiliis opus esse mandauit. Ipse verò equitum plerosque, etiam priusquam subsidia venirent alacres esse videns, cùm nonnulli eorum multitudinem Iudæorum formidarent, vnde exaudiri posset constitit: &, ô Romani, ait, pulchrum est namque in principio sermonis admonere vos generis vestri, vt qui cum quibus pugnaturi simus sciatis: nostras enim manus nemo vnquam toto orbe hostis vllus euasit: Iudæi verò, vt etiam pro his dicamus aliquid, ad hoc vsque tempus victi non defatigantur: itaque oportet illis in aduersis rebus constanter dimicantibus, etiam nos in secundis perseuerantiùs laborare: aperta quidem fronte vobis plurimum alacritatis inesse conspiciens, gaudeo: vereor autem, ne cui vestrûm tanta timorem multitudo hostium latenter incutiat. Igitur quisque iterum cogitet, qualis cum quibus decertabit: quódque Iudæi, licèt satis sint audaces, mortémque contemnant, incompositi tamen bellorúmque imperiti sunt, vulgus rectè potius quàm exercitus appellandi, de vestra verò peritia atq; ordinatione referre quid opus est? Nempe idcirco soli armis exercemur, pacis etiam tempore, vt ne in bello nos cum hostibus numero conferamus. nam quòd perpetuæ militiæ commodum, si pares cum rudibus congrediamur? Quin reputate, quod armati cum inermibus, & equites cum peditibus, & ducis tuti consilio cum vagis neq; rectorem habentibus decertabitis: quódque nos hæ virtutes multo plures efficiant, multum autem vitia de hostium numero detrahant. Nec sola hominum multitudo, quamuis pugnacissimi fuerint, in bello obtinet: sed etiam si vel in paucis sit fortitudo. hi enim & ordinari faciles sunt, & sibimet subuenire: numerosæ autem copiæ plus incommodi ex semetipsis, quàm ex hostibus capiunt: Itaque Iudæos audacia & ferocitas ac desperatio siue mentis sæuitia ducunt, quæ rebus secundis aliquantum valent, minimis verò offensionibus extinguũtur, nos autẽ virtus regit, & morigera volũtas, itẽq; fortitudo, quę & in

Ταριχαίαις δὲ αὐτοῦ τὰ λείψανα τῆς φιλοτιμίας μετέλαβον. σκάφη δὲ ἦν αὐτοῖς ἐπὶ τῆς λίμνης παρεσκευασμένα πολλά, πρός τε τὸ συμφυγεῖν ἐπὶ τῆς γῆς ἡττωμένους, κἂν εἰ δέοι διαναυμαχεῖν, ἐξηρτυμένα. περιβαλλομένων δὲ τῶν ῥωμαίων τὸ στρατόπεδον, οἱ περὶ τὸν Ἰησοῦν οὔτε πρὸς τὸ πλῆθος, οὔτε πρὸς τὴν εὐταξίαν τῶν πολεμίων ὑποδείσαντες, προθέουσι· καὶ πρὸς τὴν πρώτην ἔφοδον τῶν τειχοποιῶν σκεδασθέντων, ὀλίγα τῆς δομήσεως ἀναρράξαντες ὡς ἑώρων τοὺς ὁπλίτας ἀθροιζομένους, πρίν τι παθεῖν, εἰς τοὺς σφετέρους ἀνέφυγον. ἐπιδιώξαντες δὲ οἱ ῥωμαῖοι, συνελαύνουσιν αὐτοὺς εἰς τὰ σκάφη. καὶ οἱ μὲν ἀναχθέντες εἰς ὅσον ἐξικνεῖσθαι τῶν ῥωμαίων βάλλεσθαι δύναιντο, τάς τε ἀγκύρας ἔβαλλον, καὶ πυκνώσαντες ὥσπερ φάλαγγα τὰς ναῦς ἐπαλλήλους, τοῖς ἐπὶ τῆς γῆς διεναυμάχουν πολεμίοις. Οὐεσπασιανὸς δὲ τὸ πολὺ πλῆθος αὐτῶν ἠθροισμένον ἀκούων ἐν τῷ πρὸ τῆς πόλεως πεδίῳ, πέμπει τὸν υἱὸν σὺν ἱππεῦσιν ἑξακοσίοις ἐπιλέκτοις.

Κεφ. λγ.

Ὁ δὲ ὑπέρογκον εὑρὼν τὴν τῶν πολεμίων πληθύν, πρὸς μὲν τὸν πατέρα πέμπει πλείονος δυνάμεως αὐτῷ δεῖν λέγων. αὐτὸς δὲ τοὺς μὲν πλείους τῶν ἱππέων ὡρμημένους ὁρῶν, καὶ πρὶν ἀφικέσθαι βοήθειαν, ἔστι δὲ οὓς ἡσυχῇ πρὸς τὸ πλῆθος τῶν Ἰουδαίων καταπεπληγότας, ἐν ἐπηκόῳ στὰς, ἄνδρες ἔφη ῥωμαῖοι, καλὸν γὰρ ἐν ἀρχῇ τῶν λόγων ὑπομνῆσαι τοῦ γένους ὑμᾶς, ἵνα εἰδῆτε τίνες ὄντες, καὶ πρὸς τίνας μάχεσθαι μέλλομεν. τὰς μὲν γὰρ ἡμετέρας χεῖρας, οὐδὲν εἰς τοῦτο τῶν ἐπὶ τῆς οἰκουμένης διαπέφευγεν. Ἰουδαῖοι δὲ ἵνα εἴπω καὶ ὑπὲρ αὐτῶν, μέχρι νῦν οὐ κοπιῶσιν ἡττώμενοι. καὶ δεινὸν ἑστώτων ἐκείνων ἐν ταῖς κακοπραγίαις, ἡμᾶς τοῖς εὐτυχήμασιν ἐγκάμνειν. προθυμίας μὲν ὑμᾶς εἰς τὸ φανερὸν εὖ ἔχοντας, χαίρω καὶ βλέπων. δέδοικα δὲ, μή τινι τὸ πλῆθος τῶν πολεμίων, κατάπληξιν λεληθυῖαν ἐνεργάσηται. λογισάσθω δὴ πάλιν, οἷος πρὸς οἵους παρατάξεται, καὶ διότι Ἰουδαῖοι μὲν εἰ καὶ σφόδρα τολμηταὶ, καὶ θανάτου καταφρονοῦντες, ἀλλὰ ἀσύντακτοί τε, καὶ πολέμων ἄπειροι, καὶ ὄχλος ἂν ἄλλως, καὶ οὐ στρατιὰ λέγοιντο. τὰ δὲ τῆς ἡμετέρας ἐμπειρίας, καὶ τάξεως, τί καὶ λέγειν δεῖ; ἐπὶ τούτῳ μέν τοι γε μόνοι καὶ κατ' εἰρήνην ἀσκούμεθα τοῖς ὅπλοις, ἵν' ἐν πολέμῳ μὴ πρὸς τὸ ἀντίπαλον ἀριθμῶμεν ἑαυτούς. ἐπεὶ καὶ τίς ὄνησις τῆς διηνεκοῦς στρατείας, ἐὰν ἴσοι πρὸς ἀστρατεύτους ἀντιπαρατασσώμεθα; λογίζεσθε δὲ, ὅτι καὶ πρὸς γυμνήτας ὁπλῖται, καὶ ἱππεῖς πρὸς πεζοὺς, στρατηγούμενοι πρὸς ἀστρατηγήτους διαγωνίζεσθε. καὶ ὡς ὑμᾶς μὲν ταῦτα πολλαπλασίους ποιεῖ τὰ πλεονεκτήματα, πολὺ δὲ τὸν τῶν πολεμίων ἀριθμὸν παραιρεῖται τὰ ἐλαττώματα. κατορθοῖ δὲ τοὺς πολέμους, οὐ πλῆθος ἀνθρώπων κἂν ᾖ μάχιμον, ἀνδρία δὲ, κἂν ἐν ὀλίγοις ᾖ. οἱ μέν γε παρατάξασθαι ῥᾴδιοι, καὶ προσαμύνειν ἑαυτοῖς. αἱ δὲ ὑπέρογκοι δυνάμεις, ὑφ' ἑαυτῶν βλάπτονται πλέον, ἢ τῶν πολεμίων. Ἰουδαίων μὲν οὖν τόλμα καὶ θράσος ἡγεῖται, καὶ ἀπονοίας πάθη, κατὰ μὲν τὰς εὐπραγίας εὔτονα, σβεννύμενα δὲ ἐν ἐλαχίστοις σφάλμασιν. ἡμῶν δὲ ἀρετὴ καὶ εὐπείθεια, καὶ τὸ γενναῖον, ὃ κἂν τοῖς

ἄλλοις

ἄλλοις δυστυχήμασιν ἀκμάζει, καὶ τοῖς πλήσμασιν οὐ μέχρι τέλους σφάλλεται. καὶ ὑπὲρ μειζόνων δὲ ἢ Ἰουδαῖοι διαγωνιεῖσθε. καὶ γὰρ εἰ περὶ ἐλευθερίας, καὶ πατρίδων ἐκείνοις ὁ πόλεμος κινδυνεύεται, τί μεῖζον ἡμῖν εὐδοξίας, καὶ τὸ μὴ δοκεῖν μετὰ τὴν τῆς οἰκουμένης ἡγεμονίαν, ἐν ἀντιπάλῳ τὰ Ἰουδαίων παρατίθεσθαι. σκεπτέον δὲ ὅτι, καὶ παθεῖν μὲν ἡμῖν οὐδὲν ἀνήκεστον φόβος. πολλοὶ γὰρ οἱ βοηθήσοντες, καὶ πλησίον. ἁρπάσαι δὲ τὴν νίκην δυνάμεθα, καὶ χρὴ τοὺς ὑπὸ τοῦ πατρὸς ἡμῖν πεμπομένοις συμμάχοις φθάνειν, ἵν' ἀκοινώνητόν τε ᾖ τὸ κατόρθωμα καὶ μεῖζον. νομίζω δ' ἐγὼ ἐπὶ τῆσδε τῆς ὥρας, καὶ τὸν πατέρα τὸν ἐμὸν κρίνεσθαι κἀμὲ καὶ ὑμᾶς, εἰ τῶν μὲν προκατωρθωμένων ἄξιος ἐκεῖνος, ἐγὼ δ' ἐκείνου παῖς, στρατιῶται δ' ὑμεῖς ἐμοῦ. καὶ γὰρ ἐκείνῳ τὸ νικᾶν ἔθος, κἀγὼ πρὸς αὐτὸν ὑποστρέφειν οὐκ ἂν ὑπομείναιμι λειφθείς. ὑμεῖς δὲ πῶς οὐκ ἂν αἰσχύνοισθε προκινδυνεύοντος ἡγεμόνος ἡττώμενοι; προκινδυνεύσω γὰρ εὖ ἴστε καὶ πρῶτος εἰς τοὺς πολεμίους ἐμβαλῶ. μὴ λείπεσθε δ' ὑμεῖς ἐμοῦ, πεπεισμένοι τὴν ὁρμὴν ἐμὴν συναντιλήψεσθαι θεὸν σύμμαχον, καὶ προγινώσκετε σαφῶς, ὅτι τῆς ἔξω μάχης πλέον τι κατορθώσομεν.

Κεφ. λδ'. Ταῦτα τοῦ Τίτου λέξαντος, προθυμία δαιμόνιος ἐμπίπτει τοῖς ἀνδράσι, καὶ προσγενομένου πρὶν συμβαλεῖν Τραϊανοῦ μετὰ τετρακοσίων ἀνδρῶν ἱππέων, ἤσχαλλον ὡς μειουμένης τῆς νίκης αὐτοῖς διὰ τὴν κοινωνίαν. ἔπεμψε δὲ Οὐεσπασιανὸς καὶ Ἀντώνιον Σίλωνα σὺν δισχιλίοις τοξόταις, κελεύσας καταλαβόντας τὸ ἀντικρὺ τῆς πόλεως ὄρος, τοὺς ἐπὶ τοῦ τείχους ἀνείργειν. καὶ οἱ μὲν ὡς προσετέτακτο τοὺς ταύτῃ πειρωμένους ἐκβοηθεῖν περιεῖχον. ὁ δὲ Τίτος πρῶτος τὸν ἵππον ἤλαυνεν εἰς τοὺς πολεμίους, καὶ σὺν κραυγῇ μετ' αὐτὸν οἱ λοιποὶ παρεκτείναντες ἑαυτοὺς, εἰς ὅσον ἐπεῖχον οἱ πολέμιοι τὸ πεδίον. παρὸ καὶ πολὺ πλείους ἔδοξαν. οἱ δὲ Ἰουδαῖοι καίτοι τήν τε ὁρμὴν καὶ τὴν εὐταξίαν αὐτῶν καταπλαγέντες, πρὸς ὀλίγον μὲν ἀντέσχον ταῖς ἐμβολαῖς, νυσσόμενοι δὲ τοῖς κοντοῖς καὶ ῥοίζῳ τῶν ἱππέων ἀνατρεπόμενοι, συνεπατοῦντο. πολλῶν δὲ πανταχοῦ φονευομένων, διασκίδνανται, καὶ πρὸς τὴν πόλιν ὡς ἕκαστος εἶχε τάχους ἔφευγον. Τίτος δὲ τοὺς μὲν κατόπιν προσκείμενος ἀνῄρει, τοὺς δὲ διεκπαίων ἀθρόους, τοὺς δὲ φθάνων κατὰ στόμα διήλαυνε, πολλοὺς δὲ συνηλοία περὶ ἀλλήλοις πεσόντας ἐμπηδῶν. πάλιν δὲ τὰς πρὸς ἀλλήλους φυγὰς ὑπετέμνετο, καὶ πρὸς τὸ πεδίον ἀπέστρεφεν, ἕως τῷ πλήθει βιασάμενοι καὶ συνεκπεσόντες εἰς τὴν πόλιν διέφυγον. ἐκδέχεται δ' αὐτοὺς στάσις ἔσω χαλεπή. τοῖς μὲν γὰρ ἐπιχωρίοις διά τε τὰς κτήσεις, καὶ τὴν πόλιν, οὐκ ἐδόκει πολεμεῖν ἀπ' ἀρχῆς, καὶ τότε διὰ τὴν ἧτταν πλέον. ὁ δ' ἔπηλυς πολὺς ὢν, πλέον ἐβιάζετο, καὶ διωργισμένοις ἐπ' ἀλλήλοις κραυγή τε ἦν καὶ θόρυβος, ὡς ὅσον οὔπω φερομένων εἰς ὅπλα. κατακούσας δὲ τῆς ταραχῆς Τίτος, οὐ γὰρ ἦν ἄπωθεν τοῦ τείχους, οὗτος ἦν ὁ καιρὸς ἐκβοᾷ, καὶ τί συστρατιῶται μέλλομεν, ἐκδιδόντος ἡμῖν Ἰουδαίους θεοῦ; δέξασθε τὴν νίκην, οὐκ ἀκούετε βοῆς; στασιάζουσιν οἱ τὰς χεῖρας ἡμῶν διαφυγόντες. ἔχομεν τὴν πόλιν ἐὰν ταχύνωμεν.

prospera fortuna viget, nec ad finem vsque inter aduersa decipitur. Ad hoc maiores nobis sunt, quàm Iudæis, causæ certaminis. nam si illi pro libertate ac patria belli pericula sustinent, quid est nobis inclyta fama præstantius? & ne post orbis terræ imperium videamur hostium aduersariorum loco Iudæos habere? Preterea considerate, quòd ne patiendi quidem alicuius intolerabilis mali metus est, multos enim eósque in proximo adiutores habemus. Rapere autem victoriam possumus: & quos à patre mitti nobis speramus auxilio, conuenit antecapere, vt & maior sit & socium non habeat virtutis effectus. Equidem puto nunc de me ac patre meo vobísque pariter iudicium fieri, si ille quidem rebus ante gloriosè gestis dignus fuit, ego verò eius sum filius, vósque milites mei. nam illi vincere consuetum est. ego verò reuerti ad eum perpetiar victus? quo pacto autem vos non puduerit, duce vestro periculis occurrente, non superare? appetam enim pericula mihi credite, primúsque in hostes irrumpam. nemo autem vestrûm à me discesserit, persuasum habens, impetum meum sustentari ope diuina, & manifestissimè præsumite, quòd multo plus mixti hostibus efficiemus, quàm si extrinsecus pugnaremus. Postquam Titus hæc prosecutus est, diuina quædam alacritas militibus incidit. Et quia Traianum aduenire cum CCCC. equitibus ante prælium contigit, ægrè ferebant, tanquam minueretur victoria societate. Misit autem Vespasianus & Antonium Silonem cum duobus millibus sagittariorum: vt occupato monte, qui ex aduerso erat oppido, murorum propugnatores repellerent. Et ab illis quidem ita vt præceptum fuerat, circumuenti sunt, ex ea parte subuenire tentantes. Titus autem primus perrexit citato equo in hostes, & post eum cæteri cum clamore, tanto spacio fusi, quantum aduersa acies occupauerat, vnde multo etiam plures quàm erant apparuerunt. Iudæi verò, licèt incursu eorum & disciplina conterriti, paulisper quidem primos sustinuêre congressus. Perculsi autem contis, equorúmque impetu deturbati conculcabantur: atque ita multis passim peremptis disperduntur, & in ciuitatem, vt quisque velocitatis habebat, effugiunt. Titus autem aliquos à tergo instans alios per transitum occidebat, nonnullos cursu antecapiens, ictu ora transuerberabat. multos autem, alium super alium lapsos inuoluens, conficiebat: omnésque ad mœnia confugiétes preueniens, detorquebat ad campum, donec vi multitudinis elapsi, in oppidum confugerunt. Excipit autem illos acerba dissensio. namque indigenis, & fortunarum suarum, & ciuitatis gratia, & ab initio bellum gestum, maximéque quod malè pugnatum fuerat, non placebat. sed populus aduenarum qui plurimus esset vim adhibebat, & inter se discordantium clamor erat, veluti iam arma caperent. Quibus auditis, nec enim procul à muris aberat, Titus exclamat: Hoc tempus est, quid moramur commilitones? Deo nobis dedente Iudæos suscipite victoriam. Non auditis clamores? qui manus nostras euasêre, discordant: habemus ciuitatem, si modò properamus

Verumtamen cum velocitate animis opus est. nihil enim magnum effici sine periculo consueuit.non solùm autem hostium cõcordiam, quos citò necessitas in gratiam reuocabit, sed etiam nostrorum auxilia præuenire debemus: vt præter victoriam, qua tantas copias pauci superamus,etiam ciuitate soli potiamur.Simul his dictis conscendit equum, atque ad lacum decurrit, & per eum properè ciuitatem ingreditur, quem cæteri consecuti sunt. pauor autem eius audaciæ murorum defensores inuasit,& pugnare quidem, vel prohibere venientem, nemo sustinuit. relictis autem excubiis, Iesus quidem cum sociis in agros effugit: alij verò decurrentes ad lacum, in manus hostium contrà venientium incidebant. mactabantur autem alij cùm scaphas scanderent, itémque alij, cùm iam prouectas assequi natando conarentur:plurimáque per ciuitatem fiebat hominum cædes, aduenarum quidem resistentium, qui non effugissent: indigenarum verò sine pugna, quoniam spes eos fœderis,& conscientia quòd belli consilium non habuerant, à prælio deterrebat, donec Titus nocentibus interemptis, miseratus indigenas ab internecione requieuit. At qui in lacum confugerant,vbi ciuitatem captam viderunt, quàm longissimè ab hostibus recesserunt. Titus verò missis equitibus res gestas patri nunciat. Quibus ille compertis,quod necesse fuit, & filij virtute admodum lætus, & facinoris claritudine (maxima enim belli pars videbatur exempta) tum quidem statim circundari ciuitatem custodibus iussit, ne quis ex ea subterfugeret, cædémque euaderet. postero autem die cùm descendisset ad lacum rates aduersus illos qui eò refugerant, fabricari iussit.quæ tã materiarum quàm artificum multitudine maturè contextæ sunt.

CAP. XVIII. De lacu Genesar, & fontibus Iordanis.

Lacus autem Genesar quidem à terra continente appellatur: x l.verò stadiis in latitudine patens,centúmque in longitudine aquæ dulcis est atque potabilis. Palustri enim crassitudine tenuiores habet latices: & vndique in littora ac arenas desinens, purus est, ac præter hoc temperatus ad hauriendum. & fluuio quidem siue fonte lenior est. semper autem frigidior, quàm lacus diffusio patitur,manet: æstiuísque noctibus eius aquæ sub diuo perflatæ, nequaquam æstibus cedunt: id enim facere indigenis moris est. Varia autem sunt in eo piscium genera, ab alterius loci piscibus tam sapore quàm specie discreta: mediúsque fluuio Iordane secatur. Cæterùm Iordanis fons Panium esse videtur: sed re vera huc terra conditus fertur ex ea quæ vocatur Phiale. Hæc autem est, quà in Trachonitidem ascenditur ad c x x. stadium à Cæsarea, ad dexteram non longè à via. Et propriè quidem ex rotunditate Phiala dicitur lacus, rotæ speciem præferens. semper autem intra eius labra cohibetur vnda, nunquam deficiens vel exuberans. Cúmque interim hoc esse Iordanis principium nesciretur, à tetrarcha quondam Trachonitidis Philippo deprehensum est. Is namque missis in Phialen paleis, inuenit eas apud Paniũ redditas, vnde antea fluuius nasci credebatur.Naturalis quidem pulchritudo Panij, te-

δεῖ δὲ πόνου πρὸς τῷ τάχει, καὶ λήματος. οὐδὲν γὰρ τῶν μεγάλων φιλεῖ δίχα κινδύνου κατορθοῦσθαι. φθάνειν δὲ οὐ μόνον χρὴ τὴν τῶν πολεμίων ὁμόνοιαν, οὓς ἀνάγκη διαλλάσσει ταχέως, ἀλλὰ καὶ τὴν ἡμετέρων βοήθειαν, ἵνα πρὸς τὸ νικῆσαι τοσοῦτο πλῆθος ὀλίγοι, καὶ τὴν πόλιν ἕλωμεν μόνοι. ταῦθ' ἅμα λέγων ἐπὶ τὸν ἵππον ἀναπηδᾷ, καὶ καθηγεῖται πρὸς τὴν λίμνην, δι' ἧς ἐλάσας πρῶτος εἰς τὴν πόλιν εἰσέρχεται, καὶ μετ' αὐτὸν οἱ λοιποί. δέος δὲ πρὸς τὴν τόλμαν αὐτοῦ τοῖς ἐπὶ τῶν τειχῶν ἐνέπεσε, καὶ μάχεσθαι μὲν, ἢ διακωλύειν, οὐδεὶς ὑπέμεινε. λιπόντες δὲ τὴν φρουρὰν, οἱ μὲν περὶ τὸν ἰησοῦν, διὰ τῆς χώρας ἔφυγον. οἱ δὲ ἐπὶ τὴν λίμνην καταθέοντες, ὑπαντιάζουσι τοῖς πολεμίοις περιέπιπτον. ἐκτείνοντο δὲ οἱ μὲν ἐπιβαίνοντες τῶν σκαφῶν. οἱ δὲ, τοῖς ἀναχθεῖσι προσανίπτειν πειρώμενοι. πολὺς δὲ τῶν κατὰ τὴν πόλιν ἦν φόνος, τῶν μὲν ἐπηλύδων, ὅσοι μὴ διαφεύγειν ἔφθασαν ἀντιπαρατασσομένων, ἀμαχητὶ δὲ τῶν ἐπιχωρίων. κατὰ γὰρ ἐλπίδα δεξιᾶς, καὶ τὸ συνειδὸς, τοῦ μὴ βεβουλεῦσθαι πολεμεῖν, μάχης ἀπετρέποντο. μέχρι Τίτος τοὺς μὲν αἰτίους ἀνελὼν, οἰκτείρας δὲ τοὺς ἐπιχωρίους, ἀνεπαύσατο φόνου. καὶ οἱ μὲν εἰς τὴν λίμνην καταφυγόντες, ἐπεὶ τὴν πόλιν ἑαλωκυῖαν εἶδον, ὡς πορρωτάτω τῶν πολεμίων ἀνήχθησαν. Τίτος δὲ, ἐκπέμψας τινὰ τῶν ἱππέων, εὐαγγελίζεται τῷ πατρὶ τὸ ἔργον. ὁ δὲ ὡς εἰκὸς ὑπερησθεὶς, τῇ τε τοῦ παιδὸς ἀρετῇ, καὶ τῷ κατορθώματι (μεγίστη γὰρ ἐδόκει καθῃρῆσθαι μοῖρα τοῦ πολέμου) τότε μὲν ἐλθὼν περιέχοντας τὴν πόλιν, φρουρεῖν ἐκέλευσεν, ὡς μὴ διαλάθοι τις ἐξ αὐτῆς, καὶ κτείνειν ἐκέλευσε. τῇ δὲ ὑστεραίᾳ πρὸς τὴν λίμνην καταβὰς, σχεδίας ἐκέλευσε πηγνύειν ἐπὶ τοὺς καταπεφευγότας. αἱ δὲ ἐγίνοντο ταχέως, ἀφθονίᾳ τε ὕλης, καὶ πλήθει τεχνιτῶν.

Κεφ. λϛ.

Ἡ δὲ λίμνη Γεννησὰρ μὲν τῆς προσεχοῦς χώρας καλεῖται, σταδίων εὖρος οὖσα τεσσαράκοντα, καὶ πρὸς τούτοις ἑτέρων ἑκατὸν τὸ μῆκος, γλυκεῖά τε ὅμως ἐστὶ, καὶ ποτιμωτάτη. καὶ γὰρ τῆς ἑλώδους παχύτητος ἔχει τὸ νᾶμα λεπτότερον. καθαρά τε ἐστὶ πάντοθεν αἰγιαλοῖς ἐπιλήγουσα, καὶ ψάμμῳ, πρὸς δὲ εὔκρατος ἀρύσασθαι. ποταμοῦ μὲν ἢ κρήνης προσηνεστέρα, ψυχροτέρα δὲ ἢ κατὰ λίμνης διάχυσιν ἀεὶ μένουσα. καὶ τὸ μὲν ὕδωρ, οὐκ ἀποδεῖ χιόνος ἐξαιθριασθὲν, ὅπερ θέρους νυκτὸς ποιεῖν ἔθος τοῖς ἐπιχωρίοις. γένη δὲ ἰχθύων ἐν αὐτῇ διάφορα πρὸς τοὺς ἀλλαχοῦ, γεῦσιν τε καὶ ἰδέαν, μέση δὲ ὑπὸ τοῦ ἰορδάνου τέμνεται. καὶ δοκεῖ μὲν ἰορδάνου πηγὴ τὸ πάνειον. φέρεται δὲ ὑπὸ γῆν εἰς τοῦτο κρυπτὸς ἐκ τῆς καλουμένης φιάλης. ἡ δέ ἐστιν ἀνιόντων εἰς τὴν τραχωνῖτιν ἀπὸ σταδίων ἑκατὸν εἴκοσι καισαρείας, τῆς ὁδοῦ κατὰ δεξιὸν μέρος οὐκ ἄποθεν. ἐκ μὲν οὖν τῆς περιφερείας, ἐτοίμως φιάλη κέκληται, τροχοειδὴς οὖσα λίμνη. μένει δὲ ἐπὶ χείλους αὐτῇ ἀεὶ τὸ ὕδωρ, μήτε ὑπονοστοῦν, μήτε ὑπερχεόμενον. ἀγνοούμενος δὲ τέως ὁ ἰορδάνης ἐντεῦθεν ἄρχεσθαι, διὰ τοῦ τετραρχήσαντος τραχωνιτῶν ἠλέγχθη φιλίππου. βαλὼν γὰρ οὗτος εἰς τὴν φιάλην ἄχυρα, κατὰ τὸ πάνειον, ἔνθεν ἐδόκουν οἱ πάλαι γεννᾶσθαι τὸν ποταμὸν, εὗρεν ἀνενεχθέντα. τοῦ γε μὴν πανείου τὸ φυσικὸν κάλλος,

ὑπὸ

ὑπὸ τῆς βασιλικῆς προσεξήσκηται πολυτελείας, τὸν ἀγρίππα πλοῦτον κεκοσμημένον. ἀρχόμενος δὲ φανεροῦ ῥεύματος ὁ ἰορδάνης ἀπὸ τοῦδε τοῦ ἄντρου, κόπτει μὲν τὰ τῆς σεμεχωνίτιδος λίμνης ἕλη τε καὶ τέλματα. διαμείψας δὲ ἑτέρους ἑκατὸν εἴκοσι σταδίους, μετὰ πόλιν ἰουλιάδα, διεκτέμνει τὴν γεννησὰρ μέσην. ἔπειτα πολλὴν ἀναμετρούμενος ἐρημίαν, εἰς τὴν ἀσφαλτῖτιν ἔξεισι λίμνην. παρατείνει δὲ τὴν γεννησὰρ, ὁμώνυμος χώρα, θαυμαστὴ φύσιν τε καὶ κάλλος. οὔτε γὰρ αὐτὴν τι φυτὸν ἀρνεῖται διὰ τὴν ποιότητα, καὶ πᾶσαν πεφυτεύκασιν οἱ νεμόμενοι. τοῦ δὲ ἀέρος τὸ εὔκρατον ἁρμόζει καὶ τοῖς διαφόροις. καρύαι μέν γε φυτῶν τὸ χειμεριώτατον, ἄπειροι τεθήλασιν, ἔνθα φοίνικες, οἳ καύματι τρέφονται, συκέαι τε, καὶ ἐλαῖαι πλησίον τούτων, αἷς μαλθακώτερος ἀὴρ ἀποδέδεικται. φιλοτιμίαν ἄν τις εἴποι τῆς φύσεως, βιασαμένης εἰς ἓν συναγαγεῖν τὰ μάχιμα, καὶ τῶν ὡρῶν ἀγαθὴν ἔριν, ἑκάστης ὥσπερ ἀντιποιουμένης τοῦ χωρίου. καὶ γὰρ οὐ μόνον τρέφει παρὰ δόξαν τὰς διαφόρους ὀπώρας, ἀλλὰ καὶ διαφυλάσσει. τὰ μέν γε βασιλικώτατα σταφυλήν τε, καὶ σῦκον, δέκα μησὶν ἀδιαλείπτως χορηγεῖ. τοὺς δὲ λοιποὺς καρποὺς, δι' ἔτους ὅλου περιγηράσκοντας αὐτοῖς. πρὸς γὰρ τῇ τῶν ἀέρων εὐκρασίᾳ, καὶ πηγῇ διάρδεται ποτιμωτάτῃ, καπαρναοὺμ αὐτὴν οἱ ἐπιχώριοι καλοῦσι. ταύτην φλέβα τοῦ νείλου τινὲς ἔδοξαν, ἐπεὶ γεννᾷ τῷ κατὰ τὴν ἀλεξανδρέων λίμνην κορακίνῳ παραπλήσιον. μῆκος δὲ τοῦ χωρίου κατατείνει παρὰ τὸν αἰγιαλὸν τῆς ὁμωνύμου λίμνης, ἐπὶ σταδίους τριάκοντα, καὶ εὖρος εἴκοσι. ταῦτα μὲν οὕτω φύσεως ἔχει. οὐεσπασιανὸς δὲ ἐπεὶ παρεσκευάσθησαν αἱ σχεδίαι, τῆς δυνάμεως ἐπιβήσας ὅσον, ᾤετο τοῖς κατὰ τὴν λίμνην αὐταρκέσειν ἐπανήγετο. τοῖς δὲ συνελαυνομένοις, οὔτε ἐπὶ γῆν διαφεύγειν ἦν, ἐκπεπολεμωμένων πάντων, οὔτε ἐξ ἴσου διαναυμαχεῖν. τά τε γὰρ σκάφη, μικρὰ ὄντα καὶ λῃστρικὰ, πρὸς τὰς σχεδίας ἦν ἀσθενῆ, καὶ καθ' ἕκαστον ἐμπλέοντες ὀλίγοι πρὸς ἀθρόους ἐφεστῶτας τοὺς ῥωμαίους, ἐγγίζειν ἐδεδοίκεσαν. ὅμως δ' οὖν ἐκπεριπλέοντες τὰς σχεδίας, ἔστι δὲ ὅπου καὶ πλησιάζοντες, τοὺς ῥωμαίους ἔβαλλον λίθοις, καὶ παραξύοντες ἐγγύθεν ἔπαιον. ἐκακοῦντο δὲ αὐτοὶ πλέον κατ' ἀμφότερα. ταῖς γὰρ χερμάσιν οὐδὲν δρῶντες ὅτι μὴ κτύπον ἐπάλληλον, εἰς γὰρ πεφραγμένους ἔβαλλον, ἐφικτοὶ τοῖς ῥωμαίων ἐγίνοντο βέλεσι, καὶ πλησιάζειν τολμῶντες, πρὶν δρᾶσαί τι παθεῖν ἔφθανον, καὶ σὺν αὐτοῖς ἐβαπτίζοντο σκάφεσι. τῶν δὲ διεκπαίειν πειρωμένων, πολλοὺς μὲν ἐφικνούμενοι κοντοῖς διέπειρον, οὓς δὲ ξιφήρεις ἐπικαταπηδῶντες εἰς τὰ σκάφη, τινὰς δὲ συνεχούσαις ταῖς σχεδίαις ἐναποληφθέντας μέσους, εἷλον ἅμα ταῖς ἁλιάσι. τῶν δὲ βαπτισθέντων τοὺς ἀνανεύοντας, βέλος ἔφθανεν, ἢ σχεδία κατελάμβανε, καὶ προσβαίνειν ὑπ' ἀμηχανίας εἰς τοὺς ἐχθροὺς πειρωμένων, ἢ κεφαλὰς ἢ χεῖρας ἀπέκοπτον οἱ ῥωμαῖοι. πολλή τε ἦν αὐτῶν, καὶ ποικίλη φθορὰ πανταχοῦ, μέχρι τραπέντες ἐπὶ τὴν γῆν ἐξώσθησαν οἱ λοιποὶ, κεκυκλωμένων, αὐτοῖς τῶν ἁλιάδων. ἐκκλειόμενοι δὲ πολλοὶ μὲν ἐν αὐτῇ κατηκοντίζοντο τῇ λίμνῃ, πολλοὺς δὲ ἐκπηδήσαντας

gis opibus & Agrippę diuitiis magnificentius accurata est. Manifestum autem flumen Iordanis ex hoc antro incipiens, Semechonitis quidem lacus paludes secat cœnosas: centum autem & viginti aliis præteritis stadiis, post oppidum Iuliada, Genesar lacum medium transemensus, deinde multam per solitudinem in Asphaltiten lacum exit. Ad Genesar verò lacum eiusdem nominis terra prætenditur, natura simul & pulchritudine admirabilis. Nullum enim ipsa pro vbertate sui negat arbustum, totámque plantis consueuêre cultores. cæli verò temperies etiam diuersis aptissima est. nuces enim, quæ arborum maximè frigoribus gaudent, infinitæ florescunt: vbi etiam palmæ, quas nutrit calor ęstiuus: has iuxta ficus & oleæ, quibus aura mollior destinata est: vt naturæ magnificentiam hanc esse quis dixerit, vim adhibentis vt in vnum conueniant inter se repugnantia, anníque temporum contentionem bonam, veluti singula peculiari studio terræ fauerent. non enim solùm nutrit præter opinionem poma varia, sed etiam seruat, egregia quidē, & quodāmodo regalia. Vuas sanè caricas intermissione decē mensibus suggerit, cæteros verò fructus, anni spatio senescentes. Nam præter aëris lenitatem, & fonte quoque irrigatur vberrimo, qui Capernaum ab indigenis appellatur. Eum nonnulli venam esse Nili fluminis opinantur, quòd similes coracino Alexandrino generat pisces. Lōgitudo autē regionis secundùm littora cognominis lacus xxx. stadiis extēditur, & latitudo xx. Horum quidem natura eiusmodi est.

Cap. XIX. Tarichæatũ excidium.

VEspasiauus autem perfectis ratibus, imposita manu militum, quanta in eos qui lacu effugerant satis esset, vnà prouehitur. Illi autem neque compulsi ad terram euadendi facultatem habebant, infestis omnibus neque nauali bello pari conditione pugnandi. nam & scaphæ paruæ, atque piraticæ aduersus rates infirmæ erant: & cùm pauci singulis veherentur, cunctis simul instantibus Romanis appropinquare metuebant. Verumtamen circum rates nauigando, nonnunquam etiam propè accedendo, lapidibus Romanos eminus appetebant, aut cominus etiam irritando feriebant: plus autem ipsis vtroque modo nocebatur. nec enim saxis quicquam præter crebros sonitus agebant, quoniam contra septos armis iacebantur, contiguíque sagittis eorum efficiebantur, & si accedere propius ausi fuissent, priusquam facerent aliquid, patiebantur, cúmque ipsis nauigiis mergebantur. Multos autem vulnera inferre tentantium, qui pilis contingi possent, alios desiliendo in scaphas Romani gladiis transfigebant: nonnullos, concurrentibus inter se ratibus in medio deprehensós, cum nauiculis capiebant. Submersorum autem qui capita sustulissent, aut sagittis præueniebantur, aut ratibus occupabantur: & si desperatione compulsi inimicis adnatare tentassent, eis vel manus vel capita truncabantur, plurimúsque passim ac varius erat interitus eorū, donec in fugā versi, cæteri terræ appulsi sunt, circumclusis nauiculis suis. Exclusi autē multi quidē in ipso lacu telis cōfigebātur, multos verò in terrā egressos

peremerunt Rom. Mixtum autem sanguine, plenúmque cadaueribus cerneres totum lacum. nullus enim saluus euasit. Acerbus autem secutis diebus odor illam regionem oppressit & facies. nam littora quidem naufragiis simul plena erant, & corporibus tumidis, calescentes autem ac tabefacti mortui, cœli tractum corrumpebant, vt non Iudæis solùm ille casus miserabilis videretur, verùm etiam autoribus ipsis esset inuisus. Iste quidem illius prælij naualis exitus fuit. Perierunt cum his, qui pridem in ciuitate cecidêre, sex millia & quingenti. At Vespasianus, pugna peracta, pro tribunali apud Tarichæas residens, aduenam populum ab indigenis secernebat, qui autor belli extitisse videbatur: & an hi quoque seruandi essent, cum rectoribus deliberabat, his autem affirmantibus eorum liberationem, detrimento futuram: nec enim demissos quiescere posse homines, qui & patriis carerent, vímque adhibere ac bellum inferre possent ad quos confugissent: Vespasianus salute quidem indignos esse eos, contráque seruatores suos nouerat euasuros: sed de eorum mortis genere cogitabat. Nam si ibi occiderentur, non perpessuros suspicabatur indigenas, tot apud se supplices obtruncari: fidéque interposita deditis vim pigebat afferre: verùm ab amicis superabatur, nihil in Iudæos non licere dicentibus: quódque vtile esset, honesto debere præponi, cùm vtrunque obtineri non posset. Indubitata igitur concessa licentia, solo eos itinere, quod Tiberiade duceret, exire permisit. Cúmque illi facilè his, quæ cupierant credidissent, & quò iussum fuerat comitati, neque pecuniis suis quicquam metuentes abirent: totam ad Tiberiada vsque viam Romani, ne quis euaderet, occupauerunt: eósque in ciuitatem conclusos, mox insecutus Vespasianus omnes in stadio constituit. Et seniores quidem cum imbellibus, qui mille ducenti erant, iussit occidi: iuuenum autem validissimos sex millia lectos, ad Isthmon Neroni transmisit. Cæteram verò multitudinem triginta millia & quadringentos vendidit, præter alios quos Agrippæ donauerat. nam his, qui ex eius regno essent, facere quod vellet ipse permisit. Verùm & istos rex vendidit. Reliquum vulgus erant Trachonitæ & Gaulanitæ & Hippeni, plurésque Gadaritæ, seditiosi & fugitiui, & quibus probra pacis bellum conciliant. Capti sunt autem VI. Idus Septembris.

οἱ ῥωμαῖοι διέφθειραν ἐπὶ γῆς. ἦν δὲ ἰδεῖν κεκραμένην μὲν αἵματι, πεπληρωμένην δὲ νεκρῶν τὴν λίμνην ἅπασαν. διεσώθη γὰρ οὐδείς. δεινὴ δὲ ταῖς ἑξῆς ἡμέραις περιεῖχε τὴν χώραν ὀδμή τε καὶ ὄψις. οἱ μὲν γὰρ αἰγιαλοὶ ναυαγίων καὶ ἅμα διοιδούντων ἔγεμον σωμάτων. ἐκκαιόμενοι δὲ καὶ μυδῶντες οἱ νεκροὶ, τὸν ἀέρα διέφθειραν, ὡς μὴ μόνον οἰκτρὸν ἰουδαίοις γενέσθαι τὸ πάθος, ἀλλὰ καὶ διὰ μίσους τοῖς δράσασιν ἐλθεῖν. τοῦτο μὲν ἐκείνης τῆς ναυμαχίας τὸ τέλος. ἀπέθανον δὲ σὺν τοῖς ἐπὶ πόλεως πρότερον πεσοῦσι, ἑξακισχίλιοι πεντακόσιοι.

Κεφ. λϛ.

Οὐεσπασιανὸς δὲ μετὰ τὴν μάχην, καθίζει μὲν ἐπὶ τοῦ βήματος ἐν ταριχαίαις, διακρίνων δὲ ἀπὸ τῶν ἐπιχωρίων, τὸν ἔπηλυν λεών, κατάρξαι γὰρ οὗτος ἐδόκει πολέμου, μετὰ τῶν ἡγεμόνων εἰ χρὴ καὶ τούτους σώζειν διεσκέπτετο. φαμένων δὲ πάντων βλαβερὰν ἔσεσθαι τὴν ἄφεσιν αὐτῶν, οὐ γὰρ ἠρεμήσειν ἀπολυθέντας, ἀνθρώπους ἐστερημένους μὲν πατρίδων, βιάζεσθαι δὲ καὶ πρὸς οὓς ἂν καταφύγωσι πολεμεῖν δυναμένους. Οὐεσπασιανὸς δὲ, ὡς μὲν οὔτε ἄξιοι σωτηρίας εἶεν, καὶ διαφεύξονται κατὰ τῶν ἀφέντων ἐγίνωσκε, τὸν δὲ τρόπον τῆς αἱρέσεως αὐτῶν διενοεῖτο. καὶ γὰρ αὐτόθι κτείνων, ἐκπολεμώσειν ὑφεωρᾶτο τοὺς ἐπιχωρίους. οὐ γὰρ ἀνέξεσθαι φονευομένων ἱκετῶν τοσούτων παρ' αὐτοῖς. καὶ μετὰ πίστεις ἐπιθέσθαι προσελθοῦσιν οὐχ ὑπέμενεν. ἐξενίκων δὲ οἱ φίλοι, μηδὲν κατὰ ἰουδαίων ἀσεβὲς εἶναι λέγοντες, καὶ χρῆναι τὸ συμφέρον αἱρεῖσθαι πρὸ τοῦ πρέποντος, ὅταν ᾖ μὴ δυνατὸν ἄμφω. κατανεύσας οὖν αὐτοῖς ἄδειαν ἀμφίβολον, ἐπέτρεψεν ἐξεῖναι διὰ μόνης τῆς ἐπὶ τιβεριάδα φερούσης ὁδοῦ. τῶν δὲ ταχέως πιστευσάντων, οἷς ἤθελον, καὶ μετὰ φανερᾶς ἐν ἀσφαλεῖ τῶν χρημάτων, ἥπερ ἐπετράπη χωρούντων, διαλαμβάνουσι μὲν οἱ ῥωμαῖοι τὴν μέχρι τιβεριάδος πᾶσαν, ὡς μήτις ἀποκλίνειεν, συγκλείουσι δὲ αὐτοὺς εἰς τὴν πόλιν. καὶ οὐεσπασιανὸς ἐπελθὼν, ἵστησι πάντας ἐν τῷ σταδίῳ. καὶ γηραιοὺς μὲν ἅμα τοῖς ἀχρήστοις διακοσίους ἐπὶ χιλίοις ὄντας, ἀνελεῖν ἐκέλευσεν. τῶν δὲ νέων ἐπιλέξας τοὺς ἑξακισχιλίους, ἔπεμψεν εἰς τὸν ἰσθμὸν νέρωνι. καὶ τὸ λοιπὸν πλῆθος εἰς τρισμυρίους, καὶ τετρακοσίους ὄντας πιπράσκει, χωρὶς τῶν ἀγρίππα χαρισθέντων. τοὺς γὰρ ἐκ τῆς τούτου βασιλείας, ἐπέτρεψεν αὐτῷ ποιεῖν ὅ,τι βούλοιτο. πιπράσκει δὲ καὶ τούτους ὁ βασιλεύς. ὁ μέν γε ἄλλος ὄχλος, τραχωνῖται, καὶ γαυλανῖται, καὶ ἱππηνοὶ, καὶ οἱ ἐκ τῆς γαδαρίτιδος, τὸ πλέον ὡς στασιασταὶ καὶ φυγάδες, καὶ οἷς τὰ τῆς εἰρήνης ὀνείδη τὸν πόλεμον προὐξένει, ἑάλωσαν γορπιαίου μηνὸς ὀγδόῃ.

ΦΛΑ-

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΪΚΗΣ ΙΣΤΟΡΙΑΣ ΠΕΡΙ ΑΛΩΣΕΩΣ ΛΟΓΟΣ Δ'.

FLAVII IOSEPHI DE BELLO IVDAICO

LIBER QVARTVS.

Κεφ. α.

ΟΣΟΙ δὲ μετὰ τὴν ἰωταπάτων ἅλωσιν γαλιλαῖοι, ῥωμαίων ἀφεστήκεσαν, οὗτοι τῶν ἐν ταριχαίαις ἡττηθέντων προσεχώρουν, καὶ παρέλαβον πάντα ῥωμαῖοι τὰ φρούρια, καὶ τὰς πόλεις, πλὴν γισχάλων καὶ τῶν τὸ ἰταβύριον ὄρος κατειληφότων. συνέστη δὲ τούτοις, καὶ γάμαλα πόλις ταριχαιῶν ἀντικρὺς ὑπὲρ τὴν λίμνην κειμένη. τῆς δὲ ἀγρίππα λήξεως αὕτη τε ἦν, καὶ σωγάνη, καὶ σελεύκεια. καὶ αἱ μὲν ἐκ γαυλανίτιδος ἀμφότεραι. τῆς γὰρ ἄνω καλουμένης γαυλανᾶ, μέρος ἦν ἡ σωγάνη, τῆς κάτω δὲ ἡ γάμαλα. σελεύκεια δὲ, πρὸς τῇ σεμεχωνίτιδι λίμνῃ. ταύτης τριάκοντα μὲν εὖρος, ἑξήκοντα δὲ μῆκος στάδια. διατείνει δὲ αὐτῆς τὰ ἕλη, μέχρι δάφνης χωρίου, τά τε ἄλλα τρυφεροῦ, καὶ πηγὰς ἔχοντος, αἳ τρέφουσαι τὸν μικρὸν καλούμενον ἰορδάνην ὑπὸ τὸν τῆς χρυσῆς βοὸς νεὼν, προσπέμπουσι τῷ μεγάλῳ. τὰς μὲν οὖν ἐπὶ σωγάνην, καὶ σελεύκειαν, παρὰ τὴν ἀρχὴν τῆς ἀποστάσεως, δεξιαῖς ἀγρίππας προσηγάγετο.

Κεφ. β. ΓΑμαλα δὲ οὐ προσεχώρει, πεποιθυῖα τῇ δυσχωρίᾳ, πλέον τῶν ἰωταπάτων. τραχὺς γὰρ αὐχὴν ἀφ' ὑψηλοῦ κατατείνων ὄρους, μέσον ἐπαίρει τένοντα. μηκύνεται δὲ ἐκ τῆς ὑπεροχῆς εἰς τοὔμπροσθεν ἐκκλίνων ὅσον κατόπιν, ὡς εἰκάζεσθαι καμήλῳ τὸ σχῆμα, παρ' ἣν ὠνόμασται, τὸ τρανὸν τῆς κλήσεως οὐκ ἐξακριβούντων τῶν ἐπιχωρίων. κατὰ πλευρὰν μὲν δὴ καὶ πρόσωπον, εἰς φάραγγας ἀβάτους περιχίζεται. τὸ κατ' οὐρὰν δὲ, ὀλίγον ἀναφέρεται τῆς δυσχωρίας, ὅθεν ἀπήρτηται τοῦ ὄρους, καὶ τοῦτο ἐπικαρσίαν διακόψαντες τάφρον, δύσβατον οἱ ἐπιχώριοι κατεσκεύασαν. πρὸς ὀρθίῳ δὲ τῇ λαγόνι, δεδομημέναι πεπύκνωνται δεινῶς ἐπ' ἀλλήλαις αἱ οἰκίαι, κρημνιζομένῃ τε ἡ πόλις ἐοικυῖα, καταρρέχει εἰς ἑαυτὴν ἀπὸ τῆς ὀξύτητος. καὶ πρὸς μεσημβρίαν μὲν ἔκλινεν. ὁ νότιος δὲ αὐτῆς ὄχθος, εἰς ἄπειρον ὕψος ἀνατείνων, ἄκρα τῆς πόλεως ἦν. ἀτείχιστος δὲ ὑπὲρ αὐτῆς κρημνὸς εἰς τὴν βαθυτάτην κατατείνων φάραγγα. πηγὴ δὲ ἐντὸς τοῦ τείχους, ἐφ' ἣν τὸ ἄστυ κατέληγεν. οὕτως οὖσαν φύσει δύσμαχον τὴν πόλιν,

A

QVICVNQVE autem Galilæorum Iotapatis excisis Romanis defecerant, hi se ad eos postquam Tarichæatæ superati sunt, applicabant: omniáque Romani castella & ciuitates ceperant, præter Gischalam, & qui montem Itaburium occuparant. Cum his autem rebellarat Gamala ciuitas, contra Tarichæas posita

Cap. I. Obsidio Gamalensium.

B supra lacum, quæ ad fines pertinebat Agrippæ, itémque Sogane & Seleucia. Et hæ quidem Gaulanitidis regionis erant ambæ: Sogane superioris partis, cui nomen est Gaulana, & inferioris Gamala. Seleucia verò ad lacum Semechonitem, triginta latum, & LX. stadiis longum, paludésque suas ad Daphnen vsque tendentem. Quæ regio cùm aliàs sit deliciosa, præcipuè tamen fontes habet, qui minorem (quem sic appellant) Iordanem alentes sub aureo Io-

C uis templo in maiorem deducunt. Soganen quidem ac Seleuciam colentes, in principio defectionis Agrippa sibi fœdere sociauerat. Gamala verò ei non cedebat, freta locorum difficultate amplius quàm Iotapata. Iugum namque asperum, ex alto monte deductum, mediam ceruicem erigit: & vbi supereminet, in longitudinem tenditur, tantum contrà decliue, quantum à tergo, vt cameli similitudi-

D nem præferat: vnde nomen etiam duxit, nisi quòd expressam vocabuli significationem indigenæ seruare non possunt. Et à fronte quidem ac lateribus, in valles inuias scinditur. Pars verò qua de monte pendet, paululum difficultatem refugit. Verùm & hanc partem per obliquum excisa fossa, indigenæ inuiam fecerunt. Domus autem crebræ per prona erant ædificatæ, nimióque præcipitio casuræ similis ciuitas intra se decurrebat, in Meridiem vergens. Australis ve-

E rò collis immensa editus altitudine, vsum arcis sine muro ciuitati præbebat, rupésque superior ad profundam pertinés vallẽ. Fons autẽ intra muros erat, in quem oppidum desinebat. Quãuis aũt natura inexpugnabilis esset ciuitas,

támen etiam Iosephus cùm murorum eam ambitu cingeret, fossis & cuniculis reddidit firmiorem. Eius autem habitatores, natura quidem loci confidentiores erant, quàm Iotapateni: sed multo pauciores, minúsque pugnaces: sitúsque freti difficultate, plures se hostibus putabant. nam plena erat ciuitas, multis in eam, quòd esset tutissima, confugientibus. Vnde ab Agrippa quoque præmissis ad obsidionem, per menses septem restitêre. Vespasianus autem profectus ex Ammaunte, vbi pro Tiberiade posuerat castra (Ammaus autem, si quis nomen interpretetur, aquæ calidæ vocantur. Ibi enim eiusmodi fons est, sanandis corporum vitiis idoneus) Gamalam peruenit. & totam quidem ciuitatem, ita vt diximus positam, custodia circumuallere nequibat. quà verò fieri posset, excubias collocauit: montémque occupabat superiorem: in quo milites castris, ita vt assolet, muro circundatis, opus aggerum postremo aggrediuntur. Et à parte quidem Orientis summo supra ciuitatem loco turris erat: vbi & quintadecima legio, necnon & quinta contra mediam ciuitatem operabatur. fossas autem decima repleuit & valles. Inter hæc Agrippam regem, cùm accessisset ad muros, eorúmque defensoribus de traditione loqui tentaret, funditorum quidam ad dextrum cubitum lapide percutit. Et ille quidem propterea familiaribus suis circumseptus est. Romanos autem ira simul ob regem, suíque metus ad obsidionem protinus incitauit: nullum Iudæos crudelitatis modum in alienigenas atque hostes prætermissum ire credentes, qui circa gentilem suam, & eorum, quæ ipsis conducerent suasorem, tam immanes fuissent. Aggeribus autem manus multitudine, operísque consuetudine citò perfectis, machinas applicabant. Chares autem & Iosephus (namque ipsi erant oppidanorum potentissimi) armatos licet metu perculsos ordinauêre: & quanquam non diu obsidionem posse sustinere arbitrabantur, quibus aqua itémque alia vsui necessaria non sufficerent, adhortati tamen eos ad mœnia produxerunt. Et paulisper quidem machinis aduenientibus repugnarunt. balistis autem tormentísque perculsi, in oppidum recesserunt. Itaque Romani tribus ex locis aggressi, murum arietibus quatiunt: & quà deiectus fuerat, infusi magno cum armorum strepitu ac tubarum sonitu, ipsi quoque insuper vlulantes cum oppidanis confligebant. illi autem ad primos aditus interim pertinaces, Romanis ne vltrà progrederentur obstabantur. Cæterùm vi & multitudine superati, vndique ad excelsa ciuitatis loca fugiunt. deinde reuertentes instantibus sibi hostibus incumbunt: illósque impingendo per decliuia, locorum difficultate & angustia depresѕos interficiebant. Romani autem cùm neque à vertice imminentibus repugnare, neque in partem aliquam euadere posѕent, pronos eos vrgentibus hostibus, in domos hostium plano contiguas refugiebant. sed hæ repletæ labebantur, quod pondus sustinere non poterant: vnáque deiecta multas inferiores, itémque illæ alias deturbabant. Ea res plurimos Romanorum morte consumpsit. incerti enim

A τειχίζων ὁ ἰώσηπος ἐποίησεν ὀχυρωτέραν, ὑπονόμοις τε καὶ διώρυξιν. οἱ δὲ ἐν αὐτῇ, φύσει μὲν τοῦ χωρίου θαρραλεώτεροι τῶν κατὰ τὴν ἰωταπάτην ἦσαν· πολὺ δὲ ἐλάττους μάχιμοι, καὶ τῷ τόπῳ πεποιθότες, οὐδὲ πλείονας ὑπελάμβανον. πεπλήρωτο γὰρ ἡ πόλις διὰ τὴν ὀχυρότητα συμφυγόντων, παρὸ καὶ τοῖς ὑπ' ἀγρίππα προπεμφθεῖσιν ἐπὶ τὴν πολιορκίαν, ἀντεῖχεν ἐπὶ μῆνας ἑπτά. οὐεσπασιανὸς δὲ, ἄρας ἀπὸ τῆς ἀμμαοῦς, ἔνθα πρὸ τῆς τιβεριάδος ἐστρατοπεδεύκει (μεθερμηνευομένη δὲ ἀμμαοῦς, θερμὰ λέγοιτ' ἄν, ἔστι γὰρ ἐν αὐτῇ πηγὴ θερμῶν
B ὑδάτων πρὸς ἄκεσιν ἐπιτήδειος) ἀφικνεῖται πρὸς γάμαλα. καὶ πᾶσαν μὲν κυκλώσασθαι φυλακῇ τὴν πόλιν οὐχ οἷόν τε ἦν οὕτω διακειμένην. πρὸς δὲ τοῖς δυνατοῖς, φρουροὺς καθίστησι, καὶ τὸ ὑπερκείμενον ὄρος καταλαμβάνεται. τειχισαμένων δὲ ὥσπερ ἔθος τῶν ταγμάτων ὑπὲρ αὐτοὺς στρατόπεδον, χωμάτων ἤρχετο κατ' οὐράν. καὶ τὸ μὲν κατ' ἀνατολὰς αὐτῷ μέρος, ὅπερ ὁ ἀνωτάτω τῆς
C πόλεως πύργος ἦν, ἐφ' οὗ τὸ πέμπτον καὶ δέκατον ἐστρατοπεδεύκει τάγμα. καὶ τὸ πέμπτον μὲν κατὰ μέσην ἐξειργάζετο τὴν πόλιν, τὰς διώρυχας δὲ ἀνεπλήρου, καὶ τὰς φάραγγας τὸ δέκατον. κἀν τούτῳ προσελθόντα τοῖς τείχεσιν ἀγρίππαν τὸν βασιλέα, καὶ περὶ παραδόσεως τοῖς ἐφεστῶσι πειρώμενον διαλέγεσθαι, βάλλει τις τῶν σφενδονητῶν, κατὰ τὸν δεξιὸν ἀγκῶνα λίθῳ. καὶ ὁ μὲν, ὑπὸ τῶν οἰκείων θᾶττον περιεσχέθη. ῥω-
D μαίους δὲ ἐπήγειρεν εἰς τὴν πολιορκίαν, ὀργὴ τε περὶ τοῦ βασιλέως, καὶ περὶ σφῶν αὐτῶν δέος. οὐ γὰρ ἀπολείψειν ὠμότητος ὑπερβολὴν κατ' ἀλλοφύλων καὶ πολεμίων, τοὺς πρὸς ὁμόφυλον καὶ τῶν συμφερόντων αὐτοῖς σύμβουλον οὕτως ἀγριωθέντας.

Κεφ. γ.

Συντελεσθέντων οὖν τῶν χωμάτων θᾶττον πλήθει χειρῶν, καὶ τῶν πραττομένων ἔθει, προσῆγον τὰς μηχανάς. οἱ δὲ περὶ τὸν χάρητα, καὶ ἰώσηπον, οὗτοι γὰρ ἦσαν τῶν κατὰ τὴν πόλιν δυνατώτατοι, καίπερ καταπεπληγότας
E τοὺς ὁπλίτας τάττουσιν, ἐπειδὴ μέχρι πολλοῦ πρὸς τὴν πολιορκίαν ἀνθέξειν οὐχ ὑπελάμβανον, ὕδατι καὶ τοῖς ἄλλοις ἐπιτηδείοις μὴ διαρκούμενοι. παραθαρσύναντες δὲ ὅμως, ἐξήγαγον ἐπὶ τὸ τεῖχος. καὶ πρὸς ὀλίγον μὲν ἀπημύναντο τοὺς προσάγοντας τὰς μηχανάς, βαλλόμενοι δὲ τοῖς καταπελτικοῖς, καὶ τοῖς πετροβόλοις, ἀνεχώρουν εἰς τὴν πόλιν. καὶ προσάγοντες οἱ ῥωμαῖοι τριχόθεν τοὺς κριούς, διασείουσι μὲν τὸ τεῖχος, ὑπὲρ δὲ τῶν ῥιφθέντων εἰσχεόμενοι, μετὰ πολλοῦ σαλπίγγων ἤ-
F χου, καὶ κτύπου τῶν ὅπλων, αὐτοί τε ἐπαλαλάζοντες συνερρήγνυντο τοῖς κατὰ τὴν πόλιν. οἱ δὲ τέως μὲν κατὰ τὰς πρώτας εἰσόδους ἐνιστάμενοι, προσωτέρω χωρεῖν ἐκώλυον, καὶ καρτερῶς τοὺς ῥωμαίους ἀνεῖργον. βιαζόμενοί τε ὑπὸ πολλῶν, καὶ πάντοθεν τρεπόντων, καὶ πρὸς τὰ ὑψηλὰ τῆς πόλεως προσκειμένοις τοῖς πολεμίοις ἐξ ὑποστροφῆς ἐπιπεσόντες, συνώθουν εἰς τὸ κάταντες, καὶ τῇ στενότητι καὶ δυσχωρίᾳ θλιβο-
G μένους ἀνῄρουν. οἱ δὲ μήτε τοὺς κατὰ κορυφὴν ἀμύνασθαι δυνάμενοι, μήτε διεκπαίειν τῶν σφετέρων πρόσω βιαζομένων, ἐπὶ τὰς οἰκίας τῶν πολεμίων, πρόσγειοι γὰρ ἦσαν, ἀνέφυγον. αἱ δὲ ταχέως κατηρείποντο πληρούμεναι, καὶ τὸ βάρος μὴ στέγουσαι. κατέσειε δὲ πολλὰς μία τῶν ὑπ' αὐτὴν πεσοῦσα, καὶ πάλιν ἐκεῖναι τὰς ὑπ' αὐτάς. τοῦτο πλείστους διέφθειρε τῶν ῥωμαίων, ὑπὸ γὰρ ἀμηχα-

ἀμηχανίας καί τοι συνιζούσας ὁρῶντες, ἐπεπήδων ταῖς στέγαις, καὶ πολλοὶ μὲν κατεχώννυντο τοῖς ἐρειπίοις. πολλοὶ δὲ ὑποφεύγοντες, μέρη τοῦ σώματος κατελαμβάνοντο, πλείστους δὲ ὁ κονιορτὸς ἄγχων ἀνῄρει. συνεργείαν θεοῦ τοῦτο Γαμαλεῖς ὑπελάμβανον, καὶ τῆς καθ' σφᾶς ἀμελοῦντες βλάβης, ἐπέκειντο πρός τε τὰ τέγη τοὺς πολεμίους ἀνωθοῦντες, καίτοι κατολισθαίνοντας ἐν ἐξέσι τοῖς στενωποῖς, καὶ ἀεὶ τοὺς πίπτοντας ὕπερθεν βάλλοντες, ἔκτεινον. καὶ τὰ μὲν ἐρείπια, χερμάδων πλέω ἦν αὐτοῖς, σίδηρον δὲ παρεῖχον οἱ τῶν πολεμίων νεκροί. περισπῶντες γὰρ τὰ τῶν πεσόντων ξίφη, κατὰ τῶν δυσθανατούντων ἐχρῶντο. πολλοὶ δὲ ἀποπίπτοντες ἤδη τῶν δωμάτων, σφᾶς αὐτοὺς βάλλοντες ἔθνησκον. ἦν δὲ οὐδὲ τραπέντων ἡ φυγὴ ῥᾳδίος. κατὰ γὰρ ἄγνοιαν τῶν ὁδῶν καὶ παχύτητα τοῦ κονιορτοῦ, μηδὲ ἀλλήλους ἐπιγινώσκοντες ἀνειλοῦντο, καὶ περὶ σφᾶς ἔπιπτον. οἱ μὲν οὖν μόλις διευρίσκοντες τὰς ἐξόδους, ἀνεχώρησαν ἐκ τῆς πόλεως.

Κεφ. δ. Οὐεσπασιανὸς δὲ ἀεὶ προσμένων τοῖς πονουμένοις, δεινὸν γάρ τι πάθος αὐτὸν εἰσῄει κατερειπομένην ὁρῶντα περὶ τῷ στρατῷ τὴν πόλιν, ἐν λήθῃ τοῦ κατ' αὐτὸν ἀσφαλοῦς γενόμενος, λανθάνει κατὰ μικρὸν ἀνωτάτω τῆς πόλεως προελθών, ἔνθα μέσοις ἐγκαταλείπεται τοῖς κινδύνοις μετ' ὀλίγων παντελῶς. οὐδὲ γὰρ ὁ παῖς αὐτῷ Τίτος τότε συμπαρῆν, τηνικαῦτα πρὸς Μουκιανὸν εἰς Συρίαν ἀπεσταλμένος. τραπῆναι μὲν οὖν οὔτε ἀσφαλὲς, οὔτε πρέπον ἡγήσατο, μνησθεὶς δὲ τῶν ἀπὸ νεότητος αὐτῷ πεπονημένων, καὶ τῆς ἰδίας ἀρετῆς, ὥσπερ ἔνθους γενόμενος, συνασπίζει μὲν τοὺς ἅμα αὐτῷ τά τε σώματα ταῖς πανοπλίαις. ἐνυφίσταται δὲ κατὰ κορυφὴν ἐπιρρέοντα τὸν πόλεμον, καὶ οὔτε ἀνδρῶν πλῆθος, οὔτε βελῶν ὑποπτήξας, ἐπέμενε, μέχρι δαιμόνιον τὸ παράστημα τῆς ψυχῆς συννοήσαντες οἱ πολέμιοι, τὰς ὁρμὰς ἐνέδοσαν. ἀτονώτερον δὲ προσκειμένων, αὐτὸς ὑπὸ πόδα ἀνεχώρει, νῶτα μὴ δεικνὺς ἕως ἔξω τοῦ τείχους ἐγένετο. πλεῖστοι μὲν οὖν ῥωμαίων κατὰ ταύτην ἔπεσον τὴν μάχην, ἐν οἷς καὶ ὁ δεκαδάρχης ἐβούτιος, ἀνὴρ οὐ μόνον ἐφ' ἧς ἔπεσε παρατάξεως, ἀλλὰ πανταχοῦ καὶ πρότερον γενναιότατος φανείς, καὶ πλεῖστα κακὰ ἰουδαίοις ἐργασάμενος. ἑκατοντάρχης δέ τις γάλλος ὀνόματι, μετὰ στρατιωτῶν δέκα περισχεθεὶς ἐν τῇ ταραχῇ, καταδύει μὲν εἴς τινος οἰκίαν. τῶν δὲ ἐν αὐτῇ διαλαλούντων παρὰ δεῖπνον ὅσα κατὰ τῶν ῥωμαίων, ἢ περὶ σφῶν ὁ δῆμος ἐβουλεύετο, κατακροασάμενος, ἦν δὲ αὐτός τε, καὶ οἱ σὺν αὐτῷ σύροι, νύκτωρ ἐπανίσταται, καὶ πάντας ἀποσφάξας, μετὰ τῶν στρατιωτῶν εἰς τοὺς ῥωμαίους διασῴζεται.

Κεφ. ε. Οὐεσπασιανὸς δὲ ἀθυμοῦσαν τε τὴν στρατιὰν ἀνοίᾳ πταισμάτων, καὶ διότι τέως οὐδαμοῦ τηλικαύτῃ συμφορᾷ κέχρηντο, τόγε μὴν πλέον αἰδουμένους ἐπὶ τῷ τὸν στρατηγὸν μόνον τοῖς κινδύνοις ἐγκαταλιπεῖν, παρεμυθεῖτο. περὶ μὲν τοῦ καθ' αὐτὸν ὑποστελλόμενος, ὡς μηδὲ τὴν ἀρχὴν μέμφεσθαι δοκοίη. δεῖν δὲ τὰ κοινὰ λέγων ἀνδρείως φέρειν, τὴν τοῦ πολέμου φύσιν ἐννοοῦντας, ὡς οὐδαμοῦ τὸ νικᾶν ἀναιμωτὶ περιγίνεται. ἡ γὰρ παλίμποινος τύχη περιΐσταται. τοσαύτας μέν τοι μυριάδας ἰουδαίων ἀνελόντας, αὐτοὺς ὀλίγην τῷ δαίμονι δεδωκέναι συμβολήν. εἶναι δὲ ὥσπερ ἀπειροκάλων τὸ λίαν ἐπαίρεσθαι ταῖς εὐπραγίαις, οὕτως

quid facerent, quamuis subsidere tecta viderent, tamen eò conuolabant. atque ita multi quidem ruinis opprimebantur: non pauci verò subterfugientes, parte corporis mulctabantur. Plurimi autem puluere suffocati moriebantur. Sed ea Gamalenses pro se fieri existimabant: propriáque incommoda negligentes magis instabant: hostésque in sua tecta vrgendo compellebant. qui verò per angustos viarum cliuos cecidissent, eos telis desuper missis interficiebant. Et ruinæ quidem lapidum copiam, ferrum verò eis mortui hostes dabant. cæterorum enim gladios auferentes, his contra semineces vtebantur. Multi iam præcumbentibus tectis, semet inde proiiciendo moriebantur: tergáque dantibus ne fuga quidem facilis erat. viarum namque ignorantia, & caligine pulueris alius alium non agnoscétes perrabant, & circa se sternebantur. Sed illi quidem vix reperto exitu, ab oppido recesserunt. Vespasianus autem, qui laborantibus semper interfuit, sæuissimo dolore perculsus, cùm super milites ruere ciuitatem videret, propriæ tuitionis oblitus, clàm paulatim superiore in oppido locum prehendit: ibíque inter media pericula cum paucis omnino relinquitur. nec enim aderat tunc ei filius Titus, ad Mutianum pridem in Syriam missus. Et dare quidem terga, neque tutum neque honestum sibi putabat. rerum autem quas ab adolescentia gesserat, ac propriæ virtutis memoria, quasi Deo repletus, corpora sociorum atque arma condensat, & cum his bellum vnà à vertice defluens sustinebat: & neque virorum neque telorum multitudinem formidans manebat, donec eius animi obstinationem hostes diuinam esse reputantes, impetum remiserunt. illis autem iam infirmius oppugnantibus, ipse pedem referens, non prius terga ostendit, quàm extra muros egressus est. Plurimi quidem Romani milites in ea pugna ceciderunt, & inter eos Ebutius decadarchus, vir non eo tantùm prælio quo periit, sed vbique antea fortissimus comprobatus, quíque plurimis malis Iudæos affecisset. In ea pugna centurio quidam nomine Gallus, cum decem militibus in quadam domo latuit. Eius autem habitatoribus dum cœnarent, quod in Romanos fuisset consilium populi sui, inter se fabulantibus, hoc audito (nam & ipse Syrus erat, & hi quos secum habebat) noctè illos aggreditur: omnibúsque mactatis ad Romanos saluus cum militibus euadit. Vespasianus autem mœrore exercitum aduersis casibus videns, quódque nullam interim tantam experti fuerant cladem: huiúsque rei magis eos pudere, quòd solum ducem in periculis reliquissent, consolandos putabat: de se quidem nihil dicens, ne quem vel initio culpasse videretur. Oportere autem inquiens, quæ communia essent fortiter ferre, naturam belli cogitantes, quódque nusquam eueniat sine cruore victoria, iterúmque habeat fortuna regressum. Multis tunc Iudæorum millibus interfectis, exiguam pro his stipem se inimicæ pependisse fortunæ. Atque, vt iactantium esse, nimis secundis rebus insolescere, ita esse

ignauorum, in offensionibus trepidare. velox enim est, inquit, in vtrunque mutatio: & ille vir fortis habetur, cuius sobrius erit animus in rebus quoque infeliciter gestis: vt idem scilicet maneat, rectis consiliis peccata corrigens. Quanquam ea, quæ nunc acciderunt, neque mollitia nostra, neque Iudæorum virtus effecit. nam & illis pugnæ melioris, & nobis deterioris, causa fuit difficultas locorum. Qua in re nimirum quis reprehenderit alacritatis vestræ temeritatem. nam cùm hostes in excelsiora loca refugissent, manus continere debuistis, neque in summo vertice constituta sequi pericula: sed capta inferiori ciuitate, paulatim eos, qui refugerant, ad tutiorem vobis & stabilem pugnam reuocare. nunc autem immoderata festinatione vincendi, quàm id incautè fieret, non curastis. Inconsultus autem & furibundus impetus belli, à Romanis alienus est, qui cuncta ordine peritiáque perficimus, Barbarísque conueniens, & quo Iudæi maximè possidentur. Oportet igitur nos ad propriam virtutem recurrere: atque indignæ offensioni irasci potius quàm mœrere. Optimum autem quisq; de sua manu solatium quærat. ita enim fiet, vt & amissos vlciscamur, & in eos è quib. perempti sunt, vindicemus. Ipse autem, ita vt nūc feci, experiar æquè ac vos pugnando primus ad bella pergere, & nouissimus inde discedere. Ille quidem his dictis recreauit exercitum. At Gamalenses bene gesta re, paulisper animos erexêre: quæ nulla ratione, magna magnificéque prouenerat. mox autem reputantes ablatam sibi esse fœderis spem, quódque minimè possent effugere (iam enim victus eos defecerat) vehementer dolebant, animósque remiserant. Nec tamen quatenus valebant, salutem suam negligebant: sed tam disturbatas partes muri, qui erant fortissimi, quā integras, cæteri amplexi custodiebant: Romanis autem construentibus aggeres, iterúmque tentantibus irruptionem, multi ex ciuitate per valles deuias, qua nulli custodes erant, & per cloacas diffugiebant: eos qui metu ne caperentur ibi remanserant, inopia consumebat. solis enim vndique alimenta, qui pugnare possent, congerebantur. Sed illi quidem in huiusmodi calamitatibus perdurabant.

Cap. II. Itaburius mons occupatur à Placido.

Vespasianus autem inter curas obsidionis, succisiuum opus aggreditur aduersus eos, qui montem Itaburium occupauerant, inter campum magnum & Scytopolim situm. cuius altitudo quidem x x x. stadiis consurgens, Septētrionali tractu inaccessa est. in vertice autem, xx. stadiorum planicies patet, tota muro circundata. Hunc autem tantum ambitum quadraginta diebus ædificauerat. Iosephus: & alias ei materias, & aquas suggerentibus locis inferioribus. solam enim incolæ pluuialem habebant. Magna igitur in eo multitudine congregata, Vespasianus Placidum cum sexcentis equitibus mittit. Huic autem subeundi quidem montis ratio nulla erat. multos autem fœderis ac veniæ spe hortabatur ad pacem: & descēdebant ad eum ipsi quoque insidias molientes. nam & Placidus eo studio mitissimè cùm his loquebatur, vt eos in planicie caperet: illíq; tanquam dictis obedientes, ad eū veniebāt,

ἀνάνδρων, τὸ καταπλήσσειν ἐν τοῖς πταίσμασιν. ὀξεῖα γὰρ ἐν ἀμφοτέροις ἡ μεταβολή, κἀκεῖνος ἄριστος, ὁ κἀν τοῖς δυστυχήμασι νήφων, ἵνα μένῃ καὶ διὰ εὐθυμίας ἀναπαλαίων τὰ σφάλματα. τὰ μέντοι συμβεβηκότα νῦν, οὔτε μαλακισθέντων ὑμῶν, οὔτε παρὰ τὴν τῶν Ἰουδαίων ἀρετὴν γέγονεν. ἀλλὰ κἀκείνοις τοῦ πλεονεκτῆσαι, καὶ τοῦ διαμαρτεῖν ἡμῖν αἴτιον ἡ δυσχωρία, καθ᾽ ἣν ἄγαν τις ὑμῶν μέμψαιτο τῆς ὁρμῆς τὸ ἀταμίευτον. ἀναφυγόντων γὰρ ἐπὶ τὰ ὑψηλὰ τῶν πολεμίων ἑαυτοὺς ὑποστέλλειν ἐχρῆν, καὶ μὴ κατὰ κορυφὴν ἱσταμένοις τοῖς κινδύνοις ἕπεσθαι. κρατήσαντας δὲ τῆς κάτω πόλεως, κατ᾽ ὀλίγον προκαλεῖσθαι τοὺς ἀναφεύγοντας εἰς ἀσφαλῆ καὶ ἑδραίαν μάχην. νυνὶ δὲ ἀκρατῶς ἐπὶ τὴν νίκην ἐπειγόμενοι, τῆς ἀσφαλείας ἠμελήσατε. τὸ δὲ ἀπερίσκεπτον ἐν πολέμῳ, καὶ τῆς ὁρμῆς μανιῶδες, οὐ πρὸς Ῥωμαίων, οἳ πάντα ἐμπειρίᾳ καὶ τάξει κατορθοῦμεν, ἀλλὰ βαρβαρικόν, καὶ ᾧ μάλιστα Ἰουδαῖοι κρατοῦνται. χρὴ τοίνυν ἐπὶ τὴν ἑαυτῶν ἀρετὴν ἀναδραμεῖν, καὶ θυμοῦσθαι μᾶλλον, ἢ προσαθυμεῖν τῷ παρ᾽ ἀξίαν πταίσματι. τὴν δὲ ἀρίστην ἕκαστος ἐκ τῆς ἰδίας χειρὸς ἐπιζητείτω παραμυθίαν. οὕτω γὰρ τοῖς ἀπολωλόσι τιμωρήσετε, καὶ τοὺς ἀνελόντας ἀμυνεῖσθε. πειράσομαι δὲ ἐγὼ καθάπερ νῦν ἐπὶ πάσης μάχης, προάγειν τε ὑμῶν εἰς τοὺς πολεμίους, καὶ τελευταῖος ἀποχωρεῖν. ὁ μὲν οὖν τοιαῦτα λέγων, τὴν στρατιὰν ἀνελάμβανε. τοῖς Γαμαλεῦσι, πρὸς ὀλίγον μὲν θαρρῆσαι τῷ κατορθώματι παρέστη, παραλόγως τε συμβάντι, καὶ μεγάλως. λογιζόμενοι δὲ ὕστερον ἀφῃρῆσθαι σφᾶς αὐτοὺς καὶ δεξιᾶς ἐλπίδα, τό τε μὴ δύνασθαι διαφεύγειν ἐννοοῦντες, ἤδη γὰρ ἐπελελοίπει τἀπιτήδεια, δεινῶς ἠθύμουν, καὶ ταῖς ψυχαῖς ἀναπεπτώκεσαν. οὐ μὴν εἰς τὸ δυνατὸν ἠμέλουν σωτηρίας, ἀλλὰ καὶ τὰ περιρρηχθέντα τοῦ τείχους οἱ γενναιότατοι, καὶ τὰ μένοντα περιχόντες, ἐφύλασσον οἱ λοιποί. τῶν δὲ Ῥωμαίων ἐπιχωννύντων τὰ χώματα, καὶ πάλιν πειρωμένων εἰσβολῆς, οἱ πολλοὶ διεδίδρασκον ἐκ τῆς πόλεως, κατά τε δυσβάτων φαράγγων, ᾗπερ οὐκ ἔκειντο φυλακαί, καὶ διὰ τῶν ὑπονόμων. ὅσοι γε μὴν δέει τοῦ ληφθῆναι παρέμενον, ἐν ἐνδείᾳ ἀφθείροντο. πανταχόθεν γὰρ ἡ τροφὴ τοῖς μάχεσθαι δυναμένοις συνηθροίζετο. καὶ οἱ μὲν ἐν τοιούτοις πάθεσι διεκαρτέρουν.

Κεφ. ς.

Οὐεσπασιανὸς δὲ πάρεργον ἐποιεῖτο τῆς πολιορκίας, τοὺς τὸ Ἰταβύριον κατειληφότας ὄρος, ὃ ἔστι τοῦ μεγάλου πεδίου καὶ Σκυθοπόλεως μέσον. οὗ τὸ μὲν ὕψος ἐπὶ τριάκοντα σταδίους ἀνίσχει, μόλις προσβατὸν κατὰ τὸ προσάρκτιον κλίμα. πεδίον δὲ ἐστὶν ἡ κορυφὴ σταδίων ἓξ καὶ εἴκοσι πᾶν τετειχισμένον. ἤγειρε δὲ τοσοῦτον ἐν τάχει τὸν περίβολον ὁ Ἰώσηπος ἐν τεσσαράκοντα ἡμέραις, τῇ τε ἄλλῃ χορηγουμένῳ ὕλῃ κάτωθεν, καὶ ὕδατι. καὶ γὰρ τοῖς ἐποίκοις μόνον ἦν ὄμβριον. πολλοῦ οὖν πλήθους ἐπὶ τούτῳ συνειλεγμένου, Οὐεσπασιανὸς Πλάκιδον σὺν ἱππεῦσιν ἑξακοσίοις πέμπει. τούτῳ τὸ μὲν προσβαίνειν ἀμήχανον ἦν, ἐλπίδι δὲ δεξιῶν, καὶ παρακλήσεως, πρὸς εἰρήνην τοὺς πολλοὺς προεκαλεῖτο. κατῄεσαν δὲ ἀντεπιβουλεύοντες. ὅ τε γὰρ Πλάκιδος ὡμίλει πρᾳότερον, σπουδάζων αὐτοὺς ἐν τῷ πεδίῳ λαβεῖν, κἀκεῖνοι κατῄεσαν ὡς πειθόμενοι δῆθεν,

ἵνα

ἵνα ἀφυλάκτως προσπέσωσιν. ἐνίκα μέντοι τὸ Πλακίδου πανοῦργον. ἀρξαμένων γὰρ τῶν Ἰουδαίων μάχης, φυγὴν ὑποκρίνεται, καὶ διώκοντας ἑλκύσας ἐπὶ πολὺ τοῦ πεδίου, τοὺς ἱππεῖς ἐπιστρέφει. τρεψάμενος δὲ, πλείστους μὲν αὐτῶν ἀναιρεῖ, τὸ δὲ λοιπὸν πλῆθος ὑποτεμόμενος, εἴργει τῆς ἀνόδου. καὶ οἱ μὲν τὸ Ἰταβύριον καταλιπόντες, ἐπὶ Ἱεροσολύμων ἔφυγον. οἱ δὲ ἐπιχώριοι πίστεις λαβόντες, ἐπιλελοίπει δὲ αὐτοὺς τὸ ὕδωρ, τότε ὄρος καὶ σφᾶς αὐτοὺς Πλακίδῳ παρέδοσαν.

Κεφ. ζ. Τῶν δὲ ἐπὶ τῆς Γαμάλας, οἱ παραβολώτεροι μὲν φεύγοντες διελάνθανον. οἱ δὲ ἀσθενεῖς, διεφθείροντο λιμῷ. τὸ μάχιμον δὲ ἀντεῖχε τῇ πολιορκίᾳ, μέχρι δευτέρᾳ καὶ εἰκάδι μηνὸς Ὑπερβερεταίου, τρεῖς τῶν ἀπὸ τοῦ πεντεκαιδεκάτου τάγματος στρατιῶται περὶ τὴν ἑωθινὴν φυλακὴν ὑποδύντες, τὸν προύχοντα κατ' αὐτοὺς πύργον ὑπορύσσουσιν ἡσυχῇ. τοῖς δὲ ὑπὲρ αὐτοῦ φύλαξιν, οὔτε προσιόντων αἴσθησις, νὺξ γὰρ ἦν, οὔτε προσελθόντων ἐγένετο. ἠθόντες δὲ οἱ στρατιῶται φειδόμενοι τοῦ ψόφου, καὶ πέντε τοὺς καρτερωτάτους ἐκκυλίσαντες τῶν λίθων, ὑποπηδῶσι. καταρρίπτεται δὲ ὁ πύργος ἐξαίφνης μετὰ μεγίστου ψόφου. καὶ συγκατακρημνίζονται μὲν οἱ φύλακες αὐτῷ, θορυβηθέντες δὲ οἱ κατὰ τὰς ἄλλας φυλακὰς ἔφευγον, καὶ πολλοὺς διεκπαίειν τολμῶντας οἱ Ῥωμαῖοι διέφθειραν, ἐν οἷς καὶ Ἰώσηπόν τις ὑπὲρ τὸ παρερρηγμένον τοῦ τείχους ἐκδιδράσκοντα βαλὼν ἀναιρεῖ. τῶν δ' ἀνὰ τὴν πόλιν διασεισθέντων ὑπὸ τοῦ ψόφου, διαδρομή τε ἦν, καὶ πτοία πολλή, καθάπερ εἰσπεπτωκότων πάντων τῶν πολεμίων. ἔνθα καὶ Χάρης κατακείμενος, καὶ νοσηλευόμενος ἐκλείπει, πολλοῦ δέους συνεργήσαντος εἰς θάνατον τῇ νόσῳ. Ῥωμαῖοί γε μὴν, μεμνημένοι τοῦ προτέρου πταίσματος οὐκ εἰσέβαλλον, ἕως τρίτης καὶ εἰκάδος τοῦ προειρημένου μηνός. Τίτος δὲ, ἤδη γὰρ παρῆν, ὀργῇ τῆς πληγῆς ἣν παρ' αὐτὸν ἐπλήγησαν ἀπόντος Ῥωμαῖοι, τῶν ἱππέων ἐπιλέξας διακοσίους πρὸς οἷς πεζούς, εἰσέρχεται εἰς τὴν πόλιν ἡσυχῇ. καὶ παρελθόντος οἱ μὲν φύλακες αἰσθόμενοι μετὰ βοῆς ἐχώρουν ἐπὶ τὰ ὅπλα. δήλης δὲ τῆς εἰσβολῆς ταχέως καὶ τοῖς εἴσω γενομένης, οἱ μὲν ἁρπάζοντες τὰ τέκνα, καὶ τὰς γυναῖκας ἐπισυρόμενοι, πρὸς τὴν ἄκραν ἀνέφευγον, μετὰ κωκυτοῦ καὶ βοῆς. οἱ δὲ τὸν Τίτον ὑπαντιάζοντες, ἀδιαλείπτως ἔπιπτον. ὅσοι δὲ ἀπεκωλύθησαν ἐπὶ τὴν κορυφὴν ἀναδραμεῖν, ὑπ' ἀμηχανίας εἰς τὰς τῶν Ῥωμαίων φρουρὰς ἐξέπιπτον. ἄπειρος δὲ ἦν πανταχοῦ φονευομένων ὁ στόνος, καὶ τὸ αἷμα πᾶσαν ἐπέκλυζε τὴν πόλιν κατὰ πρανοῦς χεόμενον. πρὸς δὲ τοὺς ἀναφεύγοντας εἰς τὴν ἄκραν, ἐπεβοήθει Οὐεσπασιανὸς, πᾶσαν εἰσαγαγὼν τὴν δύναμιν. ἦν δὲ ἥ τε κορυφὴ πάντοθεν πετρώδης καὶ δύσβατος εἰς ἄπειρον ὕψος ἐπηρμένη, καὶ πανταχόθεν τοῦ βάθους κατέχεμεν, περιειλημμένη κρημνοῖς, κατέτεμνόν τε ἐνταῦθα τοὺς προσβαίνοντας οἱ Ἰουδαῖοι, τοῖς τε ἄλλοις βέλεσι, καὶ πέτραις κατακυλινδοῦντες ἐκάκουν. αὐτοὶ δὲ δι' ὕψους, ἦσαν δυσέφικτοι βέλεσι. γίνεται δὲ πρὸς ἀπώλειαν αὐτῶν ἀντικρὺ θύελλα δαιμόνιος, ἣ τὰ Ῥωμαίων ἔφερεν εἰς αὐτοὺς βέλη, τὰ δὲ αὐτῶν ἀνέστρεφε, καὶ πλάγια παρέσυρεν. οὔτε δὲ τοῖς ὑποκρημνοῖς ἐφίστασθαι διὰ τὴν βίαν ἐδύναντο τοῦ πνεύματος μηδὲν ἑδραῖον ἔχοντες, οὔτε τοὺς προσβαίνοντας καθορᾶν. ἐπαναβαίνουσι δὲ

A vt incautum aggrederentur. Vicit tamen astutia Placidi. cœpto enim à Iudæis prælio, assimulat fugam: & postquam insequentes ad magnam partem campi pellexit, reflectit in eos equitum manus: plurimísque in terga versis, aliquos interfecit. semotam verò multitudinem cæteram, ab ascensu prohibet. Itaque alij quidem Itaburio relicto, in Hierosolymam refugiebant. indigenæ autem fide accepta, quod eis aqua defecerat: & se, & montem Placido tradiderunt.

B

CAP. III. Excidiũ Gamalæ.

Apud Gamalam verò degentium audacissimi quique fuga dispersi latebant, imbelles autem fame corrumpebantur. At verò pugnantium manus obsidionem sustinebat, donec euenit secundo & vigesimo die mensis Octobris, vt tres ex decimaquinta legione milites, circa matutinas vigilias editissimam præ cæteris turrim, quæ in sua parte fuerat, subirent, eámque occultè suffoderent: C cùm appositi ei custodes neque adeuntes eos (nox enim erat) nec postquam adiêre, sensissent. Iidem autem milites, cauendo ne strepitus fieret, quinque saxis durissimis euolutis resiliunt: subitóque turris cum magno fragore decidit, vnáque custodes præcipitantur. At verò qui per alias custodias erant, perturbati fugiebant: multósque euadere ausos peremêre Romani: inter quos etiam Iosephum, super dirutam muri partem quidam iaculo percussum, interfecit. D Intus autem in ciuitate degentibus, sono concussis, multus erat pauor atque discursus, tanquam omnes essent hostes ingressi. Túncque Chares ęgrotus & iacens defecit, cùm timoris magnitudo morbum eius plurimum iuuisset ad mortem. Romani tamen prioris cladis memores, vsque ad vigesimam & tertiam diem supradicti mensis oppidum non sunt ingressi. Titus autem (iam enim aderat) indignatione vulneris, E quòd Romanos se absente perculerat, ducentis equitibus præter pedites lectis, otiosè in ciuitatem introiuit. eóque prætergresso, vigiles quidem vbi senserũt, ad arma cum clamore properabant. cognito autem intus cõstituti eius ingressu, alij raptis liberis, trahentes etiam coniuges, cum vlulatu & exclamationib. in arcem refugiebant: alij Tito occurrentes, sine intermissione trucidabantur: qui verò prohibiti essent in arcẽ recurrere, nescij quid facerent, F Romanorum præsidiis incidebant. vbique autem infinitus erat morientium gemitus: pérq; prona loca effusus cruor, totum oppidum diluebat. In eos autem, qui arcem occupauerant, omnem Vespasianus induxit exercitum. Erat autem saxosus & accessu difficilimus vertex, in immensum editus, & vndique circum rupiũ multitudine pręceps: vnde Romanos ad se adeuntes partim telis partim saxis deuolutis arcebant Iudęi, cùm ipsos in excelso G loco positos nullæ sagittæ contingerent. Verùm ad eorum interitum diuino munere quodam, turbo exoritur, Romanorum quidem tela in eos ferens; ipsorum autem à Romanis repellens, & obliqua traducens: vt neque in præruptis consistere propter violentiã flatus possent, cùm nihil esset immobile, neque hostes ad se accedentes videre. Itaq; supergressi

A Romani, eos circumueniunt: alios quidem repugnantes antecapiebant, alios manus dantes. in omnes autem vehementiùs sæuiebant, illorum memoria quos in primo aggressu perdiderant. Multi autem vndique circumclusi, desperatione salutis, filios & coniuges & semet ipsos in vallem præcipites dabant, quæ sub arce in profundum patebat. Euenit autem, vt ipsorum in se, qui capti fuerant, immanitate lenior existeret iracundia Romanorum. ab his enim quatuor millia perempta sunt: qui verò B se præcipitauerunt, quinque millia sunt reperti. Neque quisquam, præter duas mulieres saluus euasit. quæ sorores erant, Philippi filiæ: qui Philippus Iachimo genitus erat, insigni viro, & qui sub Agrippa rege dux exercitus fuerat. seruatæ sunt autem, quòd excidij tempore Romanorum impetum latuêre. nec enim vel infantibus pepercêre, quorum multos singuli raptos ex arce proiiciebant. Gamala quidem hoc modo excisa est, tertio & vigesimo die mensis Octobris: quæ vigesimo & primo die mensis Septembris cœperat rebellare. C

CAP. IIII. Giscala à Tito capitur.

IAmque solùm Giscala oppidulum Galilææ restabat indomitum: cuius multitudo pacis studio tenebatur, quòd erant plerique agricolæ, spémque suam semper in fructibus collocauerant. non paruæ autem manus latrocinalis permixtione corrupti erant, quo morbo etiam nonnulli ciuium laborabant. Hos autem ad defectionem impellebat atque conflabat Leuiæ cuiusdam filius, nomine Ioannes: homo D veneficus & fallax, variúsque moribus, & immoderata sperare promptius, miróque modo quæ sperasset efficiens: atque omnibus iam cognitus, quòd affectandæ sibi potentiæ causa bellum amaret. huic apud Giscala seditiosorum turba parebat: quorum causa populus etiam legatos fortasse de traditione missurus, Romanorum tamen congressum in parte belli præstolabatur. At Vespasianus contra hos E quidem Titum cum equitibus mille, decimam verò legionem circa Scytopolim mittit: cum reliquis autem duabus Cæsaream ipse regreditur, dandam his ex labore continuò requiem putans, ex ciuitatum copiis: eorúmque corpora, itémque animos ad futura certamina existimans esse refouendos. nec enim exiguum sibi laborem superesse de Hierosolymis prænidebat, quæ & regalis esset ciuitas, & cunctæ F nationi præstaret. His autem, qui ex bello fugissent in eam confluentibus, etiam naturalis munitio, itémque murorum eius constructio, non minimam ei solicitudinem comparabat: cùm virorum spiritum & audaciam, & sine muris inexpugnabilem esse cogitaret: ob eámque rem milites, velut athletas, ante certamina oportere curari. Tito autem ciuitas Giscala (equitando enim ad eam accesserat) aggres- G sione capi facilis videbatur: sciens tamen quæ ea vi capta, passim à militibus populus absumeretur (namque satiatus erat ipse iam cædibus) miserans multitudinem etiam ipse sine vllo discrimine cum nocentibus intereuntem, pactione magis subigere ciuitaté volebat. Itaq; plenis hominú muris, quorum pleriq; perditæ factionis erát, mirari se ait, quoná freti cósilio,

A Ῥωμαῖοι, καὶ περιέχοντες, οὓς μὲν ἀμυνομένους ἔφθανον, τοὺς δὲ χεῖρας προΐσχοντας. ἐπίνου δὲ τὸν θυμὸν αὐτοῖς ἐπὶ πάντας ἡ μνήμη τῶν ἐπὶ τῆς πρώτης εἰσβολῆς ἀπολωλότων. ἀπογινώσκοντες δὲ τὴν σωτηρίαν πανταχόθεν οἱ πολλοὶ, περιεχόμενοι τέκνα καὶ γυναῖκας ἑαυτοὺς κατεκρήμνιζον εἰς τὴν φάραγγα. βαθυτάτη δὲ αὕτη κατὰ τὴν ἄκραν ὑπώρυκτο. συνέβη δὲ τὴν Ῥωμαίων ὀργὴν τῆς εἰς αὑτοὺς ἀπονοίας τῶν ἁλόντων πρᾳοτέραν φανῆναι. τετρακισχίλιοι μὲν γε ὑπὸ τούτων ἐσ- B φάγησαν, οἱ δὲ ῥίψαντες ἑαυτοὺς ὑπὲρ πεντακισχιλίους εὑρέθησαν. διεσώθη δὲ πλὴν δύο γυναικῶν οὐδείς, τῆς Φιλίππου δὲ ἦσαν ἀδελφῆς θυγατέρες αὗται. αὐτὸς δ' ὁ Φίλιππος, Ἰακίμου τινὸς ἀνδρὸς ἐπισήμου, στρατάρχήσαντος Ἀγρίππα τῷ βασιλεῖ φίλος τυγχάνων. διεσώθησαν δὲ τὴν παρὰ τὴν ἅλωσιν ὀργὴν Ῥωμαίων λαθοῦσαι. τότε γὰρ οὐδὲ νηπίων ἐφείδοντο. πολλὰ δὲ ἕκαστος τότε ἁρπάζοντες, ἐσφενδόνων ἀπὸ τῆς C ἄκρας. Γάμαλα μὲν οὖν οὕτως ἑάλω τρίτῃ καὶ εἰκάδι μηνὸς Ὑπερβερεταίου, τῆς ἀποστάσεως ἀρξαμένης Γορπιαίου μηνὸς τετάρτῃ καὶ εἰκάδι.

Κεφ. η.

ΜΟνη δὲ Γίσχαλα πολίχνη τῆς Γαλιλαίας ἀχείρωτος κατελείπετο, τοῦ μὲν πλήθους εἰρηνικὰ φρονοῦντος. καὶ γὰρ ἦσαν τὸ πλέον γεωργοὶ, καὶ ταῖς ἀπὸ τῶν καρπῶν ἐλπίσιν ἀεὶ προσανέχοντες. παρεισεφθαρμένου δὲ αὐτοῖς οὐκ ὀλίγου λῃστρικοῦ τάγματος, ᾧ τινὲς καὶ τοῦ πολιτικοῦ συνενόσουν. ἐνῆγε δὲ τούτους εἰς τὴν D ἀποστασίαν, καὶ συνεκρότει Λευΐου τινὸς υἱὸς Ἰωάννης, γόης ἀνὴρ καὶ ποικιλώτατος τὸ ἦθος, πρόχειρος μὲν ἐλπίσαι μεγάλα, δεινὸς δὲ τῶν ἐλπισθέντων περιελθεῖν, παντί τε ὢν δῆλος ἀγαπᾶν τὸν πόλεμον εἰς δυναστείας ἐπίθεσιν. ὑπὸ τούτῳ τὸ στασιάζον ἐν τοῖς Γισχάλοις ἐτέτακτο, δι' οὓς τυχὸν καὶ πρεσβευσάμενον περὶ παραδόσεως, τὸ δημοτικὸν ἐν πολέμου μοίρᾳ τὴν Ῥωμαίων ἔφοδον ἐξεδέχετο. Οὐεσπασιανὸς δὲ ἐπὶ μὲν τούτους, E Τίτον ἐκπέμπει σὺν χιλίοις ἱππεῦσι. τὸ δέκατον δὲ τάγμα ἀπαίρει εἰς Σκυθόπολιν. αὐτὸς δὲ σὺν δυσὶ τοῖς λοιποῖς, ἐπανῆλθεν εἰς Καισάρειαν, τοῦ τε συνεχοῦς καμάτου διδοὺς ἀνάπαυσιν αὐτοῖς, καὶ δι' εὐθηνίαν τῶν πόλεων τά τε σώματα καὶ τὸ πρόθυμον ὑποθρέψειν οἰόμενος ἐπὶ τοὺς μέλλοντας ἀγῶνας. οὐ γὰρ ὀλίγον ἑαυτῷ πόνον ἑώρα, περὶ τοῖς Ἱεροσολύμοις λειπόμενον, ἅτε δὴ βασιλείου μὲν οὔσης τῆς πόλεως, καὶ προανεχούσης F ὅλου τοῦ ἔθνους, συρρεόντων δὲ εἰς αὐτὴν τῶν ἐκ τοῦ πολέμου διαδιδρασκόντων. τό γε μὴν φύσει ὀχυρὸν αὐτῆς, καὶ διὰ κατασκευὴν τειχῶν, ἀγωνίαν οὐ τὴν τυχοῦσαν ἐνεποίει. τὰ δὲ φρονήματα τῶν ἀνδρῶν, καὶ τὰς τόλμας, δυσμεταχειρίστους καὶ δίχα τειχῶν ὑπελάμβανε. διὸ δὴ τοὺς στρατιώτας καθάπερ ἀθλητὰς προήσκει τῶν ἀγώνων.

Κεφ. θ.

ΤΙτῳ δὲ προσιππασαμένῳ τοῖς Γισχάλοις, εὐπετὲς μὲν ἦν ἐξ ἐφόδου τὴν πόλιν ἑλεῖν. εἰδὼς δὲ ὡς εἰ βίᾳ G ληφθείη διαφθαρησόμενον ὑπὸ τῶν στρατιωτῶν ἀνέδην τὸ πλῆθος, ἦν δὲ αὐτῷ κόρος ἤδη φόνων, καὶ δι' οἴκτου τὸ πλέον ἀκρίτως συναπολύμενον τοῖς αἰτίοις, ἐβούλετο μᾶλλον ὁμολογίαις παραστήσασθαι τὴν πόλιν. καὶ δὴ τοῦ τείχους ἀνδρῶν καταγέμοντος, οἳ τὸ πλέον ἦσαν ἐκ τοῦ διεφθαρμένου τάγματος, θαυμάζειν ἔφη πρὸς αὐτοὺς, τίνι πεποιθότες,

πάσης

πάσης ἑαλωκυίας πόλεως, μόνοι τὰ ῥωμαίων ὅπλα μένουσιν. ἑωρακότες μὲν ὀχυρωτέρας πολλῷ πόλεις ὑπὸ μίαν προσβολὴν κατεστραμμένας. ἐν ἀσφαλείᾳ δὲ τῶν ἰδίων κτημάτων ἀπολαύοντας, ὅσοι τῶν ῥωμαίων δεξιαῖς ἐπίστευσαν, ἃς καὶ νῦν προτείνειν αὐτοῖς, μηδὲν μνησικακῶν τῆς αὐθαδείας. εἶναι γὰρ συγγνωστὸν, ἐλευθερίας ἐλπίδα, μηκέτι μέντοι τὴν ἐν τοῖς ἀδυνάτοις ἐπιμονήν. εἰ γὰρ οὐ πεισθήσονται λόγοις φιλανθρώποις, καὶ δεξιαῖς πίστεως, πειράσειν αὐτοὺς ἀφειδῆ τὰ ὅπλα, καὶ ὅσον οὐδέπω, γνωσθήσεσθαι παιζόμενον τοῖς ῥωμαίων μηχανήμασι τὸ τεῖχος, ᾧ πεποιθότες, ἐπιδείκνυνται μόνοι Γαλιλαίων, ὅτι εἰσὶν αὐθάδεις αἰχμάλωτοι. πρὸς ταῦτα τῶν μὲν δημοτικῶν οὐ μόνον ἀποκρίνεσθαί τινι μετῆν, ἀλλ' οὐδὲ ἐπὶ τὸ τεῖχος ἀναβῆναι. προειλήπτο γὰρ ἅπαν τοῖς λῃστρικοῖς, καὶ φύλακες τῶν πυλῶν ἦσαν, ὡς μή τινες ἢ προσέλθοιεν ἐπὶ τὰς σπονδὰς, ἢ δέξαιντό τινας τῶν ἱππέων εἰς τὴν πόλιν. ὁ δὲ Ἰωάννης αὐτός τε ἀγαπᾶν ἔφη τὰς προκλήσεις, καὶ τοὺς ἀπειθοῦντας, ἢ πείσειν, ἢ συναναγκάσειν. δεῖν μέντοι τὴν ἡμέραν αὐτὸν ἐκείνην, ἑβδομὰς γὰρ ἦν, χαρίζεσθαι τῷ Ἰουδαίων νόμῳ, καθ' ἣν ὥσπερ ὅπλα κινεῖν αὐτοῖς, οὕτω καὶ τὸ συντίθεσθαι περὶ εἰρήνης ἀθέμιτον. οὐκ ἀγνοεῖν δὲ οὔτε ῥωμαίους, ὡς ἀργὴ πάντων αὐτοῖς ἐστιν ἡ τῆς ἑβδομάδος περίοδος, ἔν τε τῷ παραβαίνειν αὐτὴν, οὐχ ἧττον ἀσεβεῖν τῶν βιαζομένων τὸν βιασάμενον. φέρειν δ' ἐκείνῳ μὲν, οὐδεμίαν βλάβην τὰ τῆς ὑπερθέσεως. τί γὰρ ἄν τις ἐν νυκτὶ βουλεύσαιτο δρασμοῦ πλέον, ἐξὸν περιστρατοπεδεύσαντα παραφυλάξαι. μέγα δὲ κέρδος αὐτοῖς, τὸ μηδὲν παραβῆναι τῶν πατρίων νόμων. πρέπειν δὲ τῷ παρὰ προσδοκίαν εἰρήνην χαριζομένῳ, τοῖς σωζομένοις τηρεῖν καὶ τοὺς νόμους. τοιούτοις ἐσοφίζετο τὸν Τίτον, οὐ τοσοῦτον τῆς ἑβδομάδος στοχαζόμενος, ὅσον τῆς ἑαυτοῦ σωτηρίας. ἐδεδοίκει δὲ ἐγκαταληφθῆναι παραχρῆμα τῆς πόλεως ἁλούσης, ἐν νυκτὶ καὶ φυγῇ τὰς ἐλπίδας ἔχων τοῦ βίου. θεοῦ δ' ἦν τὸ ἔργον ἄρα τοῦ σώζοντος τὸν Ἰωάννην ἐπὶ τὸν τῶν Ἱεροσολύμων ὄλεθρον, τὸ μὴ μόνον πεισθῆναι Τίτον τῆς σκήψεως τῆς ὑπερθέσεως, ἀλλὰ καὶ τῆς πόλεως πορρωτέρω στρατοπεδεύσασθαι πρὸς Κυδυασσοῖς. μεσόγειος δὲ ἐστι Τυρίων κώμη καρτερὰ, διὰ μίσους ἀεὶ καὶ πολέμου Γαλιλαίοις, ἔχουσα πλῆθος τε οἰκητόρων, καὶ τὴν ὀχυρότητα, τῆς πρὸς τὸ ἔθνος διαφορᾶς ἐφόδιον. νυκτὸς δὲ ὁ Ἰωάννης, ὡς οὐδεμίαν περὶ τῇ πόλει ῥωμαίων ἑώρα φυλακὴν, τὸν καιρὸν ἁρπασάμενος, οὐ μόνον τοὺς περὶ αὐτὸν ὁπλίτας, ἀλλὰ καὶ τῶν ἀργοτέρων συχνοὺς ἅμα ταῖς γενεαῖς ἀναλαβὼν, ἐπὶ Ἱεροσολύμων ἔφευγε. μέχρι μὲν οὖν εἴκοσι σταδίων ὡς οἷόν τε ἦν συνεξαγαγεῖν γυναικῶν καὶ παιδίων ὄχλον, ἀνθρώπῳ κατασπερχομένῳ τοῖς ὑπὲρ αἰχμαλωσίας καὶ τοῦ ζῆν φόβοις. περαιτέρω δὲ προκόπτοντος ἀπελείποντο, καὶ δειναὶ τῶν ἐωμένων ἦσαν ὀλοφύρσεις. ὅσον γὰρ ἕκαστος τῶν οἰκείων ἐγίνετο πορρωτέρω, τοσοῦτον ἐγγὺς ὑπελάμβανεν εἶναι τῶν πολεμίων, παρεῖναί τε ἤδη τοὺς αἰχμαλωτισομένους δοκοῦντες ἐπτοοῦντο, καὶ πρὸς τὸν ἀλλήλων ἐκ τοῦ δρόμου ψόφον ἐπεστρέφοντο, καθάπερ ἤδη παρόντων οὓς ἔφευγον, ἀνοδίαις τε ἐνέπιπτον οἱ πολλοὶ, καὶ περὶ τὴν λεωφόρον, ἡ τῶν φθανόντων ἔρις συνέτριβε τοὺς πολλούς. οἰκτρὸς δὲ γυναι-

A cunctis iam ciuitatibus captis, illi soli Romanorum arma operirentur, cùm viderent multo quidem munitiora oppida vno impetu fuisse subuersa: securos autem fortunis suis potiri, qui Romanorum dextris credidissent: quas quidem etiam nunc illis ait se porrigere, neq; ob insolentiam succensere, quia spei libertatis ignoscendum putaret: non tamen, etiamsi quis impossibilia velle perseueraret. Quod si dictis humanissimis non paruissent, fidémque dextris non habuissent: B experturos arma crudelia: iam iámque cognituros esse, mœnia sua ludum fore machinis Romanorum, quibus fidentes, soli ex Galilæis sese ostentarent arrogantes esse captiuos. His dictis popularium quidem neminem non modò respondere, sed ne ad murum quidem licuit ascendere: quia totum latrones occupauerant: & custodes erant portis appositi, ne quis vel ad fœdus prodiret, vel equitum quenquam in C ciuitatem reciperet. Ioannes autem accipere se conditiones ait, & aut persuasurum, aut necessitatem belli renitentibus adhibiturum. Illum tamē diem Iudæorum legi oportere concedi. quoniam sicut arma mouere, ita etiam de pace conuenire nefas haberent. Nam & Romanos scire, quòd ab omni cessaret opere dierum septem circuitio, quam si temerassent, non minus coactos: quàm qui cogerent: piaculum commissuros, ipsúmque Titum: nul- D lum enim illi ex mora esse dispendium formidandum, quod vnius noctis spacium propter fugæ consilium ceperit: præsertim cùm id obseruare circunsedentem nemo prohibeat: sibi autem magnum esse lucrum, nulla in re despicere patrios mores. Et illum decere, qui pacem non sperantibus indulget, legem quoque seruare seruatis. His Titum Ioannes fallere conabatur, non tantum pro septimi diei religione, quantum pro sua salute solicitus, vere- E batur autem, ne statim capta ciuitate, solus destitueretur, qui totam in nocte ac fuga vitæ spem collocasset. Verùm profectò Dei nutu in excidium Hierosolymorum Ioannem saluum esse cupientis, factum est, vt non solùm induciarum causationem Titus admitteret, verùmetiam in superiori parte oppidi castra poneret, ad Cydœssam, qui mediterraneus est Tyriorum vicus validissimus, Galilæis semper exosus. Nocte autem Ioannes, cùm nullas F Romanorum excubias circa oppidum videret, arrepta occasione, non solùm his quos circa se habebat armatos, sed etiam seniorib. plurimis cũ familiis abductis, in Hierosolymam fugiebat. Sed vsque ad vigesimum quidem stadium fieri posse videbatur, vt mulieres ac pueros, aliámque multitudinem secum duceret, homo quem captiuitatis, itémque salutis metus vrgeret. vltra verò procedente eo, relinquebantur: & oriebatur atrox remanentium G fletus. quanto enim quisque longius à suis aberat, tanto propiorem se hostibus esse credebat. Iámque affore qui se caperent existimantes, necessariò pauitabant: & ad strepitũ, quem ipsorum cursus faciebat, assiduè respectabant, velut instātibus quos fugissent: multique simul ruebant, & circa viam plurimos certamē præcedentium cōterebat. Miserabile autē fœmina-

rum & infantium erat exitium. Aut ſi quam iactarent vocem, nonnullæ viros, aut propinquos, vt ſe opetirentur, orabant. Sed Ioannis exhortatio ſuperabat, vt ſeipſos ſeruarent inclamantis: eóque confugerent, vnde pro remanentibus etiam ſi raperentur, pœnas à Romanis peterent. Multitudo quidem eorum, qui fugerant, vt cuique virium fuit, citò diſperſa eſt. Luce verò facta Tit⁹ ad muros aderat, fœderis cauſa: populus autem portis ei patefactis, cum coniugibus occurrẽtes, tanquam benemerito, & qui cuſtodia ciuitatem liberaſſet, acclamabant: ſimúlque Ioannis fugam ſignificantes, vt & ſibi parceret obſecrabant, & eos qui ex nouarum rerum cupidis reliqui ſupereſſent, vlciſceretur. Ille autem precibus populi poſtulatus, equitum partem, vt Ioannem perſequeretur, mittit. Sed cum quidem occupare nequiuêre, quòd antequam venerant, in Hieroſolymam ſeſe receperat. vnà verò fugientium propè ad duo millia perimunt: mulieres ac pueros paulo minus quàm tria millia circumactos reducũt. Titus autem indignè ferebat, non ſtatim à Ioanne pœnas fraudis exactas: irato verò animo ſatis eſſe, quòd ſpe deciderat ad ſolatium putans, captiuorum & qui trucidati fuerant multitudinem, in oppidum cum fauore ingreditur: iuſſiſque militibus minimam muri partem iure poſſeſſionis abrumpere, minitando magis quàm puniendo reprimebat perturbatæ ciuitatis autores. Multos enim propter odia domeſtica, vel proprias inimicitias, delatores innocentiæ fore credebat, ſi dignos pœna diſcerneret: meliúſque noxium relinquere metu ſuſpenſum, quàm immeritum quenquam cum eo perdere, exiſtimabat. Illum enim fortaſſis modeſtiorem futurum, vel metu ſupplicij, vel & quòd erubeſceret præteritorum criminum venia: ſine cauſa verò morientium pœnas, nullo modo corrigi poſſe. Præſidiis tamen ciuitatem circumdedit, quæ tàm nouarum rerum ſtudioſos compeſcerent, quàm pro pace ſentientes, quos ibi relicturus erat, maiore fiducia firmarent. Galilæa quidem tota, poſtquam multo ſudore Romanos exercuit, hoc modo ſubacta eſt.

Cap. v. Hieroſolymitani excidij initiũ.

Apud Hieroſolymam verò, ad Ioannis introitum, omnis populus erat effuſus & circa ſingulos, qui vnà confugerant, numeroſa turba collecti, quas foris clades experti eſſent, percontabantur. illorum autem feruens quidem adhuc atque interruptus anhelitus, neceſſitatem ſignificabat. Veruntamen in malis quoque ſibi arrogabant: non Romanorum vim fuiſſe dicentes, ſed ſponte veniſſe, vt cum his ex tutiori loco pugnarent. Inconſultorum enim atque inutilium eſſe hominum, incautè pro Giſchalis & inualidis oppidulis periclitari, cùm arma vigorémque oporteat pro metropoli ſuſcipere, atque ſeruare: ſignificando tamen excidium Giſchalorum etiam quam dicebant honeſtam diſceſſionem ſuam, vt multi fugam eſſe intelligerent, prodiderunt. Auditis autem quæ captiui pertulêre, non mediocris populum perturbatio tenuit, magnũque id eſſe argumentum proprij reputabant excidij. At Ioannes eorũ quidem, quos fugiẽtes reliquerat, cauſa minus erubeſcebat, ſingulos autem circuiẽs ſpe ad bellum incitabat, infirmitatem

κῶν, καὶ παιδίων ὄλεθρος ἦν, καί τινες πρὸς ἀνακλήσεις ἀνδρῶν τε καὶ γυναικῶν συγγενῶν, ἐθάρσησαν μετὰ κωκυτῶν ἱκετεῦσαι περιμένειν. ἀλλ' ἐνίκα τὸ ἰωάννου παρακέλευσμα, σώζειν ἑαυτοὺς ἐμβοῶντος, καὶ καταφεύγειν, ἔνθα καὶ περὶ τῶν ἀπολειπομένων ἀμυνοῦνται ῥωμαίοις ἂν ἁρπάζωσι. τὸ μὲν οὖν τῶν διαδιδρασκόντων πλῆθος, ὡς ἕκαστος ἰσχύος εἶχεν ἢ τάχους, ἐσκέδαστο. τίτος δὲ μεθ' ἡμέραν ἐπὶ τὰς συνθήκας, πρὸς τὸ τεῖχος παρῆν. ἀνοίγει δὲ αὐτῷ τὰς πύλας ὁ δῆμος, καὶ μετὰ γυναικῶν προσελθόντες, ἀνευφήμουν τε, ὡς εὐεργέτην, καὶ φρουρᾶς ἐλευθερώσαντα τὴν πόλιν. ἐδήλουν γὰρ ἅμα τήν τε ἰωάννου φυγήν, καὶ παρεκάλουν φείσασθαί τε αὐτῶν, καὶ παρελθόντα, τοὺς ὑπολειπομένους τῶν νεωτεριζόντων κολάσαι. ὁ δὲ τὰς δεήσεις τοῦ δήμου ἐν δευτέρῳ θέμενος, μοῖραν ἔπεμπε τῶν ἱππέων, ἰωάννην διώξουσαν. οἳ τὸν μὲν οὐ καταλαμβάνουσιν, ἔφθη γὰρ εἰς ἱεροσόλυμα διαφυγών. τῶν δὲ συναπαράντων, ἀποκτείνουσι μὲν εἰς ἑξακισχιλίους, γύναια δὲ καὶ παιδία τρισχιλίων ὀλίγον ἀποδέοντα, περιελάσαντες ἐπανῆγον. ὁ δὲ τίτος, ἤχθετο μὲν ἐπὶ τῷ μὴ παραχρῆμα τιμωρήσασθαι τὸν ἰωάννην τῆς ἀπάτης. ἱκανὸν δὲ ἀστοχήσαντι τῷ θυμῷ, παραμύθιον ἔχων τὸ πλῆθος τῶν αἰχμαλώτων, καὶ τοὺς διεφθαρμένους, εἰσῄει τε ἀνευφημούμενος εἰς τὴν πόλιν, καὶ τοῖς στρατιώταις ὀλίγον τοῦ τείχους περισπάσαι κελεύσας νόμῳ καταλήψεως, ἀπειλαῖς μᾶλλον, ἢ κολάσεσι τοὺς ταράσσοντας τὴν πόλιν ἀνέστελλε. πολλοὺς δ' ἂν καὶ διὰ τὰ οἰκεῖα μίση, καὶ διαφορὰς ἰδίας, ἐνδείξασθαι τοὺς ἀναιτίους εἰ διακρίνοιτο τοὺς τιμωρίας ἀξίους. ἄμεινον δὲ εἶναι μετέωρον ἐν φόβῳ τὸν αἴτιον καταλιπεῖν, ἢ τινὰ τῶν οὐκ ἀξίων αὐτῷ συναπελθεῖν. τὸν μὲν γὰρ ἴσως καὶ σωφρονῆσαι δέει κολάσεως, τὴν ἐπὶ τοῖς παρῳχηκόσι συγγνώμην αἰδούμενον. ἀδιόρθωτον δὲ τὴν ἐπὶ τοῖς παραναλωθεῖσι τιμωρίαν εἶναι. φρουρᾷ μέντοι τὴν πόλιν ἠσφαλίσατο, δι' ἧς τούς τε νεωτερίζοντας ἐφέξειν, καὶ τοὺς εἰρηνικὰ φρονοῦντας, θαῤῥαλεωτέρους καταλείψειν ἔμελλε. γαλιλαία μὲν οὕτως ἑάλω πᾶσα, πολλοῖς ἱδρῶσι προγυμνάσασα ῥωμαίους.

Κεφ. α.

Ἐπὶ δὲ τὰ ἱεροσόλυμα πρὸς τὴν εἴσοδον ἰωάννου, ὁ πᾶς δῆμος ἐξεκέχυτο, καὶ περὶ ἕκαστον τῶν συμπεφευγότων, μυρίος ὅμιλος συνηθροισμένος, τὰς ἔξωθεν συμφορὰς ἀνεπυνθάνετο. τῶν δὲ τὸ μὲν ἆσθμα θερμὸν ἔτι κοπτόμενον, ἐδήλου τὴν ἀνάγκην. ἠλαζονεύοντο δὲ κἂν κακοῖς, οὐ πεφευγέναι τοὺς ῥωμαίους φάσκοντες, ἀλλ' ἥκειν πολεμήσοντες αὐτοὺς ἐξ ἀσφαλοῦς. ἀλογίστων γὰρ εἶναι καὶ ἀχρείστων, παραβόλως προκινδυνεύειν περὶ γίσχαλα καὶ πολίχνας ἀσθενεῖς, δέον τὰ ὅπλα καὶ τὰς ἀκμὰς ταμιεύεσθαι τῇ μητροπόλει, καὶ συμφυλάσσειν. ἔνθα δὴ παρεδήλουν τὴν ἅλωσιν τῶν γισχάλων, καὶ τὴν λεγομένην εὐσχημόνως ὑποχώρησιν αὐτῶν, οἱ πολλοὶ δρασμὸν ἐνενόουν. ὡς μέντοι τὰ περὶ τοὺς αἰχμαλωτισθέντας ἠκούσθη, σύγχυσις οὐ μετρία κατεῖχε τὸν δῆμον, καὶ μεγάλα τῆς ἑαυτῶν ἁλώσεως συνελογίζοντο τεκμήρια. ἰωάννης δὲ ἐπὶ μὲν τοῖς καταλειφθεῖσιν ἧττον ἠρυθρία. περιϊὼν δὲ ἑκάστους ἐπὶ τὸν πόλεμον ἐνῆγε ταῖς ἐλπίσι, τὰ μὲν

ῥωμαίων

ῥωμαίων ἀσθενῆ κατασκευάζων, τὴν δὲ οἰκείας δύναμιν ἐξαίρων, καὶ κατειρωνευόμενος τῆς τῶν ἀπείρων ἀγνοίας, ὡς οὐδ᾽ ἂν πτερὰ λαβόντες ὑπερβαῖέν ποτε ῥωμαῖοι τὸ ἱεροσολύμων τεῖχος, οἱ περὶ τὰς τῶν γαλιλαίων κώμας κακοπαθοῦντες, καὶ πρὸς τοῖς ἐκεῖ τείχεσι κατατρίψαντες τὰς μηχανάς. τούτοις τὸ πολὺ τῶν νέων προσδιεφθείρετο, καὶ πρὸς μὲν τὸν πόλεμον ἦρτο. τῶν δὲ σωφρονούντων καὶ γηραιῶν, οὐκ ἦν ὅς τις οὐ τὰ μέλλοντα προορώμενος, ὡς ἤδη τῆς πόλεως οἰχομένης ἐπένθει. ὁ μὲν οὖν δῆμος ἦν ἐν τοιαύτῃ συγχύσει. προδιέστη δὲ τὸ κατὰ τὴν χώραν πλῆθος, τῆς ἐν ἱεροσολύμοις στάσεως. ὁ μὲν γὰρ τίτος ἀπὸ γισχάλων εἰς καισάρειαν, οὐεσπασιανὸς δὲ ἀπὸ καισαρείας εἰς ἰάμνιαν καὶ ἄζωτον ἀφικόμενος, παρεστήσατό τε αὐτὰς, καὶ φρουροὺς ἐγκαταστήσας, ὑπέστρεψε πολὺ πλῆθος ἐπαγόμενος τῶν ἐπὶ δεξιᾷ προσκεχωρηκότων. ἐκινεῖτο δὲ ἐν ἑκάστῃ πόλει, ταραχὴ καὶ πόλεμος ἐμφύλιος, ὅσον τε ἀπὸ ῥωμαίων ἀνέπνεον, εἰς ἀλλήλους τὰς χεῖρας ἀπέστρεφον. ἦν δὲ τῶν ἐρώντων τοῦ πολέμου, πρὸς τοὺς ἐπιθυμοῦντας εἰρήνης, ἔρις χαλεπή. καὶ πρῶτον μὲν ἐν οἰκίαις ἥπτετο τῶν μὴ ὁμονοούντων πάλαι τὸ φιλόνεικον, ἔπειτα ἀφηνιάζοντες ἀλλήλων οἱ φίλτατοι λαοὶ, καὶ συνιὼν ἕκαστος πρὸς τοὺς τὰ αὐτὰ προαιρουμένους, ἤδη κατὰ πλῆθος ἀντετάσσοντο. καὶ στάσις μὲν ἦν πανταχοῦ. τὸ νεωτερίζον δὲ καὶ τῶν ὅπλων ἐπιθυμοῦν, ἐπεκράτει τῇ νεότητι καὶ τόλμῃ γηραιῶν καὶ σωφρόνων. ἐτράποντο δὲ πρῶτον μὲν εἰς ἁρπαγὰς ἕκαστοι τῶν ἐπιχωρίων, ἔπειτα συντασσόμενοι κατὰ λόχους ἐπὶ λῃστείαν τῶν κατὰ τὴν χώραν, ὡς ὠμότητος καὶ παρανομίας ἕνεκεν μηδενὶ τῶν ῥωμαίων τοὺς ὁμοφύλους διαφέρειν, καὶ πολὺ τοῖς πορθουμένοις κουφοτέραν δοκεῖν, τὴν ὑπὸ ῥωμαίοις ἅλωσιν.

Κεφ. ια.

Οἱ φρουροὶ δὲ τῶν πόλεων, τὰ μὲν ὄκνῳ τοῦ κακοπαθεῖν, τὰ δὲ μίσει τοῦ ἔθνους, οὐδὲν ἢ μικρὰ προσήμυνον τοῖς κακουμένοις, μέχρι κόρῳ τῶν κατὰ τὴν χώραν ἁρπαγῶν ἀθροισθέντες οἱ τῶν πανταχοῦ συνταγμάτων ἀρχιλῃσταὶ, καὶ γενόμενοι πονηρίας στῖφος, εἰς τὰ ἱεροσόλυμα συμπαρεισφθείρονται, πόλιν ἀστρατήγητον, καὶ πατρίῳ μὲν ἔθει πᾶν ἀπαρατηρήτως δεχομένην τὸ ὁμόφυλον: τότε δὲ οἰομένων ἁπάντων τοὺς ἐπιχεομένους πάντας, ἀπ᾽ εὐνοίας ἥκειν συμμάχους. οἳ δὴ καὶ δίχα τῆς στάσεως, ὕστερον ἐβάπτισαν τὴν πόλιν, πλήθει γὰρ ἀχρήστῳ, καὶ ἀργῷ προεξανηλώθη τὰ τοῖς μαχίμοις διαρκεῖν δυνάμενα, καὶ πρὸς τῷ πολέμῳ, στάσιν τε αὐτοῖς καὶ λιμὸν ἐπικατεσκεύασαν: ἄλλοι τε ἀπὸ τῆς χώρας λῃσταὶ παρελθόντες εἰς τὴν πόλιν, καὶ τοὺς ἔνδον προσλαβόντες χαλεπωτέρους, οὐδέν τι τῶν δεινῶν παρίεσαν. οἵ γε οὐ μόνον ἁρπαγαῖς, καὶ λωποδυσίαις τὴν τόλμαν ἐμέτρουν, ἀλλὰ καὶ μέχρι φόνων ἐχώρουν, οὐ νυκτὸς, ἢ λαθραίως, ἢ ἐπὶ τοὺς τυχόντας, ἀλλὰ φανερῶς, καὶ μεθ᾽ ἡμέραν, καὶ τῶν ἐπισημοτάτων καταρχόμενοι. πρῶτον μὲν γὰρ, ἀντίπαν ἄνδρα τοῦ βασιλείου γένους, καὶ τῶν κατὰ τὴν πόλιν δυνατώτατον, ὡς καὶ δημοσίους θησαυροὺς πεπιστεῦσθαι, συλλαβόντες εἷρξαν. ἐπὶ τούτῳ λευίαν τινὰ τῶν ἐπισήμων, καὶ σωφᾶν υἱὸν ῥαγουήλου, βασιλικὸν δὲ ἦν καὶ τούτων τὸ γένος, πρὸς δὲ τοὺς κατὰ τὴν χώραν προὔχειν δοκοῦντας. δεινὴ

A Romanorum asserens. propriásque vires extollens, & imperitorum ea cauillatione inscitiam decipiẽs, quòd etiamsi pennas sumerent, nunquam Hierosolymorum mœnia transgrederentur Romani, qui pro Galilæorum vicis tanta mala pertulissent, atque in eorum muris machinas contriuissent. His eius dictis magna quidem corrumpebatur iuuenum manus. prudentiorum autem atque seniorum nemo erat, qui non futura prospiciens, velut B iam perditam ciuitatem lugeret. Et populus quidem in ea confusione tunc erat. At verò per territorium manus agrestium, ante seditionem quæ Hierosolymis orta est, discordare iam cœperat. Titus enim à Gischala Cæsaream, Vespasianus autem à Cæsarea Iamniam & Azotum profectus, vtranque subegit: impositisque illic præsidiis, reuertebatur, maximam ducẽs eorum multitudinem qui se fœdere sociauerant. Singulas autem ciuitates tu- C multus bellúmque intestinum exagitabat: quantúmque à Romanis respirassent, in semetipsos manus vertebant: cùm inter amatores belli ac pacis cupidos esset sæua contentio: dudúmque discordium pertinacia primo inter domos accenderetur: deinde inter se amicissimi populi diffiderent: & ad similia volentes quisque conueniens, apertè iam coacta multitudine rebellaret. Itaq; dissensiones quidem apud omnes erant: nouitatis autẽ armorúmq; D cupientes senibus ac sobriis iuuentute atq; audacia præstabant. Primò autem indigenarum singuli prædari cœperunt: deinde ex composito confertis cuneis per territorium latrocinabantur: vt quod ad crudelitatem atque iniustitiam spectat, nihil à Romanis gentiles abesset: atque ipsis qui vastabantur, illatum à Romanis excidium leuius videretur. Ciuitatum verò custodes, partim quia defatigari pigeret, partim odio nationis, aut nulli, aut minimo E erant malè affectis auxilio: donec rapinarum societate vndique congregati collegiorum latrocinalium principes, atque in agmen conflati Hierosolymis irrumpunt. quæ ciuitas à nullo regebatur: & more patrio gentiles omnes sine obseruatione recipiebant: tunc præcipuè cunctis existimantibus vniuersos qui superinfluerent, adiumento ex beneuolentia venire. Quæ quidem res etiam sine dissensione ciuitatem postea pessundedit, eo quòd iners F & inutilis multitudo quæ pugnacibus sufficere possent, alimenta consumpsit: hísque præter bellum etiam seditionem famémque comparauit: aliique latrones ex agris eò transgressi, ac multo sæuioribus quos intus inuenêre sociati, nullum atrox facinus intermittebant. Nec enim rapinis & expoliationibus metiebantur audaciam, sed vsque ad cædes ruebant: non clàm, neque per noctem, aut quoslibet homines, verùm luce palàm nobilissimos quosque adoriendo. Nam primùm Antipam G regij generis virum, & adeò potentissimum ciuium, vt etiam publicos thesauros fidei suę permissos haberet, comprehensum custodiæ tradiderunt: post hunc etiam Leuiam quendam, insignem virum, & Sopham filium Raguelis, regalis similiter vtrũq; familiæ, omnésq; pręterea, qui pręstare aliis videbãtur. Grauis

autem metus populum possidebat: & velut capta ciuitate, salutem propriam quisque curabat. Illi autem clausorum vinculis non fuere contenti, neque tutum arbitrabantur ea potentia viros diutiùs custodire. nam & ipsos, & domos eorum non paucis viris frequentari, ac per hoc ad vlciscendum esse idoneos, & prætera rebellaturum fortasse populum, iniquitate commotum. Decreto igitur eos occidi, mittunt quendam de suo numero Ioannem ad cædes promptissimum, qui lingua patria Dorcadis filius dicebatur: eúmque alij decem armati gladiis secuti ad carcerem, ibi quos reperissent interficiunt. Fingebant autem huius immanissimi sceleris causam, cum Romanis eos de traditione ciuitatis collocutos fuisse, communisque libertatis proditores interemisse dicebant, prorsus, vt audacia sua tanquam seruatores ciuitatis, ac bene de ea meriti gloriarentur. Euenit autem populum quidem ad hoc humilitatis ac formidinis, illos verò insolentiæ progredi, vt in eorum esset arbitrio etiam pontificum designatio. denique familiis abrogatis, vnde per successionem pontifices creabantur, incognitos atque ignobiles constituebant, vt impiorum facinorum socios haberent. nam qui supra meritum summos honores adepti erant, his obediebant necessariò, qui sibi eos præstiterant: quoniam & dignitate præditos, variis machinis fictísque sermonibus committebant, opportunitatem sibi ex eorum qui se prohibere poterant, contentione captantes: donec hominum persecutione satiati, in diuinitatem contumelias transtulerunt, pedibúsque pollutis in sanctum locum introire cœperunt. Iam verò populo contra eos concitato (namque autor erat Ananus, æuo maximus pontificum, itémque sapientissimus: & qui fortassis ciuitatem conseruasset, si insidiatorum manus potuisset effugere) illi templum Dei aduersus populi turbam, castellum ac profugium sibi fecère, quod pro domicilio habebant tyrannidis. Acerbis autem malis admiscebatur etiam cauillatio, quæ præ cæteris eorum factis erat dolori. tentando enim quanto metu populus teneretur, suásque vires explorando, sorte pontifices creare conati sunt, cùm his (vt diximus) ex familiis successio deberetur. huic autem fraudi mos antiquus obtendebatur. nam & olim sorte pontificatum deferri solitum fuisse dicebant. re autem vera, legis erat abrogatio firmioris, per eos qui ad potentiam designandorum magistratuum licẽtiam compararent. Itaque vna sacratarum tribuum accita quæ Eniachin appellatur, pontificem sortiebantur: casúque sors exit homini, per quem maximè eorum iniquitas demõstrata est, Phani cuidam, filio Samuelis, ex vico Aphthasi, nõ solùm non ex pontificibus orto, sed apertè quid esset pontificatus, propter rusticitatem penitus nescienti. Deniq; inuitum eũ rure abstractum, vt in scena fieri solet, aliena ornauère persona: indutúmque sacra veste, quid facere deberet, subito instituebant: ludúmque & iocum esse tantùm nefas arbitrabãtur. cæteri verò sacerdotes, procul spectãtes ludibrio legem haberi, lacrymas vix tenebant, honorésq; sacrorũ solui grauiter ingemebant.

δὲ κατάπληξις εἶχε τὸν δῆμον, καὶ καθάπερ κατειλημμένης τῆς πόλεως πολέμῳ, τὴν καθ' αὑτὸν ἕκαστος σωτηρίαν ἠγάπα. τοῖς δὲ οὐκ ἀπέχρη τὰ δεσμὰ τῶν συνειλημμένων, οὐδὲ ἀσφαλὲς ᾤοντο μέχρι πολλοῦ δυνατοὺς ἄνδρας οὕτω φυλάσσειν. ἱκανοὺς μὲν γὰρ εἶναι καὶ τοὺς οἴκους αὐτῶν πρὸς ἄμυναν οὐκ ὀλιγάνδρους ὄντας. οὐ μὴν, ἀλλὰ καὶ τὸν δῆμον ἐπαναστήσεσθαι τάχα κινηθέντα πρὸς τὴν παρανομίαν. δόξαν οὖν ἀναιρεῖν αὐτοὺς, Ἰωάννην τινὰ πέμπουσι τὸν ἐξ αὐτῶν εἰς φόνους προχειρότατον, Δορκάδος υἱὸς ἐκαλεῖτο παῖς κατὰ τὴν ἐπιχώριον γλῶσσαν. ᾧ δέκα συνελθόντες εἰς τὴν εἱρκτὴν ξιφήρεις, ἀποσφάττουσι τοὺς συνειργμένους. παρανομήματι δ' ἐπὶ τηλικούτῳ, μεγάλην ἀπεψεύδοντο πρόφασιν, διαλεχθῆναι γὰρ αὐτοὺς Ῥωμαίοις περὶ παραδόσεως τῶν Ἱεροσολύμων, καὶ προδότας ἀνῃρηκέναι τῆς κοινῆς ἐλευθερίας ἔφασκον, καθόλου τ' ἐπηλαζονεύοντο τοῖς τολμήμασιν, ὡς εὐεργέται καὶ σωτῆρες τῆς πόλεως γεγενημένοι. συνέβη δὲ εἰς τοσοῦτον τὸν μὲν δῆμον ταπεινότητος καὶ δέους, ἐκείνους δὲ ἀπονοίας προελθεῖν, ὡς ἐπ' αὐτοῖς εἶναι καὶ τὰς χειροτονίας τῶν ἀρχιερέων. ἄκυρα γοῦν τὰ γένη ποιήσαντες, ἐξ ὧν κατὰ διαδοχὰς οἱ ἀρχιερεῖς ἀπεδείκνυντο, καθίστασαν ἀσήμους καὶ ἀγεννεῖς, ἵν' ἔχοιεν συνεργοὺς τῶν ἀσεβημάτων. τοῖς γὰρ παρ' ἀξίαν ἐπιτυχοῦσι τῆς ἀνωτάτω τιμῆς, ὑπακούειν ἦν ἀνάγκη τοῖς παρασχοῦσι. συνέκρουον δὲ καὶ τοὺς ἐν τέλει ποικίλαις ἐπινοίαις, καὶ λογοποιΐαις, καιρὸν ἑαυτοῖς ἐν τῇ πρὸς ἀλλήλους τῶν κωλυόντων φιλονεικίαις ποιούμενοι, μέχρι τῶν εἰς ἀνθρώπους ὑπερεμπλησθέντες ἀδικημάτων, ἐπὶ τὸ θεῖον μετήνεγκαν τὴν ὕβριν, καὶ μεμιασμένοις τοῖς ποσὶ, παρῄεσαν εἰς τὸ ἅγιον, ἐπανισταμένου τε αὐτοῖς ἤδη τοῦ πλήθους. ἐνῆγε γὰρ ὁ γεραίτατος τῶν ἀρχιερέων Ἄνανος, ἀνὴρ σωφρονέστατος, καὶ τάχα ἂν διασώσας τὴν πόλιν, εἰ τὰς τῶν ἐπιβούλων χεῖρας ἐξέφυγεν.

Κεφ. ιβ.

Οἱ δὲ τὸν νεὼν τοῦ θεοῦ φρούριον αὐτοῖς, καὶ τὴν ἀπὸ τοῦ δήμου ταραχῶν ποιοῦνται, καὶ καταφυγὴ καὶ τυραννεῖον ἦν αὐτοῖς τὸ ἅγιον. παρεκίρνατο δὲ τοῖς δεινοῖς εἰρωνεία τὸ τῶν ἐνεργουμένων ἀλγεινότερον. ἀποπειρώμενοι γὰρ τῆς τοῦ δήμου καταπλήξεως, καὶ τὴν αὐτῶν δοκιμάζοντες ἰσχὺν, κληρωτοὺς ἐπεχείρησαν ποιεῖν τοὺς ἀρχιερεῖς, οὔσης ὡς ἔφαμεν κατὰ γένος αὐτῶν τῆς διαδοχῆς. ἦν δὲ πρόσχημα μὲν τῆς ἐπιβολῆς ἔθος ἀρχαῖον, ἐπειδὴ καὶ πάλαι κληρωτὴν ἔφασαν εἶναι τὴν ἀρχιερωσύνην. τὸ δὲ ἀληθὲς, τοῦ βεβαιοτέρου νόμου κατάλυσις, καὶ τέχνη πρὸς δυναστείαν, τὰς ἀρχὰς δι' αὐτῶν καθισταμένοις. καὶ δὴ μεταπεμψάμενοι μίαν τῶν ἀρχιερατικῶν φυλὴν, Ἐνιακεὶμ καλεῖται, διεκλήρουν ἀρχιερέα. λαγχάνει δ' ἀπὸ τύχης ὁ μάλιστα διαδείξας αὐτῶν τὴν παρανομίαν, Φαννίας τις ὄνομα, υἱὸς Σαμουήλου κώμης Ἀφθας, ἀνὴρ οὐ μόνον ἀνάξιος ἀρχιερεὺς, ἀλλ' οὐδ' ἐπιστάμενος σαφῶς, τί ποτε ἦν ἀρχιερωσύνη δι' ἀγροικίαν. ἀπὸ γοῦν τῆς χώρας αὐτὸν ἄκοντα σύραντες, ὥσπερ ἐπὶ σκηνῆς, ἀλλοτρίῳ κατεκόσμουν προσωπείῳ, τήν τε ἐσθῆτα περιτιθέντες ἱερὰν, καὶ τὸ τί δεῖ ποιεῖν ἐπὶ καιροῦ διδάσκοντες. χλεύη δ' ἦν ἐκείνοις, καὶ παιδιὰ τὸ τηλικοῦτον ἀσέβημα. τοῖς δὲ ἄλλοις ἱερεῦσιν ἐπιθεωμένοις πόρρωθεν παιζόμενον τὸν νόμον, δακρύειν ἐπῄει, καὶ κατέστενον τὴν τῶν ἱερῶν τιμῶν κατάλυσιν.

ταύτην

ταύτην τὴν τόλμαν αὐτῶν οὐκ ἤνεγκεν ὁ δῆμος, ἀλλ' ὡς ἐπὶ τυραννίδος κατάλυσιν, ὥρμηντο πάντες. καὶ γὰρ οἱ προύχειν δοκοῦντες αὐτῶν, Γωρίων τε ὁ Ἰωσήπου, καὶ ὁ Γαμαλιήλου Συμεών, παρεκρότουν ἐν ταῖς ἐκκλησίαις ἀθρόους, καὶ κατ' ἰδίαν περιιόντες ἕκαστον, ἤδη ποτὲ τίσασθαι τοὺς λυμεῶνας τῆς ἐλευθερίας, καὶ καθᾶραι τῶν μιαιφόνων τὸ ἅγιον. οἵ τε δοκιμώτατοι τῶν ἀρχιερέων, Γαμαλᾶ μὲν Ἰησοῦς, Ἀνάνου δὲ Ἄνανος, πολλὰ τὸν δῆμον εἰς νωθείαν κατονειδίζοντες ἐν τοῖς συνόδοις, ἐπήγειραν τοῖς ζηλωταῖς. τοῦτο γὰρ αὐτοὺς ἐκάλεσαν, ὡς ἐπ' ἀγαθοῖς ἐπιτηδεύμασιν, ἀλλ' οὐ ζηλώσαντες τὰ κάκιστα τῶν ἔργων, καὶ ὑπερβαλλόμενοι. καὶ δὴ συνελθόντος τοῦ πλήθους εἰς ἐκκλησίαν, καὶ πάντων ἀγανακτούντων μὲν ἐπὶ τῇ καταλήψει τῶν ἁγίων, ταῖς τε ἁρπαγαῖς, καὶ τοῖς πεφονευμένοις.

Κεφ. ιγ. Οὔπω δὲ πρὸς τὴν ἄμυναν ὡρμημένων, τῷ δυσεπιχειρήτους, ὅπερ ἦν, τοὺς ζηλωτὰς ὑπολαμβάνειν, καταστὰς ἐν μέσοις Ἄνανος, καὶ πολλάκις εἰς τὸν ναὸν ἀπιδών, ἐμπλήσας τε τοὺς ὀφθαλμοὺς δακρύων ἦ καλόν γε εἶπεν ἦν ἐμοὶ τεθνάναι, πρὶν ἐπιδεῖν τὸν οἶκον τοῦ θεοῦ τοσούτοις ἄγεσι καταγέμοντα, καὶ τὰς ἀβάτους καὶ ἁγίας χώρας ποσὶ μιαιφόνων στενοχωρουμένας. ἀλλὰ περικείμενος τὴν ἀρχιερατικὴν ἐσθῆτα, καὶ τὸ τιμιώτατον καλούμενος τῶν σεβασμίων ὀνομάτων, ζῶ καὶ φιλοψυχῶ, μηκέτι ὑπὲρ τοὐμοῦ γήρως ὑπομένειν εὔκλεᾶ θάνατον. εἰ δὲ δὴ μόνος εἰμὶ καὶ καθάπερ ἐν ἐρημίᾳ, τὴν ἐμαυτοῦ ψυχὴν ἐπιδώσω μόνην ὑπὲρ τοῦ θεοῦ. τί γὰρ καὶ δεῖ ζῆν ἐν δήμῳ συμφορῶν ἀναισθητοῦντι, καὶ παρ' οἷς ἀπόλωλεν ἡ τῶν ἐν χερσὶ παθῶν ἀντίληψις. ἁρπαζόμενοι γοῦν ἀνέχεσθε, καὶ τυπτόμενοι σιωπᾶτε, καὶ τοῖς φονευομένοις οὐδὲ ἐπιστένει τις ἀναφανδόν. ὢ τῆς πικρᾶς τυραννίδος. τί μέμφομαι τοὺς τυράννους; μὴ γὰρ οὐκ ἐξέφυσαν ὑφ' ὑμῶν, καὶ τῆς ὑμετέρας ἀνεξικακίας; μὴ γὰρ οὐχ ὑμεῖς περιιδόντες τοὺς πρώτους συνισταμένους, ἔτι δὲ ἦσαν ὀλίγοι, πλείους ἐποιήσατε τῇ σιωπῇ, καὶ καθοπλιζομένων ἠρεμοῦντες καθ' ἑαυτῶν ἐπεστρέψατε τὰ ὅπλα; δέον τὰς πρώτας αὐτῶν ἐπικόπτειν ὁρμάς, ὅτε λοιδορίαις καθήπτοντο τῶν συγγενῶν. ὑμεῖς δὲ ἀμελήσαντες ἐφ' ἁρπαγὰς παρωξύνατε τοὺς ἀλιτηρίους, καὶ πορθουμένων οἴκων, λόγος ἦν οὐδείς. τοιγαροῦν αὐτοὺς ἥρπαζον τοὺς δεσπότας, καὶ συρομένοις διὰ μέσης τῆς πόλεως, οὐδεὶς ἐπήμυνεν. οἱ δὲ καὶ δεσμοῖς ᾐκίσαντο τοὺς ὑφ' ὑμῶν προδοθέντας. οὐ λέγω πόσους καὶ ποδαπούς, ἀλλὰ ἀκαταιτιάτους ἀκρίτους. οὐδεὶς ἐβοήθησε τοῖς δεδεμένοις. ἀκόλουθον ἦν ἐπιδεῖν τοὺς αὐτοὺς φονευομένους. ἐπείδομεν καὶ τοῦτο, καθάπερ ἐξ ἀγέλης ζώων ἀλόγων ἑλκομένου τοῦ κρατίστου ὄντος ἀεὶ θύματος, οὐδὲ φωνὴν τις ἀφῆκεν, οὐχ ὅπως ἐκίνησε τὴν δεξιάν. φέρετε δὴ τοίνυν φέρετε πατούμενα βλέποντες τὰ ἅγια, καὶ πάντες ὑποθέντες αὐτοὺς τοῖς ἀνοσίοις τοὺς τῶν τολμημάτων βαθμούς, μὴ βαρύνεσθε τὴν ὑπεροχήν. καὶ γὰρ νῦν πάντως ἂν ἐπὶ μεῖζον προύκοψαν, εἴ τι τῶν ἁγίων καταλῦσαι μεῖζον εἶχον. κεκράτηται μὲν οὖν τὸ ὀχυρώτατον τῆς πόλεως, λεγέσθω γὰρ νῦν τὸ ἱερόν, ὡς ἄκρα τις ἢ φρούριον. ἔχοντες δ' ἐπὶ τετειχισμένην τυραννίδα τοσαύτην, καὶ τοὺς ἐχθροὺς ὑπὲρ κορυφὴν βλέποντες, τί βούλεσθε, καὶ πόσι τὰς

A Populus autem hanc eorum audaciam non tulit, sed omnes quasi ad deponendam tyrannidem animos intenderant. nam qui præstare cæteris videbantur, Gorion Iosephi filius, & Simeon Gamalielis, tam singulos circumeuntes, quàm simul vniuersos in concionibus hortabantur, quo tandem aliquando libertatis corruptores vltum irent, sanctúmque locum ab hominibus sceleratis purgare properarent. Pontifices etiam probatissimi, B Gamala quidem filius Iesu, Anani autem Ananus, populum frequenter in cœtibus exprobrando eius segnitiem, contra Zelotas excitauerunt. ita enim se ipsi vocabant, vti bonarum professionum æmuli, ac non qui pessimam facinorum immanitatem superassent. Itaque in concionem populo congregato, cunctísque indignantibus occupationes sanctorū, itémque rapinas & cædes, nondum autem promptis ad vlciscendum, propterea quòd in- C expugnabiles (id enim verùm erat) Zelotæ putabantur, stans inter eos medius Ananus, & ad legem crebro respectans, cùm lacrymis oplesset oculos: Equidem, inquit, mori potius deberem, quàm Dei domicilium videre tantis refertum piaculis: atque inaccessa & sancta loca sceleratorum pedibus frequentari: cùm tamē sacerdotali veste amictus, & sanctissimum venerabilium nominum ferens, viuo: atque animæ amore teneor, nec pro senectu- D te quidem mea mortem sustinens gloriosam. Igitur solus ibo, & tanquam in solitudine animam meam solam dabo pro Deo. nam quid opus est viuere in populo, clades suas minimè sentiente, & apud quos mala præsentia nemo prohibet? siquidem spoliati patimini, ac verberati reticetis, & ne gemitu quidem aperto quisquam prosequitur interemptos. O acerbam dominationem! Quid de tyrannis querar? Nunquid non à vobis vestra potentia nu- E triti sunt? nunquid non despectis qui primi erant, cùm adhuc pauci essent, vos dum tacetis, plures eos fecistis? atque illis armatis quiescentes, in vosmetipsos arma vertistis? cùm primos eorum conatus oportuisset infringi, quando cognatos conuiciis appetebant. Vos autem negligendo, ad deprædationem noxios irritastis, quia vastatarum ædium nulla ratio erat. Itaque iam domini ipsi rapiebantur, eísque cùm per mediam ciuitatem traherentur, F nemo erat auxilio. Illi autem à vobis proditos, etiam vinculis affecêre: non dico quales & quantos, sed quòd non accusatos, indemnatos, vinctos nemo adiuuit. restabat eosdem videre trucidari. hoc etiam vidimus, velut è grege brutorum animalium cùm præcipua quæque duceretur hostia, ne vocem quidem quisquam emisit, nedum dexteram mouit. Patiemini ergo, patiemini etiā sancta cōculcari vidētes? Cúmq; omnes audaciæ gradus nefariis G hominibus subieceritis, eorum præstantiā reueremini? nunc enim profectò ad maiora procederent, si quid maius quod euerterent inueniretur. Tenetur quidem munitissimus ciuitatis locus, fanum appellatione, re atx quædam siue castellum. Tanta igitur contra vos tyrannide munita: & inimicis super verticem positis, vt videtis, quid cogitatis, aut quib.

vestras sententias applicatis? An Romanos expectatis, vt sanctis vestris opitulentur? Ita quidem se nostræ ciuitatis habent res: cóque iam calamitatis ventum est, vt misereatur nostri etiam hostis. Non exurgetis ô miseri respectisq; vulneribus vestris, quod etiam feras bestias facere videmus, non vltum ibitis in hos, qui vos percussêre? Non suas quisque recordabitur clades, & ante oculos positis quæ pertulerit, ad vltionem animos acuet? Periit apud vos (ni fallor) affectionum omnium carissima, & maximè naturalis, cupiditas libertatis. seruitutis autem ac dominorum amantes facti sumus, tanquam subiugari à maioribus didicerimus. Atque illi quidem multa & maxima bella, vt in libertate viuerent, pertulerunt, ne aut Ægyptiorum aut Medorum potentiæ cederent, dummodo ne facerent quæ iuberentur. Et quid opus est de maioribus loqui? Hoc ipsum bellum quod cum Romanis nunc gerimus, verùm commodè an contrà incommodè non referam, palàm quid habet causæ, nisi libertatem? Ergo qui dominis totius orbis seruire non patimur, gentiles nostros ferimus tyrannos? Quanquam externis obedientes, ad fortunam semel id referunt, cuius iniuria victi sunt. At verò pessimis suorum cedere, ignauorum est, & cupientium seruiendi. Ad hæc autem, quia Romanorum mentio facta est, non vos celabo, quid dum loquor interuenerit, mentémque retraxerit: quod etiam si ab his capti fuerimus (absit autem huius dicti periculum) nihil acerbiùs experiemur, quàm isti nos affecêre. Quo pacto autem non lacrymis dignum sit, illorum quidem in templo donaria cernere, gentilium verò spolia, qui nobilitatem huius maximæ omnium ciuitatis compilauerunt: eósque viros trucidatos videri, quibus etiam illi post victoriam obtemperassent? Et Romanos quidem nunquam transgredi ausos esse limitem profanorum, aut sacratæ quicquam consuetudinis præterire, sanctorum autem ambitum, quamuis procul aspectum perhorrescere: quosdam verò in his locis natos ac sub nostris moribus educatos, & qui Iudæi vocentur, inter media sancta deambulare, manibus adhuc suis gentili cæde calentibus? Quis igitur externum bellum metuat, ex comparatione domestici? Multò nobis æquior est hostis. nam si propriè rebus sunt aptanda vocabula, fortasse reperietur, legum quidem conseruatores nobis fuisse Romanos, hostes verò intus haberi. Verùm hos insidiatores libertatis exitio deberi, neque facinorum eorum dignum excogitari posse supplicium, certum est: idémque omnibus vobis, & ante orationem meam esse persuasum, atque ipsis vos rebus quas pertulistis, in eos esse commotos. plerique autem fortasse multitudinem eorum, atque audaciam reformidant: & præterea quòd in loco superiore consistunt. Sed hæc vt vestra negligentia conflata sunt, ita nunc magis proficient, si morabimur. nam & numerus illorum in dies singulos alitur, eo quòd nequissimus quisque ad similes profugiat: & audaciam plus accendit, quòd nullum adhuc eius impedimentum interuenit: locóque superiore vtentur, & quidem cum apparatu, si iis tempus demus.

γνώμας προσδοκᾶτε; ῥωμαίους ἄρα περιμενεῖτε, ἵν' ἡμῶν βοηθήσωσι τοῖς ἁγίοις; ἔχει μὲν ὕπω τὰ πράγματα τῇ πόλει, καὶ πρὸς τοσοῦτον ἥκομεν συμφορῶν, ἵνα ἡμᾶς ἐλεήσωσι καὶ πολέμιοι. οὐκ ἐξαναστήσεσθε ὦ τλημονέστατοι, καὶ πρὸς τὰς πληγὰς ἐπιστραφέντες, ὃ κἀπὶ τῶν θηρίων ἔστιν ἰδεῖν, τοὺς τύπτοντας ἀμυνεῖσθε; οὐκ ἀναμνησθήσεσθε τῶν ἰδίων ἕκαστος συμφορῶν, οὐδ' ἃ πεπόνθατε πρὸ ὀφθαλμῶν θέμενοι, τὰς ψυχὰς ἐπ' αὐτοὺς θήξετε πρὸς τὴν ἄμυναν; ἀπόλωλεν ἄρα παρ' ὑμῖν τὸ τιμιώτατον τῶν παθῶν, καὶ φυσικώτατον, ἐλευθερίας ἐπιθυμία. φιλόδουλοι δὲ καὶ φιλοδέσποτοι γεγόναμεν ὥσπερ ἐκ προγόνων τὸ ὑποτάσσεσθαι παραλαβόντες. ἀλλ' ἐκεῖνοί γε πολλοὺς καὶ μεγάλους ὑπὲρ τῆς αὐτονομίας πολέμους διήνεγκαν, καὶ οὔτε τῆς αἰγυπτίων, οὔτε τῆς μήδων δυναστείας ἡττήθησαν, ὑπὲρ τοῦ μὴ ποιεῖν τὸ κελευόμενον. καὶ τί δεῖ τὰ τῶν προγόνων λέγειν, ἀλλ' ὁ νῦν πρὸς ῥωμαίους πόλεμος, ἐῶ διελέγχειν, πότερον λυσιτελὴς ὢν καὶ σύμφορος, ἢ τοὐναντίον, τίνα δ' οὖν ἔχει πρόφασιν; οὐ τὴν ἐλευθερίαν; εἶτα τοὺς τῆς οἰκουμένης δεσπότας μὴ φέροντες, τῶν ὁμοφύλων τυράννων ἀνεξόμεθα; καίτοι τὸ μὲν τοῖς ἔξωθεν ὑπακούειν, ἀνενέγκαι τις ἂν εἰς τὴν ἅπαξ ἡττηθεῖσαν τύχην. τὸ δὲ τοῖς οἰκείοις εἴκειν πονηροῖς, ἀγεννῶν ἐστι καὶ προαιρουμένων. ἐπειδὴ δὲ ἅπαξ ἐμνήσθην ῥωμαίων, οὐκ ἀποκρύψομαι πρὸς ὑμᾶς εἰπεῖν, ὃ μεταξὺ τῶν λόγων ἐμπεσὸν, ἐπέστρεψε τὴν διάνοιαν, ὅτι κἂν ἁλῶμεν ὑπ' ἐκείνοις, ἀπείη δὲ ἡ πεῖρα τοῦ λόγου, χαλεπώτερον οὐδὲν παθεῖν ἔχομεν, ὧν ἡμᾶς διατεθείκασιν οὗτοι. πῶς δ' οὐ δακρύων ἄξιον, ἐκείνων μὲν ἐν τῷ ἱερῷ καὶ ἀναθήματα βλέπειν, τῶν δὲ ὁμοφύλων τὰ σκῦλα σεσυληκότων καὶ ἀνῃρηκότων τὴν τῆς μητροπόλεως εὐγένειαν, καὶ πεφονευμένους ἄνδρας, ὧν ἀπέσχοντο ἂν κἀκεῖνοι κρατήσαντες; καὶ ῥωμαίους μὲν μηδέποτε ὑπερβῆναι τὸν ὅρον τῶν βεβήλων, μηδὲ παραβῆναί τι τῶν ἱερῶν ἐθῶν, πεφρικέναι δὲ πόρρωθεν ὁρῶντας τοὺς τῶν ἁγίων περιβόλους, γεννηθέντας δέ τινας ἐν τῇδε τῇ χώρᾳ, καὶ τραφέντας ὑπὸ τοῖς ἡμετέροις ἔθεσι, καὶ ἰουδαίους καλουμένους, ἐμπεριπατεῖν μέσοις τοῖς ἁγίοις, θερμὰς ἔτι τὰς χεῖρας ἐξ ὁμοφύλων ἔχοντας φόνων; εἶτα τις δέδοικε τὸν ἔξωθεν πόλεμον, καὶ τοὺς ἐν συγκρίσει πολλῷ τῶν οἰκείων ἡμῖν μετριωτέρους; καὶ γὰρ ἂν εἰ ἐτύμους δεῖ τοῖς πράγμασι τὰς κλήσεις ἐφαρμόζειν, τάχα ἂν εὕροι τις ῥωμαίους μὲν ἡμῖν βεβαιωτὰς τῶν νόμων, πολεμίους δὲ τοὺς ἔνδον. ἀλλ' ὅτι μὲν ἐξώλεις οἱ ἐπίβουλοι τῆς ἐλευθερίας, καὶ πρὸς ἃ δεδράκασιν οὐκ ἄν τις ἐπινοήσει δίκην ἀξίαν κατ' αὐτῶν, οἶμαι πάντας ἥκειν πεπεισμένους οἴκοθεν, καὶ πρὸ τῶν ἐμῶν λόγων παρωξύνθαι τοῖς ἔργοις ἐπ' αὐτοῖς ἃ πεπόνθατε. καταπλήσσονται δ' ἴσως οἱ πολλοὶ, τό τε πλῆθος αὐτῶν, καὶ τὴν τόλμαν, ἔτι δὲ καὶ τὴν ἐκ τοῦ τόπου πλεονεξίαν. ταῦτα δ' ὥσπερ συνέστη διὰ τὴν ὑμετέραν ἀμέλειαν, καὶ νῦν αὐξηθήσεται πλέον ὑπερθεμένων. καὶ γὰρ τὸ πλῆθος αὐτοῖς ἐπιτρέφεται καθ' ἡμέραν, παντὸς πονηροῦ πρὸς τοὺς ὁμοίους αὐτομολοῦντος, καὶ τὴν τόλμαν ἐξάπτει μέχρι νῦν μηδὲν ἐμπόδιον, τῷ τε τόπῳ καθύπερθεν ὄντες, χρήσαιντο καὶ μετὰ παρασκευῆς, ἂν ἡμεῖς χρόνον δῶμεν.

πιστεύσατε δ' ὡς ἐὰν προσβαίνωμεν ἐπ' αὐτούς, ἔσονται τῇ συνειδήσει ταπεινότεροι, καὶ τὸ πλεονέκτημα τοῦ ὕψους, ὁ λογισμὸς ἀπολεῖ. τάχα τὸ θεῖον ὑβρισμένον ἀναστρέψει κατ' αὐτῶν τὰ βαλλόμενα, καὶ τοῖς σφετέροις διαφθαρήσονται βέλεσιν οἱ δυσσεβεῖς. μόνον ὀφθῶμεν αὐτοῖς καὶ καταλέλυνται. καλὸν δὲ κἂν προσῇ τις κίνδυνος, ἀποθνήσκειν πρὸς τοῖς ἱεροῖς πυλῶσι, καὶ τὴν ψυχὴν εἰ καὶ μὴ περὶ παίδων, ἢ γυναικῶν, ἀλλ' ὑπὲρ τοῦ θεοῦ, καὶ τῶν ἁγίων προέσθαι. προστήσομαι δ' ἐγώ, γνώμῃ τε καὶ χειρί, καὶ οὔτε ἐπίνοιά τις ὑμῖν λείψει πρὸς ἀσφάλειαν ἐξ ἡμῶν, οὔτε τοῦ σώματος ὄψεσθε φειδόμενον. τούτοις ὁ Ἄνανος παρακροτεῖ τὸ πλῆθος ἐπὶ τοὺς ζηλωτάς, οὐκ ἀγνοῶν μὲν ὡς εἶεν ἤδη δυσκατάλυτοι, πλήθει τε καὶ νεότητι καὶ παραστήματι ψυχῆς, τὸ πλέον δὲ συνειδήσει τῶν εἰργασμένων. οὐ γὰρ ἐνδώσειν αὐτοὺς εἰς ἐσχάτην συγγνώμην, ἐφ' οἷς ἔδρασαν ἐλπίσαντας. ὅμως δὲ πᾶν ὅτι οὖν παθεῖν προῃρεῖτο μᾶλλον, ἢ περιιδεῖν ἐν τοιαύτῃ τὰ πράγματα συγχύσει. τὸ δὲ πλῆθος ἄγειν αὐτοὺς ἐβόα καθ' ὧν παρεκάλει, καὶ προκινδυνεύειν ἕκαστος ἦν ἑτοιμότατος.

Κεφ. ιδ'. Ἐν ὅσῳ δὲ ὁ Ἄνανος κατέλεγέ τε, καὶ συνέτασσε τοὺς ἐπιτηδείους πρὸς μάχην, οἱ ζηλωταὶ πυθόμενοι τὴν ἐπιχείρησιν (παρῆσαν γὰρ οἱ ἀγγέλλοντες αὐτοῖς πάντα τὰ παρὰ τοῦ δήμου) παροξύνονται, καὶ ἐκ τοῦ ἱεροῦ προπηδῶντες ἀθρόοι τε καὶ κατὰ λόχους, οὐδενὸς ἐφείδοντο τῶν προστυγχανόντων. ἀθροίζεται δ' ὑπ' Ἀνάνου ταχέως τὸ δημοτικόν, πλήθει μὲν ὑπερέχον, ὅπλοις δὲ καὶ τῷ μὴ συγκεκροτῆσθαι, λειπόμενον τῶν ζηλωτῶν. τὸ πρόθυμον δὲ παρ' ἑκατέροις, ἀνεπλήρου τὰ λείποντα. τῶν μὲν ἀπὸ τῆς πόλεως ἀνειληφότων ὀργήν, ἰσχυροτέραν τῶν ὅπλων, τῶν δ' ἀπὸ τοῦ ἱεροῦ τόλμαν παντὸς πλήθους ὑπερέχουσαν. καὶ οἱ μέν, ἀοίκητον ὑπολαμβάνοντες ἑαυτοῖς τὴν πόλιν, εἰ μὴ τοὺς λῃστὰς ἐκκόψειαν αὐτῆς. οἱ ζηλωταὶ δὲ εἰ μὴ κρατοῖεν, οὐκ ἔστιν ἧς τινος ὑστερήσειν τιμωρίας. συνερρήγνυντο δὲ στρατηγούμενοι τοῖς πάθεσι, τὸ μὲν πρῶτον κατὰ τὴν πόλιν καὶ πρὸ τοῦ ἱεροῦ λίθοις βάλλοντες ἀλλήλους, καὶ πόρρωθεν διακοντιζόμενοι. κατὰ δὲ τὰς τροπὰς οἱ κρατοῦντες ἐχρῶντο τοῖς ξίφεσι· καὶ πολὺς ἦν ἑκατέρων φόνος, τραυματίαι δὲ ἐγίνοντο συχνοί. καὶ τοὺς μὲν ἀπὸ τοῦ δήμου, διεκόμιζον εἰς τὰς οἰκίας οἱ προσήκοντες. ὁ δὲ βληθεὶς τῶν ζηλωτῶν, εἰς τὸ ἱερὸν ἀνῄει καθαιμάσσων τὸ θεῖον ἔδαφος, καὶ μόνον ἄν τις εἴποι τὸ ἐκείνων αἷμα, μιᾶναι τὰ ἅγια. κατὰ μὲν οὖν τὰς συμβολὰς ἐκτρέχοντες, ἀεὶ περιῆσαν οἱ λῃστρικοί. τεθυμωμένοι δὲ οἱ δημοτικοί, καὶ πλείους ἀεὶ γινόμενοι, κακίζοντες τοὺς ἐνδιδόντας, καὶ μὴ διδόντες τοῖς τρεπομένοις ἀναχώρησιν οἱ κατόπιν βιαζόμενοι, πᾶν μὲν ἐπιστρέφουσι τὸ σφέτερον εἰς τοὺς ἐναντίους, κἀκείνων μηκέτι ἀντεχόντων τῇ βίᾳ, κατὰ μικρὸν δὲ ἀναχωρούντων εἰς τὸ ἱερόν, συνεισπίπτουσιν οἱ περὶ τὸν Ἄνανον. τοῖς δὲ κατάπληξις ἐμπίπτει στερουμένοις τοῦ πρώτου περιβόλου, καὶ καταφυγόντες εἰς τὸ ἐνδότερον ταχέως ἀποκλείουσι τὰς πύλας, τῷ δὲ Ἀνάνῳ, προσβαλεῖν μὲν οὐκ ἐδόκει τοῖς ἱεροῖς πυλῶσιν, ἄλλως τε κἀκείνων βαλλόντων ἄνωθεν, ἀθέμιτον δ' ἡγεῖτο κἂν κρατήσῃ

A Quòd si aduersus eos ire cœperimus, humiliores erunt, mihi credite, conscientia: & celsioris loci beneficium, reputatio scelerum perdet. Fortasse autem Dei pariter spreta maiestas, in ipsos tela retorserit, suisque missilibus consumentur impij. Videant nos tantummodo, & deiecti sunt: quanquam pulchrum est, vt etiam si quod periculum immineat, pro sacris ianuis moriamur: ac si non liberis & coniugibus, pro Deo tamen e- B iúsque sanctis animas profundamus. Præbebo autem manum, atque sententiam: & neque consilium vobis vllum deerit ad cautionem, neque me corpori meo parcere videbitis. His Ananus contra Zelotas populum hortabatur: non quidem nesciens iam expugnari vix posse propter multitudinem ac iuuentutem animorúmque pertinaciam, multóque magis propter conscientiam commissorum: nec enim concessum iri veniam his quæ perpetra- C uerant, sperabant: verumtamen quiduis perpeti præstabilius existimabant, quàm in tanta rerum perturbatione rempublicam negligere. Populus autem duci se clamabat in eos, contra quos rogabatur: & ad subeunda pericula quisque promptus erat. Sed dum Ananus magis idoneos discerneret, atque ordinaret ad prælium, Zelotæ cunctis conatibus eius cognitis (certos enim qui omnia sibi nunciarent habebant) in pontificem commouentur: ac D modò per cuneos, modò simul vniuersi prosiliunt: neque obuio cuiquam parcebatur. Cito autem & Ananus populum congregauit, multitudine quidem superiorem: armis verò constipatis, non erant Zelotæ inferiores. alacritas verò, quod deerat, in vtrisque supplebat. nam & ciues armis iram conceperant fortiorem: & qui de templo exierant, quauis multitudine maiorum audaciam. quippe illi quidem habitare se in ciuitate minimè posse arbitrabantur, nisi Zelotas eximerent: hi E verò nisi vicissent, nullum se non subituros esse supplicium. Manus autem conseruare, pro ducibus obedientes motibus animorum. Et primò quidem in ciuitate ac pro templo eminus missis lapidibus semet inuicem appetebant. si verò aliqua pars terga vertisset, victores gladiis vtebantur. cúmque plurimi sauciarentur, multæ cædes vtrobique fiebant. Et populares quidem in domos referebantur F à suis. Zelotarum autem quicunque vulneratus fuisset, in templum ascendebat, sacram humum cruore perfundens, vt solo eorum sanguine violatam religionem rectè quis dixerit. Semper quidem latrones excurrendo in congressionibus præualebant. Irati verò populares, proficiente quotidie numero suo, cùm desides increparent, quíque à tergo sequebantur, non aperiendo fugientibus viam inuitos eos repugnare compellerent, vniuersos quidem suos in hostes conuertunt. G illis autem, quia vim ferre non poterant, paulatim ad templum recedentibus, irrumpit vnà cum sociis Ananus. Vnde factum est, vt eos quòd ambitu exteriori expulsi essent, metus inuaderet: ideóque in murum interiorem fuga recepti, maturè ianuas occluderent. Verùm Anano portis quidem sacris manus afferre non placebat, hostibus quoque desuper tela torquentibus, nefas esse existimanti, etiamsi vicisset,

non lustratum priùs populum introducere. A Ex omni autem suorum multitudine sex ferè armatorum millia sortitus, custodes eos in porticibus collocat. his autem qui succederent, in excubiis alios per ordinem ponit. Multi autem honestorum ab optimatibus ad id electi, mercede cōductos pauperes vice sua præsidiis destinabant. Fit autem his omnibus exitij causa Ioannes, quem ex Giscalis effugisse prædiximus: is enim dolis plenus, & vehementem dominationis cupiditatem mente B circumferens, iamdudum rebus communibus moliebatur insidias. Itaque tunc eadem quæ populus sentire se simulās, aderat Anano: tam diebus cum proceribus capienti consiliū, quàm noctibus peragranti custodias: omniáque secreta Zelotis renunciabat: nullúmque populi consilium non prius quàm caperetur, inimici sciebant eius indicio. immoderatis verò & Ananum, & populi principes placabat obsequiis, ne in aliquam suspicionem C veniret affectans. Sed hæc eius honorificentia in contrarium vertebatur. Erat enim ex adulationum varietate suspectior: eóque ipso quòd etiam non accitus assiduus erat, arcanorum proditor habebatur. Etenim perspiciebat Ananus, omnia sua consilia hostes intelligere. & quæ Ioannes faceret, suspicionem proditionis habebant. submouere autem illum non erat facile, neque possibile, quòd malitia præualeret: ac præter hoc multo- D rum non ignobilium, qui summis rebus adhibebantur, patrocinio succinctus erat. Visum est igitur ab eo sacramentum beneuolentiæ causa peti: nihilque dubitans, & fidem populo se seruaturum iurauit, neque factum eius inimicis vllum, neque consilium proditurum: vnaque deponendis rebellibus, & manu & voluntate operam collaturum. Itaque Ananus eiúsque socij, quoniam iurato crediderunt, nulla iam suspicione suis eum consiliis E adhibebant: móxque ab iisdem concordiæ causa legatus intromittitur ad Zelotas. curæ namque habebant, ne fanum culpa sua pollueretur, néve quisquam in eo procumberet Iudæorum. Ille autem, quasi Zelotis ac non contrà pro beneuolentia iurauisset, ingressus ad eos, medius constitit: & sæpe quidem se illorum causa in magno periculo fuisse dixit, ne quid secretorum ignorarent, quæ in eos F Ananus cum sociis cogitasset. nunc autem ingens cum ipsis omnibus subiturum esse discrimen, nisi diuinum quoddam præstò fuerit auxilium. nihil enim iam morati Ananum: sed persuasisse quidem populo, ad Vespasianum legatos mittere, vt ad capiendam ciuitatem quamprimum venire properaret, indixisse autem lustrationem postero die, vt religione simulata intromissi, vel etiam vi G prælio manus consererent. Se autem non videre, quàm diu aut obsidionem sustinebunt, aut cum tanta manu acie congredientur. Ad hæc addebat, quòd ipse Dei prouidentia transactionis esset causa legatus. hanc enim spem Ananum his proponere, quo nihil suspicantes eos subitò aggrederetur. Itaque oportere, si quis habendam vitæ rationem duceret, aut obsidentibus supplicare, aut foris aliquod

A μὴ προηγνευκὸς εἰσάγειν τὸ πλῆθος, διακληρώσας δ' ἐκ πάντων εἰς ἑξακισχιλίους ὁπλίτας, καθίστησιν ἐπὶ τῶν στοῶν φρουρούς, διεδέχοντο δ' ἄλλοι τούτους. καὶ παντὶ μὲν ἦν ἀνάγκη παρεῖναι πρὸς τὴν φυλακὴν, ἐκ περιόδου. πολλοὶ δὲ τῶν ἐν ἀξιώμασιν ἀφεθέντες ὑπὸ τῶν ἄρχειν δοκούντων, μισθούμενοι πενιχροτέρους ἀνθ' αὐτῶν, ἐπὶ τὴν φρουρὰν ἔπεμπον.

Κεφ. ιε.

Γίνεται δὲ τούτοις πᾶσιν ὀλέθρου παραίτιος ἰωάννης, ὃν ἔφαμεν ἀπὸ γισχάλων διαδρᾶναι, δολιώ- B τατος ἀνήρ, καὶ δεινὸν ἔρωτα τυραννίδος ἐν τῇ ψυχῇ περιφέρων, ὃς πόρρωθεν ἐπεβούλευε πράγμασι. καὶ δὴ τότε τὰ τοῦ δήμου φρονεῖν ὑποκρινόμενος, συμπεριῄει μὲν τῷ ἀνάνῳ, βουλευομένῳ μὲν σὺν τοῖς δυνατοῖς μεθ' ἡμέραν, καὶ νύκτωρ ἐπιόντι τὰς φυλακάς. διήγγελλε δὲ τὰ ἀπόρρητα τοῖς ζηλωταῖς, καὶ πᾶν σκέμμα τοῦ δήμου πρὶν καλῶς βουλευθῆναι, παρὰ τοῖς ἐχθροῖς ἐγινώσκετο δι' αὐτοῦ. μηχανώ- C μενος δὲ τὸ μὴ δι' ὑποψίας ἐλθεῖν, ἀμέτροις ἐχρῆτο ταῖς θεραπείαις, εἴς τε τὸν ἄνανον, καὶ τοὺς τοῦ δήμου προεστῶτας. ἐχώρει δ' εἰς τοὐναντίον αὐτῷ τὸ φιλότιμον. διὰ γὰρ τὰς ἀλόγους κολακείας μᾶλλον ὑπωπτεύετο, καὶ τὸ πανταχοῦ παρεῖναι μὴ καλούμενον, ἔμφασιν προδοσίας τῶν ἀπορρήτων παρεῖχε. συνεώρων μὲν γὰρ, αἰσθανομένους ἅπαντας τοὺς ἐχθροὺς, τῶν παρ' αὐτοῖς βουλευμάτων, πιθανώτε- D ρος δ' οὐδεὶς ἦν ἰωάννου πρὸς ὑποψίας τοῦ διαγγέλλειν. ἀποσκευάσασθαι μὲν οὖν αὐτὸν οὐκ ἦν ῥᾴδιον, ὄντα δυνατὸν ἐκ πονηρίας, καὶ ἄλλως οὐ τῶν ἀσήμων, ὑπεζωσμένον τε πολλοὺς τῶν συνεδρευόντων τοῖς ὅλοις. ἐδόκει δὲ αὐτὸν ὅρκοις πιστώσασθαι πρὸς εὔνοιαν. ὤμνυε δ' ὁ ἰωάννης ἑτοίμως, εὐνοήσειν τε τῷ δήμῳ, καὶ μήτε βουλήν τινα, μήτε πρᾶξιν προδώσειν τοῖς ἐχθροῖς, συγκαταλύειν δὲ τοὺς ἐπιθεμένους, καὶ χειρὶ, καὶ γνώμῃ. οἱ δὲ περὶ τὸν E ἄνανον πιστεύσαντες τοῖς ὅρκοις, ἤδη χωρὶς ὑπονοίας, εἰς τὰς συμβουλίας αὐτὸν παρελάμβανον. καὶ δὴ καὶ πρεσβευτὴν εἰσπέμπουσι πρὸς τοὺς ζηλωτὰς, περὶ διαλύσεων. ἦν γὰρ αὐτοῖς σπουδὴ, τὸ παρ' αὐτοῖς μὴ μιᾶναι ἱερὸν, μὴ δέ τινα τῶν ὁμοφύλων ἐν αὐτῷ πεσεῖν. ὁ δὲ ὥσπερ τοῖς ζηλωταῖς ὑπὲρ εὐνοίας ὀμόσας, καὶ οὐ κατ' αὐτῶν, παρελθὼν εἴσω, καὶ καταστὰς εἰς μέσους, πολλάκις μὲν ἔφη κινδυ- F νεῦσαι δι' αὐτοὺς ἵνα μηδὲν ἀγνοήσωσι τῶν ἀπορρήτων, ὅσα κατ' αὐτῶν οἱ περὶ τὸν ἄνανον ἐβουλεύσαντο. νῦν δὲ τὸν μέγιστον ἀναρριπτεῖν κίνδυνον σὺν πᾶσιν αὐτοῖς, εἰ μή τις προσγένοιτο βοήθεια δαιμόνιος. οὐ γὰρ ἔτι μέλλειν ἄνανον, ἀλλὰ πείσαντα μὲν τὸν δῆμον πεπομφέναι πρέσβεις πρὸς οὐεσπασιανὸν, ἵνα ἐλθὼν κατὰ τάχος παραλάβῃ τὴν πόλιν. ἁγνείαν δὲ παρηγγελκέναι κατ' αὐτῶν εἰς τὴν ἑξῆς ἡμέραν, ἵνα ἢ κατὰ θρησκείαν εἰσελθόντες, ἢ καὶ G βιασάμενοι, συμμίξωσιν αὐτοῖς. οὐχ ὁρᾶν δὲ μέχρι τίνος ἢ τὴν φρουρὰν οἴσουσιν, ἢ παρατάξονται πρὸς τοσούτους. προσετίθει δὲ ὡς αὐτὸς εἰσπεμφθείη κατὰ θεοῦ πρόνοιαν ὡς πρεσβευτὴς ὑπὲρ διαλύσεως. τὸν γὰρ ἄνανον ταύτας αὐτοῖς προτείνειν, ὅπως ἀνόπλοις ἐπέλθῃ. δεῖν οὖν ἢ τῷ λόγῳ τοῦ ζῆν τοὺς φρουροῦντας ἱκετεύειν, ἢ πορίζεσθαί τινα

παρὰ

παρὰ τῶν ἔξωθεν ἐπικουρίαν. τοὺς δὲ θαλπομένους ἐλπίδι συγγνώμης εἰ κρατηθεῖεν, ἐπιλελῆσθαι τῶν ἰδίων τολμημάτων, ἢ νομίζειν ἅμα τῷ μετανοεῖν τοὺς δεδρακότας, δεῖν εὐθέως ὀφείλειν διηλλάχθαι καὶ τοὺς παθόντας. ἀλλὰ τῶν μὲν ἀδικησάντων διὰ μίσους πολλάκις γίνεσθαι, καὶ τὴν μεταμέλειαν. τοῖς ἀδικηθεῖσι δὲ τὰς ὀργὰς ἐπ' ἐξουσίας χαλεπωτέρας. ἐφεδρεύειν δὲ ἀεὶ ἐκείνοις, φίλους καὶ συγγενεῖς τῶν ἀπολωλότων, καὶ δῆμον τοσοῦτον ὑπὲρ καταλύσεως νόμων καὶ δικαστηρίων τεθυμωμένον, ὅπου κἂν ᾖ τι μέρος ἐλέους ὑπὸ πλείονος ἂν αὐτὸ τοῦ διαγανακτοῦντος ἀφανισθῆναι. τοιαῦτα μὲν ἐποίκιλλεν ἀθρόως δεδιασόμενος. καὶ τὴν ἔξωθεν βοήθειαν ἀναφανδὸν μὲν οὐκ ἐθάρρει λέγειν, ᾐνίσσετο δὲ τοὺς Ἰδουμαίους. ἵνα δὲ καὶ τοὺς ἡγεμόνας τῶν ζηλωτῶν ἰδίᾳ παροξύνῃ, τὸν Ἄνανον εἴς τε ὠμότητα διέβαλλε, καὶ ἀπειλεῖν ἐκείνοις ἐξαιρέτως ἔλεγεν. ἦσαν δὲ Ἐλεάζαρος μὲν υἱὸς Σίμωνος, ὃς δὴ καὶ πιθανώτατος ἐδόκει τῶν ἐν αὐτοῖς, νοῆσαί τε τὰ δέοντα, καὶ τὰ νοηθέντα πρᾶξαι. Ζαχαρίας τε υἱὸς Φαλέκου, γένους ἐκ τῶν ἱερέων ἑκάτεροι. οὗτοι πρὸς ταῖς κοιναῖς τὰς ἰδίας καθ' αὑτῶν ἀπειλὰς ἀκούσαντες, ἔτι δ' ὡς οἱ περὶ τὸν Ἄνανον δυναστείαν ἑαυτοῖς περιποιούμενοι Ῥωμαίους ἐπικαλοῦνται, καὶ γὰρ τοῦτο Ἰωάννης προσεψεύσατο, μέχρι πολλοῦ μὲν ἠπόρουν, τί χρὴ πράττειν εἰς ὀξὺν οὕτω καιρὸν συνεωσμένους. παρεσκευάσθαι μὲν γὰρ τὸν δῆμον ἐπιχειρεῖν αὐτοῖς, οὐκ εἰς μακράν, αὐτῶν δὲ τὸ σύντονον τῆς ἐπιβουλῆς ὑποτετμῆσθαι τὰς ἔξωθεν ἐπικουρίας. πάντα γὰρ ἂν φθῆναι παθεῖν, πρὶν καὶ πυθέσθαι τινὰ τῶν συμμάχων. ἔδοξε δ' ὅμως ἐπικαλεῖσθαι τοὺς Ἰδουμαίους. καὶ γράψαντες ἐπιστολὴν σύντονον, ὡς Ἄνανος προδιδοίη Ῥωμαίοις τὴν μητρόπολιν ἐξαπατήσας τὸν δῆμον. αὐτοὶ δ' ὑπὲρ τῆς ἐλευθερίας ἀποστάντες ἐν τῷ ἱερῷ φρουροῖντο, ὀλίγος δ' ἔτι χρόνος αὐτοῖς βραβεύει τὴν σωτηρίαν. εἰ δὲ μὴ βοηθήσουσιν ἐκεῖνοι κατὰ τάχος, αὐτοὶ μὲν ὑπ' Ἀνάνῳ τε καὶ τοῖς ἐχθροῖς, ἡ πόλις δ' ὑπὸ Ῥωμαίοις φθάσει γενομένη. τὰ δὲ πολλὰ τοῖς ἀγγέλοις ἐνετέλλοντο πρὸς τοὺς ἄρχοντας τῶν Ἰδουμαίων διαλέγεσθαι. προεβλήθησαν δ' ἐπὶ τὴν ἀγγελίαν, δύο τῶν δραστηρίων ἀνδρῶν, εἰπεῖν τε ἱκανοί, καὶ πεῖσαι περὶ πραγμάτων, τὸ δὲ τούτων χρησιμώτερον, ὠκύτητι ποδῶν διαφέροντες. τοὺς μὲν γὰρ Ἰδουμαίους αὐτόθεν ᾔδεισαν πεισθησομένους, ἅτε θορυβῶδες καὶ ἄτακτον ἔθνος, ἀεί τε μετέωρον πρὸς τὰ κινήματα, καὶ μεταβολαῖς χαῖρον, πρὸς ὀλίγην δὲ κολακείαν τῶν δεομένων τὰ ὅπλα κινοῦν, καὶ καθάπερ εἰς ἑορτὴν εἰς τὰς παρατάξεις ἐπειγόμενον. ἔδει δὲ τάχους εἰς τὴν ἀγγελίαν, εἰς ὃ μηδὲν ἐλλείποντες προθυμίας οἱ πεμφθέντες, ἐκαλεῖτο δ' αὐτῶν Ἀνανίας ἑκάτερος, καὶ δὴ πρὸς τοὺς ἄρχοντας τῶν Ἰδουμαίων παρῆσαν.

Κεφ. ιϛ. Οἱ δὲ πρὸς τὴν ἐπιστολὴν, καὶ τὰ ῥηθέντα παρὰ τῶν ἀφιγμένων ἐκπλαγέντες, ὥσπερ ἐμμανεῖς περιέθεόν τε τὸ ἔθνος, καὶ διεκήρυσον τὴν στρατιάν. ἠθροίσθη δ' ἡ πληθὺς τάχιον τοῦ παραγγέλματος, καὶ πάντες ὡς ἐπ' ἐλευθερίᾳ τῆς μητροπόλεως ἥρπαζον τὰ ὅπλα. συνταχθέντες δ' εἰς δύο μυριάδας, παραγίνονται πρὸς τὰ Ἱεροσόλυμα, χρώμενοι τέσσαρσιν ἡγεμόσιν, Ἰωάννῃ τε, καὶ Ἰακώβῳ παισὶ Σωσᾶ. πρὸς δὲ τούτοις ἦν, Σίμων υἱὸς Καθλᾶ, καὶ Φινέας

præsidium petere. Quos autem si victi essent, veniæ spes foueret, immemores audaciæ suæ credere, simul ac factores pœnituerit admissorum, in gratiam statim eos qui perpessi sunt redituros. Sed nocentium quidem sæpe inuisam etiam pœnitudinem fieri, læsis autem iram in licentia sæuiorem: imminere autem illis ait interfectorum amicos atque cognatos, totúmque populum pro dissolutis legibus ac iudiciis indignatione flagrantem: vbi etiam si qua pars misericordiæ fuerit, maiori iam irascentium turbæ cessuram. Talia quidem variabat Ioannes, terrorem incutiens multitudini: externum verò auxilium apertè quidem indicare quod diceret non audebat: Idumæos autem significabat. vtq; principes Zelotarum priuatim etiam commoueret, crudelitatis Ananum arguebat, ipsis eum maximè minitari confirmans.

CAP. VI. Idumæorũ aduẽt⁹ pro Hierosolymitanis & acta.

Erant autem Eleazarus Simonis filius, qui etiam præter alios idoneus esse videbatur & rectè consulere, & quæ consuluisset effi cere, itémque Zacharias filius Amphicali, vterque à sacerdotibus genus ducens. Hi præter communes etiam priuatis interminationibus cognitis, quódque Anani factio potentiæ sibi comparandæ causa Romanos accerseret (nam & hoc Ioannes affinxerat) diu quidem quid agerent dubitabant, angustiis temporis conclusi. populum enim haud multò pòst eos aggredi paratum esse cogitabant: externi verò subsidij facultatem, insidiarum sibi celeritate præreptam: priúsque fore vt omnia paterentur, quàm auxiliarium quisquam ista cognosceret. aduocari tamen Idumæos placuit. scriptáque breuiter epistola, quòd circumuento populo Ananus vellet Romanis metropolim prodere: ipsi autem pro libertate diffidentes, in templo obsiderentur: minimúmque temporis salutem sibi promitteret: ac nisi maturè subuenirent, ipsos quidem Anano atque inimicis, at verò ciuitatem Romanis ilicò subiugandam: pleraque nuntiis ad rectores Idumæorum referenda mandant. Ad hoc autem lecti sunt duo viri strenui & dicendi peritissimi, & ad persuadendum satis idonei; quódque his rebus esset vtilius pedum velocitate præstantes. nam Idumæos confestim parituros certum erat, quòd turbarum cupiens & incondita esset natio, sempérque ad motus facilis atque suspensa, & rerum mutationibus læta, minimísque petentium blanditiis ad bella promptissima: & velut ad festorum quandam solennitatem, sic ad prælia properans. celeritatem autem nuncij exigebant: atque istis nihil deerat alacritatis: vterque autem Ananias vocabatur: Iámque apud rectores aderant Idumęorum. Illi autem simul epistola mandatísque attoniti, quasi furibundi circumcursare gentem, militiámque denunciare cœperunt. Itaq; mox & dicto citius multitudo conuenerat, omnésq; pro libertate metropoleos arma rapiebant. Congregati autem propè XXM. cum ducibus quatuor Hierosolymam veniũt: hoc est Ioanne & Iacobo Sosæ filiis, & præterea Simone Cathlę & Phinea

Clusoth filiis. Ananum autem profectio legatorum, itémque vigiles eius latuit, sed non etiam Idumæorum aduentus, hoc enim antè cognito, portas eis clausit, & muris custodes apposuit. non tamen visum est bello cum his congredi, sed verbis eis antè persuadere concordiam. Stans ergo in aduersa turri Iesus, post Ananum æuo pōtificum maximus: Cùm multæ, inquit, & variæ turbæ tenuerint ciuitatem, in nulla re sic miranda fortuna est, vt in eo, quòd pessimis etiam inopinata conspirant. etenim perditissimis hominibus cōtra nos auxilio venistis, tanta cum alacritate, quanta nec in Barbaros aduocante vos metropoli venire decuisset. Et si quidem viderem consensionem vestram similem esse horum hominum qui vos rogauerunt, non existimarem impetum carere ratione. nihil enim æquè ac morum cognatio concordiam firmat. Nunc verò illi quidem, si quis eorum singulos explorauerit, mille mortibus digni reperientur: nam ludibria & purgamenta totius rusticæ plebis, luxu absumptis patrimoniis suis, postquam in vicis & ciuitatibus proximis audaciam exercuêre, postremò in sacram ciuitatem clàm influxêre vt latrones, solúmque religiosum immanitate polluerūt scelerum, cósque videas sine metu inter sancta ebrios, & auiditate ventris peremptorū spolia consumentes. vestra verò multitudo armatorúmque talis ornatus est, qualem deceret esse, si publico vos consilio metropolis inuitaret, in alienigenas laturos auxilia. quid igitur hoc esse quis dixerit, nisi fortunæ iniuriam: cùm pro nequissimis conuenisse & integræ nationis vestræ arma videantur conspirare? Iamdudum quidem reperire nequeo, quidnam fuerit quòd vos tam cito commouerit. nec enim sine magna causa fieri potuisset, vt arma pro latronibus aduersus cognatum populum caperetis. quid? Romanos audistis & proditionem? his enim quidam vestrûm obstrepebant nunc, liberandæ metropoleos causa venisse dicentes. vnde mirati sumus præter alia, noxiorum tale commentum. viros enim natura libertatis amatores, eóque cum externis hostibus pugnare paratissimos, aliter contra nos efferare nō poterant, quàm vastatæ libertatis proditione mētita. Sed enim vos considerare oportet, qui nos insimulauerint, fidémque in nos veritatis ex rebus communibus, non ex ficto sermone colligere. Quid enim passi, nunc demum nos dedimus Romanis, cùm ab initio licuerit aut ab his non deficere, aut quia defecimus, citò redire in gratiam, priusquam circa nos omnia vastarentur? namque iam, ne volentibus quidem nobis, transactio facilis est: cùm & superbos eos effecerit Galilæa sub iugū missa: mortéque grauiorem afferat turpitudinem, appropinquantes placare. Equidē quod in me est, pacē morti antepono. semel autem bello appetitus, postquā pugna cōmissa est, gloriosā mortē vita captiui existimo potiorē. Sed vtrū nos populi principes aiūt clā misisse aliquē ad Romanos, an etiā totum populum cōmuni suffragio? Siquidē nobis dicant, quos amicos miserimus,

κλεισθῆ. τὸ δ᾽ ἄσημον, ἡ μὲν ἔξοδος τῶν ἀγγέλων, ὥσπερ καὶ τοὺς φύλακας ἔλαθεν. ἡ δ᾽ ἔφοδος τῶν ἰδουμαίων, οὐκ ἔτι. προέγνω γὰρ ἀποκλείει τὰς πύλας αὐτοῖς, καὶ διὰ φυλακῆς εἶχε τὰ τείχη. καθάπαν γε μὴν αὐτοῖς ἐκπολεμεῖν οὐκ ἔδοξεν, ἀλλὰ λόγοις πείθειν πρὸ τῶν ὅπλων. στὰς οὖν ἐπὶ τὸν ἀντικρὺ αὐτῶν πύργον, ὁ μετ᾽ ἄνανον γεραίτατος τῶν ἀρχιερέων ἰησοῦς, πολλῶν ἔφη καὶ ποικίλων τὴν πόλιν κατεσχηκότων θορύβων, ἐν οὐδενὶ θαυμάσαι τὴν τύχην οὕτως, ὡς τῷ συμπράττειν τοῖς πονηροῖς καὶ τὰ παράδοξα. παρεῖναι γοῦν ὑμᾶς, ἀνθρώποις ἐξωλεστάτοις μετὰ τοσαύτης προθυμίας ἐπαμυνοῦντας καθ᾽ ἡμῶν, μεθ᾽ ὅσης εἰκὸς ἦν ἐλθεῖν, οὐδὲ τῆς μητροπόλεως καλούσης ἐπὶ τοὺς βαρβάρους. καὶ εἰ μὲν ἑώρων τὴν σύνταξιν ὑμῶν ἐξ ὁμοίων τοῖς καλέσασιν αὐτοὺς, οὐκ ἂν ἄλογον τὴν ὁρμὴν ὑπελάμβανον. οὐδὲν γὰρ οὕτως συνίστησι τὰς εὐνοίας, ὡς τρόπων συγγένεια. νῦν δὲ εἰ μέν τις αὐτοὺς ἐξετάζοι καθ᾽ ἕνα, μυρίων ἕκαστος ἂν εὑρεθήσεται θανάτων ἄξιος. τὰ γὰρ λύματα, καὶ καθάρματα τῆς χώρας ὅλης, κατασωτευσάμενα τὰς ἰδίας οὐσίας, καὶ προγυμνάσαντα τὴν ἀπόνοιαν ἐν ταῖς πέριξ κώμαις τε καὶ πόλεσι, τελευταῖα λεληθότως παρεισερρύησαν εἰς τὴν ἱερὰν πόλιν. λῃσταὶ δ᾽ ὑπερβολῇ ἀσεβημάτων, μιαίνοντες καὶ τὸ ἅγιον ἔδαφος, οὓς ὁρᾶν ἔστι νῦν ἀδεῶς ἐμμεθυσκομένους τοῖς ἁγίοις, καὶ τὰ σκῦλα τῶν πεφονευμένων καταναλίσκοντας εἰς τὰς ἀπλήστους γαστέρας. τὸ δ᾽ ὑμέτερον πλῆθος, καὶ τὸν κόσμον τῶν ὅπλων ὁρᾶν ἔστιν, οἷος ἔπρεπε, καλούσης τῆς μητροπόλεως κοινῷ βουλευτηρίῳ συμμάχους κατ᾽ ἀλλοφύλων. τί ἂν οὖν εἴποι τοῦτό τις, ἢ τύχης ἐπήρειαν; ὅταν γὰρ λογάσι πονηροῖς αὔτανδρον ἔθνος ὁρᾷ συνασπίζον αὐτοῖς, μέχρι πολλοῦ μὲν ἀπορῶ, τί δή ποτε καὶ τὸ κινῆσαν ὑμᾶς οὕτω ταχέως ἐγένετο. μὴ γὰρ ἂν δίχα μεγάλης αἰτίας ἀναλαβεῖν τὰς πανοπλίας ὑπὲρ λῃστῶν, καὶ κατὰ δήμου συγγενοῦς. ἐπεὶ δὲ ἠκούσαμεν ῥωμαίους, καὶ προδοσίαν (ταῦτα γὰρ ὑμῶν ἐθορύβουν τινὲς ἀρτίως, καὶ τῆς μητροπόλεως ἐπ᾽ ἐλευθερώσει παρεῖναι) πλέον τῶν ἄλλων τολμημάτων ἐθαύμασέ τις τοὺς ἀλιτηρίους, τῆς περὶ τὸ ψεῦδος ἐπινοίας. ἄνδρας γὰρ φύσει φιλελευθέρους, καὶ διὰ τοῦτο μάλιστα τοῖς ἔξω πολεμίοις μάχεσθαι παρεσκευασμένους, οὐκ ἐνῆν ἄλλως ἐξαγριῶσαι, καθ᾽ ἡμῶν, ἢ λογοποιήσαντας προδοσίαν τῆς ποθουμένης ἐλευθερίας. ἀλλ᾽ ὑμᾶς γε χρὴ σκέπτεσθαι τούς τε διαβάλλοντας, καὶ καθ᾽ ὧν, συνάγειν τε τὴν ἀλήθειαν, οὐκ ἐκ τῶν ἐπιπλάστων λόγων, ἀλλ᾽ ἐκ τῶν κοινῶν πραγμάτων. τί γὰρ δὴ καὶ παθόντες ἂν ἡμεῖς, ῥωμαίοις προσπολεμοῦμεν ἑαυτοὺς νῦν, παρὸν ἢ μηδὲ ἀποστῆναι τὸ πρῶτον, ἢ προσχωρῆσαι ταχέως ἀποστάντας, ὄντων ἔτι τῶν πέριξ ἀπορθήτων; νῦν μὲν γὰρ οὐδὲ βουλομένοις διαλύσασθαι ῥᾴδιον, ὅτε ῥωμαίους μὲν ὑπερόπτας πεποίηκεν ὑποχείριος ἡ γαλιλαία, φέρει δ᾽ αἰσχύνην ἡμῖν θανάτου χαλεπωτέραν, τὸ θεραπεύειν αὐτοὺς ὄντας ἤδη πλησίον. κἀγώγε κατ᾽ ἐμαυτὸν μὲν ἂν εἰρήνην προτιμήσαιμι θανάτου, πολεμήσας δ᾽ ἅπαξ καὶ συμβαλὼν, θάνατον εὐκλεᾶ τοῦ ζῆν αἰχμάλωτος. πότερον δέ φασιν ἡμᾶς, τοὺς τοῦ δήμου προεστῶτας πέμψαι κρύφα πρὸς ῥωμαίους, ἢ καὶ τὸν δῆμον κοινῇ ψηφισάμενον; εἰ μὲν ἡμᾶς, εἰπάτωσαν τοὺς πεμφθέντας φίλους,

τοὺς

τοὺς διακονήσαντας τὴν προδοσίαν οἰκέτας. ἐφωράθη τις ἀπιών; ἢ ἀνακομιζόμενος ἑάλω; γραμμάτων γεγόνασιν ἐγκρατεῖς; πῶς δὲ τοὺς μὲν τοσούτους πολίτας ἐλάθομεν, οἷς κατὰ πᾶσαν ὥραν συναναστρεφόμεθα, τοῖς δὲ ὀλίγοις καὶ φρουρουμένοις, καὶ μηδὲ εἰς τὴν πόλιν ἐκ τοῦ ἱεροῦ προελθεῖν δυναμένοις, ἐγνώσθη τὰ κατὰ τὴν χώραν λαθραίως ἐνεργούμενα; νῦν δὲ ἔγνωσαν ὅτι δεῖ δίκας δοῦναι τῶν τετολμημένων; ἕως δ᾽ ἦσαν ἀδεεῖς αὐτοί, προδότης ἡμῶν οὐδεὶς ὑπωπτεύετο. εἰ δὲ ἐπὶ τὸν δῆμον ἀναφέρουσι τὴν αἰτίαν, ἐν φανερῷ δήπουθεν ἐβουλεύσαντο. οὐδεὶς γὰρ ἀπεστάτει τῆς ἐκκλησίας, ὥστε τάχιον ἂν τῆς μηνύσεως ἐσπούδασεν ἡ φήμη πρὸς ὑμᾶς φανερωτέρα. τί δαί, οὐχὶ καὶ πρέσβεις ἔδει πέμπειν ψηφισαμένους τὰς διαλύσεις; καὶ τίς ὁ χειροτονηθείς, εἰπάτωσαν. ἀλλὰ τοῦτο μὲν δυσθανατούντων, καὶ πλησίον οὔσας τὰς τιμωρίας διακρουομένων, σκῆψίς ἐστιν. εἰ γὰρ δὴ καὶ προδοθῆναι τὴν πόλιν εἵμαρτο, μόνοι ἂν ἐτόλμησαν καὶ τοῦτο οἱ διαβάλλοντες, ὧν τοῖς τολμήμασιν ἓν μόνον κακὸν λείπει προδοσία. χρὴ δὲ ὑμᾶς, ἐπειδήπερ ἅπαξ πάρεστε μετὰ τῶν ὅπλων, τὸ μὲν δικαιότατον ἀμύνειν τῇ μητροπόλει, καὶ συνεξαιρεῖν τοὺς τὰ δικαστήρια καταλύσαντας τυράννους, οἳ πατήσαντες τοὺς νόμους, ἐπὶ τοῖς αὐτῶν ξίφεσι πεποίηνται τὰς κρίσεις. ἄνδρας γοῦν ἀκαταιτιάτους τῶν ἐπιφανῶν ἐκ μέσης τῆς ἀγορᾶς ἁρπάσαντες, δεσμοῖς τε προσῃκίσαντο, καὶ μηδὲ φωνῆς, μηδὲ ἱκεσίας ἀνασχόμενοι, διέφθειραν. ἔξεστι δ᾽ ὑμῖν παρελθοῦσιν εἴσω μὴ πολέμου νόμῳ, θεάσασθαι τὰ τεκμήρια τῶν λεγομένων, οἴκους ἠρημωμένους ταῖς ἐκείνων ἁρπαγαῖς, καὶ γύναια, καὶ γενεὰς τῶν ἀπεσφαγμένων, μελανειμονούσας, κωκυτὸν δὲ καὶ θρῆνον ἀνὰ τὴν πόλιν ὅλην. οὐδεὶς γάρ ἐστιν, ὃς οὐ γέγευσται τῆς τῶν ἀνοσίων καταδρομῆς. οἵ γε ἐπὶ τοσοῦτον ἐξώκειλαν ἀπονοίας, ὥστε μὴ μόνον ἐκ τῆς χώρας, καὶ τῶν ἔξωθεν πόλεων, ἐπὶ τὸ πρόσωπον, καὶ τὴν κεφαλὴν ὅλου τοῦ ἔθνους μετενεγκεῖν τὴν λῃστρικὴν τόλμαν, ἀλλὰ καὶ ἀπὸ τῆς πόλεως ἐπὶ τὸ ἱερόν. ὁρμητήριον γοῦν αὐτοῖς τοῦτο, καὶ καταφυγή, ταμιεῖόν τε τῶν ἐφ᾽ ἡμᾶς παρασκευῶν γέγονεν. ὁ δὲ ὑπὸ τῆς οἰκουμένης προσκυνούμενος χῶρος, καὶ τοῖς ἀπὸ περάτων γῆς ἀλλοφύλοις ἀκοῇ τετιμημένος, ὑπὸ τῶν ἐνθάδε γεννηθέντων θηρίων καταπατεῖται. νεανιεύονται δ᾽ ἐν ταῖς ἀπογνώσεσιν ἤδη, δήμους τε δήμοις, καὶ πόλεσι πόλεις συγκρούειν, καὶ κατὰ τῶν ἰδίων σπλάγχνων τὸ ἔθνος στρατολογεῖν. ἀνθ᾽ ὧν τὸ μὲν κάλλιστον, καὶ πρέπον ὡς ἔφην ὑμῖν, συνεξαιρεῖν τοὺς ἀλιτηρίους, καὶ ὑπὲρ αὐτῆς τῆς ἀπάτης ἀμυνομένους, ὅτι συμμάχους ἐτόλμησαν καλεῖν οὓς ἔδει τιμωροὺς δεδιέναι. εἰ δὲ αἰδεῖσθε τὰς τῶν τοιούτων ἐπικλήσεις, ἀλλά τοι πάρεστι θεμένοις τὰ ὅπλα, καὶ παρελθοῦσιν εἰς τὴν πόλιν σχήματι συγγενῶν, ἀναλαβεῖν τὸ μέσον συμμάχων τε καὶ πολεμίων ὄνομα, δικαστὰς γενομένους. καίτοι λογίσασθε, πόσον κερδήσουσιν ἐφ᾽ ὁμολογουμένοις καὶ τηλικούτοις κρινόμενοι παρ᾽ ὑμῖν, οἱ τοῖς ἀκαταιτιάτοις μηδὲ λόγου μεταδόντες. λαμβανέτωσαν δ᾽ οὖν ταύτην ἐκ τῆς ὑμετέρας ἀφίξεως τὴν χάριν. εἰ δὲ οὔτε συναγανακτεῖν ἡμῖν, οὔτε κρίνεσθαι δεῖ, τρίτον ἐστὶ καταλιπεῖν ἑκατέρους, καὶ μήτε ταῖς ἡμετέραις ἐπιβαίνειν συμφοραῖς, μήτε τοῖς ἐπιβούλοις τῆς μητροπόλεως

A qui serui fuerint proditionis ministri. Cùm iret aliquis deprehensus est, rediens captus est, literas nacti sunt? Quemadmodum autem tantam ciuium multitudinem lateremus, cum quibus omni hora versaremur? Paucis autem, atque his inclusis, qui de templo ne in ciuitatem quidem prodire possent, quo pacto sunt cognita, quæ occultè extra ciuitatem fierent? An verò nunc cognouêre, quando ausorum pœnæ reddendæ sunt? donec B autem sine metu fuêre, neminem nostrûm proditorem suspicabantur? Sin ad populum caussam referunt, publicum habuit nempe concilium, nemo aberat concioni: ideóque manifestior ad vos nuncius fama citius properasset. Quid autem opus erat legatos mittere, cùm certa nobis esset de transactione sententia? Et quis designatus sit dicant. Sed hæ quidem malè periturorũ, & instantes pœnas euitare cupientium caussationes sunt. Quin etiam si ciuitatem C prodi in fatis esset, id quoq; ipsos qui nos criminantur ausuros opinor: quorum audaciæ vnum malum videtur deesse proditio. Vos autẽ oportet, quia semel cum armis adestis, primum (id quod est iustissimum) iuuare metropolim, & vnà nobiscum tyrannos eximere, per quos iudicia dissoluta sunt: qui calcatis legibus iura suis gladiis permisêre: denique nobiles viros non incusatos, ex medio raptos foro primùm vinculis cruciarunt: deinde non voce D neque prece eorum morati, neci tradiderunt. Licet autem vobis non belli lege ingressis, horum videre argumentum, quæ dixi, desolatas domos rapinis, coniuges in veste lugubri ac familias peremptorum, & per totam ciuitatem vlulatus & fletus. nullus enim non persecutionem expertus est impiorum. Qui ad hoc insaniæ prorupêre, vt latrocinalem audaciam non solũ ex agris atq; alienis ciuitatib. in hanc, quæ & caput & facies gentis est, sed in fanum E etiam ex ciuitate transferrent. Denique hoc sibi & ad excursus, & ad perfugium elegerunt, ísque fiscus illis est eorum quę in nos comparãtur: & locus toti orbi terræ venerabilis, quíque ab vniuersis alienigenis, ab extremo limite mundi venientibus, honoratur, per hæc quæ apud nos nata sunt portenta conculcatur. Exultant autem rebus desperatis, populos committi populis, & ciuitatibus ciuitates, gentésque in sua viscera delectum habere, cùm F debueritis (vt dixi) quod factu esset optimum ac deceret, nobiscum nocentes eximere: atque hanc ipsam fallaciam vltum ire, quod auxilio vos aduocare ausi sunt, quos metuere vindices debuissent. Quod si eiusmodi hominum preces reuerendas putatis, attamen licet vobis armis depositis, cognatorum habitu introire ciuitatem: medióque inter hostes atque auxiliares suscepto nomine, de nostris discordiis iudicare: quanquam reputare quid habebunt G commodi, cùm de manifestis ac tantis criminibus apud vos caussam dicturi sunt, qui hominibus non accusatis, ne verbum quidem facere permisêre. Ferant igitur hanc ex vestro aduentu gratiam. Si verò neque nobiscum indignari neque iudicare vultis, tertium restat, vt relictis vtrisque partibus, nec nostris cladibus insultetis, nec cũ insidiatoribus metropoleos

maneatis. Nam etsi maximè quenquam no-
strûm suspicamini Romanis collocutum, ob-
seruare vobis itinera licet:túmque demum tue-
ri metropolim, cùm factum aliquid huiusmo-
di patuerit, quale delatum est, & in autores
eius, si conuicti fuerint, vindicare. Non enim
vos præueniunt hostes, iuxta ciuitatem se-
dibus positis. Sin horum nihil vobis gratum
aut mediocre videtur, ne portarum claustra
miremini, quatenus arma portabitis. Hæc qui-
dem Iesus loquebatur: Idumæorum autem
multitudo nequaquam animum aduertebat,
ardens iracundia, quòd non paratum habuis-
set introitum: próque armis inter se duces in-
dignabantur, captiuitatem esse existimantes, si
ea quibusdam iubentibus deposuissent. Vnus
autem ducum Simon filius Cathlæ, vix placa-
to suorum tumultu, stans in eo loco vnde ex-
audiri à pontificibus posset, non iam mirari
se ait, si libertatis propugnatores in templo ob-
siderentur inclusi, cùm illi cunctæ genti com-
munem clauserint ciuitatem: & Romanos
quidem fortasse, coronatis etiam portis reci-
pere sint parati, Idumæos autem ex turribus
alloquantur, captáque iubeant, pro libertate
arma proiicere: cognatísque non credentes
custodiam ciuitatis, iudices eos discordiarum
fieri velint: & alios accusando quòd indemna-
tos ciues occiderint, ipsi totam damnent igno-
minia nationem. deniq; vrbem omnibus alie-
nigenis religionis causa patentem, nunc dome-
sticis præclusistis. Valde enim contra vos festi-
nabamus, & ad gerendum cum gentilibus bel-
lum: qui ob hoc adesse properauimus, vt vos
seruaremus liberos. Nempe taliter vos etiam
hi quos obsidetis læsêre, támque verisimiles
puto suspiciones in illos quoque colligitis.
Deinde qui reipub. defensores sunt intus in
custodia tenentes, genere coniunctissimis gen-
tibus simul vniuersis ciuitatem præclusam ty-
rannidem perferre dicitis, cùm tam contume-
liosis nos iubeatis obtemperare præceptis: no-
ménque potentiæ aliis, qui vos tyrannos pa-
tiuntur, annectitis. Quis cauillationem vestri
sermonis tulerit, cùm rerū repugnantiam vi-
deat? Etenim vobis etiam nunc Idumæos ex-
cludentibus ciuitate (namque ipsi nos à patriis
sacris arcetis) rectè quis eos incusauerit, qui
custodiuntur in templo, quòd cùm ausi essent
plectere proditores, quos viros nobiles & in-
nocentes pro societate facinoris dictitatis,
non à vobis inceperint, summáque proditio-
nis membra præciderint? Sed licèt illi mollio-
res quàm res poscebat inuenti sint, nos tamen
domicilium Dei seruabimus Idumæi, & pro
communi patria propugnabimus: támque fo-
ris irruentes, quàm intus insidiantes, hostes pa-
riter vlciscemur. Hic autem manebimus pro
muris armati, donec aut vos Romani respi-
ciendo liberent, aut ipsi recuperata libertatis
cura mutemini.

Cap. VII. De clade Iudæorum ab Idumæis facta.

His dictis Idumæorum quidem multitu-
do clamore consensit: Iesus autem tri-
stis recessit, cùm nec Idumæos quicquam sen-
tire moderatū, & duplici bello oppugnari ciui-
tatem videret. Quippe nec Idumæorum tumor
& spiritus quiescebat, indignè ferentiū contu-
meliā, quòd essēt ciuitate ꝓhibiti: & quòd Ze-

συμμιγνύειν. εἰ γὰρ καὶ τὰ μάλιστα ῥωμαίοις ὑποπτεύε-
τε διειλέχθαι τινάς, παρατηρεῖν ἔξεστι τὰς ἐφόδους.
κἄν τι τῶν διαβεβλημένων ἔργων διακαλύπτηται, τό-
τε φρουρεῖν τὴν μητρόπολιν ἐλθόντας, κολάζειν τε
τοὺς αἰτίους πεφωραμένους. οὐ γὰρ ἂν ὑμᾶς φθάσειαν
οἱ πολέμιοι, τῇ πόλει προσῳκισμένους. εἰ δὲ οὐδὲν
ὑμῖν τούτων εὔγνωμον ἢ μέτριον δοκεῖ, μὴ θαυμά-
ζετε τὰ κλεῖθρα τῶν πυλῶν, ἕως ἂν φέρητε τὰ ὅπλα.
τοιαῦτα μὲν ἰησοῦς ἔλεγε. τῶν δὲ ἰδουμαίων οὔτε τὸ
πλῆθος προσεῖχεν, ἀλλ' ἐτεθύμωτο μὴ τυχὸν ἑτοί-
μης τῆς εἰσόδου, καὶ διηγανάκτουν οἱ στρατηγοί, πρὸς
τὴν ἀπόθεσιν τῶν ὅπλων αἰχμαλωσίαν ἡγούμενοι, τὸ
κελευόντων τινῶν αὐτὰ ῥῖψαι. σίμων δὲ υἱὸς καθλᾶ
τῶν ἡγεμόνων εἷς, μόλις τὸν τῶν οἰκείων καταστείλας θό-
ρυβον, καὶ στὰς εἰς ἐπήκοον τοῖς ἀρχιερεῦσιν, οὐκέτι θαυ-
μάζειν, ἔφη, φρουρουμένων ἐν τῷ ἱερῷ τῶν προμά-
χων τῆς ἐλευθερίας, εἴγε καὶ τῷ ἔθνει κλείουσί τινες
ἤδη τὴν κοινὴν πόλιν· καὶ ῥωμαίους μὲν εἰσδέχεσθαι
παρασκευάζονται, τάχα δὲ καὶ στεφανώσαντες τὰς
πύλας· ἰδουμαίοις δὲ ἀπὸ τῶν πύργων διαλέγονται,
καὶ τὰ ὑπὲρ τῆς ἐλευθερίας ὅπλα κελεύουσι ῥῖψαι.
μὴ πιστεύοντες δὲ τοῖς συγγενέσι τὴν τῆς μητροπό-
λεως φυλακήν, τοὺς αὐτοὺς δικαστὰς ποιοῦνται τῶν δια-
φόρων· καὶ κατηγοροῦντές τινων, ὡς ἀποκτείνειαν
ἀκρίτους, αὐτοὶ καταδικάζοιεν ὅλου τοῦ ἔθνους ἀτι-
μίαν. τὴν γοῦν ἅπασι τοῖς ἀλλοφύλοις ἀναπεπτα-
μένην εἰς θρησκείαν πόλιν, τοῖς οἰκείοις νῦν ἀποτετει-
χίσθαι. πάνυ γὰρ ἐπὶ σφαγὰς ἐσπεύδομεν, καὶ τὸν κατὰ
τῶν ὁμοφύλων πόλεμον, οἱ διὰ τοῦτο ταχύναντες, ἵνα
ἀτυχήσαντες ὑμᾶς τηρήσωμεν ἐλευθέρους. τοιαῦ-
τα μέντοι καὶ πρὸς τῶν φρουρουμένων ἠδίκησθε, καὶ
πιθανὰς οὕτως ὑποψίας οἶμαι καὶ κατ' ἐκείνων συνε-
λέξατε. ἔπειτα τῶν ἔνδον φρουρᾷ κρατοῦντες, ὅσοι
κήδονται τῶν κοινῶν πραγμάτων, καὶ τοῖς συγγενε-
στάτοις ἔθνεσιν ἀθρόως ἀποκλείσαντες τὴν πόλιν, ὑβρι-
στικὰ δὲ οὕτω προστάγματα κελεύοντες, τυραννεῖ-
σθαι λέγετε, καὶ τὸ τῆς δυναστείας ὄνομα, τοῖς ὑφ'
ὑμῶν τυραννουμένοις περιάπτετε. τίς ἂν ἐνέγκαι τὴν
εἰρωνείαν τῶν λόγων, ἀφορῶν εἰς τὴν ἐναντιότητα τῶν
πραγμάτων, εἰ μὴ καὶ νῦν ὑμᾶς ἀποκλείουσιν ἰ-
δουμαῖοι τῆς μητροπόλεως, οὓς αὐτοὶ τῶν πατρίων ἱερῶν
εἴργετε. μέμψαιτο ἂν εἰκότως τις τοὺς ἐν τῷ ἱερῷ πο-
λιορκουμένους, ὅτι θαρσήσαντες τοὺς προδότας κο-
λάζειν, οὓς ὑμεῖς ἄνδρας ἐπισήμους, καὶ ἀκαταιτιά-
τους λέγετε διὰ τὴν κοινωνίαν, οὐκ ἀφ' ὑμῶν ἤρξαντο,
καὶ τῆς καιριωτάτης προδοσίας μέρη προαπέκοψαν.
ἀλλ' εἰ κἀκεῖνοι τῆς χρείας ἐγένοντο μαλακώτεροι, τη-
ρήσομεν ἰδουμαῖοι τὸν οἶκον τοῦ θεοῦ, καὶ τῆς κοινῆς πατρί-
δος προπολεμήσομεν, ἅμα τούς τε ἔξωθεν ἐπιόντας,
καὶ τοὺς ἔνδον προδιδόντας ἀμυνόμενοι πολεμίους,
ἐνθάδε πρὸ τῶν τειχῶν μενοῦμεν ἐν τοῖς ὅπλοις, ἕως ἂν
ῥωμαῖοι κάμωσι προσέχοντες ὑμῖν, ἢ ὑμεῖς ἐλεύθε-
ρα φρονήσαντες, μεταβάλησθε. τούτοις τὸ μὲν τῶν ἰδου-
μαίων ἐπεβόα πλῆθος, ὁ δὲ ἰησοῦς ἀθυμῶν ἀνεχώρει, τοὺς
μὲν ἰδουμαίους μηδὲν φρονοῦντας ὁρῶν μέτριον, διχό-
θεν δὲ τὴν πόλιν πολεμουμένην. ἦν δὲ οὐδὲ τοῖς ἰδου-
μαίοις ἐν ἠρεμίᾳ τὰ φρονήματα. καὶ γὰρ τεθύμωντο
πρὸς τὴν ὕβριν εἰρχθέντες τῆς πόλεως, καὶ τὰ ζηλωτῶν

ἰσχυρὰ

ἰσχυρὰ δοκοῦντες, ὡς οὐδὲν ἐπαμύνοντας ἑώρων, ἠπόρουν τε, καὶ μετενόουν πολλοὶ τὴν ἄφιξιν. ἡ δ' αἰδὼς τοῦ τέλεον ἀπράκτους ὑποστρέψαι, ἐνίκα τὴν μεταμέλειαν, ὥστε μένειν αὐτόθι πρὸ τοῦ τείχους κακῶς αὐλιζομένους.

Κεφ. ιζ.

Διὰ γὰρ τῆς νυκτὸς, ἀμήχανος ἐκρήγνυται χειμὼν, ἄνεμοί τε βίαιοι σὺν ὄμβροις λαβροτάτοις, καὶ συνεχεῖς ἀστραπαὶ, βρονταί τε φρικώδεις, καὶ μυκήματα σειομένης τῆς γῆς ἐξαίσια. πρόδηλον δ' ἦν ἐπ' ἀνθρώπων ὀλέθρῳ τὸ κατάστημα, τῶν ὅλων συγκεχυμένον. καὶ οὐχὶ μικροῦ τις ἂν εἰκάσαι συμπτώματος τὰ τέρατα. μία δὲ τοῖς ἰδουμαίοις καὶ τοῖς ἐν τῇ πόλει παρέστη δόξα. τοῖς μὲν, ὀργίζεσθαι τὸν θεὸν, ἐπὶ τῇ στρατιᾷ, καὶ οὐκ ἂν διαφυγεῖν ἐπενεγκόντας ὅπλα τῇ μητροπόλει. τοῖς δὲ περὶ τὸν ἄνανον, νενικηκέναι χωρὶς παρατάξεως, καὶ τὸν θεὸν ὑπὲρ αὐτῶν στρατηγεῖν. κακοὶ δ' ἦσαν ἄρα τῶν μελλόντων στοχασταὶ, καὶ κατεμαντεύοντο τῶν ἐχθρῶν, ἃ τοῖς ἰδίοις αὐτῶν ἔμελλε παθεῖν. οἱ μὲν γὰρ ἰδουμαῖοι συστραφέντες τοῖς σώμασιν, ἀλλήλους ἀντέθαλπον, καὶ τοὺς θυρεοὺς ὑπὲρ κεφαλῆς συμφράξαντες, ἧττον ἐκακοῦντο τοῖς ὑετοῖς. οἱ δὲ ζηλωταὶ μᾶλλον τοῦ καθ' αὑτοὺς κινδύνου, ὑπὲρ ἐκείνων ἐβασανίζοντο, καὶ συνελθόντες ἐσκόπουν εἴ τινα μηχανὴν αὐτοῖς ἀμύνης ἐπινοήσειαν. τοῖς μὲν οὖν θερμοτέροις, ἐδόκει μετὰ τῶν ὅπλων βιάζεσθαι τοὺς παραφυλάσσοντας. ἔπειτα δὲ εἰσπεσόντας εἰς μέσην τὴν πόλιν, ἀναφανδὸν ἀνοίγειν τοῖς συμμάχοις τὰς πύλας. τούς τε γὰρ φύλακας εἴξειν πρὸς τὸ ἀδόκητον αὐτῶν τεταραγμένους, ἄλλως τε, καὶ τοὺς πλείονας αὐτῶν ὄντας ἀνόπλους, καὶ πολέμων ἀπείρους. καὶ τῶν κατὰ τὴν πόλιν δυσσυνάκτον ἔσεσθαι τὸ πλῆθος κατειλημμένον ὑπὸ τοῦ χειμῶνος εἰς τὰς οἰκίας. εἰ δὲ καί τις γένοιτο κίνδυνος, πρέπειν αὐτοῖς πᾶν ὁτιοῦν παθεῖν, ἢ περιϊδεῖν τοσοῦτον πλῆθος δι' αὐτοὺς αἰσχρῶς ἀπολλύμενον. οἱ δὲ συνετώτεροι βιάζεσθαι μὲν ἀπεγίνωσκον, ὁρῶντες οὐ μόνον τὴν ἑαυτῶν φρουρὰν πληθύουσαν, ἀλλὰ καὶ τὸ τῆς πόλεως τεῖχος διὰ τοὺς ἰδουμαίους ἐπιμελῶς φυλασσόμενον, ᾤοντό τε πανταχοῦ τὸν ἄνανον παρεῖναι, καὶ κατὰ πᾶσαν ὥραν ἐπισκέπτεσθαι τὰς φυλακάς. ὃ δὴ ταῖς μὲν ἄλλαις νυξὶν, οὕτως εἶχεν, ἀνείθη δὲ κατ' ἐκείνην οὐ κατὰ τὴν ἀνάνου ῥαθυμίαν, ἀλλ' ὡς αὐτός τε ἐκεῖνος ἀπόλοιτο, καὶ τὸ πλῆθος τῶν φυλάκων, στρατηγούσης τῆς εἱμαρμένης ἤδη. καὶ δὴ τῆς νυκτὸς προκοπτούσης, καὶ τοῦ χειμῶνος ἐπακμάζοντος, κοιμίζει μὲν τοὺς ἐπὶ τῇ στοᾷ φρουρούς. τοῖς ζηλωταῖς δὲ, ἐπίνοιαν ἐμβάλλει τῶν ἱερῶν ἀφελόντας πριόνων, ἐκτεμεῖν τοὺς μοχλοὺς τῶν πυλῶν. συνήργησε δὲ αὐτοῖς πρὸς τὸ μὴ κατακουσθῆναι τὸν ψόφον, ὅ τε τῶν ἀνέμων ἦχος, καὶ τὸ τῶν βροντῶν ἐπάλληλον. διαλαθόντες δ' ἐκ τοῦ ἱεροῦ παραγίνονται πρὸς τὸ τεῖχος, καὶ τοῖς πρίοσι χρώμενοι, τὴν κατὰ τοὺς ἰδουμαίους ἀνοίγουσι πύλην. τοῖς δὲ, τὸ μὲν πρῶτον ἐμπίπτει ταραχὴ, τοὺς περὶ τὸν ἄνανον ἐπιχειρεῖν οἰηθεῖσι, καὶ πᾶς ἐπὶ τοῦ ξίφους εἶχε τὴν δεξιὰν, ὡς ἀμυνούμενος. ταχέως δὲ γνωρίσαντες τοὺς ἥκοντας εἰσῄεσαν. εἰ μὲν οὖν ἐτράποντο ἐπὶ τὴν πόλιν, οὐδὲν ἂν ἐκώλυσεν ἀπολωλέναι τὸν δῆμον αὔτανδρον, οὕτως εἶχον ὀργῆς. νῦν δὲ πρώτους ζηλωτὰς ἀποδύοντες τῆς φρουρᾶς ἐξελέσθαι, δεομένων πολλὰ καὶ τῶν εἰσδεξαμένων, μὴ περιϊδεῖν δι' οὓς ἦλθον ἐν μέσοις τοῖς δεινοῖς, μηδ' αὐτοῖς χαλεπώτερον ἐπισεῖσαι τὸν κίνδυνον. τῶν μὲν γὰρ φρουρῶν ἁλόντων, ῥᾴδιον αὐτοῖς εἶναι χωρεῖν ἐπὶ τὴν πόλιν,

A lotarum vires esse firmas crediderant, erubescentium, postquam nihil eos sibi auxiliari posse viderent, vt iam venisse pœniteret. Pudor autem nulla re penitus gesta redeũdi, pœnitudinẽ superabat. Itaque ibidem prope murum temerè tabernaculis positis, manendum esse statuere. Infinita verò hyems nocte illa venit, ventiq; violenti cum imbribus orti sunt, & crebra fulgura, horrendáque tonitrua, cõcussæque terræ vasti mugitus: certúmque erat apud omnes, B hominum exitio mundi statum esse turbatum, neq; paruum quid rerum hæc signa portendere. Vna verò Idumęis & oppidanis erat opinio: illis quidem irasci Deum militiæ causa, existimantibus neque se posse euadere, si aduersus metropolim arma mouissent: Anano autem eiúsque sociis, etiam sine prælio vicisse, Deúmque pro se bellum administrare credentibus. Sed profectò falsi erant interpretes futurorum, & quæ sui passuri essent, contra hostes fore di- C uinabãt. Verũ Idumæi quidẽ cateruatim densatis corporibus inuicem sese fouebãt, scutísque cõtextis protecti capita, minus pluuia lædebãtur: Zelotę autem magis illorum quàm suo periculo cruciabantur: collectíque deliberabant, si quam reperire subsidij machinam illis possent. Horum autem ardẽtioribus videbatur, vi armorum custodes inuadere: atque in ciuitatẽ impetu facto palam portas auxiliatoribus aperire. nã & custodes ex improuiso, & quòd plu- D res inermes ac belli expertes essent, facilè turbatum iri, & multitudinem ciuium difficulter colligi posse: quoniam domi quisque propter hyemem cõtineretur. quin etsi periculum aliquod interuenerit, quiduis subire satius quàm negligere tot copias sui causa turpiter perituras: at qui prudentiores erãt, vim adhiberi dissuadebant. nõ enim sui tantùm causa custodes ampliari, sed etiam ciuitatis murũ videbãt propter Idumæos diligentius custodiri: & vbique E adesse Ananum, omnibúsq; horis inuisere custodias existimabant. sed hoc aliis noctibus ita habuerat. illa verò, nõ sua desidia requieuerat, sed vt & ipse & custodum manus fato duce interirent. Namq; iam nocte prouecta, & gliscẽte hyeme, custodes in porticu dispositos opprimit somnus. At Zelotis cõsilium subit, vt serris tẽplo sacratis portarũ vectes secarẽt. affuit autẽ illis, ne exaudiretur crepitus, ventorũ sonus, & crebra tonitrua: fanóque egressi, ad murũ clan- F culo veniunt: serratámque portam, quæ versus Idumæos erat, aperiunt. Illi autem primũ Ananum conati aliquid suspicati, vnusquisq; dextram ad gladiũ, quasi repugnaturi applicãt maturè: deinde his, qui ad se venerant agnitis, introibant. Qui quidem, si tũc manus vertere in ciuitatem voluissent, nihil obstabat quominus totus populus interiret: tanta ira ferebantur. verùm Zelotas primò eximere custodia festinabant: illis quoq; multum precantibus, qui G eos receperant ne despicerent malis obsessos, quorum gratia venerant, neque his acerbius periculum importarent. captis enim custodibus faciliorem illis in ciuitatem impetum fore.

sed si semel eos concitassent, iam illos contineri non posse, quin si senserint congregentur, & per ascensus nitentibus se opponant. Idem igitur Idumæis visum est: iamque in templum per ciuitatem subibant, cùm suspensi Zelotæ aduentum eorum præstolarentur. Denique his ingressis, etiam ipsi confidenter ex interiori fano progressi sunt, mixtique Idumæis in custodes irruerunt. Cæsis autem nonnullis, quos somnus oppresserat, omnis multitudo ad clamorem vigilantium suscitata est, raptísque armis ad repugnandum non sine stupore properabant. Ac primùm quidem Zelotas solos conari aliquid suspicantes, quasi eos superaturi numero confidebant: vbi verò foris alios circunfundi viderent, Idumæos irrupisse sensêre. Et maior quidem pars eorum, armis pariter animísque depositis in questibus erant. pauci verò iuuenum fortiter communiti, occurrendo Idumæis, aliquandiu segniorem multitudinem protegebant: alij cladem ciuitatis habitatoribus nunciabant. Illorum autem auxilio venire nullus audebat, cognito Idumæos irrupisse: sed ipsi quoque irrita vociferantes, cum fletibus respondebant: plurimúsque mulierum vlulatus suscitabatur, si quando custodum quisquam in periculum aliquod incidisset. Quin & Zelotæ Idumæorum clamorem geminabant, magísque horribiles tempestas faciebat omnium voces. Nemini autem Idumæi pepercêre, quòd natura crudelissimi ad cædes erant, & hyeme grauiter afficiebantur, proptereáque his qui se excluserant, vt inimicis vtebantur, tàm supplicantibus quàm repugnantibus infensi. Multos enim cognationem referentes, vtque commune fanum reuererentur orantes, gladiis transfigebant. Nullus autem fugiendi locus, neque spes salutis erat. Compulsi autem circa se, magis quàm vi oppressi laniabantur, cùm recedendi spatium non daretur, nec interfectores à cædibus temperarent. Incerti autem quid agerent, in ciuitatem se præcipitabant: miseri (vt mihi videtur) eo quòd fugiebant crudelius subeuntes exitium, donec templum exterius sanguine redũdauit. Octo autem millia & quingentos mortuos dies inuenit. Nec tamen his Idumæorum ira satiata est: sed versis in ciuitatem manibus, omnes domos diripiebant: quémque fortuitò inuenissent, morti dabant. Et cæteræ quidem multitudinis cædem superuacuam esse ducebant: pontifices autem peruestigabant: & in illos plerique ferebantur, statimque comprehensos obtruncabant: stantésque super eorum cadauera, nunc Anano populi beneuolentiam, nunc Iesu quæ de muro dixerat, exprobrabant. Ad hoc autem impietatis progressi sunt, vt etiam insepultos eos abiecerint: cùm præsertim Iudæis tanta sepulturæ cura sit, vt etiam iudicio cruci suffixos, ad occasum solis deponant atque sepeliant. Et quidem non errauerim, si Anani mortem dixero excidij ciuitatis fuisse principium, & ex illo die muros euersos, rémq; publicam Iudæorum periisse, quo pontificem rectorémque salutis suæ iugulatum in media ciuitate viderunt. Erat autem & aliàs

εἰ δὲ ἅπαξ ταύτην περιποιήσαιεν, οὐκέτ' ἂν ἐπ' ἐκείνων κρατήσειν, πρὸς γὰρ τὴν αἴσθησιν συντάξασθαι αὐτοὺς, καὶ τὰς ἀνόδους ἀποφράξειν. συνεδόκει ταῦτα τοῖς ἰδουμαίοις, καὶ διὰ τῆς πόλεως ἀνέβαινον πρὸς τὸ ἱερὸν, μετέωροί τε οἱ ζηλωταὶ τὴν ἄφιξιν αὐτῶν ἐκαραδόκουν. καὶ παρελθόντων εἴσω, καὶ αὐτοὶ προῄεσαν ἐκ τοῦ ἐνδοτέρου ἱεροῦ. μιγνύντες δὲ τοῖς ἰδουμαίοις προσέβαλλον τῇ φυλακῇ. καὶ τινὰς μὲν τῶν προκοιτούντων ἀπέσφαξαν κοιμωμένους. πρὸς δὲ τὴν τῶν ἐγρηγορότων βοὴν, διανέστη πᾶν τὸ πλῆθος, καὶ μετ' ἐκπλήξεως ἁρπάζοντες τὰ ὅπλα, πρὸς τὴν ἄμυναν ἐχώρουν. ἕως μὲν οὖν μόνους τοὺς ζηλωτὰς ἐπιχειρεῖν ὑπελάμβανον, ἐθάρρουν, ὡς τῷ πλήθει περιεσόμενοι. κατιδόντες δὲ ἔξωθεν ἐπεισχεομένους ἄλλους, ᾔσθοντο τὴν εἰσβολὴν τῶν ἰδουμαίων. καὶ τὸ μὲν πλέον αὐτῶν ἅμα ταῖς ψυχαῖς κατέβαλλε τὰ ὅπλα, καὶ πρὸς οἰμωγαῖς ἦν. φραξάμενοι δὲ ὀλίγοι τῶν νέων, γενναίως ἐδέχοντο τοὺς ἰδουμαίους, καὶ μέχρι πολλοῦ τὴν ἀργοτέραν πληθὺν ἔσκεπον. οἱ δὲ κραυγῇ διεσήμαινον τοῖς κατὰ τὴν πόλιν τὰς συμφοράς. κἀκείνων ἀμῦναι μὲν οὐδεὶς ἐτόλμησεν ὡς ἔμαθον εἰσπεπαικότας τοὺς ἰδουμαίους. ἄχαν δὲ ἀντεβόων καὶ ἀντωλοφύροντο, καὶ πολὺς γυναικῶν κωκυτὸς ἠγείρετο, ἐκινδύνευόν τε ἕκαστοι τῶν φυλάκων. οἱ δὲ ζηλωταὶ τοῖς ἰδουμαίοις συνεπηλάλαζον, καὶ τὴν ἐκ πάντων βοὴν, ὁ χειμὼν ἐποίει φοβερωτέραν. ἐφείδοντό τε οὐδενὸς ἰδουμαῖοι, φύσει τε ὠμότατοι φονεύειν ὄντες, καὶ τῷ χειμῶνι κεκακωμένοι, κατὰ τῶν ἀποκλεισάντων ἐχρῶντο τοῖς ὅπλοις, ἦσαν δὲ ὅμοιοι τοῖς ἱκετεύουσι καὶ τοῖς ἀμυνομένοις. καὶ πολλοὺς τήν τε συγγένειαν ἀναμιμνήσκοντας, καὶ δεομένους τοῦ κοινοῦ ἱεροῦ λαβεῖν αἰδῶ, διήλαυνον τοῖς ξίφεσιν. ἦν δὲ φυγῆς μὲν οὐδεὶς τόπος, οὐδὲ σωτηρίας ἐλπὶς, συνωθούμενοι δὲ περὶ ἀλλήλους, κατεκόπτοντο, καὶ τὸ πλεῖον ἐκβιαζόμενοι, ὡς οὐκ ἔτι ἦν ὑποχωρήσεως τόπος, ἐπῄεσαν δὲ οἱ φονεύοντες, καὶ ὑπ' ἀμηχανίας κατεκρήμνιζον ἑαυτοὺς εἰς τὴν πόλιν, οἰκτρότερον ἔμοιγε δοκεῖ οὗ διέφευγον ὄλεθρον, τὸν αὐθαίρετον ὑπομένοντες. ἐπεκλύσθη δὲ τὸ ἔξωθεν ἱερὸν πᾶν, αἵματι, καὶ νεκροὺς ὀκτακισχιλίους καὶ πεντακοσίους ἡμέρα κατέλαμβανεν.

Κεφ. ιη.

ΟΥκ ἐκορέσθησαν δὲ τούτοις οἱ θυμοὶ τῶν ἰδουμαίων, ἀλλ' ἐπὶ τὴν πόλιν τραπόμενοι, πᾶσαν μὲν οἰκίαν διήρπαζον, ἔκτεινον δὲ τὸν περιτυγχάνοντα, καὶ τὸ μὲν ἄλλο πλῆθος αὐτοῖς, ἐδόκει παραναλώμα, τοὺς δὲ ἀρχιερεῖς ἀνεζήτουν. καὶ κατ' ἐκείνων ἦν τοῖς πλείστοις ἡ φορά, ταχέως δὲ ἁλόντες διεφθείροντο, καὶ τοῖς νεκροῖς αὐτῶν ἐπιστάντες, τὸν μὲν ἄνανον τῆς πρὸς τὸν δῆμον εὐνοίας, τὸν δὲ ἰησοῦν τῶν ἀπὸ τοῦ τείχους λόγων ἐπέσκωπτον. προῆλθον δὲ εἰς τοσοῦτον ἀσεβείας, ὥστε καὶ ἀτάφους ῥῖψαι, καίτοι τοσαύτην ἰουδαίων περὶ τὰς ταφὰς πρόνοιαν ποιουμένων, ὥστε καὶ τοὺς ἐκ καταδίκης ἀνασταυρουμένους πρὸ δύντος ἡλίου καθελεῖν τε καὶ θάπτειν. οὐκ ἂν ἁμάρτοιμι δὲ εἰπὼν ἁλώσεως ἄρξαι τῇ πόλει τὸν ἀνάνου θάνατον, καὶ ἀπ' ἐκείνης τῆς ἡμέρας ἀνατραπῆναι τὸ τεῖχος, καὶ διαφθαρῆναι τὰ πράγματα ἰουδαίοις, ἐν ᾗ τὸν ἀρχιερέα καὶ ἡγεμόνα τῆς ἰδίας σωτηρίας αὐτῶν ἐπὶ μέσης τῆς πόλεως εἶδον ἀποσφαγμένον. ἦν γὰρ δὴ τά τε ἄλλα,

σεμνὸς

σεμνὸς ὁ ἀνὴρ καὶ δικαιότατος, καὶ παρὰ τὸν ὄγκον τῆς τε εὐγενείας καὶ τῆς ἀξίας, καὶ ἧς εἶχε τιμῆς, ἠγαπηκὼς τὸ ἰσότιμον καὶ πρὸς τοὺς ταπεινοτάτους, φιλελεύθερός τε ἐκτόπως, καὶ δημοκρατίας ἐραστής, πρό τε τῶν ἰδίων λυσιτελῶν τὸ κοινῇ συμφέρον, ἀεὶ τιθέμενος, καὶ περὶ παντὸς ποιούμενος τὴν εἰρήνην. ἄμαχα γὰρ ᾔδει τὰ Ῥωμαίων. προσκοπούμενος δὲ ὑπ' ἀνάγκης καὶ τὸν πόλεμον, ὅπως εἰ μὴ διαλύσαιντο Ἰουδαῖοι, δεξιῶς διαφθείροιντο. καθόλου δὲ εἰπεῖν, ζῶντος Ἀνάνου, πάντως ἂν διελύθησαν. δεινὸς γὰρ ἦν, εἰπεῖν τε καὶ πεῖσαι τὸν δῆμον. ἤδη δὲ ἐχειροῦτο καὶ τοὺς ἐμποδίζοντας, ἢ πολεμοῦντας, πλείστην ἂν τριβὴν Ῥωμαίοις παρέσχον ὑπὸ τοιούτῳ στρατηγῷ. παρέζευκτο δὲ αὐτῷ καὶ ὁ Ἰησοῦς, αὐτοῦ μὲν λειπόμενος κατὰ σύγκρισιν, προύχων δὲ τῶν ἄλλων. ἀλλ' οἶμαι κατακρίνας ὁ θεὸς ὡς μεμιασμένης τῆς πόλεως ἀπώλειαν, καὶ πυρὶ βουλόμενος ἐκκαθαρθῆναι τὰ ἅγια, τοὺς ἀντεχομένους αὐτῶν, καὶ φιλοστοργοῦντας περιέκοψεν. οἱ δὲ πρὸ ὀλίγου τὴν ἱερὰν ἐσθῆτα περικείμενοι, καὶ τῆς κοσμικῆς θρησκείας κατάρχοντες, προσκυνούμενοί τε τοῖς ἐκ τῆς οἰκουμένης παραβάλλουσιν εἰς τὴν πόλιν, ἐρριμμένοι γυμνοὶ βορὰ κυνῶν καὶ θηρίων ἐβλέποντο. αὐτὴν ἐπ' ἐκείνοις στενάξαι ἂν τοῖς ἀνδράσι δοκῶ τὴν ἀρετὴν ὀλοφυρομένην, ὅτι τοσοῦτον ἡττῆτο τῆς κακίας.

Κεφ. ιθ.

Ἀλλὰ γὰρ τὸ μὲν Ἀνάνου καὶ Ἰησοῦ τέλος τοιοῦτον ἀπέβη. Μετὰ δὲ ἐκείνους οἵ τε ζηλωταὶ, καὶ τὸ τῶν Ἰδουμαίων πλῆθος, τὸν λαὸν ὥσπερ ἀνοσίων ζώων ἀγέλην ἐπιόντες ἔσφαζον. καὶ τὸ μὲν εἰκαῖον, ἐφ' οὗ καταληφθείη τόπου διεφθείρετο. τοὺς δὲ εὐγενεῖς, καὶ νέους συλλαμβάνοντες, εἰς εἱρκτὴν κατέκλειον δεδεμένους, κατ' ἐλπίδα τοῦ προσθήσεσθαί τινας αὐτοῖς τὴν ἀναίρεσιν ὑπερτιθέμενοι. προσέσχε δὲ οὐδείς, ἀλλὰ πάντες τοῦ τάξασθαι μετὰ τῶν πονηρῶν κατὰ τῆς πατρίδος, προείλοντο τὸν θάνατον. δεινὰς δὲ τῆς ἀρνήσεως αἰκίας ὑπέμενον μαστιγούμενοί τε καὶ στρεβλούμενοι. μετὰ δὲ τὸ μηκέτ' ἀρκεῖν τὸ σῶμα ταῖς βασάνοις, μόλις ἠξιοῦντο τοῦ ξίφους. οἱ συλληφθέντες δὲ μεθ' ἡμέραν, ἀνῃροῦντο νύκτωρ. καὶ τοὺς μὲν νεκροὺς ἐκφοροῦντες ἔρριπτον, ὡς ἑτέροις εἴη δεσμώταις τόπος. ἦν δὲ τοσαύτη τοῦ δήμου κατάπληξις, ὡς μηδένα τολμῆσαι, μήτε κλαίειν φανερῶς τὸν προσήκοντα νεκρὸν, μήτε θάπτειν. ἀλλὰ λαθραῖα μὲν ἦν αὐτῶν κατακεκλεισμένα τὰ δάκρυα, καὶ μετὰ περισκέψεως, μή τις ἐπακούσῃ τῶν ἐχθρῶν, ἔστενον. ἴσα γὰρ τοῖς πενθουμένοις, ὁ πενθήσας εὐθὺς ἔπασχε. νύκτωρ δὲ κόνιν αἴροντες χερσὶν ὀλίγην, ἐπερρίπτουν τοῖς σώμασι, καὶ μεθ' ἡμέραν εἴ τις παράβολος. μύριοι δὲ καὶ δισχίλιοι τῶν εὐγενῶν νέων, οὕτω διεφθάρησαν. οἱ δὲ ἤδη διαμεμισηκότες τὸ φονεύειν ἀνέδην, εἰρωνεύοντο δικαστήρια καὶ κρίσεις. καὶ δή τινα τῶν ἐπιφανεστάτων ἀποκτεῖναι προθέμενοι Ζαχαρίαν υἱὸν Βαρούχου. παρώξυνε δ' αὐτοὺς τὸ λίαν τἀνδρὸς μισοπόνηρον καὶ φιλελεύθερον. ἦν δὲ καὶ πλούσιος, ὥστε μὴ μόνον ἐλπίζειν τὴν ἁρπαγὴν τῆς οὐσίας, ἀλλὰ καὶ προσαποσκευάσεσθαι δυνατὸν ἄνθρωπον εἰς τὴν αὐτῶν κατάλυσιν.

vir laudabilis atque iustissimus, & preter nobilitatis ac dignitatis & honoris, quo erat præditus, amplitudinem, infimis amabat æquari. Libertatis autem maximè fautor erat: & is qui populi affectaret imperium. Commodis autem propriis communes semper vtilitates anteponebat, super omnia paci studens. Sciebat enim Romanos non posse expugnari: ac prospiciebat, si pacisci vtiliter nequissent Iudæi, omnino eos perituros. vt autem breuiter dicam, cum Anano viuo ad transactionem venissent. Mirus enim erat dicere, mirus populo persuadere, quæ vellet. Iam verò impedientes bellantésque subegerat. Plurimum autem moræ sub tali duce attulissent Romanis. Huic iunctus erat Iesus, illo quidem comparatione inferior, sed præstans cęteris: vt putem Deum, qui tanquam violatam ciuitatem perire flammis, purgaríque sancta vellet, consultò defensores eorum, & qui ea carissima ducerent, amputasse. Itaque paulò antè sacris indumentis amictos, & toto orbe celeberrimæ religionis autores, quíque vndique in ciuitatem commeantibus venerabiles habebantur, iacere nudos prædam canibus ac feris videres. Quos quidem viros ipsam puto gemuisse virtutem, tantum licuisse vitiis flentem.

[FLAVII IOSEPHI DE BELLO IVDAICO LIBER V.]

Secundum Rufini distinctionem.

CAP. I. De altera strage, & tedituIdumæorũ, Zelotarũmque crudelitate.

ANano quidem & Iesu eiusmodi finis euenit. Post illos verò tam Zelotæ, quàm Idumæi passim plebem, quasi nefandorum animalium gregem, irruendo mactabant. Et vulgus quidem in quolibet loco deprehensum necabatur: correptos autem nobiles, & adolescẽtes, vinctos in carcerem concludebant, spe, nõnullos eorum sibi posse sociari nece dilata. Verùm hæc nullum mouebant, sed cuncti mortem pręoptauerant, dummodo ne aduersus patriam communem nequissimè conspirarent: sæuissima tamen ante cædem verbera sustinebant, exulcerati plagis atque tormentis. cúmq; iam corpus non sufficeret cruciatibus, tandem gladium merebantur. quos autem die cepissent, eos in custodiam nocte ducebant: extractósque inde, si quos mori contigisset abiiciebant, vt vinctis aliis locus esset. Tantus autem populum pauor occupauerat atque formido, vt ne flere quidem palàm quisquam, siue sepelire proprium funus auderet, sed erant occultæ clausorum etiam lacrymæ, & ne quis inimicorum audiret, circunspectantes gemebant. paria namque his, qui lugebantur, etiam qui luxissent ilico patiebantur. exiguam verò nocte sublatam terram manibus corporibus iniiciebant, & nonnunquam die, si quis fuisset audacior. Duodecim autem millia hoc modo nobilium periêre. Illi autem iam cædes exosi, nullo pudore iudicij vim & cognitionis cauillando imitabantur. Itaque cùm illustrium quẽdã Zachariã Baruch filiũ interficere decreuissent, (irritabãtur enim quòd nequissimis inimicus nimis erat, & probis amicus, itẽq; locuples) neq; solùm fortunarum eius direptionẽ sperarent, sed etiam remotum iri virũ ad se deiiciendos potentem,

septuaginta plebeiorum honestissimos ex præcepto conuocant, iudicum specie potestate carentes, & apud eos Zachariam, quasi res proderet Romanis, accusant: quódque ad Vespasianum proditionis causa misisset. Sed neque argumentum, neque vlla probatio criminis erat. ipsi autem misisse dixerunt, & hoc haberi pro fide veritatis volebant. Zacharias autem vbi nullam spem salutis sibi relictam esse vidit, per insidias non in iudicium, sed in carcerem ductus, vitæ suæ desperationem libertate non priuauit: sed exorsus veri quidem similitudinem obiectorum derisit, & illata sibi crimina breuiter diluit: in accusatores autem ratione conuersa, omnes eorum iniquitates per ordinem prosecutus est, multáque de perturbatione rerum querebatur. Zelotę verò obstrepentes, vix à gladiis temperabant, speciem cauillationémque iudicij sui vsque ad finem permanere cupientes, & præter hoc iudices experiri, an periculoso tempore iustitiæ memores forent. Igitur omnes septuaginta pro eo sententiam ferunt, & pro eo mori, quàm sibi asscribi eius interitum maluêre. Illo verò absoluto Zelotarum clamor tollitur, & vniuersi quidem iudicibus irascebantur, qui simulationem datæ sibi potestatis non intellexerant. duo verò ex audacissimis aggressi Zachariam, in medio templo interficiunt: & illudendo, habes, inquiunt, & à nobis de absolutione sententiam certiorem: cúmque statim in subiectam vallem de templo proiiciunt. Iudices verò, contumeliæ causa versis gladiis ferientes, templi ambitu pepulêre. cædi enim eorum pepercerant, vt disiecti per ciuitatem, nuncij fierent apud omnes seruitutis. Idumæos autem iam venisse pœnitebat, neque his gesta placebant. Quibus collectis, Zelotarum quidam secretò indicabat vniuersa: & quæcunque hi qui eos aduocauerant scelerate fecissent, omnia demonstrabat: arma quidem cepisse eos, quasi Romanis à pontificibus metropolis proderetur, reperisse autem nullum proditionis indicium. Illos verò, qui tutari eam simularent, & belli facinora ausos & tyrannidis, ab initio quidem prohibendos fuisse. Verùm quia semel in societatem intestinæ cædis incidissent: finem delictis adhibendum, neque vires hominibus suggerendas morem patrum destruentibus. Nam etsi portas grauiter ferrent sibi atque in oppidum aditum esse præclusum, pœnas ab his, qui prohibuerant esse repetitas: & Ananum quidem peremptum: vna verò nocte populum totum penè consumptum. Quarum rerum multos quidem suarum pœnitere sentirent: eorum autem viderent, à quibus rogati essent, crudelitatem immensam: ne ipsos quidem per quos salui erant erubescentium. in oculis enim auxiliatorum pessima facinora committere, illorúmque iniurias Idumæis imputari, quatenus ea non prohibeant, neque ab his separentur. Debere igitur (quoniam de proditione, quæ dicta sunt, calumniā fuisse patuisset, nullúsq; Romanorū impetus timeretur, aduersus ciuitatem verò inexpugnabilis esset potētia corroborata) illos

συγκαλοῦσιν οὖν ἐξ ἐπιτάγματος, ἑβδομήκοντα τῶν ἐν τέλει δημοτῶν εἰς τὸ σχῆμα δικαστῶν, ἔρημον ἐξουσίας, καὶ τοῦ ζαχαρίου κατηγόρουν, ὡς ἐνδιδῴη τὰ πράγματα ῥωμαίοις, καὶ περὶ προδοσίας διαπέμψαιτο πρὸς οὐεσπασιανόν. ἦν δὲ οὔτε ἔλεγχός τις τῶν κατηγορουμένων, οὔτε τεκμήριον, ἀλλ᾽ αὐτοὶ πεπεῖσθαι καλῶς ἔφασαν, καὶ τοῦτ᾽ εἶναι πίστιν τῆς ἀληθείας ἠξίουν. ὅγε μὴν ζαχαρίας συνιδὼν μηδεμίαν αὐτῷ καταλειπομένην σωτηρίας ἐλπίδα, κεκλῆσθαι γὰρ κατ᾽ ἐνέδρας εἰς εἱρκτὴν, οὐκ ἐπὶ δικαστήριον, ἐποιήσατο τὴν τοῦ ζῆν ἀπόγνωσιν οὐκ ἀπαρρησίαστον. ἀλλὰ καταστὰς, τὸ μὲν πιθανὸν τῶν κατηγορουμένων διεχλεύασε, καὶ διὰ βραχέων ἀπελύσατο τὰς ἐπιφερομένας αἰτίας. εἶτα δὲ τὸν λόγον εἰς τοὺς κατηγόρους ἀποστρέψας, ἑξῆς πάσας αὐτῶν διεξῄει τὰς παρανομίας, καὶ πολλὰ περὶ τῆς συγχύσεως κατωλοφύρατο τῶν πραγμάτων. οἱ ζηλωταὶ δὲ ἐθορύβουν, καὶ μόλις τῶν ξιφῶν ἀπεκράτουν, τὸ σχῆμα καὶ τὴν εἰρωνείαν τοῦ δικαστηρίου, μέχρι τέλους παῖξαι προαιρούμενοι, καὶ ἄλλως πειρᾶσθαι θέλοντες τοὺς δικαστὰς, εἰ παρὰ τὸν αὐτῶν κίνδυνον μνησθήσονται τοῦ δικαίου. φέρουσι δ᾽ οἱ ἑβδομήκοντα τῷ κρινομένῳ τὰς ψήφους ἀπολύσεως, καὶ σὺν αὐτῷ προείλοντο τεθνάναι μᾶλλον, ἢ τῆς ἀναιρέσεως αὐτοῦ λαβεῖν τὴν ἐπιγραφήν. ἤρθη δὲ βοὴ τῶν ζηλωτῶν πρὸς τὴν ἀπόλυσιν, καὶ πάντων μὲν ἦν ἀγανάκτησις ἐπὶ τοῖς δικασταῖς, ὡς μὴ συνιεῖσι τὴν εἰρωνείαν τῆς δοθείσης αὐτοῖς ἐξουσίας. δύο δὲ τῶν τολμηροτάτων, προσπεσόντες ἐν μέσῳ τῷ ἱερῷ, διαφθείρουσι τὸν ζαχαρίαν, καὶ πεσόντι ἐπιχλευάζοντες ἔφασαν, καὶ παρ᾽ ἡμῶν τὴν ψῆφον ἔχεις, καὶ βεβαιοτέραν τὴν ἀπόλυσιν. ῥίπτουσί τε αὐτὸν εὐθέως ἀπὸ τοῦ ἱεροῦ, κατὰ τῆς ὑποκειμένης φάραγγος. τοὺς δὲ δικαστὰς πρὸς ὕβριν ἀπεστραμμένοις τοῖς ξίφεσι τύπτοντες, ἐξέωσαν τοῦ περιβόλου, δι᾽ ἓν τοῦτο φεισάμενοι σφαγῆς αὐτῶν, ἵνα σκεδασθέντες ἀνὰ τὴν πόλιν, ἄγγελοι πᾶσι τῆς δουλείας γένωνται.

Κεφ. ζ.

Τοῖς δὲ ἰδουμαίοις ἤδη τῆς παρουσίας μετέμελε, καὶ προσίστατο τὰ πραττόμενα. συναγαγὼν δὲ αὐτούς τις ἀπὸ τῶν ζηλωτῶν κατ᾽ ἰδίαν ἐλθὼν, ἐνεδείκνυτο τὰ συμπαρανομηθέντα τοῖς καλέσασι, καὶ τὰ κατὰ τῆς μητροπόλεως διεξῄει. παρατάξασθαι μὲν γὰρ ὡς ὑπὸ τῶν ἀρχιερέων προδιδομένης ῥωμαίοις τῆς μητροπόλεως, εὑρηκέναι δὲ προδοσίας τεκμήριον οὐδέν. τοὺς δ᾽ ἐκείνην ὑποκρινομένους φυλάττεσθαι καὶ πολέμου καὶ τυραννίδος ἔργα τολμῶντας. προσήκειν μὲν οὖν αὐτοῖς διακωλύειν ἀπ᾽ ἀρχῆς. ἐπεὶ δ᾽ ἅπαξ εἰς κοινωνίαν ἐμφυλίου φόνου προσέπεσον, ὅρον γοῦν ἐπιθεῖναι τοῖς ἁμαρτήμασι, καὶ μὴ παραμένειν χορηγοῦντας ἰσχὺν τοῖς καταλύουσι τὰ πάτρια. καὶ γὰρ εἴ τινες χαλεπαίνουσι τὸ κλεισθῆναι τὰς πύλας εἰς εἴσοδον, ἀλλὰ τοὺς εἴρξαντας τετιμωρῆσθαι, καὶ τεθνάναι μὲν ἄνανον, διεφθάρθαι δὲ ἐπὶ μιᾶς νυκτὸς, ὀλίγου δεῖν πάντα τὸν δῆμον. ἐφ᾽ οἷς τῶν μὲν οἰκείων πολλοὺς αἰσθάνεσθαι μετανοοῦντας, τῶν ἐπικαλεσαμένων δὲ ὁρᾶν ἄμετρον τὴν ὠμότητα, μηδὲ δι᾽ οὓς ἐσώθησαν αἰδουμένων. ἐν ὄμμασι γοῦν τῶν συμμάχων τὰ αἴσχιστα τολμᾶν, καὶ τὰς ἐκείνων παρανομίας ἰδουμαίοις προσάπτεσθαι, μέχρις ἂν μήτε κωλύῃ τις, μήτε χωρίζηται τῶν δρωμένων. δεῖν οὖν ἐπειδὴ διαβολὴ μὲν πέφηνε τὰ τῆς προδοσίας, ἔφοδος δὲ ῥωμαίων οὐδεμία προσδοκᾶται, δυναστεία τε ἐπιτετείχισται τῇ πόλει δυσκατάλυτος, αὐτοὺς ἀναχω-

ἀναχωρεῖν ἔσω οἴκου, καὶ τῷ μὴ κοινωνεῖν τοῖς φαύλοις ἁπάντων, ἀπολογήσασθαι περὶ ὧν ἂν φενακισθέντες μετάσχοιεν. τούτοις πεισθέντες οἱ ἰδουμαῖοι, πρῶτον μὲν λύουσι τοὺς ἐν τοῖς δεσμωτηρίοις περὶ δισχιλίους δεσμώτας οἱ παραχρῆμα φυγόντες ἐκ τῆς πόλεως, ἀφικνοῦνται πρὸς σίμωνα, περὶ οὗ μικρὸν ὕστερον ἐροῦμεν. ἔπειτα ἐκ τῶν ἱεροσολύμων ἀνεχώρησαν ἐπ' οἴκου, καὶ συνέβη τὸν χωρισμὸν αὐτῶν γενέσθαι παράδοξον ἀμφοτέροις. ὅ, τε γὰρ δῆμος ἀγνοῶν τὴν μετάνοιαν, ἐθάρσησε πρὸς ὀλίγον, ὡς ἐχθρῶν κεκουφισμένος, οἵ τε ζηλωταὶ μᾶλλον ἐπανέστησαν, οὐχ ὡς ὑπὸ συμμάχων καταλειφθέντες, ἀλλ' ἀπηλλαγμένοι τῶν δυσωπούντων, καὶ διατρεπόντων παρανομεῖν. οὐκέτι γοῦν μέλλησις ἢ σκέψις ἦν τῶν ἀδικημάτων, ἀλλ' ὀξυτάταις μὲν ἐχρῶντο ταῖς ἐπινοίαις εἰς ἕκαστα. τὰ δοχθέντα δὲ, τάχιον καὶ τῆς ἐπινοίας ἐνήργουν. μάλιστα δ' ἐπ' ἀνδρίαν τε καὶ εὐγένειαν ἐφόνων, τὴν μὲν φθόνῳ λυμαινόμενοι, τὸ δὲ γενναῖον, δεδιμένοι. μόνην γὰρ αὐτῶν ἀσφάλειαν ὑπελάμβανον, τὸ μηδένα τῶν δυνατῶν καταλιπεῖν. ἀνῃρέθη γοῦν σὺν πολλοῖς ἑτέροις καὶ γουρίων, ἀξιώματι μὲν καὶ γένει προύχων, δημοκρατικὸς δὲ καὶ φρονήματος ἐλευθερίας μεστὸς, εἰ καί τις ἕτερος ἰουδαίων. ἀπώλεσε δ' αὐτὸν ἡ παρρησία μάλιστα πρὸς τοῖς ἄλλοις πλεονεκτήμασιν. οὐδὲ ὁ περαΐτης νίγερ αὐτῶν τὰς χεῖρας διέφυγεν, ἀνὴρ ἄριστος ἐν τοῖς πρὸς ῥωμαίους πολέμοις γενόμενος, ἀλλὰ καὶ βοῶν πολλάκις τὰς ὠτειλὰς ἐπιδεικνὺς, διὰ μέσης ἐσύρετο τῆς πόλεως. ἐπεὶ δὲ ἔξω τῶν πυλῶν ἦκτο, τὴν σωτηρίαν ἀπογνοὺς, περὶ ταφῆς ἱκέτευεν. οἱ δὲ προαπειλήσαντες, ἧς ἐπεθύμει μάλιστα γῆς, μὴ μεταδώσειν αὐτῷ, τὸν φόνον ἐνήργουν. αἱρούμενος δὲ ὁ νίγερ, τιμωροὺς ῥωμαίους αὐτοῖς ἐπηράσατο, λιμόν τε καὶ λοιμὸν ἐπὶ τῷ πολέμῳ, καὶ πρὸς ἅπασι τὰς ἀλλήλων χεῖρας. ἃ δὴ πάντα κατὰ τῶν ἀσεβῶν ἐκύρωσεν ὁ θεὸς, καὶ τὸ δικαιότατον, ὅτι γεύσασθαι τῆς ἀλλήλων ἀπονοίας ἔμελλον οὐκ εἰς μακρὰν στασιάσαντες. νίγερ μὲν οὖν ἀνῃρημένος, τοὺς περὶ τῆς καταλύσεως αὐτῶν φόβους ἐπεκούφισε. τοῦ λαοῦ δὲ μέρος οὐδὲν ἦν, ᾧ μὴ πρὸς ἀπώλειαν ἐπενοεῖτο πρόφασις. τὸ μὲν γὰρ αὐτῶν διενεχθὲν τινὶ πάλαι, διέφθαρτο. τῷ δὲ μὴ προσκρούσαντι κατ' εἰρήνην, ἐπικαίρους ἐλάμβανε τὰς αἰτίας. καὶ ὁ μὲν μὴ δ' ὅλως αὐτοῖς προσιὼν, ὡς ὑπερήφανος, ὁ προσιὼν δὲ μετὰ παρρησίας, ὡς καταφρονῶν, ὁ θεραπεύων δὲ ὡς ἐπίβουλος ὑπωπτεύετο. μία δὲ ἦν τῶν τε μεγίστων, καὶ τῶν μετριωτάτων τιμωρία, θάνατος. καὶ διέφυγεν οὐδεὶς, εἰ μὴ σφόδρα τις ἦν ταπεινὸς, ἢ δι' ἀγένειαν, ἢ διὰ τύχην.

Κεφ. κα.

Ῥωμαίων δὲ οἱ μὲν ἄλλοι πάντες ἡγεμόνες, ἕρμαιον ἡγούμενοι τὴν στάσιν τῶν πολεμίων, ὥρμηντο πρὸς τὴν πόλιν, καὶ τὸν οὐεσπασιανὸν ἤπειγον, ὡς ἂν ὄντα κύριον τῶν ὅλων, φάμενοι πρόνοιαν θεοῦ σύμμαχον σφίσι, τὸ τετράφθαι τοὺς ἐχθροὺς κατ' ἀλλήλων. εἶναι μέντοι τὴν ῥοπὴν ὀξεῖαν, καὶ ταχέως ἰουδαίους ὁμονοήσειν, ἢ κοπιάσαντας ἐν τοῖς ἐμφυλίοις κακοῖς, ἢ μετανοήσαντας. οὐεσπασιανὸς δὲ πλεῖστον αὐτοὺς ἔφη τοῦ δέοντος ἁμαρτάνειν, ὥσπερ ἐν θεάτρῳ χειρῶν τε καὶ ὅπλων ἐπίδειξιν ποιήσασθαι γλιχομένους, οὐκ ἀκίνδυνον, ἀλλὰ μὴ τὸ συμφέρον, καὶ τὸ ἀσφαλὲς σκοποῦντας.

A domum recedere: malorúmque societatem vitando cuncta diluere flagitia, quorum non sponte, sed decepti participes extitissent. Persuasum est Idumæis. Et primùm eos, qui erant in custodiis soluunt, propè ad duo millia popularium, statímque relicta ciuitate ad Simonem veniunt, de quo paulò pòst commemorabimus: deinde domum ex Hierosolymis abiêre. Euenit autem eorum discessum vtrisque pariter inopinatum videri. nam & populus nescius pœnitudinis, paulùlum fiducia recreatus B est, veluti inimicis leuatus: & Zelotarum creuit insolentia, quasi non auxiliis caruissent, sed iis essent liberati, quorum pudore ac reuerentia criminibus temperabant. Denique nulla iam erat facinorum mora neque cunctatio: sed festinatis quidem consiliis in rebus singulis vtebantur: quæ verò placuissent, ipsa cogitatione citius peragebant. Maximè autem in viros fortes atque insignes cædibus sæuiebant: C cùm inuidia nobilitatem absumerêt metu virtutum: vnámque cautionem putarent, nullum optimatum superesse. Itaque occisus est cum multis aliis Gorion, dignitate simul & genere præstans, & plus posse populum gaudens, plenúsque spiritu, libertatis amator, vt nullus alius Iudæorum, quem tamen libertas præter alias virtutes perdidit. Sed ne Peraita quidem Niger eorum manus effugit, bellis cum Romanis gestis vir strenuus comprobatus: qui D etiam sæpe vociferans, & cicatrices ostendens, per mediam ciuitatem trahebatur. Ductus verò extra portas, desperata iam salute, ne sepultura careret supplicabat. Illi autem prius interminati, quòd humum ei quam desiderabat concessuri non essent, mox etiam mortem intulêre. Qui tamen cùm occideretur, Romanos eis vltores imprecatus est: famémque præter bellum ac pestilentiam, & ad hæc omnia ipsorum mutuas manus: eáque vniuersa confirmauit apud impios Deus, & quid iustissimum es- E set effecit, vt audaciam suam quàm primùm experirentur inter se dissidentes. Niger quidem occisus, quem habebant de oppressione sui metu eos leuauit. Pars autem plebis nulla erat, cui non ad interitum excogitabatur occisio. Namque alij quòd iamdudum aliis ciuibus restitissent, interficiebantur: qui verò nihil offenderant, pacis tempore subitas causas excipiebant. Et qui omnino liberè eos non adissêt, pro contemptoribus: qui verò obsequentes, pro insidiatoribus habebantur: vnáque maximorum criminum & mediocrium pœna, mors erat. neque euasit quisquam, nisi aut ignobilitate, aut fortuna perhumilis.

CAP. II. De intestina discordia Hierosolymorū.

Romani autem omnes ad ciuitatem animos intendebant, hostium dissensionem lucrum sibi esse censentes: & Vespasianum, penes quem summa rei potestas erat, incitabant, diuinæ prouidentiæ dicentes auxilio in semet G hostes esse conuersos: veruntamen velox esse momentum, & Iudæos citò in concordiam redituros, aut intestinis malis defessos, aut redactos in pœnitudinem. Ad quos Vespasianus ait: Plurimum eos quid fieri conueniat ignorare: tanquam in theatro cupientes quantum armis ac manibus possent ostêtare potiùs cū periculo: quā secū quid esset vtile reputare.

Nam si statim ciuitatem aggrederentur, ipsos causam hostibus fore concordiæ, ac vires eorum etiam nunc vigentes in se prouocaturos. Sin operirentur, paucioribus ac moderatioribus his vsuros domestica seditione consumptis. Deum namque meliùs quàm ipsos disponere, qui sine labore Iudæos Romanis traderet, nullóque periculo exercitui victoriam condonaret. Proinde manibus propriis intereuntibus inimicis, maximóque malo, hoc est, seditione turbatis, debere se potiùs periculorum spectatores esse, quàm cum hominibus mortem appetentibus atque intestina rabie insanientibus confligere. Si quis autem putauerit victoriæ gloriam sine prælio fieri viliorem, sciat, inquit, armorum incerto exitu commodius esse commodè perficere quod intendit. Neque enim manu præclaris esse minùs laudabiles, quia paria gesserint moderatione atque prudentia. Simul autem dum hostes imminuerentur, etiam milites ex laboribus assiduis recreatos valentiores ductum iri. Præterea non id esse tempus, vt maturæ occupanda videatur victoriæ claritudo. nec enim armis fabricandis, aut muris, vel auxiliis congregandis Iudæos operam dare, atque ideo moras differentibus nocituras: sed bello domestico ac dissensione tumidos, miserabiliora pati quotidie, quàm ipsi eos captiuos afficerent intromissi. Proinde siue quis securitatem consideret, sinendos esse, qui semet absumerent: siue facti gloriam clariorem, nequaquam manus intestino morbo laborantibus afferendas: si quidē ratione recta diceretur, nō ipsorum, sed discordiæ fuisse victoriam. Hæc Vespasianus: eique dicenti rectores militum consentiebant: móxque apparuit quàm vtile fuisset eius cōsilium. Namque in dies singulos multi ad eum confluebant fugiendo Zelotas. Erat autē fuga difficilis, quòd omnes exitus custodibus obsidebantur. Et si quis ibi qualibet ex causa deprehensus fuisset, velut ad Romanos ire cuperet, interficiebatur. qui tamen eis dedisset pecuniam, saluus abibat: & qui non dabat, solus proditor habebatur. Restabat igitur, pecuniosis fugam redimentibus solos pauperes iugulari. Mortui verò per omnes vias coaceruabantur innumeri, multíque etiam transfugere cupientium, rursus in ciuitate perire præoptabāt. nam spe sepulturæ in patria mori tolerabilius videbatur. Illi autem ad hoc crudelitatis deuiauerant, vt neque intus neque per itinera occisis humum concederent: sed veluti cum patriis legibus etiam naturæ iura disturbare pepigissent, suáque in homines iniustitia diuinitatem quoque polluere, ita sub sole putrescere mortuos relinquebant. Sepelientibus autem suorum corpora, idem quod transfugis, imminebat supplicium mortis: statímque sepultura indigebat, qui hanc alteri præstitisset: & vt breuiter dicam, nulla tam bona, quàm misericordia, perierat in illis cladibus mentis affectio: hísque irritabantur noxij, quæ miserāda vidissent, à viuis in mortuos, à mortuis in viuos iracundiam transferentes. Modum autem excedente metu, superstitibus mortui adepti requiē beatiores videbātur: & qui erāt in custodiis cōparatione sui cruciat⁹, isepultos quoq. fortuna-

εἰ μὲν γὰρ εὐθέως ὁρμήσειεν ἐπὶ τὴν πόλιν, αἴτιοι ὁμονοίας ἔσεσθαι τοῖς πολεμίοις, καὶ τὴν ἰσχὺν αὐτῶν ἀκμάζουσαν ἐπ᾽ αὐτοὺς ἐπιστρέφειν. εἰ δὲ περιμένοιεν, ὀλιγωτέροις χρήσεσθαι, δαπανηθεῖσιν ἐν τῇ στάσει. στρατηγεῖν μὲν γὰρ ἄμεινον αὐτοῦ τὸν θεόν, ἀκονιτὶ Ῥωμαίοις παραδιδόντα Ἰουδαίους, καὶ τὴν νίκην ἀκινδύνως τῇ στρατιᾷ χαριζόμενον. ὥστε χρῆναι διαφθειρομένων χερσὶν οἰκείαις τῶν ἐχθρῶν, καὶ τῷ μεγίστῳ κακῷ στάσει χρωμένων, θεατὰς μᾶλλον αὐτοὺς ἀποκαθῆσθαι τῶν κινδύνων, ἢ θανατῶσιν ἀνθρώποις, καὶ λελυσσηκόσι κατ᾽ ἀλλήλων χεῖρας μίσγειν. εἰ δέ τις οἴεται τὴν δόξαν τῆς νίκης ἑωλοτέραν ἔσεσθαι δίχα μάχης, γνώτω τοῦ διὰ τῶν ὅπλων σφαλεροῦ, τὸ μεθ᾽ ἡσυχίας κατόρθωμα λυσιτελέστερον. καὶ γὰρ οὐχ ἧττον εὐκλεεῖς οἴεσθαι χρὴ τῶν κατὰ χεῖρα λαμπρῶν, τοὺς ἐγκρατείᾳ καὶ συνέσει τὰ ἴσα διαπραξαμένους. ἅμα μέντοι μειουμένων τῶν πολεμίων, καὶ τὴν αὑτοῦ στρατιὰν ἀναληφθεῖσαν ἐκ τῶν συνεχῶν πόνων ἐρρωμενεστέραν ἀξιοῦν. ἄλλως τε καὶ τῶν στοχαζομένων τῆς περὶ τὴν νίκην λαμπρότητος, οὐ τοῦτον εἶναι καιρόν. οὐ γὰρ περὶ κατασκευὴν ὅπλων ἢ τειχῶν, οὐδὲ περὶ συλλογὴν ἐπικούρων, Ἰουδαίους ἀσχολεῖσθαι, καὶ τὴν ὑπέρθεσιν ἔσεσθαι κατὰ τῶν διδόντων, ἀλλ᾽ ἐμφυλίῳ πολέμῳ καὶ διχονοίᾳ τραχηλιαζομένους, καθ᾽ ἡμέραν οἰκτρότερα πάσχειν, ὧν ἂν ἐπελθόντες αὐτοὶ διαθεῖεν τοὺς ἁλόντας. εἴτε οὖν τὸ ἀσφαλὲς τις σκοποίη, χρῆναι τοὺς ὑφ᾽ ἑαυτῶν ἀναλισκομένους ἐᾶν. εἴτε τὸ εὐκλεέστερον τοῦ κατορθώματος, οὐ δεῖ τοῖς οἴκοι νοσοῦσιν ἐπιχειρεῖν, ῥηθήσεται γὰρ εὐλόγως, οὐκ αὐτῶν τὴν νίκην, ἀλλὰ τῆς στάσεως. ταῦτα Οὐεσπασιανῷ λέγοντι, συνῄνουν οἱ ἡγεμόνες, καὶ παραχρῆμα τὸ στρατηγικὸν τῆς γνώμης ἀνεφαίνετο.

Πολλοὶ δὲ καθ᾽ ἡμέραν ηὐτομόλουν, τοὺς ζηλωτὰς διαδιδράσκοντες. χαλεπὴ δὲ ἦν ἡ φυγή, φρουραῖς διειληφότων τὰς διεξόδους πάσας, καὶ τὸν ὁπωσοῦν ἁλισκόμενον ὡς πρὸς Ῥωμαίους ἀπιόντα, διαχρωμένων. ὅ γε μὴν χρήματα δοὺς ἐξηφίετο, καὶ μόνος ἦν ὁ μὴ διδοὺς προδότης, ὥστε κατελείπετο, τῶν δυνατῶν ὠνουμένων τὴν φυγήν, μόνους ἀποσφάττεσθαι τοὺς πένητας. νεκροὶ δὲ κατὰ τὰς λεωφόρους πάσας ἐσωρεύοντο παμπληθεῖς, καὶ πολλοὶ τῶν ὡρμημένων αὐτομολεῖν, πάλιν τὴν ἔνδον ἀπώλειαν ᾑροῦντο. τὸ γὰρ ἐπὶ τῆς πατρίδος θάνατον ἐλπὶς ταφῆς ἐποίει μετριώτερον. οἱ δὲ εἰς τοσοῦτον ὠμότητος ἐξώκειλαν, ὡς μήτε τοῖς ἔνδον ἀναιρουμένοις, μήτε τοῖς ἀνὰ τὰς ὁδοὺς μεταδοῦναι γῆς, ἀλλὰ καθάπερ συνθήκας πεποιημένοι τοῖς τῆς πατρίδος συγκαταλῦσαι καὶ τοὺς τῆς φύσεως νόμους, ἅμα τε τοῖς εἰς ἀνθρώπους ἀδικήμασι συμμιᾶναι καὶ τὸ θεῖον, ὑφ᾽ ἡλίῳ τοὺς νεκροὺς μυδῶντας ἀπέλιπον. τοῖς δὲ θάπτουσί τινα τῶν προσηκόντων, ὃ καὶ τοῖς αὐτομολοῦσιν ἐπιτίμιον, θάνατος ἦν, καὶ δεῖσθαι παραχρῆμα ταφῆς ἔδει τὸν ἑτέρῳ χαριζόμενον. καθόλου τε εἰπεῖν, οὐδὲν οὕτως ἀπώλλυτο χρηστὸν πάθος ἐν ταῖς τότε συμφοραῖς, ὡς ἔλεος. ἃ γὰρ ἐχρῆν οἰκτείρειν, ταῦτα παρώξυνε τοὺς ἀλιτηρίους, καὶ ἀπὸ μὲν τῶν ζώντων ἐπὶ τοὺς ἀνῃρημένους, ἀπὸ δὲ τῶν νεκρῶν ἐπὶ τοὺς ζῶντας τὰς ὀργὰς μετέφερον, καὶ δι᾽ ὑπερβολὴν δέους, ὁ περιὼν τοὺς προληφθέντας ὡς ἀναπαυσαμένους ἐμακάριζεν. οἵ τε ἐν τοῖς δεσμωτηρίοις αἰκιζόμενοι, κατὰ σύγκρισιν, καὶ τοὺς ἀτάφους ἀπέφαινον

φαινον οἱ δαίμονας. κατεπατεῖτο μὲν οὖν πᾶς αὐτοῖς θεσμὸς ἀνθρώπων. ἐγελᾶτο δὲ τὰ θεῖα, καὶ τοὺς τῶν προφητῶν θεσμοὺς, ὥσπερ ἀγυρτικὰς λογοποιΐας ἐχλεύαζον. πολλὰ δὲ οὗτοι περὶ ἀρετῆς, καὶ κακίας προεθέσπισαν, ἃ παραβαίνοντες οἱ ζηλωταὶ, καὶ τὴν κατὰ τῆς πατρίδος προφητείαν τέλους ἠξίωσαν. ἦν γὰρ δή τις παλαιὸς λόγος ἀνδρῶν, ἔνθα τότε τὴν πόλιν ἁλώσεσθαι, καὶ καταφλεγήσεσθαι τὰ ἅγια νόμῳ πολέμου, στάσις ἐὰν κατασκήψῃ, καὶ χεῖρες οἰκεῖαι προμιαίνωσι τὸ τοῦ θεοῦ τέμενος. οἷς οὐκ ἀπιστήσαντες οἱ ζηλωταὶ διακόνους ἑαυτοὺς ἐπέδωσαν.

Κεφ. κγ. Ἤδη δὲ ἰωάννῃ τυραννιῶντι, τὸ πρὸς τοὺς ὁμοίους ἰσότιμον ἠδοξεῖτο, καὶ κατ᾽ ὀλίγους προσποιούμενος τῶν πονηροτέρων, ἀφηνίαζε τοῦ συντάγματος. ἀεὶ δὲ τοῖς μὲν τῶν ἄλλων δόγμασιν ἀπειθῶν, τὰ δὲ αὐτοῦ προστάσσων δεσποτικώτερον, δῆλος ἦν μοναρχίας ἀντιποιούμενος. εἶκον δὲ αὐτῷ, τινὲς μὲν δέει, τινὲς δὲ κατ᾽ εὔνοιαν. δεινὸς γὰρ ἦν ἀπάτῃ καὶ δόλῳ προσαγαγέσθαι. πολλοὶ δὲ πρὸς ἀσφαλείας ἡγούμενοι τῆς αὐτῶν, τὰς αἰτίας ἤδη τῶν τολμωμένων, ἐφ᾽ ἕνα, καὶ μὴ πολλοὺς ἀναφέρεσθαι. τό γε μὴν δραστήριον αὐτοῦ κατὰ τὴν χεῖρα, καὶ κατὰ γνώμην, δορυφόρους εἶχεν οὐκ ὀλίγους. πολλὴ δὲ μοῖρα τῶν ἀντικαθισταμένων ἀπελείπετο, παρ᾽ οἷς ἴσχυε μὲν καὶ φθόνος, δεινὸν ἡγουμένων ὑποτετάχθαι τῷ πρὶν ἰσοτίμῳ. τὸ πλέον δὲ δι᾽ λάβεια τῆς μοναρχίας ἀπέτρεπεν. οὔτε γὰρ καταλύσειν ῥαδίως ἤλπιζον αὐτὸν ἅπαξ κρατήσαντα, καὶ καθ᾽ ἑαυτῶν πρόφασιν ἕξειν, τὸ τὴν ἀρχὴν ἀντιπρᾶξαι. προῄρειτο δὲ πολεμῶν ἕκαστος ὁτιοῦν παθεῖν, ἢ δουλεύσας ἑκουσίως ἐν ἀνδραπόδου μοίρᾳ παραπολέσθαι. διαιρεῖται μὲν οὖν στάσις ἐκ τούτων, τοῖς ἐναντιωθεῖσιν ἰωάννης ἀντεβασίλευεν. ἀλλὰ τὰ μὲν πρὸς ἀλλήλους αὐτοῖς διὰ φυλακῆς ἦν, καὶ οὐδὲν ἢ μικρὸν εἴποτε διηκροβολίζοντο τοῖς ὅπλοις. μεῖζον δὲ κατὰ τοῦ δήμου, καὶ πότεροι πλείονα λείαν ἀνάξουσιν ἀντεφιλονείκουν. ἐπεὶ δὲ ἡ πόλις τρισὶ τοῖς μεγίστοις κακοῖς ἐχειμάζετο, πολέμῳ καὶ τυραννίδι, καὶ στάσει, κατὰ σύγκρισιν μετριώτερον ἦν τοῖς δημοτικοῖς ὁ πόλεμος. ἀμέλει διαδιδράσκοντες ἐκ τῶν οἰκείων, ἔφευγον πρὸς τοὺς ἀλλοτρίους, καὶ παρὰ ῥωμαίοις ἧς ἀπήλπισαν ἐν τοῖς ἰδίοις σωτηρίας, ἠξιοῦντο. τέταρτον δὲ ἤδη κακὸν ἐκινεῖτο πρὸς τὴν τοῦ ἔθνους κατάλυσιν.

Κεφ. κδ. Φρούριον ἦν οὐ πόῤῥω ἱεροσολύμων, καρτερώτατον ὑπὸ τῶν ἀρχαίων βασιλέων εἴς τε ὑπέκθεσιν κτήσεως ἐν πολέμου ῥοπαῖς, καὶ σωμάτων ἀσφάλειαν κατεσκευασμένον, ὃ ἐκαλεῖτο μασάδα. τοῦτο προκατειληφότες οἱ προσαγορευόμενοι σικάριοι. δέει γὰρ ἀνεστέλλοντο τῆς πλείονος ἁρπαγῆς. ὡς δὲ τὴν ῥωμαίων στρατιὰν ἠρεμοῦσαν, στάσει δὲ καὶ τυραννίδι ἰδίᾳ τοὺς ἐν ἱεροσολύμοις ἰουδαίους ἐπύθοντο διῃρημένους, ἁδροτέρων ἥπτοντο τολμημάτων. καὶ κατὰ τὴν ἑορτὴν τῶν ἀζύμων, ἣν ἄγουσιν ἰουδαῖοι σωτήρια ἐξόδου τῆς ὑπ᾽ αἰγυπτίοις δουλείας, ἀνεθέντες εἰς τὴν πάτριον γῆν, κατῆλθον νύκτωρ, τοὺς ἐμποδὼν ὄντας διαλαθόντες. καὶ πολίχνην τινὰ κατατρέχουσι καλουμένην ἐγγαδδί, ἐν ᾗ τὸ μὲν ἀμύνεσθαι δυνάμενον πρὶν ὅπλων ἅψασθαι, καὶ συνελθεῖν, φθάσαντες ἐσκέδασαν, καὶ τῆς πόλεως ἐξέβαλον.

A tiſſimos demonſtrabant. Omne quidem ab illis ius hominum calcabatur, ridebatur etiam diuinitas, prophetarúmque reſponſis tanquam vulgaribus fabulis illudebant. Cùm verò multa contempſiſſent de virtute ac vitiis ſtatuta maiorum, etiam quæ de patria olim prædicta fuerant, vera eſſe exitu probauêre. Vetus enim quidam ſermo ferebatur, tunc demum ciuitatem captum iri, ſancta quoque flammis exurenda eſſe lege belli, cùm ſeditio fuiſset exorta, B fanúmque Dei propriæ manus antè violaſſent. Quibus Zelotæ, nihil de eorum fide dubitantes, miniſtros ſe præbuerunt.

Cap. III. De Gadarenſium deditione & ſtrage.

At Ioannes iamdudum tyrannidem affectans, parem cum ſimilibus honorem habere dedecus exiſtimabat: paulatímque ſibi nequiores adiungens, ab eorum affectione ſeparabatur. Semper autem aliorum decretis nõ obediendo, ſuáque iubendo imperioſiùs, quòd ſolus dominari cuperet non latebat, eique ſo- C ciabantur nonnulli metu, alij gratia (mirus enim erat oratione atque fallacia perſuadere quæ vellet) multi verò propterea quòd ſibi tutum eſſe ducebant, priorum delictorum cauſas vni potiùs aſcribi quàm omnibus. Ad hæc quia manu ſtrenuus erat, & bonus conſilio, ſatellites non paucos habebat, etſi magna pars eum contrariæ factionis reliquerat. apud quos etiam liuor nonnihil valebat, graue putantes, vt paulò antè pari ſuccumberent. Plus au- D tem metus eos, ne ſub vnius poteſtate viuerent, exagitabat. nec enim facilè ſperabant eum, ſi ſemel obtinuiſſet, deiici poſſe: occaſionémque in ſe habiturum timebant, quod in principio reſtitiſſent. Proinde quiſque bello potiùs quiduis pati decreuerat, quàm ſponte ſeruiens mancipij loco perire. Hinc igitur ſeditio diuiditur, & Ioannes in contraria diſſentientibus parte regnabat. Sed inter ipſos quidem munita omnia erant cuſtodibus: ni- E hílque aut parum agebatur, ſi quando armis prælium laceſſebant. in populum verò vel maximè contentionem ſuſceperunt, & quis maiorem prædam caperet, vtrinque certabant. Cùm tamen ciuitas trium malorum ingentium tempeſtate laboraret, hoc eſt belli, dominationis, itémque ſeditionis, eorum comparatione bellum popularibus mediocrius videbatur. denique relictis ſedibus patriis ad alienigenas profugiebant, & Romanorum bene- F ficio ſalutem, quam inter ſuos deſperauerant, aſſequebantur. Quartum verò præterea malum commotum eſt gentis exitio. Haud procul ab Hieroſolymis caſtellum erat validiſſimum, reponendis opibus ad munimenta belli, tutandíſque corporibus ab antiquis regibus ædificatum, quod Maſſada dicebatur: id occupauerant, qui vocantur ſicarij, quòd à rapinis amplioribus timore continebantur. Hi G cùm Romanorum exercitum otioſum eſſe viderent, apud Hieroſolymam verò Iudæos dominatione atque diſcordia ſeceſſiſſe, maiora facinora aggrediuntur. Die feſto azymorum (qui apud Hebræos ad memoriã ſalutis, qua ex Ægyptiorum ſeruitio liberati, in terram patriam deuenerunt, ſolenniter celebratur) nocte deceptis, qui ſibi erant oppoſiti, municipium quoddam Engaddi inuaſêre: vbi pugna quidem Iudæos antè præuentos atque diſperſos, quàm arma caperent, ſiue concurrerent, ciuitate pepulêre.

eos verò, qui in fuga defecerunt, mulieres videlicet ac pueros, suprà septingentos interfecerunt. ædibúsque deinde compilatis, fructus quoque iam maturos depopulati in Massada portauerunt, & illi quidem omnes circum castellum vicos, totámque regionem populabantur, non paruo vndique perditorum ad eos numero in dies singulos confluente: simul autem concitati sunt etiam per singulos Iudææ tractus in latrocinia, qui interim quiescebant. Ac veluti in corpore, si quando principale membrum tumor afficit, omnia pariter ægrotare necesse est: ita propter ciuitatis tumultum atque discordiam, etiam qui foris erant nequissimi prædarum inuenêre licentiam. Singuli verò vicis propriis dilaceratis, deinde in solitudinem recedebant. Congregati autem & cateruatim coniurantes, exercitu quidem pauciores, plures verò quàm latrocinalis conspiratio, in templa & oppida ferebãtur. Et sequebatur quidem, vt in bello fieri solet, ab his eos malè affici quos petiissent. verùm præueniebatur vltio, cùm mox latrones à præda refugerent: nullàque pars erat Iudææ, quæ non vnà cum Hierosolymis præcellentissima ciuitate interiret. Hæc Vespasiano à transfugis indicabantur. nam licèt omnes exitus à seditiosis custodirentur, & cùm quis ad eos accessisset interficeretur, tamē erant, qui ad Romanos clàm profugerent: ducémque Romanorum & opem ferre ciuitati, & reseruati populi reliquias hortarētur. multos enim quòd bene Romanis vellent, periisse, multos adhuc in periculo dicebant esse superstites. Ille autem iam tum miserans eorum calamitates, propius ad eos velut Hierosolymam obsessurus accedit, re autē vera, vt ciuitatem obsidione liberaret: spe autem ante reliqua subigendi: nullúmque impedimētum extrinsecus obsidioni relinquendi. Cùm igitur venisset in Gadara, transamnanæ regionis metropolim validissimam, mensis Martij quarta die ciuitatē ingreditur. iam enim optimates, ignorantibus seditiosis, legatos ad eum de traditione miserant, tam pacis desiderio quàm suis patrimoniis metuentes. multi enim apud Gadara locupletes habitabant, quorum legationem inimici nesciebant, nisi quòd Vespasiano appropinquante id cognouerunt. Et ciuitatem quidem se retinere posse desperabāt, quòd & intestinis inimicis numero inferiores erant, neque procul abesse videbant à ciuitate Romanos. si verò fugere decreuissent, sine sanguine id facere, nullâque à noxiis pœna repetita, non honestum sibi putabant. Itaque Dolesum comprehēsum (namque is non dignitate solùm ac nobilitate ciuitatis princeps habebatur, sed etiam legationis autor erat) interficiunt: nimiâque iracundia mortuo verberato, extra ciuitatem dilapsi sunt. Iam verò propiùs accedente Romano exercitu, Gadarēsiū populus Vespasiano cum acclamationibus in ciuitatem recepto, fidei dextras ab eo accepit: equitúmque & peditum præsidia contra fugitiuorum excursus. muros enim priùs quàm id Romani peterēt, ipsi destruxerant: vt eo sibi fides esset, quòd pacē diligerēt, si bellū gerere ne volētes quidē posse viderētur. Vespasianus autem misso Placido cum D. equitibus ac tribus millibus peditum aduersus eos qui ex Gadaris fugerant,

τῷ δὲ φυγεῖν ἥττω ὄντα γύναιά τε καὶ παῖδας, ὑπὲρ ἑπτακοσίους ἀναιροῦσιν. ἔπειτα τούς τε οἴκους ἐξεσκευασμένοι, καὶ τῶν καρπῶν τοὺς ἀκμαίους ἁρπάσαντες ἀνήνεγκαν εἰς τὴν μασάδαν. καὶ οἱ μὲν ἐληΐζοντο πάσας τὰς περὶ τὸ φρούριον κώμας, καὶ τὴν χώραν ἐπόρθουν ἅπασαν, προσδιαφθειρομένων αὐτοῖς καθ' ἡμέραν ἑκασταχόθεν οὐκ ὀλίγων. ἐκινεῖτο δὲ καὶ τὰ ἄλλα τῆς ἰουδαίας κλίματα, τό τε τέως ἠρεμοῦν τὸ λῃστρικόν. καθάπερ δὲ ἐν σώματι τοῦ κυριωτάτου φλεγμαίνοντος πάντα τὰ μέλη συνενόσει, διὰ γοῦν τὴν ἐν μητροπόλει στάσιν καὶ ταραχὴν, ἄδειαν ἔσχον οἱ κατὰ τὴν χώραν πονηροὶ τῶν ἁρπαγῶν, καὶ τὰς οἰκείας ἕκαστος κώμας ἁρπάσαντες, ἔπειτα εἰς τὴν ἐρημίαν ἀφίσταντο, συναθροιζόμενοί τε καὶ συνομνύμενοι κατὰ λόχους, στρατιᾶς μὲν ὀλιγώτεροι, πλείους δὲ λῃστηρίου, προσέπιπτον ἱεροῖς καὶ πόλεσι. καὶ κακοῦσθαι μὲν συνέβαινεν, ἐφ' οὓς ὁρμήσειαν ὡς ἐν πολέμῳ καταληφθέντας. φθάνεσθαι δὲ τὰς ἀμύνας ὡς λῃστῶν ἅμα ταῖς ἁρπαγαῖς ἀποδιδρασκόντων. οὐδὲν δὲ μέρος ἦν τῆς ἰουδαίας, ὃ μὴ τῇ προανεχούσῃ πόλει συναπώλλυτο.

Κεφ. κε.

Ταῦτα οὐεσπασιανῷ παρὰ τῶν αὐτομόλων διηγγέλλετο. καίπερ γὰρ φρουρούντων τὰς ἐξόδους τῶν στασιαστῶν ἁπάσας, καὶ διαφθειρόντων τοὺς ὁπωσοῦν προσιόντας, ὅμως ἦσαν οἳ διελάνθανον, καὶ καταφεύγοντες εἰς τοὺς ῥωμαίους, τὸν στρατηγὸν ἐνῆγον ἀμῦναι τῇ πόλει, καὶ τὰ τοῦ δήμου περισῶσαι λείψανα. διὰ γὰρ τὴν πρὸς ῥωμαίους εὔνοιαν, ἀνῃρῆσθαί τε τοὺς πολλούς, καὶ κινδυνεύειν τοὺς περιόντας. ὁ δὲ οἰκτείρων ἤδη τὰς συμφορὰς αὐτῶν, τὸ μὲν δοκεῖν ἐκπολιορκήσων ἀνίσταται τὰ ἱεροσόλυμα, τὸ δ' ἀληθὲς, ἀπαλλάξων πολιορκίας. ἔδει δὲ προκαταστρέψασθαι τὰ λειπόμενα, καὶ μηδὲν ἔξωθεν ἐμπόδιον τῇ πολιορκίᾳ καταλιπεῖν. ἐλθόντων οὖν ἐπὶ τὰ γάδαρα μητρόπολιν τῆς περαίας καρτερὰν τετάρτῃ δύστρου μηνὸς, εἰσέρχεται εἰς τὴν πόλιν. καὶ γὰρ ἔτυχον οἱ δυνατοὶ λάθρα τῶν στασιωδῶν, πρεσβευσάμενοι πρὸς αὐτὸν περὶ παραδόσεως, πόθῳ τε εἰρήνης, καὶ διὰ τὰς οὐσίας. πολλοὶ δὲ τὰ γάδαρα κατῴκουν πλούσιοι. τούτων τὴν πρεσβείαν ἠγνοήκεσαν οἱ διάφοροι, πλησίον δὲ ἤδη ὄντος οὐεσπασιανοῦ διεπύθοντο, καὶ κατασχεῖν μὲν αὐτοὶ τὴν πόλιν ἀπέγνωσαν δύνασθαι, τῶν τε ἔνδον ἐχθρῶν πλήθει λειπόμενοι, καὶ ῥωμαίους ὁρῶντες οὐ μακρὰν τῆς πόλεως. φεύγειν δὲ κρίναντες ἠδόξουν ἀναιμωτὶ, καὶ μηδεμίαν παρὰ τῶν αἰτίων εἰσπραξάμενοι τιμωρίαν. συλλαβόμενοι δὲ τὸν δόλεσον, οὗτος γὰρ ἦν οὐ μόνον ἀξιώματι καὶ γένει τῆς πόλεως πρῶτος, ἀλλ' ἐδόκει καὶ τῆς πρεσβείας αἴτιος, κτείνουσί τε αὐτὸν, καὶ δι' ὑπερβολὴν ὀργῆς νεκρὸν αἰκισάμενοι, διέδρασαν ἐκ τῆς πόλεως. ἐπιούσης δὲ ἤδη τῆς ῥωμαϊκῆς δυνάμεως, ὁ δῆμος τῶν γαδαρέων μετ' εὐφημίας τὸν οὐεσπασιανὸν εἰσδεξάμενοι, δεξιὰς παρ' αὐτοῦ πίστεως ἔλαβον, καὶ φρουρὰν ἱππέων τε καὶ πεζῶν, πρὸς τὰς τῶν φυγάδων καταδρομάς. τὸ γὰρ τεῖχος αὐτοὶ πρὶν ἀξιῶσαι ῥωμαίους καθεῖλον, ὅπως εἴη πίστις αὐτοῖς τοῦ τὴν εἰρήνην ἀγαπᾶν, τὸ μηδὲ βουληθέντας πολεμεῖν. οὐεσπασιανὸς δὲ, ἐπὶ μὲν τοὺς διαδράντας ἐκ τῶν γαδάρων, πλάκιδον σὺν ἱππεῦσι πεντακοσίοις, καὶ πεζοῖς τρισχιλίοις πέμπει,

μετ

μετὰ δὲ τῆς ἄλλης στρατιᾶς ὑπέστρεψεν εἰς καισάρειαν. οἱ δὲ φυγάδες ὡς ἀφνίδιον τοὺς διώκοντας ἱππεῖς ἐθεάσαντο, πρὶν εἰς χεῖρας ἐλθεῖν, εἴς τινα κώμην συνειλοῦνται βηθενναβρὶν προσαγορευομένην. ἐν ᾗ νέων πλῆθος οὐκ ὀλίγον εὑρόντες, καὶ τοὺς μὲν ἑκόντας, τοὺς δὲ βίᾳ καθοπλίσαντες, εἰκαίως προπηδῶσιν ἐπὶ τοὺς περὶ τὸν πλάκιδον. οἱ δὲ πρὸς μὲν τὴν πρώτην ἐμβολὴν, ὀλίγον εἴξαν ἅμα καὶ προσκαλέσασθαι τεχνιτεύοντες αὐτοὺς ἀπὸ τοῦ τείχους πορρωτέρω. λαβόντες δὲ εἰς ἐπιτήδειον περιήλαυνόν τε, καὶ κατηκόντιζον. καὶ τὰς μὲν φυγὰς αὐτῶν, οἱ ἱππεῖς ὑπετέμνοντο, τὰς συμπλοκὰς δὲ τὸ πεζὸν εὐτόνως διέφθειρεν. καὶ μέντοι πλέον τι τόλμης ἐπιδεικνύμενοι οἱ ἰουδαῖοι διεφθείροντο. πεπυκνωμένοις γὰρ προσπίπτοντες τοῖς ῥωμαίοις, καὶ τῇ πανοπλίᾳ ὥσπερ τετειχισμένοις, αὐτοὶ μὲν οὐχ εὕρισκον βέλους παράδυσιν, οὐδὲ ἴσχυον ῥῆξαι τὴν φάλαγγα. διεπείροντο δὲ τοῖς ἐκείνων βέλεσι, καὶ τοῖς ἀγριωτάτοις παραπλήσιοι θηρίοις, ὥρμων ἐπὶ τὸν σίδηρον. διεφθείροντο δὲ οἱ μὲν κατὰ στόμα παιόμενοι τοῖς ξίφεσιν, οἱ δὲ ὑπὸ τῶν ἱππέων σκεδαννύμενοι. σπουδὴ γὰρ ἦν τῷ πλακίδῳ τὰς ἐπὶ τὴν κώμην ὁρμὰς αὐτῶν διακλείειν, καὶ συνεχῶς παρελαύνων κατ' ἐκεῖνο τὸ μέρος, ἔπειτα ἐπιστρέφων ἅμα, καὶ τοῖς βέλεσι χρώμενος, εὐστόχως ἀνῄρει τοὺς πλησιάζοντας, καὶ δέει τοὺς πόρρωθεν ἀνέστρεφε, μέχρι βίᾳ διεκπαίοντες οἱ γενναιότατοι πρὸς τὸ τεῖχος διέφυγον. ἀπορία δὲ εἶχε τοὺς φύλακας. οὔτε γὰρ ἀποκλεῖσαι τοὺς ἀπὸ τῶν γαδάρων ὑπέμενον, διὰ τοὺς σφετέρους, καὶ δεξάμενοι συναπολεῖσθαι προσεδόκων. ὃ δὴ καὶ συνέβη· συνωσθέντων γὰρ αὐτῶν εἰς τὸ τεῖχος, παρ' ὀλίγον μὲν οἱ τῶν ῥωμαίων ἱππεῖς συνεισέπεσον, οὐ μὴν ἀλλὰ καὶ φθασάντων ἀποκλεῖσαι τὰς πύλας, προσβαλὼν ὁ πλάκιδος, καὶ μέχρι δείλης γενναίως ἀγωνισάμενος, τοῦ τείχους, καὶ τῶν ἐν τῇ κώμῃ ἐκράτει. τὰ μὲν οὖν ἀργὰ πλήθη διεφθείρετο, φυγὴ δ' ἦν τῶν δυνατωτέρων, τὰς δ' οἰκίας οἱ στρατιῶται διήρπασαν, καὶ τὴν κώμην ἐνέπρησαν. οἱ δ' ἐκδράντες ἐξ αὐτῆς τοὺς κατὰ τὴν χώραν συνανέστησαν. καὶ τὰς μὲν αὐτῶν συμφορὰς ἐξαίροντες ἐπὶ μεῖζον, τὴν δὲ ῥωμαίων στρατιὰν πᾶσαν ἐπιέναι λέγοντες, πάντας πανταχόθεν ἐξέσεισαν τῷ δέει. γενόμενοί τε παμπληθεῖς, ἔφευγον ἐπὶ ἱεριχοῦντος. αὕτη γὰρ ἔτι μόνη τὰς ἐλπίδας αὐτῶν ἔθαλπε τῆς σωτηρίας, καρτερὰ τείχει τε, καὶ πλήθει οἰκητόρων τυγχάνουσα. πλάκιδος δὲ, τοῖς ἱππεῦσι, καὶ ταῖς προαγούσαις εὐπραγίαις τεθαρρηκὼς εἵπετο. καὶ μέχρι μὲν ἰορδάνου τοὺς ἀεὶ καταλαμβανομένους, ἀνῄρει. συνελάσας δὲ πρὸς τὸν ποταμὸν πᾶν τὸ πλῆθος εἰργομένους ἀπὸ τοῦ ῥεύματος, τραφὲν γὰρ ὑπ' ὄμβρων ἄβατον ἦν, ἀντικρὺ παρετάσσετο. παρώξυνε δὲ ἡ ἀνάγκη πρὸς μάχην, τῆς φυγῆς τόπον οὐκ ἔχοντας, καὶ ταῖς ὄχθαις ἐπὶ μήκιστον παρεκτείνοντες σφᾶς αὐτοὺς, ἐδέχοντο τὰ βέλη, καὶ τὰς τῶν ἱππέων ἐμβολὰς, οἳ πολλοὺς αὐτῶν παίοντες, εἰς τὸ ῥεῦμα κατέβαλον. καὶ τὸ μὲν ἐν χερσὶν αὐτῶν διαφθαρὲν, μύριοι πεντακισχίλιοι, τὸ δὲ βιασθὲν ἐμπηδῆσαι εἰς τὸν ἰορδάνην πλῆθος ἑκουσίως, ἄπειρον ἦν. ἑάλωσαν δὲ περὶ δισχιλίους καὶ διακοσίους, λεία τε παμπληθὴς ὄνων καὶ προβάτων, καὶ καμήλων καὶ βοῶν. ἰουδαίοις μὲν οὖν, οὐδὲν ἐλάττων ἥδε ἡ πληγὴ προσπεσοῦσα,

ipse cum cæteris militum copiis Cæsaream regreditur. At fugitiui postquam equites repente à tergo insequentes vidêre, priusquam in manus venirent, in vicum quendam, cui nomen est Bethenabro, se recepêre. vbi reperta non paucorum iuuenum multitudine, hisq; partim volētib⁹, partim vi armatis, temerè cōtra Placidū eiúsq; milites prosiliūt. Illi autem primo quidem impetu paululum recesserunt, ea simul arte, vt eos à muro longiùs prouocarent: deinde loco opportuno circundatos, telis agentes eminus sauciabant. Itaque fugientes quidem ab equitibus præueniebantur Iudæi: qui verò manus conseruissent, à peditibus trucidabantur, nihil plus audaciæ demonstrantes. condensos enim aggrediendo Romanos, armis non secus ac muro septos, ipsi quidem telis aditum non inueniebant, neque sufficiebant aciem rumpere: illorum autem transfigebantur telis, & immanissimis feris similes ruebant vltro in ferrum, & sternebantur, alij gladiis ora percussi, alij ab equitibus dissipati: quoniam cura erat Placido, cursum eorum à vico intercludere: assiduéque prætercurrens ea parte, cedentésque reflectēs, vnà etiam libratis sagittarum ictibus vtebatur: hísque proximos interficiebat. metu verò longè fugientes auertebat, donec elapsi qui fortiores erant ad murum effugêre. Eius autem custodes quid agerent nesciebant. Nec enim excludi Gadarenses suorum causa patiebantur: & si eos recepissent, vnà cum his se perituros videbant, quod etiam contigit. Illis enim compulsis ad murum, penè his Romanorum equites irrupêre. Portis autem antè præclusis, admoto milite Placidus ad vesperam vsque acerrimè oppugnato muro pariter ac vico potitus est: ibíque tunc vulgus quidem iners occidebatur, fortiores verò fugam petebant. domus verò à militibus diripiebantur, & vicus igni traditus est. Qui verò inde euaserant, tam secum illam regionem ad fugam incitarunt: & extollendo proprias calamitates in maius, totúmque Romanorum exercitum aduentare dicendo, metu omnes vndique commouerunt. plurimo autem numero aucti, in Hierichunta secesserunt. hæc enim etiam tunc eorum spem salutis fouebat, quòd esset valida & populosa. Placidus verò equitibus rebúsque an prosperè gestis fretus eos insequebatur: & vsque ad Iordanem quidem semper quos occupabat, morti dabat. omnem verò ad flumen coactam multitudinem, fluminis impetu prohibitam, quòd auctum imbribus vadum transire non poterant, aperto prælio aggreditur. Itaque necessitas eos ad pugnam compulit, quòd fugæ locum non haberent: prætentique ad ripæ longitudinem, tela equitum & incursus excipiebant. à quibus multi perculsi, in fluuium ceciderunt. nam qui manibus eorum cæsi sunt, tredecim millia fuerunt. alij cùm vim sustinere non possent, in Iordanem sponte desilierunt. erat autem numerus infinitus. & præterea capta sunt circiter duo millia virorum ac ducenti: cum præda maxima ouium & asinorū itémque camelorum & boū. Iudæis quidē hoc vulnus inflictum quamuis par superioribus,

maius tamen ſeipſo viſum eſt: non ſolùm quòd eam totam regionem quà fugerant, cæde repleuerant, ſed etiam quòd refertus mortuis Iordanis peruius non erat, & Aſphatites quoque lacus repletus erat cadaueribus, quæ per multa flumina deuoluta ſunt. Placidus autem ſecunda fortuna vſus, in vicos proximos & municipia contendit, captiſque Abila, & Iuliade, & Beſemoth, omnibúſque ad lacum Aſphaltitem vſque, idoneos ex transfugis vbique collocat. deinde milite ſcaphis impoſito, eos qui in lacum refugerant ſubegit. Et trans fluuium quidem tota regio Romanis ceſſit, & vbique omnia vſque ad Machærunta deuicta ſunt.

CAP. IIII. De captis oppidis quibuſdam, deſcriptióque ciuitatis Hierichuntinæ.

DVm hæc autem aguntur, motus circa Galliam nunciatur, & quòd Vindex vnà cum optimatibus indigenarum à Nerone defeciſſet: de quibus alibi diligentiùs ſcriptum eſt. Veſpaſianum verò ad impetum belli quæ nunciata ſunt incitarunt, iam tunc futura bella ciuilia totiúſq; imperij pericula proſpicientem: cùm ſi partes Orientis antè pacaſſet, minus Italiæ metuendum exiſtimaret. Obſtante autem hyeme, per ſubactos interim vicos atque oppida præſidia collocabat: & decuriones ciuitatibus apponens, multa etiam eorum quæ vaſtata fuerant inſtaurabat. Priùs tamen comitatus militum copiis quas Cæſaream adduxerat, in Antipatridem venit, ibique per biduum ciuitate compoſita, tertia die vaſtando, inflammando, omnémque ſubuertendo circum Thamnam toparchiam, in Lyddam & Iamniam procedebat. Et cùm ſeſe vtraque tradidiſſet, conſtitutis illic habitatoribus idoneis in Ammaunta peruenit: occupatóque ad metropolim earum aditu caſtra muro circundat. Quintáque in his relicta legione cum cætera manu in Bethlepton toparchiam proficiſcitur: eáque & vicina regione itémque circum Idumæam igne conſumptis, caſtella quidem locis opportunis muniuit. Captis autem duobus vicis in media Idumæa poſitis, hoc eſt Begabri & Caphartophan, pluſquam decem millia hominum peremit: propè autem ad mille cepit. exactáque inde cætera multitudine, non paruam militum ſuorum partem ibi conſtituit, qui omnia montana loca incurſando vaſtabant. Ipſe autem cum reliquo exercitu in Iamniam rediit: vnde per Samaritidem ac per Neapolim, quæ dicebatur ab indigenis Mabortha, ſecundo Iunij menſis die in Coream deſcendit: ibíque poſitis caſtris, poſtridie in Hierichunta peruenit: in qua vnus ei rectorum Traianus, quem è locis trans Iordanem ducebat, militem iungit, cunctis illic deuictis. Sed ex Hierichunte quidem multitudo ante Romanorum aduentum in aduerſam Hieroſolymis montanam regionem diffugerat: non pauci autem qui remanſère perimuntur. Deſolatam verò offenderat ciuitatem, cui in planicie ſitæ nudus mons ac ſterilis imminet, idémque longiſſimus. à Septentrionali enim regione vſque ad Scythopolitanos agros, à meridiana verò vſque ad terram Sodomiticã & Aſphaltitis lacus terminos extẽditur.

καὶ μείζων ἔδοξεν ἑαυτῆς, διὰ τὸ μὴ μόνον τὴν χώραν ἅπασαν δι' ἧς ἔφυγον πληρωθῆναι φόνου, μηδὲ νεκροῖς διαβατὸν γενέσθαι τὸν Ἰορδάνην, ἐμπλησθῆναι δὲ τῶν σωμάτων καὶ τὴν ἀσφαλτῖτιν λίμνην, εἰς ἣν παμπληθεῖς ὑπὸ τοῦ ποταμοῦ κατεσύρησαν. πλάκιδος δὲ δεξιᾷ τύχῃ χρώμενος, ὥρμησεν ἐπὶ τὰς πέριξ πολίχνας τε καὶ κώμας, καταλαμβανόμενός τε ἄβιλα, καὶ ἰουλιάδα καὶ βησιμὼθ, τάς τε μέχρι τῆς ἀσφαλτίτιδος πάσας, ἐγκαθίστησιν ἑκάστῃ τοὺς ἐπιτηδείους τῶν αὐτομόλων. ἔπειτα σκάφεσιν ἐπιβιβάσας τοὺς στρατιώτας ἀναιρεῖ τοὺς εἰς τὴν λίμνην καταφυγόντας. καὶ τὰ μὲν κατὰ τὴν περαίαν, προσεχώρησεν ἢ ἑάλω πάντα, μέχρι μαχαιροῦντος.

Κεφ. ις.

ΕΝ δὲ τούτῳ τὸ περὶ τὴν γαλατίαν ἀγγέλλεται κίνημα, καὶ οὐίνδιξ ἅμα τοῖς δυνατοῖς τῶν ἐπιχωρίων ἀφεστὼς νέρωνος, περὶ ὧν ἐν ἀκριβεστέροις ἀναγέγραπται. οὐεσπασιανὸν δὲ ἐπήγειρεν εἰς τὴν ὁρμὴν τοῦ πολέμου τὰ ἠγγελμένα, προορώμενον ἤδη τοὺς μέλλοντας ἐμφυλίους πολέμους, καὶ τὸν ὅλης κίνδυνον τῆς ἡγεμονίας, ἐν ᾧ προειρηνεύσας τὰ κατὰ τὴν ἀνατολὴν, ἐπικουφίζειν ᾤετο τοὺς κατὰ τὴν ἰταλίαν φόβους. ἕως μὲν οὖν ἐπεῖχεν ὁ χειμὼν, τὰς ὑπηγμένας ἠσφαλίζετο κώμας τε καὶ πολίχνας φρουραῖς. δεκαδάρχας μὲν κώμαις ἐγκαθιστάς, ἑκατοντάρχας δὲ πόλεσι. πολλὰ δὲ ἀνῴκιζε, καὶ τῶν πεπορθημένων. ὑπὸ δὲ τὴν ἀρχὴν τοῦ ἔαρος, ἀναλαβὼν τὸ πλέον τῆς δυνάμεως, ἤγαγεν ἀπὸ τῆς καισαρείας ἐπὶ ἀντιπατρίδος. ἔνθα δυσὶν ἡμέραις ἐγκαταστησάμενος τὴν πόλιν, τῇ τρίτῃ προῄει πορθῶν καὶ καίων τὰς πέριξ πάσας. καταστρεψάμενος δὲ τὰ περὶ τὴν θαμνᾶ τοπαρχίαν, ἐπὶ λύδδης καὶ ἰαμνείας ἐχώρει. καὶ προκεχειρωμένας ἑκατέρας ἐγκαταστήσας οἰκήτορας τῶν προσκεχωρηκότων ἱκανοὺς, εἰς ἀμμαοῦντα ἀφικνεῖται. καταλαβόμενος δὲ τὰς ἐπὶ τὴν μητρόπολιν αὐτῶν εἰσβολὰς, στρατόπεδόν τε τειχίζει, καὶ τὸ πέμπτον ἐν αὐτῇ τάγμα καταλιπὼν, πρόεισι μετὰ τῆς ἄλλης δυνάμεως ἐπὶ τὴν βεθλεπτηνφῶν τοπαρχίαν. πυρὶ δὲ αὐτήν τε καὶ τὴν γειτνιῶσαν ἀνελὼν, καὶ τὰ πέριξ τῆς ἰδουμαίας φρούρια τοῖς ἐπικαίροις τόποις ἐπετείχισε. καταλαβόμενος δὲ δύο κώμας, τὰς μεσαιτάτας τῆς ἰδουμαίας, βήταριν, καὶ καφαρτοβὰν, κτείνει μὲν ὑπὲρ μυρίους, αἰχμαλωτίζεται δὲ ὑπὲρ χιλίους, καὶ τὸ λοιπὸν πλῆθος ἐξελάσας, ἐγκαθίστησι τῆς ἰδίας δυνάμεως οὐκ ὀλίγον, οἳ καταρέχοντες ἐπόρθουν ἅπασαν τὴν ὀρεινήν. αὐτὸς δὲ μετὰ τῆς λοιπῆς δυνάμεως, ὑπέστρεφεν εἰς ἀμμαοῦντα, ὅθεν διὰ τῆς σαμαρείτιδος, καὶ παρὰ τὴν νεάπολιν καλουμένην, μαβαρθὰ δὲ ὑπὸ τῶν ἐπιχωρίων καταβὰς εἰς κορέας δευτέρᾳ δεσίου μηνὸς στρατοπεδεύεται. τῇ δὲ ἑξῆς, εἰς ἱεριχοῦντα ἀφικνεῖται, καθ' ἣν αὐτῷ συμμίσγει τραϊανὸς εἷς τῶν ἡγεμόνων, τὴν ἐκ τῆς περαίας ἄγων δύναμιν, ἤδη τῶν ὑπὲρ τὸν ἰορδάνην κεχειρωμένων. τὸ μὲν οὖν πολὺ πλῆθος ἐκ τῆς ἱεριχοῦντος φθάσαν τὴν ἔφοδον αὐτῶν, εἰς τὴν ἄντικρυ ἱεροσολύμων ὀρεινὴν διαπεφεύγει, καὶ καταληφθὲν δ' οὐκ ὀλίγον διαφθείρεται.

Κεφ. ιζ.

ΤΗν δὲ πόλιν ἔρημον κατειλήφεσαν, ἥτις ἵδρυται μὲν ἐν πεδίῳ, ψιλὸν δὲ ὑπέρκειται αὐτῇ καὶ ἄκαρπον ὄρος μήκιστον. κατὰ γὰρ τὸ βόρειον κλίμα μέχρι τῆς σκυθοπολιτῶν γῆς ἐκτείνεται, κατὰ δὲ τὸ μεσημβρινὸν, μέχρι τῆς σοδομιτῶν χώρας καὶ τῶν περάτων τῆς ἀσφαλτίτιδος.

ἔστι δὲ ἀνώμαλόν τε πᾶν, καὶ ἀοίκητον διὰ τὴν ἀγονίαν. ἀντίκειται δὲ τούτῳ, τὸ περὶ τὸν ἰορδάνην ὄρος, ἀρχόμενον ἀπὸ ἰουλιάδος, καὶ τῶν βορείων κλιμάτων. παρατείνων δὲ εἰς μεσημβρίαν ἕως σομόρρων, ἥπερ ὁρίζει τὴν πέτραν τῆς ἀραβίας. ἐν τούτῳ δὲ ἐστὶ καὶ τὸ σιδηροῦν καλούμενον ὄρος, μηκυνόμενον μέχρι τῆς μωαβίτιδος. ἡ μέση δὲ τῶν δύο ὀρέων χώρα, τὸ μέγα πεδίον καλεῖται, ἀπὸ κώμης γινναβρὶν, διῆκον μέχρι τῆς ἀσφαλτίτιδος λίμνης. ἔστι δ' αὐτοῦ μῆκος μὲν σταδίων χιλίων διακοσίων, εὖρος δὲ εἴκοσιν καὶ ἑκατὸν, καὶ μέσον ὑπὸ τοῦ ἰορδάνου τέμνεται. λίμνας τε ἔχει τήν τε ἀσφαλτῖτιν καὶ τὴν τιβεριέων, φύσιν ἐναντίας. ἡ μὲν γὰρ ἁλμυρώδης καὶ ἄγονος, ἡ τιβεριέων δὲ, γλυκεῖα καὶ γόνιμος. ἐκπυροῦται δὲ ὥρᾳ θέρους τὸ πεδίον, καὶ δι' ὑπερβολὴν αὐχμοῦ περιέχει νοσώδη τὸν ἀέρα. πᾶν γὰρ ἄνυδρον, πλὴν τοῦ ἰορδάνου, παρὸ καὶ τοὺς μὲν ἐπὶ ταῖς ὄχθαις φοινικῶνας εὐθαλεστέρους, καὶ πολυφορωτέρους εἶναι συμβέβηκεν. ἧττον δὲ τοὺς πόρρω κεχωρισμένους. παρὰ μέν τοι τὴν ἱεριχοῦντα, ἔστι πηγὴ δαψιλής τε, καὶ πρὸς ἀρδείας λιπαρωτάτη, παρὰ τὴν παλαιὰν ἀναβλύζουσα πόλιν, ἣν ἰησοῦς ὁ ναυῆ παῖς, στρατηγὸς ἑβραίων, πρώτην εἷλε γῆς χαναναίων δορίκτητον. ταύτην τὴν πηγὴν, λόγος ἔχει κατ' ἀρχὰς, οὐ μόνον γῆς καὶ δένδρων καρποὺς ἀπαμβλύνειν, ἀλλὰ καὶ γυναικῶν γονάς. καθόλου τε πᾶσιν εἶναι νοσώδη τε καὶ φθαρτικὴν, ἐξημερωθῆναι τε καὶ γενέσθαι τοὐναντίον ὑγιεινοτάτην, καὶ γονιμωτάτην, ὑπὸ ἐλισσαίου τοῦ προφήτου. γνώριμος δ' ἦν οὗτος ἡλία καὶ διάδοχος, ὃς ἐπιξενωθεὶς τοῖς κατὰ τὴν ἱεριχοῦντα, περισσὸν δή τι φιλοφρονησαμένων αὐτὸν τῶν ἀνθρώπων, αὐτούς τε ἀμείβεται, καὶ τὴν χώραν αἰωνίῳ χάριτι. προελθὼν γὰρ ἐπὶ τὴν πηγὴν, καὶ καταβαλὼν εἰς τὸ ῥεῦμα πλῆρες ἁλῶν ἀγγεῖον κεράμου, ἔπειτα εἰς οὐρανὸν δεξιὰν ἀνατείνας δικαίαν, καὶ πηγῇ σπονδὰς μειλικτηρίους χεόμενος, τὴν μὲν ᾐτεῖτο μαλάξαι τὸ ῥεῦμα, καὶ γλυκυτέρας φλέβας ἀνοῖξαι. τὸν δὲ, ἐγκεράσασθαι τῷ ῥεύματι γονιμωτέρους ἀέρας, δοῦναί τε ἅμα καὶ καρπῶν εὐθηνίαν τοῖς ἐπιχωρίοις, καὶ τέκνων διαδοχὴν, μηδὲ ἐπιλιπεῖν αὐτοῖς τὸ τούτων γεννητικὸν ὕδωρ, ἕως μένουσι δίκαιοι. ταύταις ταῖς εὐχαῖς πολλὰ προσχειρουργήσας, ἐξ ἐπιστήμης ἔτρεψε τὴν πηγὴν, καὶ τὸ πρὶν ὀρφανίας αὐτοῖς καὶ λιμοῦ παραίτιον ὕδωρ, ἐκ τότε εὐτεκνίας καὶ κόρου χορηγὸν κατέστη. τοσαύτην γοῦν ἐν ταῖς ἀρδείαις ἔχει δύναμιν, ὡς εἰ καὶ μόνον ἐφάψαιτο τῆς χώρας, νοσιμώτερον εἶναι τῶν μέχρι κόρου χρονιζόντων. παρὸ καὶ τῶν μὲν δαψιλέστερον χρωμένων, ἡ ὄνησίς ἐστιν ὀλίγη. τούτου δὲ τοῦ ὀλίγου δαψιλής. ἄρδει γοῦν πλείονα τῶν ἄλλων ἁπάντων, καὶ πεδίον μὲν ἐπέξεισιν ἑβδομήκοντα σταδίων μῆκος, εὖρος δὲ εἴκοσιν, ἐκτρέφει τε ἐν αὐτῷ παραδείσους καλλίστους τε καὶ πυκνοτάτους; τῶν δὲ φοινίκων ἐπαρδομένων γένη πολλὰ ταῖς γεύσεσι, καὶ ταῖς παρηγορίαις διάφορα. τούτων οἱ πιότεροι πατούμενοι, καὶ μέλι δαψιλὲς ἀνιᾶσιν, οὐ πολλῷ τοῦ λοιποῦ χεῖρον. καὶ μελιττοτρόφος δὲ ἡ χώρα. φέρει δὲ καὶ ὀποβάλσαμον, ὃ δὴ τιμιώτατον τῶν τῇδε καρπῶν, κύπρον τε, καὶ μυροβάλανον, ὡς οὐκ ἂν ἁμαρτεῖν τινὰ εἰπόντα, θεῖον εἶναι τὸ χωρίον,

totus autem aſper eſt, & quòd nihil gignat, non habitatur. Huic obiacet citra Iordanem mons alius, incipiens a Iuliade ac Septentrionali regione, prolixiùs autem in meridiem vſque ad Bacra, quæ Petram diſterminat Arabiæ ciuitatem. In hoc eſt etiam Ferreus mõs appellatus, ad Moabitidem vſque longus. Inter duos autem montes regio quæ Magnus campus vocatur, à Gennabara vico ad lacum Aſphaltidem vſque patens, habet ducentorum & triginta ſtadiorum longitudinem, latitudinem verò centum & viginti, mediúſque ab Iordane diuiditur. Sunt autem illic duo lacus, Aſphaltites & Tiberienſis natura contrarij. namque alter ſalſus ac ſterilis eſt, Tiberienſis vulgo dulcis & fœcundus. æſtatíſque tempore illa planicies ardore ſolis incenditur, & vitioſo opprimitur aeris tractu; omnibus circùm aridis præter Iordanem. vnde euenit, vt palmæ quæ in ripis ſunt magis floreant, & fertiliores ſint: minus autem quæ longè remotæ ſunt. Ad ipſam verò Hiericho largiſſimus fons eſt, rigandíſque aruis vberrimus, iuxta veterem ſcaturiens ciuitatem: quam Ieſus Naue filius, Hebræorum ductor, primã in Chananæorum terra bello poſſederat. Hunc fontem aliquando ferunt nõ ſolùm terræ atq; lignorum fructus, ſed etiam fœminarum partum obtundere ſolitum, cunctáq; pariter morbo ac peſte corrumpere. Poſtea verò manſueuiſſe, contráque ſaluberrimum ac feraciſſimum eſſe factum ab Heliſæo propheta: qui Heliæ notus fuerat atque ſucceſſerat. Receptus enim hoſpitio ab Hierichuntinis habitatoribus, quòd humaniores eos expertus erat, ipſos & omnem illam regionem perpetua gratia remuneratus eſt: progreſsúſque ad fontem, lagenam fictilem ſalis plenam in profluentem aquam miſit. Iuxtà deinde ad cœlum dexteram tendens, fontíque immergens blanda libamina ipſum quidem precabatur vt fluenta leniret, ac dulciores aquarum venas aperiret: Deum verò vt fœcundioribus auris flumina temperaret orabat: támque vbertatem fructuum quàm ſucceſſionem prolis daret indigenis, nec eos genitrix filiorum aqua deficeret, quoad iuſti manerent. ad has preces ex diſciplina manibus quoq; multa operatus, fontem immutauit: & qui antea cauſa erat his orbitatis ac famis, idem victus ac fœcunditatis autor eſt effectus. Denique rigationis eius tanta potentia eſt, vt ſi attigerit modo terram, ſapidior ſit, aquis diu perſeuerantibus. vnde eo quæ largiùs abutuntur, exiguum emolumentum habent: quæ verò parciùs, plurimum. Amplius tamen quàm cæteri fontes ſpacium rigat, & ſeptuaginta quidem ſtadiis longam, viginti autem latam planiciem permeat. optimos autem in ea paradiſos ac denſiſſimos educat, palmarúmque irriguatum genera, tam ſapore quàm nominibus varia: quarum pinguiſſimæ calcibus preſſæ, plurimum mellis emittunt, non multum alio melle deterius: quanquam & mellis altrix eſt illa regio, & opobalſami ferax, qui omnium cariſſimus eſt fructus ibi naſcentium. itémque cyprum & myrobalanum gignit: vt qui diuinum eſſe illũ tractũ dixerit, non errauerit.

vbi & larga & optima generantur quæ sunt cariſſima. Sed nec in aliis ei fructibus aliqua facilè toto orbe regio certauerit: adeò multiplicatum quod ſatum eſt reddit. Cuius rei cauſa mihi videtur eſſe aquarum vis læta, & aëris calor: cùm hic prouocet quæ nata fuerint atque diffundit: liquor autem firmis ſingula radicibus ſtringat, viréſque ſuggerat æſtiuo tempore: quo ſic peruſta eſt illa regio, vt nihil facilè procedat ac pullulet. aqua tamen, ſi ante ſolis ortum hauriatur, auræ ſpiritu refrigeſcit, naturámque contrariam aëri ſumit. hyeme verò contepeſcit, eáque merſis mitiſſima efficitur. Tanta eſt autem cœli temperies, vt quo tempore in alia Iudææ regione ningit, lino illic tantùm indigenæ veſtiantur. Diſtat autem ab Hieroſolymis C L. ſtadiis, & ab Iordane ſtadiis L X. totúmque habet à Hieroſolymis ſpatium deſertum atque ſaxoſum: ad Iordanem verò & lacum Aſphaltiten, licet humilius, æquè tamen incultum ac ſterile. Sed de Hiericho, quàm ſit fortunatiſſima, ſatis dictum eſt.

CAP. V. Lacus Aſphaltites.

COmmemoratione autem dignum puto, Aſphaltitis quoque naturam exponere lacus. Is enim ſalſus quidem ac ſterilis eſt: nimia verò leuitate, etiam quæ grauiſſima sũt, in eum iacta fluitant. demergi autem quis in profundum nec de induſtria facilè poteſt. Denique Veſpaſianus, qui eius viſendi cauſa illuc venerat, iuſſit quoſdam natandi inſcios, vinctis poſt terga manibus, in altum proiici: & euenit omnibus, tanquam vi ſpiritus ſurſum repulſos deſuper fluitare. Ad hæc mirabilis eſt coloris mutatio, quæ ter in ſingulos dies ſuperficiem vertit, & ſolis radiis variata reſplendet. Multis autem locis vomit nigras bituminis glebas, quæ ſuper vndam & habitu & magnitudine tauris ſine capitibus aſſimiles natant. Ad eas autem cùm lacus exercitores acceſſerint, nacti quod aggeſtum eſt, ad naues trahunt: & quia lentum eſt, repletas eas abrumpere nequeunt: ſed quaſi religata ſcapha, pendet à cumulo, donec menſtruo mulieris atque vrina ſoluatur. Eſt autem vtile non modò ad compagines nauium, ſed ad corporum etiam curationem multis remediis admiſcetur. longitudo lacus eſt quingentorum & octoginta ſtadiorum, qui ad Zoara vſque Arabiæ tenditur. latitudo autem centum quinquaginta ſtadiis patet. Huic Sodomitica terra vicina eſt: olim quidem tam fructibus quàm diuitiis ciuitatum fortunata, nunc autem omnis exuſta, vt quæ habitatorum impietate fulminibus cõflagraſſe memoratur. Deniq; adhuc in ea diuini reliquias ignis, & oppidorum quinque videre licet imagines, & renaſcentes in fructibus cineres: qui colore quidem ſunt edulibus ſimiles, carpentium verò manibus in fumum diſſoluuntur & cinerem. Terræ quidem Sodomiticæ fabula eiuſmodi fidem habet ex facie.

CAP. VI. Geraſæ deuaſtatio, ſimul de Neronis morte, Galbæ, & Othonis.

AT Veſpaſianus Hieroſolymorum habitatores concludi vndiq; cupiens apud Hiericho & Adidã caſtellis erectis, vtrobiq; auxiliariũ pariter ac Romanorũ prẹſidia collocat.

ἐν ᾧ δαψιλῆ τὰ σπανιώτατα καὶ κάλλιστα γίνεται. τῶν μὲν γὰρ ἄλλων αὐτοῦ καρπῶν ἕνεκεν, οὐκ ἂν ῥᾳδίως τι παραβληθείη κλίμα τῆς οἰκουμένης, οὕτω τὸ καταβληθὲν πολύχουν ἀναδίδωσιν. αἴτιον δέ μοι δοκεῖ τὸ θερμὸν τῶν ἀέρων, καὶ τὸ τῶν ὑδάτων εὔτονον, τοῦ μὲν προκαλουμένου τὰ φυόμενα, καὶ διαχέοντος, τῆς δὲ ἰκμάδος ῥιζούσης ἕκαστον ἰσχυρῶς, καὶ χορηγούσης τὴν ἐν θέρει δύναμιν. περικαὲς δ' ἐστὶν οὕτω τὸ χωρίον, ὡς μηδένα ῥᾳδίως προσιέναι. τὸ δὲ ὕδωρ πρὸ ἀνατολῆς ἀντλούμενον, ἔπειτα ἐξαιθριασθέν, γίνεται ψυχρότατον, καὶ τὴν ἐναντίαν πρὸς τὸ περιέχον φύσιν λαμβάνει. χειμῶνος δὲ, ἀνάπαλιν χλιαίνεται, καὶ τοῖς ἐμβαίνουσι γίνεται προσηνέστατον. ἔστι δὲ καὶ τὸ περιέχον οὕτως εὔκρατον, ὡς λινοῦν ἀμφιέννυσθαι τοὺς ἐπιχωρίους, νιφομένης τῆς ἄλλης Ἰουδαίας. ἀπέχει δ' Ἱεροσολύμων μὲν σταδίους ἑκατὸν πεντήκοντα, τοῦ δὲ Ἰορδάνου ἑξήκοντα. καὶ τὸ μὲν μέχρι Ἱεροσολύμων αὐτῆς, ἔρημον καὶ πετρῶδες. τὸ δὲ μέχρι τοῦ Ἰορδάνου καὶ τῆς Ἀσφαλτίτιδος, χθαμαλώτερον μὲν, ἔρημον δὲ ὁμοίως καὶ ἄκαρπον. ἀλλὰ τὰ μὲν περὶ Ἱεριχοῦντα εὐδαιμονεστάτην οὖσαν ἀποχρώντως δεδήλωται. ἄξιον δὲ ἀφηγήσασθαι, καὶ τὴν φύσιν τῆς Ἀσφαλτίτιδος λίμνης, ἥτις ἐστὶ μὲν ὡς ἔφην πικρὰ, καὶ ἄγονος, ὑπὸ δὲ κουφότητος, καὶ τὰ βαρύτατα τῶν εἰς αὐτὴν ῥιφέντων ἀναφέρει, καταδῦναι δὲ εἰς τὸν βυθὸν, οὐδὲ ἐπιτηδεύσαντα ῥᾴδιον. ἀφικόμενος γοῦν καθ' ἱστορίαν ἐπ' αὐτὴν Οὐεσπασιανὸς ἐκέλευσέ τινας τῶν νεῖν οὐκ ἐπισταμένων, δεθέντας ὀπίσω τὰς χεῖρας ῥιφῆναι κατὰ τοῦ βυθοῦ, καὶ συνέβη πάντας ἐπινήξασθαι καθάπερ ὑπὸ πνεύματος ἄνω βιαζομένους. ἔστι δὲ ἐπὶ τούτῳ, καὶ ἡ τῆς χρόας μεταβολὴ θαυμάσιος. τρὶς γὰρ ἑκάστης ἡμέρας τὴν ἐπιφάνειαν ἀλλάσσεται, καὶ πρὸς τὰς ἡλιακὰς ἀκτῖνας ἀνταυγεῖ ποικίλως. τῆς μέντοι ἀσφάλτου κατὰ πολλὰ μέρη, βώλους μέλανας ἀναδίδωσιν. αἱ δὲ ἐπινήχονται τό τε σχῆμα, καὶ τὸ μέγεθος, ταύροις ἀκεφάλοις παραπλήσιαι. προσελαύνοντες δὲ οἱ τῆς λίμνης ἐργάται, καὶ δρασσόμενοι τοῦ συνεστῶτος, ἕλκουσιν εἰς τὰ σκάφη. πληρώσασι δὲ ἀποκόπτειν οὐ ῥᾴδιον, ἀλλὰ δι' εὐτονίαν προσήρτηται τῷ μηρύματι τὸ σκάφος, ἕως αἱ ἐμμηνίῳ γυναικῶν αἵματι, καὶ οὔρῳ διαλύσωσιν αὐτήν, οἷς μόνοις εἴκει. καὶ χρήσιμος δὲ οὐ μόνον εἰς ἁρμονίας νεῶν, ἀλλὰ καὶ πρὸς ἄκεσιν σωμάτων, εἰς πολλὰ γοῦν τῶν φαρμάκων παραμίσγεται. ταύτης τῆς λίμνης, μῆκος μὲν ὀγδοήκοντα καὶ πεντακόσιοι στάδιοι, καθὸ δὴ μέχρι Ζοάρων τῆς Ἀραβίας ἐκτείνεται, εὖρος δὲ πεντήκοντα καὶ ἑκατόν. γειτνιᾷ δὲ ἡ Σοδομῖτις αὐτῇ, πάλαι μὲν εὐδαίμων γῆ, καρπῶν τε ἕνεκα, καὶ τῆς κατὰ πόλεις περιουσίας. νῦν δὲ κεκαυμένη πᾶσα. φασὶ δὲ ὡς δι' ἀσέβειαν οἰκητόρων κεραυνοῖς καταφλεγῆναι. ἔστι γοῦν ἔτι λείψανα τοῦ θείου πυρὸς, καὶ πέντε μὲν πόλεων ἰδεῖν σκιάς. ἔστι δὲ κἀν τοῖς καρποῖς σποδιὰν ἀναγεννωμένην, οἳ χρόαν μὲν ἔχουσι τοῖς ἐδωδίμοις ὁμοίαν, δρεψαμένων δὲ χερσὶν, εἰς καπνὸν διαλύονται καὶ τέφραν. τὰ μὲν δὴ περὶ τὴν Σοδομίτην μυθευόμενα, τοιαύτην ἔχει πίστιν ἀπὸ τῆς ὄψεως.

Κεφ. κη.

Ὁ δὲ Οὐεσπασιανὸς, πανταχόθεν περιτειχίζων τοὺς ἐν τοῖς Ἱεροσολύμοις, ἔν τε τῇ Ἱεριχοῖ, καὶ ἐν Ἀδίδοις ἐγείρει στρατόπεδα, καὶ φρουρὰς ἀμφοτέραις ἐγκαθίστησιν ἔκ τε τοῦ Ῥωμαϊκοῦ καὶ συμμαχικοῦ τάγματος.

πέμπει

πέμπει δὲ καὶ εἰς Γέρασα Λεύκιον Ἄννιον, παραδοὺς μοῖραν ἱππέων, καὶ συχνοὺς πεζούς. ὁ μὲν οὖν ἐξ ἐφόδου ἑλὼν τὴν πόλιν, ἀποκτείνει μὲν χιλίους τῶν νέων, ὅσοι μὴ διαφυγεῖν ἔφθασαν. γενεὰς δὲ ᾐχμαλωτίσατο, καὶ τὰς κτήσεις διαρπάσαι τοῖς στρατιώταις ἐπέτρεψεν. ἔπειτα τὰς οἰκίας ἐμπρήσας, ἐπὶ τὰς πέριξ κώμας ἐχώρει. φυγαὶ δὲ ἦσαν τῶν δυνατῶν, καὶ φθοραὶ τῶν ἀσθενεστέρων. τὸ καταληφθὲν δὲ πᾶν ἐνεπίπρατο, καὶ διειληφότος τοῦ πολέμου, τήν τε ὀρεινὴν ὅλην, καὶ τὴν πεδιάδα πᾶσαν, οἱ ἐν τοῖς Ἱεροσολύμοις τὰς ἐξόδους ἀφῄρηντο. τοὺς μὲν γὰρ αὐτομολεῖν προαιρουμένους οἱ ζηλωταὶ παρεφυλάσσοντο. τοὺς δὲ οὔπω τὰ Ῥωμαίων φρονοῦντας, εἶργεν ἡ στρατιὰ, πανταχόθεν τὴν πόλιν περιέχουσα.

Κεφ. κθ.

Οὐεσπασιανῷ δὲ εἰς Καισάρειαν ἐπιστρέψαντι, καὶ κατασκευαζομένῳ μετὰ πάσης τῆς δυνάμεως ἐπ' αὐτῶν τῶν Ἱεροσολύμων ἐξελαύνειν, ἀγγέλλεται Νέρων ἀνῃρημένος, τρισκαίδεκα βασιλεύσας ἔτη καὶ ἡμέρας ὀκτώ, περὶ οὗ λέγειν ὃν τρόπον εἰς τὴν ἀρχὴν ἐξύβρισε πιστεύσας τὰ πράγματα τοῖς πονηροτάτοις, Νυμφιδίῳ καὶ Τιγελλίνῳ, τοῖς γε ἀναξίοις τῶν ἐξελευθέρων, καὶ ὡς ὑπὸ τούτων ἐπιβουλευθεὶς, κατελείφθη μὲν ὑπὸ τῶν φυλάκων ἁπάντων, διαδρὰς δὲ σὺν τέτρασι τῶν πιστῶν ἀπελευθέρων, ἐν τοῖς προαστείοις ἑαυτὸν ἀνεῖλε. καὶ ὡς οἱ καταλύσαντες αὐτὸν, μετ' οὐ πολὺν χρόνον δίκας ἔδοσαν. τόν τε κατὰ τὴν Γαλατίαν πόλεμον ὡς ἐτελεύτησε, καὶ πῶς Γάλβας ἀποδειχθεὶς αὐτοκράτωρ εἰς Ῥώμην ἐπανῆλθεν ἐκ τῆς Ἱσπανίας. καὶ ὡς ὑπὸ τῶν στρατιωτῶν αἰτιαθεὶς ἐπὶ ταπεινοφροσύνῃ, ἐδολοφονήθη κατὰ μέσην τὴν Ῥωμαίων ἀγορὰν, ἀπεδείχθη τε αὐτοκράτωρ Ὄθων, τήν τε τούτου στρατείαν ἐπὶ τοὺς Οὐιτελλίου στρατηγοὺς καὶ κατάλυσιν. ἔπειτα τοὺς κατὰ Οὐιτέλλιον ταράχους, καὶ τὴν περὶ τὸ Καπιτώλιον συμβολὴν, ὅπως τε Ἀντώνιος Πρίμος καὶ Μουκιανὸς, διαφθείραντες Οὐιτέλλιον, καὶ τὰ Γερμανικὰ τάγματα, κατέστειλαν τὸν ἐμφύλιον πόλεμον. πάντα ταῦτα διεξιέναι μὲν ἀπ' ἀκριβὲς παρῃτησάμην, ἐπειδὴ δι' ὄχλου πᾶσίν ἐστι, καὶ πολλοῖς Ἑλλήνων τε καὶ Ῥωμαίων ἀναγέγραπται. συναφείας δὲ ἕνεκα τῶν πραγμάτων, καὶ τοῦ μὴ διηρτῆσθαι τὴν ἱστορίαν, κεφαλαιωδῶς ἕκαστον ἐπεσημηνάμην. Οὐεσπασιανὸς τοίνυν τὸ μὲν πρῶτον, ἀνεβάλλετο τὴν τῶν Ἱεροσολύμων στρατείαν, καραδοκῶν πρὸς τίνα ῥέψει τὸ κράτος μετὰ Νέρωνα. αὖθις δὲ Γάλβαν ἀκούσας αὐτοκράτορα, πρὶν ἐπιστεῖλαί τι περὶ τοῦ πολέμου κἀκεῖνον οὐκ ἐπεχείρει. πέμπει δὲ πρὸς αὐτὸν καὶ τὸν υἱὸν Τίτον, ἀσπασόμενον καὶ ληψόμενον τὰς περὶ Ἰουδαίων ἐντολάς. τῆς αὐτῆς δὲ αἰτίας ἅμα Τίτῳ καὶ Ἀγρίππας ὁ βασιλεὺς πρὸς Γάλβαν ἔπλει. καὶ διὰ Ἀχαΐας, χειμῶνος γὰρ ἦν ὥρα, μακραῖς ναυσὶ πλεόντων, φθάνει Γάλβας ἀναιρεθεὶς, μετὰ μῆνας ἑπτὰ, καὶ ἴσας ἡμέρας, ἐξ οὗ τὴν ἡγεμονίαν παρέλαβεν Ὄθων, ἀντιποιούμενος τῶν πραγμάτων. ὁ μὲν οὖν Ἀγρίππας εἰς τὴν Ῥώμην ἀφικέσθαι διέγνω, μηδὲν ὀρρωδήσας πρὸς τὴν μεταβολήν. Τίτος δὲ κατὰ δαιμόνιον ὁρμὴν ἀπὸ τῆς Ἑλλάδος εἰς τὴν Συρίαν ἔπλει, καὶ κατὰ τάχος εἰς Καισάρειαν ἀφικνεῖται πρὸς τὸν πατέρα. καὶ οἱ μὲν μετέωροι περὶ τῶν ὅλων ὄντες, ὡς ἂν σαλευομένης τῆς Ῥωμαίων ἡγεμονίας, ὑπερεώρων τὴν ἐπὶ Ἰουδαίους στρατείαν, καὶ διὰ τὸν περὶ τῆς πατρίδος φόβον, τὴν ἐπὶ τοὺς ἀλλοφύλους ὁρμὴν, ἄωρον ἐνόμιζον.

A Mittit autem Gerasam L. Annium equitatus ei parte multísque peditibus attributis. Qui primo aggressu ciuitate capta, mille iuuenum, qui ne fugerent præuenti erant, interficit: familias captiuas ducit, bona militibus prædari permittit. Incensis deinde domibus, proximos petiit. Erat autem fuga potentium & interitus infirmorum: quódque occupatum fuisset, flammis dabatur: omnibúsque tam montanis locis quàm tota planicie bello oppressis, apud B Hierosolymam degentes exeundi copiam non habebant: cùm transfugere quidem cupientes à Zelotis asseruarentur, eos verò, qui etiam tunc à Romanis diffidebant, vndique ciuitate vallata cohiberet exercitus. Vespasiano autem Cæsaream reuerso, & cum omnibus copiis in ipsam Hierosolymam proficisci paranti nunciatur Nero peremptus, cùm per annos tredecim & octo dies imperasset. De quo re-C ferre, quemadmodum dehonestarit imperium, nequissimis hominibus Nymphidio, & Tigillino, & indignissimis libertorum permissa republica: quódque horum captus insidiis, ab omnibus suis senatoribus destitutus, cum quatuor libertis fidelibus in suburbanum fugerit, ibíque semet occiderit, & quòd multo pòst tempore, qui eum deposuerant, pœnas dederint: bellúmque per Galliam quo pacto desierit, & quòd Galba creatus Imperator, Romam redierit ab Hispania: & quemadmodum D incusatus à militibus, tanquam humilioris esset animi, in medio foro necatus sit, & Otho declaratus sit Imperator, milítésque suos contra Vitellij duxerit exercitum: necnon & Vitellij turbas, & circum capitolium pugnam: & quemadmodum Antonius Primus & Mutianus Vitellium interfecerint, & Germanorum agmina bellúmque ciuile sedauerint: hæc omnia recusaui narrare, confidens quòd à mul-E tis Græcorum itémque Romanorum ea cuncta copiosè perscripta sunt. ordinis autem rerum continuandi gratia, ac ne intercisa pendeat historia, summatim singula designaui. Igitur Vespasianus primo quidem in Hierosolymam expeditionem differebat, expectans quónam vergeret imperium post Neronem. deinde vbi Galbam imperare cognouit, nihil conari decreuerat, priusquam ille quoque ad se de bello aliquid perscriberet. Mittit autem F ad eum Titum filium suum & salutatum simul, & vt de Iudæis mandata acciperet. Ob easdem causas & rex Agrippa nauigauit ad Galbam. Sed dum Achaiam, quòd hyems erat, longis nauibus præteruehuntur, interfici Galbam contigit, septem mensibus post & totidem diebus. Deinde Otho suscepit imperium, ac tres menses rempub. gubernauit. Agrippa verò nihil mutatione deterritus, Romam pergere statuit. Titus verò diuino quodam im-G pulsu, ex Achaia ad Syriam nauigat, & maturè inde Cæsaream venit ad patrem. Suspensi autem de omnibus quasi nutante Romano Imperio, Iudæorum militiam negligebant. patriæ quoque metuentes, aggredi alienigenas importunum arbitrabantur.

CAP. VII. De Simone Geraſeno, nouæ conſpirationis principe.

A Ntérea tamen bellum aliud in Hieroſolyma excitatur. Erat Simon Gioræ filius, patria Geraſenus, ætate iuuenis, ſed calliditate poſterior Ioanne, à quo iam pridem ciuitas poſſidebatur, viribus autem corporis audaciáque præſtantior. ob quam ex Acrabatena quoque toparchia, cuius rector erat, pulſus ab Anano pontifice, ad latrones peruenerat, qui Maſſadam occuparant. Is autem primò quidem ita ſuſpectus erat, vt eum ad inferius caſtellum cum mulieribus, quas ſecum B adduxerat, tranſire permitterent, ipſi excelſius incolentes, rurſus autem propter neceſſitudinem morum, fidelis eſſe videbatur. nam & ductor erat prædatum exeuntibus, & cum ipſis territorium Maſſade populabatur. nec tamen eos ad maiora exhortando metuebat. dominandi enim cupidus magnorúmque appetens, quia mortem Anani comperit, in montana loca diſceſſit ac voce præconum ſeruis libertate promiſſa, itémq; liberis præmio, C cunctos qui vbique fuerunt nequiſſimos congregauit. Iámque validis conflatis copiis, montanos vicos diripiebat. Semper autem accedentibus pluribus ſociis, audebat etiam in humiliora loca deſcendere, & ciuitatibus quoque iam terribilis erat: multóſque potentium vis eius & proſperè geſta ſolicitabant. nec iam ſeruorum tantùm ſiue latronum exercitus erat, ſed multorum etiam popularium, tanquam regi parebat obſequium. Ex- D curſus autem agebatur in Acrabatenam toparchiam: & in maiorem vſque Idumæam. Vicum enim cui nomen eſt Nain, muro amplexus, ad tuitionem ſui pro caſtello habebat. In valle autem quæ appellatur Pharan, multas quidem dilatauit ſpelūcas: multas verò paratas inuenit, atque his conditorum prædæ receptaculis vtebatur. Quin & direptos illic fructus reponebat, multæque cateruæ diuerſabantur:neque dubitabatur, quòd in Hie- E roſolymam copiis & apparatu prælu deret. Vnde inſidias veriti Zelotæ, ac præuenire eum qui contra ſe creſceret cupientes, plerique cum armis egrediuntur. His autem Simon occurrit, commiſſóque prælio multos occidit, & reliquos compellit in oppidum. Nondum autem viribus fretus, ab obſidione deterretur. Priùs autem Idumæam ſubiugare conatus eſt. Itaque cum xx. millibus armatorum ad fines eius properabat. Idumæorum au- F tem principes maturè ex agris vigintiquinque ferè milibus pugnacium ciuium congregatis, pluribus autem qui ſua ſeruarent domi relictis, propter ſicariorum qui Maſſadæ verſabantur incurſus, Simonem in finibus præſtolabantur. vbi conflictu habito, ac per totum diem tracto prælio neque victor, neque victus abſceſſit. Et ipſe quidem in Nain vicum, Idumæi verò domum regreſſi ſunt. Non multo autem pòſt, Simon cum maioribus copiis G eorum fines petebat: caſtríſque in quodam vico cui nomen eſt Thécue poſitis, ad cuſtodes Herodij, quod non longè aberat, de ſociis ſuis Eleazarū miſit, vt caſtellū traderent perſuaſurū: quem quidem ſine mora ſuſcepêre cuſtodes,

Κεφ. λ.

Επανίσταται δὲ ἄλλος τοῖς ἱεροσολύμοις πόλεμος. υἱὸς ἦν γιώρα, σίμων τις γερασηνὸς τὸ γένος νεανίας, πανουργίᾳ μὲν ἡττώμενος ἰωάννου προκατέχοντος ἤδη τὴν πόλιν. ἀλκῇ δὲ σώματος, καὶ τόλμῃ διαφέρων, δι' ἣν καὶ ὑπὸ ἀνάνου τοῦ ἀρχιερέως φυγαδευθεὶς ἐξ ἧς εἶχε τοπαρχίας ἀκραβατηνῆς πρὸς τοὺς κατειληφότας τὴν μάσαδα λῃστὰς παραγίνεται. τὸ μὲν οὖν πρῶτον ἦν αὐτοῖς δι' ὑποψίας, εἰς τὸ κατωτέρω γοῦν φρούριον, ἐπέτρεψαν αὐτῷ παρελθεῖν ἅμα ταῖς γυναιξὶν, ἃς ἄγων ἧκεν, αὐτοὶ τὸ ὑψηλότερον οἰκοῦντες. αὖθις δὲ διὰ συγγένειαν ἠθῶν, καὶ ὅτι πιστὸς ἐδόκει, συμπρονομεύει γοῦν αὐτοῖς ἐξιὼν, καὶ συνεπόρθει τὰ περὶ τὴν μάσαδα, οὐ μὴν ἐπὶ τὰ μείζω παρακαλῶν ἔπειθεν. οἱ μὲν γὰρ ἐν ἔθει ὄντες τῷ φρουρίῳ, καθάπερ φωλεοῦ χωρίζεσθαι μακρὰν ἐδεδοίκεσαν. ὁ δὲ τυραννιῶν, καὶ μεγάλων ἐφιέμενος, ἐπειδὴ καὶ τὴν ἀνάνου τελευτὴν ἤκουσεν, εἰς τὴν ὀρεινὴν ἀφίσταται, καὶ προκηρύξας δούλοις μὲν ἐλευθερίαν, γέρας δὲ ἐλευθέροις, τοὺς πανταχόθεν πονηροὺς συνήθροιζεν. ὡς δὲ ἦν αὐτῷ καρτερὸν τὸ σύνταγμα ἤδη, τὰς ἀνὰ τὴν ὀρεινὴν κώμας κατέτρεχεν. ἀεὶ δὲ προσγινομένων πλειόνων, ἐθάρρει καταβαίνειν εἰς τὰ χθαμαλώτερα. κἀπειδὴ πόλεσιν ἤδη φοβερὸς ἦν, πολλοὶ πρὸς τὴν ἰσχὺν, καὶ τὴν εὔροιαν τῶν κατορθωμάτων ἐφθείροντο δυνατοὶ, καὶ οὐκ ἔτι ἦν δούλων μόνον, οὐδὲ λῃστῶν στρατὸς, ἀλλὰ καὶ δημοτικῶν οὐκ ὀλίγων, ὡς πρὸς βασιλέα πειθαρχία. κατέτρεχε δὲ τὴν ἀκραβατηνὴν τοπαρχίαν, καὶ τὰ μέχρι τῆς μεγάλης ἰδουμαίας. κατὰ γὰρ κώμην τινὰ καλουμένην ναῒν τεῖχος κατασκευάσας, ὥσπερ φρουρίῳ πρὸς ἀσφάλειαν ἐχρῆτο. κατὰ δὲ τὴν φαρὰν προσαγορευομένην φάραγγα, πολλὰ μὲν ἀνευρύνας σπήλαια, πολλὰ δὲ εὑρὼν ἕτοιμα, ταμιείοις ἐχρῆτο θησαυρῶν, καὶ τῆς λείας ἐκδοχείοις. ἀνετίθει δὲ καὶ τοὺς ἁρπαζομένους εἰς αὐτὰ καρποὺς, οἵ τε πολλοὶ τῶν λόχων δίαιταν εἶχον ἐν ἐκείνοις. δῆλος δὲ ἦν τό τε σύνταγμα προγυμνάζων, καὶ τὰς παρασκευὰς κατὰ τῶν ἱεροσολύμων. ὅθεν οἱ ζηλωταὶ δείσαντες αὐτοῦ τὴν ἐπιβουλὴν, καὶ προλαβεῖν βουλόμενοι τὸν κατ' αὐτῶν τρεφόμενον, ἐξίασι μετὰ τῶν ὅπλων οἱ πλείους. ὑπαντιάζει δὲ σίμων, καὶ παραταξάμενος, συχνοὺς μὲν αὐτῶν ἀναιρεῖ, συνελαύνει δὲ τοὺς λοιποὺς εἰς τὴν πόλιν. οὔπω δὲ θαρρῶν τῇ δυνάμει, τοῦ μὲν τοῖς τείχεσι προσβαλεῖν ἀπετράπη. χειρώσασθαι δὲ πρότερον τὴν ἰδουμαίαν ἐπεβάλλετο. καὶ δὴ δισμυρίους ἔχων ὁπλίτας, ἤλαυνεν ἐπὶ τοὺς ὅρους αὐτῆς. οἱ δὲ ἄρχοντες τῆς ἰδουμαίας κατὰ τάχος ἀθροίσαντες ἐκ τῆς χώρας τὸ μαχιμώτατον, περὶ πεντακισχιλίους καὶ δισμυρίους, τοὺς δὲ λοιποὺς ἐάσαντες φρουρεῖν τὰ σφέτερα, διὰ τὰς τῶν ἐν μασάδᾳ σικαρίων καταδρομὰς, ἐδέχοντο τὸν σίμωνα πρὸς τοῖς ὅροις, ἔνθα συμβαλὼν αὐτοῖς, καὶ δι' ὅλης πολεμήσας ἡμέρας, οὔτε νενικηκὼς, οὔτε νενικημένος διεκρίθη. καὶ ὁ μὲν εἰς τὴν ναῒν, οἱ δὲ ἰδουμαῖοι διελύθησαν ἐπ' οἴκου. καὶ μετ' οὐ πολὺ, σίμων μείζονι δυνάμει πάλιν εἰς τὴν χώραν αὐτῶν ὥρμητο· στρατοπεδευσάμενος δὲ κατά τινα κώμην, ἣ θεκουὲ καλεῖται, πρὸς τοὺς ἐν ἡρωδείῳ φρουροὺς, ὅπερ ἦν πλησίον, ἐλεάζαρόν τινα τῶν ἑταίρων ἔπεμψε, πείσοντα παραδοῦναι τὸ ἔρυμα. τοῦτον οἱ φύλακες ἑτοίμως ἐδέξαντο,

τὴν

τὴν αἰτίαν ἀγνοοῦντες δι' ἣν ἥκοι. φθεγξάμενοι δὲ περὶ παραδόσεως, ἐδίωκον σπασάμενοι τὰ ξίφη, μέχρι φυγῆς τόπον οὐκ ἔχων, ἔρριψεν ἀπὸ τοῦ τείχους ἑαυτὸν εἰς τὴν ὑποκειμένην φάραγγα. καὶ ὁ μὲν αὐτίκα τελευτᾷ. τοῖς δὲ ἰδουμαίοις ἤδη καταρρωδοῦσι τὴν ἰσχὺν τοῦ σίμωνος, ἔδοξε πρὸ τοῦ συμβαλεῖν κατασκέψασθαι τὴν στρατιὰν τῶν πολεμίων. εἰς τοῦτο δὲ ὑπηρέτην ἑαυτὸν ἑτοίμως ἐπεδίδου ἰάκωβος, εἷς τῶν ἡγεμόνων, προδοσίαν ἐνθυμούμενος. ὁρμήσας γοῦν ἀπὸ τοῦ ὀλούρου, κατὰ γὰρ ταύτην συνήθροιστο τὴν κώμην τότε τῶν ἰδουμαίων τὸ στράτευμα, παραγίνεται πρὸς σίμωνα, καὶ πρώτην αὐτῷ παραδώσειν συντίθεται τὴν αὐτοῦ πατρίδα, λαβὼν ὅρκους, ὡς ἀεὶ τίμιος ὢν διατελοίη. συνεργήσειν δὲ ὑπέσχετο, καὶ περὶ τῆς ὅλης ἰδουμαίας. ἐφ' οἷς ἑστιαθεὶς φιλοφρόνως ὑπὸ τοῦ σίμωνος, καὶ λαμπραῖς ἐπαρθεὶς ὑποσχέσεσιν, ἐπειδήπερ εἰς τοὺς σφετέρους ὑπέστρεψε, τὸ μὲν πρῶτον πολλαπλασίονα τὴν στρατιὰν ἐψεύδετο τοῦ σίμωνος. ἔπειτα δεξιούμενος τούς τε ἡγεμόνας, καὶ κατ' ὀλίγους πᾶν τὸ πλῆθος, ἐνῆγεν ὥστε δέξασθαι τὸν σίμωνα, καὶ παραδοῦναι δίχα μάχης αὐτῷ τὴν τῶν ὅλων ἀρχήν. ἅμα δὲ ταῦτα διαπραττόμενος, καὶ σίμωνα δι' ἀγγέλων ἐκάλει, σκεδάσειν ὑπισχνούμενος τοὺς ἰδουμαίους, ὃ δὴ παρέσχεν. ὡς γὰρ ἦν ἤδη πλησίον ἡ στρατιά, πρῶτος ἀναπηδήσας ἐπὶ τὸν ἵππον, μετὰ τῶν συνδιεφθαρμένων ἔφευγε. πτοία δὲ ἐμπίπτει παντὶ τῷ πλήθει, καὶ πρὶν εἰς χεῖρας ἐλθεῖν λυθέντες ἐκ τῆς τάξεως, ἀνεχώρουν ἕκαστοι πρὸς τὰ ἴδια.

Κεφ. λα. Σίμων δὲ παρὰ δόξαν εἰς τὴν ἰδουμαίαν εἰσήλασεν ἀναιμωτί, καὶ προσβαλὼν ἀδοκήτως, πρώτην αἱρεῖ τὴν πόλιν χεβρών, ἐν ᾗ πλείστης ἐκράτησε λείας, πάμπολυν δὲ διήρπασε καρπόν. ὡς δὲ φασὶν οἱ ἐπιχώριοι τὴν χεβρών, οὐ μόνον τῶν τῇδε πόλεων, ἀλλὰ καὶ τῆς ἐν αἰγύπτῳ μέμφεως ἀρχαιοτέραν. δισχίλια γοῦν αὐτῇ, καὶ τριακόσια ἔτη συνηρίθμηντο. μυθεύουσι δὲ αὐτὴν καὶ οἰκητήριον ἀβράμου τοῦ ἰουδαίων προγόνου γεγονέναι, μετὰ τὴν ἐκ τῆς μεσοποταμίας ἀπανάστασιν, τούς τε παῖδας αὐτοῦ καταβῆναι εἰς αἴγυπτον ἔνθεν, ὧν καὶ τὰ μνημεῖα μέχρι τοῦ νῦν ἐν τῇδε τῇ πολίχνῃ δείκνυται, πάνυ καλῆς μαρμάρου καὶ φιλοτίμως εἰργασμένα. δείκνυται δὲ ἀπὸ σταδίων ἓξ τοῦ ἄστεος τερέβινθος μεγίστη, καὶ φασὶ τὸ δένδρον ἀπὸ τῆς κτίσεως μέχρι νῦν διαμένειν.

Κεφ. λβ. Ἔνθεν ὁ σίμων διὰ πάσης ἐχώρει τῆς ἰδουμαίας, οὐ μόνον πόλεις καὶ κώμας πορθῶν, ἀλλὰ καὶ τὴν χώραν ἅπασαν λυμαινόμενος. δίχα γὰρ τῶν ὁπλιτῶν, τέσσαρες αὐτῷ συνείποντο μυριάδες, ὡς μηδὲ τῶν ἐπιτηδείων ἐξαρκεῖν τῷ πρὸς τὸ πλῆθος. προσῆν δὲ τῇ χρείᾳ, ὠμότης τε αὐτοῦ, καὶ πρὸς τὸ γένος ὀργή, δι' ἃ μᾶλλον ἐξερημοῦσθαι συνέβαινε τὴν ἰδουμαίαν. καθάπερ δὲ ὑπὸ τῶν ἀκρίδων κατόπιν, ὕλην ἐστὶν ἰδεῖν ἐψιλωμένην πᾶσαν, οὕτω τὸ κατὰ νώτου τῆς σίμωνος στρατιᾶς ἐρημία κατελείπετο. καὶ τὰ μὲν ἐμπιπρῶντες, τὰ δὲ κατασκάπτοντες, πᾶν δὲ τὸ πεφυκὸς ἀνὰ τὴν χώραν, ἢ συμπατοῦντες ἠφάνιζον, ἢ νεμόμενοι, καὶ τὴν ἐνεργὸν, ὑπὸ τῆς πορείας, σκληροτέραν ἐποίουν τῆς ἀκάρπου, καθόλου τε εἰπεῖν, οὐδὲ σημεῖόν τι κατελείπετο τοῖς πορθουμένοις τοῦ γεγονέναι. ταῦτα πάλιν τοὺς ζηλωτὰς ἐπήγειρε, καὶ φανερῶς μὲν ἀντιπαρατάξασθαι

A causæ nescij cur venisset. mox autem de traditione prolocutum, strictis gladiis persequebantur: donec fugæ locum non reperiens, de muro in subiectam vallem se proiecit. & ille quidem hoc modo statim moritur. Idumæis autem vires Simonis formidantibus placuit, priusquam bello congrederentur explorare hostium copias. ad hoc autem se ministrum obtulit parato animo Iacobus, vnus è rectoribus, cogitans proditionem. Denique B profectus ab Oluro (in hoc enim vico tunc Idumæorum collectus erat exercitus) ad Simonem venit: primúmque se patriam suam traditurum esse paciscitur, accepta fide quòd semper ei carissimus foret. mox etiam de tota Idumæa operam pollicetur. Ob quas res humanissimè apud Simonem cœnatus, amplissimísque promissis animatus, vbi ad suos rediit, primò Simonis exercitum multiplici numero mentiebatur esse maiorem. C deinde rectoribus etiam paulatímque multitudine vniuersa perterritis, vt Simonem reciperent, suadebat, eíque sine pugna rerum omnium permitterent principatum. simul autem hoc agens, & Simonem ipsum per nuncios euocabat, disiecturum se pollicitus Idumæos, quod & præstitit. Nam cùm iam appropinquaret exercitus, equum primus inscendit, & cum sociis corruptionis effugit. pauor autem occupat vniuersam multitudinē, ac prius D quam ad manus venirent, domum quisque suam soluti ordine recesserunt. Simon verò præter opinionem sine sanguine Idumæam introiuit: primúmque aggressus ex improuiso Chebron municipium capit, in quo maxima præda potitus est, multósque fructus diripuit. Chebron autem indigenæ ferunt non eius terræ modò ciuitatibus, verumetiam Ægypti Memphi antiquiorem. denique duo millia & trecenti eius connumerantur anni. E hoc autem narrant Abraham quoque parenti Iudæorum fuisse domicilium, postcaquam Mesopotamiæ sedes reliquit: eiúsque posteros hinc ad Ægyptum esse profectos: quorum etiam nunc monumenta extant in eadem ciuitate, peroptimo marmore liberaliter fabricata. Cernitur autem sexto ab oppido stadio arbor maxima terebinthus: eámque memorant ab initio mundi creati nunc vsque durare. Hinc totam Simon peruasit Idumæam, non F modò vicos eius & ciuitates depopulando, sed excidendo etiam territoria. nam præter armatos XL. eum millia sequebantur, vt his ne victui quidem necessaria satis essent. Ad has autem necessitates accedebat eius crudelitas & insuper iracundia, quo magis vastari contigit Idumæam. Et quemadmodum post locustas sylua cerni solet frondibus spoliata, sic etiam quà Simonis transisset exercitus, à tergo solitudinem relinquebat: & alia quidem G comburendo, alia diruendo, & quicquid in ciuitate vel in agris natum esset conterendo calcibus, aut depascendo delebant: pérque terram cultam iter agendo, faciebant eam sterili duriorem, prorsus vt ne signum quidem vastatis relinqueretur, quòd aliquando fuissent. Hæc omnia rursus Zelotas incitauerunt, & aperto quidem bello confligere

pertimuêre: insidiis verò per itinera collocatis, vxorem Simonis rapiunt, eorúmque præterea quos habebat in obsequio plurimos. deinde tanquam Simonem ipsum cepissent, in ciuitatem exultantes redeunt. continuò namque sperabant, armis eum depositis, pro vxore sibi supplicaturum: Illum autem non misericordia, sed ira coniugis raptæ peruaserat. cúmque ad muros Hierosolymorum venisset, vt fera saucia quæ percussores prendere nequisset, ita in quos reperisset, effundebat insaniam. denique olerum sarmentorúmque causa progressos è porta, imberbes pariter ac seniores correptos verberabat ad necem: vt animi indignatione id solùm abesse videretur, quòd non etiam vesceretur corporibus mortuorum. multos autem abscissis manibus dimittebat in ciuitatem, vnà perterrefaciens inimicos, & populum reuocare cupiens à nocentibus. Hisque mandabat vt dicerent, iurare Simonem per Deum qui cuncta regeret, quòd nisi citò sibi redderent coniugem suam, muro perrupto omnibus qui in ciuitate essent similiter vteretur, neque cuiquam ætati parceret, aut ab innocentibus discerneret noxios, donec his eius mãdatis, nõ modò populus, sed etiam Zelotæ metu perculsi, remisissent ei mulierem. atque ita delinitus, paulisper ab assidua cæde requieuit.

Cap. VIII. De Galba, Othone, Vitellio & Vespasiano.

Non solùm autem per Iudæam erat seditio bellúmq; ciuile, verumetiam per Italiam. In medio nãque Romanorum foro Galba perempto, creatus Otho Imperator cum Vitellio imperium affectante pugnabat: quem Germanicæ tunc legiones elegerant. Habito autem apud Bebriacum Galliæ Cisalpinæ prælio cum Valente & Cecinna Vitellij ducibus, primo die Otho superauit, altero Vitelliani: multisque trucidatis, & aduersæ partis audita victoria, Otho apud Brixellum semet occidit, postquam biduum trésque menses imperium tenuit. Accesserunt autem Vitellij ducibus Othonis milites, & ipse iam Vitellius Romam cum exercitu veniebat: dum interea Vespasianus quinto die Iunij mẽsis Cæsarea profectus, eas quas nondum subegerat Iudææ partes petiuit: & in montana regione, quò primùm ascendit, toparchias duas Gophniticam & Acrabatenam subegit: deinde post has Bethel & Ephrem municipia: ibique præsidiis collocatis, vsque Hierosolymam equitabat. multos verò tunc deprehensos necabat, multósque capiebat. Ducum autem vnus Cerealis cum equitum parte ac peditum, superiorem quæ dicitur vastabat Idumæam, & Caphetram quidem castellum ex itinere captum incendit. alterum verò quod Capharin dicitur, admoto milite oppugnabat, muro satis valido cinctum. diutiùs autem ibi se moraturum speranti, oppidani subitò portas aperuêre, & supplices ei se tradidêre. Quibus subiugatis, Cerealis in Chebron alteram ciuitatem antiquissimam tendit, sitam (vt dixi) in montanis locis, haud procul ab Hierosolymis. Vi autem irrumpens in eam, reliquam multitudinem, quam ibi offendit, cum puberibus interemit: oppidum verò ipsum exurit. Omnibúsque iam captis,

κατέδυσαν, προλοχίσαντες δ' ἐν ταῖς παρόδοις ἁρπάζουσι τὴν σίμωνος τὴν γυναῖκα, καὶ τῆς περὶ αὐτὴν θεραπείας συχνούς. ἔπειτα ὡς αὐτὸν ᾐχμαλωτισμένοι τὸν σίμωνα, γεγηθότες εἰς τὴν πόλιν ὑπέστρεψαν, ὅσον οὐδέπω προσδοκῶντες καταθέμενον τὰ ὅπλα, περὶ τῆς γυναικὸς ἱκετεύσειν. τὸν δ' οὐκ ἔλεος εἰσῆλθεν, ἀλλ' ὀργὴ περὶ τῆς ἡρπασμένης, καὶ πρὸς τὸ τεῖχος τῶν ἱεροσολύμων ἐλθὼν, καθάπερ τὰ τρωθέντα τῶν θηρίων, ἐπειδὴ τοὺς τρώσαντας οὐ κατέλαβεν, ἐφ' οὓς εὗρε τὸν θυμὸν ἠφίει. ὅσοι γοῦν λαχανείας ἕνεκεν ἢ φρυγανισμοῦ προεληλύθεσαν ἔξω πυλῶν, ἀόπλους καὶ γέροντας συλλαμβάνων ᾐκίζετο, καὶ διέφθειρε δι' ὑπερβολὴν ἀγανακτήσεως, μόνον οὐχὶ καὶ νεκρῶν γευόμενος τῶν σωμάτων. πολλοὺς δὲ καὶ χειροκοπήσας, εἰσέπεμπε καταπλήξασθαι τοὺς ἐχθροὺς ἅμα, καὶ διαστασιάσαι τὸν δῆμον ἐπιχειρῶν πρὸς τοὺς αἰτίους. ἐντέταλτο δὲ αὐτοῖς λέγειν, ὅτι σίμων θεὸν ὄμνυσι τὸν πάντων ἔφορον, εἰ μὴ θᾶττον ἀποδώσουσιν αὐτῷ τὴν γυναῖκα, ῥήξας τὸ τεῖχος, τοιαῦτα διαθήσειν πάντας τοὺς κατὰ τὴν πόλιν, μηδεμιᾶς φεισάμενος ἡλικίας, μηδὲ ἀπὸ τῶν ἀναιτίων διακρίνας τοὺς αἰτίους. τούτοις οὐ μόνον ὁ δῆμος, ἀλλὰ καὶ οἱ ζηλωταὶ καταπλαγέντες ἀποπέμπουσιν αὐτῷ τὴν γυναῖκα, καὶ τότε μὲν ἐκμειλιχθεὶς ὀλίγον, ἀνεπαύσατο τοῦ συνεχοῦς φόνου.

Κεφ. λς'.

Οὐ μόνον δὲ κατὰ τὴν ἰουδαίαν στάσις ἦν καὶ πόλεμος ἐμφύλιος, ἀλλὰ καὶ ἐπὶ τῆς ἰταλίας. ἀνῄρητο μὲν γὰρ κατὰ μέσην τὴν ῥωμαίων ἀγορὰν γάλβας, ἀποδεδειγμένος δὲ αὐτοκράτωρ ὄθων, ἐπολέμει οὐϊτελλίῳ βασιλειῶντι. τοῦτον γὰρ ᾕρητο τὰ κατὰ γερμανίαν τάγματα, καὶ γενομένης συμβολῆς κατὰ φρηγδιακὸν τῆς γαλατίας πρός τε οὐάλεντα καὶ καικίναν τοὺς οὐϊτελλίου στρατηγοὺς, τῇ πρώτῃ μὲν ἡμέρᾳ περιῆν ὄθων, τῇ δευτέρᾳ δὲ τὸ οὐϊτελλίου στρατιωτικὸν, καὶ πολλοῦ φόνου γενομένου, διεχρήσατο μὲν ὄθων ἑαυτὸν ἐν βριξέλλῳ τὴν ἧτταν πυθόμενος, ἡμέρας δύο καὶ τρεῖς μῆνας κρατήσας τῶν πραγμάτων. προσεχώρησε δὲ τοῖς οὐϊτελλίου στρατηγοῖς ἡ στρατιὰ, καὶ κατέβαινεν αὐτὸς εἰς τὴν ῥώμην μετὰ τῆς δυνάμεως. ἐν δὲ τούτῳ καὶ οὐεσπασιανὸς ἀναστὰς ἐκ τῆς καισαρείας πέμπτῃ δεσίου μηνὸς, ὥρμησεν ἐπὶ τὰ μηδέπω κατεστραμμένα τῆς ἰουδαίας χωρίων. ἀναβὰς δὲ εἰς τὴν ὀρεινὴν, αἱρεῖ δύο τοπαρχίας, τήν τε γοφνιτικὴν καὶ τὴν ἀκραβατηνὴν καλουμένην, μεθ' ἃς βήθηλά τε καὶ ἔφραιμ πολίχνια, οἷς φρουροὺς ἐγκαταστήσας, μέχρις ἱεροσολύμων ἱππάζετο. φθορὰ δὲ ἦν πολλῶν καταλαμβανομένων, καὶ πολλοὺς ᾐχμαλωτίζετο. κερεάλιος δὲ αὐτῷ τῶν ἡγεμόνων μοῖραν ἱππέων καὶ πεζῶν ἀναλαβὼν, τὴν ἄνω καλουμένην ἰδουμαίαν ἐπόρθει, καὶ καφεθρὰ μὲν ψευδοπολίχνιον ἐξ ἐφόδου λαβὼν ἐμπίπρησιν. ἑτέραν δὲ καλουμένην καφαραβὶν προσβαλὼν ἐπολιόρκει. πάνυ δὲ ἦν ἰσχυρὸν τὸ τεῖχος. καὶ τρίψεσθαι προσδοκῶντι πλείω χρόνον, ἀφνιδίως ἀνοίγουσιν οἱ ἔνδον τὰς πύλας, καὶ μεθ' ἱκετηριῶν προσελθόντες αὐτοὺς παρέδοσαν. κερεάλιος δὲ τούτους παραστησάμενος, ἐπὶ χεβρὼν ἑτέρας πόλεως ἀρχαιοτάτης ἐχώρει. κεῖται δὲ ὡς ἔφην αὕτη κατὰ τὴν ὀρεινὴν, οὐ πόρρω ἱεροσολύμων. βιασάμενος δὲ τὰς εἰσόδους, τὸ μὲν ἐγκαταληφθὲν πλῆθος ἡβηδὸν ἀναιρεῖ, τὸ δὲ ἄστυ καταπίμπρησι. καὶ πάντων ἤδη κεχειρωμένων, πλὴν

πλὴν ἡρωδείου καὶ μασάδας, καὶ μαχαιροῦντος (ταῦτα δὲ ὑπὸ τῶν λῃστῶν κατείληπτο) σκοπὸς ἤδη τὰ ἱεροσόλυμα προὔκειτο ῥωμαίοις.

Κεφ. λδ. Ὁ δὲ σίμων ὡς ἐρρύσατο παρὰ τῶν ζηλωτῶν τὴν γυναῖκα, πάλιν ἐπὶ τὰ λείψανα τῆς ἰδουμαίας ὑπέστρεψε, καὶ περιελαύνων πανταχόθεν τὸ ἔθνος, εἰς ἱεροσόλυμα πολλοὺς φεύγειν συνηνάγκασεν. εἵπετο δὲ καὶ αὐτὸς ἐπὶ τὴν πόλιν, καὶ κυκλωσάμενος αὖθις τὸ τεῖχος, ὅντινα λάβοι τῶν προσιόντων κατὰ τὴν χώραν ἐργατῶν διέφθειρεν. ἦν δὲ τῷ δήμῳ σίμων μὲν ἔξωθεν, ῥωμαίων φοβερώτερος, οἱ ζηλωταὶ δὲ ἔνδον ἑκατέρων χαλεπώτεροι. κἀν τούτοις ἐπίνοια κακῶν καὶ τόλμη τὸ σύνταγμα τῶν γαλιλαίων διέφθειρε. τόν τε γὰρ ἰωάννην παρῆγον εἰς ἰσχὺν οὗτοι, κἀκεῖνος αὐτοὺς ἐξ ἧς περιεποιήσατο δυναστείας ἠμείβετο, πάντα ἐπιτρέπων δρᾷν, ὧν ἕκαστος ἐπεθύμει. πόθοι δὲ ἦσαν ἁρπαγῆς ἀπλήρωτοι, καὶ τῶν πλουσίων οἴκων ἔρευνα, φόνος τε ἀνδρῶν, καὶ γυναικῶν ὕβρεις ἐπαίζοντο, μεθ' αἵματος δὲ τὰ συληθέντα κατέπινον, καὶ μετ' ἀδείας ἐνεθηλυπάθουν τῷ κόρῳ, κόμας συνθετιζόμενοι, καὶ γυναικείας ἐσθῆτας ἀναλαμβάνοντες, καταντλούμενοι δὲ μύροις, καὶ πρὸς εὐπρέπειαν ὑπογραφόμενοι ὀφθαλμούς. οὐ μόνον δὲ κόσμον ἀλλὰ καὶ πάθη γυναικῶν ἐμιμοῦντο, καὶ δι' ὑπερβολὴν ἀσελγείας, ἀθεμίτους ἡδονὰς ἐπενόησαν. ἐνεκαλινδοῦντο δὲ ὡς πορνείῳ τῇ πόλει, καὶ πᾶσαν ἀκαθάρτοις ἐμίαναν ἔργοις. γυναικιζόμενοι δὲ τὰς ὄψεις, ἐφόνων ταῖς δεξιαῖς. θρυπτόμενοι δὲ τοῖς βαδίσμασιν, ἐπιόντες ἐξαπίνης, ἐγίνοντο πολεμισταί, τά τε ξίφη προφέροντες ἀπὸ τῶν περιβεβλημένων χλανιδίων, τὸν προστυχόντα διήλαυνον. τοὺς ἀποδιδράσκοντας δὲ ἰωάννην, σίμων φονικώτερος ἐξεδέχετο, καὶ διαφυγών τις τὸν ἐντὸς τείχους τύραννον, ὑπὸ τοῦ πρὸ πυλῶν διεφθείρετο. πᾶσα δὲ φυγῆς ὁδὸς τοῖς αὐτομολεῖν πρὸς ῥωμαίους βουλομένοις ἀπεκόπτετο. διαστασιάζεται δὲ πρὸς τὸν ἰωάννην ἡ δύναμις, καὶ πᾶν ὅσον ἦν ἰδουμαῖον ἐν αὐτῇ, χωρισθὲν ἐπιχειρεῖ τῷ τυράννῳ, φθόνῳ τε τῆς ἰσχύος αὐτοῦ, καὶ μίσει τῆς ὠμότητος. συμβαλόντες δὲ ἀναιροῦσί τε πολλοὺς τῶν ζηλωτῶν, καὶ συνελαύνουσι τοὺς λοιποὺς εἰς τὴν βασιλικὴν αὐλὴν κατασκευασθεῖσαν ὑπὸ γραπτῆς. συγγενὴς δὲ ἦν αὕτη τοῦ τῶν ἀδιαβηνῶν βασιλέως ἰζᾶ. συνεισπίπτουσι δὲ οἱ ἰδουμαῖοι, κἀκεῖθεν εἰς τὸ ἱερὸν ἐξώσαντες τοὺς ζηλωτάς, ἐφ' ἁρπαγὴν ἐτράποντο τῶν ἰωάννου χρημάτων. κατὰ γὰρ τὴν προειρημένην αὐλὴν, αὐτός τε ἦν, κἀκεῖ τὰ λάφυρα τῆς τυραννίδος κατέθετο. ἐν δὲ τούτῳ τὸ κατὰ τὴν πόλιν ἐσκεδασμένον πλῆθος τῶν ζηλωτῶν, εἰς τὸ ἱερὸν πρὸς τοὺς διαπεφευγότας ἠθροίσθη, καὶ κατάγειν αὐτοὺς παρεσκευάζετο ἰωάννης, ἐπί τε τὸν δῆμον, καὶ τοὺς ἰδουμαίους. τοῖς δὲ οὐχ οὕτω τὴν ἔφοδον αὐτῶν καταδεῖσαι παρέστη μαχιμωτέροις οὖσιν, ὡς τὴν ἀπόνοιαν, μὴ νύκτωρ ἀπὸ τοῦ ἱεροῦ παρεισδύντες, αὐτούς τε διαφθείρωσι, καὶ τὸ ἄστυ καταπρήσωσι. συνελθόντες οὖν μετὰ τῶν ἀρχιερέων, ἐβουλεύοντο τίνα χρὴ τρόπον φυλάξασθαι τὴν ἐπίθεσιν. θεὸς δὲ ἄρα τὰς γνώμας αὐτῶν εἰς κακὸν ἔτρεψε, καὶ χαλεπώτερον ἀπωλείας, ἐπενόησαν τὸ πρὸς σωτηρίαν φάρμακον. ἵνα γοῦν καταλύσωσιν ἰωάννην, ἔκριναν δέχεσθαι σίμωνα, καὶ μεθ' ἱκετηριῶν δεύτερον εἰσαγαγεῖν ἑαυτοῖς τύραννον. ἐπεραίνετο δὲ ἡ βουλή,

A præter castella Herodium & Massadam & Machærunta, quæ à latronibus tenebantur, sola iam Hierosolyma Romanis ante oculos erat, quæ expugnanda restabat.

CAP. IX. De Simonis gestis contra Zelotas.

Simon autem vbi vxorem suam à Zelotis recepit, ad reliquias Idumææ tendit persequendas: & vndique circumacta natione, Hierosolymam compulit plerosque fugere, cùm ipse quoque ad eam sequeretur. Deinde muro eius obsesso, si quem operariorum ex agris B adeuntem multitudinem cepisset, interficiebat. Erátque populo foris Simon Romanis terribilior: intus Zelotæ vtrisque sæuiores: quos etiam Galilęi nouis inuentis & audacia factionum corrumpebant. Nam & Ioannem ad potentiam ipsi prouexerant: & Ioannes eis pro potentia quam sibi comparauerat, vicem referens, omnia quæ desiderarent vt facerent permittebat. Insatiabilis autem rapinarum cupiditas, domorúmque locupletum perscrutatio. C Cædes autem virorum & fœminarum iniuriæ, pro ludo habebantur, prædámque cum sanguine deuorantes sine aliquo metu, post satietatem muliebri libidine calescebant: comptíque crines, ac fœminarum veste induti, lotíque vnguentis, & vt forma placeret, oculos illiti, non solùm ornatum, sed impudentiam quoque mulierum imitabantur: & obscœnitate nimia nefarios coitus exigentes, vt in lupanari versabantur, ciuitatémque totam im- D puris facinoribus profanabant. Effœminantes autem vultum, dextras ad cædem promptas habebant: delicatóque incessu eneruati, subita incursione bellatores fiebant: & de paludamentis versicoloribus eductis gladiis, casu obuios transuerberabant. Eos autem qui Ioannem fugissent, excipiebat sæuior in cædibus Simon: quíque intestinum euasisset tyrannum, ab eo qui propè erat occidebatur. Omnis autem fugæ via transire cupientibus E ad Romanos, abscissa erat. Inter Ioannis autem copias quantum erat Idumæorum dissidebant: separatíque ab aliis, aduersum tyrannum tam liuore potentiæ quàm crudelitatis eius odio armantur. deinde pugna congressi, multos Zelotarum perimunt, cæterósque in aulam regiam compellunt, quam Grapte ædificauerat. hæc autem fuerat cognata Izatæ regis Adiabenorum. Vnà verò irrupêre Idumæi, atque inde Zelotis in fanum pul- F sis, Ioannis pecunias prædabantur. in aula enim supradicta & ipse degebat, & tyrannidis spolia deposuerat. Inter hæc autem Zelotarum qui per ciuitatem dispersi erant, ad illos qui in templum fugerant aggregati sunt: eósque Ioannes aduersus populum & Idumæos educere cogitabat. Istis autem non tam impetus eorum metuendus erat, cùm pugna plus possent, quàm confidentia, ne de templo nocte subreperent, séq; pariter occide- G rent, atq; oppidum concremarent. Itaq; collecti cum pontificibus deliberabant, quónam pacto impetum præcauerent. Sed profectò Deus sententias eorum in deterius vertit, & interitu acerbius excogitabât salutis remediū. nā vt Ioannem deiicerent, Simonem recipere statuerunt, & cum precibus alterum sibi tyrannum imponere. Itaque decreto obtemperatur,

missóque Matthia pontifice, rogant Simonem, vt ad se introiret, quem sæpe timuerant. cum his autem precatores erant, etiam qui Zelotas Hierosolymis fugerant, domus quisque suæ desiderio & fortunarum. Ille autem nimis superbè se dominum fore pollicitus, veluti ciuitatem liberaturus ingreditur, cum salutis eum latorem ac defensorem sui populi clamor designaret. vbi verò cum suis copiis introiit, mox de propria potentia deliberabat: nec minus eos à quibus rogatus erat, quàm eos contra quos fuerat aduocatus, inimicos putabat. Ioannes autem cum multitudine Zelotarum templo exire prohibitus, amissis etiam, quæ in ciuitate habebat (nam statim res eorum Simon cum sociis diripuerat) salutem iam desperabat. Templum tamen adiuuante populo Simon aggreditur. Illi autem in porticibus, pérque propugnacula stantes impetum propulsabant: multíque ex Simonis parte oppetebant, multi saucij referebantur, quoniam Zelotæ ad dexteram superiores erant, eóque ictus impenetrabiles habebant. Et quamuis loco plus possent, turres tamen quatuor maximas fabricauerant, vt ex alto videlicet missilia torquerent, vnam ad Orientalem angulum, ad Septentrionalem alteram, super xystum tertiam, in angulo alio contra ciuitatem inferiorem. Quarta verò turris supra verticem Pastophoriorum condita erat: vbi moris est vnum de sacerdotibus astantem post Meridiem, quòd septimus quisque dies inciperet, tuba significare: rursúsque vesperi, quòd desineret, nunc ferias populo, nunc vt opus faciat, denunciantem. Per turres autem disposuerunt balistas saxorúmque tormenta, & sagittarios, & fundarum scientes. Itaque tunc Simon pigriùs ad impetus mouebatur, cùm suorum plerique mollescerent: amplioribus tamen copiis fretus, propiùs accedebat. machinarum enim missilia delata longiùs, multos pugnantium perimebant.

CAP. X. De Vespasiano in Imperatorem electo.

PEr idem tempus Romanos quoque sæuiora mala circumueniunt, aderat enim ex Germania Vitellius cum exercitu, aliam prætereà ingentem multitudinem secum trahens. Et cùm eum destinata militi spacia non caperent, totam vrbem pro castris habebat, omnémque domum repleuit armatis. illi autem conspectis Romanorum diuitiis oculis insuetis, & auri argentíque stupore perfusi, vix cupidinem continebant, adeò vt in rapinas se conuerterent, & eos qui obstare conarentur occiderent. Et in Italia quidem ita res erant. Vespasianus autem postquam Hierosolymis proxima depopulatus, Cæsaream reuertebatur, audiit Romanorum tumultus, & Vitellium principem. Hoc autem, licèt ipse imperium pati, sicut bene imperare nosset, ad indignationem perductus est: dominúmque dedignatur eum, qui veluti desertum inuasisset imperium. Dolore autem saucius cruciatum ferre non poterat, neque aliis vacare bellis, cùm patria vastaretur. Verumtamen quantum ira impellebatur ad vlciscendum, tantù lónginquitatis cogitatio reprimebat: multa enim for-

καὶ τὸν ἀρχιερέα ματθίαν πέμψαντες, ἐδέοντο σίμωνος εἰσελθεῖν, ὃν πολλὰ ἔδεισαν. συμπαρεκάλουν δὲ οἱ ἐκ τῶν ἱεροσολύμων, τοὺς ζηλωτὰς φεύγοντες, πόθῳ τῶν οἴκων καὶ τῶν κτημάτων. ὁ δὲ αὐτοῖς ὑπερηφάνως κατανεύσας τὸ δεσπόζειν, εἰσέρχεται μὲν ὡς ἀπαλλάξων τῶν ζηλωτῶν τὴν πόλιν, σωτὴρ ὑπὸ τοῦ δήμου, καὶ κηδεμὼν εὐφημούμενος. παρελθὼν δὲ μετὰ τῆς δυνάμεως, ἐσκόπει τὰ περὶ τῆς ἑαυτοῦ δυναστείας, καὶ τοὺς καλέσαντας οὐχ ἧττον ἐχθροὺς ἐνόμιζεν, ἢ καθ' ὧν ἐκέκληντο. σίμων μὲν οὕτως ἐνιαυτῷ τρίτῳ ξανθικῷ μηνὶ, ἱεροσολύμων ἐγκρατὴς ἐγένετο. ἰωάννης δὲ καὶ τὸ τῶν ζηλωτῶν πλῆθος εἰργόμενον τῶν ἐξόδων τοῦ ἱεροῦ, καὶ τὰ τῆς πόλεως ἀπολωλεκότες, παραχρῆμα γὰρ τὰ ἐκείνων οἱ περὶ τὸν σίμωνα διήρπασαν, ἐν ἀπόρῳ τὴν σωτηρίαν εἶχον. προσέβαλλε δὲ τῷ ἱερῷ σίμων, τοῦ δήμου βοηθοῦντος. κἀκεῖνοι καταστάντες ἐπὶ τῶν στοῶν, καὶ τῶν ἐπάλξεων, ἠμύνοντο τὰς προσβολάς. συχνοὶ δὲ ἔπιπτον τῶν περὶ σίμωνα, καὶ πολλοὶ τραυματίαι κατεφέροντο. ῥᾳδίους γὰρ ἐξ ὑπερδεξίου τὰς βολὰς οἱ ζηλωταὶ, καὶ οὐκ ἀστόχους ἐποιοῦντο. πλεονεκτοῦντες δὲ τῷ τόπῳ, καὶ πύργους ἔτι προκατασκευάσαντες τέσσαρας μεγίστους, ὡς ἀφ' ὑψηλοτέρων ποιοῖντο τὰς ἀφέσεις. τὸν μὲν κατὰ τὴν ἀνατολικὴν, καὶ βόρειον γωνίαν, τὸν δὲ τοῦ ξυστοῦ καθύπερθεν, τὸν δὲ τρίτον, κατὰ γωνίαν ἄλλην ἀντικρὺ τῆς κάτω πόλεως, ὁ δὲ λοιπὸς, ὑπὲρ τὴν κορυφὴν κατεσκεύαστο τῶν παστοφορίων, ἔνθα τῶν ἱερέων εἷς ἐξ ἔθους ἱστάμενος ἑκάστην ἑβδομάδα εἰσιοῦσαν, προεσήμαινε σάλπιγγι δείλης, καὶ τελεσθεῖσαν αὖθις περὶ ἑσπέραν, ὅτε μὲν ἀνεργίαν τῷ λαῷ καταγγέλλων, ὅτε δὲ ἔργων ἔχεσθαι. διέστησαν δὲ ἐπὶ τῶν πύργων, ὀξυβελεῖς τε καὶ λιθοβόλους μηχανὰς, τούς τε τοξότας, καὶ σφενδονήτας. ἔνθα δὴ τὰς μὲν προσβολὰς, ὀκνηροτέρας ἐποιεῖτο ὁ σίμων, μαλακιζομένων αὐτῷ τῶν πλειόνων, ἀντεῖχε δὲ ὅμως περιουσίᾳ δυνάμεως. τὰ δὲ ἀπὸ τῶν ὀργάνων βέλη πορρωτέρω φερόμενα, τοὺς πολλοὺς τῶν μαχομένων ἀνῄρει.

Κεφ. λε.

ΚΑτὰ δὲ τὸν αὐτὸν καιρὸν, περιεῖχε καὶ τὴν ῥώμην πάθη χαλεπά. παρῆν μὲν γὰρ ἀπὸ γερμανίας οὐιτέλλιος, ἅμα τῷ στρατιωτικῷ, πολὺ πλῆθος ἐπισυρόμενος ἕτερον. μὴ χωρούμενος δὲ τοῖς ἀποδεδειγμένοις εἰς τοὺς στρατιώτας περιβόλοις, ὅλην ἐποιήσατο τὴν ῥώμην στρατόπεδον, καὶ πᾶσαν οἰκίαν ὁπλιτῶν ἐπλήρωσεν. οἱ δὲ ἀήθεσιν ὀφθαλμοῖς τὸν ῥωμαίων πλοῦτον θεασάμενοι, καὶ περιλαμφθέντες πάντοθεν ἀργύρῳ τε καὶ χρυσῷ, τὰς ἐπιθυμίας μόλις κατεῖχον, ὥστε μὴ ἐφ' ἁρπαγὰς τρέπεσθαί τε, καὶ τοὺς ἐμποδὼν γινομένους ἀναιρεῖν. τὰ μὲν κατὰ τὴν ἰταλίαν, ἐν τούτοις ἦν.

Κεφ. λς.

ΟΥεσπασιανὸς δὲ ὡς τὰ πλησίον ἱεροσολύμων καταστρεψάμενος ὑπέστρεψεν εἰς καισάρειαν, ἀκούει τὰς κατὰ τὴν ῥώμην ταραχὰς, καὶ οὐιτέλλιον αὐτοκράτορα. τοῦτο οὖν αὐτὸν καίπερ ἄρχεσθαι καθάπερ ἄρχειν καλῶς ἐπιστάμενον, εἰς ἀγανάκτησιν προήγαγε, καὶ τὸν ὡς ἐρήμου καταμανέντα τῆς ἡγεμονίας, ἠδόξει δεσπότην. περιαλγήσας δὲ τῷ πάθει, καρτερεῖν τὴν βάσανον οὐχ οἷός τε ἦν, καὶ τῆς πατρίδος πορθουμένης, ἑτέροις προσσχολεῖν πολέμοις. ἀλλ' ὅσον ὁ θυμὸς ἤπειγεν ἐπὶ τὴν ἄμυναν, τοσοῦτον εἶργεν ἡ ἔννοια τοῦ διαστήματος. πολλὰ γὰρ φθάσαι πανουρ-

πανουργήσασαν τὴν τύχην, πρὶν αὐτὸν εἰς τὴν Ἰταλίαν περαιωθῆναι, καὶ ταῦτα χειμῶνος ὥρᾳ πλέοντα, σφαδάζουσαν ἤδη κατεῖχε τὴν ὀργήν. συνιόντες δ' οἵ τε ἡγεμόνες, καὶ οἱ στρατιῶται καθ' ἑταιρείαν, φανερῶς ἤδη μεταβολὴν ἐβουλεύοντο, καὶ διαγανακτοῦντες ἐβόων, οἱ μὲν ἐπὶ τῆς Ῥώμης στρατιῶται τρυφῶντες, καὶ μηδὲ ἀκούειν πολέμου φήμην ὑπομένοντες, διαχειροτονοῦσιν οἷς βούλονται τὴν ἡγεμονίαν, καὶ πρὸς ἐλπίδα λημμάτων ἀποδεικνύουσιν αὐτοκράτορας. αὐτοὶ δὲ διὰ τοσούτων κεχωρηκότες πόνων, καὶ γηράσκοντες ὑπὸ τοῖς κράνεσιν, ἑτέροις χαρίζονται τὴν ἐξουσίαν, καὶ ταῦτα τὸν ἀξιώτερον ἄρχειν παρ' αὐτοῖς ἔχοντες. τίνα δικαιοτέραν ποτὲ τῆς εἰς αὐτοὺς εὐνοίας ἀποδώσειν ἀμοιβήν, εἰ τὴν νῦν καταπροοῖντο. τοσούτῳ δὲ εἶναι Οὐεσπασιανὸν ἡγεμονεύειν Οὐιτελλίου δικαιότερον, ὅσῳ καὶ αὐτοὺς τῶν ἐκεῖνον ἀποδειξάντων. οὐ γὰρ δὴ μικροτέρους τῶν ἀπὸ Γερμανίας διενηνοχέναι πολέμους, οὐδὲ τῶν ἐκεῖθεν καταγόντων τὸν τύραννον, ἡττῆσθαι τοῖς ὅπλοις. ἀγῶνος δὲ οὐδὲν δεήσειν. οὐ γὰρ τὴν σύγκλητον, ἢ τὸν Ῥωμαίων δῆμον ἀνέξεσθαι τῆς Οὐιτελλίου λαγνείας, ἀντὶ τῆς Οὐεσπασιανοῦ σωφροσύνης, οὐδὲ ἀντὶ μὲν ἡγεμόνος ἀγαθοῦ τύραννον ὠμότατον, ἄπαιδα δὲ ἀντὶ πατρὸς αἱρεῖσθαι προστάτην. μέγιστον γὰρ δὴ πρὸς ἀσφάλειαν εἰρήνης εἶναι, τὰς γνησίους τῶν βασιλέων ὑπεροχάς. εἴτε οὖν ἐμπειρίᾳ γήρως, προσήκει τὸ ἄρχειν, Οὐεσπασιανὸν αὐτοὺς ἔχειν, εἴτε νεότητος ἀλκῇ Τίτον. καρπώσεσθαι γὰρ τῆς παρ' ἀμφοῖν ἡλικίας τὸ ὠφέλιμον. χορηγήσειν δὲ οὐ μόνον αὐτούς, τότε τὴν ἰσχὺν τοῖς ἀποδειχθεῖσιν, ἅτε τρία τάγματα, καὶ τὰς παρὰ τῶν βασιλέων συμμαχίας ἔχοντας, ἀλλὰ καὶ συνεργήσειν τά τε πρὸς ἕω πάντα, καὶ τῆς Εὐρώπης ὅσα τῶν ἀπὸ Οὐιτελλίου φόβων κεχώρισται. καὶ τοὺς ἐπὶ τῆς Ἰταλίας δὲ συμμάχους, ἀδελφὸν Οὐεσπασιανοῦ καὶ παῖδα ἕτερον, ὧν τὸν μὲν προσθήσεσθαι πολλοὺς τῶν ἐν ἀξιώματι νέων, τὸν δὲ καὶ τὴν τῆς πόλεως φυλακὴν πεπιστεῦσθαι, μέρος οὐκ ὀλίγον εἰς ἐπιβολὴν ἡγεμονίας. καθόλου τε ἂν βραδύνωσιν αὐτοί, τάχα τὴν σύγκλητον ἀποδείξειν τὸν ὑπὸ τῶν συντετηρηκότων στρατιωτῶν ἀτιμούμενον. τοιαῦτα κατὰ συστροφὰς οἱ στρατιῶται διελάλουν. ἔπειτα συναθροισθέντες, καὶ παρακροτήσαντες ἀλλήλους, ἀναγορεύουσι τὸν Οὐεσπασιανὸν αὐτοκράτορα, καὶ σώζειν τὴν κινδυνεύουσαν ἡγεμονίαν παρεκάλουν. τῷ δὲ φροντὶς μὲν ἦν πάλαι περὶ τῶν ὅλων, οὔτι γε μὴν αὐτὸς ἄρχειν προῃρεῖτο, τοῖς μὲν ἔργοις ἑαυτὸν ἄξιον ἡγούμενος, προκρίνων δὲ τῆς ἐν λαμπρότητι κινδύνων, τὴν ἐν ἰδιώταις ἀσφάλειαν. ἀρνουμένῳ δὲ μᾶλλον οἱ ἡγεμόνες ἐπέκειντο, καὶ περιχυθέντες οἱ στρατιῶται ξιφήρεις, ἀναιρεῖν αὐτὸν ἠπείλουν, εἰ μὴ βούλοιτο ζῆν ἀξίως. πολλὰ δὲ πρὸς αὐτοὺς διατεινάμενος, ἐξ ὧν διωθεῖτο τὴν ἀρχήν, τελευταῖον ὡς οὐκ ἔπεισεν, εἴκει τοῖς ὀνομάσασι.

Κεφ. λζ.

Προτρεπομένων δὲ αὐτὸν ἤδη Μουκιανοῦ τε καὶ τῶν ἄλλων ἡγεμόνων εἰς αὐτοκράτορα, καὶ τῆς ἄλλης στρατιᾶς ἄγειν βοώσης αὐτὸν ἐπὶ πᾶν τὸ ἀντίπαλον, αὐτὸς πρῶτον τῶν ἐπ' Ἀλεξανδρείας ἔγνω πραγμάτων, εἰδὼς πλεῖστον τῆς ἡγεμονίας μέρος τὴν Αἴγυπτον οὖσαν, διὰ τὴν τοῦ σίτου χορηγίαν. ἧς κρατήσας, εἰ παρέλκοι, καὶ βίᾳ καθαιρήσειν ἤλπιζεν Οὐιτέλλιον. οὐ γὰρ ἀνέ-

A tunam posse noua facere, priusquam ad Italiam, præsertim hyemis tempore ipse transiret: plúsque iam crescentem iracundiam cohibebat. Rectores autem cum militibus conuenientes, apertè iam de mutatione tractabant: & cum indignatione vociferantes, incusabant Romæ constitutos milites, & in deliciis agentes, qui ne famam quidem belli sustineant, quibus libuerit decernere principatum, & spe quæstus imperatores creare. Se au-
B tem laboribus tot exactis sub galeis senescentes, aliis condonare potestatem, cùm apud se digniorem habeant imperio. cui si hanc amiserint, quam iustiorem, vel quando referrent erga se beneuolentiæ gratiam? Tanto autem Vespasianum quàm Vitelliú iustius esse principem fieri, quanto illis, qui eum declarassent ipsi præstarent. non enim se minora pertulisse bella, quàm qui ex Germania venissent: neque illis, qui tyrannum inde deducerent, in armis
C deteriores esse. Nullum autem in creando Vespasiano fore certamen. non enim senatum populúmve Romanum, Vitellij libidines pro Vespasiani pudicitia perpessuros: nec pro bono Imperatore crudelissimum tyrannum, aut filium pro patre optaturos principem. Maximum enim pacis tutamen esse, veram in Imperatore præstantiam. Ergo siue per iræ senectutis debeatur imperium, habere se Vespasianum: siue adolescentiæ viribus, Titum. ex am-
D borum enim ætate quod sit commodum decerpturos. Non solùm autem se ministraturos declarati imperij vires, qui tres legiones, regúmque habeant auxilia: sed etiam totum Orientem partémque Europæ extra Vitellij timorem constitutam: atque insuper qui essent in Italia propugnatores Vespasiani, fratrem atque alium filium: quorum alteri multos dignitate præditos iuuenes sociatum iri sperabant, alteri verò etiam vrbis esset commissa
E præfectura: quæ pars ad imperij principia non parum valeret. Postremò si ipsi cessarent, senatú fortasse declaraturum eum principem, quem conseruatores milites dehonestarent. Hæc primò per cuneos milites loquebantur. deinde se adhortari inuicem, Vespasianum Imperatorem appellant: eúmque vt in periculo constitutum imperium conseruaret, orabant. Illi autem olim quidem rerum omnium cura fuit, nequaquam verò imperare volebat, dignum quidem se factis existimans, priuatæ autem vitæ securitatem, clarioris fortunæ periculis anteponens. Recusanti autem rectores magis instabant: & circumfusi milites cum gladiis mortem ei minitabantur, nisi viuere vellet, vt dignus esset. diu tamen reluctatus, quod renuebat imperium postremò cum his, qui se designauerant minimè dissuadere posset accepit.

CAP. XI. Ægypti descriptio, & Phari.

G MVtiano autem cæterísque rectoribus, qui eum ad imperium inuitauerant, & exercitu alio vociferante, vt se in hostes omnes duceret, prius res Alexandrinas procurandas putauit: sciens Ægyptum plurimam esse partem imperij, propter frumentariam functionem: eáque si potitus esset, vi quoque, si perstaret, Vitellium deiiciendum sperabat. nec enim perpessu-

surum esse populum fame oppressum. Simul etiam duas legiones, quæ apud Alexandriam degerent, sibi cupiebat adiungere. Cogitabat etiã propugnaculo sibi fore illam regionem, aduersus incerta fortunæ. Nam & terra difficilis accessu, maríque impetuosa est: & ab Occidente quidem aridam Libyam habet obiectam, à meridie verò limitem, qui Syenem ab Æthiopia dirimit, nauibúsque inuias Nili fluminis cataractas. itémque ab Oriente mare rubrum, ad Copton ciuitatem vsque diffusum. Septentrionale verò munimentum habet terram vsque ad Syriam, & quod dicitur Ægyptium pelagus, totum portubus carens. Hoc quidem modo Ægyptus ex omni parte tuta est. Inter Pelusium verò & Syenem, per duo millia stadiorũ porrigitur. Ex Plinthine autem ad Pelusium, nauigatio est stadiorum trium millium & sexcentorum. Nilus autem ad Elephantinẽ oppidum vsque nauibus ascenditur. namque vlteriùs progredi, vt suprà diximus, cataractæ non sinunt. Portus autem Alexandrinus etiam in pace nauibus aditu difficilis est. nam & ostium perangustum habet, saxísque latentibus à directo cursu deflectitur: & læua quidem pars manu factis brachiis cingitur: à dextera verò Pharus obiecta insula, turrim maximam sustinet, ad ccc. vsque stadia nauigantibus igne lucentem, vt quàm longissimè difficultatem applicandarum nauium præcaueant. Circum hanc autem insulam, opere instructo ingentes muri sunt: quibus afflictum pelagus, & aduersis obicibus fractum, asperiorem facit meatum, cóque periculosum per angustiam aditum. Intus tamen portus ipse tutissimus est, & xxx. stadiis magnus. in quem tam quæ desunt illi terræ ad beatitudinem deuehuntur: quàm quæ superant ex domesticis & indigenis, in totum orbẽ diuisa exportantur. Itaque non sine ratione, Vespasianus Alexandrinarum rerum erat cupidus, ad totius imperij firmamentum. Proinde statim ad Tiberium Alexandrum literas dedit, qui Ægyptum & Alexandriam regebat, indicans militũ alacritatem: quódque ipse (quod necesse fuit) suscepto munere principatus, operã atque adiumentum eius assumeret, Alexander autem, simul vt Vespasiani legit epistolam, prompto animo, & legiones eius sacramento rogauit & populum: vtrique autem libentissimè paruêre, virtutem viri ex proxima administratione sciẽtes. Et ille quidem permissa sibi potestate, omnia quæ imperij vsus exigeret, aduentui quoque principis necessaria iam parabat.

Cap. XII. Vespasianus Iosephum captiuitate liberat.

Opinione verò citiùs declaratum in Oriente Vespasianum Imperatorem, vbique fama nunciauit. Et vniuersæ quidem ciuitates festos dies habebant, nunciíque lætitiam pro eo simul & sacrificia celebrabant. legiones verò apud Mœsiam Pannoniámque degentes, quæ propter Vitellij audaciam paulò antè fuerant concitatæ, iusiurandum Vespasiano maiore gaudio præbuerunt. Vespasianus autem Cæsaream reuersus, item Berytum venerat, vbi multæ quidem è Syria, multæque ab aliis prouinciis legationes aderant obuiam, coronas ei & gratulatoria decreta à singulis ciuitatibus offerentes.

ξεσθαι πιέσειν ἐπὶ ῥώμης τὸ πλῆθος, τοῖς δύο τε ἐπὶ τῆς ἀλεξανδρείας τάγματα προσποιήσασθαι βουλόμενος. ἐνεθυμεῖτο δὲ καὶ πρόβλημα τὴν χώραν ἔχειν τὸ ἀπὸ τῆς τύχης ἀδήλων. ἔστι γὰρ κατὰ τὴν γῆν δυσέμβολος, τὰ πρὸς θάλασσαν ἀλίμενος. κατὰ μὲν ἑσπέραν, προβεβλημένη τὰ ἄνυδρα τῆς λιβύης, κατὰ δὲ μεσημβρίαν, τὴν διορίζουσαν ἀπὸ αἰθιόπων τὴν συήνην, καὶ τοὺς ἀπλώτους τοῦ ποταμοῦ καταρράκτας, ἀπὸ δὲ τῆς ἀνατολῆς, ἐπὶ τὴν ἐρυθρὰν θάλασσαν ἀναχεομένη μέχρι κοπτοῦ. βόρειον δὲ τεῖχος αὐτῇ, ἥ τε μέχρι συρίας γῆ, καὶ τὸ καλούμενον αἰγύπτιον πέλαγος, πᾶν ἄπορον ὅρμων. τετείχισται μὲν οὕτως ἡ αἴγυπτος πάντοθεν. τὸ μεταξὺ δὲ πηλουσίου καὶ συήνης, μῆκος αὐτῆς σταδίων δισχιλίων, ὅ τε ἀπὸ τῆς πλινθίνης ἀνάπλους εἰς πηλούσιον, σταδίων τρισχιλίων ἑξακοσίων. ὁ δὲ νεῖλος, ἀναπλεῖται μέχρι τῆς ἐλεφαντίνης καλουμένης πόλεως, ὑπὲρ ἣν εἴργουσι προσωτέρω χωρεῖν οὓς προειρήκαμεν καταρράκτας. δυσπρόσιτος δὲ λιμὴν ναυσὶ, καὶ κατ' εἰρήνην, ἀλεξανδρείας. στενός τε γὰρ εἴσπλους, καὶ πέτραις ὑφάλοις τὸν ἐπ' εὐθὺ καμπτούμενος δρόμον. καὶ τὸ μὲν ἀριστερὸν αὐτοῦ μέρος, πέφρακται χειροποιήτοις σκέλεσιν. ἐν δεξιᾷ δὲ, ἡ προσαγορευομένη φάρος νῆσος πρόκειται, πύργον ἀνέχουσα μέγιστον, ἐκπυρσεύουσα τοῖς καταπλέουσιν ἐπὶ τριακοσίους σταδίους, ὡς ἐν νυκτὶ πόρρωθεν ὁρμίζοιντο πρὸς τὴν δυσχέρειαν τοῦ κατάπλου. περὶ ταύτην τὴν νησῖδα, καταβέβληται χειροποίητα τείχη μέγιστα. προσαρασσόμενον δὲ τούτοις τὸ πέλαγος, καὶ τοῖς ἄντικρυς ἕρκεσιν ἀμφηγνύμενον ἐκτραχύνει τὸν πόρον, καὶ σφαλερὰν διὰ στενοῦ τὴν εἴσοδον ἀπεργάζεται. ὁ μέντοι γε λιμὴν ἀσφαλέστατος ἔνδον, καὶ τριάκοντα σταδίων τὸ μέγεθος, εἰς ὃν τά τε λείποντα τῇ χώρᾳ πρὸς εὐδαιμονίαν κατάγεται, καὶ τὰ περισσεύοντα τῶν ἐπιχωρίων ἀγαθῶν εἰς πᾶσαν μερίζεται τὴν οἰκουμένην. ἐφίετο μὲν οὖν εἰκότως, τῶν ταύτῃ πραγμάτων οὐεσπασιανὸς εἰς βεβαίωσιν τῆς ὅλης ἡγεμονίας. ἐπιστέλλει δ' οὖν εὐθὺς τῷ διέποντι τὴν αἴγυπτον, καὶ τὴν ἀλεξάνδρειαν τιβερίῳ ἀλεξάνδρῳ, δηλῶν τὸ τῆς στρατιᾶς πρόθυμον, καὶ ὡς αὐτὸς ὑποδὺς ἀναγκαίως τὸ βάρος τῆς ἡγεμονίας, συνεργὸν αὐτὸν καὶ βοηθὸν προσλαμβάνοι. προαναγνοὺς δὲ τὴν ἐπιστολὴν ἀλέξανδρος, ἅμα προθύμως τά τε τάγματα καὶ τὸ πλῆθος εἰς αὐτὸν ὥρκωσεν, ἑκάτεροι δὲ ἀσμένως ὑπήκουσαν, τὴν ἀρετὴν τοῦ ἀνδρὸς ἐκ τῆς ἐγγὺς στρατηγίας εἰδότες. καὶ ὁ μὲν πεπιστευμένος ἤδη τὰ περὶ τὴν ἀρχὴν, προπαρεσκεύαζεν αὐτῷ καὶ τὰ πρὸς τὴν ἄφιξιν. τάχιον δ' ἐπινοίας διήγγελλον αἱ φῆμαι τὸν ἐπὶ τῆς ἀνατολῆς αὐτοκράτορα, καὶ πᾶσα μὲν πόλις ἑώρταζεν, εὐαγγέλια δὲ καὶ θυσίας ὑπὲρ αὐτοῦ ἐπετέλει. τὰ δὲ κατὰ μυσίαν, καὶ παννονίαν τάγματα, μικρῷ πρόσθεν κεκινημένα πρὸς τὴν οὐιτελλίου τόλμαν, μείζονι χαρᾷ οὐεσπασιανῷ τὴν ἡγεμονίαν ὤμνυον. ὁ δ' ἀναζεύξας ἀπὸ καισαρείας εἰς βηρυτὸν παρῆν, ἔνθα πολλαὶ μὲν ἀπὸ τῆς συρίας αὐτῷ, πολλαὶ δὲ καὶ ἀπὸ τῶν ἄλλων ἐπαρχιῶν πρεσβεῖαι συνήντων, στεφάνους παρ' ἑκάστης πόλεως, καὶ συγχαρητικὰ προσφέρουσαι ψηφίσματα. παρῆν δὲ καὶ μουκιανὸς,

Affuit autem rector etiam prouinciæ Mutianus,

ὁ τῆς

ὁ τῆς ἐπαρχίας ἡγεμών, τό τε πρόθυμον τῶν δήμων, καὶ τοὺς κατὰ πόλιν ὅρκους ἀπαγγέλλων.

Κεφ. λη. Προχωρούσης δὲ πανταχοῦ κατὰ νοῦν τῆς τύχης, καὶ τῶν πραγμάτων συννενευκότων ἐκ πλείστου μέρους, ἤδη παρίστατο τῷ Οὐεσπασιανῷ νοεῖν, ὡς οὐ δίχα δαιμονίου προνοίας ἅψαιτο τῆς ἀρχῆς, ἀλλὰ δικαία τις εἱμαρμένη περιαγάγοι τὸ κράτος τῶν ὅλων ἐπ' αὐτόν. ἀναμνησθεὶς γὰρ τά τε ἄλλα σημεῖα, πολλὰ δὲ αὐτῷ γεγόνει πανταχοῦ, προφαίνοντα τὴν ἡγεμονίαν, καὶ τὰς τοῦ Ἰωσήπου φωνάς, ὃς αὐτὸν ἔτι ζῶντος Νέρωνος αὐτοκράτορα προσειπεῖν ἐθάρρησεν, ἐξεπέπληκτο δὲ τὸν ἄνδρα δεσμώτην ἔτι ὄντα παρ' αὐτῷ, καὶ προσκαλεσάμενος Μουκιανὸν ἅμα τοῖς ἄλλοις ἡγεμόσι καὶ φίλοις, πρῶτον μὲν αὐτοῦ τὸ δραστήριον ἐξεδιηγεῖτο, καὶ ὅσα τοῖς Ἰωταπάτοις δι' αὐτὸν ἔκαμεν. ἔπειτα τὰς μαντείας, ἃς αὐτὸς μὲν ὑπώπτευσε τότε πλάσματα τοῦ δέους, ἀποδειχθῆναι δὲ ὑπὸ τοῦ χρόνου καὶ τῶν πραγμάτων θείας. αἰσχρὸν οὖν ἔφη τὸν προθεσπίσαντά μοι τὴν ἀρχήν, καὶ διάκονον τῆς τοῦ θεοῦ φωνῆς, ἔτι αἰχμαλώτου τάξιν, ἢ δεσμώτου τύχην ὑπομένειν.

Κεφ. λθ. Καὶ καλέσας τὸν Ἰώσηπον, λυθῆναι κελεύει. τοῖς μὲν οὖν ἡγεμόσιν ἐκ τῆς εἰς τὸν ἀλλόφυλον ἀμοιβῆς, λαμπρὰ καὶ περὶ αὐτῶν ἐλπίζειν παρέστη. συνὼν δὲ τῷ πατρὶ Τίτος, δίκαιον ὦ πάτερ, ἔφη, τοῦ Ἰωσήπου καὶ τὸ ὄνειδος ἀφαιρεθῆναι σὺν τῷ σιδήρῳ. γενήσεται γὰρ ὅμοιος τῷ μὴ δεθέντι τὴν ἀρχήν, ἂν αὐτοῦ μὴ λύσωμεν, ἀλλὰ κόψωμεν τὰ δεσμά. τοῦτο γὰρ ἐπὶ τῶν μὴ δεόντως δεθέντων πράττεται. συνεδόκει δὲ ταῦτα, καὶ παρελθών τις, πελέκει διέκοψε τὴν ἅλυσιν. ὁ δὲ Ἰώσηπος εἰληφὼς περὶ τῶν προειρημένων γέρας τὴν ἐπιτιμίαν, ἤδη καὶ περὶ τῶν μελλόντων ἀξιόπιστος ἦν.

Κεφ. μ. Οὐεσπασιανὸς δὲ ταῖς πρεσβείαις χρηματίσας, καὶ καταστησάμενος ἑκάστοις τὰς ἀρχὰς δικαίως καὶ διὰ τῶν ἀξίων, εἰς Ἀντιόχειαν ἀφικνεῖται. καὶ βουλευόμενος ποῖ χρὴ τρέπεσθαι, προυργιαίτερα τῆς εἰς Ἀλεξάνδρειαν ὁρμῆς, τὰ κατὰ τὴν Ῥώμην ἔκρινε, τὴν μὲν βέβαιον οὖσαν ὁρῶν, τὰ δὲ ὑπὸ Οὐιτελλίου ταρασσόμενα. πέμπει δὴ Μουκιανὸν εἰς τὴν Ἰταλίαν, παραδοὺς ἱππέων τε καὶ πεζῶν συχνὴν δύναμιν. ὁ δὲ διὰ τὴν τοῦ χειμῶνος ἀκμὴν δείσας τὸ πλεῖν, πεζῇ τὴν στρατιὰν ἦγε διὰ Καππαδοκίας καὶ Φρυγίας.

Κεφ. μα. Ἐν δὲ τούτῳ καὶ Ἀντώνιος Πρίμος, ἀναλαβὼν τὸ τρίτον τάγμα τῶν κατὰ Μυσίαν, ἔτυχε δὲ ἡγεμονεύων αὐτόθι, Οὐιτελλίῳ παραταξόμενος ἠπείγετο. Οὐιτέλλιος δὲ αὐτῷ συναντήσοντα μετὰ πολλῆς δυνάμεως Καικίνναν ἐκπέμπει, μέγα θαρρῶν τῷ ἀνδρί, διὰ τὴν ἐπ' Ὄθωνι νίκην. ὁ δὲ ἀπὸ τῆς Ῥώμης ἐλαύνων διὰ τάχους περὶ Κρέμωνα τῆς Γαλλίας τὸν Ἀντώνιον καταλαμβάνει. μεθόριος δὲ ἐστὶν ἡ πόλις αὕτη τῆς Ἰταλίας. κατιδὼν δὲ ἐνταῦθα τὸ πλῆθος τῶν πολεμίων, καὶ τὴν εὐταξίαν, συμβαλεῖν μὲν οὐκ ἐθάρρει, σφαλερὰν δὲ τὴν ἀναχώρησιν λογιζόμενος, προδοσίαν ἐβουλεύετο. συναγαγὼν δὲ τοὺς ὑπ' αὐτὸν ἑκατοντάρχας, καὶ χιλιάρχους ἐνῆγε, μεταβῆναι πρὸς τὸν Ἀντώνιον, ταπεινῶν μὲν τὰ Οὐιτελλίου πράγματα, τὴν Οὐεσπασιανοῦ δὲ ἰσχὺν ἐπαίρων, καὶ παρ' ᾧ μὲν εἶναι λέγων μόνον τῆς ἀρχῆς ὄνομα, παρ' ᾧ δὲ τὴν δύναμιν, καὶ αὐτοὺς δὲ ἄμεινον προλαβόντας, τὴν ἀνάγκην ποιῆσαι χάριν, καὶ μέλλοντας ἡττᾶσθαι τοῖς ὅπλοις,

A populorum alacritatem, iurataque per ipsum principem sacramenta renuncians. Vbique autem Vespasiani votis obsecundante fortuna, rebúsque ad eum plurima ex parte inclinatis, cogitare cœpit, quòd non sine Dei prouidentia sumpsisset imperium: sed iusta quædam fati ratio, ad eius potestatem circumduxisset rerum omnium principatum. Recordatus autem signa, & alia (multa enim sibi contigerant imperium præmonstrantia) & Iosephi B dicta, quibus eum Nerone viuo ausus fuerat appellare imperatorem, admirabatur virum quem adhuc habebat in vinculis: aduocatóq; Mutiano cum amicis & rectoribus aliis, primùm quàm strenuus fuisset Iosephus, quantúmque Iotapatenis expugnandis propter eum laborasset exponit. deinde vaticinationes eius, quas ipse quidem timoris causa suspicaretur esse figmenta: tempus autem diuinas fuisse, & rerum exitus probauisset. Túmque inhonestum C esse ait, vt qui sibi augurasset imperium, vocísque Dei minister ac nuncius extitisset, adhuc captiui loco haberetur, fortunámque sustineret aduersam: vocatúmque ad se Iosephum solui iubet. Hoc autem facto, alij quidem rectores ex ea gratia quam alienigenę retulisset, pręclara etiam de se speranda esse arbitrabantur. Titus verò, qui cum patre aderat, iustum est, inquit, pater, vnà cum ferro etiam probro Iosephum solui. erit enim, tanquam nec initio D vinctus sit, si non dissoluerimus, sed inciderimus catenas. namque id agi solet in his, qui nō rectè fuerint vincti. Eadem Vespasiano placebant. & quidam interueniēs securi catenas abrupit. Iosephus quidem pro his, quæ prædixerat, pręmio famę donatus, & de futuris iam dignus cui credendum esset habebatur.

Cap. XIII. De Vitellij morte & moribus.

Vespasianus autem responso legationibus reddito, iustéque pro meritis administrationibus ordinatis, Antiochiam venit. Et quónam primùm tenderet cogitans, E Alexandrino itinere præstabilius esse duxit, quæ Romæ agerentur curare. Alexandriam enim stabilem esse, Romanas autem res à Vitellio perturbari. Mittit igitur in Italiam Mutianum cum multis equitum peditúmque copiis. qui tamen propter hyemis asperitatem veritus nauigare, per Cappadocas & Phrygas ducit exercitum. Inter hæc autem Antonius Primus adducta legione tertia F ex his, quæ apud Mœsiam morabantur (illam enim regebat prouinciam) bellum gerere cum Vitellio properabat. Vitellius autem cum magna manu Cæcinnam obuiam ei mittit. Is autem Roma profectus, quamprimum circa Cremonam Galliæ Antonium cōsequitur, quæ confinis Italiæ ciuitas est: ibique conspecta hostium ordinatione ac multitudine, prælio quidem congredi non audebat. discessum autem periculosum reputans, G de proditione deliberabat. Conuocatis autem cēturionibus & tribunis sibi subditis, vt transirent ad Antonium suadebat: Vitellij quidem rebus detrahens, Vespasiani autem vires extollens: & alterum nomen imperij tantùm, alterum virtutem habere commemorans: ipsis quoq; melius esse, si id sponte faciāt, quòd necesse est: cúq; se multitudine superatū iri sciāt,

voluntate periculum præuenire. Nam Vespasianum quidem idoneum esse etiam sine ipsis ad reliqua vindicanda: Vitellium verò ne cum ipsis quidem præsentia posse seruare. Multa locutus in hunc modum quod voluit persuasit: & cum milite transfugit ad Antonium. Eadem verò nocte milites pœnitudo simul ac metus eius, si vicisset, à quo missi fuerant, occupauit, eductísque gladiis, Cæcinnam obtruncare voluerunt. fecissentque nisi his aduoluti tribuni supplicasset. quamobrem cæde quidem se abstinuerunt, vinctum autem quasi proditorem Vitellio trāsmittendum habebant. His auditis Primus Antonius continuò suos mouet, eósque cum armis in defectores ducit. illi autem instructi ad prælium, paulisper quidem restiterunt. mox autem loco pulsi, Cremonam fugerunt. Primus autem comitatus equitibus cursus eorum præuertit: & ante ciuitatem circumclusam plerámque multitudinem peremit. aggressus autē reliquos, oppidum militibus prædari permisit. in quo multi quidem hospites mercatores, multi verò indigenæ periere, totúsque Vitellij exercitus, virorum xxx. millia & ducenti. quin & Antonius eorum quos de Mœsia adduxerat quatuor millia & quingentos amittit. solutum autem vinculis Cæcinnam, rerum gestarum nuncium ad Vespasianum mittit. qui ad eum intromissus & collaudatus est, & proditoris dedecus insperatis protexit honoribus. Romæ autem Sabinus vbi Antonium appropinquare cognouit, fiducia recreatus est: collectísque vigilum cohortibus, nocte occupat Capitolium. luce verò facta multi nobilium sociati sunt ei, & Domitianus fratris filius, pars ingens obtinendæ victoriæ. Sed Vitellius de Primo quidem minimè curabat. his autem iratus, qui cū Sabino defecerant, & nobilium sanguinem pro ingenita crudelitate sitiens, immittit Capitolio quam secum adduxerat militum manum. vbi multa ab his itémque ab illis, qui templum tenebant pugnantibus, audacter admissa sunt: postremò autem Germani, quod multitudine superabant, collem obtinuerunt. Et Domitianus quidem cum multis Romanorum viris insignibus, diuina quadam ratione saluus euasit: reliqua verò multitudo tota laniatur. Et Sabinus quidem ad Vitellium ductus occiditur: milites autem direptis donariis templum incendunt. Túmque postero die cum exercitu venit Antonius, eúmque Vitellij milites excipiunt: & trifario commisso intra vrbē prælio, omnes interiere. Procedit autem ebrius de palatio Vitellius, & vt assolet in extremis longiorem luxu prodigæ mensæ refertus, tractus autem per populum, varióque contumeliarum genere dehonestatus, in media vrbe iugulatur, octo menses ac dies quinque potitus imperio: quem si viuere diutius contigisset vt opinor, eius luxuriæ minimè sufficere potuisset imperium. aliorum verò mortuorum supra L. millia numerata sunt. Hæc quidē gesta sunt die tertio mensis Octob. Postero autē die Mutianus cum exercitu Romam ingreditur, & Antonij militib. à cæde repressis (adhuc enim hospitia perscrutādo, & Vitellij milites, & ex populo plurimos, qui cum illo senserāt,

τῇ γνώμῃ τὸν κίνδυνον φθάσαι. Οὐεσπασιανὸν μὲν γὰρ ἱκανὸν εἶναι καὶ χωρὶς αὐτῶν προσθήσεσθαι τὰ λείποντα, Οὐιτέλλιον δ' οὐδὲ σὺν αὐτοῖς τηρῆσαι τὰ ὄντα. πολλὰ τοιαῦτα λέγων, ἔπεισε καὶ πρὸς τὸν Ἀντώνιον αὐτομολεῖ μετὰ τῆς δυνάμεως. τῆς δ' αὐτῆς νυκτὸς ἐμπίπτει μετάνοια τοῖς στρατιώταις, καὶ δέος τοῦ προπέμψαντος εἰ κρείττων γένοιτο. σπασάμενοι δὲ τὰ ξίφη, τὸν Καικίνναν ὥρμησαν ἀνελεῖν. κἂν ἐπεπράχθη τὸ ἔργον αὐτοῖς, εἰ μὴ προσπίπτοντες οἱ χιλίαρχοι καθικέτευσαν αὐτούς. οἱ δὲ τοῦ κτείνειν μὲν ἀπέχονται, δήσαντες δὲ τὸν προδότην, οἷοί τε ἦσαν πέμπειν Οὐιτελλίῳ. ταῦτα ἀκούσας ὁ Πρῖμος, αὐτίκα τοὺς σφετέρους ἀνίστησι, καὶ μετὰ τῶν ὅπλων ἦγεν ἐπὶ τοὺς ἀποστάντας. οἱ δὲ παραταξάμενοι πρὸς ὀλίγον μὲν ἀντεῖχον, αὖθις δὲ τραπέντες, ἔφευγον εἰς τὴν Κρέμωνα. καὶ τοὺς ἱππεῖς ἀναλαβὼν Πρῖμος, ὑποτέμνεται τὰς εἰσόδους αὐτῶν, καὶ τὸ μὲν πολὺ πλῆθος κυκλωσάμενος, περὶ τὴν πόλεως διαφθείρει, τοῖς δὲ λοιποῖς συνεισπεσὼν διαρπάσαι τὸ ἄστυ τοῖς στρατιώταις ἐφῆκεν. ἔνθα δὴ πολλοὶ μὲν τῶν ξένων ἔμποροι, πολλοὶ δὲ τῶν ἐπιχωρίων ἀπώλοντο, πᾶσα δὲ ἡ Οὐιτελλίου στρατιά, μυριάδες τρεῖς ἀνδρῶν καὶ διακόσιοι. τῶν δ' ἀπὸ τῆς Μυσίας, Ἀντώνιος τετρακισχιλίους ἀποβάλλει, καὶ πεντακοσίους. λύσας δὲ τὸν Καικίνναν, πέμπει πρὸς Οὐεσπασιανὸν, ἀγγελοῦντα τὰ πεπραγμένα. καὶ ὃς ἐλθὼν, ἀπεδέχθη τε ὑπ' αὐτοῦ, καὶ τὰ τῆς προδοσίας ὀνείδη, τῷ παρ' ἐλπίδα τιμαῖς ἐπεκάλυψεν.

Κεφ. μβʹ

Ἀνεθάρσει δὲ ἤδη, καὶ κατὰ τὴν Ῥώμην Σαβῖνος, ὡς πλησίον Ἀντώνιος ὢν ἀπηγγέλλετο, καὶ συναθροίσας τὰ τῶν νυκτοφυλάκων στρατιωτῶν τάγματα, νύκτωρ καταλαμβάνει τὸ Καπιτώλιον. μεθ' ἡμέραν δὲ αὐτῷ πολλοὶ τῶν ἐπισήμων προσεγένοντο, καὶ Δομετιανὸς ὁ τοῦ ἀδελφοῦ παῖς, μεγίστη μοῖρα τῶν εἰς τὸ κρατεῖν ἐλπίδων. Οὐιτελλίῳ δὲ Πρίμου μὲν ἐλάττων φροντὶς ἦν, τεθύμωτο δὲ ἐπὶ τοὺς συναποστάντας τῷ Σαβίνῳ, καὶ διὰ τὴν ἔμφυτον ὠμότητα, διψῶν αἵματος εὐγενοῦς, τὸ στρατιωτικὸν τῆς συγκατελθούσης αὐτῷ δύναμιν ἐπαφίησι τῷ Καπιτωλίῳ. πολλὰ μὲν οὖν ἔκ τε ταύτης, καὶ τῶν ἀπὸ τοῦ ἱεροῦ μαχομένων ἐτολμήθη. τέλος δὲ τῷ πλήθει περιόντες οἱ ἀπὸ τῆς Γερμανίας, ἐκράτησαν τοῦ λόφου. καὶ Δομετιανὸς δὲ σὺν πολλοῖς τῶν ἐν τέλει Ῥωμαίων, δαιμονιώτερον διασώζεται, τὸ δὲ λοιπὸν πλῆθος ἅπαν κατεκόπη. καὶ Σαβῖνος ἀναχθεὶς ἐπὶ Οὐιτέλλιον, ἀναιρεῖται. διαρπάσαντές τε οἱ στρατιῶται τὰ ἀναθήματα, τὸν ναὸν ἐνέπρησαν. καὶ μετὰ μίαν ἡμέραν, εἰσελαύνει μὲν Ἀντώνιος μετὰ τῆς δυνάμεως, ὑπήντων δὲ οἱ Οὐιτελλίου, καὶ τριχῇ κατὰ τὴν πόλιν συμβαλόντες, ἀπώλοντο πάντες. προέρχεται δὲ μεθύων ἐκ τῆς βασιλείας Οὐιτέλλιος, καὶ δαψιλέστερον ὥσπερ ἐν ἐσχάτοις τῆς ἀσώτου τραπέζης κεκορεσμένος. συρεὶς δὲ διὰ τοῦ πλήθους, καὶ παντοδαπαῖς αἰκίαις ἐξυβρισθεὶς, ἐπὶ μέσης τῆς Ῥώμης ἀποσφάττεται, μῆνας ὀκτὼ κρατήσας καὶ ἡμέρας πέντε· ὃν εἰ συνέβη πλείω χρόνον βιῶσαι, ἐπιλιπεῖν αὐτοῦ τῇ λαγνείᾳ τὴν ἡγεμονίαν οἶμαι. τῶν δὲ ἄλλων νεκρῶν ὑπὲρ πέντε μυριάδες ἠριθμήθησαν. ταῦτα δὲ τρίτῃ μηνὸς Ἀπελλαίου πέπρακτο. τῇ δὲ ὑστεραίᾳ, Μουκιανὸς εἴσεισι μετὰ τῆς στρατιᾶς, καὶ τοὺς σὺν Ἀντωνίῳ παύσας τοῦ κτείνειν (ἔτι γὰρ ἐξερευνώμενοι τὰς οἰκίας, πολλοὺς μὲν τῶν Οὐιτελλίου στρατιωτῶν, πολλοὺς δὲ τῶν δημοτικῶν, ὡς ἐκείνου ἀνῄρουν, φθά-

φθάνοντες τῷ θυμῷ τὴν ἀκρίβειαν ἐξετάσεως) καὶ προαγαγὼν τὸν δομετιανόν, συνίστησι τῷ πλήθει μέχρι τῆς τοῦ πατρὸς ἀφίξεως ἡγεμόνα. ὁ δὲ δῆμος ἀπηλλαγμένος ἤδη τῶν φόβων, αὐτοκράτορα οὐεσπασιανὸν εὐφήμουν, καὶ ἅμα τήν τε τούτου βεβαίωσιν ἑώρταζε, καὶ τὴν οὐιτελλίου κατάλυσιν. εἰς δὲ τὴν ἀλεξάνδρειαν ἀφιγμένῳ τῷ οὐεσπασιανῷ, τὰ ἀπὸ τῆς ῥώμης εὐαγγέλια ἧκε, καὶ πρέσβεις, ἐκ πάσης τῆς ἰδίας οἰκουμένης συνηδόμενοι. μεγίστη τε οὖσα μετὰ τὴν ῥώμην ἡ πόλις, στενοτέρα τοῦ πλήθους ἠλέγχετο. κεκυρωμένης δὲ ἤδη τῆς ἀρχῆς ἁπάσης, καὶ σεσωσμένων παρ' ἐλπίδα ῥωμαίοις τῶν πραγμάτων, οὐεσπασιανὸς ἐπὶ τὰ λείψανα τῆς ἰουδαίας τὸν λογισμὸν ἐπέστρεφεν. αὐτὸς μέντοι εἰς τὴν ῥώμην ὥρμητο λήξαντος τοῦ χειμῶνος ἀνάγεσθαι, καὶ τάχος, τὰ κατὰ τὴν ἀλεξάνδρειαν διῴκει. τὸν δὲ υἱὸν τίτον μετὰ τῆς ἐκκρίτου δυνάμεως ἀπέστειλεν ἐξαιρήσοντα τὰ ἱεροσόλυμα. ὁ δὲ προελθὼν πεζῇ μέχρι νικοπόλεως, εἴκοσι δὲ αὕτη διέχει τῆς ἀλεξανδρείας σταδίους, κἀκεῖθεν ἐπιβήσας τὴν στρατιὰν μακρῶν πλοίων, ἀναπλεῖ διὰ τοῦ νείλου κατὰ τὸν μὲν δήσιον νόμον, μέχρι πόλεως θμούεως. ἐκεῖθεν δὲ ἀποβάς, ὁδεύει καὶ κατὰ πολίχνην τινὰ τάνιν αὐλίζεται. δεύτερος αὐτῷ σταθμὸς ἡρακλέος πόλις, καὶ τρίτος πηλούσιον γίνεται. δυσὶ δὲ ἡμέραις ἐνταῦθα τὴν στρατιὰν ἀναλαβών, τῇ τρίτῃ διέξεισι τὰς ἐμβολὰς τοῦ πηλουσίου, καὶ προελθὼν σταθμὸν ἕνα διὰ τῆς ἐρήμου, πρὸς τῷ τοῦ κασίου διὸς ἱερῷ στρατοπεδεύεται, τῇ δὲ ὑστεραίᾳ κατὰ τὴν ὀστρακίνην. οὗτος ὁ σταθμὸς ἦν ἄνυδρος. ἐπεισάκτοις δὲ ὕδασιν οἱ ἐπιχώριοι χρῶνται. μετὰ ταῦτα, πρὸς ῥινοκορούροις ἀναπαύεται, κἀκεῖθεν εἰς ῥάφειαν προελθὼν σταθμὸν τέταρτον, ἔστι δὲ ἡ πόλις αὕτη συρίας ἀρχή, τὸ πέμπτον ἐν γάζῃ τίθεται στρατόπεδον, μεθ' ἣν εἰς ἀσκάλωνα, κἀκεῖθεν εἰς ἰάμνιαν, ἔπειτα εἰς ἰόππην, καὶ ἐξ ἰόππης, εἰς καισάρειαν ἀφικνεῖται, διεγνωκὼς αὐτόθι τὰς ἄλλας δυνάμεις ἀθροίζειν.

occidebant, examinationis diligentiam iracundia præuenientes) Domitianum productum populo rectorem insinuat, vsque ad patris aduentum. populus autem iam timore liberatus imperatorem prædicat Vespasianum: simúlque & illum confirmatum, & Vitellium esse deiectum festa lætitia celebrabat.

Ca. XIIII. Titus mittitur contra Iudæos à patre.

CVm autem Vespasianus Alexandriam venisset, gesta ei Romæ nunciata sunt, & legati ei ex toto orbe congratulantes affuerunt: cúmque maxima post Romam ciuitas esset, angustior multitudini videbatur. Firmato autem iam totius orbis Imperio, rebúsque pop. Ro. præter spem conseruatis, Vespasianus in Iudææ reliquias intendit animum. Et ipse quidem exacta hyeme, Romam proficisci parabat, résque apud Alexandriam maturè componere proponebat. filium verò Titum cum selectis copiis ad excidendam Hierosolymam mittit. Qui terreno itinere Nicopolim vsque progressus, ab Alexandria ciuitate xx. stadiorum interuallo distantem, inde militem longis nauibus imponit: Nilóque flumine post Mendesium tractum, Thmuin vsque vehitur. hinc autem egressus in terram apud Tanin ciuitatem diuertit. vnde secunda ei mansio fuit ciuitas Heraclea, & Pelusium tertia. Hic autem milite per biduum recreato, tertio die Pelusij fines transiit: vnámque mansionem profectus per solitudines, ad Casij Iouis templum castra posuit. posteróque die apud Ostracinen, quæ mansio aquæ inops est, ob quam causam aduectitia vtuntur indigenæ. Hinc apud Rhinocoluram requiescit: & inde progressus in quartam mansionem, Raphiam venit, quæ prima occurrit Syriæ ciuitas. Gaza verò quintæ mansionis castra suscepit: & postea in Ascalonem, atque hinc Iamniam, deinde Ioppen, & ex Ioppe Cæsaream peruenit: decreto apud se, alias militum copias congregare.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΠΕΡΙ ΑΛΩΣΕΩΣ ΛΟΓΟΣ Ε'.

FLAVII IOSEPHI DE BELLO IVDAICO

LIBER SEXTVS.

[*Secundùm Rufini distinctionem.*]

CAP. I. De triplici seditione apud Hierosolymam.

TITVS quidem ad eum modum quem prædiximus, emensa vltra Ægyptum ad Syriam vsque solitudine, Cæsaream venerat. ibi enim exercitum decreuerat ordinare. Illo autem adhuc apud Alexandriam vnà cum patre imperium, quod nuper ei Deus permiserat, disponente, contigit etiam seditionem, quæ apud Hierosolymam erat, auctam trifariam diuidi, & aliam partem in aliam verti, quod vt in malis optimum quis dixerit, factúmque iustitiæ. nam Zelotarum quidem in populum dominatio, quæ autor erat excidij ciuitatis, vnde cœperit, & per quos creuerit, diligenter superiùs declaratum est. hanc autem non errauerit quisquam, dicẽs seditionem in seditione esse factam, ac veluti rabida fera, externorum penuria, in sua viscera sæuire solet: sic Eleazarus Simonis filius, qui & ab initio Zelotas in templum à populo separauerat, velut indignari simulans ob ea, quæ in dies singulos Ioannes auderet, cùm ne ipse quidem à cædibus quiesceret: re autem vera sese posteriori tyranno subiectum esse minimè ferens, summæ rei desiderio, propriæque potentiæ cupiditate, ab aliis defecit: ascitis etiam Iuda Chelciæ filio, & Ezronis Simone potentissimis: præter quos erat etiam Ezechias Chobari filius, non ignobilis. Horum singulos Zelotæ non exigui sequebantur: occupatóque interiore templi aditu, super eius portas in sacris foribus arma ponunt. & abundare quidem se suis necessariis confidebant. sacrarum enim rerum copia suppetebat, nihil impium existimantibus: paucitati verò suorum timentes, plerique in locis suis otiosi manebant. Ioannes autem quanto superior erat virorum multitudine, tanto loco superabatur: hostésque habens à vertice, neque sine metu conabatur incursus, & præ iracundia cessare non poterat. Plus autem mali perferens, quàm Eleazari partem afficiens, tamen non remittebat. crebri enim fiebant impetus, & missiliũ iactus, totúmq; polluebatur cædibus templum. Filius autem Gioræ Simon, quem rebus desperatis

Κεφ. α.

Ὁ ΜῈΝ τίτος ὃν προειρήκαμεν τρόπον διοδεύσας τὴν ὑπὲρ αἰγύπτου μέχρι συρίας ἐρημίαν, εἰς καισάρειαν παρῆν, ταύτῃ διεγνωκὼς προσυντάξασθαι τὰς δυνάμεις. ἔτι δὲ αὐτοῦ κατὰ τὴν ἀλεξάνδρειαν συγκαθισταμένου τῷ πατρὶ τὴν ἡγεμονίαν νέον αὐτοῖς ἐγκεχειρισμένην ὑπὸ τοῦ θεοῦ, συνέβη καὶ τὴν ἐν τοῖς ἱεροσολύμοις στάσιν ἀνακμάσασαν τριμερῆ γενέσθαι, καὶ καθ' αὑτοῦ θάτερον ἐπιστρέψαι μέρος, ὅπερ ἄν τις ὡς ἐν κακοῖς ἀγαθὸν εἴποι καὶ δίκης ἔργον. ἡ μὲν γὰρ κατὰ τοῦ δήμου τῶν ζηλωτῶν ἐπίθεσις, ἥπερ κατῆρξεν ἁλώσεως τῇ πόλει, προδεδήλωται μετ' ἀκριβείας, ὅθεν τε ἔφυ, καὶ πρὸς ὅσον κακὸν ἀνηύξηθη. ταύτην δὲ οὐκ ἂν ἁμάρτοι τις εἰπὼν, στάσει στάσιν ἐγγενέσθαι. καὶ καθάπερ θηρίον λυσσῆσαν, ἐνδείᾳ τῶν ἔξωθεν ἐπὶ τὰς ἰδίας ἤδη σάρκας ὁρμᾷ. οὕτως ἐλεάζαρος ὁ τοῦ σίμωνος, ὃς δὴ καὶ τὰ πρῶτα τοῦ δήμου τοὺς ζηλωτὰς ἀπέστησεν εἰς τὸ τέμενος, ὡς ἀγανακτῶν δῆθεν ἐπὶ τοῖς ὁσημέραι τῷ ἰωάννῃ τολμωμένοις, οὐ γὰρ ἀνεπαύετο φονῶν οὗτος, τὸ δὲ ἀληθὲς αὐτοῦ μεταγενεστέρου τυράννου μὴ φέρων ὑποτετάχθαι, πόθῳ τῶν ὅλων καὶ δυναστείας ἐπιθυμίᾳ, διΐσταται, παραλαβὼν ἰούδην τε τὸν χελκία καὶ σίμωνα τὸν ἐζρῶνος τῶν δυνατῶν, πρὸς οἷς ἐζεκίας ἦν χωβαρεῖ παῖς οὐκ ἄσημος. καθ' ἕκαστον δὲ οὐκ ὀλίγοι τῶν ζηλωτῶν ἠκολούθησαν, καὶ καταλαβόμενοι τὸν ἐνδότερον τοῦ νεὼ περίβολον ὑπὲρ τὰς ἱερὰς πύλας, ἐπὶ τῶν ἁγίων μετώπων τίθενται τὰ ὅπλα. πλήρεις μὲν οὖν ἐπιτηδείων ὄντες ἐθάῤῥουν. καὶ γὰρ ἀφθονία τῶν ἱερῶν ἐγένετο πραγμάτων, τοῖς γε μηδὲν ἀσεβὲς ἡγουμένοις. ὀλιγότητι δὲ τῇ κατὰ σφᾶς ὀῤῥωδοῦντες, ἐγκαθιστάμενοι τὰ πολλὰ κατὰ χώραν ἔμενον. ὁ δὲ ἰωάννης ὅσον ἀνδρῶν ὑπερεῖχε πλήθει, τοσοῦτον ἐλείπετο τῷ τόπῳ, καὶ κατὰ κορυφὴν ἔχων τοὺς πολεμίους, οὔτ' ἀδεεῖς ἐποιεῖτο τὰς προσβολὰς, οὔτε δι' ὀργὴν ἠρέμει. κακούμενος δὲ πλέον ἤπερ διατιθεὶς τοὺς περὶ τὸν ἐλεάζαρον, ὅμως οὐκ ἀνίει. συνεχεῖς δὲ ἐκδρομαὶ, κατ' ἀλλήλων καὶ βελῶν ἀφέσεις ἐγίνοντο, καὶ φόνοις ἐμιαίνετο πανταχοῦ τὸ ἱερόν. ὁ δὲ τοῦ γιώρα σίμων, ὃν ἐν ταῖς ἀμηχανίαις ἐπικλη-

ἐπίκλητον αὐτῷ τύραννον ἐλπίδι βοηθείας ὁ δῆμος προσηγάγετο, τήν τὲ ἄνω πόλιν ἔχων, καὶ τῆς κάτω πολὺ μέρος, ἐρρωμενέστερον ἤδη τοῖς περὶ τὸν Ἰωάννην ἐνέβαλλεν, ὡς ἂν καὶ καθύπερθεν πολεμουμένοις. ἦν δ' ὑπὸ χεῖρα προσιὼν αὐτὸς, ὥσπερ ἐκεῖνοι τοῖς ἄνωθεν. καὶ τῷ Ἰωάννῃ διχόθεν πολεμουμένῳ, συνέβαινε βλάπτεσθαί τε καὶ βλάπτειν εὐκόλως. καὶ καθόσον ἡττᾶτο τῶν ἀμφὶ τὸν Ἐλεάζαρον ὢν ταπεινότερος, τοσοῦτον ἐπλεονέκτει ἐν ὑψηλῷ τοῦ Σίμωνος. παρὸ καὶ χειρὶ μὲν τὰς κάτωθεν προσβολὰς δυνατῶς εἶργε. τοὺς δ' ἄνωθεν ἀπὸ τοῦ ἱεροῦ κατακοντίζοντας, ἀνέστελλε τοῖς ὀργάνοις. ὀξυβελεῖς τε γὰρ αὐτῷ, καὶ καταπέλται παρῆσαν οὐκ ὀλίγοι, καὶ λιθοβόλοι, δι' ὧν οὐ μόνον ἠμύνετο τοὺς πολεμοῦντας, ἀλλὰ πολλοὺς καὶ τῶν ἱερουργούντων ἀνῄρει. καίπερ γὰρ πρὸς πᾶσαν ἀσέβειαν ἐκλελυσσηκότες, ὅμως τοὺς θύειν ἐθέλοντας εἰσηφίεσαν, μεθ' ὑποψίας μὲν καὶ φυλακῆς τοὺς ἐπιχωρίους προδιερευνώμενοι. τοὺς δὲ ξένους ἀδεέστερον, οἳ καίπερ δυσωπήσαντες αὐτῶν τὴν ὠμότητα, προανάλωμα τῆς στάσεως ἐγίνοντο. τὰ γὰρ ἀπὸ τῶν ὀργάνων βέλη μέχρι τοῦ βωμοῦ, καὶ τοῦ ναοῦ διὰ τὴν βίαν ὑπερφερόμενα, τοῖς τε ἱερεῦσι, καὶ τοῖς ἱερουργοῦσιν ἐνέπιπτε. καὶ πολλοὶ σπουδάσαντες ἀπὸ γῆς περάτων, περὶ τὸν διώνυμον καὶ πᾶσιν ἀνθρώποις χῶρον ἅγιον, πρὸ τῶν θυμάτων ἔπεσον αὐτοὶ, καὶ τὸν Ἕλλησι πᾶσι καὶ βαρβάροις σεβάσμιον βωμὸν, κατέσπεισαν ἰδίῳ φόνῳ. νεκροῖς δ' ἐπιχωρίοις ἀλλόφυλοι, καὶ ἱερεῦσι βέβηλοι συνεφύροντο, καὶ παντοδαπῶν αἷμα πτωμάτων ἐν τοῖς θείοις περιβόλοις ἐλιμνάζετο.

Κεφ. β.

Τί τηλικοῦτον ὦ τλημονεστάτη πόλις πέπονθας ὑπὸ Ῥωμαίων, οἵ σου τὰ ἐμφύλια μύση περικαθαροῦντες εἰσῆλθον; θεοῦ μὲν γὰρ οὔτε ἦς ἔτι χῶρος, οὔτε μένειν ἐδύνασο, τάφος οἰκείων γενομένη σωμάτων, καὶ πολέμου τὸν ναὸν ἐμφυλίου ποιήσασα πολυάνδριον. δύναιο δ' ἂν γενέσθαι πάλιν ἀμείνων, εἴγε ποτὲ τὸν πορθήσαντα θεὸν ἐξιλάσῃ. ἀλλὰ καθεκτέον γὰρ καὶ τὰ πάθη τῷ νόμῳ τῆς συγγραφῆς, ὡς οὐ καιρὸς ὀλοφυρμῶν οἰκείων ὁ καιρὸς, ἀλλ' ἀφηγήσεως πραγμάτων. δίειμι δὲ τὰ ἑξῆς ἔργα τῆς στάσεως.

Κεφ. γ.

Τριχῆ τῶν ἐπιβούλων τῆς πόλεως διῃρημένων, οἱ μὲν περὶ τὸν Ἐλεάζαρον τὰς ἱερὰς ἀπαρχὰς διαφυλάσσοντες, κατὰ τοῦ Ἰωάννου τὴν μέθην ἔφερον. οἱ δὲ σὺν τούτῳ διαρπάζοντες τοὺς δημότας, ἠγείροντο κατὰ τοῦ Σίμωνος. ἦν δὲ κἀκείνῳ τροφὴ κατὰ τῶν στασιαστῶν ἡ πόλις. ὁπότε μὲν οὖν ἀμφοτέρωθεν ἐπιχειροῖτο, τοὺς συνόντας ὁ Ἰωάννης ἀντέστρεφε, καὶ τοὺς μὲν ἐκ τῆς πόλεως ἀνιόντας ἀπὸ τῶν στοῶν βάλλων, τοὺς δὲ ἀπὸ τοῦ ἱεροῦ κατακοντίζοντας, ἠμύνετο τοῖς ὀργάνοις. εἰ δὲ ἐλευθερωθείη ποτὲ τῶν καθύπερθεν ἐπικειμένων, διανέπαυε δὲ αὐτοὺς πολλάκις μέθη τε καὶ κάματος, ἀδεέστερον τοῖς περὶ τὸν Σίμωνα μετὰ πλειόνων ἐπεξῄει. ἀεὶ δ' ἐφ' ὅσον τρέψαιτο τῆς πόλεως, ὑπεπίμπρα τὰς οἰκίας σίτου μεστὰς, καὶ παντοδαπῶν ἐπιτηδείων. τὸ δὲ αὐτὸ πάλιν ὑποχωροῦντος ἐπιὼν ὁ Σίμων ἔπραττεν, ὥσπερ ἐπίτηδες Ῥωμαίοις διαφθείροντες, ἃ παρεσκευάσατο πρὸς πολιορκίαν ἡ πόλις, καὶ τὰ νεῦρα τῆς αὐτῶν ὑποκόπτοντες δυνάμεως. συνέβη γοῦν τὰ μὲν περὶ τὸ ἱερὸν πάντα συμφλεγῆναι, καὶ μεταίχμιον ἐρημίας γενέσθαι καὶ παρατάξεως τὴν πόλιν κατακαῆναι δὲ πλὴν ὀλίγου πάντα τὸν σῖτον, ὃς ἂν αὐτοῖς οὐκ ἐπ' ὀλίγα διήρκεσεν ἔτη πολιορκουμένοις. λιμῷ γοῦν ἑάλωσ-

A inuitatū, vltro sibi tyrannum spe auxilij populus introduxerat: & superiorē ciuitatē retinēs, & inferioris plurimam partem, animosiùs iam Ioannem eiúsque socios adoriebatur, quasi desuper impugnarentur. subiectus autē illorum manibus erat, sicut & illi superiorum. Et Ioannem eueniebat duplex prœliū perferentem, lædi pariter ac lædere: quantóq; vincebatur, eò quòd Eleazaro esset humilior, tanto plus lædebat, Simone celsior constitutus: cùm inferiores ag-
B gressus etiā sola manu sine labore prohiberet: desuper verò ex fano iaculantes, machinis deterreret. Quippe balistis & non paucis lanceis vtebatur, saxorúmque tormentis: quibus nō solùm bellantes vlciscebatur, sed multos etiam sacra celebrantium perimebat. Quanquam enim ad omne impietatis genus rabidi ferebātur, tamen eos, qui sacrificare cuperent recipiebāt, cū suspicione & custodibus indigenas perscrutando. Hospites enim etiam, qui exorassent
C eorū crudelitatem, pòst exituri subcisiua seditionis opera consumebantur. Missilia namque machinarum vi ad aram vsque templúmque peruenientia, in sacerdotes sacra celebrātes cadebant: ac multi, qui properantes ab vltimis finibus terræ ad sanctissimum locum venissent, ante ipsas hostias procubuerunt: arámque vniuersis Græcis & Barbaris adorandam, suo sanguine imbuêre. Indigenis autem mortuis alienigenæ, ac sacerdotibus profani miscebantur:
D pérque atria diuina, stagnum fecerat diuersorū cadauerum sanguis. Quid tantū passa es, ô miserrima ciuitas à Romanis, qui tua intestina scelera purgaturi flammis introiêre? Iam enim Dei locus non eras, neque manere poteras, domesticorum funerum facta sepulchrum, & quę fanum ciuili bello tumulum constitueras: poteris autem denuò fieri, poteris, si vnquam vastatorem tui Deum placaueris. Sed enim reprimenda sunt, quę dolent, lege scribendi: quando
E non domestici luctus, sed exponendarum rerū hoc tempus est. Prosequar autem seditionis facinora cætera. Ergo diuisis trifariam insidiatoribus Eleazarus quidem eiúsque socij, qui sacras primitias conseruabant, in Ioannem ebrij ferebantur. Qui verò huic parérent, plebem diripientes in Simonem rebellabant, cùm ipsi quoque Simoni contra diuersæ partis seditiosos adiumento esset ciuitas. Si quando igitur ex vtraque parte appetebatur Ioannes, obuer-
F tebat socios suos: & de ciuitate quidem subeuntes, missis ex porticibus telis, de templo verò iaculantes, machinis vlciscebatur. Quoties autem desuper instantium molestia caruisset (frequenter enim ebrietate & lassitudine cessabant) liberiùs in Simonem eiúsque socios cum pluribus irruebat. Semper autem quantum in ciuitate pepulisset in fugam versos, ædes frumenti plenas omniúmque vtensilium incendebat: idémque hoc illo regre-
G diente, Simon insecutus agebat: veluti consultò pro Romanis omnia corrumperent, quæ ad obsidionem ciuitatis erant præparata, suarúmque virium neruos abscinderent. Denique contigit vnà exuri omnia circum templum, & inter proprias acies solitudinem atque aream pugnæ fieri ciuitatem: concremari autem paulo minus omne frumentum,

quod non paucis annis sufficere potuisset obsessis: deniq; fame capti sunt, qua minimè quiuissent, nisi eam sibimet comparauissent. Vndique autem insidiatoribus & confinibus oppugnantibus ciuitatem medius populus velut aliquod magnū corpus lacerabatur. Senes verò ac mulierculæ intestinis malis attonitæ, pro Romanis vota faciebant: externúmq; bellum, quo domesticis malis liberarentur, expetebant. Grauis autem metus ac terror fœdissimus occupauerat: & neque consilij capiendi tempus erat, vt voluntatem mutarent, neque pactionis aut fugæ spes cupientibus. Etenim custodiebātur omnia: diffidentésque latronum principes, quoscunque Rom. pacatos esse, vel transfugere ad eos velle sentirent, quasi communes hostes interficiebant: solúmque in occidendis vita dignis concordes erant. Et pugnantium quidem nocte dieq; clamor perpetuus erat: sed metu acerbiores erant lugentium questus. Et assiduas quidem lamentationis causas, calamitates præbebant: timor autem includebat vlulatus: atque obmutescente dolore præ formidine, tacito gemitu cruciabantur: neque iam, aut reuerentia viuis apud domesticos erat, neque mortuis cura sepulturæ adhibebatur. Quorum amborum hæc causa erat, quòd de se quisque desperabat. In omni enim re animos remiserant, qui cum seditiosis non erāt, quasi cōtinuò modis omnibus morituri. At verò seditiosi cōgesta in tumulum cadauera cōculcantes dimicabāt: & ex mortuis haurientes audaciā, quos sub pedibus cernerent, immaniùs sæuiebant: sępérq; aliquid in se perniciosum excogitantes, & quod visum fuisset sine miseratione facientes, nullā cędis aut crudelitatis viam prætermisêre: adeò vt etiam sacris materiis ad bella conficienda instrumenta Ioannes abuteretur. Nam cùm olim fulcire templum populo itémq; pōtificibus placuisset, idque x x. cubitis altius ædificare, rex quidem Agrippa ex monte Libano aptas ei materias maximis sumptibus & labore deuexit: hoc est, ligna & magnitudine simul & directa proceritate spectabilia. Interuentu autem belli opere interrupto, Ioannes his sectis, quòd sufficere longitudinem reperit, turres ædificauit: & aduersus eos constituit, qui desuper à templo pugnarent, post muri ambitum contra exhedram Occidentalē admotas, quà solùm poterant, quòd aliæ partes gradibus ex longinquo fuerunt occupatæ. Et ille quidem fabricatis ex impietate machinis subactum iri sperauit hostes. Deus verò laborem eius inutilem demonstrauit, & priusquam in his quicquam poneret Roman. adduxit. Etenim Titus, postquam partem ad se collegit exercitus, aliis verò vt ad Hierosolymam occurrentes scripsit, Cæsaream profectus est. Erant autem tres legiones, quæ pridem sub eius patre Iudæam vastauerant, & duodecima, quæ olim cum Cestio malè pugnauerat, quæque licet per id fortitudine esset insignis, tunc tamen eorum etiam memoria quæ pertulerat, alacrius ad vindictam properabat. Harum quidem quintam legionem iussit sibi per Ammaunta occurrere, decimam verò ascēdere per Hierichunta. Ipse quidem cum cæteris egressus est, quàs regum quoque auxilia

ὅπερ ἥκιστα δυνατὸν ἦν, εἰ μὴ τοῦτον ἑαυτοῖς προπαρεσκεύασαν.

Κεφ. δ.

Πανταχόθεν δὲ τῆς πόλεως πολεμουμένης ὑπὸ τῶν ἐπιβούλων, καὶ συγκλύδων, μέσος ὁ δῆμος ὥσπερ μέγα σῶμα διεσπαράσσετο. γηραιοὶ δὲ καὶ γυναῖκες ὑπ' ἀμηχανίας τῶν εἴσω κακῶν ηὔχοντο ῥωμαίοις, καὶ τὸν ἔξωθεν πόλεμον, ἐπ' ἐλευθερίᾳ τῶν εἴσω κακῶν ἐκαραδόκουν. κατάπληξις δὲ δεινὴ, καὶ δέος ἦν τοῖς γνησίοις, καὶ οὔτε βουλῆς καιρὸς εἰς μεταβολὴν, οὔτε συμβάσεως ἐλπὶς, οὔτε φυγῆς τοῖς ἐθέλουσιν. ἐφρουρεῖτο γὰρ πάντα, καὶ τὰ λοιπὰ στασιάζοντες ἀρχιλῃσταὶ, τοὺς εἰρηνικὰ ῥωμαίοις φρονοῦντας ἢ πρὸς αὐτομολίαν ὑπόπτους, ὡς κοινοὺς πολεμίους ἀνῄρουν, καὶ μόνον ὡμονόουν τὸ φονεύειν τοὺς σωτηρίας ἀξίους. καὶ τῶν μὲν μαχομένων, ἀδιάλειπτος ἦν κραυγὴ, μεθ' ἡμέραν τε καὶ νύκτωρ. δεινότεροι δὲ οἱ τῶν πενθούντων ὀδυρμοὶ ἀεί. καὶ θρήνων μὲν αἰτίας ἐπαλλήλους αἱ συμφοραὶ προσέφερον, τὰς δὲ οἰμωγὰς ἐνέκλειεν ἡ κατάπληξις αὐτῶν. φιμούμενοι δὲ, τά γε πάθη τῷ φόβῳ μεμυκόσι τοῖς στεναγμοῖς ἐβασάνιζον. καὶ οὔτε πρὸς τοὺς ζῶντας ἦν αἰδὼς ἔτι τοῖς προσήκουσιν, οὔτε πρόνοια τῶν ἀπολωλότων ταφῆς. αἴτιον δὲ ἀμφοτέρων, ἡ καθ' ἑαυτὸν ἀπόγνωσις ἑκάστου. παρείθησαν γὰρ εἰς πάντα τὰς προθυμίας οἱ στασιάζοντες, ὡς ἀπολούμενοι πάντως ὅσον οὐδέπω. πατοῦντες δὴ τοὺς νεκροὺς ἐπ' ἀλλήλοις σεσωρευμένους, οἱ στασιασταὶ συνεπλέκοντο, καὶ τὴν ἀπόνοιαν τῶν ἐν ποσὶ πτωμάτων σπῶντες, ἦσαν ἀγριώτεροι. προσεξευρίσκοντες δὲ ἀεὶ τι καθ' αὑτῶν ὀλέθριον, καὶ πᾶν τὸ δοχθὲν ἀφειδῶς δρῶντες, οὐδεμίαν οὔτε αἰκίας ὁδὸν, οὔτε ὠμότητος παρέλιπον.

Κεφ. ε.

Ἀμέλει ἰωάννης τὴν ἱερὰν ὕλην εἰς πολεμιστηρίων κατασκευὴν ὀργάνων ἀπεχρήσατο. δόξαν γάρ ποτε τῷ λαῷ, καὶ τοῖς ἱερεῦσιν ὑποστηρίξαντας τὸν ναὸν εἴκοσι πήχεις προσυψῶσαι, κατάγει μὲν ἀπὸ τοῦ λιβάνου μεγίστοις ἀναλώμασι καὶ πόνοις τὴν χρήσιμον ὕλην ὁ βασιλεὺς ἀγρίππας, ξύλα ὄψεως ἄξια τήν τε εὐθύτητα καὶ τὸ μέγεθος. μεσολαβήσαντος δὲ τοῦ πολέμου τὸ ἔργον, ὁ ἰωάννης τεμὼν αὐτὰ, πύργους κατεσκεύαζεν, ἐξαρκοῦν τὸ μῆκος εὑρὼν, πρὸς τοὺς ἀπὸ τοῦ καθύπερθεν ἱεροῦ μαχομένους, ἵστησί τε προσαγαγὼν κατόπιν τοῦ περιβόλου, τῆς πρὸς δύσιν ἐξέδρας ἄντικρυς, ᾗπερ καὶ μόνῃ δυνατὸν ἦν, τῶν ἄλλων μερῶν βαθμοῖς πόρρωθεν διειλημμένων. καὶ ὁ μὲν τοῖς κατασκευασθεῖσιν ἐξ ἀσεβείας ὀργάνοις, κρατήσειν ἤλπισε τῶν ἐχθρῶν. ὁ δὲ θεὸς, ἄχρηστον αὐτῷ τὸν πόνον ἀπέδειξε, πρὶν ἐπιστῆσαι τινὰ τῶν πύργων, ῥωμαίους ἐπαγαγών.

Κεφ. ς.

Ὁ γὰρ δὴ τίτος ἐπειδὴ τὰ μὲν συνήγαγε τῆς δυνάμεως πρὸς αὑτὸν, τοῖς δὲ ἐπὶ ἱεροσολύμων συναντᾶν ἐπέστειλεν, ἐξήλαυνε τῆς καισαρείας. ἦν δὲ τρία μὲν τὰ πρότερον αὐτοῦ τῷ πατρὶ συνδῃώσαντα τὴν ἰουδαίαν τάγματα, καὶ τὸ πάλαι σὺν κεστίῳ πταῖσαν δωδέκατον, ὅπερ καὶ ἄλλως ἐπίσημον δι' ἀνδρίαν ὑπάρχον, τότε κατὰ τὴν μνήμην ὧν ἔπαθεν εἰς ἄμυναν ᾔει προθυμότερον. τούτων μὲν οὖν τὸ πέμπτον δι' ἀμμαοῦς ἐκέλευσεν αὐτῷ συναντᾶν, καὶ διὰ ἱεριχοῦντος τὸ δέκατον ἀναβαίνειν. αὐτὸς δὲ ἀνέζευξε μετὰ τῶν λοιπῶν, πρὸς οἷς αἵ τε τῶν βασιλέων συμμαχίαι

πᾶσαι

πᾶσαι πλείους, καὶ συχνοὶ τῶν ἀπὸ τῆς συρίας ἐπικούρων συνῆλθον. ἀνεπληρώθη δὲ καὶ τῶν τεσσάρων ταγμάτων, ὅσον οὐεσπασιανὸς ἐπιλέξας, μουκιανῷ συνέπεμψεν εἰς ἰταλίαν, ἐκ τῶν ἐπελθόντων μετὰ τίτου. δισχίλιοι μὲν γὰρ αὐτῷ τῶν ἀπ' ἀλεξανδρείας στρατευμάτων ἐπίλεκτοι, τρισχίλιοι δὲ συνείποντο τῶν ἀπ' εὐφράτου φυλάκων. φίλων δὲ δοκιμώτατος εὐνοίᾳ τε καὶ συνέσει, τιβέριος ἀλέξανδρος, πρότερον μὲν αὐτὸς τὴν αἴγυπτον διέπων, τότε δὲ τῶν στρατευμάτων ἄρχων, κριθεὶς ἄξιος ἐξ ὧν ἐδεξιώσατο πρῶτος ἐγειρομένην ἄρτι τὴν ἡγεμονίαν, καὶ μετὰ πίστεως λαμπρᾶς ἐξ ἀδήλου τῇ τύχῃ συνέθετο, σύμβουλός γε μὴν ταῖς τοῦ πολέμου χρείαις, ἡλικίᾳ τε προύχων, καὶ κατ' ἐμπειρίαν εἵπετο. προϊόντι δὲ εἰς τὴν πολεμίαν τίτῳ, προῆγον μὲν οἱ βασιλικοί, καὶ πᾶν τὸ συμμαχικόν, ἐφ' οἷς ὁδοποιοί, καὶ μετρηταὶ στρατοπέδων, ἔπειτα τὰ τῶν ἡγεμόνων σκευοφόρα, καὶ μετὰ τοὺς τούτων ὁπλίτας αὐτός, τούς τε ἄλλους ἐπιλέκτους καὶ τοὺς λογχοφόρους ἔχων· κατόπιν αὐτοῦ τὸ τάγματος ἱππικόν. οὗτοι δὲ πρὸ τῶν μηχανημάτων, καὶ ἐπ' ἐκείνοις, μετ' ἐπιλέκτων χιλίαρχοι, καὶ σπειρῶν ἔπαρχοι. μετὰ δὲ τούτοις, περὶ τὸν ἀετὸν αἱ σημαῖαι, καὶ ἔμπροσθεν οἱ σαλπιγκταὶ τῶν σημαιῶν. ἐπὶ δὲ τούτοις, ἡ φάλαγξ τὸ στῖφος εἰς ἓξ πλατυνώσατα. τὸ δὲ οἰκετικὸν ἑκάστου τάγματος ὀπίσω, καὶ πρὸ τούτων τὰ σκευοφόρα. τελευταῖοι δὲ πάντων οἱ μίσθιοι. καὶ τούτων φύλακες οἱ οὐραγοί. προάγων δὲ τὴν δύναμιν ἐν κόσμῳ καθὰ ῥωμαίοις σύνηθες, ἐμβάλλει διὰ τῆς σαμαρείτιδος εἰς γοφνά, κατειλημμένην τε πρότερον ὑπὸ τοῦ πατρός, καὶ τότε φρουρουμένην. ἔνθα μίαν ἡμέραν αὐλισάμενος, ὑπὸ τὴν ἕω πρόεισι, καὶ διανύσας ἡμέρας σταθμὸν στρατοπεδεύεται κατὰ τὸν ὑπὸ ἰουδαίων πατρίως ἀκανθῶν αὐλῶνα καλούμενον, πρός τινι κώμῃ γαβαθσαούλῃ καλουμένῃ. σημαίνει δὲ τοῦτο λόφον σαούλου, διέχοντα ἀπὸ τῶν ἱεροσολύμων, ὅσον ἀπὸ τριάκοντα σταδίων.

Κεφ. ζ.

ΑΝαλαβὼν τε ἐντεῦθεν ὅσον εἰς ἑξακοσίους τῶν ἐπιλέκτων ἱππέων, ᾔει τήν τε πόλιν περισκεψόμενος ὅπως ὀχυρότητος ἔχοι, καὶ τὰ φρονήματα τῶν ἰουδαίων, εἰ πρὸς τὴν ὄψιν αὐτοῦ πρὶν εἰς χεῖρας ἐλθεῖν, ὑποδείσαντες ἐνδοῖεν. πέπειστο γάρ, ὅπερ ἦν ἀληθές, τοῖς στασιώδεσι καὶ λῃστρικοῖς τὸν δῆμον ὑποπεπτηχότα ποθεῖν μὲν εἰρήνην, ἀσθενέστερον δὲ ὄντα τῆς ἐπαναστάσεως ἠρεμεῖν. ἕως μὲν οὖν ὄρθιον ἱππάζετο τὴν λεωφόρον κατατείνουσαν πρὸς τὸ τεῖχος, οὐδεὶς προυφαίνετο τῶν πύργων. ἐπεὶ δὲ ἐκ τῆς ὁδοῦ πρὸς τὸν ψήφινον πύργον ἀποκλίνας, πλάγιον ἦγε τὸ τῶν ἱππέων στῖφος, προπηδήσαντες ἐξαίφνης ἄπειροι, κατὰ τοὺς γυναικείους καλουμένους πύργους, διὰ τῆς ἀντικρὺ τῶν ἑλένης μνημείων πύλης, διεκπαίουσι τῆς ἵππου, καὶ τοὺς μὲν ἔτι κατὰ τὴν ὁδὸν θέοντας, ἀντιμέτωποι στάντες ἐκώλυσαν συνάψαι τοῖς ἐγκλίνασι. τὸν δὲ τίτον ἀποτέμνονται σὺν ὀλίγοις. τῷ δὲ πρόσω μὲν ἦν χωρεῖν ἀδύνατον, ἐκτετάφρευτο γὰρ ἀπὸ τοῦ τείχους περὶ τὰς κηπείας ἅπαντα, κήποις τε ἐπικαρσίοις, καὶ πολλοῖς ἕρκεσι διειλημμένα. τὴν δὲ πρὸς τοὺς σφετέρους ἀναδρομήν, πλήθει τῶν ἐν μέσῳ πολεμίων ἀμήχανον ἑώρα οἱ δὲ ἀνὰ τὴν λεωφόρον, ὧν οἱ πολλοὶ μηδὲ γινώσκοντες τὸν τοῦ βασιλέως κίνδυνον, ἀλλ' οἰόμενοι

A plura quàm dudum, multique Syri auxiliares comitabantur. Suppletum est autem quatuor legionum quãtum Vespasianus selectum cum Mutiano miserat in Italiam, ex his qui cum Tito accesserant. duo namque millia de Alexandrino exercitu lecta, tria millia verò ab Euphrate cum sequebantur, & amicorum spectatissimus beneuolentia simúlque prudentia, Tiberius Alexander, qui antea quidem Ægyptum administrauerat, tunc autem dignus qui B exercitum regeret propterea iudicatus, quòd primus incipienti fuit hospes imperio, & cum fide clarissima incertæ fortunæ sociatus est: idémque consultor in vsus bellicos ætate ac peritia præcipuus aderat.

CAP. II. Titus explorator Hierosolymæ periclitatur.

PRogredientem verò in hostilem terram Titum, antecedebant regia omniáque auxilia, post eos viarum stratores, castrorúmque metatores. Deinde rectorum sarcinæ atque armati. Post hos ipse Titus, & C alios lectos habens & signiferos, quorum agmen equites sequebantur. Hi verò ante machinas ibant, & secundùm illos vnà cum lectis tribuni, & præfecti cum cohortibus. Post autem circum Aquilam signa, & ante signa tubicines, deinde acies senûm virorũ ordinibus dilatata. Seruile autem vulgus à tergo cuiusq; legionis, & ante hos sarcinæ. Omnium verò nouissimi mercenarij, eorúmque custodes coactores agminis. Procedens autem decenter D cũ exercitu, ita vt mos est Romanis, in Gophnam per Samaritidem venit, quæ & prius ab eius patre fuerat occupata, & tunc præsidiis tenebatur. Ibi autem vnam moratus vesperam, mane inde proficiscitur: peractáque diei mansione, castra ponit in loco quem Iudæi sermone patrio Acanthonaula vocitant, iuxta vicum quendam Gabath Saul nomine, quod significat vallem Saul, distantem ab Hierosolymis stadiis ferè xxx. Hinc sexcentis propè E lectis equitibus comitatus, perexit in ciuitatem, quàm tuta esset, Iudæorúmque animos exploraturus, si forte se conspecto, priusquam ad manus veniretur, metu cederent. audierat enim quod erat verum à seditiosis & latronibus oppressum populum desiderare quidem pacem: sed quòd rebellantibus infirmior esset, nihil conari. Quamdiu quidem per viam quæ ad murum duceret equitabat, nemo ante portas apparuit: vbi verò itinere ad F turrim Psephinon declinato, transuersum agmen equitum duxit, infiniti subitò prosiliunt, quà Muliebres turres vocantur: & per eam quæ contra monumentum Helenæ porta est egressi, equitatum intercidunt. atque alios quidem etiam tunc via currentes, ne cum his qui diuertebant sese iungerent, à fronte oppositi, prohibuerunt. Titum verò cum paucis separant. Ille autem vltrà quidem minus progredi poterat: à muro enim cuncta fossis patebant: & transuersi erant horti, multisque maceriis impediti. ad suos autem in aggere constitutos recursus, intercedente hostili manu, desperabatur. Quorum plerique imperatoris periculũ nesciebant: sed existimantes

eum secum reuerti, etiam ipsi fugiebat. Titus autem in sua tantùm fortitudine sitam esse prospiciens spem salutis, flectit equum: & vt se sequerentur cum clamore comites adhortatus, in medios hostes irruit, vi ad suos transire festinans. Quo quidem tempore maximè intelligi potuit, & belli momēta & imperatorum pericula Deum curare. Tot enim aduersus Titum missilibus iactis, cùm neque galea, neque thorace septus esset (non bellator enim sed explorator, vt dixi, processerat) nullum in eius corpus delatum est: sed tanquam ne eum ferirent, ex industria mitterentur, omnia præteruolabant. gladio verò semper à lateribus instantes dirimens, multósque ante ora subuertens, super cadentes agebat equum. Illorum autem clamor erat, propter audaciam Cæsaris, vt eum aggrederentur, cohortatio: fugáque & discessio repentina, quocunque diuerteret cursum. Huic autem se periculi participes, cùm à tergo & à lateribus funderentur, adiunxerant. vna enim erat vnicuique spes salutis, viam cum Tito patefacere, priusquàm circumuentus opprimeretur. Denique duorum ex nimis pertinacibus, alter cum equo percussus est: altero verò deiecto & occiso, equus eius abductus est. Titus verò cū cæteris in castra saluus euadit. Iudæis quidem, quòd aggressione prima superiores fuerant, inconsulta spes animos extulit, magnámque his in posterum fiduciam momentum temporaneum comparauit.

Cap. III. De eruptionibus Iudæorum contra Romanos castrametātes.

CÆsar autem postquam ex Ammaunte legio sibi coniuncta est nocte, luce inde digressus ad Scopon accedit, vnde iam & ciuitas & clara templi magnitudo conspici poterat: qua parte Septentrionalem regionem ciuitatis contingens locus humilior, propriè Scopos nominatus est, distans à ciuitate stadiis VII. ibíque duabus legionibus simul, quintæ legioni verò retrorsum stadiis tribus castra muniri iubet. labore namque nocturni itineris attritos milites progredi visum est, vt sine formidine murum struerent. Mox autem cœpto ædificio, decima quoque legio per Hierichunta aderat à Vespasiano præoccupatam: vbi quædam pars armatorum in præsidio fuerat collocata. His autem præceptum erat sexto ab Hierosolymis stadio castra ponere, qua in parte mons, qui appellatur Elæon, contra ciuitatem ab Oriente situs est, altáque interiacente valle discernitur, cui nomen est Cedron. Intra ciuitatem verò sine requie confligentium dissensionem, tum primùm ingens subitò bellum foris interueniens refrenauit: & cum stupore seditiosi Romanorum castra inspectantes, trifariam distributa mala, inter se iniêre concordiam: rationémque inuicem requirebant, quídnam expectarēt, quidve perpessi, tres muros contra vitam suam paterentur opponi: bellóque tanta se fundente licentia, tanquam spectatores bonorum operum sibíque vtiliū residerent mœnibus clausis, remisísque armis ac manibus. In nosmetipsos profectò, exclamat aliquis, tantummodo fortes sumus. Romanorum autem lucro ex nostra seditione sine sāguine oppidū cedet. His alios atq. alios cōgregātes exhortabātur: raptísq;

συναναρπασθῆναι κἀκεῖνον αἰσθόμενος. ὁ δὲ κατιδὼν ὡς ἐν μόνῃ τῇ καθ' αὑτὸν ἀλκῇ κεῖται τὸ σώζεσθαι, τόν τε ἵππον ἐπιστρέφει, καὶ τοῖς περὶ αὐτὸν ἐμβοήσας ἕπεσθαι, μέσοις ἐμπηδᾷ τοῖς πολεμίοις, διεκπαῖσαι πρὸς τοὺς σφετέρους βιαζόμενος. ἔνθα δὴ μάλιστα παρίστη μοι νοεῖν, ὅτι καὶ πολέμων ῥοπαὶ καὶ βασιλέων κίνδυνοι μέλονται τῷ θεῷ. τοσούτων γὰρ ἐπὶ τὸν Τίτον ἀφιεμένων βελῶν, μήτε κράνος ἔχοντα, μήτε θώρακα (προῆλθε γὰρ ὡς ἔφην οὐ πολεμιστής, ἀλλὰ κατάσκοπος) οὐδὲν ἥψατο τοῦ σώματος. κενὰ δ' ὥσπερ ἐπίτηδες ἀστοχούντων παρερροιζεῖτο πάντα. τῷ δὲ ξίφει τοὺς κατὰ πλευρὸν ἀεὶ διαστέλλων, καὶ πολλοὺς τῶν ἀντιπροσώπων ἀνατρέπων, ἤλαυνεν ὑπὲρ τοὺς ἐρριμμένους τὸν ἵππον. τῶν δὲ κραυγή τε ἦν πρὸς τὸ παράστημα τοῦ Καίσαρος, καὶ παρακέλευσις ὁρμᾶν ἐπ' αὐτόν. φυγὴ δὲ καὶ διαχωρισμὸς ἀθρόως, καθ' οὓς ἐπελαύνων γένοιτο. συνῆπτον δὲ οἱ τοῦ κινδύνου μετέχοντες κατὰ νώτα, καὶ κατὰ πλευρὰ νυσσόμενοι. μία γὰρ ἐλπὶς ἦν σωτηρίας ἑκάστῳ, τὸ συνεξανοίγειν τῷ Τίτῳ μὴ φθάσαντι κυκλωθῆναι. δύο γοῦν τῶν ἀποτέρων, τὸν μὲν σὺν τῷ ἵππῳ περισχόντες κατηκόντισαν, θάτερον δὲ καταπηδήσαντα διαφθείραντες, τὸν ἵππον ἀπήγαγον. μετὰ δὲ τῶν λοιπῶν Τίτος ἐπὶ τὸ στρατόπεδον διασώζεται. τοῖς μὲν οὖν Ἰουδαίοις πλεονεκτήσασι κατὰ τὴν πρώτην ἐπίθεσιν, ἐπήγειρε τὰς διανοίας ἄσκεπτος ἐλπίς, καὶ πολὺ θάρσος αὖθις εἰς τὸ μέλλον, πρόσκαιρος ῥοπὴ προὐξένει.

Κεφ. η.

ΚΑῖσαρ δ' ὡς αὐτῷ συνέμιξε διὰ νυκτὸς τὸ ἀπὸ τῆς Ἀμμαοῦς τάγμα, μεθ' ἡμέραν ἐκεῖθεν ἄρας, ἐπὶ τὸν σκοπὸν καλούμενον πρόεισιν. ἔνθεν ἥ τε πόλις ἤδη κατεφαίνετο, καὶ τὸ τοῦ ναοῦ μέγεθος ἐκλάμπρον, καθὰ τῷ βορείῳ κλίματι τῆς πόλεως χθαμαλὸς συνάπτων ὁ χῶρος, ἐτύμως σκοπὸς ὠνόμασται. τῆς δὲ πόλεως σταδίους ἑπτὰ διέχων, ἐκέλευσε περιβάλλεσθαι στρατόπεδον τοῖς δύο τάγμασιν ὁμοῦ. τὸ δὲ πέμπτον, ὀπίσω τούτων τρισὶ σταδίοις. κόπῳ γὰρ τῆς διὰ νυκτὸς πορείας τετρυμμένους, ἐδόκει σκέπης ἀξίους εἶναι, ὡς ἂν ἀδεέστερον τειχίσαιντο. καταρχομένων δὲ ἄρτι τῆς δομήσεως, καὶ τὸ δέκατον τάγμα διὰ Ἱεριχοῦντος ἤδη παρῆν, ἔνθα καθῆστο τις ὁπλιτικὴ μοῖρα φρουροῦσα τὴν ἐμβολὴν, ὑπὸ Οὐεσπασιανοῦ προκατειλημμένην. προστέτακτο δὲ αὐτοῖς ἓξ ἀπέχοντας τῶν Ἱεροσολύμων σταδίους, στρατοπεδεύσασθαι κατὰ τὸ ἐλαιῶν καλούμενον ὄρος, ὃ τῇ πόλει πρὸς ἀνατολὴν ἀντίκειται, μέσῃ φάραγγι βαθείᾳ διειργόμενον, ἣ Κεδρὼν ὀνόμασται.

Κεφ. θ.

ΤΩν δὲ ἀνὰ ἄστυ συρρηγνυμένων ἀδιαλείπτως, τότε πρῶτον ἀνέπαυσε τὴν ἐπ' ἀλλήλοις ἔριν ὁ ἔξωθεν πόλεμος ἐξαίφνης πολὺς ἐπελθών, καὶ μετ' ἐκπλήξεως οἱ στασιασταὶ τοὺς Ῥωμαίους ἀφορῶντες, στρατοπεδευομένους τειχῆ, κακῶς ὁμονοίας κατήρχοντο, καὶ λόγον ἀλλήλοις ἐδίδοσαν, τί μένοιεν ἢ τί παθόντες ἀνέχοιντο τρία τῆς ἀναπνοῆς αὐτῶν ἐπιφρασσόμενα τείχη, καὶ τοῦ πολέμου μετ' ἀδείας ἀντιπολίζοντος ἑαυτόν, οἱ δὲ ὥσπερ θεαταὶ καλῶν καὶ συμφόρων ἔργων καθέζοιντο τειχήρεις, τὼ χεῖρε καὶ τὰς πανοπλίας παρέντες. καθ' αὑτῶν ἄρα γενναῖοι μόνον ἡμεῖς ἐξεβόησαν. Ῥωμαῖοι δὲ ἐκ τῆς ἡμετέρας στάσεως κερδήσουσιν ἀναιμωτὶ τὴν πόλιν. τούτοις ἀθροίζοντες ἀλλήλους παρεκρότουν, καὶ τὰς πανοπλίας

πλείας ἁρπάσαντες, αἰφνιδίως ἐπεκθέουσι τῷ δεκάτῳ τάγματι, καὶ διὰ τῆς φάραγγος ἀΐξαντες μετὰ κραυγῆς ἐξαισίου, τειχιζομένοις προσπίπτουσι τοῖς πολεμίοις. οἱ δὲ πρὸς τὸ ἔργον διῃρημένοι, καὶ διὰ τοῦτο τὰ πολλὰ τεθεικότες τῶν ὅπλων (οὔτε γὰρ θαρσεῖν τοὺς ἰουδαίους πρὸς ἐκδρομὴν ὑπελάμβανον, καὶ προθυμουμένων περισπασθήσεσθαι τὰς ὁρμὰς τῇ στάσει) συνεταράχθησαν ἀδοκήτως, καὶ τῶν ἔργων ἀφέμενοι τινὲς μὲν ἀνεχώρουν εὐθέως, πολλοὶ δὲ ἐπὶ τὰ ὅπλα θέοντες πρὶν ἐπιστραφῆναι πρὸς τοὺς ἐχθροὺς, ἐφονεύοντο παιόμενοι. προσεγίνοντο δὲ τοῖς ἰουδαίοις ἀεὶ πλείους, ἐπὶ τῷ κρατεῖν τοὺς πρώτους τεθαρρηκότες, καὶ τὴν ὄψιν πολλαπλασίους ἐδόκουν σφίσι τε καὶ τοῖς πολεμίοις, δεξιᾷ τῇ τύχῃ χρώμενοι. μάλιστα δὲ τοὺς ἐν ἔθει συντάξεως ὄντας, καὶ μετὰ κόσμου καὶ παραγγελμάτων πολεμεῖν εἰδότας, ἀταξία φθάσασα θορυβεῖ. διὸ καὶ τότε προληφθέντες οἱ ῥωμαῖοι ταῖς ἐμβολαῖς εἶκον. καὶ ὁπότε μὲν ἐπιστραφεῖεν οἱ καταλαμβανόμενοι, τοῦ τε δρόμου τοὺς ἰουδαίους ἐπεῖχον, καὶ διὰ τὴν ὁρμὴν ἧττον φυλαττομένους, ἐτίτρωσκον. ἀεὶ δὲ πληθυνούσης τῆς ἐκδρομῆς, μᾶλλον ταραττόμενοι τελευταῖον ἀπὸ τοῦ στρατοπέδου τρέπονται. καὶ δοκεῖ τότε κινδυνεῦσαι τὸ τάγμα πᾶν, εἰ μὴ Τίτος ἀγγελθέντος αὐτῷ διὰ τάχους ἐπεβοήθησε· καὶ πολλὰ ὀνειδίσας εἰς ἀνανδρίαν, ἐπιστρέφει μὲν τοὺς φεύγοντας, αὐτὸς δὲ πλαγίοις τοῖς ἰουδαίοις προσπεσὼν μεθ' ὧν ἧκεν ἐπιλέκτων, συχνοὺς μὲν ἀναιρεῖ, τιτρώσκει δὲ πλείους, τρέπεται δὲ πάντας, καὶ συνωθεῖ κατὰ τῆς φάραγγος. οἱ δ' ἐν τῷ καταντεῖ πολλὰ κακωθέντες, ὡς διεξέπεσον, ἀντικρὺς ἐπιστρέφονται, καὶ μέσην ἔχοντες τὴν χαράδραν, τοῖς ῥωμαίοις διεμάχοντο. μέχρι μὲν δὴ μέσης ἡμέρας, οὕτως ἐπολέμουν. ὀλίγον δ' ἀπὸ μεσημβρίας ἐκκλίνοντος ἤδη, Τίτος τοὺς μεθ' ἑαυτοῦ προσβοηθήσαντας, καὶ τοὺς ἀπὸ τῶν σπειρῶν τοῖς ἐκτρέχουσιν ἀντιπαρατάξας, τὸ λοιπὸν τάγμα πρὸς τὸν τειχισμὸν ἀνέπεμψεν εἰς ἀκρώρειαν.

Κεφ. ι.

Ἰουδαίοις δὲ τοῦτο ἔδοξε φυγὴ, καὶ σκοποῦ κατασείσαντος θοιμάτιον, ὃς αὐτοῖς ἐπὶ τοῦ τείχους καθῆστο, προπηδῶσι πλῆθος ἀκραιφνέστερον μετὰ τοσαύτης ὁρμῆς, ὡς τὸν δρόμον αὐτῶν τοῖς ἀγριωτάτοις εἰκάζειν θηρίοις. ἀμέλει τῶν παραταχθέντων, οὐδεὶς ἔμεινε τὴν ἐμβολὴν, ἀλλ' ὥσπερ ἐξ ὀργάνου παιόμενοι, διέρρηξαν τὴν τάξιν, καὶ πρὸς τὸ ὄρος τραπέντες ἀνέφυγον. λείπεται δ' ἐν μέσῳ τῷ προσάντει Τίτος μετ' ὀλίγων, καὶ πολλὰ τῶν φίλων παραινούντων, ὅσοι δι' αἰδῶ τὴν πρὸς τὸν ἡγεμόνα τοῦ κινδύνου καταφρονήσαντες, ἔστησαν, εἶξαι θανατῶσιν ἰουδαίοις, καὶ μὴ προκινδυνεύειν τούτων οὓς ἐχρῆν πρὸ αὐτοῦ μένειν, λαμβάνειν δὲ ἔννοιαν τῆς καθ' αὑτὸν τύχης, καὶ μὴ στρατιώτου τάξιν ἀποπληροῦντα καὶ τοῦ πολέμου καὶ τῆς οἰκουμένης δεσπότην, ὀξεῖαν οὕτως ὑφίστασθαι τροπὴν, ἐν ᾧ σαλεύει τὰ πάντα, τούτων οὐδὲ ἀκούειν ἔδοξε. τοῖς δὲ κατ' αὐτὸν ἀνατρέχουσιν, ἀνθίσταται, καὶ κατὰ στόμα παίων βιαζομένους ἀνῄρει, κατά τε τοῦ πρανοῦς ἀθρόοις ἐμπίπτων, ἀνεώθει τὸ πλῆθος. οἱ δὲ πρός τε τὸ παράστημα, καὶ τὴν ἰσχὺν καταπλαγέντες, οὐδὲ ἔτι μὲν ἀνέφυγον εἰς τὴν πόλιν, καθ' ἑκάτερον δὲ ἐγκλίνοντες ἀπ' αὐτοῦ τοῖς ἀνωτέρω φεύγουσι προσέκειντο. καὶ τούτοις δὲ κατὰ πλευρὰν προσβάλλων,

armis, subitò in legionem decimam ruunt: perque vallem facto impetu, cum ingenti clamore murum ædificantes Romanos aggrediuntur. Illi autem in opere distributi, armis ob eam causam plerique depositis (nec enim excursum Iudæos ausuros esse credebant, & si maximè vellent, animos eorum seditione distractum iri arbitrabantur) præter opinionem perturbati sunt: atque opere quisque derelicto confestim alij recessêre: multi autem ad arma properantes, priusquam se in hostes conuerterent, feriebantur. Plures autem Iudęis semper adiiciebantur, eorum freti victoria qui præcesserant, & quòd cùm pauci essent, multiplex numerus & sibi & hostibus videbantur, quòd secunda fortuna vterentur. Romani autem maximè ordinari consueti, & cum decore atque præceptis bellum gerere scientes, ex perturbatione trepidabant. vnde tunc quoque præuenti aggressione cedebant. Si quando tamen sese conuerterent ab insequentibus occupati, & à cursu reprimebant Iudæos, & ob impetum minus cautos feriebant. Semper verò excursione gliscente magis magísque turbati, postremò castris pulsi sunt: totáque legio tunc in periculum ventura fuisse videbatur, nisi hoc maturè sibi nunciato, Titus eis tulisset auxilium: multísque increpans ignauiam, & suos à fuga reuocasset: Iudæísque à latere ipse cum his irruens, quos circa se habebat electos, multos quidem occidisset, plures verò sauciasset, omnes autem in fugam vertisset, atque in vallem præcipites compulisset. Illi autem prono in loco multa mala perpessi, postquam in aduersam partem euasêre, flectunt se iterum, & valle intercedente cum Romanis dimicabant. Igitur ad medium diem ita bellatū est. Paulò autē post meridiem, Titus his qui secum erant in subsidio collocatis, aliísque de cohortibus aduersus excurrentes oppositis, reliquum agmen ad murum in summo montis ædificandum remisit. Iudæis autem hæc fuga esse videbatur. Cúmq; speculator quem in muro posuerant, amictu agitato signum dedisset, frequentissima multitudo tanto impetu prosiliit, vt eorum cursus immanissimis bestiis esset assimilis. Denique aduersa acie statim nemo impetum sustinuit: sed tanquam machina percussi, continuò dissipati, pulsique in montem refugiunt. In ascensu autem medio Titus cum paucis relictus est: multúmque monentibus amicis, qui pro imperatoris reuerentia contempto periculo perdurauerant, vt mortem appetentibus Iudæis cederet, neque pro his in discrimen veniret, quos ante ipsum saluos esse non oportere: sed potius fortunam suam reputaret, quòd non militis officio fungeretur, verùm & belli & orbis dominus esset: néve in tanta fuga subsisteret, in quo omnia niterentur: hæc ne audire quidem simulans, & ad se accurrentibus obstabat: eósque in ora feriens, cùm vi obtinerentur, occidebat, & per decliue repente incumbens, multitudinem proturbabat. Illi autem & viribus eius & obstinatione perterriti ne tum quidem in ciuitatem fugêre: sed in vtrunque latus ab eo declinantes, rursum fugiétes insequebatur. quos tamē aggressus à latere,

ipsorum quoque impetum præpediebat. Dum hæc aguntur, etiam illos qui superiora castra muniebant, vbi fugere inferiores vidêre, metus ac turba occupat: totúmque agmen dispergitur, suspicantium excursum quidem Iudæorum ferri non posse, Titum verò in fugam versum: nec enim vnquam illo manente alios fugituros fuisse. & tanquam Panico terrore circundati, alius aliò ferebantur: donec quidam cùm in media pugna versari imperatorem vidissent, plurimum metuentes, vniuersæ legioni eius periculum cum clamore nunciauerunt. Itaque pudore reuocati. & fuga maius aliquid sibi exprobrantes, quòd Cæsarem deseruissent, totis viribus in Iudæos vtebantur, & semel impulsos vrgebant per decliuia. Illi autem paulatim recedentes pugnabant. cúmque Romani plus possent, eo quòd superiores erant, in vallem omnes coacti sunt. Titus autem contra se positis imminebat: & legionem quidem ad muri fabricam redire iubet: ipse verò cum his quibus antea resistendo hostes arcebat. Itaque si me nihil addentem obsequio, neque inuidia detrahentem, verum dicere oportet, ipse Cæsar bis totam legionem periculo liberauit, atque ita castra muniendi copiam militibus præbuit.

CAP. IV. De intestina pugna azymorum diebus.

Remisso autem paulisper bello externo, iterum intestinum seditio suscitauit. Azymorúmq; instante die, qui est Aprilis mensis quartusdecimus (hoc enim se primùm tempore opinantur Iudæi ab Ægyptiis esse liberatos) Eleazarus quidem cum sociis portam subaperiens, introire cupiebat ex populo qui templum adorare cuperent. Ioannes autem die festo ad protegendas insidias vsus est: & suorum quosdam ignotiores, armis sub veste latentibus instructos, quorum plerique impuri erant, occultè inter alios fani occupandi gratia submittit. illi autem postquam intrauêre, vestimentis abiectis, subitò armati apparuerunt. Magna verò statim turba circa templum ac tumultus erat, cùm alienus quidem à seditione populus, omnibus sine discrimine putaret, Zelotæ verò sibimet solùm insidias comparatas. Verùm hi quidem relicta portarum custodia, & alij ex propugnaculis desilientes, priusquam manus consererent, in templi cloacas confugêre. Populares autem ad aram delati, & circum templum appulsi conculcabantur, cùm lignis passim ferróque cæderentur. Multos autem occisorum inimici priuato odio, quasi diuersæ factionis socios interficiebant. Et quicunque antehac insidiatorem aliquem offenderat, tunc agnitus quasi Zelotes ducebatur ad mortem. Sed qui atrocitate magna innocentes afficerent, inducias concesſêre nocentibus, progressósque ex cloacis dimiserunt. ipsi autem interius templum & omnes eius apparatus tenentes, confidentiùs oppugnabant Simonem. Seditio quidem hoc modo, quæ tripartita fuerat, in duas partes diuisa est. Titus autem castra propiùs ciuitatem transferre cupiens de Scopo, contra excursus quidē lectos equites ac pedites, quos satis esse arbitrabatur, posuit: alium verò exercitum iussit totū quod erat vsque muros spaciū cōplanare.

τὰς ὁρμὰς ὑπετέμνετο. κἀν τούτῳ αὐτοῖς ἄνω τειχίζουσι τὸ στρατόπεδον, ὡς ἐθεάσαντο τοὺς κάτω φεύγοντας, πάλιν ἐμπίπτει ταραχὴ καὶ δέος, καὶ διασκίδναται πᾶν τὸ τάγμα, δοκούντων ἀνυπόστατον μὲν εἶναι τὴν τῶν ἰουδαίων ἐκδρομήν, τετράφθαι δὲ αὐτὸν τίτον. οὐ γὰρ ἄν ποτε τοὺς ἄλλους φυγεῖν ἐκείνου μένοντος, καὶ καθάπερ πανικῷ δείματι κυκλωθέντες, ἄλλος ἀλλαχῇ διεφέροντο, μέχρι τινὲς κατιδόντες ἐν μέσῳ τοῦ πολέμου τὸν ἡγεμόνα στρεφόμενον, καὶ μέγα δείσαντες ἀμφ' αὐτῷ, διαβοῶσι τὸν κίνδυνον ὅλῳ τῷ τάγματι. τοὺς δὲ αἰδὼς ἐπέστρεφε, καὶ πλεῖον τι φυγῆς κακίζοντες ἀλλήλους ἐπὶ τῷ καταλιπεῖν καίσαρα, πάσῃ βίᾳ κατὰ τῶν ἰουδαίων ἐχρῶντο, καὶ κλίναντες ἅπαξ ἀπὸ τοῦ κατάντους συνώθουν αὐτοὺς εἰς τὸ κοῖλον. οἱ δὲ ὑπὸ πόδα χωροῦντες, ἐμάχοντο, καὶ πλεονεκτοῦντες οἱ ῥωμαῖοι τῷ καθύπερθεν εἶναι, συνελαύνουσι πάντας εἰς τὴν φάραγγα. προσέκειτο δὲ τοῖς καθ' αὑτὸν ὁ τίτος, καὶ τὸ μὲν τάγμα πάλιν ἐπὶ τὴν τειχοποιίαν ἔπεμψεν. αὐτὸς δὲ σὺν οἷς πρότερον ἀντιστὰς εἶργε τοὺς πολεμίους. ὥστε εἰ χρὴ μήτε θεραπείᾳ τι προστιθέντα, μήτε ὑφελόντα φθόνῳ τὸ ἀληθὲς εἰπεῖν, αὐτὸς καῖσαρ δὶς μὲν ἐρρύσατο κινδυνεῦον ὅλον τὸ τάγμα, καὶ τοῦ περιβάλλεσθαι δὲ τὸ στρατόπεδον αὐτοῖς ἄδειαν παρέσχε.

Κεφ. ια.

Λωφήσαντος δὲ πρὸς βραχὺ τοῦ θύραζε πολέμου, πάλιν ἔνδον ἡ στάσις ἐπηγείρετο, καὶ τῆς τῶν ἀζύμων ἐνστάσης ἡμέρας τεσσαρεσκαιδεκάτῃ ξανθικοῦ μηνός, ἐν ᾗ δοκοῦσιν ἰουδαῖοι τὸ πρῶτον ἀπαλλαγῆναι καιρὸν αἰγυπτίων, οἱ μὲν περὶ τὸν ἐλεάζαρον παρανοίγοντες τὰς πύλας, ἐδέχοντο ἐκ τοῦ δήμου τοὺς προσκυνεῖν ἐθέλοντας εἴσω, ἰωάννης δὲ προκάλυμμα τῆς ἐπιβουλῆς ποιησάμενος τὴν ἑορτήν, τῶν σὺν αὐτῷ κρυπτοῖς ὅπλοις συσκευάσας τοὺς ἀσημοτέρους, ὧν οἱ πλείους ἦσαν ἄναγνοι, διὰ σπουδῆς παρεισπέμπει προκαταληψομένους τὸ ἱερόν. οἱ δὲ ὡς ἔνδον ἐγένοντο τὰς ἐσθῆτας ἀπορρίψαντες, ἐφάνησαν ἐξαπίνης ὁπλῖται. ταραχὴ δὲ μεγίστη περὶ τὸν ναὸν αὐτίκα καὶ θόρυβος ἦν. τοῦ μὲν ἔξω τῆς στάσεως λαοῦ, κατὰ πάντων ἄκριτον οἰομένων εἶναι τὴν ἐπίθεσιν. τῶν δὲ ζηλωτῶν ἐπὶ σφίσι μόνοις. ἀλλ' οἱ μὲν ἀφέμενοι τὸ φρουρεῖν ἔτι τὰς πύλας, καὶ τῶν ἐπάλξεων καταπηδήσαντες πρὶν εἰς χεῖρας ἐλθεῖν, εἰς τοὺς ὑπονόμους τοῦ ἱεροῦ κατέφυγον. οἱ δὲ ἀπὸ τοῦ δήμου πρὸς τῷ βωμῷ καταπτήσσοντες, καὶ περὶ τὸν ναὸν συνειλούμενοι κατεπατοῦντο, ξύλοις τε ἀνέδην παιόμενοι καὶ σιδήρῳ. πολλοὺς δὲ τῶν ἡσυχίων κατ' ἔχθραν καὶ μῖσος ἴδιον ὡς ἀντιστασιαστὰς ἀνῄρουν οἱ διάφοροι, καὶ πᾶς ὁ προσκρούσας τινὶ τῶν ἐπιβούλων πάλαι, τηνικαῦτα ἐπιγνωσθείς, ὡς ζηλωτὴς πρὸς αἰκίαν ἀνελέγετο. πολλὰ δὲ δεινὰ τοὺς ἀναιτίους διαθέντες, ἐκεχειρίαν τοῖς αἰτίοις ἔδοσαν, καὶ προελθόντας ἐκ τῶν ὑπονόμων διίεσαν· αὐτοὶ δὲ καὶ τὸ ἐνδοτέρω ἱερὸν κατασχόντες, καὶ τὰς ἐν αὐτῷ παρασκευὰς πάσας, κατεθάρρουν ἤδη τοῦ σίμωνος. ἡ μὲν οὖν στάσις, οὕτω τριμερὴς οὖσα πρότερον, εἰς δύο μοίρας περιίσταται.

Κεφ. ιβ.

Ὁ δὲ τίτος ἔγγιον, ἀπὸ τοῦ σκοποῦ τῇ πόλει στρατοπεδεύσασθαι προαιρούμενος, πρὸς μὲν τοὺς ἐκτρέχοντας, ἔστησεν ἐπιλέξας ἱππέων τε καὶ πεζῶν, ὅσους ἀρκέσειν ὑπελάμβανε. τῇ δὲ ὅλῃ δυνάμει, προσέταξεν ἐξομαλίζειν τὸ μέχρι τοῦ τείχους διάστημα.

κατα-

καταβληθέντος δὲ παντὸς ἕρκους καὶ περιφράγματος, ὅσα κήπων προανεστήσαντο καὶ δένδρων οἱ οἰκήτορες, ὕλης τε ἡμέρου τῆς μεταξὺ πάσης ἐκκοπείσης, ἀνεπλήσθη μὲν τὰ κοῖλα καὶ χαραδρώδη τοῦ τόπου. τὰς δὲ πετρώδεις ἐξοχὰς σιδήρῳ κατεργαζόμενοι, χθαμαλὸν ἐποίουν πάντα τὸν χῶρον ἀπὸ τοῦ σκοποῦ μέχρι τῶν ἡρώδου μνημείων ἃ προσεῖχε τῇ τῶν ὄφεων ἐπικαλουμένῃ κολυμβήθρᾳ. καὶ κατ' αὐτὰς τὰς ἡμέρας οἱ ἰουδαῖοι κατὰ τῶν ῥωμαίων ἐνέδραν συσκευάζονται τοιάνδε. τῶν στασιαστῶν οἱ μὲν τολμηρότεροι προελθόντες ἔξω τῶν γυναικείων καλουμένων πύργων, ὡς ἐκβεβλημένοι δῆθεν ὑπὸ τῶν εἰρηνικὰ φρονούντων, καὶ δεδοικότες τὴν τῶν ῥωμαίων ἔφοδον, ἀνειλοῦντο, καὶ παρ' ἀλλήλους ὑπέπτησσον. οἱ δὲ διαστάντες ἐπὶ τοῦ τείχους, δῆμος εἶναι δοκῶν, εἰρήνην ἐβόων, καὶ δεξιὰν ᾐτοῦντο, καὶ τοὺς ῥωμαίους ἐκάλουν, ἀνοίξειν ὑπισχνούμενοι τὰς πύλας. ἅμα δὲ ταῦτα κεκραγότες, καὶ τοὺς σφετέρους ἔβαλλον λίθοις, ὡς ἀπελαύνοντες τῶν πυλῶν. κἀκεῖνοι βιάζεσθαι τὰς εἰσόδους ὑπεκρίναντο, καὶ τοὺς ἔνδον ἱκετεύειν, συνεχῶς τε πρὸς τοὺς ῥωμαίους ὁρμήσαντες, ἐπιστρεφόμενοι ταραττομένοις προσεῴκεσαν. παρὰ μὲν οὖν τοῖς στρατιώταις τὸ πανοῦργον αὐτῶν, οὐκ ἐλείπετο πίστεως. ἀλλ' ὡς τοὺς μὲν ἐν χερσὶν ἑτοίμους πρὸς τιμωρίαν, τοὺς δὲ ἀνοίξειν τὴν πόλιν ἐλπίζοντες, ἐχώρουν ἐπὶ τὴν πρᾶξιν. τίτῳ δὲ δι' ὑποψίας ἦν τὸ τῆς ἐπικλήσεως παράλογον. καὶ γὰρ πρὸ μιᾶς ἡμέρας προκαλούμενος αὐτοὺς ἐπὶ συμβάσεις διὰ τοῦ ἰωσήπου μέτριον οὐδὲν εὕρισκε, καὶ τότε τοὺς στρατιώτας κατὰ χώραν μένειν ἐκέλευσεν. ἔφθασαν δέ τινες τῶν ἐπὶ τοῖς ἔργοις προτεταγμένων ἁρπάσαντες τὰ ὅπλα, πρὸς τὰς πύλας ἐκδραμεῖν. τούτοις οἱ μὲν ἐκβεβλῆσθαι δοκοῦντες, τὸ πρῶτον ὑπεχώρουν. ἐπεὶ δὲ μεταξὺ τῶν τῆς πύλης ἐγίνοντο πύργων, ἐκθέοντες ἐκυκλοῦντο σφᾶς, καὶ προσέκειντο κατόπιν. οἱ δὲ ἀπὸ τοῦ τείχους, πλῆθος χερμάδων, καὶ βελῶν παντοίων ἀθρόον κατέχεαν, ὥς τε συχνοὺς μὲν ἀνελεῖν, τρῶσαι δὲ πλείστους. ἦν γὰρ οὐ ῥᾴδιον τοῦ τείχους καταφυγεῖν τῶν κατόπιν βιαζομένων, καὶ ἄλλως αἰδὼς τῆς διαμαρτίας τῶν ἡγεμόνων καὶ δέος παρεκελεύετο τῷ πταίσματι προσλιπαρεῖν. διὸ δὴ μέχρι πλείστου διαδορατιζόμενοι, καὶ πολλὰς ὑπὸ τῶν ἰουδαίων λαμβάνοντες πληγάς, ἀμέλει γε οὐκ ἐλάττους ἀντιδιδόντες, τέλος ὠθοῦσι τοὺς κυκλωσαμένους. ὑποχωροῦσι δὲ αὐτοῖς οἱ ἰουδαῖοι καὶ μέχρι τῶν ἑλένης μνημείων εἵποντο βάλλοντες. ἔπειτα οἱ μὲν ἀπειροκάλως ἐξυβρίζοντες εἰς τὴν τύχην, ἔσκωπτόν τε τοὺς ῥωμαίους δελεασθέντας ἀπάτῃ, καὶ τοὺς θυρεοὺς ἀνασείοντες ἐσκίρτων, καὶ μετὰ χαρᾶς ἀνεβόων. τοὺς δὲ στρατιώτας ἀπειλή τε τῶν ταξιαρχῶν, καὶ χαλεπαίνων καῖσαρ, ἐξεδέχετο. ἰουδαῖοι μὲν οἷς ἀπόνοια μόνη στρατηγεῖ, πάντα μετὰ προνοίας πράττουσι καὶ σκέψεως, ἐπιβουλάς τε συντάσσοντες καὶ λόχους, ἕπεται δὲ αὐτῶν ταῖς ἐνέδραις καὶ τύχη, διὰ τὸ πειθήνιον, καὶ τὴν πρὸς ἀλλήλους εὔνοιάν τε καὶ πίστιν. ῥωμαῖοι δὲ οἷς δι' εὐταξίαν, καὶ πρὸς τοὺς ἡγεμόνας εὐπειθὲς ἀεὶ δουλεύει καὶ τύχη, νῦν ὑπὸ τῶν ἐναντίων πταίουσι, καὶ διὰ χειρῶν ἀκρασίαν, ἁλίσκονται τὸ πάντων αἴσχιστον, ἀστρατήγητοι μαχόμενοι παρόντος καίσαρος.

A Cunctis igitur maceriis ac sepibus dirutis, quibus hortos ac prædia incolæ præmunierant, omníque opposita quamuis frugifera sylua excisa, repletum est quicquid erat cauum & vallibus impeditum. saxorum autem eminentissimis ferro truncatis, humiliorem totum illum tractum à Scopo vsque ad Herodis monumenta fecerunt, serpentium stagnum continentia, quod olim Bethara vocabatur.

Cap. V. De Iudæorum dolo in Romanorum milites.

B His denique diebus Iudæi Romanis huiusmodi insidias parauêre. Seditiosorum audacissimi extra muliebres (quæ sic appellabantur) progressi turres, simulato quòd pacis eos studiosi pepulissent, & quòd timerent impetum Romanorum, ibidem versabantur, & alter sub altero vitabundi latebant. Alij verò per muros dispositi, populúmque se esse simulantes, clamore pacem implorabant, fœdúsque poscebant: portásque se patefacturos esse pollicentes, inuitabant Romanos. Hoc autem vo-C ciferantes, vnà etiam contra suos, veluti portis eos abigerent, lapides iaciebant. illíque se vi perrumpere aditus velle simulabant, & ciuibus supplicare. cúmque ad Rom. sæpissimè ire conarentur, reuersi perturbatis similes videbantur. Verùm hæc eorum calliditas, apud milites quidem fide non carebat, sed tanquam hos quidem in manibus haberent paratos ad supplicium, illos verò ciuitatem sibi aperturos sperarent, opus aggredi festinabant. Tito au-D tem suspecta erat inuitatio, quia rationem non haberet. pridie namque prouocatos eos ad pactionem per Iosephum, nihil mediocre sentire cognouerat, etiam tunc igitur milites manere loco suo præcepit. Iam verò quidam operibus appositi, raptis armis ad portas excurrere cœperunt. Hi autem qui expulsi videbantur, primò quidem cedebant: deinde vbi ad turres portæ propinquabant, cursu eos circumueniunt, & à tergo persequebantur. qui verò E in muro stabant, lapidum his multitudinem, omnigenúmque telorum simul infundunt: adeò vt multos quidem necarent, plurimos verò sauciarent. nec enim facile erat à muro diffugere, aliis retrò violenter instantibus, & preter hoc pudor quòd rectores peccauerát, itémque metus, in delicto perseuerare suadebat. Quamobrem cum hoste diu decernentes, multis vulneribus acceptis, neque paucioribus redditis, postremò eos à quibus circumuen-F ti fuerant repulêre. quos tamen recedentes vsque ad Helenæ monumentum, Iudæi vrgendo iaculis sequebantur. deinde insolenter fortunæ maledicentes, & Romanos vituperabant fraude pellectos: scutáque altè sublata crispantes tripudiabant, & cum lætitia vociferabantur. Milites autem interminatio principum & Cæsar iratus, huiusmodi oratione corripuit: Iudæi quidem, quos sola regit desperatio omnia cum deliberatione faciunt at-G que prudentia, fraudes & insidias componẽdo; eorúmque dolos fortuna prosequitur, quòd sunt morigeri, sibíque inuicem beneuoli ac fideles: Romani verò, quibus ob disciplinam & consuetudinem obediendi rectoribus fortuna famulatur, nunc contrà peccant, & intemperãtia manuũ debellantur: quod omniũ est pessimũ, præsente Cæsare, sine rectore dimicantes.

Certè, inquit, plurimum ingemiſcent militiæ leges, plurimum pater, cùm hoc vulnus audierit. ille quòd cum bellando ſenuerit, nūquam iſto modo peccarit. leges autem, ſi cum in eos qui minimum quid pręter ordinem mouerint, morte vindicent, nunc tōtum deſertorem exercitum videant. Modò autem ſcituros eſſe eos ait, qui arrogāter egēre, quòd apud Romanos etiam vincere ſine præcepto ducis, infamiæ eſt. Hæc Titus ad rectores locutus cū indignatione, certus erat, qua lege in omnes erat vſurus. Et hi quidem abiecerunt animos, quaſi iamiámque iuſtè morituri: circumfuſæ verò legiones Titum pro commilitonibus obſecrabant: paucorúmque temeritatem condonari cunctorum obedientiæ precabantur: emendaturos enim peccatum præſens, futuræ compenſatione virtutis. Placatus eſt Cæſar vtilitate ſimul ac precibus. namque vnius hominis animaduerſionem vſque ad factum promouendam putabat, multitudinis verò ad veniam. Militibus quidem reconciliatus eſt, multum monens vt poſt hæc prudentiùs agerent. ipſe verò, quemadmodum Iudæorum vlciſceretur inſidias, cogitabat. interuallo autem quod vſque ad muros ciuitatis erat, per quatriduum coæquato, ſarcinas aliámque multitudinem cupiēs tutò traducere, militū validiſſimos à Septentrionali tractu in occiduum ſeptēplici ordine cōtra murum prætendit, peditibus in frōte, ac poſt eos equitibus acie terna diſpoſitis, mediiſque inter vtroſque ſagittariis. Excurſibus autem Iudæorum tāto præſidio præcluſis, impedimēta triū legionū, itémq; alia multitudo ſine timore tranſiit. Ipſe quidem Titus cùm propè duobus ſtadiis abeſſet à muro, ad anguli eius partem contra turrim quę appellatur Pſephinos, caſtra ponit: ad quam muri ambitus ex Aquilone pertinens, flectitur ad Occidentem: altera verò pars exercitus eam turrim verſus, quæ appellatur Hippicos, muro circundatur, duûm ſtadiorum ſpacio ſimiliter à ciuitate diſcedens. decima tamen legio in Elæon monte, vbi erat, manebat.

CAP. VI. *Deſcriptio Hieroſolymorum.*

Ciuitas autem trino muro circundata erat, niſi quà vallibus inuiis cingebatur. ex ea namque parte, vnius muri habebat ambitum. & ipſa quidem ſuper duos colles erat cōdita, contrariis frōtibus ſemet inſpicientes, interueniente valle diſcretos, in quam domus creberrimæ deſinebant: collium verò alter, quo ſuperior ciuitas ſedet, multo eſt excelſior, & in prolixitate directior: adeò vt quoniam tutus erat, caſtellum à Dauid quondam rege vocaretur (is pater Salomonis fuerat, qui primus templum ædificauerat) à nobis autem forum ſuperius. alter autem, qui appellatur Acra, inferiorem ſuſtinet ciuitatem, & vndique decliuis eſt. Contra hūc autem tertius collis erat, natura humilior quàm Acra, & alia lata valle antè diuiſus. verùm poſtea qua tempeſtate Aſamonæi regnabant, & vallem aggeribus repleuerunt, vt templo coniungerent ciuitatē, & Acræ altitudinem cæſā humiliorem fecerunt, vt ex ea quoque fanū ſupereminēs cerneretur. Vallis autē quę Tyropœon appellatur, qua diximus ſuperioris ciuitatis collē dirimi ab inferiori, vſque ad Siloam pertinet. ita enim

ἦ μεγάλα μὲν στενάξειν ἔφη τοὺς τῆς στρατιᾶς νόμους, μεγάλα δὲ αὐτοῦ τὸν πατέρα, τὴν δὲ τὴν πληγὴν πυθόμενον, εἴγε ὁ μὲν ἐν πολέμοις γηράσας, οὐδέ ποτε ἔπταισεν οὕτως. οἱ νόμοι δὲ ἀεὶ, καὶ τοὺς βραχύ τι τῆς τάξεως παρακινήσαντας, θανάτῳ κολάζουσι. νῦν δὲ ὅλην στρατιὰν ἑωράκασι λιποτακτοῦσαν. γνώσεσθαί γε μὴν αὐτίκα τοὺς αὐθαδισαμένους, ὅτι καὶ τὸ νικᾶν παρὰ ῥωμαίοις δίχα παραγγέλματος ἀδοξεῖται. τοιαῦτα διατεινάμενος πρὸς τοὺς ἡγεμόνας δῆλος ἦν κατὰ πάντων χρήσασθαι τῷ νόμῳ. καὶ οἱ μὲν παρείθησαν τὰς ψυχάς, ὡς ὅσον οὐδέπω τεθνηξόμενοι δικαίως. περιχυθέντα δὲ τὰ τάγματα τῷ τίτῳ περὶ τῶν στρατιωτῶν ἱκέτευε, καὶ τῶν ὀλίγων προπέτειαν χαρίσασθαι τῇ πάντων εὐπειθείᾳ κατηντιβόλουν. ἀναλήψεσθαι γὰρ αὐτοὺς τὸ παρὸν πταῖσμα, ταῖς εἰς τὸ μέλλον ἀρεταῖς. πείθεται καῖσαρ ἅμα ταῖς τε ἱκεσίαις, καὶ τῷ συμφέροντι. τὴν μὲν γὰρ καθ' ἑνὸς τιμωρίαν ᾤετο χρῆναι μέχρις ἔργου προκόπτειν, τὴν δὲ ἐπὶ πλήθους, μέχρι λόγου. τοῖς μὲν οὖν στρατιώταις διηλλάττετο, πολλὰ νουθετήσας αὖθις εἶναι φρονιμωτέρους. αὐτὸς δὲ ὅπως ἀμυνεῖται τὴν ἰουδαίων ἐσκόπει ἐπιβουλήν. τέσσαρσι δὲ ἡμέραις ἐξισωθέντος τοῦ μέχρι τῶν τειχῶν διαστήματος, βουλόμενος μετὰ ἀσφαλείας τάς τε ἀποσκευάς, καὶ τὸ λοιπὸν πλῆθος παραγαγεῖν, τὸ καρτερώτατον τῆς δυνάμεως ἀντιπαρεξέτεινε τῷ τείχει κατὰ τὸ βόρειον κλίμα, καὶ πρὸς ἑσπέραν ἐφ' ἑπτὰ βαθύνας τὴν φάλαγγα, τῶν τε πεζῶν προτεταγμένων, καὶ κατόπιν τῶν ἱππέων τριστοίχων ἑκατέρων ἕβδομοι κατὰ μέσον εἱστήκεσαν οἱ τοξόται. πυκνῷ δὲ στίφει περιφραγμένων ἰουδαίοις τῶν ἐκδρομῶν, τά τε ὑποζύγια τῶν τριῶν ταγμάτων, καὶ ἡ πληθύς, ἀδεῶς παρώδευσεν. αὐτὸς μὲν οὖν τίτος ἀπέχων ὅσον εἰς σταδίους δύο τοῦ τείχους, κατὰ τὸ γωνιαῖον αὐτοῦ μέρος, ἀντικρὺ τοῦ ψηφίνου καλουμένου πύργου, στρατοπεδεύεται, πρὸς ὃν ὁ κύκλος τοῦ τείχους πρὸς ἄρκτον καθήκων, ἀνακάμπτει πρὸς δύσιν. ἡ δὲ ἑτέρα μοῖρα τῆς στρατιᾶς, κατὰ τὸν ἱππικὸν προσαγορευθέντα πύργον τειχίζεται, διεστῶσα τῆς πόλεως, ὁμοίως δύο σταδίους. τὸ μέντοι δέκατον τάγμα κατὰ χώραν ἐπὶ τοῦ ἐλαιῶν καλουμένου ὄρους ἔμενε.

Κεφ. ιγ.

Τρισὶ δὲ ὠχυρωμένη τείχεσιν ἡ πόλις, καθὰ μὴ ταῖς ἀβάτοις φάραγξιν ἐκυκλοῦτο (ταύτῃ γὰρ εἷς ἦν περίβολος) αὐτὴ μὲν ὑπὲρ δύο λόφων ἀντιπροσώπων ἔκτιστο, μέσῃ φάραγγι διῃρημένων, εἰς ἣν ἐπάλληλοι κατέληγον αἱ οἰκίαι. τῶν δὲ λόφων, ὁ μὲν τὴν ἄνω πόλιν ἔχων, ὑψηλότερος πολλῷ, καὶ τὸ μῆκος ἰθύτερος ἦν. διὰ γοῦν τὴν ὀχυρότητα, φρούριον μὲν ὑπὸ δαβίδου τοῦ βασιλέως ἐκαλεῖτο, πατὴρ σολομῶντος οὗτος ἦν, τοῦ πρώτου τὸν νεὼν κτίσαντος. ἡ δὲ ἄνω ἀγορὰ πρὸς ἡμῶν. ἅτερος δὲ ὁ καλούμενος ἄκρα, καὶ τὴν κάτω πόλιν ὑφεστώς, ἀμφίκυρτος. τούτου δὲ ἀντικρὺ τρίτος ἦν λόφος, ταπεινότερός τε φύσει τῆς ἄκρας, καὶ πλατείᾳ φάραγγι διειργόμενος ἄλλῃ πρότερον, αὖθίς γε μὴν καθ' οὓς οἱ ἀσαμωναῖοι χρόνους ἐβασίλευον, τήν τε φάραγγα ἔχωσαν συνάψαι βουλόμενοι τῷ ἱερῷ τὴν πόλιν, καὶ τῆς ἄκρας κατεργασάμενοι τὸ ὕψος, ἐποίησαν χθαμαλώτερον, ὡς ὑπερφαίνοιτο καὶ ταύτης τὸ ἱερόν. ἡ δὲ τῶν τυροποιῶν προσαγορευομένη φάραγξ, ἣν ἔφαμεν τόν τε τῆς ἄνω πόλεως, καὶ τὸν κάτω λόφον διαστέλλειν, καθήκει μέχρι σιλωᾶς. οὕτω γὰρ τὴν πη-

τὴν πηγὴν γλυκεῖάν τε καὶ πολλὴν οὖσαν ἐκαλοῦμεν. ἔξωθεν δὲ, οἱ τῆς πόλεως δύο λόφοι βαθείαις φάραγξι περιείχοντο, καὶ διὰ τοὺς ἑκατέρωθεν κρημνοὺς, προσιτὸν οὐδαμόθεν ἦν. τῶν δὲ τριῶν τειχῶν, τὸ μὲν ἀρχαῖον, διά τε τὰς φάραγγας, καὶ τὸν ὑπὲρ τούτων λόφον ἐφ' οὗ κατεσκεύαστο, δυσάλωτον ἦν. πρὸς δὲ τῷ πλεονεκτήματι τοῦ τόπου, καὶ καρτερῶς ἐδέδμητο, δαβίδ τε καὶ σολομῶνος, ἔτι δὲ τῶν μεταξὺ τούτων βασιλέων, φιλοτιμηθέντων περὶ τὸ ἔργον. ἀρχόμενον δὲ κατὰ βορρᾶν ἀπὸ τοῦ ἱππικοῦ καλουμένου πύργου, καὶ διατεῖνον ἐπὶ τὸν ξυστὸν λεγόμενον, ἔπειτα τῇ βουλῇ συνάπτον, ἐπὶ τὴν ἑσπέριον τοῦ ἱεροῦ στοὰν ἀπηρτίζετο. κατὰ θάτερα δὲ πρὸς δύσιν, ἀπὸ τοῦ αὐτοῦ μὲν ἀρχόμενον πύργου, διὰ δὲ τοῦ Βηθσὼ καλουμένου χώρου κατατεῖνον ἐπὶ τὴν ἐσσηνῶν πύλην, κἄπειτα πρὸς νότον ὑπὲρ τὴν σιλωὰμ ἐπιστρέφον πηγὴν, ἔνθεν τε πάλιν ἐκκλῖνον πρὸς ἀνατολὴν, ἐπὶ τὴν σολομῶνος κολυμβήθραν, καὶ διῆκον μέχρι χώρου τινὸς, ὃν καλοῦσιν ὀφλᾶς, τῇ πρὸς ἀνατολὴν στοᾷ τοῦ ἱεροῦ συνῆπτε. τὸ δὲ δεύτερον τὴν μὲν ἀρχὴν ἀπὸ πύλης εἶχεν, ἣν γεννὰθ ἐκάλουν τοῦ πρώτου τείχους οὖσαν, κυκλούμενον δὲ τὸ προσάρκτιον κλίμα μόνον ἀνῄει μέχρι τῆς ἀντωνίας. τῷ τρίτῳ δὲ ἦν ἀρχὴ ὁ ἱππικὸς πύργος, ὅθεν μέχρι τοῦ βορείου κλίματος κατατεῖνον ἐπὶ τὸν ψήφινον πύργον, ἔπειτα καθῆκον ἀντικρὺ τῶν ἑλένης μνημείων, ἀδιαβηνὴ βασιλὶς ἦν αὕτη, ἰζάτου βασιλέως θυγάτηρ, καὶ διὰ σπηλαίων βασιλικῶν μηκυνόμενον, ἐκάμπτετο μὲν γωνιαίῳ πύργῳ, κατὰ τὸ τοῦ γναφέως προσαγορευόμενον μνῆμα. τῷ δὲ ἀρχαίῳ περιβόλῳ συνάπτον εἰς τὴν κεδρῶνα καλουμένην φάραγγα κατέληγεν. τοῦτο τῇ προσκτισθείσῃ πόλει περιέθηκεν ἀγρίππας, ἥπερ ἦν πᾶσα γυμνή. πλήθει γὰρ ὑπερχεομένη, κατὰ μικρὸν ἐξεῖρπε τῶν περιβόλων, καὶ τοῦ ἱεροῦ τὰ προσάρκτια, πρὸς τῷ λόφῳ συμπολίζοντες, ἐπ' οὐκ ὀλίγον προῆλθον καὶ τέταρτον περιοικηθῆναι λόφον, ὃς καλεῖται βεζεθὰ, κείμενος μὲν ἀντικρὺ τῆς ἀντωνίας, ἀποτεμνόμενος δὲ ὀρύγματι βαθεῖ. διεταφρεύθη γὰρ ἐπίτηδες, ὡς μὴ τῷ λόφῳ συνάπτοντες οἱ θεμέλιοι τῆς ἀντωνίας, εὐπρόσιτοί τε εἶεν, καὶ ἧττον ὑψηλοί. διὸ δὴ καὶ πλεῖστον ὕψος τοῖς πύργοις προσεδίδου τὸ βάθος τῆς τάφρου. ἐπιχωρίως δὲ ἐκλήθη βεζεθὰ τὸ νεόκτιστον μέρος, ὃ μεθερμηνευόμενον ἑλλάδι γλώσσῃ, καινὴ λέγοιτ' ἂν πόλις. δεομένων οὖν τῶν ταύτῃ σκέπης, ὁ πατὴρ τοῦ νῦν βασιλέως, καὶ ὁμώνυμος ἀγρίππας, ἄρχεται μὲν οὗ προειπομεν τείχους. δείσας δὲ κλαύδιον καίσαρα, μὴ τὸ μέγεθος τῆς κατασκευῆς ἐπὶ νεωτερισμῷ πραγμάτων ὑπονοήσῃ, καὶ στάσεως, παύεται θεμελίους μόνον βαλόμενος. καὶ γὰρ οὐδ' ἂν ἦν ἁλώσιμος ἡ πόλις, εἰ προὔκοπτε τὸ τεῖχος ὡς ἤρξατο. λίθοις μέν γε εἰκοσαπήχεσι τὸ μῆκος, καὶ τὸ εὖρος δεκαπήχεσι συνηρμόζετο, μήθ' ὑπορυγῆναι σιδήρῳ ῥᾳδίως, μήθ' ὑπ' ὀργάνοις διασεισθῆναι δυναμένοις. δέκα πήχεις αὐτὸ τὸ τεῖχος ἐπλατύνετο, καὶ τὸ ὕψος πλεῖον μὲν ἂν ὡς εἰκὸς ἔσχε, μὴ διακωλυθείσης τῆς καταρξαμένου φιλοτιμίας. αὖθις δὲ καίτοι μετὰ σπουδῆς ἐγειρόμενον ὑπὸ ἰουδαίων, εἰς εἴκοσι πήχεις ἀνέστη. καὶ διπήχεις μὲν τὰς ἐπάλξεις, τριπήχεις δὲ τοὺς προμαχῶνας εἶχεν

fontem, qui dulcis est ac plurimus, vocabamus. Foris autem ciuitatis duo colles profundis vallibus cingebantur, & vtrinque obstantibus rupibus, nulla ex parte adiri poterant. Trium vero murorum vetustissimus quidem, propter valles imminentémque his desuper collem quo erat conditus, facilè capi non poterat. ad hoc autem quòd loco præstabat, etiam firmissimè structus erat, Dauid & Salomonis, aliorúmque interea regum largissimis impensis operi insumptis. Hac autem parte incipiens à turri, cui nomen est Hippico, ad eam quæ dicitur Xystus pertinens: deinde curiæ coniunctus, in occiduam templi porticum desinebat. parte autem altera ad Occidentem ex eo loco ductus, per eum qui vocatur Betiso descendēs in Essenorum portam: deinde supra fontē Siloam in meridiem flexus, atque inde rursus in Orientem versus, quà stagnum Salomonis est, & vsque ad locum pertinens, quem Ophlan vocant, cum Orientali porticu templi coniungitur. Secundus autem murus, à porta quidem habebat initium, quam Genath appellabant. hæc autem fuerat muri prioris. Septentrionalem verò tantummodo tractum ambiens: vsque ad Antoniam ascendebat. Tertio muro turris Hippicos principium dabat: vnde ad Boreæ tractum pertinens, deinde ad Psephinam turrim veniens, contra munimentum Helenę, quæ Adiabenorum regina fuerat, Izatæ regis mater, & per speluncas regias in longum ductus, à turri quidem in angulo posita flectebatur contra Fullonis quod dicitur monumentum. cum vetere autem ambitu iunctus in Cedron vallem, quæ sic dicitur, desinebat. Hoc muro eam partem ciuitatis, quam ipse addiderat, Agrippa cinxerat, cùm esset omnis antè nuda. exuberans enim multitudine, paulatim extra mœnia serpebat, templíque Septentrionali regione colli proxima ciuitati adiuncta non paululum processerat. quin & quartus collis incolebatur, cui nomen est Bezetha, situs quidem ex aduerso Antoniæ, fossis autem altissimis separatus: quæ de industria ductæ sunt, ne Antoniæ fundamentis colli cohærentibus, & accessui facilis sit, & minus edita: vnde etiam fossæ altitudo plurimum turribus celsitudinis adiiciebat. Nominata est autem pars addita ciuitati voce indigena Bezetha, quod Latino sermone dicitur noua ciuitas. Eius autem partes incolis protegi desiderantibus, pater huius regis eodem nomine Agrippa, murum quidem ita vt prædiximus inchoarat. veritus autem Claudium Cæsarem, ne magnificentiam constructionis ad nouarum rerum ac discordię suspicionem traheret, fundamentis tantummodo iactis, ab opere destitit. Nec enim expugnabilis esset ciuitas, si perfecisset muros vt cœperat. Saxa enim x x. cubitis longa, & decem lata contexebantur: quæ neque ferro facilè suffodi possent, neque machinis dimoueri: hísque murus dilatabatur, profectò autem altitudinis quoque plus habuisset, si eius magnificentia qui ædificium aggressus erat, minimè fuisset inhibita. Rursus autem idem murus, etiam Iudæorum studio fabricatus, ad xx. cubitos creuit. & minas quidem binis cubitis, propugnacula verò trinis habebat:

totáque altitudo ad x x v. cubitos erigebatur. Murum autem supereminebant turres, viginti quidem cubitis in latitudinem, viginti verò in altitudinem, quadratis angulis structæ, & sicut ipse murus plenæ ac solidæ. præterea structura ac pulchritudo saxorum nihil erat templo deterior. post altitudinem verò turris solidam, viginti cubitis elatam, cellæ desuper ac cœnacula erant, aquarúmq; pluuialium receptacula, & tortuosi latíque singularum ascensus. Eiusmodi quidem turres nonaginta tertius murus habebat: earum autem interualla cubitos ducentenos. medius verò murus in quatuordecim turres, & antiquus in sexaginta, diuisi erant. omne autem ciuitatis in gyro spacium triginta tribus stadiis finiebatur. Cùm autem totus admirabilis esset tertius murus, admirabilior Psephina turris ad Septentrionē Occidentémque surgebat in angulo, qua parte Titus castra posuerat. ex ea nanque per LXX. cubitos ædita, Sole orto Arabia prospici poterat, & vsque ad mare, itémque ad vltima finium Hebræorum. Erat autem octo angulis. Cōtra eam verò turris Hippicos, & iuxtà duæ, quas Herodes rex in antiquo muro ædificauerat: quæque magnitudine siue pulchritudine ac firmitate, vniuersis quæ toto orbe essent, præstabant. nam præter naturalem animi liberalitatem, rex pro amore ciuitatis, operum excellentiam propriis affectibus indulgebat: personísque tribus carissimis, quarum nominibus turres appellauit, fratri & amico, coniugi memoriam dedicando: huic quidem, vt dixi, amoris causa peremptæ, iis autem bello amissis, cùm fortiter decertassent. Hippicos quidem turris amici vocabulo dicta, quatuor angulis erat. Singulæ autem xxv. cubitos in latitudine itémq; longitudine habebāt, & excelsæ xxx. cubitos erant, nusquam inanes. supra soliditatem verò, saxísque adunatam compaginem puteus xx. cubitis altus erat imbribus excipiendis: super hanc autem duplici tecto domus: xxv. cubitis alta, inque varia membra diuisa: & desuper eam minæ quidem binis, propugnacula verò ternis cubitis ambiebant: vt omnis altitudo ad octogintaquinque cubitos numeraretur. Secunda verò turris, quam fratris nomine Phaselon appellauerat, æquè lata fuerat ac longa, cubitis quadragenis: per totidem autem cubitos in pilæ modum facta & solida eius altitudo surgebat. & super hāc decem cubitis ædita porticus erat, instructa brachiis, itémque propugnaculis septa. In media verò porticu supereminens alia turris stabat, in mēbra magnifica & balneas diuisa, ne quid regalis ei vsus videretur deesse: in summo autem propugnaculis minísque erat ornata, cùm omnis eius celsitudo propè ad x c. cubitos tolleretur. & specie quidem videbatur assimilis Phari turri, quæ Alexandriam nauigantibus ignem procul ostendit: ambitu verò ampliore dilatabatur. tūc autem tyrannicum domicilium exhibebat Simoni. Tertia verò turris Mariamnes (sic enim regina vocabatur) vsque ad x x. cubitos farta, per x x. alios cubitos in latitudinem tendebat, & magnificentiora cæterísq; ornatiora diuersoria sustinebat: cū id proprium, séque dignum esse rex putauisset,

ὡς τὸ πᾶν ὕψος εἰς εἰκοσιπέντε πήχεις ἀνατετάσθαι. τοῦ δὲ τείχους ὑπερεῖχον οἱ πύργοι πήχεις εἴκοσι μὲν εἰς εὖρος, εἴκοσι δὲ εἰς ὕψος, τετράγωνοί τε καὶ πλήρεις ὥσπερ αὐτὸ τὸ τεῖχος ὄντες. ἥ γε μὴν ἁρμονία, καὶ τὸ κάλλος τῶν λίθων, οὐδὲν ἀπέδει ναοῦ. μετὰ δὲ τὸ ναστὸν ὕψος τῶν πύργων, ὅπερ ἦν εἰκοσάπηχυ, πολυτελεῖς ἦσαν οἶκοι, καὶ καθύπερθεν ὑπερῷα, δεξαμεναί τε πρὸς τὰς τῶν ὑετῶν ὑποδοχὰς ἐκεῖ πλεῖσται, καὶ πλατεῖαι καθ' ἕκαστον ἄνοδοι. τοιούτους μὲν οὖν πύργους τὸ τρίτον τεῖχος εἶχεν ἐνενήκοντα. τὰ δὲ μεταπύργια τούτων, ἀνὰ πήχεις διακοσίους. τὸ δ' αὖ μέσον εἰς τεσσαρακαίδεκα πύργους, τὸ δὲ ἀρχαῖον εἰς ἑξήκοντα μεμέριστο. τῆς πόλεως δὲ ὁ πᾶς κύκλος σταδίων ἦν τριάκοντα τριῶν. θαυμασίου δὲ ὄντος ὅλου τοῦ τρίτου τείχους, θαυμασιώτερος ἀνεῖχε κατὰ γωνίαν βόρειός τε, καὶ πρὸς δύσιν ὁ ψήφινος πύργος, καθ' ὃν ἐστρατοπεδεύσατο Τίτος. ἐπὶ γὰρ ἑβδομήκοντα πήχεις ὑψηλὸς ὤν, ἀραβίαν τε ἀνίσχοντος ἡλίου παρεῖχεν ἀφορᾶν, καὶ μέχρι θαλάττης τὰ τῆς ἑβραίων κληρουχίας ἔσχατα. ὀκτάγωνος δ' ἦν. τούτου δ' ἄντικρυς ὁ ἱππικός, καὶ παρ' αὐτὸν δύο, κατεσκευάσθησαν ὑπὸ ἡρώδου τοῦ βασιλέως ἐν τῷ ἀρχαίῳ τείχει, μέγεθός τε καὶ κάλλος ἦσαν καὶ ὀχυρότητα, τῶν κατὰ τὴν οἰκουμένην διάφοροι. πρὸς γὰρ τῷ φύσει μεγαλοψύχῳ, καὶ τῇ περὶ τὴν πόλιν φιλοτιμίᾳ, τὴν ὑπεροχὴν τῶν ἔργων ὁ βασιλεὺς πάθεσιν οἰκείοις ἐχαρίζετο, καὶ τρισὶ τοῖς ἡδίστοις προσώποις ἀφ' ὧν ὠνόμασε τοὺς πύργους, ἀδελφῷ καὶ φίλῳ, καὶ γυναικὶ τὴν μνήμην ἀνέθηκε. τὴν μὲν, ὡς προειρήκαμεν κτείνας δι' ἔρωτα. τοὺς δὲ ἀποβαλὼν ἐν πολέμῳ γενναίως ἀγωνισαμένους. ὁ μὲν οὖν ἱππικὸς ἀπὸ τοῦ φίλου προσαγορευθεὶς, τετράγωνος μὲν ἦν, εὖρος δὲ καὶ μῆκος, εἴκοσι καὶ πέντε πηχῶν, καὶ ἕκαστος ὕψος τριάκοντα, οὐδαμοῦ διάκενος. ὑπὲρ δὲ τὸ πλῆρες, καὶ ταῖς πέτραις συνηνωμένοις εἰς ἐκδοχὴν ὄμβρων, εἰκοσάπηχυς λάκκος ἦν τὸ βάθος. ἐπάνω δὲ τούτου, δίστεγος οἶκος ἦν, εἴκοσι καὶ πέντε πηχῶν τὸ ὕψος, εἰς ποικίλα τε διῃρημένος, ὑπὲρ ὃν τύρσεις μὲν διπήχεις, προμαχῶνες δὲ περιβέβληντο τριπήχεις. ὡς τὸ πᾶν ὕψος, εἰς ὀγδοήκοντα πήχεις συναριθμεῖσθαι. ὁ δὲ δεύτερος πύργος ὃν ὠνόμασεν ἀπὸ τἀδελφοῦ φασάηλον, τὸ μὲν πλάτος καὶ τὸ μῆκος, ἴσον εἶχε τεσσαράκοντα πηχῶν ἕκαστον. ἐπὶ τεσσαράκοντα δ' ἦν τὸ ναστὸν αὐτοῦ ὕψος, ἐπ' ἄνω δ' αὐτοῦ περιῄει στοὰ δεκαπήχυς τὸ ὕψος, θωρακίοις τε καὶ προβόλοις σκεπομένη. μέσην δ' ὑπερῳκοδόμητο τὴν στοὰν πύργος ἕτερος, εἴς τε οἴκους πολυτελεῖς, καὶ δὴ καὶ βαλανεῖον διῃρημένος, ὡς μηδὲν ἐνδέοι τῷ πύργῳ βασίλειον δοκεῖν. τὰ δὲ ἄκρα τοῖς προμαχῶσι καὶ ταῖς τύρσεσι μᾶλλον, ἤπερ ὁ πρὸ αὐτοῦ κεκόσμητο. πηχῶν δὴ τὸ πᾶν ὕψος, ὡς ἐνενήκοντα, καὶ τὸ μὲν σχῆμα παρεῴκει τῷ κατὰ τὴν φάρον ἐκπυρσεύοντι τοῖς ἐπ' ἀλεξανδρείας πλέουσι. τῇ περιοχῇ δὲ, πολὺ μείζων ἦν. τηνικαῦτα γε μὴν τυραννεῖον ἀπεδείχθη τοῦ σίμωνος. ὁ δὲ τρίτος πύργος ἡ μαριάμμη, τοῦτο γὰρ ἡ βασιλὶς ἐκαλεῖτο, μέχρι μὲν εἴκοσι πηχῶν, ναστὸς ἦν. εἴκοσι δὲ πήχεις εἰς εὖρος διέβαινε καὶ μῆκος ἴσον. πολυτελεστέραν δὲ καὶ ποικιλωτέραν τῶν ἄλλων τὴν οἴκησιν εἶχεν ἐπάνω, τοῦ βασιλέως οἰκεῖον ὑπολαβόντες, τὴν

ἀπὸ

ἀπὸ γυναικὸς ὀνομασθέντα κεκοσμῆσθαι πλέον, ἢ τοὺς ἀπ' ἀνδρῶν, ὥσπερ ἐκείνους τῆς γυναικὸς ὀχυρωτέρους. τούτου τὸ πᾶν ὕψος, πεντήκοντα καὶ πέντε πηχῶν ἦν. τηλικοῦτοι δὲ ὄντες οἱ τρεῖς τὸ μέγεθος, πολὺ μείζονες ἐφαίνοντο διὰ τὸν τόπον. αὐτό τε γὰρ τὸ ἀρχαῖον τεῖχος ἐν ᾧ ἦσαν ἐφ' ὑψηλῷ λόφῳ δεδόμητο, καὶ τοῦ λόφου καθάπερ κορυφή τις ὑψηλοτέρα προανεῖχεν εἰς τριάκοντα πήχεις, ὑπὲρ ἣν οἱ πύργοι κείμενοι, πολὺ δή τι τοῦ μετεώρου προσελάμβανον. θαυμάσιον δὲ καὶ τῶν λίθων ἦν τὸ μέγεθος. οὐ γὰρ ἐξ εἰκαίας χερμάδος, οὐδὲ φορητῶν ἀνθρώποις πετρῶν συνειστήκεσαν, λευκὴ δὲ μάρμαρος ἐτμήθη. καὶ τὸ μὲν μῆκος ἑκάστης, πηχῶν ἦν εἴκοσι, δέκα δὲ εὖρος, καὶ βάθος πέντε. συνήνωντο δ' ἐπ' ἀλλήλοις, ὡς δοκεῖν ἕκαστον πύργον, μίαν εἶναι πέτραν ἀναπεφυκυῖαν, ἔπειτα δὲ περιεξέσθαι χερσὶ τεχνιτῶν, εἰς σχῆμα καὶ γωνίας. οὕτως οὐδαμόθεν ἡ συνάφεια τῆς ἁρμονίας διεφαίνετο. κειμένοις δὲ πρὸς ἄρκτον αὐτοῖς ἔνδοθεν ἡ τοῦ βασιλέως αὐλὴ προσέζευκτο, παντὸς λόγου κρείσσων. οὔτε γὰρ πολυτελείας, οὔτε κατασκευῆς τινὸς ἔλειπεν ὑπερβολήν. ἀλλὰ τετείχιστο μὲν ἅπασα τριάκοντα πήχεις τὸ ὕψος, κύκλῳ κατ' ἴσον διάστημα. κεκοσμημένοις δὲ πύργοις διείληπτο, ἀνδρῶσί τε μεγίστοις, καὶ εἰς ξενῶνας ἑκατοντακλίνους. ἐν οἷς ἀδιήγητος μὲν ἡ ποικιλία τῶν λίθων ἦν. συνῆκτο γὰρ πολὺς ὁ πανταχοῦ σπάνιος. θαυμασταὶ δ' ὀροφαί, μήκει τε δοκῶν, καὶ λαμπρότητι προκοσμημάτων. οἴκων δὲ πλῆθος, καὶ διαφοραὶ σχημάτων περὶ τούτους μυρίαι. πᾶσι γε μὴν ἀποσκευαὶ πλήρεις, καὶ τὰ πλείω τῶν ἐν ἑκάστοις κειμένων, ἐξ ἀργύρου τε καὶ χρυσοῦ. περίστοα δὲ δι' ἀλλήλων ἐν κύκλῳ πολλά, καὶ στῦλοι πρὸς ἑκάστῳ διάφοροι. τά γε μὴν τούτων ὕπαιθρα, πανταχοῦ χλοερά, καὶ ποικίλαι μὲν ὗλαι, μακροὶ δὲ δι' αὐτῶν περίπατοι, καὶ περὶ τούτους εὔριποι βαθεῖς, καὶ δεξαμεναί τε πολλαχοῦ χαλκουργημάτων περίπλεοι, δι' ὧν τὸ ὕδωρ ἐξεχεῖτο, καὶ πολλοὶ περὶ τὰ νάματα πύργοι, πελειάδων ἡμέρων. ἀλλὰ γὰρ οὔθ' ἑρμηνεῦσαι δυνατὸν ἀξίως τὰ βασίλεια, καὶ φέρει βάσανον ἡ μνήμη, τὰς τοῦ λῃστρικοῦ πυρὸς δαπάνας ἀναφέρουσα. οὐ γὰρ ταῦτα Ῥωμαῖοι κατέφλεξαν, ἀλλ' ὑπὸ τῶν ἔνδον ἐπιβούλων, ὡς προειρήκαμεν ἐν ἀρχῇ τῆς ἀποστάσεως. καὶ ἀπὸ μὲν τῆς Ἀντωνίας ἤρξατο τὸ πῦρ, μετέβη δὲ ἐπὶ τὰ βασίλεια, καὶ τῶν τριῶν πύργων τὰς στέγας ἐπενεμήθη.

Κεφ. ιδ. Τὸ δὲ ἱερὸν ἵδρυτο μὲν ὥσπερ ἔφην ἐπὶ λόφου καρτεροῦ. κατ' ἀρχὰς δὲ μόλις ἐξήρκει τὸ ἀνωτάτω χθαμαλὸν αὐτῷ, πρός τε ναὸν καὶ τὸν βωμόν. τὰ γὰρ πέριξ ἀπόκρημνος ἦν καὶ κατάντης. τοῦ δὲ βασιλέως Σολομῶνος, ὃς δὴ καὶ τὸν ναὸν ἔκτισε, τὸ κατ' ἀνατολὰς μέρος ἐκτειχίσαντος, ἐπετέθη στοὰ τῷ χώματι. καὶ κατά γε τὰ λοιπὰ μέρη, γυμνὸς ὁ ναὸς ἦν. τοῖς δ' ἑξῆς αἰῶσιν ἀεί τι τοῦ λαοῦ προσχωννύντος ἀνισούμενος ὁ λόφος ηὐρύνετο. διακόψαντες δὲ καὶ τὸ προσάρκτιον τεῖχος, τοσοῦτον προσελάβον, ὅσον ὕστερον ἐπεῖχεν ὁ τοῦ παντὸς ἱεροῦ περίβολος. τειχίσαντες δὲ τριχῆ κύκλῳ τὸν λόφον, καὶ μεῖζον ἐλπίδος ἐκπονήσαντες ἔργον, εἰς ὃ μακροὶ μὲν ἐξανηλώθησαν αἰῶνες αὐτοῖς, καὶ οἱ ἱεροὶ δὲ θησαυροὶ πάντες οὓς ἀνεπίμπλασαν οἱ διὰ τῆς οἰκουμένης

A vt vxoris nomine appellata turris, plus haberet pulchritudinis quam quæ virorum nominibus vocitatæ sunt: sicut illæ hac munitiores erant, cui fœmina nomen dederat, & cuius omnis altitudo per L V. cubitos erigebatur. Sed quanquam tres turres tantæ magnitudinis erant, ex loco tamen, quo erant sitæ, multo videbantur esse maiores, nam & ipse antiquus murus, in quo erant, excelso loco fuerat conditus, & ipsius collis velut quidā B vertex altus propè ad xxx. cubitos eminebat, supra quem turres positæ multum sublimitatis assumpserant. Mirabilis etiam fuit lapidū magnitudo. nec enim ex vulgaribus saxis, aut quę homines ferre possent, verùm secto marmore candido, & singulis per xx. cubitos longis, latisque decem, ac per v. altis erant ædificatæ, quæ ita inter se copulata erant, vt singulæ turres, singula saxa viderentur: sic autem manibus artificum in faciem angulósque formata, C ut nusquam iunctura compaginis appareret. His autem in Septētrionali parte positis, intus aula regia coniūgebatur: narratione omni pręstantior. Nec enim magnificentia vel structura operis, aliqua ex parte superari poterat: sed tota quidem muro per x x x. cubitos edito cincta erat. æqualis autem distantiæ turribus ornatissimis ambiebatur, ornata virorum receptaculis & cœnaculis lectorum centum capacibus. Inenarrabilis autem fuit marmorum D varietas in ea, collectis ibi plurimis quæ vbiq; rara videbantur, & fastigia simul proceritate trabium & ornamentorum claritudine mirabilia. membrorum etiam multitudo, & innumeratæ species ædificij, plenáque omnia supellectilis, cùm pleraq; in singulis ex auro essent, atque argento. adhæc multæ porticus, aliā per aliam in circulum flexæ columnæq; in singulis, & quæ inter eas sub dio patebant spacia, cùm essent vtique viridariis syluísque variata. E tum prolixas ambulationes habebat, altis euripis cinctas, cisternas vbique signorum æneorum plenas, quibus aqua effundebatur multásque turres mansuetarum circum latices columbarum. Sed enim neque pro merito exponi regia, qualis fuerit, potest: habétque memoria cruciatū, referens, quantas res latrocinalis flā ma consumpserit, nec enim hæc à Romanis incensa sunt, sed ab insidiatoribus intestinis, vt suprà memorauimus in principio dissen F sionis, & ab Antonia quidem omnia corripuit ignis: transiit autem in regiam, triúmque turrium tecta corripuit. Fanum autem conditum erat, vt dixi, supra durissimum collem. Et initio quidem vix templo atque areæ sufficiebat, iacens in summo planicies, quòd vndiq; præceps erat atq; decliuis. Cùm autem rex Salomon, qui etiam templum ædificauerat, muro eius partem ab Orienta cinxisset vnà porticus aggeri est imposita: & manebat G ex aliis partibus nudum, quoad seculis posterioribus, semper aliquid aggeris accumulante populo coæquatus collis latior effectus est. Perrupto autem Septentrionali quoque muro, tantum assumpsêre spacium quantum postea totius fani ambitus incluserat. Tripлici autem muro colle circundato, spe maius opus extructum est: in quo longa secula consumpta sunt, omnésque thesauri sacri, quos toto orbe

missa Deo munera repleuerant, tam in superiore ambitu, quàm inferiore templo ædificatis: cuius quod humilimum fuit, trecentenis cubitis munierant, in quibusdam verò locis pluribus. non tamen omnis altitudo fundamentorum videri poterat, multum vallibus obrutis, vt angustas vias oppidi coæquarent. Saxa verò quadragenûm cubitorum magnitudinis erant. nã & pecuniarum copia, & populo largitas, maiora dictu conabatur: quódq; nunquam posse perfici sperabatur, diuturnitate ac perseuerantia explicabile videbatur. Tantis autem fundamentis digna erant opera imposita. Duplices porticus omnes, quas columnæ sustinebant quinis & vicenis cubitis altæ, de singulis saxis marmore cãdido, & laquearia cedrina protegebant. quorum naturalis magnificentia, quódq; ligno rasili erant, aptéque cohærebant, operæprecium spectantibus, exhibebat: nullóque, aut pictoris, aut sculptoris opere extrinsec⁹ ornabatur. Latę autẽ per xxx. cubitos erant: omnísque gyrus earum sex mensura stadiorum cum Antonia concludebatur. Totum autem sub dio spacium variabatur: omnium quidem generum lapidibus stratum: quà verò ad secundum templum ibatur, cancellis septum saxeis ad tres cubitos altis, nimiúmque grato opere factis: vbi æquis depositæ interuallis columnæ stabant, legem castimoniæ præmonentes aliæ Græcis, aliæ Latinis literis, in locum sanctum transire alienigenas non debere. Sanctum enim vocabatur alterum fanum, & quatuordecim gradibus ascendebatur à primo: quadratúmque sursum erat, & proprio muro circundatum, cuius exterior celsitudo, quamuis X L. cubitis surgeret, tamen gradibus tegebatur. interior autem X X V. cubitorum erat: quoniam in altiori loco per gradus ædificata non tota pars interior cernebatur, colle obtecta. Post XIIII. autem gradus, spacium erat vsque ad murum C C C. cubitis planum. Hinc rursum alij quinque gradus, & scalæ ad portas ducebant: à Septentrione quidem ac meridie octo, quaternæ vtrinque videlicet, duæ verò ex Oriente. Necessariò namque proprius locus, religionis causa mulieribus destinatus, muro discernebatur: altera quoq; porta opus esse videbatur. Cõtra primam verò, secreta erat ex aliis regionibus vna porta Meridiana, & vna Septentrionalis, quibus ad mulieres introibatur: per alias enim transire ad mulieres non licebat. Sed nec suam portam interiecto muro trãsgredi licebat. Patebat enim locus ille pariter indigenis & hospitibus fœminis, religionis causa venientibus: occidua verò pars nullam portam habebat, sed perpetuus ibi murus erat extructus. Inter portas autem porticus, à muro intrò propè à thesauro aduersæ: magnis & pulcherrimis columnis sustinebãtur. erãt autẽ simplices. ac præter magnitudinem nulla re ab inferioribus aberant. Portarum autem, aliæ quidẽ auro & argento vndique tectæ erant, itémque postes ac frontes: vna verò extra templum ære Corinthio, quæ multum argento inclusas & inauratas honore superabat. Et binæ fores quidem in singulis ianuis erant tricenis cubitis altæ,

A δασμοὶ πεμπόμενοι τῷ θεῷ. τούς τε ἄνω περιβόλους, καὶ τὸ κάτω ἱερὸν ἀμφεδείμαντο. τούτου τὸ ταπεινότατον, ἀπὸ τριακοσίων ἀνετειχίσαντο πηχῶν· κατὰ δέ τινας τόπους ἐκ πλείονος. οὐ μέν τοι πᾶν τὸ βάθος ἐφαίνετο τῶν θεμελίων. ἐπὶ πολὺ γὰρ ἔχωσαν τὰς φάραγγας, ἀνισοῦν βουλόμενοι τοὺς στενωποὺς τοῦ ἄστεος. πέτραι δὲ τεσσαράκοντα πήχεις τὸ μέγεθος ἦσαν τοῦ δομήματος. ἥ τε γὰρ δαψίλεια τῶν χρημάτων, καὶ τοῦ λαοῦ B φιλοτιμία, λόγου μείζονας ἐποιεῖτο τὰς ἐπιβολάς, καὶ τὸ μηδὲ ἐλπισθὲν ἕξειν πέρας, ἐπιμονῇ καὶ χρόνοις ἦν ἀνύσιμον. ἦν δὲ ἄξια τῶν τοιούτων θεμελίων, καὶ τὰ ὑπὲρ αὐτῶν ἔργα. διπλαῖ μὲν γὰρ αἱ στοαὶ πᾶσαι. κίονες δ' αὐταῖς εἰκοσιπέντε πηχῶν τὸ ὕψος ἐφεστήκεσαν, μονόλιθοι λευκοτάτης μαρμάρου. κεδρίνοις δὲ φατνώμασιν ὠρόφοντο. τούτων ἡ μὲν φυσικὴ πολυτέλεια, καὶ τὸ εὔξεστον, καὶ τὸ ἁρμόνιον, παρεῖχε θεωρίαν ἀξιόλογον. οὐδενὶ δὲ ἔξωθεν, οὔτε ζωγραφίας, οὔτε γλυC φίδος ἔργῳ προσηγλάϊστο. καὶ πλατεῖαι μὲν ἦσαν ἐπὶ τριάκοντα πήχεις. ὁ δὲ πᾶς κύκλος αὐτῶν, εἰς ἓξ σταδίους συνεμετρεῖτο, περιλαμβανομένης καὶ τῆς Ἀντωνίας. τὸ δὲ ὕπαιθρον ἅπαν, πεποίκιλτο παντοδαπῶν λίθων κατεστρωμένον. διὰ τούτου προϊόντων ἐπὶ τὸ δεύτερον ἱερὸν, δρύφακτος περιβέβλητο λίθινος, τριπήχης μὲν ὕψος, πάνυ δὲ χαριέντως διειργασμένος. ἐν αὐτῷ δ' εἱστήκεσαν ἐξ ἴσου διαστήματος στῆλαι, τὸν τῆς ἁγνείας προσημαίνουσαι νόμον. αἱ μὲν ἑλληνικοῖς, αἱ δὲ ῥωμαϊκοῖς D γράμμασι, μὴ δεῖν ἀλλόφυλον ἐντὸς τοῦ ἁγίου παριέναι. τὸ γὰρ δεύτερον ἱερὸν, ἅγιον ἐκαλεῖτο. καὶ τεσσαρεσκαίδεκα μὲν βαθμοῖς ἦν ἀναβατὸν ἀπὸ τοῦ πρώτου, τετράγωνον δὲ ἄνω καὶ τείχει περιπεφραγμένον ἰδίῳ. τούτου τὸ μὲν ἔξωθεν ὕψος καίπερ τεσσαράκοντα πηχῶν ὑπάρχον, ὑπὸ τῶν βαθμῶν ἐκαλύπτετο. τὸ δὲ ἔνδον εἴκοσι καὶ πέντε πηχῶν ἦν. πρὸς γὰρ ὑψηλοτέρῳ δεδομημένον τοῖς βαθμοῖς, οὐκέτι ἦν ἅπαν εἴσω καταφανὲς, καλυE πτόμενον ὑπὸ τοῦ λόφου. μετὰ δὲ τοὺς δεκατέσσαρας βαθμούς, τὸ μέχρι τοῦ τείχους διάστημα, πηχῶν ἦν δέκα, πᾶν ἰσόπεδον. ἔνθεν ἄλλοι πάλιν πεντέβαθμοι κλίμακες ἀνῆγον ἐπὶ τὰς πύλας, αἳ ἀπὸ μὲν ἄρκτου, καὶ μεσημβρίας ὀκτὼ, καθ' ἑκάτερον τέσσαρες, δύο δ' ἦσαν ἐξ ἀνατολῆς κατ' ἀνάγκην. διατετειχισμένου γὰρ κατὰ τοῦτο τὸ κλίμα ταῖς γυναιξὶν ἰδίου πρὸς θρησκείαν χώρου, ἔδει δευτέραν εἶναι πύλην. τέτμητο δ' αὕτη τῆς πρώτης ἀντικρύ. κἀκ τῶν ἄλλων κλιμάτων, μία μεσημβριF νὴ πύλη, καὶ μία βόρειος, δι' ἧς εἰς τὴν γυναικωνῖτιν εἰσῆγον. κατὰ γὰρ τὰς ἄλλας, οὐκ ἐξῆν παρελθεῖν γυναιξὶν, ἀλλ' οὐδὲ κατὰ τὴν σφετέραν ὑπερβῆναι τὸ διατείχισμα. ἀνεῖτο γε μὴν ταῖς τε ἐπιχωρίοις, καὶ ταῖς ἔξωθεν ὁμοφύλοις ἐν ἴσῳ πρὸς θρησκείαν ὁ χῶρος. τὸ δὲ πρὸς δύσιν μέρος, οὐκ εἶχε πύλην, ἀλλὰ διηνεκὲς ἐδεδόμητο ταύτῃ τὸ τεῖχος. αἱ στοαὶ δὲ μεταξὺ τῶν πυλῶν ἀπὸ τοῦ τείχους, ἔνδον ἐστραμμέναι πρὸ τῶν γαζοφυλαG κίων, σφόδρα μὲν καλοῖς καὶ μεγάλοις ἀνείχοντο κίοσιν. ἦσαν δ' ἁπλαῖ, καὶ ἀπλὴν τοῦ μεγέθους τῶν κάτω κατ' οὐδὲν ἀπελείποντο. τῶν δὲ πυλῶν, αἱ μὲν ἐννέα, χρυσῷ καὶ ἀργύρῳ κεκαλυμμέναι πανταχόθεν ἦσαν, ὁμοίως τε παραστάδες, καὶ τὰ ὑπέρθυρα, μία δ' ἡ ἔξωθεν τοῦ νεὼ κορινθίου χαλκοῦ, πολὺ τῇ τιμῇ τὰς καταργύρους καὶ περιχρύσους ὑπεράγουσα. καὶ δύο μὲν ἑκάστου πυλῶνος θύραι, τριάκοντα δὲ πηχῶν τὸ ὕψος ἑκάστης,

καὶ τὸ

καὶ τὸ πλάτος ἦν πεντεκαίδεκα. μετὰ μέντοι τὰς εἰσόδους, ἐνδοτέρω πλατυνόμενοι παρ' ἑκάτερον τριακονταπήχεις ἐξέδρας εἶχον εὖρος τε καὶ μῆκος πυργοειδεῖς. ὑψηλαὶ δ' ὑπὲρ τεσσαρακονταπήχεις. δύο δ' ἀνεῖχον ἑκάστην κίονες, δώδεκα πηχῶν τὴν περιοχὴν ἔχοντες. καὶ τῶν μὲν ἄλλων, ἴσον ἦν τὸ μέγεθος. ἡ δὲ ὑπὲρ τὴν Κορινθίαν ἀπὸ τῆς γυναικωνίτιδος ἐξ ἀνατολῆς ἀνοιγομένη τῆς τοῦ ναοῦ πύλης ἀντικρὺ, πολὺ μείζων. πεντήκοντα γὰρ πηχῶν οὖσα τὴν ἀνάστασιν, τεσσαρακονταπήχεις τὰς θύρας εἶχε, καὶ τὸν κόσμον πολυτελέστερον, ἐπὶ δαψιλὲς πάχος ἀργύρου τε καὶ χρυσοῦ. τοῦτο δὲ ταῖς ἐννέα πύλαις ἐπέχεεν ὁ Τιβερίου πατὴρ Ἀλέξανδρος. βαθμοὶ δὲ δεκαπέντε πρὸς τὴν μείζονα πύλην ἀπὸ τοῦ τῶν γυναικῶν διατειχίσματος ἀνῆγον. τῶν γὰρ κατὰ τὰς ἄλλας πέντε βαθμῶν ἦσαν βραχύτεροι. αὐτὸς δ' ὁ ναὸς κατὰ μέσον κείμενος τὸ ἅγιον ἱερὸν, δώδεκα βαθμοῖς ἦν ἀναβατός. καὶ τὸ μὲν κατὰ πρόσωπον ὕψος τε καὶ εὖρος, ἴσος ἀνὰ πήχεις ἑκατόν. κατόπιν δὲ τεσσαράκοντα πήχεσι στενώτερος. ἔμπροσθεν γὰρ ὥσπερ ὦμοι παρ' ἑκάτερον, εἰκοσιπήχεις διέβαινον. ἡ πρώτη δὲ αὐτοῦ πύλη, πηχῶν ἑβδομήκοντα τὸ ὕψος οὖσα, καὶ εὖρος εἴκοσι καὶ πέντε, θύρας οὐκ εἶχε. τοῦ γὰρ οὐρανοῦ τὸ ἀφανὲς καὶ ἀδιάκλειστον ἐνέφαινε. κεχρύσωτο δὲ τὰ μέτωπα πάντα, καὶ δι' αὐτῆς ὅ,τε πρῶτος οἶκος ἔσωθεν ἅπας κατεφαίνετο, μέγιστος ὢν, καὶ τὰ περὶ τὴν εἴσω πύλην, πάντα λαμπόμενα χρυσῷ τοῖς ὁρῶσιν ὑπέπιπτεν. τοῦ δὲ ναοῦ ὄντος εἴσω διστέγου, μόνος ὁ πρῶτος οἶκος προὔκειτο, καὶ διηνεκὲς εἰς τὸ ὕψος, ἀνατεινόμενος μὲν ἐπὶ ἐνενήκοντα πήχεις, μηκυνόμενος δὲ ἐπὶ πεντήκοντα, καὶ διαβαίνων ἐπὶ εἴκοσιν. ἡ δὲ διὰ τοῦ οἴκου πύλη, κεχρύσωτο μὲν ὡς ἔφην πᾶσα, καὶ ὅλος ὁ περὶ αὐτὴν τοῖχος. εἶχε δὲ καὶ τὰς χρυσᾶς ὑπὲρ αὐτῆς ἀμπέλους, ἀφ' ὧν βότρυες ἀνδρομήκεις κατεκρέμαντο. ὄντος δὲ ἤδη τοῦ ναοῦ διστέγου, ταπεινοτέρα τῆς ἔξωθεν ἦν, καὶ θύρας εἶχε χρυσᾶς, πεντηκονταπέντε πηχῶν τὸ ὕψος, εὖρος δὲ ἑκκαίδεκα. πρὸ δὲ τούτων, ἰσομήκες καταπέτασμα, πέπλος ἦν Βαβυλώνιος, ποικιλτὸς ἐξ ὑακίνθου καὶ βύσσου, κόκκου τε καὶ πορφύρας, θαυμαστῶς μὲν εἰργασμένος, οὐκ ἀθεώρητον δὲ τῆς ὕλης τὴν κρᾶσιν ἔχων, ἀλλ' ὥσπερ εἰκόνα τῶν ὅλων. ἐδόκει γὰρ αἰνίττεσθαι τῇ κόκκῳ μὲν τὸ πῦρ, τῇ βύσσῳ δὲ τὴν γῆν, τῇ δὲ ὑακίνθῳ τὸν ἀέρα, καὶ τῇ πορφύρᾳ τὴν θάλασσαν. τῶν μὲν, ἐκ τῆς χρόας ὁμοιουμένων, τῆς δὲ βύσσου καὶ τῆς πορφύρας, διὰ τὴν γένεσιν, ἐπειδὴ τὴν μὲν, ἀναδίδωσιν ἡ γῆ, τὴν δὲ ἡ θάλασσα. κατεγέγραπτο δὲ ὁ πέπλος, πᾶσαν τὴν οὐράνιον θεωρίαν, πλὴν ζωδίων. παριόντας δ' εἴσω, τὸ ἐπίπεδον τοῦ ναοῦ μέρος ἐξεδέχετο. τούτου τοίνυν, τὸ μὲν ὕψος, ἑξήκοντα πηχῶν, καὶ τὸ μῆκος ἴσον. εἴκοσι δὲ πηχῶν, τὸ πλάτος ἦν. τὸ δὲ, ἑξηκοντάπηχυ πάλιν διῄρητο. καὶ τὸ μὲν πρῶτον μέρος, ἀποτετμημένον ἐπὶ τεσσαράκοντα πήχεις, εἶχεν ἐν αὐτῷ τρία θαυμασιώτατα καὶ περιβόητα πᾶσιν ἀνθρώποις ἔργα, λυχνίαν, τράπεζαν, θυμιατήριον. ἐνέφαινον δὲ οἱ μὲν ἑπτὰ λύχνοι, τοὺς πλανήτας, τοσοῦτοι γὰρ ἀπ' αὐτῆς διῄρηντο τῆς λυχνίας. οἱ δὲ ἐπὶ τῆς τραπέζης ἄρτοι δώδεκα, τόν τε ζωδιακὸν κύκλον, καὶ τὸν ἐνιαυτόν.

A quinisdenis etiam latæ. post introitum verò, vbi latiores fiebant, tricenis vtrinque cubitis exedras habebant: exemplo quidem turrium longas & latas, supra verò quàm viginti cubitis celsas. singulas autem binæ columnæ duodenûm cubitorum crassitudine sustinebant. Et aliarum quidem portarum magnitudo par fuit. quæ verò supra Corinthiam posita, quò mulieres conueniebant, ab Oriente aperiebatur, porta templi sine dubio maior erat, quin- B quaginta enim cubitis surgens, quadraginta cubitorum fores habebat, ornatúmque magnificentiorem: quoniam crassiori argento atque auro vestiebatur: quod quidem nouem portis infuderat Tiberij pater, Alexander. Gradus autem quindecim à muro, qui mulieres segregabat, ad maiorem portam ducebant. namque illis, qui ad alias portas iter dirigerent, quinque gradibus erant breuiores. Ipsum verò templum in medio positum, hoc est, fa- C num sacrosanctum, duodecim gradibus ascendebatur. Et à fronte quidem altitudo eius & latitudo, centenos cubitos habebat: ponè autem XL. cubitis angustius erat. aditus enim, veluti quibusdam humeris, vtrinque vicenûm cubitorum producebantur. Prima verò eius porta septuaginta cubitis alta erat, & vigintiquinque lata, neq; fores habebat. cœlum enim vndique conspicuum latéque patens significabat. erántque totæ frontes inauratæ: ac prima D ædes omnis perlucebat extrinsecus: autóque circum interiorem fani partem splendida cuncta cernentibus occurrebant. Cùm autem interior eius pars contignatione intersepta esset, adiacens ei prima ædes patebat in altitudinem perpetuam: pérque nonaginta cubitos tollebatur, cùm longa quadraginta cubitos esset, ac viginti transuersa. Interior verò porta tota inaurata erat, vt dixi, & circum eam auratus paries. desuper autem ha- E bebat aureos pampinos, vnde racemi statura hominis pendebant. & quia contignatio intercedebat, templum exteriore humilius videbatur: & fores habebat aureas, quinquaginta & quinque cubitis altas, sexdecim verò latas. adhæc aulæum longitudine pari: hoc est, velum Babylonium, hyacintho, & bysso, & cocco, & purpura variatum, mirabili opere factum, neque contemplationis expers colorum permixtione, F sed velut omnium rerum imaginem præferens. cocco enim videbatur ignem imitari, & bysso terram, & hyacintho aërem, ac mare purpura, partim quidem coloribus, bysso autem ac purpura origine: quoniam byssum quidem terra, mare autem purpuram gignit. erátque in eo perscripta omnis cæli ratio, præter signa. Introgressos autem inferior pars excipiebat: cuius altitudo quidem habebat sexaginta cubitos, & longitu- G do totidem, ac latitudo viginti. rursus autem sexaginta cubiti diuisi erant. Et prima quidem pars ad quadraginta cubitos auulsa, hæc tria mirabilia & prædicanda opera cunctis hominibus habebat, candelabrum, & mensam, & thuribulum. Septem verò lucernæ, stellas errantes significabant: tot enim ab ipso candelabro oriebantur. Duodecim verò panes in mensas positi, signorum circulum, atque annum.

Thuribulum autem per tredecim odores, quibus replebatur, ex mari & inhospito & inhabitabili, designabat omnia Dei esse, Deóque seruire. Intima verò templi pars, viginti cubitorum erat. discernebatur autem similiter velo ab exteriore, nihílque prorsus in ea erat positum: inaccessa verò, & inuiolata, & inuisibilis omnibus habebatur, sanctíque sanctum vocabatur. Circa latera verò inferioris templi, multa erant membra peruia, triplici tecto suspensa: & ad vtrumque latus, ad ea introitus à porta patebat. Superior autem pars eadem membra non habebat, quo minus erat angustior, celsior autem quadraginta cubitis, nec ita, vt inferior ambitiosa. Colligitur enim centum cubitorum celsitudo vniuersa, cùm in solo quadraginta cubitos habuerit. Exterior autem facies, nihil quod animus, aut oculi mirarentur non habebat. crustis enim aureis grauissimis vndique tecta, vltra primos ortus igneo splendore lucebat: vt cùm intuerentur contendentium oculi, quasi solis radiis auerterentur. Hospitibus quidem adeuntibus, procul monti niueo similis videbatur. nam vbi deauratum non erat templum, candidissimum erat. In summo autem aureis verubus horrebat acutissimis, ne ab insidentib. auibus pollueretur. Nonnullorũ autẽ saxorum eius, longitudo quadragintaquinque cubitorum erat, altitudo quinque, & latitudo sex. Ara verò pro templo, quindecim cubitis alta, lata verò & longa cubitis quadragenis, quadratáque stans, veluti cornutis angulis eminebat, & à meridie ascensus in eam clementer arduus resupinabatur. sine ferro autem constructa erat, nec vnquam eam ferrum tetigerat. Templum autem arámque cingebat ex pulcherrimo saxo lorica gratissima, vsque ad cubitum surgens, quæ populum à sacerdotibus segregabat. Gonorrhœos, hoc est, semine fluentes, itémque leprosos tota ciuitas arcebat, & fœminis menstrua soluentibus clausa erat. prædictum autem limitem, ne puris quidem mulieribus transgredi permittebatur. Viri autem, qui non per omnia casti fuissent, ab interiori aula, & qui puri essent, à sacerdotibus prohibebantur. Qui verò ex origine sacerdotum genus ducentes, cæcitatis causa munere non fungebantur, cum incolumibus intra limitem aderant partésque generis consequebantur: vestibus tantùm vtebantur plebeiis: quoniam sacerdotali solus qui sacra celebrabat amiciebatur. Ad altare verò templúmque accedebant carentes omni vitio sacerdotes, veste quidem amicti byssina: maximè verò mero abstinentes, ac sobrij religionis metu, ne quid rem diuinam faciendo peccarent. Pontifex autem cum ipsis non tamen semper ascendebat, sed diebus quibusque septimis, & per singulos menses Calendis: vel si quando patria festiuitas atque annua ab omni populo agebatur. Et sacrificabat velamine præcinctus, eóque tectus femora vsque ad genitalia: lintheum verò habens intrinsecus demissum vsque ad pedes, & hyacinthinum desuper indumentum rotundum, ex quo fimbriæ pendebant, alternis nodis aurea tintinnabula, maláque granata sustinentes: tintinnabulis quidem tonitrua, malis verò fulgura designantibus. Pectoris autem

τὸ θυμιατήριον δέ, διὰ τῶν τρισκαίδεκα θυμιαμάτων, οἷς ἐκ θαλάσσης ἀνεπίμπλατο ἔκ τε τῆς ἀοικήτου καὶ οἰκουμένης, ἐσήμαινεν, ὅτι τοῦ θεοῦ πάντα καὶ τῷ θεῷ. τὸ δὲ ἐνδοτάτω μέρος εἴκοσι μὲν ἦν πηχῶν. διείργετο δὲ ὁμοίως καταπετάσματι πρὸς τὸ ἔξωθεν. ἔκειτο δὲ οὐδὲν ὅλως ἐν αὐτῷ, ἄβατον δὲ καὶ ἄχραντον καὶ ἀθέατον ἦν πᾶσιν. ἁγίου δὲ ἅγιον ἐκαλεῖτο. περὶ δὲ τὰ πλευρὰ τοῦ κάτω ναοῦ, δι᾽ ἀλλήλων ἦσαν οἶκοι τρίστεγοι πολλοί, καὶ παρ᾽ ἑκάτερον εἰς αὐτοὺς ἀπὸ τῆς πύλης εἴσοδοι. τὸ δὲ ὑπερῷον μέρος, τούτους μὲν οὐκ ἔτ᾽ εἶχε τοὺς οἴκους, παρόσον ἦν καὶ στενότερον, ὑψηλότερον δὲ ἐπὶ τεσσαράκοντα πήχεις, καὶ λιτότερον τοῦ κάτω. συνάγεται γὰρ οὕτω πρὸς ἑξήκοντα τοῖς τοῦ ἐπιπέδου πηχῶν ἑκατὸν τὸ πᾶν ὕψος. τὸ δ᾽ ἔξωθεν αὐτοῦ πρόσωπον, οὐδὲν οὔτε εἰς ψυχῆς, οὔτε εἰς ὀμμάτων ἔκπληξιν ἀπέλιπε. πλαξὶ γὰρ χρυσοῦ στιβαραῖς κεκαλυμμένος πάντοθεν, ὑπὸ τὰς πρώτας ἀνατολάς, πυρωδεστάτην ἀπέπαλλεν αὐγήν, καὶ τῶν βιαζομένων ἰδεῖν τὰς ὄψεις, ὥσπερ ἡλιακαῖς ἀκτῖσιν ἀπέστρεφε. τοῖς γε μὴν εἰσαφικνουμένοις ξένοις, πόρρωθεν ὅμοιος ὄρει χιόνος πλήρει κατεφαίνετο. καὶ γὰρ καθὰ μὴ κεχρύσωτο λευκότατος ἦν. κατὰ κορυφὴν δὲ χρυσέους ὀβελοὺς ἀνεῖχε τεθηγμένους, ὡς μή τινι προσκαθεζομένῳ μολύνοιτο τῶν ὀρνέων. τῶν δ᾽ ἐν αὐτῷ λίθων ἔνιοι, μῆκος πέντε καὶ τεσσαράκοντα πηχῶν ἦσαν, ὕψος πέντε, εὖρος δὲ ἕξ. πρὸ αὐτοῦ δ᾽ ὁ βωμὸς πεντεκαίδεκα μὲν ὕψος ἦν πήχεων, εὖρος δὲ καὶ μῆκος ἐκτείνων ἴσον, ἀνὰ πεντήκοντα πήχεις. τετράγωνος δ᾽ ἵδρυτο, κερατοειδεῖς προανέχων γωνίας, καὶ ἀπὸ μεσημβρίας, ἐπ᾽ αὐτὸν ἄνοδος ἠρέμα προσάντης ὑπτίαστο. κατεσκευάσθη δ᾽ ἄνευ σιδήρου, καὶ οὐδέ ποτε ἔψαυσεν αὐτοῦ σίδηρος. περιέστεφε δὲ τόν τε ναόν, καὶ τὸν βωμόν, εὔλιθόν τι καὶ χαρίεν γείσιον, ὅσον πηχυαῖον ὕψος, ὃ διεῖργεν ἔξωθεν τὸν δῆμον ἀπὸ τῶν ἱερέων. γονορροίοις μὲν δὴ καὶ λεπροῖς ἡ πόλις ὅλη διείργετο, γυναικῶν δὲ ἐμμηνίοις ἀπεκέκλειστο, παρελθεῖν δὲ ταύταις οὐδὲ καθαραῖς ἐξῆν, ὃν προείπομεν ὅρον. ἀνδρῶν δ᾽ οἱ μὴ κατὰ πᾶν ἡγνευκότες, εἴργοντο τῆς ἔνδον αὐλῆς, καὶ τῶν ἱερέων πάλιν οἱ μὴ καθαρεύοντες εἴργοντο.

Κεφ. ιε.

Τῶν δ᾽ ἀπὸ γένους ἱερέων ὅσοι διὰ πήρωσιν οὐκ ἐλειτούργουν, παρῆσαν τε ἅμα τοῖς ὁλοκλήροις ἐνδοτέρω τοῦ γείσου, καὶ τὰς ἀπὸ τοῦ γένους ἐλάμβανον μερίδας, ταῖς γε μὴν ἐσθήσεσιν ἰδιωτικαῖς ἐχρῶντο. τὴν γὰρ ἱερὰν ὁ λειτουργῶν ἠμφιέννυτο μόνος. ἐπὶ δὲ τὸ θυσιαστήριον, καὶ τὸν ναὸν ἀνέβαινον, οἱ τῶν ἱερέων ἄμωμοι, βύσσον μὲν ἀμπεχόμενοι, μάλιστα δ᾽ ἀπὸ ἀκράτου νήφοντες, δέει τῆς θρησκείας, ὡς μή τι παραβαῖεν ἐν τῇ λειτουργίᾳ. ὁ δὲ ἀρχιερεὺς, ἀνῄει μὲν σὺν αὐτοῖς, ἀλλ᾽ οὐκ ἀεί, ταῖς δ᾽ ἑβδομάσι καὶ νουμηνίαις, καὶ εἴ τις ἑορτὴ πάτριος ἢ πανήγυρις πάνδημος ἀγομένη δι᾽ ἔτους. ἐλειτούργει δέ, τοὺς μηροὺς μὲν ἄχρις αἰδοίου διαζώσματι καλύπτων, λινοῦν τε ὑποδύτην ἔνδοθεν λαμβάνων, καὶ ποδήρες καθύπερθεν ὑακίνθινον ἔνδυμα στρογγύλον θυσανωτὸν ἔργον. τῶν δὲ θυσάνων ἀπήρτηντο κώδωνες χρύσεοι, καὶ ῥοαὶ παράλληλοι, βροντῆς μὲν οἱ κώδωνες, ἀστραπῆς δ᾽ αἱ ῥοαὶ σημεῖον. ἡ δὲ τὸ ἔν-

δυμα

δῦμα τὸ στέρνον περισφίγγουσα ταινία, πέντε διηνθισμένη ζώναις πεποίκιλτο, χρυσοῦ τε καὶ πορφύρας καὶ κόκκου, πρὸς δὲ βύσσου, καὶ ὑακίνθου, δι' ὧν ἔφαμεν, καὶ τὰ τοῦ ναοῦ καταπετάσματα συνυφάνθαι. τούτοις δὲ καὶ ἐπωμίδα κεκραμένην εἶχεν, ἐν ᾗ πλεῖον χρυσὸς ἦν. σχῆμα μὲν οὖν ἐνδυτοῦ θώρακος εἶχεν. δύο δ' αὐτὴν ἐνεπόρπουν ἀσπιδίσκαι χρυσαῖ, κατεκέκλειντο δ' ἐν ταύταις κάλλιστοί τε καὶ μέγιστοι σαρδόνυχες, τοὺς ἐπωνύμους τῶν τοῦ ἔθνους φυλῶν ἐπιγεγραμμέναι. κατὰ δὲ θάτερον ἄλλοι προσήρτηντο λίθοι δώδεκα, κατὰ τρεῖς εἰς τέσσαρα μέρη διῃρημένοι, σάρδιον, τόπαζος, σμάραγδος, ἄνθραξ, ἴασπις, σάπφειρος, ἀχάτης, ἀμέθυστος, λιγύριον, ὄνυξ, βήρυλλος, χρυσόλιθος, ὧν ἐφ' ἑκάστου πάλιν, εἷς τῶν ἐπωνύμων ἐγέγραπτο. τὴν δὲ κεφαλὴν, βυσσίνη μὲν ἔσκεπε τιάρα, κατέστεπτο δ' ὑακίνθῳ. περὶ ἣν χρυσοῦς ἄλλος ἦν στέφανος, ἐκτύπωμα φέρων τὰ ἱερὰ γράμματα. ταῦτα δέ ἐστι φωνήεντα τέσσαρα. ταύτην μὲν οὖν τὴν ἐσθῆτα, οὐκ ἐφόρει τὸν ἄλλον χρόνον, λιτοτέραν δ' ἀνελάμβανεν. ὁπότε δὲ εἰσίοι εἰς τὸ ἄδυτον, εἰσῄει δ' ἅπαξ κατ' ἐνιαυτὸν μόνος ἐν ᾗ νηστεύειν ἔθος ἡμέρα πάντας τῷ θεῷ. καὶ τὰ μὲν περὶ τῆς πόλεως, καὶ τοῦ ναοῦ τῶν τε ἐπὶ τούτοις ἐθῶν καὶ νόμων, αὖθις ἀκριβέστερον ἐροῦμεν. οὐ γὰρ ὀλίγος περὶ αὐτῶν καταλείπεται λόγος. ἡ δὲ Ἀντωνία, κατὰ γωνίαν μὲν δύο στοῶν ἔκειτο τοῦ πρώτου ἱεροῦ, τῆς τε πρὸς ἑσπέραν, καὶ τῆς πρὸς ἄρκτον. δεδόμητο δ' ὑπὲρ πέτρας πεντηκονταπήχους μὲν ὕψος, περικρήμνου δὲ πάσης. ἔργον δ' ἦν Ἡρώδου βασιλέως, ἐν ᾧ μάλιστα τὸ φύσει μεγαλόνουν ἐπεδείξατο. πρῶτον μὲν ἐκ ῥίζης ἡ πέτρα, πλαξὶ κεκάλυπτο λείαις λίθων, εἴς τε κάλλος, καὶ ὡς ἀπολισθάνοι πᾶς ὁ προσβαίνειν καὶ κατιέναι πειρώμενος. ἔπειτα πρὸ τῆς τοῦ πύργου δομήσεως, τριῶν πηχῶν τεῖχος ἦν, ἐνδοτέρω δὲ τούτου, τὸ πᾶν ἀνάστημα τῆς Ἀντωνίας, ἐπὶ τεσσαράκοντα πήχεις ἠγείρετο. τὸ δὲ ἔνδον βασιλείων εἶχε χώραν καὶ διάθεσιν. μεμέριστο γὰρ εἰς πᾶσαν οἴκων ἰδέαν τε καὶ χρῆσιν, περίστοά τε καὶ βαλανεῖα καὶ στρατοπέδων αὐλὰς πλατείας, ὡς τῷ μὲν πάντα ἔχειν τὰ χρειώδη, πόλις εἶναι δοκεῖν. τῇ πολυτελείᾳ δὲ βασίλειον. πυργοειδὴς δὲ οὖσα τὸ πᾶν σχῆμα, κατὰ γωνίαν τέσσαρσιν ἑτέροις διείληπτο πύργοις. ὧν οἱ μὲν ἄλλοι, πεντήκοντα τὸ ὕψος, ὁ δὲ ἐπὶ τῇ μεσημβρινῇ, καὶ κατ' ἀνατολὴν γωνίᾳ κείμενος, ἑβδομήκοντα πηχῶν ἦν, ὡς καθορᾶν ὅλον ἀπ' αὐτοῦ τὸ ἱερόν. καθὰ δὲ συνῆπτο ταῖς τοῦ ἱεροῦ στοαῖς, εἰς ἀμφοτέρας εἶχε καταβάσεις. δι' ὧν κατιόντες οἱ φρουροί, καθῆστο γὰρ ἀεὶ ἐπ' αὐτῆς τάγμα Ῥωμαίων, καὶ διιστάμενοι περὶ τὰς στοὰς μετὰ τῶν ὅπλων, ἐν ταῖς ἑορταῖς, τὸν δῆμον ὡς μή τι νεωτερισθείη παρεφύλαττον. φρούριον γὰρ ἐπέκειτο τῇ πόλει μὲν τὸ ἱερόν, τῷ ἱερῷ δὲ ἡ Ἀντωνία. κατὰ δὲ ταύτην οἱ τῶν τριῶν φύλακες ἦσαν, καὶ τῆς ἄνω πόλεως ἴδιον φρούριον ἦν, τὰ Ἡρώδου βασίλεια. ἡ Βεζεθὰ δὲ λόφος, διῄρητο μὲν ὡς ἔφην ἀπὸ τῆς Ἀντωνίας, πάντων δὲ ὑψηλότατος ὢν μέρει τῆς καινῆς πόλεως προσῴκιστο, καὶ μόνος τῷ ἱερῷ κατ' ἄρκτον ἐπεσκότει. περὶ μὲν δὴ τῆς πόλεως, καὶ τῶν τειχῶν αὖθις εἰπεῖν ἀκριβέστερον ἕκαστα προτεθειμένος, ἐπὶ τοῦ παρόντος ἀποχρώντως εἴρηκα.

vestimentum vittæ cingebant, quinque variatæ coloribus: hoc est, auri, purpuræ, cocci, byssi, & hyacinthi: quibus etiam vela templi diximus esse contexta, iisdem autem habebat etiam epomidem temperatam, in qua plus auri erat: & habitu quidem indumento thoraci similis videbatur: duabus autem fibulis aureis, aspidum specie vinciebatur: quibus inclusi erant optimi, maximique sardonyches, scripta tribuum gentis Iudææ nomina præferentes. ex altera verò parte, duodecim pendebant alij lapides, in quatuor partes terni diuisi. hoc est, sardius, topazius, smaragdus: carbunculus, iaspis, sapphirus: achates, amethystus, lyncurium: onix, beryllus, chrysolithus. quorum singulis singula item cognomina erant scripta. Caput autem byssina tiara tegebat, hyacinthis coronata. Et circa eam alia corona erat aurea, scriptas ferens sacras literas, quæ sunt quatuor elementa vocalia. Ea quidem veste non semper, sed alia minùs ambitiosa vtebatur, illa verò si quãdo adyta introibat. sol⁹ autẽ atq; semel in anno intrabat, quo die cũctos ieiunare Deo mos erat. Sed de ciuitate ac templo & moribus & legibus iterum diligentiùs referemus. non enim pauca super his exponenda sunt. cæterùm Antonia in angulo quidem duarum porticuum sita erat prioris templi, quæ ad Occidentem Septemtrionémque spectarent. in saxo autem fuerat extructa, quinquaginta cubitis alto, & vndique prærupto: quod opus Herodis regis fuit, vbi maximè ingenij sui magnificentiam demonstrauit. Primùm enim à radicibus saxum ipsum læuibus crustis obtegebatur, quo & decus adderet operi, & facilè dilaberentur, qui vel ascendere vel descendere tentauissent. deinde ante turris ædificium murus erat cubitorum trium. intra hunc omne spatium Antoniæ in quadraginta cubitos erigebatur. Intus autem regiæ latitudinem ac descriptionem habebat, diuisam in omnem vsum habitationum & speciem, id est, atria, & balnea, & aulas castris aptissimas: vt quantum ad vsum necessarium pertinet, ciuitas videretur, magnificentia verò palatium. instar verò turris toto habitu formata, quatuor aliis per angulos turribus cingebatur: quarum cæteræ quinquaginta cubitis erant altæ, quæ verò ad Meridianum Orientalémque angulum sita erat, LXX. cubitis eminebat, vt ex ea totum templum videri posset. Quà verò porticibus iungebatur, vtrinque descensus habebat, vnde custodes commeabant, semper namque in ea Rom. milites residebant: & cum armis appositi custodes, ne quid populus festis diebus noui committeret obseruabant. castrum enim erat impositum oppido quidem templum, templo verò Antonia. In hac autem porticu custodes erant, & superioris ciuitatis aliud castellum, regia Herodis erat. Bezetha autem collis, vt ita dixi, ab Antonia separabatur: qui cùm omnium esset altissimus, etiã parti nouæ ciuitatis coniungebatur, temploq; Septentrionali solus obstabat. De ciuitate quidem, ac muris eius, iterum scribere plenius cupiens in præsentia satis dixi.

CAP. VII. Deditioné Iudæi recusant, & Romanos adoriuntur.

A PVgnacissima autem maximéque dissentiens multitudo circa Simonem erat, hominum decem millia, præter Idumæos: quinquaginta verò decem millium duces, quibus ipse quasi dominus omnium præerat. Idumæi autem qui erant eius partium, cùm essent numero quinque millia, duces decem habebant. Horum autem principes videbantur, Sosæ Iacobus, & Cathlæ filius Simon. Ioannes autem qui templum occupauerat, sex armatorum millia habebat, quos viginti duces regebant: B tunc autem illi accesserant etiam Zelotarũ, depositis discordiis, duo millia quadringenti: qui Eleazaro, quem ante habuerant, & Simone Arini filio vtebantur ducibus. His autem (vt diximus) bellum inter se gerentibus populus erat præmium: & plebis pars, quę non eadem quæ illi committeret, ab vtrisque diripiebatur. Tenebat autem Simon quidem superiorem ciuitatem, murúmque maiorem vsque ad Cedronem, & antiquioris C muri, quantum à Siloa flectitur ad orientem, & vsque ad Monobazi aulam descendit. Is rex erat Adiabenæ gentis, vltra Euphratem habitantis. Tenebat etiam montem Acræ, quæ inferior est ciuitas, vsque ad Helenæ regiam, quæ Monobazi fuerat mater. Ioannes autem, templum & circum templum aliquatenus, itémque Ophlam, & vallem quæ Cedron appellatur. & aliis quæ interiacebant D incensis, medium bello quod inter se gerebant spacium aperuêre. Nec enim castris Romanorum prope murum positis, intra ciuitatem seditio quiescebat: sed ad primum eorum impetum paulisper sanitate recepta, mox ad pristinum morbum rediêre. Rursúsque discreti, pro sua quisque parte pugnabat: omnia faciendo, quæ obsidentes optarent. nihil enim acerbius à Romanis passi sunt, quàm ipsi se tractarunt: neque post illos ciuitas aliquid nouæ calamitatis experta est. Sed illa E quidem grauiores priùs casus pertulit, antequam subuerteretur. qui verò eam debellarunt, maius aliquid perfecêre. Dico enim, quòd seditio ciuitatem, Romani verò seditionem cepêre, quæ multo erat mœnibus tutior. & res quidem aduersas suis, iusticiam verò rectè quis Romanis ascriberet. intelliget autem quòd dies cuique suggesserit. Veruntamen his intra ciuitatem ita se habentibus, Titus F cum lectis equitibus foris circumiens, quà muros aggrederetur explorabat. Hæsitanti autem, quia nec ab ea parte adiri poterat pedibus quà valles erant, & ab alio latere, prior murus machinis firmior videbatur, placuit ad Ioannis pontificis monumentum (hic enim tantummodo & primus humilior erat, nec secundo muro coniungebatur) inuadere. neglecta enim fuerat munitio, propterea quia non satis noua ciuitas frequentabatur. G Sic in tertium murum facilis aditus illac erat: per quem, superiorem ciuitatem, & per Antoniam, templum capi posse cogitabat. Hæc eo collustrante, quidam ex amicis eius, Nicanor nomine, ad humerum læuum sagitta percutitur: cùm propiùs vnà cum Iosepho accessisset: pacémque in muro stantibus (dicendi enim peritus erat) suadere tentaret. Vnde cognitis eorum conatibus Cæsar ex eo, quòd nec ad salutem se hortantibus abstinuêre, excitatur in obsidionem: simúlque

Κεφ. ιϛ.

Τὸ μάχιμον δ' ἐν αὐτῇ, καὶ στασιάζον πλῆθος, περὶ Σίμωνα μὲν μύριοι ἦσαν, δίχα τῶν Ἰδουμαίων, πεντήκοντα δ' ἡγεμόνες τῶν μυρίων, ἐφ' οἷς οὗτος κύριος τῶν ὅλων. Ἰδουμαῖοι δ' αὐτῷ συντελοῦντες εἰς πεντακισχιλίους, ἄρχοντας εἶχον δέκα. τούτων προύχειν ἐδόκουν, ὅ τε τοῦ Σωσᾶ Ἰάκωβος, καὶ Σίμων υἱὸς Καθλᾶ. Ἰωάννης δὲ τὸ ἱερὸν κατειληφὼς, ἑξακισχιλίους ὁπλίτας εἶχεν, ὑφ' ἡγεμόνας εἴκοσι. προσεγένοντο δ' αὐτῷ τότε καὶ οἱ ζηλωταὶ, παυσάμενοι τοῦ διαφέρεσθαι. δισχίλιοι μὲν ὄντες καὶ τετρακόσιοι, χρώμενοι δ' ἄρχοντι, τῷ καὶ πρότερον Ἐλεαζάρῳ, καὶ Σίμωνι τῷ Ἰαείρου. πολεμούντων δὲ τούτων ὡς ἔφαμεν, ἆθλον ὁ δῆμος ἦν ἑκατέρων, καὶ τὸ μὴ συναδικοῦν τοῦ λαοῦ μέρος, ὑφ' ἀμφοῖν διηρπάζετο. κατεῖχε δ' ὁ μὲν Σίμων, τήν τε ἄνω πόλιν, καὶ τὸ μέγα τεῖχος, ἄχρι τοῦ Κεδρῶνος, τοῦ τε ἀρχαίου τείχους ὅσον ἀπὸ τῆς Σιλωᾶς ἀνακάμπτον εἰς ἀνατολὴν, ὃ μέχρι τῆς Μονοβάζου κατέβαινεν αὐλῆς. βασιλεὺς δ' οὗτος ἦν τῶν ὑπὲρ Εὐφράτην Ἀδιαβηνῶν. κατεῖχε δὲ καὶ τὴν πηγὴν, καὶ τὴν Ἄκραν, αὕτη δ' ἦν ἡ κάτω πόλις, καὶ τὰ μέχρι τῶν τῆς Ἑλένης βασιλείων τῆς τοῦ Μονοβάζου μητρός. ὁ δὲ Ἰωάννης τό τε ἱερὸν, καὶ τὰ πέριξ ἐπ' οὐκ ὀλίγον, τόν τε Ὀφλᾶν καὶ τὴν Κεδρῶνα καλουμένην φάραγγα. τὸ μεταξὺ δὲ τούτων ἐμπρήσαντες τοῖς πρὸς ἀλλήλους πολέμοις χώραν ἀνεῖσαν. οὐδὲ γὰρ πρὸς τοῖς τείχεσιν ἐστρατοπεδευμένων Ῥωμαίων, ἔνδον ἡ στάσις ἠρέμει. βραχὺ δὲ πρὸς τὴν πρώτην ὑπονήψαντες ἐκδρομὴν, ἀνενόσουν, καὶ κατὰ σφᾶς πάλιν διαστάντες ἐμάχοντο, κατὰ τὴν ἀρχὴν πάντα τοῖς πολιορκοῦσιν ἔπραττον. οὔτε γοῦν αὐτοί τι χεῖρον ὑπὸ Ῥωμαίων ἔπαθον, ὧν ἀλλήλους ἔδρασαν, οὔτε μετὰ τούτους ἡ πόλις ἐπειράθη καινοτέρου πάθους. ἀλλ' ἡ μὲν χαλεπώτερόν τι πρὸ τοῦ πεσεῖν ἠτύχησεν, οἱ δὲ ἑλόντες αὐτὴν κατώρθωσάν τι μεῖζον. φημὶ γὰρ ὡς τὴν μὲν πόλιν ἡ στάσις, Ῥωμαῖοι δὲ εἷλον τὴν στάσιν, ἥπερ ἦν πολὺ τῶν τειχῶν ὀχυρωτέρα. καὶ τὸ μὲν σκυθρωπὸν τοῖς οἰκείοις, τὸ δίκαιον δ' ἄν τις εὐλόγως Ῥωμαίοις προσγράφοι. νοείτω δ' ὅπῃ τοῖς πράγμασιν ἕκαστος ἄγεται.

Κεφ. ιζ.

Τῶν γε μὴν ἔνδον οὕτω διακειμένων, ὁ Τίτος μετ' ἐπιλέκτων ἱππέων περιιὼν ἔξωθεν, ᾗ προσβάλλοι τοῖς τείχεσι κατεσκέπτετο. ἀπορουμένῳ δὲ πάντοθεν, οὔτε γὰρ κατὰ τὰς φάραγγας ἦν που προσιτόν, καὶ κατὰ θάτερα τὸ πρῶτον τεῖχος ἐφαίνετο τῶν ὀργάνων στερεώτερον, ἐδόκει κατὰ τὸ Ἰωάννου τοῦ ἀρχιερέως μνημεῖον προσβαλεῖν. ταύτῃ γὰρ τὸ πρῶτον ἦν ἔρυμα χθαμαλώτερον, καὶ τὸ δεύτερον οὐ συνῆπτεν, ἀμελησάντων καθ' ἃ μὴ λίαν ἡ καινὴ πόλις συνῴκιστο τειχίζειν, ἀλλ' ἐπὶ τὸ τρίτον ἦν εὐπετὴς, δι' οὗ τὴν ἄνω πόλιν, καὶ διὰ τῆς Ἀντωνίας τὸ ἱερὸν αἱρήσειν ἐπενόει. ἐν δὲ τούτῳ περιιόντος αὐτοῦ τοξεύεταί τις τῶν φίλων, ὀνόματι Νικάνωρ, κατὰ τὸν λαιὸν ὦμον, ἔγγιον μετὰ τοῦ Ἰωσήπου προσελθὼν, καὶ πειρώμενος εἰρηνικὰ τοῖς ἐπὶ τοῦ τείχους, οὐ γὰρ ἄγνωστος ἦν, διαλέγεσθαι. διὰ τούτου τὰς ὁρμὰς αὐτῶν ἐπιγνοὺς ὁ Καῖσαρ, εἰ μηδὲ τῶν ἐπὶ σωτηρίᾳ προσιόντων ἀπέχοιντο, παρωξύνετο πρὸς τὴν πολιορκίαν, ἅμα τε

συντα-

συντάγματι διῄουν τὰ περὶ τῆς πόλεως ἠφίει, καὶ συμφέροντας ἐκέλευσε τὴν ὕλην ἐγείρειν χώματα. τριχῇ δὲ διατάξας τὴν στρατιὰν πρὸς τὰ ἔργα, μέσους ἵστησι τῶν χωμάτων τούς τε ἀκοντιστὰς καὶ τοξότας, καὶ πρὸ τούτων τοὺς ὀξυβελεῖς καὶ καταπέλτας, καὶ τὰς λιθοβόλους μηχανάς, ὥς τάς τε ἐκδρομὰς εἴργοι τῶν πολεμίων ἐπὶ τὰ ἔργα, καὶ τοὺς ἀπὸ τοῦ τείχους κωλύειν πειρωμένους. κοπτομένων δὲ τῶν δένδρων τὰ προάστεια μὲν ἐν τάχει γεγύμνωτο. συμφερομένων δὲ ἐπὶ τὰ χώματα τῶν ξύλων, καὶ τῆς στρατιᾶς ἁπάσης ἐπὶ τὸ ἔργον ὡρμημένης, οὐδὲ τὰ παρὰ τῶν Ἰουδαίων ἠρέμει.

Κεφ. ιη. Τὸν μὲν οὖν δῆμον ἐν ἁρπαγαῖς ὄντα καὶ φόνοις, συνέβαινε τότε θαρρεῖν, ἀναπνεύσειν τε γὰρ περισπωμένων πρὸς τοὺς ἔξωθεν ὑπελάμβανον, καὶ λήψεσθαι παρὰ τῶν αἰτίων αὐτοὶ δίκας, εἰ Ῥωμαῖοι περιγένοιντο. Ἰωάννης δὲ καίτοι χωρεῖν ἐπὶ τοὺς ἔξω πολεμίους τῶν περὶ αὐτὸν ὡρμημένων, δέει τοῦ Σίμωνος ἔμενεν. οὐ μὴν ὁ Σίμων ἠρέμει, καὶ γὰρ ἦν ἐγγίον τῇ πολιορκίᾳ. τὰ δὲ ἀφετήρια διΐστησιν ἐπὶ τοῦ τείχους, ὅσα Κέστιόν τε ἀφῄρηντο πρότερον, καὶ τὴν ἐπὶ τῆς Ἀντωνίας φρουρὰν ἑλόντες ἔλαβον. ἀλλὰ τούτων μὲν τοῖς πολλοῖς, ἀχρεῖος ἡ κτῆσις ἦν δι' ἀπειρίαν. ὀλίγοι δὲ ὑπὸ τῶν πολεμίων αὐτομόλων διδαχθέντες, ἐχρῶντο κακῶς τοῖς ὀργάνοις. χερμάσι δὲ καὶ τόξοις τοὺς χωννύντας ἔβαλλον ἀπὸ τοῦ τείχους, καὶ κατὰ συντάξεις ἐκτρέχοντες αὐτοῖς συνεπλέκοντο. τοῖς δ' ἐργαζομένοις ἦν, ἀπὸ μὲν τῶν βελῶν ἡ σκέπη γέρρα χαρακωμάτων ὑπερτεταμένα. τὰ δ' ἀφετήρια, πρὸς τοὺς ἐκθέοντας. θαυμαστὰ δὲ πᾶσι μὲν κατεσκεύαστο τοῖς τάγμασι, διαφόρως δὲ τῷ δωδεκάτῳ, βιαιότεροί τε ὀξυβελεῖς, καὶ μείζονα λιθοβόλα, δι' ὧν οὐ μόνον τὰς ἐκδρομάς, ἀλλὰ καὶ τοὺς ἐπὶ τείχους ἀνέτρεπον. ταλαντιαῖοι μὲν ἦσαν οἱ βαλλόμενοι πέτροι, δύο δὲ καὶ πλεῖον ἀπήεσαν σταδίους. ἡ πληγὴ δὲ, οὐ τοῖς προεντυχοῦσι μόνον, ἐπὶ πολὺ δὲ καὶ τοῖς μετ' ἐκείνους ἦν ἀνυπόστατος. οἱ γε μὴν Ἰουδαῖοι, τὸ πρῶτον ἐφυλάττοντο τὴν πέτραν, λευκὴ γὰρ ἦν, ὡς μήτε τῷ ῥοίζῳ σημαίνεσθαι μόνῳ, ἀλλὰ καὶ τῇ λαμπρότητι προορᾶσθαι. σκοποὶ οὖν αὐτοῖς ἐπὶ τῶν πύργων καθεζόμενοι προεμήνυον, ὁπόταν σχασθείη τὸ ὄργανον, καὶ ἡ πέτρα φέροιτο, τῇ πατρίῳ γλώσσῃ βοῶντες, ὁ υἱὸς ἔρχεται. διΐσταντο δὲ καθ' οὓς ἤει, καὶ προκατεκλίνοντο. συνέβαινε δὲ φυλαττομένων ἄπρακτον διεκπίπτειν τὴν πέτραν. ἀντεπινοοῦσι δὲ Ῥωμαῖοι μελαίνειν αὐτήν. τότε γὰρ οὐκ ἔτι ὁμοίως προορωμένης εὐστόχουν. καὶ πολλοὺς ἅμα μιᾷ βολῇ διέφθειραν. ἀλλ' οὐδὲ κακούμενοι μετ' ἀδείας παρεῖχον Ῥωμαίοις ἐγείρειν τὰ χώματα. πάσῃ δ' ἐπινοίᾳ καὶ τόλμῃ χρώμενοι, καὶ νύκτωρ, καὶ μεθ' ἡμέραν εἶργον.

Κεφ. ιθ. Τῶν δὲ ἔργων συντετελεσμένων, μολιβίδι μὲν καὶ λίνῳ διαμετροῦσιν οἱ τέκτονες τὸ διάστημα πρὸς τὸ τεῖχος, ἀπὸ τῶν χωμάτων ῥίψαντες. οὐ γὰρ ἐνῆν ἄλλως ἄνωθεν βαλλομένοις. εὑρόντες δ' ἐξικνεῖσθαι δυναμένας τὰς ἑλεπόλεις προσῆγον, καὶ Τίτος ἐγγυτέρω τὰ ἀφετήρια διαστήσας, ὡς μὴ τοὺς κριοὺς εἴργοιεν ἀπὸ τοῦ τείχους, ἐκέλευσε τύπτειν. τριχόθεν δ' ἐξαισίου κτύπου περιηχήσαντος ἀφνιδίως τὴν πόλιν, κραυγή τε παρὰ τῶν ἔνδον ἤρθη, καὶ τοῖς στασιασταῖς ἴσον ἐμπίπτει δέος. κοινὸν δ' ἑκάτεροι τὸν κίνδυνον ἰδόντες, κοινὴν ἐπενόουν ἤδη ποιεῖσθαι καὶ τὴν ἄμυναν.

suburbana militibus vastare permittit, collectáque omni materia, iubet aggerem construi. Tripartito autem exercitu ad opera, medios in aggeribus iaculatores & sagittarios constituebat, & ante eos ballistas, aliásque machinas atque tormenta: quibus & excursus hostium in opera prohiberet, & qui ex muris obstare tentarent. Cæsis autem arboribus, momento suburbana nudata sunt. Collectis autem lignis in aggeres, cùm totus operi intentus esset exercitus, nec Iudæi segnes erant. populum quidem in rapinis ac cædibus constitutum fiducia tunc habebat, quòd respiraturus esset, illis aduersus hostes distractis, existimantem pœnas se ab noxiis repetiturũ, si Romani superassent. Ioannes autem quamuis in externos socij sui irrumpere properarent, metu tamen Simonis manebat. Verùm Simon non quiescebat, proximus enim erat obsidioni, missilibus per murum dispositis, quæ pridem Romanis abstulerat, quæque apud Antoniam capta fuerant; Sed horum possessio, propter imperitiam plerisque non erat vtilis. pauci autem à transfugis docti, malè vtebantur instrumentis. Sed cum lapidibus, & sagittis aggerem iacientibus militibus imminebant, perque cuneos excurrentes, manus etiam conserebant. Operantes autẽ crates super vallum oppositæ protegebant, omnibúsque legionibus contra excursus erant machinæ comparatæ mirabiles. præcipuè verò decimæ legionis ballistæ vehemẽtiores, & tormenta saxorum, quibus non solùm irruentes, sed etiam super murum stantes auertebantur. nam & singula saxa talenti pondus æquabant; & vltra stadij modum torquebantur. ictus autem non solum primis quos offendisset, sed aliquando posterioribus quoque intolerabilis erat. Iudæi sanè cauebãt à lapidibus, quòd erãt candidi: nec tantùm sono ac fremitu noscebãtur, sed etiam claritudine prospiciebantur. denique speculatores in turribus præsidentes, prædicebant, quando impelleretur machina, saxúmque ferretur: patria lingua clamantes, filius venit. itaque præsciebant, in quos veniret; atque ita vitabãt: & hinc eueniebat, vt illis declinantibus lapis irritus intercideret. Proinde Romani excogitant, atramento decolorare lapides. tunc enim missi, non similiter incertos ictus habebant, multósque simul vnius impetu corrumpebant. Sed ne malè quidem affecti Iudæi, aggeris instruendi Romanis copiam dabant. omni verò eos molitione atque audacia, die noctúque prohibebant. Perfectis autem operibus, plumbo & lino ab aggeribus iacto, fabri quod erat ad murum spacium metiuntur. nec enim alioqui id fieri poterat, quoniam desuper telis petebantur. Cúmque pares interuallo arietes inuenissent, eos applicant: propiúsque dispositis machinis, Titus, ne ex muro arietes prohiberentur, ex tribus partibus murum pulsari iubet. Sonitu autem circunstrepente ciuitatem, clamor ingens ciuium sublatus est, itémque seditiosos pauor inuasit. Et quia periculum commune vtrisque videbatur, communiter iam repugnare cogitabãt.

vociferantibus inter se discordibus, quia omnia pro commoditate hostium facerent: cùm si non perpetuam concordiam sibi Deus præbeat, saltem in præsentia contra Romanos oporteat conspirare. Simon autem præcone misso, volentibus ex templo ad murum egrediendi copiam dedit: idémque & Ioannes, licèt minus crederet, permisit. Illi autem obliti odiorum ac discordiarum suarum, in vnum corpus coëunt: murúmque amplexi, faces inde quamplurimas iaciebant cõtra machinas Romanorum, contráque impulsores arietum: eósque sine intermissione telis petebant. audacissimi verò cateruatim prosilientes, machinarum tegmina dissipabant: hísque appositis irruentes, peritia quidem pauca, plura verò audacia perficiebant. Semper autem aderat adiumento laborantibus ipse Titus: & iuxta vtrasque machinas equitibus ac sagittariis ordinatis, ignem quidem ferentes prohibebat: iaculantes verò à turribus, reprimebat, nocendi tempus arietibus faciens: & tamen murus ictibus non cedebat, nisi quòd quintæ legionis aries commouit angulum turris: murus autem stabat incolumis. nec enim statim cum turri periculum sensit, quæ multo altius eminebat, nullámque partem muri secum trahere poterat in ruinam. Cùm autem ab excursibus paululum quieuissent, obseruato Romanos per opera & castra esse dispersos, quia labore & formidine Iudæos discessisse arbitrarentur, excurrunt omnes quà turris erat Hippicus, porta latenter: ignémque operibus iniiciunt. Vsque ad castrorum quoque munimenta, in Romanos animati procedebant. Horum autem periculo maturè, & qui erant propiùs excitati sunt, & qui procul aberant conuenêre. Romanorum autem disciplina vincebat audaciam Iudæorum: & quos priùs offenderant in fugam versis, aliis qui colligerentur instabant. Grauis autem circum machinas pugna commissa est, illis incendere, his incendium prohibere certantibus, incertúsque clamor vtrinque tollebatur, & multi, qui in fronte steterant, ceciderunt. Sed Iudæi confidentia superiores erant, ignísque opera tetigerat, incensáque omnia cum instrumentis penitus essent, nisi lecti de Alexandria restitissent plerique, præter opinionem sui viriliter dimicantes. nam gloriosissimis in hoc bello prælatj sunt, donec Imperator equitum valentissimis comitatus, in hostes irruit: & ipse quidem duodecim repugnatores peremit: metu autem cladis eorum cætera multitudine in fugã versa omnes compulit in ciuitatem, eóque modo aggeres liberauit incendio. In hac autem pugna, vnum ex Iudæis viuum capi contigit, eúmque Titus crucifigi pro muro iussit, si fortè reliqui vel hoc spectaculo territi concederent. Post eius verò discessum, etiam dux Idumæorum Ioãnes, dum ante muros cum noto milite loquitur, à quodam Arabe pectus sagitta percussus, continuò periit: magnúmque & Iudæis luctum, & seditiosis mœrorem reliquit. nam & manu promptus erat, & sapiẽtia nobilis.

A διαβοώντων δὲ πρὸς ἀλλήλους τῶν διαφόρων ὡς πάντα πράττοιεν ὑπὲρ τῶν πολεμίων, δέον εἰ καὶ μὴ διηνεκῆ δίδωσιν αὐτοῖς ὁμόνοιαν ὁ θεός, ἐν γοῦν τῷ παρόντι, τὴν πρὸς ἀλλήλους φιλονεικίαν ὑπερθεμένους, κατὰ ῥωμαίων συνελθεῖν. κηρύσσει μὲν ἄδειαν ὁ σίμων τοῖς ἀπὸ τοῦ ἱεροῦ παρελθεῖν ἐπὶ τὸ τεῖχος, ἐπιτρέπει δὲ καίπερ ἀπιστῶν ὁ ἰωάννης. οἱ δὲ τοῦ μίσους καὶ τῶν ἰδίων διαφορῶν λαβόντες ἀμνηστίαν, ἓν σῶμα γίνονται. καὶ B τὸ μὲν τεῖχος περισχόντες, ἀπ' αὐτοῦ πυράν τε παμπληθῆ κατὰ τῶν μηχανημάτων ἐνίεσαν, καὶ τοὺς ἐπιβρίθοντας τὰς ἑλεπόλεις ἀδιαλείπτως ἔβαλλον. οἱ τολμηρότεροι δὲ κατὰ στίφη προπηδῶντες, τὰ γέρρα τῶν μηχανημάτων ἐσπάραττον, καὶ τοῖς ἐπ' αὐτῶν προσπίπτοντες, ἐπιστήμῃ μὲν ἐν ὀλίγα, τόλμῃ δὲ τὰ πλείω διειργάζοντο. προσεβοήθει δὲ τοῖς πονοῦσιν αὐτὸς ἀεὶ τίτος, καὶ παρ' ἑκάτερον τῶν ὀργάνων τούς τε ἱππέας, καὶ τοὺς τοξότας διαστήσας, εἶργε μὲν τοὺς C τὸ πῦρ ἐπιφέροντας. ἀνέστελλε δὲ τοὺς ἀπὸ τῶν πύργων βάλλοντας, ἐνεργοὺς δὲ ἐποίει τὰς ἑλεπόλεις. οὐ μὴν ταῖς πληγαῖς ὑπήκουε τὸ τεῖχος, εἰ μὴ καθόσον ὁ τοῦ πεντεκαιδεκάτου τάγματος κριὸς, γωνίαν διεκίνησε πύργου. τὸ δὲ τεῖχος, ἀκέραιον ἦν. οὐδὲ γὰρ εὐθέως συνεκινδύνευε τῷ πύργῳ προὔχοντι πολὺ, καὶ μὴ δυνάμενον συναπορρῆξαί τι ῥᾳδίως τοῦ περιβόλου. παυσάμενοι δὲ τῶν ἐκδρομῶν πρὸς ὀλίγον, D καὶ τοὺς ῥωμαίους ἐπιτηρήσαντες ἐσκεδασμένους ἐπὶ τὰ ἔργα καὶ κατὰ τὰ στρατόπεδα, καμάτῳ γὰρ ἀναχωρῆσαι καὶ δέει τοὺς ἰουδαίους ἠξίουν, ἐκθέουσι κατὰ τὸν ἱππικὸν πύργον διὰ πύλης ἀφανοῦς πάντες, πῦρ τε τοῖς ἔργοις ἐπιφέροντες. καὶ μέχρι τῶν ἐρυμάτων, ἐπὶ τοὺς ῥωμαίους προσελθεῖν ὡρμημένοι. πρὸς δὲ τὴν κραυγὴν αὐτῶν, οἵ τε πλησίον συνίσταντο ταχέως, καὶ οἱ πόρρωθεν συνέθεον. ἔφθανε δὲ ἡ ἰουδαίων τόλμα, τὴν ῥωμαίων εὐταξίαν, καὶ τοῖς προεντυγχάνουσι E σφαλάμενοι προσέκειντο, καὶ τοῖς συλλεγομένοις. δεινὴ δὲ περὶ τὰς μηχανὰς συμπίπτει μάχη, τῶν μὲν ὑποπιμπράναι, τῶν δὲ κωλύειν βιαζομένων. κραυγή τε παρ' ἀμφοτέρων ἄσημαντος ἦν, καὶ πολλοὶ τῶν προαγωνιζομένων ἔπιπτον. ἰουδαῖοι δὲ ὑπερεῖχον ἀπονοίᾳ, καὶ τῶν ἔργων ἥπτετο τὸ πῦρ, καταφλεγῆναί τ' ἂν ἐκινδύνευσε πάντα μετὰ τῶν ὀργάνων, εἰ μὴ τῶν ἀπ' ἀλεξανδρείας ἐπιλέκτων ἀντέστησαν οἱ πολλοὶ, παρὰ F τὴν σφετέραν ὑπόληψιν ἀνδρισάμενοι. καὶ γὰρ τῶν ἐνδοξοτέρων διήνεγκαν κατὰ ταύτην τὴν μάχην. μέχρι καῖσαρ τοὺς τῶν ἱππέων δυνατωτάτους ἀναλαβὼν, ἐμβάλλει τοῖς πολεμίοις, καὶ δώδεκα μὲν, αὐτὸς τῶν προμάχων ἀναιρεῖ. πρὸς δὲ τὸ τούτων πάθος ἐκκλίναντος τοῦ λοιποῦ πλήθους, ἑπόμενος συνελαύνει πάντας εἰς τὴν πόλιν, κἀκ τοῦ πυρὸς διασώζει τὰ ἔργα. συνέβη δὲ ἐν ταύτῃ τῇ μάχῃ, καὶ ζωG γρηθῆναί τινα τῶν ἰουδαίων, ὃν ὁ τίτος ἀνασταυρῶσαι πρὸ τοῦ τείχους ἐκέλευσεν, εἴ τι πρὸς τὴν ὄψιν ἐνδοῖεν οἱ λοιποὶ καταπλαγέντες. καὶ δὲ τὴν ἀναχώρησιν, καὶ ἰωάννης ὁ τῶν ἰδουμαίων ἡγεμὼν, πρὸ τοῦ τείχους γνωρίμῳ τινὶ στρατιώτῃ διαλεγόμενος, ὑπό τινος τῶν ἀράβων κατὰ τοῦ στέρνου τοξεύεται, καὶ παραχρῆμα θνήσκει, μέγιστον τοῖς τε ἰουδαίοις πένθος, καὶ λύπην τοῖς στασιασταῖς ἀπολιπών. καὶ γὰρ κατά τε χεῖρα, καὶ σύνεσιν διάσημος ἦν.

Κεφ. κ.

Τῇ δ' ἐπιούσῃ νυκτὶ, ταραχὴ καὶ τοῖς ῥωμαίοις ἐμπίπτει παράλογος. τῶν γὰρ τίτου πύργους τρεῖς κατασκευάσασθαι κελεύσαντος πεντηκονταπήχεις, ἵν' ἑκάστου χώματος ἐπιστήσας ἀπὸ τούτων τοὺς ἐπὶ τοῦ τείχους τρέποιτο, συνέβη πεσεῖν αὐτομάτως ἕνα μέσης νυκτός. μεγίστου δ' ἀρθέντος ψόφου, δέος ἐμπίπτει τῷ στρατῷ, καὶ τοὺς πολεμίους ἐπιχειρεῖν σφίσι δόξαντες, ἐπὶ τὰ ὅπλα πάντες ἔθεον. ταραχὴ δὲ τῶν ταγμάτων καὶ θόρυβος ἦν, καὶ τὸ συμβὰν οὐδενὸς εἰπεῖν ἔχοντος, ἐπὶ πλεῖστον ἀποδυρόμενοι διεφέροντο, μηδενός τε φαινομένου πολεμίου, δι' ἀλλήλων ἐπτοοῦντο, καὶ τὸ σύνθημα μετὰ σπουδῆς ἕκαστος τὸν πλησίον ἐπηρώτα, καθάπερ ἰουδαίων ἐμβεβηκότων εἰς τὰ στρατόπεδα. πανικῷ τε δείματι κυκλουμένοις παρεῴκεσαν, ἄχρι μαθὼν τὸ συμβὰν τίτος, διαγγέλλειν ἐκέλευσε πᾶσι, καὶ μόλις ἐπαύσαντο τῆς ταραχῆς. ἰουδαίους γε μὴν πρὸς τὰ λοιπὰ καρτερῶς ἀντέχοντας, ἐκάκωσαν οἱ πύργοι. καὶ γὰρ τῶν ὀργάνων τοῖς κουφοτέροις ἀπ' αὐτῶν ἐβάλλοντο, καὶ τοῖς ἀκοντισταῖς, καὶ τοξόταις, καὶ λιθοβόλοις. οὔτε δὲ τούτων αὐτοὶ διὰ τὸ ὕψος ἐφικνοῦντο, καὶ τοὺς πύργους ἦν ἀμήχανον ἑλεῖν, μήτε ἀνατραπῆναι ῥαδίως διὰ τὸ βρῖθος, μήτ' ἐμπρησθῆναι διὰ τὸν σίδηρον δυναμένους, ᾧ κατεκαλύπτοντο. τρεπόμενοι δ' ἐξωτέρω βέλους, οὐκέτ' ἐκώλυον τῶν κριῶν τὰς ἐμβολάς, οἳ ἀδιαλείπτως παίοντες, ἤνυον κατ' ὀλίγον. ἤδη δὲ τῷ νίκωνι τοῦ τείχους ἐνδιδόντος (αὐτοὶ γὰρ τοῦτο ἰουδαῖοι τὴν μεγίστην ἐκάλεσαν ῥωμαίων ἑλέπολιν, ἀπὸ τοῦ πάντα νικᾶν) ἀπέκαμνον μὲν πάλαι πρός τε τὰς μάχας, καὶ τὰς φυλακάς, πόρρωθεν τῆς πόλεως διανυκτερεύοντες, ἄλλως δ' ὑπὸ ῥαστώνης, καὶ τοῦ βουλεύεσθαι πάντα κακῶς, περιττὸν αὐτοῖς δόξαν φυλάττειν τὸ τεῖχος, ἑτέρων μετ' αὐτὸ λειπομένων δύο, μαλακισθέντες ἀνεχώρουν οἱ πολλοί. καὶ τῶν ῥωμαίων ἐπιβαινόντων καθὰ παρέρρηξεν ὁ νίκων, καταλιπόντες τὰς φυλακὰς πάντες, εἰς τὸ δεύτερον τεῖχος ἀναφεύγουσιν. οἱ δὲ ὑπερβάντες, τὰς πύλας ἀνοίξαντες, πᾶσαν εἰσδέχονται τὴν στρατιάν. καὶ ῥωμαῖοι μὲν οὕτω τοῦ πρώτου τείχους, πεντεκαιδεκάτῃ κρατήσαντες ἡμέρᾳ, ἑβδόμη δ' ἦν ἀρτεμισίου μηνός, αὐτοῦ τε πολὺ κατασκάπτουσι, καὶ τὰ προσάρκτια τῆς πόλεως, ἃ καὶ πρότερον κέστιος.

Κεφ. κα.

Μεταστρατοπεδεύεται δὲ τίτος ἔσω, κατὰ τὴν ἀσσυρίων παρεμβολὴν καλουμένην, ἐπισχὼν πᾶν τὸ μεταξύ, μέχρι τοῦ κεδρῶνος. ἀπὸ δὲ τοῦ δευτέρου τείχους ὅσον ἐξωτέρω βέλους εἶναι. προσβολὰς δ' εὐθέως ἐποιεῖτο. μερισθέντες δ' οἱ ἰουδαῖοι, καρτερῶς ἀπημύναντο τοῦ τείχους. οἱ μὲν ἐπὶ τὸν ἰωάννην ἀπό τε τῆς ἀντωνίας, καὶ τῆς προσαρκτίου στοᾶς τοῦ ἱεροῦ, καὶ τῶν ἀλεξάνδρου τοῦ βασιλέως αὐτῶν μνημείων μαχόμενοι. τὸ δὲ τοῦ σίμωνος τάγμα, τὴν παρὰ τὸ ἰωάννου τοῦ ἀρχιερέως μνημεῖον ἐμβολὴν διαλαβόντες, ἐφράξαντο μέχρι πύλης καθ' ἣν τὸ ὕδωρ ἐπὶ τὸν ἱππικὸν πύργον εἰσῆκτο. προπηδῶντές τε δὴ πολλάκις ἐκ τῶν πυλῶν, συστάδην ἐπολέμουν, καὶ συνδιωχθέντες ἀπὸ τοῦ τείχους, κατὰ μὲν τὰς συμπλοκὰς, ἡττῶντο τῶν ῥωμαίων ἐπιστήμης ὄντες ἄπειροι. περιῆσαν δὲ ταῖς τειχομαχίαις. καὶ τοὺς μὲν, ἰσχὺς μετ' ἐμπειρίας παρεκρότει. ἰουδαίους δὲ τόλμα δέει τρεφομένη, καὶ τὸ φύσει καρτερικὸν ἐν συμφοραῖς. προσῆν δ' ἐλπὶς ἔτι σωτηρίας, ἢ καὶ ῥωμαίοις τοῦ ταχέως κρατήσειν. οὐθ' ἑτέρων δὲ ἥπτετο κόπος, ἀλλὰ προσβολαὶ καὶ τει-

CAP. VIII. De casu turris & duorum murorum obtentu.

Nocte verò quæ secuta est, incredibilis tumultus Romanis incidit. Nam cùm tres turres Imperator Titus quinquagenûm cubitorum construi præcepisset, vt his per aggeres singulos positis, hinc hostes in muro stantes facilius in fugam verteret, vna earum sponte sua nocte intempesta lapsa est. ingenti verò sonitu facto, metus occupauit exercitum. Conari autem aliquid Iudæos suspicati, ad arma currebant, eáque re turba in legionibus ac tumultus erat, cúmque nemo quid accidisset referre posset, diu queruli alius aliud opinabantur: nullísque interuenientibus hostibus semetipsos timebant: signúmque diligenter singuli à proximis requirebant, tanquam Iudæi iam castra possiderent. Panicóque terrore capti videbantur, donec Titus, cognitis quæ res erant, verum cunctis indicari iussit: tandémque tumultus eo nuncio conquieuit. Iudæi quidem cætera fortiter sustinentes, malè turribus affecti sunt. machinis enim leuioribus, & iaculatoribus, ac sagittariis, saxorúmque tormentis inde feriebantur. Sed neque harum æquare ipsi poterant celsitudinem, & turres excidendi spes non erat, cúmque neque euerti propter grauitatem, neque incendi propterea quòd ferro tegebantur, facilè possent, vltra iactum teli fugientes, arietum impetus non vetabant: qui sine intermissione ferientes, paulatim aliquid proficiebant. Itaque muro iam cedente magno arieti Romanorum, quem Iudęi Nicona vocabant, quòd omnia vinceret, quamuis & antea defessi erant pugna & vigiliis, cùm longè ab oppido pernoctarent: tamen etiam negligentia, vel quòd malè consulerent, murum sibi superuacuum esse credentes, quibus alia duo munimenta superessent, lassatique plurimi recessêre. cùm autem Romani, quà primum murum Nicon perruperat, ascendissent, ad secundum omnes Iudæi relictis custodiis refugerût. portis autem Romani, qui transierunt patefactis, exercitum recepêre. Et hi quidem hoc modo potiti muro, quinto nonas Maij, & partem eius maximam diruunt, & Septentrionalem ciuitatis regionem, quam antè Cestius vastauerat. Titus autem notato quà Assyriorum castrum est, militem transfert, occupato omni quod inter Cedrona fuerat spacio: & vltra sagittæ iactum à secundo muro separatus, oppugnationem statim aggressus est. Tunc igitur partiti murum Iudæi, fortiter restiterunt. Et Ioannes quidem, eiúsque socij ex Antonia & Septentrionali porticu templi ab Alexandri monumento pugnabant. Simonis autem manus iuxta monumentum Ioannis aditum clauserant, vsque ad portam, qua in Hippicon turrim aqua inducebatur. Sæpe autem prosilientes è portis, cominus dimicabant: compulsíque intra muros in conflictu quidem Romanorum disciplina, propter imperitiam vincebantur: in murali autem certamine superabât. eos enim fortuna atque scientia, Iudæos verò audacia, quam timor aleret, sustentabat: quòd natura erât in calamitatibus duri. Ad hæc autem, & istis suberat spes salutis, & Romanis citæ victoriæ. neutros autem lassitudo fatigabat: sed aggressiones, murorúmq;

oppugnationes, & excursus crebri per cuneos diebus totis agebantur. nullàque præliorum species aberat, cùm à prima luce incipientia vtrisque insomnis & die grauior nox dirimeret. his quidem occupatum iri murum continuò metuentibus, illis verò ne Iudæi castra peruaderent. Itaque in armis pernoctantes, prima luce vtrique pugnæ parati erant. Et Iudæi quidem certabant, quis esset promptior ad periculum, eóque modo gratia eminceret apud duces suos. maximè verò Simonis eos metus ac reuerentia commouebat, eóque modo illum singuli subiectorum colebant, vt ad semet quoque interficiendos parati essent, si hoc ille iussisset. Romanos autem ad virtutem hortabatur consuetudo vincendi, & quia vinci non assueuerant, crebræq; militiæ, exercitationésque perpetuæ, & imperij magnitudo: ante omnia verò Titus semper vbique præsens. nam & inertia, spectante atque opitulante Cæsare, grauissimum facinus videbatur: & ei qui bene decertasset, testis aderat, qui rependeret præmium. præterea fructus erat, vel cognosci solum principi virum fortem: idcirco multorum maior viribus alacritas demonstrata est. Denique istis ipsis diebus, validissima Iudæorum acie instructa pro mœnibus, telisque vtrinque missis, quidam Lōginus de numero equitum ex acie Ro. progressus, in mediam aciem Iudæorum irruit: hísque disiectis, hoc impetu duos fortissimos perimit, vnius obuiam tendentis ore percusso, alterius eodem telo quod priori extraxerat, transfixo latere refugientis: & ex mediis hostibus ad suos primus occurrit. Ille igitur ob virtutem insignis erat: æmuli autem eius fortitudinis multi extiterunt. Et Iudæi quidem negligentes quid paterentur, tantummodo qualiter afficerent considerabant: mórsque his leuissima ducebatur: si quo interfecto hoste cecidissent. Titus autem non minus saluti militis, quàm victoriæ cōsulebat: & temerarios impetus desperationem dicens, solam verò esse virtutem, si quis prudenter & cautè sine proprio incommodo fortiter faceret, in ea re potiùs, quæ periculum non haberet, viros esse præcipiebat.

Cap. IX. De Castore Iudæo Romanis illudente.

ITaque à Septentrionali parte, mediæ turri applicat arietem: in qua Iudæus quidam versutus ac subdolus, Castor nomine, cum decem aliis militibus suis delituerat, fugatis cęteris formidine sagittarum. Hi cùm pauidi sub loricis aliquandiu quieuissent, concussa turri surgunt. extentisque manibus Castor veluti supplex Cęsarem implorabat: & voce miserabili, vt sibi parceret, obtestabatur. Cui Titus pro simplicitate sua credulus, iámq; Iudæos existimans belli pœnitere, arietes quidem impulsione cessare iubet, ac sagittarios supplicibus prohibet. Castori autem quid vellet eloqui permittit. Cúmque ille respondisset, ad fœdus velle descendere: Titus gratulaturum se ait, si omnes eadem sentire voluissent: paratóque animo fidem pacis etiam ciuitati daturū. Sed cùm ex illis decē Castoris sociis quinque itidē supplices esse simularēt, cæteri nunquā se Romanis seruituros clamāt, dū mori liberis liceat. deniq; illis super hoc ambi-

A χειρομαχίαι, καὶ κατὰ λόχους ἐκδρομαὶ συνεχεῖς, δι' ὅλης ἡμέρας ἦσαν. οὐδ' ἔστιν ἥτις ἰδία μάχης ἀπελείπετο. νὺξ δ' ἀνέπαυε μόλις ἕωθεν ἀρχομένους. ἦν δὲ ἄυπνος ἀμφοτέροις ἡ νὺξ, καὶ χαλεπωτέρα τῆς ἡμέρας. δέει τῶν μὲν ὅσον οὔπω καταληφθήσεσθαι τὸ τεῖχος, τῶν δ' ἐπιθήσεσθαι ἰουδαίους τοῖς στρατοπέδοις. ἐν τοῖς ὅπλοις ἑκάτεροι διανυκτερεύοντες, ὑπὸ τὰς πρώτας αὐγὰς ἕτοιμοι πρὸς μάχην ἦσαν. καὶ παρὰ μὲν ἰουδαίοις, ἔρις ἦν

B ὅς τις προκινδυνεύσας χαρίσαιτο τοῖς ἡγεμόσι, μάλιστα δὲ τοῦ σίμωνος αἰδὼς ἦν καὶ δέος, οὕτω τε προσεῖχεν ἕκαστος αὐτῷ τῶν ὑποτεταγμένων, ὡς καὶ πρὸς αὐτοχειρίαν ἑτοιμότατον εἶναι κελεύσαντος. ῥωμαίοις δὲ, ἐπ' ἀνδρίαν ἦν προτροπὴ, τό τε κρατεῖν ἔθος, καὶ ἥττης ἀήθεια, συνεχής τε στρατεία, καὶ διηνεκεῖς μελέται, καὶ μέγεθος ἡγεμονίας, πρὸ δὲ πάντων, τίτος ἀεὶ πᾶσι πανταχοῦ παρατυγχάνων. τό, τε γὰρ μαλακισθῆναι παρόν-

C τος καὶ συναγωνιζομένου καίσαρος, δεινὸν ἐδόκει, καὶ τῶν καλῶς ἀγωνισαμένων, μάρτυς αὐτὸς ὁ καὶ τιμήσων, παρῆν. κέρδος δ' ἦν ἤδη, καὶ τὸ γνωσθῆναι καίσαρι γενναῖον ὄντα. διὰ τοῦτο πολλοὶ τῆς κατὰ σφᾶς ἰσχύος ἀμείνους τῇ προθυμίᾳ διεφάνησαν.

Κεφ. κβ.

ΠΑραταξαμένων γοῦν κατὰ ταύτας τὰς ἡμέρας τῶν ἰουδαίων πρὸ τοῦ τείχους καρτερῷ στίφει, καὶ διακοντιζομένων ἔτι πόρρωθεν τῶν ταγμάτων ἑκατέρων, λογγῖνός τις τῶν ἱππέων ἐξαλλόμενος τῆς ῥω-

D μαϊκῆς τάξεως, ἐμπηδᾷ μέσῃ τῇ τῶν ἰουδαίων φάλαγγι, καὶ διασκεδασθέντων πρὸς τὴν ἐμβολὴν, δύο τοὺς γενναιοτάτους ἀναιρεῖ, τὸν μὲν κατὰ στόμα πλήξας ὑπαντιάσαντα, τὸν δ' ἀνασπάσας ἐκ τοῦ προτέρου τὸ δόρυ, κατὰ πλευρὰν διαπείρει τραπόμενον. ἐκ μέσων τε τῶν πολεμίων, ἄτρωτος εἰς τοὺς σφετέρους ἔδραμεν. ὁ μὲν οὖν δι' ἀρετὴν ἐπίσημος ἦν, ζηλωταὶ δὲ τῆς ἀνδρίας ἐγίνοντο πολλοί. καὶ οἱ ἰουδαῖοι μὲν ἀμελοῦντες τοῦ παθεῖν, τὸ δια-

E θεῖναι μόνον ἐσκόπουν. ὅ, τε θάνατος αὐτοῖς ἐδόκει κουφότατος, εἰ καὶ κατὰ τοῦ κτεῖναί τινα τῶν πολεμίων προσπέσοι. τίτος δὲ τῆς τῶν στρατιωτῶν ἀσφαλείας, οὐχ ἧττον τοῦ κρατεῖν προὐνόει, καὶ τὴν μὲν ἀπερίσκεπτον ὁρμὴν, ἀπόνοιαν λέγων, μόνην δ' ἀρετὴν τὴν μετὰ προνοίας, καὶ τοῦ μηδὲν τὸν δρῶντα παθεῖν, ἐν ἀκινδύνῳ τῷ κατὰ σφᾶς, ἐκέλευσεν ἀνδρίζεσθαι.

Κεφ. κγ.

ΠΡοσάγει δ' αὐτὸς τοῦ βορείου τείχους τῷ μέσῳ πύργῳ τὴν ἑλέπολιν, ἐν ᾧ τῶν ἰουδαίων τις ἀνὴρ γόης

F ὄνομα κάστωρ ἐλόχα μεθ' ὁμοίων δέκα, τῶν λοιπῶν φυγόντων διὰ τοὺς τοξότας. οὗτοι μέχρι μέν τινος ὑποπεπτηχότες τοῖς θωρακίοις ἠρέμουν. λυομένου δὲ τοῦ πύργου διανίστανται, καὶ προτείνας ὁ κάστωρ τὰς χεῖρας ὡς ἱκετεύων δῆθεν, ἐκάλει τὸν καίσαρα, καὶ τῇ φωνῇ κατοικτιζόμενος ἐλεῆσαι σφᾶς παρεκάλει. πιστεύσας δ' ἐξ ἁπλότητος ὁ τίτος, καὶ μετανοεῖν ἤδη τοὺς ἰουδαίους ἐλπίσας, ἐπέχει μὲν τοῦ κριοῦ τὴν ἐμβολὴν, κωλύει τε τοξεύειν τοὺς ἱκέτας, λέγειν δ' ἐκέλευσεν ὅτι

G βούλεται τῷ κάστορι. τοῦ δὲ εἰπόντος ἐπὶ δεξιᾷ καταβῆναι θέλειν, ὁ τίτος συνήδεσθαι μὲν αὐτῷ τῆς εὐβουλίας ἔφη, συνήδεσθαι δ' εἰ πάντες ταῦτ' ἤδη φρονοῦσι, καὶ τῇ πόλει διδόναι γε πίστιν ἑτοίμως. τῶν δέκα δὲ, οἱ πέντε μὲν αὐτῷ συνυπεκρίνοντο τὴν ἱκετηρίαν, οἱ λοιποὶ δ' οὐκ ἄν ποτε δουλεύσειν ῥωμαίοις ἐβόων, παρὸν ἐλευθέρους ἀποθανεῖν. καὶ μέχρι πολλοῦ διαφερομένων,

νων, ἐξίβετο μὲν ἡ προσβολή. πέμπων δ' ὁ κάστωρ πρὸς τὸν σίμωνα, σχολῇ βουλεύεσθαι περὶ τῶν ἐπειγόντων ἔλεγεν, ὡς οὐκ ἐπ' ὀλίγον αὐτὸς διαπαίζοι τὴν ῥωμαίων ἀρχήν. ἅμα δὲ ταῦτα πέμπων, καταφανὴς ἦν καὶ τοὺς ἀπειθοῦντας, ἐπὶ τὴν δεξιὰν παρακαλῶν. οἱ δ' ὥσπερ ἀγανακτοῦντες, ὑπὸ τὰ θωράκια διῇσσόν τε τὰ ξίφη γυμνὰ, καὶ τοὺς θώρακας αὐτῶν πλήξαντες, ὡς ἀπεσφαγμένοι κατέπεσον. θάμβος δὲ τὸν τίτον καὶ τοὺς περὶ αὐτὸν εἰσῄει τοῦ τῶν ἀνδρῶν παραστήματος, καὶ μὴ δυνάμενοι κάτωθεν ἀκριβῶς τὸ γενόμενον ἰδεῖν, ἐθαύμαζόν τε τῆς εὐτολμίας αὐτοὺς, καὶ τοῦ πάθους ἠλέουν. τοξεύει δέ τις ἐν τούτῳ παρὰ τὴν ῥῖνα τὸν κάστορα, κἀκεῖνος εὐθέως ἀνασπάσας τὸ βέλος, ἐπεδείκνυ τῷ τίτῳ, καὶ οὐ δίκαια πάσχων κατεμέμφετο. πρὸς δὲ τὸν βαλόντα σχετλιάσας καῖσαρ, ἔπεμπε παρεστῶτα τὸν ἰώσηπον δοῦναι τῷ κάστορι δεξιάν. ἀλλ' ὁ μὲν, οὔτ' αὐτὸς ἔφη προσελεύσεσθαι, φρονεῖν γὰρ οὐδὲν ὑγιὲς τοὺς δεομένους, καὶ τοὺς ὁρμημένους τῶν φίλων κατέσχεν. αἰνείας δέ τις τῶν αὐτομόλων, αὐτὸς ἔφη προσελεύσεσθαι. καὶ τοῦ κάστορος καλοῦντος, ὅπως δέξαιτό τις καὶ τὸ ἀργύριον ὃ φέρει μετ' αὐτοῦ, σπουδαιότερον ὁ αἰνείας διαπετάσας τὸν κόλπον προσέδραμεν. ἀράμενος δ' ὁ κάστωρ πέτραν, ἐπαφίησιν αὐτῷ, καὶ τούτου μὲν διήμαρτε φυλαξαμένου, τιτρώσκει δὲ στρατιώτην ἕτερον προσελθόντα. συννοήσας δὲ καῖσαρ τὴν ἀπάτην, πρὸς βλάβης μὲν ἔγνω τὸν ἐν πολέμοις ἔλεον. τὸ γὰρ ἀπηνέστερον, ἧττον ὑποπίπτειν τῷ πανούργῳ. τὰς δ' ἐμβολὰς τῆς ἑλεπόλεως ὀργῇ τῆς χλεύης, ἐποιεῖτο δυνατωτέρας. ὑποδιδόντα τε τὸν πύργον ἐμπιπρᾶσιν οἱ περὶ τὸν κάστορα, καὶ διὰ τῆς φλογὸς εἰς τὴν ὑπ' αὐτῷ κρυπτὴν ἀλλόμενοι, πάλιν δόξαν ἀνδρίας ῥωμαίοις παρεῖχον, ὡς ῥίψαντες σφᾶς αὐτοὺς εἰς τὸ πῦρ.

Κεφ. κδ.

ΑἹρεῖ δὲ καῖσαρ ταύτῃ τὸ τεῖχος ἡμέρᾳ πέμπτῃ μετὰ τὸ πρῶτον, καὶ τῶν ἰουδαίων φυγόντων ἀπ' αὐτοῦ, παρέρχεται μετὰ χιλίων ἔνδον ὁπλιτῶν, καὶ τῶν περὶ αὐτὸν ἐπιλέκτων, καθὸ καὶ τῆς καινῆς πόλεως, ἐριοπώλιά τε ἦν καὶ χαλκεῖα, καὶ ἱματίων ἀγορὰ, πρὸς δὲ τὸ τεῖχος, πλάγιοι κατέτεινον οἱ στενωποί. εἰ μὲν οὖν ἢ τοῦ τείχους πλέον εὐθέως διέλυσεν, ἢ πολέμου νόμῳ παρελθὼν ἐπόρθει τὸ ληφθὲν, οὐκ ἂν οἶμαι, τις ἐμίγη βλάβη τῷ κράτει. νῦν δὲ ἰουδαίους μὲν ἐλπίσας δυσωπήσειν ἐξὸν κακοῦν τὸ μὴ θέλειν, πρὸς δ' ἀναχώρησιν εὐμαρῆ τὴν εἰσβολὴν οὐκ ἐπλάτυνεν. οὐ γὰρ ἐπιβουλεύειν οἷς εὐεργετεῖν ὑπελάμβανεν. παρελθὼν γοῦν οὔτε κτείνειν τινὰ τῶν καταλαμβανομένων ἐπέτρεψεν, οὔθ' ὑποπιμπράναι τὰς οἰκίας. ἅμα μὲν τοῖς στασιασταῖς εἰ βούλοιντο μάχεσθαι δίχα τῆς τοῦ δήμου βλάβης, ἄδειαν ἐξόδου ἐδίδου, τῷ δήμῳ δὲ τὰς κτήσεις ὑπισχνεῖτο δώσειν. περὶ πλείστου γὰρ ἐποιεῖτο σῶσαι τὴν μὲν πόλιν αὑτῷ, τὸν δὲ ναὸν τῇ πόλει. τὸν μὲν οὖν λαὸν ἕτοιμον εἶχεν εἰς ἃ προὔτρεπε καὶ πάλαι, τοῖς μαχίμοις δὲ ἐδόκει τὸ φιλάνθρωπον ἀσθένεια, καὶ τὸν τίτον, ἀδυναμίᾳ τοῦ τὴν ἄλλην πόλιν ἑλεῖν, ταῦτα προτείνειν ὑπελάμβανον. διαπειλοῦσι δὲ τοῖς δημόταις θάνατον εἰ περὶ παραδόσεως μνησθείη τις αὐτῶν, καὶ τοὺς παραφθεγγομένους εἰρήνην ἀποσφάττοντες, ἐπιτίθενται καὶ τοῖς εἰσελθοῦσι ῥωμαίων, οἱ μὲν κατὰ τοὺς στενωποὺς ὑπαντιάσαντες, οἱ δὲ ἀπὸ τῶν οἰκιῶν,

gentibus cessabat expugnatio. Castor autem interea Simonem per internuncios admonebat, vt dum vacuum esset tempus, de rebus vrgentibus consilium caperet: paulisper enim se illudere imperatori Romano. Simul autem hoc agens, ad pacem hortari contradicentes socios videbatur. illi autem velut ægrè ferentes, in thoracas nudos fixêre gladios: hísque percussis velut interfecti ceciderunt. Titus verò eiúsque socij obstupuêre tanta eorum pertinacia, cùm ex inferiori loco quod factum erat, verè videre non potuissent: mirabantúrque simul audaciam, & calamitatem miserabantur. Interea Castorem ad narem quidam sagitta percutit, túmque ille telum extractum Imperatori ostendens, iniqua se perpeti querebatur. At Titus incusato qui hoc emiserat, astantem Iosephum mittit, vt Castori dexteram porrigeret. verùm is neque se iturum, nihil enim sanum supplices cogitare respondit, & amicos qui voluêre ire prohibuit. Cùm verò quidam ex perfugis Æneas, iturum sese dixisset ad eum, inuitante Castore, vt etiam secum in quo ferret argentum aliquid susciperet: ad hæc ille studiosè aperto sinu accurrit: alter verò super eum saxum demisit. Et ipsum quidem, quoniam præcauerat, ferire non potuit: sed alium militem qui aderat, vulnerauit. Cæsar verò fallaciam reputans, intellexit misericordiam in bello nocere. minúsque decipi calliditate sæuitiam: arietísque impulsionibus, iracundia fraudis, vehementiùs vtebatur. Castor autem eiúsque socij turrim ictibus iam cedentem incendunt: pérq; flammas in eiusdem missi cuniculos, iterum magni animi opinionem apud Romanos habuêre, tanquam se ignibus tradidissent. Capit autem hac parte murum Titus, die quinto postquam primum ceperat: fugatísque inde Iudæis intro cum lectis mille transiit, quos circa se habebat, armatis: vbi noua ciuitas quòd lanæ venditores erant, fabríque ærarij, vestiúmque mercatus, & ad murum angustæ viæ transuersæ tendebant. Enimuerò si vel statim muri disturbasset maximam partem, vel quæ ceperat lege belli vastasset, nullum credo damnum victoriæ fuisset admixtum. nunc autem Iudæos exoratum iri sperans, cùm liceret capere facilem discessioni aditum non dilatauit. nec enim quibus consulebat, insidiaturos sibi putabat.

CAP. X. De secundo muro bis obtento à Romanis.

DEnique postquam ingressus est, neque occidi quenquam permisit eorum qui comprehendebantur, neque domus incendi: sed tam seditiosis, si pugnare vellent, sine populi detrimento copiam dabat, quàm ipsi populo fortunas proprias se redditurum pollicebatur. Plurimi namque petebant sibi ciuitatem seruari, templum verò ciuitati. At enim populum quidem ad ea quæ hortabatur & antea paratum habebat, bellicosi autem pro inertia ducebant humanitatem: Titúmque imbelli animo, quòd cæteram ciuitatem tenere non posset, has proponere conditiones putabant. mortem autem populo denunciantes, & si verbum quisquam de traditione fecisset, pacémve nominasset, mox interficiendum eum esse minitantes, Romanis qui introiêre, alij per viarum angustias obstabant, alij ex ædibus:

alij murum per superiores portas egressi, pugnare cœperant. quibus rebus perturbati custodes, de muro sese demiserunt, relictisque turribus in castra recesserunt. clamor autem audiebatur militum intra ciuitatem, quòd ab hostibus cingerentur: foris autem degentium clausis contubernalibus metuentium. crescente autem numero Iudæorum, & propter locorum peritiam viarúmque scientiam præualente, multi Romanorum trucidabantur, & ab incumbentibus pellebantur, cùm magis necessitate resisterent. nec enim multis simul fugiendi copia per angustias muri patebat: omnésque penè qui transierant, peremti fuissent, nisi Titus eis opem tulisset. Dispositis enim per summa viarum sagittariis, & vbi plus erat multitudinis astans, missilibus hostes abigebat, & cum eo Domitius Sabinus, vir bonus etiam in illo prælio comprobatus: durauítque tam diu, sagittis eos prohibens irruere, donec omnes milites recessêre. Romani quidem ita secundo muro potiti, ad extremum pulsi sunt. Oppidanis verò qui pugnaces erant, spiritus creuit, & secundis rebus amentes erant, neque Romanos ausuros esse ad ciuitatem accedere suspicates, neque vinci se posse, si ad prælium processissent. nam quia iniqui erant, officiebat eorum sententiis Deus: & neque Romanorum vim, multo maiorem illa quæ pulsa fuerat, superesse cernebant: neque famem, iamiámque serpentem. adhuc enim malis publicis alebantur, & sanguinem ciuitatis bibebant. boni autem iamdudum inopia laborabant, & penuria victus iam multi defecerant. populi tamen interitum, seditiosi pro leuamine sui ducebant: & solos eos qui pacem non probarent, saluos esse cupiebant, quíque viuere contra Romanos optarent. contrariam verò multitudinem, velut onus quoddam, consumi gratulabantur. & ita quidem circa suos affecti erant. Romanos autem, quòd ciuitatem iterum ingredi conabantur, armati prohibuerunt, disiectis muri partibus obiectu corporũ præmunitis: ac per triduum sustinuêre fortiter dimicantes. Quarto autem die, Titum vehementiùs aggressum nequaquam ferre potuerunt, sed vi coacti, rursum quò antea refugerunt. Ille autem interim muro potitus, totam eius Septentrionalem partem statim deposuit: in Meridiana verò per turres præsidia collocauit.

CAP. XI. De aggeribus in tertium murum, & oratione prolixa Iosephi pro deditione facienda, & fame obsessorum.

IAmque tertium murum Titus aggredi cogitabat. Videbatur autem breuissimi temporis eius obsidio: spaciúmque consilij seditiosis esse dandum, si quid disturbatione secundi muri aut famis metu remitterent. nec enim diutius eis prædas posse sufficere: ipse ocio commodè vtebatur. Nam cùm dies aduenisset, quo militibus oportebat alimenta distribui, in conspicuo hostibus loco ductis, iussit duces ordinato exercitu pecuniã singulis numerare. Illi autẽ prolatis armis ex inuolucris muniti procedunt, equitibus ornatos equos ducentibus: locáque suburbana per multum spacium auro argentóque lucebant. Illo autem spectaculo nihil aut iucũdius suis, aut horribilius hostibus videbatur. spectantibus enim

ἄλλοι δ' ἔξω τοῦ τείχους κατὰ τὰς ἄνω προπηδήσαντες πύλας, πρὸς οὓς ταραχθέντες οἱ φρουροὶ τοῦ τείχους καθαλλόμενοι τῶν πύργων, ἀνεχώρουν εἰς τὰ στρατόπεδα. κραυγὴ δ' ἦν τῶν μὲν εἴσω πάντοθεν πολεμίοις κεκυκλωμένων, τῶν δ' ἔξωθεν περὶ τοῖς ἀπολειφθεῖσι δεδοικότων. πληθύνοντες δ' ἀεὶ οἱ ἰουδαῖοι, καὶ πολλὰ πλεονεκτοῦντες κατ' ἐμπειρίαν τῶν στενωπῶν, ἐτίτρωσκόν τε πολλούς, καὶ προσπίπτοντες ἐξώθουν. οἱ δὲ κατ' ἀνάγκην τὸ πλέον ἀντεῖχον. οὐ γὰρ ἦν ἀθρόοις διαφυγεῖν διὰ στενοῦ τοῦ τείχους. δοκοῦσι τ' ἂν κατακοπῆναι πάντες οἱ παρελθόντες, μὴ προσαμύναντος τοῦ τίτου. διαστήσας γὰρ ἐπ' ἄκροις τοῖς στενωποῖς τοὺς τοξότας, καὶ κατὰ τὸν μάλιστα πληθύοντα σταθεὶς αὐτός, ἀνέστελλε τοῖς βέλεσι τοὺς πολεμίους, καὶ σὺν αὐτῷ δομίτιος σαβῖνος, ἀνὴρ ἀγαθὸς καὶ κατὰ ταύτην φανεὶς τὴν μάχην. παρέμεινε δὲ συνεχῶς τοξεύων καῖσαρ, καὶ τοὺς ἰουδαίους κωλύων παρελθεῖν, μέχρι πάντες ἀνεχώρησαν οἱ στρατιῶται. ῥωμαῖοι μὲν οὕτω κρατήσαντες τοῦ δευτέρου τείχους, ἐξεώσθησαν. τῶν δ' ἀνὰ τὸ ἄστυ μαχίμων ἐπήρθη τὰ φρονήματα, καὶ μετέωροι πρὸς τὴν εὐπραγίαν ἦσαν, οὔτ' ἂν ῥωμαίους εἰς τὴν πόλιν τολμῆσαι ἔτι παρελθεῖν, οὔτ' ἂν αὐτοὶ παρελθόντες, ἡττηθήσεσθαι δοκοῦντες. ἐπεσκότει γὰρ αὐτῶν ταῖς γνώμαις διὰ τὰς παρανομίας ὁ θεός, καὶ οὔτε τὴν ῥωμαίων ἰσχὺν ὅσῳ πλείω κατελείπετο τῆς ἐξελαθείσης ἔβλεπον, οὔτε τὸν ὑφέρποντα λιμὸν αὐτοῖς. ἔτι γὰρ παρῆν ἐσθίειν ἐκ τῶν δημοσίων κακῶν, καὶ τὸ τῆς πόλεως αἷμα πίνειν. ἔνδεια δὲ τοὺς ἀγαθοὺς ἐπεῖχε πάλαι, καὶ σπάνει τῶν ἐπιτηδείων, διελύοντο πολλοί. τὴν δὲ τοῦ λαοῦ φθορὰν, ἑαυτῶν οἱ στασιασταὶ κουφισμὸν ὑπελάμβανον. μόνους γὰρ ἠξίουν σώζεσθαι, τοὺς μὴ ζητοῦντας εἰρήνην, καὶ κατὰ ῥωμαίων ζῆν προῃρημένους. τὸ δ' ἐναντίον πλῆθος ὥσπερ ὑπὸ βαρβάρων βαρβάρους ἥδοντο δαπανώμενον. τοιοῦτοι μὲν δὴ πρὸς τοὺς ἔνδον ἦσαν. ῥωμαίους δὲ πάλιν τῆς εἰσόδου πειρωμένους, ἐκώλυον φραξάμενοι, καὶ τὸ καταῤῥιφθὲν ἀντιτειχίσαντες τοῖς σώμασι. τρισὶ μὲν ἀντέσχον ἡμέραις καρτερῶς ἀμυνόμενοι, τῇ τετάρτῃ δὲ προσβάλλοντα γενναίως τίτον οὐκ ἤνεγκαν. ἀλλὰ βιασθέντες, ᾗ καὶ πρότερον ἀνέφευγον. ὁ δὲ πάλιν τοῦ τείχους κρατήσας, τὸ προσάρκτιον μὲν εὐθέως κατέῤῥιψε πᾶν. ἐπὶ δὲ τοῦ κατὰ μεσημβρίαν, φρουροὺς τοῖς πύργοις ἐγκαταστήσας, τῷ τρίτῳ προσβάλλειν ἐπενόει.

Κεφ. κε.

ΔΟξαν δ' ἐπανεῖναι πρὸς ὀλίγον τὴν πολιορκίαν, καὶ διωρίαν βουλῆς στασιασταῖς παρασχεῖν, εἴ τι πρὸς τὴν καθαίρεσιν ἐνδοῖεν τοῦ δευτέρου τείχους, ἢ καὶ τὸν λιμὸν ὑποδείσαντες (οὐ γὰρ εἰς πολὺ τὰς ἁρπαγὰς αὐτοῖς ἐξαρκέσειν) εἰς δέον κατεχρῆτο τὴν ἄνεσιν. ἐνστάσης γὰρ τῆς προθεσμίας, καθ' ἣν ἔδει διδόναι τοῖς στρατιώταις τροφάς, ἐν ἀπόπτῳ τοῖς πολεμίοις ἐκέλευσε τοὺς ἡγεμόνας ἐκτάξαντας τὴν δύναμιν ἀπαριθμεῖν ἑκάστῳ τ' ἀργύριον. οἱ δ' ὥσπερ ἔθος ἀποκαλύψαντες τὰ ὅπλα θήκαις ἐσκεπασμένα τέως, κατάφρακτοι προσῄεσαν, καὶ τοὺς ἵππους ἄγοντες οἱ ἱππεῖς κεκοσμημένους. ἐπὶ πλεῖστον δὲ τὰ πρὸ τῆς πόλεως ἀργύρῳ καὶ χρυσῷ περιελάμπετο. καὶ τῆς ὄψεως ἐκείνης, οὐδὲν οὔτε τοῖς σφετέροις ἐπιτερπέστερον, οὔτε τοῖς πολεμίοις παρέστη φοβερώτερον. κατεπλήσθη γὰρ ἀφορώντων

A τό τε ἀρχαῖον τεῖχος ἅπαν, καὶ τοῦ ἱεροῦ τὸ βόρειον κλίμα, τάς τε οἰκίας μεστὰς ἦν προκυπτόντων ἰδεῖν, καὶ τῆς πόλεως οὐδὲν ὃ μὴ κεκάλυπτο πλήθει διεφαίνετο. κατάπληξις δὲ δεινὴ καὶ τοῖς τολμηροτάτοις ἐνέπεσε, τήν τε δύναμιν ἐπὶ ταυτὸ πᾶσαν ὁρῶσι, καὶ τὸ κάλλος τῶν ὅπλων, καὶ τὴν εὐταξίαν τῶν ἀνδρῶν. δοκοῦσι τ' ἄν μοι πρὸς ἐκείνην οἱ στασιασταὶ μεταβαλέσθαι τὴν ὄψιν, εἰ μὴ δι' ὑπερβολὴν ὧν τὸν δῆμον ἔδρασαν κακῶν, συγγνώμην παρὰ ῥωμαίοις ἀπήλπιζον. B ἀποκειμένου δὲ τοῦ μετὰ κολάσεως εἰ παύσαιντο, πολὺ κρείττονα τὸν ἐν πολέμῳ θάνατον ἡγοῦντο. καὶ τὸ χρεὼν δ' ἐκράτει τούς τε ἀναιτίους τοῖς αἰτίοις συναπολέσθαι, καὶ τῇ στάσει τὴν πόλιν. τέσσαρσι μὲν οὖν ἡμέραις οἱ ῥωμαῖοι καθ' ἕκαστον τάγμα διετέλεσαν τὰς τροφὰς κομιζόμενοι. τῇ πέμπτῃ δὲ ὡς οὐδὲν ἀπήντα παρὰ τῶν ἰουδαίων εἰρηνικόν, διχῇ τὰ τάγματα Τίτος, ἤρχετο χωμάτων, κατά τε τὴν ἀντωνίαν, καὶ τὸ τοῦ ἰωάννου C μνημεῖον. ταύτῃ μὲν τὴν ἄνω πόλιν αἱρήσειν ἐπινοῶν, τὸ δὲ ἱερὸν κατὰ τὴν ἀντωνίαν. τούτου γὰρ μὴ ληφθέντος, οὐδὲ τὸ ἄστυ κατέχειν ἀκίνδυνον ἦν. πρὸς ἑκατέρῳ δὴ μέρει δύο ἠγείρετο χώματα, καθ' ἓν ἑκάστου τάγματος. καὶ τοὺς μὲν παρὰ τὸ μνημεῖον ἐργαζομένους, οἵ τε ἰδουμαῖοι, καὶ τὸ μετὰ τοῦ σίμωνος ὁπλιτικὸν, εἶργον ἐπεκθέοντες. τοὺς δὲ πρὸ τῆς ἀντωνίας, οἱ περὶ τὸν ἰωάννην, καὶ τὸ τῶν ζηλωτῶν πλῆθος. ἐπλεονέκτουν δ' οὐ κατὰ χεῖρα μόνον ἀφ' ὑψηλοτέρων μαχόμενοι, καὶ τοῖς ὀργάνοις δ' ἤδη χρῆσθαι μεμαθηκότες. D ἡ γὰρ καθ' ἡμέραν τριβὴ, κατὰ μικρὸν ἔθρεψε τὴν ἐμπειρίαν. εἶχον δ' ὀξυβελεῖς μὲν τριακοσίους, τεσσαράκοντα δὲ τῶν λιθοβόλων, δι' ὧν τὰ χώματα τοῖς ῥωμαίοις ἐποίουν δυσεργότερα. Τίτος δὲ σώζεσθαί τε τὴν πόλιν, καὶ ἀπόλλυσθαι εἰδὼς ἑαυτῷ, ἅμα καὶ τῇ πολιορκίᾳ προσέκειτο, καὶ τοῦ παραινεῖν ἰουδαίοις μετάνοιαν, οὐκ ἠμέλει. τοῖς δ' ἔργοις ἀνέμισγε συμβουλίαν, καὶ πολλάκις γινώσκων ἀνυτικώτερον ὅπλων τὸν λόγον, αὐτούς E τε σώζεσθαι παρεκάλει παραδόντας τὴν πόλιν ἤδη παρειλημμένην, καὶ τὸν ἰώσηπον καθίει τῇ πατρίῳ γλώσσῃ διαλέγεσθαι, τάχα ἐνδοῦναι πρὸς ὁμόφυλον δοκῶν αὐτούς.

Κεφ. κϛ.

Οὗτος περιιὼν τὸ τεῖχος, καὶ πειρώμενος ἔξω τε βέλους εἶναι καὶ ἐν ἐπηκόῳ, πολλὰ κατηντιβόλει. φείσασθαι μὲν ἑαυτῶν καὶ τοῦ δήμου, φείσασθαι δὲ καὶ τῆς πατρίδος, καὶ τοῦ ἱεροῦ, μηδὲ γενέσθαι πρὸς ταῦτα, τῶν ἀλλοφύλων ἀπαθεστέρους. F ῥωμαίους μὲν γε τοὺς μὴ μετέχοντας, ἐντρέπεσθαι τὰ τῶν πολεμίων ἅγια, καὶ μέχρι νῦν τὰς χεῖρας ἐπέχειν. τοὺς δ' ἐντραφέντας αὐτοῖς, κἂν περισωθῇ μόνους ἕξοντας, ὡρμῆσθαι πρὸς ἀπώλειαν αὐτῶν. ἦ μὴν τὰ καρτερώτατα μὲν αὐτῶν ὁρᾶν τείχη πεπτωκότα, λειπόμενον δὲ τὸ τῶν ἑαλωκότων ἀσθενέστερον. γινώσκειν δὲ τὴν ῥωμαίων ἰσχὺν ἀνυπόστατον, καὶ τὸ δουλεύειν τούτοις, οὐκ ἀπείρατον αὐτοῖς. εἰ G γὰρ δὴ καὶ πολεμεῖν ὑπὲρ ἐλευθερίας καλὸν, χρῆναι τὸ πρῶτον. τὸ δ' ἅπαξ ὑποπεσόντας, καὶ μακροῖς εἴξαντας χρόνοις, ἔπειτα ἀποσείεσθαι τὸν ζυγὸν, δυσθανατούντων οὐ φιλελευθέρων εἶναι. δεῖ μέντοι καὶ δεσπότας ἀδοξεῖν ταπεινοτέρους, οὐχ οἷς ὑποχείρια πάντα. τί γὰρ ῥωμαίους διαπεφευγέναι, πλὴν εἰ μή τι διὰ θάλπος, ἢ κρύος ἄχρηστον. μεταβῆναι γὰρ

A & vetera plena erãt mœnia, & Septẽtrionalis regio. quin & domos refertas intuentibus cerneres; nullámque ciuitatis partem quam non infusa multitudo tegebat, metus autem quamuis audacissimos ceperat, omnem simul exercitum armorúmque pulchritudinem conspicientes, & ordinationem virorum. Et fortasse ad illam speciem seditiosi animos mutauissent, nisi malorum immanitate, quæ in populum commiserant, dandam sibi veniam à Ro- B manis desperassent: imminente autem, si destitissent, morte supplicij, bello mori præstabilius esse ducebant. præualebat etiam fatum, quòd innocentes cum nocentibus, & ciuitatem cum seditiosis perire decreuerat. Quatriduo per singulas legiones alimenta consecuti sunt. Quinto autem die, cùm omnia faciens Titus, nihil Iudæos pacatum cogitare sensisset, bifariam diuiso exercitu, Anto- C niam versus ad Ioannis monumentum aggeres inchoauit: ista parte superiorem ciuitatem captum iri cogitans, & per Antoniam templum, namque hoc nisi cepisset, ne oppidum quidem tutum erat obtinere. In vtraque autem parte duo aggeres erigebantur, à singulis legionibus singuli. Et iuxta monumentum quidem operantes, à Iudæis & Simonis sociis infestantibus prohibebantur: ad Antoniam verò ab Ioannis sociis cum multitudine Zelotarum, non solùm quia de superio- D re loco pugnabant, verumetiam quia machinis iam vti didicerant. paulatim enim vsus quotidianus aluit peritiam. Habebant autem ballistas trecentas, & quadraginta tormenta saxorum, quibus difficiliorem aggerum extructionem Romanis efficiebant. Titus autem sibi saluam fore fortunam sciens & perituram esse ciuitatem, vnà & obsidioni vehementer instabat: nec pœnitudinem Iudæis suadere cessabat: consiliúmque factis admiscens, E & orationem sæpè armis efficaciorem cognoscens, tam ipsos vt saluari vellent rogabat, tradita sibi ciuitate, quæ iam capta videretur, quàm & Iosephum allegabat, patria lingua verba facturum, sperans eos hominis gentilis monitu aliquid remissuros. Itaque Iosephus murum circuiens, simúlque extra teli iactum stans, vnde exaudiri faciliùs posset, multis orabat, vt sibi ac populo parcerent, templo ac patriæ, néve contra hæc fierent alieni- F genis duriores. Romanos enim sancta reuereri, cum quibus nulla sibi societas esset, manúsque suas ad hoc vsque cohibere. ipsos verò in his edoctos, cùm seruare possent, sponte ad eorum interitum ruere. quin potius viderent muros concidisse firmiores, excisis verò infirmiores superesse: Romanorúmque vires cognoscerent sustinere non posse, hísque seruire non esse nouum, neque inexpertum Iudæis. Nam licèt pulchrum sit pro libertate pu- G gnare, tamen id in principio decere fieri. semel autem subditum, qui multo tempore paruisset Imperio, iugum excutientem, malæ mortis cupidum, non libertatis amatorem videri. Debere autem dedignari dominos humiliores, nõ quorũ in potestate sunt omnia. Nam quid Romanos effugisse, nisi quòd propter æstus aut frigora esset inutile? imò verò transisse

ad eos vndique fortunam, deúmque per singulas nationes ducentem imperium, nunc esse in Italia. Hanc autem validissimam legem, tam feris bestiis quàm hominibus esse præfinitam, potentioribus cedere: apud eósque esse victoriam, apud quos robur fuerit armorum. Idcirco etiam maiores eorum, quanquam multùm & animis, & corporibus, & aliis subsidiis meliores, cessisse Romanis: quos nisi Deum sciissent illis fauere, nunquam perpessi fuissent. ipsos verò qua tunc re fretos resistere, cùm ex magna parte capta sit ciuitas: ciues autem etiam si muros integros haberent, excidio pariter affecti sint. Nec enim latere Romanos, quæ fames teneat ciuitatem: & modò quidem consumi populum, continuò verò etiam bellatores interituros: nam etsi Romani desierint, & ab obsidione cessauerint, neque ciuitatem strictis gladiis irruerint, Iudæis tamen inexpugnabile bellum intus assidere, quod horis singulis aleretur: nisi fortè contra famem quoque arma caperent ac dimicarent, solíque possent etiam infortunium superare. His addebat, optimum esse ante intolerabilem calamitatem mutare sententiam: dúmque liceret, salutare consilium sequi. Nec enim antea gestorum causa succensere Romanos, nisi ad finem vsque insolentes essent: natura eos esse in imperio mansuetos, atque iracundiæ præferre quod vtile est. Vtile autem putare, neque ciuitatem vacuam viris, neque desertam habere prouinciam: idcirco velle imperatorem cum his dexteram iungere: nec enim cuiquam salutem daturum si vi ceperit ciuitatem, præsertim qui nec in extremis ei cladibus rogati paruerint. Breui autem murum quoque tertium captum iri, priores qui capti sunt, fidem facere. & quamuis perrumpi tutamina non possint, famem pro Romanis pugnaturam. His monentem Iosephum multi in muro stantes vituperabant, multi verò conuiciis, nonnulli etiam iaculis appetebant. Ille autem cùm manifestis eos calamitatibus minimè flecteret, ad gentiles transit historias: O miseri, vociferans, vestrorúmque auxiliatorum immemores, armis & manibus cum Romanis bellum geritis, quasi quem alium sic vicerimus. Quando autem non Deus omnium conditor, Iudæorum defensor est, si lædantur? Non resipietis? Vnde progressi pugnatis, quantúmque auxiliatorem violatis? Non recordamini opera diuina parentum, atque hunc sanctum locum, quanta bella nobis aliquando peremit? Ego autem facta Dei narrare auribus indignis horresco: sed tamen audite, vt cognoscatis non solùm vos Romanis, sed etiam Deo resistere. Nechias, qui tum erat rex Ægyptiorum, idémque Pharao vocabatur, cum infinita manu descendit, reginámque Saram materni nostri generis rapuit. Quid igitur vir eius Abraham proauus noster? Armis credo vltus est iniuriam? Atqui CCC. & XVIII. præfectos habebat, quorum singulis infinita multitudo parebat. An ipse quidem quiescere maluit absente Deo? puras autem manus ad hunc locum tendens, quem vos polluistis, inuictum sibi auxiliatorem ad militiam legit? Nónne secunda vespera incorrupta regina remissa est ad maritum? Adorans autem quem vos gentili cæde cruentastis locum,

πρὸς αὐτοὺς πάντοθεν τὴν τύχην καὶ κατ' ἔθνος τὸν θεὸν ἐμπεριάγοντα τὴν ἀρχήν, νῦν ἐπὶ τῆς Ἰταλίας εἶναι. νόμον γε μὴν ὡρίσθαι, καὶ παρὰ θηρσὶν ἰσχυρότατον, καὶ παρὰ ἀνθρώποις, εἴκειν τοῖς δυνατωτέροις, καὶ τὸ κρατεῖν, παρ' οἷς ἀκμὴ τῶν ὅπλων, εἶναι. διὰ τοῦτο καὶ τοὺς προγόνους αὐτῶν, καὶ ταῖς ψυχαῖς, καὶ τοῖς σώμασιν, ἔτι δὲ καὶ ταῖς ἄλλαις ἀφορμαῖς ἀμείνους ὄντας, εἶξαι Ῥωμαίοις, οὐκ ἂν εἰ μὴ τὸν θεὸν ᾔδεισαν σὺν αὐτοῖς τοῦθ' ὑπομείναντας. αὐτοὺς δὲ τίνι καὶ πεποιθότας ἀντέχειν. ἑαλωκυίας μὲν ἐκ πλείστου τῆς πόλεως μέρους, τῶν δ' ἔνδον εἰ καὶ τὰ τείχη παρέμενεν, ἁλώσεως χεῖρον διακειμένων. οὐ γὰρ λανθάνειν Ῥωμαίους τὸν ἐν τῇ πόλει λιμόν, ᾧ νῦν μὲν τὸν δῆμον, μετ' οὐ πολὺ δὲ διαφθαρήσεσθαι καὶ τοὺς μαχίμους. εἰ γὰρ δὴ καὶ παύσαιντο Ῥωμαῖοι τῆς πολιορκίας, μὴ δὲ ἐπιπίπτοιεν τῇ πόλει ξιφήρεις, αὐτοῖς γε τὸν ἄμαχον πόλεμον ἔνδον παρακαθῆσθαι καθ' ἑκάστην ὥραν τρεφόμενον. εἰ μὴ καὶ πρὸς τὸν λιμὸν ἆραι τὰ ὅπλα, καὶ μάχεσθαι δύναιντο, μόνοι τε καὶ παθῶν ἐπικρατεῖν. προσετίθει δὲ ὡς καλὸν πρὸ ἀνηκέστου συμφορᾶς μεταβαλέσθαι, καὶ πρὸς τὸ σωτήριον, ἕως ἔξεστι ῥέψαι. καὶ γὰρ οὐδὲ μνησικακήσειν αὐτοῖς Ῥωμαίους τῶν γεγενημένων, εἰ μὴ μέχρι τέλους ἀπαυθαδίσαιντο. φύσει τε γὰρ ἐν τῷ κρατεῖν ἡμέρους εἶναι, καὶ πρὸ τῶν θυμῶν θήσεσθαι τὸ συμφέρον. τοῦτο δ' εἶναι μήτε τὴν πόλιν ἀνδρῶν κενήν, μήτε τὴν χώραν ἔρημον ἔχειν. διὸ καὶ νῦν Καίσαρα βούλεσθαι δεξιὰν αὐτοῖς παρασχεῖν. οὐ γὰρ ἂν σῶσαί τινα βίᾳ λαβὼν τὴν πόλιν, καὶ μάλιστα μηδ' ἐν ἐσχάταις συμφοραῖς ὑπακουσάντων παρακαλοῦντι. τοῦ γε μὴν ταχέως τὸ τρίτον τεῖχος ἁλώσεσθαι, τὰ προεαλωκότα πίστιν εἶναι. κἂν ἄρρηκτον δὲ ᾖ τὸ ἔρυμα, τὸν λιμὸν ὑπὲρ Ῥωμαίων αὐτοῖς μαχεῖσθαι. ταῦτα τὸν Ἰώσηπον παραινοῦντα, πολλοὶ μὲν ἔσκωπτον ἀπὸ τοῦ τείχους, πολλοὶ δ' ἐβλασφήμουν, ἔνιοι δ' ἔβαλλον. ὁ δ' ὡς ταῖς φανεραῖς οὐκ ἔπειθε συμβουλίαις, ἐπὶ τὰς ὁμοφύλους μετέβαινεν ἱστορίας. ὦ δείλαιοι βοῶν, καὶ τῶν ἰδίων ἀμνήμονες συμμάχων, ὅπλοις καὶ χερσὶ πολεμεῖτε Ῥωμαίοις; τίνα γὰρ ἄλλον οὕτως ἐνικήσαμεν. ποτὲ οὐ θεὸς ὁ κτίσας ἂν ἀδικῶνται Ἰουδαίων ἔκδικος. οὐκ ἐπιστραφέντες ὄψεσθε, πόθεν ὁρμώμενοι μάχεσθε, καὶ πηλίκον ἐμιάνατε σύμμαχον; οὐκ ἀναμνήσεσθε πατέρων ἔργα δαιμόνια, καὶ τὸν ἅγιον τόνδε χῶρον, ἡλίκους ὑμῖν πάλαι πολεμίους καθεῖλεν; ἐγὼ μὲν φρίττω τὰ ἔργα τοῦ θεοῦ λέγων εἰς ἀναξίους ἀκοάς, ἀκούετε δ' ὅμως ἵνα γνῶτε μὴ μόνον Ῥωμαίοις πολεμοῦντες, ἀλλὰ καὶ τῷ θεῷ. βασιλεὺς ὁ ποτὲ Νεχαὼς Αἰγυπτίων, ὁ δ' αὐτὸς ἐκαλεῖτο καὶ Φαραώ, βαρείᾳ χειρὶ καταβάς, ἥρπασε Σάρραν βασιλίδα τοῦ γένους ἡμῶν τὴν μητέρα. τί οὖν ὁ ταύτης ἀνὴρ Ἀβραάμος, προπάτωρ δὲ ἡμέτερος. ἆρα τὸν ὑβριστὴν ἠμύνατο τοῖς ὅπλοις, καίτοι ὀκτωκαίδεκα μὲν καὶ τριακοσίους ὑπάρχους ἔχων, δύναμιν δ' ὑφ' ἑκάστου τούτων ἄπειρον. ἢ αὐτοὺς μὲν ἐρημίαν ἡγήσατο μὴ συμπαρόντος θεοῦ, καθαρὰς δ' ἀνατείνας τὰς χεῖρας εἰς ὃν νῦν ἐμιάνατε χῶρον ὑμεῖς, τὸν ἀνίκητον αὐτῷ βοηθὸν ἐστρατολόγησεν. οὐ μετὰ μίαν ἑσπέραν ἄχραντος μὲν ἡ βασίλισσα ἀνεπέμφθη πρὸς τὸν ἄνδρα; προσκυνῶν δὲ τὸν ὑφ' ὑμῶν αἱμαχθέντα χῶρον ὁμοφύλῳ φόνῳ,

καὶ τρε-

καὶ δείμων ἀπὸ τῶν ἐν νυκτὶ φαντασμάτων, ἔφυγεν ὁ αἰγύπτιος, ἀργύρῳ δὲ καὶ χρυσῷ τοὺς θεοφιλεῖς ἑβραίους ἐδωρεῖτο. σιγῶ ἢ εἴπω τὴν εἰς αἴγυπτον μετοικίαν τῶν πατέρων, οἱ τυραννούμενοι, καὶ βασιλεῦσιν ἀλλοφύλοις ὑποπεπτωκότες τετρακοσίοις ἔτεσι, παρὸν ὅπλοις ἀμύνασθαι καὶ χερσί, σφᾶς αὐτοὺς ἐπέτρεψαν τῷ θεῷ. τίς οὐκ οἶδε τὴν ἐκ παντὸς θηρίου καταπλησθεῖσαν αἴγυπτον, καὶ πάσῃ φθαρεῖσαν νόσῳ, τὴν ἄκαρπον γῆν, τὸν ἐπιλείποντα νεῖλον, τὰς ἐπαλλήλους δέκα πληγάς. τοὺς διὰ ταῦτα μετὰ φρουρᾶς προπεμπομένους πατέρας ἡμῶν, ἀναιμάκτους, ἀκινδύνους, οἵους ὁ θεὸς ἑαυτῷ νεωκόρους ἦγεν. ἀλλὰ τὴν ὑπὸ ἀσσυρίων ἁρπαγεῖσαν ἁγίαν ἡμῖν λάρνακα, οὐκ ἐστέναξε μὲν ἡ παλαιστίνη, καὶ δαγὼν τὸ ξόανον, ἐστέναξε δὲ πᾶν τὸ τῶν ἁρπασαμένων ἔθνος. σηπόμενοι δὲ τὰ κρυπτὰ τοῦ σώματος, καὶ δι' αὐτῶν τὰ σπλάγχνα μετὰ τῶν σιτίων καταφέροντες, χερσὶ ταῖς λῃστευσαμέναις ἀνεκόμισαν, κυμβάλων καὶ τυμπάνων ἤχῳ, καὶ πᾶσι μειλικτηρίοις ἱλασκόμενοι τὸ ἅγιον; θεὸς ἦν ὁ ταῦτα πατράσιν ἡμετέροις στρατηγῶν, ὅτι τὰς χεῖρας καὶ τὰ ὅπλα παρέντες, αὐτῷ κρῖναι τὸ ἔργον ἐπέτρεψαν. βασιλεὺς ἀσσυρίων σενναχηρείμ, ὅτε πᾶσαν τὴν ἀσίαν ἐπισυρόμενος τήνδε περιεστρατοπεδεύσατο τὴν πόλιν, ἆρα χερσὶν ἀνθρωπίναις ἔπεσεν; οὐχ αἱ μὲν ἀπὸ τῶν ὅπλων ἠρεμοῦσαι ἐν προσευχαῖς ἦσαν. ἄγγελος δὲ τοῦ θεοῦ μιᾷ νυκτὶ τὴν ἄπειρον στρατιὰν ἐλυμήνατο, καὶ μεθ' ἡμέραν ἀναστὰς ὁ ἀσσύριος, ὀκτωκαίδεκα μυριάδας ἐπὶ πεντακισχιλίοις νεκρῶν εὗρε, μετὰ δὲ τῶν καταλειπομένων ἀνόπλους, καὶ μὴ διώκοντας ἑβραίους ἔφυγε; ἴστε δὲ καὶ τὴν ἐν βαβυλῶνι δουλείαν, ἔνθα μετανάστης ὢν ὁ λαὸς ἔτεσιν ἑβδομήκοντα, οὐ πρότερον εἰς ἐλευθερίαν ἀνεχαίτισεν, ἢ κῦρον τοῦτο χαρίσασθαι τῷ θεῷ. προυπέμφθησαν γοῦν ὑπ' αὐτοῦ, καὶ πάλιν τὸν αὐτῶν σύμμαχον ἐνεωκόρουν. καθόλου δ' οὐκ ἔστιν εἰπεῖν, ὅτι κατώρθωσαν οἱ πατέρες ἡμῶν τοῖς ὅπλοις, ἢ δίχα τούτων διήμαρτον ἐπιτρέψαντες τῷ θεῷ. μένοντες μέν γε κατὰ χώραν, ἐνίκων ὡς ἐδόκει τῷ κριτῇ, μαχόμενοι δ' ἔπταισαν ἀεί. τοῦτο μὲν ἡνίκα βασιλεὺς βαβυλωνίων ἐπολιόρκει ταύτην τὴν πόλιν, συμβαλὼν σεδεκίας ὁ ἡμέτερος βασιλεὺς παρὰ τὰς ἱερεμίου προφητείας, αὐτός τε ἑάλω, καὶ τὸ ἄστυ μετὰ τοῦ ναοῦ κατασκαπτόμενον εἶδε. καίτοι πόσῳ μετριώτερος ὁ μὲν βασιλεὺς ἐκεῖνος τῶν ὑμετέρων ἡγεμόνων ἦν, ὁ δ' ὑπ' αὐτῷ λαὸς ὑμῶν. βοῶντα γοῦν τὸν ἱερεμίαν, ὡς ἀπεχθάνοιντο μὲν τῷ θεῷ διὰ τὰς εἰς αὐτὸν πλημμελείας, ἁλώσοιντο δ' εἰ μὴ παραδοῖεν τὴν πόλιν, οὔθ' ὁ βασιλεὺς, οὔθ' ὁ δῆμος ἀνεῖλεν. ἀλλ' ὑμεῖς ἵνα ἐάσω τὰ ἔνδον, οὐ γὰρ ἑρμηνεῦσαι δυναίμην τὰς παρανομίας ὑμῶν ἀξίως, ἐμὲ τὸν παρακαλοῦντα πρὸς σωτηρίαν ὑμᾶς, βλασφημεῖτε, καὶ βάλλετε παροξυνόμενοι πρὸς τὰς ὑπομνήσεις τῶν ἁμαρτημάτων, καὶ μηδὲ τοὺς λόγους φέροντες, ὧν τἆργα δρᾶτε καθ' ἡμέραν. τοῦτο δ' ἡνίκα ἀντιόχου τοῦ κληθέντος ἐπιφανοῦς προσκαθεζομένου τῇ πόλει, πολλὰ πρὸς τὸ θεῖον ἐξυβρικότος, οἱ πρόγονοι μετὰ τῶν ὅπλων προῆλθον. αὐτοὶ μὲν ἀπεσφάγησαν ἐν τῇ μάχῃ, διηρπάγη δὲ καὶ τὸ ἄστυ τοῖς πολεμίοις, ἠρημώθη δ' ἔτη τρία καὶ μῆνας ἓξ τὸ ἅγιον. καὶ τί δεῖ τἆλλα λέγειν; ἀλλὰ ῥωμαίους τίς ἐστρατολόγησε κατὰ τοῦ ἔθνους; ἢ τῶν ἐπιχωρίων ἀσέβεια; πόθεν δ'

ac tremens nocturnis somniis Ægyptius exagitatus aufugit, auróque & argento amatissimos Deo donauit Hebræos. Dicam translata in Ægyptum maiorum nostrorum domicilia? Qui cùm annos quadringentos tyrannis ac regibus alienigenis subiacerent, armis ac manibus vlcisci possent, semetipsos Deo potiùs permisêre. Quis nescit Ægyptum repletam omni genere serpentium, omníque morbo corruptam? Quis terram infructuosam? quis Nili defectionem, & continuas decem plagas? & ob hoc parentes nostros cum præsidio incruentos, & sine periculo deduci, quos Deus sibi sacerdotes ducebat? An non ab Assyriis raptam nobis sanctam arcam, Palæstina & Dagon simulacrum gemuit, & tota gens quæ rapuerat? corruptis verò occultis corporum, ac per ea cum cibo visceribus exhaustis, cymbalorum ac tympanorũ sono manibus noxiis reportauerunt, sanctum placationibus expiantes? Deus erat qui hæc parentibus administrabat, propterea quòd omissis armis ac manibus, eius se iudicio permisêre. Rex Assyriorum Senacherib cùm totam ducens Asiam, ad hanc vrbem castra posuisset, num manibus humanis cecidit? nónne ab armis quiescentes in votis erant, & angelus Dei in vna nocte infinitum deleuit exercitum? posteróque die excitatus Assyrius CLXXXV. millia reperit mortuorum, atque ita cum reliquis Hebræos inermes, nec persequentes fugiebat? Scitis etiam in Babylone seruitium, vbi per annos LXX. populus exulans, non antè libertatem recepit, quàm eam Deo Cyrus donaret: qui eos etiam est prosecutus, iterúmque auxiliatori suo sacerdotum more seruiebant. Breuiter dicam, nullum est operæprecium quod armis parentes nostri fecerint, aut non sine armis Deo permissa potestate impetrauerint. Domi autem manentes, vt placebat iudici superabant. Pugnantes verò, semper de spe deciderunt. Nam vbi rege Babyloniorum vrbem obsidente, contra Hieremiæ prædicationem Sedechias rex noster cum eo congressus est, tam ipse captus est, quàm cum templo ciuitatem vidit excindi. Atqui videte, quanto ille rex vestris ducibus eiúsque populus vobis erat moderatior. Denique Hieremiam vociferantem, inuisos esse eos Deo propter delicta quæ in eum commiserant, captum iri autem nisi traderent ciuitatem, neque rex neque populus interfecit. Sed vos (vt intus gesta prætermittam, neque dignè possum iniquitates vestras exponere) me, qui vobis salutem suadeam, querimini, telísque appetitis irati, quòd vos vestrorum commonefacio peccatorum, nec dici ea toleratis, quorum quotidie facta committitis. Idem tunc fuit, cum Antiocho qui dictus est Epiphanes obsidente ciuitatem, multis modis offensa diuinitate, maiores nostri cum armis progressi, ipsi quidem in pugna perempti sunt. oppidum verò ab hostibus direptum est: sanctúmque per triennium sexq; menses penitus desolatum est. Et quid pluribus opus est? Ipsos Romanos quis cõtra Iudæorũ gentes ad militiam prouocauit? nónne indigenarũ impietas? Vnde

seruire cœpimus? Nónne à seditione maiorum, quando Aristobuli & Hyrcani furor, & inter eos contentio, Pompeium intulit ciuitati, & Romanis Deus indignos libertate subiecit? Denique tres menses obsessi, quanquam nihil quale vos in sanctum legésque deliquerant, & maioribus ad bellum subsidiis vtebantur, sese tradiderunt. Antigoni autem filij Aristobuli nescimus exitum? quo regnum obtinente, Deus iterum captiuitate persequebatur populum delinquentem. Et Herodes quidem Antipatri filius, Sosium & Romanum adduxit exercitum. circundati verò per sex menses obsidebantur, donec capti peccatorum suorum supplicia pependerunt: direptáque est ab hostibus ciuitas. Ita nunquam genti arma data sunt. Oppugnationi verò sine dubio cohæret excidium. Oportet ergo, vt opinor, sacri loci possessores iudicium Deo de omnibus permittere: manúsque tunc humanas contemnere, cùm à superno ipsi iudice non recedant. Vos autem quid ex his, quæ legis conditor bene dixit, egistis? Quid, quod is execratus est prætermisistis? Quantum autem illos qui citò periêre, impietate superastis? non occulta dedignantes peccata, hoc est furta, insidiásque atque adulteria, rapinis, cædibus certatis, nouásque maleficiorum excogitastis vias. Sanctum verò templum, factum est omnium receptaculum: & indigenarum manibus pollutus est locus, quem Romani ex tam longinquo adorabant, multa per legem nostram de suis moribus derogantes. Deinde post hæc in quem fuistis impij, hunc auxiliatorem speratis? Valde quidem iusti estis, supplices, puríque manibus adiutorem vestrum rogatis. Talibus rex noster precibus aduersum Assyrium supplicauit, cùm magnum illum exercitum Deus vna nocte prostrauit. Similia verò Assyriis Romani committunt, vt etiam similem vltionem speretis? Nam ille quidem ab rege nostro accepta pecunia, vt vastitati parceret ciuitatis, neglecto iureiurando ad incendium templi descendit: Romani autem solenne poscunt tributum, quod parentes nostri eorum parentibus pensabant. Et si hoc impetrauerint, neque populantur ciuitatem, neque sancta omnino tangunt. Concedunt autem vobis familias liberas & possessiones tenere, sacrásque leges saluas manere patiuntur. Insania est profectò, sperare Deum talem circa iustos fore, qualis iniustis apparuit: præsertim qui statim vlcisci nouerit cùm oportet. Denique Assyrios prima nocte, qua castra ciuitati admouerant, fregit. Quod si etiam vestram progeniem liberaret, Romanos verò dignos pœna iudicaret, confestim eis illo tempore sicut Assyriis irasceretur, quo genti manus Pompeius attulit, quo post illum Sosius ascendit, quo Galilæam Vespasianus excidit, postremò non nunc Titus ciuitati appropinquaret. Sed neque Magnus, neque Sosius quicquam passi sunt, & ciuitatem victoria ceperunt. Vespasianus autem ex bello quod nobiscum gessit, etiam imperium adeptus est. Nam Tito quidem etiam fontes nunc vberiores profluunt, qui priùs vobis aruerant. Denique ante eius aduentum scitis & Siloam, & omnes extra ciuitatem fontes adeò defecisse, vt ad vtrunque

A ἠρξάμεθα δουλείας; ἆρ᾽ οὐχὶ ἐκ στάσεως τῶν προγόνων, ὅτε ἡ Ἀριστοβούλου καὶ Ὑρκανοῦ μανία, καὶ πρὸς ἀλλήλους ἔρις, Πομπήϊον ἐπήγαγε τῇ πόλει, καὶ Ῥωμαίοις ὑπέταξεν ὁ θεὸς τοὺς οὐκ ἀξίους ἐλευθερίας. τρισὶ γοῦν μησὶ πολιορκηθέντες, ἑαυτοὺς παρέδοσαν, οὔτε ἁμαρτόντες εἰς τὰ ἅγια καὶ τοὺς νόμους ἡλίκα ὑμεῖς, καὶ πολὺ μείζοσιν ἀφορμαῖς πρὸς τὸν πόλεμον χρώμενοι. τὸ δὲ Ἀντιγόνου τέλος τοῦ Ἀριστοβούλου παιδὸς, οὐκ ἴσμεν, οὗ βασιλεύοντος, ὁ θεὸς ἁλώσει πάλιν τὸν λαὸν ἤλαυνε πλημ-
B μελοῦντα. καὶ Ἡρώδης μὲν ὁ Ἀντιπάτρου Σόσιον, Σόσιος δὲ Ῥωμαίων στρατιὰν ἤγαγε. περισχεθέντες δ᾽ ἐπὶ μῆνας ἕξ, ἐπολιορκοῦντο, μέχρι δίκας τῶν ἁμαρτιῶν δόντες ἑάλωσαν, καὶ διηρπάγη τοῖς πολεμίοις ἡ πόλις. οὕτως οὐδέποτε τῷ ἔθνει τὰ ὅπλα δέδοται. τῷ δὲ πολεμεῖσθαι, καὶ τὸ ἁλώσεσθαι πάντως πρόσεστι. δεῖ γὰρ οἶμαι τοὺς χωρίον ἅγιον νεμομένους, ἐπιτρέπειν πάντα τῷ θεῷ δικάζειν, καὶ καταφρονεῖν τότε χειρὸς ἀνθρωπίνης, ὅτε
C αὐτοὶ πείθωσι τὸν ἄνω δικαστήν. ὑμῖν δὲ τί τῶν εὐλογηθέντων ὑπὸ τοῦ νομοθέτου πέπρακται; τί δὲ τῶν ὑπ᾽ ἐκείνου κατηραμένων παραλέλειπται; πόσῳ δὲ ἐστὲ τῶν τάχιον ἁλόντων ἀσεβέστεροι. οὐ τὰ κρυπτὰ μὲν τῶν ἁμαρτημάτων ἠδοξήκατε, κλοπὰς λέγω καὶ ἐνέδρας, καὶ μοιχείας· ἁρπαγαῖς δ᾽ ἐρίζετε, καὶ φόνοις, καὶ ξένας καινοτομεῖτε κακίας ὁδούς; ἐκδοχεῖον δὲ πάντων τὸ ἱερὸν γέγονε, καὶ χερσὶν ἐμφυλίοις ὁ θεῖος μεμίανται χῶρος, ὃν
D καὶ Ῥωμαῖοι πόῤῥωθεν προσεκύνουν, πολλὰ τῶν ἰδίων ἐθῶν παραλύοντες, εἰς τὸν ἡμέτερον νόμον. εἶτα ἐπὶ τούτοις τὸν ἀσεβηθέντα σύμμαχον προσδοκᾶτε; πάνυ γοῦν ἐστὲ δίκαιοι ἱκέται, καὶ χερσὶ καθαραῖς τὸν βοηθὸν ὑμῶν παρακαλεῖτε. τοιαύταις ὁ βασιλεὺς ἡμῶν ἱκέτευσεν ἐπὶ τὸν Ἀσσύριον, ὅτε τὸν μέγαν ἐκεῖνον στρατὸν μιᾷ νυκτὶ κατέστρωσεν ὁ θεός. ὅμοια δὲ τῷ Ἀσσυρίῳ Ῥωμαῖοι δρῶσιν, ἵνα καὶ ἄμυναν ὑμεῖς ὁμοίαν ἐλπίσητε; οὐχ ὁ μὲν χρήματα παρὰ τοῦ βασιλέως ὑμῶν
E λαβὼν ἐφ᾽ ᾧ μὴ πορθήσῃ τὴν πόλιν, κατέβη παρὰ τοὺς ὅρκους ἐμπρῆσαι τὸν ναόν. Ῥωμαῖοι δὲ τὸν συνήθη δασμὸν αἰτοῦσιν, ὃν οἱ πατέρες ἡμῶν τοῖς ἐκείνων πατράσι παρέσχον. καὶ τούτου τυχόντες, οὔτε πορθοῦσι τὴν πόλιν, οὔτε ψαύουσι τῶν ἁγίων. διδόασιν δ᾽ ὑμῖν τἄλλα γενεάς τε ἐλευθέρας, καὶ κτήσεις τὰς ἑαυτῶν νέμεσθαι, καὶ τοὺς ἱεροὺς νόμους σώζουσι. μανία δὴ τὸν θεὸν προσδοκᾶν ἐπὶ δικαίοις, οἷος ἐπ᾽ ἀδίκοις ἐφάνη. καὶ παραχρῆ-
F μα δ᾽ ἀμύνειν οἶδεν ὅταν δέῃ. τοὺς γοῦν Ἀσσυρίους κατὰ νύκτα τὴν πρώτην παραστρατοπεδευσαμένους ἐκόλασεν. ὥστε εἰ καὶ τὴν ἡμετέραν γενεὰν ἐλευθερίας, ἢ Ῥωμαίους κολάσεως ἀξίους ἔκρινε, κἂν παραχρῆμα καθάπερ τοῖς Ἀσσυρίοις ἐνέσκηψεν, ὅτε τοῦ ἔθνους ἥπτετο Πομπήϊος, ὅτε μετ᾽ αὐτὸν ἀνῄει Σόσιος, ὅτε Οὐεσπασιανὸς ἐπόρθει τὴν Γαλιλαίαν. τὰ τελευταῖα νῦν, ὅτε ἤγγιζε Τίτος τῇ πόλει. καίτοι Μάγνος μὲν, καὶ Σόσιος πρὸς τὸ μηδὲν παθεῖν, καὶ ἀνὰ κράτος ἔλαβον τὴν
G πόλιν. Οὐεσπασιανὸς δ᾽ ἐκ τοῦ πρὸς ἡμᾶς πολέμου, καὶ βασιλείας ἤρξατο. Τίτῳ μὲν γὰρ καὶ πηγαὶ πλουσιώτεραι ῥέουσιν, αἱ ξηρανθεῖσαι πρότερον ὑμῖν. πρὸ γοῦν τῆς αὐτοῦ παρουσίας, τήν τε Σιλωὰμ ἐπιλιποῦσαν ἴστε, καὶ τὰς πρὸ τοῦ ἄστεος ἁπάσας, ὥστε πρὸς ἀμφορεῖς

ὠνεῖσθαι

ὠνεῖσθαι τὸ ὕδωρ. τὸ δὲ νῦν οὕτω πληθύουσι τοῖς πολεμίοις ὑμῶν, ὡς μὴ μόνον αὐτοῖς καὶ κτήνεσιν, ἀλλὰ καὶ κήποις διαρκεῖν. τό γε μὴν τέρας τοῦτο πεπείρασθε καὶ πρότερον ἐφ' ἁλώσει τῆς πόλεως γεγενημένον, ὅθ' ὁ προειρημένος Βαβυλώνιος ἐπεστράτευσεν, ὃς τήν τε πόλιν ἑλὼν, ἐνέπρησε καὶ τὸν ναόν, οὐδὲν οἶμαι τῶν τότε ἠσεβηκότων τηλικοῦτον ἡλίκα ὑμεῖς. ὥς τε ἔγωγε πεφευγέναι μὲν ἐκ τῶν ἁγίων οἶμαι τὸ θεῖον, ἑστάναι δὲ παρ' οἷς πολεμεῖτε νῦν. ἀλλ' ἀνὴρ μὲν ἀγαθὸς οἰκίαν ἀσελγῆ φεύξεται, καὶ τοὺς ἐν αὐτῇ στυγήσει. τὸν δὲ θεὸν ἔτι πείθεσθε τοῖς ὑμετέροις κακοῖς παραμένειν; ὃς τά τε κρυπτὰ πάντα ἐφορᾷ, καὶ τῶν σιγωμένων ἀκούει. τί δὲ σιγᾶται παρ' ὑμῖν, ἢ τί κρύπτεται, τί δ' οὐχὶ καὶ τοῖς ἐχθροῖς φανερὸν γέγονε; πομπεύετε γὰρ παρανομοῦντες, καὶ καθ' ἡμέραν ἐρίζετε τίς χείρων γένηται, τῆς ἀδικίας ὥσπερ ἀρετῆς ἐπίδειξιν ποιούμενοι. καταλείπεται δ' ὅμως ἔτι σωτηρίας ὁδὸς ἐὰν θέλητε, καὶ τὸ θεῖον εὐδιάλλακτον ἐξομολογουμένοις, καὶ μετανοοῦσιν. ὦ σιδήρειοι, ῥίψατε τὰς πανοπλίας, λάβετε ἤδη κατερειπομένης αἰδῶ πατρίδος, ἐπιστράφητε, καὶ θεάσασθε τὸ κάλλος, ἧς προδίδοτε. οἷον ἄστυ, οἷον ἱερόν, ὅσον ἐθνῶν δῶρα. ἐπὶ ταῦτά τις ὁδηγεῖ φλόγας; ταῦτά τις μηκέτ' εἶναι θέλει; καὶ τί σώζεσθαι τούτων ἀξιώτερον; ἄτεγκτοι καὶ λίθων ἀπαθέστεροι, καὶ εἰ μὴ ταῦτα γνησίοις ὄμμασι βλέπετε, γενεὰς γοῦν ὑμετέρας οἰκτείρατε, καὶ πρὸ ὀφθαλμῶν ἑκάστῳ γενέσθω τέκνα καὶ γυνὴ, καὶ γονεῖς, οὓς ἀναλώσει μετὰ μικρὸν, ἢ λιμὸς, ἢ πόλεμος. οἶδα ὅτι μοι συγκινδυνεύει μήτηρ καὶ γυνὴ, καὶ γένος οὐκ ἄσημον, καὶ πάλαι λαμπρὸς οἶκος; καὶ τάχα δοκῶ διὰ ταῦτα συμβουλεύειν. ἀποκτείνατε αὐτούς, λάβετε μισθὸν τῆς ἑαυτῶν σωτηρίας τοὐμὸν αἷμα. κἀγὼ θνήσκειν ἕτοιμος, εἰ μετ' ἐμὲ σωφρονεῖν μέλλετε. τοιαῦτα τοῦ Ἰωσήπου μετὰ δακρύων ἐμβοῶντος, οἱ στασιασταὶ μὲν οὔτε ἐνέδοσαν, οὔτε ἀσφαλῆ τὴν μεταβολὴν ἔκριναν. ὁ δὲ δῆμος ἐκινήθη πρὸς αὐτομολίαν. καὶ οἱ μὲν τὰς κτήσεις ἐλαχίστου πωλοῦντες, οἱ δὲ τὰ πολυτελέστερα τῶν κειμηλίων, τοὺς μὲν χρυσοῦς ὡς μὴ φωραθεῖεν ὑπὸ τῶν λῃστῶν κατέπινον, ἔπειτα πρὸς τοὺς Ῥωμαίους διαδιδράσκοντες ὁπότε κατενέγκαιεν, εὐπόρουν πρὸς ἃ δέοιντο. διηφίει γὰρ τοὺς πολλοὺς ὁ Τίτος εἰς τὴν χώραν, ὅπου βούλοιτο ἕκαστος. καὶ τοῦτο αὐτὸ μᾶλλον πρὸς αὐτομολίαν παρεκάλει, τῶν μὲν εἴσω κακῶν στερησομένους, μὴ δουλεύσοντας δὲ Ῥωμαίοις. οἱ δὲ περὶ τὸν Ἰωάννην, καὶ τὸν Σίμωνα, παρεφύλαττον τὰς τούτων ἐξόδους πλέον, ἢ τὰς Ῥωμαίων εἰσόδους, καὶ σκιὰν τις ὑπονοίας παρασχὼν μόνον, εὐθέως ἀπεσφάττετο.

Κεφ. κζ. Τοῖς γε μὴν εὐπόροις, καὶ τὸ μένειν πρὸς ἀπώλειαν ἴσον ἦν. προφάσει γὰρ αὐτομολίας, ἀνῃρεῖτό τις διὰ τὴν οὐσίαν. τῷ λιμῷ δὲ ἡ ἀπόνοια τῶν στασιαστῶν συνήκμαζε, καὶ καθ' ἡμέραν ἀμφότερα προσεξεκαίετο τὰ δεινά. φανερὸς μὲν γὰρ οὐδαμοῦ σῖτος ἦν, ἐπεισπηδῶντες δὲ, διηρεύνων τὰς οἰκίας, ἔπειθ' εὑρόντες μὲν, ὡς ἀρνησαμένους ᾐκίζοντο. μὴ εὑρόντες δ' ὡς ἐπιμελέστερον κρύψαντας, ἐβασάνιζον.

aqua mercaretur. nunc autem ita hostibus nostris largi sunt, vt non modò ipsis & iumentis eorum, sed etiam hortis sufficiant. Denique huius prodigij & ante periculum factum est in excidio ciuitatis, quando suprà memoratus Babylonius rex cum exercitu aduenit, qui & captam ciuitatem incendit & templum: quamuis vt opinor nihil tunc illi tantum, quantum vos impiè nunc, commisissent. Itaque sanctis relictis, Deum fugisse putauerim: hísque nunc adesse, quibus cum bellum geritis. An bonus quidem vir domum flagitiosam fugiet, & domesticos oderit: Deum verò malis vestris inhærere arbitramini, qui etiam occulta conspicit, & audit omnia quæ tacentur? Quid autem apud vos tacetur? quid celatur? quid non etiam inimicis planum factum est? Iniquitates enim vestræ velut in promptu neminem latent: inque dies singulos, quis peior sit, certamen habetis. atque ita nequitiam, vt virtutem demonstrare contenditis. Verumtamen reliqua salutis via est, si velitis, & diuinitas confessis ac pœnitentibus solet sese placabilis offerre. Arma proiicite, pudeat vos patriæ iam dirutæ. conuertite oculos, & aspicite eius quam proditis pulchritudinem, quale oppidum, quale templum, quàm multarum gentium munera. Quis in hæc flammas adducit? quis hæc iam non esse desiderat? Et quid est hoc quod saluum esse debeat dignius? ô duri & lapidibus stupidiores. Si hæc non veris luminibus cernitis, saltem familiarum vestrarum misereamini. Versentur in conspectu cuiusque filij, coniuges, & parentes, quos paulò pòst aut bellum, aut fames absumpserit. Scio quia vnà cum his periclitabitur mihi mater & coniunx, & familia non ignobilis, domúsque olim clarissima. Et fortasse propterea me quisquam hæc suadere crediderit. Interficite illos, accipite mercedem salutis vestræ sanguinem meum. Ipse quoque mori paratus sum, si post me resipiscitis. Hæc Iosepho vociferante cum lacrymis, seditiosi quidem neque animos flexerunt, neque tutam sibi mutationem fore iudicauerunt. Populus verò ad profugiendum commotus est, & alij possessionibus suis, alij rebus carissimis exiguo precio venundatis, aureos, ne latrones eos deprehenderent, transglutiebant. cùm verò ad Romanos elapsi fuissent, exonerato ventre habebant vsui necessaria. Titus enim plerosque per agros, quò vellet quisque pergere, dimittebat: idque magis eos ad perfugium hortabatur, quòd & intestinis malis carebant, nec Romanis seruiebant. Ioannes autem & Simon cum sociis, ne his magis pateret exitus, quàm Romanis aditus, obstruebant: & qui vel vmbram suspicionis dedisset, continuò necabatur. Ditioribus quidem manere etiam sicut profugere, par causa erat pereundi: nam quasi transfugere voluisset, propter patrimonium quisque occidebatur. Cum fame autem crescebat desperatio seditiosorum, & in dies singulos vtrunque malum amplius accendebatur. Et palàm quidem nulla erant frumenta, irrumpentes autem scrutabantur domos. Et siquidem inuenissent aliquid, eos qui negauerant verberabant: si verò nihil inuenissent, quasi diligentiùs celauissent, tormentis itidem afficiebant.

Habendi autem argumento erant corpora miserorum, cùm ea quæ solidis viribus starent, abundare putarentur. Tabidi autem transfigebantur: nec rationis esse videbatur, statim fame morituros occidere, multi verò clàm vniuersa bona sua vno frumenti modio qui ditiores essent, itémque pauperes ordei permutarunt. Inclusi deinde intimis ædium tectis, quidam summa penuria infectum triticum comedebant. panem alij conficiebant, vt necessitas metúsque monuisset. Et mensa quidem nusquam apponebatur, sed incoctum subtrahentes igni cibum diripiebant. Miserabilis autem erat victus, dignúmque lacrymis spectaculum, cùm potentiores quidem plus haberent, infirmiores autem iniuriam deplorarent, quippe cùm fames super omnes clades haberetur. Nihil enim sic perdit hominem vt pudor: nam quod reuerentia dignum est, in fame negligitur. Denique vxores viris, & filij parentibus, & quod miserrimum, matres cibum infantibus ex ipso ore rapiebāt: & marcescentibus inter manus carissimis nemo parcebat, quin vitæ guttas auferret. Edentes verò talia non latebant, sed vbique aderant qui ista diriperent. Nam sicubi clausam domum vidissent, eos qui intus erant, cibum capere hoc suspicabantur indicio: statímque ruptis foribus irruebant, victúmque iam contusum dentibus, ex gutture penè reuocabant, ipsos faucibus strangulantes. Pulsabantur autem senes ne cibum defenderent: lacerabantur mulieres, ea quæ haberent in manibus occulentes: nulláque miseratio vel cani erat capitis, vel infantiæ: sed abstractos pueros & ex bucella pendentes, humo allidebant. Si quis autem incurrentes anteuenisset, quódque rapturi fuerant deuorasset, tanquam læsi cruentiores erant. Acerbissimos autem cruciatus excogitabant, dummodo alimenta reperirent: nunc excruciantes genitalium vias, nunc virgis acutis podices transfigendo. horrendáque etiam auditu quis patiebatur: in vnius panis confessionem, & vt vnum pugnum farinæ abditum indicaret. Tortores autem nec esuriebant (minus enim crudele videretur, quòd necessitas impetraret) exercentes autem dementiam suam, sexque sibi dierum commeatum præparantes, hísque occurrentes, qui per Romanorum custodias agrestis oleris herbarúmque gratia colligendarum nocte crepsissent, cùm iam se hostes euasisse crederent, quæ attulissent eripiebant: multúmque supplicantibus, & horribile Dei nomen implorantibus, vt aliquam partem sibi concederent eorum, quæ cum periculo sibi collegissent, nihil penitus dabant: gratúmque videbatur, si spoliati non perirent. Hæc quidem humiliores à satellitibus patiebantur. Honorati verò ac diuites ad tyrannos perducebātur, quorum alij in insidiarum falsò accusati occidebantur, alij quia Romanis proderent ciuitatem. Et plerunque delator subornatus indicabat, quòd profugere voluissent. Si verò quem Simon expilasset, eum ad Ioannem remittebat: & quem Ioannes expoliasset, eum Simon excipiebat: sibíque inuicem propinabant sanguinem popularium, miserorūq; cada-

τεκμήριον δ' ἦν τοῦ τ' ἔχειν καὶ μὴ, τὰ σώματα τῶν ἀθλίων, ὧν οἱ μὲν ἔτι συνεστῶτες, εὐπορεῖν τροφῆς ἐδόκουν. οἱ τηκόμενοι δ' ἤδη παρωδεύοντο, καὶ κτείνειν ἄλογον ἐδόκει, τοὺς ὑπ' ἐνδείας τεθνηξομένους αὐτίκα. πολλοὶ δὲ λάθρα τὰς κτήσεις ἑνὸς ἀντηλλάξαντο μέτρου, πυρῶν μὲν οἱ πλουσιώτεροι τυγχάνοιεν ὄντες, οἱ δὲ πενέστεροι κριθῆς. ἔπειτα κατακλείοντες ἑαυτοὺς εἰς τὰ μυχαίτατα τῶν οἰκιῶν, τινὲς μὲν ὑπ' ἄκρας ἐνδείας ἀνέργαστον τὸν σῖτον ἤσθιον, οἱ δ' ἔπεσσον ὡς ἥτε ἀνάγκη, καὶ τὸ δέος παρῄνει. καὶ τράπεζα μὲν οὐδαμοῦ παρετίθετο, τοῦ δὲ πυρὸς ὑφέλκοντες, ἔτ' ὠμὰ τὰ σιτία διήρπαζον. ἐλεεινὴ δ' ἦν ἡ τροφὴ, καὶ δακρύων ἄξιος ἡ θέα, τῶν μὲν δυνατωτέρων, πλεονεκτούντων· τῶν δὲ ἀσθενῶν ὀδυρομένων. πάντων μὲν δὴ παθῶν ὑπερίσταται λιμὸς, οὐδὲν δ' οὕτως ἀπόλλυσιν ὡς αἰδῶς. τὸ γὰρ ἄλλως ἐντροπῆς ἄξιον, ἐν τούτῳ καταφρονεῖται. γυναῖκες γοῦν ἀνδρῶν, καὶ παῖδες πατέρων, καὶ τὸ οἰκτρότατον μητέρες νηπίων ἐξήρπαζον ἐξ αὐτῶν τῶν στομάτων τὰς τροφὰς, καὶ τῶν φιλτάτων ἐν χερσὶ μαραινομένων, οὐκ ἦν φειδὼ τοὺς τοῦ ζῆν ἀφελέσθαι σταλαγμούς. τοιαῦτα δ' ἐσθίοντες, ὅμως οὐ διελάνθανον, πανταχοῦ δ' ἐφίσαντο οἱ στασιασταὶ, καὶ τούτων ταῖς ἁρπαγαῖς. ὁπότε γὰρ κατίδοιεν ἀποκεκλεισμένην οἰκίαν, σημεῖον ἦν τοῦτο, τοὺς ἔνδον προσφέρεσθαι τροφῆς. εὐθέως δ' ἐξαράξαντες τὰς θύρας εἰσεπήδων, καὶ μόνον οὐκ ἐκ τῶν φαρύγγων ἀναθλίβοντες, τὰς ἀκόλους ἀνέφερον. ἐτύπτοντο δὲ γέροντες ἀντεχόμενοι τῶν σιτίων, καὶ κόμας ἐσπαράττοντο γυναῖκες συγκαλύπτουσαι τὰ ἐν χερσίν. οὐδέ τις ἦν οἶκτος πολιᾶς ἢ νηπίων· ἀλλὰ συνεπαίροντες τὰ παιδία τῶν ψωμῶν ἐκκρεμάμενα, κατέσειον εἰς ἔδαφος. τοῖς δὲ φθάσασι τὴν εἰσδρομὴν αὐτῶν, καὶ προκαταπιοῦσι τὸ ἁρπαγησόμενον, ὡς ἀδικηθέντες ἦσαν ὠμότεροι. δεινὰς δὲ βασάνων ὁδοὺς ἐπενόουν πρὸς ἔρευναν τροφῆς, ὀρόβοις μὲν ἐμφράττοντες τοῖς ἀθλίοις τοὺς τῶν αἰδοίων πόρους, ῥάβδοις δ' ὀξείαις ἀναπείροντες τὰς ἕδρας. τὰ φρικτὰ δὲ καὶ ἀκοαῖς, ἔπασχέ τις εἰς ἐξομολόγησιν ἑνὸς ἄρτου, καὶ ἵνα μηνύσῃ δράκα μίαν κεκρυμμένων ἀλφίτων. οἱ βασανισταὶ δ' οὐκ ἐπείνων, καὶ γὰρ ἧττον ἂν ὠμὸν ἦν τὸ μετ' ἀνάγκης. γυμνάζοντες δὲ τὴν ἀπόνοιαν, καὶ προπαρασκευάζοντες αὑτοῖς, εἰς τὰς ἑξῆς ἡμέρας ἐφόδια. τοῖς δ' ἐπὶ τὴν ῥωμαίων φρουρὰν νύκτωρ ἐξερπύσασιν ἐπὶ λαχάνων συλλογὴν ἀγρίων καὶ πόας, ὑπαντῶντες ὅτ' ἤδη διαπεφευγέναι τοὺς πολεμίους ἐδόκουν, ἀφήρπαζον τὰ κομισθέντα. καὶ πολλάκις ἱκετευόντων, καὶ τὸ φρικτὸν ἐπικαλουμένων ὄνομα τοῦ θεοῦ, μεταδοῦναί τι μέρος αὐτοῖς ὧν κινδυνεύσαντες ἤνεγκαν, οὐδ' ὁποιοῦν μετέδοσαν. ἀγαπητὸν δ' ἦν, τὸ μὴ καὶ προσαπολέσθαι σεσυλημένον. οἱ μὲν δὴ ταπεινότεροι τοιαῦτα πρὸς τῶν δορυφόρων ἔπασχον. οἱ δ' ἐν ἀξιώματι καὶ πλούτῳ, πρὸς τοὺς τυράννους ἀνήγοντο. τούτων οἱ μὲν ἐπιβουλὰς ψευδεῖς ἐπικαλούμενοι, διεφθείροντο, οἱ δ' ὡς προδιδοῖεν ῥωμαίοις τὴν πόλιν. τὸ δ' ἑτοιμότατον ἦν, μηνυτής τις ὑποβλητὸς, ὡς αὐτομολεῖν διεγνωκότων. ὁ δ' ὑπὸ σίμωνος γυμνωθεὶς, πρὸς ἰωάννην ἀνεπέμπετο, καὶ τὸν ὑπὸ ἰωάννου σεσυλημένον, ὁ σίμων μετελάμβανεν. ἀντιπροὔπινον δ' ἀλλήλοις τὸ αἷμα τῶν δημοτῶν, καὶ τὰ πτώ-

ματα

ματα τῶν ἀθλίων διεμερίζοντο. καὶ τοῦ μὲν κρατεῖν, στάσις ἦν ἐν ἀμφοτέροις, τῶν δὲ ἀσεβημάτων ὁμόνοια. καὶ γὰρ ὁ μὴ μεταδοὺς ἐκ τῶν ἀλλοτρίων κακῶν θατέρῳ μονοτρόπως ἐδόκει πονηρός. καὶ ὁ μὴ μεταλαβὼν ὡς ἀγαθοῦ τινὸς, ἤλγει τὸν νοσφισμὸν τῆς ὠμότητος. καθέκαστον μὲν οὖν ἐπεξιέναι τὴν παρανομίαν αὐτῶν, ἀδύνατον. συνελόντα δὲ εἰπεῖν, μήτε πόλιν ἄλλην τοιαῦτα πεπονθέναι, μήτε γενεὰν ἐξ αἰῶνος γεγονέναι κακίας γονιμωτέραν. οἵγε τελευταῖον, καὶ τὸ γένος ἐφαύλιζον τῶν ἑβραίων, ὡς ἧττον ἀσεβεῖς δοκοῖεν πρὸς ἀλλοτρίους. ἐξωμολογήσαντο δὲ ὅπερ ἦσαν, εἶναι δοῦλοι, καὶ σύγκλυδες, καὶ νόθα τοῦ ἔθνους φθάρματα. τὴν μέν γε πόλιν ἀνέτρεψαν αὐτοὶ, ῥωμαίοις δὲ ἄκοντας, ἠνάγκασαν ἐπιγραφῆναι σκυθρωπῷ κατορθώματι, καὶ μόνον οὐχ εἵλκυσαν ἐπὶ τὸν ναὸν βραδῦνον τὸ πῦρ. ἀμέλει καιόμενον ἐκ τῆς ἄνω πόλεως ἀφορῶντες, οὔτε ἤλγησαν, οὔτε ἐδάκρυσαν· ἀλλὰ ταῦτα τὰ πάθη, παρὰ ῥωμαίοις εὑρέθη. καὶ ταῦτα μὲν κατὰ χώραν ὕστερον μετὰ ἀποδείξεως τῶν πραγμάτων ἐροῦμεν.

Κεφ. κη.

Τίτῳ δὲ τὰ μὲν χώματα προὔκοπτε, καί τοι πολλὰ κακουμένων ἀπὸ τοῦ τείχους τῶν στρατιωτῶν, πέμψας δὲ αὐτὸς μοῖραν τῶν ἱππέων ἐκέλευσε τοὺς κατὰ τὰς φάραγγας ἐπὶ συγκομιδῇ τροφῆς ἐξιόντας ἐνεδρεύειν. ἦσαν δέ τινες μὲν καὶ τῶν μαχίμων, οὐκ ἔτι διαρκούμενοι ταῖς ἁρπαγαῖς, τὸ δὲ πλέον ἐκ τοῦ δήμου πένητες, οὓς αὐτομολεῖν ἀπέτρεπε τὸ περὶ τῶν οἰκείων δέος. οὔτε γὰρ λήσεσθαι τοὺς στασιαστὰς ἤλπιζον μετὰ γυναικῶν καὶ παιδίων διαδιδράσκοντες, καὶ καταλιπεῖν ταῦτα τοῖς λησταῖς οὐχ ὑπέμενον ὑπὲρ αὐτῶν σφαγησόμενα. τολμηροὺς δὲ πρὸς τὰς ἐξόδους ὁ λιμὸς ἐποίει. καὶ κατελείπετο λανθάνοντας εἰς τοὺς πολεμίους ἁλίσκεσθαι. λαμβανόμενοι δὲ κατ' ἀνάγκην ἠμύνοντο. καὶ μετὰ μάχην ἱκετεύειν ἄωρον ἐδόκει. μαστιγούμενοι δὴ καὶ προβασανιζόμενοι τοῦ θανάτου πᾶσαν αἰκίαν, ἀνεσταυροῦντο τοῦ τείχους ἀντικρύ. τίτῳ μὲν οὖν οἰκτρὸν τὸ πάθος κατεφαίνετο, πεντακοσίων ἑκάστης ἡμέρας, ἔστι δὲ ὅτε καὶ πλειόνων ἁλισκομένων. οὔτε δὲ τοὺς βίᾳ ληφθέντας ἀφεῖναι ἀσφαλὲς, καὶ φυλάττειν τοσούτους φρουρὰν τῶν φυλαξάντων ἑώρα, τό γε μὴν πλέον οὐκ ἐκώλυε. τάχα δὲ ἂν ἐνδοῦναι πρὸς τὴν ὄψιν ἐλπίσας αὐτοὺς, εἰ μὴ παραδοῖεν ὅμοια πεισομένους. προσήλουν δὲ οἱ στρατιῶται δι' ὀργὴν, καὶ μῖσος τοὺς ἁλόντας, ἄλλον ἄλλῳ σχήματι πρὸς χλεύην, καὶ διὰ τὸ πλῆθος χώρα τε ἐνελείπετο τοῖς σταυροῖς, καὶ σταυροὶ τοῖς σώμασιν. οἱ στασιασταὶ δὲ τοσοῦτον ἀπεδέησαν τοῦ μεταβαλέσθαι πρὸς τὸ πάθος, ὥς τε καὶ τοὐναντίον αὐτοῖς σοφίσασθαι πρὸς τὸ λοιπὸν πλῆθος. σύροντες γὰρ τοὺς τῶν αὐτομόλων οἰκείους ἐπὶ τὸ τεῖχος, καὶ τῶν δημοτῶν τοὺς ἐπὶ πίστιν ὡρμημένους, οἷα πάσχουσιν οἱ ῥωμαίοις προσφεύγοντες ἐπεδείκνυσαν, καὶ τοὺς κεκρατημένους ἱκέτας ἔλεγον οὐκ αἰχμαλώτους. τοῦτο πολλοὺς τῶν αὐτομολεῖν ὡρμημένων μέχρι τἀληθὲς ἐγνώσθη, κατέσχεν εἴσω. ἔνιοι δὲ καὶ παραχρῆμα διέδρασαν, ὡς ἐπὶ βέβαιον τιμωρίαν· ἀνάπαυσιν ἡγούμενοι τὸν ἐκ τῶν πολεμίων θάνατον, ἐν λιμοῦ συγκρίσει. πολλοὺς δὲ καὶ χειροκοπῆσαι κελεύσας τίτος

uera partiebantur. Et dominandi quidem causa erat in vtroque dissensio, scelerum verò concordia. Nam qui ex alienis malis partem alteri, sibi totum vendicans, non dedisset, nequissimus videbatur. Et qui non accepisset, velut boni alicuius damno dolebat, quia crudelitatis parte caruisset. Singillatim quidem iniquitates eorum explanare non potero: vt autem breuiter dicam, neque aliam ciuitatem vnquam talia perpessam puto, neque vllam nationẽ post hominum memoriã malicia ferociorem fuisse. Postremò etiam genti Hebræorum maledicebant, vt minus impij viderentur in alienos. Veruntamen, quod erant, & seruos se, & conuenas & degeneris gentis abortiones esse confessi sunt. Denique ciuitatem ipsi euertêre, & Romanos inuitos hanc tristem admittere victoriam coegêre: tardiúsque venientem in tẽplum ignem penè traxêre. Denique cùm hi ardere superiorem ciuitatem vidissent, neque doluêre, neque illacrymauêre: sed apud Romanos, qui hæc paterentur inuenti sunt. Verùm hæc quidem suo loco postea cum rerum documentis dicemus.

Cap. XII. De Iudæis crucifixis & aggeribus combustis.

Tito autem aggeres proficiebant, quamuis à muro milites malè afficerentur: parte verò equitatus missa, iussit per valles ad alimenta comportanda exeuntibus insidias tẽdi. Erant autem in his nonnulli etiam pugnatores, quibus iam minimè præda sufficeret: maior verò pars ex populo pauperes, quos profugere deterrebat pro affectibus suis metus. nec clàm enim seditiosis fieri posse sperabant, vt cum coniugibus ac liberis diffugerent: cósque latronibus relinquere non patiebantur vice sua iugulandos. Audaciores autem faciebat ad exeundum fames, restabátque iam latitantes egredi, & ab hostibus capi. Deprehensi autem necessitate repugnabant: metu supplicij, feróque videbantur supplicare: post pugnam itaque verberati, & ante mortem modis omnibus excruciati, contra murum cruci suffigebantur. Tito quidem miserabilis videbatur ista calamitas, cùm Iudæi in dies singulos quingenti, nonnunquam etiam plures caperentur. Sed neque captos dimittere tutum erat, tantámque asseruare multitudinem custodum videbat esse custodiam: maximè verò propterea non prohibuit, citius eos existimans ea facie remissuros. tanquam similia passuros, nisi se dedissent. Milites autem diuersis modis suffigebant, ira & odio & ludibrij causa: & propter multitudinem quam cepissent, iam spacium crucibus deerat, & corporibus cruces. Seditiosis verò tantum defuit, vt ea clade mouerentur, quod etiam in contrarium eis cessit, ad deterrendam reliquam multitudinem. Transfugarum enim familiaribus ad murum tractis, & si qui erant popularium proniores ad pacem, & quæ paterentur, qui ad Romanos profugerent, demonstrabant: & qui comprehẽsi tenebantur, eos supplices non captiuos esse dicebant. Ea res multos perfugere cupientium, donec verum cognosceretur inhibuit. Fuerunt autem, qui statim dilapsi sunt, quasi ad verum supplicium properãtes. Illatam enim ab hostibus mortem, comparatione famis requiem esse ducebant. Multis autem captiuorum Titus

etiam manus abscidi præcepit, cósque ad Ioannem & Simonem intromisit, vt propter calamitatem nec viderentur profugi, nec crederentur: saltem nunc desinerent admonens, néve se compellerent ad excidium ciuitatis: sed lucrarentur in extremis mutata voluntate, & proprias animas, & patriam tantam & templú, cuius participem non habebant. simul autem aggeres circumeundo, operantes vrgebat, veluti factis verba non multo pòst secuturus. Ad hæc in muris stantes, & ipsi Cæsari, & patri eius maledicebant, mortémque se contemnere clamabant, eámq. seruituti rectè præferre, multa verò mala Romanis facere dum sperant, nec se nec patriam curantes, vt ipse diceret, perituros: mundúmq. Deo templum hoc melius esse: quamuis & id seruaturus sit, qui incoleret: quem ipsos quoque auxiliatorem habentes, omnibus interminationibus illusuros. quibus facta non adfore: finem.n. Dei esse. Talia conuiciis admiscentes vociferabantur. Et inter hæc Antiochus quoque aderat Epiphanes, multos alios armatos secum ducens, & præterea caterua stipatus qui Macedones appellabantur, omnes ætate pares & paulo maturiores adolescétibus, more Macedonum instructi armis & eruditi. vnde etiam nomen habebant, plerique tamen famam gentis æquare non poterant. Omnium enim regum qui Romanis parebant, felicissimum Comagenum fieri contigit, prius quàm fortuna mutaretur. Ostendit autem ille quoque in senecta ætate, nullum ante mortem beatum dici oportere. Cæterùm filius eius adhuc eo vigente præsens se mirari aiebat, quidnam esset quod Romanos adire pigebat muros. erat enim bellator ipse naturáque promptissimus, tantúsque viribus, vt multum peccaret audacia. Cùm verò Titus ad hoc subrisisset, laborémque communē esse dixisset, sicut erat Antiochus cum Macedonibus in murum impetum fecit. & ipse quidem pro viribus suis ac peritia cauebat tela Iudæorum, sagittis eos appetens: adolescentes autem omnes præter paucos attriti sunt. Nam pudore promissionis diutiùs pugna certauerant, & ad extremum multi saucij recessēre: hoc reputantes, quòd etiam viris Macedonibus vincere cupientibus fortuna opus sit Alexandri. A Romanis enim duodecimo die mensis Maij aggeres inchoati, vix nono & vigesimo perfecti sunt, cū totos dies septem & decē laborassent: ingentes enim quatuor iacti sunt. & vnus quidē, qui erat ad Antoniā, & à quinta legione fuerat extructus, cōtra mediū stagnum, quod Struthium vocatur: alter verò à duodecima viginti cubitis distans. Decima verò legio, quæ suprà memoratis præstat, in Septentrionali parte opus erexerat, vbi stagnum est quod appellatur Amygdalon. Ab hoc autem quintadecima legio triginta discedentem cubitis aggerem fecit ad pontificis monimentum. Iam verò admotis aggeribus, Ioánes subfossa intus terra vsque ad aggeres, Antoniam versus dispositis per caniculum sudibus opera suspendit: illatáque sylua pice ac bitumine illita, igni immittit. succensis autem fulcimentis,

τῶν ἑαλωκότων, ὡς μὴ δοκοῖεν αὐτόμολοι καὶ πιστεύοιντο διὰ τὴν συμφορὰν, εἰσέπεμψε πρὸς τὸν σίμωνα, καὶ τὸν ἰωάννην, νῦν γε ἤδη παύσασθαι παραινῶν, καὶ μὴ πρὸς ἀναίρεσιν τῆς πόλεως αὐτὸν βιάζεσθαι. κερδῆσαι δ' ἐκ τῆς ἐν ὑστάτοις μεταμελείας, τάς τε αὐτῶν ψυχὰς, καὶ τηλικαύτην πατρίδα καὶ ναὸν ἀκοινώνητον ἄλλοις. περιϊὼν δὲ τὰ χώματα τοῖς ἐργαζομένοις ἅμα κατήπειγεν, ὡς οὐκ εἰς μακρὰν ἀκολουθήσειν ἔργοις τῷ λόγῳ. πρὸς ταῦτα αὐτόν τε ἐβλασφήμουν ἀπὸ τοῦ τείχους καίσαρα, καὶ τὸν πατέρα αὐτοῦ. καὶ τοῦ μὲν θανάτου καταφρονεῖν ἐβόων. ᾑρῆσθαι γὰρ αὐτὸν πρὸ δουλείας καλῶς. ἐργάσασθαι δ' ὅσα ἂν δύνωνται κακὰ ῥωμαίους, ἕως ἐμπνέωσι. πατρίδος δ' οὐ μέλλειν τοῖς ὥς αὐτός φησιν ἀπολλυμένοις. καὶ ναοῦ ἀμείνω τούτου τῷ θεῷ, τὸν κόσμον εἶναι. σωθήσεσθαί γε μὴν καὶ τοῦτον ὑπὸ τοῦ κατοικοῦντος, ὃν καὶ αὐτοὶ σύμμαχον ἔχοντες, πᾶσαν χλευάζειν ἀπειλὴν ὑστεροῦσαν ἔργων. τὸ γὰρ τέλος, εἶναι τοῦ θεοῦ. τοιαῦτα τοῖς λοιδορίαις ἀναμίσγοντες ἐκεκράγεσαν.

Κεφ. κθ.

Ἐν δὲ τούτῳ, καὶ ἐπιφανὴς ἀντίοχος παρῆν, ἄλλους τε ὁπλίτας συχνοὺς ἔχων, καὶ περὶ αὐτὸν στῖφος μακεδόνων καλούμενον ἡλικιώτας πάντας ὑψηλοὺς ὀλίγον ὑπὲρ ἀντίπαιδας, τὸν μακεδονικὸν τρόπον ὡπλισμένους τε καὶ πεπαιδευμένους. ὅθεν καὶ τὴν ἐπίκλησιν εἶχον, ὑστεροῦντες οἱ πολλοὶ τοῦ γένους. εὐδαιμονῆσαι γὰρ μάλιστα τῶν ὑπὸ ῥωμαίοις βασιλέων τὸν κομμαγηνὸν συνέβη, πρὶν γεύσασθαι μεταβολῆς. ἀπέφηνε δὲ κἀκεῖνος ἐπὶ γήρως ὡς οὐδένα χρὴ λέγειν πρὸ θανάτου μακάριον. ἀλλ' ὅγε παῖς ἀκμάζοντος αὐτοῦ τηνικαῦτα παρὼν θαυμάζειν ἔφασκε, τί δήποτε ῥωμαῖοι κατοκνοῖεν προσιέναι τῷ τείχει. πολεμιστὴς δέ τις αὐτὸς ἦν, καὶ φύσει παράβολος, κατά γε τὴν ἀλκὴν τοσοῦτος, ὡς ὀλίγῳ τὴν τόλμαν διαμαρτάνειν. μειδιάσαντος δὲ τοῦ τίτου, καὶ κοινὸς ὁ πόνος εἰπόντος ὡς εἶχεν ὥρμησεν ὁ ἀντίοχος μετὰ τῶν μακεδόνων πρὸ τὸ τεῖχος. αὐτὸς μὲν οὖν διά τε ἰσχὺν, καὶ κατ' ἐμπειρίαν, ἐφυλάττετο τὰ τῶν ἰουδαίων βέλη τοξεύων εἰς αὐτούς. τὰ μειράκια δ' αὐτοῦ συνετρίβη πάντα, πλὴν ὀλίγων. διὰ γὰρ αἰδῶ τῆς ὑποσχέσεως, προσεφιλονείκει μαχόμενα, καὶ τέλος ἀνεχώρουν τραυματίαι πολλοὶ συννοοῦντες ὅτι καὶ τοῖς ἀληθῶς μακεδόσιν εἰ μέλλοιεν κρατεῖν, δέοι τῆς ἀλεξάνδρου τύχης.

Κεφ. λ.

Τοῖς δὲ ῥωμαίοις ἀρξαμένοις δωδεκάτῃ μηνὸς ἀρτεμισίου, συνετελέσθη τὰ χώματα μόλις ἐνάτῃ καὶ εἰκάδι, ταῖς δεκαεπτὰ συνεχῶς πονουμένων ἡμέραις. μέγιστα γὰρ ἐχώσθη τὰ τέσσαρα. καὶ θάτερον μὲν τὸ ἐπὶ τὴν ἀντωνίαν ὑπὸ τοῦ πέμπτου τάγματος ἐβλήθη κατὰ μέσον τῆς στρουθίου καλουμένης κολυμβήθρας. τὸ δ' ἕτερον ὑπὸ τοῦ δωδεκάτου διεστῶτος ὅσον εἰς πήχεις εἴκοσι. τῷ δεκάτῳ δὲ τάγματι διέχοντι πολὺ τούτων, κατὰ βόρειον κλίμα τὸ ἔργον ἦν, καὶ κολυμβήθραν ἀμύγδαλον προσαγορευομένην. τούτου δὲ τὸ πεντεκαιδέκατον ἀπὸ τριάκοντα πηχῶν ἔχον κατὰ τὸ ἀρχιερέως μνημεῖον. προσαγομένων δ' ἤδη τῶν ἔργων, ὁ μὲν ἰωάννης ἔνδοθεν ὑπορύξας τὸ κατὰ τὴν ἀντωνίαν μέχρι τῶν χωμάτων, καὶ διαλαβὼν σταυροῖς τοὺς ὑπονόμους, ἀνακρημνησι τὰ ἔργα. πίσσῃ δὲ καὶ ἀσφάλτῳ διακεχρισμένην ὕλην εἰσκομίσας, ἐνίησι πῦρ, καὶ τῶν σταυρῶν ὑποκαέντων ἥτε διώρυξ

διώρυξ ἐνέδωκεν ἀθρόα, καὶ μετὰ μεγίστου ψόφου κατεσείσθη τὰ χώματα εἰς αὐτήν. τὸ μὲν οὖν πρῶτον μετὰ τοῦ κονιορτοῦ καπνὸς ἠγείρετο βαθὺς, πνιγομένου τῷ πλήσματι τοῦ πυρὸς, τῆς δὲ θλιβούσης ὕλης διαβιβρωσκομένης ἤδη καὶ φανερὰ φλὸξ ἐρρήγνυτο. καὶ τοῖς ῥωμαίοις ἔκπληξις μὲν πρὸς τὸ αἰφνίδιον, ἀθυμία δὲ πρὸς τὴν ἐπίνοιαν ἐμπίπτει· καὶ κρατήσειν οἰομένοις, ἤδη τὸ συμβὰν καὶ πρὸς τὸ μέλλον ἔψυξε τὴν ἐλπίδα· τὸ δὲ ἀμύνειν ἀχρεῖον ἐδόκει πρὸς τὸ πῦρ, καὶ εἰ σβεσθείη τῶν χωμάτων καταποθέντων. μετὰ δ' ἡμέρας δύο, καὶ τοῖς ἄλλοις ἐπιτίθενται χώμασιν οἱ περὶ τὸν σίμωνα. καὶ γὰρ δὴ προσαγαγόντες ταύτῃ τὰς ἑλεπόλεις οἱ ῥωμαῖοι, διέσειον ἤδη τὸ τεῖχος. τεφθαῖος δέ τις ἀπὸ γαρσὶς πόλεως τῆς γαλιλαίας, καὶ μεγάσσαρος τῶν βασιλικῶν μαριάμμης θεραπόντων, μεθ' ὧν ἀδιαβηνός τις υἱὸς ναβαταίου, τοὔνομα κληθεὶς ἀπὸ τῆς τύχης, καὶ ἀγείρας, ὅπερ σημαίνει χωλὸς, ἁρπάσαντες λαμπάδας, προσεπήδησαν ἐπὶ τὰς μηχανάς. τούτων τῶν ἀνδρῶν, οὔτε τολμηρότεροι κατὰ τόνδε τὸν πόλεμον, ἐκ τῆς πόλεως ἐφάνησαν, οὐδὲ φοβερώτεροι. καθάπερ γὰρ εἰς φίλους ἐκτρέχοντες, οὐ πολεμίων στῖφος, οὔτε ἔδεισαν, οὔτε ἐμέλλησαν, οὔτε ἀπέστησαν· ἀλλὰ διὰ μέσων ἐκθορόντες τῶν ἐχθρῶν, ὑφῆψαν τὰς μηχανάς. βαλλόμενοι δὲ, καὶ τοῖς ξίφεσιν ἀνωθούμενοι πάντοθεν, οὐ πρότερον ἐκ τοῦ κινδύνου μετεκινήθησαν, ἢ δράξασθαι τῶν ὀργάνων τὸ πῦρ. αἰρομένης δ' ἤδη τῆς φλογὸς, ῥωμαῖοι μὲν ἀπὸ τῶν στρατοπέδων συνθέοντες ἐβοήθουν· ἰουδαῖοι δὲ ἐκ τοῦ τείχους ἐκώλυον, καὶ τοῖς σβεννύειν πειρωμένοις συνεπλέκοντο, κατὰ μηδὲν τῶν ἰδίων φειδόμενοι σωμάτων. καὶ οἱ μὲν εἷλκον τὰς ἑλεπόλεις τῶν ὑπὲρ αὐτὰς γέρρων ἐκ τοῦ πυρὸς φλεγομένων. οἱ δὲ ἰουδαῖοι, καὶ διὰ τῆς φλογὸς ἀντελαμβάνοντο, καὶ τοῦ σιδήρου ζέοντος δρασσόμενοι τοὺς κριοὺς οὐ μεθίεσαν. διέβαινε δ' ἀπὸ τούτων ἐπὶ τὰ χώματα τὸ πῦρ, καὶ τοὺς ἀμύνοντας προελάμβανεν. ἐν τούτῳ δ' οἱ μὲν ῥωμαῖοι κυκλούμενοι τῇ φλογὶ, καὶ τὴν σωτηρίαν τῶν ἔργων ἀπογνόντες, ἀνεχώρουν ἐπὶ τὰ στρατόπεδα. ἰουδαῖοι δὲ προσέκειντο πλείους ἀεὶ γινόμενοι, τῶν ἔνδοθεν προσβοηθούντων, καὶ τῷ κρατεῖν τεθαῤῥηκότες, ἀταμιεύτοις ἐχρῶντο ταῖς ὁρμαῖς. προσελθόντες δὲ μέχρι τῶν ἐρυμάτων, ἤδη συνεπλέκοντο τοῖς φρουροῖς. τάξις ἐστὶν ἐκ διαδοχῆς ἱσταμένη, περὶ τοῦ στρατοπέδου μετὰ τῶν ὅπλων, καὶ δεινὸς ἐπ' αὐτῇ ῥωμαίων νόμος, τὸν ὑποχωρήσαντα καθ' ἣν δήποτ' οὖν αἰτίαν θνήσκειν. οὗτοι τοῦ μετὰ κολάσεως τὸν μετ' ἀρετῆς θάνατον προκρίναντες, ἵστανται. καὶ πρὸς τὴν τούτων ἀνάγκην, πολλοὶ τῶν τραπέντων ἐπεστράφησαν αἰδούμενοι. διαθέντες δὲ καὶ τοὺς ὀξυβελεῖς ἐπὶ τοῦ τείχους, εἶργον τὸ προσγινόμενον πλῆθος ἐκ τῆς πόλεως οὐδὲν εἰς ἀσφάλειαν ἢ φυλακὴν τῶν σωμάτων προνοουμένους. συνεπλέκοντο γὰρ οἱ ἰουδαῖοι τοῖς προστυχοῦσι, καὶ ταῖς ἀκμαῖς ἀφυλάκτως ἐμπίπτοντες, αὐτοῖς σώμασι τοὺς ἐχθροὺς ἔπαιον. οὔτε γὰρ ἔργοις αὐτοὶ πλέον, ἢ τῷ θαῤῥεῖν περιῆσαν. καὶ ῥωμαῖοι τῇ τόλμῃ πλέον εἶκον, ἢ τῷ κακοῦσθαι. παρῆν δ' ἤδη τίτος ἀπὸ τῆς ἀντωνίας ὅπου κεχώριστο, κατασκεπτόμενος τόπον ἄλλοις χώμασι· καὶ πολλὰ τοὺς στρατιώτας φαυλίσας, εἰ κρατοῦντες τῶν πολεμίων τειχῶν κινδυνεύουσι τοῖς ἰδίοις, καὶ πολιορκουμένων ὑπομένουσιν αὐτοὶ τύχην,

A fossa repentè subsedit, cúmque magno sonitu in eam aggeres decidêre. ac primo quidem cum puluere fumus ex alto excitatus est, cùm ignem ruina concluderet. peresa verò materia qua premebatur, flamma iam clarior apparebat. Et Romanos repentini quidem facti stupor occupat: molitionem verò Iudęorum ægrè ferebant, iámque se vicisse credentium & spes eo casu refrixit, & in posterum subuenire aduersus ignem minus vtile videbatur, etiam si B esset extinctus semel aggeribus deuoratis. Biduo verò pòst, alios etiam aggeres Simon cum sociis aggreditur. illa enim parte Romani admotis arietibus concutere murum cœperant. Tephthæus autem quidam ex Garsi ortus, ciuitate Galilææ, & Megassarus ex regalibus famulis Mariamnes, cúmque his Adiabenus quidam, filius Nabatæi, nomen habens ex fortuna Agiras, cuius est interpretatio claudus, raptis facibus in machinas euolarunt. hísque viris C neque audaciores in illo bello extra ciuitatem apparuêre, neque magis horrendi. nam velut in amicos, non in agmen hostium excurrerent, nihil cunctati sunt, aut substitêre: sed per medios inimicos facto impetu, machinas incendêre. acti autem missilibus, & gladiis detrusi, non prius à periculo demoti sunt, quàm ignis instrumenta corriperet. Sublata verò iam flamma, Romani quidē concurrētes è castris, auxilio properabant: Iudæi verò ex muro eos D prohibebant, manúsque cum his conserebant, qui flammas extinguere conarentur propriis corporibus nullo modo parcentes. Et illi quidem arietes igni subtrahere, cùm eorum tegmina cremarentur: Iudæi verò etiam per flammas eos retinere certabant. & quamuis feruens nacti essent ferrum, tamen arietes non amisêre. Hinc autem flamma transiit in aggeres, & auxiliātes præueniebat incendium. Itaque Romani flamma circūdati, quoniam seruare posse E opera desperabant, in castra discedunt. Iudæi verò magis instabant, cùm semper eorum numerus cresceret, ex ciuitate accedentibus adiumentis, minúsque cautos haberent impetus, freti victoria. progressi autem vsque ad munimenta castrorum prælio cum eorum custodibus decertabant. Est enim statio pro castris per vices succedentium armatorum, & acerbissima in eos sanctio Romanorum, vt qui loco de qualibet causa cessisset, occideretur. hi pœnali F exitio gloriosa morte prælata, steterunt fortiter: eorúmque necessitate simul ac pudore, plurimi fugientium redierunt: balistísque in muro dispositis ex ciuitate accedentem multitudinem prohibebāt, nihil pro cautione siue tutamine suorum corporum prouidentem. nam quoscunque obuios habuissent, cum his congrediebantur Iudæi: & in spicula irruentes incautè, ipsis corporibus inimicos feriebant. Sed neque hi actis magis quàm fiducia superabāt, G & Romani plus audaciæ quàm quod malè tractarentur, cedebāt. Iā verò Titus aderat ab Antonia, quò secesserat, locū aliis aggerib. prospiciens: multúmq. increpatis militibus, si cū hostiū muros obtinerent, in suis periclitarentur,

& velut ex carcere cōtra se dimissis Iudæis, obsessorū paterētur ipsi fortunā, ipse cū electis militibus hostes à latere circumuenit, illi autē cū in ora ferirētur, contra eū conuersi durabant. mixta verò acie, puluis quidē lumina, clamor verò aures exuperabat, neq. aut amicū quisquā internoscere poterat, aut inimicū. Iudæis autē non tātū viriū fiducia, quantum salutis desperatione perseuerantibus, etiam Romanos pudor armorum & gloriæ, & præsentia periclitātis Cęsaris reddidit fortiores. Itaq. putauerim B eos ad extremū nimia ferocitate animorū, vel totam multitudinē Iudæorum fuisse rapturos, nisi præuento pugnæ momento, in ciuitatē se recepissent. Corruptis autem aggeribus Romani mœrore tenebantur, quòd tam longū laborem vna hora perdidêre, & multi quidē solutis machinis captū iri ciuitatem iam desperabāt.

Cap. XIII. De muro extructo ab exercitu Romano circū Hierosolymam triduo.

Titus autē cum ducibus quid fieret deliberabat. Et calidioribus quidē placebat, omni admoto milite vi muros experiri: adhuc e- C nim Iudæos cū exercitus parte dimicasse, vniuersi verò militis impetum tolerare non posse, verùm sagittis esse obruendos. Prudētiores autem rursus aggeres fieri suadebant: alij & sine aggeribus assideri, egressus eorū tantummodo obseruando, ac ne victus intro ferretur monebant, & ciuitatē fami relinquere, neq. cum hoste manu cōfligere: nec. n. expugnari eorū confidentiam posse, quibus optatū est ferro procūbere, vel etiā sine hoc interficere, quę sęuior est D cupiditas. Ipsi autem Tito, cessare quidē prorsus tanto cū exercitu, honestū non videbatur: & pugnare cū his superuacuū, qui semetipsos perdituri essent. Aggeres autē fieri, impendiorū penuria operosum iudicabat, egressus verò ciuitatis obseruari, operosius. Nec enim circundari eā propter magnitudinē locorúmq. difficultatē, ab exercitu posse, & præterea ad excursus incautū: cōtra manifestam. n. viam obseruatam, occultas vias excogitaturos Iudæos, tā ne- E cessitate quàm locorū scientia. Si quid autē clā esset illatū, diutiùs obsidionem trahendā, verēdúmq. ne victoriç gloriam diminuat temporis longitudo. Hæc. n. cuncta quidem effici posse, sed celeritatē ante gloriam duci: debere tamen si celeritate vti velit & cautione, totā muro cingere ciuitatē. Hoc. n. modo omnes exitus posse præcludi: & Iudæos aut omnibus modis salute desperata, ciuitatē tradituros, aut fame victos facillimè capiēdos. aliter. n. se nō posse quiesce- F re. Verū & aggeres curaturū esse, cū infirmiores habeat, qui prohibeāt. Quod si cuiquā magnū op⁹ & inextricabile videatur, eū cōsiderare debere, q̄ neq. paruū opus Romanos deceat facere: & sine labore magnum quid perficere, ne Deo quidem facile sit. His dictis duces exhortatus, iubet eos exercitus in opera distribuere. Diuinus autē quidā impetus militib. incidit: ambitúmq. partiti, nō solū rectores inter se, verùm ipsi etiam ordines certabant. Et miles quidem G decadarcho, decadarchus autem hecatōtarcho, ísq. chiliarcho placere properabat: chiliarchorum verò ostentatio ad duces vsq. pertinebat,

ὥσπερ ἐκ δεσμωτηρίου καθ' αὐτῶν ἰουδαίοις ἀνέντες, περιήει μετὰ τῶν ἐπιλέκτων κατὰ πλευρὰ τοὺς πολεμίους αὐτός. οἱ δὲ κατὰ στόμα παιόμενοι, καὶ πρὸς τοῦτον ἐπιστραφέντες ἐκαρτέρουν. μιγείσης δὲ τῆς παρατάξεως, ὁ μὲν κονιορτὸς τῶν ὀμμάτων, ἡ κραυγὴ δὲ τῶν ἀκοῶν ἐπεκράτει, καὶ οὐδ' ἑτέρω παρῆν ἔτι τεκμήρασθαι τὸ ἐχθρὸν, ἢ τὸ φίλον. ἰουδαίων δ' οὐ τοσοῦτον ἔτι κατ' ἀλκὴν, ὅσον ἀπογνώσει σωτηρίας παραμενόντων, καὶ ῥωμαίοις ἐπέτεινεν αἰδὼς δόξης τε καὶ τῶν ὅπλων, καὶ προκινδυνεύοντος καίσαρος. ὥστε μοι δοκοῦσι τὰ τελευταῖα δι' ὑπερβολὴν θυμῶν, κἂν ὅλον ἁρπάσαι τὸ τῶν ἰουδαίων πλῆθος, εἰ μὴ τὴν ῥοπὴν τῆς παρατάξεως φθάσαντες, ἀνεχώρησαν εἰς τὴν πόλιν. διεφθαρμένων δὲ τῶν χωμάτων, ῥωμαῖοι μὲν ἦσαν ἐν ἀθυμίαις, τὸν μακρὸν κάματον ἐπὶ μιᾶς ὥρας ἀπολέσαντες. καὶ πολλοὶ μὲν ταῖς συνήθεσι μηχαναῖς ἀπήλπιζον ἁλώσεσθαι τὴν πόλιν.

Κεφ. λα.

Τίτος δὲ μετὰ τῶν ἡγεμόνων ἐβουλεύετο. καὶ τοῖς μὲν θερμοτέροις, πᾶσαν ἐδόκει προσαγόντα τὴν δύναμιν, ἀποπειρᾶσθαι τοῦ τείχους βίᾳ. μέχρι μὲν γὰρ νῦν κατάσπασμα ἰουδαίοις τῆς στρατιᾶς συμπεπλέχθαι· προσιόντων δὲ ἀθρόων, οὐδὲ τὴν ἔφοδον οἴσειν, καταχωσθήσεσθαι γὰρ ὑπὸ τῶν βελῶν. τῶν δὲ ἀσφαλεστέρων, οἱ μὲν καὶ τὰ χώματα ποιεῖν πάλιν· οἱ δὲ καὶ δίχα τούτων προσκαθέζεσθαι μόνον παραφυλάττοντας, τάς τε ἐξόδους αὐτῶν, καὶ τὰς εἰσκομιδὰς τῶν ἐπιτηδείων παρῄνουν, καὶ τῷ λιμῷ καταλιπεῖν τὴν πόλιν, μηδὲ συμπλέκεσθαι κατὰ χεῖρα τοῖς πολεμίοις. ἄμαχον γὰρ εἶναι τὴν ἀπόγνωσιν, οἷς εὐχὴ μὲν τῷ σιδήρῳ πεσεῖν, ἀπόκειται δὲ καὶ δίχα τούτου, πάθος χαλεπώτερον αὐτῷ δὲ τὸ μὲν ἀργεῖν καθόλου μετὰ τοσαύτης δυνάμεως, οὐκ ἐδόκει πρέπειν, καὶ τὸ μάχεσθαι περιττὸν, πρὸς ἀλλήλων φθαρησομένοις. βάλλεσθαι δὲ χώματα, δύσεργον ἀπέφαινεν, ὕλης ἀπειρίᾳ, καὶ τὸ παραφυλάττειν τὰς ἐξόδους, δυσεργότερον. κυκλώσασθαί τε γὰρ τῇ στρατιᾷ τὴν πόλιν, διὰ μέγεθος καὶ δυσχωρίαν, οὐκ εὐμαρὲς εἶναι, καὶ σφαλερὸν ἄλλως πρὸς τὰς ἐπιθέσεις τῶν δὲ φανερῶν φυλαττομένων, ἀφανεῖς ἐπινοεῖσθαι ἰουδαίοις ὁδοὺς, κατά τε ἀνάγκην καὶ δι' ἐμπειρίαν. εἰ δέ τι λάθρα παρεισκομισθήσοιτο, χρονιωτέραν ἔσεσθαι πλείω τῇ πολιορκίᾳ, δεδιέναι τε μὴ τὴν δόξαν τοῦ κατορθώματος αὐτῷ τὸ μῆκος ἐλαττώσῃ τοῦ χρόνου. τοῦτο γὰρ εἶναι πᾶν ἀνύσιμον. πρὸς δὲ τῆς εὐκλείας τὸ τάχος. δεῖν μέν γε εἰ καὶ τῷ τάχει μετ' ἀσφαλείας βούλοιτο χρήσασθαι, περιτειχίζειν ὅλην τὴν πόλιν. μόνως γὰρ οὕτως ἂν πάσας ἀποφράξαι τὰς ἐξόδους, καὶ ἰουδαίους ἢ πρὸς ἅπαντα ἀπογνόντας τὴν σωτηρίαν, παραδώσειν τὴν πόλιν, ἢ λιμώττοντας χειρωθήσεσθαι ῥᾳδίως. οὐδὲ γὰρ ἠρεμήσειν αὐτὸς ἄλλως. ἀλλὰ καὶ τῶν χωμάτων ἐπιμελήσεσθαι πάλιν, χρώμενον τοῖς κωλύουσιν ἀτονωτέροις. εἰ δέ τῳ μέγα δοκεῖ καὶ δυσήνυτον τὸ ἔργον, χρῆναι σκοπεῖν, ὡς οὔτε ῥωμαίοις τι μικρὸν ἐνεργεῖν πρέπει, καὶ δίχα πόνου κατορθοῦν τι τῶν μεγάλων οὐδενὶ ῥάδιον, ἀλλ' ἢ θεῷ μόνῳ. τούτοις πείσας τοὺς ἡγεμόνας, διανέμειν ἐκέλευσε τὰς δυνάμεις ἐπὶ τὸ ἔργον. ὁρμὴ δέ τις ἐμπίπτει δαιμόνιος τοῖς στρατιώταις, καὶ μερισαμένων τὸν περίβολον, οὐ μόνον πρὸς τὰ τάγματα ἦν ἔρις, ἀλλὰ καὶ τῶν ἐν αὐτοῖς τάξεων πρὸς ἀλλήλας. καὶ στρατιώτης μὲν δεκαδάρχην, δεκαδάρχης δὲ ἑκατοντάρχην, οὗτος δὲ ἐσπούδαζεν ἀρέσασθαι χιλίαρχον· τῶν δὲ χιλιάρχων ἐπὶ τοὺς ἡγεμόνας ἔτεινεν ἡ φιλοτιμία, καὶ τῶν ἡγεμόνων τὴν ἅμιλλαν, ἐβρα-

ἐβράβευεν ὁ καῖσαρ. περιιὼν γὰρ αὐτὸς ἑκάστης ἡμέρας πολλάκις, ἐπεσκόπει τὸ ἔργον. ἀρξάμενος δ' ἀπὸ τῆς ἀσσυρίων παρεμβολῆς, καθ' ἣν αὐτὸς ἐστρατοπεδεύσατο, ἐπὶ τὴν κατωτέρω καινόπολιν, ἦγε τὸ τεῖχος. ἔνθεν διὰ τοῦ κεδρῶνος ἐπὶ τὸ ἐλαιῶν ὄρος, εἶτα ἀνακάμπτων κατὰ μεσημβρίαν περιλαμβάνει τὸ ὄρος, ἄχρι τῆς περιστερεῶνος καλουμένης πέτρας, τόν τε ἑξῆς λόφον ὃς ἐπίκειται τῇ κατὰ τὴν σιλωὰμ φάραγγι, κἀκεῖθεν ἐκκλίνας πρὸς δύσιν, εἰς τὴν τῆς πηγῆς κατῄει φάραγγα. μεθ' ἣν ἀναβαίνων κατὰ τὸ ἀνάνου τοῦ ἀρχιερέως μνημεῖον, καὶ διαλαβὼν τὸ ὄρος, ἔνθα πομπήϊος ἐστρατοπεδεύσατο, πρὸς κλίμα βόρειον ἐπέστρεφε. καὶ προσελθὼν μέχρι κώμης (ἐρεβίνθων οἶκος καλεῖται) καὶ μετ' ἐκείνην τὸ ἡρώδου μνημεῖον περισχὼν κατ' ἀνατολὴν τῷ ἰδίῳ στρατοπέδῳ συνῆπτεν ὅθεν περ ἤρξατο. τὸ μὲν οὖν τεῖχος ἑνὸς δέοντος τεσσαράκοντα σταδίων ἦν, ἔξωθεν δ' αὐτῷ προσῳκοδομήθη τρισκαίδεκα φρούρια· καὶ τούτων οἱ κύκλοι δέκα συνηριθμοῦντο σταδίων. τρισὶ δ' ᾠκοδομήθη τὸ πᾶν ἡμέραις. ὡς τὸ μὲν ἔργον, μηνῶν εἶναι ἄξιον, τὸ δὲ τάχος ἡττῆσθαι πίστεως. περικλείσας δὲ τῷ τείχει τὴν πόλιν, καὶ δύναμιν τοῖς φρουρίοις ἐγκαταστήσας, τὴν μὲν πρώτην φυλακὴν τῆς νυκτὸς περιιὼν αὐτὸς ἀπεσκέπτετο· τὴν δευτέραν δ' ἐπέτρεψεν ἀλεξάνδρῳ, τὴν τρίτην δ' ἔλαχον οἱ τῶν ταγμάτων ἡγεμόνες. διεκληροῦντο δ' οἱ φύλακες τοὺς ὕπνους, καὶ δι' ὅλης νυκτὸς περιῄεσαν κατὰ διαστήματα τῶν φρουρίων.

Κεφ. λδ. Ἰουδαίοις δὲ μετὰ τῶν ἐξόδων, ἀπεκόπη πᾶσα σωτηρίας ἐλπὶς, καὶ βαθύνας ἑαυτὸν ὁ λιμὸς κατ' οἴκους καὶ γενεὰς τὸν δῆμον ἐπεβόσκετο. καὶ τὰ μὲν τέγη πεπλήρωτο γυναικῶν καὶ βρεφῶν λελυμένων· οἱ στενωποὶ δὲ γερόντων νεκρῶν. παῖδες δὲ καὶ νεανίαι διοιδοῦντες ὥσπερ εἴδωλα κατὰ τὰς ἀγορὰς ἀνειλοῦντο· καὶ κατέπιπτον, ὅπη τινὰ τὸ πάθος καταλαμβάνοι. θάπτειν δὲ τοὺς προσήκοντας, οὔτε ἴσχυον οἱ κάμνοντες, καὶ τὸ διευτονοῦν, ὤκνει διά τε τὸ πλῆθος τῶν νεκρῶν, καὶ τὸ κατὰ σφᾶς ἄδηλον. πολλοὶ γοῦν τοῖς ὑπ' αὐτῶν θαπτομένοις ἐπαπέθνησκον. πολλοὶ δ' ἐπὶ τὰς θήκας, πρὶν ἐπιστῆναι τὸ χρεὼν προῆλθον. οὔτε δὲ θρῆνος ἐν ταῖς συμφοραῖς, οὔτ' ὀλοφυρμὸς ἦν, ἀλλ' ὁ λιμὸς ἤλεγχε τὰ πάθη. ξηροῖς γὰρ τοῖς ὄμμασι, καὶ σεσηρόσι τοῖς στόμασιν οἱ δυσθανατοῦντες, ἐφεώρων τοὺς φθάσαντας ἀναπαύσασθαι. βαθεῖα δὲ τὴν πόλιν περιεῖχε σιγὴ, καὶ νὺξ θανάτου γέμουσα, καὶ τούτων οἱ λῃσταὶ χαλεπώτεροι. τυμβωρυχοῦντες γὰρ τὰς οἰκίας, ἐσύλων τοὺς νεκροὺς, καὶ τὰ κατακαλύμματα τῶν σωμάτων περισπῶντες, μετὰ γέλωτος ἐξῄεσαν, τάς τε αἰχμὰς τῶν ξιφῶν ἐδοκίμαζον ἐν τοῖς πτώμασι. καί τινας τῶν ἐρριμμένων ἔτι ζῶντας διήλαυνον ἐπὶ πείρᾳ τοῦ σιδήρου. τοὺς δ' ἱκετεύοντας χρῆσαι σφίσι δεξιὰν καὶ ξίφος, τῷ λιμῷ κατέλιπον ὑπερηφανοῦντες. καὶ τῶν ἐκπνεόντων ἕκαστος ἀτενίσας εἰς τὸν ναὸν, ἀφεώρα τοὺς στασιαστὰς ζῶντας ἀπολιπών. οἱ δὲ τὸ μὲν πρῶτον ἐκ τοῦ δημοσίου θησαυροῦ τοὺς νεκροὺς θάπτειν ἐκέλευον, τὴν ὀσμὴν οὐ φέροντες· ἔπειθ' ὡς οὐ διήρκουν, ἀπὸ τῶν τειχῶν ἐρρίπτουν εἰς φάραγγας. περιιὼν δὲ ταύτας ὁ τίτος ὡς ἐθεάσατο πεπλησμένας τῶν νεκρῶν, καὶ βαθὺν ἰχῶρα μυδώντων ὑπορρέοντα τῶν σωμάτων,

A ducum verò certamina Cæsar ipse diiudicabat. In dies enim singulos circuiens, opus sæpissime inspiciebat. Cœptum enim à castris Assyriorum, vbi ipse tendebat, ad inferiorem Cænopolim murum duxit. Hinc per Cedronem ad Elcôn montem reuertens, à meridie montem complectitur, vsque ad saxum quod Peristereonos vocatur, eique proximum collem, qui super vallem imminet Siloam, ac inde ad Occidentem flexo ædificio, ad vallem B fontis descendit. Hinc subiens ad Anani pontificis monumentum, circundato monte, vbi Pompeius castra posuerat, ad Septentrionalem redit regionem. Et cùm præcessisset ad vicum, cui nomen est Erebinthonicus, post illum Herodis monumentum ab Oriente clausum castris suis coniunxit, vnde cœperat. Murus quidem vno minus XL. stadiorum erat. Ad hoc autem foris castella tredecim ædificata sunt: eorum gyrus denis stadiis numerabatur. To- C tum autem opus triduo constructum est, vt id quidem dignum mensibus videretur, celeritas verò fide careret. Muro autem circunclusa ciuitate, per castella custodibus collocatis, primam quidem vigiliam noctis ipse circuiens explorabat: secundam verò Alexandro permiserat: tertia verò obtigit legionum ducibus. Somnos autem vigiles inter se sortiebantur, totáque nocte per castellorum spacia circuibant.

D Iudæis autem cum exeundi facultate, omnis etiam spes salutis adempta est: auctáque iam fames, totas domos ac familias depascebatur. Et tecta quidem plena erant mulieribus exanimatis, atque infantibus: viarum autem angusta senibus mortuis. Adolescentes autem ac iuuenes turgidi, velut vmbræ mortuorum, per fora versabatur: & vbi quem casus occupauerat, decidebant. Sepelire autem funera, neque poterant præ labore, & eos E quibus aliqua vis supererat, pigebat, & propter multitudinem mortuorum, & quòd de ipsis erat incertum. Denique super eos quos sepelierant, multi moriebantur. Multi autem ad sepulchra, priusquam fati dies veniret, & viui properabant: neque luctus in illis calamitatibus, neque fletus erat, sed fame superabantur affectus. Siccis autem oculis, & corruptis oribus, qui tardiùs morerentur, eos qui ante se requiescerent, tuebantur. Altum verò silen- F tium ciuitatem, plenáque mortuis nox comprehenderat, & latrones his acerbiores. domos enim, quæ tum sepulchra erant, & cadauera spoliabant, & velamina corporibus detrahentes, cum risu egrediebantur. hísque gladiorum mucrones probabant: nonnullósque iacentium adhuc spirantes, ferro experiendi causa transuerberabant. Si quis autem manum rogasset aut ferrum sibi commodari, quo famem euaderet, superbissimè negligebatur. Animas G verò efflantium quisque, in morte templum obtutibus intuebatur, cùm viuos relinqueret seditiosos. Illi autē, primo quidem sumptu publico iubebant mortuos sepeliri, cùm fœtorem ferre nō possent: deinde quod nō sufficiebāt, in valles eos ex muro præcipitabant. Quas circuiens Titus vbi plenas cadaueribus vidit, altámque saniem tabefactis corporib. defluentē,

Cap. XIIII. De fame Hierosolymorum & secũdo aggere extructo.

ingemuit: & extentis manibus Deum testabatur, factum illud suum non esse. Ciuitas quidem ita erat affecta. Romani verò, cùm iam nemo seditiosorum auderet excurrere (nam etiam eos mœror, famésque tangebat) dies lætos agebant: frumenti, aliarúmque rerum necessariarum habentes copiam de Syria proximísque prouinciis, multi autem iuxta murum stantes, magnámque alimentorum abundantiam demonstrantes, satietate sui famem hostium incendebat. Seditiosis autem nihilo magis calamitate cedentibus, Titus reliquias populi miseratus, & properans saltem hoc liberare quod superest, iterum aggeres inchoabat, quanquam difficulter materiam reperiret. omnes enim ciuitati proximas syluas, opera prima consumpserant. à nonagesimo verò stadio milites alias congerebant: & Antoniam ad solam ex quatuor partibus, maiores prioribus aggeres struebantur. Cæsar autem agmina circuiens, atque opus vrgens, quod in manibus eos haberet latronibus ostendebat. Sed illis pœnitudo planè perierat: & anima ac corporibus separati, vtrisque velut alienis vtebantur. Nec enim vel animas affectio mansueta, vel corpora dolor tangebat, qui etiam mortuam plebem, quasi canes lacerabant, replebántque languentibus carcerem.

Cap. XV. De cæde Iudæorum intra & extra Hierosolymam.

Denique Simon Matthiam, per quem obtinuerat ciuitatem, excruciatũ peremit. Boethi filius erat, ex pontificibus populo maximè fidelis & carus. Is, cùm à Zelotis malè populus tractaretur, quibus iam Ioannes accesserat, vt adiutorem Simonem reciperet, populo persuasit: nulla cum eo priùs habita pactione, nec aliquid mali metuens. Ingressus autem ille, postquam obtinuit ciuitatem, inimicum eum æquè atque alios esse dicebat, qui pro se consilium dederat, velut hoc simplicitate suasisset: productúmque eum & accusatum, quòd cum Romanis sentiret, morte damnauit, ne purgationis quidem ei facultate concessa, cum tribus filiis suis. quartus enim ad Titum antè profugerat. Priùs autem se occidi, quàm filios obsecrantem, atque hanc pro illa, quod ciuitatem ei aperuisset, gratiam postulantem, vt augeret eius dolorem, nouissimum iussit interfici. Ille quidem super cæsos in cõspectu suo filios iugulatur, coram Romanis productus: ita n. Simon Anano Bamadi filio præceperat, qui erat eius satellitum crudelissimus, cauillatus si quid cũ iuuarent, ad quos exire voluisset, corpora verò sepeliri prohibuit. Post hos Ananias quidã, pontifex, filius Mesbali, nobilis, & scriba curiæ, vir fortis, ex Ammaunte genus ducens, & cum his quindecim ex populo clariores necantur. Iosephi verò patrẽ conclusum asseruabant: missóque præcone denunciant, ne quis in ciuitate degentiũ vel colloqueretur cum eo, vel in vnum veniret, proditionis metu proposito: & eos qui hæc cum illo deflerent, ante quæstionem perimebant. Ista videns quidam Iudas filius Iudæ vnus ex numero præfectorum Simonis, qui turrim ab eo sibi creditam custodiebat, fortasse quidem nonnihil etiam misericordia crudeliter percũtium, magis autem sui prouidẽtia, conuocatis decem fidissimis contubernalium: quousque

στενάξας, καὶ τὰς χεῖρας ἀνατείνας, κατεμαρτύρετο τὸν θεὸν, ὡς οὐκ εἴη τὸ ἔργον αὐτοῦ. τὰ μὲν δὴ κατὰ τὴν πόλιν εἶχεν οὕτως. ῥωμαῖοι δὲ μηδενὸς ἔτι τῶν στασιαστῶν ἐκτρέχοντος, (ἤδη γὰρ καὶ τούτων ἀθυμία καὶ λιμὸς ἐφήπτετο,) ἐπ᾽ εὐθυμίαις ἦσαν,) σίτου τε ἀφθονίαν καὶ τῶν ἄλλων ἐπιτηδείων ἐκ τῆς συρίας, καὶ τῶν ἄλλων τῶν πλησίον ἔχοντες, ἱστάμενοι δὲ ἐπὶ πολὺ τοῦ τείχους πλησίον, καὶ πολὺ πλῆθος τῶν ἐδωδίμων ἐπιδεικνύμενοι, τῷ καθ᾽ σφᾶς κόρῳ, τὸν λιμὸν τῶν πολεμίων ἐξέκαιον. πρὸς δὲ τὸ πάθος τῶν στασιαστῶν μηδὲν ἐνδιδόντων, Τίτος οἰκτείρων τὰ λείψανα τοῦ δήμου, καὶ σπουδάζων τὸ γοῦν περιὸν ἐξαρπάσαι, πάλιν ἤρχετο χωμάτων, χαλεπῶς αὐτῷ τῆς ὕλης πορίζομένης. ἡ μὲν γὰρ περὶ τὴν πόλιν πᾶσα τοῖς προτέροις ἔργοις ἐκέκοπτο, συνεφόρουν δ᾽ ἄλλην ἀπ᾽ ἐνενήκοντα σταδίων οἱ στρατιῶται, καὶ πρὸς μόνης ὕψουν τῆς ἀντωνίας κατὰ μέρη τέσσαρα πολὺ μείζονα τῶν προτέρων χώματα. περιιὼν δ᾽ ὁ καῖσαρ τὰ τάγματα, καὶ κατεπείγων τὸ ἔργον ἐπεδείκνυ τοῖς λῃσταῖς, ὡς ἐν χερσὶν εἴησαν αὐτοῦ. μόνοις δ᾽ ἐκείνοις ἄρα κακῶν ἀπολώλει μεταμέλεια, καὶ τὰς ψυχὰς χωρίσαντες ἀπὸ τῶν σωμάτων, ἀμφοτέροις ὡς ἀλλοτρίοις ἐχρῶντο. οὔτε γὰρ πάθος αὐτῶν ἥμερον τῆς ψυχῆς, οὔτε ἀλγηδὼν ἥπτετο τοῦ σώματος, οἵ γε καὶ νεκρὸν τὸν δῆμον ὥσπερ κύνες ἐσπάραττον, καὶ τὰ δεσμωτήρια τῶν ἀρρώστων ἐνεπίπλασαν. Σίμων γοῦν οὐδὲ ματθίαν δι᾽ ὃν κατέσχε τὴν πόλιν ἀβασάνιστον ἀνεῖλε. βοηθοῦ παῖς ἦν οὗτος ἐκ τῶν ἀρχιερέων ἐν τοῖς μάλιστα τῷ δήμῳ πιστὸς, καὶ τίμιος· ὃς ὑπὸ τοῖς ζηλωταῖς κακουμένου τοῦ πλήθους, οἷς ἤδη καὶ ἰωάννης προσῆν, πείθει τὸν δῆμον εἰσαφεῖναι τὸν σίμωνα βοηθὸν, οὐδὲν οὔτε προσσυνθέμενος, οὔτε προσδοκήσας φαῦλον ἐξ αὐτοῦ. παρελθὼν δ᾽ ἐκεῖνος ὡς ἐκράτησε τῆς πόλεως, ἐχθρὸν ἐν ἴσῳ τοῖς ἄλλοις ἡγεῖτο, καὶ τὸν ὑπὲρ αὐτοῦ σύμβουλον, ὡς ἂν ἐξ ἁπλότητος γεγενημένον. ἀχθέντα δὲ τηνικαῦτα καὶ κατηγορούμενον τὰ ῥωμαίων φρονεῖν, κατακρίνει μὲν θανάτῳ, μηδὲ ἀπολογίας ἀξιώσας σὺν τρισὶν υἱοῖς. ὁ γὰρ τέταρτος ἔφθη διαδρὰς πρὸς Τίτον. ἱκετεύοντα δ᾽ ἀναιρεθῆναι πρὸ τῶν τέκνων, καὶ ταύτην αἰτούμενον τὴν χάριν ἀνθ᾽ ὧν ἀνοίξειεν αὐτῷ τὴν πόλιν, τελευταῖον ἀνελεῖν ἐκέλευσεν. ὁ μὲν οὖν ἐν ὄψει φονευθεὶς, ἐναπεσφάγη τοῖς παισὶν ἀντικρὺς τῶν ῥωμαίων προαχθείς. οὕτω γὰρ ὁ σίμων ἀνάνῳ τῷ βαμάδου προσέταξεν, ὃς ἦν ὠμότατος αὐτοῦ δορυφόρων, ἐπειρωνευόμενος εἴ τι βοηθήσουσιν αὐτῷ, πρὸς οὓς ἐξελθεῖν εἵλετο. θάπτειν τε ἀπεῖπε τὰ σώματα. μετὰ τούτοις ἱερεύς τις ἀνανίας υἱὸς μασβάλου τῶν ἐπισήμων, καὶ ὁ γραμματεὺς τῆς βουλῆς ἀριστεὺς, γένος ἐξ ἀμμαοῦς, καὶ σὺν τούτοις πεντεκαίδεκα τῶν ἀπὸ τοῦ δήμου λαμπρῶν, ἀναιροῦνται. τὸν δὲ τοῦ ἰωσήπου πατέρα συγκλείσαντες, ἐφύλαττον. κηρύττουσι δὲ μηδένα τῶν κατὰ τὴν πόλιν, μήτε συνομιλεῖν, μήτε ἐπὶ τὸ αὐτὸ συναθροίζεσθαι, δέει προδοσίας, καὶ τοὺς συνολοφυρομένους, πρὸ ἐξετάσεως ἀνῄρουν. Ταῦτα ὁρῶν ἰούδης τις υἱὸς ἰούδου, τῶν ὑπάρχων τοῦ σίμωνος εἷς ὢν, καὶ πεπιστευμένος ὑπ᾽ αὐτοῦ πύργον φυλάττειν, τάχα μέν τι καὶ οἴκτῳ τῶν ὠμῶς ἀπολλυμένων, τὸ δὲ πλέον ἑαυτοῦ προνοίᾳ, συγκαλέσας τοὺς πιστοτάτους τῶν ὑπ᾽ αὐτοῦ δέκα, μέχρι τινὸς

Κεφ. λγ.

Κεφ. λδ.

τίνος ἀνθεξόμεθα, ἔφη, τοῖς κακοῖς; ἢ τίνας σωτηρίας ἔχομεν ἐλπίδας πιστοὶ πονηρῷ μένοντες; οὐχ ὁ μὲν λιμὸς ἤδη καθ᾽ ἡμῶν; ῥωμαῖοι δὲ παρὰ μικρὸν ἔνδον, σίμων δὲ καὶ πρὸς εὐεργέτας ἄπιστος; καὶ δέος μὲν ἤδη παρ᾽ αὐτοῦ κολάσεως. ἡ δὲ παρὰ ῥωμαίοις δεξιὰ βέβαιος. φέρε παραδόντες τὸ τεῖχος, σώσωμεν ἑαυτοὺς καὶ τὴν πόλιν. πείσεται δ᾽ οὐδὲν δεινὸν σίμων, ἐὰν ἀπεγνωκὼς ἑαυτοῦ τάχιον δῷ δίκην. τούτοις τῶν δέκα πειθέντων, ὑπὸ τὴν ἕω τοὺς λοιποὺς τῶν ὑποτεταγμένων, ἄλλον ἀλλαχόσε διέπεμπεν, ὡς μὴ φωραθείη τι τῶν βεβουλευμένων. αὐτὸς δὲ περὶ τρίτην ὥραν ἀπὸ τοῦ πύργου ἐκάλει τοὺς ῥωμαίους. τῶν δὲ οἱ μὲν, ὑπερηφάνουν, οἱ δ᾽ ἠπίστουν, οἱ πολλοὶ δ᾽ ὤκνουν, ὥς τε μετὰ μικρὸν ἀκινδύνως ληψόμενοι τὴν πόλιν. ἐν ὅσῳ δὲ τίτος μετὰ ὁπλιτῶν παρῄει πρὸς τὸ τεῖχος, ἔφθη γνοὺς ὁ σίμων, καὶ μετὰ τάχους τόν τε πύργον προκαταλαμβάνει, καὶ τοὺς ἄνδρας συλλαβὼν, ἐν ὄψει τῶν ῥωμαίων ἀναιρεῖ, καὶ πρὸ τοῦ τείχους λωβησάμενος ἔρριψε τὰ σώματα.

Κεφ. λε. ΚΑν τούτῳ περιϊὼν ἰώσηπος, οὐ γὰρ ἀνίει παρακαλῶν, βάλλεται τὴν κεφαλὴν λίθῳ, καὶ παραχρῆμα πίπτει καρωθείς. ἐκδρομὴ δ᾽ ἐπὶ τῷ πτώματι τῶν ἰουδαίων γίνεται, κἂν ἔφθη συρεὶς εἰς τὴν πόλιν, εἰ μὴ ταχέως καῖσαρ ἔπεμψε τοὺς ὑπερασπίζοντας. μαχομένων δὲ τούτων, ὁ ἰώσηπος μὲν αἴρεται, βραχὺ τῶν πραττομένων ἐπαΐων. οἱ στασιασταὶ δ᾽ ὡς ἀνελόντες ὃν ἐπεθύμουν μάλιστα, μετὰ χαρᾶς ἀνεβόων. διαγγέλλεται δ᾽ εἰς τὴν πόλιν, καὶ τὸ καταλειπόμενον πλῆθος ἐπέσχεν ἀθυμία, πεπεισμένους οἴχεσθαι τῷ ὄντι, δι᾽ ὃν αὐτομολεῖν ἐθάρρουν. ἀκούσασα δ᾽ ἡ τοῦ ἰωσήπου μήτηρ ἐν τῷ δεσμωτηρίῳ, τεθνάναι τὸν υἱὸν, πρὸς μὲν τοὺς φύλακας, ἀπὸ ἰωταπάτων τοῦτ᾽ ἔφη πεπεῖσθαι. καὶ γὰρ οὐδὲ ζῶντος ἀπολαύειν. ἰδίᾳ δ᾽ ὀλοφυρομένη πρὸς τὰς θεραπαινίδας, τοῦτον εἰληφέναι τῆς εὐτεκνίας ἔλεγε καρπὸν, τὸ μηδὲ θάψαι τὸν υἱὸν, ὑφ᾽ οὗ ταφήσεσθαι προσεδόκησεν. ἀλλὰ γὰρ οὔτε ταύτην ἐπὶ πλέον ὠδίνατο τὸ ψεῦδος, οὔτε τοὺς λῃστὰς ἔθαλπε. ταχέως γὰρ ἐκ τῆς πληγῆς ἀνήνεγκεν ὁ ἰώσηπος, καὶ προελθὼν, τοὺς μὲν οὐκ εἰς μακρὰν ἐβόα δίκας αὐτῷ δώσειν τοῦ τραύματος. τὸν δὲ δῆμον ἐπὶ πίστιν προὐκαλεῖτο. θάρσος δὲ τῷ λαῷ, καὶ τοῖς στασιασταῖς ἔκπληξις ἐμπίπτει πρὸς τὴν ὄψιν αὐτοῦ.

Κεφ. λϛ. ΤΩν δὲ αὐτομόλων, οἱ μὲν ὑπ᾽ ἀνάγκης τοῦ τείχους ἐπήδων ταχέως. οἱ δὲ προϊόντες ὡς ἐπὶ μάχην μετὰ χερμάδων, ἔπειτα πρὸς τοὺς ῥωμαίους ἔφευγον. συνείπετο δὲ τούτοις τύχη, τῶν εἴσω χαλεπωτέρα, καὶ τοῦ παρὰ σφίσι λιμοῦ, συντονώτερον εὕρισκον πρὸς ὄλεθρον τὸν παρὰ ῥωμαίοις κόρον. παρεγίνοντο μὲν γὰρ ἀπὸ τῆς ἐνδείας πεφυσημένοι, καὶ ὥσπερ ὑδρωπιῶντες, ἔπειτα ἀθρόως κενοῖς ὑπερεμπιπλάμενοι τοῖς σώμασιν ἐρρήγνυντο. πλὴν τῶν δι᾽ ἐμπειρίαν ταμιευσαμένων τὰς ὀρέξεις, καὶ κατ᾽ ὀλίγον προσθέντων τροφὴν ἀπειθισμένῳ τῷ σώματι φέρειν. καὶ τοὺς οὕτω δὲ σωζομένους, ἑτέρα πληγὴ μετελάμβανε. τῶν γὰρ παρὰ τοῖς σύροις τις αὐτομόλων φωρᾶται τῶν τῆς γαστρὸς λυμάτων χρυσοῦς ἐκλέγων. καταπίνοντες δὲ ὡς ἔφαμεν αὐτοὺς προῄεσαν, ἐπειδὴ ἀνηρεύνων πάντας οἱ στασιασταὶ, καὶ πολὺ πλῆθος ἦν ἐν τῇ πόλει χρυσοῦ. δώδεκα γοῦν ἀττικῶν ὠνοῦντο, τὰ πρότερον ἰσχύοντα πέντε,

A tandem, inquit, hæc mala ſuſtinebimus? quámve ſalutis ſpem habemus, ſeruantes peſſimo fidem? Ecce iam fames oppugnat. Romani verò penè intus ſunt. Simon autem bene quoque meritis infidelis eſt: metúſque etiam apud eum pœnæ, & apud Romanos certa fœderis dextera. Ergo age, tradito muro & noſmet ſeruemus & ciuitatem. Nihil autem graue Simon patietur, ſi cùm de ſe deſperauerit, pœnas citius pendet. His vbi decem aſſenſi ſunt, manè cæteros B quos ſubiectos habebat, per diuerſum dimittit, ne quid eorum quæ cogitauerat proderetur. ipſe verò de turri hora tertia Romanos inuocabat. illorum autem alij præ ſuperbia contemnebant, alij non credebant, alios etiam pigebat, velut mox capturos ciuitatem nullo periculo. Interea verò, cùm Titus ad murum cum armatis ſuccederet, antè rem Simon cognouit, turrímque velociter occupat: Romaniſque eos inſpectantibus cuſtodes peremit, & per C murum proiecit corpora mortuorum. Ibique circuiens Ioſephus (nec enim rogare ceſſabat) caput vulneratur lapide, ſtatímque attonitus cadit. Excurſus autem ad eius caſum factus eſt Iudæorum: abreptúſque eſſet in ciuitatem, niſi Cæſar miſiſſet, qui eum protegerent. Illis autem pugnantibus Ioſephus quidem tollitur, parum quod ageretur intelligens. ſeditioſi verò, tanquam interfecto quem maximè cupiebant, cum lætitia conclamauerunt. Spargitur D autem hic rumor per ciuitatem: ex quo reſiduam multitudinem mœror tenuit, verè periſſe credentem, cuius fiducia profugere cogitabant. Audito autem Ioſephi mater in carcere, mortuum eſſe filium ſuum, ad cuſtodes quidem, ex Iotapatis hoc ait certò ſe credere, nec enim viuo potiri. Secretò autem flens, ad ancillas: hunc, inquit, fœcunditatis recepiſſe fructum, quod ne ſepelire quidem ſibi filium licuiſſet, à quo ſepeliri ſperaſſet. Verùm ne illam E quidem mendacium diutius cruciauit, neque latrones refecit. Citò enim curato vulnere Ioſephus reſipuit: progreſſúſque clamabat, illos ſibi non multo pòſt vulneris pœnas daturos: populum autem rurſum ad fidem hortabatur. vnde populo quidem fiducia, ſeditioſis verò ſtupor incidit eius aſpectu. Profugorum autem alij ſtatim de muro neceſſitate proſiliebant: alij velut ad pugnam cum lapidibus progredi ſimulantes, mox ad Romanos profugie- F bant. Hos autem ſæuior ea quam intus pertulerant fortuna conſequebatur: & fame, quam domi reliquerant, velociorem apud Romanos inueniebant ad exitium ſatietatem. aderant namque inflati ex inedia, & velut morbo intercutis aquæ turgidi. deinde vacuata replentes corpora diſrumpebantur: niſi qui periti deſideria cohibuiſſent, paulatímque cibum deſueto corpori obtuliſſent. Verùm & eos, qui hoc modo ſeruarentur, alia plaga ſuſcepit. Qui- G dam apud Syros ex transfugis deprehenditur, è fimo ventris aureos colligens. Tranſglutientes autem (vt ſuprà diximus) eos veniebant, quòd cunctos ſeditioſi ſcrutabâtur: & maxima vis auri fuerat in ciuitate: deniq; duodecim atticiscomparabant, quod antea vigintiquinque

valebat. Verùm hac arte per vnum detecta, totis castris fama percrebuit, quod auro transfugæ pleni venirent. Arabum autem multitudo & Syri, scissis ventribus supplicium minitabantur. Et hac ego clade nullam credo sæuiorem contigisse Iudæis: vna denique nocte duorum millium patefacta sunt viscera. Et hac Titus iniustitia cognita, penè iussisset autores circunfuso equitatu iaculis appeti, nisi magna fuisset multitudo noxiorum multóque plures puniendi, quàm qui fuerant interempti. Conuocatis autem auxiliarium ducibus, itémque militum Romanorum (nam etiam militum quosdam hæc tangebat inuidia) vtrisque iratus dicebat: si qui militum suorum hæc committerent lucri causa incerti, nec arma propria quisquam erubesceret auro argentóque facta: Arabes autem & Syri primò in alieno bello licenter calamitates inferrent: deinde crudelitatem in cædibus & in Iudæos odia Romanis ascriberent. hac enim quosdam suorum milites infamia participare. & his quidem mortem interminatus est, si quis in eadem postea repertus fuisset audacia. ad legiones autem mandata dedit, vt suspectos inuestigarent, atque ad se deferrent. Verùm profectò auaritia contemnit omne supplicium, sæuísque hominibus lucrandi amor innatus est: nulláque omnino calamitas plus habendi cupidini comparatur. Imò verò hæc aliàs, & modum habent, & metu subiugantur. Deus autem, qui damnauerat populum, omnem viam salutis ad interitum verterat: denique id quod cum pœna interdixerat Cæsar, occultè in profugos admittebatur. Et si quis transfugisset, circunspectantes antè ne quis Romanorum videret, eos scindebant, & ex visceribus quæstum nefarium trahebant. in paucis autem reperiebatur, & plerosque sola spes consumebat. Hic quidem casus multos transfugarum reduxit.

CAP. XVI. De sacrilegio circa templû & relatis ex vrbe cadaueribus & fame.

IOannes autem, vbi rapinæ ex populo defuêre, ad sacrilegium sese conuertit: multáque donaria templi retinens, multáque vasa diuinæ rei ministerio necessaria, crateras, & lances, & mensas, ne vrceolis quidem abstinuit, quos Augustus eiúsque vxor miserat. Romanorum quidem imperatores honorauerunt semper templum atque ornauerunt: tunc autem Iudæus etiam alienigenarum dona distrahebat. ad socios autem dicebat, sine metu diuinis abuti debere, qui pro Deo, qui pro templo militarent, & ex ipso ali. Propter eáque sacrum vinum, & oleum, quod sacerdotes sacrificiis reseruabant, tutum erat effudisse. namque in templo & multitudini distribuit, & illi sine horrore vngebantur & potabant. Non equidem recusabo dicere, quæ dolor iubet. Puto si Romani contra noxios venire tardassent, aut hiatu terræ deuorandam fuisse ciuitatem, aut diluuio perituram, aut fulminum ac Sodomæ incendia passuram. multo enim magis impiam progeniem tulit, quàm quæ illa pertulerat.

καὶ εἴκοσιν. ἀλλά τοι τῆς ἐπινοίας ἐλεγχθείσης δι' ἑνὸς, ἀναπίμπλαται μὲν φήμη εἰς τὰ στρατόπεδα, ὡς μεστοὶ χρυσίου παρεῖεν αὐτόμολοι. τὸ δὲ τῶν ἀράβων πλῆθος, καὶ οἱ σύροι τοὺς ἱκέτας ἀνατέμνοντες, ἠρεύνων τὰς γαστέρας, καὶ τούτου τοῦ πάθους οὐδὲν ἔμοιγε δοκεῖ συμβῆναι ἰουδαίοις χαλεπώτερον. μιᾷ γοῦν ἀνεσχίσθησαν νυκτὶ πρὸς δισχιλίους. καὶ γνοὺς τὴν παρανομίαν τίτος, ὀλίγου μὲν ἐδέησε τὸ ἱππικὸν περιστήσας κατακοντίσαι τοὺς αἰτίους, εἰ μὴ πολὺ πλῆθος ἐνείχετο, καὶ τῶν ἀνῃρημένων πολλαπλασίους ἦσαν οἱ κολασθησόμενοι. συγκαλέσας δὲ τοὺς τῶν συμμάχων ἡγεμόνας, καὶ τοὺς τῶν ταγμάτων, συνδιεβάλλοντο γὰρ καὶ τῶν στρατιωτῶν τινὲς, πρὸς ἑκατέρους ἀγανακτῶν ἔλεγεν. εἰ τῶν μὲν αὐτῷ στρατευομένων τινὲς τοιαῦτα δρῶσι κέρδους ἕνεκεν ἀδήλου, μηδὲ τὰ ὅπλα σφῶν αὐτῶν αἰδούμενοι πεποιημένα ἐξ ἀργύρου τε καὶ χρυσοῦ. τοῖς δ' ἄραψι, καὶ τοῖς σύροις, εἰ πρῶτον μὲν ἐν ἀλλοτρίῳ πολέμῳ, τοῖς πάθεσιν αὐτεξουσίως χρῶνται, ἔπειτα τῇ περὶ φόνους ὠμότητι, καὶ τῷ πρὸς ἰουδαίους μίσει, ῥωμαίους ἐπιγράφουσι. καὶ γὰρ νῦν ἐνίοις αὐτοῦ τῶν στρατιωτῶν συναπολαύειν τῆς κακοδοξίας. τούτοις μὲν οὖν διηπείλησε θάνατον, εἴ τις εὑρεθείη πάλιν τὸ αὐτὸ τολμῶν. τοῖς δὲ ἀπὸ τῶν ταγμάτων, ἐπέστελλεν ἐρευνήσαντας τοὺς ὑπόπτους ἀνάγειν ἐπ' αὐτόν. καταφρονεῖ δὲ ὡς ἔοικε φιλοχρηματία πάσης κολάσεως, καὶ δεινὸς ἐμπέφυκεν ἀνθρώποις τοῦ κερδαίνειν ἔρως. οὐδὲν δ' οὕτω πάθος πλεονεξίᾳ παραβάλλεται. ἢ ταῦτα μὲν ἄλλως καὶ μέτρον ἔχει καὶ φόβοις ὑποτάσσεται. θεὸς δὲ ἦν ὁ τοῦ λαοῦ παντὸς κατακρίνας, καὶ πᾶσαν αὐτοῖς σωτηρίας ὁδὸν εἰς ἀπώλειαν ἀποστρέφων. ὃ γοῦν μετὰ ἀπειλῆς ἀπεῖπεν ὁ καῖσαρ, λάθρα κατὰ τῶν αὐτομόλων ἐτολμᾶτο, καὶ τοὺς διαδιδράσκοντας, πρὶν πᾶσιν ὀφθῆναι προαπαντῶντες, ἔσφαττον οἱ βάρβαροι. περισκοπούμενοι δὲ μή τις ἐπίδοι ῥωμαίων ἀνέσχιζον, κἀκ τῶν σπλάγχνων τὸν μιαρὸν κέρδος εἷλκον. ὀλίγοις δ' ἐνευρίσκετο, καὶ τοὺς πολλοὺς παρανήλισκεν ἐλπὶς μόνη. τοῦτο μὲν δὴ τὸ πάθος, πολλοὺς τῶν αὐτομόλων ἐπανήγαγεν.

Κεφ. λζ.

ἸΩάννης δὲ ὡς ἐπέλιπον αἱ ἁρπαγαὶ παρὰ τοῦ δήμου, πρὸς ἱεροσυλίαν ἐτράπετο καὶ πολλὰ μὲν ἐκ τῶν ἀναθημάτων κατεχώνευε τοῦ ναοῦ· πολλὰ δὲ τῶν πρὸς τὰς λειτουργίας ἀναγκαίων σκεύη, κρατῆράς τε καὶ πίνακας, καὶ τραπέζας· ἀπέσχετο δ' οὐδὲ τῶν ὑπὸ τοῦ σεβαστοῦ, καὶ τῆς γυναικὸς αὐτοῦ πεμφθέντων ἀκρατοφόρων. οἱ μὲν γὰρ ῥωμαίων βασιλεῖς, ἐτίμησάν τε, καὶ προσεκόσμησαν τὸ ἱερὸν ἀεί. τότε δ' ὁ ἰουδαῖος, καὶ τὰ τῶν ἀλλοφύλων κατέσπα. πρὸς δὲ τοὺς συνόντας, ἔλεγεν, ὡς δεῖ μετὰ ἀδείας καταχρήσασθαι τοῖς θείοις, ὑπὲρ τοῦ θείου, καὶ τοὺς τῷ ναῷ στρατευομένους, ἐξ αὐτοῦ τρέφεσθαι. διὰ τοῦτο καὶ τὸν ἱερὸν οἶνον, καὶ τὸ ἔλαιον, ὃ τοῖς ὁλοκαυτώμασιν οἱ ἱερεῖς ἐφύλαττον ἐπιχεῖν ἐκκενώσας· ἦν δ' ἐν τῷ ἐνδοτέρῳ ἱερῷ, διένειμε τῷ πλήθει, κἀκεῖνοι δίχα φρίκης, πλέον τοῦ ἵν' ἠλείφοντο, καὶ ἔπινον ἐξ αὐτῶν. οὐκ ἂν ὑποστειλαίμην εἰπεῖν, ἅ μοι κελεύει τὸ πάθος. οἶμαι ῥωμαίων βραδυνόντων ἐπὶ τοὺς ἀλιτηρίους, ἢ καταποθῆναι ἂν ὑπὸ χάσματος, ἢ κατακλυσθῆναι τὴν πόλιν, ἢ τοὺς τῆς σοδομηνῆς μεταλαβεῖν κεραυνούς. πολὺ γὰρ τῶν ταῦτα παθόντων ἤνεγκε γενεὰν ἀθεωτέραν.

τῇ γοῦν

τῇ γνώμῃ τούτων ἀπονοίᾳ τῆς ὁ λαὸς συναπώλετο. καὶ τί δεῖ κατὰ μέρος ἐκδιηγεῖσθαι τὰς συμφοράς; ἀλλὰ πρός τινα ἐν ταύταις ταῖς ἡμέραις Μανναῖος ὁ Λαζάρου φυγὼν, διὰ μιᾶς ἔλεγεν ἐκκεκομίσθαι πύλης, ἣν αὐτὸς ἐπεπίστευτο, μυριάδας ἕνδεκα νεκρῶν ἐπὶ πεντακισχιλίοις ὀκτακοσίοις ὀγδοήκοντα, ἀφ' ἧς αὐτοῖς ἡμέρας παρεστρατοπεδεύσατο, τεσσαρεσκαιδεκάτῃ Ξανθικοῦ μηνὸς ἄχρι Πανέμου νουμηνίας. τοῦτο δ' ἦν πλῆθος ἀπόρων, καὶ οὐδὲ αὐτὸς ἐφεστὼς, ἀλλὰ δημοσίᾳ μισθὸν διδοὺς ἐξ ἀνάγκης ἠρίθμει. τοὺς δὲ λοιποὺς, οἱ προσήκοντες ἔθαπτον. ταφὴ δ' ἦν, τὸ προκομίσαντας ἐκ τοῦ ἄστεος ῥῖψαι. μετὰ δὲ τοῦτον διαδράντες πολλοὶ τῶν ἐπισήμων, τὰς πάσας τῶν ἀπόρων νεκρῶν ἀπήγγελλον μυριάδας ἑξήκοντα διὰ τῶν πυλῶν ἐκριφῆναι. τῶν δὲ ἄλλων ἀνεξεύρετον εἶναι τὸν ἀριθμόν. μηκέτι δὲ δυναμένων τοὺς πτωχοὺς ἐκφέρειν, ἔλεγον συσσωρεύοντας εἰς τοὺς μεγίστους οἴκους, τὰ πτώματα ἀποκλείειν. καὶ τοῦ μὲν σίτου τὸ μέτρον πραθῆναι ταλάντου, μετὰ ταῦτα δὲ ὡς οὐδὲ ποηλογεῖν ἔτι οἷόν τε ἦν περιτειχισθείσης τῆς πόλεως, προελθεῖν τινὰς εἰς τοσοῦτον ἀνάγκης, ὥστε τὰς ἀμάρας ἐρευνῶντας καὶ παλαιὸν ὄνθον βοῶν, προσφέρεσθαι τὰ ἐκ τούτων σκύβαλα, καὶ τὸ μηδὲ ὄψει φορητὸν πάλαι, τοῦτο γενέσθαι τροφήν. ταῦτα Ῥωμαῖοι μὲν ἀκούοντες, ἠλέησαν· οἱ στασιασταὶ δὲ καὶ βλέποντες, οὐ μετενόουν ἀλλ' ἠνείχοντο μέχρις αὐτῶν προελθεῖν. πεπήρωντο γὰρ ὑπὸ τοῦ χρεὼν, ὃ τῇ τε πόλει, καὶ αὐτοῖς ἤδη παρῆν.

A denique cum eorum pertinacia desperata totus populus interiit. Et quid opus est singulatim narrare clades? Mannæus Lazari filius, transgressus ad Titum, per vnam portam quæ sibi credita fuerat centum & quindecim millia & octingenta dixit elata cadauera, ex quo die castra prope ciuitatem posita sunt, ex die quartadecima mensis Aprilis, vsque ad calendas Iulij. hæc autem immensa est multitudo: nec tamen ipse fuit appositus portæ, sed pu-B blicam mercedem diuidens, mortuos ex necessitate numerabat. cæteros enim propinqui sepeliebant. sepultura autem fuit, elatos ex oppido proiicere. Post hunc autem nobiles profugi, omnia mortuorum egenorum sexcenta millia portis eiecta nunciabant: aliorum verò numerum minimè posse comprehendi: cùm autem pauperibus efferendis non sufficerent, congesta in maximis ædibus cadauera esse inclusa, & frumenti quidem modium veniisse C talento. pòst autem vbi muro circundata ciuitate, ne herbas quidem legere iam liceret, ad hoc necessitatis quosdam fuisse compulsos, vt cloacas rimarentur, boúmque veterem fimum alimentum haberent, stercúsque collectum, quod ne visui quidem tolerabile fuerat, cibus erat. Hæc Romani quidem audientes miserati sunt: seditiosos autem ne videntes quidem pœnitebat, sed patiebantur vsque ad ea progredi. fatum enim eos reddiderat cæcos, quod iam & ipsis imminebat & ciuitati.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΠΕΡΙ ΑΛΩΣΕΩΣ ΛΟΓΟΣ Ζ΄.

FLAVII IOSEPHI DE BELLO IVDAICO LIBER SEPTIMVS

[*Secundùm Rufini distinctionem.*]

Cap. I. De suffossione murorum, successione agger ũ & Sabino oppugnãte murum.

CLADES quidem Hierosolymorum in peius quotidie procedebãt, cùm & seditiosi magis accenderentur aduersis inclusi, postquam populum fames ipsósque iam possederat. Quin & multitudo congestorum in ciuitate cadauerũ, & visu horrenda erat, odorémque pestiferum emittebat, cùm excursus etiã pugnãtium moraretur. Nam veluti per aciẽ ruerent, plurima cæde excitata: conculcare mortuos cogebantur: & qui super eos pedem ponerent, neq; miserabantur, neq; horrebãt: nec saltem sibi augurio fore putabant contumeliam mortuorum. Gentili autẽ cæde polluti, dexteras ad externum bellũ præparabant, tanquam exprobrantes Deo (vt mihi videtur) supplicij sui tarditatem. non enim spe victoriç maior pars corũ, sed desperatione salutis ferociùs ferebatur. Romani autem quamuis plurimum in aggreganda materia laborarent, tamen intra viginti & vnum dies aggeres erexerunt, attonsis omnibus ad nonaginta vsque stadia circa oppidum lucis. Erat autem miserabilis terræ facies. nam quæ antea arboribus & paradisis ornata fuerat, ea tunc deserta præcisis vndiq; arboribus cernebatur: nec vllus qui pridem Iudæam viderat alienigena & suburbana pulcherrima ciuitatis, cùm eius solitudinem tunc videret, continere lacrymas poterat, vel nõ gemere mutationem quantum pristinis derogasset. Omnia namque insignia pulchritudinis, bellum deleuerat: nec si quis subitò aduenisset, qui locum prius scierat, eum cognosceret, sed præsens quæreret ciuitatem. Romanis autem ac Iudæis, finitum opus aggerum, par faciebat timoris initium. namq; hi, nisi eos quoque exurerent, captum iri ciuitatem putabant: Romani autem, fortasse nec voluntatem sibi fore illis incensis alios parare. nam & materiæ defecerant: & labori quidem corpora militum, crebris verò offensionibus animi cesserant. Verùm ciuitatis cladibus tristius Romani quàm ciues in ea degentes afficiebantur. ad mala enim quæ hinc accidebant, etiam pugnatoribus nihilo segnioribus vtebantur, sed

Κεφ. α.

ΑΛΩΣΟΙΣ τῶν ἱεροσολύμων πάθη, προὔκοπτε καθ' ἡμέραν ἐπὶ τὸ χεῖρον, τῶν στασιαστῶν μᾶλλον παροξυνομένων ἐν ταῖς συμφοραῖς, καὶ τοῦ λιμοῦ μετὰ τὸν δῆμον ἤδη κἀκείνους νεμομένου. τό γε μὴν πλῆθος τῶν σεσωρευμένων ἀνὰ τὴν πόλιν πτωμάτων, ὄψει τε φρικῶδες ἦν, καὶ λοιμώδη προσέβαλλεν ὀσμὴν, πρός τε τὰς ἐκδρομὰς, ἐμπόδιον τοῖς μαχομένοις· ὥσπερ γὰρ διὰ παρατάξεως φόνῳ μυρίῳ γεγυμνασμένους χωροῦντας, ἔδει τὰ σώματα πατεῖν. οἱ δὲ ἐπιβαίνοντες, οὔτε ἔφριττον, οὔτε ἠλέουν, οὔτε κληδόνα κακὴν σφῶν αὐτῶν ὑπελάμβανον, τὴν εἰς τοὺς κατοιχομένους ὕβριν. πεφυρμένοι δὲ ὁμοφύλῳ φόνῳ τὰς δεξιὰς, ἐπὶ τὸν πρὸς τοὺς ἀλλοφύλους πόλεμον ἐξέθεον, ὀνειδίζοντες ἔμοιγε δοκεῖ τὸ θεῖον εἰς βραδυτῆτα τῆς ἐπ' αὐτοῖς κολάσεως. οὐ γὰρ ἐλπίδι νίκης ὁ πόλεμος, ἤδη δὲ ἀπογνώσει σωτηρίας ἐθρασύνετο. ῥωμαῖοι δὲ καίτοι πολλὰ περὶ τὴν τῆς ὕλης συγκομιδὴν ταλαιπωρούμενοι τὰ χώματα διήγειραν μιᾷ καὶ εἴκοσιν ἡμέραις, κείραντες ὡς προείρηται τὴν περὶ τὸ ἄστυ χώραν, ἐπ' ἐνενήκοντα σταδίοις ἐν κύκλῳ πᾶσαν. ἦν δὲ πᾶσα ἐλεεινὴ, καὶ γῆς ἡ θέα. τὰ γὰρ πάλαι δένδρεσι, καὶ παραδείσοις κεκοσμημένα, τότε πανταχόθεν ἠρήμωτο, καὶ περιεκέκοπτο τὴν ὕλην. οὐδείς τε τὴν πάλαι ἰουδαίαν, καὶ τὰ περικαλλῆ προάστεια τῆς πόλεως ἑωρακὼς ἀλλόφυλος, ἔπειτα τὴν τότε βλέπων ἐρημίαν, οὐκ ὠλοφύρατο, καὶ κατεστέναξε τὴν μεταβολὴν παρόσον γένοιτο. πάντα γὰρ ἐλυμήνατο τὰ σημεῖα τοῦ κάλλους ὁ πόλεμος, καὶ οὐκ ἄν τις ἐξαπίνης ἐπιστὰς τῶν προεγνωκότων, ἐγνώρισε τὸν τόπον, ἀλλὰ παρὼν ἐζήτει τὴν πόλιν.

Κεφ. β.

ΡΩμαίοις δὲ καὶ ἰουδαίοις τὸ τέλος τῶν χωμάτων, ἴσον ἐνεποίει δέος ἀρχήν. οἱ μὲν γὰρ εἰ μὴ καὶ ταῦτα καύσειαν, ἁλώσεσθαι τὴν πόλιν προσεδόκων. ῥωμαῖοι δὲ, οὐκ ἂν ἔτι αἱρήσειν κἀκείνων διαφθαρέντων. ὕλης γάρ τε ἦν ἀπορία, καὶ τῶν μὲν πόνων ἤδη τὸ σῶμα, τῶν δὲ ἐπαλλήλων πταισμάτων, αἱ ψυχαὶ τοῖς στρατιώταις ἐλείποντο. τάς γε μὴν κατὰ τὴν πόλιν συμφορὰς, ῥωμαίοις πλέον ἦ συνέβαινε πρὸς ἀθυμίας, ἢ τοῖς ἐν αὐτῇ. παρὰ γὰρ τὰ τηλικαῦτα πάθη τοῖς μαχομένοις οὐδὲν ἐχρῶντο μαλακωτέροις, ἀλλ' ἐθραύον-

ἐθραύοντο πάντοτε τὰς ἐλπίδας, τῶν μὲν χωμάτων ταῖς ἐπιβουλαῖς, τῶν δὲ ὀργάνων στερρότητι τοῦ τείχους, τῆς δὲ κατὰ χεῖρα μάχης ταῖς τῶν συμπλεκομένων τόλμαις πλεονεκτούμενοι. τὸ δὲ μέγιστον, στάσεώς τε καὶ λιμοῦ καὶ πολέμου, καὶ τοσούτων κακῶν εὑρίσκοντες ἐπάνω τὸ παράστημα τῆς ψυχῆς Ἰουδαίους ἔχοντας, ὑπελάμβανόν τε τῶν ἀνδρῶν ἀμάχους μὲν τὰς ὁρμάς, ἀνάλωτον δὲ τὴν ἐπὶ συμφοραῖς εὐθυμίαν εἶναι. τί γὰρ ἂν μὴ ὑποστῆναι δεξιᾷ τύχῃ χρωμένους, τοὺς ὑπὸ κακῶν πρὸς ἀλκὴν τρεπομένους; οἱ μὲν οὖν ἐρρωμενεστέρας διὰ ταῦτα τῶν χωμάτων ἐποιοῦντο τὰς φυλακάς. οἱ δὲ περὶ τὸν Ἰωάννην, κατὰ τὴν Ἀντωνίαν ἅμα καὶ πρὸς τὸ μέλλον, εἰ καταρριφθείη τὸ τεῖχος, ἠσφαλίζοντο. καὶ πρὶν ἐπιστῆναι τοὺς κριούς, ἐπέθεντο τοῖς ἔργοις. οὐ μὴν ἐκράτησάν γε τῆς ἐπιχειρήσεως. ἀλλὰ προελθόντες μετὰ λαμπάδων πρὶν ἐγγίσαι τοῖς χώμασι ψυχρότεροι τῆς ἐλπίδος ὑπέστρεψαν. πρῶτον μὲν γάρ, οὐδὲ ὁμονοεῖν ἡ σκέψις αὐτῶν ἐδόκει, κατὰ μέρος ἐκπηδώντων, καὶ διαλειμμάτων, καὶ μεμελλημένως μετὰ δέους, καθόλου τ' εἰπεῖν, οὐκ Ἰουδαϊκῶς. τὰ γὰρ ἴδια τοῦ ἔθνους, ὑστέρητο ἅμα, ἡ τόλμα, καὶ ἡ ὁρμή, καὶ δρόμος ὁμοῦ πάντων, καὶ τὸ μηδὲ πταίοντας ἀναστρέφειν. ἀτονώτεροι δ' ἑαυτῶν προελθόντες, καὶ τοὺς Ῥωμαίους εὗρον ἐρρωμενέστερον τοῦ συνήθους παρατεταγμένους. τοῖς μὲν γε σώμασι, καὶ ταῖς πανοπλίαις, οὕτως ἔφραξαν τὰ χώματα πάντοθεν, ὡς τῷ πυρὶ μηδαμόθεν καταλιπεῖν παράδυσιν. τὴν δὲ ψυχὴν ἐτόνωσαν ἕκαστος, μὴ μετακινηθῆναι τῆς τάξεως πρὸ θανάτου. πρὸς γὰρ τὸ πάσης αὐτῶν ὑποκόπτεσθαι τὰς ἐλπίδας, εἰ κἀκεῖνα κατὰ φλεγείη τὰ ἔργα, δεινὴ τοὺς στρατιώτας εἶχεν αἰδώς, εἰ πάντα κρατήσειαν, πανουργία μὲν ἀρετῆς, ἀπόνοια δὲ ὅπλων, πλῆθος δὲ ἐμπειρίας, Ἰουδαῖοι δὲ Ῥωμαίων. ἅμα δέ τι, καὶ τὰ ἀφετήρια συνήργει τῶν προπηδώντων ἐφικνούμενα, καὶ πεσών τις, τῷ μεθ' ἑαυτὸν, ἐμπόδιον ἦν, ὅ τε κίνδυνος τοῦ μὴ πρόσω χωρεῖν, ἐποίει μαλακωτέρους. τῶν δ' ἐνδοτέρω βέλους ὑποδραμόντων. οἱ μὲν πρὶν εἰς χεῖρας ἐλθεῖν τὴν εὐταξίαν, καὶ τὸ πύκνωμα τῶν πολεμίων καταπλαγέντες, οἱ δὲ νυττόμενοι τοῖς ξυστοῖς ἐπαλινδρόμουν. καὶ τέλος, ἀλλήλους κακίζοντες εἰς δειλίαν, ἀνεχώρουν ἄπρακτοι. νουμηνίᾳ Πανέμου μηνὸς ἡ ἐπιχείρησις ἦν. ἀναχωρησάντων δὲ τῶν Ἰουδαίων, προσῆγον οἱ Ῥωμαῖοι τὰς ἑλεπόλεις, βαλλόμενοι πέτραις τε ἀπὸ τῆς Ἀντωνίας, καὶ πυρὶ καὶ σιδήρῳ, καὶ παντὶ τῷ χορηγουμένῳ Ἰουδαίοις ὑπὸ τῆς ἀνάγκης βέλει. καίπερ γὰρ πολὺ τῷ τείχει πεποιθότες, καὶ τῶν ὀργάνων καταφρονοῦντες, ὅμως ἐκώλυον τοὺς Ῥωμαίους προσάγειν. οἱ δὲ τὴν σπουδὴν τῶν Ἰουδαίων τοῦ μὴ πληγῆναι τὴν Ἀντωνίαν ὑπολαμβάνοντες γίνεσθαι δι' ἀσθένειαν τοῦ τείχους, καὶ σαθροὺς ἐλπίσαντες εἶναι τοὺς θεμελίους, ἀντεφιλονείκουν. οὐ μὴν ὑπήκουε τὸ τυπτόμενον. ἀλλ' οἱ μὲν συνεχῶς βαλλόμενοι, καὶ πρὸς μηδένα τῶν καθύπερθεν κινδύνων ἐνδιδόντες, ἐνεργοὺς παρεῖχον τὰς ἑλεπόλεις. ὡς δ' ἦσαν ἐλάττους, καὶ περιεθραύοντο ταῖς πέτραις, ἕτεροι τοὺς θυρεοὺς ὀροφώσαντες ὑπὲρ τῶν σωμάτων, χερσὶ καὶ μοχλοῖς, ὑπώρυττον τοὺς θεμελίους, καὶ τέσσαράς γε λίθους προσκαρτερήσαντες ἐξέσεισαν. ἀνέπαυσε δὲ νὺξ ἑκατέρους, καὶ ἐν ταύτῃ τὸ τεῖχος ὑπὸ τῶν κριῶν σεσαλευμένον, καθ' ὃ τοῖς προτέροις ἐπιβουλεύων χώμασιν ὁ Ἰωάννης ὑπώρυξεν, ἐνδούσης καὶ διώρυχος, ἐξαπίνης κατερρίπτη.

A corum spes frangebatur, cùm aggeres insidiis, machinæ soliditate muri, manus verò conflictus audacia repugnantium superaretur: & præcipuè, quòd cum seditione faméque ac bello tórque malis præstantiores Iudæorum animos inuenirent, virorum quidem inexpugnabiles esse impetus arbitrabantur, inuictam verò animorum magnitudinem quæ calamitatibus aleretur. nam quis eos in rebus secundis sustineat, qui malis ad virtutem incitarentur? Illi B quidem propterea cautiùs custodias præparabant. Ioannis autem factio apud Antoniam, simul & quæ futura timebantur, si disiiceretur murus cauebat, & antequam arietes admouerentur operibus instabat: nisi quia conatus eorum irritus fieret. Aggressi enim cum facibus aggerem, spe decepti remeauêre. Nam primùm ne concordare quidem eorum videbatur consilium, paulatim & per interualla, & cunctanter, non sine metu prosilientium, ne- C que Iudæorum more, vt breuiter dicam. deerant enim quæ propria gentis essent, audacia, cursus, & omnium simul impetus: & vt non sine offensione recederent. Languidiores verò progressi quàm solebant, etiam Romanos solito promptiores offendêre: qui corporibus quidem atque armis ita vndique aggeres sepsêre, vt nusquam igni aditum relinquerent: animum verò ita confirmauerunt, ne quis loco antequam occumberet moueretur. nam præ- D ter omnium rerum desperationem si etiam illud opus esset exustum, acerbissimus pudor milites occupauerat, si aut calliditati virtus cederet, aut arma temeritati, aut peritia multitudini, aut Iudæis Romani. Simul autem missilia pro illis faciebant in prosilientes delata: & qui ceçidisset, posteriores impediebat, ac periculum antecedentis molliores eos efficiebat. Qui verò intra teli iactum venire properassent, alij disciplina hostium & densitate per- E territi, alij confixi hastis retrocedebant: & ad extremum alius alium timiditatis arguens, re infecta reuertebantur. Calendis autem Iulij tentata fuerat expugnatio. Iudæis autem inde digressis, Romani machinas admouêre: quamuis ab Antonia saxis atque igni ferróque peterentur, & quodcunque hostibus telum necessitas attulisset. nam licèt multum mœnibus Iudæi confiderent, machinásque contemnerent, tamen eas applicare prohibebant Romanos. F Illi autem Iudæis studium esse rati, ne murorum infirmitate Antonia læderetur: & fragilibus eam fundamentis suspicantes, contra certabant. Nec tamen quod feriebatur, ictibus obediebat: sed ipsi quidem crebris in se missilibus iactis, cùm nullis periculis desuper venientibus lassarentur, arietum opus vrgebant. cùm verò inferiores essent, ac lapidibus frangerētur, aliis scutis super corpora concameratis, fundamenta manibus, & vectibus suffodie- G bant. Itaq; saxis quatuor obstinato labore concussis, quietem vtrisq; nox attulit: & in ea murus arietibus labefactatus, ex qua parte prioribus Ioannes aggeribus insidiando murum suffoderat, subsidente cuniculo repente labitur.

Verùm præter spem vtrorumque animi affecti sunt. Nam Iudæi quidem quibus mœrorem esse oportebat, quòd ruina præter spem acciderat, & aduersus eam præcauti non fuerant, tanquam maneret Antonia confidebant. Romanorum autem inopinatam lætitiam ex celeri subuersione natam, conspectus alius murus, quem intrinsecus Ioannes ædificauerat, citò restinxit. Verumtamen priore facilior oppugnatio videbatur. Tunc enim & ascensum per ruinas promptiorem, & Antonia esse infirmiorem murum qui recens erat, citóque destrui posset arbitrabantur. Nemo tamen eum audebat ascendere: quòd ei qui primus id tentauisset, certissimum esset exitium. Titus verò spe atq; oratione putans alacritatem pugnantium excitari, & adhortatione atque promissis sæpe quidem periculorum nasci obliuia, interdum autem mortem solere contemni, in vnum congregatos fortissimos experiebatur dicés: Commilitones, hortari quidem ad ea quæ periculum non afferunt, apertè & ipsis qui rogantur, & qui eos rogant, ignauię reprehensionem parit. exhortatione autem opus est in solis rebus ambiguis: quippe illa per se quenq; gerere dignum est. Itaq; difficilem vobis in murum esse ascensum ipse profiteor: quòd autem vel maximè oporteat gloriæ cupidos pugnare cum difficillimis rebus, pulchrúmq; sit cum laude mori, nec erit infructuosum si qui primi fortiter fecerint, prosequar. Primùm quidem vos illud hortetur, quòd nõnullos fortasse deterreat, Iudæorũ patiens animus, & in aduersis rebus dura constantia. Romanos enim eósque milites, quibus in pace bella discere, in bello autẽ vincere consuetum est, à Iudæis manu vel animo superari turpissimum est: idq; in fine victoriæ, cùm etiam Dei nitamur auxilio. namque offensiones nostræ, Iudaicæ desperationes sunt. Illorum autem clades, fauore Dei vestrísque virtutibus crescunt. Etenim seditio, fames, obsidio, murorúmq; sine machinis casus, quid sit aliud quàm in illos ira Dei, nostrúmq; adiumentum. Igitur non solùm deterioribus inferiores videri, sed etiam diuinum pręsidium prodere, vobis non conuenit. Quo pacto autem non turpe videatur, Iudæos quidem quibus non magni pudoris est vinci, qui seruire didicerint, quo minus in posterum id patiantur, mortem cõtemnere: atque in nos medios frequenter excurrere, non victoriæ spe, sed ostentationis gratia: nos autem totius penè terræ marísque victores, quibus etiam non vincere probro habetur, ociosos sedentes, ne semel quidem in hostes aliquid audaciter expertos, famem ac fortunam cum his armis operiri? maximè cùm paruo discrimine totum possitis efficere. Denique in Antoniam si ascenderimus, habebimus ciuitatem. Nam & si pugnandum sit aduersum intus positos, quod non arbitror, attamen capiti ac respirationi hostium insedere victoriam nobis plenissimam repromittit. Equidem prætermissa nunc eorum laude, qui in bello cecidêre, & immortalitate, qui Martio furore prostrati sunt, ex morbo pacis tempore mortem aliter sentientibus imprecor,

Κεφ. γ.

Τοῦτο συμβάντος παραδόξως, ἑκατέροις διηγέρθη τὰ φρονήματα· ἰουδαίοις μὲν γὰρ οἷς ἀθυμεῖν εἰκὸς ἦν, τῷ παρελπίδα γενέσθαι τὸ πτῶμα, καὶ μὴ προησφαλίσθαι πρὸς αὐτὸ, θαρρεῖν ὡς μενούσης συνέβαινε τῆς ἀντωνίας. ῥωμαίων δέ γε τὴν παρ' ἐλπίδα χαρὰν ἐπὶ τῷ καταῤῥιφέντι, ταχέως ἔσβεσεν ὄψις ἑτέρου τείχους, ὅπερ ἔνδοθεν οἱ περὶ τὸν ἰωάννην ἀντῳκοδομήκεσαν. εὐμαρεστέρα μέν γε τῆς προτέρου ἡ προσβολὴ κατεφαίνετο. τότε γὰρ ἀναβῆναι διὰ τῶν καταῤῥιφθέντων ῥᾷον ἐδόκει, καὶ τὸ τεῖχος ἀσθενέστερόν τε πολλῷ τῆς ἀντωνίας, καὶ ταχέως τῷ προσκαίρῳ εἶναι, λύειν ὑπελάμβανον. οὐ μὴν ἐτόλμα τις ἀναβῆναι· πρόὔπτος γὰρ τοῖς ἀρξαμένοις ἦν ἀπώλεια.

Κεφ. δ.

Νομίζων δὲ ὁ τίτος ἐγείρεσθαι μάλιστα τὰς τῶν πολεμούντων προθυμίας ἐλπίδι καὶ λόγῳ, τάς τε προτροπὰς, καὶ τὰς ὑποσχέσεις πολλάκις μὲν λήθην ἐργάζεσθαι τῶν κινδύνων, ἔστι δ' ὅτε καὶ θανάτου καταφρόνησιν, συναγαγὼν ἐπὶ ταυτὸ τοὺς ἀλκίμους, ἐπειρᾶτο τῶν ἀνδρῶν. ὦ συστρατιῶται λέγων, τὸ μὲν παρακελεύειν ἐπὶ τὰ μὴ φέροντα κίνδυνον, αὐτόθεν τοῖς παρακελευομένοις ἀκλεές. ἀμέλει δὲ καὶ τῷ παρακελεύοντι, φέρει κατάγνωσιν ἀνανδρίας. δεῖ δ' εἶμαι προτροπῆς εἰς μόνα τὰ σφαλερὰ τῶν πραγμάτων, ὡς ἐκεῖνά γε καθ' αὑτοὺς πράττειν ἄξιον. ὥστε ἔγωγε τὸ μὲν ὑπάρχειν χαλεπὴν τὴν ἐπὶ τὸ τεῖχος ἄνοδον, αὐτὸς ὑμῖν προτίθημι. τὸ δ' ὅτι μάλιστα προσήκει μάχεσθαι τοῖς δυσκόλοις τοὺς ἀρετῆς ἐφιεμένους, καὶ ὅτι καλὸν ἐν εὐκλείᾳ τελευτὴ, καὶ ὡς οὐκ ἄκαρπον ἔσται τοῖς καταρξαμένοις τὸ γενναῖον διέξειμι. πρῶτον μὲν οὖν ὑμῖν γενέσθω προτροπὴ, τὸ τινὰς ἴσως ἀποτρέπον, ἡ ἰουδαίων μακροθυμία, καὶ τὸ καρτερικὸν ἐν οἷς κακοπαθοῦσιν. αἰσχρὸν γὰρ ῥωμαίους τε ὄντας καὶ στρατιώτας ἐμούς, καὶ διδακτοὺς μὲν ἐν εἰρήνῃ τὸ πολεμεῖν, ἔθιμον δ' ἐν πολέμῳ τὸ κρατεῖν ἔχοντας, ἡττᾶσθαι κατὰ χεῖρα ἰουδαίων ἢ κατὰ ψυχήν· καὶ ταῦτα πρὸς τέλει τῆς νίκης, καὶ συνεργουμένους ὑπὸ τοῦ θεοῦ. τὰ γὰρ ἡμέτερα πταίσματα, τῆς ἰουδαίων ἐστὶν ἀπονοίας. τὰ δ' ἐκείνων πάθη, ταῖς τε ἡμετέραις ἀρεταῖς, καὶ ταῖς τοῦ θεοῦ συνεργίαις αὔξεται. στάσις γὰρ καὶ λιμὸς, καὶ πολιορκία, καὶ δίχα μηχανημάτων πίπτοντα τείχη, τί ἂν ἄλλ' ἢ θεοῦ μὲν εἴη μῆνις ἐκείνοις, βοήθεια δ' ἡμετέρα. τὸ τοίνυν μὴ μόνον ἐλαττοῦσθαι χειρόνων, ἀλλὰ καὶ τὴν θείαν συμμαχίαν προδιδόναι, πρὸς ἡμῶν οὐκ ἂν εἴη. πῶς δ' οὐκ αἰσχρὸν, ἰουδαίους μὲν οἷς πολλὴν αἰσχύνην οὐ φέρει τὸ λείπεσθαι μαθοῦσι δουλεύειν, ὑπὲρ τοῦ μηκέτι τοῦτο πάσχειν θανάτου καταφρονεῖν, καὶ πολλάκις εἰς μέσους ἡμᾶς ἐκτρέχειν, οὐκ ἐλπίδι τοῦ κρατήσειν, ἀλλὰ διὰ ψιλὴν ἐπίδειξιν ἀνδρίας. ὑμᾶς δὲ τοὺς γῆς ὀλίγου δεῖν ἁπάσης καὶ θαλάσσης κρατοῦντας, οἷς καὶ τὸ μὴ νικᾶν ὄνειδος, μηδὲ ἅπαξ εἰς τοὺς πολεμίους παραβάλλεσθαι. περιμένειν δὲ τὸν λιμὸν κατ' αὐτῶν, καὶ τὴν τύχην ἀργοὺς καθεζομένους, μετὰ τοιούτων ὅπλων· καὶ ταῦτα δι' ὀλίγου τοῦ παραβόλου, τὸ πᾶν κατορθῶσαι δυναμένους. ἀναβάντες γοῦν ἐπὶ τὴν ἀντωνίαν, ἔχομεν τὴν πόλιν. καὶ γὰρ ἂν γίνηταί τις ἔτι πρὸς τοὺς ἔνδον ὅπερ οὐκ οἴομαι μάχη, τό γε κατὰ κορυφὴν εἶναι, καὶ τῶν ἀναπνοαῖς ἐπικαθῆσθαι τῶν πολεμίων, ταχέως τὴν ὁλοσχερῆ νίκην ἐγγυᾶται. καὶ ἔγωγε, τὸ μὲν ὑμνεῖν ἄρτι τὴν ἐν πολέμῳ τελευτὴν, καὶ τὴν ἐπὶ τοῖς ἀρειμανίοις πεσοῦσιν ἀθανασίαν παραλείπω. ἐπαρασαίμην δ' ἂν τοῖς ἄλλως ἔχουσι, τὸν κατ' εἰρήνην ἐκ νόσου θάνατον, οἷς μετὰ τοῦ σώματος, καὶ ἡ

καὶ ἡ ψυχὴ τάφῳ κατακρίνεται. τίς γὰρ οὐκ οἶδε τῶν ἀγαθῶν ἀνδρῶν, ὅτι τὰς μὲν ἐν παρατάξει ψυχὰς σιδήρῳ τῶν σαρκῶν ἀπολυθείσας, τὸ καθαρώτατον στοιχεῖον αἰθὴρ ξενοδοχῶν, ἄστροις ἐγκαθιδρύει· δαίμονες δ᾽ ἀγαθοὶ, καὶ ἥρωες εὐμενεῖς, ἰδίοις ἐγγόνοις ἐμφανίζονται. τὰς δ᾽ ἐν νοσοῦσι τοῖς σώμασι συντακείσας, κἂν τὰ μάλιστα κηλίδων ἢ μιασμάτων ὦσι καθαραὶ, νὺξ ὑπόγειος ἀφανίζει, καὶ λήθη βαθεῖα δέχεται λαμβανούσας τὸ ἅμα τοῦ τε βίου, καὶ τῶν σωμάτων, ἔτι δὲ τῆς μνήμης περιγραφήν. εἰ δὲ κέκλωσται μὲν ἀνθρώποις ἀναγκαία τελευτὴ, κουφότερον δ᾽ εἰς αὐτὴν νόσου πάσης σίδηρος ὑπηρέτης, πῶς οὐκ ἀγεννὲς μὴ διδόναι ταῖς χρείαις, ὃ τῷ χρεὼν ἀποδώσομεν· καὶ ταῦτα μὲν ὡς οὐ δυναμένων σωθῆναι τῶν ἐπιχειρησόντων διεξῆλθον. ἔνεστι δὲ σώζεσθαι τοῖς ἀνδριζομένοις, καὶ ἐκ τῶν σφαλερωτάτων. πρῶτον μὲν γὰρ τὸ καταρριφθὲν εὐεπίβατον. ἔπειτα πᾶν τὸ οἰκοδομηθὲν εὐδιάλυτον. ὑμεῖς τε πλείους θαρσήσαντες, ἐπὶ τὴν πρᾶξιν, ἀλλήλοις προτροπὴ καὶ βοήθεια γίνεσθε. καὶ τοῖς πολεμίοις τὸ ὑμέτερον παράστημα, ταχέως κλάσει τὰ φρονήματα. καὶ τάχα ἂν ὑμῖν ἀναίμακτον τὸ κατόρθωμα γένοιτο, μόνον καταρξαμένοις. ἀναβαίνοντας μὲν γὰρ, κωλύειν πειράσονται κατὰ τὸ εἰκὸς, λαθόντας δὲ καὶ βιασαμένους ἅπαξ, οὐκ ἂν ὑποσταῖεν ἔτι κἂν ὀλίγοι φθάσωσι. τὸν δὲ καταρξάμενον, αἰσχυνοίμην ἂν, εἰ μὴ ποιήσαιμι ζηλωτὸν, ἐν ταῖς ἐπικαρπίαις. καὶ ὁ μὲν ζῶν, ἄρξει τῶν νῦν ὁμοίων, μακάρια δ᾽ ἀκολουθήσει καὶ τοῖς πεσοῦσι τὰ ἀριστεῖα.

Κεφ. ε.

Τοιαῦτα τοῦ Τίτου διεξιόντος, τὸ μὲν ἄλλο πλῆθος ἔδεισε τοῦ κινδύνου τὸ μέγεθος. τῶν δ᾽ ἐν ταῖς σπείραις στρατευομένων Σαβῖνος τοὔνομα, γένος ἀπὸ Συρίας, ἀνὴρ καὶ κατὰ χεῖρα, καὶ κατὰ ψυχὴν ἄριστος ἐφάνη. καίτοι προϊδὼν ἄν τις αὐτὸν ἀπό γε τῆς σωματικῆς ἕξεως οὐδ᾽ ἱκανὸν εἶναι στρατιώτην ἔδοξε· μέλας μὲν γὰρ ἦν τὴν χρόαν, ἰσχνὸς, τὴν σάρκα πεπιλημένος· ἀλλ᾽ ἐνῴκει τις ἡρωϊκὴ ψυχὴ λεπτῷ σώματι, καὶ πολὺ τῆς ἰδίας ἀλκῆς στενοτέρῳ. πρῶτος γοῦν ἀναστὰς, ἐπιδίδωμι Καῖσαρ, ἔφη, προθύμως ἐμαυτὸν, πρῶτος ἀναβαίνω τὸ τεῖχος· καὶ εὔχομαι μέν μου τῇ τε ἰσχύϊ καὶ τῇ γνώμῃ, τὴν σὴν ἀκολουθῆσαι τύχην. εἰ δὲ νεμεσηθείην τῆς ἐπιβολῆς, ἴσθι με, μὴ πταίσαντα παρ᾽ ἐλπίδας, ἀλλ᾽ ὑπὲρ σοῦ κρίσει τὸν θάνατον ᾑρημένον. ταῦτα εἰπὼν καὶ τῇ μὲν ἀριστερᾷ χειρὶ τὸν θυρεὸν ὑπὲρ τῆς κεφαλῆς προανατείνας, τῇ δεξιᾷ δὲ τὸ ξίφος ἀνασπασάμενος, ἐχώρει πρὸς τὸ τεῖχος, μάλιστα περὶ ὥραν τῆς ἡμέρας ἕκτην. εἵποντο δ᾽ αὐτῷ καὶ τῶν ἄλλων ἕνδεκα μόνοι ζηλωταὶ τῆς ἀνδρείας γενόμενοι. προῆγε δὲ πολὺ πάντας ὁ ἀνὴρ, ὁρμῇ τινὶ δαιμονίῳ χρώμενος. οἱ φρουροὶ δ᾽ ἀπὸ τοῦ τείχους, κατηκόντιζόν τε αὐτοὺς, καὶ βέλεσι πάντοθεν ἀπείροις ἔβαλλον, καὶ πέτρας ἐξαισίους κατεκύλιον, αἳ τῶν μὲν ἕνδεκα παρέσυραν ἐνίους. ὁ δὲ Σαβῖνος ἀπαντῶν τοῖς ἀφιεμένοις, καὶ καταχωννύμενος ὑπὸ τῶν βελῶν, οὐ πρότερον ἐπέσχε τὴν ὁρμὴν ἢ γενέσθαι ἐπ᾽ ἄκρῳ, καὶ τρέψασθαι τοὺς πολεμίους. καταπλαγέντες γὰρ αὐτοῦ τήν τε δύναμιν οἱ Ἰουδαῖοι, καὶ τὸ παράστημα τῆς ψυχῆς, ἅμα δὲ καὶ πλείους ἀναβεβηκέναι δόξαντες ἐτράπησαν. ἔνθα δὴ καταμέμψαιτ᾽ ἄν τις ὡς φθονερὰν ἐπὶ ταῖς ἀρεταῖς τὴν τύχην, καὶ κωλύουσαν ἀεὶ τὰ παράδοξα τῶν κατορθωμάτων. ὁ γοῦν ἀνὴρ οὗτος ὅτε ἐκράτησε τῆς ἐπιβολῆς ἐσφάλη, καὶ πταίσας πρός τινα πέτραν,

quorum anima cum corpore sepultura damnatur. Quis enim virorum fortium nescit, quod animas in acie ferro corporibus absolutas, purissimum elementum æther hospitio receptas inter sidera collocat: manésque se bonos ac propitios heroas, videndos offerunt posteris suis? Quas verò morbus corporis tabésque consumpserit: & si maximè probris ac piaculis purgatæ sint, subterraneæ tenebræ operiunt, altáque obliuio suscipit, corporis simul & vitæ ac memoriç fine circumscriptas. Quod si necessariò mors homini decreta est, ad hoc autem omni morbo leuius est, ferri ministerium, cui non videatur ignauum negare vsui, quod debito redditurus sit. Et hæc quidem velut seruari nequeant, vel qui conati fuerint, prosecutus sum. est autem salutis spes in maximis quoque periculis qui virilem animum gerunt. Primum enim quod decidit patet incessui: deinde totum quod ædificatum est, facillimè dissolui potest. Vósque plures hoc opus aggredientes, alius alij pro adhortatione fietis atque subsidio: vestráque obstinatio breui animos hostium franget: ac fortasse nobis, si eam tantùm cœperimus, incruenta res efficietur. Etenim ascendentes quidem nos prohibere scilicet conabūtur. si verò clam vel etiam per vim aliquid egerimus semel, quamuis paucos non sustinebunt. Me autem profectò pudeat, nisi qui primus hoc fecerit inuidendum remunerationibus fecero: & qui vixerit quidem nunc æqualibus præsit: beatissima verò præmia sequantur occisos. Talia dicente Tito, cætera quidem multitudo periculi magnitudinem timuit: eorum verò vnus, qui in cohortibus militarent, Sabinus nomine, genere Syrus, vir & manu simul & animo fortis apparuit: licèt si quis eum antè vidisset, quantum ex habitu corporis, ne specie quidem militem esse credidisset: erat enim colore nigro, exilis habitudine: sed anima quædam heroica in macro corpore, atque angustiore viribus suis habitabat. Cùm primus itaque surrexisset, dedo me, inquit, tibi alacri animo Cæsar, & ante omnes in murum ascendo: atque opto quidem, vt vires ac voluntatem meam sequatur fortuna tua. quòd si cœpto casus inuiderit, scito me non præter spem, quòd res aliter cesserit, sed quòd sic decreuerim, pro te moriturum. His dictis, & scutum læua capiti prætendens, strictóque dextera gladio, circa horam diei sextam murum petebat, sequebantur autem ex aliis, qui soli eius virtutis æmuli esse cupiebant, vndecim viri. Multo autem omnes antecedebat diuino quodam impetu excitatus, cùm de muro custodes iaculis & sagittis vndique infinitis appeterent, atque ingentia saxa deuoluerent, quæ nonnullos de vndecim deiecerunt. Sabinus autem missilibus occurrens, licèt obrueretur sagittis, non tamen antè impetum cohibuit, quàm summa muri prehenderet, hostésque in fugam verteret. viribus enim eius atq; animi pertinacia territi, pluresq; ascendisse rati non steterunt. Qua in re fortunam quis veluti virtutibus inuideat, sempérq; præclaris facinoribus officiat non incusauerit? Siquidē hic vir neq; ab incepto errauit, & offensione lapidis

cum maximo crepitu pronus decidit. Vnde factum est, vt Iudæi reuersi, vbi solum & iacentem vidêre, ex omni eum parte iaculis peterent. Ille verò genibus nixus, & scuto protectus, primo quidem vlciscebatur hostes, multósque ad se appropinquantes sauciauit: vulnerum autem multitudine remisit dexteram: & ad extremum priusquam redderet animam sagittis est obrutus, vir dignus pro fortitudine qui meliori fortuna vteretur, pro mensura verò cœpti facinoris cecidit. Cæteri autem tres penè iam summa tenentes, obtriti lapidibus perierunt, & octo sauciati detracti, & in castra relati sunt. Hæc quidem tertia die mensis Iulij gesta sunt.

CAP. II. Romani Antoniam inuadunt, & à Iudæis repelluntur.

Biduo autem pòst, viginti de numero excubantium per aggeres militum congregati, signiferum ordinis sui, & duos quosdam ex ala equitum, & tubicinem vnum ad se vocant: nonáque noctis hora per ruinas ad Antoniam ociosè procedunt. occisis autem primis custodibus somno oppressis, murum obtinent, ac buccina signum dari præcipiunt: quo cæteri quidem vigiles subitò exuscitantur, & fugiunt priusquam multitudinem quæ murum ascenderat, cernerent. nam & timor illis, & tuba imaginem quandam, vt magnum hostium numerum ascendisse crederent, ostendit. Cæsar autem signo audito, properè armat exercitum: & cum ducibus primis lictorum caterua comitatus, ascendit. Cùm autem Iudæi ad templum interiùs confugissent, ipsi quoque per cuniculum irruperunt, quem Ioannes aduersum Romanorum aggeres aperuerat. Dispositique amborum agminum seditiosi, tam Ioannis quàm Simonis, arcebant eos summa vi atque alacritate repugnandi. siquidem excidij finem putabant, locum sanctum penetrasse Romanos, quod & his victoriæ principium fuit. Ad ipsum autem adytum validissima pugna committitur: his quidem templum vi occupare certantibus, Iudæis verò Antoniam versus eos repellentibus. Et sagittæ quidem ac hastæ vtrisque inutiles erant, strictis autem ensibus dimicabant. Neque conflictu discerni poterat, ex qua parte quisque pugnaret, permixtis viris & propter angustias permutatis, cùm & vocis intellectum magnitudo confunderet, multáque mors esset vtrinque, armáque simul & cadauera iacentium conculcata frangerẽt prẹliantes. Semper autem si bellum fluctuans grauasset alteram partem, potiorum exhortatio & inferiorum conquestio nascebatur. Neque aut fugæ, aut persecutioni locus erat: sed propinquæ mutationes confligentium, & inclinationes permixtè fiebant exercitus. Qui verò inter primos stetissent, aut occidendi aut moriendi necessitatem habebant, quod refugere non dabatur. nam & posteriores vtriusque partis, suos in frontẽ vrgebant, nullúmq; inter dimicantes bello vacuũ interuallum reliquerant. Cùm autem Iudæorum animi Romanorũ peritiã vincerent, iámque omnino tota acies pelleretur (à nona enim hora noctis ad septimam diei vsque pugnabant) hi quidẽ simul omnes excidij

A προρηνὴς ἐπ' αὐτῷ μετὰ μεγίστου ψόφου κατέπεσεν. ἐπιστραφέντες δ' οἱ ἰουδαῖοι καὶ κατιδόντες μόνον τε αὐτὸν καὶ πεπτωκότα, πάντοθεν ἔβαλλον. ὁ δ' εἰς γόνυ διαναστὰς, καὶ προκαλυψάμενος τὸν θυρεὸν, τὸ μὲν πρῶτον ἠμύνατο, καὶ πολλοὺς τῶν πλησιασάντων ἔτρωσεν. αὖθις δ' ὑπὸ πλήθους τραυμάτων, παρῆκε τὴν δεξιὰν, καὶ τέλος πρὶν ἀποδοῦναι τὴν ψυχὴν, κατεχώσθη τοῖς βέλεσιν, ἀνὴρ ἄξιος μὲν ἀμείνονι χρῆσθαι δι' ἀνδρίαν τύχῃ, πεσὼν δὲ τῆς ἐπιβολῆς ἀναλόγως. τῶν δ' ἄλλων, τρεῖς μὲν B τοὺς ἤδη πρὸς τοῖς ἄκροις ὄντας συντρίψαντες, ἀπέκτειναν τοῖς λίθοις. οἱ δὲ ὀκτὼ τραυματίαι κατασύροντες, ἀνεκομίσθησαν εἰς τὸ στρατόπεδον. ταῦτα μὲν οὖν τρίτῃ πανέμου μηνὸς ἐπράχθη.

Κεφ. ϛ.

Μετὰ δὲ ἡμέρας δύο τῶν προκοιτούντων τινὲς ἐπὶ τοῖς χώμασι φυλάκων εἴκοσι συνελθόντες, προσκαλοῦνται μὲν τὸν τοῦ πέμπτου τάγματος σημαιοφόρον, καὶ δύο τινὰς τῶν ἐν ταῖς ἴλαις ἱππέων, καὶ σαλC πικτὴν ἕνα· κατὰ δ' ὥραν τῆς νυκτὸς ἐνάτην, προβαίνουσι μὲν ἡσυχῇ διὰ τῶν ἐρειπίων, ἐπὶ τὴν ἀντωνίαν· ἀποσφάξαντες δὲ τοὺς πρώτους τῶν φρουρῶν κοιμωμένους, κρατοῦσι τοῦ τείχους, καὶ τῷ σαλπικτῇ σημαίνειν ἐκέλευσαν· πρὸς ὃ τῶν μὲν ἄλλων φυλάκων ἐξανάστασις αἰφνίδιος ἦν καὶ φυγὴ, πρὶν τινὰ τὸ πλῆθος ἐπιδεῖν τῶν ἐπιβεβηκότων. ὅ τε γὰρ φόβος καὶ ἡ σάλπιγξ, φαντασίαν αὐτοῖς τοῦ πλήθους ἀναβεβηκέναι πολεμίων D παρεῖχε. καῖσαρ δὲ τοῦ σημείου κατακούσας, ἐξοπλίζει τήν τε δύναμιν διὰ τάχους, καὶ μετὰ τῶν ἡγεμόνων, πρῶτος ἀναβαίνει τοὺς ἐπιλέκτους ἔχων. καταφυγόντων δ' ἰουδαίων εἰς τὸ ἱερὸν, καὶ αὐτοὶ διὰ τῆς διώρυχος εἰσέπιπτον, ἣν ὁ ἰωάννης ὑπὸ τὰ χώματα τῶν ῥωμαίων ὑπώρυξε. καὶ διαστάντες ἀπ' ἀμφοτέρων οἱ στασιασταὶ τῶν ταγμάτων, τοῦ τε ἰωάννου, καὶ τοῦ σίμωνος, εἶργον αὐτοὺς, οὐδεμίαν οὔτε ἰσχύος οὔτε προθυμίας ἐλλείποντες ὑπερβολήν. πέρας γὰρ ἁλώσεως E ὑπελάμβανον, τὸ ῥωμαίους παρελθεῖν εἰς τὸ ἅγιον· ὃ δὴ κἀκεῖνοι, τοῦ κρατεῖν ἀρχήν. συῤῥήγνυται δὲ περὶ τὰς εἰσόδους, μάχη καρτερὰ, τῶν μὲν, καταλαβέσθαι καὶ τὸ ἱερὸν εἰσβιαζομένων, τῶν δὲ ἰουδαίων ἐξωθούντων αὐτοὺς ἐπὶ τὴν ἀντωνίαν. καὶ τὰ βέλη μὲν ἦν ἀμφοτέροις ἄχρηστα, καὶ τὰ δόρατα· σπασάμενοι δὲ τὰ ξίφη συνεπλέκοντο, καὶ περὶ τὴν συμβολὴν, ἄκριτον ἦν ὁποτέρωθεν ἕκαστοι μάχοιντο. πεφυρμένων μὲν τῶν ἀνδρῶν καὶ περὶ τὴν στενοχωF ρίαν διηλλαγμένων, τῆς δὲ βίας ἀσημάντου προσπιπτούσης διὰ τὸ μέγεθος. φόνος τε ἦν ἑκατέρωθεν πολὺς, καὶ τῶν πεσόντων τά τε σώματα καὶ τὰς πανοπλίας πατοῦντες, ἔθραυον οἱ μαχόμενοι. ἀεὶ δ' ἐφ' ὁπότερον βρίσειε ῥέων ὁ πόλεμος, παρακέλευσις μὲν ἦν τῶν πλεονεκτούντων, οἰμωγαὶ δὲ τῶν τρεπομένων. οὔτε δ' αἱ φυγαὶ τόπον εἶχον, οὔθ' αἱ διώξεις, ἀλλ' ἀνώμαG λοι ῥοπαὶ καὶ μετακλίσεις, μεμιγμένης ἐγίνοντο τῆς παρατάξεως. τοῖς δ' ἔμπροσθεν γινομένοις, ἢ τοῦ θνήσκειν ἢ τοῦ κτείνειν ἀνάγκη παρῆν, οὐκ οὔσης ἀναφυγῆς. οἱ γὰρ κατόπιν ἑκάτεροι πρόσω βιαζόμενοι, τοὺς σφετέρους παρ' ἀμφοῖν, οὐδὲ τῇ μάχῃ μεσαίχμιον κατέλιπον. πλεονεκτούντων δὲ τῶν ἰουδαίων τοῖς θυμοῖς τὴν ῥωμαίων ἐμπειρίαν, καὶ κλινομένης καθάπαν ἤδη τῆς παρατάξεως, ἀπὸ γὰρ ἐνάτης νυκτὸς ὥρας, εἰς ἑβδόμην τῆς ἡμέρας ἐπολέμουν, οἱ μὲν ἀθρόοι, καὶ τὸν τῆς ἁλώσεως κίνδυνον

κίνδυνον ἔχοντες ἀνδρείας ἐφόδιον. ῥωμαῖοι δὲ μέρος τῆς δυνάμεως, οὔπω γὰρ ἐπαναβεβήκει τὰ τάγματα, κἀκείνοις ἐπανεῖχον οἱ μαχόμενοι, τότε κρατεῖν τῆς ἀντωνίας ἀποχρῆν, ἐπὶ τοῦ παρόντος ἐδόκει.

Κεφ. ζ. Ἰουλιανὸς δέ τις ἑκατοντάρχης τῶν ἀπὸ τῆς βιθυνίας, οὐκ ἄσημος ὢν ἀνὴρ, ὃν ἐγὼ κατ᾽ ἐκεῖνον ἱστόρησα τὸν πόλεμον, ὅπλων τε ἐμπειρίᾳ, καὶ ἀλκῇ σώματος, καὶ ψυχῆς παραστήματι πάντων ἄριστος, ὁρῶν τοὺς ῥωμαίους ἐνδιδόντας ἤδη καὶ κακῶς ἀμυνομένους, παρειστήκει δὲ τίτῳ κατὰ τὴν ἀντωνίαν, προπηδᾷ, καὶ νικῶντας ἤδη τοὺς ἰουδαίους, τρέπεται μόνος μέχρι τῆς τοῦ ἐνδοτέρου ἱεροῦ γωνίας. ἔφευγε δὲ τὸ πλῆθος ἄθρουν, οὔτε τὴν ἰσχὺν, οὔτε τὴν τόλμαν ἀνθρωπίνην ὑπολαμβάνοντες. ὁ δὲ διὰ μέσων τῶν σκεδαννυμένων ἄλλοτε ἄλλῃ διάττων, ἐφόνευε τοὺς καταλαμβανομένους, καὶ τῆς ὄψεως ἐκείνης, οὐδὲν οὔτε τῷ καίσαρι θαυμασιώτερον, οὔτε τοῖς ἄλλοις παρέστη φρικωδέστερον. ἐδιώκετο δ᾽ ἄρα καὶ αὐτὸς ὑπὸ τῆς εἱμαρμένης, ἣν ἀμήχανον διαφυγεῖν θνητὸν ὄντα. τὰ γὰρ ὑποδήματα πεπαρμένα πυκνοῖς καὶ ὀξέσιν ἥλοις ἔχων, ὥσπερ τῶν ἄλλων στρατιωτῶν ἕκαστος, καὶ κατὰ λιθοστρώτου τρέχων, ὑπολισθαίνει· πεσὼν δ᾽ ὕπτιος μετὰ μεγίστου τῆς πανοπλίας ἤχου, τοὺς φεύγοντας ἐπιστρέφει. καὶ τῶν μὲν ἀπὸ τῆς ἀντωνίας ῥωμαίων, ἤρθη βοὴ περὶ τἀνδρὶ δεισάντων. οἱ δ᾽ ἰουδαῖοι περιστάντες αὐτὸν ἄθρουν, τοῖς τε ξυστοῖς, καὶ ταῖς ῥομφαίαις πάντοθεν ἔπαιον. ὁ δὲ πολλὴν μὲν τῷ θυρεῷ σίδηρον ἐξεδέχετο· πολλάκις δ᾽ ἀναστῆναι πειράσας, ὑπὸ τοῦ πλήθους τῶν τυπτόντων ἀνετράπη, καὶ κείμενος δ᾽ ὅμως, ἔνυττε τῷ ξίφει πολλούς. οὐδὲ γὰρ ἀνῃρέθη ταχέως, τῷ τε κράνει καὶ τῷ θώρακι πεφραγμένος, πάντα τὰ καίρια πρὸς σφαγὴν, καὶ τὸν αὐχένα συνέλκων, μέχρι κοπτομένων αὐτῷ τῶν ἄλλων μελῶν, καὶ μηδενὸς προσαμῦναι τολμῶντος, ἐνέδωκε. δεινὸν δὲ πάθος εἰσῄει καίσαρα ἀνδρὸς οὕτως ἐναρέτου, καὶ ἐν ὄψει τοσούτων φονευομένου. καὶ αὐτὸν μὲν ὁ τόπος διέκλειε τοῦ βοηθεῖν ἐθέλοντα, τοὺς δυναμένους δὲ κατάπληξις. ἰουλιανὸς μὲν οὖν πολλὰ δυσθανατήσας, καὶ τῶν κτεινάντων ὀλίγους ἀπλῆγας καταλιπὼν, μόλις ἀποσφάττεται, μέγιστον οὐ παρὰ ῥωμαίοις καὶ καίσαρι μόνον, ἀλλὰ καὶ παρὰ τοῖς πολεμίοις κλέος καταλιπών. ἰουδαῖοι δὲ καὶ τὸν νεκρὸν ἁρπασάμενοι, πάλιν τοὺς ῥωμαίους τρέπονται, καὶ κατακλείουσιν εἰς τὴν ἀντωνίαν. ἠγωνίσαντο δ᾽ ἐξ αὐτῶν ἐπισήμως κατὰ ταύτην τὴν μάχην, ἀλεξᾶς μέν τις καὶ γυφθαῖος τοῦ ἰωάννου τάγματος· ἐκ δὲ τῶν περὶ σίμωνα, μαλαχίας τε, καὶ ὁ τοῦ μέρτωνος ἰούδας, καὶ σωσᾶ υἱὸς ἰάκωβος, τῶν ἰδουμαίων ἡγεμὼν, τῶν δὲ ζηλωτῶν ἀδελφοὶ δύο, παῖδες ἰαείρου, σίμων τε καὶ ἰούδης.

Κεφ. η. Τίτος δὲ τοῖς μὲν σὺν αὐτῷ στρατιώταις, κατασκάπτειν προσέταξε τοὺς θεμελίους τῆς ἀντωνίας, καὶ τῇ δυνάμει πάσῃ ῥᾳδίαν τὴν ἄνοδον εὐτρεπίζειν. αὐτὸς δὲ τὸν ἰώσηπον παραστησάμενος, ἐπέπυστο γὰρ ἐπ᾽ ἐκείνης τῆς ἡμέρας, πανέμου δ᾽ ἦν ἑπτακαιδεκάτη, τὸν ἐνδελεχισμὸν καλούμενον, ἀνδρῶν ἀπορίᾳ διαλελοιπέναι τῷ θεῷ, καὶ τὸν δῆμον ἐπὶ τούτῳ δεινῶς ἀθυμεῖν. λέγειν δὲ τῷ ἰωάννῃ, πάλιν ἐκέλευσεν ἃ καὶ πρότερον· ὡς εἰ καί τις αὐτὸν ἔρως κακὸς ἔχοι τοῦ μάχεσθαι, προελθόντι μεθ᾽ ὅσων βούλεται πολεμεῖν ἐξεῖν,

A periculum pro nutrimento virtutis habebant: Romani verò exercitus parti (nondum enim ascenderant legiones, illisque spes pugnantium nitebatur) satis esse visum est in præsentia, Antoniam obtinere.

CAP. III. De Iuliani Romani militis insigni fortitudine.

IVlianus verò quidam centurio ex Bithynia non ignobilis, quem in illo bello & armorum peritia & viribus corporis & animi spiritu omnium fortissimum ipse cognoui, vbi Romanos iam cedere & malè repugnare B cōspexit (propter Titum autem apud Antoniā stabat) subitò prosiliit, iámque Iudeos vincentes solus ad interiorem vsque templi angulum persecutus est. Fugiebat autem vniuersa multitudo, neque vim eius neque audaciam hominis esse opinantes. At ille per medios ruens, quos alios alio disiecerat, ipsos quos occupasset interficiebat: eáque facie nihil Cæsari admirabilius, aut aliis horribilius visum est. Verū C & ipsum profectò fata persequebantur, quæ ab homine vitari non possunt. Calceos namque habens, crebetrimis atque acutis clauis, vt cæteri solent milites, fixos, dum strato saxeis crustis solo curreret, labitur: magnóque cum armorum sono deiectus, in tergum fugientes reduxit. Et Romanorum quidem clamor ex Antonia sublatus est, saluti eius metuentium: Iudæi verò multi simul gladiis & hastis vndique feriebant. Ille autem multam quidem ferri vim scuto excipiebat: sæpè autem conatus e- D rigere se, percutientium multitudine reuolutus est, & iacens tamen gladio multos perculit: nec enim citò peremptus est, quando galea & thorace omnia membra neci opportuna sept[a] erat, nanque diu ceruicem contraxerat, donec concisis aliis eius membris remisit vires, cùm ei nemo auderet succurrere. Nimius autē dolor Cæsarem tenuit, vbi tantæ fortitudinis virum in conspectu tantæ multitudinis vidit occidi: & quòd locus se quidē intercludebat au- E xilium ferre cupiētem: alios autem, ne possent, metus impediebat. Iulianus igitur diu cū morte luctatus, cū non paucos interfectorum suorum saucios reliquisset, ægrè peremptus est: magna sui gloria, non apud Romanos tantùm & Cæsarem, verùm apud hostes quoque relicta, Iudæi verò etiam mortui rapto corpore, Romanos in fugam versos, in Antoniam conclusêre. Fortiter autem in eo prælio decertauêre, Alexas quidem & Gyphthæus, ex agmine F Ioannis, ex parte verò Simonis, Malachias, & Mertonis filius Iudas, & Sosæ filius Iacobus, dux Idumæorum: Zelotæ verò fratres duo filij Iairi Simon & Iudas.

CAP. IIII. Iosephi oratio pro deditione Iudæorum, & profugium eorum.

TItus autem militibus suis imperat Antoniæ fundamenta dituere, facilémque ascensum cuncto exercitui præparare. Ipse verò Iosepho ad se vocato (nanque audierat eo die qui erat mensis Iulij septimus decimus, diuinam obseruantiam, quæ entelechismos vo- G catur: virorum penuria defuisse, eáq; re populum nimis dolere) iterum dici Ioanni præcepit quæ antè mandauerat: quòd etiam si quis eum pugnandi sæuus amor teneret, cum qua placeret ei multitudine, ad bellum progredi liceret.

dum modò non vnà secum & ciuitas interiret simul & templum: sanctum tamen locum violare desineret, néve in Deum nefas admitteret. Potestatem autem haberet si vellet, sacra intermissa celebrare per Iudæos quos ipse delegisset. Itaque Iosephus, ne soli Ioanni hæc intimarentur, sed etiam pluribus, vnde exaudiri posset constitit, & mandata Cæsaris Hebraico sermone disseruit. Multum autē eos quò patriæ parcerent precabatur, ignēque depellerent iam templo contiguum, Deóque vota redderent consueta. His dictis populus tristitia simul & silentio tenebatur. Multis autem cōuiciis tyrannus Iosepho cum execrationibus lacerato, postremò addidit, nunquam sibi excidium esse metuendum, quoniam Dei ciuitas esset. Atque cum exclamatione, sanè verò, inquit Iosephus, eam puram Deo conseruasti, inuiolatáque sancta mansêre: nec in eum cuius speras auxilium, quicquam impium deliquisti: sed solennia sacra consequitur. Et si quidem tibi quisquam quotidianum auferat cibum, impium eum hostem putabis: Deum verò, quem perpetua religione priuaueris, belli auxilio speras futurum? Et Romanis peccata imputas? qui nostras leges etiam nunc tuentur: & quæ ipse intercidisti sacra, Deo reddi compellunt. Quis non inopinatæ mutationis causam gemat, ac defleat ciuitatem? cùm alieni quidem, hostésque impietatem tuam corrigant. tu verò Iudæus & inter leges educatus, illis quoq; in has sæuior inueniaris. Atqui Ioānes etiam pœnitere malorum, non est turpe in rebus extremis, bonúmque tibi exemplum patriam seruare cupienti propositum est, Iechonias rex Iudæorum: qui quondam Babyloniis bellum sibi inferentibus, sponte ciuitate priusquam caperetur excessit, & cum cognatione sua voluntariam captiuitatem sustinuit, ne hæc sancta hostibus proderet, Deique domum videret exuri. Ob hoc sacra Iudæorum commemoratione laudatur: eúmq; memoria trāsmissa per secula semper noua immortalem posteris tradidit. Bonum ô Ioannes exemplar, & si periculum præsto sit: ego autem veniā quoq; tibi à Romanis spondeo, dum memineris, quòd gentilis moneam, & Iudæis ista promittam: spectaríque oporteat, quis sit author & vnde cōsilium. Absit enim vnquam me ita captiuum viuere, vt genus aut leges patrias obliuiscar. Rursum indignaris & clamas, mihíque maledicis. Etiam acerbiora mereor, qui hæc aduersus fata suadeo, Deique sententia condemnatos seruare contendo. Quis ignorat scripta veterum prophetarum, & responsum impendens miserrimæ ciuitati? Iam tunc enim eius excidium prædixêre, cùm quis homicidium gentile cœpisset. Vestrorum autem cadauerum non ciuitas tantùm, sed etiam templum omne repletum est. Deus planè, Deus ipse cum Romanis ignem sibi lustrationis infert, tótque scelerum plenam exurit ciuitatem. Hæc Iosepho cum fletu & lacrymis prosequēte, vox eius singultib. interrupta est. Et Romani quidē miserati dolorem, admirati sūt. Ioannes autē eiúsque socij magis contra Romanos irritabantur, illum quoque capere cupientes.

A δίχα τοῦ συναπολέσθαι τήν τε πόλιν, καὶ τὸν ναὸν αὐτῷ. μηκέτι μέν τοι μιαίνειν τὸ ἅγιον, μηδὲ εἰς τὸν θεὸν πλημμελεῖν. παρεῖναι δ' αὐτῷ τὰς ἐπιλελοιπυίας θυσίας ἐκτελεῖν, δι' ὧν ἂν ἐπιλέξηται ἰουδαίων. καὶ ὁ ἰώσηπος, ὡς ἂν εἰ μὴ τῷ ἰωάννῃ μόνον, ἀλλὰ καὶ τοῖς πολλοῖς, ἐν ἐπηκόῳ στὰς, τά τε τοῦ καίσαρος διήγγελλεν ἑβραΐζων. καὶ πολλὰ προσηντιβόλει φείσασθαι τῆς πατρίδος, καὶ διασκεδάσαι τοῦ ναοῦ γευόμενον ἤδη τὸ πῦρ, τούς τε ἐναγισμοὺς ἀποδιδόναι τῷ θεῷ. B πρὸς ταῦτα τοῦ δήμου μὲν ἦν κατήφεια, καὶ σιγή, πολλὰ δ' ὁ τύραννος λοιδορηθείς τε τῷ ἰωσήπῳ, καὶ καταρασάμενος, τὸ τελευταῖον προσέθηκεν, ὡς οὐκ ἄν ποτε δείσειεν ἅλωσιν. θεοῦ γὰρ ὑπάρχειν τὴν πόλιν. καὶ ὁ ἰώσηπος πρὸς ταῦτα ἀνέκραγεν. πάνυ γοῦν καθαρὰν τῷ θεῷ τετήρηκας αὐτήν, ἀμίαντον δὲ μένει τὸ ἅγιον. εἰς ὃν δὲ ἐλπίζεις σύμμαχον, οὐδὲν ἠσέβησας· τὰς δὲ ἐθίμους θυσίας ἀπολαμβάνει. κἂν μέν σου τις ἀφέληται τὴν καθ' C ἡμέραν τροφήν, ἀσεβέστατε, τοῦτον ἡγήσῃ πολέμιον. αὐτὸν δὲ, ὃν τῆς αἰωνίου θρησκείας ἐστέρησας θεὸν, ἐλπίζεις σύμμαχον ἔχειν ἐν τῷ πολέμῳ; καὶ ῥωμαίοις τὰς ἁμαρτίας ἀνατίθης; οἳ μέχρι νῦν κήδονται τῶν ἡμετέρων νόμων, καὶ τὰς ὑπὸ σοῦ διακοπείσας θυσίας, ἀποδίδοσθαι τῷ θεῷ βιάζονται. τίς οὐκ ἂν στενάξειεν, καὶ κατολοφύραιτο τῆς παραδόξου μεταβολῆς τὴν πόλιν; εἴγε ἀλλόφυλοι μὲν, καὶ πολέμιοι τὴν σὴν ἀσέβειαν ἐπανορθοῦνται. D σὺ δὲ ἰουδαῖος ὁ τοῖς νόμοις ἐντραφεὶς, κἀκείνων πρὸς αὐτοὺς γίνῃ χαλεπώτερος. ἀλλά τοι ἰωάννη καὶ μετανοῆσαι μὲν ἐκ κακῶν, οὐκ αἰσχρὸν ἐν ἐσχάτοις, καὶ καλὸν ὑπόδειγμα βουλομένῳ σώζειν τὴν πατρίδα σοι πρόκειται, βασιλεὺς ἰουδαίων ἰεχονίας ὅς ποτε στρατεύσαντι τῷ βαβυλωνίῳ δι' αὐτὸν, ἑκὼν ἐξέστη πρὶν ἁλῶναι τῆς πόλεως, καὶ μετὰ γενεᾶς αἰχμαλωσίαν ὑπέμεινεν ἐθελούσιον, ὑπὲρ τοῦ μὴ παραδοῦναι ταῦτα πολεμίοις τὰ ἅγια, καὶ τὸν οἶκον τοῦ θεοῦ E περιιδεῖν φλεγόμενον. διὰ τοῦτο λόγος τε αὐτὸν πρὸς ἁπάντων ἰουδαίων ἱερὸς ὑμνεῖ, καὶ μνήμη ῥέουσα δι' αἰῶνος ἀεὶ νέα, τοῖς ἐπιγινομένοις παραδίδωσιν ἀθάνατον. καλὸν ὦ ἰωάννη ὑπόδειγμα, κἂν προσῇ κίνδυνος. ἐγὼ δέ σοι, καὶ τὴν ἀπὸ ῥωμαίων συγγνώμην ἐγγυῶμαι. μέμνησο δὲ, ὡς ὁμόφυλος ὢν παραινῶ, καὶ ἰουδαῖος ὢν ἐπαγγέλλομαι, καὶ χρὴ σκοπεῖν, τίς ὁ συμβουλεύων, καὶ πόθεν. μὴ γὰρ ἔγωγέ ποτε γενοίμην ζῶν F οὕτως αἰχμάλωτος, ἵνα παύσωμαι τοῦ γένους, ἢ τῶν πατρίων ἐπιλάθωμαι. πάλιν ἀγανακτεῖς, καὶ κέκραγάς μοι λοιδορούμενος. ἄξιός γε καὶ χαλεπωτέρων, ὃς ἄντικρυς εἱμαρμένης τι παραινῶ, καὶ τοὺς ὑπὸ θεοῦ βιάζομαι κατακρίτους σώζειν. τίς οὐκ οἶδε τὰς τῶν παλαιῶν προφητῶν ἀναγραφὰς, καὶ τὸν ἐπιρρέποντα τῇ τλήμονι πόλει χρησμὸν, ἤδη ἐνεστῶτα; τότε γὰρ ἅλωσιν αὐτῆς προεῖπον, ὅταν ὁμοφύλου τις ἄρξῃ φόνου. τῶν ἡμετέρων δὲ πτωμάτων, οὐχ ἡ πόλις, καὶ τὸ ἱερὸν δὲ πᾶν G πεπλήρωται. θεὸς ἄρα, θεὸς αὐτὸς ἐπάγει μετὰ ῥωμαίων καθάρσιον αὐτῷ πῦρ, καὶ τὴν τοσούτων μιασμάτων γέμουσαν πόλιν, ἀναρπάζει. ταῦτα λέγων ἰώσηπος μετ' ὀδυρμοῦ καὶ δακρύων, λυγμῷ τὴν φωνὴν ἐνεκόπη. καὶ ῥωμαῖοι μὲν, ᾤκτειράν τε τοῦ πάθους καὶ τῆς προαιρέσεως αὐτὸν ἐθαύμασαν. οἱ δὲ περὶ τὸν ἰωάννην παρωξύνοντο μᾶλλον ἐπὶ τοὺς ῥωμαίους ἐπιθυμοῦντες ἐγκρατεῖς γενέσθαι ἐκείνου.

Τῶν γε

Κεφ. θ.

Τῶν γε μὴν εὐγενῶν, πολλοὺς ἐκίνησεν ὁ λόγος, καὶ τινὲς μὲν ὀρρωδοῦντες τὰς φυλακὰς τῶν στασιαστῶν κατὰ χώραν ἔμενον, ἀπώλειαν μέντοι σφῶν τε αὐτῶν καὶ τῆς πόλεως κατεγνώκεσαν. εἰσὶ δὲ οἳ καιροφυλακήσαντες ἄδειαν ἀναχωρήσεως, πρὸς τοὺς ῥωμαίους κατέφυγον. ὧν ἦσαν ἀρχιερεῖς μὲν, ἰώσηπός τε καὶ ἰησοῦς, υἱοὶ δ᾽ ἀρχιερέων, τρεῖς μὲν ἰσμαήλου τοῦ καρατομηθέντος ἐν κυρήνῃ, καὶ τέταρτος ματθίου παῖς διαδρὰς μετὰ τὴν τοῦ πατρὸς ἀπώλειαν, ὃν ὁ τοῦ γιώρα σίμων ἀπέκτεινε, σὺν τρισὶν υἱοῖς ὡς προείρηται. πολλοὶ δὲ καὶ τῶν ἄλλων εὐγενῶν, τοῖς ἀρχιερεῦσι συμμετεβάλλοντο. καῖσαρ δ᾽ αὐτοὺς τά τε ἄλλα φιλοφρόνως ἐδέξατο, καὶ γινώσκων ἀλλοφύλοις ἤθεσιν ἀηδῆ τὴν διατριβὴν ἕξειν, ἀπέπεμψεν αὐτοὺς εἰς γόφναν τέως ἐκεῖ παραμένειν μέλλειν ἀποδώσειν γὰρ ἑκάστῳ τὰς κτήσεις, μετὰ σχολὴν ἀπὸ τοῦ πολέμου γενόμενος. οἱ μὲν οὖν εἰς τὸ δοθὲν πολίχνιον, μετὰ πάσης ἀσφαλείας, ἀνεχώρουν ἄσμενοι. μὴ φαινομένων δ᾽ αὐτῶν, διεφήμισαν οἱ στασιασταὶ πάλιν, ὡς ἀποσφαγεῖεν ὑπὸ ῥωμαίων οἱ αὐτόμολοι, δῆλον ὅτι, τοὺς λοιποὺς ἀποτρέποντες τῷ φόβῳ διαδιδράσκειν. ἤνυσε δ᾽ ὡς καὶ πρότερον αὐτοῖς τὸ πανούργημα πρὸς καιρὸν, ἐπεσχέθησαν γὰρ ὑπὸ τοῦ δέους αὐτομολεῖν.

Κεφ. ι.

Αὖθις δ᾽ ὡς ἀνακαλέσας τοὺς ἄνδρας ἀπὸ τῆς γόφνας τίτος, ἐκέλευσε μετὰ τοῦ ἰωσήπου περιελθόντας τὸ τεῖχος ὀφθῆναι τῷ δήμῳ, πλεῖστοι πρὸς τοὺς ῥωμαίους ἔφευγον. γινόμενοι δ᾽ ἀθρόοι, καὶ πρὸ τῶν ῥωμαίων ἱστάμενοι, μετ᾽ οἰμωγῆς καὶ δακρύων ἱκέτευον τοὺς στασιαστὰς τὸ μὲν πρῶτον, ὅλῃ τοὺς ῥωμαίους δέξασθαι τῇ πόλει, καὶ τὴν πατρίδα σῶσαι πάλιν· εἰ δὲ μὴ, τοῦ γε ἱεροῦ πάντως ὑπεξελθεῖν, καὶ ῥύσασθαι τὸν ναὸν αὐτοῖς. οὐ γὰρ ἂν τολμῆσαι ῥωμαίους μὴ μετὰ μεγίστης ἀνάγκης καταφλέξαι τὰ ἅγια. τούτοις μᾶλλον ἀντεφιλονείκουν, καὶ πολλὰ βλάσφημα τοῖς αὐτομόλοις ἀντικεκραγότες, ἐπὶ τῶν ἱερῶν πυλῶν τούς τε ὀξυβελεῖς καὶ καταπέλτας, καὶ λιθοβόλους μηχανὰς διέστησαν. ὡς τὸ κύκλῳ μὲν ἱερὸν ἀπὸ πλήθους νεκρῶν, προσεοικέναι πολυανδρίῳ, τὸν δὲ ναὸν αὐτὸν φρουρίῳ. τοῖς δ᾽ ἁγίοις, καὶ ἀβάτοις, μετὰ τῶν ὅπλων εἰσεπήδων, θερμὰς ἔτι τὰς χεῖρας ἐξ ὁμοφύλων ἔχοντες φόνων· καὶ προύκοψαν εἰς τοσοῦτον παρανομίας, ὥστε ἣν ἂν εἰκὸς ἀγανάκτησιν γενέσθαι ἰουδαίων, εἰ ῥωμαῖοι ταῦτα ἐξυβρίζοιεν εἰς αὐτοὺς, ταύτην εἶχον ῥωμαῖοι τότε πρὸς ἰουδαίους ἀσεβοῦντας εἰς τὰ ἴδια. τῶν μέν γε στρατιωτῶν οὐκ ἔστιν ὅς τις οὐ μετὰ φρίκης εἰς τὸν ναὸν ἀφεώρα, καὶ προσεκύνει, τούς τε λῃστὰς ηὔχετο, πρὶν ἀνηκέστου πάθους μετανοῆσαι. τίτος δ᾽ ὑπεραλγήσας πάλιν ἐξωνείδιζε τοὺς περὶ τὸν ἰωάννην λέγων, ἆρ᾽ οὐχ ὑμεῖς ὦ μιαρώτατοι, τὸν δρύφακτον τοῦτον προυβάλεσθε τῶν ἁγίων; οὐχ ὑμεῖς δὲ τὰς ἐν αὐτῷ στήλας διεστήσατε γράμμασιν ἑλληνικοῖς, καὶ ἡμετέροις κεχαραγμένας, ἃς μηδένα τὸ γεῖσον ὑπερβαίνειν παραγγέλλειν; οὐχ ἡμεῖς δὲ τοὺς ὑπερβάντας, ὑμῖν ἀναιρεῖν ἐπετρέψαμεν, κἂν ῥωμαῖός τις ᾖ; τί οὖν νῦν ἀλιτήριοι, καὶ νεκροὺς ἐν αὐτῷ καταπατεῖτε; τί δὲ τὸν ναὸν αἵματι ξένῳ, καὶ ἐγχωρίῳ φύρετε; μαρτύρομαι θεοὺς ἐγὼ πατρίους, καὶ εἴ τις ἐφεώρα ποτὲ τόνδε τὸν χῶρον, νῦν μὲν γὰρ οὐκ οἴομαι, μαρτύρομαι δὲ καὶ στρατιὰν ἐμὴν, καὶ τοὺς παρ᾽ ἐμοὶ ἰουδαίους, καὶ ὑμᾶς αὐτοὺς, ὡς οὐκ ἐγὼ ταῦθ᾽ ὑμᾶς

Nobilium tamen plurimos commouit eius oratio. Et nonnulli quidem seditiosorum custodias formidantes, locis suis manebant, iamdudum certi de suo pariter & ciuitatis exitio. Fuerunt autem, qui capto discessionis tempore, ad Romanos confugere: in quibus erant pontifices Iosephus & Iesus. Filij verò pontificum, tres quidem Ismaëlis, cui apud Cyrenen fuerat caput abscisum, & Matthiæ quatuor: alterius verò Matthiæ vnus, qui post interitum patris aufugerat, quem Simon Gioræ cum tribus filiis, vt suprà dictum est, interemit. Multi autem nobiles cum pontificibus defecêre: eósque imperator cùm per alia humanè suscepit, tum sciens in alienigenis moribus illis versari molestum esse, in Gophnam dimisit, vt ibi manerent interim, multas etiam pollicitus possessiones cuique peracto bello se redditurum. Illi quidem in destinatum municipium læti cum omni cautione discedunt. His autem in ciuitate non visis, rumor seditiosis iterum diffamatus est, quòd Romani transfugas occidissent, vt hoc metu videlicet à fuga reliquos deterrerent. Et paulisper quidem hæc calliditas eorũ, sicut antea, valuit, timor autem profugere cupientes inhibuit. Rursus autem postquam eos Titus reuocatos à Gophna cum Iosepho murum circumire, & populo conspici iussit, multi ad Romanos fugiebant. In vnum verò congregati, & ante Romanos stantes, cum lacrymis atque vlulatu seditiosos rogabant, primò quidem vt in ciuitatem Romanos susciperent, patriámque seruarent: si hoc displiceret, saltem de fano exirent, templúmque sibi liberarent. Nec enim ausuros sine maxima necessitate Romanos ignem sanctis immittere. His illi magis aduersabantur, multáque in transfugas vociferati conuitia, supra sacras portas iacula & balistas & saxorum disposuêre tormenta, vt omne quidem circum fanum spacium multitudine mortuorum sepulchro, templum verò ipsum castello simile videretur. In loca verò sancta & inaccessa, cum armis adhuc & manibus gentili cæde calentibus insiliebant: & ad hanc processêre legis iniuriam, vt quam Iudæos indignationem oporteret exercere si hæc Romani admitterent: ea tunc in Iudæos propria sacra temerantes, vterentur Romani milites. Nemo sanè fuit eorum qui non cum honore templum aspiceret, atque adoraret: latronésque optaret, antequam immedicabile malum contingeret, pœnitere. Titus autem dolens vicem eorum, iterum Ioannem eiúsque socios increpabat, dicens: Nónne vos, ô sceleratissimi, cancello, sanctum locũ protexistis? Nónne literis Grecis ac nostris incisas tabulas constituistis, quibus ne septa cuiquam transgredi liceret edicitur? Nónne eos qui transissent, quamuis Romanus quis esset, vobis necare permisimus? Quid igitur in eo etiam mortuos conculcastis, ô nocentissimi? Aut cur templum & externi & gentilis sanguinis confusione polluistis? Testor ego patrios deos, & si quis vnquam hunc locum antè aspexit (nunc enim neminem credo) itémque testor & exercitum meum & Iudæos qui apud me sunt, & vosipsos, ꝙ non ego vos

violare hæc compellam: quin & si locum acies vestra mutauerit, neque accedet ad sancta quispiam Romanorum, nec quicquam in eorum contumeliam faciet. seruabo autem vobis etiam templum nolentibus.

Cap. V. De iterata pugna, extructis aggeribus, & excursionibus Iudæorum.

HÆc Iosepho internunciante principis dicta, latrones ac tyranni existimantes non beneuolentia, sed timiditate hos sermones fieri, in superbiam tollebantur. Titus autem, qui neque seipsos miserari eos, neque templo parcere prospiciebat, rursus bellum gerere decreuit. Sed vniuersum quidem his militem, quòd locus eum non caperet, inferre non poterat. Tricenis autem de singulis centuriis viris fortissimis lectis, etiam chiliarchis singulis millenos attribuit: hisque duce præposito Cereali, hora noctis nona iubet in custodias impetum fieri. Cùm autem ipse quoque in armis esset, vnáque descendere statuisset, amici eum propter periculi magnitudinem ducúmque dicta continuerunt. plus enim operis eum in Antonia præsidentem militum certamini facturum esse dixerunt, quàm si periculum subisset: omnes enim fore sub oculis imperatoris optimos bellatores. His dictis paruit. Deinde ob hoc solum se manere locutus ad milites, vt de eorum virtute iudicaret: ne aut fortis quisquam indonatus abiret, aut contra impunitus ignauus lateret: sed omnium spectator ac testis fieret ipse, qui & vlciscendi & remunerandi esset dominus: illos quidem ad aciem hora qua suprà memoratum est, dimisit. Progressus autem ad speculam in Antonia quid fieret expectabat. Verùm hi qui missi fuerant, non ita, vt sperabant, somno oppressos inuenêre custodes: sed coortis cum clamore, confestim manus conseruêre, excubitorum autem tumultu exciti cæteri cateruatim excurrêre. Itaque primorum quidem impetum excipiebant Romani: qui autem illos sequerentur, in agmen proprium incidebant, multisque suorum velut hostibus vtebantur. Vocis namque agnitionem confusus partium clamor, oculorum autem singulis nox ademerat: cùm preterea quosdam furor cæcos, alios iracundia, alios timor efficeret: idcirco obuium quenque sine discretione feriebant, Romanis quidem scutorum coniunctione septis, & per globos prosilientibus, ignoratio minus nocebat: signi enim sui quisque meminerat. Iudæi verò disiecti, tam impetus quàm recessus temerè facientes, sæpe imaginem inter se hostium aliis alij demonstrabant: cùm reuertentem suum quisque per tenebras, quasi Romanum aggredientem exciperet. Denique plures à suis quàm ab hostibus sauciati sunt, donec orto die, visu iam pugna discerneretur: & in acie stantes ordine, sagittis atque telis vterentur. Neutri verò cedebant, neque labore fatigabantur. Sed Romani quidem & sigillatim, & multi simul in conspectu imperatoris de virtute certabant: illúmque diem sibi quisque promotionis initiũ fore putabat, si fortiter dimicasset. Iudæis autem & proprium cuiusque periculum, & quòd templo metuerent, ministrabat audaciam: quòd tyrannus stans hos rogaret, alios verberaret, & ad pugnãdũ intermina-

ἀναγκάζω μιαίνειν· κἂν ἀλλάξητε τῆς παρατάξεως τὸν τόπον, οὔτε προσελεύσεταί τις ῥωμαίων τοῖς ἁγίοις, οὔτε ἐνυβρίσει. τηρήσω δὲ τὸν ναὸν ὑμῖν, καὶ μὴ θέλουσι. ταῦτα τοῦ ἰωσήπου διαγγέλλοντος ἐκ τοῦ καίσαρος, οἱ λῃσταὶ, καὶ ὁ τύραννος οὐκ ἀπ' εὐνοίας, ἀλλὰ κατὰ δειλίαν γίνεσθαι τὰς παρακλήσεις δοκοῦντες, ὑπερηφάνουν. τίτος δ' ὡς οὔτε οἶκτον ἑαυτῶν τοὺς ἄνδρας, οὔτε φειδώ τινὰ τοῦ ναοῦ ποιουμένους ἑώρα, πάλιν πρὸς πόλεμον ἄκων ἐχώρει.

Κεφ. ια.

ΠΑσαν μὲν οὖν τὴν δύναμιν ἐπάγειν αὐτοῖς, οὐχ οἷόν τε ἦν μὴ χωρουμένην τῷ τόπῳ. τριάκοντα δ' ἐπιλέξας ἀφ' ἑκάστης ἑκατονταρχίας τοὺς ἀρίστους, καὶ τοῖς χιλιάρχοις ἀνὰ χιλίους παραδοὺς, τούτων δ' ἐπιτάξας ἡγεμόνα κερεάλιον, ἐπιθέσθαι προσέταξε ταῖς φυλακαῖς περὶ ὥραν τῆς νυκτὸς ἐνάτην. ὄντα δὲ καὶ αὐτὸν ἐν τοῖς ὅπλοις, καὶ συγκαταβαίνειν παρεσκευασμένον, οἵ τε φίλοι διὰ τὸ μέγεθος τοῦ κινδύνου κατεῖχον, καὶ τὰ παρὰ τῶν ἡγεμόνων λεγόμενα. πλέον γὰρ αὐτὸν ἀνύσειν ἔφασαν ἐπὶ τῆς ἀντωνίας καθεζόμενον, καὶ τὴν μάχην ἀγωνοθετοῦντα τοῖς στρατιώταις, ἢ εἰ καταβὰς προκινδυνεύοι. πάντας γὰρ ὁρῶντος καίσαρος, ἀγαθοὺς πολεμιστὰς ἔσεσθαι. τούτοις πεισθεὶς ὁ καῖσαρ, δι' ἓν τοῦτο τοῖς στρατιώταις ὑπομένειν εἰπὼν, ἵνα κρίνῃ τὰς ἀρετὰς αὐτῶν, καὶ μήτε τῶν ἀγαθῶν τις ἀγέραστος, μήτε τῶν ἐναντίων ἀτιμώρητος διαλάθῃ, γένηται δ' αὐτόπτης καὶ μάρτυς ἁπάντων, ὁ καὶ τοῦ κολάζειν, καὶ τοῦ τιμᾶν κύριος. τοὺς μὲν, ἐπὶ τὴν πρᾶξιν ἔπεμπε καθ' ἣν ὥραν καὶ προείρηται. προελθὼν δ' αὐτὸς εἰς τὸ κάτοπτον ἀπὸ τῆς ἀντωνίας, ἐκαραδόκει τὸ μέλλον.

Κεφ. ιβ.

ΟΥ' μὴν οἵ γε πεμφθέντες τοὺς φύλακας εὗρον κοιμωμένους ὡς ἤλπισαν, ἀλλ' ἀναπηδήσασι μετὰ κραυγῆς εὐθέως συνεπλέκοντο. πρὸς δὲ τὴν τῶν ἐκκοιτούντων βοὴν ἔνδοθεν οἱ λοιποὶ κατὰ στίφος ἐξέθεον. τῶν μὲν δὴ πρώτων τὰς ὁρμὰς, ἐξεδέχοντο ῥωμαῖοι. περιέπιπτον δ' οἱ μετ' ἐκείνους τῷ σφετέρῳ τάγματι, καὶ πολλοὶ τοῖς οἰκείοις ὡς πολεμίοις ἐχρῶντο. τὴν μὲν γὰρ διὰ βοῆς ἐπίγνωσιν, ἡ κραυγὴ συγχυθεῖσα παρ' ἀμφοῖν, τὴν δὲ ὀμμάτων, ἡ νὺξ ἑκάστου ἀφείλετο, καὶ τυφλώττειν ἄλλως, οὓς μὲν οἱ θυμοὶ παρεσκεύαζον, οὓς δὲ οἱ φόβοι. διὰ τοῦτο τὸν προστυχόντα πλήττειν ἦν ἄκριτον. ῥωμαίους μὲν οὖν συνησπικότας, καὶ κατὰ συντάξεις προπηδῶντας, ἧττον ἔβλαπτεν ἄγνοια. καὶ γὰρ ἦν παρ' ἑκάστῳ μνήμη τοῦ συνθήματος. ἰουδαῖοι δ' ἀεὶ σκεδαννύμενοι, καὶ τάς τε προσβολὰς, καὶ τὰς ὑποχωρήσεις ἀνέδην ποιούμενοι, πολλάκις φαντασίαν παρεῖχον ἀλλήλοις πολεμίων. τὸν ὑποστρέφοντα γὰρ ἕκαστος οἰκεῖον διὰ σκότους, ὡς ἐπιόντα ῥωμαῖον ἐξεδέχετο. πλείους γοῦν ὑπὸ τῶν ἰδίων, ἢ τῶν πολεμίων ἐτρώθησαν, ἕως ἡμέρας γινομένης, ὄψει τὸ λοιπὸν ἡ μάχη διεκρίνετο. καὶ κατὰ φάλαγγα διαστάντες, τοῖς τε βέλεσιν εὐτάκτως ἐχρῶντο, καὶ ταῖς ἀμύναις. οὐδ' ἕτεροι δ' οὔτ' εἶκον οὔτ' ἐκοπίων. ἀλλ' οἱ μὲν ὡς ἐφορῶντος τίτου, κατ' ἄνδρα, καὶ κατὰ συντάξεις ἤριζον ἀλλήλοις, καὶ προκοπῆς ἕκαστος ἐκείνην αὐτῷ τὴν ἡμέραν ἄρξειν ὑπελάμβανεν, εἰ γενναίως ἀγωνίσαιτο. ἰουδαίοις δ' ἐβράβευε τὰς τόλμας, ὅ τε περὶ σφῶν αὐτῶν, καὶ τοῦ ἱεροῦ φόβος, καὶ ὁ τύραννος ἐφεστὼς, καὶ τοὺς μὲν παρακαλῶν, τοὺς δὲ μαστιγῶν καὶ διεγεί-

ρων

ἔργων ἀπειλαῖς. συνέβαινε δὲ τὸ μὲν πλεῖστον, σταδιαίαν εἶναι τὴν μάχην, ἐν ὀλίγῳ δὲ, καὶ ταχέως ἀντιστρέφεσθαι τὰς ῥοπάς. οὐδ' ἑτέροι γὰρ οὔτε φυγῆς, οὔτε διώξεως μῆκος εἶχον. ἀεὶ δὲ πρὸς τὸ συμβαῖνον, οἰκεῖος ἀπὸ τῆς ἀντωνίας ὁ θόρυβος ἦν· θαρρεῖν μὲν καὶ κρατοῦσι τοῖς σφετέροις ἐπιβοώντων, καὶ μένειν τρεπομένοις. ἦν δ' ὥσπερ τι πολέμου θέατρον. οὐδὲν γὰρ οὔτε τίτον, οὔτε τοὺς περὶ αὐτὸν ἐλάνθανε τῶν κατὰ τὴν μάχην. τὸ δὲ πέρας ἀρξάμενοι τῆς νυκτὸς ἐνάτης ὥρας, ὑπὲρ πέμπτην τῆς ἡμέρας διελύθησαν, ἀφ' οὗ περ ἤρξαντο τόπου τῆς συμβολῆς, μηδ' ἑτέρων βεβαίως κλίναντες τοὺς ἑτέρους, ἀλλὰ τὴν νίκην μέσην ἐν ἀγχωμάλῳ τῇ παρατάξει καταλιπόντες. καὶ ῥωμαίων μὲν ἐπισήμως ἠγωνίσαντο πολλοί, ἰουδαίων δὲ ἐκ μὲν τῶν περὶ σίμωνα ἰούδας ὁ τοῦ μέρτωνος, καὶ σίμων ὁ τοῦ ἰωσίου. τῶν δ' ἰδουμαίων ἰάκωβος καὶ σίμων, καθλᾶ μὲν οὗτος παῖς, σωσᾶ δ' ὁ ἰάκωβος. τῶν δὲ μετὰ ἰωάννου γυφθαῖος, καὶ ἀλεξᾶς. τῶν δὲ ζηλωτῶν, σίμων υἱὸς ἰαείρου.

Κεφ. ιγ.

Ἐν τούτῳ δ' ἡ λοιπὴ τῶν ῥωμαίων δύναμις, ἡμέραις ἑπτὰ καταστρεψαμένη τοὺς τῆς ἀντωνίας θεμελίους, μέχρι τοῦ ἱεροῦ πλατεῖαν ἄνοδον ηὐτρεπίσαντο, πλησιάσαντα δὲ τῷ πρώτῳ περιβόλῳ τὰ τάγματα, κατήρχετο χωμάτων. τὸ μὲν ἀντικρὺ τῆς τοῦ ἔσω ἱεροῦ γωνίας, ἥτις ἦν κατ' ἄρκτον καὶ δύσιν. τὸ δὲ κατὰ τὴν βόρειον ἐξέδραν, ἣ μεταξὺ τῶν δύο πυλῶν ἦν. τῶν δὲ λοιπῶν δύο, θάτερον μὲν κατὰ τὴν ἑσπέριον στοὰν τοῦ ἔξωθεν ἱεροῦ. τὸ δὲ ἕτερον, ἔξω κατὰ τὴν βόρειον. προύκοπτε μέντοι μετὰ πολλοῦ καμάτου καὶ ταλαιπωρίας αὐτοῖς τὰ ἔργα, καὶ τὴν ὕλην ἀφ' ἑκατὸν σταδίων συγκομίζουσιν. ἐκακοῦντο δ' ἔσθ' ὅπη καὶ κατ' ἐπιβουλάς, αὐτοὶ διὰ περιουσίαν τοῦ κρατεῖν ὄντες ἀδεέστεροι. καὶ δι' ἀπόγνωσιν ἤδη σωτηρίας, χρώμενοι τολμηροτέροις τοῖς ἰουδαίοις.

Κεφ. ιδ.

Τῶν γὰρ ἱππέων τινὲς ὁπότε προέλθοιεν ἐπὶ ξυλείαν ἢ χόρτου συλλογήν, τὸν τῆς κομιδῆς χρόνον, ἀνίεσαν βόσκεσθαι τοὺς ἵππους ἀποχαλινοῦντες, οὓς οἱ ἰουδαῖοι κατὰ στίφος ἐκπηδῶντες ἥρπαζον. καὶ τούτου συνεχῶς γινομένου, νομίσας καῖσαρ ὅπερ ἦν, ἀμελείᾳ τῶν σφετέρων πλέον, ἢ τῇ ἰουδαίων ἀνδρείᾳ γίνεσθαι τὰς ἁρπαγάς, ἔγνω σκυθρωπότερον τοὺς λοιποὺς πρὸς φυλακὴν τῶν ἵππων ἐπιστρέψαι, καὶ κελεύσας ἀπαχθῆναι τὴν ἐπὶ θάνατον τῶν ἀπολεσάντων στρατιωτῶν ἕνα, φόβῳ τοῖς ἄλλοις ἐτήρησε τοὺς ἵππους. οὐκέτι γὰρ εἴων νέμεσθαι, καθάπερ δὲ συμπεφυκότες αὐτοῖς ἐπὶ τὰς χρείας ἐξῄεσαν. οἱ μὲν οὖν προσεπολέμουν τῷ ἱερῷ, καὶ τὰ χώματα διήγειρον.

Κεφ. ιε.

Μετὰ δὲ μίαν ἡμέραν αὐτῶν τῆς ἀνόδου, πολλοὶ τῶν στασιαστῶν, οἷς ἁρπαγαί τε ἐπέλιπον ἤδη, καὶ ὁ λιμὸς ἤπειγε, συνελθόντες ταῖς κατὰ τὸ ἐλαιῶν ὄρος, ῥωμαίων φυλακαῖς ἐπιτίθενται, περὶ ὥραν ἑνδεκάτην τῆς ἡμέρας, οἰόμενοι πρῶτον μὲν ἀδοκήτων, ἔπειτα πρὸς θεραπείας ἤδη τοῦ σώματος ὄντων ῥᾳδίως διεκπεσεῖν. προαισθόμενοι δὲ τὴν ἔφοδον αὐτῶν οἱ ῥωμαῖοι, καὶ ταχέως ἐκ τῶν πλησίον φρουρίων συνδραμόντες, εἶργον ὑπερπηδᾶν καὶ διακόπτειν τὸ περιτείχισμα βιαζομένους. γινομένης δὲ καρτερᾶς τῆς συμβολῆς, ἄλλα τε πολλὰ παρ' ἑκατέρων γενναίως ἐπράχθη, ῥωμαίων μὲν μετὰ τῆς ἰσχύος, ἐμπειρίᾳ τοῦ πολεμεῖν χρωμένων. ἰουδαίων δ' ἀφειδέσι ταῖς ὁρμαῖς, καὶ

tionibus incitaret. Quominus autem plerunque pugnatum est, sed cito & breui momento prælia mutabantur. neutra enim pars prolixum fugæ spacium vel persecutionis habebat. Pro suorum autem euentu ex Antonia tumultus erat, & confidere superantibus, & stare si fugerent, acclamantium: eratque veluti quoddam belli theatrum. nec enim vel Titum, vel alios, qui vnà erant quicquam eorum quæ in pugna gerebantur latebat. Postremò nona hora noctis cœpto prælio, quinta die dissoluti sunt, cùm neutri eo loco vnde pugnam iniêre certa fuga cessissent, verùm mediam in ancipiti prælio victoriam reliquissent. Romanorum quidem plurimi nobiliter decertarunt. Iudæorum verò partis quidem Simonis, Iudas Mertonis filius, & Simon Iosiæ: Idumæique Iacobus, & Simon, hic Cathlæ filius, Iacobus autem Sosæ: de Ioannis autem sociis Gyphthæus & Alexas: & de Zelotis, Simon filius Iairi. At Romanorum reliqua manus, die septimo subuersis Antoniæ fundamentis, latam viam vsque ad templum fecit. admotęque muro legiones, mox aggeres inchoabant: vnum contra interioris templi angulum, qui ad Septentrionem Orientémque spectabat: alterum contra exedram, ad Aquilonis partem inter duas portas ædificatam. aliorum duorum vnum contra porticum Occidentalem templi exterioris, alterum contra Septentrionalem. Magno tamen opus cum labore ac miseriis proficiebat, cùm materias à centesimo vsque stadio deportarent. Interdum autem insidiis lædebantur: cùm ipsi quidem vincendi facultate minimè cauerent, Iudæis verò propter desperationem salutis audacioribus vterentur. Nonnulli enim equitum, quoties ad ligna siue fœnum colligendum exissent, interea dum id facerent, equos suos frenis exutos pasci sinebant: quos Iudæi per cuneos erumpentes rapiebant. Itaque cùm id crebrò fieret, Cæsar existimans, quod erat verum, negligentia suorum magis quàm Iudæorum virtute rapinas contingere, tristi animaduersione cæteros ad equorum custodiam reuocare statuit: vnóque milite qui equum perdiderat morte damnato, eo metu equos suos cæteris conseruauit. Nunquam enim eos posthac in pascua dimittebant, sed tanquam natura his connexi ad necessitatem egrediebantur. Illi quidem templum oppugnabant, aggerésque erigebant. Altera verò die post eorum ascensum, multi seditiosorum, quos rapinæ defecerant & fames vrgebat, congregati, in præsidia Romanorum, quæ Elæôn montem versus collocata erant, circa vndecimam diei horam impetum faciunt. sperabant enim primò quidem inopinatos, deinde curandi corporis causa quiescentes, facilè decipi posse. Verùm cognito illorum conatu, Romani de propriis custodiis celeriter collecti obstabant eis, murum transcendere ac perrumpere violenter ambitum conatis. Conflato autem vehementi prælio, & alia multa ab vtraque parte fortiter gesta sunt: cùm Romani præter fortitudinem etiam bellandi peritia, Iudæi verò immoderato impetu &

effrenatis animis vterentur. Dux autem his pudor erat, illis necessitas. nam & amittere Iudæos, veluti laqueis irretitos, Romanis turpissimum videbatur: & illi vnam spem salutis, si murum vi perrumpere possent, habebant. & quidam ex ala equitum, Pedanius nomine, Iudæis in fugam versis, atque in vallem coactis equo in aduersum montem à latere incitato prætervectus, rapit vnum ex hostibus fugam petentem, iuuenem, & grauem corpore, & armis vndique septum, talo comprehensum. Tantum se inclinauit equo currente, tantámque dexteræ vim itémque cæteri corporis, & equestris peritiæ demonstrauit. Iste quidem tanquam munus aliquod rapuisset, captiuum ferens, ad Cæsarem venit. Titus autem vires eius, qui ceperat admiratus, & captiuo, quia murum aggredi tentauerat supplicio tradito, ipse templi oppugnationem curabat, vtque aggeres maturè fierent perurgebat. Inter quæ Iudæi aduersis præliis malè tractati, tumescente paulatim bello & in templi serpente perniciem, sicut in putrefacto corpore assolet, membra peste occupata, præuenientes ne vlteriùs procederet, abscindebant. Porticus enim parte, quæ ab Aquilone in Orientem pertinens Antoniæ iungebatur, incensa, deinde ad x x. ferè cubitos abrupêre, immisso sanctis incendio manibus suis. Biduo autem pòst, prædicti mensis vicesimo & quarto die, Romani porticum inflammauêre: & vsque ad quartumdecimum cubitum igne progresso, Iudæi similiter culmen abiiciunt, neque omnino recedentes ab operibus, & Antoniæ continentiæ dirimentes, cùm liceret eis ac deberent incendium prohibere. Itaque immisso igne, cursum eius otiosè pro sua vtilitate metiebantur. Circa templum autem nunquam prælia cessauêre: sed frequens erat paulatim contra se excurrentium pugna. Iisdem autem diebus, quidam ex Iudæis, vir & corpore breuis, & vultu despicabilis, támque genere quàm rebus aliis vilissimus, Ionathas nomine, progressus ad Ioannis pontificis monumentum, cùm alia multa superbè ad Romanos prolocutus est, tum quem fortissimum haberent ad singulare prælium prouocauit. At qui contrà stetêre, multi quidem dedignabantur: erant autem inter eos (vt assolet) etiam, qui timerent: quosdam verò non inconsulta mouebat ratio, cum mortis cupido non debere confligere. Nam qui de salute desperassent, eos neque cautos impetus habere, neque Deum vereri: & cum his in discrimen venire, quos neque vincere magnum sit, & vinci cum dehonestamento periculosum, non fortitudinis, sed ferocitatis videri. Quum autem diu nemo procederet, multáque Iudæus eorum timiditati illuderet, homo arrogans & superbus, Romanus ex ala equitum nomine Pudens, insolentiam eius exosus, fortasse autem etiam corporis breuitate sublatus, inconsultè prosiliit: & cæteris commissa cum eo pugna risum præbuit, à fortuna proditus. Lapsum enim Ionathas interfecit: deinde pede supra mortuum posito, læua scutum, dextrá-

A τοῖς θυμοῖς ἀκαταχέτοις. ἐστρατήγει δὲ τῶν μὲν αἰδώς, τῶν δ' ἀνάγκη. τό τε γὰρ ἐξαφεῖναι ἰουδαίους ὥσπερ ἄρκυσιν ἐνειλημμένους, ῥωμαίοις αἴσχιστον ἐδόκει, κἀκεῖνοι μίαν ἐλπίδα σωτηρίας εἶχον εἰ βιασάμενοι ῥήξαιεν τὸ τεῖχος. καὶ τῶν ἀπὸ σπείρης τις ἱππέων Πεδάνιος τοὔνομα, τετραμμένων ἤδη τῶν ἰουδαίων, καὶ κατὰ τῆς φάραγγος συνωθουμένων, ῥόθιον ἐκ πλαγίου παρελαύνων τὸν ἵππον, ἁρπάζει τινὰ φεύγοντα τῶν πολε- B μίων νεανίαν, στιβαρόν τε ἄλλως τὸ σῶμα, καὶ καθωπλισμένον, δραξάμενος ἐκ τοῦ σφυροῦ. τοσοῦτον μὲν ἑαυτὸν ἐκ τρέχοντος ἐπέκλινε τοῦ ἵππου. τοσοῦτον δ' ἐπεδείξατο τῆς τε δεξιᾶς τὸν τόνον, καὶ τοῦ λοιποῦ σώματος, ἔτι δ' ἐμπειρίας ἱππικῆς. ὁ μὲν οὖν ὥσπερ τι κειμήλιον ἁρπασάμενος ἧκε φέρων καίσαρι τὸν αἰχμάλωτον. τίτος δὲ τὸν μὲν λαβόντα τῆς δυνάμεως θαυμάσας, τὸν δὲ ληφθέντα τῆς περὶ τὸ τεῖχος ἐπιχειρήσεως κολάσαι κελεύσας, αὐτὸς ἐν ταῖς περὶ τὸ ἱερὸν διαμάχαις ἦν, καὶ τὰ C χώματα κατήπειγεν.

Ἐν ᾧ ἰουδαῖοι κακούμενοι ταῖς συμβολαῖς, ἀεὶ κατ' ὀλίγον κορυφουμένου τοῦ πολέμου, καὶ τῷ ναῷ προσέρποντος, καθάπερ σηπομένου σώματος, ἀπέκοπτον τὰ προειλημμένα μέλη, φθάνοντες τὴν εἰς τὸ πρόσω νομήν. τῆς γὰρ βορείου, καὶ κατὰ δύσιν στοᾶς τὸ συνεχὲς πρὸς τὴν ἀντωνίαν ἐμπρήσαντες, ἔπειτα ἀπέρρηξαν ὅσον πήχεις εἴκοσι, ταῖς ἰδίαις χερσὶν ἀρξάμενοι καίειν D τὰ ἅγια. μετὰ δ' ἡμέρας δύο, τετάρτῃ καὶ εἰκάδι τοῦ προειρημένου μηνὸς, τὴν πλησίον στοὰν ὑποπιμπρᾶσι ῥωμαῖοι, καὶ μέχρι πεντεκαίδεκα πηχῶν προκόψαντος τοῦ πυρὸς, ἀποκόπτουσιν ὁμοίως ἰουδαῖοι τὴν ὀροφὴν, μήτε καθάπαν ἐξιστάμενοι τῶν ἔργων, καὶ τὸ πρὸς τὴν ἀντωνίαν συναφὲς αὐτῶν διαιροῦντες. διὸ καὶ παρὸν κωλύειν ὑποπιμπρᾶντας. οἱ δὲ πρὸς τὴν ἐμβολὴν τοῦ πυρὸς ἠρεμήσαντες, τὴν νομὴν ἐνέμησαν αὐτῶν, σφίσι χρησίμως. περὶ μὲν δὴ τὸ ἱερὸν, οὐ διέλι- E πον αἱ συμβολαὶ, συνεχὴς δ' ἦν κατὰ μέρος ἐκθεόντων ἐπ' ἀλλήλους ὁ πόλεμος.

Κεφ. ιϛ.

Τῶν ἰουδαίων δέ τις κατὰ τὰς ἡμέρας, ἀνὴρ τό τε σῶμα βραχὺς, καὶ τὴν ὄψιν δυσκαταφρόνητος, γένους τε ἕνεκα, καὶ τῶν ἄλλων ἄσημος, ἰωνάθης ἐκαλεῖτο, προελθὼν κατὰ τὸ τοῦ ἀρχιερέως ἰωάννου μνημεῖον, ἄλλα τε πολλὰ πρὸς τοὺς ῥωμαίους ὑπερηφάνως ἐφθέγγετο, καὶ τὸν ἄριστον αὐτῶν εἰς μονομα- F χίαν προὐκαλεῖτο. τῶν δὲ ταύτῃ παρατεταγμένων, οἱ πολλοὶ μὲν ὑπερηφάνουν. ἦσαν δ' οἳ κατὰ τὸ εἰκὸς ἐδεδοίκεσαν, ἥπτετό γε μήν τινων καὶ λογισμὸς οὐκ ἀσύνετος, θανατῶντι μὴ συμπλέκεσθαι, τοὺς γὰρ ἀπεγνωκότας τὴν σωτηρίαν, τάτ' ἄλλα καὶ τὰς ὁρμὰς ἀταμιεύτους ἔχειν, καὶ τὸ θεῖον ἀδυσώπητον, τό τε παραβάλλεσθαι πρὸς οὓς καὶ τὸ νικᾶν οὐ μέγα, καὶ μετ' αἰσχύνης τὸ ληφθῆναι σφαλερὸν, οὐκ ἀνδρίας, ἀλλὰ θρασύτητος εἶναι. μηδενὸς δ' ἐπιπολὺ προϊόντος, καὶ G τοῦ ἰουδαίου πολλὰ κατακερτομοῦντος αὐτοὺς εἰς δειλίαν, ἀλαζὼν γάρ τις ἦν ἑαυτῷ σφόδρα, καὶ τῶν ῥωμαίων ὑπερήφανος, πούδης τις ὄνομα τῶν ἐκ ἴλης ἱππέων βδελυξάμενος αὐτοῦ τά τε ῥήματα, καὶ τὸ αὔθαδες εἰκὸς δὲ, καὶ πρὸς τὴν βραχύτητα τοῦ σώματος αὐτοῦ ἀσκέπτως ἐπαρθῆναι, προπηδᾷ. καὶ τὰ μὲν ἄλλα κρείττων συμβαλὼν, προεδόθη δ' ὑπὸ τῆς τύχης. πεσόντα γὰρ αὐτὸν ὁ ἰωνάθης ἀποσφάττει προσδραμὼν, ἔπειτα ἐπιβὰς τῷ νεκρῷ, τό τε ξίφος ᾑμαγμένον ἀνέσειε,

καὶ τῇ

καὶ τῇ λαιᾷ τὸν θυρεὸν, ἐπαλλάξει τῇ στρατιᾷ πολλά, καὶ πρὸς τοὺς πεσόντας κομπάζων, καὶ τοὺς ὁρῶντας ῥωμαίους ἐπισκώπτων, ἕως αὐτὸν ἀνασκιρτῶντα καὶ ματαΐζοντα, πρίσκος τις ἑκατοντάρχης τοξεύσας, διήλασε βέλει. πρὸς ὃ τῶν τε ἰουδαίων καὶ τῶν ῥωμαίων, κραυγὴ συνεξήρθη διάφορος. ὁ δὲ δινηθεὶς ἐκ τῶν ἀλγηδόνων ἐπὶ τὸ σῶμα τοῦ πολεμίου κατέπεσεν, ὠκυτάτην ἀποφήνας ἐν πολέμῳ τὴν ἐπὶ τοῖς ἀλόγως εὐτυχοῦσι νέμεσιν.

Κεφ. ιη.

Οἱ δ' ἀνὰ τὸ ἱερὸν στασιασταὶ φανερῶς τ' οὐκ ἀνίεσαν τοὺς ἐπὶ τῶν χωμάτων στρατιώτας ἀμυνόμενοι καθ' ἑκάστην ἡμέραν, καὶ τοῦ προειρημένου μηνὸς ἑβδόμῃ καὶ εἰκάδι, δόλον ἐνσκευάζονται τοιόνδε. τῆς ἑσπερίου στοᾶς τὸ μεταξὺ τῶν δοκῶν, καὶ τῆς ὑπ' αὐταῖς ὀροφῆς, ὕλης ἀναπλήσαντες αὔης, πρὸς δὲ ἀσφάλτου τε καὶ πίσσης, ἔπειτα ὡς καταπονούμενοι δῆθεν ὑπεχώρουν. πρὸς ὃ τῶν μὲν ἀσκέπτων πολλοὶ ταῖς ὁρμαῖς φερόμενοι προσέκειντο τοῖς ὑποχωροῦσιν, ἐπί τε τὴν στοὰν ἐπιδόντων προσθέμενοι κλίμακας. οἱ δὲ συνετώτεροι ἄλογον τὴν τροπὴν τῶν ἰουδαίων ὑπονοήσαντες ἔμενον. κατεπλήσθη μέντοι τῶν ἀναπηδησάντων ἡ στοά, κἂν τούτῳ οἱ ἰουδαῖοι πᾶσαν ὑποτιμπρῶσιν αὐτήν. αἰρομένης δὲ ἀφνιδίως πάντοθεν τῆς φλογός, τούς τε ἔξω τοῦ κινδύνου ῥωμαίους ἔκπληξις ἐπέσχε δεινή, καὶ τοὺς περισχεθέντας ἀμηχανία. κυκλούμενοι δὲ ὑπὸ τῆς φλογός, οἱ μὲν εἰς τὴν πόλιν ὀπίσω κατεκρήμνιζον ἑαυτούς, οἱ δὲ εἰς τοὺς πολεμίους. πολλοὶ δὲ ἐλπίδι σωτηρίας εἰς τοὺς σφετέρους καταπηδῶντες, ἐκλῶντο τὰ μέλη, πλείστων δὲ ἔφθανε τὰς ὁρμὰς τὸ πῦρ, καί τινες τὴν φλόγα σιδήρῳ. περιεῖχε δὲ εὐθέως, καὶ τοὺς ἄλλως φθειρομένους, τὸ πῦρ ἐπὶ πλεῖστον ἐκφερόμενον. καίσαρα δὲ καίπερ χαλεπαίνοντα τοῖς ἀπολλυμένοις ἐπειδὴ δίχα παραγγέλματος ἀναβεβήκεσαν, ὅμως οἶκτος εἰσῄει τῶν ἀνδρῶν, καὶ μηδενὸς προσαμύνειν δυναμένου, τοῦτο γοῦν παραμύθιον ἦν τοῖς φθειρομένοις, τὸ βλέπειν ὑπὲρ οὗ τις ἠφίει τὴν ψυχὴν ὀδυνώμενον. βοῶν τε γὰρ αὐτοῖς καὶ προπηδῶν, καὶ τοῖς περὶ αὐτὸν ἐκ τῶν ἐνόντων ἐπαμύνειν παρακαλῶν, δῆλος ἦν. τὰς δὲ φωνὰς ἕκαστος, καὶ τὴν διάθεσιν, ὥσπερ τι λαμπρὸν ἀποφέρων ἐντάφιον, εὔθυμος ἀπέθνησκεν. ἔνιοι γε μὴν ἐπὶ τὸν τοῖχον τῆς στοᾶς ὄντα πλατὺν ἀναχωρήσαντες, ἐκ μὲν τοῦ πυρὸς διεσώθησαν, ὑπὸ δὲ τῶν ἰουδαίων περισχεθέντες ἐπὶ πολὺ μὲν ἀντέσχον διατιτρωσκόμενοι. τέλος δὲ πάντες ἔπεσον.

Κεφ. ιθ.

Καὶ τελευταῖόν τις αὐτῶν νεανίας, ὀνόματι λόγγος, ὅλον ἐπικοσμήσας τὸ πάθος, καὶ καθ' ἄνδρα μνήμης ἀξίων ὄντων πάντων τῶν ἀπολωλότων, ἄριστος φανείς. ὃν οἱ μὲν ἰουδαῖοι τῆς τε ἀλκῆς ἀγάμενοι, καὶ ἄλλως ἀνελεῖν ἀσθενοῦντες, καταβῆναι πρὸς αὐτοὺς ἐπὶ δεξιᾷ παρεκάλουν. ὁ δὲ ἀδελφὸς κορνήλιος ἐκ θατέρου, μὴ καταισχῦναι τὸ σφέτερον κλέος, καὶ τὴν ῥωμαίων στρατιάν. τούτῳ πεισθείς, καὶ διαράμενος φανερὸν ἑκατέροις τοῖς τάγμασι τὸ ξίφος, ἑαυτὸν ἀναιρεῖ. τῶν δὲ τῷ πυρὶ περισχεθέντων, ἀρτώριός τις πανουργίᾳ διασώζεται. προσκαλεσάμενος γάρ τινα τῶν συστρατιωτῶν λούκιον, ᾧ συνεσκήνει, μεγάλῃ τῇ φωνῇ, κληρονόμον ἔφη καταλείπω σε τῶν ἐμαυτοῦ κτημάτων, εἰ προσελθὼν με δέξαιο. τοῦ δὲ ἑτοίμως προσδραμόντος, ὁ μὲν ἐπ' αὐτὸν ἐνεχθεὶς ἔζησεν. ὁ δὲ δεξάμενος

que cruentum gladium coruscabat: armísque cum fremitu concussis, exercitui & iacenti insultans, spectantes Romanos increpabat: donec eum tripudiantem & vana iactantem, Priscus centurio sagitta transfixit: cóque facto, & Iudæorum & Romanorum clamor varius excitatus est. Ille autem dolore in vertiginem tortus, supra corpus hostis incubuit: bellíque felicitatem ratione carentem quàm velox vltio sequeretur ostendit.

CAP. VI. Romani flammis pereunt dolo Iudaico. & de Artorio quodã.

Seditiosi verò templum tenentes apertè quidem & quotidie militibus in aggeribus positis repugnabant. Vicesimo autem septimo die prædicti mensis, huiusmodi dolum excogitant. Occidentalis porticus spacium, quod inter culmen & trabes erat vacuum, syluis aridis, itémque sulfure ac bitumine repleuêre. Deinde velut oppressi cedebant. Quare multi quidem temerarij fugientibus instabant, & in porticum ascendere positis scalis nitebantur. qui verò prudentiores erant, nullam fugæ causam Iudæis fuisse cogitantes, locis suis manebant. Verùm porticu repleta his qui ascenderant, ignem immittunt Iudæi. excitatáque vndique subitò flamma Romanos & qui extra periculum steterunt ingens stupor inuasit, & desperatio quos incendium ceperat occupauit. flammis enim cincti semetipsos retrorsum in oppidum, alij verò in hostes præcipitabant: multi spe salutis desilientes in puteos, ilico debilitabantur: alios, dum conantur, præueniebat incendium: alij ferro flammam anteuertebant. statim verò & alios fugientes ignis comprehendebat, plurimum peruagatus. Cæsarem verò licèt morientibus indignaretur, quòd iniussi porticum ascenderant, misericordia tamen eorum tetigit. Cúmque nemo prohibere posset incendiũ, hoc erat tamen solatio pereuntibus, quia videbant eius dolorem, pro quo ipsi animam perderent. Vociferans enim, & ante alios prosiliens, & comites suos quàm possent auxilium ferre obsecrans, cernebatur. Eiúsque voces & affectiones quisque, velut aliquam præclarissimam sepulturam, secum auferens moriebatur. Nonnulli tamen recepti in partem porticus latiorem, flammarum quidem periculum euasêre. obsessi autem à Iudæis, cùm diu saucij restitissent, postremò vniuersi cecidêre. Post omnes autem quidam iuuenis, nomine Longus, toti huic ornamento fuit calamitati: & quamuis sigillatim digni sint memoria, qui periêre, omniũ tamẽ fortissimus demonstratus. Quẽ Iudæi quidẽ, & quia fortis erat, & quia interficere eum cupiebãt, ad se descẽdere promissa fide hortabantur. Frater verò eius Cornelius, qui ex altera parte stabat, ne gloriam suã Romanámque militiã dehonestaret orabat: cui magis obtemperauit, sublatóq; altius gladio, vt ab vtrísque partibus cerneretur, semetipsum occidit. Eorũ autẽ quos ignis obsederat, Artorius quidã, calliditate seruatus est. Appellato enim clara voce Lucio quodã, commilitone & contubernali suo: hæredem te, inquit, relinquo totius patrimonij mei, si me exceperis. Cùm autem ille prompto animo accurrisset, ipse quidem, qui se in eum proiecerat, vixit: Lucius verò pondere oppressus, constratóque lapidibus

solo allisus, continuò moritur. Ea calamitas A paulisper quidem Romanis tristitiam comparauit, in posterum tamen cautiores effecit, & aduersus Iudæorum insidias iuuit, quibus plerúmque loca moréśque hominum nescientes lædebantur. Exusta est verò porticus ad turrim vsque Ioannis, quam ille belli tempore quod cum Simone gerebat, suprà postes qui in Xystum ducerent ædificauerat. reliquum verò Iudæi, postquam consumpti fuerant, qui ascenderant, absciderunt. Postero autem die Roma- B ni quoque, porticum quæ in Boreæ parte fuit, ad Orientalem vsque totam incendunt: continentem angulos eius, quæ appellatur Cedronos, super vallem ædificata: vnde etiam profunda erat & horribilis eius altitudo.

CAP. VII. De fame Iudæorum.

CIrca templum quidem ita se res habebant. Eorum verò qui per ciuitatem fame corrumpebantur, infinita multitudo moriebatur. Inenarrabiles autem clades eueniebant. Per singulas namque domos sicubi ali- C qua vestigia cibi apparuissent, bellum ilico gerebatur: & amicissimi inter se ad manus veniebant, miseris deripientes animis viaticum. Fides autem penuriæ nec morientibus habebatur: sed etiam quos viderent expirare, scrutabantur latrones: ne quem fortè cibum sinu occultans quispiam, moreretur. Ipsos autem spes egestate victus hiantes, veluti canes rabidos decipiebat: & impingentes in ostia, tanquam ebrij ferebantur, easdémque domos bis D ac ter eodem momento desperatione inquietabant, omniáque dentibus necessitas subigebat: & ea colligentes, quæ nullum, quamuis sordidissimum mutorum animalium, non horreret, comedere patiebantur. Denique nec cingulis nec calciamentis abstinuêre, coriáque scutis detracta mandebant. Quin etiam fœni veteris laceramenta victui habebantur: cuius nonnulli exiguum pondus quatuor Atticis vænundabant. Et quid opus est famis im- E probitatem ex rebus anima carentibus demonstrare? Factum enim relaturus sum, neque apud Græcos, neque apud Barbaros cognitum, & dictu quidem horrendum, auditu verò incredibile. Itaque libenter hanc calamitatem intermitterem, ne mentiri me posteri æstimarent, nisi testes multos haberem, & fortasse patriæ frigidam referre gratiã, parciùs ea differens, quorum fata perpessa est.

CAP. VIII. De muliere quæ per famem filiũ coxerat.

MVlier quædam ex numero trans Iorda- F nem habitãtium incolarum, Maria nomine, Eleazari filia de vico Vetezobra, quod significat domus hyssopi, genere ac diuitiis nobilis: cũ alia multitudine refugiens in Hierosolymam recepta, cũ cæteris obsidebatur. Huius alia quidem bona tyranni diripuerunt, quæ ex transamnanis locis in oppidũ comportauerat. Reliquias verò conditorum, & si alimenta reperisset, irrumpentes domum eius satellites, quotidie auferebãt. Grauiter autem mulier in- G dignabatur: proptereáq; sæpissimè raptoribus maledicens, & imprecans, eos contra se vehementiùs irritabat: cùm neque iratus, neq; miserans eã quisquam vellet interficere. Sed victũ quidem parando aliis parabat: vndique autem adempta iam erat ei etiam rapiendi facultas, faméśque visceribus & medullis irrepserat.

A ὑπὸ τοῦ βάρους τῷ λιθοστρώτῳ προσαραχθείς, παραχρῆμα θνήσκει. τοῦτο τὸ πάθος πρὸς καιρὸν μὲν ῥωμαίοις ἐνεποίησεν ἀθυμίαν, πρὸς δὲ τὸ μέλλον ὅμως, κατεσκεύασε φυλακτικωτέρους, καὶ πρὸς τὰς ἰουδαίων ἀπάτας ὠφέλησεν, ἐν αἷς τὰ πολλὰ δι᾽ ἄγνοιαν τῶν τόπων, καὶ τὸ ἦθος τῶν ἀνδρῶν ἐβλάπτοντο. κατεκάη δὲ ἡ στοὰ μέχρι τοῦ ἰωάννου πύργου, ὃν ἐκεῖνος ἐν τῷ πρὸς σίμωνα πολέμῳ κατεσκεύασεν, ὑπὲρ τὰς ἐξαγούσας ὑπὲρ τοῦ ξυστὸν B πύλας. τὸ δὲ λοιπὸν ἐπιδιεφθαρμένοις ἤδη ἰουδαίοις τοῖς ἀναβᾶσιν ἐπέκοψαν. τῇ δ᾽ ὑστεραίᾳ καὶ ῥωμαῖοι τὴν βόρειον στοὰν ἐνέπρησαν μέχρι τῆς ἀνατολικῆς ὅλην, ὧν ἡ συνάπτουσα γωνία τῆς κεδρῶνος καλουμένης φάραγγος ὑπερδεδόμητο, παρὸ καὶ φοβερὸν ἦν τὸ βάθος. καὶ τὰ μὲν περὶ τὸ ἱερὸν ἐν τούτοις ἦν.

Κεφ. κ.

ΤΩν δ᾽ ὑπὸ τοῦ λιμοῦ φθειρομένων κατὰ τὴν πόλιν, ἄπειρον μὲν ἔπιπτε τὸ πλῆθος· ἀδιήγητα δὲ συνέβαινε τὰ πάθη. καθ᾽ ἑκάστην γὰρ οἰκίαν εἴ που τροφῆς C παραφανείη σκιά, πόλεμος ἦν, καὶ διὰ χειρῶν ἐχώρουν οἱ φίλτατοι πρὸς ἀλλήλους, ἐξαρπάζοντες τὰ ταλαίπωρα τῆς ψυχῆς ἐφόδια. πίστις δ᾽ ἀπορίας οὐδὲ τοῖς θνήσκουσιν ἦν, ἀλλὰ καὶ τοὺς ἐκπνέοντας οἱ λῃσταὶ διηρεύνων, μή τις ὑπὸ κόλπον ἔχων τροφὴν, σκήπτοιτο τὸν θάνατον αὐτοῦ. οἱ δ᾽ ὑπ᾽ ἐνδείας κεχηνότες, ὥσπερ λυσσῶντες κύνες ἐσφάλλοντο, καὶ παρεφέροντο, ταῖς τε θύραις ἐνσειόμενοι μεθυόντων τρόπον, καὶ ὑπ᾽ ἀμηχανίας εἰς τοὺς αὐτοὺς οἴκους εἰσεπήδων δὶς ἢ τρὶς ὥρᾳ D μιᾷ. πάντα δ᾽ ὑπ᾽ ὀδόντας ἦγεν ἡ ἀνάγκη, καὶ τὰ μηδὲ τοῖς ῥυπαρωτάτοις τῶν ἀλόγων ζώων πρόσφορα, συλλέγοντες ἐσθίειν ὑπέφερον. ζωστήρων γοῦν καὶ ὑποδημάτων τὸ τελευταῖον οὐκ ἀπέχοντο, καὶ τὰ δέρματα τῶν θυρεῶν ἀποδέροντες ἐμασσῶντο. τροφὴ δ᾽ ἦν καὶ χόρτου τισὶ παλαιοῦ σπαράγματα· τὰς γὰρ ἶνας ἔνιοι συλλέγοντες, ἐλάχιστον σταθμὸν ἐπώλουν ἀττικῶν τεσσάρων.

E ΚΑὶ τί δεῖ τὴν ἐπ᾽ ἀψύχοις ἀναίδειαν τοῦ λιμοῦ λέγειν; εἶμι γὰρ αὐτοῦ δηλώσων ἔργον, οἷον μήτε παρ᾽ ἕλλησι, μήτε παρὰ βαρβάροις ἱστόρηται, φρικτὸν μὲν εἰπεῖν, ἄπιστον δ᾽ ἀκοῦσαι. καὶ ἔγωγε δὲ μὴ δόξαιμι τερατεύεσθαι τοῖς αὖθις ἀνθρώποις, κἂν παρέλιπον τὴν συμφορὰν ἡδέως, εἰ μὴ τῶν κατ᾽ ἐμαυτὸν εἶχον ἀπείρους μάρτυρας. ἄλλως τε καὶ ψυχρὰν καταθείμην τῇ πατρίδι χάριν καθυφέμενος τὸν λόγον, οὗ πέπονθε τὰ ἔργα. γυνή τις τῶν ὑπὲρ τὸν ἰορ- F δάνην κατοικούντων, μαρία τοὔνομα, πατρὸς ἐλεαζάρου, κώμης βαθεχώρ, σημαίνει δὲ τοῦτο οἶκος ὑσσώπου, διὰ γένος καὶ πλοῦτον ἐπίσημος, μετὰ τοῦ λοιποῦ πλήθους εἰς τὰ ἱεροσόλυμα καταφυγοῦσα συνεπολιορκεῖτο. ταύτης τὴν μὲν ἄλλην κτῆσιν οἱ τύραννοι διήρπασαν, ὅσην ἐκ τῆς περαίας ἀνασκευασαμένη μετήνεγκεν εἰς τὴν πόλιν. τὰ δὲ λείψανα τῶν κειμηλίων, κἂν εἴ τι τροφῆς ἐπινοηθείη, καθ᾽ G ἡμέραν εἰσπηδῶντες ἥρπαζον οἱ δορυφόροι. δεινὴ δὲ τὸ γύναιον ἀγανάκτησις εἰσῄει, καὶ πολλάκις λοιδοροῦσα, καὶ καταρωμένη τοὺς ἅρπαγας, ἐφ᾽ ἑαυτὴν ἠρέθιζεν. ὡς δ᾽ οὔτε παροξυνόμενός τις οὔτ᾽ ἐλεῶν αὐτὴν ἀνῄρει· καὶ τὸ μὲν εὑρεῖν τι σιτίον ἄλλοις ἐκοπία, πανταχόθεν δ᾽ ἄπορον ἦν ἤδη καὶ τὸ εὑρεῖν, ὁ λιμὸς δὲ διὰ σπλάγχνων καὶ μυελῶν ἀνεχώρει.

καὶ τοῦ

καὶ τοῦ λιμοῦ μᾶλλον ἐξέκαιον οἱ θυμοί, σύμβουλον λαβοῦσα τὴν ὀργὴν μετὰ τῆς ἀνάγκης, ἐπὶ τὴν φύσιν ἐχώρει, καὶ τὸ τέκνον ἦν δ' αὐτῇ παῖς ὑπομάσιος, ὃν ἁρπασαμένη· βρέφος εἶπεν ἄθλιον ἐν πολέμῳ καὶ λιμῷ καὶ στάσει, τίνι σε τηρήσω; τὰ μὲν παρὰ ῥωμαίοις, δουλεία κἂν ζήσωμεν ἐπ' αὐτούς. φθάνει δὲ καὶ δουλείαν ὁ λιμός, οἱ στασιασταὶ δ' ἀμφοτέρων χαλεπώτεροι. ἴθι γενοῦ μοι τροφή, καὶ τοῖς στασιασταῖς ἐριννύς, καὶ τῷ βίῳ μῦθος, ὁ μόνος ἐλλείπων τῇ ἰουδαίων συμφοραῖς. καὶ ταῦθ' ἅμα λέγουσα κτείνει τὸν υἱόν, ἔπειτ' ὀπτήσασα, τὸ μὲν ἥμισυ κατεσθίει, τὸ δὲ λοιπὸν κατακαλύψασα ἐφύλαττεν. εὐθέως δ' οἱ στασιασταὶ παρῆσαν, καὶ τῆς ἀθεμίτου κνίσης σπάσαντες ἠπείλουν, εἰ μὴ δείξειε τὸ παρασκευασθέν, ἀποσφάξειν αὐτὴν εὐθέως. ἡ δὲ καὶ μοῖραν αὐτοῖς εἰποῦσα καλὴν τετηρηκέναι, τὰ λείψανα τοῦ τέκνου διεκάλυψε. τοὺς δ' εὐθέως φρίκη καὶ φρενῶν ἔκστασις ᾕρει, καὶ παρὰ τὴν ὄψιν ἐπεπήγεσαν. ἡ δ', ἐμὸν ἔφη τοῦτο τὸ τέκνον γνήσιον, καὶ τὸ ἔργον ἐμόν. φάγετε, καὶ γὰρ ἐγὼ βέβρωκα. μὴ γένησθε μήτε μαλακώτεροι γυναικός, μήτε συμπαθέστεροι μητρός. εἰ δ' ὑμεῖς εὐσεβεῖς, καὶ τὴν ἐμὴν ἀποστρέφεσθε θυσίαν, ἐγὼ μὲν ἥμισυ βέβρωκα, καὶ τὸ λοιπὸν δ' ἐμοὶ μενέτω. μετὰ ταῦτα οἱ μὲν τρέμοντες ἐξῄεσαν πρὸς ἓν τοῦτο δειλοί, καὶ μόλις ταύτης τῆς τροφῆς τῇ μητρὶ παραχωρήσαντες. ἀνεπλήσθη δ' εὐθέως ὅλη τοῦ μύσους ἡ πόλις, καὶ πρὸ ὀμμάτων ἕκαστος τὸ πάθος λαμβάνων, ὡς παρ' αὐτῷ καινοτομηθὲν ἔφριττεν. σπουδὴ δὲ τῶν λιμωττόντων ἐπὶ τὸν θάνατον ἦν, καὶ μακαρισμὸς τῶν φθασάντων, πρὶν ἀκοῦσαι, καὶ θεάσασθαι κακὰ τηλικαῦτα. ταχέως δὲ καὶ ῥωμαίοις διηγγέλθη τὸ πάθος. τῶν δ' οἱ μὲν ἠπίστουν, οἱ δ' ᾤκτειρον, τοὺς δὲ πολλοὺς εἰς μῖσος τοῦ ἔθνους σφοδρότερον συνέβη προελθεῖν. καῖσαρ δ' ἀπελογεῖτο καὶ περὶ τούτου τῷ θεῷ, φάσκων παρὰ μὲν αὐτοῦ ἰουδαίοις εἰρήνην, καὶ αὐτονομίαν προτείνεσθαι, καὶ πάντων ἀμνηστίαν τῶν τετολμημένων. τοὺς δὲ ἀντὶ μὲν ὁμονοίας στάσιν, ἀντὶ δὲ εἰρήνης πόλεμον, πρὸ κόρου δὲ καὶ εὐθηνίας, λιμὸν αἱρουμένους; ἰδίαις δὲ χερσὶν ἀρξαμένους καίειν τὸ συντηρούμενον ὑφ' ἡμῶν ἱερόν, αὐτοὺς εἶναι καὶ τοιαύτης τροφῆς ἀξίους. καλύψειν μέντοι τὸ τῆς τεκνοφαγίας μύσος, αὐτῷ τῷ τῆς πατρίδος πτώματι, καὶ οὐ καταλείψειν ἐπὶ τῆς οἰκουμένης ἡλίῳ καθορᾶν πόλιν, ἐν ᾗ μητέρες οὕτω τρέφονται. προσήκειν μέντοι πρὸ μητέρων πατράσι τὴν τοιαύτην τροφήν, οἳ καὶ μετὰ τηλικαῦτα πάθη μένουσιν ἐν τοῖς ὅπλοις. ταῦθ' ἅμα διεξιών, ἐνενόει καὶ τὴν ἀπόγνωσιν τῶν ἀνδρῶν· οὐ γὰρ ἂν ἔτι σωφρονῆσαι τοὺς πάντα προπεπονθότας ἐφ' οἷς εἰκὸς ἦν μεταβαλέσθαι, μὴ παθοῦσιν.

Κεφ. κβ. Ἤδη δὲ τῶν δύο ταγμάτων συντετελεκότων τὰ χώματα λώου μηνὸς ὀγδόῃ, προσάγειν ἐκέλευσε τοὺς κριοὺς κατὰ τὴν ἑσπέριον ἐξέδραν, τοῦ ἔσωθεν ἱεροῦ. πρὸ δὲ τούτων ἓξ ἡμέραις ἀδιαλείπτως στερροτάτη πασῶν ἑλέπολις τύπτουσα τὸν τοῖχον, οὐδὲν ἤνυσεν. ἀλλὰ καὶ ταύτης καὶ τῶν ἄλλων τὸ μέγεθος, καὶ ἡ ἁρμονία τῶν λίθων ἦν ἀμείνων. τῆς δὲ βορείου πύλης ὑπώρυττον ἕτεροι τοὺς θεμελίους, καὶ πολλὰ ταλαιπωρήσαντες, τοὺς ἔμπροσθεν λίθους ἐξεκύλισαν· ἀνείχετο δ' ὑπὸ τῶν ἐνδοτέρω καὶ διέμενεν ἡ πύλη, μέχρι τὰς διὰ τῶν ὀργάνων, καὶ τῶν

A Plus verò quàm fames iracundia succendebat. Igitur vi animi de necessitate impulsa, rebus aduersis contra naturam excitatur: raptóque filio, quem lactentem habebat: miserum te, ait infans, in bello & fame & seditione cui te seruauero? Apud Romanos etiam si vixeris, seruiturus es: fames autem præuenit seruitutem: his verò seditiosi sæuiores sunt. Esto igitur mihi cibus, & seditiosis furia, & humanæ vitæ fabula, quæ sola deest calamitatibus Iudæorum.

B Et hoc simul dicens, occidit filium, coctúmque medium comedit, adopertum verò reliquum seruauit. Ecce autem aderant seditiosi, & contaminatissimi nidoris odore capti, mortem ei statim, nisi quod parasset, ostenderet, minabantur. Illa verò bonam partem se reseruasse respondens, aperit filij reliquias. Illos autem confestim horror cepit atque dementia, visúque ipso diriguerunt. At mulier: & hic, inquit, est verè filius & facinus meum. comedite: nam & ego comedi.

C Nolo vt sitis aut fœmina molliores, aut matre misericordiores. Quòd si vos pietatem colitis, & mea sacrificia repudiatis, ego quidem comedi, reliquum eius me manebit. Post hoc illi quidem trementes exierunt, ad hoc solum timidi, vixque hoc cibi matri cessêre. Mox autem repleta est eo scelere tota ciuitas: & vnusquisque ante oculos sibi cladem illam proponens, tanquam hoc ipse admisisset, horrebat. Ab omnibus autem

D quos fames vrgebat, properabatur ad mortem: & beati appellabantur, qui priusquam id paterentur interiissent. Citò autem Romanis etiam nunciata est illa calamitas. eorúmque alij non credebant alij miserabantur, multos autem vehementiùs eius gentis odium cœpit. Cæsar autem super hoc Deum placabat: siquidem Iudæis pacem obtulisset, eísque liberam proposuisset omnium obliuionem, quæ commiserant. Illos autem pro concordia seditio-

E nem, bellum pro pace, pro satietate atque opulentia famem optasse: & qui propriis manibus templum, quod ipse eis seruasset, incendere cœperant, huiusmodi alimentis eos esse dignissimos. Veruntamen scelus huius nefandi victus, ruina sese patriæ operturum, neque relicturum in orbe terræ, vt sol inspiciat ciuitatem, in qua matres sic vescerentur. Ante matres autem patribus huiusmodi alimenta deberi: qui nec post eiusmodi clades arma de-

F ponerent. Simul hæc dicens, desperationē hostium reputabat, nec eos sanam mentem recepturos existimabat, qui cuncta iam pertulissent, quibus antequam paterentur, mutare sententiam sperabantur.

CAP. IX. De expugnatione muri, & incendio templi.

OCtauo autem die mensis Augusti, cùm duæ legiones aggeres perfecissent, ad exhedram Occidentalem templi exterioris admoueri arietes iussit: cùm quibus ante sex, qui

G firmissimus erat aries, parietē sine intermissione pulsando, nihil omnino profecisset. Verùm & huius & cæterorum magnitudinē structura lapidum superabat. Septentrionalis autem portæ alij fundamenta suffodiebant: multúmque fatigati, exteriores tantùm lapides euellere potuere, ab interioribus autem portæ sustinebātur. tâmq; diu mansêre, donec instrumētorū &

vectium conatibus desperatis, Romani scalas porticibus applicuêre. Iudæi verò præuenti, ne eas subire prohiberent, cum his congressi dimicabant. & alios quidem retrò depellentes præcipitabant, accedentes alios subsidio trucidabât. multos de scalis egredientes, priùs quàm se scutis obtegerent, ferientes gladiis præueniebant, nonnullas autem scalas armatorum plenas, in latus declinantes, deiiciebant. Vnde Romanorum quoque nô parua cædes sequebatur. Alij signis ablatis pro his decertabant, rapinam eorum grauissimæ fore turpitudini ducentes. Postremo tamen Iudæi & signis potiuntur: & eos qui vnà ascenderât interficiunt, cæteri verò clade intereuntium perterriti descendunt. Romanorum quidem nemo non aliquo facto opere procubuit. Seditiosorum autem, qui prioribus præliis etiam tunc fortiter pugnauerunt, & præterea Eleazarus fratris Simonis tyranni filius. Titus autem cùm videret se alieno templo cum damno & nece militum parcere, ignem portis subiici iussit. Inter hęc autê ad eum profugi veniût, Ananus Ammauntinus, Simonis satelles crudelissimus, & Archelaus filius Magadati, idcirco sperantes veniam, quòd Iudæos victores reliquerant. Titus autem, cùm hanc eorum in Iudæos crudelitatem audiuit, vtrunque obtruncare decreuit. Dicebat enim necessitate, non voluntate venisse: nec salute dignos esse, incensam ipsorum causa patriam deserentes. Veruntamen cohibuit iracundiam fides, cósque dimisit, sed non eo loco habendos, quos etiam alios credidit. Iam verò portis milites ignem admouerant, liquefactóque argento citò lignum flammæ absumpserant, cùm subitò auctæ proximas inde porticus corripuêre. Iudæis verò ignem circum se videntibus, corpora simul animíque ceciderunt: & stupore attoniti, adiuuare quidem vel extinguere nemo conatus est: stantes verò aspiciebant, nec tamen his, quæ absumerentur dolentes, saltem vt quod reliquum esset saluum haberent, animum colligebant. Illo quidem die, quæ secuta est nocte, crescebat incendium: paulatim enim nec simul vndique inflammari porticus potuerunt. postero autem die Titus parte militum iussa incendium restinguere, pérq; proxima portis loca viam sternere, vt facilior agminibus esset ascensus, rectores ad se conuocat: séxque collectis, qui erant proceres, Tiberio Alexandro totius militiæ præfecto, & Sexto Cereali quintę legionis pręposito, & Largio Lepido decimæ, & Tito Frigio quintædecimæ cum quibus erat etiam Aeternius Fronto magister duarum Alexandrinarum legionum, & Marcus Antonius Iulianus procurator Iudææ, congregatísque præterea chiliarchis & procuratoribus, consilium de templo proposuit. Aliis quidem videbatur lege belli vtendum esse: nunquam enim Iudæos à nouis rebus posse desinere templo manente, quò omnes vbicunque essent colligerent. Nonnulli si templû reliquissent Iudæi, neque armis pro eo quisquam certaret, conseruandum esse suadebant:

καὶ τῶν μοχλῶν ἐπιχειρήσεις ἀπογνόντες, κλίμακας ταῖς στοαῖς προσέφερον. οἱ δὲ Ἰουδαῖοι κωλῦσαι μὲν οὐκ ἔφθησαν, ἀναβᾶσι δὲ συμπεσόντες, ἐμάχοντο. καὶ τοὺς μὲν ἀνωθοῦντες εἰς τοὐπίσω κατεκρήμνιζον, τοὺς δ᾽ ὑπαντιάζοντας ἀνῄρουν. πολλοὺς δὲ τῶν κλιμάκων ἀποβαίνοντας, πρὶν φράξασθαι τοῖς θυρεοῖς, παίοντες ταῖς ῥομφαίαις ἔφθανον. ἐνίας δὲ γεμούσας ὁπλιτῶν κλίμακας, παρακλίνοντες ἄνωθεν κατέσειον. ἦν δ᾽ οὐκ ὀλίγος, καὶ αὐτῶν φόνος. οἱ δ᾽ ἀνενέγκαντες τὰς σημαίας περὶ αὐτῶν ἐπολέμουν, δεινὴν ἡγούμενοι, καὶ πρὸς αἰσχύνην τούτων τὴν ἁρπαγήν. τέλος δέ, καὶ τῶν σημαιῶν οἱ Ἰουδαῖοι κρατοῦσι, καὶ τοὺς ἀναβάντας διαφθείρουσιν· οἱ δὲ λοιποὶ πρὸς τὸ τῶν ἀπολωλότων πάθος ὀρρωδοῦντες, ἀνεχώρουν. τῶν μὲν οὖν ῥωμαίων ἄπρακτος οὐδεὶς ἀπέθανε. τῶν δὲ στασιαστῶν, οἱ κατὰ τὰς προτέρας μάχας ἠγωνίσαντο γενναίως, καὶ τότε, καὶ Ἐλεάζαρος ἀδελφιδοῦς τοῦ τυράννου Σίμωνος. ὁ δὲ Τίτος ὡς ἑώρα τὴν ἐπὶ τοῖς ἀλλοτρίοις ἱεροῖς φειδώ, πρὸς βλάβης τοῖς στρατιώταις γινομένην καὶ φόνου, τὰς πύλας προσέταξεν ὑφάπτειν.

Ἐν δὲ τούτῳ πρὸς αὐτὸν αὐτομολοῦσιν, Ἄνανός τε ὁ ἀπ᾽ Ἀμμαοῦς τῶν Σίμωνος δορυφόρων ὁ φονικώτατος, καὶ Ἀρχέλαος υἱὸς Μαγαδδάτου, συγγνώμην ἐλπίσαντες, ἐπειδὴ κρατούντων Ἰουδαίων ἀπεχώρουν. Τίτος δὲ καὶ τοῦτο πανούργημα προὐβάλλετο τῶν ἀνδρῶν, καὶ τὴν ἄλλην περὶ τοὺς Ἰουδαίους ὠμότητα πεπυσμένος, ὥρμητο κτείνειν ἑκατέρους. ὑπ᾽ ἀνάγκης ἦχθαι λέγων αὐτούς, οὐκ ἐκ προαιρέσεως παρεῖναι, καὶ σωτηρίας οὐκ ἀξίους εἶναι τοὺς φλεγομένης ἤδη δι᾽ αὐτοὺς τῆς πατρίδος ἐξαλλομένους. ἐκράτει δ᾽ ὅμως τοῦ θυμοῦ ἡ πίστις, καὶ ἀφίησι τοὺς ἄνδρας, οὐ μὴν ἐν ἴσῃ μοίρᾳ κατέταττε τοῖς ἄλλοις. ἤδη δὲ ταῖς πύλαις οἱ στρατιῶται προσῆγον τὸ πῦρ, καὶ περιτηκόμενος ὁ ἄργυρος διεδίδου ταχέως εἰς τὴν ξυλείαν τὰς φλόγας, ἔνθεν ἀθρόως ἐκφερόμεναι τῶν στοῶν ἐπελαμβάνοντο. τοῖς δ᾽ Ἰουδαίοις ὁρῶσι τὸ πῦρ ἐν κύκλῳ, μετὰ τῶν σωμάτων παρείθησαν αἱ ψυχαί, καὶ διὰ τὴν κατάπληξιν, ἀμύνειν μὲν ἢ σβεννύειν ὥρμησεν οὐδείς· αὖοι δ᾽ ἑστῶτες ἀφεώρων. οὐ μὴν πρὸς τὸ δαπανώμενον ἀθυμοῦντες, εἰς γοῦν τὸ λοιπὸν ἐσωφρόνουν, ἀλλ᾽ ὡς ἤδη καὶ τοῦ ναοῦ καιομένου, τοὺς θυμοὺς ἐπὶ ῥωμαίους ἔθηγον. ἐκείνην μὲν οὖν τὴν ἡμέραν, καὶ τὴν ἐπιοῦσαν νύκτα, τὸ πῦρ ἐπεκράτει. κατὰ μέρος γὰρ οὐχ ἅμα πάντοθεν ἴσχυσαν ὑφάψαι τὰς στοάς. Κεφ. κγ.

Τῇ δ᾽ ἐπιούσῃ, Τίτος μέρει τῆς δυνάμεως σβεννύειν τε καὶ παρὰ τὰς πύλας ὁδοποιεῖν εἰς εὐμαρεστέραν τῶν ταγμάτων ἄνοδον κελεύσας, αὐτὸς συνῆγε τοὺς ἡγεμόνας. καὶ συνελθόντων ἓξ τῶν κορυφαιοτάτων, Τιβερίου τε Ἀλεξάνδρου τοῦ πάντων τῶν στρατευμάτων ἐπάρχοντος, καὶ Σέξτου Κερεαλίου τὸ πέμπτον ἄγοντος τάγμα, καὶ Λαρκίου Λεπίδου τὸ δέκατον, καὶ Τίτου Φρυγίου τὸ πεντεκαιδέκατον. πρὸς οἷς Φρόντων ἦν Λιτέρνιος, στρατοπεδάρχης τῶν ὑπ᾽ Ἀλεξανδρείας δύο ταγμάτων, καὶ Μάρκος Ἀντώνιος Ἰουλιανός, ὁ τῆς Ἰουδαίας ἐπίτροπος, καὶ μετὰ τούτους ἐπιτρόπων καὶ χιλιάρχων ἀθροισθέντων, βουλὴ περὶ τοῦ ναοῦ προυτίθη. τοῖς μὲν οὖν ἐδόκει χρῆσθαι τῷ τοῦ πολέμου νόμῳ· μὴ γὰρ ἄν ποτε Ἰουδαίους παύσασθαι νεωτερίζοντας τοῦ ναοῦ μένοντος, ἐφ᾽ ὃν οἱ πανταχόθεν συλλέγονται. τινὲς δὲ παρῄνουν, εἰ μὲν καταλίποιεν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ μηδεὶς ἐπ᾽ αὐτοῦ τὰ ὅπλα θείη, σῴζειν· Κεφ. κδ.

εἰ δὲ

εἰ δὲ πολεμοῖεν, ἐπιβάντας καταφλέξειν. φρούριον γὰρ, οὐκέτι ναὸν εἶναι. καὶ τὸ λοιπὸν ἔσεσθαι τῶν ἀναγκασάντων ἀσέβειαν, οὐκ αὐτῶν. ὁ δὲ τίτος οὐδ' ἂν ἐπιβάντες ἐπ' αὐτοῦ πολεμῶσιν ἰουδαῖοι φήσας, ἀντὶ τῶν ἀνδρῶν ἀμυνεῖσθαι τὰ ἄψυχα, οὐδὲ καταφλέξειν ποτὲ τηλικοῦτον ἔργον. ῥωμαίων γὰρ ἔσεσθαι τὴν βλάβην, ὥσπερ καὶ κόσμον τῆς ἡγεμονίας αὐτοῦ μένοντος. θαρροῦντες δ' ἤδη προσετίθεντο τῇ γνώμῃ φρόντων τε καὶ ἀλέξανδρος, καὶ κερεάλιος. τότε μὲν οὖν διαλύει τὸ συνέδριον, καὶ τὰς ἄλλας δυνάμεις διαναπαῦσαι κελεύσας τοῖς ἡγεμόσιν, ὅπως ἐρρωμενέστερον ἐν τῇ παρατάξει χρήσαιντο τοῖς ἀπὸ τῶν σπειρῶν ἐπιλέκτοις, ὁδοποιεῖν διὰ τῶν ἐρειπίων προσέταξεν, καὶ τὸ πῦρ σβεννύειν. κατ' ἐκείνην μὲν δὴ τὴν ἡμέραν, κάματός τε καὶ κατάπληξις ἐκράτησε τὰς ὁρμάς.

Κεφ. κε.

Τῇ δ' ἐπιούσῃ συλλεξάμενοί τε τὴν ἰσχὺν, καὶ ἀναθαρσήσαντες ἐπεκθέουσι διὰ τῆς ἀνατολικῆς πύλης τοῖς φύλαξι τοῦ ἔξωθεν ἱεροῦ περὶ δευτέραν ὥραν. οἱ δὲ καρτερῶς μὲν ἐδέξαντο αὐτῶν τὴν ἐμβολὴν, καὶ φραξάμενοι τοῖς θυρεοῖς κατὰ μέτωπον ὥσπερ τεῖχος ἐπύκνωσαν τὴν φάλαγγα, δῆλοι τε ἦσαν οὐκ ἐπὶ πολὺ συμμένοντες, πλήθει τε τῶν ἐκθεόντων, καὶ θυμοῖς ἡττώμενοι. φθάσας δὲ τῆς παρατάξεως τὴν ῥοπὴν καῖσαρ, καθεώρα γὰρ ἀπὸ τῆς ἀντωνίας, ἐπήμυνε μετὰ τῶν ἐπιλέκτων ἱππέων. ἰουδαῖοι δὲ τὴν ἔφοδον οὐχ ὑπέμειναν, ἀλλὰ τῶν πρώτων πεσόντων, ἐτράπησαν οἱ πολλοί. καὶ ὑποχωροῦσι μὲν τοῖς ῥωμαίοις ἐπιστρεφόμενοι, προσέκειντο· μεταβαλλομένων δ' ἀνέφευγον πάλιν, ἕως περὶ πέμπτην τῆς ἡμέρας ὥραν, οἱ μὲν βιασθέντες, εἰς τὸ ἔνδον συνεκλείσθησαν ἱερόν.

Κεφ. κϛ.

Τίτος δ' ἀνεχώρησεν εἰς τὴν ἀντωνίαν διεγνωκὼς τῇ ἐπιούσῃ ἡμέρᾳ ὑπὸ τὴν ἕω, μετὰ πάσης ἐμβαλεῖν τῆς δυνάμεως, καὶ τὸν ναὸν περικατασχεῖν. τοῦ δ' ἄρα κατεψήφιστο μὲν τὸ πῦρ ὁ θεὸς πάλαι. παρῆν δ' ἡ εἱμαρμένη χρόνων περιόδοις, ἡμέρα δεκάτη λώου μηνὸς καθ' ἣν καὶ τὸ πρότερον ὑπὸ τοῦ τῶν βαβυλωνίων βασιλέως ἐνεπρήσθη. λαμβάνουσι δ' αἱ φλόγες τῶν οἰκείων τὴν ἀρχὴν, καὶ τὴν αἰτίαν. ὑποχωρήσαντος γὰρ τοῦ τίτου, πρὸς ὀλίγον λωφήσαντες οἱ στασιασταὶ, πάλιν τοῖς ῥωμαίοις ἐπιτίθενται, καὶ τῶν τοῦ ναοῦ φρουρῶν γίνεται συμβολὴ, πρὸς τοὺς σβεννύντας τὸ πῦρ τοῦ ἔνδοθεν ἱεροῦ. οἳ τρεψάμενοι τοὺς ἰουδαίους, μέχρι τοῦ ναοῦ παρῆλθον. ἔνθα δὴ τῶν στρατιωτῶν τις, οὔτε παράγγελμα περιμείνας, οὔτε ἐπὶ τηλικούτῳ δείσας ἐγχειρήματι, δαιμονίῳ ὁρμῇ τινὶ χρώμενος, ἁρπάζει μὲν ἐκ τῆς φλεγομένης ὕλης, ἀνακουφισθεὶς δ' ὑπὸ στρατιώτου, τὸ πῦρ ἐνίησι θυρίδι χρυσῇ, καθ' ἣν εἰς τοὺς περὶ τὸν ναὸν οἴκους εἴσοδος ἦν ἐκ τοῦ βορείου κλίματος. αἰρομένης δὲ τῆς φλογὸς, ἰουδαίων μὲν ἐγείρεται κραυγὴ τοῦ πάθους ἀξία, καὶ πρὸς τὴν ἄμυναν συνέθεον, οὔτε τοῦ ζῆν ἔτι φειδὼ λαμβάνοντες, οὔτε ταμιευόμενοι τὴν ἰσχὺν, διὸ καὶ φυλακτικοὶ πρότερον ἦσαν οἰχομένου. δραμὼν δέ τις ἀγγέλλει τίτῳ, κἀκεῖνος ἔτυχε δὲ κατὰ σκηνὴν ἀναπαυόμενος ἐκ τῆς μάχης, ὡς εἶχεν ἀναπηδήσας, ἔθει πρὸς τὸν ναὸν εἴρξων τὸ πῦρ. κατόπιν δὲ, οἵ τε ἡγεμόνες εἵποντο πάντες, καὶ πτοηθέντα τούτοις ἠκολούθει τὰ τάγματα. βοὴ δ' ἦν καὶ θόρυβος, ἅτε τηλικαύτης δυνάμεως

si verò id pugna obtinuissent, ignibus consumendum: quoniam castellum iam videretur esse non templum: & piaculum non ipse, verùm illi, qui id fieri coegêre, committerent. Tito autem, nec si super stantes dimicarent Iudæi, pro hominibus anima carentia vlciscendum esse dicente, neque se vnquam tantum opus incensurum: iam enim Romanorum fore hoc damnum, sicut ornamentum quoque fore imperij, si maneret: iam certi quid vellet, ad eius accedunt sententiam, Fronto, Alexander & Cerealis. Tunc quidem consilium dimisit: iussisque militibus quiescere, itémque ducibus, vt his in procinctu validioribus vteretur, viam sternere per ruinas lectis ex cohortibus imperat, ignémque restinguere. Illo quidem die Iudæos labor timórque ab impetu continuit. Postero autem collectis viribus, & recepta fiducia, per Orientalem portam contra templi exterioris custodes, secunda hora diei procurrunt. Illi autem primam quidem coitionem fortiter excepêre: septíque scutis, à fronte murum condensa acie imitantur: certum tamen erat eos non diu daturos, quòd & multitudine infestantium & animis vincerentur. Cæsar autem priusquam verteretur acies (nam pugnam ex Antonia prospectabat) cum equitibus lectis venit auxilio, impetum verò eius non sustinuêre Iudæi: sed primis interfectis, plerique fugam petunt: & cedentibus quidem Romanis, reuertentes instabant: cùm autem illi retorsissent, iterum refugiebant, donec circa horam quintam, Iudæi vi coacti templum introire conclusi sunt. Titus autem discessit in Antoniam, decreto postridie mane cum omni exercitu aggredi, templúmque oppugnare. Sed id planè Dei sententia iamdudum igne damnauerat: euolutísque temporibus aderat fatalis dies, qui erat decimus mensis Augusti, quo etiam priùs à rege Babyloniorum fuerat concrematum. A domesticis autem causam principiúmque sumpsit id incendium. Nã cùm paulisper Titi discessu seditiosi quieuissent, Romanos rursus aggrediuntur, custodúmque templi cum ignem exterioris fani restinguentibus pugna committitur. Híque Iudæis in fugam versis, vsque ad templum accesserunt.

CAP. XI. Quęadmodum templum incensum est inuito Tito.

Hic itaque tunc militum quidam, non expectato cuiusquam edicto, neque tantum facinus veritus, sed diuino quodam motus impetu, à contubernali suo sustollitur, & ex ardente materia raptum ignem in fenestram inserit auream, vnde ad membra circum templum ædificata de Septentrionali regione aditus erat. Flamma verò excitata, Iudæorum quidem calamitate dignus clamor exoritur, & ad subueniendum properabãt: neq; iam vitæ parcendũ rati, neque viribus temperãdum, amisso eo cuius gratia cautissimi videbantur: maturè autem hoc Tito quidam nunciat. Et ille (namque casu in tabernaculo quiescebat sicut à prę-lio redierat) exilit, templúmq; curriculo petit, prohibiturus incendium, omnésque post eum duces, & hos agmina perterrita sequebantur. Clamor autem ac tumultus erat tanto exercitu

sine ordine concitato. Cæsar autem voce simul ac dextera pugnantibus signo dato, ignem iubebat extingui. Sed neque vox eius audiebatur, quòd aures eorum maior clamor obstrueret, nutúmque dexteræ non attendebant, cùm alios bellum, alios ira distraheret. Introcurrentium verò agminum impetum, non præcepta neque interminationes continebant: sed quò furor eos duceret, sequebantur. Ad ipsos autem introitus conferti, multi quidem sese inuicem conculcabant: multi verò ardentibus adhuc & fumantibus porticuum incidentes ruinis, eadem quæ victi patiebantur. Cùm verò ad templum accessissent, edicta quidem Cæsaris non audire simulantes, præcedentem quisque vt ignem immitteret hortabatur: seditiosis autem iam subueniendi quidem spes nulla erat, sed fuga & cædes omnia possidebat. Magna verò populi multitudo inualida & inermis, vbicunque occupati fuerant, interficiebantur. Et circum aram quidem ingens mortuorum numerus congerebatur: per gradus verò templi, & sanguis multus profluebat, & eorum corpora, qui suprà ceciderant delabebantur. Cæsar autem vbi neque impetum insanientium militum continere poterat, & flamma dominabatur, intrò cum rectoribus ingressus, & sanctum templi, & quæcunque illic erant aspexit, ea quidem quæ apud alienigenas erant fama meliora, iactatione verò & opinione domestica non minora. Cùm autem flamma nondum ex vlla parte ad interiora penetrasset: nec membra, quæ circum templum erant depasceretur, quod erat verum, existimans adhuc illud posse seruari, & ipse prosiluit, militésque rogare, vt ignem restinguerent conabatur: & Liberalem centurionem de stipatoribus suis, fuste mulctatos, qui non obedirent iussit arcere. Illorum autem furor bellíque impetus quidam vehementior, Iudæorúmque odia, & Cæsaris reuerentiam & prohibentis metum superabant: plerosque autem prædarum spes incitabat, suspicãtes intus omnia pecunia referta esse: quoniam fores auro factas conspicerent. Præterea quidam miles ex his, qui intrauerant, cùm Cæsar ad inhibendum incendium cucurrisset, ignem iam cardinibus portæ subiecerat. túmque subitò, postquam flamma intus apparuit, & duces cum Cęsare discedebant, & stantes extrà succendere nemo prohibebat. Templũ quidem hoc modo inuito Tito exuritur. Sed quãuis hoc multum quis deflendum putet, vt opus omnium quæ audiuimus, aut vidimus maximè admirabile, tam extructionis genere, quàm magnitudinis, itémque munificentiæ in singulis rebus, & gloriæ quæ de sanctis habebatur, maximum tamen ex fato capiet solatium: quod vt animalibus, ita operibus locísque fatum sit ineluctabile. Mirabitur autem in eo etiam circumacti temporis rationem & fidem. Nam & mensem, vt dictum est, cúmque diem seruauit, quo primùm à Babyloniis templum erat incensum. Et à prima quidem structione templi, quã Solomon rex inchoauerat, vsque ad hoc excidium, quod euenit secundo anno principis Vespasiani, mille centum triginta colliguntur anni, & septem menses, ac dies quindecim.

ἀτάκτως κεκινημένης. ὁ μὲν οὖν καῖσαρ τῇ τε βοῇ καὶ τῇ δεξιᾷ, διεσήμαινε τοῖς μαχομένοις τὸ πῦρ σβεννύειν. οὔτε δὲ βοῶντος ἤκουον, μείζονι κραυγῇ τὰς ἀκοὰς προκατειλημμένοι, καὶ τῷ νεύματι τῆς χειρὸς οὐ προσεῖχον, οἱ μὲν τῷ πολεμεῖν, οἱ δὲ ὀργῇ περισπώμενοι. τῶν δὲ ταγμάτων εἰσθεόντων οὔτε παραίνεσις, οὔτε ἀπειλὴ κατεῖχε τὰς ὁρμὰς, ἀλλὰ θυμὸς ἁπάντων ἐστρατήγει, καὶ περὶ τὰς εἰσόδους συνωθούμενοι. πολλοὶ μὲν ὑπ᾽ ἀλλήλων κατεπατοῦντο, πολλοὶ δὲ θερμοῖς ἔτι καὶ τυφομένοις τοῖς ἐρειπίοις τῶν στοῶν ἐμπίπτοντες, ἡττωμένων συμφοραῖς ἐχρῶντο. πλησίον δὲ τοῦ ναοῦ γινόμενοι, τῶν μὲν τοῦ καίσαρος παραγγελμάτων προσεποιοῦντο μηδὲ κατακούειν, τοῖς παρ᾽ αὑτοὺς δὲ τὸ πῦρ ἐνιέναι παρεκελεύοντο. τῶν δὲ στασιαστῶν, ἀμηχανία μὲν ἦν ἤδη τοῦ βοηθεῖν· φόνος δὲ πανταχοῦ καὶ τροπή. τὸ δὲ πλέον ἀπὸ τοῦ δήμου, λαὸς ἀσθενὴς καὶ ἄνοπλος, ὅπου καταληφθείη τις ἀπεσφάττετο. καὶ περὶ μὲν τὸν βωμὸν, πλῆθος ἐσωρεύετο νεκρῶν. κατὰ δὲ τῶν τοῦ βωμοῦ βάθρων, αἷμά τε ἔρρει πολὺ, καὶ τὰ τῶν ἄνω φονευομένων σώματα κατωλίσθανε. καῖσαρ δὲ, ὡς οὔτε τὰς ὁρμὰς ἐνθουσιώντων τῶν στρατιωτῶν κατασχεῖν οἷός τε ἦν, καὶ τὸ πῦρ ἐπεκράτει, παρελθὼν μετὰ τῶν ἡγεμόνων ἔνδον, ἐθεάσατο τοῦ ναοῦ τὸ ἅγιον, καὶ τὰ ἐν αὐτῷ, πολὺ μὲν τῆς παρὰ τοῖς ἀλλοφύλοις φήμης ἀμείνω· τοῦ δὲ κόμπου, καὶ τῆς παρὰ τοῖς οἰκείοις δόξης οὐκ ἐλάττω. τῆς φλογὸς δ᾽ οὐδέπω διικνουμένης οὐδαμόθεν εἴσω, τοὺς δὲ περὶ τὸν ναὸν οἴκους νεμομένης νομίσας, ὅπερ ἦν, ἔτι σώζεσθαι τὸ ἔργον δύνασθαι, προπηδᾷ, καὶ αὐτός τε παρακαλεῖν τοὺς στρατιώτας ἐπειρᾶτο τὸ πῦρ σβεννύειν, καὶ λιβεράλιον ἑκατοντάρχην τῶν περὶ αὐτὸν λογχοφόρων ξύλοις παίοντα τοὺς ἀπειθοῦντας, ἐκέλευσεν εἴργειν. τῶν δὲ καὶ τὴν πρὸς καίσαρα αἰδῶ, καὶ τὸν ἀπὸ τοῦ κωλύοντος φόβον, ἐνίκων οἱ θυμοὶ, καὶ τὸ πρὸς ἰουδαίους μῖσος, καὶ πολεμική τις ὁρμὴ λαβροτέρα. τοὺς δὲ πολλοὺς ἐνῆγεν ἁρπαγῆς ἐλπὶς, δόξαν τε ἔχοντας, ὡς τἄνδον ἅπαντα χρημάτων μεστὰ εἴη, καὶ τὰ πέριξ ὁρῶντας χρυσοῦ πεποιημένα. φθάνει δέ τις καὶ τῶν εἴσω παρεληλυθότων, ἐκπηδήσαντος τοῦ καίσαρος πρὸς ἐποχὴν τῶν στρατιωτῶν, πῦρ εἰς τοὺς στροφέας ἐμβαλὼν τῆς πύλης ἐν σκότῳ, ἐξ ἀπίνης τ᾽ ἔνδοθεν ἐκφανείσης φλογὸς, οἵ τε ἡγεμόνες μετὰ τοῦ καίσαρος ἀνεχώρουν, καὶ τοὺς ἔξωθεν οὐδεὶς ὑφάπτειν ἐκώλυεν. ὁ μὲν οὖν ναὸς οὕτως ἄκοντος καίσαρος ἐμπιπρᾶται.

Πολλὰ δ᾽ ἄν τις ἐπολοφυράμενος, ἔργῳ πάντων ὧν ὄψει καὶ ἀκοῇ παρειλήφαμεν θαυμασιωτάτῳ, κατασκευῆς τε ἕνεκα καὶ μεγέθους, ἔτι τε τῆς καθ᾽ ἕκαστον πολυτελείας, καὶ τῆς περὶ τὰ ἅγια δόξης, μεγίστην λάβοι παραμυθίαν τὴν εἱμαρμένην ἄφυκτον οὖσαν, ὥσπερ ἐμψύχοις, οὕτω καὶ ἔργοις καὶ τόποις. θαυμάσαι δ᾽ ἄν τις ἐν αὐτῇ τῆς περιόδου τὴν ἀκρίβειαν. καὶ μῆνα γοῦν, ὡς ἔφην, καὶ ἡμέραν ἐπετήρησε τὴν αὐτὴν, ἐν ᾗ πρότερον ὑπὸ βαβυλωνίων ὁ ναὸς ἐνεπρήσθη. καὶ ἀπὸ μὲν τῆς πρώτης κτίσεως, ἣν κατεβάλετο σολομὼν ὁ βασιλεὺς, μέχρι τῆς νῦν ἀναιρέσεως, ἣ γέγονεν ἔτει δευτέρῳ τῆς οὐεσπασιανοῦ ἡγεμονίας, ἔτη συνάγεται χίλια ἑκατὸν τριάκοντα, πρὸς δὲ, μῆνες ἑπτὰ, καὶ πεντεκαίδεκα ἡμέραι.

Κεφ. κζ.

ἀπὸ δὲ

ἀπὸ δὲ τῆς ὑστέρου, ἣν ἔτει δευτέρῳ Κύρου βασιλεύοντος ἐποιήσατο Ἀγγαῖος, ἔτη μέχρι τῆς ὑπὸ Οὐεσπασιανοῦ ἁλώσεως, τριακονταεννέα πρὸς ἑξακοσίοις, καὶ ἡμέραι τεσσαράκοντα πέντε.

Κεφ. κη.

Καιομένου δὲ τοῦ ναοῦ τῶν μὲν προσπιπτόντων ἦν ἁρπαγὴ, φόνος δὲ τῶν καταλαμβανομένων μυρίος· οὔτε δὲ ἡλικίας ἦν ἔλεος, οὔτ' ἐντροπὴ σεμνότητος· ἀλλὰ καὶ παιδία, καὶ γέροντες, καὶ βέβηλοι, καὶ ἱερεῖς ὁμοίως ἀνῃροῦντο, καὶ πᾶν γένος ἐπεξῄει περιέχων ὁ πόλεμος ὁμοῦ τούς τε ἱκετεύοντας καὶ ἀμυνομένους. συνήχει δὲ ἡ φλὸξ ἐπὶ πλεῖστον ἐκφερομένη τοῖς τῶν πιπτόντων στεναγμοῖς. καὶ διὰ μὲν τὸ ὕψος τοῦ λόφου, καὶ τὸ τοῦ φλεγομένου μέγεθος ἔργου, πᾶσαν ἄν τις ἔδοξε καίεσθαι τὴν πόλιν. τῆς δὲ βοῆς ἐκείνης οὐδὲν ἐπινοηθῆναι δύναιτ' ἂν, ἢ μεῖζον, ἢ φοβερώτερον. τῶν τε γὰρ ῥωμαϊκῶν ταγμάτων ἀλαλαγμὸς ἦν συμφερομένων, καὶ τῶν στασιαστῶν πυρὶ καὶ σιδήρῳ κεκυκλωμένων κραυγὴ, τοῦ τε ἀποληφθέντος ἄνω λαοῦ, τροπή τε μετ' ἐκπλήξεως εἰς τοὺς πολεμίους, καὶ πρὸς τὸ πάθος οἰμωγαί. συνεβόα δὲ τοῖς ἐπὶ τοῦ λόφου, τὸ κατὰ τὴν πόλιν πλῆθος. ἤδη δὲ πολλοὶ τῷ λιμῷ μαραινόμενοι, καὶ μεμυκότες, ὡς εἶδον τὸ τοῦ ναοῦ πῦρ, εἰς ὀδυρμοὺς πάλιν καὶ κραυγὴν εὐτόνησαν. συνήχει δὲ ἥ τε περαία, καὶ τὰ πέριξ ὄρη, βαρυτέραν ποιοῦντα τὴν ὁρμήν. ἦν δὲ τοῦ θορύβου τὰ πάθη φοβερώτερα. τὸν μέν γε τοῦ ἱεροῦ λόφον ἐκ ῥιζῶν ἄν τις ἔδοξε διάττεσθαι, πάντοθεν τοῦ πυρὸς καταγέμοντα. δαψιλέστερον δὲ τὸ αἷμα τοῦ πυρὸς εἶναι, καὶ τῶν φονευόντων, πλείους τοὺς φονευομένους. οὐδαμοῦ γὰρ ἡ γῆ διεφαίνετο τῶν νεκρῶν, ἀλλὰ σωρείαις ἐπιμβαίνοντες οἱ στρατιῶται σωμάτων ἐπὶ τοὺς διαφεύγοντας ἔθεον. τὸ μὲν οὖν ληστρικὸν πλῆθος ὠσάμενοι τοὺς ῥωμαίους, μόλις εἰς τὸ ἔξω διεκπίπτουσιν ἱερὸν, κἀκεῖθεν εἰς τὴν πόλιν. τοῦ δημοτικοῦ δὲ τὸ λειφθὲν, ἐπὶ τὴν ἔξω στοὰν κατέφυγε.

Κεφ. κθ.

Τῶν δὲ ἱερέων τινὲς, τὸ μὲν πρῶτον ἀπὸ τοῦ ναοῦ τούς τε ὀβελοὺς, καὶ τὰς ἕδρας αὐτῶν μολίβου πεποιημένας ἀνασπῶντες, εἰς τοὺς ῥωμαίους ἠφίεσαν. αὖθις δὲ ὡς οὔτ' ἤνυόν τι, καὶ τὸ πῦρ ἐπ' αὐτοὺς ἀνερρήγνυτο, ἐπὶ τὸν τοῖχον ἀναχωρήσαντες ὄντα ὀκτάπηχυν τὸ εὖρος, ἔμενον. δύο γε μὴν τῶν ἐπισήμων παρὸν σωθῆναι, πρὸς ῥωμαίους μεταστᾶσιν, ἢ διακαρτερεῖν πρὸς τὴν μετὰ τῶν ἄλλων τύχην, ἑαυτοὺς ἔρριψαν εἰς τὸ πῦρ, καὶ τῷ ναῷ συγκατεφλέγησαν, Μήϊρος τε υἱὸς Βελγᾶ, καὶ Ἰώσηπος Δαλαίου. ῥωμαῖοι δὲ, μάταιον τὴν ἐπὶ τοῖς πέριξ φειδὼ κρίναντες, τοῦ ναοῦ φλεγομένου, πάντα συνεπίμπρασαν, τά τε λείψανα τῶν στοῶν, καὶ τὰς πύλας, πλὴν δύο, τῆς μὲν ἐκ τῶν ἀνατολικῶν, τῆς δὲ μεσημβρινῆς, καὶ ταύτας ὕστερον κατέσκαψαν. ἔκαιον δὲ καὶ τὰ γαζοφυλάκια, ἐν οἷς ἄπειρον μὲν χρημάτων πλῆθος, ἄπειροι δὲ ἐσθῆτες, καὶ ἄλλα κειμήλια, συνελόντι δὲ εἰπεῖν, πᾶς ὁ ἰουδαίων σεσώρευτο πλοῦτος, ἀνασκευασμένων ἐκεῖ τῶν οἴκων τῶν εὐπόρων. ἧκον δὲ καὶ ἐπὶ τὴν λοιπὴν στοὰν τοῦ ἔξωθεν ἱεροῦ. καταπεφεύγει δὲ ἐπ' αὐτὴν ἀπὸ τοῦ δήμου γύναια καὶ παιδία, καὶ σύμμικτος ὄχλος πλεῖστος, εἰς ἑξακισχιλίους.

A A posteriore verò, quam secundo anno Cyri regis Aggeus fecerat, vsque ad excidium quod Vespasiano imperante sustinuit ciuitas, anni sexcenti trigintanouem, & dies quadragintaquinque.

CAP. XI. De sacerdotibus, gazophylacioq; & porticu.

Cvm templum autem incenderetur, etiam quicquid in manus fortè venisset rapiebatur, & cædes erat infinita deprehensorum. Nec actæ fuit ætatis miseratio, aut reuerentia castitatis: sed & pueri & senes & sacri & pro- B fani similiter interficiebantur, atque omne genus hominum belli calamitas persequebatur, vnàque supplices cum repugnantibus necabātur: flammáque vlterius progrediens, cum gemitu occumbētium concrepabat. Et pro altitudine quidem collis, ardentísque operis magnitudine, totam quis ardere crederet ciuitatem. Illo autem clamore nihil maius aut horribilius excogitari potest. Nam & Romanarum legionum fremitus erat, & sedi- C tiosorum ferro igníque clausorum clamor ingens, & populi sursum deprehensi ad hostes fuga cum stupore, ac calamitatis conquestio: in colle autem constitutis, etiam multitudo oppidi consonabat. Iam verò multi fame marcidi, in mortem penè luminibus clausis, postquam ignem templi vidêre, in questus interim vires clamorémque receperunt. Resonabat autem & trans fluuium regio & montes circumpositi grauiorem sonitum reddebant: D & tamen erant clades acerbiores tumultu. Nā collem quidem in quo templum erat exuri radicitus quis putaret, ita vndiq; flamma plenū: videbatur autem sanguis igne largior esse, plurésque interfectoribus interfecti: omnísque terra cadaueribus tegebatur, & supra corpora mortuorum gradientes milites cursum fugientium sequebantur. Latrocinalis quidem multitudo, tandem pulsis Romanis, in exterius templum, deinde in ciuitatem inuadit: E populi autem quod fuit reliquum, in exteriorem porticum confugerat. Sacerdotum autem nonnulli primùm verubus, itémque sedibus suis, quæ ex plumbo factæ erant, auulsis, in Romanos pro missilibus vtebantur: deinde cū nihil proficerent, ignísque in eos euomeretur, in parietem secedentes octo cubitis latum ibi manebant. Duo tamen ex nobilibus, cùm ad Romanos transfūdo seruari possent, aut communem cum cæteris durare fortunam, semet- F ipsos in ignem iniecêre, & cum templo concremati sunt, Meirus filius Belgæ, & Iosephus Dalæi. Romani autem, quòd frustra se circum templum ædificiis parcere iudicabant, cùm ipsum templum arderet, omnia simul incendunt, & quicquid ex porticibus reliquum erat, & portas: præter vnam ex parte Orientali, alteram ex Meridiana, quamuis eas quoque postea funditus euerterint. Quinetiam arculas, quæ gazophylacia vocantur, incen- G dunt, in quibus magna vis erat pecunię, ac plurimum vestium, aliáque bona, & (vt breuiter dicā) omnes Iudæorū congestæ diuitiæ, quòd opulētissimus quisq; illuc totas domos exhauserant. Venerunt autem etiam in eam quæ restabat vnam porticū, extra templū quò cōfugerāt ex populo mulierculę, itéque pueri & promiscua multitudo, propè ad sex hominū millia.

Sed priusquam de his Cæsar quicquam decerneret, vel ducibus imperaret, ira flagrantes milites incendunt porticum. Hinc contigit, vt alij quum se ex flamma præcipitarent morerentur, alios ipsa corrumperet: ex tanto autem numero nemo seruatus est. His causa interitus quidam pseudopropheta fuerat, qui eo die prædicauerat in ciuitate, quòd eos in templum Deus ascendere signa salutis accepturos iuberet. Multi enim à tyrannis tunc subornati prophetæ, populo denunciabant, vt expectarent Dei auxilium, quo propterea minus profugerent, & eos qui supra timorem & custodiam fierent, spes retineret. Citò autem in aduersis homini persuadetur. Quòd si etiam malorum instantium liberationem polliceatur qui fallit, necessariò, qui ea patitur, spei totus efficitur.

CAP. XII. De prodigiis excidiũ Hierosolymæ præcedentibus & præsagiis.

Denique miserabilis populus, illis quidem fallacibus Deúmque calumniantibus, credulus erat. Certis verò prodigiis & futuram solitudinem prænunciantibus, neque attendebant animo, neque credebant: sed velut attoniti, nec aut oculos habentes, aut animas, edicta Dei dissimulauêre: modò cùm supra ciuitatem sidus stetit simile gladio, & per annum perseuerauit, cometes modò cùm ante defectionem primíque belli motus ad diem festum Azymorum populo conueniente (octauus autem dies erat Aprilis mensis) nona hora nocturna, circum aram itémque templum tantum lumen effulsit, vt clarissimus dies putaretur: & hoc vsque ad mediam permansit horam: quod imperitis quidem bonum augurium esse videbatur: sacrorum verò peritis, priùs quàm eueniret, statim diiudicatum est. Eodémque festo die etiam bos cùm ad hostiam duceretur, agnum in medio fani peperit. Orientalis autem porta interioris templi, cùm esset ænea atque grauissima, & sub vesperam vix à viginti viris clauderetur, serísque ferro vinctis obseraretur, pessulósque altos haberet in saxeum limen demissos, vno perpetuo lapide fabricatum, visa est noctis hora sexta sponte patescere. His autem curriculo per custodes templi magistratui nunciatis, ascendit ille, víxque eam potuit claudere. Verùm & hoc iterum ignaris quidem signum optimum videbatur. Deum namque bonorum portam aperuisse dicebant. Prudentiores verò templi tutamen sponte sua dissolutum iri cogitabant: & hostium donum esse, portas aperiri: solitudinémque illo ostento signari inter se pronunciabant. Post dies autem festos diebus paucis, vicesimoprimo die mensis Maij visio quædam apparuit fidem excedens. Pro fabula autem fortasse quod dicturus sum habe175retur, nisi qui viderunt superessent, & clades dignæ præsagiis secutæ fuissent. namque ante solis occasum visi sunt per inane ferri currus totis regionibus, & armatæ acies tranantes nubila, & ciuitati circumfusæ. Festo autem die, quem Pentecosten vocant, nocte sacerdotes intimum templum more suo ad diuinas res celebrandas ingressi, primum quidem motum quendamque strepitum senserunt,

A πρὶν δὲ καίσαρα κρῖναί τι περὶ αὐτῶν ἢ κελεῦσαι τοὺς ἡγεμόνας, θερμοὶ τοῖς θυμοῖς οἱ στρατιῶται τὴν στοὰν ὑφάπτουσι, καὶ συνέβη τοὺς μὲν, ῥιπτοῦντας αὐτοὺς ἐκ τῆς φλογὸς διαφθαρῆναι, τοὺς δ' ἐν αὐτῇ. περιεσώθη δ' ἐκ τοσούτων οὐδείς.

Κεφ. λ.

Τούτοις αἴτιος τῆς ἀπωλείας, ψευδοπροφήτης τις κατέστη, κατ' ἐκείνην κηρύξας τὴν ἡμέραν τοῖς ἐπὶ τῆς πόλεως, ὡς ὁ θεὸς ἐπὶ τὸ ἱερὸν ἀναβῆναι κελεύει, δεξομένους τὰ σημεῖα τῆς σωτηρίας. πολλοὶ δ' ἦσαν ἐγκάθετοι παρὰ τῶν τυράννων τότε πρὸς τὸν δῆμον προφῆται, προσμένειν τὴν ἀπὸ τοῦ θεοῦ βοήθειαν καταγγέλλοντες, ὡς ἧττον αὐτομολοῖεν, καὶ τοὺς ἐπάνω δέους καὶ φυλακῆς γινομένους, ἐλπὶς παρακρατοίη. πείθεται δὲ ταχέως ἄνθρωπος ἐν συμφοραῖς. ὅταν δὲ δὴ καὶ τῶν κατεχόντων δεινῶν ἀπαλλαγὴν ὁ ἐξαπατῶν ὑπογράφῃ, τόθ' ὁ πάσχων ὅλος γίνεται τῆς ἐλπίδος. τὸν γοῦν ἄθλιον δῆμον, οἱ μὲν ἀπατεῶνες, καὶ καταψευδόμενοι τοῦ θεοῦ, τηνικαῦτα παρέπειθον. τοῖς δ' ἐναργέσι, καὶ προσημαίνουσι τὴν μέλλουσαν ἐρημίαν τέρασιν, οὔτε προσεῖχον, οὔτε ἐπίστευον, ἀλλ' ὡς ἐμβεβροντημένοι, καὶ μήτ' ὄμματα, μήτε ψυχὴν ἔχοντες, τῶν τοῦ θεοῦ κηρυγμάτων παρήκουσαν.

Κεφ. λα.

Τοῦτο μὲν ὅτε ὑπὲρ τὴν πόλιν ἄστρον ἔστη ῥομφαίᾳ παραπλήσιον, καὶ παρατείνας ἐπ' ἐνιαυτὸν κομήτης. τοῦτο δὲ ἡνίκα πρὸ τῆς ἀποστάσεως, καὶ τοῦ πρὸς τὸν πόλεμον κινήματος ἀθροιζομένου τοῦ λαοῦ πρὸς τὴν τῶν ἀζύμων ἑορτὴν, ὀγδόη δ' ἦν ξανθικοῦ μηνὸς, κατὰ νυκτὸς ἐνάτην ὥραν, τοσοῦτον φῶς περιέλαμψε τὸν βωμὸν, καὶ τὸν ναὸν, ὡς δοκεῖν ἡμέραν εἶναι λαμπρὰν, καὶ τοῦτο παρέτεινεν ἐφ' ἡμίσειαν ὥραν. ὃ τοῖς μὲν ἀπείροις, ἀγαθὸν ἐδόκει, τοῖς δ' ἱερογραμματεῦσι, πρὸς τὰ ἀποβεβηκότα εὐθέως ἐκρίθη. καὶ κατὰ τὴν αὐτὴν ἑορτὴν βοῦς μὲν ἀχθεῖσα ὑπό του πρὸς τὴν θυσίαν, ἔτεκεν ἄρνα ἐν τῷ ἱερῷ μέσῳ. ἡ δ' ἀνατολικὴ πύλη τοῦ ἐνδοτέρου, χαλκῆ μὲν οὖσα καὶ στιβαρωτάτη, κλειομένη δὲ περὶ δείλης μόλις ὑπ' ἀνδρῶν εἴκοσι, καὶ μοχλοῖς μὲν ἐπερειδομένη σιδηροδέτοις, καὶ καταπῆγας δ' ἔχουσα βαθυτάτους, εἰς τὸν οὐδὸν ὄντα διηνεκοῦς λίθου καθιεμένους, ὤφθη κατὰ νυκτὸς ὥραν ἕκτην, αὐτομάτως ἠνεῳγμένη. δραμόντες δ' οἱ τοῦ ἱεροῦ φύλακες, ἤγγειλαν τῷ στρατηγῷ, κἀκεῖνος ἀναβὰς, μόλις αὐτὴν ἴσχυσε κλεῖσαι. πάλιν τοῦτο τοῖς μὲν ἰδιώταις κάλλιστον ἐδόκει τέρας. ἀνοῖξαι γὰρ τὸν θεὸν αὐτοῖς τὴν τῶν ἀγαθῶν πύλην. οἱ λόγιοι δὲ, λυομένην αὐτομάτως τοῦ ναοῦ τὴν ἀσφάλειαν ἐνενόουν, καὶ πολεμίοις δῶρον ἀνοίγεσθαι τὴν πύλην, δηλωτικὸν τῆς ἐρημίας ἀπέφαινον ἐν ἑαυτοῖς τὸ σημεῖον. μετὰ δὲ τὴν ἑορτὴν ἡμέραις ὕστερον οὐ πολλαῖς μιᾷ καὶ εἰκάδι ἀρτεμισίου μηνὸς, φάσμα τι δαιμόνιον ὤφθη μεῖζον πίστεως. τερατεία δ' ἂν ἔδοξεν οἶμαι τὸ ῥηθησόμενον, εἰ μὴ καὶ παρὰ τοῖς θεασαμένοις ἱστόρητο, καὶ τὰ ἐπακολουθήσαντα πάθη τῶν σημείων ἦν ἄξια. πρὸ γὰρ ἡλίου δύσεως ὤφθη μετέωρα περὶ πᾶσαν τὴν χώραν, ἅρματα καὶ φάλαγγες ἔνοπλοι, διᾴττουσαι τῶν νεφῶν, καὶ κυκλούμεναι τὰς πόλεις. κατὰ δὲ τὴν ἑορτὴν, ἣ πεντηκοστὴ καλεῖται, νύκτωρ οἱ ἱερεῖς παρελθόντες εἰς τὸ ἔνδον ἱερὸν, ὥσπερ αὐτοῖς ἔθος ἦν πρὸς τὰς λειτουργίας, πρῶτον μὲν κινήσεως ἀντιλαβέσθαι ἔφασαν καὶ κτύπου, μετὰ δὲ

μετὰ δὲ ταῦτα καὶ φωνῆς ἀθρόας, μεταβαίνωμεν ἐντεῦθεν. τὸ δὲ τούτων φοβερώτερον, Ἰησοῦς γάρ τις υἱὸς Ἀνανίου τῶν ἰδιωτῶν ἄγροικος, πρὸ τεσσάρων ἐτῶν τοῦ πολέμου, τὰ μάλιστα τῆς πόλεως εἰρηνευομένης καὶ εὐθηνούσης, ἐλθὼν εἰς τὴν ἑορτήν, ἐπεὶ σκηνοποιεῖσθαι πάντας ἔθος τῷ θεῷ, κατὰ τὸ ἱερόν, κατὰ τὸ ἱερὸν ἐξαπίνης ἀναβοᾶν ἤρξατο· φωνὴ ἀπ' ἀνατολῆς, φωνὴ ἀπὸ δύσεως, φωνὴ ἀπὸ τῶν τεσσάρων ἀνέμων, φωνὴ ἐπὶ Ἱεροσόλυμα καὶ τὸν ναόν, φωνὴ ἐπὶ νυμφίους καὶ νύμφας, φωνὴ ἐπὶ τὸν λαὸν πάντα. τοῦτο μεθ' ἡμέραν καὶ νύκτωρ, κατὰ πάντας τοὺς στενωποὺς περιῄει κεκραγώς. τῶν δ' ἐπισήμων τινὲς δημοτῶν ἀγανακτήσαντες πρὸς τὸ κακόφημον, συλλαμβάνουσι τὸν ἄνθρωπον, καὶ πολλαῖς αἰκίζονται πληγαῖς. ὁ δ' οὔθ' ὑπὲρ ἑαυτοῦ φθεγξάμενος, οὔτ' ἰδία πρὸς τοὺς παίοντας, ἃς καὶ πρότερον φωνὰς βοῶν διετέλει. νομίσαντες δ' οἱ ἄρχοντες, ὅπερ ἦν, δαιμονιώτερον εἶναι τὸ κίνημα τἀνδρός, ἀνάγουσιν αὐτὸν ἐπὶ τὸν παρὰ Ῥωμαίοις ἔπαρχον, ἔνθα μάστιξι μέχρις ὀστέων ξαινόμενος, οὔθ' ἱκέτευσεν, οὔτ' ἐδάκρυσεν, ἀλλ' ὡς ἐνῆν μάλιστα τὴν φωνὴν ὀλοφυρτικῶς παρεγκλίνων, πρὸς ἑκάστην ἀπεκρίνατο πληγήν, αἲ αἲ Ἱεροσολύμοις. τοῦ δὲ Ἀλβίνου διερομένου, τότε γὰρ ἔπαρχος ἦν, τίς εἴη, καὶ πόθεν, καὶ διὰ τί ταῦτα φθέγγοιτο, πρὸς ταῦτα μὲν οὐδ' ὁτιοῦν ἀπεκρίνατο. τὸν δ' ἐπὶ τῇ πόλει θρῆνον εἴρων, οὐ διέλειπε, μέχρι καταγνοὺς μανίαν ὁ Ἀλβῖνος, ἀπέλυσεν αὐτόν. ὁ δὲ τὸν μέχρι τοῦ πολέμου χρόνον, οὔτε προσῄει τινὶ τῶν πολιτῶν, οὔθ' ὤφθη λαλῶν, ἀλλὰ καθ' ἡμέραν ὥσπερ εὐχὴν μεμελετηκώς, αἲ αἲ Ἱεροσολύμοις ἐθρήνει. οὔτε δέ τινι τῶν τυπτόντων αὐτὸν ὁσημέραι κατηρᾶτο, οὔτε τοὺς τροφῆς μεταδιδόντας εὐλόγει. μία δὲ πρὸς πάντας ἦν ἡ σκυθρωπὴ κληδὼν ἀπόκρισις. μάλιστα δ' ἐν ταῖς ἑορταῖς ἐκεκράγει, καὶ τοῦτ' ἐφ' ἑπτὰ ἔτη, καὶ μῆνας πέντε εἴρων, οὔτ' ἠμβλύνθη τὴν φωνήν, οὔτε ἔκαμεν, μέχρις οὗ κατὰ τὴν πολιορκίαν ἔργῳ τοὺς κληδόνας ἰδὼν, ἀνεπαύσατο. περιιὼν γὰρ ἐπὶ τοῦ τείχους, αἲ, αἲ πάλιν τῇ πόλει, καὶ τῷ λαῷ, καὶ τῷ ναῷ διαπρύσιον ἐβόα. ὡς δὲ τελευταῖον προσέθηκεν αἲ αἲ δὲ κἀμοί, λίθος ἐκ τοῦ πετροβόλου σχασθεὶς, καὶ πλήξας αὐτὸν, παραχρῆμα κτείνει, φθεγγομένην δ' ἔτι τὰς κληδόνας ἐκείνας, τὴν ψυχὴν ἀφῆκεν. ταῦτά τις ἐννοῶν εὑρήσει, τὸν μὲν θεὸν ἀνθρώπων κηδόμενον, καὶ παντοίως προσημαίνοντα τῷ σφετέρῳ γένει τὰ σωτήρια, τοὺς δ' ὑπ' ἀνοίας καὶ κακῶν αὐθαιρέτων ἀπολλυμένους. ὅπου γε Ἰουδαῖοι καὶ τὸ ἱερὸν μετὰ τὴν καθαίρεσιν τῆς Ἀντωνίας τετράγωνον ἐποιήσαντο, ἀναγεγραμμένον ἐν τοῖς λογίοις ἔχοντες, ἁλώσεσθαι τὴν πόλιν καὶ τὸν ναόν, ἐπειδὰν τὸ ἱερὸν γένηται τετράγωνον. τὸ δ' ἐπᾶραν αὐτοὺς μάλιστα πρὸς τὸν πόλεμον, ἦν χρησμὸς ἀμφίβολος ὁμοίως ἐν τοῖς ἱεροῖς εὑρημένος γράμμασιν, ὡς κατὰ τὸν καιρὸν ἐκεῖνον, ἀπὸ τῆς χώρας τις αὐτῶν ἄρξει τῆς οἰκουμένης. τοῦτο οἱ μὲν ὡς οἰκεῖον ἐξέλαβον, καὶ πολλοὶ τῶν σοφῶν ἐπλανήθησαν περὶ τὴν κρίσιν. ἐδήλου δ' ἄρα τὴν περὶ Οὐεσπασιανοῦ τὸ λόγιον ἡγεμονίαν, ἀποδειχθέντος ἐπὶ Ἰουδαίας αὐτοκράτορος. ἀλλὰ γὰρ οὐ δυνατὸν ἀνθρώποις τὸ χρεὼν ἐκφυγεῖν, οὐδὲ προορωμένοις. οἱ δὲ καὶ τῶν σημείων,

A postea verò subitam vocem audiere, quæ diceret, Migremus hinc. Quod autem his horribilius fuit, Iesus quidam, filius Anani, plebeius & rusticus, quadriennio priùs quàm bellum gereretur, in summa ciuitatis pace atque opulentia, cùm ad festum diem venisset, quo ategias in honorem Dei componi in templo ab hominibus mos est, repentè exclamare cœpit: Vox ab Oriente: Vox ab Occidente: Vox à quatuor ventis: Vox in Hierosolymam & B templum: Vox in maritos nouos nouásque nuptas: Vox in omnem hunc populum. Atque hæc inter diu noctúque clamitans omnes ciuitatis vicos circuibat. Nõnulli autem virorum insignium, aduersum omen indignè ferentes, corripiunt hominem, multísque verberibus afficiunt. Ille autem neque pro se, nec ad eos qui se mulctabant, secretò quicquam loquutus, eadem quæ prius vociferans perseuerabat. Magistratus autem rati, quod erat ve- C rum, magis diuinum esse hominis motum, ducunt eum ad Romanorum præfectum: vbi plagis vsque ad ossa laceratus, neque supplex cuiquam fuit, neque lacrymauit: sed vt poterat inclinans maximè flebiliter vocem ad singulos ictus respondebat: Veh veh Hierosolymis. Albino autem interroganti (is nanque iudex erat) quis esset, vel vnde ortus, aut cur ista diceret, nihil retulit. Non priùs autem cessauit à luctu miseræ ciuitatis, donec eum D Albinus furere iudicatum dimisit. Ille autem ad belli vsque tempus neque adibat quenquam ciuium, neque loqui visus est: sed quotidie velut orationem quandam meditatus, Veh veh Hierosolymis querebatur. Sed neque imprecatus est cuiquam, cùm in dies singulos mulctaretur, nec victum offerentibus bene dicebat. Sola verò eius responsio ad omnes erat, triste præsagium. Maximè autem diebus festis vociferabatur: ídque per annos septem, E & quinque menses continuos faciens neque voce raucior fuit, neque delassatus est, donec obsidionis tempore ipsa re perspectis auguriis ipse quieuit. Suprà murum enim circumiens iterum, Veh veh ciuitati ac fano ac populo, voce maxima clamitabat. Cùm autem ad extremum addidit, veh etiam mihi, lapis tormento missus eum statim peremit, animámque adhuc illa omnia lugentem dimisit. Hæc si quis reputet, profectò in- F ueniet, Deum quidem hominibus consulere modísque omnibus præmonstrare quæ sint eorum generi salutaria: ipsos autem ob dementiam suam malis voluntariis interire: quandoquidem & Iudæi post Antoniam captam quadratum fanum fecerant: cùm in sacris libris scriptum haberent, capiendam ciuitatem ac templum, si fanum quatuor angulis esset effectum. Sed quod maximè eos ad bellum excitauerat, responsum erat ambiguum, G itidem in sacris libris inuentum, quod eo tempore quidam esset ex eorũ finibus orbis terræ habiturus imperium. Id enim illi quidem quasi proprium acceperunt, multíque sapientes interpretatione decepti sunt. Hoc autem planè responso, Vespasiani designabatur imperium, qui apud Iudæam creatus est imperator. Sed enim homines fatum vitare non possunt, etiam si præuiderint. At verò hi signorum

quædam pro sua libidine interpretati sunt, alia contempsêre: donec patriæ excidio suáque pernicie, eorum iniquitas confutata est.

CAP. XIII. De Imperio Titi, & sacerdotum interfectione.

Romani quidem, postquam seditiosi ad ciuitatem confugêre, templo itémque omnibus circum locis ardentibus, signa in fano reposuêre contra portam Orientalem: híq; ibi sacrificio celebrato, maximis cum clamoribus declarabant Titum Imperatorem. Vsque adeò verò præda satiati sunt milites vniuersi, vt in Syria dimidio quàm pridem fuerat pretio pondus auri venire. Ex his autem sacerdotibus, qui in templi pariete perdurauerant, puer sitiens à Romanis custodibus pacem petebat, sitímque fatebatur. Sed vbi illi tam ætatis quàm necessitatis miserti, dedêre ei dexteram, & ipse bibit, & quam secum attulerat lagena repleta, sursum refugiens abiit ad suos: nec eum quisquam custodum assequi valuit, sed eius perfidiæ maledicebant. Ille autem nihil se præter placita fecisse dicebat. Dexteram enim sibi datam, non vt apud ipsos remaneret, sed vt tantùm descenderet, atq; vt aquam acciperet: quæ cùm fecerit, in fide mansisse. Astutiam quidem propter ætatem, maximè pueri, qui decepti fuerant, mirabantur. Quinta verò die sacerdotes oppressi fame descendunt, & à custodibus ad Titum perducti, vt salutem sibi cõcederet orabant. Ille autẽ veniæ quidem tẽpus illis præterisse fatus, periisse verò id cuius eos gratia meritò conseruasset, decere autẽ sacerdotes interire cum templo, duci homines ad suppliciũ iubet. Sed tyranni cum sociis, quoniam bello vndique tenebantur, circundatis autem nusquam erat fugæ copia, Titum ad colloquia prouocant. Ille autem pro humanitate naturali semper oppidum seruare cupiens, & amicis præterea suadentibus (latrones enim iam moderatiores factos esse arbitrabantur) in parte occidua templi interioris consistit. Hic enim super Xystum erant portæ, ac pons qui ciuitatem superiorem templo iungebat, ísque tunc inter tyrannos ac Titum interueniebat. Multi autem militum vtrinque densi astabant: Iudæi quidem circum Simonem ac Ioãnem suspensi spe veniæ: Romani verò ad Cæsarem speculandi studio, qualiter eos reciperet. Edicto autem dato militibus, Titus, vt & iracundiam & sagittas continerent, adhibitóque interprete, quo argumento superior ostendebatur, prior alloqui cœpit. Etiámne saturati estis patriæ malis, ô viri? quibus neque virtutis nostræ, neque infirmitatis propriæ venit in mentem: sed inconsulto impetu ac furore perditis populum & ciuitatem simul ac templum, ipsi quoque iustè perituri: qui primùm quidem, postquam vos Pompeius fortiter debellauerat, nouas res affectare non destitistis, deinde etiam bellum apertum contra Romanum populum extulistis: vtrúmne multitudine freti? atqui parua manus vobis Romani exercitus satis restitit. Auxiliatorum fide? Et quæ gens imperio nostro libera, Iudæos præ Romanis optaret? Sed viribus corporũ? Atqui scitis nobis seruire Germanos. Firmitate

A ἃ μὲν ἐκεῖνοι πρὸς ἡδονὴν, ἃ δ' ἐξουθένισαν, μέχρις ὅτε ἁλώσει τῆς πατρίδος, καὶ τῷ σφῶν αὐτῶν ὀλέθρῳ, διηλέγχθησαν τὴν ἄνοιαν.

Κεφ. λβ.

Ῥωμαῖοι δὲ τῶν μὲν στασιαστῶν, καταπεφευγότων εἰς τὴν πόλιν, καιομένου δὲ αὐτοῦ τε τοῦ ναοῦ, καὶ τῶν πέριξ ἁπάντων, κομίσαντες τὰς σημαίας εἰς τὸ ἱερὸν, καὶ θέμενοι τῆς ἀνατολικῆς πύλης ἄντικρυς, ἔθυσάν τε αὐταῖς αὐτόθι, καὶ τὸν Τίτον μετὰ μεγίστων εὐφημιῶν ἀπέφηναν αὐτοκράτορα. ταῖς δὲ ἁρπαγαῖς οὕτως B ἐνεπλήσθησαν οἱ στρατιῶται πάντες, ὥστε κατὰ τὴν Συρίαν πρὸς ἥμισυ τῆς πάλαι τιμῆς, τὸν σταθμὸν τοῦ χρυσίου πιπράσκεσθαι.

Κεφ. λγ.

Τῶν δὲ ἀνὰ τὸν τοῖχον τοῦ ναοῦ ἱερέων διακαρτερούντων, παῖς διψήσας ἱκέτευε τοὺς φύλακας τῶν Ῥωμαίων δοῦναι δεξιὰν αὐτῷ, καὶ τὸ δίψος ἐξωμολογεῖτο. τῶν δὲ τῆς ἡλικίας καὶ τῆς ἀνάγκης οἶκτον λαβόντων καὶ δόντων δεξιὰς, καταβὰς αὐτός τε πίνει, καὶ ὃ φέρων ἧκεν ἀγγεῖον πλήσας ὕδατος, ᾤχετο φεύγων πρὸς τοὺς σφε- C τέρους. τῶν δὲ φυλάκων καταλαβεῖν μὲν οὐδεὶς ἴσχυσε, πρὸς δὲ τὴν ἀπιστίαν ἐβλασφήμουν. κἀκεῖνος οὐδὲν ἔφη παραβεβηκέναι τῶν συνθηκῶν. λαβεῖν δὲ δεξιὰν οὐ τοῦ μένειν παρ' αὐτοῖς, ἀλλὰ τοῦ καταβῆναι μόνον καὶ λαβεῖν ὕδωρ, ἅπερ ἀμφότερα πεποιηκὼς, πιστὸς ἔδοξεν εἶναι. τὸ μὲν δὴ πανούργημα διὰ τὴν ἡλικίαν μάλιστα τοῦ παιδὸς, ἀπεθαύμαζον οἱ πλανηθέντες. πέμπτῃ δ' ἡμέρᾳ λιμώττοντες οἱ ἱερεῖς καταβαίνουσι, καὶ πρὸς Τίτον ἀνα- D χθέντες ὑπὸ τῶν φυλάκων, ἱκέτευον τυχεῖν σωτηρίας. ὁ δὲ τὸν μὲν τῆς συγγνώμης καιρὸν αὐτοῖς παρῳχηκέναι φήσας, οἴχεσθαι δὲ δι' ὃν εὐλόγως ἂν αὐτοὺς ἔσωζε, πρέπειν δὲ τοῖς ἱερεῦσι τῷ ναῷ συναπολέσθαι, κελεύει κολάσαι τοὺς ἄνδρας.

Κεφ. λδ.

Οἱ δὲ περὶ τοὺς τυράννους, ὡς τῷ τε πολέμῳ πανταχόθεν ἐκρατοῦντο, καὶ περιτετειχισμένοις διαφυγεῖν οὐδαμόθεν ἦν, προσκαλοῦνται τὸν Τίτον εἰς λό- E γους. ὁ δὲ διά τὸ φιλάνθρωπον φύσει, τὸ γοῦν ἄστυ περισῶσαι προαιρούμενος, καὶ τῶν φίλων ἐναγόντων, ἤδη γὰρ μετριάζειν τοὺς λῃστὰς ὑπελάμβανεν, ἵσταται κατὰ τὸ πρὸς δύσιν μέρος τοῦ ἔξωθεν ἱεροῦ. ταύτῃ γὰρ ὑπὲρ τὸν ξυστὸν ἦσαν πύλαι, καὶ γέφυρα συνάπτουσα τῷ ἱερῷ τὴν ἄνω πόλιν. αὕτη τότε μέση τῶν τυράννων ἦν καὶ τοῦ Καίσαρος. τὸ δὲ πλῆθος ἑκατέροις, βύδην ἐφειστήκει. Ἰουδαῖοι μὲν περὶ Σίμωνα καὶ Ἰωάννην, F μετέωροι συγγνώμης ἐλπίδι. Ῥωμαῖοι δὲ Καίσαρι καραδοκοῦντες αὐτῶν τὴν ἀξίωσιν. παραγγείλας δὲ τοῖς στρατιώταις Τίτος, θυμοῦ τε καὶ βελῶν μένειν ἐγκρατεῖς, καὶ τὸν ἑρμηνέα παραστησάμενος, ὅπερ ἦν τεκμήριον τοῦ κρατεῖν, πρῶτος ἤρξατο λέγειν. ἆρά γε ἤδη κεκόρεσθε τῶν τῆς πατρίδος κακῶν, ἄνδρες, οἱ μήτε τῆς ἡμετέρας τῆς δυνάμεως, μήτε τῆς ἑαυτῶν ἀσθενείας ἔννοιαν λαβόντες, ὁρμῇ δὲ ἀσκέπτῳ καὶ μανίᾳ, τόν τε δῆμον, καὶ τὴν πόλιν καὶ τὸν ναὸν ἀπολω- G λεκότες, ἀπολούμενοι δὲ καὶ αὐτοὶ δικαίως; οἱ πρῶτοι μὲν ἀφ' οὗ Πομπήϊος εἷλεν ὑμᾶς κατὰ κράτος, οὐκ ἐπαύσασθε νεωτεροποιΐας, ἔπειτα καὶ φανερὸν ἐξηνέγκατε πρὸς Ῥωμαίους πόλεμον; ἆρά γε πλήθει πεποιθότες; καὶ μὴν ἐλάχιστον ὑμῖν μέρος ἀντήρκεσε τοῦ Ῥωμαίων στρατιωτικοῦ. πίστει τοι γαρ τῶν συμμάχων; καὶ τί τῶν ἔξω τῆς ἡμετέρας ἡγεμονίας ἐθνῶν ἔμελλεν αἱρήσεσθαι Ἰουδαίους πρὸ Ῥωμαίων; ἀλλ' ἀλκῇ σωμάτων; καὶ μὴν ἴστε Γερμανοὺς δουλεύοντας ἡμῖν. ὀχυρότητι δὲ τει-

δὲ τειχῶν; καὶ τί μεῖζον ὠκεανοῦ τεῖχος κώλυμα, ὃν περιβεβλημένοι βρεττανοὶ, τὰ ῥωμαίων ὅπλα προσκυνοῦσι; καρτερίᾳ ψυχῆς καὶ πανουργίᾳ στρατηγῶν; ἀλλὰ μὴν ᾔδειτε καὶ καρχηδονίους ἁλόντας. τοιγαροῦν ὑμᾶς ἐπήγειρε κατὰ ῥωμαίων, ἡ ῥωμαίων φιλανθρωπία· οἳ πρῶτον μὲν ὑμῖν, τήν τε χώραν ἔδομεν νέμεσθαι, καὶ βασιλεῖς ὁμοφύλους ἐπεστήσαμεν· ἔπειτα τοὺς πατρίους νόμους ἐτηρήσαμεν, καὶ ζῆν οὐ μόνον καθ' ἑαυτοὺς, ἀλλὰ καὶ τοὺς ἄλλους ἐπετρέψαμεν ὡς ἐβούλεσθε. τὸ δὲ μέγιστον, δασμολογεῖν τε ὑμῖν ἐπὶ τῷ θεῷ, καὶ ἀναθήματα συλλέγειν ἐπετρέψαμεν· καὶ τοὺς ταῦτα φέροντας οὔτε ἐνουθετήσαμεν, οὔτε ἐκωλύσαμεν, ἵν' ἡμῖν γένησθε πλουσιώτεροι, καὶ παρασκευάσησθε τοῖς ἡμετέροις χρήμασι καθ' ἡμῶν. ἔπειτα τηλικούτων ἀγαθῶν ἀπολαύοντες, ἐπὶ τοὺς παρασχόντας ἠνέγκατε τὸν κόρον, καὶ δίκην τῶν ἀτιθασεύτων ἑρπετῶν, τοῖς σαίνουσι τὸν ἰὸν ἐναφήκατε. ἔστω γοῦν καταφρονήσατε τῆς νέρωνος ῥαθυμίας, καὶ καθάπερ ῥήγματα, ἢ σπάσματα, τὸν ἄλλον χρόνον κακοήθως ἠρεμοῦντες, ἐν τῇ μείζονι νόσῳ διεφάνητε, καὶ πρὸς ἐλπίδας ἀναιδεῖς, καὶ ἀμέτρους ἐξετείνατε τὰς ἐπιθυμίας. ἧκεν ὁ πατὴρ οὑμὸς εἰς τὴν χώραν, οὐ τιμωρησόμενος ὑμᾶς τῶν κατὰ κέστιον, ἀλλὰ νουθετήσων. δέον γοῦν εἴπερ ἐπὶ ἐπαναστάσει τοῦ ἔθνους παρῆν, ἐπὶ τὴν ῥίζαν ὑμῶν δραμεῖν, καὶ ταύτην ἐκπορθεῖν τὴν πόλιν εὐθέως, ὁ δὲ γαλιλαίαν ἐδῄου καὶ τὰ πέριξ, ἐπιδοὺς ὑμῖν χρόνον εἰς μετάνοιαν. ἀλλ' ὑμῖν ἀσθένεια τὸ φιλάνθρωπον ἐδόκει, κἀκ τῆς ἡμετέρας πρᾳότητος, τὴν τόλμαν ἐπεθρέψατε. νέρωνος οἰχομένου, τοῦθ' ὅπερ ἐχρῆν τοὺς πονηροτάτους, ἐποιήσατε, ταῖς ἐμφυλίοις ἡμῶν ταραχαῖς ἐπεθαρρήσατε· καὶ χωρισθέντων εἰς τὴν αἴγυπτον ἐμοῦ τε καὶ τοῦ πατρὸς, εἰς παρασκευὰς τοῦ πολέμου κατεχρήσασθε τοῖς καιροῖς. καὶ οὐκ ᾐδέσθητε ταράσσειν αὐτοκράτορας γεγενημένους, οὓς καὶ στρατηγοὺς φιλανθρώπους ἐπειράσατε. προσφυγούσης γοῦν ἡμῖν τῆς ἡγεμονίας, καὶ τῶν μὲν κατὰ ταύτην ἠρεμούντων πάντων, πρεσβευομένων δὲ καὶ συνηδομένων τῶν ἔξωθεν ἐθνῶν, πάλιν οἱ ἰουδαῖοι πολέμιοι. καὶ πρεσβεῖαι μὲν ὑμῶν πρὸς τοὺς ὑπὲρ εὐφράτην ἐπὶ νεωτερισμῷ, περίβολοι δὲ τειχῶν ἀνοικοδομούμενοι καινοί· στάσεις δὲ, καὶ τυράννων φιλονεικίαι, καὶ πόλεμος ἐμφύλιος, μόνα τοῖς οὕτω πονηροῖς πρέποντα. ἧκον ἐπὶ τὴν πόλιν ἐγὼ, παρὰ τοῦ πατρὸς ἄκοντος, λαβὼν σκυθρωπὰ παραγγέλματα, τὸν δῆμον ἀκούσας εἰρηνικὰ φρονεῖν, ἥσθην. ὑμᾶς παύσασθαι πρὸ πολέμου παρεκάλουν, μέχρι πολλοῦ πολεμούντων ἐφειδόμην, δεξιὰς αὐτομόλοις δέδωκα, καταφυγοῦσι πίστιν ἐτήρησα, πολλοὺς αἰχμαλώτους ἠλέησα, τοὺς ἐπείγοντας βασανίσας, ἐκόλασα· τείχεσιν ὑμετέροις μηχανὰς ἄκων προσήγαγον, ἀεὶ φονῶντας τοὺς στρατιώτας ἐφ' ὑμῖν κατέσχον. καθ' ἑκάστην νίκην ὡς ἡττώμενος, ὑμᾶς εἰς εἰρήνην προὐκαλεσάμην. τοῦ ἱεροῦ πλησίον γενόμενος, πάλιν ἑκὼν ἐξελαθόμην τῶν τοῦ πολέμου νόμων. φείσασθαι δὲ παρεκάλουν τῶν ἰδίων ὑμᾶς ἁγίων, καὶ σῶσαι τὸν ναὸν ἑαυτοῖς, διδοὺς ἄδειάν τε ἐξόδου καὶ πίστιν σωτηρίας. εἰ δὲ βούλεσθε καὶ μάχης καιρὸν, ἐν ἄλλῳ τόπῳ. πάντων ὑπερείδετε, καὶ τὸν ναὸν ἰδίαις χερσὶν ἐνεπρήσατε. ἔπειτα μιαρώτατοι προκαλεῖσθέ με πρὸς λόγους νῦν, ἵνα τί σώσητε τοιοῦτον οἷον ἀπώλετε;

marorum? Et qui maior Oceano murus atque obstaculum? quo septi Britanni, adorant arma Romanorum. Animorum obstinatione, vel astutia ducum? Atqui Carthaginenses captos esse noueratis. Itaque vos cōtra Romanos ipsorum excitauit humanitas, qui primùm vobis & terram dedimus possidendam, & gentiles imposuimus reges, deinde leges seruauimus patrias, & viuere vos non solùm discretos, sed cum aliis etiā vestra voluntate concessimus: quódq; maximum est, tributum capere Dei nomine, ac donaria colligere permisimus: eáque offerentes neque monuimus, neque prohibuimus, vt hostes nobis efficeremini ditiores, nostráque pecunia vos contra nos instrueretis: Ergo tantis bonis affecti, satietatem in eos qui hæc vobis præstiterant, extulistis, & immitium exemplo serpentium virus blandiētibus infudistis. Esto, Neronis negligentiam contempsistis, & veluti ruptum aliquod membrum, siue contractum aliàs, malè quieti in maiore vitio detecti estis, & ad spes improbas, etiam cupiditates immodicas explicastis. Venit pater meus ad patriam vestram non vt pœnas à vobis ob ea quæ in Cestium commiseratis, exigeret, sed monitis emendaret. Denique cū deberet, si depopulandæ nationis causa venisset, stirpem vestram petere, atque hanc delere ciuitatē, Galilæā & circa eam loca vastare maluit, vt pœnitendi vobis præberet inducias. Sed hæc eius humanitas infirmitas videbatur, nostráque lenitate aluistis audaciam. Et Nerone mortuo, fecistis quod nequissimi solent, & ex intestinis nostris dissensionibus fiduciam præsumpsistis: méque ac patre meo digressis ad Ægyptum ad struendum bellum tempus illud vtile putauistis. Neque vos puduit perturbare principes declaratos, quos etiam duces humanissimos fueratis experti. Denique vbi ad nos confugit imperium, & omnibus in eo quiescentibus. per legatos autem gratulantibus exteris nationibus, ecce iterum hostes Iudæi: & legationes quidem à vobis trans Euphraten vsque, nouarum rerū gratia missę, murorum autem noui ambitus: seditio etiam, tyrannorúmque contentio, & bellum intestinū, quę sola huiuscemodi nequissimos decent. Iussus ergo ab inuito patre cum mandatis tristib. ad ciuitatem venire, lætabar, cognito populum de pace sentire. Ante bellum rogabam vos desistere, pugnātibus aliquandiu parcebam, spōte ad me venientibus dexteram dedi, fidem seruaui confugientibus, multos captiuos miseratus, verberibus vrgētes bellum coercui, muris vestris machinas inuitus admoui, semper cædis vestrę cupidos milites continui. Quoties vici, toties vos ad pacem tanquam victus prouocaui. Cùm propè ad templum accessissem, consultò iterum legis belli oblitus parcere vos propriis sanctis orabam, templúmque seruare, data vobis exeundi copia & fide salutis: vel etiam pugnare alio tempore si velletis, in alio loco facultatem præbui. Ista omnia spreuistis: & templum manibus vestris incendistis. Deinde sceleratissimi nūc me ad colloquiū prouocatis, vt quid tale cōseruetis quale periit?

Qua vosmetipsos salute dignos esse post templi excidium iudicatis? Quinetiam nunc armati statis, & nec in extremis supplices assimulatis. O miseri, qua fiducia? Nonne populus vester exanimatus? Templum verò periit, mihique subdita est ciuitas: in manibus autem meis habetis animas vestras. Et tamen fortitudinis esse gloriam mortem arbitramini. Non contendam cum pertinacia vestra. Proiectis autem armis, traditisque corporibus, vitam vobis indulgeo, & sicut in priuata domo, dominus mitis vltus grauiora, cætera mihi seruo. Ad hæc illi responderunt, fidem quidem se ab eo minimè posse accipere: nam iurasse nunquam id facturos: exeundi verò per munitiones, quà murum sepserat, cum coniugibus ac liberis facultatem petebant. Ituros enim se in solitudinem ipsique oppidum relicturos. Ob hoc Titus vehementer iratus, quòd in sorte captorum constituti, victorum sibi conditiones ponerent, declarari quidem his iussit voce præconis, ne vlteriùs ad se profugerent, néve fidem sperarent: nulli enim esse parcendum: cunctis autem viribus dimicarent, & quantum possent, saluti suæ consulerent: iam enim se omnia iure belli gesturum. Militibus autem diripere ciuitatem atque inflammare permisit. Illi autem ipso quidem die nihil egerunt. postero autem die Archiuum, Acram, & curiam, & qui vocatur Ophla, succendêre: & progrediebatur ignis vsque ad Helenæ regiam, quæ in media erat Acra: nec minus ciuitatis mortuis plenæ vici domúsque ardebant. Eodem die Izatæ regis filij, & fratres, cúmque his multi nobiles ex populo congregati, vt fidem sibi daret, Cæsari supplicarunt. Ille autem, quanquam cæteris omnibus iratus erat, mores tamen non mutauit, sed eos suscepit. Et tunc quidem omnes in custodia habebat: regis autem filios ac propinquos postea vinctos Romam perduxit, fidem obsidum præstaturos.

CAP. XIIII. De prœlio seditiosorum & succensio ne interioris ciuitatis

SEditiosi autem ad domum regiam profecti, vbi (quia tuta erat) multi facultates suas deposuerant, & Romanos hinc pellunt, & omnibus popularibus qui eò conuenerant prope ad octo millia & quadringentos occisis pecuniam etiam diripuêre. Viuos autem duos milites Romanos cepêre, vnum equitem, alterum peditem. & peditem quidem interfectum per omnem traxêre ciuitatem, velut vno corpore omnes Romanos vlciscerētur, eques verò quiddam his quod saluti foret, suadere pollicitus deducitur ad Simonem, cúmque ibi quæ diceret non haberet. Ardalæ cuidam ex numero ducum traditur puniendus. Is autem eum reuinctis post terga manibus oculisque fascia obstrictis, in conspectum Romanorum veluti capite cæsurus produxit. Verùm ille, dum gladium Iudæus educeret, ad Romanos refugit. Hunc Titus quoniam ab hostibus esset elapsus, non est passus quidem occidi, indignum verò esse Romanorum militem iudicauit, quia viuus fuerat captus: & armis ablatis eum agmine pepulit, quæ res prudenti viro grauior esse morte videbatur. Postero autē die Romani, versis in fugā ex inferiori ciuitate latronib⁹, ōnia Siloā vsq; igni tradidêre

A οἵας ὑμᾶς αὐτοὺς ἀξιοῦτε μετὰ τὸν ναὸν σωτηρίας; ἀλλὰ καὶ νῦν μετὰ τῶν ὅπλων ἑστήκατε, καὶ οὐδ' ἐν ἐσχάτοις ὑποκρίνεσθε γοῦν ἱκέτας, ὦ ταλαίπωροι, τίνι πεποιθότες; οὐ νεκρὸς μὲν ὑμῶν ὁ δῆμος, οἴχεται δ' ὁ ναός, ὑπ' ἐμοὶ δ' ἡ πόλις, ἐν χερσὶ δὲ ταῖς ἐμαῖς ἔχετε τὰς ψυχάς; εἶθ' ὑπολαμβάνετε δόξαν ἀνδρείας τὸ θανατᾶν; οὐ μὴν ἐγὼ φιλονεικήσω πρὸς τὴν ἀπόνοιαν ὑμῶν. ῥίψασι δὲ τὰ ὅπλα, καὶ παραδοῦσι τὰ σώματα, χαρίζομαι τὸ ζῆν. ὥσπερ ἐν οἰκίᾳ πρᾶος δεσπότης, τὰ μὲν B ἀνήκεστα κολάσας τὰ δὲ λοιπὰ σώζων ἐμαυτῷ.

Πρὸς ταῦτα ἀπεκρίναντο, δεξιὰν μὲν μὴ δύνασθαι παρ' αὐτοῦ λαβεῖν, ὀμωμοκέναι γάρ, μηδέποτε τοῦτο ποιήσειν· ἔξοδον δ' ᾐτοῦντο διὰ τοῦ περιτειχίσματος μετὰ γυναικῶν καὶ τέκνων. ἀπελεύσεσθαι γὰρ εἰς τὴν ἔρημον, καὶ καταλείψειν αὐτῷ τὴν πόλιν. πρὸς ταῦτα ἀγανακτήσας Τίτος, εἰ τύχην ἑαλωκότων ἔχοντες αἱρέσεις αὐτῷ προτείνουσιν νενικηκότων, κηρύξαι μὲν ἐκέλευσεν εἰς αὐτούς, μήτε αὐτομολεῖν, μήτε δεξιὰν ἐλπίζειν· φείσασθαι γὰρ C οὐδενός· ἀλλὰ πάσῃ δυνάμει μάχεσθαι, καὶ σώζειν ἑαυτούς, ὅπως ἂν δύνωνται· πάντα γὰρ αὐτὸς ἤδη πράξειν πολέμου νόμῳ. τοῖς δὲ στρατιώταις ἐμπιπρᾶναι, καὶ διαρπάζειν ἐπέτρεψε τὴν πόλιν. οἱ δ' ἐκείνην μὲν ἐπέσχον τὴν ἡμέραν. τῇ δ' ὑστεραίᾳ, τό, τε ἀρχεῖον, καὶ τὴν ἄκραν, καὶ τὸ βουλευτήριον, καὶ τὸν Ὀφλᾶν καλούμενον ὑφῆψαν· καὶ προύκοψε τὸ πῦρ μέχρι τῶν Ἑλένης βασιλείων, ἃ δὴ κατὰ μέσην τὴν ἄκραν ἦν. ἐκαίοντο δ' D οἵ τε στενωποί, καὶ αἱ οἰκίαι νεκρῶν ὑπὸ τοῦ λιμοῦ διεφθαρμένων πλήρεις.

Κεφ. λε.

Κατὰ ταύτην τὴν ἡμέραν, οἱ τοῦ Ἰζάτου βασιλέως υἱοὶ καὶ ἀδελφοί, πρὸς οἷς πολλοὶ τῶν ἐπισήμων δημοτῶν ἐκεῖ συνελθόντες, ἱκέτευσαν Καίσαρα δοῦναι δεξιὰν αὐτοῖς. ὁ δὲ καίτοι πρὸς πάντας τοὺς ὑπολοίπους διωργισμένος, οὐκ ἤλλαξε τὸ ἦθος, δέχεται δὲ τοὺς ἄνδρας. καὶ τότε μὲν ἐν φρουρᾷ πάντας εἶχε, τοὺς δὲ βασιλέως E παῖδας, καὶ συγγενεῖς δήσας, ὕστερον εἰς Ῥώμην ἀνήγαγε, πίστιν ὁμήρων παρέξοντας.

Κεφ. λς.

Οἱ στασιασταὶ δ' ἐπὶ τὴν βασιλικὴν ὁρμήσαντες αὐλήν, εἰς ἣν διὰ τὸ ὀχυρότητα πολλοὶ τὰς κτήσεις ἐπέθεντο, τοὺς Ῥωμαίους ἐπ' αὐτῆς τρέπονται, καὶ τὸ συνηθροισμένον αὐτόθι τοῦ δήμου πᾶν φονεύσαντες, ὄντας εἰς ὀκτακισχιλίους καὶ τετρακοσίους, τὰ χρήματα διήρπασαν. ἐζώγρησαν δὲ καὶ Ῥωμαίων δύο, τὸν μὲν ἱππέα, F τὸν δὲ πεζόν. καὶ τὸν μὲν πεζὸν ἀποσφάξαντες διέσυραν περὶ τὴν πόλιν, ὥσπερ ἑνὶ σώματι πάντας Ῥωμαίους ἀμυνόμενοι. ὁ δ' ἱππεὺς ὠφέλιμόν τι αὐτοῖς πρὸς σωτηρίαν ὑποθήσεσθαι λέγων, ἀνάγεται πρὸς Σίμωνα, παρ' ᾧ μηδὲν εἰπεῖν ἔχων, Ἀρδάλᾳ τινὶ τῶν ἡγεμόνων παραδίδοται κολασθησόμενος. ὁ δ' αὐτοῦ ὀπίσω τὼ χεῖρε δήσας, καὶ ταινίᾳ τοὺς ὀφθαλμούς, ἀντικρὺ τῶν Ῥωμαίων προήγαγεν ὡς καρατομήσων. φθάνει G δ' ἐκεῖνος εἰς τοὺς Ῥωμαίους διαφυγών, ἐν ὅσῳ τὸ ξίφος ἐσπάσατο ὁ Ἰουδαῖος. τοῦτον διαφυγόντα μὲν ἐκ τῶν πολεμίων, ἀνελεῖν μὲν οὐχ ὑπέμεινε Τίτος. ἀνάξιον δὲ Ῥωμαίων εἶναι στρατιώτην κρίνας, ὅτι ζῶν ἐλήφθη, τά τε ὅπλα ἀφείλετο, καὶ τοῦ τάγματος ἐξέβαλεν, ἅπερ ἦν αἰσχυνομένῳ θανάτου χαλεπώτερα.

Κεφ. λζ.

Τῇ δ' ἑξῆς Ῥωμαῖοι τρεψάμενοι τοὺς λῃστὰς ἐκ τῆς κάτω πόλεως, τὰ μέχρι τοῦ Σιλωᾶ πάντα ἐνέπρησαν.

Κεφ. λη.

καὶ τὸ μὲν ἄστεος ἥδοντο δαπανωμένου, τῆς δ' ἁρπαγῆς διημάρτανον· ἐπειδὴ πάνθ' οἱ στασιασταὶ προεκκενώσαντες, ἀνεχώρουν εἰς τὴν ἄνω πόλιν. ἦν γὰρ αὐτοῖς μετάνοια μὲν οὐδεμία τῶν κακῶν, ἀλαζονεία δ' ὡς ἐπ' ἀγαθοῖς. καιομένην γοῦν ἀφορῶντες τὴν πόλιν, ἱλαροῖς τοῖς προσώποις εὔθυμοι προσδέχεσθαι τὴν τελευτὴν ἔλεγον· πεφονευμένου μὲν τοῦ δήμου, κεκαυμένου δὲ τοῦ ναοῦ, φλεγομένου δὲ τοῦ ἄστεος, μηδὲν καταλιπόντες τοῖς πολεμίοις. οὐ μὴν ὅ γε ἰώσηπος ἐν ἐσχάτοις ἱκετεύων αὐτοὺς ὑπὲρ τῶν λειψάνων τῆς πόλεως ἔκαμνεν. ἀλλὰ πολλὰ μὲν πρὸς τὴν ὠμότητα, καὶ τὴν ἀσέβειαν εἰπὼν, πολλὰ δὲ συμβουλεύσας πρὸς σωτηρίαν, οὐδὲν τοῦ χλευασθῆναι πλέον ἀπηνέγκατο· ἐπεὶ δ' οὔτε παραδοῦναι διὰ τὸν ὅρκον ἑαυτοὺς ὑπέμενον, οὔτε πολεμεῖν ἐξ ἴσου ῥωμαίοις ἔθ' οἷοί τε ἦσαν, ὥσπερ εἱρκτῇ περιειλημμένοι, τό τε τοῦ φονεύειν ἔθος ἐκίνει τὰς δεξιὰς, σκιδνάμενοι κατὰ τὰ ἔμπροσθεν τῆς πόλεως, τοῖς ἐρειπίοις ὑπελόχων τοὺς αὐτομολεῖν ὁρμημένους. ἡλίσκοντο δὲ πολλοὶ, καὶ πάντας ἀποσφάττοντες, ὑπὸ γὰρ ἐνδείας οὐδὲ φυγεῖν ἴσχυον, ἐρρίπτουν αὐτῶν κυσὶ τοὺς νεκρούς. ἐδόκει δὲ πᾶς τρόπος ἀπωλείας τοῦ λιμοῦ κουφότερος· ὥς τε καὶ ῥωμαίοις ἀπηλπικότες ἤδη τὸν ἔλεον, ὅμως προσέφευγον, καὶ φονεύουσι τοῖς στασιασταῖς ἑκόντες ἐνέπιπτον. τόπος τε ἐπὶ τῆς πόλεως, οὐδεὶς γυμνὸς ἦν, ἀλλὰ ἅπας λιμοῦ νεκρὸν εἶχεν ἢ στάσεως. καὶ πεπλήρωτο νεκρῶν, ἢ διὰ στάσιν, ἢ διὰ λιμὸν ἀπολωλότων.

Κεφ. λθ. Ἔθαλπε δὲ τοὺς τυράννους, καὶ τὸ σὺν αὐτοῖς λῃστρικὸν, ἐλπὶς ἐσχάτη περὶ τῶν ὑπονόμων, εἰς οὓς καταφεύγοντες οὐ προσεδόκων ἐρευνηθήσεσθαι· μετὰ δὲ τὴν παντελῆ τῆς πόλεως ἅλωσιν, ἀναζευξάντων ῥωμαίων προελθόντες, ἀποδράσεσθαι ἐπεχείρουν. τὸ δ' ἦν ἄρα ὄνειρος αὐτοῖς. οὔτε γὰρ τὸν θεὸν, οὔτε ῥωμαίους λήσεσθαι ἔμελλον. τηνικαῦτα γε μὴν τοῖς ὑπογείοις πεποιθότες, αὐτοὶ πλείονα τῶν ῥωμαίων ἐνεπίπρασαν, καὶ τοὺς ἐκ τῶν καιομένων καταφεύγοντας εἰς τὰς διώρυχας, ἔκτεινόν τε ἀνέδην καὶ ἐσύλων. κἂν εἴ τινος εὕροιεν τροφὴν ἁρπάζοντες, αἵματι πεφυρμένην κατέπινον. ἦν δὲ καὶ πρὸς ἀλλήλους ἐν ταῖς ἁρπαγαῖς ἤδη πόλεμος αὐτοῖς. δοκοῦσι δ' ἄν μοι μὴ φθασθέντες ὑπὸ τῆς ἁλώσεως, δι' ὑπερβολὴν ὠμότητος, γεύσασθαι καὶ τῶν νεκρῶν.

Κεφ. μ. Καῖσαρ δ' ὡς ἀμήχανον ἦν ἐξελεῖν δίχα χωμάτων τὴν ἄνω πόλιν περίκρημνον οὖσαν, διανέμει τοῖς ἔργοις τὴν δύναμιν, λώου μηνὸς εἰκάδι· χαλεπὴ δ' ἦν τῆς ὕλης ἡ κομιδὴ, πάντων ὡς ἔφην τῶν περὶ τὴν πόλιν ἐφ' ἑκατὸν σταδίους ἐψιλωμένων εἰς τὰ πρότερον χώματα. τὰ μὲν οὖν τῶν τεσσάρων ταγμάτων ἠγείρετο τὰ ἔργα κατὰ τὸ πρὸς δύσιν κλίμα τῆς πόλεως, ἄντικρυς τῆς βασιλικῆς αὐλῆς. τὸ δὲ συμμαχικὸν πλῆθος, καὶ ὁ λοιπὸς ὄχλος κατὰ τὸν ξυστὸν, ἐξ οὗ καὶ τὴν γέφυραν, καὶ τὸν σίμωνος πύργον, ὃν ᾠκοδόμησε πρὸς ἰωάννην πολεμῶν ἑαυτῷ φρούριον. κατὰ ταύτας τὰς ἡμέρας, οἱ τῶν ἰδουμαίων ἡγεμόνες κρύφα συνελθόντες, ἐβουλεύσαντο περὶ παραδόσεως σφῶν αὐτῶν, καὶ πέμψαντες ἄνδρας πέντε πρὸς τίτον, ἱκέτευον δοῦναι δεξιὰν αὐτοῖς. ὁ δὲ καὶ τοὺς τυράννους ἐνδώσειν ἐλπίσας, ἀποσπασθέντων ἰδουμαίων, οἳ πολὺ τοῦ πολέμου μέρος ἦσαν, βραδέως μὲν, ἀλλ' οὖν κατανεύει τε τῆς σωτηρίας αὐτοῖς,

A & oppidum quidem gaudebant absumi, rapinis verò carebant: quoniam latrones exinanitis priùs omnibus, in superiorem ciuitatem recedebant. Erat namque illis malorum quidem nulla pœnitudo: arrogantia autem tanquam in rebus secundis. Denique ardere ciuitatem lætis vultibus aspicientes, alacri voto mortem se expectare dicebant, quòd perempto populo, incenso templo, & flagrante oppido, nihil essent hostibus relicturi. Sed tamen Iosephus in B extremis eorum rebus, pro reliquiis ciuitatis obsecrando laborabat. Sed multa quidem in eorum crudelitatem atque impietatem locutus, multa verò pro salute adhortatus, nihil amplius quàm elusus est: quia neque se tradere propter iusiurandum patiebantur, neque pugnare cum Romanis ex æquo iam poterant, veluti custodia circumuallati: cædísque insuper consuetudo dexteras commouebat. Dispersi autem per ciuitatem, per ruinas latita- C bant, profugere paratis insidiantes. Multi autem capiebantur, omnésque interficiebantur: nam propter inediam fugere non valebant: mortuos autem canibus proiiciebant. Omne autem pereundi genus, fame leuius videbatur: adeò vt ad Romanos quoque sine licentia, etiã desperata misericordia, tamen fugerent: atque in seditiosos à cæde non cessantes, sponte inciderent. nullúsque in ciuitate locus vacuus erat: sed cuncta mortuos habebant, quos fames aut D latrones confecerant, & cadaueribus eorum plena erant, qui alimentorum penuria vel seditione perierant. Tyrannos autem fouebat, factionémque latronum, spes vltima sita in cloacis: quò si fugissent, minimè inueniri posse arbitrabantur: sed peracto excidio, post Romanorum digressum prodire ac fugere cogitabant. Id autem planè illis erat somnium. Nec enim vel Deum, vel Romanos fuerant latituri. Tunc quidem subterraneis freti, plura quàm E Romani concremabant, & qui ex incendiis fugientes in cuniculos descendissent, eos improbè necabant, itémque spoliabant. Quinetiam cibum sicubi reperissent concretum sanguine rapientes, deuorabant. Erat autem inter se illis iam rapinarum causa bellum, eósque putauerim, nisi excidio præuenti essent, nimia crudelitate mortuorum quoque corpora degustaturos fuisse.

CAP. XV. *Superior pars ciuitatis oppugnatur, & confugiunt aliqui Iudæorum ad Titum.*

F Cæsar autem fieri non posse prospiciens, vt sine aggeribus superiorem caperet ciuitatem, in prærupto vndique loco sitam, distribuit operibus militem vicesimo die mensis Augusti. Erat autem transuectio materiæ difficilis: omnibus, vt dictum est, circum ciuitatem vsque ad centesimum stadium in priorum aggerum extructionem detonsis. Quatuor quidẽ legionum opus in Occidentali parte ciuitatis contra aulam regiã erigitur: auxiliarium verò manus, & cætera multitudo xystum versus, ac G pontem, & Simonis turrim, quam cum Ioanne bellum gerens, pro castello sibi ædificauerat. His autem diebus, Idumæorum duces clàm cõgregati, consiliũ de sui traditione cepêre: missísque ad Titum quinque, vt dexteram sibi daret, precabantur. Ille verò tyrannos sperans esse cessuros Idumæis abstractis, quoniã belli pars videbatur, serò quidẽ, verũtamẽ vitã his polli-

legatos remisit. Discessum autem parantibus Simon præsensit, & eos quidem, qui ad Titum perrexerant, quinque viros statim occidit: duces verò, quorum nobilissimus erat Sosæ filius Iacobus, correptos in custodiam coniicit. Nec multitudinem Idumæorum, abductis rectoribus, quid ageret nescientem, sine custodia habebat: sed diligentioribus eam custodiis amplectebatur: & tamen custodes profugientibus obstare non poterant. Quamuis enim multi necarentur, plures tamen erant qui fugerēt. Omnes autem suscipiebātur à Romanis, quòd Titus nimia lenitate priora præcepta neglexerat: ipsique milites iam & spe lucri, & satietate, cædibus temperabant. Sola enim relicta plebe, aliud vulgus cum coniugibus ac liberis, paruo quenque pretio venundabant. Cùm multi autem distraherentur, & emptores pauci essent, quanquam voce præconis edixerat, ne quis solus transfugeret: vt eo modo familias suas educerent, tamen hos quoque recipiebat: appositis, qui ab his secernerent, si quis dignus supplicio videretur. Et infinita quidem multitudo væniit. Ex populo verò seruati sūt plusquam quadraginta millia, quos imperator quomodo cuiq; gratum erat, dimisit. Iisdem autem diebus etiam sacerdotum vnus, filius Thebuthi, nomine Iesus, accepta fide salutis à Cæsare, vt de sacris donariis quædam traderet, egreditur, ac tradit ex fani pariete candelabra duo, his quæ in templo erant posita, similia: mensásq; & crateras, & pateras, omnia ex auro solido & grauissimo facta. Tradit etiam vela, pontificum indumenta, cum gemmis, & vasa multa sacrificio comparata. Quinetiam custos sacræ pecuniæ comprehensus, Phineas nomine, vestes & cingula sacerdotum ostendit, multámque purpuram & coccū, quę ad vsum reposita catapetasmatis seruabantur. Cum quibus aliquantum cinnami erat, casiæ, pigmentorúmque aliorum multitudo, quibus commixtis Deo in dies singulos adolebāt. Tradita sunt autem ab eo & ex aliis opibus multa, & sacra ornamenta non pauca: quorum gratia: licèt vi capto, vt transfugæ tamen data est venia.

Cap. XVI. De occupata reliqua parte ciuitatis.

Iam verò perfectis aggeribus, Septembris mensis die septimo, qui erat à cœpto opere octauus & decimus dies, Romani quidē machinas admouebant. Seditiosorum autem alij, qui ciuitatem desperauerant, muris relictis in Acram recedebant, alij se in cloacas demittebant: multi dispositi prohibebant eos qui arietes applicarent. hos autem superabant multitudine ac virtute Romani: quódque maximū est, læti mœstos atque iam debiles. Cùm autem pars esset aliqua muri subruta, nónnullæque turres arietibus pulsatæ cessissent, statim quidem propugnatores earum diffugiunt: timor autem etiam tyrannos necessitate maior inuadit. nam & priusquam transgrederentur hostes, torpore tenebantur, & ad fugiendum suspensi erāt. Videres autem paulò ante superbos, & factis impiis arrogātes, ita tunc humiles esse ac tremere, vt miseranda esset, quanquam in nequissimis, tanta mutatio. Conati sunt quidē ambitu & muro, quo mœnia cīgebātur, inuaso atque perrupto, custodes pellere, atque egredi:

καὶ τοὺς ἄνδρας ἀνέπεμψε. παρασκευαζομένων δ᾽ ἀποχωρεῖν, αἰσθάνεται σίμων, καὶ πέντε μὲν τοὺς ἀπελθόντας πρὸς τίτον, εὐθέως ἀναιρεῖ· τοὺς δ᾽ ἡγεμόνας, ὧν ἐπισημότατος ἦν ὁ τοῦ σωσᾶ ἰάκωβος, συλλαβὼν εἴργνυσι. τὸ δὲ πλῆθος τῶν ἰδουμαίων ἀμηχανοῦν διὰ τὴν ἀφαίρεσιν τῶν ἡγεμόνων οὐκ ἀφύλακτον εἶχε, καὶ τὸ τεῖχος φρουραῖς ἐπιμελεστέραις διελάμβανεν· οὐ μὴν ἀντέχειν οἱ φρουροὶ πρὸς τὰς αὐτομολίας ἴσχυον. ἀλλὰ καίτοι πλείστων φονευομένων, πολὺ πλείους οἱ διαφεύγοντες ἦσαν. ἐδέχοντο δὲ ῥωμαῖοι πάντας, τοῦ τε τίτου διὰ πρᾳότητα τῶν πρότερον ἀμελήσαντος παραγγελμάτων, καὶ αὐτοὶ κόρῳ τοῦ κτείνειν ἀπεχόμενοι, καὶ κέρδους ἐλπίδι. τοὺς γὰρ δημοτικοὺς καταλιπόντες μόνους, τὸν ἄλλον ὄχλον ἐπώλουν σὺν γυναιξὶ καὶ τέκνοις ἐλαχίστης τιμῆς ἕκαστον, πλήθει τε τῶν πιπρασκομένων, καὶ ὀλιγότητι τῶν ὠνουμένων. καίπερ δὲ προκηρύξας μηδένα μόνον αὐτομολεῖν, ὅπως καὶ γενεὰς ἐξαγάγοιεν, ὅμως καὶ τούτους ἐδέχετο· ἐπέστησε μέν τοι τοὺς διακρινοῦντας ἀπ᾽ αὐτῶν, εἴ τις εἴη κολάσεως ἄξιος. καὶ τὸ μὲν ἀπεμποληθέντων, ἄπειρόν τι πλῆθος ἦν. οἱ δημοτικοὶ δὲ διεσώθησαν ὑπὲρ τετρακισμυρίους, οὓς διαφῆκε καῖσαρ, ᾗ φίλον ἦν ἑκάστῳ.

Κεφ. μα.

Ἐν δὲ ταῖς αὐταῖς ἡμέραις, καὶ τῶν ἱερέων τις θεβουθεῖ παῖς ἰησοῦς ὄνομα, λαβὼν περὶ σωτηρίας ὅρκους παρὰ καίσαρος, ἐφ᾽ ᾧ παραδώσει τινὰ τῶν ἱερῶν κειμηλίων, ἔξεισι, καὶ παραδίδωσιν ἀπὸ τοῦ τοίχου τοῦ ναοῦ, λυχνίας δύο, ταῖς κατὰ τὸν ναὸν κειμέναις παραπλησίας, τραπέζας τε, καὶ κρατῆρας, καὶ φιάλας, πάνθ᾽ ὁλόχρυσα, καὶ στιβαρώτατα. παραδίδωσι δὲ καὶ τὰ καταπετάσματα, καὶ τὰ ἐνδύματα τῶν ἀρχιερέων, σὺν τοῖς λίθοις. καὶ πολλὰ τῶν πρὸς τὰς ἱερουργίας σκευῶν ἄλλα. συλληφθεὶς δὲ καὶ ὁ γαζοφύλαξ τοῦ ἱεροῦ φινέας ὄνομα, τούς τε χιτῶνας, καὶ τὰς ζώνας ἐπέδειξε τῶν ἱερέων, πορφύραν τε πολλὴν καὶ κόκκον, ἃ πρὸς χρείας ἀπέκειτο τοῦ καταπετάσματος· σὺν οἷς κιννάμωμόν τε πολὺ καὶ κασσίαν, καὶ πλῆθος ἑτέρων ἀρωμάτων, ἃ συμμίσγοντες ἐθυμίων ἑκάστης ἡμέρας τῷ θεῷ. παρεδόθη δὲ ὑπ᾽ αὐτοῦ πολλὰ καὶ τῶν ἄλλων κειμηλίων, κόσμος θ᾽ ἱερὸς οὐκ ὀλίγος, ἅπερ αὐτῷ βίᾳ ληφθέντι, τὴν τῶν αὐτομόλων συγγνώμην ἔδωκε.

Κεφ. μβ.

Συντετελεσμένων δ᾽ ἤδη καὶ τῶν χωμάτων ἑβδόμῃ γορπιαίου μηνός, ἐν ὀκτωκαίδεκα ἡμέραις, ῥωμαῖοι μὲν προσῆγον τὰς μηχανάς. τῶν δὲ στασιαστῶν, οἱ μὲν ἀπεγνωκότες ἤδη τὴν πόλιν, ἀνεχώρουν τοῦ τείχους εἰς τὴν ἄκραν· οἱ δ᾽ ἐγκατεδύοντο τοῖς ὑπονόμοις· πολλοὶ δὲ διαστάντες ἠμύνοντο τοὺς προσάγοντας τὰς ἑλεπόλεις. ἐκράτουν δὲ καὶ τούτων ῥωμαῖοι, πλήθει τε καὶ βίᾳ, καὶ τὸ μέγιστον, εὐθυμοῦντες ἀθύμων ἤδη, καὶ παρειμένων. ὡς δὲ περιερράγη μέρος τι τοῦ τείχους, καί τινες τῶν πύργων τυπτόμενοι τοῖς κριοῖς ἐνέδοσαν, φυγὴ μὲν ἦν εὐθέως τῶν ἀμυνομένων, δέος δὲ καὶ τοῖς τυράννοις ἐμπίπτει σφοδρότερον τῆς ἀνάγκης. πρὶν γὰρ ὑπερβῆναι τοὺς πολεμίους, ἐνάρκων τε καὶ μετέωροι πρὸς φυγὴν ἦσαν. ἦν δ᾽ ἰδεῖν τοὺς πάλαι σοβαρούς, καὶ τοῖς ἀσεβήμασιν ἀλαζόνας, τότε ταπεινοὺς καὶ τρέμοντας, ὡς ἐλεεινὴν εἶναι καίπερ ἐν πονηροτάτοις τὴν μεταβολήν. ὥρμησαν μὲν οὖν τὸ περιτείχισμα δραμόντες, ὤσασθαί τε τοὺς φρουροὺς, καὶ διακόψαντες ἐξελθεῖν. ὡς δὲ

ὡς δὲ τοὺς μὲν πάλαι πιστοὺς ἑώρων οὐδαμοῦ, διέφυγον γὰρ ὅπῃ τινὶ συνεβεβλήκει ἡ ἀνάγκη. προσθέοντες δὲ, οἱ μὲν ὅλον ἀνατετράφθαι τὸ πρὸς δύσιν τεῖχος ἤγγελλον, οἱ δ᾽ ἐμβεβληκέναι τοὺς ῥωμαίους, οἱ δ᾽ ἤδη τε πλησίον εἶναι ζητοῦντας αὐτούς, ἕτεροι δ᾽ ἀφορᾶν ἐπὶ τῶν πύργων πολεμίους ἔλεγον πλάζοντος τὰς ὄψεις τοῦ δέους, ἐπὶ στόμα πεσόντες, ἀνῴμωζον τὴν ἑαυτῶν φρενοβλάβειαν. καὶ καθάπερ ὑποκεκομμένοι τὰ νεῦρα, τῆς φυγῆς ἠπόρουν. ἔνθα δὴ μάλιστ᾽ ἄν τις καταμάθοι τήν τε τοῦ θεοῦ δύναμιν ἐπὶ τοῖς ἀνοσίοις, καὶ τὴν ῥωμαίων τύχην. οἱ μὲν γὰρ τύραννοι, τῆς ἀσφαλείας ἐγύμνωσαν ἑαυτούς, καὶ τῶν πύργων κατέβησαν ἑκόντες, ἐφ᾽ ὧν βίᾳ μὲν οὐδέποτ᾽ ἁλῶναι, μόνῳ δ᾽ ἐδύναντο λιμῷ. ῥωμαῖοι δὲ τοσαῦτα περὶ τοῖς ἀσθενεστέροις τείχεσι καμόντες παρέλαβον τύχῃ τὰ μὴ δυνατὰ τοῖς ὀργάνοις. παντὸς γὰρ ἰσχυρότεροι μηχανήματος ἦσαν οἱ τρεῖς πύργοι, περὶ ὧν ἀνωτέρω δεδηλώκαμεν. καταλιπόντες δὴ τούτους, μᾶλλον δ᾽ ὑπὸ τοῦ θεοῦ καταβληθέντες ἀπ᾽ αὐτῶν, παραχρῆμα μὲν εἰς τὴν ὑπὸ σιλωᾶ φάραγγα καταφεύγουσιν. αὖθις δ᾽ ὀλίγον ἀνακύψαντες ἐκ τοῦ δέους, ὥρμησαν ἐπὶ τὸ τῇδε περιτείχισμα. χρησάμενοι δὲ τῇ τόλμῃ ἀγεννεστέραις τῆς ἀνάγκης, κατεάγησαν γὰρ ἤδη τὴν ἰσχὺν ἅμα τῷ δέει καὶ ταῖς συμφοραῖς, ὑπὸ τῶν φρουρῶν ἀνωθοῦνται, καὶ σκεδασθέντες ὑπ᾽ ἀλλήλων, κατέδυσαν εἰς τοὺς ὑπονόμους. ῥωμαῖοι δὲ τῶν τειχῶν κρατήσαντες, τάς τε σημαίας ἔστησαν ἐπὶ τῶν πύργων, καὶ μετὰ κρότου καὶ χαρᾶς ἐπαιάνιζον ἐπὶ τῇ νίκῃ, πολὺ τῆς ἀρχῆς κουφότερον τοῦ πολέμου τὸ τέλος εὑρηκότες. ἀναιμωτὶ γοῦν τοῦ τελευταίου τείχους ἐπιβάντες ἠπίστουν, καὶ μηδένα βλέποντες ἀντίπαλον, ἀληθῶς ἠπόρουν το. εἰσχυθέντες δὲ τοῖς στενωποῖς ξιφήρεις, τούς τε καταλαμβανομένους ἐφόνευον ἀνέδην, καὶ τῶν συμφευγόντων τὰς οἰκίας, αὐτάνδρους ὑπεπίμπρασαν. πολλὰς δὲ κεραΐζοντες, ὁπότ᾽ ἔνδον παρέλθοιεν ἐφ᾽ ἁρπαγὴν γενεὰς ὅλας νεκρῶν κατελάμβανον, καὶ τὰ δωμάτια πλήρη τῶν τοῦ λιμοῦ πτωμάτων. ἔπειτα πρὸς τὴν ὄψιν πεφρικότες, κεναῖς χερσὶν ἐξῄεσαν. οὐ μὴν οἰκτείροντες τοὺς οὕτως ἀπολωλότας, ταυτὸ καὶ πρὸς τοὺς ζῶντας ἔπασχον. ἀλλὰ τὸν ἐντυγχάνοντα διελαύνοντες, ἀπέφραξαν μὲν τοὺς στενωποὺς νεκροῖς, αἵματι δ᾽ ὅλην τὴν πόλιν κατέκλυσαν, ὡς πολλὰ τῶν φλεγομένων σβεσθῆναι τῷ φόνῳ. καὶ οἱ μὲν κτείνοντες, ἐπαύσαντο πρὸς ἑσπέραν, ἐν δὲ τῇ νυκτὶ, τὸ πῦρ ἐπεκράτει. φλεγομένοις δ᾽ ἐπανέτειλεν ἱεροσολύμοις, ἡμέρα γορπιαίου μηνὸς ὀγδόη, πόλει τοσαύταις χρησαμένῃ συμφοραῖς κατὰ τὴν πολιορκίαν, ὅσοις ἀπὸ τῆς κτίσεως ἀγαθοῖς κεχρημένη, πάντως ἂν ἐπίφθονος ἔδοξεν, οὐ μὴν ἀξία κατ᾽ ἄλλο τι τῶν τηλικούτων ἀτυχημάτων, ἢ τὸ γενεὰν τοιαύτην ἐνεγκεῖν, ὑφ᾽ ἧς ἀνετράπη.

Κεφ. μγ. Παρελθὼν δὲ τίτος εἴσω, τά τ᾽ ἄλλα τῆς ὀχυρότητος τὴν πόλιν, καὶ τῶν πύργων ἀπεθαύμασεν, οὓς οἱ τύραννοι κατὰ φρενοβλάβειαν ἀπέλιπον. κατιδὼν γοῦν τό τε ναστὸν αὐτῶν ὕψος, καὶ τὸ μέγεθος ἑκάστης πέτρας, τήν τε ἀκρίβειαν τῆς ἁρμονίας, καὶ ὅσοι μὲν εὖρος, ἡλίκοι δὲ ἦσαν τὴν ἀνάτασιν, σὺν θεῷ γ᾽ ἐπολεμήσαμεν ἔφη, καὶ θεὸς ἦν ὁ τῶνδε τῶν ἐρυμάτων ἰουδαίους καθελών. ἐπεὶ χεῖρές τε ἀνθρώπων ἢ μηχαναὶ, τί πρὸς τούτους τοὺς πύργους δύνανται; τότε

A cùm verò, quos antea fideles habuerant, nusquam viderent, fugiebant quò quemque necessitas impulisset. Adeuntes autem alij cùm totum ab Occidente murum subuersum esse nunciarent, alij subiisse Romanos, ac etiã propinquare se quærentes, alij etiam videre hostes in turribus affirmarent, metu fallente conspectum, in ora prostrati, pro sua dementia querebantur: ac veluti succisi neruos, quà fugerent hæsitabant. Vnde & maximè quis, & B virtutem Dei perspexerit contra iniustos, & fortunam Romanorum. Tyranni siquidem semetipsos tuitione priuauêre, ac sponte de turribus descendêre: vnde vi nunquam, sola verò fame capi poterant. Romani verò qui tantum in muris inferioribus laborauerant, eos quos instrumentis non potuissent, nunc fortuna cepêre. Omnibus enim machinis, tres turres validiores erant, de quibus suprà memorauimus. Relictis itaque his, vel (quod est verius) C Dei nutu ab his depulsi, confestim quidem ad vallem Siloam confugêre. rursum autem vbi à metu paululum respirauerunt, munitionem qua murus erat accinctus ex ea parte petiêre. Vsi autem infirmiori audacia, quàm necessitate (iam enim vires eorum labor, metus & calamitas fregerat) à custodibus retruduntur, & per diuersa disiecti, in cloacis delitescunt. Romani verò muris potiti, signa in turribus posuêre: & plausu atque lætitia victoriam & can- D tu celebrabant, quòd principio finem belli multò senserant leuiorem. Denique sine sanguine murum nacti, nouissimum non esse credebant, cúmque nullum reluctantem viderent, pro incerto mirabantur. In angustias autem viarum strictis gladiis fusi, & quos cepissent interficiebant nullo discrimine: domósque totas, cum omnibus qui eò confugerant, igni tradebant. Multas verò vastantes quas prædæ causa penetrassent, integras mortuorum E familias, & plenas mortuis tecta, quos fames confecerat, offendebant. Ipsum deinde horrentes aspectum, vacuis manibus egrediebantur. Nec tamen eo modo peremptos miserãtes idẽ etiam circa viuos patiebantur: sed vnumquenque obuium transfigendo, & angusta viarum cadaueribus obstruendo, totam ciuitatem sanguine diluêre, vt pleraq; incensorum cædes extinguerent. Et occidentes quidem vespere cessabant, nocte verò crescebat incendium. Ar- F dentibus autem Hierosolymis, illuxit dies Septembris mensis octauus ciuitati, tot clades cùm obsideretur expertæ, quot bonis si vsa esset ex quo fuerat condita, inuidenda fuisset: nulla tamen alia re tantis infelicitatibus digna, nisi quòd talem progeniem qua subuersa est, edidit. Intro autem Titus ingressus, & alia, & ciuitatis munitiones ac turriũ cautes miratus est, quas tyranni per dementiã deseruerãt. Cõspecta quidem earũ solida altitudine, itémque G magnitudine, subtilíque lapidum compagine singulorũ, quantúmque paterent vel quantum erigerẽtur, Deo, inquit, planè adiuuãte pugnauimus: & Deus erat, qui detraxit ab istis munimentis Iudæos. Nam quæ hominum manus, aut quæ machinæ ad istas valerent? Tunc

quidem multa eiusmodi cum amicis collocutus est: quos verò à tyrannis vinctos in castellis reperit, relaxauit. Cùm autem alia ciuitatis deleret, murósque subuerteret, eas turres fortunæ suæ monimentum reliquit: qua commilitante his potitus fuisset, quæ capi non potuissent. Quia ergo milites interficiendo defatigabantur, magnáque adhuc extabat superstitum multitudo, solos quidem armatos Cæsar, & qui manum opponerent, iubet interfici, reliquam verò multitudinem saluam esse. Illi autem cum his quos occidi mandatum fuerat, etiam senes, ac debiles trucidabant: vegetos autem atque vtiliores coactos in templũ in destinatũ mulieribus ambitum concluserũt. Custodem autẽ his Cæsar apposuit vnum ex libertis. & amicum suum Frontonem, qui fortunam quam quisque meritus esset, decerneret. Ille autem latrones quidem omnes, atque seditiosos, cùm alius ab alio indicaretur occidit: iuuenes autem lectos, qui procero atque formoso essent corpore, triumpho seruabat: ex residua multitudine septem & decem maiores annis, vinctos mittit ad Ægyptum, operibus deputãdos. Plurimos autem per prouincias Titus distribuit, in spectaculis ferro & bestiis consumendos. Qui verò infra decimum & septimum annum ætatis agerent, venditi sunt. Iisdem autem diebus, quibus secernebantur à Frontone, mortui sunt fame duodecim millia, quibus partim odio custodum non præbebatur cibus, partim ipsi victus fastidio tenebantur. Erat autem præ multitudine hominũ frumenti penuria.

Cap. XVII. De numero captiuorum & peremptorum.

ET captiuorum quidem omnium qui toto bello comprehensi sunt, nonaginta & septem millium comprehẽsus est numerus, mortuorum verò per omne tempus obsidionis vndecies centum millia. Horum plerique gentiles fuêre, sed non indigenæ: ab omnibus enim regionibus ad azymorum diem festum congregati, bello subito circumfusi sunt: vbi primò quidem illis pestifera lues ex loci angustia nasceretur, deinde citius fames. Quod autem caperet tantam hominum multitudinem ciuitas, certum erat ex his, qui sub Cestio fuerant enumerati. Is enim tunc vires ciuitatis ac florem Neroni significare cupiens, contemnẽti nationem, à pontificibus petiit, vt si quo modo possent multitudinem numerarent. Illi autem, cùm dies festus adesset, qui Pascha vocatur, quando à nona quidem hora vsque ad vndecimam hostias cædunt, per singulas verò contubernia non pauciorum quàm decem virorum fiunt: solum enim epulari non licet, multi etiam viceni conueniunt: hostiarum qui dẽ ducenta & quinquaginta sex millia & quingentas numerauêre. Fiunt autem, vt denos epulatores per singulas imputemus, vicies centena ac septingẽta millia, sancti omnes ac puri: nec enim leprosis siue vitiliginosis, aut semine fluentibus, quos gonoroicos vocant, neque mulieribus menstruo cruore pollutis, neque aliis inquinatis participare sacrificia permittebatur: sed nec alienigenis quidem, nisi qui religionis causa venissent. Magna verò hæc multitudo ab extraneis congregabatur. Tunc tamen velut in carcerem tota gens fato conclusa est, & farta hominibus ciuitas bello obsidebatur.

A μὲν οὖν πολλὰ τοιαῦτα διειλέχθη πρὸς τοὺς φίλους· τοὺς δὲ τῶν τυράννων δεσμώτας οἳ κατελήφθησαν ἐν τοῖς φρουρίοις ἀνῆκεν. αὖθις δὲ τὴν ἄλλην ἀφανίζων πόλιν, καὶ τὰ τείχη κατασκάπτων, τούτους τοὺς πύργους κατέλιπε μνημεῖον εἶναι τῆς αὐτοῦ τύχης, ᾗ συστρατιώτιδι χρησάμενος ἐκράτησε τῶν ἁλῶναι μὴ δυναμένων.

Κεφ. μδ.

ΕΠεὶ δ' οἱ στρατιῶται μὲν ἔκαμνον ἤδη φονεύοντες, πολὺ δέ τι πλῆθος τῶν περιόντων ἀνεφαίνετο, κελεύει Καῖσαρ, μόνους μὲν τοὺς ἐνόπλους καὶ χεῖρας ἀντισχόντας κτείνειν, τὸ δὲ λοιπὸν πλῆθος, ζωγρεῖν. οἱ δὲ μετὰ τῶν B παρηγγελμένων τό, τε γηραιόν, καὶ τοὺς ἀσθενεῖς ἀνῄρουν. τὸ δ' ἀκμάζον καὶ χρήσιμον εἰς τὸ ἱερὸν συνελάσαντες, ἐγκατέκλεισαν τῷ τῶν γυναικῶν περιτειχίσματι. καὶ φρουρὸν μὲν ἐπέστησε Καῖσαρ, ἕνα τῶν ἀπηλευθερωμένων. Φρόντωνα δὲ τῶν φίλων, ἐπικρινοῦντα τῆς ἀξίας ἑκάστῳ τύχην. ὁ δὲ τοὺς μὲν στασιώδεις καὶ λῃστρικοὺς πάντας ὑπ' ἀλλήλων ἐνδεικνυμένους, ἀπέκτεινε. τῶν δὲ νέων τοὺς ὑψηλοτάτους C καὶ καλοὺς ἐπιλέξας ἐτήρει τῷ θριάμβῳ, τοῦ δὲ λοιποῦ πλήθους τοὺς ὑπὲρ ἑπτακαίδεκα ἔτη δήσας, ἔπεμψεν εἰς τὰ κατ' Αἴγυπτον ἔργα. πλείστους δ' εἰς τὰς ἐπαρχίας διεδωρήσατο Τίτος, φθαρησομένους ἐν τοῖς θεάτροις, σιδήρῳ καὶ θηρίοις. οἱ δ' ἐντὸς ἑπτακαίδεκα ἐτῶν ἐπράθησαν. ἐφθάρησαν δ' αὐτῶν ἐν αἷς διέκρινεν ὁ Φρόντων ἡμέραις ὑπ' ἐνδείας, χίλιοι πρὸς τοῖς μυρίοις. οἱ μὲν ὑπὸ μίσους τῶν φυλάκων, μὴ μεταλαμβάνοντες D τροφῆς, οἱ δ' οὐ προσιέμενοι διδομένην. πρὸς δὲ τὸ πλῆθος ἦν ἔνδεια καὶ σίτου.

Κεφ. με.

ΤΩν μὲν οὖν αἰχμαλώτων πάντων ὅσα καθ' ὅλον ἐλήφθη τὸν πόλεμον ἀριθμὸς ἐννέα μυριάδες, καὶ ἑπτακισχίλιοι συνήχθη. τῶν δ' ἀπολουμένων κατὰ πᾶσαν τὴν πολιορκίαν, μυριάδες ἑκατὸν καὶ δέκα. τούτων τὸ πλέον ὁμόφυλον μέν, ἀλλ' οὐκ ἐπιχώριον. ἀπὸ γὰρ τῆς χώρας ὅλης ἐπὶ τὴν τῶν ἀζύμων ἑορτὴν συνεληλυθότες, ἐξαπίνης τῷ πολέμῳ περιεσχέθησαν, ὥς E τε τὸ μὲν πρῶτον αὐτοῖς τὴν στενοχωρίαν γενέσθαι λοιμώδη φθοράν, αὖθις δὲ καὶ λιμὸν ὠκύτερον. ὅτι δ' ἐχώρει τοσούτους ἡ πόλις, δῆλον ἐκ τῶν ἐπὶ Κεστίου συναριθμηθέντων, ὃς τὴν ἀκμὴν τῆς πόλεως διαδηλῶσαι Νέρωνι βουλόμενος καταφρονοῦντι τοῦ ἔθνους, παρεκάλεσε τοὺς ἀρχιερεῖς εἴπως δυνατὸν εἴη τὴν πληθὺν ἐξαριθμήσασθαι. οἱ δ' ἐνστάσης ἑορτῆς, πάσχα καλεῖται, καθ' ἣν θύουσι μὲν ἀπὸ ἐνάτης ὥρας μέχρι ἑνδεκάτης, F ὥσπερ δὲ φατρία περὶ ἑκάστην γίνεται θυσίαν, οὐκ ἔλασσον ἀνδρῶν δέκα (μόνον γὰρ οὐκ ἔξεστι δαίνυσθαι) πολλοὶ δὲ καὶ σὺν εἴκοσιν ἀθροίζονται, τῶν μὲν θυμάτων εἴκοσι πέντε μυριάδας ἠρίθμησαν, πρὸς δὲ πεντακισχίλια ἑξακόσια. γίνονται δ' ἀνδρῶν ἵν' ἑκάστου δέκα δαιτυμόνας θῶμεν, μυριάδες ἑβδομήκοντα καὶ διακόσιαι, καθαρῶν ἁπάντων καὶ ἁγίων. οὔτε γὰρ λεπροῖς, οὔτε γονορροίοις, οὔτε γυναιξὶν ἐπιμηνίοις, οὔτε G τοῖς ἄλλως μεμιασμένοις ἐξῆν, τῆσδε τῆς θυσίας μεταλαμβάνειν. ἀλλ' οὐδὲ τοῖς ἀλλοφύλοις, ὅσοι κατὰ θρησκείαν παρῆσαν. πολὺ δὲ τοῦτο πλῆθος ἔξωθεν συλλέγεται. τότε γε μὴν ὥσπερ εἰς εἱρκτὴν ὑπὸ τῆς εἱμαρμένης πᾶν συνεκλείσθη τὸ ἔθνος, καὶ στενὴν ὁ πόλεμος τὴν πόλιν ἀνδρῶν ἐκύκλωσατο.

Πᾶσαν

Κεφ.μϛ.

ΠΑσαν γοῦν ἀνθρωπίνην καὶ δαιμόνιον φθορὰν ὑπερβάλλει τὸ πλῆθος τῶν ἀπολωλότων. ἐπὶ γοῦν τῶν φανερῶν, οὓς μὲν ἀνεῖλον, οὓς δ᾽ ᾐχμαλωτίσαντο ῥωμαῖοι, οὓς δ᾽ ἐν τοῖς ὑπονόμοις ἀνηρεύνων, καὶ τοὔδαφος ἀναρρηγνύντες, ὅσοις μὲν ἐνετύγχανον ἔκτεινον. εὑρέθησαν δὲ κἀκεῖ νεκροὶ πλείους δισχιλίων, οἱ μὲν ὑπὸ σφῶν αὐτῶν, οἱ δ᾽ ὑπ᾽ ἀλλήλων, τὸ πλέον δ᾽ ὑπὸ τοῦ λιμοῦ διεφθαρμένοι. δεινὴ δ᾽ ὑπήντα τοῖς ἐπεισπίπτουσιν ὀδμὴ τῶν σωμάτων, ὡς πολλοὺς μὲν ἀναχωρεῖν εὐθέως. τοὺς δὲ ὑπὸ πλεονεξίας εἰς δύεσθαι νεκροὺς σεσωρευμένους ἐμπατοῦντας. πολλὰ γὰρ τῶν κειμηλίων ἐν ταῖς διώρυξιν εὑρίσκετο, καὶ πᾶσαν θεμιτὸν τὴν ὁδὸν ἐποίει τὸ κέρδος. ἀνήγοντο δὲ καὶ δεσμῶται πολλοὶ τῶν τυράννων. οὐδὲ γὰρ ἐν ἐσχάτοις ἐπαύσαντο τῆς ὠμότητος. ἀπετίσατό γε μὴν ὁ θεὸς ἀμφοτέρους ἀξίως. καὶ ἰωάννης μὲν λιμώττων μετὰ τῶν ἀδελφῶν ἐν τοῖς ὑπονόμοις, ἣν πολλάκις ὑπερηφάνησε παρὰ ῥωμαίων δεξιὰν λαβεῖν ἱκέτευσε. σίμων δὲ πολλὰ διαμαχήσας πρὸς τὴν ἀνάγκην, ὡς διὰ τῶν ἑξῆς δηλώσομεν, ἑαυτὸν παραδίδωσιν. ἐφυλάχθη δ᾽ ὁ μὲν τῷ θριάμβῳ σφάγιον· ὁ δ᾽ ἰωάννης δεσμοῖς αἰωνίοις. ῥωμαῖοι δὲ τάς τε ἐσχατιὰς τοῦ ἄστεος ἐνέπρησαν, καὶ τὰ τείχη κατέσκαψαν.

Κεφ.μζ.

ΕΑλω μὲν οὕτως ἱεροσόλυμα ἔτει δευτέρῳ τῆς οὐεσπασιανοῦ ἡγεμονίας, γορπιαίου μηνὸς ὀγδόῃ. ἁλοῦσα δὲ καὶ πρότερον πεντάκις, τοῦτο δεύτερον ἠρημώθη. ἀσωχαῖος μὲν γὰρ ὁ τῶν αἰγυπτίων βασιλεύς, καὶ μετ᾽ αὐτὸν ἀντίοχος, ἔπειτα πομπήϊος, ἐπὶ τούτοις σὺν ἡρώδῃ σόσσιος ἑλόντες, ἐτήρησαν τὴν πόλιν. πρὸ δὲ τούτων ὁ τῶν βαβυλωνίων βασιλεὺς κρατήσας, ἠρήμωσεν αὐτὴν μετὰ ἔτη τῆς κτίσεως χίλια τριακόσια ἑξήκοντα ὀκτὼ, μῆνας ἕξ. ὁ δὲ πρῶτος κτίσας ἦν χαναναίων δυνάστης, ὁ τῇ πατρίῳ γλώσσῃ κληθεὶς, βασιλεὺς δίκαιος. ἦν γὰρ δὴ τοιοῦτος. διὰ τοῦτο ἱεράσατό τε τῷ θεῷ πρῶτος, καὶ τὸ ἱερὸν δειμάμενος, ἱεροσόλυμα τὴν πόλιν προσηγόρευσε, σόλυμα καλουμένην πρότερον. τὸν μὲν δὴ τῶν χαναναίων λαὸν ἐκβαλὼν ὁ τῶν ἰουδαίων βασιλεὺς δαβίδης, κατοικίζει τὸν ἴδιον, καὶ μετὰ τοῦτον ἔτεσι τετρακοσίοις ἑβδομήκοντα καὶ ἑπτὰ, μησὶν ἕξ, ὑπὸ βαβυλωνίων κατασκάπτεται. ἀπὸ δὲ δαβίδου τοῦ βασιλέως, ὃς πρῶτος αὐτῆς ἐβασίλευσεν ἰουδαῖος, μέχρι τῆς ὑπὸ τίτου γενομένης κατασκαφῆς, ἔτη χίλια καὶ ἑκατὸν ἑβδομήκοντα ἐννέα. ἀπὸ δὲ τῆς πρώτης κτίσεως, ἔτη μέχρι τῆς ἐσχάτης ἁλώσεως, δισχίλια ἑκατὸν, ἑβδομήκοντα καὶ ἑπτά. ἀλλὰ γὰρ οὔθ᾽ ἡ ἀρχαιότης, οὔθ᾽ ὁ βαθὺς πλοῦτος, οὔτε τὸ διαπεφοιτηκὸς ὅλης τῆς οἰκουμένης ἔθνος, οὔθ᾽ ἡ μεγάλη δόξα τῆς θρησκείας, ἤρκεσε πρὸς ἀπώλειαν αὐτῇ. τοιοῦτον μὲν δὴ τὸ τέλος τῆς ἱεροσολύμων πολιορκίας.

Itaque superat omnem humanam, & diuinitus emissam pestem numerus peremptorum, quos partim palàm occidêre, partim cepêre Romani. Rimantes enim cloacas, & sepulchra eruentes, quos offendissent iugulabant. Inuenti autem sunt ibi quoque plusquam duo millia, quorum alij manu sua, plures autem mutuis se vulneribus interfecerant, cùm alios fames corrupisset. Fœdus autem corporum odor introeuntibus occurrebat, adeò vt statim multi recederent: alij plura habendi cupidine, congesta cadauera calcantes, se immergerent, multæ namque opes in cuniculis inueniebantur, nefásque omnem viam lucri faciebat. Subducebantur autem multi, quos tyranni vinxerant: nec enim in extremis à crudelitate cessauerant. Vltus est autem Deus vtrunque meritò. Et Ioannes quidem oppressus fame cum fratribus in cloacis, quam sæpe despexit, à Romanis dexteram sibi dari precatus est. Simon verò multa vi cum necessitate luctatus sicut infrà designabimus, semet tradidit. Seruatus est autem alter triumpho: Ioannes autem vinculis sempiternis. Romani verò extremas vrbis partes incendunt, murósque subuertunt.

CA.XVIII. Hierosolymæ vrbis historia breuis.

ITa quidem Hierosolyma capta est, secundo anno principatus Vespasiani, Septembris mensis octauo die. Quinquies autem priùs capta, tunc iterum vastata est. Ægyptiorum quidem rex Asochæus, & post eum Antiochus, deinde Pompeius, & post hos cum Herode Sosius captam vrbem seruauêre. Antea verò rex Babyloniorum ea potitus excidit: post annos ex quo ædificata est, mille trecentos sexaginta, & menses octo, & dies sex. Primus autem conditor eius fuerat Chananæorum dynasta, qui patria lingua iustus appellatus est rex. Erat quippe talis. Ideóque sacerdotium Deo primus exhibuit, & fano primum ædificato, Hierosolymam ciuitatem vocauit, cùm antè Solyma vocaretur. Chananæorum quidem populo rex Iudæorum Dauid pulso, colendam suo populo tradidit: & quadringentesimo sexagesimoquarto anno pòst, ac mensibus tribus, à Babyloniis euersa est. A rege autem Dauide, qui primus Iudæus in ea regnauit, vsque ad id quod Titus fecit excidium, anni mille centum septuagintanouem. Ex quo primùm autem condita est, vsque ad excidium, anni duo millia centum septuagintaseptem. Sed enim neque antiquitas, neque ingentes diuitiæ, neque per totum orbem terræ diffusa fama, nec magna religionis gloria quicquam iuuit quominus periret. Talis quidem finis Hierosolymorum obsidionis fuit.

Poſtquam verò quos occideret quidve raperet, non habebat exercitus, quòd iratis animis omnia deerant (nec enim parcendo ſi eſſet quod agerent, abſtinuiſſent) iubet eos Cæſar totam funditus iam eruere ciuitatem ac templum: relictis quidem turribus, quæ præter alias eminebant, Phaſaelo, & Hippico, & Mariamne: murique tanto, quantum ciuitatem ab Occidente cingebat. Id quidem, vt eſſet caſtrum illic cuſtodiæ cauſa relinquendis: turres autem, vt poſteris indicarent qualem ciuitatem, quámve munitiſſimam, Romanorum virtus obtinuiſſet. Alium verò totum ambitum ciuitatis ita complanauêre diruentes, vt qui ad eam acceſſiſſent, habitatam aliquando eſſe vix crederent. Hic quidem finis eorum dementia, qui nouas res mouere tentauerunt, Hieroſolymis fuit, clariſſimæ ciuitati, & apud omnes homines prædicatiſſimæ.

CAP. XIX. De præmio militum.

Cæſar autem præſidio quidem illic ſtatuit relinquere decimam legionem, nonnulláſque alas equitum, ac peditum cohortes. Omnibus autem belli partibus adminiſtratis, & laudare vniuerſum cupiebat exercitum, pro rebus fortiter geſtis, & debita viris fortibus præmia perſoluere. Compoſito autem in medio ante caſtra magno tribunali, ſtans in eo cum procerum eminentiſſimis, vnde ab omni milite poſſet audiri, magnam illis ait habere ſe gratiam, quòd beneuolentia erga ſe vtendo perſeueraſſent. Laudabat autem, quòd per omnia bella morigeri fuiſſent, quódque præliando fortitudinem in multis magníſque periculis monſtraſſent, patriæ per ſe amplificantes imperium: omnibúſque planum facientes hominibus, quia neque hoſtium multitudo, neque munitiones regionum, neque magnitudines ciuitatum, vel audacia inconſulta, & immanitates efferæ aduerſantiū, poſſint vnquam Romanorum vires, vel manus effugere, quamuis in multis rebus aliqui fortunam opitulantem habuerint. Pulchrum quidem eſſe, ait, illos etiam bello finem imponere, quod multo tempore geſtum ſit. nec enim optaſſe his, quicquam melius, cùm id ingrederentur. Hoc autem pulchrius atque præclarius, quod duces Romani & adminiſtratores imperij, ab his declaratos ac præmiſſos in imperiū cuncti libenter ſuſcipiunt. & his quæ ipſi decreuêre, ſtandum putant, agentes his gratias, qui legiſſent. Mirari autem ſe eos ac diligere omnes, quia nemo viribus alacritatem habuit tardiorem. Et illis tamen, qui pro maiore vi clarius decertaſſent, vitámque ſuam condecoraſſent fortibus factis, & re benè geſta militiam ſuam nobiliorem feciſſent, dixit ſe & honores & præmia redditurum: nec vllam eorum, qui plus alio laborare voluiſſet, iuſta viciſſitudine cariturum: magnámque ſibi huius rei fore diligentiam, quòd magis vellet honorare virtutes eorum, qui militię ſocij fuiſſent, quàm punire peccata.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥδαϊκῆς ἱστορίας περὶ ἁλώσεως λόγος ζ'.

Κεφ. α.

Ἐπεὶ δὲ οὔτε φονεύειν, οὔτε διαρπάζειν εἶχεν ἡ στρατιά, πάντων τοῖς θυμοῖς ἐπιλιπόντων, οὐ γὰρ δή γε φειδοῖ τινὸς ἔμελλον ἀφέξεσθαι δρᾶν ἔχοντες, κελεύει καῖσαρ ἤδη τήν τε πόλιν ἅπασαν, καὶ τὸν νεὼν κατασκάπτειν, πύργους μὲν, ὅσοι τῶν ἄλλων ὑπερανέστήκεσαν, καταλιπόντας, φασάηλον, ἱππικὸν, μαριάμμην. τεῖχος δ' ὅσον ἦν ἐξ ἑσπέρας τὴν πόλιν περιέχον. τοῦτο μὲν, ὅπως εἴη τοῖς ὑπολειφθησομένοις φρουροῖς στρατόπεδον· τοὺς πύργους δὲ, ἵνα τοῖς ἔπειτα σημαίνωσιν, οἵας πόλεως καὶ τίνα τρόπον ὀχυρᾶς οὕτως, ἐκράτησεν ἡ ῥωμαίων ἀνδραγαθία. τὸν δ' ἄλλον ἅπαντα τῆς πόλεως περίβολον, οὕτως ἐξωμάλισαν οἱ κατασκάπτοντες, ὡς μηδὲ πώποτ' οἰκηθῆναι πίστιν ἂν ἔτι παρασχεῖν τοῖς προσελθοῦσι. τοῦτο μὲν οὖν τέλος ἐκ τῆς τῶν νεωτερισάντων ἀνοίας, ἱεροσολύμοις ἐγένετο, λαμπρᾷ τε πόλει, καὶ παρὰ πᾶσιν ἀνθρώποις διαβοηθείσῃ. καῖσαρ δὲ φυλακὴν μὲν αὐτόθι καταλιπεῖν ἔγνω τῶν ταγμάτων τὸ δέκατον, καί τινας ἴλας ἱππέων καὶ λόχους πεζῶν.

Κεφ. β.

Πάντα δὲ ἤδη τὰ τοῦ πολέμου διῳκηκὼς, ἐπαινέσαι τε σύμπασαν ἐπόθει τὴν στρατιὰν ἐπὶ τοῖς κατορθωμένοις· καὶ τὰ προσήκοντα γέρα τοῖς ἀριστεύσασιν ἀποδοῦναι. ποιηθέντος οὖν αὐτῷ μεγάλου κατὰ μέσην τὴν πρότερον παρεμβολὴν βήματος, καταστὰς ἐπὶ τούτῳ μετὰ τῶν ἡγεμόνων, εἰς ἐπήκοον ἁπάσῃ τῇ στρατιᾷ ἔλεγε, χάριν μὲν πολλὴν ἔχειν αὐτοῖς τῆς πρὸς αὐτὸν εὐνοίας, ᾗ χρώμενοι διατελοῦσιν. ἐπῄνει δὲ τῆς ἐν παντὶ πολέμῳ πειθαρχίας, ἣν ἐν πολλοῖς καὶ μεγάλοις κινδύνοις ἅμα τῇ κατὰ σφᾶς ἀνδρείᾳ παρέσχον, τῇ μὲν πατρίδι, καὶ δι' αὐτῶν τὸ κράτος αὔξοντες· φανερὸν δὲ πᾶσιν ἀνθρώποις καθιστάντες, ὅτι μήτε πλῆθος πολεμίων, μήτε χωρίων ὀχυρότητες, ἢ μεγέθη πόλεων, ἢ τῶν ἀντιτεταγμένων ἀλόγιστοι ὁρμαὶ, καὶ θηριώδεις ἀγριότητες, δύναιντ' ἄν ποτε τὴν ῥωμαίων ἀρετὴν διαφυγεῖν, κἂν εἰς πολλά τινες τὴν τύχην εὕρωνται συναγωνιζομένην. καλὸν μὲν οὖν ἔφη καὶ τῷ πολέμῳ τέλος αὐτοὺς ἐπιθεῖναι, πολλῷ χρόνῳ γενομένῳ. μηδὲ γὰρ εὔξασθαί τι τούτων ἄμεινον ὅτε εἰς αὐτὸν καθίσταντο. τούτου δὲ κάλλιον αὐτοῖς, καὶ λαμπρότερον ὑπάρχειν, ὅτι τοὺς ἡγησομένους καὶ τῆς ῥωμαίων ἀρχῆς ἐπιτροπεύσοντας, αὐτῶν χειροτονησάντων, εἴς τε τὴν πατρίδα προπεμψάντων ἄσμενοι πάντες προσίενται, καὶ τοῖς ὑπ' αὐτῶν ἐγνωσμένοις ἐμμένουσι, χάριν ἔχοντες τοῖς ἑλομένοις. θαυμάζειν μὲν οὖν ἔφη πάντας καὶ ἀγαπᾶν, εἰδὼς ὅτι τοῦ δυνατοῦ τὴν προθυμίαν, οὐδεὶς ἔσχε βραδυτέραν. τοῖς μέντοι διαπρεπέστερον ἀγωνισαμένοις, ὑπὸ ῥώμης πλείονος, καὶ τὸν μὲν ἑαυτῶν βίον ἀριστείαις κεκοσμηκόσι, τὴν δ' αὑτῶν στρατείαν ἐπιφανεστέραν διὰ τῶν κατορθωμάτων πεποιηκόσιν, ἔφη τὰ γέρα, καὶ τὰς τιμὰς εὐθὺς ἀποδώσειν, καὶ μηδένα τῶν πλέον πονεῖν ἑτέρου θελησάντων τῆς δικαίας ἀμοιβῆς ἁμαρτήσεσθαι· πλείστην γὰρ αὐτῷ τούτου γενήσεσθαι τὴν ἐπιμέλειαν, ἐπεὶ καὶ μᾶλλον ἐθέλειν τὰς ἀρετὰς τιμᾶν τῶν συστρατευομένων, ἢ κολάζειν τοὺς ἁμαρτάνοντας.

Εὐθέως

Κεφ. γ.

Εὐθέως οὖν ἐκέλευσεν ἀναγ. ὥσπερ τοῖς ἐπὶ τούτῳ τεταγμένοις, ὅσοι τι λαμπρὸν ἦσαν ἐν πολέμῳ κατωρθωκότες, καὶ κατ' ὄνομα καλῶν, ἐπῄνει τε παριόντας, ὡς ἂν ὑπερευφραινόμενός τις ἐπ' οἰκείοις κατορθώμασι, καὶ στεφάνους ἐπετίθει χρυσοῦς, περιαυχένιά τε χρυσᾶ, καὶ δόρατα μακρὰ χρυσᾶ, καὶ σημαίας ἐδίδου πεποιημένας ἐξ ἀργύρου, καὶ τὴν ἑκάστου τάξιν ἤλλαττεν εἰς τὸ κρεῖττον. οὐ μὴν, ἀλλὰ καὶ ἐκ τῶν λαφύρων ἄργυρον, καὶ χρυσὸν, ἐσθῆτάς τε, καὶ τῆς ἄλλης αὐτοῖς λείας δαψιλῶς ἀπένειμε. πάντων δὲ τετιμημένων ὅπως αὐτὸς ἕκαστον ἠξίωσε, τῇ συμπάσῃ στρατιᾷ ποιησάμενος εὐχὰς, ἐπὶ πολλῇ κατέβαινεν εὐφημίᾳ, τρέπεταί τε πρὸς θυσίας ἐπινικίους· καὶ πολλοῦ βοῶν πλήθους τοῖς βωμοῖς παρεστηκότος, καταθύσας ἅπαντας, τῇ στρατιᾷ διαδίδωσιν εἰς εὐωχίαν. αὐτὸς δὲ τοῖς ἐν τέλει τρεῖς ἡμέρας συνεορτάσας, τὴν μὲν ἄλλην στρατιὰν διαφίησιν, ᾗ καλῶς εἶχεν ἑκάστοις ἀπιέναι.

Κεφ. δ.

Τῷ δεκάτῳ δὲ τάγματι, τὴν τῶν Ἱεροσολύμων ἐπέτρεψε φυλακὴν, οὐκέτ' αὐτοὺς ὑπὸ τὸν Εὐφράτην ἀποστείλας, ἔνθα πρότερον ἦσαν. μεμνημένος δὲ τοῦ δωδεκάτου τάγματος, ὅτι Κεστίου στρατηγοῦντος ἐνέδωκαν τοῖς Ἰουδαίοις, τῆς μὲν Συρίας αὐτὸ παντάπασιν ἐξήλασεν· ἦν γὰρ τὸ παλαιὸν ἐν Ῥαφαναίαις· εἰς δὲ τὴν Μελιτηνὴν καλουμένην, ἀπέστειλε, παρὰ τὸν Εὐφράτην ἐν μεθορίοις τῆς Ἀρμενίας ἔτι καὶ Καππαδοκίας. δύο δ' ἠξίωσεν αὐτῷ μέχρι τῆς εἰς Αἴγυπτον ἀφίξεως, τὸ πέμπτον, καὶ τὸ πεντεκαιδέκατον παραμένειν, καὶ καταβὰς ἅμα τῷ στρατῷ πρὸς τὴν ἐπὶ τῇ θαλάττῃ Καισάρειαν, εἰς ταύτην τότε πλῆθος τῶν λαφύρων ἀπέθετο, καὶ τοὺς αἰχμαλώτους προσέταξεν ἐν αὐτῇ φυλάττεσθαι, τὸν γὰρ εἰς τὴν Ἰταλίαν πλοῦν, ὁ χειμὼν ἐκώλυε.

Κεφ. ε.

Καθ' ὃν δὲ καιρὸν Τίτος Καῖσαρ τοῖς Ἱεροσολύμοις πολιορκῶν προσήδρευεν, ἐν τούτῳ νεὼς φορτίδος οὐεσπασιανὸς ἐπιβὰς, ἀπὸ τῆς Ἀλεξανδρείας εἰς Ῥόδον διέβαινεν. ἐντεῦθεν δὲ πλέων ἐπὶ τριηρῶν, καὶ πάσας τὰς ἐν τῷ παράπλῳ πόλεις ἐπελθὼν εὐκταίως αὐτὸν δεχομένας, ἀπὸ τῆς Ἰωνίας εἰς τὴν Ἑλλάδα περαιοῦται, κἀκεῖθεν ἀπὸ Κερκύρας ἐπ' ἄκραν Ἰαπυγίαν, ὅθεν ἤδη κατὰ γῆν ἐποιεῖτο τὴν πορείαν.

Κεφ. ς.

Τίτος δ' ἀπὸ τῆς ἐπὶ θαλάττῃ Καισαρείας, ἀναζεύξας εἰς τὴν Φιλίππου καλουμένην Καισάρειαν ἧκεν· συχνόν τ' ἐν αὐτῇ χρόνον ἐπέμεινε, παντοίας θεωρίας ἐπιτελῶν, καὶ πολλοὶ τῶν αἰχμαλώτων ἐνταῦθα διεφθάρησαν, οἱ μὲν θηρίοις παραβληθέντες, οἱ δὲ κατὰ πλήθη ἀλλήλοις ἀναγκαζόμενοι χρήσασθαι πολεμίοις. ἐνταῦθα, καὶ τὴν Σίμωνος τοῦ Γιώρα σύλληψιν ἐπύθετο, τοῦτον γενομένην τὸν τρόπον.

Κεφ. ζ.

Σίμων ὅτε τὰ Ἱεροσόλυμα πολιορκουμένων, ἐπὶ τῆς ἄνω πόλεως ὤν, ἐπεὶ τῶν τειχῶν ἐντὸς ἡ Ῥωμαίων στρατιὰ γενομένη, πᾶσαν ἐπόρθει τὴν πόλιν, τότε τῶν φίλων τοὺς πιστοτάτους παραλαβὼν, καὶ σὺν αὐτοῖς λιθοτόμους τε, καὶ τὸν πρὸς τὴν ἐργασίαν ἐπιτήδειον τούτοις σίδηρον, τροφήν τε διαρκεῖν εἰς πολλὰς ἡμέρας δυναμένην, σὺν ἐκείνοις ἅπασι καθίησιν ἑαυτὸν εἴς τινα τῶν ἀφανῶν ὑπονόμων. καὶ μέχρι μὲν ἦν τὸ παλαιὸν ὄρυγμα, προὐχώρουν δι' αὐτοῦ· τῆς στερεᾶς δὲ γῆς ὑπαντώσης, ταύτην ὑπενόμευον, ἐλπίσι τοῦ πορρωτέρω δυνήσεσθαι προελθόντες ἐν ἀσφαλεῖ ποιησάμενοι τὴν ἀνάδυσιν ἀποσώζεσθαι.

A Confestim ergo iussit eos quorum partes sunt, indicare, quosnam scirent fortiter aliquid in bello fecisse:& nominatim singulos appellans, præsentes collaudabat,quasi qui domesticis rectè gestis nimium lætaretur:& coronas eis aureas imponebat, & torques longásque hastas, & signa ex argento facta donabat, & vniuscuiusque ordinem mutabat in melius. Quin & ex manubiis aurum & argentum, itemque vestes, aliámque prædam largiter distribuebat.

B Omnibus autem ita donatis, vt quisque se meritum præbuerat, votisque cum vniuerso exercitu factis, magno fauore descendit vertitque se ad sacra pro victoria celebranda: magnáque astante boum multitudine circum aras, immolatos omnes exercitui dedit ad epulas, ipse verò cum honoratis per triduum lætatus, milites quidem alios quò quenque conueniret, dimittit. Hierosolymorum autem custodiam decimæ legioni credit: neque ad Euphratem, vbi

C pridem fuerat, eam remisit. Duodecimam verò legionem, memor quòd Cestio duce Iudæis cesserat, totam Syria pepulit: erat enim olim apud Raphanæas: ad Meliten autem, quæ sic vocatur, misit: Hęc ad Euphratem in confinio Armeniæ & Cappadociæ sita est. duas verò sibi obsequi satis esse duxit, donec ad Ægyptum perueniret, quintam & quintamdecimam legiones. Deinde cùm ad maritimam Cæsaream cum exercitu descendisset, in eam manubia-

D rum multitudinem reposuit, captiuósque ibi asseruari præcepit, quòd ad Italiam nauigare tempus hyemis prohibebat.

CAP. XX. De nauigatione Vespasiani, deque comprehēso Simone & spectaculo die natalitio exhibito.

PEr idem verò tempus, quo Titus Cæsar obsidionis causa apud Hierosolymam commorabatur, ascensa naui oneraria Vespasianus Rhodum transmittit. Hinc autem vectus triremibus postquam omnes quas præter nauigauit ciuitates inuisit, ab his cum votis exceptus, in Græciam ex Ionia transit. Egressus deinde

E Corcyra in Iapygiam delatus est, vnde iam terra iter agebat. Titus autem ex maritima Cæsarea reuersus in Cæsaream, quæ Philippi vocatur, aduenit, diúque vbi commorabatur, celebrans omnia genera spectaculorum: multique in ea captiui consumpti sunt, alij bestiis obiecti, alij autem cateruatim more hostium inter se depugnare coacti. Hic Simonem etiam Gioræ filium comperit hoc modo comprehensum. iste Simon cum Hierosolyma obsideretur

F in superiore ciuitate constitutus, postquam muros ingressus exercitus totam vastare ciuitatem cœperat, tunc fidelissimis amicorum ascitis, & lapidariis cum ferramentis eorum necessitati congruis, & alimentis quæ multis diebus sufficere possent, vnà cum illis omnibus in quandam occultiorem cloacam sese demittit. & quoad fossa patebat, illi progrediebantur: vbi verò soliditas obstitisset, eam suffodiebant,

G sperantes posse vlterius progressos tutò emergere, atque ita seruari. Sed hanc expectationem veram non esse, rei periculum refellebat.

A Vix enim paululum fossores processerant, iámque alimenta, quamuis parcè his vterentur, eos deficiebant. tunc igitur velut stupore posset Romanos fallere, albis tunicis, innexáque fibula, ac chlamyde purpurea indutus, illo in loco ex terra editus vbi templum antea fuerat apparuit. Ac primo quidem obstupuêre, qui eum viderunt, locísque suis manebant, deinde propius cùm accessissent, quis esset, percontati sunt. & id quidem Simon non dicebat. iubebat autem ad se ducem vocari; B statímque accersitus ab his, qui ad eum cucurrerant, venit Terentius Rufus: namque is rector militiæ relictus erat. Omni autem ab eo veritate comperta, ipsum quidem vinctum custodiebat: Cęsari verò quemadmodum esset comprehensus, indicauit. Simonem quidem in vltionem crudelitatis, qua in ciues suos amarè ac tyrannicè fuerat vsus, in potestate hostium quibus maximè inuisus erat ita Deus posuit, non vi subditum eorum manibus, C sed sua sponte ad supplicium adductum: propterea quòd plurimos ipse crudeliter interemerat falsis criminationibus insimulatos, defectionis scilicet ad Romanos. Nec enim potest iram Dei effugere nequitia, nec inualida res est iustitia; sed quandoque sui temeratores vlciscitur, & grauiorem pœnam ingerit criminosis, cùm iam se liberatos esse crediderint, eo quòd non statim luêre commissa. Id etiam Simon didicit, postquam in iras D Romanorum incidit. Illius autem ascensus è terra, magnam etiam aliorum seditiosorum multitudinem iisdem diebus fecit in cloacis deprehendi. Cæsari autem maritimam Cæsaream reuerso, vinctus Simon oblatus est. & illum quidem triumpho, quem Romæ acturus erat, seruari iussit. Ibi autem moratus, fratris sui natalem diem clarissimè celebrabat, multam partem damnatorum eius honori attribuens. E Numerus enim eorum, qui cum bestiis depugnarunt, quíque ignibus cremati sunt, & inter se digladiatores periêre, duo millia quingentos excessit. Omnia tamen Romanis videbantur hęc licèt mille modis illi consumerentur, minus esse supplicij. Postea Cæsar Berytum venit (hæc autem est ciuitas Phœnices prouinciæ, colonia Romanorum) & in hac quoque diutius demoratus est, maiore vsus claritudine circa natalem patris diem, tam magnificentia spectaculorum, quàm sumptibus aliis excogitatis, F cùm etiam captiuorum multitudo eodem quo antea modo periret.

Cap. XXI. De calamitate Iudæorum apud Antiochenses.

E Venit autem per idem tempus, Iudæos, qui apud Antiochiam reliqui erant, acerba & exitiosa pericula perpeti, concitata in eos Antiochensium ciuitate, tam propter criminationes illatas eis in præsentia, quàm propter ea, quæ fuerant non multo antè commissa. De quibus necessarium mihi videtur pauca prædicere, vt etiam quæ postea gesta sunt, G consequẽti narratione referamus. Iudæorum namque gens multum quidem totius orbis indigenis asseminata est. Plurimum autem Syris vicinitate permixta, præcipuè apud Antiochiam versabatur, propter magnitudinem ciuitatis,

A ψευδῆ δὲ τὴν ἐλπίδα διήλεγχεν ἡ πεῖρα τῶν ἔργων. ὀλίγον τε γὰρ μόλις προὔβαινον οἱ μεταλλεύοντες· ἥτε τροφὴ καίτοι ταμιευομένοις, ἔμελλεν ἐπιλείψειν. τότε δὴ τοίνυν ὡς διʼ ἐκπλήξεως ἀπατῆσαι τοὺς ῥωμαίους δυνησόμενος, λευκοὺς ἐνδιδύσκει χιτωνίσκους, καὶ πορφυρᾶν ἐμπερονησάμενος χλανίδα, κατʼ αὐτὸν ἐκεῖνον τὸν τόπον ἐν ᾧ τὸ ἱερὸν ἦν πρόσθεν, ἐκ γῆς ἀνεφαίνη. τὸ μὲν οὖν πρῶτον τοῖς ἰδοῦσι θάμβος προσέπεσε, καὶ B κατὰ χώραν ἔμενον, ἔπειτα δʼ ἐγγυτέρω προσελθόντες, ὅς τις ἐστὶν ἤροντο. καὶ τοῦτο μὲν οὐκ ἐδήλου σίμων αὐτοῖς, καλεῖν δὲ τὸν ἡγεμόνα προσέταττε· καὶ ταχέως πρὸς αὐτὸν δραμόντων, ἧκε τερέντιος ῥοῦφος· οὗτος γὰρ ἄρχων τῆς στρατιᾶς κατελέλειπτο. πυθόμενός τε παρʼ αὐτοῦ πᾶσαν τὴν ἀλήθειαν, τὸν μὲν ἐφύλαττε δεδεμένον, καίσαρι δὲ ὅπως τʼ εἴη συνειλημμένος ἐδήλου. σίμωνα μὲν οὖν εἰς δίκην τῆς κατὰ τῶν πολιτῶν ὠμότητος, ὧν πικρῶς αὐτὸς ἐτυράννησεν ὑπὸ τοῖς μάλιστα μισοῦ- C σι πολεμίοις, ἐποίησεν ὁ θεός, οὐ βίᾳ γενόμενον αὐτοῖς ὑποχείριον, ἀλλʼ ἑαυτὸν ἑκουσίως εἰς τὴν τιμωρίαν παραβαλόντα, διʼ ὃ πολλοὺς αὐτὸς ὠμῶς ἀπέκτεινε, ψευδεῖς αἰτίας ἐπιφέρων τῆς πρὸς ῥωμαίους μεταβολῆς. οὐ γὰρ διαφεύγει πονηρία θεοῦ χόλον, οὐδὲ ἀσθενὴς ἡ δίκη· χρόνῳ δὲ μέτεισι τοὺς εἰς αὐτὴν παρανομήσαντας, καὶ χείρω τὴν τιμωρίαν ἐπιφέρει τοῖς πονηροῖς, ὅτι καὶ προσεδόκησαν αὐτῆς ἀπηλλάχθαι, μὴ παραυτίκα D κολασθέντες. ἔγνω τοῦτο καὶ σίμων εἰς τὰς ῥωμαίων ὀργὰς ἐμπεσών. ἡ δὲ ἐκείνου γῆθεν ἄνοδος, πολὺ καὶ τῶν ἄλλων στασιαστῶν πλῆθος ὑπʼ ἐκείνας τὰς ἡμέρας, ἐν τοῖς ὑπονόμοις φωραθῆναι παρεσκεύασε. καίσαρι δʼ εἰς τὴν παράλιον ἐπανελθόντι καισάρειαν, σίμων προσήχθη δεδεμένος. κἀκεῖνον μὲν εἰς ὃν ἐπιτελεῖν ἐν ῥώμῃ παρεσκευάζετο θρίαμβον προσέταξε φυλάττειν.

Κεφ. η.

Διατρίβων δʼ αὐτόθι τὴν τἀδελφοῦ γενέθλιον ἡμέραν ἐπιφανῶς ἑώρταζε, πολὺ καὶ τῆς τῶν E ἰουδαίων κολάσεως εἰς τὴν ἐκείνου τιμὴν ἀνατιθείς. ὁ γὰρ ἀριθμὸς τῶν ἔντε ταῖς πρὸς τὰ θηρία μάχαις, καὶ τῶν καταπιμπραμένων, ἔντε ταῖς ἀλληλοκτονίαις ἀναιρουμένων, πεντακοσίους ἐπὶ τοῖς δισχιλίοις ὑπερέβαλε. πάντα μέντοι ῥωμαίοις ἐδόκει ταῦτα, μυρίοις αὐτῶν ἀπολλυμένων τρόποις, ἐλάττων κόλασις εἶναι. μετὰ τοῦτο καῖσαρ εἰς βηρυτὸν ἧκεν. ἡ δέ ἐστιν ἐν τῇ φοινίκῃ, πόλις ῥωμαίων ἄποικος, κἀνταῦθα χρονιωτέραν F ἐποιήσατο τὴν ἐπιδημίαν, πλείονι χρώμενος τῇ λαμπρότητι, περὶ τὴν τοῦ πατρὸς ἡμέραν γενέθλιον, ἔντε ταῖς τῶν θεωριῶν πολυτελείαις, καὶ κατὰ τὴν ἄλλην ἐπίνοιαν τῶν ἄλλων ἀναλωμάτων. τὸ δὲ τῶν αἰχμαλώτων πλῆθος, τὸν αὐτὸν τρόπον ὡς πρόσθεν ἀπώλλυτο.

Κεφ. θ.

Γενέσθαι δὲ συνέβη περὶ τὸν καιρὸν τοῦτον καὶ τοῖς ἐν ἀντιοχείᾳ τῶν ἰουδαίων ὑπολιπομένοις, ἐγκλήματα καὶ κίνδυνον ὀλέθρου, τῆς πόλεως ἐπʼ αὐτοὺς τῶν ἀν- G τιοχέων ἐκταραχθείσης, διά τε τὰς ἐν τῷ παρόντι διαβολὰς αὐτοῖς ἐπενεχθείσας, καὶ διὰ τὰ προὔπηργμένα χρόνῳ πρόσθεν οὐ πολλῷ. περὶ ὧν ἀναγκαῖον ἐστὶ διὰ συντόμων προειπεῖν, ἵνα καὶ τῶν μετὰ ταῦτα πραχθέντων, εὐπαρακολούθητον ποιήσωμαι τὴν διήγησιν. τὸ γὰρ ἰουδαίων γένος, πολὺ μὲν κατὰ πᾶσαν τὴν οἰκουμένην παρέσπαρται τοῖς ἐπιχωρίοις. πλεῖστον δὲ τῇ συρίᾳ κατὰ τὴν γειτνίασιν ἀναμεμιγμένον, ἐξαιρέτως δʼ ἐπὶ τῆς ἀντιοχείας ἦν πολύ, διὰ τὸ τῆς πόλεως μέγεθος,

μάλιστα δ' αὐτοῖς ἄδεια τὴν ἐκεῖ κατοίκησιν, οἱ μετ' Ἀντίοχον βασιλεῖς παρεῖχον. Ἀντίοχος μὲν γὰρ ὁ κληθεὶς Ἐπιφανὴς, Ἱεροσόλυμα πορθήσας τὸν ναὸν ἐσύλησεν. οἱ δὲ μετ' αὐτὸν τὴν βασιλείαν παραλαβόντες, τῶν ἀναθημάτων ὅσα χαλκᾶ πεποίηντο, πάντα τοῖς ἐπ' Ἀντιοχείας Ἰουδαίοις ἀπέδοσαν, εἰς τὴν συναγωγὴν αὐτῶν ἀναθέντες, καὶ συνεχώρησαν αὐτοῖς ἐξ ἴσου τῆς πόλεως, τοῖς Ἕλλησιν μετέχειν. τὸν αὐτὸν δὲ τρόπον, καὶ τῶν μετὰ ταῦτα βασιλέων αὐτοῖς προσφερομένων, εἴς τε τὸ πλῆθος ἐπέδωκαν, καὶ τῇ κατασκευῇ, καὶ τῇ πολυτελείᾳ τῶν ἀναθημάτων τὸ ἱερὸν ἐξελάμπρυναν, ἀεί τε προσαγόμενοι ταῖς θρησκείαις πολὺ πλῆθος Ἑλλήνων, κἀκείνους τρόπῳ τινὶ μοῖραν αὐτῶν πεποίηντο. καθ' ὃν δὲ καιρὸν ὁ πόλεμος ἀνεκηρύχθη, νεωστὶ δ' εἰς τὴν Συρίαν Οὐεσπασιανὸς καταπεπλεύκει, τὸ δὲ κατὰ τῶν Ἰουδαίων παρὰ πᾶσιν ἤκμαζε μῖσος, τότε δή τις Ἀντίοχος εἷς ἐξ αὐτῶν τὰ μάλιστα διὰ τὸν πατέρα τιμώμενος, ἦν γὰρ ἄρχων τῶν ἐπ' Ἀντιοχείας Ἰουδαίων, τοῦ δήμου τῶν Ἀντιοχέων ἐκκλησιάζοντος, εἰς τὸ θέατρον παρελθὼν, τόν τε πατέρα τὸν αὐτοῦ, καὶ τοὺς ἄλλους ἐνεδείκνυτο κατηγορῶν, ὅτι νυκτὶ μιᾷ καταπρῆσαι τὴν πόλιν ἅπασαν διεγνώκεισαν· καὶ παρεδίδου ξένους Ἰουδαίους τινὰς, ὡς κεκοινωνηκότας τῶν βεβουλευμένων. ταῦτα δ' ἀκούων ὁ δῆμος τὴν ὀργὴν οὐ κατεῖχεν, ἀλλ' ἐπὶ μὲν τοὺς παραδοθέντας, πῦρ εὐθὺς ἐκέλευον κομίζειν· καὶ παραχρῆμα πάντες ἐπὶ τοῦ θεάτρου κατεφλέγησαν. ἐπὶ δὲ τὸ πλῆθος ὥρμηντο τῶν Ἰουδαίων, ἐν τῷ τάχιον ἐκείνοις τιμωρίαν περιβαλεῖν, τὴν αὐτῶν πατρίδα σώζειν νομίζοντες. Ἀντίοχος προσεπέτεινε τὴν ὀργὴν, περὶ μὲν τῆς αὐτοῦ μεταβολῆς, καὶ τοῦ μεμισηκέναι τὰ τῶν Ἰουδαίων ἔθη, τεκμήριον ἐμπαρέχειν οἰόμενος τὸ ἐπιθύειν, ὥσπερ νόμος ἐστὶ τοῖς Ἕλλησιν· ἐκέλευε δὲ καὶ τοὺς ἄλλους ταυτὸ ποιεῖν ἀναγκάζειν· φανεροὺς γὰρ γενήσεσθαι τοὺς μὴ θέλειν, τοὺς ἐπιβεβουλευκότας. χρωμένων δὲ τῇ πείρᾳ τῶν Ἀντιοχέων, ὀλίγοι μὲν ὑπέμειναν· οἱ δὲ μὴ βουληθέντες, ἀνῃρέθησαν. Ἀντίοχος δὲ στρατιώτας παρὰ τοῦ Ῥωμαίων ἡγεμόνος λαβὼν, χαλεπὸς ἐφειστήκει τοῖς αὐτοῦ πολίταις, ἀργεῖν τὴν ἑβδόμην οὐκ ἐπιτρέπων, ἀλλὰ βιαζόμενος πάντα πράττειν, ὅσα δὴ καὶ ταῖς ἄλλαις ἡμέραις. οὕτω τε τὴν ἀνάγκην ἰσχυρὰν ἐποίησεν, ὡς μὴ μόνον ἐπ' Ἀντιοχείας καταλυθῆναι τὴν ἑβδομάδα ἀργὴν ἡμέραν, ἀλλ' ἐκεῖθεν ἀρξαμένου τοῦ πράγματος, κἂν ταῖς ἄλλαις πόλεσιν ὁμοίως, βραχύν τινα χρόνον. τοιοῦτον δὴ τοῖς ἐπὶ τῆς Ἀντιοχείας Ἰουδαίοις τῶν κατ' ἐκεῖνον τὸν καιρὸν κακῶν γεγενημένων, δευτέρα πάλιν συμφορὰ προσέπεσε, περὶ ἧς ἀφηγεῖσθαι ἐπιχειρήσαντες, καὶ ταῦτα διεξήλθομεν. ἐπεὶ γὰρ συνέβη καταπρησθῆναι τὴν τετράγωνον ἀγορὰν, ἀρχεῖά τε καὶ γραμματοφυλάκιον, καὶ τὰς βασιλικὰς, μόλις τε τὸ πῦρ ἐκωλύθη μετὰ πολλῆς βίας, ἐπὶ πᾶσαν τὴν πόλιν περιφερόμενον. ταύτην Ἀντίοχος τὴν πρᾶξιν Ἰουδαίων κατηγόρει· καὶ τοὺς Ἀντιοχεῖς, εἰ καὶ μὴ πρότερον εἶχον πρὸς αὐτοὺς ἀπεχθῶς, τάχιστα τῇ διαβολῇ παρὰ τὴν ἐκ τοῦ συμβεβηκότος ταραχὴν ὑπαχθέντας, πολὺ μᾶλλον ἐκ τῶν προϋπηργμένων τοῖς ὑπ' αὐτοῦ λεγομένοις, πιστεύειν παρεσκεύασεν, ὡς μόνον οὐκ ἐπ' αὐτοὺς τὸ πῦρ ἐνιέμενον ὑπὸ τῶν Ἰουδαίων ἑωρακότας. καὶ καθάπερ ἐμμανεῖς γεγενημένοι μετὰ πολλοῦ τινὸς οἴστρου πάντες ἐπὶ τοὺς διαβεβλημένους ὥρμηντο,

maximè verò his liberam domicilij facultatem reges, qui post Antiochum fuerant, præbuerunt. Namque Antiochus quidem, qui Epiphanes dictus est, vastatis Hierosolymis templum spoliauit. Qui verò post eum regnum assecuti sunt, quicquid æneum in donariis fuit, hoc Iudæis apud Antiochiam degentibus reddidêre, in eorum synagoga dedicatum: concessêruntque, vt pari cum Græcis iure ciuitatis vterentur. A sequtis quoque postea regibus eodem modo tractati, & multitudine profecêre, & extructione, itémque magnificentia munerum templum clarius reddidêre: sempérque religione sibi sociantes magnam paganorũ multitudinem, etiam illos quodammodo sui partem fecêre. Quo tempore autem bellum fuerat conclamatum, & recèns in Syriam Vespasianus delatus est nauigio, Iudęorum verò odium apud omnes pullulabat, tunc vnus eorum Antiochus quidam plurimum patris causa honorabilis (erat enim princeps apud Antiochiam Iudęorum) cùm Antiochensium populus concionaretur in theatro, progressus in medium, patrem suum & cæteros deferebat, insimulans eos, quòd vna nocte totam ciuitatem incendere statuissent: & velut huius consilij participes quosdam hospites Iudæos tradidit. His autem auditis, populus iram cohibere non poterat: sed in eos quidem, qui traditi fuerant, ignem iussit afferri: statímque omnes in theatro concremati sunt. In multitudinem verò Iudęorum properabat irruere: si eos celeriter vlti essent, patriam suam seruatum iri existimantes. Antiochus autem iracundiam magis accendere, mutatæ voluntatis argumentum, quódque Iudæorum mores odisset, exhibere se credens, si paganorum ritu sacrificaret: idémque iussit & cæteros compelli facere: renuendo enim manifestos insidiatores fore. Huius autem rei periculo ab Antiochensibus facto, pauci quidem consenserunt: alij verò qui noluerunt, perempti sunt. Antiochus autem acceptis à Romanorum duce militibus, sæuius instabat suis ciuibus, nequaquam eos die septimo ab opere cessare permittens, sed omnia cogens facere, quæ diebus aliis agerent. Támque validam necessitatem imposuit, vt non modò apud Antiochiam septimi diei feriæ soluerentur, sed ab hoc exordio in cæteris quoque ciuitatibus ad breue similiter tempus fieret. Iudæis autem apud Antiochiam tunc eiusmodi mala perpessis, altera denuo calamitas accidit: de qua narrare conati, hæc quoque persecuti fuimus. Namque quod quadratum forum exuri contigit, & archiua monimentorúmque receptacula publicorum, itémque basilicas, vixque ignis inhibitus est super omnem ciuitatem magna nimis vi ruens, huius facti Antiochus Iudæos accusat: & Antiochenses, quos scilicet si his infesti antea non fuissent, recenti tamen ex incendij tumultu facile calumnia perpulisset, multo magis ex anteactis fidem habere dictis suis persuasit, vt penè se vidisse ignem à Iudæis iniici arbitrarentur: & tanquam furore correpti, magno cum ardore cuncti aduersus eos, qui accusabantur, impetus facerent.

Vix autem motus eorum potuit reprimere Collega adhuc iuuenis legatus, postulans sibi permitti referre ad Cæsarem gesta. Rectorem namque Syriæ Cæsennium Petum iam quidem Vespasianus ad eam miserat, nondum autem ille peruenerat. Habita verò diligenti quæstione Collega reperit veritatem. & eorum quidem Iudæorum quos Antiochus accusauerat, nemo conscius fuit. omne autem facinus admisêre homines quidem nocentissimi necessitate debitorum: rati quòd si forum & scripta publica concremassent, exactione liberarentur. Iudæi quidem pro suspensis criminationibus futura expectantes, magno timore fluctuabant.

Cap. XXII. Quomodo Vespasianus rediēs à Romanis exceptus est.

Titus autem Cæsar à patre sibi allato nuncio, quòd vniuersis quidem Italiæ ciuitatibus desiderabilis peruenisset: maximè verò, quòd vrbs eum Roma summa cum alacritate & claritudine suscepisset, in maximam lætitiam voluptatémque translatus est, curis de eo ita vt sibi erat suauissimum, liberatus. Vespasianum enim etiam longè absentem, omnes homines Italiæ voluntatibus, vt præsentem colebant: expectationem suam, quòd nimis cum venire cupiebant, pro eius aduentu ducentes, & omni habentes necessitate liberam erga illum beneuolentiam. Nam & senatus memor calamitatum, quæ mutatione principum contigissent, optabat imperatorem suscipere senectutis honore bellicorúmque gestorum maturitate decoratum, cuius præsentiam sciebat soli saluti subiectorum commodaturam: & populus malis intestinis solicitus, magis eum venire cupiebat: tunc se calamitatibus quidem pro certo absoluendum esse confidens, antiquam verò libertatem cum opulentia recepturum. Præcipuè milites ad eum respiciebant. hi enim maximè bellorum per illum patratorum nouerant magnitudinem. imperitiam verò aliorum ducum experti atque ignauiam, magna quidem se optabant turpitudine liberari. eum verò qui se & seruare & honestare solus posset, recipere precabantur. Cùm verò hac beneuolentia diligeretur ab omnibus, honore quidem præcipuis viris vlterius expectare intolerabile videbatur, sed eum longissimè ab vrbe Roma conuenire antè properabant. Nec tamē quisquam moras eius conueniendi ferebat, sed ita simul omnes effundebantur, & vniuersis facilius & promptius ire quàm manere videbatur, vt etiam ciuitas ipsa tunc primùm inter se iucundam sentiret hominum caritatem. Erant autem pauciores abeuntibus remanentes. Vbi verò eum appropinquare indicaretur, quámque mansuetè singulos suscepisset, qui præcesserant, nunciatum est, omnis iam reliqua multitudo per vias cum coniugibus & liberis præstolabantur: & quò transiens aduenisset, videndi eius voluntatem, vultúsque lenitatem omnium generum vocibus prosequebantur, benemeritum & salutis datorem, solúmque dignum Romanorum principem appellantes. Tota verò ciuitas veluti templum erat, sertis atq; odoribus plena. Cùm verò vix per circumstantem multitudinem in palatium venire potuisset,

μόλις δ' αὐτῶν ἐδυνήθη τὰς ὁρμὰς ἐπισχεῖν, νέος κολλήγας τις πρεσβευτὴς, ἀξιῶν ἐπιτρέψαι καίσαρι δηλωθῆναι περὶ τῶν γεγονότων. τὸν γὰρ ἡγεμονεύοντα τῆς συρίας κεσέννιον πέτον, ἤδη μὲν οὐεσπασιανὸς ἐξαπεστάλκει, συνέβαινε δὲ παρεῖναι μηδέπω. ποιούμενος δ' ἐπιμελῆ τὴν ζήτησιν ὁ κολλήγας, ἐξεῦρε τὴν ἀλήθειαν· καὶ τῶν μὲν τὴν αἰτίαν ὑπ' ἀντιόχου λαβόντων ἰουδαίων, οὐδεὶς οὐδ' ἐκοινώνησεν. ἅπαν δὲ τοὔργον ἔπραξαν ἄνθρωποι τινὲς ἀλιτήριοι, διὰ χρεῶν ἀνάγκης, νομίζοντες εἰ τὴν ἀγορὰν, καὶ τὰ δημόσια καταπρήσαιεν γράμματα, τῆς ἀπαιτήσεως ἀπαλλαγὴν ἕξειν. ἰουδαῖοι μὲν οὖν ἐπὶ μετεώροις ταῖς αἰτίαις τὸ μέλλον ἐπικαραδοκοῦντες, ἐν φόβοις χαλεποῖς ἐπεσάλευον. τίτος δὲ καῖσαρ τῆς περὶ τοῦ πατρὸς ἀγγελίας αὐτῷ κομισθείσης, ὅτι πάσαις μὲν ποθεινὸς ταῖς κατὰ τὴν ἰταλίαν πόλεσιν ἐπῆλθε, μάλιστα δ' ἡ ῥώμη μετὰ πολλῆς αὐτὸν ἐδέξατο προθυμίας καὶ λαμπρότητος, εἰς πολλὴν χαρὰν καὶ θυμηδίαν ἐτράπετο, τῶν περὶ αὐτοῦ φροντίδων ὡς ἥδιστον ἦν ἀπηλλαγμένος.

Κεφ. ι.

Οὐεσπασιανὸν γὰρ ἔτι μὲν καὶ μακρὰν ἀπόντα, πάντες οἱ κατὰ τὴν ἰταλίαν ἄνθρωποι ταῖς γνώμαις περιεῖπον ὡς ἥκοντα, τὴν προσδοκίαν ἐκ τοῦ πάνυ θέλειν ἄφιξιν αὐτοῦ νομίζοντες, καὶ πάσης ἀνάγκης ἐλευθέραν, τὴν πρὸς αὐτὸν ἔχοντες εὔνοιαν. τῇ τε γὰρ βουλῇ κατὰ μνήμην τῶν γεγενημένων ἐν ταῖς τῶν ἡγεμόνων μεταβολαῖς συμφορῶν, εὐκταῖον ἦν ἀπολαβεῖν ἡγεμόνα, γήρως σεμνότητι καὶ πράξεων ἀκμῇ, πολεμικῶς κεκοσμημένον, ᾧ τὴν ὑπεροχὴν, πρὸς μόνην ἠπίσταντο τὴν τῶν ἀρχομένων σωτηρίαν ἐσομένην. καὶ μὴν ὁ δῆμος ὑπὸ τῶν ἐμφυλίων κακῶν τετρυχωμένος ἔτι μᾶλλον ἐλθεῖν αὐτὸν ἐπέσπευδε. τότε δὴ βεβαίως μὲν ἀπαλλαγήσεσθαι τῶν συμφορῶν ὑπολαμβάνων, ἀπολήψεσθαι δὲ τὴν ἄδειαν μετὰ τῆς εὐετηρίας πεπιστευκώς. ἐξαιρέτως δὲ τὸ στρατιωτικὸν εἰς αὐτὸν ἀφεώρα, μάλιστα γὰρ οὗτοι τῶν κατορθωμένων αὐτῷ πολέμων, ἐγίνωσκον τὸ μέγεθος. τῆς ἀπειρίας δὲ τῶν ἄλλων ἡγεμόνων, καὶ τῆς ἀνανδρίας πεπειραμένοι, πολλῆς μὲν αἰσχύνης αὐτοὺς ἐπεθύμουν ἀπηλλάχθαι, τὸν μόνον δὲ καὶ σώζειν αὐτοὺς καὶ κοσμεῖν δυνάμενον, ἀπολαβεῖν ηὔχοντο. τοιαύτης δ' εὐνοίας ἐξ ἁπάντων ὑπαρχούσης, τοῖς μὲν κατὰ τὰς ἀξιώσεις προύχουσι τῶν ἀνδρῶν, οὐκ ἔτ' ἀνεκτὸν ἦν ἀναμένειν, ἀλλὰ πορρωτάτω τῆς ῥώμης αὐτῷ προεντυχεῖν ἔσπευδον. οὐ μὴν οὐδὲ τῶν ἄλλων τις ἠνείχετο τῆς ἐντεύξεως τὴν ἀναβολὴν, ἀλλ' οὕτως ἐξεχέοντο πάντες ἀθρόοι, καὶ πᾶσιν εὐπορώτερον καὶ ῥᾷον ἐδόκει τοῦ μένειν τὸ ἀπιέναι, ὡς καὶ τὴν πόλιν αὐτὴν τότε πρῶτον ἐν ἑαυτῇ λαβεῖν ὀλιγανθρωπίας αἴσθησιν ἡδεῖαν. ἦσαν γὰρ ἐλάττους τῶν ἀπιόντων οἱ μένοντες. ἐπεὶ δὲ προσιὼν ἠγγέλλετο, καὶ τὴν ἡμερότητα τῆς ἐντεύξεως αὐτοῦ τὴν πρὸς ἑκάστους ἐδήλουν οἱ προσελθόντες, ἅπαν ἤδη τὸ λοιπὸν πλῆθος ἅμα γυναιξὶ, καὶ παισὶν, ἐπὶ ταῖς παρόδοις ἐξεδέχετο, καὶ καθ' οὓς γένοιτο παριὼν πρὸς τὴν ἡδονὴν τῆς θέας, καὶ τὸ μειλίχιον αὐτοῦ τῆς ὄψεως, παντοίας ἠφίεσαν φωνὰς, τὸν εὐεργέτην καὶ σωτῆρα καὶ μόνον ἄξιον ἡγεμόνα τῆς ῥώμης ἀποκαλοῦντες. ἅπασα δ' ἡ πόλις ὡς νεὼς ἦν, στεφανωμάτων καὶ θυμιαμάτων ἀνάπλεως. μόλις δ' ὑπὸ πλήθους τῶν περὶ αὐτὸν ἱσταμένων δυνηθεὶς εἰς τὸ βασίλειον ἐλθεῖν,

αὐτὸς μὲν τοῖς ἔνδον θεοῖς θυσίας τῆς ἀφίξεως χαριστηρίους ἐπετέλει. τρέπεται δὲ τὰ πλήθη πρὸς εὐωχίαν, καὶ κατὰ φυλὰς, καὶ γένη, καὶ γειτονίας ποιούμενοι τὰς ἑστιάσεις, ηὔχοντο τῷ θεῷ σπένδοντες, αὐτόν τε ἐπὶ πλεῖστον χρόνον ἀστασίαστον ἐπιμεῖναι τῇ ῥωμαίων ἡγεμονίᾳ, καὶ παισὶν αὐτοῦ, καὶ τοῖς ἐξ ἐκείνων ἀεὶ γινομένοις, φυλαχθῆναι τὸ κράτος ἀνανταγώνιστον. ἡ μὲν οὖν ῥωμαίων πόλις οὕτως ἀστασίαστον ἐκδεξαμένη προθύμως, εὐθὺς εἰς πολλὴν εὐδαιμονίαν ἐπεδίδου.

Κεφ. ια.

Πρὸ δὲ τούτων ἔτι τῶν χρόνων, ἐν οἷς οὐεσπασιανὸς μὲν περὶ ἀλεξάνδρειαν ἦν, τίτος δὲ τῇ τῶν ἱεροσολύμων προσήδρευε πολιορκίᾳ, πολὺ μέρος γερμανῶν ἐκινήθη πρὸς ἀπόστασιν, οἷς καὶ γαλατῶν οἱ πλησίον συμφρονήσαντες, κοινῇ μεγάλας ἐλπίδας αὐτοῖς συνέθεσαν, ὡς καὶ τῆς ῥωμαίων ἀπαλλαξόμενοι δεσποτείας. ἐπῆρε δ' αὐτοὺς γερμανοὺς ἅψασθαι τῆς ἀποστάσεως, καὶ τὸν πόλεμον ἐξενεγκεῖν, πρώτη μὲν ἡ φύσις, οὖσα λογισμῶν ἔρημος ἀγαθῶν, καὶ μετὰ μικρᾶς ἐλπίδος ἑτοίμως ῥιψοκίνδυνος. ἔπειτα δὲ καὶ μῖσος τὸ πρὸς τοὺς κρατοῦντας, ἐπεὶ μόνοις ἴσασι ῥωμαίοις τὸ γένος αὐτῶν δουλεύειν βιαζομένοις. οὐ μὴν, ἀλλὰ μάλιστά γε πάντων ὁ καιρὸς αὐτοῖς θάρσος ἐνεποίησεν. ὁρῶντες γὰρ τὴν ῥωμαίων ἀρχὴν ταῖς συνεχέσι τῶν αὐτοκρατόρων ἀλλαγαῖς ἐν ἑαυτῇ τεταραγμένην, πᾶν τε μέρος τῆς ὑπ' αὐτοῖς οἰκουμένης πυνθανόμενοι μετέωρον εἶναι καὶ κραδαίνεσθαι, τοῦτον σφίσιν αὐτοῖς ἄριστον ὑπὸ τῆς ἐκείνων κακοπραγίας καὶ στάσεως καιρὸν ᾠήθησαν παραδεδόσθαι. ἐνῆγον δὲ τὸ βούλευμα, καὶ ταύταις αὐτοὺς ταῖς ἐλπίσιν ἐτύφουν, κλασσικός τις, καὶ βίτελλος τῶν παρ' αὐτοῖς ὄντες ἡγεμόνων, οἳ δῆλον μὲν ὡς ἐκ μακροῦ ταύτης ἐφίεντο τῆς νεωτεροποιΐας. ὑπὸ τοῦ καιροῦ δὲ θαρσῆσαι προαχθέντες, τὴν αὐτῶν γνώμην ἐξέφηναν. ἔμελλον δὲ προθύμως διακείμενοι τὴν πεῖραν, τοῖς πλήθεσι προσφέρειν. πολλοῦ δὴ μέρους ἤδη τῶν γερμανῶν τὴν ἀπόστασιν ἀνωμολογηκότος, καὶ τῶν ἄλλων οὐκ ἂν δίχα φρονησάντων, ὥσπερ ἐκ δαιμονίου προνοίας οὐεσπασιανὸς πέμπει γράμματα πετιλίῳ κερεαλίῳ τὸ πρότερον ἡγεμόνι γερμανίας γενομένῳ, τὴν ὕπατον διδοὺς τιμὴν, καὶ κελεύων ἄρξαντα βρεταννίας ἀπιέναι. πορευόμενος οὖν ἐκεῖνος ὅποι προσετέτακτο, καὶ τὰ περὶ τὴν ἀπόστασιν τῶν γερμανῶν πυθόμενος, ἤδη συνειλεγμένοις αὐτοῖς ἐπιπεσὼν, καὶ παραταξάμενος, πολύ τε πλῆθος αὐτῶν ἀναιρεῖ κατὰ τὴν μάχην, καὶ τῆς ἀνοίας παυσαμένους, ἠνάγκασε φρονεῖν. ἔμελλον δὲ κἀκεῖνοι μὴ θᾶττον εἰς τοὺς τόπους παραλαβόντος, δίκην οὐκ εἰς μακρὰν ὑφέξειν. ἅμα γὰρ πρῶτον ἡ περὶ τῆς ἀποστάσεως αὐτῶν ἀγγελία τῇ ῥώμῃ προσέπεσε, δομετιανὸς καῖσαρ πυθόμενος, οὐχ ὡς ἂν ἕτερος ἐν τούτῳ τῆς ἡλικίας, νέος γὰρ ἦν ἔτι παντάπασι, τηλικοῦτον ἄρασθαι μέγεθος πραγμάτων ὤκνησεν. ἔχων δὲ πατρόθεν ἔμφυτον τὴν ἀνδραγαθίαν, καὶ τελειοτέραν τὴν ἄσκησιν τῆς ἡλικίας πεποιημένος, ἐπὶ τοὺς βαρβάρους εὐθὺς ἤλαυνεν. οἱ δὲ πρὸς τὴν φήμην τῆς ἐφόδου καταπεσόντες, ἐπ' αὐτῷ σφᾶς αὐτοὺς ἐποιήσαντο μετὰ τοῦ φόβου κέρδος εὑράμενοι, τὸ χωρὶς συμφορῶν ὑπὸ τὸν αὐτὸν πάλιν ζυγὸν ὑπαχθῆναι. πᾶσιν οὖν ἐπιθεὶς τοῖς περὶ τὴν γαλατίαν τάξιν τὴν προσήκουσαν δομετιανὸς, ὡς μὴ δ' αὖθις ἄν ποτε ῥᾳδίως ἔτι ταραχθῆναι, λαμπρὸς καὶ περίβλεπτος, ἐπὶ κρείττοσι μὲν τῆς ἡλικίας, πρέπουσι δὲ τῷ πατρὶ κατορθώμασιν, εἰς τὴν ῥώμην ἀνέζευξε.

A ipse quidem penatibus diis aduentus sui gratulatoria sacra celebrauit. Vertunt autem se ad epulas turbæ, pérque tribus & cognationes & vicinias conuiuia exercentes, Deo libabant, & ab eo precabantur ipsum Vespasianum quamplurimum temporis in Romano imperio perseuerare, & filium eius, & qui ex his nascerentur seruari inexpugnabilem principatum. Vrbs quidem Romana Vespasiano ita suscepto, statim maxima felicitate crescebat.

B

CAP. XXIII. Domitiani gesta cõtra Germanos & Gallos.

Ante hæc verò tẽpora, quibus Vespasianus quidẽ apud Alexandriam erat, Titus verò Hierosolymam obsidebat, magna pars Germanorum ad defectionem mota est: quibus etiam Gallorum proximi conspirantes, magnam spem contulerant, quòd etiam Romanorum dominio liberarentur. Germanos autem deficere velle, bellúmque inferre, sustulit primò natura bonis consiliis vacua, parua C spe appetens periculorum: deinde odium principum, quoniam solis sciunt gentem suam vi coactam seruire Romanis: nec non equidem maximam tempus eis fiduciam dedit. Nam cùm viderent Romanum imperium crebris imperatorum mutationibus intestina seditione turbari, omnémque his subditam orbis terræ partem pendere ac nutare cognoscerent, hoc sibi optimum tempus ex illorum rebus aduersis atque discordiis oblatum esse putauerúnt. D Id autem consilium dabant, & hac eos spe decipiebant, Classicus quidam & Ciuilis, ex eorum potentissimis: qui olim quidem res nouas cupiebant: occasione autem inducti, suam sententiam prodidêre. Iámque alacriter affectæ multitudinis periculum facturi erant: verùm maxima parte Germanorum defectionem pollicita, & cæteris fortasse non dissentientibus, veluti quadam diuina prouidentia, Vespasianus ad Petilium Cerealem, qui E pridem Germaniam rexerat, literas mittit, quibus eum consulem declarauit, iussítque ad Britannias administrandas proficisci. Igitur ille quò iussus erat abiens, audita rebellione Germanorum, eos iam congregatos aggressus magna clade affecit, depositáque amentia ad sobrietatem coegit. Sed etiam si ille ad ea loca non peruenisset, tamen haud multo pòst erant supplicia luituri. Nam vt primùm defectionis eorum nuncius allatus est Romam, F Domitianus Cæsar hoc audito, non sicut alter in illa ætate fecisset (nam admodum adulescens erat) tantam rei magnitudinem suscipere nõ detractauit: sed à patre habẽs ingenitã fortitudinẽ & supra ætatẽ exercitatus, ilico tẽdebat in Barbaros. Illi aũt expeditionis fama perculsi, ei se permiserunt: lucrum hoc ex ea re maximum nacti, vt sine clade pristino iugo subiicerentur. Omnibus ergo circa Galliam, vt oportuit ordinatis, ne facilè rursus vnquam G turbarentur, Domitianus clarus atque insignis, ætatem superantibus factis, & patrium decus afferentibus, Romam regreditur. Cum

supradicta verò Germanorum defectione, iisdem diebus etiam Scytharum conuenit audacia. Nam qui appellantur Sarmatæ, maxima multitudine clàm transgressi flumen Istrum, violenti atque sæuissimi, propter inopinatum impetum multos Romanorum quos in præsidiis offendêre, interficiunt: & consularem legatum Fonteium Agrippam, qui fortiter his obuius pugnauerat, occidunt: proximásque regiones totas ferendo atque agendo, omniáque incendendo peruagabantur. Vespasianus autem hoc facto, & vastitate Mœsiæ cognita, Rubrium Gallum mittit pœnas de eis sumpturum, à quo multi quidem in præliis trucidati sunt. qui verò salui esse potuêre, cum timore domum refugêre. Hoc autem bello magister militum finito, etiam futuri temporis cautioni consuluit. Pluribus enim & maioribus præsidiis loca circundedit, vt omnino Barbaris esset impossibilis transitus. In Mœsia quidem ea celeritate debellatum est.

CAP. XXIV. De amne sabbatico & triumpho Vespasiani ac Titi celeberrimo.

PRinceps verò Titus aliquandiu quidem Beryti commorabatur, ita vt diximus: inde autem reuersus, & per omnes quas obiret Syriæ ciuitates magnificentissima celebrans spectacula, Iudæorum captiuis ad ostentationem cladis eorum abutebatur. Conspicit autem in itinere fluuium cognitione dignissimum. Is fluit medius inter Arcas & Raphanæas Agrippæ regni ciuitates. Habet autem quoddam peculiare miraculum. Nam cùm sit quando fluit plurimus, neque meatu segnis, tamen interpositis sex diebus à fontibus deficiens, siccum exhibet locum videre. Deinde quasi nulla mutatione facta, septimo die similis exoritur: atque hunc ordinem semper eum obseruare pro certo compertum est. Vnde etiam Sabbaticus appellatus est, à sacro Iudæorum septimo die sic denominatus. Ciuitatis autem Antiochensium populus, postquam Titum aduentare cognouit, manere quidem intra mœnia præ gaudio non sustinebat. omnes autem obuiam ei pergere properabant, & vsque ad tricesimum vel eo amplius stadium progressi, non modò viri, sed etiam fœminæ cum pueris expectabant. Et cùm appropinquantem vidissent, ex vtroque viæ latere stantes dextras cum salutatione tendebant: multísque fauoribus exultantes, cum ipso reuertebantur. Crebro autem inter omnes alias laudes precabantur, vt Iudæos expelleret ciuitate. Titus quidem nihil precibus istis indulsit, sed otiosè quæ dicebantur audiebat. Incerti autem quid sentiret, quídve facturus esset, Iudæi magno & atroci metu tenebantur. Nec enim commoratus est Antiochiæ Titus, sed continuo ad Zeugma Euphratem versus iter contendit. Quò missi etiam ab rege Parthorum Vologeso venêre, auream ei ferentes coronam, quòd Iudæos vicisset. Eáque suscepta etiam conuiuium exhibuit regiis, atque ita Antiochiam remeauit. Senatu verò & populo Antiochensi multum petentibus, vt in theatrum veniret, vbi omnis eum multitudo præstolabatur, humanissimè paruit. Rursus autẽ fortiter iisdem instantibus,

Κεφ. ιβ.

Τῇ δὲ προειρημένῃ γερμανῶν ἀποστάσει κατὰ τὰς αὐτὰς ἡμέρας, καὶ σκυθικὸν τόλμημα πρὸς ῥωμαίους συνέδραμεν. οἱ γὰρ καλούμενοι σκυθῶν σαρμάται πολὺ πλῆθος ὄντες ἄδηλοι μὲν τὸν ἴστρον ἐπεραιώθησαν εἰς τὴν μυσίαν, ἔπειτα πολλῇ τε βίᾳ, καὶ χαλεποὶ διὰ τὸ παντάπασιν ἀνέλπιστον τῆς ἐφόδου προσπεσόντες, πολλοὺς μὲν τοὺς ἐπὶ τῶν φρουρῶν ῥωμαίων ἀναιροῦσι, καὶ τὸν πρεσβευτὴν τὸν ὑπατικὸν φοντήϊον ἀγρίππαν ὑπαπαντήσαντα καρτερῶς μαχόμενον κτείνουσι. τὴν δὲ ὑποκειμένην χώραν ἅπασαν κατέτρεχον, ἄγοντες καὶ φέροντες ὅτῳ περιπέσοιεν. οὐεσπασιανὸς δὲ τὰ γεγενημένα, καὶ τὴν πόρθησιν τῆς μυσίας πυθόμενος, ῥούβριον γάλλον ἐκπέμπει, δίκην ἐπιθήσοντα τοῖς σαρμάταις. ὑφ' οὗ πολλοὶ μὲν αὐτῶν ἐν ταῖς μάχαις ἀπέθανον. τὸ δὲ περισωθὲν, μετὰ δέους εἰς τὴν οἰκείαν διέφυγε. τούτῳ δὲ τῷ πολέμῳ τέλος ἐπιθεὶς ὁ στρατηγὸς, καὶ τῆς εἰς τὸ μέλλον ἀσφαλείας προὐνόησε. πλείοσι γὰρ καὶ μείζοσι φυλακαῖς τὸν τόπον διέλαβεν, ὡς εἶναι τοῖς βαρβάροις τὴν διάβασιν τελείως ἀδύνατον. ὁ μὲν οὖν περὶ τὴν μυσίαν πόλεμος, ταχεῖαν οὕτως ἔλαβε τὴν κρίσιν.

Κεφ. ιγ.

Τίτος δὲ καῖσαρ, χρόνον μέν τινα διέτριψεν ἐν βηρυτῷ, καθὰ προειρήκαμεν. ἐκεῖθεν δὲ ἀναζεύξας, καὶ δι' ὧν ᾔει πόλεων τῆς συρίας, ἐν πάσαις θεωρίας τε συντελῶν πολυτελεῖς, καὶ τῶν ἰουδαίων τοῖς αἰχμαλώτοις εἰς ἐπίδειξιν τῆς ἑαυτῶν ἀπωλείας καταχρώμενος, θεᾶται κατὰ τὴν πορείαν ποταμοῦ φύσιν ἀξίαν ἱστορηθῆναι. ῥεῖ μὲν γὰρ μέσος ἀρκαίας τῆς ἀγρίππα βασιλείας καὶ ῥαφαναίας, ἔχει δὲ θαυμασίαν ἰδιότητα. πολὺς γὰρ ὢν ὅτε ῥεῖ καὶ κατὰ τὴν φορὰν οὐ χαλαρὸς, ἔπειτα δὲ πᾶς ἐκ τῶν πηγῶν ἐπιλείπων, ἐξ ἡμερῶν ἀριθμὸν, ξηρὸν παραδίδωσιν ὁρᾶν τὸν τόπον. εἶθ' ὥσπερ οὐδεμιᾶς γενομένης μεταβολῆς, ὅμοιος κατὰ τὴν ἑβδόμην ἐκδίδωσι, καὶ ταύτην ἀεὶ τὴν τάξιν ἀκριβῶς τετήρηται διαφυλάττων. ὅθεν δὴ καὶ σαββατικὸν αὐτὸν κεκλήκασιν, ἀπὸ τῆς ἱερᾶς τῶν ἰουδαίων ἑβδόμης, οὕτως ὀνομάσαντες.

Κεφ. ιδ.

Ὁ δὲ τῶν ἀντιοχέων δῆμος, ἐπεὶ πλησίον ὄντα τὸν τίτον ἐπυνθάνοντο, μένειν μὲν ἐντὸς τειχῶν ὑπὸ χαρᾶς οὐχ ὑπέμενον. ἔσπευδον δὲ ἐπὶ τὴν ὑπάντησιν, καὶ τριάκοντα σταδίων ἐπὶ πλέον προῆλθον, οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ γυναικῶν πλῆθος ἅμα παισὶ, τῆς πόλεως ἐκχεόμενοι. κἀπειδήπερ ἐθεάσαντο προσιόντα, παρὰ τὴν ὁδὸν ἑκατέρωθεν παρακαταστάντες, τάς τε δεξιὰς προὔτεινον προσαγορεύοντες, καὶ παντοίοις ἐπιφημίσμασι χρώμενοι συνεπέστρεφον. συνεχὴς δ' ἦν αὐτῶν παρὰ πάσας ἅμα τὰς εὐφημίας δέησις ἐκβαλεῖν τῆς πόλεως τοὺς ἰουδαίους. τίτος μὲν οὖν οὐδὲν ἐνεδίδου πρὸς ταύτην τὴν δέησιν, ἀλλ' ἡσυχῇ τῶν λεγομένων ἐπήκουεν, ἐπ' ἀδήλῳ δὲ τὸ τί φρονεῖ, καὶ τί ποιήσει, πολὺς καὶ χαλεπὸς τοῖς ἰουδαίοις ὁ φόβος ἦν. οὐδὲ γὰρ ἐπέμεινεν ἐν ἀντιοχείᾳ τίτος, ἀλλ' εὐθὺς ἐπὶ τὸ ζεῦγμα τὸ κατὰ τὸν εὐφράτην συνέτεινε τὴν πορείαν. ἔνθα δὴ, καὶ παρὰ τοῦ πάρθων βασιλέως βολογέσου πρὸς αὐτὸν ἧκον, στέφανον χρυσοῦν ἐπὶ τῇ κατὰ τῶν ἰουδαίων νίκῃ κομίζοντες. ὃν δεξάμενος εἱστία τοὺς βασιλικοὺς, κἀκεῖθεν εἰς τὴν ἀντιόχειαν ἐπανέρχεται. τῆς δὲ βουλῆς καὶ τοῦ δήμου τῶν ἀντιοχέων πολλὰς ποιησαμένων δεήσεις ἐλθεῖν εἰς τὸ θέατρον αὐτῶν, ἐν ᾧ πᾶν τὸ πλῆθος ἠθροισμένον ἐξεδέχετο φιλανθρώπως ὑπήκουσε. πάλιν δὲ αὐτῶν σφόδρα λιπαρῶς ἐγκειμένων καὶ συνεχῶς δεομένων ἐξελάσαι

λάσαι τῆς πόλεως τοὺς ἰουδαίους, εὔστοχον ἐποιήσατο τὴν ἀπόκρισιν, εἰπών· ἀλλ᾽ ἥγε πατρὶς αὐτῶν εἰς ἣν ἐμβαλεῖν ἐχρῆν τοὺς ἰουδαίους, ἀνῄρηται, καὶ δέξαιτ᾽ ἂν οὐδεὶς αὐτοὺς ἔτι τόπος. ἐπὶ δευτέραν οὖν οἱ ἀντιοχεῖς ἐτράποντο δέησιν, τῆς προτέρας ἁμαρτόντες. τὰς γὰρ χαλκᾶς ἠξίουν δέλτους ἀνελεῖν αὐτὸν, ἐν αἷς γέγραπται τὰ δικαιώματα τῶν ἰουδαίων. οὐ μὴν οὐδὲ τοῦτο Τίτος ἐπένευσεν αὐτοῖς, ἀλλ᾽ ἐάσας πάντα κατὰ χώραν τοῖς ἐπ᾽ ἀντιοχείας ἰουδαίοις ὡς πρότερον εἶχεν, εἰς αἴγυπτον ἀπηλλάττετο.

Κεφ. ιε.

ΚΑὶ κατὰ τὴν πορείαν τοῖς ἱεροσολύμοις προσελθὼν, καὶ τὴν λυπρὰν ἐρημίαν βλεπομένην ἀντιθεὶς τῇ ποτε τῆς πόλεως λαμπρότητι, καὶ τὸ μέγεθος τῶν ἐρρηγμένων κατασκευασμάτων, καὶ τὸ πάλαι κάλλος εἰς μνήμην βαλλόμενος, ᾤκτειρε τῆς πόλεως τὸν ὄλεθρον, οὐχ ὥσπερ ἄλλος αὐτὶς αὐχῶν, ὅτι τηλικαύτην οὖσαν, καὶ τοσαύτην εἷλε κατὰ κράτος, ἀλλὰ πολλάκις ἐπαρώμενος τοῖς αἰτίοις τῆς ἀποστάσεως ὑπάρξασι, καὶ ταύτην ἐπὶ τῇ πόλει τὴν τιμωρίαν γενέσθαι παρασκευάσασιν. οὕτως ἔκδηλος ἦν οὐκ ἂν ἐθελήσας ἐκ τῆς συμφορᾶς τῶν κολασθέντων γενέσθαι τῆς ἀρετῆς αὐτοῦ τὴν ἐπιφάνειαν. τοῦ δὲ πολλοῦ πλούτου τῆς πόλεως, ἔτι κἀν τοῖς ἐρειπίοις οὐκ ὀλίγον μέρος ἀνευρίσκετο. τὰ μὲν γὰρ πολλὰ ἀνέσκαπτον οἱ ῥωμαῖοι· τὰ πλείω δὲ ἐκ μηνύσεως τῶν αἰχμαλώτων ἀνῃροῦντο, χρυσόν τε καὶ ἄργυρον, καὶ τὰ τῆς ἄλλης τιμιώτατα κατασκευῆς, ἅπερ οἱ κεκτημένοι πρὸς τὰς ἀδήλους τοῦ πολέμου τύχας, κατὰ γῆς ἀποτεθησαυρίκεσαν. Τίτος δὲ τὴν προκειμένην ποιούμενος πορείαν ἐπ᾽ αἴγυπτον, καὶ τὴν ἔρημον ᾗ τάχιστα διανύσας, ἧκεν εἰς ἀλεξάνδρειαν· καὶ πλεῖν ἐπὶ τῆς ἰταλίας διεγνωκὼς, δυοῖν αὐτῷ ταγμάτων συνηκολουθηκότων, ἑκάτερον ὅθεν περ ἀφῖκτο πάλιν ἀπέστειλεν. εἰς μὲν τὴν μυσίαν τὸ πέμπτον, εἰς πανονίαν δὲ τὸ πεντεκαιδέκατον. τῶν αἰχμαλώτων δὲ τοὺς μὲν ἡγεμόνας σίμωνα καὶ ἰωάννην, τόν τε ἄλλον ἀριθμὸν ἑπτακοσίους ἄνδρας ἐπιλέξας μεγέθει τε καὶ κάλλει σωμάτων ὑπερβάλλοντας, προσέταξεν εἰς τὴν ἰταλίαν αὐτίκα μάλα κομίζεσθαι, βουλόμενος αὐτοὺς ἐν τῷ θριάμβῳ παραγαγεῖν.

Κεφ. ις.

ΤΟῦ πλοῦ δὲ αὐτῷ κατὰ νοῦν ἀνυσθέντος ὁμοίως μὲν ἡ ῥώμη περὶ τὴν ὑποδοχὴν εἶχε, καὶ τὰς ὑπαντήσεις, ὥσπερ ἐπὶ τοῦ πατρός. λαμπρότατον δὲ ἦν Τίτῳ, καὶ αὐτὸς ὁ πατὴρ ὑπαντῶν καὶ δεχόμενος. τῷ δὲ πλήθει τῶν πολιτῶν, δαιμόνιόν τινα τὴν χαρὰν παρεῖχε, τὸ βλέπειν αὐτοὺς ἤδη τοὺς τρεῖς ἐν ταυτῷ γεγονότας. οὐ πολλῶν δὲ ἡμερῶν διελθουσῶν, ἕνα καὶ κοινὸν ἔγνωσαν τὸν ἐπὶ τοῖς κατορθωμένοις ποιήσασθαι θρίαμβον, καίπερ ἑκατέρῳ τῆς βουλῆς ἴδιον ψηφισαμένης. προδιασαφηθείσης δὲ τῆς ἡμέρας, ἐφ᾽ ἧς ἔμελλεν ἡ πομπὴ γενήσεσθαι τῶν ἐπινικίων, οὐδεὶς οἴκοι καταλέλειπτο, τῆς ἀμέτρου πληθύος ἐν τῇ πόλει. πάντες δὲ ὅπῃ καὶ στῆναι μόνον ἦν οἷον προεληλυθότες, τοὺς τόπους κατειλήφεσαν, ὅσον τοῖς ὀφθησομένοις μόνον εἰς πάροδον ἀναγκαίαν καταλιπόντες. τοῦ δὲ στρατιωτικοῦ παντὸς ἔτι νύκτωρ κατὰ λόχους καὶ τάξεις ὑπὸ τοῖς ἡγεμόσι προεξωδευκότος, καὶ περὶ θύρας ὄντος, οὐ τῶν ἄνω βασιλείων, ἀλλὰ καὶ πλησίον τοῦ τῆς ἴσιδος ἱεροῦ. ἐκεῖ γὰρ ἀνεπαύοντο τῆς νυκτὸς ἐκείνης οἱ αὐτοκράτορες. περὶ δὲ αὐτὴν ἀρχομένην ἤδη τὴν ἕω προΐασιν Οὐεσπασιανὸς καὶ Τίτος, δάφνῃ μὲν ἐστεφανωμένοι, πορφυρᾶς δὲ ἐσθῆτας πατρίους ἀμπεχόμενοι, καὶ παρίασιν εἰς τοὺς ὀκταβίας περιπάτους.

A & crebro postulātibus expelli ciuitate Iudæos, ingeniosè respondit, patriam eorum dicens quò expellendi fuerant interiisse, nullúmque iam esse locum, qui eos reciperet. Vnde ad aliam petitionem sese conuertunt Antiochenses, quòd priorem impetrare non potuerunt. Aeneas enim tabulas eum precabantur eximere, quibus incisa essent priuilegia Iudæorum. Sed ne id quidem Titus annuit. verùm in eodem statu relictis omnibus, quæ habebant apud Antiochiam Iudęi, ad Ægyptum inde discessit. Iter autem agendo cùm ad Hierosolymam venisset, tristémque solitudinem quam videbat, antiquæ ciuitatis claritudini compararet, disiectorum operum magnitudinem & veterem pulchritudinem recordatus, miserabatur excidium ciuitatis, non sicut alius fecisset exultans, quòd talem ac tantam funditus excidisset, verùm multa imprecans seditionis authoribus, & qui hanc pœnam ei inferre coegêre: ita certus erat, quòd nunquam virtutem suam voluisset punitorum calamitate clarescere. Ex magnis enim diuitiis, non minima pars in ruinis adhuc inueniebatur. Quædam enim eruebant Romani, plura verò captiuis indicantibus auferebant, aurum atque argentum, aliáque instrumenta preciosissima, quæ domini propter incertam belli fortunam terræ condidêre. Titus autem propositum iter ad Ægyptum tendens, emensa velociter solitudine, peruenit Alexandriam: decretóque ad Italiam nauigare, cùm se duæ legiones comitarentur, vtramque vnde venerant remisit: quintam quidem in Mœsiam, quintam verò decimam in Pannoniam. Captiuorum autem duces Simonem & Ioannem, & alios numero septingentos viros electos, tam magnitudine corporum quàm pulchritudine præstantes, ilico ad Italiam portari præcepit, cupiens eos in triumpho traducere. Peracta verò nauigatione pro voto, similiter quidem Roma in eo suscipiendo erat affecta, & occursus exhibuit eos quos patri. Claritudinem verò Tito pater attulit, qui venit obuiam, cúmque suscepit. Multitudini autem ciuium diuinam quādam lætitiam suggerebat, quòd videbat in vnum tres conuenisse. Non multis autem diebus pòst, vnum communem triumphum ob res gestas agere statuêre, quamuis vtrique senatus proprium decreuisset. Prædicto autem die, quo futura erat pōpa victoriæ, nemo ex tā infinita ciuitatis multitudine domi remansit. Omnes autem cùm exissent, loca vbi tantum stare possent occupauerant, quantus spectandis imperatoribus modus sufficeret, concesso necessario transitu. Cūcta verò turba militari ante lucem per turmas atque ordines progressa cum rectoribus suis, & circa ostia constituta nō palatij superioris, sed G prope Isidis templum (ibi enim principes nocte illa quiescebant) prima iam aurora incipiente procedunt Vespasianus & Titus lauro quidē coronati, amicti verò patria veste purpurea: & ad Octauianas ambulationes transeūt.

Ibi enim senatus,& ducum proceres,& honorati equites,eorum præstolabantur aduentum. tribunal autem ante porticus factum erat, sellæque eburneæ in eo præparatæ. Quò cùm ascendissent, consederunt. Statimque eos militaris fauor excepit, multis virtutem testimonijs prædicans. Illi autem inermes erant,in veste serica laureis coronati. Perceptis autem laudibus eorum Vespasianus, cùm dicere adhuc vellent,silentij signum dedit. Magnáque omnium quiete facta surrexit, & amictu magnam partem capitis adopertus, solennia vota celebrauit: idémque Titus fecit. Perfectis autem votis, Vespasianus in commune omnes breuiter allocutus, milites quidem ad prandium,quod his ex more ab imperatore parari solet,dimittit.ipse verò ad portam recedit,quæ ab eo quod per illam semper triumphorum pompa ducitur,nomen accepit. Ibi & cibum priùs capiebant, & triumphalibus vestibus amicti, diis ad portam collocatis cæsa hostia, inter spectacula transeuntes triumphum ducebant, vt multitudini facilior præberetur aspectus.Pro merito autem narrari multitudo eorum spectaculorum & magnificentia non potest,in omnibus, quæ quisque cogitauerit, vel artium factis,vel diuitiarum opibus, vel naturæ nouitate. Nam penè quæcunque hominibus,qui vsquam sunt fortunatis paulatim quęsita sint, aliis alia mirabilia atque magnifica, hæc vniuersa illa die Romani imperij magnitudinem probauêre. Etenim argenti aurique nec non eboris in omni specie operum multitudinem, non vt in pompa ferri cerneres, sed vt ita dixerim omnia fluere. & alias quidem vestes ex rarissimis generibus purpuræ portari,alias diligentissima pictura variatas arte Babylonia:gemmæ autem clarissimæ tam multę, aliæ coronis aureis,aliæ aliis operibus inclusæ traductæ sunt,vt appareret frustra nos earũ vsquam rerum esse aliquid suspicari. Ferebantur etiã simulacra,quæ illi deos habent, & magnitudine mirabili, & arte non defunctoriè facta. horúmque nihil non ex pretiosa materia.Quin & animalium diuersa genera producebantur, propriis ornamentis induta. Erat autem etiam quæ singula portaret magna hominum multitudo,purpureis vestibus atque inauratis ornata.Ipsi etiã qui ad pompam fuerant ab alia turba discreti,præcipua & mirabili ornamentorũ magnificentia culti erant. Insuper his,ne captiuorum quidem vulgus inornatum videres, sed varietas & pulchritudo quidem vestiũ natam ex fatigatione corporum deformitatem, oculis subtrahebat. Maximè autem stupori erat, pegmatum quæ portabantur, fabricatio, pro cuius magnitudine timendum viribus portantium occurrentes putabant.multa enim in tertium nidum quartúmque surgebant: & magnificentia fabricæ cum admiratione delectabat: multis aurata veste circundatis, cùm aurum præterea factum atque ebur omnibus esset affixum. Multis autem imitationibus bellum aliter in diuisum, certam sui faciem demonstrabat. Erat enim cernere vastari qui-

ἐνταῦθα γὰρ ἥ τε βουλή, καὶ τὰ τέλη τῶν ἀρχόντων, οἵ τε ἀπὸ τῶν τιμημάτων ἱππεῖς τὴν ἄφιξιν αὐτῶν ἀνέμενον. πεποίητο δὲ βῆμα περὶ τὰς στοάς, δίφρων αὐτοῖς ἐλεφαντίνων ἐπ' αὐτοῦ κειμένων· ἐφ' οὓς παρελθόντες ἐκαθέσθησαν, καὶ τὸ στρατιωτικὸν εὐθέως ἐπευφήμει, πολλὰς αὐτοῖς τῆς ἀρετῆς μαρτυρίας ἀποδιδόντες ἅπαντες. κἀκεῖνοι χωρὶς ὅπλων ἦσαν ἐσθήσεσι σηρικαῖς, ἐστεφανωμένοι δάφναις. δεξάμενος δὲ αὐτῶν τὴν εὐφημίαν Οὐεσπασιανὸς, ἔτι βουλομένων λέγειν, τὸ τῆς σιγῆς ἐποιήσατο σύμβολον, καὶ πολλῆς ἐκ πάντων ἡσυχίας γενομένης ἀναστάς, καὶ τῷ περιβλήματι τὸ πλέον τῆς κεφαλῆς μέρος ἀποκαλυψάμενος εὐχὰς ἐποιήσατο τὰς νενομισμένας. ὁμοίως δὲ καὶ Τίτος ηὔξατο. μετὰ δὲ τὰς εὐχὰς, εἰς κοινὸν ἅπασιν Οὐεσπασιανὸς βραχέα διαλεχθεὶς, τοὺς μὲν στρατιώτας ἀπέλυσεν ἐπὶ τὸ νενομισμένον ἄριστον αὐτοῖς ὑπὸ τῶν αὐτοκρατόρων εὐτρεπίζεσθαι. πρὸς δὲ τὴν πύλην αὐτὸς ἀνεχώρει, τὴν ἀπὸ τοῦ πέμπεσθαι δι' αὐτῆς ἀεὶ τοὺς θριάμβους, τῆς προσηγορίας αὐτῶν τετυχυῖαν. ἐνταῦθα τροφῆς τε προαπογεύονται, καὶ τὰς θριαμβικὰς ἐσθῆτας ἀμφιεσάμενοι, τοῖς τε παριδρυμένοις τῇ πύλῃ θύσαντες θεοῖς, ἔπεμπον τὸν θρίαμβον διὰ τῶν θεάτρων διεξελαύνοντες, ὅπως εἴη τοῖς πλήθεσιν ἡ θέα ῥάων.

Κεφ. ιζ.

Ἀμήχανον δὲ κατὰ τὴν ἀξίαν εἰπεῖν τῶν θεαμάτων ἐκείνων τὸ πλῆθος, καὶ τὴν μεγαλοπρέπειαν ἐν ἅπασιν, οἷς ἄν τις ἐπινοήσειεν, ἢ τεχνῶν ἔργοις, ἢ πλούτου μέρεσιν, ἢ φύσεως σπανιότησιν. σχεδὸν γὰρ ὅσα τοῖς πώποτ' ἀνθρώποις εὐδαιμονήσασιν ἐκτήθη κατὰ μέρος, ἄλλα παρ' ἄλλοις θαυμαστὰ καὶ πολυτελῆ, ταῦτ' ἐπὶ τῆς ἡμέρας ἐκείνης ἀθρόα τῆς Ῥωμαίων ἡγεμονίας ἔδειξε τὸ μέγεθος. ἄργυρόν τε γὰρ καὶ χρυσοῦ καὶ ἐλέφαντος ἐν παντοίαις ἰδέαις κατασκευασμάτων ἦν ὁρᾶν, οὐχ ὥσπερ ἐν πομπῇ κομιζόμενον πλῆθος, ἀλλ' ὡς ἂν εἴποι τις ῥέοντα ποταμόν. καὶ τὰ μὲν ἐκ πορφύρας ὑφάσματα τῆς σπανιωτάτης φερόμενα, τὰ δὲ εἰς ἀκριβῆ ζωγραφίαν πεποικιλμένα τῇ Βαβυλωνίων τέχνῃ. λίθοι τε διαφανεῖς, οἱ μὲν χρυσοῖς ἐμπεπλεγμένοι στεφάνοις, οἱ δὲ κατ' ἄλλας ποιήσεις, τοσοῦτοι παρηνέχθησαν, ὥστε μαθεῖν ὅτι μάτην εἶναί τι τούτων σπάνιον ὑπειλήφαμεν. ἐφέρετο δὲ καὶ θεῶν ἀγάλματα τῶν παρ' αὐτοῖς, μεγέθεσι θαυμαστὰ, καὶ κατὰ τὴν τέχνην οὐ παρέργως πεποιημένα. καὶ τούτων οὐδὲν, ὅτι μὴ τῆς ὕλης τῆς πολυτελοῦς. ζώων τε πολλαὶ φύσεις παρήγοντο, κόσμον οἰκεῖον ἁπάντων περικειμένων. ἦν δὲ καὶ τὸ κομίζον ἕκαστα τούτων ἀνθρώπων πλῆθος, ἁλουργαῖς ἐσθήσεσι καὶ διαχρύσοις κεκοσμημένον. οἵ τ' εἰς αὐτὸ τὸ πομπεύειν διακριθέντες, ἐξαίρετον εἶχον καὶ καταπληκτικὴν περὶ αὐτοὺς τοῦ κόσμου τὴν πολυτέλειαν. ἐπὶ τούτοις οὐδὲ τῶν αἰχμαλώτων ἦν ἰδεῖν ὄχλον ἀκόσμητον, ἀλλ' ἡ τῶν ἐσθήτων ποικιλία, καὶ τὸ κάλλος αὐτοὺς τῆς ἀπὸ τῆς κακώσεως τῶν σωμάτων ἀειδίας ἔκλεπτε τῆς ὄψεως. θαῦμα δ' ἐν τοῖς μάλιστα παρεῖχεν ἡ τῶν φερομένων πηγμάτων κατασκευή. καὶ γὰρ διὰ μέγεθος ἦν δεῖσαι τῇ βεβαιότητι τῆς φορᾶς ἀπιστήσαντα. τριώροφα γὰρ αὐτῶν καὶ τετρώροφα πολλὰ πεποίητο· καὶ τῇ πολυτελείᾳ τῇ περὶ τὴν κατασκευὴν ἦν ἥδεσθαι μετ' ἐκπλήξεως. καὶ γὰρ ὑφάσματα πολλοῖς διάχρυσα περιεβέβλητο, καὶ χρυσὸς καὶ ἐλέφας οὐκ ἀπόντος πᾶσι περιεπεπήγει. διὰ πολλῶν δὲ μιμημάτων ὁ πόλεμος ἄλλως εἰς ἄλλα μεμερισμένος, ἐναργεστάτην ὄψιν ἑαυτοῦ παρεῖχεν. ἦν γὰρ ὁρᾶν χώραν μὲν εὐδαι-

εὐδαίμονα δῃουμένην, ὅλας δὲ φάλαγγας κτεινομένας πολεμίων, καὶ τοὺς μὲν φεύγοντας, τοὺς δ᾽ εἰς αἰχμαλωσίαν ἀγομένους. τείχη δὲ ὑπερβάλλοντα μεγέθει, μηχαναῖς ἐρειπόμενα, καὶ φρουρίων ἁλισκομένας ὀχυρότητας, καὶ πόλεων πολυανθρώπων περιβόλους κατ᾽ ἄκρας ἐχομένους, καὶ στρατιὰν ἔνδον τειχῶν εἰσχεομένην, καὶ πάντα φόνου πληθύοντα τόπον, καὶ τῶν ἀδυνάτων χεῖρας ἀνταίρειν ἱκεσίας, πῦρ τε ἐνιέμενον ἱεροῖς, καὶ κατασκαφὰς οἴκων ἐπὶ τοῖς δεσπόταις, καὶ μετὰ πολλὴν ἐρημίαν καὶ κατηφῆ, ποταμοὺς ῥέοντας οὐκ ἐπὶ γῆν γεωργουμένην, οὐδὲ ποτὸν ἀνθρώποις ἢ βοσκήμασιν, ἀλλὰ διὰ τῆς ἔτι πανταχόθεν φλεγομένης. ταῦτα γὰρ ἰουδαῖοι πεισομένους αὐτοὺς τῷ πολέμῳ παρέδοσαν. ἡ τέχνη δὲ καὶ τῶν κατασκευασμάτων ἡ μεγαλουργία, τοῖς οὐκ εἰδόσι τὰ γινόμενα τότε ἐδείκνυεν ὡς παροῦσι. τέτακτο δ᾽ ἐφ᾽ ἑκάστῳ τῶν πηγμάτων, ὁ τῆς ἁλισκομένης πόλεως στρατηγός, ὃν τρόπον ἐλήφθη. πολλαὶ δὲ καὶ νῆες εἵποντο. λάφυρα δὲ τὰ μὲν ἄλλα χύδην ἐφέρετο. διέπρεπε δὲ πάντων, τὰ ἐγκαταληφθέντα τῷ ἐν ἱεροσολύμοις ἱερῷ· χρυσῆ τε τράπεζα τὴν ὁλκὴν πολυτάλαντος, καὶ λυχνία χρυσοῦ μὲν ὁμοίως πεποιημένη· τὸ δὲ ἔργον ἐξήλλακτο τῆς κατὰ τὴν ἡμετέραν χρῆσιν συνηθείας. ὁ μὲν γὰρ μέσος ἦν κίων, ἐκ τῆς βάσεως πεπηγώς, λεπτοὶ δ᾽ ἀπ᾽ αὐτοῦ μεμήκυντο καυλίσκοι, τριαίνης σχήματι παραπλησίαν τὴν θέσιν ἔχοντες, λύχνον ἕκαστος αὐτῶν ἐπ᾽ ἄκρον κεχαλκευμένος. ἑπτὰ δ᾽ ἦσαν οὗτοι, τῆς παρὰ τοῖς ἰουδαίοις ἑβδομάδος τὴν τιμὴν ἐμφανίζοντες. ὅ τε νόμος ὁ τῶν ἰουδαίων ἐπὶ τούτοις ἐφέρετο τῶν λαφύρων τελευταῖος. ἐπὶ τούτοις παρῄεσαν πολλοί, νίκης ἀγάλματα κομίζοντες· ἐξ ἐλέφαντος δ᾽ ἦν πάντων καὶ χρυσοῦ ἡ κατασκευή. μεθ᾽ ἃ οὐεσπασιανὸς ἤλαυνε καὶ τίτος εἵπετο. δομετιανὸς δὲ παρίππευεν, αὐτός τε διαπρεπῶς κεκοσμημένος, καὶ τὸν ἵππον παρέχων θέας ἄξιον.

Κεφ. ιη.

Ἦν δὲ τῆς πομπῆς τὸ τέλος, ἐπὶ τὸν νεὼν τοῦ καπετωλίου διός, ἐφ᾽ ὃν ἐλθόντες ἔστησαν. ἦν γὰρ τὸ παλαιὸν πάτριον περιμένειν, μέχρις ἂν τὸν τοῦ στρατηγοῦ τῶν πολεμίων θάνατον ἀπαγγείλῃ τις. σίμων οὗτος ἦν ὁ γιώρα, τότε πεπομπευκὼς ἐν τοῖς αἰχμαλώτοις· βρόχῳ δὲ περιβληθείς, εἰς τὸν ἐπὶ τῆς ἀγορᾶς ἐσύρετο τόπον, αἰκιζομένων αὐτὸν ἅμα τῶν ἀγόντων. νόμος δ᾽ ἐστὶ ῥωμαίοις ἐκεῖ κτείνειν τοὺς ἐπὶ κακουργίᾳ θάνατον κατεγνωσμένους. ἐπεὶ δ᾽ ἀπηγγέλθη τέλος ἔχων, καὶ πάντες εὐφήμησαν, ἤρχοντο τῶν θυσιῶν, ἃς ἐπὶ ταῖς νομιζομέναις καλλιερήσαντες εὐχαῖς, ἀπῄεσαν εἰς τὸ βασίλειον. καὶ τοὺς μέν, αὐτοὶ πρὸς εὐωχίαν ὑπεδέχοντο. τοῖς δ᾽ ἄλλοις ἅπασιν, εὐπρεπεῖς κατὰ τὸ οἰκεῖον αἱ τῆς ἑστιάσεως ἦσαν παρασκευαί. ταύτην γὰρ τὴν ἡμέραν, ἡ ῥωμαίων πόλις ἑώρταζεν, ἐπινίκιον μέν, τῆς κατὰ τῶν πολεμίων στρατιᾶς, πέρας δὲ τῶν ἐμφυλίων κακῶν, ἀρχὴν δὲ τῶν ὑπὲρ τῆς εὐδαιμονίας ἐλπίδων.

Κεφ. ιθ.

Μετὰ δὲ τοὺς θριάμβους, καὶ τὴν βεβαιοτάτην τῆς ῥωμαίων ἡγεμονίας κατάστασιν, οὐεσπασιανὸς ἔγνω τέμενος εἰρήνης κατασκευάσαι. ταχὺ δὲ δὴ μάλα, καὶ πάσης ἀνθρωπίνης κρεῖττον ἐπινοίας ἐτετελείωτο. τῇ γὰρ ἐκ τοῦ πλούτου χορηγίᾳ δαιμονίῳ χρησάμενος,

dem fortunatissimam terram, totas verò interfici acies hostium: & alios fugere, alios captiuos duci: murósque excellentes magnitudine machinis dirui, & castellorum excindi munimina, & populosarum ciuitatum mœnia disturbari, exercitúmque intra muros infundi: cædísque omnia loca plena, & eorum qui manu resistere non poterant preces: ignémque templis immissum, ædiúmque super dominos post multam vastationem euersiones: atque amnis tristitiam, defluentis non in arua culta, neque ad hominum vel pecorum potum, sed per terram ex omni parte flagrantem. Hæc enim Iudæi bello passi sunt: ars autem & confectorum operum magnitudo, nescientibus adhuc facta tanquam præsentibus ostendebant. Erat autem per singula pegmata captæ ciuitatis dux, ita vt captus fuerat ordinatus. Multæ etiam naues sequebantur. Spolia verò alia quidem passim ferebantur. eminebant autem ea quæ apud Hierosolymam in templo reperta sunt, mensa aurea ponderis talenti magni, & candelabrum similiter quidem auro factum, sed opere commutato ab vsus nostri cōsuetudine. nam media quidem columna basi hærebat, tenues autem ab ea cannulæ producebantur, formatæ ad similitudinem fuscinæ, ad summum quæque in lychni speciem fabricatæ. erant autem numero septem, septimi diei, qui apud Iudæos est, indicantes honorem. Post hæc autem portabatur lex Iudæorum, nouissima spoliorum. Deinde transibant plurimi victoriæ simulacra portantes, omnia ex auro & ex ebore facta. Post hęc Vespasianus prior ibat, & Titus deinde sequebatur. Domitianus autē adequitabat, ipse quoque ornatus pulchritudine, dignúmque spectari exhibēs equum. Pompæ autem finis fuit Capitolini Iouis templum, quò postquam ventum est, constitêre. Erat autē vetus mos patrius, operiri donec ducis hostium mortem quispiam nunciaret. Is erat Simon Gioræ, tunc inter captiuos in pompa traductus: laqueo verò circundatus per forū trahebatur, quo eū simul cæderent qui ducebant. Lex autē Romanis est, ibi necare criminū reos morte damnatos. Postquam igitur eum finem vitæ habere nunciatū est, omniúmque fauor secutus est, tunc hostias inchoauêre. hísque secundo per vota solennia omine peractis, in palatium recessêre. Et alios quidem epulis ipsi excepêre, aliis autem omnibus domi conuiuiorum instructi erant apparatus. Hunc enim diē vrbs Romana celebrabat, victoriæ quidem in hostes gratulatorium, finem verò malorum ciuilium, & spei bonę pro felicitate principium. Post triumphos verò, & Romani imperij firmissimum statum, Vespasianus Paci templū ædificari decreuit. Itaque mira celeritate, & quæ hominum cogitationem superaret, effectum est. Magna enim diuitiarū largitate vsus,

insuper perfectis id picturæ ac figmentorum operibus exornauit. Omnia namque in illud fanum collecta ac deposita sunt, quorum visendorum studio per totum orbem, qui ante nos fuerunt, vagabantur: quomodo aliud apud alios situm esset, videre cupientes. Hic autem reposuit etiam quæ Iudæorum fuerant instrumenta, his se magnificè ferens. Legem verò eorum, & penetralium vela purpurea in palatio condita seruari præcepit.

Cap. XXV. Herod ō & Machærus à Basso capta.

IN Iudæam verò legatus missus Lucilius Bassus, suscepto à Cereali Vetiliano exercitu, castellum quidem Herodion cum præsidio deditione cepit. Pòst autem omni manu militari collecta, multi autem in partes diuisi erant, & legione decima bellum inferre Machærunti statuit. Valde enim necessarium videbatur id excindi castellum, ne multos sui munimine ad defectionem inuitaret. Nam & salutis spem habitatoribus certam, & aggredientibus hæsitationem atque formidinem, natura loci præstare maximè poterat. Nam ipsum quidem quod muro cinctum est, saxosus est collis, in proceram altitudinem surgens, & ob hoc etiam capi difficilis videtur: sed ne vel accedi posset eò natura excogitarat, quæ vallibus eum ex omni parte vallauerat, quarum altitudo oculis comprehendi non posset: nec transire erat facile, nec aggestu vlla ratione compleri possibile. Nam ea quæ ab Occidente secat vallis LX. stadiis distenditur, vnde Asphaltites lacus ei limitem facit. ex hoc verò tractu ipse Machærus altissimo vertice supereminet. A Septentrione autem & Meridie, valles magnitudine quidem supradicta cingunt, similiter verò sunt inextricabiles ad oppugnationem. eius verò vallis quæ ab Oriente est, altitudo non minor centum cubitis inuenitur: monte verò ex aduerso Machærunti posito terminatur. Ea loci natura perspecta rex Alexander, primus in eo castellum communiuit, quod postea Gabinius bello cum Aristobulo gesto deposuit. Herodi autem regnanti, omnibus locis dignior cura visus est, & constructione tutissima, propter Arabum præcipuè vicinitatem. namque opportunè situs est, eorum fines prospectans. Magno ergo locum muro amplexus ac turribus, ciuitatem illic fecit incolis, vnde in arcem ipsam ferebat ascensus. Quin & circa ipsum verticem rursus murum ædificauerat, turrésque in angulis sexagenorum cubitorum erexerat. In medio autem ambitu regiam struxerat, magnitudine simul habitationum & pulchritudine locupletem. Multas verò cisternas recipiendis aquis abundéque suppeditandis, locis maximè idoneis fecerat: veluti cum natura certaret, vt quod illa situ locis expugnabile fecerat, ipse manu structis munitionibus superaret. Insuper enim & sagittarum multitudinem machinarúm reposuit: & omnem apparatum excogitauit, qui habitatoribus posset magnæ

ἔτι καὶ τοῖς ἔκπαλαι κατωρθωμένοις γραφῆς τε καὶ πλασικοῖς ἔργοις, αὐτὸ κατεκόσμησε. πάντα γὰρ εἰς ἐκεῖνον τὸν νεὼν συνήχθη καὶ κατετέθη, δι' ὧν τὴν θέαν ἄνθρωποι πρότερον περὶ πᾶσαν ἐπλανῶντο τὴν οἰκουμένην, ἕως ἄλλο παρ' ἄλλοις ἦν κείμενον, ἰδεῖν ποθοῦντες. ἀνέθηκε δ' ἐνταῦθα, καὶ τὰ ἐκ τοῦ ἱεροῦ τῶν ἰουδαίων χρυσᾶ κατασκευάσματα, σεμνυνόμενος ἐπ' αὐτοῖς. τὸν δὲ νόμον αὐτῶν, καὶ τὰ πορφυρᾶ τοῦ σηκοῦ καταπετάσματα, προσέταξεν ἐν τοῖς βασιλείοις ἀποθεμένοις φυλάττειν.

Κεφ. κ.

Εἰς δὲ τὴν ἰουδαίαν, πρεσβευτὴς λουκίλιος βάσσος ἐκπεμφθεὶς, καὶ τὴν στρατιὰν παρὰ κερεαλίου οὐετιλιανοῦ παραλαβὼν, τὸ μὲν ἐν τῷ ἡρωδείῳ φρούριον προσηγάγετο μετὰ τῶν ἐχόντων. μετὰ ταῦτα δὲ πᾶν ὅσον ἦν στρατιωτικὸν συναγαγὼν, πολὺ δ' ἦν κατὰ μέρη διῃρημένον, καὶ τῶν ταγμάτων τὸ δέκατον, ἔγνω στρατεύειν ἐπὶ μαχαιροῦντα. πάνυ γὰρ ἦν ἀναγκαῖον ἐξαιρεθῆναι τὸ φρούριον, μὴ διὰ τὴν ὀχυρότητα πολλοὺς εἰς ἀπόστασιν ἐπαγάγηται. καὶ γὰρ τοῖς κατέχουσι βεβαίαν ἐλπίδα σωτηρίας, καὶ τοῖς ἐπιοῦσιν ὄκνον καὶ δέος, ἡ τοῦ χωρίου φύσις ἦν παρασχεῖν ἱκανωτάτη.

Κεφ. κα.

Αὐτὸ μὲν γὰρ τὸ τετειχισμένον, πετρώδης ὄχθος ἐστὶν, εἰς μήκιστον ὕψος ἐγηγερμένος, ὡς εἶναι καὶ διὰ τοῦτο δυσχείρωτος· μεμηχάνηται δ' ὑπὸ τῆς φύσεως εἶναι μηδὲ προσβατός· φάραγξι γὰρ πάντοθεν ἀσυνόπτοις ἐχούσαις τὸ βάθος περιτετάφρευται, μήτε περαθῆναι ῥᾳδίως δυναμέναις, καὶ χωσθῆναι παντάπασιν ἀμηχάνοις. ἡ μὲν γὰρ ἀπὸ τῆς ἑσπέρας περιτέμνουσα, παρατείνει σταδίοις ἑξήκοντα, πέρας αὐτῆς τὴν ἀσφαλτῖτιν ποιουμένη λίμνην. κατὰ τοῦτο δέ πῃ, καὶ αὐτὸς ὁ μαχαιροῦς, τὴν ὑψηλοτάτην ἔχει κορυφὴν ὑπεραίρουσαν. αἱ δὲ ἀπὸ τῆς ἄρκτου καὶ μεσημβρίας φάραγγες, μεγέθει μὲν ἀπολείπονται τῆς προειρημένης, ὁμοίως δ' εἰσὶν ἀμήχανοι πρὸς ἐπιχείρησιν. τῆς δὲ πρὸς τὴν ἀνατολὴν φάραγγος, τὸ μὲν βάθος οὐκ ἔλαττον ἑκατὸν εὑρίσκεται πηχῶν· τέρμα δὲ γίνεται πρὸς ὄρος ἀπαντικρὺ κείμενον μαχαιροῦντος. ταύτην τοῦ τόπου κατιδὼν τὴν φύσιν βασιλεὺς ἰουδαίων ἀλέξανδρος, πρῶτος ἐπ' αὐτοῦ τειχίζει φρούριον, ὃ μετὰ ταῦτα γαβίνιος ἀριστοβούλῳ πολεμῶν καθεῖλεν. ἡρώδῃ δὲ βασιλεύοντι, παντὸς ἔδοξε μᾶλλον ἐπιμελείας ἄξιον εἶναι, καὶ κατασκευῆς ὀχυρωτάτης, μάλιστα καὶ διὰ τὴν ἀράβων γειτνίασιν. κεῖται γὰρ ἐν ἐπικαίρῳ πρὸς τὴν ἐκείνων γῆν ἀποβλέπον. μέγα μὲν οὖν τόπον τείχεσι καὶ πύργοις περιβαλὼν, πόλιν ἐνταῦθα κατῴκισεν, ἐξ ἧς ἄνοδος εἰς αὐτὴν ἔφερε τὴν ἀκρόρειαν. οὐ μὴν ἀλλὰ καὶ περὶ αὐτὴν ἄνω τὴν κορυφὴν τεῖχος ἐδείματο, καὶ πύργους ἐπὶ ταῖς γωνίαις ἑκατὸν ἑξήκοντα πηχῶν ἀνέστησε, μέσον δὲ τοῦ περιβόλου, βασίλειον ᾠκοδομήσατο, μεγέθει τε καὶ κάλλει τῶν οἰκήσεων πολυτελές. πολλὰς δὲ καὶ δεξαμενὰς εἰς ὑποδοχὴν ὕδατος, καὶ χορηγίαν ἄφθονον, ἐν τοῖς ἐπιτηδειοτάτοις τῶν τόπων κατεσκεύασεν, ὥσπερ πρὸς τὴν φύσιν ἁμιλληθεὶς, ἵν' αὐτὸς τὸ κατ' ἐκείνην τοῦ τόπου δυσάλωτον ὑπερβάληται ταῖς χειροποιήτοις ὀχυρώσεσιν. ἔτι τε γὰρ καὶ βελῶν πλῆθος, καὶ μηχανημάτων ἐγκατέθετο, καὶ πᾶν ἐπενόησεν ἑτοιμάσασθαι τὸ παρασχεῖν δυνάμενον τοῖς ἐνοικοῦσι μηκί-

ἐκκλίσεως πολιορκίας καταφρόνησιν.

Κεφ. κβ. Ἐπεφύκει δ' ἐν τοῖς βασιλείοις πήγανον, ἄξιον τοῦ μεγέθους θαυμάσαι· συκῆς γὰρ οὐδεμιᾶς ὕψους καὶ πάχους ἀπελείπετο. λόγος δ' ἦν ἀπὸ τῶν Ἡρώδου χρόνων αὐτὸ διαρκέσαι, κἂν ἐπὶ πλεῖστον ἴσως ἔμεινεν, ἐξεκόπη δ' ὑπὸ τῶν παραλαβόντων τὸν τόπον Ἰουδαίων.

Κεφ. κγ. Τῆς φάραγγος δὲ τῆς κατὰ τὴν ἄρκτον περιεχούσης τὴν πόλιν, Βαάρας ὀνομάζεταί τις τόπος, φύει τε ῥίζαν ὁμωνύμως λεγομένην αὐτῷ· αὕτη φλογὶ μὲν τὴν χροιὰν ἔοικε, περὶ δὲ τὰς ἑσπέρας σέλας ἀπαστράπτουσα τοῖς ἐπιοῦσι καὶ βουλομένοις λαβεῖν αὐτὴν, οὐκ ἔστιν εὐχείρωτος, ἀλλ' ὑποφεύγει, καὶ οὐ πρότερον ἵσταται πρὶν ἄν τις οὖρον γυναικὸς, ἢ τὸ ἔμμηνον αἷμα χέῃ κατ' αὐτῆς. οὐ μὴν, ἀλλὰ καὶ τότε τοῖς ἁψαμένοις πρόδηλός ἐστι θάνατος, εἰ μὴ τύχῃ τις αὐτὴν ἐκείνην ἐπενεγκάμενος τὴν ῥίζαν ἐκ τῆς χειρὸς ἀπηρτημένην. ἁλίσκεται δὲ καὶ καθ' ἕτερον τρόπον ἀκινδύνως, ὅς ἐστι τοιόσδε. κύκλῳ πᾶσαν αὐτὴν περιορύσσουσιν, ὡς εἶναι τὸ κρυπτόμενον τῆς ῥίζης βραχύτατον, εἶτ' ἐξ αὐτῆς ἀποδοῦσι κύνα, κἀκείνου τῷ δήσαντι συνακολουθεῖν ὁρμήσαντος, ἡ μὲν ἀνασπᾶται ῥᾳδίως. θνήσκει δ' εὐθὺς ὁ κύων, ὥσπερ ἀντιδοθεὶς τοῦ μέλλοντος τὴν βοτάνην ἀναιρήσεσθαι. φόβος γὰρ οὐδεὶς τοῖς μετὰ ταῦτα λαμβάνουσιν. ἔστι δὲ μετὰ τοσούτων κινδύνων, διὰ μίαν ἰσχὺν περισπούδαστος. τὰ γὰρ καλούμενα δαιμόνια, ταῦτα δὲ πονηρῶν ἐστιν ἀνθρώπων πνεύματα, τοῖς ζῶσιν εἰσδυόμενα καὶ κτείνοντα τοὺς βοηθείας μὴ τυγχάνοντας, αὕτη ταχέως ἐξελαύνει, κἂν προσενεχθῇ μόνον τοῖς νοσοῦσι.

Κεφ. κδ. Ῥέουσι δὲ καὶ θερμῶν ὑδάτων πηγαὶ κατὰ τὸν τόπον, πολὺ τῇ γεύσει ἀλλήλων διαφέρουσαι. πικραὶ μὲν γὰρ αὐτῶν τινές εἰσιν, αἱ δὲ γλυκύτητος οὐδὲν ἀπολείπουσι. πολλαὶ δὲ καὶ ψυχρῶν ὑδάτων ἀναδόσεις, οὐ μόνον ἐν τῷ χθαμαλωτέρῳ τὰς πηγὰς παραλλήλους ἔχουσιν· ἀλλ' ὡς ἄν τις μᾶλλον θαυμάσειε· σπήλαιον γάρ τι πλησίον ὁρᾶται κοιλότητι μὲν οὐ βαθύ, τῇ πέτρᾳ δὲ προυχούσῃ σκεπόμενον. ταύτης ἄνωθεν ὡσανεὶ μαστοὶ δύο ἀνέχουσιν, ἀλλήλων ὀλίγῳ διεστῶτες, καὶ ψυχροτάτην μὲν ἅτερος πηγήν, ἅτερος δὲ θερμοτάτην ἐκδίδωσιν. αἳ μισγόμεναι, ποιοῦσι λουτρὸν ἥδιστον, παιώνιόν τε νοσημάτων πολλῶν, μάλιστα δὲ νεύρων ἄκεσιν. ἔχει δ' ὁ τόπος καὶ θείου, καὶ στυπτηρίας μέταλλα.

Κεφ. κε. Βάσσος δὲ πάντη περισκεψάμενος τὸ χωρίον, ἔγνω ποιεῖσθαι τὴν πρόσοδον, χωννὺς τὴν φάραγγα τὴν πρὸς ταῖς ἀνατολαῖς, καὶ τῶν ἔργων εἴχετο, σπουδὴν ποιούμενος ἢ τάχος ἐξᾶραι τὰ χώματα, καὶ δι' αὐτῶν ῥᾳδίαν ποιῆσαι τὴν πολιορκίαν. οἱ δ' ἔνδον ἀπειλημμένοι τῶν Ἰουδαίων, αὐτοὶ καθ' ἑαυτοὺς ἀπὸ τῶν ξένων διακριθέντες, ἐκείνους μὲν ἠνάγκασαν ὄχλον ἄλλως εἶναι νομίζοντες, ἐν τῇ κάτω πόλει παραμένειν, καὶ τοὺς κινδύνους προεκδέχεσθαι. τὸ δ' ἄνω φρούριον αὐτοὶ καταλαβόντες εἶχον, καὶ διὰ τὴν ἰσχὺν τῆς ὀχυρότητος, καὶ προνοίᾳ τῆς σωτηρίας αὐτῶν. τεύξεσθαι γὰρ ἀφέσεως ὑπελάμβανον, εἰ τὸ χωρίον Ῥωμαίοις ἐγχειρίσαιεν. πεῖραν δὲ πρότερον ἐβούλοντο τὰς ὑπὲρ τοῦ διαφεύξεσθαι τὴν πολιορκίαν ἐλπίδας ἐλέγξαι. διὰ τοῦτο καὶ προθύμως ἐποιοῦντο τὰς ἐξόδους ἀνὰ πᾶσαν ἡμέραν, καὶ τοῖς τυχοῦσι συμπλεκόμενοι, πολλοὶ μὲν ἔθνησκον, πολλοὺς δὲ τῶν Ῥωμαίων ἀνῄρουν.

A obsidionis præstare contemptum. Erat autem in ipsa regia ruta mirabilis magnitudinis: à nulla enim ficu vel celsitudine, vel magnitudine vincebatur. Ferebant autem eam ex Herodis temporibus perseuerasse: mansisétque vlterius profectò, sed ab Iudæis qui locum ceperant excisa est. Vallis autem, qua ciuitas à parte Septentrionali cingitur, quidem locus Baaras appellatur, vbi radix eodem nomine gignitur: quæ flammæ quidem assimilis est colore, circa vesperam verò veluti iubare fulgu-B rans, accedentibus eámque euellere cupientibus facilis nō est: sed tam diu refugit, nec prius manet, quàm si quis vrinam muliebrem vel menstruum sanguinem super eam fuderit. quinetiam tunc si quis eam tetigerit, mors certa est, nisi forte illam ipsam radicem ferat de manu pendentem. Capitur autem alio quoque modo sine periculo, qui talis est: Totam enim circumfodiunt, ita vt minimum ex ra-C dice terra sit conditum. deinde ab ea religant canem: illóque sequi eum à quo relegatus est cupiente, radix quidem facilè euellitur: canis verò continuò moritur, tanquam eius vice à quo herba tollenda erat, traditus. nullus enim postea accipientibus metus est. Tantis autem periculis propter vnam vim capi eam operæ precium est. Nam quæ vocantur dæmonia, pessimorum hominum spiritus, viuis immersa, eósque necantia quibus subuen-D tum non fuerit: hæc citò, etiam si tantummodo admoueatur ægrotantibus, abigit. Fluunt autem ex eo loco aquarum fontes etiam calidarum, multum inter se sapore diuersi. Alij nanque amari sunt: aliis nihil dulcedinis deest. Multi autem frigidæ aquæ ortus, non solum in humilioribus locis fontes alternos habent: sed quod amplius quis miretur, in proximo quædam spelunca cernitur, non quidem altè caua, saxo autem immi-E nente protecta: super hoc veluti duæ mammæ inter se paululum distantes eminent: & altera quidem frigidissimum fontem, altera calidissimum fundit: qui mixti lauacrum suauissimum præbent, multísque morbis ac vitiis salutare: maximè verò neruorum curationi conueniens: habétque idem locus metalla sulfuris & aluminis. Bassus autem contemplatus vndique regionem, valle Orientali repleta accessum parare statuit: opúsque inchoauit, pro-F perans aggerem quàm plurimum extollere, facilémque per eum oppugnationem facere. Qui verò intus fuerant deprehensi, ab externis segregati Iudæi, illos quidem coëgêre, inane vulgus esse existimantes, inferiorem obseruare ciuitatem, ac pericula priores excipere: superius verò castellum ipsi occupatum tenebant, & propter munitionis firmitatem, & vt saluti suæ consulerent. Impetraturos enim se veniam opinabantur, si locum G tradidissent Romanis. Priùs autem volebant spem declinandæ obsidionis experiendo conuincere: ideóque alacri animo in dies singulos excursus habebant, & cum his quos sors obtulisset consertis manibus, multi moriebantur, multósque Romanos interficiebāt.

ſemper autem vtriſque ex tempore plus victoriæ captabatur: Iudæis quidem, ſi incautiores aggrederentur: in aggere autem poſitis, ſi improuiſum excurſum eorum bene ſepti armis exciperent. Sed non is erat finis obſidionis futurus. Res autem quædam fortuitò geſta, inopinatam caſtelli tradendi neceſſitatem Iudæis impoſuit. Erat inter obſeſſos iuuenis & audacia ferox, & manu ſtrenuus, Eleazarus nomine. is autem fuerat excurſibus nobilis, multos egredi aggeſtúmque prohibere cogitans, & in præliis ſemper grauiter Romanos afficiens: audaciáque ſua ſocios proſequens, impetum quidem facilem his, periculo autem vacuum diſceſſum efficiebat nouiſſimus recedendo. Itaque diſcreta quodam die pugna, & vtraque parte digreſſa, ipſe tanquam deſpiciens omnes, exiſtimans neminem tunc hoſtium prælium excepturum, extra portam remanſit: & in muro ſtantes alloquebatur tota mente illos attendens. Hanc autem opportunitatem vidit quidam ex caſtris Romanorum Ægyptius, nomine Rufus: & quod nemo ſperaſſet, impetu facto cum ipſis eum armis repente correptum, cùm hoc viſo ſtantes in muro ſtupor teneret, in caſtra Romanorum traduxit. Poſtquam verò dux nudum præcepit extendi, & in aperto conſtitutum, vt ex ciuitate conſpiceretur, cædi verberibus, vehementer Iudæos confudit caſus iuuenis, vniuerſáque ciuitas in fletu erat & queſtibus, vnius viri clade percuſſa. Id vbi Baſſus animaduertit, cõſiliorum aduerſus hoſtes hoc principium ſumpſit: eorúmque miſerationem augere cupiens, quatenus coacti pro eius ſalute caſtelli traditionem facerent, quod ſperauit adeptus eſt. Nam ipſe quidem, velut mox Eleazarum ſuſpenſurus, crucem defigi iuſſit. ea verò conſpecta, maior caſtellanos dolor inuaſit, & vlulando querebantur, intolerabilem eſſe calamitatem vociferantes. Tũc igitur Eleazarus eos orabat, ne vel ſe deſpicerent, mortem miſerrimam ſubiturum, ſibíque ipſis ſalutem præberent, poſtquam iam ſubacti omnes Romanorum viribus fortunæ concederent. Illi autem & eius ſermone fracti, & quod multi intus pro eo precabantur (ex magna enim & numeroſa cognatione genus ducebat) & contra ingenium ſuũ miſericordia victi ſunt: & quibuſdam celeriter miſſis colloquebantur, caſtelli traditionem facere petentes, ac reddito ſibi Eleazaro, ſine metu dimitti. Cùm autem his aſſenſus eſſet dux Romanorum, multitudo ciuitatis inferioris, inita ſeparatim cum Iudæis cognita pactione, ipſi clàm nocte aufugere ſtatuêre. Cùm verò portas aperuiſſent, ab his qui deditionem promiſerant ad Baſſum nuncius venit, ſiue inuidia ſalutis eorum ſiue formidine, ne eorum fugæ cauſam ipſi præſtarent. Sed fortiſſimi quidem fugientium, qui præceſſerant, euasêre. reliquorum autem viri quidẽ mille ſeptingenti perempti ſunt, mulierculæ verò & pueri

ἀεὶ δὲ τοῦ κρατεῖν ὁ καιρὸς ἐβράβευεν ἑκατέροις τὸ πλέον· τοῖς μὲν Ἰουδαίοις, εἰ πρὸς ἀφυλακτοτέροις προσπέσοιεν. τοῖς δὲ τῶν χωμάτων προσοικοδομοῦσιν, εἰ τὴν ἐκδρομὴν αὐτῶν δέχοιντο πεφραγμένως. ἀλλ' οὐκ ἐν τούτοις ἔμελλε γενήσεσθαι τὸ πέρας τῆς πολιορκίας, ἔργον δέ τι πραχθὲν ἐκ συντυχίας παράλογον, τῆς παραδόσεως τοῦ φρουρίου τὴν ἀνάγκην ἐπέστησε τοῖς Ἰουδαίοις. ἦν ἐν τοῖς πολιορκουμένοις νεανίας τολμῆσαί τε θρασὺς, καὶ κατὰ χεῖρα δραστήριος, Ἐλεάζαρος ὄνομα. γεγόνει δ' οὗτος ἐν ταῖς ἐκδρομαῖς ἐπιφανὴς, τοὺς πολλοὺς ἐξιέναι καὶ κωλύειν τὴν χῶσιν παρακαλῶν, καὶ κατὰ τὰς μάχας πολλὰ καὶ δεινὰ τοὺς Ῥωμαίους διατιθείς. τοῖς δὲ σὺν αὐτῷ τολμῶσιν ἐπεκθεῖν ῥᾳδίαν μὲν τὴν προσβολὴν τιθέμενος, ἀκίνδυνον δὲ παρέχων τὴν ἀναχώρησιν, τῷ τελευταῖος ἀπιέναι. καί ποτε τῆς μάχης διακριθείσης, καὶ γενομένης ἀμφοτέρων ἀναχωρήσεως, αὐτὸς ἅτε δὴ περιφρονῶν, καὶ νομίζων οὐκ ἂν ἔτι τῶν πολεμίων οὐδένα τότε μάχης ἄρξειν, μείνας τῶν πυλῶν ἔξω, τοῖς ἐπὶ τοῦ τείχους διελάλει, καὶ πᾶς πρὸς ἐκείνοις τὴν διάνοιαν ἦν. ὁρᾷ δὲ αὐτὸν τοῦ Ῥωμαϊκοῦ τις στρατοπέδου Ῥοῦφος γένος Αἰγύπτιος, καὶ μηδενὸς ἂν προσδοκήσαντος, ἐξαίφνης ἐπιδραμὼν, σὺν αὐτοῖς ἀράμενος αὐτὸν τοῖς ὅπλοις, ἕως κατεῖχε τοὺς ἀπὸ τῶν τειχῶν ἰδόντας ἔκπληξις, φθάνει τὸν ἄνδρα μεταθεὶς πρὸς τὸ Ῥωμαίων στρατόπεδον. τοῦ δὲ στρατηγοῦ κελεύσαντος γυμνὸν διαλαβεῖν αὐτὸν, καὶ καταστήσαντος εἰς τὸ φανερώτατον τοῖς ἐκ τῆς πόλεως ἀποβλέπουσι μάστιξιν αἰκίζεσθαι, σφόδρα τοὺς Ἰουδαίους τὸ περὶ τὸν νεανίαν πάθος συνέχεεν. ἀθρόα δ' ἡ πόλις ἀνῴμωξε, καὶ θρῆνος ἦν μείζων ἢ καθ' ἑνὸς ἀνδρὸς συμφοράν. τοῦτο συνιδὼν ὁ Βάσσος κατὰ τῶν πολεμίων ἀρχὴν ἐποιήσατο στρατηγήματος, καὶ βουληθεὶς αὐτῶν ἐπιτεῖναι τὸ περιαλγὲς, ἵνα βιασθῶσιν ἀντὶ τῆς σωτηρίας τἀνδρὸς ποιήσασθαι τοῦ φρουρίου παράδοσιν, τῆς ἐλπίδος οὐ διήμαρτεν. ὁ μὲν γὰρ προσέταξε καταπηγνύναι σταυρὸν, ὡς αὐτίκα κρεμῶν τὸν Ἐλεάζαρον. τοῖς δ' ἀπὸ τοῦ φρουρίου τοῦτο θεασαμένοις, ὀδύνη τε πλείων προσέπεσε, καὶ διωλύγιον ἀνῴμωζον, οὐκ ἀνασχετὸν εἶναι τὸ πάθος βοῶντες. ἐνταῦθα δὴ τοίνυν Ἐλεάζαρος ἱκέτευεν αὐτοὺς, μήτ' αὐτὸν περιιδεῖν ὑπομείναντα θάνατον τὸν οἴκτιστον, καὶ σφίσιν αὐτοῖς τὴν σωτηρίαν παρασχεῖν, τῇ Ῥωμαίων εἴξαντας ἰσχύϊ καὶ τύχῃ, μετὰ πάντας ἤδη κεχειρωμένους. οἱ δὲ, καὶ πρὸς τοὺς ἐκείνου λόγους κατακλώμενοι, καὶ πολλῶν ἔνδον ὑπὲρ αὐτοῦ δεομένων, ἦν γὰρ μεγάλης καὶ σφόδρα πολυανθρώπου συγγενείας, παρὰ τὴν αὑτῶν φύσιν εἰς οἶκτον ἐνέδωκαν. καί τινας ἐξαποστείλαντες κατὰ τάχος, διελέγοντο ποιεῖσθαι τὴν παράδοσιν τοῦ φρουρίου ἀξιοῦντες, ἵνα ἀδεεῖς ἀπαλλάττωνται, κομισάμενοι τὸν Ἐλεάζαρον. δεξαμένων δὲ τῶν Ῥωμαίων, καὶ τοῦ στρατηγοῦ ταῦτα, τὸ πλῆθος τὸ ἐν τῇ κάτω πόλει, τὴν γενομένην ἰδίᾳ τοῖς Ἰουδαίοις πυθόμενοι σύμβασιν, αὐτοὶ κατὰ νύκτα λαθόντες ἔγνωσαν ἀποδρᾶναι. τὰς πύλας δ' αὐτῶν ἀνοιξάντων, παρὰ τῶν τὴν ὁμολογίαν πεποιημένων πρὸς τὸν Βάσσον ἧκε μηνύσεις, εἴτ' οὖν τῆς σωτηρίας αὐτοῖς φθονησάντων, εἴτε καὶ διὰ δέος μὴ τὴν αἰτίαν αὐτοὶ λάβωσι τῆς ἐκείνων ἀποδράσεως. οἱ μὲν οὖν ἀνδρειότατοι τῶν ἐξιόντων, ἔφθασαν διεκπαίσασθαι καὶ διέφυγον. τῶν δ' ἔνδον καταληφθέντων, ἄνδρες μὲν ἀνῃρέθησαν, ἐπὶ τοῖς χιλίοις ἑπτακόσιοι, γύναια δὲ καὶ παῖδες ἠνδραπο-

ἠνδραποδίσθησαν. τὰς δὲ πρὸς τοὺς παραδόντας τὸ φρούριον ὁμολογίας, οἰόμενος δεῖν ὁ Βάσσος διαφυλάττειν, αὐτούς τ' ἀφίησι, καὶ τὸν Ἐλεάζαρον ἀπέδωκε.

Κεφ. κϛ.

Ταῦτα δὲ διοικησάμενος, ἠπείγετο τὴν στρατιὰν ἄγων ἐπὶ τὸν προσαγορευόμενον Ἰάρδην δρυμόν. πολλοὶ γὰρ εἰς αὐτὸν ἠγγέλθησαν ἠθροῖσθαι, τῶν κατὰ τὰς πολιορκίας πρότερον, ἔκ τε Ἱεροσολύμων καὶ Μαχαιροῦντος ἀποδράντων. ἐλθὼν οὖν ἐπὶ τὸν τόπον, καὶ γνοὺς τὴν ἀγγελίαν οὐκ ἐψευσμένην, πρῶτον μὲν τοῖς ἱππεῦσιν ἅπαν κυκλοῦται τὸ χωρίον, ὅπως τοῖς διεκπαίεσθαι τολμῶσι τῶν Ἰουδαίων, ἄπορος ἡ φυγὴ γίγνηται διὰ τοὺς ἱππέας. τοὺς δὲ πεζοὺς ἐκέλευε δενδροτομεῖν τὴν ὕλην, εἰς ἣν καταπεφεύγεσαν. καθίστανται δὲ διὰ τοῦτο πρὸς ἀνάγκην οἱ Ἰουδαῖοι, τοῦ δρᾶν τι γενναῖον, ὡς ἐκπαραβόλως ἀγωνίσασθαι. τάχα ἂν καὶ διαφυγόντες ἀθρόοι δή, καὶ μετὰ βοῆς ἀΐξαντες, ἐνέπιπτον τοῖς κεκυκλωμένοις. οἱ δ' αὐτοὺς ἐδέχοντο καρτερῶς, καὶ πολλῇ, τῶν μὲν ἀπονοίᾳ, τῶν δὲ φιλονεικίᾳ χρωμένων, χρόνος μὲν οὐκ ὀλίγος διὰ τοῦτο τῇ μάχῃ προὔβη, τέλος δ' αὐτοῖς οὐχ ὅμοιον ἀπέβη τοῖς ἀγωνισαμένοις. Ῥωμαίων μὲν γὰρ δώδεκα τοὺς πάντας συνέβη πεσεῖν, ὀλίγους τε τρωθῆναι. τῶν Ἰουδαίων δ' ἐκ τῆς μάχης ταύτης οὐδεὶς διέφυγεν, ἀλλ' ὄντες οὐκ ἐλάττους τρισχιλίων, πάντες ἀπέθανον, καὶ στρατηγὸς αὐτῶν Ἰούδας ὁ τοῦ Ἀρεῖ παῖς, περὶ οὗ πρότερον εἰρήκαμεν, ὅτι τάξεως ἡγούμενός τινος ἐν τῇ πολιορκίᾳ τῶν Ἱεροσολύμων, κατά τινας διαδὺς τῶν ὑπονόμων, ἔλαθεν ἀποδράς.

Κεφ. κζ.

Περὶ δὲ τὸν αὐτὸν καιρὸν ἐπέστειλε Καῖσαρ Βάσσῳ, καὶ Λιβερίῳ Μαξίμῳ. οὗτος δ' ἦν ἐπίτροπος, κελεύων πᾶσαν ἀποδόσθαι τῶν Ἰουδαίων. οὐ γὰρ κατῴκισεν ἐκεῖ πόλιν, ἰδίαν αὐτῷ τὴν χώραν φυλάττων. ὀκτακοσίοις δὲ μόνοις ἀπὸ τῆς στρατιᾶς διαφειμένοις, χωρίον ἔδωκεν εἰς κατοίκησιν, ὃ καλεῖται μὲν Ἀμμαοῦς, ἀπέχει δὲ τῶν Ἱεροσολύμων σταδίους ἑξήκοντα. φόρον δὲ τοῖς ὅπου δήποτ' οὖσιν Ἰουδαίοις ἐπέβαλε, δύο δραχμὰς ἕκαστον κελεύσας ἀνὰ πᾶν ἔτος εἰς τὸ Καπετώλιον φέρειν, ὥσπερ πρότερον εἰς τὸν ἐν Ἱεροσολύμοις νεὼν συνετέλουν. καὶ τὰ μὲν Ἰουδαίων τότε τοιαύτην εἶχε κατάστασιν.

Κεφ. κη.

Ἤδη δ' ἔτος τέταρτον Οὐεσπασιανοῦ διέποντος τὴν ἡγεμονίαν, συνέβη τὸν βασιλέα τῆς Κομμαγηνῆς Ἀντίοχον, μεγάλαις συμφοραῖς πανοικεσίᾳ περιπεσεῖν ἀπὸ τοιαύτης αἰτίας. Καισέννιος Πέτος, ὁ τῆς Συρίας ἡγεμὼν τότε καθεστηκώς, εἴτ' οὖν ἀληθεύων, εἴτε καὶ διὰ τὴν πρὸς Ἀντίοχον ἔχθραν, οὐ σφόδρα γὰρ τὸ σαφὲς ἠλέγχθη, γράμματα πρὸς Καίσαρα διέπεμψε, λέγων τὸν Ἀντίοχον μετὰ τοῦ παιδὸς Ἐπιφανοῦς, διεγνωκέναι Ῥωμαίων ἀφίστασθαι, συνθήκας πρὸς τὸν βασιλέα τῶν Πάρθων πεποιημένον· δεῖν οὖν προκαταλαβεῖν αὐτούς, μὴ φθάσαντες τῶν πραγμάτων ἄρξασθαι, πᾶσαν τὴν Ῥωμαίων ἀρχὴν πολέμῳ συνταράξωσιν. ἔμελλε δὲ Καῖσαρ τοιοῦτον μηνύματος αὐτῷ προσπεσόντος μὴ περιορᾶν. καὶ γὰρ ἡ γειτνίασις τῶν βασιλέων, ἐποίει τὸ πρᾶγμα μείζονος ἄξιον προνοίας. τὰ γὰρ Σαμόσατα τῆς Κομμαγηνῆς μεγίστη πόλις, κεῖται παρὰ τὸν Εὐφράτην, ὥστ' εἶναι τοῖς Πάρθοις, εἴ τι τοιοῦτον διενενόηντο, ῥᾴστην μὲν τὴν διάβασιν, βεβαίαν δὲ τὴν ὑποδοχήν. πιστευθεὶς οὖν Πέτος,

A in seruitium ducti. Sponsiones autem cum his qui castellum dedidêre habitas, Bassus conseruandas esse ratus, & ipsos dimisit, Elezarum reddidit.

CA. XXVI. De Iudæis à Basso interemptis & Iudæa vendita.

His autem administratis, in saltum, qui appellatur Iardes, ducere properabat exercitum, multi enim illuc congregati esse nunciabantur qui pridem tempore obsidionis, ex Hierosolymis & Machærunte profugerant. Ergo cùm ad locum venisset, neque falsum fuisse B nuncium perisset, primò quidem omnem locum cum equitibus cingit: vt si quis Iudæorum conatus fuisset euadere, fugiendi per equites copiam non haberet. pedites autem syluam iussit cædere, in quam confugerant. Hoc modo ad necessitatem adducti sunt, fortiter aliquid faciendi, velut ex audaci certamine fortasse fugam etiam reperirent. Itaque simul vniuersi, & cum clamore impetu facto, in eos à quibus cincti fuerant, irruunt. Illi autem fortiter C excipiebant: multáque his audacia, illis contentione vsis, diu quidem prælium tractum est, non autem similis euenit finis pugnæ certantibus. Nam Romanorum quidem duodecim tantùm contigit occumbere, neque multos sauciari: Iudæorum verò ex illo prælio nullus euasit. Sed cùm non essent pauciores tribus millibus, prostrati sunt omnes: corúmque dux Iudas Iairi filius, de quo suprà meminimus, qui ordini cuidam præpositus D cùm Hierosolyma obsideretur, quibus demersus fuerat cloacis, latenter effugit. Eodem verò tempore Cæsar etiam ad Liberium Maximum scripsit (erat autem procurator) vt omnem terram venderet Iudæorum. nec enim ciuitatem in ea condidit proprium seruans sibi eorum agrum. Solis autem octingentis militibus illic relictis, locum dedit quem incolerent, qui vocatur Ammaus. distat autem ab E Hierosolymis triginta stadiis. Stipendium verò vbicunque degerent Iudæis indixit: binásque drachmas singulis annis deferre in Capitolium iussit, ita vt antehac Hierosolymorum templo pendebant. Et res quidem Iudæorum illo tempore hunc statum habebant.

CA. XXVII. De clade Antiochi regis & eruptione Alanorum in Armeniam.

Iam verò quarto anno Vespasiano administrante imperium, contigit Comagenes regem Antiochum in maximas clades cum tota domo incurrere, ex causa huiusmodi. Cæ- F sennius Petus, qui tunc Syriam administrabat, siue re vera, seu propter inimicitias Antiochi (certum non valde patefactum est) literas ad Cæsarem misit, Antiochum dicens deficere ab Romanis cum Epiphane filio decreuisse, pactis habitis cum rege Parthorum: proptereáque debere illos antè capere: ne si priores nouas res adorti essent, totum Romanorum imperium bello perturbarent. Non erat au- G tem Cæsar huiusmodi nuncium ad se perlatum neglecturus. Nam vicinitas regum, maiore negocium prouidentia dignum esse faciebat. Samosata enim Comagenes maxima ciuitas, iuxta Euphratem sita est, vt esset Parthis (eò namque id cogitauêre) facillimus transitus, tutũ autẽ receptaculũ. Fide igitur habita,

& potestate sibi permissa, vt ageret quod expedire videretur, negligendum non putauit. Subitò tamen, Antiocho eiúsque sociis nihil opinantibus, in Comagenem ingressus est, ex legionibus quidem sextam ducens, & insuper quasdam cohortes alásque equitum. habebat autem auxilio reges, Chalcidicæ Aristobulum, Emesæque Sohemum. Introitus autem illis erat sine certamine, quòd nemo indigenarum manus valebat opponere. Antiochus enim insperato perculsus nuncio, bellum quidem contra Romanos nec cogitatione concepit. Decreuit autem, toto regno in eo quo erat statu relicto, cum coniuge ac liberis egredi, hoc se Romanis purum ab ea suspicione quæ sibi ingereretur probaturum esse ratus: progressúsque de ciuitate centum triginta propemodum stadiis. in campo tabernaculum ponit. Petus autem in Samosatam qui eam capesserent mittit, & per eos ciuitatem tenebat. ipse verò cum alio milite in Antiochum ire tendebat. Non tamen rex vel ipsa necessitate adductus est aduersum Romanos aliquid bellicum gerere: sed fortunam suam questus, quiduis pati sustinebat. adolescentibus autem, bellíque peritis, víque corporis præstantibus filiis eius non erat facilè in calamitate sine pugna durare. Itaque ad virtutē se conferunt Epiphanes & Callinicus. Vehementi autem pugna per totam diem habita, insigni fortitudine demonstrati sunt: nulláque parte suarum virium diminuta discedunt. Antiocho verò neque pugna hoc modo peracta manere domi tolerabile videbatur: sed abducta coniuge cum filiabus in Ciliciam fugit, atque hoc facto militum suorum animos fregit. nam veluti desperato ab eo regno defecêre, & ad Romanos se transtulêre, omniúmque erat desperatio. Ergo priusquam penitus destituerentur auxiliis, Epiphani cum cæteris seruare se ex hostibus erat necessarium. fiúntque omnes equites decem, qui cum his vnà transgressi sunt flumen Euphratem. hinc iam sine metu profecti, cùm ad Vologesem Parthorum regem venissent, non quasi profugi despecti sunt: sed ac si fortunam pristinam retinerent, omni honore dignati sunt. Antiochum verò, vbi Tarsum Ciliciæ venit, misso centurione Petus vinctum Romam transmisit. Vespasianus autem ita regem ad se deduci non passus est: dignius esse ratus, veteris amicitiæ habere rationem, quàm belli occasione inexorabilem iracundiam seruare. Itaque iubet ei iter agenti auferri vincula, intermissáque interim profectione Romam, apud Lacedæmonem degere: magnos verò ei pecuniæ reditus præbet, vt non modò copiosè, sed etiam regiè victum haberet. His Epiphanes & cæteri cognitis, qui patri antè metuebant, magna cura & inextricabili animos relaxarunt, & ipsi quoque spem reconciliandi cum Cæsare concepêre. Cùm autem etiā Vologeses de his scripsisset ad Cæsarem (nec enim quamuis feliciter agerent, extra Romanū viuere patiebantur imperium) & cùm Cæsar

καὶ λαβὼν ἐξουσίαν πράττειν ἃ δοκεῖ συμφέρειν, οὐκ ἐμέλλησεν. ἐξαίφνης δὲ τῶν περὶ τὸν ἀντίοχον οὐδὲν προσδοκώντων, εἰς τὴν κομμαγηνὴν ἐνέβαλε τῶν μὲν ταγμάτων ἄγων τὸ ἕκτον, καὶ πρὸς τούτῳ λόχους, καί τινας ἴλας ἱππέων. συνεμάχουν δὲ καὶ βασιλεῖς αὐτῷ, τῆς μὲν χαλκιδικῆς λεγομένης ἀριστόβουλος, τῆς ἐμέσης δὲ καλουμένης σόεμος. ἦν δ' αὐτοῖς τὰ περὶ τὴν εἰσβολὴν ἀνανταγώνιστα· τῶν γὰρ κατὰ τὴν χώραν, οὐδεὶς ἤθελε χεῖρας ἀνταίρειν. ἀντίοχος δὲ ἀγγελίας ἀδοκήτως προσπεσούσης, πολέμου μὲν οὐδ' ἐπίνοιαν πρὸς ῥωμαίους ἔσπασεν. ἔγνω δὲ πᾶσαν τὴν βασιλείαν ὡς εἶχεν ἐπὶ σχήματος καταλιπὼν, μετὰ γυναικὸς, καὶ τέκνων ὑπεξελθεῖν, οὕτως αὐτὸν οἰόμενος καθαρὸν ῥωμαίοις ἑαυτὸν ἀποδεῖξαι τῆς ἐπενηνεγμένης αἰτίας. καὶ προελθὼν ἀπὸ τῆς πόλεως ἑκατὸν σταδίους πρὸς τοῖς εἴκοσιν εἰς τὸ πεδίον, ἐν αὐτῷ καταυλίζεται. πέτος δ' ἐπὶ μὲν τὰ σαμόσατα τοὺς καταληψομένους ἀποστέλλει, καὶ δι' ἐκείνων εἶχε τὴν πόλιν, αὐτὸς δὲ μετὰ τῆς ἄλλης δυνάμεως ἐπ' ἀντίοχον ἐποιεῖτο τὴν ὁρμήν. οὐ μὴν ὁ βασιλεὺς οὐδ' ὑπὸ τῆς ἀνάγκης προήχθη πρᾶξαί τι πρὸς ῥωμαίους πολεμικὸν, ἀλλὰ τὴν αὑτοῦ τύχην ὀδυρόμενος, ὅ,τι δέοι παθεῖν ὑπέμενε. νέοις δὲ καὶ πολέμων ἐμπείροις, καὶ ῥώμῃ σωμάτων διαφέρουσιν, οὐ ῥᾴδιον ἦν τοῖς παισὶν αὐτοῦ τὴν συμφορὰν ἀμαχεὶ καρτερεῖν. τρέπονται οὖν πρὸς ἀλκὴν ἐπιφανής τε καὶ καλλίνικος. σφοδρᾶς δὲ τῆς μάχης καὶ παρ' ὅλην τὴν ἡμέραν γενομένης, αὐτοὶ τὴν ἀνδρείαν διαπρεπῆ παρέσχον, καὶ μηδὲν ἐλαττωθείσῃ τῇ σφετέρᾳ δυνάμει, ἑσπέρας διελύθησαν. ἀντιόχῳ δ' οὐδ' ἐπὶ τῇ μάχῃ τοῦτον κεχωρηκυίῃ τὸν τρόπον, μένειν ἀνεκτὸν ἐδόκει· λαβὼν δὲ τὴν γυναῖκα, καὶ τὰς θυγατέρας, μετ' ἐκείνων ἐποιεῖτο φυγὴν εἰς κιλικίαν, καὶ τοῦτο πράξας τὰ φρονήματα τῶν οἰκείων στρατιωτῶν κατέκλασεν. ὡς γὰρ ἀπεγνωσμένης ὑπ' αὐτοῦ τῆς βασιλείας ἀπέστησαν, καὶ πρὸς τοὺς ῥωμαίους μετεβάλλοντο, καὶ πάντων πρόδηλος ἦν ἀπόγνωσις. πρὶν οὖν τελείως ἐρημωθῆναι τῶν συμμάχων, τοῖς περὶ τὸν ἐπιφανῆ, σώζειν αὑτοὺς ἐκ τῶν πολεμίων ἦν ἀναγκαῖον. καὶ γίνονται δέκα σύμπαντες ἱππεῖς, οἱ μετ' αὐτοῦ τὸν εὐφράτην διαβάντες. ἔνθεν ἤδη μετ' ἀδείας πρὸς τὸν βασιλέα τῶν πάρθων βολογέσην κομισθέντες, οὐχ ὡς φυγάδες ὑπερηφανήθησαν, ἀλλ' ὡς ἔτι τὴν παλαιὰν ἔχοντες εὐδαιμονίαν, πάσης τιμῆς ἠξιώθησαν. ἀντιόχῳ δ' εἰς ταρσὸν ἀφιγμένῳ τῆς κιλικίας, ἑκατοντάρχην πέτος ἐπιπέμψας, δεδεμένον αὐτὸν εἰς ῥώμην ἀπέστειλεν. οὐεσπασιανὸς δ' οὐχ ὑπέμεινεν οὕτω πρὸς αὐτὸν ἀναχθῆναι τὸν βασιλέα, τῆς παλαιᾶς ἀξιῶν φιλίας μᾶλλον αἰδῶ λαβεῖν, ἢ διὰ τὴν τοῦ πολέμου πρόφασιν ἀπαραίτητον ὀργὴν διαφυλάττειν. κελεύει δὴ καθ' ὁδὸν ἔτ' ὄντος αὐτοῦ τὰ δεσμὰ ἀφαιρεθέντα, καὶ παρέντα τὴν εἰς τὴν ῥώμην ἄφιξιν, τὸ νῦν ἐν λακεδαίμονι διάγειν, δίδωσι τε μεγάλας αὐτῷ προσόδους χρημάτων, ὅπως μὴ μόνον ἄφθονον, ἀλλὰ καὶ βασιλικὴν ἔχοι τὴν δίαιταν. ταῦτα τοῖς περὶ τὸν ἐπιφανῆ πυθομένοις πρότερον σφόδρα περὶ τοῦ πατρὸς δεδιόσιν, ἀνείθησαν αἱ ψυχαὶ μεγάλης καὶ δυσδιαθέτου φροντίδος. ἐλπὶς δὲ καὶ αὐτοῖς τῶν παρὰ καίσαρος διαλλαγῶν ἐγένετο βολογέσου περὶ αὐτῶν ἐπιστείλαντος, οὐδὲ γὰρ εὐδαιμονοῦντες ὑπέμενον ἔξω τῆς ῥωμαίων ζῆν ἡγεμονίας. δόντος δὲ καίσαρος

ἡμέρας

ἡμέρας αὐτοῖς τῆς ἀδείας, εἰς ῥώμην παρεγένοντο, τοῦ τε πατρὸς ὡς αὐτοὺς ἐκ λακεδαίμονος εὐθὺς ἐλθόντος, πάσης ἀξιούμενοι τιμῆς, κατέμενον ἐνταῦθα.

Κεφ. κθ.

Τὸ δὲ τῶν ἀλανῶν ἔθνος, ὅτι μέν εἰσι σκύθαι περὶ τὸν τάναιν καὶ τὴν μαιῶτιν λίμνην κατοικοῦντες, πρότερον δήπου δεδηλώκαμεν. κατὰ τούτους δὲ τοὺς χρόνους διανοηθέντες εἰς τὴν μηδίαν, καὶ προσωτέρω ταύτης ἔτι καθ' ἁρπαγὴν ἐμβαλεῖν, τῷ βασιλεῖ τῶν ὑρκανῶν διαλέγονται. τῆς παρόδου γὰρ οὗτος δεσπότης ἐστὶν, ἣν ὁ βασιλεὺς ἀλέξανδρος πύλαις σιδηραῖς κλειστὴν ἐποίησε. κἀκείνου τὴν εἴσοδον αὐτοῖς παρασχόντος, ἀθρόοι καὶ μηδὲν προϋποπτεύουσι τοῖς μήδοις ἐπιπεσόντες, χώραν πολυάνθρωπον καὶ παντοίων ἀνάμεστον βοσκημάτων διήρπαζον, μηδενὸς αὐτοῖς τολμῶντος ἀνθίστασθαι. καὶ γὰρ ὁ βασιλεύων τῆς χώρας πάκορος ὑπὸ δέους εἰς τὰς δυσχωρίας ἀναφυγὼν, τῶν μὲν ἄλλων ἁπάντων παρακεχωρήκει, μόλις δὲ παρ' αὐτῶν ἐρρύσατο τήν τε γυναῖκα καὶ τὰς παλλακὰς αἰχμαλώτους γενομένας ἑκατὸν δοὺς τάλαντα. μετὰ πολλῆς οὖν ῥᾳστώνης ἀμαχεὶ ποιούμενοι τὰς ἁρπαγὰς, μέχρι τῆς ἀρμενίας προῆλθον, πάντα λεηλατοῦντες. τηριδάτης δ' αὐτῆς ἐβασίλευεν, ὃς ὑπαντιάσας αὐτοῖς, καὶ ποιησάμενος μάχην, παρὰ μικρὸν ἦλθεν ἐπ' αὐτῆς ζωὸς ἁλῶναι τῆς παρατάξεως. βρόχον γὰρ αὐτῷ τις πόρρωθεν περιβαλὼν ἔμελλεν ἐπισπάσειν, εἰ μὴ τῷ ξίφει θᾶττον ἐκεῖνος τὸν τόνον κόψας, ἔφθη διαφυγεῖν. οἱ δὲ καὶ διὰ τὴν μάχην ἔτι μᾶλλον ἀγριωθέντες, τὴν μὲν χώραν ἐλυμήναντο· πολὺ δὲ πλῆθος ἀνθρώπων, καὶ τῆς ἄλλης λείας ἄγοντες ἐξ ἀμφοῖν τῶν βασιλειῶν πάλιν εἰς τὴν οἰκείαν ἐκομίσθησαν.

Κεφ. λ.

Ἐπὶ δὲ τῆς ἰουδαίας βάσσου τελευτήσαντος, φλάβιος σίλβας διαδέχεται τὴν ἡγεμονίαν. καὶ τὴν μὲν ἄλλην ἅπασαν ὁρῶν τῷ πολέμῳ κεχειρωμένην, ἓν δὲ μόνον ἔτι φρούριον ἀφεστηκὸς, ἐστράτευσεν ἐπὶ τοῦτο πᾶσαν ἐν τοῖς τόποις δύναμιν συναγαγών. καλεῖται δὲ τὸ μὲν φρούριον μασάδα. προειστήκει δὲ τῶν κατειληφότων αὐτὸ σικαρίων δυνατὸς ἀνὴρ ἐλεάζαρος, ἀπόγονος ἰούδα τοῦ πείσαντος ἰουδαίων οὐκ ὀλίγους, ὡς πρότερον δεδηλώκαμεν, μὴ ποιεῖσθαι τὰς ἀπογραφὰς, ὅτε κυρήνιος τιμητὴς εἰς τὴν ἰουδαίαν ἐπέμφθη. τότε γὰρ οἱ σικάριοι συνέστησαν ἐπὶ τοὺς ὑπακούειν ῥωμαίων θέλοντας, καὶ πάντα τρόπον ὡς πολεμίοις προσεφέροντο, καὶ τὰς μὲν κτήσεις ἁρπάζοντες, καὶ περιελαύνοντες, ταῖς δ' οἰκήσεσιν αὐτῶν πῦρ ἐνιέντες. οὐδὲν γὰρ ἀλλοφύλων αὐτοὺς ἔφασκον διαφέρειν, οὕτως ἀγεννῶς τὴν περιμάχητον ἰουδαίοις ἐλευθερίαν προϊεμένους, καὶ δουλείαν αἱρεῖσθαι τὴν ὑπὸ ῥωμαίοις ὡμολογηκότας. ἦν δ' ἄρα τοῦτο πρόφασις εἰς παρακάλυμμα τῆς ὠμότητος, καὶ τῆς πλεονεξίας ὑπ' αὐτῶν λεγόμενον· σαφὲς δὲ διὰ τῶν ἔργων ἐποίησαν. οἱ μὲν γὰρ αὐτοῖς τῆς ἀποστάσεως ἐκοινώνησαν, καὶ τοῦ πρὸς ῥωμαίους συνήραντο πολέμου, καὶ παρ' ἐκείνων δὲ τολμήματα χείρω πρὸς αὐτοὺς ἐγένετο. κἀπὶ τῷ ψεύδεσθαι πάλιν τὴν πρόφασιν ἐξελεγχόμενοι, μᾶλλον ἐκάκουν τοὺς τὴν πονηρίαν αὐτῶν διὰ τῆς δικαιολογίας ὀνειδίζοντας. ἐγένετο γάρ πως ὁ χρόνος ἐκεῖνος παντοδαπῆς ἐν τοῖς ἰουδαίοις πονηρίας πολύφορος, ὡς μηδὲν κακίας ἔργον ἄπρακτον καταλιπεῖν, μηδ' εἴ τις ἐπίνοια διαπλάττειν ἐθελήσειεν

his mansuetè facultatem dedisset, Romam venerunt. patre autem ad eos ex Lacedæmone statim aduecto, cùm omnis honor eis haberetur, ibi mansêre. Alanorum autem natio, quod quidem Scythæ sint, iuxta flumen Tanain & Mæotides paludes sedes habentes, iam quodam loco memorauimus. His verò temporibus inito consilio, vt terram Mediam, & vlteriùs prædandi causa peruaderent, cum rege Hyrcanorum colloquuntur. namque is est illius transitus dominus: quem rex Alexander ita fecerat, vt portis ferreis clauderetur. Aditu autem sibi præbito, vniuersi nihil suspicantibus Medis incumbunt: eorúmque fines populosos, omnigenúmque pecorum plenos diripiebant, cùm resistere nullus auderet. Nam qui regnum eius terræ obtinebat Pacorus, metu perculsus, in difficiliora loca refugiens, cæteris quidem bonis omnibus cesserat: vix autem ab illis coniugem ac concubinas suas captas, datis centum talentis redemerat. Summa ergo facultate sine pugna prædabundi, & vsque ad Armeniam vastantes omnia processêre. Eius autem Tyridates rex erat. Qui cùm his obuius bello conflixisset, non multum absuit quin viuus in illa acie caperetur. Procul enim quidam misso in eum laqueo circumdatum tracturus fuerat, nisi celeriter gladio rupisset laqueum, atque ita fugisset. Illi autem pugna multo magis efferati, terram quidem depopulati sunt: magnam verò hominum multitudinē, aliámque ducentes prædam ex vtroque regno, ad sua domicilia rediêre.

CAP. XXVIII. Excidium Massadæ castelli munitissimi.

Apud Iudæam verò mortuo Basso, Flauius Silua in administratione succedit. & aliam quidem terram bello subactam videns, vnum autem adhuc rebelle superesse castellum, omni quæ in illis locis habebatur manu collecta, aduersus id militem mouit. Nomen est autem castello Massada. Princeps verò sicariorum, à quibus fuerat occupatum, erat vir præpotens Eleazarus, ex origine Iudæ, qui non paucis Iudæis persuaserat, vt antè diximus, ne professionem facerent, quando censor Cyrenius in Iudæam missus est. Tunc enim sicarij conspirauerunt in eos, qui Romanis dicto audientes esse vellent: omníque modo his quasi hostibus vtebantur, diripiendo quidē & abigendo eorum bona, ignem verò domibus iniiciendo. Nihil enim illos ab alienigenis differre dicebant, qui pugna etiam petendam Iudæorum libertatem tanta ignauia prodidissent: magísque se optare sub Romanis seruitium professi essent. Erat autem id planè causatio, & crudelitatis atque auaritiæ dicebatur obtentu: manifestum autem rebus effectum est. Nam iidem illi & defectionis socij fuerunt, & bellum cum Romanis communiter suscepêre. Causa verò peior illorum in eos facta est: & cùm mentita prior eorum refelleretur occasio, peius tractabant eos, qui nequitiæ suæ iustis assertionibus exprobrarent. Fuit enim quodammodo illud tēpus apud Iudæos omnium generum malitiæ fœcundissimum: vt nullum opus intermitteretur infectum: nec si quis excogitando fingere voluisset

haberet quò magis nouum aliquid inueniret. Ita & priuatim & communiter omnes vnum erant, & exuperare alium alius tam impietate quàm iniquitate in proximos certabant: potentes quidem multitudinem malè tractando, multitudo verò ad interitum potentium properando. Illis autem erat dominandi cupiditas, his autem vim faciendi, bonáque locupletum diripiendi. Primi quidem sicarij fuêre iniquitatis in propinquos & crudelitatis autores, nullo neque verbo indicto ad iniuriam, neque facto intẽtato ad exitium eorum quibus insidiarentur penitus prætermisso. Verùm & hos Ioannes moderatiores esse demonstrauit. Non solùm enim omnes interficiebat qui necessaria & profutura suaderent, tanquam inimicissimos maximè ciues eiusmodi impetens, sed etiam patriam malis plurimis cumulauit: qualia facturus fuerat qui Deum quoque iam esset ausus impietate contemnere. Nam & mẽsa nefaria vescebatur, & legitimam patriamque exterminauerat castimoniam: vt iam sit minimè mirum, si mansuetudinis communionem minimè seruabat hominibus, qui Dei pietatem furore contempserat. Rursus Simon Gioræ, quid mali non commisit, quáve liberorum corporum iniuria temperauit, qui eum creauêre tyrannum? Quæ verò eos amicitia, quæve cognatio ad quotidianas cædes non ferociores effecit? nanque alienos quidem malè tractare, inertis nequitiæ opus esse arbitrabantur: clarissimam verò gloriam parere crudelitatem in familiarissimos existimabant. Horum furoris æmuli, etiam Idumæi fuêre: illi enim sceleratissimi peremptis pontificibus, ne qua pars conseruaretur pietatis in Deum, totum quod ex ciuitatis facie supererat, abscidêre, summámque per omnia iniustitiam induxerunt: in qua illud hominum genus, qui Zelotæ appellati sunt, viguit: qui nomen factis verum probauerunt. Omne enim malitiæ facinus æmulati sunt, nullo inæmulato, quod antè commissum memoria tradidit, prætermisso: quamuis nomen sibi ex bonorum æmulatione imposuissent: qui eos quos læderent, propter efferam sui naturam cauillando fallebant, qui malorum quæ maxima essent, bona ducebant. Itaque debitum vitæ finem inuenêre, merita illis omnibus pœna Dei voluntate decreta. Cuncta enim quæ natura hominis posset ferre supplicia, in eos vsque ad extremum vitæ terminum congesta sunt, quæ variis perempti cruciatibus pertulêre. Fortasse dixerit aliquis minora eos quàm commisêre perpessos, verùm qua tandem digna tantis sceleribus pœna affici poterant? De illis autem qui in eorum crudelitatem inciderunt, non est huius temporis pro merito conqueri. Rursum igitur ad eam narrationis partem redeo, vnde digressus sum. Venit enim dux Romanorum contra Eleazarum, & qui cum eo Massadam tenebant, sicarios, exercitum ducens, & fines quidẽ statim omnes obtinuit, præsidiis vbiq; locis opportunissimis collocatis: castellũ autẽ muro circumdedit, ne quis obsessorũ fugiẽdi facultatẽ haberet, vtq; custodes

εἶχεν αὐτὴ καινότερον ἐξευρεῖν. οὕτως ἰδίᾳ τε, καὶ κοινῇ πάντες ἐνόσησαν, καὶ πρὸς ὑπερβαλεῖν ἀλλήλους ἔν τε τῆς πρὸς τὸν θεὸν ἀσεβείας, καὶ τῆς εἰς τοὺς πλησίον ἀδικίας, ἐφιλονείκησαν. οἱ μὲν οὖν δυνατοὶ τὰ πλήθη κακοῦντες, οἱ πολλοὶ δὲ τοὺς δυνατοὺς ἀπολλύναι σπεύδοντες. ἦν γὰρ ἐκείνοις μὲν ἐπιθυμία τοῦ τυραννεῖν· τοῖς δὲ τοῦ βιάζεσθαι καὶ τὰ τῶν εὐπόρων διαρπάζειν. πρῶτοι μὲν οὖν οἱ σικάριοι τῆς παρανομίας, καὶ τῆς πρὸς τοὺς συγγενεῖς ἦρξαντο ὠμότητος, μήτε λόγον ἄρρητον εἰς ὕβριν, μήτ' ἔργον ἀπείρατον εἰς ὄλεθρον τῶν ἐπιβουλευθέντων παραλιπόντες. ἀλλὰ καὶ τούτους Ἰωάννης ἀπέδειξεν ἑαυτοῦ μετριωτέρους. οὐ γὰρ μόνον ἀνῄρει πάντας, ὅσοι τὰ δίκαια καὶ συμφέροντα συνεβούλευον, καθάπερ ἐχθίστοις μάλιστα δὴ τῶν πολιτῶν τοῖς τοιούτοις προσφερόμενος, ἀλλὰ καὶ κοινῇ τὴν πατρίδα μυρίων ἐνέπλησε κακῶν, ὁποῖα πράξειν ἔμελλεν ἄνθρωπος ἤδη καὶ τὸν θεὸν ἀσεβεῖν τετολμηκώς. τράπεζαν τε γὰρ ἄθεσμον παρετίθετο, καὶ τὴν νενομισμένην καὶ πάτριον ἐξεδιῄτησεν ἁγνείαν, ἵνα ᾖ μηκέτι θαυμαστὸν εἰ τὴν πρὸς ἀνθρώπους ἡμερότητα καὶ κοινωνίαν οὐκ ἐτήρησεν, ὁ τῆς πρὸς θεὸν εὐσεβείας οὕτω καταμανείς. πάλιν τοίνυν ὁ Γιώρα Σίμων, τί κακὸν οὐκ ἔδρασεν; ἢ ποίας ὕβρεως ἐλευθέρων ἀπέσχετο σωμάτων, οἳ τὸν αὐτὸν ἀπέδειξαν τύραννον; ποία δὲ αὐτοὺς φιλία, ποία δὲ συγγένεια πρὸς τοὺς ἐφ' ἑκάστης ἡμέρας φόνους, οὐχὶ θρασυτέρους ἐποίησε; τὸ μὲν γὰρ τοὺς ἀλλοτρίους κακῶς ποιεῖν, ἀγεννοῦς ἔργον εἶναι πονηρίας ὑπελάμβανον. λαμπρὰν δὲ φέρειν ἐπίδειξιν ἡγοῦντο, τὴν ἐν τοῖς οἰκειοτάτοις ὠμότητα. παρημιλλήσατο δὲ καὶ τὴν τούτων ἀπόνοιαν, ἡ τῶν Ἰδουμαίων. ἐκεῖνοι γὰρ οἱ μιαρώτατοι τοὺς ἀρχιερέας κατασφάξαντες, ὅπως μηδὲ μέρος τι τῆς πρὸς θεὸν εὐσεβείας διαφυλάττηται, πᾶν ὅσον ἦν λείψανον ἔτι πολιτικοῦ σχήματος ἐξέκοψαν, καὶ τὴν τελεωτάτην εἰσήγαγον διὰ πάντων ἀνομίαν. ἐν ᾗ τὸ τῶν ζηλωτῶν κληθέντων γένος ἤκμαζεν, οἳ τὴν προσηγορίαν τοῖς ἔργοις ἐπηλήθευσαν. πᾶν γὰρ κακίας ἔργον ἐξεμιμήσαντο, μηδ' εἴ τι πρότερον προϋπαρχθὲν ἡ μνήμη παραδέδωκεν, αὐτοὶ παραλιπόντες ἄζηλωτον· καίτοι τὴν προσηγορίαν αὐτοῖς, ἀπὸ τῶν ἐπ' ἀγαθῷ ζηλουμένων ἐπέθεσαν, ἢ κατειρωνευόμενοι τῶν ἀδικουμένων, διὰ τὴν αὐτῶν θηριώδη φύσιν, ἢ τὰ μέγιστα τῶν κακῶν ἀγαθὰ νομίζοντες. τοιγαροῦν προσῆκον ἕκαστοι τὸ τέλος εὕραντο, τοῦ θεοῦ τὴν ἀξίαν ἐπὶ πᾶσιν αὐτοῖς τιμωρίαν βραβεύσαντος. ὅσας γὰρ ἀνθρώπου δύναται φύσις κολάσεις ὑπομεῖναι, πᾶσαι κατέσκηψαν εἰς αὐτούς, μέχρι καὶ τῆς ἐσχάτης τοῦ βίου τελευτῆς, ἣν ὑπέμειναν ἐν πολυτρόποις αἰκίαις ἀποθανόντες. οὐ μὴν, ἀλλὰ καὶ φαίη τις ἂν αὐτοὺς ἐλάττω παθεῖν ὧν ἔδρασαν. τὸ γὰρ δικαίως ἐστ' αὐτῶν οὐ προσῆν. τοὺς δὲ ταῖς ἐκείνων ὠμότησι περιπεσόντας, οὐ τοῦ παρόντος ἂν εἴη καιροῦ κατὰ τὴν ἀξίαν ὀδύρεσθαι. πάλιν οὖν ἐπάνειμι πρὸς τὸ καταλειπόμενον μέρος τῆς διηγήσεως.

Κεφ. λα.

Ἐπὶ γὰρ τὸν Ἐλεάζαρον, καὶ τοὺς κατέχοντας σὺν αὐτῷ τὴν Μασάδαν σικαρίους, ὁ τῶν Ῥωμαίων στρατηγὸς ἧκε, τὰς δυνάμεις ἄγων· καὶ τῆς μὲν χώρας ἁπάσης εὐθὺς ἐκράτει, φρουρὰς ἐν τοῖς ἐπικαιροτάτοις αὐτῆς μέρεσιν ἐγκαταστήσας. τεῖχος δὲ περιέβαλε κύκλῳ περὶ πᾶν τὸ φρούριον, ὅπως μηδενὶ τῶν πολιορκουμένων ᾖ ῥᾴδιον διαφυγεῖν, καὶ διαμερίζων

τοὺς

τοὺς φυλάξοντας. αὐτὸς δὲ κατὰ στρατοπέδου τόπον, ὡς μὲν πρὸς τὴν πολιορκίαν ἐπιτηδειότατα ἐκλαβὼν, καθ' ὃν αἱ τοῦ φρουρίου πέτραι τοῦ πλησίον ὄρους συνήγγιζον, ἄλλως δὲ πρὸς ἀφθονίαν τῶν ἐπιτηδείων δύσκολον. οὐ γὰρ ἡ τροφὴ μόνον πόρρωθεν ἐκομίζετο, καὶ σὺν μεγάλῃ ταλαιπωρίᾳ τῶν ἐπὶ τούτῳ τεταγμένων Ἰουδαίων. ἀλλὰ καὶ τὸ ποτὸν ἦν ἀγώγιμον εἰς τὸ στρατόπεδον, τοῦ τόπου μηδεμίαν ἐγγὺς πηγὴν ἀναδιδόντος. ταῦτ' οὖν προοικονομησάμενος ὁ Σίλβας ἐπὶ τὴν πολιορκίαν ἐτράπετο, πολλῆς ἐπιτεχνήσεως καὶ ταλαιπωρίας δεομένην, διὰ τὴν ὀχυρότητα τοῦ φρουρίου τοιοῦδε τὴν φύσιν ὑπάρχοντος. πέτραν οὐκ ὀλίγην τῇ περιόδῳ καὶ μῆκος ὑψηλὴν, πανταχόθεν περιερρώγασι βαθεῖαι φάραγγες κάτωθεν ἐξ ἀοράτου τέρματος, κρημνώδεις δι' ὁδοὶ, καὶ πάσῃ βάσει ζώων ἀπρόσιτοι, πλὴν ὅσον κατὰ δύο τόπους τῆς πέτρας, εἰς ἄνοδον οὐκ εὐμαρῆ παρεικούσης. ἔστι δὲ τῶν ὁδῶν, ἡ μὲν ἀπὸ τῆς ἀσφαλτίτιδος λίμνης πρὸς ἥλιον ἀνίσχοντα, καὶ πάλιν ἀπὸ τῆς δύσεως ᾗ ῥᾷον πορευθῆναι. καλοῦσι δὲ τὴν ἑτέραν ὄφιν, τῇ στενότητι προσεικάσαντες, καὶ τοῖς συνεχέσιν ἑλιγμοῖς. κλᾶται γὰρ περὶ τὰς τῶν κρημνῶν ἐξοχὰς, καὶ πολλάκις εἰς αὐτὴν ἀναστρέφουσα, καὶ κατὰ μικρὸν αὖθις ἐκμηκυνομένη μόλις ψαύει τοῦ πρόσω. δεῖ δὲ παραλλὰξ τὸν δι' αὐτῆς βαδίζοντα, τὸν ἕτερον τοῖν ποδοῖν ἐρείδεσθαι. ἔστι δὲ καὶ τῷ παρολισθαίνειν πρόδηλος ὄλεθρος· ἑκατέρωθεν γὰρ βάθος κρημνῶν ὑποκέχηνε, τῇ φοβερότητι πᾶσαν εὐτολμίαν ἐκπλῆξαι δυνάμενον. διὰ τοιαύτης οὖν ἐλθόντι σταδίους τριάκοντα, κορυφὴ τὸ λοιπόν ἐστιν, οὐκ εἰς ὀξὺ τέρμα συνηγμένη, ἀλλ' ὥστ' εἶναι κατ' ἄκρας ἐπίπεδος. ἐπὶ ταύτῃ πρῶτος μὲν ὁ ἀρχιερεὺς ᾠκοδομήσατο φρούριον Ἰωνάθης, καὶ προσηγόρευσε Μασάδαν. ὕστερον δ' Ἡρώδῃ τῷ βασιλεῖ διὰ πολλῆς ἐγένετο σπουδῆς ἡ τοῦ χωρίου κατασκευή. τεῖχός τε γὰρ ἤγειρε περὶ πάντα τὸν κύκλον τῆς κορυφῆς ἑπτὰ σταδίων ὄντα, λευκοῦ μὲν λίθου πεποιημένον, ὕψος δὲ δώδεκα, καὶ πλάτος ὀκτὼ πήχεις ἔχον, τριάκοντα δ' αὐτῷ καὶ ἑπτὰ πύργοι πεντηκοντάπηχεις ἀνειστήκεσαν, ἐξ ὧν ἦν εἰς οἰκήματα διελθεῖν περὶ πᾶν τὸ τεῖχος ἔνδον ᾠκοδομημένα. τὴν γὰρ κορυφὴν πίονα καὶ πεδίου παντὸς οὖσαν μαλακωτέραν, ἀνῆκεν εἰς γεωργίαν ὁ βασιλεὺς ἵν' εἴ ποτε τῆς ἔξω τροφῆς ἀπορία γένοιτο, μηδὲ ταύτῃ κάμνοιεν οἱ τὴν αὐτῶν σωτηρίαν τῷ φρουρίῳ πεπιστευκότες. καὶ βασίλειον δὲ κατεσκεύασεν ἐν αὐτῷ, κατὰ τὴν ἀπὸ τῆς ἑσπέρας ἀνάβασιν, ὑποκάτω μὲν τῶν τῆς ἄκρας τειχῶν πρὸς τὴν ἄρκτον ἐγκλῖνον. τοῦ δὲ βασιλείου τὸ τεῖχος ἦν, ὕψει μέγα, καὶ καρτερὸν, πύργους ἔχον ἑξηκοντάπηχεις ἐγγωνίους τέτταρας. ἥ τε τῶν οἰκημάτων ἔνδον καὶ στοῶν καὶ βαλανείων κατασκευὴ, παντοία καὶ πολυτελὴς ἦν, κιόνων μὲν ἁπανταχοῦ μονολίθων ὑφεστηκότων, τοίχων δὲ καὶ ἐν τοῖς οἰκήμασιν ἐδαφῶν λίθου στρώσει πεποικιλμένων. πρὸς ἕκαστον δὲ τῶν οἰκουμένων τόπων ἄνω τε καὶ περὶ τὸ βασίλειον, καὶ πρὸ τοῦ τείχους, πολλοὺς καὶ μεγάλους ἐτετμήκει λάκκους ἐν ταῖς πέτραις, φυλακτῆρας ὑδάτων, μηχανώμενος εἶναι χορηγίαν, ὅση τοῖς ἐκ πηγῶν ἐστι χρωμένοις. ὀρυκτὴ δ' ὁδὸς ἐκ τοῦ βασιλείου πρὸς ἄκραν τὴν κορυφὴν ἀνεφέρετο, τοῖς ἔξωθεν ἀφανής. οὐ μὴν οὐδὲ ταῖς φανεραῖς ὁδοῖς ἦν οἷόν τε χρήσασθαι ῥᾳδίως πολεμίοις.

perseuerarent. ipse verò castris locum occupat, ad obsidionem quidem idoneum, quem delegerat, qua parte castelli rupes monti proximo applicabantur, cæterùm difficilem ad copias vtensilium. Non solùm enim commeatus ex longinquo, & cum labore Iudæorum maximo portabantur, quibus hæc fuerat cura mandata, verùm etiam potus aliunde in castra ducebatur, quoniam in eo loco nullus fons proximus nascebatur. His autem dispositis, Silua obsidionem aggressus est, artis ac laboris egentem, propter castelli munitionem, cuius natura huiusmodi est: Saxum gyro non exiguum, & excelsum longitudine, vndique abruptis atque altis vallibus cingitur inuisibili super fundo habens scopulos: ipsæque omniū sunt animalium gressibus inaccessæ, nisi quòd duobus modis idem saxum in difficilem explicatur ascensum. Est autem vnum, iter ab lacu Asphaltite ad Solis ortum, & alterum ab Occidente facilius ambulari. Vocatur autem vnum coluber, ex angustia crebrísque flexibus capta similitudine. Quæ enim prominet rupes, frangitur, ac sæpe in se reuertens, paulatim rursum producitur: vixque illo itinere gradiens promouet pedem, namque mutāti vestigium, necesse est altero pede niti. Est autem certa pernicies, si quis labatur, altitudo enim rupium vtrinque dehiscit, vt quæ horrore quemuis terrere audacissimum possit. Per eiusmodi viam cùm x x x. stadiis ascenderis, quod restat verticis est non in acutum finem coactum, sed vt habeat in summo planiciem. In hac primus quidem Ionathas pontifex castellum ædificauit, & appellauit Massadam. Pòst autem Herodi magno studio fuit loci illius structio. Nam & murum per omnem eius gyrum erexit, stadiorum spacio septem, è candido lapide factum, & duodecim altum, latúmque octo cubitis: & x x v i i. turres quinquagenorum cubitorum in eo stabant: ex quibus aditus erant in ædes circa omnem murum intus ædificatas. Rex enim verticem, quòd fœcundus, omníque planicie mollior esset, culturæ destinauerat: vt si quando externorum alimentorum penuria contigisset, ne hac quidem laborarent, qui salutem suam castello credidissent. Quin & regiam sibi ædificauerat, ab Occidentalis partis ascensu, intra mœnia quidem arcis positam, vergentem autem ad Septentrionem. regiæ verò murus erat magnus, ac firmissimas quatuor celsitudine sexagenorum cubitorum in angulis turres habebat. Membrorum autem intus, & porticuum itémque balnearum varia erat & sumptuosa constructio, columnis quidem è singularibus saxis vndique substitutis, parietibus autem membrísque solida compage lapidum variatis. Ad singula verò habitacula, & in summo, & circa regiam, & ante turres multos magnósque puteos in scopulis exciderat, custodes aquarum: tantam molitus abundantiam, quantam qui fontibus vterentur haberent. Fossæ verò iter ex regia in arcem summam ducebant, quas foris nemo cernebat. Sed ne manifestæ quidem viæ facilem sui vsum præbere hostibus poterant.

Nam Orientalis quidem via natura est inaccessa, vt supià memorauimus. Occidentalem verò, magna in angustia posita turri conclusit, quæ non minore mille cubitorum spacio ab arce distaret quam neque transire posse, neque capi facilè videbatur. Inextricabilis autem, quamuis licenter ambulantibus, fuerat fabricata. Ita quidem aduersus hostiles impetus natura simul & manu castellum erat communitum. Intus autem repositi apparatus, magis & diuturnitatem & opulentiam iuuêre. nã & frumentum multum erat cõditum. & quod in longum tempus sufficere posset: vinúmque multum & oleum: insuper autem cuiusq; leguminis fructus, & palmulæ coaceruatę. Cũctaq; reperit Eleazarus, castello per dolum cum sicariis occupato, matura, nihilque recens depositis deteriora: quanquam ferè ex quo apparata sunt, ad excidium à Romanis illatum centum annorũ tempus agebatur. Quin etiam Romani fructuum reliquias incorruptas offendêre. Si quis autem causam diuturnitatis auram esse existimet, non errauerit, quòd arcis altitudine ab omni terrena ac fœculẽta materia sit remota. Inuenta est autem omnigenûm quoque armorum multitudo, ab rege condita, quæ decem millibus virorum sufficerent, ferrúmque infectum, nec non æris & plumbi materia: quippe vt magnis de causis factum crederes apparatum. Aiunt enim Herodem idipsum castellum sibi ad refugium parauisse, duplex periculum suspicantem: vnum quidem ab Iudæorum populo: ne se deposito, illos qui antea reges fuerant, ad principatum reduceret. Alterum verò maius atque atrocius, ab regina Ægypti Cleopatra. Hæc enim suam sentẽtiam non celabat, sed cum Antonio sæpe verba faciebat, postulans Herodem interfici, sibi autem obsecrans regnum Iudæorum donari. Et magis quis miraretur, nondum eius imperio Antonium paruisse, malè eius amore mancipatum quàm non donaturum sperasset. Propter eiusmodi metus Herodes conditam Massadam extremum belli contra Iudæos Romanis opus reliquit. Nam quia foris iam locum omnem muro cinxerat dux Romanorum, sicut suprà diximus, ac ne quis effugeret diligentissimè procurauerat: incipit oppugnationem, vno tãtum loco reperto, qui aggerum iactum posset excipere. Nam post eam turrim quæ iter ab Occidente, quod ad regiam summúmque montem duceret, pręcludebat, erat quędã continentia saxi vastior latitudine, multúmq; porrecta, celsitudine autem Massadæ trecentis cubitis inferior, quam Leucẽ appellabant. Hanc igitur Silua, vt ascendit ac tenuit aggerem apportare militibus iussit: illis autem alacri animo & magna manu operãtibus, solidus ad ducentos cubitos erectus est tumulus. Verùm neque firma neque sufficiens machinis ferendis hæc mensura videbatur: sed super eum tribunal, constructis saxis ingentibus, factum est, altum itémque latum cubitis L. Erat autem & aliarum machinarũ fabrica illis assimilis, quas primò quidem Vespasianus ad oppugnationes,

A ἡ μὲν γὰρ ἑῴα διὰ τὴν φύσιν ὡς προείπομεν ἐστὶν ἄβατος. τὴν δ' ἀπὸ τῆς ἑσπέρας μεγάλῳ κατὰ τὸ στενότατον πύργῳ διετείχισεν, ἀπέχοντι τῆς ἄκρας πήχεων οὐκ ἔλαττον διάστημα χιλίων, ὃν οὔτε παρελθεῖν δυνατὸν ἦν, οὔτε ῥᾴδιον ἑλεῖν. δυσέξοδος δὲ καὶ τοῖς μετ' ἀδείας βαδίζουσιν ἐπεποίητο. οὕτω μὲν οὖν πρὸς τὰς τῶν πολεμίων ἐφόδους, φύσει τε καὶ χειροποιήτως, τὸ φρούριον ὠχύρωτο.

B Τῶν δ' ἔνδον ἀποκειμένων παρασκευῶν, ἔτι μᾶλλον ἄν τις ἐθαύμασε τὴν λαμπρότητα καὶ τὴν διαμονήν. σῖτός τε γὰρ ἀπέκειτο πολὺν χρόνον ἀρκεῖν ἱκανώτατος· οἶνός τε πολὺς ἦν καὶ ἔλαιον· ἔτι δὲ παντοῖος ὀσπρείων καρπὸς, καὶ φοίνικες ἐπισεσώρευντο. πάντα δὲ εὗρεν ὁ Ἐλεάζαρος τοῦ φρουρίου μετὰ τῶν σικαρίων ἐγκρατὴς δόλῳ γενόμενος, ἀκμαῖα καὶ μηδὲν τῶν νεωστὶ κειμένων ἀποδέοντα· καίτοι σχεδὸν ἀπὸ τῆς παρασκευῆς εἰς τὴν ὑπὸ Ῥωμαίοις ἅλωσιν, ἑκατὸν ἦν χρόνος ἐτῶν, C ἀλλὰ καὶ Ῥωμαῖοι τοὺς περιληφθέντας τῶν καρπῶν εὗρον ἀδιαφθόρους. αἴτιον δ' οὐκ ἂν ἁμάρτοι τις ὑπολαμβάνων εἶναι τὸν ἀέρα τῆς διαμονῆς, ὕψει τῷ περὶ τὴν ἄκραν, πάσης ὄντα γεώδους καὶ θολερᾶς ἀμιγῆ κράσεως. εὑρέθη δὲ καὶ παντοίων πλῆθος ὅπλων ὑπὸ τοῦ βασιλέως ἀποτεθησαυρισμένον, ὡς ἀνδράσιν ἀρκεῖν μυρίοις, ἀργός τε σίδηρος, καὶ χαλκὸς, ἔτι δὲ καὶ μόλυβδος, ἅτε δὴ τῆς παρασκευῆς ἐπὶ μεγάλαις αἰτίαις D γενομένης. λέγεται γὰρ ἑαυτῷ τὸν Ἡρώδην τοῦτο τὸ φρούριον εἰς ὑποδοχὴν ἑτοιμάζειν, διπλοῦν ὑφορώμενον κίνδυνον· τὸν μὲν παρὰ τοῦ πλήθους τῶν Ἰουδαίων, μὴ καταλύσαντες ἐκεῖνον, τοὺς πρὸ αὐτοῦ βασιλέας ἐπὶ τὴν ἀρχὴν καταγάγωσι· τὸν μείζω δὲ καὶ χαλεπώτερον ἐκ τῆς βασιλευούσης Αἰγύπτου Κλεοπάτρας. αὕτη γὰρ τὴν αὑτῆς γνώμην οὐκ ἐπεῖχεν, ἀλλὰ πολλάκις Ἀντωνίῳ λόγους προσέφερε, τὸν μὲν Ἡρώδην ἀνελεῖν ἀξιοῦσα, χαρίσασθαι δ' αὐτῇ τὴν βασιλείαν τῶν Ἰουδαίων E δεομένη. καὶ μᾶλλον ἄν τις ἐθαύμασεν, ὅτι μηδέπω τοῖς προστάγμασιν Ἀντώνιος ὑπακηκόει, κακῶς ὑπὸ τοῦ πρὸς αὐτὴν ἔρωτος δεδουλωμένος, οὐχ ὅτι περὶ τοῦ μὴ χαρίσασθαι προσεδόκησε. διὰ τοιούτους μὲν φόβους Ἡρώδης Μασάδαν κατασκευασάμενος, ἔμελλε Ῥωμαίοις ἀπολείψειν ἔργον τοῦ πρὸς Ἰουδαίους πολέμου τελευταῖον.

Κεφ. λϛ.

Ἐπεὶ γὰρ ἔξωθεν ἤδη περιτετειχίκει πάντα τὸν τόπον ὁ τῶν Ῥωμαίων ὡς προείπομεν ἡγεμὼν, καὶ τοῦ μή F τινα ἀποδρᾶναι πρόνοιαν ἐπεποίητο τὴν ἀκριβεστάτην, ἐνεχείρει τῇ πολιορκίᾳ, μόνον εὑρὼν ἕνα τόπον, ἐπιβολὴν χωμάτων δέξασθαι δυνάμενον. μετὰ γὰρ τὸν διατειχίζοντα πύργον τὴν ἀπὸ τῆς δύσεως ὁδὸν ἄγουσαν, εἴς τε τὸ βασίλειον, καὶ τὴν ἀκρώρειαν, ἦν τις ἐξοχὴ πέτρας διμεγέθης τῷ πλάτει καὶ πολὺ προκύπτουσα, τοῦ δ' ὕψους τῆς Μασάδας τριακοσίους πήχεις ὑποκάτω· λευκὴν δ' αὐτὴν ὠνόμαζον. ἐπὶ ταύτην οὖν ἀναβὰς, καὶ κατα- G σχὼν αὐτὴν ὁ Σίλβας, ἐκέλευε τὸν στρατὸν χοῦν ἐπιφέρειν. τῶν δὲ προθύμως καὶ μετὰ πολλῆς χειρὸς ἐργαζομένων, στερεὸν εἰς διακοσίους πήχεις ὑψώθη τὸ χῶμα, οὐ μὴν οὔτε βέβαιον οὔτε αὔταρκες ἐδόκει τοῦτο τὸ μέτρον εἶναι τοῖς μηχανήμασιν εἰς ἐπιβάθραν, ἀλλ' ἐπ' αὐτοῦ βῆμα λίθων μεγάλων συνηρμοσμένον ἐποιήθη, πεντήκοντα πηχῶν εὖρός τε καὶ ὕψος. ἦν δὲ ἄλλων τε μηχανημάτων ἡ κατασκευὴ παραπλησία τοῖς ὑπὸ μὲν Οὐεσπασιανοῦ πρότερον,

Κεφ. λζ.

μετ

μετὰ ταῦτα δ' ὑπὸ τίτου πρὸς τὰς πολιορκίας ἐπινοηθεῖσα. καὶ πύργος ἑξηκοντάπηχυς συνετέθη, σιδήρῳ καταπεφραγμένος ἅπας, ἐξ οὗ πολλοῖς ὀξυβελέσι, καὶ πετροβόλοις βάλλοντες οἱ ῥωμαῖοι τοὺς ἀπὸ τοῦ τείχους μαχομένους, ταχέως ἀνέστειλαν καὶ προκύπτειν ἐκώλυσαν. ἐν ταυτῷ δὲ καὶ κριὸν ὁ σίλβας μέγαν κατασκευασάμενος, συνεχεῖς ποιεῖσθαι κελεύσας τῷ τείχει τὰς ἐμβολὰς, μόλις μὲν ἀλλ' οὖν ἀναρρήξας τι μέρος αὐτοῦ, κατήρειψε. φθάνουσι δ' οἱ σικάριοι ταχέως ἔνδοθεν οἰκοδομησάμενοι τεῖχος ἕτερον, ὃ μηδ' ὑπὸ τῶν μηχανημάτων ἔμελλεν ὅμοιόν τι πείσεσθαι. μαλακὸν γὰρ αὐτὸ καὶ τὴν σφοδρότητα τῆς ἐμβολῆς ὑπεκλύειν δυνάμενον, τοιῷδε τρόπῳ κατεσκεύασαν. δοκοὺς μεγάλας ἐπὶ μῆκος προσεχεῖς, ἀλλήλαις κατὰ τὴν τομὴν συνέθεσαν· δύο δ' ἦσαν στοῖχοι παράλληλοι τοσοῦτον διεστῶτες, ὅσον εἶναι πλάτος τείχους, καὶ μέσον ἀμφοῖν τὸν χοῦν ἐνεφόρουν. ὅπως δὲ μὴ ὑψουμένου τοῦ χώματος ἡ γῆ διαχέοιτο, πάλιν ἑτέραις δοκοῖς ἐπικαρσίαις, τὰς κατὰ μῆκος κειμένας διέδεον. ἦν οὖν ἐκείνοις μὲν οἰκοδομίᾳ τὸ ἔργον παραπλήσιον. τῶν μηχανημάτων δ' αἱ πληγαὶ φερόμεναι, πρὸς εἰκὸς ἐξελύοντο, καὶ τῷ σάλῳ συνιζάνον, ἐποίουν αὐτὸ στερεώτερον. τοῦτο συνιδὼν ὁ σίλβας, πυρὶ μᾶλλον αἱρήσειν ἐνόμισε τὸ τεῖχος, καὶ τοῖς στρατιώταις προσέταττε λαμπάδας αἰθομένας ἀθρόους εἰσακοντίζειν. τὸ δ' οἷα δὴ ξύλων τὸ πλέον πεποιημένον, ταχὺ τοῦ πυρὸς ἀντελάβετο, καὶ τῇ χαυνότητι πυρωθὲν διὰ βάθους, φλόγα πολλὴν ἐξεπύρσευσεν. ἀρχομένου μὲν οὖν ἔτι τοῦ πυρὸς βορρᾶς ἐμπνέων τοῖς ῥωμαίοις φοβερὸς ἦν· ἄνωθεν γὰρ ἀποστρέφων ἐπ' ἐκείνους ἤλαυνε τὴν φλόγα, καὶ σχεδὸν ἤδη τῶν μηχανημάτων ὡς συμφλεγησομένων, ἀπεγνώκεσαν. ἔπειτα δ' αἰφνίδιον νότος μεταβαλὼν καθάπερ ἐκ δαιμονίου προνοίας, καὶ πολὺς ἐναντίος πνεύσας, τῷ τείχει φέρων αὐτὴν προσέβαλε, καὶ πᾶν ἤδη διὰ βάθους ἐφλέγετο. ῥωμαῖοι μὲν οὖν τῇ παρὰ τοῦ θεοῦ συμμαχίᾳ κεχρημένοι, χαίροντες εἰς τὸ στρατόπεδον ἀπηλλάττοντο, μεθ' ἡμέραν ἐπιχειρεῖν τοῖς πολεμίοις διεγνωκότες, καὶ τὰς φυλακὰς νύκτωρ ἐπιμελεστέρας ἐποιήσαντο, μή τινες αὐτῶν λάθωσιν ἀποδράντες.

Κεφ. λδ'. Οὐ μὴν οὔτ' αὐτὸς ἐλεάζαρος ἐν νῷ δρασμὸν ἔλαβεν, οὔτ' ἄλλῳ τινὶ τοῦτο ποιεῖν ἔμελλεν ἐπιτρέψειν. ὁρῶν δὲ τὸ μὲν τεῖχος ὑπὸ τοῦ πυρὸς ἀναλούμενον, ἄλλον δ' οὐδένα σωτηρίας τρόπον, οὐδ' ἀλκῆς ἐπινοῶν, ἃ δὲ ἔμελλον ῥωμαῖοι δράσειν αὐτοὺς καὶ τέκνα, καὶ γυναῖκας αὐτῶν εἰ κρατήσειαν, ὑπ' ὀφθαλμοὺς αὑτῷ τιθέμενος, θάνατον κατὰ πάντων ἐβουλεύσατο. καὶ τοῦτον κρίνας ἐκ τῶν παρόντων ἄριστον, τοὺς ἀνδρωδεστάτους τῶν ἑταίρων συναγαγὼν, τοιούτοις ἐπὶ τὴν πρᾶξιν λόγοις παρεκάλει. πάλαι διεγνωκότας ἡμᾶς ἄνδρες ἀγαθοὶ, μήτε ῥωμαίοις, μήτ' ἄλλῳ τινὶ δουλεύειν ἢ θεῷ, μόνος γὰρ οὗτος ἀληθής ἐστι καὶ δίκαιος ἀνθρώπων δεσπότης, ἥκει νῦν καιρὸς, ἐπαληθεῦσαι κελεύων τὸ φρόνημα τοῖς ἔργοις. πρὸς ὃν ἑαυτοὺς μὴ καταισχύνωμεν, πρότερον μηδὲ δουλείαν ἀκίνδυνον ὑπομείναντες, νυνὶ δὲ μετὰ δουλείας ἑλόμενοι τιμωρίας ἀνηκέστους, εἰ ζῶντες ὑπὸ ῥωμαίοις ἐσόμεθα. πρῶτοί τε γὰρ πάντων ἀπέστημεν, καὶ πολεμοῦμεν αὐτοῖς τελευταῖοι. νομίζω δὲ καὶ παρὰ θεοῦ ταύτην ἡμῖν δεδόσθαι χάριν, τοῦ δύνασθαι καλῶς ἐλευθέρους ἀποθανεῖν, ὅπερ ἄλλοις οὐκ ἐγένετο παρ' ἐλπίδα κρατηθεῖσιν. ἡμῖν δὲ

postea verò Titus excogitauerat: & turris LX. cubitorum effecta est, tota ferro consepta, vnde multis balistarum tormentorúmque iaculis Romani citò eos repulêre, qui de muro pugnabant, & caput exerere prohibuêre. Simul autem ingenti etiam ariete fabricato, Silua crebrò murum pulsari iubet: ac vix quidem tamen aliquam eius deiicit partem interruptam. Citò autem præuenêre sicarij muro intus altero constituto, qui ne machinis quidem simile aliquid pateretur: mollis enim adhuc erat, & impetus laxare violentiam poterat, hoc modo constructus. Trabes proceritate magnas, & quà sectæ sunt continentes composuêre: earum autem ordines erant duo similes: tantúmque distantes quanta esset muri latitudo, & inter eos ambos replebant aggere spacium. ne verò crescente cumulo terra deflueret, aliis transuersis trabibus quas in longitudinem posuerant colligabant: Erat ergo illis opus quidem ædificio simile: sed quod cedenti inferebantur machinarum ictus euanescebât, lutóque subsidente strictiorem fabricam faciebant. Hoc vbi Silua considerauit, igni magis murum captum iri putans, multas quidem ardentes faces militibus intrò iaculari præcepit: murus autem, quippe, vt magna ex parte lignis constructus, ignem citò comprehendit: & vsque ad limum sui laxitate calefactus, ingenti flamma colluxit. Incipiente quidem adhuc incendio, spitans Aquilo Romanis erat horribilis: auertens enim desuper flammam in eos abigebat, & penè machinas quasi iam conflagraturas desperauerant. deinde flatu mutato, veluti diuina prouidẽtia excitatus Auster, multa vi in aduersum eum murum repulit: iámque totus ardebat ex alto. Romani quidem cùm Dei vterentur auxilio, ad castra læti digrediebantur, decreto hostes luce aggredi, & nocte vigilias accuratiores facere, ne quis eorum clam subterfugeret: Sed neque ipse Eleazarus de fuga cogitabat, neque alij cuiquam permissurus erat, vt faceret. Vidẽs autem murum igne consumptum, alium verò nullum salutis modum neque virtutis excogitans: sed his quæ Romani in se liberósque suos, & coniuges facturi essent si vicissent, ante oculos positis, de omnium morte consilium cepit: ídque ex præsentibus fortissimum ratus, validioris animi sociis vesperi congregatis, talibus eos verbis ad facinus inuitabat. Cũ olim vobis decretum sit, viri fortes, neque Romanis, neque cuiquam alij seruire, nisi Deo: is enim solus est verus & iustus Dominus hominum: ecce nunc tempus adest, quod factis vestros probare animos iubeat. Ne igitur nos dehonestemus, antè quidem seruitutem nec sine periculo passi, nunc autem cum seruitute intolerabiles pœnas subituri: si viuos in Romanorum potestatem venire contingat. primi enim omnium ab his defecimus, & nouissimi cũ his bellum gerimus. Puto autem & hanc nobis à Deo gratiam datã, vt bene ac liberè possimus mori, quod aliis nõ euenit præter spẽ superatis. Nobis autẽ

certum est, orto die futurum excidium. Libera est autem strenua mortis cōditio cum affectibus: nec enim prohibere id hostes possunt, qui profectò nos optant viuos abducere, neq; nos illos iam possumus superare pugnando. Nam fortasse quidem ab initio statim oportuit, quando libertatem defendere cupientibus omnia & à nobisipsis acerba peioráque ab hostibus eueniebant, de Dei voluntate cōiicere, & scire quòd amica ei quondam Iudæorum natio damnata esset interitu: manens enim propitius, vel saltem nobis leuiter infensus, nunquam tātorum quidem hominum perniciem neglexisset: sacratissimam verò vrbem suam igni hostium excidióque prodidisset. Nos autem soli scilicet ex omni genere Iudæorum sperauimus seruata libertate superare, tanquam nil in Deum deliquissemus, nullíusque culpæ participes fuissemus, qui alios quoque docuimus. Itaque videtis quemadmodum nos vana expectasse redarguit, fortiore nobis speratis rebus malorum necessitate illata. Nec enim quicquam nobis castelli natura inexpugnabilis profuit ad salutem: sed & alimentorum copiam, & armorum multitudinem, aliúmq; habentes abundantissimum apparatum, ipso Deo manifestissimè auferente spem salutis perdidimus. Ignis enim, qui ferebatur in hostes, in ædificatum à nobis murum non sponte reuersus est. Sed hæc multorum ira sunt criminum, quæ furore capti contra gentiles ausi sumus: pro quibus quæso ne Romanis inuictissimis pœnas, sed per nos ipsos Deo præstemus. istæ autem illis moderatiores sunt. morientur enim coniuges iniuria vacuæ, liberi seruitutis expertes. Post illos autem ipsis nobis honestam inuicem gratiam præbeamus, libertate seruata optima sepultura. Priùs tamen & pecunias & castellum igne exuramus. Mœrebunt enim Romani, certè scio, si neque corpora nostra tenuerint, compendióque caruerint. Alimenta sola relinquamus. hæc enim nobis erunt testimonio mortuis, quòd non penuria victi sumus: sed ita, vt ab initio statueramus, mortem seruituti prætulimus. Hæc dicebat Eleazarus: sed non in eūdem modum præsentium sententiæ congruebant. Sed alij quidem ei obedire properabant, & quasi voluptate replebantur, pulchram esse mortem existimantes. Qui verò molliores erant coniugum ac familiarum suarum misericordia, vel etiam proprius quemque apertissimus deterrebat interitus, aliúsque alium intuens, contrarium voluntatis suæ motum lacrymis designabant. Quos cùm vidisset Eleazarus formidare, ac magnitudinem consilij animis frangi, pertimuit ne etiam eos, qui fortiter dicta perceperunt, effœminarent flentes ipsi ac deplorātes. Ergo exhortationem non intermisit: sed erectior, multóque repletus spiritu, clariorem de immortalitate animæ orationem incipit: magnáque vsus exclamatione, lacrymantes attentiùs aspectans. Plurimùm, inquit, opinione deceptus sum. qui putarē viros fortes pro libertate certantes, mori bene malle, quā viuere. Vos autē ne cuilibet quidē homini quicquam

πρόδηλος μέν ἐστιν, ἡ γενησομένη μεθ' ἡμέραν ἅλωσις. ἐλευθέρα δ' ἡ τοῦ γενναίου θανάτου μετὰ τῶν φιλτάτων αἵρεσις. οὔτε γὰρ ταῦτ' ἀποκωλύειν οἱ πολέμιοι δύνανται πάντως εὐχόμενοι ζῶντας ἡμᾶς παραλαβεῖν, οὔθ' ἡμεῖς ἐκείνους ἔτι νικᾶν μαχόμενοι. ἔδει μὲν εὐθὺς, ἴσως ἐξ ἀρχῆς, ὅτε τῆς ἐλευθερίας ἡμῖν ἀντιποιεῖσθαι θελήσασι, πάντα καὶ παρ' ἀλλήλων ἀπέβαινε χαλεπὰ, καὶ παρὰ τῶν πολεμίων χείρω, τῆς τοῦ θεοῦ γνώμης (B) στοχάζεσθαι, καὶ γινώσκειν ὅτι τὸ πάλαι φίλον αὐτῷ φῦλον ἰουδαίων, ἀπωλείᾳ κατέγνωστο. μένων γὰρ εὐμενὴς ἢ μετρίως γοῦν ἡμῖν ἀπηχθημένος, οὐκ ἂν τοσούτων μὲν ἀνθρώπων περιεῖδεν ὄλεθρον, προήκατο δὲ τὴν ἱερωτάτην αὐτοῦ πόλιν πυρὶ καὶ κατασκαφαῖς πολεμίων. ἡμεῖς δ' ἄρα, καὶ μόνοι τοῦ παντὸς ἰουδαίων γένους ἠλπίσαμεν περιέσεσθαι τὴν ἐλευθερίαν φυλάξαντες, ὥσπερ ἀναμάρτητοι πρὸς τὸν θεὸν γενόμενοι, καὶ (C) μηδεμιᾶς μετασχόντες, οἳ καὶ τοὺς ἄλλους ἐδιδάξαμεν. τοιγαροῦν ὁρᾶτε πῶς ἡμᾶς ἐλέγχει μάταια προσδοκήσαντας, κρείττονα τῶν ἐλπίδων τὴν ἐν τοῖς δεινοῖς ἀνάγκην ἐπαγαγών. οὔτε γὰρ ἡμᾶς ἡ τοῦ φρουρίου φύσις ἀνάλωτος οὖσα πρὸς σωτηρίαν ὠφέληκεν· ἀλλὰ καὶ τροφῆς ἀφθονίαν καὶ πλῆθος ὅπλων, καὶ τὴν ἄλλην ἔχοντες παρασκευὴν περιττεύουσαν, ὑπ' αὐτοῦ περιφανῶς τοῦ θεοῦ τὴν ἐλπίδα τῆς σωτηρίας ἀφῃρήμεθα. τὸ γὰρ πῦρ εἰς τοὺς πολεμίους φερόμενον, οὐκ (D) αὐτομάτως ἐπὶ τὸ κατασκευασθὲν τεῖχος ὑφ' ἡμῶν ἀνέστρεφεν. ἀλλ' ἔστι ταῦτα χόλος πολλῶν ἀδικημάτων, ἃ μανέντες εἰς τοὺς ὁμοφύλους ἐτολμήσαμεν, ὑπὲρ ὧν μὴ τοῖς ἐχθίστοις ῥωμαίοις δίκας, ἀλλὰ τῷ θεῷ δι' ἡμῶν αὐτῶν ὑπόσχωμεν. αὗται δ' εἰσὶν ἐκείνων μετριώτεραι. θνησκέτωσαν γὰρ γυναῖκες ἀνύβριστοι, καὶ παῖδες δουλείας ἀπείρατοι, μετὰ δ' αὐτοὺς ἡμεῖς εὐγενῆ χάριν ἀλλήλοις παράσχωμεν, καλὸν ἐντάφιον τὴν (E) ἐλευθερίαν φυλάξαντες. πρότερον δὲ καὶ τὸ φρούριον καὶ τὰ χρήματα πυρὶ διαφθείρωμεν. λυπηθήσονται γὰρ ῥωμαῖοι σαφῶς οἶδα, μήτε τῶν ἡμετέρων σωμάτων κρατήσαντες, καὶ τοῦ κέρδους ἁμαρτόντες. τὰς τροφὰς μόνας ἐάσωμεν· αὗται γὰρ ἡμῖν τεθνηκόσι μαρτυρήσουσιν, ὅτι μὴ δι' ἔνδειαν ἐκρατήθημεν, ἀλλ' ὥσπερ ἐξ ἀρχῆς διέγνωμεν, θάνατον εἱλάμεθα πρὸ δουλείας. ταῦτα ἐλεάζαρος ἔλεγεν· οὐ μὴν κατ' αὐτὸ ταῖς γνώμαις προσέπιπτε τῶν παρόντων. ἀλλ' οἱ μὲν ἔσπευδον (F) ὑπακούειν, καὶ μόνον οὐχ ἡδονῆς ἐνεπίπλαντο, καλὸν εἶναι τὸν θάνατον νομίζοντες. τοὺς δ' αὐτῶν μαλακωτέρους, γυναικῶν καὶ γενεᾶς οἶκτος εἰσῄει, πάντως δὲ καὶ τῆς ἑαυτῶν προδήλου τελευτῆς, εἴς τε ἀλλήλους ἀποβλέποντες τοῖς δακρύοις τὸ μὴ βουλόμενον τῆς γνώμης ἐσήμαινον. τούτους ἰδὼν ἐλεάζαρος ἀποδειλιῶντας, καὶ πρὸς τὸ μέγεθος τοῦ βουλεύματος τὰς ψυχὰς ὑποκλωμένους, ἔδεισε μή ποτε καὶ τοὺς (G) ἐρρωμένως τῶν λόγων ἀκούσαντας, αὐτοὶ συνεκθηλύνωσι ποτνιώμενοι καὶ δακρύοντες. οὔκουν ἀνῆκε τὴν παρακέλευσιν, ἀλλ' ἑαυτὸν ἐπεγείρας, καὶ πολλοῦ λήμματος πλήρης γενόμενος, λαμπροτέροις ἐνεχείρει λόγοις, περὶ ψυχῆς καὶ ἀθανασίας, μέγα τε σχετλιάσας, καὶ τοῖς δάκρυσιν ἀτενὲς ἐμβλέψας. ἦ πλεῖστον, εἶπεν, ἐψεύσθην, νομίζων ἀνδράσιν ἀγαθοῖς τῶν ὑπὲρ τῆς ἐλευθερίας ἀγώνων συναρεῖσθαι, ζῆν καλῶς ἢ τεθνάναι διεγνωκόσιν. ὑμεῖς δ' ἦτε τῶν τυχόντων οὐδὲν εἰς ἀρε-

εἰς ἀρετὴν καὶ εἰς εὐτολμίαν διαφέροντες, οἵ γε καὶ τὴν ἐπὶ μεγίστων ἀπαλλαγῇ κακῶν φοβεῖσθε θάνατον. δέον ὑπὲρ τούτου, μήτε μελλῆσαι, μήτε σύμβουλον ἀναμεῖναι. πάλαι γὰρ εὐθὺς ἀπὸ τῆς πρώτης αἰσθήσεως, παιδεύοντες ἡμᾶς οἱ πάτριοι καὶ θεῖοι λόγοι διετέλουν, ἔργοις τε καὶ φρονήμασι τῶν ἡμετέρων προγόνων αὐτοὺς βεβαιούντων, ὅτι συμφορὰ τὸ ζῆν ἐστιν ἀνθρώποις, οὐχὶ θάνατος. οὗτος μὲν γὰρ ἐλευθερίαν διδοὺς ψυχαῖς, εἰς τὸν οἰκεῖον, καὶ καθαρὸν ἀφίησι τόπον ἀπαλλάσσεσθαι, πάσης συμφορᾶς ἀπαθεῖς ἐσομένας. ἕως δ' εἰσὶν ἐν σώματι θνητῷ δεδεμέναι, καὶ τῶν τούτου κακῶν συναναπίμπλανται, τἀληθέστατον εἰπεῖν τεθνήκασι. κοινωνία γὰρ θείῳ πρὸς θνητὸν, ἀπρεπής ἐστι. μέγα μὲν οὖν δύναται ψυχὴ καὶ σώματι συνδεδεμένη. ποιεῖ γὰρ αὐτῆς ὄργανον αἰσθανόμενον ἀοράτως αὐτὸ κινοῦσα, καὶ θνητῆς φύσεως περαιτέρω προάγουσα ταῖς πράξεσιν. οὐ μὴν, ἀλλ' ἐπειδὰν ἀπολυθεῖσα τοῦ καθέλκοντος αὐτὴν βάρους ἐπὶ γῆν, καὶ προσκρεμαμένου χῶρον ἀπολάβῃ τὸν οἰκεῖον, τότε δὴ μακαρίας ἰσχύος καὶ πανταχόθεν ἀκωλύτου μετέχει δυνάμεως, ἀόρατος μένουσα τοῖς ἀνθρωπίνοις ὄμμασιν, ὥσπερ αὐτὸς ὁ θεός. οὐδὲ γὰρ ἕως ἐστὶν ἐν σώματι θεωρεῖται. πρόσεισι γὰρ ἀφανῶς, καὶ μὴ βλεπομένη πάλιν ἀπαλλάττεται, μίαν μὲν αὐτὴ φύσιν ἔχουσα τὴν ἄφθαρτον, αἰτία δὲ σώματι γινομένη μεταβολῆς. ὅτου γὰρ ἂν ψυχὴ προσψαύσῃ, τοῦτο ζῇ καὶ τέθηλεν· ὅτου δ' ἂν ἀπαλλαγῇ, μαρανθὲν ἀποθνήσκει. τοσοῦτον περίεστιν αὐτῇ ἀθανασίας. ὕπνος δὲ τεκμήριον ὑμῖν ἔστω τῶν λόγων ἐναργέστατος, ἐν ᾧ ψυχαὶ τοῦ σώματος αὐτὰς μὴ περισπῶντος, ἡδίστην μὲν ἔχουσιν ἀνάπαυσιν ἐφ' ἑαυτῶν γενόμεναι. θεῷ δ' ὁμιλοῦσαι κατὰ συγγένειαν πάντῃ μὲν ἐπιφοιτῶσι, πολλὰ δὲ τῶν ἐσομένων προθεσπίζουσι. τί δὴ δεῖ δεδιέναι θάνατον, τὴν ἐν ὕπνῳ γινομένην ἀνάπαυσιν ἀγαπῶντας; πῶς δὲ οὐκ ἀνόητόν ἐστι τὴν ἐν τῷ ζῆν ἐλευθερίαν διώκοντας, τῆς ἀιδίου φθονεῖν ἑαυτοῖς; ἔδει μὲν οὖν ἡμᾶς οἴκοθεν πεπαιδευμένους, ἄλλοις εἶναι παράδειγμα τῆς πρὸς θάνατον ἑτοιμότητος. οὐ μὴν, ἀλλ' εἰ καὶ τῆς παρὰ τῶν ἀλλοφύλων δεόμεθα πίστεως, βλέψωμεν εἰς Ἰνδοὺς τοὺς ἀσκεῖν ὑπισχνουμένους. ἐκεῖνοί τε γὰρ ὄντες ἄνδρες ἀγαθοί, τὸν μὲν τοῦ ζῆν χρόνον, ὥσπερ ἀναγκαίαν τινὰ φύσει λειτουργίαν ἀκουσίως ὑπομένουσι· σπεύδουσι δὲ τὰς ψυχὰς ἀπολῦσαι τῶν σωμάτων, καὶ μηδενὸς αὐτοὺς κατεπείγοντος κακοῦ, μηδὲ ἐξελαύνοντος, πόθῳ τῆς ἀθανάτου διαίτης, προλέγουσι μὲν τοῖς ἄλλοις, ὅτι μέλλουσιν ἀπιέναι. καὶ ἔστιν ὁ κωλύσων οὐδείς, ἀλλὰ πάντες αὐτοὺς εὐδαιμονίζοντες, πρὸς τοὺς οἰκείους ἕκαστοι διδόασιν ἐπιστολάς. οὕτω βεβαίαν, καὶ ἀληθεστάτην ταῖς ψυχαῖς τὴν μετ' ἀλλήλων εἶναι δίαιταν πεπιστεύκασιν. οἱ δὲ, ἐπειδὰν ἐπακούσωσι τῶν ἐντεταλμένων αὐτοῖς, πυρὶ τὸ σῶμα παραδόντες, ὅπως δὴ καὶ καθαρωτάτην ἀποκρίνωσι τοῦ σώματος τὴν ψυχήν, ὑμνούμενοι τελευτῶσι. ῥᾷον γὰρ ἐκείνους εἰς τὸν θάνατον οἱ φίλτατοι προπέμπουσιν, ἢ τῶν ἄλλων ἀνθρώπων ἕκαστος τοὺς πολίτας εἰς μηκίστην ἀποδημίαν. καὶ σφᾶς μὲν αὐτοὺς δακρύουσιν, ἐκείνους δὲ μακαρίζουσιν, ἤδη τὴν ἀθάνατον τάξιν ἀπολαμβάνοντας. ἆρ' οὖν οὐκ αἰδούμεθα χεῖρον Ἰνδῶν φρονοῦντες, καὶ διὰ τῆς ἑαυτῶν ἀτολμίας τοὺς πατρίους νόμους, οἳ πᾶσιν ἀνθρώποις εἰς ζῆλον ἥκουσιν, αἰσχρῶς ὑβρίζοντες; ἀλλ' εἴ γε καὶ τοὺς ἐναντίους ἐξ ἀρχῆς λόγους

A neque audacia neque virtute præstatis, qui etiam magna mala effugituri, mortem timetis: cùm oporteret vos super hoc neque cunctari, neque expectare monitorem. Olim enim & à primo sensu nos erudire sacræ patriæ orationes, maiorum quoque nostrorum factis & animis confirmantibus, perseuerabant: quòd viuere hominis est, non mori, calamitas. Nam mors quidem libertatē animis prēstans, ad proprium purúmque locum eas dimittit, ab omni

B clade futuras intactas. Donec autem mortali corpore vinctæ sunt, vnáq; malis eius implentur, quod verisimile dicitur, mortuę sunt. Diuino enim cum mortali societas turpis est. Multum quidē potest anima iuncta cum corpore: instrumētum enim facit suum, latenter id mouēs, & vltra mortalē naturā gestis producens. Verūtamē cū pondere, quo in terrā detrahitur, quódque ab ea pendet, absoluta, proprium locum receperit, tunc beatam & vndiq; liberam

C participat fortitudinem: humanis oculis, vt ipse Deus, inuisibilis manens: nec enim cùm est in corpore, conspicitur. Nam & accedit occulta, neque rursus cùm recedit videtur, vnam quidem ipsa habēs incorruptam naturam: corpori autem causam præbens mutationis. Nam quod anima attigerit, hoc viuit atque viget: vnde verò digressa fuerit, hoc marcidū moritur: tantum immortalitatis ei superabat. Et huius orationis argumentum vobis sit somnus: in

D quo in se collectæ animæ, nusquam eas distrahente corpore, iucundissimam quietem agunt: cum Deo verò pro cognatione degentes, vbique adsunt, ac multa futura prædicunt. Cur igitur mortem timere conueniat, qui somni diligimus quietem? quemadmodum autem non sit dementissimum, breuitatem vitæ sequentes: sibimet inuidere perpetuam? Oportebat quidem nos domestica institutione meditatos, aliis esse exemplo promptæ voluntatis

E ad mortem. Attamē si ab alienigenis etiam rei fides petenda est, Indorum videamus sapientiæ professores. Illi enim cùm sint boni viri, vitæ quidem tempus, quasi quoddam necessarium naturæ munus, inuiti sustinent: properant autem animos corporibus soluere: nullóque vrgente neque exagitante malo, propter immortalis conuersationis desideriū, aliis quidem prędicunt se esse abituros, nec est qui prohibeat quisquam, sed omnes fortunatissimos

F appellantes eos, ad familiares suos mandata mittunt: ita certam verámque animis esse inter se consuetudinem credidêre: ipsi autem cùm mandata perceperint, igni traditis corporibus, vt immaculata puráque anima secernatur, laudati moriuntur. Facilius enim ad mortem illos amicissimi prosequntur, quàm exterorum hominum quisquam suos ciues, in longinquam peregrinationem ituros. Et se quidem ipsos deflent: illos autem beatos dicunt, quòd im-

G mortalitatis ordinem iam recipiant. Non ergo nos pudebit, si deterius Indis sapiam⁹, propriáque ignauia leges patrias, quæ omnibus hominib⁹ ęmuladę videtur, inhonestè despiciamus? quāquā etsi cōtraria nos à principio instituisset

A eruditio, quod summum bonum est hominibus viuere, mors autem calamitas: attamen tempus nos adhortatur eam bono animo & facilè tolerare, Dei voluntate & necessariò morituros. Olim enim quantum apparet, contra omne Iudæorum genus hoc decretum posuit Deus, vt vita careremus, qui ea non eramus quemadmodum oportebat vsuri. Non ausim enim nobismetipsis ascribere, neque Romanis gratificari, quod nos omnes eorum bellum absumpserit. B Non enim viribus illorum hæc accidêre: sed causa fortior interueniens, illis præstitit, vt vincere viderentur. Quibus enim armis Romanorum perempti sunt, qui Cæsaream incolebãt Iudæi? ac ne defecturos quidem ab illis, dum diem septimum celebrarent, aggressa Cæsariensium multitudo, neque repugnantes cũ coniugibus ac liberis mactauerũt: nec vel ipsos erubuêre Romanos, qui nos tantũmodo hostes, quòd defeceramus, putabant. C Sed dicet aliquis Cæsariensibus semper cum suæ ciuitatis Iudæis fuisse discordiam, tempúsque nactos vetus odium exaturasse, quid ergo de Scythopolitanis dicemus? Nobiscũ enim illi propter Græcos bellum gerere ausi sunt, ac non cũ propinquis nostris Romanos vlcisci. Multum igitur his fides illorum ac beneuolétia profuit: siquidem ab ipsis cum totis familiis acerbissimè trucidati sũt, ac pro auxiliis gratias eis reddidêre: nam quæ illos à nobis pati prohibuêre, hæc passi sunt, D velut ea ipsi committere voluissent. Longum fiet, si velim nunc separatim de singulis dicere. Nostis enim, quòd Syriæ ciuitatum nulla est, quæ non Iudæos apud se habitantes occiderit, nobis quàm Romanos plus inimicos. Vbi etiam Damasceni, cum ne causam quidem probabilem confingere potuissent, ciuitatem suam cæde nefaria repleuêre, octodecim millibus Iudæorum cum coniugibus ac familiis iugulatis. Eorum autem E multitudinem plagis in Ægypto peremptorũ LX. millium numerum audiebamus excedere. Illi quidem fortasse in aliena terra, cũ nullũ inuenissent hostibus aduersariũ, ita sunt mortui. At omnibus qui domi cum Romanis bellum suscepêre, nihil deerat eorum, quæ spem totam possent præbere victoriæ. Arma enim & muri, & castellorum inexpugnabiles fabricæ, atque interriti spiritus ad pericula pro libertate subeunda, cunctos ad defectionem reddunt fortiores: F sed hæc ad paucum tẽpus cùm suffecissẽt, séque sustulissent, maiorum malorum extitêre principium. Omnia enim capta sunt, omniàque hostibus succubuerunt, velut illorũ nobilioris causa victoriæ, non ad eorum salutem, à quibus instructa fuerant, apparata sunt. Et in prælio quidem mortuos beatos existimari oportet: repugnantes enim & libertate G nõ perdita periêre. Eorum verò multitudinis, qui à Rom. subiugati sunt, quis nõ misereatur? quisve nõ antequã illa patiatur, mori properet? quorũ alij torti, tãmq; igne quàm verberibus excruciati periêre, alij semesi à bestiis ad secundum earum cibum viui seruati sunt: illorum quidẽ miserrimi habendi sunt, qui adhuc

ἐπαιδεύθημεν, ὡς ἄρα μέγιστον ἀγαθὸν ἀνθρώποις ἐστὶ τὸ ζῆν, συμφορὰ δὲ ὁ θάνατος, ὁ καιρὸς ἡμᾶς παρακαλεῖ φέρειν εὐκαρδίως αὐτόν, θεοῦ γνώμῃ, καὶ κατ' ἀνάγκας τελευτήσαντας. πάλαι γὰρ ὡς ἔοικε κατὰ τοῦ κοινοῦ παντὸς Ἰουδαίων γένους, ταύτην ἔθετο τὴν ψῆφον ὁ θεός, ὥσθ' ἡμᾶς τοῦ ζῆν ἀπηλλάχθαι μὴ μέλλοντας αὐτῷ χρῆσθαι κατὰ τρόπον. μὴ γὰρ αὐτοῖς ὑμῖν ἀνάπτετε τὰς αἰτίας, μηδὲ χαρίζεσθε τοῖς Ῥωμαίοις, ὅτι πάντας ἡμᾶς ὁ πρὸς αὐτοὺς πόλεμος διέφθειρεν. οὐ γὰρ ἐκείνων ἰσχύι ταῦτα συμβέβηκεν, ἀλλὰ κρείττων αἰτία γενομένη τὸ νικᾶν ἐκείνοις δοκεῖν παρέσχηκεν. ποίοις γὰρ ὅπλοις Ῥωμαίων τεθνήκασιν οἱ Καισάρειαν Ἰουδαῖοι κατοικοῦντες, ἀλλ' οὐδὲ μελλήσαντας αὐτοὺς ἐκείνων ἀφίστασθαι, μεταξὺ δὲ τὴν ἑβδόμην ἑορτάζοντας, τὸ πλῆθος τῶν Καισαρέων ἐπιδραμὸν, μηδὲ χεῖρας ἀνταίροντας ἅμα γυναιξὶ, καὶ τέκνοις κατέσφαξαν, οὐδὲ αὐτοὺς Ῥωμαίους ἐντραπέντες, οἳ μόνους ὡς ἡμᾶς ἡγοῦντο πολεμίους τοὺς ἀφεστηκότας· ἀλλὰ φήσει τις ὅτι Καισαρεῦσιν ἦν ἀεὶ διαφορὰ πρὸς τοὺς παρ' αὐτοῖς, καὶ τοῦ καιροῦ λαβόμενοι τὸ παλαιὸν μῖσος ἀπεπλήρωσαν. τί οὖν τοὺς ἐν Σκυθοπόλει φῶμεν; ἡμῖν γὰρ ἐκεῖνοι διὰ τοὺς Ἕλληνας πολεμεῖν ἐτόλμησαν, ἀλλ' οὐ μετὰ τῆς συγγενείας ὑμῶν Ῥωμαίους ἀμύνεσθαι. πολὺ τοίνυν ὤνησεν αὐτοὺς ἡ πρὸς ἐκείνους εὔνοια καὶ πίστις. ὑπ' αὐτῶν μέντοι πανοικεσίᾳ πικρῶς κατεφονεύθησαν, ταύτης τῆς συμμαχίας ἀμοιβὴν ἀπολαβόντες. ἃ γὰρ ἐκείνους ἐφ' ἡμῶν ἐκώλυσαν, ταῦθ' ὑπέμειναν ὡς αὐτοὶ δρᾶσαι θελήσαντες. μακρὸν ἂν εἴη νῦν ἰδίᾳ περὶ ἑκάστων λέγειν. ἴστε γὰρ ὅτι τῶν ἐν Συρίᾳ πόλεων, οὐκ ἔστιν ἥτις τοὺς παρ' αὐτῇ κατοικοῦντας Ἰουδαίους οὐκ ἀνῄρηκεν, ἡμῖν πλέον ἢ Ῥωμαίοις ὄντας πολεμίους. ὅπου γε Δαμασκηνοὶ μηδὲ πρόφασιν εὔλογον πλάσαι δυνηθέντες, φόνου μιαρωτάτου τὴν αὑτῶν πόλιν ἐνέπλησαν, ὀκτακισχιλίους πρὸς τοῖς μυρίοις Ἰουδαίους ἅμα γυναιξὶ καὶ γενεαῖς ἀποσφάξαντες. τὸ δὲ ἐν Αἰγύπτῳ πλῆθος τῶν μετ' αἰκίας ἀνῃρημένων, ἓξ που μυριάδας ὑπερβάλλειν ἐπυνθανόμεθα. κἀκεῖνοι μὲν ἴσως ἐπ' ἀλλοτρίας γῆς οὐδὲν ἀντίπαλον εὑράμενοι τοῖς πολεμίοις οὕτως ἀπέθανον. τοῖς δ' ἐπὶ τῆς οἰκείας τὸν πρὸς Ῥωμαίους πόλεμον ἀραμένοις, ἅπασι τί τῶν ἐλπίδα νίκης ἐχυρᾶς παρασχεῖν δυναμένοις οὐχ ὑπῆρξε. καὶ γὰρ ὅπλα, καὶ τείχη, καὶ φρουρίων δυσάλωτοι κατασκευαί, καὶ φρόνημα πρὸς τοὺς ὑπὲρ τῆς ἐλευθερίας κινδύνους ἄτρεπτον, πάντας πρὸς τὴν ἀπόστασιν ἐπέρρωσεν. ἀλλὰ ταῦτα πρὸς βραχὺν χρόνον ἀρκέσαντα καὶ ταῖς ἐλπίσιν ἡμᾶς ἐπάραντα, μειζόνων ἀρχὴ κακῶν ἐφάνη. πάντα γὰρ ἥλω, καὶ πάντα τοῖς πολεμίοις ὑπέπεσεν, ὥσπερ εἰς τὴν ἐκείνων εὐκλεεστέραν νίκην, οὐκ εἰς τὴν τῶν παρασκευασαμένων σωτηρίαν ἐξευρεθέντα. καὶ τοὺς μὲν ἐν ταῖς μάχαις ἀποθνήσκοντας εὐδαιμονίζειν προσήκει. ἀμυνόμενοι γὰρ καὶ τὴν ἐλευθερίαν οὐ προέμενοι τεθνήκασι. τὸ δὲ πλῆθος τῶν ὑπὸ Ῥωμαίοις γενομένων, τίς οὐκ ἂν ἐλεήσειεν, ἢ τίς οὐκ ἂν ἐπειχθείη πρὸ τοῦ ταῦτα παθεῖν ἐκείνοις ἀποθανεῖν. ὧν οἱ μὲν στρεβλούμενοι, καὶ πυρὶ καὶ μάστιξιν αἰκιζόμενοι τεθνήκασιν· οἱ δ' ἀπὸ θηρίων ἡμίβρωτοι πρὸς δευτέραν αὐτοῖς τροφὴν ζῶντες ἐφυλάχθησαν, γέλωτα καὶ παιδιὰν τοῖς πολεμίοις παρασχόντες. ἐκείνων μὲν οὖν ἀθλιωτάτους ὑποληπτέον τοὺς ἔτι ζῶντας,

ζῶντας, οἳ πολλάκις εὐχόμενοι τὸν θάνατον λαβεῖν οὐκ ἔχουσι. ποῦ δ' ἡ μεγάλη πόλις ἡ τοῦ παντὸς ἰουδαίων γένους μητρόπολις; ἡ τοσούτοις μὲν ἐρυμνὴ τειχῶν περιβόλοις, τοσαῦτα δ' αὐτῆς φρούρια καὶ μεγέθη πύργων προβεβλημένη, μόλις δὲ χωροῦσα τὰς εἰς τὸν πόλεμον παρασκευὰς, τοσαύτας δὲ μυριάδας ἀνδρῶν ἔχουσα τῶν ὑπὲρ αὐτῆς μαχομένων; ποῦ γέγονεν ἡμῖν ἡ τὸν θεὸν ἔχειν οἰκιστὴν πεπιστευμένη; πρόρριζος ἐκ βάθρων ἀνήρπασται, καὶ μόνον αὐτῆς μνημεῖον ὑπολέλειπται, τὸ τῶν ἀνῃρηκότων αὐτὴν στρατόπεδον, ἔτι τοῖς λειψάνοις ἐποικοῦν. πρεσβῦται δὲ δύστηνοι τῇ σποδῷ τοῦ τεμένους παρακάθηνται, καὶ γυναῖκες ὀλίγαι πρὸς ὕβριν αἰσχίστην ὑπὸ τῶν πολεμίων τετηρημέναι. ταῦτά τις ἐν νῷ βαλλόμενος ἡμῶν, καρτερήσει τὸν ἥλιον ὁρᾶν, κἂν δύνηται ζῆν ἀκινδύνως; τίς οὕτω τῆς πατρίδος ἐχθρός; ἢ τίς οὕτως ἄνανδρος καὶ φιλόψυχος, ὡς μὴ καὶ περὶ τοῦ μέχρι νῦν ζῆσαι μετανοεῖν. ἀλλ' εἴθε πάντες ἐτεθνήκειμεν, πρὶν τὴν ἱερὰν ἐκείνην πόλιν χερσὶν ἰδεῖν κατασκαπτομένην πολεμίων, πρὶν τὸν ναὸν τὸν ἅγιον οὕτως ἀνοσίως ἐξορωρυγμένον. ἐπεὶ δ' ἡμᾶς οὐκ ἀγεννὴς ἐλπὶς ἐβουκόλησεν, ὡς τάχα που δυνήσεσθαι πολεμίους ὑπὲρ αὐτῆς ἀμύνεσθαι, φρούδη δὲ γέγονε νῦν, καὶ μόνους ἡμᾶς ὑπὸ τῆς ἀνάγκης καταλέλοιπε, σπεύσωμεν καλῶς ἀποθανεῖν. ἐλεήσωμεν ἡμᾶς αὐτοὺς, καὶ τὰ τέκνα, καὶ τὰς γυναῖκας, ἕως ἡμῖν ἔξεστι παρ' ἡμῶν αὐτῶν λαβεῖν τὸν ἔλεον. ἐπὶ μὲν γὰρ θάνατον ἐγεννήθημεν, καὶ τοὺς ἐξ αὐτῶν ἐγεννήσαμεν. καὶ τοῦτον οὐδὲ τοῖς εὐδαιμονοῦσιν ἔστι διαφυγεῖν. ὕβρις δὲ καὶ δουλεία, καὶ τὸ βλέπειν γυναῖκας εἰς αἰσχύνην ἀγομένας μετὰ τέκνων, οὐκ ἔστιν ἀνθρώποις κακὸν ἐκ φύσεως ἀναγκαῖον, ἀλλὰ ταῦτα διὰ τὴν αὐτῶν δειλίαν ὑπομένουσιν, οἱ παρὸν πρὸ αὐτῶν ἀποθανεῖν μὴ θελήσαντες. ἡμεῖς δ' ἐπ' ἀνδρείᾳ μέγα φρονοῦντες, ῥωμαίων ἀπέστημεν, καὶ τὰ τελευταῖα νῦν ἐπὶ σωτηρίᾳ προκαλουμένων ἡμᾶς, οὐχ ὑπηκούσαμεν. τίνι τοίνυν οὐκ ἔστιν ὁ θυμὸς αὐτῶν πρόδηλος, εἰ ζώντων ἡμῶν κρατήσουσιν. ἄθλιοι μὲν οἱ νέοι τῆς ῥώμης τῶν σωμάτων, εἰς πολλὰς αἰκίας ἀρκέσοντες, ἄθλιοι δ' οἱ παρηβηκότες, φέρειν τῆς ἡλικίας τὰς συμφορὰς οὐ δυναμένης. ὄψεταί τις γυναῖκα πρὸς βίαν ἀγομένην, φωνῆς ἐπακούσεται τέκνου, πατέρα βοῶντος χεῖρας δεδεμένον. ἀλλ' ἕως εἰσὶν ἐλεύθεραι, καὶ ξίφος ἔχουσι, καλὴν ὑπουργίαν ὑμῖν ὑπουργείτωσαν, ἀδούλωτοι μὲν ὑπὸ τῶν πολεμίων ἀποθάνωμεν, ἐλεύθεροι δὲ μετὰ τέκνων καὶ γυναικῶν τοῦ ζῆν συνεξέλθωμεν. ταῦθ' ἡμᾶς οἱ νόμοι κελεύουσι, ταῦθ' ἡμᾶς γυναῖκες καὶ παῖδες ἱκετεύουσι. τούτων τὴν ἀνάγκην θεὸς ἀπέσταλκε. τούτων ῥωμαῖοι τἀναντία θέλουσι, καὶ μή τις ἡμῶν πρὸ τῆς ἁλώσεως ἀποθάνῃ δεδοίκασι. σπεύσωμεν οὖν ἀντὶ τῆς ἐλπιζομένης αὐτοῖς καθ' ἡμῶν ἀπολαύσεως, ἔκπληξιν τοῦ θανάτου, καὶ θαῦμα τῆς τόλμης καταλιπεῖν.

Κεφ. λε.

Ἔτι γε βουλόμενον αὐτὸν παρακαλεῖν, πάντες ὑπετέμνοντο, καὶ πρὸς τὴν πρᾶξιν ἠπείγοντο, ἀνεπισχέτου τινὸς ὁρμῆς πεπληρωμένοι, καὶ δαιμονῶντες ἀπῄεσαν, ἄλλος πρὸ ἄλλου φθάσαι γλιχόμενος, καὶ ταύτην ἐπίδειξιν εἶναι τῆς ἀνδρείας, καὶ τῆς εὐβουλίας νομίζοντες, τὸ μή τις ἐν ὑστάτοις γενόμενος ὀφθῆναι. τοσοῦτος αὐτοῖς γυναικῶν καὶ παιδίων, καὶ τῆς αὐτῶν σφαγῆς ἔρως ἐνέπεσεν. καὶ μὴν οὐδ' ὥσπερ ἄν τις ᾠήθη τῇ πράξει προσιόντες ἠμβλύνθησαν, ἀλλ' ἀτενῆ τὴν γνώμην διεφύλαξαν, οἵαν ἔσχον τῶν λόγων ἀκροώμενοι, τοῦ μὲν οἰκείου καὶ φιλοστόργου πάθους ἅπασι παραμένοντος, τοῦ λογισμοῦ δ' ὡς τὰ κράτιστα βεβουλευκότος τοῖς φιλτά-

viuunt, qui sæpe mortem optantes non accipiunt. Vbi est autem illa magna ciuitas? Aut vbi est, quæ totius gẽtis Iudææ metropolis fuit? Tãtis quidẽ murorum septis munitissima, tot verò ante muros castellis turriúmque obiectis mœnibus tuta, belliq; apparatum vix capiẽs, tot autẽ virorũ pro se pugnantiũ multitudinẽ continens, quid nobis facta est, quæ Deum habere incolã credebatur? Radicitus ex fundamẽtis erepta est, soláque eius monumenta restant, eorũ à quibus excisa est imposita reliquiis castra. Senes verò infelices ad cineres templi assident, & paucæ mulieres ad turpissimam pudoris iniuriam ab hostibus reseruatæ. Hæc secum reputãs quisquam nostrum, aspicere solem durabit etiã si viuere sine periculo possit? Quis inimicus adeò patriæ, quis tã imbellis, aut parcus animæ, vt eum non pœniteat hucusque vixisse? Atque vtinam omnes fuissemus mortui, priusquã illã sacram ciuitatem hostium manibus videremus excindi, priusquam templum sanctum tãta impietate funditus erui: sed quoniam spes non instrenua nos illexit, quod fortè poterimus pro ea hostes vlcisci: nunc autem euanuit, ac solos necessitati dereliquit, mori bene properemus, nostrimet ipsi misereamur, & coniugum liberorúmque dũ nobis licet à nobisipsis misericordiam capere. Ad mortem namque ipsi nati sumus, & quos ex nobis genuimus, eámque fugere ne fortissimi quidem possunt, iniuria verò & seruitus, & videre coniuges ad turpitudinẽ duci cum liberis, non est malum hominibus ex naturæ necessitate profectũ: sed hæc sua timiditate perferunt, qui antè mori cùm licuit noluêre. Nos autem multum freti fortitudine, à Romanis defecimus: & postremò nunc illis ad salutem hortantibus, non paruimus. Cui igitur non est eorũ iracundia manifesta, si nos viuos subiugare potuerint? Miserandi quidem adolescentes erunt, quorum vires corporis ad multos sufficient cruciatus: miserandi autem prouectiores, quorum ætas clades ferre non poterit. Videbit alius coniugem abduci, alius manibus reuinctis vocem filij patrem implorantis exaudiet. Sed dum liberi sunt & gladios habẽt, pulchrum ministerium nobis præbeant, expertes seruitutis hostium. Moriamur liberi cum filiis & coniugibus vita decedamus. Hæc nobis leges præcipiunt, hęc nos coniuges & filij deprecantur, horum necessitatem Deus misit, his cõtraria Romani volunt, & ne quis nostrûm ante excidium pereat, timent. Festinemus igitur eis, pro sperata potiundi nostri voluptate, stuporẽ mortis admirationémque relinquere audaciæ. Adhuc eũ orare cupientem omnes interpellabant: & effrenato quodam impetu pleni, ad opus incitabant: ac veluti laruis exagitati, alius alium ante capere cupiebat: hoc specimẽ esse fortitudinis, rectiq. consilij existimantes, ne quis extremus remanere videretur: tantus eos & cõiugum & filiorũ & propriæ cædis amor inuasit. Sed nec id, quod aliquis putauerit, cùm facinus accederent, obtusi sunt, verùm eam seruare sententiam, quam cum dicta perciperent:

habuerunt: propriũ quidem eorúmq. affectum retinentibus cunctis, rationi verò cedentibus, quia iam optimè filiis consuluissent. Simul enim valere vxoribus cũ amplexu dicebãt, ac liberos gremiis captos extremum lacrymantes osculabantur: & simul tanquam manibus alienis iussa peragentes volentes eos configebant: malorũ, quæ subditi hostibus passuri fuerant, cogitationẽ habẽtes pro solatio necessitatis ad cædem. Denique nemo hac audacia minor inuentus est. Cuncti autem coniunctissimos trãsfixère: miseri, quibus id necesse fuit, quibúsque filios atque vxores occidere, malorum omniũ videbatur esse leuissimũ. Igitur neque horum iam factorũ dolorẽ tolerãtes, & interfectos læsos existimantes, si vel breuissimum tẽpus eis superuenirent, citò quidem vniuersis bonis in vnum congestis ignem iniiciunt, sorte verò ex numero suo decem lectis omnium percussoribus. vniuersi etiam propter liberos ac coniuges prostratos compositi, eósq. complexi manibus, parato animo se mactandos præbebant infelicissimum illud exhibentibus ministerium. Isti autem intrepidè cunctis occisis, eandem sortis legẽ in sua quoq. morte statuerunt, vt cui obtigisset, nouẽ perẽptis semet super eos occideret. ita omnes sibi cõfidebãt, quod neq. in audẽdo, neq. in sustinẽdo facinore, præstaret ali⁹ alij. Et ad extremũ cæteri quidẽ se neci supposuere: vn⁹ verò atq. nouissim⁹, circũspecta multitudine mortuorũ, ne quis fortè in multa cæde superesset, qui suæ manus egeret: vbi cognouit omnes peremptos, ignem quidem immittit regiæ: vehementi verò manu toto per se transacto gladio, iuxta suos affectus occubuit. Et illi quidem perierant, nullam credentes animam ex numero suo Romanis subditam reliquisse. Latuit autem vna mulier senior, & alia quædã Eleazari cognata, plurimum doctrina sapientiáque mulieribus præstans, & quinq. pueri per cuniculos qui aquam sub terra potui ducebant abditi, cũ alij cædibus occupatas mentes haberent, qui erant nongenti numero & sexaginta, cum mulierib. simul ac pueris. Hęc autem calamitas acta est Aprilis mensis quintodecimo die. Romani autem adhuc pugnã expectãtes manè aggeribus scalarum pontibus iunctis muros aggrediebantur. Cũ verò hostium neminẽ viderent, sed vndiq. versum acerbam solitudinem, ignémq. intus ac silentium, quid factũ esset cõiicere non poterant, & ad extremũ velut impellentes ictum arietis, vlulatum, si quem fortè prouocarent, dederunt. Clamorem autẽ sensêre mulieres, & ex cloacis emersæ, factũ Romanis, vt erat indicarunt, altera earum quemadmodum dicta vel gesta fuissent omnia narrante manifestè. Non tamẽ Romani facilè his verbis adducebantur, ausi magnitudinem verisimilẽ nõ credẽtes. Ignẽ verò extinguere conabantur, pérque hunc viam sectantes citò in regiam peruenêre: conspectáque multitudine mortuorum, non vt in hostibus gauisi sunt: sed consilij fortitudinem, & obstinatum in tanto numero rebus ipsis contemptum mortis admirabantur.

Cap. XXIX. Interitus sicariorum, qui in Alexandriã & Thebã profugerant.

HViusmodi autem peracto excidio, in castello quidem præsidium dux reliquit, ipse verò cum exercitu ad Cæsarem profectus

τοῖς ἐπικρατοῦσι. ὁμοῦ γὰρ ἠσπάζοντο γυναῖκας περιπτυσσόμενοι, καὶ τέκνα προσηγκαλίζοντο, τοῖς ὑστάτοις φιλήμασιν ἐμφυόμενοι καὶ δακρύοντες. ὁμοῦ δὲ καθάπερ ἀλλοτρίαις χερσὶν ὑπουργούμενοι, συνετέλουν τὸ βούλευμα, τὴν ἐπίνοιαν ὧν πείσονται κακῶν ὑπὸ τοῖς πολεμίοις γινόμενοι, παραμύθιον τῆς ἐν τῷ κτείνειν ἀνάγκης ἔχοντες. καὶ πέρας, οὐδεὶς τηλικούτου τολμήματος ἥττων εὑρέθη. πάντες δὲ διὰ τῶν οἰκειοτάτων διεξῆλθον. ἄθλιοι τῆς ἀνάγκης, οἷς αὐτοχειρὶ γυναῖκας τὰς αὑτῶν καὶ τέκνα κτεῖναι, κακῶν ἔδοξεν εἶναι τὸ κουφότατον. οὗτοι δὴ τοίνυν τὴν ἐπὶ τοῖς πεπραγμένοις ὀδύνην ἐπιφέροντες, καὶ τοὺς ἀνῃρημένους νομίζοντες ἀδικεῖν, κἂν βραχὺν αὐτοῖς ἔτι χρόνον ἐπιζήσωσι, ταχὺ μὲν τὴν κτῆσιν ἅπασαν εἰς ταὐτὸ σωρεύσαντες πῦρ εἰς αὐτὴν ἐνέβαλον. κλήρῳ δ' ἐξ αὑτῶν ἑλόμενοι δέκα τοὺς ἁπάντων σφαγεῖς ἐσομένους, καὶ γυναικί τις αὑτὸν καὶ παισὶ κειμένοις παραστρώσας, καὶ τὰς χεῖρας περιβαλών, παρεῖχον ἑτοίμους τὰς σφαγὰς, τοῖς τὴν δύστηνον ὑπουργίαν ἐκτελοῦσιν. οἱ δὲ ἀτρέπτως πάντας φονεύσαντες, τὸν αὐτὸν ἐπ' ἀλλήλοις τοῦ κλήρου νόμον ὥρισαν, ἵν' ὁ λαχὼν τοὺς ἐννέα κτείνας ἑαυτὸν ἐπὶ πᾶσιν ἀνέλῃ. πάντες οὕτως ἐθάρρουν ἑαυτοῖς, μήτ' εἰς δρᾶν, μήτ' εἰς τὸ παθεῖν, ἄλλως ἄλλου διαφέρειν. καὶ τέλος, οἱ μὲν τὰς σφαγὰς ὑπέθεσαν, ὁ δ' εἷς καὶ τελευταῖος, τὸ πλῆθος τῶν κειμένων περιαθρήσας μή που τις ἔτι ἐν πολλῷ φόνῳ τῆς αὐτοῦ λείπεται χειρὸς δεόμενος, ὡς ἔγνω πάντας ἀνῃρημένους, πῦρ μὲν πολὺ τοῖς βασιλείοις ἐνίησιν. ἀθρόᾳ δὲ τῇ χειρὶ δι' αὑτοῦ πᾶν ἐλάσας τὸ ξίφος, πλησίον τῶν οἰκείων κατέπεσε. καὶ οἱ μὲν ἐτεθνήκεσαν ὑπειληφότες οὐδεμίαν ψυχὴν ὑποχείριον ἐξ αὑτῶν Ῥωμαίοις καταλιπεῖν. ἔλαθε δὲ γυνὴ πρεσβῦτις καὶ συγγενὴς ἑτέρα τις Ἐλεαζάρου, φρονήσει καὶ παιδείᾳ πλείστων γυναικῶν διαφέρουσα, καὶ πέντε παιδία τοῖς ὑπονόμοις, οἳ ποτὸν ἦγον ὕδωρ διὰ γῆς ἐγκατακρυβῆναι, τῶν ἄλλων πρὸς τῇ σφαγῇ τὰς διανοίας ἐχόντων, οἳ τὸν ἀριθμὸν ἦσαν ἑξήκοντα πρὸς τοῖς ἐνακοσίοις, γυναικῶν ἅμα καὶ παιδίων αὐτοῖς συναριθμουμένων. καὶ τὸ πάθος ἐπράχθη, πεντεκαιδεκάτῃ Ξανθικοῦ μηνός.

Κεφ. λϛ.

ΟἹ δὲ Ῥωμαῖοι μάχην ἔτι προσδοκῶντες ὑπὸ τὴν ἕω διασκευασάμενοι, καὶ τὰς ἀπὸ τῶν χωμάτων ἐφόδους ταῖς ἐπιβάθραις γεφυρώσαντες, προσβολὴν ἐποίουν. βλέποντες δ' οὐδένα τῶν πολεμίων, ἀλλὰ δεινὴν πανταχόθεν ἐρημίαν, καὶ πῦρ ἔνδον καὶ σιωπήν, ἀπόρως εἶχον τὸ γεγονὸς συμβαλεῖν, καὶ τέλος εἰς ἄφεσιν βολῆς ἠλάλαξαν, εἴ τινα τῶν ἔνδον προκαλέσαιντο. τῆς δὲ βοῆς αἴσθησις γίνεται τοῖς γυναίοις, κἀκ τῶν ὑπονόμων ἀναδῦσαι, τὸ πραχθὲν ὡς εἶχε, πρὸς τοὺς Ῥωμαίους ἐμήνυον, πάντα τῆς ἑτέρας ὡς ἐλέχθη, καὶ τίνα τρόπον ἐπράχθη, σαφῶς ἐκδιηγουμένης. οὐ μὴν ῥᾳδίως αὐτῇ προσεῖχον τῷ μεγέθει τοῦ τολμήματος ἀπιστοῦντες, ἐνεχείρουν τε τὸ πῦρ σβεννύναι, καὶ ταχέως ὁδὸν δι' αὐτοῦ τεμόντες, τῶν βασιλείων ἐντὸς ἐγένοντο. καὶ τῷ πλήθει τῶν πεφονευμένων ἐπιτυχόντες, οὐχ ὡς ἐπὶ πολεμίοις ἥσθησαν. τὴν δὲ γενναιότητα τοῦ βουλεύματος, καὶ τὴν ἐν τοσούτοις ἄτρεπτον ἐπὶ τῶν ἔργων ἐθαύμασαν τοῦ θανάτου καταφρόνησιν. τοιαύτης δὲ τῆς ἁλώσεως γενομένης, ἐπὶ μὲν τοῦ φρουρίου καταλείπει φυλακὴν ὁ στρατηγός, αὐτὸς δὲ μετὰ τῆς δυνάμεως ἀπῆλθεν

εἰς

εἰς Καισάρειαν. οὐδὲ γὰρ ὑπελείπετό τις τῶν κατὰ τὴν χώραν πολεμίων, ἀλλ' ἤδη πᾶσα διὰ μακροῦ τοῦ πολέμου κατέστραπτο, πολλοῖς καὶ τῶν ἀπωτάτω κατοικούντων αἴσθησιν καὶ κίνδυνον ταραχῆς παρασχόντος.

Κεφ. λζ.

Ἔτι δὲ καὶ περὶ Ἀλεξάνδρειαν τὴν ἐν Αἰγύπτῳ, μετὰ ταῦτα συνέβη πολλοὺς Ἰουδαίων ἀποθανεῖν. τοῖς γὰρ ἐκ τῆς στάσεως τῶν σικαρίων ἐκεῖ διαφυγεῖν δυνηθεῖσιν, οὐκ ἀπέχρη τὸ σώζεσθαι· πάλιν δὲ καινοτέροις ἐνεχείρουν πράγμασι, καὶ πολλοὺς τῶν ὑποδεξαμένων ἔπειθον τῆς ἐλευθερίας ἀντιποιεῖσθαι, καὶ Ῥωμαίους μὲν μηδὲν κρείττους ἑαυτῶν ὑπολαμβάνειν, θεὸν δὲ μόνον ἡγεῖσθαι δεσπότην. ἐπεὶ δ' αὐτοῖς τῶν οὐκ ἀφανῶν τινες Ἰουδαίων ἀντέβαινον, τοὺς μὲν ἀπέσφαξαν, τοῖς δ' ἄλλοις ἐνέκειντο πρὸς τὴν ἀπόστασιν παρακαλοῦντες. ὁρῶντες δ' αὐτῶν τὴν ἀπόνοιαν, οἱ πρωτεύοντες τῆς γερουσίας, οὐκ ἔτ' ἀσφαλὲς αὐτοῖς ἐνόμιζον περιορᾶν, ἀλλὰ πάντας ἀθροίσαντες εἰς ἐκκλησίαν τοὺς Ἰουδαίους, ἤλεγχον τὴν ἀπόνοιαν τῶν σικαρίων, πάντων αἰτίους ἀποφαίνοντες ἐκείνους τῶν κακῶν· καὶ νῦν ἔφασαν αὐτοὺς ἐπεί περ οὐδὲ πεφευγότες τῆς σωτηρίας ἐλπίδα βεβαίαν ἔχουσι, γνωσθέντας γὰρ ὑπὸ Ῥωμαίων εὐθὺς ἀπολεῖσθαι, τῆς αὐτοῖς προσηκούσης συμφορᾶς ἀναπιμπλάναι τοὺς μηδενὸς τῶν ἁμαρτημάτων μεταχόντας. φυλάξασθαι τοίνυν τὸν ἐξ αὐτῶν ὄλεθρον τὸ πλῆθος παρεκάλουν, καὶ περὶ αὐτῶν πρὸς Ῥωμαίους ἀπολογήσασθαι, τῇ τούτων παραδόσει. συνιδόντες οὖν τοῦ κινδύνου τὸ μέγεθος, ἐπείσθησαν τοῖς λεγομένοις, καὶ μετὰ πολλῆς ὁρμῆς, ἐπὶ τοὺς σικαρίους ὁρμήσαντες, συνήρπαζον αὐτούς. τῶν δ' ἑξακόσιοι μὲν εὐθὺς ἑάλωσαν. ὅσοι δ' εἰς τὴν Αἴγυπτον, καὶ τὰς ἐκεῖ Θήβας διέφυγον, οὐκ εἰς μακρὰν συλληφθέντες ἐπανήχθησαν, ἐφ' ὧν οὐκ ἔστιν ὃς οὐ τὴν καρτερίαν, καὶ τὴν εἴτε ἀπόνοιαν, εἴτε τῆς γνώμης τὴν ἰσχὺν χρὴ λέγειν, οὐ κατεπλάγη. πάσης γὰρ ἐπ' αὐτοὺς βασάνου καὶ λύμης τῶν σωμάτων ἐπινοηθείσης, ἐφ' ἓν τοῦτο μόνον, ὅπως αὐτῶν Καίσαρα δεσπότην ὁμολογήσωσιν, οὐδεὶς ἐνέδωκεν, οὐδ' ἐμέλλησεν εἰπεῖν, ἀλλὰ πάντες ὑπερτέραν τῆς ἀνάγκης τὴν αὐτῶν γνώμην διεφύλαξαν, ὥσπερ ἀναισθήτοις σώμασι χαιρούσῃ μονονουχὶ τῇ ψυχῇ τὰς βασάνους καὶ τὸ πῦρ δεχόμενοι. μάλιστα δ' ἡ τῶν παίδων ἡλικία, τοὺς θεωμένους ἐξέπληξεν. οὐδὲ γὰρ ἐκείνων τις ἐξενικήθη, Καίσαρα δεσπότην ἐξονομάσαι. τοσοῦτον ἄρα τῆς τῶν σωμάτων ἀσθενείας, ἡ τῆς τόλμης ἰσχὺς ἐπεκράτει. Λοῦππος τότε διῴκει τὴν Ἀλεξάνδρειαν, καὶ περὶ τοῦ κινήματος τούτου, Καίσαρι κατὰ τάχος ἐπέστειλεν. ὁ δὲ τῶν Ἰουδαίων τὴν ἀκατάπαυστον ὑφορώμενος νεωτεροποιΐαν, καὶ δείσας μὴ πάλιν εἰς ἓν ἀθρόοι συλλεγῶσι, καί τινας αὐτοῖς συνεπισπάσωνται, προσέταξε τῷ Λούππῳ τὸν ἐν τῇ Ὀνίου καλούμενον νεὼν καθελεῖν τῶν Ἰουδαίων. ὁ δέ ἐστιν ἐν Αἰγύπτῳ, καὶ διὰ τοιαύτην αἰτίαν ᾠκίσθη τε καὶ τὴν ἐπίκλησιν ἔλαβεν. Ὀνίας Σίμωνος υἱὸς, εἷς τῶν ἐν Ἱεροσολύμοις ἀρχιερέων, φεύγων Ἀντίοχον τῆς Συρίας βασιλέα πολεμοῦντα τοῖς Ἰουδαίοις, ἧκεν εἰς Ἀλεξάνδρειαν. καὶ δεξαμένου Πτολεμαίου φιλοφρόνως αὐτὸν, διὰ τὴν πρὸς Ἀντίοχον ἀπέχθειαν, ἔφη σύμμαχον αὐτῷ ποιήσειν τὸ τῶν Ἰουδαίων ἔθνος, εἰ πεισθείη τοῖς ὑπ' αὐτοῦ λεγομένοις. ποιήσειν δὲ τὰ δυνατὰ τοῦ βασιλέως ὁμολογήσαντος, ἠξίωσεν ἐπιτρέπειν αὐτῷ, νεών τε που τῆς Αἰγύπτου κατασκευάσασθαι, καὶ τοῖς πατρίοις ἔθεσι θεραπεύειν τὸν

---

est. Nec enim quisquã supererat in illis regionibus hostium, sed iam tota Iudæa belli fuerat longinquitate subuersa: multisque suorũ etiam procul incolentibus sensum perturbationis ac periculum exhibuerat. Nã & circum Alexandriam Ægypti ciuitatem postea contigit multos Iudæorum perire. His enim qui ex factione sicariorũ illuc effugere potuerunt, non satis erat saluos esse: verùm & illic nouas res conabantur, vt libertatem defenderẽt, & Romanos quidem nihil se meliores putarent, Deũ verò solum dominum dicerent. Cùm autem quidã iis Iudæorum non ignobiles aduersarentur, illos quidẽ mactauêre, aliis verò instabãt, ad defectionem eos hortantes. Eorum autem videntes confidentiam principes seniorũ, iam cohibere tutum sibi non esse arbitrabantur: sed cõgregatis omnibus in congregationem Iudæis, sicariorum temeritatem publicabant, illos omnium malorum causam esse demonstrantes: & nunc aiebant illos, quòd nec si fugissent certã spem salutis habituri viderentur, à Romanis enim cognitos statim perituros esse, sibi debita calamitate replere eos, qui nullius fuissent delicti participes. cauẽdum igitur ab eorũ exitio multitudinem monebãt, & vt pro se Romanis ipsorum traditione satisfacerẽt. His dictis, prospecta periculi magnitudine paruêre, multóq; impetu sicarios aggressi corripuêre. quorũ sexcenti quidem statim capti sunt: qui verò in Ægyptum Thebásque illius tractus elapsi sunt, non multo pòst comprehẽsi reducti sunt: quorum non est qui duritiam, siue cõfidentia siue pertinacia voluntatis sit dicenda, nõ obstupescat. Omni enim genere tormentorum & vexatione corporum in eos excogitata, ob hoc solummodo, vt Cæsarẽ dominum faterentur, nemo cessit, neque dicere velle visus est: sed omnes illa necessitate validiorem sententiã conseruare, tanquam brutis corporibus nõ animis etiam cruciatus ignémque susciperent. Maximè verò puerorum ætas, miraculo spectantiũ fuit. nec enim vel eorum quisquam commotus est, vt dominum Cæsarem nominaret: vsque adeo corporum infirmitatem vis audaciæ superabat.

CAP. XXX. Oniæ templum clausum apud Alexandriã.

Lvpus tunc Alexãdriam rector administrabat, & de hoc ad Cæsarem motu velociter retulit. Ille autem inquietum Iudæorum circa res nouas studium cauendum esse existimans, ac veritus ne rursus in vnum congregarentur, & quosdam sibi adiungerent, præcepit Lupo, vt templum Iudæorum, quod esset apud Oniõ (quæ sic appellatur) ciuitatem, destrueret. Hæc autem est in Ægypto: quæ ob hanc causam & coli cœpit, & nomen sumpsit. Onias Simonis filius, vnus ex pontificibus, & Hierosolymis fugatus, Antiocho rege Syriæ cum Iudæis bellum gerente, Alexandriã venit: & à Ptolemæo suscipitur humanissimè, propterea quòd Antiocho erat inimicus: ait se gentem Iudæorum eius auxilio sociaturum, si dictis suis obtemperasset. Cùm autem rex ea quæ possent fieri annuisset, rogauit vt in aliqua parte Ægypti templũ sibi ędificare permitteret, & more patrio Deũ

colere. Ita enim & Antiochum magis odiosum Iudæis, qui templum apud Hierosolymam vastauisset, ipsisque beneuolentiores eos fore, cóque multos ad eum religionis diligentia colligendos. Paruit his Ptolemeus, eique locum dedit centum & octoginta stadiis à Memphi distantem: Heliopolitanus autem ille tractus dicitur: vbi castello fabricato, Onias templum quidem dissimile ei quod est in Hierosolymis, turrim autem similem extruxit, ingentibus saxis sexaginta cubitis erectam. Aræ autem fabricam secundùm patriam imitatus est, & donariis similiter exornauit, præter candelabri confectionem. Candelabrum enim non fecit, sed informatum aureum lychnum tanquã iubaris luce radiantem, de aurea catena suspẽdit. Totum verò circa templum spacium cocto latere circũdedit, saxeas portas habente. Concessit autem rex etiam multum agri modum, ac pecuniæ reditus: vt & sacerdotibus esset copia ad multa, quæ Dei cultus desideraret. Non tamen hæc Onias sana voluntate faciebat, sed erat ei contentio cum Iudęis apud Hierosolymã degentibus, propter fugę memorem iracundiã: & hoc templo ædificato, arbitrabatur ad id se omnem ab Hierosolymis multitudinem reuocaturum. Fuerat autem olim prædictio quædã annis nongentis septuaginta. Esaiásque prædixerat huius templi futuram in Ægypto cõstructionem à quodam viro Iudæo. Templum quidem ita fuerat ædificatum. Lupus autem rector Alexandriæ susceptis literis imperatoris cùm ad templum aduenisset, nonnullis ablatis donariis templum claudit. Postmodum Lupo mortuo Paulinus, qui eius potestati successit, neque donariorum quicquam reliquit (vehementer enim sacerdotibus comminatus est, nisi omnia protulissent) neque ad templum religionis causa adire volentes admisit: sed clausis foribus ita inaccessum fecit, vt ne vestigium quidem diuini cultus in eo resideret. Tempus autem fluxerat vsque clausum templũ, ex quo fuerat conditum, anni trecenti triginta tres.

CAP. XXXI. De interfectione Iudæorum apud Cyrenem.

Audacia verò sicariorum, veluti morbus quidam, etiam ea quæ circum Cyrenem oppida erant, contigerat. Elapsus enim ad eam Ionathas homo nequissimus, arte textor, non paucis imperitorum, vt se attenderent persuasit: perduxitque eos in solitudines, cùm signa & vmbrarum imagines se polliceretur ostẽdere. & alios quidem hęc agendo atque fallendo latebat, dignitate verò præstantes Cyrenensium Iudæorum apparatum eius & profectionem Pentapolitanæ Libyæ rectori Catullo prænũciant. Ille autem equitibus ac peditibus missis, inermes facilè comprehendit: & magna quidẽ pars manibus interiit, nonnulli autem viui capti, ad Catullum perducti sunt. Autor autem consilij Ionathas tunc quidem potuit effugere: multum verò ac diligenter per omnes quæsitus regiones captus est, adductúsque ad Catullum, sibi quidem moram pœnæ moliebatur, Catullo autem iniquitatis præbuit occasionem. Nam ipse quidem locupletissimos Iudęo-

θεόν. ἔτι γὰρ ἀντιόχῳ μὲν ἔτι μᾶλλον ἐκπολεμώσεσθαι τοὺς ἰουδαίους, τὸν ἐν ἱεροσολύμοις ναὸν πεπορθηκότα· πρὸς αὐτὸν δὲ εὐνοϊκωτέρως ἕξειν, καὶ πολλοὺς ἐπ' ἀδείᾳ τῆς εὐσεβείας, ὡς αὐτὸν συλλεγήσεσθαι. πεισθεὶς πτολεμαῖος τοῖς λεγομένοις, δίδωσιν αὐτῷ χώραν ἑκατὸν ἐπὶ τοῖς ὀγδοήκοντα σταδίοις ἀπέχουσαν μέμφεως. νόμος δ' οὗτος ἡλιουπολίτης καλεῖται, ἔνθα φρούριον κατασκευασάμενος ὀνίας, τὸν μὲν ναὸν οὐχ ὅμοιον ᾠκοδόμησε τῷ ἐν ἱεροσολύμοις, ἀλλὰ πύργῳ παραπλήσιον, λίθων μεγάλων εἰς ἑξήκοντα πήχεις ἀνεστηκότα. τοῦ βωμοῦ δὲ τὴν κατασκευὴν πρὸς τὸν οἴκοι ἐξεμιμήσατο, καὶ τοῖς ἀναθήμασιν ὁμοίως ἐκόσμησε, χωρὶς τῆς περὶ τὴν λυχνίαν κατασκευῆς. οὐ γὰρ ἐποίησε λυχνίαν. αὐτὸν δὲ χαλκευσάμενος τὸν λύχνον χρυσοῦν ἐπιφαίνοντα σέλας, χρυσῆς ἁλύσεως ἐξεκρέμασε. τὸ δὲ τέμενος πᾶν, ὀπτῇ πλίνθῳ περιετετείχιστο, πύλας ἔχοντι λιθίνας. ἀνῆκε δὲ καὶ χώραν πολλὴν ὁ βασιλεὺς εἰς χρημάτων πρόσοδον, ὅπως εἴη καὶ τοῖς ἱερεῦσιν ἀφθονία, καὶ τῷ θεῷ πολλὰ τὰ πρὸς τὴν εὐσέβειαν. οὐ μὴν ὀνίας ἐξ ὑγιοῦς γνώμης ταῦτα ἔπραττεν, ἀλλ' ἦν αὐτῷ φιλονεικία πρὸς τοὺς ἐν τοῖς ἱεροσολύμοις ἰουδαίους, ὀργὴν τῆς φυγῆς ἀπομνημονεύοντι. καὶ τοῦτο τὸ ἱερὸν ἐνόμιζε κατασκευάσας, εἰς αὐτὸ περισπάσειν ἀπ' ἐκείνων τὸ πλῆθος. ἐγεγόνει δέ τις καὶ παλαιὰ πρόρρησις ἔτεσί που πρόσθεν ἑξακοσίοις, ἠσαΐας ὄνομα τῷ προαγορεύσαντι τοῦδε τοῦ ναοῦ τὴν ἐν αἰγύπτῳ γενησομένην ὑπ' ἀνδρὸς ἰουδαίου κατασκευήν. τὸ μὲν οὖν ἱερὸν οὕτως ἐπεποίητο. λοῦπος δ' ὁ τῆς ἀλεξανδρείας ἡγεμὼν, τὰ παρὰ καίσαρος λαβὼν γράμματα, καὶ παραγενόμενος εἰς τὸ ἱερὸν, καί τινα τῶν ἀναθημάτων ἐκφορήσας, τὸν ναὸν ἀπέκλεισε. λούππου δὲ μετὰ βραχὺ τελευτήσαντος, παυλῖνος διαδεξάμενος τὴν ἡγεμονίαν, οὔτε τῶν ἀναθημάτων οὐδὲν κατέλιπεν, πολλὰ γὰρ διηπείλησε τοῖς ἱερεῦσιν, εἰ μὴ πάντα προκομίσαιεν, οὔτε προσιέναι τῷ τεμένει τοὺς θρησκεύειν βουλομένους ἀφῆκεν· ἀλλ' ἀποκλείσας τὰς πύλας, ἀπρόσιτον αὐτὸ παντελῶς ἐποίησεν, ὡς μηδ' ἴχνος ἔτι τῆς εἰς θεὸν θεραπείας ἐν τῷ τόπῳ καταλιπεῖν. χρόνος ἦν εἰς τὴν ἀπόκλεισιν τοῦ ναοῦ γεγονὼς, ἀπὸ τῆς κατασκευῆς ἔτη τρία καὶ τεσσαράκοντα καὶ τριακόσια.

Κεφ. λη.

Ἥψατο δὲ καὶ τῶν περὶ κυρήνην πόλεων ἡ τῶν σικαρίων ἀπόνοια καθάπερ νόσος. διαπεσὼν γὰρ εἰς αὐτὴν ἰωνάθης, πονηρότατος ἄνθρωπος καὶ τὴν τέχνην ὑφάντης, οὐκ ὀλίγους τῶν ἀπόρων ἀνέπεισε προσέχειν αὐτῷ, καὶ προήγαγεν εἰς τὴν ἔρημον, σημεῖα καὶ φάσματα δείξειν ὑπισχνούμενος. καὶ τοὺς μὲν ἄλλους ἐλάνθανε ταῦτα διαπραττόμενος καὶ φενακίζων. οἱ δὲ τοῖς ἀξιώμασι προύχοντες τῶν ἐπὶ τῆς κυρήνης ἰουδαίων, τὴν ἔξοδον αὐτοῦ καὶ παρασκευὴν τῷ τῆς πενταπόλεως λιβύης ἡγεμόνι κατύλλῳ προσαγγέλλουσιν. ὁ δὲ ἱππέας τε καὶ πεζοὺς ἀποστείλας, ῥᾳδίως ἐκράτησεν ἀνόπλων. καὶ τὸ μὲν πλέον ἐν χερσὶν ἀπώλετο. τινὲς δὲ καὶ ζωγρηθέντες, ἀνήχθησαν πρὸς τὸν κάτυλλον.

Κεφ. λθ.

Ὁ δὲ ἡγεμὼν τοῦ βουλεύματος ἰωνάθης, τότε μὲν διέφυγε. πολλῆς δὲ καὶ λίαν ἐπιμελοῦς ἀνὰ πᾶσαν τὴν χώραν ζητήσεως γινομένης, ἥλω καὶ πρὸς τὸν ἡγεμόνα κάτυλλον ἀναχθεὶς, ἑαυτῷ μὲν ἐμηχανᾶτο τῆς τιμωρίας ἀπαλλαγήν. τῷ κατύλλῳ δὲ ἔδωκεν ἀφορμὴν ἀδικημάτων. ὁ μὲν γὰρ

τοὺς

τοὺς πλουσιωτάτους τῶν ἰουδαίων ἔλεγε καταψευδόμενος, διδασκάλους αὐτοῖς τοῦ βουλεύματος γεγονέναι. προθύμως δὲ τὰς διαβολὰς ἐκεῖνος ἐξεδέχετο, καὶ τῷ πράγματι πολὺν ὄγκον προσετίθει, μεγάλα προστραγῳδῶν, ἵνα δὴ δόξειε καὶ αὐτὸς ἰουδαϊκὸν πόλεμον κατωρθωκέναι. τὸ δὲ δὴ τούτου χαλεπώτερον, πρὸς γὰρ τὸ πιστεύειν ῥαδίως, ἔτι καὶ διδάσκαλος ἦν τῶν σικαρίων τῆς ψευδολογίας. κελεύσας γοῦν αὐτὸν ὀνομάσαι τινὰ τῶν ἰουδαίων ἀλέξανδρον, ᾧ πάλαι προσκεκρουκὼς φανερὸν ἐξενηνόχει τὸ μῖσος, τήν τε γυναῖκα τὴν ἐκείνου βερνίκην ταῖς αἰτίαις συνεμπλέξας, τούτους μὲν πρώτους ἀνεῖλεν. ἐπὶ δ' αὐτοῖς ἅπαντας τοὺς εὐπορίᾳ χρημάτων διαφέροντας, ὁμοῦ τρισχιλίους ἐφόνευσεν ἄνδρας. καὶ ταῦτα πράττων ἐνόμιζεν ἀσφαλῶς, ὅτι τὰς οὐσίας αὐτῶν εἰς τὰς τοῦ καίσαρος προσόδους ἀνελάμβανεν. ὅπως δὲ μηδ' ἀλλαχοῦ τινὲς τῶν ἰουδαίων ἐλέγξωσιν αὐτοῦ τὴν ἀδικίαν, πορρωτέρω τὸ ψεῦδος ἐξέτεινε. καὶ πείθει τὸν ἰωνάθην καί τινας τῶν ἅμα ἐκείνῳ συνειλημμένων, νεωτερισμοῦ κατηγορίαν ἐπιφέρειν, τοῖς ἐν ἀλεξανδρείᾳ τε καὶ ῥώμῃ τῶν ἰουδαίων δοκιμωτάτοις. τούτων εἰς τῶν ἐξ ἐπιβουλῆς αἰτιαθέντων, ἦν ἰώσηπος ὁ ταῦτα συγγραψάμενος. οὐ μὴν κατ' ἐλπίδα τῷ κατύλλῳ τὸ σκευώρημα προεχώρησεν. ἧκεν μὲν γὰρ εἰς τὴν ῥώμην, τοὺς περὶ τὸν ἰωνάθην ἄγων δεδεμένους, καὶ πέρας ᾤετο τῆς ἐξετάσεως εἶναι, τὴν ἐπ' αὐτοῦ καὶ δι' αὐτοῦ γενομένην ψευδολογίαν. οὐεσπασιανὸς δὲ τὸ πρᾶγμα ὑποπτεύσας, ἀναζητεῖ τὴν ἀλήθειαν, καὶ γνοὺς ἀδίκως τὴν αἰτίαν τοῖς ἀνδράσιν ἐπενηνεγμένην, τοὺς μὲν ἀφίησι τῶν ἐγκλημάτων, τίτου σπουδάσαντος, δίκην δ' ἐπέθηκεν ἰωνάθῃ τὴν προσήκουσαν. ζῶν γὰρ κατεκαύθη πρότερον αἰκισθείς. κατύλλῳ δὲ, τότε μὲν ὑπῆρξε διὰ τὴν πρᾳότητα τῶν αὐτοκρατόρων, μηδὲν πλέον ὑπομεῖναι καταγνώσεως, οὐκ εἰς μακρὰν δὲ νόσῳ καταληφθεὶς πολυτρόπῳ καὶ δυσιάτῳ, χαλεπῶς ἀπαλλάττεται, οὐ τὸ σῶμα μόνον κολαζόμενος, ἀλλ' ἦν ἡ τῆς ψυχῆς αὐτοῦ νόσος βαρυτέρα. δείμασι γὰρ ἐξεταράττετο, καὶ συνεχῶς ἀνεβόα, βλέπειν εἴδωλα τῶν ὑπ' αὐτοῦ πεφονευμένων ἐφεστηκότα, καὶ κατέχειν ἑαυτὸν οὐ δυνάμενος, ἐξήλλατο τῆς εὐνῆς, ὡς βασάνων αὐτῷ καὶ πυρὸς προσφερομένων. τοῦ δὲ κακοῦ πολλὴν ἀεὶ τὴν ἐπίδοσιν λαμβάνοντος, καὶ τῶν ἐντέρων αὐτῷ κατὰ διάβρωσιν ἐκπεσόντων, οὕτως ἀπέθανεν, οὐδενὸς ἧττον ἑτέρου τῆς προνοίας τοῦ θεοῦ τεκμήριον γενόμενος, ὅτι τοῖς πονηροῖς δίκην ἐπιτίθησιν. ἐνταῦθα τῆς ἱστορίας ἡμῖν τὸ πέρας ἐστὶν, ἣν ἐπηγγειλάμεθα μετὰ πάσης ἀκριβείας παραδώσειν τοῖς βουλομένοις μαθεῖν, τίνα τρόπον οὗτος ὁ πόλεμος ῥωμαίοις πρὸς ἰουδαίους ἐπολεμήθη. καὶ πῶς μὲν ἡρμήνευται τοῖς ἀναγνωσομένοις κρίνειν ἀπολελείφθω. περὶ τῆς ἀληθείας δ' οὐκ ἂν ὀκνήσαιμι θαρρῶν λέγειν, ὅτι μόνης ταύτης παρὰ πᾶσαν τὴν γραφὴν ἐστοχασάμην.

rum falso insimulans, autores sibi huius consilij fuisse dicebat. Catullus autem criminationes alacri animo suscipiebat, rémque delatam multimodè cumulabat, tragicis etiam verbis exaggerans, vt ipse quoddam bellum Iudæorum confecisse videretur: quódque hoc atrocius est, præter credendi facilitatem, etiam doctor erat calumniandi sicariis. Denique cùm iussisset Iudæum quendam Alexandrum nominare: cui iamdudum infensus, odium publicauerat, etiam vxore eius Berenice criminationibus implicata, hos quidem priores occidit, deinde omnes simul pecuniarum copiis eximios, tria simul millia trucidauit. Et hæc secure facere arbitrabatur, quòd eorum patrimonia reditibus Cæsaris adiungebat. Ne verò vel alibi degentium quisquam Iudæorum eius iniustitiam confutaret, etiam longiùs mendaciũ propagauit: ac Ionathæ nonnullísque aliis qui comprehensi fuerant persuader, nouarum rerũ accusationem viris inferre probatissimis Iudæorum, apud Alexandriam Romámque degentium. Horum autem, qui per insidias accusati sunt, vnus erat Iosephus, qui hæc scripsit. Non tamen Catullo fictio ita vt sperauerat cessit. Nam Romam quidem venit, Ionathan cæterósque vinctos ducens, finémque arbitrabatur esse quæstionis apud se ac per illum conflatam calumniam: Vespasianus autem rem suspicatus, veritatem requirebat: cognitóque nõ iure hominibus accusationem illatam illos quidem Titi studio criminibus soluit, meritò verò pœnam in Ionathan statuit: priùs enim verberatus, viuus exustus est. Catullo autem tunc quidem ob lenitatem principum obtigit, ne quid amplius castigationis experiretur: non multo autem pòst, multiplici morbo & insanabili correpts, acerbissimè tortus est, nõ corporis tantum cruciatum sustinens, sed erat ei maior animi morbus & grauior. Terroribus enim expauescebat, & crebrò videbat sibi instantes vmbras eorum quos peremerat, & clamitabat. Cúmque se tenere non posset, exiliebat stratis, tanquam tormentis sibi & flammis adhibitis. Hoc autem semper multum proficiente malo, extísque defluentibus, ac intestinis exhaustis, ita est mortuus: nulla re alia magis diuinæ prouidentiæ facto indicio, quàm quòd nequissimos vlciscatur. Hic nobis est finis historiæ, quam promisimus nos cum omni veritate tradituros, cognoscere cupientibus, quemadmodum hoc bellũ Romanis gestũ est cum Iudæis: & qualiter sit quidem expositum lecturis, vt dicant, relinquatur: de veritate autem confidenter dicere non pigebit, quòd eam solam scopum mihi per omnia quæ scripsi propo suerim.

Τέλος τῆς ἰωσήπου ἰουδαϊκῆς ἁλώσεως.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΒΙΟΣ.

FLAVII IOSEPHI VITA,

Sigismundo Gelenio interprete.

Mihi igitur genus est non obscurum, sed longa serie, ductum à sacerdotibus: & sanè quemadmodũ apud alios aliæ nobilitatis rationes censentur, ita apud nostrates ius sacrorum habere argumentum est illustris originis. ego autem non solùm ex sacerdotum oriundus sum genere, verùm etiam ex vice prima inter viginti quatuor illas, quas inter non mediocre discrimen est. quin & ad regium genus per matrem pertineo: quandoquidem Asamonæorum familia, ex qua illa prognata est, tempore longo regnum simul & sacerdotium in gente nostra obtinuit. nunc ipsam seriem propagationis pertextam. Atauus mihi fuit Simõ Psellus cognomine, quo tempore Hircanus Simonis pont. filius eius nominis primus summum sacerdotium tenuit. is nouem filios habuit, & in his Matthiam Aphliæ cognomine. hic ex Ionathæ summi pontificis filia Matthiã Curtum suscepit, primo anno Hyrcani principis. ex eo Iosephus progenitus est anno regni Alexandræ nono: qui Matthiam genuit annum decimum regnante Archelao. is porrò me genuit imperij C. Cæsaris anno primo, ipse autem filios habeo tres: quorum Hircanus maximus, natus est anno quarto Vespasiani principis, deinde septimo Iustus, nono Agrippa. atque hanc generis nostri successionem, vt est in publicas tabulas relata huc transcripsi, parui faciens improborum calumnias. Matthias autem meus pater, non nobilitate solùm, sed multo magis iustitia fuit celebratus, cuius nomine totis quã ampla sunt Hierosolymis innotuit. ipse à pueritia cũ Matthia eisdem parentibus nato incũbens disciplinis egregiè profeci, visúsque sum intellectu & memoria præcellere: ita vt iam tum quartumdecimum annum agens laudem consecutus ex literarum studiis etiam à pontificibus & vrbis primoribus de penitiori legum sensu consulerer. sextumdecimum deinde ingressus decreui nostratium sectarum gustum aliquem capere, quas tres esse diximus, Pharisæorum, Sadducæorum, & Essenorum: sic enim faciliorem delectum fore putabam, si omnes cognoscerem. itaque duro victu & magno labore per omnes tres transij:

Ἐμοὶ δὲ γένος ἐστὶν οὐκ ἄσημον, ἀλλ' ἐξ ἱερέων ἄνωθεν καταβεβηκός. ὥσπερ δ' ἡ παρ' ἑκάστοις ἄλλη τίς ἐστιν εὐγενείας ὑπόθεσις, οὕτω παρ' ἡμῖν ἡ τῆς ἱερωσύνης μετουσία τεκμήριόν ἐστι γένους λαμπρότητος. ἐμοὶ δ' οὐ μόνον ἐξ ἱερέων ἐστὶ τὸ γένος, ἀλλὰ καὶ ἐκ τῆς πρώτης ἐφημερίδος τῶν εἰκοσιτεσσάρων· πολλὴ δὲ κἀν τούτῳ διαφορά. ὑπάρχω δὲ καὶ τοῦ βασιλικοῦ γένους ἀπὸ τῆς μητρός. οἱ γὰρ ἀσαμωναίου παῖδες ὧν ἔκγονος ἐκείνη, τοῦ ἔθνους ἡμῶν ἐπὶ μήκιστον χρόνον ἀρχιεράτευσαν καὶ ἐβασίλευσαν. ἐρῶ δὲ τὴν διαδοχήν. ὁ πρόπαππος ἦν ἐμοὶ σίμων ὁ ψελλὸς ἐπικαλούμενος. οὗτος ἐγένετο καθ' ὃν καιρὸν ἀρχιεράτευσεν σίμωνος ἀρχιερέως ὁ παῖς, ὃς πρῶτος ἀρχιερέων ὑρκανὸς ὠνομάσθη. γίνονται δὲ τῷ ψελλῷ σίμωνι παῖδες ἐννέα. τούτων ἐστὶν εἷς ματθίας ὁ ἠφλίου λεγόμενος. οὗτος ἠγάγετο πρὸς γάμον θυγατέρα ἰωνάθου ἀρχιερέως, καὶ γίνεται παῖς αὐτῷ ματθίας ὁ κυρτὸς ἐπικληθείς, ἄρχοντος ὑρκανοῦ τὸν πρῶτον ἐνιαυτόν. τούτου γίνεται ἰώσηπος ἐνάτῳ ἔτει τῆς ἀλεξάνδρας ἀρχῆς, καὶ ἰωσήπου ματθίας βασιλεύοντος ἀρχελάου τὸ δέκατον. ματθία δὲ ἐγὼ τῷ πρώτῳ τῆς γαΐου καίσαρος ἡγεμονίας. ἐμοὶ δὲ παῖδές εἰσι τρεῖς, ὑρκανὸς μὲν ὁ πρεσβύτατος ἔτει τετάρτῳ τῆς οὐεσπασιανοῦ καίσαρος ἡγεμονίας, ἑβδόμῳ δὲ ἰοῦστος, ἐνάτῳ δὲ ἀγρίππας. τὴν μὲν οὖν τοῦ γένους ἡμῶν διαδοχὴν ὡς ἐν ταῖς δημοσίαις δέλτοις ἀναγεγραμμένην εὗρον, οὕτως παρατίθεμαι, τοῖς διαβάλλειν ἡμᾶς πειρωμένοις χαίρειν φράσας. ὁ πατὴρ δέ μου ματθίας οὐ διὰ μόνην τὴν εὐγένειαν ἐπίσημος ἦν, ἀλλὰ πλέον διὰ τὴν δικαιοσύνην ἐπῃνεῖτο, γνωριμώτατος ὢν ἐν τῇ μεγίστῃ πόλει τῶν παρ' ἡμῖν τοῖς ἱεροσολυμίταις. ἐγὼ δὲ συμπαιδευόμενος ἀδελφῷ ματθίᾳ τοὔνομα, γεγόνει γάρ μοι γνήσιος ἐξ ἀμφοῖν τῶν γονέων, εἰς μεγάλην παιδείας προὔκοπτον ἐπίδοσιν, μνήμῃ τε καὶ συνέσει δοκῶν διαφέρειν. ἔτι δ' ἄρα παῖς ὢν περὶ τεσσαρεσκαιδέκατον ἔτος διὰ τὸ φιλογράμματον ὑπὸ πάντων ἐπῃνούμην, συνιόντων ἀεὶ τῶν ἀρχιερέων καὶ τῶν τῆς πόλεως πρώτων, ὑπὲρ τοῦ παρ' ἐμοῦ περὶ τῶν νομίμων ἀκριβέστερόν τι γνῶναι. περὶ ἑκκαίδεκα δὲ ἔτη γενόμενος ἐβουλήθην τῶν παρ' ἡμῖν αἱρέσεων ἐμπειρίαν λαβεῖν. τρεῖς δ' εἰσὶν αὗται, φαρισαίων μὲν ἡ πρώτη, καὶ σαδδουκαίων ἡ δευτέρα, τρίτη δὲ ἡ ἐσσηνῶν, καθὼς πολλάκις εἴπομεν. οὕτω γὰρ ᾤμην αἱρήσεσθαι τὴν ἀρίστην, εἰ πάσας καταμάθοιμι. σκληραγωγήσας γοῦν ἐμαυτὸν καὶ πολλὰ πονηθεὶς, τὰς τρεῖς διῆλθον· καὶ μη-

A καὶ μηδὲ τὴν ἐντεῦθεν ἐμπειρίαν ἱκανὴν ἐμαυτῷ νομίσας εἶναι, πυθόμενός τινα βανοῦν ὄνομα κατὰ τὴν ἐρημίαν διατρίβειν, ἐσθῆτι μὲν ἀπὸ δένδρων χρώμενον, τροφὴν δὲ τὴν αὐτομάτως φυομένην προσφερόμενον, ψυχρῷ δὲ ὕδατι τὴν ἡμέραν καὶ τὴν νύκτα πολλάκις λουόμενον πρὸς ἁγνείαν, ζηλωτὴς ἐγενόμην αὐτοῦ, καὶ διατρίψας παρ' αὐτῷ ἐνιαυτοὺς τρεῖς, καὶ τὴν ἐπιθυμίαν τελειώσας, εἰς τὴν πόλιν ὑπέστρεφον. ἐννεακαίδεκα δ' ἔτη ἔχων, ἠρξάμην τε πολιτεύεσθαι τῇ φαρισαίων αἱρέσει κατακολουθῶν, ἣ παραπλήσιός ἐστι τῇ παρ' ἕλλησι στωϊκῇ λεγομένῃ. μετ' εἰκοστὸν δὲ καὶ ἕκτον B ἐνιαυτὸν εἰς ῥώμην μοι συνέπεσεν ἀναβῆναι διὰ τὴν λεχθησομένην αἰτίαν. καθ' ὃν χρόνον φῆλιξ τῆς ἰουδαίας ἐπετρόπευεν, ἱερεῖς τινὰς συνήθεις ἐμοὶ καλοὺς κἀγαθοὺς διὰ μικρὰν καὶ τὴν τυχοῦσαν αἰτίαν δήσας εἰς τὴν ῥώμην ἔπεμψε, λόγον ὑφέξοντας τῷ καίσαρι. οἷς ἐγὼ πόρον εὑρέσθαι βουλόμενος σωτηρίας, μάλιστα δὲ πυθόμενος, ὅτι καίπερ ἐν κακοῖς ὄντες οὐκ C ἐπελάθοντο τῆς εἰς τὸ θεῖον εὐσεβείας, διετρέφοντο δὲ σύκοις καὶ καρύοις, ἀφικόμην εἰς ῥώμην πολλάκις κινδυνεύσας κατὰ θάλασσαν. βαπτισθέντος γὰρ ἡμῶν τοῦ πλοίου κατὰ μέσον τὸν ἀδρίαν, περὶ ἑξακοσίους τὸν ἀριθμὸν ὄντες, δι' ὅλης τῆς νυκτὸς ἐνηξάμεθα. καὶ περὶ ἀρχομένην ἡμέραν ἐπιφανέντος ἡμῖν κατὰ θεοῦ πρόνοιαν, κυρηναϊκοῦ πλοίου, φθάσαντες τοὺς ἄλλους ἐγώ τε καί τινες ἕτεροι ὀγδοήκοντα σύμπαντες D ἀνελήφθημεν εἰς τὸ πλοῖον. διασωθεὶς δ' εἰς τὴν δικαιαρχίαν, ἣν ποτιόλους ἰταλοὶ καλοῦσιν, διὰ φιλίας ἀφικόμην ἀλιτύρῳ, μιμολόγος δ' ἦν οὗτος μάλιστα τῷ νέρωνι καταθύμιος, ἰουδαῖος τὸ γένος, καὶ δι' αὐτοῦ ποππηΐᾳ τῇ τοῦ καίσαρος γυναικὶ γνωσθείς, προνοῶ ὡς τάχιστα παρακαλέσας αὐτὴν τοὺς ἱερεῖς λυθῆναι. μεγάλων δὲ δωρεῶν πρὸς τῇ εὐεργεσίᾳ ταύτῃ τυχὼν παρὰ τῆς ποππηΐας, ὑπέστρεφον ἐπὶ τὴν οἰ- E κείαν. καταλαμβάνω δ' ἤδη νεωτερισμῶν ἀρχάς, καὶ πολλοὺς ἐπὶ τῇ ῥωμαίων ἀποστάσει μέγα φρονοῦντας. καταστέλλειν οὖν ἐπειρώμην τοὺς στασιώδεις καὶ μετανοεῖν ἔπειθον ποιησάμενος πρὸ ὀφθαλμῶν, πρὸς οὓς πολεμήσουσιν, ὅτι ῥωμαίων οὐ κατ' ἐμπειρίαν μόνον πολεμικήν, ἀλλὰ καὶ κατ' εὐτυχίαν ἐλαττοῦνται· καὶ μὴ προπετῶς καὶ παντάπασιν ἀνοήτως πατρίσι καὶ γενεαῖς καὶ σφίσιν αὐτοῖς τὸν περὶ τῶν ἐσχάτων κακῶν κίνδυνον ἐπάγειν. ταῦτα δ' ἔλεγον καὶ λιπα- F ρῶς ἐνεκείμην ἀποτρέπων, δυστυχέστατον ἡμῖν τοῦ πολέμου τὸ τέλος γενήσεσθαι προορώμενος. οὐ μὴν ἔπεισα, πολὺ γὰρ ἡ τῶν ἀπονοηθέντων ἐπεκράτησε μανία. δείσας γοῦν μὴ ταῦτα συνεχῶς λέγων διὰ μίσους ἀφικόμην καὶ ὑποψίας ὡς τὰ τῶν πολεμίων φρονῶν, καὶ κινδυνεύσω ληφθεὶς ὑπ' αὐτῶν ἀναιρεθῆναι, ἐχομένης ἤδη τῆς ἀντωνίας ὅπερ ἦν φρούριον, G εἰς τὸ ἐνδοτέρω ἱερὸν ὑπεχώρησα. μετὰ δὲ τὴν ἀναίρεσιν μαναήμου καὶ τῶν πρώτων τοῦ λῃστρικοῦ στίφους, ὑπεξελθὼν τοῦ ἱεροῦ πάλιν τοῖς ἀρχιερεῦσιν καὶ τοῖς πρώτοις τῶν φαρισαίων συνδιέτριβον. φόβος δ' οὐκέτι μέτριος εἶχεν ἡμᾶς ὁρῶντας, τὸν μὲν δῆμον ἐν τοῖς ὅπλοις. αὐτοὶ δ' ὄντες ἐν ἀπόρῳ τί ποιήσωμεν, καὶ τοὺς νεωτεριστὰς παύειν οὐ δυνάμενοι, προδήλου δ' ἡμῖν τοῦ κινδύνου παρεστῶτος, συγκατανεύειν μὲν αὐτῶν ταῖς γνώμαις ἐλέγομεν, συνεβουλεύομεν δὲ μένειν ἐφ' αὐτῶν, καὶ τοὺς πολεμίους ἀπελθόντας ἐᾶν, ἐλπίζοντες οὐκ εἰς μακρὰν γέσσιον

ac ne hac quidem experientia contentus, cum audissem Banum quendam in solitudine viuere, amictum sibi parantem ex arboribus, & sponte prouenientibus alimentis vtentem, crebrísque nocte ac die lauacris frigidis ad castitatem tuendam, cœpi eius institutum imitari: exactísque in eius contubernio tribus annis, postquam concupitis satis potitus sum, in vrbem redij. Iámque vndeuiginti annos natus ciuilem vitam aggressus sum, addictus Pharisæorum placitis, proximè ad Stoicam apud Græcos sectam accedentibus. Post annum verò ætatis sextum supra vigesimum Romam mihi proficisci contigit ob causam hanc. Quo tempore Felix in Iudæa procurator erat, sacerdotes quosdam mihi familiares, viros honestos & bonos, ob leuem quandam culpam vinctos Romam misit, acturos causam suam apud Cæsarem. quos vt aliquo pacto eriperem periculo, præsertim cùm audirem, ne in calamitate quidem constitutis curam pietatis excidisse, & ficis ac nucibus eos vitam sustentare, veni Romam multis in mari exhaustis periculis. mersa enim nostra naue in medio mari Adriatico, circiter sexcenti per totam noctem natauimus, & diluculo demum Cyrenaicam nauem Deo fauente conspicati, octuaginta fermè nostrûm feliciore vsi natatu in eam recepti sumus. ita seruatus Dicæarchiam, siue Puteolos, vt Itali vocare malunt, familiaritatem contraxi cum Alituro mimorum actore, qui Iudæus genere Neroni carus erat: per quem vbi Poppeæ vxori Cæsaris innotui, confestim per eam impetraui absolutionem illis sacerdotibus: prætérque magnis donatus ab ea muneribus in patriam reuersus sum. ibi deprehendi iam nouarum rerum studia gliscere, multósque ad defectionem spectare à Rom. pop. Itaque conabar seditiosos ad meliorem mentem reducere, proponens eis ob oculos cum quibus essent bellum gesturi, nimirum cum Romanis, quibus & peritia rei militaris, & felicitate essent impares: monebámque ne temere ac imprudenter patriam séque & suos in extremum periculum coniicerent. ad hunc modum vehementer dehortabar, infelicissimum belli finem prospiciens. nec tamen quicquam profeci, tanta erat tum desperatorum insania. Veritus igitur ne eadem continenter apud eos repetens in odium atque suspicionem inciderem, quasi fautor hostium, néve hoc nomine comprehensus ab eis neci traderer, occupato iam castello Antonia, secessi ad templum interius. deinde post occisum Manahemum & primates latronum cohortis rursum ex templo prodij, versabárque cum pontificibus & Pharisæorum primoribus, non mediocriter sibi timentibus. videbamus enim populum arma corripuisse, ipsi inopes consilij. & cùm nō possemus tumultuatores compescere, quòd ea res non careret periculo, simulabamus quidem nos probare illorum sententiam, suadebamus tamen, vt se continerent, & hostem abire sinerent, quòd speraremus Gessium

breui venturum cum validis copiis,& eum tumultum sedaturum. At ille reuersus,& in prælio cum multis occisus,sua clade extremam toti nostræ genti calamitatem attulit: mox enim belli autoribus additus est animus,sperantibus omninò Romanos deuincendos,quo tempore & aliud quiddã accidit. Syriæ vrbium circumuicinarum habitatores Iudæos intra eadẽ mœnia secum degentes comprehensos vnà cum vxoribus,& liberis trucidabant,sine vllo crimine: quippe qui neque deficere à Romanis cogitauerant, neq; contra ipsos priuatim aliquid moliti fuerant. Sed inter cæteros eminuit impia Scythopolitarũ immanitas. Cùm enim bello peterentur à Iudæis exteris, coegerunt suos Iudęos contra tribules arma sumere, quod nostris vetitum est legibus: horúmque ope hostes profligati sunt. post victoriam autem obliti fidei sociis inquilinis debitę, omnes occiderunt, cùm essent multa hominum eius gentis millia. nec mitiùs tractati sunt Iudæi Damasci incolę. Sed de his prolixiùs in libris De bello Iudaico narrauimus: nunc ob hoc tantùm earum cladium memini, vt sciat lector nostram gentem non vltrò, sed necessitate compulsam ad id bellum deuenisse. Itaque profligato Gessio Hierosolymitanorum primores cùm viderent latrones cæterósque pacis turbatores habere armorum copiã, veriti ne ipsi inermes inimicis obnoxij fierent, vt pòst accidit: cognitóque quòd Galilęa nondum tota à Romanis defecisset, sed pars eius etiam tum quietè ageret: miserunt eò me & alios duos sacerdotes, viros honestos ac bonos, Ioazarum & Iudam, vt prauis illis hominibus persuaderemus arma deponere: doceremúsque satius esse committi ea gentis optimatibus: placere enim, vt illi arma in futurum semper parata habeant. expectandum tamen dum certò sciatur quidnam Romanis sit animi. Cum his mandatis in Galilæam veniens reperi Sephoritas in magno discrimine, tuentes patriam contra Galilęorum vim volentium eam diripere, quòd perstarent in amicitia Romani populi, fidémque seruarent Senio Gallo tum Syriæ præsidi. His ego securitatem reddidi sedata infesta multitudine: permisíque, vt quoties vellent in Dora (ea Phœnices vrbs est) ad suos mitterent, quos obsides Gessio dederant. Tiberiadis autem incolas inueni iam arma sumpsisse ob huiusmodi causam. tres in hac vrbe factiones erãt. vna honestorum virorum, cuius caput erat Iulius Capella. Is & qui eum sequebantur, Herodes Mirari, Herodes Gamali, Compsus Compsi: Crispus enim huius frater olim à maiore Agrippa ei vrbi præfectus tum in suis possessionibus trans Iordanem agebat: hi omnes inquam autores erant manendi in fide regis & Rom. pop. solus ex nobilitate Pistus dissentiebat in gratiam Iusti sui filij. Altera factio è plebeis & obscuris constãs bellandum decernebat. In tertia Iustus eminebat Pisti filius, dubitare se de bello simulans, sed interim occultè mutationem rerum cupiens,

μετὰ μεγάλης δυνάμεως ἀναβάντα, παύσειν τὴν νεωτερισμόν. ὁ δ' ἐπελθὼν καὶ συμβαλὼν μάχῃ ἐνικήθη, πολλῶν τῶν μετ' αὐτοῦ πεσόντων, καὶ γίνεται τὸ Κεστίου πταῖσμα, συμφορὰ τοῦ παντὸς ἡμῶν ἔθνους. ἐπήρθησαν γὰρ ἐπὶ τούτῳ μᾶλλον οἱ τὸν πόλεμον ἀγαπήσαντες, καὶ νικήσαντες τοὺς Ῥωμαίους εἰς τέλος ἠλπίσαμεν, προσγενομένης καὶ ἑτέρας τινὸς τοιαύτης αἰτίας. οἱ τὰς πέριξ τῆς Συρίας πόλεις κατοικοῦντες, τοὺς παρ' ἑαυτοῖς Ἰουδαίους συλλαμβάνοντες σὺν γυναιξὶ καὶ τέκνοις ἀνῄρουν, οὐδεμίαν αὐτοῖς αἰτίαν ἐπικαλεῖν ἔχοντες. οὔτε γὰρ ἐπὶ Ῥωμαίων ἀποστάσει νεώτερόν τι πεφρονήκεσαν, οὔτε πρὸς αὐτοὺς ἐκείνους ἐχθρὸν ἢ ἐπίβουλον. Σκυθοπολῖται δὲ πάντων ἀσεβέστατα καὶ παρανομώτατα διεπράξαντο. ἐπελθόντων γὰρ αὐτοῖς Ἰουδαίων ἔξωθεν πολεμίων τοὺς παρ' αὐτοῖς Ἰουδαίους ἐβιάσαντο κατὰ τῶν ὁμοφύλων ὅπλα λαβεῖν, ὅπερ ἐστὶν ἡμῖν ἀθέμιτον, καὶ μετ' ἐκείνων συμβαλόντες ἐκράτησαν τῶν ἐπελθόντων. ἐπειδὴ δ' ἐνίκησαν ἐκλαθόμενοι τῆς πρὸς τοὺς ἐνοίκους καὶ συμμάχους πίστεως, πάντας αὐτοὺς διεχειρίσαντο πολλὰς μυριάδας ὄντας. ὅμοια δ' ἔπαθον καὶ οἱ τὴν Δαμασκὸν Ἰουδαῖοι κατοικοῦντες. ἀλλὰ περὶ μὲν τούτων ἀκριβέστερον ἐν ταῖς περὶ τοῦ Ἰουδαϊκοῦ πολέμου βίβλοις δεδηλώκαμεν. νῦν δ' αὐτῶν ἐπεμνήσθην βουλόμενος παραστῆσαι τοῖς ἀναγινώσκουσιν ὅτι οὐ προαίρεσις ἐγένετο τοῦ πολέμου πρὸς Ῥωμαίους Ἰουδαίοις, ἀλλὰ τὸ πλέον ἀνάγκη. νικηθέντος οὖν ὡς ἔφαμεν τοῦ Κεστίου, τῶν Ἱεροσολυμιτῶν οἱ πρῶτοι θεασάμενοι, τοὺς μὲν λῃστὰς ἅμα τοῖς νεωτερισταῖς εὐπορουμένους ὅπλων, δείσαντες δὲ αὐτοὶ μὴ ἄνοπλοι καθεστηκότες ὑποχείριοι γένωνται τοῖς ἐχθροῖς, ὃ καὶ μετὰ ταῦτα συνέβη, καὶ πυθόμενοι τὴν Γαλιλαίαν οὔπω πᾶσαν Ῥωμαίων ἀφεστάναι, μέρος δ' αὐτῆς ἠρεμεῖν ἔτι, πέμπουσιν ἐμὲ καὶ δύο ἄλλους τῶν ἱερέων καλοὺς κἀγαθοὺς ἄνδρας Ἰώζαρον καὶ Ἰούδαν, πείσοντας τοὺς πονηροὺς καταθέσθαι τὰ ὅπλα, καὶ διδάξοντας ὡς ἐστὶν ἄμεινον τοῖς κρατίστοις τοῦ ἔθνους αὐτὰ τηρεῖσθαι. ἔγνωστο δὲ τούτοις ἀεὶ μὲν ἔχειν τὰ ὅπλα πρὸς τὸ μέλλον ἕτοιμα, περιμένειν δὲ τί πράξουσιν Ῥωμαῖοι μαθεῖν. λαβὼν οὖν ἐγὼ τὰς ὑποθήκας ταύτας, ἀφικόμην εἰς τὴν Γαλιλαίαν, καὶ Σεπφωρίτας μὲν οὐκ ἐν ὀλίγῳ περὶ τῆς πατρίδος ἀγῶνι καθεστῶτας εὗρον, διαρπάσαι κεκρικότων αὐτὴν τῶν Γαλιλαίων, διὰ τὴν πρὸς Ῥωμαίους ἐκείνων φιλίαν, καὶ ὅτι καὶ Σενίῳ Γάλλῳ τῷ τῆς Συρίας ἡγεμονεύοντι δεξιάν τε καὶ πίστιν προτείνειν. ἀλλὰ τούτους μὲν ἐγὼ πάντας ἀπήλλαξα τοῦ φόβου, πείσας ὑπὲρ αὐτῶν τὰ πλήθη, καὶ ἐπιτρέψας ὁσάκις θέλουσι διαπέμπεσθαι πρὸς τοὺς ἐν Δώροις οἰκείους ὁμηρεύοντας Κεστίῳ· τὰ δὲ Δῶρα πόλις ἐστὶ τῆς Φοινίκης. τοὺς ἐν Τιβεριάδι δὲ κατοικοῦντας εὗρον ἐφ' ὅπλα κεχωρηκότας ἤδη διὰ αἰτίαν τοιαύτην. στάσεις τρεῖς ἦσαν κατὰ τὴν πόλιν, μία μὲν ἀνδρῶν εὐσχημόνων, ἦρχε δ' αὐτῆς Ἰούλιος Καπέλλος. οὗτος δὴ καὶ οἱ σὺν αὐτῷ πάντες, Ἡρώδης ὁ Μιαροῦ, καὶ Ἡρώδης ὁ τοῦ Γαμάλου, καὶ Κομψὸς ὁ τοῦ Κόμψου, Κρίσπος γὰρ ὁ ἀδελφὸς αὐτοῦ, τοῦ μεγάλου βασιλέως γενόμενος ποτὲ ἔπαρχος, ἐν ταῖς ἰδίαις κτήσεσιν ἐτύγχανεν πέραν τοῦ Ἰορδάνου, πάντες οὖν οἱ προειρημένοι κατὰ τὸν καιρὸν ἐκεῖνον ἐμμένειν συνεβούλευον τῇ πρὸς τοὺς Ῥωμαίους καὶ τὸν βασιλέα πίστει. τῇ γνώμῃ δ' οὐ συνηρέσκετο Πίστος παραγόμενος ὑπὸ Ἰούστου τοῦ παιδός· καὶ γὰρ ἦν φύσει πως ἐπιφανής. ἡ δευτέρα δὲ στάσις ἐξ ἀσημοτάτων συνεστηκυῖα πολεμεῖν ἔκρινεν. Ἰοῦστος ὁ Πίστου παῖς ὁ τῆς τρίτης μερίδος πρῶτος ὑπεκρίνετο μὲν ἐνδοιάζειν πρὸς τὸν πόλεμον, νεωτέ-

νεωτέρων δ' ἐπεθύμει πραγμάτων ἐκ τῆς μεταβολῆς οἰόμενος δύναμιν ἑαυτῷ περιποιήσειν. παρελθὼν οὖν εἰς μέσους διδάσκειν ἐπειρᾶτο τὸ πλῆθος ὡς ἡ πόλις ἐστὶ ἀεὶ τῆς γαλιλαίας. ἄρξειεν δὲ ἐπί γε τῶν ἡρώδου χρόνων τοῦ τετράρχου καὶ κτίστου γενομένου, βουληθέντος αὐτοῦ τὴν σεμφωριτῶν πόλιν τῇ τιβεριέων ὑπακούειν. ἀποβάλλειν δὲ τὸ πρωτεῖον αὐτοὺς, μὴ δὲ ἐπὶ τοῦ βασιλέως ἀγρίππα τοῦ πατρὸς, διαμεῖναι δὲ καὶ μέχρι φήλικος προεστάμενου τῆς ἰουδαίας. νῦν δὲ ἔλεγεν αὐτοὺς ἠτυχηκέναι τῷ νεωτέρῳ δωρεὰν ἀγρίππα δοθέντας ὑπὸ νέρωνος. ἄρξαι γὰρ εὐθὺς τὴν μὲν σεμφώρειν, ἐπειδὴ ῥωμαίοις ὑπήκουσε, τῆς γαλιλαίας, καταλυθῆναι δὲ παρ' αὐτῶν, τήν τε βασιλικὴν τράπεζαν καὶ τὰ ἀρχαῖα. ταῦτα καὶ πρὸς τούτοις ἕτερα πολλὰ κατὰ βασιλέως ἀγρίππα λέγων, ὑπὲρ τούτων δῆμον εἰς τὴν ἀποστασίαν ἐρεθίσας, προσετίθει νῦν εἶναι καιρὸν ἀραμένους ὅπλα, καὶ γαλιλαίους συμμάχους προσλαβόντας, ἄρξειν γὰρ αὐτῶν ἑκόντων διὰ τὸ πρὸς τοὺς σεπφωρίτας μῖσος ὑπάρχειν αὐτοῖς, ὅτι τὴν πρὸς ῥωμαίους πίστιν διαφυλάσσουσιν, μεγάλῃ χειρὶ πρὸς τὴν ὑπὲρ αὐτῶν τιμωρίαν τρέπεσθαι. ταῦτα λέγων προετρέψατο τὸ πλῆθος. ἦν γὰρ ἱκανὸς δημαγωγεῖν, καὶ τῶν ἀντιλεγόντων τὰ βελτίω περιεῖναι γοητείᾳ καὶ ἀπάτῃ τῇ διὰ λόγων. καὶ γὰρ οὐδ' ἄπειρος ἦν παιδείας τῆς παρ' ἕλλησιν, ᾗ θαῤῥῶν ἐπεχείρησεν καὶ τὴν ἱστορίαν τῶν πραγμάτων τούτων ἀναγράφειν, ὡς τῷ λόγῳ τούτῳ περιεσόμενος τῆς ἀληθείας. ἀλλὰ περὶ μὲν τούτου τοῦ ἀνδρὸς ὡς φαῦλος τὸν βίον ἐγένετο, καὶ ὡς σὺν τῷ ἀδελφῷ μικροῦ δεῖν καταστροφῆς αἴτιος ὑπῆρξεν, προϊόντος τοῦ λόγου δηλώσομεν. τότε δὲ πείσας ἰοῦστος τοὺς πολίτας ἀναλαβεῖν τὰ ὅπλα, πολλοὺς δὲ καὶ μὴ θελήσαντας ἀναγκάσας, ἐξελθὼν σὺν πᾶσι τούτοις ἐμπιπρῆσι τάς τε γαδαρηνῶν καὶ ἱππηνῶν κώμας, αἳ δὴ μεθόριοι τῆς τιβεριάδος καὶ τῆς τῶν σκυθοπολιτῶν γῆς ἐτύγχανον κείμεναι. καὶ τιβεριὰς μὲν ἐν τούτοις ἦν, τὰ περὶ γίσχαλα δὲ εἶχεν τὸν τρόπον τοῦτον. ἰωάννης ὁ τοῦ ληουΐ, τῶν πολιτῶν τινὰς ὁρῶν διὰ τὴν ἀποστασίαν τὴν ἀπὸ ῥωμαίων μέγα φρονοῦντας, κατέχειν αὐτοὺς ἐπειρᾶτο, καὶ τὴν πίστιν ἠξίου διαφυλάττειν, οὐ μὴν ἠδυνήθη, καίτοι πάνυ προθυμούμενος. τὰ γὰρ πέριξ ἔθνη γαδαρηνοὶ καὶ γαβαραγαναῖοι καὶ τύριοι πολλὴν ἀθροίσαντες δύναμιν, καὶ τοῖς γισχάλοις ἐπιπεσόντες, λαμβάνουσι τὰ γίσχαλα κατὰ κράτος, καὶ πυρπολήσαντες, εἶτα δὲ καὶ προσκατασκάψαντες εἰς τὴν οἰκείαν ἀνέζευξαν. ἰωάννης δὲ ἐπὶ τούτῳ παροξυνθεὶς, ὁπλίζει πάντας τοὺς μετ' αὐτοῦ, καὶ συμβαλὼν τοῖς προειρημένοις ἔθνεσι, τά τε γίσχαλα κρείττονα πάλιν ἀνακτίσας τείχεσιν ὑπὲρ ἀσφαλείας τοῖς εἰς ὕστερον ὠχύρωσεν. γαμαλὰ δὲ πίστει τῇ πρὸς ῥωμαίους ἐνέμεινε δι' αἰτίαν τοιαύτην. φίλιππος ὁ ἰακίμου παῖς, ἔπαρχος δὲ τοῦ βασιλέως ἀγρίππα, σωθεὶς παρὰ δόξαν ἐκ τῆς ἐν ἱεροσολύμοις βασιλικῆς αὐλῆς πολιορκουμένης, καὶ διαφυγὼν εἰς ἕτερον ἐνέπεσε κίνδυνον, ὥς τε ὑπὸ μαναήμου καὶ τῶν σὺν αὐτῷ λῃστῶν ἀναιρεθῆναι. διεκώλυσαν δὲ βαβυλώνιοί τινες συγγενεῖς αὐτοῦ ἐν ἱεροσολύμοις ὄντες πρᾶξαι τοὺς λῃστὰς τὸ ἔργον. ἐπιμείνας οὖν ἡμέρας τέσσαρας ὁ φίλιππος ἐκεῖ, τῇ πέμπτῃ φεύγει περιθετῇ χρησάμενος κόμῃ τοῦ μὴ κατάδηλος γενέσθαι. καὶ παραγενόμενος εἰς τινα τῶν ἑαυτοῦ κωμῶν κατὰ τοὺς ὅρους γαμαλὰ τοῦ φρουρίου κειμένην, πέμπει πρός τινας τῶν ὑπ' αὐτοῦ προστάσσων ὡς αὐτὸν ἀφικέσθαι. τὸν φίλιππον δὲ ταῦτα ἐννοούμενον ἐμποδίζει τὸ θεῖον ἐπὶ συμφέροντι. μὴ γὰρ τούτου γενομένου, πάντως ἂν ἀπολώλει.

cuius occasione ſperabat ſe conſecuturum aliquam potentiam. itaque progreſſus in concionem conabatur docere multitudinem, quòd eorum ciuitas inter Galilæas ſemper ſit habita: quódque metropolis eius regionis fuerit Herodis tetrarchæ tempore, qui ipſius conditor Sephorim ei ſubiecerit. hanc præeminentiam ei manſiſſe & ſub Agrippæ patris imperio, vſque ad Felicem Iudææ præſidem: nunc demum poſtquam Agrippæ iuniori à Nerone donata ſit, primatum amiſiſſe. mox enim Sephorim ex quo Romanis parere cœpit, reliquæ regioni præpoſitam: deſiuiſſéque apud ſe archiua & menſam regiam. His & aliis multis in regem iactatis cùm irritaſſet ad defectionem populum, aiebat nunc eſſe tempus, correptis armis, & aſſumptis in ſocietatem reliquis Galilæis primatum ſibi de integro vindicare omnibus fauentibus Sephoritarum odio, quos pertinaciter hærentes in Romanorum amicitia libenter aliqua clade afficerent: iuuandóſque eos conatus totis viribus. His dictis permouit multitudinem, quòd haberet popularem quandam fauendiam, & ſaniora ſuadentes verborum præſtigiis vinceret. erat enim etiam Græcarum diſciplinarum non imperitus, quibus fretus auſus eſt rerum tunc geſtarum hiſtoriam texere, quò veritati fucum faceret. Sed de huius nequitia, & quomodo vnà cum ſuo fratre patriam penè ſubuerterit, procedente ſermone narrabimus. Tunc autem Iuſtus ciuibus perſuaſis, quibuſdam etiam coactis arma capere, cum omnibus egreſſus incendebat vicos Hippenorum atque Gadarenorum, contiguos Tiberiadis agro, & Scythopolitanorum finibus. quæ dum apud Tiberiadem geruntur, Giſchalorum ſtatus erat talis. Ioannes Leui filius videns ciuium ſuorum quoſdam ferocientes iugum Romanorum excutere velle, conatus eſt eos retinere in fide & officio: quod tamen nullo modo efficere valuit. interim vicini populi, Gadareni, Gabaraganæi, & Tyrij collectis validis copiis irruentes expugnant Giſchala, quibus incenſis atque dirutis domum ſe recipiunt. qua iniuria Ioannes accenſus, ſuis omnibus armatis, conflictúque cum prædictis populis habito, inſtauratam patriam ſecuritatis cauſa cinxit mœnibus. Gamala autem in Romanorum fide perſtabant ob cauſam hanc. Philippus Iacimi filius, Agrippæ regis præfectus, præter ſpem dum regia Hieroſolymitana oppugnaretur elapſus in aliud periculum incidit, ne iugularetur à Manahemo & ſociis eius latronibus: ſeruatus eſt tamen interuentu cognatorum quorundam Babyloniorum, qui tum erant Hieroſolymis: quintáque poſt die quò minus adgnoſceretur mutato capillitio fugam iniit. & cùm perueniſſet ad quendam ſuæ poſſeſſionis vicum ſitum prope caſtellum Gamala, accerſiuit aliquammultos ſibi ſubditos. interim diuinitùs ei quiddam accidit, quod alioqui perituro ſalutem attulit.

nam repentina febre correptus literas ad Agrippam & Bernicen scriptas liberto cuidam commisit, qui Varo eas redderet: huic enim tum rex & regina curandam regiam crediderant, ipsi Berytum profecti obuiam Gessio. At Varus acceptis Philippi literis, cognitóque quòd euaserit, tulit id grauiter, veritus ne posthac rex & regina non egerent sua opera, vt Philippo incolumi reddito. productum igitur ad plebem eum qui literas attulerat, & accusatum tanquam falsarium, quódque fictum nuncium attulisset, Philippum Hierosolymis cum Iudæis contra Romanos bellum gerere, supplicio tradidit. qui cùm non reuerteretur ad Philippum, ille causam nesciens rursus alium misit cum literis, renunciaturum quidnam priori accidisset, cúrve ita differret reditum. Verùm & hunc Varus oppressit per calumniam. etenim à Cæsariensibus Syris inflatus fuerat vt aspiraret ad sublimia, dicentibus fore vt Agrippa interficiatur à Romanis ob rebellationem Iudæorum, & ipsi detur regnum debitum propter cognationem regiam. nam cõstabat Varum esse regij generis, descendentem à Sohemo tetrarcha Libani. Is igitur spe tali elatus literas apud se retinuit, diligenter cauens ne peruenirent in manus regias: obseruabátque omnes exitus, nequis clàm elapsus renuntiaret regi quæ ibi fierent: multósque Iudæorum interficiebat in gratiam Syrorum Cæsariensium. quin & in Bathanæa Iudæos qui Babylonij vocantur, Bathyram incolentes decreuit ope Trachonitarum inuadere: vocatísque ad se Cæsariensibus Iudæis duodecim primariis, iussit eos profectos illò nunciare suo nomine tribulibus, relatum sibi esse quòd bellum aduersus regem molirentur: sed quia non liberet credere, denunciare vt arma ponerent. id enim argumentum fore certissimum, quòd meritò fidem non habuerit falsis rumoribus. adiunxit, mittendos esse viros septuaginta ex optimatibus, qui crimen obiectum diluant. fecerunt iussa illi duodecim: & cùm Bathyram venissent ad suæ gentis homines, eósque nihil noui moliri inuenissent, persuaserunt vt septuaginta viros mitterent. hos aduentantes cum duodecim legatis Cæsaream, Varus stipatus regio milite in itinere exceptos vnà cum ipsis legatis interficit, ac mox pergit contra Iudæos incolentes Bathyrã. sed præuenit eum quidam ex illis septuaginta casu seruatus, quo nuncio moniti arreptis armis receperunt se cum vxoribus & liberis in castellum Gamala, relictis vicis refertis multis opibus, & pecorum ingenti numero. quo audito Philippus & ipse eodem se contulit. ad cuius aduentum acclamabat populus vt ducem se eis præberet, & contra Varum ac Cæsarienses Syros bellum susciperet. fama enim sparserat regem ab his occisum esse. Philippus verò comprimebat eorum impetum, collata in eos regis beneficia in memoriam reuocans,

A πυρετοῦ δὴ καταχόντος αὐτὸν ἐξαίφνης γράψας ἐπιστολὰς τοῖς παισὶν ἀγρίππα καὶ βερενίκη δίδωσι τῶν ἐξελευθέρων τινὶ κομίζειν πρὸς οὔαρον. ἦν δ᾽ ἐπὶ τὰ καιρὸν ἐκεῖνον ὁ τὴν βασιλείαν διοικῶν καταστησάντων αὐτὸν τῶν βασιλέων· αὐτοὶ γὰρ εἰς βηρυτὸν ἀφικνοῦντο ὑπαντῆσαι βουλόμενοι γεσσίῳ. λαβὼν οὖν ὁ οὔαρος τὰ παρὰ φιλίππου γράμματα, καὶ πυθόμενος αὐτὸν διασεσῶσθαι, βαρέως ἤνεγκεν, ἀχρεῖον τὸ λοιπὸν αὐτὸς νομίζων φανεῖσθαι τοῖς βασιλεῦσιν ἀφικο-
B μένου τοῦ φιλίππου. προαγαγὼν οὖν εἰς τὸ πλῆθος τὸν τὰς ἐπιστολὰς κομίζοντα, καὶ πλαστογραφίαν ἐπικαλέσας, ψεύδεσθαί τε φήσας αὐτὸν ἀπαγγείλαντα ἐν τοῖς ἱεροσολύμοις φίλιππον μετὰ τῶν ἰουδαίων ῥωμαίοις πολεμεῖν ἀπέκτεινε. μὴ ὑποστρέψαντος δὴ τοῦ ἐξελευθέρου, φίλιππος ἀπορῶν τὴν αἰτίαν, δεύτερον ἐκπέμπει μετ᾽ ἐπιστολῶν πάλιν τὸν ἀπαγγελοῦντα πρὸς αὐτὸν τί τὸ συμβεβηκὸς εἴη τῷ ἀποσταλέντι διὸ βραδύνειεν. καὶ
C τοῦτον δὲ παραγενόμενον ὁ οὔαρος συκοφαντήσας ἀνεῖλεν. καὶ γὰρ ὑπὸ τῶν ἐν καισαρείᾳ σύρων ἐπῆρτο μέγα φρονεῖν, ἀναιρεθήσεσθαι μὲν λεγόντων ὑπὸ ῥωμαίων ἀγρίππαν διὰ τὰς ὑπὸ ἰουδαίων ἁμαρτίας, λήψεσθαι δ᾽ αὐτὸν τὴν ἀρχὴν, ἐκ βασιλέων ὄντα. καὶ γὰρ ἦν ὁμολογουμένως ὁ οὔαρος βασιλικοῦ γένους, ἔγγονος σοέμου τοῦ περὶ τὸν λίβανον τετραρχοῦντος. διὰ τοῦτ᾽ οὖν ὁ οὔαρος τυφούμενος, τὰς μὲν ἐπιστολὰς παρ᾽ ἑαυτῷ κατέχε μηχανώμενος μὴ ἐντυχεῖν τοῖς γράμμασι τὸν βασιλέα,
D τὰς ἐξόδους δὲ πάσας ἐφρούρει, μὴ διαδρὰς τις ἀπαγγείλειε τῷ βασιλεῖ τὰ πραττόμενα. καὶ δὴ χαριζόμενος τοῖς κατὰ τὴν καισάρειαν σύροις, πολλοὺς τῶν ἰουδαίων ἀπέκτεινεν. ἐβουλήθη δὲ καὶ μετὰ τῶν ἐν βαταναίᾳ τραχωνιτῶν ἀναλαβὼν τὰ ὅπλα ἐπὶ τοὺς ἐν ἐκβατάνοις βαβυλωνίους ἰουδαίους, ταύτην γὰρ τὴν προσηγορίαν ἔχουσιν, ὁρμῆσαι. καλέσας οὖν τῶν κατὰ τὴν καισάρειαν ἰουδαίων δώδεκα τοὺς δοκιμωτάτους, προσ-
E έταξεν αὐτοῖς ἀφικομένοις εἰς ἐκβάτανα, πρὸς τοὺς ἐκεῖ κατοικοῦντας αὐτῶν ὁμοφύλους εἰπεῖν, ὅτι οὔαρος ἀκούσας ὑμᾶς ἐπὶ βασιλέα μέλλειν ὁρμᾶν, καὶ μὴ πιστεύσας, πέπομφεν ἡμᾶς πείσοντας ὑμᾶς τὰ ὅπλα καταθέσθαι. τοῦτο γὰρ αὐτὸ τεκμήριον ἔσεσθαι καὶ τοῦ καλῶς μὴ πιστεῦσαι τοῖς περὶ ὑμῶν λέγουσιν. ἐκέλευε δὲ καὶ τοὺς πρώτους αὐτῶν ἄνδρας ἑβδομήκοντα πέμπειν ἀπολογησομένους περὶ τῆς ἐπενηνεγμένης αἰτίας. ἐλθόντες οὖν οἱ δώδεκα πρὸς τοὺς ἐν ἐκβατάνοις ὁμοφύλους, καὶ
F καταλαβόντες αὐτοὺς μηδὲν ἐπὶ νεωτερισμῷ φρονοῦντας, ἔπεισαν καὶ τοὺς ἑβδομήκοντα πέμπειν. οἱ δὲ, μηδὲν ὑποπτεύσαντες τοιοῦτον οἷον ἔμελλεν ἀποβήσεσθαι, ἐξαπέστειλαν. καταβαίνουσι δ᾽ οὗτοι μετὰ τῶν δώδεκα πρέσβεων εἰς τὴν καισάρειαν. ὑπαντήσας οὖν ὁ οὔαρος μετὰ τῆς βασιλικῆς δυνάμεως σὺν τοῖς πρέσβεσιν πάντας ἀπέκτεινεν, καὶ τὴν πορείαν ἐπὶ τοὺς ἐν ἐκβατάνοις ἰουδαίους ἐποιεῖτο. φθάσας δέ τις ἐκ τῶν ἑβ-
G δομήκοντα σωθεὶς ἀπήγγειλεν αὐτοῖς, κἀκεῖνοι τὰ ὅπλα λαβόντες σὺν γυναιξὶ καὶ τέκνοις εἰς γάμαλα τὸ φρούριον ὑπεχώρησαν, καταλιπόντες τὰς κώμας πολλῶν ἀγαθῶν πλήρεις καὶ βοσκημάτων πολλὰς μυριάδας ἐχούσας. φίλιππος δὲ πυθόμενος ταῦτα καὶ αὐτὸς εἰς γάμαλα τὸ φρούριον ἧκεν. παραγενομένου δὲ, κατεβόα τὸ πλῆθος ἄρχειν αὐτὸν παρακαλοῦντες, καὶ πολεμεῖν πρὸς οὔαρον, καὶ τοὺς ἐν τῇ καισαρείᾳ σύρους. διεδέδοτο γὰρ ὑπὸ τούτων τὸν βασιλέα τεθνάναι. φίλιππος δ᾽ αὐτῶν κατεῖχε τὰς ὁρμὰς, ὑπομιμνήσκων τῶν τε τοῦ βασιλέως εἰς αὐτοὺς εὐεργεσιῶν, καὶ τὴν

καὶ τὴν ῥωμαίων διηγούμενος ὅση τίς ἐστιν ἡ δύναμις, συμφέρειν οὐκ ἔλεγεν ἐρεθίσαι πρὸς τούτοις πόλεμον. καὶ τέλος ἔπεισεν. ὁ δὲ βασιλεὺς πυθόμενος ὅτι οὔαρος μέλλει τοὺς ἐπὶ τῆς καισαρείας ἰουδαίους σὺν γυναιξὶ καὶ τέκνοις πολλὰς ὄντας μυριάδας ἀναιρεῖν ἡμέρᾳ μιᾷ, μεταπέμπεται πρὸς αὐτὸν ἔκουον μόδιον, πέμψας αὐτὸν διάδοχον ὡς ἐν ἄλλοις ἐδηλώσαμεν. ὁ δὲ φίλιππος γάμαλα τὸ φρούριον κατέσχεν, καὶ τὴν πέριξ χώραν πίστει τῇ πρὸς ῥωμαίους ἐμμείνασαν. ἐπεὶ δ' εἰς τὴν γαλιλαίαν ἀφικόμην ἐγώ, καὶ ταῦτα παρὰ τῶν ἀπαγγειλάντων ἔμαθον, γράφω τῷ συνεδρίῳ τῶν ἱεροσολυμιτῶν περὶ τούτων, καὶ τί με πράττειν κελεύουσιν, ἐρωτῶ. οἱ δὲ προσμεῖναι παρεκάλεσαν καὶ τοὺς συμπρέσβεις εἰ θέλοιεν κατασχόντα, πρόνοιαν ποιήσασθαι τῆς γαλιλαίας. οἱ δὲ συμπρέσβεις εὐπορήσαντες πολλῶν χρημάτων ἐκ τῶν διδομένων αὐτοῖς δεκάτων, ἃς ὄντες ἱερεῖς ὀφειλομένας ἀπελάμβανον, εἰς τὴν οἰκείαν ὑποστρέφειν γῆν ἔκριναν. ἐμοῦ δ' αὐτοὺς προσμεῖναι παρακαλέσαντος ἕως οὗ τὰ πράγματα καταστήσωμεν, πείθονται. ἄρας οὖν μετ' αὐτῶν ἀπὸ τῆς σεπφωριτῶν πόλεως εἰς κώμην τινὰ βηθμαοὺς λεγομένην ἀπέχουσαν τιβεριάδος στάδια τέσσαρα παραγίνομαι. καὶ πέμψας ἐντεῦθεν τοῖς πρὸς τὴν τιβεριέων βουλήν, καὶ τοὺς πρώτους τοῦ δήμου παρεκάλουν ἀφικέσθαι πρός με. καὶ παραγενομένων, ἐληλύθει δὲ καὶ ἰοῦστος σὺν αὐτοῖς, ἔλεγον ὑπὸ τοῦ κοινοῦ τῶν ἱεροσολυμιτῶν πρεσβεύσων μετὰ τούτων πεπέμφθαι πρὸς αὐτούς, πείσων καθαιρεθῆναι τὸν οἶκον ὑπὸ ἡρώδου τοῦ τετράρχου κατασκευασθέντα, ζῴων μορφὰς ἔχοντα, τῶν νόμων οὕτως τι κατασκευάζειν ἀπαγορευόντων, καὶ παρεκάλουν αὐτούς, ἐᾶν ἡμῖν ἢ τάχος τοῦτο πράττειν. ἐπὶ πολὺ μὲν οὖν οἱ περὶ τὸν καπέλλαν καὶ τοὺς πρώτους αὐτῶν ἐπιτρέπειν οὐκ ἤθελον, βιαζόμενοι δ' ὑφ' ἡμῶν συγκατατίθενται. φθάνει δ' ἰησοῦς ὁ τοῦ σαπφία παῖς, ὃν τῆς τῶν ναυτῶν καὶ τῶν ἀπόρων στάσεως πρῶτον ἔφαμεν ἄρξαι, παραλαβών τινας γαλιλαίους, καὶ τὴν πᾶσαν αὐλὴν ἐμπρήσας, πολλῶν οἰόμενος εὐπορήσειν ἐξ αὐτῆς χρημάτων, ἐπειδή τινας οἴκων ὀροφὰς κεχρυσωμένας εἶδεν. καὶ διήρπασαν πολλὰ παρὰ γνώμην τὴν ἡμετέραν πράξαντες. ἡμεῖς γὰρ μετὰ τὴν πρὸς καπέλλαν καὶ τοὺς πρώτους τιβεριέων ὁμιλίαν εἰς τὴν ἄνω γαλιλαίαν ἀπὸ βηθμαῶν ἀνεχωρήσαμεν. ἀναιροῦσιν δ' οἱ περὶ τὸν ἰησοῦν πάντας τοὺς ἐνοικοῦντας ἕλληνας, ὅσοι τε πρὸ τοῦ πολέμου γεγόνασιν αὐτῶν ἐχθροί. πυθόμενος δ' ἐγὼ ταῦτα, παρωξύνθην σφόδρα, καὶ καταβὰς εἰς τιβεριάδα πρόνοιαν εἰσενεγκάμην τῶν βασιλικῶν σκευῶν, ὅσα δυνατὸν ἦν τοὺς ἁρπάσαντας ἀφελέσθαι. λυχνίαι δ' ἦσαν κορίνθιαι ταῦτα, καὶ τράπεζαι τῶν βασιλικῶν, καὶ ἀσήμου ἀργυρίου σταθμὸς ἱκανός. πάντα δ' ὅσα παρέλαβον, φυλάσσειν τῷ βασιλεῖ ἔκρινα. μεταπεμψάμενος οὖν τοὺς τῆς βουλῆς πρώτους δέκα, καὶ καπέλλαν τὸν ἀντύλλου, τὰ σκεύη παρέδωκα, μηδενὶ παραγγείλας ἑτέρῳ πλὴν ἐμοῦ δοῦναι. κἀκεῖθεν εἰς τὰ γίσχαλα πρὸς τὸν ἰωάννην μετὰ τῶν συμπρέσβεων ἀφικόμην βουλόμενος γνῶναι τί ποτε φρονεῖ, κατεῖδον δ' αὐτὸν ταχέως νεωτέρων ὀρεγόμενον πραγμάτων, καὶ τῆς ἀρχῆς ἐπιθυμίαν ἔχοντα. παρεκάλει γάρ με τὸν καίσαρος σῖτον κείμενον ἐν ταῖς τῆς ἄνωθεν γαλιλαίας κώμαις ἐξουσίαν αὐτῷ δοῦναι ἐκφορῆσαι. θέλειν γὰρ ἔφασκεν εἰς ἐπισκευὴν τῶν τῆς πατρίδος τειχῶν αὐτὸν ἀναλῶσαι. κατανοήσας δὲ ἐγὼ τὴν ἐπιχείρησιν αὐτοῦ, καὶ τί διανοεῖτο πράσσειν,

tum quanta esset Romanorum potentia, quam rebellando irritare immani periculo non careat. atque ita tandem vicit huius viri consilium. Rex porrò cùm sensisset Varum velle apud Cæsaream Iudæos cum vxoribus & liberis multorum millium explentes numerum interficere, misit ei successorem Equum Modium, vt alibi dictum est. Philippus autem Gamala & vicinam regionem in Romanorum fide cótinuit. Interea cùm venissem in Galilæam, certis nunciis super his rebus edoctus, scripsi Hierosolymitanorum concilio, quid me iuberent sciscitans. rescriptum est vt in Galilæa maneam, eiúsque tutelæ prouideam, retentis etiam collegis, si illis ita visum sit. hi cùm multum pecuniæ parassent ex debitis sibi sacerdotij nomine decimis, statuerant reuerti in patriam: sed rogati vt tátisper mecum essent dum componeremus omnia, facilè assenserunt. Cum his igitur à Sephoritarum vrbe profectus in Bethmauntem vicum veni distitum quatuor stadiis à Tiberiade: missoque nuncio accersiui ad me senatum Tiberiadis & primores eius populi. qui postquam affuerunt, & inter hos Iustus quoque, dixi me vnà cum collegis legatũ à populo Hierosolymitano missum ad eos, vt agerem de diruendo palatio, quòd ibi à se extructum Herodes tetrarcha variis animalium picturis ornauerat, cùm id vetitum sit nostris legibus: rogabámque vt nos quantocyùs id facere permitterent. Quod cùm diu Capella & suæ factionis homines recusassent, tandem magna contentione assensum eis expressimus. interim dum nos ea de re contendimus, iam Iesus Saphiæ filius nautarum & inopum factionis dux assumpta aliqua multorum Galilæorum manu palatium incenderat, ratus se bonam prædam inde paraturum, quia tecta eius quædam inaurata viderat: multáque in eo diripuerunt præter animi nostri sententiam. nos enim post colloquium cum Capella & Tiberiensium primatibus apud Bethmauntem habitum in superiora Galilææ nos recepimus. Tum Iesu factio Græcos omnes eam vrbem habitantes interimit, & quotquot inimicos ante id bellum habuerant. His auditis vehementer commotus descendi in Tiberiadem, dedíque operam vt quicquid possem recuperarem ex direptis regis facultatibus, candelabra corinthia, mensas regias, & rudis argenti satis magnam copiam. quæcunque autem recepi, regi seruare statui. accitis igitur decem è senatu potioribus & Capella Antylli filio, vasa illa eis tradidi, interdicens, ne cuiquam præter me ea redderent. Inde Gischala cum collegis ad Ioannem veni, cogniturus quidnam haberet animi: móxque deprehendi eum rerum nouarum cupidum affectare tyrannidem. rogabat enim me vt sibi potestatem facerem exportandi frumentum Cæsaris, quod in superioris Galilææ vicis erat repositum, dicens se id velle impendere in structuram mœnium patriæ. at ego cùm olfecissem eius conatus & consilia,

negabam me hoc ei permittere. cogitabam enim id frumentum aut Romanis ſeruare aut mihiipſi, quòd haberem iam curam eius regionis à ciuitate Hieroſolymitana mihi commiſſæ. ergo cùm nihil à me impetraret, collegas appellauit ſuper hoc negocio futurorum improuidos, & auidos munerum. ab his largitione totum eius prouinciæ frumentum obtinuit, me non valente contra duos contendere. deinde altero dolo Ioannes vſus eſt. aiebat enim Iudæos Cæſareæ Philippi incolas, regis cui ſuberant mandato intra mœnia cohibitos, querentes de olei puri penuria, id à ſe petere, ne præter morem cogantur vti Græcorum oleo. hæc autem non religionis reſpectu dicebat, ſed victus turpis lucri cupidine. ſciens enim apud Cæſarienſes ſextarios duos drachma vna venire, Giſchalis autem octuaginta ſextarios drachmis quatuor, totum illud oleum quod ibi erat ad eos tranſmiſit, me quoque vt videri volebat permittente. non enim volens permittebam, ſed metu ne ſi obſiſterem lapidarer à populo. poſtquam igitur conceſſi, plurimum pecuniæ Ioannes quæſiuit hoc maleficio. ex hoc oppido remiſi collegas Hieroſolyma, totúſque poſthac fui in comparandis armis & muniendis vrbibus. accitis deinde latronum fortiſſimis, cùm viderem non poſſe illis arma adimi, perſuaſi multitudini vt mercede eos conduceret, conducibilius docens habere eos ſtipendiarios, quàm ſinere agros incurſionibus eorum diripi: atque ita eos dimiſi ſacramento obſtrictos ne niſi vocati in regionem noſtram venirent, aut niſi ſtipem debitam reciperent, iuſſos prius abſtinere à Romanis & accolis iniuriam. Sed ante omnia curaui in pace continere Galilæam. cúmque vellem optimates eius regionis circiter ſeptuaginta prætextu amicitiæ habere quaſi obſides fidei, aſcitos in amicitiam feci mihi comites & iudicandi ſocios, pleraque decernens ex ipſorum ſententia, in primis curans ne temere diſcederem à iuſtitia, vtque abſtinerem ab omni corruptela munerum. agens igitur annum trigeſimum, qua ætate etiamſi quis temperet cupiditatibus illicitis, difficile tamen euadit calumniatorum inuidiam, maximè ſi cum magna poteſtate ſit, nulli mulieri vim intuli, & nihil mihi obtrudi ſum paſſus, vt rei nullius indigus: imò ne debitas quidem mihi vt ſacerdoti decimas accipere volui ab afferentibus. ex manubiis tamen partem poſt deuictos Syros accolas recepi, quam me Hieroſolyma miſiſſe ad cognatos fateor. Cúmque bis Sephoritas vi expugnaſſem, Tiberienſes quater, Gadarenſes ſemel, & Ioannem ſæpius inſidias mihi molitum in poteſtatem redegiſſem, neque de ipſo neque de vllo memoratorum populorum pœnas ſumere ſuſtinui, vt procedente ſtilo indicabimus. quamobrem opinor Deum rectè factorum inſpectorem, & tunc me eripuiſſe ex inimicorum inſidiis,

A οὐκ ἔφην αὐτῷ συγχωρεῖν. ἢ γὰρ ῥωμαίοις αὐτὸν ἐννοούμην φυλάττειν, ἢ ἐμοὶ αὐτῷ, διὰ τὸ καὶ τὴν ἐξουσίαν τῶν ἐκεῖ πραγμάτων αὐτὸς παρὰ τοῦ κοινοῦ τῶν ἱεροσολυμιτῶν πεπιστεῦσθαι. μὴ πείθων δέ με περὶ τούτων, καὶ ἐπὶ τοὺς συμπρέσβεις ἐτράπετο. καὶ γὰρ ἦσαν ἀπρονόητοι τῶν ἐσομένων, καὶ λαβεῖν ἑτοιμότατοι. φθείρει δὲ χρήμασιν αὐτοὺς ψηφίσασθαι πάντα τὸν σῖτον αὐτῷ παραδοθῆναι τὸν ἐν τῇ αὐτοῦ ἐπαρχίᾳ κείμενον. κἀγὼ μόνος, ἡττώμενος ὑπὸ δύο τὴν ἡσυχίαν ἦγον.
B καὶ δευτέραν ἰωάννης ἐπεισέφερεν πανουργίαν. ἔφη γὰρ ἰουδαίους τοὺς τὴν φιλίππου καισάρειαν κατοικοῦντας, συγκεκλεισμένους κατὰ πρόσταξιν τοῦ βασιλέως ὑποδίκου τὴν δυναστείαν διοικοῦντος πεπομφέναι πρὸς αὐτὸν, παρακαλοῦντας, ἐπειδὴ οὐκ ἔχουσιν ἔλαιον ᾧ χρήσονται καθαρὸν, ποιησάμενον πρόνοιαν εὐπορίαν αὐτοῖς τούτου παρασχεῖν, μὴ δι' ἀνάγκην ἑλληνικῷ χρώμενοι τὰ νόμιμα παραβαίνωσιν.
C ταῦτα δ' οὐχ ὑπ' εὐσεβείας ἔλεγεν ἰωάννης, δι' αἰσχροκέρδειαν δὲ φανερωτάτην. γινώσκων γὰρ, παρὰ μὲν ἐκείνοις κατὰ τὴν καισάρειαν τοὺς δύο ξέστας δραχμῆς μιᾶς πωλουμένους, ἐν δὲ τοῖς γισχάλοις, τοὺς ὀγδοήκοντα ξέστας δραχμῶν τεσσάρων, πᾶν τὸ ἔλαιον ὅσον ἦν ἐκεῖ διεπέμψατο λαβὼν ἐξουσίαν καὶ παρ' ἐμοῦ τοῦ δοκεῖν. οὐ γὰρ ἑκὼν ἐπέτρεπον, ἀλλὰ διὰ φόβον τὸν ἀπὸ τοῦ πλήθους, μὴ κωλύων καταλευσθείην ὑπ' αὐτῶν. συγχωρήσαντος οὖν μου πλείστων χρημάτων ὁ
D ἰωάννης ἐκ τῆς κακουργίας ταύτης εὐπόρησεν. τοὺς δὲ συμπρέσβεις ἀπὸ τῶν γισχάλων ἀπολύσας εἰς τὰ ἱεροσόλυμα, πρόνοιαν ἐποιούμην ὅπλων τε κατασκευῆς καὶ πόλεων ὀχυρότητος. μεταπεμψάμενος δὲ τῶν λῃστῶν τοὺς ἀνδρειοτάτους, ἀφελέσθαι μὲν αὐτῶν τὰ ὅπλα οὐχ οἷόν τε ὂν ἑώρων. ἔπεισα δὲ τὸ πλῆθος μισθοφορίαν αὐτοῖς παρέχειν, ἄμεινον εἶναι λέγων ἑκόντας ὀλίγον διδόναι μᾶλλον, ἢ τὰς κτήσεις διαρπαζομένας ὑπ' αὐτῶν περιορᾶν.
E καὶ λαβὼν παρ' αὐτῶν ὅρκους μὴ ἀφίξεσθαι πρότερον εἰς τὴν χώραν, ἐὰν μὴ μετακληθῶσιν, ἢ ὅταν τὸν μισθὸν μὴ λάβωσιν, ἀπέλυσα, παραγγείλας μήτε ῥωμαίοις πολεμεῖν, μήτε τοῖς περιοίκοις, εἰρηνεύεσθαι γὰρ πρὸ πάντων τὴν γαλιλαίαν ἐφρόντιζον. τοὺς δ' ἐν τέλει τῶν γαλιλαίων, ὅσον ἑβδομήκοντα πάντας βουλόμενος ἐν προφάσει φιλίας καθάπερ ὅμηρα τῆς πίστεως ἔχειν, φίλους τε καὶ συνεκδήμους ἐποιησάμην, ἐπί τε κρίσεις παρελάμβανον, καὶ μετὰ γνώμης τῆς ἐκείνων
F τὰς ἀποφάσεις ἐποιούμην, μήτε προπετείᾳ πειρώμενος τοῦ δικαίου διαμαρτάνειν, καθαρεύειν δὲ παντὸς ἐν αὐταῖς λήμματος. περὶ τριακοστὸν γοῦν ἔτος ὑπάρχων, ἐν ᾧ χρόνῳ κἂν ἀπέχηταί τις παρανόμων ἐπιθυμιῶν δύσκολον τὰς ἐκ τοῦ φθόνου διαβολὰς φεύγειν, ἄλλως τε καὶ ἐξουσίας ὄντα μεγάλης, γυναῖκα μὲν πᾶσαν ἀνύβριστον ἐφύλαξα, πάντων δὲ τῶν διδομένων ὡς μὴ χρήζων κατεφρόνησα, ἀλλ' οὐδὲ τὰς ὀφειλομένας μοι ὡς
G ἱερεῖ δεκάτας ἀπελάμβανον παρὰ τῶν κομιζόντων. ἐκ μέντοι τῶν λαφύρων μέρους τοὺς σύρους τοὺς τὰς πέριξ πόλεις κατοικοῦντας νικήσας ἔλαβον, ἃ καὶ εἰς ἱεροσόλυμα τοῖς συγγενέσιν ὁμολογῶ πεπομφέναι. καὶ δὶς μὲν κατὰ κράτος ἑλὼν σεπφωρίτας, τιβεριεῖς δὲ τετράκις, γαδαρεῖς δ' ἅπαξ, καὶ τὸν ἰωάννην πολλάκις ἐπιβουλεύσαντά μοι λαβὼν ὑποχείριον, οὔτ' αὐτὸν, οὔτε τινὰς τῶν προειρημένων ἐθνῶν ἐτιμωρησάμην, ὡς προϊὼν ὁ λόγος παραστήσει. διὰ τοῦτ' οἶμαι καὶ τὸν θεὸν, οὐ γὰρ λελήθασιν αὐτὸν οἱ τὰ δέοντα πράττοντες, καὶ ἐκ τῆς ἐκείνων ῥύσασθαί με χειρὸς,

καὶ μετὰ

καὶ μετὰ ταῦτα πολλοῖς περιπεσόντα κινδύνοις διαφυλάξαι, περὶ ὧν ὕστερον ἀπαγγελοῦμεν. τοσαύτη δ' ἦν πρός με τοῦ πλήθους τῶν Γαλιλαίων εὔνοια καὶ πίστις, ὥστε ληφθεισῶν αὐτῶν κατὰ κράτος τῶν πόλεων, γυναικῶν δὲ καὶ τέκνων ἀνδραποδισθέντων, οὐχ οὕτως τῶν ἑαυτῶν ἐπεστέναζον συμφοραῖς, ὥσπερ τῆς ἐμῆς ἐφρόντισαν σωτηρίας. ταῦτα δ' ὁρῶν Ἰωάννης ἐφθόνησε, καὶ γράφει πρός με παρακαλῶν ἐπιτρέψαι καταβάντι χρήσασθαι τοῖς ἐν Τιβεριάδι θερμοῖς ὕδασι, τῆς τοῦ σώματος ἕνεκα θεραπείας. κἀγὼ μηδὲν ὑποπτεύσας πράξειν αὐτὸν πονηρὸν οὐκ ἐκώλυσα. πρὸς δὲ καὶ τοῖς τῆς Τιβεριάδος τὴν διοίκησιν ὑπ' ἐμοῦ πεπιστευμένοις κατ' ὄνομα γράφω, κατάλυσιν ἑτοιμάσαι τῷ Ἰωάννῃ καὶ τοῖς ἀφιξομένοις σὺν αὐτῷ, πάντων τε τῶν ἐπιτηδείων ἀφθονίαν παρασχεῖν. διέτριβον δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον ἐν κώμῃ τῆς Γαλιλαίας, ἣ προσαγορεύεται Κανά. ὁ δὲ Ἰωάννης ἀφικόμενος εἰς τὴν Τιβεριέων πόλιν, ἔπειθε τοὺς ἀνθρώπους ἀποστάντας τῆς πρός με πίστεως προστίθεσθαι αὐτῷ. καὶ πολλοὶ τὴν παράκλησιν ἡδέως ἐδέξαντο, νεωτέρων ἐπιθυμοῦντες ἀεὶ πραγμάτων καὶ φύσει πρὸς μεταβολὰς ἐπιτηδείως ἔχοντες, καὶ στάσεσι χαίροντες. μάλιστα δὲ Ἰοῦστος καὶ ὁ πατὴρ αὐτοῦ Πιστὸς ὡρμήκεσαν ἀποστάντες ἐμοῦ προσθέσθαι τῷ Ἰωάννῃ, διεκώλυσα δ' αὐτοὺς φθάσας. ἧκεν γὰρ ἄγγελός μοι παρὰ Σίλα, ὃν ἐγὼ καθεστάκειν τῆς Τιβεριάδος στρατηγόν, ὡς προεῖπον, τὴν τῶν Τιβεριέων γνώμην ἀπαγγέλλων, κἀμὲ σπεύδειν παρακαλῶν, βραδύναντος γὰρ ὑπὸ τὴν ἑτέρων ἐξουσίαν γενέσθαι τὴν πόλιν. ἐντυχὼν οὖν τοῖς γράμμασι τοῦ Σίλα, καὶ διακοσίους ἀναλαβὼν ἄνδρας, δι' ὅλης τῆς νυκτὸς τὴν πορείαν ἐποιούμην, προπέμψας ἄγγελον τὸν τὴν ἐμὴν παρουσίαν τοῖς ἐν τῇ Τιβεριάδι σημανοῦντα. πρωῒ δὲ πλησιάζοντός μου τῇ πόλει, τὸ πλῆθος ὑπηντίαζεν, καὶ Ἰωάννης σὺν αὐτοῖς, ὃς καὶ πάνυ με τεταραγμένως ἀσπασάμενος, δείσας μὴ εἰς ἔλεγχον αὐτοῦ τῆς πράξεως ἀφικομένης ἀπολέσθαι κινδυνεύσῃ, ὑπεχώρησε μετὰ σπουδῆς εἰς τὴν ἑαυτοῦ κατάλυσιν. κἀγὼ δὲ γενόμενος κατὰ τὸ στάδιον, τοὺς περὶ ἐμὲ σωματοφύλακας ἀπολύσας, πλὴν ἑνός, καὶ μετὰ τούτου κατασχὼν δέκα τῶν ὁπλιτῶν, δημηγορεῖν ἐπειρώμην τῷ πλήθει τῶν Τιβεριέων στὰς ἐπὶ τριγχοῦ τινὸς ὑψηλοῦ, παρεκάλουν τε μὴ οὕτως αὐτοὺς ταχέως ἀφίστασθαι, καταγνωσιν γὰρ αὐτοῖς οἴσειν τὴν μεταβολήν, καὶ τῶν μετὰ ταῦτα προϊσταμένων δι' ὑποψίας γενήσεσθαι δικαίας, ὡς μηδὲ τὴν πρὸς ἐκεῖνον πίστιν φυλαξάντων. οὔπω δέ μοι πάντα λελάλητο, καί τινος ἐξήκουσα τῶν οἰκείων καταβαίνειν κελεύοντος. οὐ γάρ μοι καιρὸν εἶναι φροντίζειν τῆς παρὰ Τιβεριέων εὐνοίας, ἀλλὰ περὶ τῆς ἰδίας σωτηρίας, καὶ πῶς τοὺς ἐχθροὺς ἐκφύγω. πεπόμφει δ' ὁ Ἰωάννης τῶν περὶ αὐτὸν ὁπλιτῶν ἐπιλέξας τοὺς πιστοτάτους ἐκ τῶν χιλίων οἵπερ ἦσαν αὐτῷ, καὶ προσέταξεν τοῖς πεμφθεῖσιν ἀνελεῖν με, πεπυσμένος ὡς εἴην μετὰ τῶν οἰκείων μεμονωμένος.

& pòst ſæpe è multis periculis, ſicut ſuo loco dicetur. Tanta autem erga me erat vulgi Galilæorum fides ac beneuolentia, vt expugnatis eorum oppidis, & in captiuitatem abductis familiis, non tantùm gemitus ſuis calamitatibus, quantum curæ incolumitati meæ tuendæ impenderent. Hæc videntem Ioannem inuidia ſubiit: rogauítque me per literas vt ſibi permitterem valetudinis cauſa apud Tiberiadem foueri aquis calidis: quod ego nihil ſuſpicans libenter annui: quin & his quibus ciuitatibus adminiſtratio per me fuerat credita ſcripſi, vt diuerſorium ei pararent & comitibus, rerúque ad commodum victum idonearum copiā. ipſe interim agebam in vico Galilææ qui Cana dicitur. Ioannes autem poſtquam venit Tiberiadem, egit cum oppidanis vt obliti datæ mihi fidei ad ſe deficerent: multique preces eius libenter admiſerunt, homines gaudentes nouitatibus, & mutationum auidi procliuéſque ad diſſidia: præcipuè verò Iuſto & patri eius Piſto cupidè arrepta eſt deficiendi à me ad Ioannem occaſio. id tamen conſilium interuentu meo feci irritum. Venerat enim ad me à Sila, quem Tiberienſibus ducem præfecerā, nuncius voluntatem eius populi indicans, & hortans vt properem: alioquin fore vt ciuitas breui in alorum poteſtatem veniat. lectis igitur Silæ literis, cum ducentis viris per totam noctem iter feci, præmiſſo nuncio qui aduentū meum ſignificaret Tiberienſibus. manè autem iam ciuitati proximo plebs mihi venit obuiā, & Ioannes inter alios. qui cùm valde turbato vultu me ſalutaſſet, veritus ne detecto ſuo conatu veniret in capitis periculum, properè ſe recepit in diuerſorium. cúmque perueniſſem in ſtadium, dimiſſis abſque vno ſatellitibus, retentíſque decem armatis, alloqui cœpi concionem Tiberienſium ſtans in celſo quodam ſuggeſto: hortabárque eos ne tam citò deficerent, alioqui fore vt breui eos fidei mutatæ pœniteat: neque illis poſthac quenquam crediturum facilè, nimirum meritò ſuſpectis ob hanc præſentem perfidiam. Vix hæc effatus eram, cùm audio ex meis quendam iubentem me deſcendere. non enim tempus eſſe conciliandæ Tiberienſium beneuolentiæ, ſed proſpiciendi incolumitati propriæ, quomodo inimicos effugiam. Ioannes enim poſtquam didicit me penè ſolum eſſe, delectos è mille ſuis militibus fidiſſimos miſerat iuſſos me interficere: iámque veniebant, & patratum fuiſſet facinus, niſi ocyus deſiliuiſſem cum Iacobo ſatellite, ſubleuatus ab Herode Tiberienſi: à quo deductus ad lacum, nauigio quod fortè ibi nactus ſum conſcenſo, ciuitatis preter opinionem inimicis perueni Taricheas. eius vrbis incolæ audita Tiberienſium perfidia vehementer irati, correptis armis hortabantur vt ſe contra eos ducerem, dicentes ſe velle

ἧκον δ' οἱ πεμφθέντες, κἂν ἐπιτετελέκεισαν τοὔργον, εἰ μὴ τοῦ τειχίου θᾶττον ἀφαλλόμενος ἐγὼ μετὰ τοῦ σωματοφύλακος Ἰακώβου, καὶ ὑπό τινος Τιβεριέως Ἡρώδου προσαναγκουφισθείς, ὁδηγηθεὶς ὑπὸ τούτου ἐπὶ τὴν λίμνην, καὶ πλοίου λαβόμενος, καὶ ἐπιβὰς παρὰ δόξαν τοὺς ἐχθροὺς διαφυγὼν, εἰς Ταριχέας ἀφικόμην. οἱ δὲ τὴν πόλιν ταύτην κατοικοῦντες, ὡς ἐπύθοντο τὴν τῶν Τιβεριέων ἀπιστίαν, σφόδρα παρωξύνθησαν· ἁρπάσαντες οὖν τὰ ὅπλα παρεκάλουν σφᾶς ἄγειν ἐπ' αὐτούς. θέλειν γὰρ ἔφασκον

vlcisci læsi ducis iniuriam, facinúsque hoc renunciabant per totam Galilæam, quo omnes concitarent contra Tiberiada, rogantes vt frequentes ad se conuenirent, facturi de consilio ducis id quod visum fuerit. itaque magnus vndique Galilæorum armatorum concursus factus est, postulantium vt Tiberiada inuaderem, expugnatámque diruerem, & incolas cum totis familiis sub hasta venderem. idem suadebant & amici qui ex ea vrbe euaserant. ego verò non annuebam, indignum ratus ciuilis belli initium facere, & censens non debere eam contentionem vltra verba progredi: imò ne ipsis quidem aiebam id conducere, si Romanis inspectantibus dissidiis intestinis se conficiant. hac ratione demum Galilæorum ira placata est. Ioannes porrò vbi non successerunt insidiæ, sibiipsi timuit, & assumptis armatis quos circa se habebat relicta Tiberiade Gischala petiit: inde ad me scripsit factum excusans, quasi non fuisset eius conscius: rogabátque nequid suspicarer de ipso, addens iuramenta cum diris execrationibus, quo magis scriptis suis fidem astrueret. At Galilæi, quorum è tota regione denuò magnus cum armis affluxerat numerus, scientes hominem esse malum & periurum, rogabant vt se contra eum ducerem, promittentes funditus se deleturos & ipsum & patriam eius Gischala. Actis igitur pro fauore gratiis, pollicitus sum me eis non cessurum officiis ac beneuolentia: rogabam tamen vt cohiberent seipsos, & darent mihi veniam quòd tumultus compescere mallem absque cædibus. concesserunt id mihi Galilæi, móxque Sephorim venimus. oppidani autem quibus decretum erat permanere in fide Romani populi, timentes meum aduentum, conati sunt me in alia negocia distrahere, quo ipsi securiùs degerent: missóque nuncio ad Iesum latronum principem agentem in confiniis Ptolemaidis, magnam pecuniam ei sunt polliciti, si cum octingentorum manu quam alebat, bellum nobis inferret. is promissis motus voluit nos nec opinantes & imparatos aggredi: itaque rogat me per nuncium, vt sibi salutandi me potestatem facerem, quo impetrato, quandoquidem non præsenseram insidias, assumpta latronum cohorte iter fecit properè. non tamen ei successit tentatum facinus. cùm enim iam non longè abesset, quidam ex eius cohorte transfuga conatum ipsius mihi indicat. quo audito processi in forum simulans me nihil scire de insidiis, sequente armatorum Galilæorum multitudine, & inter hos quibusdam Tiberiensibus. deinde dispositis qui seruarent vias, iussi portarum custodes vt solum Iesum cum primis venientem intromitterent, cæteros excluderent, & si vi tentarent irrumpere, plagis repellerent quibus imperata facientibus intrauit Iesus cum paucis: iussúsque à me arma confestim proiicere,

ὑπὸ τοῦ στρατηγοῦ δίκας λαβεῖν παρ' αὐτῶν. διήγγελλον γὰρ τὰ γεγονότα καὶ τοῖς κατὰ τὴν Γαλιλαίαν πᾶσαν, ἐρεθίσαι καὶ τούτους κατὰ τῶν Τιβεριέων διὰ σπουδῆς ἔχοντες· παρεκάλουν τε πλείστους συναχθέντας ἀφικέσθαι πρὸς αὐτοὺς, ἵνα μετὰ γνώμης τοῦ στρατηγοῦ πράττωσι τὸ δόξαν. ἧκον οὖν οἱ Γαλιλαῖοι πολλοὶ πανταχόθεν μεθ' ὅπλων. καὶ παρεκελεύοντό μοι προσβαλεῖν τῇ Τιβεριάδι, καὶ κατὰ κράτος αὐτὴν ἐξελεῖν, καὶ πᾶσαν ἔδαφος ποιήσαντα τοὺς ἐνοίκους σὺν γυναιξὶ καὶ τέκνοις ἀνδραποδίσασθαι. συνεβούλευον δὲ ταῦτα καὶ τῶν φίλων οἱ ἐκ τῆς Τιβεριάδος διασωθέντες. ἐγὼ δὲ οὐ συνεπένευον, δεινὸν ἡγούμενος ἐμφυλίου πολέμου κατάρχειν· μέχρι λόγων γὰρ ᾤμην εἶναι δεῖν τὴν φιλονεικίαν. καὶ μὴν οὐδ' αὐτοῖς ἔφασκον συμφέρειν τοῦτο πρᾶξαι, ῥωμαίων ταῖς πρὸς ἀλλήλους στάσεσιν αὐτοὺς ἀπολεῖσθαι προσδοκώντων. ταῦτα δὲ λέγων, ἔπαυσα τῆς ὀργῆς τοὺς Γαλιλαίους. ὁ δὲ Ἰωάννης ἀπράκτου τῆς ἐπιβουλῆς αὐτῷ γενομένης, ἔδεισε περὶ ἑαυτοῦ, καὶ τοὺς περὶ αὐτὸν ὁπλίτας ἀναλαβὼν, ἀπῆρεν ἐκ τῆς Τιβεριάδος εἰς τὰ Γίσχαλα, καὶ γράφει πρός με περὶ τῶν πεπραγμένων ἀπολογούμενος, ὡς μὴ κατὰ γνώμην τὴν αὐτοῦ γενομένων, παρεκάλει τε μηδὲν ὑπονοεῖν κατ' αὐτοῦ, προσθεὶς ὅρκους καὶ δεινάς τινας ἀρὰς, δι' ὧν ᾤετο πιστευθήσεσθαι περὶ ὧν ἐπέστελλεν. οἱ δὲ Γαλιλαῖοι, πολλοὶ γὰρ ἕτεροι πάλιν ἐκ τῆς χώρας πάσης ἀνήχθησαν μεθ' ὅπλων, εἰδότες τὸν ἄνθρωπον ὡς πονηρός ἐστιν καὶ ἐπίορκος, παρεκάλουν ἀγαγεῖν σφᾶς ἐπ' αὐτὸν, ἄρδην ἀφανίσειν ἐπαγγελλόμενοι σὺν αὐτῷ καὶ τὰ Γίσχαλα. χάριν μὲν οὖν ἔχειν αὐτοῖς τῆς προθυμίας ὡμολόγουν ἐγὼ, καὶ νικήσειν αὐτῶν τὴν εὔνοιαν ἐπηγγελλόμην. παρεκάλουν δ' ὅμως ἐπισχεῖν αὐτοὺς ἀξιῶν, καὶ συγγινώσκειν μοι δεόμενος προῃρημένῳ τὰς ταραχὰς χωρὶς φόνων καταστέλλειν. καὶ πείσας τὸ πλῆθος τῶν Γαλιλαίων, εἰς τὴν Σέπφωριν ἀφικνοῦμαι. οἱ δὲ τὴν πόλιν ταύτην κατοικοῦντες ἄνδρες κεκρικότες τῇ πρὸς ῥωμαίους ἐμμεῖναι πίστει, δεδιότες δὲ τὴν ἐμὴν ἄφιξιν, ἐπειράθησαν, ἑτέρᾳ με πράξει περισπάσαντες, ἀδεεῖς εἶναι περὶ αὐτῶν. καὶ δὴ πέμψαντες πρὸς Ἰησοῦν τὸν ἀρχιληστὴν εἰς τὴν Πτολεμαΐδος μεθορίαν, ὑπέσχοντο δώσειν πολλὰ χρήματα θελήσαντι μετὰ τῆς σὺν αὐτῷ δυνάμεως (ἦσαν δὲ ὀκτακόσιοι τὸν ἀριθμὸν) πόλεμον ἐξάψαι εἰς ἡμᾶς. ὁ δ' ὑπακούσας αὐτῶν ταῖς ὑποσχέσεσιν, ἠθέλησεν ἐπιπεσεῖν ἡμῖν ἀνετοίμοις καὶ μηδὲν προγινώσκουσιν. πέμψας γοῦν πρός με παρεκάλει λαβεῖν ἐξουσίαν ἀσπασόμενον ἀφικέσθαι. συγχωρήσαντος δέ μου, τῆς γὰρ ἐπιβουλῆς οὐδὲν προηπιστάμην, ἀναλαβὼν τὸ σύνταγμα τῶν λῃστῶν ἔσπευδεν εἰς ἐμέ. οὐ μὴν ἔφθασεν αὐτοῦ τέλος λαβεῖν ἡ κακουργία. πλησιάζοντος γὰρ ἤδη, τῶν σὺν αὐτῷ τις αὐτομολήσας ἧκεν πρός με τὴν ἐπιχείρησιν αὐτοῦ φράζων. κἀγὼ πυθόμενος ταῦτα προῆλθον εἰς τὴν ἀγορὰν, σκηψάμενος ἀγνοεῖν τὴν ἐπιβουλὴν, ἐπηγόμην δὲ πολλοὺς ὁπλίτας Γαλιλαίους, τινὰς δὲ καὶ Τιβεριέων. εἶτα προστάξας τὰς ὁδοὺς πάσας ἀσφαλέστατα φρουρεῖσθαι, παρήγγελλα τοῖς ἐπὶ τῶν πυλῶν μόνον Ἰησοῦν ἐπειδὰν παραγένηται μετὰ τῶν πρώτων εἰσελθεῖν ἐᾶσαι. ἀποκλεῖσαι δὲ τοὺς ἄλλους, βιαζομένους δὲ τύπτειν. τῶν δὲ τὸ προσταχθὲν ποιησάντων, εἰσῆλθεν ὁ Ἰησοῦς μετ' ὀλίγων, καὶ κελεύσαντος ἐμοῦ, ῥίψαι τὰ ὅπλα θᾶττον, εἰ γὰρ

εἰ γὰρ ἀπειθοίη τεθνήξεσθαι. περιεστῶτας ἰδὼν πανταχόθεν αὐτοῦ τοὺς ὁπλίτας, φοβηθεὶς, ὑπήκουσεν. οἱ δ' ἀποκλεισθέντες τῶν ἐπακολουθησάντων αὐτῷ, πυθόμενοι τὴν σύλληψιν ἔφυγον. κἀγὼ προσκαλεσάμενος τὸν ἰησοῦν κατ' ἰδίαν, οὐκ ἀγνοεῖν ἔφην τὴν ἐπ' ἐμὲ συσκευασθεῖσαν ἐπιβουλὴν, οὐδ' ὑπὸ τινων πεμφθείη, συγγνώσεσθαι δ' ὅμως αὐτῷ τῶν πεπραγμένων, εἰ μέλλοι μετανοήσειν καὶ πιστὸς ἐμοὶ γενήσεσθαι. ὑπισχνουμένου δὲ πάντα ποιήσειν ἐκείνου, ἀπέλυσα συγχωρήσας αὐτῷ συναγαγεῖν πάλιν οὓς πρότερον εἶχε, σεπφωρίταις δ' ἠπείλησα, εἰ μὴ παύσαιντο τῆς ἀγνωμοσύνης, λήψεσθαι παρ' αὐτῶν δίκας. κατὰ τοῦτον τὸν καιρὸν, ἀφικνοῦνται πρός με δύο μεγιστᾶνες, τῶν ὑπὸ τὴν ἐξουσίαν τοῦ βασιλέως ἐκ τῆς τραχωνιτῶν χώρας, ἐπαγόμενοι τοὺς ἑαυτῶν ἵππους, καὶ ὅπλα καὶ χρήματα δ' ἐπικομίζοντες. τούτους περιτέμνεσθαι τῶν ἰουδαίων ἀναγκαζόντων, εἰ θέλουσιν εἶναι παρ' αὐτοῖς, οὐκ εἴασα βιασθῆναι, φάσκων δεῖν ἕκαστον ἄνθρωπον κατὰ τὴν ἑαυτοῦ προαίρεσιν τὸν θεὸν εὐσεβεῖν, ἀλλὰ μὴ μετὰ βίας. χρῆναι δὲ τούτους δι' ἀσφάλειαν πρὸς ἡμᾶς καταφυγόντας μὴ μετανοεῖν. πεισθέντος δὲ τοῦ πλήθους, τοῖς ἥκουσιν ἀνδράσι τὰ πρὸς τὴν συνήθη δίαιταν ἅπαντα παρεῖχον δαψιλῶς. πέμπει δ' ὁ βασιλεὺς ἀγρίππας δύναμιν καὶ στρατηγὸν ἐπ' αὐτῆς ἔκουον μόδιον, μαγδαλὰ τὸ φρούριον ἐξαιρήσοντας. οἱ δὲ πεμφθέντες, κυκλώσασθαι μὲν τὸ φρούριον οὐκ ἤρκεσαν, ἐν δὲ τοῖς φανεροῖς τῶν τόπων ἐφεδρεύοντες ἐπολιόρκουν τὰ γάμαλα. αἰβούτιος δὲ ὁ δεκάδαρχος, ὁ τοῦ μεγάλου πεδίου τὴν προστασίαν πεπιστευμένος, ἀκούσας ὅτι παρείην εἰς σιμωνιάδα κώμην ἐν μεθορίοις κειμένην τῆς γαλιλαίας, αὐτοῦ δ' ἀπέχουσαν ἑξήκοντα σταδίους, νυκτὸς ἀναλαβὼν τοὺς ἑκατὸν ἱππεῖς οὓς εἶχεν σὺν αὐτῷ, καί τινας πεζοὺς περὶ διακοσίους, καὶ τοὺς ἐν γαβᾶ πόλει κατοικοῦντας ἐπαγόμενος συμμάχους, νυκτὸς ὁδεύσας ἧκεν εἰς τὴν κώμην ἐν ᾗ διέτριβον. ἀντιπαραταξαμένου δὲ κἀμοῦ μετὰ δυνάμεως πολλῆς, ὁ μὲν αἰβούτιος εἰς τὸ πεδίον ὑπάγειν ἡμᾶς ἐπειρᾶτο. σφόδρα γὰρ τοῖς ἱππεῦσιν ἐπεποίθει. οὐ μὴν ὑπηκούσαμεν, ἐγὼ γὰρ τὸ πλεονέκτημα συνιδὼν τὸ γενησόμενον τοῖς ἱππεῦσιν, εἰ καταβαίημεν εἰς τὸ πεδίον, πεζοὶ γὰρ ἡμεῖς σύμπαντες ἦμεν, ἔγνων αὐτοῦ τοῖς πολεμίοις συνάπτειν. καὶ μέχρι μέν τινος γενναίως ἀντεῖχεν σὺν τοῖς περὶ αὐτὸν ὁ αἰβούτιος. ἀχρεῖον δ' ὁρῶν κατὰ τὸν τόπον τοῦτον οὖσαν αὐτῷ τὴν ἱππικὴν δύναμιν, ἀναζεύγνυσιν ἄπρακτος εἰς γαβὰ πόλιν, τρεῖς ἄνδρας ἀποβαλὼν κατὰ τὴν μάχην. εἱπόμην δὲ κατὰ πόδας ἐγὼ, δισχιλίους ἐπαγόμενος ὁπλίτας. καὶ περὶ βησαρὰν πόλιν γενόμενος ἐν μεθορίοις τῆς πτολεμαΐδος κειμένην, εἴκοσι δ' ἀπέχουσαν σταδίους τῆς γαβᾶς ἔνθα διέτριβεν ὁ αἰβούτιος, στήσας τοὺς ὁπλίτας ἔξωθεν τῆς κώμης καὶ φρουρεῖν αὐτοῖς ἀσφαλῶς τὰς ὁδοὺς προστάξας ὑπὲρ τοῦ μὴ ἐνοχλῆσαι τοὺς πολεμίους ἡμῖν, ἕως τὸν σῖτον ἐκφορήσομεν, πολὺς γὰρ ἀπέκειτο βερενίκης τῆς βασιλίδος ἐκ τῶν πέριξ κωμῶν εἰς τὴν βησάρων συλλεγόμενος, πληρώσας καμήλους καὶ τοὺς ὄνους, πολλοὺς δὲ ἐπηγόμην, διέπεμψα τὸν σῖτον εἰς τὴν γαλιλαίαν. τοῦτο δὲ πράξας, προεκαλούμην εἰς μάχην τὸν αἰβούτιον. οὐχ ὑπακούσαντος δ' ἐκείνου, καταπέπληκτο γὰρ τὴν ἡμετέραν ἑτοιμότητα καὶ τὸ θάρσος, ἐπὶ νεοπολιτανὸν ἐτραπόμην, τὴν τιβεριέων χώραν ἀκούσας ὑπ' αὐτοῦ λεηλατεῖσθαι. ἦν δὲ ὁ νεοπολιτανὸς εἴλης μὲν ἔπαρχος, παρειλήφει δὲ τὴν σκυθόπολιν εἰς φυλακὴν τὴν ἀπὸ τῶν πολεμίων. τοῦτον οὖν κωλύσας ἐπὶ πλεῖον τὴν τιβεριάδα κακοῦν,

nisi interfici mallet, videns se cinctum armatis paruit. tum qui eum sequebantur exclusi vt ducem suum captum senserunt, euestigio fuga se proripiunt: & ego seorsum abducto Iesu dixi me non ignorare paratas mihi insidias, quibúsve id factum sit autoribus: daturum tamen erroris veniam, si mutatus velit esse mihi fidus in posterum. quo omnia pollicente dimisi hominem, permissum quos priùs habuerat colligere: Sephoritis verò pœnam interminatus sum nisi posthac quiescerent. Per idem tempus venerunt ad me duo Trachonitarum magnates regis subditi, adducentes suos equites, & afferentes tam arma quàm pecuniam. hos cùm Iudæi circumcidi cogerent, si velint inter ipsos versari, non siui vt eis molesti essent: asseuerans oportere suo quenque arbitratu & non alieno impulsu Deum colere: neque committendum vt eos securitatis causa confugisse ad nos pœniteat: atque ita persuasa multitudine, viris illis consuetum victum abundè præbui. Interea rex Agrippa copias mittit duce Equo Modio, quæ Magdala castellum vi capiant: quæ tamen obsidere id non ausæ, insessis viis infestabant potiùs Gamala. Ebutius autem Decadarchus qui Magni campi præfecturam tenuit, audito quòd in Simoniada vicum venissem situm in Galilææ finibus, distantem ab ipso sexaginta stadiis, noctu assumptis quos circa se habebat centum equitibus, & fermè ducentis peditibus, Gabensiúmque auxiliis, nocturno itinere in eum vicum peruenit. contra quem cùm meorum explicuissem validam aciem, conatus est nos in planiciem prolicere, fretus equitibus. nihil tamen profecit; quia moueri loco nolui, quippe videns eum potiores habiturum, si cùm essemus omnes pedites descenderemus in campestria, cúmque aliquandiu strenuè repugnasset Ebutius, tandem animaduertens nullum esse eo loco vsum equitum, signo receptui dato Gabam abiit infecto negocio, tribus tantùm in pugna amissis. ego verò euestigio secutus sum cùm armatorum duobus millibus, cúmque venissem Besaram, quod oppidum in Ptolemaidis situm confiniis stadio vigesimo abest à Gaba, vbi tum erat Ebutius: dispositis foris per vias stationibus militum, quo tuti essemus ab incursu hostium, donec frumentum exportaremus, cuius magna vis è circumuicinis reginæ Bernices vicis eò congesta fuerat: oneratísque plurimis camelis & asinis quos in hoc adduxeram, transmisi frumentum id in Galilæam: absolutóque hoc negocio, feci Ebutio pugnandi copiam. Eam cùm ille detrectaret audacia nostra territus, verti me in Neapolitanum, audito quòd populatus sit agrum Tiberiensium is cum equitum ala præsidio erat Scythopoli. hoc igitur ab vlteriore Tiberiensium vexatione prohibito,

totus eram in prospiciendo rebus Galilææ. Cæterùm Ioannes Leui filius, quem diximus degere Gischalis, postquam cognouit omnia mihi ex sententia succedere, amarique me à subditis, & timeri ab hostibus, iniquo id tulit animo. ratúsque non esse in suam rē meam felicitatem, non mediocri inuidia tactus est: sperànsque se meos successus impediturum si subditorum in me concitaret odia, solicitauit Tiberienses & Sephoritas, ratus etiam Gabarenos ad se defecturos, quæ ciuitates sunt in Galilæa præcipuæ. aiebat enim suo ductu longè melius administranda omnia. & Sephorienses quidem, quòd vtroque nostrum posthabito ad Romanos spectarent dominos, non assenserunt homini. Tiberienses autem defectionem quidem recusabant, pollicebantur tamen illi quoque amicitiam. Gabareni autem Ioanni se addixerunt, autore Simone ciue primario, qui Ioannis erat amicus & socius. Nec tamen apertè ad eum defecerunt, quippe qui vehementer timebant Galilæos, iam antè experti eorum erga me beneuolentiam: sed aliam captabant occasionem insidiis. Et sanè periculum adiui maximum de causa tali. Dabaritteni quidam audaces iuuenes cùm animaduertissent vxorem Ptolemæi procuratoris regij cum magno paratu deducentibus aliquot equitibus per Magnum campum ex ditione regia in Romanorum prouinciam iter facere, in eos repente irruunt: fugatáque muliere quicquid secum portabat diripiunt: quo facto Taricheas vbi tum eram, quatuor mulos adducunt onustos vestimentis variáque supellectili: inter quam & vasa erant argentea non pauca, & quingenti numi aurei. Hæc ego seruare volens Ptolemæo, vt eiusdem tribus homini, quòd lex nostra ne inimicos quidem tribules fraudare permittat, dixi his qui attulerant oportere ea seruari, vt diuenditorum precium conferatur in Hierosolymitanæ vrbis mœniorum fabricam. id iuuenes illi permolestè tulerunt, non admissi in partem prædæ vt sperauerant: quapropter sparsi per vicos Tiberiadis rumorem disseminant, velle me Romanis eam regionem prodere. Finxisse enim prædam destinatam esse præmuniendis Hierosolymis: re autem vera in hoc eam seruare, vt rapta domino suo restituam. qua quidem in re nil eos fallebat opinio. post discessum enim iuuenum accitis duobus primariis ciuibus, Dassione, & Iannæo Leui filio, regi amicissimis, mandaui eis vt raptam supellectilem ad illum transmitterent, mortem interminatus si hoc secretum proferrent apud quenquam mortalium. Sed cùm Galilæos rumor persuasisset, me velle regionem eorum Romanis prodere, omnibus incitatis ad sumendum de me supplicium, Taricheatæ quoque fidem habentes iuuenum commenticiis sermonibus, suaserunt meis satellitibus & militibus reliquis,

περὶ τὴν τῆς γαλιλαίας πρόνοιαν ἐγινόμην. ὁ δὲ τοῦ λευὶ παῖς ἰωάννης, ὃν ἔφαμεν ἐν τοῖς γισχάλοις διατρίβειν, πυνθανόμενος πάντα κατὰ νοῦν μοι προχωρεῖν, καὶ δι' εὐνοίας μὲν εἶναί με τοῖς ὑπηκόοις, τοῖς πολεμίοις δὲ διὰ καταπλήξεως, οὐκ εὖ τὴν γνώμην ἐτέθη. κατάλυσιν δ' αὐτοῦ τὴν ἐμὴν εὐπραγίαν φέρειν νομίζων, εἰς φθόνον ἐξώκειλεν οὔτι μέτριον· καὶ παύσειν με τῆς εὐτυχίας ἐλπίσας, εἰ παρὰ τῶν ὑπηκόων μῖσος ἐξάψειεν, ἔπειθεν τούς τε τὴν τιβεριάδα κατοικοῦντας καὶ τοὺς τὴν σέπφωριν, νομίζων πρὸς τούτοις καὶ τοὺς γαβαρά, πόλεις δ' εἰσὶν αὗται τῶν κατὰ τὴν γαλιλαίαν αἱ μέγισται, τῆς πρὸς με πίστεως ἀποστάντας αὐτῷ προσθέσθαι. κρεῖττον γὰρ ἐμοῦ στρατηγήσειν αὐτῶν ἔφασκεν. καὶ σεπφωρεῖς μὲν, οὐδ' ἑτέρῳ γὰρ ἡμῶν προσεῖχον διὰ τὸ ῥωμαίους ᾑρῆσθαι δεσπότας, οὐκ ἐπένευον αὐτῷ. τιβεριεῖς δὲ, τὴν μὲν ἀπόστασιν οὐκ ἐδέχοντο, καὶ αὐτῷ δὲ συγκατένευον γενήσεσθαι φίλοι. οἱ δὲ γάβαρα κατοικοῦντες, προστίθενται τῷ ἰωάννῃ· σίμων δ' ἦν ὁ παρακαλῶν αὐτοὺς, πρωτεύων μὲν τῆς πόλεως, ὡς φίλῳ δὲ καὶ ἑταίρῳ τῷ ἰωάννῃ χρώμενος. ἐκ μὲν οὖν τοῦ φανεροῦ τὴν ἀπόστασιν οὐχ ὡμολόγουν. σφόδρα γὰρ ἐδεδοίκεσαν τοὺς γαλιλαίους, ἅτε δὴ πεῖραν αὐτῶν τῆς πρὸς ἐμὲ πολλάκις εὐνοίας λαβόντες· ἐκ τοῦ λεληθότος δὲ καιρὸν παραφυλάσσοντες ἐπιτήδειον ἐπεβούλευον. καὶ δὴ ἀφικόμην εἰς κίνδυνον τὸν μέγιστον διὰ τοιαύτην αἰτίαν. νεανίσκοι τινὲς θρασεῖς δαβαριττηνοὶ γένος, ἐπιτηρήσαντες τὴν πτολεμαίου γυναῖκα τοῦ βασιλέως ἐπιτρόπου μετὰ πολλῆς παρασκευῆς, καί τινων ἱππέων ἀσφαλείας χάριν ἑπομένων, διὰ τοῦ μεγάλου πεδίου τὴν πορείαν ποιουμένην ἐκ τῆς τοῖς βασιλεῦσιν ὑποτελοῦς χώρας εἰς τὴν ῥωμαίων ἐπικράτειαν, ἐπιπίπτουσιν αὐτοῖς ἄφνω, καὶ τὴν μὲν γυναῖκα φυγεῖν ἠνάγκασαν, ὅσα δ' ἐπεφέρετο πάντα διήρπασαν, καὶ ἧκον εἰς ταριχέας πρός με τέσσαρας ἡμιόνους καταφόρτους ἄγοντες ἐσθῆτος καὶ σκευῶν, ἦν δὲ καὶ ἀργυρίου σταθμὸς οὐκ ὀλίγος, καὶ χρυσοῖ πεντακόσιοι. ταῦτ' ἐγὼ βουλόμενος διαφυλάξαι τῷ πτολεμαίῳ, καὶ γὰρ ἦν ὁμόφυλος, ἀπηγόρευται δ' ἡμῖν ὑπὸ τῶν νόμων μηδὲ τοὺς ἐχθροὺς ἀποστερεῖν, πρὸς μὲν τοὺς κομίσαντας ἔφην φυλάττειν αὐτὰ δεῖν, ἵν' ἐκ τῆς πράξεως αὐτῶν ἐπισκευασθῇ τὰ τείχη τῶν ἱεροσολύμων. οἱ δὲ νεανίαι χαλεπῶς ἔχον, οὐ λαβόντες μοῖραν ἐκ τῶν λαφύρων καθάπερ προσεδόκησαν· καὶ προελθόντες εἰς τὰς πέριξ τῆς τιβεριάδος κώμας, προδιδόναι μέλλειν με ῥωμαίοις τὴν χώραν αὐτῶν ἔλεγον. κεχρῆσθαι γὰρ σοφίσματι πρὸς αὐτοὺς, λέγοντα τὰ ἐκ τῆς ἁρπαγῆς κομισθέντα φυλάττειν εἰς τὴν ἐπισκευὴν τῶν τειχῶν τῆς ἱεροσολυμιτῶν πόλεως, ἐγνωκέναι δὲ πάλιν τῷ δεσπότῃ ἀποδοῦναι τὰ ἡρπασμένα. καὶ κατὰ τοῦτό γε τῆς ἐμῆς γνώμης οὐ διήμαρτον, ἀπαλλαγέντων γὰρ αὐτῶν μεταπεμψάμενος δύο τοὺς πρώτους δασσίωνα καὶ ἰανναῖον τὸν τοῦ λευὶ, φίλους ἐν τοῖς μάλιστα τοῦ βασιλέως καθεστῶτας, τὰ ἐκ τῆς ἁρπαγῆς σκεύη λαβόντας διαπέμψασθαι πρὸς ἐκεῖνον ἐκέλευον, θάνατον ἀπειλήσας αὐτοῖς τὴν ζημίαν, εἰ πρὸς ἕτερον ταῦτα ἀπαγγείλωσιν. ἐπιχυθείσης δὲ φήμης τὴν γαλιλαίαν ἅπασαν ὡς τῆς χώρας αὐτῶν μελλούσης ὑπ' ἐμοῦ τοῖς ῥωμαίοις προδίδοσθαι, καὶ πάντων παροξυνθέντων ἐπὶ τὴν ἐμὴν τιμωρίαν, οἱ τὰς ταριχέας κατοικοῦντες καὶ αὐτοὶ τοὺς νεανίσκους ἀληθεύειν ὑπολαμβάνοντες, πείθουσι τοὺς σωματοφύλακας καὶ τοὺς ὁπλίτας, κοιμω-

κοιμώμενόν με καταλιπόντες παραγγέλλουσι πάντας εἰς ἱππόδρομον, ὡς ἐκεῖ βουλευσομένοις μετὰ πάντων κατὰ τοῦ στρατηγοῦ. πειθομένων δὲ τούτων καὶ συνελθόντων, πολὺς ὄχλος ἤδη προσσυνήθροιστο, μίαν τε πάντες ἐποιοῦντο φωνὴν, κολάζειν τὸν προδότην πονηρὸν περὶ αὐτοὺς γεγενημένον. μάλιστα δ᾽ αὐτοὺς ἐξέκαιεν ὁ τοῦ Σαπίθα παῖς Ἰησοῦς ἄρχων τότε τῆς Τιβεριάδος, πονηρὸς ἄνθρωπος καὶ ταράξαι μεγάλα πράγματα φύσιν ἔχων, στασιοποιός τε καὶ νεωτεριστὴς ὡς οὐχ ἕτερος. καὶ τότε δὴ λαβὼν εἰς χεῖρας τοὺς Μωϋσέως νόμους, καὶ προσελθὼν εἰν μέσον, εἰ μὴ ὑπὲρ αὐτῶν ἐφ᾽ ὑμῶν πολῖται μισεῖν δύνασθε Ἰώσηπον, εἰς τοὺς πατρίους ἀποβλέψαντες νόμους, ὧν ὁ πρῶτος ὑμῶν στρατηγὸς προδότης ἔμελλε γίνεσθαι, καὶ μισοπονηρήσαντες ὑπὲρ τούτων, τιμωρήσασθε τὸν τοιαῦτα τολμήσαντα. ταῦτ᾽ εἰπὼν καὶ τοῦ πλήθους ἐπιβοήσαντος, ἀναλαβὼν τινας ὁπλίτας, ἐπὶ τὴν οἰκίαν ἐν ᾗ κατηγόμην ἔσπευδεν ὡς ἀναιρήσων. ἐγὼ δ᾽ οὐδὲν προαισθόμενος διὰ κόπον πρὸ τῆς ταραχῆς κατεσχήμην. Σίμων δ᾽ ὁ τοῦ σώματός μου τὴν φυλακὴν πεπιστευμένος, ὁ καὶ μόνος παραμείνας, ἰδὼν τὴν ἐπιδρομὴν τῶν πολιτῶν, διεγείρει με καὶ τὸν ἐφεστῶτα μοι κίνδυνον ἐξαγγέλλει, ἠξίου τε γενναίως θνήσκειν ὡς στρατηγὸν ὑπ᾽ αὐτοῦ, πρὶν ἐλθεῖν τοὺς ἐχθροὺς ἀναγκάσοντας ἢ κτενοῦντας. ὁ μὲν ταῦτα ἔλεγεν, ἐγὼ δὲ τῷ θεῷ τὰ κατ᾽ ἐμαυτὸν ἐπιτρέψας εἰς τὸ πλῆθος ὡρμήθην προελθεῖν· μετενδὺς οὖν μελαίνας ἐσθῆτα, καὶ τὸ ξίφος ἀπαρτησάμενος ἐκ τοῦ αὐχένος, καθ᾽ ἑτέραν ὁδὸν ἔτρεπον, ᾗ μηδένα μοι τῶν πολεμίων ὑπαντιάσειν ᾤμην, εἰς τὸν ἱππόδρομον ἄφνω τε φανεὶς, καὶ πρηνὴς πεσὼν καὶ τὴν γῆν δάκρυσι φύρων, ἐλεεινὸς ἔδοξα πᾶσιν. συνεὶς δὲ τοῦ πλήθους τὴν μεταβολὴν, διιστάναι τὰς γνώμας αὐτῶν ἐπειρώμην πρὶν τοὺς ὁπλίτας ἀπὸ τῆς οἰκίας ὑποστρέψαι. καὶ συνεχώρουν μὲν ἀδικεῖν ὡς αὐτοὶ νομίζουσιν, ἐδεόμην δὲ διδάξαι πρότερον εἰς τίνα χρείαν ἐφύλαττον τὰ ἐκ τῆς ἁρπαγῆς κομισθέντα χρήματα, καὶ τότε θνήσκειν εἰ κελεύοιεν. τοῦ δὲ πλήθους λέγειν κελεύοντος, ἐπῆλθον οἱ ὁπλῖται, καὶ θεασάμενοί με, προσέτρεχον ὡς κτενοῦντες. ἐπισχεῖν δὲ τοῦ πλήθους κελεύοντος ἐπείσθησαν, προσδοκῶντες ἐπειδὰν ὁμολογήσω πρὸς αὐτοὺς τὰ χρήματα τῷ βασιλεῖ τετηρηκέναι, ὡς ὡμολογηκότα τὴν προδοσίαν ἀναιρήσειν. σιγῆς οὖν παρὰ πάντων γενομένης, ἄνδρες εἶπον ὁμόφυλοι, θανεῖν μὲν εἰ δίκαιόν ἐστιν οὐ παραιτοῦμαι· βούλομαι δ᾽ ὅμως πρὸ τοῦ τελευτῆσαι τὴν ἀλήθειαν φράσαι πρὸς ὑμᾶς. τὴν γὰρ πόλιν ταύτην φιλοξενοτάτην οὖσαν ἐπιστάμενος πληθύουσάν τε τοσούτων ἀνδρῶν οἳ τὰς ἑαυτῶν πατρίδας καταλιπόντες ἀφίκοντο κοινωνοὶ τῆς ὑμετέρας γενόμενοι τύχης, ἐβουλήθην τείχη κατασκευάσαι ἐκ τῶν χρημάτων τούτων, περὶ ὧν ἡ παρ᾽ ὑμῶν ἐστὶν ὀργὴ δαπανωμένων εἰς τὴν οἰκοδομίαν αὐτῶν. πρὸς ταῦτα παρὰ μὲν τῶν Ταριχεατῶν καὶ ξένων ἐγείρεται φωνὴ, χάριν ἔχειν ὁμολογούντων καὶ θαρρεῖν προτρεπομένων. Γαλιλαῖοι δὲ καὶ Τιβεριεῖς τοῖς θυμοῖς ἐπέμενον. καὶ γίνεται στάσις πρὸς ἀλλήλους, τῶν μὲν κόλασιν ἀπειλούντων, τῶν δὲ καταφρονεῖν. ἐπεὶ δὲ ἐπηγγειλάμην καὶ Τιβεριάδι κατασκευάσειν τείχη, καὶ ταῖς ἄλλαις πόλεσιν αὐτῶν ταῖς ἀναγκαίαις, πιστεύσαντες ὑπεχώρουν ἕκαστος εἰς τὴν ἑαυτοῦ. κἀγὼ παρὰ πᾶσαν ἐλπίδα διαφυγὼν τὸν προειρημένον

A vt me dormientem deferentes in circum venirent, cum cæteris ibi de abrogando mihi imperio consultaturi. qui persuasi multos ibi iam antè congregatos inueniunt, vnanimiter vociferantes vindicandum esse in proditorem reipublicæ. Sed præcipuè instigabantur à Iesu Saphiæ filio, qui tum summum magistratum gerebat, vir malus & natus mouendis tumultibus, seditiosúsque vt qui maximè. Is tum præ se ferens Moysis tabulas in medium pro- B gressus, Si vestri, inquit, nulla cura tangimini, at sacratas has leges nolite contemnere, quas publico odio prosequendus Iosephus iste vester dux sustinuit prodere, quantumuis atroci pœna dignissimus. Hæc effatus & exceptus acclamatione populi, assumptis armatis ad ædes vbi diuersabar properat cum certo interficiendi me proposito, me nihil tumultus sentiente & quiescente interim præ lassitudine: cùm subitò Simon vnus satelli- C tum, qui tum solus mecum permanserat, viso incursu ciuium me excitat: indicatóque instante periculo simul hortatur, vt potiùs generosi ducis more vitam abrumpam, quàm inimicorum arbitrio moriar. Hæc illo monente, ego salute mea Deo commissa mutatáque veste in cœtum atratus prodij, & suspensum à ceruice gestans gladium, per viam illam qua neminem aduersariorum occursurum sciebam in circum veniens visendum me præbui, in faciem pro- D stratus & terram rigans lacrymis, ita vt omnes mouerem ad misericordiam. cúmque sensissem mutatos affectus populi, conatus sum eorum sententias scindere, priusquam armati reuerterentur à meis ædibus: fassúsque me non alienum ab obiecto crimine, postulabam vt primùm discerent in quem vsum seruarem relatam ad me prædam, ac tum demum si liberet me interficerent. Multitudine verò iubente me dicere, armati reuersi & me cóspicati E irruunt occidendi animo. Sed cohibiti plebis vocibus, represserunt suum impetum, rati post confessionem proditionis & seruatæ regi pecuniæ, habituros se meliorem occasionem patrandi facinoris. Itaque facto silentio, Viri fratres, inquam, si vobis videor mortem commeritus, nec ipse mori recuso: volo tamen ante exitium veritatem apud vos proloqui. Equidem cùm animaduertissem ciuitatem hanc commodissimam hospitibus, multósque reli- F ctis propriis patriis delectari vestra consuetudine cuiusuis fortunæ futuros socios, decreueram mœnia vobis condere ex istis pecuniis, propter quas ad hoc destinatas exorta est tanta vestra indignatio. ad hæc verba Tarichenses & hospites conclamant, gratias mihi agentes & iubentes me bono esse animo. Galilæi verò atque Tiberienses perstabant in iracundia. factúmque est inter ipsos dissidium, his minantibus pœnam, illis contrà securum me G esse iubentibus. postquam autem & Tiberiensibus promisi me ædificaturum mœnia & aliis opportunis ciuitatibus, fidé habentes pollicitis dilabebantur ad suum quisque domicilium: & ego præter omnem spem elapsus

è tanto periculo, cum amicis & viginti armatis domum reuersus sum. Sed denuò latrones & seditionis autores, timentes sibi ne peccati pœnam luerent, cum sexcentis armatis concurrunt ad meum diuersorium, incendendi illud animo: quorum aduentu nunciato ratus turpe fugere, decreui vti contra eos audacia. clausis igitur meo iussu ædium foribus, ipse è cœnaculo postulabam vt ad me aliquot mitterent, accepturos ob quam tumultuabantur pecuniam, nequid habeant quòd stomachentur ampliùs. quo facto turbulentissimum ex his qui intrò recepti sunt, verberibus cæsum & alteram manum abscissam suspensámque à collo gerentem, rursum eieci, rediturum ad eos qui se miserant. at illi mirum in modum sunt territi, timentésque similem pœnam si ibi morarentur diutiùs, quippe qui putabant me plures domi habere armatos, subitò omnes diffugiunt: sícque hoc stratagemate alteras euasi insidias. Nec tamen defuerunt qui rursum concitarent vulgum, negantes magnates illos regios qui ad me confugerant oportere viuere, nisi transirent ad eorum ritus à quibus salutem peterent: criminabantúrque eos vt Romanorum studiosos & veneficos: móxque tumultuabatur multitudo decepta à loquentibus ad gratiam. Quo comperto ego contrà docui populum, non esse exagitandos qui ad ipsos confugerint: cauillatus in vanitatem obiecti veneficij, frustra Romanos tot legiones alere, si veneficorum opera possint victoriam consequi. His verbis paulisper placati, vbi digressi sunt rursum in magnates illos irritabantur à quibusdam perditis, vt etiam armati ad eorum ædes quas Tarichææ habitabant concurrerent, interfecturi homines. Quod vt audiui, valde timui ne hoc scelere patrato nemo posthac ad nos confugeret. quamobrem assumptis quibusdam aliis properè veni ad eorum diuersorium: quo clauso, & perducta inde fossa ad lacum, accitum nauigium cum eis inscendens, traieci in Hippenorum confinia: & reddito eis equorum precio, quos in tali fuga abducere non poterant, dimisi multum rogatos vt præsentem necessitatem forti ferrent animo: nam & ipse permolestè ferebam, cogi me rursum in hostilem terram exponere viros, qui semel se meæ fidei commiserant: satius tamen ducens Romanorum manu eos, si ita contingat, cadere, quàm in mea ditione per scelus opprimi. Illi tamen seruati sunt, rege concedente errati veniam. Et horum quidem hic fuit exitus. Tiberienses porrò per literas regem rogauerunt, vt in eorum agrum præsidium mitteret, defectionem pollicentes. Quo facto quamprimum ad eos veni, postulabant vt mœnia sibi promissa extruerem. Audiuerant enim Taricheas iam cinctas mœnibus. ego verò annui, & congesta vndique materia iussi architectos opus id aggredi. Post triduum verò me à Tiberiade digresso Taricheas triginta stadiis inde dissitas,

κίνδυνον, μετὰ τῶν φίλων καὶ ὁπλιτῶν εἴκοσιν εἰς τὴν οἰκίαν ὑπέστρεψα. πάλιν δ' οἱ λῃσταὶ καὶ τῆς στάσεως αἴτιοι, δείσαντες περὶ ἑαυτῶν μὴ δίκας εἰσπραχθῶσιν ὑπ' ἐμοῦ τῶν πεπραγμένων, ἀναλαβόντες ἑξακοσίους ὁπλίτας ἧκον ἐπὶ τὴν οἰκίαν ἔνθα διέτριβον, ἐμπρήσοντες αὐτήν. ἀπαγγελθείσης δέ μοι τῆς ἐφόδου φεύγειν μὲν ἀπρεπὲς ἡγησάμην, ἔκρινα δὲ παραβαλλόμενος χρήσασθαί τινι καὶ τόλμῃ. προστάξας οὖν ἀποκλεῖσαι τὰς τῆς οἰκίας θύρας, αὐτὸς ἐπὶ τὸ ὑπερῷον ἀναβάς, παρεκάλουν εἰσπέμψαι τινὰς ληψομένους τὰ χρήματα, παύσασθαι γὰρ οὕτως τῆς ὀργῆς αὐτοὺς ἔφην. εἰσπεμψάντων δὲ τὸν θρασύτατον αὐτῶν, μάστιξιν αἰκισάμενος, τὴν ἑτέραν τῶν χειρῶν ἀποκόψαι κελεύσας καὶ κρεμάσας ἐκ τοῦ τραχήλου, τοιοῦτον ἐξέβαλον πρὸς τοὺς ἀποστείλαντας. τοὺς δ' ἔλαβεν ἔκπληξις καὶ φόβος οὐ μέτριος. δείσαντες οὖν καὶ αὐτοὶ ταὐτὰ πείσεσθαι εἰ μένοιεν, εἴκαζον γὰρ ἔνδον ἔχειν με πλείους αὐτῶν ὁπλίτας, εἰς φυγὴν ὥρμησαν. κἀγὼ τοιούτῳ στρατηγήματι χρησάμενος τὴν δευτέραν ἐπιβουλὴν διέφυγον. πάλιν δὲ τὸν ὄχλον τινὲς ἠρέθιζον τοὺς ἀφικομένους πρός με βασιλικοὺς μεγιστᾶνας οὐκ ὀφείλειν ζῆν λέγοντες, μὴ μεταβῆναι θέλοντας εἰς τὰ παρ' αὐτοῖς ἔθη, πρὸς οὓς σωθησόμενοι πάρεισι, διέβαλλόν τε φαρμακέας εἶναι λέγοντες καὶ κωλύοντας τοὺς ρωμαίους περιγενέσθαι. ταχὺ δὲ τὸ πλῆθος ἐπείθετο τῇ τῶν λεγομένων πρὸς χάριν αὐτοῖς πιθανότητι ἀπατώμενοι. πυθόμενος δὲ περὶ τούτων, ἐγὼ πάλιν τὸν δῆμον ἀνεδίδασκον, μὴ δεῖν διώκεσθαι τοὺς καταφυγόντας πρὸς αὐτούς. τὸν δὲ φλύαρον τὸν περὶ τῶν φαρμακέων αἰτίας διέσυρον, οὐκ ἂν τοσαύτας μυριάδας στρατιωτῶν ρωμαίους λέγων τρέφειν, εἰ διὰ φαρμακέων ἦν νικᾶν τοὺς πολεμίους. ταῦτα λέγοντος ἐμοῦ, πρὸς ὀλίγον μὲν ἐπείθοντο. πάλιν δ' ἀναχωρήσαντες ὑπὸ τῶν πονηρῶν ἐξηρεθίζοντο κατὰ τῶν μεγιστάνων, καί ποτε μεθ' ὅπλων ἐπὶ τὴν οἰκίαν αὐτῶν τὴν ἐν Ταριχέᾳ ἐπῆλθον ὡς ἀναιρήσοντες. ἔδεισα δ' ἐγὼ πυθόμενος μὴ τοῦ μύσους τέλος λαβόντος ἀνεπίβατος γένηται τοῖς καταφυγεῖν εἰς αὐτὴν θέλουσιν. παραγενόμενος οὖν εἰς τὴν τῶν μεγιστάνων οἰκίαν μετά τινων ἑτέρων, καὶ κλείσας διώρυγά τε ποιήσας ἐπ' αὐτῆς ἐπὶ τὴν λίμνην ἄγουσαν, μεταπεμψάμενός τε πλοῖον, καὶ σὺν αὐτοῖς ἐμβὰς ἐπὶ τὴν μεθόριον τῶν Ἱππηνῶν διεπέρασα. καὶ δοὺς αὐτοῖς τὴν τιμὴν τῶν ἵππων, οὐ γὰρ ἠδυνήθην αὐτοὺς ἐπαγαγέσθαι τοιαύτης γενομένης τῆς ἀποδράσεως, ἀπέλυσα, πολλὰ παρακαλέσας τὴν προσπεσοῦσαν ἀνάγκην γενναίως ἐνεγκεῖν. αὐτός τε μεγάλως ἠχθόμην βιασθεὶς τοὺς προσφυγόντας ἐκθεῖναι πάλιν εἰς τὴν πολεμίαν· ἄμεινον δ' εἶναι νομίσας παρὰ ρωμαίοις ἀποθανεῖν αὐτούς, εἰ συμπέσοι, μᾶλλον ἢ κατὰ τὴν ἐμὴν χώραν. οἱ δ' ἄρα διεσώθησαν, συνεχώρησε γὰρ αὐτοῖς βασιλεὺς Ἀγρίππας τὰ ἡμαρτημένα. καὶ τὰ μὲν περὶ ἐκείνους τοῦτ' ἔσχε τὸ τέλος. οἱ δὲ τὴν τῶν Τιβεριέων πόλιν κατοικοῦντες, γράφουσι πρὸς τὸν βασιλέα, παρακαλοῦντες πέμψαι δύναμιν τὴν φυλάξουσαν αὐτῶν τὴν χώραν, θέλειν γὰρ αὐτῷ προστίθεσθαι. κἀκείνῳ μὲν ταῦτ' ἔγραφον· ἀφικόμενον δέ με πρὸς αὐτούς, παρεκάλουν τὰ τείχη κατασκευάζειν αὐτοῖς ὡς ὑπεσχόμην, ἠκηκόησαν δὲ τὰς Ταριχέας ἤδη τετειχίσθαι. κατανεύσας οὖν ἐγώ, καὶ πάντα τὰ πρὸς τὴν οἰκοδομίαν παρασκευασάμενος, τοὺς ἀρχιτέκτονας ἐκέλευον ἐνεργεῖν. μετὰ δὲ τρίτην ἡμέραν, εἰς Ταριχέας ἀπερχομένου μου τῆς Τιβεριάδος, ἀπεχούσας στάδια τριάκοντα,

συνέβη τινὰς ῥωμαίων ἱππεῖς οὐ πόρρωθεν τῆς πόλεως ὁδοιποροῦντας ὀφθῆναι, οἳ δόξαν παρέσχον τὴν παρὰ τοῦ βασιλέως δύναμιν ἥκειν. εὐθέως γοῦν, εἰς μὲν τὸν βασιλέα μετὰ πολλῶν ἐπαίνων ἠφίεσαν φωνάς, κατ' ἐμοῦ δὲ, βλασφημίας. καὶ ἐπιδραμών τις ἀπήγγελλέ μοι τὴν διάνοιαν αὐτῶν, ὡς ἀφίστασθαί μου διεγνώκασιν. ἐγὼ δ' ἀκούσας, ἐταράχθην μὲν σφόδρα· τοὺς γὰρ ὁπλίτας ἔτυχον ἐκ τῶν ταριχέων ἐπὶ τὰς αὐτῶν οἰκήσεις ἀφικὼς διὰ τὸ τὴν ἐπιοῦσαν ἡμέραν σάββατον ὑπάρχειν. οὐ γὰρ ἐβουλόμην ὑπὸ τοῦ στρατιωτικοῦ πλήθους ἐνοχλεῖσθαι τοὺς ἐν ταῖς ταριχέαις. ὁσάκις γοῦν ἐν αὐτῇ διέτριβον, οὐδὲ τῆς περὶ τὸ σῶμα φυλακῆς ἐποιούμην πρόνοιαν, πεῖραν παρὰ τῶν ἐνοικούντων τῆς πρός με πίστεως λαβὼν πολλάκις. μόνους δ' ἔχων περὶ ἐμαυτὸν ἑπτὰ τῶν ὁπλιτῶν, καὶ τοὺς φίλους, ἠπόρουν ὃ πράξω. μεταπέμπεσθαι γὰρ τὴν ἐμὴν δύναμιν διὰ τὸ λήγειν ἤδη τὴν ἐνεστῶσαν ἡμέραν οὐκ ἐδοκίμαζον· οὐδὲ γὰρ ἀφικομένης αὐτῆς εἰς τὴν ἐπιοῦσαν ὅπλα λαβεῖν, κωλυόντων ἡμᾶς τῶν νόμων, κἂν μεγάλη τις ἐπείγειν ἀνάγκη δοκῇ. εἰ δὲ τοῖς ταριχεώταις καὶ τοῖς παρ' αὐτοῖς ξένοις, ἐπιτρέψαιμι τὴν πόλιν διαρπάζειν, ἑώρων οὐχ ἱκανοὺς ἐσομένους. τὴν δὲ ἐμὴν ὑπέρθεσιν ἑώρων μακροτάτην· φθήσεσθαι γὰρ καὶ τὴν παρὰ βασιλέως δύναμιν ἀφικνουμένην, καὶ ἐκπεσεῖσθαι τῆς πόλεως ᾤμην. ἐβουλευόμην οὖν στρατηγήματι χρήσασθαί τινι κατ' αὐτῶν. παραχρῆμα δὴ τοὺς πιστοτάτους τῶν φίλων ταῖς πύλαις τῶν ταριχέων ἐπιστήσας φυλάξοντας μετ' ἀσφαλείας τοὺς ἐξιέναι θέλοντας, καὶ τοὺς πρώτους τῶν οἴκων προσκαλεσάμενος, αὐτῶν ἕκαστον ἐκέλευσα καθελκύσαντα πλοῖον, ἐμβαίνειν συνεπαγόμενον τὸν κυβερνήτην, ἕπεσθαί μοι πρὸς τὴν τιβεριέων πόλιν. καὶ αὐτὸς δὲ μετὰ τῶν φίλων καὶ τῶν ὁπλιτῶν, οὓς ἔφην ἑπτὰ τὸν ἀριθμὸν εἶναι, ἐμβὰς ἔπλεον ἐπὶ τὴν τιβεριάδα. τιβεριεῖς δὲ τὴν παρὰ τοῦ βασιλέως δύναμιν ὡς ἔγνωσαν οὐχ ἥκουσαν αὐτοῖς, πλοίων δὲ τὴν λίμνην πᾶσαν ἐθεάσαντο πλήρη, δείσαντες περὶ τῇ πόλει καὶ καταπλαγέντες, ὡς ἐπιβατῶν πλήρεις εἶναι νέας, μετατίθενται τὰς γνώμας. ῥίψαντες οὖν τὰ ὅπλα, μετὰ γυναικῶν καὶ παίδων ὑπηντίαζον, πολλὰς μετ' ἐπαίνων φωνὰς εἰς ἐμὲ ἀφιέντες, εἴκαζον γὰρ οὐ προπεπύσθαι με τὴν διάνοιαν αὐτῶν, καὶ παρεκάλουν φείσασθαι τῆς πόλεως. ἐγὼ δὲ πλησίον γενόμενος, ἀγκύρας μὲν ἔτι πόρρω τῆς γῆς ἐκέλευον βαλέσθαι τοὺς κυβερνήτας, ὑπὲρ τοῦ μὴ κατάδηλα τοῖς τιβεριεῦσιν εἶναι τὰ πλοῖα κενὰ τῶν ἐπιβατῶν ὄντα. πλησιάσας δ' αὐτὸς ἔν τινι πλοίῳ κατεμεμφόμην αὐτῶν τὴν ἄγνοιαν, καὶ ὅτι δὴ οὕτως εὐχερεῖς εἶεν πάσης δικαίας ἄνευ προφάσεως, ἐξίστασθαι τῆς πρός με πίστεως· ὡμολόγουν δ' εἰς τὸ λοιπὸν αὐτοῖς συγγνώσεσθαι βεβαίως, εἰ πέμψειαν δέκα τοῦ πλήθους προεστῶτας. ὑπακουσάντων δ' ἑτοίμως καὶ πεμψάντων ἄνδρας οὓς προεῖπον, ἐμβιβάσας ἀπέλυον εἰς ταριχέας φυλαχθησομένους. τῷ στρατηγήματι δὲ τούτῳ τὴν βουλὴν πᾶσαν κατ' ὀλίγους λαβών, εἰς τὴν προειρημένην πόλιν καὶ μετ' αὐτῶν τοὺς πολλοὺς τοῦ δήμου πρώτους ἄνδρας οὐκ ἐλάττους ἐκείνων ὄντας διεπεμψάμην. τὸ δὲ πλῆθος ὡς εἶδον εἰς οἷον κακῶν ἥκουσι μέγεθος, παρεκάλουν με τὸν αἴτιον τῆς στάσεως τιμωρήσασθαι. κλεῖτος δ' ἦν ὄνομα τούτῳ, θρασύς τε καὶ προπετὴς νεανίας. ἐγὼ δ' ἀποκτεῖναι μὲν οὐχ ὅσιον ἡγούμενος ὁμόφυλον ἄνδρα, κολάσαι δ' ἀνάγκην ἔχων, τῶν περὶ ἐμὲ τινὶ σωματοφυλάκων λευεῖ προσέταξα προσελθόντι κόψαι τοῦ κλείτου τὴν ἑτέραν τῶν χειρῶν. δείσαντος δὲ τοῦ κελευσθέντος εἰς τοσοῦτο πλῆθος προελθεῖν μόνου, τὴν δειλίαν τοῦ στρατιώτου

A forte fortuna conspectus est Romanorum equitatus non longè à Tiberiade iter faciens, quos oppidani rati esse regios, mox in regem honorificas voces, in me contumeliosas iactare ausi sunt: móxque cursim quidam veniens renunciat illorum motum ad defectionem spectantium: id quod me valde perterruit, quòd instante tum sabbato armatos à Taricheis domum dimiseram, quo quietius Taricheatæ sine militari turba feriarentur: & alioquin B quoties eo loco degerem ne satellitio quidem vtebar, fretus probata sæpe incolarum beneuolentia. itaque cùm septem tantùm milites & aliquot amicos circa me haberem, anceps eram consilij. nam reuocare copias sub vesperam non placebat, quibus postera die neque necessaria arma tractare permittebatur nostris legibus. Quòd si Taricheatas eorúmque hospites prædæ spe inuitatos illò ducerem, videbam in eis non esse satis virium. C & res dilationem non patiebatur, quòd timerem ne à rege missi occupata vrbe me excluderent. quapropter decreui vti strategemate. Euestigio amicorum fidissimos Taricheatarum portis apposui, neminem permissuros egredi: conuocatísque familiarum primatibus, singulos iussi nauem in lacum deducere, eáque cum gubernatore inscensa me sequi. Tum & ipse cum amicis & septem illis militibus conscenso nauigio petebam Tiberia- D da. At Tiberienses, vt cognouerunt nullas à rege venire copias, lacum verò totum refertum nauibus, attoniti & ciuitati suæ timentes ac si naues militem veherent, mutauerunt priorem sententiam. itaque positis armis obuiam mihi cum vxoribus & liberis prodeunt, excipientes me faustis acclamationibus. quòd putarent me nō sensisse ipsorū propositum, rogantésque vt propitius in eorum vrbem aduen- E iam. Ego autem propius accedens iussi gubernatores longè à terra ancoras iacere, ne appareret oppidanis nauigia esse inania: ipse naui vna aduectus proximè, cum eis expostulabam, quòd tam stultè ad violandam fidem mihi datam essent faciles: deinde pollicebar certam veniam, si decem primates ad me mitterent: quo sine mora facto, in nauem impositos misi Taricheas in custodiam. Atque hac arte alios post alios accipiendo paulatim vniuersum senatum & parem ex primoribus po- F puli numerum illò transuexi. Tum reliqua multitudo, vt vidit in quanto esset periculo, rogabat, vt tumultus autorem supplicio traderem. Is Clitus dicebatur, audax & temerarius iuuenis. Ego, qui nefas ducebam virum tribulem interficere, & tamen necesse habebam pœnam de eo sumere, Leuiam vnum è satellitibus iussi, vt accedens ei manum alteram præcideret: qui cùm non auderet solus in tan- G tam multitudinem progredi, ne timiditas eius

sentiretur à Tiberiensibus vocato Clito, quoniam inquam meritus es ambas manus amittere homo in me tam ingratus & perfidus, esto nunc tibi ipse carnifex, ne tibi cunctanti grauiùs inferatur supplicium. Cúmque multis precibus alteram manum sibi donari peteret, ægrè annui. móxque libenter, ne ambabus mulctaretur, arrepto cultro sinistram sibi præcidit. Atque hoc modo is tumultus est compositus. Me deinde reuerso Taricheas, Tiberienses, vt cognouerunt stratagema quo vsus sum, mirabantur quòd absque cæde sedauissem ipsorum vesaniam. Ego autem accitis è custodia Tiberiensibus, & in his Iusto patréque eius Pisto, adhibui eos conuiuio: & inter epulandum dixi me non ignorare Romanos potentia mortales omnes præcellere, dissimulare tamen propter latronum multitudinem: suadebámque vt & ipsi idem facerent expectantes meliora tempora, neque interim grauatim ferrent meum imperiū, quādoquidem non daretur alius dux commodior. Iustum etiam admonebam, quòd antequam ego Hierosolymis venissem, Galilæi fratri eius manus amputauerint, obiectis fictitiis literis & falsi crimine: quódque post Philippi discessum Gamalitę à Babyloniis dissidentes Charetem occiderint ipsius Philipi consanguineum: & quòd Iesum eius fratrem, ipsius Iusti sororium, æqua & modica pœna affecerint. His allocutus eos in conuiuio, iussi mane Iustum cum suis abire liberos. Paulo autem antè Philippus Iacimi filius à Gamala talem ob causam abierat. Quamprimum didicit Varum à rege Agrippa defecisse, successorémque ei missum Modium Equum virum sibi amicum, de suo statu significauit ei per literas: quibus ille receptis perlibenter cognouit Philippum esse incolumem: eásque literas ad regem ac reginam misit tum agentes apud Berytum. Tum rex, vt intellexit falsum fuisse rumorem quòd Philippus ducem se Iudæis contra Romanos præbuerit, misit equites, qui eum ad se deducerent: venientémque complexus comiter, ostentabat hominem Romanis ducibus, hunc esse dicens quem fama defecisse à Romanis vulgauerat: móxque iubet eum assumpta manu equitum properare in Castellum Gamala, & abductis inde domesticis Babylonios in Batanæam restituere: daréque operam modis omnibus nequid noui moliantur subditi. His mandatis à rege acceptis Philippus ad exequendum ea properat. Iosephus autem quidam medicaster ascitis iuuenum audacissimis, & concitatis Gamalensium primatibus, suasit populo, vt à rege deficerent, armísque arreptis vindicarent se in libertatem pristinam: atque ita alios pertraxerunt in suam sententiam, cæsis qui auderent contrà hiscere. In his periit & Chares Iesúsque huius consanguineus, & soror Iusti Tiberiēsis,

μὴ βουληθεὶς καταδήλων γενέσθαι τοῖς τιβεριεῦσιν, αὐτὸν κλῖτον φωνήσας, ἐπειδὴ καὶ ἄξιος εἶπον ὑπάρχεις ἀμφοτέρας τὰς χεῖρας ἀποβαλεῖν, οὕτως ἀχάριστος εἰς ἐμὲ γενόμενος, γενοῦ σαυτοῦ δήμιος, μὴ καὶ ἀπειθήσας χείρονα τιμωρίαν ὑπόσχῃς. τοῦ δὲ τὴν ἑτέραν αὐτῷ συγχωρῆσαι πολλὰ δεομένου, μόλις κατένευσα. κἀκεῖνος ἄσμενος ὑπὲρ τοῦ μὴ τὰς δύο χεῖρας ἀποβαλεῖν, λαβὼν μάχαιραν κόπτει τὴν ἀριστερὰν ἑαυτοῦ. καὶ τοῦτο τὴν στάσιν ἔπαυσεν. τιβεριεῖς δὲ ὡς εἰς ταριχέας ἀφικόμην, γνόντες τὴν στρατηγίαν ᾗ κατ' αὐτῶν ἐχρησάμην, ἀπεθαύμαζον, ὅτι χωρὶς φόνων ἔπαυσα τὴν ἀγνωμοσύνην αὐτῶν. ἐγὼ δὲ τοὺς ἐκ τῆς εἱρκτῆς μεταπεμψάμενος τοῦ πλήθους τῶν τιβεριέων, ἦν δὲ σὺν αὐτοῖς ἰοῦστος, καὶ ὁ πατὴρ αὐτοῦ πιστός, συνδείπνους ἐποιησάμην. καὶ παρὰ τὴν ἑστίασιν ἔλεγον, ὅτι τὴν ῥωμαίων δύναμιν οὐδ' αὐτὸς ἀγνοῶ πασῶν διαφέρουσαν, σιγῴην μέντοι διὰ τοὺς λῃστὰς περὶ αὐτῆς. καὶ αὐτοῖς δὲ ταῦτα συνεβούλευον ποιεῖν, τὸν ἐπιτήδειον περιμένουσι καιρόν, καὶ μὴ δυσαναχετεῖν ἐμοὶ στρατηγῷ. μηδενὸς γὰρ αὐτοὺς ἑτέρου δυνήσεσθαι ῥᾳδίως ἐπιεικοῦς ὁμοίως τυχεῖν. τὸν ἰοῦστον δὲ καὶ ὑπεμίμνησκον, ὅτι πρόσθεν ἢ με παραγενέσθαι ἐκ τῶν ἱεροσολύμων οἱ γαλιλαῖοι τἀδελφοῦ τὰς χεῖρας ἀποκόψειεν αὐτοῦ, πρὸ τοῦ πολέμου πλαστῶν αὐτῷ γραμμάτων κακουργίαν ἐπικαλέσαντες. καὶ ὅτι μετὰ τὴν ἀναχώρησιν τὴν φιλίππου γαμαλῖται πρὸς βαβυλωνίους στασιάζοντες ἀνέλοιεν χάρητα, συγγενὴς δ' ἦν οὗτος τοῦ φιλίππου, καὶ ὡς ἰησοῦν τὸν ἀδελφὸν αὐτοῦ ἄνδρα τῆς ἀδελφῆς ἰούστου σωφρόνως κολάσειεν. ταῦτα παρὰ τὴν ἑστίασιν διαλεχθείς, τοὺς περὶ τὸν ἰοῦστον ἕωθεν ἐκέλευσα πάντας τῆς φυλακῆς ἀπολυθῆναι. πρὸ δὲ τούτων συνέβη τὸν ἰακίμου φίλιππον ἀπελθεῖν ἐκ γαμαλὰ τοῦ φρουρίου τοιαύτης αἰτίας γενομένης. φίλιππος πυθόμενος μεταστῆναι μὲν οὔαρον ἀπὸ τοῦ βασιλέως ἀγρίππα, διάδοχον δὲ ἀφῖχθαι μόδιον ἔκουον ἄνδρα φίλον αὐτῷ καὶ συνήθη πάλαι, γράφει πρὸς τοῦτον τὰς καθ' ἑαυτὸν τύχας ἀπαγγέλλων, καὶ παρακαλῶν τὰ παρ' αὐτοῦ πεμφθέντα γράμματα πρὸς τοὺς βασιλέας ἀποστεῖλαι. καὶ μόδιος δεξάμενος τὰς ἐπιστολάς, ἐχάρη σφόδρα, σώζεσθαι τὸν φίλιππον ἐξ αὐτῶν ἐπιγνούς· καὶ πρὸς τοὺς βασιλέας ἔπεμψε τὰ γράμματα, περὶ βηρυτὸν ὄντας. ὁ δὲ βασιλεὺς ἀγρίππας ὡς ἔγνω ψευδῆ τὴν περὶ φιλίππου φήμην γενομένην, λόγος γὰρ διῆλθεν ὡς στρατηγοίη τῶν ἰουδαίων ἐπὶ τὸν πρὸς ῥωμαίους πόλεμον, ἔπεμψεν ἱππεῖς τοὺς παραπέμψαντας τὸν φίλιππον. καὶ παραγενόμενον ἀσπάζεταί τε φιλοφρόνως, τοῖς τε ῥωμαίων ἡγεμόσιν ἐπεδείκνυεν, ὅτι δὴ φίλιππος οὗτός ἐστιν, περὶ οὗ διεξήει λόγος ὡς ῥωμαίων ἀποστάντος. κελεύει δ' αὐτὸν ἱππεῖς τινας ἀναλαβόντα, θᾶττον εἰς γαμαλὰ τὸ φρούριον πορευθῆναι τοὺς οἰκείους αὐτῷ πάντας ἐκεῖθεν ἐξάξοντα, καὶ τοὺς βαβυλωνίους εἰς τὴν βαταναίαν πάλιν ἀποκαταστήσοντα. παρήγγελλε δὲ καὶ πᾶσαν ποιήσασθαι πρόνοιαν ὑπὲρ τοῦ μὴ γίνεσθαί τινα νεωτερισμὸν παρὰ τῶν ὑπηκόων. φίλιππος μὲν οὖν ταῦτα τοῦ βασιλέως ἐπιστείλαντος, ἔσπευδε ποιήσων ἃ προσέταξεν. ἰώσηπος δὲ ὁ τῆς ἰατρίνης πολλοὺς νεανίσκους θρασεῖς προξεψάμενος αὐτῷ, συναράς τε καὶ ἐπαναστὰς τοῖς ἐν γαμαλὰ πρώτοις, ἔπεισεν αὐτοὺς ἀφίστασθαι τοῦ βασιλέως, καὶ ἀναλαβεῖν τὰ ὅπλα, ὡς διὰ τούτων τὴν ἐλευθερίαν ἀποληψομένους, καί τινας μὲν ἐβιάσαντο, τοὺς δὲ μὴ συναρεσκομένους αὐτῶν ταῖς γνώμαις ἀνῄρουν, κτείνουσι δὲ καὶ χάρητα, καὶ μετ' αὐτοῦ τινα τῶν συγγενῶν ἰησοῦν, καὶ ἰούστου δὲ τοῦ τιβεριέως ἀδελφὴν ἀνεῖλον,

καθὼς

καθὼς ἤδη προεῖπον. γράφουσι δὲ καὶ πρός με, παρακαλοῦντες πέμψαι δύναμιν αὐτοῖς ὁπλιτῶν, καὶ τοὺς ἀναστήσοντας αὐτῶν τῇ πόλει τείχη. κἀγὼ πρὸς οὐδέτερον ἀντεῖπον ὧν ἠξίωσαν. ἀφίσταται δὲ τοῦ βασιλέως καὶ ἡ γαυλανῖτις χώρα μέχρι κώμης σολύμης, σελευκείᾳ δὲ καὶ σωγαννῇ φύσει κώμαις ὀχυρωτάταις ᾠκοδόμησα τείχη. τάς τε κατὰ τὴν ἄνω γαλιλαίαν κώμας καὶ πάνυ πετρώδεις οὔσας ἐτείχισα παραπλησίως. ὀνόματα δ᾽ αὐταῖς, ἰάμνια, ἀμήρυθα, χαραβή. ὠχύρωσα δὲ καὶ τὰς ἐν τῇ γαλιλαίᾳ, πόλεις μὲν ταριχέας, τιβεριάδα, σέπφωριν· κώμας δὲ ἀρβήλων σπήλαιον, βηρσοβέ, σελάμην, ἰωτάπατα, καφαραθ, κωμοσώγανα, νάπαφα, καὶ τὸ ἰταβύριον ὄρος. εἰς ταύτας καὶ σῖτον ἀπεθέμην πολὺν, καὶ ὅπλα πρὸς ἀσφάλειαν τὴν μετὰ ταῦτα. ἰωάννῃ δὲ τῷ τοῦ λευῒ, τὸ κατ᾽ ἐμοῦ μῖσος μᾶλλον προσηύξετο βαρέως φέροντι τὴν ἐμὴν εὐπραγίαν. προθέμενος οὖν πάντως ἐκποδὼν με ποιήσασθαι, τῇ μὲν αὐτοῦ πατρίδι τοῖς γισχάλοις κατασκευάζει τείχη, τὸν ἀδελφὸν δὲ σίμωνα καὶ τὸν τοῦ σισέννα ἰωνάθην καὶ ὁπλίτας περὶ ἑκατὸν εἰς ἱεροσόλυμα πέμπει πρὸς τὸν τοῦ γαμαλιήλου σίμωνα, παρακαλέσοντας αὐτὸν πεῖσαι τὸ κοινὸν τῶν ἱεροσολυμιτῶν τὴν ἀρχὴν ἀφελομένους ἐμὲ τῶν γαλιλαίων, αὐτῷ ψηφίσασθαι τὴν ἐξουσίαν τούτων. ὁ δὲ σίμων οὗτος ἦν πόλεως μὲν ἱεροσολύμων, γένους δὲ σφόδρα λαμπροῦ, τῆς δὲ φαρισαίων αἱρέσεως, οἳ περὶ τὰ πάτρια νόμιμα, δοκοῦσι τῶν ἄλλων ἀκριβείᾳ διαφέρειν. ἦν δ᾽ οὗτος ἀνὴρ πλήρης συνέσεώς τε καὶ λογισμοῦ, δυνάμενός τε πράγματα κακῶς κείμενα φρονήσει τῇ ἑαυτοῦ διορθώσασθαι, φίλος τε παλαιὸς τῷ ἰωάννῃ καὶ συνήθης, πρός με δὲ τότε διαφόρως εἶχεν. δεξάμενος οὖν τὴν παράκλησιν, ἔπειθεν τοὺς ἀρχιερεῖς ἄνανον καὶ ἰησοῦν τὸν τοῦ γαμαλᾶ, τινάς τε τῶν τῆς αὐτῶν στάσεως ἐκείνης, ἐκκόπτειν με φυόμενον καὶ μὴ περιιδεῖν ἐπὶ μήκιστον αὐξηθέντα δόξης, συνοίσειν αὐτοῖς λέγων εἰ τῆς γαλιλαίας ἀφαιρεθείην. μὴ μέλλειν δὲ παρεκάλει τοὺς περὶ τὸν ἄνανον, μὴ καὶ φθάσας γνῶναι μετὰ πολλῆς ἐπέλθω τῇ πόλει δυνάμεως. ὁ μὲν σίμων ταῦτα συνεβούλευεν. ὁ δὲ ἀρχιερεὺς ἄνανος οὐ ῥᾴδιον εἶναι τὸ ἔργον ἀπέφαινεν· πολλοὺς γὰρ τῶν ἀρχιερέων καὶ τοῦ πλήθους προεστῶτας μαρτυρεῖν, ὅτι καλῶς ἐγὼ στρατηγῶ, ποιεῖσθαι δὲ κατηγορίαν ἀνδρὸς καθ᾽ οὗ μηδὲν λέγειν δύναται, φαύλων ἔργον εἶναι. σίμων δ᾽ ὡς ἤκουσε ταῦτα παρὰ τοῦ ἀνάνου, σιωπᾶν μὲν ἐκείνους ἠξίωσεν, μηδ᾽ εἰς πολλοὺς ἐκφέρειν τοὺς λόγους αὐτῶν, προνοήσασθαι γὰρ αὐτὸς ἔφασκεν, ἵνα θᾶττον μετασταθείην ἐκ τῆς γαλιλαίας. προσκαλεσάμενος δὲ τὸν ἀδελφὸν τοῦ ἰωάννου, προσέταξεν πέμπειν δωρεὰς τοῖς περὶ τὸν ἄνανον, τάχα γὰρ οὕτως ἔφη πείσειν αὐτοὺς μεταθέσθαι τὰς γνώμας. καὶ τέλος ἔπραξεν ὁ σίμων ὃ προύθετο. ὁ γὰρ ἄνανος καὶ οἱ σὺν αὐτῷ τοῖς χρήμασι διαφθαρέντες συντίθενται τῆς γαλιλαίας ἐκβαλεῖν με, μηδενὸς ἄλλου τῶν κατὰ τὴν πόλιν τοῦτο γινώσκοντος, καὶ δὴ ἔδοξεν αὐτοῖς πέμπειν ἄνδρας κατὰ γένος μὲν διαφέροντας, τῇ παιδείᾳ δ᾽ ὁμοίους. ἦσαν δ᾽ αὐτῶν οἱ μὲν δημοτικοὶ δύο, ἰωνάθης καὶ ἀνανίας φαρισαῖοι τὴν αἵρεσιν. ὁ δὲ τρίτος ἰώζαρος ἱερατικοῦ γένους φαρισαῖος καὶ αὐτός, σίμων δ᾽ ἐξ ἀρχιερέων νεώτατος ἐκείνων. τούτους ἐκέλευσαν συνελθόντας εἰς τὸ πλῆθος τῶν γαλιλαίων, πυθέσθαι παρ᾽ αὐτῶν τὴν αἰτίαν, δι᾽ ἣν ἐμὲ φιλοῦσιν. εἰ δὲ φαῖεν ἐκ πόλεως εἶναι τῆς ἱεροσολύμων, καὶ αὐτοὺς ἐξ ἐκείνων λέγειν ὑπάρχειν τοὺς τέσσαρας. εἰ δὲ

sicut suprà diximus. Post hæc me rogarunt per literas, vt præsidium ad se mitterem, & simul, qui oppidum eorum cingant mœnibus: ego verò vtrunque annui. per eosdem dies Gaulanitis quoque regio ab Agrippa deficit vsque ad vicum Solymam. Soganni etiam & Seleuciæ locis natura munitis addidi mœnia. Superioris etiam Galilææ vicos quamuis prærupto situ muniui similiter, Iamniam, Amerytham, Charaben. In Galilæa verò permuniui oppida Taricheas, Tiberiada, Sephorim: vicos, Arbelorum speluncam, Bersobe, Selamen, Iotapata, Capharath, Comosogana, Næpapha, & montem Itabyrium. In ea loca & frumēti magnam vim condidi, & arma quibus se tuerentur, contuli. Interim Ioānes Leui filius indies maiori me prosequebatur odio, meos successus ferens grauiter. cúmque decreuisset omnino me de medio tollere, postquam Gischala patriam cinxit mœnibus, Simonem suum fratrem cum centum militibus mittit Hierosolyma ad Simonem Gamalielis filium, rogans, vt cum Hierosolymitana ciuitate ageret, vt mihi abrogato imperio, rebus Galilææ Ioannem ipsum suffragio communi præficerent. hic Simon Hierosolymitanus erat illustri cum primis genere, Pharisæus secta, quæ quidem videtur exactius tenere leges patrias: insigni vir prudentia, & qui labantes res posset consilio suo in integrum restituere: vtebatúrque iampridem Ioannis amicitia, mihi infensus tunc temporis. Motus igitur amici precibus suasit pontificibus Anano & Iesu Gamalæ filio, aliísque suæ factionis hominibus, vt me crescentem tollerent, nec paterentur ad summum gloriæ fastigium euadere. id enim fore ipsis quoque conducibile, si amouerer à præfectura Galilææ. Sed non esse cunctandum Anano & cæteris, ne hoc consilio prodito vrbem inuadam cum exercitu. Hæc consulenti Ananus pontifex retulit non esse id facile, cùm tam multi pontifices & primores populi testes sint mihi bene administratæ prouinciæ: nec æquū esse accusare eum cui nihil possis obiicere. Tum Simon iubet illos totam rem silentio tegere: sibi curæ futurum, vt quamprimum à Galilæa submouear: accitóque fratre Ioannis: mandauit ei, vt munera ad Anani amicos mitteret, ita enim fortè citius concessuros in suam sententiam. Sic tandem Simon effecit quod voluit. Ananus enim & socij corrupti largitionibus, consilia de abroganda mihi præfectura conferunt, è ciuibus nemine alio conscio. itaque placuit mittere viros præstantiores genere, eruditione pares. horum plebeij erant duo, Ionathas & Ananias Pharisæi: tertius verò Ioazarus sacerdotalis generis, Pharisæus hic quoque: Simon verò ex ordine pontificum, omnium natu minimus. hos iusserunt aduocata Galilæorum concione quærere cur ita me diligant: quòd si respondeatur quia Hierosolymita sim: dicere sibi quoque Hierosolyma esse patriam. Sin autem

peritiam legum in me probent, dicendum nec sibi ignotos esse ritus patrios. quòd si sacerdotij nomine me diligi dixerint, referendum ex ipsis quoque duos fungi sacerdotio. ita instructi collegæ Ionathæ argenteorũ quadraginta millia ex ærario accipiunt. Et quia per id tempus Iesus quidam Galilæus cum sexcentorum militum cohorte Hierosolyma venerat: accitum hunc numerato trium mensium stipendio conducunt, iussum sequi Ionatham & collegas, imperatáque eorum facere: eísque adiungunt trecentos ciues mercede autoratos similiter. His ita paratis legati proficiscuntur, comitante Ioannis fratre cum suis centum militibus, mandatum habentes ab his, qui se miserant, vt si sponte ab armis discederem, viuum me Hierosolyma mitterent: si repugnarem, freti mandato impune interficerent. Eisdem etiam literæ ad Ioannem datæ sunt, hortantes, vt sit paratus bellum contra me gerere. quin & Sephoritis, Gabaritis atque Tiberiensibus autores fuerunt, vt Ioanni contra me ferrent auxilia. Hæc cùm pater meus ex Iesu Gamalæ filio consiliorum omnium participe mihíque amico cognita ad me perscripsisset, malè me habuit ingratitudo ciuium per inuidiam occidere me volentium, nec minus ægrè ferebam vocari me soliciti parentis precibus, dicentis cupere se meum conspectum ante obitum. quapropter amicis aperui omnia, addens post triduum relicta præfectura abiturum me in patriam. quo audito mœsti omnes & flentes deprecabantur ne se deseram perituros si destituantur meo imperio. Cúmque apud me propriæ salutis quàm precum illorum potior haberetur ratio, veriti Galilei ne ob meum discessum contemnerentur à latronibus dimissis nũtiis per totam regionem suam indicant me velle discedere. quo audito multi vndiq; cõuenerunt cum vxoribus & liberis non tam mei desiderio, vt opinor, quàm metuentes sibimet. me enim præsente in tuto sibi esse videbantur. Venerunt igitur ad me populariter in Magnum campum, vbi tum agebam apud vicum Asochim: quo tempore mirabile somnium noctu mihi obseruatum est. cùm enim in cubili essem mœstus & turbatus ob recèns acceptas literas, visus est mihi vir quidam adstans dicere: Desine ô bone tristari & metuere. nam hæc tristia magnum te reddent ac fortunatum per omnia. succedent enim feliciter non hæc solùm, sed & multa alia. quare perdura memor quòd oporteat te & cum Romanis bellum gerere. Post hoc somnium surrexi volens in campum descendere. tum verò me conspecto multitudo Galilæorum mixta mulieribus & pueris prostrata in faciem cum lacrymis supplicabat ne se imminente hoste deseram, néve meo discessu regionem suam prodam inimicorum iniuriis. & cùm precibus nihil agerent, adiurabant me, vt maneam, iactantes multa

διὰ τὴν εὐπείθειαν τῶν νόμων, μηδ᾽ αὐτοὺς ἀγνοεῖν ἔθη τὰ πάτρια φάσκοιεν. εἰ δ᾽ αὖ διὰ τὴν ἱερωσύνην λέγοιεν ἀγαπᾶν με, καὶ αὐτῶν ὑποκεῖσθαι δύο ἱερεῖς ὑπάρχειν. ταῦθ᾽ ὑποθέμενοι οἱ περὶ τὸν ἰωνάθην τέσσαρας μυριάδας ἀργυρίου διδόασιν αὐτοῖς ἐκ τῶν δημοσίων χρημάτων. ἐπεὶ δέ τινα γαλιλαῖον ἤκουσαν ἰησοῦν ὄνομα περὶ αὐτὸν τάξιν ἑξακοσίων ὁπλιτῶν ἔχειν ἐπιδημοῦντα τοῖς ἱεροσολύμοις, μεταπεμψάμενοι τοῦτον καὶ τριῶν μηνῶν μισθὸν δόντες, ἐκέλευσαν ἕπεσθαι τοῖς περὶ τὸν ἰωνάθην πειθαρχοῦντας αὐτοῖς. καὶ τῶν πολιτῶν δὲ τριακοσίοις ἀνδράσι δόντες ἀργύριον εἰς τροφὴν τῶν ὅλων, προσέταξαν ἀκολουθεῖν τοῖς πρέσβεσι. πεισθέντων οὖν αὐτῶν, καὶ πρὸς τὴν ἔξοδον εὐτρεπισθέντων, ἐξίεσαν οἱ περὶ τὸν ἰωνάθην σὺν τούτοις, ἐπαγόμενοι καὶ τὸν ἀδελφὸν τοῦ ἰωάννου καὶ ὁπλίτας ἑκατὸν, λαβόντες ἐντολὰς παρὰ τῶν πεμψάντων, εἰ μὲν ἑκὼν καταθείμην τὰ ὅπλα, ζῶντα πέμπειν εἰς τὴν τῶν ἱεροσολυμιτῶν πόλιν, εἰ δ᾽ ἀντιτασσοίμην, ἀποκτεῖναι μηδὲν δεδιότας, αὐτῶν γὰρ εἶναι τὸ πρόσταγμα. ἐγεγράφησαν δὲ καὶ τῷ ἰωάννῃ πρὸς τὸν κατ᾽ ἐμοῦ πόλεμον ἑτοιμάζεσθαι, τοῖς τε σεπφωρεῖν καὶ γάβαρα κατοικοῦσι καὶ τιβεριεῦσι προσέταττον συμμαχίαν τῷ ἰωάννῃ πέμπειν. ταῦτα μοι τοῦ πατρὸς γράψαντος, ἐξεῖπε δὲ πρὸς αὐτὸν ἰησοῦς ὁ τοῦ γαμαλᾶ τῶν ἐν αὐτῇ τῇ βουλῇ γινομένων εἷς, φίλος ὢν καὶ συνήθης ἐμοὶ, σφόδρα περιήλγησα, τούς τε πολίτας οὕτω περὶ ἐμὲ γινομένους ἀχαρίστους ἐπιγνοὺς διὰ φθόνον ἀναιρεθῆναί με προστάξαι, καὶ τῷ τὸν πατέρα διὰ τῶν γραμμάτων πολλά με παρακαλεῖν ἀφικέσθαι πρὸς αὐτὸν, ποθεῖν γὰρ ἔφη θεάσασθαι τὸν υἱὸν πρὸ τοῦ τελευτῆσαι. ταῦτα δὴ πρὸς τοὺς φίλους εἶπον, καὶ ὅτι μετὰ τρίτην ἡμέραν καταλιπὼν τὴν χώραν αὐτῶν εἰς τὴν πατρίδα πορεύσοιμι. λύπη δ᾽ ἅπαντας τοὺς ἀκούσαντας κατεῖχε, παρεκάλουν τε κλαίοντες μὴ ἐγκαταλιπεῖν αὐτοὺς ἀπολουμένους, εἰ τῆς ἐμῆς στρατηγίας ἀποστερηθεῖεν. οὐ κατανεύοντος δέ μου ταῖς ἱκετείαις αὐτῶν, ἀλλὰ περὶ τῆς ἐμαυτοῦ φροντίζοντος σωτηρίας, δείσαντες οἱ γαλιλαῖοι μὴ ἀπελθόντος εὐκαταφρόνητοι τοῖς λῃσταῖς γένοιντο, πέμπουσιν εἰς τὴν γαλιλαίαν ἅπασαν τοὺς σημανοῦντας τὴν ἐμὴν γνώμην περὶ τῆς ἀπαλλαγῆς. πολλοὶ δὲ καὶ πανταχόθεν συνήχθησαν. ὡς ἤκουσαν, μετὰ γυναικῶν καὶ τέκνων, οὐ πόθῳ δοκεῖ μοι τῷ πρὸς ἐμὲ μᾶλλον, ἢ τῷ περὶ αὑτῶν δέει τοῦτο πράττοντες, ἐμοῦ γὰρ παραμένοντος πείσεσθαι κακὸν οὐδὲν ὑπελάμβανον. ἧκον οὖν πάντες εἰς τὸ μέγα πεδίον ἐν ᾧ διέτριβον, ἀσωχὶς ἐστὶν ὄνομα τούτῳ. θαυμάσιον οἷον ὄνειρον διὰ τῆς νυκτὸς ἐκείνης ἐθεασάμην. ἐπεὶ γὰρ εἰς κοίτην ἐτραπόμην διὰ τὰ γραφέντα λυπούμενος καὶ τεταραγμένος, ἔδοξά τινα λέγειν ἐπιστάντα μοι, παῦσαι τὴν ψυχὴν ὦ οὗτος, ἀλγῶν, παντὸς τ᾽ ἀπαλλάσσου φόβου. τὰ γὰρ λυποῦντά σε μέγιστον ποιήσει, καὶ ἐν πᾶσιν εὐτυχέστατον. κατορθώσεις δ᾽ οὐ μόνον ταῦτα, ἀλλὰ καὶ πολλὰ ἕτερα. μὴ κάμνε δὴ, μέμνησο δ᾽ ὅτι καὶ ῥωμαίοις δεῖ σε πολεμῆσαι. τοῦτον δὴ τὸν ὄνειρον θεασάμενος, διανίσταμαι καταβῆναι προθυμούμενος εἰς τὸ πεδίον. πρὸς δὲ τὴν ἐμὴν ὄψιν πᾶν τὸ πλῆθος τῶν γαλιλαίων, ἦσαν δ᾽ ἐν αὐτοῖς γυναῖκές τε καὶ παῖδες, ἐπὶ στόμα ῥίψαντες ἑαυτοὺς, καὶ δακρύοντες ἱκέτευον μὴ σφᾶς ἐγκαταλιπεῖν τοῖς πολεμίοις, μηδ᾽ ἀπελθεῖν ἐάσαντα τὴν χώραν αὐτῶν ἐνύβρισμα τοῖς ἐχθροῖς ἐσομένην. ὡς δὲ τῇ δεήσει οὐκ ἔπειθον, κατηνάγκαζον ὅρκοις μένειν παρ᾽ ἑαυτοῖς, ἐλοιδόρουν τό τε

τῷ

τοῦ δήμου πολλὰ τῶν ἱεροσολυμιτῶν, ὡς εἰρηνεύεσθαι τὴν χώραν αὐτῶν οὐκ ἐῶντι. ταῦτα δὴ καὶ ἐπακούων αὐτῶν καὶ βλέπων τοῦ πλήθους τὴν κατήφειαν, ἐκλάσθην πρὸς ἔλεον, ἄξιον εἶναι νομίζων ὑπὲρ τοσούτου πλήθους καὶ προδήλους κινδύνους ὑπομένειν. κατένευον δὲ μένειν, καὶ πεντακισχιλίους ἐξ αὐτῶν ὁπλίτας ἥκειν κελεύσας ἔχοντας ἑαυτοῖς τροφάς, ἐπὶ τὰς οἰκήσεις διαφῆκα τοὺς ἄλλους. ἐπεὶ δὲ οἱ πεντακισχίλιοι παρεγένοντο, τούτους ἀναλαβὼν καὶ τρισχιλίους τοὺς σὺν ἐμαυτῷ στρατιώτας, ἱππεῖς δ᾽ ὀγδοήκοντα, τὴν πορείαν εἰς χαβωλὼ κώμην πτολεμαΐδος μεθόριον οὖσαν ἐποιησάμην. κἀκεῖ τὰς δυνάμεις συνεῖχον ἑτοιμάζεσθαι σκηπτόμενος ἐπὶ τὸν πρὸς πλάκιδον πόλεμον. ἀφίκετο δ᾽ οὗτος μετὰ δύο σπειρῶν πεζοῦ στρατεύματος καὶ ἱππέων ἴλης μιᾶς ὑπὸ κεστίου γάλλου πεμφθείς, ἵν᾽ ἐμπρήσῃ τὰς κώμας τῶν γαλιλαίων, αἳ πλησίον ἦσαν πτολεμαΐδος. βαλλομένου δ᾽ ἐκείνου χάρακα πρὸ τῆς πτολεμαέων πόλεως, τίθεμαι κἀγὼ στρατόπεδον τῆς κώμης ὅσον ἑξήκοντα σταδίους ἀποσχών. πολλάκις μὲν οὖν τὰς δυνάμεις προηγάγομεν ὡς εἰς μάχην, πλέον δ᾽ οὐδὲν ἀκροβολισμῶν ἐπράξαμεν. ὁ γὰρ πλάκιδος ὅσον περ ἐγίνωσκε σπεύδοντά με πρὸς μάχην, αὐτὸς καταπληττόμενος ὑπεστέλλετο, τῆς μέντοι πτολεμαΐδος οὐκ ἐχωρίζετο. κατὰ τοῦτον δὲ τὸν καιρὸν ἀφικόμενος ἰωνάθης μετὰ τῶν συμπρέσβεων, οὓς ἔφαμεν ἐκ τῶν ἱεροσολύμων ὑπὸ τῶν περὶ σίμωνα καὶ ἄνανον τὸν ἀρχιερέα πεπέμφθαι, λαβεῖν με δι᾽ ἐνέδρας ἐπεβούλευεν, φανερῶς γὰρ ἐπιχειρεῖν οὐκ ἐτόλμα. γράφει δὲ πρός με τοιαύτην ἐπιστολήν. ἰωνάθης καὶ οἱ σὺν αὐτῷ πεμφθέντες ὑπὸ τῶν ἱεροσολυμιτῶν ἰωσήπῳ χαίρειν. ἡμεῖς ὑπὸ τῶν ἐν ἱεροσολύμοις πρώτων ἀκούσαντες τὸν ἀπὸ γισχάλων ἰωάννην ἐπιβεβουλευκέναι σοι πολλάκις, ἐπέμφθημεν ἐπιπλήξοντες αὐτῷ, καὶ παραινέσοντες εἰς τὸ λοιπὸν ὑπακούειν σοι. βουλεύσασθαι δὴ σὺν σοὶ θέλοντες περὶ τῶν κοινῇ πρακτέων παρακαλοῦμεν ἥκειν θᾶττον πρὸς ἡμᾶς μὴ μετὰ πολλῶν· οὐδὲ γὰρ ἡ κώμη δύναιτ᾽ ἂν στρατιωτῶν πλῆθος ἐπιδέξασθαι. ταῦτα δ᾽ ἔγραφον προσδοκῶντες δυοῖν θάτερον, ἢ ὅτι χωρὶς ὅπλων ἀφικόμενον πρὸς αὐτοὺς ἕξουσιν ὑποχείριον, ἢ πολλοὺς ἐπαγόμενον κρινοῦσι πολέμιον. ἧκεν δέ μοι τὴν ἐπιστολὴν ἱππεὺς κομίζων θρασὺς ἄλλως νεανίας τῶν παρὰ βασιλεῖ ποτὲ στρατευσαμένων. ἦν δ᾽ ὥρα νυκτὸς ἤδη δευτέρα, καθ᾽ ἣν ἐτύγχανον μετὰ τῶν φίλων καὶ τῆς γαλιλαίας πρώτων ἑστιώμενος. οὗτος δὴ προσαγγείλαντος οἰκέτου μοι ἥκειν τινὰ ἱππέα ἰουδαῖον εἰσκληθεὶς ἐμοῦ κελεύσαντος, ἠσπάσατο μὲν οὐδ᾽ ὅλως, τὴν δὲ ἐπιστολὴν προτείνας, ταύτην εἶπεν οἱ ἐξ ἱεροσολύμων ἥκοντες πεπόμφασί σοι. γράφε δὴ τάχιστα καὶ σύ, καὶ γὰρ ἐπείγομαι πρὸς αὐτοὺς ὑποστρέφειν. οἱ μὲν οὖν κατακείμενοι τὴν τοῦ στρατιώτου τόλμαν ἐθαύμασαν, ἐγὼ δὲ καθέζεσθαι παρεκάλουν, καὶ συνδειπνεῖν ἡμῖν. ἀρνησαμένου δὲ, τὴν μὲν ἐπιστολὴν μετὰ χεῖρας εἶχον ὡς ἐδεξάμην, πρὸς δὲ τοὺς φίλους περὶ πραγμάτων ἑτέρων τὴν ὁμιλίαν ἐποιούμην. μετ᾽ οὐ πολλὴν δὲ ὥραν ἐξαναστάς, καὶ τοὺς μὲν ἄλλους ἀπολύσας ἐπὶ κοίτην, τέσσαρας δέ μοι μόνον τῶν ἀναγκαίων φίλους προσμεῖναι κελεύσας, καὶ τῷ παιδὶ προστάξας οἶνον ἑτοιμάσαι, τὴν ἐπιστολὴν ἀναπτύξας μηδενὸς ἐμβλέποντος. κἀξ αὐτῆς ταχὺ συνεὶς τὴν τῶν γεγραφότων ἐπίνοιαν, πάλιν

conuicia in Hierosolymitanum populum, qui se in pace non sinerent. Hæc audiens & videns plebis mœstitiam flexus sum misericordia: non indignum ratus pro tanta multitudine, vel apertum sustinere periculum. itaque mansurum me annui, & iussis adesse ex omni eo numero quinque millibus cum armis ac commeatibus, cæteros dimisi in suam quenque patriam. cúmque præsto essent illa quinqua millia, assumptis his & tribus millibus militum quos antè habueram, & octoginta equitibus, iter feci in vicum Chabolonē situm in confiniis Ptolemaidis: ibíque continebam paratas copias, quasi gesturus bellum contra Placidum. venerat is cum duabus cohortibus & turma equitum, missus à Cestio Gallo, vt incenderet vicos Galilæorum vicinos Ptolemaidi, & cùm ille militem suum vallo cinxisset non longè à Ptolemaidensium mœnibus, ego quoque castra metatus sum procul à Chabolone sexaginta stadiis. quapropter sæpe militem vtrinque produximus quasi conflicturi prælio, sed conatus omnis intra velitationes constitit. quippe Placidus quanto auidiorem pugnandi me cerneret, tanto magis ipse metu detrectabat prælium, nusquam secedens à Ptolemaide. Per idem tempus veniens cum collegis Ionathas, quem missum Hierosolymis diximus à factione Simonis & Anani pontificis, conabatur me per insidias capere, non ausus apertè aggredi: scripsítque ad me literas huiusmodi. Ionathas & collegæ legati Hierosolymitarum Iosepho salutem. Quoniam Hierosolymis relatum est eius ciuitatis primatibus, Ioannem Gischalenum sæpe tibi tetendisse insidias, miserunt nos, vt obiurgaremus hominem, iuberemúsque in posterum imperata tua facere. quare, vt de tuo quoque consilio prouideamus in futurum quid agendum sit, rogamus quamprimum ad nos non magno comitatu venias: neque enim vicus hic capit turbam militum. hæc ita scripserunt alterutrum sperantes, aut habituros se venientem sine armis obnoxium: aut si copias armatas adducerem, iudicaturos perduellem patriæ. has literas quidam eques attulit, iuuenis audax, qui olim regi militauerat. erat autem hora noctis iam secunda, & fortè cum amicis Galilæorúmque optimatibus discumbebam in conuiuio. cúmque famulus renunciasset venisse ad me quendam Iudæum equitem, meo iussu intrò vocatus salutauit neminem, tantùm epistola prolata, hanc, inquit, tibi mittunt, qui nunc venerunt Hierosolymis. & alij quidem conuiuæ mirabantur frontem militis: ego verò hortatus sum eum sedere & nobiscum cœnam sumere. quod vbi recusauit, epistolam ita, vt acceperam manu retinens, cum amicis fabulabar de rebus aliis: ac paulo pòst surgens ablegatis aliis cubitum, retentísque solùm quatuor amicis intimis, & puero iusso vinum promere, apertam epistolam percurri vidente nemine: & celeriter animaduerso argumēto denuò

complicatam tenens manibus ac si nondum legissem, iussi militi viginti drachmas numerari in viaticum. quibus acceptis cùm egisset gratias, intelligens hominem lucri esse cupidum, & hoc facile expugnabilem: Si inquam nobiscum potare volueris, accipies drachmam in singulos cyathos. accepit ille conditionem, & multum vinum ingurgitans quo plus mereret pecuniæ, iámque ebrius secreta continere non potuit: sed nemine rogante vltro fassus est structas mihi insidias, & quòd damnatus essem capitis. Quibus auditis rescripsi ad hunc modum. Iosephus Ionathæ & eius collegis salutem, Quod valetis quódque in Galilæam venistis gaudeo, maximè quia iam possum traditis vobis rerum gubernaculis reuerti in patriam, cuius reuisendæ iampridem desiderio teneor. quamobrem libenter ad vos non solùm in Xallo venirem, sed longius etiam, vel si nemo me accerseret. Veniam tamen dabitis non valenti nunc id facere. apud Chabolonem enim manendum est, & obseruandus Placidus, ne quod conatur irrumpat in Galilæam. præstat igitur, vt ipsi vos huc conferatis ad me lecta hac epistola. Valete. His literis datis ad perferendum militi, misi cum eo triginta Galilæorum nobilissimos, iussos salutare tantùm homines illos, & nihil dicere prætetea. additis etiam singulis militibus fidis in singulos, qui obseruarent ne missi à me aliquod haberent cum Ionatha colloquium. Post horum discessum legati frustrati prima experientia, aliam epistolam mihi scripserunt talem. Ionathas cæterique legati Iosepho salutem. Denunciamus tibi, vt absque militibus ad tertiũ diem venias ad nos in oppidum Gabara, cognituros de Ioanni obiectis per te criminibus. His scriptis & consalutatis Galilæis quos miseram veniunt in Iapham vicum Galilææ maximum & munitissimum refertúmque habitatoribus: vbi excepti sunt clamoribus plebis vociferantis vnà cum mulieribus ac pueris, abirent, & finerent se frui duce optimo: eadémque erat vox omnium, nullius nisi Iosephi se parituros imperio. Itaque legati hinc discedentes infecto negotio, Sephorim se conferunt vrbem Galilææ maximam: cuius incolæ studiosi Romanorum venientibus quidem prodierunt obuiam: de me autem nihil dixerunt, nec in laudem nec in vituperium. at postquam inde descenderunt in Asochim, qualibus apud Iaphenos excepti sunt clamoribus: nec iam cohibentes iracundiam, iubent suos milites, vt fustibus acclamatores illos abigant. Gabara autem venientibus præsto fuit Ioannes cum tribus militum millibus. At ego, qui iam ex literis præsenseram quòd bellum mihi inferre decreuerint, assumptis tribus millibus militum. relictóq; in castris quodam amico fidissimo, recepi me in Iotapata, vt vicinus eis esse

αὐτῷ ἐσημηνάμην· καὶ ὡς μὴ προσανεγνωκὼς, ἀλλὰ μετὰ χεῖρας αὐτὴν ἔχων, προσέταξα τῷ στρατιώτῃ δραχμὰς εἴκοσιν ἐφόδιον δοθῆναι. τοῦ δὲ λαβόντος καὶ χάριν ἔχειν φήσαντος, συνεὶς τὴν αἰσχροκερδίαν αὐτοῦ, καὶ ὡς ταύτῃ μάλιστά ἐστιν ἁλώσιμος, ἀλλ' εἰ συμπιεῖν ἡμῖν ἔφην θελήσειας, λήψῃ κατὰ κύαθον δραχμὴν μίαν. ὁ δὲ ἀσμένως ὑπήκουσεν, καὶ πολὺν τὸν οἶνον προσφερόμενος ὑπὲρ τοῦ πλεῖον λαβεῖν ἀργύριον, καὶ μεθυσθεὶς, οὐκέτι τὰ ἀπόρρητα στέγειν ἐδύνατο, ἀλλ' ἔφραζεν οὐκ ἐρωτώμενος τήν τε συνεσκευασμένην ἐπιβουλὴν, καὶ ὡς κατεψηφισμένος εἴην θάνατον παρ' αὐτοῖς. ταῦτα ἀκούσας ἀντιγράφω τὸν τρόπον τοῦτον. ἰώσηπος ἰωνάθῃ καὶ τοῖς σὺν αὐτῷ χαίρειν. ἐρρωμένους ὑμᾶς εἰς τὴν γαλιλαίαν ἥκειν πυθόμενος ἥδομαι, μάλιστα δὲ ὅτι δυνήσομαι παραδοὺς ὑμῖν τὴν τῶν ἐνθάδε πραγμάτων ἐπιμέλειαν, εἰς τὴν πατρίδα πορευθῆναι, τοῦτο γὰρ καὶ πάλαι ποιεῖν ἤθελον. ἔδει μὲν οὖν μὴ μόνον εἰς ξάλλω παραγενέσθαι με πρὸς ὑμᾶς, ἀλλὰ πόρρω, καὶ μὴ δὲ κελευσάντων. συγγνώμης δὲ τυχεῖν ἀξιῶ μὴ δυνάμενος τοῦτο ποιῆσαι. παραφυλάσσω γὰρ ἐν χαβαλὼ πλακίδον εἰς τὴν γαλιλαίαν ἀναβῆναι διανοίας ἔχοντα. ἥκετε οὖν ὑμεῖς πρός με τὴν ἐπιστολὴν ἀναγνόντες. ἔρρωσθε. ταῦτα γράψας καὶ δοὺς τῷ στρατιώτῃ φέρειν συνεξέπεμψα τριάκοντα τῶν γαλιλαίων δοκιμωτάτους, ὑποθέμενος αὐτοῖς ἀσπάσασθαι μὲν ἐκείνους, ἕτερον δὲ μηδὲν λέγειν. ἔταξα δὲ καθ' ἕκαστον αὐτῶν πιστῶν ὁπλιτῶν ἕνα παραφυλάξοντα, μή τις τοῖς πεμφθεῖσιν ὑπ' ἐμοῦ πρὸς τοὺς περὶ τὸν ἰωνάθην ὁμιλία γένηται. καὶ οἱ μὲν ἐπορεύθησαν. οἱ δὲ περὶ τὸν ἰωνάθην τῆς πρώτης πείρας ἁμαρτόντες, ἑτέραν ἐπιστολήν μοι τοιαύτην ἔπεμψαν. ἰωνάθης καὶ οἱ σὺν αὐτῷ ἰωσήπῳ χαίρειν. παραγγέλλομέν σοι χωρὶς ὁπλιτῶν εἰς τρίτην παραγενέσθαι πρὸς ἡμᾶς εἰς γαβαρὼθ κώμην, ἵνα διακούσωμεν τῶν πρὸς ἰωάννην ἐγκλημάτων σοι γεγονότων. ταῦτα γράψαντες καὶ ἀσπασάμενοι τοὺς γαλιλαίους οὓς πέπομφα, ἀφικνοῦνται εἰς ἰάφαν κώμην μεγίστην οὖσαν τῶν ἐν τῇ γαλιλαίᾳ, τείχεσιν ὀχυρωτάτην, καὶ πολλῶν οἰκητόρων μεστήν. ὑπηντίαζεν δὲ τὸ πλῆθος αὐτοὺς μετὰ γυναικῶν καὶ τέκνων, καὶ κατεβόων κελεύοντες ἀπιέναι καὶ μὴ φθονεῖν αὐτοῖς ἀγαθοῦ τοῦ στρατηγοῦ. παρηρεθίζοντο δὲ ταῖς φωναῖς οἱ περὶ τὸν ἰωνάθην, καὶ φανερῶς μὲν τὴν ὀργὴν οὐκ ἐτόλμων. οὐκ ἀξιώσαντες δὲ αὐτοὺς ἀποκρίσεως, εἰς τὰς ἄλλας κώμας ἐπορεύοντο. ὅμοιαι δ' ὑπήντων αὐτοῖς παρὰ πάντων αἱ καταβοήσεις, μεταπεῖσαι αὐτοὺς βοώντων οὐδένα περὶ τοῦ στρατηγὸν ἔχειν ἰώσηπον. ἄπρακτοι δὲ παρὰ τούτων ἀπελθόντες οἱ περὶ τὸν ἰωνάθην εἰς σέπφωριν μεγίστην τῶν ἐν τῇ γαλιλαίᾳ πόλιν ἀφικνοῦνται. οἱ δὲ ἐντεῦθεν ἄνθρωποι πρὸς ῥωμαίους ταῖς γνώμαις ἀποβλέποντες, ἐκείνοις μὲν ὑπήντων, ἐμὲ δὲ οὔτε ἐπῄνουν, οὔτε ἐβλασφήμουν. παρὰ δὲ σεπφωριτῶν εἰς ἀσωχὶν καταβάντες, οἱ ἐντεῦθεν παραπλησίως τοῖς ἰαφηνοῖς κατεβόων αὐτῶν. οἱ δὲ τὴν ὀργὴν οὐκέτι κατασχόντες, κελεύουσι τοῖς μετ' αὐτῶν ὁπλίταις τύπτειν ξύλοις τοὺς καταβοῶντας. κατὰ γάβαρα δὲ γενομένους, ὑπαντιάζει μετὰ τρισχιλίων ὁπλιτῶν ἰωάννης. ἐγὼ δὲ ἐκ τῆς ἐπιστολῆς ἤδη συνηκὼς, ὅτι διεγνώκασι πρός με πολεμεῖν, ἀναστὰς ἀπὸ χαβαλὼν μετὰ τρισχιλίων ὁπλιτῶν, καταλιπὼν ἐν τῷ στρατοπέδῳ τὸν πιστότατον τῶν φίλων εἰς ἰωτάπατα παρεγενόμην, πλησίον αὐτῶν εἶναι βουλόμενος, ὅσον

ἀπὸ

ἀπὸ τεσσαράκοντα σταδίων. καὶ γράφω πρὸς αὐτοὺς τάδε. εἰ πάντως με πρὸς ὑμᾶς ἐλθεῖν βούλεσθε, διακόσιαι καὶ τέσσαρες κατὰ τὴν γαλιλαίαν εἰσὶ πόλεις καὶ κῶμαι. τούτων εἰς ἣν θελήσετε παραγενήσομαι χωρὶς γαβάρων καὶ γισχάλων. ἡ μὲν γὰρ πατρίς ἐστιν ἰωάννου, ἡ δὲ σύμμαχος καὶ φίλη. ταῦτα τὰ γράμματα λαβόντες οἱ περὶ τὸν ἰωνάθην, οὐκ ἔτι μὲν ἀντέγραφουσιν. συνέδριον δὲ τῶν φίλων καθίσαντες καὶ τὸν ἰωάννην παραλαβόντες, ἐβουλεύοντο τίνα τρόπον ἐπιχειρήσωσί μοι. καὶ ἰωάννῃ μὲν ἐδόκει γράφειν πρὸς πάσας τὰς ἐν τῇ γαλιλαίᾳ πόλεις καὶ κώμας. εἶναι γὰρ ἐν ἑκάστῃ πάντως ἕνα γοῦν καὶ δεύτερον διάφορον ἐμοί, καὶ καλεῖν τούτους ὡς ἐπὶ πολέμιον. πέμπειν δ᾽ ἐκέλευεν τὸ δόγμα τοῦτο καὶ εἰς τὴν τῶν ἱεροσολυμιτῶν πόλιν, ἵνα κἀκεῖνοι γνόντες ὑπὸ τῶν γαλιλαίων κεκρίσθαι με πολέμιον, καὶ αὐτοὶ ψηφίσωνται. γενομένου γὰρ τούτου καὶ τοὺς εὐνόως ἔχοντάς μοι γαλιλαίους ἐγκαταλείψειν ἔφη φοβηθέντας. ταῦτα συμβουλεύσαντος ἰωάννου, σφόδρα καὶ τοῖς ἄλλοις ἤρεσε τὰ λεχθέντα. περὶ δὲ ὥραν τῆς νυκτὸς τρίτην, εἰς γνῶσιν ἧκέ μοι ταῦτα, σακχαίου τῶν σὺν αὐτοῖς τινὸς αὐτομολήσαντος πρός με, καὶ τὴν ἐπιχείρησιν αὐτῶν ἀπαγγείλαντος. οὐκ ἔτι δὲ ᾔδειν ὑπερτίθεσθαι τὸν καιρόν. ἄξιον δὲ κρίνας ἰάκωβον ὁπλίτην τῶν περὶ ἐμὲ πιστὸν κελεύω διακοσίους ὁπλίτας λαβόντα φρουρεῖν τὰς ἀπὸ γαβάρων εἰς τὴν γαλιλαίαν ἐξόδους, καὶ τοὺς παριόντας συλλαμβάνοντα πρὸς ἐμὲ πέμπειν, μάλιστα δὲ τοὺς μετὰ γραμμάτων ἁλισκομένους. ἱερεμίαν δὲ καὶ αὐτὸν ἐκ τῶν φίλων μου μετὰ ἑξακοσίων ὁπλιτῶν εἰς τὴν μεθόριον τῆς γαλιλαίας ἔπεμψα, τὰς ἀπὸ ταύτης εἰς τὴν ἱεροσολυμιτῶν πόλιν ὁδοὺς παραφυλάξοντα, πρόσταγμα δοὺς κἀκείνῳ τοὺς μετ᾽ ἐπιστολῶν ὁδεύοντας συλλαμβάνειν. καὶ τοὺς μὲν ἄνδρας ἐν δεσμοῖς ἐπὶ τόπου φυλάττειν, τὰ δὲ γράμματα πρὸς ἐμὲ διαπέμπειν. ταῦτα τοῖς πεμπομένοις ἐντειλάμενος, γαλιλαίοις διήγγελλα κελεύων εἰς τὴν ἐπιοῦσαν ἀναλαβόντας τὰ ὅπλα, καὶ τριῶν ἡμερῶν τροφὴν εἰς γαβαρὼθ κώμην παραγενέσθαι πρός με. τῶν δὲ περὶ ἐμὲ ὁπλιτῶν μοίρας τέτταρας νείμας, τοὺς πιστοτάτους αὐτῶν περὶ τὴν τοῦ σώματος φυλακὴν ἔταξα, ταξιάρχους αὐτοῖς ἐπιστήσας καὶ φροντίζειν κελεύσας, ὑπὲρ τοῦ μηδένα στρατιώτην ἄγνωστον αὐτοῖς συναναμίγνυσθαι. τῇ δ᾽ ἐπιούσῃ περὶ πέμπτην ὥραν ἐν γαβαρὼθ γενόμενος εὑρίσκω πᾶν τὸ πεδίον τὸ πρὸ τῆς κώμης ὁπλιτῶν πλῆρες, τῶν ἐκ τῆς γαλιλαίας ἐπὶ τὴν συμμαχίαν παρόντων ὡς αὐτοῖς παρηγγέλκειν. πολὺς δὲ καὶ ἄλλος ἐκ τῶν κωμῶν ὄχλος συνέτρεχεν. ἐπεὶ δὲ καταστὰς εἰς αὐτοὺς λέγειν ἠρξάμην, ἐβόων ἅπαντες εὐεργέτην καὶ σωτῆρα τῆς χώρας αὐτῶν καλοῦντες. κἀγὼ χάριν αὐτοῖς ἔχειν ὁμολογήσας συνεβούλευον πρὸς μηδένα μήτε πολεμεῖν μήτε ἁρπαγῇ λαμβάνειν τὰς χώρας, ἀλλὰ σκηνοῦν κατὰ τὸ πεδίον ἀρκουμένους τοῖς ἑαυτῶν ἐφοδίοις. θέλειν γὰρ ἔφασκον τὰς ταραχὰς χωρὶς φόνων καταστεῖλαι. συνέβη δὲ αὐθημερὸν εἰς τὰς ὑπ᾽ ἐμοῦ κατασταθείσας τῶν ὁδῶν φυλακὰς τοὺς παρὰ τοῦ ἰωνάθου πεμφθέντας μετὰ τῶν ἐπιστολῶν ἐμπεσεῖν. καὶ οἱ μὲν ἄνδρες ἐφυλάχθησαν ἐπὶ τῶν τόπων ὡς παρήγγελλα. τοῖς δὲ γράμμασιν ἐντυχὼν πλήρεσι βλασφημιῶν καὶ ψευσμάτων, οὐδενὶ ταῦτα φράσας, ὁρμᾶν ἐπ᾽ αὐτοὺς διενοούμην. ἀκούσαντες δὲ οἱ περὶ τὸν ἰωνάθην περὶ τῆς ἐμῆς ἀφίξεως, τοὺς ἰδίους πάντας ἀναλαβόντες καὶ τὸν ἰωάννην, ὑπεχώρησαν εἰς τὴν ἰησοῦ οἰκίαν. βᾶρις δ᾽ ἦν αὕτη μεγάλη καὶ οὐδὲν ἀκροπόλεως ἀποδέουσα.

ad quadragesimum stadium: scripsique eis in hunc modum. Si omnino vultis, vt ad vos veniam, quadringenti quatuor in Galilæa sunt vici partim, partim oppida. ad horum quemlibet veniam absque Gabaris & Gischalis: altera enim patria est Ioannis, altera socia & amica ciuitas. His literis receptis legati non rescripserunt amplius, sed aduocato amicorum concilio, & Ioanne quoque adhibito, consultabant quomodo me possent aggredi. censebat Ioannes scribendum esse ad singulos Galilææ vicos & oppida: esse enim in singulis vnum saltem, & alterum mihi infensum: eos prouocandos quasi contra hostem publicum. idem decretum mittendum Hierosolyma, vt & eius vrbis ciues cognito iudicatum me esse hostem à Galilæis, confirment eam sententiam suo suffragio: ita fore, vt præsenti Galilæorum fauore destituar. hoc consilium assensu cæterorum comprobatum est: móxque circa horam noctis tertiam ad me est periatum, renunciante Sacchæo transfuga. Quamobrem videns non esse cunctandi tempus, Iacobum virum fidelem ac strenuum iubeo cum ducentis militibus obseruare vias ferentes à Gabaris in Galilæam, & viatores comprehensos ad me mittere, maximè apud quos reperiantur literæ. adhæc Hierimiam & ipsum ex amicorũ meorũ numero cũ sexcentis militibus misi in fines Galilææ quà itur Hierosolyma, iussum latores epistolarum intercipere, & ipsos quidem conijcere in vincula, literas verò ad me transmittere. His mãdatis, edixi per nuncios Galilæis, vt in crastinum cum armis & trium dierum cibariis ad Gabara mihi presto sint. eis verò quos circa me habebam militibus in quatuor partes diuisis fidissimos satellitum præfectos constitui, iussos neminem ignotum militem inter suos admittere. Postera verò die circa horam quintam veniens Gabara, inuenio ante oppidum totum campum plenum armatis, quos è Galilæa excieueram in auxilium; & præter hos magnam rusticani vulgi multitudinem. in quorum cœtu postquam concionaturus constitit, omnes acclamabant benefactorem appellantes me & seruatorem suæ patriæ. tum ego actis pro fauore gratiis, suasi eis, vt infestarent neminem, contentique commeatu proprio è castris ad diripiendas villas non excurrerent. velle enim me omnem tumultum absque cæde componere. euenit autem, vt qua primum die custodes viarum disposui, tabellarij Ionathæ in eos inciderent: quibus ita, vt iusseram detentis in custodia, postquam perlegi literas legatorum plenas conuiciis & mendaciis, silentio dissimulans ire ad eos decreui. at illi audito meo aduentu, cũ omnibus suis & Ioanne receperunt se in Iesu domiciliũ: id erat turris magna, & nihil ab arce differens.

ibi abdita cohorte militum, & clausis absque vna ianuis, expectabant me ad salutandum se venturum ex itinere: iussis priùs militibus, vt venientem me solum intromitterent exclusis cæteris. sic enim putabant me facilè posse in suam potestatem redigi: sed fefellit eos opinio: olfaciens enim insidias, quàm primùm eò perueni, ingressus è regione eorum situm diuersorium, dormire me finxi. legati verò credentes me verè sopitum quiescere, descentes in campum solicitabant multitudinem, vt me malè ducis officio fungentem desererent: sed contrà quàm sperabant accidit. ad primum enim eorum conspectum exortus est clamor Galilæorum, testantium qua me pro meritis complecterentur beneuolentia: incusabántque legatos quòd nulla lacessiti iniuria venissent ad turbandam tranquillitatem publicam, abire iubentes, eo quòd non admissuri essent præfectum alium. his mihi renunciatis non dubitaui in medium progredi. itaque properè descendi auditurus quid legati afferant. ibi procedenti mihi applausum est certatim ab omnibus, & acclamatum ab agentibus gratias pro rebus administratis optimè. his auditis Ionathas & cæteri extimuerunt ne salutis periculum adirent in cursu tantopere fauentis mihi populi, cogitabántque aufugere. sed quia non erat id eis liberum, me postulante, vt maneant, stabant mœsti vix rationis compotes. Igitur cohibitis turbæ acclamationibus, & fidissimis militum ad vias seruandas appositis, ne nos inopinos Ioannes inuaderet, iussísque in armis esse omnibus, ne quis repentinus hostium incursus terrorem eis incuteret, primùm literarum mentionem feci, quibus ad me scripserant, missos se à Hierosolymitanorum ciuitate, ad finiendas inter me & Ioannem controuersias, méque ad comparendum euocauerant: móxque ne inficiari possent, protuli ipsam epistolam. atqui, inquam, si contra Ioannis criminationes apud te Ionatha tuósque collegas reddenda esset mihi vitæ ratio, adductis pro me duobus tribúsve probis viris testibus, necesse fuisset approbatis testibus & examinatis testimoniis absolui me vestra sententia. nunc verò vt sciatis bene à me administratas res Galilææ, nolo tres testes probitatis adducere, sed hos omnes vobis exhibeo. ab his rationem vitæ meæ poscite, an cum omni honestate & iustitia eis præfuerim. Vósque viri Galilæi adiuro ne veritatem celetis, sed coram his tanquam iudicibus proferatis siquid à me peccatum est. nondum hæc verba finieram cùm vna omnium vox exoritur, benefactorem me suum & seruatorem appellantium: anteactáque omnia suo testimonio probantium, & vt in posterum mei similis esse pergerem rogantium. affirmabant etiam iureiurando omnes, salnam esse per me vxorum suarum pudicitiam, & nullam sibi vnquam à me illatam molestiam. Post hæc duas Ionathæ epistolas à custodibus meis interceptas & ad me delatas,

κρύψαντες ἐν λόχον ὁπλιτῶν ἐν αὐτῇ, καὶ τὰς ἄλλας ἀποκλείσαντες θύρας, μίαν δὲ ἀνοίξαντες, προσεδόκων ἥκειν ἐκ τῆς ὁδοῦ με πρὸς αὐτοὺς ἀσπασόμενον. καὶ δὴ διδόασιν ἐντολὰς τοῖς ὁπλίταις, ἐπειδὰν παραγένωμαι μόνον εἰσελθεῖν ἐᾶσαι τοὺς ἄλλους ἀπείρξαντας. οὕτως γὰρ ᾤοντό με γενήσεσθαι ῥᾳδίως αὐτοῖς ὑποχείριον. ἐψεύσαντο δὲ τῆς ἐλπίδος· ἐγὼ γὰρ τὴν ἐπιβουλὴν προαισθόμενος ὡς ἐκ τῆς ὁδοῦ παρεγενόμην, καταλύσας ἀντικρὺς αὐτῶν καθεύδειν ἐσκηπτόμην. καὶ οἱ περὶ τὸν Ἰωνάθην ὑπολαμβάνοντες ὄντως ἀναπαύεσθαί με καθυπνωμένον, ὥρμησαν καταβάντες εἰς τὸ πεδίον μεταπείθειν αὐτοὺς ὡς ἐμοῦ κακῶς στρατηγοῦντος· τἀναντία δὲ αὐτοῖς συνέπεσεν. ὀφθέντων γὰρ εὐθὺς ἐγένετο βοὴ παρὰ τῶν Γαλιλαίων, πρὸς ἐμὲ τὸν στρατηγὸν εὐνοίας ἄξια, κατάμεμψίν τε ἐποιοῦντο τῶν περὶ τὸν Ἰωνάθην ὅτι πάρεισιν, οὐδὲν μὲν αὐτοὶ κακὸν προπεπονθότες, ἀνατρέψαντες δὲ τὰ ἐκείνων πράγματα, καὶ παρεκελεύοντο ἀπιέναι, μὴ γὰρ ἄν ποτε μεταπεισθῆναι προστάτην ἕτερον ἀντ' ἐμοῦ λαβεῖν. τούτων ἀπαγγελθέντων μοι, προελθεῖν εἰς μέσους οὐκ ὤκνησα. κατέβαινον οὖν εὐθέως αὐτὸς, τί λέγουσιν οἱ περὶ τὸν Ἰωνάθην ἀκουσόμενος. προελθόντος δέ μου κρότος παρὰ παντὸς τοῦ πλήθους εὐθὺς ἦν, καὶ μετ' εὐφημιῶν ἐπιβοώντων χάριν ἔχειν ὁμολογούντων τῇ ἐμῇ στρατηγίᾳ. ταῦτα δ' οἱ περὶ τὸν Ἰωνάθην ἀκούοντες, ἐφοβήθησαν μὴ καὶ κινδυνεύσωσιν ἀποθανεῖν ἐπ' αὐτοὺς ὁρμησάντων τῶν Γαλιλαίων κατὰ τὴν πρὸς ἐμὲ χάριν· δρασμὸν οὖν ἐπενόουν. μὴ δυνηθέντες δὲ ἀπελθεῖν, προσμεῖναι γὰρ αὐτοὺς ἠξίωσα, κατηφεῖς ἐπιστάμενοι τῷ λόγῳ. προστάξας οὖν τῷ μὲν πλήθει τὰς εὐφημίας παύσασθαι, καὶ τῶν ὁπλιτῶν τοὺς πιστοτάτους ταῖς ὁδοῖς ἐπιστήσας ὑπὲρ τοῦ φρουρεῖν μὴ ἀπροσδοκήτως ἡμῖν ὁ Ἰωάννης ἐπιπέσῃ, παραινέσας δὲ τοῖς Γαλιλαίοις ἀναλαβεῖν τὰ ὅπλα μὴ πρὸς τὴν ἔφοδον τῶν πολεμίων, ἐὰν γένηταί τις αἰφνίδιος ταραχθῶσιν. πρῶτον τῆς ἐπιστολῆς τοὺς περὶ τὸν Ἰωνάθην ὑπεμίμνησκον, ὃν τρόπον γράψειαν ὑπὸ τοῦ κοινοῦ τῶν Ἱεροσολυμιτῶν πεπέμφθαι, διαλύσοντές μου τὰς πρὸς τὸν Ἰωάννην φιλονεικίας, ὡς παρακαλέσαιέν με πρὸς αὐτοὺς ἀφικέσθαι. καὶ ταῦτα διεξιὼν, τὴν ἐπιστολὴν εἰς μέσους προὔτεινον, ἵνα μηδὲν ἀρνήσασθαι δυνηθῶσιν ἐλεγχόντων αὐτοὺς τῶν γραμμάτων. καὶ μὴν ἔφην Ἰωνάθη ὑμεῖς τε οἱ συμπρέσβεις, εἰ πρὸς Ἰωάννην κρινόμενος ὑπὲρ τοῦ παραστῆσαι τὸν ἐμαυτοῦ βίον δύο τινὰς ἢ τρεῖς μάρτυρας καλοὺς κἀγαθοὺς ἤγαγον, δῆλον ὡς ἀνάγκην εἴχετε προεξετάσαντες καὶ τοὺς τούτων βίους ἀπαλλάξαι με τῶν ἐγκλημάτων, ἵν' οὖν γνῶτε καλῶς πεπρᾶχθαί μοι τὰ κατὰ τὴν Γαλιλαίαν, τρεῖς μὲν μάρτυρας ὀλίγους εἶναι νομίζω τῷ καλῶς βεβιωκότι· τούτους δὲ πάντας ὑμῖν δίδωμι. παρὰ τούτων οὖν πύθεσθε τίνα τρόπον ἐβίωσα, εἰ μετὰ πάσης σεμνότητος, καὶ πάσης δὲ τῆς ἐνθάδε πεπολίτευμαι. καὶ δὴ ὁρκίζω ὑμᾶς ὦ Γαλιλαῖοι μηδὲν ἐπικρύψασθαι τῆς ἀληθείας, λέγειν δ' ἐπὶ τούτων ὡς δικαστῶν, εἴ τι μὴ καλῶς πέπρακται. ταῦτ' ἔτι λέγοντός μου, κοιναὶ παρὰ πάντων ἐγίνοντο φωναὶ, καλούντων εὐεργέτην με καὶ σωτῆρα. καὶ περὶ μὲν τῶν πεπραγμένων ἐμαρτύρουν, περὶ δὲ τῶν πραχθησομένων παρεκάλουν. πάντες δ' ὤμνυον ἀνυβρίστους μὲν ἔχειν τὰς γυναῖκας, λελυπῆσθαι δὲ μηδέ ποτε μηδὲν ὑπ' ἐμοῦ. μετὰ τοῦτο δύο τῶν ἐπιστολῶν, ἃς οἱ κατασταθέντες ὑπ' ἐμοῦ φρουροὶ πεμφθείσας ὑπὸ τῶν περὶ τὸν Ἰωνάθην ἑλόντες, ἀπεστάλκεισαν πρὸς ἐμὲ,

παρα-

παραναγινώσκων τοῖς Γαλιλαίοις πολλῶν βλασφημιῶν πλήρεις, καὶ καταψευδομένας, ὅτι τυραννίδι μᾶλλον ἢ στρατηγίᾳ χρῶμαι κατ' αὐτῶν, ἕτερά τε πολλὰ πρὸς τούτοις ἐνεγέγραπτο μηδὲν παραλειπόντων αἰσχρῶν ψευδολογίας. ἔφην δ' ἐγὼ πρὸς τὸ πλῆθος τὰ γράμματα λαβεῖν δόντων ἑκουσίως τῶν κομιζόντων· οὐ γὰρ ἐβουλόμην αὐτοῖς τὰ περὶ τὰς φρουρὰς τοὺς ἐναντίους εἰδέναι, μὴ δείσαντες τῆς γραφῆς ἀποστῶσιν. ταῦτα ἀκούσαν τὸ πλῆθος παροξυνθὲν ἐπὶ τὸν Ἰωνάθην ὥρμα καὶ τοὺς σὺν αὐτῷ συμπαρόντας, ὡς διαφθεροῦντες. κἂν ἐπεπεράχεισαν τὸ ἔργον, εἰ μὴ τοὺς μὲν Γαλιλαίους ἔπαυσα τῆς ὀργῆς. τοῖς περὶ τὸν Ἰωνάθην δ' ἔφην συγγινώσκειν τῶν ἤδη πεπραγμένων, εἰ μέλλοιεν μετανοήσειν, καὶ πορευθέντες εἰς τὴν πατρίδα λέγοιεν τοῖς πέμψασι τἀληθῆ περὶ τῶν ἐμοὶ πεπολιτευμένων. ταῦτ' εἰπὼν, ἀπέλυον αὐτοὺς, καίτοι γινώσκων ὅτι μηδὲν ὧν ὑπέσχηντο ποιήσουσιν. τὸ πλῆθος δ' εἰς ὀργὴν ἐξεφέρετο κατ' αὐτῶν, κἀμὲ παρεκάλουν ἐπιτρέπειν αὐτοῖς τιμωρήσασθαι τοὺς τοιαῦτα τολμήσαντας. παντοῖος μὲν οὖν ἐγινόμην πείθων αὐτοὺς φείσασθαι τῶν ἀνδρῶν. πᾶσαν γὰρ ᾔδειν στάσιν ὀλέθριον οὖσαν τοῦ κοινοῦ συμφέροντος. τὸ δὲ πλῆθος εἶχεν τὴν κατ' αὐτῶν ὀργὴν ἀμετάβλητον, καὶ πάντες ὥρμησαν ἐπὶ τὴν οἰκίαν ἐν ᾗ κατέλυον οἱ περὶ τὸν Ἰωνάθην. ἐγὼ δὲ συνορῶν τὴν ὁρμὴν οὖσαν αὐτῶν ἀνεπίσχετον, ἀναπηδήσας ἐφ' ἵππον ἐκέλευσα τοῖς πλήθεσι πρὸς Σωγάνην κώμην ἕπεσθαι Ἀράβων ἀπέχουσαν εἴκοσι στάδια, καὶ τοιούτῳ στρατηγήματι χρησάμενος παρέσχον ἐμαυτῷ τὸ μὴ δοκεῖν ἐμφυλίου πολέμου κατάρχειν. ἐπεὶ δὲ περὶ Σωγανέας ἐγινόμην, ἐπιστήσας τὸ πλῆθος καὶ παραινέσει χρησάμενος περὶ τοῦ μὴ πρὸς τὰς ὀργὰς καὶ τὰς ἐπανηκέστους τιμωρίας ὀξέως φέρεσθαι, κελεύω τοὺς καθ' ἡλικίαν ἤδη προβεβηκότας καὶ πρώτους παρ' αὐτοῖς ἑκατὸν ἄνδρας ὡς πορευσομένους εἰς τὴν Ἱεροσολυμιτῶν πόλιν εὐτρεπίζεσθαι, μέμψιν ποιησομένους ἐπὶ τοῦ δήμου τῶν τὴν χώραν διαστασιαζόντων. καὶ ἂν ἐπικλασθῶσιν ἔφην πρὸς τοὺς λόγους ὑμῶν, παρακαλέσατε τὸ κοινὸν γράψαι πρὸς ἐμὲ, μένειν κελεύοντας ἐπὶ τῇ Γαλιλαίᾳ, τοὺς δὲ περὶ τὸν Ἰωνάθην ἀναχωρεῖν ἐκεῖθεν. ταύτας αὐτοῖς τὰς ὑποθήκας δοὺς, ἐναρμοσαμένων τε ταχέως ἐκείνων, ἡμέρᾳ τρίτῃ μετὰ τὴν ἐκκλησίαν τὴν ἀποστολὴν ἐποιησάμην, συμπέμψας ὁπλίτας πεντακοσίους. ἔγραψα δὲ καὶ τοῖς ἐν Σαμαρείᾳ φίλοις προνοήσασθαι τοῦ ἀσφαλῆ γενέσθαι τὴν πορείαν αὐτοῖς. ἤδη γὰρ ὑπὸ Ῥωμαίοις ἦν ἡ Σαμάρεια. καὶ πάντως ἔδει τοὺς ταχὺ βουλομένους ἀπελθεῖν δι' ἐκείνης πορεύεσθαι. τρισὶ γὰρ ἡμέραις ἀπὸ Γαλιλαίας ἔνεστιν οὕτως εἰς Ἱεροσόλυμα καταλῦσαι. συμπαρέπεμψα δὲ τοὺς πρέσβεις κἀγὼ μέχρι τῶν τῆς Γαλιλαίας ὅρων, φυλακὰς ἐπιστήσας τῆς ὁδοῖς, ὑπὲρ τοῦ μὴ ῥᾳδίως τινὰ μαθεῖν ἀπαλλαττομένους. καὶ ταῦτα πράξας ἐν Ἰάφοις τὴν διατριβὴν ἐποιούμην. οἱ δὲ περὶ τὸν Ἰωνάθην διαμαρτάνοντες τῆς κατ' ἐμοῦ πράξεως Ἰωάννην ἀπέλυσαν εἰς τὰ Γίσχαλα· αὐτοὶ δ' εἰς τὴν Τιβεριέων πόλιν πεπόρευντο λήψεσθαι προσδοκῶντες αὐτὴν ὑποχείριον, ἐπειδὴ καὶ Ἰησοῦς ὁ κατὰ τὸν καιρὸν τοῦτον ἐκείνων ἄρχων ἐγεγράφει πρὸς αὐτοὺς, πείσειν ἀπαγγελλόμενος τὸ πλῆθος ἐλθόντας ὑποδέξασθαι, καὶ αὐτοῖς ἑλέσθαι προστεθῆναι. ἐκεῖνοι μὲν ἐπὶ τοιαύταις ἐλπίσιν ἀπῆλθον. ἀπαγγέλλει δέ μοι ταῦτα Σίλας διὰ γραμμάτων, ὃν ἔφην τῆς Τιβεριάδος ἐπιμελητὴν καταλελοιπέναι, καὶ σπεύδειν ἠξίου. κἀγὼ ταχέως ὑπακούσας αὐτῷ παραγενόμενος, εἰς κίνδυνον ἀπωλείας κατέστην ἐξ αἰτίας τοιαύτης.

audientibus multis Galileis legi maledictis refertissimas, méque falsò insimulantes quòd tyrannum veriùs quàm ducem agerem. multáque alia continentes per summam ficta impudentiam. has literas dicebam mihi vltro oblatas à tabellariis, nolens aduersarios scire de custodiis, ne absterrerentur à mittendis posthac literis. at concio commota in Ionatham atque collegas quasi interfectura irruit: & patratum fuisset facinus, nisi furentes à me fuissent cohibiti. legatis verò pollicitus sum errati veniam, si resipiscerent & in patriam reuersi vera de administratione mea referrent. his dictis eos dimisi, quamuis scirem non facturos pollicita. populus autem efferebatur in eos, rogans, vt pœnas sumere de illis sinerem. itaque omnibus mihi vtendum fuit artibus quo eos eriperem, quòd scirem omnem seditionem perniciosam esse reipub. multitudo porrò perstabat in iracundia, vnóque impetu omnes ruebant ad Ionathæ diuersorium. ego verò videns eos non posse retineri ampliùs, conscenso equo edixi, vt sequerentur me ad Soganam vicum Arabum, distantem inde viginti stadiis. atque hoc stratagemate caui ne viderer ciuilis belli fecisse principium. postquam autem ventum est prope Soganam, iussi agmen sistere: monitísque ne essent ad iniquam iram tam præcipites, centum ætate ac dignitate præstantes deligo, qui se parent profecturi Hierosolyma, & accusaturi apud eum populum autores seditionum & turbatores suæ reipublicæ. Mandaui præterea, vt si possent populum oratione sua flectere, impetrarét publicas literas, quibus mihi cōfirmaretur præfectura Galilææ, & Ioānes iuberetur inde discedere. Cum his mandatis celeriter expeditos tertia die post concionem dimisi, additis, qui eos deducerent quingentis militibus. Samariam quoque amicis scripsi, darent operam, vt legati per eorum agrum iter tutò faciāt: iam enim ea vrbs Romanis erat subdita: & illâc necessariò fuit eundum properantibus & sequentibus viarum compendia: vt tertia die peruenirent Hierosolyma. quin & ipse eos deduxi vsque Galilææ confinia, appositis per vias custodibus, vt non facilè quiuis discessum legatorū cognosceret. quo facto aliquantisper apud Iapha moratus sum. Ionathas autem & collegæ suo conatu frustrati remiserunt Ioannem Gischala: ipsi deinde profecti sunt Tiberiadem, sperantes eam in suam potestatē venturam, quandoquidē Iesus tunc magistratū ibi gerēs per literas erat pollicitus, persuasurū se populo, vt ad eos deficiat. illi igitur cum hac spe iter ingressi sunt. mihi autē rem totā Sila per nūcium significat, relictus ibi, vt dixi vicarius, redire me quàm primùm postulās. cuius monitu reuersus propere, in salutis discrimē talē ob causā incidi.

Ionathas & socij Tiberiade multos aduersæ A mihi factionis ciuium ad defectionis consilia pertraxerant, quare aduentu meo territi, confestim ad me venerunt: ac primum mactum animi dicentes, gratulabantur mihi præsentem honorem partum ex optima administratione Galilææ: eam enim gloriam in se quoque redundare, quorum & ciuis essem & discipulus. deinde meam quàm Ioannis amicitiam se malle professi, iubebant, vt me domum conferrem, promittentes effecturos se mox, vt ille in manus meas perueniat: atque hæc re- B ligiosissimo apud nos sacramento confirmarunt, cui nefas putarem non credere. post hæc rogauerunt, vt aliò secederem, quòd instaret sabbatum. nolle enim se aliquid tumultus excitare in Tiberiensium populo. tum ego nihil suspicatus iui Taricheas, relictis nihilominus in ciuitate, qui curiosè obseruarent sermones de me hominum. per totam etiam viam ferentem à Taricheis Tiberiadem certos disposui, qui à relictis in ciuitate cogni- C ta & quasi per manus tradita, ad me deferrent. Sequente igitur die populus conuenit in proseucham quam vocant, precationis domum amplam & capacem tantæ multitudinis: quò postquam venit & Ionathas, non ausus apertè defectionis mentionem facere, dixit opus habere ciuitatem præfectis melioribus. At Iesus summus magistratus nihil dissimulans, præstat, inquit, ô ciues, obedire nos quatuor viris quàm vni, præsertim illustri ortis gene- D re, & prudentiæ nomine celebribus, simul ostendens cum suis collegis Ionatham. hæc verba mox Iustus collaudans pertraxit ciuium quosdam in suam sententiam. Plebs autem non assentiebat horum orationibus, & dubio procul exorta fuisset seditio, nisi concionem soluisset sexta hora superueniens, quæ nostros ad prandium vocare solet sabbatis. ita legati consultatione dilata in diem posterum, abierunt infecto negotio. quibus confestim mihi E renunciatis, decreui mane venire Tiberiadem: cúmque illuxisset diei sequentis initium, à Taricheis eò veniens offendi cógregatum iam in proseucha populum, nondum satis scientem ad quid conuenerit. Tum legati præter expectationem me viso valde sunt territi. Tandem in mentem eis venit rumorem spargere, visos esse Romanorum equites in finibus eius agri ad locum qui Homonœa dicitur: quo data opera crebrescente: iidem ipsi autores eius voci- F ferabantur, non permittendos hostes ita impune populari agrū in conspectu omnium. quod ideo faciebant, vt me digresso ad ferendas colonis suppetias, ipsi interim vrbem occuparent alienatis à me animis ciuium. At ego licet scirē ipsorum propositum, feci tamen quod voluerunt, ne viderer contemnere Tiberiensium pericula. progressus igitur ad dictum locum postquam ne vestigiū quidem vidi hostiū, reuersus itinere properato offendi cōuenisse vnà senatū G simul & populū, & legatos apud concionē prolixa accusatione in me inuehi, quòd neglecta belli cura propriis stātū indulgerē voluptatibus.

A οἱ περὶ Ἰωνάθην γενόμενοι παρὰ τοῖς Τιβεριεῦσι, καὶ πολλοὺς πείσαντες ἀποστῆναί μου διαφόρους ὄντας, ὡς ἤκουσαν τὴν ἐμὴν παρουσίαν, δείσαντες περὶ αὑτῶν ἧκον πρὸς ἐμέ, καὶ ἀσπασάμενοι, μακαρίζειν ἔλεγον οὕτως περὶ τὴν Γαλιλαίαν ἀναστραφέντα, συνήδεσθαί τε διὰ τιμῆς ἀγομένῳ. κόσμον γὰρ ἑαυτῶν εἶναι τὴν ἐμὴν δόξαν ἔφασαν, ὡς ἂν διδασκάλων τ' ἐμοῦ γενομένων καὶ πολιτῶν, δικαιοτέραν τε τῆς Ἰωάννου τὴν ἐμὴν πρὸς αὐτοὺς φιλίαν ὑπάρχειν ἔλεγον, καὶ σπεύδειν μὲν εἰς τὴν οἰκείαν ἀπελθεῖν, περιμένειν δὲ ἄχρις ὑποχείριον τὸν Ἰωάννην ἐμοὶ ποιή- B σουσιν. καὶ ταῦτα λέγοντες ἐπώμοσαν τοὺς φρικωδεστάτους ὅρκους παρ' ἡμῖν, δι' οὓς ἀπιστεῖν οὐ θεμιτὸν ὑπέλαβον. καὶ δὴ παρακαλοῦσί με τὴν κατάλυσιν ἀλλαχοῦ ποιήσασθαι, διὰ τὸ τὴν ἐπιοῦσαν ἡμέραν εἶναι σάββατον, ὀχλεῖσθαι δὲ μὴ δεῖν ὑπ' αὐτῶν τὴν πόλιν τῶν Τιβεριέων ἔφασκον. κἀγὼ μηδὲν ὑπονοήσας, ἐς τὰς Ταριχέας ἀπῆλθον, καταλιπὼν ὅμως ἐν τῇ πόλει τοὺς πολυπραγμονήσοντας, εἴ τι περὶ ἡμῶν λέγοιτο. διὰ πάσης δὲ τῆς ὁδοῦ τῆς C ἀπὸ Ταριχέων εἰς Τιβεριάδα φερούσης, ἐπέστησα πολλοὺς ἵνα μοι δι' ἀλλήλων σημήνωσιν, ἅπερ ἂν παρὰ τῶν ἐν τῇ πόλει καταλειφθέντων πυνθάνωνται. κατὰ τὴν ἐπιοῦσαν οὖν ἡμέραν συνάγονται πάντες εἰς τὴν προσευχήν, μέγιστον οἴκημα πολλὺν ὄχλον ἐπιδέξασθαι δυνάμενον, εἰσελθὼν δὲ ὁ Ἰωνάθης, φανερῶς μὲν περὶ τῆς ἀποστάσεως οὐκ ἐτόλμα λέγειν· ἔφη δὲ στρατηγοῦ κρείττονος χρείαν τὴν πόλιν αὐτῶν ἔχειν. Ἰησοῦς δὲ ὁ ἄρχων οὐ- D δὲν ὑποστειλάμενος ἀναφανδὸν εἶπεν. ἄμεινόν ἐστιν ὦ πολῖται τέσσαρσιν ἡμᾶς ἀνδράσιν ὑπακούειν ἢ ἑνί, καὶ κατὰ γένος λαμπροῖς, καὶ κατὰ σύνεσιν οὐκ ἀδόξοις, ὑπεδείκνυε δὲ τοὺς περὶ Ἰωνάθην. ταῦτ' εἰπόντα τὸν Ἰησοῦν, ἐπῄνει παρελθὼν Ἰοῦστος, καί τινας ἐκ τοῦ δήμου συνέπειθεν. οὐκ ἠρέσκετο δὲ τοῖς λεχθεῖσιν τὸ πλῆθος, καὶ πάντως ἂν εἰς στάσιν ἐχώρησαν, εἰ μὴ τὴν σύνοδον διέλυσεν ἐπελθοῦσα ἕκτη ὥρα, καθ' ἣν τοῖς σάββασιν ἀριστοποιεῖσθαι νόμιμόν ἐστιν ἡμῖν. καὶ οἱ περὶ τὸν E Ἰωνάθην εἰς τὴν ἐπιοῦσαν ὑπερθέμενοι τὴν βουλήν, ἀπῄεσαν ἄπρακτοι. εὐθὺς δέ μοι τούτων ἀπαγγελθέντων πρωῒ διέγνων εἰς τὴν Τιβεριέων πόλιν ἀφικέσθαι. καὶ τῇ ἐπιούσῃ περὶ τὴν ὥραν ἧκον ἀπὸ τῶν Ταριχέων, καταλαμβάνω δὲ συναγόμενον ἤδη τὸ πλῆθος εἰς τὴν προσευχήν. ἐφ' ὅτι δ' ἦν αὐτοῖς σύνοδος, οὐκ ἐγίνωσκον οἱ συλλεγόμενοι. οἱ δὲ περὶ τὸν Ἰωνάθην ἀπροσδοκήτως θεασάμενοί με παρόντα διεταράχθη- F σαν. εἶτ' ἐπινοοῦσιν διαδοῦναι λόγον, ὅτι Ῥωμαίων ἱππεῖς ἐν τῇ μεθορίῳ πόρρω τριάκοντα σταδίων ἀπὸ τῆς πόλεως κατὰ τόπον λεγόμενον Ὁμόνοιαν εἰσὶν ἑωραμένοι. καὶ προσαγγελθέντων τούτων ἐξ ὑποβολῆς παρεκάλουν οἱ περὶ τὸν Ἰωνάθην μὴ περιϊδεῖν ὑπὸ τῶν πολεμίων λεηλατουμένην αὐτῶν τὴν γῆν. ταῦτα δ' ἔλεγον δι' ἐννοίας ἔχοντες ἐμὲ προφάσει τῆς κατεπειγούσης βοηθείας μεταστήσαντες αὐτοὶ τὴν πόλιν ἐχθρὰν μοι κατασκευάσαι. ἐγὼ δὲ καίπερ εἰδὼς αὐτῶν τὸ ἐνθύμημα ὅμως G ὑπήκουσα μὴ δόξαν παράσχω τοῖς Τιβεριεῦσιν οὐ προνοούμενος αὐτῶν τῆς ἀσφαλείας. ἐξῆλθον οὖν, καὶ γενόμενος κατὰ τὸν τόπον ὡς οὐδ' ἴχνος πολεμίων εὗρον, ὑποστρέφω συντόνως ὁδεύσας· καὶ καταλαμβάνω τήν τε βουλὴν πᾶσαν συνεληλυθυῖαν καὶ τὸν δημοτικὸν ὄχλον, ποιουμένους τε πολλὴν κατηγορίαν μου τοὺς περὶ τὸν Ἰωνάθην, ὡς τοῦ μὲν τὸν πόλεμον ἐπελαφρύνειν αὐτοῖς ἀμελοῦντος, ἐν τρυφαῖς δὲ διάγοντος.

ταῦτα

ταῦτα δὲ λέγοντες προύφερον ἐπιστολὰς τέσσαρας, ὡς ἀπὸ τῶν ἐν τῇ μεθορίᾳ τῆς γαλιλαίας γεγραμμένας πρὸς αὐτοὺς ἐπιβοήθειαν ἥκειν παρακαλούντων· ῥωμαίων γὰρ δύναμιν μέλλειν ἱππέων τε καὶ πεζῶν εἰς τρίτην ἡμέραν τὴν χώραν αὐτῶν λεηλατεῖν, ἐπισπεύδειν τε καὶ μὴ περιοφθῆναι δεομένων. ταῦτ᾽ ἀκούσαντες οἱ τιβεριεῖς λέγειν ἀληθῆ δόξαντες αὐτοὺς καταβοήσεις ἐποιοῦντο, μὴ καθέζεσθαί με δεῖν λέγοντες, ἀλλ᾽ ἀπελθεῖν ἐπικουρήσοντα τοῖς ὁμοεθνέσιν αὐτοῦ. πρὸς ταῦτ᾽ ἐγὼ, συνῆκα γὰρ τὴν ἐπίνοιαν τῶν περὶ τὸν ἰωνάθην, ὑπακούσεσθαι μὲν ἔφην ἑτοίμως καὶ χωρὶς ἀναβολῆς ὡρμήσειν πρὸς τὸν πόλεμον ἐπηγγελλάμην. συνεβούλευον δ᾽ ὅμως καὶ ἐπεὶ γράμματα κατὰ τέσσαρας τόπους ῥωμαίους σημαίνει προσβαλεῖν, εἰς πέντε μοίρας διελόντας τὴν δύναμιν ἑκάστῃ τούτων ἐπιστῆσαι τοὺς περὶ τὸν ἰωνάθην καὶ τοὺς ἑταίρους αὐτοῦ. πρέπειν γὰρ ἀνδράσιν ἀγαθοῖς μὴ μόνον συμβουλεύειν, ἀλλὰ καὶ χρείας ἐπειγούσης ἡγουμένους βοηθεῖν. ἐγὼ γὰρ πλὴν μιᾶς μοίρας οὐκ ἔφην ἀφηγεῖσθαι δυνατὸς εἶναι. σφόδρα τῷ πλήθει συνήρεσεν ἡ ἐμὴ συμβουλία. κἀκείνους οὖν ἠνάγκαζον ἐπὶ τὸν πόλεμον ἐξιέναι. τοῖς δ᾽ οὐχὶ μετρίως συνεχύθησαν αἱ γνῶμαι, μὴ κατεργασαμένοις ἃ διενοήθησαν, ἐμοῦ τοῖς ἐπιχειρήμασιν αὐτῶν ἀντιστρατηγήσαντος. εἷς δέ τις ἐξ αὐτῶν ἀνανίας τοὔνομα, πονηρὸς ἀνὴρ καὶ κακοῦργος, εἰσηγεῖτο τοῖς πλήθεσι πανδημεὶ νηστείαν εἰς τὴν ἐπιοῦσαν τῷ θεῷ προθέσθαι, καὶ κατὰ τὴν αὐτὴν ὥραν ἐκέλευσεν εἰς τὸν αὐτὸν τόπον ἀνόπλους παρεῖναι, τῷ θεῷ φανερὸν ποιήσοντας, ὅτι μὴ παρ᾽ ἐκείνου τυγχάνοντες βοηθείας, πᾶν ὅπλον ἄχρηστον εἶναι νομίζουσιν. ταῦτα δ᾽ ἔλεγεν οὐ δι᾽ εὐσέβειαν, ἀλλ᾽ ὑπὲρ τοῦ λαβεῖν ἄνοπλόν με καὶ τοὺς ἐμούς. κἀγὼ δ᾽ ἀνάγκην ὑπήκουον, μὴ δόξω καταφρονεῖν τῆς περὶ τὴν εὐσέβειαν ὑποθήκης. ὡς οὖν ἀνεχωρήσαμεν ἐπὶ τὰ ἑαυτῶν, οἱ μὲν περὶ τὸν ἰωνάθην γράφουσι τῷ ἰωάννῃ, πρὸς αὐτοὺς ἕωθεν ἀφικέσθαι κελεύοντες μεθ᾽ ὅσων ἂν στρατιωτῶν δυνηθῇ. λήψεσθαι γὰρ εὖ ἐμὲ ὑποχείριον, καὶ ποιήσειν ὅπερ ἔχοι δι᾽ εὐχῆς. δεξάμενος δὲ τὴν ἐπιστολὴν ἐκεῖνος, ὑπακούειν ἔμελλεν. ἐγὼ δὲ τῆς ἐπιούσης ἡμέρας δύο τῶν περὶ ἐμὲ σωματοφυλάκων τοὺς κατ᾽ ἀνδρείαν δοκιμωτάτους καὶ κατὰ πίστιν βεβαίους κελεύω ξιφίδια κρύψαντας ὑπὸ τὰς ἐσθῆτας, ἐμοὶ συμπροελθεῖν, ἵν᾽ εἰ γένοιτο παρὰ τῶν ἐχθρῶν ἐπίθεσις ἀμυνώμεθα. θώρακα δ᾽ ἔλαβον αὐτὸς, καὶ μάχαιραν ὑπεζωσάμην ὡς οἷόν τε ἦν ἀφανέστατα, καὶ ἦλθον εἰς τὴν προσευχήν. τοὺς μὲν οὖν σὺν ἐμοὶ πάντας ἐκκλεῖσαι προσέταξεν ἰησοῦς ὁ ἄρχων, αὐτὸς γὰρ ταῖς θύραις ἐφειστήκει. μόνον δὲ μετὰ τῶν φίλων εἰσελθεῖν εἴασεν. ἤδη δ᾽ ἡμῶν τὰ νόμιμα ποιούντων, καὶ εἰς προσευχὰς τραπομένων ἀναστὰς ὁ ἰησοῦς, περὶ τῶν ληφθέντων ἐκ τοῦ ἐμπρησμοῦ τῆς βασιλικῆς σκευῶν τοῦ ἀσήμου ἀργυρίου ἐπυνθάνετό μου τίνι τυγχάνει κείμενα. ταῦτα δ᾽ ἔλεγεν διατρίβειν τὸν χρόνον βουλόμενος, ἕως ἂν ὁ ἰωάννης παραγένηται. κἀγὼ πάντα καπέλλαν ἔχειν ἔφην, καὶ τοὺς δέκα πρώτους τιβεριέων, ἀνακρῖναι δ᾽ αὐτοὺς ἔφην εἰ ψεύδομαι. τῶν δὲ παρ᾽ ἑαυτοῖς εἶναι λεγόντων. οἱ δ᾽ εἴκοσιν εἶπεν χρυσοῖ, οὓς ἔλαβες πωλήσας τινὰ σταθμὸν ἀσήμου τί γεγόνασιν; καὶ τούτους ἔφην δεδωκέναι πρέσβεσιν αὐτῶν ἐφόδιον πεμφθεῖσιν εἰς ἱεροσόλυμα. πρὸς ταῦτα, οἱ μὲν περὶ τὸν ἰωνάθην, οὐ καλῶς ἔφασαν πεποιηκέναι με δόντα τοῖς πρέσβεσι τὸν μισθὸν ἐκ τοῦ κοινοῦ. παροξυνθέντος δὲ τοῦ πλήθους ἐπὶ τούτοις, ἐνόησαν γὰρ τὴν ἀνθρώπων τὴν πονηρίαν, συνεὶς ἐγὼ στάσιν μέλλουσαν ἐξάπτεσθαι, καὶ προσεξερεθίσαι

A His dictis proferebant quatuor epistolas, quasi scriptas ad se à Galilæis extremos eius regionis fines tuentibus, & implorantibus suum auxilium. His auditis Tiberienses creduli clamare cœperunt non desidendum esse vlterius; sed ferendam opem tribulibus in tanto periculo. ego contrà legatorum fucum intelligens; aio me sine mora iturum quò belli vocet necessitas: sed quia è diuersis quatuor locis literæ venerint, Romanorum incursiones nun-B ciantes, oportere in totidem partes diuisis copiis, singulos legatorum præfici singulis. decere enim viros fortes non consilio solùm rem laborantem iuuare, sed ductu etiam suo & auxilio. me enim non posse nisi vnam exercitus partem ducere. Placuerunt hæc multitudini, móxque cogebat & ipsos exire ad obeunda ducum munia. at illi vehementer animo turbati sunt, conatu suo frustrato per machinationes à me oppositas. Ibi vnus eorum Ana-C nias nomine, vir malus & maleficus, suadet indici publicum ieiunium in diem posterum, vtque ad eandem horam omnes in eundem locum inermes conueniant, nimirum agnoscentes sine diuina ope nihil agi armis hominum. hæc autem non pietatis ergô dicebat, sed vt me exarmaret vnà cum meis militibus. tum ego quoque obediui necessariò, ne viderer piam admonitionem contemnere. Itaque digressis domum omnibus Ionathas & colle-D gæ scribunt Ioanni, vt ad se mane veniat quàto possit comitatu militum. facilè enim me in potestatem suam redacto voti fore compotem. ille acceptis literis libenter paruit. Postera die satellitum duos fortissimos ac fidissimos iubeo celatis sub veste breuibus gladiis mecum prodire in publicum, vt nos possemus defendere contra inimicorum si qua existeret iniuriam: ipse quoque thorace indutus & accinctus gladio quàm occultis-E simè in Proseucham ad precandum conueni. Iesus autem me cum amicis ingresso, astâns foribus reliquorum ex meis admitti permisit neminem. Iámque nobis ritu patrio precationes incœptantibus, exurgens Iesus ex me quærit de suppellectili incensæ regiæ, rudíque argento, apud quem sint hæc deposita, quorum ideo tum mentionem faciebat, vt tempus in Ioannis aduentum tereret. Respondi Capellam habere omnia, & F decem illos Tiberiensium ciues primarios: iussíque vt ex ipsis sciscitarentur an vera loquerer. Quibus habere se fatentibus, Quid, inquit, illi viginti aurei, quos argenti rudis certò pondere vendito recepisti, in quem vsum à te conuersi sunt? Et hos, inquam, dedi in viaticum legatis missis Hierosolyma. ad hæc Ionathas & collegæ responderunt, non rectè factum quòd legatis ex publica pecunia mercedem soluerim. Plebe autem cõmota ob G euidentem hominum maliciam, cùm intelligerem nõ procul à seditione rem abesse, volés

magis etiam contra eos irritare populum: Si, inquam, malè factum est quòd legatis mercedem dedi ex publico, non est cur molesti mihi sitis amplius, nam ipse persoluam istos viginti aureos. tum populus tanto magis accensus est, quanto euidentius erat iniquum illorum in me odium. Tum Iesus videns rem contrà quàm sperabat succedere, iussit solo senatu remanente abire cæteram multitudinem. neque enim per tumultum posse inquisitionem de tanto negocio fieri. populo autem reclamante nunquam fore vt me solum inter eos deserant, venit quidam clàm Iesu nuncians, non longè abesse Ioannem cum armato milite. Tum Ionathas non ampliùs se continens, Deo fortasse sic saluti meæ prospiciente, alioquin enim non euasissem Ioannis impetum: Desinite, inquit, Tiberienses de viginti aureis inquirere: non enim meretur Iosephus propter hos supplicium: sed quia tyrannidem affectat, & principatum sibi parauit decepta imperita multitudine. & cum dicto interfecturi conabantur mihi manus iniicere. quo viso mei comites strictis gladiis intentando vulnera absterruerunt eos: simúlque populus sublatis lapidibus ferire volens Ionatham, eripuerunt me ab inimicorum violentia. cúmque paulum progressus, incidissem in viam per quam Ioannes veniebat cum manu militum, territus deflexi per quendam angiportum ad lacum: atque ita conscensa naue Taricheas euasi, tantum non oppressus inopinato periculo. Quamobrem accersitis mox Galilæorum primatibus denarraui eis quomodo præter ius & fas penè occisus fuerim à Ionatha & Tiberiensibus. qua iniuria concita tota Galilæorum multitudo, hortabatur ne cunctarer inimicis bellum inferre, sed sinerem eos ire, ipsúmque Ioannem & Ionatham atque collegas delere funditùs. attamen compescebam eorum iracundiam, expectare iubens donec cognoscamus quidnam legati nostri à Hierosolymitanorum ciuitate afferant. aiebam enim oportere nos nihil citra eorum assensum agere. his verbis persuasi sunt. Ioannes autem tunc quoque irrito conatu reuersus est Gischala. Post paucos aliquot dies legati nostri reuersi nunciabant Hierosolymitanum populum valde irasci Anano & Simoni Gamalielis filio, quòd absque consilio publico legatis missis conati sint me dimouere à præfectura Galilææ: aiebántque minimum abfuisse quin ædes eorum incensæ sint à populo. attulerunt etiam literas: quibus Hierosolymorum primates ex autoritate populi, confirmabant me Galilæis præsidem: simúlque Ionatham & collegas eius iubebant quantocyùs domum repetere. His literis receptis veni in vicum Arbela, quò Galilæorum conuentum indixeram: vbi iussi legatos narrare quàm indignè Hierosolymitani tulerint Ionathæ maliciam, quódque eius regionis præfecturam suo decreto mihi ratam fecerint, & Ionatham cum suis iusserint inde decedere.

A μᾶλλον βουλόμενος τὸν δῆμον ἐπὶ τοὺς ἀνθρώπους, ἀλλ' εἰ μὴ ὀρθῶς, εἶπον, ἔπραξα δοὺς τὸν μισθὸν ἐκ τῶν κοινῶν τοῖς πρέσβεσιν ὑμῶν, παύσασθε χαλεπαίνοντες· ἐγὼ γὰρ τοὺς εἴκοσι χρυσοῦς αὐτὸς ἀποτίσω. ταῦτ' εἰπόντος, οἱ μὲν περὶ τὸν Ἰωνάθην ἡσύχασαν. ὁ δὲ δῆμος ἔτι μᾶλλον κατ' αὐτῶν παρωξύνθη φανερὰν ἐπιδεικνυμένων τὴν ἄδικον πρός ἐμὲ δυσμένειαν. συνιδὼν δὲ τὴν μεταβολὴν Ἰησοῦς, τὸν μὲν δῆμον ἐκέλευεν ἀναχωρεῖν, προσμεῖναι B δὲ τὴν βουλὴν ἠξίωσεν. οὐ γὰρ δύνασθαι θορυβουμένοις περὶ πραγμάτων τηλικούτων τὴν ἐξέτασιν ποιεῖσθαι. τοῦ δὲ δήμου βοῶντος μὴ καταλείψειν παρ' αὐτοῖς ἐμὲ μόνον, ἧκέν τις ἀγγέλλων κρύφα τοῖς περὶ τὸν Ἰησοῦν Ἰωάννην μετὰ τῶν ὁπλιτῶν πλησιάζειν. καὶ οἱ περὶ τὸν Ἰωνάθην οὐκ ἔτι κατασχόντες αὑτούς, τάχα καὶ τοῦ θεοῦ προνοοῦντος τῆς ἐμῆς σωτηρίας, μὴ γὰρ ἂν γενομένου τούτου πάντως ὑπὸ τοῦ Ἰωάννου διεφθάρην, παύσασθε, φησίν, ὦ Τιβεριεῖς τὴν ζήτησιν εἴκοσι χρυσῶν ἕνεκεν, διὰ τούτους μὲν γὰρ οὐκ ἄ- C ξιός ἐστιν Ἰώσηπος ἀποθανεῖν. ὅτι δὲ τυραννεῖν μὲν ἐπεθύμησεν, καὶ τὰ Γαλιλαίων πλήθη λόγοις ἀπατήσας τὴν ἀρχὴν αὐτῶν κατεκτήσατο ταῦτα δὲ λέγοντες, εὐθύς μοι τὰς χεῖρας ἐπέβαλλον, ἀναιρεῖν τε ἐπεχείρουν. ὡς δ' εἶδον οἱ σὺν ἐμοὶ τὸ γινόμενον, σπασάμενοι τὰς μαχαίρας καὶ παίσειν ἀπειλήσαντες εἰ βιάζοιντο, τοῦ δήμου λίθους ἀραμένου, καὶ βάλλειν ἐπὶ τὸν Ἰωνάθην ὁρμήσαντος, ἐξαρπάζουσί με τῆς τῶν πολεμίων βίας. ἐπεὶ δὲ προ- D ελθὼν ὀλίγον ὑπαντιάζειν ἔμελλον τὸν Ἰωάννην ἰόντα μετὰ τῶν ὁπλιτῶν, δείσας ἐκεῖνον μὲν ἐξέκλινα· διὰ στενωποῦ δέ τινος ἐπὶ τὴν λίμνην σωθεὶς, καὶ πλοίου λαβόμενος, ἐμβὰς εἰς Ταριχαίας διεπεραιώθην ἀπροσδοκήτως τὸν κίνδυνον διαφυγών. μεταπέμπομαί τε εὐθὺς τοὺς πρωτεύοντας τῶν Γαλιλαίων, καὶ φράζω τὸν τρόπον ᾧ παρ' ὀλίγον ἀναιρεθεὶς ὑπὸ τῶν περὶ τὸν Ἰωνάθην καὶ τοὺς Τιβεριεῖς, παρ' ὀλίγον διεφθάρην παρ' αὐτῶν. ὀργισθὲν δ' ἐπὶ τούτοις, τῶν Γαλιλαίων τὸ πλῆθος, E παρεκελεύετό μοι, μηκέτι μέλλειν τὸν πρὸς αὐτοὺς πόλεμον ἐκφέρειν, ἀλλ' ἐπιτρέπειν αὐτοῖς ἐλθοῦσιν ἐπὶ τὸν Ἰωάννην, ἄρδην αὐτὸν ἀφανίσαι, καὶ τοὺς περὶ τὸν Ἰωνάθην. ἐπεῖχον δ' ὅμως αὐτοὺς ἐγώ, καίπερ οὕτως ὀργιζομένους, περιμένειν αὐτοὺς κελεύων, ἕως μάθωμεν τί οἱ πεμφθέντες ὑπ' αὐτῶν εἰς τὴν Ἱεροσολυμιτῶν πόλιν ἀπαγγέλλουσιν. μετὰ τῆς ἐκείνων γὰρ γνώμης, τὰ δοκοῦντα πράξειν αὐτοὺς ἔφην. καὶ ταῦτ' εἰπὼν ἔπεισα. τότε F δὴ καὶ Ἰωάννης οὐ λαβούσης αὐτῷ τέλος τῆς ἐνέδρας, ἀνεζεύγνυεν εἰς τὰ Γίσχαλα. μετ' οὐ πολλὰς δ' ἡμέρας ἀφικνηθέντων πάλιν ἐπέμψαμεν, καὶ ἀπήγγελλον σφόδρα τὸν δῆμον ἐπὶ τοῖς περὶ τὸν Ἄνανον καὶ τὸν Σίμωνα τὸν τοῦ Γαμαλιήλου παροξυνθῆναι, ὅτι χωρὶς γνώμης τοῦ κοινοῦ πέμψαντες εἰς τὴν Γαλιλαίαν ἐκπεσεῖν με παρεσκεύασαν. ἔφασαν δ' οἱ πρέσβεις, ὅτι καὶ τὰς οἰκίας αὐτῶν ὁ δῆμος ὥρμησεν ἐμπρῆσαι. ἔφερον δὲ καὶ γράμματα, δι' ὧν οἱ τῶν Ἱεροσολυμιτῶν πρῶτοι, πολλὰ τοῦ G δήμου δεηθέντος αὐτῶν, ἐμοὶ τὴν τῆς Γαλιλαίας ἀρχὴν ἐβεβαίουν. τοῖς δὲ περὶ τὸν Ἰωνάθην προσέτασσον εἰς τὴν οἰκίαν ὑποστρέφειν θᾶσσον. ἐντυχὼν οὖν ταῖς ἐπιστολαῖς, εἰς Ἄρβηλα κώμην ἀφικόμην, ἔνθα σύνοδον τῶν Γαλιλαίων ποιησάμενος, ἐκέλευσα τοὺς πρέσβεις διηγήσασθαι τὴν ἐπὶ τοῖς πεπραγμένοις ὑπὸ τῶν περὶ τὸν Ἰωνάθην ὀργὴν καὶ μισοπονηρίαν, καὶ ὡς κυρώσειαν ἐμοὶ τῆς χώρας αὐτῶν τὴν προστασίαν, τά τε πρὸς τοὺς περὶ τὸν Ἰωνάθην γεγραμμένα περὶ ἀπαλλαγῆς.

πρὸς

πρὸς οὓς δὴ καὶ τὴν ἐπιστολὴν εὐθέως διεπεμψάμην, πολυπραγμονῆσαι τὸν κομίσαντα κελεύσας τί ποιεῖν μέλλουσιν. δεξάμενοι δ' ἐκεῖνοι τὴν ἐπιστολὴν καὶ ταραχθέντες οὐχὶ μετρίως, μεταπέμπονται τὸν Ἰωάννην καὶ τοὺς ἐκ τῆς βουλῆς τῶν Τιβεριέων, τούς τε πρωτεύοντας Γαβάρων, βουλήν τε προτιθέασι σκοπεῖσθαι κελεύοντες τί πρακτέον ἐστὶν αὐτοῖς. Τιβεριεῦσι μὲν οὖν αὐτὸ ἔχεσθαι μᾶλλον ἐδόκει τῶν πραγμάτων. οὐ δεῖν γὰρ ἔφασαν ἐγκαταλιπέσθαι τὴν πόλιν αὐτῶν ἅπαξ ἐκείνοις προστεθειμένην, ἄλλως τε μηδ' ἐμοῦ μέλλοντος αὐτῶν ἀφέξεσθαι. τοῦτο γὰρ ὡς ἠπειληκότος ἐμοῦ κατεψεύδοντο. ὁ δὲ Ἰωάννης, οὐ μόνον τούτοις συνηρέσκετο. πορευθῆναι δὲ συνεβούλευεν αὐτῶν τοὺς δύο κατηγορήσοντάς μου πρὸς τὸ πλῆθος ὅτι μὴ καλῶς τὰ κατὰ τὴν Γαλιλαίαν διοικῶ, καὶ πείσειν ῥαδίως αὐτοὺς ἔφη διά τε τὸ ἀξίωμα, καὶ παντὸς πλήθους εὐτρέπτως ἔχοντος. δόξαντος οὖν τοῦ Ἰωάννου κρατίστην εἰσηγεῖσθαι γνώμην, ἔδοξε δύο μὲν ἀπιέναι πρὸς τοὺς Ἱεροσολυμίτας, Ἰωνάθην καὶ Ἀνανίαν, τοὺς ἑτέρους δὲ δύο μένοντας ἐν τῇ Τιβεριάδι καταλιπεῖν. συνεπηγάγοντο δὲ φυλακῆς ἕνεκα τῆς ἑαυτῶν ὁπλίτας ἑκατόν. Τιβεριεῖς δὲ, τὰ μὲν τείχη προενόησαν ἀσφαλίσασθαι, τοὺς ἐνοίκους δὲ κελεύουσιν ἀναλαβεῖν τὰ ὅπλα. καὶ παρ' Ἰωάννου δὲ μετεπέμψαντο στρατιώτας οὐκ ὀλίγους συμμαχήσοντας εἰ δεήσειεν αὐτοῖς τὰ πρὸς ἐμέ. ἦν δὲ ὁ Ἰωάννης ἐν Γισχάλοις. οἱ τοίνυν περὶ τὸν Ἰωνάθην ἀναζεύξαντες ἀπὸ τῆς Τιβεριάδος ὡς ἧκον εἰς Δαβάριττα κώμην ἐν τῇ ἐσχατιᾷ τῆς Γαλιλαίας κειμένην ἐν τῷ μεγάλῳ πεδίῳ, περὶ μέσην νύκτα τοῖς ἐμοῖς φύλαξιν ἐμπίπτουσιν· οἳ καὶ κελεύσαντες αὐτοὺς τὰ ὅπλα καταθέσθαι, ἐφύλασσον ἐν δεσμοῖς ἐπὶ τόπου καθὼς αὐτοῖς ἐντεταλμένην. γράφει δὲ πρός με ταῦτα δηλῶν Λευίς, ᾧ τὴν φυλακὴν πεπιστεύκειν. διαλιπὼν οὖν ἡμέρας δύο, καὶ μηδὲν ἐγνωκέναι προσποιησάμενος, πέμψας πρὸς τοὺς Τιβεριεῖς συνεβούλευον αὐτοῖς τὰ ὅπλα καταθεμένους, ἀπολύειν τοὺς ἀνθρώπους εἰς τὴν ἑαυτῶν. οἱ δὲ δόξαν γὰρ εἶχον τοὺς περὶ τὸν Ἰωνάθην εἰς τὰ Ἱεροσόλυμα ἤδη διαπεπορεῦσθαι, βλασφήμοις ἐποιήσαντο τὰς ἀποκρίσεις. μὴ καταπλαγεὶς δ' ἐγὼ καταστρατηγεῖν αὐτοὺς ἐπενόουν· πρὸς γὰρ τοὺς ὁπλίτας ἐξάπτειν πόλεμον οὐκ ἐνόμιζον εὐσεβὲς εἶναι. βουλόμενος δ' αὐτοὺς ἀποσπάσαι τῶν Τιβερίων, μυρίους ὁπλίτας τοὺς ἀρίστους ἐπιλέξας, εἰς τρεῖς μοίρας διεῖλον. καὶ τούτους μὲν ἀφανῶς ἐν Δώμαις προσέταξα λοχῶντας περιμένειν· χιλίους δὲ εἰς ἑτέραν κώμην, ὀρεινὴν μὲν ὁμοίως, ἀπέχουσαν δὲ τῆς Τιβεριάδος τέσσαρας σταδίους εἰσήγαγον, κελεύσας ἐκείνους ἐπειδὰν λάβωσι σημεῖον εὐθὺς καταβαίνειν. αὐτὸς δὲ τῆς κώμης προελθὼν, ἐν προύπτῳ καθεζόμην. οἱ δὲ Τιβεριεῖς ὁρῶντες ἐξέτρεχον συνεχῶς, καὶ πολλὰ κατεκερτόμουν. τοσαύτη γοῦν ἀφροσύνη κατεῖχεν αὐτούς, ὥστε ποιήσαντες εὐπρεπῆ κλίνην προύθεσαν, καὶ περὶ αὐτὴν ἱστάμενοι ὠδύροντο μετὰ παιδιᾶς καὶ γέλωτος. διετιθέμην δ' ἐγὼ τὴν ψυχὴν ἡδέως τὴν ἄνοιαν αὐτῶν ἐπιβλέπων. βουλόμενος δὲ δι' ἐνέδρας λαβεῖν τὸν Σίμωνα, καὶ σὺν αὐτῷ τὸν Ἰώζαρον, πέμψας πρὸς αὐτούς, παρεκάλουν ὀλίγον τῆς πόλεως πορρωτέρω μετὰ φίλων πολλῶν τε τῶν φυλαξόντων αὐτοὺς ἐλθεῖν. βούλεσθαι γὰρ ἔφην καταβάς, σπείσασθαι πρὸς αὐτοὺς καὶ διανείμασθαι τὴν προστασίαν τῆς Γαλιλαίας. Σίμων μὲν οὖν διά τε ἄνοιαν καὶ πρὸς ἐλπίδι κέρδους ἀπατηθεὶς, οὐκ ὤκνησεν ἐλθεῖν. ὁ δὲ Ἰώζαρος ἐνέδραν ὑποπτεύσας, ἔμεινεν. ἀναβάντα δὴ τὸν Σίμωνα μετὰ φίλων

A ad quos confestim transmisi eam epistolam, obseruare iusso tabellario, quidnam facturi sint. illi recepta epistola territi non mediocriter, accersunt Ioannem & senatores Tiberiensium, & primates Gabaræ, consulentes eos quidnam oporteat facere. Tiberienses igitur censebant debere eos constanter obtinere administrationem reipublicæ, nec deserere vrbem quæ semel ipsorum fidei se commiserit, maximè cùm ego eos vellem inua- B dere. hoc enim me minatum mentiti sunt. idem probabat & Ioannes, addens mittendos esse duos è collegis Hierosolyma, qui me accusent apud populum, quòd non rectè curem res Galilææ, dicens id persuasurum facile, tum ob ipsorum autoritatem, tum quòd omne vulgus natura sit mobile. Placuit Ioannis sententia: móxque Ionatham cum Anania mittunt ad Hierosolymitanum populum, reliquis duobus manentibus apud Tiberiadem. C deducebantur autem securitatis causa à centum è suis militibus. Tiberienses porrò sartis diligenter mœnibus, iusserunt habitatores vrbis arma sumere: & à Ioanne, qui tum Gischalis erat, acciuerunt non paucos milites, qui sibi essent, si ita fors ferret, contra me præsidio. Interim Ionathas cum suis iter faciens vt venit Darabitta, qui vicus in Magno campo situs est in extremis Galilææ finibus, media nocte in stationem meorum mi- D litum excubantium incidit: qui iussos arma ponere asseruauerunt vinctos quo loco mandaueram: mihi autem Leui eorũ militum præfectus rem totam significat: itaque per biduum dissimulato negocio, per nuncios hortatus sum Tiberienses vt ab armis discederent. at illi rati Ionatham iam peruenisse Hierosolyma, nihil responderunt præter conuicia. nec tamen sum deterritus quominus arte contra eos vterer, nefas ducens belli ciuilis initium fa- E cere. Volens igitur eos extra mœnia prolicere: selecta militum decem millia diuisi trifariam. Horum partem subsidentem Doris occultè collocaui: mille verò in alio loco mõtano similiter, distante quatuor stadiis à Tiberiade, expectantes dum signum procurrendi acciperent. ipse vico egressus substiti in propatulo. id videntes Tiberienses procursabant continuò iacentes amarulenta dicteria: tantáque eos tum insania corripuit, vt propo- F sita funebri lectica ornata magnificè, circa eã me videlicet lamentarentur per ludibrium. at ego tacitus fruebar eorum stultitia. Volens autem Simonem per insidias intercipere & cum eo Ioazarum, rogaui vt paulum extra vrbem cum amicis & stipatoribus securitatis causa procederent. Velle enim me per colloquium fœdus cum eis ferire, & prouinciæ curam diuidere. Tum Simon stultitia simul & lucri cupidine captus non recusauit venire: Ioazarus verò insidias suspicatus remansit. aduenĩetem igitur Simonem comitatum amicis

& corporis custodibus excepi humaniter, gratias agens quòd venire dignatus sit. paulò verò pòst inambulando, quasi sine arbitris dicturus aliquid seductum ab amicis longiùs, mediúmque arreptum sublimem tradidi perducendum in vicum proximum: datóque signo militibus, petebam cum eis Tiberiadem. cúmque vtrinque coortum esset acre prælium, nostris iam cedentibus cohortatione animum reddidi, & Tibeuienses tantùm non victores intra mœnia compuli. immissa deinde alia manu per lacum, mãdaui vt quam domum primam occupassent incenderent: quo facto Tiberienses vi captam vrbem rati, abiectis armis supplicabant cum mulieribus & pueris vt victis parcerem. ego verò precibus flexus, impetum militum cohibui: & dato receptui signo iam vespere ad curãdum corpus abij: adhibitóque Simone ad conuiuium, consolabar hominem, promittens remissurum me eum Hierosolyma instructum viatico & deductoribus securitatis causa additis. Insequenti verò die cum decem armatorum millibus Tiberiadem ingressus sum: & accitis in stadium primatibus populi, iussi quinam essent defectionis autores dicere. eos indicatos iniectis vinculis misi Iotapam. Ionatham autem & collegas solutos numerato etiam viatico, militibus quingentis deducendos Hierosolyma tradidi. Deinde Tiberienses iterum ad me conueniunt orantes veniam, & quòd hactenus cessatum sit repensuros se pollicentes futuris officiis: rogabántque vt direpta bona veteribus dominis restituerem. mox igitur edixi vt omnia conferrentur in medium. cúmque cunctarentur milites, quendam ex eis conspicatus cultiorem solito, sciscitatus sum vnde eam vestem nactus sit: & fassum rapina esse partam castigaui verberibus, omnibus grauiorem pœnam comminatus, nisi proferrent quicquid rapuerant: congestáque præda plurima singulis ciuium agnoscentibus sua reddidi. Hoc loco libet paucis reprehendere Iustum huius argumenti scriptorem, cæterósque qui historiam polliciti veritate neglecta non verentur ad gratiam odiúmve mendacia posteritati prodere: nihil enim ab instrumentorum falsariis differunt, nisi quòd hos magis corrumpit impunitas. Is vt videretur bene tempus insumere, res hoc bello gestas scribere aggressus, multa mentitus de me, ne de sua quidem patria vera loquutus est. Quamobrem nunc mihi incumbit necessitas, vt ad coarguenda quæ de me falsò testatus est, proferam quæ hactenus silui. nec mirum videri debet, quòd tam diu id facere distulerim. historicum enim dicere quidem vera necesse est, licet tamen ei non inuehi in malos acerbius, non quòd illi hac gratia digni sunt, sed propter seruandam modestiam. Vt igitur ad te iam sermonem vertã, Iuste historicorũ tuo testimonio grauissime,

A τῶν παραφυλασσόντων αὐτὸν, ὑπαντιάσας ἠσπαζόμην φιλοφρόνως, καὶ χάριν ἔχειν ὡμολόγουν ἀναβάντι. μετ' οὐ πολὺ δὲ συμπεριπατῶν ὡς κατὰ μόνας τι βουλόμενος εἰπεῖν, ἐπεὶ πορρωτέρω τῶν φίλων ἀπήγαγον, μέσον ἀράμενος ἀγαγεῖν εἰς τὴν κώμην τοῖς μετ' ἐμοῦ φίλοις ἔδωκα. τοὺς ὁπλίτας δὲ καταβῆναι κελεύσας, προσέβαλλον μετ' αὐτῶν τῇ Τιβεριάδι. μάχης δὲ γινομένης ἀμφοτέρωθεν καρτερᾶς, καὶ ὅσον οὔπω τῶν Τιβεριέων νικώντων, πεφεύγεσαν γὰρ οἱ παρ' ἡμῶν ὁπλῖται, τὸ γινό-
B μενον ἰδὼν, καὶ τοὺς μετ' αὐτοῦ παρακαλέσας, νικῶντας ἤδη τοὺς Τιβεριεῖς εἰς τὴν πόλιν συνεδίωξα. ἑτέραν δὲ δύναμιν εἰσπέμψας διὰ τῆς λίμνης, προσέταξα τὴν πρώτην λαβοῦσιν οἰκίαν, ἐμπρῆσαι. τούτου δὲ γενομένου νομίσαντες οἱ Τιβεριεῖς εἰλῆφθαι κατὰ κράτος αὐτῶν τὴν πόλιν, ὑπὸ φόβου ῥίπτουσι τὰ ὅπλα, μετὰ γυναικῶν δὲ καὶ τέκνων ἱκέτευον φείσασθαι τῆς πόλεως αὐτῶν. ἐγὼ δὲ πρὸς
C δέησις ἐπικλασθεὶς, τοὺς μὲν στρατιώτας τῆς ὁρμῆς ἐπέσχον, αὐτὸς δὲ, καὶ γὰρ ἑσπέρα κατέλαβεν, μετὰ τῶν ὁπλιτῶν τῆς πολιορκίας ὑποστρέψας, περὶ τὴν τοῦ σώματος θεραπείαν ἐγινόμην. καλέσας δὲ ἐπὶ τὴν ἑστίασιν τὸν Σίμωνα παρεμυθούμην περὶ τῶν γεγονότων. ὑπισχνούμην τε δοὺς ἐφόδια αὐτῷ παραπέμψειν εἰς Ἱεροσόλυμα μετὰ πάσης ἀσφαλείας. κατὰ δὲ τὴν ἐπιοῦσαν ἡμέραν, μυρίους ἐπαγόμενος ὁπλίτας, ἧκον εἰς Τιβεριάδα· καὶ μεταπεμψάμενος εἰς τὸ στάδιον τοὺς πρώτους αὐτῶν τοῦ πλήθους, ἐκέλευσα
D φράζειν οἵτινες εἶεν αἴτιοι τῆς ἀποστάσεως. ἐνδειξαμένων δὲ τοὺς ἄνδρας, ἐκείνους μὲν δεδεμένους εἰς τὴν Ἰωτάπην πόλιν ἐξέπεμψα. τοὺς δὲ περὶ τὸν Ἰωνάθην καὶ Ἀνανίαν, λύσας τῶν δεσμῶν καὶ δοὺς ἐφόδια, μετὰ Σίμωνος καὶ Ἰωαζάρου καὶ ὁπλιτῶν πεντακοσίων, οἳ παραφυλάξουσιν αὐτοὺς, ἐξέπεμψα εἰς τὰ Ἱεροσόλυμα. Τιβεριεῖς δὲ πάλιν προσελθόντες συγγνώσεσθαι αὐτοῖς παρεκάλουν περὶ τῶν πεπραγμένων, ἐπανορθώσασθαι τὰς ἁμαρτίας τῇ μετὰ
E ταῦτα πρὸς ἐμὲ πίστει λέγοντες. τὰ δὲ ἐκ τῆς διαρπαγῆς περισσεύσαντα σῶσαι με τοῖς ἀπολέσασιν ἐδέοντο. κἀγὼ τοῖς ἔχουσι προσέταττον εἰς μέσον πάντα φέρειν. ἀπειθούντων δὲ μέχρι πολλοῦ, θεασάμενός τινα τῶν περὶ ἐμὲ στρατιωτῶν λαμπροτέραν τῆς συνήθους περικείμενον στολὴν, ἐπυθόμην πόθεν ἔχοι. εἰπόντος δὲ ἐκ τῆς κατὰ πόλιν ἁρπαγῆς, ἐκεῖνον μὲν πληγαῖς ἐκόλασα· τοῖς δὲ ἄλλοις ἅπασιν ἠπείλησα μείζω τιμωρίαν ἐπιθήσειν μὴ κομίσασιν εἰς ἐμφανὲς ὅσα ἡρπάκεισαν. πολλῶν δὲ συνα-
F χθέντων ἑκάστῳ τῶν Τιβεριέων τὸ ἐπιγνωσθὲν ἀπεδίδωκα. γενόμενος δὲ ἐνταῦθα τῆς διηγήσεως, βούλομαι πρὸς Ἰοῦστον καὶ αὐτὸν τὴν περὶ τούτων πραγματείαν γεγραφότα, πρός τε τοὺς ἄλλους τοὺς ἱστορίαν μὲν γράφειν ὑπισχνουμένους, περὶ δὲ τὴν ἀλήθειαν ὀλιγώρους, καὶ δι' ἔχθραν, ἢ χάριν τὸ ψεῦδος οὐκ ἐντρεπομένους μικρὰ διεξελθεῖν. πράττουσι μὲν γὰρ ὅμοιόν τι τοῖς περὶ συμβολαίων πλαστὰ γράμματα συντιθεῖσιν, τῷ δὲ μηδεμίαν ὁμοίως τιμωρίαν ἐκείνοις δεδιέναι καταφρονοῦσι τῆς ἀληθείας. Ἰοῦστος γοῦν συγγράφειν τὰς περὶ τούτων ἐπι-
G χειρήσας πράξεις, καὶ τὸν πόλεμον, ὑπὲρ τοῦ δοκεῖν φιλόπονος εἶναι, ἐμοῦ μὲν κατέψευσται, ἠλήθευσε δὲ οὐδὲ περὶ τῆς πατρίδος. ὅθεν ἀπολογήσασθαι γὰρ νῦν ἀνάγκην ἔχω καταψευδομαρτυρούμενος, ἐρῶ τὰ μέχρι νῦν σεσιωπημένα. καὶ μὴ θαυμάσῃ τις, ὅτι μὴ πάλαι περὶ τούτων ἐδήλωσα. τῷ γὰρ ἱστορίαν ἀναγράφοντι τὸ μὲν ἀληθεύειν ἀναγκαῖον. ἔξεστι δ' ὅμως μὴ πικρῶς τὰς τινῶν πονηρίας ἐλέγχειν, οὐ διὰ τὴν πρὸς ἐκείνους χάριν, ἀλλὰ διὰ τὴν αὐτοῦ μετριότητα. πῶς οὖν, ἵνα φῶ πρὸς αὐτὸν ὡς παρόντα, Ἰοῦστε δεινότατε συγγραφέων,

τοῦτο

τοῦ τὸ γὰρ ἀρχῆς περὶ σεαυτοῦ, αἴτιοι γεγόναμεν ἐγώ τε καὶ γαλιλαῖοι τῇ πατρίδι σου τῆς πρὸς ῥωμαίους καὶ πρὸς τὸν βασιλέα στάσεως; πρότερον γὰρ ἢ ἐμὲ τῆς Γαλιλαίας στρατηγὸν ὑπὸ τοῦ κοινοῦ τῶν ἱεροσολυμιτῶν χειροτονηθῆναι, σὺ καὶ πάντες τιβεριεῖς, οὐ μόνον ἀνειλήφατε τὰ ὅπλα, ἀλλὰ καὶ τὰς ἐν τῇ συρίᾳ δέκα πόλεις ἐπολεμεῖτε. σὺ γοῦν τὰς κώμας αὐτῶν ἐνέπρησας, καὶ ὁ σὸς οἰκέτης ἐπὶ τῆς παρατάξεως ἐκείνης ἔπεσεν. ταῦτα δ' οὐκ ἐγὼ λέγω μόνος, ἀλλὰ καὶ ἐν τοῖς οὐεσπασιανοῦ τοῦ αὐτοκράτορος ὑπομνήμασιν οὕτως γέγραπται. καὶ τίνα τρόπον ἐν Πτολεμαΐδι οὐεσπασιανοῦ κατεβόησαν οἱ τῆς δέκα πόλεων ἔνοικοι, τιμωρίαν ὑποσχεῖν σε τὸν αἴτιον ἀξιοῦντες. καὶ δεδώκεις ἂν δίκην οὐεσπασιανοῦ κελεύσαντος, εἰ μὴ βασιλεὺς ἀγρίππας λαβὼν ἐξουσίαν ἀποκτεῖναί σε, πολλὰ τῆς ἀδελφῆς βερενίκης δεηθείσης οὐκ ἀνελὼν δεδεμένον ἐπὶ πολὺν χρόνον ἐφύλαξεν. καὶ αἱ μετὰ ταῦτα δὲ πολιτεῖαί σου σαφῶς ἐμφανίζουσιν τόν τε βίον τὸν ἄλλον, καὶ ὅτι σὺ τὴν πατρίδα ῥωμαίων ἀπέστησας· ὧν τὰ τεκμήρια κἀγὼ δηλώσω μετ' ὀλίγον. βούλομαι δ' εἰπεῖν καὶ πρὸς τοὺς ἄλλους τιβεριεῖς ὀλίγα διὰ σέ, καὶ παραστῆσαι τοῖς ἐντυγχάνειν μέλλουσι τὴν ἱστορίαν, ὅτι μήτε φιλορώμαιοι, μήτε φιλοβασιλεῖς γεγόνατε. τῶν ἐν τῇ γαλιλαίᾳ πόλεων αἱ μέγισται, σέπφωρις καὶ τιβεριὰς ἡ σὴ πατρὶς ὦ ἰοῦστε. ἀλλὰ σέπφωρις μὲν ἐν τῷ μεσαιτάτῳ τῆς γαλιλαίας κειμένη, καὶ περὶ αὐτὴν κώμας ἔχουσα πολλάς, καί τι θρασύνεσθαι δυναμένη πρὸς ῥωμαίους εἴπερ ἠθέλησεν εὐχερῶς, διεγνωκυῖα τῇ πρὸς τοὺς δεσπότας ἐμμένειν πίστει, καὶ ἐμὲ τῆς πόλεως αὐτῶν ἐξέκλεισε, καὶ στρατεύσασθαί τινα τῶν πολιτῶν ἰουδαίοις ἐκώλυσεν. ὅπως δὲ καὶ τὰ πρὸς ἡμᾶς ἀσφαλὴς εἴη, ἠπάτησάν με τείχεσιν αὐτῶν τὴν πόλιν ὀχυρῶσαι προτραπέντες, καὶ παρὰ κεστίου γάλλου τοῦ τῶν ἐν τῇ συρίᾳ ῥωμαϊκῶν ταγμάτων ἡγεμονεύσαντος φρουρὰν ἑκόντες ἐνεδέξαντο, καταφρονήσαντες ἐμοῦ τότε μέγα δυναμένου, καὶ πᾶσι δι' ἐκπλήξεως ὄντος. πολιορκουμένης δὲ τότε τῆς μεγίστης ἡμῶν πόλεως ἱεροσολύμων, καὶ τοῦ κοινοῦ πάντων ἱεροῦ κινδυνεύοντος ἐν τῇ τῶν πολεμίων ἐξουσίᾳ γενέσθαι, συμμαχίαν οὐκ ἔπεμψαν μὴ βουλόμενοι δοκεῖν κατὰ ῥωμαίων ὅπλα λαβεῖν. ἡ δὲ σὴ πατρὶς ὦ ἰοῦστε κειμένη ἐν τῇ γεννησαρίτιδι λίμνῃ, καὶ ἀπέχουσα ἵππου μὲν στάδια τριάκοντα, γαδάρων δὲ ἑξήκοντα, σκυθοπόλεως δὲ εἴκοσι καὶ ἑκατὸν τῆς ὑπηκόου βασιλείας, μηδὲ μιᾶς δὲ πόλεως ἰουδαίων παρακειμένης, εἰ ἤθελεν τὴν πρὸς ῥωμαίους πίστιν φυλάττειν ῥᾳδίως ἐδύνατο. καὶ γὰρ ἥ τε πόλις ὅτι δῆμος ὅπλων εὐπορεῖτε. ἀλλ' ὡς σὺ φῂς αἴτιος ἦν ὑμῖν ἐγὼ τότε, μετὰ ταῦτα δὲ τίς ὦ ἰοῦστε; πρὸ γὰρ τῆς ἱεροσολύμων πολιορκίας οἶδας ὑπὸ ῥωμαίοις ἐμὲ γενόμενον, καὶ ἰωτάπατα κατὰ κράτος ληφθέντα, φρούριά τε πολλά, πολύν τε γαλιλαίων ὄχλον κατὰ τὴν μάχην πεσόντα. τότε οὖν ἐχρῆν ὑμᾶς πάντως ἀπηλλαγμένους τοῦ δι' ἐμὲ φόβου, ῥῖψαι τὰ ὅπλα καὶ παραστῆναι τῷ βασιλεῖ καὶ ῥωμαίοις, ὅτι δὴ οὐχ ἑκόντες, ἀλλ' ἀναγκασθέντες ἐπὶ τὸν πρὸς αὐτοὺς ὡρμήσατε πόλεμον. ὑμεῖς δὲ καὶ περιεμείνατε οὐεσπασιανόν, ἕως αὐτὸς ἀφικόμενος μετὰ πάσης τῆς δυνάμεως προσέλθῃ τοῖς τείχεσι, καὶ τότε διὰ φόβον τὰ ὅπλα κατέθεσθε. καὶ πάντως ἂν ὑμῶν ἡ πόλις ἥλω κατὰ κράτος, εἰ μὴ τῷ βασιλεῖ δεομένῳ καὶ τὴν ἄνοιαν ὑμῶν παραιτουμένῳ συνεχώρησεν οὐεσπασιανός. οὐκ ἐγὼ τοίνυν αἴτιος, ἀλλ' ὑμεῖς

quomodo ego & Galilæi in causa fuimus; vt patria tua deficeret à rege simul & Romanorũ Imperio? quandoquidem priusquam ego ex decreto ciuitatis Hierosolymitanæ in Galilæam dux mitterer, tu cum tuis Tiberiensibus armis correptis populariter ausi estis infestare etiam Syrorum Decapolim. Tu enim illorum vicos incendisti, & in illo conflictu tuus famulus cecidit. atque hæc non à me tantùm dicuntur, sed & in Vespasiani imperatoris commentarios relata sunt: quódque apud Ptolemaidem Decapolitani crebris clamoribus flagitauerunt vt Imperator de te pœnas sumeret, nimirum autore calamitatum suarum omnium. fecissétque id sine dubio, nisi Agrippa rex te sibi ad supplicium deditum, donasset sororis Berenices precibus, seruatum tamen longo tempore in custodia. Quin & ea quæ pòst gessisti in republica, satis declarant tum vitam tuam reliquam, tum quòd defectionis à Romanis autor ciuibus tuis fueris: id quod euidentibus argumentis paulo pòst docebimus. nunc etiam alij Tiberienses propter te accusandi sunt, & docendus lector quòd neque Romanis neque regi fideles amici fueritis. Vrbium Galilæarum maximæ sunt Sepphoris & Tiberias tua Iuste patria. Sed Sepphoritæ in meditullio regionis siti, & habentes circa se vicos plurimos; quoniam decreuerant seruare fidem dominis, & me excluserunt, & edicto vetuerunt ne quis ciuium suorum Iudæis militare audeat: vtq; à me minus sibi esset periculi, per fallacias induxerunt me priùs vt mœnibus vrbem eorum cingerem. Quibus absolutis præsidium sponte receperunt à Cestio Gallo tum gerente res in Syria, me contempto qui tum terrori eram cæteris propter potentiam. Iidem cùm oppugnarentur Hierosolyma & commune gentis nostræ templum esset in periculo, non miserunt suppetias, ne viderentur arma contra Romanos sumere. Tua verò Iuste patria sita ad lacum Genesareticum, & distans ab Hippo triginta stadiis sexaginta à Gadaris, Scythopoli centum & viginti, oppidis ditionis regiæ, nullique vicina Iudaicarum vrbium, si voluisset facilè Romanis fidem seruare potuit. nam & publicè & priuatim vobis erat armorum copia. Quòd si ego tunc in causa fui, vt tu Iuste dicis, quis fuit postea? nam me scis priusquam oppugnarentur Hierosolyma in Romanorum potestatem venisse, & vi capta Iotapata castelláque multa alia, multósque Galilæorum absumptos pugnis variis. Tunc igitur oportebat vos nihil amplius à me timentes arma proiicere, & regi ac Romanis accedere, siquidem non vltro sed coactos id bellum suscepisse vos dicitis. At vos expectastis donec Vespasianus ad mœnia vestra omnes admoueret copias, ac tum demum arma posuistis metu periculi. imò expugnanda erat vestra ciuitas, nisi rex excusata vestra stultitia impetrasset vobis à Vespasiano veniã. Nõ mea igitur est culpa, sed vestra

qui hostiles gessistis animos. An non meministis quoties victoria de vobis potitus neminem interfecerim. Vos verò dissidentes inter vos non propter regis aut Romanorum studium, sed propter vestram maliciam, centum octoginta quinque ciues occidistis, quo tempore ego à Romanis oppugnabar in Iotapatis. Quid an non in Hierosolymitana obsidione recensita sunt Tiberiensium duo millia, qui partim ceciderunt, partim viui capti sunt. An ideò te hostem fuisse negabis, quia tum ad regem perfugeras? Atqui hoc ipsum te fecisse aio à me perterritum. Dicis me esse malum hominem. Quid tu cui capitis per Vespasianum damnato rex Agrippa remisit supplicium: & cùm te magna pecunia donasset, iterum atque iterum coniecit in vincula, totiésque egit in exilium: semel etiam quem ipse duci iusserat, reuocauit à morte motus Berenices sororis suæ precibus. Postea toties in maleficiis deprehensum cùm te præposuisset scribendis epistolis, vt comperit hic quoque te mala fide rem agere, in conspectum suum venire prohibuit. Sed in hæc diligentiùs inquirere desino. Cæterùm tuam demiror impudentiam, qui asseueres omnibus qui hoc argumentum scripserunt te id tractasse melius, cùm ne hoc ipsum quidem scias, quid in Galilæa gestum sit. Eras enim apud regem in Beryto, ac ne Iotapatæ quidem oppugnationem cognouisti, aut quomodo me oppugnatus gesserim potuisti discere, quando nemo superstes fuit qui tibi renunciare valuerit. Sed fortè dices te exactè perscripsisse quæ circa Hierosolyma gesta sunt. Et qui potuisti, cùm nec ei bello interfueris, nec legeris Vespasiani commentarios. Non legisse te autem hinc coniicio: quia scripsisti contrarium. Quod si confidis te scripsisse melius omnibus, cur viuo Vespasiano ac Tito quorum auspiciis id bellum gestum est, & Agrippa superstite cognatisque eius viris Græcarum literarum peritissimis, non edidisti tuam historiam? Ante viginti enim annos eam scripseras, & poteras à consciis habere testimonium. Nunc postquam illi non sunt inter nos amplius, nec putas esse qui coarguat, ausus es librum edere. At non sic ego, neque meis scriptis timui: sed ipsis opus id imperatoribus tradidi, cùm adhuc recens id bellum penè versaretur in hominum oculis. Conscius enim mihi eram veritatis seruatæ per omnia, vnde speratum testimonium consequutus sum: Quin & aliis multis mox communicaui eam historiam, quorũ nõnulli bello interfuerant, sicut rex Agrippa & cognati eius aliquot. ipse sanè Titus Imperator adeò è solis illis libris cognitionem earum rerum homines petere voluit, vt sua manu subscriptos in bibliotheca publicari iusserit. Rex autem Agrippa sexaginta duas ad me dedit epistolas, testimonium veritatis ferentes, quarum duas subieci, vt ex ipsis rem tibi cognoscere liceat. Rex Agrippa Iosepho suo carissimo salutem. Perlibenter legi tuum librũ,

οἱ πολεμικὰ φρονήσαντες. εἰ οὐ μέμνησθε ὅτι τοσαυτάκις ὑμῶν ἐγκρατὴς γενόμενος, οὐδένα διέφθειρα. στασιάζοντες δὲ ὑμεῖς πρὸς ἀλλήλους, οὐ διὰ τὴν πρὸς τὸν βασιλέα καὶ ῥωμαίους εὔνοιαν, διὰ δὲ τὴν ὑμετέραν αὐτῶν πονηρίαν ἑκατὸν ὀγδοήκοντα πέντε τῶν πολιτῶν ἀπεκτείνατε κατὰ τὸν καιρὸν ἐκεῖνον ἐμοῦ πολιορκουμένου ἐν ἰωταπάτοις ὑπὸ ῥωμαίων. τί δ'; οὐχὶ κατὰ τὴν τῶν ἱεροσολύμων πολιορκίαν δισχίλιοι τιβεριέων ἐξητάσθησαν, οἱ μὲν πεπτωκότες, οἱ δὲ ληφθέντες αἰχμάλωτοι, ἀλλὰ σὺ πολέμιος οὐ γεγονέναι φήσεις, ὅτι πρὸς βασιλέα τότ' ἔφυγες. καὶ τοῦτο δὲ διὰ τὸν ἐξ ἐμοῦ φόβον φημί σε πεποιηκέναι. κἀγὼ μὲν πονηρὸς ὡς λέγεις. ὁ δὲ βασιλεὺς ἀγρίππας ὁ τὴν ψυχήν σοι συγχωρήσας ὑπὸ οὐεσπασιανοῦ θανεῖν κατακριθέντι, ὁ τοσούτοις δωρησάμενος χρήμασιν, τίνος ἕνεκεν ὕστερον δὶς μὲν ἔδησε, τοσαυτάκις δὲ φυγεῖν τὴν πατρίδα προσέταξε, καὶ ἀποθανεῖν δὲ κελεύσας ἅπαξ, τῇ ἀδελφῇ βερενίκῃ πολλὰ δεηθείσῃ τὴν σωτηρίαν ἐχαρίσατο. καὶ μετὰ τοσαῦτα δὲ τὰ κακουργήματα τάξιν ἐπιστολῶν σοι πιστεύσας, ὡς καὶ ταύτας σε εὗρε ῥᾳδιουργοῦντα, ἀπήλασε τῆς ὄψεως. ἀλλὰ περὶ μὲν τούτων ἐλέγχειν ἐῶ ἀκριβῶς. θαυμάζειν δ' ἔπεισί μοι τὴν σὴν ἀναίδειαν, ὅτι τολμᾷς λέγειν ἁπάντων τῶν τὴν πραγματείαν ταύτην γεγραφότων, αὐτὸς ἄμεινον ἐξηγγελκέναι, μήτε τὰ πραχθέντα κατὰ τὴν γαλιλαίαν ἐπιστάμενος. ἦς γὰρ ἐν βηρυτῷ τότε παρὰ βασιλεῖ. μήθ' ὅσα ἔπαθον ῥωμαῖοι ἐπὶ τῆς ἰωταπάτων πολιορκίας ἢ ἔδρασαν ἡμᾶς παρακολουθήσας· μήθ' ὅσα κατ' ἐμαυτὸν ἔπραξα πολιορκούμενος, δυνηθεὶς πυθέσθαι. πάντες γὰρ οἱ ἀπαγγείλαντες ἂν, διεφθάρησαν ἐπὶ τῆς παρατάξεως ἐκείνης. ἀλλ' ἴσως τὰ κατὰ ἱεροσολυμιτῶν πραχθέντα μετὰ ἀκριβείας φήσεις συγγεγραφέναι. καὶ πῶς οἷόν τε; οὔτε γὰρ τῷ πολέμῳ παρέτυχες, οὔτε τὰ καίσαρος ἀνέγνως ὑπομνήματα. μέγιστον δὲ τεκμήριον, τοῖς καίσαρος ὑπομνήμασιν ἐναντίαν πεποίησαι τὴν γραφήν. εἰ δὲ θαρρεῖς ἄμεινον ἁπάντων συγγεγραφέναι, διὰ τί ζώντων οὐεσπασιανοῦ καὶ τίτου τῶν αὐτοκρατόρων τοῦ πολέμου γενομένων, καὶ βασιλέως ἀγρίππα περιόντος ἔτι καὶ τῶν ἐκ γένους αὐτοῦ πάντων ἀνδρῶν τῆς ἑλληνικῆς παιδείας ἐπὶ πλεῖστον ἡκόντων, τὴν ἱστορίαν οὐκ ἔφερες εἰς μέσον. πρὸ γὰρ εἴκοσιν ἐτῶν εἶχες γεγραμμένην, καὶ παρ' εἰδότων ἔμελλες τῆς ἀκριβείας τὴν μαρτυρίαν ἀποφέρεσθαι. νῦν δ' ὅτε ἐκεῖνοι μὲν οὐκ ἔτι εἰσὶ μεθ' ἡμῶν, ἐλεγχθῆναι δ' οὐ νομίζεις, τεθάρρηκας. οὐ μὴν ἐγώ σοι τὸν αὐτὸν τρόπον, περὶ τῆς ἐμαυτοῦ γραφῆς ἔδεισα, ἀλλ' αὐτοῖς ἐπέδωκα τοῖς αὐτοκράτορσι τὰ βιβλία, μόνον οὐ τῶν ἔργων ἔτι βλεπομένων. συνῄδειν γὰρ ἐμαυτῷ τετηρηκότι τὴν τῆς ἀληθείας παράδοσιν, ἐφ' ᾗ μαρτυρίας τεύξεσθαι προσδοκήσας οὐ διήμαρτον. καὶ ἄλλοις δὲ πολλοῖς εὐθὺς ἐπέδωκα τὴν ἱστορίαν, ὧν ἔνιοι καὶ παρατετεύχεσαν πολέμῳ, καθάπερ βασιλεὺς ἀγρίππας, καί τινες αὐτοῦ τῶν συγγενῶν. ὁ μὲν αὐτοκράτωρ τίτος οὕτως ἐκ μόνων αὐτῶν ἐβουλήθη τὴν γνῶσιν τοῖς ἀνθρώποις παραδοῦναι τῶν πράξεων, ὥστε χαράξας τῇ ἑαυτοῦ χειρὶ τὰ βιβλία, δημοσιεῦσαι προσέταξεν. ὁ δὲ βασιλεὺς ἀγρίππας ἑξήκοντα δύο γέγραφεν ἐπιστολὰς, τῆς ἀληθείας παράδοσιν μαρτυρῶν, ὧν δὴ καὶ δύο ὑπέταξα, καὶ βουληθέντι σοι τὰ γεγραμμένα γνῶναι πάρεστιν ἐξ αὐτῶν. βασιλεὺς ἀγρίππας ἰωσήπῳ τῷ φιλτάτῳ χαίρειν. ἥδιστα διῆλθον τὴν βίβλον, καί μοι

καί μοι πολὺ ἐπιμελέστερον ἔδοξας τῶν ταῦτα συγγραψάντων ἠκριβωκέναι. πέμπε δέ μοι καὶ τὰς λοιπάς. ἔῤῥωσο φίλτατε. Βασιλεὺς Ἀγρίππας Ἰωσήπῳ τῷ φιλτάτῳ χαίρειν. ἐξ ὧν ἔγραψας, οὐδεμιᾶς ἔοικας χρήζειν διδασκαλίας ὑπὲρ τοῦ μαθεῖν ἡμᾶς ὅλους ἀρχῆθεν. ὅταν μέντοι συντύχῃς μοι, καὶ αὐτός σε πολλὰ κατηχήσω τῶν ἀγνοουμένων. ἐμοὶ δὲ ἀπαρτισθείσης τῆς ἱστορίας ἀλήθειαν οὐ κολακείων, οὐδὲ γὰρ ἐπέβαλλεν αὐτῷ, οὐδὲ εἰρωνευόμενος ὡς σὺ φήσεις, πόῤῥω γὰρ ἦν ἐκεῖνος τοιαύτης κακοηθείας, ἀλλὰ τὴν ἀλήθειαν ἐμαρτύρει, καθάπερ πάντες οἱ ταῖς ἱστορίαις ἐντυγχάνοντες. ἀλλὰ τὰ μὲν πρὸς τὸν Ἰοῦστον ἀναγκαῖαν λαβόντα τὴν παράθεσιν, μέχρι τούτων λελέχθω. διοικήσας δ' ἐγὼ τὰ κατὰ τὴν Τιβεριάδα, καὶ καθίσας τῶν φίλων συνέδριον, ἐβουλευόμην περὶ τῶν πρὸς Ἰωάννην πραχθησομένων. ἐδόκει μὲν οὖν πᾶσι τοῖς Γαλιλαίοις ὁπλίσαντα πάντας ἀπελθεῖν ἐπὶ τὸν Ἰωάννην, καὶ λαβεῖν παρ' αὐτοῦ δίκας, ὡς πάσης τῆς στάσεως αἰτίου γεγονότος. οὐκ ἠρεσκόμην δ' ἐγὼ ταῖς γνώμαις αὐτῶν, προαίρεσιν ἔχων τὰς ταραχὰς χωρὶς φόνου καταστέλλειν. ὅθεν δὴ παρῄνεσα πᾶσαν εἰσενέγκασθαι πρόνοιαν ὑπὲρ τοῦ γνῶναι τὰ ὀνόματα τῶν ὑπὸ τὸν Ἰωάννην ὄντων. ποιησάντων δὲ ἐκείνων, γνοὺς ἐγὼ τοὺς ἀνθρώπους οἵτινες ἦσαν, ἐξέθηκα πρόγραμμα, διὰ τούτου πίστιν καὶ δεξιὰν προτείνων τοῖς μετ' Ἰωάννου θελήσασι λαβεῖν μετάνοιαν, καὶ ἡμερῶν εἴκοσι χρόνον προέτεινα τοῖς βουλεύσασθαι θέλουσι περὶ τῶν ἑαυτοῖς συμφερόντων, ἠπείλουν δὲ εἰ μὴ ῥίψωσιν τὰ ὅπλα καταπρήσειν αὐτῶν τὰς οἰκήσεις καὶ δημοσιώσειν τὰς οὐσίας. ταῦτα δὲ ἀκούσαντες οἱ ἄνθρωποι καὶ ταραχθέντες οὔτι μετρίως, καταλείπουσι μὲν τὸν Ἰωάννην, τὰ δ' ὅπλα ῥίψαντες ἧκον πρός με τετρακισχίλιοι τὸν ἀριθμόν. μόνοι δὲ τῷ Ἰωάννῃ παρέμειναν οἱ πολῖται, καὶ ξένοι τινὲς ἐκ τῆς Τυρίων μητροπόλεως ὡς χίλιοι καὶ πεντακόσιοι. Ἰωάννης μὲν οὖν οὕτω καταστρατηγηθεὶς ὑπ' ἐμοῦ, τὸ λοιπὸν ἐν τῇ πατρίδι περίφοβος ἔμεινεν. κατὰ τοῦτον δὲ τὸν καιρὸν, Σεπφωρῖται θαρρήσαντες, ἀναλαμβάνουσιν ὅπλα πεποιθότες τῇ τε τῶν τειχῶν ὀχυρότητι, καὶ τῷ πρὸς ἑτέροις ὄντα με ὁρᾶν. πέμπουσι δὴ πρὸς Κέστιον Γάλλον, Συρίας δ' ἦν οὗτος ἡγεμών, παρακαλοῦντες ἢ αὐτὸν ἥκειν θᾶττον παραληψόμενον αὐτῶν τὴν πόλιν, ἢ πέμψαι τοὺς φρουρήσοντας. ὁ δὲ Γάλλος, ἥξειν μὲν ὑπέσχετο, πότε δὲ οὐ διεσάφησεν. κἀγὼ ταῦτα πυθόμενος, ἀναλαβὼν τοὺς σὺν ἐμοὶ στρατιώτας, καὶ ὁρμήσας ἐπὶ τοὺς Σεπφωρίτας, εἷλον αὐτῶν τὴν πόλιν κατὰ κράτος. λαβόμενοι δ' ἀφορμῆς οἱ Γαλιλαῖοι, καὶ παρεῖναι τοῦ μίσους τὸν καιρὸν οἰηθέντες, εἶχον γὰρ ἀπεχθῶς καὶ πρὸς ταύτην τὴν πόλιν, ὥρμησαν ὡς ἄρδην ἀφανίσοντες πάντας σὺν τοῖς ἐποίκοις. εἰσδραμόντες οὖν ἐνεπίμπρασαν αὐτῶν τὰς οἰκίας ἐρήμους καταλαμβάνοντες. οἱ γὰρ ἄνθρωποι δείσαντες εἰς τὴν ἀκρόπολιν συνέφυγον. διήρπαζον δὲ πάντα, καὶ τρόπον οὐδένα πορθήσεως κατὰ τῶν ὁμοφύλων παρελίμπανον. ταῦτ' ἐγὼ θεασάμενος, σφόδρα διετέθην ἀνιαρῶς, καὶ παύεσθαι προσέταττον αὐτοῖς ὑπομιμνήσκων, ὅτι τοιαῦτα δρᾶν ὁμοφύλους οὐκ ἔστιν ὅσιον. ἐπεὶ δ' οὔτε παρακαλοῦντος, οὔτε προστάσσοντος ἤκουον, ἐνίκα δὲ τὸ μῖσος τὰς παραινέσεις, τοὺς πιστοτάτους τῶν περὶ ἐμὲ φίλων ἐκέλευσα διαδοῦναι λόγους, ὡς Ῥωμαίων μετὰ μεγάλης δυνάμεως κατὰ τὸ ἕτερον μέρος εἰσβεβληκότων. ταῦτα δ' ἐποίουν ὑπὲρ τοῦ

in quo mihi videris accuratiùs hæc scripsisse quàm cæteri. Quare & reliquum mihi mittito. Vale mi carissime. Rex Agrippa Iosepho suo carissimo salutem. Ex tuis scriptis mihi videtur non esse opus vt de me discas aliquid. Attamen vbi conueniremus, coram te docebò quædam quæ nescias. Sic ille absolutæ meæ historiæ de veritate fuit testis, non assentando: neque enim id eum decuit: non item per irrisionem vt tu fortasse dicturus es: multum enim ab eo absfuit talis ingenij prauitas: sed in hoc tantum vt ipsius testimonio lectori commendaretur scriptorum meorum veritas. Et hæc quidem ad Iustum necessariò dicta sint hactenus. Ego porrò compositis rebus turbatis Tiberiensium, aduocaui amicorum consilium, consultaturus quid cum Ioanne agendum sit. Placuit autem omnibus, vt armatis vniuersis Galilæorum copiis illum inuaderem, & pœnas de eo sumerem tanquam autore totius dissidij. Mihi tamen non probabatur hæc sententia, quòd mallem sine cæde tumultibus illis finem imponere. Quapropter iussi eos omnem adhibere diligentiam vt scirentur nomina Ioannem sectantium. Quo facto, & comperto quinam essent hi homines, edictum proposui, quo data fide inuitabam omnes eius factionis qui modò resipiscerent, ad amicitiam: præscripto viginti dierum termino his qui suis rebus vellent consulere. Alioqui si in armis permanerent: minabar me incensis eorum ædibus facultates daturum in prædam populo. his auditis illi non mediocriter perterriti Ioannem deserunt: & inermes ad me venerunt numero quatuor millia. Soli autem apud eum manserunt ciues ipsius, & mille quingenti mercenarij Tyrij. Atque hac arte victus à me ille posthac in patria metu se continuit. Sub idem tempus Sepphoritæ ausi sunt arma sumere, freti firmitate mœnium, & quòd me viderent distineri rebus aliis. Itaque mittunt ad Cestium Gallum tunc Syriæ præsidem, rogantes vt aut ipse citò ciuitatem occupet, aut saltem mittat eò præsidium. Gallus verò venturum quidem se promisit, sed non significauit quo tempore. at ego id sentiēs cum copiis in eos feci impetum, & vrbem expugnaui fortiter. Hanc occasionem Galilæi nacti, & rati venisse tempus exatiandi quibus & Sepphoritas prosequebantur odia, videbantur funditus deleturi tam vrbem quàm incolas. Irruentes igitur in vacuas ædes ignem iniiciunt: nam homines metu in arcem refugerant. Diripiebantur autem omnia, & nullum modum faciebant deprædandi cognatos homines. Hoc animaduertens, & magno dolore affectus iussi eos desinere. admonens nefas esse ad eum modum tractare eiusdem tribus homines. Postquam verò neque precibus neque imperio coerceri poterant prægrauantibus odiis, mandaui amicorum fidissimis, vt rumorem spargerent, diuersa parte irrupisse Romanorū validum exercitum. Id autem feci vt sic represso

Galilæorum impetu seruaretur Sepphoritarum ciuitas. Et bene hoc stratagema cessit, quando territi tali nuncio relictis rapinis, circumspiciebant quò fugerent: præsertim cùm viderent me ducem idem facere. Ad confirmandum enim rumorem simulabam me pariter metuere. Ita Sepphoritæ meo commento præter spem seruati sunt. Sed & Tiberias minimum quin diriperetur abfuit ob causam huiusmodi. Primarij quidam senatores scripserunt regi, rogantes vt veniens ciuitatem reciperet. Rescripsit ille venturum se propediem, & cuidam suo cubiculario nomine Crispo genere Iudæo literas ad Tibérienses perferendas tradidit. Hunc in itinere agnitum & comprehensum ad me pertraxerunt Galilæi: móxque re cognita vniuersa multitudo arma corripit. Postridie verò multi confluentes vndique venerunt Asochim quò tunc diuerteram, vociferando proditricem esse & regis amicam Tiberiadem: postulabántque vt permitterem eos illò profectos funditus ciuitatem diruere: & alioquin Tiberienses non minus quàm Sepphoritas oderant. Mihi interim non veniebat in mentem quomodo eam ciuitatem iratis Galilæis eriperem. Nam literas regem vocantes scriptas ab eis inficiari non poteram, manifestè arguente eos rescripto regio. Itaque cùm diu tacitus mecum cogitassem, Tiberienses, inquam, peccasse & ipse fateor: neque obsistam quò minus vobis prædæ sint. Attamen cum iudicio facienda sunt talia. Non enim soli Tiberienses libertatis nostræ proditores sunt, sed multi præterea Galilæorum nobilissimi. Expectandum est dum sontes inquisitione facta comperiam, & tum demum poteritis omnes simul tractare pro meritis. Hæc loquutus persuasi multitudini, móxque sedati dispersi sunt. Nuncium autem illum regis cum coniecissem in vincula, post paucos dies necessariam quandam profectionem simulans, clàm accitum monui, vt militem suum custodem obrueret poculis, atque ita ad regem fugeret. Tiberias autem iam iterum constituta in extremo excidij periculo, meo stratagemate seruata est. Eodem tempore Iustus Pisti filius ad regem perfugit me inscio: causa autem fugiendi fuit hæc. Cùm primùm nasceretur bellum Iudaicum, Tiberienses decreuerant regi parere, & à Romanis non deficere. Iustus verò persuasit eos arma capere, sperans rebus turbatis inuasurum se patriæ tyrannidem. Non tamen assecutus est quod concupiit. Nam & Galilæi Tiberiensibus infensi recordatione eorum quæ ante bellum ab eis passi fuerant, non sinebant Iustum potiri gubernaculis: & ego cum potestate missus in Galilæam à Hierosolymitano populo, sæpenumero adeò accendebar, vt vix à nece etemperarem: non ferens Iusti sceleratum ingenium. ille igitur veritus ne ira tandem in cædem prorumperet

A τῆς φήμης ἐμπεσούσης ἐπισχεῖν μὲν τῶν γαλιλαίων τὰς ὁρμάς, διασῶσαι δὲ τὴν σεπφωριτῶν πόλιν. καὶ τέλος, προὐχώρησε τὸ στρατήγημα. τῆς γὰρ ἀγγελίας ἀκούσαντες, ἐφοβήθησαν ὑπὲρ αὐτῶν, καὶ καταλιπόντες τὰς ἁρπαγὰς ἔφευγον. μάλιστα δ' ἐπεὶ κἀμὲ τὸν στρατηγὸν ἑώρων ταὐτὰ ποιοῦντα· πρὸς γὰρ τὸ πιστὸν τῆς φήμης, ἐσκηπτόμην ὁμοίως αὐτοῖς διαπίπτειν. σεπφωρῖται δὲ παρ' ἐλπίδα τὴν ἑαυτῶν, ὑπὸ τοῦ ἐμοῦ σοφίσματος ἐσώθησαν.

B καὶ τιβεριὰς δὲ παρ' ὀλίγον διηρπάγη ὑπὸ γαλιλαίων, τοιαύτης αἰτίας ὑποπεσούσης. τῶν ἐκ τῆς βουλῆς οἱ πρῶτοι γράφουσι πρὸς τὸν βασιλέα, παρακαλοῦντες ἀφικέσθαι πρὸς αὐτοὺς παραληψόμενον τὴν πόλιν. ὑπέσχετο βασιλεὺς ἔρχεσθαι, καὶ τὰς ἐπιστολὰς ἀντιγράφει. καὶ τῶν περὶ τὸν κοιτῶνα τινὶ κρίσπῳ μὲν τοὔνομα, τὸ δὲ γένος ἰουδαίῳ δίδωσι πρὸς τοὺς τιβεριεῖς φέρειν. τοῦτον κομίσαντα γράμματα, γνωρίσαντες οἱ γαλιλαῖοι, καὶ συλλαβόντες ἄγουσιν ἐπ' ἐμέ. τὸ δὲ πᾶν πλῆθος

C ὡς ἤκουσε παρεξωσθὲν, ἐφ' ὅπλα τρέπεται. συναχθέντες δὲ πολλοὶ πανταχόθεν κατὰ τὴν ἐπιοῦσαν, ἧκον εἰς ἀσωχὶν πόλιν, ἔνθα δὴ τὴν κατάλυσιν ἐποιούμην, καταβοήσεις τε σφόδρα ἐποιοῦντο, προδότιν ἀποκαλοῦντες τὴν τιβεριάδα καὶ βασιλέως φίλην, ἐπιτρέπειν τε ἠξίουν αὐτοῖς καταβᾶσιν ἄρδην ἀφανίσαι. καὶ πρὸς τοὺς τιβεριεῖς εἶχον ἀπεχθῶς, ὡς πρὸς τοὺς σεπφωρίτας. ἐγὼ δ' ἀκούσας ἠπόρουν,

D τίνα τρόπον ἐξαρπάσω τὴν τιβεριάδα τῆς γαλιλαίων ὀργῆς ἐπ' αὐτούς. ἀρνήσασθαι γὰρ οὐκ ἐδυνάμην, μὴ γεγραφέναι τοὺς τιβεριεῖς καλοῦντας τὸν βασιλέα. ἤλεγχον γὰρ αἱ παρ' ἐκείνου πρὸς αὐτοὺς ἀντιγραφαὶ τὴν ἀλήθειαν. σύννους οὖν πολλὴν ὥραν γενόμενος, ὅτι μὲν ἠδικήκασιν εἶπον τιβεριεῖς, εἶδα κἀγώ. τὴν πόλιν δὲ αὐτῶν ὑμᾶς οὐ κωλύσω διαρπάσαι. δεῖ δ' ὅμως καὶ μετὰ κρίσεως τὰ τηλικαῦτα πράττειν. οὐ γὰρ μόνοι τιβεριεῖς προδόται τῆς ἐλευθερίας ἡμῶν γεγό-

E νασιν, ἀλλὰ πολλοὶ καὶ τῶν ἐν γαλιλαίᾳ δοκιμωτάτων. προσμείνατε δὴ μέχρι τοὺς αἰτίους ἀκριβῶς ἐκμάθω, καὶ τότε πάντας ὑποχειρίους ἕξετε, καὶ ὅσους ἰδίᾳ ἐπάξαι δυνήσεσθε αὐτῶν. καὶ ταῦτα εἰπὼν ἔπεισα τὸ πλῆθος, καὶ παυσάμενοι τῆς ὀργῆς διελύθησαν. τὸν παρὰ βασιλέως δὲ πεμφθέντα δῆσαι κελεύσας, μετ' οὐ πολλὰς ἡμέρας ἐπί τινα τῶν ἐμαυτοῦ χρειῶν ἐπειγοῦσαν σκηψάμενος ἐκδημεῖν τῆς βασιλείας, καλέ-

F σας τὸν κρίσπον λάθρα, προσέταξα μεθύσαι τὸν στρατιωτῶν φύλακα καὶ φυγεῖν πρὸς βασιλέα. τιβεριὰς δὲ μέλλουσα δεύτερον ἀφανίζεσθαι, στρατηγίᾳ τῇ ἐμῇ καὶ προνοίᾳ τῇ περὶ αὐτῆς ὀξὺν οὕτως κίνδυνον διέφυγεν. κατὰ τοῦτον δὲ τὸν καιρὸν ἰοῦστος ὁ πιστοῦ παῖς λαθὼν ἐμὲ διαδιδράσκει πρὸς τὸν βασιλέα. τὴν αἰτίαν δὲ δι' ἣν τοῦτο ἔπραξεν, ἀφηγήσομαι. λαβόντος ἀρχὴν ἰουδαίοις τοῦ πρὸς ῥωμαίους πολέμου, τιβεριεῖς διε-

G γνώκεισαν ὑπακούειν βασιλεῖ καὶ ῥωμαίων μὴ ἀφίστασθαι. πείθει δ' αὐτοὺς ἰοῦστος ἐπ' ὅπλα χωρῆσαι, νεωτέρων αὐτὸς ἐφιέμενος πραγμάτων, καὶ δι' ἐλπίδος ἔχων ἄρξειν γαλιλαίων τε καὶ τῆς ἑαυτοῦ πατρίδος. οὐ μὴν τῶν προσδοκηθέντων ἐπέτυχεν. γαλιλαῖοί τε γὰρ ἐχθρῶς ἔχοντες πρὸς τοὺς τιβεριεῖς, διὰ μῆνιν ὧν ὑπ' αὐτῶν πρὸ τοῦ πολέμου πεπόνθησαν, οὐκ ἠνείχοντο στρατηγοῦντος αὐτῶν ἰούστου. κἀγὼ δὲ τὴν προστασίαν τῆς γαλιλαίας πιστευθεὶς ὑπὸ τοῦ κοινοῦ τῶν ἱεροσολυμιτῶν, πολλάκις εἰς τοσαύτην ἧκον ὀργήν, ὡς ὀλίγου δεῖν ἀποκτεῖναι τὸν ἰοῦστον, φέρειν αὐτοῦ τὴν μοχθηρίαν οὐ δυνάμενος. δείσας οὖν ἐκεῖνος μὴ καὶ λάβῃ τέλος ἅπαξ ὁ θυμός, ἔπεμψε,

ἔπεμψε πρὸς βασιλέα, κρεῖσσον καὶ ἀσφαλέστερον οἰκῆσαι παρ' ἐκείνῳ νομίζων. σεπφωρῖται δὲ παραδόξως τὸν πρῶτον κίνδυνον διαφυγόντες, πρὸς κέστιον γάλλον ἔπεμψαν, καὶ ἥκειν παρεκάλουν ὡς αὐτοὺς θᾶττον παραληψόμενον τὴν πόλιν, ἢ πέμπειν δύναμιν τὴν ἀνακόψουσαν τὰς ἐπ' αὐτοὺς τῶν πολεμίων ἐπιδρομάς. καὶ τέλος, ἔπεισαν τὸν γάλλον πέμψαι δύναμιν αὐτοῖς ἱππικήν τε καὶ πεζικὴν πάλιν συχνὴν, ἣν ἐλθοῦσαν νυκτὸς εἰσεδέξαντο. κακουμένης δὲ ὑπὸ τῆς ῥωμαϊκῆς στρατιᾶς τῆς πέριξ χώρας, ἀναλαβὼν ἐγὼ τοὺς περὶ ἐμὲ στρατιώτας, ἧκον εἰς γαρσίμην. ἔνθα βαλλόμενος χάρακα πόῤῥω τῆς σεπφωριτῶν πόλεως ἀπέχων σταδίων εἴκοσι νυκτὸς ἐπ' αὐτὴν προσέμιξα, καὶ τοῖς τείχεσιν προσέβαλλον, καὶ διὰ κλιμάκων ἐμβήσας συχνοὺς τῶν στρατιωτῶν, ἐγκρατὴς τοῦ πλείστου τῆς πόλεως μέρους ἐγενόμην. μετ' οὐ πολὺ δὲ διὰ τὴν τῶν τόπων ἄγνοιαν ἀναγκασθέντες ἀνεχωρήσαμεν, ἀνελόντες μὲν δύο καὶ δέκα ῥωμαίων πεζοὺς, δύο δὲ ἱππεῖς, ὀλίγους δὲ σεπφωριτῶν. αὐτοὶ δὲ ἕνα μόνον ἀπεβάλομεν, γενομένης δὲ ὕστερον ἡμῖν κατὰ τὸ πεδίον μάχης πρὸς τοὺς ἱππεῖς, μέχρι πολλοῦ καρτερῶς διακινδυνεύσαντες ἡττήθημεν. περιελθόντων γάρ με τῶν ῥωμαίων, οἱ μετ' ἐμοῦ δείσαντες ἔφυγον εἰς τοὐπίσω. πίπτει δὲ τῆς παρατάξεως ἐκείνης εἷς τῶν πεπιστευμένων τὴν τοῦ σώματός μου φυλακὴν ἰοῦστος τοὔνομα, καὶ παρὰ βασιλεῖ ποτε τὴν αὐτὴν τάξιν ἐσχηκώς. κατὰ τοῦτον δὲ τὸν καιρὸν ἡ παρὰ βασιλέως δύναμις ἧκεν ἱππική τε καὶ πεζικὴ, καὶ σύλλας ἐπ' αὐτῆς ἡγεμὼν, ὁ ἐπὶ τῶν σωματοφυλάκων. οὗτος οὖν βαλλόμενος στρατόπεδον ἰουλιάδος ἀπέχον σταδίους πέντε, φρουρὰν ἐφίστασι ταῖς ὁδοῖς, τῇ τε εἰς κανὰ ἀγούσῃ, καὶ τῇ εἰς γάμαλα τὸ φρούριον, ὑπὲρ τοῦ τὰς παρὰ τῶν γαλιλαίων ὠφελείας τοῖς ἐνοίκοις ἀποκλείειν. ταῦτα δ' ὡς ἐγὼ ἐπυθόμην, πέμπω δισχιλίους ὁπλίτας καὶ στρατηγὸν αὐτῶν ἱερεμίαν. οἳ δὴ καὶ χάρακα θέντες ἀπὸ σταδίου τῆς ἰουλιάδος πλησίον τοῦ ἰορδάνου ποταμοῦ, πλέον ἀκροβολισμῶν οὐδὲν ἔπραξαν, μέχρι τρισχιλίους ἐγὼ στρατιώτας ἀναλαβὼν ἧκον πρὸς αὐτούς. κατὰ δὲ τὴν ἐπιοῦσαν ἡμέραν ἔν τινι φάραγγι καθίσας λόχον οὐκ ἄποθεν αὐτῶν τοῦ χάρακος προεκαλούμην τοὺς βασιλικοὺς εἰς μάχην, παραινέσας τοῖς μετ' ἐμοῦ στρατιώταις στρέψαι τὰ νῶτα μέχρις ἂν ἐπισπάσωνται τοὺς πολεμίους προελθεῖν, ὅπερ καὶ ἐγένετο. σύλλας γὰρ εἰκάσας τῆς ἀληθείας τοὺς ἡμετέρους φεύγειν, προελθὼν ἐπιδιώκειν οἷός τε ἦν. κατὰ νώτου δ' αὐτὸν λαμβάνουσιν οἱ ἐκ τῆς ἐνέδρας, καὶ σφόδρα πάντας ἐθορύβησαν. ἐγὼ δὲ εὐθὺς ὀξείᾳ χρησάμενος ὑποστροφῇ μετὰ τῆς δυνάμεως ὑπήντησα τοῖς βασιλικοῖς, καὶ εἰς φυγὴν ἔτρεψα. κἂν κατώρθωτό μοι κατὰ τὴν ἡμέραν ἐκείνην ἡ πρᾶξις, μὴ ἐμποδὼν γενομένου δαίμονός τινος. ὁ γὰρ ἵππος ἐν ᾧ τὴν μάχην ἐποιούμην, εἰς τελματώδη τόπον ἐμπεσὼν, συγκατήνεγκέ με ἐπὶ τοὺ ἐδάφους. θραύσεως δὲ τῶν ἄρθρων γενομένης ἐπὶ τὸν καρπὸν τῆς χειρὸς, ἐκομίσθην εἰς κώμην κεφαρνώμην λεγομένην. οἱ δὲ ἐμοὶ ταῦτ' ἀκούσαντες, καὶ δεδοικότες μή τι χεῖρον ἔπαθον, τῆς μὲν ἐπὶ πλεῖον διώξεως ἀπέσχοντο, ὑπέστρεφον δὲ περὶ ἐμὲ λίαν ἀγωνιῶντες. μεταπεμψάμενος οὖν ἰατροὺς καὶ θεραπευθεὶς, τὴν ἡμέραν ἐκείνην αὐτοῦ κατέμεινα πυρέξας, δόξαντι τοῖς ἰατροῖς τῆς νυκτὸς εἰς ταριχαίας μετεκομίσθην, σύλλας δὲ καὶ οἱ μετ' αὐτοῦ πυθόμενοι τὰ κατ' ἐμὲ πάλιν ἐθάρσησαν. καὶ γνόντες ἀμελεῖσθαι τὰ περὶ τὴν φυλακὴν τοῦ στρατοπέδου

A ad regem se contulit, sperans commodiùs & securiùs apud eum se posse degere. Sepphoritæ autem præter opinionem elapsi è priore periculo, iterùm ad Cestium Gallum miserunt, rogantes vt ocyùs ciuitatem caperet, aut mitteret aliquam manum militum, quæ incursiones hostium reprimeret: nec priùs destiterunt, quàm illo mittente equites & pedites bene multos, noctu eos reciperent. Vastatis deinde circumvicinis agris à Romano exercitu, colle- B ctis meis militibus veni in Garisimam: vbi positis castris viginti stadiorum interuallo procul à Sepphori, noctu assultum feci ad mœnia: cúmque per scalas euasissent in ea multi milites, bonam vrbis partem in potestate habui. Sed paulo pòst coacti propter locorum ignorantiam recessimus, occisis duodecim Romanorum peditibus & duobus equitibus, prætérque Sepphoritarum paucis aliquot: ipsi verò vnum solum desiderauimus. Aliquanto C pòst in planicie conserto prælio cum equitibus, diu repugnantes fortiter, tandem profligati sumus. circumuento enim me à Romanis, nostri terga verterunt eo casu territi. In ea pugna cecidit Iustus vnus meorum satellitum, qui olim in regio satellitio fuerat. Per idem tempus venerant regiæ copiæ peditum simul & equitum, ducente Sila præfecto regis satellitum. hic ad quintum stadium procul à Iuliade castris munitis stationes militum dispo- D suit per vias, eam quæ fert Cana, quæque in castellum Gamala, vt eorum locorum habitatoribus commeatus intercluderet. Quo audito misi eò duo millia militum cum præfecto Hieremia: qui positis prope Iordanem amnem castris à Iuliade interuallo stadij, nihil præter velitationes quasdam fecerunt, donec ipse ad eos veni cum tribus militum millibus. Sequenti verò die celatis priùs insidiis in valle quadam non longè à castris hostium, prouo- E cabam ad pugnam regios, mandato vt nostri simulata fuga ad locum insessum sequentes pertraherent, id quod factum est. Sila enim ratus nostros sedulo fugere, eò prouectus est vt à tergo haberet militem locatum in insidiis, quod eius copias valdè terruit. tum ego celeriter conuersus inuasi regios, & in fugam compuli: fuissémque potitus ea die insigni victoria, nisi fortuna quædam malè inuidisset nostris conatibus. Equus enim ex F quo pugnabam in cœnosum quendam locum delatus vnà mecum prolapsus est: quo casu contusis manus articulis, deportatus sum in vicum Cepharnoma. id auditum à meis reuocauit eos à persequendis hostibus, quòd valde soliciti essent nequid durius mihi accideret. accitis igitur medicis & curata manu, mansi ibi eam diem correptus febre etiam: deinde ex medicorum sententia noctu translatus sum Taricheas. quod vbi Silæ & regiis est cognitum, rursum eis animos addidit. & quia negligentiùs custodiri castra audierant,

noctu trans Iordanem collocata in insidiis turma equitum, diluculo prouocauerunt nostros ad prælium. Quibus non detrectantibus & progressis in planiciem, coorti è latebris equites turbatis nostrorum ordinibus coëgerunt eos fugere: interfectísque sex tantùm è nostris reliquerunt imperfectam victoriam. audito enim quosdam milites aduectos esse per lacum à Taricheis Iuliada, metu cecinerunt receptui. Non multo autem pòst Vespasianus comitante Agrippa rege Tyrum peruenit: vbi clamores Tyriorum in regem coorti sunt, hostem suum simul & Romanorum appellantibus. ducem enim eius militiæ Philippum prodidisse Hierosolymis regiam, & Romanorum in ea præsidium, idq; factum iussu regis ipsius. Vespasianus autem obiurgata Tyriorum impudentia, quòd virum dignitate regia sublimem & Romanorum amicum, afficerent contumeliis: ipsi regi suasit mittere Philippum Romam ad reddendam rationem eorum quæ gesta sint. Sed Philippus in conspectum Neroni non venit: cùm enim offendisset eum laborantem extremo periculo propter bella ciuilia, retrò ad regem reuersus est. Postquam autem Ptolemaidem Vespasianus attigit, Decapolitanorum primates magnis clamoribus Iustum deferebant, quòd vicos eorum incenderit: quamobrem ille regi eum dedidit, vt subditis ipsius pœnas lueret. rex verò imperatore inscio coniecit hominem in vincula, vt iam antè diximus. Tum Sepphoritæ obuiam progressi salutato Vespasiano præsidium ab eo accepêre duce Placido: cum quibus mihi negotium fuit donec ipse Imperator venit in Galilæam. De cuius aduentu, & quomodo post primum ad Taricheas conflictum recepi me Iotapata, atque ibi post longam oppugnationem viuus captus sum, quomodóve solutus, quæque gessimus Iudaici belli tempore, hæc omnia in libris de eo bello conscriptis narrauimus: nunc memoranda videntur & illa, quæ in eis libris non diximus, duntaxat quæ ad vitam nostram pertinent. Expugnatis Iotapatis in Romanorum potestatem redactus asseruabar summa diligentia, in honore tamen à Vespasiano habitus, cuius etiam iussu duxi captiuam quandam virginem Cæsariensem patria. hæc non diu mecum mansit, sed me soluto, & in comitatu imperatoris hærente, abiit Alexandriam, alteram vxorem duxi Alexandriæ, & inde cum Tito missus sum Hierosolyma: vbi sæpè mortis periculum adij, Iudæis magnopere conantibus me capere, vt afficerent supplicio, & Romanis quoties aliqua clades accideret, meæ proditioni imputantibus, & imperatori continenter acclamantibus, vt proditorem tolleret. At Titus non ignarus belli vicissitudinum, importunas militum vociferationes trãsmittebat silentio. Vrbe deinde vi capta, sæpè hortatus est me, vt ex ruinis patriæ quicquid vellem sumerem,

διὰ νυκτὸς ἱππέων λόχον ἱδρύσαντες ἐν τῷ πέραν τοῦ Ἰορδάνου, γενομένης ἡμέρας εἰς μάχην ἡμᾶς προεκαλέσαντο. τῶν δ' ὑπακουσάντων καὶ μέχρι τοῦ πεδίου διελθόντων, ἐπιφανέντες οἱ ἐκ τῆς ἐνέδρας ἱππεῖς, καὶ ταράξαντες αὐτοὺς εἰς φυγὴν ἔτρεψαν. ἕξ τε τῶν ἡμετέρων ἔκτειναν, οὐ μὴν μέχρι τέλους τὴν νίκην ἤγαγον. καταπεπλευκέναι γάρ τινας ὁπλίτας ἀκούσαντες ἀπὸ Ταριχέων εἰς Ἰουλιάδα, φοβηθέντες ἀνεχώρησαν. μετ' οὐ πολὺν δὲ χρόνον Οὐεσπασιανὸς εἰς Τύρον ἀφικνεῖται, καὶ σὺν αὐτῷ ὁ βασιλεὺς Ἀγρίππας. καὶ οἱ Τύριοι βλασφημεῖν ἤρξαντο τὸν βασιλέα, Τυρίων αὐτὸν καλοῦντες καὶ Ῥωμαίων πολέμιον. τὸν γὰρ στρατοπεδάρχην αὐτοῦ Φίλιππον ἔλεγον προδεδωκέναι τὴν βασιλικὴν αὐλὴν, καὶ τὰς Ῥωμαίων δυνάμεις τὰς οὔσας ἐν Ἱεροσολύμοις κατὰ τὴν αὐτοῦ πρόσταξιν. Οὐεσπασιανὸς δὲ ἀκούσας Τυρίοις μὲν ἐπέπληξεν, ὑβρίζουσιν ἄνδρα καὶ βασιλέα καὶ Ῥωμαίοις φίλον. τῷ δὲ βασιλεῖ παρῄνεσεν πέμψαι Φίλιππον εἰς Ῥώμην ὑφέξοντα λόγον περὶ τῶν πεπραγμένων. Φίλιππος δὲ πεμφθεὶς, οὐχ ἧκεν εἰς ὄψιν Νέρωνι. καταλαβὼν γὰρ αὐτὸν ἐν τοῖς ἐσχάτοις ὄντα διὰ τὰς ἐμπεσούσας ταραχὰς καὶ τὸν ἐμφύλιον πόλεμον, ὑπέστρεψε πρὸς τὸν βασιλέα. ἐπεὶ δὲ Οὐεσπασιανὸς εἰς Πτολεμαΐδα παρεγένετο, οἱ πρῶτοι τῶν τῆς Συρίας δέκα πόλεων κατεβόων Ἰούστου τοῦ Τιβεριέως, ὅτι τὰς κώμας αὐτῶν ἐνέπρησεν. παρέδωκεν οὖν αὐτὸν Οὐεσπασιανὸς τῷ βασιλεῖ κολασθησόμενον ὑπὸ τῶν τῆς βασιλείας ὑποτελῶν. ὁ βασιλεὺς δ' αὐτὸν ἔδησεν ἐπικρυψάμενος τοῦτο Οὐεσπασιανὸν, ὡς ἀνωτέρω δεδήλωται. Σεπφωρῖται δ' ὑπαντήσαντες καὶ ἀσπασάμενοι Οὐεσπασιανὸν, λαμβάνουσι δύναμιν καὶ στρατηγὸν Πλάκιδον. ἀναβάντες δὲ μετὰ τούτων ἑπομένου μου ἄχρι τῆς εἰς Γαλιλαίαν Οὐεσπασιανοῦ ἀφίξεως. περὶ ἧς τίνα τρόπον ἐγένετο, καὶ πῶς περὶ Ταριχέας κώμην τὴν πρώτην πρὸς ἐμὲ μάχην ἐποιήσατο, καὶ ὡς ἐκεῖθεν εἰς τὰ Ἰωτάπατα ἀνεχώρησαν, καὶ τὰ πεπραγμένα μοι κατὰ τὴν ταύτης πολιορκίαν, καὶ ὃν τρόπον ζῶν ληφθεὶς ἐδέθην, καὶ πῶς ἐλύθην, πάντα τε τὰ πεπραγμένα μοι κατὰ τὸν Ἰουδαϊκὸν πόλεμον, καὶ τὴν Ἱεροσολύμων πολιορκίαν μετὰ ἀκριβείας, ἐν ταῖς περὶ τοῦ Ἰουδαϊκοῦ πολέμου βίβλοις ἀπήγγελκα. ἀναγκαῖον δ' ἐστὶν, ὡς οἶμαι, καὶ ὅσα μὴ κατὰ τὸν Ἰουδαϊκὸν πόλεμον ἀνέγραψα τῶν ἐν τῷ βίῳ μου πεπραγμένων νῦν προσαναγράψαι. τῆς γὰρ τῶν Ἰωταπάτων πολιορκίας λαβούσης τέλος γενόμενος παρὰ Ῥωμαίοις μετὰ πάσης ἐπιμελείας ἐφυλασσόμην, τὰ πολλὰ διὰ τιμῆς ἄγοντός με Οὐεσπασιανοῦ. καὶ δὴ κελεύσαντος αὐτοῦ ἠγαγόμην τινὰ παρθένον ἐκ τῶν αἰχμαλωτίδων τῶν κατὰ Καισάρειαν ἁλουσῶν ἐγχώριον. οὐ παρέμεινεν δ' αὕτη μοι πολὺν χρόνον, ἀλλὰ λυθέντος, καὶ μετὰ Οὐεσπασιανοῦ πορευθέντος εἰς τὴν Ἀλεξάνδρειαν ἀπηλλάγη. γυναῖκα δ' ἑτέραν ἠγαγόμην κατὰ τὴν Ἀλεξάνδρειαν. κἀκεῖθεν ἐπὶ τὴν Ἱεροσολύμων πολιορκίαν συμπεμφθεὶς Τίτῳ, πολλάκις ἀποθανεῖν ἐκινδύνευσα, τῶν τε Ἰουδαίων διὰ σπουδῆς ἐχόντων ὑποχείριόν με λαβεῖν τιμωρίας ἕνεκεν, καὶ Ῥωμαίων ὁσάκι νικηθεῖεν, πάσχειν τοῦτο κατ' ἐμὴν προδοσίαν δοκούντων, συνεχεῖς καταβοήσεις ἐπὶ τοῦ αὐτοκράτορος ἐγίνοντο, κολάζειν με ὡς καὶ αὐτὸν προδότην ἀξιούντων. Τίτος δὲ Καῖσαρ τὰς τοῦ πολέμου τύχας οὐκ ἀγνοῶν, σιγῇ τὰς ἐπ' ἐμὲ τῶν στρατιωτῶν ἐξέλυεν ὁρμάς. ἤδη δὲ κατὰ κράτος τῆς τῶν Ἱεροσολυμιτῶν πόλεως ἐχομένης, Τίτος Καῖσαρ ἔπειθέν με πολλάκις ἐκ τῆς κατασκαφῆς τῆς πατρίδος πᾶν ὅτι θέλοιμι λαβεῖν, συγχω-

συγχωρεῖν γὰρ αὐτὸς ἔφασκεν. ἐγὼ δὲ τῆς πατρίδος πεσού-
σης μηδὲν ἔχων τιμιώτερον, ὃ τῶν ἐμαυτοῦ συμφορῶν
εἰς παραμυθίαν λαβὼν φυλάξαιμι. σωμάτων ἐλευ-
θέρων τὴν αἴτησιν ἐποιούμην τίτον, καὶ βιβλίων ἱε-
ρῶν ἔλαβον χαρισαμένου τίτου. μετ' οὐ πολὺ δὲ καὶ
τὸν ἀδελφὸν μετὰ πεντήκοντα φίλων αἰτησάμενος οὐκ
ἀπέτυχον. καὶ εἰς τὸ ἱερὸν δὲ πορευθεὶς τίτου τὴν ἐξ-
ουσίαν δόντος, ἔνθα πολὺ πλῆθος αἰχμαλώτων ἐγ-
κέκλειστο γυναικῶν τε καὶ τέκνων, ὅσους ἐπέγνων φί-
λων ἐμῶν, καὶ συνήθων ὑπάρχοντας ἐρρυσάμην περὶ
ἑκατὸν καὶ ἐνενήκοντα ὄντας τὸν ἀριθμὸν, καὶ οὐδὲ
λύτρα καταθεμένους ἀπέλυσα συγχωρήσας αὐτοὺς
τῇ προτέρᾳ τύχῃ. πεμφθεὶς δὲ ὑπὸ τίτου καίσαρος
σὺν κερεαλίῳ καὶ χιλίοις ἱππεῦσιν εἰς κώμην τινὰ
θεκώαν λεγομένην, πρὸς κατανόησιν εἰ τόπος ἐπιτή-
δειός ἐστι χάρακα δέξασθαι, ὡς ἐκεῖθεν ὑποστρέφων
εἶδον πολλοὺς αἰχμαλώτους ἀνεσταυρωμένους, καὶ τρεῖς
γνωρίσας συνήθεις μοι γενομένους, ἤλγησα τὴν ψυ-
χὴν, καὶ μετὰ δακρύων προσελθὼν τίτῳ εἶπον. ὁ δὲ
εὐθὺς ἐκέλευσεν καθαιρεθέντας αὐτοὺς, θεραπείας
ἐπιμελεστάτης τυχεῖν. καὶ οἱ μὲν δύο τελευτῶσιν θε-
ραπευόμενοι, ὁ δὲ τρίτος ἔζησεν. ἐπεὶ δὲ κατέ-
παυσεν τὰς ἐν τῇ ἰουδαίᾳ ταραχὰς τίτος, εἰκάσας
τοὺς ἀγροὺς, οὓς εἶχον ἐν τοῖς ἱεροσολύμοις ἀνονήτους
ἐσομένους μοι, διὰ τὴν μέλλουσαν ἐκεῖ ῥωμαίων φρου-
ρὰν ἐγκαθέζεσθαι, ἔδωκεν ἑτέραν χώραν ἐν πεδίῳ,
μέλλων τε ἀπαίρειν εἰς τὴν ῥώμην, σύμπλουν ἐδέ-
ξατό με πᾶσαν τιμὴν ἀπονέμων. ἐπεὶ δὲ εἰς τὴν ῥώμην
ἥκομεν, πολλῆς ἔτυχον παρὰ οὐεσπασιανοῦ προνοίας.
καὶ γὰρ καὶ κατάλυσιν ἔδωκεν ἐν τῇ οἰκίᾳ τῇ πρὸ τῆς
ἡγεμονίας αὐτῷ γενομένῃ, πολιτείᾳ τε ῥωμαίων ἐτί-
μησεν, καὶ σύνταξιν χρημάτων ἔδωκεν, καὶ τιμῶν διε-
τέλει μέχρι τῆς ἐκ τοῦ βίου μεταστάσεως οὐδὲν τῆς
πρὸς ἐμὲ χρηστότητος ὑφελὼν, ὅ μοι διὰ τὸν φθόνον ἤ-
νεγκε κίνδυνον. ἰουδαῖος γάρ τις ἰωνάθης τοὔνομα στά-
σιν ἐξεγείρας ἐν κυρήνῃ, καὶ δισχιλίους τῶν ἐγχωρίων
συναναπείσας, ἐκείνοις μὲν αἴτιος ἀπωλείας ἐγένετο.
αὐτὸς δὲ ὑπὸ τοῦ τῆς χώρας ἡγεμονεύοντος δεθεὶς, καὶ ἐπὶ
τὸν αὐτοκράτορα πεμφθεὶς, ἔφασκεν ἐμὲ αὐτῷ ὅπλα
πεπομφέναι καὶ χρήματα. οὐ μὴν οὐεσπασιανὸν ψευ-
δόμενος ἔλαθεν, ἀλλὰ κατέγνω θάνατον αὐτοῦ, καὶ πα-
ραδοθεὶς ἀπέθανεν. πολλάκις δὲ καὶ μετὰ ταῦτα τῶν
βασκαινόντων μοι τῆς εὐτυχίας κατηγορίας ἐπ' ἐμὲ
συνθέντων, θεοῦ προνοίᾳ πάσας διέφυγον. ἔλαβον
δὲ παρὰ οὐεσπασιανοῦ δωρεὰν γῆν οὐκ ὀλίγην ἐν τῇ
ἰουδαίᾳ, καθ' ὃν δὴ καιρὸν καὶ τὴν γυναῖκα, μὴ ἀρε-
σκόμενος αὐτῆς τοῖς ἤθεσιν ἀπεπεμψάμην, τριῶν
παίδων γενομένην μητέρα. ὧν οἱ μὲν δύο ἐτελεύτη-
σαν. εἷς δὲ ὃν ὑρκανὸν προσηγόρευσα περίεστιν. με-
τὰ ταῦτα ἠγαγόμην γυναῖκα κατῳκηκυῖαν μὲν ἐν
κρήτῃ, τὸ δὲ γένος ἰουδαίαν, γονέων εὐγενεστάτων
καὶ τῶν κατὰ τὴν χώραν ἐπιφανεστάτων, ἤθει πολλῶν
γυναικῶν διαφέρουσαν, ὡς ὁ μετὰ ταῦτα βίος αὐτῆς
ἀπέδειξεν. ἐκ ταύτης δή μοι γίνονται παῖδες δύο,
πρεσβύτερος μὲν ἰοῦστος, σιμωνίδης δὲ μετ' ἐκεῖνον,
ὁ καὶ ἀγρίππας ἐπικληθείς. ταῦτα μέν τοι τὰ κατὰ τὸν οἶκον. διέμεινε δέ μοι ὅμοια καὶ τὰ παρὰ τῶν αὐτο-
κρατόρων. οὐεσπασιανοῦ γὰρ τελευτήσαντος, τίτος τὴν ἀρχὴν διαδεξάμενος, ὁμοίαν τῷ πατρὶ τὴν τι-
μήν μοι διεφύλαξεν, πολλάκις τε κατηγορηθέντος οὐκ ἐπίστευσεν. διαδεξάμενος δὲ τοῦτον δομετιανὸς,

A dans mihi hoc faciendi licentiam. ego verò
collapsa patria nihil ad consolationem mea-
rum calamitatum duxi potius quàm poscere
libera corpora, quæ vnà cum sacris volumini-
bus libenter mihi ab imperatore concessa sunt.
non multò pòst & frater cum amicis quin-
quaginta mihi deprecatori donatus est: in tem-
plum etiam ingressus permissu illius, cùm in-
uenissem ibi inclusam magnam mulierum &
puerorum multitudinem, quotquot ex eis
B amicorum meorum & familiarium esse com-
peri, eripui omnes circiter centum & quin-
quaginta numero: quos ne precio quidem ac-
cepto dimisi in pristinum statum redditos.
Missus deinde à Tito Cæsare cum Cereali &
mille equitibus in vicum qui Thecoa dicitur,
ad considerandum an locus esset castris ido-
neus, cùm illinc reuertens viderem multos ca-
ptiuos in crucem suffixos, & in his tres mihi
C quondam familiares agnoscerem, vehementer
indolui, & cum lacrymis accedens indica-
ui rem Tito: qui e uestigio iussit demptos cu-
rari diligentissimè. horum duo inter medico-
rum manus exhalauerunt animam, tertius ve-
rò superuixit. Compositis deinde Iudææ rebus
Titus coniiciens rus quod habebam circa
Hierosolyma mihi fore inutile, propter mili-
tes Romanos, qui ibi relinquendi erant ad re-
gionis custodiam, alia prædia mihi donauit in
D campestribus: & repetiturus Romam, honoris
causa nauigationis me assumpsit socium. vt ve-
rò in vrbem peruenimus, multis Vespasianus
me dignatus est beneficiis. nam donatum ci-
uitatis iure diuersari iussit in ædibus quas ipse
antequam Imperator fieret habitauerat, pen-
sionéque honorauit annua, nihil de benigni-
tate subtrahens donec viueret, id quod pericu-
lum mihi conciliauit per meæ gentis inui-
diam. Iudæus enim quidam Ionathas nomine
tumultu apud Cyrenen excitato, & collectis
E indigenarum duobus millibus, illis quidem
autor fuit exitij: ipse verò vinctus ab eius pro-
uinciæ præside, & ad Imperatorem missus, aie-
bat à me sibi subministrata arma & pecunias:
nec tamen Vespasiano suis mendaciis impo-
suit, sed damnatus luit pœnas capite. Post hæc
& aliis inuidorum appetitus calumniis, omnes
euasi Dei prouidentia. à Vespasiano præterea
dono accepi in Iudæa latifundium, quo tem-
pore vxorem dimisi offensus incommodis eius
F moribus, quamuis iam tres ex ea suscepissem
liberos: quorum duo defuncti sunt, Hyrcano
solo superstite. Post eam duxi aliam mulie-
rem Cretensem Iudæam genere, parentibus
natam domi nobilissimis, & moribus inter cæ-
teras eximiis, vt ex conuictu eius comperi. ex
hac duo mihi nati sunt filij, Iustus grandior,
& post eum Simonides Agrippa cognomine,
& huiusmodi quidem sunt res nostræ dome-
sticæ. mansit autem mihi perpetua Cæsarum
G beneuolentia. Nam defuncto Vespasiano Titus
successor in eodem quo pater honore me sem-
per habuit, nec vllis aduersum me accusatio-
nibus vnquam credidit. Post hûc Domitianus

maioribus etiam me cumulauit honoribus. A nam & accusatores meos Iudæos capite puniit, & seruum eunuchum filij mei pædagogum, meum calumniatorem puniri mandauit. & quod est honorificentissimum, immunitatem prædiorum, quæ in Iudæa habeo, mihi concessit. Domitia porrò Cæsaris vxor nunquam mihi benefacere destitit. Hæc sunt, quæ per omnem vitam à me gesta sunt, ex quibus qui volet de moribus meis iudicet. Tibi autem Epaphrodite virorum optime dedicato Antiquitatum toto contextu, hîc impræsentiarum scribere desino.

καὶ προσηύξησεν τὰς εἰς ἐμὲ τιμάς. τούς τε γὰρ κατηγορήσαντάς μου ἰουδαίους ἐκόλασεν, καὶ δοῦλον εὐνοῦχον παιδαγωγὸν τοῦ παιδός μου κατηγορήσαντα, κολασθῆναι προσέταξεν. ἐμοί τε τῆς ἐν ἰουδαίᾳ χώρας ἀτέλειαν ἔδωκεν, ἥπερ ἐστὶ μεγίστη τιμὴ τῷ λαβόντι. ἡ δὲ τοῦ καίσαρος γυνὴ δομετία διετέλεσεν εὐεργετῆσαί με. ταῦτα μὲν τὰ πεπραγμένα μοι διὰ παντὸς τοῦ βίου ἐστίν. κρινέτωσαν δ' ἐξ αὐτῶν τὸ ἦθος ὅπως ἂν ἐθέλωσιν ἕτεροι. B σοὶ δ' ἀποδεδωκὼς κράτιστε ἀνδρῶν ἐπαφρόδιτε, τὴν πᾶσαν τῆς ἀρχαιολογίας γραφὴν, ἐπὶ τοῦ παρόντος ἐνταῦθα καταπαύω τὸν λόγον.

ΦΛΑ:

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΠΕΡΙ ΑΡΧΑΙΟΤΗΤΟΣ ΙΟΥΔΑΙΩΝ ΚΑΤΑ ΑΠΙΩΝΟΣ ΛΟΓΟΣ Α΄.

FLAVII IOSEPHI DE ANTIQVITATE IVDÆORVM CONTRA APIONEM ALEXANDRINVM, AD EPAPHRODITVM,

Liber I.

Opera Sigismundi Gelenij restitutus.

ΙΚΑΝΩΣ μὲν ὑπολαμβάνω, καὶ διὰ τῆς περὶ τὴν ἀρχαιολογίαν συγγραφῆς, κράτιστε ἀνδρῶν Ἐπαφρόδιτε, τοῖς ἐντευξομένοις αὐτῇ πεποιηκέναι φανερὸν, περὶ τοῦ γένους ἡμῶν τῶν Ἰουδαίων, ὅτι καὶ παλαιότατόν τι καὶ τὴν πρώτην ὑπόστασιν ἔσχεν ἰδίαν, καὶ περὶ τὴν χώραν ἣν νῦν ἔχομεν κατῴκησεν, ἣν πεντακισχιλίων ἐτῶν ἱστορίαν περιέχουσαν, ἐκ τῶν παρ' ἡμῖν ἱερῶν βίβλων, διὰ τῆς ἑλληνικῆς φωνῆς συνεγραψάμην. ἐπεὶ δὲ συχνοὺς ὁρῶ ταῖς ὑπὸ δυσμενείας ὑπό τινων εἰρημέναις προσέχοντας βλασφημίαις, καὶ τοῖς περὶ τὴν ἀρχαιολογίαν ὑπ' ἐμοῦ γεγραμμένοις ἀπιστοῦντας, τεκμήριόν τε ποιουμένους τοῦ νεώτερον εἶναι τὸ γένος ἡμῶν, τὸ μηδεμιᾶς παρὰ τοῖς ἐπιφανέσι τῶν ἑλληνικῶν ἱστοριογράφων μνήμης ἠξιῶσθαι, περὶ τούτων ἁπάντων ᾠήθην δεῖν γράψαι συντόμως, τῶν μὲν λοιδορούντων τὴν δυσμένειαν καὶ τὴν ἑκούσιον ἐλέγξαι ψευδολογίαν, τῶν δὲ τὴν ἄγνοιαν ἐπανορθώσασθαι, διδάξαι δὲ πάντας ὅσοι τἀληθὲς εἰδέναι βούλονται περὶ τῆς ἡμετέρας ἀρχαιότητος. χρήσομαι δὲ τῶν μὲν ὑπ' ἐμοῦ λεγομένων μάρτυσι, τοῖς ἀξιοπιστοτάτοις εἶναι περὶ πάσης ἀρχαιολογίας ὑπὸ τῶν ἑλλήνων κεκριμένοις. τοὺς δὲ βλασφήμως περὶ ἡμῶν καὶ ψευδῶς γεγραφότας, αὐτοὺς δι' ἑαυτῶν ἐλεγχομένους παρέξω. πειράσομαι δὲ καὶ τὰς αἰτίας ἀποδοῦναι, δι' ἃς οὐ πολλοὶ τοῦ ἔθνους ἡμῶν ἐν ταῖς ἱστορίαις ἕλληνες ἐμνημονεύκασιν. ἔτι μέντοι καὶ τοὺς οὐ παραλιπόντας τὴν περὶ ἡμῶν ἱστορίαν ποιήσω φανεροὺς τοῖς μὴ γινώσκουσιν ἢ προσποιουμένοις ἀγνοεῖν. πρῶτον οὖν ἐπέρχεταί μοι πάνυ θαυμάζειν τοὺς οἰομένους δεῖν περὶ τῶν παλαιοτάτων ἔργων, μόνοις προσέχειν τοῖς ἕλλησι, καὶ παρὰ τούτων πυνθάνεσθαι τὴν ἀλήθειαν· ἡμῖν δὲ καὶ τοῖς ἄλλοις ἀνθρώποις ἀπιστεῖν. πᾶν γὰρ ἐγὼ τοὐναντίον ὁρῶ συμβεβηκὸς, εἴγε δεῖ

A SVFFICIENTER, vt arbitror, & per libros Antiquitatum, optime virorum Epaphrodite, legentibus eos, aperui de nostro genere Iudæorum, quia & vetustissimum est, & primam originem domesticam habuit. Quinque millium enim annorum numerum historiam continentem, ex nostris sacris libris Greco sermone conscripsi. B Quoniam verò multos video, respicientes blasphemiam quorundam insanè prolatam: & ea quæ à me de antiquitate conscripta sunt, non credentes: putantes mendacium nostrum esse genus, eò quòd nulla memoria apud Græcorum nobiles historiographos digni sunt habiti nostri maiores: pro omnibus his arbitratus sum oportere me breuiter hæc dicta conscribere: & derogantium quidem, vesanum spontaneúmque increpare C mendacium, aliorum verò ignorantiam pariter emendare: vniuersósque de nostra antiquitate, qui scilicet veritatem amplectuntur, edocere. Vtar autem in meis dictis testibus eis, qui de omni antiquitate apud Græcos fide digni sunt iudicandi: eos autem qui blasphemè de nobis atque fallaciter conscripsêre aliqua, per semetipsos conuictos indubitanter ostendam. Conabor etiam causas exponere, propter quas non multi in Græcis historiis gentis nostræ D fecêre memoriam: nec non & eos, qui de nobis scribere voluerunt nescientibus, aut nescire simulantibus indicabo. Primitùs itaque satis admiror eos, qui existimant oportere de rebus antiquis, Græcis tantummodo fidem habere, & ab eis consulendam esse veritatis integritatem: nobis autem & aliis hominibus non esse credendum. Sed ego omnia in his contraria video contigisse. Quapropter decet

non varias opiniones inspicere, sed ex ipsis rebus iustitiam ponderare. Omnia siquidem Græcorum noua, & heri, (vt ita dicam) nuperque facta cognoui: hoc est fabricam ciuitatum & adinuentiones artium conscriptionesque legum: cunctarumque rerum iunior apud eos est historiæ diligentia conscribendæ. Apud Ægyptios autem, atque Chaldæos, & Phœnicas (desino enim nos illis connumerare) sicut ipsi fatentur, res gestæ antiquissimam & permanentem habent memoriæ traditionem. Nam & locis omnes inhabitant, quæ nequaquam aëris corruptioni subiaceant: & multam prouidentiam habuêre, vt nihil horum quæ apud eos aguntur sine memoria relinqueretur: sed in publicis conscriptionibus semper à viris sapientissimis diceretur. Græcorum verò regionem innumeræ corruptiones inuasêre, rerum memoriam delentes. Qui autem nouas constituentes conuersationes, omnium se primos esse credidêre, sciant quia etiam serò & vix naturam potuêre agnoscere literarum. Nam antiquissimum earum vsum habuisse creduntur à Phœnicibus, & à Cadmo se didicisse gloriantur. Sed neque illo tempore poterit aliquis demonstrare seruatam conscriptionem, neque in templis, neque in publicis anathematibus: quando etiam de Troianis rebus, vbi tot annis militatum est, postea multa quæstio atque contentio facta est, vtrum literis vsi sint: & magis veritas obtinuit, quòd vsus modernarum litterarum illis fuisset incognitus. Constat autem, quòd apud Græcos nulla inuenitur conscriptio, poëmate Homeri vetustior: & hunc etiam post bella Troiana fuisse manifestum est. Et aiunt neque hunc litteris suum poëma reliquisse: sed cantibus memoria reseruatum, postea fuisse compositum, & propterea multam in eo comperiri dissonantiam. Qui autem historias apud eos conscribere tentauêre, id est, Cadmus Milesius, & Acusilaus Argiuus, & post hunc quicunque alij fuisse referuntur, paululum tempus Persarum contra Græcos expeditionem præcessêre. Sed & eos qui de cœlestibus ac diuinis primitùs apud Græcos sunt philosophati, id est, Pherecydem Syrium & Pythagoram, & Thaletem, omnes concorditer confitentur, Ægyptiorũ & Chaldæorum fuisse discipulos: & breuiter conscripsisse, quæ à Græcis omnium antiquissima iudicantur, ita vt vix ea credant ab illis fuisse conscripta. Quomodo ergo non est irrationabile, vt tali fastu turgeant Græci, tanquam soli sciant vetera, & veritatem eorum exactè tradant: aut quis non ab ipsis conscriptoribus facillimè discat, quod neque firmiter scientes aliquid conscripsêre, sed quod vnusquisque opinatus est, hoc studuit explanare. Vnde etiam libris se inuicem arguunt, & valdè contraria de rebus eisdem non piget eos dicere. Sed ego videbor me potioribus esse superfluus, si explanare voluero, quantis quidem locis Hellanicus ab Acusilao de genealogiis discrepat, & in quantis Hesiodum corrigit Acusilaus, aut quomodo Ephorus quidem Hellanicum in plurimis ostẽdit esse mendacẽ, Ephorum verò Timæus, Timæũ qui post illũ

μὴ ταῖς ματαίαις δόξαις ἐπακολουθεῖν, ἀλλ' ἐξ αὐτῶν τὸ δίκαιον τῶν πραγμάτων λαμβάνειν. τὰ μὲν γὰρ παρὰ τοῖς ἕλλησιν ἅπαντα, νέα καὶ χθὲς καὶ πρώην ὡς ἂν εἴποι τις, ἐστι γεγονότα. λέγω δὴ τὰς κτίσεις τῶν πόλεων, καὶ τὰ περὶ τὰς ἐπινοίας τῶν τεχνῶν, καὶ τὰ περὶ τὰς τῶν νόμων ἀναγραφάς. πάντων δὲ νεωτάτη σχεδόν ἐστι παρ' αὐτοῖς ἡ περὶ τοῦ συγγράφειν τὰς ἱστορίας ἐπιμέλεια. τὰ μέν τοι παρ' αἰγυπτίοις τε, καὶ χαλδαίοις, καὶ φοίνιξιν, ἐῶ γὰρ νῦν ἡμᾶς ἐκείνοις συγκαταλέγειν, αὐτοὶ δήπουθεν ὁμολογοῦσιν ἀρχαιοτάτην τε καὶ μονιμωτάτην ἔχειν τῆς μνήμης τὴν παράδοσιν. καὶ γὰρ τόπους ἅπαντες οἰκοῦσιν, ἥκιστα τῆς ἐκ τοῦ περιέχοντος φθορᾶς ὑποκειμένους. καὶ πολλὴν ἐποιήσαντο πρόνοιαν, τοῦ μηδὲν ἀμνημόνευτον τῶν παρ' αὐτοῖς πραττομένων παραλιπεῖν, ἀλλ' ἐν δημοσίαις ἀναγραφαῖς ὑπὸ τῶν σοφωτάτων ἀεὶ καθιερῶσθαι. τὸν δὲ περὶ τὴν ἑλλάδα τόπον μυρίαι μὲν φθοραὶ κατέσχον, ἐξαλείφουσαι τὴν μνήμην τῶν γεγονότων. ἀεὶ δὲ καινοὺς καθιστάμενοι βίους, τοῦ παντὸς ἐνόμιζον ἄρχειν ἕκαστοι τὸν ἀφ' ἑαυτῶν. ὀψὲ δὲ καὶ μόλις ἔγνωσαν φύσιν γραμμάτων. οἱ γοῦν ἀρχαιοτάτην αὐτῶν τὴν χρῆσιν εἶναι θέλοντες, παρὰ φοινίκων, καὶ κάδμου σεμνύνονται μαθεῖν. οὐ μὴν οὐδ' ἀπ' ἐκείνου τοῦ χρόνου δύναιτό τις ἂν δεῖξαι σωζομένην ἀναγραφήν, οὔτ' ἐν ἱεροῖς, οὔτ' ἐν δημοσίοις ἀναθήμασιν· ὅπου γε καὶ περὶ τῶν ἐπὶ τροίαν τοσούτοις ἔτεσι στρατευσάντων ὕστερον, πολλὴ γέγονεν ἀπορία τε καὶ ζήτησις, εἰ γράμμασιν ἐχρῶντο· καὶ τἀληθὲς ἐπικρατεῖ μᾶλλον, περὶ τοῦ τὴν νῦν οὖσαν τῶν γραμμάτων χρῆσιν ἐκείνους ἀγνοεῖν. ὅλως δὲ παρὰ τοῖς ἕλλησιν οὐδὲν ὁμολογούμενον εὑρίσκεται γράμμα, τῆς ὁμήρου ποιήσεως πρεσβύτερον. οὗτος δὲ καὶ τῶν τρωϊκῶν ὕστερον φαίνεται γενόμενος, καί φασιν οὐδὲ τοῦτον ἐν γράμμασι τὴν αὑτοῦ ποίησιν καταλιπεῖν, ἀλλὰ διαμνημονευομένην ἐκ τῶν ᾀσμάτων ὕστερον συντεθῆναι, καὶ διὰ τοῦτο πολλὰς ἐν αὐτῇ σχεῖν τὰς διαφωνίας. οἱ μέν τοι τὰς ἱστορίας ἐπιχειρήσαντες συγγράφειν παρ' αὐτοῖς, λέγω δὲ τοὺς περὶ κάδμον τὸν μιλήσιον, καὶ τὸν ἀργεῖον ἀκουσίλαον, καὶ μετὰ τοῦτον εἴ τινες ἄλλοι λέγονται γενέσθαι, βραχὺ τῆς περσῶν ἐπὶ τὴν ἑλλάδα στρατείας τῷ χρόνῳ προέλαβον. ἀλλὰ μὴν καὶ τοὺς περὶ τῶν οὐρανίων τε καὶ θείων πρώτους παρ' ἕλλησι φιλοσοφήσαντας, οἷον φερεκύδην τὸν σύριον καὶ πυθαγόραν καὶ θάλητα, πάντες συμφώνως ὁμολογοῦσιν αἰγυπτίων καὶ χαλδαίων γενομένους μαθητάς, ὀλίγα συγγράψαι. καὶ ταῦτα τοῖς ἕλλησιν εἶναι δοκεῖ πάντων ἀρχαιότατα, καὶ μόλις αὐτὰ πιστεύουσιν ὑπ' ἐκείνων γεγράφθαι. πῶς οὖν οὐκ ἄλογον τετυφῶσθαι τοὺς ἕλληνας ὡς μόνους ἐπισταμένους τὰ ἀρχαῖα, καὶ τὴν ἀλήθειαν περὶ αὐτῶν ἀκριβῶς παραδιδόντας. ἢ τίς οὐ παρ' αὐτῶν τῶν συγγραφέων μάθοι ῥᾳδίως, ὅτι μηδὲν βεβαίως εἰδότες συνέγραφον, ἀλλ' ὡς ἕκαστοι περὶ τῶν πραγμάτων εἴκαζον. πλεῖον γοῦν διὰ τῶν βυβλίων ἀλλήλους ἐλέγχουσι, καὶ τὰ ἐναντιώτατα περὶ τῶν αὐτῶν λέγειν οὐκ ὀκνοῦσι. περίεργος δ' ἂν εἴην ἐγὼ τοὺς ἐμοῦ μᾶλλον ἐπισταμένους διδάσκων, ὅσα μὲν ἑλλάνικος ἀκουσιλάῳ περὶ τῶν γενεαλογιῶν διαπεφώνηκεν, ὅσα δὲ διορθοῦται τὸν ἡσίοδον ἀκουσίλαος, ἢ τίνα τρόπον ἔφορος μὲν ἑλλάνικον ἐν τοῖς πλείστοις ψευδόμενον ἐπιδείκνυσιν, ἔφορον δὲ τίμαιος, καὶ τίμαιον οἱ μετ' ἐκεῖνον γεγονό-

γεγονότας, ἡρόδοτον δὲ πάντες. ἀλλ' οὐδὲ περὶ τῶν σικελικῶν τοῖς περὶ ἀντίοχον καὶ φίλιστον ἢ καλλίαν τίμαιος συμφωνεῖν ἠξίωσεν. οὐδ' αὖ περὶ τῶν ἀττικῶν οἱ τὰς ἀτθίδας συγγεγραφότες, ἢ περὶ τῶν ἀργολικῶν οἱ τὰ περὶ ἄργος ἱστοροῦντες ἀλλήλοις κατηκολουθήκασι. καὶ τί δεῖ λέγειν περὶ τῶν κατὰ πόλεις καὶ βραχυτέρων, ὅπου περὶ τῆς περιηγήσεως τῆς περσικῆς στρατιᾶς καὶ τῶν ἐν αὐτῇ πραχθέντων οἱ δοκιμώτατοι διαπεφωνήκασιν. πολλὰ δὲ καὶ θουκυδίδης ὡς ψευδόμενος ὑπό τινων κατηγορεῖται, καίτοι δοκῶν ἀκριβεστάτην καθ' αὑτὸν ἱστορίαν συγγράφειν. αἰτίαι δὲ τῆς τοσαύτης διαφωνίας, πολλαὶ μὲν ἴσως ἂν καὶ ἕτεραι τοῖς βουλομένοις ζητεῖν ἀναφανεῖεν. ἐγὼ δὲ δυσὶ ταῖς λεχθησομέναις τὴν μεγίστην ἰσχὺν ἀνατίθημι. καὶ προτέραν ἐρῶ τὴν κυριωτέραν, εἶναί μοι δοκοῦσαν. τὸ γὰρ ἐξ ἀρχῆς μὴ σπουδασθῆναι, παρὰ τοῖς ἕλλησι δημοσίας γενέσθαι περὶ τῶν ἑκάστοτε πραττομένων ἀναγραφάς, τοῦτο μάλιστα δὴ καὶ τὴν πλάνην, καὶ τὴν ἐξουσίαν τοῦ ψεύδεσθαι, τοῖς μετὰ ταῦτα βουληθεῖσι περὶ τῶν παλαιῶν τι γράφειν παρέσχεν. οὐ γὰρ μόνον παρὰ τοῖς ἄλλοις ἕλλησιν ἠμελήθη τὰ περὶ τῆς ἀναγραφῆς, ἀλλ' οὐδὲ παρὰ τοῖς ἀθηναίοις οὓς αὐτόχθονας εἶναι λέγουσι, καὶ παιδείας ἐπιμελεῖς, οὐδὲν τοιοῦτον εὑρίσκεται γενόμενον. ἀλλὰ τῶν δημοσίων γραμμάτων ἀρχαιοτάτους εἶναι φασὶ, τοὺς ὑπὸ δράκοντος αὐτοῖς περὶ τῶν φονικῶν γραφέντας νόμους, ὀλίγῳ πρότερον τῆς πεισιστράτου τυραννίδος ἀνθρώπου γεγονότος. περὶ μὲν γὰρ ἀρκάδων τί δεῖ λέγειν αὐχούντων ἀρχαιότητα; μόλις γὰρ οὗτοι καὶ μετὰ ταῦτα γράμμασιν ἐπαιδεύθησαν. ἅτε δὴ τοίνυν οὐδεμιᾶς προκαταβεβλημένης ἀναγραφῆς, ἣ καὶ τοὺς μαθεῖν βουλομένους διδάξειν ἔμελλε, καὶ τοὺς ψευδομένους ἐλέγξειν, ἡ πολλὴ πρὸς ἀλλήλους ἐγένετο διαφωνία τοῖς συγγραφεῦσι. δευτέραν δὲ πρὸς ταύτῃ, θετέον ἐκείνην αἰτίαν. οἱ γὰρ ἐπὶ τὸ γράφειν ὁρμήσαντες, οὐ περὶ τὴν ἀλήθειαν ἐσπούδασαν· καίτοι τοῦτο πρόχειρον ἐστὶν ἀεὶ τὸ ἐπάγγελμα· λόγων δὲ δύναμιν ἐπεδείκνυντο. καὶ καθ' ὅν τινα τρόπον ἐν τούτῳ παρευδοκιμήσειν τοὺς ἄλλους ὑπελάμβανον, κατὰ τοῦτον ἡρμόζοντο. τινὲς μὲν ἐπὶ τὸ μυθολογεῖν τρεπόμενοι, τινὲς δὲ πρὸς χάριν ἢ τὰς πόλεις ἢ τοὺς βασιλέας ἐπαινοῦντες. ἄλλοι δὲ ἐπὶ τὸ κατηγορεῖν τῶν πράξεων ἢ τῶν γεγραφότων ἐχώρησαν, ἐνευδοκιμήσειν τούτῳ νομίζοντες· ὅλως δὲ τὸ πάντων ἐναντιώτατον ἱστορίᾳ πράττοντες διατελοῦσι. τῆς μὲν γὰρ ἀληθοῦς ἐστι τεκμήριον ἱστορίας, εἰ περὶ τῶν αὐτῶν ἅπαντες ταυτὰ καὶ λέγοιεν καὶ γράφοιεν. οἱ δ' εἰ ταῦτα γράψαιεν ἑτέρως, οὕτως ἐνόμιζον αὐτοὶ φανεῖσθαι πάντων ἀληθέστατοι. λόγων μὲν οὖν ἕνεκα καὶ ἐν τούτοις δεινότητος δεῖ παραχωρεῖν ἡμᾶς τοῖς συγγραφεῦσι τοῖς ἑλληνικοῖς. οὐ μὴν καὶ τῆς περὶ τῶν ἀρχαίων ἀληθοῦς ἱστορίας, καὶ μάλιστά γε τῆς περὶ τῶν ἑκάστοις ἐπιχωρίων. ὅτι μὲν οὖν παρ' αἰγυπτίοις τε καὶ βαβυλωνίοις, ἐκ μακροτάτων ἄνωθεν χρόνων, τὴν περὶ τὰς ἀναγραφὰς ἐπιμέλειαν, ὅπου μὲν οἱ ἱερεῖς ἦσαν ἐγκεχειρισμένοι, καὶ περὶ ταύτας ἐφιλοσόφουν· χαλδαῖοι δὲ παρὰ τοῖς βαβυλωνίοις, καὶ ὅτι μάλιστα δὴ τῶν ἑλλήνων ἐπιδεικνυμένων ἐχρήσαντο φοίνικες γράμμασιν εἴς τε τὰς περὶ τὸν βίον οἰκονομίας, καὶ πρὸς τὴν τῶν κοινῶν ἔργων παράδοσιν, ἐπειδὴ συγχωροῦσιν ἅπαντες, ἐάσειν μοι δοκῶ.

fuêre, Herodotum verò cuncti: sed neque de Siculis cum Antiocho & Philisto, aut Callia Timæus concordare dignatus est: neque rursus de Atticis hi qui Athidas conscripserunt: aut de Argolicis qui de Argis historiam protulêre, alterutros consecuti sunt. Et quid oportet dicere de ciuitatibus breuibúsque rebus, quando de militia Persica, & his quæ in ea sunt gesta, tantum viri probatissimi discordasse noscuntur? In multis autem etiam Thucydides tanquam fallax accusatur, licèt scrupulosissimam sui temporis historiam conscripsisse videatur. Causæ verò huius dissonantiæ multæ forsan & aliæ querere volentibus apparebunt. Ego verò duabus quas dicturus sum, maximam huius vim diuersitatis ascribo. Et quidem primùm dico eam quæ mihi propior esse videtur: id est, eo quòd ab initio non fuerit studium apud Græcos: publicas de his quæ semper aguntur proferre conscriptiones. Hoc etenim præcipuè & errorem, & potestatem mentiendi posteris, vetus aliquid volentibus scriptitare, concessit. Non enim solummodò apud alios Græcos publica conscriptio est neglecta: sed neque apud ipsos Athenienses, quos terrigenas esse dicunt, disciplinæque cultores, aliquid huiusmodi reperitur. Sed publicarum literarum antiquissimas esse dicunt leges, quæ à Dracone eis de suppliciis sunt conscriptæ, modicum ante tempus tyrannidis Pisistrati. De Arcadibus autem in antiquitate gloriantibus, quid oportet dici? vix enim isti & postea literis eruditi sunt. Cùm ergo conscriptio nulla præponeretur, quæ & discere volentes doceret, & mentientes argueret, multa inter conscriptores discordia nata est: quoniam qui ad scribendum se præparabant, non studium veritatis exhibuerunt, licèt hæc promissio semper habeatur in promptu: sed verborum magis habere prolationem maximam. Et quemadmodum laudari se in hoc super alios æstimarent, ad hoc potiùs semetipsos aptabant. Aliqui verò ad fabulas sunt conuersi: aliqui autem ad gratiam, aut ciuitates laudantes, aut reges: alij semetipsos ad accusandas causas, aut conscriptores tradidêre. in hoc se fore probabiles æstimantes, & omninò hoc agentes, quod historiæ nimis aduersum est. Veræ siquidem historiæ indicium est, si de eisdem rebus omnes eadem dicant atque conscribant. hi verò cùm quædam aliter conscriberent quàm alij, tunc se putabant omnium veraciores ostendi. Quapropter causa quidem verborum & calliditatis eorum, cedere nos Græcis oportet: non autem de antiqua historiæ veritate, & maximè de rebus propriæ vniuscuiusque prouinciæ. Quoniam igitur apud Ægyptios & Babylonios, ex longissimis olim temporibus circa conscriptiones diligentia fuit, quando sacerdotibus erat iniunctum, & circa eas ipsi philosophabantur: Chaldæi verò apud Babylonios: & quia præcipuè Græcis immixti, vsi sunt Phœnices literis, circa dispensationes vitæ, & publicorum operum traditionem, dum consentiant omnes tacendum hoc puto.

De noſtris verò progenitoribus, qui eandem quam prædicti habuerunt in conſcriptionibus ſolicitudinem (deſino dicere, etiam potiorem) pontificibus & prophetis hoc imperantes: & quia vſque ad noſtra tempora cum multa integritate ſeruatum eſt, & ſi oportet audentiùs dicere, etiam ſeruabitur, conabor breuiter edocere. Non enim ſolummodo ab initio probatiſſimos viros, & in Dei placatione præparatos, ad hæc exercenda conſtituerunt: ſed quatenus etiam genus ſacerdotum ſine permixtione purúmque conſiſteret, prouiderunt. Oportet enim eum qui ſacerdotium habiturus eſt, ex eiuſdem gentis naſci muliere: & neque ad pecunias, neque ad honores inſpicere, & genus per antiquam lineam & multis teſtibus approbare. Quod ſcilicet agimus non ſolùm in ipſa Iudæa: ſed vbicunque noſtri generis conſtitutio reperitur, etiam ibi integritas iſta ſeruatur circa nuptias ſacerdotũ: hoc eſt, in Ægypto & Babylonia, & quocunque terrarum orbe quilibet de ſacerdotum genere ſunt diſperſi. Mittunt enim in Hieroſolymam conſcribentes à patre nomen nuptæ, & antiquorum progenitorum, quicunque huius rei teſtimonia præbuêre. Si autem bella proueniant, ſicut iam crebrò factum eſt, dum Antiochus Epiphanes ad noſtram veniſſet regionem, & Pompeius Magnus, & Quintilius Varus, & præcipuè noſtris geſta temporibus, tunc hi qui de ſacerdotibus ſuperſunt, ex antiquis literis iterum nouas conficiunt, & probant mulieres, quæ relinquuntur. Non enim ad captiuas accedunt, alienigenarum conſortia formidantes. Indicium verò integritatis hoc maximum eſt, quia pontifices apud nos à duobus millibus annis denominati filij à patre cóſcripti ſunt. His autem qui prædicti ſunt, ſi quid præuaricentur, interdicitur ne vel ad altare accedant, vel alia ſanctificatione fungantur. Rectè ſiquidem, potius autem neceſſariè, cùm neque conſcribendi poteſtas omnibus data, neque vlla ſit in deſcriptione diſcordia: ſed ſolummodo prophetis antiquiſſima quidem & veterrima ſecundùm inſpirationem factam à Deo cognoſcentibus, alia verò ſuorum temporum ſicuti ſunt facta palàm conſcribentibus, infiniti libri non ſunt apud nos diſcordantes & ſibimet repugnantes: ſed ſolummodo duo & viginti libri, habentes temporis totius conſcriptionem: quorum iuſtè fides admittitur. Horum ergo quinque quidem ſunt Moſeos, qui natiuitates continent, & humanæ generationis traditionem habent vſque ad eius mortem. hoc tempus de tribus millibus annis paululum minus eſt. A morte verò Moſeos vſque ad Artaxerxem Perſarum regem, qui fuit poſt Xerxem, prophetæ ſuorum temporũ res geſtas conſcripſerunt in tredecim libris. Reliqui verò quatuor, hymnos in Deum & vitæ humanæ præcepta noſcuntur continere. Ab Artaxerxe verò vſque ad noſtrum tempus ſingula quidem conſcripta, non tamẽ priori ſimil. fide ſunt habita, eo quòd nó fuerit certa ſucceſſio prophetarum. Palàm nãque eſt ipſis operibus quemadmodum nos propriis literis

περὶ δὲ τῶν ἡμετέρων προγόνων, ὅτι τὴν αὐτὴν, ἐῶ γὰρ λέγειν εἰ καὶ πλείω τῶν εἰρημένων ἐποιήσαντο τὴν περὶ τὰς ἀναγραφὰς ἐπιμέλειαν, τοῖς ἀρχιερεῦσι καὶ τοῖς προφήταις τοῦτο προστάξαντες. καὶ ὡς μέχρι τῶν καθ' ἡμᾶς, χρόνων πεφύλακται μετὰ πολλῆς ἀκριβείας, εἰ δὲ θρασύτερον εἰπεῖν καὶ φυλαχθήσεται, πειράσομαι συντόμως διδάσκειν. οὐ γὰρ μόνον ἐξ ἀρχῆς ἐπὶ τούτων τοὺς ἀρίστους, καὶ τῇ θεραπείᾳ τοῦ θεοῦ προσεδρεύοντας κατέστησαν, ἀλλ' ὅπως τὸ γένος τῶν ἱερέων ἄμικτον καὶ καθαρὸν διαμένῃ, προὐνόησαν. δεῖ γὰρ τὸν μετέχοντα τῆς ἱερωσύνης, ἐξ ὁμοεθνοῦς γυναικὸς παιδοποιεῖσθαι, καὶ μὴ πρὸς χρήματα μηδὲ τὰς ἄλλας ἀποβλέπειν τιμὰς, ἀλλὰ τὸ γένος ἐξετάζειν ἐκ τῶν ἀρχαίων λαμβάνοντα τὴν διαδοχὴν, καὶ πολλοὺς ἐπιγραφόμενον μάρτυρας. καὶ ταῦτα πράττομεν οὐ μόνον ἐπ' αὐτῆς ἰουδαίας, ἀλλ' ὅπου ποτὲ σύστημα τοῦ γένους ἐστὶν ἡμῶν, κἀκεῖ τὸ ἀκριβὲς ἀποσώζεται τοῖς ἱερεῦσι περὶ τοὺς γάμους. λέγω δὲ τοὺς ἐν αἰγύπτῳ καὶ βαβυλῶνι, καὶ εἴπου τῆς ἄλλης οἰκουμένης τοῦ γένους τῶν ἱερέων εἰσί τινες διεσπαρμένοι. πέμπουσι γὰρ εἰς ἱεροσόλυμα συγγράψαντες πατρόθεν τοὔνομα, τῶν γαμουμένων, καὶ τῶν ἐπάνω προγόνων, καὶ τίνες οἱ μαρτυροῦντες. πόλεμος δ' εἰ κατάσχοι, καθάπερ ἤδη γέγονεν πολλάκις, ἀντιόχου τε τοῦ ἐπιφανοῦς εἰς τὴν χώραν ἐμβαλόντος, καὶ πομπηΐου μάγνου, καὶ κυντιλίου οὐάρου, μάλιστα δὲ καὶ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις, οἱ περιλειπόμενοι τῶν ἱερέων, καινὰ πάλιν ἐκ τῶν ἀρχαίων γραμμάτων συνίστανται. καὶ δοκιμάζουσι τὰς ὑπολειφθείσας γυναῖκας. οὐ γὰρ ἔτι τὰς αἰχμαλώτους γενομένας προσίενται, πολλάκις γεγονυῖαν αὐταῖς τὴν πρὸς ἀλλόφυλον κοινωνίαν ὑφορώμενοι. τεκμήριον δὲ μέγιστον τῆς ἀκριβείας. οἱ γὰρ ἀρχιερεῖς οἱ παρ' ἡμῖν ἀπὸ δισχιλίων ἐτῶν ὀνομαστοὶ παῖδες ἐκ πατρὸς εἰσὶν ἐν ταῖς ἀναγραφαῖς. τοῖς δὲ τῶν εἰρημένων ὅτι οὖν γένοιτο εἰς παράβασιν, ἀπηγόρευται μήτε βωμοῖς παρίστασθαι, μήτε μετέχειν τῆς ἄλλης ἁγιστείας. εἰκότως οὖν μᾶλλον δὲ ἀναγκαίως, ἅτε μήτε τοῦ ὑπογράφειν αὐτεξουσίου πᾶσιν ὄντος, μήτε τινὸς ἐν τοῖς γραφομένοις ἐνούσης διαφωνίας, ἀλλὰ μόνων τῶν προφητῶν τὰ μὲν ἀνωτάτω καὶ παλαιότατα, κατὰ τὴν ἐπίπνοιαν τὴν ἀπὸ τοῦ θεοῦ μαθόντων, τὰ δὲ καθ' ἑαυτοὺς ὡς ἐγένετο σαφῶς συγγραφόντων, οὐ μυριάδες βιβλίων εἰσὶ παρ' ἡμῖν ἀσυμφώνων καὶ μαχομένων. δύο δὲ μόνα πρὸς τοῖς εἴκοσι βιβλία, τοῦ παντὸς ἔχοντα χρόνου τὴν ἀναγραφὴν, τὰ δικαίως πεπιστευμένα. καὶ τούτων πέντε μέν ἐστι μωϋσέως, ἃ τοὺς γενομένους περιέχει, καὶ τὴν ἀπ' ἀνθρωπογονίας παράδοσιν, μέχρι τῆς αὐτοῦ τελευτῆς. οὗτος ὁ χρόνος ἀπολείπει τρισχιλίων ὀλίγῳ ἐτῶν. ἀπὸ δὲ τῆς μωϋσέως τελευτῆς, μέχρι τῆς ἀρταξέρξου τοῦ μετὰ ξέρξην περσῶν βασιλέως ἀρχῆς, οἱ μετὰ μωϋσῆν προφῆται τὰ κατ' αὐτοὺς πραχθέντα συνέγραψαν, ἐν τρισὶ καὶ δέκα βιβλίοις. αἱ δὲ λοιπαὶ τέσσαρες ὕμνους εἰς τὸν θεὸν καὶ τοῖς ἀνθρώποις ὑποθήκας τοῦ βίου περιέχουσιν. ἀπὸ δὲ ἀρταξέρξου μέχρι τοῦ καθ' ἡμᾶς χρόνου γέγραπται μὲν ἕκαστα. πίστεως δὲ οὐχ ὁμοίας ἠξίωται τοῖς πρὸ αὐτῶν, διὰ τὸ μὴ γενέσθαι τὴν τῶν προφητῶν ἀκριβῆ διαδοχήν. δῆλον δ' ἐστὶν ἔργῳ πῶς ἡμεῖς τοῖς ἰδίοις γράμμασι

πεπι-

πεπιστεύκαμεν. τοσούτου γὰρ αἰῶνος ἤδη παρῳχηκότος, οὔτε προσθεῖναί τις οὐδὲν, οὔτε ἀφελεῖν αὐτῶν, οὔτε μεταθεῖναι τετόλμηκεν. πᾶσι γὰρ σύμφυτόν ἐστιν εὐθὺς ἐκ τῆς πρώτης γενέσεως ἰουδαίοις ὀνομάζειν αὐτὰ θεοῦ δόγματα, καὶ τούτοις ἐμμένειν, καὶ ὑπὲρ αὐτῶν εἰ δέοι θνήσκειν ἡδέως. ἤδη οὖν πολλοὶ πολλάκις ἑώρανται τῶν αἰχμαλώτων, στρέβλας καὶ παντοίων θανάτων τρόπους ἐν θεάτροις ὑπομένοντες, ἐπὶ τῷ μηδὲν ῥῆμα προέσθαι παρὰ τοὺς νόμους καὶ τὰς μετὰ τούτων ἀναγραφάς. ὅ τις ἂν ὑπομείνειεν ἑλλήνων ὑπὲρ αὐτοῦ. ἀλλ' οὐδ' ὑπὲρ τοῦ, καὶ πάντα τὰ παρ' αὐτοῖς ἀφανισθῆναι συγγράμματα, τὴν τυχοῦσαν ὑποστήσεται βλάβην. λόγους γὰρ αὐτὰ νομίζουσιν εἶναι, κατὰ τὴν τῶν γραψάντων βούλησιν ἐσχεδιασμένους. καὶ τοῦτο δικαίως καὶ περὶ τῶν παλαιοτέρων φρονοῦσιν, ἐπειδὴ καὶ τῶν νῦν ἐνίους ὁρῶσι τολμῶντας περὶ τούτων συγγράφειν, οἷς μήτ' αὐτοὶ παρεγένοντο, μήτε πυθέσθαι παρὰ τῶν εἰδότων ἐφιλοτιμήθησαν. ἀμέλει καὶ περὶ τοῦ γενομένου νῦν ἡμῖν πολέμου, τινὲς ἱστορίας ἐπιγράψαντες ἐξενηνόχασιν, οὔτ' εἰς τοὺς τόπους παραβαλόντες, οὔτε πλησίον τούτων πραττομένων προσελθόντες, ἀλλ' ἐκ παρακουσμάτων ὀλίγα συνθέντες, τῷ τῆς ἱστορίας ὀνόματι λίαν ἀναιδῶς ἐνεπαρῴνησαν. ἐγὼ δὲ καὶ περὶ τοῦ πολέμου παντὸς, καὶ περὶ τῶν ἐν αὐτῷ κατὰ μέρος γενομένων, ἀληθῆ τὴν ἀναγραφὴν ἐποιησάμην, τοῖς πράγμασιν αὐτὸς ἅπασι παρατυχών. ἐστρατήγουν μὲν γὰρ τῶν παρ' ἡμῖν γαλιλαίων ὀνομαζομένων, ἕως ἀντέχειν δυνατὸν ἦν, γενόμενος δὲ παρὰ ῥωμαίοις συλληφθεὶς αἰχμάλωτος. καί με διὰ φυλακῆς οὐεσπασιανὸς καὶ τίτος ἔχοντες, ἀεὶ προσεδρεύειν αὐτοῖς ἠνάγκασαν, τὸ μὲν πρῶτον δεδεμένον. αὖθις δὲ λυθεὶς συνεπέμφθην ἀπὸ τῆς ἀλεξανδρείας τίτῳ, πρὸς τὴν ἱεροσολύμων πολιορκίαν. ἐν ᾧ χρόνῳ γινομένων τῶν πραττομένων οὐκ ἔστιν, ὃ τὴν ἐμὴν γνῶσιν διέφυγε. καὶ γὰρ τὰ κατὰ τὸ στρατόπεδον τὸ ῥωμαίων ὁρῶν ἐπιμελῶς ἀνέγραφον, καὶ τὰ παρὰ τῶν αὐτομόλων ἀπαγγελλόμενα μόνος αὐτὸς συνίειν. εἶτα σχολῆς ἐν τῇ ῥώμῃ λαβόμενος, πάσης μοι τῆς πραγματείας ἐν παρασκευῇ γεγενημένης, χρησάμενός τισι πρὸς τὴν ἑλληνίδα φωνὴν συνεργοῖς, οὕτως ἐποιησάμην τῶν πράξεων τὴν παράδοσιν. τοσοῦτον δέ μοι περιῆν θάρσος τῆς ἀληθείας, ὥστε πρώτους πάντων τοὺς αὐτοκράτορας τοῦ πολέμου γενομένους οὐεσπασιανὸν καὶ τίτον ἠξίωσα λαβεῖν μάρτυρας. πρώτοις γὰρ δέδωκα τὰ βιβλία. καὶ μετ' ἐκείνους πολλοῖς μὲν ῥωμαίων τοῖς συμπεπολεμηκόσι, πολλοῖς δὲ τῶν ἡμετέρων ἐπίπρασκον, ἀνδράσι καὶ τῆς ἑλληνικῆς σοφίας μετεσχηκόσιν· ὧν ἐστιν ἰούλιος ἀρχέλαος, ἡρώδης ὁ σεμνότατος, αὐτὸς ὁ θαυμασιώτατος βασιλεὺς ἀγρίππας. οὗτοι μὲν οὖν ἅπαντες ἐμαρτύρησαν, ὅτι τῆς ἀληθείας προὔστην ἐπιμελῶς, οὐκ ἂν ὑποστειλάμενοι καὶ σιωπήσαντες, εἴ τι κατ' ἄγνοιαν, ἢ χαριζόμενος μετέθηκα τῶν γεγονότων, ἢ παρέλιπον. φαῦλοι δέ τινες ἄνθρωποι διαβάλλειν μου τὴν ἱστορίαν ἐπικεχειρήκασιν, ὥσπερ ἐν σχολῇ μειρακίων γύμνασμα προκεῖσθαι νομίζοντες, κατηγορίας παραδόξου καὶ διαβολῆς. δέον ἐκεῖνο γινώσκειν, ὅτι δεῖ τὸν ἄλλοις παράδοσιν πράξεων ἀληθινῶν ὑπισχνούμενον, αὐτὸν ἐπίστασθαι ταύτας πρότερον ἀκριβῶς, ἢ παρηκολουθηκότα τοῖς γεγονόσιν, ἢ παρὰ τῶν εἰδότων πυνθανόμενον. ὅπερ ἐγὼ μάλιστα

credimus: tanto namque ſeculo iam præterito neque adiicere quicquam aliquis, nec auferre, nec transformare præſumpſit. Omnibus enim inſertum eſt mox ex prima generatione Iudæis, hæc diuina dogmata nominare, & in his vtique permanere: & propterea, ſi oporteat, mori libenter. Iam itaque multi captiuorum frequenter tormentis affecti ſunt, & mortes varias in theatris ſuſtinuêre, ne vllum verbum contra leges admiterent, aut conſcriptiones auitas violarêt. Quis Græcorum aliquid tale perpeſſus eſt? quando neque fortuitam ſuſtinere læſionem volunt: licèt omnia apud eos ſcripta deſtruantur. Verba enim hæc eſſe putant ſecundùm conſcribētiū voluntates expoſita. Et hoc iuſtè etiam de antiquis ſapiunt, quoniam aliquos nunc quoq; vident præſumentes de his rebus conſcribere, quibus neque ipſi interfuêre, neque credere ſcientibus acquieſcunt. Deniq; de bello quod apud nos contigit nuper, quidam hiſtorias cōſcribentes ediderunt: cùm neque ad ea loca venerint, neque in proximo rerum geſtarum fuerint: ſed ex auditu quædam pauca componentes, impudenter ſemetipſos videntur hiſtoriæ nomine iactitare. Ego verò & de omni bello, & quæ ibi particulariter geſta ſunt, veram deſcriptionem feci: cùm ipſe rebus omnib[9] interfuerim. Dux etenim apud nos Galilæorum eram, donec fuit defendendi facultas. Contigit autem vt caperer à Romanis: & habentes me Veſpaſianus & Titus in cuſtodia, vniuerſa ſemper inſpicere faciebant, primò quidem vinctum: poſtea verò ſolutus cum Tito ab Alexandria propter obſeſſionem Hieroſolymorum directus ſum. Eo tempore nihil eſt geſtum, quod meam potuiſſet latere notitiam. Nam videns Romanorum exercitum, vniuerſa cum diligentia deſcribebam. Et ea quę nunciabantur ab his qui ſemetipſos tradebāt, ego ſolus integriùs intelligens diſponebam. Deinde Romæ tempus vacationis habens, omni iam negotio præparato vſus aliquibus cooperātibus mihi propter eloquentiam Græcam rerum eruditionem exhibui. Tantáque mihi ſecuritas affuit veritatis, vt primos omnium Imperatores belli Veſpaſianum & Titum teſtes non expaueſcerem. Primùm namq; illis obtuli libros: & poſt illos multis quidem Romanorum qui bellis interfuêre, plurimis verò noſtrorum etiam eos venūdedi, qui Græca eruditione videbantur imbuti. quorum eſt Iulius Archelaus, Herodes honeſtiſſimus, & ipſe admirabilis rex Agrippa. Iſti ſiquidē vniuerſi teſtimonium perhibuêre, quòd veritatem diligenter excolui: nō diſſimulaturi ſi quid geſtorum per ignorātiam, aut per gratiam commutaſſem, aut prætermiſiſſem. Quidam verò praui homines derogare meæ hiſtoriæ ſunt conati, tanquam in ſcholis adoleſcentium themata exercentes, & accuſationis inſperatæ atque detractionis facientes opus: cùm oporteat illud ſciri, quod conuenit promittētē aliis rerum veracium traditionē, ipſum prius hęc noſſe certiſſimè, aut rebus geſtis adhęrēdo, aut ab ſcietib[9] cōſulendo. Quod ego pręcipuè

circa vtrumque me credo fecisse opus. Antiquitatis namque libros (sicuti dixi) ex voluminibus sacris interpretatus sum, cùm essem genere sacerdos, & participarem illarum sapientiam literarum. Historiam verò belli conscripsi, multarum quidem actionum ipse operator, plurimarum verò inspector existens & omnino eorum quæ dicta vel gesta sunt, nihil ignorans. Quomodo ergo non procaces quilibet existimabit eos, qui aduersum me nituntur de veritate contendere? Qui licèt imperatorum commentarios legisse dicuntur, non tamen nostrorum repugnantium rebus interfuêre. De his rebus itaque necessariam feci digressionem, significare volens facultatem eorum, qui historiam scribere promittunt. Et sufficienter, sicuti reor, declaraui, quòd conscriptio rerum apud Barbaros potius solénior, quàm apud Græcos est. Volo autem paululum priùs disputare aduersus eos, qui contẽdunt, nouellam esse nostram conuersationem, eo quòd nihil de nobis, vt aiunt illi, dictum sit à conscriptoribus Græcis. Deinde testimonia antiquitatis ex aliorũ literis exhibebo: & eos qui nostrum blasphemant genus, nulla ratione blasphemare monstrabo. Nos igitur neque regionem maritimam habitamus, neque mercimoniis gaudemus, neque per hoc alterutris peregrinationibus fatigamur. Sed nostræ ciuitates procul à mari sitæ sunt: regionémque vberrimam possidentes, in ea assiduè laboramus, præcipuè circa filiorum nutrimenta studentes, legúmque custodiam: & traditionẽ pietatis, totius opus vitæ necessarium iudicamus. Cùm accedat igitur his quæ prædicta sunt, etiam viuendi ratio propria, nihil fuit antiquis temporibus quod faceret nobis commercium Græcorum: sicut Ægyptiis mercimonia, quæ ab eis exportantur: & ad eos rursus importantur: itémque habitatoribus Phœniciæ maritimæ, studentibus circa contractus, atque negocia amore pecuniæ requisita. Sed neque circa latrocinia, sicut quidam alij vacauêre, aut amplius habere concupiscentes patres nostri ad bella conuersi sunt, licèt regio nostra multa millia virorũ fortium possideret. Phœnices ergo propter negociationem ad Græcorum prouinciã nauigãtes, repente sunt agniti, & per illos Ægyptij, & omnes à quibus ad Græcos onera deuehebãt, immensa maria proscindentes. Medi verò postea atque Persæ palàm in Asia regnauerunt, & vsque ad alteram continentem Persæ militauerunt: Traces autem proptea vicinitatem, & Scythæ ab his qui Pontum nauigant, cogniti sunt: & omnino vniuersi iuxta mare vel Orientale, vel hesperiũ habitantes, aliquid conscribere volentibus cogniti facti sunt. Qui verò superius habitabant, & procul à mari, multis sunt temporibus ignorati. Et hoc apparet etiam circa Europam contigisse, quando de Romanorum ciuitate tam longo tempore adepta potestatẽ, tãtáq; bella cõficiẽte: neq; Herodotus, neq; Thucydides, nec vllus qui fuit cum istis, fecit aliquã mentionẽ: sed serò tandẽ & vix ad Græcos

περὶ ἀμφοτέρας νομίζω πεποιηκέναι τὰς πραγματείας. τὴν μὲν γὰρ ἀρχαιολογίαν ὥσπερ ἔφην, ἐκ τῶν ἱερῶν γραμμάτων μεθερμήνευκα, γεγονὼς ἱερεὺς ἐκ γένους, καὶ μετεσχηκὼς τῆς φιλοσοφίας τῆς ἐν ἐκείνοις τοῖς γράμμασι. τοῦ δὲ πολέμου τὴν ἱστορίαν ἔγραψα, πολλῶν μὲν αὐτουργὸς πράξεων, πλείστων δ' αὐτόπτης γενόμενος· ὅλως δὲ τῶν λεχθέντων ἢ πραχθέντων οὐδοτιοῦν ἀγνοήσας. πῶς οὖν οὐκ ἂν θρασεῖς τις ἡγήσαιτο, τοὺς ἀνταγωνίζεσθαί μοι περὶ τῆς ἀληθείας ἐπικεχειρηκότας. οἳ κἂν τοῖς τῶν αὐτοκρατόρων ὑπομνήμασιν ἐντυχεῖν λέγωσιν, ἀλλ' οὔ γε καὶ τοῖς ἡμετέροις τῶν ἀντιπολεμούντων πράγμασι παρέτυχον. περὶ μὲν οὖν τούτων ἀναγκαίαν ἐποιησάμην τὴν παρέκβασιν, ἐπισημήνασθαι βουλόμενος τὴν τῶν ἐπαγγελλομένων τὰς ἱστορίας συγγράφειν τὴν εὐχέρειαν. ἱκανῶς δὲ φανερὸν ὡς οἶμαι πεποιηκὼς, ὅτι πάτριός ἐστιν ἡ περὶ τῶν παλαιῶν ἀναγραφὴ τοῖς βαρβάροις μᾶλλον ἢ τοῖς Ἕλλησιν. βούλομαι δὴ μικρὰ πρότερον διαλεχθῆναι πρὸς τοὺς ἐπιχειροῦντας νέαν ἡμῶν ἀποφαίνειν τὴν κατάστασιν, ἐκ τοῦ μηδὲν περὶ ἡμῶν ὥς φασιν ἐκεῖνοι λελέχθαι παρὰ τοῖς ἑλληνικοῖς συγγραφεῦσιν. εἶτα δὲ τὰς μαρτυρίας τῆς ἀρχαιότητος ἐκ τῶν παρ' ἄλλοις γραμμάτων παρέξω, καὶ τοὺς βεβλασφημηκότας ἡμῶν τὸ γένος, ἀποδείξω λίαν ἐν τοῖς λόγοις βλασφημοῦντας. ἡμεῖς τοίνυν οὔτε χώραν οἰκοῦμεν παράλιον, οὔτ' ἐμπορίαις χαίρομεν, οὐδὲ ταῖς πρὸς ἄλλους διὰ τούτων ἐπιμιξίαις. ἀλλ' εἰσὶν μὲν ἡμῶν αἱ πόλεις μακρὰν ἀπὸ θαλάσσης ᾠκισμέναι, χώραν δ' ἀγαθὴν νεμόμενοι, ταύτην ἐκπονοῦμεν· μάλιστα δὲ πάντων περὶ παιδοτροφίαν φιλοκαλοῦντες, καὶ τὸ φυλάττειν τοὺς νόμους, καὶ τὴν κατὰ τούτους παραδεδομένην εὐσέβειαν, ἔργον ἀναγκαιότατον παντὸς τοῦ βίου πεποιημένοι. προσούσης τοίνυν τοῖς εἰρημένοις καὶ τῆς περὶ τὸν βίον ἡμῶν ἰδιότητος, οὐδὲν ἦν ἐν τοῖς παλαιοῖς χρόνοις τὸ ποιοῦν πρὸς τοὺς Ἕλληνας ἡμῖν ἐπιμιξίαν, ὥσπερ αἰγυπτίοις μὲν τὰ παρ' αὐτῶν ἐξαγόμενα, καὶ πρὸς αὐτοὺς εἰσαγόμενα, τοῖς δὲ τὸ παράλιον τῆς φοινίκης κατοικοῦσιν, ἡ περὶ τὰς καπηλείας καὶ τὰς ἐμπορίας σπουδὴ, διὰ τὸ φιλοχρηματεῖν. οὐ μὴν οὐδὲ πρὸς λῃστείας ὥσπερ ἄλλοι τινὲς, ἢ τὸ πλέον ἔχειν ἀξιοῦν, πολεμοῦντες ἐτράπησαν ἡμῶν οἱ πατέρες, καίτοι πολλὰς τῆς χώρας ἐχούσης μυριάδας ἀνδρῶν οὐκ ἀτόλμων. διὰ τοῦτο φοίνικες μὲν αὐτοὶ κατ' ἐμπορίαν τοῖς Ἕλλησιν ἐπεισπλέοντες εὐθὺς ἐγνώσθησαν· καὶ δι' ἐκείνων αἰγύπτιοι, καὶ πάντες, ἀφ' ὧν τὸν φόρτον εἰς τοὺς Ἕλληνας διεκόμιζον, μεγάλα πελάγη διαιροῦντες. μῆδοι δὲ μετὰ ταῦτα καὶ πέρσαι φανεροὶ κατέστησαν, τῆς ἀσίας ἐπάρξαντες. οἱ δὲ καὶ μέχρι τῆς ἡμετέρας ἠπείρου πέρσαι στρατεύσαντες. θρᾷκες δὲ διὰ γειτονίαν. καὶ τὸ σκυθικὸν ἀπὸ τῶν εἰς τὸν πόντον ἐγνώσθη πλεόντων. ὅλως γὰρ ἅπαντες οἱ παρὰ τὴν θάλατταν, καὶ πρὸς ταῖς ἀνατολαῖς καὶ πρὸς τὴν ἑσπέριον κατοικοῦντες, τοῖς συγγράφειν τι βουλομένοις γνωριμώτεροι κατέστησαν. οἱ δὲ ταύτης ἄνω τὰς οἰκήσεις ἔχοντες ἐπὶ πλεῖστον ἠγνοήθησαν. καὶ τοῦτο φαίνεται καὶ περὶ τὴν εὐρώπην συμβεβηκὸς, ὅπου γε τῆς ῥωμαίων πόλεως, τηλικαύτην ἐκ μακροῦ δύναμιν κεκτημένης, καὶ τοιαύτας πράξεις κατορθούσης πολεμικὰς, οὔθ' ὁ Ἡρόδοτος, οὔθ' ὁ Θουκυδίδης, οὔτε τῶν ἅμα τούτοις γενομένων οὐδὲ εἷς ἐμνημόνευκεν, ἀλλ' ὀψέ ποτε καὶ μόλις αὐτῶν εἰς τοὺς Ἕλληνας ἡ γνῶσις

ἡ γνῶσις διεξῆλθεν. περὶ μὲν γὰρ γαλατῶν τε καὶ ἰβήρων οὕτως ἠγνόησαν οἱ δοκοῦντες ἀκριβέστατοι συγγραφεῖς, ὧν ἐστιν ἔφορος, ὥς τε πόλιν οἴεται μίαν εἶναι τοὺς ἴβηρας, τοὺς τοσοῦτο μέρος τῆς ἑσπερίου γῆς κατοικοῦντας. καὶ τὰ μήτε γινόμενα παρ' αὐτοῖς ἔθη μήτε λεγόμενα γράφειν, ὡς ἐκείνων αὐτοῖς χρωμένων ἐτόλμησαν. αἴτιον δὲ τοῦ μὲν μὴ γινώσκειν τἀληθὲς, τὸ λίαν ἀνεπίμικτον. τοῦ δὲ γράφειν ψευδῆ, τὸ βούλεσθαι δοκεῖν τι πλέον τῶν ἄλλων ἱστορεῖν. πῶς οὖν ἔτι θαυμάζειν προσήκει, εἰ μηδὲ τὸ ἡμέτερον ἔθνος πολλοῖς ἐγιγνώσκετο, μηδὲ τῆς ἐν τοῖς συγγράμμασι μνήμης ἀφορμὴν παρέσχεν, οὕτω μὲν ἀπῳκισμένον τῆς θαλάσσης, οὕτω δὲ βιοτεύειν προῃρημένον. φέρε τοίνυν ἡμᾶς ἀξιοῦν τεκμηρίῳ χρήσασθαι περὶ τῶν ἑλλήνων, ὅτι μὴ παλαιόν ἐστιν αὐτῶν τὸ γένος, τῷ μηδὲν ἐν ταῖς ἡμετέραις ἀναγραφαῖς περὶ αὐτῶν εἰρῆσθαι. ἆρ' οὐχὶ πάντως ἂν κατεγέλων, αὐτὰς οἶμαι τὰς ὑπ' ἐμοῦ νῦν εἰρημένας κομίζοντες αἰτίας, καὶ μάρτυρας ἂν τοὺς πλησιοχώρους παρείχοντο τῆς αὐτῶν ἀρχαιότητος. κἀγὼ τοίνυν πειράσομαι τοῦτο ποιεῖν. αἰγυπτίοις γὰρ καὶ φοίνιξι μάλιστα δὴ χρήσομαι μάρτυσιν, οὐκ ἄν τινος ὡς ψευδῆ τὴν μαρτυρίαν διαβάλλειν δυνηθέντος. φαίνονται γὰρ καὶ δὴ μάλιστα πρὸς ἡμᾶς δυσμενῶς διατεθέντες, κοινῇ μὲν ἅπαντες αἰγύπτιοι, φοινίκων δὲ τύριοι. περὶ μέντοι χαλδαίων οὐκέτι δυναίμην ἂν ταυτὸ τοῦτο λέγειν, ἐπεὶ καὶ τοῦ γένους ἡμῶν ἀρχηγοὶ καθεστήκασι, καὶ διὰ τὴν συγγένειαν ἐν ταῖς αὐτῶν ἀναγραφαῖς ἰουδαίων μνημονεύουσιν. ὅταν δὲ τὰς περὶ τούτων πίστεις παράσχω, τότε καὶ τῶν ἑλλήνων συγγραφέων ἀποφανῶ τοὺς μνήμην ἰουδαίων πεποιηκότας, ἵνα μηδὲ ταύτην ἔτι τὴν πρόφασιν οἱ βασκαίνοντες ἔχωσι τῆς πρὸς ἡμᾶς ἀντιλογίας. ἄρξομαι δὴ πρῶτον ἀπὸ τῶν παρ' αἰγυπτίοις γραμμάτων, αὐτὰ μὲν οὖν οὐχ οἷόν τε παρατίθεσθαι κἀκείνων. μανεθὼν δ' ἦν τὸ γένος ἀνὴρ αἰγύπτιος, τῆς ἑλληνικῆς μετεσχηκὼς παιδείας, ὡς δῆλός ἐστι, γέγραφε γὰρ ἑλλάδι φωνῇ τὴν πάτριον ἱστορίαν, ἔκ τε τῶν ἱερῶν ὥς φησιν αὐτὸς μεταφράσας, καὶ πολλὰ τὸν ἡρόδοτον ἐλέγχει τῶν αἰγυπτιακῶν ὑπ' ἀγνοίας ἐψευσμένον. αὐτὸς δὲ τοίνυν ὁ μανεθὼν ἐν τῇ δευτέρᾳ τῶν αἰγυπτιακῶν ταῦτα περὶ ἡμῶν γράφει. παραθήσομαι δὲ τὴν λέξιν αὐτοῦ, καθάπερ αὐτὸν ἐκεῖνον παραγαγὼν μάρτυρα. ἐγένετο βασιλεὺς ἡμῖν, τίμαος ὄνομα. ἐπὶ τούτου οὐκ οἶδ' ὅπως ὁ θεὸς ἀντέπνευσε· καὶ παραδόξως ἐκ τῶν πρὸς ἀνατολὴν μερῶν, ἄνθρωποι τὸ γένος ἄσημοι, καταθαρσήσαντες ἐπὶ τὴν χώραν ἐστράτευσαν, καὶ ῥᾳδίως ἀμαχητὶ ταύτην κατὰ κράτος εἷλον. καὶ τοὺς ἡγεμονεύσαντας ἐν αὐτῇ χειρωσάμενοι, τὸ λοιπὸν τάς τε πόλεις ὠμῶς ἐνέπρησαν, καὶ τὰ ἱερὰ τῶν θεῶν κατέσκαψαν. πᾶσι δὲ τοῖς ἐπιχωρίοις ἐχθρότατά πως ἐχρήσαντο, τοὺς μὲν σφάζοντες, τῶν δὲ καὶ τὰ τέκνα καὶ γυναῖκας εἰς δουλείαν ἄγοντες. πέρας δὲ καὶ βασιλέα ἕνα ἐξ αὐτῶν ἐποίησαν, ᾧ ὄνομα ἦν σάλατις. καὶ οὗτος ἐν τῇ μέμφιδι κατεγίνετο, τήν τε ἄνω καὶ κάτω χώραν δασμολογῶν, καὶ φρουρὰν ἐν τοῖς ἐπιτηδειοτάτοις καταλείπων τόποις. μάλιστα δὲ καὶ τὰ πρὸς ἀνατολὴν ἠσφαλίσατο μέρη, προορώμενος ἀσσυρίων ποτὲ μεῖζον ἰσχυόντων, ἐσομένην ἐπιθυμίᾳ τῆς αὐτῆς βασιλείας ἔφοδον. εὑρὼν δὲ ἐν νομῷ τῷ σαΐτῃ πόλιν ἐπικαιροτάτην, κειμένην μὲν πρὸς ἀνατολὴν

A potuit eorum venire notitia. De Gallis enim & Hispanis sic ignorauêre hi, qui putantur diligentissimi conscriptores, quorum est Ephorus, vt vnam ciuitatem esse arbitrarentur Iberos, qui tantam partem Occidentalis terræ noscuntur inhabitare. Et mores eorum, qui neque fiunt apud eos, neque dicuntur, referũt. Causa verò ignorantiæ veritatis est, quòd procul abessent: vt autem falsa conscriberent, quòd vellent videri aliquid amplius quàm a-B lij retulisse. Quomodo ergo mirari decet, si neque nostra gens plurimis erat nota, neque ad scribendum de se aliquam dedit occasionẽ, & ita dissita procul à mari, & talibus institutis viuens? Pone igitur nos argumento vti velle Græcorum, quod non sit genus eorum antiquum, eo quòd nihil in nostris voluminibus de eis sit dictum: nónne omnino deridebunt causas huiusmodi à me prolatas, & testes vicinæ regionis adducent antiquitatis suę? Igi-C tur & ego hoc conabor efficere. Ægyptiis enim & Phœnicibus præcipuè testibus vtar, cùm nullus eorum potuerit tanquam falsum accusare testimonium. Et videntur maximè erga nos iniqui in communi quidem omnes Ægyptij, Phœnicum verò Tyrij. De Chaldæis autem nequaquam hoc dicere potero, quoniam & generis nostri principes constituti sunt, & propter cognationem in conscriptionibus suis meminêre Iudæorum. Cùm ve-D rò fidem de his præbuero, & blasphemias falsas ostendero, tunc etiam Grecorũ conscriptores memorabo, qui Iudæorum fecêre mentionẽ: vt neq; huiusmodi occasio relinquatur in Iudæis nobis faciendæ contentionis. Inchoabo autẽ plurimum à literis Ægyptiorum, quas non arbitrantur commendare quæ nostra sũt. Manethon itaque genere vir Ægyptius, Græca disciplina eruditus, sicuti palàm est (scripsit enim sermone Græco) paternæ religio-E nis historiam ex sacris (sicuti ait ipse) interpretatus libris, frequenter arguit Herodotum, Ægyptiacis ignoratione mentitum. Is Manethon in secundo Ægyptiacorum hæc de nobis scripsit. Ponam verò etiam verba eius, tanquã illum ipsum adducens testẽ. Fuit nobis rex, Timaus nomine sub hoc nescio quomodo Deus iratus fuit: & pręter spem ex partibus Oriẽtalibus homines, genere ignobiles, adepta fiducia in prouincia castra metati sunt. Et facilè F ac sine bello eam potentérq; ceperũt: & principes eius alligantes, de cætero ciuitates crudeliter incendêre: & deorum templa euertêre. Erga omnes verò prouinciales inimicissimè se gesserunt, alios quidem perimentes, aliorum verò & filios & coniuges in seruitutem redigẽtes: nouissimè verò & vnum ex se fecêre regem, cui nomen Saltis. Hic enim Memphidẽ veniens, superiore, inferioréque prouincia tributaria facta, præsidia relinquens oppor-G tunis locis, maximè partes muniuit Orientales, prospiciens quòd Assyrij aliquanto potentiores, erant desideraturi regnum eius inuadere. Inueniens autem in præfectura Saite ciuitatem opportunissimam, positam ad Oriẽtẽ

Bubastis fluminis, quæ appellabatur à quadam antiqua theologia Auaris, hanc fabricatus est,& muris maximis communiuit, collocans ibi multitudinem armatorum, vsq; ad ducenta quadraginta millia virorum eam custodientium. Hic autem messis tempore veniebat, tam vt fruméta meteret,& mercedes exolueret, quàm vt armatos ad terrorem extraneorum diligenter exercitaret. Qui cùm regnasset decemnouem annis, vita priuatus est. Post hûc autem regnauit alter quatuor & quadraginta annis, Bæon nomine. Post quem alius Apachnas, sex & triginta annis, & mensibus septem. Deinde Apochis, vnum & sexaginta & Ianias quinquaginta & mése vno. Post omnes autem Assis nouem & quadraginta, & mensibus duobus. Et isti quidem sex apud eos fuère primi reges, debellantes semper, & maximè Ægypti radicem amputare cupientes. Vocabatur autem gẽs eorũ Hycsos, hoc est, reges pastores. Hyc enim secundùm sacram linguam, regem significat: Sos verò pastorem siue pastores, secundùm communem dialectum: & ita compositum inuenitur Hycsos, quidam verò dicunt eos Arabas esse. In aliis autem exéplaribus non reges significari comperi per appellationem Hyc, sed è diuerso captiuos declarari pastores. Hyc enim Ægyptiaca lingua, & hac quando denso sono profertur, captiuos apertè significat: & hoc potius verisimile mihi videtur, & historiæ antiquæ conueniens. Hos ergo quos prædiximus reges, & eos qui pastores vocabantur, & qui ex eis fuère, obtinuisse Ægyptum ait annis vndecim & quingentis. Post hæc autem regum Thebaidis & Ægypti reliquę factam dicit super pastores inuasionem, & bellum maximum & diuturnum eis illatum. Sub rege verò cui nomen erat Alisfragmuthosis, victos dicit pastores, & aliam quidem vniuersam Ægyptum perdidisse: inclusos autem in locum habétem mensuram iugerum decem millium, cui loco nomen est Auaris. Hunc Manethon dicit omnem maximo muro atque robustissimo circumdedisse pastores, quatenus & omnem possessionem munitam haberent, simul & prædam suam. Filiũ verò Alisfragmuthoseos Themosin conatum eos vi expugnare, cum quadringentis octoginta millibus armatorum eorum muros obsedisse. Cùm verò obsidium desperasset, pacta cum eis fecisse, vt Ægyptum relinquentes, quò vellent innoxij omnes abirent. Illos verò his promissionibus impetratis, cum omni domo & possessionibus non minus ducenta quadraginta millia numero, ex Ægypto per desertum in Syriam iter egisse: & metuentes Assyriorum potentiam (tunc enim illi Asiam obtinebant) in terra quæ nunc Iudæa vocitatur, ciuitatem ædificasse, quæ tot millibus hominum sufficere posset, eámque Hierosolymam vocitasse. In alio verò quodam libro Ægyptiacorum Manethõ hanc ipsam gentem, id est, qui vocitabantur pastores, in sacris suorum libris captiuos asscriptos rectissimè dixit. Nã antiquis progenitorib⁹ nostris pascere mos erat: & pascualem habentes vitam, vocabãtur

τοῦ βουβασίτου ποταμοῦ, καλουμένην δ' ἀπὸ τῆς ἀρχαίας θεολογίας ἄβαριν, ταύτην ἔκτισέ τε, καὶ τοῖς τείχεσιν ὀχυρωτάτην ἐποίησεν ἐνοικίσας αὐτῇ καὶ πλῆθος ὁπλιτῶν εἰς εἴκοσι καὶ τέσσαρας μυριάδας ἀνδρῶν πρὸς φυλακήν. ἐνθάδε κατὰ θέρειαν ἤρχετο, τὰ μὲν σιτομετρῶν καὶ μισθοφορίαν παρεχόμενος, τὰ δὲ καὶ ταῖς ἐξοπλισίαις πρὸς φόβον τῶν ἔξωθεν ἐπιμελῶς γυμνάζων. ἄρξας δ' ἐννεακαίδεκα ἔτη τὸν βίον ἐτελεύτησεν. μετὰ τοῦτον δὲ ἕτερος ἐβασίλευσεν, τέσσαρα καὶ τετταράκοντα ἔτη καλούμενος βηών. μεθ' ὃν ἄλλος ἀπαχνάς, ἓξ καὶ τριάκοντα ἔτη καὶ μῆνας ἑπτά, ἔπειτα δὲ καὶ ἄπωφις, ἓν καὶ ἑξήκοντα, καὶ ἰανίας πεντήκοντα καὶ μῆνα ἕνα, ἐπὶ πᾶσι δὲ καὶ ἄσσις ἐννέα καὶ τεσσαράκοντα καὶ μῆνας δύο. καὶ οὗτοι μὲν ἓξ ἐν αὐτοῖς ἐγενήθησαν πρῶτοι ἄρχοντες, ποθοῦντες ἀεὶ καὶ μᾶλλον τῆς αἰγύπτου ἐξᾶραι τὴν ῥίζαν. ἐκαλεῖτο δὲ τὸ ἔθνος ὑκσώς. τοῦτο δέ ἐστι βασιλεῖς ποιμένες. τὸ γὰρ ὑκ καθ' ἱερὰν γλῶσσαν βασιλέα σημαίνει, τὸ δὲ σῶς ποιμήν ἐστι καὶ ποιμένες κατὰ τὴν κοινὴν διάλεκτον. καὶ οὕτω συντιθέμενον γίνεται ὑκσώς. τινὲς δὲ λέγουσιν αὐτοὺς ἄραβας εἶναι. ἐν δ' ἄλλῳ ἀντιγράφῳ οὐ βασιλεῖς σημαίνεσθαι διὰ τῆς τοῦ ὑκ προσηγορίας, ἀλλὰ τοὐναντίον αἰχμαλώτους δηλοῦσθαι ποιμένας. τὸ γὰρ ὑκ πάλιν αἰγυπτιαστὶ καὶ τὸ ἀκ δασυνόμενον, αἰχμαλώτους ῥητῶς μηνύει, καὶ τοῦτο μᾶλλον πιθανώτερόν μοι φαίνεται, καὶ παλαιᾶς ἱστορίας ἐχόμενον. τούτους τοὺς προκατωνομασμένους βασιλέας τοὺς τῶν ποιμένων καλουμένων, καὶ τοὺς ἐξ αὐτῶν γενομένους, κρατῆσαι τῆς αἰγύπτου φησὶν ἔτη πρὸς τοῖς πεντακοσίοις ἕνδεκα. μετὰ ταῦτα δὲ τῶν ἐκ τῆς θηβαΐδος καὶ τῆς ἄλλης αἰγύπτου βασιλέων γενέσθαι φησὶν ἐπανάστασιν ἐπὶ τοὺς ποιμένας καὶ πόλεμον αὐτοῖς συρραγῆναι μέγαν καὶ πολυχρόνιον. ἐπὶ δὲ βασιλέως, ᾧ ὄνομα εἶναι ἀλισφραγμούθωσις, ἡττωμένους φησὶ τοὺς ποιμένας ὑπ' αὐτοῦ, ἐκ μὲν τῆς ἄλλης αἰγύπτου πάσης ἐκπεσεῖν, κατακλεισθῆναι δ' εἰς τόπον, ἀρουρῶν ἔχοντα μυρίων τὴν περίμετρον. ἄβαριν ὄνομα τῷ τόπῳ. τοῦτόν φησιν ὁ μανεθὼν ἅπαντα, τείχει τε μεγάλῳ καὶ ἰσχυρῷ περιβαλεῖν τοὺς ποιμένας, ὅπως τήν τε κτῆσιν ἅπασαν ἔχωσιν ἐν ὀχυρῷ, καὶ τὴν λείαν τὴν ἑαυτῶν. τὸν δὲ ἀλισφραγμουθώσεως υἱὸν θούμμωσιν, ἐπιχειρῆσαι μὲν αὐτοὺς διὰ πολιορκίας ἑλεῖν κατὰ κράτος, ὀκτὼ καὶ τεσσαράκοντα μυριάσι στρατοῦ προσεδρεύσαντα τοῖς τείχεσιν. ἐπεὶ δὲ τῆς πολιορκίας ἀπέγνω, ποιήσασθαι συμβάσεις, ἵνα τὴν αἴγυπτον ἐκλιπόντες, ὅπη βούλονται πάντες ἀβλαβεῖς ἀπέλθωσι. τοὺς δὲ ἐπὶ ταῖς ὁμολογίαις πανοικεσίᾳ μετὰ τῶν κτήσεων οὐκ ἐλάττους μυριάδων ὄντας εἴκοσι καὶ τεσσάρων ἀπὸ τῆς αἰγύπτου τὴν ἔρημον εἰς συρίαν ὁδοιπορῆσαι. φοβουμένους δὲ τὴν ἀσσυρίων δυναστείαν, τότε γὰρ ἐκείνους τῆς ἀσίας κρατεῖν, ἐν τῇ νῦν ἰουδαίων καλουμένῃ πόλιν οἰκοδομησαμένους τοσαύταις μυριάσιν ἀνθρώπων ἀρκέσουσαν, ἱεροσόλυμα ταύτην ὀνομάσαι. ἐν ἄλλῃ δέ τινι βύβλῳ τῶν αἰγυπτιακῶν μανεθὼν τοῦτό φησιν, ἔθνος τοὺς καλουμένους ποιμένας αἰχμαλώτους, ἐν ταῖς ἱεραῖς αὐτῶν βύβλοις γεγράφθαι, λέγων ὀρθῶς. καὶ γὰρ τοῖς ἀνωτάτω προγόνοις ἡμῶν τὸ ποιμαίνειν πάτριον ἦν, καὶ νομαδικὸν ἔχοντες τὸν βίον, οὕτως ἐκαλοῦντο ποιμέ-

ποιμένες. αἰχμάλωτοί τε πάλιν οὐκ ἀλόγως ὑπὸ τῶν αἰγυπτίων ἀνεγράφησαν, ἐπειδὴ ὁ πρόγονος ἡμῶν ἰώσηπος ἑαυτὸν ἔφη πρὸς τὸν βασιλέα τῶν αἰγυπτίων αἰχμάλωτον εἶναι, καὶ τοὺς ἀδελφοὺς εἰς τὴν αἴγυπτον ὕστερον μετεπέμψατο, τοῦ βασιλέως ἐπιτρέψαντος. ἀλλὰ περὶ μὲν τούτων ἐν ἄλλοις ποιήσομαι τὴν ἐξέτασιν ἀκριβεστέραν. νυνὶ δὲ τῆς ἀρχαιότητος ταύτης παρατίθεμαι τοὺς αἰγυπτίους μάρτυρας. πάλιν οὖν τὰ τοῦ μανέθωνος πῶς ἔχει πρὸς τὴν τῶν χρόνων τάξιν ὑπογράψω. φησὶ δὲ οὕτω. μετὰ τὸ ἐξελθεῖν ἐξ αἰγύπτου τὸν λαὸν τῶν ποιμένων εἰς ἱεροσόλυμα, ὁ ἐκβαλὼν αὐτοὺς ἐξ αἰγύπτου βασιλεὺς, τέθμωσις, ἐβασίλευσε μετὰ ταῦτα ἔτη εἴκοσι πέντε καὶ μῆνας τέσσαρας, καὶ ἐτελεύτησε, καὶ παρέλαβε τὴν ἀρχὴν αὐτοῦ υἱὸς χέβρων ἔτη δεκατρία. μεθ' ὃν ἀμένωφις εἴκοσι καὶ μῆνας ἑπτὰ, τοῦ δὲ ἀδελφὴ, ἀμεσσὴς εἰκοσιὲν καὶ μῆνας ἐννέα. τῆς δὲ μήφρης, δώδεκα καὶ μῆνας ἐννέα, τοῦ δὲ μηφραμούθωσις, εἴκοσι πέντε καὶ μῆνας δέκα, τοῦ δὲ θμώσις, ἐννέα καὶ μῆνας ὀκτὼ, τοῦ δ' ἀμένωφις τριάκοντα καὶ μῆνας δέκα, τοῦ δὲ ὧρος, τριακονταὲξ καὶ μῆνας πέντε. τοῦ δὲ ἀκεγχρὴς, δώδεκα καὶ μῆνα ἕνα. τῆς δὲ ῥάθωτις ἀδελφὸς, ἐννέα, τοῦ δὲ ἀκεγχήρης, δώδεκα καὶ μῆνας πέντε, τοῦ δὲ ἀκεγχήρης ἕτερος δώδεκα καὶ μῆνας τρεῖς, τοῦ δὲ ἁρμαῒς τέσσαρα καὶ μῆνα ἕνα, τοῦ δὲ ῥαμέσσης, ἓν καὶ μῆνας τέσσαρας, τοῦ δὲ ἁρμέσσης μιαμοῦ ἑξηκονταὲξ καὶ μῆνας δύο, τοῦ δὲ ἀμένωφις δεκαεννέα καὶ μῆνας ἕξ, τοῦ δὲ σέθωσις καὶ ῥαμέσσης, ἱππικὴν καὶ ναυτικὴν ἔχων, δύναμιν. οὗτος τὸν μὲν ἀδελφὸν ἁρμαῒν ἐπίτροπον τῆς αἰγύπτου κατέστησεν, καὶ πᾶσαν μὲν αὐτῷ τὴν ἄλλην βασιλικὴν περιέθηκεν ἐξουσίαν, μόνον δὲ ἐνετείλατο διάδημα μὴ φορεῖν, μηδὲ τὴν βασιλίδα μητέρα τε τῶν τέκνων ἀδικεῖν· ἀπέχεσθαι δὲ καὶ τῶν ἄλλων βασιλικῶν παλλακίδων. αὐτὸς δὲ ἐπὶ κύπρον καὶ φοινίκην, καὶ πάλιν ἀσσυρίους τε καὶ μήδους στρατεύσας ἅπαντας, τοὺς μὲν δόρατι, τοὺς δὲ ἀμαχητὶ φόβῳ δὲ τῆς πολλῆς δυνάμεως ὑποχειρίους ἔλαβε. καὶ μέγα φρονήσας ἐπὶ τῇ εὐπραγίᾳ, ἔτι καὶ θαρσαλεώτερον ἐπορεύετο, τὰς πρὸς ἀνατολὰς πόλεις τε καὶ χώρας καταστρεφόμενος. χρόνου τε ἱκανοῦ γεγονότος, ἁρμαῒς ὁ καταλειφθεὶς ἐν αἰγύπτῳ, πάντα τοὔμπαλιν, οἷς ἀδελφὸς παρῄνει μὴ ποιεῖν ἀδεῶς ἔπραττεν. καὶ γὰρ τὴν βασιλίδα βιαίως ἔσχεν, καὶ ταῖς ἄλλαις παλλακίσιν ἀφειδῶς διετέλει χρώμενος· πειθόμενος δὲ ὑπὸ τῶν φίλων διάδημα ἐφόρει, καὶ ἀντῆρε τῷ ἀδελφῷ. ὁ δὲ τεταγμένος ἐπὶ τῶν ἱερέων τῆς αἰγύπτου, γράψας βιβλίον ἔπεμψε τῷ σεθώσει δηλῶν αὐτῷ πάντα, καὶ ὅτι ἀντῆρεν ἀδελφὸς αὐτοῦ ἁρμαῒς. παραχρῆμα οὖν ὑπέστρεψεν εἰς πηλούσιον, καὶ ἐκράτησεν τῆς ἰδίας βασιλείας. ἡ δὲ χώρα ἐκλήθη ἀπὸ τοῦ αὐτοῦ ὀνόματος αἴγυπτος. λέγει γὰρ ὅτι ὁ μὲν σέθωσις ἐκαλεῖτο αἴγυπτος, ἁρμαῒς δὲ ὁ ἀδελφὸς αὐτοῦ δαναός. ταῦτα μὲν ὁ μανέθων. δῆλον δέ ἐστιν ἐκ τῶν εἰρημένων ἐτῶν, τοῦ χρόνου συλλογισθέντος, ὅτι οἱ καλούμενοι ποιμένες ἡμέτεροι πρόγονοι, τρισὶ καὶ ἐνενήκοντα καὶ τριακοσίοις πρόσθεν ἔτεσιν, ἐκ τῆς αἰγύπτου ἀπαλλαγέντες, τὴν χώραν ταύτην ἐπῴκησαν, ἢ δαναὸν εἰς ἄργος ἀφικέσθαι· καίτοι τοῦτον ἀρχαιότατον ἀργεῖοι νομίζουσι. δύο τοίνυν

ita pastores. Sed & captiui non temere ab Ægyptiis dicti sunt: quoniam progenitor noster Ioseph dixit ad regem Ægyptiorum, se esse captiuum: & fratres in Ægyptum posterius euocauit, rege præcipiẽte. Sed de his quidem in aliis examinationem subtiliùs faciemus. Nunc autem huius antiquitatis producam testes Ægyptios rursúmque quomodo se habent verba Manethonis circa ordinem temporum apertè describam: sic enim ait: Postquam egressus est ex Ægypto populus pastorum Hierosolymam, expulsor eorum rex Themosis regnauit post hæc annis vigintiquinque, & mensibus quatuor, & defunctus est. Assumpsit regnum filius Chebron annis tredecim. post quem Amenophis viginti & mensibus septem, huius autem soror Amesses annis vigintivno, & mensibus nouem, Mephres autem duodecim, & mensibus nouem, Mephramuntosis vigintiquinque, & mensibus decem. Thmosis autem nouem, & mensibus octo. Amenophis verò triginta, & mensibus decem. Orus verò triginta sex, & mensibus quinque. Huius autem filia Acencheres, duodecim, & mense vno. Rathoris verò frater nouem. Acencheres autem duodecim, mensibus quinque. Acencheres alter duodecim, & mensibus tribus. Armais verò quatuor, & mense vno. Armesis autem vno, & mensibus quatuor. Armesesmiamum verò sexaginta sex, & mensibus duobus. Amenophis nouemdecim, & mensibus sex. Sethosis autem equestres & nauales copias habens, fratrem quidem Armain procuratorem Ægypti constituit, & omnem ei aliam regalem contulit potestatem, tantummodo autem diademate vti prohibuit, & ne reginam matrem liberorũ opprimeret imperauit, & vt abstineret etiam ab aliis regalibus concubinis. Ipse verò ad Cyprum & Phœnicen, & rursus contra Assyrios atque Medos castrametatus, vniuersos quidem alios ferro, alios sine bello terrore magnæ virtutis sibimet subiugauit. his verò felicitatibus eleuatus cõfidentius incedebat, Orientales vrbes ac prouincias subuertẽdo, multóque tempore procedente Armais, qui in Ægypto fuerat derelictus, omnia contra quàm frater agere monuerat, sine timore faciebat. Nam & reginam violenter abiecit, & aliis concubinis sine parcitate iugiter miscebatur: persuasúsque ab amicis & diademate vtebatur, & fratri rebellabat. Is verò qui constitutus erat super sacra Ægyptia, codicillos Sethosi misit, cuncta significans, & quia rebellaret eis suus frater Armais. Qui repente ad Pelusium destinauit, & proprium tenuit regnum. Prouincia verò vocata est ex eius nomine Ægyptus. Dicit enim quòd Sethosis Ægyptus vocabatur, Armais autem frater eius Danaus. Hæc quidem Manethon. Palàm verò est, ex prædictis annis tẽpore computato, quod qui vocabantur pastores, id est, nostri progenitores: ex Ægypto liberati, ante tres & nonaginta atque trecentos annos hãc prouinciam inhabitauêre quàm Danaus ad Argos accederet: licèt hunc antiquissimũ Argiui esse confidãt. Duas igitur res

Manethon maximas pro nobis Ægyptiis literis protestatus est: primam quidem, quia aliunde venerunt ad Ægyptum: deinde egressum eorum exinde, ita temporibus antiquissimum, vt penè mille annis bellum præcedat Iliacum. Ea verò quæ Manethon non ex Ægyptiis literis, sed (sicut ipse confessus est) ex fabulis quorundam sine nomine, adiecit, postea particulariter redarguam, ostendens ea sine verisimilitudine esse mendacia. Sed volo ab istis rursus migrare ad ea, quæ apud Phœnicas de nostro genere conscripta sunt, & eorum testimonio declarata. Sunt itaque apud Tyrios multorum annorum publicæ literæ, & conscriptiones diligentissimè custoditæ, ex his quæ apud eos facta & inuicem gesta noscuntur, quæ tamen memoria digna sunt. Inter hæc ergo conscriptum est, quia in Hierosolymis ædificatum est templum à Salomone rege, ante annos centum quadragintatres, & menses octo, quàm Tyrij Carthaginem condidêre. Descripta verò est apud illos constructio tẽpli nostri. Hiramus enim Tyriorum rex amicus erat regis nostri Salomonis, paternis amicitiis ei deuinctus. Is ergo munificentiam suam exhibens ad claritatem fabricæ, præbuit Salomoni auri quidem viginti & centum talenta: incidénsque pulcherrimam syluam in monte, qui Lybanus nuncupatur, ad cameram destinauit ei. Quem redonauit Salomon & aliis multis rebus, & terra Galilææ regionis, quæ Zabulon vocatur. Præcipuè autem ei amicitiam sapientię concupiscentia conciliauit. Problemata enim soluenda alterutris dirigebant, & melior in his Salomon erat, & in aliis sapientior apparebat. Hactenus verò seruantur apud Tyrios epistolę multæ, quas illi scripsêre ad inuicem. Quod autem non fingam de Tyriorum literis, testem producã Diũ qui in Phœnicũ historia integerrimus approbatus est. Is igitur in Phœniciis historiis hoc modo scribit. Abibalo moriente, filius eius Hiramus regnauit. Hic partis Orientalis ciuitates ampliauit, vrbem potiorem fecit: & Olympij Iouis templum, quod in insula situm erat, iactis aggeribus vrbi adiunxit: & aureis anathematibus exornauit. Ascendens autem in Lybanum, syluas incidit ad templorũ ædificationem. Regem verò Hierosolymorum Salomonem misisse dicunt ad Hiramum quædam ænigmata, & poposcisse ab eo, adiecto vt qui non posset discernere, pecuniam soluenti persolueret: confessúmque Hiramum, non se posse soluere propositas quęstiones, multis pecuniis mulctatum. Deinde Abdemonũ quendam, virum Tyriũ, propositas soluisse quæstiones: ipsúmq; alias proposuisse, quas si non solueret Salomon multas rursus pecunias Hiramo regi conferret. Dius igitur hoc modo de prædictis testimonium perhibuit nobis. Sed post hunc producam Menandrum quoque Ephesium. Is enim singulorum regum actus conscripsit apud Græcos & Barbaros, studens ex prouincialibus vniuscuiusque loci literis, historię veritatẽ pandere. Scribẽs enim de his,

ὁ μανεθὼν ἡμῖν τὰ μέγιστα μεμαρτύρηκεν ἐκ τῶν παρ' αἰγυπτίοις γραμμάτων. πρῶτον μὲν τὴν ἑτέρωθεν ἄφιξιν εἰς αἴγυπτον, ἔπειτα δὲ τὴν ἐκεῖθεν ἀπαλλαγὴν, οὕτως ἀρχαίαν τοῖς χρόνοις, ὡς ἐγγύς που προτέρειν αὐτὴν τῶν ἰλιακῶν ἔτεσι χιλίοις. ὑπὲρ ὧν δ' ὁ μανεθὼν οὐκ ἐκ τῶν παρ' αἰγυπτίοις γραμμάτων, ἀλλ' ὡς αὐτὸς ὡμολόγηκεν, ἐκ τῶν ἀδεσπότως μυθολογουμένων προσέθηκεν, ὕστερον ἐξελέγξω κατὰ μέρος, ἀποδεικνὺς τὴν ἀπίθανον αὐτοῦ ψευδολογίαν. βούλομαι τοίνυν ἀπὸ τούτων ἤδη μετελθεῖν, ἐπὶ τὰ παρὰ τοῖς φοίνιξιν ἀναγεγραμμένα περὶ τοῦ γένους ἡμῶν, καὶ τὰς ἐξ ἐκείνων μαρτυρίας παρασχεῖν. ἔστι τοίνυν παρὰ τυρίοις πολλῶν ἐτῶν γράμματα, δημοσίᾳ γεγραμμένα, καὶ πεφυλαγμένα λίαν ἐπιμελῶς, περὶ τῶν παρ' αὐτοῖς γενομένων καὶ πρὸς ἀλλήλους πραχθέντων μνήμης ἀξίων. ἐν τούτοις γέγραπται, ὅτι ἐν ἱεροσολύμοις ᾠκοδομήθη ναὸς ὑπὸ σολομῶντος τοῦ βασιλέως, ἔτεσι θᾶττον ἑκατὸν τεσσαράκοντα καὶ τρισὶν, καὶ μησὶν ὀκτὼ, τοῦ κτίσαι τυρίους καρχηδόνα. ἀνεγράφη δὲ παρ' ἐκείνοις ἡ τοῦ ναοῦ κατασκευὴ τοῦ παρ' ἡμῖν. εἴρωμος γὰρ ὁ τῶν τυρίων βασιλεὺς, φίλος ἦν τοῦ βασιλέως ἡμῶν σολομῶντος, πατρικὴν πρὸς αὐτὸν φιλίαν διαδεδεγμένος. αὐτὸς οὖν συμφιλοτιμούμενος εἰς τὴν τοῦ κατασκευάσματος τῷ σολομῶνι λαμπρότητα, χρυσίου μὲν εἴκοσι καὶ ἑκατὸν ἔδωκε τάλαντα· τεμὼν δὲ καλλίστην ὕλην ἐκ τοῦ ὄρους, ὃ καλεῖται λίβανος, εἰς τὸν ὄροφον ἀπέστειλεν. ἀντεδωρήσατο δὲ αὐτὸν ὁ σολομὼν ἄλλοις τε πολλοῖς, καὶ γῇ τῆς χώρας τῆς γαλιλαίας ἐν τῇ ζαβουλὼν λεγομένῃ. μάλιστα δὲ αὐτοὺς εἰς φιλίαν ἡ τῆς σοφίας συνῆγεν ἐπιθυμία. προβλήματα γὰρ ἀλλήλοις ἀντεπέστελλον λύειν κελεύοντες, καὶ κρείττων ἐν τούτοις ἦν ὁ σολομὼν καὶ τἆλλα σοφώτερος. σῴζονται δὲ μέχρι νῦν παρὰ τοῖς τυρίοις πολλαὶ τῶν ἐπιστολῶν, ἃς ἐκεῖνοι πρὸς ἀλλήλους ἔγραψαν. ὅτι δ' οὐ λόγος ἐστὶν ὑπ' ἐμοῦ συγκείμενος, ὁ περὶ τῶν παρὰ τοῖς τυρίοις γραμμάτων, παραθήσομαι μάρτυρα δῖον, ἄνδρα περὶ τὴν φοινικὴν ἱστορίαν ἀκριβῆ γεγονέναι πεπιστευμένον. οὗτος τοίνυν ἐν ταῖς περὶ φοινίκων ἱστορίαις γράφει τὸν τρόπον τοῦτον. ἀβιβάλου τελευτήσαντος, ὁ υἱὸς αὐτοῦ εἴρωμος ἐβασίλευσεν. οὗτος τὰ πρὸς ἀνατολὰς μέρη τῆς πόλεως προσέχωσε, καὶ μεῖζον τὸ ἄστυ πεποίηκε, καὶ τοῦ ὀλυμπίου διὸς τὸ ἱερὸν καθ' ἑαυτὸ ὂν ἐν νήσῳ, χώσας τὸν μεταξὺ τόπον, συνῆψε τῇ πόλει, καὶ χρυσοῖς ἀναθήμασιν ἐκόσμησεν. ἀναβὰς δὲ εἰς τὸν λίβανον ὑλοτόμησε πρὸς τὴν τῶν ναῶν κατασκευήν. τὸν δὲ τυραννοῦντα ἱεροσολύμων σολομῶντα πέμψαι φασὶ πρὸς τὸν εἴρωμον αἰνίγματα, καὶ παρ' αὐτοῦ λαβεῖν ἀξιοῦν. τὸν δὲ μὴ δυνηθέντα διακρῖναι, τῷ λύσαντι χρήματα ἀποτίνειν. ὁμολογήσαντα δὲ τὸν εἴρωμον, καὶ μὴ δυνηθέντα λῦσαι τὰ αἰνίγματα, πολλὰ τῶν χρημάτων εἰς τὸ ἐπιζήμιον ἀναλῶσαι. εἶτα δὴ ἀβδήμονόν τινα τύριον ἄνδρα τὰ προτεθέντα λῦσαι, καὶ αὐτὸν ἄλλα προβαλεῖν, ἃ μὴ λύσαντα τὸν σολομῶντα, πολλὰ τῷ εἰρώμῳ προσαποτῖσαι χρήματα. δῖος μὲν οὕτω περὶ τῶν προειρημένων ἡμῖν μεμαρτύρηκεν. ἀλλὰ πρὸς τούτῳ παραθήσομαι μένανδρον τὸν ἐφέσιον. γέγραφε δὲ οὗτος τὰς ἐφ' ἑκάστου βασιλέων πράξεις παρὰ τοῖς ἕλλησι καὶ βαρβάροις γενομένας, ἐκ τῶν παρ' ἐκείνοις ἐπιχωρίων γραμμάτων σπουδάσας τὴν ἱστορίαν μαθεῖν. γράφων δὴ περὶ τῶν βεβα-

βεβασιλευκότων ἐν Τύρῳ, ἔπειτα γενόμενος κατὰ τὸν Εἴρωμον, ταῦτά φησι. Τελευτήσαντος δὲ Ἀβιβάλου, διεδέξατο τὴν βασιλείαν ὁ υἱὸς αὐτοῦ Εἴρωμος, ὃς βιώσας ἔτη τριάκοντα τέσσαρα. οὗτος ἔχωσε τὸν Εὐρύχωρον. τόν τε χρυσοῦν κίονα τὸν ἐν τοῖς τοῦ Διὸς ἀνέθηκεν. ἔπειτα ὕλην ξύλων ἀπελθὼν ἔκοψεν, ἀπὸ τοῦ λεγομένου ὄρους Λιβάνου, κέδρινα ξύλα εἰς τὰς τῶν ἱερῶν στέγας, καθελών τε τὰ ἀρχαῖα ἱερά, καινοὺς ναοὺς ᾠκοδόμησεν. τότε τοῦ Ἡρακλέους καὶ τῆς Ἀστάρτης τέμενος ἀνιέρωσεν. καὶ τὸ μὲν τοῦ Ἡρακλέους πρῶτον ἐποιήσατο ἐν τῷ Περιτίῳ μηνί, εἶτα τὸ τῆς Ἀστάρτης, ὁπότε Τιτυοῖς ἐπεστράτευσε, μὴ ἀποδιδοῦσι τοὺς φόρους. οὓς καὶ ὑποτάξας ἑαυτῷ πάλιν ἀνέστρεψεν. ἐπὶ τούτων δέ τις ἦν Ἀβδήμουνος παῖς νεώτερος, ὃς ἐνίκα τὰ προβλήματα, ἃ ἐπέτασσε Σολομὼν ὁ Ἱεροσολύμων βασιλεύς. ψηφίζεται δὲ ὁ χρόνος ἀπὸ τούτου τοῦ βασιλέως ἄχρι τῆς Καρχηδόνος κτίσεως οὕτως. τελευτήσαντος Εἰρώμου διεδέξατο τὴν βασιλείαν Βαλεάζαρος ὁ υἱός, ὃς βιώσας ἔτη τεσσαράκοντα τρία, ἐβασίλευσεν ἔτη ἑπτά. μετὰ τοῦτον Ἀβδάστρατος ὁ αὐτοῦ υἱὸς βιώσας ἔτη εἴκοσι ἐννέα, ἐβασίλευσεν ἔτη ἐννέα. τοῦτον οἱ τῆς τροφοῦ αὐτοῦ υἱοὶ τέσσαρες ἐπιβουλεύσαντες ἀπώλεσαν. ὧν ὁ πρεσβύτερος ἐβασίλευσεν ἔτη δεκαδύο. μεθ' οὓς Ἀστάρτος ὁ Δελαιαστάρτου. ὃς βιώσας ἔτη πεντήκοντα τέσσαρα, ἐβασίλευσεν ἔτη δώδεκα. μετὰ τοῦτον ὁ ἀδελφὸς αὐτοῦ Ἀσέρυμος βιώσας ἔτη τέσσαρα καὶ πεντήκοντα, ἐβασίλευσεν ἔτη ἐννέα. οὗτος ἀπώλετο ὑπὸ τοῦ ἀδελφοῦ Φέλλητος. ὃς λαβὼν τὴν βασιλείαν ἦρξεν μῆνας ὀκτώ, βιώσας ἔτη πεντήκοντα. τοῦτον ἀνεῖλεν Εἰθώβαλος ὁ τῆς Ἀστάρτης ἱερεύς, ὃς βασιλεύσας ἔτη τριακονταδύο, ἐβίωσεν ἔτη ἑξηκονταοκτώ. τοῦτον διεδέξατο Βαδέζωρος υἱός, ὃς βιώσας ἔτη τεσσαρακονταπέντε, ἐβασίλευσεν ἔτη ἕξ. τούτου διάδοχος γέγονε Μάτγηνος ὁ υἱός. ὃς βιώσας ἔτη τριακονταδύο, ἐβασίλευσεν ἔτη ἐννέα. τούτου διάδοχος γέγονε Φυγμαλίων. βιώσας δ' ἔτη πεντηκονταέξ, ἐβασίλευσεν ἔτη τεσσαρακονταεπτά. ἐν δὲ τῷ ἐπ' αὐτοῦ ἑβδόμῳ ἔτει, ἡ ἀδελφὴ αὐτοῦ φυγοῦσα, ἐν τῇ Λιβύῃ πόλιν ᾠκοδόμησε Καρχηδόνα. συνάγεται δὴ πᾶς ὁ χρόνος ἀπὸ τῆς Εἰρώμου βασιλείας, ἄχρι Καρχηδόνος κτίσεως, ἔτη ρνε μῆνες η. ἐπεὶ δὲ δωδεκάτῳ ἔτει τῆς Εἰρώμου βασιλείας ἐν Ἱεροσολύμοις ᾠκοδομήθη ὁ ναός. γέγονεν οὖν ἀπὸ τῆς οἰκοδομήσεως τοῦ ναοῦ ἄχρι Καρχηδόνος κτίσεως, ἔτη ἑκατὸν τεσσαρακοντατρία, μῆνες ὀκτώ. τῆς μὲν οὖν παρὰ Φοινίκων μαρτυρίας τί δεῖ προσθεῖναι πλείω. βλέπεται γὰρ τἀληθὲς ἰσχυρῶς ὡμολογημένον. καὶ πολὺ δήπου προάγει τῆς τοῦ νεὼ κατασκευῆς, ἡ τῶν προγόνων ἡμῶν εἰς τὴν χώραν ἄφιξις. ὅτε γὰρ αὐτὴν πᾶσαν πολέμῳ παρέλαβον, τότε τὸν νεὼν κατεσκεύασαν, καὶ ταῦτα σαφῶς ἐκ τῶν ἱερῶν γραμμάτων ὑπ' ἐμοῦ δεδήλωται διὰ τῆς ἀρχαιολογίας. λέξω δὲ νῦν ἤδη τὰ παρὰ Χαλδαίοις ἀναγεγραμμένα καὶ ἱστορούμενα περὶ ἡμῶν, ἅπερ ἔχει πολλὴν ὁμολογίαν καὶ περὶ τῶν ἄλλων τοῖς ἡμετέροις γράμμασι. μάρτυς δὲ τούτων Βηρωσός, ἀνὴρ Χαλδαῖος μὲν τὸ γένος, γνώριμος δὲ τοῖς περὶ παιδείαν ἀναστρεφομένοις, ἐπειδὴ περί τε ἀστρονομίας, καὶ περὶ τῶν Χαλδαίοις φιλοσοφουμένων αὐτὸς εἰς τοὺς Ἕλληνας ἐξήνεγκε τὰς συγγραφάς.

A qui in Tyro regnauêre, & deinde veniens ad Hiramum regem, sic ait: Moriente verò Abibalo, successit in eius regno filius eius Hiramus, qui vixit annis trigintaquatuor. Hic aggere coniunxit Eurychorum, aureámque ibi columnam Iouis in templo reposuit: & ad syluam lignorum profectus, abscidit de monte qui Libanus appellatur, ligna cedrina ad tegmina facienda templorum. Demolitúsque antiqua delubra, noua templa ædificauit: B Herculísque & Astartes fana dedicauit, Herculis primùm extructo mense Peritio, deinde Astartes: quando castra mouit aduersus Tiryos, minimè tributa reddentes: quos etiam subdens sibimet, denuò remeauit. Sub hoc fuit Abdemonus puer iuuenis, qui semper parabolas soluebat, quas Salomon Hierosolymorum rex destinabat: Supputatur verò tempus ab hoc rege vsque ad constructionem C Carthaginis, hoc modo: Moriente Hiramo successit in eius regno Beleastartus filius, qui cùm vixisset annis quadragintatribus, septem regnauit annis. Post hunc Abdastartus filius cùm vixisset annis viginti, regnauit nouẽ. Hũc filij nutricis eius quatuor insidiis peremêre: quorum senior regnauit annos XII. Post quos Astartus filius Beleastarti regnauit. Qui cùm vixisset annis quadragintaquatuor, regnauit annis duodecim. Post hunc frater eius Astarimus: D & hic vixit annis quatuor & quinquaginta, regnauit annis nouem, & peremptus est à fratre Phellete: qui suscipiẽs regnum, mẽsibus imperauit octo, cùm vixisset annis quinquaginta. Hunc peremit Ithobalus Astarræ sacerdos: qui cùm vixisset annis sexagintaocto, regnauit annis trigintaduobus. Huic successit Badezorus filius: qui cùm vixisset annis XLV. regnauit sex. Huic successor factus est Mettinus filius: qui cùm vixisset XXXII. nouem regnauit annis. Huic successor fuit Pygmaliõ, qui annos E egit in sua vita LVI. ex quib. XL. tenuit principatũ. huius regni anno septimo, soror Dido in Africa ciuitatem ędificauit Carthaginem. Itaq; colligitur tempus à regno Hirami vsque ad ædificationem Charthaginis annorum CLV. & mensium VIII. Cùm verò duodecimo anno huius regni, in Hierosolymis ædificatum sit templum, fit ab ædificatione templi vsque ad cõstructionem Carthaginis tempus annorum CXLIII. mensium VIII. Testimonio F siquidem Phœnicum quid amplius oportet apponi. Cernitur ipsa veritas fortiter approbata: & multo clarius apparet, quoniam præcedit constructionem templi progenitorum nostrorum ad prouinciam hanc aduentus. Cùm enim eam vniuersam bello tenuissent, tum demum templum ædificare cœpêre: & hæc apertè ex literis sacris etiam à me in Antiquitate manifestata sunt. Nunc itaque sunt dicenda ea, quæ apud Chaldæos noscuntur esse conscripta, G & de nobis in historia sunt relata. Quę multam habent cõcordiam cum nostris voluminibus: etiam de aliis rebus. Testis autẽ horũ est Berosus, vir genere quidẽ Chaldæus, notus autem eis, qui doctrinæ eruditionique cõgaudẽt: quoniam de astronomia & de Chaldæorũ philosophia ipse Græcas cõscriptiones edidit.

Igitur Berosus antiquissimas secutus historias, de facto diluuio, & hominum in eo corruptione, sicuti Moses, ita conscripsit: simul & de arca, in qua generis nostri princeps seruatus est, deuecta scilicet ea in summitatem mōtium Armeniorum. Deinde scribens eos, qui ex Noë progeniti sunt, & tempus eorum adiiciens, vsque ad Nabulassarum peruenit, Babyloniorum & Chaldæorum regem, & huius actiones exponens, narrat: quemadmodum misit in Ægyptum & ad nostram terram filium suum Nabuchodonosorem cum multa potentia: qui dum rebellantes eos inuenisset, omnes suo subiecit imperio: & templum in Hierosolymis concremauit: cunctúmque generis nostri populum auferens, migrauit in Babylonem. Vnde ciuitatem contigit desolari annis septuaginta vsque ad Cyrum regem Persarum. Dicit autem quòd tenuerit Babylonius Ægyptum, Syriam, Phœniciam, Arabiam, vniuersos priores Chaldæorum & Babyloniorum reges actionibus suis excellens. Ipsa verò verba, quæ Berosus protulit, hoc modo dicta, necessariò proferenda sunt. Audito autem pater eius Nabulassarus, quòd satrapa constitutus in Ægypto & Syria inferiore & Phœnicia rebellaret, cùm non valeret iam ipse labores ferre, tribuens filio suo Nabuchodonosori ętate valenti partem quandam exercitus contra eum misit. Nabuchodonosor autē cum satrapa desertore congressus, prouinciam quæ ab initio eorum fuerat, ad proprium reuocauit imperium. Eodem verò tempore, contigit patrem eius Nabulassarum, cùm ægrotasset, in Babylonia ciuitate defungi, qui regnauit annis XXIX. Nabuchodonosor autem non post multum tempus mortem patris cognoscens, & negotia Ægyptiaca disponens, reliquarúmque prouinciarum, & captiuos Iudæorum & Phœnicum atque Syrorum, qui in Ægypto fuerant, commendans quibusdam amicis, vt cum exercitu & impedimentis perducerentur ad Babyloniam, ipse cum paucis iter aggressus per desertum Babylonem venit: reperiénsque cuncta à Chaldæis dispensari, seruatúmque regnum ab optimatibus eorum, dominus factus totius paterni principatus, captiuis quidem aduenientibus præcepit habitacula in opportunissimis Babyloniæ locis ædificare. ipse verò ex manubiis templum Beli ac reliqua munificentissimè excoluit: & veteri vrbi alteram extrinsecus adiecit. Et prouiso ne posthac possent hostes fluuium conuertere, & ad vrbem accedere, tres interiori ciuitati per circuitum muros, totidem exteriori, hos cocto latere, illos addito etiam bitumine, circundedit: tum sic communitæ portas quæ vel templum deceant, addidit. ad hoc iuxta paternam regiam, alteram sumptuosiorē multo ampliorémque extruxit: cuius ornatum exponere fortasse longum esset, illud memoratu dignum, quòd hæc adeò superba supráque fidem magnifica, quindecim dierúspacio perfecta est.

τοῦτον τοίνυν ὁ Βηρωσὸς ταῖς ἀρχαιοτάταις ἐπακολουθῶν ἀναγραφαῖς, περί τε τοῦ γενομένου κατακλυσμοῦ καὶ τῆς ἐν αὐτῷ φθορᾶς τῶν ἀνθρώπων, καθάπερ Μωϋσῆς, οὕτως ἱστόρηκεν, καὶ περὶ τῆς λάρνακος, ἐν ᾗ Νῶχος ὁ τοῦ γένους ἡμῶν ἀρχηγὸς διεσώθη, προσενεχθείσης αὐτῆς ταῖς ἀκρωρείαις τῶν Ἀρμενίων ὀρῶν. εἶτα τοὺς ἀπὸ Νώχου καταλέγων, καὶ τοὺς χρόνους αὐτοῖς προστιθεὶς, ἐπὶ Ναβολάσσαρον παραγίνεται, τὸν Βαβυλῶνος καὶ Χαλδαίων βασιλέα, καὶ τὰς τούτου πράξεις ἀφηγούμενος λέγει, τίνα τρόπον πέμψας ἐπὶ τὴν Αἴγυπτον, καὶ ἐπὶ τὴν ἡμετέραν γῆν τὸν υἱὸν τὸν ἑαυτοῦ Ναβουχοδονόσορον μετὰ πολλῆς δυνάμεως, ἐπειδήπερ ἀφεστῶτας αὐτοὺς ὑπέθετο, πάντων ἐκράτησεν· καὶ τὸν ναὸν ἐνέπρησε τὸν ἐν Ἱεροσολύμοις, ὅλως τε πάντα τὸν παρ' ἡμῶν λαὸν ἀναστήσας, εἰς Βαβυλῶνα μετῴκισεν. συνέβη δὲ καὶ τὴν πόλιν ἐρημωθῆναι χρόνον ἐτῶν ἑβδομήκοντα, μέχρι Κύρου τοῦ Περσῶν βασιλέως. κρατῆσαι δέ φησι τὸν Βαβυλώνιον Αἰγύπτου, Συρίας, Φοινίκης, Ἀραβίας, πάντας δὲ ὑπερβαλλόμενον ταῖς πράξεσι τοὺς πρὸ αὐτοῦ Χαλδαίων καὶ Βαβυλωνίων βεβασιλευκότας. εἶθ' ἑξῆς ὑποκαταβὰς ὀλίγον ὁ Βηρωσὸς, πάλιν παρατίθεται ἐν τῇ τῆς ἀρχαιότητος ἱστοριογραφίᾳ. αὐτὰ δὲ παραθήσομαι τὰ τοῦ Βηρωσοῦ τοῦτον ἔχοντα τὸν τρόπον. ἀκούσας δ' ὁ πατὴρ αὐτοῦ Ναβολάσσαρος, ὅτι ὁ τεταγμένος σατράπης ἔν τε Αἰγύπτῳ καὶ τοῖς περὶ τὴν Συρίαν τὴν κοίλην καὶ τὴν Φοινίκην τόποις ἀποστάτης γέγονεν, οὐ δυνάμενος αὐτὸς ἔτι κακοπαθεῖν, συστήσας τῷ υἱῷ Ναβουχοδονοσόρῳ ὄντι ἔτι ἐν ἡλικίᾳ μέρη τινὰ τῆς δυνάμεως, ἐξέπεμψεν ἐπ' αὐτόν. συμμίξας δὲ Ναβουχοδονόσορος τῷ ἀποστάτῃ, καὶ παραταξάμενος, αὐτοῦ τε ἐκυρίευσε, καὶ τὴν χώραν ἐξ ἀρχῆς ὑπὸ τὴν αὐτῶν βασιλείαν ἐποίησεν. τῷ τε πατρὶ αὐτοῦ συνέβη Ναβολασσάρῳ κατὰ τοῦτον τὸν καιρὸν ἀρρωστήσαντι, ἐν τῇ Βαβυλωνίων πόλει μεταλλάξαι τὸν βίον, ἔτη βεβασιλευκότι εἴκοσι ἐννέα. αἰσθόμενος δὲ μετ' οὐ πολὺ τὴν τοῦ πατρὸς τελευτὴν Ναβουχοδονόσορος, καταστήσας τὰ κατὰ τὴν Αἴγυπτον πράγματα καὶ τὴν λοιπὴν χώραν, καὶ τοὺς αἰχμαλώτους Ἰουδαίων τε καὶ Φοινίκων καὶ Σύρων καὶ τῶν κατὰ τὴν Αἴγυπτον ἐθνῶν συντάξας τισὶ τῶν φίλων, μετὰ τῆς δυνάμεως, καὶ τῆς λοιπῆς ὠφελείας ἀνακομίζειν εἰς τὴν Βαβυλωνίαν, αὐτὸς ὁρμήσας ὀλιγοστὸς παρεγένετο διὰ τῆς ἐρήμου εἰς Βαβυλῶνα. καταλαβὼν δὲ τὰ πράγματα διοικούμενα ὑπὸ Χαλδαίων, καὶ διατηρουμένην τὴν βασιλείαν ὑπὸ τοῦ βελτίστου αὐτῶν, κυριεύσας ἐξ ὁλοκλήρου τῆς πατρικῆς ἀρχῆς, τοῖς μὲν αἰχμαλώτοις παραγενομένοις, συνέταξεν αὐτοῖς ἀποικίας ἐν τοῖς ἐπιτηδειοτάτοις τῆς Βαβυλωνίας τόποις ἀποδεῖξαι. αὐτὸς δὲ τῶν ἐκ τοῦ πολέμου λαφύρων, τό τε Βήλου ἱερὸν καὶ τὰ λοιπὰ κοσμήσας φιλοτίμως, τήν τε ὑπάρχουσαν ἐξ ἀρχῆς πόλιν, καὶ ἑτέραν ἔξωθεν προσχαρισάμενος, καὶ* ἀναγκάσας πρὸς τὸ μηκέτι δύνασθαι τοὺς πολιορκοῦντας τὸν ποταμὸν ἀναστρέφοντας ἐπὶ τὴν πόλιν κατασκευάζειν, ὑπερεβάλετο τρεῖς μὲν τῆς ἔνδον πόλεως περιβόλους, τρεῖς δὲ τῆς ἔξω τούτων, τοὺς μὲν ἐξ ὀπτῆς πλίνθου καὶ ἀσφάλτου, τοὺς δὲ ἐξ αὐτῆς τῆς πλίνθου, καὶ τειχίσας ἀξιολόγως τὴν πόλιν, καὶ τοὺς πυλῶνας κοσμήσας ἱεροπρεπῶς, προσκατεσκεύασε τοῖς πατρικοῖς βασιλείοις, ἕτερα βασίλεια ἐχόμενα ἐκείνων, ὑπερέχοντα ἀνάστημα καὶ τὴν πολλὴν πολυτέλειαν. μακρὰ δ' ἴσως ἔσται ἐάν τις ἐξηγῆται. πλὴν ὄντα γε ὑπερβολὴν ὡς μεγάλα καὶ ὑπερήφανα, συνετελέσθη ἡμέραις δεκαπέντε.

ἐν δὲ τοῖς βασιλείοις τούτοις ἀναλήμματα λίθινα ὑψηλὰ ἀνοικοδομήσας, καὶ τὴν ὄψιν ἀποδοὺς ὁμοιοτάτην τοῖς ὄρεσι, καταφυτεύσας δένδρεσι παντοδαποῖς ἐξειργάσατο. καὶ κατασκευάσας τὸν καλούμενον κρεμαστὸν παράδεισον, διὰ τὸ τὴν γυναῖκα αὐτοῦ ἐπιθυμεῖν τῆς ὀρείας διαθέσεως, τεθραμμένην ἐν τοῖς κατὰ τὴν μηδίαν τόποις. ταῦτα μὲν οὖν ἱστόρησεν περὶ τοῦ προειρημένου βασιλέως, καὶ πολλὰ πρὸς τούτοις τῶν χαλδαϊκῶν, ἐν ᾗ μέμφεται ἑλληνικοῖς συγγραφεῦσιν, ὡς μάτην οἰομένοις ὑπὸ σεμιράμιδος τῆς ἀσσυρίας κτισθῆναι τὴν βαβυλῶνα, καὶ τὰ θαυμάσια κατασκευασθῆναι περὶ αὐτὴν ὑπ' ἐκείνης ἔργα ψευδῶς γεγραφόσι. καὶ κατὰ ταῦτα τὴν μὲν τῶν χαλδαίων γραφὴν ἀξιόπιστον ἡγητέον. οὐ μὴν ἀλλὰ κἀν τοῖς ἀρχαίοις τῶν φοινίκων σύμφωνα τοῖς ὑπὸ βηρωσσοῦ λεγομένοις ἀναγέγραπται, περὶ τοῦ τῶν βαβυλωνίων βασιλέως, ὅτι καὶ τὴν συρίαν καὶ τὴν φοινίκην ἅπασαν ἐκεῖνος κατεστρέψατο. περὶ τούτων γοῦν συμφωνεῖ φιλόστρατος ἐν ταῖς ἱστορίαις, μεμνημένος τῆς τύρου πολιορκίας. καὶ μεγασθένης ἐν τῇ τετάρτῃ τῶν ἰνδικῶν, δι' ἧς ἀποφαίνειν πειρᾶται τὸν προειρημένον βασιλέα τῶν βαβυλωνίων, ἡρακλέους ἀνδρίᾳ καὶ μεγέθει πράξεων διενηνοχέναι. καταστρέψασθαι γὰρ αὐτόν φησι καὶ λιβύης τὴν πολλὴν καὶ ἰβηρίαν. τὰ δὲ περὶ τοῦ ναοῦ προειρημένα τοῦ ἐν ἱεροσολύμοις, ὅτι κατεπρήσθη μὲν ὑπὸ τῶν βαβυλωνίων ἐπιστρατευσάντων, ἤρξατο δὲ πάλιν ἀνοικοδομεῖσθαι, κύρου τῆς ἀσίας τὴν βασιλείαν παρειληφότος, ἐκ τῶν βηρωσσοῦ σαφῶς ἐπιδειχθήσεται παρατεθέντων. λέγει γὰρ οὕτω διὰ τῆς τρίτης. ναβουχοδονόσορος μὲν οὖν μετὰ τὸ ἄρξασθαι τοῦ προειρημένου τείχους, ἐμπεσὼν εἰς ἀρρωστίαν, μετηλλάξατο τὸν βίον, βεβασιλευκὼς ἔτη τεσσαρακοντατρία. τῆς δὲ βασιλείας κύριος ἐγένετο υἱὸς αὐτοῦ εὐειλμαράδουχος. οὗτος προστὰς τῶν πραγμάτων ἀνόμως καὶ ἀσελγῶς, ἐπιβουλευθεὶς ὑπὸ τοῦ τὴν ἀδελφὴν ἔχοντος αὐτοῦ νηριγλισσοόρου ἀνῃρέθη, βασιλεύσας ἔτη δύο. μετὰ δὲ τὸ ἀναιρεθῆναι τοῦτον, διαδεξάμενος τὴν ἀρχὴν ὁ ἐπιβουλεύσας αὐτῷ νηριγλισσοόρος, ἐβασίλευσεν ἔτη τέσσαρα. τούτου υἱὸς λαβοροσοάρχοδος ἐκυρίευσε μὲν τῆς βασιλείας παῖς ὢν μῆνας ἐννέα, ἐπιβουλευθεὶς δὲ διὰ τὸ πολλὰ ἐμφαίνειν κακοήθη ὑπὸ τῶν φίλων ἀπετυμπανίσθη. ἀπολομένου δὲ τούτου, συνελθόντες οἱ ἐπιβουλεύσαντες αὐτῷ, κοινῇ τὴν βασιλείαν περιέθηκαν ναβοννήδῳ τινὶ τῶν ἐκ βαβυλῶνος, ὄντι ἐκ τῆς αὐτῆς ἐπισυστάσεως. ἐπὶ τούτου τὰ περὶ τὸν ποταμὸν τείχη τῆς βαβυλωνίων πόλεως, ἐξ ὀπτῆς πλίνθου καὶ ἀσφάλτου κατεκοσμήθη. οὔσης δὲ τῆς βασιλείας αὐτοῦ ἐν τῷ ἑπτακαιδεκάτῳ ἔτει, προεξεληλυθὼς κῦρος ἐκ τῆς περσίδος μετὰ δυνάμεως πολλῆς καὶ καταστρεψάμενος τὴν λοιπὴν ἀσίαν πᾶσαν, ὥρμησεν ἐπὶ τῆς βαβυλωνίας. αἰσθόμενος καὶ ναβόννηδος τὴν ἔφοδον αὐτοῦ, ἀπαντήσας μετὰ τῆς δυνάμεως καὶ παραταξάμενος, ἡττηθεὶς τῇ μάχῃ καὶ φυγὼν ὀλιγοστός, συνεκλείσθη εἰς τὴν βορσιππηνῶν πόλιν. κῦρος δὲ βαβυλῶνα καταλαβόμενος, καὶ συντάξας τὰ ἔξω τῆς πόλεως τείχη κατασκάψαι, διὰ τὸ λίαν αὐτῷ πραγματικὴν καὶ δυσάλωτον φανῆναι τὴν πόλιν, ἀνέζευξεν ἐπὶ βόρσιππον, ἐκπολιορκήσων τὸν ναβόννηδον. τοῦ δὲ ναβοννήδου οὐχ ὑπομείναντος τὴν πολιορκίαν, ἀλλ' ἐγχειρίσαντος αὑτὸν πρότερον, χρησάμενος κῦρος φιλανθρώπως, καὶ δοὺς οἰκητήριον αὐτῷ καρμανίαν, ἐξέπεμψεν ἐκ τῆς βαβυλωνίας. ναβόννηδος μὲν οὖν τὸ λοιπὸν τοῦ χρόνου διαγενόμενος,

In ea lapideas moles excelsas excitauit, aspectu montibus assimiles, omnique genere arborum consitas. Hortum quoque pensilem fecit, fama nobilem: eo quòd vxor eius montanum aspectum desideraret, in Medorum regione educata. Hæc itaque retulit de prædicto rege, & multa super hæc in libro Chaldaicorum: in quo culpat conscriptores Græcos, quasi vanè arbitratos, à Semiramide Assyria Babylonem ædificatam, & mira opera ab illa circa eam fuisse constructa, falsè conscripsisse dicens. Ipsam certè Chaldæorum conscriptionem fide dignam existimandum est, quando cum archiuis Phœnicum concordare videntur, quæ ex Beroso conscripta sunt de rege Babyloniorum: quoniam & Syriam & vniuersam Phœnicen ille subuertit. In his sanè consonat & Philostratus in historiis, dum Tyriæ meminit obsidionis: & Megasthenes in quarto Indicorum: vbi declarare contendit, prædictum regem Babyloniorum Herculem fortitudine & rerum gestarum magnitudine præcessisse. Dicit enim eum & maximam Africæ partem, & Hispaniam subiugasse. Quæ verò de templo Hierosolymorum relata sunt, & concrematum esse à Babyloniis, & cœptum rursus ædificari Cyro tenente Asiæ principatum, ex dictis Berosi declaramus. Sic enim in tertio libro dicit. Nabuchodonosor itaque posteaquam inchoauit prædictum murum, incidens in languorem, de vita migrauit, cùm regnasset annis tribus & quadraginta. Huius regni Dominus effectus filius eius Euelmaradochus, propter iniquitates & libidines passus insidias à marito sororis suæ Niriglissoroore peremptus est, cùm duobus regnasset annis. Quo defuncto, sumens regnum qui ei fecit insidias Niriglissoroor, annis regnauit quatuor. Huius filius Laborosardochus, principatum quidem tenuit puer existens mensibus nouem: insidias verò passus, eò quòd nimis appareret malorum esse morum, ab amicis extinctus est. Hoc itaque perempto, conuenientes hi qui fecerant insidias, communi suffragio regnum tradidêre Nabonido cuidam, qui erat ex Babylone ex eadem gente. Sub hoc muri circa fluuium Babyloniæ ciuitatis ex latere cocto & bitumine sunt constructi. Cuius regni anno septimo decimo egressus Cyrus ex Perside cum magno exercitu, vniuersa Asia subacta, impetum fecit in Babyloniam vrbem. Sentiens autem Nabonidus inuasionem eius, & occurrens cum exercitu suo, atque congressus pugna, victus & cum paucis fugatus inclusus est in Borsippensium ciuitate. Cyrus autem Babyloniam obsidens, & deliberans exteriores muros deponere ciuitatis, eo quòd nimis videretur munita, & esset ad capiendum valdè difficilis, reuersus est ad Borsippum. Nabonidum expugnaturus. Nabonido verò oppugnationem non expectante, sed priùs supplicante, vsus clementia Cyrus, & dans ei habitaculum in Carmania, expulit eum à Babylone, Nabonidus itaque reliquum vitæ tempus

in illa prouincia conuersatus est. Hæc concordant cum nostris. Scriptum namque in eis est: quòd Nabuchodonosor octauodecimo regni sui anno, templum nostrum ad desolationem vsque perduxit, & fuit exterminatum annis septé. Secundo verò anno regni Cyri fundamentis depositis, rursus secundo regni Darij anno perfectum est. His prolatis, adiiciam etiam Phœnicum historias: non enim probationum abundantia relinquenda est: est enim dinumeratio in illis annorum: sic enim habent: Sub rege Ithobalo Nabuchodonosor obsedit Tyrum annis tribus & decem. Post hunc regnauit Baal annis decem. Post hunc iudices constituti sunt, & iudicauêre hi Ecnibalus Baslechi mensibus duobus: Chelbis Abdæi mensibus decem: Abarus pontifex mensibus tribus: Myttonus & Gerastus Abdilimi: iudices annis sex, inter quos regnauit Balatorus anno vno: quo moriente, mittentes euocauêre Merbalum ex Babylone, & quatuor regnauit annis. Eo quoq; moriéte, euocauêre fratré eius Iromũ qui regnauit annis xx. Sub hoc Cyrus Persarum habuit imperium. Quapropter omne tempus est annorum quinquagintaquatuor, & mensium trium. Septimo siquidem anno regni sui Nabuchodonosor cœpit obsidere Tyrum. Quartodecimo autem anno regis Iromi, Cyrus Persarum tenuit principatum. Consonant igitur quæ de templo scripta sunt à Chaldæis ac Tyriis, cum literis nostris. Manifestum verò & sine contentione testimonium est: de prædicta generis nostri antiquitate. Et his quidem qui nó valde contendunt: sufficere iudicio quæ præmissa sunt. Oportet autem non credentibus Barbaricis conscriptionibus, sed solis Græcis fidem habendam esse dicentibus, adhuc multos exhibere testes, etiam Græcos, scientes nostrum genus, & opportuno tempore eius habentes mentionem. Pythagoras igitur Samius, cùm sit antiquus quidem ætate, sapientia verò & diuina pietate philosophos omnes excellens, non solùm quæ nostra sunt agnouisse manifestus est, sed etiam æmulatus ea ex multis apparet. Et eius quidem conscriptio nulla reperitur. multi tamen de eo retulêre: quorum insignior est Hermippus, vir circa omnem historiam diligentissimus indagator. Refert itaque in primo de Pythagora libro, quòd Pythagoras vno familiarium suorum defuncto, nomine Calliphonte, genere Crotoniate, illius animam dicebat secum degere die noctúque: & quod præciperet, vt nó transiret locum, vbi asinus lapsus esset, & ab aqua fœculenta semetipsum abstineret, & ab omni blasphemia recederet. Deinde sequitur. Hæc autem agebat atq; dicebat, Iudæorum & Thracum opiniones imitatus, ac transferens in semetipsum. Dicitur enim verè, quòd ille vir multas Iudæorum leges in suam transtulit philosophiam. Fuit tamen etiam per ciuitates non ignota olim gens nostra: & multi iá mores ad quasdam tráſierunt, & æmulatione digni à nónullis habebátur. Quod manifestat Theophrast⁹ in his quæ scripsit de legib⁹. Ait ení, quia prohibét Tyrorũ leges & peregrino sacraméto iurare. Inter quę sacraméta

ἐν ἐκείνῃ τῇ χώρᾳ κατέστρεψε τὸν βίον. ταῦτα σύμφωνον ἔχει ταῖς ἡμετέραις βύβλοις τἀληθές. γέγραπται γὰρ ἐν αὐταῖς ὅτι Ναβουχοδονόσορος ὀκτωκαιδεκάτῳ τῆς αὐτοῦ βασιλείας ἔτει τὸν παρ' ἡμῖν ναὸν ἠρήμωσε, καὶ ἦν ἀφανὴς ἐπὶ ἔτη ἑπτά. δευτέρῳ δὲ τῆς Κύρου βασιλείας ἔτει τῶν θεμελίων ὑποβληθέντων, δευτέρῳ πάλιν τῆς Δαρείου βασιλείας ἀπετελέσθη. προσθήσω δὲ καὶ τὰς τῶν Φοινίκων ἀναγραφάς. οὐ γὰρ παραλειπτέον τῶν ἀποδείξεων τὴν περιουσίαν. ἔστι δὲ τοιαύτη τῶν χρόνων ἡ καταρίθμησις. ἐπὶ Ἰθωβάλου τοῦ βασιλέως ἐπολιόρκησε Ναβουχοδονόσορος τὴν Τύρον ἐπ' ἔτη δεκατρία. μετὰ τοῦτον ἐβασίλευσε Βάαλ ἔτη δέκα. μετὰ τοῦτον δικασταὶ κατεστάθησαν καὶ ἐδίκασαν Ἐκνίβαλος Βασλήχου μῆνας δύο, Χέλβης Ἀβδαίου μῆνας δέκα, Ἄββαρος ἀρχιερεὺς μῆνας τρεῖς, Μύττονος καὶ Γεράστρατος τοῦ Ἀβδηλίμου δικασταὶ ἔτη ἕξ, ὧν μεταξὺ ἐβασίλευσε Βαλάτορος ἐνιαυτὸν ἕνα. τούτου τελευτήσαντος, ἀποστείλαντες μετεπέμψαντο Μέρβαλον ἐκ τῆς Βαβυλῶνος, καὶ ἐβασίλευσεν ἔτη τέσσαρα. τούτου τελευτήσαντος, μετεπέμψαντο τὸν ἀδελφὸν αὐτοῦ Εἴρωμον, ὃς ἐβασίλευσεν ἔτη εἴκοσιν. ἐπὶ τούτου Κῦρος Περσῶν ἐδυνάστευσεν. οὐκοῦν ὁ σύμπας χρόνος ἔτη πεντήκοντα τέσσαρα καὶ τρεῖς μῆνες πρὸς αὐτοῖς. ἑβδόμῳ μὲν γὰρ * περὶ τῆς Ναβουχοδονοσόρου βασιλείας ἤρξατο πολιορκεῖν Τύρον. τεσσαρεσκαιδεκάτῳ δ' ἔτει τῆς Εἰρώμου Κῦρος ὁ Πέρσης τὸ κράτος παρέλαβεν. καὶ σύμφωνα μὲν ἐπὶ τοῦ ναοῦ τοῖς ἡμετέροις γράμμασι τὰ Χαλδαίων καὶ Τυρίων. ὡμολογημένη δὲ καὶ ἀναντίρρητος ἡ περὶ τῶν εἰρημένων μαρτυρία τῆς τοῦ γένους ἡμῶν ἀρχαιότητος. τοῖς μὲν οὖν μὴ σφόδρα φιλονείκοις ἀρκέσειν ὑπολαμβάνω τὰ προειρημένα. δεῖ δ' ἄρα καὶ τῶν ἀπιστούντων ταῖς ἐν τοῖς βαρβάροις ἀναγραφαῖς, μόνοις δὲ τοῖς Ἕλλησι πιστεύειν ἀξιούντων, ἀποπληρῶσαι τὴν ἐπιζήτησιν, καὶ παρασχεῖν πολλοὺς καὶ τούτων ἐπισταμένους τὸ ἔθνος ἡμῶν, καὶ καθ' ὃ καιρὸς ἦν αὐτοῖς, μνημονεύοντας παραθέσθαι ἐν ἰδίοις αὐτῶν συγγράμμασιν. Πυθαγόρας τοίνυν ὁ Σάμιος ἀρχαῖος ὤν, σοφίᾳ δὲ καὶ τῇ περὶ τὸ θεῖον εὐσεβείᾳ πάντων ὑπειλημμένος διενεγκεῖν τῶν φιλοσοφησάντων, οὐ μόνον ἐγνωκὼς τὰ παρ' ἡμῖν δῆλός ἐστιν, ἀλλὰ καὶ ζηλωτὴς αὐτῶν ἐκ πλείστου γεγενημένος. αὐτοῦ μὲν οὖν οὐδὲν ὁμολογεῖται σύγγραμμα, πολλοὶ δὲ τὰ περὶ αὐτὸν ἱστορήκασι, καὶ τούτων ἐπισημότατός ἐστιν Ἕρμιππος, ἀνὴρ περὶ πᾶσαν ἱστορίαν ἐπιμελής. λέγει τοίνυν ἐν τῷ πρώτῳ τῶν περὶ Πυθαγόρου βυβλίων, ὅτι Πυθαγόρας, ἑνὸς αὐτοῦ τῶν συνουσιαστῶν τελευτήσαντος, τοὔνομα Καλλιφῶντος, τὸ γένος Κροτωνιάτου, τὴν ἐκείνου ψυχὴν ἔλεγε συνδιατρίβειν αὐτῷ καὶ νύκτωρ καὶ μεθ' ἡμέραν· καὶ ὅτι παρεκελεύετο μὴ διέρχεσθαι τόπον, ἐφ' ὃν ἂν ὄνος ὀκλάσῃ, καὶ τῶν διψίων ὑδάτων ἀπέχεσθαι, καὶ πάσης ἀπέχειν βλασφημίας. εἶτα προστίθησι μετὰ ταῦτα καὶ τάδε. ταῦτα δ' ἔπραττε καὶ ἔλεγε, καὶ Ἰουδαίων καὶ Θρᾳκῶν δόξας μιμούμενος, καὶ μεταφέρων εἰς ἑαυτόν. λέγεται γὰρ ὡς ἀληθῶς ὁ ἀνὴρ ἐκεῖνος πολλὰ τῶν παρὰ Ἰουδαίοις νομίμων εἰς τὴν αὐτοῦ μετενεγκεῖν φιλοσοφίαν. ἦν δὲ καὶ κατὰ πόλεις οὐκ ἄγνωστον ἡμῶν πάλαι τὸ ἔθνος, καὶ πολλὰ τῶν ἐθῶν εἴς τινας ἤδη διαπεφοιτήκει, καὶ ζήλου παρ' ἐνίοις ἠξιοῦτο. δηλοῖ δ' ὁ Θεόφραστος ἐν τοῖς περὶ νόμων. λέγει γὰρ ὅτι κωλύουσιν οἱ Τυρίων νόμοι ξενικοὺς ὅρκους ὀμνύειν. ἐν οἷς

μετά

μετὰ τινῶν ἄλλων καὶ τὸν καλούμενον ὅρκον κορβὰν καταλέγει. παρ' οὐδενὶ δ' ἂν οὗτος εὑρεθείη πλὴν μόνοις Ἰουδαίοις. δηλοῖ δ' ὡς ἂν εἴποι τις ἐκ τῆς Ἑβραίων μεθερμηνευόμενος διαλέκτου, δῶρον θεοῦ. καὶ μὴν οὐδὲ Ἡρόδοτος ὁ Ἁλικαρνασσεὺς ἠγνόηκεν ἡμῶν τὸ ἔθνος, ἀλλὰ τρόπῳ τινὶ φαίνεται μεμνημένος. περὶ γὰρ Κόλχων ἱστορῶν ἐν τῇ δευτέρᾳ βίβλῳ φησὶν οὕτως. μοῦνοι δὲ πάντων φησὶ Κόλχοι, καὶ Αἰγύπτιοι, καὶ Αἰθίοπες περιτέμνονται ἀπ' ἀρχῆς τὰ αἰδοῖα. Φοίνικες δὲ καὶ Σύροι οἱ ἐν τῇ Παλαιστίνῃ, καὶ αὐτοὶ ὁμολογοῦσι παρ' Αἰγυπτίων μεμαθηκέναι. Σύροι δὲ οἱ περὶ Θερμώδοντα καὶ Παρθένιον ποταμόν, καὶ Μάκρωνες οἱ τούτοισιν ἀστυγείτονες ὄντες, ἀπὸ Κόλχων φασὶ νεωστὶ μεμαθηκέναι. οὗτοι γάρ εἰσιν οἱ περιτεμνόμενοι ἀνθρώπων μοῦνοι, καὶ οὗτοι Αἰγυπτίοισι φαίνονται ποιοῦντες κατὰ ταυτά. αὐτῶν δὲ Αἰγυπτίων καὶ Αἰθιόπων οὐκ ἔχω εἰπεῖν, ὁπότεροι παρὰ τῶν ἑτέρων ἐξέμαθον. οὐκοῦν εἴρηκε Σύρους τοὺς ἐν τῇ Παλαιστίνῃ περιτέμνεσθαι. τῶν δὲ τὴν Παλαιστίνην κατοικούντων μόνοι τοῦτο ποιοῦσιν Ἰουδαῖοι. τοῦτο ἄρα γινώσκων εἴρηκε περὶ αὐτῶν. καὶ Χοιρίλος δὲ ἀρχαιότερος γενόμενος ποιητὴς μέμνηται τοῦ ἔθνους ἡμῶν. ὅτι συνεστράτευται Ξέρξῃ τῷ Περσῶν βασιλεῖ ἐπὶ τὴν Ἑλλάδα. καταριθμησάμενος γὰρ πάντα τὰ ἔθνη, τελευταῖον καὶ τὸ ἡμέτερον ἐνέταξε λέγων·

Τῷ δ' ὄπιθεν διέβαινε γένος θαυμαστὸν ἰδέσθαι,
Γλῶσσαν μὲν φοίνισσαν ἀπὸ στομάτων ἀφιέντες·
Ὤικουν δ' ἐν Σολύμοις ὄρεσι πλατέῃ παρὰ λίμνῃ,
Αὐχμαλέοι, κορυφὰς τροχοκουράδες· αὐτὰρ ὕπερθεν
Ἵππων δαρτὰ πρόσωπ' ἐφόρουν ἐσκληκότα καπνῷ.

δῆλον οὖν ἐστιν, ὡς οἶμαι, πᾶσιν ἡμῶν αὐτὸν μεμνῆσθαι, τῷ καὶ τὰ Σόλυμα ὄρη ἐν τῇ ἡμετέρᾳ εἶναι χώρᾳ, ἃ κατοικοῦμεν, καὶ τὴν ἀσφαλτῖτιν λεγομένην λίμνην. αὕτη γὰρ πασῶν τῶν ἐν τῇ Συρίᾳ λιμνῶν πλατυτέρα καὶ μείζων καθέστηκεν. καὶ Χοιρίλος μὲν οὕτω μέμνηται ἡμῶν. ὅτι δὲ οὐ μόνον ἠπίσταντο τοὺς Ἰουδαίους, ἀλλὰ καὶ ἐθαύμαζον, ὅσοις αὐτῶν ἐντύχοιεν, οὐχ οἱ φαυλότατοι τῶν Ἑλλήνων, ἀλλ' οἱ ἐπὶ σοφίᾳ μάλιστα τεθαυμασμένοι, ῥᾴδιον γνῶναι. Κλέαρχος γὰρ ὁ Ἀριστοτέλους ὢν μαθητής, καὶ τῶν ἐκ τοῦ περιπάτου φιλοσόφων οὐδενὸς δεύτερος, ἐν τῷ πρώτῳ περὶ ὕπνου βιβλίῳ φησίν, Ἀριστοτέλην τὸν διδάσκαλον αὐτοῦ περί τινος ἀνδρὸς Ἰουδαίου ταῦτα ἱστορεῖν, αὐτόν τε τὸν λόγον Ἀριστοτέλει παρατιθείς. ἔστι δ' οὕτω γεγραμμένος. ἀλλὰ τὰ μὲν πολλὰ μακρὸν ἂν εἴη λέγειν. ὅσα δ' ἔχει τῶν ἐκείνου θαυμασιότητά τινα, καὶ φιλοσοφίαν ὁμοίως, διελθεῖν οὐ χεῖρον. ὡς σαφὲς δέ σοι εἰπεῖν Ὑπεροχίδη, θαυμαστόν τι καὶ ὀνείροις ἴσα σοι δόξω λέγειν. καὶ ὁ Ὑπεροχίδης εὐλαβούμενος, δι' αὐτὸ γάρ, ἔφη, τοῦτο, καὶ ζητοῦμεν ἀκοῦσαι πάντες. οὐκοῦν εἶπεν Ἀριστοτέλης κατὰ τὸ τῶν ῥητορικῶν παράγγελμα, τὸ γένος αὐτοῦ πρῶτον διέλθωμεν, ἵνα μὴ ἀπειθῶμεν τοῖς τῶν ἐπαγγελιῶν διδασκάλοις. λέγε, εἶπεν ὁ Ὑπεροχίδης, ὅτι σοι δοκεῖ. κἀκεῖνος, τοίνυν τὸ μὲν γένος ἦν Ἰουδαῖος ἐκ τῆς Κοίλης Συρίας. οὗτοι δέ εἰσιν ἀπόγονοι τῶν ἐν Ἰνδοῖς φιλοσόφων. καλοῦνται δὲ ὥς φασιν οἱ φιλόσοφοι παρὰ μὲν Ἰνδοῖς Καλανοί, παρὰ δὲ Σύροις Ἰουδαῖοι, τοὔνομα λαβόντες ἀπὸ τοῦ τόπου. προσαγορεύεται γὰρ ὃν κατοικοῦσι τόπον Ἰουδαία. τὸ δὲ τῆς πόλεως αὐτῶν ὄνομα πάνυ σκολιόν ἐστιν, Ἱερουσαλήμην γὰρ αὐτὴν καλοῦσιν. οὗτος οὖν ὁ ἄνθρωπος ἐπιξενούμενός τε πολλοῖς, κἀκ τῶν

A cum quibusdam aliis etiam iusiurãdum, quod Corbam appellatur, enumerat: apud nullos autem hoc inuenitur iuramentum, nisi apud Iudæos solos: quod interpretatur ex Hebraica lingua, donum Dei. Verùm neque Herodotus Halicarnasseus nostram ignorauit gentem, sed quodammodo eius meminisse cognoscitur. De Colchis enim referens, in secundo libro sic dicit: Soli autem inter omnes Colchi, & Ægyptij, & Æthiopes, verenda ab initio circuncidunt. Phœnices verò, & Syri in Palæstina confitentur hoc ab Ægyptiis didicisse. Syri autem qui circa Thermodoontem & Parthenium fluuium commorantur, & his vicini Macrones, à Colchis dicuntur nuper didicisse. Hi namque sunt inter homines soli, qui circunciduntur: & isti sicut Ægyptij facere dicuntur. De Ægyptiis autem & Æthiopibus dicere non possum, vtri ab alteris didicêre. Dixit ergo Syros, qui in Palæstina sunt, circuncidi. Omnium autem qui habitant Palæstinam, soli Iudæi circunciduntur. Hoc igitur sciens, de ipsis dixit. Quin & Chœrilus, antiquus poëta, meminit de gente nostra, dicens quòd militauerunt nostri maiores cum Xerxe Persarum rege contra Græcos: & enumerans vniuersas gentes, nouissimam nostram posuit, ita dicens:

Huius miranda specie gens castra secuta,
Phœnissam ignoto linguam mittebat ab ore.
Sedes huic Solymi montes, stagnum prope vastũ,
Tonsa caput circum, squalenti vertice equini
Exuuias capitis duratas igne gerebat.

Palàm ergo est, sicut arbitror, quia nostri meminerit, eo quòd & Solymi montes in nostra regione sunt constituti, in quibus habitamus, & stagnum, quod dicitur Asphaltites. hoc enim inter omnes stagnum in Syria latius ac maius est. Et Chœrilus quidem ita nostri meminit. Quod autem non solùm sciebant Iudæos, sed etiam in quotquot inciderent admirabantur, non è vulgo Græci, sed ob sapientiam celebres, ostendere facile est. Clearchus enim Aristotelis discipulus, & Peripateticorum nulli secundus, in primo libro de somno, dicit Aristotelẽ doctorẽ suum de quodã viro Iudæo ita referre: & ipsi Aristoteli eũdem sermonẽ ascribit, quod ita conscriptũ est. Sed alia quidem longum est dicere. Quæ verò habere potuerant illius admirationem quãdam atque philosophiam, ea duco operæpretium referre. Et Hyperochides: vehementer, inquit, audire desideramus vniuersi. Igitur secundùm præcepta, Aristoteles inquit, rhetorica, eius genus primò indicabimus, ne reluctemur doctoribus præceptorum. Dic, inquit Hyperochides, ita si placet. tũ ille. genere igitur Iudæus erat, è Cœlesyria: qui sunt ex propagine Philosophorum Indorum, vocantúrq; (vt aiunt) philosophi, apud Indos Calani, apud Syros autem Iudæi nomẽ accipientes à loco. locus enim vbi habitant, appellatur Iudæa. nomen verò eorũ ciuitatis valde difficile est: vocant enim eam nomine Hierusalẽ. Is igitur homo multos hospitio recipiens, & de su-

perioribus ad maritima descendens, grauissimus erat non solùm eloquio, sed etiam animo. Et tunc nobis degentibus apud Asiam, cũ diuinus homo venisset ad ea loca, confabulari cœpit nobiscum, & cum aliis scholasticis eorum sapientiam tentans, cúmque multi eruditorum congregarentur, tradebat potius aliquid corũ quæ habebat. Hæc ait Aristoteles apud Clearchum, & super hæc multam ac mirabilem continentiam Iudæi viri in cibis & castitatem narrat. Licet autem volentibus hæc ex ipsius lectione cognoscere. ego enim refugio plus quàm decet inserere. Clearchus igitur facta digressione, cùm aliud propositum haberet, nostri generis ita meminit. Hecatæus autẽ Abderita, vir philosophus simul & circa actiones industrius, cum Alexandro rege nutritus, & cum Ptolemæo Lagi commoratus, non obiter, sed integrum de ipsis Iudæis conscripsit librum, Ex quo volo breuiter quædam eorum quæ ab eo sunt dicta percurrere. Sed primitus tempus ostendã. meminit enim prælij, quo circa Gazam Ptolemæus conflixit cum Demetrio, quod vtique contigit vndecimo quidem anno post mortem Alexandri, Olympiade verò septima & decima atque centesima, sicuti refert Castor. adiiciẽs enim hanc Olympiadem, dicit: Sub hac Ptolemæus Lagi vicit in Gaza prælio Demetrium Antigoni, qui vocabatur Poliorcetes. Alexandrum verò profitentur vniuersi centesima & quartadecima Olympiade fuisse defunctum. Palàm ergo est, quia & secundùm illud tempus, & sub Alexandro genus florebat nostrum. Dicit igitur Hecatæus, quia post prælium ad Gazam Ptolemæus locorum quæ sunt circa Syriam dominus est effectus. Et multi hominum cognoscentes mansuetudinem & clementiam Ptolemæi, cum eo proficisci ad Ægyptum, & rebus communicare voluẽre. Quorum vnus, inquit, erat Ezechias pontifex Iudæorum: homo ætate quidem quasi sexaginta & sex annorum, dignitate verò apud contribules maximus, & animo sapientissimus, potentissimus ad dicendum, & circa causas sicut nullus alter expertus. dicit etiam omnes sacerdotes Iudæorum, qui decimas accipiunt, & vniuersa in communi gubernant, circa mille & quingentos existere. Rursus autem prædicti viri faciens mentionem: hic inquit, homo hunc honorem gerens, & assuetus esse nobiscum assumens aliquos suorum, differentiam cunctã exposuit: & habitationem suam & conuersationem, quam scriptam habebat, pariter indicauit. Deinde palàm facit Hecatæus, quales circa leges existimus: & quia omnia sustinere, ne transcendamus eas, eligimus: & hoc esse optimum iudicamus. Dicitur igitur hæc: Et malè sæpius à finitimis audientes, & omnes contumelias passi à Persicis regibus & satrapis, nõ possunt mente mutari. Sed cum magna exercitatione, de his præcipuè omnibus respondere parati sunt. Perhibet autẽ etiã indicia fortis animi circa leges non parua, dicens, Alexandro quõdam in Babylone cõstituto, & volẽte Beli

ἄνω τόπων εἰς τοὺς θαλαττίους ὑποκαταβαίνων, ἑλληνικὸς ἦν οὐ τῇ διαλέκτῳ μόνον, ἀλλὰ καὶ τῇ ψυχῇ. καὶ τότε διατριβόντων ἡμῶν περὶ τὴν ἀσίαν, παραβαλὼν εἰς τοὺς τόπους, ἐν οἷς ἦμεν, ἐντυγχάνει ἡμῖν τε καί τισιν ἑτέροις τῶν σχολαστικῶν, πειρώμενος αὐτῶν τῆς σοφίας. ὡς δὲ πολλοῖς τῶν ἐν παιδείᾳ συνῳκείωτο, παρεδίδου τι μᾶλλον ὧν εἶχεν. ταῦτ' εἴρηκεν ἀριστοτέλης παρὰ τῷ κλεάρχῳ, καὶ προσέτι πολλὴν καὶ θαυμάσιον καρτερίαν τοῦ ἰουδαίου ἀνδρὸς ἐν τῇ διαίτῃ καὶ σωφροσύνην διεξιών. ἔνεστι δὲ τοῖς βουλομένοις ἐξ αὐτοῦ τὸ πλέον γνῶναι τοῦ βυβλίου. φυλάττομαι γὰρ ἐγὼ τὰ πλείω τῶν ἱκανῶν παρατίθεσθαι. κλέαρχος μὲν οὖν ἐν παρεκβάσει ταῦτ' εἴρηκεν. τὸ γὰρ προκείμενον ἦν αὐτῷ καθ' ἕτερον οὕτως ἡμῶν μνημονεῦσαι. ἑκαταῖος δὲ ὁ ἀβδηρίτης ἀνὴρ φιλόσοφος ἅμα, καὶ περὶ τὰς πράξεις ἱκανώτατος, ἀλεξάνδρῳ τῷ βασιλεῖ συνακμάσας, καὶ πτολεμαίῳ τῷ λάγου συγγενόμενος, οὐ παρέργως ἀλλὰ περὶ αὐτῶν ἰουδαίων συγγέγραφε βυβλίον, ἐξ οὗ βούλομαι κεφαλαιωδῶς ἐπιδραμεῖν ἔνια τῶν εἰρημένων. καὶ πρῶτον ἐπιδείξω τὸν χρόνον. μνημονεύει γὰρ πτολεμαίου περὶ γάζαν πρὸς δημήτριον μάχης. αὕτη δὲ γέγονεν ἐνδεκάτῳ μὲν ἔτει τῆς ἀλεξάνδρου τελευτῆς, ἐπὶ δὲ ὀλυμπιάδος ἑβδόμης καὶ δεκάτης καὶ ἑκατοστῆς, ὡς ἱστορεῖ κάστωρ. προσθεὶς γὰρ ταύτην τὴν ὀλυμπιάδα φησίν, ἐπὶ ταύτης πτολεμαῖος ὁ λάγου ἐνίκα κατὰ γάζαν μάχῃ δημήτριον τὸν ἀντιγόνου, τὸν ἐπικληθέντα πολιορκητήν. ἀλέξανδρον δὲ τεθνάναι πάντες ὁμολογοῦσιν ἐπὶ τῆς ἑκατοστῆς τεσσαρεσκαιδεκάτης ὀλυμπιάδος. δῆλον οὖν ὅτι καὶ κατ' ἐκεῖνον καὶ κατὰ ἀλέξανδρον ἤκμαζεν ἡμῶν τὸ ἔθνος. λέγει τοίνυν ὁ ἑκαταῖος πάλιν τάδε. ὅτι μετὰ τὴν ἐν γάζῃ μάχην ὁ πτολεμαῖος ἐγένετο τῶν περὶ συρίαν τόπων ἐγκρατής. καὶ πολλοὶ τῶν ἀνθρώπων πυνθανόμενοι τὴν ἠπιότητα καὶ φιλανθρωπίαν τοῦ πτολεμαίου, συναπαίρειν εἰς αἴγυπτον αὐτῷ, καὶ κοινωνεῖν τῶν πραγμάτων ἐβουλήθησαν. ὧν εἷς ἦν, φησίν, ἐζεκίας ὁ ἀρχιερεὺς τῶν ἰουδαίων, ἄνθρωπος τὴν μὲν ἡλικίαν ὡς ἑξηκονταὲξ ἐτῶν, τῷ δ' ἀξιώματι τῷ παρὰ τοῖς ὁμοέθνοις μέγας. καὶ τὴν ψυχὴν οὐκ ἀνόητος, ἔτι δὲ καὶ λέγειν δυνατός, καὶ τοῖς περὶ τῶν πραγμάτων εἴπερ τις ἄλλος ἔμπειρος. καίτοι, φησίν, οἱ πάντες ἱερεῖς τῶν ἰουδαίων, οἱ τὴν δεκάτην τῶν γινομένων λαμβάνοντες, καὶ τὰ κοινὰ διοικοῦντες, περὶ χιλίους μάλιστα καὶ πεντακοσίους εἰσίν. πάλιν δὲ τοῦ προειρημένου μνημονεύων ἀνδρός, οὗτος φησὶν ὁ ἄνθρωπος τετυχηκὼς τῆς τιμῆς ταύτης, καὶ συνήθης ἡμῖν γενόμενος, παραλαβών τινας τῶν μεθ' ἑαυτοῦ, τήν τε διαφορὰν ἀνέγνω πᾶσαν αὐτοῖς, εἶχε γὰρ τὴν κατοίκησιν αὐτῶν καὶ τὴν πολιτείαν γεγραμμένην. εἶτα ἑκαταῖος δηλοῖ πάλιν πῶς ἔχομεν πρὸς τοὺς νόμους, ὅτι πάντα πάσχειν ὑπὲρ τοῦ μὴ παραβῆναι τούτους προαιρούμεθα, καλὸν εἶναι νομίζοντες. τοιγαροῦν φησὶ καὶ κακῶς ἀκούοντες ὑπὸ τῶν ἀστυγειτόνων, καὶ τῶν εἰσαφικνουμένων πάντων, καὶ προπηλακιζόμενοι πολλάκις ὑπὸ τῶν περσικῶν βασιλέων καὶ σατραπῶν, οὐ δύνανται μεταπεισθῆναι τῇ διανοίᾳ, ἀλλὰ γεγυμνωμένως περὶ τούτων καὶ αἰκίαις καὶ θανάτοις δεινοτάτοις μάλιστα πάντων ἀπαντῶσι, μὴ ἀρνούμενοι τὰ πάτρια. παρέχεται δὲ καὶ τεκμήρια τῆς ἰσχυρογνωμοσύνης τῆς περὶ τῶν νόμων οὐκ ὀλίγα. φησὶ γὰρ ἀλεξάνδρου ποτὲ ἐν βαβυλῶνι γενομένου, καὶ προελομένου τὸ τοῦ βήλου πεπτω-

περὶ ὠκὸς ἱερὸν ἀνακαθᾶραι, καὶ πᾶσιν αὐτοῦ τοῖς στρατιώταις ὁμοίως φέρειν τὸν χοῦν προστάξαντος, μόνους τοὺς Ἰουδαίους οὐ προσέχειν. ἀλλὰ καὶ πολλὰς ὑπομεῖναι πληγὰς, καὶ ζημίας ἀποτῖσαι μεγάλας, ἕως αὐτοῖς συγγνόντα τὸν βασιλέα δοῦναι τὴν ἄδειαν. τῶν γε μὴν τῶν εἰς τὴν χώραν, φησὶ, πρὸς αὐτοὺς ἀφικνουμένων, καὶ νεὼς καὶ βωμοὺς κατασκευασάντων, ἅπαντα ταῦτα κατέσκαπτον. καὶ τῶν μὲν ζημίαν τοῖς σατράπαις ἐξέτεινον, περὶ τινων δὲ καὶ συγγνώμης μετελάμβανον. καὶ προστίθησιν, ὅτι δίκαιον ἐπὶ τούτοις αὐτοὺς ἐστὶ θαυμάζειν. λέγει δὲ καὶ περὶ τοῦ πολυανθρωπότατον γεγονέναι ἡμῶν τὸ ἔθνος. πολλὰς μὲν γὰρ ἡμῶν φησιν ἀνασπάστους εἰς Βαβυλῶνα Πέρσαι πρότερον αὐτῶν ἐποίησαν μυριάδας. οὐκ ὀλίγαι δὲ καὶ μετὰ τὸν Ἀλεξάνδρου θάνατον εἰς Αἴγυπτον καὶ Φοινίκην μετέστησαν, διὰ τὴν ἐν Συρίᾳ στάσιν. ὁ δὲ αὐτὸς οὗτος ἀνὴρ καὶ τὸ μέγεθος τῆς χώρας, ἣν κατοικοῦμεν, καὶ τὸ κάλλος ἱστόρηκεν. τριακοσίας γὰρ μυριάδας ἀρουρῶν, σχεδὸν τῆς ἀρίστης καὶ παμφορωτάτης χώρας, νέμονται φησίν. ἡ γὰρ Ἰουδαία τοσαύτη πλῆθος ἐστίν. ἀλλὰ μὴν ὅτι καὶ τὴν πόλιν αὐτὴν τὰ Ἱεροσόλυμα καλλίστην τε καὶ μεγίστην, ἐκ παλαιοτάτου κατοικοῦμεν, καὶ περὶ πλήθους ἀνδρῶν, καὶ περὶ τῆς τοῦ νεὼ κατασκευῆς, οὕτως αὐτὸς διηγεῖται. ἔστι γὰρ τῶν Ἰουδαίων τὰ μὲν πολλὰ ὀχυρώματα κατὰ τὴν χώραν καὶ κῶμαι. μία δὲ πόλις ὀχυρὰ πεντήκοντα μάλιστα σταδίων τὴν περίμετρον, ἣν οἰκοῦσιν ἀνθρώπων περὶ δώδεκα μυριάδες. καλοῦσι δ' αὐτὴν Ἱεροσόλυμα. ἐνταῦθα δ' ἔστι κατὰ μέσον μάλιστα τῆς πόλεως περίβολος λίθινος, μῆκος ὡς πεντάπλεθρος, εὖρος πηχῶν ἑκατὸν, ἔχων διπλᾶς πύλας. ἐν ᾧ βωμός ἐστι τετράγωνος, οὐκ ἐκ τμητῶν, ἀλλ' ἐκ τῶν ἀργῶν λίθων οὕτω συγκείμενος. πλευρὰν μὲν ἑκάστη εἴκοσι πηχῶν, ὕψος δὲ δεκάπηχυ. καὶ παρ' αὐτὸν οἴκημα μέγα, οὗ βωμὸς ἐστὶ καὶ λυχνίον, ἀμφότερα χρυσᾶ, δύο τάλαντα τὴν ὁλκήν. ἐπὶ τούτων φῶς ἐστὶν ἀναπόσβεστον καὶ τὰς νύκτας καὶ τὰς ἡμέρας. ἄγαλμα δὲ οὐκ ἔστιν οὐδὲ ἀνάθημα τοπαράπαν. οὐδὲ φύτευμα παντελῶς οὐδὲν, οἷον ἀλσῶδες ἤ τι τοιοῦτον. διατρίβουσι δ' ἐν αὐτῷ καὶ τὰς νύκτας καὶ τὰς ἡμέρας ἱερεῖς, ἁγνείας τινὰς ἁγνεύοντες, τοπαράπαν οἶνον οὐ πίνοντες ἐν τῷ ἱερῷ. ἔτι γε μὴν ὅτι καὶ Ἀλεξάνδρῳ τῷ βασιλεῖ συνεστρατεύοντο, καὶ μετὰ ταῦτα τοῖς διαδόχοις αὐτοῦ, μεμαρτύρηκεν. οἷς αὐτὸς παρατυχεῖν φησιν ὑπ' ἀνδρὸς Ἰουδαίου κατὰ τὴν στρατείαν γινομένοις, ταῦτα παραθήσομαι. λέγει δ' οὕτως. ἐμοῦ γοῦν ἐπὶ τὴν Ἐρυθρὰν θάλασσαν βαδίζοντος, συνηκολούθει τις μετὰ τῶν ἄλλων τῶν παραπεμπόντων ἡμᾶς ἱππέων Ἰουδαίων, ὄνομα Μοσόλλαμος, ἄνθρωπος ἱκανῶς κατὰ ψυχὴν εὔρωστος, καὶ τοξότης δὴ πάντων ὁμολογουμένως καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἄριστος. οὗτος οὖν ὁ ἄνθρωπος διαβαδιζόντων πολλῶν κατὰ τὴν ὁδὸν, καὶ μάντεώς τινος ὀρνιθευομένου, καὶ πάντας ἐπισχεῖν ἀξιοῦντος, ἠρώτησε διὰ τί προσμένουσι. δείξαντος δὲ τοῦ μάντεως αὐτῷ τὴν ὄρνιθα, καὶ φήσαντος, ἐὰν μὲν αὐτοῦ μένῃ, προσμένειν συμφέρειν πᾶσιν, ἂν δ' ἀναστᾶσα εἰς τοὔμπροσθεν πέτηται, προάγειν, ἐὰν δὲ εἰς τοὔπισθεν, ἀναχωρεῖν, αὖθις σιωπήσας καὶ παρελκύσας τὸ τόξον ἔβαλε, καὶ τὴν ὄρνιθα πατάξας ἀπέκτεινεν.

templum quod corruerat renouare, cunctisq; militibus similiter rudera portare præcipiente, solos Iudæos hoc facere non sustinuisse: sed etiam multas plagas, & detrimenta pertulisse non modica, donec eis ignoscente rege securitas præberetur. Qui dum ad prouinciam, inquit, propriam reuersi fuissent, templa & altaria fabricata omnia destruxêre. Et pro aliis quidem mulctam satrapæ exoluêre, pro aliis verò veniam consecuti sunt. Adiicit autem, quòd meritò ob hæc mirabiles sint. Et quòd gẽs nostra fuit multorum hominum numero copiosa: sed multa millia nostrorum traducta, in Babylonia Persæ primùm collocarunt: nec pauca etiam morte Alexandri in Ægyptum & Phœnicen sunt translata, propter seditionem in Syria factam. Idem vir & magnitudinem prouinciæ quam incolimus, pulchritudinémque narrauit. Penè decies trecenta millia, inquit, iugera terrarum optimarum vberrimæ prouinciæ possidere noscũtur. Iudæa namque huius est amplitudinis. Et quia etiam ciuitatem ipsam Hierosolymorum spaciosam & maximam olim inhabitamus, & virorum multitudine copiosam, nec non & templi constructionem, idem ipse sic refert: Sunt autem Iudæorum & aliæ quidem multæ munitiones per prouinciam, atque vici. Vna verò ciuitas munitissima, habens præcipuè circuitum quinquaginta stadiorum, in qua commorantur hominũ circa centum & quinquaginta millia, nomine Hierosolyma. Est autem in media ciuitate lapidea quadriporticus, centum per circuitum cubitorum, habens etiã duplices ianuas: in qua ara est quadranguli figuratione composita ex lapidibus non dolatis, sed collectis, vnumquodque latus viginti cubitorum latitudinem habens, altitudinem verò decem: & circa eam maxima fabrica, vbi altare est constitutum & candelabrum, vtraque aurea, duorum talentorum pondus habentia: & inextinguibile lumen noctibus & diebus. Simulacrum verò, aut aliquod anathema ibi nequaquam est, nec vlla plantatio. nullus ibi veluti lucus, aut aliquid huiusmodi. Habitant autem in eo & noctibus & diebus sacerdotes, quasdam purificationes agentes, & omnino vinum non bibentes in tẽplo. Insuper autem, quia & cum Alexandri regis successoribus postea militarunt, testatur hoc modo, dicens ea quæ cognouerit à viro Iudæo in expeditione constituto: cuius verba subiiciam. Ait enim: Me siquidem eunte ad mare rubrum, vnà secutus est quidam cum aliis equestrium Iudæorum nos deducentium, nomine Mosollamus, vir animosus, inter omnes sagittarios Grecos & Barbaros precipu⁹. Is igitur homo properantibus multis pariter & quodam vate augurium captante, & petente, vt cuncti starent, interrogauit, cur substitissent omnes. Ostendẽte verò ei vate auem quam intuebatur, atque dicente: quòd si quidem expediret, eis vt manerent omnes, staret auis: si verò surgens anterius euolaret, procederent, si verò post tergum iret, recedere cũctos oporteret: rursum tacens, arcũq; trahens, sagittam emisit: & auem percussam interemit.

Indignantibus verò vate & quibusdam aliis, & maledicentibus ei: Quid furitis, inquit, infaustissimam auem sumentes in manus? hæc enim suam salutem nesciens, de nostro itinere nobis prosperitatem potuit indicare? Si enim præscire futura valuisset, in hunc locum nequaquam venisset, metués ne sagitta à Mosollamo Iudæo periret. Sed Hecatæi testimonia iam quiescant. facile namque est volentibus ipsum librum legere, & hæc apertiùs inuenire. Non verò me pigebit Agatharchidem introducere, licèt homo minimè malus, vt ei visum est, nobis detraxisse videatur. Is enim narrans de Stratonice, quemadmodum venit in Syriam è Macedonia viro suo Demetrio derelicto: Seleuco autem vxorem eam ducere nolente, quod illa sperabat, exercitu eius in Babylonia posito, circa Antiochiam bella mouit. Deinde quomodo reuerso rege Antiochia capta in Seleuciam illa fugiens, cùm posset velociùs abnauigare, somnio prohibita ne faceret, capta atque defuncta est. Hæc ergo præfatus Agatharchides, & derogans superstitioni Stratonices, vtitur exemplo generis nostri, sic scribens. Qui vocantur Iudæi, habitant omnium munitissimam ciuitatem, quam vocare Hierosolymam prouinciales solent: hi vacare cõsueti sũt septima die, & neq; arma portare in prędictis diebus, neque alterius cuiuspiam curam habere patiuntur, sed in tẽplis extendẽtes manus, adorare vsque ad vesperã soliti sunt. Ingrediẽte verò in ciuitatẽ Ptolemæo Lago cum exercitu & multis hominibus, cũ custodire debuerint ciuitatẽ, eis stultitiã obseruãtibus, prouincia quidem dominũ suscepit amarissimũ: lex verò manifestata est malam habere solennitatem. huiusmodi autem casus, præter illos, alios quoque docuit vniuersos: vt tunc ad somnia & opiniones quę tradebãtur de lege confugiant, dum circa res necessarias ratio nihil valet humana. Hoc quidem Agatharchidi videtur esse ridiculum: eis autem qui hæc examinant integriùs, apparet magnum, & præcipua laude dignissimũ: si & saluti & patriæ quidem, custodiam legum pietatémque diuinam præponere concupiscant. Quòd verò non ignorantes quidam conscriptorum gentem nostram, sed propter inuidiam quasdam ob similes causas memoriam nostri omiserunt, hoc indicium me arbitror esse præbiturum. Hieronymus enim qui de successoribus conscripsit historiam, ipso tempore quo Hecatæus fuit: & amicus existens regis Antigoni Syriæ præsidebat. Verùm Hecatæus etiam librum conscripsit de nobis: Hieronymus autem nequaquam nostri in historia meminit, licèt penè in ipsis locis nutritus esset. In tantũ voluntates hominum differebãt. alter nãq; dignos existimauit de quibus diligenter memoriæ proderet: alterũ verò omnino circa veritatẽ quædã passio cernitur obscurasse. Sufficiunt tamen ad comprobationem antiquitatis nostræ, Ægyptiorum & Chaldæorum atque Phœnicum historiæ, & super illas Græcorum pariter cõscriptores. nam præter supradictos,

ἀγανακτούντων δὲ τοῦ μάντεως καί τινων ἄλλων καὶ καταρωμένων αὐτῷ, τί μαίνεσθε, ἔφη, κακοδαιμονέστατοι ὄρνιθα λαβόντες εἰς τὰς χεῖρας; πῶς γὰρ αὕτη τὴν αὑτῆς σωτηρίαν οὐ προϊδοῦσα, περὶ τῆς ἡμετέρας πορείας ἡμῖν ἄν τι ὑγιὲς ἀπήγγελλεν; εἰ γὰρ ἠδύνατο προγινώσκειν τὸ μέλλον, εἰς τὸν τόπον τοῦτον οὐκ ἂν ἦλθε, φοβουμένη μὴ τοξεύσας αὐτὴν ἀποκτείνῃ Μοσόλλαμος Ἰουδαῖος. ἀλλὰ τὰς μὲν Ἑκαταίου μαρτυρίας ἅλις. τοῖς γὰρ βουλομένοις πλείω μαθεῖν, τῷ βιβλίῳ ῥᾴδιόν ἐστιν ἐντυχεῖν. οὐκ ὀκνήσω δὲ καὶ τὸν ἐπ' εὐηθείᾳ διασυρμῷ καθάπερ αὐτὸς οἴεται, μνήμην πεποιημένον ἡμῶν Ἀγαθαρχίδην ὀνομάσαι. διηγούμενος γὰρ τὰ περὶ Στρατονίκην, ὃν τρόπον ἦλθε μὲν ἐκ Συρίας εἰς Μακεδονίαν, καταλιποῦσα τὸν ἑαυτῆς ἄνδρα Δημήτριον. Σελεύκου δὲ γαμεῖν αὐτὴν οὐ θελήσαντος, ὅπερ ἐκείνη προσεδόκησε, ποιουμένου δὲ τὴν ἀπὸ Βαβυλῶνος στρατιὰν αὐτοῦ, τὰ περὶ τὴν Ἀντιόχειαν ἐνεωτέρισεν. εἶθ' ὡς ἀνέστρεψεν ὁ βασιλεύς, ἁλισκομένης τῆς Ἀντιοχείας, εἰς Σελεύκειαν φυγοῦσα, παρὸν αὐτῇ ταχέως ἀποπλεῖν, ἐνυπνίῳ κωλύοντι πεισθεῖσα ἐλήφθη καὶ ἀπέθανεν. ταῦτα προειπὼν ὁ Ἀγαθαρχίδης, καὶ ἐπισκώπτων τῇ Στρατονίκῃ τὴν δεισιδαιμονίαν, παραδείγματι χρῆται τῷ περὶ ἡμῶν λόγῳ. καὶ γέγραφεν οὕτως. οἱ καλούμενοι Ἰουδαῖοι πόλιν οἰκοῦντες ὀχυρωτάτην πασῶν, ἣν καλεῖν Ἱεροσόλυμα συμβαίνει τοὺς ἐγχωρίους, ἀργεῖν εἰθισμένοι δι' ἑβδόμης ἡμέρας, καὶ μήτε τὰ ὅπλα βαστάζειν ἐν τοῖς εἰρημένοις χρόνοις, μήτε γεωργίας ἅπτεσθαι, μήτε ἄλλης ἐπιμελεῖσθαι λειτουργίας μηδεμιᾶς, ἀλλ' ἐν τοῖς ἱεροῖς ἐκτετακότες τὰς χεῖρας εὔχεσθαι μέχρι τῆς ἑσπέρας, εἰσιόντος εἰς τὴν πόλιν Πτολεμαίου τοῦ Λάγου μετὰ τῆς δυνάμεως, καὶ τῶν ἀνθρώπων αὐτὴν φυλάττειν τὴν πόλιν διατηρούντων τὴν ἄνοιαν, ἡ μὲν πατρὶς εἰλήφει δεσπότην πικρόν, ὁ δὲ νόμος ἐξηλέγχθη φαῦλον ἔχων ἐθισμόν. τὸ δὲ συμβὰν πλὴν ἐκείνων τοὺς ἄλλους πάντας δεδίδαχε, τηνικαῦτα φυγεῖν εἰς ἐνύπνια, καὶ τὴν περὶ τοῦ νόμου παραδεδομένην ὑπόνοιαν, ἡνίκα ἂν τοῖς ἀνθρωπίνοις λογισμοῖς περὶ τῶν διαπορουμένων ἐξασθενήσουσιν. τοῦτο μὲν Ἀγαθαρχίδῃ καταγέλωτος ἄξιον δοκεῖ. τοῖς δὲ μὴ μετὰ δυσμενείας ἐξετάζουσι, φαίνεται μέγα καὶ πολλῶν ἄξιον ἐγκωμίων, εἰ καὶ σωτηρίας καὶ πατρίδος ἄνθρωποί τινες, νόμων φυλακὴν καὶ τὴν πρὸς θεὸν εὐσέβειαν ἀεὶ προτιμῶσιν. ὅτι δὲ οὐκ ἀγνοοῦντες ἔνιοι τῶν συγγραφέων τὸ ἔθνος ἡμῶν, ἀλλ' ὑπὸ φθόνου τινὸς, ἢ δι' ἄλλας αἰτίας οὐχ ὑγιεῖς, τὴν μνήμην παρέλιπον, τεκμήριον οἶμαι παρέξειν. Ἱερώνυμος γὰρ ὁ τὴν περὶ τῶν διαδόχων ἱστορίαν συγγεγραφώς, κατὰ τὸν αὐτὸν μὲν ἦν Ἑκαταίῳ. φίλος δ' ὢν Ἀντιόχου τοῦ βασιλέως, τὴν Συρίαν ἐπετρόπευεν. ἀλλ' ὅμως Ἑκαταῖος μὲν καὶ βιβλίον ἔγραψε περὶ ἡμῶν. Ἱερώνυμος δ' οὐδαμοῦ κατὰ τὴν ἱστορίαν ἐμνημόνευσε, καίτοι σχεδὸν ἐν τοῖς τόποις διατετριφώς. τοσοῦτον αἱ προαιρέσεις τῶν ἀνθρώπων διήνεγκαν. τῷ μὲν γὰρ ἐδόξαμεν καὶ σπουδαίας εἶναι μνήμης ἄξιοι· τῷ δὲ πρὸς τὴν ἀλήθειαν πάντως τι πάθος οὐκ εὔγνωμον ἐπεσκότησεν. ἀρκοῦσι δὲ ὅμως εἰς τὴν ἀπόδειξιν τῆς ἀρχαιότητος, αἵ τε Αἰγυπτίων καὶ Χαλδαίων καὶ Φοινίκων ἀναγραφαί, πρὸς ἐκείναις τε τοσοῦτοι τῶν Ἑλλήνων συγγραφεῖς. ἔτι δὲ καὶ πρὸς τοῖς εἰρημένοις,

Θεόφι-

θεόφιλος, καὶ θεόδοτος, καὶ μνασέας, καὶ ἀριστοφάνης, καὶ ἑρμογένης. εὐήμερός τε καὶ κόνων, καὶ ζωπυρίων, καὶ πολλοί τινες ἄλλοι τάχα, οὐ γὰρ ἔγωγε πᾶσιν ἐντετύχηκα τοῖς βιβλίοις, οὐ παρέργως ἡμῶν ἐμνημονεύκασιν. οἱ πολλοὶ δὲ τῶν εἰρημένων ἀνδρῶν, τῆς μὲν ἀληθείας τῶν ἐξ ἀρχῆς πραγμάτων διήμαρτον, ὅτι μὴ ταῖς ἱεραῖς ἡμῶν βίβλοις ἐνέτυχον. κοινῶς μέντοι περὶ τῆς ἀρχαιότητος ἅπαντες μεμαρτυρήκασιν, ὑπὲρ ἧς τανῦν λέγειν προεθέμην. ὁ μέντοι φαληρεὺς δημήτριος, καὶ φίλων ὁ πρεσβύτερος, καὶ εὐπόλεμος, οὐ πολὺ τῆς ἀληθείας διήμαρτον. οἷς συγγινώσκειν ἄξιον. οὐ γὰρ ἐνῆν αὐτοῖς μετὰ πάσης ἀκριβείας τοῖς ἡμετέροις γράμμασι παρακολουθεῖν. ἓν ἔτι μοι κεφάλαιον ὑπολείπεται, τῶν κατὰ τὴν ἀρχὴν προτεθέντων τοῦ λόγου, τὰς διαβολὰς καὶ τὰς λοιδορίας, αἷς κέχρηνταί τινες κατὰ τοῦ γένους ἡμῶν ἀποδεῖξαι ψευδεῖς, καὶ τοῖς γεγραφόσι ταῦτα καθ' ἑαυτῶν χρήσασθαι μάρτυσιν. ὅτι μὲν οὖν καὶ ἑτέροις τοῦτο πολλοῖς συμβέβηκε, διὰ τὴν ἐνίων δυσμένειαν, οἶμαι γινώσκειν τοὺς πλέον ταῖς ἱστορίαις ἐντυγχάνοντας. καὶ γὰρ ἐθνῶν τινὲς καὶ τῶν ἐνδοξοτάτων πόλεων ῥυπαίνειν τὴν εὐγένειαν, καὶ τὰς πολιτείας ἐπεχείρησαν λοιδορεῖν. θεόπομπος μὲν τὴν ἀθηναίων, τὴν δὲ λακεδαιμονίων πολυκράτης. ὁ δὲ τὸν τριπολιτικὸν γράψας, οὐ γὰρ δὴ θεόπομπός ἐστιν, ὥς τινες οἴονται, καὶ τὴν θηβαίων πόλιν περιέλαβε. πολλὰ δὲ καὶ τίμαιος ἐν ταῖς ἱστορίαις περὶ τῶν προειρημένων, καὶ περὶ ἄλλων βεβλασφήμηκεν. μάλιστα δὲ τοῦτο ποιοῦσι, τοῖς ἐνδοξοτάτοις προσπλεκόμενοι τινὲς μὲν διὰ φθόνον καὶ κακοήθειαν, ἄλλοι δὲ διὰ τὸ καινολογεῖν μνήμης ἀξιωθήσεσθαι νομίζοντες. παρὰ μὲν οὖν τοῖς ἀνοήτοις ταύτης οὐδαμῶς ἁμαρτάνουσι τῆς ἐλπίδος, οἱ δ' ὑγιαίνοντες τῇ κρίσει, πολλὴν αὐτῶν μοχθηρίαν καταδικάζουσι. τῶν δὲ εἰς ἡμᾶς βλασφημιῶν ἦρξαν μὲν αἰγύπτιοι. βουλόμενοι δ' ἐκείνοις τινὲς χαρίζεσθαι, παρατρέπειν ἐπεχείρησαν τὴν ἀλήθειαν, οὔτε τὴν εἰς αἴγυπτον ἄφιξιν, ὡς ἐγένετο τῶν ἡμετέρων προγόνων ὁμολογοῦντες, οὔτε τὴν ἔξοδον ἀληθεύοντες. αἰτίας δὲ πολλὰς ἔλαβον τοῦ μισεῖν καὶ φθονεῖν. τὸ μὲν ἐξ ἀρχῆς, ὅτι κατὰ τὴν χώραν αὐτῶν ἐδυνάστευσαν ἡμῶν οἱ πρόγονοι, κἀκεῖθεν ἀπαλλαγέντες ἐπὶ τὴν οἰκείαν, πάλιν εὐδαιμόνησαν. εἶθ' ἡ τούτων ὑπεναντιότης πολλὴν αὐτοῖς ἐνεποίησεν ἔχθραν, τοσοῦτον τῆς ἡμετέρας διαφερούσης εὐσεβείας πρὸς τὴν ὑπ' ἐκείνων νενομισμένην, ὅσον θεοῦ φύσις ζῴων ἀλόγων διέστηκεν. κοινὸν μὲν γὰρ αὐτοῖς ἐστι πάτριον τὸ ταῦτα θεοὺς νομίζειν. ἰδίᾳ δὲ πρὸς ἀλλήλους ἐν ταῖς τιμαῖς αὐτῶν διαφέρονται. κοῦφοι δὲ καὶ ἀνόητοι παντάπασιν ἄνθρωποι, κακῶς ἐξ ἀρχῆς εἰθισμένοι δοξάζειν περὶ θεῶν, μιμήσασθαι μὲν τὴν σεμνότητα τῆς ἡμετέρας θεολογίας οὐκ ἐχώρησαν. ὁρῶντες δὲ ζηλουμένους ὑπὸ πολλῶν ἐφθόνησαν. εἰς τοσοῦτον γὰρ ἦλθον ἀνοίας καὶ μικροψυχίας ἔνιοι τῶν παρ' αὐτοῖς, ὥστ' οὐδὲ ταῖς ἀρχαίαις αὐτῶν ἀναγραφαῖς ὤκνησαν τἀναντία λέγειν. ἀλλὰ καὶ σφίσιν αὐτοῖς ἐναντία γράφοντες, ὑπὸ τυφλότητος τοῦ πάθους ἠγνόησαν. ἐφ' ἑνὸς δὲ πρώτου στήσω τὸν λόγον, ᾧ καὶ μάρτυρι

A Theophilus etiam, & Theodotus, & Mnaseas, & Ariphanes, & Hermogenes, & Euemerus & Conon, & Zopyrion, & multi fortasse alij (non enim ego omnibus libris incubui) non obiter nostri fecêre mentionem. Plurimi namque prædictorum virorum, veritate quidem antiquarum rerum frustrati sunt, quia lectioni sacræ nostrorum non incubuêre librorum: communiter tamen de Antiquitate testati sunt, pro qua nunc dicere B proposui. Phalereus sanè Demetrius, & senior Philon, & Eupolemus, non multum veritate frustrati sunt. quibus dari veniam dignum est. Non enim inerat eis, vt nostras literas possent omni scrupulositate sequi. His ita dictis, vnum adhuc mihi capitulum est relictum ex his quæ in principio libri posui, quatenus derogationes & maledicta, quibus vtuntur quidam contra genus nostrum, falsas ostendam: & conscriptoribus eorum testibus v- C tar, quando conscribentes hæc contra semetipsos locuti sunt talia. Quòd verò multis aliis hoc euenit propter quorundam odia, arbitror intelligere eos qui in historiis versari solent. Quidam enim gentium, & gloriosissimarum ciuitatum fœdare nobilitatem, & conuersationi detrahere tentauêre: Theopompus quidem Atheniensium, Lacedæmoniorum verò Polycrates. Is autem qui Tripoliticum cóscri- D psit (non enim Theopompus hoc fecit, sicuti quidam putant) etiam Thebæorum momordit vrbem. Multa verò etiam Timæus in historiis de prædictis, & de aliis blasphemauit. Et hoc præcipuè faciũt, quando gloriosissimos in aliqua parte calumniantur: quidam propter inuidiam atq; maleuolentiam, alij verò propter verbosam nouitatem memoria se dignos iudicantes. & apud stultos quidem nequaquam hac spe fraudantur, qui non sanum noscuntur habere iudicium, sani verò auditores eorum E malignitatem condemnabunt. Blasphemiarum igitur in nos sæpe congestarum huiusmodi causa est. Volentes Ægyptiis gratificari quidam, veritatem corrumpere tentauêre. Et neque aduentum in Ægyptum nostrorum progenitorum, sicut contigit, sunt confessi: nec rursus egressum cum veritate dixêre: multásque causas odij ac inuidiæ pariter habuêre. Principio quidem, quia in eorum regione nostri progenitores potentes effecti sunt: vnde F regressi ad propria denuo fuêre felices. Deinde sacrorum diuersitas, multas inter eos fecit inimicitias: in tantum præstantiore nostra pietate quàm sollennitates illorum, quantum Dei natura animalibus irrationalibus sine dubitatione præstat. Communis namq; apud illos ritus est, eiuscemodi bruta arbitrari Deos: singillatim autem alij alia colunt, vani ac fatui omnino homines, & ab initio vti his malis opinionibus consueti: & propterea nequaquam imi- G tari nostrã honestatẽ de diuina ratione potuêre. Videntésq; multos nostram zelari conuersationem, inuidiam habuêre, & ad tantam fatuitatem ac pusillanimitatem quidam perducti sunt, vt non pigeret eos etiam contra antiquas suorum scriptiones aliqua dicere. Qui cùm hoc faciant, sibimetipsis aduersa conscribere passione cæcitatis ignorauêre. In vno tamẽ & maximo viro verbũ meũ comprobabo, quo vsus sũ

ante paululum nostræ Antiquitatis teste. Manethon itaque, qui Ægyptiacam historiam ex literis sacris se interpretaturum pollicitus est, præfatus nostros progenitores cum multis millibus in Ægyptum aduenisse, & illic incolas subiugasse: deinde ipse confessus, est, quia posteriori tempore amittentes eam prouinciam, quæ nunc Iudæa vocatur, obtinuissent: & ædificantes Hierosolymam, construxissent templum. Et hactenus conscriptiones secutus est antiquorum. Deinde vsurpans sibimet licentiam, professúsque se scribere ea quæ in fabulis vulgaribus feruntur, incredibilia verba de Iudæis inseruit, volens permiscere nobis plebem Ægyptiorum leprosorum, aliorú nque languentium. quod sicut ait, abominatione ex Ægypto fuga dilapsi sunt. Amenophin enim regem adiecit, quod est falsum nomen. Et propterea tempus regi eius nequaquam diffinire præsumpsit, cùm aliorum regum omnes annos perfectè protulerit. Hinc itaque quasdam annectit fabulas, penè oblitus, quod egressum pastorum ad Hierosolyma ante quingentos decem & octo annos factum esse protulerat. Themusus enim erat rex, quando egressi sunt. Et ab hoc tempore, regum qui postea fuere, anni sunt trecenti nonaginta tres, vsque ad fratres nomine Sethonem, & Hermæum: quorum Sethonem quidem Ægyptum, Hermæum verò Danaum denominatum dicit: quem expellens, inquit, Sethon regnauit annis quinquaginta & nouem: & post hunc senior è filiis Rampses annis sexagintasex. Ante tot igitur annos egressos ex Aegypto patres nostros confessus, deinde Amenophin adiiciens regem, hunc ait & deorum fuisse contemplatorem, sicut Orum quendam priorum regum: & impleße desiderium eius sacerdotem Amenophin natum ex patre Papio: qui videbatur quasi diuina participare natura, secundùm sapientiam præscientiámque futurorum. Et dixisse regi hunc cognominem, quòd posset videre Deos, si prouinciam à leprosis & aliis maculatis hominibus purgare contenderet. In quo lætum regé, omnes dicit corpore debiles ex Ægypto congregasse, & fecisse multitudinem numero octoginta millia. Eósque ad sectiones lapidum in partem Nili Orientalem misisse: simul & alios Ægyptios, quibus hoc erat iniunctum. Fuisse autem quosdam inter eos etiam eruditorum sacerdotum lepra perfusos ait. Amenophin verò illum sapientem diuinúmq; virum refert timuisse & erga semetipsum & erga regem deorum indignationem, qui aperte suaserat eis vim geri: & dixisse, quoniam auxiliarentur quidam maculatis hominibus, & Ægyptum obtinerent tredecim annis. Et hæc eum non quidem præsumpsisse regi dicere, sed de his hominibus conscriptum reliquisse librum ac sibi mortem consciuisse. & propterea regem in anxietatem maximam peruenisse. Deinde ad verbum hæc refert. Itaque rogatus rex, vt ad requiem & tutamen eorum secerneret ciuitatem, desertam vrbem, quæ fuerat pastorum, nomine Auatim, præbuit eis. Est auté hæc ciuitas secundum theologiam antiquam, Typhonis. Porrò illi in hanc ingressi, & locú

A μικρὸν ἔμπροσθεν τῆς ἀρχαιότητος ἐχρησάμην. ὁ γὰρ μανεθὼν οὗτος, ὁ τὴν αἰγυπτιακὴν ἱστορίαν ἐκ τῶν ἱερῶν γραμμάτων μεθερμηνεύειν ὑπεσχημένος, προειπὼν τοὺς ἡμετέρους προγόνους πολλαῖς μυριάσιν ἐπὶ τὴν αἴγυπτον ἐλθόντας κρατῆσαι τῶν ἐνοικούντων, εἶτ᾽ αὐτὸς ὁμολογῶν χρόνῳ πάλιν ὕστερον ἐκπεσόντας τὴν ἰουδαίαν κατασχεῖν, καὶ κτίσαντας ἱεροσόλυμα τὸν νέω κατασκευάσασθαι. μέχρι μὲν τούτων ἠκολούθησε ταῖς ἀναγραφαῖς. B ἔπειτα δὲ δοὺς ἐξουσίαν αὑτῷ, διὰ τοῦ φάναι γράψειν τὰ μυθευόμενα καὶ λεγόμενα περὶ τῶν ἰουδαίων, λόγους ἀπιθάνους παρέβαλεν, ἀναμίξαι βουλόμενος ἡμῖν αἰγυπτίων πλῆθος λεπρῶν, καὶ ἐπὶ ἄλλοις ἀρρωστήμασιν, ὥς φησι, φυγεῖν ἐκ τῆς αἰγύπτου καταγνωσθέντων. ἀμένωφιν γὰρ βασιλέα προσθεὶς ψευδὲς ὄνομα, καὶ διὰ τοῦτο χρόνον αὐτοῦ τῆς βασιλείας ὁρίσαι μὴ τολμήσας, καίτοι γε ἐπὶ τῶν ἄλλων βασιλέων C ἀκριβῶς τὰ ἔτη προστιθεὶς, τούτῳ προσάπτει τινὰς μυθολογίας, ἐπιλαθόμενος σχεδὸν ὅτι πεντακοσίοις ἔτεσι καὶ δεκαοκτὼ, πρότερον ἱστόρηκε γενέσθαι τὴν τῶν ποιμένων ἔξοδον εἰς ἱεροσόλυμα. τέθμωσις γὰρ ἦν βασιλεὺς ὅτε ἐξῄεσαν. ἀπὸ δὲ τούτου μεταξὺ τῶν βασιλέων κατ᾽ αὐτόν ἐστι τριακόσια ἐνενηκοντατρία ἔτη, μέχρι τῶν δύο ἀδελφῶν σέθω καὶ ἑρμαίου. ὧν τὸν μὲν σέθων αἴγυπτον, τὸν δὲ ἕρμαιον δαναὸν μετονο- D μασθῆναί φησιν. ὃν ἐκβαλὼν ὁ σέθως ἐβασίλευσεν ἔτη νθ΄. καὶ μετ᾽ αὐτὸν ὁ πρεσβύτερος τῶν υἱῶν αὐτοῦ ῥάμψης ξς΄. τοσούτοις οὖν πρότερον ἔτεσιν ἀπελθεῖν ἐξ αἰγύπτου τοὺς πατέρας ἡμῶν ὡμολογηκὼς, εἶτα τὸν ἀμένωφιν εἰσποιήσας ἐμβόλιμον βασιλέα, φησὶ τοῦτον ἐπιθυμῆσαι θεῶν γενέσθαι θεατὴν, ὥσπερ ὧρ εἷς τῶν πρὸ αὐτοῦ βεβασιλευκότων. ἀνενεγκεῖν δὲ τὴν ἐπιθυμίαν ὁμωνύμῳ μὲν αὐτῷ ἀμενώφει, πατρὸς δὲ παάπιος ὄντι· θείας δὲ δοκοῦντι μετε- E σχηκέναι φύσεως, κατά τε σοφίαν καὶ πρόγνωσιν τῶν ἐσομένων. εἰπεῖν οὖν αὐτῷ τοῦτον τὸν ὁμώνυμον, ὅτι δυνήσεται θεοὺς ἰδεῖν, εἰ καθαρὰν ἀπό τε λεπρῶν καὶ τῶν μιαρῶν ἀνθρώπων τὴν χώραν ἅπασαν ποιήσειεν. ἡσθέντα δὲ τὸν βασιλέα, πάντας τοὺς τὰ σώματα λελωβημένους ἐκ τῆς αἰγύπτου συναγαγεῖν. γενέσθαι δὲ τοῦ πλήθους μυριάδας ὀκτώ. καὶ τούτους εἰς τὰς λιθοτομίας ἐν τῷ πρὸς ἀνατολὴν μέρει τοῦ νείλου F ἐμβαλεῖν αὐτὸν, ὅπως ἐργάζοιντο, καὶ τῶν ἄλλων αἰγυπτίων οἱ ἐγκεχωρισμένοι. εἶναι δέ τινας ἐν αὐτοῖς καὶ τῶν λογίων ἱερέων φησὶ, λέπρᾳ συγκεχυμένους. τὸν δὲ ἀμένωφιν ἐκεῖνον τὸν σοφὸν καὶ μαντικὸν ἄνδρα ὑποδεῖσαι πρὸς αὐτόν τε καὶ τὸν βασιλέα χόλον τῶν θεῶν, εἰ βιασθέντες ὀφθήσονται, καὶ προσθέμενον εἰπεῖν, ὅτι συμμαχήσουσί τινες τοῖς μιαροῖς, καὶ τῆς αἰγύπτου κρατήσουσιν ἐπ᾽ ἔτη δεκατρία· μὴ τολμῆσαι μὲν αὐτὸν εἰπεῖν ταῦτα τῷ βασιλεῖ, γρα- G φὴν δὲ καταλιπόντα περὶ πάντων ἑαυτὸν ἀνελεῖν. ἐν ἀθυμίᾳ δὲ εἶναι τὸν βασιλέα. κἄπειτα κατὰ λέξιν οὕτως γέγραφεν. τῶν δὲ ἐν ταῖς λατομίαις ὡς χρόνος ἱκανὸς διῆλθε ταλαιπωρούντων, ἀξιωθεὶς ὁ βασιλεὺς, ἵνα πρὸς κατάλυσιν αὐτοῖς καὶ σκέπην ἀπομερίσῃ, τὴν τότε τῶν ποιμένων ἐρημωθεῖσαν ἄβαριν συνεχώρησεν. ἔστι δ᾽ ἡ πόλις κατὰ τὴν θεολογίαν ἄνωθεν τυφώνιος. οἱ δ᾽ εἰς ταύτην εἰσελθόντες, καὶ τὸν τόπον

τούτων εἰς ἀπόστασιν ἔχοντες, ἡγεμόνα αὐτῶν λεγόμενόν τινα τῶν ἡλιοπολιτῶν ἱερέων ὀσάρσυφον ἐστήσαντο. καὶ τούτῳ πειθαρχήσοντες ἐν πᾶσιν ὡρκωμότησαν. ὁ δὲ πρῶτον μὲν αὐτοῖς νόμον ἔθετο, μήτε τῶν μάλιστα ἐν αἰγύπτῳ θεμιστευομένων ἱερῶν ζώων ἀπέχεσθαι μηδενός, πάντα δὲ θύειν καὶ ἀναλοῦν. συνάπτεσθαι δὲ μηδενὶ, πλὴν τῶν συνωμοσμένων. τοιαῦτα δὲ νομοθετήσας, καὶ πλεῖστα ἄλλα, μάλιστα τοῖς αἰγυπτίοις ἐθισμένοις ἐναντιούμενα, ἐκέλευσε πολυχειρίᾳ τὰ τῆς πόλεως ἐπισκευάζειν τείχη, καὶ πρὸς πόλεμον ἑτοίμους γίνεσθαι τὸν πρὸς ἀμένωφιν τὸν βασιλέα. αὐτὸς δὲ προσλαβόμενος μεθ᾽ ἑαυτοῦ καὶ τῶν ἄλλων ἱερέων καὶ συμμεμιασμένων, ἔπεμψε πρέσβεις πρὸς τοὺς ὑπὸ τεθμώσεως ἀπελθόντας ποιμένας, εἰς πόλιν τὴν καλουμένην ἱεροσόλυμα. καὶ τὰ καθ᾽ ἑαυτὸν καὶ τοὺς ἄλλους τοὺς συνατιμασθέντας δηλώσας, ἠξίου συνεπιστρατεύειν ὁμοθυμαδὸν ἐπ᾽ αἴγυπτον. ἐπάξειν μὲν οὖν αὐτοὺς ἐπηγγείλατο· πρῶτον μὲν εἰς αὔαριν τὴν προγονικὴν αὐτῶν πατρίδα, καὶ τὰ ἐπιτήδεια τοῖς ὄχλοις παρέξειν ἀφθόνως. ὑπερμαχήσεσθαι δὲ ὅτε δέοι, καὶ ῥᾳδίως ὑποχείριον αὐτοῖς τὴν χώραν ποιήσειν. οἱ δὲ ὑπερχαρεῖς γενόμενοι πάντες, προθύμως εἰς εἴκοσι μυριάδας ἀνδρῶν συνεξώρμησαν, καὶ μετ᾽ οὐ πολὺ ἧκον εἰς αὔαριν. ἀμένωφις δ᾽ ὁ τῶν αἰγυπτίων βασιλεὺς, ὡς ἐπύθετο τὰ κατὰ τὴν ἐκείνων ἔφοδον, οὐ μετρίως συνεχύθη, τῆς παρ᾽ ἀμενώφεως τοῦ παάπιος μνησθεὶς προδηλώσεως, καὶ πρότερον συναγαγὼν πλῆθος αἰγυπτίων, καὶ βουλευσάμενος μετὰ τῶν ἐν τούτοις ἡγεμόνων, τά τε ἱερὰ ζῷα, τὰ πρῶτα μάλιστα ἐν τοῖς ἱεροῖς τιμώμενα ὡς γ᾽ ἑαυτὸν μετεπέμψατο, καὶ τοῖς κατὰ μέρος ἱερεῦσι παρήγγελλεν, ὡς ἀσφαλέστατα τῶν θεῶν συγκρύψαι τὰ ξόανα. τὸν δὲ υἱὸν σέθων τὸν καὶ ῥαμέσσην ἀπὸ ῥαψηοῦς τοῦ πατρὸς ὠνομασμένον, πενταέτη ὄντα, ἐξέθετο πρὸς τὸν ἑαυτοῦ φίλον. αὐτὸς δὲ διαβὰς σὺν τοῖς ἄλλοις αἰγυπτίοις οὖσιν εἰς τριάκοντα μυριάδας ἀνδρῶν μαχιμωτάτων, καὶ τοῖς πολεμίοις ἀπαντήσασιν οὐ συνέβαλεν. ἀλλὰ μέλλειν θεομαχεῖν νομίσας, παλινδρομήσας ἧκεν εἰς μέμφιν, ἀναλαβών τε τόν τε ἆπιν, καὶ τὰ ἄλλα τὰ ἐκεῖσε μεταπεμφθέντα ἱερὰ ζῷα, εὐθὺς εἰς αἰθιοπίαν σὺν ἅπαντι τῷ στόλῳ καὶ πλήθει τῶν αἰγυπτίων ἀνήχθη. χάριτι γὰρ ἦν αὐτῷ ὑποχείριος ὁ τῶν αἰθιόπων βασιλεύς. ὅθεν ὑποδεξάμενος, καὶ τοὺς ὄχλους πάντας ὑπολαβὼν οἷς ἔσχεν ἡ χώρα τῶν πρὸς ἀνθρωπίνην τροφὴν ἐπιτηδείων, καὶ πόλεις καὶ κώμας πρὸς τὴν τῶν πεπρωμένων τρισκαίδεκα ἐτῶν ἀπὸ τῆς ἀρχῆς αὐτοῦ ἔκπτωσιν αὐτάρκεις, οὐχ ἧττόν γε καὶ στρατόπεδον αἰθιοπικὸν πρὸς φυλακὴν ἐπέταξε τοῖς παρ᾽ ἀμενώφεως τοῦ βασιλέως ἐπὶ τῶν ὁρίων τῆς αἰγύπτου. καὶ τὰ μὲν κατὰ τὴν αἰθιοπίαν τοιαῦτα. οἱ δὲ σολυμῖται κατελθόντες σὺν τοῖς μιαροῖς τῶν αἰγυπτίων, οὕτως ἀνοσίως τοῖς ἀνθρώποις προσηνέχθησαν, ὥστε τὴν τῶν προειρημένων κράτησιν χρυσὸν φαίνεσθαι, τοῖς τότε τὰ τούτων ἀσεβήματα θεωμένοις. καὶ γὰρ οὐ μόνον πόλεις καὶ κώμας ἐνέπρησαν, οὐδὲ ἱεροσυλοῦντες οὐδὲ λυμαινόμενοι ξόανα θεῶν ἠρκοῦντο, ἀλλὰ καὶ τοῖς αὐτοῖς ὀπτανίοις τῶν σεβαστευομένων ἱερῶν ζώων χρώμενοι διετέλουν, καὶ θύτας καὶ σφαγεῖς τούτων ἱερεῖς καὶ προφήτας ἠνάγκαζον γίνεσθαι, καὶ γυμνοὺς ἐξέβαλον. λέγεται δ᾽ ὅτι ὁ τὴν πολιτείαν καὶ τοὺς νόμους αὐτοῖς καταβαλόμενος ἱερεὺς, τὸ γένος ἡλιοπολίτης, ὀνο-

A hunc ad rebellandum optimum, ducem sibimet quendam Heliopolitanorum Pontificum Osarsiphum constituêre, & huic se obedire in omnibus iurauerunt. at ille primùm quidem eis legem posuit, vt neque deos adorarent, neque ab animalibus, quæ præcipuè sacra apud Ægyptios erant, se penitus abstinerent: nullíque copularentur nisi cum quibus fœdus habere videbantur. Hæc autem sentiens, & alia plura, maximè Ægyptiorum B consuetudinibus inimica, præcepit multo opere muros ædificari ciuitatis: & ad bella præparari contra Amenophin regem. Ipse verò assumens secum etiam alios sacerdotes, & maculatorum quosdam misit legatos ad pastores: qui videbâtur à Themuse rege depulsi ad Hierosolymorum vrbem, causas suas & aliorum qui simul fuerant exonerati significans, & poscens vt pariter contra Ægyptum castrametarentur. promisitque eos fore venturos, pri- C mùm quidem in Auarim progenitorum suorum prouinciam, & necessaria populis abundantiùs exhibenda: pugnaturos autem opportuno tempore, & prouinciam facillimè subdituros. Illi verò lætitia cumulati, omnes alacriter vsque ad ducenta millia virorum pariter sunt egressi: & non post multum ad Auarim vsque venêre. Amenophis autem Ægyptiorum rex, dum illorum audisset inuasionem. non mediocriter perculsus est, dum D recordaretur, quod ei prædixerat Amenophis Papij. Et primùm quidem congregans Ægyptiacam plebem, facto consilio cum principibus eorum animalia sacra, & quæ præcipuè à sacerdotibus honorabantur, antè præmisit: & sacerdotibns particulariter iussit vt simulacra eorum cautè celarent. Filium verò Sethonem, qui etiam Ramesses à Rampse patris nomine vocabatur, cùm quinque esset annorum, apud suum commendauit amicum. I- E pse verò transiens cũ aliis Ægyptiis, vsque ad trecẽta millia virorũ, bellatoribus viris occurrens, congressus non est. Putans enim semetipsum contra Deum pugnare, retrorsum reuersus venit ad Memphim: & sumẽs Apim & alia sacra, mox in Æthiopiam cum vniuersis nauibus & multitudine venit Ægyptiorũ. Per gratiam namque erat ei subiectus Æthiopum rex: propter quod suscipiens etiam populum vniuersum, præbuit alimenta hominibus necessa- F ria, quæ prouincia ministrabat, & ciuitates ac vicos, qui ad fatale illud tredecim annorũ exilium sufficerent. Et in Æthiopia quidẽ hæc gesta sunt. Solymitæ verò descendentes cum viris pollutis Ægyptiorum, sic pessimè hominibus vsi sunt, vt eorum victoria esset pessima his, qui tunc eorum impietates inspiciebant: non solũ etenim ciuitates & vicos concremauêre, sacrilegia facientes, & deorum idola de- G uastantes, sed etiã ipsa sacra animalia quæ colebantur crudelissimè discerpserũt, peremptores & occisores horũ sacerdotes atq; prophetas esse cogentes, quos etiam expellebant nudos. Dicitur itaq; quòd politiã & leges eis cõposuit sacerdos quidam, genere Heliopolites,

nomine Osarsiphus vocatus ex nomine Osireos Heliopolitani dei: qui dum conuersus fuisset ad hoc genus, mutauit nomen & vocatus est Moses. Quæ igitur Ægyptij de Iudæis ferunt, hæc sunt. Sed & multa breuitatis causa prætereo. Dicit autem rursus Manethon, quia postea Amenophis, ex Æthiopia digressus est cum magna virtute: simul & filius eius Rampses, & ipse habens magnum exercitum. Et congressi contra pastores atque pollutos, vicerunt eos:& multis cæsis persecuti sunt eos vsque ad Syriæ fines. Hæc equidem & huiusmodi Manethon conscripsit. Quia verò anilia loquitur deliramenta, atque mentitur,aperta ratione monstrabo: illud primò distinguens,quod postea referendum est.Is enim concessit nobis,atque professus est,quod ab initio non fuerint Ægyptij genere, sed extrinsecus illuc aduenissent, & Ægyptum obtinuisset,& ex ea rursus egressi sint nostri progenitores.quòd verò nobis postea permixti nō sunt Ægyptij corpore debilitati: & quod ex his non fuit Moses, qui populum eduxit ex Ægypto, sed ante multas generationes extitit, per ea quæ ipse dixit, conabor ostendere. Primam itaque causam posuit figmenti ridiculam. Rex enim, inquit, Amenophis concupiuit videre deos. quos putas? siquidem qui apud eos solennes erant,Bouē, & Hircum, & Crocodilos,& Cynocephalos, videbat. cœlestes autem quomodo poterat?& cur hoc habuit desiderium?quia vtique & prior rex alter hos viderat? Ab illo ergo audiēs, quales essent, & quemadmodū eos vidisset, noua nequaquā egebat arte. sed fortè sapiens erat ille vates,per quem hæc rex posse agere confidebat. quod si ita fuisset, quomodo impossibilium concupiscentiam non præsciuit? non enim euenit quod voluit. Proinde quam rationem habere potuit, vt propter mutilos aut leprosos ei inuisibiles essent? Irascūtur enim propter impietates, non propter corporum vitia. Deinde tam multa millia leprosorum & malè habentium, vna penè hora quomodo fuit possibile congregari? aut quomodo rex nō obediuit vati?Ille namque præcepit debiles Ægyptios exilio deportari, hic autem eos ad sectiones lapidum destinauit, tanquam operariis indigens,& non purgare prouinciam volens. Ait autem quod vates semetipsum peremit,prçuidens deorum iram, & quæ erant in Ægypto futura, & conscriptum librum regi reliquit. Proinde quomodo ab initio vates etiam suum interitū non præsciuit? quomodo non repente regi cōtradixit volenti videre deos?aut qua ratione timebat, iā non sui tēporis calamitates? aut quidnam grauius imminebat, quod morte præueniret? Quod verò inter omnia stultius est,videamus: Audiens enim hæc,inquit, & de futuris iam metuens: debiles illos quibus Ægyptum purgare debuerat, neque tunc de prouincia pepulit: sed rogantibus eis, sicut ait,ciuitatem dedit dudum à pastoribus habitatam: quæ vocabatur Auaris. Ad quam congregati, principem, inquit, delegêre ex sacerdotibus Heliopolitanis: qui eis legem posuit, vt neque deos adorarent, neque ab Ægyptiacæ festiuitatis animalibus abstinerent, sed omnia

μα ὀσαρσὶφ, ἀπὸ τοῦ ἐν ἡλίου πόλει θεοῦ ὀσίρεως, ὡς μετέβη εἰς τοῦτο τὸ γένος, μετετέθη τοὔνομα καὶ προσηγορεύθη μωϋσῆς. ἃ μὲν οὖν αἰγύπτιοι φέρουσι περὶ τῶν ἰουδαίων, ταῦτ' ἐστὶ καὶ ἕτερα πλείονα, ἃ παρίημι συντομίας ἕνεκα. λέγει δὲ ὁ μανεθὼν πάλιν, ὅτι μετὰ ταῦτα ἐπῆλθεν ὁ ἀμένωφις ἀπὸ αἰθιοπίας μετὰ μεγάλης δυνάμεως, καὶ ὁ υἱὸς αὐτοῦ ῥάμψης καὶ αὐτὸς ἔχων δύναμιν. καὶ συμβαλόντες οἱ δύο τοῖς μιαροῖς, ἐνίκησαν αὐτούς. καὶ πολλοὺς ἀποκτείναντες ἐδίωξαν αὐτοὺς ἄχρι τῶν ὁρίων τῆς συρίας. ταῦτα μὲν καὶ τὰ τοιαῦτα μανεθὼν συνέγραψεν. ὅτι δὲ ληρεῖ καὶ ψεύδεται περιφανῶς ἐπιδείξω, προδιαστειλάμενος ἐκεῖνο τὴν ὕστερον πρὸς αὐτὸν λεχθησομένων ἕνεκα. δέδωκε γὰρ οὗτος ἡμῖν καὶ ὡμολόγηκεν ἐξ ἀρχῆς τὸ μὴ εἶναι τὸ γένος αἰγύπτιοι, ἀλλ' αὐτοὺς ἔξωθεν ἐπελθόντας κρατῆσαι τῆς αἰγύπτου, καὶ πάλιν ἐξ αὐτῆς ἀπελθεῖν. ὅτι δ' οὐκ ἀνεμίχθησαν ἡμῖν ὕστερον τῶν αἰγυπτίων οἱ τὰ σώματα λελωβημένοι, καὶ ὅτι ἐκ τούτων οὐκ ἦν μωϋσῆς ὁ τὸν λαὸν ἀγαγών, ἀλλὰ πολλαῖς ἐγεγόνει γενεαῖς πρότερον, ταῦτα πειράσομαι διὰ τῶν ὑπ' αὐτοῦ λεγομένων ἐλέγχειν. πρώτην δὲ τὴν αἰτίαν τοῦ πλάσματος ὑποτίθεται καταγέλαστον. ὁ βασιλεὺς γάρ φησιν ἀμένωφις ἐπεθύμησε τοὺς θεοὺς ἰδεῖν. ποίους; εἰ μὲν τοὺς παρ' αὐτοῖς νενομοθετημένους, τὸν βοῦν καὶ τράγον καὶ κροκοδείλους καὶ κυνοκεφάλους, ἑώρα. τοὺς οὐρανίους δὲ πῶς ἠδύνατο; καὶ διὰ τί ταύτην ἔσχε τὴν ἐπιθυμίαν; ὅτι νὴ Δία καὶ πρότερος αὐτοῦ βασιλεὺς ἄλλος ἑωράκει. παρ' ἐκείνου τοίνυν ἐπέπυστο ποταποί τινές εἰσι, καὶ τίνα τρόπον αὐτοὺς εἶδεν. ὥς τε καινῆς αὐτῷ τέχνης οὐκ ἔδει. ἀλλὰ σοφὸς ἦν ὁ μάντις, δι' οὗ τοῦτο κατορθώσειν ὁ βασιλεὺς ὑπελάμβανε. καὶ πῶς οὐ προέγνω τὸ ἀδύνατον αὐτοῦ τῆς ἐπιθυμίας; οὐ γὰρ ἀπέβη. τίνα δὲ καὶ λόγον εἶχε διὰ τοὺς ἠκρωτηριασμένους ἢ λεπρῶντας ἀφανεῖς εἶναι τοὺς θεούς; ὀργίζονται γὰρ ἐπὶ τοῖς ἀσεβήμασιν, οὐκ ἐπὶ τοῖς ἐλαττώμασι τῶν σωμάτων. ὀκτὼ δὲ μυριάδας τῶν λεπρῶν καὶ κακῶς διακειμένων, πῶς οἷόν τε μιᾷ σχεδὸν ἡμέρᾳ συλλεγῆναι; πῶς δὲ παρήκουσε τοῦ μάντεως ὁ βασιλεύς; ὁ μὲν γὰρ αὐτὸν ἐκέλευσεν ἐξορίσαι τῆς αἰγύπτου τοὺς λελωβημένους, ὁ δ' αὐτοὺς εἰς τὰς λιθοτομίας ἐνέβαλεν, ὥσπερ τῶν ἐργασομένων δεόμενος, ἀλλ' οὐχὶ καθᾶραι τὴν χώραν προαιρούμενος. φησὶ δὲ τὸν μὲν μάντιν αὑτὸν ἀνελεῖν, τὴν ὀργὴν τῶν θεῶν προορώμενον, καὶ τὰ συμβησόμενα περὶ τὴν αἴγυπτον, τῷ δὲ βασιλεῖ γεγραμμένην τὴν πρόρρησιν καταλιπεῖν. εἶτα πῶς οὐκ ἐξ ἀρχῆς ὁ μάντις τὸν αὑτοῦ θάνατον προηπίστατο; πῶς δὲ οὐκ εὐθὺς ἀντεῖπε τῷ βασιλεῖ βουλομένῳ τοὺς θεοὺς ἰδεῖν; πῶς δ' εὔλογος ὁ φόβος τῶν μὴ παρ' αὐτὸν συμβησομένων κακῶν; ἢ τί χεῖρον ἔδει παθεῖν, οὗ δ' αὖ ἑαυτὸν ἔσπευδεν; τὸ δὲ δὴ πάντων εὐηθέστατον ἴδωμεν. πυθόμενος γὰρ ταῦτα, καὶ περὶ τῶν μελλόντων φοβηθεὶς τοὺς λελωβημένους ἐκείνους, ὧν αὐτῷ καθαρεῦσαι προείρητο τὴν αἴγυπτον, οὐδὲ τότε τῆς χώρας ἐξήλασεν. ἀλλὰ δεηθεῖσιν αὐτοῖς ἔδωκε πόλιν, ὥς φησι, τὴν πάλαι μὲν οἰκηθεῖσαν ὑπὸ τῶν ποιμένων, αὔαριν δὲ καλουμένην. εἰς ἣν ἀθροισθέντας αὐτοὺς ἡγεμόνα φησὶν ἐξελέσθαι τῶν ἐξ ἡλιουπόλεως πάλαι γενομένων ἱερέων. καὶ τοῦτον αὐτοῖς εἰσηγήσασθαι, μήτε θεοὺς προσκυνεῖν, μήτε τῶν ἐπ' αἰγύπτῳ θρησκευομένων ζώων ἀπέχεσθαι, πάντα δὲ

θύειν καὶ κατεσθίειν. συνάπτεσθαι δὲ μηδενὶ πλὴν τῶν συνωμοσμένων. ὅρκοις τε τὸ πλῆθος ἐνδησάμενον, ἦ μὴν τούτοις ἐμμενεῖν τοῖς νόμοις, καὶ τειχίσαντα τὴν ἄβαριν πρὸς τὸν βασιλέα πόλεμον ἐξενεγκεῖν. καὶ προστίθησιν ὅτι ἔπεμψεν εἰς ἱεροσόλυμα, παρακαλῶν ἐκείνους αὐτοῖς συμμαχεῖν, καὶ δώσειν αὐτοῖς τὴν ἄβαριν ὑπισχνούμενος. εἶναι γὰρ αὐτὴν τοῖς ἐκ τῶν ἱεροσολύμων ἀφιξομένοις προγονικήν· ἀφ᾽ ἧς ὁρμωμένους αὐτοὺς πᾶσαν τὴν αἴγυπτον καθέξειν. εἶτα τοὺς μὲν ἐπελθεῖν εἴκοσι στρατοῦ μυριάσι λέγει. τὸν δὲ βασιλέα τῶν αἰγυπτίων ἀμένωφιν, οὐκ οἰόμενον δεῖν θεομαχεῖν, εἰς τὴν αἰθιοπίαν εὐθὺς ἀποδρᾶναι. τὸν δὲ ἄπιν καί τινα τῶν ἄλλων ἱερῶν ζώων παρατεθεικέναι τοῖς ἱερεῦσι, διαφυλάττεσθαι κελεύσαντα. εἶτα τοὺς ἱεροσολυμίτας ἐπελθόντας, τάς τε πόλεις ἀνιστάναι, καὶ τὰ ἱερὰ κατακαίειν, καὶ τοὺς ἱππέας ἀποσφάττειν, ὅλως τε μηδεμιᾶς ἀπέχεσθαι παρανομίας μηδὲ ὠμότητος. ὁ δὲ τὴν πολιτείαν καὶ τοὺς νόμους αὐτοῖς καταβαλόμενος ἱερεύς φησιν, ἦν τὸ γένος ἡλιουπολίτης, ὄνομα δ᾽ ὀσαρσὶφ, ἀπὸ τοῦ ἐν ἡλιουπόλει θεοῦ ὀσίρεως· μεταθέμενος δὲ μωϋσῆν αὐτὸν προσηγόρευσεν. τρισκαιδεκάτῳ δέ φησιν ἔτει τὸν ἀμένωφιν, τοσοῦτον γὰρ αὐτῷ χρόνον εἶναι τῆς ἐκπτώσεως πεπρωμένον, ἐξ αἰθιοπίας ἐπελθόντα μετὰ πολλῆς στρατιᾶς, καὶ συμβαλόντα τοῖς ποιμέσι καὶ τοῖς μιαροῖς, νικῆσαί τε τῇ μάχῃ, καὶ κτεῖναι πολλοὺς ἐπιδιώξαντα μέχρι τῶν τῆς συρίας ὅρων. ἐν τούτοις πάλιν οὐ συνίησιν ἀπιθάνως ψευδόμενος. οἱ γὰρ λεπροὶ καὶ τὸ μετ᾽ αὐτῶν πλῆθος εἰ καὶ πρότερον ὠργίζοντο τῷ βασιλεῖ, καὶ τοῖς τὰ περὶ αὐτοὺς πεποιηκόσι, κατά τε τὴν τοῦ μάντεως προαγόρευσιν, ἀλλ᾽ ὅτε τῶν λιθοτομιῶν ἐξῆλθον, καὶ πόλιν παρ᾽ αὐτοῦ καὶ χώραν ἔλαβον, πάντως ἂν ἐγεγόνεισαν πρᾳότεροι πρὸς αὐτόν. εἰ δὲ δὴ κἀκεῖνον ἐμίσουν, ἰδίᾳ μὲν ἂν αὐτῷ ἐπεβούλευον, οὐκ ἂν δὲ πρὸς ἅπαντας ἤραντο πόλεμον, δηλονότι πλείστας ἔχοντες συγγενείας, τοσοῦτοί γε τὸ πλῆθος ὄντες. ὅμως δὲ καὶ τοῖς ἀνθρώποις πολεμεῖν διεγνωκότες, οὐκ ἂν εἰς τοὺς αὐτῶν θεοὺς πολεμεῖν ἐτόλμησαν. οὐδ᾽ ὑπεναντιωτάτους ἔθεντο νόμους τοῖς πατρίοις αὐτῶν, καὶ οἷς ἐνετράφησαν. δεῖ δ᾽ ἡμᾶς τῷ μανεθῶνι χάριν ἔχειν, ὅτι ταύτης τῆς παρανομίας οὐχὶ τοὺς ἐξ ἱεροσολύμων ἐλθόντας ἀρχηγοὺς γενέσθαι φησίν, ἀλλ᾽ αὐτοὺς ἐκείνους ὄντας αἰγυπτίους, καὶ τούτων μάλιστα τοὺς ἱερέας ἐπινοῆσαί τε ταῦτα, καὶ ὁρκωμοτῆσαι τὸ πλῆθος. ἐκεῖνο μέντοι πῶς οὐκ ἄλογον, τῶν μὲν οἰκείων αὐτοῖς καὶ τῶν φίλων συναποστῆσαι οὐδένα, μηδὲ τοῦ πολέμου τὸν κίνδυνον συναράσθαι. πέμψαι δὲ τοὺς μιαροὺς εἰς ἱεροσόλυμα, καὶ τὴν παρ᾽ ἐκείνων ἐπάγεσθαι συμμαχίαν. ποίας αὐτοῖς φιλίας, ἢ τίνος αὐτοῖς οἰκειότητος προϋπηργμένης; τοὐναντίον γὰρ ἦσαν πολέμιοι, καὶ τοῖς ἤθεσι πλεῖστον διέφερον. ὁ δέ φησιν εὐθὺς ὑπακοῦσαι τοῖς ὑπισχνουμένοις, ὅτι τὴν αἴγυπτον καθέξουσιν, ὥσπερ αὐτῶν οὐ σφόδρα τῆς χώρας ἐμπείρως ἐχόντων, ἧς βιασθέντες ἐκπεπτώκασιν. εἰ μὲν οὖν ἄποροι ἢ κακῶς ἔπραττον, ἴσως ἂν καὶ παρεβάλλοντο. πόλιν δὲ κατοικοῦντες εὐδαίμονα, καὶ χώραν πολλὴν κρείττω τῆς αἰγύπτου καρπούμενοι, διὰ τί ποτ᾽ ἂν ἐχθροῖς μὲν πάλαι, τὰ δὲ σώματα λελωβημένοις, οὓς μηδὲ τῶν οἰκείων οὐδεὶς ὑπομένει

perimerent, atque consumerent; nullique penitus miscerentur, nisi cum quibus coniurati esse videbantur: & iureiurando multitudine obligata, quatenus in eis legibus perdurarent, Auarim ciuitatem munitam contra regem dicit eos bello sumpsisse. Adiecit autem, quia misit Hierosolymam rogans illos pro auxiliis exhibēdis,& daturum Auarim compromittēs, quæ foret ex Hierosolymis volentium exire maiorum: & ex qua procedentes omnē Ægyptum obtinerent. Deinde subiungit illos quidem venisse cum ducentis millibus armatorum. Regem verò Amenophin Ægyptiorum, cùm nollet repugnare Deo, mox ad Æthiopiam refugisse,& Apim cum aliis sacris animalibus deuexisse. Hierosolymitas verò inuasione facta,& ciuitates depopulatos,& templa concremasse, & equestres peremisse refert: & nulla iniquitate, aut crudelitate abstinuisse. Qui verò politiam & leges eis exhibuit, sacerdos, inquit, erat genere Heliopolites, nomine Orsasiphus, vocatus ab appellatione Oriseos Heliopolitani Dei: & mutato nomine dictus postea Moses: Tertiodecimo verò anno Amenophin, postquam regno pulsus est, ex Æthiopia profectum cum multis millibus dicit: & congressum contra pastores atque pollutos, habita conflictione, vicisse, & multos interficientem, vsque ad fines Syriæ persecutum. In his iterum non intellexit sine verisimilitudine se mētiri. Leprosi namque,& cum eis multitudo collecta debilium, licèt primitus irascerentur regi, circa se vtique talia facienti, secundùm præmonitionem vatis, tamē cùm à sectione lapidum sūt egressi, & prouinciam percepēre, omnes circa eum mitiores effecti credendi sunt. Porrò si adhuc & illum odio habebant, seorsum magis insidiari potuissent:& non omnibus bellum inferre, cùm scilicet plurimi existētes multorum illic cognationes haberent. Proinde etiam si contra homines pugnare decreuēre, nō tamen contra deos impietatem gerere præsumebant: nec contraria suis agere legibus, in quibus educati esse noscuntur. Oportet itaque nos Manethoni gratias agere quoniam huius iniquitatis principes dicit, non eos qui ex Hierosolyma sunt egressi, sed illos ipsos Ægyptios esse probat, & maximè sacerdotes, atque iurisiurandi vinculum illorum multitudine conuenisse. Illud autem quomodo non irrationabile est? Domesticorum quidem & amicorum nemo cum illis rebellauit, nec periculorum belli particeps factus est: sed misēre maculatos ad Hierosolymam, vt ab eis auxilia poscerent. quānam amicitia aut societate intercedente? hostes enim magis erant, & moribus plurimum differebant. At illi confestim, vt ait, vocantibus morem gesſēre, nempe inducti pollicitationibus, quòd Ægyptum occupaturi essent: quasi ipsi non admodum eius regionis gnari essent, ex qua per vim pulsi fuerant. qui si tum miseram aut egenam vitam egissent, meritò fortasse negocium aggressi essent. Cùm autem vrbem habitarent fortunatam, & agrum amplum meliorem Ægypto colerēt, quid tandem erat, cur ob veteres hostes, eósque corporib⁹ affectis, quales nemo domesticos ferat,

periculum adirent: neque enim futuram regis fugam præsciebant. nam vt ipse dixit, filius Amenuphis cum trecentis millibus ad Pellusium occurrebat. & hoc quidem omnino sciebant qui proficiscebantur: mutationem verò propositi & fugam vnde coniectare poterant? Deinde occupatis horreis Ægypti, multa mala fecisse ait Hierosolymitanum exercitum: atque hæc eis exprobrat: quasi non hostes eos induxisset, aut quasi hæc sint aliunde accito militi obiicienda, cùm eadem ante aduentum eorum fecissent, facturósque se iurassent ipsi Ægyptij. Quinetiam aliquanto pòst Amenuphis hostes aggressus prælio vicit: fusósque ac fugatos Syriam vsque persecutus est. adeò scilicet Ægyptus est omnibus vndecunque inuadentibus captu facilis: & qui tunc ea iure belli potiebantur, cùm scirent Amenuphin viuere, neque aditus ab Æthiopia communiuerant, multas ad hoc commoditates habentes, neque alioqui copias contraxerant. Ille verò vsque Syriam trucidans eos (vt ait) persecutus est per arenosa & inaquosa loca. Scilicet ea vel quieto exercitu transire expeditum est. Igitur autore Manethone neque ex Ægypto genus nostrum oriundum est, neque illinc aliqui admixti sunt. Leprosorum enim & morbidorum multos in lapidicinis periisse verisimile est, multos in præliis, plurimos verò postremò & in fuga. Superest vt de Moyse illi contradicam. Hunc virum mirandum Ægyptij & diuinum existimant, sed non sine blasphemia incredibili sibi vindicare conantur: dicentes Heliopoliten esse vnum sacerdotum, ob lepram cum aliis pulsum. Ostenditur autem in ratione temporum, DXVIII. annis prior fuisse, & patres nostros ex Ægypto in regionem quam nũc tenemus eduxisse. Quòd verò eiusmodi calamitatis corpus expers habuit, ipsius dicta indicant. Leprosis enim & oppidis & vicis interdixit, vt seorsim in lacero vestitu agant: & eum qui eos attigisset, aut sub idem tectum successisset, pro impuro habet. Quinetiam si eo morbo liberari, & in pristinum restitui contingat, præscripsit certas purificationes, mundationes, & fontanarum aquarum lauacra, & omnium pilorum abrasiones: multísque & variis sacrificiis peractis, tum demum sanctam vrbem adeundam. Atqui contrà par erat qui talem calamitatem expertus esset prouidentiam aliquam ac humanitatem exhibere simili infortunio pressis. Non solùm autem de leprosis sic leges tulit, sed ne minima quidem corporis parte mutilatos ad sacrorum curam admisit. Sed etiam si iam sacerdoti aliquid tale accidisset, honore eum priuauit. Quomodo igitur verisimile est illum has aduersus semetipsum cum opprobrio suo damnóque tulisse leges? Quin & nomen valde incredibiliter mutauit. Otarsiph enim (inquit) vocabatur. Hoc ad transmutationem nihil quadrat. Verum autem nomen significat ex aqua seruatum Moysen. Nam aquam Ægiptij Moy vocant. Satis igitur

τούτοις ἔμελλον παρακινδυνεύειν βοηθήσαντες. οὐ γὰρ δή γε τὴν γενησομένην προῄδεισαν δρασμὸν τοῦ βασιλέως. τοὐναντίον γὰρ αὐτὸς εἴρηκεν, ὡς ὁ παῖς τοῦ Ἀμενώφιος τριάκοντα μυριάδας ἔχων, εἰς τὸ Πηλούσιον ὑπηντίαζεν. καὶ τοῦτο μὲν ᾔδεισαν πάντως οἱ παραγινόμενοι· τὴν δὲ μετάνοιαν αὐτοῦ καὶ τὴν φυγὴν πόθεν εἰκάζειν ἔμελλον; τὰ σιτία κρατήσαντας φησὶ τῆς Αἰγύπτου, πολλὰ καὶ δεινὰ δρᾶν τοὺς ἐκ τῶν Ἱεροσολύμων ἐπιστρατεύσαντας, καὶ περὶ τούτων ὀνειδίζει, καθάπερ οὐ πολεμίους αὐτοῖς ἐπαγαγὼν, ἢ δέον τοῖς ἔξωθεν ἐπικληθεῖσιν ἐγκαλεῖν, ὁπότε ταῦτα πρὸ τῆς ἐκείνων ἀφίξεως ἔπραττον, καὶ πράξειν ὀμωμόκεσαν, οἱ τὸ γένος Αἰγύπτιοι, ἀλλὰ καὶ χρόνοις ὕστερον Ἀμένωφις ἐπελθὼν ἐνίκησε μάχῃ, καὶ κτείνων τοὺς πολεμίους μέχρι τῆς Συρίας ἤλασεν. οὕτω γὰρ παντάπασίν ἐστιν ἡ Αἴγυπτος τοῖς ὁποθενδηποτοῦν ἐπιοῦσιν εὐάλωτος· καὶ οἱ τότε πολέμῳ κρατοῦντες αὐτὴν, ζῆν πυνθανόμενοι τὸν Ἀμένωφιν, οὔτε τὰς ἐκ τῆς Αἰθιοπίας ἐμβολὰς ὠχύρωσαν, πολλὴν εἰς τοῦτο παρασκευὴν ἔχοντες, οὔτε τὴν ἄλλην ἡτοίμασαν δύναμιν. ὁ δὲ καὶ μέχρι τῆς Συρίας, ἀναιρῶν φησιν αὐτοὺς, ἠκολούθησε διὰ τῆς ψάμμου τῆς ἀνύδρου, δηλονότι οὐ ῥᾴδιον ὂν ἀμαχεὶ στρατοπέδῳ διελθεῖν. κατὰ μὲν οὖν τὸν Μανεθῶνα, οὔτε ἐκ τῆς Αἰγύπτου τὸ γένος ἡμῶν ἐστιν, οὔτε τῶν ἐκεῖθεν τινὲς τινὲς ἀνεμίχθησαν. τῶν γὰρ λεπρῶν καὶ νοσούντων, πολλοὺς μὲν εἰκὸς ἐν τῇ λιθοτομίᾳ ἀποθανεῖν, πολὺν χρόνον ἐκεῖ γενομένους καὶ κακοπαθοῦντας· πολλοὺς δ᾽ ἐν ταῖς μετὰ ταῦτα μάχαις· πλείους δ᾽ ἐν τῇ τελευταίᾳ καὶ τῇ φυγῇ. λοιπόν μοι πρὸς αὐτὸν εἰπεῖν περὶ Μωϋσέως. τοῦτον δὲ τὸν ἄνδρα θαυμαστὸν μὲν Αἰγύπτιοι καὶ θεῖον νομίζουσι. βούλονται δὲ προσποιεῖν αὑτοῖς μετὰ βλασφημίας ἀπιθάνου, λέγοντες Ἡλιοπολίτην εἶναι τῶν ἐκεῖθεν ἱερέων ἕνα, διὰ τὴν λέπραν συνεξεληλασμένον. δείκνυται δ᾽ ἐν ταῖς ἀναγραφαῖς, ὀκτωκαίδεκα σὺν τοῖς πεντακοσίοις πρότερον ἔτεσι γεγονὼς, καὶ τοὺς ἡμετέρους ἐξαγαγὼν ἐκ τῆς Αἰγύπτου πατέρας, εἰς τὴν χώραν τὴν νῦν οἰκουμένην ὑφ᾽ ἡμῶν. ὅτι δὲ οὐδὲ συμφορᾷ τινὶ τοιαύτῃ περὶ τὸ σῶμα κεχρημένος ἦν, ἐκ τῶν λεγομένων ὑπ᾽ αὐτοῦ δῆλός ἐστι. τοῖς γὰρ λεπρῶσιν ἀπείρηκε, μήτε μένειν ἐν πόλει, μήτ᾽ ἐν κώμῃ κατοικεῖν, ἀλλὰ μόνους περιπατεῖν κατεσχισμένους τὰ ἱμάτια· καὶ τὸν ἀψάμενον αὐτῶν ἢ ὁμώροφον γενόμενον, οὐ καθαρὸν ἡγεῖται. καὶ μὴν κἂν θεραπευθῇ τὸ νόσημα, καὶ τὴν αὐτοῦ φύσιν ἀπολάβῃ, προείρηκέ τινας ἁγνείας, καθαρμοὺς πηγαίων ὑδάτων λουτροῖς, καὶ ξυρήσεις πάσης τριχὸς, πολλάς τε κελεύει, καὶ παντοίας ἐπιτελέσαντα θυσίας, τότε παρελθεῖν εἰς τὴν ἱερὰν πόλιν. καίτοι τοὐναντίον εἰκὸς ἦν, προνοίᾳ τινὶ καὶ φιλανθρωπίᾳ χρήσασθαι, τὸν ἐν τῇ συμφορᾷ ταύτῃ γενόμενον, πρὸς τοὺς ὁμοίως αὐτῷ δυστυχήσαντας. οὐ μόνον δὲ περὶ τῶν λεπρῶν οὕτως ἐνομοθέτησεν, ἀλλ᾽ οὐδὲ τοῖς καὶ τὸ βραχύτατόν τι τοῦ σώματος ἠκρωτηριασμένοις ἱερᾶσθαι συγκεχώρηκεν. ἀλλ᾽ εἰ καὶ μεταξύ τις ἱερώμενος τοιαύτῃ χρήσαιτο συμφορᾷ, τὴν τιμὴν αὐτὸν ἀφείλετο. πῶς οὖν εἰκὸς ἐκεῖνον ταῦτα νομοθετεῖν καθ᾽ ἑαυτοῦ, εἰς ὄνειδός τε καὶ βλάβην νόμους συντιθέμενος. ἀλλὰ μὴν τοὔνομα λίαν ἀπιθάνως μετατέθεικεν. Ὀσάρσηφ γάρ φησιν ἐκαλεῖτο. τοῦτο μὲν οὖν εἰς τὴν μετάθεσιν οὐκ ἐναρμόζει. τὸ δ᾽ ἀληθὲς ὄνομα, δηλοῖ τὸν ἐκ τοῦ ὕδατος σωθέντα Μωϋσῆν. τὸ γὰρ ὕδωρ οἱ Αἰγύπτιοι μῶυ καλοῦσιν. ἱκανῶς οὖν γεγο-

γεγονέναι νομίζω καὶ δῆλον, ὅτι ὁ μανεθὼς, ἕως μὲν ἠκολούθει ταῖς ἀρχαίαις ἀναγραφαῖς, οὐ πολὺ τῆς ἀληθείας διημάρτανεν, ἐπὶ δὲ τοὺς ἀδεσπότους μύθους τραπόμενος, ἢ συνέθηκεν αὐτοὺς ἀπιθάνως, ἤ τισι τῶν πρὸς ἀπέχθειαν εἰρηκότων ἐπίστευσεν. μετὰ τοῦτον ἐξετάσαι βούλομαι χαιρήμονα. καὶ γὰρ οὗτος αἰγυπτιακὴν φάσκων ἱστορίαν συγγράφειν, καὶ προσθεὶς ταυτὸ ὄνομα τοῦ βασιλέως, ὅπερ ὁ μανεθὼς, ἀμένωφιν, καὶ τὸν υἱὸν αὐτοῦ ῥαμέσσην, φησὶν, ὅτι κατὰ τοὺς ὕπνους ἡ ἶσις ἐφάνη τῷ ἀμενώφει, μεμφομένη αὐτὸν, ὅτι τὸ ἱερὸν αὐτῆς ἐν τῷ πολέμῳ κατέσκαπται. φριτιφάντην δὲ ἱερογραμματέα φάναι, ἐὰν τῶν τοὺς μολυσμοὺς ἐχόντων ἀνδρῶν καθάρῃ τὴν αἴγυπτον, παύσεσθαι τῆς πτοΐας αὐτόν. ἐπιλέξαντα δὲ τῶν ἐπινόσων μυριάδας εἰκοσιπέντε ἐκβαλεῖν. ἡγεῖσθαι δὲ αὐτῶν γραμματέας μωϋσῆν τε καὶ ἰώσηπον, καὶ τοῦτον ἱερογραμματέα. αἰγύπτια δὲ αὐτοῖς ὀνόματα εἶναι, τῷ μὲν μωϋσῇ τισιθὲν, τῷ δὲ ἰωσήπῳ πετεσήφ. τούτους δὲ εἰς πηλούσιον ἐλθεῖν, καὶ ἐπιτυχεῖν μυριάσι τριακονταοκτὼ καταλελειμμέναις ὑπὸ τοῦ ἀμενώφιος. ἃς οὐ θέλειν εἰς τὴν αἴγυπτον διακομίζειν· οἷς φιλίαν συνθεμένους, ἐπὶ τὴν αἴγυπτον στρατεῦσαι. τὸν δὲ ἀμένωφιν οὐχ ὑπομείναντα τὴν ἔφοδον αὐτῶν, εἰς αἰθιοπίαν φυγεῖν καταλιπόντα τὴν γυναῖκα ἔγκυον· ἣν κρυπτομένην ἔν τισι σπηλαίοις τεκεῖν παῖδα, ὄνομα μεσσήνην, ὃν ἀνδρωθέντα ἐκδιῶξαι τοὺς ἰουδαίους εἰς τὴν συρίαν, ὄντας περὶ εἴκοσι μυριάδας, καὶ τὸν πατέρα ἀμένωφιν ἐκ τῆς αἰθιοπίας καταδέξασθαι. καὶ ταῦτα μὲν ὁ χαιρήμων. οἶμαι δὲ αὐτόθεν φανερὰν εἶναι ἐκ τῶν εἰρημένων τὴν ἀμφοῖν ψευδολογίαν. ἀληθείας μὲν γάρ τινος ὑποκειμένης, ἀδύνατον ἦν διαφωνεῖν ἐπὶ τοσοῦτον. οἱ δὲ τὰ ψευδῆ συντιθέντες, οὐχ ἑτέροις σύμφωνα γράφουσιν, ἀλλ᾽ αὐτοῖς τὰ δόξαντα πλάττουσιν. ἐκεῖνος μὲν οὖν ἐπιθυμίαν τοῦ βασιλέως ἵνα τοὺς θεοὺς ἴδῃ, φησὶν ἀρχὴν γενέσθαι τῆς τῶν μιαρῶν ἐκβολῆς. ὁ δὲ χαιρήμων ἴδιον ὡς τῆς ἴσιδος ἐνύπνιον συντέθεικεν. κἀκεῖνος μὲν ἀμένωφιν εἶναι λέγει, τὸν προειπόντα τῷ βασιλεῖ τὸν καθαρμόν. οὗτος δὲ φριτιφάντην. ὁ δὲ δὴ τοῦ πλήθους ἀριθμὸς καὶ σφόδρα συνεγγὺς, ὀκτὼ μὲν μυριάδας ἐκείνου λέγοντος, τούτου δὲ πέντε πρὸς ταῖς εἴκοσιν. ἔπειτα ὁ μὲν μανεθὼς πρότερον εἰς τὰς λιθοτομίας τοὺς μιαροὺς ἐκβαλὼν, εἶτα αὐτοῖς τὴν αὔαριν δοὺς ἐγκατοικεῖν, καὶ τὰ πρὸς τοὺς ἄλλους αἰγυπτίους ἐκπολεμώσας, τότε φησὶν ἐπικαλέσασθαι τὴν παρὰ τῶν ἱεροσολυμιτῶν αὐτοὺς ἐπικουρίαν. ὁ δὲ χαιρήμων ἀπαλλαττομένους ἐκ τῆς αἰγύπτου, περὶ πηλούσιον εὑρεῖν ὀκτὼ καὶ τριάκοντα μυριάδας ἀνθρώπων, καταλελειμμένας ὑπὸ τοῦ ἀμενώφιος, καὶ μετ᾽ ἐκείνων πάλιν εἰς τὴν αἴγυπτον ἐμβαλεῖν· φυγεῖν δὲ τὸν ἀμένωφιν εἰς τὴν αἰθιοπίαν. τὸ δὲ δὴ γελοιότατον οὐδὲ τίνες ἢ πόθεν ἦσαν αἱ τοσαῦται τοῦ στρατοῦ μυριάδες εἴρηκεν, εἴτε αἰγύπτιοι τὸ γένος, εἴτ᾽ ἔξωθεν ἥκοντες. ἀλλ᾽ οὐδὲ τὴν αἰτίαν διεσάφησε, δι᾽ ἣν αὐτοὺς ὁ βασιλεὺς εἰς τὴν αἴγυπτον ἀγαγεῖν οὐκ ἠθέληκεν, ὁ περὶ τῶν λεπρῶν τὸ τῆς ἴσιδος ἐνύπνιον συμπλάσας. τῷ δὲ μωϋσεῖ καὶ τὸν ἰώσηπον ὁ χαιρήμων, ὡς ἐν ταυτῷ χρόνῳ συνεξεληλασμένον προστέθεικεν, τὸν πρὸ μωϋσέως πρεσβύτερον τέσσαρσι γενεαῖς τετελευτηκότα, ὧν ἐστιν ἔτη σχεδὸν ἑβδομήκοντα καὶ ἑκατόν. ἀλλὰ μὴν ὁ ῥαμέσσης ὁ τοῦ ἀμενώφιος υἱὸς, κατὰ μὲν τὸν μανεθὼν νεανίας συμπολεμεῖ τῷ πατρὶ, καὶ συνεκπίπτει

declaratum existimo, quòd Manethon quatenus veterum scripta sequitur, non multum à veritate aberrat. Vbi verò ad vulgares fabulas se vertit, aut absurdè eas confingit, aut in odium gentis loquentibus credit. Post hunc inquirere libet in Chæremonem. Hic enim Ægyptiacam se scribere historiam professus, addens idem nomen regis quod Manethon, Amenophin,& filium eius Rhamessen, ait Isidem in somnis Amenophi apparuisse, incusantem quòd templum suum per bellum dirutum esset. Phritiphanten verò sacrum scribam dixisse, si à pollutis hominibus Ægyptum repurget, liberandum eum à nocturnis terroribus: atque ita delectu vitiosorum morbidorúmve habito, CCL. millia è finibus ejecta. Duces verò eorum fuisse scribas Mosen & Iosephum quem etiam sacrum scribam fuisse: Ægyptia verò eis nomina esse Mosi Tisithen, Iosepho Petesephi. Hos Pelusium venisse, ibique offendisse CCCLXXX. millia, ab Amenophi relicta, quæ is in Ægyptum transferre noluerat: cum his icto fœdere contra Ægyptum expeditionem habitam: Amenophin autem non expectato impetu eorum, in Æthiopiam fugisse, relicta vxore grauidâ: quam delitescentem in quibusdam speluncis enixam puerum nomine Messenen. eum posteaquam ad virilem ętatem peruenisset, expulisse Iudęos in Syriam, numero circiter ducenta millia, & patrem Amenophin ex Æthiopia recepisse. Et hæc quidem Chæremon. Reor autem ex his ipsis quæ dicta sunt amborum vanitatem apparere. Si quid enim veritatis subesset, impossibile erat in tantũ eos discrepare. at qui mendacia componunt, non aliorum scriptis cõsona scribunt, sed quæ ipsis libet confingunt. Ille igitur regiam cupiditatem videndi deos, ait initium fuisse pollutos eiiciendi. Chæremon autẽ suum de Iside somnium finxit. & ille quidẽ Amenophin dixit indixisse regi purgationem: hic verò Phritiphantem. iam multitudinis numerus sanè bellè congruit, illo octoginta millia referente, hoc ducenta quinquaginta. Præterea Manethon primùm in lapidicinas eiectos pollutos, deinde ad Auarim habitãdam traductos, ac reliqua Ægypto bello vexata, tũ demum acciuisse dicit à Hierosolymitis auxilia: Chæremon, Ægypto decedentes circa Pelusium inuenisse trecenta octoginta millia hominum ab Amenophi relicta, ac cum illis rursus Ægyptum inuasisse: Amenophínque in Æthiopiam fugisse. Quod verò egregium est, ne illud quidem quínam & vnde erant tam numerosus exercitus dixit, Ægyptiine an externi: neque causam indicauit, ob quam eos rex in Ægyptum inducere noluit qui de leprosis & Iside somnium confinxit. Mosi verò & Iosephum, quasi eodem tempore simul expulsum Chæremon adiunxit, & quidem quatuor ætatibus ante Moysen defunctum, quarum sunt anni ferè centum septuaginta. Quin & Rhamesses Amenophis filius, secũdũ Manethonem quidem adolescens bellũ administrat cũ patre, & cũ eodem exulat

fuga elapsus in Æthiopiam. Hic autem fingit eum post patris obitum in spelunca quadam natum, & postea prælio victorem, & Iudæos in Syriam expellentem numero circiter CC. millia. O facilitatem! neque enim prius quinam erant illa CCCLXXX. millia dixit, neque quomodo CLXXX. millia perierint: in aciéne ceciderint, an ad Rhamessen transfugerint. quod verò maximè mirum est, ne cognoscere quidem ex eo licet, quósnam vocet Iudæos, vel vtris eorum det hanc appellationē: illísne CCL. millibus leprosorū, an his CCCLXXX. millibus, quæ circa Pelusium erant. Sed stultum fortasse sit redarguere eos, qui à semetipsis redarguti sunt. ferendum enim erat vtcunque, si ab aliis redarguti fuissent. His addam Lysimachum, idem quidem habentem cum prædictis argumentum mendacij, verùm enormitate figmenti illos vincentem, vnde apparet eum magno odio confinxisse. dicit enim: Qua tempestate Bocchoris in Ægypto regnabat, populum Iudæorum, quòd essent lepra, scabie, & aliis quibusdam morbis infecti, ad templa confugisse, vt mendicato alerentur. multis autem hominibus morbo correptis, sterilitatem in Ægypto accidisse. Bocchorim verò Ægyptiorum regem ad Ammonem, scitatum oracula de sterilitate, misisse. responsum verò à Deo, repurganda esse templa ab hominibus impuris & impiis, eiectis eis è templis in loca deserta. Cæterùm scabiosos ac leprosos mergendos, tanquam sole horum vitam ægrè ferente: & templa expianda: atque ita fore vt terra fructum ferat. Bocchorim autem accepto oraculo, accersitísque sacerdotibus ac sacrificis, iussisse collectis impuratis, hos militibus tradi deportandos in desertum: leprosos verò ac impetiginosos plumbeis laminis inuolutos in pelagus deiici. quibus submersis, reliquos congregatos, & in loca deserta expositos esse, vt perirent. eos habito concilio cōsultasse de seipsis: & nocte superueniente, accensis ignibus ac lucernis custodias agitasse: sequentíque nocte ieiunatum, vt numen propitium eos seruaret. Insequenti verò luce à Mose quodam consiliū datum, irent conferti vna via, vsque dum ad loca culta perueniretur. tum præcepisse, ne cui hominum in posterum beneuoli essent, vtque consilium malum potiùs quàm bonum darēt, deorúmque templa & altaria quotquot inuenirent euerterent. quibus comprobatis ac destinatis, multitudinem iter fecisse per desertum, ac post multa incommoda tandem ad loca culta peruentum. tum verò & hominibus iniuriosè tractatis, & fanis compilatis ac incensis, venisse in eam quæ nunc Iudæa dicitur: conditáque ciuitate hîc habitare, vrbem verò ἱερόσυλα ex re nominatam. aliquantò autē post iam auctos viribus mutasse nomē vitandi probri gratia: & vrbem Hierosolyma, seipsos Hierosolymos vocasse. Hic non eundem quem illi inuenit regem, sed recentius nomen confinxit: & omisso somnio ac propheta Ægyptio ad Ammonem abiit de impetiginosis & leprosis responsum relaturus. ait enim

φυγὼν εἰς τὴν αἰθιοπίαν. οὗτος δὲ πεποίηκεν αὐτὸν μετὰ τὴν τοῦ πατρὸς τελευτὴν, ἐν σπηλαίῳ τινὶ γεγενημένον καὶ μετὰ ταῦτα νικῶντα μάχῃ, καὶ τοὺς ἰουδαίους εἰς συρίαν ἐξελαύνοντα τὸν ἀριθμὸν ὄντας περὶ μυριάδας εἴκοσιν. ὢ τῆς εὐχερείας. οὔτε γὰρ πρότερον οἵτινες ἦσαν αἱ τριάκοντα καὶ ὀκτὼ μυριάδες εἶπεν. οὔτε πῶς αἱ τεσσαράκοντα καὶ τρεῖς διεφθάρησαν. πότερον ἐν τῇ μάχῃ κατέπεσον, ἢ πρὸς τὸν ῥαμέσσην μετεβάλοντο. τὸ δὲ δὴ θαυμασιώτατον, οὐδὲ τίνας καλεῖ τοὺς ἰουδαίους δυνατόν ἐστι παρ' αὐτοῦ μαθεῖν. ἢ ποτέροις αὐτῶν τίθεται ταύτην τὴν προσηγορίαν, ταῖς εἰκοσιπέντε μυριάσι τῶν λεπρῶν, ἢ ταῖς ὀκτὼ καὶ τριάκοντα, ταῖς περὶ τὸ πηλούσιον. ἀλλὰ γὰρ εὐήθης ἴσως ἂν εἴην διὰ πλειόνων ἐλέγχειν τοὺς ὑφ' ἑαυτῶν ἐληλεγμένους. τὸ γὰρ ὑπ' ἄλλων ἦν μετριώτερον. ἐπιζεύξω δὲ τούτοις λυσίμαχον, εἰληφότα μὲν τὴν αὐτὴν τοῖς προειρημένοις ὑπόθεσιν τοῦ ψεύσματος, ὑπερπαικότα δὲ τὴν ἐκείνων ἀπιθανότητα τοῖς πλάσμασι. διὸ καὶ δῆλός ἐστι συντεθεικὼς κατὰ πολλὴν ἀπέχθειαν. λέγει γὰρ ἐπὶ βοκχόρεως τοῦ αἰγυπτίων βασιλέως, τὸν λαὸν τῶν ἰουδαίων λεπροὺς ὄντας καὶ ψωροὺς, καὶ ἄλλα νοσήματα τινὰ ἔχοντας, εἰς τὰ ἱερὰ καταφεύγοντας μεταιτεῖν τροφήν. παμπόλλων δὲ ἀνθρώπων νοσηλείᾳ περιπεσόντων, ἀκαρπίαν ἐν τῇ αἰγύπτῳ γενέσθαι. βόκχοριν δὲ τὸν τῶν αἰγυπτίων βασιλέα εἰς ἄμμωνα πέμψαι περὶ τῆς ἀκαρπίας τοὺς μαντευσομένους. τὸν θεὸν δὲ εἰπεῖν, τὰ ἱερὰ καθᾶραι ἀπ' ἀνθρώπων ἀνάγνων καὶ δυσσεβῶν, ἐκβαλόντα αὐτοὺς ἐκ τῶν ἱερῶν εἰς τόπους ἐρήμους, τοὺς δὲ ψωροὺς καὶ λεπροὺς βυθίσαι, ὡς τοῦ ἡλίου ἀγανακτοῦντος ἐπὶ τῇ τούτων ζωῇ, καὶ τὰ ἱερὰ ἁγνίσαι, καὶ οὕτω τὴν γῆν καρποφορήσειν. τὸν δὲ βόκχοριν τοὺς χρησμοὺς λαβόντα, τούς τε ἱερεῖς καὶ ἐπιβωμίτας προσκαλεσάμενον, κελεῦσαι ἐπιλογὴν ποιησαμένους τῶν ἀκαθάρτων, τοῖς στρατιώταις τούτους παραδοῦναι κατάξειν αὐτοὺς εἰς τὴν ἔρημον. τοὺς δὲ λεπροὺς εἰς μολυβδίνους χάρτας ἐνδήσαντας, ἵνα καθῶσιν εἰς τὸ πέλαγος. βυθισθέντων δὲ τῶν λεπρῶν καὶ ψωρῶν, τοὺς ἄλλους συναθροισθέντας εἰς τόπους ἐρήμους ἐκτεθῆναι ἐπ' ἀπωλείᾳ. συναχθέντας δὲ βουλεύσασθαι περὶ αὐτῶν. νυκτὸς δὲ ἐπιγενομένης, πῦρ καὶ λύχνους καύσαντας φυλάττειν ἑαυτούς, τήν τ' ἐπιοῦσαν νύκτα νηστεύσαντας ἱλάσκεσθαι τοὺς θεοὺς περὶ τοῦ σῶσαι αὐτούς. τῇ δ' ἐπιούσῃ ἡμέρᾳ μωϋσῆν τινα συμβουλεῦσαι αὐτοῖς, παραβαλλομένους μίαν ὁδὸν τέμνειν, ἄχρις ἂν ἔλθωσιν εἰς τόπους οἰκουμένους. παρακελεύσασθαί τε αὐτοῖς, μήτε ἀνθρώπων τινὶ εὐνοήσειν, μήτε ἄριστα συμβουλεύσειν, ἀλλὰ τὰ χείρονα· θεῶν τε ναοὺς καὶ βωμοὺς, οἷς ἂν περιτύχωσιν, ἀνατρέπειν. συναινεσάντων δὲ τῶν ἄλλων, τὰ δοχθέντα ποιοῦντας διὰ τῆς ἐρήμου πορεύεσθαι. ἱκανῶς δὲ ὀχληθέντας ἐλθεῖν εἰς τὴν οἰκουμένην χώραν, καὶ τούς τε ἀνθρώπους ὑβρίζοντας, καὶ τὰ ἱερὰ συλῶντας καὶ ἐμπρήσαντας, ἐλθεῖν εἰς τὴν νῦν ἰουδαίαν προσαγορευομένην. κτίσαντας δὲ πόλιν ἐνταῦθα κατοικεῖν. τὸ δὲ ἄστυ τοῦτο ἱερόσυλα, ἀπὸ τῆς ἐκείνων διαθέσεως ὠνομάσθαι. ὕστερον δ' αὐτοὺς ἐπικρατήσαντας, χρόνῳ διαλλάξαι τὴν ὀνομασίαν πρὸς τὸ μὴ ὀνειδίζεσθαι, καὶ τήν τε πόλιν ἱεροσόλυμα, καὶ αὐτοὺς ἱεροσολύμους προσαγορεύεσθαι. οὗτος δὲ οὐχ ὃν ἐκεῖνοις εὗρεν εἰπεῖν βασιλέα, καινότερον δὲ ὄνομα συντέθεικε. καὶ παρεὶς ἐνύπνιον καὶ προφήτην αἰγύπτιον, εἰς ἄμμωνα ἀπελήλυθεν περὶ τῶν ψωρῶν καὶ λεπρῶν χρησμὸν οἴσων. φησὶ γὰρ

εἰς τὰ

εἰς τὰ ἱερὰ συλλέγεσθαι πλῆθος Ἰουδαίων. ἆρά γε τοῖς λεπροῖς ὄνομα θέμενος, ἢ μόνων τῶν Ἰουδαίων τοῖς νοσήμασι περιπεσόντων; λέγει γὰρ ὁ λαὸς τῶν Ἰουδαίων. ὁποῖος; ἔπηλυς ἢ τὸ γένος ἐγχώριος; διὰ τί τοίνυν Αἰγυπτίους αὐτοὺς ὄντας Ἰουδαίους καλεῖς; εἰ δὲ ξένοι, διὰ τί πόθεν οὐ λέγεις. πῶς δὲ τοῦ βασιλέως πολλοὺς μὲν αὐτῶν βυθίσαντος εἰς τὴν θάλασσαν, τοὺς δὲ λοιποὺς εἰς ἐρήμους τόπους ἐκβαλόντος, τοσοῦτοι τὸ πλῆθος ὑπελείφθησαν, ἢ τίνα τρόπον διεξῆλθον μὲν τὴν ἔρημον, ἐκράτησαν δὲ τῆς χώρας ἧς νῦν κατοικοῦμεν. ἔκτισαν δὲ τὴν πόλιν, καὶ νεὼν ᾠκοδομήσαντο πᾶσι περιβόητον. ἐχρῆν δὲ περὶ τοῦ νομοθέτου μὴ μόνον εἰπεῖν τοὔνομα, δηλῶσαι δὲ καὶ τὸ γένος ὅστις ἦν καὶ τίνων. διὰ τί δὲ τοιούτους αὐτοῖς ἐπεχείρησε τιθέναι νόμους περὶ θεῶν, καὶ τῆς πρὸς ἀνθρώπους ἀδικίας κατὰ τὴν πορείαν. εἴτε γὰρ Αἰγύπτιοι τὸ γένος ἦσαν, οὐκ ἂν ἐκ τῶν πατρίων ἐθῶν οὕτω ῥᾳδίως μετέβαλλοντο. εἴτ' ἀλλαχόθεν ἦσαν, πάντως τινὲς ὑπῆρχον αὐτοῖς νόμοι, διὰ μακρῆς συνηθείας πεφυλαγμένοι. εἰ μὲν οὖν περὶ τῶν ἐξελασάντων αὐτοὺς ὤμοσαν μηδέποτ' εὐνοήσειν, λόγον εἶχεν εἰκότα. πᾶσι δὲ πόλεμον ἀνθρώποις ἀκήρυκτον ἄρασθαι τούτους, εἴπερ ἔπραττον ὡς αὐτὸς λέγει κακῶς, παρὰ πάντων βοηθείας δεομένους, ἄνοιαν οὐκ ἐκείνων, ἀλλὰ τοῦ ψευδομένου πάνυ πολλὴν παρίστησιν. ὅς γε καὶ τοὔνομα θέσθαι τῇ πόλει ἀπὸ τῆς ἱεροσυλίας αὐτοὺς ἐτόλμησεν εἰπεῖν, τοῦτο δὲ μετὰ ταῦτα παρατρέψαι. δῆλον γὰρ ὅτι τοῖς μὲν ὕστερον γινομένοις αἰσχύνην τοὔνομα καὶ μῖσος ἔφερεν. αὐτοὶ δ' οἱ κτίζοντες τὴν πόλιν, κοσμήσειν αὐτοὺς ὑπελάμβανον οὕτως ὀνομάσαντες. ὁ δὲ γενναῖος ὑπὸ πολλῆς τοῦ λοιδορεῖν ἀκρασίας οὐ συνῆκεν, ὅτι ἱεροσυλεῖν οὐ κατὰ τὴν αὐτὴν φωνὴν Ἰουδαῖοι τοῖς Ἕλλησιν ὀνομάζομεν. τί οὖν ἔτι πλείω τις λέγοι πρὸς τὸν ψευδόμενον οὕτως ἀναισχύντως; ἀλλ' ἐπειδὴ σύμμετρον ἤδη τὸ βιβλίον εἴληφε μέγεθος, ἑτέραν ποιησάμενος ἀρχήν, τὰ λοιπὰ τῶν εἰς τὸ προκείμενον πειράσομαι προσαποδοῦναι.

A ad templa collectam multitudinem Iudæorum, incertum leprosisne nomen imponens, an quòd solos Iudæos morbus occuparit. dicit enim populus Iudæorum. Qualis? aduena, an indigena? Cur igitur eos cùm sint Ægyptij, Iudæos vocas? Quòd si hospites sunt, cur vndénam sint non dicis? Quomodo autem cùm rex tam multos ex his mari mersisset, reliquos in loca deserta eiecisset, tanta multitudo superfuit? aut quomodo pertransierunt desertum, & B occupauerunt regionem quam nunc tenemus, & condiderunt vrbem, & extruxerunt templum apud omnes celebre? oportebat autem de legislatore non solùm nomen dicere, sed & genus, quisnam, & ex quibus ortus. quamobrem verò tales eis inter eundem aggressus sit ferre leges, de diis, etiam erga homines iniustas. Siue enim Ægyptij erant genere, non tam facilè patrios mores mutare potuissent, siue aliunde erant, omnino aliquas habebant leges longa consuetudine obseruatas. C Si igitur de expulsoribus suis iurassent, nunquam se illis fore beneuolos, rationem non absurdam habuissent. Quòd si bellum interneciuum aduersus vniuersos mortales susceperunt, cùm essent (vt ipse ait) miseri, & omnium opis egeni, maxima stultitia non illorum, sed hæc fingentis ostenditur. Iste namque etiam nomen impositum ciuitati à templorum spoliatione, præsumpsit dicere, & hoc postea fuisse mutatum. D Mirum ni, quia posteris quidem turpe fuit tale nomen & odiosum: ipsi verò qui fundauêre vrbem, ornare semetipsos etiam vocabulo credidêre. Hic autem generosus vir præ nimia detrectationis impotentia non intellexit, Hierosolyma non idem voce Iudaica quod Græca significare. Quid ergo amplius quilibet diceret contra mendacium tam impudenter expositum? Sed quoniam congruam iam magnitudinem suscepit hic liber, aliud faciens principium, cætera præsentiis operis explanare tentabo.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΠΕΡΙ ΑΡΧΑΙΟΤΗΤΟΣ ΙΟΥΔΑΙΩΝ

ΚΑΤΑ ΑΠΙΩΝΟΣ ΛΟΓΟΣ Β'.

FLAVII IOSEPHI DE ANTIQVITATE IVDÆORVM CONTRA APIONEM ALEXANDRINVM,

LIBER SECVNDVS.

PRIORI quidem volumine, cariſſime mihi Epaphrodite, de antiquitate noſtra monſtraui, Phœnicum & Chaldæorum, Ægyptiorúmque literis ſatiſfaciens veritati: multóſq; Græcorum conſcriptores adducens, & meam è diuerſo diſputationem aduerſus Manethonem, & Chæremonem, & alios quoſdam exhibui. nunc autem inchoabo reliquos arguere, qui cõtra nos aliqua conſcripsêre. Impulſus enim ſum contra Apionem reſpondere grammaticum, ſi tamẽ aſſumi hoc oportet officium. Horum igitur, quę ab eo conſcripta ſunt, alia quidem ſimilia ſunt dictis aliorum, alia valde frigida. Plurima verò quandam tantummodo detractionem habentia, & multam (vt ita dixerim) inerudīti probationem, tanquam ab homine compoſita, & moribus prauo, & totius vitæ ſuæ temporibus importuno. Quia verò multi hominum propter ſtultitiam ſuam his potiùs ſermonibus capiuntur, quàm illis quæ multo ſtudio conſcribuntur: & derogationibus quidem gaudent, præconiis verò mordentur, neceſſarium duxi ne hunc quidem inſcrutatum relinquere, qui nos tanquam in iudicio criminatur. etenim hoc quoque pleriſque mortalium inſitum video, vt gaudeant quoties maledicus quiſpiam ipſe ſua mala à laceſſito audit. Et quidem nec orationem eius legere facilè eſt, neque apertè cognoſcere quid dicere velit: ſed velut in multa tumulatione ac mẽdaciorum perplexitate nunc ſimilia ſuprà penſitatis de maiorum noſtrorum ex Ægypto migratione affert: nunc incolas Alexandriæ Iudæos calumniatur: inſupérque de ſacris templi noſtri ceremoniis atque aliis ritibus noſtris accuſationem admiſcet. Patres igitur noſtros nec Ægyptios genere fuiſſe, neque ob labẽ corporũ aut ſimilẽ aliã calamitatẽ inde pulſos, nõ mediocriter ſolũ, ſed penè vltra modũ,

ΔΙΑ μὲν οὖν τοῦ προτέρου βυβλίου, τιμιώτατέ μοι ἐπαφρόδιτε, περί τε τῆς ἀρχαιότητος ἡμῶν ἐπέδειξα, τοῖς φοινίκων καὶ χαλδαίων καὶ αἰγυπτίων γράμμασι πιστωσάμενος τὴν ἀλήθειαν, καὶ πολλοὺς τῶν ἑλλήνων συγγραφεῖς παρασχόμενος μάρτυρας, τήν τε ἀντίρρησιν ἐποιησάμην πρὸς μανεθῶνα καὶ χαιρήμονα καὶ τινας ἑτέρους. ἄρξομαι δὲ νῦν τοὺς ὑπολειπομένους τῶν γεγραφότων τι καθ' ἡμῶν ἐλέγχειν. καίτοι περὶ τῆς πρὸς ἀπίωνα τὸν γραμματικὸν ἀντιρρήσεως ἐπῆλθέ μοι διαπορεῖν, εἰ χρὴ σπουδάσαι. τὰ μὲν γάρ ἐστι τῶν ὑπ' αὐτοῦ γεγραμμένων τοῖς ὑπ' ἄλλων εἰρημένοις ὅμοια, τὰ δὲ λίαν ψυχρῶς προσέθεικεν. τὰ πλεῖστα δὲ βωμολοχίαν ἔχει, καὶ πολλὴν εἰ δεῖ τἀληθὲς εἰπεῖν ἀπαιδευσίαν, ὡς ἂν ὑπ' ἀνθρώπου συγκείμενα καὶ φαύλου τὸν τρόπον, καὶ παρὰ πάντα τὸν βίον ὀχλαγωγοῦ γεγονότος. ἐπειδὴ δ' οἱ πολλοὶ τῶν ἀνθρώπων διὰ τὴν ἄνοιαν ὑπὸ τῶν τοιούτων ἁλίσκονται λόγων μᾶλλον, ἢ τῶν μετά τινος σπουδῆς γεγραμμένων, καὶ χαίρουσι μὲν ταῖς λοιδορίαις, ἄχθονται δὲ τοῖς ἐπαίνοις, ἀναγκαῖον ἡγησάμην εἶναι, μὴ δὲ τοῦτον ἀνεξέταστον καταλιπεῖν, κατηγορίαν ἡμῶν ἄντικρυς ὡς ἐν δίκῃ γεγραφότα. καὶ γὰρ αὖ κἀκεῖνο τοῖς πολλοῖς ἀνθρώποις ὁρῶ παρακολουθοῦν, τὸ λίαν ἐφήδεσθαι, ὅταν τις ἀρξάμενος βλασφημεῖν ἕτερον, αὐτὸς ἐλέγχηται περὶ τῶν αὐτῷ προσόντων κακῶν. ἔστι μὲν οὖν οὐ ῥᾴδιον αὐτοῦ διελθεῖν τὸν λόγον, οὐδὲ σαφῶς γνῶναι τί λέγειν βούλεται. σχεδὸν δ' ὡς ἐν πολλῇ ταραχῇ καὶ ψευσμάτων συγχύσει, τὰ μὲν εἰς τὴν ὁμοίαν ἰδέαν πίπτει τοῖς προεξητασμένοις, περὶ τῆς αἰγύπτου τῶν ἡμετέρων προγόνων μεταναστάσεως. τὰ δ' ἐστὶ κατηγορία τῶν ἐν ἀλεξανδρείᾳ κατοικούντων ἰουδαίων. τρίτον δ' ἐπὶ τούτοις μέμικται, περὶ τῆς ἁγιστείας τῆς κατὰ τὸ ἱερὸν ἡμῶν καὶ τῶν ἄλλων νομίμων κατηγορίας. ὅτι μὲν οὖν οὔτε αἰγύπτιοι τὸ γένος ἦσαν ἡμῶν οἱ πατέρες, οὔτε διὰ λύμην σωμάτων, ἢ τοιαύτας ἄλλας συμφοράς τινας ἐκεῖθεν ἐξηλάθησαν, οὐ μόνον μετρίως, ἀλλὰ καὶ πέρα τοῦ συμμέτρου προαπο-

προσαποδεῖξαι νομίζω. περὶ ὧν δὲ προστίθησιν ὁ Ἀπίων ἐπιμνησθήσομαι συντόμως. φησὶ γὰρ ἐν τῇ τρίτῃ τῶν αἰγυπτιακῶν τάδε· μωσῆς ὡς ἤκουσα παρὰ τῶν πρεσβυτέρων τῶν αἰγυπτίων, ἦν ἡλιουπολίτης. ὃς πατρίοις ἔθεσι κατηγγυημένος, αἰθρίους προσευχὰς ἀνῆγεν, εἰς οἵους εἶχεν ἡ πόλις περιβόλους. πρὸς ἀφηλιώτην δὲ πάσας ἀπέστρεφεν. ὧδε γὰρ καὶ ἡλίου κεῖται πόλις. αὐτὴ δ' ὀβελῶν ἔστησε κίονας, ὑφ' οἷς ἦν ἐκτύπωμα σκάφη, σκιὰ δ' ἀνδρὸς ἐπ' αὐτὸ διακειμένη, ὡς ὅτι ἐν αἰθέρι τοῦτον ἀεὶ δρόμον ἡλίῳ συμπεριπολεῖ. τοιαύτη μέν τις ἡ θαυμαστὴ τοῦ γραμματικοῦ φράσις. τὸ δὲ ψεῦσμα λόγων οὐ δεόμενον, ἀλλ' ἐκ τῶν ἔργων περιφανές. οὔτε γὰρ αὐτὸς μωσῆς ὅτε τὴν πρώτην σκηνὴν τῷ θεῷ κατεσκεύασεν, οὐδὲν ἐκτύπωμα τοιοῦτον εἰς αὐτὸν ἐνέθηκεν, οὔτε ποιεῖν τοῖς ἔπειτα προσέταξεν, ὅτι μὴ ταῦτα κατασκευάσας τὸν ναὸν τὸν ἐν ἱεροσολύμοις σολομών, πάσης ἀπέσχετο τοιαύτης περιεργίας, οἵαν συμπέπλεκεν ἀπίων. ἀκοῦσαι δέ φησι τῶν πρεσβυτέρων, ὅτι μωσῆς ἐ ἡλιουπολίτης, δηλονότι νεώτερος μὲν ὢν αὐτός, ἐκείνοις δὲ πιστεύσας, τοῖς διὰ τὴν ἡλικίαν ἐπισταμένοις αὐτὸν καὶ συγγενομένοις. καὶ περὶ μὲν ὁμήρου τοῦ ποιητοῦ, γραμματικὸς ὢν αὐτός, οὐκ ἂν ἔχοι τίς αὐτοῦ πατρίς ἐστι διαβεβαιωσάμενος εἰπεῖν, οὐδὲ περὶ πυθαγόρου μόνον οὐκ ἐχθὲς καὶ πρώην γεγονότος. περὶ δὲ μωσέως τοσούτῳ πλήθει προάγοντος ἐκείνους ἐτῶν, οὕτως ἀποφαίνεται ῥᾳδίως πιστεύων ἀκοῇ πρεσβυτέρων, ὡς δῆλός ἐστι καταψευσάμενος. τὰ δὲ δὴ τῶν χρόνων, ἐν οἷς φησὶ τὸν μωσῆν ἐξαγαγεῖν τοὺς λεπρῶντας καὶ τυφλοὺς, καὶ τὰς βάσεις πεπηρωμένους, σφόδρα δὴ τοῖς παρ' αὐτοῦ συμπεφώνηκεν ὡς οἶμαι ὁ γραμματικὸς ὁ ἀκριβής. μανεθὼς μὲν γὰρ κατὰ τὴν τεθμώσιος βασιλείαν ἀπαλλαγῆναί φησιν ἐξ αἰγύπτου τοὺς ἰουδαίους, πρὸ ἐτῶν τριακοσίων ἐνενηκοντατριῶν, τῆς εἰς ἄργος δαναοῦ φυγῆς. λυσίμαχος δὲ κατὰ βόκχοριν τὸν βασιλέα. τουτέστι πρὸ ἐτῶν χιλίων ἑπτακοσίων. μόλων δὲ καὶ ἄλλοι τινὲς ὡς αὐτοῖς ἔδοξεν. ὁ δέ γε πάντων πιστότατος ἀπίων ὡρίσατο τὴν ἔξοδον ἀκριβῶς, κατὰ τὴν ἑβδόμην ὀλυμπιάδα. καὶ ταύτης ἔτος εἶναι πρῶτον, ἐν ᾧ φησὶ καρχηδόνα φοίνικες ἔκτισαν. τοῦτο δὲ πάντως προσέθηκε τὸ καρχηδόνα, τεκμήριον οἰόμενος αὐτῷ γενέσθαι τῆς ἀληθείας ἐναργέστατον. οὐ συνῆκε δὲ καθ' ἑαυτοῦ τὸν ἔλεγχον ἐπισπώμενος. εἰ γὰρ περὶ τῆς ἀποικίας πιστεύειν δεῖ ταῖς φοινίκων ἀναγραφαῖς, ἐν ἐκείναις εἴρωμος ὁ βασιλεὺς γέγραπται πρεσβύτερος τῆς καρχηδόνος κτίσεως, ἔτεσι πλείοσι πρὸς τοῖς πεντήκοντα καὶ ἑκατόν, περὶ οὗ τὰς πίστεις ἀνωτέρω παρέσχον ἐκ τῶν φοινίκων ἀναγραφῶν, ὅτι σολομῶνι τῷ τὸν ναὸν οἰκοδομησαμένῳ τὸν ἐν ἱεροσολύμοις, φίλος ἦν εἴρωμος, καὶ πολλὰ συνεβάλλετο πρὸς τὴν τοῦ ναοῦ κατασκευήν. αὐτὸς δὲ ὁ σολομὼν ᾠκοδόμησε τὸν ναόν, μετὰ τὸ ἐξελθεῖν ἐξ αἰγύπτου τοὺς ἰουδαίους, δώδεκα καὶ ἑξακοσίοις ἔτεσιν ὕστερον. τὸν δὲ ἀριθμὸν τῶν ἐλαθέντων τὸν αὐτὸν λυσιμάχῳ σχεδιάσας, ἕνδεκα γὰρ αὐτοὺς εἶναι φησὶ μυριάδας, θαυμαστήν τινα καὶ πιθανὴν ἀποδίδωσιν αἰτίαν, ἀφ' ἧς φησι τὸ σάββατον ὠνομάσθαι. ὁδεύσαντες γάρ φησιν ἓξ ἡμερῶν ὁδὸν βουβῶνας ἔσχον, καὶ διὰ ταύτην τὴν αἰτίαν τῇ ἑβδόμῃ ἡμέρᾳ ἀνεπαύσαντο σωθέντες εἰς τὴν χώραν τὴν νῦν ἰουδαίαν λεγομένην, καὶ ἐκάλεσαν τὴν ἡμέραν σάββατον, σώζοντες τὴν αἰγυπτίων γλῶτταν.

superiùs à me declaratum existimo: cæterùm quæ his adiungit Apion, compendio memorabo. Dicit enim in tertio rerum Ægyptiacarum hæc: Moses, vt accepi à grandioribus natu Ægyptiis, Heliopolitanus erat, qui patriis institutus moribus, subdiuales precationes ad septa qualia ciuitas habebat, reduxit. ad subsolanum autem omnia conuertebat. ita enim Heliopolis sita est. pro obeliscis verò statuit columnas, sub quibus ceu peluis forma exprimebatur: vmbra in eam incidens, vtpote per sudum, eundem semper cum sole cursum circumuoluebat. Atque huiuscemodi est admiranda illa huius gramatici phrasis. Mẽdacium verò eius non tam nostris verbis euidenter coarguitur, quàm Moseos operibus. neque enim cũ primũ tabernaculum Deo construeret, aut ipse vllam talem formam ei indidit, aut posteros facere præcepit: atq; is qui postea tẽplum Hierosolymis construxit Solomon, omni tali curiositate abstinuit, qualem cõfinxit Apion. Accepisse autem se dicit à maioribus natu Mosen Heliopolitanum: scilicet ipse iunior, sed his fidem habens, qui per ætatem illum familiariter nouerant. Et de Homero quidem poëta, quamuis grammaticus, non posset quænam eius sit patria certò affirmare, neque de Pythagora tantũ non heri nudiúsve tertius nato: de Mose verò tam multis annis illos præcedente tam facilè decernit, credens seniorum relationi: vnde manifestè illum mentiri apparet. Quin & temporum ratio, quibus Mosẽ ait eduxisse leprosos & cæcos & claudos, bellè cõcinit iuxta grammaticum hũc diligentissimũ. Manetho enim regnante Tethmosi Iudæos dicit ex Ægypto discessisse, annis CCCXCIII. antequam Danaus apud Argos exularet. Lysimachus autem tempore Bocchoris regis, hoc est ante annos MDCC. Molon verò & alij quidam, vt cuique visum est. At verò Apion cæteris fide dignior, exactè illum exitum definiuit VII. Olympiade, & huius anno primo quo, vt ait, Pœni Carthaginem condiderunt. Carthaginis autem mentionem adiecit, ratus argumentum id veritatis se habiturum euidẽtissimum: nec animaduertit à semetipso adductum quo coargueretur. si enim de hac colonia monumentis Phœnicũ credendum est, in illis Hiram rex traditur antiquior Carthagine condita annis plus quàm centum quinquaginta, de quo superiùs ex Phœnicum commentariis probaui, quòd Solomoni templi Hierosolymitani conditori amicus fuerit, & multa ad templi fabricam contulerit. Solomon vero ædificauit templum post Iudæorum discessum ex Ægypto annis DCXII. Porrò numerum pulsorum eundem, quem Lysimachus cõmentus (ait enim C. & X. eorum fuisse millia) miram quãdam & credibilem reddit causam, cur sabbatum nominatus sit. Exacto enim (inquit) sex dierum itinere, inguinum vlceribus affecti sunt: & hac de causa septima die quieuerũt, incolumes cõstituti in regione, quæ nunc Iudæa vocatur. & appellauerunt eam diem sabbatum, seruata Ægyptiorum voce.

nam inguinis morbum Ægyptij vocant sabbatosim. An non igitur vel deridenda hæc nugacitas, vel contrà odio habenda talis in scribendo impudentia? Apparet enim quòd omnes inguinibus laborauerint, hominum millia centum & decem. Atqui si erant cæci & claudi & morbidi, quales fuisse Apion ait, ne vnius quidem diei iter progredi potuissent: sin autem poterant per magnam solitudinem proficisci, prætereàque sibi obsistentes vincere populariter repugnando, nequaquam vniuersi post sextam diem inguinum morbo correpti fuissent. Neque enim naturaliter tale quippiam euenire iter agẽtibus necesse est, sed plurimorum millium exercitus definita semper itinera peragunt: neque temere ita accidisse verisimile videtur, est enim omnino absurdum. At verò mirificus hic Apion sex quidem diebus eos peruenisse in Iudæam prædixit: rursus autem Mosen conscenso monte, qui Ægyptum inter & Arabiam situs est, nomine Sinæus, quadraginta diebus delituisse dicit, indéque descendentẽ Iudæis leges dedisse. atqui quomodo possibile est, eosdem & quadraginta dies in deserto ac inaquoso loco manere, & quod in medio spatium est, id totũ sex diebus pertransire? Sabbati verò appellationis grãmatica ratio, quam adfert, multam impudentiam præ se fert, vel certè magnã imperitiam. Nam hæ voces Sabbo & Sabbatum, inter se maximè differunt. Sabbatum enim secundùm Iudæos quies est ab omni opere. Sabbo verò, vt ille affirmat, Ægyptiis inguinum morbum significat. Tales quasdam de Mose & Iudæorum ex Ægypto profectione Ægyptius Apion nouitates finxit, præter aliorum commentus autoritatem. Et quid mirum si de nostris mentitur patribus? quandoquidem de se ipso contrà mentitus est: & natus in Oasi Ægypti, primas iste Ægyptiorum existimatus, veram quidem patriam & genus suũ abiurauit: Alexandrinum autem se mentitus, confirmat generis sui prauitatem. Meritò igitur quos odit & cõuitiis insectatur, eos Ægyptios appellat. nisi enim pessimos esse existimaret Ægyptios, semet ex eorum genere haud eximeret: quandoquidem qui se celebritate patriæ iactant, honorificum quidem ducunt ab ea denominari, coarguunt verò eos, qui præter ius in eandem sese ingerere conantur. Erga nos autẽ alterutro modo affecti sunt Ægyptij: aut enim ceu gloriabundi cognatos se simulant, aut participes nos infamiæ suæ cooptant. At præclarus iste Apion videtur contumeliosam nostrũ insectationem, quasi mercedem voluisse reddere Alexandrinis, pro data sibi ciuitate: sciénsque eorum cum habitatoribus Alexandriæ Iudæis simultatem, proposuit quidem illis conuicium facere, vnà tamen comprehendit reliquos quoque vniuersos, vtrobique impudenter mentiens. Videamus igitur, quænam sint illa grauia & non ferenda, de quibus habitatores Alexandriæ Iudæos accusat. Venientes, inquit, è Syria, sedes fixerunt ad importuosũ mare, vndarũ vicini assultibus. Ergo si locus opprobriũ habet, non quidẽ patriæ suę sed tamen quã patriã dicit, Alexãdrię cõuiciatur. Illi⁹ enĩ & maritima ora pars est, vt omnes

τὸ γὰρ βουβῶνος ἄλγος καλοῦσιν αἰγύπτιοι σαββάτωσιν. οὐκ ἂν οὖν τις ἢ καταγελάσειε τῆς φλυαρίας, ἢ τοὐναντίον μισήσειε τὴν ἐν τῷ τοιαῦτα γράφειν ἀναίδειαν. δῆλον γὰρ ὅτι πάντες ἐβουβωνίασαν ἕνδεκα μυριάδες ἀνθρώπων. ἀλλ' εἰ μὲν ἦσαν ἐκεῖνοι τυφλοὶ καὶ χωλοὶ καὶ πάντα τρόπον νοσοῦντες, ὁποίους αὐτοὺς εἶναι φησὶν ἀπίων, οὐδ' ἂν μιᾶς ἡμέρας προελθεῖν ὁδὸν ἠδυνήθησαν. εἰ δ' οἷοί τε βαδίζειν διὰ πολλῆς ἐρημίας, καὶ προσέτι νικᾶν τοὺς αὐτοῖς ἀντισταμένους μαχόμενοι πάντες, οὐκ ἂν ἀθρόοι μετὰ τὴν ἕκτην ἡμέραν ἐβουβωνίασαν. οὔτε γὰρ φύσει πως γίνεται τοιοῦτον τοῖς βαδίζουσιν ἐξ ἀνάγκης. ἀλλὰ πολλαὶ μυριάδες στρατοπέδων τὸ σύμμετρον ἀεὶ βαδίζουσιν. οὔτε κατ' αὐτόματον εἰκὸς οὕτω συμβῆναι· πάντων γὰρ ἀλογώτατον. ὁ δὲ θαυμαστὸς ἀπίων διὰ μὲν ἓξ ἡμερῶν αὐτοὺς ἐλθεῖν εἰς τὴν ἰουδαίαν προείρηκεν· πάλιν δὲ τὸν μωσῆν εἰς τὸ μεταξὺ τῆς αἰγύπτου καὶ τῆς ἀραβίας ὄρος, ὃ καλεῖται σίναιον, ἀναβάντα φησὶν ἡμέραις τεσσαράκοντα κρυφθῆναι, κἀκεῖθεν καταβάντα, δοῦναι τοῖς ἰουδαίοις τοὺς νόμους. καίτοι πῶς οἷόν τε τοὺς αὐτοὺς καὶ τεσσαράκοντα μένειν ἡμέρας ἐν ἐρήμῳ καὶ ἀνύδρῳ τόπῳ, καὶ τὴν μεταξὺ πᾶσαν ἐν ἡμέραις ἓξ διελθεῖν. ἡ δὲ περὶ τὴν ὀνομασίαν τοῦ σαββάτου γραμματικὴ μετάθεσις, ἀναίδειαν ἔχει πολλὴν ἢ δεινὴν ἀμαθίαν. τὸ γὰρ σαββὼ καὶ σάββατον πλεῖστον ἀλλήλων διαφέρει. τὸ μὲν γὰρ σάββατον κατὰ τὴν ἰουδαίων διάλεκτον ἀνάπαυσίς ἐστιν ἀπὸ παντὸς ἔργου. τὸ δὲ σαββὼ καθάπερ ἐκεῖνός φησι δηλοῖ παρ' αἰγυπτίοις τὸ βουβῶνος ἄλγος. τοιαῦτα μέν τινα περὶ μωσέως καὶ τῆς ἐξ αἰγύπτου γενομένης τοῖς ἰουδαίοις ἀπαλλαγῆς ὁ αἰγύπτιος ἀπίων ἐκαινοποίησε, παρὰ τοὺς ἄλλους ἐπινοήσας. καὶ τί γε δεῖ θαυμάζειν, εἰ περὶ τῶν ἡμετέρων ψεύδεται προγόνων, λέγων αὐτοὺς εἶναι τὸ γένος αἰγυπτίους. αὐτὸς γὰρ περὶ αὐτοῦ τοὐναντίον ἐψεύδετο. καὶ γεγενημένος ἐν ὀάσει τῆς αἰγύπτου, πάντων αἰγυπτίων πρῶτος ὢν ὡς ἂν εἴποι τις, τὴν μὲν ἀληθῆ πατρίδα καὶ τὸ γένος ἐξωμόσατο. ἀλεξανδρεὺς δὲ εἶναι καταψευδόμενος, ὁμολογεῖ τὴν μοχθηρίαν τοῦ γένους. εἰκότως οὖν οὓς μισεῖ καὶ βούλεται λοιδορεῖν, τούτους αἰγυπτίους καλεῖ. εἰ μὴ γὰρ φαυλοτάτους εἶναι ἐνόμιζεν αἰγυπτίους, οὐκ ἂν τοῦ γένους αὐτὸς ἔφυγεν. ὡς οἵ γε μεγαλοφρονοῦντες ἐπὶ τῶν ἑαυτῶν πατρίσι, σεμνύνονται μὲν ἀπὸ τούτων αὐτοὶ χρηματίζοντες, τοὺς ἀδίκως δ' αὐτῶν ἀντιποιουμένους ἐλέγχουσι. πρὸς ἡμᾶς δὲ δυοῖν θάτερον αἰγύπτιοι πεπόνθασιν. ἢ γὰρ ὡς ἐπισεμνυνόμενοι προσποιοῦνται τὴν συγγένειαν, ἢ κοινωνοὺς ἡμᾶς ἐπισπῶνται τῆς αὐτῶν κακοδοξίας. ὁ δὲ γενναῖος ἀπίων, δοκεῖ μὲν τὴν βλασφημίαν τὴν καθ' ἡμῶν ὥσπερ τινὰ μισθὸν ἐθελῆσαι παρασχεῖν ἀλεξανδρεῦσι, τῆς δοθείσης αὐτῷ πολιτείας. καὶ τὴν ἀπέχθειαν αὐτῶν ἐπιστάμενος, τὴν πρὸς τοὺς συνοικοῦντας αὐτοῖς ἐπὶ τῆς ἀλεξανδρείας ἰουδαίους, προτέθειτο μὲν ἐκείνοις λοιδορεῖσθαι, συμπεριλαμβάνει δὲ καὶ τοὺς ἄλλους ἅπαντας, ἐν ἀμφοτέροις ἀναισχύντως ψευδόμενος. τίνα τοίνυν ἐστὶ τὰ δεινὰ καὶ σχέτλια τῶν ἐν ἀλεξανδρείᾳ κατοικούντων ἰουδαίων, ἃ κατηγόρηκεν αὐτῶν ἴδωμεν. ἐλθόντες, φησίν, ἀπὸ συρίας ᾤκησαν πρὸς ἀλίμενον θάλασσαν, γειτνιάσαντες ταῖς τῶν κυμάτων ἐκβολαῖς. οὐκοῦν ὁ τόπος εἰ λοιδορίαν ἔχει, τὴν οὐ πατρίδα μὲν, λεγομένην δὲ αὐτοῦ, τὴν ἀλεξάνδρειαν λοιδορεῖ. ἐκείνης γὰρ καὶ τὸ παράλιον ἐστὶ μέρος ὡς πάντες ὁμολο-

ὁμολογοῦσιν εἰς κατοίκησιν τὸ κάλλιστον. ἰουδαῖοι δ' εἰ μὲν βιασάμενοι κατέσχον, ὡς μηδ' ὕστερον ἐκπεσεῖν, ἀνδρείας τεκμήριον ἐς' αὐτοῖς. εἰς κατοίκησιν δὲ αὐτοῖς ἔδωκε τόπον ἀλέξανδρος, καὶ ἴσης παρὰ τοῖς μακεδόσι τιμῆς ἐπέτυχον. οὐκ οἶδα δὲ τί ποτ' ἂν ἔλεγεν ἀπίων, εἰ πρὸς τῇ νεκροπόλει κατῴκουν, καὶ μὴ πρὸς τοῖς βασιλείοις ἦσαν ἱδρυμένοι, καὶ μέχρι νῦν αὐτῶν ἡ φυλὴ τὴν προσηγορίαν εἶχον μακεδόνες. εἰ μὲν οὖν ἀναγνοὺς τὰς ἐπιστολὰς ἀλεξάνδρου τοῦ βασιλέως, καὶ τὰς πτολεμαίου τοῦ λάγου, καὶ τῶν μετ' ἐκεῖνον τῆς αἰγύπτου βασιλέων ἐντυχὼν τοῖς γράμμασι, καὶ τὴν στήλην τὴν ἑστῶσαν ἐν ἀλεξανδρείᾳ, καὶ τὰ δικαιώματα περιέχουσαν, ἃ καῖσαρ ὁ μέγας τοῖς ἰουδαίοις ἔδωκεν. εἰ μὲν οὖν ταῦτα φημὶ γινώσκων, τἀναντία γράφειν ἐτόλμησε, πονηρὸς ἦν. εἰ δὲ μηδὲν ἠπίστατο τούτων, ἀπαίδευτος. τὸ δὲ θαυμάζειν πῶς ἰουδαῖοι ὄντες ἀλεξανδρεῖς ἐκλήθησαν, τῆς ὁμοίας ἀπαιδευσίας. πάντες γὰρ οἱ εἰς ἀποικίαν τινὰ κατακληθέντες, κἂν πλεῖστον ἀλλήλων τοῖς γένεσι διαφέρωσιν, ἀπὸ τῶν οἰκιστῶν τὴν προσηγορίαν λαμβάνουσι. καὶ τί δεῖ περὶ τῶν ἄλλων λέγειν. αὐτῶν γὰρ ἡμῶν οἱ τὴν ἀντιόχειαν κατοικοῦντες, ἀντιοχεῖς ὀνομάζονται. τὴν γὰρ πολιτείαν αὐτοῖς ἔδωκεν ὁ κτίστης σέλευκος. ὁμοίως οἱ ἐν ἐφέσῳ καὶ κατὰ τὴν ἄλλην ἰωνίαν, τοῖς αὐθιγενέσι πολίταις ὁμωνυμοῦσι, τοῦτο παρασχόντων αὐτοῖς τῶν διαδόχων. ἡ δὲ ῥωμαίων φιλανθρωπία πᾶσιν μικροῦ δεῖν τῆς αὐτῶν προσηγορίας μεταδεδώκασιν, οὐ μόνον ἀνδράσιν, ἀλλὰ καὶ μεγάλοις ἔθνεσιν ὅλοις. ἴβηρες γοῦν οἱ πάλαι, καὶ τυρρηνοὶ καὶ σαβῖνοι, ῥωμαῖοι καλοῦνται. εἰ δὲ τοῦτον ἀφαιρεῖται τὸν τρόπον τῆς πολιτείας ἀπίων, παυσάσθω λέγων αὑτὸν ἀλεξανδρέα. γεννηθεὶς γὰρ ὡς προεῖπον ἐν τῷ βαθυτάτῳ τῆς αἰγύπτου, πῶς ἂν ἀλεξανδρεὺς εἴη, τῆς κατὰ δόσιν πολιτείας ὡς αὐτὸς ἐφ' ἡμῶν ἠξίωκεν ἀναιρουμένης. καίτοι μόνοις αἰγυπτίοις οἱ κύριοι νῦν ῥωμαῖοι τῆς οἰκουμένης, μεταλαμβάνειν ἡστινοσοῦν πολιτείας ἀπηρνήκασιν. ὁ δ' οὕτως ἐστὶ γενναῖος, ὡς μετέχειν ἀξιῶν αὐτὸς, ὧν τυχεῖν ἐκωλύετο, συκοφαντεῖν ἐπεχείρησε τοὺς δικαίως λαβόντας. οὐ γὰρ ἀπορίᾳ γε τῶν οἰκησόντων τὴν μετὰ σπουδῆς ὑπ' αὐτοῦ πόλιν κτιζομένην, ἀλέξανδρος τῶν ἡμετέρων τινὰς ἐκεῖ συνήθροισεν. ἀλλὰ πάντας δοκιμάζων ἐπιμελῶς ἀρετῆς καὶ πίστεως, τοῦτο τοῖς ἡμετέροις τὸ γέρας ἔδωκεν. ἐτίμα γὰρ ἡμῶν τὸ ἔθνος, ὥς καὶ φησὶν ἑκαταῖος περὶ ἡμῶν, ὅτι διὰ τὴν ἐπιείκειαν καὶ πίστιν, ἣν αὐτῷ παρέσχον ἰουδαῖοι, τὴν σαμαρεῖτιν χώραν προσέθηκεν ἔχειν αὐτοῖς ἀφορολόγητον. ὅμοια δὲ ἀλεξάνδρου καὶ πτολεμαῖος ὁ λάγου περὶ τῶν ἐν ἀλεξανδρείᾳ κατοικούντων ἐφρόνησεν. καὶ γὰρ τὰ κατὰ τὴν αἴγυπτον αὐτοῖς ἐνεχείρισε φρούρια, πιστῶς ἅμα καὶ γενναίως φυλάξειν ὑπολαμβάνων. καὶ κυρήνης ἐγκρατῶς ἄρχειν βουλόμενος, καὶ τῶν ἄλλων τῶν ἐν τῇ λιβύῃ πόλεων, εἰς αὐτὰς μέρος ἰουδαίων ἔπεμψε κατοικῆσον. ὁ δὲ μετ' αὐτὸν πτολεμαῖος ὁ φιλάδελφος ἐπικληθεὶς, οὐ μόνον εἴ τινες αἰχμάλωτοι παρ' αὐτῷ τῶν ἡμετέρων, πάντας ἀπέδωκεν, ἀλλὰ καὶ χρήματα πολλάκις ἐδωρήσατο. καὶ τὸ μέγιστον, ἐπιθυμητὴς ἐγένετο τοῦ γνῶναι τοὺς ἡμετέρους νόμους, καὶ ταῖς τῶν ἱερῶν γραφῶν βίβλοις ἐντυχεῖν. ἔπεμψε γοῦν ἀξιῶν ἄνδρας ἀποσταλῆναι,

A confirmant ad inhabitandum optima: quam si Iudæi per vim occupauerunt, ita vt ne pòst quidem eiicerentur, fortitudinis eorum argumentum est. Verùm Alexander eis locum ad incolendum dedit, & parem cum ipsis à Macedonibus honorem consecuti sunt. Nescio autem quid dicturus fuerit Apion, si circa Necropolim habitassent, ac non circa regiam sedes posuissent, & hodiéque eorum tribus appellaretur Macedones. Igitur si legit epistolas Alexandri regis, B Ptolemęique Lagi ac successorum illius Ægypti regum, & columnam stantem Alexandrię ac iura continētem quæ Cæsar magnus Iudæis concessit: hæc, inquam, si sciens, contraria scribere ausus est, malus erat: sin autē nihil horum nouit, indoctus. Illud quoque quod se mirari dicit, quòd cū Iudæi essent, Alexandrini vocati sunt, similis inscientiæ est. Omnes etenim qui ad coloniam aliquam deuocantur, etsi plurimum ab C alterutris genere differant, à conditoribus appellationem accipiūt. Et quid opus est de aliis dicere? nostrorum enim ipsorum hi, qui Antiochiam inhabitant, Antiocheni nominātur. Ius enim ciuium eis dedit conditor Seleucus. Similiter & qui in Epheso cōmorātur, & alia Ionia cū ciuibus exinde natis eādē appellationē habent, hæc præbētibus eis regni successoribus. Romanorū verò clementia, cunctis non paruulum donum appellationis suæ concessit, D non solùm viris singulis, sed etiam maximis gentibus in communi. Hispani denique antiqui, & Tyrrheni, & Sabini, Romani vocantur. Si verò hunc modum aufert cōmunis ciuitatis Apion, desinet semetipsum Alexandrinum dicere. Natus enim in intima Ægypto, quomodo erit Alexandrinus, iure ciuitatis, sicut ipse in nobis dicit, ablato? cùm solis Ægyptiis nunc orbis domini Romani, participari cuiuslibet ciuitatis interdixisse videantur. Hic autē E præclarus dignitates quas ipse impetrare prohibetur adipisci non valens, calumniari conatur eos, qui hæc iustissimè percepēre. Non enim propter inopiam habitatorum ciuitatis, quam studiosè ædificabat Alexander, nostrorū aliquos ibi collegit: sed omnes approbans diligenter ex virtute, ac fide dignos inueniens, hoc præconium nostris exhibuit, cùm gentem nostram studeret non mediocriter honorare. Ait enim Hecatæus, quia propter mansuetudi- F nē atq; fidem, quam ei præbuēre Iudæi, Samariam regionem adiecit, vt eam sine tributis haberent. Similiter quoque sensit post Alexandrum etiam Ptolemęus Lagi de Iudæis in Alexandria commorantibus. Nam Ægyptiaca eis castra commisit, arbitratus fide simul eorum & fortitudine conseruanda: & in Cyrene credens se tutissimè regnaturū, & in aliis Libyæ ciuitatibus, ad ea loca partem Iudæorum habitandi causa direxit. Post hunc autē Ptolemæus G qui Philadelphus est appellatus, non solùm si qui fuēre captiui apud eos nostrorum, omnes absoluit, sed & pecunias eis sæpiùs condonauit: & (quod maximum est) desiderauit agnoscere nostras leges, & sacrarū scripturarū volumina concupiuit: misitq; rogās destinari viros,

qui ei interpretarentur legem: & vt hæc apprimè conscriberentur, diligentiam hanc commisit non quibuscunque viris, sed Demetrium Phalereum, & Andream, & Aristeum, quorum eruditione sui seculi Demetrius facilè princeps erat, alij verò habebant custodiam corporis sibi creditam, huic curæ præfecit. Nō enim leges, & patrum nostrorum philosophiam discere concupisceret, si his vtentes despiceret & non potiùs valdè miraretur. Apion autem penè omnes in ordine successores eius Macedonum reges ignorauit habuisse erga nos præcipuum familiaritatis affectum. Tertius namque Ptolemæus, qui vocatur Euergetes, fortiter obtinens Syriam vniuersam, nō diis Ægyptiacis pro victoria solennitates gratificas immolauit: sed veniens ad Hierosolymam, multas hostias sicut nostri moris est, Deo gratificauit, dignissimáque dicauit ornamenta victoriæ. Philometor autem Ptolemæus, & eius vxor Cleopatra, omne regnum commisêre Iudæis: & duces totius fuêre militiæ Onias & Dositheus Iudæi: quorum nominibus derogat Apion, cùm debuisset opera eorum potiùs mirari, & gratias agere, quoniam liberauêre Alexandriam, cuius ciuis videri vult. Nam dum rebellio surrexisset in Cleopatræ regno, & periculum pessimæ perditionis instaret, istorum labore ciuitas intestinis præliis est erepta. Sed postea, inquit, Onias ad vrbem deduxit exercitum paruum, cùm esset illic Thermus præsens Romanorum legatus: quod (vt ita dicam) rectè atque iustè factum est. Ptolemæus enim, qui cognominatus est Physcon, moriente suo patre Ptolemæo Philometore, egressus est de Cyrene, volens reginam Cleopatrā expellere.

A τοὺς ἑρμηνεύσοντας αὐτῷ τὸν νόμον, καὶ τοῦ γραφῆναι ταῦτα καλῶς τὴν ἐπιμέλειαν ἐπέταξεν οὐ τοῖς τυχοῦσιν, ἀλλὰ Δημήτριον τὸν Φαληρέα, καὶ Ἀνδρέαν, καὶ Ἀρισέα, τὸν μὲν παιδείᾳ τῶν καθ' ἑαυτὸν διαφέροντα Δημήτριον, τοὺς δὲ τὴν τοῦ σώματος αὐτοῦ φυλακὴν ἐγκεχειρισμένους, ἐπὶ τῆς ἐπιμελείας ταύτης ἔταξεν, οὐκ ἂν δήπου τοὺς νόμους καὶ τὴν πάτριον ἡμῶν φιλοσοφίαν ἐπιθυμήσας ἐκμαθεῖν, εἰ τῶν χρωμένων αὐτοῖς ἀνδρῶν κατεφρόνει, καὶ μὴ λίαν ἐθαύμαζεν. Ἀπίωνα δὲ σχεδὸν ἐφ' ἑξῆς πάντες B ἔλαθον οἱ τῶν προγόνων αὐτοῦ Μακεδόνων βασιλεῖς, οἰκειότατα πρὸς ἡμᾶς διατεθέντες. Καὶ γὰρ ὁ τρίτος Πτολεμαῖος ὁ λεγόμενος Εὐεργέτης, κατασχὼν ὅλην Συρίαν κατὰ κράτος, οὐ τοῖς ἐν Αἰγύπτῳ θεοῖς χαριστήρια τῆς νίκης ἔθυσεν, ἀλλὰ παραγενόμενος εἰς Ἱεροσόλυμα, πολλὰς ὡς ἡμῖν νόμιμόν ἐστιν ἐπετέλεσε θυσίας τῷ θεῷ, καὶ ἀνέθηκεν ἀναθήματα τῆς νίκης ἄξια. Ὁ δὲ Φιλομήτωρ Πτολεμαῖος καὶ ἡ γυνὴ αὐτοῦ Κλεοπάτρα, τὴν C βασιλείαν ὅλην τὴν ἑαυτῶν Ἰουδαίοις ἐπίστευσαν, καὶ στρατηγοὶ πάσης τῆς δυνάμεως ἦσαν, Ὀνίας καὶ Δοσίθεος Ἰουδαῖοι. Ὧν Ἀπίων σκώπτει τὰ ὀνόματα, δέον τὰ ἔργα θαυμάζειν καὶ μὴ λοιδορεῖν, ἀλλὰ χάριν αὐτοῖς ἔχειν, ὅτι διεσώσαντο τὴν Ἀλεξάνδρειαν, ἧς ὡς πολίτης ἀντιποιεῖται. Πολεμούντων γὰρ αὐτῶν τῇ βασιλίσσῃ Κλεοπάτρᾳ, καὶ κινδυνευόντων ἀπολέσθαι κακῶς, οὗτοι συμβάσεις ἐποίησαν, καὶ τῶν ἐμφυλίων κακῶν ἀπήλλαξαν. Ἀλλὰ μετὰ ταῦτα φησὶν Ὀνίας ἐπὶ τὴν πόλιν ἤ- D γαγε στρατὸν ὀλίγον, ὄντος ἐκεῖ Θέρμου τοῦ παρὰ Ῥωμαίων πρεσβευτοῦ καὶ παρόντος. Ὀρθῶς δὲ ποιῶν φαίην ἂν καὶ μάλα δικαίως. Ὁ γὰρ Φύσκων ἐπικληθεὶς Πτολεμαῖος, ἀποθανόντος αὐτῷ τοῦ ἀδελφοῦ Πτολεμαίου τοῦ Φιλομήτορος, ἀπὸ Κυρήνης ἐξῆλθε Κλεοπάτραν ἐκβαλεῖν βουλόμενος τῆς βασιλείας.

☞ *Hîc multa desunt in Græco exemplari.* ☜

[Et filios regis, vt ipse regnum iniustè sibimet applicaret: propter hæc ergo Onias aduersus eum bellum pro Cleopatra suscepit: & fidem quam habuit circa reges, nequaquam in necessitate deseruit. Testis autem Deus iustitiæ eius manifestus apparuit. Nam Physcon Ptolemæus cùm aduersum exercitum quidem Oniæ pugnare præsumeret, omnes verò Iudæos in ciuitate positos cum filiis & vxoribus capiens, nudos atque vinctos elephantis subiecisset, vt ab eis conculcati deficerent, & ad hoc etiam bestias ipsas inebriasset, in contrarium quæ præparauerat, euenêre. Elephanti enim relinquentes sibi appositos Iudæos, impetu facto super amicos eius, multos ex ipsis interemêre. Et post hæc Ptolemæus quidem aspectum terribilem contemplatus est, prohibentem se vt illis noceret hominibus. Concubina verò sua carissima, quam alij quidem Ithacam, alij verò Hirenen denominant: supplicante ne tantam impietatem perageret, & concessit, & ex his quæ egerat vel acturus erat, pœnitentiam egit. Vnde rectè hanc diem Iudæi Alexandriæ constituti, eò quòd apertè à Deo salutem promeruêre, celebrare noscuntur. Apion autem omnium calumniator, etiam propter bellum aduersus Physconem gestum, Iudæos accusare præsumpsit, cùm eos laudare debuerit. Is autem etiam vltimæ Cleopatræ reginæ Alexandrinorum meminit, veluti nobis improperans, quoniam circa nos fuit ingrata: & non potiùs illam redarguere studuit, cui nihil omnino iniustitiæ & malorum operum defuit: vel circa generis necessarios, vel circa maritos suos, qui etiam dilexerint eam, vel in communi contra Romanos omnes, & benefactores suos imperatores, quæ etiam sororem Arsinoen occidit in templo, nihil sibi nocentem. Peremit autem & fratrem insidiis: paternósque deos, & sepulchra progenitorum depopulata est. Percipiénsque regnum à primo Cæsare, eius filio & successori, rebellare præsumpsit. Antoniúmque corrumpens amatoriis rebus & patriæ inimicum fecit, & infidelem circa suos amicos instituit, alios quidem genere regali spolians, alios autem demens ad mala gerenda compellens. Sed quid oportet ampliùs dici, cùm illum ipsum in nauali certamine relinquens, id est maritum & parentem communium filiorum, tradere cum exercitu principatū, & se sequi coegit? Nouissimè verò Alexandria à Cæsare capta, ad hoc vsque perducta est, vt saltem hinc sperare se iudicaret, si posset ipsa manu sua Iudæos perimere: eo quòd circa omnes crudelis & infidelis extaret. Putásne gloriandum nobis non esse, si quemadmodum dicit Apion, famis tempore Iudæis triticum non est mensa? Sed illa quidem pœnam subiit competentem. Nos autem maximo Cæsare vtimur teste auxilij, atque fidei quam circa eum contra Ægyptios gessimus: necnon & senatu eiúsque consultis, & epistolis Cæsaris Augusti, quibus nostra merita comprobantur. Has literas Apionem oportebat inspicere, & secundùm genera examinare testimonia sub Alexandro facta, &

omnibus

omnibus Ptolemæis, & quæ à senatu constituta sunt, necnon & maximis Romanis imperatoribus. Si verò Germanicus frumenta cunctis in Alexandria commorantibus metiri non potuit, hoc indicium est sterilitatis ac penuriæ frumentorum, non accusatio Iudæorum. Quid enim sentiant omnes imperatores de Iudæis in Alexandria commorantibus, palàm est. nam administratio tritici nihilo magis ab eis, quàm ab aliis Alexandrinis translata est. Maximam verò eis fidem olim à regibus datam conseruare, id est, fluminis custodiam, totiúsque custodiæ, nequaquam his rebus indigenos esse iudicantes. Sed super hoc: quomodo ergo, inquit, si sunt ciues, eosdem deos, quos Alexandrini non colunt? Cui respondeo. Quomodo etiam, cùm vos sitis Ægyptij, inter alterutros prælio magno & sine fœdere de religione contenditis? aut certè propterea non vos omnes dicimus Ægyptios, & neque communiter homines, quoniam bestias aduersantes naturæ colitis, multa diligentia nutrientes? cùm genus vtique nostrorum vnum atque idem esse videatur. Si autem in vobis Ægyptiis tantæ differentiæ opinionum sunt, quid miraris super his, qui aliunde in Alexandriam aduenerunt, si legibus à principio constitutis, circa talia permansêre? Is autem seditionis causa nobis apponit: qui si cum veritate ob hoc accusat Iudæos in Alexandria constitutos, cur omnes non culpare possit, eo quòd noscamur habere concordiam? Porrò etiam seditionis autores, quilibet inueniet Apionis similes Alexandrinorum fuisse ciues. Donec enim Græci fuêre & Macedones hanc ciuitatem habentes, nullam seditionem aduersus nos gessêre, sed antiquis cessêre solennitatibus. Cùm verò multitudo Ægyptiorum creuisset inter eos, propter confusiones temporum, etiam hoc opus semper est additum. Nostrum verò genus permansit purum. Ipsi igitur molestiæ huius fuêre principium, nequaquam populo Macedonicam habente constantiam, neque prudentiam Græcam: sed cunctis scilicet vtentibus malis moribus Ægyptiorum, & antiquas inimicitias aduersum nos exercentibus. E diuerso namque factum est quod nobis improperare præsumunt. nam cùm plurimi eorum non opportunè ius eius ciuitatis obtineant, peregrinos vocant eos, qui hoc priuilegium ad omnes impetrasse noscuntur. Nam Ægyptiis neque regum quisquam videtur ius ciuitatis fuisse largitus: neque nunc quilibet imperatorem. Nos autem Alexander quidem introduxit, reges autem auxêre, Romani verò semper custodire dignati sunt. Itaque derogare nobis Apion voluit, quia imperatorum non statuamus imagines, tanquam illis hoc ignorantibus, aut defensione Apionis indigentibus: cùm potiùs debuerit admirari magnanimitatem modestiámque Romanorum, quoniam subiectos non cogunt patria iura transcendere: sed suscipiunt honores, sicut dare offerentes pium atque legitimum est. Non enim honoribus gratiam habent, qui ex necessitate & violentia conferuntur. Græcis itaque & aliis quibusdam, bonum esse creditur imagines instituêre. Denique & patrum & vxorum filiorú[m]que figuras depingentes exultant, quidam verò etiam nihil sibi competentium sumunt imagines. alij verò & seruos diligentes, hoc faciunt. Quid ergo mirum est, si etiam principibus ac dominis hunc honorem præbere videantur? Porrò autem legislator, non quasi prophetans Romanorum potentiam non honorandam, sed tanquam causam neque Deo neque hominibus vtilem despiciens, & quoniam totius animati, multò magis Dei inanimati, probatur hoc inferius, interdixit imagines fabricare. aliis autem honoribus post Deum colendos non prohibuit viros bonos, quibus nos & imperatores & popul. Roman. dignitatibus ampliamus. Facimus autem pro eis continua sacrificia: & non solùm quotidianis diebus ex impensa communi omnium Iudæorum talia celebramus: verùm cùm nullas alias hostias ex communi, neque pro filiis peragamus, solis imperatoribus hunc honorem præcipuum pariter exhibemus, quem hominum nulli persoluimus. Hæc itaque communiter satisfactio posita sit aduersus Apionem pro his, quæ de Alexandria dicta sunt. Admiror autem etiam eos, qui ei huiusmodi fomitem præbuêre, id est, Posidonium & Apollinium Molonis: quoniam accusant quidem nos, quare nos eosdem deos cum aliis non colimus: mentientes autem pariter, & de nostro templo blasphemias componentes incongruas, non se putant impiè agere: cùm sit valdè turpissimum liberis, qualibet ratione mentiri, multò magis de templo apud cunctos homines nominato, tanta sanctitate pollente. In hoc enim sacrario Apion præsumpsit edicere, asini caput collocasse Iudæos, & id colere, ac dignum facere tanta religione: & hoc affirmat fuisse depalatum, dum Antiochus Epiphanes & expoliasset templum, & illud caput inuenisset ex auro compositum multis pecuniis dignum. Ad hoc igitur primùm quidem respondeo, quoniam Ægyptius vel si aliquid tale apud nos fuisset, nequaquam debuerat increpare, cùm non sit deterior asinus furonibus & hircis & aliis, qui sunt apud eos dij. Deinde quomodo non intellexit, operibus increpatus de incredibili suo mendacio. Legibus namque semper vtimur iisdem: in quibus sine fine consistimus. Et cùm varij casus nostram ciuitatem, sicut etiam aliorum vexauerint, & Theos ac Pompeius Magnus, ac Licinius Crassus, & ad nouissimum Titus Cæsar, bello vincentes obtinuerint templum, nihil huiusmodi illic inuenêre: sed purissimam pietatem, de qua nihil nobis est apud alios effabile. Quia verò Antiochus neque iustam fecit templi deprædationem, sed egestate pecuniarum ad hoc accessit, cùm non esset hostis, & socios insuper nos suos & amicos aggressus est, nec aliquid dignum derisione illic inuenit, multi & digni conscriptores super hoc quoque testantur: Polybius Megalopolitanus, Strabo Cappadox, Nicolaus Damascenus, Timagenes, & Castor chronographus, Apollodorus: qui omnes dicunt pecuniis indigentem Antiochum transgressum fœdera Iudæorum, & spoliasse templum auro argentóque plenum. Hæc igitur Apion debuit respicere, nisi cor asini ipse potius habuisset, & impudentiam canis, qui apud ipsos assolet coli: neque enim extrinsecus alia ratiocinatione mentitus est. Nos itaque asinis neque honorem neque potestatem aliquam damus, sicut Ægyptij crocodilis & aspidibus: quando eos, qui ab istis mordentur, & à crocodilis rapiuntur, felices & Deo dignos arbitrantur. Sed sunt apud nos asini, quod apud alios sapientes viros, onera sibimet imposita sustinentes. Et si ad

areas accedentes comedant, aut proposita non adimpleant, multas valdè plagas accipiunt, quippe operibus & ad agriculturam rebus necessariis ministrantes. sed aut omnium rudissimus fuit Apion ad componendum verba fallacia, aut certè ex rebus initia sumens, hæc implere non valuit, quando nulla potest contra nos blasphemia prouenire. Alteram verò fabulam, derogatione nostra plenam, de Græcis apposuit: de quo hoc dicere sat erit, quoniam qui de pietate loqui præsumunt, oportet eos non ignorare minus esse immundum per templa transire, quàm sacerdotibus scelesta verba confingere. Isti verò magis studuêre defendere sacrilegum regem, quàm iusta & veracia de nostris & de templo conscribere. Volentes enim Antiocho gratificari & perfidiam ac sacrilegium eius tegere, quo circa gentem nostram est vsus propter egestatem pecuniarum, detrahentes nobis etiam quæ in futuris essent, mentiti sunt. Propheta verò aliorum factus est Apion, & dixit Antiochum in templo inuenisse lectum & hominem in eo iacentem, & appositam ei mensulam maritimis terrenísque volatilium dapibus plenam, & quòd obstupuisset his homo. Illum verò mox adorasse regis ingressum, tanquam maximam sibi opem præbituri: ac procidentem ad eius genua, extensa dextera poposcisse libertatem: & iubente rege vt consideret, & diceret quis esset, vel cur ibidem habitaret, vel quę esset causa ciborum eius, tunc hominem cum gemitu & lacrymis lamentabiliter suam narrasse necessitatem. Ait, inquit, esse se Græcum: & dum peragraret prouinciam parandi victus causa, correptum se subitò ab alienigenis hominibus, atque deductum ad templum, & inclusum illic, & à nullo conspici, sed cuncta dapium apparatione saginari. Et primùm quidem hæc sibi inopinabilia beneficia visa attulisse lætitiam: deinde suspicionem, postea stuporem: postremùm consulentem à ministris ad se accedentibus audisse legem ineffabilem Iudæorum, pro qua nutriebatur: & hoc illos facere singulis annis quodam tempore constituto. Et comprehendere quidem Græcum peregrinum, eúmque annuo tempore saginare, & deductum ad quandam syluam, occidere quidem eum hominem, eiúsque corpus sacrificare secundùm suas solennitates, & gustare ex eius visceribus, & iusiurandum facere in immolatione Græci, vt inimicitias contra Græcos haberent: & tunc in quandam foueam reliqua hominis pereuntis abiicere. Deinde refert eum dixisse, paucos iam dies debitos sibimet superesse, atque rogasse, vt reueritus Græcorum deos, & superans in suos sanguine insidias Iudæorum, de malis eum circunstantibus deliberaret. Huiusmodi ergo fabula non tantùm omni tragœdia plenissima est, sed etiam crudeli impudentia redundat. Non tamen à sacrilegio priuat Antiochum, sicut arbitrati sunt, qui hæc ad illius gratiam conscripsêre. Non enim præsumpsit aliquid tale, vt ad templum accederet: sed sic inuenit non sperans. Fuit ergo voluntatibus iniquis impius, & nihilominùs sine Deo, quicquid iussit mendacij superfluitas, quam ex ipsa re cognoscere valdè facillimum est. Non enim circa solos Græcos discordia legum esse dignoscitur, sed maximè aduersus Ægyptios & plurimos alios. Cuius enim regionis homines non contigit aliquando apud nos peregrinari? vt aduersus solos Græcos renouata coniuratione per effusionem sanguinis ageremus: vel quomodo possibile, vt ad has hostias omnes Iudæi colligerentur, & tantis millibus ad gustandum viscera illa sufficerent, sicut ait Apion? vel cur inuentum hominem quicunque fuit (non enim suo nomine conscripsit) aut quomodo eum in suam patriam rex non cum pompa deduxit? dum posset hoc faciens, ipse quidem putari pius, & Græcorum amator eximius, assumere verò contra Iudæorum odium auxilia magna cunctorum. Sed hæc relinquo: insensatos enim, non verbis, sed operibus decet arguere. Sciunt igitur omnes, qui vidêre constructionem templi nostri, qualis fuerit, & intransgressibilem eius purificationis integritatem. Quatuor enim porticus habuit in circuitu, & harum singulæ propriam secundùm legem habuêre custodiam. In exteriorem itaque ingredi licentia fuit omnibus etiam alienis: mulieres tantummodò menstruatæ transire prohibebantur. In secundam verò porticum cuncti Iudæi ingrediebantur, corúmque coniuges cùm essent ab omni pollutione mundæ. In tertiam, masculi Iudæorum mundi existentes atque purificati. In quartam autem sacerdotes, stolis induti sacerdotalibus. In adytum verò soli principes sacerdotum, propria stola circumamicti. Tanta verò est circa omnia prouidentia pietatis, vt secundùm quasdam horas sacerdotes ingredi constitutum sit. Manè etiam aperto templo oportebat facientes traditas hostias introire: & meridie rursus, dum clauderetur templum, denique ne vas quidem aliquod portari licèt in templum, sed erant in eo solummodò posita, altare, mensa, thuribulum, candelabrum, quæ omnia in lege conscripta sunt. Etenim nihil amplius neque mysteriorum aliquorum ineffabilium agitur, neque intus vlla epulatio administratur. Hæc enim quæ prædicta sunt, habent totius populi testimonium manifestum, rationémque gestorum. Licèt enim sint tribus quatuor sacerdotum, & harum tribuum singulæ habeant hominum plus quàm quinque millia, fit tamen obseruatio particulariter per dies certos: & his transactis, aliis succedentes ad sacrificia veniunt: & congregati in templum mediante die à præcedentibus claues templi, & ad numerum omnia vasa percipiunt, nulla re quæ ad cibum aut potum attineat in templum delata. Talia namque etiam ad altaria offerre prohibitum est, præter illa quæ ad sacrificia præparantur. Quid ergo Apionem dicimus, nisi nihil horum examinantem, verba incredula protulisse? Sed turpe est, historiæ veram notitiam si proferre grammaticus non possit. Et sciens templi nostri pietatem, hanc quidem prætermisit. Hominis autem Græci comprehensionem finxit, pabulum ineffabile, & ciborum opulentissimam claritatem: & peruios ingredientes, vbi nec nobilissimos Iudæorum licet intrare, nisi fuerint sacerdotes. Hæc ergo pessima est impietas, atque mendacium spontaneum, ad eorum seductionem, qui noluerunt discutere veritatem. Per ea siquidem mala ineffabilia, quæ prædicta sunt, nobis detrahere tentauêre. Rursúmque tanquam piissimus deridet, adiiciens fabulæ inania facta. Ait enim illum retulisse, dum bellum Iudæi contra Idumæos haberent longo quodam tempore, ex aliqua ciuitate

Idumæorum,

Idumæorum, qui in ea Apollinem colebat venisse ad Iudæos, cuius hominis nomen dicitur Zabidus, deinde eis promisisse traditurum se eis Apollinem Deum Doreníium: venturúmque illum ad nostrum templum, si omnes ascenderent, & adducerent omnem multitudinem Iudæorum. Zabidum verò fecisse quoddam machinamentum ligneum, & circumposuisse sibi, & in eo tres ordines infixisse lucernarum, & ita ambulasse, vt procul stantibus appareret, quasi stella per terram iter agens.

τὴν πορείαν ποιουμένων. τοὺς μὲν ἰουδαίους ὑπὸ τῆς παραδόξου τῆς θέας καταπεπληγμένους, πόῤῥω μὲν ὄντας ἡσυχίαν ἄγειν. τὸν δὲ ζάβιδον ἐπὶ πολλῆς ἡσυχίας εἰς τὸν ναὸν παρελθεῖν, καὶ τὴν χρυσῆν ἀποσῦραι τοῦ ἀκανθῶνος κεφαλὴν, οὕτω γὰρ ἀστειζόμενος γέγραφεν, καὶ πάλιν εἰς δῶραν κατὰ τάχος ἀπελθεῖν. ἆρ' οὖν καὶ ἡμεῖς ἂν εἴποιμεν, ὅτι τὸν ἀκανθῶνα τουτέστιν ἑαυτὸν ἀπίων ἐπιφορτίζει, καὶ ποιεῖ τῆς μωρολογίας ἅμα καὶ τῶν ψευσμάτων κατάγομον. καὶ γὰρ τόπους οὐκ ὄντας γράφει, καὶ πόλεις οὐκ εἰδὼς μετατίθησιν. ἡ μὲν γὰρ ἰδουμαία τῆς ἡμετέρας χώρας ἐστὶν ὅμορος, κατὰ γάζαν κειμένη, καὶ δῶρα ταύτης ἐστὶν οὐδεμία πόλις. τῆς μέντοι φοινίκης παρὰ τὸ καρμήλιον ὄρος δῶρα πόλις ὀνομάζεται, μηδὲν ἐπικοινωνοῦσα τοῖς ἀπίωνος φλυαρήμασι. τεσσάρων γὰρ ἡμερῶν ὁδὸν τῆς ἰδουμαίας ἀφέστηκεν. τί δ' ἡμῶν ἔτι κατηγορεῖ τὸ μὴ κοινοὺς ἔχειν τοῖς ἄλλοις θεοὺς, εἰ ῥᾳδίως οὕτως ἐπείσθησαν οἱ πατέρες ἡμῶν, ἥξειν τὸν ἀπόλλωνα πρὸς αὐτοὺς, καὶ μετὰ τῶν ἄστρων ἐπὶ τῆς γῆς ᾠήθησαν ὁρᾶν αὐτὸν περιπατοῦντα. λύχνον γὰρ οὐδέπω δῆλον ὅτι πρόσθεν ἑωράκασιν, οἱ τὰς τοσαύτας καὶ τηλικαύτας λυχνοκαΐας ἐπιτελοῦντες. ἀλλ' οὐδέ τις αὐτῷ βαδίζοντι κατὰ τὴν χώραν τῶν τοσούτων μυριάδων ὑπήντησεν. ἔρημα δὲ καὶ τὰ τείχη φυλάκων εὗρε πολέμου συνεστηκότος. ἐῶ τἄλλα. τοῦ ναοῦ δ' αἱ θύραι τὸ μὲν ὕψος ἦσαν ἑπτὰ πηχῶν, εἴκοσι δὲ τὸ πλάτος. κατάχρυσοι δὲ πᾶσαι καὶ μικροῦ δεῖν σφυρήλατοι. ταύτας ἔκλειον οὐκ ἐλάττους ὄντες ἄνδρες διακόσιοι καθ' ἑκάστην ἡμέραν, καὶ τὸ καταλιπεῖν ἠνοιγμένας ἦν ἀθέμιτον. ῥᾳδίως οὖν αὐτὰς ὁ λυχνοφόρος ἐκεῖνος ἠνέῳξεν ἂν ἀνοίξειν οἰόμενος, καὶ τὴν τοῦ ἀκανθῶνος ὡς ᾤετο κεφαλὴν ἔχων. πότερον οὖν αὐτὴν πάλιν ὡς ἡμᾶς ἀνέστρεψεν, ἢ λαβὼν ἀπίων αὐτὴν εἰσεκόμισεν, ἵν' ἀντίοχος εὕρῃ πρὸς δευτέραν ἀπίωνι μυθολογίαν. καταψεύδεται δὲ καὶ ὅρκον ἡμῶν, ὡς ὀμνυόντων τὸν θεὸν, τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, μηδενὶ εὐνοήσειν ἀλλοφύλῳ, μάλιστα δὲ ἕλλησιν. ἔδει δὲ καταψευδόμενον ἅπαξ εἰπεῖν, μηδενὶ εὐνοήσειν ἀλλοφύλῳ, μάλιστα δ' αἰγυπτίοις. οὕτω γὰρ ἂν τοῖς ἐξ ἀρχῆς αὐτοῦ πλάσμασιν ἥρμοττεν τὰ περὶ τὸν ὅρκον, εἴπερ ἦσαν ὑπὸ αἰγυπτίων τῶν συγγενῶν οἱ πατέρες ἡμῶν, οὐχὶ διὰ πονηρίαν, ἀλλ' ἐπὶ συμφοραῖς ἐξεληλαμένοι. τῶν ἑλλήνων δὲ πλέον τοῖς τόποις ἢ τοῖς ἐπιτηδεύμασιν ἀφεστήκαμεν, ὥς τε μηδεμίαν ἡμῖν εἶναι πρὸς αὐτοὺς ἔχθραν μηδὲ ζηλοτυπίαν. τοὐναντίον μέν τοι πολλοὶ παρ' αὐτῶν εἰς τοὺς ἡμετέρους νόμους συνέβησαν εἰσελθεῖν· καὶ τινὲς μὲν ἔμειναν· εἰσὶ δ' οἳ τὴν καρτερίαν οὐχ ὑπομείναντες, πάλιν ἀπέστησαν. καὶ τοῦτον οὐδεὶς πώποτε τὸν ὅρκον εἶπεν ἀκοῦσαι παρ' ἡμῖν ὠμοσμένον, ἀλλὰ μόνος ἀπίων ὡς ἔοικεν ἤκουσεν. αὐτὸς γὰρ ὁ συνθεὶς αὐτὸν ἦν. σφόδρα τοίνυν τῆς πολλῆς συνέσεως,

A Porrò Iudeos inopinabili visione obstupuisse, & longè constitutos tenuisse silentium. Zabidum verò multa quiete ad templum venisse, & aureum detraxisse asini caput (sic enim vrbanè conscribit) & rursus Doram velociter aduenisse. Igitur & nos dicere possumus, quia asinum, hoc est semetipsum Apion grauat, & facit stulticia simul & mendaciis oneratum. Loca namque quæ non sunt, conscribit: & ciuitates nesciēs transfert. Idumęa enim prouin-B ciæ nostræ confinis est, posita iuxta Gazam, & nulla ciuitas huius Dora nuncupatur. In Phœnice verò iuxta montem Carmelum Dora ciuitas appellatur, in nullo concordans Apionis oblocutionibus. Quatuor enim dierum itinêre procul est à Iudæa. Cur itaque nos rursus accusat, eo quòd nō habeamus communes cum aliis deos, si sic facilè credidêre patres nostri ad se venturum Apollinem, & cum Stellis eum ambulare super terram putauêre? Lucer-C nam enim prius nunquam vidêre scilicet, qui tot & tanta concelebrant candelabra. Sed nec aliquis ei ambulanti per prouinciam ex tantis millibus obuiauit. Desolatos etiā vicos custodibus comperit, & hoc tempore belli. Cætera iam relinquo. Ianuæ verò templi altitudine quidem erant cubitorum L X. latitudine verò XX. omnes deauratæ, & pene auro puro confectæ. Has claudebant non minus quàm viri ducēti diebus singulis, & relinquere eas aper-D tas, nefandum nimis erat. facilè igitur eas lucernifer ille aperuisse creditur, qui solus etiam habuisse asini caput æstimabatur: quapropter dubium est, vtrum hoc caput Zabidus denuò reuocauit: an certè sumens Apion, introduxit in templum, vt Antiochus inueniret, vt secundo Apioni aliquam mentiendi daret occasionem. Mentitur autem & de iuramēto, quod iuremus per Deū factorē cæli & terræ & maris, nulli Iudæos fauturos alienigenæ, & ma-E ximè Græcis. Oportebat autem mentientem absolutè dicere, nulli fauturos alienigenæ, & magis Ægyptiis: sic etenim ab initio poterant eius figmenta de iureiurando congruére, si ab Ægyptiis vtique patres nostri nō propter malignitatem suam, sed propter calamitates expulsi sunt. A Græcis autem plus locis quàm studiis sumus abiūcti, ita vt nullæ inter nos & illos inimicitiæ & æmulationes esse noscātur. E diuerso namq; multos eorum ad nostras le-F ges contigit accessisse, quorum quidam permansêre, quidam verò perdurare non ferentes, denuò recessêre. Hoc tamen iusiurandum nunquam se quisquam audisse meminit apud nos habitum, sed solus Apion (vt videtur) audiuit. Ipse nāq. id cōposuit. Magna ergo admiratione eximia Apionis prudētia, vel ob hoc quod mox dicetur, digna est. Hoc enim esse affirmat indiciū, quia neque legibus iustis vtamur, nec Deū colam⁹ vt cōuenit, quòd diuersis gentibus

καὶ ἐπὶ τῷ μέλλοντι ῥηθήσεσθαι θαυμάζειν ἄξιόν ἐστιν ἀπίωνα. τεκμήριον γὰρ εἶναί φησι τοῦ μήτε νόμοις ἡμᾶς χρῆσθαι δικαίοις, μήτε τὸν θεὸν εὐσεβεῖν ὡς προσῆκεν, τὸ μὴ ἄρχειν, δουλεύειν δὲ μᾶλλον ἔθνεσι

seruiamus, & calamitates quasdam circa ciuitatem sustineamus, cùm vtique principalis ciuitas Romanorum sit, cuius ciues solis ab initio regnare atque non seruire consueuerunt. Quis etenim horum magnanimitati valeat obsistere? Nullus etenim aliorum potest dicere sermonem quem Apion locutus est, quando paucis contigit in principatu continuè præsidere, & non rursus aliis facta mutatione seruire. Plurimæ namque gentes aliis obedire coactæ sunt: soli autem Ægyptij, eo quòd refugiát (sicut aiunt) in eorum prouinciam dij, atque saluentur migrantes in effigies bestiarum, honorem præcipuum inuenerunt, vt nulli famularentur horum, qui Asiam Europámque tenuêre, qui scilicet vnam diem ex æuo totius seculi non habuêre libertatem, neque apud indigenas dominos, neque apud externos. Nam quemadmodum eis vsi sint Persæ non semel solummodo, sed frequenter vastantes vrbes, templa euertentes, putatos apud eos interficientes deos, improperare non studeo. Non enim conuenit stulticiam nos indocti Apionis imitari: qui neque casus Atheniensium, neque Lacedæmoniorum animo suo concepit, quorum hos quidem fortissimos, illos religiosissimos, omnes affirmant. Taceo reges pietate celebres, inter quos Crœsum, quàm diuersis vitæ sunt calamitatibus sauciati. Taceo incensam Atheniensium arcem, templum Ephesinum & Delphicum, aliáque multa: hic nemo calamitatem passis, sed potiùs inferentibus intulit improperia. Nouus autem accusator nostrorum Apion inuentus est, malorum suorum apud Ægyptum gestorum prorsus oblitus. Sed Sesostris eum, quem refert fabula regem fuisse Ægypti, vt creditur, excæcauit. Verumtamen possumus & nos dicere nostros reges Dauid & Solomonem, qui multas subdidêre gentes. Sed de his modò supersedédũ est: quę verò cunctis nota sunt, Apion modis omnibus ignorauit: quoniã Persis, & post illos principib. Asię Macedonibus, Ægyptij quidem seruiêre, nihil differentes à famulis. Nos autem liberi consistentes, etiam ciuitatum in circuitu positarum tenuimus principatum, annis viginti & cẽtum, vsque ad Pompeium Magnum. Et dum vniuersi reges sunt expugnati à Romanis, omnium soli propter fidem suam maiores nostri & socij & amici fuêre. Sed viros mirabiles nõ præbuimus, velut quarundam artium inuentores, & sapientia præcellentes: & inter hos enumerat Socratem, & Zenonem, & Cleanthem, & alios huiusmodi. Deinde quod potiùs est mirandum, semetipsum his adiecit & beatificat Alexãdriam, quia ciuem talem habere meruit, quod risu facit. Oportebat enim vt ipse sui testis existeret, qui aliis omnibus sic importunus & callidus esse videbatur, & vita verbóq; corruptus. Quapropter rectè quilibet Alexandriæ cõdolebit, si super isto aliquid magni sapuerit. De viris autem qui fuêre apud nos titulo nullo laudis inferiores, sciũt qui voluerũt nostræ antiquitatis libris incumbere. Reliqua verò quæ in accusatione conscripta sunt, dignum erat fortè sine satisfactione relinquere, vt ipse sui potiùs & aliorum Ægyptiorum accusator extaret. Queritur enim eo quòd animalia consueta sacrificemus, & non vescamur carnibus suillis:

A καὶ ἄλλοτε ἄλλοις, καὶ τὸ κεχύσθαι συμφοραῖς τισι περὶ τὴν πόλιν αὐτῶν, δηλονότι πόλεως ἡγεμονικωτάτης ἐκ τῶν αἰῶθεν ἀρχῶν, ἀλλὰ μὴ ῥωμαίοις δουλεύειν συνηθισμένων. καὶ τοι τούτων ἂν τις ἀπόσχοιτο τοιαύτης μεγαλοψυχίας. τῶν μὲν γὰρ ἄλλων οὐκ ἔστιν ὅστις ἀνθρώπων οὐχ ἱκανῶς καθ᾽ αὑτοῦ φαίη τοῦτον ὑπ᾽ ἀπίωνος λεγέσθαι τὸν λόγον. ὀλίγοις μὲν γὰρ ὑπῆρξεν ἐφ᾽ ἡγεμονίας διὰ καιροπλείας γενέσθαι, καὶ τούτους αἱ μεταβολαὶ πάλιν

B ἄλλοις δουλεύειν ὑπέζευξαν. τὸ πλεῖστον δὲ φῦλον ἄλλων ὑπήκοον πολλάκις, αἰγύπτιοι δ᾽ ἄρα μόνοι διὰ τὸ καταφυγεῖν ὥς φησιν εἰς τὴν χώραν αὐτῶν τοὺς θεοὺς, καὶ σωθῆναι μεταβαλόντας εἰς μορφὰς θηρίων, ἐξαίρετον γέρας εὕροντο τὸ μηδενὶ δουλεύειν τῶν τῆς ἀσίας, ἢ τῆς εὐρώπης κρατησάντων. οἱ μίαν ἡμέραν ἐκ τοῦ παντὸς αἰῶνος ἐλευθερίας οὐ τυχόντες φαίνονται, ἀλλ᾽ οὐδὲ παρὰ τῶν οἰκοδεσποτῶν. ἐν τινα μὲν γὰρ αὐτοῖς ἐχρήσαντο

C πέρσαι τρόπον, οὐχ ἅπαξ μόνον, ἀλλὰ καὶ πολλάκις πορθοῦντες τὰς πόλεις, ἱερὰ κατασκάπτοντες, τοὺς παρ᾽ αὐτῶν νομιζομένους θεοὺς κατασφάζοντες, οὐκ ἂν ὀνειδίσαιμι. μιμεῖσθαι γὰρ οὐ προσήκειν καὶ ἀπίωνος ἀπαιδευσίαν, ὃς οὔτε τὰς ἀθηναίων τύχας, οὔτε τὰς λακεδαιμονίων ἐνενόησεν, ὧν τοὺς μὲν ἀνδρειοτάτους, τοὺς δὲ εὐσεβεστάτους τῶν ἑλλήνων ἅπαντες λέγουσιν. ἐῶ βασιλέας τοὺς ἐπ᾽ εὐσεβείᾳ διαβοηθέντας, ὧν ἕνα κροῖσον, οἵαις ἐχρήσαντο συμφοραῖς βίου. ἐῶ τὴν καταπρησθεῖσαν

D ἀθηναίων ἀκρόπολιν, τὸν ἐν ἐφέσῳ ναὸν, τὸν ἐν δελφοῖς, ἄλλους μυρίους, καὶ οὐδεὶς ὠνείδισε ταῦτα τοῖς παθοῦσιν, ἀλλὰ τοῖς δράσασι. καινὸς δὲ κατήγορος ἡμῶν ἀπίων εὑρέθη, τῶν ἰδίων αὐτοῦ περὶ τὴν αἴγυπτον κακῶν ἐκλαθόμενος. ἀλλὰ σέσωστρις αὐτὸν ὁ μυθευόμενος αἰγύπτου βασιλεὺς ἐτύφλωσεν. ἡμεῖς δὲ τοὺς ἡμετέρους οὐκ ἂν εἴποιμεν βασιλέας, δαυίδην καὶ σολομῶνα, πολλὰ περισσαμένους ἔθνη. τούτους μὲν οὖν παρα-

E λίπωμεν. τὰ δὲ γνώριμα πᾶσιν ἀπίων ἠγνόηκεν. ὅτι περσῶν καὶ μετ᾽ ἐκείνων ἡγουμένων τῆς ἀσίας μακεδόνων, αἰγύπτιοι μὲν ἐδούλευον ἀνδραπόδων οὐδὲν διαφέροντες. ἡμεῖς δὲ ὄντες ἐλεύθεροι, προσέτι καὶ τῶν πέριξ πόλεων ἤρχομεν, ἔτη σχεδὸν εἴκοσι που καὶ ἑκατὸν, μέχρι μάγνου πομπηίου. καὶ πάντων ἐκπολεμηθέντων πρὸς ῥωμαίων τῶν πανταχοῦ βασιλέων, μόνοι διὰ πίστιν οἱ παρ᾽ ἡμῖν σύμμαχοι καὶ φίλοι διεφυλάχθησαν. ἀλλὰ θαυμαστοὺς ἄνδρας οὐ παρεσχήκαμεν, οἷον τεχνῶν

F τινῶν εὑρετὰς, ἢ σοφίᾳ διαφέροντας. καὶ καταριθμεῖ σωκράτην καὶ ζήνωνα καὶ κλεάνθην καὶ τοιούτους τινάς. εἶτα τὸ θαυμασιώτατον τῶν εἰρημένων αὐτὸν ἑαυτὸν προστίθησι. καὶ μακαρίζει τὴν ἀλεξάνδρειαν, ὅτι τοιοῦτον ἔχει πολίτην. ἔδει γὰρ αὐτοῦ μάρτυρος ἑαυτοῦ. τοῖς μὲν γὰρ ἄλλοις ἅπασιν ὀχλαγωγὸς ἐδόκει πονηρὸς εἶναι, καὶ τὸν βίον καὶ τὸν λόγον διεφθαρμένος· ὥστε εἰκότως ἐλεήσαι τις ἂν τὴν ἀλεξάνδρειαν, εἴπερ ἐπὶ τούτῳ μέγα φρονεῖ. περὶ δὲ

G τῶν παρ᾽ ἡμῖν ἀνδρῶν γεγονότων, οὐδένες ἧττον ἐπαίνου τυγχάνειν ἀξίων, ἴσασιν οἱ ταῖς ἡμετέραις ἀρχαιολογίαις ἐντυγχάνοντες. τὰ δὲ λοιπὰ τῶν ἐν τῇ κατηγορίᾳ γεγραμμένων, ἄξιον ἦν ἴσως ἀναπολόγητα παραλιπεῖν, ἵν᾽ αὐτὸς αὐτοῦ καὶ τῶν ἄλλων αἰγυπτίων ᾖ ὁ κατήγορος. ἐγκαλεῖ γὰρ ὅτι ζῶα θύομεν, καὶ χοίρειον οὐκ ἐσθίομεν,

καὶ τὴν

καὶ τὴν τῶν αἰδοίων χλευάζει περιτομήν. τὸ μὲν οὖν περὶ τὴν τῶν ἡμέρων ζώων ἀναιρέσεως, κοινόν ἐστι καὶ πρὸς τοὺς ἄλλους ἀνθρώπους ἅπαντας. ἀπίων δὲ τοῖς θυσίαν ἐγκαλῶν, αὐτὸν ἐξήλεγξεν ὄντα τὸ γένος αἰγύπτιον. οὐ γὰρ ἂν ἕλλην ὢν ἢ μακεδὼν ἐχαλέπαινεν· οὗτοι γὰρ εὔχονται θύειν ἑκατόμβας τοῖς θεοῖς, καὶ χρῶνται τοῖς ἱερείοις πρὸς εὐωχίαν. καὶ οὐ διὰ τοῦτο συμβέβηκεν ἐρημωθῆναι τὸν κόσμον τῶν βοσκημάτων, ὅπερ ἀπίων ἔδεισεν. εἰ μέντοι τοῖς αἰγυπτίων ἤθεσιν ἠκολούθουν ἅπαντες, ἠρήμωτο μὲν ἂν ὁ κόσμος τῶν ἀνθρώπων. τῶν ἀγριωτάτων δὲ θηρίων ἐπληθύνθη, ἃ θεοὺς οὗτοι νομίζοντες ἐπιμελῶς ἐκτρέφουσι. καὶ μὴν εἴ τις αὐτὸν ἤρετο, τῶν πάντων αἰγυπτίων τίνας εἶναι καὶ σοφωτάτους καὶ θεοσεβεῖς νομίζει, πάντως ἂν ὡμολόγησε τοὺς ἱερεῖς. δύο γὰρ αὐτούς φησιν ὑπὸ τῶν βασιλέων ἐξ ἀρχῆς ταῦτα προστετάχθαι, τήν τε τῶν θεῶν θεραπείαν, καὶ τῆς σοφίας τὴν ἐπιμέλειαν. ἐκεῖνοι τοίνυν ἅπαντες καὶ περιτέμνονται, καὶ χοιρείων ἀπέχονται βρωμάτων. οὐ μὴν οὐδὲ τῶν ἄλλων αἰγυπτίων οὐδὲ εἷς συνθύει τοῖς θεοῖς. ἆρ' οὖν τυφλὸς ἦν τὸν νοῦν ἀπίων ὑπὲρ αἰγυπτίων ἡμᾶς λοιδορεῖν συνθέμενος, ἐκείνων δὲ κατηγορῶν, οἵγε μὴ μόνον χρῶνται τοῖς ὑπὸ τούτου λοιδορουμένοις ἔθεσιν, ἀλλὰ καὶ τοὺς ἄλλους ἐδίδαξαν περιτέμνεσθαι, καθάπερ εἴρηκεν ἡρόδοτος. ὅθεν εἰκότως μοι δοκεῖ, τῆς εἰς τοὺς πατρίους αὐτοῦ νόμους βλασφημίας, δοῦναι δίκην ἀπίων τὴν πρέπουσαν. περιετμήθη γὰρ ἐξ ἀνάγκης, ἑλκώσεως αὐτῷ περὶ τὸ αἰδοῖον γενομένης. καὶ μηδὲν ὠφεληθεὶς ὑπὸ τῆς περιτομῆς, ἀλλὰ σηπόμενος ἐν δειναῖς ὀδύναις ἀπέθανεν. δεῖ γὰρ τοὺς εὖ φρονοῦντας τοῖς μὲν οἰκείοις νόμοις περὶ τὴν εὐσέβειαν ἀκριβῶς ἐμμένειν, τοὺς δὲ τῶν ἄλλων μὴ λοιδορεῖν. ὁ δὲ τούτους μὲν ἔφυγε, τῶν ἡμετέρων δὲ κατεψεύσατο. τοῦτο μὲν ἀπίωνι τοῦ βίου τὸ τέλος ἐγένετο, καὶ τοῦτο παρ' ἡμῶν ἐνταῦθα τὸ πέρας ἔστω τοῦ λόγου. ἐπεὶ δὲ καὶ ἀπολλώνιος ὁ μόλων, καὶ λυσίμαχος, καί τινες ἄλλοι, τὰ μὲν ὑπ' ἀγνοίας, τὸ πλεῖστον δὲ κατὰ δυσμένειαν, περί τε τοῦ νομοθετήσαντος ἡμῖν μωσέως, καὶ περὶ τῶν νόμων πεποίηνται λόγους, οὔτε δικαίους οὔτε ἀληθεῖς, τὸν μὲν ὡς γόητα καὶ ἀπατεῶνα διαβάλλοντες, τοὺς νόμους δὲ κακίας ἡμῖν καὶ οὐδεμιᾶς ἀρετῆς φάσκοντες εἶναι διδασκάλους, βούλομαι συντόμως καὶ περὶ τῆς ὅλης ἡμῶν καταστάσεως τοῦ πολιτεύματος, καὶ περὶ τῶν κατὰ μέρος ὡς ἂν ὦ δυνατὸς εἰπεῖν. οἶμαι γὰρ ἔσεσθαι φανερόν, ὅτι καὶ πρὸς εὐσέβειαν, καὶ πρὸς κοινωνίαν τὴν μετ' ἀλλήλων, καὶ πρὸς τὴν καθόλου φιλανθρωπίαν, ἔτι δὲ πρὸς δικαιοσύνην καὶ τὴν ἐν τοῖς πόνοις καρτερίαν, καὶ θανάτου περιφρόνησιν ἄριστα κειμένους ἔχομεν τοὺς νόμους. παρακαλῶ δὲ τοὺς ἐντευξομένους τῇ γραφῇ, μὴ μετὰ φθόνου ποιεῖσθαι τὴν ἀνάγνωσιν. οὐ γὰρ ἐγκώμιον ἡμῶν αὐτῶν προειλόμην συγγράφειν, ἀλλὰ πολλὰ καὶ ψευδῆ κατηγορημένοις ἡμῖν, ταύτην ἀπολογίαν δικαιοτάτην εἶναι νομίζω, τὴν ἀπὸ τῶν νόμων, καθ' οὓς ζῶντες διατελοῦμεν. ἄλλως τε καὶ τὴν κατηγορίαν ὁ ἀπολλώνιος οὐκ ἀθρόαν ὥσπερ ὁ ἀπίων ἔταξεν, ἀλλὰ σποράδην. καὶ διὰ πάσης τῆς συγγραφῆς ποτὲ μὲν ὡς ἀθέους καὶ μισανθρώπους λοιδορεῖ, ποτὲ δ' αὖ δειλίαν ἡμῖν ὀνειδίζει. καὶ τοὔμπαλιν ἔστιν ὅπου τόλμαν κατηγορεῖ καὶ ἀπόνοιαν. λέγει δὲ καὶ ἀφυεστάτους εἶναι τῶν βαρβάρων, καὶ διὰ τοῦτο μηδὲν εἰς τὸν βίον εὕρημα συμβεβλῆσθαι μόνους. ταῦτα δὲ πάντα διελεγχθήσεσθαι νομίζω σαφῶς,

ſed & circuncisionem genitalium vehementer irridet. De noſtrorum quidem animalium peremptione, communio nobis eſt cum aliis hominibus vniuerſis. Apion autem ſacrificantes nos redarguens, indicat ſemetipſum genere eſſe Ægyptium. Non enim Græcus ſi eſſet aut Macedo, hoc moleſtè ferret. Iſti enim vouent ſacrificare hecatombas ſuis diis, & ſacerdotibus vtuntur ad epulas. Quæ cùm ita ſint, non propterea contigit mundum animalibus deſolari, quod Apion expauit. Qui tamen ſi ſolennitates Ægyptiorum ſequerentur, mundus deſertus quidem eſſet hominibus, ferociſſimis autem beſtiis impleretur: quas iſti iudicantes deos, diligenter enutriunt. quòd ſi quis eum conſuleret, quos putaret omnium Ægyptiorum eſſe ſapientes atque deicolas, ſacerdotes ſine dubio fateretur. Hæc enim duo dicunt ſibimet ab initio à regibus eſſe præcepta, vt deos colant, & ſapientiam diligant: quod illi facere præcipuè iudicantur: qui tamen & circumciduntur omnes, & à porcinis abſtinent carnibus. Sed neque vllus alter Ægyptiorum cum eis diis ſacrificare dignoſcitur. Cæcus igitur fuit Apion quando pro Ægyptiis noſtras detractiones componens, illos videtur potiùs accuſare, qui nón ſolùm vtuntur ſolennitatibus, quas in nobis culpat iſte: ſed etiam alios circuncidi docent, ſicuti dixit Herodotus. Vnde rectè mihi videtur Apion, propter patriæ ſuæ leges pœnas dediſſe blaſphemiæ. Etenim neceſſariò circunciſo, circa genitalia vulnera ei facta nihil profuerunt, & putrefactis in magnis doloribus expirauit. Oportet enim bene ſapientes in legibus propriis circa pietatem integrè permanere, & aliorum minimè carpere. Iſte verò ſuas quidem leges effugit, de noſtris verò mentitus eſt. Hic itaque terminus vitæ fuit Apionis. Sed & noſter hic iam finem liber accipiet. Quoniam verò & Apollonius Molô, & Lyſimachus, & alij quidam, tam per ignorantiam quàm per inſaniam de legiſlatore noſtro Moſe, & legibus verba protulêre, nec iuſta, nec vera: dum illi quidem velut mago atque fallaci derogant, leges autem malitiæ apud nos nullíuſque virtutis affirmāt eſſe doctrices, volo breuiter & de omni cōuerſatione noſtra, & de particulari (ſicuti potero) proferre ſermonem. Reor enim fore manifeſtum, quia & ad pietatem & ad conuictum vniuerſalémque humanitatem, inſuper ad iuſtitiam laborúmque tolerantiam, & ad contemptū mortis optimas leges poſitas habeamus. Rogo tamē lecturos, vt non cum inuidia exequantur huius operis lectionem. Non enim propoſui laudes conſcribere noſtrorum: ſed aduerſus eos, qui nos plurimum & fallaciter accuſarunt, ſatisfactionem hanc puto eſſe iuſtiſſimam. Proinde accuſationem Apollonius non continuè, ſicut Apion, inſtituit, ſed diſperſim. Quippe qui aliquando quidem nos ſine Deo & hominibus odioſos appellat, aliquando verò formidinem nobis improperat: & è diuerſo, rurſus aliquando de audacia gentis noſtræ queritur. Dicit autem etiam ſtultiores Barbaris: & propterea nullum inuentū nos ſolos vitæ vtile reperiſſe. Hæc autē omnia manifeſtè redarguūtur

dum vniuersa contrà quàm ab eo sunt dicta, monstrantur & legibus imperata, & à nobis cum omni integritate gesta. Si verò coactus fuero facere mentionem legum contrariarum apud alios constitutarum, in culpa illi sunt, qui nostras solennitates tãquam peiores cum aliorum conferunt. Quibus neutrum puto remanere quod dicant: neque quia non eas habeamus leges, quarum ego capita & summas ad redarguendum positurus sum: neque quia non præcipuè in legibus propriis perduramus. Paulò ergo altiùs exorsus, volo primùm dicere, quòd eis qui sine lege & ordine viuunt, hi qui ordinis & communium legum amatores extiterunt, & primi hoc inchoauerunt, rectè mansuetudine atque virtute præstare dicendi sunt. Denique conantur singuli eorum gesta sua ad antiquitatem referre, vt non imitatores aliorum videantur existere, sed ipsi potiùs aliis legitimè viuendi duces fuisse. His igitur hunc in modum se habentibus, virtus legislatoris est meliora considerare: & his qui vsuri sunt legibus, quas posuerit, satisfacere, quia rectæ sunt. Populi verò est, vt in omnibus, quæ constituta sunt, perduret: & neque felicitate procedente, neq; calamitatibus aliquid horũ immutet. Dico igitur nostrorũ legislatorẽ, quoslibet qui memorantur legislatores antiquitate præcedere. Lycurgus enim & Solon, & Zaleucus Locrensis, & omnes qui apud Græcos mirabiles sunt, nouelli atque recentes, quantum ad illum comparati, esse noscuntur: quando nec ipsum nomen legis fuisse olim apud Græcos agnoscitur. Testis Homerus est, qui nusquam in opere suo hoc vsus est nomine. Nomen enim secundùm legem, sed indefinitis sententiis, & regum præceptionibus populus regebatur. Vnde etiam multo tempore permansêre, tantùm moribus vtentes, & non scripto, & multo horum semper secundùm euentum casuum permittentes. Noster verò legislator antiquus existens (hoc etenim vndique manifestum est, etiam apud eos clarum, qui semper contra nos loquuntur) & semetipsum præbuit optimum principem populorum consultorémque, & instructionem totius legis vitæ constringens, eis suasit hanc libenter excipere, & firmissimè inclyta scientia custodire. Primùm autem eius magnitudinis opera videamus. Ille namque progenitorum nostrorum relinquentium Ægyptum, & ad terram propriam remeantium, multa millia sumens, ex plurimis & impossibilibus rebus cautissimè liberauit: nam & inaquosam eos & multùm arenosam oportebat transire viam, bellàque deuincere: & filios ac vxores, prędámque bello seruare: in quibus dux egregius & consiliarius sapientissimus & tutor veracissimus fuit vniuersorum. Omnem siquidem multitudinem à semetipso pendere fecit, & cùm omnia quæ vellet persuadere posset, in nullo horum vindicauit sibimet potestatem: sed in quo maximè tempore potestatem sibimet arrogãt & tyrannidem præsules rerum, & populum frequenter plurima iniquitate viuere consuefaciũt, in hac ille potentia cõstitutus, è diuerso magis iudicauit agendum piè, & plurimam exhibere aliis ęquitatem, ipse virtutẽ præcipuã se credens cunctis ostendere, & salutem firmissimam pręberе

A εἰ τἀναντία τῶν εἰρημένων φανείη, διὰ τῶν νόμων ἡμῖν προστεταγμένα, καὶ πραττόμενα μετὰ πάσης ἀκριβείας ὑφ' ἡμῶν. εἰ δ' ἄρα βιασθείην μνησθῆναι τῶν παρ' ἑτέροις ὑπεναντίως νενομισμένων, τούτου δίκαιοι τὴν αἰτίαν ἔχειν εἰσίν, οἱ τὰ παρ' ἡμῖν ὡς χείρω παραβάλλειν ἀξιοῦντες. οἷς οὐδέτερον ἀπολειφθήσεσθαι νομίζω λέγειν, οὔθ' ὡς οὐχὶ τούτους ἔχομεν τοὺς νόμους, ἂν ἐγὼ παραθήσομαι τοὺς κεφαλαιωδεστάτους. οὔθ' ὡς B οὐχὶ μάλιστα πάντων ἐμμένομεν τοῖς ἑαυτῶν νόμοις. μικρὸν οὖν ἀναλαβὼν τὸν λόγον, τοῦτ' ἂν εἴποιμι πρῶτον. ὅτι τῶν ἀνόμως καὶ ἀτάκτως βιούντων, οἱ τάξεως καὶ νόμου ἐπιθυμηταὶ γενόμενοι, καὶ πρῶτοι κατάρξαντες, εἰκότως ἂν ἡμερότητι καὶ φύσεως ἀρετῇ διενεγκεῖν μαρτυρηθεῖεν. ἀμέλει πειρῶνται τὰ παρ' ἑαυτοῖς ἕκαστοι πρὸς τὸ ἀρχαιότατον ἀνάγειν, ἵνα μὴ μιμεῖσθαι δόξωσιν ἑτέρους, ἀλλ' αὐτοὶ τοῦ ζῆν νομίμως ἄλλοις ὑφηγήσασθαι. C τούτων δὲ τοῦτον ἐχόντων τὸν τρόπον ἀρετὴ μέν ἐστι νομοθέτου, τὰ βέλτιστα συνιδεῖν καὶ πεῖσαι τοὺς χρησομένους περὶ τῶν ὑπ' αὐτοῦ τιθεμένων. πλήθους δὲ, τὸ πᾶσι τοῖς δόξασιν ἐμμεῖναι, καὶ μήτε εὐτυχίαις μήτε συμφοραῖς αὐτῶν μηδὲν μεταβάλλειν. φημὶ τοίνυν τὸν ἡμέτερον νομοθέτην τῶν ὁπουδηποτοῦν μνημονευομένων νομοθετῶν προάγειν ἀρχαιότητι. λυκοῦργοι γὰρ καὶ σόλωνες, καὶ ζάλευκος ὁ τῶν λοκρῶν, καὶ πάντες οἱ θαυμαζόμενοι παρὰ τοῖς ἕλλησιν, ὡς ἐχθὲς δὴ καὶ πρώην, ὡς πρὸς D ἐκεῖνον παραβαλλόμενοι φαίνονται γεγονότες. ὅπου γε μηδ' αὐτὸ τοὔνομα πάλαι ἐγιγνώσκετο παρὰ τοῖς ἕλλησι. καὶ μάρτυς ὅμηρος οὐδαμοῦ τῆς ποιήσεως αὐτῷ χρησάμενος. οὐδὲ γὰρ ἦν κατ' αὐτὸν τοῦτο, ἀλλὰ γνώμαις ἀορίστως τὰ πλήθη διῳκεῖτο, καὶ προστάγμασι τῶν βασιλέων. ἀφ' οὗ καὶ μέχρι πολλοῦ διέμειναν ἔθεσιν ἀγράφοις χρώμενοι, καὶ πολλὰ τούτων ἀεὶ πρὸς τὸ συντυγχάνον μετατιθέντες. ὁ δ' ἡμέτερος νομοθέτης ἀρχαιότατος γεγονώς, τοῦτο γὰρ δήπουθεν ὁμολογεῖται καὶ παρὰ τοῖς πάν- E τα καθ' ἡμῶν λέγουσιν, ἑαυτόν τε παρέσχεν ἄριστον τοῖς πλήθεσιν ἡγεμόνα καὶ σύμβουλον. τὴν τε κατασκευὴν αὐτοῖς ὅλην τοῦ βίου τῷ νόμῳ περιλαβὼν, ἔπεισεν παραδέξασθαι, καὶ βεβαιοτάτην ἴσασι φυλαχθῆναι παρεσκεύασεν. ἴδωμεν δὲ τῶν ἔργων αὐτοῦ τὸ πρῶτον μεγαλεῖον. ἐκεῖνος γὰρ τοῖς προγόνοις ἡμῶν, ἐπείπερ ἔδοξεν αὐτοῖς τὴν αἴγυπτον ἐκλιποῦσιν, ἐπὶ τὴν πάτριον γῆν ἐπανιέναι, πολλὰς μυριάδας παραλαβὼν, ἐκ πολ- F λῶν καὶ ἀμηχάνων διέσωσεν εἰς ἀσφάλειαν. καὶ γὰρ τὴν ἄνυδρον αὐτοὺς καὶ πολλὴν ψάμμον ἔδει διοδοιπορῆσαι, καὶ νικῆσαι πολεμίους, καὶ τέκνα, καὶ γυναῖκας, καὶ λείαν ὁμοῦ σώζειν μαχομένους. ἐν οἷς ἅπασι καὶ στρατηγὸς ἄριστος ἐγένετο, καὶ σύμβουλος συνετώτατος, καὶ πάντων κηδεμὼν ἀληθέστατος. ἅπαν δὲ τὸ πλῆθος εἰς ἑαυτὸν ἀνηρτῆσθαι παρεσκεύασεν, καὶ περὶ παντὸς ἔχων πειθόντας αὐτοὺς τοῦ κελευθέντος, εἰς οὐδεμίαν οἰκείαν ἔλαβε ταῦτα πλεονεξίαν. ἀλλ' ἐν ᾧ G μάλιστα τοῦ καιροῦ δυνάμεις μὲν αὐτοῖς περιβάλλονται καὶ τυραννίδας οἱ προεστηκότες, ἐθίζουσι δὲ τὰ πλήθη μετὰ πολλῆς ἀνομίας, ἐν τούτῳ τῆς ἐξουσίας ἐκεῖνος καθεστηκὼς, τοὐναντίον ᾠήθη δεῖν εὐσεβεῖν, καὶ πολλὴν εὔνοιαν τοῖς λαοῖς ἐμπαρέχειν, οὕτως αὐτός τε τὰ μάλιστα τὴν ἀρετὴν ἐπιδείξειν τὴν αὑτοῦ νομίζων, καὶ σωτηρίας τοῖς αὐτὸν ἡγεμόνα ποιου-

ποιουμένοις βεβαιοτάτην παρέξειν. καλῶς οὖν αὐτῷ προαιρέσεως καὶ πράξεων μεγάλων ἐπιτυγχανομένων, εἰκότως ἐνομίζομεν ἡγεμόνα τε καὶ σύμβουλον θεῖον ἔχειν. καὶ πείσας πρότερον ἑαυτὸν, ὅτι κατὰ τὴν ἐκείνου βούλησιν ἅπαντα πράττει καὶ διανοεῖται, ταύτην ᾤετο δεῖν περὶ παντὸς ἐμποιῆσαι τὴν ὑπόληψιν τοῖς πλήθεσιν. οἱ γὰρ πιστεύσαντες ἐπισκοπεῖν θεὸν τοὺς ἑαυτῶν βίους, οὐδὲν ἀνέχονται ἐξαμαρτεῖν. τοιοῦτος μὲν δή τις αὐτὸς ἡμῶν ὁ νομοθέτης, οὐ γόης οὐδ᾽ ἀπατεών, ἅπερ λοιδοροῦντες λέγουσιν ἀδίκως, ἀλλ᾽ οἷον παρὰ τοῖς Ἕλλησιν αὐχοῦσιν τὸν Μίνω γεγονέναι, καὶ μετ᾽ αὐτὸν τοὺς ἄλλους νομοθέτας. οἱ μὲν γὰρ αὐτῶν τοὺς νόμους ὑποτίθενται. ὁ δέ γε Μίνως ἔλεγεν ὅτι εἰς τὸν Ἀπόλλω καὶ τὸ Δελφικὸν αὐτοῦ μαντεῖον τὰς τῶν νόμων μαντείας ἀνέφερεν, ἤτοι τἀληθὲς οὕτως ἔχειν νομίζοντες, ἢ πείσειν ῥᾷον ὑπολαμβάνοντες. τίς δ᾽ ἦν ὁ μάλιστα κατορθώσας τοὺς νόμους, καὶ τίς δικαιοτάτης περὶ τῆς τοῦ θεοῦ πίστεως ἐπιτυχὼν, πάρεστιν ἐξ αὐτῶν κατανοεῖν τῶν νόμων ἀντιβάλλοντας. ἤδη γὰρ περὶ τούτων λεκτέον. οὐκοῦν ἄπειροι μὲν αἱ κατὰ μέρος τῶν ἐθῶν καὶ τῶν νόμων παρὰ τοῖς ἅπασιν ἀνθρώποις διαφοραί. οἱ μὲν γὰρ μοναρχίαις, οἱ δὲ ταῖς ὀλίγων δυναστείαις, ἄλλοι δὲ τοῖς πλήθεσιν ἐπέτρεψαν τὴν ἐξουσίαν τῶν πολιτευμάτων. ὁ δ᾽ ἡμέτερος νομοθέτης εἰς μὲν τούτων οὐδοτιοῦν ἀπεῖδεν, ὡς δ᾽ ἄν τις εἴποι βιασάμενος τὸν λόγον, θεοκρατίαν ἀπέφηνε τὸ πολίτευμα, θεῷ μᾶλλον μόνῳ τὴν ἀρχὴν καὶ τὸ κράτος ἀναθεὶς, καὶ πείσας εἰς ἐκεῖνον ἅπαντας ἀφορᾶν, ὡς αἴτιον μὲν ἁπάντων ὄντα τῶν ἀγαθῶν, κοινῇ τε πᾶσιν ἀνθρώποις παρέχοντα καὶ ἰδίᾳ. καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ ὧν ἀπαγορεύσειεν, εἰς ἐκεῖνον ἀνάγει τὴν ἀπαγόρευσιν. καὶ οἱ μὲν τὸ δοκεῖν ἐδίδαξεν μὲν εἶναι θεὸν μονάρχην, μετ᾽ αὐτὸν δὲ θεούς τινας μυθολογίας ἀνεπλάσαντο, τὸ εἶναι αὐτοὶ δειθέντες ἀμηχανίᾳ, λαθεῖν τὴν ἐκείνου γνώμην οὐκ ἠδυνήθησαν. ἀλλ᾽ οὔτε τῶν πραττομένων οὐδὲν, οὔθ᾽ ὅσα ἄν τις παρ᾽ ἑαυτῷ διανοηθῇ. ἕνα γοῦν αὐτὸν ἀπέφηνεν ὁ ἡμέτερος νόμος ὂν πρεσβύτατον, ἀγένητον, ἀΐδιον, ἄχρονον, ἀναλλοίωτον, πάσης ἰδέας θνητῆς κάλλει διαφέροντα, καὶ δυνάμει μὲν μόνον ἡμῖν γνώριμον, ὁποῖος δὲ κατ᾽ οὐσίαν ἄγνωστον. ταῦτα περὶ θεοῦ φρονεῖν οἱ σοφώτατοι δοκοῦσι παρὰ τοῖς Ἕλλησι, μοναρχὴν ὡς ἐν παραδρομῇ ἀφιέντες. εἰ γὰρ θεὸς οὐ θεοὶ εἰδεῖ λέγειν τῇ ἀρχῇ φύσει τὰ καλά τε καὶ ἄξια, καὶ ὡς ἀληθῶς πρέποντα τῇ μεγαλειότητι τοῦ θεοῦ. καὶ ὅτι μὲν ἐδιδάχθησαν ἐκείνου τὰς ἀρχὰς παρασχόντος, ἐῶ νῦν λέγειν. ὅτι δὲ ἐστὶ καλὰ καὶ πρέποντα τῇ τοῦ θεοῦ φύσει καὶ μεγαλειότητι, σφόδρα μεμαρτυρήκασι. καὶ γὰρ Πυθαγόρας καὶ Ἀναξαγόρας καὶ Πλάτων, καὶ οἱ μετ᾽ ἐκείνους ἀπὸ τῆς στοᾶς φιλόσοφοι, καὶ μικροῦ δεῖν ἅπαντες οὕτω φαίνονται, περὶ τῆς τοῦ θεοῦ φύσεως πεφρονηκότες. ἀλλ᾽ οἱ μὲν πρὸς ὀλίγους φιλοσοφοῦντες εἰς πλῆθος δόξαις προκατειλημμένον, τὴν ἀλήθειαν τοῦ δόγματος ἐξενεγκεῖν οὐκ ἐτόλμησαν. ὁ δὲ ἡμέτερος νομοθέτης, ἅτε δὴ τὰ ἔργα παρέχων σύμφωνα τοῖς λόγοις, οὐ μόνον τοὺς καθ᾽ αὐτὸν ἔπεισεν, ἀλλὰ καὶ τοῖς ἐξ ἐκείνων ἀεὶ γενησομένοις τὴν περὶ θεοῦ πίστιν ἐνέφυσεν ἀμετακίνητον. αἴτιον δ᾽ ὅτι καὶ τῷ τρόπῳ τῆς νομοθεσίας πρὸς τὸ χρήσιμον πάντων ἀεὶ πολὺ διήνεγκεν. οὐ γὰρ μέρος τῆς ἀρετῆς ἐποίησε τὴν εὐσέβειαν, ἀλλὰ ταύτης τὰ μέρη τἄλλα συνεῖδε καὶ κατέστησε, λέγω δὲ τὴν δικαιοσύνην, τὴν καρτερίαν, τὴν σωφροσύνην, τὴν τῶν πολιτῶν πρὸς ἀλλήλους ἐν ἅπασι συμφωνίαν. ἅπασαι γὰρ αἱ πράξεις καὶ διατριβαὶ

A sequacibus bona voluntate. Ex maximis actibus in singulis casibus vsus est. Quapropter rectè iudicabat, ducem atque consultorem se Deum habere: & primitus sibimet satisfaciens: quia secundùm illius voluntatem vniuersa gereret atque tractaret, credidit modis omnibus oportere vt etiam apud plebem hæc opinio permaneret. Nam qui Deum respicere suam vitam credunt, delinquere non præsumunt. Huiusmodi quidem noster legislator B fuit, non magus, non fallax, sicut derogatores iniustè pronunciant: sed quales apud Græcos gloriantur fuisse Minoem & post eum legislatores alios. Namque quidam eorum leges positas à Ioue dicebant: alij verò eas in Apollinem & vaticinium Delphicum referebant, siue pro veritate hoc credentes, seu facile persuadendum iudicantes populo. Qui verò præcipuas leges instituerint, vel qui iustissimè de Dei fide cognouerint, licèt hoc ex i- C psis legibus facta comparatione conspicere. Iam enim de ipsis tempus est disputandi. Igitur infinitæ quidem particulatim gentium atque legum apud cunctos homines differentiæ sunt. Alij siquidem monarchis, alij verò populo potestatem reipublicæ commisêre. Noster verò legislator nihil horum intendens, veluti si quis hoc dicendo mensuram transcendat verbi, diuinam rempublicam declarauit: Deo principaliter côuersationem nostram at- D que potestatem excellenter assignans, & satisfaciens eum cunctos inspicere, tanquam causam bonorum omnium vniuersis hominibus existentem: & quecunque contingit eos in angustiis supplicasse, illius non latuisse voluntatem, neq; quicquã eorũ quæ gessêre, vel si quid aliquis apud semetipsum potuit cogitare. Vnũ verò eum esse monstrauit, & ingenitum, immutabilem per tempus, æternum, & omni specie mortali pulchritudine differentem, & ipsũ E nobis notum: qualis autem sit secundùm substantiam, prorsus ignotum. Hæc itaq; de Deo sapuerunt prudentissimi Græcorum: qui quidem quod eruditi sint, illo vtique sciendi præbente principia, nũc dicere prætermitto: quod autẽ hæc optima & congrua Dei naturæ atq; magnificentiæ sint, valde testantur. Pythagoras enim, & Anaxagoras, & Plato, & post illos philosophi Stoci, & penè cuncti, videntur de diuina sapuisse natura. Sed hi quidem F ad breue philosophantes, populo superstitionum opinionibus iam præoccupato veritatem dogmatis proferre timuêre. Noster verò legislator opera præbens consona verbis suis, non solùm his qui cum eo erant satisfecit, sed etiam qui ex illis semper erant nasciturі, hoc immutabiliter inspirauit: & causam legislationis ad vtilitatis modum semper adduxit. Non enim partem virtutis Dei cul- G turam dixit, sed huius partes alias esse perspexit atque constituit: hoc est fortitudinem, iustitiam, & mutuam, in omnibus ciuiũ concordiã. Cũctæ namque actiones & studia,

vniuersique sermones, ad diuinam referuntur per omnia pietatem. Non enim hoc inexaminatum aut indefinitum vlterius dereliquit. Duo siquidem sunt totius disciplinæ & moralis institutionis modi, quorũ vnus quidem sermone doctor est, alter verò exercitatione morum: quæ cùm ita sint, alij quidem legislatores sentiendo sunt discreti, & alterum horum modum sibi placitum assumentes, alterum reliquerunt. Sicuti Lacedæmonij quidem & Cretenses moribus erudiebantur, non verbis: Athenienses verò, & penè omnes alij Græci, quę quidem oportet agi præcipiebant suis legibus: assuescere verò ad hæc operibus minimè valuêre. Noster autem legislator hæc ambo multa diligentia coaptauit. Nam nec exercitationes morum omisit non traditas, neque leges sermone reliquit incomptas. Sed mox à primo inchoans cibo, & vnicuiq; diæta conueniente, nihil neque minimarum escarum sub potestate volũtatis vtentium dereliquit. Sed & de cibis conuenit abstineri, & qui sumendi sunt, vel quæ diæta communis esse videatur, necnon & de operibus labore simul & requie, terminum atque regulam posuit legem: quatenus veluti sub patre atq; domino viuentes, neque volentes quicquam neque per ignorãtiam delinquamus. Non enim ignorantibus pœnam posuit, sed optimam & necessariam correctionũ mõstrauit legẽ. Quapropter non semel audire, nec secundò vel sæpiùs: sed in vnaquaque septimana, alia opera relinquentes, ad legis auditionem congregari præcepit vniuersos, eámque perfectè condiscere, quod scilicet omnes legislatores reliquisse noscuntur. Et in tantum plurimi hominum absunt, vt secundùm proprias leges viuant, vt penè eas ignorent. Et cùm peccauerint, tunc agnoscunt ab aliis, quam legem probantur esse præuaricati. Sed etiam viri maxima cum gloria & principalia gubernantes, profitentur ignorationem. Doctos namque sibi faciunt assidere ad dispensationem rerum & peritiam legũ habentes. Nostrorũ verò quemlibet si quis leges interroget, faciliùs quã nomẽ suum recitat. Vniuersas quidem mox à primo sensu eas discentes, in animo velut inscriptas habemus. Et rariùs quidem quilibet trãsgreditur: impossibile autem est supplicium deuitare peccantem. Hoc itaque primum omniũ mirabilem consonantiã nobis instituit. nam vnã quidem habere & eandem de Deo sectam, vita verò ac moribus differre nihil abinuicem, optimã moribus hominum potest celebrare concordiam. apud nos etenim solos, neq; de Deo quilibet sermones audiet alterutris aduersarios, sicut multa similia apud alios fieri comprobantur: cùm non solùm à vulgaribus quod visum fuerit unicuique profertur, sed etiam apud quosdam philosophorum hoc crebrò præsumitur, quando alij quidem totam Dei naturam sermonibus perimere tentauêre. alij verò eius prouidentiam ab hominibus abstulêre: neq; in studiis vitæ differentia vlla cõspicitur, sed cõmunia quidẽ opera omniũ apud nos existunt: vnus verò de Deo sermo concors est, asserens illum cuncta respicere. Sed etiã de ipsius vitæ studiis, & quoniã oportet omnia alia

καὶ λόγοι πάντες, ἐπὶ τὴν πρὸς θεὸν ἡμῖν εὐσέβειαν ἔχουσι τὴν ἀναφοράν. οὐδὲν γὰρ τούτων ἀνεξέταστον οὐδὲ ἀόριστον παρέλιπεν. δύο μὲν γάρ εἰσιν ἁπάσης παιδείας τρόποι καὶ τῆς περὶ τὰ ἤθη κατασκευῆς, ὧν ὁ μὲν λόγων διδάσκαλος, ἕτερος δὲ ὁ διὰ πάσης ἀσκήσεως τῶν ἠθῶν. οἱ μὲν οὖν ἄλλοι νομοθέται ταῖς γνώμαις διέστησαν, καὶ τὸν ἕτερον αὐτῶν, ὃν ἔδοξεν ἕκαστοι ἑλόμενοι, τὸν ἄλλον παρέλιπον. οἷον Λακεδαιμόνιοι μὲν καὶ Κρῆτες ἔθεσιν ἐπαίδευον, οὐ λόγοις. Ἀθηναῖοι δὲ καὶ σχεδὸν οἱ ἄλλοι πάντες Ἕλληνες, ἃ μὲν χρὴ πράττειν ἢ μή, προσέτασσον διὰ τῶν νόμων, τοῦ δὲ πρὸς αὐτὰ διὰ τῶν ἔργων ἐθίζειν ὠλιγώρησαν. ὁ δ' ἡμέτερος νομοθέτης ἄμφω ταῦτα συνήρμοσε κατὰ πολλὴν ἐπιμέλειαν. οὔτε γὰρ κωφὴν ἀπέλιπε τὴν τῶν ἠθῶν ἄσκησιν, οὔτε τὸν ἐκ τοῦ λόγου νόμον ἄπρακτον εἴασεν. ἀλλ' εὐθὺς ἀπὸ πρώτης ἀρξάμενος τροφῆς, καὶ τῆς κατὰ τὸ οἰκεῖον ἑκάστῳ διαίτης, οὐδὲν οὔτε τῶν βραχυτάτων αὐτεξούσιον ἐπὶ ταῖς βουλήσεσι τῶν χρησομένων κατέλιπεν. ἀλλὰ καὶ περὶ σιτίων ὅσων ἀπέχεσθαι χρή, καὶ τίνα προσφέρεσθαι, καὶ περὶ τῶν κοινωνησόντων τῆς διαίτης, ἔργων τε συντονίας περὶ τὰς τέχνας, καὶ τοὔμπαλιν ἀναπαύσεως, ὅρον ἔθηκεν αὐτὸς καὶ κανόνα τὸν νόμον, ἵν' ὥσπερ ὑπὸ πατρὶ τούτῳ καὶ δεσπότῃ ζῶντες, μήτε βουλόμενοι μηδέν, μήθ' ὑπ' ἀγνοίας ἁμαρτάνωμεν. οὐδὲ γὰρ τὴν ἀπ' ἀγνοίας ἐπιτίμησιν ἠνέσχετο καταλιπεῖν, ἀλλὰ καὶ κάλλιστον καὶ ἀναγκαιότατον ἀπέδειξεν παίδευμα τὸν νόμον, οὐκ εἰσάπαξ ἀκροασομένους οὐδὲ δὶς ἢ πολλάκις, ἀλλ' ἑκάστης ἑβδομάδος τῶν ἔργων ἀφεμένους, ἐπὶ τὴν ἀκρόασιν τοῦ νόμου ἐκέλευσε συλλέγεσθαι καὶ τοῦτον ἀκριβῶς ἐκμανθάνειν· ὃ δὴ πάντες οἱ νομοθέται ἐοίκασι παραλιπεῖν. καὶ τοσοῦτον οἱ πλεῖστοι τῶν ἀνθρώπων ἀπέχουσι, τοῦ κατὰ τοὺς οἰκείους ζῆν νόμους, ὥστε σχεδὸν αὐτοὺς οὐκ ἴσασιν. ἀλλ' ὅταν ἐξαμάρτωσι, τότε παρ' ἄλλων μανθάνουσιν, ὅτι τὸν νόμον παραβεβήκασιν, οἵ τε τὰς μεγίστας καὶ κυριωτάτας ἀρχὰς διοικοῦντες ὁμολογοῦσι τὴν ἄγνοιαν. ἐπιστάτας γὰρ παρακαθίσαντες τῆς τῶν πραγμάτων οἰκονομίας, τοὺς ἐμπειρίαν ἔχειν τῶν νόμων ὑπισχνουμένους. ἡμῶν δ' ὁντινοῦν ἔτις ἔροιτο τοὺς νόμους, ῥᾷον ἂν εἴποι πάντα ἢ τοὔνομα τὸ ἑαυτοῦ. τοιγαροῦν ἀπὸ τῆς πρώτης εὐθὺς αἰσθήσεως αὐτοὺς ἐκμανθάνοντες, ἔχομεν ἐν ταῖς ψυχαῖς ἐγκεχαραγμένους. καὶ σπάνιος μὲν ὁ παραβαίνων, ἀδύνατος δ' ἡ τῆς κολάσεως παραίτησις. τοῦτο πρῶτον ἁπάντων τὴν θαυμαστὴν ὁμόνοιαν ἡμῖν ἐμπεποίηκεν. τὸ γὰρ μίαν μὲν ἔχειν καὶ τὴν αὐτὴν δόξαν περὶ θεοῦ, τῷ βίῳ δὲ καὶ τοῖς ἔθεσι μηδὲν ἀλλήλων διαφέρειν, καλλίστην ἐν ἤθεσιν ἀνθρώπων συμφωνίαν ἐπιτελεῖ. παρ' ἡμῖν γὰρ μόνοις, οὔτε περὶ τοῦ θεοῦ λόγους ἀκούσεταί τις ἀλλήλοις ὑπεναντίους, ὁποῖα πολλὰ παρ' ἑτέροις, οὐδ' ὑπὸ τῶν τυχόντων μόνον κατὰ τὸ προσπεσὸν ἑκάστῳ λέγεται πάθος, ἀλλὰ καὶ παρά τισι τῶν φιλοσόφων αὐτῶν τετόλμηται, τῶν μὲν τὴν ὅλην τοῦ θεοῦ φύσιν ἀναιρεῖν ἐπικεχειρηκότων, ἄλλων δὲ τὴν ὑπὲρ ἀνθρώπων αὐτοῦ πρόνοιαν ἀφαιρουμένων. οὔτ' ἐν τοῖς ἐπιτηδεύμασι τῶν βίων ὄψεται διαφοράν· ἀλλὰ κοινὰ μὲν ἔργα πάντων παρ' ἡμῖν· εἷς δὲ λόγος ὁμοῦ σύμφωνος περὶ θεοῦ, πάντα λέγων ἐκεῖνον ἐφορᾶν. καὶ μὴν περὶ τῶν κατὰ τὸν βίον ἐπιτηδευμάτων, ὅτι δεῖ πάντα τἄλλα

τέλος

τέλος ἔχειν τὴν εὐσέβειαν, καὶ γυναικῶν ἀκούσειεν ἄν τις καὶ τῶν οἰκετῶν. ὅθεν δὴ καὶ τὸ προσφερόμενον ἡμῖν ὑπό τινων ἔγκλημα, τὸ ἡ μὴ καινῶν εὑρετὰς ἔργων ἢ λόγων ἀνδρίας παρασχεῖν, ἐντεῦθεν συμβέβηκεν. οἱ μὲν γὰρ ἄλλοι τὸ μηδενὶ τῶν πατρίων ἐμμένειν, καλὸν εἶναι νομίζουσι, καὶ τοῖς μάλιστα τολμῶσι ταῦτα παραβαίνειν σοφίας δεινότητα μαρτυροῦσιν. ἡμεῖς δὲ τοὐναντίον μίαν εἶναι καὶ φρόνησιν καὶ ἀρετὴν ὑπειλήφαμεν, τὸ μηδὲν ὅλως ὑπεναντίον μήτε πρᾶξαι μήτε διανοηθῆναι τοῖς ἐξ ἀρχῆς νομοθετήσασιν. ὅπερ εἰκότως ἂν εἴη τεκμήριον τοῦ κάλλιστα τεθῆναι τὸν νόμον. τὰ γὰρ μὴ τοῦτον ἔχοντα τὸν τρόπον, αἱ πεῖραι δεόμενα διορθώσεως ἐλέγχουσιν. ἡμῖν δὲ τοῖς πεισθεῖσιν ἐξ ἀρχῆς τεθῆναι τὸν νόμον κατὰ θεοῦ βούλησιν, οὐδ' εὐσεβές ἐστι τοῦτο φυλάττειν. τί γὰρ αὐτῶν τις ἂν μετακινήσειεν, ἢ τί κάλλιον ἐξεύροι, ἢ τί παρ' ἑτέρων ὡς ἄμεινον ἐξενέγκοι; ἆρα γε τὴν ὅλην κατάστασιν τοῦ πολιτεύματος; καὶ τίς ἂν καλλίων ἢ δικαιοτέρα γένοιτο, τῆς θεὸν μὲν ἡγεμόνα τῶν ὅλων πεποιημένης, τοῖς ἱερεῦσι δὲ κοινῇ μὲν τὰ μέγιστα διοικεῖν ἐπιτρεπούσης, τῷ δὲ πάντων ἀρχιερεῖ πάλιν αὖ πεπιστευκυίας τὴν τῶν ἄλλων ἱερέων ἡγεμονίαν. οὓς οὐ κατὰ πλοῦτον, οὐδέ τισιν ἄλλαις προύχοντας αὐτομάτοις πλεονεξίαις, πρῶτον εὐθὺς ὁ νομοθέτης ἐπὶ τὴν τιμὴν ἔταξεν. ἀλλ' ὅσοι τῶν μετ' αὐτοῦ πειθοῖ τε καὶ σωφροσύνῃ τῶν ἄλλων διέφερον, τούτοις τὴν περὶ τὸν θεὸν μάλιστα θεραπείαν ἐνεχείρισε. τούτοις δ' ἦν καὶ τοῦ νόμου καὶ τῶν ἄλλων ἐπιτηδευμάτων ἀκριβὴς ἐπιμέλεια. καὶ γὰρ ἐπόπται πάντων καὶ δικασταὶ τῶν ἀμφισβητουμένων, καὶ κολασταὶ τῶν κατεγνωσμένων οἱ ἱερεῖς ἐτάχθησαν. τίς ἂν οὖν ἀρχὴ γένοιτο ταύτης ὁσιωτέρα; τίς δὲ θεῷ τιμὴ μᾶλλον ἁρμόζουσα; παντὸς μὲν τοῦ πλήθους κατεσκευασμένου πρὸς τὴν εὐσέβειαν, ἐξαίρετον δὲ τὴν ἐπιμέλειαν τῶν ἱερέων πεπιστευμένων, ὥσπερ δὲ τελετῆς τινος τῆς ὅλης πολιτείας οἰκονομουμένης. ἃ γὰρ ὀλίγων ἡμερῶν ἀριθμὸν ἐπιτηδεύοντες ἀλλόφυλοι φυλάττειν οὐ δύνανται, μυστήρια καὶ τελετὰς ὀνομάζοντες, μετὰ πολλῆς ἡδονῆς καὶ γνώμης ἀμεταπείστου φυλάττομεν ἡμεῖς διὰ τοῦ παντὸς αἰῶνος. τίνες οὖν εἰσιν αἱ προρρήσεις καὶ ἀπαγορεύσεις ἁπλαῖ τε καὶ γνώριμοι. πρώτη δὲ ἡγεῖται περὶ θεοῦ, λέγουσα, ὁ θεὸς ἔχει τὰ πάντα παντελὴς καὶ μακάριος, αὐτὸς αὑτῷ καὶ πᾶσιν αὐτάρκης, ἀρχὴ καὶ μέσα καὶ τέλος. οὗτος τῶν πάντων ἔργοις μὲν καὶ χάρισιν ἐναργὴς καὶ παντὸς οὑτινοσοῦν φανερώτερος, μορφήν τε καὶ μέγεθος ἡμῖν ἄφατος. πᾶσα μὲν γὰρ ὕλη πρὸς εἰκόνα τὴν τούτου ἀλλότριος, κἂν ἡ πολυτελής, ἄτιμος ἐστι πρὸς τὴν ἐκείνου δόξαν, καὶ πᾶσα τέχνη πρὸς μιμήσεως ἐπίνοιαν ἄτεχνος. οὐδὲν ὅμοιον οὔτ' ἐπινοοῦμεν, οὔτ' εἰκάζειν ἐστὶν ὅσιον. ἔργα βλέπομεν αὐτοῦ, φῶς, οὐρανόν, γῆν, ἥλιον καὶ σελήνην, ποταμοὺς καὶ θάλασσαν, ζώων γενέσεις, καρπῶν ἀναδόσεις. ταῦτα θεὸς ἐποίησεν οὐ χερσίν, οὐδὲ πόνοις, οὐδέ τινων συνεργασομένων ἐπιδεηθείς, ἀλλ' αὐτοῦ καλὰ θελήσαντος, καθὼς ἐβουλήθη εὐθὺς ἐγεγόνει. τοῦτον δεῖ πάντας ἀκολουθεῖν, καὶ θεραπεύειν ἀσκοῦντας ἀρετήν. τρόπος γὰρ θεοῦ θεραπείας οὗτος ὁσιώτατος. εἷς ναὸς ἑνὸς θεοῦ. φίλον γὰρ ἀεὶ παντὶ τὸ ὅμοιον. κοινὸς ὁ κόσμος ἁπάντων, κοινοῦ

ad terminum diuinæ pietatis adduci, à mulieribus nostris & à seruis quilibet audient. Pro qua re illatas nobis calumnias à quibusdam, cur non exhibeamus viros inuentores nouorum operum seu verborum, contigit oriri. Alij siquidem in nulla re paterna perdurare optimum esse putât, & præcipuè transgressoribus sapientiæ robur assignant. Nos autem è diuerso, vnam esse prudentiam atq; virtutē existimamus, nihil penitus vel facere, vel cogitare contrarium his quę antiquitus sancita noscuntur: quod scilicet indicium legis est optimo fœdere constitutæ. nam ea quæ nunc non habent modum, experimento sæpe corrupta redarguuntur. Apud nos autem, qui credimus ab initio positam legem diuina voluntate, nihil aliud pium est, quàm hanc sub integritate reseruare. Quis etenim eius quicquã mouere potest, aut quid melius adinuenit? vel quis ab aliis tanquam præcellentius ad statum reipub. nostræ aliquid trãsferre potest? aut quæ poterit esse melior atque iustior, quàm ea quæ Deum quidem principē omniũ esse cõfirmat? sacerdotibus autem in communi quidem res pręcipuas dispensare permittit: summo verò põtifici aliorum sacerdotum principatũ competenter iniungit. quos vtique non diuitiis, neque aliis quibusdam spõtaneis auiditatibus præcellentes legislator ad culmen huius honoris instituit. Sed quicunque sapientia vel temperantia aliis præstare noscuntur, eis præcipuè culturam diuinæ placationis iniunxit. Apud hos igitur, & legis & aliorum studiorum integra diligentia custoditur. Contemplatores enim omnium, atque iudices contentionum, & punitores culpabilium sacerdotes esse decreti sunt. Quis ergo principatus? quod regnum erit hoc sanctius? vel qui honor Deo potiùs cooptabitur? cùm omnis quidem populus sit præparatus, ad pietatem, summa verò diligẽtia sacerdotibus sit indicta: & velut quædam festiuitas gubernetur vniuersa respu. Cùm enim mysteria sua numero paucorum dierum alienigenæ custodire nequeant, ea videlicet sacrificia nominantes, nos cum multa delectatione, & immutabili voluntate solennitatis opus per omne seruamus æuum. Quæ igitur sunt præcepta vel interdicta simplicia, siue nota dicamus. Primum quidem de Deo est, dicens: Deus habet omnia, perfectus, beatissimus, ipse sibi cunctísque sufficiens, principium & medium & terminus: inter omnia operibus quidem & muneribus clarus, & omni re manifestior: forma verò & magnitudine nobis inenarrabilis. Omnis nãq; materies comparata ad huius imaginem, licèt sit preciosa, tamen pro nullo est, cunctáque ars ad illius imitationis inuentum, extra artem esse cognoscitur: nihil simile neque videmus, neque possumus suspicari, neq; coniicere. Sanctum est, videmus eius opera, lumē, cęlum, terrã, Solē, Lunã, flumina, mare, animalium nationes, prouentus fructuum: hæc Deus fecit, non manibus neque laboribus, neque quibusdã indiguit sibi cooperantibus. sed ipso vidente bona repente facta sunt. Hunc homines conuenit vniuersos sequi, eúmque placare exercitatione virtutis. Modus enim diuinę placationis iste sanctissimus est. Vnũ tēplum vnius Dei. commune

A omnium communis Dei cunctorum. Gratum namque semper est omne quod simile est. Hûc placant quidem sacerdotes semper. præcedit verò istos primus secundùm genus: qui ante alios sacerdotes sacrificabit Deo, custodiet leges, de dubiis iudicabit, & puniet lege conuictos. Huic quisquis non obedit, supplicio subiacebit, tanquam qui in ipsum Deum impiè gesserit. Hostias immolat, non ad crapulam nostram vel ebrietatem attinentes. hæc enim non placent Deo: quæ res occasio potiùs iniuriarum simul & expensarũ est. Deus enim temperatos, ordinatósque & boni generis di-B ligit: & vt præcipuè sacrificãtes castè viuamus. In sacrificiis autem pro communi salute primũ oportet orare, deinde singulos pro semetipsis, quoniam omnes socij sumus. Et qui hoc consortium suæ vitæ præponit, maximè Deo gratus est. Supplicatio verò fit ad Deum votis ac precibus, non vt bona præstet: hæc enim ipse sponte contulit vniuersis, & in medio deposuit: sed vt hæc suscipere valeamus, suscipiẽtésque seruemus. Purificationes quoque in sa-C crificiis lex decreuit, à cubili, à lecto, à congressu vxorio, & alia multa, quæ conscribere longissimum est. Huiusmodi ergo de Deo, & eius placatione sermo est, ipse autem simul etiam lex est. Quid autem de nuptiis? Solam nouit lex permixtionẽ naturalem cum coniuge, si tamen filiorum causa procreandorum agatur. Masculorum verò cum masculis valde iudicauit inimicas: & tentantes talia morte de-D creuit dignos. Nubere verò iubet, non respicientes ad dotem, neque violenter arripere, sed neque dolo vel fallacia suadere. Dispensationem verò potiùs fieri per eum, cuius noscitur esse potestatis, & per cognationem opportunam. Mulier autem inferior, inquit, est viro per omnia. Obedit igitur non ad iniuriã, sed vt sit sub regimine constituta. Deus enim viro potestatem dedit. Cum hac ergo coire decet maritum solummodo. alterius verò experientiam habere nequissimum. Si quis autem E hoc egerit, declinatio nulla mortis. neque si fecerit vim virgini alteri desponsatæ: neq; si suaserit nuptæ, aut filios nutrienti. quæ omnia lex præcepit. vniuersis autem mulieribus interdixit vel celare quod natũ est, vel alia machinatione corrumpere filios. Infanticida enim esset animas demoliẽs, & genus imminuens. Igitur si quis ad cõcubitum, corruptiónemque transierit, immundus est. Oportet autem etiam post legalem commixtionem viri, mulieres F lauari. Hoc enim partem animæ polluere iudicauit: inflata nãque corporibus vulneratur. Dúmque hoc fit, aquam propter purificationis causam talibus imperauit. Sed neque in filiorum natiuitatibus cõcessit epulationes aggregari, & fieri occasiones ebrietatis: sed temperatũ esse repẽte principium. Iussítque literis erudiri propter leges, & nosse progenitorũ actiones, vt actus imitentur, & cum legibus educa-G ti, neque transgrediantur, neque cogitationem ignorationis habere iudicentur. Prospexit autẽ etiã funeribus mortuorũ, vt neq. sũptuosæ ad sepeliẽdũ celebrẽtur exequiæ, neq. insigniũ fabrica sepulchrorũ. sed necessaria quidẽ circa elationẽ funeris imperauit domesticos adimple-

θεοῦ ἁπάντων. τοῦτον θεραπεύουσι μὲν διὰ παντὸς οἱ ἱερεῖς. ἡγεῖται δὲ τούτων ὁ πρῶτος ἀεὶ κατὰ γένος. οὗτος μὲν μετὰ τῶν ἄλλων ἱερέων θύσει τῷ θεῷ, φυλάξει τοὺς νόμους, δικάσει περὶ τῶν ἀμφισβητουμένων. κολάσει τοὺς ἐλεγχθέντας ἐπ' ἀδίκῳ. ὁ δέ γε τούτῳ μὴ πειθόμενος, ὑφέξει δίκην. ὡς εἰς τὸν θεὸν αὐτὸν ἀσεβῶν. θύομεν τὰς θυσίας, οὐκ εἰς πλήρωσιν ἑαυτῶν καὶ μέθην, ἀβούλητα γὰρ θεῷ τάδε καὶ πρόφασις ἂν ὕβρεως γένοιτο καὶ πολυτελείας. ἀλλὰ σώφρονας, εὐτάκτους, εὐγενεῖς. ὅπως δὲ μάλιστα θύοντες σωφρονῶμεν ἐπὶ τῆς θυσίας, ὑπὲρ τῆς κοινῆς εὔχεσθαι δεῖ πρῶτον σωτηρίας, εἶθ' ὑπὲρ ἑαυτῶν. ἐπὶ γὰρ κοινωνίᾳ γεγόναμεν καὶ ταύτην ὁ προτιμῶν τοῦ καθ' αὑτὸν βίου, μάλιστα τῷ θεῷ κεχαρισμένος. παράκλησις δὲ πρὸς τὸν θεὸν ἔστω διὰ τῆς εὐχῆς καὶ δεήσεως. οὐχ ὅπως δῷ τἀγαθά, δέδωκε γὰρ αὐτὸς ἑκών, καὶ πᾶσιν εἰς μέσον κατέθηκε. ἀλλ' ὅπως δέχεσθαι δυνώμεθα, καὶ λαβόντες φυλάττωμεν. ἁγνείας ἐπὶ τῶν θυσιῶν διείρηκεν ὁ νόμος, ἀπὸ κοίτης, ἀπὸ λέχους, ἀπὸ κοινωνίας τῆς πρὸς γυναῖκα, καὶ πολλῶν ἄλλων, ἃ μακρὸν ἂν εἴη γράφειν. τοιοῦτος μὲν ὁ περὶ θεοῦ καὶ τῆς ἐκείνου θεραπείας λόγος ἡμῖν ἐστίν. ὁ δ' αὐτὸς ἅμα καὶ νόμος. τίνες δ' οἱ περὶ γάμων; μῖξιν μόνην οἶδεν ὁ νόμος κατὰ φύσιν τὴν πρὸς γυναῖκα, καὶ ταύτην εἰ μέλλοι τέκνων ἕνεκα γίνεσθαι. τὴν δὲ πρὸς ἄρρενας ἐστύγηκε, καὶ θάνατος τοὐπιτίμιον εἰ ἐπιχειρήσειεν. γαμεῖν δὲ κελεύει, μὴ προικὶ προσέχοντας, μηδὲ βιαίαις ἁρπαγαῖς, μηδ' αὖ δόλῳ καὶ ἀπάτῃ πείσαντας, ἀλλὰ μνηστεύεσθαι παρὰ τοῦ δυναμένου κυρίου, καὶ κατὰ συγγένειαν τὴν ἐπιτήδειον. γυνὴ δὲ χείρων φησὶν ἀνδρὸς εἰς τὰ πάντα, καὶ ἡ πονηρία αὐτῇ ὑπὲρ ἀγαθοποιοῦ γυναικός. τοιγαροῦν ὑπακουέτω, μὴ πρὸς ὕβριν ταῦθ' ἡγουμένη, ἀλλ' ἵν' ἄρχηται. θεὸς γὰρ ἀνδρὶ τὸ κράτος ἔδωκε. ταύτῃ συνεῖναι δεῖ τὸν γήμαντα μόνον. τὸ δὲ τὴν ἄλλου πειρᾶν ἀνόσιον. εἰ δέ τις τοῦτο πράξειεν, οὐδεμία θανάτου παραίτησις, οὔτ' εἰ βιάσαιτο παρθένον ἑτέρῳ προωμολογημένην, οὔτ' εἰ πείσειε γεγαμημένην, ἢ τεκνοτροφοῦσαν. ἃ πάντα προσέταξεν ὁ νόμος, καὶ γυναιξὶν ἀπεῖπεν, μήτ' ἀμφιβάλλειν ποτὲ ἔν τινι τῶν αὐτῶν, μήτε διαφθείρειν. ἀλλὰ μηχανῇ τινι προσέπεσεν αὐτῷ. τεκνοκτόνος γὰρ ἂν εἴη ψυχὴν ἀφανίζουσα, καὶ τὸ γένος ἐλαττοῦσα. τοιγαροῦν εἴ τις ἐπὶ λέχος ἢ φθορὰν παρέλθοι, καθαρὸς εἶναι οὐ δύναται. ἢ καὶ μετὰ τὴν νόμιμον συνουσίαν ἀνδρὸς καὶ γυναικὸς ἀπολούσασθαι κελεύει ὁ νόμος. ψυχῆς τε γὰρ καὶ σώματος ἐγγίνεται μολυσμός, ὡς πρὸς ἄλλην χώραν ἀποβαλόντων. καὶ γὰρ ἐμφυομένη σώμασι κακοπαθεῖ ἡ ψυχή, καὶ τούτων αὖ πάλιν ὡς θανάτῳ διακριθεῖσα. διόπερ ἁγνείας ἐπὶ πᾶσιν τοῖς τοιούτοις προσέταξεν. οὐ μὴν οὐδ' ἐπὶ τῶν παίδων γενέσεσιν ἐπέτρεψεν, εὐωχίας συνάγειν, καὶ προφάσεις ποιεῖσθαι μέθης, ἀλλὰ σώφρονα τὴν ἀρχὴν εὐθύς. καὶ γράμματα παιδεύειν ἐκέλευσε, περί τε τοὺς νόμους ἀναστρέφεσθαι, καὶ τῶν προγόνων πράξεις ἐπίστασθαι. τὰς μὲν ἵνα μιμῶνται, τοῖς δ' ἵνα συντρεφόμενοι, μήτε παραβαίνωσι, μήτε σκῆψιν ἀγνοίας ἔχωσι. τῆς δ' εἰς τοὺς τετελευτηκότας προυνόησεν ὁσίας, οὔτε πολυτελείας ἐνταφίων, οὔτε κατασκευὰς μνημείων ἐπιφανῶν. ἀλλὰ τὰ μὲν περὶ τὴν κηδείαν προσέταξε τοῖς οἰκειοτάτοις ἐπιτελεῖν.

πᾶσι

πᾶσι δὲ τοῖς παριοῦσι θαπτομένου τινὸς, καὶ συνελθεῖν καὶ συναποδύρασθαι ἐποίησε νόμιμον. καθαίρεσθαι δὲ κελεύει καὶ τοὺς ἐνοικοῦντας ἀπὸ κήδους, διὰ τὸ μετελθόντα τοῦ βίου, ἵνα πλεῖστον ἀπέχῃ τοῦ δοκεῖν αὐτοὺς καθαροὺς εἶναι. τις δὲ φόνον ἐργασάμενος ἢ ἑκὼν ἢ ἄκων, οὐδὲ τὴν πρὸς τούτοις ἀπεσιώπησεν ἐκδίκησιν. γονέων τιμὴν μετὰ τὴν πρὸς θεὸν δευτέραν ἔταξεν· καὶ τὸν οὐκ ἀμειβόμενον τὰς παρ' αὐτῶν χάριτας, ἀλλ' εἰς ὁτιοῦν ἐκκλίνοντα, λιθευθησόμενον παραδίδοσθαι κελεύει. καὶ παντὸς τοῦ πρεσβυτέρου τιμὴν ἔχειν τοὺς νέους, ἐπεὶ πρεσβύτατον ὁ θεός. οὐδὲν ἐᾷ πρὸς φίλους· οὐ γὰρ εἶναι φιλίαν δεῖ τὴν μὴ πάντα πιστεύουσαν. κἂν συμβῇ δέ τις ἔχθρα, τὸ ἀπορρεῖν παραλέγειν κεκώλυκεν. δικάζων εἰ δῶρά τις λάβοι, θάνατος ἡ ζημία, περιορῶν βοηθεῖν ἐνίοις ὑπεύθυνος. ὃ μὴ κατέθηκέ τις οὐκ ἀναιρήσεται· τῶν ἀλλοτρίων οὐχ ἅψεται. δανείσας τόκον οὐ λήψεται. ταῦτα καὶ πολλὰ τούτοις ὅμοια τὴν πρὸς ἀλλήλους ἡμῶν συνέχει κοινωνίαν. πῶς δὲ περὶ τῆς εἰς τοὺς ἀλλοφύλους ἐπιεικείας ἐφρόνησεν ὁ νομοθέτης ἄξιον ἰδεῖν. φανεῖται γὰρ ἄριστα πάντων προνοησάμενος, ὅπως μήτε τὰ οἰκεῖα διαφθείρωμεν, μήτε φθονήσωμεν τοῖς μετέχειν τῶν ἡμετέρων προαιρουμένοις. ὅσοι μὲν γὰρ θέλουσιν ὑπὸ τοὺς αὐτοὺς ἡμῖν νόμους ζῆν, ὑπελθόντας δέχεται φιλοφρόνως, οὐ τῷ γένει μόνον, ἀλλὰ καὶ τῇ προαιρέσει τοῦ βίου, νομίζων εἶναι τὴν οἰκειότητα. τοὺς δ' ἐκ παρέργου προσιόντας ἀναμίγνυσθαι τῆς συνηθείας οὐκ ἠθέλησεν. τἆλλα δὲ προείρηκεν, ὧν ἐστιν ἡ μετάδοσις ἀναγκαία, πᾶσι παρέχειν τοῖς δεομένοις, πῦρ, ὕδωρ, τροφήν· ὁδοὺς φράζειν, ἄταφον μὴ περιορᾶν. ἐπιεικῆ δὲ καὶ τὰ πρὸς τοὺς πολεμίους εἶναι κελεύοντα· οὐ γὰρ ἐᾷ τὴν γῆν αὐτῶν πυρπολεῖν, οὐδὲ κόπτειν ἥμερα δένδρα συγκεχώρηκεν, ἀλλὰ καὶ σκυλεύειν ἀπείρηκε τοὺς ἐν μάχῃ πεσόντας, καὶ τῶν αἰχμαλώτων προυνόησεν, ὅπως αὐτῶν ὕβρεις ἀπῇ, μάλιστα δὲ γυναικῶν. οὕτω δὲ πόρρωθεν ἡμερότητα καὶ φιλανθρωπίαν διδάσκειν ἡμᾶς ἐσπούδασεν, ὡς οὐδὲ τῶν ἀλόγων ζώων ὠλιγώρηκεν. ἀλλὰ μόνον μὲν ἐφῆκεν τούτων χρῆσιν τὴν νενομισμένην πᾶσιν, τὴν δ' ἑτέραν ἐκώλυσεν. ὅσα δ' ὡς ἱκετεύοντα προσφεύγει ταῖς οἰκίαις, ἀπεῖπεν ἀνελεῖν, οὐδὲ νεοττοῖς ἐπέτρεψε τοὺς γονέας αὐτῶν συνεξαίρειν. φείδεσθαι δὲ κελεύει, κἂν ᾖ πολέμια τῶν συνεργαζομένων ζώων καὶ μὴ φονεύειν. οὕτω πανταχόθεν τὰ πρὸς ἐπιείκειαν περιεσκέψατο, διδασκαλικοῖς μὲν τοῖς προειρημένοις χρησάμενος νόμοις, τὰς δ' αὖ κατὰ τῶν παραβαινόντων τιμωρητικὰς τάξας ἄνευ προφάσεως. ζημία γὰρ ἐπὶ τοῖς πλείστοις τῶν παραβαινόντων ἐστὶ θάνατος, ἂν μοιχεύσῃ τις, ἂν βιάσηται κόρην, ἂν ἄρρενι τολμήσῃ πεῖραν προσφέρειν, ἂν ὑπομείνῃ παθεῖν πειραθείς. ἔστι δὲ καὶ ἐπὶ δούλοις ὁμοίως ὁ νόμος ἀπαραίτητος, ἀλλὰ καὶ περὶ μέτρων εἴ τις κακουργήσειεν ἢ σταθμῶν, καὶ περὶ πράσεως ἀδίκου καὶ δόλῳ γινομένης, κἂν ὑφέληταί τις ἀλλότριον, κἂν ὃ μὴ κατέθηκεν ἀνέληται, πάντων εἰσὶ κολάσεις, οὐχ οἷαι παρ' ἑτέροις, ἀλλ' ἐπὶ τὸ μεῖζον. περὶ μὲν γὰρ γονέων ἀδικίας, ἢ τῆς εἰς θεὸν εὐσεβείας, κἂν μελλήσῃ τις, εὐθέως ἀπόλλυται. τοῖς μέντοι κατὰ τοὺς νόμους πάντα πράττουσι, τὸ γέρας ἐστὶν οὐκ ἄργυρος, οὐδὲ χρυσός,

re: omnibus autem viuentibus legitimum esse constituit, vt aliquo moriente & concurrant, & gemitus lamentationis effundant. Purificari autem iubet etiam domesticos funere celebrato: vt longè procul sint, quasi videantur mundi esse. Cùm autem aliquis fecerit homicidium vel sponte, vel inuitus, ne horum quidem pœnam tacuit. Parentum honorem post Deum esse constituit: & qui non repensat eorum gratiæ, sed in qualibet parte contristat, præcepit esse lapidandum. Iubet etiam senioribus honorem iuuenes exhibere, quoniã cũctis senior Deus est. Nihil permittit celandum apud amicos: non enim amicitiæ sunt apud cũ cui omnia non creduntur. & licèt aliquæ inimicitiæ proueniant, prodi tamen arcana prohibuit. Si quis autem arbiter munus acceperit, morte mulctatur, despiciens quod iustum est, & auxilium reis offerens. Quod quisquam non posuit nõ auferat: & aliena nõ tãgat: mutuans nõ accipiat vsuras. Hæc, & his multa similia, communionem continẽt nostrorum inter alterutros. Quomodo autem etiam de domestica cura circa alienigenas habẽda docuerit legislator, referri dignũ est, videbitur enim omnibus optimè prospexisse eum, illo ita sentiente, neque propria corrumpamus, neque participari rebus nostris volentibus inuideamus. Quicunque enim volunt sub nostra conuersari lege, accedentes ad eam cum munificentia suscipit, non genere solummodo, sed etiam voluntate vitæ putans esse consortiũ. Eos autem qui obiter adueniunt, misceri solẽnitatibus noluit: alia tamẽ exhibenda cõstituit. Idẽ omnibus præbendum, ignẽ, aquã, cibum: iter ostendere, non spernere aliquem insepultum. Mitissimè etiam circa hostes quæ sunt agenda sanciuit, vt neque terra eorum exuratur: neque arbores fertiles incidantur. Sed etiam spoliari eos qui in bello ceciderẽt, interdixit. & captiuis prospexit, quatenus eorũ amoueatur iniuria, & maximè fœminarũ. Sic autẽ eximiè nos mansuetudinẽ atq; clementiã studuit edocere, vt etiam de animalibus irrationalibus non taceret: sed horũ tantúmodo vtilitatem legitimã concedens, ab omni nos alia causa prohibuit. Quæcunque enim veluti domestica oriuntur in ædibus, hęc interdixit occidi: sed neque parentes denique pręcepit vnà cum pullis auferri. Et licèt hostilia sint animalia laborũ socia, eis tamen parcẽdum esse sanciuit. Sic vndique ea quæ ad mansuetudinem pertinent obseruauit: doctrinalibus quidem, sicuti prædictum est, legibus vtens & alias rursus contra transgressores causa punitionis sine excusatione defigens. Mulcta namque in plurimis causis trãsgredientium, mors est. Si adulterium commiserit aliquis, si vim puellæ fecerit. Si masculi turpe tentamentum præsumpserit, aut patiatur sustinere tentatus. Similiter autem est lex ineuitabilis & in seruis, sed etiam de mensuris, vel si quis de ponderibus dolum fuerit operatus, & de iniusta venditione: ac fraude si quis vel detraxerit alienã rem, aut quod non posuit abstulerit, cohibẽdi hi sunt vindicta, nõ quali apud alios, sed valde maiori. de iniuria verò parentũ, vel impietate quæ fit in Deũ, si vel tẽtet hoc aliquis, mox perimit. At his qui secũdũ legẽ vniuersa faciũt, præmiũ tribuitur, nõ aurũ, nõ argẽtũ,

neque corona lapillis distincta: sed vnusquisque testem habens conscientiam suam, valde proficit, legislatore prophetante, & Deo fidem condonante firmissimam his qui seruant leges: & licèt pro his mori contingat, concurrunt tamen alacres ad occasum, sperantes fore, vt vita melior ex mutatione conferatur. Pigeret itaq; nunc hoc me conscribere, nisi opera essent omnibus manifesta: quoniam sæpenumero multi nostrorũ progenitorũ, ne vel sermonem solũmodo extra legẽ proferrẽt, omnia passi sunt viriliter sustinere. Quin & si ignota gens nostra omnibus hominibus esset, nec palàm esset voluntaria nostra legum obseruatio, si Græcis aut legisse se in historiis aliquis narraret, aut in orbe incognito reperisse, homines talẽ tàq; honestã de Deo opinionẽ habentes, atq; in talibus legibus multis seculis cõstãter permanẽtes, omnes reor demiraturos, propter cõtinuas quæ apud ipsos sunt mutationes. Denique eos qui conscribere proximè de repub. & legibus tentauêre, tanquam de incredibilibus compositionibus quidã frequẽter accusant dicentes, quoniam impossibilia sumpserint, argumenta. Et alios quidem taceo philosophos, quicũque huiusmodi negotium in suis conscriptionibus habuêre: Plato autem mirabilis apud Græcos, tanquam & honestate vitæ præcedens: & virtute sermonũ & persuasione philosophiæ cunctos excellẽs, ab his, qui sibi videntur præstãtes, in rebus ciuilibus, perpetuò pene illuditur, cauillísque comicis traducitur. cùm vtique qui illius verba considerauerit, frequenter & facilè reperiat, quę etiam consuetudini plurimorum proxima esse noscuntur. Ipse siquidem Plato confessus est, quia veram de Deo opinionem propter ignorantiã plebis proferre securum non est. Sed Platonis quidem verba vana esse putant, & multa licencia composita atque conscripta: maximè verò legislationem Lycurgi mirantur. Spartam cũcti concelebrant, quoniã in illius legibus plurimo tempore perdurauit. Ergo hoc manifestum virtutis indicium est, in legibus permanere. Si verò Lacedæmonios admirantur, illorum tempus conferant, cùm ampliùs duobus millibus annorum nostræ reipub. & super hæc sciant, quoniam Lacedæmonij quidem omni tẽpore quo habuêre libertatem, perfectè visi sunt custodisse leges: cùm verò circa eos factæ sunt fortunæ mutationes, pene cũctarũ legum obliti sunt. Nos autem multis casibus euolutis propter regum Asiæ mutationes, neque in nouissima mala veniẽtes, à legib. sumus alienati: nõ vacationis, nec epulationis causa seruãtes eas: quãdo si quis considerare voluerit, multò ampliori testimonio maiores excubias & labores nobis quã Lacedæmoniis videbit impositos. Illi siquidẽ neq; operãtes terrã, neq. circa opificia exercitiũ habẽtes, sed ab omni operatione remissiores, pingues, & corpore pulchri in ciuitate degebãt, aliis ministris in omnibus vitæ necessariis rebus vtentes, & cibum paratum ab illis accipiẽtes, solum opus bonum atq; æquũ iudicãtes, quiduis facere. & pati quatenus præualerẽt aduersus omnes, contra quos

A οὐ μὴν οὐδὲ ὁ διάλιθος στέφανος. ἀλλὰ τὸ ὑπερβάλλον ἅπαντα τὰ γήϊνα, καὶ θεοῦ ἐγγὺς τὸ φίλον εἶναι. καὶ γὰρ τῆς θεοφιλοῦς ἀνδρὸς τοιαύτη ἡ ἀνακήρυξις. ἀλλὰ καὶ αὐτὸς ἕκαστος αὐτῷ τὸ συνειδὸς ἔχων μαρτυροῦν πεπίστευκε, τοῦ μὲν νομοθέτου προφητεύσαντος, τῆς δὲ θεοῦ τὴν πίστιν ἰσχυρὰν παρεσχηκότος, ὅτι τοῖς τοὺς νόμους διαφυλάξασι, κἂν εἰ δέοι θνήσκειν ὑπὲρ αὐτῶν, προθύμως ἀποθανοῦσιν, ἔδωκεν ὁ θεὸς, γενέσθαι τε πάλιν καὶ βίον ἀμείνω λαβεῖν ἐκ περιτροπῆς. B ὤκνουν δ' ἂν ἐγὼ νῦν ταῦτα γράφειν, εἰ μὴ διὰ τῶν ἔργων ἦν ἅπασι φανερὸν, ὅτι πολλοὶ καὶ πολλάκις ἤδη τῶν ἡμετέρων, περὶ τοῦ μηδὲ ῥῆμα μόνον φθέγξασθαι παρὰ τὸν νόμον. πάντα παθεῖν γενναίως ὑπέστησαν. κἂν τε τι μὴ συμβεβήκοι γνώριμον ἡμῶν τὸ ἔθνος ἅπασιν ἀνθρώποις ὑπάρχειν κἂν φανερὰν κεῖσθαι τὴν ἐθελούσιον ἡμῶν τοῖς νόμοις ἀκολουθίαν, εἰ συγγραφεὺς λέγων αὐτὸς ἀνεγίνωσκε τοῖς Ἕλλησιν, ἤπου γε περιτυχεῖν ἔξω τῆς γινωσκομένης γῆς ἔφασκεν ἀνθρώποις, τοιαύτην C μὲν ἔχουσι δόξαν καὶ ἔτι σεμνὴν περὶ θεοῦ, τοιούτοις δὲ νόμοις πολὺν αἰῶνα βεβαίως ἐμμεμενηκόσι, πάντας ἂν οἶμαι θαυμάσαι διὰ τὰς συνεχεῖς παρ' αὐτοῖς μεταβολάς. ἀμέλει τοὺς γράψαι παρ' Ἕλλησι πολιτείας καὶ νόμους ἐπιχειρησάντων, ὡς θαυμαστῶν καὶ συνετῶν κατηγοροῦσι, φάσκοντες αὐτοὺς λαβεῖν ἀδυνάτους ὑποθέσεις. καὶ τοὺς μὲν ἄλλους παραλείπω φιλοσόφους, ὅσοι τι τοιοῦτον ἐν τοῖς συγγράμμασιν ἐπραγματεύσαντο. πλάτων δὲ θαυ- D μαζόμενος παρὰ τοῖς Ἕλλησιν, ὡς καὶ σεμνότητι βίου διενεγκὼν, καὶ δυνάμει λόγων καὶ πειθοῖ πάντας ὑπεράρας τοὺς ἐν φιλοσοφίᾳ γεγονότας, ὑπὸ τῶν φασκόντων δεινοὺς εἶναι τὰ πολιτικὰ, μικροῦ δεῖν χλευαζόμενος καὶ κωμῳδούμενος διατελεῖ. καὶ τὰ ἐκείνου σκοπῶν, συχνά τις ἂν εὕροι ῥᾴονα ὄντα καὶ τῆς τῶν πολλῶν ἐγγίονα συνηθείας. αὐτὸς δὲ πλάτων ὡμολόγησεν, ὅτι τὴν ἀληθῆ περὶ θεοῦ δόξαν εἰς τὴν τῶν ὄχλων ἄγνοιαν οὐκ ἦν ἀσφαλὲς ἐξενεγκεῖν. ἀλλὰ τοὺς μὲν πλάτωνος νόμους τινὰς εἶναι κενοὺς E νομίζουσι κατὰ πολλὴν ἐξουσίαν κεκαλλιγραφημένους. μάλιστα δὲ τὸν νομοθέτην λυκοῦργον τε θαυμάζουσι καὶ τὴν σπάρτην ἅπαντες ὑμνοῦσιν, ὅτι τοὺς ἐκείνου νόμους ἐπὶ πλεῖστον ἤνεγκεν. οὐκοῦν τοῦτο τε ὡμολογήσθω τεκμήριον ἀρετῆς εἶναι, τὸ πείθεσθαι τοῖς νόμοις. οἱ δὲ λακεδαιμονίους θαυμάζοντες, τὸν ἐκείνων χρόνον ἀντιπαραβαλλέτωσαν τοῖς πλείοσιν ἢ δισχιλίοις ἔτεσι τῆς ἡμετέρας πολιτείας. καὶ προσέτι λογιζέσθωσαν, ὅτι F λακεδαιμόνιοι μὲν ὅσον ἐφ' ἑαυτῶν χρόνον εἶχον τὴν ἐλευθερίαν, ἀκριβῶς ἔδοξαν τοὺς νόμους διαφυλάττειν. ἐπεὶ μέντοι περὶ αὐτοὺς ἐγένοντο μεταβολαὶ τῆς τύχης, μικροῦ δεῖν ἁπάντων ἐξελάθοντο τῶν νόμων. ἡμεῖς δ' ἐν τύχαις μυρίαις γεγονότες, διὰ τὰς τῶν βασιλευσάντων τῆς ἀσίας μεταβολὰς, οὐδ' ἐν τοῖς ἐσχάτοις τῶν δεινῶν τοὺς νόμους προεδώκαμεν, οὐκ ἀργίας οὐδὲ τρυφῆς αὐτοὺς χάριν περιέποντες. ἀλλ' εἴ G τις ἐθέλοι σκοπεῖν, πολλῷ τινι τῆς δοκούσης ἐπιτετάχθαι λακεδαιμονίοις καρτερίας, μείζονας ἄθλους καὶ πόνους ἡμῖν ἐπιτιθέντας. οἱ μέν γε μήτε γῆν ἐργαζόμενοι, μήτε περὶ τέχνας πονοῦντες, ἀλλὰ πάσης ἐργασίας ἄφετοι λιπαροὶ, καὶ τὰ σώματα πρὸς κάλλος ἀσκοῦντες, ἐπὶ τῆς πόλεως διῆγον ἄλλοις ὑπηρέταις πρὸς ἅπαντα τὰ τοῦ βίου χρώμενοι, καὶ τροφὴν ἑτοίμην παρ' ἐκείνων λαμβάνοντες. ἐφ' ἓν δὲ τοῦτο μόνον τὸ καλὸν ἔργον καὶ φιλάνθρωπον, ἅπαντα καὶ πράττειν καὶ πάσχειν ὑπομένοντες, τὸ κρατεῖν πάντων ἐφ' οἷς ἂν στρα-

ἂν στρατεύσωσιν. ὅτι δὲ μηδὲ τοῦτο κατώρθωσαν ἐῶ λέγειν. οὐ γὰρ καθ' ἕνα μόνον, ἀλλὰ πολλοὶ πολλάκις ἀθρόως τῶν τοῦ νόμου προσταγμάτων ἀμελήσαντες, αὐτοὺς μετὰ τῶν ὅπλων παρέδοσαν τοῖς πολεμίοις. ἆρ' οὖν καὶ παρ' ἡμῖν οὐ λέγω τοσούτοις, ἀλλὰ δύο ἢ τρεῖς ἔγνω τις προδότας γενομένους τῶν νόμων. οὐχὶ τὸν ῥᾷστον ἐκεῖνον λέγω, τὸν συμβαίνοντα τοῖς μαχομένοις, ἀλλὰ τὸν μετὰ λύμης τῶν σωμάτων, ὁποῖος εἶναι δοκεῖ πάντων χαλεπώτατος; ὥς τ' ἐγὼ νομίζω τινὰς κρατήσαντας ἡμῶν, οὐχ ὑπὸ μίσους προσφέρεσθαι ὡς ὑποχειρίοις, ἀλλ' ὡς θαυμαστόν τι θέαμα βουλομένους ἰδεῖν, εἴ τινές εἰσιν ἄνθρωποι, οἱ μόνον εἶναι κακὸν αὐτοῖς πεπιστευκότες, εἰ πρᾶξαί τι παρὰ τοὺς ἑαυτῶν νόμους, ἢ λόγον εἰπεῖν παρ' ἐκείνους παραβιασθεῖεν. οὐ χρὴ δὲ θαυμάζειν εἰ πρὸς θάνατον ἀνδρείως ἔχομεν ὑπὲρ τῶν νόμων παρὰ τοὺς ἄλλους ἅπαντας. οὐδὲ γὰρ τὰ ῥᾷστα δοκοῦντα τῶν ἡμετέρων ἐπιτηδευμάτων, ἄλλοι ῥᾳδίως ὑπομένουσιν, αὐτουργίαν λέγω καὶ τροφῆς λιτότητα. καὶ τὸ μηδὲν εἰκῇ, μηδ' ὡς ἔτυχεν ἕκαστος ὑπὸ τῆς ἐπιθυμίας φαγεῖν ἢ πιεῖν. ἢ συνουσίᾳ προσελθεῖν ἢ πολυτελείᾳ. καὶ πάλιν ἀργίας ὑπομεῖναι τάξιν ἀμετακίνητον. ἀλλ' οἱ τοῖς ξίφεσιν ὁμόσε χωροῦντες, καὶ τοὺς πολεμίους ἐξ ἐφόδου τρεπόμενοι, τοῖς προστάγμασι τοῖς περὶ διαίτης οὐκ ἀντιβλέψειεν. ἡμῖν δὲ πάλιν ἐκ τοῦ περὶ ταῦτα τῷ νόμῳ πειθαρχεῖν ἡδέως κἀκεῖ περίεστιν ἐπιδείκνυσθαι τὸ γενναῖον. εἶτα Λυσίμαχοι καὶ Μόλωνες, καὶ τοιοῦτοί τινες ἄλλοι συγγραφεῖς, ἀδόκιμοι σοφισταί, μειρακίων ἀπατεῶνες ὡς πάνυ ἡμᾶς φαυλοτάτους ἀνθρώπων λοιδοροῦσιν. ἐγὼ δ' οὐκ ἂν ἐβουλόμην περὶ τῶν παρ' ἑτέροις νομίμων ἐξετάζειν· τὰ γὰρ αὐτῶν ἡμῖν φυλάττειν πάτριόν ἐστιν, οὐ τῶν ἀλλοτρίων κατηγορεῖν. καὶ περί γε τοῦ μήτε χλευάζειν μήτε βλασφημεῖν τοὺς νομιζομένους θεοὺς παρ' ἑτέροις, ἄντικρυς ἡμῖν ὁ νομοθέτης ἀπείρηκεν, αὐτῆς ἕνεκα προσηγορίας τοῦ θεοῦ. τῶν δὲ κατηγόρων διὰ τῆς ἀντιπαραθέσεως ἡμᾶς ἐλέγχειν οἰομένων, οὐχ οἷόν τε κατασιωπᾶν, ἄλλως τε καὶ τοῦ λόγου μέλλοντος οὐχ ὑφ' ἡμῶν ἐλεγχθήσεσθαι νῦν αὐτὸν συντιθέντων, ἀλλ' ὑπὸ πολλῶν εἰρημένου καὶ λίαν εὐδοκιμοῦντος. τίς γὰρ τῶν παρὰ τοῖς Ἕλλησιν ἐπὶ σοφίᾳ τεθαυμασμένων οὐκ ἐπιτετίμηκεν καὶ ποιητῶν τοῖς ἐπιφανεστάτοις, καὶ νομοθετῶν τοῖς μάλιστα πεπιστευμένοις, ὅτι τοιαύτας δόξας περὶ θεῶν ἐξ ἀρχῆς τοῖς πλήθεσιν ἐγκατέσπειραν, ἀριθμῷ μὲν ὁπόσους ἂν αὐτοὶ θελήσωσιν ἀποφήνασθαι, ἐξ ἀλλήλων δὲ γινομένους, καὶ κατὰ παντοίους τρόπους γενέσεων. τούτους δὲ καὶ διαιροῦντες τόποις καὶ διαίταις, ὥσπερ τῶν ζῴων τὰ γένη, τοὺς μὲν ὑπὸ γῆν, τοὺς δὲ ἐν θαλάττῃ, τοὺς μέντοι πρεσβυτάτους αὐτῶν ἐν Ταρτάρῳ δεδεμένους. ὅσοις δὲ τὸν οὐρανὸν ἀπένειμαν, τούτοις πατέρα μὲν τῷ λόγῳ, τύραννον δὲ τοῖς ἔργοις καὶ δεσπότην ἐφιστάντες, καὶ διὰ τοῦτο συνισταμένην ἐπιβουλὴν ἐπ' αὐτὸν ὑπὸ γυναικὸς καὶ ἀδελφοῦ καὶ θυγατρός, ἣν ἐκ τῆς ἑαυτοῦ κεφαλῆς ἐγέννησεν, ἵνα δὴ συλλαβόντες αὐτὸν καθείρξωσιν, ὥσπερ αὐτὸς ἐκεῖνος τὸν πατέρα τὸν ἑαυτοῦ. ταῦτα δικαίως μέμψεως πολλῆς ἀξιοῦσιν οἱ φρονήσει διαφέροντες. καὶ πρὸς τούτοις καταγελῶσιν εἰ τῶν θεῶν τοὺς μὲν ἀγενείους καὶ μειράκια, τοὺς δὲ πρεσβυτέρους καὶ γενειῶντας εἶναι χρὴ δοκεῖν. ἄλλους δὲ τετάχθαι πρὸς ταῖς τέχναις, χαλκεύοντά τινα, τὴν δὲ ὑφαίνουσαν, τὸν δὲ πολε-

bella suscipercnt: quod autem ne hoc quidem adipisci potuerunt, omitto dicere. Non enim singuli solummodo, sed multi frequenter eorum subitò legis præcepta negligentes, semetipsos cum armis hostibus tradidêre. Putásne & apud nos, non dico tanti, sed duo vel tres agniti sunt proditores effecti legum, vel mortem formidantes, non dico illã facilè, quæ solet præliantibus euenire: sed eam quæ cum multa corporum afflictione, & multa crudelitate videtur accidere. Quã (vt ego puto) quidam præualentes nobis non per odium subiectis imposuêre, sed admirandum quoddam spectaculũ videre volẽtes, si qui sunt homines, qui vnum tãtummodo credant esse pessimum, si agere quicquam extra leges suas vel sermonem apud eos dicere compellantur. Non tamẽ mirari decet, si mortẽ fortissimè toleramus pro legibus, & vltra alios vniuersos. Nõ enim quæ leuia videntur nostris studiis alij facilè patiũtur, hoc est operationem, cibíq; simplicitatem, & vt nihil fortuito, neque quod quisq; desiderat vescatur aut bibat, aut ad cõcubitum quẽlibet accedat, aut splẽdidè vestiatur, aut sine nobilitate vocet. Sed illud attendendum est, si gladiis vtentes, & hostes ab inuasione fugantes, præcepta legis circa cibos sustinere possunt. Nobis verò gratum est propter hæc legibus obedire, & in illis fortitudinis specimen ostendere. Eant nũc Lysimachi & Molones, & quidam huiusmodi alij scriptores, improbi sophistæ, adolescentum deceptores, & quasi prauissimis nobis derogare contendant. Ego sanè nolim de legibus alienis examinationem facere. Noster enim mos est propria custodire, non aliena potiùs accusare. Et vt neque ridere neque blasphemare debeamus eos, qui apud alios putãtur dij, apertè nobis legislator interdixit propter ipsam appellationẽ. De accusatoribus autem per obiectiones suas nos increpare volentibus, tacendum non est, cùm vtique non à nobis nunc sermo compositus eos arguere videatur, sed à multis probabiliter iam præmissus. Quis igitur eorum, qui apud Græcos sapientia sunt mirabiles, non redarguit nobilissimos poëtas & præcipuè legislatores, quoniam huiusmodi sectas de deis ab initio populis inseruêre, dicentes eos numero quidem quantos ipsi voluêre, ex alterutris verò & diuersis natiuitatibus procreatos? Hos autem diuidẽtes locis & habitaculis, tãquam genera animalium, alios quidem sub terra, alios in mari, seniores autẽ eorũ in tartaris vinctos esse dixêre: quibus verò attribuêre cœlũ, his sermone quidẽ patrẽ, operibus autem tyrannum atque dominum superposuêre. Propterea aduersus eum constituêre insidias per vxorem, & fratrem, & filiam, quam ex eius capite fingunt generatam, vt alligantes eum appenderent, sicut ipse suum dicitur patrẽ. Hæc iustè accusatione digna conqueruntur, qui sapientiæ virtute præcellunt. Hi super hæc deridentes adiiciunt: Si deorum aliquos quidem ephebos & adolescentes, alios autem seniores & barbaros esse credendum, alios constitutos super artes, & quendam fabrũ, aliam verò textricem, aliũ verò peregri-

nantem, & cum hominibus contendentem, alios autem citharizantes, aut arcu gaudentes: deinde inter alterutros seditiones effectas, & propter homines contentiones constitutas, vt non solùm inter se alij aliis manus immitterent, sed etiam ab hominibus vulnerati lugerent, maláque perferrent: & quod super omnia est luxuriosius, si intemperantia permixtionis vterentur: quomodo non erit incongruum amores & concupiscentias ad vniuersos attinere, simul masculos & ad fœminas. Deinde fortissimus & primus eorum pater, seductas à semetipso, impregnatásq; mulieres, dirupras submersásque spernit: & eos qui ex eo sunt nati neque liberare potest, fato constrictus, neque sine lacrymis eorum perferre mortes. Bona sunt hæc, & his alia cõsequentia, id est adulteria in cælo visa, & sic impudenter à diis celebrata, vt iam alij inuidere se profiterentur in tali fœditate vincto. Quid enim alij facturi non essent, dum neque senior atque rex valuisset imperum suum à mulierum permixtione retinere. Alij verò seruientes hominibus, & nunc quidem ædificantes causa mercedis, nunc verò pascentes: alij autem malignorum modo infero carcere colligati. Quē igitur sapientium talia non accendant, vt hæc componentes redarguat, & multam stultitiam his credentium reprehendat? Alij verò & terrorem quendam vel metum, necnon & rabiē, atque seductionem, omnésque pessimas passiones in Dei natura fingere præsumpsêre. Et horum quidem nobilioribus etiam ciuitates sacrificare suasêre. Siquidem in multa necessitate consistunt, vt quosdam deorũ putent honorũ esse largitores, alios autem vocent aduersarios, quãdo eos veluti malignissimos homines muneribus atque donis placare contendunt, magnum quoddam malum se suscepturos ab eis existimantes, nisi mercedem eis studiosè præbuerint. Quæ igitur causa est tantæ huius iniquitatis atque delicti circa Deum? Ego quidem arbitror, eo quòd neque veram Dei naturam ab initio eorum legislatores agnouerint, neque quantum percipere potuêre; perfectam sententiam diffinientes reip. tradidêre: sed velut aliud quiddam vilius neglexerunt, dantes potestatem poetis, vt quos vellent deos introducerēt hæc omnia patientes: rhetoribus verò vt de repub. scriberent, & de peregrinis diis decreta proferrent. Sed etiam pictores & plastæ in hoc apud Græcos multã habuêre potestatem, vt vnusquisque formam quam vellet secundùm modum suæ opinionis exponeret, alius quidem ex luto quod vellet fingens, alius verò pingens. Opifices itaque qui maximè putantur esse præcipui, ebur & aurum habēt, ad hoc suæ semper nouitatis argumētum. Proinde, apud eos priores quidem dij florētes honoribus, senuerunt: alij verò noui clàm introducti, religione potiuntur: & templorum alia quidē desolata, alia verò nuper secundũ hominũ voluntatem ædificantur: cùm contrà oporteat opinionē de Deo, eiúsq; culturã immobili religione seruare. Apollonius siquidē Molon

μηνῦντα, καὶ μὴ ἀνθρώπων μαχόμενον, τοὺς δὲ κιθαρίζοντας, ἢ τοξικῇ χαίροντας. εἶτ' αὐτοῖς ἐγγινομένας πρὸς ἀλλήλους στάσεις, καὶ περὶ ἀνθρώπων φιλονεικίας, μέχρι τοῦ μὴ μόνον ἀλλήλοις τὰς χεῖρας προσφέρειν, ἀλλὰ καὶ ὑπ' ἀνθρώπων τραυματιζομένους ὀδύρεσθαι καὶ κακοπαθεῖν. τὸ δὲ δὴ πάντων ἀσελγέστερον, τὰς περὶ τὰς μίξεις ἀκρασίας καὶ τοὺς ἔρωτας, πῶς οὐκ ἄτοπον μικροῦ δεῖν ἅπασι προσάψαι, καὶ τοῖς ἄρρεσι τῶν θεῶν καὶ τῶν θηλείαις. εἶθ' ὁ γενναιότατος καὶ πρῶτος αὐτὸς ὁ πατὴρ τὰς ἀπατηθείσας ὑπ' αὐτοῦ καὶ γενομένας ἐγκύους, καθειργνυμένας ἢ καταποντιζομένας περιορᾷ, καὶ τοὺς ἐξ αὐτοῦ γεγονότας οὔτε σώζειν δύναται, κρατούμενος ὑπὸ τῆς εἱμαρμένης, οὔτ' ἀδακρυτὶ τοὺς θανάτους αὐτῶν ὑπομένειν. καλά γε ταῦτα καὶ τοῖς ἄλλοις ἑπόμενα, μοιχείας μὲν ἐν οὐρανῷ βλεπομένης οὕτως ἀναισχύντως ὑπὸ τῶν θεῶν, ὥστε τινὰς καὶ ζηλοῦν ὁμολογεῖν τοὺς ἐπ' αὐτῇ δεδεμένους. τί γὰρ οὐκ ἔμελλον, ὁπότε μηδ' ὁ πρεσβύτατος καὶ βασιλεὺς ἐδυνήθη τῆς πρὸς τὴν γυναῖκα μίξεως ἐπισχεῖν τὴν ὁρμὴν, ὅσον γοῦν εἰς τὸ δωμάτιον ἀπελθεῖν. οἱ δὲ δὴ δουλεύοντες τοῖς ἀνθρώποις θεοί, καὶ νῦν μὲν οἰκοδομοῦντες ἐπὶ μισθῷ, νῦν δὲ ποιμαίνοντες, ἄλλοι δὲ τρόπον κακούργων ἐν χαλκῷ δεσμωτηρίῳ δεδεμένοι τίνα τῶν εὖ φρονούντων οὐκ ἂν παροξύνειαν, καὶ τοῖς ταῦτα συνθεῖσιν ἐπιπλῆξαι, καὶ πολλὴν εὐήθειαν καταγνῶναι τῶν προσεμένων. οἱ δὲ καὶ δεῖμόν τινα καὶ φόβον, ἤδη δὲ καὶ λύσσαν καὶ ἀπάτην, καὶ τί γὰρ οὐχὶ τῶν κακίστων παθῶν εἰς θεοῦ φύσιν καὶ μορφὴν ἀνέπλασαν. τοῖς δὲ εὐφημοτέροις τούτων καὶ θύειν τὰς πόλεις ἔπεισαν. τοιγαροῦν εἰς πολλὴν ἀνάγκην καθίστανται, τοὺς μὲν τινὰς τῶν θεῶν νομίζειν δοτῆρας ἀγαθῶν, τοὺς δὲ καλεῖν ἀποτροπαίους. εἶτα δὲ τούτους ὥσπερ τοὺς πονηροτάτους τῶν ἀνθρώπων χάρισι καὶ δωρεαῖς ἀποσείονται, μέγα τι λήψεσθαι κακὸν ὑπ' αὐτῶν προσδοκῶντες, εἰ μὴ μισθὸν αὐτοῖς παράσχοιεν. τί ποτ' οὖν τὸ αἴτιον τῆς τοσαύτης ἀνωμαλίας, καὶ περὶ τὸ θεῖον πλημμελείας; ἐγὼ μὲν ὑπολαμβάνω, τὸ μήτε τὴν ἀληθῆ τοῦ θεοῦ φύσιν ἐξ ἀρχῆς συνιδεῖν αὐτῶν τοὺς νομοθέτας, μήθ' ὅσον καὶ λαβεῖν ἠδυνήθησαν, ἀκριβῆ γνῶσιν διορίσαντας, πρὸς τοῦτο ποιήσασθαι τὴν ἄλλην τάξιν τοῦ πολιτεύματος. ἀλλ' ὥσπερ ἄλλο τι τῶν φαυλοτέρων ἀφῆκαν, τοῖς μὲν ποιηταῖς οὓς τινας ἂν βούλωνται θεοὺς εἰσάγειν, πάντα πάσχοντας, τοῖς δὲ ῥήτορσι πολιτογραφεῖν κατὰ ψηφίσματα ξένων θεῶν τὸν ἐπιτήδειον. πολλῆς δὲ καὶ ζωγράφοι καὶ πλάσται τῆς εἰς τοῦτο παρὰ τῶν Ἑλλήνων ἀπήλαυσαν ἐξουσίας, αὐτὸς ἕκαστος τινὰ μορφὴν ἐπινοῶν. ὁ μὲν ἐκ πηλοῦ πλάττων, ὁ δὲ γράφων. οἱ δὲ μάλιστα θαυμαζόμενοι τῶν δημιουργῶν, τὸν ἐλέφαντα καὶ τὸν χρυσὸν ἔχουσι τῆς ἀεὶ καινουργίας τὴν ὑπόθεσιν. καὶ τὰ μὲν τῶν ἱερῶν ἐν ἐρημίᾳ παντελῶς εἰσίν, τὰ δ' ἐμπεριεσπουδασμένα καθάρσεσι παντοδαπαῖς περικοσμούμενα. εἶθ' οἱ μὲν πρότερον ἐν ταῖς τιμαῖς ἀκμάσαντες θεοὶ γεγηράκασιν. οἱ δ' ὑπακμάζοντες τούτων ἐν δευτέρᾳ τάξει ὑποβέβληνται. οὕτω γὰρ εὐφημότερον λέγειν. ἄλλοι δὲ καινοί τινες εἰσαγόμενοι θρησκείας τυγχάνουσιν, ὡς ἐν παρεκβάσει ἂν προείπομεν τοὺς τόπους ἐρημωθέντας καταλιπεῖν. καὶ τῶν ἱερῶν τὰ μὲν ἐρημοῦται, τὰ δὲ νεωστὶ κατὰ τὴν τῶν ἀνθρώπων βούλησιν ἕκαστος ἱδρύεται, δέον τοὐναντίον τὴν περὶ τοῦ θεοῦ δόξαν αὐτοῖς, καὶ τὴν πρὸς αὐτὸν τιμὴν ἀμετακίνητον διαφυλάττειν. Ἀπολλώνιος μὲν οὖν ὁ Μόλων τῶν ἀνοή-

τῶν ἀνοήτων εἷς ἦν καὶ τῶν τυφωμένων. τοὺς μέντοι κατ᾽ ἀλήθειαν ἐν τοῖς ἑλληνικοῖς φιλοσοφήσαντας, οὔτε τῶν εἰρημένων οὐδὲν διέλαθεν, οὔτε τὰς ψυχρὰς προφάσεις τῶν ἀλληγοριῶν ἠγνόησαν. δι᾽ ὅπερ τῶν μὲν εἰκότως κατεφρόνησαν. εἰς δὲ τὴν ἀληθῆ καὶ πρέπουσαν περὶ τοῦ θεοῦ δόξαν ἡμῖν συνεφώνησαν. ἀφ᾽ ἧς ὁρμηθεὶς ὁ πλάτων οὔτε τῶν ἄλλων οὐδένα ποιητῶν φησὶν δεῖν εἰς τὴν πολιτείαν παραδέχεσθαι, καὶ τὸν ὅμηρον εὐφήμως ἀποπέμπεται, στεφανώσας καὶ μύρον αὐτοῦ καταχέας, ἵνα δὴ μὴ τὴν ὀρθὴν δόξαν περὶ θεοῦ τοῖς μύθοις ἀφανίσειεν. μάλιστα δὲ πλάτων μεμίμηται τὸν ἡμέτερον νομοθέτην, κἂν τῷ μηδὲν οὕτως παίδευμα προστάττειν τοῖς πολίταις, ὡς τὸ πάντας ἀκριβῶς τοὺς νόμους ἐκμανθάνειν. καὶ μὴν καὶ περὶ τοῦ μὴ δεῖν ὡς ἔτυχεν ἐπιμίγνυσθαί τινας ἔξωθεν, ἀλλ᾽ εἶναι καθαρὸν τὸ πολίτευμα τῶν ἐμμενόντων τοῖς νόμοις προὐνόησεν. ὧν οὐδὲν λογισάμενος ὁ μόλων ἀπολλώνιος, ἡμῶν κατηγόρησεν. ὅτι μὴ παραδεχόμεθα τοὺς ἄλλοις προκατειλημμένους δόξαις περὶ θεοῦ· μὴ δὲ κοινωνεῖν ἐθέλομεν τοῖς καθ᾽ ἑτέραν συνήθειαν βίου ζῆν προαιρουμένοις. ἀλλ᾽ οὐδὲ τοῦτ᾽ ἔστιν ἴδιον ἡμῶν. κοινὸν δὲ πάντων, οὐχ ἑλλήνων δὲ μόνων, ἀλλὰ καὶ τῶν ἐν τοῖς ἕλλησιν εὐδοκιμωτάτων. λακεδαιμόνιοι δὲ καὶ ξενηλασίας ποιούμενοι διετέλουν, καὶ τοῖς αὑτῶν ἀποδημεῖν πολίταις οὐκ ἐπέτρεπον, διαφθορὰν ἐξ ἀμφοῖν ὑφορώμενοι γενήσεσθαι περὶ τοὺς νόμους. ἐκείνοις μὲν οὖν τάχα δυσκολίας τις ὀνειδίσειεν ἂν εἰκότως· οὐδενὶ γὰρ οὔτε τῆς πολιτείας, οὔτε τῆς παρ᾽ αὐτοῖς μετεδίδοσαν διατριβῆς. ἡμεῖς δὲ τὰ μὲν τῶν ἄλλων ζηλοῦν οὐκ ἀξιοῦμεν· τοὺς μέντοι μετέχειν τῶν ἡμετέρων βουλομένους ἡδέως δεχόμεθα· καὶ τοῦτο ἂν εἴη τεκμήριον οἶμαι φιλανθρωπίας ἅμα καὶ μεγαλοψυχίας. ἐῶ περὶ λακεδαιμονίων ἐπὶ πλείω λέγειν. οἱ δὲ κοινὴν εἶναι τὴν ἑαυτῶν δόξαντες πόλιν ἀθηναῖοι, πῶς περὶ τούτων εἶχον ἀπολλώνιος ἠγνόησεν, ὅτι καὶ τοὺς ῥῆμα μόνον παρὰ τοὺς ἐκείνων νόμους φθεγξαμένους περὶ θεῶν, ἀπαραιτήτως ἐκόλασαν. τίνος γὰρ ἑτέρου χάριν σωκράτης ἀπέθανεν. οὐ γὰρ δὴ προεδίδου τὴν πόλιν τοῖς πολεμίοις, οὐδὲ τῶν ἱερῶν ἐσύλησεν οὐδὲν, ἀλλ᾽ ὅτι καινοὺς ὅρκους ὤμνυεν, καί τοι δαιμόνιον αὐτῷ σημαίνειν ἔφασκεν, ἢ διαπαίζων ὡς ἔνιοι λέγουσι, διὰ ταῦτα κατεγνώσθη κώνειον πιὼν ἀποθανεῖν. καὶ διαφθείρειν δὲ τοὺς νέους ὁ κατήγορος αὐτὸν ᾐτιᾶτο, τῆς πατρίου πολιτείας καὶ τῶν νόμων ὅτι προῆγεν αὐτοὺς καταφρονεῖν. σωκράτης μὲν οὖν πολίτης ἀθηναίων τοιαύτην ὑπέμεινε τιμωρίαν. ἀναξαγόρας δὲ κλαζομένιος ἦν, ἀλλ᾽ ὅτι νομιζόντων ἀθηναίων τὸν ἥλιον εἶναι θεὸν, ὁ δ᾽ αὐτὸν ἔφη μύλον εἶναι διάπυρον, θάνατον αὐτοῦ παρ᾽ ὀλίγας ψήφους κατέγνωσαν. καὶ διαγόρα τοῦ μηλίου τάλαντον ἐπεκήρυξαν, εἴ τις αὐτὸν ἀνέλοι, ἐπεὶ τὰ παρ᾽ αὐτοῖς μυστήρια χλευάζειν ἐλέγετο. καὶ πρωταγόρας εἰ μὴ θᾶττον ἔφυγε, συλληφθεὶς ἂν ἐτεθνήκει, γράψαι τι δόξας οὐχ ὁμολογούμενον τοῖς ἀθηναίοις περὶ θεῶν. τί δὲ δεῖ θαυμάζειν εἰ πρὸς ἄνδρας οὕτως ἀξιοπίστους διετέθησαν, οἵ γε μηδὲ γυναικῶν ἐφείσαντο; νῦν μὲν γὰρ τὴν ἱέρειαν ἀπέκτειναν, ἐπεί τις αὐτῆς κατηγόρησεν, ὅτι ξένους ἐμύει θεούς, νόμῳ δ᾽ ἦν τοῦτο παρ᾽ αὐτοῖς κεκωλυμένον, καὶ τιμωρία κατὰ τῶν ξένον εἰσαγόντων θεὸν ὥριστο θάνατος. οἱ δὲ τοιούτῳ νόμῳ

A vnus fuit stultorum atque tumentium. Eos autem qui verè in Græco philosophati sunt, neque prædictorum aliquid latuit, neque frigidæ allegoriæ causas ignorauêre. quapropter illos quidem iustè spreuêre, & circa veram decentémque circa Deum opinionem nobis fuêre concordes. Quod Plato respiciens, neque vllum quempiam poëtarum dicit in repub. esse suscipiendum: & Homerum honorificè amouet, coronatum & vnguēto delibutum, ne B rectam opinionē de Deo fabulis fortè destrueret. Præcipuè namque Plato nostrum legislatorem imitatus est, in hoc quoq; quod illud præcipuè suis ciuibus imperauit, vt omnes perfectè ediscerent leges, & ne fortuitò aliquid extraneorum ciuibus misceretur, sed esset pura respublica, & in legum custodia perduraret. Horum nihil cogitans Apollonius Molō, nos voluit accusare, quoniam non recipimus eos, qui aliis sunt opinionibus præoccupati: neque C communicari patimur eis, qui alia vitæ consuetudine degunt: cùm neque hoc proprium nostrum sit, sed commune cunctorum, non modò Græcorum, sed etiam qui inter Græcos cautissimi fuisse noscuntur. Lacedæmonij nāque peregrinos etiam expellebant, & suos ciues peregrinari nō sinebāt, corruptionem extra leges ex vtroque metuentes. Illorum igitur citius sæuitiam poterit quilibet arguere, qui nulli neque conuersationis neque coha- D bitationis suæ participationē exhibebant. Nos autem aliorum quidem rex zelare non dignamur: participari verò cupiētes quæ sunt nostra libenter suscipimus: quod vtique reor indiciū magnanimitatis atque clementiæ. Sed desino iam de Lacedæmoniis amplius disputare. Athenienses verò, qui communem esse suam gloriantur omnibus ciuitatem, quomodo de his rebus habuerint, Apollonius ignorauit. Hi namque vel verbo solummodo, præter illo- E rum legem, de diis loquentes, ineuitabiliter punierunt. Cuius enim rei gratia Socrates est mortuus? non enim hostibus tradidit ciuitatē, neque templa vastauit: sed quia noua iuramēta iurauit, & quoddam dæmonium significasse referebat, seriò seu ludens, sicuti quidam dicunt, propter hoc cicutæ poculo morte mulctatus est. Insuper etiam corrūpere iuuenes eum accusator aiebat, & conuersationem patriæ legésque contemnere. Et Socrates qui- F dam ciuis Atheniensis, huiusmodi tormenta sustinuit. Anaxagoras autem Clazomenius fuit. Et quia existimantibus Atheniensibus solem esse Deum, ille eum saxum ignitum asseruit, paucorum sententia morte damnatus est. Et aduersus Diagoram Melium talentum decreuerunt, quis occideret eum, quoniam eorum mysteria deridere ferebatur. Protagoras autem, nisi citò fugisset, comprehen- G sus occisus fuisset, eò quòd dubium de diis Atheniensium conscripsisse putabatur. Et quid oportet mirari, si circa viros fide dignos talia gessisse noscantur, qui neq; mulieribus pepercêre? Etenim sacerdotem quandam interfecerunt, quoniam eam quidam accusauit peregrinos colere deos. decretum autem aduersus eos, qui peregrinum introducerēt Deum supplicium mortis inferebatur. Igitur qui tali lege

vtebantur, palàm est, eò quòd aliorum non crederent esse deos. Non enim si credidissent, seipsi fructu ex pluribus diis priuassent. Quin & Scythæ cædibus gaudentes humanis, & paululum differentes à bestiis, arbitrantur tamen sua mysteria esse custodienda: Anacharsim sapientia mirabilem apud Græcos, aduenientem interemerunt, quoniam videbatur Græcorum deorum ad eos venisse plenissimus. Multos autem & apud Persas inuenias pro ea causa tormentis affectos. Sed palàm est, quoniam Apollonius Persarum legibus cõgaudebat, illósque mirabatur: quippe cùm Græci eorum fortitudinem atque concordiam vnanimitatis, quam habuêre de diis, mirati sunt, hanc scilicet fortitudinem, quàm in templis eorum cõcrematis habuerũt. Is etiam studiorum omnium imitator extitit Persicorum, vxoribus alienis contumelias faciens, filiósque excæcans. Apud nos autem mors decreta est, si quis vel irrationabilia animalia hoc modo lædat: & ab his legibus nos abducere neque timor potuit præpotentium potestatum, neque zelus eorum qui apud alios honorantur. Sed neque fortitudinem ideo exercemus, vt bella auaritiæ causa suscipiamus, sed vt legum iura seruemus: & cùm alia detrimenta mansuetè sustineamus, si quis nos de legibus mouere tentauerit, tunc etiam vltra virtutem rebellare contendimus, & vsque ad calamitates nouissimas perduramus. Cur itaque nos alienas æmulemur leges, cũ eas neq; à legislatorib. suis seruatas esse videamus? Vel quo modo Lacedæmonij nõ sunt ob inhospitalitatem reprehendendi, & negligentiã nuptiarum? Elienses verò & Thebani ob coitum impudẽtem & extra naturam cum masculis, quem optimè atque vtiliter facere se putabant. Ergo cùm hæc ipsi omnino rebus efficerent, etiã suis legibus miscuêre: quod tãtum aliquando valuit apud Græcos, vt etiam diis suis masculorum concubitum applicarent. eadem denique ratione germanarum nuptias retulêre, huiusmodi satisfactionem rerum incongruarum, & extra naturam pro libidine componentes. Desino nunc de suppliciis dicere, & quantas ab initio præbuerint plurimi legislatores absolutiones malignis hominibus, in adulterio quidem pecuniarum, in corruptione autem etiam nuptias sancientes. Quantas autem occasiones contineant de abnegatione pietatis, examinare longissimum est. Iam enim apud plurimos olim meditatio facta est transgrediẽdi leges, quod nõ agitur apud nos, quando propter eas & diuitiis & ciuitatibus & bonis aliis priuati sumus. Lex autem apud nos seruatur vsque ad mortem. Nullus verò Iudæorum, neque si procul abeat extra prouinciam, regem quamuis acerbum sic metuit, vt vltra vllum legis videatur timere præceptũ. Igitur si propter virtutem legum taliter erga eas affecti sumus, concedãt quoniam optimas leges habemus. Sin verò circa prauas nõ leges iudicant perdurare, quid ipsi iustissimè non patiantur, meliores non custodientes opere sanctiones? Quia igitur longinquitas tẽporis verissima creditur omnium esse probatio, hãc ego testẽ faciam virtutum legislatoris nostri,

χρώμενοι, δηλονότι τοὺς τῶν ἄλλων οὐκ ἐνόμιζον εἶναι θεούς. οὐ γὰρ ἂν αὐτοῖς πλειόνων ἀπολαύειν ἐφθόνουν. τὰ μὲν οὖν Ἀθηναίων ὧδε καλῶς, Σκύθαι δὲ φόνοις χαίροντες ἀνθρώπων, καὶ βραχὺ τῶν θηρίων διαφέροντες, ὅμως τὰ παρ' αὐτοῖς οἴονται δεῖν περιστέλλειν, καὶ τὸν ὑπὸ τῶν Ἑλλήνων ἐπὶ σοφίᾳ θαυμασθέντα τὸν Ἀνάχαρσιν, ἐπανελθόντα πρὸς αὐτοὺς ἀνεῖλον, ἐπεὶ τῶν Ἑλληνικῶν θεῶν ἔδοξεν ἥκειν ἀνάπλεως. πολλοὺς δὲ καὶ παρὰ Πέρσαις ἄν τις εὕροι καὶ διὰ τὴν αὐτὴν αἰτίαν κεκολασμένους. ἀλλὰ δηλονότι τοῖς Περσῶν ἔχαιρεν νόμοις ὁ Ἀπολλώνιος, κἀκείνους ἐθαύμαζεν. ὅτι τῆς ἀνδρίας αὐτῶν ἀπήλαυσαν οἱ Ἕλληνες, καὶ τῆς ὁμογνωμοσύνης, ἧς εἶχον περὶ θεῶν. ταύτης μὲν οὖν ἐν τοῖς ἱεροῖς οἷς κατέπρησαν, τῆς ἀνδρίας δεδουλεῦσθαι παρὰ μικρὸν ἐλθόντες. ἁπάντων δὲ καὶ τῶν ἐπιτηδευμάτων μιμητὴς ἐγένετο τῶν Περσικῶν. γυναῖκας ἀλλοτρίας ὑβρίζων, καὶ παῖδας ἐκτέμνων. παρ' ἡμῖν δὲ θάνατος ὥρισται, κἂν ἄλογόν τις ζῷον οὕτως ἀδικῇ, καὶ τούτων ἡμᾶς τῶν νόμων ἀπαγαγεῖν, οὔτε φόβος ἴσχυσε τῶν κρατησάντων, οὔτε ζῆλος τῶν παρὰ τοῖς ἄλλοις τετιμημένων. οὐδὲ τὴν ἀνδρίαν ἠσκήσαμεν, ἐπὶ τῷ πολέμους ἄρασθαι χάριν πλεονεξίας, ἀλλ' ἐπὶ τῷ τοὺς νόμους διαφυλάττειν. τὰς γοῦν ἄλλας ἐλαττώσεις πράως ὑπομένοντες, ἐπειδάν τινες ἡμᾶς τὰ νόμιμα κινεῖν ἀναγκάζωσι, τότε καὶ παρὰ δύναμιν αἱρούμεθα πολέμους, καὶ μέχρι τῶν ἐσχάτων ταῖς συμφοραῖς ἐγκαρτεροῦμεν. διατί γὰρ καὶ ζηλώσαιμεν τοὺς ἑτέρων νόμους, ὁρῶντες μήτε παρὰ τοῖς θεμένοις αὐτοὺς τετηρημένους. πῶς γὰρ οὐκ ἔμελλον Λακεδαιμόνιοι μὲν τῆς ἀνεπιμίκτου καταγνώσεσθαι πολιτείας, καὶ τῆς περὶ τοὺς γάμους ὀλιγωρίας. Ἠλεῖοι δὲ καὶ Θηβαῖοι τῆς παρὰ φύσιν καὶ ἄγαν ἀνέδην πρὸς τοὺς ἄρρενας μίξεως. ἃ γοῦν πάλαι κάλλιστα καὶ συμφορώτατα πράττειν ὑπελάμβανον, ταῦτ' εἰ μὴ καὶ παντάπασι τοῖς ἔργοις πεφεύγασιν, οὐχ ὁμολογοῦσιν, ἀλλὰ καὶ τοὺς περὶ αὐτῶν νόμους ἀπομίγνυνται, τοσοῦτόν ποτε παρὰ τοῖς Ἕλλησιν ἰσχύσαντας, ὥστε καὶ τοῖς θεοῖς τὰς τῶν ἀρρένων μίξεις ἐπεφήμισαν. κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ τοὺς τῶν γνησίων ἀδελφῶν γάμους, ταύτην ἀπολογίαν αὑτῶν τῶν ἀτόπων καὶ παρὰ φύσιν ἡδονῶν συντιθέντες. ἐῶ νῦν περὶ τῶν τιμωριῶν λέγειν, ὅσας μὲν ἐξ ἀρχῆς ἔδοσαν οἱ πλεῖστοι νομοθέται τοῖς πονηροῖς διαλύσεις, ἐπὶ μοιχείας μὲν ζημίας χρημάτων, ἐπὶ φθορᾶς δὲ γάμους νομοθετήσαντες. ὅσας καὶ περὶ τῆς ἀσεβείας προφάσεις περιέχουσιν ἀρνήσεως, εἰ καί τις ἐπιχειρήσειεν ἐξετάζειν. ἤδη γὰρ παρὰ τοῖς πλείοσι μελέτη γέγονε τοῦ παραβαίνειν τοὺς νόμους. οὐ μὴν καὶ παρ' ἡμῖν, ἀλλὰ κἂν πλούτου καὶ πόλεων καὶ τῶν ἄλλων ἀγαθῶν στερηθῶμεν, ὁ γοῦν νόμος ἡμῖν ἀθάνατος διαμένει. καὶ οὐδεὶς Ἰουδαίων οὔτε μακρὰν οὕτως ἂν ἀπέλθοι τῆς πατρίδος, οὐδ' ἐπὶ μικρὸν φοβηθήσεται δεσπότας, ὡς μὴ πρὸ ἐκείνου δεδιέναι τὸν νόμον. εἰ μὲν οὖν διὰ τὴν ἀρετὴν τῶν νόμων οὕτω πρὸς αὐτοὺς διακείμεθα, συγχωρησάτωσαν ὅτι κρατίστους ἔχομεν νόμους. εἰ δὲ φαύλοις οὕτως ἡμᾶς ἐμμένειν ὑπολαμβάνουσι, τί οὐκ ἂν αὐτοὶ δικαίως πάθοιεν, τοὺς κρείττονας οὐ φυλάττοντες. ἐπεὶ τοίνυν ὁ πολὺς χρόνος πιστεύεται πάντων εἶναι δοκιμαστὴς ἀληθέστατος, τοῦτον ἂν ποιησαίμην ἐγὼ μάρτυρα τῆς ἡμῶν τοῦ νομοθέτου

καὶ τῆς

καὶ τῆς ὑπ' ἐκείνου φήμης περὶ τοῦ θεοῦ παραδοθείσης. ἀπείρου γὰρ τοῦ χρόνου γεγονότος, εἴ τις αὐτὸν παραβάλλοι τῇ τῶν ἄλλων ἡλικίας νομοθετῶν, παρὰ πάντων εὕροι τοῦτον. ὑφ' ἡμῶν τε διηλέγχθησαν οἱ νόμοι καὶ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις ἀεὶ καὶ μᾶλλον αὐτῶν ζῆλον ἐμπεποιήκασι. πρῶτον μὲν γὰρ οἱ παρὰ τοῖς ἕλλησι φιλοσοφήσαντες, τῷ μὲν δοκεῖν τὰ πάτρια διεφύλαττον, ἐν δὲ τοῖς πράγμασι καὶ τῷ φιλοσοφεῖν ἐκείνῳ κατηκολούθησαν. ὅμοια μὲν περὶ θεοῦ φρονοῦντες, εὐτέλειαν δὲ βίου καὶ τὴν πρὸς ἀλλήλους κοινωνίαν διδάσκοντες. οὐ μὴν ἀλλὰ καὶ πλήθεσιν ἤδη πολὺς ζῆλος γέγονεν ἐκ μακροῦ τῆς ἡμετέρας εὐσεβείας. οὐδ' ἔστιν οὐ πόλις ἑλλήνων οὐδητισοῦν οὐδὲ βάρβαρος, οὐδὲ ἓν ἔθνος, ἔνθα μὴ τὸ τῆς ἑβδομάδος ἣν ἀργοῦμεν ἡμεῖς, τὸ ἔθος οὐ διαπεφοίτηκεν, καὶ αἱ νηστεῖαι, καὶ λύχνων ἀνακαύσεις, καὶ πολλὰ τῶν εἰς βρῶσιν ἡμῖν οὐ νενομισμένων παρατετήρηται. μιμεῖσθαι δὲ πειρῶνται καὶ τὴν πρὸς ἀλλήλους ἡμῶν ὁμόνοιαν, καὶ τὴν τῶν ὄντων ἀνάδοσιν, καὶ τὸ φιλεργὸν ἐν ταῖς τέχναις, καὶ τὸ καρτερικὸν ἐν ταῖς ὑπὲρ τῶν νόμων ἀνάγκαις. τὸ γὰρ θαυμασιώτατον ὅτι χωρὶς τοῦ τῆς ἡδονῆς ἐπαγωγοῦ, οὐ δελεαστὸς αὐτοὺς καθ' αὐτὸν ἴσχυσεν ὁ νόμος, καὶ ὥσπερ ὁ θεὸς διὰ παντὸς τοῦ κόσμου πεφοίτηκεν, οὕτως ὁ νόμος διὰ πάντων ἀνθρώπων βεβάδικεν. αὐτός γέ τις ἕκαστος τὴν πατρίδα καὶ τὸν οἶκον ἐπισκοπῶν τὸν αὑτοῦ, τοῖς ὑπ' ἐμοῦ λεγομένοις οὐκ ἀπιστήσει. χρὴ τοίνυν πάντων ἀνθρώπων καταγνῶναι πονηρίαν ἐθελούσιον, εἰ τἀλλότρια καὶ φαῦλα περὶ τῶν οἰκείων καὶ καλῶν ζηλοῦν ἐπιτεθυμήκασιν, ἢ παύσασθαι βασκαίνοντας ἡμῖν τοὺς κατηγοροῦντας. οὐδὲ γὰρ ἐπιφθόνου τινὸς ἀντιποιούμεθα πράγματος, τὸν αὐτῶν τιμῶντες νομοθέτην, καὶ τοῖς ὑπ' ἐκείνου προφητευθεῖσι περὶ τοῦ θεοῦ πεπιστευκότες. καὶ γὰρ εἰ μὴ συνίεμεν αὐτοὶ τῆς ἀρετῆς τῶν νόμων ἁπάντων, ὑπὸ τοῦ πλήθους γοῦν τῶν ζηλούντων μέγα φρονεῖν ἐπ' αὐτοῖς προήχθημεν. ἀλλὰ γὰρ περὶ μὲν τῶν νόμων καὶ τῆς πολιτείας, τὴν ἀκριβῆ πεποίημαι παράδοσιν, ἐν τοῖς περὶ ἀρχαιολογίας μοι γραφεῖσι. νυνὶ δ' αὐτῶν ἐπεμνήσθην ἐφ' ὅσον ἦν ἀναγκαῖον, οὔτε τὰ τῶν ἄλλων λέγειν, οὔτε τὰ παρ' ἡμῖν ἐγκωμιάζειν προθέμενος, ἀλλ' ἵνα τοὺς περὶ ἡμῶν ἀδίκως γεγραφότας ἐλέγξω πρὸς αὐτὴν ἀναιδῶς τὴν ἀλήθειαν πεφιλονεικότας. καὶ δή μοι δοκῶ πεπληρῶσθαι διὰ τῆς γραφῆς ἱκανῶς ἃ προϋπεσχόμην. καὶ γὰρ ἀρχαιότητι προϋπάρχον ἐπέδειξα τὸ γένος, τῶν κατηγόρων ὅτι νεώτατόν ἐστι εἰρηκότων. καὶ γὰρ πολλοὺς ἐν τοῖς συγγράμμασιν ἐμνημονευκότας ἡμῶν ἀρχαίους παρεσχόμην μάρτυρας, ἐκείνων ὅτι μηδεὶς ἐστι διαβεβαιουμένων. ἀλλὰ μὴν αἰγυπτίους ἔφασαν ἡμῶν τοὺς προγόνους· ἠλέγχθησαν δ' εἰς αἴγυπτον ἐλθόντες ἑτέρωθεν. διὰ δὲ λύμην σωμάτων, αὐτοὺς ἐκβληθῆναι κατεψεύσαντο. προαιρέσει καὶ περιουσίᾳ ῥώμης ἐφάνησαν ἐπὶ τὴν οἰκείαν ὑποστρέψαντες γῆν. οἱ μὲν ὡς φαυλότατον ἡμῶν τὸν νομοθέτην ἐλοιδόρησαν. τῷ δὲ τῆς ἀρετῆς πάλαι μὲν ὁ θεὸς, μετ' ἐκεῖνον δὲ μάρτυς ὁ χρόνος εὕρηται γεγενημένος. περὶ τῶν νόμων οὐκ ἐδέησε λόγου πλείονος. αὐτοὶ γὰρ ἑωράθησαν δι' αὐτῶν, οὐκ ἀσέβειαν μὲν, εὐσέβειαν δ' ἀληθεστάτην διδάσκοντες, οὐδ' ἐπὶ μισανθρωπίαν, ἀλλ'

opinionisque quam ille de Deo contradidit: nam cùm sit infinitum tempus, si quis eum comparet aliorum legislatorum ætatibus hûc vltra omnes inueniet. A nobis itaque declaratæ sunt leges, & cunctis aliis semper hominibus zelum sui potius præbuerunt. Primi quippe Græcorum, in speciem quidem iura patriæ conseruabant: ipsius autem philosophiæ tractatu illa secuti sunt, de Deo similia sapientes, humilitatéque vitæ communionem inter alterutros edocentes. Quin etiam populum iam olim multum nostrum pietatem æmulantur, neque est ciuitas Græcorum vsquam aut Barbarorum, nec vlla gens ad quam septimanæ in qua vacamus consuetudo minimè peruenerit, ieiuniáque & candelabra accensa:atque etiam ciborum apud nos solennia plurimi apud multos iugiter obseruare conâtur: insuper imitari etiam cõcordiam, quam nos inter nos obtinemus, & rerũ communionem & industriam in artibus & perdurationem necessitatum habere pro legibus. Illud enim mirabilius est, quia absque exactore huius obseruationis, ipsa lex per se homines ita valuit obligare: & quemadmodum Deus in vniuerso mundo consistit, ita lex per cunctos ambulauit. Vnusquisque enim si suam regionem domúmque conspiciat, his quæ dicuntur à me credere non recusabit. Oportet igitur cunctorum hominum spontaneam malitiam reprehẽdere. aut enim volunt nos isti aliena & praua iura, ante propria & meliora zelari: aut certè si hoc nolunt, quiescant nobis per inuidiam accusationes ingerere. non enim alicuius odio defendimus hanc causam: sed nostrum honoramus legislatorem, atque credimus, quæ ab illo prophetata de Deo sunt. Denique nisi intelligeremus ipsi virtutem legum, at certè ob imitantium multitudinem præclarè de eis sentire cogeremur. Sed de legibus quidem & de republica nostra certissimam feci narrationem in his quæ de Antiquitate conscripsi. Nunc autem earum mentionem feci quantum necessarium fuit, neque aliorum vituperare iura neque nostra laudare proponens: sed hoc agens, vt de nobis iniustè conscribentes, & contra ipsam veritatem impudentissimè contendentes, arguerem. Arbitror itaque per hanc conscriptionem abundanter me quæ promisi complesse. Ibi enim ostendi, hoc genus hominum contra quàm calumniatores affirmant, esse antiquissimum: & multos veterum in conscriptionibus suis memoriam habentium nostri, testes exhibui. Dixêre itaque Ægyptios fuisse progenitores nostros: & ostensum est, quia in Ægyptum venerint aliunde. Deinde sunt mentiti, quoniam exinde propter cladem corporis sint expulsi; & apparuit quòd voluntate & magnitudine fortitudinis ad propria sint reuersi. Alij verò tanquam nequissimo viro, legislatori nostro derogare contendunt: cuius virtuti dudum quidem multi post illum, tempus verò longissimum perhibet testimonium. De legibus autem loqui ampliori sermone, nõ fuit opus. Ipsæ namque per semetipsas apparuêre piæ & verissimã habentes intentionẽ: & non ad hominum odiũ, sed

ad rerum communionem potiùs inuitantes, A iniquitatum inimicæ, cultricésque iustitiæ, & luxum procul abiiciētes, frugalitatem verò ac industriam erudientes, bellum causa auaritiæ nescientes: fortes autē pro se esse populos præparantes, ad supplicia retribuenda semper inuitabiles, verbis nequaquam circumueniri faciles, præparationes semper operibus exequentes. Hæc enim nos semper opera manifestiora literis exhibemus. Quapropter ego confi- B dens dico, quia plurium atque meliorum rerum nos quàm alij præceptores sumus. Quid enim impræuaricabili in pietate melius est? quid iustius quàm legibus obedire? quid vtilius, quàm inuicem vnanimes esse, & neque in calamitatibus ab inuicem recedere, neque tempore felicitatum per iniurias discrepare: sed in bello quidem mortem contemnere, in pace verò artibus aut agriculturæ vacare: & semper & vbique credere Deum respicere, & C solum omnia gubernare? Hæc igitur, si quidem apud alios aut scripta sunt primitùs, aut seruata, firmiorem debemus nos gratiam illis tanquam eorum facti discipuli. Si verò nequaquam primitùs extitēre, his præcipuè nos vtentes cognoscimur, & primam eorum inuētionem nostram fuisse declaramus. Apiones igitur & Molones, & quicunque mendacij derogatione congaudent, conuicti procul facessant. Tibi autem Epaphrodite, veritatem D maximè diligenti, & per te similia nosse de nostro genere cogitantibus, hic libellus conscriptus esse dignoscitur.

A ἐπὶ τὴν τῶν ὄντων κοινωνίαν παρακαλοῦντες, ἀδικίας ἐχθροὶ, δικαιοσύνης ἐπιμελεῖς, ἀργίαν καὶ πολυτέλειαν ἐξορίζοντες, αὐτάρκεις καὶ φιλοπόνους εἶναι διδάσκοντες, πολέμων μὲν ἀπείργοντες εἰς πλεονεξίαν, ἀνδρείους δ' ὑπὲρ αὐτῶν εἶναι παρασκευάζοντες, ἀπαραίτητοι πρὸς τὰς τιμωρίας, ἀσόφιστοι λόγων παρασκευαῖς, τοῖς ἔργοις ἀεὶ βεβαιούμενοι. ταῦτα γὰρ ἀεὶ ἡμεῖς παρέχομεν τῶν γραμμάτων ἐναργέστερα. διόπερ ἐγὼ θαρσήσας B ἂν εἴποιμι, πλείστων ἅμα καὶ καλλίστων ἡμᾶς εἰσηγητὰς τοῖς ἄλλοις γεγονέναι. τί γὰρ εὐσεβείας ἀπαραβάτου κάλλιον; τί δὲ τοῦ πειθαρχεῖν τοῖς νόμοις δικαιότερον; ἢ τί συμφορώτερον τοῦ πρὸς ἀλλήλους ὁμονοεῖν, καὶ μήτ' ἐν συμφοραῖς διΐστασθαι, μήτ' ἐν εὐτυχίαις στασιάζειν ἐξυβρίζοντας; ἀλλ' ἐν πολέμῳ μὲν θανάτου καταφρονεῖν, ἐν εἰρήνῃ δὲ τέχναις ἢ γεωργίαις προσανέχειν. πάντα δὲ καὶ πανταχοῦ πεπεῖσθαι τὸν θεὸν ἐποπτεύοντα C διέπειν. ταῦτ' εἰ μὲν παρ' ἑτέροις ἢ ἐγράφη πρότερον, ἢ ἐφυλάχθη βεβαιότερον, ἡμεῖς ἂν ἐκείνοις χάριν ὀφείλοιμεν, ὡς μαθηταὶ γεγονότες. εἰ δὲ καὶ χρώμενοι μάλιστα πάντων βλεπόμεθα, καὶ τὴν πρώτην εὕρεσιν αὐτῶν ἡμετέραν οὖσαν ἐπεδείξαμεν, Ἀπίωνες μὲν καὶ Μόλωνες, καὶ πάντες ὅσοι τῷ ψεύδεσθαι καὶ λοιδορεῖν χαίρουσιν, ἐξεληλέγχθωσαν. σοὶ δὲ Ἐπαφρόδιτε μάλιστα τὴν ἀλήθειαν ἀγαπῶντι, καὶ διὰ σὲ τοῖς ὁμοίως βουλευσαμένοις περὶ τοῦ γένους ἡμῶν εἰδέναι, τοῦτο τὸ D καὶ τὸ περὶ αὐτοῦ γεγράφθω βυβλίον.

DES.

Flauij Iosephi contra Apionem libri II. finis.

DES. ERASMVS ROTERODAMVS

INTEGERRIMO DOCTISSIMOQVE PATRI HELIÆ MARCÆO MACHEBÆTANO, HOnoratissimi Machabæorum collegij moderatori, S. D.

VNIVS diecula opellam tibi non grauatè dicaui, pater integerrime, recognito, & quoad licuit, emendato Iosephi libello de septem fratrum Machabæorum, fortissimæq; matris martyrio. Atque vtinam cumulatiùs tuo voto satisfacere potuissem. Nunc quoniam Græcus codex ad manum non erat, è Latinis Græca coniectans, mutaui nonnulla, sed non admodum multa. Non falsò de se prædicat Iosephus, sese in Græcanici sermonis facultate vsque ad eloquentiæ miraculum processisse, quod sanè vel ex hoc libello perspicuum erat, in quo vir ille singularem quandam orationis tum vim tum copiam declarauit, vt pulcherrimum facinus dictionis ornamentis æquasse videatur. Proinde diuus Hieronymus hoc opusculum peculiari elogio, valde elegans, Suidas ἐναρέτον πάνυ vocat. Ex vtroque titulum corruptum restituimus περὶ αὐτοκράτορος λογισμοῦ, id est, de imperatrice ratione: quòd hæc sit huius narrationis summa, rationem nihil in homine non præstare, si dominetur cupiditatibus. Extat argumẽtum hoc in libris Machabæorum, quos Hebræi licèt non recipiant in canonem, inter sacros tamen habent. Equidem isti collegio multis aliis quoque nominibus celebri, tamen hoc præcipuè gratulor, quòd illi tam insigni thesauro locupletari contigit. Quin magis vniuersæ Coloniæ Agrippinæ magnoperè censeo gratulandum, vrbi tot modis felici, verùm haud alio titulo feliciori, quàm quòd vna tam multa, támq; eximia pietatis pignora gremio suo complectitur: felicior etiam futura, si quorum seruat reliquias, eorum virtutes exprimat: & quorum possidet corpora, ab horum moribus non sit aliena: nimirum si trium regum pietatem, synceritate religionis imitetur: si vndecim millium virginum martyrio dignã puritatem, vitæ sobrietate æmuletur: si fortissimos adolescentes Machabæos, & inuicti pectoris viraginem, animi infracti constantia referat. Atque hanc sanè meliorem felicitatis suæ portionem ipsa sibi vel largiri potest, vel conduplicare. Tu perge, quod facis, in martyrum illustranda gloria, simul & virtutis exemplar efficere commendatius, & vrbis vestræ famam illustriorem augustiorémque reddere.

Bene Vale.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΕΙΣ ΜΑΚΚΑΒΑΙΟΥΣ ΛΟΓΟΣ, Η ΠΕΡΙ ΑΥΤΟΚΡΑ'ΤΟΡΟΣ ΛΟΓΙΣΜΟΥ.

FLAVII IOSEPHI DE MACHABÆIS, SIVE DE IMPERIO RATIONIS LIBELLVS, A DES. ERASMO ROT. IN SERMONEM LATINVM παραφραστικῶς tranſlatus.

MACHABÆORVM agones admiratione digniſſimos nõ oratorio ſermone, ſed noſtro potiùs eloquio, ad exhortationem noſtræ proſapiæ, Polybio Megalopolita id flagitante, tradere volui. Neceſſe eſt autem nobis in his rationem humanam paucis explicare, & paſſionem ipſam deliberandi aſſignare ſententiæ. Nã qui ad tolerandam omnem pro Dei gloria iniuriam ſemel dicauit animum, is martyrium mihi videtur impleſſe. Summi ergo meriti eſt, ſemel fixiſſe ſententiam, atque ideo vt dixi, ratio principatum obtinet paſſionis: & ſi ſors perpetiendi deneget facultatem, pertulit tamẽ cuncta, quæ voluit pati. Quicunque igitur renunciare ſeculo volet, contẽtus prẽmiis cæleſtibus, primum debet conſilium ſobrietatis intrare, & excluſa inde radicitùs gula, vel quę eſt illi comes laſciuia, cunctiſq; aliis id genus vitiis, quę mentem occupare ſolent, virtutis apicem conſcendat, præliaturus contra corporales poſtmodum labes, dolorem pariter & timorem: quorum vnum antequam incipias alterum neceſſe eſt eſſe cùm cœperis. Timorem enim antè excipis, quàm ad illud veneris quod timebas: dolorem verò, cùm ad id quod verebaris, adueneris. Multa in hac re exempla ſunt fortium militum Dei, quæ ſingula fortè diſſererem, niſi mihi vnius vteri ornamenta ſufficerent: quos fœcundus ſanctæ matris partus, non eodem tempore, ſed eadẽ mente progenuit. Primum itaque eorum paſſionis autorem Eleazarum non ſilebo, deinde quas inter alia tormentorũ genera mater ipſa pœnas pertulerit, nõ omittam: quamuis inter illos quis in paſſione primus, quiſve poſtremus ſit, humanus ſermo explicare non queat, ſed Dei ſit expectanda ſententia. Communiter ergo firmato mentis robore, inter ſe ſimiles plus mente, quàm vultu fragilem hanc iudicarunt huius lucis vſuram: nec in ſeculis blandimẽtis

ΦΙΛΟΣΟΦΩ'ΤΑΤΟΝ λόγον ἐπιδείκνυσθαι μέλλων, εἰ αὐτοδέσποτός ἐστι τῶν παθῶν ὁ εὐσεβὴς λογισμὸς, συμβουλεύσαιμ' ἂν ὑμῖν ὀρθῶς, ὅπως προσέχητε προθύμως τῇ φιλοσοφίᾳ. καὶ γὰρ ἀναγκαῖος εἰς ἐπιστήμην παντὶ ὁ λόγος, καὶ ἄλλως τῆς μεγίστης ἀρετῆς, λέγω δὴ φρονήσεως περιέχει ἔπαινον, εἰ ἄρα τῶν σωφροσύνης κωλυτικῶν παθῶν ὁ λογισμὸς φαίνεται ἐπικρατεῖν γαστριμαργίας τε καὶ ἐπιθυμίας, ἀλλὰ καὶ τῶν τῆς δικαιοσύνης ἐμποδιστικῶν παθῶν κυριεύειν ἀναφαίνεται, οἷον κακοηθείας, καὶ τῶν τῆς ἀνδρείας ἐμποδιστικῶν παθῶν, θυμοῦ τε καὶ φόβου καὶ πόνου. πῶς οὖν ἴσως εἴποι ἄν τις εἰ τῶν παθῶν ὁ λογισμὸς κρατεῖ, λήθης καὶ ἀγνοίας οὐ δεσπόζει. γελοῖον ἐπιχειροῦντες λέγειν. οὐ γὰρ τῶν αὐτοῦ παθῶν ὁ λογισμὸς κρατεῖ, ἀλλὰ τῶν τῆς δικαιοσύνης καὶ ἀνδρείας καὶ σωφροσύνης ἐναντίων, καὶ τούτων οὐχ ὥστε αὐτὰ καταλῦσαι, ἀλλ' ὥστε αὐτοῖς μὴ εἶξαι. πολλαχόθεν μὲν οὖν καὶ ἀλλαχόθεν ἔχοιμ' ἂν ὑμῖν ἐπιδεῖξαι, ὅτι αὐτοκράτωρ ἐστὶ τῶν παθῶν ὁ λογισμὸς· πολὺ δὲ πλέον τοῦτο ἀποδεῖξαι ἀπὸ τῆς ἀνδραγαθίας τῶν ὑπὲρ ἀρετῆς ἀποθανόντων, Ἐλεαζάρου τε καὶ τῶν ἑπτὰ ἀδελφῶν, καὶ τῆς τούτων μητρός. ἅπαντες γὰρ οὗτοι τοὺς ἕως θανάτου πόνους ὑπεριδόντες, ἐπεδείξαντο, ὅτι περικρατεῖ τῶν παθῶν ὁ λογισμός. τὴν μὲν οὖν ἀρετὴν ἔπεστι μοι ἐπαινεῖν τοὺς κατ' ἐκεῖνον τὸν καιρὸν ὑπὲρ τῆς καλοκαγαθίας ἀποθανόντας μετὰ τῆς μητρὸς ἄνδρας, τὴν δὲ τιμὴν μακαρίσαιμ' ἄν. θαυμασθέντες γὰρ οὐ μόνον ὑπὸ πάντων ἀνθρώπων ἐπ' ἀνδρείᾳ καὶ ὑπομονῇ, ἀλλὰ καὶ ὑπὸ τῶν αἰκισαμένων, αἴτιοι κατέστησαν τοῦ καταλυθῆναι τὴν κατὰ τοῦ ἔθνους τυραννίδα, νικήσαντες τὸν τύραννον τῇ ὑπομονῇ, ὥστε καθαρισθῆναι δι' αὐτῶν τὴν πατρίδα. ἀλλὰ καὶ περὶ τοῦ ζητουμένου αὐτίκα δὴ λέγειν ἐξέσται, ἀρξαμένῳ τῆς ὑποθέσεως ὥσπερ εἰώθαμεν ποιεῖν. καὶ οὕτως εἰς τὸν περὶ αὐτὸν τρέψομαι λόγον, δόξαν

δόξαν διδοὺς τῷ πανσόφῳ θεῷ. ζητοῦμεν δὴ τοίνυν, εἰ αὐτοκράτωρ ἐστὶ τῶν παθῶν ὁ λογισμός. καὶ διακρινόμεν τί ποτέ ἐστι λογισμὸς, καὶ τί πάθος, καὶ πόσαι παθῶν ἰδέαι, καὶ εἰ πάντων ἐπικρατεῖ τούτων ὁ λογισμός. λογισμὸς μὲν τοίνυν ἐστὶ νοῦς μετ' ὀρθοῦ λόγου προτιμῶν τὸν σοφίας βίον. σοφία δέ ἐστι γνῶσις θείων, καὶ ἀνθρωπίνων πραγμάτων, καὶ τῶν τούτων αἰτίων. αὕτη τοίνυν ἐστὶν ἡ τοῦ νόμου παιδεία, δι' ἧς τὰ θεῖα σεμνῶς, καὶ τὰ ἀνθρώπινα συμφερόντως μανθάνομεν. τῆς δὲ σοφίας ἰδέαι καθεστῶσι, φρόνησις, δικαιοσύνη, ἀνδρεία, καὶ σωφροσύνη. κυριωτάτη δὲ πάντων ἡ φρόνησις, ἐξ ἧς δὴ τῶν παθῶν λογισμὸς ἐπικρατεῖ. παθῶν δὲ φύσεις εἰσὶν αἱ περιεκτικώταται δύο, ἡδονή τε καὶ πόνος. τούτων δὲ ἑκάτερον καὶ περὶ τὴν ψυχὴν πέφυκε. πολλαὶ δὲ καὶ περὶ τὴν ἡδονὴν, καὶ τῶν πόνων παθῶν εἰσὶν ἀκολουθίαι. πρὸ μὲν οὖν τῆς ἡδονῆς ἐστὶν ἐπιθυμία, μετὰ δὲ τὴν ἡδονὴν χαρά. πρὸ δὲ τοῦ πόνου ἐστὶ φόβος, μετὰ δὲ τὸν πόνον λύπη. θυμὸς δὲ κοινὸν πάθος ἐστὶν, ἡδονῆς καὶ πόνου ἐὰν ἐννοηθῇ τις ὅτε αὐτῷ περιέπεσεν. ἐν τῇ ἡδονῇ δέ ἐστι καὶ ἡ κακοήθης διάθεσις, πολυτροπωτάτη πάντων οὖσα τῶν παθῶν. κατὰ μὲν ψυχὴν ἀλαζονεία καὶ φιλαργυρία, φιλονεικία καὶ βασκανία. κατὰ δὲ τὸ σῶμα παντοφαγία καὶ μονοφαγία. καθάπερ δυοῖν, τοῦ σώματος καὶ τῆς ψυχῆς φυτῶν ὄντων ἡδονῆς τε καὶ πόνου. πολλαὶ τούτων τῶν φυτῶν εἰσι παραφυάδες. ὧν ἑκάστην ὁ παγγέωργος λογισμὸς περικαθαίρων τε καὶ ἀποκνίζων, καὶ ἐπάρδων, καὶ πάντα τρόπον μεταχέων, ἐξημεροῖ τὰς τῶν ἠθῶν καὶ παθῶν ὕλας. ὁ μὲν γὰρ λογισμὸς τῶν μὲν ἀρετῶν ἐστὶν ἡγεμὼν, τῶν δὲ παθῶν αὐτοκράτωρ. ἐπιθεώρει δέ τι πρῶτον δι' αὐτῶν κωλυτικῶν τῆς σωφροσύνης ἔργων, ὅτι αὐτοδέσποτός ἐστι τῶν παθῶν ὁ λογισμός. σωφροσύνη δέ τοι ἐστὶν ἐπικράτεια τῶν ἐπιθυμιῶν. τῶν δὲ ἐπιθυμιῶν αἱ μέν εἰσι ψυχικαὶ, αἱ δὲ σωματικαὶ, καὶ τούτων ἀμφοτέρων ἐπικρατεῖν ὁ λογισμὸς φαίνεται, ἐγὼ μὲν οἶμαι. τοιγαροῦν ἐνύδρων ἐπιθυμοῦντες, καὶ ὀρνέων καὶ τετραπόδων, καὶ παντοίων βρωμάτων τῶν ἀπηγορευμένων ἡμῖν κατὰ τὸν νόμον ἀπεχόμεθα διὰ τὴν τοῦ λογισμοῦ ἐπικράτειαν. ἀνέχεται γὰρ τὰ τῶν ὀρέξεων πάθη ὑπὸ τοῦ σώφρονος ἀνακαμπτόμενα, καὶ φιμοῦνται πάντα τὰ τοῦ σώματος κινήματα ὑπὸ τοῦ λογισμοῦ.

Κεφ. β. ΚΑὶ τί θαυμαστὸν εἰ αἱ τῆς ψυχῆς ἐπιθυμίαι πρὸς τὴν τοῦ κάλλους μετουσίαν ἀκυροῦνται. ταύτῃ γοῦν ὁ σώφρων Ἰωσὴφ ἐπαινεῖται, ὅτι τῷ λογισμῷ περιεκράτησε τῆς ἡδυπαθείας. νέος γὰρ ἀκμάζων πρὸς συνουσιασμὸν ἠκύρωσε τῷ λογισμῷ τῶν παθῶν οἶστρον. οὐ μόνον δὲ τὴν τῆς ἡδυπαθείας οἰστρηλασίαν ἐπικρατεῖν ὁ λογισμὸς φαίνεται, ἀλλὰ καὶ πάσης ἐπιθυμίας. λέγει γοῦν ὁ νόμος, οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου, οὐδὲ ὅσα τοῦ πλησίον σου ἐστί. καί τοι ὅτε μὴ ἐπιθυμεῖν ὑμᾶς εἴρηκεν ὁ νόμος, πολὺ πλέον πείσειεν ἂν ἡμᾶς, ὅτι ἐπιθυμιῶν κρατεῖν δύναιτ' ἂν ὁ λογισμὸς, ὥσπερ καὶ τῶν κωλυτικῶν τῆς δικαιοσύνης παθῶν. ἐπεὶ τίνα τρόπον μονοφάγος τις ὢν τὸ ἦθος καὶ γαστρίμαργος μεταπαιδεύεται, εἰ μὴ δῆλον ὅτι κύριός ἐστι τῶν παθῶν ὁ λογισμός. αὐτίκα γοῦν τῷ νόμῳ πολιτευόμενος, κἂν φιλάργυρός τις ᾖ, βιάζεται τὸν αὐτοῦ τρόπον τοῖς δεομένοις δανείζων χωρὶς τόκων, καὶ τὸ δάνειον τῶν ἑβδομάδων ἐνστασῶν χρεοκοπούμενος.

vel in captanda aliqua vanæ huius salutis fraude, quicquam sibi dulce posuerunt: leuis apud illos, quamuis horridus tortor, moles, catenæ, & quælibet pœnarū acerbitas æstimata ostēdebatur. Vt verò ad priora tractatus nostri verba redeamus, excogitata omnia, quæcūq; exquisita iudicis crudelitas imperat, se præuisa habere rati sunt. Laudabo itaque in his fratribus robur animorum qua potero voce: aut vt verius dicam exponam quàm verissimè potero (id quod maximam laudem habet) sanctorum virorū pugnā. Et cùm blandiri non liceat, historico more progredi, & ad verum ordinem facta redigere compellor. Antequā ergo exordium extinctæ ab ipsis gentilitatis arripiam, de ratione mihi pauca dicenda sunt, in qua asserui maximam persuasionem esse martyrij. Itaque vt primùm voracitate sublata, repudiatisque multiformibus cibis ieiuniis seruiamus, ratio facit. Deinde, vt vilis pecuniæ vsus habeatur, & paruipendatur tumultus dignitatum, eius etiam bonæ rationis assertio est: vt resistatur libidini, & manus obuiæ luxurioso opponantur ardori, nónne rationis hoc donum est? Hinc prouenit, vt cùm se paulatim domitis quæ delectant, firmiores, ad resistendum viderint, inculcent animo dolorum pœnarúmque contemptum, vt tantam occasionem quantam cogentur, expectent. Atque quo magis res pateat, rationem ipsius ordinis requiramus. Ratio etenim sapientia est: nam nemo inter bonum malúmque definiendi potest habere consilium, nisi sapientia radicitùs fulciatur. Iam ipsam sapientiam sequitur semper sociata iustitia, iustitiam virtus animi non relinquit, virtutem comitatur castigata sobrietas: quadripartita itaque est ista sapientia. Duo sunt præterea quæ aut faciunt passionem, aut impediunt: dolor & voluptas: quorum vnum semper respuit, alterum semper exoptat: sed vbi voluptas insurgit, & ratione statim eiicitur, confirmatur animus: & pœna trutinata cum gloria, spe maioris præmij, contemni incipit, antequam veniat: cùm autem venerit, erubescit animus non sufferre quod voluit. Ratio est itaque, cuius est omne quod facimus: per illam animi punitio, omniúmque vitiorum detestatio est: quæ officio periti functa cultoris, inutilia sarmenta succidens, & omnē spiritum noxij humoris enecans, illud solum quod profuturum intelligit manere permittit. Sic ratio hominem passione depurandum, purum reddens & ante passionem confirmat, & in ipsa passione corroborat. Quis non venationis, quis non piscium esca delectetur? quem non grata diuersarum auium sagina sollicitet? an exquisiti terra marique cibi, vsquequo non esurire compellant? Da rationem, quæ abstinētiam imperat. Concupiunt quidem omnes, sed nemo attingit. Docetúrq; his rebus animus delectationem suam vincere, & imperare protinus voluptati, vt dum ad occasionem martyr venerit, reiectis hisce vitiis, præsentem pœnam præteritis virtutibus non præponat. Inde Ioseph iusti voce laudatus, quòd libidinē in puerili ætate flagrātem ratione restrinxerit. Sic futurum reddit salubritate consilij, considerationéque, perditā amicitiam renouat, nouā parat,

& nihil fieri crudele permittit. Moses quoque exemplum præstat, qui nisi in Datan & Abiron iusta indignatione efferbuisset, suo procul dubio dolori animi ratione conspicuo minùs satisfecit. Quid pater noster Iacob: nónne filios suos Simonem & Leui magna vociferatione corripuit, quòd sine respectu consilij alicuius, sic immites gentili feritate aberrassent, dicens: Maledicta eorum ira. Quam vtique iram si ratio reprimere potuisset, nec maledici isti, nec illi interire potuissent. Deus itaque humani artifex corporis, cùm hominem fundauit & mores, hæc singula membrorum lineamenta componens, perfecto iam corpori dominam (quæ in eo esset, & imperio quodam vteretur) mentem dedit: cui quædam in ipsa potestate obseruationis mandata constituit, vt sobrietatem teneat, diligat bonum, iustitiam non relinquat, & ipsa imperij potestate qua corpori imperat, imperia tamen diuinæ potestatis obseruet. Etenim dicet quispiam, si ratio principatum obtinet passionis, cur habemus sæpiùs impiam voluntatem? Si hoc existimas esse, ridiculum est. nam ratio non potest obtinere ne desideretur aliquid: sed potest cogere, vt quod desideratum fuerit, prudentis consilij ratione vincatur: vtputa obtinere non potest, ne irascaris, sed cogere potest, vt nullum scelus iratus admittas. Turpissimas quoque similiter voluptates non, ne concupiscas, sed ne his satisfacias, obtinebit. Non ergo extinguit penitus vitia, sed repellit. Sanctus Dauid loco exempli ponitur, qui alienigenis bellum inferens, cùm multis fortunæ blandientis successu, animíque virtute prostratis, iam aduesperasceret, sudore nimis & lassitudine fatigatus, ad tabernaculum regium properabat, quod militum suorum agminibus in circuitu claudebatur. Ibi cùm omnes commilitones delicatis dapibus cœnæ deditos videret, & ipse aridis faucibus sitim ferre non posset, aquam iuxta defluentem (quia religio vetabat) haurire non fuit ausus: promiserat enim, nullum se habiturum poculum, nisi primùm hostibus expugnatis, relatos fontes suis etiam præberet, scilicet vt & maior bellantium esset instantia, si non pro victoria tantùm, sed & pro poculis pugnaretur. Itaque cùm medullitùs sitis adureretur incendio, & contra legem facere non auderet, tres ex militibus eius magni roboris iuuenes se obtulerunt: & instructi armis, quæ forent, ad vsum aquæ necessaria leuantes, per hostium acies & castra properarunt. Illuc aggressi, portarum custodes primùm formidine inferendæ mortis exterruerunt: deinde per eos ad locum desideratum optati fontis accedunt, inde sumptá velociter aquam regi exhibent: sed Dauid sanctus humanum desiderium ratione molliuit, abstulit voluntatem: docénsque timorem Dei rebus omnibus præferendum, singulare patientiæ monstrauit exemplum. Nam sumptam magno periculo aquam, & à se crebrò expetitam, humi protinus eam Deo libauit, ariditate potiùs ac siti perire volens, quàm crimine. Nec ante considerationis ius est ratio tanti consilij, vt libidinem animi, doloris corporísve singula (quibus inflammati

κἂν φειδωλός τις ᾖ, ὑπὸ τοῦ νόμου κρατεῖται διὰ τὸν λογισμὸν μήτε ἐπικαρπολογούμενος τοὺς ἀμήτους, μήτε τοὺς ἀμπελῶνας. καὶ ἐπὶ τῶν ἑτέρων δὲ ἔστιν ἐπιγνῶναι τοῦτο, ὅτι τῶν παθῶν ἐστὶν ὁ λογισμὸς ὁ κρατῶν. ὁ γὰρ νόμος καὶ τῆς πρὸς γονεῖς εὐνοίας κρατεῖ, μὴ καταπροδιδοὺς τὴν ἀρετὴν δι᾽ αὐτούς, καὶ τῆς πρὸς γαμετὴν φιλίας ἐπικρατεῖ, διὰ παρανομίαν αὐτὴν ἀπελέγχων, καὶ τῆς τέκνων φιλίας κυριεύει διὰ κακίαν αὐτὰ κολάζων, καὶ τῆς φίλων συνηθείας δεσπόζει, διὰ πονηρίαν αὐτοὺς ἐλέγχων. καὶ μὴ νομίσητε παράδοξον εἶναι ὅπου καὶ ἔχθρας ἐπικρατεῖν ὁ λογισμὸς δύναται διὰ τὸν νόμον, μήτε δενδροτομῶν τὰ ἥμερα τῶν πολεμίων φυτά, τά τε τῶν ἐχθρῶν τοῖς ἀπολέσασι διασώζων, καὶ τὰ πεπτωκότα συνεγείρων. καὶ τῶν βιαιοτέρων δὲ παθῶν ἐπικρατεῖν ὁ λογισμὸς φαίνεται, φιλαρχίας, κενοδοξίας, καὶ βασκανίας. πάντα γὰρ ταῦτα τὰ κακοήθη πάθη ὁ σώφρων νοῦς ἀπωθεῖται, ὥσπερ καὶ τὸν θυμόν. καὶ γὰρ τούτου δεσπόζει. ἐπεὶ διατί ὁ πάνσοφος ἡμῶν πατὴρ Ἰακὼβ τοὺς περὶ Συμεὼν καὶ Λευὶ αἰτιᾶται, μὴ λογισμῷ τοὺς Σικιμήτας ἐθνηδὸν ἀποσφάξαντας λέγων, ἐπικατάρατος ὁ θυμὸς αὐτῶν. εἰ μὴ γὰρ ἐδύνατο τοῦ θυμοῦ ὁ λογισμὸς κρατεῖν, οὐκ ἂν εἶπεν οὕτως. ὁπηνίκα γὰρ ὁ θεὸς τὸν ἄνθρωπον κατεσκεύαζε λόγῳ καὶ αὐτεξουσιότητι κοσμήσας, τηνίκα καὶ τὰ πάθη αὐτῷ καὶ τὰ ἤθη περιεφύτευσε, καὶ τὸν ἡγεμόνα νοῦν διὰ τῶν ἔνδον αἰσθητηρίων ἐνεθρόνισε· καὶ τοῦτον νόμον ἔδωκε καθ᾽ ὃν πολιτευόμενος βασιλεύσει βασιλείαν σώφρονά τε καὶ δικαίαν, καὶ ἀγαθήν. πῶς οὖν εἴποι τις ἄν, εἰ τῶν παθῶν δεσπότης ἐστὶν ὁ λογισμός, λήθης καὶ ἀγνοίας οὐ κρατεῖ.

Κεφ. γ.

Ἔστι δὲ κομιδῇ γελοῖος ὁ λόγος. οὐ γὰρ τῶν αὐτοῦ παθῶν ὁ λογισμὸς ἐπικρατεῖν φαίνεται, ἀλλὰ τῶν σωματικῶν· οἷον ἐπιθυμίαν τις οὐ δύναται ἐκκόψαι ἡμῶν, ἀλλὰ μὴ δουλωθῆναι τῇ ἐπιθυμίᾳ δύναται ὁ λογισμὸς παρασχέσθαι. θυμόν τις οὐ δύναται ἐκκόψαι ἡμῶν, ἀλλὰ μὴ δουλωθῆναι τῆς ψυχῆς. ἀλλὰ τῷ θυμῷ δυνατὸν τὸν λογισμὸν βοηθεῖν. κακοήθειάν τις οὐ δύναται ἐκκόψαι· ἀλλὰ τὸ μὴ καμφθῆναι τῇ κακοηθείᾳ δύναται ὁ λογισμὸς συμμαχῆσαι. οὐ γὰρ ἐκριζωτὴς τῶν παθῶν ὁ λογισμός ἐστιν, ἀλλ᾽ ἀνταγωνιστής. ἔστι γοῦν τοῦτο διὰ τῆς τοῦ Δαβὶδ τοῦ βασιλέως δίψης, σαφέστερον ἐπιλογίσασθαι. ἐπεὶ γὰρ δι᾽ ὅλης ἡμέρας προσβαλὼν ἀλλοφύλοις ὁ Δαβὶδ πολλοὺς αὐτῶν ἀπέκτεινε μετὰ τῶν ἔθνους στρατιωτῶν, τότε δὴ γινομένης ἑσπέρας, ἱδρῶν καὶ σφόδρα κεκμηκὼς ἐπὶ τὴν βασίλειον σκηνὴν ἦλθε. περὶ ἣν πᾶς τῶν προγόνων στρατὸς ἐστρατοπεδεύκει. οἱ μὲν οὖν ἄλλοι πάντες ἐπὶ τὸ δεῖπνον ἦσαν. ὁ δὲ βασιλεὺς ὡς μάλιστα διψῶν, καίπερ ἀφθόνους ἔχων πηγὰς οὐκ ἐδύνατο δι᾽ αὐτῶν ἰάσασθαι τὴν δίψαν. ἀλλά τις αὐτὸν ἀλόγιστος ἐπιθυμία τοῦ παρὰ τοῖς πολεμίοις ὕδατος ἐπιτείνουσα συνέφυγε, καὶ λύουσα κατέφλεγεν. ὅθεν τῶν ὑπασπιστῶν ἐπὶ τῇ τοῦ βασιλέως δίψῃ σχετλιαζόντων, δύο νεανίσκοι καταιδεσθέντες τὴν τοῦ βασιλέως ἐπιθυμίαν, τὰς παντευχίας καθοπλίσαντο, καὶ κάλπην λαβόντες, ὑπερέβησαν τοὺς τῶν πολεμίων χάρακας· καὶ λαθόντες τοὺς τῶν πυλῶν ἀκροφύλακας διεξῄεσαν, ἀνερευνώμενοι κατὰ πᾶν τὸ τῶν πολεμίων στρατόπεδον. καὶ ἀνερευνώμενοι τὴν πηγήν,

γίω, ἐξ αὐτῆς τῷ βασιλεῖ ἐκόμισαν. ὁ δὲ, καί περ τῇ δίψῃ διαπυρούμενος, ἐλογίσατο πάνδεινον εἶναι κίνδυνον ψυχῇ λογισθὲν ἰσοδύναμον ποτὸν αἵματι· ὅθεν ἀντιθεὶς τῇ ἐπιθυμίᾳ τὸν λογισμὸν, ἔσπεισε τὸ πόμα τῷ θεῷ. δυνατὸς γὰρ ὁ σώφρων, ἔφην, νοῦς νικῆσαι τὰς τῶν παθῶν ἀνάγκας καὶ σβέσαι τὰς τῶν οἴστρων φλεγμονὰς, καὶ τὰς τῶν σωμάτων ἀλγηδόνας καθ' ὑπερβολὴν οὔσας καταπαλαῖσαι, καὶ τῇ καλοκαγαθίᾳ τοῦ λογισμοῦ διαπτύσαι πάσας τὰς τῶν παθῶν ἐπικρατείας. ἤδη δὲ καὶ ὁ καιρὸς ἡμᾶς καλεῖ ἐπὶ τὴν ἀπόδειξιν τῆς θεωρίας τοῦ σώφρονος λογισμοῦ. ἐπειδὴ γὰρ βαθεῖαν εἰρήνην διὰ τὴν εὐνομίαν οἱ πατέρες ἡμῶν εἶχον, καὶ ἔπραττον καλῶς, ὥς τε καὶ τὸν τῆς ἀσίας βασιλέα σέλευκον τὸν νικάτορα, καὶ χρήματα εἰς τὴν ἱερουργίαν αὐτοῖς ἀφορίσαι, καὶ τὴν πολιτείαν αὐτῶν ἀποδέχεσθαι. τότε δή τινες πρὸς τὴν κοινὴν νεωτερίσαντες ὁμόνοιαν πολυτρόποις ἐχρήσαντο συμφοραῖς.

Κεφ. δ. Σίμων γάρ τις πρὸς ὀνίαν ἀντιπολιτευόμενος, τόν ποτε τὴν ἀρχιερωσύνην ἔχοντα διὰ βίου, καλὸν καὶ ἀγαθὸν ἄνδρα, ἐπειδὴ πάντα τρόπον διαβαλὼν ὑπὲρ τοῦ ἔθνους οὐκ ἴσχυσε κακῶσαι, φυγὰς ᾤχετο τὴν πατρίδα προδώσων· ὅθεν ἥκων ὡς ἀπολλώνιον, τὸν συρίας καὶ φοινίκης στρατηγὸν ἔλεγεν, εὔνους ὢν τοῖς τοῦ βασιλέως πράγμασιν ἥκω μηνύσων πολλὰς ἰδιωτικῶν χρημάτων μυριάδας ἐν τοῖς ἱεροσολύμων γαζοφυλακίοις τεθησαυρίσθαι, τῷ ἱερῷ μὴ ἐπικοινωνούσας, καὶ προσήκειν ταῦτα σελεύκῳ τῷ βασιλεῖ. τούτων ἕκαστα γνοὺς ὁ ἀπολλώνιος, τὸν μὲν σίμωνα τῆς εἰς τὸν βασιλέα κηδεμονίας ἐπῄνει. πρὸς δὲ τὸν σέλευκον ἀναβὰς κατεμήνυσε τὸν τῶν χρημάτων θησαυρόν· καὶ λαβὼν τὴν περὶ αὐτῶν ἐξουσίαν, ταχὺ εἰς τὴν πατρίδα ἡμῶν μετὰ τοῦ καταράτου σίμωνος, καὶ βαρυτάτου στρατοῦ προσελθὼν τῇ τοῦ βασιλέως ἐντολαῖς ἥκειν ἔλεγεν, ὅπως τὰ ἰδιωτικὰ τοῦ γαζοφυλακίου λάβοι χρήματα. καὶ τοῦ ἔθνους πρὸς τὸν λόγον σχετλιαζόντων, ἀντιλεγόντων τε πάνδεινον εἶναι νομίσαντος, εἰ οἱ τὰς παραθήκας πιστεύσαντες τῷ ἱερῷ θησαυρῷ στερηθήσονται, ὡς οἷόν τε ἐκώλυον. μετὰ ἀπειλῶν δὲ ὁ ἀπολλώνιος ἀπῄει εἰς τὸ ἱερόν. τῶν δὲ ἱερέων μετὰ γυναικῶν, καὶ παιδίων, ἐν τῷ ἱερῷ ἱκετευσάντων τὸν θεὸν, ὑπερασπίσαι τοῦ ἱεροῦ καταφρονουμένου τόπου, ἀνιόντος τε μετὰ καθωπλισμένης τῆς στρατιᾶς τοῦ ἀπολλωνίου πρὸς τὴν τῶν χρημάτων ἁρπαγὴν, οὐρανόθεν ἔφιπποι προσεφαίνησαν ἄγγελοι περιαστράπτοντες τοῖς ὅπλοις, καὶ πολὺν αὐτοῖς φόβον τε καὶ τρόμον ἐνιέντες. καταπεσὼν δὲ ἡμιθανὴς ὁ ἀπολλώνιος ἐπὶ τὸν πάμφυλον τοῦ ἱεροῦ περίβολον, τὰς χεῖρας ἐξέτεινεν εἰς τὸν οὐρανὸν, καὶ μετὰ δακρύων τοὺς ἑβραίους παρεκάλει, ὅπως προσευξάμενοι περὶ αὐτοῦ, τὸν οὐράνιον ἐξευμενίσωνται στρατόν. τούτοις ὑπαχθεὶς τοῖς λόγοις ὀνίας ὁ ἀρχιερεὺς, καί περ ἄλλως εὐλαβηθεὶς, μή ποτε νομίσειεν ὁ βασιλεὺς σέλευκος, ἐξ ἀνθρωπίνης ἐπιβουλῆς ἀνῃρῆσθαι τὸν ἀπολλώνιον, εὔξατο περὶ αὐτοῦ. καὶ ὁ μὲν παραδόξως διασωθεὶς ᾤχετο, δηλώσων τῷ βασιλεῖ τὰ συμβάντα αὐτῷ. τελευτήσαντος δὲ σελεύκου τοῦ βασιλέως διαδέχεται τὴν ἀρχὴν ὁ υἱὸς αὐτοῦ ὁ ἀντίοχος, ἀνὴρ ὑπερήφανος καὶ δεινὸς, ὃς καταλύσας τὸν ὀνίαν τῆς ἀρχιε-

A agimur) atque in ipsa vltima passione, mitem faciat esse tractatum. Iam quidem nos optata historiæ reuelatio vocat: sed nec hæc velut superfluo dicta debemus accipere, quæ futuræ narrationi quodammodo blandiuntur. Tanta itaque patrum nostrorum prudentia, tanta etiam fides fuit, vt ipse quoque Seleucus Asiæ rex, & opes illis augeret sacerdotio deputatis, & alienæ sectæ homo, fidei suæ eorum quibus non credebat gesta præferret. Sed nec B sic quidem modum iniustorum hominum accepit insania. Nam quidam Simon nomine, dum Oniam persequens sacerdotem, nec apud gentilem quidem iudicem punire permitteretur, relicta protinus patria, Apollonium ducem Syriæ, Phœniciæ, & Ciliciæ conuocauit: ibique in medio cœtu senatus magna voce proclamat, infinita se commoda regi posse cōquirere. Esse videlicet maximū apud Hierosolymitas in occultis pondus argenti & auri, & C exuberantem rerum singularum copiam, quæ cuncta ad Seleucum regem debeant pertinere. His Apollonius cognitis, collaudato Simone, thesauri Seleuco lucra declarat: & accepta à rege acquirendi in omnibus potestate, cum Simone collecto exercitu, ad nostram patriam venit, vt vim (si inferretur) manus armata depelleret. Ibi cùm gazophylacium omne spoliaretur, Onias præ dolore lacrymarum imbres grauiùs ex- D citando, dicebat: durum esse illis, quibus thesaurus creditus esset aliquid auferri. Tunc templum ingrediens Apollonius, seniorum ac mulierum, infantium etiam deprecantibus vocibus vrgebatur, qui & illi pœnam, templo præsidium fideli oratione poscebant. Itaque cum magno agmine vallatus armatorum, templum sanctæ sedis fuisset ingressus, angeli equites igneo fulgore radiantes, armorum etiam instructi specie, infidelis E hominis mentem perculêre. Præceps Apollonius in faciem cadit: ibi post magnum spacium temporis attollens se, in ministrum templi paululum recumbebat. Timore enim rei adhuc præsentis vacillantibus hinc inde vestigiis, per se stare non poterat. Ibi cùm medelæ aliquid sperandum adhuc putaret, vtrasque ad cælum manus tendens, quæ se impetrare posse pro auso scelere non credebat Hebræos (ad quorum depopulationem vene- F rat) patronos & intercessores desiderans, veniam cum lacrymis postulabat delictorum: & non modò peccatum suum recognoscens animo, verumetiam voce contestans morte se dignum, & summis conficiendum cruciatibus confitebatur. Hæc omnia sanctus Onias aspiciens, metuens etiam, ne si obisset Apollonius, insidiis Hebræorum crederetur occisus, precem pro eo fudit, & inimici vitam G oratione promeruit. Statim iudex regi cuncta festinans nunciare, Seleuco iam mortuo, in eius loco Antiochum reperit imperantem, qui sæuis moribus, & veterano quodam naturæ odio Oniam prosequens sacerdotem, Iasonem fratrē eius promissis ab eo tribus millibus sexcentis sexaginta argenti talentis per singulos annos dandis, pontificē creat. Qui factus cōtinuo sacerdos & princeps gentis Iudæorum,

iniquos omnes esse compulit, & à religione seduxit: ita vt pro constructione thermarum, ipsam tuitionem templi fabricámque turbarent, & doctores omnes in perfidiæ parte congruerent. Quæ res indignationem diuinam protinus concitauit: nec irato Deo hostis quæsitus alienus est. ipse namque Antiochus contra eos vertitur in furorem, Ptolemæo Ægyptiorum regi bellum inferens, famam mortis suæ ab Hebræis audit emissam. Cum magna etiam apud Hierosolymitas gratulatione susceptus, statim certamine adimpleto, decretum dat, vt si quis eorum in patria consistens, ad sacrificia migrare noluisset, districtus rotæ impetu rumperetur. Sed hæc paruipendebat multorum mens pura credentium, ita vt mulieres circumcisis (vt mos nostræ religionis erat) paruulis suis in præceps se demitterent, quippe quæ vitantes longiora tormenta, celerem halitum ingestæ mortis optarent. Videns ergo Antiochus legis timore hæc ab eis fieri non posse, cùm omnes ad exitium sponte properarent, sedens in editiore (videndus omnibus) loco, attractis singulis Hebræorum, porcinæ carnis sacrificiorum altaribus immolatæ gustum dare iubet. Et cùm multi conquisiti vndique conuenissent, inter cæteros etiam Eleazarus (nam hoc nomen illi) ex sacerdotali genere descendens disciplinæ & timoris artibus eruditus adducitur, grauis annis, & ipso & ætatis ac vultus honore venerandus, notus omnibus & virtute præclarus. Cui Antiochus ait: Accipe à me sanctissime senex salubre consilium, effuge repugnantibus promissa tormenta, dulcem hanc serua caniciem, nec contemnendam existima gratam huius lucis vsuram. Sume sacrificium, & porcinæ carnis dapibus delectare. nam alienum est à sapientis doctrina, Iudæorum persuasionibus credere, & repudiare escam quam ad vsum humanum passim vt cæteras dapes, natura præstiterit. Ingrati quodammodo diuinis beneficiis sumus, si eorum dona contemnimus, & discretionem facimus, cùm ratio sit vna naturæ: qua enim ratione hoc animal præ cæteris abhorrendum magis videtur? Aut amanda omnia, aut penitus repudianda. Superstitionis & ignauiæ est legem sibi facere, & voluntatem appellare rationem. Abiice intellectum vanum & delirum, & venerandæ ætatis tandem in melius flecte sententiam. Certè si quam virtutem fidei vestræ inesse confidis, dabit hæc patienti veniam, cùm sciat te impulsione potiùs, quàm voluntate peccare. Ad hæc Eleazarus hortanti simúlque cogenti, accepta respondendi facultate, respondit: Nos Antioche non rumorem sequimur, sed seruatam semper à maioribus nostris veritatem religionis tenemus, nec auerti à sententia nostra possumus, nec ad aliam fidem pœnæ timore compelli. Quinetiam si non optimis quibusque fundamentis corroborata esset tradita nobis à patribus consuetudo, nunquam tamen caderem, nec in re facili superatus abscederem. Nec leue existimes, cibum impietatis accipere, & sacrificio immolata gustare. Nam omnino pars profanitatis est, tangere quod in se profanum est. Philosophiam vestram lex no-

ἱερωσύνης, ἰάσονα τὸν ἀδελφὸν αὐτοῦ κατέστησεν ἀρχιερέα, συνθέμενον δώσειν αὐτῷ κατ' ἐνιαυτὸν τάλαντα τρισχίλια ἑξακόσια ἑξήκοντα. ὁ δὲ ἐπέτρεψεν αὐτῷ καὶ ἀρχιερᾶσθαι, καὶ τοῦ ἔθνους ἀφηγεῖσθαι. ὃς καὶ διεζήτησε τὸ ἔθνος καὶ ἐξεπολίτευσεν ἐπὶ πᾶσαν παρανομίαν. ὥστε μὴ μόνον ἐπ' αὐτῇ τῇ ἄκρᾳ τῆς πατρίδος ἡμῶν, γυμνάσιον κατασκευάσαι, ἀλλὰ καὶ καταλῦσαι τὴν τοῦ ἱεροῦ κηδεμονίαν. ἐφ' οἷς ἀγανακτήσασα ἡ θεία δίκη αὐτὸν αὐτοῖς τὸν ἀντίοχον ἐπολέμησεν. ἐπειδὴ γὰρ πολεμῶν ἦν κατ' αἴγυπτον πτολεμαίῳ, ἤκουσέ τε ὅτι φήμης διαδοθείσης περὶ τοῦ τεθνάναι αὐτὸν, ὡς ἔνιοι μάλιστα χαίροιεν οἱ ἱεροσολυμῖται, ταχέως ἐπ' αὐτοὺς ἀνέζευξεν, καὶ ἐπόρθησεν αὐτοὺς, καὶ δόγμα ἔθετο ὅπως οἵ τινες αὐτῶν θάνοιεν τῷ πατρίῳ πολιτευόμενοι νόμῳ θάνοιεν. καὶ ἐπεὶ τοῦτο οὐκ ἴσχυσεν, ἀλλὰ πάσας τὰς ἑαυτοῦ ἀπειλὰς καὶ τιμωρίας ἑώρα καταλυομένας, ὥστε καὶ γυναῖκας ὅτι περιέτεμνον παιδία μετὰ τῶν βρεφῶν κατακρημνισθῆναι προειδυίας ὅτι τοῦτο πείσονται. ἐπεὶ οὖν τὰ δόγματα αὐτοῦ κατεφρονεῖτο ὑπὸ τοῦ λαοῦ, αὐτὸς διὰ βασάνων ἕνα ἕκαστον ἠνάγκαζε, μιαρῶν ἀπογευσαμένους τροφῶν ἐξόμνυσθαι τὸν ἰουδαϊσμόν.

Προκαθίσας γέ τοι μετὰ τῶν συνέδρων ὁ τύραννος Κεφ. ε. ἀντίοχος ἐπί τινος ὑψηλοῦ τόπου, καὶ τῶν στρατευμάτων αὐτῷ παρεστηκότων ἐνόπλων, παρεκέλευσεν αὐτοῖς ἕνα ἕκαστον τῶν ἑβραίων ἐπισπᾶσθαι, καὶ κρεῶν ὑείων καὶ εἰδωλοθύτων ἀναγκάζειν ἀπογεύεσθαι. εἰ δέ τινες μὴ θελήσειεν μιαροφαγῆσαι τούτους τροχισθέντας ἀναιρεθῆναι. πολλῶν δὲ συναρπασθέντων εἷς πρῶτος ὀνόματι ἐλεάζαρ, τὸ γένος ἱερεὺς, τὴν ἐπιστήμην νομικὸς, καὶ τὴν ἡλικίαν προήκων, καὶ πολλοῖς τῶν περὶ τὸν τύραννον διὰ τὴν ἡλικίαν γνώριμος, παρήχθη πλησίον αὐτοῦ. καὶ ἰδὼν αὐτὸν ὁ ἀντίοχος ἔφη. ἐγὼ πρὶν ἄρξασθαι τῶν κατὰ σοῦ βασάνων, ὦ πρεσβῦτα, συμβουλεύσω σοι ὅπως ἀπογευσάμενος ὑείων σώζοιο. αἰδοῦμαι γάρ σου καὶ τὴν ἡλικίαν, καὶ τὴν πολιάν, ἣν μετὰ τοσοῦτον χρόνον οὔ μοι δοκεῖς φιλοσοφεῖν, τῇ ἰουδαίων χρώμενος θρησκείᾳ. διατί γὰρ τῆς φύσεως κεχαρισμένης καλλίστην τήνδε τοῦ ζώου σαρκοφαγίαν βδελύττῃ. καὶ γὰρ ἀνόητον τοῦτο μὴ ἀπολαύειν τῶν χωρὶς ὀνείδους ἡδέων, καὶ ἄδικον ἀποστρέφεσθαι τὰς τῆς φύσεως χάριτας. σὺ δέ μοι καὶ ἀνοητότερον ποιήσειν δοκεῖς, εἰ κενοδοξῶν περὶ τὸ ἀληθὲς, ἔτι κἀμοῦ καταφρονήσεις, ἐπὶ τῇ ἰδίᾳ τιμωρίᾳ. οὐκ ἐξυπνώσεις ἀπὸ τῆς φλυάρου φιλοσοφίας ὑμῶν, καὶ ἀποσκεδάσεις τὸν λογισμὸν σου τὸν λῆρον, καὶ προσκυνήσας μου τὴν φιλάνθρωπον παρηγορίαν, οἰκτειρήσαι τὸ σεαυτοῦ γῆρας. καὶ γὰρ ἐνθυμήθητι, ὡς εἰ καί τις ἐστὶ τῆσδε τῆς θρησκείας ὑμῶν ἐποπτικὴ δύναμις, συγγνωμονήσει σοι ἐπὶ πάσῃ δι' ἀνάγκην παρανομίᾳ γινομένῃ. τοῦτον τὸν τρόπον ἀκούσας ὁ ἐλεάζαρ ᾐτήσε λόγον. καὶ λαβὼν τοῦ λέγειν ἐξουσίαν, ἤρξατο δημηγορεῖν οὕτως. ἡμεῖς, ἀντίοχε, θείῳ πεπεισμένοι νόμῳ πολιτεύεσθαι, οὐδεμίαν ἀνάγκην βιαιοτέραν εἶναι νομίζομεν τῆς πρὸς τὸν νόμον ἡμῶν εὐπειθείας· διὸ δὴ κατ' οὐδένα τρόπον παρανομεῖν ἀξιοῦμεν. καί τοι εἰ καὶ κατ' ἀλήθειαν μὴ ἦν ὁ νόμος ἡμῶν ὡς ὑπολαμβάνεις θεῖος, ἄλλως δὲ νομίζομεν

ζοιμεν αὐτὸν εἶναι θεῖον, οὐδὲ οὕτως ἐξὸν ἦν ἡμῖν τὴν ἐπὶ τῇ εὐσεβείᾳ δόξαν ἀκυρῶσαι. μὴ μικρὰν οὖν εἶναι νομίσης ταύτην εἰ μιαροφαγήσαιμεν ἁμαρτίαν. τὸ γὰρ ἐπὶ μικροῖς καὶ μεγάλοις παρανομεῖν ἰσοδύναμόν ἐστι. δι' ἑκατέρου γὰρ ὁ νόμος ὁμοίως ὑπερηφανεῖται. χλευάζεις δὲ ἡμῶν τὴν φιλοσοφίαν, ὥσπερ οὐ μετ' εὐλογιστίας ἐν αὐτῇ βιούντων. σωφροσύνην τε γὰρ ἡμᾶς ἐκδιδάσκει, ὥστε πασῶν τῶν ἡδονῶν καὶ ἐπιθυμιῶν κρατεῖν, καὶ ἀνδρείαν ἐξασκεῖν, ὥστε πάντα πόνον ἑκουσίως ὑπομένειν. καὶ δικαιοσύνην παιδεύει, ὥστε μόνον τὸν ὄντα θεὸν σέβειν μεγαλοπρεπῶς. διὸ οὐ μιαροφαγοῦμεν. πιστεύοντες γὰρ θεοῦ καθεστάναι τὸν νόμον, οἴδαμεν ὅτι κατὰ φύσιν ἡμῖν συμπαθεῖ νομοθετῶν ὁ τοῦ νόμου κτίσης. τὰ μὲν οἰκειωθησόμενα ἡμῶν ταῖς ψυχαῖς ἐπέτρεψεν ἐσθίειν. τὰ δὲ ἐναντιωθησόμενα ἐκώλυσε σαρκοφαγεῖν. τυραννικὸν δὲ οὐ μόνον ἀναγκάζειν ἡμᾶς παρανομεῖν, ἀλλὰ καὶ ἐσθίειν. ἀλλ' οὐ γελάσεις κατ' ἐμοῦ τοῦτον τὸν γέλωτα. οὔτε τοὺς ἱεροὺς τῶν προγόνων, περὶ τοῦ φυλάξαι τὸν νόμον ὅρκους οὐ παρήσω, οὐδ' ἂν ἐκκόψειας μου τὰ ὄμματα, καὶ τὰ σπλάγχνα τήξειας. οὐχ οὕτως εἰμὶ γέρων ἐγὼ καὶ ἄνανδρος, ὥστε μοι διὰ τὴν εὐσέβειαν, μὴ νεάζειν τὸν λογισμόν. πρὸς ταῦτα τροχοὺς εὐτρέπιζε, καὶ τὸ πῦρ ἐκφύσα σφοδρότερον, οὐχ οὕτως οἰκτείρομαι τὸ ἐμαυτοῦ γῆρας, ὥστε με δι' ἑαυτοῦ τὸν πάτριον καταλῦσαι νόμον. οὐ ψεύσομαί σε παιδευτὰ νόμε, οὐδ' ἐξομοῦμαί σε φίλη ἐγκράτεια. οὐδὲ καταισχυνῶ σε φιλόσοφε λόγε, οὐδ' ἐξαρνήσομαί σε ἱερωσύνη τιμία, καὶ νομοθεσίας ἐπιστήμη. ἁγνόν με οἱ πατέρες προσδέξονται, μὴ φοβηθέντα σου τὰς μέχρι θανάτου ἀνάγκας.

Κεφ. ϛ.

Τοῦτον τὸν τρόπον ἀντιρρητορεύσαντα ταῖς τοῦ τυράννου παρηγορίαις, παραστάντες οἱ δορυφόροι πικρῶς ἔσυρον ἐπὶ τὰ βασανιστήρια τὸν Ἐλεάζαρον. καὶ πρῶτον μὲν περιέδυσαν αὐτόν, ἔπειτα περιαγκωνίσαντες ἑκατέρωθεν μάστιξι κατῄκιζον, πείθου ταῖς τοῦ βασιλέως ἐντολαῖς ἑτέρωθεν κήρυκος ἐπιβοῶντος. ὁ δὲ μεγαλόφρων Ἐλεάζαρος ὥσπερ ἐν ὀνείρῳ βασανιζόμενος κατ' οὐδένα τρόπον μετετρέπετο. ἀλλ' ὑψηλοὺς ἀνατείνας εἰς οὐρανοὺς τοὺς ὀφθαλμοὺς ἀπεξαίνετο ταῖς μάστιξι τὰς σάρκας ὁ γέρων. καὶ κατέρρεῖτο τῷ αἵματι, καὶ τὰ πλευρὰ κατετιτρώσκετο, καὶ πίπτων εἰς τὸ ἔδαφος, ἀπὸ τοῦ μὴ φέρειν τὸ σῶμα τὰς ἀλγηδόνας, ὀρθὸν εἶχε καὶ ἀκλινῆ τὸν λογισμόν. λὰξ γέ τοι τῶν πικρῶν τις δορυφόρων, εἰς τοὺς κενεῶνας ἐναλλόμενος ἔτυπτεν ὅπως ἐξανίσοιτο πίπτων. ὁ δὲ ὑπέμενε τοὺς πόνους, καὶ περιεφρόνει τῆς ἀνάγκης, καὶ διεκαρτέρει τοὺς αἰκισμούς, τυπτόμενος ἐνίκα τοὺς βασανίζοντας ὁ γέρων, καὶ ὑπ' αὐτῶν τῶν βασανιζομένων ἐθαυμάζετο ἐπὶ τῇ

A stra condemnat, in qua tanto minus quis intelligit, quanto plus intelligere se credit. Docti sumus sobrietatem deligere, desideria libidinum vincere, corpus casta obseruatione retinere, & si quid pro Dei inferatur nomine, sustinere: voluntatem, veritatem, iustitiam, pietatem, & inter cætera vnum Deum (qui solus & verus est) non negare. Ideóque profanam escam respuens, quæ mihi sunt edenda cognosco: habens quoque B præceptum altissimi Dei, cuius mandatis doctus sum obedire, & à sacrificiorum libaminibus temperare, & ea quæ prosunt animæ, totis viribus amplecti. Tyrannica vis est, ad illa quenquam cogere, quæ lex recusat, & ad iustitiæ non consentanea imperioso sermone compellere. Molire quiduis, tolle si libet cachinnum, plus tamen desiderabilis, quem derisisti: ego patrum mysteria sacrosancta cu- C stodiam. Effodias licèt pertinaci manu dulcedinem oculorum, & acuto protinus cultro viscera interna rescindas, nunquam ex me victoriam consequeris. Sanus, patiens, & defunctus in Dei amore consistam: nec te securum faciat meorum magna series annorum, & tremulum corpus. Si necesse sit aliquid offerri pro domino, viuidis videbis annis tolerantiam pueri, fortitudinem iuuenis, & totius gaudium voluntatis. Præpara exquisitum fo- D cis succensum ignem, & quæuis alia, fide mea mihi & lege viliora, securioré in suppliciis videbis, quàm expertus es ante supplicia. Nunquam te ego fundamentum salutis, credentis præsidium, firmamentum fidei, lex sancta violabo: nunquam præceptis tuis contrarias manus porrigam, nihil aliud credam iustum esse, quàm quod abs te doctus accepi. Non perdam tot annorum merita, nec seruatam hactenus disciplinam. Castum, integrum, purum, & tota Deo virtute deuo- E tum me patrum turba suscipiet, cùm non timuero tuas ô rex impie minas, quãuis nomen istud regiũ mutaueris in tyrannum: nec factũ meũ, nec cõsensum, nec verbum reuocabis ad crimẽ. Cùm hæc Elcazarus libertate & iustitia plenus effunderet, armatorum qui circumstabant manibus trahitur ad pœnam: nudatur, suspenditur, flagellatur. Quo ex vtroque latere ictus impios perferente, præco clamabat: Subditus esto imperio regis, man- F data eius agnosce. Magnanimus autem Eleazarus, nec flagellis, nec tormentorum ictibus fatigatur, quasi per quietem somniúmque acerbissima quæq; pateretur: securus igitur & intrepidus pœnarũ ferebat dolores, & venerãdos ad cęlum erigens oculos sciebat cui se crederet, cui animã dedicaret. Et hinc atque inde respiciens corporis sui frusta dissolui, cruorẽ etiam nimium latere vtroque profluere mirabatur, gratias Deo agens de tanta patientia.

Tamen fragilitatis humanæ conditione (quæ cruciatus tam exquisitos ferre vix poterat) in faciem semilaceram ruit, eas gratias stratus humo agens Domino, quas paulò antè stando egisset. Vnus verò ex armigeris plenus insania, vt regi se fidelem in hac tam profana, támque sacrilegia exhibitione monstraret, iacentem calcibus suppressit, & quo ad acerbiorem supplicij carnificam tractaretur, exegit. Ille verò & animo fortis & corpore, ac summi Dei verus athleta, dolorem omnem intrepidus perferebat, tortorésque impios mitis senex patiendo debellauit. Summa tamen lacerantium admiratio, quæ & illos non parum incesserat, tot eum: ac talia sustinuisse sup-

plicia. Accedentes vero ad eum ministri regis proclamant in eum:Quàm diu Eleazare in hac persuasione consistens, nec lucis gratia caperis, nec suppliciorum immanitate terreris? gusta porcinam carnem & effuge cuncta quæ pateris. Eleazarus qui in pœna tacuerat in tam sinistra persuasione non tacuit:& velut hoc verbo plus laceratus, exclamat, Non ita inutiles,& imbecilles Hebræorum filij sumus, vt viam salutis, quam vsq; ad senectam seruauimus,deseramus:& tam citò transeunte affecti ludibrio, exemplum decipiendis relinquamus:nec sic instructi sumus. Modicũ est,quod vitam hic prorogat: nostra enim parua sunt, quæ relinquimus:maxima autem,quæ indubitato speramus. Nunquid tyranno verò persuasione hac vestra inducti placere poterimus? minus profectò vtiles credet,quos mutabiles variósque cognouerit. In tuis, ô venerabilis pater Abraham, manibus,& in sinum tuum gremiúmque venturi,grata voluntate moriemur. Hunc animum videntes armigeri, sanctissimum senem nutu regis in ignem imposuêre: naribus eius noxios ac fœtidos liquores infũdentes. Quæ omnia sanctus ipse ac venerabilis senex libenter excipiens,cùm incendio crematus,natura deficiente spiritum relaxaret,cęlum oculis caligantibus suspiciẽs, sic est locutus:Tu es Deus,à quo salus procedit & vita:ecce legem impleo tuam,fragile quoq; hoc corpus depono,propitius esto genti tuæ, ne deseras hos quos in sinu tuo, sub alis (si dici potest) clemẽtiæ tuæ hucusque seruasti, sit mors mea malorum omnium finis, & in tota gente remedium omnium peccatorum. Accipe me pro cunctis, & dona mihi cunctos. Atque in hoc sermone animam lætus effudit. Inde est, quod prius diximus,omnem tolerantiam passionis ex optima oriri ratione quę semel firmata,prosperum facit animum, patiẽtissima semper doloris, & actus optimi prouida existens consiliatrix, fixum in homine propositum nõ relinquit. Itaque cùm passio inter se ratióque pugnauerint,necesse est, vt hæc dominetur illi,si ex altera triumphum velimus. Patri itaque Eleazaro gubernatrix fidissima ratio fuit, quæ nec dolori locum præbuit,nec blandimẽtę illecebrosæ voluptatis admisit. Seruauit contra omnes procellas, tempestatésque insaniæ, sancti corporis nauem, quam nullis turbinibus à vero dissoluit itinere, iactata quidẽ tyrannicis fluctibus, infracta tamen permansit: tenénsque iter suum,ad salutis portum peruenit. Nulli quamuis validis muris sic ab hostibus vrbem propriam defendêre, vt animam suam sanctissimus senex adhibita diligenti ratione seruauit. Passus equidem verbera, crucẽque,& flammas in aduersis, qui antea in lætis erat constitutus. Nam vt apices rupis alicuius excelsæ, irruentis fluctus obnoxiæ ictibus frãguntur, & sinus ille intrinsecus clausus est securus:ita munimentis optimæ rationis,primíque,consilij,venientium impetus procellarum suis accepit membris, eósq; nisu corporis inuictus fregit, ne interiora penetrando, ad diuinum illum cælestis animæ meatum perueni-

A εὐψυχίᾳ. ὅθεν καὶ ἐλεῶντες τὸ γῆρας αὐτοῦ, τῇ δὲ ἐν συμπαθείᾳ τῆς συνηθείας ὄντες προσιόντες αὐτῷ τινες τῶν τοῦ βασιλέως ἔλεγον. τί τοῖς κακοῖς τούτοις ἑαυτὸν ἀλογίστως ὑποβάλλεις ἐλεάζαρ. ἡμεῖς μέν τοι τῶν ἡψημένων κρεῶν παραθήσομεν. σὺ δὲ ὑποκρινόμενος τῶν ὑείων ἀπογεύσασθαι σώθητι. καὶ ὁ ἐλεάζαρος ἔφη. μὴ οὕτω κακῶς φρονήσωμεν οἱ ἀβραὰμ παῖδες, ὥστε μαλακοψυχήσαντας ἀπρεπὲς ἡμῖν δρᾶμα ὑποκρίνασθαι. καὶ γὰρ ἀλόγιστον πρὸς ἀλή-
B θειαν εἰ ζήσαντες τὸν μέχρι γήρως βίον καὶ τὴν ἐπ' αὐτοῦ δόξαν νομίμως φυλάξαντες, νῦν μεταβαλοίμεθα, καὶ αὐτοὶ μὲν ἡμεῖς γενοίμεθα τῆς μιαροφαγίας, αἴσχρον δὲ ἐπιβιώσωμεν ὀλίγον χρόνον, καὶ τοῦτον καταγελώμενοι πρὸς ἁπάντων ἐπὶ δειλίᾳ. οὕτω μεγαλοφρονοῦντα αὐτὸν ἰδόντες, καὶ μηδὲ πρὸς τὸν οἰκτιρμὸν αὐτῶν μεταβαλλόμενον, ἐπὶ τὸ πῦρ αὐτὸν ἤγαγον. ἔνθα διὰ κακοτέχνων ὀργάνων κατα-
C φλέγοντες αὐτὸν ὑπέρριπτον, καὶ δυσώδεις χυλοὺς εἰς τοὺς μυκτῆρας αὐτοῦ κατέχεον. ὁ δὲ μέχρι τῶν ὀστέων ἤδη κατακεκαυμένος, καὶ μέλλων λιποθυμεῖν, ἀνέτεινε τὰ ὄμματα πρὸς θεὸν, καὶ εἶπε. σὺ οἶσθα θεὲ παρόν μοι σώζεσθαι, βασάνοις καυστικαῖς ἀποθνήσκειν διὰ τὸν νόμον. τοιγαροῦν ἵλεως γενοῦ τῷ ἔθνει σου, ἀρκεσθεὶς τῇ ἡμετέρᾳ ὑπὲρ αὐτῶν δίκῃ. καθάρσιον αὐτῶν ποίησαι τὸ ἡμῶν αἷμα, καὶ ἀντὶ ψυχῶν αὐτῶν λάβε τὴν ἐμὴν ψυχήν. καὶ ταῦτα εἰπὼν ὁ ἱερὸς ἀνὴρ, εὐ-
D γενῶς ἐναπέθανεν. ὁμολογουμένως οὖν δεσπότης τῶν παθῶν ἐστιν ὁ εὐσεβὴς λογισμός. εἰ γὰρ τὰ πάθη τοῦ λογισμοῦ κεκρατήκει, τούτοις οὖν ἐπεδόμην τὴν τῆς ἐπικρατείας μαρτυρίαν. νυνὶ δὲ τοῦ λογισμοῦ τὰ πάθη νικήσαντος αὐτῷ προσηκόντως αὐτῷ τὴν τῆς ἡγεμονίας ἀπονέμωμεν ἐξουσίαν. καὶ δίκαιόν ἐστιν ὁμολογεῖν ἡμᾶς τὸ κράτος εἶναι τοῦ λογισμοῦ, ὅπου γε καὶ τῶν ἔξωθεν ἀλγηδόνων ἐπιδείκνυμι κεκρατηκέ-
E ναι τὸν λογισμόν. ἀλλὰ καὶ τῶν ἡδονῶν κρατεῖν, καὶ μηδὲ αὐταῖς ὑπείκειν.

Κεφ. ζ.

Ὥσπερ γὰρ ἄριστος κυβερνήτης ὁ τοῦ πατρὸς ἡμῶν ἐλεαζάρου λογισμὸς, πηδαλιουχῶν τὴν τῆς εὐσεβείας ναῦν ἐν τῷ τῶν παθῶν πελάγει, καὶ καταικιζόμενος ταῖς τοῦ τυράννου ἀπειλαῖς, καὶ καταντλούμενος ταῖς τῶν βασάνων τρικυμίαις κατ' οὐδένα τρόπον ἔτρεψε τοὺς τῆς εὐσεβείας οἴακας. ἕως
F οὗ ἔπλευσεν ἐπὶ τὸν τῆς ἀθανάτου νίκης λιμένα. οὐχ ὅτι πόλις πολλοῖς καὶ ποικίλοις μηχανήμασι ἀντέσχε ποτὲ πολιορκουμένη ὡς ὁ πανάγιος ἐκεῖνος τὴν ἱερὰν ψυχὴν αἰκισμοῖς τε καὶ στρέβλοις πυρπολούμενος ἐνίκησε τοὺς πολιορκοῦντας διὰ τὸν ὑπερασπίζοντα τῆς εὐσεβείας λογισμὸν, ὥσπερ πρόκρημνον ἄκραν τὴν ἑαυτοῦ διάνοιαν ὁ πατὴρ ἐλεάζαρ ἐκτείνας περιέκλασε τοὺς ἐπιμαινομένους τῶν παθῶν κλύδωνας. ὦ ἄξιε τῆς ἱερωσύνης ἱερεῦ. οὐκ ἐμίανας τοὺς
G ἱεροὺς ὀδόντας, οὐδὲ τὴν θεοσέβειαν χωρήσασαν γαστέρα ἐκοινώνησας μιαροφαγίᾳ. ὦ σύμφωνε νόμου, καὶ φιλόσοφε θείου λόγου. τοιούτους δεῖ εἶναι τοὺς ἱερουργοῦντας τὸν νόμον ἰδίῳ αἵματι, καὶ γενναίῳ ἱδρῶτι τοῖς μέχρι θανάτου πάθεσιν ὑπερασπίζοντας. σὺ πάτερ τὴν εὐνομίαν ἡμῶν διὰ τῶν ὑπομονῶν εἰς δόξαν ἐκύρωσας, καὶ τὴν ἁγιστείαν σεμνολογήσας οὐ κατέλυσας, καὶ διὰ τῶν ἔργων πιστοποιήσας τοὺς τῆς θείας φιλο-

φιλοσοφίας λόγοις, ὦ βασάνου βιαιότερε γέρον, καὶ πυρὸς εὐτονώτερε πρέσβυ, καὶ μέγιστε παθῶν ἐλεάζαρε. ὥσπερ γὰρ ὁ πατὴρ ἀαρὼν τῷ θυμιατηρίῳ καθωπλισμένος, διὰ τοῦ ἐθνοπλήθους ἐπιτρέχων τὸν ἐμπυριστὴν ἐνίκησεν ἄγγελον. οὕτως ὁ ἀαρωνίδης ἐλεάζαρος διὰ τοῦ πυρὸς ὑπερτηκόμενος οὐ μετετράπη τὸν λογισμὸν, καὶ τὸ θαυμασιώτατον γέρων ὢν, λελυμένων μὲν ἤδη τῶν τοῦ σώματος τόνων, περικεχαλασμένων δὲ τῶν σαρκῶν, κεκμηκότων δὲ τῶν νεύρων, ἀνενέωσε τῷ πνεύματι διὰ τοῦ λογισμοῦ. ὦ μακαρίου γήρως, καὶ σεμνῆς πολιᾶς, καὶ βίου νομίμου, ὃν πιστὴ θανάτου σφραγὶς ἐτελείωσεν. ἴδε τοίνυν γέρων ἀνὴρ τὸν μέχρι θανάτου πόνον ὑπερεφρόνησε δι' εὐσέβειαν. ὁμολογουμένως ἡγεμών ἐστι τῶν παθῶν ὁ εὐσεβὴς λογισμός. διὰ τοῦτο γέ τοι καὶ μειρακίσκοι τῷ τῆς εὐσεβείας λογισμῷ φιλοσοφοῦντες χαλεπωτέρων βασανιστηρίων ἐπεκράτησαν. ἐπεὶ δὴ γὰρ κατὰ τὴν πεῖραν ἐνικήθη περιφανῶς ὁ τύραννος μὴ δυνηθεὶς ἀναγκάσαι γέροντα μιαροφαγῆσαι.

Κεφ. η. Τότε σφόδρα περιπαθῶς ἐκέλευσεν ἄλλους ἐκ τῶν τῶν ἑβραίων λείας ἀγαγεῖν, καὶ εἰ μὲν μιαροφαγήσαιεν ἀπολύειν φαγόντας, εἰ δ' ἀντιλέγοιεν, πικρότερον βασανίζειν. ταῦτα διαταξαμένου τοῦ τυράννου παρῆσαν ἀγόμενοι μετὰ γηραιᾶς μητρὸς ἑπτὰ ἀδελφοὶ καλοί τε καὶ γενναῖοι, καὶ ἐν παντὶ χαρίεντες. ἥσθετο ἐπ' αὐτοῖς καὶ τῆς εὐπρεπείας ἐκπλαγεὶς, προσεμειδίασεν αὐτοῖς, καὶ πλησίον καλέσας ἔφη. νεανίαι φιλοφρόνως ἐγὼ τὸ κάλλος ὑμῶν θαυμάζω. καὶ τὸ πλῆθος τοσούτων ἀδελφῶν ὑπερτιμῶ, οὐ μόνον συμβουλεύω μὴ μανῆναι τὴν αὐτὴν τῷ προβασανισθέντι μανίαν, ἀλλὰ καὶ παρακαλῶ συνείξαντάς μοι τῆς ἐμῆς ἀπολαύειν φιλίας. δυναίμην γὰρ ὥσπερ κολάζειν τοὺς ἀπειθοῦντάς μου τοῖς ἐπιτάγμασι, οὕτω καὶ εὐεργετεῖν τοὺς εὐπειθοῦντάς μοι. πιστεύσατε οὖν καὶ ἀρχὰς ἐπὶ τῶν ἐμῶν πραγμάτων λήψεσθε, ἀρνηθέντες τὸν πάτριον ὑμῶν τῆς πολιτείας θεσμόν. καὶ μεταλαβόντες ἑλληνικοῦ βίου, καὶ μεταδιαιτηθέντες ἐντρυφήσατε ταῖς νεότησιν ὑμῶν. ἐπεὶ ἐὰν ὀργίλως με διάθησθε διὰ τῆς ἀπειθείας, ἀναγκάσετέ με ἐπὶ δειναῖς κολάσεσιν ἕνα ἕκαστον ὑμῶν διὰ τῶν βασάνων ἀπολέσαι. κατελεήσατε οὖν ἑαυτοὺς, οὓς καὶ ὁ πολέμιος ἔγωγε καὶ τῆς ἡλικίας καὶ εὐμορφίας οἰκτείρομαι. οὐ διαλογιεῖσθε τοῦθ' ὅτι οὐδὲν ὑμῖν ἀπειθήσασι, πλὴν τοῦ μετὰ στρεβλῶν ἀποθανεῖν ἀπόκειται; ταῦτα δὲ λέγων ἐκέλευσε εἰς τοὔμπροσθεν τεθῆναι τὰ βασανιστήρια, ὅπως καὶ διὰ τοῦ φόβου πείσειεν αὐτοὺς μιαροφαγῆσαι. ὡς δὲ τροχούς τε καὶ ἀρθρέμβολα στρεβλωτήριά τε καὶ τροχαντῆρας καὶ καταπέλτας καὶ λέβητας τήγανά τε καὶ δακτυλίθρας καὶ χεῖρας σιδηρᾶς

rent. O beate præ omnibus senibus senex, & præferende cæteris sacerdotibus sacerdos, nulla profani sacrilegij dape sancta ora maculasti. Nihil perfidiæ tramitem illum faucium cōtigit, per quem Deo frequens oratio mittebatur. Nihil valuit principis imperiosa crudelitas. Exemplum igitur omnium antistitum Dei factus es. Talem verè esse decuerat sacerdotem, vt tormentis fortior, torquentibus durabilior, securior quoque imperantibus, ipso etiam quo crematus es igne violentior, pœnam martyrij possideres. Tibi omnis cessit antiquitas, à te exemplum habebit posteritas. Si ergo inualida senectus omni virtute iuuentutis exuta, frigidi aut penè nullius sanguinis, ad omnem tolerantiam doloris infirma (quippe quam ipsa series fregit annorum) tot cruciatus, tot supplicia, tot pœnas prudenti consideratione sustinuit, quis est qui negare audeat, totius passionis caput in ratione potissimum consistere? Vidimus omnem acerbitatem fixi semel consilij obseruatione Deo adiuuante superatam. Sunt tamen qui dicant, non omnes qui ratione considerarunt, sufferre fortiter passionem, quæ illorum superflua & vana reprehensio est. Constat enim illum dolori cedere, quem consideratio sapiens non muniuit. Cæterùm qui non deliberatum tantæ rei negotium, cupiditate repentinæ præsumptionis aggreditur, necesse est vt serò illud deserat, ad quod subitò conuolarit. Matura enim & præconcepta diu deliberatione, omnem vitæ exitum ad passionem portamus, ne aliquid nos subita acerbitate confundat: ventura omnia præsumuntur, ne timeri quæ inferuntur possint, cùm sperata proueniant. Qui sapiens itaque & fortis, hic totius dominus est passionis, vtpote qui benè cogitatam præcogitat, & acceptam respuit nusquam. Nec stupenda omnino est in senectute prudentia, cùm infantulos tantus amor capiendæ laudis inuaserit, vt ipsis quoque admirationi fuerint, quorum acerbitate sunt consumpti. Cæterùm efferata crudelitas, Eleazari graui ætate permota, rediuiuo quoque insanæ mentis ardore, credens se sapientia victū maioris ætatis, irrita consilij firmitate, septem illustres pueros Hebræorum Antiochiam adduci atrociter de eorum castello Sosandro præcepit, quos in tenera adhuc ætate, eáque ad excipiendos dolores infirma (quemadmodum ipse putabat) versantes, vt fallaci oratione ac variis cruciatus terrore peruerteret, talem edicti sui legem proposuit, vt qui sacrificij carnem ore noluisset accipere, exquisitis extemplo suppliciis subiaceret. Septem igitur vnà cum matre Solomona (nam hoc illi nomē erat) iamiam in senium declinante, coram se sisti iussit. Producti sunt itaque non solùm præclari, verùm etiam speciosissimi tam generosæ matris nati, & voce, & corpore gratissimi, angelici quidem iuuenes, vultúque pellucidi, solis instar sereni luminis, & in oculis omnium non sine virtutum gratia radiantes, vt tali procul dubio argumento totam humanam mortalémque formam transcenderent. Et illa talis habita ab exordio antiquorum parentum maiorúmque suorum syncera, & id quidem in hunc vsque diem, vt tota eius esset approbata nobilitas. Sed illud formæ decus quod sanguinis quoque ornamentis cumulum magnæ dignitatis acceperat, ante omnia virtutis robore firmabatur, qua simul omnes alios laudis modulos pro motu ingentis animi præcedebat. Proinde hos vt aspexit tyrannus, atque matrem in medio lætam assistere alacríque mente adesse cognouit, pueros callidissimè alloquitur:

Consultum esse vobis (inquit) in primis volo A ô admirabiles pueri, hoc enim & forma vestra, & sanguinis nobilitas suadet. ne ergo ad repugnandum insanam sumatis audaciam, vitate non tormenta modò , verùm etiam mortem. Cupio enim vos & honoribus cumulare maximis, & immodicis diuitiis ampliare. Spernite superuacaneam patrum vestrorum credulitatem , & ad gentilem vos cultum nostræ obseruationis adducite. Illud enim si in animo vestro non statueritis (id quod futurum esse B non arbitror) diuersa & exquisita supplicia, quibus vos per diuturnam deficientis animæ acerbitatem excruciem, excitabo. Quapropter vt timor ipse acrior audientes surreperet, singula proferri in medium tormenta mandauit. Exhibentur itaque rotæ, radij, vngulæ, rotabula, catapultæ, lebetes, catastæ, frixoria, digitaria, pugillaria, manus ferreæ, subulæ succensoria, ollæ æneæ, sartago. Hæc enim illis nomina esse reperimus. Succensorium ad ex- C citandam flammam quoddam tenue esse ferri telum accipimus. Exhibentur id genus reliqua nimis profectò abhorrenda, quæ sigillatim enarrantem dies sit defecturus. His itaque omnibus in apertum prolatis, ait: O prudentissimi pueri, etiamsi aliquod in hac re putatis esse peccatum, optima iustæ defensionis excusatione poteritis armari, quia coacti hæc potiùs (quantum videre videor) quàm sponte facere videmini. Paruuli verò cælesti quodam D sensu & diuinæ maiestatis ardore accensi, contemnentes immanissima tot pœnarum genera, parui faciunt irascentis tyranni minas, hortantísque blanditias: & piissimè (licèt falsò) loquentem pariter ac minantem, in maiorem iracundiam furoris impellunt. Hinc ergo patet, quid ratio inferat affectui. Nam si ignauus quispiam, & nullo antè tractatu rem tantæ gloriæ petens, ad hoc subitus atque imparatus E accederet, visis continuò tam exquisitis ac tantis pœnarum generibus, mente trepidus, demisso vultu, gressu titubans, tremore turbatus, primo victus aspectu sumptum negotium reliquisset, nec se tanto oneri parem ad sufferenda fore putasset, statimque diceret: Insensatus ego, quid magis eligam? an ista sufferre, an illa quæ promittuntur præmia obtinere? Miserebor potiùs ætati meæ, miserebor matri, veniam pro hoc facto (quod necessitati imponitur) diuinitas non negabit: regis enim gra- F tiam promerebor. Sed vbi spiritus præcedente ratione firmissimus durauerit, atque ad bonam frugem animum conduxerit, illud sequitur, quod his fratribus ostendam esse probatum, quibus sacrificij vt imperata gustatio est, omnes quasi vno ore & vna mente proclamant: Quid innocentes persequeris ô tyranne? mori nobis voluntas & votum est, patrum præcepta seruamus, quæ vt omnipotens Deus iussit, Moses magister edocuit. Tu verò tyranne, iniustitiæ amator, crudelitatis magister, iniquitatis inuentor, noli sub specie ficti amoris nos immutare, quod non potes: grauior nobis venia est à te oblata quàm pœna, contemptu mortis armamur, verba tua verò non magnificamus: quæ ne admittamus, recens doctoris nostri Eleazari nobis monstrat exemplum. Cur ergo infirmos iuuenes putas, cùm tanti roboris videris senem? Illius instituta retinemus, scire animum nostrum non potes, nisi in corporis nostri laceratione cognoscas: securi pro Deo omnia sufferemus, & à seculo recedentes, ad cælestia regna migrabimus. Tu verò propter hoc potissimùm scelus, quo innocentes animas premis, æterno igni reseruabere. Hac oratione tyrannus non parum inflammatus, cùm nec crudelitatem suam formidini fuisse, nec promissionis præmia locum gratiæ obtinuisse cognosceret, taureis singulos agitare nisus est.

A σφῆνας καὶ τὰ ζώπυρα τοῦ πυρὸς οἱ δορυφόροι προέθησαν, ὑπολαβὼν ὁ τύραννος ἔφη. μειράκια φοβήθητε. καὶ ἣν σέβεσθαι δίκην ἵλεως ὑμῖν ἔσται δι᾽ ἀνάγκην παρανομήσασιν. οἱ δὲ ἀκούσαντες ἐπαγωγά, καὶ ὁρῶντες δεινά, οὐ μόνον οὐκ ἐφοβήθησαν, ἀλλὰ καὶ ἀντεφιλοσόφησαν τῷ τυράννῳ, καὶ διὰ τῆς εὐλογίας τὴν τυραννίδα αὐτοῦ κατέλυσαν. καὶ τί λογισώμεθα; φειδωλόψυχοί τινες ἦσαν καὶ ἄνανδροι ἐν αὐτοῖς; ποίοις ἂν ἐχρήσαντο λόγοις, οὐχὶ τούτοις; ὦ B τάλανες ἡμεῖς καὶ λίαν ἀνόητοι. βασιλέως ἡμᾶς παρακαλοῦντος καὶ εὐεργεσίᾳ καλοῦντος εἰ πεισθείημεν αὐτῷ, τί βουλήμασι κενοῖς ἑαυτοὺς εὐφραινόμεθα, καὶ θανατηφόρον ἀπείθειαν τολμῶμεν; οὐ φοβηθησόμεθα ἄνδρες ἀδελφοὶ τὰ βασανιστήρια καὶ λογιούμεθα τὰς τῶν βασάνων ἀπειλάς, καὶ φευξώμεθα τὴν κενοδοξίαν ταύτην, καὶ ὀλεθροφόρον ἀλαζονίαν; ἐλεήσωμεν τὰς ἑαυτῶν ἡλικίας, καὶ κατοι- C κτειρήσωμεν τὸ τῆς μητρὸς γῆρας, καὶ ἐνθυμηθῶμεν ὅτι ἀπειθοῦντες τεθνηξόμεθα. συγγνώσεται δ᾽ ἡμῖν καὶ ἡ θεία δίκη δι᾽ ἀνάγκην τὸν βασιλέα φοβηθεῖσι. τί ἐξάγομεν ἑαυτοὺς τοῦ ἡδίστου βίου, καὶ ἀποστεροῦμεν ἑαυτοὺς τοῦ γλυκέος κόσμου; μὴ βιαζώμεθα τὴν ἀνάγκην, μηδὲ φιλοδοξήσωμεν ἐπὶ τῇ ἑαυτῶν στρεβλῃ. οὐδ᾽ αὐτὸς ὁ νόμος ἑκουσίους ἡμᾶς θανατοῖ φοβηθέντας τὰ βασανιστήρια. πόθεν ἡμῖν ἡ τοσαύτη ἐνθέτειται φιλονεικία, καὶ ἡ θανατηφόρος ἀρέσκει καρ- D τερεία, παρὸν μετ᾽ ἀδείας ζῆν τῷ βασιλεῖ πεισθέντας; ἀλλὰ τούτων οὐδὲν εἶπον οἱ νεανίαι βασανίζεσθαι μέλλοντες, οὐδ᾽ ἐνεθυμήθησαν. ἦσαν γὰρ περίφρονες τῶν παθῶν, καὶ αὐτοκράτορες τῶν ἀλγηδόνων. ὥστε ἅμα τὸ παύσασθαι τὸν τύραννον συμβουλεύοντα αὐτοῖς τοῦ μιαροφαγῆσαι, πάντες διὰ φωνῆς ὁμοῦ, ὥσπερ ἀπὸ τῆς αὐτῆς ψυχῆς, εἶπον πρὸς αὐτόν.

Κεφ. θ.

E ΤΙ μέλλεις ὦ τύραννε. ἕτοιμοι γάρ ἐσμεν ἀποθνήσκειν ἢ παραβαίνειν τὰς πατρίους ἡμῶν ἐντολάς. αἰσχυνόμεθα γὰρ τοὺς προγόνους εἰκότως εἰ μὴ τῇ τοῦ νόμου εὐπειθείᾳ συμβούλῳ, καὶ Μωϋσῇ χρησαίμεθα. μὴ συμβούλευε τύραννε παρανομίας. μὴ ἡμᾶς μισῶν ὑπὲρ ἑαυτοὺς ἡμᾶς ἐλέα. χαλεπώτερον γὰρ αὐτοῦ τοῦ θανάτου νομίζομεν εἶναι σου τὸν ἐπὶ τῇ παρανόμῳ σωτηρίᾳ ἡμῶν ἔλεον. ἐκφοβεῖς δ᾽ ἡμᾶς τὸ διὰ τῶν βασάνων ἡμῖν θάνατον ἀπειλῶν, ὥσπερ οὐχὶ πρὸ F βραχέως παρ᾽ Ἐλεαζάρου μαθών. εἰ δ᾽ οἱ γέροντες τῶν Ἑβραίων διὰ τὴν εὐσέβειαν, καὶ βασανισμοὺς ὑπομείναντες εὐσέβησαν, ἀποθάνωμεν ἂν δικαιότερον ἡμεῖς οἱ νέοι τὰς βασάνους τῶν σῶν ἀναγκῶν ὑπεριδόντες, ἃς καὶ ὁ παιδευτὴς ἡμῶν γέρων ἐνίκησε.

περιέζω

πείραζε τοιγαροῦν τύραννε καὶ τὰς ἡμῶν ψυχὰς εἰ θανατώσεις διὰ τὴν εὐσέβειαν. μὴ νομίσῃς ἡμᾶς βλάπτειν βασανίζων. ἡμεῖς γὰρ διὰ τῆς κακοπαθείας, καὶ ὑπομονῆς, τὰ τῆς ἀρετῆς ἆθλα οἴσομεν. σὺ δὲ διὰ τὴν ἡμῶν μιαιφονίαν αὐτάρκη καρτερήσεις ὑπὸ τῆς θείας δίκης, αἰώνιον βάσανον. τούτων οὕτως εἰπόντων, οὐ μόνον ὡς κατ᾽ ἀπειθούντων ἐχαλέπαινεν ὁ τύραννος, ἀλλὰ καὶ ὡς κατ᾽ ἀχαρίστων ὠργίσθη. ὅθεν τὸν πρεσβύτατον αὐτῶν κελευσθέντες παρῆγον οἱ ὑπασπισταί, καὶ διαρρήξαντες τὸν χιτῶνα διέδησαν τὰς χεῖρας αὐτοῦ καὶ τοὺς βραχίονας ἱμᾶσιν ἑκατέρωθεν. ὡς δὲ τύπτοντες ταῖς μάστιξιν ἐκοπίασαν οὐδὲν ἀνύοντες, ἀνέβαλον αὐτὸν περὶ τὸν τροχόν. περὶ ὃν κατατεινόμενος ὁ εὐγενὴς νεανίας, ἔξαρθρος ἐγίνετο, καὶ κατὰ πᾶν μέλος κλώμενος ἐκατηγόρει λέγων. τύραννε μιαρώτατε, καὶ τῆς οὐρανίου δίκης ἐχθρὲ, καὶ ὠμόφρων. οὐκ ἀνδροφονήσαντά με τοῦτον καταικίζεις τὸν τρόπον οὐδ᾽ ἀσεβήσαντα, ἀλλὰ θείου νόμου προασπίζοντα. καὶ τῶν δορυφόρων λεγόντων, ὁμολόγησον φαγεῖν ὅπως ἀπαλλαγῇς τῶν βασάνων, ὁ δὲ εἶπεν. οὐχ οὕτως ἰσχυρότερος ἐστὶν ὑμῶν ὁ τροχός, ὦ μιαροὶ διάκονοι, ὥστε μου τὸν λογισμὸν ἄγξαι. τέμνετέ μου τὰ μέλη, καὶ πυροῦτέ τε τὰς σάρκας. καὶ στρεβλοῦτε τὰ ἄρθρα. διὰ πασῶν γὰρ ἡμᾶς πείσω τῶν βασάνων, ὅτι μόνοι παῖδες Ἑβραίων ὑπὲρ ἀρετῆς εἰσὶν ἀνίκητοι. ταῦτα λέγοντι πῦρ ὑπέστρωσαν, καὶ διηρέθησαν τὸν τροχὸν προσεπικατατείνοντες. ἐμολύνετο δὲ πάντοθεν αἵματι ὁ τροχός, καὶ ὁ σωρὸς τῆς ἀνθρακίας τοῖς τῶν ἰχώρων ἐσβέννυτο σταλαγμοῖς, καὶ περὶ τοὺς ἄξονας τοῦ ὀργάνου περιέρρεον αἱ σάρκες. καὶ περιτετμημένον ἤδη ἔχων τὸ τῶν ὀστέων πῆγμα ὁ μεγαλόφρων καὶ Ἀβραμιαῖος νεανίας οὐκ ἐστέναξεν. ἀλλ᾽ ὥσπερ ἐν πυρὶ μετασχηματιζόμενος εἰς ἀφθαρσίαν ὑπέμεινεν εὐγενῶς τὰς στρέβλας. μιμήσασθέ με ἀδελφοὶ λέγων. μή μου τὸν ἀγῶνα λειποτακτήσητε, μηδ᾽ ἐξομόσησθέ μου τὴν τῆς εὐψυχίας ἀδελφότητα. ἱερὰν καὶ εὐγενῆ στρατείαν στρατεύσασθε περὶ τῆς εὐσεβείας, δι᾽ ἧς ἵλεως ἡ δικαία καὶ πάτριος ἡμῶν πρόνοια τῷ ἔθνει γενηθεῖσα τιμωρήσῃ τὸν ἀλάστορα τύραννον. καὶ ταῦτα εἰπὼν ὁ ἱεροπρεπὴς νεανίας ἀπέρρηξε τὴν ψυχήν. θαυμασάντων δὲ πάντων τὴν καρτεροψυχίαν αὐτοῦ, ἦγον οἱ δορυφόροι τὸν καθ᾽ ἡλικίαν τοῦ προτέρου δεύτερον, καὶ σιδηρᾶς ἐναρμοσάμενοι χεῖρας ὀξέσιν τοῖς ὄνυξιν ὀργάνῳ καταπέλτῃ προσέδησαν αὐτόν. ὡς δ᾽ εἰ διαφυγεῖν βούλοιτο πρὶν βασανίζεσθαι πυνθανόμενοι τὴν εὐγενῆ γνώμην ἤκουσαν, ἀπὸ τῶν τενόντων ταῖς σιδηραῖς χερσὶν ἐπισπαλώμενοι μέχρι τῶν γενείων τὴν σάρκα πᾶσαν,

Machabæum quoque ipsum natu maximum, ex septem fratribus ordine primum, protrahi in medium, & sacrilegis dehinc carnificum manibus distendi atrocius iubet: nec mora, post tergum manus ligantur, crudeliùs verberatur, sed lassescentibus tortoribus, quàm inuiolabilis sit patienti virtus dignoscitur, cũ inferentes magis desistere cuperent, quàm is qui patiebatur. Illigari igitur mole pedibus appensa, atque innecti rotæ iubetur Machabæus: ita etiam in gyrum circuli porrectus, vt solutis hinc inde visceribus venisque distẽtis, dolores ipsius & pœnæ crescerent. Neque tamen patientis vox superato dolore, Deum non promere cuncta cernentem, tyrannúmque non obiurgare tormenta crudelia machinantem. Resumptis itaque viribus exclamasse perhibetur: O execrande tyranne, diuinæ maiestatis persecutor, non veneficum crucias, nec ereptorem salutis alienæ tanta crudelitate persequeris, sed seruatorem iustitiæ, amatorem legis, caritatis autorem. Cúmque eum misericordia victi carnifices, vt regi assentiretur, orarent: Non tam graues (inquit) nec tam acerbæ rotæ vestræ sunt ô nequitiæ ministri, vt mentem meam valeant inflectere circa cælestia versantem: lacerate membra, quinetiam si placet igne torrere, singulas quoque corporis partes multifariã crudelitate consumite, vt cognoscatis nos iuuenes ad impietatem non posse compelli. Hæc eo loquente, præparatur incendium, & vt erat affixus rotæ, igni in catasta obiicitur, atque ita tendentibus corpus radiis, & contrahentibus flammis; costis deinde patentibus laterum vitalia rumpuntur. Animus sanus & integer cedentibus membris, mens ipsa fortior, nil prorsus dolebat. Nam in ipsis suppliciis victor exclamat: Eia dilectissimi fratres, exemplum ex me diuinæ virtutis accipite, inuicti animi robur considerate, seculi huius blandimenta contemnite; militate Deo potius quàm tyranno; cui facilè est potentem deiicere, subleuaréque deiectum. Inter perorandum, vt brutum animal excoriatur, lingua extrahitur, sartagini ipse iniicitur, magna cum omnium admiratione decedens, stuporem aduersariis, suis gaudium dereliquit, & sibi pariter regnum paraturus & fratribus. Hinc Aber nomine, qui proximus ætatis gradu erat, ab armigeris miserè raptus adducitur. Et ante interrogationem tyranni, antequam supplicia libaret, omnis illi à carnificibus tormentorum apparatus exhibetur, vt formidine tetri aspectus à sententia flecteretur. Sed repudiante illo profanum sacrificij cibum, nec supplicia formidante, ferreis ligato catenis, manus in altum protenduntur. A principio ceruicis ad genua vsque cum ipsa capitis parte cutis diuellitur pectoris seueriùs secreta patent: ita tamen vt patentibus viscerum rimis interiora fibrarum secuturo supplicio seruarentur. Adiicitur & his horribilius spectaculum: ferox namque pardus & sanguinis sitibundus exhibetur, vt truculento sæuóque laniatu quicquid ex corpore remanserat, sorpturus accederet. Verùm ore ipsius bruti admoto, vt arbitror, Dei prouidentia disponente, ferocitatem bestia deposuit, vultúmque retorquens, martyrem minimè læsit. Tyrannus autem in furiam magis incitatur. Martyr verò inuictus fortior imperante, torquentéque constantior: O quàm suauis est, inquit, mors omnigenis pro Deo vulneribus inflicta, imò tanto suauior, quanto cum spe maiore recipiendæ mercedis accipitur. Cæterùm hoc quod agis, crudelitati tuæ scelestissime tyranne satisfieri ne putes. Nam magis me voluptatem patientiæ meæ consequi quàm dolorem, ipso quo torqueris dolore comprobes necesse est.

Atqui libentiùs ego perferam, quàm tu pœnas inferas: minor patientis dolor eſt quam iubentis; mihi cruciatus virtus animi eſt, amor legis, veritatis aſſertio: Dei poſtremò iuſtitia, te vertet in exilium: tu torquendo torqueris: & in ira patientiæ meæ, tuáque indignatione, nunc ferè conſumptus, conſumeris. diuini iudicij diem non effugies. Manet te pœna illa perpetua, quam nec profana mens ferre, nec tua crudelitas declinare vnquam poterit, æterno videlicet peccatrice anima dãnata ſupplicio. Hoc modo fortis ad mortem vſque in ſententia permanens, & præuiis cruciatibus fratris conſtanter animatus perſeuerans migrauit ad dominum. Machir tertius ex pueris adduci iubetur, quem cùm miſeratione digniſſimum geminus duorum fratrum feciſſet interitus, hortantibus plurimis ac volentibus, vt à ſententia fratrũ ſupplicia vitando diſcederet, iratus ait: Idem nos pater genuit, eadem mater effudit, vnus eſt nobis magiſter, vnus animus, vna conteſtatio: nolite ergo morando tempus conſumere, ad ſupplicia non ad reſponſa, properaui. Animaduertite in hæc membra: pro audaci veſtra libidine: nam animæ vobis poteſtas nulla tribuitur. Motus his verbis tyrannus, à duobus peremptis hunc conſiderans nihilo degenerãtem, inhumana aliquid crudelitate maius excogitat, orbiculare afferri in medium iubet: hinc cùm pedes vnà cum manibus, deorſum colligati fuiſſent, ſanctum quoque chorda orbiculari ventrem circuncingente in altum vſque contrahit: Nec mora, ſeparatur à ſede ſua dorſi iunctura, crura cum brachiis extrahuntur, eiiciuntur humeri, ſicque ſingulis neruis diſtrictis ſoluitur martyr inuictus. At vbi hæc ſibi parua ſanctus perferentis animus æſtimaret, pellis capiti inciſa detrahitur. Rotæ poſtmodum affigitur, nec tendi magis iam poterat, quia & partes & fruſta corporis horrendiſſimo pependêre aſpectu. Et cùm iam cruoris nimia defluentis vacuitate defectus, orbatus manibus & pedibus, proximam ſibi mortem adeſſe cerneret, hac oratione vitæ munus expleuit: Nos quidem nefandiſſime tyranne hæc pro Dei amore toleramus, tu verò tantæ & tam iniuſtæ crudelitatis inuentor, ſupplicia ſine fine patieris. ſicque lingua orbatus, ſartagini iniectus, acerrimarum vniuerſitate pænarum excoctus ſpiritum perbeatum effudit. Poſt hos Iudas (hoc nomine fulgens) quartus adducitur, qui omnium ferè monitis, vt regi aſſenſum præberet, pulſatus, tanquam pugil interitus peſſundatis precibus & pœnis, conſtantiſſimè dixit: Ignis veſter vt nec me à Dei lege, ita nec à fratrum meorum (quorum interitus non mors, ſed vita eſt) vnione diſſociare valebit. Tibi ô tyranne interitum, credentibus autem ſpem æternæ ſalutis denuncio. Proba ergo crudeliſſime omnium, & æquiſſimo Dei iudicio plectende, ipſiſque rebus aduerte, num ipſe ille Deus me ſit derelicturus, qui tres iam primos obuiis proculdubio ſuſcepit manibus, quos tam ſanctæ matris vterus, ſigillatim ad gloriam effudit. His auditis, horridus atque inſanus tyrannus per ſeipſum ad exhibenda ſupplicia inſiliit, ita videlicet ſuperaturus iámque exæſtuans, linguã eius ſecari radicitus iubet. Sed ille nõ territus Antiocho reſpondet: nec illa quidẽ proderit execranda crudelitas, nec ex hoc vt reris tyranne victoriam conſequeris. Non enim Deus noſter clamoribus excitandus eſt, ſed ad afferendã opẽ famulis ſuis corde potius quàm oris ſtrepitu poſcendus. Tacentiũ commoda reſpicit, & poſcentiũ vota ſi mereantur exaudit, tãtũ integer ſenſus pura & fideli anima petat. Scit enim Deus noſter omnia, antequam poſtules, & prius quàm in animalia aliquid cogitare incipias, agnoſcit. Secetur lingua, nunquid & mens poterit ſecari? docuit illã priora paſſionis ornamenta ſuſcipere, per quam Deo fidelis ſemper oratio mittebatur. vtinam ſic ſingulas corporis mei partes puniẽdo ſanctifices, & tibi ſupplicia irroges ſtulto, mihi præmia largiaris. Nec diu hæc impunita cenſes relinquẽda velim. His finitis, eripitur cultro lingua, alligatur trunco iuuenis, quem ſolido fune lacertis retrorſum congyratis tortor verſat,

καὶ τὴν τῆς κεφαλῆς δορὰν οἱ παρδάλειοι θῆρες ἀπέσυραν. ὁ δὲ ταύτην βαρέως τὴν ἀλγηδόνα καρτερῶν ἔλεγεν, ὡς ἡδὺς πᾶς θανάτου τρόπος, διὰ τὴν πάτριον ἡμῶν εὐσέβειαν. οὐ δοκεῖς πάντων ὠμότατε τύραννε, πλεῖον ἐμοῦ σε νῦν βασανίζεσθαι, ὁρῶν σου νικώμενον τὸν τῆς τυραννίδος ὑπερήφανον λογισμὸν ὑπὸ τῆς διὰ τὴν εὐσέβειαν ἡμῶν ὑπομονῆς. ἐγὼ μὲν γὰρ ταῖς δι᾽ ἀρετὴν ἡδοναῖς, τὸν πόνον ἐπικουφίζομαι. σὺ δὲ ἐν ταῖς τῆς ἀσεβείας ἀπειλαῖς βασανίζῃ. οὐκ ἐκφεύξῃ δὲ μιαρώτατε τύραννε, τὰς τῆς θείας ὀργῆς δίκας.

ΚΑὶ τούτου ἀοίδιμον θάνατον καρτερήσαντος, Κεφ. ι. ὁ τρίτος ἤγετο παρακαλούμενος πολλὰ ὑπὸ πολλῶν, ὅπως ἀπογευσάμενος σώζοιτο. ὁ δ᾽ ἀναβοήσας ἔφη. ἀγνοεῖτε ὅτι ὁ αὐτός με τοῖς ἀποθανοῦσι ἔσπειρεν πατὴρ καὶ ἡ αὐτὴ μήτηρ ἐγέννησε, καὶ ἐπὶ τοῖς αὐτοῖς ἀνετράφημεν δόγμασι. οὐκ ἐξομοῦμαι τὴν εὐγενῆ τῆς ἀδελφότητος συγγένειαν. οἱ δὲ πικρῶς ἐνέγκαντες τὴν παῤῥησίαν τοῦ ἀνδρὸς, ἀρθρεμβόλοις ὀργάνοις τὰς χεῖρας αὐτοῦ καὶ τοὺς πόδας ἐξήρθρουν, καὶ ἐξ ἁρμῶν ἀναμοχλεύσαντες ἐξεμέλιζον. καὶ τοὺς δακτύλους, βραχίονας, καὶ σκέλη καὶ ἀγκῶνας περιέκλων, καὶ κατὰ μηδένα τρόπον ἰσχύοντες αὐτὸν ἄγξαι, περισύραντες τὸ δέρμα σὺν ἄκραις τῶν δακτύλων κορυφαῖς ἀπεσκύθιζον. καὶ εὐθέως ἦγον ἐπὶ τὸν τροχόν, περὶ ὃν ἐκ σφονδύλων ἐκμελιζόμενος ἑώρα τὰς ἑαυτοῦ σάρκας περιλακιζομένας καὶ κατὰ σπλάγχνων σταγόνας αἵματος ἀποῤῥεούσας. μέλλων δὲ ἀποθνήσκειν ἔφη. ἡμεῖς μὲν ὦ μιαρώτατε τύραννε, διὰ παιδείαν καὶ ἀρετὴν θεοῦ ταῦτα πάσχομεν. σὺ δὲ διὰ τὴν ἀσέβειαν καὶ μιαιφονίαν, ἀκαταλήπτοις καρτερήσεις βασάνους. καὶ τούτου θανόντος ἀδελφοπρεπῶς, τὸν τέταρτον ἐπεσπῶντο λέγοντες. μὴ μανεὶς καὶ σὺ τοῖς ἀδελφοῖς σου τὴν μανίαν; ὁ δὲ αὐτοῖς ἔφη. οὐχ οὕτως καυστικώτερον ἔχετε κατ᾽ ἐμοῦ τὸ πῦρ, ὥστε με δειλανδρῆσαι. μὰ τὸν μακάριον τῶν ἀδελφῶν μου θάνατον, καὶ τὸν αἰώνιον τοῦ τυράννου ὄλεθρον, καὶ τὸν ἀοίδιμον τῶν εὐσεβῶν βίον. οὐκ ἀρνήσομαι τὴν εὐγενῆ ἀδελφότητα. ἐπινόει τύραννε βασάνους, ἵνα καὶ δι᾽ αὐτῶν μάθῃς, ὅτι ἀδελφός εἰμι τῶν προβασανισθέντων. ταῦτα ἀκούσας ὁ αἱμοβόρος καὶ φονώδης καὶ παμμιαρώτατος ἀντίοχος, ἐκέλευσε τὴν γλῶσσαν αὐτοῦ ἐκτεμεῖν. ὁ δὲ ἔφη. κἂν ἀφέλῃς τὸ τῆς φωνῆς

ὀργα-

ὄργανον, καὶ σιωπώντων εἰσακούει ὁ θεός. ἰδοὺ προκεχάλασται ἡ γλῶττα, τέμνετε. οὐ γὰρ παρὰ τοῦτο τὸν λογισμὸν ἡμῶν γλωσσοτομήσετε. ἡδέως ὑπὸ θεοῦ τὰ τοῦ σώματος μέλη ἀκρωτηριαζόμεθα. σὲ δὲ ταχέως μετελεύσεται ὁ θεός. τὴν γὰρ τῶν θείων ὕμνων μελῳδὸν γλῶσσαν ἐκτέμνεις. ὡς δὲ καὶ οὗτος ταῖς βασάνοις καταικισθεὶς ἀπέθανεν.

Κεφ. ια.

Ὁ πέμπτος παρεπήδησε λέγων· οὐ μέλλω, τύραννε, πρὸς τὸν ὑπὲρ τῆς ἀρετῆς βασανισμὸν, αὐτὸς δὲ ἀπ᾽ ἐμαυτοῦ παρῆλθον, ὅπως κἀμὲ κατακτείνας, περὶ πλειόνων ἀδικημάτων ὀφειλήσεις τῇ οὐρανίῳ δίκῃ τιμωρίαν. ὦ μισάρετε, καὶ μισάνθρωπε, τί δράσαντας ἡμᾶς τοῦτον πορθεῖς τὸν τρόπον. ὅτι τὸν πάντων κτίστην εὐσεβοῦμεν, καὶ κατὰ τὸν ἐνάρετον αὐτοῦ ζῶμεν νόμον; ἀλλὰ ταῦτα τιμῶν οὐ βασάνων εἰσὶν ἄξια. τοσαῦτα λέγοντα, οἱ δορυφόροι δήσαντες αὐτὸν εἷλκον ἐπὶ τὸν καταπέλτην. ἐφ᾽ ὃν δήσαντες αὐτὸν ἐπὶ τὰ γόνατα, καὶ ταῦτα ποδάγραις σιδηραῖς ἐφαρμόσαντες τὴν ὀσφὺν αὐτοῦ περὶ τροχαῖον σφῆνα κατέκαμψαν. περὶ ὃν ὅλος περὶ τὸν τροχὸν, σκορπίου τρόπον ἀνακλώμενος ἐξεμελίζετο. κατὰ τοῦτον τὸν τρόπον, καὶ τὸ πνεῦμα στενοχωρούμενος, καὶ τὸ σῶμα ἀγχόμενος, καλάς ἔλεγεν ἄκων, ὦ τύραννε, χάριτας ἡμῖν χαρίζῃ, διὰ γενναιοτέρων πόνων ἐπιδείξασθαι παρέχων τὴν εἰς τὸν νόμον ἡμῶν καρτερίαν. τελευτήσαντος δὲ καὶ τούτου ὁ ἕκτος ἤγετο μειρακίσκος. ὃς πυνθανομένου τοῦ τυράννου, εἰ βούλοιτο φαγὼν ἀπολύεσθαι, ἔφη ἐγὼ τὴν μὲν ἡλικίαν τῶν ἀδελφῶν εἰμὶ νεώτερος, τὴν δὲ διάνοιαν ἡλικιώτης. εἰς τὰ αὐτὰ γὰρ καὶ γεννηθέντες καὶ τραφέντες, ὑπὲρ τῶν αὐτῶν καὶ ἀποθνήσκειν ὀφείλομεν ὁμοίως. ὥστ᾽ εἴ σοι δοκεῖ βασανίζειν μὴ μιαροφαγοῦντα βασάνιζε. ταῦτα αὐτὸν εἰπόντα παρῆγον αὐτὸν ἐπὶ τὸν τροχὸν, ὑφ᾽ οὗ κατατεινόμενος ἐκμελῶς καὶ ἐκσφονδυλιζόμενος ὑπεκαίετο. καὶ ὀβελίσκους δὲ ὀξεῖς πυρώσαντες, τοῖς νώτοις προσέφερον, καὶ τὰ πλευρὰ διαπείραντες αὐτοῦ καὶ τὰ σπλάγχνα διέκαιον. ὁ δὲ βασανιζόμενος, ὦ ἱεροπρεποῦς ἀγῶνος ἔλεγεν, ἐφ᾽ ὃν διὰ τὴν εὐσέβειαν εἰς γυμνασίαν πόνων ἀδελφοὶ τοσοῦτοι κληθέντες οὐκ ἐνικήθημεν. ἀνίκητος γάρ ἐστιν ὦ τύραννε ἡ εὐσεβὴς ἐπιστήμη, καλοκαγαθίᾳ καθοπλισμένη. τεθνήξομαι κἀγὼ μετὰ τῶν ἀδελφῶν μου, μέγαν μου προσβαλὼν καὶ αὐτὸς ἀλάστορα. καινουργὲ τῶν βασάνων, καὶ πολέμιε τῶν ἀληθῶς εὐσεβούντων ἓξ μειράκια καταλυσάμενοί σου τὴν τυραννίδα. τὸ γὰρ μὴ δυνηθῆναί σε μεταπεῖσαι τὸν λογισμὸν

A & in aciem ſanctum pectus agitatur: patitur hæc libens ſpiritus, licèt ipſa facies in nigredinem commutetur. Exinde ſolutus, tandem rotatus, pro caducis Deum exorans, priorum fratrum pœnas promeruit. Caligine mortis oppreſſus, dulcem ſpiritum Deo obtulit. Achas dehinc quintus ex fratribus, antequam protrahi iuberetur prorupit in medium, contemptum mortis oſtendens, prouocando ſe ad ſupplicia, vt gratiam Dei inueniret, iram iudicis B patiendi cupiditate promereri voluit, & ait: O tyranne, ecce ad pœnam venio priùs quàm iubeas. Nihil ergo ex illo impetrare poſſe te credas, quem aſpicis velle torqueri. Reum te gehennæ, effuſus quatuor innocentum ſanguis effecit, me quinto gradatim numerus ipſe ampliandus eſt, vt tibi tandem pœnæ ex multitudine peremptorum accreſcant. Reſponde inhumaniſſime tyranne, cuius ſceleris reos nos innocentes crucias, cuius perpetratores facinoris tanta crudelitate perſequeris? C quid nefarium admiſimus? quid profanum? quid auſi iniquum ſumus? hoc eſt tibi crimen omne, quòd Deum creatorem omnium conteſtamur, & eius maieſtatis præcepta ſeruantes, piè viuimus, & in hoc ſolo tua ſupplicia non timemus: honor nobis eſt & ſalus, non pœna: mirificum accipimus à Deo beneficium, ſi in nulla nobis laterum parte parcatur. Hæc loquens iuſſu regis raptus, carnificum manibus ollæ æneæ imponitur (hoc pœnali ſupplicio nomen eſt) D præelo gyrato ſanctum caput ad genua pellitur: ſicque corpore deorſum redacto, pugil in ea quam diximus olla miſerrimè delituit. Patitur dehinc fratrum ſuorum excogitata tormenta, minimè tamen mente turbatus, exurgit ſubitò, ita perorans acrior in tyrannum: O immaniſſime tortor, quanta nobis inſcius ſubminiſtras bona: tu quanto plus iraſceris, E tanto nos gratiores Deo reddis: ſi mei miſereri velis, dolorem. Hic leuis mœror æternitatem gaudij parat. Hæc huius ſeculi mors ſi mihi non ſponte inferretur, ventura æterna commoda non largirentur. Correptus igitur atque prioribus exagitatus, clara luce ſpiritum dulcem emiſit. Exhibitum poſt hunc (Areth vocabulo) ſextum, pœnam eligere aut honorem optione data eum tyrannus iubet. Iratus reſpondet: Fratribus quidem meis ô F tyranne minor annis, ſed mente conſimilis accedo. Simul enim nutriti, ſimul edocti, ſimúlque morituri in Dei amore perſiſtimus omnes. Accelera itaque ad exquiſita tormenta, & illud tempus, quod in perſuaſione impenſurus eris, in ſuppliciorum excogitatione conſume. Hac oratione confuſus Antiochus, illigari eum ſtatuæ, ſic iubet, vt depreſſa ceruice, ex deſcenſu humorum caput dolore quaſſaretur: exponitur incendio, vt ſenſim lõgiùs igne ab eo poſito, paulatim diutino conſumptus ardore diſtẽderetur potiùs quàm cremaretur. Subulis etiam ferire pendentis latera ad viſcera iubet, vt per eas quæ his ductæ erant in lõgum tramitem rimas, ad intimas fibras flamma perueniret. Atqui vt dolor ſimul ipſe maior increſceret tactu vulnerum, ac ſubuſtione membrorum cruor ſcaturiens ardore in ſpumas decoctus, miro modo ad caput eius deſcendit. In his doloribus iuuenis exclamat: O certamen inſigne, ô pertinax bellum, ô contentio inter ſe pietatis & ſceleris. Hi ſunt viri agonis, quorũ corona martyrij, pœna ferientis eſt: libẽs fratrum interitũ ſequar, vt quibus iungor ſanguine, iungar & morte. Aliquid ô tyrãne maius excogitato, hæc enim quæ inueneras, ſuperata agnoſcis. O crudelitatis magiſter, inimice pietatis, iuſtitiæ perſecutor. Sex nobiles pueri, regiam poteſtatem, & apparatum totius regni & orbis extinximus. Ignis tuus frigidus eſt, non calet: flexibiliora namque corporibus noſtris arma ſunt regia: plus auxilij Deus noſter ſuggerit nobis quàm tu confuſus doloris poſſes infligere. Itaque manet firma in nobis Dei ſententia.

His dictis ignea forcipe eius lingua cauteriatur: & cum suis fratribus pari pœna excoctus, & in sartaginem coniectus, emisit spiritum. Sex itaque varia morte consumptis, vnus remanserat matri Iacob nomine, iunior cæteris ætate, non mēte. Hunc cùm assistere crudelissimus tyrānus aspiceret, miseratione motus, vel quòd solus, vel quòd vltimus, vel quòd periturus esset, indoluit, vocatóque propius ad se puero, eius manu apprehēsa à tormentis seorsum, atque putans ei salutem persuasurum, sic inquit: Satis abūdè exemplo fratrum tuorum, quid immineat repugnanti videre potuisti, subtrahe te tantis protinus malis, quicquid honorum regni mei fuerit obtinebis, magistratū tibi non denegabo, ductor quoque militum & consilij particeps nobis semper assistes. Cæterùm huius matrem (cùm ipse parum proficeret) iussit adduci. Cui prope filium stanti ait tyrannus: Vbi est ô generosa mulier fœcunditas tua? Ecce ex tanta numerositate filiorum vnum (si velis) fata conseruabunt. Da consilium pietatémq; paruulo & mentem rigidam ad prosperiora conuerte. Monitis hisce regiis vtcunque auditis inclinans se mater ad eum, ita vt falleret tyrannum, Hebræo ait sermone: Fili mi misere mei, & explora dolentem matrem, quæ te nouem mensibus in vtero meo gessi, téque alui lacte triennio, & liberaliter educatum ad hanc ætatem vsque perduxi. Rogo te fili, vt conspecto cælo & terra, & omnibus quæ sunt in eis, scias hæc cuncta à Deo ex nihilo facta esse: ipsum etiam genus humanum ab eodem rerum omnium cōditore factum nemo ambigit. Non timeas tortorem ethnicum, sed imitator fratrum tuorum effectus, mortem libenter excipias, vt in die miserationis vnà cum fratribus tuis in cęlestibus te suscipiam. Hæc matre adhuc monente, iuuenis Hebræo sermone sese solui, & vt regi & suis aliquid secreti diceret, rogat. Ille autem vbi vincula effugiendi facultas fuit, celer cucurrit ad pœnam, stabat enim flammiuomis ignibus succensa sartago ad torrendos præparata passuros, ad quam cùm inuictissimus puer peruolasset, inspectando fratres, & ad regem vultum reflectens, ait: O scelerate tyranne, iam ego nunc, inquam, ego in fratribus meis agnosco, te nō cudelem solùm, sed ipsam esse crudelitatem. Quis tibi vesano hanc purpuram dedit? quis regnum tribuit? quis tanta ornamenta concessit? Nempe ille quem insequi in nobis posse credis, cuius cultores necas, famulos premis: tu verò infelix æterno cremandus incendio, & sine fine torquendus. Sic enim inter te & reliquos discretio potestatis, nunquid alterius tu operis, túnc alterius naturæ homo es? Vna nascendi & moriendi omnibus ratio est. Quisquis hominem interficit, interfici se posse confirmat. Tu effigiem tuam laceras, tu in torquendo nihil proficis. Eadem ratione ortum, eodem genere procreatum, quem antè multos annos opifex rerum Deus creauit, quémque similem suæ produxit imagini, puncto quodam repentini furoris interimis. Et quicquid fieri tua regia potestas iusserit, iustissimum putas, linguas eruis, vngulas iniicis, & humana corpora igne consumis. Illi quidem qui hoc pertulēre, gaudium æternæ salutis acceperunt. Tu verò quicquid pœnarum singulis intulisti, solus exolues. ne me obsecro gratiam abs te vllam sperare confidas. Sequar fratres, & in legis obseruatione perdurabo. Hæc audiens fremuit tyrannus, iuuenémque in catasta fouit: in doloribus mater astat nato, piis manibus sanctum caput fulciens. Resupinus in dolore distenditur, de ore eius, naribus, secretísque cruor effluit, spiritu tandem deficiente tortor cessat, vt mox resumptis diuinitus viribus, contumax esset regi, seueriúsque quàm fratres ipsi cruciaretur. Demum orbatus palmis atque vlnulis, leuatis oculis Deum exorans ait: O Adonai, ô Sabaoth, in turbam fratrum meorum me suscipe, & cesset iam ira tua, neque eos deseras qui te miseratorem per nos interpellant. Hæc dicens rupta lingua igniuomam sartaginem sponte conscendit, ac stupente Antiocho constantiùs interiit.

ἡμῶν, μηδὲ βιάσασθαι πρὸς τὴν μιαρροφαγίαν, οὐ κατάλυσις ἐστί σου; τὸ πῦρ σου ψυχρὸν ἡμῖν, καὶ ἄπονοι οἱ καταπέλται. οὐ γὰρ τυράννου, ἀλλὰ θείου νόμου προεστήκασι ἡμῶν δορυφόροι, διὰ τοῦτο ἀνίκητον ἔχομεν τὸν λογισμόν.

Κεφ. ιβ.

Ὡς δὲ καὶ οὗτος μακαρίως ἀπέθανε, καταβληθεὶς εἰς λέβητα, ὁ ἕβδομος παράγεται πάντων νεώτερος. ὃν κατοικτειρήσας ὁ τύραννος, καίτοι δεινῶς πάντων τῶν ἀδελφῶν αὐτοῦ καταικισθεὶς, ὁρῶν ἤδη τὰ δεσμὰ περικείμενον, πλησιέστερον αὐτοῦ μετεπέμψατο. καὶ παρηγορεῖν ἐπειρᾶτο λέγων, τῆς μὲν τῶν ἀδελφῶν σου ἀπονοίας τὸ τέλος ὁρᾷς. διὰ γὰρ ἀπείθειαν στρεβλωθέντες τεθνᾶσι. σὺ δ' εἰ μὴ πεισθείης, τάλας βασανισθεὶς καὶ αὐτὸς τεθνήξει πρὸ ὥρας, πεισθεὶς δὲ φίλος ἔσῃ καὶ τῶν ἐπὶ τῆς βασιλείας ἀφηγήσῃ πραγμάτων. καὶ ταῦτα παρακαλῶν, τὴν μητέρα τοῦ παιδὸς μετεπέμψατο, ὅπως αὐτὴν ἐλεήσας τοσούτων υἱῶν στερηθεῖσαν, παρορμήσειεν ἐπὶ τὴν σωτηρίαν εὐπειθῆ ποιῆσαι τὸν περιλειπόμενον. ὁ δὲ τῆς μητρὸς τῇ ἑβραΐδι φωνῇ προτρεψαμένης αὐτὸν ὡς ἐροῦμεν, λύσατέ με φησὶν, εἴπω τῷ βασιλεῖ καὶ σὺν αὐτῷ φίλοις πᾶσι. καὶ ἐπιχαρέντες μάλιστα ἐπὶ τῇ ἐπαγγελίᾳ τοῦ παιδὸς ταχέως ἔλυσαν αὐτόν. καὶ δραμὼν ἐπὶ πλησίον τι τῶν τηγάνων, ἀνόσιε φησὶ καὶ πάντων πονηρῶν ἀσεβέστατε τύραννε, οὐκ ᾐδέσθης παρὰ τοῦ θεοῦ λαβὼν τὰ ἀγαθὰ καὶ τὴν βασιλείαν καὶ τοὺς θεράποντας αὐτοῦ κατακτεῖναι, καὶ τοὺς τῆς εὐσεβείας ἀσκητὰς στρεβλῶσαι, αἰθ' ὧν ταμιεύεταί σε ἡ δίκη πυκνοτέρῳ καὶ αἰωνίῳ πυρὶ καὶ βασάνοις, αἳ εἰς ὅλον τὸν αἰῶνα οὐκ ἀνήσουσί σε. οὐκ ᾐδέσθης ἄνθρωπος ὢν θηριωδέστατε τοὺς ὁμοιοπαθεῖς, καὶ ἐκ τῶν αὐτῶν γεγονότας στοιχείων γλωττοτομῆσαι, καὶ τοῦτον καταικίσας τὸν τρόπον βασανίσαι. ἀλλ' οἱ μὲν εὐγενῶς ἀποθανόντες ἐπλήρωσαν τὴν εἰς τὸν θεὸν εὐσέβειαν. σὺ δὲ κακῶς οἰμώξεις, τοὺς τῆς ἀρετῆς ἀγωνιστὰς ἀναιτίως ἀποκτείνας. ὅθεν καὶ αὐτὸς ἀποθνήσκειν μέλλων, οὐκ ἀπαυτομολῶ τῆς τῶν ἀδελφῶν μου ἀριστείας. καὶ ταῦτα εἰπὼν, ἑαυτὸν ἔρριψε κατὰ τῶν τηγάνων, καὶ οὕτως ἀπέδωκε τὴν ψυχήν.

Ish

Κεφ. ιγ.

Εἰ δὲ τοίνυν τῶν μέχρι θανάτου πόνων ὑπερεφρόνησαν οἱ ἑπτὰ ἀδελφοί, συνομολογεῖται πανταχόθεν ὅτι αὐτοδέσποτός ἐστι τῶν παθῶν ὁ εὐσεβὴς λογισμός. ὥσπερ γὰρ εἰ τοῖς πάθεσι δουλωθέντες ἐμιαροφάγησαν, ἐλέγομεν ἂν τούτοις αὐτοὺς νενικῆσθαι, νυνὶ δὲ οὐχ οὕτως, ἀλλὰ τῷ ἐπαινουμένῳ παρὰ θεῷ λογισμῷ, περιεγένοντο τῶν παθῶν, καὶ οὐκ ἔστι παριδεῖν τὴν ἡγεμονίαν τῆς διανοίας. ἐπεκράτησε γὰρ καὶ πάθους καὶ πόνων. πῶς οὖν οὐκ ἔστι τούτοις τὴν τῆς εὐλογιστίας παθοκράτειαν ὁμολογεῖν, οἳ διὰ τῶν πυρὸς ἀλγηδόνων οὐκ ἀπεστράφησαν. καθάπερ γὰρ προβλῆτες λιμένων πύργοι τὰς τῶν κυμάτων ἀπειλὰς ἀνακόπτοντες, γαληνὸν παρέχουσι τοῖς ἐμπλέουσι τὸν ὅρμον, οὕτως ἡ ἑπτάπυργος τῶν νεανίσκων εὐλογία, τὸν τῆς εὐσεβείας ὀχυρώσασα λιμένα τὴν τῶν παθῶν ἐνίκησεν ἀκολασίαν. ἱερὸν γὰρ εὐσεβείας στήσαντες χορὸν παρεθάρρυναν ἀλλήλους, λέγοντες. ἀδελφικῶς ἀποθάνωμεν ἀδελφοὶ περὶ τοῦ νόμου. μιμησώμεθα τοὺς τρεῖς τοὺς ἐπὶ τῆς ἀσυρίας νεανίας, οἳ τῆς ἰσοπαλίδος καμίνου κατεφρόνησαν. μὴ δειλανδρήσωμεν πρὸς τὴν τῆς εὐσεβείας ἐπίδειξιν. καὶ ὁ μὲν θάρρει ἀδελφὲ ἔλεγον, ὁ δὲ εὐγενῶς καρτέρησον, ὁ δὲ καταμνησθεὶς ἔλεγε, μνήσθητε πόθεν ἐστὲ, ἢ τίνος πατρὸς χειρὶ σφαγιασθῆναι διὰ τὴν εὐσέβειαν ὑπέμεινεν ἰσαάκ. εἷς δὲ ἕκαστος ἀλλήλους ὁμοῦ πάντες ἐφορῶντες φαιδροὶ, καὶ μάλα θαρραλέοι ἑαυτοὺς ἔλεγον τῷ θεῷ ἀφιερώσωμεν ἐξ ὅλης καρδίας τῷ δόντι τὰς ψυχὰς, καὶ χρήσωμεν τῇ περὶ τὸν νόμον φυλακῇ τὰ σώματα. μὴ φοβηθῶμεν τὸν δοκοῦντα ἀποκτένειν τὸ σῶμα. μέγας γὰρ ψυχῆς κίνδυνος ἐν αἰωνίῳ βασανισμῷ κείμενος τοῖς παραβαίνουσι τὴν ἐντολὴν τοῦ θεοῦ. καθοπλισώμεθα τοιγαροῦν τὴν τοῦ θείου λογισμοῦ ἐγκράτειαν. οὕτω γὰρ θανόντας ἡμᾶς ἀβραὰμ ἰσαὰκ καὶ ἰακὼβ ὑποδέξονται, καὶ πάντες οἱ πατέρες ἐπαινέσουσι. καὶ ἑνὶ ἑκάστῳ τῶν ἀποσπωμένων αὐτῶν ἀδελφῶν, ἔλεγον οἱ περιλειπόμενοι. μὴ καταισχύνῃς ἡμᾶς ἀδελφὲ μηδὲ ψεύσῃ τοὺς προαποθανόντας ἡμῶν ἀδελφούς. οὐκ ἀγνοεῖτε δὲ τὰ τῆς ἀδελφότητος, φίλτρα, ἅπερ ἡ θεία καὶ πάνσοφος πρόνοια, διὰ πατέρων τοῖς γενομένοις ἐμέρισε, καὶ διὰ τῆς μητρῴας φυτεύσασα γαστρός. ἐν ᾗ τὸν ἴσον ἀδελφοὶ κατοικήσαντες χρόνον, καὶ ἐν τῷ αὐτῷ χρόνῳ πλασθέντες, καὶ ἀπὸ τοῦ αὐτοῦ αἵματος αὐξηθέντες καὶ διὰ τῆς αὐτῆς ψυχῆς τελεσφορηθέντες, καὶ διὰ τῶν ἴσων ἀποτεχθέντες χρόνων, καὶ ἐκ τῶν αὐτῶν γαλακτοποτοῦντες πηγῶν ἀφ' ὧν συντρέφονται ἐναγκαλισμάτων φιλάδελφοι ψυχαὶ, καὶ αὔξονται σφοδρότερον διὰ τῆς συντροφίας, καὶ διὰ τῆς καθ' ἡμέραν συνηθείας, καὶ τῆς ἄλλης παιδείας, καὶ τῆς ἡμετέρας ἐν νόμῳ θεοῦ ἀσκήσεως. οὕτω δὴ τοίνυν, καθεστώσης συμπαθῶς τῆς φιλαδελφίας, οἱ ἑπτὰ ἀδελφοὶ συμπαθέστερον εἶχον πρὸς ἀλλήλους. νόμῳ γὰρ τῷ αὐτῷ παιδευθέντες, καὶ τὰς αὐτὰς ἐξασκήσαντες ἀρετὰς, καὶ τῷ δικαίῳ συντραφέντες βίῳ μᾶλλον ἑαυτοὺς ἠγάπων. ἡ γὰρ ὁμοζηλία τῆς καλοκαγαθίας ἐπέτεινε αὐτοῖς τὴν πρὸς ἀλλήλους ὁμόνοιαν. σὺν γὰρ τῇ εὐσεβείᾳ ποθεινοτέραν ἑαυτοῖς κατεσκεύαζον τὴν φιλαδελφίαν. ἀλλ' ὅμως καὶ περὶ τῆς φύσεως καὶ τῆς συνηθείας, καὶ τῶν τῆς ἀρετῆς ἠθῶν τὰ τῆς ἀδελφότητος αὐτοῖς φίλτρα συναυξανόντων, ἀνείχοντο διὰ τὴν ἀσέβειαν, τοὺς ἀδελφοὺς οἱ ὑπολειπόμενοι τοὺς καταικιζομένους ὁρῶντες, μέχρι θανάτου βασανιζομένους.

Ecce nũquam magis claruit rationem esse dominam affectus, qua puerorum animus præmunitus, firmior torquentibus stetit. Quod enim spreti dolores, & pœna contempta postrema vtilitas salutis fuêre, deliberatio piæ honestæque rationis effecit. Inexpugnabiles itaque pueri fortissimis turribus similes perstiterunt, & portum quietis intrantes, qui diu per naufragas cautes turbinésque iactati fuerant, iter rectum per fluctus horridos gubernantes, tandem ad littora optata venerunt. Namque alter alterum fecit consilio fortiorẽ. Nullus segnis, nullus timidus delicata mente martyrium denegauit. Nec deliberatio vlla, sed omnium fuit fortis, & indiuisus consensus, sese inuicem hortantium: Pro lege igitur nostra moriamur, tres pueros imitemur, Assyriorum furore damnatos: quos in vna fornace cóiectos, patientia ad cælum euexit. Hoc dum alter alterum sermone confirmat, factum est vt nemo peccaret: sed in sententia permanentes patrij sibi generis, virtutis, audaciæ, ante oculos memoriam reducebant dicentes: Pater noster Isaac cùm iussu Dei se immolandum cerneret, armatam patris dexteram non refugit. Tradamus ei animas nostras (inquiunt) per quem & spiritum & corpus accepimus. Facilis membrorum est ista iactura, cùm sciamus pios æterna salutis præmia accepturos. Abraham, Isaac, & Iacob læti nos participes regni expectant. Ornemus matris vterum, quæ nos denis mensibus tulit. Nemo infirmior alio, nemo inter fratres degener appareat. Eodem patre generati, eodem lacte nutriti pares in omnibus esse debemus. Similis nos doctor instruxit, lex nobis data communis omni est virtute retinenda. Hoc concordiæ vinculo, fraternitas sancta permansit, nec fuit in spectaculo (cùm vnus præsentibus cæteris torqueretur) mœror dolentium, sed gaudium peremptorum. O nobilissimi regum omnium pueri, inæstimabilis gloriæ, virtutísque eximiæ. Nullum ex vobis formido perterruit, ita properastis ad mortem, quasi immortalitas sola peteretur. Verè vos fratres, quos interitus ipse sauciauit. Magnum quidem nostro generi decus omnipotẽs protulit, & ad omnium confirmandos animos, exemplum vnicæ laudis ostendit. quos (credo) propterea in eo numero esse voluit, in quo mundum ipse construxit, vt septem fratres, septem dierum, quibus perfecta sunt omnia, æmuli redderentur. Sed quid hic animum miramur in pueris, cùm se mulier ad contemptum doloris armauerit? quamuis non mater dicenda sit, sed humana quidem fragilitate quid sublimius,

Προσέτι καὶ ἐπὶ τὸν αἰκισμὸν ἐποτρύνοντες, ὡς μὴ μόνον τῶν ἀλγηδόνων περιφρονῆσαι αὐτοὺς, ἀλλὰ καὶ τῶν τῆς φιλαδελφίας παθῶν κρατῆσαι. ὦ βασιλέων λογισμοὶ βασιλικώτεροι, καὶ ἐλευθε-

quæ peperit tot triumphos? Nam interfectis paruulis, mater piè accensa, nec immeritò, cùm id non solùm humanus sensus habeat; sed immanibus quoque feris amoris ista conditio sit, vt visis insidiis, paruulos saluti propriæ præponentes, alis protegant, defendant morsu, vngue custodiant. & cùm cuique sit resistendi facultas, obuiam ire hosti pro pullorum amore festinant. Nec in his solùm caritas ista seruatur, sed apes quoque ipsæ non sobolem tantùm, sed & mella seruantes, minantibus aculeis irruentes, vt sint perituræ post morsum, plus parcunt generi quàm saluti. Ad hæc zelosissima mater diuino vtique spiritu fundata, consilio quoque sapientiæ & incredibilis virtutis, filios ante se perire festinauit. Quippe quæ non esset victura post prolium orbitatem, maluit eam securè suscipere, quã interire solicita. Omni igitur familia Deo dicata, postremum decus passorum accedit mater, contemnens minas regis, & maternum pectus offereus & vitam filiorum. O beati generis origo, ô vnius vteri gloriosa fœcunditas. Non ego vos paruulos membrorum lineamẽtis, & totius vultus notis matris æmulos dicam: sit hæc summa laudis in cæteris, quibus præter naturam nihil animus dedit: vos ergo similes mente, robore, fide, asseram: & matri in omnibus pares dicam. In nullo ei postponendi, in nullo minus venerabiles estis, nisi quòd illa immanitatem dolorum pręoculis excepit: & dum in suis quoque torqueretur membris, similis vobis illi tolerantiæ animus fuit. Hoc illa præstantior, quòd septem cruciatus, antequam cruciaretur, excepit: & in omnibus ne superaretur extimuit. Verũ exemplum fœminarum omniũ, nescio an pepereris mulier paruulos tuos, an creaueris, quos sereno vultu passa est in frusta secari. quod intrepida vidisti, parum est: hortata es, vt perirent. Illum incidi vngulis, lætabaris: distendi rotis alium, ligarique gaudebas. Illius vicina mirabaris incendia, atque alium ne tanta ac talia pertimesceret, admonebas. Et quamuis cum intestino in illorum laceratione ferireris dolore, grauiora quàm olim parturiens tormenta sentires, simulabas tamen læticiam, & discusso vultus nubilo, inducebas speciem triumphantis. Singuli te ridente consumpti sunt. Nec cùm vnum remansisse cerneres, expauisti. Nam quid ego describam exitia paruulorum cùm matri risus sint omnia? scissos neruos, detractum capite tegumen, linguam radicitus detruncatam, manúsque confractas, ignem, laminas, rotas & ad costandos homines æra candentia,

ρον ἐλευθερότεροι. οὐδεὶς τῶν ἑπτὰ μειρακίων ἐδειλίασεν, οὐδὲ πρὸς τὸν θάνατον ὤκνησεν. ἀλλὰ πάντες ὥσπερ ἐπ' ἀθανασίας ὁδὸν τρέχοντες, ἐπὶ τὸν διὰ τῶν βασάνων ἔσπευδον. καὶ ὥσπερ καὶ χεῖρες συμφώνως, καὶ πόδες συμφώνως τοῖς τῆς ψυχῆς ἀφηγήμασι κινοῦνται, οὕτως οἱ ἱεροὶ μείρακες ἐκεῖνοι, ὡς ὑπὸ ψυχῆς μιᾶς τῆς ἀθανάτου εὐσεβείας κινούμενοι πρὸς τὸν ὑπὲρ αὐτῆς συνεφώνησαν θάνατον. ὦ πανάγιας συμφώνων ἀδελφῶν ἑβδομάδος. καθάπερ γὰρ ἑπτὰ τῆς κοσμοποιίας ἡμέραι περὶ τὴν εὐσέβειαν, οὕτω περὶ τὴν ἑβδομάδα χορεύοντες οἱ μείρακες ἐκύκλουν τὸν τῶν βασάνων φόβον καταλύοντες. νῦν ἡμεῖς ἀκούοντες τὴν θλῖψιν τῶν νεανίων φρίττομεν. οἱ δὲ, οὐ μόνον ὁρῶντες, ἀλλ' οὐδὲ ἀκούοντες τὸν παραχρῆμα ἀπειλῆς λόγον, ἀλλὰ καὶ πάσχοντες ἐνεκαρτέρουν, καὶ τοῦτο ταῖς διὰ πυρὸς ὀδύναις ὧν τι ἂν γένοιτο ἐπαλγέστερον. ὀξεῖα γὰρ καὶ σύντομος ἡ τοῦ πυρὸς οὖσα δύναμις, ταχέως διέλυσε τὰ σώματα. καὶ μὴ θαυμαστὸν ἡγεῖσθαι εἰ ὁ λογισμὸς περιεκράτησε τῶν ἀνδρῶν ἐκείνων ἐν ταῖς βασάνοις, ὅπου γε καὶ γυναικὸς νοῦς, πολυτροπωτέρων ὑπερεφρόνησεν ἀλγηδόνων. ἡ μήτηρ γὰρ τῶν ἑπτὰ νεανίσκων ἐκείνων ὑπήνεγκε τὰς ἐφ' ἑνὶ ἑκάστῳ τῶν τέκνων στρέβλας. θεωρεῖται δὲ πῶς πολύτεκνός ἐστιν ἡ τῆς φιλοτεκνίας στοργὴ, ἕλκουσα πάντα πρὸς τὴν τῶν τέκνων συμπάθειαν, ὅπου γε καὶ τὰ ἄλογα ζῷα, ὁμοίαν τὴν πρὸς τὰ ἐξ αὐτῶν γινόμενα συμπάθειαν καὶ στοργὴν ἔχει τοῖς ἀνθρώποις. καὶ τί δεῖ τὴν διὰ τῶν ἀλόγων ζώων ἐπιδείκνυσθαι πρὸς τὰ τέκνα συμπάθειαν, ὅπου γε καὶ μέλισσαι περὶ τῆς κηρογονίας ἀπαμύνονται τοὺς προσιόντας, καὶ καθάπερ σιδήρῳ τῷ κέντρῳ πλήσσουσι τοὺς προσιόντας τῇ νοσσιᾷ αὐτῶν, καὶ ἐπαμύνονται ἕως θανάτου.

Κεφ. ιε.

Ἀλλ' οὐχὶ τὴν Ἀβραὰμ ὁμόψυχον τῶν νεανίσκων μητέρα μετεκίνησε συμπάθεια τέκνων. ποθεινοτέρα μήτηρ δυοῖν προκειμένων, εὐσεβείας καὶ τῆς ἑπτὰ υἱῶν σωτηρίας προσκαίρου κατὰ τὴν τοῦ τυράννου ὑπόσχεσιν, τὴν εὐσέβειαν μᾶλλον ἠγάπησε, τὴν σώζουσαν εἰς αἰώνιον ζωὴν κατὰ θεόν. ὦ τίνα τρόπον ἠθολογήσαιμι φιλότεκνα γονέων πάθη ψυχῆς τε καὶ μορφῆς ὁμοιότητα εἰς μικρὸν παιδὸς χαρακτῆρα θαυμάσιον ἐναποσφραγίζοντα, μάλιστα διὰ τὸ παθετοῖς γεννηθεῖσι τὰς μητέρας τῶν πατέρων καθεστάναι συμπαθεστέρας, ὅσῳ γὰρ καὶ ἀσθενόψυχοι καὶ φιλογονώτεραι ὑπάρχουσι αἱ μητέρες, τοσούτῳ μᾶλλον εἰσὶ φιλοτεκνώτεραι. πασῶν δὲ τῶν μητέρων ἐγένετο ἡ τῶν ἑπτὰ μήτηρ φιλοτεκνωτέρα, ἥ τις ἑπτὰ κυοφορίαις τὴν πρὸς αὐτοὺς ἐπιφυομένην φιλοστοργίαν, καὶ διὰ πολλὰς τὰς καθ' ἕκαστον αὐτῶν ὠδῖνας, ἠναγκασμένη τὴν εἰς αὐτοὺς ἔχειν συμπάθειαν, διὰ τὸν πρὸς θεὸν φόβον, ὑπερεῖδε τὴν τῶν τέκνων πρόσκαιρον σωτηρίαν. οὐ μὴν δὲ, ἀλλὰ καὶ διὰ τὴν καλοκαγαθίαν τῶν υἱῶν, καὶ τὴν πρὸς νόμον αὐτῶν εὐπείθειαν, μείζω τὴν ἐν αὐτοῖς εἶχε φιλοστοργίαν. δίκαιοί τε γὰρ ἦσαν, καὶ σώφρονες, καὶ μεγαλόψυχοι, φιλάδελφοι, φιλομήτορες οὕτως, ὥστε καὶ μέχρι θανάτου τὰ νόμιμα φυλάσσοντας πείθεσθαι αὐτῇ. ἀλλ' ὅμως καίπερ τοσούτων ὄντων περὶ φιλοτεκνίαν εἰς συμπάθειαν ἑλκόντων τὴν μητέρα, ἐπ' οὐδενὸς αὐτῶν τὸν λογισμὸν αὐτῆς αἱ παμποίκιλοι βάσανοι ἴσχυσαν μεταστρέψαι. ἀλλὰ καθ' ἕνα παῖδα, καὶ ὁμοῦ πάντας ἡ μήτηρ ἐπὶ τὸν ὑπὲρ τῆς εὐσεβείας προετρέπετο θάνατον. ὦ φύσις ἱερὰ, καὶ φίλτρα γονέων καὶ συνέσεις φιλόστοργε καὶ τροφεῖα, καὶ μητέρων ἀδάμαστα πάθη, καθ' ἕνα στρεβλούμενον καὶ φλεγόμενον ὁρῶσα μήτηρ οὐ

τηρ οὐ μετεβάλετο διὰ τὴν εὐσέβειαν. τὰς σάρκας τῶν τέκνων ἑώρα περὶ τὸ πῦρ τηκομένας. καὶ τοὺς τῶν ποδῶν καὶ χειρῶν δακτύλους ἐπὶ γῆς ἀσπαίροντας καὶ τὰς τῶν κεφαλῶν μέχρι περὶ τὰ γένεια σάρκας, ὥσπερ προσωπεῖα προκειμένας. ὦ πικροτέρων νῦν μήτηρ πόνων πειραθεῖσα ὑπὲρ τῶν ἐπ' αὐτοῖς ὠδίνων, ὦ μόνη γυνὴ τὴν εὐσέβειαν ὁλόκληρον ἀποκυήσασα. οὐ μετέστρεψέ σε πρωτότοκος ἀποπνέων, οὐδὲ δεύτερος εἰς σὲ οἰκτρὸν βλέπων ὁ ἐν βασάνοις, οὐ τρίτος ἀποψύχων, οὐδὲ τοὺς ὀφθαλμοὺς ἑνὸς ἑκάστου θεωροῦσα ταυρηδὸν ἐπὶ τῶν βασάνων ὁρῶντας τὸν ἑαυτῶν αἰκισμόν, καὶ τοὺς μυκτῆρας προσημειουμένους τὸν θάνατον αὐτῶν, οὐκ ἔκλαυσας ὁρῶσα σάρκας τέκνων ἀποκαιομένας, καὶ ἐπὶ χερσὶ χεῖρας ἀποτεμνομένας, καὶ ἐπὶ κεφαλαῖς κεφαλὰς ἀποδειροτομουμένας, καὶ ἐπὶ νεκροῖς νεκροὺς πίπτοντας καὶ πολυάνδριον ὁρῶσα τῶν τέκνων τὸ χωρίον διὰ τῶν βασάνων, οὐκ ἐδάκρυσας. οὐχ οὕτως σειρήνιαι μελῳδίαι, οὐδὲ κύκνειοι πρὸς φιληκοΐαν φωναὶ, τοὺς ἀκούοντας ἐφέλκονται, ὡς τέκνων φωναὶ μετὰ βασάνων μητέρα φωνούντων. καθάπερ γὰρ ἐν βουλευτηρίῳ τῇ ἑαυτῆς ψυχῇ, δεινοὺς ὁρῶσα συμβούλους φύσιν, καὶ γένεσιν καὶ φιλοτεκνίαν, καὶ τέκνων στρέβλας, δύο ψήφους κρατοῦσα ἡ μήτηρ, θανατηφόρον τε καὶ σωτήριον ὑπὲρ τέκνων, οὐκ ἔγνω τὴν σώζουσαν ἑπτὰ υἱοὺς πρὸς ὀλίγον χρόνον σωτηρίαν. ἀλλὰ τῆς θεοσεβοῦς Ἀβραὰμ καρτερίας, ἡ θυγάτηρ ἐμνήσθη. ὦ μήτηρ ἔθνους ἔκδικε τοῦ νόμου, καὶ ὑπερασπίστρια τῆς εὐσεβείας, καὶ τοῦ διὰ σπλάγχνων ἀγῶνος ἀθλοφόρε. ὦ ἀρρένων πρὸς καρτερίαν γενναιοτέρα, καὶ ἀνδρῶν πρὸς ὑπομονὴν ἀνδρειοτέρα. καθάπερ γὰρ ἡ νῶε κιβωτὸς ἐν τῷ κοσμοπληθεῖ κατακλυσμῷ κοσμοφοροῦσα καρτερῶς ὑπέμεινε τοὺς κλύδωνας, οὕτω καὶ σὺ ἡ νομοφύλαξ πανταχόθεν ἐν τῷ τῶν παθῶν περιαντλουμένη κατακλυσμῷ, καὶ καρτεροῖς ἀνέμοις ταῖς τῶν υἱῶν βασάνοις συνεχομένη, γενναίως ὑπέμεινας τοὺς ὑπὲρ τῆς εὐσεβείας χειμῶνας.

Κεφ. ιϛ. Εἰ δὲ τοίνυν καὶ γυνὴ γηραιὰ, καὶ ἑπτὰ παίδων μήτηρ, ὑπέμεινε τὰς μέχρι θανάτου βασάνους ὁρῶσα τῶν τέκνων, ὁμολογουμένως αὐτοκράτωρ ἐστὶ τῶν παθῶν ὁ εὐσεβὴς λογισμός. ἀπέδειξα οὖν ὅτι οὐ μόνον ἄνδρες τῶν παθῶν ἐκράτησαν, ἀλλὰ καὶ γυνὴ τῶν μεγίστων βασάνων ὑπερεφρόνησε. καὶ οὐχ οὕτως οἱ περὶ Δανιὴλ λέοντες ἦσαν ἄγριοι, οὐδὲ ἡ κατὰ τὸν Μισαὴλ ἐκφλεγομένη κάμινος λαυροτάτῳ πυρὶ, ὡς ἡ τῆς φιλοτεκνίας περιέκαιεν ἐκείνην φύσις, ὁρῶσαν αὐτοὺς οὕτω ποικίλως βασανιζομένους τοὺς ἑπτὰ υἱούς, ἀλλὰ τῷ λογισμῷ τῆς εὐσεβείας κατέσβεσε τοσαῦτα καὶ τηλικαῦτα πάθη ἡ μήτηρ. καὶ γὰρ τοῦτο ἐστὶν ἐπιλογίσασθαι, ὅτι δειλόψυχος εἰ ἦν γυνὴ καίπερ μήτηρ οὖσα, ὠλοφύρετο ἂν ἐπ' αὐτοῖς, καὶ ἴσως ταῦτα ἂν οὕτως εἶπεν. ὦ μελέα ἔγωγε καὶ πολλάκις τρισαθλία. ἥτις ἑπτὰ παῖδας τεκοῦσα, οὐδενὸς μήτηρ γεγένημαι.

A multa etiam quæ ipso ignota sunt nomine. Adsit, vt sit cygnis tanta dulcedo quorum suauiore melonacoras in morte voces narrat antiquitas. Omni enim harmonia dulcius, omni voce præstantius, pereuntium carmen fuit. Sirenum pueri fabulas in morte superastis, cùm vel matri solitudinem vltimam, vel Deo gratias referretis. Optauit incredibilis prosapiæ mulier breuem orbitatem potiùs, quàm æterni iudicij pœnam subire, cùm B filiorum corpora maluit cruciari, quàm animas: sciens nihil infirmius labe membrorum, quæ etsi passio desit, sæpe tamen intestinus dolor affligit, enecant febres, copia sanguinis premit, aut nimius cursus euiscerat, quis autem ignorat nauigantium naufragia, iter agentium lapsus, quietósq; sessores subita morte consumptos? Taceo incendia repentina: latronum insidias, & pereundi vias. Cùm ergo tot occasionibus humanũ pectus ad mor- C tem agitetur, quis nõ optet interitum cum salute: in quo temporalia amittuntur, & æterna retinentur? O venerandissima fœminarum atque legis, & gentis nostræ gloria. In hoc Noë arcæ simillima, in medus fluctibus & procellis inuiolata permãsisti. Vt illa enim diluuij cælestem impetum tulit, & compagine firmata tabularum, inclusum intra se quod acceperat, non amisit: ita tu quoque sanctum Spiritum, quem Deo dispensante acceperas, D in recessu pectoris custoditu, vinci ab hoste non es passa. Ecce quantum vtilis ratio esse potest, quæ nos sæpenumero viros inferiores fœminis facit. Nec Daniel tantùm visis leonibus formidauit, nec caminus tribus pueris iugi igne succensus, tantum a[s]suris dolorem incussit, quantum hæc fœmina in singulis passa pereuntibus, antequam ad corporis sui pœnam veniretur, accepit. Quid faceret alia mulier & mater, nisi per tristia lamenta E flebilis præcessisset, vlulatus gemitúsque misceret, se infelicem, se miseram conclamaret: quæ ideo plures peperisset, vt sæpius orbata lugeret: repeteret partus, & illa denis mensibus materna fastidia, tot enixa mortes, tot pericula sæpe repetita, lactis alimoniam & paruulorum cibum, pressam diu corporis partem, baiulas manus, dulces susurros, informatis verba, curas, vigilias, timorem, & in omnibus etiã prosperis animum semper futura me- F tuentem. Diceret flens, non ego filios vestros auia blanda complectar, paulò antè nimij gregis mater, nunc agens celerem vitam. Si mori mihi contigerit hodie, à quo sepeliar non habeo. Hæc omnia matris alterius, Dei ancilla non habuit: sed adamantino quodam sensu, rigidior cautibus stetit, filiis nec in pœna, nec in morte defuit, vt interirent compulit. nec doluit interiisse. Nam comprehensa cum paruulis suis Eleazari pœnam aspiciés,

ὦ μάταιοι ἑπτὰ κυοφορίαι. καὶ ἀνόνητοι ἑπτὰ δεκάμηνοι καὶ ἄκαρποι τιθηνίαι. μάτην ἐφ' ὑμῖν ὦ παῖδες πολλὰς ὑπέμεινα ὠδῖνας, καὶ χαλεπωτέρας φροντίδας ἀνατροφῆς. ὦ τῶν ἐμῶν παίδων, οἱ μὲν ἄγαμοι, οἱ δὲ γήμαντες ἀνόνητοι, οὐκ ὄψομαι ὑμῶν τέκνα, οὐδὲ μάμμη κληθεῖσα μακαρισθήσομαι. ὢ ἡ πολύπαις καὶ καλλίπαις ἐγὼ γυνὴ χήρα καὶ μόνη πολύθρηνος, οὐδὲ ἂν ἀποθάνω θάψοντα τῶν υἱῶν ἕ-

Hebræa lingua, cùm eſſent docti, ſimul exhortabatur dicens: O fortiſſimi pueri mei, ad dulce certamen, in quo & genti noſtræ paremus gloriam: & nos à Deo merita æterna conſequamur, ad pœnam ſponte properemus, nec formidemus ô. iuuenes, quæ Eleazari ſenile corpus ſuſcepit. Satiſque in hac fragilitate durauimus, ad ſuperiora properemus. Pater noſter Abraham venerabili ſermone memorandus, vnicum Deo filium, cùm poſceretur, obtulit: nec adhibere formidauit altari, quem vix in ſenectute ſuſceperat. Et Iſaac libens patris victima ſtetit, ſciens Deo in omnibus eſſe ſeruiendum. Similis quoque Danielis, ac trium puerorum cauſa eſt, mihi credite, tentamur potius quàm punimur Quicquid enim in hoc ſeculo prouenit, temporaneum & vmbræ ſimile iudicandum eſt. Hos filiis animos mater incuſſit: & viris mulier virilem animum effecit. Nouiſſimè filiis ſingulis conſumptis, admirabilis tantorum athletarum parens, in cruenta pœnarum carnificina, flexis repente genibus, corporis à Deo diſſolutionem eflagitabat: non enim viuendi cupiditate, ſed filiorum cauſa tantum tempus protraxiſſe. Septem igitur triumphos mater pientiſſima ſuſcepit. Antiochus faucibus ſtridet, matrem generoſam affligere iubet, tyrannicè rapitur, teneris nudatur artubus, in altum manus alligantur, ſæuis illiditur flagellis, læſis mœret vberibus ac flammiuomæ addicta ſartagini, ambuſtos vltro filios concomitatur in pœnas, ac oratione protenſis ſurrectiſque manibus, pro grauidis matribus fuſa cælibem effudit ſpiritum. Porrò cæli fulmine tremuit Epiphanes. O magiſtra iuſtitiæ, filios comitata victores, ô ſuperatrix tyrannorum, ô ſpeculum martyrum, ô patientiæ forma non mulieribus ſolùm, ſed viris futura, veneranda præſentibus, colenda poſteris, admirationi non ſolùm genti noſtræ futura, ſed ſeculis. Splendoribus tuis luna ſuccumbit: nec ſe, quamuis mundum impleat, cum tuis fulgoribus comparabit. Septem te clariores cæleſtibus ſtellæ, grata luce circunſtant. Si poſſit in picturam aliquam manus humana deſcribere, & victorum omnium pœnarum genus in poſterum ceris, vt geſtum conſtitit, explicare, ſine lacrymis nemo tranſiret, omnis vtique multitudo conflueret, ſuffragarentur plurimi: & multa videretur donaſſe, qui in gloriam ſummi Dei talia ſtratagemata depinxiſſet. Et ſi quis ſculpendi artifex, hanc figuram aſpectu miſerabilem ſepulchro intriuerit, aut ædibus illocauerit, ab omni tetra peſte eſſet alienus, æternáque felicitate indubiè frueretur. Sed vnde vllius magnitudinis ſaxum, quamuis tenui limula minutum opus tenens, capacitatem haberet tot pœnarum? Senex itaque Eleazarus, & hæc illuſtris mater, filiíque ſeptem, propter decus generis ſepulchrali honore decorantur. Ma-

A ξω τινά. ἀλλὰ τούτῳ τῷ θρήνῳ οὐδένα ὠλοφύρετο ἡ ἱερὰ καὶ εὐσεβὴς μήτηρ, οὐδ᾽ ἵνα μὴ ἀποθάνωσιν ἀπέτρεπεν αὐτῶν τινά, ὡς οὐδὲ ἀποθνησκόντων ἐλυπήθη. ἀλλ᾽ ὥσπερ ἀδαμάντινον ἔχουσα τὸν νοῦν καὶ εἰς ἀθανασίαν ἀνακτίζουσα τὸν τῶν υἱῶν ἀριθμὸν μᾶλλον ὑπὲρ τῆς εὐσεβείας ἐπὶ τὸν θάνατον αὐτοὺς προετρέπετο ἱκετεύουσα. ὦ μήτηρ δι᾽ εὐσέβειαν θεοῦ στρατιῶτι πρεσβῦτι καὶ γυναικὸς διὰ B καρτερίαν καὶ τύραννον ἐνίκησας, καὶ ἔργοις δυνατὴς ἀνδρὸς καὶ λόγοις δυνατωτέρα. καὶ γὰρ ὅτε συνελήφθης μετὰ τῶν παίδων εἱστήκεις τὸν ἐλεάζαρον ὁρῶσα βασανιζόμενον, καὶ ἔλεγε τοῖς παισὶ τῇ ἑβραΐδι διαλέκτῳ, ὦ παῖδες, γενναῖος ὁ ἀγών. ἐφ᾽ ὃν κληθέντες, ὑπὲρ τῆς διαμαρτυρίας τοῦ ἔθνους ἐναγωνίσασθε προθύμως ὑπὲρ τοῦ πατρῴου νόμου. καὶ γὰρ αἰσχρὸν τὸν μὲν γέροντα τοῦτον ὑπομένειν τὰς διὰ C τὴν εὐσέβειαν ἀλγηδόνας. ὑμᾶς δὲ τοὺς νεανίσκους καταπλαγῆναι τὰς βασάνους. ἀναμνήσθητε ὅτι διὰ τὸν θεὸν τοῦ κόσμου μετελάβετε, καὶ τοῦ βίου ἀπελαύσατε, καὶ διὰ τοῦτο ὀφείλετε πάντα πόνον ὑπομεῖναι διὰ τὸν θεόν, δι᾽ ὃν καὶ ὁ πατὴρ ἡμῶν ἀβραὰμ ἔσπευδε τὸν ἐθνοπάτορα υἱὸν σφαγιάσαι ἰσαάκ, καὶ τὴν πατρῴαν χεῖρα ξιφηφόρον καταφερομένην ἐπ᾽ αὐτὸν ὁρῶν οὐκ ἔπτηξε, καὶ δανιὴλ ὁ D δίκαιος εἰς λέοντας ἐβλήθη, καὶ ἀνανίας, ἀζαρίας, καὶ μισαὴλ εἰς κάμινον πυρὸς ἀπεσφενδονίσθησαν καὶ ὑπέμειναν διὰ τὸν θεόν. καὶ ὑμεῖς οὖν τὴν αὐτὴν πίστιν εἰς τὸν θεὸν ἔχοντες μὴ χαλεπαίνετε. ἀλόγιστον γὰρ εἰδότας εὐσέβειαν μὴ ἀνθίστασθαι τοῖς πόνοις. διὰ τούτων τῶν λόγων ἡ ἑπταμήτωρ ἕνα ἕκαστον τῶν υἱῶν παρακαλοῦσα ἀποθανεῖν, ἔτι δὲ καὶ ταῦτα εἰδότας, ὅτι οἱ διὰ τὸν θεὸν ἀποθνήσκοντες ζῶσι τῷ θεῷ, ὅπερ ἀβραάμ, ἰσαὰκ καὶ ἰακώβ, καὶ πάντες οἱ E πατριάρχαι.

Κεφ. ιζ.

Ελεγον δὲ καὶ τῶν δορυφόρων τινές, ὡς ὅτι ἔμελλε συλλαμβάνεσθαι καὶ αὕτη πρὸς θάνατον, ἵνα μὴ ψαύσειέ τις τοῦ σώματος αὐτῆς, ἑαυτὴν ἔρριψε κατὰ τῆς πυρᾶς. ὦ μήτηρ σὺν ἑπτὰ παισί, καταλύσασα τὴν τοῦ τυράννου βίαν. καὶ ἀκυρώσασα τὰς κακὰς ἐπινοίας αὐτοῦ, καὶ δείξασα τὴν τῆς πίστεως γενναιότητα καθάπερ σὺ στέγη ἐπὶ τοὺς στύλους τῶν παίδων γενναίως ἱδρυμένη ἀκλινὴς ὑπήνεγκας F τὸν διὰ τῶν βασάνων σεισμόν. θάρρει τοιγαροῦν ὦ μήτηρ ἱερόψυχε τὴν ἐλπίδα τῆς ὑπομονῆς ἔχουσα βεβαίαν πρὸς θεόν. οὐχ οὕτως σελήνη κατ᾽ οὐρανὸν σὺν ἄστροις σεμνὴ καθέστηκεν, ὡς σὺ τοὺς ἀστέρας ἑπτὰ παῖδας φωταγωγήσασα πρὸς τὴν εὐσέβειαν ἔντιμος καθέστηκας θεῷ καὶ ἐστήρισαι ἐν οὐρανῷ σὺν αὐτοῖς. ἦν γὰρ ἡ παιδοποιΐα σου ἀπὸ ἀβραὰμ τοῦ πατρός. εἰ δ᾽ ἐξὸν ἡμῖν ὥσπερ ἐπί τινος πίνακος ζωγραG φῆσαι τὴν τῆς εὐσεβείας ἱστορίαν, οὐκ ἂν ἔφριττον οἱ θεωροῦντες μητέρα ἑπτὰ τέκνων δι᾽ εὐσέβειαν ποικίλας βασάνους μέχρι θανάτου γενομένας ὑπομένουσαν. καὶ γὰρ ἄξιον ἦν καὶ ἐπὶ τοῦ αὐτοῦ τοῦ τάφου ἀναγράψαι καὶ ταῦτα τοῖς ἀπὸ τοῦ ἔθνους εἰς μνείαν λεγόμενα. ἐνταῦθ᾽ ὁ ἱερὸς γέρων, καὶ ἑπτὰ παῖδες ἐγκεκήδευνται διὰ τυράννου βίαν τὴν ἑβραίων πολιτείαν καταλῦσαι θέλοντος. οἳ καὶ ἐξεδίκησαν τὸ ἔθνος εἰς θεὸν ἀφορῶντες, καὶ μέχρι θανάτου τὰς

του τὰς βασάνους ὑπομείναντες. ἀληθῶς γὰρ ὁ ἀγὼν θεῖος ὁ δι᾽ αὐτῶν γεγενημένος. ἠθλοθέτει γὰρ τότε ἀρετὴ δι᾽ ὑπομονῆς δοκιμάζουσα τὸ νῖκος ἀφθαρσία ἐν ζωῇ πολυχρονίῳ. ἐλεάζαρ δὲ προηγωνίζετο, ἡ δὲ μήτηρ τῶν ἑπτὰ παίδων ἐνήθλει. οἱ δ᾽ ἀδελφοὶ ἠγωνίζοντο, ὁ τύραννος ἀντηγωνίζετο, ὁ δὲ κόσμος καὶ ὁ τῶν ἀνθρώπων βίος ἐθεώρει, θεοσέβεια δὲ ἐνίκα τοὺς ἑαυτῆς ἀθλητὰς στεφανοῦσα. τίνες οὐκ ἐθαύμασαν τοὺς τῆς θείας νομοθεσίας ἀθλητάς, τίνες οὐκ ἐξεπλάγησαν; αὐτός γέ τοι ὁ τύραννος, καὶ ὅλον τὸ συμβούλιον ἐξεθαύμασαν αὐτῶν τὴν ὑπομονήν. καὶ γάρ φησιν ὁ μωϋσῆς καὶ πάντες οἱ ἡγιασμένοι ὑπὸ τὰς χεῖράς σου. καὶ οὗτοι οὖν ἁγιασθέντες διὰ θεὸν τετίμηνται, καὶ διὰ τοῦ αἵματος τῶν εὐσεβῶν ἐκείνων καὶ τοῦ ἱλαστηρίου θανάτου αὐτῶν, ἡ θεία πρόνοια τὸν ἰσραὴλ προκακωθέντα διέσωσε. πρὸς γὰρ τὴν ἀνδρείαν αὐτῶν τῆς ἀρετῆς, καὶ τὴν ἐπὶ ταῖς βασάνοις αὐτῶν ὑπομονὴν ὁ τύραννος ἀπειδὼν ἀνεκήρυξεν ἀντίοχος τοῖς στρατιώταις αὐτοῦ ὑπόδειγμα τὴν ἐκείνων ὑπομονήν. ἔσχετε αὐτοὺς γενναίους καὶ ἀνδρείους εἰς πεζομαχίαν καὶ πολιορκίαν καὶ ἐκπορθήσας ἐνίκησε τοὺς πάντας πολεμίους. ὦ τῶν ἀβραμιαίων σπερμάτων ἀπόγονοι παῖδες ἰσραηλῖται, πείθεσθαι τῷ νόμῳ τούτῳ, καὶ πάντα τρόπον εὐσεβεῖτε, γινώσκοντες ὅτι τῶν παθῶν δεσπότης ἐστὶν ὁ εὐσεβὴς λογισμός.

Κεφ. ιη.

ΚΑὶ οὐ μόνων τῶν ἔνδοθεν, ἀλλὰ καὶ τῶν ἔξωθεν πόνων, ἀνθ᾽ ὧν διὰ τὴν εὐσέβειαν προέμενοι τὰ σώματα τοῖς πόνοις ἐκεῖνοι, οὐ μόνον ὑπὸ τῶν ἀνθρώπων ἐθαυμάσθησαν, ἀλλὰ καὶ θείας μερίδος κατηξιώθησαν. καὶ διὰ τοῦ εἰρηνεῦσαι τὸ ἔθνος, καὶ τὴν εὐνομίαν τὴν ἐπὶ τῆς πατρίδος ἀνανεωσάμενοι ἐξεπολιόρκησαν τοὺς πολεμίους. καὶ ὁ τύραννος ἀντίοχος καὶ ἐπὶ γῆς τετιμώρηται, καὶ ἀποθανὼν κολάζεται. ὡς γὰρ οὐδὲν οὐδαμῶς ἴσχυσεν ἀναγκάσαι τοὺς ἱεροσολυμίτας ἀλλοφυλῆσαι καὶ τῶν πατρίων ἐθῶν ἐκδιαιτηθῆναι, τότε ἀπάρας ἀπὸ τῶν ἱεροσολύμων ἐστράτευσεν ἐπὶ πέρσας. ἔλεγε δὲ ἡ μήτηρ τῶν ἑπτὰ παίδων, καὶ ταῦτα ἡ δικαία τοῖς τέκνοις. ὅτι ἐγενήθην παρθένος ἁγνὴ οὐδ᾽ ὑπερέβην πατρικὸν οἶκον, ἐφύλασσον δὲ τὴν οἰκοδομημένην πλευράν. οὐ διέφθειρέ με λυμεὼν ἐρημίας φθορεὺς ἐν πεδίῳ, οὐδ᾽ ἐλυμήνατό μου τὰ ἁγνὰ τῆς παρθενίας λυμεὼν ἀπατηλὸς ὄφις. ἔμεινα δὲ χρόνον ἀκμῆς σὺν ἀνδρί. τούτων δὲ ἐνηλίκων γενομένων ἐτελεύτησεν ὁ πατὴρ μακαρίως μέν. τὸν γὰρ τῆς ἀτεκνίας βίον ἐπιζήσας, τὸν τῆς ἀτεκνίας οὐκ ὠδυνήθη καιρόν. ὃς ἐδίδασκεν ὑμᾶς ἔτι ὢν σὺν ἡμῖν, τὸν νόμον καὶ τοὺς προφήτας. τὸν ἀναιρεθέντα ἄβελ ὑπὸ κάϊν, ἀνεγίνωσκεν ἡμῖν, καὶ τὸν ὁλοκαρπούμενον ἰσαάκ, τὸν ἐν φυλακῇ ἰωσήφ. ἔλεγε δὲ ἡμῖν τὸν ζηλωτὴν φινεές, ἐδίδασκε δ᾽ ἡμᾶς τοὺς ἐν πυρὶ ἀνανίαν, ἀζαρίαν καὶ μισαήλ. ἐδόξαζε δὲ καὶ τὸν ἐν λάκκῳ λεόντων δανιήλ, ὃν ἐμακάριζεν. ὑπεμίμνησκε δ᾽ ἡμᾶς τὴν ἡσαΐου γραφὴν τὴν λέγουσαν, κἂν διὰ πυρὸς διέλθῃς, φλὸξ οὐ κατακαύσει σε. τὸν ὑμνωδογράφον ἐμελῴδει ὑμῖν δαυὶδ λέγοντα. πολλαὶ αἱ θλίψεις τῶν δικαίων. τὸν σαλομῶντα παροιμίαζεν ἡμῖν λέγοντα. ξύλον ζωῆς πᾶσι τοῖς ποιοῦσιν αὐτοῦ τὸ θέλημα. τὸν ἰεζεκιὴλ ἐπιστοποιεῖτο λέγοντα. εἰ ζήσεται τὰ ὀστᾶ τὰ ξηρὰ ταῦτα. ᾠδὴν μὲν ἣν ἐδίδαξε μωϋσῆς οὐκ ἐπελάθετο διδάσκουσαν καὶ λέγου-

A gnus ab his omnibus cultus exhibetur, etiam alienæ ſectæ homines inuaſit timor. In iuſtitiæ argumentum, vt piis cordibus ſumma veneratio infigatur, octiſtellium exoritur, dum angelicis manibus interemptorum funeribus miniſtratur. Enimuerò ipſe tyrannus ſtupore defixus, tam piæ mentis virtutem expauit. Tantum poſtremò aſſecuti ſunt gratiæ, vt gentis noſtræ peccata reſtinxerint. Exitium ſequitur mox tyranni, Iſrael aliquando reſpirat. B Videns namque Antiochus magnitudinem fidei mortiſque contemptum, peditum ſibi legiones ex Hebræorum numero congregat, per quas hoſtes perculit, & laudis plurimum cepit. O benedictum Abrahæ ſemen. Videte quantum nobis ſeptem filiorum ac matris paſſio præſtitit collegarum. In hac pietate durate, vt patribus pares eſſe poſſitis. Ecce totius gentis mala populíque peccata, paucorum exemit exitium. C Superatiſque hoſtibus, quos Iſraelitarum manus perculit, ſoluta iam peccata poſt victoriam fuêre. Poſtremò autem rabie fremens, verminoſóque ventre, ac ſqualidis fœtoribus conflictatus Antiochus, expirauit. Supplicia ſequuntur extinctum. Nam cùm Hieroſolymitas à lege retrahere non poſſet, Perſis (quia poſcebat neceſſitas) bellum indixit, ibique quod merebatur, excepit. Nunc tandem ſupereſt, vt paucis omnia com- D plectamur. In ipſo namque agone pientiſſima mater ac martyr circunſtantibus dicebat: Virginalem vſque dum licuit, pudorem tenui, caſtis me poſtea nuptiis illigaui, domum propriam non reliqui, procreaui filios non pudendos, & mariti morte perculſa, nihil ex fide perdidi: hoc & multo alio ſermone vocitabat. Sed quid amplius? proponebat filiis prophetas, interfectum Abel fraternis inſidiis, oblatam hoſtiam loco Iſaac, E exulem Iacob, Ioſeph cuſtodia carceris occupatum, Danielis leonẽ, & trium puerorum incendia. Recenſebat etiam eiſdem Eſaiæ librum qui dicit: Licet per ignem tranſeas, flamma te non comburet. Dauidicum pſalmum in quo ait: Multæ tribulationes iuſtorum. Salomonem quoque ſimiliter, ponentem lignum vitæ facientibus voluntatem eius. Ezechielem etiam non omittebat dicentem: Viuent hæc oſſa arida. F Canticum deinde quod docuerat Moſes non obliuiſcebatur, in quo ſcriptum eſt: Ego occidam, & ego viuere faciam, & longitudo dierum veſtrorum in manibus meis. O infelix tyranne, quid tibi lebetes ardentes, quid machinæ profuerunt? quid ſectæ oculorum palpebræ, detractæ etiam imis faucibus linguæ, cùm his omnibus longè peiora patiaris? Illi verò

quos interficis (mihi crede) diuino vtuntur imperio, & de salute & de vltione securi. Nam qui pro causa salutis passi sunt: prosper illis euentus erit, cùm pater omnium Deus atque vniuersa respiciens, sequentibus se vitam præbeat sempiternam. Hæc itaque quæ in monumentis vterum & sacris literis de diuis comperi Machabæis posteritati æternum legenda consecraui.

σαν, ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω. αὕτη ἡ ζωὴ ὑμῶν καὶ ἡ μακρότης τῶν ἡμερῶν. ὢ πικρᾶς τῆς τότε ἡμέρας, καὶ οὐ πικρᾶς, ὅτε πικρὸς ἑλλήνων τύραννος πῦρ φλέξας λέβησιν ὠμοῖς, καὶ ζέουσι θυμοῖς, ἀγαγὼν ἐπὶ τὸν καταπέλτην, καὶ πάσας αὐτοῦ τὰς βασάνους ἐπὶ τοὺς ἑπτὰ παῖδας τῆς ἀβρααμίτιδος, καὶ τῶν ὀμμάτων κόρας ἐπήρωσε, καὶ γλώσσας ἐξέτεμε, καὶ βασάνοις ποικίλαις ἀπέκτεινεν. ὑπὲρ ὧν ἡ θεία δίκη, μετῆλθε καὶ μετελεύσεται τὸν ἀλάστορα. οἱ δὲ ἀβραμιαῖοι παῖδες σὺν τῇ ἀθλοφόρῳ μητρὶ, εἰς πατέρων χορὸν συναγελάζονται ψυχὰς ἁγνὰς ἀθανάτους ἀπειληφότες παρὰ θεοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν.

In fine pag.334. hanc adde lineam, superiores reges in vestibulo templi consecrauerunt.

Flauij Iosephi operum finis.

RERVM OMNIVM APVD IOSEPHVM MEMORABILIVM INDEX SECVNDVM ALPHABETI ORDINEM.

Numerus paginam, litera locum paginæ designat.

AARON Moysi in Aegyptum redeunti occurrit Pagina 61.e
Aaroni sacerdotiũ confertur 87.g
confirmatur 108.g
eius filij quatuor 88.a
quomodo purificatus 89.b
filij eius duo seniores dum offerunt, exusti, ibid.d
virga eius floret,& profert amygdala 108.e. moritur 110.c. primus fuit pontifex 700.a
Abaneth qualis zona 84.d
Abaris mons 132.d
Abassarus à Cyro præfectus restituendo templo Hierosolymis 365.d
Abdastartus rex Tyriorum Beleastarto patri successit 1043.c
eius mors ibid.
Abdemonus Tyrius adolescens problematum dissoluendorum peritus 268.a.& 1043.b
Abdonis principatus Hebræorum 159.b
Abel quid significet, occiditur à fratre 6.d
Abelmachæa vrbs 241.c
Abemerigus Isatæ suam filiam dat vxorem 684.c
Abenerus præfectus exercitus 183.b 194.b. Ieboſthum Sauli filium constituit regem 211.c
pugnat contra Ioabum ibidem. transfert regnum ad Dauidem 213.f
ab Ioabo fraudulenter occiditur 215.a
Aber secũdi ex fratribus Machabæi supplicia crudelissima, tolerantiáque eius 1093.d
Abesalomus Ammionem fratrem iugulat 227.d
fugit in Gesura, vnde à patre reconciliato reuocatur, item forma eius & cæsaries qualis. tum quomodo Ioabũ tractarit 228.
popularem auram captat & regnum 229.c. cum patris concubinis rem habet 231.d. cogit magnum exercitum contra patrem 233.c. pendens in arbore interimitur 234.c
Abias Arabum rex prælio victus sibi ipse manum infert 688.e
Abias Solomonis filius quomodo se gesserit in administratione principatus 173.b
Abiatharus Abimelechi filius seruatus à Sauli sæuitia 196.f. confirmatur ei pontificatus 241.f
quomodo à Dauide vltus, eius domus sacerdotio priuatur 254.b
Abibalus rex Iromi pater 267.f
Tyriorum rex 1042.e. 1043.a
abigæa Nabali vxor Dauidem commotum placat 201.b
abilamarodachus Nabuchodonosori filius in paternum regnum succedit & Ioachimum è vinculis eximit 350.c
abimelechi Bethlemitæ in Moabiticam terram cum suis profectio 163.c
abimelechus Gedeonis nothus, fratres legitimos occidit, & imperium arripit 155.g
vrbe & tribu pellitur 156.c
Sicimas captas solo æquat 157.b
occiditur à muliere ibid.d
abimelechus Palæstinæ rex Saram concupiscit 21.a
abironi cum suis terra dehiscit 107.c
abisace puella calefacit senem Dauidem 246.g
ambit eam vxorem Adonias 253
abisæus Ioabi frater, vir fortis 212.c 336.f. cum fratre Sabæum persequitur 238.e
vindicat regem ab interitu, occiso Acmone 242.c
abrahamus quando natus 15.c
Lotum nepotem adoptat 15.g
è Chaldæa migrat in Chananæam, & Dei verum cultum instituit ibid.
hinc in Aegyptum proficiscitur, vbi vxorem fingit esse sororem suam 16.f. Aegyptiis disciplinas instituit 17.c. Assyrios vincit 18.c
decimas dat Melchisedeco,& promittitur ei filius à Deo 18.e
genuit Ismahelem ex Agare 19.d
hospitatur angelos tres ibid.
migrat in Gerara 21.a
à Deo tentatur 22.c
monumentum sibi & posteris comparat 24.b
ducit Chæturam vxorem, suscipit liberos ibid.c
Isaco quærit vxorem ibid.e
moritur 26.b
eius arma contra Pharaonem 928.
abrahami domicilium, vicus 16.d
absalomon tyrannidis Manahemi adiutor 813.d
absalomus patruus, & socer Aristobuli captus 474.f
Accaron non potuit capi ab Hebræis 46.a
Achabus Amarini filius regnum paternum maioribus contaminat id sceleribus quàm antecessores sui 285.c
agnoscit suum fatum & pœnitet 289.e. cedit Adadi filio bellum inferenti 290.c. eundem vincit 291.c
occiditur 295.d
ipsius liberorum capita præciduntur 310.c
achar furtum committit 137.e
plectitur 138.c
achæ quinti ex fratribus Machabæi immania supplicia, eiúsque insignis tolerantia 1095.a
achazes Iothami filius regnum paternum arripiens, idolis filium holocautoma offert, bellóque impetitus, magnam patitur stragem 321.d
Assyriorum regis auxilio vlciscitur Syros, stultus & impius moritur 322.d
achiabus Herodis nepos aui vim prohibet 599.b
impetitur à 2000. militibus dimissis 607.d
Herodem manum sibi inferentem prohibet 773.e
militibus tumultuantibus resistit 607.d
achias pontifex 181.a
achias propheta Hieroboamo regnum & alia vaticinatur 274.b. 280.c
achilaus princeps commentariensium 241.f
achimanus Berzellæi filius apud Dauidem manet 237.f
achimas Dauidi victoriam nunciat 235.b
achimelechus pontifex Dauidem commeatu iuuat 196.b. accitus ad Saulũ occiditur cum omni sua familia 196.f
achitophel à Dauide ad Abesalomum deficit 229.d. male consulit domino suo 231.c. propter spretum consilium relinquit Abesalomum,& se suspendit 233.a
acmes Iuliæ famulæ dolus 595.b. 771.d
acmon gigas Dauidem occisurus ab Abisæo perimitur 242.c
acusilaus Argiuus quo tempore historiam condere inceperit, & in quibus Hesiodum corrigat 1034.g
adadus Azaelis filius paternum in regnũ succedit, quo ab Ioa Israelitarum rege priuatur 316.a
adadus Syriæ & Damasci rex cum Dauide confligens vincitur 221.f

*

Adadi huius posteri dicti reges Syriæ, sicut Aegypti reges Ptolemæi 222.a
adadus tertius Samariam vastat ibid.
adadus Syrus Achabo bellum inferens cedenti, ab eodem vincitur 290. 291. & recipitur in gratiam 292.c
Ioramo insidians & Elisæum capere conatus frustratur 302.e
bello aggreditur Ioramum 302.e
fugatur a deo 305.a
præfocatur ab Azaele 306.d
adami creatio, & quid ea vox significet 5.a
lapsus & mulcta 5.e
eius soboles, posteritas & mors 6.d
adar mensis 132.e.366.e.381.f 424.a
adar mensis dies XIIII. & XV. cur festi Iudæis 382.b
aderus Syriam occupat, & rex eius efficitur 273.f
adoma quid significet 36.b
adomus dictus Esaus ibid.
adoni quid significet 145.e
adonias Dauidis filius regnum paternum affectat 247.a
fugit ad asylum, & veniam commissi à patre impetrat 248.d
salutat matrem Solomonis, & Abisaces connubium ambiens occiditur 254.b
adonibezecus capitur ac truncatur manibus & pedibus, sicuti ipse alios reges mutilauerat 145.e
adoramus quæstor tributorum ordinatur 241.e
lapidibus obruitur 275.e
adulterij suspecta quomodo purgetur 95.a
adramalechus Senacheribi filius parricida 330.e
adrazarus Sophenorum rex à Dauide victus 222.c
Aegyptius vates seductor Iudæorum 695.f
Aegyptij populus qualis 13.f 54 b
Aegyptiis quis astronomiam & arithmeticam primus tradiderit 17.c
non licere eis greges curare 52.f. cur quintam fructuum portionem regibus pendant 53.c
pugnant cum Aethiopibus 57.f
Hebræos insequuntur 66.a
quare Babylonem abducti 345.c
eorum antiquissima rerum memorabilium traditio 1034.b.1035.f
testimonium de Iudæis 1039.c 1050.g. quidque eis Græcorum commercium conciliarit 1038.d
sexaginta millia Iudæorum peremerunt 992.e per totum
Aegyptiis gratificari volentes veritatem de gestis Iudæorum corrupère 1051.e
Aegyptiorum dij descripti 1054.c.1065
seruitus 1068.e
eorum mali mores taxati 1065
Aegyptiis nemo regum aut imperatorum ius ciuitatis largitus est ibidem
Aegyptum mare totum portub. caret 894.b
Aegyptum fames occupat 44.e. 53.a
Aegypti regina Solomonem inuisit 270.a
Aegypti descriptio 807.f. 895.g
Aegyptus vnde nomen acceperit 1045.f
Aelius Gallus dux auxiliariorum ab Herode missorum Cæsari 539.b
Aemilius Iucundus à Iudæis occisus 820.f
Aemilius Regulus Corduben. 653.c
Aeneas, qui Aretas postea dictus, Arabum rex constituitur 572.e
Aeoles populus 13.c
Aerariæ quis inuentor 7.d
Aeris genus auro preciosius 221.d
Acinaces Persicus, qualis 697.a
Aeta, petra, Sampsonis habitatio 161.c
Aeternius Fronto magister duarum legionum Alexandrinarum 956.f
Aethiopes, populus 13.f
bello Aegyptios infestant 57.f
quomodo à Mose victi 58.d
Aethiopas ab Aegyptiis circumcisionē accepisse 279.f
Agaris insolentia ob conceptum infantem punitur 19.c
ablegatam vnà cum filio consolatur angelus 22.b
Agatharchides historicus 1050.b
Aggæus propheta 365.f.366.e
Agriæ Nabathæi facinus 935.b
Agrorum terminos quis primus fixerit 7.c
Agriculturam quis inuenerit ibid.
Agrippæ Aristobuli filij soboles 628.a. varia fortuna 629.vsque 637
M. Agrippæ in Iudæos beneuolentia 398.d
Agrippa in Asiam mittitur 540.a
ab Herode magnificè exceptus epulū præbet populo 549.d
eius in Iudæos studium 562.b 584.e
Agrippa rex Herodem apud C. Caligulam accusat 638.c
accusati tetrarchias ac bona consequitur 638.f
conuiuio sumptuosissimo Cæsarem excipit 642.c
Iudæos reconciliat Caio 643.b
hortatur Claudium ad retinendum principatum 670.d
tergiuersator bilinguis ibid.
quæ beneficia à Claudio Cæs. acceperit 733.d
eius in Iudæam reditus 674.f
Silam vinctum adseruat 677.b
reliquis eius gesta vsque mortem 677. 678. 679. 680. & 793.795.796.801.803. 804.810.811.815.816.817.832.833.864.893. 906.907.913
Agrippa filius Agrippæ 679.f
impetrat pontificiæ stolæ custodiam Iudæis 683.b. Chalcidi præficitur 690.d Claudio autor vt Iudæorum causam legitimè cognoscat 693 a
Chalcidem aufert ei Cæsar, & multis aliis toparchiis donat ibid.b. nuptias instituit ibid.
Galilææ parte donatur à Nerone 694.f. domum extruit 697.c. Neroniada nominat & munificus est 698.g
Magdala certat capere 1007. venit Tyrum cum Vespasiano 1030.b
Agrippæ regni fines qui 832.f
Agrippina Claudij Cæs. vxor 692 g. maritum veneficio tollit ibid. filium Neronem imperio præficit 694.b
Agrippium à quo conditum 746 e
Ainam inuadunt Hebræi, & fugantur 137.d. capitur & succenditur 138.d
Alabarchiæ magistratus 693.f
Alanorum nationis descriptio 985.a
irruptio in Mediam & Armeniam ibid.
albinus Iudææ præsidet 694.f
Iudæam latronibus explet 699.c
Iudæam latronibus explet 699.c
malus 702.b
albinus Rom. præfectus Iesum Anani filium misere mulctatum dimittit 961.c
albini procuratoris direptiones & iniustitia 121. per totum
alcimus in pontificatum succedit alias Iacimus dictus 421.e
profugit ad Demetrium ibid. perit 424.b
alexander alabarcha mutuat pecuniam Agrippæ 630.d
Vide infrà Alexander Lysimachus
alexander Antiochi Epiphanis filius bello aggreditur Demetrium 430.c.
vincit 432.e
Ionathæ amicitiam ambit 430.e
Ionatham in summo honore habet 435.a. Ptolemæo Philometori hostis factus occiditur 437.f
alexander Aristobuli filius Iudæam infestans à Gabinio vincitur 476.c
rebellans Romanos quotquot potest interficit 477.f
Hyrcano bellum infert 721.c
cum Gabinio pugnat 723 a
securi percutitur 723.f
alexandri fictitij actus & fallaciæ 783.d
Vide Pseudalexander
alexander Herodis filius Roma reuersus ducit vxorem 549.c
accusatus à patre causam dicit, & reconciliatur 555.556.557.
calumniis oppressus coniicitur in vincula à patre 568.f
reconciliatur patri per socerum 569.f
iterum calumniis vrgetur ab Eurycle aliisque 573.574
& in carcerem detruditur ibid. accusatus à patre Beryti, damnatur 578.f
strangulatur 580.b
alexander Herodis filius veneficij accusatur à patre 751.e
iterum accusatur 755.d
& in vincula coniicitur 756.b
accusatur 759.g
strangulatur 761.f
eius soboles 762.a
alexandri Herodis filij posteri in maiore armenia regnauerunt 793.g
alexander Iamnæus Hyrcani filius, rex factus fratrem insidiantem interimit 456.c
circumuenit astu Ptolemæum Lathurum, à quo postea vincitur 457.g
iterum belligeratur contra eum 458.e
præliatur cum suis 460.c
cum Demetrio Eucæro ib.g
immanitatis causa Thracides dictus: aliáque gesta & mors 463.464. 713.714. 715.716.
alexander Lysimachus Alabarcha solutus vinculis à Claudio 673.e
eius diuitiæ quantæ 690.b
alexander rex primus Machærunta ædificauit 980.e
quo tempore mortuus 1048.d
eius morte Iudæi Aegyptum & Phœnice translati 1049.b
alexander Philippi filius patri in regno succedens quas tulerit victorias 383.d
Damascum & Tyrum capit atque Gazam 384.d
pontificem Iadadum veneratur, & Hierosolymis deo immolat, Danielisque prophetiam interpretatur, & Iudæis quæcunque postularant concessit 385.e.816.b

eo mortuo quomodo regna eius occupata 386.f
Alexander Tiberij pater portam templi supra Corinthiam crassiori auro & argento perfudit 917.b
Alexander Veles rex 437.f
Alexander Zebinas Demetrij victi loco rex constitutus fœderatur Hyrcano 451.d
in bello cadit ibid.
Alexandra Alexandri Iammæi vxor quomodo à morituro marito instructa regnum seruarit & administrarit 463.b
morbus eius & mors 465.b
Alexandra Hyrcani filia, vxor Alexandri Aristobuli, infensa Herodi 512.b 513.b
Alexandra Phasaeli filia 627.g 628.a
alexandria plus singulis mensibus quàm Hierosolyma toto anno pendit Romanis 807.g
iisdem quatuor mensium annonam ministrat 808 a
alexandria ciuitas post Romam maxima 903.b
alexandriæ portus descriptio 894.c
vrbis situs descriptus 807 g 808.a
alexandrinorum seditio contra Iudæos 816.b
alexandrini Vespasianum pro imperatore prompti agnoscunt 894
alexandrinorum fortitudo & præstantia in oppugnatione Hierosoly. 922.c
alexandrini quamdiu cesserint Iudæorũ solennitatibus 1065
alexandrini seditionis autores, Apionis similes ibid.
alexandrium arx 472.f.476.c
alexas duxit Salomem vxorem 583.b. 223.f
iubetur ab Herode nobiles Iudæos se defuncto occidere 598.d
piè agit 600 b
alisas, alisæi 13 c
alisfragmuthosis rex contra pastores gerit bellum 1040.d
aliturus minorum actor 999.d
allus Samarita, libertus Neronis 631.a
althemus præ timore obriguit 744.c
amalecitæ gens 74.b
amalecitæ bellum Israelitis inferunt & vincuntur 75.d
amalecitæ Hebræos subigunt 153.d. eorum rex captus & occisus 155.a
amalecitas quanto deus odio sit prosecutus, & quomodo Saulus eos extirpauerit 184.b
Dauid cædit eos 207.f
amalecus nothus Aliphazæ filius 36.c
amalecitis regio ibid.
amanus quanto in honore apud Artaxerxem habitus, & quantum in Iudæos propter Mardochæum conceperit odium 375.a
consuluit contra seipsum 378.b
in crucem Mardochæo paratam sustollitur 380.a
& filij eius 382.a
amaræi filij quomodo Ioannem Gaddim interfecerint, & quas eius cædis pœnas dederint 428.c
amarames Moysis pater & Aaronis, deum inuocans vt Hebræos redimat exauditur 55.b
amaramus seditiosus exulat 682.c
amarinus constituitur rex 284.f
amarinus constituitur rex 284.f
obit diem suum, relicto principatus successore Achabo filio 285.b
amasus Absolomi copiis præficitur 253.c. impetrat veniam à Dauide, cui gratulatu regni restitutionem 236.c
constituitur præfectus exercitus 238.d
occiditur a Ioabo 238.f
amasias filius Ioasis regis Iudæ, vir bonus & pius patri in regnum succedit 315.b.316.c
paternæ necis autores tollit, amalecitas, Idumæos & Gabelitas prælio vincit, & ad idola deficit 316 c
increpatur à propheta 317.a
minatur Ioæ regi, & prælio victus capitur interficitúrque 317 b
amasias sacerdos 298.a
amathus, Amathæ 14.d
amathus castrum ad Iordanem 459.b
ambitio quantum malum 215.b. per totum
M. Ambiuius præficitur Iudææ 619.a
amenophis regni terminus 141.b
amesses regni terminus ibid.
amias Achaz. fil. bello superatus à Zacharia trucidatur 321.f
aminadabus Leuita 171.c
ammanus, Ammanitæ 21.a
Hebræorum genti bellum inferentes malè excipiuntur 157.f. 158.d
ammanitarum contumelia in Dauidem 223.f
& quæ de eis vltio accepta 224.f excinduntur 228.b
ammanitæ & Moabitæ socij mutuo sese occidunt 298.e
ammaus exusta 781.b
ammaus thermæ sanandis corporibus idoneæ 864.b
vide & Emmaus
ammonius insidiator Ptolemæi Philometoris occisus 437.a
amnon sororem Thamaram stuprat 228.g
occiditur à fratre Abesalomo 227.d
amoræi cum suis regibus deleti 11.d. qui eorum ditionis termini ibid.
amoritis regio duabus & dimidiæ tribubus conceditur 118.a
amosus Manassis filius regno paterno substituitur, quod propter impietatẽ non diu tenens occiditur 333.a
ananelus constituitur pontifex ab Herode 212.b
honore priuatur 513 a
restituitur ei 511.a
ananias Masbali pontifex cum quindecim aliis crudeliter necatur 938.f
ananias mercator Iudæus regias mulieres Iudaicam religionem docet 685.a
ananias Nebedæi fil. pontificatum accipit 690.d
vinctus mittitur Romam 692.e
ananias nominatur Sedraches 346.a
ananias Oniæ filius copiis Cleopatræ præficitur 452.g.458.d
ananias Pharisæus Iosepho se opponit 1013.f
ananiæ pontificis liberalitas, eiúsque seruorum iniquitas 698.d. 699.b. ipsius filius capitur à sicariis 698.e
ananiæ põtificis domus incenditur 811.d
ananias pontifex cum Ezechia fratre, & pontificibus aliis in cloacis latuit propter seditionem ibid. cum fratre interficitur 812.e
ananus anani filius pontificatum acquirit, & Iacobum lapidat 698.b
anani senioris felicitas ib. a
ananus Ionathæ filius Cestio portas prodere voluit 819.g
ananus Iudæorum dux vinctus Romam mittitur 692.e
ananus pontifex cum Hierosolymitis bello contra Romanos se præparat 828.f
apparatum belli rursus amittere noluit 829 a
milites contra Simonem Gioræ mittit ibid.e
ananus pontifex, eiúsque gesta 872. & 874.875. per totum.
anani mors Hierosolymæ excidij principium 881.g. eiúsque virtutes celebratæ ibid.
ananus Sethi filius pontifex constituitur 618.c. eo priuatur 619.c
ananus Simonis satelles ad Titum profugit 956.c
anarabaches, pontifex Hebr. 84.b
anaxagoræ Clazomenij mors 1079 f
anchus rex Gittæ 195 c.203.b
exercitum ducit in Hebræos 203. f. 205. d
andromacho amicitiam renunciat Herodes 567. g
andronicus Messalami filius orator 434.a
angelus, quale nomen 522.b
angelos cum mulieribus coiisse 8.c
anilæi & Asinæi Neerdensium facinora 645. 646. 647. 648. 649. per totum
animi vnde certissimum argumentum colligatur 199 e
anna Helcanis vxor 165. b
annibas seditiosus plectitur 682.c
annius Minutianus 633 c.636 671.e
annius Rufus Iudææ præficitur 619.b
annus magnus quot annis constet 11.c
anni septimi, quinquagesimi seu Iobeli remissio 96.b
anni quot ab exitu Israelis ex aegypto vsque ad templi Solomonis extructionem 700 d
antecij interitus 661 f
anthedo, postea Agrippias dicta 459.c
antigonus Asiam occupat mortuo Alexandro 388.a
antigonus aristobuli filius cum patre transfugiens capitur 477 d
accusat Cæsarem Hyrcanum & Antipatrum 481.d
paternum regnum affectans profligatur 491.d
reducitur in regnum per Parthos 494. e. amputat Hyrcano auriculas 497. e. accusatur Romæ, & placat pecuniis hostem 499.c
quomodo ab Herode oppugnatus sit 500 c
& inde quomodo expugnatus & irrisus à Sosio 507.c
antonius Herodis pecuniis corruptus eum occidit 508. b. 510 c. per totum.
antipatrũ & Hyrcanum accusat 724.g. vincitur ab Herode 729. d. rex constituitur 732.d. quàm insolens ex vnica victoria factus 738. d. dat se vinciendum Sosio 741. d. securi percutitur ibid. f

Antigonus Hyrcani fil. Samariæ obsidioni præficitur 452.b
quomodo à fratre & cur occisus 454. f.712 e
antiochia Mygdoniæ, vrbs 687.e
antiochia, Syriæ metropolis 852. c
antiocheni Demetrium eiectum recipiunt 437.d
antiocheni soli cum Sidonis & Apamensis pepercerunt Iudæis cohabitatoribus suis 815.e
antiochensium odium in Iudæos 398. c
antiochensium petitiones apud Titum 976.e
antiochus antiochi Grypi filius victus & occisus ab Antiocho Cyziceni filio 459.f
antiochus Antiochi Cyziceni filius superat Antiochum Grypi, & superatur inde ab Eucæro & Philippo fratribus ibidem.460
antiochus Aspendius ab Hyrcani filiis victus 711.g
antiochus Comagenæ rex 620.g. 678.d
antiochus Cyzicenus cum fratre Antiocho Grypo belligeratur 451.d
vincitur ab Hyrcano 452.g
occiditur à Grypi filio Seleuco 460.b
antiochus deus Alexandri fil. adolescens rex coronatur & amicitiam cum Ionatha init 440.a
trucidatur à Tryphone suo tutore 447.b
antiochus Dionysius Antiochi Grypi fil. Damasci regno potitus quid gesserit 462.a
eius cum Alexandro & Arabibus bellum 715.e
antiochus Epiphanes Seleuci fil. & eius gesta contra Iudæos 407.g vsque 419.975. ad Elymaida vincitur 418.e
commissa regni cura Philippo moritur 419.b
per totum, aliáque eius gesta 1087. 1088.1089.1090
antiochi Epiphanis cum Ptolemæo Sexto contentio propter Syriam, & in Iudæam irruptio sæua 708.d
antiochus Epiphanes quomodo ceperit Hierosolymam 929.f. 934.e
antiochus Eupator Antiochi Epiphanis fil. rex constituitur 419.c
Bethsaritas expugnat 420.d
Philippum tutorem regnum inuadentem occidit 421.d
captus à Demetrio trucidatur 421.g
antioch. Eupator Antiochi Epiph. fil. quomodo Iudæam afflixerit 709. e
antiochi magni bellum cum Ptolemæo Philopatore, & beneficia in Iudæos 398.e
dat filiam Ptolemæo vxorem 401. a
Antiochi Pharanx loci nomen 716. a
antiochus Seleuci nepos Deus cognominatus 398.e
antioch. Soter, etiam Pius dictus frater Demetrij rex natus Tryphonem persequitur & interficit 447.f
Simonem Matthiæ in amicitiam receptum conatur subigere, sed infeliciter 448.a
oppugnat Hyrcanum Hierosolymis, & cognominatur Pius 449.
per totum regno & vita priuatur ab Arsace 450.b
Seleucum Grypi vincit 460.a
antiochus Grypus qui & Philometor Demetrij Nicanoris fil. Alexandrum Zebinam bello occidit, & regnum Syriæ occupat & Heracleonis insidiis occisus 451.d
antiochus, Agrippa & Sohemus Vespasiano in auxilium miserunt bina millia peditum, & sagittarios equites mille 834.f
antipas Herodis fil. constituitur tetrarcha 599.e
affectat regnum 603.a
portionem paterni regni acquirit 611.e
antipas pro Antipatro fratre rex constituitur testamento 771.f
tetrarcha instituitur 773.g
antipas pater Antipatri Idumææ præfectus ab Alexandro 469.b
antipas regij generis vir comprehensus custodiæ traditur 871.g
occiditur 872.
antipater Herodis fil. à patre vocatur domum 554.d
honoribus augetur 555.b
fratres crebris calumniis infestat ibid. 568.c.574.e
malicia eius 582.per totum.
eius in patrem insidiæ 585.a.587.588
capitis damnatus vincitur 590.d
occiditur 599.d
ab Herode patre pellitur ciuitate 749.
fratrib. insidiatur 751.d
prodigit 762.b
fratrum occisorum liberis etiam male vult, & conspirat contra patrem 762.c
veneno eum tollere conatur 766.c
aliis duobus fratribus calumnias struit 767.c. causam dicit 769.770.per totũ.
occiditur 773.f
antipater Idumæus Hyrcanum in regnum restituit 717.f.718.per totum, aliáque eius gesta 722. vsque 727
antipater accusatus, declaratur præfectus Iudææ à Iulio Cæs. & Hierosolymorum muros reficit, & filiis suis præfecturas attribuit 725.c
antipater qui prius Antipas, quomodo se suósque euexerit, & Aristobulum regno eiecerit 469.c
Scaurum commeatu iuuat 475.f
eius autoritas, vxor & liberi 479.d
qualem operam nauarit Cæsari, aliáque eius gesta ibidem.& 480
dynasta & procurator Iudææ constituitur à Cæsare 481.e
suos liberos ad gubernacula prouehit 483.b
antipater Salomes fil. accusat Archelaũ 777.d
antipater Samarita Antipatri Herodis filij procurator 588.d
veneficium apparatum Herodi indicat 766.b
antipatris ciuitas ædificatur 559. f
antiphilus cum suo fratre venenum appararunt in Herodis interitum 588.f
antiquitatum libri xx. quod tempus complectantur, & quas historias 702.e
antonia Drusi maioris vxor, Germanici & Claudij mater Agrippæ dat mutuo pecuniam 630.f
eius fauor in Agrippam 634.c
eius prudentia 637.b
antoniæ ædificij Herodiani descriptio 919.c
antonia porticus incensa, & præsidium ex ea deturbatum 811.f
antonia turris ab Herode condita 544. f. 624.d.746.d
antoniæ fundamenta subuersa 951 c
M. Antonij decreta pro Iudæis 488. per totum
M. Antonius, dux Ro. 476.c
in Asiam proficiscitur, & Herodem defendit 491.g.729.e
amore Cleopatræ captus Herodem, & Phasaelum tetrarchas constituit 494.a
ad regium fastigium eundem promouet 499.d
ab eodem pecuniis corruptus Antigonum è medio tollit 508.b.510.e
M. Antonius donatur ab Herode 510.c.
homo impurus 512.e
Herodi nimium indulget 516.d
multa indecore agit in gratiam Cleopatræ 518.b
subigit Armeniam 519.b
vincitur apud Actium à Cæsare 524.a
occisus 524. e. qualem operam Gabinio præstiterit 721.g
Herodem exulem regno Iud. præficit 734. b. propter Cleopatram multa facit indecore 742.a
Antonius centurio à Iotapateno insidiis interemptus 850.d
Antonius præfectus alæ equitum contra Romanos 831.b
eius gesta ibid.
Antonius Primus è Mœsia contra Vitellium cum legione tertia properat 901.f. eius gesta ib.
Vitellium interficit 893.d
in conflictu cum Vitellianis quatuor millia & quingentos amisit 902.c
Romam properat ibid.
Antonius Silo Taricheas missus cum duobus millibus sagittariorum 859. d
Aod. vide Iodes
Apachnę regni termini 1040. b
Apania obsidione liberata 727.c
Apellæus, mensis 370.a.409.b
Aphrica vnde sic denominata 24.e
Aphri & Aethiopes quantum annuè pendant Romanis 807.e
Apion Alexandrinorum legatus contra Iudæos 649.c
Apion grammaticus res Aegyptiacas conscripsit 1060.b
eius portentosa mendacia de Iudæis & tota vita taxata ibidem. 1061. 1062.per totum. & eius calumniæ & mendacia confutata 1063.1064. per totum. propheta factus fabulam tragicam de Iudæis impudentissimè fingit 1065.1066.1067.per totum.
Apobaterion locus 10.a
Apochis regni termini 1040.b
Apollodori Gazaræorum ducis prælium cum Iamnæo, & mors 459. c
Apollonius Antiochi dux, à Iuda Machabæo victus occiditur 413.b
Apollonius Dauus præfectus Alexandri filij Antiochi Epiph. 435.c
vincitur à Ionatha 436.b
Apollonij Molonis mendacia de Iudæis 1065.1069.1077.
Aponius senator sauciatur 671 e
Apsanes Iudæis præficitur 159.a
Aquila aurea supra portam posita deiicitur 596.b.772.e
Aquila quare Romanorum insigne 838.b
Aquila Caligulæ interfector 660. a

Ara

Ara tabernaculi, & Arula suffimigato ria 83.f
arabia, confinis Iudææ 469.c
arabes qua ætate infantes suos circumcidant 21.f
arabes qua ætate infantes suos circumcidant 21.f
arabes Hebræos subigunt 153.d. ab ipsis rursum cæduntur 155.a
arabum prælium cum Herode 519.f
arabum Iudæam deuastantium sæuitia 609 c
arabum gesta in Iudæa post mortem Herodis 781.b
arabes Iudæorum transfugarum viscera patefaciunt, aurúmque eximunt 939.f
aramus aramæi 15.a
arami liberi quibus gentibus appellationem indiderunt ibidem
aranes vbi mortuus ibid.d
arasci templum 330.e
arbela vicus 1022.f
arbori interdictæ quæ vis indita fuerit 5. e
arca Noe 8.e
arcæ Noe reliquiæ vbi seruentur 684.c
arcæ tabernaculi forma 82.f
arca in potestatem hostium venit 168.d. quantorum malorum his fuerit autor ad quos peruenit, & quomodo Hebræis reddita 169.b
arca transfertur Hierosolymam in templum Salomonis 263.b
arcades de antiquitate gloriantes, post Athenienses literis eruditi 1035.d
arce, alio nomine Arctipus, ciuitas 82.a
arce, quæ nunc Petra, ciuitas 110.b
archelais vicus conditur 613.f
archelaidis palmeta 619.a
archelaus Cappadocum rex 549.c. 558.f. Herodem ad sanam mentem reducit 569.g. eius prudentia 756. 757
archelaus Herodis filius à patre regno præfectus ipsius funus curat 608.c. populo se accommodat, & incidit in seditionem 601.g.602.a. accusatur apud Augustum 60 .e ethnarcha non rex confirmatur ab Augusto 611.e. Glaphyram fratris defuncti vxorem ducit 613.f accusatur apud Augustum & relegatur Viennam Galliæ 614.a 784.b. venduntur eius bona 6 8 e à fratre falsè calumniatur 767.d rex constituitur 773 g. in seditionem incidit 775.776.781. quod non rebellasset quarta tributorum parte leuatus 783.a. eius reditus quanti ibid.b
archelaus Magdati ad Titum profugit 956 c
Arethis, sexti ex fratribus Machabæi immania supplicia, eiusque cum insigni tolerantia sermones 1095. per totum
aretas Arabum rex fugientem Hyrcanum recipit hospitem, oppugnationem Aristobuli cogitur intermittere 469.e.470 b. cum Scauro fœdus init 471.f
aretas qui antea Aeneas constituitur Arabum rex 572.e. confirmatur 577.d
Aretas Cœlesyriæ regnum adipiscitur 472.d.716.a. cum Herode bellatur 626.b.& Iudææ infert bellum 716.a à Scauro mulctatur ccc.talentis 721.c
Aretas Petræus Romam auxiliatur 609.a
argolicæ historiæ scriptores discrepantes 1034.f
ariphanes Græcus historicus Iudæorum mentionem facit 1051.a
arietis instrumenti bellici descriptio 843.e
ariochus Nabuchodonosori satellitum præfectus 347.a
Arion procurator Iosephi Tobiæ fil. 4?5.
Aristæus Iudæorum negotium agit apud Ptolemæum Philadelphum 389.f
aristocratiam esse optimam administr. 123.b
aristotelis apud Clearchum verba de Iudæis 1048.a
arius centurio confossus 608.d.780.e
aristobuli odium erga fratrem Agrippam 730.a
aristobulus Agrippæ frater, Iudæorum causam agit apud Petronium 640. per totum
aristobulus Aristobuli fil. adolescens pulcherrimus 514.d. ab Herode constituitur pontifex, & occiditur ab eodem 513.f.514.g
aristobulus Alexandri Iamnæi fil. generosus 463.f. quomodo adsecutus sit regnum 405.b. obsessus ab Areta liberatur per Scaurum 471.c. quale donum Pompeio miserit, & controuersiam cum fratre apud eundem disceptauerit 471 e. quomodo à Pompeio tractatus 472.f vinctus abducitur Romam 475.e. vinculis elapsus iterum capitur & mittitur Romam 477.d. veneno sublatus est 479.g
aristobulus Herodis fil. reuersus Roma ducit vxorem 549.c. coniicitur in carcerem falsis calumniis oppressus 574.f. accusatus à patre Beryti damnatur 578.f. strangulatur 580.b
aristobuli filij Herodis, liberi qui 762.a 793.f.
aristobulo Herodis filio Armenia minor à Nerone data 796.c
aristobulus Herodis frater, priuatus mortuus filia vnica relicta 793.f
aristobulus Herodis dynastæ Chalcidis f. dominiis multis donatur à Ner. 694.f
aristobulus Hyrcani f. obsidioni Samariæ præficitur 752.b. quomodo imperarit & sæuierit in matrem ac fratres 454.d. fratris cæde pollutus moritur philellen dictus 455 g. primus diadema regium vsurpauit, & quomodo se gesserit in matrem & fratres 454.c. mors eius 714.a
aristobuli & Hyrcani furor & contentio 930.a
aristobulus rex Chalcidis contra Antiochum 584.a
armenia regio 15 a
arnon fluuius 110.c
arphas vicus 834.a
arphaxades Arphaxadæi 15.a
artabanus Vonone victo Parthorum regnum assequitur 620.e
artabanus à Vitellio victus 625.b. recuperato imperio fœderatur Neroni ibid.d
artabani cum Asinæo & Anilæo reconciliatio & amicitia 646.a
artabanus regno pulsus restituitur per Izatem 657.c
artabazes rex Parthorum donatus Cleopatræ 742.c
Artabazes Tigranis filius captus 519.b
Artaxerxes regnum paternum accipiens quale conuiuium instruxerit 373. b. accusat vxorem & diuertit ab ea ibidem. ducit aliam nomine Estheram 374. b. Amanen in summo habet honore 375. a. eundem cruci suffigit 380. b. Iudæos periclitantes liberat ibid.
artaxias Tigranis filius regno non diu potitus pellitur 519.b
artemisius mensis 259.c
artorius quemadmodum ex incendio per Lucium commilitonem seruatus fit 955.g
arucæus Arcen condidit 14.d
arudæus, Aradus insula ibid.
aruntius præco retundit Germanorum militum impetum 663.b
arus vicus 609.c
aruum loci nomen 195.g
asamonæorum gens Iudæorum reip. statum mutauit 367.b
Asamonis montis Galilææ situs 818.c
asanus abiæ filius regnum paternum accipit 282. c. eius pietas, & bellum cum Zaræo Aethiopum rege ac victoria ibidem, mors 284. d. 285.b
ascalon capitur 146.a
ascalon Iudæis semper inuisa 831.a. eius situs ib.
ascalonitæ quingentos & duo millia Iudæorum apud se habitantium interfecerunt 815.d
ascalonitis quantum incommodi arca attulerit 169.c
aschanes eunuchus præpositus Hebræorum nobilium curę obsequitur Danieli 346.b
aschanaxes aschanaxi 13.c
aser natiuitas 30.g. filij 52.d
aseritarum sors in Chananęa 141.a
asię quingentas ciuitates vni rectori, & consuli Romano parere 806.b
asinęus & Anilæus Neerdenses grassatores quomodo cum Artabano amicitiam ineunt 645.646.647.648.649. per totum
asiongaber, loci nomen 269.f
asorus ciuitas 152.c
asosra, buccina 97.b
aspersorium tabernaculi 81.a
asphalites lacus 18.a.773.a
asphalites lacus repletus cadauer. 890.a
asphaltites lacus Tiberiensi natura contrarius 891.b. eius descriptio ibid.
asphar lacus 428.b
asprenatis prodigium & interitus 661.d
assamonæi principatus quando desierit 508.b
assamonæorum familię quando & quandiu principatus Iudæorum concess. 701 a
assaracoddas Senacheribi filius patri succedit in regnum 330.e
assaron quantum contineat 83.d
assis regni termini 1040.b
assuras, Assyrij 14.f
assyriorum imperium quando dissolutum fuerit 331.c
astabarri populus 14.b
astapus fluuius 58.f
astartes templum 209.a
astartis rex Tyriorum, eiúsque successores enumerati 1043.a

Astoborra fluuius 58.f
astronomiæ qui primi inuentores 8.a
Athenienses quando & quemadmodum Romanis subiecti 405.d
athenienfibus nulla cura fuit historiæ conscribendæ 1035.c
athenienses religiosissimi crediti 1068 c. scriptis legibus vtebantur 1072. b
Athenio legatus Ptolemæi Euergetis ad Iudæos 402.d
Athenio dux Cleopatræ, Herodem repellit iam victorem 742.f
athrongæus vel athronges pastor regnũ affectat 608.b.780.c
auaris vrbs Aegyptia 140.a.& e. 1052.g
augusti Cæsaris in Iudæos beneficia 562.d. in Herodem odium & Aretam 572.b. reditus cum vtroque in gratiam 577.d. confirmat testamentum Herodis 611.e. in Italiam proficiscitur 729.e
augusti mors, & quot annis imperarit 619.b
aulæ regiæ descriptio elegans 914.e
aulicæ deliciæ quæ 237.f
aurea terra, regio 269.g 271.a
Azael ab Adado cum muneribus mittitur ad Elisæum, vnde se regem futurum cognoscit 306.b. contra Israelitas belligeratur & Hierosolymitanos, a quo pacem redimit Ioasus rex 313.f moritur 316.a
Azarias propheta vaticinatur Asani agmini 223.c
azarias compellatur Abdenago 346. a
azizus Emesenorum rex Agrippæ iunioris sororem duxit 693.b
azotum pestis propter arcam detentam inuadit 169.b
azotum captum & concrematum 436. b
azymorum festiuitas restauratur 323.d
azymorum festiuitatis institutio 65.d. 93.b

B

Baaras loci, & herbæ descriptio 981.a
Babæ liberi occiduntur ab Herode 532. f
babel quid significet 12.c
babylon locus cur sit dictus ibidem
babylonis extructio 65.c
babylon in Cyri potestatem venit 352. a
babilonica captiuitas quando & quomodo acciderit 336.337.338.339.340. 341 per totum.
babylonicæ turris institutio 12.a. & quāta fuerit 12.b
babylonij Iudæos persequuntur 649. e
babyloniorum antiquissima rerum memorabilium traditio 1035.f
bacca vicus 833.g
bacchides dux Demetrij contra Iudam Machabæum mittitur frustra 421. f. mittitur iterum ac cum Iuda confligens vincit 424.f.425.d. adigitur ad pacem cum Ionatha ineundam 430. b
bacchidis sæuitia in Iudæos, & eius interitus 709.a
bactriani populus 15.a
badus qualis mensura 259.a
bæonis regni termini 1040.b
Bagoas eunuchus 586.b
bagoses copiarum Artaxerxis imperator quomodo Iudæos ob homicidium in templo factum tractarit 383.a
bagothous & Theodestes eunuchi coniurant necem Artaxerxis, & plectuntur 374.f
bathales Ammanitarum rex 343 g
baiæ, oppidulum Campaniæ, vbi & calidæ 638.d
bal quis deus fuerit 311.b. sacerdotes eius vniuersi sublati ibidem. ædes ipsius a fundamentis diruitur 311.d
balachus Moabitarum rex Balamum ad Israelitas execrandum mittit 112. d
baladas Babyloniorum rex amicitiam cum Ezechia inire cupit 331.c
balamus vates contra Dei mandatum profectus ab asina compellatur 112. f. bene precatur his quos execrari volebat 113. per totum malum consilium dat Madiantis 114. e
balsamus vbi nascatur 270.f
balsamum vbi proueniat 473.b
balthasar Naboandel dictus arripit regnum Babylonicum 350. c. ipse cum suo regno in Cyri Persarum regis potestatem venit 352.a
occidit Adoniam 254. b
banaias satellitibus præponitur 241.f
vnus fortium Dauidis 243.f
banaias Salomonis copiis præficitur 254.f
banaothas & Thamnus occisores Iabosthi supplicio afficiuntur 216.e
barachas autor Israelitis vt captiuos Iudæos & Beniamitas dimittant 322. b
Baracus Hebræos in libertatem vindicat 152.e
barasa expugnata concremata 417.c
baruchus Neri fil. Hieremiæ prophetæ scriba 337.a. liberatur a carcere 343.c
baris castellum, postea Antonia 717.c
baris mons 10.b
barzaphanes Parthorum satrapa Syriam obtinet 494.d.730.c
basanes Hieroboami totam familiam sustulit 282.e. regnum occupat ibidem
basanæ impietas a Gimone propheta grauiter carpitur, sed frustra, regnúmque ab hostibus infestatum tueri non valens moritur, Elano filio successore relicto 283.f
Bassus addit se Cassio 727.c
batanææ, Trachonis & Auranitidis, partiúmque quarundam domus Zenonis centum talenta reditus erant 782.g.& 783.a
bathuel Nachoris filius 15.f
bathyllus Antipatri libertus venenum hero adfert 767.b
batibij dictum 639.c
beelsephon ciuitas 65.c
begabri Idumææ vicus 890.e
beleastartus rex Tyriorum Hiramo patri successit 1043.c
belli leges 129.c
beniaminis natiuitas & nominis ratio 34.c. filij decem 52.b
beniamitarum sors in Cananæa 141. e
beniamitæ post Iesu ducis mortē quieti & agriculturæ student 146.b
beniamitarum fortitudo & peritia militaris 148. c. cædes omnium vsque ad sexcentos viros 149.a
quomodo ea tribus restituta 149. d
berenice, locus 269.f
bernice Agrippæ filia 628.a. 673.e
bernice Costobari filia 628.b
bernice Polemoni nubit 693.e
bernice Salomes filia datur nuptum Aristobulo Herodis filio 549.c. fit exosa Glaphyræ 564. b. datur alij marito 762.a
bernices supplicatio ante tribunal Flori, & eius vitæ pericula 801. c
bernice & Iudæ ad Cestium de Flori gestis retulerunt 803.b
berotha ciuitas 139.b
berosus Chaldæus de astronomia & Chaldæorum philosophia Græcè scripsit 1043. g. eius historiæ verba & compendium de Iudæis 1044. a. Græcos scriptores taxauit ibidem
bersabe, ciuitas 288.d
bersabe puteus 21. d
berytus domicilium Romanorum 576. e
berytus Phœnices colonia Romanorum 972 e
berytus quomodo ab Agrippa exornata 678.b
berzellæus quantis beneficiis iuuerit Dauidem regno pulsum 233. b. quam gratiam ei obtulerit rex 237. e
besarra oppidum 1007.e
beselel archite&us 88.e.98.e
betsemmathe vxor Esau 28.b
bethalaga vicus 429.b
bethel quid significet 28.g
bethenabem vicus 889.a
bethleem toparchia 890.d
bethmaus vicus 1003.e
bethora locus 139.f
bethsabes forma Dauidem ad adulterium pellicit 225.b
bethsama vicus 170.g
bethsamitarum prophani lxx. arcam contingentes moriuntur 171. b
bethsana, quæ Scythopolis 418.a
bethsana, ciuitas 141.g
bethsuritarum deditio 420.d
bettæa capta & prædata 222.c
bezedel vicus cum turri inexpugnabili 832.a
bezethæ collis descriptio 919.g
biblia quot annorum historiam complectantur 2.f
bithynos, Cappadoces, Pamphylios, Lydos & Cilices Romanis tributa pendere 806.c
borcæus Agrippæ legatus a Iudæis vulneratus effugit 819.d
borceos vicus 833.e
bouis cornupetæ noxa quomodo vindicanda 128.d
boz columna vestibuli templi 261.b
bozus quomodo Ruthem acceperit vxorem 163.e.164. a
britannicus Clau. Cæsaris filius 644. a
britannic. Claudij ex Messalina f. Neroni priuigno in imperio posthabitus 796.b
britanni quomodo & quando Romanis subiugati 805.g.807.b
broccus trib. plebis 670.b
buccinarum excogitatio & vsus 97. b
burrus præfectus prætorianorum militum 694.b

C

Cabrothaba locus 98.a
Cadmus Milesius quo tempore historiam conscribere inceperit 1034.e

Caducea-

Caduceatores sacros esse & inuiolabiles 522.a
cæcilius Bassus occiso Sexto Cæsare prouinciam occupat 488.f
cæcilius Bassus Sex. Cæsarem interficit & copias eius occupat 727.a
Cæcinna ab Antonio Primo rerum gestarum nuncius ad Vespasianum mittitur 902.c
cæcinna de proditione cogitat, & cum milite ad Antonium transfugit 902.a
cædesa ciuitas 140.b
cænopolis & forum quod vocatur materiarium à Cestio incensum 819.f
cæron regio amomi ferax 684.c
cæsar Iudæorum & Archelai conuentum diremit 782.f
Archelao ethearchiam seu mediam regni partem dedit ibidem.
eius promissio Archelao facta ibid.
reliquam regni dimidiam partem in duas tetrarchias diuisit ibid.g
cæsar quæ Salomæ largitus sit 783.b
cæsar quas ciuitates Iudæorum regno auulsas Syriæ adiecerit ibid.
cæsaris liberalitas in duas filias Herodis virgines ibid.
cæsar falsum Alexandrum deprehendit ibid.f. eum remigum numero inserit 784.b
cæsares vocatos imperatores Rom. 269.b
cæsarea conditur 746.e. 747.g
cæsarea Philippi dicitur Neronis 698.f
cæsarea Iudææ maxima ciuitas 854.f
cæsaria templa 747.a
cæsariensium contumeliæ in mortuum Agrippam 680.a
cæsarienses contra Iudæos apud Neronem victores 799.b
cæsarienses omnes Iudæos apud se habitantes trucidant 813.f
cæsennius Gallus duodecimæ legionis ductor à Cestio in Galilæam missus 818.b. duo millia Galilæorum cædit ibid.d
cæsennius Pætus rector Syriæ 974.a
cęsennius Pętus Antiochum regem Comagenes apud Vespasianum defectionis accusat 983.f
bellum mouet contra eum 984.a
vinctum Romam è Cilicia mittit ibid.e
cæsoniæ iugulatæ cum filia magnanimitas 667.c
caiaphas constituitur pontifex 619.c
cain quid significet, sacrificat, iugulat fratrem, totus malus, multa inuenit 6.d. eius posteri 7.f
caius Agrippæ & Iuliæ fil. Augusti adoptiuus 603.e
caius Cæsar Agrippam vinculis soluit, & tetrarchia Philippi tradita, regem appellauit 790.c
ei etiam Herodis tetrarchiam addidit ibid.d
caij vxor & filia occisę 666.d
eius ingenium & mores 666.e
caius Cęsar Deum se vocari voluit 790.d
Petronium ob statuas in templo locandas, Hierosolymam misit ibidem.e
caij literę ad Petronium 792.b
caius per dolum interemptus, quanto tempore imperauerit ibid.c
calebus explorator Chananęę 99.a
calidæ ad Baias 638.e
calidę ad Emmauntem 619.d
calidę apud Callirrhoen 598.a
caligo tabernaculi qualis fuerit 88.g
C. Caligula constituitur Cęsar 627.c
C. Caligula Germanici fil. 634.e
designatur Cęsar à Tiberio 635.f
occiso Tiberio fratre opprimitur & ipse 636.b. Herodem cum coniuge mittit in exilium 638.g
qualis fuerit ingenio 641.b.643.e
Iudæis bellum illaturus reuocatur à Petronio & Agrippa 643.a
moritur ibid.f. eius in omnes sæuitia, & diuini honoris vendicatio, insaniáque tum coniuratio in ipsum, & eius interitus 652. vsque 660
callimander ab Hyrcano victus interiit 452.e
callistus Caligulę libertus 657.c
calumniarum quanta vis 713.c
cambyses Cyri filius patri in regno succedit, & Iudęos à templi & vrbis ędificatione prohibet, moritur 359.a 360.b
campus regius, loci nomen 18.d
cana, loci nomen 519.f
cana vicus Galilęę 1005.b
cana seu Canatha 742.e
canathenses ibid.f
candelabrum tabernaculi 83.e
capernaum fons, Nili vena esse creditus 861.c
capharsaba, campi nomen 559.f
caphartophan Idumęę vicus 890.e
capito centurio à Floro pręmissus ad Hierosolymitanos 800.c
capitolij templum à militibus direptis donariis incenditur 907.d
cappadoces populus 13.b
carmeli montis situs 852.f
carrę, Mesopotamię ciuitas 15.e
carthaginensium originis & fati descriptio 807.d
catus, delicię Herodis 586.b
casander occupat Macedoniam mortuo Alexandro 388.a
caspię portę 625.a
cassius Chęrea 653.654.655 per totum. occiditur 673.a
cassius quę gesserit in Iudęa 479.e
affligit Iudęos 489.b
cassius Longinus Syrię pręses 544.d
cassius Iulio Cęs. interfecto Syriam petit & quid gesserit 727.728.
per totum. occisus 729.e
castor rerum Iudaicarum scriptor 1065.
castoris Iudęi versutia & dolus erga Titum 924.f
castra Iudęorum, locus 480.f
catullus Libyę Pentapolitanæ rector sicariis calumniandi doctor erat 997.a
tria millia Iudęorum trucidauit 997.b
eius cruciatus & mors horrenda ibidem.d
cedasa vrbs 441.e
celadus Augusti libertus 613.a
quę Cæsaris nomine cum falso Alexandro egerit 783.g
celer accusatus Romę causam dicit, & plectitur 693.a
celer tribunus vinctus à Claudio Iudęis ad supplicium Hierosolym. mittitur 795.g
cendebęus præfectus vincitur à Sim. 448.a
cenizus Hebr. in libertatem restituit 151.a
cestius Gallus Syrię pręses inuadit Galilęam 1015.b, 1023.d
Cest. Festus à Claudio in Iudęam procurator pręmissus 793.e
eius malitia 799.a
cestius Saulum cum cęteris legatum ad Neronem in Achaiam mittit 821.
chabelo terra cur sic dicta 267.e
chabolo vicus 1015.b. 1016.c
Chęrea Caij vxorem & filiam interficiendas curat 666.d
chalamas Syrorum transeuphratensium rex 224.d
chalebo donatur pars agri Hebronis 145.g
chaldæi, populus 14.g
chaldæorum consensus cum sacris literis 1046.d
chamis patris irrisor 14.e
chananæus, chanaan 14.a
chananæorum terræ præstantia 58.e
charetis mors apud Gamalam 867.d
chariathiaris ciuitas 171.c
chasleus mensis 409.b.415.e
chebronis ciuitatis antiquitas 895.d
chelcias Oniæ fil. copiis Cleopatræ præficitur 452. g. moritur 458.e
cherubeis quid fuit 83.a
cherubinorum descriptio 263.e
chetim quid Hebræis significet 13.d
chetimus, & Chetima insula ibid.
chetomene qualis vestitus 84.c
cheton quid significet ibid.
chettæi populus 14.d
chiramus operarius insignis 260.g
Christus & christiani 622.g. 623.a
chusarthes Assyriorum rex Hebræos sibi subiicit 150.e
chusus, chusæi 14.a
chusis amicus Dauidis constantissimus quomodo se gesserit apud Absalomum 230.c
cilla ciuitas 198.b
cillanos à Palæstinis bello vexatos Dauid iuuat ibid.
cinchares idem quod talentum 83.e
cinnyra, instrumentum musicum 243.a
cinyra fabula 659.d
circenses ludi 654.b
circumcisionis prima institutio 19.e. 21.e.
cisus Saulis pater 174.e
citharæ quis inuentor 7.d
ciuitatem quis primus instituerit 7.c
claudius à militibus constituitur Cæs. 664.d
claudius Agrippam ad senatum legatum mittit 792.d
Cl. Romæ contra Samaritas pronuncians tres eorum nobilissimos interfici iussit 795.g
claudius quandiu imperium administrauerit 796.a. Agrippinæ vxoris Neronem priuignum in imperium cooptauerat ibid.
clearchus peripateticus Aristotelem præceptorem suum de Iudæis narrantem inducit 1047.e
clemens præfect. vrbanarum cohortium 655.c.
Cleopatra Antiochi filia nubit Ptolemæo Philopatori 401.a
cleopatra Flori vxor 702.b
cleopatra Ptolemæi Epiphanis filio datur nuptum Antiocho 401.a
cleopatra Ptolemæi Philometoris filia ducitur vxor ab Alexandro Antiochi, qui & Demetrius dictus 434.e
cleopatra Marc. Antonium in sui amorem pertrahit 493. f. 729. f. Mariamnem cum filio ad se vocat, & Antonium contra Herodem incitat 513 vsque 645. 742. d. 988. d. contra omnes omnium opibus inhians 517.f.742.a. Herodem ad stuprum sollicitat 518. d. occiditur 524. c. 745.f
clitus Tiberiensis altera manu mulctatur 1012.a.818.e
cluuitus 659.c.

colossus Cæsaris 747.g
comagenensium ciuilis contentio 620.g 621.a
commeatus centum annorum qua de causa in Massada incorruptus manserit 588.c
conon Græcus Iudæorum mentionem facit 1051.a
conuallis laudationis 298.f
conuentus ciuium quæ vtilitas 121.d
coponius Iudæis præficitur 616.b.618.g
coponius procurator constitutus, Archelai finibus in prouinciam redactis 784.g
corban iuramenti explicatio 1047.a
corban, quomodo se liberent 109.c
coreæ, loci nomen 718.e
cores seditionem contra Moysem & Aaronem excitat 75.f
dat eius pœnas 107.f
Cornelius Faustus Syllę filius qualem se pręstiterit in expugnatione templi 474.e
corona triplex pontificis 86.a
corręi, locus 172.d
corus mensura qualis 100.b.536.f
costobarus Idumeę Gazę pręfectus ab Herode, lucro intentus, repudiatur ab vxore 532.b. eius violentia 699.b
costobarus & Saulus fratres vna cum Philippo ad Cestium transfugiunt 821.g.
coturnices vbi copiosè inueniantur 72.e
cotys Armenię rex 678.d
crassus in Parthos proficiscens Hierosolymitanum templum spoliat periurus 478.e. cum omnibus suis copiis perit 479.c
crassus in Syrię prouinciam Gabinio succedens quid gesserit 723.b
cretenses moribus, non verbis erudiebantur 1072.a
ctesiphon, vrbs 650 b
cumanus Iudęę pręses constituitur 690.d. 794.a. & quid sub eo Iudęis acciderit ibid. & 691.f. & 692.a. accusatur à Iudęis ibidem. exulat 693.a. 795.g
cuspius Fadus Iudęorum regno pręficitur 680.d. seditiosos punit 68..c. 690.a
cydoessa Tyriorum vicus 869.e
cyprus insula 13.d
cyprus pręsidij locus in finibus Hierichuntis 816.a
cypros Herodis filia 627.f. alia Phasaeli filia 628 a
cypron, castellum 559.f. & 748.b
cypris Antipatri vxor 723.d
cyrenęi, Marmaridę & terribiles Syrtes quemadmodum Romanis subditi 807. d
cyrus Persarum rex Babylonem & regem eius capit 352.a
cyrus Iudæis Hierosolyma repetere permittit, templúmque restituere, ac vasa templi eis reddit, multáque pręstat beneficia 357.d. 358.a. 365.d. perit 359.b

D

Dabariteni vxorem Ptolemęi regij procuratoris inuadunt 1008.c
Dacchari herbę descriptio 86.a
dagon, arx 448.d
dagon pręcipitatus 169.a
dagonis templum exustum 456.e
dalale meretrix Sampsonis 162.b
dalmatas bellicosissimos sub vna tantum legione Romanorum quietem agere 806 d
damascus à quo condita 15.a
damascus impositio Dauidis subiicitur 222.b
damascus à Metello & Lollio capta est 471.a
damascenorū in Iudęos feueritas 1000.c. 822.a. 992.d
dana oppidum 150.d.276.b
danaus Argiuorum antiquiss. 1041.g
Daniel vocatur Balthasar, & cupit durius viuere propter valetudinem & studia 346 a. insomnia diuina videt 246.f. regi somnia interpretatur 347.f. 348.a. Balthasaris visionem in pariete explicat 351.d. abducitur à Dario in Mediam & constituitur summus satrapa 352.b insidias patitur, sed insidiatores eius luunt pœnam 352 f. 353.a apud Ecbatana turrim ędificat ibid.e quàm carus Deo fuerit, & quantum cęteros prophetas superauerit 353.e. 354.355.
Danielis prophetia 415.f
danitarum sors 142 a
danitę à Chananęis sedes mutare coacti 150.b
danus, fons Iordanis 18.b
danus nascitur 30.f
filij eius 52.c
darabitta vicus 1023.c
Darius Artabani filius Neroni obses mittitur 625.d
Darius Astyagis filius imperium Babyloniorum vastat, & Danielem abductum constituit satrapam, quem inuitus postea leonibus obiicit 352. b 353.a. hostes Danielis iisdem obiicit, & deum eis prædicat ibid.
Darius equitum pręfectus sub Agrippa 810 g
Darius Hystaspis filius rex Persarum creatur, quęstionem proponit quęnam omnium rerum fortissima aut potentissima 360.b. & .f commonitus vero à Zorobabele Iudęos libertati instituit, & immunitati, vrbémque & templum restituere promittit & iuuat 361.e. 367.d mortuus successorem filium Xerxem relinquit ibid.f
dathamū cum vniuersa sua familia terra dehiscit 107.c
Dauid filius Iessæi 164 c
Dauid qualis, & quomodo rex à Samuele vnctus prophetat, & Saulo furioso hymnos occinit ad citharam 186.e 187.a. eius magnanimitas 188.b victoria de Goliatho 189.c amatur à Sauli filia, & sexcenta hostium capita Saulo adfert & filiam eius vxorem ducit 190.e socerum fugit 191.192.193. per totum. spiculo ab eo petitur 192.a accepto Goliathi gladio fugit in Gittam, & insanum se fingit 195 c fugit inde alio atque alio ibid. Cillanis auxiliatur ac iterum Saulum effugit 198.199.201. per totum. cum Saulum occidere potuisset noluit 199.c. reconciliatur Saulo 200 a Nabali defuncti vxorem ducit 202.a Amalecitas prædatur 203. d iungit se Ancho contra Hebræos 203.f. 206 c. abducuntur ei ambæ vxores captæ 207. b Palæstinos cædit & vxores recuperat 207.c. Sauli interfectorem supplicio afficit, & epitaphia ipsi ac Ionathæ conscribit 211. d rex vnius tribus declaratur, & cum Abnero pugnat 212.a eius filij 213.d
Abnero fœdere iungitur & amicitia 214.c. interfectum luget 215.d. regnum in vniuersum ei confertur 217.a. dominorum suorum occisores punit 211.d.216. g. quantæ copiæ ad eum in Hebronem conuenerint 217.a. Iebusæos illudentes capit 217. a. amicitiam cum Iramo parat, & Hierosolymam ciuitatem Dauidis appellat 218 c. Palæstinos superat, & arcam Hierosolymam transfert 219 per totum. Palæstinos frangit & Moabitas Adrazarúmque Sophenorum regem 221.d. Thænonem in amicitiam recipit, Idumęam subigit, & officia distribuit 222. e.241.e. Ionathę posteros beneficiis afficit 223.b. legati eius iniuria à Naase afficiuntur, Syri, Mesopotamitæ, Ammonitæ depręrdantur 223.e.224.e Bethsabeen adulteram facit & ducit vxorem, Viriámque interficiendum curat 225. b. per totum. Ammanitas excindit 228. b. à filiis molestatur 227. e. per totum. Abesalomum filium regem salutatum fugit 229 e patienter audit conuiciantem Semeim 230. e. fugiens benigniter excipitur ab optimatibus regionis trans Iordanem 233. b. prior filium aggreditur 233.d. occisum luget 235.c. ignoscit hostibus, & recipit regnum, salutatur rex 236.237.238. per totum. decem tribus ab eo deficiunt autore Sabæo 238. c Palęstinos vltimo fundit, hymnos ac musicam instituit 242.f fortissimi viri ipsius qui 243. per totum. populum recensendo deum offendit 244. b. è tribus malis infligendis pestem eligit, & Oromnæ aream emit 244. e. 245. c. templi extruendi locus ei indicatur, ad quod opifices & materiam comparat, filiúmque instruit Salomonem quomodo se debeat gerere nactus imperium ibid. e. 246. b. alsiosus calefacit se Abisaces accubitu 246. g. Salomonem confirmat regem, officiáque distribuit & tribus, tum templi vasorúmque descriptionem tradit 248.249.a per totum. Dauidis principium alacritas in contribuendo ad templi fabricam 250.b. quid sub mortem Salomoni commiserit 250.g.251.a expirat ac sepelitur, maximúsq. cum eo thesaurus 251.c
Dauidici generis regum finis, & quot eorum fuerint 241 g
Debora prophetissa 152.d
Decimę darę 18.e.28.f 109.a
Decius Mundus quantum insanierit in Paulinam 622 b
Delatoribus quid pręmij fuerit apud C. Caligulam 662.b
Demetrius Demetrij filius amicitiam cum Ionatha init 436. d. Alexandrum vincit 437.e
Demetrius Eucerus Antiochi Gypi filius rex apud Damascum constituitur, & Alexandrum Iannęum superat 460. b. 461. a. contra fratrem pugnans captiuus ducitur ad Parthos ibid.f
Alexandrum prælio superat 715.a
Demetrius Gadarensis libertus Pompeij 475.b.
Demetrius Nicanor rex 437.g
clementer agit cum Ionatha Iudæisque 438.b. vincitur à Tryphone 440 d. capitur à Parthis 443 f
dimittitur, & in regnum restituitur ab Arsace 450. c. vincitur, capitur & occiditur 451.d
Demetrius Phalereus quomodo bibliothecam Ptolemæo Philadelpho comparauerit

parauerit 389.d. legem Iudæorum transscribendam curauerit 391.b
demetrio Phalereo in historia Iudæorum venia concedenda, quòd Hebraice nesciuerit 1051.b
demetrius Seleuci filius regnum Syriæ occupat, Antiochúmque & Lysiam occidit 421.f
Iudam occidit in prælio 425.e
Ionathæ amicitiam ambit 430.e
occiditur 432.f
dei castra, locus 32.e
Deus Galilæorum clades Romanis donabat 848.b
Deus Iudæis omnem viam salutis ad interitum verterat 940.d
dei decretum contra omne Iudæorum genus 992.a
dei definitio apud Mosen 1073.f
dextra porrecta quid apud barbaros significet 646.a
diagoras Melius in mortis periculo versatus propter Athenienses 1079.f
dido soror Pygmalionis regis Tyriorum in Africa Carthaginem ædificauit 1043.e
diebus singulis quid Deus condiderit 4.b
diglath, quid significet 5.c
diluuij vniuersalis descriptio 9.e
Dina Iacobi filia 31.b
stupratur, quapropter Sicimitę vniuersi trucidantur 33.e.34.a
Diodotus Tryphon Apamenus, vide Try.
Diogenes Alexandri amiciss. à Pharisæis interficitur 716.f
dionysius Tripolitanus securi percussus 471.g
diophantus notarius sceleratus 574.e
disciplinæ militaris exemplum pulcherrimum 823.e
disciplinas à Chaldæis ad Aegyptios, ab his ad Græcos esse deductas 17.c
dissimilium communionem etiam natura horrere 123.f
dius in historia Phœnicum integerrimus 1042.d
dius mensis 9.a
doecus mularum nutritor 195.b
occidit Abimelechum pontif. 196.f
dolesus nobilitate potens à Gadarensibus interficitur 888.f
P. Dolabellæ decreta pro Iudæis 488.c
Domitianus cum multis Romanorum saluus euadit 902.e
à Mutiano productus populo rector insinuatur 903.a
domitiano Germani subiiciuntur & Galli 975.f
domitianus in triumpho Vespasiani & Titi eis adequitabat 979.d
domitius Aenobarbus 694.a
domitius Aenobarbi filius ibid.
domitius Nero consalutatur Imperator 694.b. fratrem, matrem, vxorem, virósque illustriss. trucidat ibid.c
Cæsarea excludit Iudæos 696.f
domitij Neronis vxor à marito occiditur 694.c
domitij Sabini fortitudo 926.b
dora Phœnices vrbs 1000.e
doræ ciuitatis situs 1067.b
doras Hierosolymitanus pontificem perimit 695.b
doris mater Antipatri Herodis filij accusatur veneficij, & quomodo se gesserit 588.d. 766 b
doritarum in Iudæos insolentia 675.f
Dorotheus lxx. interpretibus additur 396.f
Dositheus Hyrcanum & Alexandram Herodi prodit 524.f
draconis leges de suppliciis antiquissi. 1035.c
druma Gedeonis concubina 155.f
drusilla Agrippæ filia 628.a
drusium turris 747.e
drusus Agippæ filius 628.a
drusus Neronis filius 629.a.634.e
drusus turris 538.g
drymos loci nomen 730.e
dystrus mensis 132.e.366.e.381.f

E

EButius decadarchus sub Vespasiano 839.e. Gamalæ occisus 865.e
Ecdippon locus 731.b
Edom, vide Adomus
Edraus dux militum Ionathæ 293.c
Eglon Moabitarum rex qui Hebræos subiugarat, ab Iode interficitur 151.f
Ela capta & habitatores eius extincti à Syriæ rege 321.e
Elanus Basanæ filius altero regni anno occiditur, vnà omnis eius soboles tollitur per Zimarem 284.d.&e
Elcana Iudæ copiarum dux captus 321.f
Elcias Magnus, legatus Iud. 640.f
Eleazarus pontifex 2.d
Eleazarus Moysis filius 61.e
Eleazarus Aaronis filius 107.g
fit pontif. 110.c
eleazarus pont. moritur 145.b
eleazarus Dodeiæ filius vnus fortium Dauidis 243.b
eleazar. quidam arreptitiorum medicus 258.a
eleazarus Auranes Matthiæ filius 410.g. 411.a. fortiter ab elephanto confosso opprimitur 420.c
eleazarus pharisæus homo seditiosus conuitiatur Hyrcano 453.d
eleazarus quomodo pontificatum adeptus 392.a
eleazarus thesauri templi custos quomodo pactus cum Crasso 478.d
eleazarus Anani fil. pontifex constituitur vnius tantum anni 619.c
eleazarus Boethi pontifex constituitur 613.e. priuatur pontific. ibid.g
eleazarus gigas, quàm vasto fuerit corpore 625.d
eleazari Asamonæi filij fortitudo & mors 709.e
eleaz. Dinæi, latro 691.f. 695.a. 795.a. 796.d
eleazarus seditiosus exulat 682.c
eleazarus Ananiæ pontificis filius, Romani belli seminarium fuit 809.g
reiecit Cæsaris hostias ibid.
eleaz. Semęi facinus memorabile 844.d
eleaz. duo socij contra Manahemum 812.e
eleazari Simonis filij factio 904.c. 905.e
eleaz. Simonis Gioræ socij mors 895.a
eleazarus sicariorum princeps Massadam obtinet 985.e
eius ad suos oratio 989.f
altera oratio de immortalitate animæ. 990.g.991.992. per totum
elephantis quomodo pugnatum sub Antiocho Eupatore 419.f
eleusa oppidum, Sebaste dictum 558.f
eleutherus fluuius 742.b
eleutheri equites 731.b
eliabus architectus 78.b.88.e
eliacias pontif. sub Iosia rege 333.f
eliacimus Iosiæ fil. antea Ioacimus dictus accepit regnum paternum, sed tributarium iam factum Aegyptiis 336.a. etiam Babyloniis tributum cogitur pendere 336.e
occiditur 337.d
eliacimus Ioachini filius in pontificatum patri succedit 370.f
elias propheta tempore Achabi quæ prænunciauerit & gesserit 285.c.286.a.287.288.289.298.299. per totum. exemptus ex hominibus 300.b
eliæ epistola ad Ioramum Iosaphati filium sceleratum regem 307.b
elieneus Cithæi filius pontificatum accepit 678.f
elis pontifex princeps Hebræorum 163.c
filij eius scelerati 165.a
exitium suum cognoscit 166.a
ipsius & filiorum mors 166.d.&f.
elisæus prophetiæ donum accipit, & Eliam comitatur 289.a
vaticinatur & aquam suppeditat Ioramo Achabi filio 301.a
viduam à debitis liberat 302.d
Ioramo insidias Syrorum indicat & Adadum capere ipsum volentem eludit 302.d.303.a
famis tempore vilitatem annonæ prænunciat 304 d
Adado mortem indicat ibid.e
Ieum vngit regem Israelitarum 308.b
Ioasus Ioazæ filius ad se ægrotum venientem consolatur 316.e
vita defungitur 315.g
cadauer occisi à latronibus in ipsius monumentum iniectum reuixit 316.a
elymus, elymi 14.f
emian zona sacerdotalis 84.e
Emmaus concremata 609.c
emmaus vicus, Vide etiam Ammaus.
engaddi à sicariis inuaditur 887.f
eniachin tribus sacrata 872.f
enochi mors nemini cognita 9.d
enosa ciuitas 17.c
epaphroditus 2.b
ephodes, vestitus 85.b
ephorus historicus Gallos & Hispanos prorsus ignorauit 1039.a
ephorus Hellanicum in plurimis ostendit mendacem 1034.g
ephremes Iosephi filius 44.d
ephremes in numerum Iacobi filiorum adoptatur pro patre Iosepho 53.c
ephremi pars quæ cesserit 141.f
ephremitæ Gedeoni bellum inferre conantes placantur 155.d
ephremitis tribus quomodo Bethelem proditione ceperit 146.c
epicrates pecunia corruptus Scythopolim cum aliis aliquot ciuitatibus Iudæis prodit 451.e
epicuręorum error refutatur 355.b
epiphania, ciuitas 14.d
epiphanes & Callinicus filij regis Antiochi Cæsennio Pęto pugna forti obnituntur 984.c
à Vologeso Parthorum rege magnifice excipiuntur ib. e. Romam ad Vespasianum veniunt 985.a
epomidis descriptio 85.f
epulę ferales Iudęorum 775.a
equitum Romanorum arma 836.d
equus Modius Varo succedit 1003.a
erebinthonicus vicus 937.b
erica pętorianorum Achazę pręfectus occiditur 321.f
esaias prodigium Ezechię regi exhibet 331.c. obiurgat eundem propter thesauros Babyloniis monstratos 331.d
esaiæ prophetiam cognouisse & credidisse Cyrum regem 357.c
esaiæ vaticinium deprauatum 996.c
esai natiuitas 26.d. vxores 27.a

circumuenitur à fratre ibid.d
iratus fratri reconciliatur 32.f
partitur cum fratre habitationem, vq. cattúrque Adomus 36.a
Esdras Iudæorum apud Babylonem degentium pontifex, à Xerxe quæ & quanta impetrauerit 367.f.368.a
quomodo populum mundauerit, & legem ei prælegerit, ac rempublic. reformarit mortuúsque sit 368.369.370 per totum.
Escon puteus 26.g
Esther puella quali fuerit forma 374.b
ducitur vxor Artaxerxi, & coronatur regina ibidem.
Iudæorum cladem futuram cognoscens regi indicat 379.e
impetrat Iudæis vitam 380.b
Essen, vestis qualis 85.c.90.b
Essenorum secta 617.c.785.786.787. per totum. eorum mirabilis constantia, & virtus in bello cum Romanis 787.e. opinio de animæ diuinitate ibid.g. aliud eorum & diuersum collegium 788.d
Ethæus Githæus Dauidis sectator præficitur exercitui 233.d
Eua quid significet 5.b
eius lapsus 5.e
Euæi populus 14.d
Euaratus Cous 760.a
Euemerus Græcus Iudæorum mentionem facit 1051.a
Euilas, Euilæ 14.b
Euodus Neronis libertus 635.a
Eupolemo Græco in historia Iudęorum venia concedenda quod Hebraicè nesciuerit 1051.b
euphrates, fluuius 5.c
eurycles Lacedæmonius impostor maximus Herodem circumuenit, & domum eius subuertit 573.f.758.e.759.f
eutychus Agrippę libertus & auriga in vinculis detentus 631.b
aperit Neroni maleuolentiam Agrippę 633.a
eutychus, auriga Caij Cęs. 672.a
excęcantis aliquem pœna 128.c
ezecielis prophetia 335.f
ezecias Achazę filius regnum obtinet paternum Hierosolymis religionem collapsam restituit 323. per tot.
Palęstinos bello vincit ibid.
à Senacheribo oppugnatur 328.a
in summam adactus desperationem Esaiam implorat 329.d
posteritatem à Deo exorat 331.a
moritur ibid.f
ezechias latronum princeps interficitur 725.f

F

FAbatus Augusti seruus 587.a
Fabatus procurator Cęsaris, pecuniis corrumpitur 764.d
fabij centurionis fortitudo 720.b
fames ingens 305.e.551.e
fati potentię nemo potest resistere 580.d
faucis locus 98.b
faustus Cornelius primus Hierosolyma conscendit 720.b
Felix Pallantis frater à Claudio ad Iudęos missus 795.g
felix pręfectus militum Romanorum inuadens Phasaelum vincitur 491.a
Cl. Felicis procuratoris gesta 796. per totum. vide Cl. Felix
ferrei montis situs 891.a
festus procurator successit Felici 798.a vide Porcius
festorum descriptio 92.f.93. per tot.
filij contumaces & proterui in parentes quomodo mulctandi 126.c
filiorum Israelis iura 121.
Flaccus Syriæ præses 629.f
Flauius Iosephus. vide Iosephus
Flauius Sylua in administratione Iudæę Basso succedit 985.d
contra Massadam militem mouet ibid. & 986.g. Massadam occupat & præsidium imponit, cum exercitu ad Cæsarem redit 994.g
fletus, sylua 219.c
florus templi thesauris frustra inhiat, à cuius expugnatione depellitur 802.g
flori nouus dolus & auaricia in oppressione Hierosolymorum 802.f
mendacium apud Cestium 803. per totum. vide Gestius
fortes vere qui 206.c
fortunatus Agrippę libertus Romam missus à suo patrono 638.c
fratris vxorem ducere prohibitum 613.f
fratres veri, quos & internus ipse sociauit 1097.a
frontonis gesta in custodia 968.b
Fructus intempestiuus & præmaturus 123.d
furij centurionis animositas 720.b
furum pœna 127.e

G

GAba, quid significet 186.a
Gaba equitum ciuitas cur sic vocata 832.f
gabaenorum iniuria in vxorem Leuitæ, & quomodo eapropter mulctati 147. 148.149. per totum.
gabaon vicus 238.f
gabaonitæ astu fœdus ineunt cum Iesu 138.f. qui ipsis contra Hierosolymitarum regem succurrit 139.e
Gabath, Saul vicus 907.d
gabinius præfectus militum Pompeij 473.c. eius gesta 476.477.478. per totum.
gabinius Scauro succedens quid gesserit clari 721.722. per tot. 980.e
gadara restaurata 720.f
gadaræ optimates legatos ad Vespasianum mittunt, séque dedunt 888.e
gadarenses Herodem frustra apud Cęsarem accusant 540.b
gadæ natiuitas 50.g
& filij septem 52.c
gadus propheta Dauidi vnius è tribus malis offert electionem 244.d
galades colis & Galadena regio 32.e
galatæ à quibus denominati 13.a
Galba Imperator creatus 893.c
in medio foro necatus ibidem. 896.d
gales insectans Abimelechum Gedeonis nothum, proditur à Zebello 156.f
galgala quid significet 137.d
galilæę & regionis trãs Iordanem quanti reditus fuerint 782.g
galilæa minor quæ 831.f
galilææ vtriusque descriptio ibid.
calamitas 834. per totum
galilæa tota à Romanis subacta 870.e
galilæorum & Samaritanorum conflictus 794.g
galilæi contra Romanos 828.f
galilæi ab infantia pugnacissimi & omni tempore plurimi 833.a
Galilæorum quot millia Iaphæ cecisa 848.g
galilæorum noua inuenta & factiones Hierosolymis 897.b
galliæ motus 890.b
galliæ bellum desiit ibid.
galliæ situs descriptus 806.e
galli centurionis facinus apud Gamalam 865.e
gallos sub mille & ducentis militibus seruire, quibus penè plures habuerint ciuitates 806.g
gamala filius Iesu 873.b
gamala ciuitas rebellat 863.a
eius situs ibid. & 864.
excisa 868.b
gamalensium fides in Romanos 1000.f
gamalensium cum Romanis acres conflictus 86[illegible].866. per tot.
gamalensium cædes à Romanis 867.c
ganges fluuius 5.c
garizin mons 383.g
Gaulanitis regio deficit ab Agrippa 1013.a
Gazam nequeunt capere Israelitæ 146.a
gazæi à Iannęo confessi captíque 459.e
gazara Palæstinæ vrbs à Salomone bis ędificata 268.d
Gedeon quomodo Hebræos seruitute exemerit 154.155. per totum.
quot filios habuerit 155.f
geman vici situs 794.f
gemello renunciat amicitiam Herod. 567.g.568.a
Genesar lacus descriptus 619.d. 869.d. eiusdem nominis descripta ibid.
gentium enumeratio quæ Romano imperio subduntur 805.886
Gentium qui verenda Iudæorum more circunciderunt, enumeratio 1047.a
gentibus singulis quomodo à suis autoribus nomina sunt indita 12.f.13.14. per totum
geon fluuius, & quid significet 5.d
geraseni quomodo se erga Iudęos cohabitatores suos gesserint 815.f
gergesæi, populus 14.d
germanicus veneno sublatus 621.a
germanicus qualibus moribus 634.b
germanicus Claudij Cæs. frater 694.a
germanus augur vinctus Agrippæ vincto vaticinatur 633.f
germani qualis gens 661.c
germanorum descriptio 807.a
eos octo tantum legionibus Romanorum domitos ibid.
germanorum agmina & bellum ciuile ab Antonio primo & Mutiano sedantur 893.d
Germani Capitolij collem occupant 902.e
germani viribus corporum laudati 962.g
germanorum magna ex parte defectio à Romanis 975.b
defectionis causæ ibid.
gersus Moysis filius 61.e
gessius Florus Iudææ procurator quomodo Iudæos ad arma contra Romanos capessenda compulerit 702.d
& quàm malus fuerit vir ibid.
gessij Flori procuratoris qui Albino successit, crudelitas, impudentia & versutia 798.d
auaritia apud Cæsarienses 799.d
noua crudelitas in Hierosolymitanos 801.a. Vide etiam Florus
getheris Arani filius 15.d
getuli populus 14.b
gigantum reliquiæ in Hebrone 145.f
gigantum posteritas à quibus perdomita 17.f
gimon propheta Basani quæ mala ipsum maneant vaticinatur 283.f
ginęa vicus 833.d
Giscala Galil. oppidulum indomitum 868.c

giscala succenditur & diruitur 1001.e
giscala à Iosephi militibus diripitur, prædáque popularibus conceditur 828. per totum
giscalorum status 1001.d
glaphyra Archelai Cappadocum regis filia nubit Alexandro Herodis fil. 549.c. odio prosequitur Salomem 564.b. occiso marito remittitur ad patrem cum dote 583.c
nubit Archelao Herodis filio, Alexandri fratri 613.f
item Iubæ 614.d
eius somnium & mors ibid.e
gobolitis regio 36.d
godolias Acani filius præficitur reliquiis Hierosolymorum 343.a
humaniter tractat Iudæos profugos ib.
eiusdem pietas, sed illi noxia 344.a
occiditur ibid.
goliathi Gittæi statura & insolentia 187.e. interitus 189.c
gomor, Gomarenses 13.a
gorgias à Iuda Machabæo victus 414.e
vincit Iosephum Zachariæ 418.b
gorion filius Iosephi, & Simon Gamalielis contra libertatis corruptores hortantur & concionantur 873.a
occiditur 885.
gotarzes Parthorum rex 688.a
gotholia Achabi filia, vxor Iorami Hierosolymorum regis 306.g
Dauidis familiam quantum potest tollit & regnum administrat 311.g. 312.a. & regno & vita priuatur opera Ioadi 312. per tot. & 313.a
græcorum & Iudæorum dissidium 649.c
græcis turpissimum visum Iudæis inferiores fore 797.f
græcos bis ternis fascibus Romanorum obedire 806.a
Græcorum omnia noua & heri nupérque facta 1034.a
eorum regiones innumeræ corruptiones inuasere rerum memoriam delentes, ibidem. Sera cognitio literarum ibidem.
philosophi primi Aegyptiorum Chaldæorúmque discipuli 1034.e
græci posteriores Timæum in plurimis mendacem ostendunt ibid.g
græcis ab initio nulla cura fuit historiæ conscribendæ 1035.b
græcorum historicorum elegans descriptio 1034.1035.1036.1037. per tot.
græcorum legislatores antiquissimi qui 1070.c
græcorum dij descripti 1077.& seqq. per totum. eorum legislatores poetis potestatem dederunt vt quos vellent deos introducerent. rhetorib. verò vt decreta de reb. publicis, quæ vellent conscriberent ibid.
grãdo apud Aegyptios ante Mosen nunquam visa 64.b
grapte cognata Isatæ regis Adiabenorum aulam regiam Hierosolymis ædificauit 897.e
gratus militum præfectus Simonem Herodis filium obtruncat 608.a
suis succurrit 608.e. 780.b
grauidam calce percutiens quomodo plectendus 128.a
gemnasia Herodis 748.e

H

HAi vide Aina
Heberus Hebræorum auctor 15.a
hebræorum declinationis forma ibid.
hebræorum nullus regnante Salomone seruile opus faciebat 269.e
hebræi bis vltra Euphratem ducti captiui 345.d
hebron expugnatur, & conceditur Leuitis 145.f
hebronis oppidi antiquitas 17.d
hecatæus Abderita 1048.b. 1056.a
hecatombæon mensis 110.c
hecatontomachi Alexandri Iamnæi 457.f
hellanicus ab Acusilao de genealogiis multum discrepat 1034.g
helcanes Leuita & eius vxores ac liberi 169.b
helena Adiabenorum regina transit ad religionem Iudaicam 683.f
eius monumentum Hierosolymis 913.c
helenę Monobazi regis matris regia Hierosolymis 920.c
Helias. vide Elias
heliopolis 53.a
helonis principatus Hebr. 159.b
heniochi Romanis subiecti 806.b
Heoron, arca tabernaculi 82.f
Herennius Capito procurator Iamnię 630.c
Hermęus qui & Danaus denominatus 1052.d
Hermippus Gręcus historicus diligentissimus 1046.e
Hermogenes Græcus Iudęorum mentionem facit 1051.a
Herodes Agrippæ frater, rex Chalcidis 679.f
moritur 690.d
Herodes Antipatri filius 479.d
Hierosolymorum dux constituitur, Ezechimáque cum aliis prędonibus afficit supplicio 483.b
infantum ob cędem exosus dicit causam 484.b
pręficitur Cęlisyrię 485.b
Romanorum beneuolentiam captat & assequitur 489.c
Malichum trucidat 490.f
Antigonū Aristobuli profligat 491.d
vxores & liberos sibi parat, ac M. Antonium corrumpit ibid.e. & 492.a
accusatus tetrarcha constituitur 494.a
strenue pugnat ibidem.
elabitur ex hostium insidiis 496.b
difficilibus profectionibus exercetur vsque Romam 498.d
rex Iudæę à senatu Roman. declaratur 499.c
ex Italia nauigat, & pugnat contra Antigonum 499.500
prodigiose seruatus bis 505.c.& f
Hierosolyma expugnat, & Antigonum capit 507.c
Antonio donat 508.a
Aristobulum pontificem occidit 511.e
à Cleopatra ad stuprū solicitatur 518.e
bellum Aretę infert 519.d
concio ad milites 521.b
Hyrcanum occidit 525.a
quomodo amicitiam Antonij excusarit apud Cęsarem, & regnum ab eo obtinuerit 526.d
Mariamnem vxorem interficit & magnifice donatur à Cęsare 529.a.530.b
necata à se vxorem luget miris modis 530.e
efferatur ad cędem amicorum quorumcunque & ad omnia mala inclinat 531.d.532.533
arces in suam tutelam extruit 535.a
fami vigenti succurrit 536.b
quomodo subditos in officio continuerit 537.g
Cęsaream condiderit, & à Cęsare sit muneratus 539.b.540.541
salutat Agrippam 540.b
extruit templum Cęsari, & tributorum partem subditis remittit, & conuenticula populi prohibet, & Essenos magnificat 541.b
templum nouum ædificat Hierosolymis sumtuosiss. 543.e
legem statuit de furibus nouam 548.a
nauigat ad Cæs. & reductis Roma liberis dat vxores, Agrippámque honorat 548.549
quartam tributorum partem suis remittit 553.d
ipsius familia domesticis agitatur dissidiis 554.c
filios suos apud Cæs. accusat 555.f
quinquennale certamen celebrat, arces condit 559.c
multáque alia 561.b
qualis ingenij, ibid. pecuniis destitutus Dauidis sepulchrum recludit 563.b. omnes coniunctos habet suspectos 565.566.567.568.569. à Syllæo iniquè accusatur apud Cæsarem 572.a
accusat filios apud consilium Berytense 578.a
strangulat 580.b
liberis ipsorum prospicit 583.f
quas ipse vxores habuerit & sobolem ib.627.f
Antipatrum damnatum in vincula coniicit 595.e
morbo correptus testamentum conficit 595.f
morbus qualis fuerit 597.e
sub mortem liberalissimus & crudeliss. 598.b
vim sibi conatur inferre, & Antipatrū iubet occidi 599.d
testamento mutato moritur ac funeratur 600.c
testamento eius confirmato quantum filiis ipsius patrimonium superfuerit 611.e
præficitur Galilææ, & strenue agit 725.f. accusatur Hyrcano à maleuolis 726.b
vindicat patris mortem 728.e
eius victoriæ 729.b
accusatur ib.e
quomodo se gesserit in pugna contra Antigonum & Parthos 730.f. 731.732. ædificat & multis premitur malis 733.f
Romam nauigans iacturam facit ib.e.
rex Iud. constituitur 734.b
Antigonum expugnat & latrones 735.a.& seq. fratris mortem vlciscitur 738.f
in grauia incidit pericula 739.b
Syros & Arabes vincit 742.e
conciliat sibi Iulium Cæs. 745.b
ædificat, amicos ac parentes honoribus afficit 746.747.748.& seqq.
athletam & venatorem agit ac bellatorem 749.d
dissidet cum filiis duob. & vxore 749.f.750.751. conciliatur filiis 751.g
iterum dissidet cum ipsis 755.c
accusat filios apud Cæs. & Beryti 760.c. occidit 761.f.793.g
occisorum liberis prospicit 762.c
quot vxores & liberos habuerit 763.a
eius domus iterum conturbatur dissidiis 763.e
Pheroram extrudit 764.f
accusat filium Antipatrum 770.a
morbo corripitur lethali 771.g.772.a
crudelitas eius & mors 773.e
quomodo Romanum adduxerit exercitum 930.b
instaurat ciuitates 980.e.988.e
Herodes Herodis fil. Iuliada condit 618.f
tetrarcha fit, ibid. e. recipitur in amicitiam Neronis 619.d
quomodo perierit 620.c

Vitellij iram in se concitat 625.e
bello ab Areta superatur 626.c
Herodiadis amore capitur 626.b
vxoris importunitate in exilium detruditur 638.g
quali fuerit ingenio 677.f
herodes Herodis fil. Tiberiadem & Iuliopolim condidit 789.b
à Caio Cæsare ob auaritiam increpitus, in Hispaniam cum vxore fugit 790.d
quando decesserit & quos liberos reliquerit 793.f
herodias Agrippæ soror, Herodis iunioris vxor 626.b
odio prosequuta fratrem se suúmque maritum in exilium coniicit 638.g. 649.a. eius exprobrationes & stimuli 790.c
Herodion conditur 497.b.732.748.c
Herodotum cuncti mendacem ostendunt 1035.a. Romanorum non meminisse 1038.g
herodotus erroris argutus 279.a
herodotus Halicarnasseus Iudęorũ gentem non ignorauit 1047.a
heroum oppidum 52.d
hesiodus ab Acusilao in quàm magnis corrigatur 1034.g
hettan prędium 272.a
hezarbunis dux captus 155.b
hieremię prophetę vaticinium & epicedion Iosię conscriptum 335.f. & seqq. damnatur, iterum absoluitur 336.f
aufugit 337.b
Hieremias in carcerem coniectus torquetur 339.c
in cœnosum puteum pręfocandus demittitur, verum rursus liberatur, 339.f. non vult proficisci Babylonem 343.b. donatur magnis munerib. & alia eius gesta ibid.c
Hieremias consulens Ioanni Careę abducitur ab eo in Aegyptum, vbi Aegyptiis captiuitatem indicat 345.c
eius vaticinia celebrata 929.e
Hierichus vrbs 112.a
exciditur, & restaurator ipsius diris deuouetur 137.b
hierichus desolata 890.f
eius agri descriptio ibid.g
hierichontis fons ex pestilenti & infrugifero saluberrimus, & feracissimus ab Helisęo factus 891.d
hierichuntij agri bonitas 141.c. 473.b. 518.d
hieroboamus Nabathęi filius vaticinio cognoscens se futurum regem populum ad defectionem solicitat, effugit Solomonis iram 274.c
decem tribuum rex eligitur & Sicimis habitat 276.a
duásque vitulas aureas facit, & templa ibidem b
brachium eius apoplexia tangitur, & inde à pseudopropheta seducitur 277.g. 278.a
filio suo ęgrotante quid responsi acceperit à propheta 280.b
contra Abiam ducit exercitum 281.a
vincitur ac moritur relicto regni successore Nadabo 282.c
familia eius cuncta tollitur ibid.e
hieroboamus Ioę filius regnum Israelitarum excipit 316.b
Syriam suo regno licet impius adiicit ibidem. moritur Zacharia filio herede relicto 318.f
hieronymus historicus Iudęorum 1050.f
hierosolymę rex cum vicinis regibus occiditur 139.f
hierosolyma oppugnatur, inferioréque parte capitur 145.f
hierosolyma ciuitas Dauidis dicta, & quomodo exædificata 218.b
Hierosolymorum thesauri auferuntur, mœnia ad trecentorum cubitorum spacium diruuntur per Ioam 317.e
hierosolymorum captiuitatem qui prophetæ prædixerint 335.f
hierosolymorum captiuitas, direptio, & à fundamentis vastatio 342. per totum
hierosolyma capitur ab Antiocho Epiphane, templúmque eius spoliatur & prophanatur 409.a
restituitur tam vrbs quàm templum 415.d
hierosolyma & templum à Pompeio expugnata 473.e
hierosolyma diripitur à Parthis 497.d
hierosolyma eiúsque templum cur deus auersatus 695.d
hierosolyma ad summum felicitatis euasisse fastigium, & ad extremam esse deiecta miseriam 707.d
expugnantur ab Antiocho Epiphane 709.c
à Pompeio magno capiuntur 819.d
diripiuntur à Parthis 732.g
oppugnantur ab Herode 741.a. per totum
hierosolyma Iudææ vmbilicus, eiúsque situs 883.g
descriptio 912.e. per totum & 1049.c
hierosolyma bello, dominatione, seditione laborat 887.g
hierosolyma quando & quoties capta vastata 969.e
quando in ea templum ædificatum ibid.e. eius origo & finis ibid.f
hierosolyma non idem voce Iudaica quod Græca significat 1059.d
hierosolymitanis fame laborãtibus succurrit Helena 686.
hierosolymitanorum supplicatio 795.b
hierosolymitani officiose Agrippæ, & Politiano obuiam progressi 803.e
hierosolymitanorum & Romanorum seditio 811.a
Hierosolymitanorum luctus publicus 813.e
hierosolymitanorum turbæ & indignationes propter Iosephum 856.d
hierosolymitanorum miserabilis clades, & fuga ad Vespasianum 886.d.e
hierosolymitani prima aggressione superiores 907.f
in legionẽ decimam excurrunt 909.a
eorum insidię contra Romanos 911.b
seditiones perpetuę 920.d.per tot.
conflictus cum Romanis 920.d.& seq.
pugnant circa machinas Romanorum 922.b
valde terrentur 926.e
eorum pertinacia 928.e
aurum deglutiunt 931.e
crudeliter afficiuntur 932.
Romanos inuitos ad suum excidium coegere 933.b
hierosolymitanorum calamitas, & clades miserrima 932.933
pertinacia crudelis 928.e
conflictus 935.e
fames 937.d
profugia ad Romanos 939.e
eorum qui transfugerunt, vna nocte viscera duorum millium patefacta sunt 940.a
famis incrementum horribile 941.c
Hierosolymitanorum quàm multa millia paucis diebus per vnam portam elata 941.a
egenorum quot millia portis eiecta ibidem.b
conflictus cum Romanis circa aggeres 943.c. pugna magna & ferox 946.d
mendacia inter seditiosos 949.c
pertinacia insana ibid. pugna atrox circa custodias 950.d
pugna circa templum 952.d
dolus contra Romanos 953.b
fames 954.b. pugna circa porticus 956.a. circa templum 459.e
strages & fuga incenso templo 459.a
sex mill. a in porticum confugiunt, séque saluari ex propheta falso seducuntur 459 g.960.a
plurimi confugiunt ad Titum 966.b
infinita multitudo venit ibid. strages crudelissima, incendium, fames, captiuitásque 967.968. per totum
Hierosolymitani soli quanta bonitas 141.e
hiezecielis prophetia 335.f.338.e
hin. mensura qualis 88.d
hippeni Iudæos suos cohabitatores male tractant 815.d
hippici turris descriptio 914.d
hippodromos locus 773.c
hiramus Tyriorum rex, Salomoni quid ad templum Hierosolymis contulerit 1042.c. mulctatus quod Salomoni proposita ænigmata soluere non potuit ibid.f. eius gesta ibid.
Vide etiam Iromus
hispani quando & quemadmodum Romanis subditi 806.g
historia apud Barbaros solennior quàm Græcos 1038.b
historiæ scriptori quæ curanda 468.b
historiæ veritatem à Iudæis honorari, à Græcis verò negligi 707.a
historiæ veræ quod indicium 1035.e
historiarum scriptoribus non idem scopus 1. in principio
historicus mendax quantum à falsario instrumentorum differat 1024.e
historicus quis laude dignus 706.f
historici quod officium 1024.f
holocautoma sacrificium cur dictum 91.a
homeri poemate nullum vetustius 1034.d
quomodo conseruatum ibid.
homicidarum inuitorum asyla 18.d
homicidij incerti inquisitio qualis fiat 112.f.123.a
hominis creatio 4.e
hominis ætatis quis terminus præscriptus 8.e.15.e
homines quando degenerare à virtutibus ad vitia cœperint 7.c
hominum cõmercia quibus vitanda 94.c
hominum ingenium quàm sit malũ 197.a
homonœa, loci nomen 1020.e
hortos pensiles à Nabuchodonosoro extructos 350.a
hospitij reuerentia 20.a.147.d
hyc vocis significatio 1040.e
hyoscyami descriptio 86.b
hyperberetæus mensis 92.c.263.b.286.b
hyrcanium vicus 742.d
hyrcanus Alexandri Iannæi filius constituitur pontifex 716.d
fœderatur fratri, & ociosam vitam elegit 468.d.& 717.d
cur ignauus habitus & fugerit ad Aretam 469.d
Scauri amicitiam frustra ambit 471.b
disceptat apud Pompeium cum fratre 472.a
redditur ei pontificatus 475.a. 481.e. honoratur ab exteris gentibus 482.d
honoribus ab Iulio Cæs. afficitur 486.a. capitur & amputantur auriculæ eius 497.e.732.e
à Par-

à Parthis dimissus ad Herodem reuertitur, à quo perfidè tractatur 511. per totum
occiditur tandem ab eodem 525.a. 749.f
quali fortuna per omnem vitã fuerit agitatus ibid.
Hyrcanus primus eius nominis põtifex 624.d
Hyrcanus quomodo à Ptolemęo sororio tractatus & Antiocho Eupatore, cum gesta ipsius 710.f
eius felicitas 712.b
iterum fit pontifex 720.e.724.f
pontificatus confirmatur & regnum datur Iudææ 726.f
Hyrcanus Iosephi Tobiæ filius adolescens ingeniosus 404.405.406.per totum
eius gesta & mors 407.d
Hyrcanus Simonis Matthiæ filius effugit Ptolemæi insidias, & principatu potitur 448.c
oppugnatur ab Antiocho Sotere 449.a
pacem ab eo redimit ccc. talentis. Dauidisque thesaurum tribus millibus talentorum imminuit 449.g.450.a
vrbes ab hostibus ablatas recuperat, pacémque cum Rom. init 450.d
Samariam obsidet & radicitus tollit, cúmque deo colloquitur 452.per totum. eius felicitas & mors 454.a
somnium de filiis quale aliquando habuerit 456.b

I

IAbinus rex Hebræos opprimit, opprimitúrque ipse 152.c
Iabissa ciuitas, & Iabissenorum officium in Saulum & filios eius extinctos 209.b
Iabisus ciuitas capta, & omnes eius habitatores cæsi præter cccc. virgines 149.b
Iachin, columna vestibuli templi 261.b
Iacimus. vide Alcimus
Iacimus Zamaris filius eques 584.f
Iacobi filij Isaci natiuitas 26.d
præripit fratri benedictionem paternam 27.d
fugit fratris iram 28.b
dormienti visio offertur ibid.
& nuptias celebrat 30.c
visiones iterum 31.d
aufugit à socero 31.e
redit cum fratre in gratiam 32.f
luctatur cum spectro 33.b
Iacobus vocatur Israel ibid.
defodit Labani Deos 34.b
Iacobus partitur cum fratre hæreditatem paternam 36.a
opulentia eius & felicitas 37.a
Iosephum luget 39.e
mittit filios frumentatũ in Aegyptũ 44.f. proficiscitur ipse etiam cum omni familia 51.d
moritur 53.d
Iacobus & Simon Iudæ Galilæi filij aguntur in crucem 690.c
Iacobus frater Christi lapidatur 698.b
Iacobi, rectoris Idumæorum proditio 894.g.895.a
Iacobi septimi ex fratribus Macchabæi supplicia & constantia 1096.b
Iaddus filius Ioannis pontifex patris loco fit. 383.b. Alexandro magno negat forum venalium rerum 384.d. placat eundem & impetrat quod vult 385.c
moritur 386.g
Iadon propheta Hieroboami idololatriã obiurgat 278.e. discerpitur à leone 277.e
Iahel. vide Iale
Iairus Galadenus, princeps Hebræorum 157.c
Iale Sysarem occidit 153.b
Ialus custos thesaurorum Dauidis 250.c
Ianiæ regni termini 1040.b
Iannæus Alexander. quære Alexander
Iapha vicus 1016.d
Iaphæ munitiones 843.a
Iaphetus filius Noë 11.d
eius soboles quanta, & quibus gentibus nomina dederit 12.f. 13.a
Iaphthes accitur ad principatum Israelitarum 158.a
victor filiam suam deo mactat ibidem.e
Iar, mensis 259.c
Iardan vicus 833.f
Iason, alias Iesus, Onię pont. filius, pontificatum fratri extorquet 408.c
Iason vt pontifex constituatur quantum numerarit Antiocho 1087.g
Iauanes Iapheti filius 13.a
Iazarus pontificatu priuatur 618.e
Iaziel propheta vaticinatur Iosaphato 298.c
Iazoron vrbs spoliata & concremata per Iudam Macchabæum 416.c
Iberi, populus 13.b
Ibes serpentibus infestæ 58.d
Ides scelus & supplicium 622.623
Idumæa vnde dicta 36.a
Dauidi subdita 222.f
eius tumultus 779.g
Idumæi, quomodo circuncisionem & religionem admiserint 450.e
Idumæorum nationis descriptio 877
viginti millia cum ducibus quatuor Hierosolymam veniunt ibid.g
seditio & tumultus 880.g
Idumæi cum vigintiquinque millibus contra Simonem Gioræ 894.f
Ioannis Leuiæ pecunias prædantur 897.e. ad Titum supplices veniunt 965.g. scelerata eorum facta repetita 980.a
Iebostus Sauli filius cõstituitur rex 212.c
amittit regnum 214.b
occiditur per insidias 216.c
sepelitur honorificè à Dauide 216.g
Iebusæi populus 14.d
Iebusæorum ludibrium in Dauidem male ipsis cessit 217.f
Iechonias. vide Ioachimus. nam binominis fuit
Iephthe. vide Iaphthes
Iesraela vrbs 288.c
Iessæus filius Obedæ 164.e
Iessæi filij qui 186.c
Iesus Christus describitur 621.f
Iesus Anani filius prædixit Hierosolymę excidium 961.a
Iesus Damnæi filius fit pontifex 698.c
Iesus Gamalielis filius fit pontifex 699.a
Iesus dictus Onię frater pontificatu honoratus, & mox eo priuatus 408.b
Iesus Naueci filius exercitui præficitur, & vincit Amalecitas 75.a
Chananææ explorationem indicat suis commilitonibus, & territis reddit animum 99.a
Moyses eum sibi successorem designat 118.c
prædicit, quæ gesturus erat 131.c
Chananæam explorat 134.b
Iordanem cum exercitu superat 135.f
Hierichuntem sine labore capit 136.d
& Ainam excindit 138.d
Gabaonitis fœderatur, capitq; quinque reges 139.b
reges Libano vicinos expugnat 140.c
munit ciuitates ibid. terram victoria quæsitam diuidit tribubus 141. per totum. præcipit eis vt reliquias Chananeorum tollant 142.c
moritur 144.f.145.a
Iesus Phabetis filius pontificatu priuatur 557.d
Iesu pontificis ad multitudinem Hierosolymitanam oratio 878.879. per totum
mors 882.e
eius virtutes celebratæ 883.b
Iesu Saphiæ filij facinora 1003.e. & 1008. 1009.1020.121. per totum
Iesus Sapphæ filius 822.d
Iesus Thebuthi sacerdos Titio sacra donaria tradit 966.c
Iesus Tobiæ filius quid gesserit 857. 858. 860. per totum
Ieus Amasis fil. Ramatham expugnat, & inungitur rex Israelitarum 308.b
Iezabelam & omnem Achabi & Ochoziæ cognationem tollit 310.a
Bali sacerdotes extirpat 311.d
contemptor & ipse numinis moritur
Ioaza filio successore relicto 313.f
Ieus propheta arguit Iosaphatum 297.a
Iezabela quàm mala mulier 285.d
minatur Eliæ interitum 288.c
Nabathum curat lapidibus obruendum 289.d
præcipitata de turri ab equitibus proculcatur 310.a
Ilys, ager qualis 71.b
Immandi qui Moysi 94.c
Impedimentorum custodibus æque ac pugnantibus prædam partiendam 207.f.208.a
Imperatores Rom. semper honorauerunt & ornauerunt templum Hierosolymitanum 940.e
Imperij Romani fines quousque 805.f. 837.b
In lorum mortis descriptio enarrata 991.e
Iniuria maxima quæ 122.d
Inuenta debere restitui 127.f
Inundationis vniuersalis descriptio 8.e
Ioabi cum Abenero pugna 212.
Abenerum turpiter occidit 214.f.215.a
exercitui pręficitur Dauidis 222.f
Syros vincit 224.e
Dauidis nomine belligeratur fortiter 225.226. per totum
ingeniosum commentum fingit 228.b
Abesalomum interimit 234.c
Dauidem Abesalomum lugentem increpat 235.d
præfectura priuatur 238.d
Amasam interficit & Sabæum persequitur, capútque ipsius ad regem perfert, & restituitur pristinæ præfecturæ 238.f.241.c
populum censet 244.b
occiditur 254.c
Ioadus quomodo Gotholiam regno spoliat & occidit, Ioasúmque regno præficit 312.a.313.a
studet templo restaurando & moritur 314.a
Ioachabis natiuitas & quid significet 167.a
Ioacimus Iesu filius pontifex 367.f
Ioachimus Ioacimi fil. in regnum paternum constituitur 337.d
abducitur in captiuitatem Babylonem 338.a
liberatus è vinculis regiæ præficitur 350.c
Ioacimus Iosiæ, vocatur Eliacimus, accipit regnum patris tributarium Aegyptiis factum 336.a
tributarius etiam fit Babyloniis 336.d
occiditur 337.d

Ioacimus pontifex mortuus 370.g
Ioannes, alias Hyrcanus. vide Hircanus
Ioannes Ananiæ filius Gophniticæ & Acrabatenę regionum rector designatus 822.e
Ioannes Asamonæi fil. occisus 710.b
Ioannis Baptistæ interitus 626.f
Ioannes Careæ filius dux profugorum Hierosolymitanorum fideliter consulit Godoliæ 343.g
Ismaelem Godoliæ interfectorē persequitur 344.e
consulit Hieremiam, & ipsum in Aegyptum abducit 345.a
Ioannes dux militum Ionathæ 293.c
Ioannes Essæus Tamnam missus, vt toparchiam administraret 822.e
Ioannes Gaddis Matthiæ fil. 410.g
Medabensibus Amaræis occiditur 428.c
Ioannes Idumeorum dux ab Arabe quodam sagitta occiditur 922.g
Ioannes Iudæ fil. in pontificatu succedit patri, & fratrem in templo occidit 382.c
moritur 383.b
Ionathæ ac Iudæ fratris Ioannis interitum vindicat 382.e
Bacchidem adigit ad ineundum secum amicitiam 430.a
eius amicitiam tam Demetrius quàm Alexander Antiochi Epiphanis ambiunt 430.e. 431.b
Alexandro quàm fuerit gratus 434.f
vincit Apollonium Dauum 436.b
amicus fit Demetrio Nicanori 438.b
sociat se Antiocho Alexandri contra Demetrium 440.a
deseritur à suis, tamen vincit, & renouat fœdera 440.f
capitur per proditionem 444.d
occiditur ibid.g
Ioannis Leui filij Giscalensis facinora 1001.1003.1004.1005.1006.1013. 1014. 1016. per totum. Giscalam Iosephi iussu muro cinxit 823.b
eius proditio & doli varij 824.a
dolus nouus 826.b
fuga cum mille Syris fugitiuis 827.a
ad defectionem incitat 858.d
Titum fallere conabatur 869.d
Hierosolymam fugit 869.f
eius excusatio apud Hierosolymitanos 870.f
Hierosolymitanis exitij causa 876.a
malitia, crudelitas & gesta 887.897. 898.920.923.925.931.932.933.936.940. 943. & seqq.
Ioannis Leuitæ conflictus 905.a
Ioannis pontificis monumentum 920.f
Ioas seu Ioazes Ioazæ fil. patris regno potitur 316.a
moriens regnum filio Hieroboamo relinquit ibid.b
b. contemnit Amasiæ minas, quem capit in pugna 317.c
perit ibid.f
Ioasus Ochosiæ filius quomodo à Gotoliæ sæuitia seruatus, & rex constitutus 312.a
à religione deficit & legibus 314.d
Zachariam Ioadi filium in ipso templo lapidat ibid.e
ægrotans occiditur 315.a
Ioazarus dux missus contra Iosephum Matthiæ filium 827.c
Ioazarus Iosepho inuidet 1013.c
Ioazarus priuatur pontificatu 618.e
Ioazas Ieu filius regnum paternum assequitur 313.g. 315.b
Dei beneficio liberatus moritur 315.d
Ioazus Iosiæ fil. regnum paternum capit, vir impius captiuus in Aegyptum abducitur & moritur 335.g. 336.a
Iobacchus torrens 33.b. 111.d
Iobel fil. Lamechi 7.d
Iobelus quid significet 96.c
Iobeli anni remissio & libertas ibid.
Iochabel mater Moysis 55.f
Iodes à Moabitis oppressos Hebręos libertati restituit 151.d
Iohel Samuelis fil. quomodo se in principatu gesserit 173.a
Ionas propheta vaticinatur Hieroboamo Amasiæ filio 318.a
quomodo ad Niniuitas missus sit, & in mare proiectus ac à ceto haustus post triduum viuus in terram reuomitus 318.c
Ionia vnde sic dicta 13.a
Ionici Iudæi apud Agrippam queruntur Gentilium iniurias 550.e
Ionum in Iudæos odium 398.d
Ionatas Anani fil. 676.c
pontificatum oblatum respuit ibid.
& eius gesta 795.d
Ionathas Asamonæi fil. Antiochi Epiph. filio reconciliatur, capitur à Tryphone & occiditur 710.c
Ionathas Sauli filius castrum Palæstinorum expugnat 179.c
hostes vnico tantum armigero comitatus aggreditur 181.c
animositas & honestas 181.f
amor in Dauidem 191.c. 193.c
fœdus cum eo 193.f
cadit in pugna contra Palęstinos 208.c
eius posteri quo honore a Dauide affecti 213.b
Ionathæ cuiusdam Sadducęi cum Pharisæis contentio 453.f
Ionathas homo viliss. prouocat ad singulare certamen Romanos 952.e
Pudentem equitem Romanum interficit, & à Prisco centurione sagitta transfigitur ibid. & 953.a
Ionathas Matthiæ fil. 411.a
defuncto fratri Iudæ succedit imperij administratione 428.a
Ionathas Pharisæus 1013.f
insidiatur Iosepho, seruatur 1018. 1019. iterum insidiatur eidem 1020. 1021.
Ionathas pontif. perimitur 695.c
Ionathas pontifex primus Massadam ædificauit, & nomen id imposuit 987.d
Ionathas qui aliàs Ionadab, socius Ammonis 228.d
solatur Dauidem 227.f
Ionathas Samæ fil. sternit virum sex cubitorum 242.f
Ionathas sicariorum princeps circa Cyrenen 996.e
eius supplicium 997.d
Ioppe à Cestij militibus capta, direpta & incensa 818.a
bis à Romanis funditus excisa 855.g
eius situs descriptus ibid.c
Ioppensium interfectorum quot millia 818.a
Ioramus Achabi fil. in regnum paternum succedit 300.a
Moabitas expugnat 301.d
monitus ab Elisæo cauet Syrorum insidias 303.c
fame vrgente Elisæum iubet interfici, cuius mandati eum mox pœnitet 304.b
liberatur ab obsidione Adadi 305.a
in oppugnatione Ramathæ sagitta vulneratur 308.a
occiditur ab Ieu, & cadauer eius in agrum Nabothi proiicitur 309.c
Ioramus Iosaphati fil. succedit in regnum paternum 302.a
fratres & amicos paternos occidit 306.f
deficiunt ab eo Idumæi aliæque gentes aliquot 307.a
cognoscit suum fatum ab Elia, & mortuus tractatur pro merito 307.f
Iordanis refertus mortuis 890.a
Iordanis fontes & cursus 861.a
Iosabetha Ochoziæ soror germana quomodo Ioasum seruarit 311.g. 312.a
Iosadochus pontifex Babylonem vinctus ducitur 342.e
eximitur vinculis 343.a
Iosaphatus à commentariis Dauidis 222.g
Iosaphatus Asani fil. in regnum paternum succedit 285.c
præsidia vrbib. suis imponit, & collapsam religionem restituit 293.a
quantos habuerit exercitus paratos 293.c. increpatur ab Ieu propheta, pietatémque ac iustitiam colit 297.a
Ammanitas & Moabitas citra sanguinem vincit 298.c
cum Ioramo bellum infert Moabitis 300.d
moritur 301.f
Iosephus Antipatri filius 723.d
oppugnatur ab Antigono 499.f
quomodo perierit 504.e
arcani non satis continens 516.b
Iosephus Salomes maritus Herodis mandatorum proditor occiditur 750.f
Iosephus Cabeus pontifex 697.f
priuatur munere ib.
Iosephus Caiaphas. quære Caiaphas
Iosephus Canæi vel Camydæ pontificatum acquirit 683.e
eo priuatur 690.c
Iosephi Dalæi fatum miserabile 459.e
Iosephus Ellemi filius 597.d
Iosephus & Iesus pontifices cum aliis multis ad Romanos profugiunt 949.a
Iosephus Gorionis filius belli dux contra Cestium 822.c
Iosephus Herodis nepos occurrit Varo 609.e
Iosephus Itaburij montis planiciem muro circundedit 866.f
interfectus Gamalæ 867.c
Iosepho Matthiæ filio quæ causa fuerit Antiquitatum Iudaicarum, & Belli Iudaici historiæ descriptionis 1.c
suam historiam veracem affirmat & incorruptam 563.e
ipsius genus, filij institutio & doctrina, profectio Romam 998
naufragium passus à Poppea benigniter donatur, & mittitur legatus in Galilæam 999.d
committitur ea ipsius tutelæ 1003.b
in quibus versatus sit periculis 1004. 1005. bello necessaria comparat, & oppida expugnat ibid.
Ioannis insidias effugit & Iesu latronum principis 1005.f
ignoscit capto Iesu, & cum Ebutio bellum gerit 1007.a
insidiis, calumniis variis petitus euasit 1008 1009. 1010. per totum
deficientes Tiberienses cohibet 1011. d. ciuitates munit 1013.a
insidias patitur, & somnio consolatur 1014.e
astutia eius in cognoscendis insidiis 1016.a
Ioannis consiliis contra ipsum quomodo occurrerit 1017.c
Ionatham insidiatorem seruat, & legatos mittit Hierosolyma 1011.c

in salutis discrimen incidit 1019.f
accusatur à Tiberiensibus & irridetur, eorúmque vrbem cepit 1023. 1024. Simonem & Ionatham Hierosolymam mittit 1024 b
calumnias falsi historici depellit ibidem f. historiæ suæ veritatem adstruit 1026.f
Sepphoritas seruat 1027 f
Tiberiada seruat, & Sepphorim capit, & profligatur à Romanis 1028. per totum. in pugna contra Silam prolabitur cum equo 1029.f
captus honorifice tractatur à Vespasiano Titóque, & captiuorum multos liberat, falsóque accusatur 1030.e
vxores ducit, & liberos procreat 1031.f
qua diligentia quóque ordine bellum Iudaicum conscripserit 705.706 707.708 per totum
Iosephus Matthiæ filius vtriusque Galilææ rector designatus 822.e
eius singularis industria ibid.
dolo Ioannis Giscalæi subito oppressus 825. b
gesta contra Romanos 834.c
aduentu Vespasiani in Tiberiada confugit 838.f
primatibus Hierosolymis è Tiberiade de rationibus belli scribit 839.b
Iotapatenis auxilio venit 839.840. 841.842. per totum.
eius machina excogitata contra arietis ictus 844.a
fortia facta 846.847. per tot.
quomodo è catenis liberatus per Titum & Vespasianum 991. b
eius prolixa oratio ad Hierosolymitanos 927.928. 929.930. per totum. in deditione in puteo delitescit 850. f
eius socij ipsum persequuntur ibid.
eius oratio philosophica ad socios 852.a. eius socij cum ipso cędes mutuas sortiuntur 853. e
cum altero sortem euadit ibid.
ad Vespasianum ducitur ibid.
vaticinatur Vespasiano imperium Romanum 854.c
fermè exanimatur 939.c
eius mater occisum credens cruciatur animo ibidem
curato vulnere rursus murum circuit hortando 939.e
mandata Titi Ioanni Hebraicè nunciat 948.a
eidem loquitur 949. per tot.
pro reliquiis ciuitatis frustra obsecrat 965. b
Iosephus Medicaster defectionis autor 1012.f
Iosephi filij Iacobi natiuitas 31. b
fratribus cur exosus 37.c
venditur in Aegyptum 39. c
solicitatur ad stuprum à domina 40.a
somnia explicat 42.a. 43.d
è vinculis liberatur 43. c
præficitur Aegypto, nominatur Psontomphanecus 44.c
fratres capit ibidem
& miris exagitat modis 45. 46. per totum. cognoscendum se ipsis exhibet 50. d
patri aduentanti occurrit 52. d
moritur, & ossa eius in Chananæam transferuntur 54. a
laudatur 1085 g
Iosephus apud Vespasianum accusatus 997.c. quinque millium annorum historiam Græco sermone contexuit 1033.a. eius historię certitudo 1037.c
dux ipse Galilæorum à Romanis captus ibidem
solutus vinculis cum Tito ad obsidionem Hierosolymorum profectus ibidem
Iosephus belli historiam primum Vespasiano & Tito obtulit, vt sibi testes essent 1037.e
Agrippæ regi eam dedit ibid.
Antiquitatis libros ex sacris literis interpretatus est 1038 a
Iosephus Simonis filius toparchiam administrat 822.e
Iosephus Tobiæ filius quomodo Ptolemæum Euergeten reconciliarit Iudæis 402 b
festiuum eius responsum 40..e
vxores & liberi 403. e
Iosephus Zachariæ fil. præficitur præsidio Hierosolymorum 416.f
vincitur a Gorgia 418. b
Iosias Amasi filius patri in regnum succedit, optimam rempub. & veram religionem instituit sublatis idolorum aris & sacerdotibus 333.334. per totum
moritur 335.e
Iosue. vide Iesus
Iothamus Ozæ filius vir pius patri in regno succedit, Ammonitásque tributa pendere cogit, 320.e
filio Achaze successore relicto decedit 321.c
Iothanes Gedeonis filius parabolis ad Hebræos loquitur contra Abimelechum 156.a
Iotape Sampsigerami regis filia 628.c
Iotapatæ situs descriptus 840.c
Iotapatæ excidium Hierosolymæ nunciatum quali luctu vrbem repleuerit 856. a
Iotapatenorum conflictus acer cum Romanis 839.840.841.842.843.844.845. per tot. calamitas miserabilis 845. 846.847
Iotapateni cuiusdam capti à Vespasiano constantia 849.f
Vespasiano produntur ibid.
demum expugnantur ibid. eorum quot millia occisa & capta 850.e
Ious mensis 110. c
Iozarus constituitur pontifex 597.d
priuatur eo 613. e
Iramus amicitiam cum Dauide init 603. b
Irenæus orator 603. b
Iris quid designet 11.a
Iromi cum Salomone amicitia & mutua eorum beneficentia 258.b. 259.a
quibus donis fuit remuneratus à Salomone 267. d
Isacus nascitur & circumciditur 21 e
ducitur sacrificandus 23.a
ducit vxorem 26. a
nascuntur ei gemini 26. d
Abimelecho exosus reconciliatur, & fodit puteos 27. a
fallitur ab vxore ibid.c. moritur 34.e
Isacharis sors 141.g
Isboseth. vide Iebosthus
Iseremoth locus 97.e
Isiacorum scelus & supplicium 622.a
Isidis statua & templum tollitur 623.c
Ismael Fabi filius pontificatu vix dum nacto exuitur 619.c
Ismaelis Abrahami filij natiuitas & circumcisio 19 d
Arabum autor est 21. f
ducit vxorem, gignit fil. xij. 22.c
Ismael Phabæi filius constituitur pontifex 696.c
Ismael regij generis Iudæus Godoliam interficit 344. b. quantam cædem etiam aliorum hominum fecerit pręter Masphatenses abductos ibid.
Israel quid significet 33. c
Israelitę inhumaniter tractantur ab Aegyptiis, necantur, & grauibus laboribus atteruntur 54. f. labor augetur 62. d. quantus eorum ex Aegypto migrantium numerus 65. d
transeunt mare rubrum 67.d
armis Aegyptiorum se muniunt 68.c
obmurmurant Moysi 71. d
coturnicibus pascuntur mannáque 72.e
ab Amalecitis prælio infestantur 74.b
collatio ad tabernaculi structuram 77. g. seditionibus agitantur & puniuntur 97.c. 98.a
negatur eis ingressus in Chananæam 99.d
Israelitæ inscio Moyse cum Chananæis pugnantes vincuntur 75. a
quæ eis triginta octo annis in deserto obuenerint 109. 110. quales milites fuerunt 110 f. Amoræos extinguunt 111. per tot. à Madianitorum puellis seducuntur 114. f
eos excindunt 117. e. Hierichuntem delent 126. g
item Ainam 138. d. partiuntur Chananæam, & quisque in suam sortem mittitur 141.d. commouentur inter se propter aram in ripa Iordanis extructam 143.c. quomodo se gesserint post Iesus mortem 145.e. omisso bello agriculturæ dant operam 146 c
eorum prælium cum Beniamitis 148.c
Chusarthi Assyriorum regi subiiciuntur octo annis 150.e. à Moabitis subiugantur. à Iode libertati restituuntur 151.c. iterum à Iabino opprimuntur 152.c. per Deboram redimuntur ibid. ab Amalecitis & Madianitis septem annis miserè tractantur 153.d
restituuntur libertati per Gedeonem 154 f. sub Abimelecho male habentur 156.d
iam ab Ammanitis, sed per Iaphthem liberantur 158.d
cæduntur à Palæstinis & fugantur 166.b
vindicantur in libertatem à Samuele 171.d
malè tractati ab Ammanitis liberantur à Saulo 178.a
cæduntur à Palæstinis 208.b
ciuili bello laborant 212
Israelitę quot annis post Iesum nequiuerint Chananęos ex Hierosolymis eiicere 118.e
Reliqua ipsorum gesta sub regibus comprehenduntur. Ezechiam regem restituere religionem conantem condemnant, & prophetas occidunt 323.f
transferuntur in Mediam & Persidem, & quo tempore id factum 324. g
Itaburius mons 141.g
situs 866.f
Italiæ bella ciuilia 896.d
Ithaciæ seu Hirenes concubinę Ptolemæi Physconis sobrietas 1064
Ithamari domus priuatur sacerdotio 254 c
Ithobal Tyriorum ac Sidoniorum rex 311.d
Iubal & eius inuenta 7.d
Iuctas Heberi filius quos liberos habuerit 15 b
Iucundus Herodis satelles falsò accusatus torquetur 574.b
Iudęa latronibus expletur 658.d
Iudęę regio vbi pręstantissima 719.b
Iudæę descriptio 833 d
Iudęę nulla pars erat quę non vnà cum Hierosolymis interiret 888.c
Iudæus viuus captus, Titi iussu crucifigitur pro muro Hierosolymę 933.d

Iudæi quando primum cœperint appellari 372.b
Iudæis permittitur à Cyro redire Hierosolyma, & templum ibi ædificare iterum 357.b
impediuntur ab ædificando 360.a
à Dario Hystaspis filio liberi & immunes facti iuuantur in vrbis & templi restauratione, & quot eorum Hierosolyma reuersi sint 362.f
quando templum absoluerint 366.e
eorum reip. quæ forma fuerit & quomodo mutata ibidem
duas tribus Hierosolyma redire volentes per Asiam & Europam degere, reliquas verò decem vltra Euphratem esse 368.f
armari laborant 372.d
in summam calamitatem per Amanem deueniunt 376.a
quomodo à Bagose tractati 382.f
quomodo ab Alexandro Magno 385.d
quomodo sub Ptolemæo Philadelpho 392.b
& inde quomodo ab Asiæ regibus aliisque honorati 397.398
misere ab Antiocho Epiphane tractati 408.
vsque 419
sub Demetrio 422.a
cum Romanis primum fœdus ineunt 424.c. summa calamitate constituti post Iudæ casum 425.e
quando primum Romanis subditi 475.c. quibus honoribus & beneficiis ab iisdem affecti 485.e
Iudæorum cum Samaritis contentio propter templum 433.g.434.a
Iudæorum sectæ quot 442.d
Iudæi quàm sint religiosi 474.b
Iudęorum Cyrenensium & Asiaticorum legatio ad Cæs. propter Græcorum molestiam 561.d
Iudæi seditionem excitant 596.601.604 605.606.607.608. per totum
Iudæorum constantia pro tuendis legibus 621.b.640.a
Iudæorum miseriæ sub Felici 695.a
Iudæorum & Græcorum apud Alexandriam seditio 649.c
Iudæi malè à Babyloniis tractati Seleuciam migrant 649 e
Iudæorum & Philadelphensium dissidium 682.a
Iudæorum 20000. à seipsis contrita 69[illegible].a
eorum & alia clades ibidem
Iudęorum cum Syris dissidium 695.g
Iudæorum pontificatus & principatus successio & mutatio 700.c
Iudęorum epulę ferales 775.a
Iudęorum contra Archelaum accusatio & petitio 781.f
Iudęi Petronio supplicant 791.b
Iudęorum tumultus sub Cumano & calamitas 794.a
Iudęorum & Syrorum seditio circa Cęsaream 797.d
Iudęorum sub Albino Hierosolymis seditio 798.b
alia sub Floro Cęsareę 799.b
Iudęorum dispersio in totum 809.d
Iudęi legatos ad Florum & ad Agrippam regem mittunt 810.f
Iudęorum contentio cum Romanis ibidem
Iudęi contra Iudęos in Scythopoli 814.d
Iudęorum Alexandrię occisorum quinquaginta millia 817.b
Iudęorum & Romanorum strages in scenopegiis Hierosolymę 818.e
Iudęorum victoria insignis contra Cestium 820.
vnde elati facti 830.e
Iudęi à Romanis profligantur 831.d. 848.c
Iudęorum clades ab Idumęis facta 882.b
Iudęorum circa sepulturam cura ibid.f
Iudęorum in Massada immane facinus 994.b
Iudęorum apud Alexandriam & Thebas interitus 995.d
Iudęorum genus vetustissimum ex origine domestica 1033.a
Iudęorum cura conscribendę historię 1036.a
Iudęorum cur rara mentio in Gręcis historiis 1033.c.1038.b
eorum apud antiquissimos nomina 1040.g. eorum egressus ex Aegypto mille annis ante Iliacum bellum 1042.a
Iudęorum magnanimitas & clementia in quo consistat 188.e
eorum leges optimę 1080.f
omnes populi eorum ęmuli ibid.
Iudęorum fides & auxilia contra Aegyptios Rom. pręstita 1064
merita Augusti Cęs. epistolis comprobantur ibidem
Iudæorum integritatis testimonia ab Alexandro, Ptolemæis omnibus & senatu Romano, imperatoribúsque maximis facta 1064.1065
Iudan Amasiæ regis mater 316.c
Iudas, Iudæi 14.b
Iudę portio in terra Chananæa 141.e
Iudæ natiuitas 30.f
consilium de fratris cæde vitanda 39.b
homo vehemens 46.d
filij tres 52.b
Iudæ tribus gesta post Iesu mortem 145.c
Iudam inter xij. fratres principatum obtinuisse 249.e
Iudas Asamoniæ filius quid contra Antiochum vtrunque fecerit, & quomodo religionem instaurarit ac perierit 709.c
Iudas Capsæi, vir strenuus 441.d
Iudas Eliasibi fil. in pontificatum patri succedit 382.e
Iudas Essæus propheta 713.c
Iudas Ezeciæ latronis filius Archelai regnum affectat 607.d
tumultum excitat 780.a
Iudas Gaulanites Galilæus seditionem inter Iudæos concitat 616 c
eius secta 617.b
Iudas Iairi latenter inter Romanorum manus effugit 983.d
Iudas Iudę filius præfectus Simonis cum decem contubernalibus deliberat murum tradere Romanis 938.g
Iudas Macchabæus 410.g
Patri in administratione succedit 412.d. Apollonium & Seronem pręfectos superat & occidit ibid.e
Gorgiam & Nicanorem vincit 414.e
itidem Lysiam 415.b
templum purgat & instaurat ibid.d
vicinos molestos domat magnis stragibus 416.b
Nicanorem cum suis copiis delet 423.f. creatur pontifex, & fœderatur Romanis 424.b
cadit 425.e
Iudas Sepphoræi sophista 772.b
Iudas vates 435.b
Iudicum status quis 178.e
Iulia vxor Cæs. Augusti 559.d
Iuliæ Augusti quid ab Herode legatum 5[illegible]9.f
Iuliani centurionis fortitudo & fatum 947.a
Iulius Cæsar Pompeium fugat, & bellum cum Aegyptis gerit 479.f
amicus & beneficus est in Iudæos 482.a. parat expeditionem contra Scipionem & Catonem 485.d
occiditur 489.a
Iulij Cæs. magnificentia, & liberalitas in Herodem 526.& seqq.
vincit M. Antonium 524.a
occidit eum cum Cleopatra 528.e
Iulius Capella 1000.f
Iulius Lupus Cæsoniam cum filia interficit 667.c
interficitur & ipse 973.b
Iupiter Olympius 652.e
Iurisiurandi modus 24.f
Izatæ regis filij & fratres Titio supplicant 964.d

L

Labanus Batuelis filius 15.f
dolose cum Iacobo agit 30.c
persequitur fugientem generum 31.d
Labosardachus Niglasaris filius in paternum regnum succedit 350.d
Lacedæmoniorum amicitia cum Onia pontifice 407.b
Lacedæmonij cum Iudæis societatem & fœdus faciunt 442.b
Lacedæmonij quando & quemadmodum Romanis subditi 805.e
Lamechus, pater liberorum LXXVII. 7.d
Largius Lepidas decimæ legionis præpositus 956.f
Latopolis 65.c
Latronum colluuies Hierosolymis 871.e.872. eorum facinora ibid.
Latronum turba in Iudæa 694.f. 695.f. 999.f
L. Lentuli decretum pro Iudæis 488 c
Lepid. à Caligula occisus 653.f. 656.c
Leprosi quatuor Syrorum castra vrgente media inuadunt 304.f
Leprosorum conditio 94.c
& quod alicubi sint in precio ib.e
Leuces loci descriptio 988.f
Leui, militum præfectus 1013.b
Leuis natiuitas 30.e
vlciscitur sororis stuprum 34.a
filij ipsius tres 52.a
Leuias traditur 871.g
occiditur 872.a
Leuitę vxor quàm nefande à Gabaontis tractata 147.c
Leuitæ eius prudentia ib.e
Leuitarum numerus 97.a
Leuitis ac sacerdotibus ciuitates cum suo agro, & decimæ adscribuntur 108.g.109.a
earum ciuitatum nomina 142.c
Leuitæ vsum vestis lineæ impetrant 699.d
Leuitica tribus deo dicatur, cui tabernaculi cura committitur 94.a
Lex Moysis cur à poetis aut prophanis historicis non tractata 391.e.397.c
Legis & præceptorum Dei pulcherrima explicatio 1073.1074.1075.1076.1077. per totum
Legis nomen apud Græcos olim non fuisse 1070.d
Leges Moysis ad mores pietatémque pertinentes 121.a.122.
Liæ & Rachelis æmulatio 30.e
Libri duo & viginti apud Iudæos chronici 1036.e
Liberius Maximus iussu Vespasiani Iudæis stipendium indixit 983.d

Lybia dicitur Aphrica 24. d
Libys, Libya 14. a
Linguarum multarum cognitionem cur Iudæi non magni faciant 703. a
longæui cur primi homines 11. b
longinus tribunus à Iudæis occisus 810. f
longini equitis Romani forte factum 924. c
Longini iuuenis Romani facinus 913. f
Lotus adoptatur ab Abrahamo 15. g
captiuus abducitur 18. a
seruatur de excidio Sodomitarũ 20. d
filiæ cum patre coeunt ibid. f
Loti vxor in salis statuam versa ibid.
Lucilius Bassus legatus Herodium castellum capit 980. b
Machærunta quoque 983. a
Iardem Syluam oppugnat 983. b
Lucius Annius Gerasam capit, & mille iuuenum interficit 893. a
Luctus tempus 126. d
Ludas, Ludi 15. a
Ludi Circenses 654. b
luminum festiuitas, & eius institutio 415. e
lupus Alexandriæ rector ad Vespasianum scribit de seditione Iudæorum 995. e. templum Oniæ ablatis donariis claudit ibid.
lustrandi populum modus 109. g. 110. a
lustrationis tabernaculi modus 88. c
lydda ciuitas à Cestio exusta 818. e
lydi olim Ludi dicti 15. a
lysanias Ptolemæo Mennæi patri successit in regnum 490. d
interficitur à Cleopatra 519. a
lysanias Parthos in Iudæos incitat 730. c
lysiæ committit Antiochus Epiphanes filium suum, & bellum contra Iudęos 413. d
lysias vincitur à Iuda Macchabæo 415. b
occiditur à Demetrio 421. g
lysimachus fratrem suum occidit, & Gazam prodit 459. e
lysimachus Hellespontum occupat mortuo Alexandro 388. a
lysimachi portentosa de Iudæis mendacia confutata 1058. 1059. 1060. 1061 1069. 1070. 1077. per totum

M

MAcedones transisse pedites mare Pamphylium 68 b
Macedones quando Romanis subditi 806. a
Macedones Aegyptios subiugarunt 1068. e
Macchabæi natu maximi & primi inter septem fratres supplicia crudelissima & ipsius cum insigni tolerantia sermones 1083. a
vbi historia Macchabæorum fratrum
Machæra dux Rom. legionum qualiter se gesserit apud Herodem 503. d 738. b
Machir, tertij ex fratrib. Macchabęi constantia 1094. b
Macheruntij Romanis persuadent vt præsidio suo decedant 816. b
Machærus quomodo capta à Romanis 982. c. situs eius descriptus 980. c
Macho capta & deprædata 222. c
Macro præfectus prætorianorum militum 633. b
Madianitarum filię Israelitas illiciunt ad delinquendum 114. 115. per tot.
cæduntur cum suis regibus 117. f
Madianitæ Hebræos subigunt 153. d
cæduntur maxima strage 155. a
Madiana ciuitas 59 d
Madus, Madæi 13. a
Magnus campus regio 1014. e
eiúsque descriptio 891. a
Magoges & Magogæ populi 13. a
Magus Aegyptius pseudopropheta triginta millia hominum seduxit 797. a
cum paucis fugit ibid. d
Magi & latrones iterum Iudęos afflixerunt 797. c
Magorum turba in Iudęa 694. g 695. c
Malichus exactionum collector pro Cassio 727. d
nouas res molitur & veneno tollit Antipatrum ibid.
luit pœnas 727. e. 728. a
Malichi Arabum regis perfidia 494. a 733. b
Malchus Arabię rex Vespasiano in auxilium misit quinque millia peditum, equites mille 834. f
Malichus Iudęorum dux 721. e
auxiliatur Gabinio contra Alexandrum Iannęum 476. c
Antipatrum veneno tollit 490
interficitur ibid f
Malthace vxor Herodis moritur 778. e
Malorum hominum mos 594. b
Man vox interrogatiua 73. c
Manachases vestis qualis 84. b
Manahemus Essenus Herodem puerum scholas frequentantem salutat regem 542. a
Manahemus Iudę Galilęi fil. Massadam inuadit 811. g. 812. a
velut rex Hierosolymam redit, & princeps seditionis fit ibid.
interficitur 813. a
Manahemus occiso Selesmo regnum sibi vindicat & Thapsenses excindit, ac post à Phullo pace redempta moritur 320. b
Manasses Iosephi filius 44. d. 52. b
Manasses in numerum Iacobi filiorum adoptatur 53. e
censetur loco Leui 96. f
Manassę pars dimidia Chananęę 141. d
Manasses Ezecię filius regnum paternum assequitur, impiissimus, & prophetarum occisor captus à Babyloniorum rege tandem in principatum restituitur, & pietati studet prioribus mutatis moribus 332. per tot.
moritur relicto successore regni filio 332. g
Manasses Ioannis pont. fil. ducit vxorem Sanaballitis filiam Hicaso vocitatam 384. b
Manasses fit pontifex 401. b
Manasses trans Iordanem missus, vt toparchiam administraret 822. e
Mandra, locus 344. f
Mane, quę diei pars 4. c
Manethon Aegyptius historicus 1039. d
eius historię compendium 1039. 1040 1041. per totum
Manethon antiquitatem Iudęorum confirmat 1042. a
AEgyptiacam historiam se ex sacris literis interpretaturum professus 1052. a
eius historia emendata ibidem. & 1054. a
Manethonis mendacia confutata 1053. 1054. 1055. 1056. 1057. 1061. per tot.
Manna qualis cibus 72. g
Mannęus Lazari ad Titum profugit 941. a
Manoches Zelotypus Sampsonis pater angelum excipit 160. a
Mar locus cur sit vocatus 70. c
Mara quid significet 163. e
M. Agrippa. vide Agrippa
Marcus Alexandri Alabarchę fil. 673. e
M. Antonius. quęre Antonius
M. Anton. Iulian. procurator Iudææ 956. f
Mardochæus dux Iudæorum Babylone deducendorum Hierosolyma 363. f. 367. d
Mardochæus Esteræ patruus 374. b
regi insidias prodit 374. g
Iudæorum calamitatem Estheræ indicat 376. c
afficitur summo honore 379. b
Amanis potestatem & bona accipit 380. b
Mare rubrum Iudæis transitum concessisse, & Pamphylium Macedonibus 67. e. 68. b
Mare vas templi cur sic dictum 261. b
& quam fuerit capax, eiúsque vsus ibid.
Marcone Græcis Samaria 285. a
Maresa vrbs 283. a
Mariæ Eleazari filiæ facinus horrendum comedentis filium 955. a
Mariamne Agrippæ filia 628. a
Mariamne Alexandri Aristobuli & Alexandræ filia, vxor Herodis 512. b
occiditur à marito 550. b
Mariamne Alexandri filia, vxor Herodis A .t patri 729. d
eius insolentia in maritum 750. a
occiditur 750. g
Mariamne ab Archelao marito transit in thorum Demetrij Alexandrini 693. f
Mariamme Moysis soror 56. b
moritur 109. f
Mariammes turris descriptio 914 g
Mariammes turris descriptio 914. g
Marisa ciuitas deuastatur 732. d
Marsonane, mensis 9. a
Marsus Syriæ pręficitur 676. e
defert Agrippam Claudio Cæs. 677. d
excipitur ab Agrippa, cui fit exosus 678. e
Marsias Agrippæ libertus 630. b
Tiberij mortem patrono suo nunciat 636. d
Marthace Archelai mater moritur 605. e
Marullus pręses Iudææ constituitur 637. c
Massabazanes quid 84. e
Massadæ castelli descriptio 887. f
Massatæ castelli situs descript. 986. g. 987. a. commeatus & apparatus qui decem millibus virorum sufficerent 988. c
Masnemphthes pileus 84. e
Masphatis ciuitas, & quid significet 171. g.
Matathias Asamonæi filius occidit Bacchidem, & duces expellit Iudæa, ac moritur 709. b
Mathanes Balis sacerdos trucidatur 313. b
Matthias Anani fit pontifex 676. e
priuatur sacerdotio 678. f
Matthias Apsalomi, vir strenuus 441. d
Matthias Ioannis filius sacra prophanare renuit, verámque religionem fortiter tuetur 410 g. 411. per totum
instructis filiis moritur 412. d
Matthias Margaloti seditionem mouet 596. a
exuritur viuus 597. e
Matthias Margali sophista 772. b
Matthias pontifex mittitur vt Simonem Gioræ Hierosolymam introducat 898 a
Matthias Theophili constituitur pōtifex 589 c. priuatur eo munere 597. c
Matthię Boethi mors crudelissima 938 c
Maxilla, locus 161. g. 162. a
Mazaca ciuitas 13. b

Madabenses Amaræi, Ioannem Gaddin interficiunt 428.c
expugnantur ab Hircano 450. d
Medimnus Atticus & Siculus 100.b
Medi populus 13. a
Medi quòd in Asia regnauerunt Græcis cogniti 1058. f
Megassari facinus audax 935. b
Megasthenes historicus 1045.b
Mela legatus Archelai ad Herodem 575. a
Melcha Aranis filia 15.d
Melcha Sauli filia datur nuptum Dauidi, marito periclitanti succurrit 190.f 192.b. datur alij nuptum 202.a
ridet maritum 220. d
Melchisedecus rex Solymę Abrahamum conuiuio excipit 18.d
Meliis imposuit Pseudalexander 783.e
Memnonis sepulchri descriptio 790.g 791. a
Memphibosthus Ionathę filius humanissime à Dauide habitus 223. c
delatus Dauidi occurrit victori 237.a
Memphitarum deditio 724. c
Menander Ephesius singulorum regum actus apud Græcos & Barbaros conscripsit 1042. g
Mendæ ciuitas 335.d
Menedemus Philosophus 396.d
Menelaus, qui aliàs Onias, Simonis filius propter amissum pontificatum deficit à patriis legibus 408. d
abducitur captiuus & occiditur 421.c
vide Onias
Mensa tabernaculi 83. b
Mensæ à Ptolemæo Philadelpho Iudæis donatæ descriptio 403.d
Mensis anni primus Moysi quis & cur 9. a
Mensuras quis excogitarit 7. c
Meroë vnde dicta 58. f
Mesas, Mesanæi 15. a
Meschus, Meschini 13. b
Mesopotamiæ difficilis transitus 24.f
Mesre, Mesræi 13.f
Mesræi filij quibus populis nomina imposuerunt ibid.
Messala rhetor patrocinatur Herodi 493. g
Messalina à marito Claudio Cæs. ob zelotypiam trucidata 694. a
Methir, tunica pontificalis 84. f
Metilius præfectus à cæde reseruatus 813. d
Metilius Romanorum præfectus legatos mittit ad Eleazarum ibid. b
Michæas propheta, vulnerare ipsum nolenti male ominatur, 292.e
Achabo malum nunciat, quare in carcerem coniicitur ibid. g
Achabo interitum prædicit 294.d
Michæas propheta 336. g
Michole vxor Dauidis. vide Melcha
Milesius arcis Damasci præfectus quomodo Philippum Grypi filium tractarit 462. a
Militis cuiusdam facinus contra senatum Romanum 792. g
Militis Rom. impudentia quantam cladem Iudæis dederit 691.b
militis Mosaicos libros discerpentis pœna ibid. c
militiæ qui non commodi 129. f
& qui ab ea immunes ibidem. g
& seq.
Mina quantum pendeat apud Iudæos 478. c
Minæus Aegypti rex, Memphis conditor 268. f
M. Minucianus 660. a. 671.e
Misael appellatur Misaches 346. a
Misas Moabitarum rex propter negatum Ioramo tributum quò necessitatis peruenerit 300. c
Misenum oppidum 652. c
Mithridates ærarij Cyri præfectus 358.b
Mithridates occisus 473.b
Mithridates Pergamenus Pelusium expugnat & Aegyptios vincit 480. b
eius gesta 714.a
Mithridates quomodo ab Anilęo tractatus, quomodo ab vxore, déque eius victoria 648.d. per tot.
Mnaseas Gręcus historicus 1051.a
Moabitæ penitus fracti à Dauide 221.d
Moabitæ & Ammanitæ socij, mutuo sese interimunt 298.e
iterum sternuntur & prædantur 301. d
Moabus, Moabitæ 21. a
Molonis mendacia de Iudæis 1061. d
Monobazus Bazeos Adiabenorum rex quomodo Iudaismum sit amplexus 685. c
eius regnum 920. c
Monobazus Monobazi filius prorex constituitur 684. f
rex fit 689. e
Mons Samaron, locus 281.b
Montem in alium locum deuolutum 319. f
Mortem præter Dei voluntatem non venire 132. b
Moses, qualis fuerit vir 3.
Moysis natiuitas 55.a
quomodo seruatus 56. b
cur sic vocatus ibid.f
adoptatur à regina 57. b
Moyses diadema regium pedibus calcat ibid. c
præficitur exercitui Aegyptiorum & Aethiopas bello vincit 58. b
ducit Tharbin vxorem 59. b
fugit Aegyptios ibid. c
Raguelis filiab. opitulatur contra pastores, ex quibus vnam ducit vxorem ibid. f. conspicatur rubum ardentem in Sina 60. b
confirmatur ei liberatio Israelitarum 61. f
edit miracula, nomen Dei cognoscit, redit in Aegyptum ibid.
edit prodigia apud Pharaothem 61.f 62. 63.
educit Israelitas ex Aegypto, & quantus eorum numerus 65.b
cuius ætatis fuerit cum eos educeret ibid. e
traducit eos per mare rubrum incolumes 67. d
aquam amaram facit potabilem 70. 71. a. coturnices & manna impetrat à deo 72. e
ex petra aquam elicit 73. f
cum Amalecitis pugnat 75. b
decem pręceptorum tabulas à deo acceptas populo exhibet 96. g
quadraginta diebus in Sina detinetur 97.c. Aaroni fratri sacerdotium confert 87.e
dedicato templo victimas offert 89.a
in tabernaculo Deum consulit 90.f
tribum Leuiticam Deo dedicat 94.a
censet omnes tribus præter Leuiticam, & ordinat profectioni bellóque necessaria 96. f. mittit exploratores in Chananæam 98. d
Coræ factionem compescit 104. d
eius iustitia 106. f. lustrat populum 109.g. Sehonem & Ogem reges delet 11. per tot. Madianitas cum suis regibus cædit 117. c. Iesum sibi designat successorem ibid.g
moriturus quid suis prædixerit 119.b
quas leges præscripserit 120. f
vsque 136
exhortatur Iesum vt in Chananæos exercitum ducat 131.e
nube circundatus dispatuit 132.d
lugetur triginta diebus à populo ibidem f
Moyses fabulosè dicitur fuisse leprosus 84.d
vir admirandus 99.f
Moysos quinque librorum scopus 1036.f
Moses apud manethonem prius Osarsiphus sacerdos Osireos dei Heliopolitani dictus 1053.g. 1054.g
Moses Aegyptiis vir diuinus habitus 1056 d. eius tempora quibus vixit descripta ibid.
eius virtus & gesta 1070.1071. per totum
Mosollani Iudæi nobile factum 1049.f
Mucheus fert sententiam contra Vasten regem 373.f
Mulierum potentia 361.f
Mundi & vniuersorum creatio 4.b
Mundum prouidentia dei regi 355.a
Mundus quomodo Paulinam constuprarit 622.f
Murus trigintanouem stadiorum cum tredecim castellis circum Hierosolymam triduo ædificatus 937. b
Musicorum instrumentorum Dauidis regis descriptio 242.g
Mutiani & cæterorum rectorum petitiones 895.g
Mutianus Romam ingreditur cum exercitu 902.g

N

Naamis vxor Abimelechi Bethlemitæ & quid significet 163.c
quomodo Ruthem instituerit 164.b
Naases Ammanitarum rex Hebręos crudeliter tractans à Saulo occiditur 178. b
Naases iunior Ammonitarum rex iniuria afficit Dauidis legatos 223 f
Nabaotes, Nabatæa regio 22.c
Nabalus vecors & malus conuiciatur Dauidi 200.g
quid significet 201.c
moritur ibid.f
Nabla, instrumentum musicum 243.a
Nabrodes, qualis vir 11. f. 14.b
Nabuchodonosorus rex Babylonis bello infestat Nechaum Aegypti regem 335.d
Ioacimum occidit, & Hierosolymitanorum præstantissimos Babylonem abducit 337. d
duces eius qui vrbem Hierosolyma ceperunt 341.b
quomodo captum Sedeciam tractarit 342.e
Hierosolyma penitus excindenda, & templum spoliandum, populúmque Babylonem traducẽdum curat 342. a
Cœlen Syriam ac Aegyptum perdomat 345.c
Iudæorũ nobilium quorundam pueros instituit & castrat ibid.f
somnium, cuius erat oblitus, vult sibi indicari & explicari, quod facit Daniel 346. f. moritur 349. c. gestorum eius repetitio 350. d. posterorum eius finis 352.a
Nabuthus propter negatum regi fundũ lapidibus obruitur 289.d
Nabuzardanes mittitur Hierosolyma ad templum spoliandum 342.a
Nacebus Arabum dux cæsus 571.e
Nachores Serugi filius 15.c. quot habuerit liberos ibid.

Nadabus Hieroboami filius accipit regnum paternum cum paterna malitia, occiditúrque cum omni familia 282. d
Naim vicus 894.d
Nais à Caine condita 7. d
Nais vicus 691. e
Narbathæ regionis situs 799. f
Narbathene toparchia à Cestij equitibus vastata 818.a
Nasamones quomodo Romani subiugarint 807. d
Nathan propheta 220. e
mittitur ad Dauidem increpandum 226. e. indicat quomodo Adonias sibi regnum vsurparet 247.c
Naumi prophetia de excidio Niniuitarum 321. a
Nazaræi deo deuoti 109.b
Necessitate in bello nihil pugnacius 839. g
Necessitate laborantes subleuare, homini decentissimum & deo gratissimum 205. e
Nechias qui & Pharao Saram rapuit 928. f
Nechaos Aegypti rex contra Babylonios proficiscens impeditur à Iosia, quem occidit 335. e
captiuum abducit Ioacum filium eius 336. a
Nechaum bello petit Nabuchodonosorus 336. c
vincit ibid.
Neemias quantum iuuerit Iudæos apud Xerxem 371. d
Neerda vrbs 644.c
Nemrod. vide Nabrodes
Nephani singulare certamen cum fortissimo Palæstinorum 242. e
Nephthalimi natiuitas 30. f
filij eius 52.c
Nephthalitarum sors 142. a
Neronis gesta & præcipue contra Iudæos 795. g
Neronis imperium quandiu durauerit 893. b
Nero contemptor nationis Iudæorum 968. e
Nero indignatur ob res minus prosperè gestas in Iudæa 830. a
Vespasianum ad regendos exercitus in Syriam mittit ibid.c
Nero. quære Tiberius & Domitius
Neronias dicitur Cæsarea Philippi 658.f
Neruis cur Iudæi abstineant 33.c
Netiræ & Philippi fratrum fortia facta 844. e
Nicanor perfidus contra Iudam Macchabæum pugnans, cum suo exercitu victo extinguitur 423. f
Nicanor amicus Titi sagitta vuln. 920.g
Nicaule regina Aegypti 269. b
Nicolaus Damascenus Iudæorum patronus 398. e
Nicolai Damasceni historia de Herode culpatur 563 c
Nicolai Damasceni legatio nomine Herodis ad Cæsarem 575.g
sententia de duobus eius filiis damnatis 578.f
actio contra Antipatrum Herodis filium 591.c
patrocinatur Archelao 604. e
Nicolaus Damascenus rerum Iudaicarum scriptor 1065.
Nicolai rhetoris oratio pro Iudæis Ionicis 550.g
Iudæos coram Cæsare arguit, & reges purgat 782. f
Nigro Peraitæ qui Idumæam regebat, à Iudæis mandatum vt ducibus pareret 822. d
Niger Idumææ rector in Salis oppidum Idumææ confugit 831. f
iterum fugit 832. a
Niger Peraita, Silas Babylonius, & Ioannes Essenus, duces Iudæorum contra Romanos 831. b
quomodo occisus 885.c
Niglisar Abolamarodachi filius regnum paternum accipit 350 d
Nilus fluuius 5. d
Nilus vsque ad Elephantinem nauigabilis 894. b
Ninum quis condiderit 14. f
Ninus regia Assyriorum 330. d
Nisan, mensis 9.a. 64. g. 93.a. 366. f
Nisibis regio 687. e
Nisibis vrbs 644. d
Noba oppidum sacerdotum 195. a
excinditur cum vniuersis habitatoribus 196. f
Nobilitas generis nulla inter Iudæos 104. f
Nobilitatem generis vnde Iudæi discernant 989. a
Noë vel Nochus vir pius sceleratorum commercia fugit 8. c
Noe quomodo arcam construxerit & è diluuio sit seruatus 8. e
eius filij quales 11. d
vini vsus repertor inebriatur 14. e
Norbani interitus 661. e
Nubis supra tabernaculum præsentia quid significarit 97.b. 99.c
Numidius Quadratus Syriæ procurator 692. b
& eius gesta 795. c
Nymphidius homo nequiss. 893. c

O

Obadamus arcam hospitatur 220.a
Obedes filius Bozi & Ruthes 164. e
Obedias, iumentorum Achabi curator, vir pius, prophetas liberat 286. e
quomodo vxor eius vidua per Elisæum sit à debitorum molestiis liberata 302. b
Obelas propheta captiuos Beniamitas & Iudæos liberat 312.a
Obedas seu Obodas Arabum rex 566.b
superat Alexandrum Hyrcani 714.d
Ochobatus militum Ionathæ dux 293.f
Ochosias Achabi fil. regnum paternum accipit 295. f
ex casu moritur 299. b
Ochosias Iorami fil. paternum regnum recipit 307.g
sagitta ictus ab Ieu perit 309. e
cognati ipsius interimuntur 310.f
Octauia Claudij Cæs. filia 694.a
Officiosi quando plerunque sint homines 105. e
Ofilius Phasaelum monuit de insidiis cauendis, & iuuat eum 495. f
Oges rex excinditur 111. e
quantus vir fuerit & quanta eius ditio ibid.
Olda prophetissa vaticinatur Iosiæ regi 334. b
Oliueti mons 695.e
Olurus vicus 894. b
Olympus ad Cæs. mittitur 760.c
Olympius Iupiter 652.e
Onias & Dositheus Iudæi duces liberauerunt Alexandriam 1064. c
Onias Iaddi filius patri in pontificatum succedit 386. g
Onias Oniæ fil. templum in Aegypto ædificat 433 a
Onias Oniæ fil. pontifex quanta mala fecerit Hierosolymis propter Tobiæ filios ciuitate eiectos 708.e
Oniæ, filij Simonis amicitia cum Ario Laconum rege 407.c
Menelaus dici voluit 488.c
vide Menelaus
Onias Simonis Iusti fil. pont. 392. a 401.b
Onias alius pont. 407.a
Onias Simonis pontifex à Ptolemæo rege Aegypti impetrat locum condendo magnifico templo 996.a
Oniæ pro Cleopatra regina bellum suscipientis gesta 1064
Onias, vir iustus qui pluuiam precibus impetrarat, lapidibus obruitur 470. d
Oniæ regio 480.d
Ophnes scelestus filius Elis 164. f. 165.a
Ophres Abrahami filius occupat Libyam 24.d
Opobalsamum vbi & quomodo prouentiat 473.b
Optimatum administratio Hierosolymis qualis & quandiu 173. d. 367.a
Ordeum, frugum omnium vilissimum 154.e
Oribus rex occisus 155.b
Orientis totius nobilitatem præcipuam in Italia seruire 807.c
Orodes Artabani fil. Parthorum rex constituitur 620.g
Oseas rex Israelis constituitur, vir impius 323 a
viuus capitur ab Assyriis, & transfertur cum vniuerso regno Israelitarum in Mediam & persidem 324. g. 325.a
Otho imperator declaratus milites suos contra Vitellij exercitum duxit 893. d. 896. d
semet occidit ibid.
Othonis imperij termini ibid.
Otrus Armaniæ dominus 15. a
Oza attingens arcam exanimatur 219 g
Ozæ percussio, locus ibid.
Ozias Amasiæ fil. regnum Iudæ patre mortuo capit 317. g
natura bonus & gnauus multis deuictis gentibus vrbem restaurat 319.a
deficiens à pietate lepra percussus moritur 319. f. 320. a

P

Pacorus rex Mediæ 688. a
coniugem & concubinas captas ab Alanis centum talentis redemit 985. c
Pacorus Parthorum rex contra Iudæos pergit 730.d
Pacorus Pacori regis pincerna explorat Iudæam ibid.
insidiatur Phasaelo 495.c. 730. g 731. a
& Herodi 731.g
rex Syriam occupat 494. d
occiditur 503. d
Patina Claudij Cæs. vxor 694.a
Palæstinæ situs, & eius gentis odium in Hebræos 66. a
Palæstinos Sampson vexat 161. c
Palæstinorum contra Hebræos expeditio & victoria 165. b
arcam è suis finibus remittunt Hebræis 170. c
Palæstini cum Iudæis præliantes nunc vincunt, nunc vincuntur 165. 166. 172. 173.
iterum bellum eis inferunt 187.d
cæduntur 189. d

denuo redintegrant bellum, sed infe licitèr 191. g
Cillanorum agrum inuadunt 197. g
Sauli ditionem inuadunt 199. a
eum cum filiis occidunt 208 e
Palæstinos Dauid superat 219. c
penitus subigit 221 c
Pallas Neronis libertus 696. f
palmarum fructus præstantia 619. a
palmira vrbs 268. f
pamphylium mare Macedonibus transitum præbuisse 68. b
panes propositionis 83. d. 93. f
panium, locus 541. c. 746. g
panij pulchritudo naturalis Agrippæ diuitiis accurata 860. g
pannychis concubina 757 g
paphlagones populus 13 c
papinius tribunus 655. c
pappus Antigoni dux quid contra Herodem gesserit 505. d. 739. c
occiditur 740. b
paradisi descriptio 5. b
parricidium quàm graue sit crimen 593. c
parthi Antigonum reducunt in regnum Hyrcanúmque cum Phasaelo captiuos abducunt 494. c. 496. a
Hierosolyma diripiunt 497. c
profligantur 503. d
parthorum mutabilitas 619. f
parthi Armeniam bello amittunt 625. b
paschæ institutio & celebratio 65. a. 93. a 136. b. 602. a
pasini castrum 15. a
patriæ causa nihil non faciendum 206. a
paulina quomodo à Mundo constuprata 622. f
paulinus Lupo in administratione Alexandriæ succedit 996. d
templum Oniæ penitus spoliat, & inaccessum facit ibid.
pausanias Cerastę fil. Philippi Macedonis interfector 383. c
peccata vnde maxime nascantur 184. e
pecoribus olim omnis barbarorum possessio constabat 60. b
pecuniam publicam nullam esse Iudęis, quàm sacram illorum templi 478. f
pecuniam votiuam vbi deposuerint Iudæi 644. d
pedanius legatus 760. e
pedanij equitis forte factum 952. a
pelusium vrbs 184. c. 894 b
pelusium capitur 480. d. 724. c
pentecostes festiuitate Iudæos iter non facere 450. b
pentecoste vnde dicta 778 g
peræę regionis descriptio 833. c
percussus in rixa quomodo vindicandus 128. a
persæ populus 14. f
persarum mos in bibendo 373. d
persarum lex de vxoribus ibid. e
Persarum contra Græcos expeditio 1034. e.
contra Aegyptios 1068. b
persæ in Asia regnauerunt 1038. f
persicarum rerum scriptores probatissimi inter se discordant 1035. a
pestis quàm sæua inuaserit Dauidis regnum propter recensitum populum 244. f
petephres liberaliter tractat Iosephum 39. f
petilius Cerealis proconsul Germanos ad sobrietatem coegit 975. e
petra magna, locus 198. g
petra, quæ olim Arce, ciuitas 110. b
petra, quæ Receme 117. e
petronius Aegypti præfectus Herodem iuuat famis tempore 536. c
petronius præses Syriæ constituitur 649. f
gratificatur Iudæis cum suo periculo 641. d
petronij epistola ad Doritas pro Iudæis 675. f
petronij aduentus terribilis ex Antiochia in Iudæam 790. e
petronius Iudæos adhortatur ad Cæsaris statuas recipiendas 791. c
phaceias Manaemi filius, patri in regnum & crudelitatem succedit, trucidatur 320. d
phaceias Romelię fil. vir impius, regnum Israelitarum occupat ibid.
Achazem oppugnat 321. d
phalec quid significet 15. b
phalegus Heberi filius ibid.
phanisus Samuelis filius è rure abstractus ad pontificatum 872. f
phanasus pontifex a seditiosis constituitur 700. b
phanuel locus cur sic dictus 33. c
pharaones cur Aegyptiorum reges dicantur, & quando sic appellari desierunt 268. f
pharaothes Aegypti rex Abrahami coniugem concupiscit 17. a
pharaothis duritas & malitia in Hebręos 61. 62. 63. 64. 65. per totum
dimissos insequitur 65. f
cum omni exercitu deletus 67. f
pharæ filij duo 52. b
phari insulæ descriptio 894. c
pharisæorum secta 442. d
autoritas 453. b. 463 e
pharisæorum secta qualis 585. f
pharisæi 617. c
pharisęorum existimatio 716. e
& quomodo se gesserint regnante Alexandra ibid.
pharmuthi mensis 64. g
pharnaces patrem Mithridatem Ponti regem occidit 473. b
phasaelus Antipatri fil. 723. d
præficitur militibus 725. e
superat Felicem 729. a
accusatur à Iudæis ibid. e
circumuenitur à Pacoro 730. g
occidit sese 731. e
phasaelus ciuitas 748. c
phasaelus, turris & oppidum 56[illegible]. a. 606. b 748. b. 779. b. 914. e
pherorę Antipatri filiò committitur cura commeatus 501. c
donatur ei caput Pappi præcisum 506. a
assequitur tetrarchiam 54[illegible]. b
Herodis filiam vnam respuit vxorem ducere 564 b
alteram eius ducit ibid.
Pheroras Antipatri fil. Herodem fratrem accusat ipsius filio 565. b
Salomen accusat Herodi 565 f
diffidet ficte cum Antipatro patris filio 585. c
moritur, & vxor eius accusatur veneficij 587 d
Pheroras Antipatri filius 723. d
quid gesserit 736. f
odit Herodis filios 754. g
accusat Salomen 755. c
seipsum prodit & reconciliatur Herodi 757. g
reijcitur ab eodem & moritur 764. f
Pherorę vxoris insolentia 763. e
Phiala lacus 8[illegible]0. f
Philadelphensium cum Iudęis dissidium 682. b
Philippus Ptolemęi Minnęi filius 723. g
Philippus Amyntæ filius cæsus 659. d
Philippus Antiochi Grypi fil. Syrię parti imperans Antiochum Cyzicenum superat 459 g. 400. a
cum fratre Demetrio pugnans totius Syriæ dominus constituitur 461. f
Philippus Archelai frater, quamobrem à Varo Romam præmissus 782. a
Philippus Herodis filius constituitur tetrarcha 599. f
succurrit fratri Archelao 610. b
portionem regni paterni consequitur 611 e
calumniatur à fratre Antipatro 767. c
Philippo Herodis filio quę regiones cesserint 782. [illegible]
Cæsaream ad Iordanis fontes & Iuliadem condidit 789. b
Philippus Herodis frater moritur, & quàm honestus fuerit vir 625. f
Philippus Iacimi filius Agrippæ copiarũ pręfectus 584. f
Philippus Iacimi filius Agrippæ præfectus 1001. f
quomodo in periculis seruatus, eiúsq; gesta 1003. a. 10[illegible]2 d
filię eius duę in excidio Gamalę seruatę 868 b
Philippi Macedonis interitus 383. d
Philippo viri amicorum committit Antiochus Epiphanes regnum & filij tutelam 419. b
regnum affectans afficitur supplicio 421. d
Philistinus, Philistini 14 c
Philo Iudęorũ legatus à Caligula repulsus 649 e
Philo historicus 1051. b
Philosophiæ tria genera apud Iudęos 784. g
Philosophi apud Indos Calani, apud Syros Iudæi dicuntur 1047 g
Philosophorum de Deo discordes sententię 1072. f
Philostephanus Ptolemęi Lathuri dux 457. g
Philostratus historicus 1045. b
Phineas sacrę pecunię custos 966. d
Phinees Zambriam occidit, & exercitui contra Madianitas pręficitur 116. f. 117. c
Phinees domus sacerdotio donatur 254. c
Phinees filius Elis pontificis malus 164. f
Phineeses legatur ad Rubelitas & Gadditas cum reliqua dimidia tribu 143. e. succedit patri in pontificatum 14[illegible]. b
Phison fluuius, & quid significet 5. c
Phœbus Agrippæ legatus à Iudæis interemptus 816 c
Phœnicibus pecuniæ amor Græcorum commercium fecit 1038. e
Phœnicum antiquissima rerum memorabilium traditio 1035. g
testimonium de Iudæis 1039. c. 1042. 1043. per totum
Phœnicum historiæ 1046. a
Phora quid significet 5. c
Phraates Parthorum rex humaniter tractat Hyrcanum 511. d
à suo filio occisus 619 f
Phraates Phraatis filius parentem occidit & matri miscetur, exul perit 619. f 620. a
Phruræa festi dies 5[illegible]2 d
Phryges populus 13. c
Phutes, Phuti 1[illegible]. g
Physcon Ptolemęi Epiphanis filius 488. a
Pilatus à Tiberio in Iudęam missus 789 c

Cæsaris imagines Hierosolymæ intulit ibid. quæ cum Iudæis Cæsareæ egerit ibid. Hierosolymis statuas iterum aufert ibid.f
Iudæorum tumultus propter Cæsa. imagines 789.c
tumultus alius ob Corban thesauru factum ibid.f
Pileus pontificis qualis 86.a
Pinea ligna ex terra aurea 271.a
Piso legatus Pompeij 473.f
Pistus nobilis defectionis à Romanis autor 1000.f.1005.c
Pitholaus Hierosolymorum præfectus 476.c.723.c. transfugit ad Aristobulum 477.b
occiditur à Cassio 479.d
Placidi & Iosephi velitationes circa Ptolemaida 1015.c
Placidus tribunus in exercitu Vespasiani 834.b.in Galilæam maximam multitudinem occ.dit 857.d
à Iotapata repulsus aufugit ibid.
quomodo Itaburium montem occupat 866.g
gesta contra Gadarenses 888.d
Platane, vicus Sydoniorum 760.f
Plato veritatem de deo proferre timuit 1071. f.1076. d. Mosen imitatus 1079.b
Plinthines situs 894.b
Plistorum apud Dracos secta 618.b
Polemon, Ponti regulus 673.d
Polemon circuncisionem admittit & Bernicem ducit vxorem 693.e
Politianus tribunus cur à Cestio Hierosolymam missus 803.c
eius oratio & gesta ibid.
Pollio Pharisæus Herodi amicus 510.b 541.f
Polybius Megalopolitanus historic. 1065
Polycrates Lacedæmoniorum nobilitatem fœdare tentauit 1051.c
Pompeius qualibus muneribus honoratus, & quæ gesserit 471.e
eius virtus 474.g
Pompeius Magnus Hyrcani & Aristobuli causam cognoscit 718.d
Hierosolyma capit 719.e.720.b
Q. Pompeius cos. 672.a
Pompeij malitia in oppugnandis Iudæis 808.d
Pondera quis inuenerit 7.c
Pontificis connubium & puritas 95.c
Pontificis ornatus qualis 84.b
Pontificis summi qualis electio 1073.c
Pōtifices Hierosolymis qua fraude creati sint 8;2 c
Pontificum & sacerdotum dissidium 696.c
Pontificum iniquitas 698.d.origo, & qui ad eam dignitatem admittantur, quóque fuerint ab Aarone vsque ad finē belli Iudæorum cum Romanis 700.a 701
Pontificum templi Solomonis enumeratio 342.f
Pontificatus quando primū ad plebeios translatus 475.d
Pontificatum solere perpetuum esse 513.e
Pontificiæ stolæ custodia apud quos fuerit 624.c
Pontificiæ stolæ custodia repetitur a Fado 682.d
Pontius Pilatus Iudææ præsidet 619.d
Iudæos afficit contumeliis 621.b.623.g
accusatur à Iudæis & redit Romam 624.a
Popedius 654.f
Poppæa Neronis vxor 697.e.999.d
Porcius Festus Iudææ procurator, & quæ sub eo sint gesta 696.e. quære Festus
Posidonij mendacia de Iudæis 1065
Prætoriani milites 668.d
Prætorij in castris Rom. descriptio 835.e
Prandium qua hora faciunt Iudæi sabbato 1020.d
Principes singuli dedicato tabernaculo quid donarint 90.d
Priscus centurio Ionatham Iudæum sagitta transfixit 953.a
Priscus sextæ legionis dux à Iudæis cæsus 820.
Procymatium vnde dictum, & quomodo extructum 538.f
Procymia 747.e
Prodigia excidium Hierosolymæ præcedentia 960.c
Prophetis & pontificibus solis potestas data historiæ condendæ 1036.a
Prophetico spiritu vbi multi sint correpti 192.f
Proseucha, domus precationis 1020.c
Protagoras ab Athemensibus vix mortem effugit 1079.f
Prouidentia dei mundū & omnia regnat 355.a
Pseudalexandri gesta 612.c
quomodo deprehensus ab Augusto & remex factus 613.d
vide etiam Alexander falsus
Pseudopropheta Hieroboami seductor 277.b
Ptolemæus Agrippæ & Bernices procurator a Ioanne Giscaleo spoliatus 824.f
Ptolemæus Epiph. moritur 407.g
Ptolemęus Euergetes Philopatoris filius quomodo ab Onia irritatus 401.b
& iterum reconciliatus ei per Iosephum 402.c
Ptolemæi Euergetis gesta post captam totam Syriam 1064.b
Ptolemæus Galilææ ab Herode præfectus interficitur 503.c
Ptolem. Herodis procurator 564.a
Ptolemæus Lagi Soter dictus Alexandro mortuo Aegyptum occupat & Hierosolyma 388.a
traducit Iudæos in Aegyptum 388.d
eius pugna cum Demetrio circa Gazam 1048.c
irruptio in Hierosolymam die sabbati 1050.d. liberalitas & beneuolentia erga Iudæos 1064.b
Ptolemæus Lathurus Ptolemæi Philometoris & Cleopatræ filius auxiliatur Samaritis 452.d
diffidens cum matre regno priuatur 452.g.456. obsidet Ptolemaidē 457.d. Asochim oppidum capit, Alexandrúmque Iamnæum vincit, & quanta eius sæuitia 458.a
Ptolemæus Menæus quomodo se à supplicio apud Pompeium redemerit 471.g.472.a
Ptolemæus Mennæus Damascum bello vexat 464.g
Aristobuli coniugem & liberos quomodo tractarit 480.a
moritur 494.d
Ptolemæus Minnæi filius 716.a
Ptolemæus Philadelphus r.
Iudęos in Aegypto seruientes liberos dimittit, & legem Moysis in linguam Gręcam magnis muneribus transferendam curauit 389. vsque 397
Ptolemęus Philometor Ptolemęi Epiphanis 408.a.f. occurrit suo genero Alexandro seu Demetrio 436.e
duobus diadematibus coronatur simul, vincitque Alexandrum, & moritur 438.c
Ptolemæi Philometoris & Cleopatræ vxoris liberalitas erga Iudæos 1064.c
Ptolemæus Philopator 398.g
moritur 407.g
Ptolemæi Physconis immanis crudelitas & iniustitia 1064.d
pœnitentia ibid.
Ptolemæus Simonis Asamonæi gener socerum occidit, & alia scelerata committit 710.f
quomodo oppugnantem Hyrcanum eluserit, cuius matrem & fratres interfecit 448.e
Ptolemæi dicti Aegypti reges 222.a
Ptol. vnde Alexandrini reges dicti 269.a
Ptolemais bis expugnata 458.c.f
Ptolemaidis situs descriptus 790.f
Ptolemais duo millia Iudæorum apud se habitantium interfecit 815.d
Ptolemaidenses à Iuda Macchabæo victi 416.f
Puellarum hæreditas 125.a
Pueri sitientis astutia & fallacia contra Romanos 961.b
Puerperarum purgationis tempus 95.a
Purgatio post coitum cum vxore 94.d
Purificationis leges 94.a
Puteoli vrbs 652.c
Putei bituminis 18.a
Putiphares. vide Petephres
Pythagoras Samius æmulatus Iudęorum scripta 1046.f
multas Iudæorum leges transtulit in suam philosophiam ibid.
Pythagoræ & aliorum stoicorum de diuina natura sententia 1071.e
Pythium templum ædificatur 560.b

Q

Quadrigæ solis sublatæ à Iosia 334.g
Quercus Mambre 20.a
Quercus Ogis 19.b
Quinquagesimi anni remissio 96.b
Quintiliæ fortitudo 655.a
Quintilius Varus Syriæ præfectus 602. c. cognoscit causam Antipatri 590. vsque 594. & inde seditiosos Iudæos expugnat 609.b
Quirinus ab Augusto mittitur ad censendam Iudęam & Syriam 616.b

R

Rabatha ciuitas 111.f
Rabatha capta diripitur 228.b
Rachabe speculatores Hebræorum tuetur à vi Chananæorum, & securitatem ab hostibus impetrat 135.a
incolumitatem promissam recipit, & munifice donatur 137.a
Rachelis pulchritudo 29 b
æmulatio erga sororem 30 f
mariti complexum sorori vendit, furatur idola patris 31.a
eius astutia 32.d
mors ex partu 34.c
Ragaus Heberi filius 15 c
Raguel. qui & Iethegłæus, sacerdos, filiam suam Moysi adoptato tradit vxorem 60.a
Moysi ob victoriam gratulatur, & consilium dat ei distribuendorum officiorum 97.c
Ramatha ciuitas 165.b
Rabsacis Senacheribi copiarum præfecti insolentia 328 c
ipse cum exercitu diuinitus deletus 330.d
Rases Damascenorum rex Achacem bello petit 321.d
quem mox Syrorum rex impugnat ib. & occidit 322.d
RebeccaBatuelis filia 25.f. petitur in con-

nubium Isaco 24.c
parit geminos 26.d
fallit maritum 27.c
Receme vrbs quæ aliàs Petra 117.e
Recemus rex ibid.
Repudij libellum mittere maritis non vxoribus ex lege permissum 532.d
Rex quis & qualis sit 123.b
Regis potentia 361.c
Regum imperium quamdiu durauerit apud Iudæos 367.b
Regum virtutes præcipuæ quæ 251.d
Regibus non licet esse ignauis 206.d
Regibus subditi quæ ferant 173.g
Rhegines populus 13.c
Rhinocolura 733.d
Rhiphates, Rhiphatæi 13.c
Rhoa petra 149.c
Roboamus Solomoni in regnum succedit, insolens in populum 274.f
decem tribus regni amittit 275.f
quot & quas vrbes condiderit 278.b
item arma comparauit, fœderibúsque suum auxit regnum, & ductis xviij. vxoribus liberos gignit, ádque impietatem deficit ibid.
dedit vrbem Susaco 279.d
pro aureis scutis amissis ęrea substituit & moritur ibid.f
Roma sub Vespasiano creuit & floruit 975.a
Romanorum in Iudæos beneficia 398.c
Romani quibus honorib. & beneficiis Iudæos affecerint 485.e. & indé
Romanorum dissidium inter se 427.b
Romani Germanos captiuos vbiq; circunduxere 807.a
Romani in præsidio Massadæ interfecti à Iudæis 809.f
Romanorum stratagema in oppugnando templum 820.a
Roman. quot millia à Iudæis cæsa 821.f
Romanorum quantus fuerit exercitus contra Iudæos 834.e
ipsorum castrorum descriptio 835.c
Romanorum industria in seruis domesticis instituendis 835.a
disciplina militaris 999.e
Romani omnia, præter Giscalam, ceperunt 865.a
Romani muro Hierosolymæ potiuntur, eiúsque partem maximã diruunt 913.d
cum Iudæis acriter confligunt ibid. & 625 d.
alterum murum capiunt 925.d
Romanos sancta Iudæorum reuereri 927.f. per legem Iudæorum multa de suis moribus derogasse 930 d
illacrymasse incendio Hierosolymæ 933.c. ab incendio defendunt 935.c
Hierosolymam capi desperant 936.d
Romani intra xxi. dies aggeres extruunt 942.c. pugnant cum Iudæis circa aggeres 943.f
Antoniam magna pugna obtinent 846.c. circa custodias pugnam atrocem instaurant 950.d
Romanorum notitia sero ad Gręcos peruenit 1038.g
Romus, Romæi 14.b
Rooboth puteus 26.f
Rubelitæ & Gadditæ altare construunt super ripa Iordanis 143.c
Rubelus, aliàs Ruben nascitur 30.e
eius pietas in fratrem Iosephum 38.c
se ac fratres proditionis insimulatos excusat 45.b
eius filij quatuor 52.a
Rubrius Gallus Sarmatas superat 976.b
Rufus magister equitum 779.e
Rufus præfectus militum Archelai 607.b
Ruta mirabilis magnitudinis in regia Machæruntis descripta 981.a
Ruthes amor erga socrum suam, & eius fortuna 163.f.164.a

S

Saba Aethiopum regia, quàm valida vocatur postea Meroe 58.b
Sabæus seditiosus persuadet decem tribubus defectionem à Dauid 238.b
Sabas, Sabæi 14.a
sabathes, Sabatheni ibid.b
sabactas, Sabacteni ibid.
sabathes Commentariensium princeps 241.f
sabba mensis 110.c
sabbæus orator supplicio addicitur 434.c
sabaticus annus 486.f
sabbaticus amnis à Tito spectatus 976.c
sabbatum & eius vacatio à laboribus seruatur 4.f.719.f
sabbatum magno malo obseruatum 411.d. negligendum aliquando ibid. & 428.d
sabbion Alexandram Herodi prodit 321
sabecus exercitus Syrorum præfectus vulneratur & moritur 224.g
sabinus procurator Syriæ Hierosolymis regiam occupat 603.a
vexat Iudæos propter auaritiam suam 779.f
sabini Syri forma, habitus & fortitudo insignis 945.d
sabinus Romæ capitolium nocte occupans occiditur 902.e
sabuchadus eunuchus indicat regi, crucẽ in Amanis ędibus extructam pro Mardochæi suspendio 379.g
sacchęus transfuga Iosepho prodit insidias Ioannis 1017.b
sacerdotis sacrificaturi habitus 84.b
sacerdotum castitas & connubium 95.e
sacerdotum & pontificis cum eorum vestitu & insignibus descriptio 918.e
sacerdotum immunitas 53.b
sacerdotum mos Hierosolymis 898.d
sacerdotum nobilitas apud Iudæos 1036.a
nuptiæ ibid.
sacerdotibus quæ cedant 109.a
sacrificiorum genera quibus fiant modis 90.91.92 93 94 per totum
sacrorum scribæ 54.e
sadæus Xerxis præfectus 371.e
sadocus pontifex constituitur 222.g.241.f.250.e
saddocus nouas res molitur 616.c
sadducæorum secta 442.d.617.c.784.g
salampso Herodis filia 627.f
salmanasar Cuthæos in Iudæam transfert 345.e.364.g
salmanasaris contra Israelitas vict. 359.a
salome, aliàs Alexandra, vxor Aristobuli, soluit vinculis fr. mariti defuncti 456.b
salome quæ Iuliæ Augusti coniugi testamento reliquerit 789.a. eius reditus erant sexaginta talenta 783.b
salome Antipatri filia 723.d. soror Herodis prodit Iosephum maritum suum fratri 517.b. alteri marito Costobaro repudij libellum mittit 532.b. odium exercet in Herodis filios & eorũ vxores 553.e 594 f. accusatur Herodi 566 b. Alexæ iungitur connubio 583.b
salome vxor Herodis moritur 619.a
salomon promittitur Dauidi successor & templi extructor 220.g
nascitur 227. g. instruit eum pater 246.b constituitur rex 248.a. quomodo regnum nactus se de hostibus sic vltus 254.b. regis Aegypti filiam ducit vxorem 255.c. petit à deo & accepit sapientiam ibid. e. controuersiam mulierum duarum diiudicat 250.d. toparchas quos habuerit & quantas diuitias sapientiámque ac philosophiam 256. f. coniurationes & incantationes composuit 257.f
eius cum Iromo amicitia & materiæ cædendæ petitio & concessio 258. 259. per totum. templum cum vasis quomodo extruxerit & arcã eò transtulerit 259. vsque 266. somnium videt & regiam extruit cum domo reginę 265. g. 266. quibus donis remunerauerit Iromum 1042. d
Hierosolyma muris & turribus instaurat & vrbes condit 268.c
ingentes thesauros ex Aurea terra & aliunde accipit 271.a
quali satellitio stipatus incesserit 10.g
quanta opulentia Hierosolyma auxerit 272.b
deficit à pietate, ac ducit vxores D C C. & concubinas C C C. 272.d
prædicitur ei filium ipsius pœnas pro se daturum ib. multis hostibus à deo excitatis infestatur 275.a
moritur Roboamo successore regni relicto 274.e
quo tempore ædificauit templum Hierosolymis 1042 b
Salpadis filiarum hæreditatis ius 118.f
Saltis regis gesta 1039.f
Saltus Libani, aula Salomonis 270.c
Samæas propheta Hieroboamo minatur 279.c
Samæas vir iustus accusat Herodem, & vaticinatur Iudæis mala imminentia 484.d
Samaræi populus 14.d
Samaria quæ Mareone vnde dicta 285.a
Samaria ab Hyrcano expugnata solo æquatur 452.e
Samaria vrbs. vide Sebaste 531.b
Samariæ regionis descriptio 833.d
& quid à Iudæa discrepet ib.
Samaritæ qui ante Chutæi 386.a
Samaritarum odium in Iudæos 36.b
accusantur apud Darium ib.c
Samaritæ Iudæos infestant 401.a
Iudæos se esse negant agentes feliciter 410.a
Samarita dissidium cum Iudæis propter templum 433.g
Samaritanorum facinus in festo Azymorum 619 a
Samaritanorum seditio 623.f
Samaritanorum & Iudæorum dissidium 691.d
Samosata capitur 738.e
Samosatæ ciuitatis situs 983.g
Sampsigeramus Emesinorum rex 678.d
Sampson quid significet, & quomodo natus 160.c
connubium & gesta eius 160.d
Samuelis natiuitas & prophetia 165.e
consilium de libertate recuperanda 111
Samuel senio grauatus filiis reip. administrationem concedit 171.d
Samuel propheta Saulum inungit regem 175.d. ostento indicat Hebræis deum iratum propter regem petitum 179.a
Saulum docet Amalecitarum internecionem 183.d
eidem regni amissionem nunciat 185.d. Dauidem vngit regem 186.e
moritur 200. b. ab inferis reuocatur per ventriloquam 204.e

Sana-

Sanaballetes Darij præfectus dat filiam suam Nicaso vxorem Manassi fratri Iaddi pont. 383.b
deficit à Dario, Manassi templum & sacerdotium cōfert, moritúrque 384.e
Sanctum, quæ tabernaculi pars 82.a
Sanctum Sanctorum ibid.
Sanagarus princeps Hebræorum 152.b
Sanguinis esus in erdicitur 11.a.94.b
Sapha, loci nomen 385 d
Saphanus scriba 333 g
Saphora oppidum 476.g
Sapientes qui Iudæis 703.a
Sappho vicus 781.b
Sara Aranis filia 15.d
Sara Abrahamo marito famulam adducit prolis procreandæ gratia 19.b
nunciatur ei partus sterili ibid.
expellit Agarem cum puero 22.a
moritur 24.b
Sarabazanes 365.b.366.d
Saramalla Syrus Phasaelo insidias indicat 731 d
Sarepta oppidum 285.f
Sareptanæ viduæ fiducia 225 g.226.a
Sardonyches xii. cum vestitu pont. 90 a
quibus inscripta sunt nomina filiorū Iacobi, in Effene 85.d
quæ virtus eis insit & quando cessarit 90.b
Sarmatæ Istrum transgressi præsidium Romanum & Fonteium Agrippam interficiunt 976.a
proximas regiones totas peruastant ibid.
Satum quantum capiat 305.g
Saturninus legatus 760.e.761.b
Saturninus Syriæ præses 571.c
eius sententias in filios Herodis 578.d
Saulus asinas patris quærens à Samuele rex constituitur 175.c.176.f
quàm decora fuerit statura 174.e
vincit Ammonitas 178.a
Palęstinos superat, & aram extruit 181.f. quot liberos habuerit 183.b
Amalecitas delet, & regi parcens peccat 185.a
regno exuitur 186.a
numine priuatur, & fit dæmoniacus 186.g.187.a. commouetur contra Dauidem 187.c. insidiatur vitæ ipsius 190.a.192.a. Dauidi reconciliatur 200.a
consulit ventriloquam 204.c
fortitudo eius 205.g.206.a
cadit vnà cum suis filiis in prælio 208.f. ipsius progenies datur ad suppliciū Gabaonitis 242.a
eius violentia 699.b
Scaurus Hyrcanum in societatem recipit, & obsidione liberat 471.c
cum Areta fœdus init 475.f
in Syriam præses missus 718.a
pecuniis corrumpitur ibid.
Aretam mulctat 721.c
Scenæ, locus 33 e
Scipio Alexandrum Aristobuli percutit securi 479.g
Scopas dux Ptolemæi Epiphanis 399.a
Scopi loci descriptio 908.d
Scythæ populus 13.a. à Græcis qui Pontum nauigant cogniti 1038.f. Anacharsim à Græcia redeuntem quare interfecerint 1080.a
Scythopolis ciuitas 141.g
Scythopolis ciuitas Decapoleos maxima 856. g
Scythopolitarum immanitas 1000.b
Scythopolitæ Iudæorum tredecim millia perfidiosè interficiunt 814.f
Scythopolitarum clades enarrata 992.c
Sebas fil. Ili, vnus fortium Dauidis 243.c
Sebaste conditur 476.f. olim dicta Samaria 452.b.531.b. expugnata & diruta 711.g
Sebasteni, equitum ala sub Cumano 795.a
Sebastenorum contumeliæ in mortuum Agrippam 680.a
Sebast. portus 768.d
à quo sic dictus 590.c
Sedecias Ioachimi patruus rex constituitur 338.b. eruditur ab Hieremia & Ezechiele, sed frustra ibid.c. expugnata vrbe capitur cum vxoribus & liberis, crudeliterque tractatur 341.c. moritur 343.a
ſedecias pseudopropheta cornib. ferreis sibi aptatis quid Achabo vaticinatus sit 294.g
ſehon rex negato Hebræis transitu, prælio vincitur & occiditur 111.a
ſeianus Neronis insidiās occiditur 632 d
Seir quid significet 632.d
ſelene, aliàs Cleopatra, Syriæ regina Tigranem offendit 465.a
ſelennarus Senacheribi filius patris interfector 330.e
ſelesinus Iabessi filius Zachariam Hieroboami occidit, & regnū occupat, quod trigesima post die amittit interfectus 320.b
ſeleucia vrbs à quo condita & denominata 649.e
ſeleucus Antiochi Grypi filius patri succedens cum patruo Antiocho Cyziceno belligeratur eúmque necat 459 g
vincitur ab Antiocho Pio, & in Cilicia cum amicis concrematur 460.a
ſeleucus Asiæ rex opes Iudæorum sacerdotio auxit 1087.a
ſeleucus Babylonem mortuo Alexandro occupat 388.a
ſeleucus Nicanor quos honores & beneficia Iudæis exhibuerit 398.b
ſeleucus Soter Antiochi magni fil. 406.f
ſemechonitis lacus descriptio 863.b
ſemeis conuiciatur Dauidi 230.e. eidem gratulatur victoriam & regnum 236.d
occiditur 255.b
ſenaar campus 12.c
ſenacheribus Assyriorum rex Hierosolyma & Ezechiam eorum regem oppugnat 328 a per totum, re infecta domum se recipit 329.e. à filiis senioribus occiditur 330.d
ſenacherib. rex Assyr. quomodo fugatus 929.c
ſenatus contra Claudium in Capitoliū conuenit 792.c
ſenatus Romani & plebis dissidiū 671.c
ſenis cuiusdam magnanimitas 503.a
ſenis cuiusdam seueritas 737.b
ſenius Gallus Syriæ præses 100.e
Cn. Sentij Saturnini oratio 664.e
ſephoris vrbs Galilææ 607.e.1016.e 1023.c. capta incendio absumitur 609.b.781.a
ſephoris cū tribus aliis ciuitatibus à Iosepho deficiunt & recuperantur 827.d
ſepphoris ciuitas Galilæę maxima 832.e
ſepphoritæ à seditiosis molestātur 1000.e
ſepphoritarum fides erga Romanos, bellum mouent suo malo 1027.d
ſepphoritæ à Iosephi militibus spoliantur, prædáque redditur 828.e
ſepphoritæ Ptolemaidem ad Vespasianū pacati veniunt 832.c
ſeptimus annus 711.c
ſeptimi anni remissio 96 b
ſeptimi diei obseruatio 719.f
ſeptuaginta interpretes legem tantū Iudęorū in Gręcā linguā transtulisse 2.d
ſeptuaginta interpretes legis trāsferendę causa ad Ptolemæum Philadelphum mittuntur 403.a. quomodo excepti & tractati 395.396 397. per totum
ſerebæus dux Iudæorum Babylonem deducendorum Hierosolyma. 363 g
Serpentis inuidia, & quomodo Euam seduxerit 5.d mulctatio 6.c
Serpentes volucres Aegypti 58.c
Serugus Ragai filius 15.c
Sethon qui & Aegyptus denominatus 1052 c
Sethus filius Adami 7.f. eius filij quales, & quas artes inuenerint ibid.
Sextus Cæsar præses Syriæ 483.d.725 g interficitur a Cæcilio Basso 488.f
Sextus Cerealis quintæ legionis præpositus 956.f
Sica qualis gladius, & Sicarij vnde dicti 697.a eorum impia facinora 698.e
Sicarij Hierosolymis palàm latrocinantur 597.c
eorum fraus ib.
Sicariorum in Massada crudelitas 887.f
Sicella loci nomen 202.b
donatur Dauidi à Saulo 203.d
diripitur & incenditur ab Amalecitis 207.a
Sicima vrbs 33.e
Sicima caput Samaritarum 386.c
Sicimæ captæ & solo æquatæ 157.a
Sicimitarum exitium ib.
Sicimitis parcit Saulus 184.c
Sicimitæ quid petierint ab Alexandro Magno 386 d
Siclus numus qualis 83.c
Sideralis scientiæ quis inuentor 8.a
Sidonius, & Sidon vrbs 14.c
Sidonij materiam præstant Iudæis ad templi ædificium 364.c
Signi dandi autoritas penes quos Romæ 666.c
Sila militib. Agrippæ præficitur 675.d
offendit Agrippam 676.f
occiditur 679.f
Sila Tiberiensium dux 1005.c.1019.f
Silas Iosepho de insidiis & perfidia Ioannis Giscaleni scribit 826.c
Silo dux Roma. exercitus 500.a.734.e
corruptus deprehenditur 500.c. 735.d
Silus vrbs 140.d
Simeonis natiuitas 30.e
vindex ingenium, filij sex 52.a
Simeoni quæ terræ portio cesserit 141.e
Simeonitidis tribus facta post Iesum mortuum 145.c
Simonis Asamonæi filij gesta 710.d
Simon Boethi filius pontifex constituitur 537.c
priuatur sacerdotio 589.c
Simon Camithi annuum pontificatum administrat 619.c
Simon Canthara constituitur pontif. 675.c. priuatur eo 676.c
Simon Cyprius, magus 693.d
Simon Essæus Herodi somnium explicat 614.b
Simon Galilæus defectionis arguitur 784.g. propriæ sectæ sophista erat ib.
Simon Gamalielis filius struit insidias Iosepho 1013. d. capitur à Iosep. 1024.a
Simon Gioræ filius Romanos apud Bathoron inuadit 819.a
Acrabatenam toparchiam tyrannide opprimit 829 a
cum latronibus qui erant Massadæ, Idumæam populatur ibid.b
ex Acrabatena toparchia pulsus est ab Anano pontifice 894. a. eius gesta ibidem & 895.896. 897. 904. 905. per totum 914 g. 920. a. 931.f. 932.g. 9.8. e. 846. c. 962. 963. 964. 965. 906. 967. 968. 969. 970. 971. per totum
Simon Herodis seruus regnum affectans obtruncatur 607.g.608.a

Simon Iustus pontifex 392.a.401.b 407.d. eius filij tres, omnes pontifices 408.c
Simon Matthes Matthæi fil. 410.g strenuè iuuat fratrem Ionatham 429.a. & f
Simon Matthiæ Ioannis filius præficitur exercitui, mittitur auxilio Galilæis & hostes vincit 416.e
Simon quidam Essenus Archelai somniorum interpres 784.c
Simonis filij Cathlæ oratio ad pontifices 880.b
Simonis Sauli filij & totius familiæ suæ fatum miserabile 814.f
Simonias vicus 1007.c
Sina mons 60.b.95.c
Sinæus mons 288.d
Sinæi populus 14.d
Sis, nomen cliui, & quid significet 298.c
Sisa Dauidis fit Scriba 222.g
Sisines Syriæ ac Phœnices præfect. 358.c conatur templi ædificium inhibere 359.c
Sobacchis Chetthræus strenuè pugnans contra gigantes victoriam reportat 242.d
Socratis mors & mortis causæ 1079.e
Sodomitarum felicitas, reges & prælia cum Assyriis 17.e
excidium ipsorum 20.c
Sodomiticæ terræ descriptio 892.f
Sogana Arabum vicus 1019.c
Sogane & Seleucia rebellant 863.b
earum situs ibid.
Sohemus Ituræus Herodis mandata vxori eius aperit 527.g
interficitur 529.g
Sohemus rex Emesæ contra Antiochum 984.a
Solomona mater nobilis septem puerorum 1095.f
eius animosa oratio ad Iacobum filiũ natu minimum 1096.c
Solomonæ matris Macchabæorum laudes 1097.1098.& seqq. eius immania supplicia & insignis toleran. 1099.1100
Solyma quæ Hierosolyma 18.d.218.d
Somnia cur deus immittat 43.g
Sophaces vnde dicti 24.e
Sophira regio 269.f
Sophistæ concitant tumultum 772.a
Sosius prouinciam cum exercitu ab Antonio accipit 504.d. Antigonum supplicem factum irridet & vinctum custodit 507.d
Hierosolymis discedit 508.a
quomodo se gesserit in expugnandis Hierosolymis 740.d
Spadones abominandos 129.b
Spasini castrum 684.b.685.a
Speluncæ Galilææ quomodo expugnatæ ab Herode 502.d
Speluncæ latronum quales fuerint 736.g
Stola pontificia quando fuerit deprompta & à quibus custodiat 544.c
Stratonis turris, postea Cæsaria 535.a 695.g.696.a
ædificatur 538.c
Stratopedum munimentum incensum 812.d
Subditi quomodo contineantur in officio 537.g
Supplicandi mos apud Syros 292.b
Susa scribis præficitur 241.f
Susacus Aegyptiorum rex Hierosolyma spoliat 222.c
contra Roboamum ducit exercitum 279.b Hierosolymam in deditionem accipit, templúmq; spoliat ac thesauros Solomonis aufert 279.d
& quomodo imbelles notauerit ibid.
Syllæus ambito Salomones connubio frustratur 566.e
latronibus Trachonitis auxiliatur, & creditam pecuniam Herodi reddere non vult 570.f.571.d
defert Cæsari Herodem 571.g.572.a
accusatur apud eundem per Nicolaũ, & damnatur capitis 576.b.577.b
iterum accusatur 586.g.587.a
Syllæus procurator Obodæ 755.c
Syene puteus 26.g
Syria subditur Dauidis imperio 212.b
Iudæos apud se habitantes occidit 992.d
Syrus Mesopotamiæ rex vincitur 224.e
Syri populus 15.a
Iudæorum ciuitates vastant 813.g
Syrorum cædes 817.g
Syrorum cum Græcis dissidium & reconciliatio 649.g.650.a
Syrorum cum Iudæis dissidium 696.a
Syrorum vici & ciuitates enumeratæ quę à Iudæis vastabantur 813.g
Syrorum auaritia & crudelitas 940.a
Sysares dux Iabini exercitus quomodo occisus 153.b

T

Tabernaculi vasorum descrip. 82 83
Tabernaculi institutio & extructio 98.e
eius interpretatio 86.f
illustratio 88.c
Tabernaculo dedicato quæ dona principes singuli contulerint 90.d
Tabernaculi perfectionis modus 96.g
Tabernaculorum festiuitas 92.d
Talentum quot minas contineat 83.c
Tanis Aegypti vrbs 17.d
Tarichearum situs 857.f
Tarichearum incolæ quingenti & sex millia ceciderunt 862.b
Teglaphalassar Assyriorum rex quomodo Israelitas tractarit 320.e
auxiliatur Achazæ contra Syros 322.d
Tempestatis horrendæ descriptio 881.a
Templum in Garizin extructum 383.f. 386.f
Templum Chuthęorum Garizin quando desolatum 450.d
Templi structuræ apparatus 259.a
exordium & tota cum vasis descriptio 259.c.260.261.262. per totum
templo absoluto infertur arca 263.c
Templum Solomonis spoliatum & concrematum quando 342.a
Templum Hierosol. instauratur 364.f 365.d. spoliatur & prophanatur ab Antiocho 409.c
restituitur & repurgatur à Iuda Macchabæo 415.d
Templi Hierosolymitani descriptio 915.f.916.917.918. per totum
Templi incensi fatalis dies 957.d
causa & principium ibid.
tempus à prima constructione per Solomonem vsque ad excidium 958.g
Templi Hierosolymis constructio & sacrorum ratio exposita 1066.
ianuarum descriptio 1067.c
Tephthæi Garsensis facinus 935.b
Terebinthi circa Chebron miraculosa antiquitas 895.e
Terentius Rufus rector militiæ à Tito relictus 972.b
Terminos terræ non mouendos 123.c
Terra vera, qualis 4.d
Terræmotus ingens in Iudæa 520.e
Terræ Oniæ 724.c
Testes qui sint, qui minus 122.e
Testis falsi pœna ibid.
Thadamora vrbs 268.f
Thæno Amathenorum rex cum Dauide amicitiam init 222.d
Thamanus occiditur 284.g
Thamara Dauidis filia, Abesalomi germana 218.f
stupratur à fratre Amnone 228.g
Thamna & Thamnitæ 160.c
Thamna oppidum 145.b
toparchia 890.d
Tharbis Aethiopum regis filia Moysi nubit 59.b
Tharrus Nachori fil. Abrahami pater 15.c. migrat Carrhas ibidem moritur ibid.
Tharsices Aethiopum rex 330.a
Tharsus, Tharsenses 13.c
Tharsus Ciliciæ vrbs ib.
Thaumastus Caij seruus 633.d
oblatę Agrippę aquę quam gratiam acceperit ibid.
Theatri Rom. descriptio 659.b
Thebethus mensis 370.a
Thecoa vicus 1031.b.894.g
Thella vicus 832.g
Themosis regis gesta 1040.e
Theodectes poeta cur glaucomate infestatus 397.d
Theodorus Zenonis filius impedimenta Iannęi diripit 459.b
Theodori contra Alexandrum Hyrcani gesta 714.b
Theodosius orator supplicio addict. 434.c
Theodotus Gręcus non obiter Iudæorum mentionem facit 1051.a
Theophilus Anani fit pontifex 627.c
submouetur pontificatu 675.b
Theophilus Gręcus Iudęorum mentionem facit 1051.a
Theophrastus Iudęorum & Tyriorum meminit 1046.g
Theopompus Atheniensium nobilitatem fœdare tentauit 1051.c
Theopompus cur mente motus 397.c
Thermusa Phraatis ancilla, & vxor mala 619.f
Thermutis, regis filia Moysen educat 56.d. adoptat eum 57.b
Theudas pręstigiator seducit Iudęorum vulgus 689.f
Theudio Antipatri auunculus 766.c
Theudio Doridis frater 588.e
Thiras, & Thires populus 13.b
Thobelus & eius inuenta 7.d
Thobelus, Thobeli populus 13.b
Thobię filij Antiocho Epiphani autores vrbis Hierosolymorum expugnandorum 708.e
Tholomęus latronum princeps plectitur 682.c
Thraces populus 13.b
Thraces asperrimos Rom. subditos 806.c
Thraces propter vicinitatem Gręcis cogniti 1038.f
Thucydides in multis tanquam fallax accusatur 1035.b
Thuri, mensis 263.b
Thygrammes, Thygrammęi 13.c
Tiberias vrbs 1023.c
à quo condita & nominata 619.d
Tiberiadis seditio & sectæ tres 1000.e
Tiberias iterum rebellauit Iosepho, & iterum recuperatur 827.e
Tibetienses Vespasiano se dedunt 859.d
Tiberiensis lacus Asphaltiti natura contrarius 891.b
Tiberiensium defectio quomodo prohibita 1011.c
Tiberiensibus spoliatis præda redditur 868.f

Tiberius

Tiberius Alexander Iudææ præficitur, ac Iudæ Galilæi filios crucifigit 690 b
Tiberius Alexander à Claudio procurator missus 793.f
præcipuus exercitus rector apud Titum 907.a.956.e
Tib. Claudius vide Claudius
Tiberius Drusi filius, Tiberij Neronis nepos, occiditur 636.b
Tiberius Nero Cæsar constituitur 619.b. Isiacos & Iden supplicio afficit 623.b
petit amicitiam Artabani 625.c
quantus fuerit cunctator 631.c
morbo correptus designat successorem 634.e
mathematicorum studiosissimus 635.d
moritur ibid.
Tiberij imperium quanto tempore steterit 790.b
Tigranes Armeniorum rex quid gesserit 464.g
Tigris fluuius 5.c
Timagenes Græcus rerum Iudaicarum scriptor 1065
Timaus rex Aegypti 1039.e
Timidius defert Popedium Caio 654.f
Timotheus Ammanita pugnat contra Iudam Macchabæum sæpéque vincitur 416.c
Tirithaba vicus 623.f
Tiridates Armeniæ rex 688.a
Tiro, veteranus miles Herodem honestè monens occiditur 761.e
Titus Frigius quintædecimæ legionis præpositus 956.f
Titus imperator semper miseratus Iudæos 706.c
cum exercitu Alexandriam peruenit 834.e
ob famam patris vulnerati perturbatur, & perturbatione iterum liberatur 845.a
Titus Vespasiani filius Iapham expugnat 848. a
Iotapatam capit 949.g
item Gischalam 870.f
Taricheas excindit 861.d
Gamalam ingreditur, Ioannem Leui persequitur 870.b
proficiscitur ab Alexandria Cæsaream 903.d
eius expeditio contra Hierosolyma & exploratio vrbis 904.b
vrbem acriter 907.908.& seqq.920.921.922.923
fortitudo eius & prudentia cum misericordia 924.925.931.f.& seqq.
muros vrbis oppugnat & expugnat 925.f.926
captiuis manus amputat 933.934.a
pugnat fortiter 936.a
periclitatur ibid.
eius gesta & virtutes 936.937.per totum.944. vsque 954.955.f. vsque 960. 962 vsque 977.988 989.
Titus Syriæ præses reconciliatur Archelao 570.d
Toparchiæ Iudææ ordine enumeratæ 853.g
Tormentorum bellicorum vis mirabilis, descriptio 845.b
Trabs ex solido auro in templo Hierosolymitano 478.c
Trachonitæ bis deficientes ab Herode, rediguntur sub imperium 558.c
Trachonitis regio 15.a
Trachonitidis latrocinia & quomodo ab Herode sublata 539.d
Traianus decimæ legionis rector contra Iapham ciuitatem à Vespasiano missus 848.a. Tiberiadē missus vt ciuium animos experiretur 857.e
ad Titum Taricheas missus 859.c
cunctis trans Iordanem deuictis se Vespasiano iungit 890.f
Trebellius Maximus 666.b
Troglodytarum fœminæ gregum curam gerunt 59.f
Troianarum rerum notatio 1034.c
Tryphonis scurræ dictum in Hyrcanum 405 g
Trypho tonsor garrulitatis pœnas luit 579.f.761.d
Tymius Cyprius 628.a
Tyrannidis natura 665.b
Tyrannus, Herodis stipator falso accusatur 574.759.d
Tyrannus & Priscus præfecti castrorum cum pluribus equitum magistris à Floro pecunia corrupti 819.f
Tyridates rex Armeniæ fermè in acie ab Alanis captus effugit 985.c
Tyriorum in re nauali peritia, & pugna contra Assyrios 325.e
Tyrij Iudæos apud se habitantes partim vinctos custodiæ tradunt, partim trucidant 815.d
Tyriorum publicæ literæ & historiæ 1042.b
Tyronis libertas in loquendo quanto ipsi malo fuerit 579.e
Tyrus, ædificium Hyrcani filij Iosephi 407.e
Tyrus quando condita 259.e

V

Valerianus Decadarchus Tiberiadem missus à Vespasiano vt populum conciliaret 857.c
Valerius Asiaticus 660.a.671.e
eius generosum dictum 664.b
Valerius Gratus Iudææ præficitur 619.c
Vardanes Artabani filius Parthorum rex bellum Izatæ indicit occiditúrque 687.g.688.a
Varus Syriæ præses 768.g.776.f.777.d
quid gesserit in Iudæa 780.f
Varus Agrippæ iunioris regiæ præfectus eiúsque malitia 1002.a
Vari procuratoris Agrippæ perfidia & crudelitas in legatos Batanæorum 815 g
Vaste regina vxor Artaxerxis 373.d
incidit in regis indignationem & repudiatur 374.a
Velum tabernaculi & templi 81.g.82.a
Veneficiorum pœna 128. b
Venditius dux Rom. quomodo se gesserit in bello contra Antigonum 500.a 734.e
Ventriloquorum vaticinia qualia 204 c
Veranius trib. plebis 670.b
Veritatis potētia omnium summa 262.c
Vespasiani & Titi erga Iudæos animi quales 398.c
Vespasianus cum Agrippa in Iudæam venit 1030 a
Vespasiani imperatoris laudes, & expeditio in Syriam 830.b
Sephoritis auxiliatur 834.b
gesta eius in Iudæa passim habentur 837 838.vsque 845. 850.851.852. 853. 854. 855 856.857.858 & 860.861. vsque 870. & 885.vsque 902.
Vespera, quæ diei pars 4.c
Victimæ salutares 50 c
Victimæ sint integræ 96. a
Vicus in Galilæa minimus, supra quindecim millia colonorum habet 843.b
Vindex cum optimatibus Galliæ à Nerone deficit 860.b
Vini potentia 360 g
Vitæ humanæ terminus 8.e.15.e
Vitellius Syriæ præses Iudæis impetrat rursus stolæ pontificiæ custodiam 544.d.624.f. beneficus est in Iudæos 624.c
exuitur prouincia 649.f
Vitellij pugna circa capitolium 893.d.
902.d. mors ibid.
Vitellij victoria apud Bebriacum contra Othonem 896.d
Vitellius cum exercitu ex Germania Romam proficiscitur ib.e
Vitellius Cæcinnam cum magna manu Antonio Primo obuiam mittit 901.f.
exercitus totus deletus 902.b
Vitri apud Memnonis sepulchrum natura miraculosa 791.a
Volumnius, Syriæ præses 571.a
eius sententia in Herodis filios 578.e. 761.a
Vologesus Parthorum rex 688.a
Tito auream coronam mittit ob deuictos Iudæos 976.f
Vonones Parthorum regnum consequitur 620.c
amittit ibid.
Vna dies, pro, prima dies 4.c
Vra, Chaldæorum vrbs 15.d
Vriæ virtus, & quomodo à Dauide periculis fuerit obiectus vt occideretur 225.c
Vrbem quis primus condiderit, & instituerit 7.b
Vses Damasci conditor 15.a
Vxores plures permittere Iudæorum leges 583.d
Vxores quando, & quales ducendæ 125.a

X

Xaloth vicus 832.g
Xanthicus mensis 9. a. 64. g. 93. a
Xerxes Darij filius paterni regni hæres in Iudæos beneficus, quicquid petierunt Esdras & Neemias gentis suæ nomine concedit 367.f.368.369. 370. 371.372. per totum. ei mortuo succedit filius Artaxerxes 372.a

Z

Zabadis magistratus 298.a
Zabelus dynasta 437.f
Zabulonis natiuitas 31.b. filij 52.b
Zabulon ciuitas Galilææ à Cestio direpta & incensa 817.e
Zabulonitarum sors 141.g
Zacharias Hieroboami filius patri in regnum succedit 318.f
sexto regni mense occiditur 320.b
Zacharias Ioiadi pont. filius in ipso templo lapidibus obruitur 314.e.884.c
Zacharias propheta 365.f
Zacharias supremus Israelitarum dux Amnam Achazæ filium superatum trucidat 321.f
Zamares Elanum regem cum vniuersa familia tollit, & se regem constituit, quo regno septem diebus potius seipsum exuit 284.e
Zambrias alienigenæ se miscēs & Moysi obloquens occiditur à Phinee 116.f
Zaræus Aethiopum rex Asano bellum inferens vincitur 283.b
Zaraza Amanis vxor mali consilij marito autor 378.b
Zebis dux captus 155.b
Zelotæ cum Idumæis plebem mactant 883.d
Zelotæ insidiis vxorem Simonis Gioræ rapiunt 896.a
metu perculsi eam remittunt ibidem c.
Zelotarum dominatio causa excidit Hierosolymitani 904.b
Zelotarum scelerata facta repetita 986.c

Zelotæ insidiis vxorem Simonis Gioræ rapiunt 896.a
metu perculsi eam remittunt ibidem c
Zelotarum dominatio, causa excidij Hierosolymitani 904.b
Zelotarum scelerata repetita 986.c. eorum immania supplicia ibidem
Zenon Cotyla Philadelphensium tyrannus 448.g.711.d
Zenodorus Trachonitarum præfectus, latrociniorum fautor, ditione priuatur 539.d
moritur 540.g.746.b
Zipheni Dauidem Saulo prodere conantur 198.e
Zona pontificis qualis 84.f
Zoor rusulcum 20.f
Zopyrion Græcus non obiter Iudęorum mentionem facit 1051.a
Zorobabel soluta quæstione Darium voti commonefacit 362.e
reducit Hierosolyma dimissos à Dario Iudæos, eisque patrocinatur 363.c
princeps Iudæorum captiuorum 358.d.363.f

FINIS.